Notes du mont Royal

www.notesdumontroyal.com

Cette œuvre est hébergée sur « *Notes du mont Royal* » dans le cadre d'un exposé gratuit sur la littérature.

SOURCE DES IMAGES

Google Livres

ΛΟΥΚΙΑΝΟΥ

ΤΟΥ ΣΑΜΟΣΑΤΕΩΣ

ΤΑ ΣΩΖΟΜΕΝΑ

LUCIANI

SAMOSATENSIS OPERA

PARISIIS. — EXCUDEBANT FIRMIN DIDOT FRATRES, VIA JACOB, 56

ΛΟΥΚΙΑΝΟΥ

ΤΟΥ ΣΑΜΟΣΑΤΕΩΣ

ΤΑ ΣΩΖΟΜΕΝΑ

LUCIANI

SAMOSATENSIS OPERA

EX RECENSIONE

GUILIELMI DINDORFII

GRÆCE ET LATINE CUM INDICIBUS

EDITIO ALTERA EMENDATIOR



PARISIIS

EDITORE AMBROSIO FIRMIN DIDOT

INSTITUTI IMPERIALIS FRANCIÆ TYPOGRAPHO

VIA JACOB, 56

M DCCC LXVII

PRÆFATIO.

Tradimus Tibi Luciani scripta, sicut nuper Polybiana, talibus formis expressa, ut uno volumine nequaquam inhabili comprehensa tractare possis. Quod quum per se videretur multis exoptatum accidere, tum in ornando et expoliendo volumine nec impensæ nec labori parsimus. Nam in ea editione, qua *Jacobitzius* Lipsiensis præclaro instituto totum Lucianum primus ad optimorum codicum præscriptionem revocavit, multa leguntur quæ a tali scriptore, atque adeo illa ætate sic scribi non poterant. Quare literis appellavimus *Guilielmum Dindorfium*, virum celeberrimum, ut, quæ eum scibamus parata habere ad emendandum Lucianum, ea nobiscum pro sua in nos benevolentia communicaret. Misit autem exemplum editionis Jacobitzianæ, cujus vix una alterave pagina non esset manu ipsius notata. Neque ex codicibus modo et conjecturis criticorum protraxit quæ ipsi videbatur Lucianus scripsisse, sed suis emendationibus ad centum sexaginta locos male affectos sanavit. In *Tragodopodagra* et *Ocypode* multum profuit varia scriptura codicum trium, in ipsius usus collatorum; in *Epigrammatis* Anthologia Palatina, cujus indicio epigrammata quædam, ut aliorum poetarum, ejecta, nova quinque addita sunt. Ceterum exemplo, quod criticus celeberrimus transmiserat, ita nos astrinximus, ut in græcis nihil contra mentem ipsius positum esse confidamus (*).

Translationem latinam condere inchoaverat *Hemsterhusius*, præstantissimam illam et qualis a tali viro poterat exspectari, sed in qua non raro desiderabis argutam simplicitatem et claram facundiam Luciani : nam multa nimis artificiose nec satis usitato genere loquendi expressa leguntur. In Nigrino servavit versionem *Solani*, in Timone, *Tanaquilli Fabri*, quam utpote liberrimam, plurimis locis ad sententiam aut modum græcæ orationis revocavi-

(*) Sero nobiscum communicata est hæc admonitio. « Pag.37, Halcyon. § 3, versu 11, post voc. δυνάμεις inserenda sunt verba ἢ τὰς τῆς ὅλης φύσεως. »

mus. Hemsterhusianas ea qua decebat modestia tractabamus, nihil mutationis admittentes nisi ubi vel græca nostra diserte præciperent, vel latina nimis essent impedita.

Reliqua omnia, a libro *de Sacrificiis*, pag. 525 ed. Reitzianæ, ad finem, nobis judicibus, eximie transtulit *Matthias Gesnerus*, « Illud, » inquit, « inter alia dedi operam, ut, quantum ejus per « utriusque linguæ rationes liceret, non discederem a singulorum « verborum significatione, nec ab ordine verborum et figura di« ctionis; sed ipsum quoque genus dicendi eumque quem chara« ctera vocant exprimerem. » Et paullo post : « Voluimus ergo « interpretationem nostram Lucianeæ orationi, quantum ejus con« sequi potuimus, esse simillimam. » Quæ res ei successit egregie, neque minuuntur laudes huic operi debitæ locorum aliquammultorum notatione, in quibus græca non recte assecutus est : nam ea sorte utuntur translationes latinæ, ut taceantur sexcentæ difficultates feliciter superatæ, lapsus unus et alter protrahatur in lucem, ducatur in triumphum. Nos licet longe plura *Gesneri* correxerimus quam quæ ante nos notata fuerant, permulta prorsus aliter verterimus, propius ad mentem et verba Luciani accessisse opinantes, tamen Gesneriani operis, si universum spectas, præstantiam plane singularem læti testamur. Illud solum mirati sumus, in libro *de dea Syria* Gesnerum immemorem fuisse promissorum de *charactere* servando; nam orationem Herodoteam, quæ ibi regnat, in latinis ligavit et compsit. Ceterum per se intelligitur, omnia nostris græcis, quæ sæpissime discrepant ab Reitzianis, esse accommodata. In carminibus de Podagra non videbamur operæ pretium facturi, si versus recte modulatos Gesnerianis substitueremus. Epigrammata pleraque ab *Hugone Grotio* versa sunt, quattuor aut quinque ab nobis.

Indicem denique Reitzianum multis locis correximus, et quadringentis fere additamentis auximus. Tituli asteriscis notati libros supposititios indicant.

SCRIPTA LUCIANI.

I. Περὶ τοῦ Ἐνυπνίου, ἤτοι Βίος Λουκιανοῦ.
De somnio, seu, Vita Luciani.

II. Πρὸς τὸν εἰπόντα, Προμηθεὺς εἶ ἐν λόγοις.
Ad eum qui dixerat, Prometheus es in verbis.

III. Πρὸς Νιγρῖνον ἐπιστολή.
Epistola ad Nigrinum.

IV. Δίκη Φωνηέντων.
Judicium vocalium.

V. Τίμων, ἢ Μισάνθρωπος.
Timon, sive Misanthropos.

VI. Ἀλκυών, ἢ περὶ Μεταμορφώσεως.
Halcyon, seu de Transformatione.

VII. Προμηθεὺς, ἢ Καύκασος.
Prometheus, sive Caucasus.

VIII. ΘΕΩΝ ΔΙΑΛΟΓΟΙ.
DEORUM DIALOGI.

— 1. Προμηθέως καὶ Διός.
Promethei et Jovis.

— 2. Ἔρωτος καὶ Διός.
Cupidinis et Jovis.

— 3. Διὸς καὶ Ἑρμοῦ.
Jovis et Mercurii.

— 4. Διὸς καὶ Γανυμήδους.
Jovis et Ganymedis.

— 5. Ἥρας καὶ Διός.
Junonis et Jovis.

— 6. Ἥρας καὶ Διός.
Junonis et Jovis.

— 7. Ἡφαίστου καὶ Ἀπόλλωνος.
Vulcani et Apollinis.

— 8. Ἡφαίστου καὶ Διός.
Vulcani et Jovis.

— 9. Ποσειδῶνος καὶ Ἑρμοῦ.
Neptuni et Mercurii.

— 10. Ἑρμοῦ καὶ Ἡλίου.
Mercurii et Solis.

— 11. Ἀφροδίτης καὶ Σελήνης.
Veneris et Lunæ.

— 12. Ἀφροδίτης καὶ Ἔρωτος.
Veneris et Cupidinis.

— 13. Διὸς καὶ Ἀσκληπιοῦ καὶ Ἡρακλέους.
Jovis, Æsculapii et Herculis.

— 14. Ἑρμοῦ καὶ Ἀπόλλωνος.
Mercurii et Apollinis.

— 15. Ἑρμοῦ καὶ Ἀπόλλωνος.
Mercurii et Apollinis.

— 16. Ἥρας καὶ Λητοῦς.
Junonis et Latonæ.

— 17. Ἀπόλλωνος καὶ Ἑρμοῦ.
Apollinis et Mercurii.

— 18. Ἥρας καὶ Διός.
Junonis et Jovis.

— 19. Ἀφροδίτης καὶ Ἔρωτος.
Veneris et Cupidinis.

— 20. Θεῶν κρίσις.
Dearum judicium.

— 21. Ἄρεος καὶ Ἑρμοῦ.
Martis et Mercurii.

— 22. Πανὸς καὶ Ἑρμοῦ.
Panis et Mercurii.

— 23. Ἀπόλλωνος καὶ Διονύσου.
Apollinis et Bacchi.

— 24. Ἑρμοῦ καὶ Μαίας.
Mercurii et Maiæ.

— 25. Διὸς καὶ Ἡλίου.
Jovis et Solis.

— 26. Ἀπόλλωνος καὶ Ἑρμοῦ.
Apollinis et Mercurii.

IX. ΕΝΑΛΙΟΙ ΔΙΑΛΟΓΟΙ.
DIALOGI MARINI.

— 1. Δωρίδος καὶ Γαλατείας.
Doridis et Galateæ.

— 2. Κύκλωπος καὶ Ποσειδῶνος.
Cyclopis et Neptuni.

— 3. Ποσειδῶνος καὶ Ἀλφειοῦ.
Neptuni et Alphei.

— 4. Μενελάου καὶ Πρωτέως.
Menelai et Protei.

— 5. Πανόπης καὶ Γαλήνης.
Panopes et Galenes.

— 6. Τρίτωνος, Ἀμυμώνης καὶ Ποσειδῶνος.
Tritonis, Amymones et Neptuni.

— 7. Νότου καὶ Ζεφύρου.
Noti et Zephyri.

— 8. Ποσειδῶνος καὶ Δελφίνων.
Neptuni et Delphinum.

— 9. Ποσειδῶνος καὶ Νηρηίδων.
Neptuni et Nereidum.

— 10. Ἶριδος καὶ Ποσειδῶνος.
Iridis et Neptuni.

— 11. Ξάνθου καὶ Θαλάττης.
Xanthi et Maris.

— 12. Δωρίδος καὶ Θέτιδος.
Doridis et Thetidis.

— 13. Ἐνιπέως καὶ Ποσειδῶνος.
Enipei et Neptuni.

— 14. Τρίτωνος καὶ Νηρηίδων.
Tritonis et Nereidum.

— 15. Ζεφύρου καὶ Νότου.
Zephyri et Noti.

X. ΝΕΚΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ.
MORTUORUM DIALOGI.

— 1. Διογένους καὶ Πολυδεύκους.
Diogenis et Pollucis.

— 2. Πλούτων ἢ Κατὰ Μενίππου.
Pluto, seu Contra Menippum.

— 3. Μενίππου, Ἀμφιλόχου καὶ Τροφωνίου.
Menippi, Amphilochi et Trophonii.
— 4. Ἑρμοῦ καὶ Χάρωνος.
Mercurii et Charontis.
— 5. Πλούτωνος καὶ Ἑρμοῦ.
Plutonis et Mercurii.
— 6. Τερψίωνος καὶ Πλούτωνος.
Terpsionis et Plutonis.
— 7. Ξενοφάντου καὶ Καλλιδημίδου.
Zenophantæ et Callidemidæ.
— 8. Κνήμωνος καὶ Δαμνίππου.
Cnemonis et Damnippi.
— 9. Σιμύλου καὶ Πολυστράτου.
Simyli et Polystrati.
—10. Χάρωνος καὶ Ἑρμοῦ καὶ νεκρῶν διαφόρων.
Charontis et Mercurii et mortuorum diversorum.
—11. Κράτητος καὶ Διογένους.
Cratetis et Diogenis.
—12. Ἀλεξάνδρου, Ἀννίβου, Μίνωος καὶ Σκηπίωνος
Alexandri, Annibalis, Minois, Scipionis.
—13. Διογένους καὶ Ἀλεξάνδρου.
Diogenis et Alexandri.
—14. Φιλίππου καὶ Ἀλεξάνδρου.
Philippi et Alexandri.
—15. Ἀχιλλέως καὶ Ἀντιλόχου.
Achillis et Antilochi.
—16. Διογένους καὶ Ἡρακλέους.
Diogenis et Herculis.
—17. Μενίππου καὶ Ταντάλου.
Menippi et Tantali.
—18. Μενίππου καὶ Ἑρμοῦ.
Menippi et Mercurii.
—19. Αἰακοῦ, Πρωτεσιλάου, Μενελάου καὶ Πάριδος.
Æaci, Protesilai, Menelai ac Paridis.
—20. Μενίππου καὶ Αἰακοῦ.
Menippi et Æaci.
—21. Μενίππου καὶ Κερβέρου.
Menippi et Cerberi.
—22. Χάρωνος καὶ Μενίππου.
Charontis, Menippi (et Mercurii).
—23. Πρωτεσιλάου, Πλούτωνος καὶ Περσεφόνης.
Protesilai, Plutonis et Proserpinæ.
—24. Διογένους καὶ Μαυσώλου.
Diogenis et Mausoli.
—25. Νιρέως καὶ Θερσίτου καὶ Μενίππου.
Nirei, Thersitæ et Menippi.
—26. Μενίππου καὶ Χείρωνος.
Menippi et Chironis.
—27. Διογένους καὶ Ἀντισθένους καὶ Κράτητος.
Diogenis, Antisthenis et Cratetis.
—28. Μενίππου καὶ Τειρεσίου.
Menippi et Tiresiæ.
—29. Αἴαντος καὶ Ἀγαμέμνονος.
Ajacis et Agamemnonis.
—30. Μίνωος καὶ Σωστράτου.
Minois et Sostrati.

XI. Μένιππος ἢ Νεκυομαντεία.
Menippus sive Oraculum mortuorum consultum.
XII. Χάρων, ἢ Ἐπισκοποῦντες.
Charon sive Contemplantes.
XIII. Περὶ θυσιῶν.
De sacrificiis.
XIV. Βίων πρᾶσις.
Vitarum auctio.
XV. Ἁλιεὺς ἢ Ἀναβιοῦντες.
Piscator vel Reviviscentes.
XVI. Κατάπλους, ἢ Τύραννος.
Trajectus sive Tyrannus.
XVII. Περὶ τῶν ἐπὶ μισθῷ συνόντων.
De mercede conductis potentium familiaribus.
XVIII. Ἀπολογία.
Apologia.
XIX. Ὑπὲρ τοῦ ἐν τῇ προσαγορεύσει πταίσματος.
Pro lapsu in salutando.
XX. Ἑρμότιμος ἢ περὶ Αἱρέσεων.
Hermotimus sive De sectis.
XXI. Ἡρόδοτος ἢ Ἀετίων.
Herodotus sive Aetion.
XXII. Ζεῦξις ἢ Ἀντίοχος.
Zeuxis aut Antiochus.
XXIII. Ἁρμονίδης.
Harmonides.
XXIV. Σκύθης ἢ Πρόξενος.
Scytha seu Conciliator hospitii.
XXV. Πῶς δεῖ ἱστορίαν συγγράφειν.
Quomodo historia conscribenda sit.
XXVI. Ἀληθοῦς ἱστορίας λόγος πρῶτος.
Veræ historiæ liber primus.
XXVII. Ἀληθοῦς ἱστορίας λόγος δεύτερος.
Veræ historiæ liber secundus.
XXVIII. Τυραννοκτόνος.
Tyrannicida.
XXIX. Ἀποκηρυττόμενος.
Abdicatus.
XXX. Φάλαρις πρῶτος.
Phalaris prior.
XXXI. Φάλαρις δεύτερος.
Phalaris alter.
XXXII. Ἀλέξανδρος ἢ Ψευδόμαντις.
Alexander s. Pseudomantis.
XXXIII. Περὶ ὀρχήσεως.
De saltatione.
XXXIV. Λεξιφάνης.
Lexiphanes.
XXXV. Εὐνοῦχος.
Eunuchus.
*XXXVI. Περὶ τῆς ἀστρολογίης.
De astrologia.
XXXVII. Δημώνακτος βίος.
Demonactis vita.
*XXXVIII. Ἔρωτες.
Amores.
XXXIX. Εἰκόνες.
Imagines.
XL. Ὑπὲρ τῶν εἰκόνων.
Pro imaginibus.
XLI. Τόξαρις ἢ Φιλία.
Toxaris seu amicitia.
*XLII. Λούκιος ἢ Ὄνος.
Lucius sive Asinus.
XLIII. Ζεὺς ἐλεγχόμενος.
Jupiter confutatus.
XLIV. Ζεὺς τραγῳδός.
Jupiter tragœdus.
XLV. Ὄνειρος ἢ Ἀλεκτρυών.
Somnium seu Gallus.

XLVI. Ἰκαρομένιππος ἢ Ὑπερνέφελος.
Icaromenippus sive Hypernephelus.

XLVII. Δὶς κατηγορούμενος ἢ Δικαστήρια.
Bis accusatus seu Tribunalia.

XLVIII. Περὶ παρασίτου ἤτοι ὅτι τέχνη ἡ παρασιτική.
De parasito, sive Artem esse parasiticam.

XLIX. Ἀνάχαρσις ἢ περὶ Γυμνασίων.
Anacharsis sive De exercitationibus.

L. Περὶ πένθους.
De luctu.

LI. Ῥητόρων διδάσκαλος.
Rhetorum præceptor.

LII. Φιλοψευδὴς ἢ Ἀπιστῶν.
Philopseudes sive Incredulus.

LIII. Ἱππίας ἢ Βαλανεῖον.
Hippias seu Balneum.

LIV. Προλαλιὰ ὁ Διόνυσος.
Præfatio Bacchus.

LV. Προλαλιὰ ὁ Ἡρακλῆς.
Præfatio Hercules.

LVI. Περὶ τοῦ ἠλέκτρου ἢ τῶν κύκνων.
De electro seu cycnis.

LVII. Μυίας ἐγκώμιον.
Muscæ encomium.

LVIII. Πρὸς τὸν ἀπαίδευτον καὶ πολλὰ βιβλία ὠνούμενον.
Adversus indoctum et libros multos ementem.

LIX. Περὶ τοῦ μὴ ῥᾳδίως πιστεύειν διαβολῇ.
Non temere credendum esse delationi.

LX. Ψευδολογιστὴς ἢ Περὶ τῆς ἀποφράδος κατὰ Τιμάρχου.
Pseudologista sive De die nefasto contra Timarchum.

LXI. Περὶ τοῦ οἴκου.
De œco.

*LXII. Μακρόβιοι.
Longævi.

LXIII. Πατρίδος ἐγκώμιον.
Patriæ encomium.

LXIV. Περὶ τῶν διψάδων.
De dipsadibus.

LXV. Διάλεξις πρὸς Ἡσίοδον.
Disputatio cum Hesiodo.

LXVI. Πλοῖον ἢ Εὐχαί.
Navigium seu vota.

LXVII. ΕΤΑΙΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ.
DIALOGI MERETRICII.

— 1. Γλυκέρα καὶ Θαΐς.
Glycera et Thais.

— 2. Μύρτιον καὶ Πάμφιλος καὶ Δωρίς.
Myrtium, Pamphilus et Doris.

— 3. Μήτηρ καὶ Φίλιννα.
Mater et Philinna.

— 4. Μέλιττα καὶ Βακχίς.
Melissa et Bacchis.

— 5. Κλωνάριον καὶ Λέαινα.
Clonarium et Leæna.

— 6. Κρωβύλη καὶ Κόριννα.
Crobyle et Corinna.

— 7. Μήτηρ καὶ Μουσάριον.
Mater et Musarium.

— 8. Ἀμπελὶς καὶ Χρυσίς.
Ampelis et Chrysis.

— 9. Δορκάς, Παννυχὶς, Φιλόστρατος, Πολέμων.
Dorcas, Pannychis, Philostratus, Polemo.

—10. Χελιδόνιον καὶ Δροσή.
Chelidonium et Drose.

—11. Τρύφαινα καὶ Χαρμίδης.
Tryphæna et Charmides.

—12. Ἰόεσσα καὶ Πυθιὰς καὶ Αυσίας.
Ioessa, Pythias et Lysias.

—13. Λεόντιχος, Χηνίδας καὶ Ὑμνίς.
Leontichus, Chenidas et Hymnis.

—14. Δωρίων καὶ Μυρτάλη.
Dorio et Myrtale.

—15. Κοχλὶς καὶ Παρθενίς.
Cochlis et Parthenis.

LXVIII. Περὶ τῆς Περεγρίνου τελευτῆς.
De morte Peregrini.

LXIX. Δραπέται.
Fugitivi.

LXX. — 1. Τὰ πρὸς Κρόνον.
Saturnalia.

— 2. Κρονοσόλων.
Cronosolon (legislator Saturnalium).

— 3. Ἐπιστολαὶ Κρονικαί.
Epistolæ Saturnales.

LXXI. Συμπόσιον ἢ Λαπίθαι.
Convivium seu Lapithæ.

LXXII. Περὶ τῆς Συρίης θεοῦ.
De Syria dea.

LXXIII. Δημοσθένους ἐγκώμιον.
Demosthenis encomium.

LXXIV. Θεῶν ἐκκλησία.
Deorum concilium.

LXXV. Κυνικός.
Cynicus.

LXXVI. Ψευδοσοφιστὴς ἢ Σολοικιστής.
Pseudosophista seu Solœcista.

*LXXVII. Φιλόπατρις ἢ Διδασκόμενος.
Philopatris seu Qui docetur.

*LXXVIII. Χαρίδημος ἢ περὶ Κάλλους.
Charidemus sive De pulchritudine.

*LXXIX. Νέρων ἢ περὶ τῆς ὀρυχῆς τοῦ Ἰσθμοῦ.
Nero sive De Isthmo perfodiendo.

LXXX. Τραγῳδοποδάγρα.
Tragodopodagra.

*LXXXI. Ὠκύπους.
Ocypus (Celeripes).

LXXXII. Ἐπιγράμματα.
Epigrammata.

INDEX ALPHABETICUS.

A.

Abdicatus, XXIX.
Accusatus (bis), XLVII.
Adversus indoctum, LVIII.
Aetion, s. Herodotus, XXI.
Alexander, s. Pseudomantis, XXXII.
Amicitia, s. Toxaris, XLI.
Amores, XXXVIII.
Anacharsis, s. de Exercitationibus, XLIX.
Antiochus, s. Zeuxis, XXII.
Apologia, XVIII.
Apophras, s. de Die nefasto, s. Pseudologista, LX.
Asinus, s. Lucius, XLII.
Astrologia (De), XXXVI.
Auctio vitarum, XIV.

B.

Bacchus. Præfatio, LIV.
Balneum, s. Hippias, LIII.
Bis accusatus, s. Tribunalia, XLVII.

C.

Calumnia (De), s. calumniæ non credendum, LIX.
Cataplus, s. Tyrannus, XVI.
Caucasus, s. Prometheus, VII.
Charidemus, s. de Pulchritudine, LXXVIII.
Charon, s. Contemplantes, XII.
Concilium deorum, LXXIV.
Contemplantes, s. Charon, XII.
Convivium, s. Lapithæ, LXXI.
Cronosolon, i. e. Legislator Saturnalium, LXX, 2.
Cycni, s. Electrum, LXVI.
Cynicus, LXXV.

D.

Dearum judicium, VIII, 20.
De astrologia, XXXVI.
De die nefasto, s. Pseudologista, LX.
De dipsadibus, LXIV.
De electro, s. Cycnis, LVI.
De exercitationibus, s. Anacharsis, XLIX.
De gymnasiis, idem.
De luctu, L.
De mercede conductis, XVII.
Demonactis vita, XXXVII.
De morte Peregrini, LXVIII.
Demosthenis encomium, LXXIII.
De non temere credendo delationi, LIX.
De oeco, LXI.
Deorum concilium, LXXIV.
De parasito, s. Artem esse parasiticam, XLVIII.
De sacrificiis, XIII.
De saltatione, XXXIII.
De sectis, s. Hermotimus, XX.
De Syria dea, LXXII.

DIALOGI DEORUM, VIII.

— 1. Promethei et Jovis.
— 2. Cupidinis et Jovis.
— 3. Jovis et Mercurii.
— 4. Jovis et Ganymedis.
— 5. Junonis et Jovis.
— 6. Junonis et Jovis iterum.
— 7. Vulcani et Apollinis.
— 8. Vulcani et Jovis.
— 9. Neptuni et Mercurii.
—10. Mercurii et Solis.
—11. Veneris et Lunæ.
—12. Veneris et Cupidinis.
—13. Jovis, Æsculapii et Herculis.
—14. Mercurii et Apollinis.
—15. Mercurii et Apollinis.
—16. Junonis et Latonæ.
—17. Apollinis et Mercurii.
—18. Junonis et Jovis.
—19. Veneris et Cupidinis.
—20. Dearum judicium.
—21. Martis et Mercurii.
—22. Panis et Mercurii.
—23. Apollinis et Bacchi.
—24. Mercurii et Maiæ.
—25. Jovis et Solis.
—26. Apollinis et Mercurii.

DIALOGI MARINI, IX.

— 1. Doridis et Galateæ.
— 2. Cyclopis et Neptuni.
— 3. Neptuni et Alphei.
— 4. Menelai et Protei.
— 5. Panopes et Galenes.
— 6. Tritonis, Amymones et Neptuni.
— 7. Noti et Zephyri.
— 8. Neptuni et Delphinum.
— 9. Neptuni et Nereidum.

—10. Iridis et Neptuni.
—11. Xanthi et Maris.
—12. Doridis et Thetidis.
—13. Enipei et Neptuni.
—14. Tritonis et Nereidum.
—15. Zephyri et Noti.

DIALOGI MORTUORUM, X.

— 1. Diogenis et Pollucis.
— 2. Pluto, s. contra Menippum.
— 3. Menippi, Amphilochi et Troph.
— 4. Mercurii et Charontis.
— 5. Plutonis et Mercurii.
— 6. Terpsionis et Plutonis.
— 7. Zenophantæ et Callidemidæ.
— 8. Cnemonis et Damnippi.
— 9. Simyli et Polystrati.
—10. Charontis et Mercurii et diversorum mortuorum.
—11. Cratetis et Diogenis.
—12. Alexandri, Annibalis, Minois, Scipionis.
—13. Diogenis et Alexandri.
—14. Philippi et Alexandri.
—15. Achillis et Antilochi.
—16. Diogenis et Herculis.
—17. Menippi et Tantali.
—18. Menippi et Mercurii.
—19. Æaci, Protesilai, Menelai et Paridis.
—20. Menippi et Æaci.
—21. Menippi et Cerberi.
—22. Charontis, Menippi (et Mercurii).
—23. Protesilai, Plutonis et Proserpinæ.
—24. Diogenis et Mausoli.
—25. Nirei, Thersitæ et Menippi.
—26. Menippi et Chironis.
—27. Diogenis, Antisthenis et Cratetis.
—28. Menippi et Tiresiæ.
—29. Ajacis et Agamemnonis.
—30. Minois et Sostrati.

DIALOGI MERETRICII, LXVII.

— 1. Glycera et Thais.
— 2. Myrtium, Pamphilus et Doris.
— 3. Mater et Philinna.
— 4. Melissa et Bacchis.
— 5. Clonarium et Leæna.
— 6. Crobyle et Corinna.
— 7. Mater et Musarium.
— 8. Ampelis et Chrysis.
— 9. Dorcas, Pannychis, Philostratus, Polemon.
—10. Chelidonium et Drose.
—11. Tryphæna et Charmides.
—12. Ioessa, Pythias et Lysias.
—13. Leontichus, Chenidas et Hymnis.
—14. Dorio et Myrtale.
—15. Cochlis et Parthenis.

Dipsades. De dipsadibus, LXIV.
Disputatio cum Hesiodo, LXV.
Domus. De domo s. Œco, LXI.

E.

Electrum. De electro, s. cygnis, LXVI.
Encomium demosthenis, LXXIII
Encomium muscæ, LVII.
Encomium patriæ, LXIII.
Epigrammata, LXXXII.
Epistola ad Nigrinum, III.
Epistolæ Saturnales, LXX, 3.
Eunuchus, XXXV.

F.

Fugitivi, LXIX.

G.

Gallus, s. Somnium, XLV.
Gymnasia. de gymnasiis, s. anacharsis, XLIX.

H.

Halcyon, s. de Transformatione, VI.
Harmonides, XXIII.
Hercules. Præfatio, LV.
Hermotimus, s. de Sectis, XX.
Herodotus, s. Aetion, XXI.
Hesiodus. Dissertatio cum Hesiodo, LXV
Hippias, s. Balneum, LIII.
Historia quomodo conscribenda, XXV.
Historiæ veræ lib. I, XXVI.
Historiæ veræ lib. II, XXVII.
Hospitii conciliator, s. Scytha, XXIV.
Hypernephelus, s. Icaromenippus, XLVI.

I.

Icaromenippus, s. Hypernephelus, XLVI.
Imagines, XXXIX.
Imaginibus (pro), XL.
Incredulus, s. Philopseudes, LII.
Indoctus. Adversus indoctum, LVIII.
Isthmus. De isthmo perfodiendo, s. Nero, LXXIX.

J.

Judicium dearum, VIII, 12.
Judicium vocalium, IV.
Jupiter confutatus, XLIII.
Jupiter tragoedus, XLIV.

L.

Lapithæ, s. Convivium, LXXI.

Lapsus. Pro lapsu in salutando, XIX.
Lexiphanes, XXXIV.
Longævi, s. Macrobii, LXII.
Luciani vita, s. Somnium, I.
Lucius, s. Asinus, XLII.
Luctus. De luctu, L.

M.

Macrobii, LXII.
Menippus, s. Necyomantia, XI.
Merces. De mercede conductis, XVII.
Metamorphosis, s. halcyon, III.
Misanthropos, s. Timon, V.
Mors. De morte Peregrini, LXVIII.
Muscæ encomium, LVII.

N.

Navigium, s. Vota, LXVI.
Necyomantia, s. Menippus, XI.
Nefastus dies. De die nefasto, s. Pseudologista, LX.
Nero, s. de Isthmo perfodiendo, LXXIX.
Nigrinus, III.

O.

Ocypus, LXXXI.
Œcus. De oeco, LXI.

P.

Parasitus, s. Artem esse parasiticam, XLVIII.
Patriæ encomium, LXIII.
Peregrinus. De morte Peregrini, LXVIII.
Phalaris prior, XXX.
Phalaris alter, XXXI.
Philopatris, s. Qui docetur, LXXVII.
Philopseudes, s. Incredulus, LII.
Piscator, s. Reviviscentes, XV.
Præfatio. Bacchus, LIV.
Præfatio. Hercules, LV.
Pro imaginibus. XL.
Pro lapsu in salutando, XIX.
Pro mercede conductis, s. Apologia, XVIII.
Prometheus es in verbis, II.
Prometheus, s. Caucasus, VII.
Pseudologista, s. de die nefasto, LX.
Pseudomantis, s. Alexander, XXXII.
Pseudosophista, s. Soloecista, LXXVI.
Pulchritudo. De pulchritudine, s. Charidemus, LXXVIIII.

Q.

Quomodo historia conscribenda sit, XXV.

R.

Reviviscentes, s. Piscator, XV.
Rhetorum præceptor, LI.

S.

Sacrificia. De sacrificiis, XIII.
Saltatio. De saltatione, XXXIII.
Salutare. Pro lapsu in salutando, XIX.
Saturnalia, LXX.
Scytha, s. Conciliator hospitii, XXIV.
Sectæ. De sectis, s. hermotimus, XX.
Soloecista, s. Pseudosophista, LXXVI.
Somnium, s. Gallus, XLV.
Somnium, s. Vita Luciani, I.
Symposium, s. Lapithæ, LXXI.
Syria dea, LXXII.

T.

Timon, s. Misanthropos, V.
Toxaris, s. Amicitia, XLI.
Tragodopodagra, LXXX.
Tribunalia, s. Bis accusatus, XLVII.
Tyrannus, s. Cataplus, XVI.
Tyrannicida, XXVIII.

V.

Veræ historiæ lib. 1, XXVI.
Veræ historiæ lib. 2, XXVII
Vitarum auctio, XIV.
Vocalium judicium, IV.
Vota, s. Navigium, LXVI.

Z.

Zeuxis, s. Antiochus, XXII.

ΛΟΥΚΙΑΝΟΥ

ΣΑΜΟΣΑΤΕΩΣ

ΔΙΑΛΟΓΟΙ.

I.

ΠΕΡΙ ΤΟΥ ΕΝΥΠΝΙΟΥ ΗΤΟΙ ΒΙΟΣ ΛΟΥΚΙΑΝΟΥ.

1. Ἄρτι μὲν ἐπεπαύμην εἰς τὰ διδασκαλεῖα φοιτῶν ἤδη τὴν ἡλικίαν πρόσηβος ὤν, ὁ δὲ πατὴρ ἐσκοπεῖτο μετὰ τῶν φίλων ὅ τι καὶ διδάξαιτό με. Τοῖς πλείστοις οὖν ἔδοξε παιδεία μὲν καὶ πόνου πολλοῦ καὶ χρόνου μακροῦ καὶ δαπάνης οὐ μικρᾶς καὶ τύχης δεῖσθαι λαμπρᾶς, τὰ δ' ἡμέτερα μικρά τε εἶναι καὶ ταχεῖάν τινα τὴν ἐπικουρίαν ἀπαιτεῖν· εἰ δέ τινα τέχνην τῶν βαναύσων τούτων ἐκμάθοιμι, τὸ μὲν πρῶτον εὐθὺς ἂν αὐτὸς ἔχειν τὰ ἀρκοῦντα παρὰ τῆς τέχνης καὶ μηκέτ' οἰκόσιτος εἶναι τηλικοῦτος ὤν, οὐκ εἰς μακρὰν δὲ καὶ τὸν πατέρα εὐφρανεῖν ἀποφέρων ἀεὶ τὸ γιγνόμενον.

2. Δευτέρας οὖν σκέψεως ἀρχὴ προὐτέθη, τίς ἀρίστη τῶν τεχνῶν καὶ ῥᾴστη ἐκμαθεῖν καὶ ἀνδρὶ ἐλευθέρῳ πρέπουσα καὶ πρόχειρον ἔχουσα τὴν χορηγίαν καὶ διαρκῆ τὸν πόρον. Ἄλλου τοίνυν ἄλλην ἐπαινοῦντος, ὡς ἕκαστος γνώμης ἢ ἐμπειρίας εἶχεν, ὁ πατὴρ εἰς τὸν θεῖον ἀπιδών, — παρῆν γὰρ ὁ πρὸς μητρὸς θεῖος, ἄριστος ἑρμογλύφος εἶναι δοκῶν — Οὐ θέμις, εἶπεν, ἄλλην τέχνην ἐπικρατεῖν σοῦ παρόντος, ἀλλὰ τοῦτον ἄγε — δείξας ἐμέ — καὶ δίδασκε παραλαβὼν λίθων ἐργάτην ἀγαθὸν εἶναι καὶ συναρμοστὴν καὶ ἑρμογλυφέα· δύναται γὰρ καὶ τοῦτο φύσεώς γε, ὡς οἶσθα, τυχὼν δεξιᾶς. Ἐτεκμαίρετο δὲ ταῖς ἐκ τοῦ κηροῦ παιδιαῖς· ὁπότε γὰρ ἀφεθείην ὑπὸ τῶν διδασκάλων, ἀποξέων ἂν τὸν κηρὸν ἢ βόας ἢ ἵππους ἢ καὶ νὴ Δί' ἀνθρώπους ἀνέπλαττον, εἰκότως, ὡς ἐδόκουν τῷ πατρί· ἐφ' οἷς παρὰ μὲν τῶν διδασκάλων πληγὰς ἐλάμβανον, τότε δὲ ἔπαινος εἰς τὴν εὐφυίαν καὶ ταῦτα ἦν, καὶ χρηστὰς εἶχον ἐπ' ἐμοὶ τὰς ἐλπίδας, ὡς ἐν βραχεῖ μαθήσομαι τὴν τέχνην, ἀπ' ἐκείνης γε τῆς πλαστικῆς.

3. Ἅμα τε οὖν ἐπιτήδειος ἐδόκει ἡμέρα τέχνης ἐνάρχεσθαι, κἀγὼ παρεδεδόμην τῷ θείῳ μὰ τὸν Δί' οὐ σφόδρα τῷ πράγματι ἀχθόμενος, ἀλλά μοι καὶ παιδιάν τινα οὐκ ἀτερπῆ ἐδόκει ἔχειν καὶ πρὸς τοὺς ἡλικιώτας ἐπίδειξιν, εἰ φαινοίμην θεούς τε γλύφων καὶ ἀγαλμάτιά τινα μικρὰ κατασκευάζων ἐμαυτῷ τε κἀκείνοις οἷς προηρούμην. Καὶ τό γε πρῶτον ἐκεῖνο καὶ σύνηθες τοῖς ἀρχομένοις ἐγίγνετο· ἐγκοπέα γάρ τινά μοι δοὺς ὁ θεῖος ἐκέλευσέ μοι ἠρέμα καθικέσθαι πλακὸς ἐν μέσῳ κειμένης, ἐπειπὼν τὸ κοινὸν « ἀρχὴ δέ τοι ἥμισυ παντός. »

LUCIANI

SAMOSATENSIS

DIALOGI.

I.

DE SOMNIO, SEU VITA LUCIANI.

Editionis Reitz. p. 1-8.

1. Nuper admodum quum desiissem in scholas ventitare, jam pubertati proximus, tum pater consilium inire cum amicis, quid me doceret. Plerisque igitur eruditio visa fuit et labore multo, et longo tempore, et sumtu non exiguo, et fortuna indigere splendida; reculas autem nostras tum tenues esse, tum promtum quoddam subsidium postulare : sin aliquam vilium istarum artium, quæ manu constant, edidicissem, primum me quidem ipsum statim inde habiturum quo vitam tuear, neque amplius domi cœnaturum (paternæ mensæ gravem) id ætatis; dein non diu fore quin patrem sim hilaraturus, allato usque quod mihi natum erit mercedis.

2. Ergo secundæ deliberationis initium est propositum, quæ optima sit artium, et ad ediscendum facillima, et homini libero conveniens, et expedito sumtu parabilis, et quæstu commodo. Alio aliam commendante, ut cujusque sensus aut experientia ferebat, pater ad avunculum conversus (aderat enim maternus avunculus, qui optimus statuarius ferebatur), Fas non est, inquit, aliam artem primas tenere, te præsente : quin tu illum ducito (me demonstrans), tuamque in curam receptum effice lapidum artificem bonum, et coagmentatorem, ac statuarium : potest enim, idque ingenio præditus, ut nosti, dextro. Scilicet argumentum capiebat ab istis e cera ludicris : nam dimissus a magistris, derasa cera boves aut equos aut, ita me Jupiter amet, homines effingebam, scitule, ut videbar patri : ob quæ quidem a magistris vapulabam; at tunc ad ingenii felicis laudem ista quoque pertinebant : quare bona tenebantur de me spe, fore ut brevi artem discerem, idque ex ista fingendi dexteritate.

3. Simul igitur atque idonea videbatur dies arti auspicandæ, committebar avunculo, rem haud sane quam valde gravatus : quin et ludum quendam non injucundum mihi videbatur habere, et ad æquales ostentationem, si deos sculperem, et simulacra quædam parva concinnarem mihimet ipsi, et quibus vellem. Tum primum illud, et quod solet incipientibus, accidit : scalpro mihi dato avunculus jussit leniter perstringere tabulam in medio jacentem, addens vulgatum illud, « Dimidium facti, qui cœpit, habet : »

Σκληρότερον δὲ κατενεγκόντος ὑπ' ἀπειρίας, κατεάγη μὲν ἡ πλάξ, ὁ δὲ ἀγαναχτήσας σκυτάλην τινὰ πλησίον κειμένην λαβὼν οὐ πράως οὐδὲ προτρεπτικῶς μου κατήρξατο, ὥστε δάκρυά μοι τὰ προοίμια τῆς τέχνης.

4. Ἀποδρὰς οὖν ἐκεῖθεν ἐπὶ τὴν οἰκίαν ἀφικνοῦμαι συνεχὲς ἀνολολύζων καὶ δακρύων τοὺς ὀφθαλμοὺς ὑπόπλεως, καὶ διηγοῦμαι τὴν σκυτάλην, καὶ τοὺς μώλωπας ἐδείκνυον· καὶ κατηγόρουν πολλήν τινα ὠμότητα, προσθεὶς ὅτι ὑπὸ φθόνου ταῦτα ἔδρασε, μὴ αὐτὸν ὑπερβάλωμαι κατὰ τὴν τέχνην. Ἀγανακτησαμένης δὲ τῆς μητρὸς καὶ πολλὰ τῷ ἀδελφῷ λοιδορησαμένης, ἐπεὶ νὺξ ἐπῆλθε, κατέδαρθον ἔτι ἔνδακρυς καὶ τὴν σκυτάλην ἐννοῶν.

5. Μέχρι μὲν δὴ τούτων γελάσιμα καὶ μειρακιώδη τὰ εἰρημένα· τὰ μετὰ ταῦτα δὲ οὐκέτι εὐκαταφρόνητα, ὦ ἄνδρες, ἀκούσεσθε, ἀλλὰ καὶ πάνυ φιλικόων ἀκροατῶν δεόμενα· ἵνα γὰρ καθ' Ὅμηρον εἴπω

> Θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος
> ἀμβροσίην διὰ νύκτα

ἐναργὴς οὕτως ὥστε μηδὲν ἀπολείπεσθαι τῆς ἀληθείας· ἔτι γοῦν καὶ μετὰ τοσοῦτον χρόνον τά τε σχήματά μοι τῶν φανέντων ἐν τοῖς ὀφθαλμοῖς παραμένει καὶ ἡ φωνὴ τῶν ἀκουσθέντων ἔναυλος· οὕτω σαφῆ πάντα ἦν.

6. Δύο γυναῖκες λαβόμεναι ταῖν χεροῖν εἷλκόν με πρὸς ἑαυτὴν ἑκατέρα μάλα βιαίως καὶ καρτερῶς· μικροῦ γοῦν με διεσπάσαντο πρὸς ἀλλήλας φιλοτιμούμεναι· καὶ γὰρ ἄρτι μὲν ἂν ἡ ἑτέρα ἐπεκράτει καὶ παρὰ μικρὸν ὅλον εἶχέ με, ἄρτι δ' ἂν αὖθις ὑπὸ τῆς ἑτέρας εἰχόμην. Ἐβόων δὲ πρὸς ἀλλήλας ἑκατέρα, ἡ μὲν ὡς αὐτῆς ὄντα με κεκτῆσθαι βούλοιτο, ἡ δὲ ὡς μάτην τῶν ἀλλοτρίων ἀντιποιοῖτο. Ἦν δὲ ἡ μὲν ἐργατικὴ καὶ ἀνδρικὴ καὶ αὐχμηρὰ τὴν κόμην, τὼ χεῖρε τύλων ἀνάπλεως, διεζωσμένη τὴν ἐσθῆτα, τιτάνου καταγέμουσα, οἷος ἦν ὁ θεῖος, ὁπότε ξέοι τοὺς λίθους· ἡ ἑτέρα δὲ μάλα εὐπρόσωπος καὶ τὸ σχῆμα εὐπρεπὴς καὶ κόσμιος τὴν ἀναβολήν. Τέλος δ' οὖν ἐφιᾶσί μοι δικάζειν ὁποτέρᾳ βουλοίμην συνεῖναι αὐτῶν. Προτέρα δὲ ἡ σκληρὰ ἐκείνη καὶ ἀνδρώδης ἔλεξεν·

7. Ἐγώ, φίλε παῖ, Ἑρμογλυφικὴ τέχνη εἰμί, ἣν χθὲς ἤρξω μανθάνειν, οἰκεία τέ σοι καὶ συγγενὴς οἰκοθεν· ὅ τε γὰρ πάππος σου — εἰποῦσα τοὔνομα τοῦ μητροπάτορος — λιθοξόος ἦν καὶ τῷ θείῳ ἀμφοτέρῳ καὶ μάλα εὐδοκιμεῖτον δι' ἡμᾶς. Εἰ δ' ἐθέλεις λήρων μὲν καὶ φληνάφων τῶν παρὰ ταύτης ἀπέχεσθαι, — δείξασα τὴν ἑτέραν — ἕπεσθαι δὲ καὶ συνοικεῖν ἐμοί, πρῶτα μὲν θρέψῃ γεννικῶς καὶ τοὺς ὤμους ἕξεις καρτεροὺς, φθόνου δὲ παντὸς ἀλλότριος ἔσῃ καὶ οὔποτε ἄπει ἐπὶ τὴν ἀλλοδαπὴν, τὴν πατρίδα καὶ τοὺς οἰκείους καταλιπών· οὐδὲ ἐπὶ λόγοις, ἀλλ' ἐπ' ἔργοις ἐπαινέσονταί σε πάντες.

8. Μὴ μυσαχθῇς δὲ τοῦ σώματος τὸ εὐτελὲς μηδὲ τῆς ἐσθῆτος τὸ πιναρόν· ἀπὸ γὰρ τῶν τοιούτων ὁρμώμενος καὶ Φειδίας ἐκεῖνος ἔδειξε τὸν Δία καὶ Πολύκλειτος τὴν Ἥραν εἰργάσατο καὶ Μύρων ἐπῃνέθη καὶ

me vero durius impingente præ imperitia, confracta est tabula : ille indignatus, scutica, quæ sub manu erat, capta, haud placide neque adhortantis more me initiavit, sic ut lacrimæ mihi procemium essent artis.

4. Hinc ergo me domum proripio, crebros singultus ducens lacrimisque oculos oppletus : commemoro scuticam, vibicibusque ostensis et incusata multa quadam (avunculi) crudelitate, adjeci, hæc illum ex invidia fecisse, (metuentem) ne arte se superarem. Indigne ferens mater quum multa fratri dixisset convicia, ego primis tenebris obdormivi adhuc in lacrimis, et scuticam in animo habens.

5. Hactenus quidem, quæ dixi, ridicula sunt et puerilia : quæ vero deinceps consequuntur, non jam contemtu digna, o viri, accipietis, sed talia, quæ valde diligentes auditores requirant : ut enim cum Homero dicam, Divinum mihi secundum quietem venit insomnium almam per noctem, tam clarum, ut nihil abesset a veritate : adeo post tantum tempus species rerum visarum in oculis usque inhæret, et sonus auditorum auribus insonat; tam erant omnia manifesta.

6. Duæ mulieres prehensis manibus me utraque ad se trahebant vehementer sane et valide, sic ut parum abesset, quin me discerperent illo mutuo contendendi studio : namque modo hæc superior pæne me totum habebat, modo rursus ab altera tenebar : interea vociferabantur invicem ambæ; hæc, eam me suum possidere velle : illa, frustra res alienas istam sibi vindicare. Erat autem una operaria, virilis, squalida coma, manibus callo plenis, succincta vestem, calce referta, qualis erat avunculus, quum poliret lapides : altera vero facie valde formosa, habitu decora, atque eleganti vestitu. Tandem ergo mihi permittunt arbitrari, utri malim adesse. Prior autem inculta illa et virilis sic est locuta :

7. Ego, care puer, ars sum Statuaria, quam heri cœpisti discere, et domestica tibi et cognata genere : etenim et avus tuus (matris ipso nomine patrem appellabat) lapidum erat sculptor, et avunculus uterque magnam sunt adepti laudem ex nobis. Quodsi optes nugis et quisquiliis, quas illa præbet, abstinere (monstrabat alteram) et me sectari mecumque degere, primum tu quidem aleris firmo cibo, et humeros habebis robustos, ab omni autem invidia eris alienus, neque unquam abibis in peregrinas regiones, patria familiaribusque relictis : nec te sane propter verba laudabunt cuncti, sed propter opera.

8. Cave autem fastidiveris habitus vilitatem, aut illud vestimenti sordidum : a talibus enim initiis profectus etiam Phidias ille Jovem exhibuit, et Polycletus Junonem effinxit, et Myron in laude, et Praxiteles in admiratione

Πραξιτέλης ἐθαυμάσθη· προσκυνοῦνται γοῦν οὗτοι μετὰ τῶν θεῶν. Εἰ δὴ τούτων εἷς γένοιο, πῶς μὲν οὐ κλεινὸς αὐτὸς παρὰ πᾶσιν ἀνθρώποις ἔσῃ, ζηλωτὸν δὲ καὶ τὸν πατέρα ἀποδείξεις, περίβλεπτον δὲ ἀποφανεῖς καὶ τὴν πατρίδα; Ταῦτα καὶ ἔτι τούτων πλείονα διαπταίουσα καὶ βαρβαρίζουσα πάντοθεν εἶπεν ἡ Τέχνη, μάλα δὴ σπουδῇ συνείρουσα καὶ πείθειν με πειρωμένη· ἀλλ' οὐκέτι μέμνημαι· τὰ πλεῖστα γάρ μου τὴν μνήμην ἤδη διέφυγεν. Ἐπεὶ δ' οὖν ἐπαύσατο, ἄρχεται ἡ ἑτέρα ὧδέ πως·

9. Ἐγὼ δέ, ὦ τέκνον, Παιδεία εἰμὶ ἤδη συνήθης σοι καὶ γνωρίμη, εἰ καὶ μηδέπω εἰς τέλος μου πεπείρασαι. Ἥλικα μὲν οὖν τἀγαθὰ πορίῃ λιθοξόος γενόμενος αὕτη προείρηκεν· οὐδὲν γὰρ ὅτι μὴ ἐργάτης ἔσῃ τῷ σώματι πονῶν κἀν τούτῳ τὴν ἅπασαν ἐλπίδα τοῦ βίου τεθειμένος, ἀφανὴς μὲν αὐτὸς ὤν, ὀλίγα καὶ ἀγεννῆ λαμβάνων, ταπεινὸς τὴν γνώμην, εὐτελὴς δὲ τὴν πρόοδον, οὔτε φίλοις ἐπιδικάσιμος οὔτε ἐχθροῖς φοβερὸς οὔτε τοῖς πολίταις ζηλωτός, ἀλλ' αὐτὸ μόνον ἐργάτης καὶ τῶν ἐκ τοῦ πολλοῦ δήμου εἷς, ἀεὶ τὸν προὔχοντα ὑποπτήσσων καὶ τὸν λέγειν δυνάμενον θεραπεύων, λαγὼ βίον ζῶν καὶ τοῦ κρείττονος ἕρμαιον ὤν· εἰ δὲ καὶ Φειδίας ἢ Πολύκλειτος γένοιο καὶ θαυμαστὰ πολλὰ ἐξεργάσαιο, τὴν μὲν τέχνην ἅπαντες ἐπαινέσονται, οὐκ ἔστι δὲ ὅστις τῶν ἰδόντων, εἰ νοῦν ἔχοι, εὔξαιτ' ἂν ὅμοιός σοι γενέσθαι· οἷος γὰρ ἂν ᾖς, βάναυσος καὶ χειρῶναξ καὶ ἀποχειροβίωτος νομισθήσῃ.

10. Ἢν δ' ἐμοὶ πείθῃ, πρῶτον μέν σοι πολλὰ ἐπιδείξω παλαιῶν ἀνδρῶν ἔργα καὶ πράξεις θαυμαστὰς, καὶ λόγους αὐτῶν ἀπαγγέλλουσα καὶ πάντων ὡς εἰπεῖν ἔμπειρον ἀποφαίνουσα, καὶ τὴν ψυχὴν, ὅπερ σου κυριώτατόν ἐστι, κατακοσμήσω πολλοῖς καὶ ἀγαθοῖς κοσμήμασι, σωφροσύνῃ, δικαιοσύνῃ, εὐσεβείᾳ, πραότητι, ἐπιεικείᾳ, συνέσει, καρτερίᾳ, τῷ τῶν καλῶν ἔρωτι, τῇ πρὸς τὰ σεμνότατα ὁρμῇ· ταῦτα γάρ ἐστιν ὁ τῆς ψυχῆς ἀκήρατος ὡς ἀληθῶς κόσμος. Λήσει δέ σε οὔτε παλαιὸν οὐδὲν οὔτε νῦν γενέσθαι δέον, ἀλλὰ καὶ τὰ μέλλοντα προόψει μετ' ἐμοῦ, καὶ ὅλως ἅπαντα, ὁπόσα ἐστὶ, τά τε θεῖα τά τ' ἀνθρώπινα, οὐκ εἰς μακρὰν σε διδάξομαι.

11. Καὶ ὁ νῦν πένης ὁ τοῦ δεῖνος, ὁ βουλευσάμενός τι περὶ ἀγεννοῦς οὕτω τέχνης, μετ' ὀλίγον ἅπασι ζηλωτὸς καὶ ἐπίφθονος ἔσῃ, τιμώμενος καὶ ἐπαινούμενος καὶ ἐπὶ τοῖς ἀρίστοις εὐδοκιμῶν καὶ ὑπὸ τῶν γένει καὶ πλούτῳ προὐχόντων ἀποβλεπόμενος, ἐσθῆτα μὲν τοιαύτην ἀμπεχόμενος, — δείξασα τὴν ἑαυτῆς· πάνυ δὲ λαμπρὰν ἐφόρει — ἀρχῆς δὲ καὶ προεδρίας ἀξιούμενος· κἄν που ἀποδημῇς, οὐδ' ἐπὶ τῆς ἀλλοδαπῆς ἀγνὼς καὶ ἀφανὴς ἔσῃ· τοιαῦτά σοι περιθήσω τὰ γνωρίσματα, ὥστε τῶν ὁρώντων ἕκαστος τὸν πλησίον κινήσας δείξει σε τῷ δακτύλῳ « οὗτος ἐκεῖνος » λέγων.

12. Ἂν δέ τι σπουδῆς ἄξιον ᾖ καὶ τοὺς φίλους ἢ καὶ τὴν πόλιν ὅλην καταλαμβάνῃ, εἰς σὲ πάντες ἀποβλέψονται· κἄν που τέ λέγων τύχῃς, κεχηνότες οἱ πολλοὶ

fuerunt : hi nunc propterea cum diis adorantur. Jam si tu unus eorum fias, qui potest fieri quin celebris apud omnes homines ipse habeare? imo patrem efficies ut beatus prædicetur te filio, patriamque insuper reddes illustrem. Ista atque istis itidem plura titubans et usquequaque barbare locuta dixit Statuaria, perquam sane sedulo composita, ut quæ mihi persuadere conaretur : sed non amplius recordor; nam plurima jam quidem memoriam effugerunt. Postquam igitur desiit, infit altera hunc fere in modum :

9. Ego, fili, Eruditio sum, jam tibi familiaris et nota, etsi necdum ad finem usque me pertentaveris. Quanta quidem tu bona sis consecuturus, si statuarius fias, ista prædixit : nihil utique nisi operarius eris, corpus labori impendens, in eoque spem vitæ omnem habens repositam; dum ipse sis obscurus, parvam eamque illiberalem accipias mercedem, humilis animo, vilisque prodeas et incomitatus in publicum, neque amicis utilis advocatus, nec inimicis metuendus, nec quem tui cives æmulentur; sed ipsum illud operarius, unusque e plebe multa, qui semper præstantiorem revereatur, dicendo promtum colat, leporis vitam vivens, potentiorisque præda facilis. Fac autem te Phidiam aut Polycletum fieri, multaque admiranda affabre perficere : artem cuncti laudabunt; at nullus eorum, qui spectant, si quidem sapiat, optet se tibi similem esse : qualiscumque enim fueris, vilis artifex mercenariusque et manibus vitam quærens habebere.

10. Verum mihi si morem geras, primum equidem tibi multa ostendam veterum virorum acta, resque gestas admirabiles, dum eorum scripta tibi recito, atque omnium, ut plane dicam, te peritum reddo. Quin et animum, quæ tui pars est primaria, excolam multis bonisque ornamentis, temperantia, justitia, pietate, placiditate, æquitate, prudentia, constantia, honesti amore, acri denique præstantissimarum rerum studio; ista enim vere sunt sincera mentis decora. Præteribit autem te nec vetustum quicquam, nec quod nunc fieri expediat : quin et futura prospicies mecum; et in universum quicquid est rerum divinarum humanarumque, non diu erit quod te docebo.

11. Tum qui nunc pauper audis, et istius, cujus nomen vix constat, filius, qui jam fere deliberasti de tam ignobili arte, paulo post omnibus eris æmulationi et invidendus : honores laudemque consequeris, ob rerum optimarum cultum insignis, quique genere ac divitiis excellunt te suspicient; porro tali veste (sua, quam splendidissimam gerebat, ostentata) amictus, magistratu primæque sedis honore dignus habeberis; si quo peregre proficiscaris, ne in extera quidem regione ignotus eris obscurusve : ejusmodi tibi circumdabo insignia, ut videntium unusquisque proximum impellat, teque digito designans, Hic ille est, ajat.

12. Si quid autem majoris momenti aut amicos aut civitatem etiam universam occuparit, ad te cuncti respicient : dixeris aliquando publice, a tuo dicentis ore plerique pen-

ἀκούσονται, θαυμάζοντες καὶ εὐδαιμονίζοντές σε τῶν λόγων τῆς δυνάμεως καὶ τὸν πατέρα τῆς εὐποτμίας· ὃ δὲ λέγουσιν, ὡς ἄρα καὶ ἀθάνατοί τινες γίγνονται ἐξ ἀνθρώπων, τοῦτό σοι περιποιήσω· καὶ γὰρ ἦν αὐτὸς ἐκ τοῦ βίου ἀπέλθῃς, οὔποτε παύσῃ συνὼν τοῖς πεπαιδευμένοις καὶ προσομιλῶν τοῖς ἀρίστοις. Ὁρᾷς τὸν Δημοσθένην ἐκεῖνον, τίνος υἱὸν ὄντα ἐγὼ ἡλίκον ἐποίησα; ὁρᾷς τὸν Αἰσχίνην, ὃς τυμπανιστρίας υἱὸς ἦν; ἀλλ' ὅμως αὐτὸν δι' ἐμὲ Φίλιππος ἐθεράπευσεν. Ὁ δὲ Σωκράτης καὶ αὐτὸς ὑπὸ τῇ ἑρμογλυφικῇ ταύτῃ τραφεὶς ἐπιδὴ τάχιστα συνῆκε τοῦ κρείττονος καὶ δραπετεύσας παρ' αὐτῆς ἠὐτομόλησεν ὡς ἐμέ, ἀκούεις ὡς παρὰ πάντων ᾄδεται.

13. Ἀφεὶς δὲ σὺ τοὺς τηλικούτους καὶ τοιούτους ἄνδρας καὶ πράξεις λαμπρὰς καὶ λόγους σεμνοὺς καὶ σχῆμα εὐπρεπὲς καὶ τιμὴν καὶ δόξαν καὶ ἔπαινον καὶ προεδρίας καὶ δύναμιν καὶ ἀρχὰς καὶ τὸ ἐπὶ λόγοις εὐδοκιμεῖν καὶ τὸ ἐπὶ συνέσει εὐδαιμονίζεσθαι, χιτώνιόν τι πιναρὸν ἐνδύσῃ καὶ σχῆμα δουλοπρεπὲς ἀναλήψῃ καὶ μοχλία καὶ γλυφεῖα καὶ κοπίας καὶ κολαπτῆρας ἐν ταῖν χεροῖν ἕξεις κάτω νενευκὼς εἰς τὸ ἔργον, χαμαιπετὴς καὶ χαμαίζηλος καὶ πάντα τρόπον ταπεινὸς, ἀνακύπτων δὲ οὐδέποτε οὐδὲ ἀνδρῶδες οὐδὲ ἐλευθέριον οὐδὲν ἐπινοῶν, ἀλλὰ τὰ μὲν ἔργα ὅπως εὔρυθμα καὶ εὐσχήμονα ἔσται σοι προνοῶν, ὅπως δὲ αὐτὸς εὔρυθμος καὶ κόσμιος ἔσῃ, ἥκιστα πεφροντικὼς, ἀλλ' ἀτιμότερον ποιῶν σεαυτὸν λίθων.

14. Ταῦτα ἔτι λεγούσης αὐτῆς οὐ περιμείνας ἐγὼ τὸ τέλος τῶν λόγων ἀναστὰς ἀπεφηνάμην, καὶ τὴν ἄμορφον ἐκείνην καὶ ἐργατικὴν ἀπολιπὼν μετέβαινον πρὸς τὴν Παιδείαν μάλα γεγηθὼς, καὶ μάλιστα ἐπεί μοι εἰς νοῦν ἦλθεν ἡ σκυτάλη καὶ ὅτι πληγὰς οὐκ ὀλίγας εὐθὺς ἀρχομένῳ μοι χθὲς ἐνετρίψατο. Ἡ δὲ ἀπολειφθεῖσα τὸ μὲν πρῶτον ἠγανάκτει καὶ τῷ χεῖρε συνεκρότει καὶ τοὺς ὀδόντας συνέπριε· τέλος δὲ, ὥσπερ τὴν Νιόβην ἀκούομεν, ἐπεπήγει καὶ εἰς λίθον μετεβέβλητο. Εἰ δὲ παράδοξα ἔπαθε, μὴ ἀπιστήσητε· θαυματοποιοὶ γὰρ οἱ ὄνειροι.

15. Ἡ ἑτέρα δὲ πρός με ἀπιδοῦσα, Τοιγαροῦν ἀμείψομαί σε, ἔφη, τῇσδε τῆς δικαιοσύνης, ὅτι καλῶς τὴν δίκην ἐδίκασας, καὶ ἐλθὲ ἤδη, ἐπίβηθι τούτου τοῦ ὀχήματος, — δείξασά τι ὄχημα ὑποπτέρων ἵππων τινῶν τῷ Πηγάσῳ ἐοικότων — ὅπως εἰδῇς οἷα καὶ ἡλίκα μὴ ἀκολουθήσας ἐμοὶ ἀγνοήσειν ἔμελλες. Ἐπεὶ δὲ ἀνῆλθον, ἡ μὲν ἤλαυνε καὶ ὑφηνιόχει, ἀρθεὶς δὲ εἰς ὕψος ἐγὼ ἐπεσκόπουν ἀπὸ τῆς ἕω ἀρξάμενος ἄχρι πρὸς τὰ ἑσπέρια πόλεις καὶ ἔθνη καὶ δήμους, καθάπερ ὁ Τριπτόλεμος ἀποσπείρων τι ἐς τὴν γῆν· οὐκέτι μέντοι μέμνημαι ὅ τι τὸ σπειρόμενον ἐκεῖνο ἦν, πλὴν τοῦτο μόνον, ὅτι κάτωθεν ἀφορῶντες ἄνθρωποι ἐπῄνουν καὶ μετ' εὐφημίας καθ' οὓς γενοίμην τῇ πτήσει, παρέπεμπον.

16. Δείξασα δέ μοι τὰ τοσαῦτα καὶ ἐμὲ τοῖς ἐπαινοῦσιν ἐκείνοις ἐπανήγαγεν αὖθις οὐκέτι τὴν ἐσθῆτα ἐκείνην

debunt auditores admirabundi, et gratulabuntur tum tibi disertæ orationis potentiam, tum patri prolis felicitatem. Quod autem ferunt immortales fieri quosdam ex mortalibus, id tibi conciliabo : etenim quum e vita discesseris, non tu desines unquam adesse doctis, et consuetudinem habere cum optimis. Viden' Demosthenem illum, quo patre natum ego quantum reddiderim? viden' Æschinem, qui piatricis tympanum pulsantis erat filius? et tamen ipsum propter me Philippus coluit. Socrates autem et ipse sub ista Statuaria nutritus, simul atque meliora percepit illaque deserta transfugit ad me, audis ut ab omnibus celebretur?

13. His tu missis tantis talibusque viris, rebus splendidis, sermonibus sapientissimis, habitu decoro, honore, gloria, laude, principe considendi loco, opibus, dignitate, facundæ orationis fama, publica prudentiæ gratulatione, tunicam indues sordidam, et habitum suscipies servilem, vecticulos, cæla, malleolos, scalpra in manibus habebis, vultu ad opus prono, humilis et humilia consectans, omnemque in modum abjectus : nunquam tu rectum caput efferes, virile nihil, nihil liberale cogitabis; sed opera quomodo tibi concinna et elegantia procedant, providebis; ut ipse sis concinnus et honestis moribus ornatus, minime curabis, sed lapidibus te viliorem reddes.

14. Hæc quum adhuc diceret, ego, non exspectato sermonum fine, surgens litem decrevi, atque deformi illa et operaria spreta, conferebam me ad Eruditionem valde lætus : maxime quandoquidem in mentem mihi venit scutica, et plagas statim non paucas inchoanti mihi hesterno die fuisse impositas. Illa deserta primum indignabatur manibus complosis, et dentibus infrendens : tandem, quomodo Nioben audimus, fixa diriguit, inque lapidem fuit versa. Si vero passa videatur incredibilia, ne tamen non credatis; miras enim somnia præstigias objiciunt.

15. Tum altera, quum ad me respexisset, At ego jam, inquit, tibi vices rependam causæ justissime dijudicatæ : age ergo, inscende in hunc currum (currum aliquem ostendebat equorum alatorum, Pegaso similium), ut perspicias qualia et quanta, si te mihi non dedisses, fuisses ignoraturus. Simul autem ascendi, agitabat illa et moderabatur : atque ego in altum evectus contemplabar, ab Aurora cursu instituto ad Occidentem usque, urbes, gentes populosque, quasi Triptolemus seminis quiddam in terram projiciens : quanquam haud sane memini, qualenam esset sparsum illud semen, nisi hoc tantum, homines ad me suspicientes laudare, et faustis acclamationibus, quoscumque volatu adiissem, prosequi.

16. Postquam igitur tot res mihi meque laudantibus istis ostendisset, reduxit iterum non ista quidem veste in-

νην ἐνδεδυκότα, ἣν εἶχον ἀφιπτάμενος, ἀλλ' ἐμοὶ ἐδόκουν εὐπάρυφός τις ἐπανήκειν. Καταλαβοῦσα οὖν καὶ τὸν πατέρα ἑστῶτα καὶ περιμένοντα ἐδείκνυεν αὐτῷ ἐκείνην τὴν ἐσθῆτα κἀμέ, οἷος ἥκοιμι, καί τι καὶ ὑπέμνησεν, οἷα μικροῦ δεῖν περὶ ἐμοῦ ἐβουλεύσαντο. Ταῦτα μέμνημαι ἰδὼν ἀντίπαις ἔτι ὤν, ἐμοὶ δοκεῖ, ἐκταραχθεὶς πρὸς τὸν τῶν πληγῶν φόβον.

17. Μεταξὺ δὲ λέγοντος, Ἡράκλεις, ἔφη τις, ὡς μακρὸν τὸ ἐνύπνιον καὶ δικανικόν. Εἶτ' ἄλλος ὑπέκρουσε, Χειμερινὸς ὄνειρος, ὅτε μήκισταί εἰσιν αἱ νύκτες, ἢ τάχα που τριέσπερος, ὥσπερ ὁ Ἡρακλῆς, καὶ αὐτός ἐστι. Τί δ' οὖν ἐπῆλθεν αὐτῷ ληρῆσαι ταῦτα πρὸς ἡμᾶς καὶ μνησθῆναι παιδικῆς νυκτὸς καὶ ὀνείρων παλαιῶν καὶ ἤδη γεγηρακότων; ἕωλος γὰρ ἡ ψυχρολογία· μὴ ὀνείρων ὑποκριτάς τινας ἡμᾶς ὑπείληφεν; Οὐκ, ὠγαθέ· οὐδὲ γὰρ ὁ Ξενοφῶν ποτε διηγούμενος τὸ ἐνύπνιον, ὡς ἐδόκει αὐτῷ [πυρκαϊὰ ἀναστῆναι] ἐν τῇ πατρῴᾳ οἰκίᾳ καὶ τὰ ἄλλα (ἴστε γάρ), οὐχ ὑπόκρισιν τὴν ὄψιν οὐδ' ὡς φλυαρεῖν ἐγνωκὼς αὐτὰ διεξῄει, καὶ ταῦτα ἐν πολέμῳ καὶ ἀπογνώσει πραγμάτων, περιεστώτων πολεμίων, ἀλλά τι καὶ χρήσιμον εἶχεν ἡ διήγησις.

18. Καὶ τοίνυν κἀγὼ τοῦτον τὸν ὄνειρον ὑμῖν διηγησάμην ἐκείνου ἕνεκα, ὅπως οἱ νέοι πρὸς τὰ βελτίω τρέπωνται καὶ παιδείας ἔχωνται, καὶ μάλιστα, εἴ τις αὐτῶν ὑπὸ πενίας ἐθελοκακεῖ καὶ πρὸς τὴν ἥττω ἀποκλίνει φύσιν οὐκ ἀγεννῆ διαφθείρων· ἐπιρρωσθήσεται εὖ οἶδ' ὅτι κἀκεῖνος ἀκούσας τοῦ μύθου, ἱκανὸν ἑαυτῷ παράδειγμα ἐμὲ προστησάμενος, ἐννοῶν οἷος μὲν ὢν πρὸς τὰ κάλλιστα ὥρμησα καὶ παιδείας ἐπεθύμησα μηδὲν ἀποδειλιάσας πρὸς τὴν πενίαν τὴν τότε, οἷος δὲ πρὸς ὑμᾶς ἐπανελήλυθα, εἰ καὶ μηδὲν ἄλλο, οὐδενὸς γοῦν τῶν λιθογλύφων ἀδοξότερος.

dutum, quam habebam, quum volucri curru efferrer : sed videbar omnino mihi in amictu honoratiore et prætextato redire. Quin et, ut patrem invenit astantem meque opperientem, monstrabat ipsi vestem illam, et me qualis reverterer : imo etiam submonefecit, quam malum de me consilium pæne jam inivissent cognati. Ista me vidisse memini pueritiam tantum quod egressus, ut mihi quidem videtur, conturbatus ex verberum metu.

17. Hæc dum exsequor, Hercules, inquit nonnemo, quam longum somnium et judiciale : tum alius interpellat, Hibernum scilicet, quando longissimæ sunt noctes : aut si forte trinoctiale et ipsum, quemadmodum Hercules : quid vero ipsi in mentem venit, ut ista nugaretur ad nos, puerilemque noctem commemoraret, et somnia vetera jamque obsoleta? futile profecto hoc narrationis frigus : num nos somniorum interpretes esse quosdam statuit? Minime certe, o tu, quisquis es : nec enim Xenophon, quum narraret aliquando somnium, sibi visum [incendium oriri] in paterna domo et reliqua (nostis enim), velut histrionicam, visionem istam, neque nugaturus de industria persequebatur, idque in bello et desperatione rerum, urgente hoste; sed sane et utile quiddam habebat ista narratio.

18. Similiter et ego somnium istud meum enarravi vobis ejus rei causa, ut juvenes ad meliora convertantur, et eruditioni studeant : imprimis si quis eorum ob paupertatem animo deficiat, seque deterioribus applicet, indolem haud ignobilem corrumpens : hic, sat scio, confirmabitur, audita somnii nostri fabula, meque sibi idoneum exemplum ob oculos ponet considerando, ex quali conditione ad pulcherrima me contuli, eruditionemque concupivi, nequaquam ignave cedens rei familiaris, quæ tum premebant, angustiis; itemque qualis ad vos me recepi, si nihil aliud, at saltem nemine sculptorum obscurior.

II.

ΠΡΟΣ ΤΟΝ ΕΙΠΟΝΤΑ; ΠΡΟΜΗΘΕΥΣ ΕΙ ΕΝ ΛΟΓΟΙΣ.

1. Οὐκοῦν Προμηθέα με εἶναι φής; εἰ μὲν κατὰ τοῦτο, ὦ ἄριστε, ὡς πηλίνων κἀμοὶ τῶν ἔργων ὄντων, γνωρίζω τὴν εἰκόνα καί φημι ὅμοιος εἶναι αὐτῷ, οὐδ' ἀναίνομαι πηλοπλάθος ἀκούειν, εἰ καὶ φαυλότερος ἐμοὶ ὁ πηλὸς οἷος ἐκ τριόδου, βόρβορός τις παρὰ μικρόν· εἰ δὲ ὑπερεπαινῶν τοὺς λόγους ὡς δῆθεν εὐμηχάνους ὄντας τὸν σοφώτατον τῶν Τιτάνων ἐπιφημίζεις αὐτοῖς, ὅρα μή τις εἰρωνείαν φῇ καὶ μυκτῆρα οἷον τὸν Ἀττικὸν προσεῖναι τῷ ἐπαίνῳ. Ἢ πόθεν γὰρ εὐμήχανον τοὐμόν; τίς δ' ἡ περιττὴ σοφία καὶ προμήθεια ἐν τοῖς γράμμασιν; ὡς ἐμοιγε ἱκανόν, εἰ μὴ πάνυ σοι γήϊνα ἔδοξε μηδὲ κωμῳδῇ ἄξια τοῦ Καυκάσου. Καίτοι πόσῳ δικαιότερον ὑμεῖς ἂν εἰκάζοισθε τῷ Προμηθεῖ, ὁπόσοι ἐν δίκαις εὐδοκιμεῖτε ξὺν ἀληθείᾳ ποιούμενοι τοὺς ἀγῶνας; ζῶντα γοῦν ὡς ἀληθῶς καὶ ἔμψυχα ὑμῖν τὰ ἔργα, καὶ νὴ

II.

AD EUM QUI DIXERAT, PROMETHEUS ES IN VERBIS.

1. Prometheum igitur me esse ais? si ea ratione, o optime, quod et mea opera lutea sint, agnosco imaginem, meque similem illi esse fateor, neque luti figulus dici recuso; tametsi lutum mihi vilius sit, quale ex triviis colligitur, cœnum propemodum : sin vero extollens orationem meam, perinde ut artificiosam, doctissimi illius Titanum nomine eam cohonestas, vide ne quis ironiam dixerit, et quasi quandam Atticam subsannationem subesse huic laudi. Vel dic, undenam artificiosum, quod ego facio? quæ vero eximia sapientia et prudentia in scriptis meis? Mihi certe illud satis fuerit, si non lutea prorsus, aut digna Caucaso tibi videantur. At vero quanto justius vos comparari Prometheo poteratis, quicumque in causis agendis celebres estis, vera certamina subeuntes! Viva enim revera atque animata vobis opera sunt, et per Jovem etiam calor illorum

Διὰ καὶ τὸ θερμὸν αὐτῶν ἐστι διάπυρον· καὶ τοῦτο ἐκ τοῦ Προμηθέως ἂν εἴη, πλὴν εἰ μὴ διαλλάττοιτε, ὅτι μὴ ἐκ πηλοῦ πλάττετε, ἀλλὰ χρυσᾶ ὑμῖν τοῖς πολλοῖς τὰ πλάσματα.

2. Ἡμεῖς δὲ οἱ ἐς τὰ πλήθη παριόντες καὶ τὰς τοιαύτας τῶν ἀκροάσεων ἐπαγγέλλοντες εἴδωλα ἄττα ἐπιδεικνύμεθα· καὶ τὸ μὲν ὅλον ἐν πηλῷ, καθάπερ ἔφην μικρὸν ἔμπροσθεν, ἡ πλαστικὴ κατὰ ταὐτὰ τοῖς κοροπλάθοις· τὰ δ' ἄλλα οὔτε κίνησις ὁμοία πρόσεστιν οὔτε ψυχῆς δεῖγμά τι, ἀλλὰ τέρψις ἄλλως καὶ παιδιὰ τὸ πρᾶγμα. Ὥστε μοι ἐνθυμεῖσθαι ἔπεισι· μὴ ἄρα οὕτω με Προμηθέα λέγεις εἶναι, ὡς ὁ κωμικὸς τὸν Κλέωνα· φησὶ δέ, οἶσθα, περὶ αὐτοῦ·

Κλέων Προμηθεύς ἐστι μετὰ τὰ πράγματα.

Καὶ αὐτοὶ δὲ Ἀθηναῖοι τοὺς χυτρέας καὶ ἰπνοποιοὺς καὶ πάντας, ὅσοι πηλουργοί, Προμηθέας ἀπεκάλουν ἐπισκώπτοντες ἐς τὸν πηλὸν καὶ τὴν ἐν πυρὶ οἶμαι τῶν σκευῶν ὄπτησιν· καὶ εἴ γε σοι τοῦτο βούλεται εἶναι ὁ Προμηθεύς, πάνυ εὐστόχως ἀποτετόξευται καὶ ἐς τὴν Ἀττικὴν δριμύτητα τῶν σκωμμάτων, ἐπεὶ καὶ εὔθρυπτα ἡμῖν τὰ ἔργα, ὥσπερ ἐκείνοις τὰ χυτρίδια, καὶ μικρόν τις λίθον ἐμβαλὼν συντρίψειεν ἂν ἅπαντα.

3. Καίτοι, φαίη τις ἂν παραμυθούμενος, οὐ ταῦτα εἴκασέ σε τῷ Προμηθεῖ, ἀλλὰ τὸ καινουργὸν τοῦτο ἐπαινῶν καὶ μὴ πρός τι ἄλλο ἀρχέτυπον μεμιμημένον, ὥσπερ ἐκεῖνος οὐκ ὄντων ἀνθρώπων τέως, ἐννοήσας αὐτοὺς ἀνέπλασε, τοιαῦτα ζῷα μορφώσας καὶ διακοσμήσας, ὡς εὐκίνητά τε εἴη καὶ ὀφθῆναι χαρίεντα· καὶ τὸ μὲν ὅλον ἀρχιτέκτων αὐτὸς ἦν, συνειργάζετο δέ τι καὶ ἡ Ἀθηνᾶ ἐμπνέουσα τὸν πηλὸν καὶ ἔμψυχα ποιοῦσα εἶναι τὰ πλάσματα. Ὁ μὲν ταῦτα ἂν εἴποι πρός γε τὸ εὐφημότατον ἐξηγούμενος τὸ εἰρημένον. Καὶ ἴσως οὗτος ὁ νοῦς ἦν τῷ λελεγμένῳ. Ἐμοὶ δὲ οὐ πάνυ ἱκανὸν, εἰ καινοποιεῖν δοκοίην, μηδὲ ἔχοι τις λέγειν ἀρχαιότερόν τι τοῦ πλάσματος, οὗ τοῦτο ἀπόγονόν ἐστιν, ἀλλ' εἰ μὴ καὶ χάριεν φαίνοιτο, αἰσχυνοίμην ἂν, εὖ ἴσθι, ἐπ' αὐτῷ καὶ ξυμπατήσας ἂν ἀφανίσαιμι· οὐδ' ἂν ὠφελήσειεν αὐτὸ, παρὰ γοῦν ἐμοὶ, ἡ καινότης, μὴ οὐχὶ συντετρῖφθαι ἄμορφον ὄν. Καὶ εἴ γε μὴ οὕτω φρονοίην, ἄξιος ἂν εἶναί μοι δοκῶ ὑπὸ ἑκκαίδεκα γυπῶν κείρεσθαι, οὐ συνιεὶς ὡς πολὺ ἀμορφότερα τὰ μετὰ τοῦ ξένου ταὐτὸ πεπονθότα.

4. Πτολεμαῖος γοῦν ὁ Λάγου δύο καινὰ ἐς Αἴγυπτον ἄγων, κάμηλόν τε Βακτριανὴν παμμέλαιναν καὶ δίχρωμον ἄνθρωπον, ὡς τὸ μὲν ἡμίτομον αὐτοῦ ἀκριβῶς μέλαν εἶναι, τὸ δ' ἕτερον ἐς ὑπερβολὴν λευκὸν, ἐπ' ἴσης δὲ μεμερισμένον, ἐς τὸ θέατρον συναγαγὼν τοὺς Αἰγυπτίους ἐπεδείκνυτο αὐτοῖς ἄλλα τε πολλὰ θεάματα καὶ τὸ τελευταῖον καὶ ταῦτα, τὴν κάμηλον καὶ τὸν ἡμίλευκον ἄνθρωπον, καὶ ᾤετο ἐκπλήξειν τῷ θεάματι. Οἱ δὲ πρὸς μὲν τὴν κάμηλον ἐφοβήθησαν καὶ ὀλίγου δεῖν ἔφυγον ἀναθορόντες, καίτοι χρυσῷ πᾶσα ἐκεκόσμητο καὶ ἁλουργίδι ἐπέστρωτο καὶ ὁ χαλινὸς ἦν λιθοκόλλη-

ignitus est. Quod ipsum a Prometheo profectum videri possit, nisi quod hoc discriminis inest, quod ex luto vos non fingitis, sed aurea vobis plerisque figmenta sunt.

2. Nos autem, qui ad multitudinem prodimus, atque ibi hujusmodi declamationes profitemur, simulacra tantum quædam spectanda exhibemus. Et in summa, circa lutum, uti paulo ante dixi, hæc figulina versatur, quemadmodum puparum figuli : ceterum neque motus similis inest, neque animæ significatio ulla, sed delectatio quædam ad summum, et lusus merus est. Ut cogitare incipiam, num ita me Prometheum dixeris, ut Comicus Cleonem : de quo (nosti) hoc ille dixit :

Cleon Prometheus ipse post negotia est.

Ipsi etiam Athenienses figulos ollarum, furnorum constructores, et quicumque circa lutum versantur, Prometheos vocabant olim, alludentes ad lutum, opinor, et ad illam, quæ fit in igne, vasorum cocturam. Quod si hoc sibi vult Prometheus iste tuus, admodum directe jaculatus es, et secundum Atticam illam mordendi acerbitatem; quoniam et nostra opera fragilia sunt, perinde ut illorum ollulæ; et modicum quispiam lapillum injiciens, facile contriverit omnia.

3. Atqui, dixerit aliquis consolando nos, nequaquam in hanc partem te assimilavit Prometheo; sed novitatem illam laudans et ad nullum aliud exemplar effictum opus; velut ille, quum nondum essent homines, sua solertia excogitatos illos finxit, ac talia animantia formavit atque adornavit, quæ et moverentur facile, et aspectu gratiosa forent; et in summa, architectus ipse erat, sed cooperabatur tamen etiam Minerva, quæ et lutum inspiralat et figmenta illa animata reddebat. Talia quidem ille dixerit, in optimam partem dictum istud exponens. Et fortassis hæc sententia etiam dicti fuit. Verum mihi non sane satis est, si videar nova finxisse, figmentoque nostro nihil vetustius afferri possit, cujus progenies censeatur : sed nisi elegans videatur, pudeat me sane (sat scias) illius, et conculcans disperdiderim; neque illi profuerit apud me novitas, quominus conteratur, si non et formosum videatur. Ac nisi ita sentiam, dignus mihi videor qui a sedecim vulturibus arrodar : ut qui non intelligam longe deformiora ea esse, quæ cum peregrinitate conjunctam habent turpitudinem.

4. Ptolemæus certe Lagi filius, quum duas res novas in Ægyptum adduxisset, camelum Bactrianam totam nigram, et hominem bicolorem, cujus dimidia pars plane nigra, altera autem supra modum candida erat, ex æquo distributis quæ uterque color occupabat locis; congregavit in theatrum Ægyptios, et exhibuit illis cum alia multa spectacula, tum postremo loco hæc quoque, camelum et semialbum hominem : putabatque se magnam admirationem isto spectaculo concitaturum esse. At illi ad cameli quidem conspectum perterriti sunt, et parum abfuit quin exsilientes profugerent, quanquam tota ea auro exornata, ac purpura instrata erat, frenum etiam gemmis distinctum habebat,

τος, Δαρείου τινὸς ἢ Καμβύσου ἢ Κύρου αὐτοῦ κειμήλιον· πρὸς δὲ τὸν ἄνθρωπον οἱ μὲν πολλοὶ ἐγέλων, οἱ δέ τινες ὡς ἐπὶ τέρατι ἐμυσάττοντο· ὥστε ὁ Πτολεμαῖος συνεὶς ὅτι οὐκ εὐδοκιμεῖ ἐπ' αὐτοῖς οὐδὲ θαυμάζεται ὑπὸ τῶν Αἰγυπτίων ἡ καινότης, ἀλλὰ πρὸ αὐτῆς τὸ εὔρυθμον καὶ τὸ εὔμορφον κρίνουσι, μετέστησεν αὐτὰ καὶ τὸν ἄνθρωπον οὐκέτι διὰ τιμῆς ἦγεν ὡς πρὸ τοῦ· ἀλλ' ἡ μὲν κάμηλος ἀπέθανεν ἀμελουμένη, τὸν ἄνθρωπον δὲ τὸν διττὸν Θέσπιδι τῷ αὐλητῇ ἐδωρήσατο καλῶς αὐλήσαντι παρὰ τὸν πότον.

5. Δέδοικα δὲ μὴ καὶ τοὐμὸν κάμηλος ἐν Αἰγυπτίοις ᾖ, οἱ δὲ ἄνθρωποι τὸν χαλινὸν ἔτι αὐτῆς θαυμάζωσι καὶ τὴν ἁλουργίδα, ἐπειδὴ οὐδὲ τὸ ἐκ δυοῖν τοῖν καλλίστοιν συγκεῖσθαι, διαλόγου καὶ κωμῳδίας, οὐδὲ τοῦτο ἀπόχρη εἰς εὐμορφίαν, εἰ μὴ καὶ ἡ μῖξις ἐναρμόνιος καὶ κατὰ τὸ σύμμετρον γίγνοιτο· ἔστι γοῦν ἐκ δύο καλῶν ἀλλόκοτον τὴν ξυνθήκην εἶναι· οἷον ἐκεῖνο τὸ προχειρότατον, ὁ ἱπποκένταυρος· οὐ γὰρ ἂν φαίης ἐπέραστόν τι ζῷον τοῦτ' γενέσθαι, ἀλλὰ καὶ ὑβριστότατον, εἰ χρὴ πιστεύειν τοῖς ζωγράφοις ἐπιδεικνυμένοις τὰς παροινίας καὶ σφαγὰς αὐτῶν. Τί οὖν; οὐχὶ καὶ ἔμπαλιν γένοιτ' ἂν εὔμορφόν τι ἐκ δυοῖν τοῖν ἀρίστοιν ξυντεθὲν, ὥσπερ ἐξ οἴνου καὶ μέλιτος τὸ ξυναμφότερον ἥδιστον; Φημὶ ἔγωγε· οὐ μὴν περί γε τῶν ἐμῶν ἔχω διατείνεσθαι ὡς τοιούτων ὄντων, ἀλλὰ δέδια μὴ τὸ ἑκατέρου κάλλος ἡ μῖξις συνέφθειρεν.

6. Οὐ πάνυ γοῦν συνήθη καὶ φίλα ἐξ ἀρχῆς ἦν ὁ διάλογος καὶ ἡ κωμῳδία, εἴ γε ὁ μὲν οἴκοι καθ' ἑαυτὸν καὶ νὴ Δία ἐν τοῖς περιπάτοις μετ' ὀλίγων τὰς διατριβὰς ἐποιεῖτο, ἡ δὲ παραδοῦσα τῷ Διονύσῳ ἑαυτὴν θεάτρῳ ὡμίλει καὶ ξυνέπαιζε καὶ ἐγελωτοποίει καὶ ἐπέσκωπτε καὶ ἐν ῥυθμῷ ἔβαινε πρὸς αὐλὸν ἐνίοτε, καὶ τὸ ὅλον, ἀναπαίστοις μέτροις ἐποχουμένη τὰ πολλά, τοὺς τοῦ διαλόγου ἑταίρους ἐχλεύαζε φροντιστὰς καὶ μετεωρολέσχας καὶ τὰ τοιαῦτα προσαγορεύουσα· καὶ μίαν ταύτην προαίρεσιν ἐπεποίητο ἐκείνους ἐπισκώπτειν καὶ τὴν Διονυσιακὴν ἐλευθερίαν καταχεῖν αὐτῶν, ἄρτι μὲν ἀεροβατοῦντας δεικνύουσα καὶ νεφέλαις ξυνόντας, ἄρτι δὲ ψυλλῶν πηδήματα διαμετροῦντας, ὡς ὄντως τὰ ἀέρια λεπτολογουμένους. Ὁ διάλογος δὲ σεμνοτάτας ἐποιεῖτο τὰς συνουσίας φύσεώς τε πέρι καὶ ἀρετῆς φιλοσοφῶν· ὥστε τὸ τῶν μουσικῶν τοῦτο, δὶς διὰ πασῶν εἶναι τὴν ἁρμονίαν, ἀπὸ τοῦ ὀξυτάτου ἐς τὸ βαρύτατον. Καὶ ὅμως ἐτολμήσαμεν ἡμεῖς τὰ οὕτως ἔχοντα πρὸς ἄλληλα ξυναγαγεῖν καὶ ξυναρμόσαι οὐ πάνυ πειθόμενα οὐδὲ εὐμαρῶς ἀνεχόμενα τὴν κοινωνίαν.

7. Δέδια τοίνυν μὴ αὖθις ὅμοιόν τι τῷ Προμηθεῖ τῷ σῷ πεποιηκὼς φαίνωμαι τὸ θῆλυ τῷ ἄρρενι ἐγκαταμίξας καὶ δι' αὐτὸ δίκην ὑπόσχω· μᾶλλον δὲ μὴ καὶ ἄλλο τι τοιοῦτος φανείην ἐξαπατῶν ἴσως τοὺς ἀκούοντας καὶ ὀστᾶ παραθεὶς αὐτοῖς κεκαλυμμένα τῇ πιμελῇ, γέλωτα κωμικὸν ὑπὸ σεμνότητι φιλοσόφῳ· τὸ γὰρ τῆς κλεπτικῆς — καὶ γὰρ κλεπτικῆς ὁ θεός — ἄπαγε· τοῦτο μόνον οὐκ ἂν εἴποις ἐνεῖναι τοῖς ἡμετέροις· ἡ

ex Darii, aut Cambysis, aut etiam ipsius Cyri thesauris depromtum : homine autem viso, plerique ridebant; quidam etiam ut monstrum sunt aversati. Quare Ptolemæus intelligens parum laudis capere neque in admiratione esse apud Ægyptios novitatem, sed præ ipsa concinnitatem probari justamque formam, abduci ea jussit; hominemque non amplius eodem honore habuit, quo antea. Camelus neglecta mortua est : hominem autem illum duplicem Thespidi cuidam tibicini, cum in convivio belle cecinisset, dono dedit.

5. Vereor itaque ne et mea sint camelus in Ægypto, cujus homines adhuc frenum et purpuram admirentur : neque enim ad elegantiam sufficit, quod ex duobus optimis constat, dialogo et comœdia, nisi et ipsa compositio inter se consentiens, justaque proportione temperata fuerit. Ex pulchris certe duobus compositio absurda fieri potest, quale illud vulgatissimum est Hippocentaurus. Non enim amabile hoc animal esse dixeris, sed potius contumeliosissimum, si modo convenit pictoribus credere, temulentiam et cædes illorum exhibentibus. Quid ergo? an non rursus ex duobus optimis compositum fieri potest pulchrum, ut ex vino et melle commistum et temperatum suavissimum? Potest sane : meas vero compositiones contendere non ausim tales esse; quin potius vereor, ne utriusque pulchritudinem ipsa mixtura corruperit.

6. Neque enim omnino consueta inter se atque affinia ab initio dialogus et comœdia fuere : siquidem ille domi et seorsum, ac, mehercle, in ambulacris cum paucis quibusdam disputationes suas habebat : hæc vero, Baccho se totam tradens, in theatris versabatur, simulque ludebat, et risum movebat, gaudebatque salibus et dicacitate, et ad numeros tibiæ incedebat interdum; sæpe etiam anapæsticis versibus vecta, dialogi sectatores utplurimum subsannabat, meditatores, ac vanos sublimium rerum disceptatores, et id genus alia vocitando. Atque id solum ei cordi erat, ut eos sugillaret, et Dionysiacam istam libertatem in eos effunderet; nunc in aere ambulantes et cum nubibus versantes illos exhibens, nunc pulicum saltus metientes, de aereis videlicet et sublimibus istis rebus nimis exiliter argutantes. Dialogus vero gravissimas disputationes habebat, de natura rerum deque virtute philosophans : ita ut musicorum illud, bis per omnes chordas, ab acutissimo nimirum ad gravissimum sonum, ipsorum esset concentus. Et tamen ausi fuimus nos, hæc ita sese habentia inter sese conjungere et coaptare, non admodum obsequentia nec facile societatem sustinentia.

7. Vereor itaque ne denuo simile aliquid Prometheo isti tuo fecisse videar, ut qui feminam cum mari commiscuerim, et ob id ipsum nunc reus agar : vel potius ne in alia re talis qualis ille apparearm, dum decipio fere auditores, ossa apponens ipsis pinguedine obducta, risum scilicet comicum sub philosophica gravitate. Ad furtum enim quod attinet (nam et furandi arte hic deus insignis est), absit;

παρὰ τοῦ γὰρ ἂν ἐκλέπτομεν; εἰ μὴ ἄρα τις ἐμὲ διέλαθε τοιούτους πιτυοκάμπτας καὶ τραγελάφους καὶ αὐτὸς συντεθεικώς· πλὴν ἀλλὰ τί ἂν πάθοιμι; ἐμμενετέον γὰρ οἷς ἅπαξ προειλόμην· ἐπεὶ τό γε μεταβουλεύεσθαι Ἐπιμηθέως ἔργον, οὐ Προμηθέως ἐστίν.

hoc certe nostris inesse non dices. Unde enim furatus sim? nisi forte quis me fugit, qui ejusmodi Pityocamptas et Hircocervos et ipse composuerit. Verum quid faciam? Perseverandum enim est in iis quæ semel elegi; mutare enim consilium, Epimethei, non Promethei est.

III.

ΠΡΟΣ ΝΙΓΡΙΝΟΝ ΕΠΙΣΤΟΛΗ.

Λουκιανὸς Νιγρίνῳ εὖ πράττειν.

Ἡ μὲν παροιμία φησὶ, Γλαῦκα εἰς Ἀθήνας, ὡς γελοῖον ὂν εἴ τις ἐκεῖ κομίζοι γλαῦκας, ὅτι πολλαὶ παρ' αὐτοῖς εἰσιν. Ἐγὼ δ' εἰ μὲν δύναμιν λόγων ἐπιδείξασθαι βουλόμενος ἔπειτα Νιγρίνῳ γράψας βιβλίον ἔπεμπον, εἰχόμην ἂν τῷ γελοίῳ γλαῦκας ὡς ἀληθῶς ἐμπορευόμενος· ἐπεὶ δὲ μόνην σοι δηλῶσαι τὴν ἐμὴν γνώμην ἐθέλω, ὅπως τε νῦν ἔχω καὶ ὅτι μὴ παρέργως εἰλημμαι πρὸς τῶν σῶν λόγων, ἀποφεύγοιμ' ἂν εἰκότως καὶ τὸ τοῦ Θουκυδίδου λέγοντος ὅτι ἡ ἀμαθία μὲν θρασεῖς, ὀκνηροὺς δὲ τὸ λελογισμένον ἀπεργάζεται· δῆλον γὰρ ὡς οὐχ ἡ ἀμαθία μοι μόνη τῆς τοιαύτης τόλμης, ἀλλὰ καὶ ὁ πρὸς τοὺς λόγους ἔρως αἴτιος. Ἔρρωσο.

III.

EPISTOLA AD NIGRINUM.

Lucianus Nigrino salutem.

Noctuas Athenas, inquit proverbium : quasi ridiculum sit si quis eo noctuas apportet, quoniam apud illos abundent. Ego vero si dicendi facultatem ostendere volens Nigrino librum a me scriptum mitterem, plane obnoxius equidem huic ridiculo forem : nunc autem, quum id solum agam, ut sententiam meam tibi aperiam, et quo nunc sim animo, et quod non leviter oratione tua affectus fuerim, effugero sane merito etiam Thucydidis illud, dicentis : Imperitia audaces, res autem cogitata atque considerata cunctatores efficit. Manifestum est enim, mihi non imperitiam solum, verum etiam amorem ac studium literarum, hujus audaciæ causam esse. Vale.

ΝΙΓΡΙΝΟΣ ΗΤΟΙ ΠΕΡΙ ΦΙΛΟΣΟΦΟΥ ΗΘΟΥΣ.

ΕΤΑΙΡΟΣ, ΛΟΥΚΙΑΝΟΣ.

1. ΕΤΑΙ. Ὡς σεμνὸς ἡμῖν σφόδρα καὶ μετέωρος ἐπανελήλυθας. Οὐ τοίνυν προσβλέπειν ἡμᾶς ἔτι ἀξιοῖς οὔθ' ὁμιλίας μεταδίδως οὔτε κοινωνεῖς τῶν ὁμοίων λόγων, ἀλλ' ἄφνω μεταβέβλησαι καὶ ὅλως ὑπεροπτικῷ τινι ἔοικας. Ἡδέως δ' ἂν παρὰ σοῦ πυθοίμην ὅθεν οὕτως ἀτόπως ἔχεις καὶ τί τούτων αἴτιον.

ΛΟΥΚ. Τί γὰρ ἄλλο γε, ὦ ἑταῖρε, ἢ εὐτυχία;

ΕΤΑΙ. Πῶς λέγεις;

ΛΟΥΚ. Ὁδοῦ πάρεργον ἥκω σοι εὐδαίμων τε καὶ μακάριος γεγενημένος καὶ τοῦτο δὴ τὸ ἀπὸ τῆς σκηνῆς ὄνομα, τρισόλβιος.

ΕΤΑΙ. Ἡράκλεις, οὕτως ἐν βραχεῖ;

ΛΟΥΚ. Καὶ μάλα.

ΕΤΑΙ. Τί δὲ τὸ μέγα τοῦτό ἐστιν, ἐφ' ὅτῳ καὶ κομᾷς, ἵνα μὴ ἐν κεφαλαίῳ μόνῳ εὐφραινώμεθα, ἔχωμεν δέ τι καὶ ἀκριβὲς εἰδέναι τὸ πᾶν ἀκούσαντες;

ΛΟΥΚ. Οὐ θαυμαστὸν εἶναί σοι δοκεῖ πρὸς Διὸς, ἀντὶ μὲν δούλου με ἐλεύθερον, ἀντὶ δὲ πένητος ὡς ἀληθῶς πλούσιον, ἀντὶ δὲ ἀνοήτου τε καὶ τετυφωμένου γενέσθαι μετριώτερον;

2. ΕΤΑΙ. Μέγιστον μὲν οὖν· ἀτὰρ οὔπω μανθάνω σαφῶς ὅ τι καὶ λέγεις.

ΛΟΥΚ. Ἐστάλην μὲν εὐθὺ τῆς πόλεως βουλόμενος ἰατρὸν ὀφθαλμῶν θεάσασθαί τινα· τὸ γάρ μοι πάθος τὸ ἐν τῷ ὀφθαλμῷ μᾶλλον ἐπετείνετο.

AM. Quam oppido gravis nobis et sublimis rediisti! Neque enim aspicere nos amplius dignaris, neque conversaris nobiscum, nec sermones ut antea confers; sed repente immutatus es, et omnino fastidiosus videris evasisse. Lubens vero audierim ex te, unde ad hoc insolentiæ perveneris, et quæ ejus rei causa sit.

LUC. Quid enim aliud, o amice, quam felicitas?

AM. Quid ais?

LUC. Dum aliud ago, felicem me et beatum vides factum, et, quod in scena solet usurpari, ter beatum.

AM. Papæ! tam subito?

LUC. Ita res habet.

AM. Quidnam autem tantum illud est quo te sic effers? ut non summatim modo lætemur, sed, singulis etiam auditis, accurate scire possimus.

LUC. An non admiratione dignum tibi videtur, per Jovem, pro servo me liberum, pro paupere vere divitem, pro stulto autem et insano factum modestum?

2. AM. Immo vero maximum. Sed nondum tamen plane intelligo quidnam illud sit quod dicis.

LUC. Recta in urbem profectus sum, ut ibi oculorum aliquem medicum circumspicerem : nam ille oculi affectus, quo laborabam, magis ac magis ingravescebat.

ΕΤΑΙ. Οἶδα τούτων ἕκαστα, καὶ ηὐξάμην σέ τινι σπουδαίῳ ἐπιτυχεῖν.

ΛΟΥΚ. Δόξαν οὖν μοι διὰ πολλοῦ προσειπεῖν Νιγρῖνον τὸν Πλατωνικὸν φιλόσοφον, ἔωθεν ἐξαναστὰς ὡς αὐτὸν ἀφικόμην καὶ κόψας τὴν θύραν τοῦ παιδίου εἰσαγγείλαντος ἐκλήθην· καὶ παρελθὼν εἴσω καταλαμβάνω τὸν μὲν ἐν χερσὶ βιβλίον ἔχοντα, πολλὰς δὲ εἰκόνας παλαιῶν σοφῶν ἐν κύκλῳ κειμένας. Προὔκειτο δὲ ἐν μέσῳ καὶ πινάκιόν τι τῶν ἀπὸ γεωμετρίας σχημάτων καταγεγραμμένον καὶ σφαῖρα καλάμου πρὸς τὸ τοῦ παντὸς μίμημα ὡς ἐδόκει πεποιημένη.

3. Σφόδρα οὖν με φιλοφρόνως ἀσπασάμενος ἠρώτα ὅ τι πράττοιμι. Κἀγὼ πάντα διηγησάμην αὐτῷ, καὶ ὅσα ἐν μέρει καὶ αὐτὸς ἠξίουν εἰδέναι ὅ τι τε πράττοι καὶ εἰ αὖθις αὐτῷ ἐγνωσμένον εἴη στέλλεσθαι τὴν ἐπὶ τῆς Ἑλλάδος. Ὁ δὲ ἀρξάμενος, ὦ ἑταῖρε, περὶ τούτων λέγειν καὶ τὴν ἑαυτοῦ γνώμην διηγεῖσθαι τοσαύτην τινά μου τῷ λόγῳ ἀμβροσίαν κατεσκέδασεν, ὥστε καὶ τὰς Σειρῆνας ἐκείνας, εἴ τινες ἄρα ἐγένοντο, καὶ τὰς Κηληδόνας καὶ τὸν Ὁμήρου λωτὸν ἀρχαῖον ἀποδεῖξαι· οὕτω θεσπέσια ἐφθέγξατο.

4. Προήχθη γὰρ αὐτήν τε φιλοσοφίαν ἐπαινέσαι καὶ τὴν ἀπὸ ταύτης ἐλευθερίαν καὶ τῶν δημοσίᾳ νομιζομένων ἀγαθῶν καταγελάσαι, πλούτου καὶ δόξης καὶ βασιλείας καὶ τιμῆς, ἔτι τε χρυσοῦ καὶ πορφύρας καὶ τῶν πάνυ περιβλέπτων τοῖς πολλοῖς, τέως δὲ κἀμοὶ δοκούντων· ἅπερ ἐγωγε ἀτενεῖ καὶ ἀναπεπταμένῃ τῇ ψυχῇ δεξάμενος αὐτίκα μὲν οὐδὲ εἶχον εἰκάσαι ὅπερ ἐπεπόνθειν, ἀλλὰ παντοῖος ἐγιγνόμην· καὶ ἄρτι μὲν ἐλυπούμην, ἐλληλεγμένων μοι τῶν φιλτάτων, πλούτου τε καὶ ἀργυρίου καὶ δόξης, καὶ μόνον οὐκ ἐδάκρυον ἐπ' αὐτοῖς καθηρημένοις, ἄρτι δὲ αὐτὰ μὲν ἐδόκει μοι ταπεινὰ καὶ καταγέλαστα· ἔχαιρον δ' αὖ ὥσπερ ἐκ ζοφεροῦ τινος ἀέρος τοῦ βίου τοῦ πρόσθεν ἐς αἰθρίαν τε καὶ μέγα φῶς ἀναβλέπων· ὥστε δὴ, τὸ καινότατον, τοῦ ὀφθαλμοῦ μὲν καὶ τῆς περὶ αὐτὸν ἀσθενείας ἐπελανθανόμην, τὴν δὲ ψυχὴν ὀξυδερκέστερος κατὰ μικρὸν ἐγιγνόμην· ἐλελήθειν γὰρ τέως αὐτὴν τυφλώττουσαν περιφέρων.

5. Προϊὼν δὲ ἐς τόδε περιήχθην, ὅπερ ἀρτίως ἡμῖν ἐπεκάλεις· γαῦρός τε γὰρ ὑπὸ τοῦ λόγου καὶ μετέωρός εἰμι καὶ ὅλως μικρὸν οὐκέτι οὐδὲν ἐπινοῶ· δοκῶ γάρ μοι ὅμοιόν τι πεπονθέναι πρὸς φιλοσοφίαν οἷόνπερ καὶ οἱ Ἰνδοὶ πρὸς τὸν οἶνον λέγονται παθεῖν, ὅτε πρῶτον ἔπιον αὐτοῦ· θερμότεροι γὰρ ὄντες φύσει πιόντες ἰσχυρὸν οὕτω ποτὸν αὐτίκα μάλα ἐξεβακχεύθησαν καὶ διπλασίως ὑπὸ τοῦ ἀκράτου ἐξεμάνησαν. Οὕτω σοι καὶ αὐτὸς ἔνθεος καὶ μεθύων ὑπὸ τῶν λόγων περιέρχομαι.

6. ΕΤΑΙ. Καὶ μὴν τοῦτό γε οὐ μεθύειν, ἀλλὰ νήφειν τε καὶ σωφρονεῖν ἐστιν. Ἐγὼ δὲ βουλοίμην ἄν, εἰ οἷόν τε, αὐτῶν ἀκοῦσαι τῶν λόγων· οὐδὲ γὰρ οὐδὲ καταφρονεῖν αὐτῶν οἶμαι θέμις, ἄλλως τε εἰ καὶ φίλος καὶ περὶ τὰ ὅμοια ἐσπουδακὼς ὁ βουλόμενος ἀκούειν εἴη.

ΛΟΥΚ. Θάρρει, ὦγαθέ· τοῦτο γάρ τοι τὸ τοῦ Ὁμή-

AM. Ordine hæc omnia novi, ideoque optabam, ut in bonum atque peritum aliquem incideres.

LUC. Quum igitur statuissem, Nigrinum quoque illum Platonicum philosophum, ut quem longo temporis intervallo non videram, compellare, mane surgens, ad ipsum adeo, et pulsata janua, quum puer intro de me renunciasset, arcessitus sum. Ingressus, deprehendo ipsum quidem manibus librum tenentem, circum autem undique multas veterum sapientum imagines positas. In medio autem erat etiam tabella quædam, in qua geometricæ quædam figuræ descriptæ erant, ac sphæra arundinea, ad imitationem universi, ut videbatur, composita.

3. Amantissime igitur me amplexatus ille interrogavit de rebus meis. Quibus omnibus illi expositis, ego quoque vicissim ex eo quæsivi, et quid ipse ageret, et numquid apud se statuisset in Græciam denuo navigare. Ibi vero ille, o amice, posteaquam cœpisset de hisce rebus dicere suamque sententiam explicare, tantam verborum ambrosiam mihi affudit, ut mihi plane Sirenes illas, si quæ umquam fuerunt, et Celedones et Loton illam Homeri obscurasse et obliterasse videretur: adeo divina erant quæ loquebatur.

4. Huc enim dicendo provectus est, ut philosophiam laudaret, et quæ ab ea manat, libertatem, et ista, quæ vulgo pro bonis habentur, irrideret, divitias nimirum, gloriam, regna, honores; præterea aurum quoque et purpuram, et cetera quæ admodum spectabilia plerisque, antea vero etiam mihi videbantur. Quæ ego animo intento atque aperto accipiens, continuo ita affectus fui, ut quid paterer ipse nescirem, atque in omnes partes raperer: nunc quidem dolebam, quod vanitatis coarguerentur ea quæ mihi carissima fuerant, divitiæ videlicet, argentum, et gloria: ac tantum non lacrimabar, quum de gradu dimota cernerem: eadem mox mihi videbantur vilia et ridicula esse; gaudebamque rursum tanquam ex tenebroso quodam aere prioris vitæ ad serenitatem et magnam aliquam lucem prospiciens: adeo ut, novo sane exemplo, neglecto oculo ejusque infirmitate, animo perspicaciori paulatim evaserim, quem ad id tempus cæcutientem insciens circumtuleram.

5. Tandemque in eum statum adductus sum, quem modo mihi exprobrabas: nam et elatus oratione illius, et tanquam in sublime evectus sum, et omnino humile nihil jam cogito. Videor enim mihi a philosophia non aliter affectus, quam Indi a vino feruntur, quando primum bibere eis contigit: natura enim calidiores quum jam essent, accedente potu adeo vehementi, continuo bacchari cœperunt, ac duplo magis ex mero insanire. Ita et ego oratione ejus quasi furore captus atque ebrius obambulo.

6. AM. Atqui hoc quidem non est ebrium, sed sobrium atque temperantem esse. Ego vero optarim, si fieri possit, ipsam illam audire orationem. Neque enim contemnere eam, opinor, fas est; præsertim si qui audire cupit, et amicus est, et eodem tenetur studio.

LUC. Bono animo esto, o bone! nam juxta Homericum

ρου, σπεύδοντα καὶ αὐτὸν παρακαλεῖς, καὶ εἴ γε μὴ ἔφθης, αὐτὸς ἂν ἐδεήθην ἀκοῦσαί μου διηγουμένου· μάρτυρα γάρ σε παραστήσασθαι πρὸς τοὺς πολλοὺς ἐθέλω ὅτι οὐκ ἀλόγως μαίνομαι· ἄλλως τε καὶ ἡδύ μοι τὸ μεμνῆσθαι αὐτῶν πολλάκις, καὶ ταύτην ἤδη μελέτην ἐποιησάμην· ἐπεὶ κἄν τις μὴ παρὼν τύχῃ, καὶ οὕτω δὶς ἢ τρὶς τῆς ἡμέρας ἀνακυκλῶ πρὸς ἐμαυτὸν τὰ εἰρημένα.

7. Καὶ ὥσπερ οἱ ἐρασταὶ τῶν παιδικῶν οὐ παρόντων ἔργ' ἄττα καὶ λόγους εἰρημένους αὐτοῖς διαμνημονεύουσι καὶ τούτοις ἐνδιατρίβοντες ἐξαπατῶσι τὴν νόσον, ὡς παρόντων σφίσι τῶν ἀγαπωμένων· ἔνιοι γοῦν αὐτοῖς καὶ προσλαλεῖν οἴονται καὶ ὡς ἄρτι λεγομένων πρὸς αὐτοὺς ὧν τότε ἤκουσαν, ἥδονται καὶ προσάψαντες τὴν ψυχὴν τῇ μνήμῃ τῶν παρεληλυθότων σχολὴν οὐκ ἄγουσι τοῖς ἐν ποσὶν ἀνιᾶσθαι· οὕτω δὴ καὶ αὐτὸς φιλοσοφίας οὐ παρούσης τοὺς λόγους, οὓς τότε ἤκουσα, συναγείρων καὶ πρὸς ἐμαυτὸν ἀνατυλίττων οὐ μικρὰν ἔχω παραμυθίαν· καὶ ὅλως, καθάπερ ἐν πελάγει καὶ νυκτὶ πολλῇ φερόμενος ἐς πυρσόν τινα τοῦτον ἀποβλέπω πᾶσι μὲν παρεῖναι τοῖς ὑπ' ἐμοῦ πραττομένοις ἄνδρα ἐκεῖνον οἰόμενος, ἀεὶ δὲ ὥσπερ ἀκούων αὐτοῦ τὰ αὐτὰ πρός με λέγοντος· ἐνίοτε δέ, καὶ μάλιστα ὅταν ἐνερείσω τὴν ψυχήν, καὶ τὸ πρόσωπον αὐτοῦ μοι φαίνεται καὶ τῆς φωνῆς ὁ ἦχος ἐν ταῖς ἀκοαῖς παραμένει· καὶ γάρ τοι κατὰ τὸν κωμικὸν ὡς ἀληθῶς ἐγκατέλιπέ τι κέντρον τοῖς ἀκούουσι.

8. ΕΤΑΙ. Παῦε, ὦ θαυμάσιε, μικρὸν ἀναχρουόμενος καὶ λέγε ἐξ ἀρχῆς ἀναλαβὼν ἤδη τὰ εἰρημένα· ὡς οὐ μετρίως με ἀποκναίεις περιάγων.

ΛΟΥΚ. Εὖ λέγεις, καὶ οὕτω χρὴ ποιεῖν. Ἀλλ' ἐκεῖνο, ὦ ἑταῖρε, ἤδη τραγικοὺς ἢ καὶ νὴ Δία κωμικοὺς φαύλους ἑόρακας ὑποκριτάς, τῶν συριττομένων λέγω τούτων καὶ διαφθειρόντων τὰ ποιήματα καὶ τὸ τελευταῖον ἐκβαλλομένων, καίτοι τῶν δραμάτων πολλάκις εὖ ἐχόντων τε καὶ νενικηκότων;

ΕΤΑΙ. Πολλοὺς οἶδα τοιούτους. Ἀλλὰ τί τοῦτο;

ΛΟΥΚ. Δέδοικα μή σοι μεταξὺ δόξω γελοίως αὐτὰ μιμεῖσθαι, τὰ μὲν ἀτάκτως συνείρων, ἐνίοτε δὲ καὶ αὐτὸν ὑπ' ἀσθενείας τὸν νοῦν διαφθείρων, κἄτα προαχθῆς ῥῆμα καὶ αὐτοῦ καταγνῶναι τοῦ δράματος. Καὶ τὸ μὲν ἐμὸν, οὐ πάνυ ἄχθομαι, ἡ δὲ ὑπόθεσις οὐ μετρίως με λυπήσειν ἔοικε συνεκπίπτουσα καὶ τὸ ἐμὸν μέρος ἀσχημονοῦσα.

9. Τοῦτ' οὖν παρ' ὅλον μέμνησό μοι τὸν λόγον, ὡς ὁ μὲν ποιητὴς ἡμῖν τῶν τοιούτων ἁμαρτημάτων ἀνεύθυνος καὶ τῆς σκηνῆς πόρρω που κάθηται, οὐδὲν αὐτῷ μέλον τῶν ἐν θεάτρῳ πραγμάτων. Ἐγὼ δ' ἐμαυτοῦ σοι πεῖραν παρέχω, ὁποῖός τίς εἰμι τὴν μνήμην ὑποκριτὴς οὐδὲν ἀγγέλου τὰ ἄλλα τραγικοῦ διαφέρων. Ὥστε κἂν ἐνδεέστερόν τι δοκῶ λέγειν, ἐκεῖνο μὲν ἔστω πρόχειρον, ὡς ἄμεινον ἦν καὶ ἄλλως ὁ ποιητὴς ἴσως διεξῄει· ἐμὲ δὲ κἂν ἐκσυρίττῃς, οὐ πάνυ τι λυπήσομαι.

10. ΕΤΑΙ. Ὡς εὖ γε νὴ τὸν Ἑρμῆν καὶ κατὰ τὸν τῶν ῥητόρων νόμον πεπροοιμίασταί σοι· ἔοικας γοῦν illud, ultro festinantem hortaris; ac nisi prævortisses, jam ipse rogassem, me narrantem audires. Testem enim te adhibere apud homines volo, me non sine ratione insanire. Quin et crebro meminisse volupe mihi est; et hanc meditando familiarem jam exercitationem feci : nam etiamsi nemo mihi adsit, tamen sic quoque bis terve de die dicta illa mecum ipse revolvo.

7. Et quemadmodum amatores, absentibus amasiis, dicta eorum et facta memoria repetunt, iisque immorando morbum fallunt, perinde ac si illi ipsi amati adsint : quidam vero etiam colloqui secum illos putant, atque iis, quæ tum sibi audire visi sunt, quasi paulo ante revera dictis, gaudent, animumque memoriæ præteritorum applicantes, macerandi sese præsentibus otium non habent : sic sane et ipse, philosophia non præsente, verba, quæ tum audivi, recolligens, et mecum crebro revolvens, non exiguum capio solatium. In summa, perinde ac si in pelago et per noctem atram ferar, ad hanc quasi quandam facem respicio, omnibus illis rebus, quæ a me geruntur, virum illum coram adesse existimans, semperque velut audiens ipsum eadem illa sua ad me dicentem : interdum etiam, et maxime, quando mente in id defixa constiti, vultum ipsum illius videre mihi videor, et vocis sonus in auribus mihi resonat; etenim juxta Comicum, revera aculeum quendam in auditorum mente reliquit.

8. AM. Subsiste, o admirande, paullumque retrocede, et ab initio repetens jam tandem dicta illa enarra, quoniam non mediocriter me his ambagibus excrucias.

LUC. Recte dicis, atque ita facto opus est : sed illud quæso, vidistine aliquando sive tragicos, sive etiam, per Jovem, comicos histriones, malos istos dico, qui sibilo excipiuntur, quique poemata agendo corrumpunt, ac postremo theatris ejiciuntur, tametsi ipsæ fabulæ sæpenumero bene se habeant ac palmam etiam reportarint?

AM. Multos novi tales. Sed quorsum hoc?

LUC. Vereor ne et ipse subinde inepte imitari videar; alia quidem inordinate conserens, interdum autem etiam ipsam sententiam præ imbecillitate ingenii corrumpens; adeo ut cogaris sensim ipsam damnare fabulam. Nam ad histrioniam meam quod attinet, non admodum ægre id feram : ceterum argumentum ipsum non mediocri dolore me affecturum esse videtur, si mecum una cadat et mea culpa indecorum appareat.

9. Proinde hoc per totam memineris mihi orationem, quod poeta quidem ipse talium peccatorum immunis est, ac procul a scena sejunctus alicubi sedet, neque quicquam eorum curat, quæ in theatro aguntur : ego vero mei ipsius periculum tibi exhibeo, qualis scilicet histrio sim, quantumque memoria valeam, quod ad cetera attinet, nihil a nuncio tragico distans. Quare si quid minus pro rei dignitate dicere visus fuero, illud tibi in promtu sit, quod scilicet melius hoc fuerat; et quod ipse poeta aliter fortassis idem dixerat : me vero si exsibilaveris, non admodum moleste feram.

10. AM. Ut bene sane, ita me Mercurius amet, et juxta rhetorum leges exordium hoc tibi peractum est. Videris

κἀκεῖνα προσθήσειν, ὡς δι' ὀλίγου τε ὑμῖν ἡ συνουσία ἐγένετο καὶ ὡς οὐδ' αὐτὸς ἦκεις πρὸς τὸν λόγον παρεσκευασμένος καὶ ὡς ἄμεινον εἶχεν αὐτοῦ ταῦτα λέγοντος ἀκούειν· σὺ γὰρ ὀλίγα καὶ ὅσα οἷόν τε ἦν, τυγχάνεις τῇ μνήμῃ συγκεκομισμένος. Οὐ ταῦτ' ἐρεῖν ἔμελλες; Οὐδὲν οὖν αὐτῶν ἔτι σοι δεῖ πρὸς ἐμέ· νόμισον δὲ τούτου γε ἕνεκα πάντα σοι προειρῆσθαι· ὡς ἐγὼ καὶ βοᾶν καὶ κροτεῖν ἕτοιμος. Ἢν δὲ διαμέλλῃς, μνησικακήσω γε παρὰ τὸν ἀγῶνα καὶ ὀξύτατα συρίξομαι.

11. ΛΟΥΚ. Καὶ ταῦτα μέν, ἃ σὺ διῆλθες, ἐβουλόμην ἂν εἰρῆσθαί μοι, κἀκεῖνα δέ, ὅτι οὐχ ἑξῆς οὐδὲ ὡς ἐκεῖνος ἔλεγε, ῥῄσίν τινα περὶ πάντων ἐρῶ· πάνυ γὰρ τοῦθ' ἡμῖν ἀδύνατον· οὐδ' αὖ ἐκείνῳ περιθείς τοὺς λόγους, μὴ καὶ κατ' ἄλλο τι γένωμαι τοῖς ὑποκριταῖς ἐκείνοις ὅμοιος, οἱ πολλάκις ἢ Ἀγαμέμνονος ἢ Κρέοντος ἢ καὶ Ἡρακλέους αὐτοῦ πρόσωπον ἀνειληφότες, χρυσίδας ἡμφιεσμένοι καὶ δεινὸν βλέποντες καὶ μέγα κεχηνότες μικρὸν φθέγγονται καὶ ἰσχνὸν καὶ γυναικῶδες καὶ τῆς Ἑκάβης ἢ Πολυξένης πολὺ ταπεινότερον. Ἵν' οὖν μὴ καὶ αὐτὸς ἐλέγχωμαι πάνυ μεῖζον τῆς ἐμαυτοῦ κεφαλῆς προσωπεῖον περικείμενος καὶ τὴν σκευὴν καταισχύνων, ἀπὸ γυμνοῦ σοι βούλομαι τοὐμοῦ προσώπου προσλαλεῖν, ἵνα μὴ συγκατασπάσω που πεσὼν τὸν ἥρωα ὃν ὑποκρίνομαι.

12. ΕΤΑΙ. Οὗτος ἀνὴρ οὐ παύσεται τήμερον πρός με πολλῇ τῇ σκηνῇ καὶ τῇ τραγῳδίᾳ χρώμενος.

ΛΟΥΚ. Καὶ μὴν παύσομαί γε· πρὸς ἐκεῖνα δὲ ἤδη τρέψομαι. Ἡ μὲν ἀρχὴ τῶν λόγων ἔπαινος ἦν Ἑλλάδος καὶ τῶν Ἀθήνησιν ἀνθρώπων, ὅτι φιλοσοφίᾳ καὶ πενίᾳ σύντροφοί εἰσι καὶ οὔτε τῶν ἀστῶν οὔτε τῶν ξένων οὐδένα τέρπονται ὁρῶντες, ὃς ἂν τρυφὴν εἰσάγειν εἰς αὐτοὺς βιάζηται, ἀλλ' ἢν καί τις ἀφίκηται παρ' αὐτοὺς οὕτω διακείμενος, ἠρέμα τε μεθαρμόττουσι καὶ παραπαιδαγωγοῦσι καὶ πρὸς τὸ καθαρὸν τῆς διαίτης μεθιστᾶσιν.

13. Ἐμέμνητο γοῦν τινος τῶν πολυχρύσων, ὃς ἐλθὼν Ἀθήναζε μάλ' ἐπίσημος καὶ φορτικὸς ἀκολούθων ὄχλῳ καὶ ποικίλῃ ἐσθῆτι καὶ χρυσῷ αὐτὸς μὲν ᾤετο ζηλωτὸς εἶναι πᾶσι τοῖς Ἀθηναίοις καὶ ὡς ἂν εὐδαίμων ἀποβλέπεσθαι· τοῖς δ' ἄρα δυστυχεῖν ἐδόκει τὸ ἀνθρώπιον, καὶ παιδεύειν ἐπεχείρουν αὐτὸν οὐ πικρῶς οὐδ' ἀντικρυς ἀπαγορεύοντες ἐν ἐλευθέρᾳ τῇ πόλει καθ' ὁντινα τρόπον βούλεται βιοῦν· ἀλλ' ἐπεὶ κἂν τοῖς γυμνασίοις καὶ λουτροῖς ὄχληρὸς ἦν θλίβων τοῖς οἰκέταις καὶ στενοχωρῶν τοὺς ἀπαντῶντας, ἡσυχῇ τις ἂν ὑπεφθέγξατο προσποιούμενος λανθάνειν, ὥσπερ οὐ πρὸς αὐτὸν ἐκεῖνον ἀποτείνων, Δέδοικε μὴ παραπόληται μεταξὺ λούμενος· καὶ μὴν εἰρήνη γε μακρὰ κατέχει τὸ βαλανεῖον· οὐδὲν οὖν δεῖ στρατοπέδου. Ὁ δὲ ἀκούων ἃ ἦν μεταξὺ ἐπαιδεύετο. Τὴν δὲ ἐσθῆτα τὴν ποικίλην καὶ τὰς πορφυρίδας ἐκείνας ἀπέδυσαν αὐτὸν ἀστείως πάνυ τὸ ἀνθηρὸν ἐπισκώπτοντες τῶν χρωμάτων, Ἔαρ ἤδη, λέγοντες, καὶ, Πόθεν ὁ ταὼς οὗτος; καὶ, Τάχα τῆς μητρός ἐστιν αὐτοῦ· καὶ τὰ τοιαῦτα. Καὶ τὰ ἄλλα δὲ

igitur etiam hæc additurus, sermonem inter vos non fuisse longum, teque ad dicendum non venire paratum, et melius futurum fuisse, si ipsum dicentem audissem; te enim pauca quædam et quantum licuit memoriæ mandata depromere. An non hæc quoque dicturus eras? Nihil igitur illis apud me tibi opus est: existimes autem, quantum ad hoc attinet, omnia jam tibi prædicta esse: habes enim et acclamare et plaudere paratum. Sin vero moras nectis, quum in rem ipsam ventum erit, alieniore me usurum te scias et acutissime sibilaturo.

11. LUC. Equidem et hæc, quæ tu commemorasti, dicta volui, et illa quoque, me neque ordine, neque, ut ille, justa quadam et continua oratione de omnibus dicturum esse; meæ enim facultatis hoc minime est: nec rursum illius personæ attribuendo sermonem, ne alia etiam in parte histrionibus illis similis fiam, qui sæpenumero aut Agamemnonis, aut Creontis, aut etiam ipsius Herculis persona assumta, ac vestibus auro contextis induti, et horrendum tuentes, ore in immensum diducto, exiguum et gracile, adeoque muliebre quiddam loquuntur, ipsa etiam Hecuba Polyxenave multo demissius. Ne igitur et ipse deprehendar majorem omnino, quam pro capite meo, personam induisse, ipsumque ornatum dehonestare, ex nuda tecum volo meaque propria persona colloqui, ne cadens alicubi, quem ago heroem, mecum una convulsum terræ affligam.

12. AM. Homo hic non desinet hodie apud me crebra illa scena atque tragœdia uti.

LUC. Imo desinam, et ad incepta me nunc convertam. Principium igitur orationis illius commendatio fuit Græciæ et eorum hominum, qui Athenis commorantur, quod cum philosophia et paupertate degant, et neque civium neque peregrinorum quemquam intueri gaudeant, qui luxum ad sese invehere conetur: sed si quis etiam veniat ad illos ita affectus, et paulatim transforment ipsum, et veteres mores dedoceant, atque ad puritatem vitæ transferant.

13. Memorabat itaque quendam ex istis multo auro fulgentibus, qui quum Athenas venisset admodum insignis et turba comitum gravis, varia veste auroque ornatus, Atheniensibus omnibus sese admirationi esse existimabat, et tanquam beatum suspici; quum iis contra infelix esse homuncio videretur: quin et erudiendum eum sibi sumserunt, non acerbe neque aperte vetantes, ne in libera civitate pro lubitu viveret: sed quum in gymnasiis et balneis molestus esset, suis servis premens et in angustum cogens obvios, submissa voce quidam, quasi latere vellet, neque illum perstringeret: Metuit, inquit, ne inter lavandum pereat: atqui pax certe maxima balneum tenet: proinde nihil opus est exercitu. Ille autem verum audiens, interea erudiebatur. Præterea varia illa veste atque purpurea eundem exuerunt, urbane admodum floridum colorum nitorem irridentes: Jam ver adest, dicebant: et, Unde nobis pavo hic? et, Fortassis materna est: et similia. Atque eodem pacto

οὕτως ἀπέσκωπτον, ἢ τῶν δακτυλίων τὸ πλῆθος ἢ τῆς κόμης τὸ περίεργον ἢ τῆς διαίτης τὸ ἀκόλαστον. Ὥστε κατὰ μικρὸν ἐσωφρονίσθη καὶ παρὰ πολὺ βελτίων ἀπῆλθε δημοσίᾳ πεπαιδευμένος.

14. Ὅτι δ' οὐκ αἰσχύνονται πενίαν ὁμολογοῦντες, ἐμέμνητο πρός με φωνῆς τινος, ἣν ἀκοῦσαι πάντων ἔφη κοινῇ προειμένων ἐν τῷ ἀγῶνι τῶν Παναθηναίων· ληφθέντα μὲν γάρ τινα τῶν πολιτῶν ἄγεσθαι παρὰ τὸν ἀγωνοθέτην, ὅτι βαπτὸν ἔχων ἱμάτιον ἐθεώρει, τοὺς δὲ ἰδόντας ἐλεῆσαί τε καὶ παραιτεῖσθαι καὶ τοῦ κήρυκος ἀνειπόντος ὅτι παρὰ τὸν νόμον ἐποίησεν ἐν τοιαύτῃ ἐσθῆτι θεώμενος, ἀναβοῆσαι μιᾷ φωνῇ πάντας ὥσπερ ἐσκεμμένους, συγγνώμην ἀπονέμειν αὐτῷ τοιαῦτά γε ἀμπεχομένῳ· μὴ γὰρ ἔχειν αὐτὸν ἕτερα. Ταῦτά τε οὖν ἐπῄνει καὶ προσέτι τὴν ἐλευθερίαν τὴν ἐκεῖ καὶ τῆς διαίτης τὸ ἀνεπίφθονον, ἡσυχίαν τε καὶ ἀπραγμοσύνην, ἃ δὴ ἄφθονα παρ' αὐτοῖς ἐστιν, ἀπεφαίνετό τε φιλοσοφίᾳ συνῳδὸν τὴν παρὰ τοῖς τοιούτοις διατριβὴν καὶ καθαρὸν ἦθος φυλάξαι δυναμένην σπουδαίῳ τε ἀνδρὶ καὶ πλούτου καταφρονεῖν πεπαιδευμένῳ καὶ τῷ πρὸς τὰ φύσει καλὰ ζῆν προαιρουμένῳ τὸν ἐκεῖ βίον μάλιστα ἁρμοσμένον.

15. Ὅστις δὲ πλούτου ἐρᾷ καὶ χρυσῷ κεκήληται καὶ πορφύρᾳ καὶ δυναστείᾳ μετρεῖ τὸ εὔδαιμον, ἄγευστος μὲν ἐλευθερίας, ἀπείρατος δὲ παῤῥησίας, ἀθέατος δὲ ἀληθείας, κολακείᾳ τὰ πάντα καὶ δουλείᾳ σύντροφος, ἢ ὅστις ἡδονῇ πᾶσαν τὴν ψυχὴν ἐπιτρέψας ταύτῃ μόνῃ λατρεύειν διέγνωκε, φίλος μὲν περιέργων τραπεζῶν, φίλος δὲ πότων καὶ ἀφροδισίων, ἀνάπλεως γοητείας καὶ ἀπάτης καὶ ψευδολογίας, ἢ ὅστις ἀκούων τέρπεται κρουμάτων τε καὶ τερετισμάτων καὶ διεφθορότων ᾀσμάτων, τοῖς δὴ τοιούτοις πρέπειν τὴν ἐνταῦθα διατριβήν.

16. Μεσταὶ γὰρ αὐτοῖς τῶν φιλτάτων πᾶσαι μὲν ἀγυιαί, πᾶσαι δὲ ἀγοραί· πάρεστι δὲ πάσαις πύλαις τὴν ἡδονὴν καταδέχεσθαι, τοῦτο μὲν δι' ὀφθαλμῶν, τοῦτο δὲ δι' ὤτων τε καὶ ῥινῶν, τοῦτο δὲ καὶ διὰ λαιμοῦ καὶ δι' ἀφροδισίων· ὑφ' ἧς δὴ ῥεούσης ἀενάου τε καὶ θολερῷ ῥεύματι πᾶσαι μὲν ἀνευρύνονται ὁδοί· συνεισέρχεται γὰρ μοιχεία καὶ φιλαργυρία καὶ ἐπιορκία καὶ τὸ τοιοῦτο φῦλον τῶν ἡδονῶν· παρασύρεται δὲ τῆς ψυχῆς ὑποκλυζομένης πάντοθεν αἰδὼς καὶ ἀρετὴ καὶ δικαιοσύνη· τῶν δὲ ἔρημος ὁ χῶρος γενόμενος δίψης ἀεὶ πιμπλάμενος ἀνθεῖ πολλαῖς τε καὶ ἀγρίαις ἐπιθυμίαις. Τοιαύτην ἀπέφαινε τὴν πόλιν καὶ τοσούτων διδάσκαλον ἀγαθῶν.

17. Ἐγωγ' οὖν, ἔφη, ὅτε τὸ πρῶτον ἐπανῆιειν ἀπὸ τῆς Ἑλλάδος, πλησίον που γενόμενος ἐπιστήσας ἐμαυτὸν λόγον ἀπῄτουν τῆς δεῦρο ἀφίξεως, ἐκεῖνα δὴ τὰ τοῦ Ὁμήρου λέγων·

Τίπτ' αὖτ', ὦ δύστηνε, λιπὼν φάος ἠελίοιο,

τὴν Ἑλλάδα καὶ τὴν εὐτυχίαν ἐκείνην καὶ τὴν ἐλευθερίαν

ἦλυθες, ὄφρα ἴδῃς

cetera illius cum risu carpebant, nunc annulorum multitudinem, nunc comam justo curatiorem, nunc victus luxuriosam intemperantiam notantes. Ita paulatim ad modestiam est revocatus, et longe melior, sic publice emendatus, abiit.

14. Quod autem non pudeat eos paupertatem confiteri, referebat mihi vocem quandam, quam aiebat publice ab omnibus emissam audisse sese in ludis Panathenaicis. Deprehensum enim quendam ex civibus fuisse et ad præsidem ludorum adductum, quod veste tincta amictus spectaculo interesset : quo viso misertos illius ac veniam precatos esse, præcone autem proclamante contra leges fecisse, quod tali cum veste ludos spectaret, omnes una voce, quasi antea super hoc deliberassent, exclamare cœpisse, ut venia ei daretur tali veste induto : neque enim aliam habere illum. Hæc igitur ille laudabat, et præterea libertatem, quæ illic est, ac victus frugalitatem, et tranquillitatem, et otium, quæ apud illos sunt cumulatissima. Ostendebat etiam, conversationem eorum hominum philosophiæ consonam esse, moresque puros conservare posse; viroque gravi, et qui divitias contemnere didicisset, et qui secundum ea, quæ natura honesta sunt, vivere statuisset, vitam, quæ illic vivitur, quam maxime aptam atque accommodatam esse.

15. At qui divitias amat, aurumque stupet, purpuraque et potentia felicitatem metitur, qui libertatem in dictis factisque nunquam gustavit, qui veritatem nunquam vidit, et cum assentatione et servitute enutritus est, aut qui totam animam voluptati addixit, eique uni inservire statuit, amans opiparæ mensæ, indulgens vino ac rebus venereis, plenus præstigiarum, fraudis atque mendacii; aut cui chordarum pulsationes instrumentorumque lascivos crepitus cantilenasque perditas audire volupe est : talibus videlicet hominibus convenire hujus urbis consuetudinem.

16. Hic enim rerum carissimarum ipsis omnes plateas omniaque fora referta esse : ac licere ipsis omnibus quasi portis voluptatem recipere, partim per oculos, partim per aures et nasum, partim per gulam, et per venerea : qua fluente perenni turbulentoque flumine, omnes viæ dilatantur; una enim irruunt et adulterium, et avaritia, et perjurium, et reliqua id genus voluptatum cognatarum natio : a quibus exundantibus animo undique submerso, verecundia, et virtus, et justitia abripiuntur : quibus carens jam solum semper siticulosum multis ac feris cupiditatibus suppullulat. Talem esse urbem, taliumque magistram bonorum ostendebat.

17. Ego itaque, inquit, quando primum ex Græcia reversus jam propius accessissem, constiti, a meque ipso rationem poposci mei huc adventus, Homerica illa videlicet mecum ipse dictitans :

Cur autem, infelix, deserto lumine Phœbi

(Græciæ nempe et felicitate illa atque libertate)

venisti, ut videas

τὸν ἐνταῦθα θόρυβον, συκοφάντας καὶ προσαγορεύσεις ὑπερηφάνους καὶ δεῖπνα καὶ κόλακας καὶ μιαιφονίας καὶ διαθηκῶν προσδοκίας καὶ φιλίας ἐπιπλάστους; ἢ τί καὶ πράξειν διέγνωκας μήτ' ἀπαλλάττεσθαι μήτε χρῆσθαι τοῖς καθεστῶσι δυνάμενος;

18. Οὕτω δὴ βουλευσάμενος καὶ καθάπερ ὁ Ζεὺς τὸν Ἕκτορα ὑπεξαγαγὼν ἐμαυτὸν ἐκ βελέων, φησὶν,

ἐκ τ' ἀνδροκτασίης ἕκ θ' αἵματος ἐκ τε κυδοιμοῦ,

τὸ λοιπὸν οἰκουρεῖν εἱλόμην καὶ βίον τινὰ τοῦτον γυναικώδη καὶ ἄτολμον τοῖς πολλοῖς δοκοῦντα προτιθέμενος αὐτῇ φιλοσοφίᾳ καὶ Πλάτωνι καὶ ἀληθείᾳ προσλαλῶ, καὶ καθίσας ἐμαυτὸν ὥσπερ ἐν θεάτρῳ μυριάνδρῳ σφόδρα που μετέωρος ἐπισκοπῶ τὰ γιγνόμενα, τοῦτο μὲν πολλὴν ψυχαγωγίαν καὶ γέλωτα παρέχειν δυνάμενα, τοῦτο δὲ καὶ πεῖραν ἀνδρὸς ὡς ἀληθῶς βεβαίου λαβεῖν.

19. Εἰ γὰρ χρὴ καὶ κακῶν ἔπαινον εἰπεῖν, μὴ ὑπολάβῃς μεῖζόν τι γυμνάσιον ἀρετῆς ἢ τῆς ψυχῆς δοκιμασίαν ἀληθεστέραν τῆσδε τῆς πόλεως καὶ τῆς ἐνταῦθα διατριβῆς· οὐ γὰρ μικρὸν ἀντισχεῖν τοσαύταις μὲν ἐπιθυμίαις, τοσούτοις δὲ θεάμασί τε καὶ ἀκούσμασι πάντοθεν ἕλκουσι καὶ ἀντιλαμβανομένοις, ἀλλ' ἀτεχνῶς δεῖ τὸν Ὀδυσσέα μιμησάμενον παραπλεῖν αὐτὰ μὴ δεδεμένον τὼ χεῖρε, δεινὸν γάρ, μηδὲ τὰ ὦτα κηρῷ φραξάμενον, ἀλλ' ἀκούοντα καὶ λελυμένον καὶ ἀληθῶς ὑπερήφανον.

20. Ἔνεστι δὲ καὶ φιλοσοφίαν θαυμάσαι παραθεωροῦντα τὴν τοσαύτην ἄνοιαν, καὶ τῶν τῆς τύχης ἀγαθῶν καταφρονεῖν ἐρῶντα ὥσπερ ἐν σκηνῇ καὶ πολυπροσώπῳ δράματι τὸν μὲν ἐξ οἰκέτου δεσπότην προϊόντα, τὸν δ' ἀντὶ πλουσίου πένητα, τὸν δὲ σατράπην ἐκ πένητος ἢ βασιλέα, τὸν δὲ φίλον τούτου, τὸν δὲ ἐχθρὸν, τὸν δὲ φυγάδα· τοῦτο γάρ τοι καὶ τὸ δεινότατόν ἐστιν, ὅτι καίτοι μαρτυρομένης τῆς Τύχης παίζειν τὰ τῶν ἀνθρώπων πράγματα καὶ ὁμολογούσης μηδὲν αὐτῶν εἶναι βέβαιον, ὅμως ταῦθ' ὁσημέραι βλέποντες ὀρέγονται καὶ πλούτου καὶ δυναστείας καὶ μεστοὶ περιίασι πάντες οὐ γιγνομένων ἐλπίδων.

21. Ὃ δὲ δὴ ἔφην, ὅτι καὶ γελᾶν ἐν τοῖς γιγνομένοις ἔνεστι καὶ ψυχαγωγεῖσθαι, τοῦτο ἤδη σοι φράσω. Πῶς γὰρ οὐ γελοῖοι μὲν πλουτοῦντες αὐτοὶ καὶ τὰς πορφυρίδας προφαίνοντες καὶ τοὺς δακτύλους προτείνοντες καὶ πολλὴν κατηγοροῦντες ἀπειροκαλίαν; τὸ δὲ καινότατον, τοὺς ἐντυγχάνοντας ἀλλοτρίᾳ φωνῇ προσαγορεύοντες, ἀγαπᾶν ἀξιοῦντες, ὅτι μόνον αὐτοὺς προσέβλεψαν; οἱ δὲ σεμνότεροι καὶ προσκυνεῖσθαι περιμένοντες, οὐ πόρρωθεν οὐδ' ὡς Πέρσαις νόμος, ἀλλὰ δεῖ προσελθόντα καὶ ὑποκύψαντα καὶ τὴν ψυχὴν ταπεινώσαντα καὶ τὸ πάθος αὐτῆς ἐμφανίσαντα τῇ τοῦ σώματος ὁμοιότητι τὸ στῆθος ἢ τὴν δεξιὰν καταφιλεῖν, ζηλωτὸν καὶ περίβλεπτον τοῖς μηδὲ τούτου τυγχάνουσιν· ὁ δ' ἕστηκε παρέχων ἑαυτὸν εἰς πλείω χρόνον ἐξαπατώμενον. Ἐπαινῶ δέ γε ταύτης αὐτοὺς τῆς ἀπανθρωπίας, ὅτι μηδὲ τοῖς στόμασιν ἡμᾶς προσίενται.

loci hujus tumultum, sycophantas, salutationes superbas, epulas, adulatores, cædes, testamentorum exspectationes, et amicitias simulatas? aut quid tandem facere decrevisti, quum neque discedere hinc, neque institutis hisce uti possis?

18. Quum ita mecum consultassem, et quemadmodum Jupiter Hectorem, ita me ipsum e telis, ut ait ille, subducens,

eque hominum cæde, atque tumultibus, eque cruore,

de cetero domi me continere statui, et vitam hanc muliebrem et timidam plerisque visam anteponens, cum ipsa philosophia et Platone et veritate colloquor : ac me ipsum quasi in frequentissimo theatro collocans, ex sublimi admodum contemplor ea quæ geruntur; quæ partim ejusmodi sunt, ut multum delectationis ac risus exhibere possint; partim talia, in quibus vir vere constans periculum de se ipso faciat.

19. Nam si malorum quoque encomium aliquod dicere convenit, ne credas majorem ullam virtutis palæstram esse, aut veriora usquam animorum experimenta fieri, quam in hac urbe et in ea, qua hic vivitur, consuetudine. Neque enim parum est resistere tot cupiditatibus, tot spectaculis atque aurium illecebris undique attrahentibus ac detinentibus : sed oportet omnino Ulyssis exemplo præternavigare illa, non quidem ligatis manibus, ut ille (nam hoc formidolosum foret), neque etiam auribus cera obturatis, sed audientem et solutum, et vere animum supra hæc elatum habentem.

20. Licet autem et philosophiam mirari, conferendo cum illa tantam hominum amentiam; bonaque ista fortunæ contemnere, ubi aspexeris, velut in scena ac multiplicium personarum fabula, alium quidem ex servo dominum prodire, alium autem ex divite pauperem; contra alium ex paupere satrapam, aut regem; rursus alium amicum hujus, alium *inimicum*, alium *etiam exulem* esse. Nam hoc certe vel gravissimum est, quod licet Fortuna ipsa testetur sese in humanis rebus ludere, fateaturque nihil illarum certum ac stabile esse, nihilo minus tamen qui quotidie ista aspiciunt, et divitias expetunt et potentiam, ac pleni obambulant omnes earum rerum spe, quæ non contingunt.

21. Quod autem dixi, licere in iis, quæ geruntur, etiam ridere animumque oblectare, illud tibi jam exponam. Quomodo enim non ridiculi sint divites ipsi, qui et purpuram suam spectandam exhibent, et digitorum annulos ostentant, et multas produnt ineptias? Quod autem omnium absurdissimum est, etiam obvios aliena voce salutant, et hoc quasi magno aliquo contentos esse volunt, si solum ipsos aspexerint. Quidam vero fastuosiores adorari etiam se patiuntur, non e longinquo, neque ut Persis mos est, sed necesse est propius accedentem, et sese incurvantem, animo diu jam ante demisso, illiusque affectu etiam per corporis similitudinem declarato, pectus aut dextram deosculari; quod beatum atque spectabile videtur iis, qui ne hunc quidem honorem assequuntur : ille vero diu stat se ipsum præbens decipiendum. Illorum autem laudo inhumanitatem, quod ad ora osculanda nos non admittant.

22. Πολὺ δὲ τούτων οἱ προσιόντες αὐτοὶ καὶ θεραπεύοντες γελοιότεροι, νυκτὸς μὲν ἐξανιστάμενοι μέσης, περιθέοντες δὲ ἐν κύκλῳ τὴν πόλιν καὶ πρὸς τῶν οἰκετῶν ἀποκλειόμενοι, κύνες καὶ κόλακες καὶ τὰ τοιαῦτα ἀκούειν ὑπομένοντες. Γέρας δὲ τῆς πικρᾶς ταύτης αὐτοῖς περιόδου τὸ φορτικὸν ἐκεῖνο δεῖπνον καὶ πολλῶν αἴτιον συμφορῶν, ἐν ᾧ πόσα μὲν ἐμφαγόντες, πόσα δὲ παρὰ γνώμην ἐμπιόντες, πόσα δὲ ὧν οὐκ ἐχρῆν ἀπολαλήσαντες ἢ μεμφόμενοι τὸ τελευταῖον ἢ δυσφοροῦντες ἀπίασιν ἢ διαβάλλοντες τὸ δεῖπνον ἢ ὕβριν καὶ μικρολογίαν ἐγκαλοῦντες. Πλήρεις δὲ αὐτῶν ἐμούντων οἱ στενωποὶ καὶ πρὸς τοῖς χαμαιτυπείοις μαχομένων· καὶ μεθ' ἡμέραν οἱ πλείονες αὐτῶν κατακλιθέντες ἰατροῖς παρέχουσιν ἀφορμὰς περιόδων· ἔνιοι μὲν γὰρ, τὸ καινότατον, οὐδὲ νοσεῖν σχολάζουσιν.

23. Ἐγὼ μέντοι γε πολὺ τῶν κολακευομένων ἐξωλεστέρους τοὺς κόλακας ὑπείληφα, καὶ σχεδὸν αὐτοὺς ἐκείνοις καθίστασθαι τῆς ὑπερηφανίας αἰτίους· ὅταν γὰρ αὐτῶν τὴν περιουσίαν θαυμάσωσι καὶ τὸν χρυσὸν ἐπαινέσωσι καὶ τοὺς πυλῶνας ἔωθεν ἐμπλήσωσι καὶ προσελθόντες ὥσπερ δεσπότας προσείπωσι, τί καὶ φρονήσειν ἐκείνους εἰκός ἐστιν; Εἰ δέ γε κοινῷ δόγματι κἂν πρὸς ὀλίγον ἀπέσχοντο τῆσδε τῆς ἐθελοδουλείας, οὐκ ἂν οἶει τοὐναντίον αὐτοὺς ἐλθεῖν ἐπὶ τὰς θύρας τῶν πτωχῶν δεομένους τοὺς πλουσίους, μὴ ἀθέατον αὐτῶν μηδ' ἀμάρτυρον τὴν εὐδαιμονίαν καταλιπεῖν μηδ' ἀνόνητόν τε καὶ ἄχρηστον τῶν τραπεζῶν τὸ κάλλος καὶ τῶν οἴκων τὸ μέγεθος; οὐ γὰρ οὕτω τοῦ πλουτεῖν ἐρῶσιν ὡς τοῦ διὰ τὸ πλουτεῖν εὐδαιμονίζεσθαι. Καὶ οὕτω δὴ ἔχει, μηδὲν ὄφελος εἶναι περικαλλοῦς οἰκίας τῷ οἰκοῦντι μηδὲ χρυσοῦ καὶ ἐλέφαντος, εἰ μή τις αὐτὰ θαυμάζοι. Ἐχρῆν οὖν ταύτῃ καθαιρεῖν αὐτῶν καὶ ἐπευωνίζειν τὴν δυναστείαν ἐπιτειχίσαντας τῷ πλούτῳ τὴν ὑπεροψίαν· νῦν δὲ λατρεύοντες εἰς ἀπόνοιαν ἄγουσι.

24. Καὶ τὸ μὲν ἄνδρας ἰδιώτας καὶ ἀναφανδὸν τὴν ἀπαιδευσίαν ὁμολογοῦντας τὰ τοιαῦτα ποιεῖν, μετριώτερον ἂν εἰκότως νομισθείη· τὸ δὲ καὶ τῶν τινας φιλοσοφεῖν προσποιουμένων πολλῷ ἔτι τούτων γελοιότερα ὁρᾶν, τοῦτ' ἤδη τὸ δεινότατόν ἐστι. Πῶς γὰρ οἶει τὴν ψυχὴν διατεθεῖσθαί μοι, ὅταν ἴδω τούτων τινὰ, μάλιστα τῶν προβεβηκότων, ἀναμεμιγμένον κολάκων ὄχλῳ καὶ τῶν ἐπ' ἀξίας τινὰ δορυφοροῦντα καὶ τοῖς ἐπὶ τὰ δεῖπνα παραγγέλλουσι κοινολογούμενον, ἐπισημότερον δὲ τῶν ἄλλων ἀπὸ τοῦ σχήματος ὄντα καὶ φανερώτερον; καὶ ὃ μάλιστα ἀγανακτῶ, ὅτι μὴ καὶ τὴν σκευὴν μεταλαμβάνουσι, τὰ ἄλλα γε ὁμοίως ὑποκρινόμενοι τοῦ δράματος.

25. Ὰ μὲν γὰρ ἐν τοῖς συμποσίοις ἐργάζονται, τίνι τῶν καλῶν εἰκάσομεν; οὐκ ἐμφοροῦνται μὲν ἀπειροκαλώτερον, μεθύσκονται δὲ φανερώτερον, ἐξανίστανται δὲ πάντων ὕστατοι, πλείω δὲ ἀποφέρειν τῶν ἄλλων ἀξιοῦσιν; οἱ δὲ ἀστειότεροι πολλάκις αὐτῶν καὶ ᾄσαι προήχθησαν. Καὶ ταῦτα μὲν οὖν γελοῖα ἡγεῖτο· μάλιστα δὲ ἐμέμνητο τῶν ἐπὶ μισθῷ φιλοσοφούντων καὶ

22. Ceterum his multo ridiculi magis sunt, qui eos sectantur atque observant, de media nocte surgentes, et totam urbem circumcursitantes, et a servis foribus exclusi, canes, et adulatores, et id genus alia audire sustinentes. Præmium vero acerbæ illius circuitionis, onerosa illa, atque multorum malorum causa, cœna est: in qua illi, quam multis comesis epotisque præter animi sententiam, quam multa non dicenda prolocuti! postremo reprehendentes, aut ægre ferentes discedunt: et vel ipsam criminantur cœnam, vel contumeliam et sordes accusant! Pleni autem et angiportus sunt vomentibus istis, et circa vilissima quæque prostibula depugnantibus. Et plerique eorum in multum diem decumbentes, circumeundi causam medicis præbent: quibusdam enim, novo sane exemplo, ægrotandi adeo otium non est.

23. Ego vero adulatores longe iis, quibus adulantur, nequiores existimo, et propemodum auctores illis exsistere superbiæ ac fastus istius. Nam quum illorum opulentiam admirantur, aurum laudibus extollunt, vestibula mane complent, et adeuntes ipsos quasi dominos appellant, quid quæso illos cogitare consentaneum est? Quodsi vero communi decreto vel tantisper abstinerent ab hac voluntaria servitute, an non putas vice versa ipsos divites ad fores pauperum venturos esse, ultro rogantes, ne ignobilem et absque teste latentem suam felicitatem relinquerent, neve inutilem et ab omni usu remotam mensarum pulchritudinem et domorum magnitudinem esse paterentur? Neque enim tantopere divitias amant, quam propter divitias beatos atque felices sese existimari. Atque ita sane res habet, ut neque pulchrarum ædium, neque auri, neque eboris ulla domino sit utilitas, nisi sit qui illa admiretur. Oportebat igitur tali aliqua via diruere ipsorum et vilem reddere potentiam, contemtum hunc quasi munimentum divitiis opponendo: nunc vero colendo ad amentiam perducunt.

24. Ac certe homines indoctos et ignorantiam aperte confitentes talia factitare, tolerabilius merito existimetur: verum aliquos quoque, qui se philosophari simulant, multo etiam ineptiora his, magisque ridicula facere, illud tandem omnium maxime dolendum est. Quomodo enim me putas animo affectum esse, quoties video istorum aliquem, maxime eorum qui ætate provecti sunt, adulatorum turbis immixtum; et illorum aliquem, qui honores gerunt, satellitum modo sectantem; et cum iis, qui ad cœnam vocant, sermones conferentem: ceteris insigniorem et magis conspicuum ob habitum? et quod vel maxime indignari soleo, quando non itidem habitum mutant, quum utique, quod ad cetera attinet, easdem partes agant.

25. Nam quæ in conviviis designantur, cui quæso honestæ rei comparabimus? an non magis rustice replentur cibo, an non inebriantur magis, quam alii, manifeste? a convivio autem surgunt omnium ultimi; deinde et plura aliis auferre secum volunt: si qui vero ipsorum urbaniores paulo sunt, sæpenumero etiam cantare non erubescunt. Atque hæc quidem ille ridicula censebat. Præcipue vero eorum mentionem faciebat, qui pacta mercede philosophan-

τὴν ἀρετὴν ὤνιον ὥσπερ ἐξ ἀγορᾶς προτιθέντων· ἐργαστήρια γοῦν ἐκάλει καὶ καπηλεῖα τὰς τούτων διατριβάς· ἠξίου γὰρ τὸν πλούτου καταφρονεῖν διδάξοντα πρῶτον αὐτὸν παρέχειν ὑψηλότερον λημμάτων.

26. Ἀμέλει καὶ πράττων ταῦτα διετέλει, οὐ μόνον προῖκα τοῖς ἀξιοῦσι συνδιατρίβων, ἀλλὰ καὶ τοῖς δεομένοις ἐπαρκῶν καὶ πάσης περιουσίας καταφρονῶν, τοσούτου δέων ὀρέγεσθαι τῶν οὐδὲν προσηκόντων, ὥστε μηδὲ τῶν ἑαυτοῦ φθειρομένων ποιεῖσθαι πρόνοιαν, ὅς γε καὶ ἀγρὸν οὐ πόρρω τῆς πόλεως κεκτημένος οὐδὲ ἐπιβῆναι αὐτοῦ πολλῶν ἐτῶν ἠξίωσεν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν αὐτοῦ εἶναι διωμολόγει, ταῦτ' οἶμαι διειληφὼς, ὅτι τούτων μὲν φύσει οὐδενός ἐσμεν κύριοι, νόμῳ δὲ καὶ διαδοχῇ τὴν χρῆσιν αὐτῶν εἰς ἀόριστον παραλαμβάνοντες ὀλιγοχρόνιοι δεσπόται νομιζόμεθα, κἀπειδὰν ἡ προθεσμία παρέλθῃ, τηνικαῦτα παραλαβὼν ἄλλος ἀπολαύει τοῦ ὀνόματος. Οὐ μικρὰ δὲ οὐδὲ ἐκεῖνα παρέχει τοῖς ζηλοῦν ἐθέλουσι παραδείγματα, τῆς τροφῆς τὸ ἀπέριττον καὶ τῶν γυμνασίων τὸ σύμμετρον καὶ τοῦ προσώπου τὸ αἰδέσιμον καὶ τῆς ἐσθῆτος τὸ μέτριον, ἐφ' ἅπασι δὲ τούτοις τῆς διανοίας τὸ ἡρμοσμένον καὶ τὸ ἥμερον τοῦ τρόπου.

27. Παρῄνει δὲ τοῖς συνοῦσι μηδ' ἀναβάλλεσθαι τὸ ἀγαθὸν, ὅπερ τοὺς πολλοὺς ποιεῖν προθεσμίας ὁριζομένους ἑορτὰς ἢ πανηγύρεις, ὡς ἀπ' ἐκείνων ἀρξομένους τοῦ μὴ ψεύσασθαι καὶ τοῦ τὰ δέοντα ποιῆσαι· ἠξίου γὰρ ἀμέλλητον εἶναι τὴν πρὸς τὸ καλὸν ὁρμήν. Δῆλος δὲ ἦν καὶ τῶν τοιούτων κατεγνωκὼς φιλοσόφων, οἳ ταύτην ἄσκησιν ἀρετῆς ὑπελάμβανον, ἣν πολλαῖς ἀνάγκαις καὶ πόνοις τοὺς νέους ἀντέχειν καταγυμνάσωσι, τοῦτο μὲν δεῖν οἱ πολλοὶ κελεύοντες, ἄλλοι δὲ μαστιγοῦντες, οἱ δὲ χαριέστεροι καὶ σιδήρῳ τὰς ἐπιφανείας αὐτῶν καταξύοντες.

28. Ἡγεῖτο γὰρ χρῆναι πολὺ πρότερον ἐν ταῖς ψυχαῖς τὸ στερρὸν τοῦτο καὶ ἀπαθὲς κατασκευάσαι, καὶ τὸν ἄριστα παιδεύειν ἀνθρώπους προαιρούμενον τοῦτο μὲν ψυχῆς, τοῦτο δὲ σώματος, τοῦτο δὲ ἡλικίας τε καὶ τῆς πρότερον ἀγωγῆς ἐστοχάσθαι, ἵνα μὴ τὰ παρὰ δύναμιν ἐπιτάττων ἐλέγχηται· πολλοὺς γοῦν καὶ τελευτᾶν ἔφασκεν οὕτως ἀλόγως ἐπιταθέντας· ἕνα δὲ καὶ αὐτὸς εἶδον, ὃς καὶ γευσάμενος τῶν παρ' ἐκείνοις κακῶν, ἐπειδὴ τάχιστα λόγων ἀληθῶν ἐπήκουσεν, ἀμεταστρεπτὶ φεύγων ὡς αὐτὸν ἀφίκετο καὶ δῆλος ἦν ῥᾷον διακείμενος.

29. Ἤδη δὲ τούτων ἀποστὰς τῶν ἄλλων αὖθις ἀνθρώπων ἐμέμνητο καὶ τὰς ἐν τῇ πόλει ταραχὰς διεξῄει καὶ τὸν ὠθισμὸν αὐτῶν καὶ τὰ θέατρα καὶ τὸν ἱππόδρομον καὶ τὰς τῶν ἡνιόχων εἰκόνας καὶ τὰ τῶν ἵππων ὀνόματα καὶ τοὺς ἐν τοῖς στενωποῖς περὶ τούτων διαλόγους· πολλὴ γὰρ ὡς ἀληθῶς ἡ ἱππομανία καὶ πολλῶν ἤδη σπουδαίων εἶναι δοκούντων ἐπείληπται.

30. Μετὰ δὲ ταῦτα ἑτέρου δράματος ἥπτετο τῶν ἀμφὶ τὴν νεκυίαν τε καὶ διαθήκας καλινδουμένων, προστιθεὶς ὅτι μίαν φωνὴν οἱ Ῥωμαίων παῖδες ἀληθῆ

tur, virtutemque ipsam venalem tanquam de foro proponunt. Hinc et officinas cauponasque illorum scholas vocabat. Censebat enim eum, qui divitias contemnere alios docere vellet, primum se ipsum quæstu superiorem gerere debere.

26. Quod et præstabat ipse, non solum gratis conversando ac disserendo cum volentibus, sed et indigentibus necessaria subministrando, omnemque omnino opulentiam contemnendo. Ac tantum aberat ut aliena expeteret, ut ne suarum quidem rerum, quæ corrumpebantur, curam gereret; ut qui agrum, quem non procul ab urbe situm habebat, jam tot annis ne invisere quidem dignatus fuerit: immo ne suum quidem prorsus esse affirmabat; illud, opinor, reputans, quod natura istarum rerum nullius domini sumus, lege autem et per successionem usum earum in tempus incertum accipientes, temporarii possessores habemur: quo exacto tempore, alius easdem a nobis accipiens, nomine eodem fruitur. Idem non parva præbet imitari volentibus exempla, victus scilicet frugalitatem, exercitiorum justum modum, vultus modestiam, et vestitus mediocritatem, et super omnia hæc compositam mentem morumque mansuetudinem.

27. Monebat secum versantes, ne bene agendi tempus prorogarent, ut multis solemne est, certum sibi tempus præfinientibus, aut festos dies, aut solemnes conventus, quibus auspicentur non mentiri et recte agere. Moræ enim expertem esse illum ad honesta impetum debere volebat. Ostendebat etiam se philosophos illos damnare, qui ad virtutem formare se adolescentes putant, si multis tormentorum necessitatibus atque laboribus sustinendis exerceant; vincire plerique jubentes, alii flagris cædentes, et si qui elegantiores, etiam ferro cutim perradentes.

28. Putabat enim ille multo prius in animis duritiem istam et firmitatem contra dolores ac perturbationes parandam esse; eumque, qui homines optime instituere velit, partim animi, partim corporis, partim etiam ætatis et prioris educationis rationem habere debere, ne, ea quæ vires excederent imponendo, reprehensionem incurrat. Multos certe et mortuos ex eo esse dicebat, dum præter rationem ita supra vires intenderentur. Unum autem etiam ipse vidi, qui quum jam ea apud illos mala degustasset, audita statim vera doctrina, irrevocabili cursu aufugiens inde, ad ipsum venit, quem mox ab eo refectum cernere erat.

29. Jam vero ab istis ad alios digressus, urbis tumultus, et turbæ conflictus persecutus est, et theatra, et circum, et aurigarum statuas, et equorum nomina, deque iis ipsis in angiportis colloquia: frequentissimum enim revera equorum insanum studium, quod jam et multos summæ existimationis viros invasit.

30. Post hæc quasi alteram fabulam orsus est, notando ea quæ circa funera et testamenta agitantur, hoc addens, unam hanc vocem Romanos per omnem ætatem veram

παρ' ὅλον τὸν βίον προίενται, τὴν ἐν ταῖς διαθήκαις λέγων, ἵνα μὴ ἀπολαύσωσι τῆς σφετέρας ἀληθείας. Ἃ δὲ καὶ μεταξὺ λέγοντος αὐτοῦ γελᾶν προήχθην, ὅτι καὶ συγκατορύττειν ἑαυτοῖς ἀξιοῦσι τὰς ἀμαθίας καὶ τὴν ἀναλγησίαν ἔγγραφον ὁμολογοῦσιν, οἱ μὲν ἐσθῆτας ἑαυτοῖς κελεύοντες συγκαταφλέγεσθαι, οἱ δ' ἄλλο τι τῶν παρὰ τὸν βίον τιμίων, οἱ δὲ καὶ παραμένειν τινὰς οἰκέτας τοῖς τάφοις, ἔνιοι δὲ καὶ στέφειν τὰς στήλας ἄνθεσιν, εὐήθεις ἔτι καὶ παρὰ τὴν τελευτὴν διαμένοντες.

31. Εἰκάζειν οὖν ἠξίου τί πέπρακται τούτοις παρὰ τὸν βίον, εἰ τοιαῦτα περὶ τῶν μετὰ τὸν βίον ἐπισκήπτουσι· τούτους γὰρ εἶναι τοὺς τὸ πολυτελὲς ὄψον ὠνουμένους καὶ τὸν οἶνον ἐν τοῖς συμποσίοις μετὰ κρόκων τε καὶ ἀρωμάτων ἐκχέοντας, τοὺς μέσου χειμῶνος ἐμπιπλαμένους ῥόδων καὶ τὸ σπάνιον αὐτῶν καὶ παρὰ καιρὸν ἀγαπῶντας, τὸ δ' ἐν καιρῷ καὶ κατὰ φύσιν ὡς εὐτελὲς ὑπερηφανοῦντας· τούτους εἶναι τοὺς καὶ τὰ μύρα πίνοντας, ὃ καὶ μάλιστα διέσυρεν αὐτῶν, ὅτι μηδὲ χρῆσθαι ἴσασι ταῖς ἐπιθυμίαις, ἀλλὰ κἀν ταύταις παρανομοῦσι καὶ τοὺς ὅρους συγχέουσι πάντοθεν τῇ τρυφῇ παραδόντες αὑτῶν τὰς ψυχὰς πατεῖν, καὶ τοῦτο δὴ τὸ ἐν ταῖς τραγῳδίαις τε καὶ κωμῳδίαις λεγόμενον, ἤδη καὶ παρὰ θύραν εἰσβιαζόμενοι. Σολοικισμὸν οὖν ἐκάλει τὸ τοιοῦτον τῶν ἡδονῶν.

32. Ἀπὸ δὲ τῆς αὐτῆς γνώμης κἀκεῖνο ἔλεγεν ἀτεχνῶς τοῦ Μώμου τὸν λόγον μιμησάμενος· ὡς γὰρ ἐκεῖνος ἐμέμφετο τοῦ ταύρου τὸν δημιουργὸν θεὸν οὐ προθέντα τῶν ὀφθαλμῶν τὰ κέρατα, οὕτω δὴ καὶ αὐτὸς ᾐτιᾶτο τῶν στεφανουμένων, ὅτι μὴ ἴσασι τοῦ στεφάνου τὸν τόπον· εἰ γάρ τοι, ἔφη, τῇ πνοῇ τῶν ἴων τε καὶ ῥόδων χαίρουσιν, ὑπὸ τῇ ῥινὶ μάλιστα ἐχρῆν αὐτοὺς στέφεσθαι παρ' αὐτὴν ὡς οἷόν τε τὴν ἀναπνοήν, ἵν' ὡς πλεῖστον ἀνέσπων τῆς ἡδονῆς.

33. Καὶ μὴν κἀκείνους διεγέλα τοὺς θαυμάσιόν τινα τὴν σπουδὴν περὶ τὰ δεῖπνα ποιουμένους χυμῶν τε ποικιλίαις καὶ πεμμάτων περιεργίαις· καὶ γὰρ αὖ καὶ τούτους ἔφασκεν ὀλιγοχρονίου τε καὶ βραχείας ἡδονῆς ἕρωτι πολλὰς πραγματείας ὑπομένειν· ἀπέφαινε γοῦν τεσσάρων δακτύλων αὐτοῖς ἕνεκα πάντα πονεῖσθαι τὸν πόνον, ἐφ' ὅσους ὁ μήκιστος ἀνθρώπου λαιμός ἐστιν· οὔτε γὰρ πρὶν ἐμφαγεῖν, ἀπολαύειν τι τῶν ἐωνημένων, οὔτε βρωθέντων ἡδίω γενέσθαι τὴν ἀπὸ τῶν πολυτελεστέρων πλησμονήν· λοιπὸν οὖν εἶναι τὴν ἐν τῇ παρόδῳ γιγνομένην ἡδονὴν τοσούτων ὠνεῖσθαι χρημάτων. Εἰκότα δὲ πάσχειν ἔλεγεν αὐτοὺς ὑπ' ἀπαιδευσίας τὰς ἀληθεστέρας ἡδονὰς ἀγνοοῦντας, ὧν ἁπασῶν φιλοσοφία χορηγός ἐστι τοῖς πονεῖν προαιρουμένοις.

34. Περὶ δὲ τῶν ἐν τοῖς βαλανείοις δρωμένων πολλὰ μὲν διεξῄει, τὸ πλῆθος τῶν ἑπομένων, τὰς ὕβρεις, τοὺς ἐπικειμένους τοῖς οἰκέταις καὶ μικροῦ δεῖν ἐκφερομένους. Ἓν δέ τι καὶ μάλιστα μισεῖν ἐῴκει, πολὺ δ' ἐν τῇ πόλει τοῦτο καὶ τοῖς βαλανείοις ἐπιχωριάζον· προϊόν-

emittere, ea intelligens quæ in testamentis scribuntur, videlicet ne, dum in vivis sint, fruantur sua veritate. Quæ vero dum ab eo dicebantur, risum tenere non potui, hæc nimirum sunt, quod et secum sepeliri ignorantiam suam velle eos aiebat, et stoliditatem suam aperte scripto etiam testari, dum hi vestes, alii aliud quid eorum, quæ per vitam fuerant carissima, comburere eodem rogo secum mandant : alii et servos certos ad sepulcra astare, alii etiam cippos sertis coronari præcipiunt, stolidi videlicet etiam in ipsa morte manentes.

31. Conjecturam igitur inde fieri volebat, quid in vita ab illis actum sit, quando talia de ils, quæ post mortem secutura sint, testamentis mandant. Hos enim illos esse, qui cara obsonia emunt, vinumque in conviviis cum croco et odoribus effundunt; qui media hieme rosis opplentur, quas, dum raræ sunt et intempestivæ, amant; tempestivas et a natura (nullo cogente) datas tanquam viles fastidiunt. Hos illos esse, qui etiam unguenta bibunt; et, quo nomine vel maxime eos carpebat, qui ne uti quidem cupiditatibus scirent, sed et in hisce peccarent, finesque earum confunderent, animum suum voluptatibus undique conculcandum permittentes, et quod in tragœdiis atque comœdiis dicitur, alia quavis parte potius, quam per patentem januam, irruentes. Solœcismum igitur vocabat tale voluptatum genus.

32. Ceterum et hoc ex eadem sententia dicebat, prorsus Momi dictum imitatus. Ut enim ille reprehendebat tauri artificem deum, quod cornua ante oculos non posuisset : ita et ipse inscitiæ arguebat eos, qui corollas in capite gestabant. Nam si odore, inquiebat, violarum rosarumque delectantur, sub naribus potissimum eas collocari oportebat, juxta ipsum, quam proxime fieri potest, spiraculum, ubi quamplurimum attraherent voluptatis.

33. Eos quoque irridebat, qui miram quandam diligentiam in apparandis cœnis adhibent, dum condimentorum varietatem et cuppediarum bellariorumque curiosam compositionem sectantur. Nam et hos brevis ac momentaneæ voluptatis amore multa negotia sustinere aiebat. Indicabat autem, quatuor illos digitorum causa totum hunc suscipere laborem solere, quorum mensuram vix longissimum hominis guttur æquet : neque enim antequam edant, ullam ex emtis tanto pretio cibis voluptatem eos capere; nec devoratis, suaviorem, quam quæ ex ceteris vilioribus sit, repletionem reddi : restare igitur, ut illam, quæ velut in transcursu percipitur, voluptatem tam grandi pecunia mercentur. In hæc autem absurda delabi eos minime mirum esse dicebat, utpote imperitos veriorumque ignaros voluptatum quas omnes philosophia suppeditat laborare volentibus.

34. De iis autem, quæ in balneis aguntur, multa commemorabat : multitudinem prosequentium, contumelias, eos qui servis impositi gestantur ac propemodum efferuntur. Unum autem maxime ac præter cetera odisse visus est, quod in urbe frequens, et in balneis valde familiare. Præeuntes

τας γάρ τινας τῶν οἰκετῶν δεῖ βοᾶν καὶ παραγγέλλειν προορᾶσθαι τοῖν ποδοῖν, ἢν ὑψηλόν τι ἢ κοῖλον μέλλωσιν ὑπερβαίνειν, καὶ ὑπομιμνήσκειν αὐτοὺς, τὸ καινότατον, ὅτι βαδίζουσι. Δεινὸν οὖν ἐποιεῖτο, εἰ στόματος μὲν ἀλλοτρίου δειπνοῦντες μὴ δέονται μηδὲ χειρῶν, μηδὲ τῶν ὤτων ἀκούοντες, ὀφθαλμῶν δὲ ὑγιαίνοντες ἀλλοτρίων δέονται προορωμένων καὶ ἀνέχονται φωνὰς ἀκούοντες δυστυχέσιν ἀνθρώποις πρεπούσας καὶ πεπηρωμένοις· ταῦτα γὰρ αὐτὰ πάσχουσιν ἐν ταῖς ἀγοραῖς ἡμέρας μέσης καὶ οἱ τὰς πόλεις ἐπιτετραμμένοι.

35. Ταῦτά τε καὶ πολλὰ ἕτερα τοιαῦτα διελθὼν κατέπαυσε τὸν λόγον. Ἐγὼ δὲ τέως μὲν ἤκουον αὐτοῦ τεθηπὼς μὴ σιωπήσῃ καὶ πεφοβημένος· ἐπειδὴ δὲ ἐπαύσατο, τοῦτο δὴ τὸ τῶν Φαιάκων πάθος ἐπεπόνθειν· πολὺν γὰρ δὴ χρόνον ἐς αὐτὸν ἀπέβλεπον κεκηλημένος· εἶτα πολλῇ συγχύσει καὶ ἰλίγγῳ κατειλημμένος τοῦτο μὲν ἰδρῶτι κατερρεόμην, τοῦτο δὲ φθέγξασθαι βουλόμενος ἐξέπιπτόν τε καὶ ἀνεκοπτόμην, καὶ ἥ τε φωνὴ ἐξέλειπε καὶ ἡ γλῶττα διημάρτανε, καὶ τέλος ἐδάκρυον ἀπορούμενος· οὐ γὰρ ἐξ ἐπιπολῆς οὐδ' ὡς ἔτυχεν ἡμῶν ὁ λόγος καθίκετο, βαθεῖα δὲ καὶ καίριος ἡ πληγὴ ἐγένετο, καὶ μάλα εὐστόχως ἐνεχθεὶς ὁ λόγος αὐτὴν, εἰ οἷόν τε εἰπεῖν, διέκοψε τὴν ψυχήν· εἰ γάρ τι δεῖ καὶμὲ ἤδη φιλοσόφων προσάψασθαι λόγων, ὧδε περὶ τούτων ὑπείληφα.

36. Δοκεῖ μοι ἀνδρὸς εὐφυοῦς ψυχὴ μάλα σκοπῷ τινι ἁπαλῷ προσεοικέναι. Τοξόται δὲ πολλοὶ μὲν ἀνὰ τὸν βίον καὶ μεστοὶ τὰς φαρέτρας ποικίλων τε καὶ παντοδαπῶν λόγων, οὐ μὴν πάντες εὐστοχα τοξεύουσιν, ἀλλ' οἱ μὲν αὐτῶν σφόδρα τὰς νευρὰς ἐπιτείναντες εὐτονώτερον τοῦ δέοντος ἀφιᾶσι· καὶ ἅπτονται μὲν καὶ οὗτοι τῆς ὁδοῦ, τὰ δὲ βέλη αὐτῶν οὐ μένει ἐν τῷ σκοπῷ, ἀλλ' ὑπὸ τῆς σφοδρότητος διελθόντα καὶ παροδεύσαντα κεχηνυῖαν μόνον τῷ τραύματι τὴν ψυχὴν ἀπέλειπεν. Ἄλλοι δὲ πάλιν τούτοις ὑπεναντίως· ὑπὸ γὰρ ἀσθενείας τε καὶ ἀτονίας οὐδὲ ἐφικνεῖται τὰ βέλη αὐτοῖς ἄχρι πρὸς τὸν σκοπὸν, ἀλλ' ἐκλυθέντα καταπίπτει πολλάκις ἐκ μέσης τῆς ὁδοῦ· ἢν δέ ποτε καὶ ἐφίκηται, ἄκρον μὲν ἐπιλίγδην ἅπτεται, βαθεῖαν δὲ οὐκ ἐργάζεται πληγήν· οὐ γὰρ ἀπ' ἰσχυρᾶς ἐντολῆς ἀπεστέλλετο.

37. Ὅστις δὲ ἀγαθὸς τοξότης καὶ Τεύκρῳ ὅμοιος, πρῶτον μὲν ἀκριβῶς ὄψεται τὸν σκοπὸν, εἰ μὴ σφόδρα μαλακὸς, εἰ μὴ στερρότερος τοῦ βέλους· γίγνονται γὰρ δὴ καὶ ἄτρωτοι σκοποί. Ἐπειδὰν δὲ ταῦτα ἴδῃ, τηνικαῦτα χρίσας τὸ βέλος οὔτε ἰῷ, καθάπερ τὰ Σκυθῶν χρίεται, οὔτε ὀπῷ, καθάπερ τὰ Κουρήτων, ἀλλ' ἡρέμα ὀκτικῷ τε καὶ γλυκεῖ φαρμάκῳ τοῦτο χρίσας ἀτεχνῶς ἐτόξευσε· τὸ δὲ ἐνεχθὲν εὖ μάλα ἐντόνως καὶ διακόψαν ἄχρι τοῦ διελθεῖν μένει τε καὶ πολὺ τοῦ φαρμάκου ἀφίησιν, ὃ δὴ σκιδνάμενον ὅλην ἐν κύκλῳ τὴν ψυχὴν περιέρχεται. Τοῦτό τοι καὶ ἥδονται καὶ δακρύουσι μεταξὺ ἀκούοντες, ὅπερ καὶ αὐτὸς ἔπασχον, ἡσυχῇ ἄρα τοῦ φαρμάκου τὴν ψυχὴν περιθέοντος. Ἐπῄει δ' οὖν μοι πρὸς αὐτὸν τὸ ἔπος ἐκεῖνο λέγειν·

enim quosdam ex servis clamare oportet et admonere, ut ante pedes prospiciant, si quid exstantius paullo, aut cavum prætergrediendum sit, atque commonefacere eos (id quod absurdissimum est) quo scilicet sese incedere meminerint. Indignabatur itaque, si, quum ederent, alieno ore non indigerent, aut manibus; neque quum audirent, aliorum auribus uterentur: oculis autem aliorum, valentes ac sani, ad prospiciendum opus haberent, ac sustinerent voces audire, quæ miseris hominibus et excæcatis convenirent: audiunt enim has ipsas in foro, et medio die etiam ii viri, quibus demandata est urbium cura.

35. Hæc atque hujusmodi alia multa oratione persecutus, dicendi finem fecit. Ego vero interim, dum loquebatur, stupens auscultabam, metuens ne conticesceret. Ubi vero loqui desiit, illud nimirum, quod Phæacibus olim accidit, ego quoque passus sum. Diu enim defixis in eum oculis permulsus constiti; deinde multa confusione atque vertigine correptus, et sudore manabam, et loqui volentem oratio deficiebat ac retro inhibebar; ipsaque vox intercidebat, et lingua titubabat: postremo animi pendens lacrimabar. Neque enim summam duntaxat cutem perstrinxerat, aut leviter me ejus oratio tetigerat, sed altius et letale vulnus erat: scite enim admodum librata oratio ipsum, si ita dici fas est, animum trajecit. Quodsi jam decet nonnihil et me philosophicos attingere sermones, ita de hisce existimo.

36. Videtur mihi animus hominis bona indole præditi admodum similis esse scopo alicui tenero. Sagittarii autem in hac vita multi, qui plenas quidem pharetras variis atque omnis generis orationibus habent: ceterum non omnes certo jaculantur ac destinata feriunt; sed alii nervo nimium intento vehementiori quam par est impetu telum emittunt: et hi ab recta quidem via non aberrant, sagittæ autem ipsorum non manent in scopo, sed præ vehementia ictus penetrantes ac permeantes hiantem modo vulnere animum relinquunt. Aliorum contra sagittæ præ imbecillitate virium, et quod laxiore nervo emittuntur, ad scopum usque non perveniunt, sed languente impetu, sæpenumero in medio cursu deficiunt: quodsi vero interdum scopum contingant, summum illum quidem leviter perstringunt, altius autem vulnus nequaquam infligunt: neque enim valido missu conjiciebantur.

37. At qui bonus jaculator est ac Teucro illi similis, principio quidem diligenter scopum perspiciet, num valde mollis, num rursus nimis solidus et telo impenetrabilis. sunt enim scopi quidam invulnerabiles. Ubi autem hæc omnia perspecta habet, tum demum tincta sagitta, non veneno, quemadmodum Scytharum sagittæ tinguntur, neque succo, ut Curetum, sed sensim mordicante pariter et dulci pharmaco infecta, certo jam jaculatur. Telum autem, valide quantum satis est impulsum, eo usque penetrans ut inhæreat, intus manet et multum medicamenti emittit, quod videlicet dispersum, totum circumquaque animum ambit. Hinc est quod et oblectantur et lacrimas inter audiendum emittunt: quod et mihi accidit, sensim medicamento illo animum mihi pervagante. Succurrebat igitur mihi Homericum illud ipsi dicere:

Βάλλ' οὕτως, αἴ κέν τι φόως ἀνδρεσσι γένηαι.

Sic jace, si qua viris per te nova lux oriatur.

Ὥσπερ γὰρ οἱ τοῦ Φρυγίου αὐλοῦ ἀκούοντες οὐ πάντες μαίνονται, ἀλλ' ὁπόσοι αὐτῶν τῇ Ῥέᾳ λαμβάνονται, οὗτοι δὲ πρὸς τὸ μέλος ὑπομιμνήσκονται τοῦ πάθους, οὕτω καὶ οἱ φιλοσόφων ἀκούοντες οὐ πάντες ἔνθεοι καὶ τραυματίαι ἀπίασιν, ἀλλ' οἷς ὑπῆν τι ἐν τῇ φύσει φιλοσοφίας συγγενές.

Quemadmodum enim qui Phrygiam tibiam audiunt, non omnes in furorem vertuntur, sed quotquot ipsorum a Rhea corripiuntur, ii vero audito carmine, prioris affectus reminiscuntur : ita et qui philosophos audiunt, non omnes a deo *inspirati* ac saucii abeunt ; sed *illi solum*, *quorum ingenio* quiddam philosophiæ cognatum subest.

38. ΕΤΑΙ. Ὡς σεμνὰ καὶ θαυμάσια καὶ θεῖά γε, ὦ ἑταῖρε, διελήλυθας, ἐλελήθεις τέ με πολλῆς ὡς ἀληθῶς τῆς ἀμβροσίας καὶ τοῦ λωτοῦ κεκορεσμένος· ὥστε καὶ μεταξὺ σοῦ λέγοντος ἔπασχόν τι ἐν τῇ ψυχῇ, καὶ παυσαμένου ἄχθομαι καὶ ἵνα δὴ καὶ κατὰ σὲ εἴπω, τέτρωμαι· καὶ μὴ θαυμάσῃς· οἶσθα γὰρ ὅτι καὶ οἱ πρὸς τῶν κυνῶν τῶν λυττώντων δηχθέντες οὐκ αὐτοὶ μόνοι λυττῶσιν, ἀλλὰ κἂν τινας ἑτέρους καὶ αὐτοὶ ἐν τῇ μανίᾳ τὸ αὐτὸ τοῦτο διαθῶσι, καὶ οὗτοι ἔκφρονες γίγνονται· συμμεταβαίνει γάρ τι τοῦ πάθους ἅμα τῷ δήγματι καὶ πολυγονεῖται ἡ νόσος καὶ πολλὴ γίγνεται τῆς μανίας διαδοχή.

38. AM. Quam gravia et admiratione digna et divina, o amice, commemorasti ! quantaque revera ambrosia, quanto loto saturatus, me inscio, fuisti ! Quare et te dicente, animo commovebar, et *nunc desinente*, *mœrore* afficior, et, *ut* tuis verbis utar, saucius sum. Neque vero mireris : nosti enim eos, qui a canibus rabiosis mordentur, non solos rabie corripi, sed et si quos alios ipsi in ea insania momorderint, etiam illos mente dejici atque in furorem verti solere. Nam simul cum morsu etiam morbi istius quiddam in alium transfertur et propagatur, fitque insaniæ istius multiplex successio.

ΛΟΥΚ. Οὐκοῦν καὶ αὐτὸς ἡμῖν ἐρᾶν ὁμολογεῖς;

LUC. Itaque etiam ipse nobis jam amare te confiteris?

ΕΤΑΙ. Πάνυ μὲν οὖν, καὶ προσέτι δέομαί γέ σου κοινήν τινα τὴν θεραπείαν ἐπινοεῖν.

AM. Maxime : oroque insuper, ut communem aliquam medicinam nobis excogites atque invenias.

ΛΟΥΚ. Τὸ τοῦ ἄρα Τηλέφου ἀνάγκη ποιεῖν.

LUC. Ergo Telephi illud necesse erit facere.

ΕΤΑΙ. Ποῖον αὖ λέγεις;

AM. Quodnam illud dicis?

ΛΟΥΚ. Ἐπὶ τὸν τρώσαντα ἐλθόντας ἰᾶσθαι παρακαλεῖν.

LUC. Ad eum, a quo vulnerati sumus, eundum esse, et ab illo medicinam petendam.

IV.

ΔΙΚΗ ΦΩΝΗΕΝΤΩΝ.

1. Ἐπὶ ἄρχοντος Ἀριστάρχου Φαληρέως, Πυανεψιῶνος ἑβδόμῃ ἱσταμένου, γραφὴν ἔθετο τὸ Σῖγμα πρὸς τὸ Ταῦ ἐπὶ τῶν ἑπτὰ Φωνηέντων βίας ὑπαρχόντων καὶ ἁρπαγῆς, ἀφῃρῆσθαι λέγον πάντων τῶν ἐν διπλῷ ταῦ ἐκφερομένων.

IV.

JUDICIUM VOCALIUM.

1. Archonte Aristarcho Phalereo, septima Pyanepsionis, actionem instituit Σῖγμα adversus Ταῦ apud judices septem Vocales, de vi et rapina bonorum ; spoliari se dicens omnibus illis vocibus, quæ duplici ταῦ proferri solent.

2. Μέχρι μέν, ὦ Φωνήεντα δικασταί, ὀλίγα ἠδικούμην ὑπὸ τουτουὶ τοῦ ταῦ καταχρωμένου τοῖς ἐμοῖς καὶ καταίροντος ἔνθα μὴ δεῖ, οὐ βαρέως ἔφερον τὴν βλάβην καὶ παρήκουον ἔνια τῶν λεγομένων ὑπὸ τῆς μετριότητος, ἣν ἴστε με φυλάσσοντα πρός τε ὑμᾶς καὶ τὰς ἄλλας συλλαβάς· ἐπεὶ δὲ ἐς τοσοῦτον ἦκει πλεονεξίας τε καὶ ἀνοίας, ὥστε ἐφ' οἷς ἠσύχασα πολλάκις, οὐκ ἀγαπῶν, ἀλλ' ἤδη καὶ πλείω προσβιάζεται, ἀναγκαίως αὐτὸ εὐθύνω νῦν παρὰ τοῖς ἀμφότερα εἰδόσιν ὑμῖν. Δέος δὲ οὐ μικρόν μοι ἐπὶ τῆς ἀποβλίψεως ἐπέρχεται τῆς ἐμαυτοῦ· τοῖς γὰρ προπεπραγμένοις ἀεί τι μεῖζον προστιθὲν ἄρδην με τῆς οἰκείας ἀποβλίψει χώρας, ὡς ὀλίγου δεῖν ἡσυχίαν ἀγαγόντα μηδὲ ἐν γράμμασιν ἀριθμεῖσθαι, ἐν ἴσῳ δὲ κεῖσθαι τοῦ ψόφου.

2. Quamdiu, o judices Vocales, non admodum gravibus injuriis affectus sum ab hoc ταῦ, dum meis rebus abutebatur et eo se inferebat, ubi nullum ei jus erat ; damnum non graviter tuli : nonnulla etiam, quæ dicebantur, audivisse me dissimulabam, propter modestiam, quam nostis me servare cum erga vos, tum erga alias syllabas : postquam vero eo avaritiæ et amentiæ pervenit, ut non modo non sit contentum iis, quæ ego sæpe dissimulavi, verum jam majorem vim inferat, ipsa me necessitas cogit ut accusem ipsum apud vos, qui utrumque nostrum novistis. Non autem exiguus metus propter istam extrusionem mei me invasit. Nam quum prioribus injuriis majores semper addat, prorsus me e domestica sede expellet, eoque propemodum rediget, ut silendum mihi sit, et ne inter literas quidem amplius numerer, sed sibili modo locum habeam.

3. Δίκαιον οὖν οὐχ ὑμᾶς, οἳ δικάζετε νῦν, ἀλλὰ καὶ τὰ λοιπὰ γράμματα τῆς πείρας ἔχειν τινὰ φυλακήν· εἰ γὰρ ἐξέσται τοῖς βουλομένοις ἀπὸ τῆς καθ' αὑτὰ τάξεως ἐς ἀλλοτρίαν βιάζεσθαι καὶ τοῦτο ἐπιτρέψετε ὑμεῖς,

3. Est itaque æquum non modo vos judices, sed omnes etiam reliquas literas ab hocce dolo sibi cavere. Nam, si ut libet unicuique licebit e suo ordine in alium violenter irrumpere, idque vos, sine quibus nihil omnino scribitur,

ὧν χωρὶς οὐδὲν καθόλου τι γράφεται, οὐχ ὁρῶ τίνα τρόπον αἱ συντάξεις τὰ νόμιμα, ἐφ' οἷς ἐτάχθη τὰ κατ' ἀργὰς, ἕξουσιν. Ἀλλ' οὔτε ὑμᾶς οἶμαί ποτε ἐς τοσοῦτον ἀμελείας τε καὶ παροράσεως ἥξειν, ὥστε ἐπιτρέψαι τινὰ μὴ δίκαια, οὔτε, εἰ καθυφήσετε τὸν ἀγῶνα ὑμεῖς, ἐμοὶ παραλειπτέον ἐστὶν ἀδικουμένῳ.

4. Ὡς εἴθε καὶ τῶν ἄλλων ἀνεκόπησαν τότε αἱ τόλμαι εὐθὺς ἀρξαμένων παρανομεῖν, καὶ οὐκ ἂν ἐπολέμει μέχρι νῦν τὸ λάμβδα τῷ ῥῶ διαμφισβητοῦν περὶ τῆς κισήρεως καὶ κεφαλαργίας, οὐδὲ τὸ γάμμα τῷ κάππα διηγωνίζετο καὶ ἐς χεῖρας μικροῦ δεῖν ἦρχετο πολλάκις ἐν τῷ γναφείῳ ὑπὲρ γναφάλλων, ἐπέπαυτο δ' ἂν καὶ πρὸς τὸ λάμβδα μαχόμενον τὸ μόγις ἀφαιρούμενον αὐτοῦ καὶ μάλιστα παρακλέπτον, καὶ τὰ λοιπὰ δ' ἂν ἠρέμει συγχύσεως ἄρχεσθαι παρανόμου· καλὸν γὰρ ἕκαστον μένειν ἐφ' ἧς τετύχηκε τάξεως· τὸ δὲ ὑπερβαίνειν ἐς ἃ μὴ χρὴ λύοντός ἐστι τὸ δίκαιον.

5. Καὶ ὅ γε πρῶτος ἡμῖν τοὺς νόμους τούτους διατυπώσας, εἴτε Κάδμος ὁ νησιώτης εἴτε Παλαμήδης ὁ Ναυπλίου — καὶ Σιμωνίδῃ δὲ ἔνιοι προσάπτουσι τὴν προμήθειαν ταύτην —, οὐ τῇ τάξει μόνον, καθ' ἣν αἱ προεδρίαι βεβαιοῦνται, διώρισαν, τί πρῶτον ἔσται ἢ δεύτερον, ἀλλὰ καὶ ποιότητας, ἃς ἕκαστον ἡμῶν ἔχει, καὶ δυνάμεις συνεῖδον. Καὶ ὑμῖν μέν, ὦ δικασταί, τὴν μείζω δεδώκασι τιμὴν, ὅτι καθ' αὑτὰ δύνασθε φθέγγεσθαι, ἡμιφώνοις δὲ τὴν ἐφεξῆς, ὅτι προσθήκης εἰς τὸ ἀκουσθῆναι δεῖται· πασῶν δὲ ἐσχάτην ἐνόμισαν ἔχειν μοῖραν ἐννέα τῶν πάντων, οἷς οὐδὲ φωνὴ πρόσεστι καθ' αὑτά. Τὰ μὲν οὖν φωνήεντα φυλάσσειν ἔοικε τοὺς νόμους τούτους.

6. Τὸ δέ γε ταῦ τοῦτο, οὐ γὰρ ἔχω χείρονι αὐτὸ ὀνομάσαι ῥήματι ἢ ᾧ καλεῖται, ὃ μὰ τοὺς θεοὺς, εἰ μὴ ἐξ ὑμῶν δύο συνῆλθον ἀγαθοὶ καὶ καθήκοντες δραθῆναι, τό τε ἄλφα καὶ τὸ ὖ, οὐκ ἂν ἠκούσθη μόνον, τοῦτο τοίνυν ἐτόλμησεν ἀδικεῖν με πλείω τῶν πώποτε βιασαμένων, ὀνομάτων μὲν καὶ ῥημάτων ἀπελάσαι πατρώων, ἐκδῶξαι δὲ ὁμοῦ συνδέσμων ἅμα καὶ προθέσεων, ὡς μηκέτι φέρειν τὴν ἔκτοπον πλεονεξίαν· ὅθεν δὲ καὶ ἀπὸ τίνων ἀρξάμενον, ὥρα λέγειν.

7. Ἐπεδήμουν ποτὲ Κυβέλῳ — τὸ δέ ἐστι πολίχνιον οὐκ ἀηδὲς, ἄποικον (ὡς ἔχει λόγος) Ἀθηναίων — ἐπηγόμην δὲ καὶ τὸ κράτιστον ῥῶ, γειτόνων τὸ βέλτιστον· κατηγόμην δὲ παρὰ κωμῳδῶν τινι ποιητῇ, Λυσίμαχος ἐκαλεῖτο, Βοιώτιός μέν, ὡς ἐφαίνετο, τὸ γένος ἀνέκαθεν, ἀπὸ μέσης δὲ ἀξιῶν λέγεσθαι τῆς Ἀττικῆς· παρὰ τούτῳ δὴ τῷ ξένῳ τὴν τοῦ ταῦ τούτου πλεονεξίαν ἐφώρασα· μέχρι μὲν γὰρ ὀλίγοις ἐπεχείρει, τετταράκοντα λέγειν ἀξιοῦν, ἔτι δὲ τήμερον καὶ τὰ ὅμοια ἐπισπώμενον, συνήθειαν ᾠήμην ἴδια ταυτὶ λέγειν, καὶ οἰστὸν ἦν μοι τὸ ἄκουσμα καὶ οὐ πάνυ τι ἐδακνόμην ἐπ' αὐτοῖς.

8. Ὁπότε δ' ἐκ τούτων ἀρξάμενον ἐτόλμησε καττίτερον εἰπεῖν καὶ κάττυμα καὶ πίτταν, εἶτα ἀπερυθριᾶσαν καὶ βασίλιτταν ὀνομάζειν, ἀποστεροῦν με τῶν συγγεγενημένων μοι καὶ συντεθραμμένων γραμμάτων, οὐ μεpermiseritis, non video quomodo sua quique ordines jura, juxta quæ a principio constituti sunt, tuebuntur. Sed non existimo vos unquam ad tantam incuriam vel negligentiam perventuros, ut ea feratis, quæ cum æquo et jure pugnant: nec, si vos certamen declinaveritis, mihi, qui injuria afflectus sum, negligendum erit.

4. Atque utinam aliarum quoque literarum audacia ab initio statim, quum cœperunt contra leges delinquere, esset repressa: neque enim digladiaretur ad hunc usque diem λάμβδα cum ῥῶ disceptans de voce κίσηρις et κεφαλαργία: neque etiam τῷ γάμμα esset cum κάππα certamen, neque tam sæpe ad manus propemodum venisset in fullonia de dictionibus γναφεῖον et γνάφαλλα: quin cessasset etiam hoc γάμμα cum λάμβδα contendere, dictionem μόγις illi extorquens, immo suffurans: adeoque reliquæ item literæ quievissent, nec confusionem legibus vetitam inferrent. Est enim pulchrum unamquamque literam in eo ordine, quem primum sortita est, manere: transcendere vero eo, quo non oportet, ejus est qui jus et æquum evertit.

5. Et qui primus nobis has leges fixit, sive Cadmus fuerit ille insularis, sive Palamedes Nauplii filius (sunt et qui hanc curam Simonidi tribuant), non ordinem tantum, per quem sua quibusque literis sedes stabilita est, finierunt, quæ debeat esse prima, quæ secunda; sed qualitates etiam et virtutes, quas habent singulæ nostrum, perspexerunt. Et vobis quidem, judices, honorem tribuerunt maximum, propterea quod sonum edere sine ope aliena valetis: semivocalibus vero secundum, quia, ut perfecte audiantur, aliqua accessione egent: omnium autem postremum novem inter omnes literis decreverunt, quibus ne vox quidem per se ulla est. Et vocales quidem, ut apparet, his legibus obtemperant.

6. Hoc vero ταῦ (neque enim possum ipsum turpiori nomine appellare, quam quo nominari solet), quod per deos, nisi duæ quædam bonæ ex vobis, et specie decenti, ἄλφα scilicet et ὑψιλὸν, (ejus misertæ) convenissent, ne audiretur quidem, hoc inquam ταῦ mihi majorem vim, quam ullæ unquam literæ, inferre ausum est. Nam nominibus et verbis patriis me extrudere, præterea ex ipsis etiam conjunctionibus et præpositionibus expellere tentat; adeo ut istam immanem aviditatem ferre ulterius nequeam. Verum jam tempus est dicere, unde et a quibus initiis cœperit.

7. Peregrinabar aliquando Cybeli (id oppidulum est non injucundum, colonia, sicuti fertur, Athensium), adduxeramque mecum fortissimum illud ῥῶ, ex vicinis meis optimum. Diversabar vero apud comicum quendam poetam, Lysimachum nomine, genere, quantum apparebat, Boeotium, sed qui se tamen e media Attica oriundum dici volebat. Apud hunc hospitem ego hujus ταῦ aviditatem deprehendi: quod dum pauca modo aggrederetur, τετταράκοντα dicere amans, præterea τήμερον, et similes quasdam voces ad sese pertrahens, consuetudinem ipsi hanc esse opinabar, ut suo illa more proferret, ac patienter audiebam, nec vehementer admodum me ea res mordebat.

8. Sed postquam, sumto ab his initio, eo audaciæ processit etiam, ut καττίτερον, et κάττυμα, et πίτταν pronunciaret, deinde, abjecto omni pudore, βασίλιτταν quoque nominaret, privans me iis literis quæ mecum essent natæque

τρίως ἐπὶ τούτοις ἀγανακτῶ καὶ πίμπραμαι δεδιὸς μὴ τῷ χρόνῳ καὶ τὰ σῦκα τῦκά τις ὀνομάσῃ. Καί μοι πρὸς Διὸς ἀθυμοῦντι καὶ μεμονωμένῳ τῶν βοηθησόντων σύγγνωτε τῆς δικαίας ὀργῆς· οὐ γὰρ περὶ μικρὰ καὶ τὰ τυχόντα ἐστὶν ὁ κίνδυνος, ἀφαιρουμένῳ τῶν συνήθων καὶ συνεσχολακότων μοι γραμμάτων· κίσσαν μου, λάλον ὄρνεον, ἐκ μέσων ὡς ἔπος εἰπεῖν τῶν κόλπων ἁρπάσαν κίτταν ὠνόμασεν· ἀφεῖλετο δέ μου φάσσαν ἅμα νήσσαις τε καὶ κοσσύφοις ἀπαγορεύοντος Ἀριστάρχου· περιέσπασε δὲ καὶ μελισσῶν οὐκ ὀλίγας· ἐπ' Ἀττικὴν δὲ ἦλθε καὶ ἐκ μέσης αὐτῆς ἀνήρπασεν ἀνόμως Ὑμηττὸν, ὁρώντων ὑμῶν καὶ τῶν ἄλλων συλλαβόν.

9. Ἀλλὰ τί λέγω ταῦτα; Θεσσαλίας με ἐξέβαλεν ὅλης Θετταλίαν ἀξιοῦν λέγειν, καὶ πᾶσαν ἀποκέκλεικέ μοι τὴν θάλασσαν οὐδὲ τῶν ἐν κήποις φεισάμενον σευτλίων, ὡς τὸ δὴ λεγόμενον μηδὲ πάσσαλόν μοι καταλιπεῖν. Ὅτι δὲ ἀνεξίκακόν εἰμι γράμμα, μαρτυρεῖτέ μοι καὶ αὐτοὶ μηδέποτε ἐγκαλέσαντι τῷ ζῆτα σμάραγδον ἀποσπάσαντι καὶ πᾶσαν ἀφελομένῳ Σμύρναν, μηδὲ τῷ ξῦ πᾶσαν παραβάντι συνθήκην καὶ τὸν συγγραφέα τῶν τοιούτων ἔχοντι Θουκυδίδην σύμμαχον· τῷ μὲν γὰρ γείτονί μου ῥῶ νοσήσαντι συγγνώμη, καὶ παρ' αὐτῷ φυτεύσαντί μου τὰς μυρρίνας καὶ παίσαντί μέ ποτε ὑπὸ μελαγχολίας ἐπὶ κόρρης. Κἀγὼ μὲν τοιοῦτον.

10. Τὸ δὲ ταῦ τοῦτο σκοπῶμεν ὡς φύσει βίαιον καὶ πρὸς τὰ λοιπά. Ὅτι δὲ οὐδὲ τῶν ἄλλων ἀπέσχετο γραμμάτων, ἀλλὰ καὶ τὸ δέλτα καὶ τὸ θῆτα καὶ τὸ ζῆτα, μικροῦ δεῖν πάντα ἠδίκησε τὰ στοιχεῖα, αὐτά μοι κάλει τὰ ἀδικηθέντα γράμματα. Ἀκούετε, Φωνήεντα δικασταί, τοῦ μὲν δέλτα λέγοντος· ἀφεῖλετό μου τὴν ἐνδελέχειαν, ἐντελέχειαν ἀξιοῦν λέγεσθαι παρὰ πάντας τοὺς νόμους· τοῦ θῆτα κρούοντος καὶ τῆς κεφαλῆς τὰς τρίχας τίλλοντος ἐπὶ τῷ καὶ τῆς κολοκύνθης ἐστερῆσθαι· τοῦ ζῆτα, τὸ συρίζειν καὶ σαλπίζειν, ὡς μηκέτ' αὐτῷ ἐξεῖναι μηδὲ γρύζειν. Τίς ἂν τούτων ἀνάσχοιτο; τίς ἐξαρκέσειε δίκη πρὸς τὸ πονηρότατον τουτὶ ταῦ;

11. Τὸ δὲ ἄρα οὐ τὸ ὁμόφυλον τῶν στοιχείων μόνον ἀδικεῖ γένος, ἀλλ' ἤδη καὶ πρὸς τὸ ἀνθρώπειον μεταβέβηκε τουτονὶ τὸν τρόπον· οὐ γὰρ ἐπιτρέπει γε αὐτοὺς κατ' εὐθὺ φέρεσθαι ταῖς γλώσσαις· μᾶλλον δὲ, ὦ δικασταὶ, μεταξὺ γάρ με πάλιν τὰ τῶν ἀνθρώπων πράγματα ἀνέμνησε περὶ τῆς γλώσσης, ὅτι καὶ ταύτης με τὸ μέρος ἀπήλασε καὶ γλῶτταν ποιεῖ τὴν γλῶσσαν. Ὦ γλώσσης ἀληθῶς νόσημα ταῦ. Ἀλλὰ μεταβήσομαι πάλιν ἐπ' ἐκεῖνο καὶ τοῖς ἀνθρώποις συναγορεύσω ὑπὲρ ὧν εἰς αὐτοὺς πλημμελεῖ· δεσμοῖς γάρ τισι στρεβλοῦν καὶ σπαράττειν αὐτῶν τὴν φωνὴν ἐπιχειρεῖ. Καὶ ὁ μέν τι καλὸν ἰδὼν καλὸν εἰπεῖν αὐτὸ βούλεται, τὸ δὲ παρεισπεσὸν ταλὸν εἰπεῖν αὐτοὺς ἀναγκάζει ἐν ἅπασι προεδρίαν ἔχειν ἀξιοῦν· πάλιν ἕτερος περὶ κλήματος διαλέγεται, τὸ δὲ — τλῆμον γάρ ἐστιν ἀληθῶς — τλῆμα πεποίηκε τὸ κλῆμα. Καὶ οὐ μόνον γε τοὺς τυχόντας ἀδικεῖ, ἀλλ' ἤδη καὶ τῷ μεγάλῳ βασιλεῖ, ᾧ καὶ γῆν καὶ θά-

et educatæ : tum vero haud leviter sum commotus, et ira accensus, timens ne quis temporis successu etiam σῦκα, τῦκα appellet. Oro autem vos per Jovem, ut afflicti et omni ope et auxilio destituti justam indignationem feratis. Neque enim parvum hoc aut vulgare periculum est, quum assuetis et familiaribus me verbis spoliat; nam κίσσαν (id est picam) meam, avem loquacissimam, ex medio, ut ita dicam, sinu abreptam, κίτταν appellavit : quin et φάσσαν (id est palumbum), una cum νήσσαις (id est anatibus) et κοσσύφοις (id est merulis), interdicente Aristarcho, mihi eripuit. Pertraxit etiam ad se non paucas μελίσσας (apes) : in Atticam vero veniens, ex media illa regione Ὑμηττὸν præter jus rapuit, idque vobis ipsis ceterisque inspectantibus.

9. Verum quid ego ista commemoro? tota me Thessalia expulit, vultque eam Thettaliam dici : toto insuper θαλάσσῃ (mari) sum exclusus. Neque a σεύτλοις (betis) hortensibus sibi temperat, ut jam, quod dici solet, ne πάτταλος (paxillus) quidem mihi reliquus sit. Quod vero litera sim injuriarum patiens, vos ipsi mihi testes estis : neque enim unquam accusavi literam ζῆτα, quæ mihi σμάραγδον abstulit, et totam Σμύρναν surripuit; nec ipsam etiam ξῦ, omnes συνθήκας (fœdera omnia) rumpentem et συγγραφέα (scriptorem historiarum) Thucydidem in tali re nactam σύμμαχον (socium). Etenim vicino meo ῥῶ venia danda, quod morbo laborans meas apud se μυρρίνας (myrtus) plantarit, et aliquando atra bile percitum me ἐπὶ κόρρης (in maxillam) percusserit. Talis quidem ego sum.

10. Hoc vero ταῦ quam sit natura violentum adversus reliquas etiam literas, jam consideremus. Nam quod a ceteris quoque minime abstinuerit, sed et δέλτα et θῆτα et ζῆτα et prope omnia elementa injuria affecerit, de hoc mihi literas læsas ipsas accerse in testimonium. Auditis, Vocales judices, ipsum δέλτα dicens : Surripuit mihi meam ἐνδελέχειαν pro qua ἐντελέχειαν dicere jubet; quod sane contrarium est omnibus legibus. Auditis θῆτα plangens et capiti capillos evellens, eo quod privatum est κολοκύνθῃ (cucurbita). Auditis ipsum etiam ζῆτα, querens sibi ablatum esse συρίζειν et σαλπίζειν (fistula et tuba canere), adeo ut ne γρύζειν quidem (id est mutire) illi porro liceat. Quis ista quæso ferat? aut quæ pœna satis magna erit tam scelesto Tau?

11. Verum hoc non tantum cognatum sibi elementorum genus lædit, sed jam in homines ipsos grassatur, in hunc modum. Neque enim iis permittit, ut recta ferantur linguis : immo vero, Judices : interim enim res humanæ rursus me admonuerunt γλώσσης (id est linguæ) : nam me hac quoque ex parte extrusit, et γλῶσσαν facit γλῶτταν. O γλώσσης vere morbus ταῦ. Verum redeo ad illud quod cœperam, hominibusque patrocinabor in iis, in quibus adversus eos delinquit. Nam vinculis quibusdam vocem eorum torquere et discerpere conatur. Quum quis pulchrum quidpiam videns, id καλὸν (pulchrum) appellare velit, hoc ταῦ ex transverso irruens ταλὸν ipsum dicere cogit : adeo cupit in omnibus primas sedes obtinere. Rursum alius quispiam dicit, περὶ κλήματος (id est, de palmite) : hoc vero, est enim revera τλῆμον (id est scelestum), τλῆμα facit, quod erat κλῆμα. Nec plebeios tantum homines injuria afficit, sed jam etiam magno illi regi, cui fama est ipsam terram et

λασσαν εἶξαί φασι καὶ τῆς αὐτῶν φύσεως ἐκστῆναι, τὸ δὲ καὶ τούτῳ ἐπιβουλεύει καὶ Κῦρον αὐτὸν ὄντα Τῦρόν τινα ἀπέφηνεν.

12. Οὕτω μὲν οὖν ὅσον ἐς φωνὴν ἀνθρώπους ἀδικεῖ· ἔργῳ δὲ πῶς; Κλάουσιν ἄνθρωποι καὶ τὴν αὐτῶν τύχην ὀδύρονται καὶ Κάδμῳ καταρῶνται πολλάκις, ὅτι τὸ ταῦ ἐς τὸ τῶν στοιχείων γένος παρήγαγε· τῷ γὰρ τούτου σώματί φασι τοὺς τυράννους ἀκολουθήσαντας καὶ μιμησαμένους αὐτοῦ τὸ | πλάσμα ἔπειτα σχήματι τοιούτῳ ξύλα τεκτήναντας ἀνθρώπους ἀνασκολοπίζειν ἐπ' αὐτά· ἀπὸ δὴ τούτου καὶ τῷ τεχνήματι τῷ πονηρῷ τὴν πονηρὰν ἐπωνυμίαν συνελθεῖν. Τούτων οὖν ἁπάντων ἕνεκα πόσων θανάτων τὸ ταῦ ἄξιον εἶναι νομίζετε; Ἐγὼ μὲν γὰρ οἶμαι δικαίως τοῦτο μόνον ἐς τὴν τοῦ ταῦ τιμωρίαν ὑπολείπεσθαι, τὸ τῷ σχήματι τῷ αὐτοῦ τὴν δίκην ὑποσχεῖν, ὃ δὴ σταυρὸς εἶναι ὑπὸ τούτου μὲν ἐδημιουργήθη, ὑπὸ δὲ ἀνθρώπων ὀνομάζεται.

mare cessisse atque naturam suam mutasse, insidiatur et ex ipso, quum Κῦρος sit, τῦρον (caseum) quendam efficit.

12. Atque in hunc modum vocem hominum lædit. Quomodo vero re ipsa et opere eosdem lædat, audite. Plorant homines atque suæ fortunæ vices deflent, atque ipsum sæpe Cadmum exsecrantur, quòd ταῦ in elementorum genus invexerit: aiunt enim Tyrannos ejus literæ corpus secutos atque figuram imitatos, postea simili figura cruces fabricasse, quibus homines affigerent: atque ex hoc huic tam perniciosæ fabricæ pessimum nomen (σταυροῦ) obvenisse. Propter ista omnia quot mortibus ipsum ταῦ dignum esse censetis? Ego quidem existimo merito hoc solum ad supplicium ipsius ταῦ relinqui, ut pœnam in sua illa figura sustineat, quæ sane ut σταυρὸς (crux) esset istius opera effectum est, nomenque hoc apud homines sortiretur.

V.

ΤΙΜΩΝ Η ΜΙΣΑΝΘΡΩΠΟΣ.

ΤΙΜΩΝ, ΖΕΥΣ, ΕΡΜΗΣ, ΠΛΟΥΤΟΣ, ΠΕΝΙΑ, ΓΝΑΘΩΝΙΔΗΣ, ΦΙΛΙΑΔΗΣ, ΔΗΜΕΑΣ, ΘΡΑΣΥΚΛΗΣ.

1. ΤΙΜ. Ὦ Ζεῦ φίλιε καὶ ξένιε καὶ ἑταιρεῖε καὶ ἐφέστιε καὶ ἀστεροπητὰ καὶ ὅρκιε καὶ νεφεληγερέτα καὶ ἠρίγδουπε καὶ εἴ τί σε ἄλλο οἱ ἐμβρόντητοι ποιηταὶ καλοῦσι, καὶ μάλιστα ὅταν ἀπορῶσι πρὸς τὰ μέτρα· τότε γὰρ αὐτοῖς πολυώνυμος γινόμενος ὑπερείδεις τὸ πῖπτον τοῦ μέτρου καὶ ἀναπληροῖς τὸ κεχηνὸς τοῦ ῥυθμοῦ· ποῦ σοι νῦν ἡ ἐρισμάραγος ἀστραπὴ καὶ ἡ βαρύβρομος βροντὴ καὶ ὁ αἰθαλόεις καὶ ἀργῆτις καὶ σμερδαλέος κεραυνός; Ἅπαντα γὰρ ταῦτα λῆρος ἤδη ἀναπέφηνε καὶ καπνὸς ἀτεχνῶς ποιητικὸς ἔξω τοῦ πατάγου τῶν ὀνομάτων. Τὸ δὲ ἀοίδιμόν σου καὶ ἐκηβόλον ὅπλον καὶ πρόχειρον οὐκ οἶδ' ὅπως τελέως ἀπέσβη καὶ ψυχρόν ἐστι μηδὲ ὀλίγον σπινθῆρα ὀργῆς κατὰ τῶν ἀδικούντων διαῤῥυλάττον.

2. Θᾶττον γοῦν τῶν ἐπιορκεῖν τις ἐπιχειρούντων ἕωλον θρυαλλίδα φοβηθείη ἂν ἢ τὴν τοῦ πανδαμάτορος κεραυνοῦ φλόγα· οὕτω δαλόν τινα ἐπανατείνεσθαι δοκεῖς αὐτοῖς, ὡς πῦρ μὲν ἢ καπνὸν ἀπ' αὐτοῦ μὴ δεδιέναι, μόνον δὲ τοῦτο οἴεσθαι ἀπολαύειν τοῦ τραύματος, ὅτι ἀναπλησθήσονται τῆς ἀσβόλου. Ὥστε ἤδη διὰ ταῦτά σοι καὶ ὁ Σαλμωνεὺς ἀντιβροντᾶν ἐτόλμα, οὐ πάντη ἀπίθανος ὤν, πρὸς οὕτω ψυχρὸν τὴν ὀργὴν Δία θερμουργὸς ἀνὴρ μεγαλαυχούμενος. Πῶς γάρ; ὅπου γε καθάπερ ὑπὸ μανδραγόρα καθεύδεις, ὃς οὔτε τῶν ἐπιορκούντων ἀκούεις οὔτε τοὺς ἀδικοῦντας ἐπισκοπεῖς, λημᾷς δὲ καὶ ἀμβλυώττεις πρὸς τὰ γιγνόμενα καὶ τὰ ὦτα ἐκκεκώφησαι καθάπερ οἱ παρηβηκότες.

3. Ἐπεὶ νέος γε ἔτι καὶ ὀξύθυμος ὢν καὶ ἀκμαῖος τὴν ὀργὴν πολλὰ κατὰ τῶν ἀδίκων καὶ βιαίων ἐποίεις

1. TIM. O Jupiter Philie, et Xenie, et Hetærie, et Ephestie, et Asteropeta, et Horcie, et Nephelegereta, et Erigdupe, et si quo te alio vocant nomine attoniti poetæ, idque adeo quum in versu faciundo hærent impediti (tunc enim iis magno nominum agmine sustines versum labantem, et rhythmum hiantem reples): ubi nunc fulgur illud tuum tanto strepitu erumpens? ubi tonitru tanto fremitu boans? ubi illud flammans, candens ac terribile fulmen? Cuivis sane constare potest, ea omnia nihil esse aliud quidquam præter nugas ac fumum plane poeticum, nominum strepitum si demas. Telum autem tuum decantatum illud et longe feriens et expeditum, nescio quo pacto plane restinctum est, et refrixit, ne tantillulam quidem iræ scintillam adversus sceleratos retinens.

2. Inde est quod perjuri potius metuerint hesternum aliquod ellychnium, quam fulminis cuncta domantis flammam: ita videris illis titionem jaculari, ut ignem ejus vel fumum haud timeant, hocque unum ex vulnere malum sibi accidere existiment, quod fuligine operiantur atque inquinentur. Hinc adeo est quod Salmoneus ille, te contemto, contra tonare ausus est, vir qui hanc de se opinionem in animis hominum facile tueretur, audax quippe et ardens animo adversus Jovem tam frigidum. Quidni enim? quum tu veluti ex mandragoræ potu dormiens perjuros non audias, neque injustos aspicias: contra autem lippis et lusciosis oculis ea quæ fiunt videas; atque auribus, velut senes, obsurdueris.

3. Nam quum adhuc juvenis eras, ardenti animo et iracundia gravi, multa quotidie adversus injustos ac violentos

καὶ οὐδέποτε ἦγες τότε πρὸς αὐτοὺς ἐκεχειρίαν, ἀλλ ἀεὶ ἐνεργὸς πάντως ὁ κεραυνὸς ἦν καὶ ἡ αἰγὶς ἐπεσείετο καὶ ἡ βροντὴ ἐπαταγεῖτο καὶ ἡ ἀστραπὴ συνεχὴς ὥσπερ εἰς ἀκροβολισμὸν προηκοντίζετο· οἱ σεισμοὶ δὲ κοσκινηδὸν καὶ ἡ χιὼν σωρηδὸν καὶ ἡ χάλαζα πετρηδόν· καὶ ἵνα σοι φορτικῶς διαλέγωμαι, ὑετοί τε ῥαγδαῖοι καὶ βίαιοι, ποταμὸς ἑκάστη σταγών· ὥστε τηλικαύτη ἐν ἀκαρεῖ χρόνου ναυαγία ἐπὶ τοῦ Δευκαλίωνος ἐγένετο, ὡς ὑποβρυχίων ἁπάντων καταδεδυκότων μόγις ἕν τι κιβώτιον περισωθῆναι προσοκείλαν τῷ Λυκωρείᾳ ζώπυρόν τι τοῦ ἀνθρωπίνου σπέρματος διαφυλάττον εἰς ἐπιγονὴν κακίας μείζονος.

4. Τοιγάρτοι ἀκόλουθα τῆς ῥαθυμίας ταπίζειρα κομίζῃ παρ' αὐτῶν, οὔτε θύοντος ἔτι σοί τινος οὔτε στεφανοῦντος, εἰ μή τις ἄρα πάρεργον Ὀλυμπίων, καὶ οὗτος οὐ πάνυ ἀναγκαῖα ποιεῖν δοκῶν, ἀλλ' εἰς ἔθος τι ἀρχαῖον συντελῶν· καὶ κατ' ὀλίγον Κρόνον σε, ὦ θεῶν γενναιότατε, ἀποφανοῦσι παρωσάμενοι τῆς τιμῆς. Ἐῶ λέγειν ποσάκις ἤδη σου τὸν νεὼν σεσυλήκασιν· οἱ δὲ καὶ αὐτῷ σοι τὰς χεῖρας Ὀλυμπίασιν ἐπιβεβλήκασι, καὶ σὺ ὁ ὑψιβρεμέτης ὤκνησας ἢ ἀναστῆσαι τοὺς κύνας ἢ τοὺς γείτονας ἐπικαλέσασθαι, ὡς βοηδρομήσαντες αὐτοὺς συλλάβοιεν ἔτι συσκευαζομένους πρὸς τὴν φυγήν· ἀλλ' ὁ γενναῖος καὶ Γιγαντολέτωρ καὶ Τιτανοκράτωρ ἐκάθησο τοὺς πλοκάμους περιχειρόμενος ὑπ' αὐτῶν, δεκάπηχυν κεραυνὸν ἔχων ἐν τῇ δεξιᾷ. Ταῦτα τοίνυν, ὦ θαυμάσιε, πηνίκα παύσεται οὕτως ἀμελῶς παροράμενα; ἢ πότε κολάσῃ τὴν τοσαύτην ἀδικίαν; πόσοι Φαέθοντες ἢ Δευκαλίωνες ἱκανοὶ πρὸς οὕτως ὑπέραντλον ὕβριν τοῦ βίου;

5. Ἵνα γὰρ τὰ κοινὰ ἐάσας τἀμὰ εἴπω, τοσούτους Ἀθηναίων εἰς ὕψος ἄρας καὶ πλουσίους ἐκ πενεστάτων ἀποφήνας καὶ πᾶσι τοῖς δεομένοις ἐπικουρήσας, μᾶλλον δὲ ἀθρόον εἰς εὐεργεσίαν τῶν φίλων ἐχέας τὸν πλοῦτον, ἐπειδὴ πένης διὰ ταῦτα ἐγενόμην, οὐκέτι οὐδὲ γνωρίζομαι πρὸς αὐτῶν οὐδὲ προσβλέπουσιν οἱ τέως ὑποπτήσσοντες καὶ προσκυνοῦντες κἀκ τοῦ ἐμοῦ νεύματος ἀπηρτημένοι, ἀλλ' ἤν που καὶ ὁδῷ βαδίζων ἐντύχω τινὶ αὐτῶν, ὥσπερ τινὰ στήλην παλαιοῦ νεκροῦ ὑπτίαν ὑπὸ τοῦ χρόνου ἀνατετραμμένην παρέρχονται μηδὲ ἀναγνόντες, οἱ δὲ καὶ πόῤῥωθεν ἰδόντες ἑτέραν ἐκτρέπονται δυσάντητον καὶ ἀποτρόπαιον θέαμα ὄψεσθαι ὑπολαμβάνοντες τὸν οὐ πρὸ πολλοῦ σωτῆρα καὶ εὐεργέτην αὐτῶν γεγενημένον.

6. Ὥστε ὑπὸ τῶν κακῶν ἐπὶ ταύτην τὴν ἐσχατιὰν τραπόμενος ἐναψάμενος διφθέραν ἐργάζομαι τὴν γῆν ὑπόμισθος ὀβολῶν τεττάρων, τῇ ἐρημίᾳ καὶ τῇ δικέλλῃ προσφιλοσοφῶν. Ἐνταῦθα τοῦτο γοῦν μοι δοκῶ κερδανεῖν, μηκέτι ὄψεσθαι πολλοὺς παρὰ τὴν ἀξίαν εὖ πράττοντας· ἀνιαρότερον γὰρ τοῦτό γε. Ἤδη ποτὲ οὖν, ὦ Κρόνου καὶ Ῥέας υἱέ, τὸν βαθὺν τοῦτον ὕπνον ἀποσεισάμενος καὶ νήδυμον — ὑπὲρ τὸν Ἐπιμενίδην γὰρ κεκοίμησαι — καὶ ἀναρριπίσας τὸν κεραυνὸν ἢ ἐκ τῆς Οἴτης ἐναυσάμενος μεγάλην ποιήσας τὴν

parabas, sublataque omni induciarum spe, bella cum iis gerebas, neque unquam otiosum erat fulmen; ægis concussa illis intentabatur, tonitru remugiebat, fulgur in morem velitaris pugnæ usque et usque mittebatur; terræ autem motus ita frequenter fiebant, ut cribri agitationem plane referrent; nix acervatim ruebat, grandinem autem saxa diceres; et ut violentius elatiusque tecum loquar, imbres effusi et vehementes deferebantur in terras; singulæ guttæ fluvium æquabant. Quamobrem puncto temporis sub Deucalione tantum factum est naufragium, ut omnibus aqua obrutis unica modo superfuerit arcula ad Lycoreum montem appulsa, veluti quendam generis humani fomitem servans, quo majora deinde scelera sobolescerent.

4. Ergo condignum pretium ob socordiam ab iis tulisti, cui nemo hodie rem sacram facit, nec coronam imponit, nisi forte unus aut alter quasi Olympiorum corollarium, idque qui tibi præstat, rem se haud sane pernecessariam facere existimat, sed veteri nescio cui instituto id dandum credit. Illi te, o deorum præstantissime, paulatim in Saturni locum redigent, omni te honore spoliantes. Mitto jam dicere quoties templum tuum expilarint: quidam etiam manus tibi apud Olympiam sunt admoliti; et tu, quem ὑψιβρεμέτην (altitonantem) poetæ vocitant, ne ausus quidem es excitare canes vel vicinos advocare, qui e vestigio concurrentes comprehenderent sacrilegos, res suas etiamnum convasantes, ut in pedes se protinus darent. Sed tu, fortis bellator, et qui γιγαντολέτωρ et τιτανοκράτωρ (Gigantum et Titanum victor) prædicaris, sedebas, manu decemcubitale fulmen sustinens, interea dum cincinnos aureos otiose tibi attondebant. Hæc igitur, o deus admirabilis, quando tandem dissimulare desines? quando erit ut tanta facinora ultum eas? quot orbis conflagrationes Phaethonteæ, quot Deucalionea diluvia satis esse queant, ut tam inexhausta hominum insolentia compescatur?

5. De me enim ut dicam, iis, quæ ad ceteros pertinent, omissis, postquam tot Athenienses evexi, divitesque ex pauperrimis reddidi, atque omnibus ea, quibus egebant, benigne largitus sum, seu, ut verius dicam, postquam acervatim, ut in amicos beneficus essem, opes effudi, atque ea re factum est, ut ad inopiam redactus sim: illi me prorsus ignorant, ac ne aspiciunt quidem, quum tamen antea me revererentur, adorarent et ex meo penderent nutu· quin etiam si forte cui ipsorum in via occurram, ii me veluti eversum hominis jamdudum sepulti titulum, temporis diuturnitate collapsum, prætereunt, ne legentes quidem: alii autem quum longe me vident, in aliam deflectunt viam, rati quippe visuros se spectaculum aliquod occursu infaustum atque aversandum, me, inquam, qui non ita pridem servator ipsis audiebam et beneficiorum auctor.

6. Tot itaque malis circumvallatus, in hunc remotum et desertum agrum concessi, et suspenso ex humeris rhenone terram colo, quatuor in diem obolis locata opera, cum ligone et hac solitudine philosophans. Hic enim hoc certe laboris mei videor præmium consequi, quod plerosque præter æquum et meritum fortunatos non sum visurus: id enim mihi nimis molestum. At nunc tandem aliquando, Saturni ac Rheæ fili, excutiens altissimum istum somnum ac νήδυμον [depositu difficillimum] (nam Epimenidem dormiendo vicisti), flatu denuo suscitans fulmen, aut ex Œta

φλόγα ἐπιδείξαιό τινα χολὴν ἀνδρώδους καὶ νεανικοῦ Διὸς, εἰ μὴ ἀληθῆ ἐστι τὰ ὑπὸ Κρητῶν περὶ σοῦ καὶ τῆς ἐκεῖ ταφῆς μυθολογούμενα.

7. ΖΕΥΣ. Τίς οὗτός ἐστιν, ὦ Ἑρμῆ, ὁ κεκραγὼς ἐκ τῆς Ἀττικῆς παρὰ τὸν Ὑμηττὸν ἐν τῇ ὑπωρείᾳ πιναρὸς ὅλος καὶ αὐχμῶν καὶ ὑποδίφθερος; σκάπτει δὲ οἶμαι ἐπικεκυφώς· λάλος ἄνθρωπος καὶ θρασύς. Ἦ που φιλόσοφός ἐστιν· οὐ γὰρ ἂν οὕτως ἀσεβεῖς τοὺς λόγους διεξῄει καθ' ἡμῶν.

ΕΡΜ. Τί φῂς, ὦ πάτερ; ἀγνοεῖς Τίμωνα τὸν Ἐχεκρατίδου τὸν Κολλυτέα; οὗτός ἐστιν ὁ πολλάκις ἡμᾶς καθ' ἱερῶν τελείων ἑστιάσας, ὁ νεόπλουτος, ὁ τὰς ὅλας ἑκατόμβας, παρ' ᾧ λαμπρῶς ἑορτάζειν εἰώθαμεν τὰ Διάσια.

ΖΕΥΣ. Φεῦ τῆς ἀλλαγῆς· ὁ καλὸς ἐκεῖνος, ὁ πλούσιος, περὶ ὃν οἱ τοσοῦτοι φίλοι; τί παθὼν οὖν τοιοῦτός ἐστιν; αὐχμηρὸς, ἄθλιος καὶ σκαπανεὺς καὶ μισθωτὸς, ὡς ἔοικεν, οὕτω βαρεῖαν καταφέρων τὴν δίκελλαν.

8. ΕΡΜ. Οὐτωσὶ μὲν εἰπεῖν, χρηστότης ἐπέτριψεν αὐτὸν καὶ φιλανθρωπία καὶ ὁ πρὸς τοὺς δεομένους ἅπαντας οἶκτος, ὡς δὲ ἀληθεῖ λόγῳ, ἄνοια καὶ εὐήθεια καὶ ἀκρισία περὶ τῶν φίλων, ὃς οὐ συνίει κόραξι καὶ λύκοις χαριζόμενος, ἀλλ' ὑπὸ γυπῶν τοσούτων ὁ κακοδαίμων κειρόμενος τὸ ἧπαρ φίλους εἶναι αὐτοὺς καὶ ἑταίρους ᾤετο, ὑπ' εὐνοίας τῆς πρὸς αὐτὸν χαίροντας τῇ βορᾷ· οἱ δὲ τὰ ὀστᾶ γυμνώσαντες ἀκριβῶς καὶ περατραγόντες, εἴ δέ τις καὶ μυελὸς ἐνῆν, ἐκμυζήσαντες καὶ τοῦτον εὖ μάλα ἐπιμελῶς, ᾠχοντο αὖον αὐτὸν καὶ τὰς ῥίζας ὑποτετμημένον ἀπολιπόντες, οὐδὲ γνωρίζοντες ἔτι οὐδὲ προσβλέποντες — πόθεν γάρ; — ἢ ἐπικουροῦντες ἢ ἐπιδιδόντες ἐν τῷ μέρει. Διὰ ταῦτα δικελλίτης καὶ διφθερίας, ὡς ὁρᾷς, ἀπολιπὼν ὑπ' αἰσχύνης τὸ ἄστυ μισθοῦ γεωργεῖ μελαγχολῶν τοῖς κακοῖς, ὅτι οἱ πλουτοῦντες παρ' αὐτοῦ μάλα ὑπεροπτικῶς παρέρχονται οὐδὲ τοὔνομα, εἰ Τίμων καλοῖτο, εἰδότες.

9. ΖΕΥΣ. Καὶ μὴν οὐ παροπτέος ἀνὴρ οὐδὲ ἀμελητέος· εἰκότως γὰρ ἠγανάκτει δυστυχῶν· ἐπεὶ καὶ ὅμοια ποιήσομεν τοῖς καταράτοις κόλαξιν ἐκείνοις ἐπιλελησμένοι ἀνδρὸς τοσαῦτα μηρία ταύρων τε καὶ αἰγῶν πιότατα καύσαντος ἡμῖν ἐπὶ τῶν βωμῶν· ἔτι γοῦν ἐν ταῖς ῥισὶ τὴν κνῖσαν αὐτῶν ἔχω. Πλὴν ὑπ' ἀσχολίας τε καὶ θορύβου πολλοῦ τῶν ἐπιορκούντων καὶ βιαζομένων καὶ ἁρπαζόντων, ἔτι δὲ καὶ φόβου τοῦ παρὰ τῶν ἱεροσυλούντων — πολλοὶ γὰρ οὗτοι καὶ δυσφύλακτοι καὶ οὐδὲ ἐπ' ὀλίγον καταμύσαι ἡμῖν ἐφιᾶσι — πολὺν ἤδη χρόνον οὐδὲ ἀπέβλεψα ἐς τὴν Ἀττικήν, καὶ μάλιστα ἐξ οὗ φιλοσοφία καὶ λόγων ἔριδες ἐπεπόλασαν αὐτοῖς· μαχομένων γὰρ πρὸς ἀλλήλους καὶ κεκραγότων οὐδὲ ἐπακούειν ἔστι τῶν εὐχῶν· ὥστε ἢ ἐπιβυσάμενον χρὴ τὰ ὦτα καθῆσθαι ἢ ἐπιτριβῆναι πρὸς αὐτῶν, ἀρετήν τινα καὶ ἀσώματα καὶ λήρους μεγάλῃ τῇ φωνῇ ξυνειρόντων. Διὰ ταῦτά τοι καὶ τοῦτον ἀμεληθῆναι ξυνέβη πρὸς ἡμῶν οὐ φαῦλον ὄντα.

10. Ὅμως δὲ τὸν Πλοῦτον, ὦ Ἑρμῆ, παραλαβὼν

accendens, ingenti edita flamma, iræ aliquid fortis illius ac manu promti Jovis exseras, nisi forte vera illa sunt, quæ de te Cretes et de sepulcro tuo apud se sito fabulantur.

7. JUP. Quis hic est, Mercuri, qui ex Attica vociferatur ad radicem montis Hymetti, sordidatus plane et squalidus, et caprinis pellibus semiamictus? incurvus autem, opinor, fodit; homo garrulus atque audax. Haud dubie philosophus est; neque enim sermones de nobis adeo impios deblaterasset.

MER. Quid ais, o pater? tun' ut Timonem Colyttensem, Echecratidæ filium, haud noris? hic ille est, qui nos toties sacris rite factis opipare accepit; ille recens dives; qui totas hecatombas mactabat; apud quem splendide solebamus agere Diasia.

JUP. Heu! quæ istæc rerum conversio? illene pridem honestus, dives, quem tot amici colebant? Unde igitur eo miseriarum devenit, squalidus, infelix, et fossor mercede conductus, uti ex ligone conjicere est, quem ille adeo gravem in terram demittit?

8. MER. Sua illum, ut solent loqui, comitas perdidit atque humanitas, præterea effusa in omnes inopes misericordia: vere autem ut dicam, stultitia et simplicitas, et imprudentia in admittendis amicis; qui non animadverteret corvis se et lupis gratificari; sed existimaret tot vultures jecur sibi assidue exedentes, amicos esse et sodales, qui aliqua in ipsum benevolentia permoti obsoniis ejus gauderent. Ii vero sedulo nudatis Timonis ossibus et circumrosis, ac medulla etiam, si qua inerat, probe et diligenter exsucta, aridum illum et ab radicibus imis excisum relinquentes abierunt, ne noscentes quidem amplius aut aspicientes (cur enim id facerent?) aut opem ferentes, vel aliquid vicissim largientes. Itaque ligone, uti vides, et rhenone instructus, urbe præ pudore relicta, agrum mercede conductus colit, tot malis ad insaniam adactus, quod certos homines a se antea ditatos prætereuntes superbissime videat, ne hoc quidem tenentes, Timon necne dicatur.

9. JUP. Sane nobis talis vir haudquaquam contemnendus negligendusve est. Infelix enim jure indignabatur, siquidem eadem faciemus ac scelesti illi assentatores, virum talem negligentes, qui nobis tot caprarum, tot taurorum femora pinguissima in altaribus cremaverit; eorum certe nidorem etiamnum in naribus habeo. Ceterum propter negotia, quibus districtus fui, ingentemque pejerantium turbam, et eorum qui per vim rapiunt; tum vero propter metum sacrilegorum (ii enim bene multi sunt, et quos haud facile quis vitet, neque nobis connivendi spatium relinquunt), jam diu est ex quo in Atticam oculos non conjeci; maxime postquam philosophia et verbosæ illæ concertationes inter eos exortæ sunt. Quum enim inter sese digladientur perpetuoque vociferentur, non est ut quisquam nostrum preces et vota hominum possit exaudire: quare vel obstructis auribus otiose sedendum est, aut ab iis molestia confici necesse, virtutem nescio quam, et incorporea, et meras nugas magna voce connectentibus. Hanc ipsam ob causam evenit, ut hic Timon, vir sane neutiquam contemnendus, a nobis usque adhuc fuerit neglectus.

10. Sed utut hæc se habent, assumto tecum Pluto alii,

ἄπιθι παρ' αὐτὸν κατὰ τάχος· ἀγέτω δὲ ὁ Πλοῦτος καὶ Θησαυρὸν μετ' αὐτοῦ καὶ μενέτωσαν ἄμφω παρὰ τῷ Τίμωνι μηδὲ ἀπαλλαττέσθωσαν οὕτω ῥᾳδίως, κἂν ὅτι μάλιστα ὑπὸ χρηστότητος αὖθις ἐκδιώκῃ αὐτοὺς τῆς οἰκίας. Περὶ δὲ τῶν κολάκων ἐκείνων καὶ τῆς ἀχαριστίας, ἣν ἐπεδείξαντο πρὸς αὐτὸν, καὶ αὖθις μὲν σκέψομαι καὶ δίκην δώσουσιν, ἐπειδὰν τὸν κεραυνὸν ἐπισκευάσω· κατεαγμέναι γὰρ αὐτοῦ καὶ ἀπεστομωμέναι εἰσὶ δύο ἀκτῖνες αἱ μέγισται, ὁπότε φιλοτιμότερον ἠκόντισα πρῴην ἐπὶ τὸν σοφιστὴν Ἀναξαγόραν, ὃς ἔπειθε τοὺς ὁμιλητὰς μηδὲ ὅλως εἶναί τινας ἡμᾶς τοὺς θεούς. Ἀλλ' ἐκείνου μὲν διήμαρτον, — ὑπερέσχε γὰρ αὐτοῦ τὴν χεῖρα Περικλῆς — ὁ δὲ κεραυνὸς εἰς τὸ Ἀνακεῖον παρασκήψας ἐκεῖνό τε κατέφλεξε καὶ αὐτὸς ὀλίγου δεῖν συνετρίβη περὶ τῇ πέτρᾳ. Πλὴν ἱκανὴ ἐν τοσούτῳ καὶ αὕτη τιμωρία ἔσται αὐτοῖς, εἰ ὑπερπλουτοῦντα τὸν Τίμωνα ὁρῶσιν.

11. ΕΡΜ. Οἷον ἦν τὸ μέγα κεκραγέναι καὶ ὀχληρὸν εἶναι καὶ θρασύν. Οὐ τοῖς δικαιολογοῦσι μόνοις, ἀλλὰ καὶ τοῖς εὐχομένοις τοῦτο χρήσιμον· ἰδού γέ τοι αὐτίκα μάλα πλούσιος ἐκ πενεστάτου καταστήσεται ὁ Τίμων βοήσας καὶ παρρησιασάμενος ἐν τῇ εὐχῇ καὶ ἐπιστρέψας τὸν Δία· εἰ δὲ σωπῇ ἔσκαπτεν ἐπικεκυφὼς, ἔτι ἂν ἔσκαπτεν ἀμελούμενος.

ΠΛΟΥΤ. Ἀλλ' ἐγὼ οὐκ ἂν ἀπέλθοιμι, ὦ Ζεῦ, παρ' αὐτόν.

ΖΕΥΣ. Διὰ τί, ὦ ἄριστε Πλοῦτε, καὶ ταῦτα ἐμοῦ κελεύσαντος;

12. ΠΛΟΥΤ. Ὅτι νὴ Δία ὕβριζεν εἰς ἐμὲ καὶ ἐξεφόρει καὶ ἐς πολλὰ κατεμέριζε καὶ ταῦτα πατρῷον αὐτῷ φίλον ὄντα, καὶ μονονουχὶ δικράνοις ἐξεώθει με τῆς οἰκίας καθάπερ οἱ τὸ πῦρ ἐκ τῶν χειρῶν ἀπορριπτοῦντες. Αὖθις οὖν ἀπέλθω παρασίτοις καὶ κόλαξι καὶ ἑταίραις παραδοθησόμενος; Ἐπ' ἐκείνους, ὦ Ζεῦ, πέμπε με τοὺς αἰσθησομένους τῆς δωρεᾶς, τοὺς περιέφοντας, οἷς τίμιος ἐγὼ καὶ περιπόθητος· οὗτοι δὲ οἱ λάροι τῇ πενίᾳ ξυνέστωσαν, ἣν προτιμῶσιν ἡμῶν, καὶ διφθέραν παρ' αὐτῆς λαβόντες καὶ δίκελλαν ἀγαπάτωσαν ἄθλιοι τέτταρας ὀβολοὺς ἀποφέροντες, οἱ δεκαταλάντους δωρεὰς ἀμελητὶ προϊέμενοι.

13. ΖΕΥΣ. Οὐδὲν ἔτι τοιοῦτον ὁ Τίμων ἐργάσεται περὶ σέ· πάνυ γὰρ αὐτὸν ἡ δίκελλα πεπαιδαγώγηκεν, εἰ μὴ παντάπασιν ἀνάλγητός ἐστι τὴν ὀσφῦν, ὡς χρῆν σὲ ἀντὶ τῆς πενίας προαιρεῖσθαι. Σὺ μέντοι πάνυ μεμψίμοιρος εἶναί μοι δοκεῖς, ὃς νῦν μὲν τὸν Τίμωνα αἰτιᾷ, διότι σοι τὰς θύρας ἀναπετάσας ἠφίει περινοστεῖν ἐλευθέρως οὔτε ἀποκλείων οὔτε ζηλοτυπῶν· ἄλλοτε δὲ τοὐναντίον ἠγανάκτεις κατὰ τῶν πλουσίων κατακεκλεῖσθαι λέγων πρὸς αὐτῶν ὑπὸ μοχλοῖς καὶ κλεισὶ καὶ σημείων ἐπιβολαῖς, ὡς μηδὲ παρακῦψαί σοι ἐς τὸ φῶς δυνατὸν εἶναι. Ταῦτα γοῦν ἀπωδύρου πρός με ἀποπνίγεσθαι λέγων ἐν πολλῷ τῷ σκότῳ· καὶ διὰ τοῦτο ὠχρὸς ἡμῖν ἐφαίνου καὶ φροντίδος ἀνάπλεως, συνεσπακὼς τοὺς δακτύλους πρὸς τὸ ἔθος τῶν λογισμῶν καὶ ἀποδράσεσθαι

Mercuri, ad illum quam ocissime. Adjungat sibi comitem Thesaurum Plutus; maneantque ambo apud Timonem, neque tam cito ex ejus ædibus concedant, licet vel maxime eos Timon, qua bonitate est, denuo emittat. De assentatoribus autem illis, qui se adeo immemores beneficiorum præbuerunt, post videro: eos plectere certum est, ubi fulmen recusum fuerit; radii enim ejus duo omnium maximi diffracti sunt et retusi, quum illud nuper vehementius paullo in Anaxagoram sophistam jacularer, qui discipulis suis persuadebat nos deos in rerum natura prorsus non exsistere; et ab illo quidem aberravi frustrato ictu (protenta namque manu tutatus eum est Pericles); fulmen autem in Castorum ædem quum præter spem delatum esset, eam exussit; ipsum vero tantum non ad saxum comminutum est. Quanquam interim satis pœnarum luent assentatores, si in re perquam ampla Timonem viderint.

11. MER. Quantam affert utilitatem magnis clamoribus rem agere, et molestum esse atque audacem! neque id modo causarum actoribus utile est, sed iis etiam, qui deos comprecantur. Vel hic Timon, quam repente dives ex pauperrimo factus est! nimirum ingenti clamore vociferans et magna dicendi libertate in precibus usus, Jovem ad sese advertit denique: sin vero tacitus incurvusque fodisset, etiamnum neglectus foderet.

PLUT. At ego, Jupiter, ad ipsum non ibo.

JUP. Quid ita autem, optime Plute, me præsertim jubente?

12. PLUT. Quia per Jovem in me injurius erat, domo me extrudens ac frustulatim partiens, qui tamen ipsi paternus essem amicus; neque tantum non furca expellebat, et ut eos facere videmus, qui ignem manibus hærentem excutiunt. Quid igitur? redeamne ad eum, parasitis, assentatoribus et meretriculis objiciendus? Ad illos, Jupiter, me, quæso, mittas, qui benignitatis modum intelligant, qui me amplectantur, quibus pretiosus sim et desiderabilis: hi vero fatui cum Paupertate usque et usque versentur, quando illam me potiorem ducunt, acceptoque ab ea rhenone et ligone, miseri quatuor obolos pendentes domino vivant, qui decem talentorum munera sic neglectim abjiciunt.

13. JUP. Nihil tale posthac adversus te Timon faciet; a ligone probe perdoctus fuit te Paupertati anteponere, nisi si lumbos forte sortitus est cuilibet dolori impenetrabiles. At tu mihi mirum in modum querulus videris, qui nunc Timonem accuses, quod tibi reclusis foribus hac illac vagari, prout libitum fuit, permisit, neque domi claudens, neque in te zelotypia ardens: olim vero adversus divites indignabaris, claudi te ab iis conquerens repagulis, clavibus et annulo impresso, ut ne oculis quidem obliquis lucem tibi fas esset aspicere. Hæc igitur apud me lamentabaris, in tantis tenebris suffocari te dictitans: ac propterea nobis pallidus videbaris, curis perditus, digitosque contractos habebas ob frequentem computandi consuetudinem; quin et

ἀπιλῶν, εἰ καιροῦ λάβοιο, παρ' αὐτῶν· καὶ ὅλως, τὸ πρᾶγμα ὑπέρδεινον ἐδόκει σοι, ἐν χαλκῷ ἢ σιδηρῷ τῷ θαλάμῳ καθάπερ τὴν Δανάην παρθενεύεσθαι ὑπ' ἀκριβέσι καὶ παμπονήροις παιδαγωγοῖς ἀνατρεφόμενον, τῷ Τόκῳ καὶ τῷ Λογισμῷ.

14. Ἄτοπα γοῦν ποιεῖν ἔφασκες αὐτοὺς ἐρῶντας μὲν εἰς ὑπερβολήν, ἐξὸν δὲ ἀπολαύειν οὐ τολμῶντας, οὐδὲ ἐπ' ἀδείας χρωμένους τῷ ἔρωτι κυρίους γε ὄντας, ἀλλὰ φυλάττειν ἐγρηγορότας, ἐς τὸ σημεῖον καὶ τὸν μοχλὸν ἀσκαρδαμυκτὶ βλέποντας, ἱκανὴν ἀπόλαυσιν οἰομένους οὐ τὸ αὐτοὺς ἀπολαύειν ἔχειν, ἀλλὰ τὸ μηδενὶ μεταδιδόναι τῆς ἀπολαύσεως, καθάπερ τὴν ἐν τῇ φάτνῃ κύνα μήτε αὐτὴν ἐσθίουσαν τῶν κριθῶν μήτε τῷ ἵππῳ πειναῶντι ἐπιτρέπουσαν. Καὶ προσέτι γε καὶ κατεγέλας αὐτῶν φειδομένων καὶ φυλαττόντων καὶ τὸ καινότατον αὐτοὺς ζηλοτυπούντων, ἀγνοούντων δὲ ὡς κατάρατος οἰκέτης ἢ οἰκονόμος ἢ πεδότριψ ὑπεισιὼν λαθραίως ἐμπαροινήσει τὸν κακοδαίμονα καὶ ἀνέραστον δεσπότην πρὸς ἀμαυρόν τι καὶ μικρόστομον λυχνίδιον καὶ διψαλέον θρυαλλίδιον ἐπαγρυπνεῖν ἐάσας τοῖς τόκοις. Πῶς οὖν οὐκ ἄδικα ταῦτα, πάλαι μὲν ἐκεῖνα αἰτιᾶσθαι, νῦν δὲ τῷ Τίμωνι τὰ ἐναντία ἐπικαλεῖν;

15. ΠΛΟΥΤ. Καὶ μὴν εἴ γε τἀληθὲς ἐξετάζοις, ἅμ' ἂν σοι εὔλογα δόξω ποιεῖν· τοῦ τε γὰρ Τίμωνος τὸ πάνυ τοῦτο ἀνειμένον ἀμελὲς καὶ οὐκ εὐνοϊκὸν ὡς πρὸς ἐμὲ εἰκότως ἂν δοκοίη· τούς τε αὖ κατάκλειστον ἐν σιροῖς καὶ σκότῳ φυλάττοντας, ὅπως αὐτοῖς παχύτερος γενοίμην καὶ πιμελὴς καὶ ὑπέρογκος ἐπιμελουμένους, οὔτε προσαπτομένους αὐτοὺς οὔτε ἐς τὸ φῶς προάγοντας, ὡς μηδὲ ὀφθείην πρός τινος, ἀνοήτους ἐνόμιζον εἶναι καὶ ὑβριστάς, οὐδὲν ἀδικοῦντά με ὑπὸ τοσούτοις δεσμοῖς κατασήποντας, οὐκ εἰδότας ὡς μετὰ μικρὸν ἀπίασιν ἄλλῳ τινὶ τῶν εὐδαιμόνων με καταλιπόντες.

16. Οὔτ' οὖν ἐκείνους οὔτε τοὺς πάνυ προχείρους εἰς ἐμὲ τούτους ἐπαινῶ, ἀλλὰ τοὺς, ὅπερ ἄριστόν ἐστι, μέτρον ἐπιθήσοντας τῷ πράγματι καὶ μήτε ἀφεξομένους τὸ παράπαν μήτε προησημένους τὸ ὅλον. Σκόπει γὰρ, ὦ Ζεῦ, πρὸς τοῦ Διός, εἴ τις νόμῳ γήμας γυναῖκα νέαν καὶ καλὴν ἔπειτα μήτε φυλάττοι μήτε ζηλοτυποῖ τὸ παράπαν, ἀφεὶς καὶ βαδίζειν ἔνθα ἂν ἐθέλοι νύκτωρ καὶ μεθ' ἡμέραν καὶ ξυνεῖναι τοῖς βουλομένοις, μᾶλλον δὲ αὐτὸς ἀπάγοι μοιχευθησομένην ἀνοίγων τὰς θύρας καὶ μαστροπεύων καὶ πάντας ἐπ' αὐτὴν καλῶν, ἆρα ὁ τοιοῦτος ἐρᾶν δόξειεν ἄν; οὐ σύ γε, ὦ Ζεῦ, τοῦτο φαίης ἂν ἐρασθεὶς πολλάκις.

17. Εἰ δέ τις ἔμπαλιν ἐλευθέραν γυναῖκα εἰς τὴν οἰκίαν νόμῳ παραλαβὼν ἐπ' ἀρότῳ παίδων γνησίων, ὁ δὲ μήτε αὐτὸς προσάπτοιτο ἀκμαίας καὶ καλῆς παρθένου μήτε ἄλλῳ προσβλέπειν ἐπιτρέποι, ἄγονον δὲ καὶ στείραν κατακλείσας παρθενεύοι, καὶ ταῦτα ἐρᾶν φάσκων καὶ ὅλος ὢν ἀπὸ τῆς χρόας καὶ τῆς σαρκὸς ἐκτετηκυίας καὶ τῶν ὀφθαλμῶν ὑποδεδυκότων, ἕσθ' ὅπως ὁ τοιοῦτος οὐ παραπαίειν δόξειεν ἄν, δέον παιδοποιεῖσθαι καὶ ἀπολαύειν τοῦ γάμου, καταμαραίνων εὐπρόσωπον

minitabaris te quandoque aufugiturum, si quam nancisci occasionem posses. Ad pauca ut redeam, gravissimum tibi videbatur, in ferreo aut æreo thalamo virginem custodiri velut alteram Danaen, et sub acribus et scelerosis pædagogis educari, Fœnore et Ratiocinio.

14. Eos itaque plane ineptos esse dicebas, qui quum te misere amarent, possentque frui, non auderent tamen : neque amore suo secure uterentur, quibus id liberum esset, sed te pervigili custodia servarent, sigillum aut repagulum oculis haudquaquam demotis aspicientes; seque abunde potiri existimantes, non si fruerentur ipsi, sed omnibus fruendi facultatem si præreptum irent; quod plane canem in præsepio factitare videmus, qui nec ipse hordeum attingat, nec equum esurientem sinat attingere. Insuper etiam irridebas eos, qui perpetuo parcerent, et custodirent, et (quod prodigii instar sit) in se ipsos zelotypi forent, ignorarent autem scelestissimum aliquem servulum aut dispensatorem aut furciferum, clanculum subeuntem in vino lascivire, interea dum herum inamabilem et diis iratis natum ad lucernam obscuram et exiguum habentem ellychnium paululoque instructam oleo usuris computandis sinat invigilare. Qui autem, o Plute, absurdum non sit, hæc olim divitibus objecisse te, nunc vero plane contraria Timoni vitio vertere?

15. PLUT. Atqui si vera lubet inquirere, utrumque cum ratione videbor facere. Nam hujus quidem Timonis soluta licentia, mera negligentia, non benevolentia, ad me quod spectat, haberi debet : illos autem qui me clausum in siris et tenebris detinerent, dantes operam, ut me crassiorem redderent et pinguiorem atque corpulentiorem æquo, neque ipsi me attingentes, neque in lucem producentes, ut ne a quoquam conspicerer, prorsus desipere et in me contumeliosos esse rebar, qui nihil peccantem computrescere juberent tot vinculis impeditum, nescientes interim post paulo se e vita decessuros, meque fortunatorum cuipiam relicturos.

16. Itaque adeo neque illos restrictos laudem, neque eos rursus, qui me libentius contrectant et insumunt, sed potius eos, qui, quod apprime in vita utile est, moderationem adhibeant, qui neque prorsus abstineant, neque omnino projiciant, et cuilibet obtrudant. Illud enim per Jovem vide, quæso, Jupiter; si quis legitimis nuptiis formosulam aliquam uxorem in ipso ætatis flore duxerit, deinde neque domi custodiat, neque ullo zelotypiæ sensu moveatur, noctu et interdiu qua visum est ei vagari permittens, et cum obviis quibusque ætatulam suam oblectare; aut ipse potius aliquo corrumpendam ab adulteris ducat, fores aperiens, prostituens et omnes ad eam convocans : talis, quæso, vir uxorem amare videatur? Haud istud tu quidem dixeris, Jupiter, qui quid sit amor, re sæpenumero expertus es.

17. Si quis contra uxorem lege domum duxerit ad procreandos liberos ingenuos, florentem autem puellam neque attingat ipse, neque alium quenquam ad illam oculos adjicere sinat; domi autem conclusam custodiat virginem, nullam ex ea prolem suscipiens, ejus tamen amore flagrare se dictitans, idque indicans vultus colore, macrescente in dies et horas corpore, concavis et introrsum recedentibus oculis; an non ejusmodi vir pro cerrito circumferri debeat, qui quasi Cereri sacerdotem per totam vitam nutriens, tam venustam tam-

οὕτω καὶ ἐπέραστον κόρην καθάπερ ἱέρειαν τῇ Θεσμοφόρῳ τρέφων διὰ παντὸς τοῦ βίου; Ταῦτα καὶ αὐτὸς ἀγανακτῶ πρὸς ἐνίων μὲν ἀτίμως λακτιζόμενος καὶ λαφυσσόμενος καὶ ἐξαντλούμενος, ὑπ' ἐνίων δὲ ὥσπερ στιγματίας δραπέτης πεπεδημένος.

18. ΖΕΥΣ. Τί οὖν ἀγανακτεῖς κατ' αὐτῶν; διδόασι γὰρ ἄμφω καλὴν τὴν δίκην οἱ μὲν ὥσπερ ὁ Τάνταλος ἄποτοι καὶ ἄγευστοι καὶ ξηροὶ τὸ στόμα, ἐπικεχηνότες μόνον τῷ χρυσίῳ, οἱ δὲ καθάπερ ὁ Φινεὺς ἀπὸ τῆς φάρυγγος τὴν τροφὴν ὑπὸ τῶν Ἁρπυιῶν ἀφαιρούμενος. Ἀλλ' ἄπιθι ἤδη σωφρονεστέρῳ παρὰ πολὺ τῷ Τίμωνι ἐντευξόμενος.

ΠΛΟΥΤ. Ἐκεῖνος γάρ ποτε παύσεται ὥσπερ ἐκ κοφίνου τετρυπημένου, πρὶν ὅλως εἰσρυῆναί με, κατὰ σπουδὴν ἐξαντλῶν, φθάσαι βουλόμενος τὴν ἐπιῤῥοὴν, μὴ ὑπέραντλος εἰσπεσὼν ἐπικλύσω αὐτόν; ὥστε ἐς τὸν τῶν Δαναΐδων πίθον ὑδροφορήσειν μοι δοκῶ καὶ μάτην ἐπαντλήσειν, τοῦ κύτους μὴ στέγοντος, ἀλλὰ πρὶν εἰσρυῆναι, σχεδὸν ἐκχυθησομένου τοῦ ἐπιῤῥέοντος· οὕτως εὐρύτερον τὸ πρὸς τὴν ἔκχυσιν κεχηνὸς τοῦ πίθου καὶ ἀκώλυτος ἡ ἔξοδος.

19. ΖΕΥΣ. Οὐκοῦν εἰ μὴ ἐμφράξεται τὸ κεχηνὸς τοῦτο καὶ ἐς τὸ ἅπαξ ἀναπεπταμένον, ἐκχυθέντος ἐν βραχεῖ σου ῥᾳδίως εὑρήσει τὴν διφθέραν αὖθις καὶ τὴν δίκελλαν ἐν τῇ τρυγὶ τοῦ πίθου. Ἀλλ' ἄπιτε ἤδη καὶ πλουτίζετε αὐτόν· σὺ δὲ μέμνησο, ὦ Ἑρμῆ, ἐπανιὼν πρὸς ἡμᾶς ἄγειν τοὺς Κύκλωπας ἐκ τῆς Αἴτνης, ὅπως τὸν κεραυνὸν ἀκονήσαντες ἐπισκευάσωσιν· ὡς ἤδη γε τεθηγμένου αὐτοῦ δεησόμεθα.

20. ΕΡΜ. Προΐωμεν, ὦ Πλοῦτε. Τί τοῦτο; ὑποσκάζεις; ἐλελήθεις με, ὦ γεννάδα, οὐ τυφλὸς μόνον, ἀλλὰ καὶ χωλὸς ὤν.

ΠΛΟΥΤ. Οὐκ ἀεὶ τοῦτο, ὦ Ἑρμῆ, ἀλλ' ὁπόταν μὲν ἀπίω παρά τινα πεμφθεὶς ὑπὸ τοῦ Διὸς, οὐκ οἶδ' ὅπως βραδύς εἰμι καὶ χωλὸς ἀμφοτέροις, ὡς μόλις τελεῖν ἐπὶ τὸ τέρμα, προγηράσαντος ἐνίοτε τοῦ περιμένοντος, ὁπόταν δὲ ἀπαλλάττεσθαι δέῃ, πτηνὸν ὄφει, πολὺ τῶν ὀνείρων ὠκύτερον· ἅμα γοῦν ἔπεσεν ἡ ὕσπληξ, κἀγὼ ἤδη ἀνακηρύττομαι νενικηκὼς, ὑπερπηδήσας τὸ στάδιον οὐδὲ ἰδόντων ἐνίοτε τῶν θεατῶν.

ΕΡΜ. Οὐκ ἀληθῆ ταῦτα φῄς· ἐγὼ δέ τοι πολλοὺς ἂν εἰπεῖν ἔχοιμί σοι χθὲς μὲν οὐδὲ ὀβολὸν, ὥστε πρίασθαι βρόχον, ἐσχηκότας, ἄφνω δὲ τήμερον πλουσίους καὶ πολυτελεῖς ἐπὶ λευκοῦ ζεύγους ἐξελαύνοντας, οἷς οὐδὲ κἂν ὄνος ὑπῆρξε πώποτε· καὶ ὅμως πορφυροῖ καὶ χρυσόχειρες περιέρχονται οὐδ' αὐτοὶ πιστεύοντες οἴμαι ὅτι μὴ ὄναρ πλουτοῦσιν.

21. ΠΛΟΥΤ. Ἕτεροῖον τοῦτ' ἐστὶν, ὦ Ἑρμῆ, καὶ οὐχὶ τοῖς ἐμαυτοῦ ποσὶ βαδίζω τότε, οὐδὲ ὁ Ζεὺς, ἀλλ' ὁ Πλούτων ἀποστέλλει με παρ' αὐτοὺς ἅτε πλουτοδότης καὶ μεγαλόδωρος καὶ αὐτὸς ὢν· δηλοῖ γοῦν καὶ τῷ ὀνόματι. Ἐπειδὰν τοίνυν μετοικισθῆναι δέῃ με παρ' ἑτέρου πρὸς ἕτερον, ἐς δέλτον ἐμβαλόντες με καὶ καταπιπτηνάμενοι ἐπιμελῶς φορηδὸν ἀράμενοι μετακομίque amabilem puellam defloreſcere absque omni veneris usu sineret, quum contra liberos ex ea tollere et conjugio frui deberet? Hæc ipsa ego indignor, dum quidam me calcibus ignominiose quatiunt, luxuriaque sua effundunt atque exhauriunt, a nonnullis autem velut fugitivus aliquis notis compunctus vincior.

18. JUP. Quid, quæso, illis succenses? utrique enim pulchras pœnas dant: veluti Tantalus aliquis, ore sicco ac jejuno perstant, ad auri modo aspectum rictu diducto hiantes: illi autem sibi, itidem ut Phineus, cibum ex ipsis faucibus ab Harpyiis eripi vident. Sed jam abi: nam Timonem multo impensius quam antea sapere deprehendes.

PLUT. Quid autem? an is aliquando desinet consulto, veluti ex perforato cophino, exhaurire me, priusquam totus influxero, veluti prævenire studens nimiarum opum influxum, ne copiosior incidens ipsum inundem? Quare videor mihi aquam in Danaidum dolium congesturus et frustra infusurus, quum vas perfluat, et id quod ingeratur, jam jamque sit effluxurum, priusquam influxerit: adeo latus est ad effluxum liquoris hiatus dolii ac facilis exitus.

19. JUP. Proinde rimam istam et perpetuo fluentem fissuram nisi obstruxerit, in fæce dolii rhenonem una cum ligone reperiet facile, postquam tu cito effusus fueris. Sed jam aliquando abite, atque hominem ditate. At heus tu, Mercuri, revertens curato adductos tecum ex Ætna Cyclopas, qui mihi fulmen exacuant ac reficiant; eo enim hene acuto nobis jam erit opus.

20. MER. Pergamus, Plute. Quid hoc autem? claudicas? Ignorabam, o bone, esse te non modo cæcum, sed claudum etiam.

PLUT. Id mihi non semper usu venit: sed quum ab Jove ad quempiam mittor, nescio quomodo repente tardus fio et utroque crure claudus, ita ut vix atque ægre itineris finem attingam, quum is jam, ad quem missus fueram, senio confectus plerumque jacet. At si quando discedendum sit, tum vero me alatum dicas, ipsis somniis citiorem. Itaque ubi primum cecidit circi repagulum, jam me victorem proclamat præco, qui stadium tanta pernicitate percurrerim, ut aliquando spectatores ipsi oculis me currentem sequi non potuerint.

MER. Minus vere istæc, Plute, dicis: nam multos ego memorare possum, qui, quum heri ne obolum quidem haberent, qui sibi pararent laqueum, hodie repente divites exsistunt, sumtus ingentes faciunt, et bigis albis vehuntur, quibus ne asellus quidem unquam domi fuit; et tamen purpura aureisque annulis fulgentes incedunt, qui, ut opinor, nondum satis sibi persuadere possunt, suas illas opes somnium non esse.

21. PLUT. Istuc quod dicis, Mercuri, longe diversum est; nec tunc meis me pedibus porto, neque me tunc Jupiter, sed Pluto ad eos mittit, utpote qui πλουτοδότης (opum largitor) et ipse sit et splendidorum munerum dator, quod et suo ipsius nomine satis indicat. Itaque quum mihi ab alio ad alium migrandum est, me in tabulas testamentarias conjiciunt, ac diligenter obsignantes domo me baju-

ζουσι· καὶ ὁ μὲν νεκρὸς ἐν σκοτεινῷ που τῆς οἰκίας πράκειται ὑπὲρ τὰ γόνατα παλαιᾷ τῇ ὀθόνῃ σκεπόμενος, περιμάχητος ταῖς γαλαῖς, ἐμὲ δὲ οἱ ἐπελπίσαντες ἐν τῇ ἀγορᾷ περιμένουσι κεχηνότες ὥσπερ τὴν χελιδόνα προσπετομένην τετριγότες οἱ νεοττοί.

22. Ἐπειδὰν δὲ τὸ σημεῖον ἀφαιρεθῇ καὶ τὸ λίνον ἐντμηθῇ καὶ ἡ δέλτος ἀνοιχθῇ καὶ ἀνακηρυχθῇ μου ὁ καινὸς δεσπότης ἤτοι συγγενής τις ἢ κόλαξ ἢ καταπύγων οἰκέτης ἐκ παιδικῶν τίμιος, ὑπεξυρημένος ἔτι τὴν γνάθον, ἀντὶ ποικίλων καὶ παντοδαπῶν ἡδονῶν, ἃς ἡδὺ ἔξωρος ὢν ὑπηρέτησεν αὐτῷ, μέγα τὸ μίσθωμα ὁ γενναῖος ἀπολαβών, ἐκεῖνος μέν, ὅστις ἂν ἦ ποτε, ἁρπασάμενός με αὐτῇ δέλτῳ θεῖ φέρων ἀντὶ τοῦ τέως Πυρρίου ἢ Δρόμωνος ἢ Τιβίου Μεγακλῆς ἢ Μεγάβαζος ἢ Πρώταρχος μετονομασθείς, τοὺς μάτην κεχηνότας ἐκείνους ἐς ἀλλήλους ἀποβλέποντας καταλιπὼν ἀληθὲς ἄγοντας τὸ πένθος, οἷος αὐτοὺς ὁ θύννος ἐκ μυχοῦ τῆς σαγήνης διέφυγεν οὐκ ὀλίγον τὸ δέλεαρ καταπιών.

23. Ὁ δὲ ἐμπεσὼν ἀθρόως εἰς ἐμὲ ἀπειρόκαλος καὶ παχύδερμος ἄνθρωπος, ἔτι τὴν πέδην πεφρικὼς καὶ εἴ παριὼν ἄλλος μαστίξειέ τις, ὄρθιον ἑφιστὰς τὸ οὖς καὶ τὸν μυλῶνα ὥσπερ τὸ Ἀνάκτορον προσκυνῶν οὐκέτι φορητός ἐστι τοῖς ἐντυγχάνουσιν, ἀλλὰ τούς τε ἐλευθέρους ὑβρίζει καὶ τοὺς ὁμοδούλους μαστιγοῖ ἀποπειρώμενος εἰ καὶ αὐτῷ τὰ τοιαῦτα ἔξεστιν, ἄχρι ἂν ἢ ἐς πορνίδιόν τι ἐμπεσὼν ἢ ἱπποτροφίας ἐπιθυμήσας ἢ κόλαξι παραδοὺς ἑαυτὸν ὁμνύουσιν, ἢ μὴν εὐμορφότερον μὲν Νιρέως εἶναι αὐτὸν, εὐγενέστερον δὲ τοῦ Κέκροπος ἢ Κόδρου, συνετώτερον δὲ τοῦ Ὀδυσσέως, πλουσιώτερον δὲ συνάμα Κροίσων ἑκκαίδεκα, ἐν ἀκαρεῖ τοῦ χρόνου ἄθλιος ἐκχέῃ τὰ κατ' ὀλίγον ἐκ πολλῶν ἐπιορκιῶν καὶ ἁρπαγῶν καὶ πανουργιῶν συνειλεγμένα.

24. ΕΡΜ. Αὐτά που σχεδὸν φὴς τὰ γιγνόμενα· ὁπότ' ἂν δ' οὖν αὐτόπους βαδίζῃς, πῶς οὕτω τυφλὸς ὢν εὑρίσκεις τὴν ὁδόν; ἢ πῶς διαγιγνώσκεις ἐφ' οὓς ἄν σε ὁ Ζεὺς ἀποστείλῃ κρίνας εἶναι τοῦ πλουτεῖν ἀξίους;

ΠΛΟΥΤ. Οἴει γὰρ εὑρίσκειν με οἵτινές εἰσι; μὰ τὸν Δία οὐ πάνυ· οὐ γὰρ ἂν Ἀριστείδην καταλιπὼν Ἱππονίκῳ καὶ Καλλίᾳ προσήειν καὶ πολλοῖς ἄλλοις Ἀθηναίων οὐδὲ ὀβολοῦ ἀξίοις.

ΕΡΜ. Πλὴν ἀλλά τί πράττεις καταπεμφθείς;

ΠΛΟΥΤ. Ἄνω καὶ κάτω πλανῶμαι περινοστῶν, ἄχρι ἂν λάθω τινὶ ἐμπεσών· ὁ δέ, ὅστις ἂν πρῶτός μοι περιτύχῃ, ἀπαγαγὼν παρ' αὐτὸν ἔχει, σὲ τὸν Ἑρμῆν ἐπὶ τῷ παραλόγῳ τοῦ κέρδους προσκυνῶν.

25. ΕΡΜ. Οὐκοῦν ἐξηπάτηται ὁ Ζεὺς οἰόμενός σε κατὰ τὸ αὐτῷ δοκοῦν πλουτίζειν ὅσους ἂν οἵηται τοῦ πλουτεῖν ἀξίους;

ΠΛΟΥΤ. Καὶ μάλα δικαίως, ὦγαθέ, ὅς γε τυφλὸν ὄντα εἰκὸς ἔπεμπεν ἀναζητήσοντα δυσεύρετον οὕτω χρῆμα καὶ πρὸ πολλοῦ ἐκλελοιπὸς ἐκ τοῦ βίου, ὅπερ οὐδ' ὁ Λυγκεὺς ἂν ἐξεύροι ῥᾳδίως, ἀμαυρὸν οὕτω καὶ μικρὸν ὄν. Τοιγαροῦν ἅτε τῶν μὲν ἀγαθῶν ὀλίγων ὄντων, πονηρῶν δὲ πλείστων ἐν ταῖς πόλεσι τὸ πᾶν ἐπεγόν-

lorum opera efferunt; interea mortuus in obscuro aliquo ædium loco jacet, detrito linteo obtectis genibus, dum circa ipsum decertant feles ejus cadaver attingere gestientes; me vero ii, qui jam diu speraverant, ad forum itidem ut hirundinem advolantem pulli stridentes, ore hiante exspectant.

22. Ubi autem sublatum est sigillum, et lineum testamenti vinculum incisum est, tabulæque apertæ, ac novus dominus meus declaratus est, cognatus aliquis, aut assentator, aut servulus denique, qui ad obsequium venereum præsto erat, et ea gratia ceteris prælatus omnibus, rasa etiamnum mala; magnum pretium ferens ille præstantissimus tam multiplicium voluptatum, quas hero attulit, dum se, jam exoletus, ei ad omnia obsequiose permittebat. Is igitur, quisquis tandem est, me cum testamenti tabulis arripiens, curriculo domum contendit, mutato repente nomine, ut qui antea Byrria, vel Dromo, aut, si mavis, Tibius vocabatur, deinceps Megacles, Protarchus, aut Megabyzus dicatur: illos incassum hiantes et inter se aspicientes relinquens, jam dolore non ficto lugentes, qui tantum thynnum ex intimo sagenæ recessu elapsum amiserint, esca plurima inutiliter consumta.

23. In me igitur irruens talis vir, omnis honesti imperitus, stolidus; qui pedicas etiamnum exhorrescit, et, si quis temere præteriens loris increpuerit, arrectis auribus repente resistit, pistrinum autem veluti templum adorat, talis, inquam, vir, iis, quibuscum versatur, non amplius tolerabilis, sed et in homines liberos contumeliosus est, et conservos suos flagellis urit, quasi experiundi gratia, num id sibi quoque liceat; usque adeo donec meretriculam aliquam nactus, vel equorum alendorum studio insaniens, aut assentatoribus sese totum dedens, dejerantibus formosiorem ipsum Nireo esse, Cecrope aut Codro nobiliorem, Ulysse prudentiorem, sedecim simul una Cræsis ditiorem; puncto temporis ea effundat infelix, quæ unciatim ex multis perjuriis, rapinis ac fraudibus erant parta.

24. MER. Id ferme, quod res est, dicis. Quum vero tuis ipsius pedibus uteris, qui, quæso, tanta in te quum sit cæcitas, viam tamen invenis? aut qui tandem dijudicas, ad quos te miserit Jupiter, divitiis illos esse dignos deputans?

PLUT. Credis videlicet invenire me, quinam illi sint? minime vero, per Jovem: neque enim rejecto Aristide ad Hipponicum me aut Calliam contulissem, multosque alios ex Atheniensibus, homines vix obolares.

MER. Ceterum ab Jove missus quid facis?

PLUT. Sursum deorsum vagor perambulans, donec imprudens in quempiam incidam; is autem, qui me cumque primus obvium habuerit, abductum domi servat, te, Mercuri, ob lucrum adeo insperatum venerans.

25. MER. Deceptus ergo est Jupiter, eos a te ditari de suo decreto existimans, quos ipse opibus dignos judicarat?

PLUT. Neque vero injuria, o bone; qui quidem me cæcum esse sciens, eos quæsiturum mittebat, rem, ut vides, quam non sine summo labore quis reperiat, quæque jam pridem inter homines defecit; illam ne Lynceus quidem facile reperiat, quum adeo sit evanida et exilis. Itaque quum boni perquam pauci sint, pravi autem homines et scelerati in

των, ῥᾷον ἐς τοὺς τοιούτους ἐμπίπτω περιὼν καὶ σαγηνευομαι πρὸς αὐτῶν.

ΕΡΜ. Εἶτα πῶς, ἐπειδὰν καταλίπῃς αὐτοὺς, ῥᾳδίως φεύγεις οὐκ εἰδὼς τὴν ὁδόν;

ΠΛΟΥΤ. Ὀξυδερκὴς τότε πως καὶ ἀρτίπους γίγνομαι πρὸς μόνον τὸν καιρὸν τῆς φυγῆς.

26. ΕΡΜ. Ἔτι δή μοι καὶ τοῦτο ἀπόκριναι, πῶς τυφλὸς ὢν, εἰρήσεται γὰρ, καὶ προσέτι ὠχρὸς καὶ βαρὺς ἐκ τοῖν σκελοῖν τοσούτους ἐραστὰς ἔχεις, ὥστε πάντας ἀποβλέπειν εἰς σὲ, καὶ τυχόντας μὲν εὐδαιμονεῖν οἴεσθαι, εἰ δὲ ἀποτύχοιεν, οὐκ ἀνέχεσθαι ζῶντας; οἶδα γοῦν τινας οὐκ ὀλίγους αὐτῶν οὕτω σου δυσέρωτας ὄντας, ὥστε καὶ ἐς βαθυκήτεα πόντον φέροντες ἔῤῥιψαν αὑτοὺς καὶ πετρῶν κατ' ἠλιβάτων ὑπερορᾶσθαι νομίζοντες ὑπὸ σοῦ, ὅτιπερ οὐδὲ τὴν ἀρχὴν ἑώρας αὐτούς. Πλὴν ἀλλὰ καὶ σὺ ἂν εὖ οἶδα ὅτι ὁμολογήσειας, εἴ τι ξυνίης σαυτοῦ, κορυβαντιᾶν αὐτοὺς ἐρωμένῳ τοιούτῳ ἐπιμεμηνότας.

27. ΠΛΟΥΤ. Οἴει γὰρ τοιοῦτον, οἷός εἰμι, ὁρᾶσθαι αὐτοῖς, χωλὸν ἢ τυφλὸν ἢ ὅσα ἄλλα μοι πρόσεστιν;

ΕΡΜ. Ἀλλὰ πῶς, ὦ Πλοῦτε, εἰ μὴ τυφλοὶ καὶ αὐτοὶ πάντες εἰσίν;

ΠΛΟΥΤ. Οὐ τυφλοὶ, ὦ ἄριστε, ἀλλ' ἡ ἄγνοια καὶ ἡ ἀπάτη, αἵπερ νῦν κατέχουσι τὰ πάντα, ἐπισκιάζουσιν αὐτούς· ἔτι δὲ καὶ αὐτὸς, ὡς μὴ παντάπασιν ἄμορφος εἴην, προσωπεῖόν τι ἐρασμιώτατον περιθέμενος, διάχρυσον καὶ λιθοκόλλητον, καὶ ποικίλα ἐνδὺς ἐντυγχάνω αὐτοῖς· οἱ δὲ αὐτοπρόσωπον οἰόμενοι ὁρᾶν τὸ κάλλος ἐρῶσι καὶ ἀπόλλυνται μὴ ἐντυγχάνοντες. Ὡς εἴ γέ τις αὐτοῖς ὅλον ἀπογυμνώσας ἐπέδειξέ με, δῆλον ὡς κατεγίγνωσκον ἂν αὑτῶν ἀμβλυώττοντες τὰ τηλικαῦτα καὶ ἐρῶντες ἀνεράστων καὶ ἀμόρφων πραγμάτων.

28. ΕΡΜ. Τί οὖν ὅτι καὶ ἐν αὐτῷ ἤδη τῷ πλουτεῖν γενόμενοι καὶ τὸ προσωπεῖον αὐτὸ περιθέμενοι ἔτι ἐξαπατῶνται, καὶ ἤν τις ἀφαιρῆται αὐτοὺς, θᾶττον ἂν τὴν κεφαλὴν ἢ τὸ προσωπεῖον πρόοιντο; οὐ γὰρ δὴ καὶ τότε ἀγνοεῖν εἰκὸς αὐτοὺς ὡς ἐπίχριστος ἡ εὐμορφία ἐστὶν, ἔνδοθεν τὰ πάντα δρῶντας.

ΠΛΟΥΤ. Οὐκ ὀλίγα, ὦ Ἑρμῆ, καὶ πρὸς τοῦτό μοι συναγωνίζεται.

ΕΡΜ. Τὰ ποῖα;

ΠΛΟΥΤ. Ἐπειδάν τις ἐντυχὼν τὸ πρῶτον ἀναπετάσας τὴν θύραν εἰσδέχηταί με, συμπαρεισέρχεται μετ' ἐμοῦ λαθὼν ὁ τῦφος καὶ ἡ ἄνοια καὶ ἡ μεγαλαυχία καὶ μαλακία καὶ ὕβρις καὶ ἀπάτη καὶ ἄλλ' ἄττα μυρία· ὑπὸ δὴ τούτων ἁπάντων καταληφθεὶς τὴν ψυχὴν θαυμάζει τε τὰ οὐ θαυμαστὰ καὶ ὀρέγεται τῶν φευκτῶν κἀμὲ τὸν πάντων ἐκείνων πατέρα τῶν εἰσεληλυθότων κακῶν τέθηπε δορυφορούμενον ὑπ' αὐτῶν, καὶ πάντα πρότερον πάθοι ἂν ἢ ἐμὲ προέσθαι ὑπομείνειεν ἄν.

29. ΕΡΜ. Ὡς δὲ λεῖος εἶ, ὦ Πλοῦτε, καὶ ὀλισθηρὸς καὶ δυσκάτοχος καὶ διαφευκτικὸς, οὐδεμίαν ἀντιλαβὴν παρεχόμενος βεβαίαν, ἀλλ' ὥσπερ αἱ ἐγχέλεις ἢ οἱ

urbibus omnia teneant, facilius in hos quam in illos, dum hac illac vagor, incido, et eorum retibus impeditus haereo.

MER. At vero quum illos relinquis, quo pacto tam facile aufugis, qui viam non noris?

PLUT. Ad solam fugiendi occasionem oculi mihi ac pedes vigent.

26. MER. Hoc mihi quoque responde; qui tandem fiat, ut, quum caecus sis, insuper etiam (neque enim vera libet reticere) pallidus, et cruribus gravior, tot amatores habeas, ut omnes omnino homines unum te aspiciant; sique potiri te licuerit, beatos se existiment; sin minus, vitam sibi abjudicent. Novi enim permultos, qui te ita misere amarunt, ut se praecipites piscosa per aequora altu sublimi e scopulo dederint, existimantes a te contemni, quod ipsos ne primo quidem congressu aspicere voluisses. Ceterum tute ipse confiteberis, opinor, si modo te nosti, insanire istos, qui talem amasium tam vehementi tamque perdito amore prosequantur.

27. PLUT. Censes nimirum, eum me ipsis videri qualis sum, claudum videlicet, caecum, et quae alia in me sunt vitia?

MER. Qui, quaeso, Plute, nisi et ipsi caeci sunt omnes?

PLUT. Haud ita est, o bone; sed ignorantia et error, quae nunc omnia invaserunt, caliginem ipsis objicunt. Adde quod ipse quoque, ne prorsus deformis videar, aptata mihi persona perquam amabili, inaurata gemmisque distincta, insuper varia veste ornatus, iis me offero: illi autem, qui credant videre se non personatam aliquam pulchritudinem, sed in ipso vultu efflorescentem, amore inardescunt, ac, nisi potiantur, prae doloris impatientia sese ipsi perditum eunt. Sane si quis me penitus nudatum iis ostenderet, damnarent ipsi sese, qui tantopere caecutirent, et res prorsus inamabiles et invenustas peterent tam studiose.

28. MER. Quid quod, postquam jam divites facti sunt, ac sibi personam aptavere, adhuc falluntur? atque adeo nonnulli capite libentius careant quam persona, si quis hanc illis eripere postulet? Neque enim cuiquam credibile sit, ipsos etiam tum, quum omnia introrsus videant, ignorare totam illam pulchritudinem fucatam esse.

PLUT. Plurima sunt, o Mercuri, quae me in hoc quoque adjuvant.

MER. Quaenam illa?

PLUT. Quum aliquis primum mecum congressus apertis foribus me admittit, ingreditur una mecum, eo non animadvertente, Arrogantia, Dementia, Jactantia, Mollities, Insolentia, Fraus, aliaque sexcenta: quae ubi cuncta hominis animum invaserunt, ibi tum quae miranda non sunt miratur, et quae fugienda, appetit; me autem tot malorum, quae ingressa sunt, parentem suspicit, illorum cinctum satellitio; cruciatus denique quoslibet patiatur facilius, quam me abjicere sustinuerit.

29. MER. Quam vero laevis es et lubricus, Plute, quamque aegre retineris; facile autem fugis, ansam nullam, quae firma sit, praebens; sed veluti anguillae, aut angues, inter

ὄρεις διὰ τῶν δακτύλων δραπετεύεις οὐκ οἶδ' ὅπως· ἡ Πενία δ' ἔμπαλιν ἐξώδης τε καὶ εὐλαβὴς καὶ μυρία τὰ ἄγκιστρα ἐκπεφυκότα ἐξ ἅπαντος τοῦ σώματος ἔχουσα, ὡς πλησιάσαντας εὐθὺς ἔχεσθαι καὶ μὴ ἔχειν ῥᾳδίως ἀπολυθῆναι. Ἀλλὰ μεταξὺ φλυαροῦντας ἡμᾶς πρᾶγμα ἤδη οὐ μικρὸν διέλαθε.

ΠΛΟΥΤ. Τὸ ποῖον;

ΕΡΜ. Ὅτι τὸν Θησαυρὸν οὐκ ἐπηγαγόμεθα, οὗπερ ἔδει μάλιστα.

30. ΠΛΟΥΤ. Θάρρει τούτου γε ἕνεκα· ἐν τῇ γῇ αὐτὸν ἀεὶ καταλείπων ἀνέρχομαι παρ' ὑμᾶς ἐπισκήψας ἔνδον μένειν ἐπικλεισάμενον τὴν θύραν, ἀνοίγειν δὲ μηδενὶ, ἢν μὴ ἐμοῦ ἀκούσῃ βοήσαντος.

ΕΡΜ. Οὐκοῦν ἐπιβαίνωμεν ἤδη τῆς Ἀττικῆς· καί μοι ἕπου ἐχόμενος τῆς χλαμύδος, ἄχρι ἂν πρὸς τὴν ἐσχατιὰν ἀφίκωμαι.

ΠΛΟΥΤ. Εὖ ποιεῖς, ὦ Ἑρμῆ, χειραγωγῶν· ἐπεὶ ἦν γε ἀπολίπῃς με, Ὑπερβόλῳ τάχα ἢ Κλέωνι ἐμπεσοῦμαι περινοστῶν. Ἀλλὰ τίς ὁ ψόφος οὗτός ἐστι καθάπερ σιδήρου πρὸς λίθον.

31. ΕΡΜ. Ὁ Τίμων οὑτοσὶ σκάπτει πλησίον ὀρεινὸν καὶ ὑπόλιθον γήδιον. Παπαῖ, καὶ ἡ Πενία πάρεστι καὶ ὁ Πόνος ἐκεῖνος, ἡ Καρτερία τε καὶ ἡ Σοφία καὶ ἡ Ἀνδρεία καὶ ὁ τοιοῦτος ὄχλος τῶν ὑπὸ τῷ Λιμῷ ταττομένων ἁπάντων, πολὺ ἀμείνους τῶν σῶν δορυφόρων.

ΠΛΟΥΤ. Τί οὖν οὐκ ἀπαλλαττόμεθα, ὦ Ἑρμῆ, τὴν ταχίστην; οὐ γὰρ ἄν τι ἡμεῖς δράσαιμεν ἀξιολογον πρὸς ἄνδρα ὑπὸ τηλικούτου στρατοπέδου περιεσχημένον.

ΕΡΜ. Ἄλλως ἔδοξε τῷ Διί· μὴ ἀποδειλιῶμεν οὖν.

32. ΠΕΝ. Ποῖ τοῦτον ἀπάγεις, ὦ Ἀργειφόντα, χειραγωγῶν;

ΕΡΜ. Ἐπὶ τουτονὶ τὸν Τίμωνα ἐπέμφθημεν ὑπὸ τοῦ Διός.

ΠΕΝ. Νῦν ὁ Πλοῦτος ἐπὶ Τίμωνα, ὁπότε αὐτὸν ἐγὼ κακῶς ἔχοντα ὑπὸ τῆς Τρυφῆς παραλαβοῦσα, τουτοισὶ παραδοῦσα, τῇ Σοφίᾳ καὶ τῷ Πόνῳ, γενναῖον ἄνδρα καὶ πολλοῦ ἄξιον ἀπέδειξα; οὕτως ἄρα εὐκαταφρόνητος ὑμῖν ἡ Πενία δοκῶ καὶ εὐαδίκητος, ὥσθ' ὃ μόνον κτῆμα εἶχον, ἀφαιρεῖσθαί με, ἀκριβῶς πρὸς ἀρετὴν ἐξειργασμένον, ἵν' αὖθις ὁ Πλοῦτος παραλαβὼν αὐτὸν Ὕβρει καὶ Τύφῳ ἐγχειρίσας ὅμοιον τῷ πάλαι, μαλθακὸν καὶ ἀγεννῆ καὶ ἀνόητον ἀποφήνας ἀποδῷ πάλιν ἐμοὶ ῥάκος ἤδη γεγενημένον;

ΕΡΜ. Ἔδοξε ταῦτα, ὦ Πενία, τῷ Διί.

33. ΠΕΝ. Ἀπέρχομαι· καὶ ὑμεῖς δὲ, ὦ Πόνε καὶ Σοφία καὶ οἱ λοιποὶ, ἀκολουθεῖτέ μοι. Οὗτος δὲ τάχα εἴσεται οἵαν με οὖσαν ἀπολείψει, ἀγαθὴν συνεργὸν καὶ διδάσκαλον τῶν ἀρίστων, ἣ συνὼν ὑγιεινὸς μὲν τὸ σῶμα, ἐρρωμένος δὲ τὴν γνώμην διετέλεσεν, ἀνδρὸς βίον ζῶν καὶ πρὸς αὐτὸν ἀποβλέπων, τὰ δὲ περιττὰ καὶ πολλὰ ταῦτα, ὥσπερ ἐστὶν, ἀλλότρια ὑπολαμβάνων.

ΕΡΜ. Ἀπέρχονται· ἡμεῖς δὲ προσίωμεν αὐτῷ.

34. ΤΙΜ. Τίνες ἐστὲ, ὦ κατάρατοι; ἢ τί βουλόμενοι δεῦρο ἥκετε ἄνδρα ἐργάτην καὶ μισθοφόρον ἐνο-

digitos nescio quo pacto elaberis; at contra viscosa ac tenax Paupertas est, facilem ansam præbens, et infinitos uncos ex omnibus corporis partibus exsertos habet, ita ut, qui ad eam accesserint, continuo arripiantur, nec se facile illinc expedire queant. Verum interea dum sermones nugando cædimus, rem haud negligendam obliti sumus.

PLUT. Quam?

MER. Thesaurum non adduximus, quo tamen vel maxime nobis opus erat.

30. PLUT. Hac quidem causa animo otioso esto. Eum enim semper sub terra relinquo, quum ad vos ascendo, imperans domi ut maneat foribus occlusis, neve cuiquam aperiat, ni me clamantem audierit.

MER. Sed jam Atticos fines ingrediamur; tu vero sequere hac prehensum me chlamyde tenens, donec ad extremos limites pervenero.

PLUT. Recte sane, o Mercuri, quod mihi cæco viam præis; sin me deseras, fortasse in Hyperbolum aliquem aut Cleonem oberrans incidam. Sed quis hic sonus, quasi si ferrum ad saxum allidatur?

31. MER. Hic Timon videlicet montanum ac saxosum agellum fodit. Papæ! et Paupertas adest, et ille Labor, tum etiam Tolerantia, et Sapientia, nec non Fortitudo, et totum illud agmen, quod secum sub signis habere solet Fames; multo haud dubie animosiores sunt tuis illis satellitibus.

PLUT. Quid igitur causæ sit, quin hinc quam ocissime fugiamus? neque enim est ut quidquam a nobis memorabile geratur cum eo viro, qui tanto instructus exercitu sit.

MER. Jovi aliter visum est; quare strenui simus.

32. PAUP. Cæcum istum, o Argiphonta Mercuri, quonam abducis?

MER. Nos ad hunc Timonem legavit Jupiter.

PAUP. Quid? nunc ad Timonem Plutus mittitur, quando ego, pessime a Luxu habitum quum accepissem, his, quos vides, Mercuri, Sapientiæ et Labori tradens virum fortem et quantivis pretii effeci? Itane vobis idonea Paupertas visa est, in qua sic illudatis, ut quem unum mihi habebam, eripere postuletis, postquam ad virtutem probe factus est, ut illum Plutus denuo acceptum Contumeliæ et Arrogantiæ tradens, qualis olim fuit, talem eum efficiat, mollem scilicet, ignavum et stolidum; mihi denique illum reddat, ubi nullius pretii fuerit et detrito panno haud melior?

MER. Jovi sic visum est, o Paupertas.

33. PAUP. Abeo igitur: vosque adeo, Labor, Sapientia, vosque ceteri, qui mecum aderatis, sequimini. Næ iste posterius sentiet, qualem me reliquerit, optimam nempe operis consortem, et quæ ipsum ad præstantissima quæque erudierim; me, inquam, quacum degens tum salubri corpore, tum animo vegetus fuit, viri vitam agens, et sese respiciens; cetera autem supervacanea existimans, ut re ipsa talia sunt.

MER. Abeunt: nostrum nunc est hominem convenire.

34. TIM. Qui estis vos, o scelera? aut quorsum huc venistis? mihine ut molesti sitis, homini mercede conducto?

χλήσοντες; ἀλλ' οὐ χαίροντες ἅπιτε μιαροὶ πάντες ὄντες· ἐγὼ γὰρ ὑμᾶς αὐτίκα μάλα βάλλων ταῖς βώλοις καὶ τοῖς λίθοις συντρίψω.

ΕΡΜ. Μηδαμῶς, ὦ Τίμων, μὴ βάλῃς· οὐ γὰρ ἀνθρώπους ὄντας βαλεῖς, ἀλλ' ἐγὼ μὲν Ἑρμῆς εἰμι, οὗτοσὶ δὲ ὁ Πλοῦτος· ἔπεμψε δὲ ὁ Ζεὺς ἐπακούσας τῶν εὐχῶν. Ὅστε ἀγαθῇ τύχῃ δέχου τὸν ὄλβον ἀποστὰς τῶν πόνων.

ΤΙΜ. Καὶ ὑμεῖς οἰμώξεσθε ἤδη καίτοι θεοὶ ὄντες, ὡς φατε· πάντας γὰρ ἅμα καὶ ἀνθρώπους καὶ θεοὺς μισῶ, τουτονὶ δὲ τὸν τυφλὸν, ὅστις ἂν ᾖ, καὶ ἐπιτρίψειν μοι δοκῶ τῇ δικέλλῃ.

ΠΛΟΥΤ. Ἀπίωμεν, ὦ Ἑρμῆ, πρὸς τοῦ Διός· μελαγχολᾶν γὰρ ὁ ἄνθρωπος οὐ μετρίως μοι δοκεῖ, μή τι κακὸν ἀπέλθῳ προσλαβών.

35. ΕΡΜ. Μηδὲν σκαιὸν, ὦ Τίμων, ἀλλὰ τὸ πάνυ τοῦτο ἄγριον καὶ τραχὺ καταβαλὼν προτείνας τὼ χεῖρε λάμβανε τὴν ἀγαθὴν τύχην καὶ πλούτει πάλιν καὶ ἴσθι Ἀθηναίων τὰ πρῶτα καὶ ὑπερόρα τῶν ἀχαρίστων ἐκείνων μόνος αὐτὸς εὐδαιμονῶν.

ΤΙΜ. Οὐδὲν ὑμῶν δέομαι· μὴ ἐνοχλεῖτέ μοι· ἱκανὸς ἐμοὶ πλοῦτος ἡ δίκελλα· τὰ δ' ἄλλα εὐδαιμονέστατός εἰμι, μηδενός μοι πλησιάζοντος.

ΕΡΜ. Οὕτως, ὦ τᾶν, ἀπανθρώπως;

τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε;

Καὶ μὴν εἰκὸς ἦν μισάνθρωπον μὲν εἶναί σε τοσαῦτα ὑπ' αὐτῶν δεινὰ πεπονθότα, μισόθεον δὲ μηδαμῶς, οὕτως ἐπιμελουμένων σου τῶν θεῶν.

36. ΤΙΜ. Ἀλλὰ σοὶ μὲν, ὦ Ἑρμῆ, καὶ τῷ Διὶ πλείστη χάρις τῆς ἐπιμελείας, τουτονὶ δὲ τὸν Πλοῦτον οὐκ ἂν λάβοιμι.

ΕΡΜ. Τί δή;

ΤΙΜ. Ὅτι καὶ πάλαι μυρίων μοι κακῶν αἴτιος οὗτος κατέστη κόλαξί τε παραδοὺς καὶ ἐπιβούλους ἐπαγαγὼν καὶ μῖσος ἐπεγείρας καὶ ἡδυπαθείᾳ διαφθείρας καὶ ἐπίφθονον ἀποφήνας, τέλος δὲ ἄφνω καταλιπὼν οὕτως ἀπίστως καὶ προδοτικῶς· ἡ βελτίστη δὲ Πενία πόνοις με τοῖς ἀνδρικωτάτοις καταγυμνάσασα καὶ μετ' ἀληθείας καὶ παρρησίας προσομιλοῦσα τά τε ἀναγκαῖα κάμνοντι παρεῖχε καὶ τῶν πολλῶν ἐκείνων καταφρονεῖν ἐπαίδευεν ἐξ αὐτοῦ ἐμοῦ τὰς ἐλπίδας ἀπαρτήσασά μοι τοῦ βίου καὶ δείξασα ὅστις ἦν ὁ πλοῦτος ὁ ἐμὸς, ὃν οὔτε κόλαξ θωπεύων οὔτε συκοφάντης φοβῶν, οὐ δῆμος παροξυνθεὶς, οὐκ ἐκκλησιαστὴς ψηφοφορήσας, οὐ τύραννος ἐπιβουλεύσας ἀφελέσθαι δύναιτ' ἄν.

37. Ἐρρωμένος τοιγαροῦν ὑπὸ τῶν πόνων τὸν ἀγρὸν τουτονὶ φιλοπόνως ἐργαζόμενος, οὐδὲν ὁρῶν τῶν ἐν ἄστει κακῶν, ἱκανὰ καὶ διαρκῆ ἔχω τὰ ἅλφιτα παρὰ τῆς δικέλλης. Ὅστε παλίνδρομος, ὦ Ἑρμῆ, ἅπιθι τὸν Πλοῦτον ἀπαγαγὼν τῷ Διί· ἐμοὶ δὲ τοῦτο ἱκανὸν ἦν, πάντας ἀνθρώπους ἥδηδὸν οἰμώζειν ποιῆσαι.

ΕΡΜ. Μηδαμῶς, ὦγαθέ· οὐ γὰρ πάντες εἰσὶν ἐπιτήδειοι πρὸς οἰμωγήν. Ἀλλ' ἔα τὰ ὀργίλα ταῦτα

Sed non sine infortunio estis hinc abituri, quum pessimi mortalium sitis omnes : jam enim vos et glebis et saxis opertos male perdam.

MER. Cave, Timon, cave saxis nos petas : non enim tu homines percusseris. Videlicet ego Mercurius sum, hic vero, Plutus. Ad te autem Jupiter, auditis precibus tuis, nos misit. Itaque adeo, quod tibi faustum sit, felicitatem et opes excipe, laboribus in posterum valere jussis.

TIM. Vos quoque, etsi, ut prædicatis, dii estis, vapulabitis tamen; nam et deos et homines omnes ex æquo odi. Cæcum vero istum, quisquis est, hoc meo ligone comminuere certum est.

PLUT. Per Jovem, o Mercuri, abeamus, ne quod malum mihi accersam : plane enim homo insanire videtur.

35. MER. Ne quid inscite facias, Timon; quin potius agrestissimum istuc et asperum ingenium mitte, porrectisque manibus bonam fortunam excipe, ac denuo dives fias, et Atheniensium esto primus; illosque ingratos despice, unice unus beatus.

TIM. Ne mihi negotium facessite : vobis haudquaquam egeo : affatim copiarum in hoc ligone habeo; cetera felix, si ad me nemo accedat.

MER. Tene adeo inhumane agere, amice?

Hæcne Jovi referam tam dura atque aspera dicta?

Non sane incredibile erat, invisos esse tibi homines, a quibus tot tibi ortæ essent injuriæ; deos autem odisse, qui tibi optime consultum velint, haud sane par fuit.

36. TIM. Tibi quidem, Mercuri, ac Jovi præterea maximam habeo gratiam, quod me haud neglexistis : istunc vero Plutum haudquaquam admittam.

MER. Quamobrem?

TIM. Quia et olim infinitorum mihi causa malorum hic fuit, assentatoribus me prodens, mihi insidiatores immittens, odium exsuscitans, deliciis corrumpens et livori objiciens; ad postremum me repente per summam perfidiam, ut proditore dignum erat, deserens. Contra autem optima Paupertas labore perquam virili me exercens, ac mecum perpetuo agens cum veracitate et libertate dicendi, quæ tempus postulavit, ea mihi opus facienti præbuit, et tot illas res despicere docuit, efficiens ut omnes spes vitæ in memet sitæ essent; ostendens præterea, quænam divitiæ meæ forent, quas neque assentator palpans, neque sycophanta me terrens, non populus exasperatus, non quilibet in concione suffragium ferens, non denique tyrannus insidias struens mihi posset eripere.

37. Aucto itaque per laborem robore, agrum hunc industrie colens, nihil videns malorum eorum, quæ tot in urbe occurrunt, sufficientem ac perennem victum hujus ligonis ope mihi paro. Quare iter tuum relegens abito, Mercuri, Plutum ad Jovem abducens : mihi autem hoc sat erit, si omnes omnino homines ejulare coegerim.

MER. Cave istuc dicas, o bone : neque enim omnes ad ejulandum recte comparati sunt. Sed istam tuam iracun-

καὶ μειρακιώδη καὶ τὸν Πλοῦτον παράλαβε. Οὗτοι ἀποβλητά ἐστι τὰ δῶρα τὰ παρὰ τοῦ Διός.

ΠΛΟΥΤ. Βούλει, ὦ Τίμων, δικαιολογήσωμαι πρὸς σέ; ἢ χαλεπαίνεις μοι λέγοντι;

TIM. Λέγε, μὴ μακρὰ μέντοι, μηδὲ μετὰ προοιμίων, ὥσπερ οἱ ἐπίτριπτοι ῥήτορες· ἀνέξομαι γάρ σε ὀλίγα λέγοντα διὰ τὸν Ἑρμῆν τουτονί.

38. ΠΛΟΥΤ. Ἐχρῆν μὲν ἴσως καὶ μακρὰ εἰπεῖν, οὕτω πολλὰ ὑπὸ σοῦ κατηγορηθέντα· ὅμως δὲ ὅρα εἴ τί σε, ὡς φῂς, ἠδίκηκα, ὃς τῶν μὲν ἡδίστων ἁπάντων αἴτιός σοι κατέστην, τιμῆς καὶ προεδρίας καὶ στεφάνων καὶ τῆς ἄλλης τρυφῆς, περίβλεπτός τε καὶ ἀοίδιμος δι' ἐμὲ ἦσθα καὶ περισπούδαστος· εἰ δέ τι χαλεπὸν ἐκ τῶν κολάκων πέπονθας, ἀναίτιος ἐγώ σοι· μᾶλλον δὲ αὐτὸς ἠδίκημαι τοῦτο ὑπὸ σοῦ, διότι με οὕτως ἀτίμως ὑπέβαλες ἀνδράσι καταράτοις ἐπαινοῦσι καὶ καταγοητεύουσι καὶ πάντα τρόπον ἐπιβουλεύουσί μοι· καὶ τό γε τελευταῖον ἔφησθα ὡς προδέδωκά σε, τοὐναντίον δὲ αὐτὸς ἐγκαλέσαιμί σοι πάντα τρόπον ἀπελαθεὶς ὑπὸ σοῦ καὶ ἐπὶ κεφαλὴν ἐξωσθεὶς τῆς οἰκίας. Τοιγαροῦν ἀντὶ μαλακῆς χλανίδος ταύτην τὴν διφθέραν ἡ τιμιωτάτη σοι Πενία περιτίθεικεν. Ὥστε μάρτυς ὁ Ἑρμῆς οὑτοσὶ πῶς ἱκέτευον τὸν Δία μηκέθ' ἥκειν παρὰ σὲ οὕτω δυσμενῶς μοι προσεννενεγμένον.

39. ΕΡΜ. Ἀλλὰ νῦν ὁρᾷς, ὦ Πλοῦτε, οἷος ἤδη γεγένηται; ὥστε θαρρῶν ξυνδιάτριβε αὐτῷ· καὶ σὺ μὲν σκάπτε ὡς ἔχεις· σὺ δὲ τὸν Θησαυρὸν ὑπάγαγε τῇ δικέλλῃ· ὑπακούσεται γὰρ ἐμβοήσαντί σοι.

TIM. Πειστέον, ὦ Ἑρμῆ, καὶ αὖθις πλουτητέον. Τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε οἱ θεοὶ βιάζοιντο; Πλὴν ὅρα γε, ἐς οἷά με πράγματα ἐμβάλλεις τὸν κακοδαίμονα, ὃς ἄχρι νῦν εὐδαιμονέστατα διάγων χρυσὸν ἄφνω τοσοῦτον λήψομαι οὐδὲν ἀδικήσας καὶ τοσαύτας φροντίδας ἀναδέξομαι.

40. ΕΡΜ. Ὑπόστηθι, ὦ Τίμων, δι' ἐμέ, καὶ εἰ χαλεπὸν τοῦτο καὶ οὐκ οἰστόν ἐστιν, ὅπως οἱ κόλακες ἐκεῖνοι διαρραγῶσιν ὑπὸ τοῦ φθόνου· ἐγὼ δὲ ὑπὲρ τὴν Αἴτνην ἐς τὸν οὐρανὸν ἀναπτήσομαι.

ΠΛΟΥΤ. Ὁ μὲν ἀπελήλυθεν, ὡς δοκεῖ· τεκμαίρομαι γὰρ τῇ εἰρεσίᾳ τῶν πτερῶν· σὺ δὲ αὐτοῦ περίμενε· ἀναπέμψω γάρ σοι τὸν Θησαυρὸν ἀπελθών· μᾶλλον δὲ παῖε. Σέ φημι, Θησαυρὲ χρυσοῦ, ὑπάκουσον Τίμωνι τουτῳὶ καὶ παράσχες σεαυτὸν ἀνελέσθαι. Σκάπτε, ὦ Τίμων, βαθείας καταφέρων. Ἐγὼ δὲ ὑμῖν ὑπεκστήσομαι.

41. TIM. Ἄγε, ὦ δίκελλα, νῦν μοι ἐπίρρωσον σεαυτὴν καὶ μὴ κάμῃς ἐκ τοῦ βάθους τὸν Θησαυρὸν ἐς τοὐμφανὲς προκαλουμένη. Ὦ Ζεῦ τεράστιε καὶ φίλοι Κορύβαντες καὶ Ἑρμῆ κερδῷε, πόθεν τοσοῦτον χρυσίον; ἢ που ὄναρ ταῦτά ἐστι; δέδια γοῦν μὴ ἄνθρακας εὕρω ἀνεγρόμενος· ἀλλὰ μὴν χρυσίον ἐστὶν ἐπίσημον, ὑπέρυθρον, βαρὺ καὶ τὴν πρόσοψιν ὑπερήδιστον.

Ὦ χρυσὲ, δεξίωμα κάλλιστον βροτοῖς·

αἴθόμενον γὰρ πῦρ ἅτε διαπρέπεις καὶ νύκτωρ καὶ

diam et inconsulti adolescentis impetum mittas, ac Plutum recipe. Quæ a Jove mittuntur dona, ea neutiquam aspernanda sunt.

PLUT. Quid, Timon, vin' me causam adversus te agere? an tibi molestum est loqui me?

TIM. Dic, sino, modo ne longam orationem nec proœmiis instructam habeas, ut perditissimi isti rhetores : sustinebo enim te pauca dicentem, Mercurii hujusce gratia.

38. PLUT. Consentaneum quidem erat prolixa oratione uti me, quem tam graviter accusasti; tamen dispice an te, quod ais, injuria affecerim, qui tibi suavissimarum quarumque rerum, honoris scilicet, primi loci, coronarum aliarumque voluptatum causa fui : propter me spectabilis eras, et ab omnibus celebratus ac cultus; si quid autem, quod nolis, ab assentatoribus tibi accidit, in me non hæret culpa, imo mihi abs te hæc facta injuria est, quem adeo contumeliose sceleratorum illorum libidini subjeceris, laudantium, adulantium, omni arte insidiantium mihi. Quin etiam post omnia dixisti proditum te a me fuisse : at contra ego te accusaverim, omni modo ex ædibus excussus et capite protrusus foras. Quare pro molli chlamyde rhenonem tibi induit veneranda ista Paupertas; itaque hic Mercurius testabitur, quam enixe Jovem obsecraverim, ne ad te denuo mitterer, qui tantum in me odium exseruisses.

39. MER. At nunc viden', Plute, qualis repente factus sit? itaque cum eo jam audacter facito ut consuescas. Tu quidem, Timon, terram fodito, quod facis; at tu, Plute, Thesaurum sub ejus ligonem adductum facito; tibi enim inclamanti auscultabit.

TIM. Parere necesse est, Mercuri, et de integro ditescendum. Quum enim dii ipsi vim adhibeant, quid, quæso, te fiat? Tamen illud vide, in quæ me conjecturus sis incommoda, qui vita usque adhuc feliciter exacta, repente tantam auri vim accepturus sim, et tot me curis impliciturus, quum nihil mali fecerim.

40. MER. Perfer atque obdura, Timon, mea causa, etiamsi istuc molestum est et ægre tolerandum; perfer, inquam, saltem ut invidia disrumpantur assentatores. Ego autem in cælum, ubi supra Ætnæ cacumen ascendero, rursus volabo.

PLUT. Abiit quidem Mercurius, ut videtur : id enim ex alarum remigatione conjicio. Tu vero, Timon, istic maneto; hinc enim ubi abiero, Thesaurum ad te mittam; imo autem ligone impacto terram feri. Heus, heus, tibi dico, auri Thesaure, huic Timoni ausculta, teque illi tollendum e terra objice. Heus, Timon, strenue fodito, ligonem altius impingens. At ego vobis nunc abscedam.

41. TIM. Age, o ligo, mihi nunc validissimus fias, ne defatigere, dum Thesaurum ex terræ penetralibus in lucem eruis. O Jupiter prodigialis, et propitii Corybantes, et Mercuri lucri præses, unde mihi tantum auri? hoccine somnium fuerit? Male metuo, ne expergefactus pro thesauro carbones (quod aiunt) reperiam. At profecto aurum signatum video, subrubescens, ponderosum, et aspectu quam gratissimum.

Aurum, suave munus es mortalibus :

namque ignis instar eximie micas et noctu et interdiu.

μεθ' ἡμέραν. Ἐλθέ, ὦ φίλτατε καὶ ἐρασμιώτατε. Νῦν πείθομαί γε καὶ Δία ποτὲ γενέσθαι χρυσόν· τίς γὰρ οὐκ ἂν παρθένος ἀναπεπταμένοις τοῖς κόλποις ὑπεδέξατο οὕτω καλὸν ἐραστὴν διὰ τοῦ τέγους καταρρέοντα;

42. Ὦ Μίδα καὶ Κροῖσε καὶ τὰ ἐν Δελφοῖς ἀναθήματα ὡς οὐδὲν ἄρα ἦτε ὡς πρὸς Τίμωνα καὶ τὸν Τίμωνος πλοῦτον, ᾧ γε οὐδὲ ὁ βασιλεὺς ὁ Περσῶν ἴσος. Ὦ δίκελλα καὶ φιλτάτη διφθέρα, ὑμᾶς μὲν τῷ Πανὶ τούτῳ ἀναθεῖναι καλόν· αὐτὸς δὲ ἤδη πᾶσαν πριάμενος τὴν ἐσχατιὰν, πυργίον οἰκοδομησάμενος ὑπὲρ τοῦ θησαυροῦ, μόνῳ ἐμοὶ ἱκανὸν ἐνδιαιτᾶσθαι, τὸν αὐτὸν καὶ τάφον ἀπυθανὼν ἕξειν μοι δοκῶ. Δεδόχθω δὲ ταῦτα καὶ νενομοθετήσθω· πρὸς τὸν ἐπιλοιπον βίον ἀμιξία πρὸς ἅπαντας καὶ ἀγνωσία καὶ ὑπεροψία· φίλος δὲ ἢ ξένος ἢ ἑταῖρος ἢ Ἐλέου βωμὸς ὕθλος πολύς· καὶ τὸ οἰκτεῖραι δακρύοντα ἢ ἐπικουρῆσαι δεομένῳ παρανομία καὶ κατάλυσις τῶν ἐθῶν· μονήρης δὲ ἡ δίαιτα καθάπερ τοῖς λύκοις, καὶ φίλος εἷς Τίμων.

43. Οἱ δὲ ἄλλοι πάντες ἐχθροὶ καὶ ἐπίβουλοι· καὶ τὸ προσομιλῆσαί τινι αὐτῶν μίασμα· καὶ ἢν τινα ἴδω μόνον, ἀποφρὰς ἡ ἡμέρα· καὶ ὅλως ἀνδριάντων λιθίνων ἢ χαλκῶν μηδὲν ἡμῖν διαφερέτωσαν· καὶ μήτε κήρυκα δεχώμεθα παρ' αὐτῶν μήτε σπονδὰς σπενδώμεθα· ἡ ἐρημία δὲ ὅρος ἔστω πρὸς αὐτούς. Φυλέται δὲ καὶ φράτορες καὶ δημόται καὶ ἡ πατρὶς αὐτὴ ψυχρὰ καὶ ἀνωφελῆ ὀνόματα καὶ ἀνοήτων ἀνδρῶν φιλοτιμήματα. Πλουτείτω δὲ Τίμων μόνος καὶ ὑπερορᾶτω ἁπάντων καὶ τρυφᾶτω μόνος καθ' ἑαυτὸν, κολακείας καὶ ἐπαίνων φορτικῶν ἀπηλλαγμένος· καὶ θεοῖς θυέτω καὶ εὐωχείτω μόνος ἑαυτῷ γείτων καὶ ὅμορος, ἐκὰς ὢν τῶν ἄλλων. Καὶ ἅπαξ ἑαυτὸν δεξιώσασθαι δεδόχθω, ἢν δέῃ ἀποθανεῖν, καὶ ἑαυτῷ στέφανον ἐπενεγκεῖν.

44. Καὶ ὄνομα μὲν ἔστω ὁ Μισάνθρωπος ἥδιστον, τοῦ τρόπου δὲ γνωρίσματα δυσκολία καὶ τραχύτης καὶ σκαιότης καὶ ὀργὴ καὶ ἀπανθρωπία· εἰ δέ τινα ἴδοιμι ἐν πυρὶ καταδιαθειρόμενον καὶ σβεννύναι ἱκετεύοντα, πίττῃ καὶ ἐλαίῳ κατασβεννύναι· καὶ ἢν τινα τοῦ χειμῶνος ὁ ποταμὸς παραφέρῃ, ὁ δὲ τὰς χεῖρας ὀρέγων ἀντιλαβέσθαι δέηται, ὠθεῖν καὶ τοῦτον ἐπὶ κεφαλὴν βαπτίζοντα, ὡς μηδὲ ἀνακῦψαι δυνηθείη· οὕτω γὰρ ἂν τὴν ἴσην ἀπολάβοιεν. Εἰσηγήσατο τὸν νόμον Τίμων Ἐχεκρατίδου Κολλυτεὺς, ἐπεψήφισε τῇ ἐκκλησίᾳ Τίμων ὁ αὐτός. Εἶεν, ταῦτα ἡμῖν δεδόχθω καὶ ἀνδρικῶς ἐμμένωμεν αὐτοῖς.

45. Πλὴν ἀλλὰ περὶ πολλοῦ ἂν ἐποιησάμην ἅπασι γνώριμά πως ταῦτα γενέσθαι, διότι ὑπερπλουτῶ· ἀγχόνη γὰρ ἂν τὸ πρᾶγμα γένοιτο αὐτοῖς. Καίτοι τί τοῦτο; φεῦ τοῦ τάχους. Πανταχόθεν συνθέουσι κεκονιμένοι καὶ πνευστιῶντες, οὐκ οἶδα ὅθεν ὀσφρανόμενοι τοῦ χρυσίου. Πότερον οὖν ἐπὶ τὸν πάγον τοῦτον ἀναβὰς ἀπελαύνω αὐτοὺς τοῖς λίθοις ἐξ ὑπερδεξίων ἀκροβολιζόμενος, ἢ τό γε τοσοῦτον παρανομήσομεν εἰσάπαξ αὐτοῖς ὁμιλήσαντες, ὡς πλέον ἀνιῶντο ὑπερορώμενοι;

Ades huc, o mea voluptas. Nunc sane mihi credibile fit, etiam Jovem se in aurum olim convertisse: quæ enim virgo amantem adeo formosum, per impluvium defluentem, expanso sinu non excipiat?

42. O Mida, o Crœse, et vos Delphici templi donaria, quam nihil estis præ Timone et Timonis opulentia! ad quem magnus ille Persarum rex ne comparandus quidem est. O ligo, et tu rheno suavissime, optimum erit vos huic Pani consecrasse: at ego jam universum hunc agrum coemam, turremque asservando auro exstruam, quæ me unum excipere possit, non plures: eam quoque sepulchrum mihi, ut opinor, mortuo habebo. Ceterum quoad vivam, hæc sancita sunto, et lege confirmata: hominum omnium congressum fugere, notum habere neminem, omnes autem despicere; amicus autem vel hospes, vel ara Misericordiæ, logi ac nugæ: cujusquam lamentantis misereri, vel inopi subvenire, legis transgressio habeatur et morum subversio: mihi autem vita sit solitaria itidem ut lupis; et unus omnino amicus, Timon.

43. At ceteri mihi in hostium loco sint et insidiatorum. Eorum quempiam si alloquar, impurus habear; si quando aliquem videro tantum, is nefastus dies esto: denique nihil apud me statuatur discrimînis eos inter et simulacra marmorea aut ærea: neque missum ab iis legatum recipiamus, neque cum iis percutiamus fœdus; fines inter me atque illos sunto deserta atque solitudines; tribules vero, et curiales, et populares, quin et patria ipsa, frigida et inutilia nomina habeantur, ac fatuorum hominum ambitio. Solus Timon dives esto, ceterosque omnes despicetur: molliter secum vivat, procul ab assentatoribus et iis qui immodice laudare solent; diis sacrificet ac splendide epuletur solus, sibi vicinus et finitimus, longe a ceteris remotus hominibus. Denique hæc lex esto, se unum amplecti atque amare, si vel mori oporteat, et coronam sibi ipsum imponere.

44. Nomen suavissimum sit Μισάνθρωπος. Morum autem character esto morositas, asperitas, rusticitas, iracundia atque inhumanitas; si quem autem forte igne pereuntem videro, atque ut restinguam obsecrantem, picis atque olei injectu exstinguere decretum esto: tum porro si quem hieme fluvius auferat, atque is manibus porrectis oret ut retineatur, is in caput trudatur et submergatur, quo ne se attollere possit: sic enim isti scelerati par pro pari acceperint. Hanc legem scripsit Timon Echecratidæ F. Colyttensis, concionem in suffragium misit idem Timon. Sic esto, statuta hæc sunto nobis; hæc viriliter observemus.

45. Verum quantivis mihi hoc foret pretii, ut omnes resciscant, esse me satis superque divitem: ea enim res ipsos ad suspendium adaxit. Sed hem, quid istuc, quæso, est? vah quanta properatio! undique pulvere respersi atque exanimati concurrunt; nescio certe unde ipsis aurum suboluerit. Utrum igitur in hunc collem evadens, lapidibus ex superiori loco missis ipsos arceam? an hoc unum adversus legem modo latam faciemus, eos semel ut alloquamur? quo videlicet in congressu contemti,

τοῦτο οἶμαι καὶ ἄμεινον. Ὥστε δεχώμεθα ἤδη αὐτοὺς ὑποστάντες. Φέρ' ἴδω, τίς ὁ πρῶτος αὐτῶν οὗτός ἐστι; Γναθωνίδης ὁ κόλαξ, ὁ πρώην ἔρανον αἰτήσαντί μοι ὀρέξας τὸν βρόχον, πίθους ὅλους παρ' ἐμοὶ πολλάκις ἐμημεκώς. Ἀλλ' εὖ γε ἐποίησεν ἀφικόμενος· οἰμώξεται γὰρ πρὸ τῶν ἄλλων.

46. ΓΝΑΘ. Οὐκ ἐγὼ ἔλεγον, ὡς οὐκ ἀμελήσουσι Τίμωνος ἀγαθοῦ ἀνδρὸς οἱ θεοί; Χαῖρε Τίμων εὐμορφότατε καὶ ἥδιστε καὶ συμποτικώτατε.

ΤΙΜ. Νηδὶ καὶ σύ γε, ὦ Γναθωνίδη, γυπῶν ἁπάντων βορώτατε καὶ ἀνθρώπων ἐπιτριπτότατε.

ΓΝΑΘ. Ἀεὶ φιλοσκώμμων σύ γε· ἀλλὰ ποῦ τὸ συμπόσιον; ὡς καινόν τί σοι ᾆσμα τῶν νεοδιδάκτων διθυράμβων ἥκω κομίζων.

ΤΙΜ. Καὶ μὴν ἐλεγεῖά γε ᾄσῃ μάλα περιπαθῶς ὑπὸ ταύτῃ τῇ δικέλλῃ.

ΓΝΑΘ. Τί τοῦτο; παίεις, ὦ Τίμων; μαρτύρομαι· ὦ Ἡράκλεις, ἰοὺ ἰού, προσκαλοῦμαί σε τραύματος εἰς Ἄρειον πάγον.

ΤΙΜ. Καὶ μὴν ἄν γε μικρὸν ἐπιβραδύνῃς, φόνου τάχα προσκεκλήσῃ με.

ΓΝΑΘ. Μηδαμῶς· ἀλλὰ σύ γε πάντως τὸ τραῦμα ἴασαι μικρὸν ἐπικάσας τοῦ χρυσίου· δεινῶς γὰρ ἴσχαιμόν ἐστι τὸ φάρμακον.

ΤΙΜ. Ἔτι γὰρ μένεις;

ΓΝΑΘ. Ἄπειμι· σὺ δὲ οὐ χαιρήσεις οὕτω σκαιὸς ἐκ χρηστοῦ γενόμενος.

47. ΤΙΜ. Τίς οὗτός ἐστιν ὁ προσιών, ὁ ἀναφαλαντίας; Φιλιάδης, κολάκων ἁπάντων ὁ βδελυρώτατος. Οὗτος δὲ ἀγρὸν ὅλον παρ' ἐμοῦ λαβὼν καὶ τῇ θυγατρὶ προῖκα δύο τάλαντα, μισθὸν τοῦ ἐπαίνου, ὁπότε ᾄσαντά με πάντων σιωπώντων μόνος ὑπερεπήνεσεν ἐπομοσάμενος ᾠδικώτερον εἶναι τῶν κύκνων, ἐπειδὴ νοσοῦντα πρώην εἶδέ με καὶ προσῆλθον ἐπικουρίας δεόμενος, πληγὰς ὁ γενναῖος προσενέτεινεν.

48. ΦΙΛ. Ὦ τῆς ἀναισχυντίας. Νῦν Τίμωνα γνωρίζετε; νῦν Γναθωνίδης φίλος καὶ συμπότης; τοιγαροῦν δίκαια πέπονθεν οὗτος ἀχάριστος ὤν. Ἡμεῖς δὲ οἱ πάλαι ξυνήθεις καὶ ξυνέφηβοι καὶ δημόται ὅμως μετριάζομεν, ὡς μὴ ἐπιπηδᾶν δοκῶμεν. Χαῖρε, ὦ δέσποτα, καὶ ὅπως τοὺς μιαροὺς τούτους κόλακας φυλάξῃ, τοὺς ἐπὶ τῆς τραπέζης μόνον, τὰ ἄλλα δὲ κοράκων οὐδὲν διαφέροντας. Οὐκέτι πιστευτέα τῶν νῦν οὐδενί· πάντες ἀχάριστοι καὶ πονηροί. Ἐγὼ δὲ τάλαντόν σοι κομίζων, ὡς ἔχοις πρὸς τὰ κατεπείγοντα χρῆσθαι, καθ' ὁδὸν ἤδη πλησίον ἥκουσα ὡς πλουτοίης ὑπερμεγέθη τινὰ πλοῦτον. Ἥκω τοιγαροῦν ταῦτά σε νουθετήσων· καίτοι σύ γε οὕτω σοφὸς ὢν οὐδὲν ἴσως δεήσῃ τῶν παρ' ἐμοῦ λόγων, ὃς καὶ τῷ Νέστορι τὸ δέον παραινέσειας ἄν.

ΤΙΜ. Ἔσται ταῦτα, ὦ Φιλιάδη. Πλὴν ἀλλὰ πρόσθι· καὶ σὲ φιλοφρονήσομαι τῇ δικέλλῃ.

ΦΙΛ. Ἄνθρωποι, κατέαγα τοῦ κρανίου ὑπὸ τοῦ ἀχαρίστου, διότι τὰ συμφέροντα ἐνουθέτουν αὐτόν

urantur impensius. Erit id, ut opinor, melius. Quare hic subsistentes, jam eos excipiamus. Age, videam quis hic sit, qui agmen ducit? Is est Gnathonides assentator, qui nuper mihi eranum petenti laqueum porrexit, quum integra dolia sæpe apud me vomuisset. Sed bene sane factum quod venit; ante ceteros enim ejulabit.

46. GNATH. Nonne dixi ego sæpius, Timonem virum bonum a diis non semper neglectum iri? Salve, Timon formosissime, et suavissime, et potator hilarissime.

TIM. Salve tu quoque, Gnathonide, vulturum omnium voracissime, et hominum nequissime.

GNATH. Tu quidem semper dicax es; sed ubi paratæ sunt epulæ? affero enim tibi novum quoddam canticum ex recentibus dithyrambis.

TIM. Atqui elegiaca tu ad hunc ligonem canes, et quidem perquam pathetice.

GNATH. Quid istuc? o Timon, men' tu percutis? testes capiam. O Hercules! hei, hei. Vulneris tibi dicam dico apud Areopagum.

TIM. At si paululum modo cesses, tu mihi fortasse dicam cædis dixeris.

GNATH. Non fiet. Sed tu non committes quin huic vulneri facias medicinam, auri aliquid ei inspergens; facit enim aurum inprimis ad sistendum sanguinem.

TIM. Etiamne hic manes?

GNATH. Abeo vero. At tibi male erit, qui, olim perquam benignus, nunc te adeo agrestem et inhumanum præbeas.

47. TIM. Quis hic recalvaster horsum veniens? Is Philiades est, supra omnes assentatores exsecrandus. Hic vero, qui a me integrum agrum accepit, tum in dotem filiæ talenta duo, quia canentem me, ceteris tacentibus, solus dilaudasset, jurejurando affirmans, me vel cycnis ipsis suavius canere; ubi me nuper ægrotantem vidit (ad eum enim me contuleram, mihi ut subveniret, orans), plagas etiam bonus vir mihi infligere sustinuit.

48. PHIL. O impudentiam! nunc Timonem agnoscitis? nunccine Gnathonides amicus et conviva? Merito vero, qui adeo ingratus sit, a Timone ita depexus exornatusque est. At nos, qui jam pridem ejus familiares et synephebi sumus, ad hæc populares, tamen verecunde agimus, ut ne in ejus congressum irrumpere videamur. Here, salve; a sceleratis istis assentatoribus caveto, qui ad mensam tantum præsto sunt: ceterum eos inter et corvos nihil discriminis. Nostræ ætatis hominibus nulla fides habenda est: ingrati omnes sunt et impuri. At ego talentum tibi afferens, quo uti ad ea, quæ res postularet, posses, in itinere, quum jam huc viciniæ pervenissem, accepi in re amplissima te esse constitutum. Venio igitur, hæc, quæ jam audies, præcepta daturus; etsi fortasse, quum tanta sis præditus sapientia, his meis sermonibus haud egeas, qui vel Nestori præcipere possis quid factu opus sit.

TIM. Sane bene, o Philiade; sed adesdum, ut te quoque hoc ligone amantissime excipiam.

PHIL. O cives, fractum mihi ab hoc ingrato cranium est; quoniam quæ ipsi conducibilia sunt monebam.

49. ΤΙΜ. Ἰδοὺ τρίτος οὗτος ὁ ῥήτωρ Δημέας προσέρχεται ψήφισμα ἔχων ἐν τῇ δεξιᾷ καὶ συγγενὴς ἡμέτερος εἶναι λέγων. Οὗτος ἑκκαίδεκα παρ' ἐμοῦ τάλαντα μιᾶς ἡμέρας ἐκτίσας τῇ πόλει — κατεδεδίκαστο γὰρ καὶ ἐδέδετο οὐκ ἀποδιδοὺς, κἀγὼ ἐλεήσας ἐλυσάμην αὐτόν — ἐπειδὴ πρῴην ἔλαχε τῇ Ἐρεχθηίδι φυλῇ διανέμειν τὸ θεωρικὸν κἀγὼ προσῆλθον αἱτῶν τὸ γιγνόμενον, οὐκ ἔφη γνωρίζειν πολίτην ὄντα με.

50. ΔΗΜ. Χαῖρε, ὦ Τίμων, τὸ μέγα ὄφελος τοῦ γένους, τὸ ἔρεισμα τῶν Ἀθηναίων, τὸ πρόβλημα τῆς Ἑλλάδος· καὶ μὴν πάλαι σε ὁ δῆμος ξυνειλεγμένος καὶ αἱ βουλαὶ ἀμφότεραι περιμένουσι. Πρότερον δὲ ἄκουσον τὸ ψήφισμα, ὃ ὑπὲρ σοῦ γέγραφα· « Ἐπειδὴ « Τίμων Ἐχεκρατίδου Κολλυτεὺς, ἀνὴρ οὐ μόνον καλὸς « κἀγαθὸς, ἀλλὰ καὶ σοφὸς ὡς οὐκ ἄλλος ἐν τῇ Ἑλλάδι, « παρὰ πάντα χρόνον διατελεῖ τὰ ἄριστα πράττων τῇ « πόλει, νενίκηκε δὲ πυξ καὶ πάλην καὶ δρόμον ἐν « Ὀλυμπίᾳ μιᾶς ἡμέρας καὶ τελείῳ ἅρματι καὶ συνω« ρίδι πωλικῇ —

ΤΙΜ. Ἀλλ' οὐδὲ ἐθεώρησα ἐγὼ πώποτε εἰς Ὀλυμπίαν.

ΔΗΜ. Τί οὖν; θεωρήσεις ὕστερον· τὰ τοιαῦτα δὲ πολλὰ προσκεῖσθαι ἄμεινον. « Καὶ ἠρίστευσε δὲ ὑπὲρ « τῆς πόλεως πέρυσι πρὸς Ἀχαρναῖς καὶ κατέκοψε Πε« λοποννησίων δύο μοίρας —

51. ΤΙΜ. Πῶς; διὰ γὰρ τὸ μὴ ἔχειν ὅπλα οὐδὲ προὐγράφην ἐν τῷ καταλόγῳ.

ΔΗΜ. Μέτρια τὰ περὶ σαυτοῦ λέγεις, ἡμεῖς δὲ ἀχάριστοι ἂν εἴημεν ἀμνημονοῦντες. « Ἔτι δὲ καὶ « ψηφίσματα γράφων καὶ ξυμβουλεύων καὶ στρατηγῶν « οὐ μικρὰ ὠφέλησε τὴν πόλιν. Ἐπὶ τούτοις ἅπασι δε« δόχθω τῇ βουλῇ καὶ τῷ δήμῳ καὶ τῇ Ἡλιαίᾳ κατὰ « φυλὰς καὶ τοῖς δήμοις ἰδίᾳ καὶ κοινῇ πᾶσι χρυσοῦν « ἀναστῆσαι τὸν Τίμωνα παρὰ τὴν Ἀθηνᾶν ἐν τῇ ἀκρο« πόλει, κεραυνὸν ἐν τῇ δεξιᾷ ἔχοντα καὶ ἀκτῖνας ἑπτὰ « ἐπὶ τῇ κεφαλῇ, καὶ στεφανῶσαι αὐτὸν χρυσοῖς στεφά« νοις καὶ ἀνακηρυχθῆναι τοὺς στεφάνους τήμερον Διο« νυσίοις τραγῳδοῖς καινοῖς — ἀχθῆναι γὰρ δι' αὐτὸν « δεῖ τήμερον τὰ Διονύσια. — Εἶπε τὴν γνώμην Δημέας « ὁ ῥήτωρ, συγγενὴς αὐτοῦ ἀγχιστεὺς καὶ μαθητὴς « ὤν· καὶ γὰρ ῥήτωρ ἄριστος ὁ Τίμων καὶ τὰ ἄλλα « πάντα ὁπόσα ἂν ἐθέλῃ. »

52. Τοῦτ μὲν οὖν σοι τὸ ψήφισμα. Ἐγὼ δὲ καὶ τὸν υἱὸν ἐβουλόμην ἀγαγεῖν παρὰ σὲ, ὃν ἐπὶ τῷ σῷ ὀνόματι Τίμωνα ὠνόμακα.

ΤΙΜ. Πῶς, ὦ Δημέα, ὃς οὐδὲ γεγάμηκας, ὅσα γε καὶ ἡμᾶς εἰδέναι;

ΔΗΜ. Ἀλλὰ γαμῶ, ἢν διδῷ θεὸς, ἐς νέωτα καὶ παιδοποιήσομαι καὶ τὸ γεννηθησόμενον — ἄρρεν γὰρ ἔσται — Τίμωνα ἤδη καλῶ.

ΤΙΜ. Οὐκ οἶδα, εἰ γαμήσεις ἔτι, ὦ οὗτος, τηλικαύτην παρ' ἐμοῦ πληγὴν λαμβάνων.

ΔΗΜ. Οἵμοι τί τοῦτο; τυραννίδι Τίμων ἐπιχειρεῖς καὶ τύπτεις τοὺς ἐλευθέρους οὐ καθαρῶς ἐλεύθερος οὐδ'

49. TIM. Ecce autem tertius ille advenit, rhetor ille Demea, decretum in dextra ferens, seque mihi cognatum dicens. Hic quum de meo solvisset reipublicæ uno die sedecim talenta (damnatus enim fuerat et in vincula conjectus, quum solvere nequiret; atque ego, quem illius commiseresceret, hominem liberavi), nuper autem sortito theoricum Erechteidi tribui diriberet, ego vero accessissem, ut, quod mihi obtingebat, acciperem, dixit non constare sibi civis necne forem.

50. DEM. Salve, Timon, totius gentis salus, Atheniensium fulcrum, Græciæ propugnaculum; jam diu te totius populi conventus et utraque curia exspectant. Sed prius audito decretum, quod in honorem tuum a me scriptum est: « Quandoquidem Timon Colyttensis Echecratidæ F., vir non tantum probitate præstans, sed sapientia etiam præditus, quanta haud in quoquam Græci nominis reperiatur, per omne tempus multa pro republica præclare gessit; vicit autem uno die pugilatu et lucta et cursu in ludis Olympicis, quadrigis præterea et bigis equestribus —

TIM. Qui pote, Demea, quum nunquam ludos Olympicos ne spectaverim quidem?

DEM. Quid tum? eos postea spectabis: talia præterea hujus generis multa addi satius est. « Quin et anno præterito strenue se circa Acharnas adversus Peloponnesios pro republica gessit, et duas ipsorum moras cecidit —

51. TIM. Qui tandem? nam arma mihi deerant; inde conscribi cum ceteris non potui.

DEM. De te modeste loqueris, Timon; nos autem plane ingrati haberemur, nisi memores essemus. « Insuper scriptis decretis, et consilio dato, exercitu ducto, civitati inprimis profuit. Ob hæc omnia placuit curiæ, et populo, et Heliææ per tribus, populis autem Atticæ singillatim, omnibus communiter, aureum Timonem collocare juxta Minervam in arce, fulmen dextra tenentem, radiato septies capite; eum præterea aureis coronis redimire, eumque honorem hodie in Dionysiis tragœdis novis proclamari: nam hodie Timonis causa Dionysia hic sunto. Hanc sententiam dixit Demea rhetor, Timonis cognatus genere proximus, ejusque discipulus; etenim optimus rhetor est Timon, et quicquid ei esse libuerit. »

52. Ad hunc igitur modum se tibi habet decretum: ego autem præterea de adducendo ad te filio cogitabam, quem de tuo nomine Timonem vocavi.

TIM. Quo pacto, Demea, qui, quod sciam, nunquam uxorem duxisti?

DEM. At, deo juvante, ducam anno proximo, et liberis procreandis operam dabo; et, quod nascetur, Timonem ei jam dico nomen; nam mas erit.

TIM. Haud equidem scio, utrum uxorem unquam sis ducturus, a me tam gravi ictu accepto.

DEM. Hei, hei. Quid hoc? tyrannidem invadere cogitas, Timon, liberos homines percutiens, tu, de cujus li-

ἀστὸς ὤν; Ἀλλὰ δώσεις ἐν τάχει τὴν δίκην τά τε ἄλλα καὶ ὅτι τὴν ἀκρόπολιν ἐνέπρησας.

53. ΤΙΜ. Ἀλλ' οὐκ ἐμπέπρησται, ὦ μιαρὲ, ἡ ἀκρόπολις· ὥστε δῆλος εἶ συκοφαντῶν.

ΔΗΜ. Ἀλλὰ καὶ πλουτεῖς τὸν ὀπισθόδομον διορύξας.

ΤΙΜ. Οὐ διώρυκται οὐδὲ οὗτος· ὥστε ἀπίθανά σου καὶ ταῦτα.

ΔΗΜ. Διορυχθήσεται μὲν ὕστερον· ἤδη δὲ σὺ πάντα τὰ ἐν αὐτῷ ἔχεις.

ΤΙΜ. Οὐκοῦν καὶ ἄλλην λάμβανε.

ΔΗΜ. Οἴμοι τὸ μετάφρενον.

ΤΙΜ. Μὴ κέκραχθι· κατοίσω γάρ σοι καὶ τρίτην· ἐπεὶ καὶ γελοῖα πάμπαν ἂν πάθοιμι δύο μὲν Λακεδαιμονίων μοίρας κατακόψας ἄνοπλος, ἓν δὲ μιαρὸν ἀνθρώπιον μὴ ἐπιτρίψας· μάτην γὰρ ἂν εἴην καὶ νενικηκὼς Ὀλύμπια πὺξ καὶ πάλην.

54. Ἀλλὰ τί τοῦτο; οὐ Θρασυκλῆς ὁ φιλόσοφος οὗτός ἐστιν; Οὐ μὲν οὖν ἄλλος· ἐκπετάσας γοῦν τὸν πώγωνα καὶ τὰς ὀφρῦς ἀνατείνας καὶ βρενθυόμενός τι πρὸς αὑτὸν ἔρχεται, τιτανῶδες βλέπων, ἀνασεσοβημένος τὴν ἐπὶ τῷ μετώπῳ κόμην, Αὐτοβορέας τις ἢ Τρίτων, οἵους ὁ Ζεῦξις ἔγραψεν. Οὗτος ὁ τὸ σχῆμα εὐσταλὴς καὶ κόσμιος τὸ βάδισμα καὶ σωφρονικὸς τὴν ἀναβολὴν ἑώθεν μυρία ὅσα περὶ ἀρετῆς διεξιὼν καὶ τῶν ἡδονῇ χαιρόντων κατηγορῶν καὶ τὸ ὀλιγαρκὲς ἐπαινῶν, ἐπειδὴ λουσάμενος ἀφίκοιτο ἐπὶ τὸ δεῖπνον καὶ ὁ παῖς μεγάλην τὴν κύλικα ὀρέξειεν αὐτῷ — τῷ ζωροτέρῳ δὲ χαίρει μάλιστα — καθάπερ τὸ Λήθης ὕδωρ ἐκπιὼν ἐναντιώτατα ἐπιδείκνυται τοῖς ἑωθινοῖς ἐκείνοις λόγοις προαρπάζων ὥσπερ ἰκτῖνος τὰ ὄψα καὶ τὸν πλησίον παραγκωνιζόμενος, καρύκης τὸ γένειον ἀνάπλεως, κυνηδὸν ἐμφορούμενος, ἐπικεκυφὼς, καθάπερ ἐν ταῖς λοπάσι τὴν ἀρετὴν εὑρήσειν προσδοκῶν, ἀκριβῶς τὰ τρύβλια τῷ λιχανῷ ἀποσμήχων, ὡς μηδὲ ὀλίγον τοῦ μυττωτοῦ καταλίποι.

55. Μεμψίμοιρος ἀεὶ, κἂν τὸν πλακοῦντα ὅλον ἢ τὸν σῦν μόνος τῶν ἄλλων λάβῃ, ὅ τι περ λιχνείας καὶ ἀπληστίας ὄφελος, μέθυσος καὶ πάροινος, οὐχ ἅρι ᾠδῆς καὶ ὀρχηστύος μόνον, ἀλλὰ καὶ λοιδορίας καὶ ὀργῆς. Προσέτι καὶ λόγοι πολλοὶ ἐπὶ τῇ κύλικι, τότε δὴ καὶ μάλιστα, περὶ σωφροσύνης καὶ κοσμιότητος· καὶ ταῦτά φησιν ἤδη ὑπὸ τοῦ ἀκράτου πονήρως ἔχων καὶ ὑποτραυλίζων γελοίως· εἶτα ἔμετος ἐπὶ τούτοις· καὶ τὸ τελευταῖον, ἀράμενοί τινες ἐκφέρουσιν αὐτὸν ἐκ τοῦ συμποσίου τῆς αὐλητρίδος ἀμφοτέραις ἐπειλημμένον. Πλὴν ἀλλὰ καὶ νήφων οὐδενὶ τῶν πρωτείων παραχωρήσειεν ἂν ψεύσματος ἕνεκα ἢ θρασύτητος ἢ φιλαργυρίας· ἀλλὰ καὶ κολάκων ἐστὶ τὰ πρῶτα καὶ ἐπιορκεῖ προχειρότατα, καὶ ἡ γοητεία προηγεῖται καὶ ἡ ἀναισχυντία παρομαρτεῖ, καὶ ὅλως πάνσοφόν τι χρῆμα καὶ πανταχόθεν ἀκριβὲς καὶ ποικίλως ἐντελές. Οἰμώξεται τοιγαροῦν οὐκ εἰς μακρὰν χρηστὸς ὤν. Τί τοῦτο; παπαῖ, χρόνιος ἡμῖν Θρασυκλῆς.

56. ΘΡΑΣ. Οὐ κατὰ ταὐτὰ, ὦ Τίμων, τοῖς πολλοῖς

bertate et civitate non plane constat? Sed cito pœnas dabis, tum ob alia multa, tum quod ignem arci subjeceris.

53. TIM. At enim, o scelus, incensa arx non est: quare cuivis apparet esse te sycophantam.

DEM. At perfodisti ærarium, et inde natæ tibi sunt opes.

TIM. Sed perfossum non est; quare ne istæc quidem credibilia sunt, quæ dicis.

DEM. Perfodietur quidem postea; sed jam tu illa omnia penes te habes, quæ istud continet.

TIM. Itaque hunc tibi ictum habeto alterum.

DEM. Hei, hei tergo meo.

TIM. Mitte clamorem; sin minus, tertium tibi ictum infixero: alioquin hoc plane ridiculum mihi acciderit, si unicum modo homuncionem eumque impurissimum haud perdam, qui Lacedæmoniorum duas moras, inermis ipse, internecione deleverim: nam frustra quoque vicerim Olympia et pugilatu et lucta.

54. Quid hoc autem? ecquid hic est Thrasycles philosophus? Et certe is est: sane exporrecta barba, in frontem sublatis superciliis, graviter secum ac superbe murmurans venit, Titanice spectans, capillis anterioribus retrorsum rejectis, plane illum ipsum Boream aut Tritonem referens, quales pinxit Zeuxis. Hic ille est, qui habitu simplicitatem, incessu modestiam, pallio sapientiam ac moderationem præ se fert; qui mane plurima de virtute disserit, et eos, qui voluptate gaudent, graviter accusat, frugalitatem laudans; at ubi lautus a balneo ad cœnam venit, et ei capaciorem calicem servulus porrexit (meracius autem libenter bibit), quasi letheum poculum hauserit, ea omnia facit, quæ planissime cum matutinis illis sermonibus pugnant, convivis cibaria veluti milvus præripiens, et sibi accumbentem cubito propellens, mentum caryca illitum habens, canum more sese cibis implens, incurvus, quasi in patinis virtutem inventurum se sperans, lances digito indice sedulo detergens, ut nihil ex intrito quidquam relinquat.

55. Iniquius partita obsonia semper querens, etiam si solus placentam aut aprum integrum sibi habet; porro (qui gulæ et insatiabilis voracitatis fructus est) ebrius ac temulentus, non ad cantum usque et saltationem, sed ad convicia et iracundiam provehitur. Ibi sumto in manum calice, multos sermones funditat: tum enimvero maxime de sobrietate et modestia agit, idque jam vino fere depositus et ridicule balbutiens: post hæc vomit. Ad postremum e triclinio a nonnullis effertur, tibicinam ambabus retinens manibus. Ceterum quum siccus est, nemini homini palmam vel mendacii, vel audaciæ, vel avaritiæ concesserit; sed assentatorum quoque longe princeps est, et pejerat promtissime: illum in quovis negotio anteit fallacia, juxta autem sequitur impudentia; denique homo plane sapiens, et undiquaque consummatus est, et varia quadam perfectione præstans. Quare dabo operam, ut tam bonus vir jamjam auferat hinc grande infortunium. Quid hoc? papæ! tam diu est quum venire distulit Thrasycles?

56. THRAS. Alia me causa ad te ut venirem compulit,

τούτοις ἀφῖγμαι, ὥσπερ οἱ τὸν πλοῦτόν σου τεθηπότες ἀργυρίου καὶ χρυσίου καὶ δεῖπνων πολυτελῶν ἐλπίδι συνδεδραμήκασι πολλὴν τὴν κολακείαν ἐπιδειξόμενοι πρὸς ἄνδρα οἷον σὲ ἁπλοϊκὸν καὶ τῶν ὄντων κοινωνικόν· οἶσθα γὰρ ὡς μᾶζα μὲν ἐμοὶ δεῖπνον ἱκανὸν, ὄψον δὲ ἥδιστον θύμον ἢ κάρδαμον ἢ εἴ ποτε τρυφὴν, ὀλίγον τῶν ἁλῶν· ποτὸν δὲ ἡ ἐννεάκρουνος· ὁ δὲ τρίβων οὗτος ἧς βούλει πορφυρίδος ἀμείνων. Τὸ χρυσίον μὲν γὰρ οὐδὲν τιμιώτερον τῶν ἐν τοῖς αἰγιαλοῖς ψηφίδων μοι δοκεῖ. Σοῦ δὲ αὐτοῦ χάριν ἐστάλην, ὡς μὴ διαφθείρῃ σε τὸ κάκιστον τοῦτο καὶ ἐπιβουλότατον κτῆμα ὁ πλοῦτος, ὁ πολλοῖς πολλάκις αἴτιος ἀνηκέστων συμφορῶν γεγενημένος· εἰ γάρ μοι πείθοιο, μάλιστα ὅλον ἐς τὴν θάλατταν ἐμβαλεῖς αὐτὸν, οὐδὲν ἀναγκαῖον ἀνδρὶ ἀγαθῷ ὄντι καὶ τὸν φιλοσοφίας πλοῦτον ὁρᾶν δυναμένῳ· μὴ μέντοι ἐς βάθος, ὦγαθὲ, ἀλλ' ὅσον ἐς βουβῶνας ἐπεμβάς ὀλίγον πρὸ τῆς κυματωγῆς, ἐμοῦ ὁρῶντος μόνου.

57. εἰ δὲ μὴ τοῦτο βούλει, σὺ δὲ ἄλλον τρόπον ἀμείνω κατὰ τάχος ἐκφόρησον αὐτὸν ἐκ τῆς οἰκίας μηδ' ὁβολὸν σαυτῷ ἀνεὶς, διαδιδοὺς ἅπασι τοῖς δεομένοις, ᾧ μὲν πέντε δραχμὰς, ᾧ δὲ μνᾶν, ᾧ δὲ ἡμιτάλαντον· εἰ δέ τις φιλόσοφος εἴη, διμοιρίαν ἢ τριμοιρίαν φέρεσθαι δίκαιος· ἐμοὶ δὲ — καίτοι οὐκ ἐμαυτοῦ χάριν αἰτῶ, ἀλλ' ὅπως μεταδῶ τῶν ἑταίρων τοῖς δεομένοις — ἱκανὸν εἰ ταυτηνὶ τὴν πήραν ἐκπλήσας παράσχοις οὐδὲ ὅλους δύο μεδίμνους χωροῦσαν Αἰγινητικούς. Ὀλιγαρκῆ δὲ καὶ μέτριον χρὴ εἶναι τὸν φιλοσοφοῦντα καὶ μηδὲν ὑπὲρ τὴν πήραν φρονεῖν.

ΤΙΜ. Ἐπαινῶ ταῦτά σου, ὦ Θρασύκλεις· πρὸ γοῦν τῆς πήρας, εἰ δοκεῖ, φέρε σοι τὴν κεφαλὴν ἐμπλήσω κονδύλων ἐπιμετρήσας τῇ δικέλλῃ.

ΘΡΑΣ. Ὦ δημοκρατία καὶ νόμοι, παιόμεθα ὑπὸ τοῦ καταράτου ἐν ἐλευθέρᾳ τῇ πόλει.

ΤΙΜ. Τί ἀγανακτεῖς, ὦγαθέ; μῶν παρακέκρουσμαί σε; καὶ μὴν ἐπεμβαλῶ χοίνικας ὑπὲρ τὸ μέτρον τέτταρας.

58. Ἀλλὰ τί τοῦτο; πολλοὶ ξυνέρχονται· Βλεψίας ἐκεῖνος καὶ Λάχης καὶ Γνίφων καὶ ὅλως τὸ σύνταγμα τῶν οἰμωξομένων. Ὥστε τί οὐκ ἐπὶ τὴν πέτραν ταύτην ἀνελθὼν τὴν μὲν δίκελλαν ὀλίγον ἀναπαύω πάλαι πεπονηκυῖαν, αὐτὸς δὲ ὅτι πλείστους λίθους ξυμφορήσας ἐπιχαλαζῶ πόρρωθεν αὐτούς;

ΒΛΕΨ. Μὴ βάλλε, ὦ Τίμων· ἄπιμεν γάρ.

ΤΙΜ. Ἀλλ' οὐκ ἀναιμωτί γε ὑμεῖς οὐδὲ ἄνευ τραυμάτων.

quam quæ multitudem; qui divitiarum tuarum amore perculsi huc concurrerunt, auri et argenti et sumtuosarum cœnarum spe, experiundi gratia quid in te assentationibus suis possint, virum simplicem, et qui facultates tuas libenter aliis elargiaris. Nosti enim, opinor, mazam satis esse mihi, ut recte cœnem, cæpe autem et nasturtium jucundissimum mihi esse obsonium, aut, si quando mihi melius esse volo, salis paululum: potus mihi est ex Enneacruno fonte (Callirrhoe); pallium autem hoc qualibet purpura præstantius est. Nam aurum mihi quidem haud pretiosius videtur iis lapillis, quibus plena sunt litora. Sed huc tui unius gratia me contuli, ne te divitiæ, perniciosissima illa atque insidiosissima possessio, corrumpant, quæ multis sæpe gravissimas calamitates importarunt. Nam si mihi auscultabis, relictis omnibus totas in mare conjicies, quippe quas non desideret vir bonus et qui philosophiæ opes possit contemplari. Ne tamen, o bone, eas in altum mittas, sed inguinum tenus aquam ingressus, paulo infra litoris crepidinem projicito, me uno vidente.

57. Id vero si minus placet, meliore alia ratione tu illas, quantum potest, ædibus ejicito, neu tibi vel obolum relinquas, sed omnia egentibus distribuas, huic quinque drachmas, huic minam, huic semitalentum: si quis vero ex iis philosophus erit, duplam is aut triplam partem auferre debet: mihi autem (quanquam non mea causa peto, sed ut amicis, si qui forte egebunt, largiar) abunde erit, si hanc peram aureis offertam mihi reddas, quæ duos Æginetticos modios non prorsus capit: paucis enim esse contentum et mediocritatem sequi hominem philosophantem decet, neque supra peram suam sapere.

TIM. Istuc recte, o Thrasycles; sed ante peram, si videtur, ecce caput tibi implebo pugnis, auctarium hoc ligone addens.

THRAS. O democratia et leges, in libera civitate ab homine sceleratissimo percutimur.

TIM. Quid conquereris, bone Thrasycles? an quod te inter admetiendum circumveni? atqui auctarii etiam loco adjiciam chœnices quatuor.

58. Sed quid hoc? multi concurrunt simul, Blepsias videlicet, et Laches, et Gniphon, ac denique illorum legio hominum, quos ego miris modis mulcabo. Quid itaque causæ quin petram hanc conscendam, et aliqua requie ligonem meum reficiam, quem jam tantopere exercui? ipse autem, magna vi lapidum in unum collata, eos grandinis in morem e longinquo feriam?

BLEPS. Parce quæso mittere, Timon: abimus enim.

TIM. At ego certe sine cruore et vulneribus ne abeatis faxo.

VI.

*ΑΛΚΥΩΝ Η ΠΕΡΙ ΜΕΤΑΜΟΡΦΩΣΕΩΣ.

ΧΑΙΡΕΦΩΝ, ΣΩΚΡΑΤΗΣ.

1. ΧΑΙΡ. Τίς ἡ φωνὴ προσέβαλεν ἡμῖν, ὦ Σώκρατες, πόρρωθεν ἀπὸ τῶν αἰγιαλῶν καὶ τῆς ἄκρας ἐκείνης; ὡς ἡδεῖα ταῖς ἀκοαῖς. Τί ποτ' ἄρ' ἐστὶ τὸ φθεγ-

VI.

*HALCYON, SEU DE TRANSFORMATIONE.

CHÆREPHON, SOCRATES.

1. CHÆR. Quæ ista vox nos pepulit, o Socrates, eminus a litoribus illoque promontorio? quam suavis auribus!

γόμενον ζῷον; ἄφωνα γὰρ δὴ τά γε καθ' ὕδατος διαιτώμενα.

ΣΩ. Θαλαττία τις, ὦ Χαιρεφῶν, ὄρνις ἀλκυὼν ὀνομαζομένη, πολύθρηνος καὶ πολύδακρυς, περὶ ἧς δὴ παλαιὸς ἀνθρώποις μεμύθευται λόγος· φασὶ γυναῖκά ποτε οὖσαν Αἰόλου τοῦ Ἕλληνος θυγατέρα κουρίδιον ἄνδρα τὸν αὐτῆς τεθνεῶτα θρηνεῖν πόθῳ φιλίας, Κήυκα τὸν Τραχίνιον τὸν Ἑωσφόρου τοῦ ἀστέρος, καλοῦ πατρὸς καλὸν υἱόν· εἶτα δὴ πτερωθεῖσαν διά τινα δαιμονίαν βούλησιν εἰς ὄρνιθος τρόπον περιπέτεσθαι τὰ πελάγη ζητοῦσαν ἐκεῖνον, ἐπειδὴ πλαζομένη γῆν περὶ πᾶσαν οὐχ οἵα τ' ἦν εὑρεῖν.

2. **ΧΑΙΡ.** Ἀλκυών τοῦτ' ἔστιν, ὃ σὺ φῄς; οὐ πώποτε πρόσθεν ἠκηκόειν τῆς φωνῆς, ἀλλά μοι ξένη τις τῷ ὄντι προσέπεσε· γοώδη γοῦν ὡς ἀληθῶς τὸν ἦχον ἀφίησι τὸ ζῷον. Πηλίκον δέ τι καὶ ἔστιν, ὦ Σώκρατες;

ΣΩ. Οὐ μέγα· μεγάλην μέντοι διὰ τὴν φιλανδρίαν εἴληφε παρὰ θεῶν τιμήν· ἐπὶ γὰρ τῇ τούτων νεοττείᾳ καὶ τὰς ἀλκυονίδας προσαγορευομένας ἡμέρας ὁ κόσμος ἄγει κατὰ χειμῶνα μέσον διαφερούσας ταῖς εὐδίαις, ὧν ἐστι καὶ ἡ τήμερον παντὸς μᾶλλον. Οὐχ ὁρᾷς ὡς αἴθρια μὲν τὰ ἄνωθεν, ἀκύμαντον δὲ καὶ γαλήνιον ἅπαν τὸ πέλαγος, ὅμοιον ὡς εἰπεῖν κατόπτρῳ;

ΧΑΙΡ. Λέγεις ὀρθῶς· φαίνεται γὰρ ἀλκυονὶς ἡ τήμερον ὑπάρχειν ἡμέρα, καὶ χθὲς δὲ τοιαύτη τις ἦν. Ἀλλὰ πρὸς θεῶν, πῶς ποτε χρὴ πειστέον τοῖς ἐξ ἀρχῆς, ὦ Σώκρατες, ὡς ἐξ ὀρνίθων γυναῖκές ποτε ἐγένοντο ἢ ὄρνιθες ἐκ γυναικῶν; παντὸς γὰρ μᾶλλον ἀδύνατον φαίνεται πᾶν τὸ τοιοῦτον.

3. **ΣΩ.** Ὦ φίλε Χαιρεφῶν, ἐοίκαμεν ἡμεῖς τῶν δυνατῶν τε καὶ ἀδυνάτων ἀμβλυωποί τινες εἶναι κριταὶ παντελῶς· δοκιμάζομεν γὰρ δὴ κατὰ δύναμιν ἀνθρωπίνην ἄγνωστον οὖσαν καὶ ἄπιστον καὶ ἀόρατον· πολλὰ γὰρ φαίνεται ἡμῖν καὶ τῶν εὐπόρων ἄπορα καὶ τῶν ἐφικτῶν ἀνέφικτα, συχνὰ μὲν δι' ἀπειρίαν, συχνὰ δὲ καὶ διὰ νηπιότητα φρενῶν· τῷ ὄντι γὰρ νήπιος ἔοικεν εἶναι πᾶς ἄνθρωπος, καὶ ὁ πάνυ γέρων, ἐπεί τοι μικρὸς πάνυ καὶ νεογιλὸς ὁ τοῦ βίου χρόνος πρὸς τὸν πάντα αἰῶνα. Τί δ' ἄν, ὦγαθέ, οἱ ἀγνοοῦντες τὰς τῶν θεῶν καὶ δαιμονίων δυνάμεις ἔχοιεν ἂν εἰπεῖν, πότερον δυνατὸν ἢ ἀδύνατόν τι τῶν τοιούτων; Ἑόρακας, Χαιρεφῶν, τρίτην ἡμέραν ὅσος ἦν ὁ χειμών; κἂν ἐνθυμηθέντι γάρ τῳ δέος ἐπέλθοι καὶ τὰς ἀστραπὰς ἐκείνας καὶ βροντὰς ἀνέμων τε ἐξαίσια μεγέθη· ὑπέλαβεν ἄν τις τὴν οἰκουμένην ἅπασαν καὶ δὴ συμπεσεῖσθαι.

4. Μετὰ μικρὸν δὲ θαυμαστή τις κατάστασις εὐδίας ἐγένετο καὶ διέμεινεν αὕτη γε ἕως τοῦ νῦν· πότερον οὖν οἴει μεῖζόν τι καὶ ἐργωδέστερον εἶναι τοιαύτην αἰθρίαν ἐξ ἐκείνης τῆς ἀνυποστάτου λαίλαπος καὶ ταραχῆς μεταθεῖναι καὶ εἰς γαλήνην ἀναγαγεῖν τὸν ἅπαντα κόσμον, ἢ γυναικὸς εἶδος μεταπλασθὲν εἰς ὄρνιθός τινος ποιῆσαι; τὸ μὲν γὰρ τοιοῦτον καὶ τὰ παιδάρια τὰ παρ' ἡμῖν τὰ πλάττειν ἐπισταμένα, πηλὸν ἢ κηρὸν ὅταν λάβῃ, ῥᾳδίως ἐκ τοῦ αὐτοῦ παλλάκις ὄγκου μετασχηματίζει

Quodnam est tandem animal illud vocem edens? etenim muta sunt, quæ quidem in aqua degunt.

SOCR. Maritima quædam, o Chærephon, avis, Halcyon vocata, luctu lacrimisque abundans, de qua sane vetus hominibus est conficta fabula: ferunt illam, quum mulier esset quondam, Æoli Hellenis filii nata, maritum, qui virginem duxerat, suum fato functum luxisse desiderio consuetudinis, Ceycem Trachinium Lucifero stella prognatum, pulchri parentis filium pulchrum; deinde vero alis instructam divina voluntate in avis morem circumvolitare maria, quærentem illum, quandoquidem oberratis terris omnibus non poterat invenire.

2. CHÆR. Halcyon id est, quod tu dicis? nunquam ante audiveram ejus vocem, quæ mihi insolens revera accidit: flebilem ergo plane sonum emittit animal istud. Quali autem corporis est magnitudine, Socrates?

SOCR. Non magnum: attamen magnum ob singularem mariti amorem accepit a diis præmium: quum enim nidulatur, halcyonios etiam qui vocantur dies mundus agit, hieme medio præcipuos serenitate, quorum est etiam hodiernus hicce quammaxime. Nonne vides ut serena sint superna, fluctibusque careat et tranquillum sit totum pelagus, consimile, ut ita dicam, speculo?

CHÆR. Recte dicis: videtur enim halcyonius hodiernus esse dies; et heri utique talis erat. Sed, per deos, qua tandem re fidem oportet haberi iis quæ initio sunt dicta, o Socrates, ex avibus mulieres unquam exstitisse aut aves ex mulieribus? nihil enim omnium est quod minus fieri videatur posse.

3. SOCR. O care Chærephon, videmur equidem eorum quæ fieri possunt, quæque non, hebeti prorsus acie quidam esse judices: exigimus enimvero ea secundum facultatem humanam, quæ neque nosse, nec credere, nec cernere valet: multa proinde apparent nobis et factu facilium difficilia, et eorum, ad quæ pertingere datur, ardua; hæc quidem pleraque propter imperitiam, alia etiam non pauca ob infantiam mentis: re enim vera infans videtur esse omnis homo, etiam valde senex, quandoquidem exiguum plane est et infantiæ instar vitæ spatium ad omne ævum. Quid autem, o bone, qui vires deorum geniorumque ignorant, dicere habeant, utrum talium rerum fieri aliquid possit, an non? Vidisti, Chærephon, nudiustertius quanta fuerit hiems? quin et animo repetentem metus invadat et ista fulmina et tonitrua ventorumque ingentes furores: existimasset aliquis tellurem totam utique fuisse collapsuram.

4. Paullo autem post mirifica quædam exstitit compositi cæli serenitas, quæ permansit ad hodiernum diem. Jam tu utrum majus quiddam et operosius esse putas, ex isto turbine, qui vix subsisti poterat, ac confusione ad placatissimum nitorem mutatam cæli faciem referre, inque tranquillitatem revocare mundum universum, quam mulieris formam transmutatam in aviculam quandam facere? nam ad eum sane modum et pueruli inter nos, qui quidem fingere sciunt, luto cerave sumta, facile ex eadem sæpe materiæ

πολλὰς ἰδεῶν φύσεις. Τῷ δαιμονίῳ δὴ μεγάλην καὶ οὐ συμβλητὴν ὑπεροχὴν ἔχοντι πρὸς τὰς ἡμετέρας δυνάμεις εὐχερῆ τυχὸν ἴσως ἅπαντα τὰ τοιαῦτα καὶ λεῖα· ἐπεὶ τὸν ὅλον οὐρανὸν πόσῳ τινὶ σαυτοῦ δοκεῖς εἶναι μείζω; φράσαις ἄν;

5. ΧΑΙΡ. Τίς δ' ἀνθρώπων, ὦ Σώκρατες, νοῆσαι δύναιτ' ἂν ἢ ὀνομάσαι τι τῶν τοιούτων; οὐδὲ γὰρ εἰπεῖν ἐφικτόν.

ΣΩ. Οὔκουν δὴ θεωροῦμεν καὶ ἀνθρώπων πρὸς ἀλλήλους συμβαλλομένων μεγάλας τινὰς ὑπεροχὰς ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἀδυναμίαις ὑπαρχούσας; ἡ γὰρ τῶν ἀνδρῶν ἡλικία πρὸς τὰ νήπια παντελῶς βρέφη, τὰ πεμπταῖα ἐκ γενετῆς ἢ δεκαταῖα, θαυμαστὴν ὅσην ἔχει τὴν διαφορὰν δυνάμεώς τε καὶ ἀδυναμίας ἐν πάσαις σχεδὸν ταῖς κατὰ τὸν βίον πράξεσι, καὶ ὅσα διὰ τῶν τεχνῶν τούτων οὕτω πολυμηχάνων καὶ ὅσα διὰ τοῦ σώματος καὶ τῆς ψυχῆς ἐργάζονται· ταῦτα γὰρ τοῖς νέοις, ὥσπερ εἶπον, παιδίοις οὐδ' εἰς νοῦν ἐλθεῖν δυνατὰ φαίνεται.

6. Καὶ τῆς ἰσχύος δὲ τῆς ἑνὸς ἀνδρὸς τελείου τὸ μέγεθος ἀμέτρητον ὅσην ἔχει τὴν ὑπεροχὴν πρὸς ἐκεῖνα· μυριάδας γὰρ τῶν τοιούτων εἷς ἀνὴρ πάνυ πολλὰς χειρώσαιτ' ἂν ῥᾳδίως· ἡ γὰρ ἡλικία παντελῶς ἄπορος ὁτῆπου πάντων καὶ ἀμήχανος ἐξ ἀρχῆς παρακολουθεῖ τοῖς ἀνθρώποις κατὰ φύσιν. Ὁπηνίκα οὖν ἄνθρωπος, ὡς ἔοικεν, ἀνθρώπου τοσούτῳ διαφέρει, τί νομίσωμεν τὸν σύμπαντα οὐρανὸν πρὸς τὰς ἡμετέρας δυνάμεις φανῆναι ἂν τοῖς τὰ τοιαῦτα θεωρεῖν ἐφικνουμένοις; Πιθανὸν οὖν ἴσως δόξει πολλοῖς, ὅσην ἔχει τὸ μέγεθος τοῦ κόσμου τὴν ὑπεροχὴν πρὸς τὸ Σωκράτους ἢ Χαιρεφῶντος εἶδος, τηλικοῦτον καὶ τὴν δύναμιν αὐτοῦ καὶ τὴν φρόνησιν καὶ διάνοιαν ἀνάλογον διαφέρειν τῆς περὶ ἡμᾶς διαθέσεως.

7. Σοὶ μὲν οὖν καὶ ἐμοὶ καὶ ἄλλοις πολλοῖς τοιούτοις οὖσι πόλλ' ἄττ' ἀδύνατα τῶν ἑτέροις πάνυ ῥᾳδίων· ἐπεὶ καὶ αὐλῆσαι τοῖς ἀναύλοις καὶ ἀναγνῶναι ἢ γράψαι τοῖς ἀγραμμάτοις γραμματικὸν τρόπον ἀδυνατώτερόν ἐστι τέως, ἕως ἂν ὦσιν ἀνεπιστήμονες, τοῦ ποιῆσαι γυναῖκας ἐξ ὀρνίθων ἢ ὄρνιθας ἐκ γυναικῶν. Ἡ δὲ φύσις ἐν κηρίῳ σχεδὸν παραλαβοῦσα ζῷον ἄπουν καὶ ἄπτερον πόδας ὑποθεῖσα καὶ πτερώσασα ποικιλίᾳ τε φαιδρύνασα πολλῇ καὶ καλῇ καὶ παντοδαπῇ χρωμάτων μέλιτταν ἀπέδειξε σοφὴν θείου μέλιτος ἐργάτιν, ἔκ τε ὠῶν ἀφώνων καὶ ἀψύχων πολλὰ γένη πλάττει πτηνῶν τε καὶ πεζῶν καὶ ἐνύδρων ζώων, τέχναις, ὡς λόγος τινῶν, ἱεραῖς αἰθέρος μεγάλου προσχρωμένη.

8. Τὰς οὖν ἀθανάτων δυνάμεις μεγάλας οὔσας θνητοὶ καὶ σμικροὶ παντελῶς ὄντες καὶ οὔτε τὰ μεγάλα δυνάμενοι καθορᾶν οὔτ' αὖ τὰ σμικρὰ, τὰ πλείω δ' ἀποροῦντες καὶ τῶν περὶ ἡμᾶς συμβαινόντων παθῶν, οὐκ ἂν ἔχοιμεν εἰπεῖν βεβαίως οὔτ' ἀλκυόνων πέρι οὔτ' ἀηδόνων· κλέος δὲ μύθων, οἷον παρέδοσαν πατέρες, τοιοῦτον καὶ παισὶν ἐμοῖς, ὦ ὄρνι ὀρήνων μελῳδέ, παραδώσω τῶν σῶν ὕμνων πέρι, καί σου τὸν εὐσεβῆ καὶ

mole fingunt refinguntque multas formarum naturas. Deo enimvero magnam habenti virtutis præstantiam neque omnino comparandam ad nostras agendi vires, ad manum esse credere par est omnia istiusmodi atque in facili posita: quandoquidem totum cœlum quanto tandem tenet ipso putas esse majus? an indicare possis?

5. CHÆR. Quis autem hominum, o Socrates, intelligere queat aut dicendo efferre tale quicquam? neque enim verbis illa consequi licet.

SOCR. Nonne vero animadvertimus hominum, inter sese si conferantur, magnum aliquod esse discrimen, quo alius alium superet, virium imbecillitatisque? nam virorum ætas ad pueros prorsus infantes, quinque, si lubet, a partu aut decem diebus, comparata admirabilem plane habet differentiam roboris et infirmitatis in omnibus propemodum per vitam actionibus, et iis quæcumque artibus istis tam solertibus, et iis quæ corpore et animo perficiunt: ista enim novellis, ut dixi, puerulis ne in mentem quidem venire videntur posse.

6. Roboris autem unius viri adulti magnitudo immensum quantum illos supergreditur; adeo ut millia talium unus vir valde multa devicerit facillime: ætas enimvero penitus omnium indiga, quæque nullis sibi machinis ipsa sufficiat, ab initio hominibus adest comes naturæ lege. Quandoquidem ergo homo, ut patet, homini tantum interest, quid existimabimus omne simul cœlum ad nostras vires illis visum iri, qui talia contemplari valent? Probabile scilicet videbitur multis, quantum magnitudo mundi superat Socratis aut Chærephontis speciem, tantum quoque potentiam ejus ac sapientiam atque intellectum pro ratione antecedere facultatum nostrarum dotes.

7. Proinde tibi mihique ac multis aliis nostri similibus multa quidem impossibilia sunt eorum, quæ aliis valde facilia: nam et tibias inflare artis expertibus, et legere aut scribere illiteratis multo magis arduum est, usque eo dum sint imperiti, quam facere mulieres ex avibus, aut aves ex mulieribus. Natura vero acceptum in favo fere sine pedibus ac pennis animal, pedibus appositis atque alis, et varietate multa expoliens pulchraque et omnimoda colorum, apem sapientem produxit, divini mellis opificem: tum porro ex ovis mutis et inanimatis multa genera fingit alitum et terrestrium aquaticorumque animalium, artibus quibusdam, ut produnt aliqui, sacris ætheris magni ad tanti operis curam insuper usa.

8. Quum ergo vires immortalium sint ingentes, nos mortales et pusilli plane, qui neque magna possumus perspicere, et ne parva quidem, in plerisque etiam, quæ circa nos accidunt, hæsitantes, non valemus utique explorate quicquam statuere neque de halcyonibus, nec de lusciniis: famam autem fabulæ, qualem tradiderunt parentes, talem et liberis meis, o ales lamentorum modulatrix, tradam de tuis hymnis; tuumque pium et marito devinctum amorem

φίλανδρον ἔρωτα πολλάκις γυναιξὶ ταῖς ἐμαῖς Ξανθίππῃ τε καὶ Μυρτοῖ λέγων τά τε ἄλλα, πρὸς δὲ καὶ τιμῆς οἵας ἔτυχες παρὰ θεῶν. Ἆρά γε καὶ σὺ ποιήσεις τι τοιοῦτον, ὦ Χαιρεφῶν;

ΧΑΙΡ. Πρέπει γοῦν, ὦ Σώκρατες, καὶ τὰ ὑπὸ σοῦ ῥηθέντα διπλασίαν ἔχειν τὴν παράκλησιν πρὸς γυναικῶν τε καὶ ἀνδρῶν ὁμιλίαν.

ΣΩ. Οὐκοῦν ἀσπασαμένοις τὴν Ἀλκυόνα προάγειν ἤδη πρὸς ἄστυ καιρὸς ἐκ τοῦ Φαληρικοῦ.

ΧΑΙΡ. Πάνυ μὲν οὖν· ποιῶμεν οὕτως.

sæpe celebrabo, uxoribus meis Xanthippæ et Myrto enarrans tum alia, tum præterea, qualem honorem nacta fueris a diis. An tu quoque, Chærephon, simile quiddam facies?

CHÆR. Decet sane, o Socrates, dicta a te duplicem habere adhortationem, quæ mutuæ uxorum virorumque consuetudini conducat.

SOCR. Ergo, salutata Halcyone, progredi jam ad urbem tempus est e Phalerico.

CHÆR. Est : atque hoc faciamus.

VII.

ΠΡΟΜΗΘΕΥΣ Η ΚΑΥΚΑΣΟΣ.

ΕΡΜΗΣ, ΗΦΑΙΣΤΟΣ, ΠΡΟΜΗΘΕΥΣ.

1. ΕΡΜ. Ὁ μὲν Καύκασος, ὦ Ἥφαιστε, οὗτος, ᾧ τὸν ἄθλιον τουτονὶ Τιτᾶνα προσηλῶσθαι δεήσει· περισκοπῶμεν δὲ ἤδη κρημνόν τινα ἐπιτήδειον, εἴ που τῆς χιόνος τι γυμνόν ἐστιν, ὡς βεβαιότερον καταπαγῇ τὰ δεσμὰ καὶ οὗτος ἅπασι περιφανὴς ᾖ κρεμάμενος.

ΗΦ. Περισκοπῶμεν, ὦ Ἑρμῆ· οὔτε γὰρ ταπεινὸν καὶ πρόσγειον ἀνεσταυρῶσθαι χρὴ, ὡς μὴ ἐπαμύοιεν αὐτῷ τὰ πλάσματα αὐτοῦ οἱ ἄνθρωποι, οὔτε μὴν κατὰ τὸ ἄκρον — ἀφανὴς γὰρ ἂν εἴη τοῖς κάτω — ἀλλ' εἰ δοκεῖ κατὰ μέσον ἐνταῦθά που ὑπὲρ τῆς φάραγγος ἀνεσταυρώσθω ἐκπετασθεὶς τὼ χεῖρε ἀπὸ τουτουὶ τοῦ κρημνοῦ πρὸς τὸν ἐναντίον.

ΕΡΜ. Εὖ λέγεις· ἀπόξυροί τε γὰρ αἱ πέτραι καὶ ἀπρόσβατοι πανταχόθεν, ῥέμα ἐπινενευκυῖαι, καὶ τῷ ποδὶ στενὴν ταύτην ὁ κρημνὸς ἔχει τὴν ἐπίβασιν, ὡς ἀκροποδητὶ μόγις ἑστάναι, καὶ ὅλως ἐπικαιρότατος ἂν ὁ σταυρὸς γένοιτο. Μὴ μέλλε οὖν, ὦ Προμηθεῦ, ἀλλ' ἀνάβαινε καὶ πάρεχε σεαυτὸν καταπαγησόμενον πρὸς τὸ ὄρος.

2. ΠΡΟΜ. Ἀλλὰ κἂν ὑμεῖς γε, ὦ Ἥφαιστε καὶ Ἑρμῆ, κατελεήσατέ με παρὰ τὴν ἀξίαν δυστυχοῦντα.

ΕΡΜ. Τοῦτο φῄς, ὦ Προμηθεῦ, ἀντὶ σοῦ ἀνασκολοπισθῆναι αὐτίκα μάλα παρακούσαντας τοῦ ἐπιτάγματος; ἢ οὐχ ἱκανὸς εἶναί σοι δοκεῖ ὁ Καύκασος καὶ ἄλλους ἂν χωρῆσαι δύο προσπατταλευθέντας; Ἀλλ' ὄρεγε τὴν δεξιάν· σὺ δὲ, ὦ Ἥφαιστε, κατάκλειε καὶ προσήλου καὶ τὴν σφῦραν ἐρρωμένως κατάφερε. Δὸς καὶ τὴν ἑτέραν· κατειλήφθω εὖ μάλα καὶ αὐτή. Εὖ ἔχει. Καταπτήσεται δὲ ἤδη καὶ ὁ ἀετὸς ἀποκερῶν τὸ ἧπαρ, ὡς πάντα ἔχοις ἀντὶ τῆς καλῆς καὶ εὐμηχάνου πλαστικῆς.

3. ΠΡΟΜ. Ὦ Κρόνε καὶ Ἰαπετὲ καὶ σὺ, ὦ μῆτερ, οἷα πέπονθα ὁ κακοδαίμων οὐδὲν δεινὸν ἐργασάμενος.

ΕΡΜ. Οὐδὲν, ὦ Προμηθεῦ, δεινὸν εἰργάσω, ὃς πρῶτα μὲν τὴν νομὴν τῶν κρεῶν ἐγχειρισθεὶς οὕτως ἄδικον ἐποιήσω καὶ ἀπατηλὴν ὡς σαυτῷ μὲν τὰ κάλλιστα ὑπεξελέσθαι, τὸν Δία δὲ παραλογίσασθαι ὀστᾶ « καλύψας ἀργέτι δημῷ »; μέμνησαι γὰρ Ἡσιόδου νὴ Δί' οὕτως

VII.

PROMETHEUS, sive CAUCASUS.

MERCURIUS, VULCANUS, PROMETHEUS.

1. MERC. Caucasus quidem, o Vulcane, hicce, cui miserum Titanem istum clavis affigi oportebit : nos jam nunc circumspiciamus rupem aliquam opportunam, sicubi qua sint a nive nuda, ut firmius defigantur vincula, et hic omnibus conspicuus sit pendens.

VULC. Circumspiciamus, Mercuri : neque enim in humili et terræ proximo loco cruci affigendus est, ne auxiliari ipsi possint quos finxit, homines; neque etiam ad montis verticem; fugiat enim visum eorum, qui infra sunt : sed, si videtur, in medio istic propemodum supra præcipitium suffixus hæreat, dispansis manibus ab hac parte in adversam.

MERC. Recte dicis : nam exesæ sunt hæ cautes et inaccessæ undiquaque, leniter inclinatæ; et pedi hunc angustum oppido præcipitium habet ponendo vestigio locum, ut summis digitis vix alicubi consistere liceat : commodissima denique fuerit ista crux. Quin tu ergo sine mora, Prometheu, ascende, teque præbe defigendum ad montem.

2. PROM. At vos tamen, o Vulcane et Mercuri, miseremini mei, qui præter meritum hoc infortunium habeo.

MERC. Hocne ais, o Prometheu, ut tua vice jam nos statim in crucem agamur dicto non audientes? an non idoneus esse tibi videtur Caucasus, qui alios etiam duos capiat sibi clavis affixos? At tu porrige dextram : tu autem, Vulcane, include eam, appositisque clavis malleum valide quantum potes adige. Et alteram præbe : hæc etiam omnino bene revincta esto. Recte habet : devolabit jam mox aquila quoque detonsura jecur, ut nihil non habeas pro bella tua et solertissima fingendi arte.

3. PROM. Saturne, Iapete, tuque, o mater, qualia perpetior miser, qui nihil mali admisi!

MERC. Nihil tu mali admisisti, Prometheu, qui primum distributione carnium tibi concredita, tam injustam feceris et fraudulentam, ut tibi quidem subdole partes optimas eximeres, Jovem autem circumvenires obtectis ossibus adipe candida? meminisne Hesiodi sic dicentis. Deinde homi-

εἰπόντος· ἔπειτα δὲ τοὺς ἀνθρώπους ἀνέπλασας, πανουργότατα ζῷα, καὶ μάλιστά γε τὰς γυναῖκας· ἐπὶ πᾶσι δὲ τὸ τιμιώτατον κτῆμα τῶν θεῶν τὸ πῦρ κλέψας καὶ τοῦτο ἔδωκας τοῖς ἀνθρώποις. Τοσαῦτα δεινὰ εἰργασμένος φῆς μηδὲν ἀδικήσας δεδέσθαι;

4. ΠΡΟΜ. Ἔοικας, ὦ Ἑρμῆ, καὶ σὺ κατὰ τὸν Ὅμηρον « ἀναίτιον αἰτιάασθαι, » ὃς τὰ τοιαῦτά μοι προφέρεις, ἐφ' οἷς ἔγωγε τῆς ἐν πρυτανείῳ σιτήσεως, εἰ τὰ δίκαια ἐγίγνετο, ἐτιμησάμην ἂν ἐμαυτῷ. Εἰ γοῦν σχολή σοι, ἡδέως ἂν καὶ δικαιολογησαίμην ὑπὲρ τῶν ἐγκλημάτων ὡς δείξαιμι ἄδικα ἐγνωκότα περὶ ἡμῶν τὸν Δία· σὺ δὲ — στωμύλος γὰρ εἶ καὶ δικανικός — ἀπολόγησαι ὑπὲρ αὐτοῦ ὡς δικαίαν τὴν ψῆφον ἔθετο, ἀνεσταυρῶσθαί με πλησίον τῶν Κασπίων τούτων πυλῶν ἐπὶ τοῦ Καυκάσου οἰκτιστον θέαμα πᾶσι Σκύθαις.

ΕΡΜ. Ἐκπρόθεσμον μέν, ὦ Προμηθεῦ, τὴν ἔφεσιν ἀγωνιῇ καὶ ἐς οὐδὲν δέον· ὅμως δ' οὖν λέγε· καὶ γὰρ ἄλλως περιμένειν ἀναγκαῖον, ἕστ' ἂν ὁ ἀετὸς καταπτῇ ἐπιμελησόμενός σου τοῦ ἥπατος. Τὴν ἐν τῷ μέσῳ δὴ ταύτην σχολὴν καλῶς ἂν εἴη ἔχον ἐς ἀκρόασιν καταχρήσασθαι σοφιστικὴν, οἷος εἶ σὺ πανουργότατος ἐν τοῖς λόγοις.

5. ΠΡΟΜ. Πρότερος οὖν, ὦ Ἑρμῆ, λέγε καὶ ὅπως μου ὡς δεινότατα κατηγορήσῃς μηδὲ καθυφῇς τι τῶν δικαίων τοῦ πατρός. Σὲ δὲ, ὦ Ἥφαιστε, δικαστὴν ποιοῦμαι ἔγωγε.

ΗΦ. Μὰ Δί', ἀλλὰ κατήγορον ἀντὶ δικαστοῦ ἴσθι με ἔξων, ὃς τὸ πῦρ ὑφελόμενος ψυχράν μοι τὴν κάμινον ἀπολέλοιπας.

ΠΡΟΜ. Οὐκοῦν διελόμενοι τὴν κατηγορίαν, σὺ μὲν περὶ τῆς κλοπῆς ἤδη σύνειρε, ὁ Ἑρμῆς δὲ καὶ τὴν ἀνθρωποποιίαν καὶ τὴν κρεανομίαν αἰτιάσεται· ἄμφω δὲ τεχνῖται καὶ εἰπεῖν δεινοὶ ἐοίκατε εἶναι.

ΗΦ. Ὁ Ἑρμῆς καὶ ὑπὲρ ἐμοῦ ἐρεῖ· ἐγὼ γὰρ οὐ πρὸς λόγοις τοῖς δικανικοῖς εἰμι, ἀλλ' ἀμφὶ τὴν κάμινον ἔχω τὰ πολλά· ὁ δὲ ῥήτωρ τέ ἐστι καὶ τῶν τοιούτων οὐ παρέργως μεμέληκεν αὐτῷ.

ΠΡΟΜ. Ἐγὼ μὲν οὐκ ἂν ᾠμην καὶ περὶ τῆς κλοπῆς τὸν Ἑρμῆν ἐθελῆσαι ἂν εἰπεῖν οὐδὲ ὀνειδιεῖν μοι τὸ τοιοῦτον δμοτέχνῳ ὄντι. Πλὴν ἀλλ' εἰ καὶ τοῦτο, ὦ Μαίας παῖ, ὑφίστασαι, καιρὸς ἤδη περαίνειν τὴν κατηγορίαν.

6. ΕΡΜ. Πάνυ γοῦν, ὦ Προμηθεῦ, μακρῶν δεῖ λόγων καὶ ἱκανῆς τινος παρασκευῆς ἐπὶ τὰ σοὶ πεπραγμένα, οὐχὶ δὲ ἀπόχρη τὰ κεφάλαια εἰπεῖν τῶν ἀδικημάτων, ὅτι ἐπιτραπέν σοι μοιρᾶσαι τὰ κρέα σαυτῷ μὲν τὰ κάλλιστα ἐφύλαττες, ἐξηπάτησας δὲ τὸν βασιλέα, καὶ τοὺς ἀνθρώπους ἀνέπλασας, οὐδὲν δέον, καὶ τὸ πῦρ κλέψας παρ' ἡμῶν ἐκόμισας ἐς αὐτούς· καί μοι δοκεῖς, ὦ βέλτιστε, μὴ συνεῖναι ἐπὶ τοῖς τηλικούτοις πάνυ φιλανθρώπου τοῦ Διὸς πεπειραμένος. Εἰ μὲν οὖν ἔξαρνος εἶ μὴ εἰργάσθαι αὐτὰ, δεήσει καὶ διελέγχειν καὶ ῥῆσίν τινα μακρὰν ἀποτείνειν καὶ πειρᾶσθαι ὡς ἔνι μάλιστα ἐμφανίζειν τὴν ἀλήθειαν· εἰ δὲ φῂς τοιαύτην πεποιῆ-

nes effinxisti, animalia vaferrima; atque inprimis mulieres. Super omnia denique, pretiosissimam deorum possessionem, ignem subreptum et illum ipsum dedisti hominibus. Tot mala quum perfeceris, vinctum te esse dicis nulla re patrata?

4. PROM. Et tu mihi videris, Mercuri, secundum Poetam, inculpatum culpare, qui talia adversum me proferas, quorum ego causa victus in Prytaneo capiendi honore, si quidem ex merito jus redderetur, me dignum æstimassem. Quodsi vacuum tibi tempus, libenter equidem apud te causam meam agam, ostendamque injustam de me sententiam pronunciasse Jovem : tu vero (loquaculus enim es et forensi calliditate præstans) partes ejus tuere, et proba juste calculum eum tulisse, quo damnatus sum ad crucem prope Caspias istas portas, in Caucaso, miserabilissimum spectaculum omnibus Scythis.

MERC. Inani quidem, o Prometheu, provocatione certabis, nullamque in rem : attamen dic : etenim tantisper manere necesse est, dum aquila devolet jecur tuum curatura. Quod autem interea vacui est temporis, optime fuerit factum, eo si ad declamationem audiendam abutamur sophistæ, qualis tu es astutissimus orationum artifex.

5. PROM. Prior ergo dic, Mercuri : utque me quam vehementissime accuses, nec quicquam tibi perire sinas eorum, quæ pro jure patris dici possint. Te vero, Vulcane, judicem mihi lego.

VULC. Minime vero; sed probe scias me pro judice accusatorem tibi fore, qui igne subducto frigidum mihi fornacem reliquisti.

PROM. Quin ergo divisa inter vos actione tu de furto jam dissere; Mercurius autem et hominum creationem et carnium distributionem incusabit : ambo enim artifices et dicendi peritissimi videmini esse.

VULC. Pro me quoqué dicet Mercurius : nam ego a judicialium orationum studio longe absum, quippe circa caminum plerumque occupatus : hic vero rhetor est, ac talia non leviter ipsi sunt meditata.

PROM. Nunquam putaveram fore, ut de furto etiam Mercurius vellet dicere, mihique exprobraret tale quicquam in arte simili versato : attamen si vel hoc ipsum, o Maiæ fili, aggredi sustines, tempus jam est peragere accusationem.

6. MERC. Valde quidem, o Prometheu, longa opus est oratione et instructo quodam apparatu adversus ea, quæ tu perpetrasti; ac minime satis est sola capita exponere tuorum criminum : quod, quum præficereris dividendis carnibus, tibimet ipsi pulcherrimas servares, deciperesque regem; quod homines effinxeris, quo nihil minus fieri debuerat; quod ignem suffuratus a nobis detuleris ad istos. Et mihi quidem videris, o optime, minime intelligere, in tanta criminum gravitate quam clementem et benignum Jovem fueris expertus. Quodsi neges ista te fecisse, arguendus eris, et longa quædam oratio extendenda, anniteudumque mihi, ut quam possum maxime declarem veritatem :

σθαι τὴν νομὴν τῶν κρεῶν καὶ τὰ περὶ τοὺς ἀνθρώπους καινουργῆσαι καὶ τὸ πῦρ κεκλοφέναι, ἱκανῶς κατηγόρηταί μοι, καὶ μακρότερα οὐκ ἂν εἴποιμι· λῆρος γὰρ ἄλλως τὸ τοιοῦτον.

7. ΠΡΟΜ. Εἰ μὲν καὶ ταῦτα λῆρός ἐστιν, ἃ εἶρηκας, εἰσόμεθα μικρὸν ὕστερον· ἐγὼ δέ, ἐπείπερ ἱκανὰ ὀφείλεις εἶναι τὰ κατηγορημένα, πειράσομαι ὡς ἂν οἷός τε ὦ, διαλύσασθαι τὰ ἐγκλήματα. Καὶ πρῶτόν γε ἄκουε τὰ περὶ τῶν κρεῶν. Καίτοι, νὴ τὸν Οὐρανόν, καὶ νῦν λέγων αὐτὰ αἰσχύνομαι ὑπὲρ τοῦ Διός, εἰ οὕτω μικρολόγος καὶ μεμψίμοιρός ἐστιν, ὡς διότι μικρὸν ὀστοῦν ἐν τῇ μερίδι εὗρε, καταπέμψαι ἀνασκολοπισθησόμενον παλαιὸν οὕτω θεόν, μήτε τῆς συμμαχίας μνημονεύσαντα μήτε αὐτὸ τῆς ὀργῆς τὸ κεφάλαιον ἡλίκον ἐστὶν ἐννοήσαντα καὶ ὡς μειρακίου τὸ τοιοῦτον ὀργίζεσθαι καὶ ἀγανακτεῖν, εἰ μὴ τὸ μεῖζον αὐτὸς λήψεται.

8. Καίτοι τάς γε ἀπάτας, ὦ Ἑρμῆ, τὰς τοιαύτας συμποτικὰς οὔσας οὐ χρή, οἶμαι, ἀπομνημονεύειν, ἀλλ' εἰ καί τι ἡμάρτηται μεταξὺ εὐωχουμένων, παιδιὰν ἡγεῖσθαι καὶ αὐτοῦ ἐν τῷ συμποσίῳ καταλείπειν τὴν ὀργήν· ἐς δὲ τὴν αὔριον τα μιεύεσθαι τὸ μῖσος καὶ μνησικακεῖν καὶ ἕωλόν τινα μῆνιν διαφυλάττειν, ἄπαγε, οὔτε θεοῖς πρέπον οὔτε ἄλλως βασιλικόν· ἦν γοῦν ἀφέλῃ τις τῶν συμποσίων τὰς κομψείας ταύτας, ἀπάτην καὶ σκώμματα καὶ τὸ διασιλλαίνειν καὶ ἐπιγελᾶν, τὸ καταλειπόμενόν ἐστι μέθη καὶ κόρος καὶ σιωπή, σκυθρωπὰ καὶ ἀτερπῆ πράγματα καὶ ἥκιστα συμποσίῳ πρέποντα. Ὥστε ἔγωγε οὐδὲ μνημονεύσειν εἰς τὴν ὑστεραίαν ἔτι ὤμην τούτων τὸν Δία, οὐχ ὅπως καὶ τηλικαῦτα ἐπ' αὐτοῖς ἀγανακτήσειν καὶ πάνδεινα ἡγήσεσθαι πεπονθέναι, εἰ διανέμων τις κρέα παιδιάν τινα ἔπαιζε πειρώμενος, εἰ διαγνώσεται τὸ βέλτιον ὁ αἱρούμενος.

9. Τίθει δ' ὅμως, ὦ Ἑρμῆ, τὸ χαλεπώτερον, μὴ τὴν ἐλάττω μοῖραν ἀπονενεμηκέναι τῷ Διΐ, τὴν ὅλην δὲ ὑφῃρῆσθαι· τί οὖν; διὰ τοῦτο ἐχρῆν, τὸ τοῦ λόγου, τῇ γῇ τὸν οὐρανὸν ἀναμεμίχθαι καὶ δεσμὰ καὶ σταυροὺς καὶ Καύκασον ὅλον ἐπινοεῖν καὶ ἀετοὺς καταπέμπειν καὶ τὸ ἧπαρ ἐκκολάπτειν; ὅρα γὰρ μὴ πολλήν τινα ταῦτα κατηγορῇ τοῦ ἀγανακτοῦντος αὐτοῦ μικροψυχίαν καὶ εὐτέλειαν τῆς γνώμης καὶ πρὸς ὀργὴν εὐχέρειαν. Ἢ τί γὰρ ἂν ἐποίησεν οὗτος ὅλον βοῦν ἀπολέσας, εἰ κρεῶν ὀλίγων ἕνεκα τηλικαῦτα ὀργίζεται;

10. Καίτοι πόσῳ οἱ ἄνθρωποι εὐγνωμονέστερον διάκεινται πρὸς τὰ τοιαῦτα, οὓς εἰκὸς ἦν καὶ τὰ ἐς τὴν ὀργὴν ὀξυτέρους εἶναι τῶν θεῶν; ἀλλ' ὅμως ἐκείνων οὐκ ἔστιν ὅστις τῷ μαγείρῳ σταυροῦ ἂν τιμήσαιτο, εἰ τὰ κρέα ἕψων καθεὶς τὸν δάκτυλον τοῦ ζωμοῦ τι περιελιχμήσατο ἢ ὀπτωμένων ἀποσπάσας τι κατεδρόχθισεν, ἀλλὰ συγγνώμην ἀπονέμουσιν αὐτοῖς· εἰ δὲ καὶ πάνυ ὀργισθεῖεν, ἢ κονδύλοις ἐνετρίψαντο ἢ κατὰ κόρρης ἐπάταξαν, ἀνεσκολοπίσθη δὲ οὐδεὶς παρ' αὐτοῖς τῶν τηλικούτων ἕνεκα. Καὶ περὶ μὲν τῶν κρεῶν τοσαῦτα, αἰσχρὰ μὲν καὶμοὶ ἀπολογεῖσθαι, πολὺ δὲ αἰσχίω κατηγορεῖν ἐκείνου.

sin concedis talem te fecisse divisionem carnium, condendorum hominum inventum novasse, et ignem subduxisse, satis est mihi accusatum, nec cur plura dicam, causa est: plane enim videar nugari.

7. PROM. Ista sintne nugæ, quæ dixisti, videbimus paulo post. Ego vero, quandoquidem sufficere ais quæ accusatorie sunt a te prolata, conabor, quantum poteror dissolvere crimina. Primumque audi de carnibus. Atque equidem, ita me juvet Cœlus, nunc etiam ista referens pudore suffundor Jovis vicem, qui tam sordidi sit contractique animi, ac suspiciose querulus, ut, quia parvulum os in sua portione reperit, in crucem tollendum mittat vetustum adeo deum, nihil amplius auxilii lati memor, neque adeo iræ causa quantilla sit cogitans, et plane pueri esse illud, succensere atque indignari, nisi partem ipse majórem accipiat.

8. Atqui versutias ejusmodi, Mercuri, conviviales non decet, opinor, memori mente reponere; sed, si quid etiam peccatum fuerit inter epulas, ludum putare, atque ibi in convivio depositam iram relinquere: verum ut in crastinum sub pectore recondas odium, et injuriæ recorderis, atque hesternæ diei iram quandam conserves, apage, neque deos hoc decet, nec præterea regium est. Quodsi quis abstulerit a conviviis has festivitates, astum et jocos et subsannationes et irrisiones, nihil scilicet aliud erit reliquum, nisi ebrietas, satietasque et silentium, res tetricæ et injucundæ, quæque minime compotationi conveniant. Quare nihil minus putaram, quam horum recordaturum esse Jovem postridie; nedum ut tanto opere propterea indignaretur, seque gravem injuriam existimaret esse passum, si distribuens aliquis carnes ludum quendam luserit tentando, num, qui deligit, meliorem partem dignoscat.

9. Pone vero, Mercuri, quod gravius est, non minorem me partem attribuisse Jovi, sed totam subripuisse: quid igitur? ideone oportebat, quod proverbio dicitur, terræ cœlum misceri, vincula, cruces, totumque Caucasum adinvenire, et aquilas demittere, et jecur extundere? Ista vide ne magnam patefaciant indignantis humilitatem animi ignobilem, et in ira concipienda levitatem: quid enim hic designet, si totum bovem perdiderit, qui frustulorum carnis paucorum causa tanto opere stomachetur?

10. Contra homines quanto se præbent æquiores in istiusmodi rebus, quos credi poterat ad iram esse promtiores diis! et tamen eorum nemo est qui coquum cruce multarit, si carnes elixans immisso digito de jusculo degustarit, aut assatarum carnium quiddam avulsum deglutiverit: sed veniam dant ipsis: sin est ut etiam valde irascantur, aut pugnos incutere solent, aut alapas in malam ingerere; nemoque hactenus apud eos in patibulum ire jussus est ob tanta scilicet crimina. De carnibus ista sunt satis, quorum ut turpis est mihi defensio, sic multo turpior isti accusatio.

11. Περὶ δὲ τῆς πλαστικῆς καὶ ὅτι τοὺς ἀνθρώπους ἐποίησα, καιρὸς ἤδη λέγειν. Τοῦτο δὲ, ὦ Ἑρμῆ, διττὴν ἔχον τὴν κατηγορίαν, οὐκ οἶδα καθ' ὁπότερον αἰτιᾶσθέ μου, πότερα ὡς οὐδὲ ὅλως ἐχρῆν τοὺς ἀνθρώπους γεγονέναι, ἀλλ' ἄμεινον ἦν ἀτρεμεῖν αὐτοὺς γῆν ἄλλως ὄντας, ἢ ὡς πεπλάσθαι μὲν ἐχρῆν, ἄλλον δέ τινα καὶ μὴ τοῦτον ἐσχηματίσθαι τὸν τρόπον; ἐγὼ δὲ ὅμως ὑπὲρ ἀμφοῖν ἐρῶ· καὶ πρῶτόν γε, ὡς οὐδεμία τοῖς θεοῖς ἀπὸ τούτου βλάβη γεγένηται, τῶν ἀνθρώπων ἐς τὸν βίον παραχθέντων, πειράσομαι δεικνύειν· ἔπειτα δὲ, ὡς καὶ συμφέροντα καὶ ἀμείνω αὐτοῖς αὐτὰ παρὰ πολὺ ἢ εἰ ἐρήμην καὶ ἀπάνθρωπον συνέβαινε τὴν γῆν μένειν.

12. Ἦν τοίνυν πάλαι — ῥᾷον γὰρ οὕτω καὶ ὄῆλον ἂν γένοιτο, εἴ τι ἠδίκηκα ἐγὼ μετακοσμήσας τὰ περὶ τοὺς ἀνθρώπους — ἦν οὖν τὸ θεῖον μόνον καὶ τὸ ἐπουράνιον γένος, ἡ γῆ δὲ ἄγριόν τι χρῆμα καὶ ἄμορφον, ὕλαις ἅπασα καὶ ταύταις ἀνημέροις λάσιος, οὔτε δὲ βωμοὶ θεῶν ἦ νεὼς, — πόθεν δέ; — ἦ ἄγαλμα ἦ ξόανον ἤ τι ἄλλο τοιοῦτον, οἷα πολλὰ νῦν ἁπανταχόθι φαίνεται μετὰ πάσης ἐπιμελείας τιμώμενα· ἐγὼ δὲ — ἀεὶ γάρ τι προβουλεύω ἐς τὸ κοινὸν καὶ σκοπῶ ὅπως αὐξηθήσεται μὲν τὰ τῶν θεῶν, ἐπιδώσει δὲ καὶ τἄλλα πάντα ἐς κόσμον καὶ κάλλος — ἐνενόησα ὡς ἄμεινον εἴη ὀλίγον ὅσον τοῦ πηλοῦ λαβόντα ζῷά τινα συστήσασθαι καὶ ἀναπλάσαι τὰς μορφὰς μὲν ἡμῖν αὐτοῖς προσεοικότα· καὶ γὰρ ἐνδεῖν τι ᾤμην τῷ θείῳ, μὴ ὄντος τοῦ ἐναντίου αὐτῷ καὶ πρὸς ὃ ἔμελλεν ἡ ἐξέτασις γιγνομένη εὐδαιμονέστερον ἀποφαίνειν αὐτό· θνητὸν μέντοι εἶναι τοῦτο, εὐμηχανώτατον δ' ἄλλως καὶ συνετώτατον καὶ τοῦ βελτίονος αἰσθανόμενον.

13. Καὶ δὴ κατὰ τὸν ποιητικὸν λόγον « γαῖαν ὕδει φύρας » καὶ διαμαλάξας ἀνέπλασα τοὺς ἀνθρώπους ἔτι καὶ τὴν Ἀθηνᾶν παρακαλέσας συνεπιλαβέσθαι μοι τοῦ ἔργου. Ταῦτά ἐστιν ἃ μεγάλα ἐγὼ τοὺς θεοὺς ἠδίκηκα. Καὶ τὸ ζημίωμα ὁρᾷς ἡλίκον, εἰ ἐκ πηλοῦ ζῷα ἐποίησα καὶ τὸ τέως ἀκίνητον ἐς κίνησιν ἤγαγον· καὶ, ὡς ἔοικε, τὸ ἀπ' ἐκείνου ἧττον θεοί εἰσιν οἱ θεοὶ, διότι καὶ ἐπὶ γῆς τινα θνητὰ ζῷα γεγένηται· οὕτω γὰρ δὴ καὶ ἀγανακτεῖ νῦν ὁ Ζεὺς ὥσπερ ἐλαττουμένων τῶν θεῶν ἐκ τῆς τῶν ἀνθρώπων γενέσεως, εἰ μὴ ἄρα τοῦτο δέδοιε, μὴ καὶ οὗτοι ἀπόστασιν ἐπ' αὐτὸν βουλεύσωσι καὶ πόλεμον ἐξενέγκωσι πρὸς τοὺς θεοὺς ὥσπερ οἱ Γίγαντες. Ἀλλ' ὅτι μὲν δὴ οὐδὲν ἠδίκησθε, ὦ Ἑρμῆ, πρὸς ἐμοῦ καὶ τῶν ἔργων τῶν ἐμῶν, δῆλον· ἢ σὺ δεῖξον κἂν ἕν τι μικρότατον, κἀγὼ σιωπήσομαι καὶ δίκαια ἔσομαι πεπονθὼς πρὸς ὑμῶν.

14. Ὅτι δὲ καὶ χρήσιμα ταῦτα γεγένηται τοῖς θεοῖς, οὕτως ἂν μάθοις, εἰ ἐπιβλέψειας ἅπασαν τὴν γῆν οὐκέτ' αὐχμηρὰν καὶ ἀκαμῆ οὖσαν, ἀλλὰ πόλεσι καὶ γεωργίαις καὶ φυτοῖς ἡμέροις διακεκοσμημένην καὶ τὴν θάλατταν πλεομένην καὶ τὰς νήσους κατοικουμένας, ἁπανταχοῦ δὲ βωμοὺς καὶ θυσίας καὶ ναοὺς καὶ πανηγύρεις· μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαὶ, πᾶσαι

11. De arte fingendi autem deque eo, quod homines fecerim, tempus jam dicere : illud autem, Mercuri, quum duplicem habeat insimulationem, nescio equidem, quam in partem maxime me criminemini : utrum, in totum non oportuisse homines fieri, meliusque fuisse, si conquievissent ac mansissent terra rudis; an, eos quidem fingi debuisse, sed alium quendam, non hunc in modum, efformatos. At ego tamen de utroque dicam : et primum quidem, nullum omnino diis ex eo damnum accidisse, quod homines in vitam sint producti, conabor ostendere; deinde, multum interesse, ut utilius hoc ipsis et melius sit, quam si terram desertam hominumque vacuam contigisset restare.

12. Ergo erat olim (facilius enim sic palam fiat, an quid ego peccaverim alio ornatu inducto rebus humanis) divinum solum ac cœleste genus; tellus vero inculta quædam res et informis, silvis tota iisque agrestibus horrida : neque erant aræ deorum nec templum (qui poterat enim?) nec statua, nec simulacrum, neque aliud quicquam ejusmodi, qualia multa jam ubique apparent summa cum cura in honore habita. Ego vero (semper enim aliquid consulo in commune, mecumque agito quomodo amplificentur res deorum, ceteraque omnia incrementum capiant ornatus ac pulchritudinis) in animum induxi optimum fore factum, si, parvula quadam luti parte accepta, animalia componerem atque effingerem specie nobismet ipsis assimilia : etenim ita statuebam, delicere quiddam naturam divinam, dum nihil exstat ipsi contrarium, ad quod instituta comparatione, illam esse beatiorem dilucide pateat : igitur mortale illud esse volebam; artificiosissimum alioquin et prudentissimum, quodque melioris haberet sensum.

13. Itaque, secundum poetæ dictum, aqua terræ mixta et permollita effinxi homines, Minervamque etiam advocavi, ut una mecum operi manum accommodaret. Istæc sunt scilicet, quæ gravia in deos admisi : tum detrimentum viden' quantum sit, si e luto animalia confecerim, quodque hactenus erat immobile, in motum deduxerim : ex eo, ut videtur, tempore minus dii sunt dii, quia in terra quoque animantia quædam mortalia exstiterint : quippe ita etiam Jupiter indignatur, quasi deteriore dii essent conditione ab hominum ortu; nisi forte hoc veretur, ne et illi defectionis consilia adversum se ineant, bellumque inferant diis perinde ac Gigantes. At nihil vobis accidisse mali a me, Mercuri, meisque operibus, est manifestum : sin, ostende tu unum aliquod vel minimum, et conticescam, ac justa me perpessum a vobis fatebor.

14. Quin contra hæc in rem esse deorum, ita maxime discas, si consideres terram non amplius horridam, non amplius incultam, sed urbibus, cultis agris, plantisque mitibus ornate distinctam, mare navigatum, insulas habitatas, ubique aras, sacrificia, templa festorumque celebritates : Jovis autem plenæ omnes viæ, cuncta hominum fora.

ὁ ἀνθρώπων ἀγοραί. Καὶ γὰρ εἰ μὲν ἐμαυτῷ μόνῳ κτῆμα τοῦτο ἐπλασάμην, ἐπλεονέκτουν ἂν τῆς χρήσεως, νῦν δ' εἰς τὸ κοινὸν φέρων κατέθηκα ὑμῖν αὐτοῖς· μᾶλλον δὲ Διὸς μὲν καὶ Ἀπόλλωνος καὶ Ἥρας καὶ σοῦ δέ, ὦ Ἑρμῆ, νεὼς ἰδεῖν ἁπανταχοῦ ἐστι, Προμηθέως δὲ οὐδαμοῦ. Ὁρᾷς ὅπως ταμαυτοῦ μόνα σκοπῶ, τὰ κοινὰ δὲ καταπροδίδωμι καὶ ἐλάττω ποιῶ;

15. Ἔτι δέ μοι, ὦ Ἑρμῆ, καὶ τόδε ἐννόησον, εἴ τί σοι δοκεῖ ἀγαθὸν ἀμάρτυρον, οἷον κτῆμα ἢ ποίημα, ὃ μηδεὶς ὄψεται μηδὲ ἐπαινέσεται, ὁμοίως ἡδὺ καὶ τερπνὸν ἔσεσθαι τῷ ἔχοντι. Πρὸς δὴ τί τοῦτ' ἔφην; ὅτι μὴ γενομένων τῶν ἀνθρώπων ἀμάρτυρον συνέβαινε τὸ καλλὸς εἶναι τῶν ὅλων, καὶ πλοῦτόν τινα πλουτήσειν ἐμέλλομεν οὔτε ὑπ' ἄλλου τινὸς θαυμασθησόμενον οὔτε ἡμῖν αὐτοῖς ὁμοίως τίμιον· οὐδὲ γὰρ ἂν εἴχομεν πρὸς ὅ τι ἔλαττον παραθεωρῶμεν αὐτὸν, οὐδ' ἂν συνίεμεν ἡλίκα εὐδαιμονοῦμεν οὐχ ὁρῶντες ἀμοίρους τῶν ἡμετέρων τινάς· οὕτω γὰρ δὴ καὶ τὸ μέγα δόξειεν ἂν μέγα, εἰ τῷ μικρῷ παραμετροῖτο. Ὑμεῖς δὲ, τιμᾶν ἐπὶ τῷ πολιτεύματι τούτῳ δέον, ἀνεσταυρώκατέ με καὶ ταύτην μοι τὴν ἀμοιβὴν ἀποδεδώκατε τοῦ βουλεύματος.

16. Ἀλλὰ κακοῦργοί τινες, φῄς, ἐν αὐτοῖς καὶ μοιχεύουσι καὶ πολεμοῦσι καὶ ἀδελφὰς γαμοῦσι καὶ πατράσιν ἐπιβουλεύουσι. Παρ' ἡμῖν γὰρ οὐχὶ πολλὴ τούτων ἀφθονία; οὐ δήπου διὰ τοῦτ' αἰτιάσαιτ' ἄν τις τὸν Οὐρανὸν καὶ τὴν Γῆν, ὅτι ἡμᾶς συνεστήσαντο. Ἔτι καὶ τοῦτο ἴσως φαίης ἂν, ὅτι ἀνάγκη πολλὰ ἡμᾶς ἔχειν πράγματα ἐπιμελουμένους αὐτῶν. Οὐκοῦν διά γε τοῦτο καὶ ὁ νομεὺς ἀχθέσθω ἐπὶ τῷ ἔχειν τὴν ἀγέλην, διότι ἀναγκαῖον αὐτῷ ἐπιμελεῖσθαι αὐτῆς. Καίτοι τό γε ἐργῶδες τοῦτο καὶ ἡδύ· ἄλλως καὶ ἡ φροντὶς οὐκ ἀτερπῆ ἔχουσά τινα διατριβήν. Ἢ τί γὰρ ἂν ἐπράττομεν οὐκ ἔχοντες ὧν προνοοῦμεν τούτων; ἠργοῦμεν ἂν καὶ τὸ νέκταρ ἐπίνομεν καὶ τῆς ἀμβροσίας ἐνεφορούμεθα οὐδὲν ποιοῦντες.

17. Ὃ δὲ μάλιστά με ἀποπνίγει, τοῦτ' ἐστὶν, ὅτι μεμῳδήμενοι τὴν ἀνθρωποποιίαν καὶ μάλιστά γε τὰς γυναῖκας ὅμως ἐρᾶτε αὐτῶν καὶ οὐ διαλείπετε κατιόντες, ἄρτι μὲν ταῦροι, ἄρτι δὲ σάτυροι καὶ κύκνοι γενόμενοι, καὶ θεοὺς ἐξ αὐτῶν ποιεῖσθαι ἀξιοῦτε. Ἀλλ' ἐχρῆν μὲν, ἴσως φήσεις, ἀναπεπλάσθαι τοὺς ἀνθρώπους, ἄλλον δέ τινα τρόπον, ἀλλὰ μὴ ἡμῖν ἐοικότας· καὶ τί ἂν ἄλλο παράδειγμα τούτου ἄμεινον προεστησάμην, ὃ πάντως καλὸν ἠπιστάμην; ἢ ἀσύνετον καὶ θηριῶδες ἔδει καὶ ἄγριον ἀπεργάσασθαι τὸ ζῷον; καὶ πῶς ἂν ἢ θεοῖς ἔθυσαν ἢ τὰς ἄλλας ὑμῖν τιμὰς ἀπένειμαν οὐχὶ τοιοῦτοι γενόμενοι; ἀλλ' ὑμεῖς, ὅταν μὲν ὑμῖν τὰς ἑκατόμβας προσάγωσιν, οὐκ ὀκνεῖτε, κἂν ἐπὶ τὸν Ὠκεανὸν ἐλθεῖν δέῃ « μετ' ἀμύμονας Αἰθιοπῆας· » τὸν δὲ τῶν τιμῶν ὑμῖν καὶ τῶν θυσιῶν αἴτιον ἀνεσταυρώκατε. Περὶ μὲν οὖν τῶν ἀνθρώπων καὶ ταῦτα ἱκανά.

18. Ἤδη δὲ καὶ ἐπὶ τὸ πῦρ, εἰ δοκεῖ, μετελεύσομαι καὶ τὴν ἐπονείδιστον ταύτην κλοπήν. Καὶ πρὸς θεῶν τοῦτό μοι ἀπόκριναι μηδὲν ὀκνήσας· ἔσθ' ὅ τι

Quodsi mihimet soli homines velut legitimam possessionem effinxissem, privatis usibus studere potuissem videri : nunc vobiscum communicatam in medium attuli; imo, quod magis est, Jovis, Apollinis, Junonis et tua, Mercuri, templa videre datur ubique; Promethei nusquam. Viden' ut meis solius commodis invigilem, publica prodam et imminuam?

15. Hanc porro rationem mihi pone, Mercuri : expende tecum, tibine videatur bonum aliquod teste carens, seu possessum, sive arte laboratum sit, quod nemo videat, laudet nemo, similiter suave jucundumque fore habenti? Quorsum autem illud dixi? quia non factis hominibus testem habitura non erat pulchritudo universi : nimirum divitiis abundaremus, quæ neque alii cuiquam essent in admiratione, nec nobismet ipsis perinde caræ; nihil enim exstaret omnino, ad quod tanquam imperfectius eas exigeremus; neque intelligeremus, quanta versemur in felicitate, nisi quosdam intueri daretur bonorum nostrorum expertes : sic enim demum magnum videatur esse magnum, si ad parvi mensuram comparetur. Vos vero, quem decebat ob solers inventum honoribus afficere, in crucem sustulistis me, easque mihi vices reddidistis consilii.

16. At maleficos esse quosdam ais in iis : adulteria committunt, bella gerunt, sorores ducunt, patribus insidiantur. Quasi vero apud nos non magna sit vitiorum illorum copia : nec tamen propterea quis culpaverit Cœlum et Terram, quod nos condiderint. Hoc insuper fieri potest, ut dicas, necessum esse multis nos negotiis implicari, dum curamus illos. Eandem igitur ob causam pastor etiam indignetur, quod gregem habeat, utpote cujus sibi cura sit gerenda. Fuerit hoc ipsi laboriosum, at jucundum itidem : atque sollicitudo non ingrata est, præbens aliquam occupationem. Nos enim quid ageremus non habentes quibus prospiciamus? cessaremus scilicet, bibereturque nobis nectar, et ambrosia nos ingurgitaremus otiosi.

17. Quod vero me maxime urit, hoc est : qui incusatis hominum fabricationem, et potissimum mulieres, ipsi tamen amatis eas, neque intermittitis in terram descendere, nunc in tauros, alias in satyros et cycnos versi, deosque ex illis procreare non dedignamini. At nihil oberat, forte dices, quominus homines effingerentur, sed alium quendam in modum, nec nobis similes : at quod aliud exemplar isto melius mihi proposuissem, quod omnino pulchrum sciebam? num rationis expers et ferum conveniebat atque agreste elaborari animal? quomodo tum diis sacrificassent, ceterosque vobis honores tribuissent, alio modo comparati? Et vos tamen, quando hecatombas offerunt, nullam moram facitis, etsi vel Oceanus longo itinere sit petendus, ut visatis probissimos Æthiopas : me vero, honorum vobis et victimarum causam, in patibulum egistis. De hominibus quidem ista sufficiunt.

18. Jam, si videtur, ad ignem transeo, exprobratumque tanto opere furtum. Per deos ergo hoc mihi responde nihil moratus : estne quicquam istius ignis quod amiserimus,

ἡμεῖς τοῦ πυρὸς ἀπολωλέκαμεν, ἐξ οὗ καὶ παρ' ἀνθρώποις ἐστίν; οὐκ ἂν εἴποις. Αὕτη γάρ, οἶμαι, φύσις τουτουὶ τοῦ κτήματος, οὐδέν τι ἔλαττον γίγνεται, εἴ τις καὶ ἄλλος αὐτοῦ μεταλάβοι· οὐ γὰρ ἀποσβέννυται ἐναυσαμένου τινός· φθόνος δὲ δὴ ἄντικρυς τὸ τοιοῦτο, ἀφ' ὧν μηδὲν ὑμεῖς ἠδίκησθε, τούτων κωλύειν μεταδιδόναι τοῖς δεομένοις. Καίτοι θεούς γε ὄντας ἀγαθοὺς χρὴ εἶναι καὶ « ὠστῆρας ἐάων » καὶ ἔξω φθόνου παντὸς ἑστάναι· ὅπου γε καὶ εἰ τὸ πᾶν τοῦτο πῦρ ὑφελόμενος κατεκόμισα ἐς τὴν γῆν μηδ' ὅλως τι αὐτοῦ καταλιπών, οὐ μεγάλα ὑμᾶς ἠδίκουν· οὐδὲ γὰρ ὑμεῖς δεῖσθε αὐτοῦ μήτε ῥιγοῦντες μήτε ἕψοντες τὴν ἀμβροσίαν μήτε φωτὸς ἐπιτεχνητοῦ δεόμενοι.

19. Οἱ δὲ ἄνθρωποι καὶ ἐς τὰ ἄλλα μὲν ἀναγκαίῳ χρῶνται τῷ πυρί, μάλιστα δὲ ἐς τὰς θυσίας, ὅπως ἔχοιεν κνισᾶν τὰς ἀγυιὰς καὶ τοῦ λιβανωτοῦ θυμιᾶν καὶ τὰ μηρία κάειν ἐπὶ τῶν βωμῶν. Ὁρῶ δέ γε ὑμᾶς μάλιστα χαίροντας τῷ καπνῷ καὶ τὴν εὐωχίαν ταύτην ἡδίστην οἰομένους, ὁπόταν ἐς τὸν οὐρανὸν ἡ κνῖσα παραγίγνηται « ἐλισσομένη περὶ καπνῷ. » Ἐναντιωτάτη τοίνυν ἡ μέμψις αὕτη ἂν γένοιτο τῇ ὑμετέρᾳ ἐπιθυμίᾳ. Θαυμάζω δὲ ὅπως οὐχὶ καὶ τὸν ἥλιον κελεύετε μὴ καταλάμπειν αὐτούς· καίτοι πῦρ καὶ οὗτός ἐστι πολὺ θειότερόν τε καὶ πυρωδέστερον. Ἡ κἀκεῖνον αἰτιᾶσθε ὡς σπαθῶντα ὑμῶν τὸ κτῆμα; Εἰρηκα· σφὼ δέ, ὦ Ἑρμῆ καὶ Ἥφαιστε, εἴ τι μὴ καλῶς εἰρῆσθαι δοκεῖ, διευθύνετε καὶ διεξελέγχετε, κἀγὼ αὖθις ἀπολογήσομαι.

20. ΕΡΜ. Οὐ ῥᾴδιον, ὦ Προμηθεῦ, πρὸς οὕτω γενναῖον σοφιστὴν ἀμιλλᾶσθαι· πλὴν ἀλλὰ ὤνησο, διότι μὴ καὶ ὁ Ζεὺς ταῦτα ἐπήκουσέ σου· εὖ γὰρ οἶδα, ἑκκαίδεκα γῦπας ἂν ἐπέστησέ σοι τὰ ἔγκατα ἐξαιρήσοντας· οὕτω δεινῶς αὐτοῦ κατηγόρηκας ἀπολογεῖσθαι δοκῶν. Ἐκεῖνο δέ γε θαυμάζω, ὅπως μάντις ὢν οὐ προεγίγνωσκες ἐπὶ τούτοις κολασθησόμενος.

ΠΡΟΜ. Ἠπιστάμην, ὦ Ἑρμῆ, καὶ ταῦτα μὲν καὶ διότι δὲ ἀπολυθήσομαι αὖθις οἶδα, καὶ ἤδη γέ τις ἐκ Θηβῶν ἀφίξεται σὸς ἀδελφὸς οὐκ ἐς μακρὰν κατατοξεύσων δν φὴς ἐπιπετήσεσθαί μοι τὸν ἀετόν.

ΕΡΜ. Εἰ γὰρ γένοιτο, ὦ Προμηθεῦ, ταῦτα καὶ ἐπίδοιμί σε λελυμένον, ἐν ἡμῖν εὐωχούμενον, οὐ μέντοι καὶ κρεανομοῦντά γε.

21. ΠΡΟΜ. Θάρρει· καὶ συνευωχήσομαι ὑμῖν καὶ ὁ Ζεὺς λύσει με οὐκ ἀντὶ μικρᾶς εὐεργεσίας.

ΕΡΜ. Τίνος ταύτης; μὴ γὰρ ὀκνήσῃς εἰπεῖν.

ΠΡΟΜ. Οἶσθα, ὦ Ἑρμῆ, τὴν Θέτιν; ἀλλ' οὐ χρὴ λέγειν· φυλάττειν γὰρ ἄμεινον τὸ ἀπόρρητον, ὡς μισθὸς εἴη καὶ λύτρα μοι ἀντὶ τῆς καταδίκης.

ΕΡΜ. Ἀλλὰ φύλαττε, ὦ Τιτάν, εἰ τοῦτ' ἄμεινον. Ἡμεῖς δὲ ἀπίωμεν, ὦ Ἥφαιστε· καὶ γὰρ ἤδη πλησίον οὑτοσὶ ὁ ἀετός. Ὑπόμενε οὖν καρτερῶς· εἴη δὲ ἤδη σοι τὸν Θηβαῖον δν φὴς τοξότην ἐπιφανῆναι, ὡς παύσειεν ἀνατεμνόμενον ὑπὸ τοῦ ὀρνέου.

ex quo apud homines est? non diveris: haec, opinor, natura est ejus rei, nihil ut decrescat, etsi vel alius inde partem capiat: non enim exstinguitur, si quis ex eo lumen accenderit: invidia vero planissime est, ex quibus nullum ad vos damnum redeat, eorum prohibere ne usus impertiatur indigentibus. Atqui dii quum sitis, beneficos esse oportet commodorumque largitores, procul ab invidia remotos: atque adeo, si vel omnem hunc ignem subreptum detulissem in terram, nihilque omnino ex eo reliquissem, haud magna a me vobis injuria foret facta: neque enim vos eo indigetis, ut qui non frigeatis, nec ambrosiam coquatis, neque opus habeatis arte facta luce.

19. Hominibus vero ignis usus est et ad alia pernecessarius, et plurimum ad sacrificia, ut possint nidore vaporare vias, thus adolere, et lumbos hostiarum in aris comburere. Video sane vos summo opere delectari isto fumo, easque epulas putare suavissimas, quando nidor in cœlum penetrat multo fumi volumine subvectus. Adversetur ergo haec criminatio quam maxime vestro desiderio. Miror autem, quomodo nec solem vetueritis eos illustrare: atqui ignis hic est multo divinior et flagrantior. Aut illumne etiam accusatis, quasi dissipantem propriam vobis possessionem? Dixi: vos autem uterque, Mercuri et Vulcane, si quid minus recte dictum videatur, emendate et arguite; tumque ego iterum partes meas tuebor.

20. MERC. Facile non est, Prometheu, cum tam valido sophista contendere. Ceterum gratulare tibi, quod Jupiter istam orationem tuam non inaudiverit: sedecim enim, quod probe scio, vultures apposuisset tibi ad intestina eruenda; tam graviter ipsum objurgasti, dum causam tuam agere videris. Illud equidem miror, quo pacto, quum sis vates, non præsciveris hoc te supplicio punitum iri.

PROM. Noveram illud, Mercuri; et me solvi debere in posterum, novi: et jam quis Thebis adveniet tuus frater non longo temporis intervallo, sagittis confixurus eam, quam in me involaturam esse dicis, aquilam.

MERC. Ea, Prometheu, utinam eveniant, teque intuear solutum, et nobiscum epulantem; sic tamen, ut carnes non distribuas.

21. PROM. Bono esto animo: et simul vobiscum epulabor, et Jupiter me vinculis solvet pro non exiguo beneficio.

MERC. Quonam isto? eloqui ne graveris.

PROM. Nostin', o Mercuri, Thetin? sed non expedit dicere: custodire præstat hoc arcanum, ut merces sit et pretium, quo me a pœna redimam.

MERC. Quin tu tecum serva, o Titan, siquidem hoc melius est. Nos autem abeamus, Vulcane; jam enim ecce, quæ prope adest, aquilam. Tu vero sustine fortiter: atque utinam tibi jam Thebanus ille, quem dicis, sagittarius exoriatur, ut te liberet laceratum ab ista alite.

VIII.

ΘΕΩΝ ΔΙΑΛΟΓΟΙ.

1.

ΠΡΟΜΗΘΕΩΣ ΚΑΙ ΔΙΟΣ.

1. **ΠΡΟΜ.** Λῦσόν με, ὦ Ζεῦ· δεινὰ γὰρ ἤδη πέπνυθα.

ΖΕΥΣ. Λύσω σε, φὴς, ὃν ἐχρῆν βαρυτέρας πέδας ἔχοντα καὶ τὸν Καύκασον ὅλον ὑπὲρ κεφαλῆς ἐπικείμενον ὑπὸ ἑκκαίδεκα γυπῶν μὴ μόνον κείρεσθαι τὸ ἧπαρ, ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεσθαι, ἀνθ' ὧν τοιαῦθ' ἡμῖν ζῷα τοὺς ἀνθρώπους ἔπλασας καὶ τὸ πῦρ ἔκλεψας καὶ γυναῖκας ἐδημιούργησας; ἃ μὲν γὰρ ἐμὲ ἐξηπάτησας ἐν τῇ νομῇ τῶν κρεῶν ὀστᾶ πιμελῇ κεκαλυμμένα παραθεὶς καὶ τὴν ἀμείνω τῶν μοιρῶν σεαυτῷ φυλάττων, τί χρὴ λέγειν;

ΠΡΟΜ. Οὐκοῦν ἱκανὴν ἤδη τὴν δίκην ἐκτέτικα τοσοῦτον χρόνον τῷ Καυκάσῳ προσηλωμένος τὸν κάκιστα ὀρνέων ἀπολούμενον ἀετὸν τρέφων τῷ ἥπατι.

ΖΕΥΣ. Οὐδὲ πολλοστημόριον τοῦτο ὧν σε δεῖ παθεῖν.

ΠΡΟΜ. Καὶ μὴν οὐκ ἀμισθί με λύσεις, ἀλλά σοι μηνύσω τι, ὦ Ζεῦ, πάνυ ἀναγκαῖον.

2. **ΖΕΥΣ.** Κατασοφίζῃ με, ὦ Προμηθεῦ.

ΠΡΟΜ. Καὶ τί πλέον ἕξω; οὐ γὰρ ἀγνοήσεις αὖθις ἔνθα ὁ Καύκασός ἐστιν, οὐδὲ ἀπορήσεις δεσμῶν, ἤν τι τεχνάζων ἁλίσκωμαι.

ΖΕΥΣ. Εἰπὲ πρότερον, ὄντινα μισθὸν ἀποτίσεις ἀναγκαῖον ἡμῖν ὄντα.

ΠΡΟΜ. Ἤν εἴπω ἐφ' ὅ τι βαδίζεις νῦν, ἀξιόπιστος ἔσομαί σοι καὶ περὶ τῶν ὑπολοίπων μαντευόμενος;

ΖΕΥΣ. Πῶς γὰρ οὔ;

ΠΡΟΜ. Παρὰ τὴν Θέτιν, συνεσόμενός αὐτῇ.

ΖΕΥΣ. Τοῦτ μὲν ἔγνως· τί δ' οὖν τὸ ἐπὶ τούτῳ; δοκεῖς γὰρ ἀληθές τι ἐρεῖν.

ΠΡΟΜ. Μηδὲν, ὦ Ζεῦ, κοινωνήσῃς τῇ Νηρηίδι· ἣν γὰρ αὐτὴ κυοφορήσῃ ἐκ σοῦ, τὸ τεχθὲν ἴσα ἐργάσεταί σε οἷα καὶ σὺ ἔδρασας —

ΖΕΥΣ. Τοῦτο φὴς, ἐκπεσεῖσθαί με τῆς ἀρχῆς;

ΠΡΟΜ. Μὴ γένοιτο, ὦ Ζεῦ. Πλὴν τοιοῦτό γε ἡ μῖξις αὐτῆς ἀπειλεῖ.

ΖΕΥΣ. Χαιρέτω τοιγαροῦν ἡ Θέτις· σὲ δὲ ὁ Ἥφαιστος ἐπὶ τούτοις λυσάτω.

2.

ΕΡΩΤΟΣ ΚΑΙ ΔΙΟΣ.

1. **ΕΡΩΣ.** Ἀλλ' εἰ καί τι ἥμαρτον, ὦ Ζεῦ, σύγγνωθί μοι· παιδίον γάρ εἰμι καὶ ἔτι ἄφρων.

VIII.

DEORUM DIALOGI.

1.

PROMETHEI ET JOVIS.

1. PROM. Solve me, o Jupiter: nam gravia jam passus sum.

JUP. Ten' ut solvam, ais, cujus oportebat graviores habentis compedes, Caucaso toto super caput injecto, a sedecim vulturibus non solum detonderi jecur, sed et oculos effodi pro eo quod talia nobis animantia homines finxeris, ignem surripueris, et mulieres sis fabricatus? nam me quidem quod deceperis in distributione carnium, dum ossa adipe obtecta mihi apponis, et præstantiorem partem tibimet servas, quid attinet dicere?

PROM. Nimirum sat jam pœnarum exsolvi tantum temporis Caucaso affixus, quæ avium cunctarum pessime perire meretur, aquilam alens jecore.

JUP. Hoc ne multesimum quidem eorum, quæ te decet pati.

PROM. At non sine mercede quidem me solves, Jupiter: sed tibi indicabo quiddam valde magni momenti.

2. JUP. Tu me dolis circumvenire studes, Prometheu.

PROM. Ecquid ex eo lucri capiam? non enim ignoraturus es postea, ubi Caucasus sit, neque carebis vinculis, si quas technas struere deprehendar.

JUP. Ede prius, quam mercedem sis soluturus ita nobis necessariam.

PROM. Si dixero quo nunc vadas, num tibi fide dignus habebor in iis, quæ de reliquis prædicam?

JUP. Quidni?

PROM. Ad Thetidem properas, cum ea congressurus.

JUP. Id quidem pervidisti: quid tum porro? videris enim aliquid veri dicturus.

PROM. Tu ne, Jupiter, rem habueris cum Nereide: etenim, si uterum ferat ex te, quod erit natum pari te modo tractabit, quo tu tractavisti —

JUP. Hoc significas, ejectum me iri imperio?

PROM. Absit omen, o Jupiter: neque tamen non tale quid concubitus ejus minatur.

JUP. Valeat ergo Thetis: te autem Vulcanus hujus moniti gratia solvat.

2.

CUPIDINIS ET JOVIS.

1. CUP. At si quid etiam peccavi, Jupiter, ignosce mihi; puerulus enim sum, atque adhuc insipiens.

ΖΕΥΣ. Σὺ παιδίον ὁ Ἔρως, ὃς ἀρχαιότερος εἶ πολὺ Ἰαπετοῦ; ἢ διότι μὴ πώγωνα μηδὲ πολιὰς ἔφυσας, διὰ ταῦτα καὶ βρέφος ἀξιοῖς νομίζεσθαι γέρων καὶ πανοῦργος ὤν;

ΕΡΩΣ. Τί δαί σε μέγα ἠδίκηκα ὁ γέρων ὡς φῂς ἐγώ, διότι με καὶ πεδῆσαι διανοῇ;

ΖΕΥΣ. Σκόπει, ὦ κατάρατε, εἰ μικρὰ, ὃς ἐμοὶ μὲν οὕτως ἐντρυφᾷς, ὥστε οὐδέν ἐστιν ὃ μὴ πεποίηκάς με, σάτυρον, ταῦρον, χρυσὸν, κύκνον, ἀετόν· ἐμοῦ δὲ ὅλως οὐδεμίαν ἥντινα ἐρασθῆναι πεποίηκας, οὐδὲ συνῆκα ἡδὺς γυναικὶ διὰ σὲ γεγενημένος, ἀλλά με δεῖ μαγγανεύειν ἐπ' αὐτὰς καὶ κρύπτειν ἐμαυτόν· αἱ δὲ τὸν μὲν ταῦρον ἢ κύκνον φιλοῦσιν, ἐμὲ δὲ ἢν ἴδωσι, τεθνᾶσιν ὑπὸ τοῦ δέους.

2. ΕΡΩΣ. Εἰκότως· οὐ γὰρ φέρουσιν, ὦ Ζεῦ, θνηταὶ οὖσαι τὴν σὴν πρόσοψιν.

ΖΕΥΣ. Πῶς οὖν τὸν Ἀπόλλω ὁ Βράγχος καὶ ὁ Ὑάκινθος φιλοῦσιν;

ΕΡΩΣ. Ἀλλ' ἡ Δάφνη κἀκεῖνον ἔφευγε καίτοι κομήτην καὶ ἀγένειον ὄντα. Εἰ δ' ἐθέλεις ἐπέραστος εἶναι, μὴ ἐπίσειε τὴν αἰγίδα μηδὲ τὸν κεραυνὸν φέρε, ἀλλ' ὡς ἥδιστον ποίει σεαυτὸν ἑκατέρωθεν καθειμένος βοστρύχους, τῇ μίτρᾳ τούτους ἀνειλημμένος, πορφυρίδα ἔχε, ὑποδέου χρυσίδας, ὑπ' αὐλῷ καὶ τυμπάνοις εὐρυθμα βαῖνε, καὶ ὄψει ὅτι πλείους ἀκολουθήσουσί σοι τῶν Διονύσου Μαινάδων.

ΖΕΥΣ. Ἄπαγε· οὐκ ἂν δεξαίμην ἐπέραστος εἶναι τοιοῦτος γενόμενος.

ΕΡΩΣ. Οὐκοῦν, ὦ Ζεῦ, μηδὲ ἐρᾶν θέλε· ῥᾴδιον γὰρ τοῦτό γε.

ΖΕΥΣ. Οὐκ, ἀλλ' ἐρᾶν μὲν, ἀπραγμονέστερον δὲ αὐτῶν ἐπιτυγχάνειν· ἐπὶ τούτοις αὖθις ἀφίημί σε.

JUP. Tune puerulus, o Cupido, qui vetustior es multo Iapeto? an, quia nec barbam nec canos protulisti, propterea infans haberi vis, quum vetulus sis et vafer?

CUP. Quid autem in te tam magnum commisi vetulus, ut ais, ego, cur me vincire quoque mediteris?

JUP. Vide, exsecrande, an parva; qui mihi quidem eum in modum insultas, ut nihil sit, quod non feceris me, satyrum, taurum, aurum, cycnum, aquilam : me ipsum autem omnino nullam quæ amaret effecisti, neque intellexi amabilem mulieri opera tua me factum : quin necesse habeo præstigiis adversum illas uti, et celare memet : tum taurum cycnumve amant; me si videant, moriuntur præ timore.

2. CUP. Merito sane : neque enim ferre possunt, Jupiter, mortales ipsæ tuum conspectum.

JUP. Qui fit ergo, ut Apollinem Branchus et Hyacinthus ament?

CUP. At Daphne illum quoque fugit, tametsi comatum et imberbem. Quodsi amabilis esse velis, ne ægidem quate, neu fer fulmen, sed quam jucundissimum te redde, utrimque demissam cæsariem mitra subnectens, purpuream habe vestem, indue calceos auratos, ad tibiam et tympana concinne ingredere : tum tu videbis plures te secuturas esse, quam Bacchi Mænades.

JUP. Apage : multum absum ut amabilis esse velim tali ornatu.

CUP. Quin ergo, Jupiter, amare noli : facile hoc quidem.

JUP. Nequaquam : equidem amare velim, sed faciliore via potiri : eaque ipsa te conditione rursus dimitto.

3.

ΔΙΟΣ ΚΑΙ ΕΡΜΟΥ.

ΖΕΥΣ. Τὴν τοῦ Ἰνάχου παῖδα τὴν καλὴν οἶσθα, ὦ Ἑρμῆ;

ΕΡΜ. Ναί· τὴν Ἰὼ λέγεις.

ΖΕΥΣ. Οὐκέτι παῖς ἐκείνη ἐστὶν, ἀλλὰ δάμαλις.

ΕΡΜ. Τεράστιον τοῦτο· τῷ τρόπῳ δ' ἐνηλλάγη;

ΖΕΥΣ. Ζηλοτυπήσασα ἡ Ἥρα μετέβαλεν αὐτήν. Ἀλλὰ καὶ καινὸν ἄλλο τι δεινὸν ἐπιμεμηχάνηται τῇ κακοδαίμονι· βουκόλον τινὰ πολυόμματον Ἄργον τοὔνομα ἐπέστησεν, ὃς νέμει τὴν δάμαλιν ἄϋπνος ὤν.

ΕΡΜ. Τί οὖν ἡμᾶς χρὴ ποιεῖν;

ΖΕΥΣ. Καταπτάμενος ἐς τὴν Νεμέαν — ἐκεῖ δέ που ὁ Ἄργος βουκολεῖ — ἐκεῖνον ἀπόκτεινον, τὴν δὲ Ἰὼ διὰ τοῦ πελάγους ἐς τὴν Αἴγυπτον ἀγαγὼν Ἶσιν ποίησον· καὶ τὸ λοιπὸν ἔστω θεὸς τῶν ἐκεῖ καὶ τὸν Νεῖλον ἀναγέτω καὶ τοὺς ἀνέμους ἐπιπεμπέτω καὶ σωζέτω τοὺς πλέοντας.

3.

JOVIS ET MERCURII.

1. JUP. Inachi filiam, formosam illam, nosti, o Mercuri?

MERC. Utique : nimirum Io.

JUP. Non amplius puella est ea, sed juvenca.

MERC. Prodigiosum hoc; at quo tandem modo mutata est?

JUP. Æmulata Juno mutavit eam : quin etiam novum aliquod malum machinata est adversus miseram illam : bubulcum aliquem multis oculis, Argum nomine, apposuit, qui pascit juvencam insomnis.

MERC. Quid igitur nos oportet facere?

JUP. Quum devolaris in Nemeam (illic uspiam Argus pascit), eum interfice; atque Io per pelagus in Ægyptum abductam fac Isin. In posterum sit dea ibi incolentibus, Nilum exundare faciat, ventos immittat, et servet navigantes.

4.

ΔΙΟΣ ΚΑΙ ΓΑΝΥΜΗΔΟΥΣ.

1. ΖΕΥΣ. Ἄγε, ὦ Γανύμηδες — ἥκομεν γὰρ ἔνθα ἐχρῆν — φίλησόν με ἤδη, ὅπως εἰδῇς οὐκέτι ῥάμφος ἀγκύλον ἔχοντα οὐδ' ὄνυχας ὀξεῖς οὐδὲ πτερά, οἷος ἐφαινόμην σοι πτηνὸς εἶναι δοκῶν.

ΓΑΝ. Ἄνθρωπε, οὐκ ἀετὸς ἄρτι ἦσθα καὶ καταπτάμενος ἥρπασάς με ἀπὸ μέσου τοῦ ποιμνίου; πῶς οὖν τὰ μὲν πτερά σοι ἐκεῖνα ἐξερρύηκε, σὺ δὲ ἄλλος ἤδη ἀναπέφηνας;

ΖΕΥΣ. Ἀλλ' οὔτε ἄνθρωπον ὁρᾷς, ὦ μειράκιον, οὔτε ἀετὸν, ὁ δὲ πάντων βασιλεὺς τῶν θεῶν οὗτός εἰμι πρὸς τὸν καιρὸν ἀλλάξας ἐμαυτόν.

ΓΑΝ. Τί φής; σὺ γὰρ εἶ ὁ Πὰν ἐκεῖνος; εἶτα πῶς σύριγγα οὐκ ἔχεις οὐδὲ κέρατα οὐδὲ λάσιος εἶ τὰ σκέλη;

ΖΕΥΣ. Μόνον γὰρ ἐκεῖνον ἡγῇ θεόν;

ΓΑΝ. Ναί· καὶ θύομέν γε αὐτῷ ἔνορχιν τράγον ἐπὶ τὸ σπήλαιον ἄγοντες ἔνθα ἕστηκε· σὺ δὲ ἀνδραποδιστής τις εἶναί μοι δοκεῖς.

2. ΖΕΥΣ. Εἰπέ μοι, Διὸς δὲ οὐκ ἤκουσας ὄνομα οὐδὲ βωμὸν εἶδες ἐν τῷ Γαργάρῳ τοῦ ὄντος καὶ βροντῶντος καὶ ἀστραπὰς ποιοῦντος;

ΓΑΝ. Σὺ, ὦ βέλτιστε, φῂς εἶναι, ὃς πρώην κατέχεας ἡμῖν τὴν πολλὴν χάλαζαν, ὁ οἰκεῖν ὑπεράνω λεγόμενος, ὁ ποιῶν τὸν ψόφον, ᾧ τὸν κριὸν ὁ πατὴρ ἔθυσεν; εἶτα τί ἀδικήσαντά με ἁνήρπασας, ὦ βασιλεῦ τῶν θεῶν; τὰ δὲ πρόβατα ἴσως οἱ λύκοι διαρπάσονται ἤδη ἐρήμοις ἐπιπεσόντες.

ΖΕΥΣ. Ἔτι γὰρ μέλει σοι τῶν προβάτων ἀθανάτῳ γεγενημένῳ καὶ ἐνταῦθα συνεσομένῳ μεθ' ἡμῶν;

ΓΑΝ. Τί λέγεις; οὐ γὰρ κατάξεις με ἤδη ἐς τὴν Ἴδην τήμερον;

ΖΕΥΣ. Οὐδαμῶς· ἐπεὶ μάτην ἀετὸς ἂν εἶην ἀντὶ θεοῦ γεγενημένος.

ΓΑΝ. Οὐκοῦν ἐπιζητήσει με ὁ πατὴρ καὶ ἀγανακτήσει μὴ εὑρίσκων, καὶ πληγὰς ὕστερον λήψομαι καταλιπὼν τὸ ποίμνιον.

ΖΕΥΣ. Ποῦ γὰρ ἐκεῖνος ὄψεταί σε;

ΓΑΝ. Μηδαμῶς· ποθῶ γὰρ ἤδη αὐτόν. Εἰ δὲ ἀπάξεις με, ὑπισχνοῦμαί σοι καὶ ἄλλον παρ' αὐτοῦ κριὸν τυθήσεσθαι λύτρα ὑπὲρ ἐμοῦ. Ἔχομεν δὲ τὸν τριετῆ, τὸν μέγαν, ὃς ἡγεῖται πρὸς τὴν νομήν.

3. ΖΕΥΣ. Ὡς ἀφελὴς ὁ παῖς ἐστι καὶ ἁπλοϊκὸς καὶ αὐτὸ δὴ τοῦτο παῖς ἔτι. — Ἀλλ', ὦ Γανύμηδες, ἐκεῖνα μὲν πάντα χαίρειν ἔα καὶ ἐπιλαθοῦ αὐτῶν, τοῦ ποιμνίου καὶ τῆς Ἴδης· σὺ δὲ — ἤδη γὰρ ἐπουράνιος εἶ — πολλὰ εὖ ποιήσεις ἐντεῦθεν καὶ τὸν πατέρα καὶ τὴν πατρίδα, καὶ ἀντὶ μὲν τυροῦ καὶ γάλακτος ἀμβροσίαν ἕξῃ καὶ νέκταρ πίνῃ· τοῦτο μέντοι καὶ τοῖς ἄλλοις ἡμῖν αὐτὸς παρέξεις ἐγχέων· τὸ δὲ μέγιστον, οὐκέτι ἄνθρωπος, ἀλλ' ἀθάνατος γενήσῃ, καὶ ἀστέρα σου φαίνεσθαι ποιήσω κάλλιστον, καὶ ὅλως εὐδαίμων ἔσῃ.

4.

JOVIS ET GANYMEDIS.

1. JUP. Age, Ganymedes, venimus enim, quo oportebat, osculare me jam, ut scias non amplius rostrum aduncum habere me, neque ungues acutos, neque alas, qualis videbar tibi volucris specie.

GAN. Tu, homo, non aquila modo eras, quumque devolasses, rapuisti me a medio grege? quomodo igitur alæ istæ tibi defluxerunt, tuque jam alius evasisti?

JUP. At neque homo sum ego, quem vides, adolescentule, neque aquila; sed omnium rex deorum hicce sum, commode mutata forma.

GAN. Quid ais? tu enim es Pan iste? at quomodo fistulam non habes, nec cornua, neque hirta crura?

JUP. Illumne tu solum putas deum?

GAN. Sane: atque adeo sacrificamus ipsi integrum hircum ad speluncam adductum, ubi stat dedicatus: tu autem plagiarius aliquis esse mihi videris.

2. JUP. Dic mihi, Jovis non audivisti nomen, neque aram vidisti in Gargaro pluentis, tonantis, et fulgura mittentis?

GAN. Eum, o optime, te ais esse, qui nuper defudisti in nos multam grandinem, qui habitare superne diceris, qui excitas sonitum, cui arietem pater mactavit? Et cujus admissi reum me subripuisti, rex deorum? oves quidem lupi fortasse jam discerpent, in desertas impetu facto.

JUP. Etiamne tibi cura est ovium, qui immortalis factus hic nobiscum futurus es?

GAN. Quid ais? tu non devehes me jam in Idam hodie?

JUP. Neutiquam: alioqui frustra formam aquilæ pro deo subiissem.

GAN. At requiret me pater, et indignabitur non invento, plagasque postmodum accipiam, qui gregem reliquerim.

JUP. Ubi autem ille te videbit?

GAN. Nequaquam (hic manere velim), desidero enim jam patrem. Quodsi deduxeris me, polliceor tibi et alium ab eo hircum iri immolatum, pretium scilicet mei recepti: habemus autem trimum istum grandem, qui dux est gregi ad pastionem.

3. JUP. Quam apertus puer est et simplex, ipsumque illud plane, puer adhuc! At, Ganymedes, ista quidem omnia valere jube, atque obliviscere gregis et Idæ: tu quippe (etenim jam cœlestis es) multum hinc bene facies patri patriæque: pro caseo et lacte ambrosiam edes et nectar bibes; hoc quidem adeo reliquis nobis tu præbebis infusum: quodque maximum, non homo amplius, sed immortalis eris, sidusque tuum apparere faciam pulcherrimum; denique beatus eris.

ΓΑΝ. Ἢν δὲ παίζειν ἐπιθυμήσω, τίς συμπαίξεταί μοι; ἐν γὰρ τῇ Ἴδῃ πολλοὶ ἡλικιῶται ἦμεν.

ΖΕΥΣ. Ἕξεις κἀνταῦθα τὸν συμπαιξόμενόν σοι τουτονὶ τὸν Ἔρωτα καὶ ἀστραγάλους μάλα πολλούς. Θάρρει μόνον καὶ φαιδρὸς ἴσθι καὶ μηδὲν ἐπιπόθει τῶν κάτω.

4. ΓΑΝ. Τί δαὶ ὑμῖν χρήσιμος ἂν γενοίμην; ἢ ποιμαίνειν δεήσει κἀνταῦθα;

ΖΕΥΣ. Οὐκ, ἀλλ' οἰνοχοήσεις καὶ ἐπὶ τοῦ νέκταρος τεταξῇ καὶ ἐπιμελήσῃ τοῦ συμποσίου.

ΓΑΝ. Τοῦτο μὲν οὐ χαλεπόν· οἶδα γὰρ ὡς χρὴ ἐγχέαι τὸ γάλα καὶ ἀναδοῦναι τὸ κισσύβιον.

ΖΕΥΣ. Ἰδοὺ, πάλιν οὗτος γάλακτος μνημονεύει καὶ ἀνθρώποις διακονήσεσθαι οἴεται· ταυτὶ δ' ὁ οὐρανός ἐστι, καὶ πίνομεν, ὥσπερ ἔφην, τὸ νέκταρ.

ΓΑΝ. Ἥδιον, ὦ Ζεῦ, τοῦ γάλακτος;

ΖΕΥΣ. Εἴσῃ μετ' ὀλίγον καὶ γευσάμενος οὐκέτι ποθήσεις τὸ γάλα.

ΓΑΝ. Κοιμήσομαι δὲ ποῦ τῆς νυκτός; ἢ μετὰ τοῦ ἡλικιώτου Ἔρωτος;

ΖΕΥΣ. Οὐκ, ἀλλὰ διὰ τοῦτό σε ἀνήρπασα, ὡς ἅμα καθεύδοιμεν.

ΓΑΝ. Μόνος γὰρ οὐκ ἂν δύναιο, ἀλλ' ἡδιόν σοι καθεύδειν μετ' ἐμοῦ;

ΖΕΥΣ. Ναὶ, μετά γε τοιούτου οἷος εἶ σὺ, Γανύμηδες, οὕτω καλός.

5. ΓΑΝ. Τί γάρ σε πρὸς τὸν ὕπνον ὀνήσει τὸ κάλλος;

ΖΕΥΣ. Ἔχει τι θέλγητρον ἡδὺ καὶ μαλακώτερον ἐπάγει αὐτόν.

ΓΑΝ. Καὶ μὴν ὅ γε πατὴρ ἠχθετό μοι συγκαθεύδοντι καὶ διηγεῖτο ἔωθεν ὡς ἀφεῖλον αὐτοῦ τὸν ὕπνον στρεφόμενος καὶ λακτίζων καί τι φθεγγόμενος μεταξὺ ὁπότε καθεύδοιμι· ὥστε παρὰ τὴν μητέρα ἐπεμπέ με κοιμησόμενον τὰ πολλά. Ὥρα δή σοι, εἰ διὰ τοῦτο, ὡς φῄς, ἀνήρπασάς με, καταθεῖναι αὖθις ἐς τὴν γῆν, ἢ πράγματα ἕξεις ἀγρυπνῶν· ἐνοχλήσω γάρ σε συνεχῶς στρεφόμενος.

ΖΕΥΣ. Τοῦτ' αὐτό μοι τὸ ἥδιστον ποιήσεις, εἰ ἀγρυπνήσαιμι μετὰ σοῦ φιλῶν πολλάκις καὶ περιπτύσσων.

ΓΑΝ. Αὐτὸς ἂν εἰδείης· ἐγὼ δὲ κοιμήσομαι σοῦ καταφιλοῦντος.

ΖΕΥΣ. Εἰσόμεθα τότε ὃ πρακτέον. Νῦν δὲ ἄπαγε αὐτὸν, ὦ Ἑρμῆ, καὶ πιόντα τῆς ἀθανασίας ἄγε οἰνοχοήσοντα ἡμῖν διδάξας πρότερον ὡς χρὴ ὀρέγειν τὸν σκύφον.

GAN. Sed si ludere cupiam, quis mecum ludet? in Ida enim multi æquales eramus.

JUP. Habebis etiam hic, qui tecum ludet, Cupidinem istum, talosque bene multos: bono animo solum esto, et hilaris, nullumque te rerum terrestrium capiat desiderium

4. GAN. Quo autem vobis utilis sim? hiccine etiam pastorem agere oportebit?

JUP. Minime; sed vinum temperabis, nectari præficieris, curamque geres convivii.

GAN. Id quidem haud arduum: etenim satis scio, quomodo deceat infundere lac, et scite porrigere cymbium.

JUP. Ecce iterum ille lactis reminiscitur, et hominibus se ministraturum putat: atqui cœlum hoc est, bibimusque, ut dixi, nectar.

GAN. Suaviusne, Jupiter, lacte?

JUP. Scies paullo post, et eo gustato porro non desiderabis lac.

GAN. Ubi autem cubitum ibo nocte? an cum æquali Cupidine?

JUP. Non: sed eapropter te subripui, ut una dormiamus.

GAN. Tu quippe solus non possis, sed jucundius tibi dormire mecum?

JUP. Utique cum tali quidem, qualis tu es, Ganymedes, tam pulcher.

5. GAN. Quid tandem ad somnum te juvabit forma?

JUP. Habet aliquod delinimentum suave, somnumque molliorem inducit.

GAN. At pater sane mihi sucrensebat una dormienti, atque enarrabat mane, quemadmodum ejus intervertissem somnum volutando, calcitrando, et voce, interea dum dormiebam, missa: quare ad matrem ablegabat me plerumque dormitum. Curandum enimvero tibi, si idcirco, ut ais, subripuisti me, ut deponas iterum in terram: ceteroquin negotium habebis vigilando: incommodabo enim tibi continuo corpus versans.

JUP. Hoc ipsum a te mihi suavissimum accidet, si vigilavero tecum: usque enim deosculabor te et amplexabor.

GAN. Tu videris: ego somnum capiam vel te dissuaviante.

JUP. Sciemus tum quid factu opus sit. Nunc autem abduc ipsum, Mercuri, et ubi hauserit immortalitatis potum, reduc vinum nobis ministraturum, postquam docueris prius, quomodo porrigere deceat scyphum.

5.

ΗΡΑΣ ΚΑΙ ΔΙΟΣ.

1. ΗΡΑ. Ἐξ οὗ τὸ μειράκιον τοῦτο, ὦ Ζεῦ, τὸ Φρύγιον ἀπὸ τῆς Ἴδης ἁρπάσας δεῦρο ἀνήγαγες, ἧττόν μοι τὸν νοῦν προσέχεις.

ΖΕΥΣ. Καὶ τοῦτο γάρ, ὦ Ἥρα, ζηλοτυπεῖς ἤδη ἀφελὲς οὕτω καὶ ἀλυπότατον; ἐγὼ δὲ ᾠμην ταῖς γυναιξὶ μόναις γαλεπήν σε εἶναι, ὁπόσαι ἂν ὁμιλήσωσί μοι.

2. ΗΡΑ. Οὐδ' ἐκεῖνα μὲν εὖ ποιεῖς οὐδὲ πρέποντα σεαυτῷ, ὃς ἁπάντων θεῶν δεσπότης ὢν ἀπολιπὼν ἐμὲ τὴν νόμῳ γαμετὴν ἐπὶ τὴν γῆν κάτει μοιχεύσων χρυσίον ἢ σάτυρος ἢ ταῦρος γενόμενος. Πλὴν ἀλλ' ἐκεῖναι μέν σοι κἂν ἐν γῇ μένουσι, τὸ δὲ Ἰδαῖον τουτὶ παιδίον ἁρπάσας ἀνέπτης, ὦ γενναιότατε θεῶν, καὶ συνοικεῖ ἡμῖν ἐπὶ κεφαλήν μοι ἐπαχθὲν, οἰνοχοοῦν δὴ τῷ λόγῳ. Οὕτως ἠπόρεις οἰνοχόων, καὶ ἀπηγορεύκασιν ἄρα ἥ τε Ἥβη καὶ ὁ Ἥφαιστος διακονούμενοι; σὺ δὲ καὶ τὴν κύλικα οὐκ ἂν ἄλλως λάβοις παρ' αὐτοῦ ἢ φιλήσας πρότερον αὐτὸν ἁπάντων ὁρώντων, καὶ τὸ φίλημά σοι ἥδιον τοῦ νέκταρος, καὶ διὰ τοῦτο οὐδὲ διψῶν πολλάκις αἰτεῖς πιεῖν· ὁτὲ δὲ καὶ ἀπογευσάμενος μόνον ἔδωκας ἐκείνῳ, καὶ πιόντος ἀπολαβὼν τὴν κύλικα ὅσον ὑπόλοιπον ἐν αὐτῇ πίνεις, ὅθεν καὶ ὁ παῖς ἔπιε καὶ ἔνθα προσήρμοσε τὰ χείλη, ἵνα καὶ πίνῃς ἅμα καὶ φιλῇς· πρώην δὲ ὁ βασιλεὺς καὶ ἁπάντων πατὴρ ἀποθέμενος τὴν αἰγίδα καὶ τὸν κεραυνὸν ἐκάθησο ἀστραγαλίζων μετ' αὐτοῦ ὁ πώγωνα τηλικοῦτον καθειμένος. Ἅπαντα οὖν ὁρῶ ταῦτα, ὥστε μὴ οἷου λανθάνειν.

3. ΖΕΥΣ. Καὶ τί δεινὸν, ὦ Ἥρα, μειράκιον οὕτω καλὸν μεταξὺ πίνοντα καταφιλεῖν καὶ ἥδεσθαι ἀμφοῖν καὶ τῷ φιλήματι καὶ τῷ νέκταρι; ἦν γοῦν ἐπιτρέψω αὐτῷ κἂν ἅπαξ φιλῆσαί σε, οὐκέτι μέμψῃ μοι προτιμότερον τοῦ νέκταρος οἰομένῳ τὸ φίλημα εἶναι.

ΗΡΑ. Παιδεραστῶν οὗτοι λόγοι. Ἐγὼ δὲ μὴ οὕτω μανείην, ὡς τὰ χείλη προσενεγκεῖν τῷ μαλθακῷ τούτῳ Φρυγὶ οὕτως ἐκτεθηλυμένῳ.

ΖΕΥΣ. Μή μοι λοιδοροῦ, ὦ γενναιοτάτη, τοῖς παιδικοῖς· οὑτοσὶ γὰρ ὁ θηλυδρίας, ὁ βάρβαρος, ὁ μαλθακὸς, ἡδίων καὶ ποθεινότερος — οὐ βούλομαι δὲ εἰπεῖν, μή σε παροξύνω ἐπὶ πλέον.

4. ΗΡΑ. Εἴθε καὶ γαμήσειας αὐτὸν ἐμοῦ γε ἕνεκα· μέμνησο γοῦν οἷά μοι διὰ τὸν οἰνοχόον τοῦτον ἐμπαροινεῖς.

ΖΕΥΣ. Οὐκ, ἀλλὰ τὸν Ἥφαιστον ἔδει τὸν σὸν υἱὸν οἰνοχοεῖν ἡμῖν χωλεύοντα, ἐκ τῆς καμίνου ἥκοντα, ἔτι τῶν σπινθήρων ἀνάπλεων, ἄρτι τὴν πυράγραν ἀποτεθειμένον, καὶ ἀπ' ἐκείνων αὐτοῦ τῶν δακτύλων λαμβάνειν ἡμᾶς τὴν κύλικα καὶ ἐπισπασαμένους γε φιλῆσαι μεταξύ, ὃν οὐδ' ἂν ἡ μήτηρ σὺ ἡδέως φιλήσειας ὑπὸ τῆς ἀσβόλου κατηθαλωμένον τὸ πρόσωπον. Ἡδίω ταῦτα· ὦ γάρ; καὶ παρὰ πολὺ ὁ οἰνοχόος ἐκεῖνος ἐμπρέπει τῷ συμποσίῳ τῶν θεῶν, ὁ Γανυμήδης δὲ καταπεμπτέος

5.

JUNONIS ET JOVIS.

1. JUNO. Ex quo adolescentulum illum, Jupiter, Phrygium ab Ida raptum huc subduxisti, minus me curas.

JUP. Illumne etiam, o Juno, æmularis, tam simplicem et nulli plane molestum? equidem opinabar in mulieres solas difficilem esse te, quæcumque consueverint mecum.

2. JUN. Ne ista quidem recte facis, nec digna tua persona, qui omnium deorum quum dominus sis, relicta me legitima uxore, in terram descendis mœchaturus, in aurum vel satyrum taurumve mutatus. Attamen illæ tibi saltem in terra manent: verum Idæum istum puerum rapuisti et huc evolasti, generosissime deorum: et nobiscum nunc habitat supra caput mihi inductus, verbo quidem pincerna. Tantane tibi erat pincernarum penuria? defecerunt scilicet delassati Hebe et Vulcanus ministrando: et tu sane calicem non aliter accipere soles ab eo, quam osculo prius dato in omnium conspectu: ac suavium hoc tibi suavius est nectare: ideo ne sitiens quidem sæpe poscis bibere: interdum etiam degustato solum poculo, præbere soles ipsi: quumque biberit receptum calicem, quantum in eo reliquum est, educis, unde et ipse bibit quaque parte applicuit labia, ut et bibas simul et osculeris. Nuper adeo rex et omnium pater, positis ægide ac fulmine, sedebas talis cum eo ludens, qui tantam barbam promittis. Ista video equidem cuncta, ut nihil sit cur putes te latere.

3. JUP. Et quid tantum in eo criminis est, Juno, si adolescentulum ea forma inter bibendum perbasiem, et delecter ambobus, et osculo et nectare? imo si permisero ipsi vel semel osculari te, jam non amplius vitio mihi vertes, quod anteferendum nectari arbitrer suavium.

JUN. Hi sunt eorum, qui pueros sectantur, sermones: at mihi ne contigerit usque eo insanire, ut admoveam labia molli huic Phrygi tamque effeminato.

JUP. Ne tu conviciis incesse, optima, meos amores: hicce enim muliebris, hic barbarus, hicce mollis; suavior et amabilior est — sed tempero verbis, ne te magis irritem.

4. JUN. Utinam et uxorem illum ducas mea quidem gratia! memento tamen, quam indigna propter istum pincernam in me admittas.

JUP. Non hunc scilicet, at Vulcanum potius oportebat tuum filium vina nobis ministrare claudicantem, a fornace venientem, stricturis adhuc opertum, forcipe jam modo deposito; ab istisque ipsis nos digitis accipere calicem, et eum amplexu attractum osculari interea, cui ne tu quidem mater libenter osculum feras, fuligine nigra infecto faciem. Hæc jucundiora; nonne? multumque interest, ut hic a poculis minister magis deceat symposium deorum: Ganymedes autem demittendus iterum in Idam: mundus est enim,

αὖθις ἐς τὴν Ἰδην· καθάριος γὰρ καὶ ροδοδάκτυλος καὶ ἐπισταμένως ὀρέγει τὸ ἔκπωμα, καὶ ὅ σε λυπεῖ μάλιστα, καὶ φιλεῖ ἥδιον τοῦ νέκταρος.

5. ΗΡΑ. Νῦν καὶ χωλὸς, ὦ Ζεῦ, ὁ Ἥφαιστος καὶ οἱ δάκτυλοι αὐτοῦ ἀνάξιοι τῆς σῆς κύλικος καὶ ἀσβόλου μεστός ἐστι, καὶ ναυτιᾷς ὁρῶν αὐτὸν, ἐξ ὅτου τὸν καλὸν κομήτην τοῦτον ἡ Ἴδη ἀνέθρεψε· πάλαι δὲ οὐχ ἑώρας ταῦτα, οὐδ' οἱ σπινθῆρες οὐδὲ ἡ κάμινος ἀπέτρεπόν σε μὴ οὐχὶ πίνειν παρ' αὐτοῦ.

ΖΕΥΣ. Λυπεῖς, ὦ Ἥρα, σεαυτὴν, οὐδὲν ἄλλο, κἀμοὶ ἐπιτείνεις τὸν ἔρωτα ζηλοτυποῦσα· εἰ δὲ ἄχθῃ παρὰ παιδὸς ὡραίου δεχομένη τὸ ἔκπωμα, σοὶ μὲν ὁ υἱὸς οἰνοχοείτω, σὺ δὲ, ὦ Γανύμηδες, ἐμοὶ μόνῳ ἀναδίδου τὴν κύλικα καὶ ἐφ' ἑκάστῃ δὶς φίλει με καὶ ὅτε πλήρη ὀρέγοις κἄτα αὖθις ὁπότε παρ' ἐμοῦ ἀπολαμβάνοις. Τί τοῦτο; δακρύεις; μὴ δέδιθι· οἰμώξεται γὰρ, ἤν τίς σε λυπεῖν ἐθέλῃ.

et roseo digitorum nitore, et scite porrigit poculum, quodque te maxime urit, osculatur nectare suavius.

5. JUN. Nunc et claudus, o Jupiter, est Vulcanus, et digiti ejus indigni qui tuum calicem contingant, et fuliginis plenus, illoque tu conspecto nauseas, ex quo tempore pulchrum comatulum istum Ida enutrivit: dudum ista non videbas, nec scintillæ neque caminus avertebant te, quin biberes ab eo.

JUP. Angis, Juno, temet ipsam, nihil aliud, meumque amorem intendis æmulando. Quodsi graveris a puero formoso accipere poculum, tibi filius vinum ministret: at tu, Ganymedes, soli mihi præbe calicem, et ad singulos bis suaviare me, et quum plenum porrigis, et iterum deinde, quum a me recipis. Quid hoc? lacrimare? ne time: plorabit enim si quis tibi molestiam afferre voluerit.

6.

ΗΡΑΣ ΚΑΙ ΔΙΟΣ.

1. ΗΡΑ. Τὸν Ἰξίονα τοῦτον, ὦ Ζεῦ, ποῖόν τινα τὸν τρόπον ἡγῇ;

ΖΕΥΣ. Ἄνθρωπον εἶναι χρηστὸν, ὦ Ἥρα, καὶ συμποτικόν· οὐ γὰρ ἂν συνῆν ἡμῖν ἀνάξιος τοῦ συμποσίου ὤν.

ΗΡΑ. Ἀλλ' ἀνάξιός ἐστιν, ὑβριστής γε ὤν· ὥστε μηκέτι συνέστω.

ΖΕΥΣ. Τί δαὶ ὕβρισε; χρὴ γὰρ, οἶμαι, κἀμὲ εἰδέναι.

ΗΡΑ. Τί δ' ἄλλο; — καίτοι αἰσχύνομαι εἰπεῖν αὐτό· τοιοῦτόν ἐστιν ὃ ἐτόλμησε.

ΖΕΥΣ. Καὶ μὴν διὰ τοῦτο καὶ μᾶλλον εἴποις ἂν, ὅσῳ καὶ αἰσχροῖς ἐπεχείρησε. Μῶν οὖν ἐπείρα τινά; συνίημι γὰρ ὁποῖόν τι τὸ αἰσχρὸν, ὅπερ ἂν σὺ ὀκνήσειας εἰπεῖν.

1. ΗΡΑ. Αὐτὴν ἐμὲ, οὐκ ἄλλην τινὰ, ὦ Ζεῦ, πολὺν ἤδη χρόνον. Καὶ τὸ μὲν πρῶτον ἠγνόουν τὸ πρᾶγμα, διότι ἀτενὲς ἀφεώρα ἐς ἐμέ· ὁ δὲ καὶ ἔστενε καὶ ὑπεδάκρυε, καὶ εἴ ποτε πιοῦσα παραδοίην τῷ Γανυμήδει τὸ ἔκπωμα, ὁ δὲ ἤτει ἐν αὐτῷ ἐκείνῳ πιεῖν καὶ λαβὼν ἐφίλει μεταξὺ καὶ πρὸς τοὺς ὀφθαλμοὺς προσῆγε καὶ αὖθις ἀφεώρα ἐς ἐμέ· ταῦτα δὲ ἤδη συνίειν ἐρωτικὰ ὄντα. Καὶ ἐπὶ πολὺ μὲν ᾐδούμην λέγειν πρὸς σὲ καὶ ᾤμην παύσεσθαι τῆς μανίας τὸν ἄνθρωπον· ἐπεὶ δὲ καὶ λόγους ἐτόλμησέ μοι προσενεγκεῖν, ἐγὼ μὲν ἀφεῖσα αὐτὸν ἔτι δακρύοντα καὶ προκυλινδούμενον, ἐπιφραξαμένη τὰ ὦτα, ὡς μηδὲ ἀκούσαιμι αὐτοῦ ὑβριστικὰ ἱκετεύοντος, ἀπῆλθον σοὶ φράσουσα· σὺ δὲ αὐτὸς ὅρα ὅπως μέτει τὸν ἄνδρα.

3. ΖΕΥΣ. Εὖ γε ὁ κατάρατος ἐπ' ἐμὲ αὐτὸν καὶ μέχρι τῶν Ἥρας γάμων; τοσοῦτον ἐμεθύσθη τοῦ νέκταρος; ἀλλ' ἡμεῖς τούτων αἴτιοι καὶ πέρα τοῦ μετρίου

6.

JUNONIS ET JOVIS.

1. JUNO. Ixionem istum, o Jupiter, qualem moribus esse putas?

JUP. Commodum hominem, Juno, atque ad hilaritatem convivii factum: non enim nobiscum versaretur, si quidem indignus esset symposio.

JUN. Indignus vero; quippe injuriæ gravis auctor: quare nobiscum amplius ne sit.

JUP. Quam tandem injuriam fecit? oportet enim, ut arbitror, me quoque certiorem fieri.

JUN. Quid autem aliud? — at pudor impedit ne dicam; tale facinus est ausus.

JUP. Et eam quidem ob rem magis etiam dixeris, quod turpia fuerit conatus. An igitur aliquam tentavit? etenim intelligo, cujusmodi sit flagitiosum illud, quod eloqui refugias.

2. JUN. Imo me ipsam, non aliam quandam, Jupiter, jam dudum. Primum equidem ignorabam rem, cur intentis oculis aspiceret in me: hic autem et gemebat, et sublacrimabatur: si quando, ut biberam, traderem Ganymedi poculum, tum hic poscebat in eodem bibere; acceptumque poculum osculabatur interea, oculis admovebat, atque iterum intuebatur in me. Illa jam intelligebam amatoria esse; et diu quidem me pudebat hæc apud te dicere, putabamque cessaturum hominem ab insania: at postquam blandis sermonibus ausus est me sollicitare, ego destituens illum adhuc in lacrimis et pedibus advolutum, obturatis auribus, ne audirem contumeliosa suppliciter petentem, abii tibi indicatura: tu autem vide quomodo virum ulciscaris.

3. JUP. Siccine infandus ille in memet ipsum, et ad Junonis usque concubitus? adeone inebriatus fuit nectare? verum nosmet eorum causa sumus, et ultra modum aman-

φιλάνθρωποι, οἵ γε καὶ συμπότας αὐτοὺς ἐποιησάμεθα. Συγγνωστοὶ οὖν, εἰ πιόντες ὅμοια ἡμῖν καὶ ἰδόντες οὐράνια κάλλη καὶ οἷα οὔ ποτε εἶδον ἐπὶ γῆς, ἐπεθύμησαν ἀπολαῦσαι αὐτῶν ἔρωτι ἁλόντες· ὁ δ' ἔρως βίαιόν τί ἐστι καὶ οὐκ ἀνθρώπων μόνον ἄρχει, ἀλλὰ καὶ ἡμῶν αὐτῶν ἐνίοτε.

ΗΡΑ. Σοῦ μὲν καὶ πάνυ οὗτός γε δεσπότης ἐστὶ καὶ ἄγει σε καὶ φέρει τῆς ῥινὸς, φασὶν, ἕλκων, καὶ ἔπῃ αὐτῷ ἔνθα ἂν ἡγῆταί σοι, καὶ ἀλλάττῃ ῥᾳδίως ἐς ὅ τι ἂν κελεύσῃ, καὶ ὅλως κτῆμα καὶ παιδιὰ τοῦ ἔρωτος σύ γε· καὶ νῦν τῷ Ἰξίονι οἶδα καθότι συγγνώμην ἀπονέμεις ἅτε καὶ αὐτὸς μοιχεύσας ποτὲ αὐτοῦ τὴν γυναῖκα, ἥ σοι τὸν Πειρίθουν ἔτεκεν.

4. ΖΕΥΣ. Ἔτι γὰρ σὺ μέμνησαι ἐκείνων, εἴ τι ἐγὼ ἔπαιξα ἐς γῆν κατελθών; ἀτὰρ οἶσθα ὅ μοι δοκεῖ περὶ τοῦ Ἰξίονος; κολάζειν μὲν μηδαμῶς αὐτὸν μηδὲ ἀπωθεῖν τοῦ συμποσίου· σκαιὸν γάρ· ἐπεὶ δὲ ἐρᾷ καὶ ὡς φῆς ὀκρύει καὶ ἀφόρητα πάσχει —

ΗΡΑ. Τί, ὦ Ζεῦ; δέδια γὰρ μή τι ὑβριστικὸν καὶ σὺ εἴπῃς.

ΖΕΥΣ. Οὐδαμῶς· ἀλλ' εἴδωλον ἐκ νεφέλης πλασάμενοι αὐτῇ σοι ὅμοιον, ἐπειδὰν λυθῇ τὸ συμπόσιον κἀκεῖνος ἀγρυπνῇ, ὡς τὸ εἰκὸς, ὑπὸ τοῦ ἔρωτος, παρακατακλίνωμεν αὐτῷ φέροντες· οὕτω γὰρ ἂν παύσαιτο ἀνιώμενος οἰηθεὶς τετυχηκέναι τῆς ἐπιθυμίας.

ΗΡΑ. Ἄπαγε, μὴ ὥρασιν ἕκοιτο τῶν ὑπὲρ αὐτὸν ἐπιθυμῶν.

ΖΕΥΣ. Ὅμως ὑπόμεινον, ὦ Ἥρα. Ἦ τί γὰρ ἂν καὶ πάθοις δεινὸν ἀπὸ τοῦ πλάσματος, εἰ νεφέλῃ ὁ Ἰξίων συνέσται;

5. ΗΡΑ. Ἀλλὰ ἡ νεφέλη ἐγὼ εἶναι δόξω, καὶ τὸ αἰσχρὸν ἐπ' ἐμὲ ποιήσει διὰ τὴν ὁμοιότητα.

ΖΕΥΣ. Οὐδὲν τοῦτο φῄς· οὔτε γὰρ ἡ νεφέλη ποτὲ Ἥρα γένοιτ' ἂν οὔτε σὺ νεφέλη· ὁ δ' Ἰξίων μόνον ἐξαπατηθήσεται.

ΗΡΑ. Ἀλλ' οἱ πάντες ἄνθρωποι ἀπειρόκαλοί εἰσιν· αὐχήσει κατελθὼν ἴσως καὶ διηγήσεται ἅπασι λέγων συγγεγενῆσθαι τῇ Ἥρᾳ καὶ σύλλεκτρος εἶναι τῷ Διΐ, καί που τάχ' ἂν ἐρᾶν με φήσειεν αὐτοῦ, οἱ δὲ πιστεύσουσιν οὐκ εἰδότες ὡς νεφέλῃ συνῆν.

ΖΕΥΣ. Οὐκοῦν, ἤν τι τοιοῦτον εἴπῃ, ἐς τὸν ᾅδην ἐμπεσὼν τροχῷ ἄθλιος προσδεθεὶς συμπερινεχθήσεται μετ' αὐτοῦ ἀεὶ καὶ πόνον ἄπαυστον ἕξει δίκην διδοὺς ὡ τοῦ ἔρωτος — οὐ γὰρ δεινὸν τοῦτό γε — ἀλλὰ τῆς μεγαλαυχίας.

tes hominum, qui convivas etiam eos adsciverimus. Ignoscendum igitur ipsis, si hausto pari atque nos potu, visisque cœlestibus formis, quales nunquam spectarunt in terra, desiderarunt frui illis amore capti : amor autem violentum quidquam est, neque hominibus solum imperat, sed et nobismet ipsis aliquando.

JUN. In te quidem valde dominium hicce exercet, teque agit ac fert, naso, ut aiunt, trahens : et tu sequeris ipsum, quocumque ducat, mutarisque facile in quamcumque jusserit formam : atque omnino possessio ludusque amoris es profecto : etiam nunc Ixioni scio cur veniam tribuas, quippe qui ejus uxorem ipse aliquando adulteraris, quæ tibi Pirithoum peperit.

4. JUP. Tune etiamnum recordaris eorum, si quid ego lusi in terram descendens? at scin' quid mihi de Ixione videatur? punire quidem nequaquam ipsum, neque extrudere symposio; inurbanum enim : quandoquidem vero amat, et, ut ais, plorat, et intolerabilia suffert —

JUN. Quid porro, Jupiter? nam metuo ne quid flagitiosum tu quoque dicas.

JUP. Neutiquam : sed simulacrum ex nebula ubi finxerimus ipsi tibi simile, postquam solutum fuerit convivium illeque vigilat, ut credi par est, præ amore, acclinemus juxta ipsum : sic enim sedatus fuerit ejus dolor, si putarit se, quod concupierat, adeptum esse.

JUN. Apage : pessime pereat, ut qui rem supra suam sortem affectet.

JUP. Sustine tamen, o Juno : quid enim ad te mali redundabit ab isto figmento, si cum nebula fuerit Ixion congressus?

5. JUN. At nebula ista ego esse videbor, et turpe illud in me patrabit ob similitudinem.

JUP. Nihil dicis : neque enim nebula unquam Juno fiat, nec tu nebula : Ixion tantum decipietur.

JUN. At, quales cuncti homines decori rudes sunt, gloriabitur fortasse, ubi in terram venerit, et narrabit omnibus se Junonem iniisse, in eodem, quo Jovem, lecto cubuisse : quin porro non abhorret, ut me dicat amare se : atque credent homines, ignari scilicet cum nebula ipsum fuisse.

JUP. Ergo, si quid ejusmodi dixerit, in orcum detrusus, rotæque miser alligatus circumagetur cum ea semper, laboremque perpetuum habebit pœnas dans, non amoris (nam hoc quidem grave non est), sed jactantiæ.

7.

ΗΦΑΙΣΤΟΥ ΚΑΙ ΑΠΟΛΛΩΝΟΣ.

1. ΗΦ. Ἑόρακας, ὦ Ἄπολλον, τὸ τῆς Μαίας βρέφος τὸ ἄρτι τεχθέν; ὡς καλόν τέ ἐστι καὶ προσμειδιᾷ πᾶσι καὶ δηλοῖ ἤδη μέγα τι ἀγαθὸν ἀποβησόμενον.

7.

VULCANI ET APOLLINIS.

1. VULC. Vidistin', Apollo, Maiæ filiolum modo editum? quam pulcher est; arridetque omnibus, et jam patefacit aliquid, quod magni boni spem faciat.

ΑΠ. Ἐκεῖνο τὸ βρέφος, ὦ Ἥφαιστε, ἦ μέγα ἀγαθὸν, ὃ τοῦ Ἰαπετοῦ πρεσβύτερόν ἐστιν ὅσον ἐπὶ τῇ πανουργίᾳ;

ΗΦ. Καὶ τί ἂν ἀδικῆσαι δύναιτο ἀρτίτοκον ὄν;

ΑΠ. Ἐρώτα τὸν Ποσειδῶνα, οὗ τὴν τρίαιναν ἔκλεψεν, ἢ τὸν Ἄρη· καὶ τούτου γὰρ ἐξεῖλκυσε λαθὸν ἐκ τοῦ κολεοῦ τὸ ξίφος, ἵνα μὴ ἐμαυτὸν λέγω, ὃν ἀφώπλισε τοῦ τόξου καὶ τῶν βελῶν.

2. ΗΦ. Τὸ νεογνὸν ταῦτα, ὃ μόλις ἕστηκε, τὸ ἐν τοῖς σπαργάνοις;

ΑΠ. Εἶσῃ, ὦ Ἥφαιστε, ἢν σοι προσέλθῃ μόνον.

ΗΦ. Καὶ μὴν προσῆλθεν ἤδη.

ΑΠ. Τί οὖν; πάντα ἔχεις τὰ ἐργαλεῖα καὶ οὐδὲν ἀπόλωλεν αὐτῶν;

ΗΦ. Πάντα, ὦ Ἄπολλον.

ΑΠ. Ὅμως ἐπίσκεψαι ἀκριβῶς.

ΗΦ. Νὴ Δία, τὴν πυράγραν οὐχ ὁρῶ.

ΑΠ. Ἀλλ' ὄψει που ἐν τοῖς σπαργάνοις αὐτὴν τοῦ βρέφους.

ΗΦ. Οὕτως ὀξύχειρ ἐστὶ καθάπερ ἐν τῇ γαστρὶ ἐκμελετήσας τὴν κλεπτικήν;

3. ΑΠ. Οὐ γὰρ ἤκουσας αὐτοῦ καὶ λαλοῦντος ἤδη στωμύλα καὶ ἐπίτροχα· ὁ δὲ καὶ διακονεῖσθαι ἡμῖν ἐθέλει. Χθὲς δὲ προκαλεσάμενος τὸν Ἔρωτα κατεπάλαισεν εὐθὺς οὐκ οἶδ' ὅπως ὑφελὼν τὼ πόδε· εἶτα μεταξὺ ἐπαινούμενος τῆς Ἀφροδίτης μὲν τὸν κεστὸν ἔκλεψε προσπτυξαμένης αὐτὸν ἐπὶ τῇ νίκῃ, τοῦ Διὸς δὲ γελῶντος ἔτι, τὸ σκῆπτρον· εἰ δὲ μὴ βαρύτερος ὁ κεραυνὸς ἦν καὶ πολὺ τὸ πῦρ εἶχε, κἀκεῖνον ἂν ὑφείλετο.

ΗΦ. Γοργόν τινα τὸν παῖδα φῄς.

ΑΠ. Οὐ μόνον, ἀλλ' ἤδη καὶ μουσικόν.

ΗΦ. Τῷ τοῦτο τεκμαίρεσθαι ἔχεις;

4. ΑΠ. Χελώνην που νεκρὰν εὑρὼν ὄργανον ἀπ' αὐτῆς συνεπήξατο· πήχεις γὰρ ἐναρμόσας καὶ ζυγώσας, ἔπειτα κολλάβους ἐμπήξας καὶ μαγάδα ὑποθεὶς καὶ ἐντεινάμενος ἑπτὰ χορδὰς ἐμελῴδει πάνυ γλαφυρὸν, ὦ Ἥφαιστε, καὶ ἐναρμόνιον, ὡς κἀμὲ αὐτῷ φθονεῖν πάλαι κιθαρίζειν ἀσκοῦντα. Ἔλεγε δὲ ἡ Μαῖα ὡς μηδὲ μένοι τὰς νύκτας ἐν τῷ οὐρανῷ, ἀλλ' ὑπὸ περιεργίας ἄχρι τοῦ ᾅδου κατίοι, κλέψων τι κἀκεῖθεν δηλαδή. Ὑπόπτερος δ' ἐστὶ καὶ ῥάβδον τινὰ πεποίηται θαυμασίαν τὴν δύναμιν, ᾗ ψυχαγωγεῖ καὶ κατάγει τοὺς νεκρούς.

ΗΦ. Ἐγὼ ἐκείνην ἔδωκα αὐτῷ παίγνιον εἶναι.

ΑΠ. Τοιγαροῦν ἀπέδωκέ σοι τὸν μισθὸν, τὴν πυράγραν——

ΗΦ. Εὖ γε ὑπέμνησας· ὥστε βαδιοῦμαι ἀπολησόμενος αὐτὴν, εἴ που ὡς φῄς εὑρεθείη ἐν τοῖς σπαργάνοις.

AP. Illumne infantem, Vulcane, esse insigne bonum, qui Iapeto sit senior, quantum ad astutiam?

VULC. Ecquid male facere possit recens natus?

AP. Roga Neptunum, cujus tridentem furatus est, aut Martem; illius enim eduxit clam vagina gladium: ne me ipsum dicam, quem exarmavit arcu et sagittis.

2. VULC. Hæc iste recens natus, qui vix pedibus stat, etiamnum in fasciis?

AP. Experiere, Vulcane, mox atque ad te accesserit.

VULC. Atqui jam accessit.

AP. Quid ergo? cunctane habes instrumenta, nullumque eorum tibi periit?

VULC. Cuncta, Apollo.

AP. Tamen inspice diligenter.

VULC. Ita me Jupiter amet, forcipem non video.

AP. At videbis eum alicubi in cunabulis infantis.

VULC. Tamne acutis est manibus, ac si in utero meditatus fuerit artem furandi!

3. AP. Non tu illum audivisti jam loquentem argutula quædam et volubilia: quin et ministrare nobis vult. Heri vero provocatum Cupidinem luctando dejecit statim nescio quomodo subducens pedes: tum interea dum laudabatur, Veneris cestum surripuit, illum amplexæ ob victoriam; Jovis autem ridentis sceptrum, et, nisi gravius esset fulmen, multumque ignem haberet, illud quoque surripuisset.

VULC. Agilem quendam et alacrem puerum narras.

AP. Non hoc tantum, sed et jam musicum.

VULC. Id quo indicio colligere potes?

4. AP. Testudinem alicubi mortuam quum invenisset, instrumentum ex ea musicum compegit: manubriis enim adaptatis, jugo addito, tum claviculis infixis, et asserculo supposito, fidesque intendens septem, canit valde tenerum quiddam, o Vulcane, et concinnum, ut egomet ipsi invideam, qui dudum arte pulsandæ citharæ exerceor. Præterea dicebat Maia, illum ne noctu quidem manere in cœlo, sed curiositatis ergo usque ad inferos descendere, nempe furaturum aliquid inde etiam: alis autem est instructus: et virgam quandam sibi confecit mirabili virtute præditam, qua animas ducit, deducitque mortuos.

VULC. Hanc ipsi donavi, ludicrum ut esset.

AP. Proinde reddidit tibi mercedem, forcipem —

VULC. Recte sane admonuisti: quare ibo ad eum recuperandum, sicubi, ut ais, reperiatur in fasciis.

8.

ΗΦΑΙΣΤΟΥ ΚΑΙ ΔΙΟΣ.

ΗΦ. Τί με, ὦ Ζεῦ, χρὴ ποιεῖν; ἥκω γὰρ, ὡς ἐκέλευσας, ἔχων τὸν πέλεκυν ὀξύτατον, εἰ καὶ λίθον δέοι μιᾷ πληγῇ διακόψαι.

ΖΕΥΣ. Εὖ γε, ὦ Ἥφαιστε· ἀλλὰ δίελέ μου τὴν κεφαλὴν ἐς δύο κατενεγκών.

ΗΦ. Πειρᾷ μου, εἰ μέμηνα; πρόσταττε δ' οὖν τἀληθὲς ὅπερ ἐθέλεις σοι γενέσθαι.

ΖΕΥΣ. Τοῦτο αὐτὸ, διαιρεθῆναί μοι τὸ κρανίον· εἰ δὲ ἀπειθήσεις, οὐ νῦν πρῶτον ὀργιζομένου πειράσῃ. Ἀλλὰ χρὴ καθικνεῖσθαι παντὶ τῷ θυμῷ, μηδὲ μέλλειν· ἀπόλλυμαι γὰρ ὑπὸ ὠδίνων, αἵ μοι τὸν ἐγκέφαλον ἀναστρέφουσιν.

ΗΦ. Ὅρα, ὦ Ζεῦ, μὴ κακόν τι ποιήσωμεν· ὀξὺς γὰρ ὁ πέλεκύς ἐστι καὶ οὐκ ἀναιμωτὶ οὐδὲ κατὰ τὴν Εἰλείθυιαν μαιώσεταί σε.

ΖΕΥΣ. Κατένεγκε μόνον, ὦ Ἥφαιστε, θαρρῶν· οἶδα ἐγὼ τὸ συμφέρον.

ΗΦ. Ἄκων μὲν, κατοίσω δέ· τί γὰρ χρὴ ποιεῖν σοῦ κελεύοντος; Τί τοῦτο; κόρη ἔνοπλος; Μέγα, ὦ Ζεῦ, κακὸν εἶχες ἐν τῇ κεφαλῇ· εἰκότως γοῦν ὀξύθυμος ἦσθα τηλικαύτην ὑπὸ τῇ μήνιγγι παρθένον ζωογονῶν καὶ ταῦτα ἔνοπλον· ἦ που στρατόπεδον, οὐ κεφαλὴν ἐλελήθεις ἔχων. Ἡ δὲ πηδᾷ καὶ πυρριχίζει καὶ τὴν ἀσπίδα τινάσσει καὶ τὸ δόρυ πάλλει καὶ ἐνθουσιᾷ, καὶ τὸ μέγιστον, καλὴ πάνυ καὶ ἀκμαία γεγένηται ἤδη ἐν βραχεῖ· γλαυκῶπις μὲν, ἀλλὰ κοσμεῖ καὶ τοῦτο ἡ κόρυς. Ὥστε, ὦ Ζεῦ, μαίωτρά μοι ἀπόδος ἐγγυήσας ἤδη αὐτήν.

ΖΕΥΣ. Ἀδύνατα αἰτεῖς, ὦ Ἥφαιστε· παρθένος γὰρ ἀεὶ ἐθελήσει μένειν. Ἐγὼ δ' οὖν τό γε ἐπ' ἐμοὶ οὐδὲν ἀντιλέγω.

ΗΦ. Τοῦτ' ἐβουλόμην· ἐμοὶ μελήσει τὰ λοιπὰ, καὶ ἤδη συναρπάσω αὐτήν.

ΖΕΥΣ. Εἴ σοι ῥᾴδιον, οὕτω ποίει· πλὴν οἶδα ὅτι ἀδυνάτων ἐρᾷς.

9.

ΠΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ.

1. ΠΟΣ. Ἔστιν, ὦ Ἑρμῆ, νῦν ἐντυχεῖν τῷ Διί;

ΕΡΜ. Οὐδαμῶς, ὦ Πόσειδον.

ΠΟΣ. Ὅμως προσάγγειλον αὐτῷ.

ΕΡΜ. Μὴ ἐνόχλει, φημί· ἄκαιρον γάρ ἐστιν, ὥστε οὐκ ἂν ἴδοις αὐτὸν ἐν τῷ παρόντι.

ΠΟΣ. Μῶν τῇ Ἥρᾳ σύνεστιν;

ΕΡΜ. Οὐκ, ἀλλ' ἑτεροῖόν τί ἐστι.

ΠΟΣ. Συνίημι· ὁ Γανυμήδης ἔνδον.

ΕΡΜ. Οὐδὲ τοῦτο· ἀλλὰ μαλακῶς ἔχει αὐτός.

ΠΟΣ. Πόθεν, ὦ Ἑρμῆ; δεινὸν γὰρ τοῦτο φῄς.

ΕΡΜ. Αἰσχύνομαι εἰπεῖν, τοιοῦτόν ἐστιν.

8.

VULCANI ET JOVIS.

VULC. Quid me, Jupiter, oportet facere? venio enim, ut jussisti, securim habens acutissimam, etiam si lapidem opus sit uno ictu dissecare.

JUP. Recte sane, o Vulcane. At tu divide meum caput in duas partes dejecta securi.

VULC. Tentasne me an insaniam? Quin impera vere quod vis tibi fieri.

JUP. Divide mihi calvariam : quod si morem non gesseris, non nunc primum iratum experiere me. Sed vide ut ferias omni animi contentione, neu cuncteris : pereo enim præ doloribus, qui meum cerebrum convellunt.

VULC. Vide, Jupiter, ne mali quid faciamus : acuta enim securis est, et non sine sanguine, neque ad Lucinæ morem, tibi obstetricabitur.

JUP. Incute modo, Vulcane, audacter : ego enim novi quid conducat.

VULC. Invitus quidem, sed tamen feriam : quid enim aliquis faciat, te jubente? Quid hoc? puella armata? Magnum, o Jupiter, malum habuisti in capite : merito igitur iracundus eras, qui tantam sub cerebri membrana virginem vivam nutrires, idque armatam : profecto castra, non caput clam nobis habuisti. Hæc vero saltat, inque armis tripudiat, clypeum concutit, et hastam vibrat, ac furore concitatur : quodque maximum est, formosa admodum ac matura jam exstitit brevi : cæsia quidem, sed ornat hoc etiam ipsum galea. Quare, o Jupiter, obstetriciam mercedem redde illa virgine mihi desponsa.

JUP. Quæ fieri nequeant petis, Vulcane : perpetuo enim virgo manere vult. Attamen, quantum in me est, nihil obloquor.

VULC. Hoc volebam : reliqua mihi curæ erunt : jamque ipsam corripiam.

JUP. Si tibi hoc facile, ita fac : novi tamen, quæ fieri non possint, te appetere.

9.

NEPTUNI ET MERCURII.

1. NEPT Estne, Mercuri, nunc convenire Jovem?

MERC. Nequaquam, Neptune.

NEPT. Attamen adesse me renuncia ipsi.

MERC. Ne molestus sis, inquam : non opportunum enim, atque adeo visere non licet eum in præsentia.

NEPT. Num Junoni dat operam?

MERC. Minime : sed longe aliud quiddam est.

NEPT. Intelligo : Ganymedes intus.

MERC. Neque hoc : at ipse sane non optime valet.

NEPT. Unde vero, Mercuri? nam mirificum hoc est, quod narras.

MERC. Pudet eloqui, tale est.

ΠΟΣ. Ἀλλ' οὐ χρὴ πρὸς ἐμὲ θεῖόν γε ὄντα.

ΕΡΜ. Τέτοκεν ἀρτίως, ὦ Πόσειδον.

ΠΟΣ. Ἄπαγε, τέτοκεν ἐκεῖνος; ἐκ τίνος; οὐκοῦν ἐλελήθει ἡμᾶς ἀνδρόγυνος ὤν; ἀλλ' οὐδὲ ἐπεσήμανεν ἡ γαστὴρ αὐτῷ ὄγκον τινά.

ΕΡΜ. Εὖ λέγεις· οὐ γὰρ ἐκείνη εἶχε τὸ ἔμβρυον.

ΠΟΣ. Οἶδα· ἐκ τῆς κεφαλῆς ἔτεκεν αὖθις ὥσπερ τὴν Ἀθηνᾶν· τοκάδα γὰρ τὴν κεφαλὴν ἔχει.

ΕΡΜ. Οὐκ, ἀλλ' ἐν τῷ μηρῷ ἐκύει τὸ ἐκ τῆς Σεμέλης βρέφος.

ΠΟΣ. Εὖ γε ὁ γενναῖος, ὡς ὅλος ἡμῖν κυοφορεῖ καὶ πανταχόθι τοῦ σώματος. Ἀλλὰ τίς ἡ Σεμέλη ἐστί;

2. ΕΡΜ. Θηβαία, τῶν Κάδμου θυγατέρων μία. Ταύτῃ συνελθὼν ἐγκύμονα ἐποίησεν.

ΠΟΣ. Εἶτα ἔτεκεν, ὦ Ἑρμῆ, ἀντ' ἐκείνης;

ΕΡΜ. Καὶ μάλα, εἰ καὶ παράδοξον εἶναί σοι δοκεῖ· τὴν μὲν γὰρ Σεμέλην ὑπελθοῦσα ἡ Ἥρα — οἶσθα δὲ ὡς ζηλότυπός ἐστι — πείθει αἰτῆσαι παρὰ τοῦ Διὸς μετὰ βροντῶν καὶ ἀστραπῶν ἥκειν παρ' αὐτήν· ὡς δὲ ἐπείσθη καὶ ἦκεν ἔχων καὶ τὸν κεραυνόν, ἀνεφλέγη ὁ ὄροφος, καὶ ἡ Σεμέλη μὲν διαφθείρεται ὑπὸ τοῦ πυρός, ἐμὲ δὲ κελεύει ἀνατεμόντα τὴν γαστέρα τῆς γυναικὸς ἀνακομίσαι ἀτελὲς ἔτι αὐτῷ τὸ ἔμβρυον ἐπταμηνιαῖον· καὶ ἐπειδὴ ἐποίησα, διελὼν τὸν ἑαυτοῦ μηρὸν ἐντίθησιν, ὡς ἀποτελεσθείη ἐνταῦθα, καὶ νῦν τρίτῳ ἤδη μηνὶ ἐξέτεκεν αὐτὸ καὶ μαλακῶς ἀπὸ τῶν ὠδίνων ἔχει.

ΠΟΣ. Νῦν οὖν ποῦ τὸ βρέφος ἐστίν;

ΕΡΜ. Ἐς τὴν Νῦσαν ἀποκομίσας παρέδωκα ταῖς Νύμφαις ἀνατρέφειν Διόνυσον ἐπονομασθέντα.

ΠΟΣ. Οὐκοῦν ἀμφότερα τοῦ Διονύσου τούτου καὶ μήτηρ καὶ πατὴρ ὁ ἀδελφός ἐστιν;

ΕΡΜ. Ἔοικεν. Ἄπειμι δ' οὖν ὕδωρ αὐτῷ πρὸς τὸ τραῦμα οἴσων καὶ τἄλλα ποιήσων ἃ νομίζεται ὥσπερ λεχοΐ.

10.

ΕΡΜΟΥ ΚΑΙ ΗΛΙΟΥ.

1. ΕΡΜ. Ὦ Ἥλιε, μὴ ἐλάσῃς τήμερον, ὁ Ζεύς φησι, μηδὲ αὔριον μηδὲ ἐς τρίτην ἡμέραν, ἀλλ' ἔνδον μένε, καὶ τὸ μεταξὺ μία τις ἔστω νὺξ μακρά· ὥστε λυέτωσαν μὲν αἱ Ὧραι αὖθις τοὺς ἵππους, σὺ δὲ σβέσον τὸ πῦρ καὶ ἀνάπαυε διὰ μακροῦ σεαυτόν.

ΗΛ. Καινὰ ταῦτα, ὦ Ἑρμῆ, καὶ ἀλλόκοτα ἥκεις παραγγέλλων. Ἀλλὰ μὴ παραβαίνειν τι ἔδοξα ἐν τῷ δρόμῳ καὶ ἔξω ἐλάσαι τῶν ὅρων, κἄτά μοι ἄχθεται καὶ τὴν νύκτα τριπλασίαν τῆς ἡμέρας ποιῆσαι διέγνωκεν;

ΕΡΜ. Οὐδὲν τοιοῦτον, οὐδὲ ἐς ἀεὶ τοῦτο ἔσται· δεῖται δέ τι νῦν αὐτὸς ἐπιμηκεστέραν γενέσθαι οἱ τὴν νύκτα.

ΗΛ. Ποῦ δὲ καὶ ἔστιν ἢ πόθεν ἐξεπέμφθης ἀγγελῶν ταῦτά μοι;

NEPT. At non decet apud me quippe patruum.

MERC. Peperit jam modo, Neptune.

NEPT. Apage : illene peperit? ex quo? ergo nobis necopinantibus fuit ambiguo sexu? sed nec indicium fecit ejus uterus tumoris ullius.

MERC. Recte ais : neque enim ille habebat fœtum.

NEPT. Teneo : ex capite peperit iterum, ut Minervam : puerperum enim habet caput.

MERC. Neutiquam : sed in femore ferebat ex Semele infantem.

NEPT. Euge : ut bonus ille totus nobis uterum gestat, et in omni parte corporis. At quænam est Semele?

2. MERC. Thebana, Cadmi filiarum una : illam congressus gravidam fecit.

NEPT. Tum peperit, Mercuri, ejus vice?

MERC. Ita plane, tametsi fidem mereri res tibi non videatur : Semelen enim dolis aggressa Juno (nosti gravem ejus æmulationem) inducit ad petendum a Jove cum tonitrubus ac fulminibus ut veniat ad se : quum morigeratus accessit fulmen habens, succensum est tectum, ipsaque Semele perit ab igne : tum me jubet, exsecto utero mulieris, deferre nondum maturum ad se fœtum septimestrem : postquam feci, perscisso femori suo indit, ut maturaretur ibi. Nunc tertio jam mense partum edidit, atque imbecillius ex laboribus habet.

NEPT. Ubinam nunc infans est?

MERC. In Nysam ablatum tradidi Nymphis educandum, imposito Dionysi nomine.

NEPT. Ergo utrumque Dionysi istius et mater et pater est frater mens?

MERC. Ita quidem videtur. At abeo, aquam ipsi ad vulnus laturus, ceteraque curaturus, quæ solent, tanquam puerperæ.

10.

MERCURII ET SOLIS.

1. MERC. Sol, ne currum egeris hodie, Jupiter ait, nec cras, neque perendie; sed intus mane : idque temporis intervallum una estó nox longa. Quare solvunto Horæ iterum equos : tu restingue ignem, teque recrea quiete post longum tempus.

SOL. Insolita hæc, o Mercuri, atque inusitata nuncians ades : sed numquid de via aberrare visus sum in cursu, et extra limites equos agere, idque mihi succenset, et propterea noctem triplo majorem die facere constituit?

MERC. Nihil quidem tale; neque semper illud erit : sed ita nunc ipsi usus est, ut noctem sibi fieri productiorem velit.

SOL. Ille autem ubi est, aut unde missus tu, ut hæc mihi nunciares?

ΕΡΜ. Ἐκ Βοιωτίας, ὦ Ἥλιε, παρὰ τῆς Ἀμφιτρύωνος γυναικὸς, ᾗ σύνεστιν ἐρῶν αὐτῆς.

ΗΛ. Εἶτα οὐχ ἱκανὴ νὺξ μία;

ΕΡΜ. Οὐδαμῶς· τεχθῆναι γάρ τινα δεῖ ἐκ τῆς ὁμιλίας ταύτης μέγαν καὶ πολύαθλον θεόν· τοῦτον οὖν ἐν μιᾷ νυκτὶ ἀποτελεσθῆναι ἀδύνατον.

2. ΗΛ. Ἀλλὰ τελεσιουργείτω μὲν ἀγαθῇ τύχῃ. Ταῦτα δ' οὖν, ὦ Ἑρμῆ, οὐκ ἐγίγνετο ἐπὶ τοῦ Κρόνου — αὐτοὶ γὰρ ἡμεῖς ἐσμέν — οὐδ' ἀπόκοιτός ποτε ἐκεῖνος παρὰ τῆς Ῥέας ἦν οὐδὲ ἀπολιπὼν ἂν τὸν οὐρανὸν ἐν Θήβαις ἐκοιμᾶτο, ἀλλ' ἡμέρα μὲν ἡμέρα, νὺξ δὲ κατὰ μέτρον τὸ αὐτῆς ἀνάλογον ταῖς ὥραις, ξένον δὲ ἢ παρηλλαγμένον οὐδὲν, οὐδ' ἂν ἐκοινώνησέ ποτε ἐκεῖνος θνητῇ γυναικί· νῦν δὲ δυστήνου γυναίου ἕνεκα χρὴ ἀνεστράφθαι τὰ πάντα καὶ ἀκαμπεστέρους μὲν γενέσθαι τοὺς ἵππους ὑπὸ τῆς ἀργίας, δύσπορον δὲ τὴν ὁδὸν ἀτριβῆ μένουσαν τριῶν ἐξῆς ἡμερῶν, τοὺς δ' ἀνθρώπους ἀθλίως ἐν σκοτεινῷ διαβιοῦν. Τοιαῦτα ἀπολαύσονται τῶν Διὸς ἐρώτων καὶ καθεδοῦνται περιμένοντες, ἕστ' ἂν ἐκεῖνος ἀποτελέσῃ τὸν ἀθλητὴν, ὃν λέγεις, ὑπὸ μακρῷ τῷ ζόφῳ.

ΕΡΜ. Σιώπα, ὦ Ἥλιε, μή τι κακὸν ἀπολαύσῃς τῶν λόγων. Ἐγὼ δὲ παρὰ τὴν Σελήνην ἀπελθὼν καὶ τὸν Ὕπνον ἀπαγγελῶ κἀκείνοις ἅπερ ὁ Ζεὺς ἐπέστειλε, τὴν μὲν σχολῇ προβαίνειν, τὸν δὲ Ὕπνον μὴ ἀνιέναι τοὺς ἀνθρώπους, ὡς ἀγνοήσωσι μακρὰν οὕτω τὴν νύκτα γεγενημένην.

MERC. Ex Bœotia, Sol, ab Amphitryonis uxore, cum qua una est, amans illam.

SOL. Tum porro non satis est una nox?

MERC. Neutiquam : creari enim aliquem oportet ex illo congressu magnum et multis certaminibus insignem deum : is talis ut una nocte absolvatur, fieri non potest.

2. SOL. Quin ergo, quod bene vortat, illud consummato. At hæc certe, Mercuri, non fiebant ætate Saturni (sumus autem soli sine arbitris), neque secubabat ille unquam a Rhea, nec relicto cœlo Thebis in lectum ibat : sed dies erat dies, et nox itidem pro mensura sua exacta ad anni tempestates; insolens vero, aut præter ordinem mutatum nihil; nec unquam ille rem habuisset cum mortali femina. Nunc contra miseræ mulieris gratia cuncta sunt sursum deorsum vertenda; minus agiles fiunt equi quiescendo; via difficilior, non terenda quippe per continuos tres dies; homines interea misere in caligine degent. Hos scilicet fructus capient ex Jovis amoribus, sedebuntque exspectantes usque dum ille perficiat athletam, quem dicis, inter longas istas tenebras.

MERC. Tace, Sol, ne infortunium tibi afferant isti sermones. Ego vero ad Lunam properans et Somnum, renunciabo iis etiam, quæ Jupiter mandavit; illa quidem ut lente progrediatur, Somnus autem ne remittat homines, ignoraturos nempe tam longam exstitisse noctem.

11.

ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΣΕΛΗΝΗΣ.

1. ΑΦΡ. Τί ταῦτα, ὦ Σελήνη, φασὶ ποιεῖν σε; ὁπόταν κατὰ τὴν Καρίαν γένῃ, ἱστάναι μέν σε τὸ ζεῦγος ἀφορῶσαν ἐς τὸν Ἐνδυμίωνα καθεύδοντα ὑπαίθριον ἅτε κυνηγέτην ὄντα, ἐνίοτε δὲ καὶ καταβαίνειν παρ' αὐτὸν ἐκ μέσης τῆς ὁδοῦ;

ΣΕΛ. Ἐρώτα, ὦ Ἀφροδίτη, τὸν σὸν υἱὸν, ὅς μοι τούτων αἴτιος.

ΑΦΡ. Ἔα· ἐκεῖνος ὑβριστής ἐστιν· ἐμὲ γοῦν αὐτὴν τὴν μητέρα οἷα δέδρακεν, ἄρτι μὲν ἐς τὴν Ἴδην κατάγων Ἀγχίσου ἕνεκα τοῦ Ἰλιέως, ἄρτι δὲ ἐς τὸν Λίβανον ἐπὶ τὸ Ἀσσύριον ἐκεῖνο μειράκιον, ὃ καὶ τῇ Φερσεφάττῃ ἐπέραστον ποιήσας ἐξ ἡμισείας ἀφείλετό με τὸν ἐρώμενον· ὥστε πολλάκις ἠπείλησα, εἰ μὴ παύσεται τοιαῦτα ποιῶν, κλάσειν μὲν αὐτοῦ τὰ τόξα καὶ τὴν φαρέτραν, περιαιρήσειν δὲ καὶ τὰ πτερά· ἤδη δὲ καὶ πληγὰς αὐτῷ ἐνέτεινα ἐς τὰς πυγὰς τῷ σανδάλῳ· ὁ δὲ οὐκ οἶδ' ὅπως τὸ παραυτίκα δεδιὼς καὶ ἱκετεύων μετ' ὀλίγον ἐπιλέλησται ἁπάντων.

2. Ἀτὰρ εἰπέ μοι, καλὸς ὁ Ἐνδυμίων ἐστίν; εὐπαραμύθητον γὰρ οὕτω τὸ δεινόν.

ΣΕΛ. Ἐμοὶ μὲν καὶ πάνυ καλὸς, ὦ Ἀφροδίτη, δο-

11.

VENERIS ET LUNÆ.

1. VEN. Quid ista, Luna, dicunt facere te? quum adversus Cariam veneris, sistere te bigas, et despectare in Endymionem dormientem sub divo, quippe venatorem; aliquando etiam descendere ad ipsum ex media via?

LUN. Sciscitare, Venus, ex filio tuo, qui mihi horum causa.

VEN. Hem : ille insolenter injuriosus est : en, in me matrem qualia designavit, nunc in Idam deducens Anchisæ Iliensis gratia; alias in Libanum, ad Assyrium illum adolescentulum, quem quum et Proserpinæ amabilem fecit, ex dimidia parte mihi subripuit meos amores. Atque adeo sæpe comminata fui, nisi desistat talia facere, me confracturam esse ejus arcus et pharetram, imo etiam circumcisuram alas; quin jam plagas ipsi intentavi in nates sandalio : is autem nescio quo pacto, in præsentia quidem timefactus et supplex, post paullo oblitus est omnium.

2. At dic mihi, pulcherne Endymion est? malum enim hoc maxime solatio mitigetur.

LUN. Mihi quidem sane pulcher, o Venus, videtur; tum-

κεῖ, καὶ μάλιστα ὅταν ὑποβαλόμενος ἐπὶ τῆς πέτρας τὴν χλαμύδα καθεύδῃ τῇ λαιᾷ μὲν ἔχων τὰ ἀκόντια ἤδη ἐκ τῆς χειρὸς ὑπορρέοντα, ἡ δεξιὰ δὲ περὶ τὴν κεφαλὴν ἐς τὸ ἄνω ἐπικεκλασμένη ἐπιπρέπῃ τῷ προσώπῳ περικειμένη, ὁ δὲ ὑπὸ τοῦ ὕπνου λελυμένος ἀναπνέῃ τὸ ἀμβρόσιον ἐκεῖνο ἄσθμα. Τότε τοίνυν ἐγὼ ἀψοφητὶ κατιοῦσα ἐπ' ἄκρων τῶν δακτύλων βεβηκυῖα, ὡς ἂν μὴ ἀνεγρόμενος ἐκταραχθείη — οἶσθα· τί οὖν ἄν σοι λέγοιμι τὰ μετὰ ταῦτα; πλὴν ἀπόλλυμαί γε ὑπὸ τοῦ ἔρωτος.

12.

ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΕΡΩΤΟΣ.

1. ΑΦΡ. Ὦ τέκνον Ἔρως, ὅρα οἷα ποιεῖς· οὐ τὰ ἐν τῇ γῇ λέγω, ὁπόσα τοὺς ἀνθρώπους ἀναπείθεις καθ' αὑτῶν ἢ κατ' ἀλλήλων ἐργάζεσθαι, ἀλλὰ καὶ τὰ ἐν τῷ οὐρανῷ, ὃς τὸν μὲν Δία πολύμορφον ἐπιδεικνύεις ἀλλάττων ἐς ὅ τι ἄν σοι ἐπὶ τοῦ καιροῦ δοκῇ, τὴν Σελήνην δὲ καθαιρεῖς ἐκ τοῦ οὐρανοῦ, τὸν Ἥλιον δὲ παρὰ τῇ Κλυμένῃ βραδύνειν ἐνίοτε ἀναγκάζεις ἐπιλελησμένον τῆς ἱππασίας· ἃ μὲν γὰρ ἐς ἐμὲ τὴν μητέρα ὑβρίζεις, θαρρῶν ποιεῖς. Ἀλλὰ σὺ, ὦ τολμηρότατε, καὶ τὴν Ῥέαν αὐτὴν γραῦν ἤδη καὶ μητέρα τοσούτων θεῶν οὖσαν ἀνέπεισας παιδεραστεῖν καὶ τὸ Φρύγιον μειράκιον ποθεῖν, καὶ νῦν ἐκείνη μέμηνεν ὑπὸ σοῦ καὶ ζευξαμένη τοὺς λέοντας, παραλαβοῦσα καὶ τοὺς Κορύβαντας ἅτε μανικοὺς καὶ αὐτοὺς ὄντας, ἄνω καὶ κάτω τὴν Ἰδὴν περιπολοῦσιν, ἡ μὲν ὀλολύζουσα ἐπὶ τῷ Ἄττῃ, οἱ Κορύβαντες δὲ ὁ μὲν αὐτῶν τέμνεται ξίφει τὸν πῆχυν, ὁ δὲ ἀνεὶς τὴν κόμην ἵεται μεμηνὼς διὰ τῶν ὀρῶν, ὁ δὲ αὐλεῖ τῷ κέρατι, ὁ δὲ ἐπιβομβεῖ τῷ τυμπάνῳ ἢ ἐπικτυπεῖ τῷ κυμβάλῳ, καὶ ὅλως θόρυβος καὶ μανία τὰ ἐν τῇ Ἰδῃ ἅπαντά ἐστι. Δέδια τοίνυν ἡ τὸ τοιοῦτον κακὸν ἐγὼ τεκοῦσα μὴ ἀπομανεῖσά ποτε ἡ Ῥέα ἢ καὶ μᾶλλον ἔτι ἐν αὐτῇ οὖσα κελεύσῃ τοὺς Κορύβαντας συλλαβόντας σε διασπάσασθαι ἢ τοῖς λέουσι παραβαλεῖν.

2. ΕΡΩΣ. Θάρρει, μῆτερ, ἐπεὶ καὶ τοῖς λέουσιν αὐτοῖς ἤδη ξυνήθης εἰμὶ, καὶ πολλάκις ἐπαναβὰς ἐπὶ τὰ νῶτα καὶ τῆς κόμης λαβόμενος ἡνιοχῶ αὐτούς, οἱ δὲ σαίνουσί με καὶ τὴν χεῖρα δεχόμενοι ἐς τὸ στόμα περιλιχμησάμενοι ἀποδιδόασί μοι· αὐτὴ μὲν γὰρ ἡ Ῥέα πότε ἂν ἐκείνη σχολὴν ἀγάγοι ἐπ' ἐμὲ ὅλη οὖσα ἐν τῷ Ἄττῃ; Καίτοι τί ἐγὼ ἀδικῶ δεικνὺς τὰ καλὰ οἷά ἐστιν; ὑμεῖς δὲ μὴ ἐφίεσθε τῶν καλῶν· μὴ τοίνυν ἐμὲ αἰτιᾶσθε τούτων. Ἢ θέλεις σὺ, ὦ μῆτερ, αὐτὴ μηκέτι ἐρᾶν μήτε σὲ τοῦ Ἄρεως μήτε ἐκεῖνον σοῦ;

ΑΦΡ. Ὡς δεινὸς εἶ καὶ κρατεῖς ἁπάντων· ἀλλὰ μεμνήσῃ μού ποτε τῶν λόγων.

que maxime, quando subjecta super rupem chlamyde dormit, sinistra tenens jacula ex manu jam defluentia; dextra vero circa caput sursum reflexa admodum decet faciem ambiens, atque ipse somno solutus efflatum reciprocat ambrosium illum halitum. Tunc igitur ego sine ullo strepitu delapsa, summisque pedum digitis innixa, ne expergefactus subito conturbetur — rem nosti: quid ergo tibi porro dicam quæ consequuntur? hoc tantum, dispereo amore.

12.

VENERIS ET CUPIDINIS.

1. VEN. O fili Cupido, vide qualia facis: non ea, quæ in terra contingunt, dico, quæcumque homines inducis ut in se quisque aut alii in alios admittant; sed etiam quæ in cœlis: qui Jovem quidem multas in formas conversum identidem exhibes, eum mutans in quodcumque tibi commodum videtur, Lunam deducis ex cœlo, Solem apud Clymenen commorari nonnunquam cogis oblitum cursus ordiendi: nam quæ in me genitricem committis, confidenter quasi jure tuo facis. Sed tu, audacissime, Rheam etiam ipsam jam vetulam et matrem tot deorum impulisti, ut puerum amet Phrygiumque adolescentulum appetat. Nunc illa furit opera tua; junctisque leonibus et assumtis in comitatum Corybantibus, qui scilicet fanatici sint et ipsi, sursum deorsum Idam circumvagantur, hæc ululatus edens ob Attin, Corybantes autem, hic conscindit sibi ense cubitum, ille effusa coma fertur furiatus per montes, alius tibiam inflat adunco cornu, alius bombum excitat pulso tympano, aut increpat cymbalo: et in summa, tumultus furorisque in Ida omnia sunt plena. Metuo igitur, quæ te tam magnum malum pepererim, ne quando plane in furorem acta Rhea, vel dixero potius mentis suæ compos, jubeat Corybantas comprehensum te discerpere, aut leonibus objicere.

2. CUP. Bono esto animo, mater, quandoquidem et leonibus ipsis jam familiaris sum, et sæpe conscensis eorum tergis, prehensaque juba tanquam habenis eos rego; illi autem adulantur mihi et manum acceptam in os delambentes, restituunt: de ipsa vero Rhea, quando tandem illa otium agat, adversum me ut quicquam conetur, tota in Attide occupata? At porro quid ego delinquo, si ostendam pulchra qualia sunt? vosmet autem ipsæ ne teneamini desiderio pulchrorum; proinde me ne insimuletis. An hoccine vis, mater, ut non amplius ames neque ipsa Martem, nec ille te?

VEN. Quam mirificus es et superior omnibus: sed erit quum recordabere dicta mea.

13.

ΔΙΟΣ, ΑΣΚΛΗΠΙΟΥ ΚΑΙ ΗΡΑΚΛΕΟΥΣ.

1. ΖΕΥΣ. Παύσασθε, ὦ Ἀσκληπιὲ καὶ Ἡράκλεις, ἐρίζοντες πρὸς ἀλλήλους ὥσπερ ἄνθρωποι· ἀπρεπῆ γὰρ ταῦτα καὶ ἀλλότρια τοῦ συμποσίου τῶν θεῶν.

ΗΡΑΚ. Ἀλλὰ ἐθέλεις, ὦ Ζεῦ, τουτονὶ τὸν φαρμακέα προκατακλίνεσθαί μου;

ΑΣΚ. Νὴ Δία· καὶ ἀμείνων γάρ εἰμι.

ΗΡΑΚ. Κατὰ τί, ὦ ἐμβρόντητε; ἢ διότι σε ὁ Ζεὺς ἐκεραύνωσεν ἃ μὴ θέμις ποιοῦντα, νῦν δὲ κατ' ἔλεον αὖθις ἀθανασίας μετείληφας;

ΑΣΚ. Ἐπιλέλησαι γὰρ καὶ σὺ, ὦ Ἡράκλεις, ἐν τῇ Οἴτῃ καταφλεγεὶς, ὅτι μοι ὀνειδίζεις τὸ πῦρ;

ΗΡΑΚ. Οὔκουν ἴσα καὶ ὅμοια βεβίωται ἡμῖν, ὃς Διὸς μὲν υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος· σὺ δὲ ῥιζοτόμος εἶ καὶ ἀγύρτης, νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος ἐπιθήσειν τῶν φαρμάκων, ἀνδρῶδες δὲ οὐδὲν ἐπιδεδειγμένος.

2. ΑΣΚ. Εὖ λέγεις, ὅτι σου τὰ ἐγκαύματα ἰασάμην, ὅτε πρῴην ἀνῆλθες ἡμίφλεκτος ὑπ' ἀμφοῖν διεφθαρμένος τὸ σῶμα, καὶ τοῦ χιτῶνος καὶ μετὰ τοῦτο τοῦ πυρός· ἐγὼ δὲ εἰ καὶ μηδὲν ἄλλο, οὔτε ἐδούλευσα ὥσπερ σὺ οὔτε ἔξαινον ἔρια ἐν Λυδίᾳ πορφυρίδα ἐνδεδυκὼς καὶ παιόμενος ὑπὸ τῆς Ὀμφάλης χρυσῷ σανδάλῳ, ἀλλ' οὐδὲ μελαγχολήσας ἀπέκτεινα τὰ τέκνα καὶ τὴν γυναῖκα.

ΗΡΑΚ. Εἰ μὴ παύσῃ λοιδορούμενός μοι, αὐτίκα μάλα εἴσῃ ὡς οὐ πολύ σε ὀνήσει ἡ ἀθανασία, ἐπεὶ ἁράμενός σε ῥίψω ἐπὶ κεφαλὴν ἐκ τοῦ οὐρανοῦ, ὥστε μηδὲ τὸν Παιῶνα ἰάσασθαί σε τὸ κρανίον συντριβέντα.

ΖΕΥΣ. Παύσασθε, φημὶ, καὶ μὴ ἐπιταράττετε ἡμῖν τὴν ξυνουσίαν, ἢ ἀμφοτέρους ἀποπέμψομαι ὑμᾶς τοῦ ξυμποσίου. Καίτοι εὔγνωμον, ὦ Ἡράκλεις, προκατακλίνεσθαί σου τὸν Ἀσκληπιὸν ἅτε καὶ πρότερον ἀποθανόντα.

13.

JOVIS, ÆSCULAPII ET HERCULIS.

1. JUP. Cessate, Æsculapi et Hercules, rixantes inter vos quasi homines : indecora enim hæc et aliena convivio deorum.

HERC. Et tu velis, o Jupiter, istum veneficum supra me accumbere?

ÆSC. Sic sane decet : etenim melior sum.

HERC. Quo in genere, attonite? ideone, quod te Jupiter fulmine percussit, quæ fas non erat facientem, nunc autem per misericordiam iterum immortalitatem participasti?

ÆSC. Oblitusne es, Hercules, in Œta te quoque conflagrasse, qui mihi exprobres ignem?

HERC. Nequaquam pari similique ratione vita nobis est exacta, ut qui Jovis sum filius, tantosque labores suscepi expurgando hominum ætatem, feris debellandis, et in homines injuriosos animadvertendo : tu vero præsectas herbarum radices colligis, et circulator es, ægrotis ut maxime hominibus utilis ad imponenda medicamenta, qui virile tamen nihil præstiteris.

2. ÆSC. Recte narras : nam inusta tibi flammæ vestigia sanavi, quando nuper huc ascendisti semiustus, ab utrisque corrupto corpore, tum tunica, tum deinde igne. Ego vero si nihil aliud, neque servivi, quemadmodum tu, neque carminavi lanam in Lydia purpuream vestem indutus, ictusque ab Omphale aureo sandalio : sed neque atra bile percitus interfeci liberos et uxorem.

HERC. Nisi desieris conviciari mihi, confestim scies, quam tibi non multum profutura sit immortalitas : etenim sublatum te projiciam præcipitem in caput e cœlo, ut ne Pæan quidem ipse mederi tibi possit, cranio contrito.

JUP. Finem, inquam, altercandi facite, et non conturbate nobis consuetudinis jucunditatem : sin, ambos ego ablegabo vos foras a convivio. Enimvero æquum est, Hercules, priorem decumbere Æsculapium, ut qui prior etiam obierit.

14.

ΕΡΜΟΥ ΚΑΙ ΑΠΟΛΛΩΝΟΣ.

1. ΕΡΜ. Τί σκυθρωπὸς, ὦ Ἄπολλον;

ΑΠ. Ὅτι, ὦ Ἑρμῆ, δυστυχῶ ἐν τοῖς ἐρωτικοῖς.

ΕΡΜ. Ἄξιον μὲν λύπης τὸ τοιοῦτο· σὺ δὲ τί δυστυχεῖς; ἢ τὸ κατὰ τὴν Δάφνην σε λυπεῖ ἔτι;

ΑΠ. Οὐδαμῶς· ἀλλ' ἐρώμενον πενθῶ τὸν Λάκωνα τὸν Οἰβάλου.

ΕΡΜ. Τέθνηκε γὰρ, εἰπέ μοι, ὁ Ὑάκινθος;

ΑΠ. Καὶ μάλα.

ΕΡΜ. Πρὸς τίνος, ὦ Ἄπολλον; ἢ τίς οὕτως ἀνέραστος ἦν ὡς ἀποκτεῖναι τὸ καλὸν ἐκεῖνο μειράκιον;

14.

MERCURII ET APOLLINIS.

1. MERC. Quid contracto vultu es, Apollo?

AP. Quia enim, Mercuri, parum ex sententia mihi procedunt res amatoriæ.

MERC. Dignum certe mœrore tale negotium : tu vero qua parte infortunatus est? num casus Daphnes te pungit adhuc?

AP. Nequaquam; sed delicias lugeo Laconem illum Œbali filium.

MERC. Interiitne, dic, quæso, mihi, Hyacinthus?

AP. Maxime.

MERC. A quo, Apollo? et quis adeo amoris expers erat, ut occiderit formosum illum juvenem?

ΠΟΣ. Ἀλλ' οὐ χρὴ πρὸς ἐμὲ θεῖόν γε ὄντα.

ΕΡΜ. Τέτοκεν ἀρτίως, ὦ Πόσειδον.

ΠΟΣ. Ἄπαγε, τέτοκεν ἐκεῖνος; ἐκ τίνος; οὐκοῦν ἔλεληθεν ἡμᾶς ἀνδρόγυνος ὤν; ἀλλ' οὐδὲ ἐπεσήμανεν ἡ γαστὴρ αὐτῷ ὄγκον τινά.

ΕΡΜ. Εὖ λέγεις· οὐ γὰρ ἐκείνη εἶχε τὸ ἔμβρυον.

ΠΟΣ. Οἶδα· ἐκ τῆς κεφαλῆς ἔτεκεν αὖθις ὥσπερ τὴν Ἀθηνᾶν· τοκάδα γὰρ τὴν κεφαλὴν ἔχει.

ΕΡΜ. Οὐκ, ἀλλ' ἐν τῷ μηρῷ ἐκύει τὸ ἐκ τῆς Σεμέλης βρέφος.

ΠΟΣ. Εὖ γε ὁ γενναῖος, ὡς ὅλος ἡμῖν κυοφορεῖ καὶ πανταχόθι τοῦ σώματος. Ἀλλὰ τίς ἡ Σεμέλη ἐστί;

2. ΕΡΜ. Θηβαία, τῶν Κάδμου θυγατέρων μία. Ταύτῃ συνελθὼν ἐγκύμονα ἐποίησεν.

ΠΟΣ. Εἶτα ἔτεκεν, ὦ Ἑρμῆ, ἀντ' ἐκείνης;

ΕΡΜ. Καὶ μάλα, εἰ καὶ παράδοξον εἶναί σοι δοκεῖ· τὴν μὲν γὰρ Σεμέλην ὑπελθοῦσα ἡ Ἥρα — οἶσθα δὲ ὡς ζηλότυπός ἐστι — πείθει αἰτῆσαι παρὰ τοῦ Διὸς μετὰ βροντῶν καὶ ἀστραπῶν ἥκειν παρ' αὐτήν· ὡς δὲ ἐπείσθη καὶ ἦκεν ἔχων καὶ τὸν κεραυνόν, ἀνεφλέγη ὁ ὄροφος, καὶ ἡ Σεμέλη μὲν διαφθείρεται ὑπὸ τοῦ πυρὸς, ἐμὲ δὲ κελεύει ἀνατεμόντα τὴν γαστέρα τῆς γυναικὸς ἀνακομίσαι ἀτελὲς ἔτι αὐτῷ τὸ ἔμβρυον ἐπταμηνιαῖον· καὶ ἐπειδὴ ἐποίησα, διελὼν τὸν ἑαυτοῦ μηρὸν ἐντίθησιν, ὡς ἀποτελεσθείη ἐνταῦθα, καὶ νῦν τρίτῳ ἤδη μηνὶ ἐξέτεκεν αὐτὸ καὶ μαλακῶς ἀπὸ τῶν ὠδίνων ἔχει.

ΠΟΣ. Νῦν οὖν ποῦ τὸ βρέφος ἐστίν;

ΕΡΜ. Ἐς τὴν Νῦσαν ἀποκομίσας παρέδωκα ταῖς Νύμφαις ἀνατρέφειν Διόνυσον ἐπονομασθέντα.

ΠΟΣ. Οὐκοῦν ἀμφότερα τοῦ Διονύσου τούτου καὶ μήτηρ καὶ πατὴρ ὁ ἀδελφός ἐστιν;

ΕΡΜ. Ἔοικεν. Ἄπειμι δ' οὖν ὕδωρ αὐτῷ πρὸς τὸ τραῦμα οἴσων καὶ τἄλλα ποιήσων ἃ νομίζεται ὥσπερ λεχοΐ.

NEPT. At non decet apud me quippe patruum.

MERC. Peperit jam modo, Neptune.

NEPT. Apage : illene peperit? ex quo? ergo nobis necopinantibus fuit ambiguo sexu? sed nec indicium fecit ejus uterus tumoris ullius.

MERC. Recte ais : neque enim ille habebat fœtum.

NEPT. Teneo : ex capite peperit iterum, ut Minervam : puerperum enim habet caput.

MERC. Neutiquam : sed in femore ferebat ex Semele infantem.

NEPT. Enge : ut bonus ille totus nobis uterum gestat, et in omni parte corporis. At quænam est Semele?

2. MERC. Thebana, Cadmi filiarum una : illam congressus gravidam fecit.

NEPT. Tum peperit, Mercuri, ejus vice?

MERC. Ita plane, tametsi fidem mereri res tibi non videatur : Semelen enim dolis aggressa Juno (nosti gravem ejus æmulationem) inducit ad petendum a Jove cum tonitrubus ac fulminibus ut veniat ad se : quum morigeratus accessit fulmen habens, succensum est tectum, ipsaque Semele perit ab igne : tum me jubet, exsecto utero mulieris, deferre nondum maturum ad se fœtum septimestrem : postquam feci, perscisso femori suo indit, ut maturaretur ibi. Nunc tertio jam mense partum edidit, atque imbecillius ex laboribus habet.

10.

ΕΡΜΟΥ ΚΑΙ ΗΛΙΟΥ.

1. ΕΡΜ. Ὦ Ἥλιε, μὴ ἐλάσῃς τήμερον, ὁ Ζεὺς φησι, μηδὲ αὔριον μηδὲ ἐς τρίτην ἡμέραν, ἀλλ' ἔνδον μένε, καὶ τὸ μεταξὺ μία τις ἔστω νὺξ μακρά· ὥστε λυέτωσαν μὲν αἱ Ὧραι αὖθις τοὺς ἵππους, σὺ δὲ σβέσον τὸ πῦρ καὶ ἀνάπαυε διὰ μακροῦ σεαυτόν.

ΗΛ. Καινὰ ταῦτα, ὦ Ἑρμῆ, καὶ ἀλλόκοτα ἥκεις παραγγέλλων. Ἀλλὰ μὴ παραβαίνειν τι ἔδοξα ἐν τῷ δρόμῳ καὶ ἔξω ἐλάσαι τῶν ὅρων, καί μοι ἄχθεται καὶ τὴν νύκτα τριπλασίαν τῆς ἡμέρας ποιῆσαι διέγνωκεν;

ΕΡΜ. Οὐδὲν τοιοῦτον, οὐδὲ ἐς ἀεὶ τοῦτο ἔσται· δεῖται δέ τι νῦν αὐτὸς ἐπιμηκεστέραν γενέσθαι οἱ τὴν νύκτα.

ΗΛ. Ποῦ δὲ καὶ ἔστιν ἡ πόθεν ἐξεπέμφθης ἀγγελῶν ταῦτά μοι;

10.

MERCURII ET SOLIS.

1. MERC. Sol, ne currum egeris hodie, Jupiter ait, nec cras, neque perendie; sed intus mane : idque temporis intervallum una estò nox longa. Quare solvunto Horæ iterum equos : tu restingue ignem, teque recrea quiete post longum tempus.

SOL. Insolita hæc, o Mercuri, atque inusitata nuncians ades : sed numquid de via aberrare visus sum in cursu, et extra limites equos agere, idque mihi succenset, et propterea noctem triplo majorem die facere constituit?

MERC. Nihil quidem tale; neque semper illud erit : sed ita nunc ipsi usus est, ut noctem sibi fieri productiorem velit.

SOL. Ille autem ubi est, aut unde missus tu, ut hæc mihi nunciares?

ΕΡΜ. Ἐκ Βοιωτίας, ὦ Ἥλιε, παρὰ τῆς Ἀμφιτρύωνος γυναικὸς, ἣ σύνεστιν ἐρῶν αὐτῆς.

ΗΛ. Εἶτα οὐχ ἱκανὴ νὺξ μία;

ΕΡΜ. Οὐδαμῶς· τεχθῆναι γάρ τινα δεῖ ἐκ τῆς ὁμιλίας ταύτης μέγαν καὶ πολύαθλον θεόν· τοῦτον οὖν ἐν μιᾷ νυκτὶ ἀποτελεσθῆναι ἀδύνατον.

2. ΗΛ. Ἀλλὰ τελεσιουργείτω μὲν ἀγαθῇ τύχῃ. Ταῦτα δ' οὖν, ὦ Ἑρμῆ, οὐκ ἐγίγνετο ἐπὶ τοῦ Κρόνου — αὐτοὶ γὰρ ἡμεῖς ἐσμέν — οὐδ' ἀπόκοιτός ποτε ἐκεῖνος παρὰ τῆς Ῥέας ἦν οὐδὲ ἀπολιπὼν ἂν τὸν οὐρανὸν ἐν Θήβαις ἐκοιμᾶτο, ἀλλ' ἡμέρα μὲν ἡμέρα, νὺξ δὲ κατὰ μέτρον τὸ αὐτῆς ἀνάλογον ταῖς ὥραις, ξένον δὲ ἢ παρηλλαγμένον οὐδέν, οὐδ' ἂν ἐκοινώνησέ ποτε ἐκεῖνος θνητῇ γυναικί· νῦν δὲ δυστήνου γυναίου ἕνεκα χρὴ ἀνεστράφθαι τὰ πάντα καὶ ἀκαμπεστέρους μὲν γενέσθαι τοὺς ἵππους ὑπὸ τῆς ἀργίας, δύσπορον δὲ τὴν ὁδὸν ἀτριβῆ μένουσαν τριῶν ἐξῆς ἡμερῶν, τοὺς δ' ἀνθρώπους ἀθλίως ἐν σκοτεινῷ διαβιοῦν. Τοιαῦτα ἀπολαύσονται τῶν Διὸς ἐρώτων καὶ καθεδοῦνται περιμένοντες, ἔστ' ἂν ἐκεῖνος ἀποτελέσῃ τὸν ἀθλητὴν, ὃν λέγεις, ὑπὸ μακρῷ τῷ ζόφῳ.

ΕΡΜ. Σιώπα, ὦ Ἥλιε, μή τι κακὸν ἀπολαύσῃς τῶν λόγων. Ἐγὼ δὲ παρὰ τὴν Σελήνην ἀπελθὼν καὶ τὸν Ὕπνον ἀπαγγελῶ κἀκείνοις ἅπερ ὁ Ζεὺς ἐπέστειλε, τὴν μὲν σχολῇ προβαίνειν, τὸν δὲ Ὕπνον μὴ ἀνιέναι τοὺς ἀνθρώπους, ὡς ἀγνοήσωσι μακρὰν οὕτω τὴν νύκτα γεγενημένην.

MERC. Ex Bœotia, Sol, ab Amphitryonis uxore, cum qua una est, amans illam.

SOL. Tum porro non satis est una nox?

MERC. Neutiquam : creari enim aliquem oportet ex illo congressu magnum et multis certaminibus insignem deum : is talis ut una nocte absolvatur, fieri non potest.

2. SOL. Quin ergo, quod bene vortat, illud consummato. At hæc certe, Mercuri, non fiebant ætate Saturni (sumus autem soli sine arbitris), neque secubabat ille unquam a Rhea, nec relicto cœlo Thebis in lectum ibat : sed dies erat dies, et nox itidem pro mensura sua exacta ad anni tempestates; insolens vero, aut præter ordinem mutatum nihil; nec unquam ille rem habuisset cum mortali femina. Nunc contra miseræ mulieris gratia cuncta sunt sursum deorsum vertenda; minus agiles fiunt equi quiescendo; via difficilior, non terenda quippe per continuos tres dies; homines interea misere in caligine degent. Hos scilicet fructus capient ex Jovis amoribus, sedebuntque exspectantes usque dum ille perficiat athletam, quem dicis, inter longas istas tenebras.

MERC. Tace, Sol, ne infortunium tibi afferant isti sermones. Ego vero ad Lunam properans et Somnum, renunciabo iis etiam, quæ Jupiter mandavit; illa quidem ut lente progrediatur, Somnus autem ne remittat homines, ignoraturos nempe tam longam exstitisse noctem.

11.

ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΣΕΛΗΝΗΣ.

1. ΑΦΡ. Τί ταῦτα, ὦ Σελήνη, φασὶ ποιεῖν σε; ὁπόταν κατὰ τὴν Καρίαν γένῃ, ἱστάναι μέν σε τὸ ζεῦγος ἀφορῶσαν ἐς τὸν Ἐνδυμίωνα καθεύδοντα ὑπαίθριον ἅτε κυνηγέτην ὄντα, ἐνίοτε δὲ καὶ καταβαίνειν παρ' αὐτὸν ἐκ μέσης τῆς ὁδοῦ;

ΣΕΛ. Ἐρώτα, ὦ Ἀφροδίτη, τὸν σὸν υἱὸν, ὅς μοι τούτων αἴτιος.

ΑΦΡ. Ἔα· ἐκεῖνος ὑβριστής ἐστιν· ἐμὲ γοῦν αὐτὴν τὴν μητέρα οἷα δέδρακεν, ἄρτι μὲν ἐς τὴν Ἰδην κατάγων Ἀγχίσου ἕνεκα τοῦ Ἰλιέως, ἄρτι δὲ ἐς τὸν Λίβανον ἐπὶ τὸ Ἀσσύριον ἐκεῖνο μειράκιον, ὃ καὶ τῇ Φερσεφάττῃ ἐπέραστον ποιήσας ἐξ ἡμισείας ἀφείλετό με τὸν ἐρώμενον· ὥστε πολλάκις ἠπείλησα, εἰ μὴ παύσεται τοιαῦτα ποιῶν, κλάσειν μὲν αὐτοῦ τὰ τόξα καὶ τὴν φαρέτραν, περιαιρήσειν δὲ καὶ τὰ πτερά· ἤδη δὲ καὶ πληγὰς αὐτῷ ἐνέτεινα ἐς τὰς πυγὰς τῷ σανδάλῳ· ὁ δὲ οὐκ οἶδ' ὅπως τὸ παραυτίκα δεδιὼς καὶ ἱκετεύων μετ' ὀλίγον ἐπιλέλησται ἁπάντων.

2. Ἀτὰρ εἰπέ μοι, καλὸς ὁ Ἐνδυμίων ἐστίν; εὐπαραμύθητον γὰρ οὕτω τὸ δεινόν.

ΣΕΛ. Ἐμοὶ μὲν καὶ πάνυ καλὸς, ὦ Ἀφροδίτη, δο-

11.

VENERIS ET LUNÆ.

1. VEN. Quid ista, Luna, dicunt facere te? quum adversus Cariam veneris, sistere te bigas, et despectare in Endymionem dormientem sub divo, quippe venatorem; aliquando etiam descendere ad ipsum ex media via?

LUN. Sciscitare, Venus, ex filio tuo, qui mihi horum causa.

VEN. Hem : ille insolenter injuriosus est : en, in me matrem qualia designavit, nunc in Idam deducens Anchisæ Iliensis gratia; alias in Libanum, ad Assyrium illum adolescentulum, quem quum et Proserpinæ amabilem fecit, ex dimidia parte mihi subripuit meos amores. Atque adeo sæpe comminata fui, nisi desistat talia facere, me confracturam esse ejus arcus et pharetram, imo etiam circumcisuram alas; quin jam plagas ipsi intentavi in nates sandalio : is autem nescio quo pacto, in præsentia quidem timefactus et supplex, post paullo oblitus est omnium.

2. At dic mihi, pulcherne Endymion est? malum enim hoc maxime solatio mitigetur.

LUN. Mihi quidem sane pulcher, o Venus, videtur; tum-

κεῖ, καὶ μάλιστα ὅταν ὑποβαλόμενος ἐπὶ τῆς πέτρας τὴν χλαμύδα καθεύδῃ τῇ λαιᾷ μὲν ἔχων τὰ ἀκόντια ἤδη ἐκ τῆς χειρὸς ὑπορρέοντα, ἡ δεξιὰ δὲ περὶ τὴν κεφαλὴν ἐς τὸ ἄνω ἐπικεκλασμένη ἐπιπρέπῃ τῷ προσώπῳ περικειμένη, ὁ δὲ ὑπὸ τοῦ ὕπνου λελυμένος ἀναπνέῃ τὸ ἀμβρόσιον ἐκεῖνο ἄσθμα. Τότε τοίνυν ἐγὼ ἀψοφητὶ κατιοῦσα ἐπ' ἄκρων τῶν δακτύλων βεβηκυῖα, ὡς ἂν μὴ ἀνεγρόμενος ἐκταραχθείη — οἶσθα· τί οὖν ἄν σοι λέγοιμι τὰ μετὰ ταῦτα; πλὴν ἀπόλλυμαί γε ὑπὸ τοῦ ἔρωτος.

12.

ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΕΡΩΤΟΣ.

1. ΑΦΡ. Ὦ τέκνον Ἔρως, ὅρα οἷα ποιεῖς· οὐ τὰ ἐν τῇ γῇ λέγω, ὁπόσα τοὺς ἀνθρώπους ἀναπείθεις καθ' αὑτῶν ἢ κατ' ἀλλήλων ἐργάζεσθαι, ἀλλὰ καὶ τὰ ἐν τῷ οὐρανῷ, ὃς τὸν μὲν Δία πολύμορφον ἐπιδεικνύεις ἀλλάττων ἐς ὅ τι ἄν σοι ἐπὶ τοῦ καιροῦ δοκῇ, τὴν Σελήνην δὲ καθαιρεῖς ἐκ τοῦ οὐρανοῦ, τὸν Ἥλιον δὲ παρὰ τῇ Κλυμένῃ βραδύνειν ἐνίοτε ἀναγκάζεις ἐπιλελησμένον τῆς ἱππασίας· ἃ μὲν γὰρ ἐς ἐμὲ τὴν μητέρα ὑβρίζεις, θαρρῶν ποιεῖς. Ἀλλὰ σὺ, ὦ τολμηρότατε, καὶ τὴν Ῥέαν αὐτὴν γραῦν ἤδη καὶ μητέρα τοσούτων θεῶν οὖσαν ἀνέπεισας παιδεραστεῖν καὶ τὸ Φρύγιον μειράκιον ποθεῖν, καὶ νῦν ἐκείνη μέμηνεν ὑπὸ σοῦ καὶ ζευξαμένη τοὺς λέοντας, παραλαβοῦσα καὶ τοὺς Κορύβαντας ἅτε μανικοὺς καὶ αὐτοὺς ὄντας, ἄνω καὶ κάτω τὴν Ἰδην περιπολοῦσιν, ἡ μὲν ὀλολύζουσα ἐπὶ τῷ Ἄττῃ, οἱ Κορύβαντες δὲ ὁ μὲν αὐτῶν τέμνεται ξίφει τὸν πῆχυν, ὁ δὲ ἀνεὶς τὴν κόμην ἵεται μεμηνὼς διὰ τῶν ὀρῶν, ὁ δὲ αὐλεῖ τῷ κέρατι, ὁ δὲ ἐπιβομβεῖ τῷ τυμπάνῳ ἢ ἐπικτυπεῖ τῷ κυμβάλῳ, καὶ ὅλως θόρυβος καὶ μανία τὰ ἐν τῇ Ἰδῃ ἅπαντά ἐστι. Δέδια τοίνυν ἡ τὸ τοιοῦτον κακὸν ἐγὼ τεκοῦσα μὴ ἀπομανεῖσά ποτε ἡ Ῥέα ἢ καὶ μᾶλλον ἔτι ἐν αὐτῇ οὖσα κελεύσῃ τοὺς Κορύβαντας συλλαβόντας σε διασπάσασθαι ἢ τοῖς λέουσι παραβαλεῖν.

2. ΕΡΩΣ. Θάρρει, μῆτερ, ἐπεὶ καὶ τοῖς λέουσιν αὐτοῖς ἤδη ξυνήθης εἰμὶ, καὶ πολλάκις ἐπαναβὰς ἐπὶ τὰ νῶτα καὶ τῆς κόμης λαβόμενος ἡνιοχῶ αὐτούς, οἱ δὲ σαίνουσί με καὶ τὴν χεῖρα δεχόμενοι ἐς τὸ στόμα περιλιχμησάμενοι ἀποδιδόασί μοι· αὐτὴ μὲν γὰρ ἡ Ῥέα πότε ἂν ἐκείνη σχολὴν ἀγάγοι ἐπ' ἐμὲ ὅλη οὖσα ἐν τῷ Ἄττῃ; Καίτοι τί ἐγὼ ἀδικῶ δεικνὺς τὰ καλὰ οἷά ἐστιν; ὑμεῖς δὲ μὴ ἐφίεσθε τῶν καλῶν· μὴ τοίνυν ἐμὲ αἰτιᾶσθε τούτων. Ἢ θέλεις σὺ, ὦ μῆτερ, αὐτὴ μηκέτι ἐρᾶν μήτε σὲ τοῦ Ἄρεως μήτε ἐκεῖνον σοῦ;

ΑΦΡ. Ὡς δεινὸς εἶ καὶ κρατεῖς ἁπάντων· ἀλλὰ μεμνήσῃ μού ποτε τῶν λόγων.

que maxime, quando subjecta super rupem chlamyde dormit, sinistra tenens jacula ex manu jam defluentia; dextra vero circa caput sursum reflexa admodum decet faciem ambiens, atque ipse somno solutus efflatum reciprocat ambrosium illum halitum. Tunc igitur ego sine ullo strepitu delapsa, summisque pedum digitis innixa, ne expergefactus subito conturbetur — rem nosti: quid ergo tibi porro dicam quæ consequuntur? hoc tantum, dispereo amore.

12.

VENERIS ET CUPIDINIS.

1. VEN. O fili Cupido, vide qualia facis: non ea, quæ in terra contingunt, dico, quæcumque homines inducis ut in se quisque aut alii in alios admittant; sed etiam quæ in cœlis: qui Jovem quidem multas in formas conversum identidem exhibes, eum mutans in quodcumque tibi commodum videtur, Lunam deducis ex cœlo, Solem apud Clymenen commorari nonnunquam cogis oblitum cursus ordiendi: nam quæ in me genitricem committis, confidenter quasi jure tuo facis. Sed tu, audacissime, Rheam etiam ipsam jam vetulam et matrem tot deorum impulisti, ut puerum amet Phrygiumque adolescentulum appetat. Nunc illa furit opera tua; junctisque leonibus et assumtis in comitatum Corybantibus, qui scilicet fanatici sint et ipsi, sursum deorsum Idam circumvagantur, hæc ululatus edens ob Attin, Corybantes autem, hic conscindit sibi ense cubitum, ille effusa coma fertur furiatus per montes, alius tibiam inflat adunco cornu, alius bombum excitat pulso tympano, aut increpat cymbalo: et in summa, tumultus furorisque in Ida omnia sunt plena. Metuo igitur, quæ te tam magnum malum pepererim, ne quando plane in furorem acta Rhea, vel dixero potius mentis suæ compos, jubeat Corybantas comprehensum te discerpere, aut leonibus objicere.

2. CUP. Bono esto animo, mater, quandoquidem et leonibus ipsis jam familiaris sum, et sæpe conscensis eorum tergis, prehensaque juba tanquam habenis eos rego; illi autem adulantur mihi et manum acceptam in os delambentes, restituunt: de ipsa vero Rhea, quando tandem illa otium agat, adversum me ut quicquam conetur, tota in Attide occupata? At porro quid ego delinquo, si ostendam pulchra qualia sunt? vosmet autem ipsæ ne teneamini desiderio pulchrorum; proinde me ne insimuletis. An hoccine vis, mater, ut non amplius ames neque ipsa Martem, nec ille te?

VEN. Quam mirificus es et superior omnibus: sed erit quum recordabere dicta mea.

13.

ΔΙΟΣ, ΑΣΚΛΗΠΙΟΥ ΚΑΙ ΗΡΑΚΛΕΟΥΣ.

1. ΖΕΥΣ. Παύσασθε, ὦ Ἀσκληπιὰ καὶ Ἡράκλεις, ἐρίζοντες πρὸς ἀλλήλους ὥσπερ ἄνθρωποι· ἀπρεπῆ γὰρ ταῦτα καὶ ἀλλότρια τοῦ συμποσίου τῶν θεῶν.

ΗΡΑΚ. Ἀλλὰ ἐθέλεις, ὦ Ζεῦ, τουτονὶ τὸν φαρμακέα προκατακλίνεσθαί μου;

ΑΣΚ. Νὴ Δία· καὶ ἀμείνων γάρ εἰμι.

ΗΡΑΚ. Κατὰ τί, ὦ ἐμβρόντητε; ἢ διότι σε ὁ Ζεὺς ἐκεραύνωσεν ἃ μὴ θέμις ποιοῦντα, νῦν δὲ κατ' ἔλεον αὖθις ἀθανασίας μετείληφας;

ΑΣΚ. Ἐπιλέλησαι γὰρ καὶ σὺ, ὦ Ἡράκλεις, ἐν τῇ Οἴτῃ καταφλεγείς, ὅτι μοι ὀνειδίζεις τὸ πῦρ;

ΗΡΑΚ. Οὔκουν ἴσα καὶ ὅμοια βεβίωται ἡμῖν, ὃς Διὸς μὲν υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος· σὺ δὲ ῥιζοτόμος εἶ καὶ ἀγύρτης, νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος ἐπιθήσειν τῶν φαρμάκων, ἀνδρῶδες δὲ οὐδὲν ἐπιδεδειγμένος.

2. ΑΣΚ. Εὖ λέγεις, ὅτι σου τὰ ἐγκαύματα ἰασάμην, ὅτε πρῴην ἀνῆλθες ἡμίφλεκτος ὑπ' ἀμφοῖν διεφθαρμένος τὸ σῶμα, καὶ τοῦ χιτῶνος καὶ μετὰ τοῦτο τοῦ πυρός· ἐγὼ δὲ εἰ καὶ μηδὲν ἄλλο, οὔτε ἐδούλευσα ὥσπερ σὺ οὔτε ἔξαινον ἔρια ἐν Λυδίᾳ πορφυρίδα ἐνδεδυκὼς καὶ παιόμενος ὑπὸ τῆς Ὀμφάλης χρυσῷ σανδάλῳ, ἀλλ' οὐδὲ μελαγχολήσας ἀπέκτεινα τὰ τέκνα καὶ τὴν γυναῖκα.

ΗΡΑΚ. Εἰ μὴ παύσῃ λοιδορούμενός μοι, αὐτίκα μάλα εἴσῃ ὡς οὐ πολύ σε ὀνήσει ἡ ἀθανασία, ἐπεὶ ἀράμενός σε ῥίψω ἐπὶ κεφαλὴν ἐκ τοῦ οὐρανοῦ, ὥστε μηδὲ τὸν Παιῶνα ἰάσασθαί σε τὸ κρανίον συντριβέντα.

ΖΕΥΣ. Παύσασθε, φημί, καὶ μὴ ἐπιταράττετε ἡμῖν τὴν ξυνουσίαν, ἢ ἀμφοτέρους ἀποπέμψομαι ὑμᾶς τοῦ ξυμποσίου. Καίτοι εὔγνωμον, ὦ Ἡράκλεις, προκατακλίνεσθαί σου τὸν Ἀσκληπιὸν ἅτε καὶ πρότερον ἀποθανόντα.

13.

JOVIS, ÆSCULAPII ET HERCULIS.

1. JUP. Cessate, Æsculapi et Hercules, rixantes inter vos quasi homines : indecora enim hæc et aliena convivio deorum.

HERC. Et tu velis, o Jupiter, istum veneficum supra me accumbere?

ÆSC. Sic sane decet : etenim melior sum.

HERC. Quo in genere, attonite? ideone, quod te Jupiter fulmine percussit, quæ fas non erat facientem, nunc autem per misericordiam iterum immortalitatem participasti?

ÆSC. Oblitusne es, Hercules, in Œta te quoque conflagrasse, qui mihi exprobres ignem?

HERC. Nequaquam pari similique ratione vita nobis est exacta, ut qui Jovis sum filius, tantosque labores suscepi expurgando hominum ætatem, feris debellandis, et in homines injuriosos animadvertendo : tu vero præsectas herbarum radices colligis, et circulator es, ægrotis ut maxime hominibus utilis ad imponenda medicamenta, qui virile tamen nihil præstiteris.

2. ÆSC. Recte narras : nam inusta tibi flammæ vestigia sanavi, quando nuper huc ascendisti semiustus, ab utrisque corrupto corpore, tum tunica, tum deinde igne. Ego vero si nihil aliud, neque servivi, quemadmodum tu, neque carminavi lanam in Lydia purpuream vestem indutus, ictusque ab Omphale aureo sandalio : sed neque atra bile percitus interfeci liberos et uxorem.

HERC. Nisi desieris conviciari mihi, confestim scies, quam tibi non multum profutura sit immortalitas : etenim sublatum te projiciam præcipitem in caput e cœlo, ut ne Pæan quidem ipse mederi tibi possit, cranio contrito.

JUP. Finem, inquam, altercandi facite, et non conturbate nobis consuetudinis jucunditatem : sin, ambos ego ablegabo vos foras a convivio. Enimvero æquum est, Hercules, priorem decumbere Æsculapium, ut qui prior etiam obierit.

14.

ΕΡΜΟΥ ΚΑΙ ΑΠΟΛΛΩΝΟΣ.

1. ΕΡΜ. Τί σκυθρωπὸς, ὦ Ἄπολλον;

ΑΠ. Ὅτι, ὦ Ἑρμῆ, δυστυχῶ ἐν τοῖς ἐρωτικοῖς.

ΕΡΜ. Ἄξιον μὲν λύπης τὸ τοιοῦτο· σὺ δὲ τί δυστυχεῖς; ἢ τὸ κατὰ τὴν Δάφνην σε λυπεῖ ἔτι;

ΑΠ. Οὐδαμῶς· ἀλλ' ἐρώμενον πενθῶ τὸν Λάκωνα τὸν Οἰβάλου.

ΕΡΜ. Τέθνηκε γὰρ, εἰπέ μοι, ὁ Ὑάκινθος;

ΑΠ. Καὶ μάλα.

ΕΡΜ. Πρὸς τίνος, ὦ Ἄπολλον; ἢ τίς οὕτως ἀνέραστος ἦν ὡς ἀποκτεῖναι τὸ καλὸν ἐκεῖνο μειράκιον;

14.

MERCURII ET APOLLINIS.

1. MERC. Quid contracto vultu es, Apollo?

AP. Quia enim, Mercuri, parum ex sententia mihi procedunt res amatoriæ.

MERC. Dignum certe mœrore tale negotium : tu vero qua parte infortunatus est? num casus Daphnes te pungit adhuc?

AP. Nequaquam; sed delicias lugeo Laconem illum Œbali filium.

MERC. Interiitne, dic, quæso, mihi, Hyacinthus?

AP. Maxime.

MERC. A quo, Apollo? et quis adeo amoris expers erat, ut occiderit formosum illum juvenem?

ΑΠ. Αὐτοῦ ἐμοῦ τὸ ἔργον.

ΕΡΜ. Οὐκοῦν ἐμάνης, ὦ Ἄπολλον;

ΑΠ. Οὐκ, ἀλλὰ δυστύχημά τι ἀκούσιον ἐγένετο.

ΕΡΜ. Πῶς; ἐθέλω γὰρ ἀκοῦσαι τὸν τρόπον.

2. ΑΠ. Δισκεύειν ἐμάνθανε κἀγὼ συνεδίσκευον αὐτῷ, ὁ δὲ κάκιστα ἀνέμων ἀπολούμενος ὁ Ζέφυρος ἦρα μὲν ἐκ πολλοῦ καὶ αὐτὸς, ἀμελούμενος δὲ καὶ μὴ φέρων τὴν ὑπεροψίαν, ἐγὼ μὲν ἀνέρριψα, ὥσπερ εἰώθειμεν, τὸν δίσκον ἐς τὸ ἄνω, ὁ δὲ ἀπὸ τοῦ Ταϋγέτου καταπνεύσας ἐπὶ κεφαλὴν τῷ παιδὶ ἐνέσεισε φέρων αὐτὸν, ὥπτε ἀπὸ τῆς πληγῆς αἷμά τε ῥυῆναι πολὺ καὶ τὸν παῖδα εὐθέως ἀποθανεῖν. Ἀλλ' ἐγὼ τὸν μὲν Ζέφυρον αὐτίκα ἠμυνάμην κατατοξεύσας, φεύγοντι ἐπισπόμενος ἄχρι τοῦ ὄρους, τῷ παιδὶ δὲ καὶ τὸν τάφον μὲν ἐχωσάμην ἐν Ἀμύκλαις, ὅπου ὁ δίσκος αὐτὸν κατέβαλε, καὶ ἀπὸ τοῦ αἵματος ἄνθος ἀναδοῦναι τὴν γῆν ἐποίησα ἡδιστον, ὦ Ἑρμῆ, καὶ εὐανθέστατον ἀνθέων ἁπάντων, ἔτι καὶ γράμματα ἔχον ἐπαιάζοντα τῷ νεκρῷ. Ἆρά σοι ἀλόγως λελυπῆσθαι δοκῶ;

ΕΡΜ. Ναὶ, ὦ Ἄπολλον· ἤδεις γὰρ θνητὸν πεποιημένος τὸν ἐρώμενον· ὥστε μὴ ἄχθου ἀποθανόντος.

AP. Meum ipsius hoc est facinus.

MERC. Num ergo te furor agitavit, Apollo?

AP. Haud sane: sed infortunium quoddam involuntarium accidit.

MERC. Quo tandem pacto? nam volo rem audire quomodo acciderit.

2. AP. Discum tractare discebat, egoque una cum eo disco exercebar: tum, qui pessime ventorum pereat, Zephyrus amabat jamdudum et ipse, sed neglectus, neque ferens istud fastidium, dum projicio, ut solebamus, discum in altum, Zephyrus, inquam, a Taygeto deorsum spirans in caput puero impegit, quam poterat vehementissime, discum illum, sic ut ex vulnere sanguis manaret multus, et puer statim emoreretur. At ego Zephyrum e vestigio ultus sum sagittis immissis, fugientem persecutus usque ad montem; puero vero sepulcrum exaggeravi Amyclis, ubi discus illum dejecit; atque a sanguine florem submittere terram feci suavissimum, Mercuri, et floridissimum omnium florum, qui præterea literas habet luctum super mortuo testantes. Num tibi sine ratione tristitia videor affectus?

MERC. Utique, Apollo: noras enim, qui mortalis esset, te tibi nactum fuisse amatum: quare ne graviter feras eo mortuo.

15.

ΕΡΜΟΥ ΚΑΙ ΑΠΟΛΛΩΝΟΣ.

1. ΕΡΜ. Τὸ δὲ καὶ χωλὸν αὐτὸν ὄντα καὶ χαλκέα τὴν τέχνην, ὦ Ἄπολλον, τὰς καλλίστας γεγαμηκέναι, τήν τε Ἀφροδίτην καὶ τὴν Χάριν.

ΑΠ. Εὐποτμία τις, ὦ Ἑρμῆ· πλὴν ἐκεῖνό γε θαυμάζω, τὸ ἀνέχεσθαι συνούσας αὐτῷ, καὶ μάλιστα ὅταν ὁρῶσιν ἱδρῶτι ῥεόμενον, ἐς τὴν κάμινον ἐπικεκυφότα, πολὺν αἰθαλον ἐπὶ τοῦ προσώπου ἔχοντα· καὶ ὅμως τοιοῦτον ὄντα περιβάλλουσί τε αὐτὸν καὶ φιλοῦσι καὶ ξυγκαθεύδουσι.

ΕΡΜ. Τοῦτο καὶ αὐτὸς ἀγανακτῶ καὶ τῷ Ἡφαίστῳ φθονῶ· σὺ δὲ κόμα, ὦ Ἄπολλον, καὶ κιθάριζε καὶ μέγα ἐπὶ τῷ κάλλει φρόνει, κἀγὼ ἐπὶ τῇ εὐεξίᾳ καὶ τῇ λύρᾳ· εἶτα, ἐπειδὰν κοιμᾶσθαι δέῃ, μόνοι καθευδήσομεν.

2. ΑΠ. Ἐγὼ μὲν καὶ ἄλλως ἀναφρόδιτός εἰμι ἐς τὰ ἐρωτικά· δύο γοῦν, οὓς μάλιστα ἠγάπησα, τὴν Δάφνην καὶ τὸν Ὑάκινθον, ἡ μὲν Δάφνη οὕτως ἐμίσησέ με ὥστε εἵλετο ξύλον γενέσθαι μᾶλλον ἢ ἐμοὶ ξυνεῖναι, τὸν Ὑάκινθον δὲ ὑπὸ τοῦ δίσκου ἀπώλεσα, καὶ νῦν ἀντ' ἐκείνων στεφάνους ἔχω.

ΕΡΜ. Ἐγὼ δὲ ἤδη ποτὲ τὴν Ἀφροδίτην — ἀλλ' οὐ χρὴ αὐχεῖν.

ΑΠ. Οἶδα, καὶ τὸν Ἑρμαφρόδιτον ἐκ σοῦ λέγεται τεκεῖν. Πλὴν ἐκεῖνό μοι εἰπὲ, εἴ τι οἶσθα, πῶς οὐ ζηλοτυπεῖ ἡ Ἀφροδίτη τὴν Χάριν ἢ ἡ Χάρις ταύτην;

3. ΕΡΜ. Ὅτι, ὦ Ἄπολλον, ἐκείνη μὲν αὐτῷ ἐν τῇ Λήμνῳ σύνεστιν, ἡ δ' Ἀφροδίτη ἐν τῷ οὐρανῷ· ἄλλως τε

15.

MERCURII ET APOLLINIS.

1. MERC. Et quale tandem, claudum istum Vulcanum, et fabrilis artis opificem, Apollo, pulcherrimas in matrimonio habere, Venerem et Gratiam!

AP. Fati quædam felicitas, o Mercuri: verum illud demiror, qui pati possint consuetudinem ejus, maxime quando vident sudore manantem, in fornacem pronum atque intentum, multam fuliginem in facie habentem: at tamen talem amplectuntur, osculantur et una cubant.

MERC. Illud et ipse indignor, Vulcanoque invideo. Jam tu capillos ale, Apollo, et citharam pulsa, et superbius ob pulchritudinem effer te, atque ego ob palæstricum corporis habitum et artem lyræ temperandæ; tum ubi cubitum erit eundum, soli scilicet dormiemus.

2. AP. Ego quidem et alias invenustus sum in rebus amatoriis: duorum ergo, quos maxime supra ceteros dilexi Daphnen et Hyacinthum, hæc odio me habuit usque eo, ut præoptarit arbor fieri, quam mecum esse; ille autem disci jactu interiit: et nunc illorum vicem coronas habeo.

MERC. At ego jam aliquando Venerem — sed non oportet gloriari.

AP. Scio: Hermaphroditum etiam ex te dicitur peperisse. Verum illud mihi, si forte scis, expone, quo pacto non æmuletur Venus Charitem, aut Charis illam?

3. MERC. Quoniam, Apollo, illa in Lemno cum ipso degit, Venus in cœlo: quæ præterea circa Martem est occu-

περὶ τὸν Ἄρη ἔχει τὰ πολλὰ κἀκείνου ἐρᾷ, ὥστε ὀλίγον αὐτῇ τοῦ χαλκέως τούτου μέλει.

ΑΠ. Καὶ ταῦτα οἴει τὸν Ἥφαιστον εἰδέναι;

ΕΡΜ. Οἶδεν· ἀλλὰ τί ἂν δρᾶσαι δύναιτο γενναῖον ὁρῶν νεανίαν καὶ στρατιώτην αὐτόν; ὥστε τὴν ἡσυχίαν ἄγει· πλὴν ἀπειλεῖ γε δεσμά τινα ἐπιμηχανήσεσθαι αὐτοῖς καὶ συλλήψεσθαι σαγηνεύσας ἐπὶ τῆς εὐνῆς.

ΑΠ. Οὐκ οἶδα· εὐξαίμην δ' ἂν αὐτὸς ὁ ξυλληφθησόμενος εἶναι.

16.

ΗΡΑΣ ΚΑΙ ΛΗΤΟΥΣ.

1. ΗΡΑ. Καλὰ μέν, ὦ Λητοῖ, καὶ τὰ τέκνα ἔτεκες τῷ Διί.

ΛΗΤ. Οὐ πᾶσαι, ὦ Ἥρα, τοιούτους τίκτειν δυνάμεθα, οἷος ὁ Ἥφαιστός ἐστιν.

ΗΡΑ. Ἀλλ' οὗτος μὲν ὁ χωλὸς ὅμως χρήσιμός γέ ἐστι τεχνίτης ὢν ἄριστος καὶ κατακεκόσμηκεν ἡμῖν τὸν οὐρανὸν καὶ τὴν Ἀφροδίτην ἔγημε καὶ σπουδάζεται πρὸς αὐτῆς, οἱ δὲ σοὶ παῖδες ἡ μὲν αὐτῶν ἀρρενικὴ πέρα τοῦ μετρίου καὶ ὄρειος, καὶ τὸ τελευταῖον ἐς τὴν Σκυθίαν ἀπελθοῦσα πάντες ἴσασιν οἷα ἐσθίει ξενοκτονοῦσα καὶ μιμουμένη τοὺς Σκύθας αὐτοὺς ἀνθρωποφάγους ὄντας· ὁ δ' Ἀπόλλων προσποιεῖται μὲν πάντα εἰδέναι καὶ τοξεύειν καὶ κιθαρίζειν καὶ ἰατρὸς εἶναι καὶ μαντεύεσθαι καὶ καταστησάμενος ἐργαστήρια τῆς μαντικῆς τὸ μὲν ἐν Δελφοῖς, τὸ δ' ἐν Κλάρῳ καὶ ἐν Διδύμοις ἐξαπατᾷ τοὺς χρωμένους αὐτῷ λοξὰ καὶ ἐπαμφοτερίζοντα πρὸς ἑκάτερον τῆς ἐρωτήσεως ἀποκρινόμενος, ὡς ἀκίνδυνον εἶναι τὸ σφάλμα. Καὶ πλουτεῖ μὲν ἀπὸ τοῦ τοιούτου· πολλοὶ γὰρ οἱ ἀνόητοι καὶ παρέχοντες αὑτοὺς καταγοητεύεσθαι· πλὴν οὐκ ἀγνοεῖταί γε ὑπὸ τῶν ξυνετωτέρων τὰ πολλὰ τερατευόμενος· αὐτὸς γοῦν ὁ μάντις ἠγνόει ὅτι φονεύσει μὲν τὸν ἐρώμενον τῷ δίσκῳ, οὐ προεμαντεύσατο δὲ ὡς φεύξεται αὐτὸν ἡ Δάφνη, καὶ ταῦτα οὕτω καλὸν καὶ κομήτην ὄντα. Ὥστε οὐχ ὁρῶ καθότι καλλιτεχνοτέρα τῆς Νιόβης ἔδοξας.

2. ΛΗΤ. Ταῦτα μέντοι τὰ τέκνα, ἡ ξενοκτόνος καὶ ὁ ψευδόμαντις, οἶδα, ὅπως λυπεῖ σε ὁρώμενα ἐν τοῖς θεοῖς, καὶ μάλιστα ὁπόταν ἡ μὲν ἐπαινῆται ἐς τὸ κάλλος, ὁ δὲ κιθαρίζῃ ἐν τῷ συμποσίῳ θαυμαζόμενος ὑφ' ἁπάντων.

ΗΡΑ. Ἐγέλασα, ὦ Λητοῖ· ἐκεῖνος θαυμαστὸς, ὃν ὁ Μαρσύας, εἰ τὰ δίκαια αἱ Μοῦσαι δικάσαι ἤθελον, ἀπέδειρεν ἂν αὐτὸς κρατήσας τῇ μουσικῇ; νῦν δὲ κατασοφισθεὶς ἄθλιος ἀπόλωλεν ἀδίκως ἁλούς· ἡ δὲ καλὴ σου παρθένος οὕτω καλή ἐστιν ὥστε ἐπεὶ ἔμαθεν ὀφθεῖσα ὑπὸ τοῦ Ἀκταίωνος, φοβηθεῖσα μὴ ὁ νεανίσκος ἐξαγορεύσῃ τὸ αἶσχος αὐτῆς, ἐπαφῆκεν αὐτῷ τοὺς κύνας· εἰῶ γὰρ λέγειν ὅτι οὐδὲ τὰς τεκούσας ἐμαιοῦτο παρθένος γε αὐτὴ οὖσα.

pata plurimum, eumque amat; ideoque parum ipsam fabri istius ferrarii cura tangit.

AP. Hæc tu putas Vulcanum scire?

MERC. Sane: sed quid efficere possit, quum strenuum videt juvenem, eumque militem? quare quiescit sibique temperat; nisi quod minatur, vincula se quædam machinaturum adversus illos, et capturum irretitos in lecto.

AP. Nescio: at equidem optaverim is esse, qui sit capiendus.

16.

JUNONIS ET LATONÆ.

1. JUN. Pulchros enimvero, Latona, etiam liberos peperisti Jovi.

LAT. Non omnes, Juno, tales parere possumus, qualis est Vulcanus.

JUN. Sed hic claudus tamen utilis est, quippe artifex optimus, et adornavit nobis cœlum, et Venerem duxit, ab eaque observatur. De tuis autem liberis, illorum hæc virilis ultra modum et montana; ac denique in Scythiam profecta nemo nescit quales cibos capiat hospitibus interfectis, atque imitata Scythas ipsos, qui hominibus vescuntur: Apollo autem præ se fert cuncta se scire, et jaculari, et cithara ludere, et medicum agere, et vaticinari: tum, postquam constituit officinas artis divinandi Delphis, Clari et Didymis, frustratur consulentes, obliqua et ambigua in utramque interrogationis partem respondens, ne periculum sit ut arguatur error. Inde quidem ditescit: plures enim sunt stulti, quique se præbent fascinandos; nec tamen præterit prudentiores, plerumque præstigias ipsum offundere. Ignorabat certe ipse ille vates se occisurum esse delicias suas disco; nec prædivinavit fore ut fugeret ipsum Daphne, idque tam pulchrum et bellule comatum. Itaque non video, qua parte prolis laude Nioben præstare videaris.

2. LAT. Isti quidem liberi, hospitum interfectrix et mendax vates, non me fugit quem tibi dolorem afferant conspecti inter deos; tum maxime, quando hæc laudatur ob formam, ille, dum cithara ludit in convivio, admirationi est omnibus.

JUN. Ridere libet, Latona: illene dignus admiratione, cui Marsyas, si quidem justum Musæ judicium ferre voluissent, pellem detraxisset, ipse victor arte musica? nunc dolo captus miser interiit, iniqua sententia damnatus: illa autem pulchra tua virgo tam est pulchra, ut, postquam comperit se visam esse ab Actæone, verita ne juvenis evulgaret turpitudinem suam, immiserit in eum canes: mitto dicere, neque parturientibus obstetricaturam fuisse, virgo si modo foret.

ΛΗΤ. Μέγα, ὦ Ἥρα, φρονεῖς, ὅτι ξύνει τῷ Διὶ καὶ συμβασιλεύεις αὐτῷ, καὶ διὰ τοῦτο ὑβρίζεις ἀδεῶς· ἀλλ' ἀλλ' ὄψομαί σε μετ' ὀλίγον αὖθις δακρύουσαν, πόταν σε καταλιπὼν ἐς τὴν γῆν κατίῃ ταῦρος ἢ κύκνος γενόμενος.

17.

ΑΠΟΛΛΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ.

1. ΑΠ. Τί γελᾷς, ὦ Ἑρμῆ;

ΕΡΜ. Ὅτι γελοιότατα, ὦ Ἄπολλον, εἶδον.

ΑΠ. Εἰπὲ οὖν, ὡς καὶ αὐτὸς ἀκούσας ἔχω ξυγγελᾶν.

ΕΡΜ. Ἡ Ἀφροδίτη ξυνοῦσα τῷ Ἄρει κατείληπται καὶ ὁ Ἥφαιστος ἔδησεν αὐτοὺς ξυλλαβών.

ΑΠ. Πῶς; ἡδὺ γάρ τι ἐρεῖν ἔοικας.

ΕΡΜ. Ἐκ πολλοῦ, οἶμαι, ταῦτα εἰδὼς ἐθήρευεν αὐτούς, καὶ περὶ τὴν εὐνὴν ἀφανῆ δεσμὰ περιθεὶς εἰργάζετο ἀπελθὼν ἐπὶ τὴν κάμινον· εἶτα ὁ μὲν Ἄρης εἰσέρχεται λαθών, ὡς ᾠετο, καθορᾷ δὲ αὐτὸν ὁ Ἥλιος καὶ λέγει πρὸς τὸν Ἥφαιστον. Ἐπεὶ δὲ ἐπέβησαν τοῦ λέχους καὶ ἐν ἔργῳ ἦσαν καὶ ἐντὸς ἐγεγένηντο τῶν ἀρκύων, περιπλέκεται μὲν αὐτοῖς τὰ δεσμὰ, ἐφίσταται δὲ ὁ Ἥφαιστος. Ἐκείνη μὲν οὖν — καὶ γὰρ ἔτυχε γυμνὴ οὖσα — οὐκ εἶχεν ὅπως ἐγκαλύψαιτο αἰδουμένη, ὁ δὲ Ἄρης τὰ μὲν πρῶτα διαφυγεῖν ἐπειρᾶτο καὶ ἤλπιζε ῥήξειν τὰ δεσμὰ, ἔπειτα δὲ συνεὶς ἐν ἀφύκτῳ ἐχόμενον ἑαυτὸν ἱκέτευε.

2. ΑΠ. Τί οὖν; ἀπέλυσεν αὐτοὺς ὁ Ἥφαιστος;

ΕΡΜ. Οὐδέπω, ἀλλὰ ξυγκαλέσας τοὺς θεοὺς ἐπιδείκνυται τὴν μοιχείαν αὐτοῖς· οἱ δὲ γυμνοὶ ἀμφότεροι κάτω νενευκότες ξυνδεδεμένοι ἐρυθριῶσι, καὶ τὸ θέαμα ἡδιστον ἐμοὶ ἔδοξε μονονουχὶ αὐτὸ γιγνόμενον τὸ ἔργον.

ΑΠ. Ὁ δὲ χαλκεὺς ἐκεῖνος οὐκ αἰδεῖται καὶ αὐτὸς ἐπιδεικνύμενος τὴν αἰσχύνην τοῦ γάμου;

ΕΡΜ. Μὰ Δί', ὅς γε καὶ ἐπιγελᾷ ἑφεστὼς αὐτοῖς. Ἐγὼ μέντοι, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἐφθόνουν τῷ Ἄρει μὴ μόνον μοιχεύσαντι τὴν καλλίστην θεὸν, ἀλλὰ καὶ δεδεμένῳ μετ' αὐτῆς.

ΑΠ. Οὐκοῦν καὶ δεδέσθαι ἂν ὑπέμεινας ἐπὶ τούτῳ;

ΕΡΜ. Σὺ δ' οὐκ ἂν, ὦ Ἄπολλον; ἴδε μόνον ἐπελθών· ἐπαινέσομαι γάρ σε, ἢν μὴ τὰ ὅμοια καὶ αὐτὸς εὔξῃ ἰδών.

LAT. Arroganter, o Juno, te effers, quia conjux es Jovis, cumque eo regnum tenes; propterea contumeliam facis perficenter: at videbo te post paullo iterum lacrimantem, quum te Jupiter relicta in terram descenderit, tauri cygnive sumta specie.

17.

APOLLINIS ET MERCURII.

1. AP. Quid rides, Mercuri?

MERC. Quia scilicet maxime ridiculâ, Apollo, vidi.

AP. Quin narra, ut et ipse re audita una tecum possim ridere.

MERC. Venus concumbens cum Marte constricta est, et Vulcanus vinxit eos captos.

AP. Quo tandem modo? nam facetum quiddam dicturus videris.

MERC. Jampridem, opinor, ista quum sciret, venabatur eos; circaque lectum vinculis, quæ oculos fugerent, circumpositis, postquam abierat ad caminum, operi scilicet erat intentus. Tum Mars intrat clam, ut arbitrabatur: verum conspicit eum Sol, et indicium defert ad Vulcanum. Ubi autem ascenderunt lectum, intraque casses recepti in opere erant, ibi circumquaque implicantur ipsis vincula, et supervenit repente Vulcanus. Illa vero (etenim erat nuda) non habebat quemadmodum obtegeret sese pudibunda: Mars primum effugere conabatur, sperabatque se rupturum vincula; dein, ut sensit, tam arcte se teneri, ut inde spes evadendi sit nulla, supplicabat.

2. AP. Quid ergo? absolvit eos Vulcanus?

MERC. Nondum; sed convocatis diis spectandum præbet adulterium. Hi autem nudi ambo colligatique demisso vultu rubore suffunduntur; spectaculumque sane jucundissimum mihi fuit visum tantum non patratum opus ipsum.

AP. Fabrum autem istum non pudet ipsum oculis exponere dedecus matrimonii?

MERC. Nequaquam, ut qui etiam juxta astans irrideat eos. Equidem, si verum est dicendum, invidebam Marti non solum adulteranti formosissimam deam, sed et alligato cum ea.

AP. Tune ergo vinciri te patereris ea mercede?

MERC. Tu nolles, Apollo? propius accede tantum et vide: magnus eris mihi Apollo, nisi, quum videris, idem optabis.

18.

ΗΡΑΣ ΚΑΙ ΔΙΟΣ.

1. ΗΡΑ. Ἐγὼ μὲν ἠσχυνόμην ἂν, ὦ Ζεῦ, εἴ μοι τοιοῦτος υἱὸς ἦν θῆλυς οὕτω καὶ διεφθαρμένος ὑπὸ τῆς μαθητῆς, μίτρᾳ μὲν ἀναδεδεμένος τὴν κόμην, τὰ πολλὰ δὲ μαινομέναις ταῖς γυναιξὶ συνὼν, ἀδρότερος αὐτῶν

18.

JUNONIS ET JOVIS.

1. JUN. Me quidem puderet, Jupiter, talis filii, tam feminei et corrupti ebrietate; qui mitra revinctam gerat comam, plurimum cum furibundis mulieribus versetur,

ἐκείνων, ὑπὸ τυμπάνοις καὶ αὐλῷ καὶ κυμβάλοις χορεύων, καὶ ὅλως παντὶ μᾶλλον ἐοικὼς ἢ σοὶ τῷ πατρί.

ΖΕΥΣ. Καὶ μὴν οὗτός γε ὁ θηλυμίτρης, ὁ ἀβρότερος τῶν γυναικῶν οὐ μόνον, ὦ Ἥρα, τὴν Λυδίαν ἐχειρώσατο καὶ τοὺς κατοικοῦντας τὸν Τμῶλον ἔλαβε καὶ τοὺς Θρᾷκας ὑπηγάγετο, ἀλλὰ καὶ ἐπ' Ἰνδοὺς ἐλάσας τῷ γυναικείῳ τούτῳ στρατιωτικῷ τούς τε ἐλέφαντας εἶλε καὶ τῆς χώρας ἐκράτησε καὶ τὸν βασιλέα πρὸς ὀλίγον ἀντιστῆναι τολμήσαντα αἰχμάλωτον ἀπήγαγε, καὶ ταῦτα πάντα ἔπραξεν ὀρχούμενος ἅμα καὶ χορεύων θύρσοις χρώμενος κιττίνοις, μεθύων, ὡς φῂς, καὶ ἐνθεάζων. Εἰ δέ τις ἐπεχείρησε λοιδορήσασθαι αὐτῷ ὑβρίσας ἐς τὴν τελετήν, καὶ τοῦτον ἐτιμωρήσατο ἢ καταδήσας τοῖς κλήμασιν ἢ διασπασθῆναι ποιήσας ὑπὸ τῆς μητρὸς ὥσπερ νεβρόν. Ὁρᾷς ὡς ἀνδρεῖα ταῦτα καὶ οὐκ ἀνάξια τοῦ πατρός; Εἰ δὲ παιδιὰ καὶ τρυφὴ πρόσεστιν αὐτοῖς, οὐδεὶς φθόνος, καὶ μάλιστα εἰ λογίσαιτό τις οἷος ἂν οὗτος νήφων ἦν, ὅπου ταῦτα μεθύων ποιεῖ.

2. ΗΡΑ. Σύ μοι δοκεῖς ἐπαινέσεσθαι καὶ τὸ εὕρημα αὐτοῦ, τὴν ἄμπελον καὶ τὸν οἶνον, καὶ ταῦτα ὁρῶν οἷα οἱ μεθυσθέντες ποιοῦσι σφαλλόμενοι καὶ πρὸς ὕβριν τρεπόμενοι καὶ ὅλως μεμηνότες ὑπὸ τοῦ ποτοῦ· τὸν γοῦν Ἰκάριον, ᾧ πρώτῳ ἔδωκε τὸ κλῆμα, οἱ ξυμπόται αὐτοὶ διέφθειραν παίοντες ταῖς δικέλλαις.

ΖΕΥΣ. Οὐδὲν τοῦτο φῄς· οὐ γὰρ ὁ οἶνος ταῦτα οὐδὲ ὁ Διόνυσος ποιεῖ, τὸ δὲ ἄμετρον τῆς πόσεως καὶ τὸ πέρα τοῦ καλῶς ἔχοντος ἐμφορεῖσθαι τοῦ ἀκράτου· ὃς δ' ἂν ἔμμετρα πίνῃ, ἱλαρώτερος μὲν καὶ ἡδίων γένοιτ' ἄν· οἷον δὲ ὁ Ἰκάριος ἔπαθεν, οὐδὲν ἂν ἐργάσαιτο οὐδένα τῶν ξυμποτῶν. Ἀλλὰ σὺ ἔτι ζηλοτυπεῖν ἔοικας, ὦ Ἥρα, καὶ τῆς Σεμέλης μνημονεύειν, ἥ γε διαβάλλεις τοῦ Διονύσου τὰ κάλλιστα.

mollior iis ipsis, ad tympana tibiasque et cymbala choreas agens, atque omnino cuivis similior, quam tibi patri.

JUP. Atqui hicce mitra femínea redimitus, mollior mulieribus, non solum, Juno, Lydiam subegit, incolentesque Tmolum cepit, et Thracas sibi subjecit; sed et adversus Indos rapto muliebri isto exercitu elephantos in potestatem redegit, et regione tota potitus est, regemque paululum resistere ausum captivum abduxit: et ista quidem omnia perfecit saltans simul et choreas ducens, thyrsis usus hederaceis, ebrius, ut ais, et furore concitus. Tum si quis in animum induxit male dicere ipsi, contumeliis in sacrorum initia jactis, ab eo quoque pœnas expetiit, vel ligatam obstringens palmitibus, vel ut discerperetur efficiens a matre tanquam hinnulus. Viden' ut virilia sint ista atque haud indigna patre? Si vero lusus et lascivia simul adsint, nihil est ea in re, quod invidiam faciat; inprimis si quis reputet, qualis sobrius hicce foret, ubi istæc facit ebrius.

2. JUN. Tu mihi videris laudaturus etiam inventum ejus, vitem et vinum; idque tametsi videas qualia perpetrent inebriati titubantes atque ad injuriam versi, et plane furentes a potu. Icarium quidem, cui primo donavit palmitem, ipsi compotatores interemerunt concisum ligonibus.

JUP. Nihil hoc ad rem, quod dicis: non enim vinum ista, neque Bacchus facit; sed potus immoderate sumtus, et ultra quam deceat ingurgitari mero: qui vero bibendi modum servat, hilarior et suavior exstitit; neque hujusmodi, quale Icario contigit, quicquam designaverit in ullum compotatorem. At tu adhuc æmulari videris, Juno, et Semeles meminisse, ut quæ crimineris Bacchi pulcherrimas dotes.

19.

ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΕΡΩΤΟΣ.

1. ΑΦΡ. Τί δήποτε, ὦ Ἔρως, τοὺς μὲν ἄλλους θεοὺς κατηγωνίσω ἅπαντας, τὸν Δία, τὸν Ποσειδῶ, τὸν Ἀπόλλω, τὴν Ῥέαν, ἐμὲ τὴν μητέρα, μόνης δὲ ἀπέχῃ τῆς Ἀθηνᾶς καὶ ἐπ' ἐκείνης ἄπυρος μέν σοι ἡ δᾷς, κενὴ δ' οἰστῶν ἡ φαρέτρα, σὺ δὲ ἄτοξος εἶ καὶ ἄστοχος;

ΕΡ. Δέδια, ὦ μῆτερ, αὐτήν· φοβερὰ γάρ ἐστι καὶ χαροπὴ καὶ δεινῶς ἀνδρική· ὁπόταν γοῦν ἐντεινάμενος τὸ τόξον ἴω ἐπ' αὐτήν, ἐπισείουσα τὸν λόφον ἐκπλήττει με καὶ ὑπότρομος γίνομαι καὶ ἀπορρεῖ μου τὰ τοξεύματα ἐκ τῶν χειρῶν.

ΑΦΡ. Ὁ Ἄρης γὰρ οὐ φοβερώτερος ἦν; καὶ ὅμως ἀφώπλισας αὐτὸν καὶ νενίκηκας.

ΕΡ. Ἀλλ' ἐκεῖνος ἑκὼν προσίεταί με καὶ προσκαλεῖται, ἡ Ἀθηνᾶ δὲ ὑφορᾶται ἀεί, καί ποτε ἐγὼ μὲν ἄλλως παρέπτην πλησίον ἔχων τὴν λαμπάδα, ἡ δέ, Εἴ μοι πρόσει, φησί, νὴ τὸν πατέρα, τῷ ὁρατίῳ σε διαπείρασα

19.

VENERIS ET CUPIDINIS.

1. VEN. Quid est enimvero, Cupido, quod alios quidem deos debellaris omnes, Jovem, Neptunum, Apollinem, Rheam, me quoque matrem; a sola vero abstineas Minerva, et in illa igne careat tibi fax, vacua sit sagittis pharetra, tuque ipse quasi tractandi arcus et collimandi sis imperitus.

CUP. Metuo, mater, eam: nam formidabilis est et torva et vehementer virilis: quando igitur intento arcu aggredior ad eam, quassata crista perterrefacit me, et contremisco, defluuntque tela meis de manibus.

VEN. At Mars nonne terribilior erat? et tamen exarmasti ipsum, ac vicisti.

CUP. At iste ultro admittit me, atque invitat: Minerva contra semper suspiciosa torve me intuetur; factumque jam adeo, ut ego sic prætervolarem, propius admota face; illa confestim, Si ad me accedis, inquit, per patrem juro,

ἢ τοῦ ποδὸς λαβομένη καὶ ἐς τὸν Τάρταρον ἐμβαλοῦσα ἢ αὐτὴ διασπασαμένη διαφθερῶ. Πολλὰ τοιαῦτα ἠπείλησε· καὶ ὁρᾷ δὲ δριμὺ καὶ ἐπὶ τοῦ στήθους ἔχει πρόσωπόν τι φοβερὸν ἐχίδναις κατάκομον, ὅπερ ἐγὼ μάλιστα δέδια· μορμολύττεται γάρ με καὶ φεύγω, ὅταν ἴδω αὐτό.

2. ΑΦΡ. Ἀλλὰ τὴν μὲν Ἀθηνᾶν δέδιας, ὡς φῂς, καὶ τὴν Γοργόνα, καὶ ταῦτα, μὴ φοβηθεὶς τὸν κεραυνὸν τοῦ Διός. Αἱ δὲ Μοῦσαι διὰ τί σοι ἄτρωτοι καὶ ἔξω βελῶν εἰσιν; ἢ κἀκεῖναι λόφους ἐπιστείουσι καὶ Γοργόνας προφαίνουσιν;

ΕΡ. Αἰδοῦμαι αὐτὰς, ὦ μῆτερ· σεμναὶ γάρ εἰσι καὶ ἀεί τι φροντίζουσι καὶ περὶ ᾠδὴν ἔχουσι καὶ ἐγὼ παρίσταμαι πολλάκις αὐταῖς κηλούμενος ὑπὸ τοῦ μέλους.

ΑΦΡ. Ἔα καὶ ταύτας, ὅτι σεμναί· τὴν δὲ Ἄρτεμιν τίνος ἕνεκα οὐ τιτρώσκεις;

ΕΡ. Τὸ μὲν ὅλον οὐδὲ καταλαβεῖν αὐτὴν οἷόν τε φεύγουσαν ἀεὶ διὰ τῶν ὀρῶν· εἶτα καὶ ἴδιόν τινα ἔρωτα ἤδη ἐρᾷ.

ΑΦΡ. Τίνος, ὦ τέκνον;

ΕΡ. Θήρας καὶ ἐλάφων καὶ νεβρῶν, αἱρεῖν τε διώκουσα καὶ κατατοξεύειν, καὶ ὅλως πρὸς τῷ τοιούτῳ ἐστίν· ἐπεὶ τόν γε ἀδελφὸν αὐτῆς, καίτοι τοξότην καὶ αὐτὸν ὄντα καὶ ἐκηβόλον —

ΑΦΡ. Οἶδα, ὦ τέκνον, πολλὰ ἐκεῖνον ἐτόξευσας.

hasta te transfixum, aut pede correptum in Tartarum injiciam, aut ipsa dilaceratum pessumdabo. Multa hujusmodi est interminata : tum porro acerbum spectat habetque ad pectus faciem quandam formidolosam, serpentibus comatam, quam ego maxime metuo : territat enim me, et, quum eo oculos converto, in fugam propellor.

2. VEN. At expavescis Minervam, ut ais, et Gorgonem; idque tu, qui non formidaris fulmen Jovis. Musæ vero cur tibi sunt invulneratæ et extra teli jactum positæ? an et illæ cristas concutiunt, et Gorgonas ostendunt?

CUP. Revereor illas, mater; nam venerandæ sunt, et semper quiddam commeditantur, et cantu otium fallunt : atque ipse asto sæpius illis delinitus carmine.

VEN. Age, mitte et istas, quia venerandæ : at Dianam quid est cur non vulneres?

CUP. In summa, ne consequi quidem illam licet fugientem semper per montes : tum etiam sibi proprium quendam amorem jam amat.

VEN. Cujus, fili?

CUP. Venationis et cervorum hinnulorumque, ut capiat persecuta, et sagittis configat; tota denique huic rei est intenta : ceteroquin fratrem ejus arcitenentem et ipsum, ac longe jaculantem —

VEN. Scio, nate, quid velis : frequenter ipsum arcu fixisti.

20.

ΘΕΩΝ ΚΡΙΣΙΣ.

ΖΕΥΣ, ΕΡΜΗΣ, ΗΡΑ, ΑΘΗΝΑ, ΑΦΡΟΔΙΤΗ, ΠΑΡΙΣ Η ΑΛΕΞΑΝΔΡΟΣ.

1. ΖΕΥΣ. Ἑρμῆ, λαβὼν τουτὶ τὸ μῆλον ἄπιθι ἐς τὴν Φρυγίαν παρὰ τὸν Πριάμου παῖδα τὸν βουκόλον — νέμει δὲ τῆς Ἴδης ἐν τῷ Γαργάρῳ — καὶ λέγε πρὸς αὐτὸν ὅτι σὲ, ὦ Πάρι, κελεύει ὁ Ζεὺς, ἐπειδὴ καλός τε αὐτὸς εἶ καὶ σοφὸς τὰ ἐρωτικὰ, δικάσαι ταῖς θεαῖς ἥτις αὐτῶν ἡ καλλίστη ἐστί· τοῦ δὲ ἀγῶνος τὸ ἆθλον ἡ νικῶσα λαβέτω τὸ μῆλον. Ὥρα δὲ ἤδη καὶ ὑμῖν αὐταῖς ἀπιέναι παρὰ τὸν δικαστήν· ἐγὼ γὰρ ἀπωθοῦμαι τὴν δίαιταν ἐπ' ἴσης τε ὑμᾶς ἀγαπῶν καὶ εἴ γε οἷόν τε ἦν, ἡδέως ἂν ἁπάσας νενικηκυίας εἶδον. Ἄλλως τε καὶ ἀνάγκη, μιᾷ τὸ καλλιστεῖον ἀποδόντα πάντως ἀπεχθάνεσθαι ταῖς πλείοσι. Διὰ ταῦτα μὲν αὐτὸς οὐκ ἐπιτήδειος ὑμῖν δικαστὴς, ὁ δὲ νεανίας ὁ Φρὺξ, ἐφ' ὃν ἄπιτε, βασιλικὸς μέν ἐστι καὶ Γανυμήδους τούτου ξυγγενὴς, τἆλλα δὲ ἀφελὴς καὶ ὄρειος· οὐκ ἄν τις αὐτὸν ἀπαξιώσειε τοιαύτης θέας.

2. ΑΦΡ. Ἐγὼ μέν, ὦ Ζεῦ, εἰ καὶ τὸν Μῶμον αὐτὸν ἐπιστήσειας ἡμῖν δικαστὴν, θαρροῦσα βαδιοῦμαι πρὸς τὴν ἐπίδειξιν· τί γὰρ ἂν καὶ μωμήσαιτό μου; χρὴ δὲ καὶ ταύτῃς ἀρέσκειν τὸν ἄνθρωπον.

20.

DEARUM JUDICIUM.

JUPITER, MERCURIUS, JUNO, MINERVA, VENUS, PARIS AUT ALEXANDER.

1. JUP. Accepto, Mercuri, isto pomo abi in Phrygiam ad Priami filium boum pastorem (pascit autem Idæ montis in Gargaro), ipsique dic : Te, Pari, jubet Jupiter, quandoquidem et formosus ipse es et sapiens in rebus amatoriis, sententia deabus lata pronunciare, quæ illarum pulcherrima sit : certaminis autem præmium victrix recipiat hoc pomum. Jamque commodum est, ut ipsæmet abeatis ad judicem : equidem plane repudio munus arbitri, ut qui ex æquo vos amem, et, si fieri posset, libenter cunctas vicisse videam : hoc porro, ut alia ne dicam, necesse, uni si formæ præmium tribuam, pluribus esse in odio. Propterea ipse quidem haud idoneus vobis sim judex : juvenis autem hicce Phryx, ad quem abibitis, regiæ stirpis est et Ganymedis istius cognatus; ceterum simplex et montanus : nemo illum indignum censuerit ejusmodi spectatione.

2. VEN. Equidem, o Jupiter, etiamsi vel Momum ipsum imponas nobis judicem, confidenter accedam ad formæ ostentationem : quid enim ille mei reprehenderit? attamen oportet illis quoque placere hominem.

ΗΡΑ. Οὐδ' ἡμεῖς, ὦ Ἀφροδίτη, δέδιμεν, οὐδ' ἂν ὁ Ἄρης ὁ σὸς ἐπιτραπῇ τὴν δίαιταν· ἀλλὰ δεχόμεθα καὶ τοῦτον, ὅστις ἂν ᾖ, τὸν Πάριν.

ΖΕΥΣ. Ἦ καὶ σοὶ ταῦτα, ὦ θύγατερ, συνδοκεῖ; τί φῄς; ἀποστρέφῃ καὶ ἐρυθριᾷς; ἔστι μὲν ἴδιον τὸ αἰδεῖσθαι τά γε τοιαῦτα ὑμῶν τῶν παρθένων· ἐπινεύεις δὲ ὅμως. Ἄπιτε οὖν καὶ ὅπως μὴ χαλεπήνητε τῷ δικαστῇ αἱ νενικημέναι μηδὲ κακὸν ἐντρίψησθε τῷ νεανίσκῳ· οὐ γὰρ οἷόν τε ἐπ' ἴσης πάσας εἶναι καλάς.

3. **ΕΡΜ.** Προΐωμεν εὐθὺ τῆς Φρυγίας, ἐγὼ μὲν ἡγούμενος, ὑμεῖς δὲ μὴ βραδέως ἀκολουθεῖτέ μοι, καὶ θαρρεῖτε· οἶδα ἐγὼ τὸν Πάριν, νεανίας ἐστὶ καλὸς καὶ τἆλλα ἐρωτικὸς καὶ τὰ τοιαῦτα κρίνειν ἱκανώτατος· οὐκ ἂν ἐκεῖνος δικάσειε κακῶς.

ΑΦΡ. Τοῦτο μὲν ἅπαν ἀγαθὸν καὶ πρὸς ἐμοῦ λέγεις τὸ δίκαιον ἡμῖν εἶναι τὸν δικαστήν· πότερα δὲ ἄγαμός τίς ἐστιν οὗτος ἢ καὶ γυνή τις αὐτῷ σύνεστιν;

ΕΡΜ. Οὐ παντελῶς ἄγαμος, ὦ Ἀφροδίτη.

ΑΦΡ. Πῶς λέγεις;

ΕΡΜ. Δοκεῖ τις αὐτῷ συνοικεῖν Ἰδαία γυνή, ἱκανὴ μὲν, ἀγροῖκος δὲ καὶ δεινῶς ὄρειος, ἀλλ' οὐ σφόδρα προσέχειν αὐτῇ ἔοικε. Τίνος δ' οὖν ἕνεκα ταῦτα ἐρωτᾷς;

ΑΦΡ. Ἄλλως ἠρόμην.

4. **ΑΘ.** Παραπρεσβεύεις, ὦ οὗτος, ἰδίᾳ ταύτῃ κοινολογούμενος.

ΕΡΜ. Οὐδὲν, ὦ Ἀθηνᾶ, δεινὸν οὐδὲ καθ' ὑμῶν, ἀλλ' ἤρετό με εἰ ἄγαμος ὁ Πάρις ἐστίν.

ΑΘ. Ὡς δὴ τί τοῦτο πολυπραγμονοῦσα;

ΕΡΜ. Οὐκ οἶδα· φησὶ δ' οὖν ὅτι ἄλλως ἐπελθὸν, οὐκ ἐξεπίτηδες ἤρετο.

ΑΘ. Τί οὖν; ἄγαμός ἐστιν;

ΕΡΜ. Οὐ δοκεῖ.

ΑΘ. Τί δαί; τῶν πολεμικῶν ἐστιν αὐτῷ ἐπιθυμία καὶ φιλόδοξός τις ἢ τὸ πᾶν βουκόλος;

ΕΡΜ. Τὸ μὲν ἀληθὲς οὐκ ἔχω εἰπεῖν, εἰκάζειν δὲ χρὴ νέον ὄντα καὶ τούτων ὀρέγεσθαι τυχεῖν καὶ βούλεσθαι ἂν πρῶτον αὐτὸν εἶναι κατὰ τὰς μάχας.

ΑΦΡ. Ὁρᾷς; οὐδὲν ἐγὼ μέμφομαι οὐδὲ ἐγκαλῶ σοι τὸ πρὸς ταύτην ἰδίᾳ λαλεῖν· μεμψιμοίρων γὰρ καὶ οὐκ Ἀφροδίτης τὰ τοιαῦτα.

ΕΡΜ. Καὶ αὕτη σχεδὸν ταὐτά με ἤρετο· διὸ μὴ χαλεπῶς ἔχε μηδ' οἷου μειονεκτεῖν, εἴ τι καὶ ταύτῃ κατὰ τὸ ἁπλοῦν ἀπεκρινάμην.

5. Ἀλλὰ μεταξὺ λόγων ἤδη πολὺ προϊόντες ἀπεσπάσαμεν τῶν ἀστέρων καὶ σχεδόν γε κατὰ τὴν Φρυγίαν ἐσμέν. Ἐγὼ δὲ καὶ τὴν Ἴδην ὁρῶ καὶ τὸ Γάργαρον ὅλον ἀκριβῶς, εἰ δὲ μὴ ἐξαπατῶμαι, καὶ αὐτὸν ὑμῶν τὸν δικαστὴν τὸν Πάριν.

ΗΡΑ. Ποῦ δέ ἐστιν; οὐ γὰρ κἀμοὶ φαίνεται.

ΕΡΜ. Ταύτῃ, ὦ Ἥρα, πρὸς τὰ λαιὰ περισκόπει, μὴ πρὸς ἄκρῳ τῷ ὄρει, παρὰ δὲ τὴν πλευράν, οὗ τὸ ἄντρον, ἔνθα τὴν ἀγέλην ὁρᾷς.

ΗΡΑ. Ἀλλ' οὐχ ὁρῶ τὴν ἀγέλην.

ΕΡΜ. Πῶς φῄς; οὐχ ὁρᾷς βοίδια κατὰ τὸν ἐμὸν οὐ-

JUN. Nec nos, Venus, reformidamus, ne Marti quidem tuo si commissum fuerit arbitrium; sed accipimus istum, quicumque est, Parin.

JUP. Tibine, nata, eadem placent? quid ais? faciemne avertis et erubescis? est hoc quidem proprium, ut verecundiores sitis ad talia, vobis virginibus: attamen annuis. Abite ergo: at ne quid acerbius indignemini judici, quæ victæ eritis, nec malum inferatis juveni: fieri quippe non potest, ut æque sitis pulchræ omnes.

3. MERC. Proficiscamur recta in Phrygiam, ego viæ dux, vos autem ne lente sequimini me: bonoque estote animo; novi Parin, juvenis est formosus, præterea amori deditus, et ad talia dijudicanda inprimis idoneus; is sane non male jus dixerit.

VEN. Hoc quidem omne bonum atque e re mea narras, nimirum justum nobis esse judicem: utrum vero innuptus est, an uxor aliqua cum eo vivit?

MERC. Haud omnino innuptus est, o Venus.

VEN. Quid ais?

MERC. Est cum eo, ut arbitror, Idæa quædam mulier, commoda quidem facie, at rustica et valde montana: sed non admodum curare illam videtur. Quid est autem cur ista roges?

VEN. Sic rogabam, nullo consilio.

4. MIN. Heus tu, iniquum agis legatum privatim cum ea sermones communicans.

MERC. Nihil, o Minerva, quod metuas, nec quod vobis obsit: scilicet rogabat me, innuptusne esset Paris.

MIN. Quid ita tandem hoc curiose sciscitata?

MERC. Nescio: ait autem se, quod casu in mentem venerat, non de industria rogasse.

MIN. Quid ergo? an cælebs est?

MERC. Haud putem.

MIN. Quid porro? bellicarumne rerum studio tenetur et gloriæ cupidus est, an totus bubulcus?

MERC. Ea de re quid verum sit, haud facile dixerim: nisi quod conjicere licet juvenem expetere, horum quoque ut sibi facultas fiat, et velle sane se primum esse in prælliis.

VEN. Viden? nihil ego criminor neque insimulo te, quod cum ea privatim loquaris: earum enim quæ ad querelas sunt proclives, non Veneris hoc est.

MERC. Hæc Minerva eadem fere me rogavit: quare nihil est quod ægre feras, aut putes deteriore te esse loco, si quid huic etiam ita simpliciter respondi.

5. Sed interea, dum sermones cædimus, jam longius progressi multum discessimus a stellis, et circiter ex adverso Phrygiæ sumus: quin etiam Idam video Gargarumque totum accurate, et, ni fallor, ipsum vestrum judicem Paridem.

JUN. Ubi vero est? necdum enim mihi apparet.

MERC. Illac, Juno, ad sinistrum respice; non ad summum montem, sed juxta latus, ubi antrum est et gregem vides.

JUN. Atqui non video gregem.

MERC. Quid ais? non tu vides vacculas ad hocce fere

τωσὶ δάκτυλον ἐκ μέσων τῶν πετρῶν προερχόμενα καί τινα ἐκ τοῦ σκοπέλου καταθέοντα καλαύροπα ἔχοντα καὶ ἀνείργοντα μὴ πρόσω διασκίδνασθαι τὴν ἀγέλην;

HPA. Ὁρῶ νῦν, εἴ γε ἐκεῖνός ἐστιν.

EPM. Ἀλλ' ἐκεῖνος. Ἐπειδὴ δὲ πλησίον ἤδη ἐσμέν, ἐπὶ τῆς γῆς, εἰ δοκεῖ, καταστάντες βαδίζωμεν, ἵνα μὴ διαταράξωμεν αὐτὸν ἄνωθεν ἐξ ἀφανοῦς καθιπτάμενοι.

HPA. Εὖ λέγεις, καὶ οὕτω ποιῶμεν. Ἐπεὶ δὲ καταβεβήκαμεν, ὥρα σοι, ὦ Ἀφροδίτη, προϊέναι καὶ ἡγεῖσθαι ἡμῖν τῆς ὁδοῦ· σὺ γὰρ ὡς τὸ εἰκὸς ἔμπειρος εἶ τοῦ χωρίου πολλάκις, ὡς λόγος, κατελθοῦσα πρὸς Ἀγχίσην.

AΦP. Οὐ σφόδρα, ὦ Ἥρα, τούτοις ἄχθομαι τοῖς σκώμμασιν.

6. EPM. Ἀλλ' ἐγὼ ὑμῖν ἡγήσομαι· καὶ γὰρ αὐτὸς ἐνδιέτριψα τῇ Ἴδῃ, ὁπότε δὴ ὁ Ζεὺς ἦρα τοῦ μειρακίου τοῦ Φρυγός, καὶ πολλάκις δεῦρο ἦλθον ὑπ' ἐκείνου καταπεμφθεὶς ἐς ἐπισκοπὴν τοῦ παιδός, καὶ ὁπότε γε ἤδη ἐν τῷ ἀετῷ ἦν, συμπαριπτάμην αὐτῷ καὶ συνεκούφιζον τὸν καλόν, καὶ εἴ γε μέμνημαι, ἀπὸ ταυτησὶ τῆς πέτρας αὐτὸν ἀνήρπασεν· ὁ μὲν γὰρ ἔτυχε τότε συρίζων πρὸς τὸ ποίμνιον· καταπτάμενος δὲ ὄπισθεν αὐτὸς ὁ Ζεὺς κούφως μάλα τοῖς ὄνυξι περιβαλὼν καὶ τῷ στόματι τὴν ἐπὶ τῇ κεφαλῇ τιάραν ἔχων ἀνέφερε τὸν παῖδα τεταραγμένον καὶ τῷ τραχήλῳ ἀπεστραμμένῳ ἐς αὐτὸν ἀποβλέποντα. Τότε οὖν ἐγὼ τὴν σύριγγα λαβὼν — ἀποβεβλήκει γὰρ αὐτὴν ὑπὸ τοῦ δέους — — ἀλλὰ γὰρ ὁ διαιτητὴς οὑτοσὶ πλησίον, ὥστε προσείπωμεν αὐτόν.

7. Χαῖρε, ὦ βουκόλε.

ΠAP. Νηδὶ καὶ σύ γε, ὦ νεανίσκε. Τίς δὲ ὢν δεῦρο ἀφῖξαι πρὸς ἡμᾶς; ἢ τίνας ταύτας ἄγεις τὰς γυναῖκας; οὐ γὰρ ἐπιτήδειαι ὀρεοπολεῖν, οὕτω γε οὖσαι καλαί.

EPM. Ἀλλ' οὐ γυναῖκές εἰσιν, Ἥραν δέ, ὦ Πάρι, καὶ Ἀθηνᾶν καὶ Ἀφροδίτην ὁρᾷς, κἀμὲ τὸν Ἑρμῆν ὁ Ζεὺς ἀπέστειλεν. Ἀλλὰ τί τρέμεις καὶ ὠχριᾷς; μὴ δέδιθι· χαλεπὸν γὰρ οὐδέν· κελεύει δέ σε δικαστὴν γενέσθαι τοῦ κάλλους αὐτῶν· Ἐπεὶ γάρ, φησί, καλός τε αὐτὸς εἶ καὶ σοφὸς τὰ ἐρωτικά, σοὶ τὴν γνῶσιν ἐπιτρέπω, τοῦ δὲ ἀγῶνος τὸ ἆθλον εἴσῃ ἀναγνοὺς τὸ μῆλον.

ΠAP. Φέρ' ἴδω τί καὶ βούλεται. Η ΚΑΛΗ, φησί, ΛΑΒΕΤΩ. Πῶς ἂν οὖν, ὦ δέσποτα Ἑρμῆ, δυνηθείην ἐγὼ θνητὸς αὐτὸς καὶ ἀγροῖκος ὢν δικαστὴς γενέσθαι παραδόξου θέας καὶ μείζονος ἢ κατὰ βουκόλον; τὰ γὰρ τοιαῦτα κρίνειν τῶν ἁβρῶν μᾶλλον καὶ ἀστικῶν· τὸ δὲ ἐμὸν, αἶγα μὲν αἰγὸς ὁποτέρα καλλίων καὶ δάμαλιν ἄλλης δαμάλεως, τάχ' ἂν δικάσαιμι κατὰ τὴν τέχνην·

8. αὗται δὲ πᾶσαί τε ὁμοίως καλαὶ καὶ οὐκ οἶδ' ὅπως ἄν τις ἀπὸ τῆς ἑτέρας ἐπὶ τὴν ἑτέραν μεταγάγοι τὴν ὄψιν ἀποσπάσας· οὐ γὰρ ἐθέλει ἀφίστασθαι ῥᾳδίως, ἀλλ' ἔνθα ἂν ἀπερείσῃ τὸ πρῶτον, τούτου ἔχεται καὶ τὸ παρὸν ἐπαινεῖ· κἂν ἐπ' ἄλλο μεταβῇ, κἀκεῖνο καλὸν ὁρᾷ καὶ παραμένει καὶ ὑπὸ τῶν πλησίον παραλαμβάνεται, καὶ ὅλως περικέχυταί μοι τὸ κάλλος αὐτῶν καὶ

digiti mei indicium ex mediis rupibus prodeuntes, et quendam ex scopulo decurrentem, qui pedum habeat, et repellat, ne protenus dissipetur armentum?

JUN. Video nunc, si quidem is est.

MERC. Is adeo ipse. Quoniam vero prope sumus, in terra, si videtur, positis vestigiis incedamus, ne conturbemus eum desuper ex improviso devolantes.

JUN. Commode dicis; atque ita faciamus. Quandoquidem autem degressi sumus, tui jam muneris, Venus, præire teque ducem præbere nobis viæ: etenim te par est peritam esse loci, quæ sæpe, ut fama fert, descenderis ad Anchisen.

VEN. Non admodum, Juno, istis commoveor cavillationibus tuis.

6. MERC. Atque ego adeo vobis viam monstrabo: etenim ipse olim commoratus sum in Ida, quando Jupiter amabat adolescentulum Phrygem: tum sæpiuscule huc veni ab eo demissus ad invisendum puerum; quumque jam mutatus in aquila lateret, juxta simul volabam, allevabamque pulcellum: quin, si quidem memini, ab ista rupe illum subripuit: hic tum forte fistula ludebat ad gregem; devolans autem pone eum ipse Jupiter valde leviter unguibus amplexus, et oris quam in capite gerebat tiaram morsu prehendens tollebat puerum turbatum, cerviceque reflexa in ipsum respicientem: tunc ego fistulam tuli; nam abjecerat eam præ timore. At enim arbiter hicce prope adest: quare alloquamur eum.

7. Salve, boum pastor.

PAR. Et tu sane, juvenis: quis autem huc advenisti ad nos? aut quas istas ducis mulieres? haud enim ita factæ, ut montes frequentent, quæ tam egregia sint forma.

MERC. Multum abest, ut sint mulieres. Junonem, Pari, Minervam et Venerem intueris, meque Mercurium misit Jupiter. At quid trepidas et palles? quin tu omnem metum pone; incommodi nihil est. Jubet autem te Jupiter judicem fieri harum pulchritudinis: Quandoquidem enim, inquit, et ipse formosus es, et doctus rebus amatoriis, tibi cognitionem permitto: certaminis autem præmium scies, ubi legeris hoc pomum.

PAR. Cedo, videam, quid tandem velit: FORMA PRÆSTANS, ait, ACCIPIAT. At quomodo, domine Mercuri, possim ego mortalis omnino, et rusticus, judicem agere admirandi spectaculi, majorisque quam ut bubulco conveniat? hæc enim talia dijudicare delicatulorum potius et urbanorum hominum: de me autem, quæ capella capellam forma præstet, item quæ juvenca juvencam aliam, id quidem forte judicaverim ex arte.

8. Hæ vero omnes perinde pulchræ, et sane nescio, quo pacto ab una quis ad alteram traducat visum abstractum; non enim vult absistere facile; sed ubi se defixerit primum, in eo hæret, illudque præsens probat: quodsi ad aliud transierit, id æque pulchrum videt, atque immoratur, et a proximis abripitur: atque adeo, ne longum faciam, circumfusa mihi est forma earum, totumque me occupavit: indi-

ὅλον περιείληφέ με καὶ ἄχθομαι, ὅτι μὴ καὶ αὐτὸς ὥσπερ ὁ Ἄργος ὅλῳ βλέπειν δύναμαι τῷ σώματι. Δοκῶ δ' ἄν μοι καλῶς δικάσαι πάσαις ἀποδοὺς τὸ μῆλον. Καὶ γὰρ αὖ καὶ τόδε, ταύτην μὲν εἶναι συμβέβηκε τοῦ Διὸς ἀδελφὴν καὶ γυναῖκα, ταύτας δὲ θυγατέρας· πῶς οὖν οὐ χαλεπὴ καὶ οὕτως ἡ κρίσις;

ΕΡΜ. Οὐκ οἶδα· πλὴν οὐχ οἷόν τε ἀναδῦναι πρὸς τοῦ Διὸς κεκελευσμένον.

9. ΠΑΡ. Ἓν τοῦτο, ὦ Ἑρμῆ, πεῖσον αὐτὰς, μὴ χαλεπῶς ἔχειν μοι τὰς δύο τὰς νενικημένας, ἀλλὰ μόνων τῶν ὀφθαλμῶν ἡγεῖσθαι τὴν διαμαρτίαν.

ΕΡΜ. Οὕτω φασὶ ποιήσειν· ὥρα δέ σοι ἤδη περαίνειν τὴν κρίσιν.

ΠΑΡ. Πειρασόμεθα· τί γὰρ ἂν καὶ πάθοι τις; ἐκεῖνο δὲ πρότερον εἰδέναι βούλομαι, πότερα ἐξαρκέσει σκοπεῖν αὐτὰς, ὡς ἔχουσιν, ἢ καὶ ἀποδῦσαι δεήσει πρὸς τὸ ἀκριβὲς τῆς ἐξετάσεως;

ΕΡΜ. Τοῦτο μὲν σὸν ἂν εἴη τοῦ δικαστοῦ, καὶ πρόσταττε, ὅπη καὶ θέλεις.

ΠΑΡ. Ὅπη καὶ θέλω; γυμνὰς ἰδεῖν βούλομαι.

ΕΡΜ. Ἀπόδυτε, ὦ αὗται· σὺ δ' ἐπισκόπει· ἐγὼ δ' ἂν ἀποστραφείην.

10. ΗΡΑ. Καλῶς, ὦ Πάρι· καὶ πρώτη γε ἀποδύσομαι, ὅπως μάθῃς ὅτι μὴ μόνας ἔχω τὰς ὠλένας λευκὰς μηδὲ τῷ βοῶπις εἶναι μέγα φρονῶ, ἐπ' ἴσης δέ εἰμι πᾶσα καὶ ὁμοίως καλή.

ΠΑΡ. Ἀπόδυθι καὶ σὺ, ὦ Ἀφροδίτη.

ΑΘ. Μὴ πρότερον ἀποδύσῃς αὐτὴν, ὦ Πάρι, πρὶν ἂν τὸν κεστὸν ἀπόθηται — φαρμακὶς γάρ ἐστι — μή σε καταγοητεύσῃ δι' αὐτοῦ· καίτοι γε ἐχρῆν μηδὲ οὕτω κεκαλλωπισμένην παρεῖναι μηδὲ τοσαῦτα ἐντετριμμένην χρώματα καθάπερ ὡς ἀληθῶς ἑταίραν τινὰ, ἀλλὰ γυμνὸν τὸ κάλλος ἐπιδεικνύειν.

ΠΑΡ. Εὖ λέγουσι τὸ περὶ τοῦ κεστοῦ, καὶ ἀπόθου.

ΑΦΡ. Τί οὖν οὐχὶ καὶ σὺ, ὦ Ἀθηνᾶ, τὴν κόρυν ἀφελοῦσα ψιλὴν τὴν κεφαλὴν ἐπιδεικνύεις, ἀλλ' ἐπισείεις τὸν λόφον καὶ τὸν δικαστὴν φοβεῖς; ἢ δέδιας μή σοι ἐλέγχηται τὸ γλαυκὸν τῶν ὀμμάτων ἄνευ τοῦ φοβεροῦ βλεπόμενον;

ΑΘ. Ἰδού σοι ἡ κόρυς αὕτη ἀφῄρηται.

ΑΦΡ. Ἰδοὺ καί σοι ὁ κεστός.

ΗΡΑ. Ἀλλὰ ἀποδυσώμεθα.

11. ΠΑΡ. Ὦ Ζεῦ τεράστιε τῆς θέας, τοῦ κάλλους, τῆς ἡδονῆς. Οἷα μὲν ἡ παρθένος, ὡς δὲ βασιλικὸν αὕτη καὶ σεμνὸν ἀπολάμπει καὶ ἀληθῶς ἄξιον τοῦ Διὸς, ὡς δὲ ὁρᾷ ἥδε ἡδέως, καὶ γλαφυρόν τι καὶ προσαγωγὸν ἐμειδίασεν — ἀλλ' ἤδη μὲν ἅλις ἔχω τῆς εὐδαιμονίας, εἰ δοκεῖ δὲ, καὶ ἰδίᾳ καθ' ἑκάστην ἐπιδεῖν βούλομαι, ὡς νῦν γε ἀμφίβολός εἰμι καὶ οὐκ οἶδα πρὸς ὅ τι ἀποβλέψω πάντη τὰς ὄψεις περισπώμενος.

ΑΦΡ. Οὕτω ποιῶμεν.

ΠΑΡ. Ἅπιτε οὖν αἱ δύο· σὺ δὲ, ὦ Ἥρα, περίμενε.

ΗΡΑ. Περιμενῶ, κἀπειδάν με ἀκριβῶς ἴδῃς, ὥρα σοι καὶ ἄλλα ἥδη σκοπεῖν, εἰ καλά σοι καὶ τὰ δῶρα τῆς

gnor equidem, quod non et ipse, quemadmodum Argus, toto videre possim corpore. Videar ergo mihi recte judicaturus, omnibus si tribuam pomum. Huc porro accedit, hæc ut sit Jovis soror et conjux, illæ filiæ: qui ergo non ardua sit hoc etiam nomine pronunciatio?

MERC. Haud scio: attamen fieri non potest ut subterfugias a Jove jussus.

9. PAR. Unicum illud, Mercuri, fac ut iis persuadeas, ut ne infensæ sint in me, quæ inferiores discesserint ambæ, sed solum oculorum hunc esse putent errorem.

MERC. Ita aiunt se facturas: curandum tibi nunc, ut peragas judicium.

PAR. Conabimur quidem: quid enim quis faciat? Illud autem primum scire volo, utrum satis erit spectare illas, sicut sunt, an insuper exuere oportebit, ut explorate examen habeatur?

MERC. Id quidem erit tua judicis in manu: impera, qua fieri velis.

PAR. Qua velim? nudas intueri volo.

MERC. Vos, deponite vestes: tu inspice: ego vero me averto.

10. JUN. Optime, Pari: equidem prima vestes ponam, ut discas, me non solas habere ulnas candidas, neque eo, quod grandes mihi sint oculi, efferri: namque æqualiter sum tota et similem in modum pulchra.

PAR. Exue tu quoque, Venus.

MIN. Ne prius illam exuas, o Pari, quam cestum deposuerit (est enim venefica), ne te fascinet ejus ope: quin etiam haud oportebat ita exornatam adesse, neque tot fucatam pigmentis, quasi revera meretricem quandam, sed nudam formam exhibere.

PAR. Recte monent de cesto: atque ergo depone.

VEN. Quid igitur nec tu, Minerva, galea detracta nudum caput ostendis, sed quatis cristas, ac judicem territas? num metus est ne tibi arguatur nihilque ad formam conferat cæsium illud oculorum, si absque illo galeæ terrore spectetur?

MIN. Ecce tibi, cassis hæc est demta.

VEN. Ecce tibi, cestus quoque.

JUN. At exuamur.

11. PAR. Jupiter prodigialis! quod spectaculum, quæ forma, quanta voluptas! qualis hæc virgo! quam regium ista et verendum resplendet, vereque dignum Jove! hæc autem ut suaviter intuetur! imo etiam festivum quiddam atque illecebrosum subrisit. At jam ego quod satis est habeo felicitatis: verum, si placet, seorsum singulas etiam inspicere volo; nam nunc quidem ambiguus hæreo, nec scio, quo potissimum oculos convertam quaquaversum visu distracto.

VEN. Ita faciamus.

PAR. Recedite ergo vos ambæ: tu, Juno, resta.

JUN. Resto: verum postquam me diligenter inspexeris, aliud etiam tibi atque etiam est considerandum, an pla-

ψήφου τῆς ἐμῆς· ἢν γάρ με, ὦ Πάρι, δικάσῃς εἶναι καλὴν, ἁπάσης ἔσῃ τῆς Ἀσίας δεσπότης.

ΠΑΡ. Οὐκ ἐπὶ δώροις μὲν τὰ ἡμέτερα. Ἀλλ' ἄπιθι· πεπράξεται γὰρ ἅπερ ἂν δοκῇ.

12. Σὺ δὲ πρόσιθι ἡ Ἀθηνᾶ.

ΑΘ. Παρέστηκά σοι, κἄτα ἤν με, ὦ Πάρι, δικάσῃς καλὴν, οὔποτε ἥττων ἅπει ἐκ μάχης, ἀλλ' ἀεὶ κρατῶν· πολεμιστὴν γάρ σε καὶ νικηφόρον ἀπεργάσομαι.

ΠΑΡ. Οὐδὲν, ὦ Ἀθηνᾶ, δεῖ μοι πολέμου καὶ μάχης· εἰρήνη γὰρ, ὡς ὁρᾷς, τὰ νῦν ἐπέχει τὴν Φρυγίαν τε καὶ Λυδίαν καὶ ἀπολέμητος ἡμῖν ἡ τοῦ πατρὸς ἀρχή. Θάρρει δέ· οὐ μειονεκτήσεις γὰρ, κἂν μὴ ἐπὶ δώροις δικάζωμεν. Ἀλλ' ἔνδυθι ἤδη καὶ ἐπίθου τὴν κόρυν· ἱκανῶς γὰρ εἶδον. Τὴν Ἀφροδίτην παρεῖναι καιρός.

13. ΑΦΡ. Αὕτη σοι ἐγὼ πλησίον, καὶ σκόπει καθ' ἓν ἀκριβῶς μηδὲν παρατρέχων, ἀλλ' ἐνδιατρίβων ἑκάστῳ τῶν μερῶν. Εἰ δ' ἐθέλεις, ὦ καλὲ, καὶ τάδε μου ἄκουσον· ἐγὼ γὰρ πάλαι ὁρῶσά σε νέον ὄντα καὶ καλὸν, ὁποῖον οὐκ οἶδ' εἴ τινα ἕτερον ἡ Φρυγία τρέφει, μακαρίζω μὲν τοῦ κάλλους, αἰτιῶμαι δὲ τὸ μὴ ἀπολιπόντα τοὺς σκοπέλους καὶ ταυτασὶ τὰς πέτρας κατ' ἄστυ ζῆν, ἀλλὰ διαφθείρειν τὸ κάλλος ἐν ἐρημίᾳ· τί μὲν γὰρ ἂν σὺ ἀπολαύσειας τῶν ὁρῶν; τί δ' ἂν ἀπόναιντο τοῦ σοῦ κάλλους αἱ βύες; ἔπρεπε δὲ ἤδη σοι καὶ γεγαμηκέναι, μὴ μέντοι ἀγροϊκόν τινα καὶ χωρῖτιν, οἵαι κατὰ τὴν Ἴδην αἱ γυναῖκες, ἀλλά τινα ἐκ τῆς Ἑλλάδος ἢ Ἀργόθεν ἢ ἐκ Κορίνθου ἢ Λάκαιναν, οἵαπερ ἡ Ἑλένη ἐστὶ, νέα τε καὶ καλὴ καὶ κατ' οὐδὲν ἐλάττων ἐμοῦ, καὶ τὸ δὴ μέγιστον, ἐρωτική· ἐκείνη γὰρ δὴ εἰ καὶ μόνον θεάσαιτό σε οἶδα ἐγὼ πάντα ἀπολιποῦσα καὶ παρασχοῦσα ἑαυτὴν ἔκδοτον ἕψεται καὶ συνοικήσει. Πάντως δὲ καὶ σὺ ἀκήκοάς τι περὶ αὐτῆς.

ΠΑΡ. Οὐδὲν, ὦ Ἀφροδίτη· νῦν δὲ ἡδέως ἂν ἀκούσαιμί σου τὰ πάντα διηγουμένης.

14. ΑΦΡ. Αὕτη θυγάτηρ μέν ἐστι Λήδας, ἐκείνης τῆς καλῆς, ἐφ' ἣν ὁ Ζεὺς κατέπτη κύκνος γενόμενος.

ΠΑΡ. Ποία δὲ τὴν ὄψιν ἐστί;

ΑΦΡ. Λευκὴ μὲν, οἵαν εἰκὸς ἐκ κύκνου γεγεννημένην, ἁπαλὴ δὲ, ὡς ἐν ᾠῷ τραφεῖσα, γυμνὰς τὰ πολλὰ καὶ παλαιστικὴ, καὶ οὕτω δή τι περισπούδαστος ὥστε καὶ πόλεμον ἀμφ' αὐτῇ γενέσθαι, τοῦ Θησέως ἄωρον ἔτι ἁρπάσαντος. Οὐ μὴν ἀλλ' ἐπειδήπερ ἐς ἀκμὴν κατέστη, πάντες οἱ ἄριστοι τῶν Ἀχαιῶν ἐπὶ τὴν μνηστείαν ἀπήντησαν, προεκρίθη δὲ Μενέλεως τοῦ Πελοπιδῶν γένους· εἰ δὴ θέλοις, ἐγώ σοι καταπράξομαι τὸν γάμον.

ΠΑΡ. Πῶς φῄς; τὸν τῆς γεγαμημένης;

ΑΦΡ. Νέος εἶ σὺ καὶ ἀγροῖκος, ἐγὼ δὲ οἶδα ὡς χρὴ τὰ τοιαῦτα ὁρᾶν.

ΠΑΡ. Πῶς; ἐθέλω γὰρ καὶ αὐτὸς εἰδέναι.

15. ΑΦΡ. Σὺ μὲν ἀποδημήσεις ὡς ἐπὶ θέαν δὴ τῆς Ἑλλάδος, κἀπειδὰν ἀφίκῃ ἐς τὴν Λακεδαίμονα, ὄψεταί σε ἡ Ἑλένη, τοὐντεῦθεν δὲ ἐμὸν ἂν εἴη τὸ ἔργον ὅπως ἐρασθήσεταί σου καὶ ἀκολουθήσει.

ceant tibi dona, quæ præmium tribuam calculi pro me lati. Siquidem me, Pari, judicaveris esse forma præstantem, universæ eris Asiæ dominus.

PAR. Non donorum spe nostra constant. Jam recede: fient in hac lite finienda, quæ videbuntur.

12. Accede tu, Minerva.

MIN. Adsum tibi: at hoc, quæso: si me, Pari, pronunciaris formosam, nunquam inferior abibis ex pugna, sed perpetuo victor: bellatorem enim te et victorias reportantem reddam.

PAR. Nihil, Minerva, opus mihi est bello ac pugna; nam pax, uti vides, nunc quidem obtinet Phrygiam et Lydiam, belloque nullo infestatur patris imperium. At bono esto animo: nequaquam jus tuum imminuetur, etiamsi donorum spes nos judices minime commoveat. Sed indue jam vestes, atque impone galeam; satis enim vidi. Venerem adesse tempus.

13. VEN. En adsum prope: quin tu specta singulas partes curate, nihil prætercurrens, verum immoratus unicuique membrorum. Si lubet autem, formose, et istæc ex me audi. Ego sane jam dudum, quum te viderem juvenem et pulchrum, qualem haud scio an alium Phrygia nutriat, beatum te prædico ob formæ decus; id autem incuso, quod non, relictis scopulis istisque rupibus, in urbe vivas, sed corrumpas formam in solitudine: quem enim tu fructum capias ex montibus? quidve juvet honesta species tua boves? par fuerat jam te nuptias iniisse, non quidem agrestis alicujus ac rusticæ, quales per Idam sunt mulieres, sed cujusdam ex Græcia, aut Argis, aut Corintho, vel Lacænæ, qualis Helene, ætate integra, pulchra, nullaque parte inferior me, quodque maximum est, amatoriæ nequitiæ perita. Hæc, si te tantummodo aspexerit, sat scio, omnibus relictis et in tuam potestatem dedita, sequetur et una tecum habitabit. Sine dubio autem tu quoque inaudivisti aliquid de ea.

PAR. Nihil quicquam, o Venus: at nunc perlibenter audiverim ex te cuncta denarrante.

14. VEN. Est filia Ledæ, illius formosæ, ad quam Jupiter devolavit in cygnum mutatus.

PAR. Qualinam facie?

VEN. Candida, qualem decet esse ex cygno natam; tum mollis, ut in ovo nutrita; nuda plerumque luctæ et palæstræ dedita: denique tanto studio expetita, ut bellum etiam propter eam exstiterit, Theseo immaturam adhuc rapiente. Enimvero postquam ad florem ætatis pervenit, omnes Achivorum principes ad illam sibi despondendam convenerunt: prælatus est Menelaus ex Pelopidarum gente. Si tu velis, ego tibi perficiam has nuptias.

PAR. Quid ais? nuptias jam nuptæ?

VEN. Scilicet juvenis es rudis et rusticus: ego vero novi, ut conveniat ista facere.

PAR. At quomodo? etenim velim et ipse scire.

15. VEN. Tu quidem peregrinaberis ad lustrandam nimirum Græciam; tum ubi perveneris Lacedæmonem, videbit te Helena: exinde jam mearum fuerit partium curare, ut amore capta te sectetur.

ΠΑΡ. Τοῦτ' αὐτὸ καὶ ἄπιστον εἶναί μοι δοκεῖ, τὸ ἀπολιποῦσαν τὸν ἄνδρα ἐθελῆσαι βαρβάρῳ καὶ ξένῳ συνεκπλεῦσαι.

ΑΦΡ. Θάρρει τούτου γε ἕνεκα. Παῖδε γάρ μοι ἐστὸν δύο καλώ, Ἵμερος καὶ Ἔρως, τούτω σοι παραδώσω ἡγεμόνε τῆς ὁδοῦ γενησομένω· καὶ ὁ μὲν Ἔρως ὅλος παρελθὼν ἐς αὐτὴν ἀναγκάσει τὴν γυναῖκα ἐρᾶν, ὁ δ' Ἵμερος αὐτῷ σοι περιχυθεὶς τοῦθ' ὅπερ ἐστὶν, ἱμερτόν τε θήσει καὶ ἐράσμιον, καὶ αὐτὴ δὲ συμπαροῦσα. Δεήσομαι δὲ καὶ τῶν Χαρίτων ἀκολουθεῖν, ἅπαντες αὐτὴν ἵνα πείσωμεν.

ΠΑΡ. Ὅπως μὲν ταῦτα χωρήσει, ἄδηλον, ὦ Ἀφροδίτη· πλὴν ἐρῶ γε ἤδη τῆς Ἑλένης καὶ οὐκ οἶδ' ὅπως καὶ ὁρᾶν αὐτὴν οἶομαι καὶ πλέω εὐθὺ τῆς Ἑλλάδος καὶ τῇ Σπάρτῃ ἐπιδημῶ καὶ ἐπάνειμι ἔχων τὴν γυναῖκα καὶ ἄχθομαι, ὅτι μὴ ταῦτα ἤδη πάντα ποιῶ.

16. ΑΦΡ. Μὴ πρότερον ἐρασθῇς, ὦ Πάρι, πρὶν ἐμὲ τὴν προμνήστριαν καὶ νυμφαγωγὸν ἀμείψασθαι τῇ κρίσει· πρέποι γὰρ ἂν κἀμὲ νικηφόρον ὑμῖν συμπαρεῖναι καὶ ἑορτάζειν ἅμα καὶ τοὺς γάμους καὶ τὰ ἐπινίκια· πάντα γὰρ ἔνεστί σοι, τὸν ἔρωτα, τὸ κάλλος, τὸν γάμον τουτουὶ τοῦ μήλου πρίασθαι.

ΠΑΡ. Δέδοικα μή μου ἀμελήσῃς μετὰ τὴν κρίσιν.

ΑΦΡ. Βούλει οὖν ἐπομόσωμαι;

ΠΑΡ. Μηδαμῶς, ἀλλὰ ὑπόσχου πάλιν.

ΑΦΡ. Ὑπισχνοῦμαι δή σοι τὴν Ἑλένην παραδώσειν γυναῖκα καὶ ἀκολουθήσειν γε ἔτι αὐτὴν καὶ ἀφίξεσθαι παρ' ὑμᾶς ἐς τὴν Ἴλιον, καὶ αὐτὴ παρέσομαι καὶ συμπράξω τὰ πάντα.

ΠΑΡ. Καὶ τὸν Ἔρωτα καὶ τὸν Ἵμερον καὶ τὰς Χάριτας ἄξεις;

ΑΦΡ. Θάρρει, καὶ τὸν Πόθον καὶ τὸν Ὑμέναιον ἔτι πρὸς τούτοις παραλήψομαι.

ΠΑΡ. Οὐκοῦν ἐπὶ τούτοις δίδωμι τὸ μῆλον, ἐπὶ τούτοις λάμβανε.

PAR. Id ipsum incredibile esse mihi videtur, ut, deserto marito, animum inducat cum homine barbaro et peregrino navigationi se dare.

VEN. Bonum animum habe istius quidem rei causa. Nati mihi sunt duo, pulcherrima forma, Himerus et Cupido: ambos tibi tradam duces viæ futuros. Et Cupido quidem se totum insinuabit in eam, cogetque mulierem amare; Himerus autem tibimet ipsi circumfusus, quod scilicet ipse est, desiderabilem te faciet atque amabilem: egomet etiam una adero. Præterea rogabo Gratias, ut nos comitentur: quo conjuncti omnes ipsi persuadeamus.

PAR. Quomodo ista possint fieri, non liquet, Venus: attamen amo jam Helenam, et nescio quo pacto videre illam mihi videor, et navigo recta in Græciam, et Spartæ deversor, redeoque compos mulieris, idque me male habet, quod nondum hæc omnia facio.

16. VEN. At tu ne prius ames, Pari, quam mihi conciliatrici et pronubæ gratiam retuleris sententia secundum me data: decet enim me victricem vobis una adesse, ac festum agere simul nuptiarum et victoriæ meæ: omnia quippe licet tibi, amorem, formam et has nuptias isto pomo comparare.

PAR. Metuo, ne me negligas post judicium.

VEN. Vin' jusjurandum interponam?

PAR. Neutiquam: sed promitte denuo.

VEN. Recipio enimvero tibi Helenam me traditurum esse uxorem, eamque porro te secuturam esse, atque Ilium ad vos profecturam: ipsa ego adero, et adjutrix ero ad hæc omnia.

PAR. Etiam Cupidinem et Himerum et Gratias adduces?

VEN. Ne dubita: Pothum etiam et Hymenæum insuper assumam.

PAR. Quin ergo ea conditione trado tibi pomum, ea conditione accipe.

21.

ΑΡΕΩΣ ΚΑΙ ΕΡΜΟΥ.

1. ΑΡ. Ἤκουσας, ὦ Ἑρμῆ, οἷα ἠπείλησεν ἡμῖν ὁ Ζεὺς, ὡς ὑπεροπτικὰ καὶ ὡς ἀπίθανα; Ἢν ἐθελήσω, φησὶν, ἐγὼ μὲν ἐκ τοῦ οὐρανοῦ σειρὰν καθήσω, ὑμεῖς δὲ ἀπαρεμασθέντες κατασπᾶν βιάσεσθέ με, ἀλλὰ μάτην πονήσετε· οὐ γὰρ δὴ καθελκύσετε· εἰ δὲ ἐγὼ θελήσαιμι ἀνελκύσαι, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τὴν γῆν ἅμα καὶ τὴν θάλατταν συναρτήσας μετεωριῶ· καὶ τἆλλα ὅσα καὶ σὺ ἀκήκοας. Ἐγὼ δὲ ὅτι μὲν καθ' ἕνα πάντων ἀμείνων καὶ ἰσχυρότερός ἐστιν οὐκ ἂν ἀρνηθείην, ὁμοῦ δὲ τῶν τοσούτων ὑπερφέρειν, ὡς μὴ καταπονήσειν αὐτὸν, κἂν τὴν γῆν καὶ τὴν θάλατταν προσλάβωμεν, οὐκ ἂν πεισθείην.

21.

MARTIS ET MERCURII.

1. MARS. Audistin', Mercuri, qualia minitatus sit nobis Jupiter, quam superba et absurda? Si voluero, inquit, ego ex cœlo catenam demittam; vos inde suspensi si detrahere me magna vi contenderitis, frustra laborabitis; non enim profecto detraxeritis. Ego contra si voluero sursum attrahere, non vos sólum, sed et terram simul ac mare adducta in sublime tollam: et cetera, quæcumque ipsemet audivisti. Ego autem, si singulos compares, omnibus fortiorem esse et validiorem infitias non iverim: sed una junctis tot diis superiorem esse, ut devincere eum non valeamus, etsi terram et pontum assumserimus, haud sane mihi persuaserim.

2. ΕΡΜ. Εὐφήμει, ὦ Ἄρες· οὐ γὰρ ἀσφαλὲς λέγειν τὰ τοιαῦτα, μὴ καί τι κακὸν ἀπολαύσωμεν τῆς φλυαρίας.

ΑΡ. Οἴει γάρ με πρὸς πάντας ἂν ταῦτα εἰπεῖν, οὐχὶ δὲ πρὸς μόνον σέ, ὃν ἐχεμυθεῖν ἠπιστάμην; Ὁ δ' οὖν μάλιστα γελοῖον ἔδοξέ μοι ἀκούοντι μεταξὺ τῆς ἀπειλῆς, οὐκ ἂν δυναίμην σιωπῆσαι πρὸς σέ· μέμνημαι γὰρ οὐ πρὸ πολλοῦ, ὁπότε ὁ Ποσειδῶν καὶ ἡ Ἥρα καὶ ἡ Ἀθηνᾶ ἐπαναστάντες ἐπεβούλευον συνδῆσαι λαβόντες αὐτὸν, ὡς παντοῖος ἦν δεδιὼς, καὶ ταῦτα τρεῖς ὄντας, καὶ εἰ μή γε ἡ Θέτις κατελεήσασα ἐκάλεσεν αὐτῷ σύμμαχον Βριάρεων ἑκατόγχειρα ὄντα, κἂν ἐδέδετο ἂν αὐτῷ κεραυνῷ καὶ βροντῇ. Ταῦτα λογιζομένῳ ἐπήει μοι γελᾶν ἐπὶ τῇ καλλιρρημοσύνῃ αὐτοῦ.

ΕΡΜ. Σιώπα, φημί· οὐ γὰρ ἀσφαλὲς οὔτε σοὶ λέγειν οὔτ' ἐμοὶ ἀκούειν τὰ τοιαῦτα.

2. MERC. Bona verba, Mars! non enim tutum eloqui talia, ne quid etiam mali redundet ad nos ab ista garrulitate.

MARS. Num tu putas ad omnes me promiscue hæc dicturum, non tibi soli, quem linguæ temperare posse noveram? Quod igitur ridiculum maxime visum fuit mihi audienti inter illas minas, non possim reticere ad te: memini equidem non ita diu, quando Neptunus et Juno et Minerva seditione mota structisque insidiis voluerunt eum vincire comprehensum, quam multa ille tentarit præ metu, idque trium tantummodo: quod ni Thetis miserata vocasset ipsi auxiliatorem Briareum centimanum, vinculis constrictus foret cum ipso fulmine ac tonitru. Ista mecum perpendens, teneri non poteram quin riderem magniloquentiam ejus.

MERC. Tace, inquam: nam tutum haud est nec tibi loqui, nec mihi audire talia.

22.

ΠΑΝΟΣ ΚΑΙ ΕΡΜΟΥ.

1. ΠΑΝ. Χαῖρε, ὦ πάτερ Ἑρμῆ.

ΕΡΜ. Νηδὶ καὶ σύ γε. Ἀλλὰ πῶς ἐγὼ σὸς πατήρ;

ΠΑΝ. Οὐχ ὁ Κυλλήνιος Ἑρμῆς ὢν τυγχάνεις;

ΕΡΜ. Καὶ μάλα. Πῶς οὖν υἱὸς ἐμὸς εἶ;

ΠΑΝ. Μοιχίδιός εἰμι, ἐξαίρετός σοι γενόμενος.

ΕΡΜ. Νὴ Δία, τράγου ἴσως τινὸς μοιχεύσαντος αἶγα· ἐμοὶ γὰρ πῶς, κέρατα ἔχων καὶ ῥῖνα τοιαύτην καὶ πώγωνα λάσιον καὶ σκέλη διχαλὰ καὶ τραγικὰ καὶ οὐρὰν ὑπὲρ τὰς πυγάς;

ΠΑΝ. Ὁπόσα ἂν ἀποσκώψῃς εἰς ἐμὲ, τὸν σεαυτοῦ υἱὸν, ὦ πάτερ, ἐπονείδιστον ἀποφαίνεις, μᾶλλον δὲ σεαυτὸν, ὃς τοιαῦτα γεννᾷς καὶ παιδοποιεῖς, ἐγὼ δὲ ἀναίτιος.

ΕΡΜ. Τίνα δὲ καὶ φῄς σου μητέρα; ἢ που ἔλαθον αἶγα μοιχεύσας ἔγωγε;

ΠΑΝ. Οὐκ αἶγα ἐμοίχευσας, ἀλλ' ἀνάμνησον σεαυτὸν, εἴ ποτε ἐν Ἀρκαδίᾳ παῖδα ἐλευθέραν ἐβιάσω. Τί δακὼν τὸν δάκτυλον ζητεῖς καὶ ἐπὶ πολὺ ἀπορεῖς; τὴν Ἰκαρίου λέγω Πηνελόπην.

ΕΡΜ. Εἶτα τί παθοῦσα ἐκείνη ἀντ' ἐμοῦ τράγῳ σε ὅμοιον ἔτεκεν;

2. ΠΑΝ. Αὐτῆς ἐκείνης λόγον σοι ἐρῶ· ὅτε γάρ με ἐξέπεμπεν ἐπὶ τὴν Ἀρκαδίαν, Ὦ παῖ, μήτηρ μέν σοι, ἔφη, ἐγώ εἰμι, Πηνελόπη ἡ Σπαρτιᾶτις, τὸν πατέρα δὲ γίγνωσκε θεὸν ἔχων Ἑρμῆν Μαίας καὶ Διός. Εἰ δὲ κερασφόρος καὶ τραγοσκελὴς εἶ, μὴ λυπείτω σε· ὁπότε γάρ μοι συνείη ὁ πατὴρ ὁ σὸς, τράγῳ ἑαυτὸν ἀπείκασεν, ὡς λάθοι, καὶ διὰ τοῦτο ὅμοιος ἀπέβης τῷ τράγῳ.

ΕΡΜ. Νὴ Δία, μέμνημαι ποιήσας τοιοῦτόν τι. Ἐγὼ οὖν ὁ ἐπὶ κάλλει μέγα φρονῶν, ἔτι ἀγένειος αὐτὸς

22.

PANIS ET MERCURII.

1. PAN. Salve, pater Mercuri.

MERC. Imo et tu quoque: sed quomodo sim ego tuus pater?

PAN. Non tu Cyllenius es Mercurius?

MERC. Ita sane: at quo pacto filius meus es?

PAN. Ex adulterio natus sum, tibi peculiaris.

MERC. Profecto hirco potius, ni fallor, aliquo adulterante capram: meus enim qui fieri potest ut sis cum cornibus, et naso tali, et barba hirsuta, cruribusque bifidis ac hircinis, et cauda super nates?

PAN. Quicquid in me ridiculi dixeris, tuum ipsius filium, o pater, probris ac dedecore afficis: quin potius temet ipsum, utpote qui tales gignis et procreas; ego vero culpa vaco.

MERC. At quam tu tandem dicis matrem tuam? numquid imprudens in capra stuprum commisi?

PAN. Non capram quidem stuprasti; sed fac ut in memoriam redeas, si forte in Arcadia puellæ ingenuæ vim intulisti: quid commorso digito quæris, multumque hæsitas? Icarii filiam inquam, Penelopen.

MERC. Et quid tandem est rei, quod, quum illa mihi deberet, hirco te similem peperit?

2. PAN. Ea ipsa quæ dixit, enarrabo tibi. Quando me ablegabat in Arcadiam, Fili, mater quidem tua, inquit, ego sum, Penelope Spartana: at patrem scito deum habere te, Mercurium Maiæ et Jovis filium: quod autem cornutus hircinisque pedibus es, id tibi ne dolori sit: quando enim mecum congrediebatur pater tuus, hirco se assimilavit, ut lateret: ea est causa, cur similis evaseris hirco.

MERC. Sane commemini fecisse me tale quiddam. Ergo ego, cui forma spiritus facit, adhuc imberbis ipse, tuus pa-

ὧν σὸς πατὴρ κεκλήσομαι καὶ γέλωτα ὀφλήσω παρὰ πᾶσιν ἐπὶ τῇ εὐπαιδίᾳ;

3. ΠΑΝ. Καὶ μὴν οὐ καταισχυνῶ σε, ὦ πάτερ· μουσικός τε γάρ εἰμι καὶ συρίζω πάνυ καπυρὸν, καὶ ὁ Διόνυσος οὐδὲν ἐμοῦ ἄνευ ποιεῖν δύναται, ἀλλ' ἑταῖρον καὶ θιασώτην πεποίηταί με, καὶ ἡγοῦμαι αὐτῷ τοῦ χοροῦ· καὶ τὰ ποίμνια δὲ εἰ θεάσαιό μου, ὁπόσα περὶ Τεγέαν καὶ ἀνὰ τὸ Παρθένιον ἔχω, πάνυ ἡσθήσῃ· ἄρχω δὲ καὶ τῆς Ἀρκαδίας ἁπάσης· πρώην δὲ καὶ Ἀθηναίοις συμμαχήσας οὕτως ἠρίστευσα Μαραθῶνι, ὥστε καὶ ἀριστεῖον ἠρέθη μοι, τὸ ὑπὸ τῇ ἀκροπόλει σπήλαιον. Ἦν γοῦν ἐς Ἀθήνας ἔλθῃς, εἴσῃ ὅσον ἐκεῖ τοῦ Πανὸς ὄνομα.

4. ΕΡΜ. Εἰπέ δέ μοι, γεγάμηκας, ὦ Πάν, ἤδη; τοῦτο γὰρ, οἶμαι, καλοῦσί σε.

ΠΑΝ. Οὐδαμῶς, ὦ πάτερ· ἐρωτικὸς γάρ εἰμι καὶ οὐκ ἂν ἀγαπήσαιμι συνὼν μιᾷ.

ΕΡΜ. Ταῖς οὖν αἶξὶ δηλαδὴ ἐπιχειρεῖς.

ΠΑΝ. Σὺ μὲν σκώπτεις, ἐγὼ δὲ τῇ τε Ἠχοῖ καὶ τῇ Πίτυϊ σύνειμι καὶ ἀπάσαις ταῖς τοῦ Διονύσου Μαινάσι καὶ πάνυ σπουδάζομαι πρὸς αὐτῶν.

ΕΡΜ. Οἶσθα οὖν, ὦ τέκνον, ὅ τι χαρίσῃ τὸ πρῶτον αἰτοῦντί μοι;

ΠΑΝ. Πρόσταττε, ὦ πάτερ, ἵν' ἡμεῖς μὲν εἰδῶμεν.

ΕΡΜ. Ταῦτα ποίει· καὶ πρόσιθί μοι καὶ φιλοφρονοῦ· πατέρα δὲ ὅρα μὴ καλέσῃς με ἄλλου ἀκούοντος.

ter dicar, et ludibrium debebo omnibus ob elegantiam prolis?

3. PAN. Atqui nec pudori nec probro ero tibi, pater: musices enim peritus sum, et fistula ludo valde argutum quiddam; Bacchusque nihil sine me facere potest: imo sodalem et thiasi socium constituit me, duxque ipsi sum chori. Quodsi greges meos spectes, quotcumque circa Tegeam et per Parthenium habeo, multum lætabere. Nuper etiam auxilio Atheniensibus lato tam strenue rem gessi Marathone, ut virtutis præmium attributa sit mihi, quæ sub arce est, spelunca: si ergo Athenas veneris, intelliges quantum ibi Panis sit nomen.

4. MERC. At, quæso, dic mihi, duxistin' jam uxorem, o Pan? hoc enim, opinor, nomine te compellant.

PAN. Neutiquam, pater: sum enim lascivior aliquantulum; nec contentus sim una, quacum rem habeam.

MERC. Capras videlicet inis.

PAN. Tu quidem irrides: ego vero et Echo et Pityn ineo, et cunctas Bacchi Mænadas, ac valde color ab ipsis atque observor.

MERC. Scin' igitur, quid mihi gratificabere, fili, jam primum petenti a te?

PAN. Impera, pater, ut ego sciam.

MERC. Ita facias: et accede ad me, et comitate blanda complectere: patrem vero vide ne appellaris me, audiente aliquo.

23.

ΑΠΟΛΛΩΝΟΣ ΚΑΙ ΔΙΟΝΥΣΟΥ.

1. ΑΠ. Τί ἂν λέγοιμεν; ὁμομητρίους, ὦ Διόνυσε, ἀδελφοὺς εἶναι Ἔρωτα καὶ Ἑρμαφρόδιτον καὶ Πρίαπον ἀνομοιοτάτους ὄντας τὰς μορφὰς καὶ τὰ ἐπιτηδεύματα; ὁ μὲν γὰρ πάγκαλος καὶ τοξότης καὶ δύναμιν οὐ μικρὰν περιβεβλημένος ἁπάντων ἄρχων, ὁ δὲ θῆλυς καὶ ἡμίανδρος καὶ ἀμφίβολος τὴν ὄψιν· οὐκ ἂν διακρίναις εἴτ' ἔφηβός ἐστιν εἴτε καὶ παρθένος· ὁ δὲ καὶ πέρα τοῦ εὐπρεποῦς ἀνδρικὸς ὁ Πρίαπος.

ΔΙΟ. Μηδὲν θαυμάσῃς, ὦ Ἄπολλον· οὐ γὰρ Ἀφροδίτη αἰτία τούτου, ἀλλὰ οἱ πατέρες διάφοροι γεγενημένοι, ὅπου γε καὶ ὁμοπάτριοι πολλάκις ἐκ μιᾶς γαστρὸς, ὁ μὲν ἄρρην, ἡ δὲ θήλεια, ὥσπερ ὑμεῖς, γίνονται.

ΑΠ. Ναί· ἀλλ' ἡμεῖς ὅμοιοί ἐσμεν καὶ ταὐτὰ ἐπιτηδεύομεν· τοξόται γὰρ ἄμφω.

ΔΙΟ. Μέχρι μὲν τόξου τὰ αὐτὰ, ὦ Ἄπολλον, ἐκεῖνα δὲ οὐχ ὅμοια, ὅτι ἡ μὲν Ἄρτεμις ξενοκτονεῖ ἐν Σκύθαις, σὺ δὲ μαντεύῃ καὶ ἰᾷ τοὺς κάμνοντας.

ΑΠ. Οἴει γὰρ τὴν ἀδελφὴν χαίρειν τοῖς Σκύθαις, ἥ γε καὶ παρεσκεύασται, ἤν τις Ἕλλην ἀφίκηταί ποτε ἐς τὴν Ταυρικὴν, συνεκπλεῦσαι μετ' αὐτοῦ μυσαττομένη τὰς σφαγάς;

ΔΙΟ. Εὖ γε ἐκείνη ποιοῦσα.

23.

APOLLINIS ET BACCHI.

1. APOL. Quid dicamus? eademne matre natos, Bacche, fratres esse Cupidinem, Hermaphroditum et Priapum, dissimiles plane forma et vitæ instituto? etenim hic quidem undiquaque pulcher arcum tractat, et potentia non mediocri circumdatus omnibus imperat: iste muliebris, semivir, et ambigua facie; haud plane dignoscas, ephebus sit an virgo: ille vero etiam ultra decorum virilis, Priapus inquam.

BAC. Nihil est, quod mireris, Apollo: neque enim Venus hujus discriminis causa, sed patres inter se dispares: ubi sane eodem geniti patre sæpius ex uno utero hic masculus, illa femina, quemadmodum vos, nascuntur.

AP. Profecto: sed nos tamen similes, et eadem studia tractamus, quippe ambo arcus usu periti.

BAC. Usque ad arcum, eadem utique, Apollo: sed ista jam dissident, quod Diana hospites mactet apud Scythas; tu autem vaticineris, et sanes ægrotos.

AP. Putan' sororem delectari Scythis, quæ ita se jam comparavit, ut, si quis Græcus pervenerit aliquando in Tauricam, abitura sit simul cum eo navi, aversata cædes.

BAC. Jure quidem illa merito.

2. Ὁ μέντοι Πρίαπος, γελοῖον γάρ τί σοι διηγήσομαι, πρώην ἐν Λαμψάκῳ γενόμενος, ἐγὼ μὲν παρῆειν τὴν πόλιν, ὁ δὲ ὑποδεξάμενός με καὶ ξενίσας παρ' αὐτῷ, ἐπειδὴ ἀνεπαυσάμεθα ἐν τῷ συμποσίῳ ἱκανῶς ὑποβεβρεγμένοι, κατ' αὐτάς που μέσας νύκτας ἐπαναστὰς ὁ γενναῖος — αἰδοῦμαι δὲ λέγειν.

ΑΠ. Ἐπείρα σε, Διόνυσε;

ΔΙΟ. Τοιοῦτόν ἐστι.

ΑΠ. Σὺ δὲ τί πρὸς ταῦτα;

ΔΙΟ. Τί γὰρ ἄλλο ἢ ἐγέλασα;

ΑΠ. Εὖ γε, τὸ μὴ χαλεπῶς μηδὲ ἀγρίως· συγγνωστὸς γὰρ, εἰ καλόν σε οὕτως ὄντα ἐπείρα.

ΔΙΟ. Τούτου μὲν ἕνεκα καὶ ἐπὶ σὲ ἂν, ὦ Ἄπολλον, ἀγάγοι τὴν πεῖραν· καλὸς γὰρ σὺ καὶ κομήτης, ὡς καὶ νήφοντα ἄν σοι τὸν Πρίαπον ἐπιχειρῆσαι.

ΑΠ. Ἀλλ' οὐκ ἐπιχειρήσει γε, ὦ Διόνυσε· ἔχω γὰρ μετὰ τῆς κόμης καὶ τόξα.

2. Verum ad Priapum ut redeam, ridiculum enim quiddam tibi narrabo, qui nuper Lampsaci fuerim : igitur pertransibam urbem ; hic autem quum hospitio me excepisset, postquam requievimus, in convivio satis vino rigati, tum nocte admodum media insurgens bonus ille — sed pudor vetat dicere.

AP. Tentabat te, Bacche?

BAC. Rem tenes.

AP. Tu autem quid ad hæc?

BAC. Quid aliud quam risi?

AP. Laudo, quod nihil iracunde tu nec ferociter : nam venia dignus est, si te tam pulchrum tentavit.

BAC. Istius quidem rei causa vel tui tentandi, Apollo, faciat periculum : tu enim formosus et comatus, ut vel sobrius te Priapus adoriatur.

AP. At cavebit, Bacche, ne sollicitet : habeo enim cum coma etiam arcum.

24.

ΕΡΜΟΥ ΚΑΙ ΜΑΙΑΣ.

1. ΕΡΜ. Ἔστι γάρ τις, ὦ μῆτερ, ἐν οὐρανῷ θεὸς ἀθλιώτερος ἐμοῦ;

ΜΑΙ. Μὴ λέγε, ὦ Ἑρμῆ, τοιοῦτον μηδέν.

ΕΡΜ. Τί μὴ λέγω, ὃς τοσαῦτα πράγματα ἔχω μόνος κάμνων καὶ πρὸς τοσαύτας ὑπηρεσίας διασπώμενος; ἔωθεν μὲν γὰρ ἐξαναστάντα σαίρειν τὸ συμπόσιον δεῖ καὶ διαστρώσαντα τὴν κλισίαν εὐθετίσαντά τε ἕκαστα παρεστάναι τῷ Διὶ καὶ διαφέρειν τὰς ἀγγελίας τὰς παρ' αὐτοῦ ἄνω καὶ κάτω ἡμεροδρομοῦντα, καὶ ἐπανελθόντα ἔτι κεκονιμένον παρατιθέναι τὴν ἀμβροσίαν· πρὶν δὲ τὸν νεώνητον τοῦτον οἰνοχόον ἥκειν, καὶ τὸ νέκταρ ἐγὼ ἐνέχεον. Τὸ δὲ πάντων δεινότατον, ὅτι μηδὲ νυκτὸς καθεύδω μόνος τῶν ἄλλων, ἀλλὰ δεῖ με καὶ τότε τῷ Πλούτωνι ψυχαγωγεῖν καὶ νεκροπομπὸν εἶναι καὶ παρεστάναι τῷ δικαστηρίῳ· οὐ γὰρ ἱκανά μοι τὰ τῆς ἡμέρας ἔργα, ἐν παλαίστραις εἶναι καὶ ἐν ταῖς ἐκκλησίαις κηρύττειν καὶ ῥήτορας ἐκδιδάσκειν, ἀλλ' ἔτι καὶ νεκρικὰ συνδιαπράττειν μεμερισμένον.

2. Καίτοι τὰ μὲν τῆς Λήδας τέκνα παρ' ἡμέραν ἑκάτερος ἐν οὐρανῷ ἢ ἐν ᾅδου εἰσίν, ἐμοὶ δὲ καθ' ἑκάστην ἡμέραν κἀκεῖνα καὶ ταῦτα ποιεῖν ἀναγκαῖον, καὶ οἱ μὲν Ἀλκμήνης καὶ Σεμέλης ἐκ γυναικῶν δυστήνων γενόμενοι εὐωχοῦνται ἀφρόντιδες, ὁ δὲ Μαίας τῆς Ἀτλαντίδος διακονοῦμαι αὐτοῖς. Καὶ νῦν ἄρτι ἥκοντά με ἀπὸ Σιδῶνος παρὰ τῆς Κάδμου θυγατρὸς, ἐφ' ᾗ ἦν πέπομφέ με ὀψόμενον ὅ τι πράττει ἡ παῖς, μηδὲ ἀναπνεύσαντα πέπομφεν αὖθις ἐς τὸ Ἄργος ἐπισκεψόμενον τὴν Δανάην, εἶτ' ἐκεῖθεν ἐς Βοιωτίαν, φησὶν, ἐλθὼν ἐν παρόδῳ τὴν Ἀντιόπην ἰδέ. Καὶ ὅλως ἀπηγόρευκα ἤδη. Εἰ γοῦν δυνατὸν ἦν, ἡδέως ἂν ᾐξίωσα πεπρᾶσθαι, ὥσπερ οἱ ἐν γῇ κακῶς δουλεύοντες.

24.

MERCURII ET MAJÆ.

1. MERC. Estne enim aliquis, mater, in cœlo deus miserior me?

MAJ. Ne dixeris, Mercuri, tale quicquam.

MERC. Ne dixerim, qui tot negotia sustineo solus, lassitudine confectus, inque tot ministeria distractus? mane quidem mox atque surrexi, everrere symposium oportet, et postquam instravi triclinium, tum ordine disposui singula, apparere Jovi, et perferre quoquo versus nuncios ab eo sursum deorsum in dies ingens spatium emetientem : quumque rediero adhuc pulverulentus, apponenda est ambrosia : prius vero quam recens emtus ille pincerna veniret, ego etiam nectar infundebam. Quod autem omnium est molestissimum, ne nocte quidem dormio solus deorum; sed oportet me tunc quoque Plutoni umbras deducere, defunctosque prosequi, et adesse ad tribunal. Mihi scilicet non satis sunt quæ de die facio, quum in palæstris versor, in concionibus præconem ago, rhetoras edocco, sed præterea quæ ad mortuos spectant administranda sunt mihi in tot partes obeundas diviso.

2. Atqui Ledæ liberi alternis uterque in cœlo et apud inferos degunt : mihi autem singulis diebus et hæc et ista sunt facienda. Alcmenæ et Semelæ filii, ex mulieribus misellis procreati, epulantur curarum expertes : ego Maja Atlantis filia natus ministro illis. Quin imo jam modo venientem me Sidone a Cadmi filia, ad quam me miserat visurum quid agat puella, antequam respirassem, legavit iterum Argos, ut visitarem Danaen : tum inde in Bœotiam, inquit, profectus in transitu Antiopam vise. Jamque plane confectus animum despondi : atque adeo, si mihi facultas foret, perlibenter equidem postulaverim vendi, ut in terris solent qui malam servitutem serviunt.

ΜΑΙ. Ἔα ταῦτα, ὦ τέκνον· χρὴ γὰρ πάντα ὑπηρετεῖν τῷ πατρὶ νεανίαν ὄντα. Καὶ νῦν ὥσπερ ἐπέμφθης, σόβει ἐς Ἄργος, εἶτα ἐς τὴν Βοιωτίαν, μὴ καὶ πληγὰς βοαδύνων λάβῃς· ὀξύχολοι γὰρ οἱ ἐρῶντες.

MAJ. Mitte ista, fili : oportet enim cuncta morigerari patri te juvenem. Nunc igitur, ut missus es, propera, quantum potes, Argos; deinde in Bœotiam, ne plagas etiam tardior accipias : nam in iram et bilem proclives sunt qui amant.

25.

ΔΙΟΣ ΚΑΙ ΗΛΙΟΥ.

1. ΖΕΥΣ. Οἷα πεποίηκας, ὦ Τιτάνων κάκιστε; ἀπολώλεκας τὰ ἐν τῇ γῇ ἅπαντα, μειρακίῳ ἀνοήτῳ πιστεύσας τὸ ἅρμα, ὃς τὰ μὲν κατέφλεξε πρόσγειος ἐνεχθείς, τὰ δὲ ὑπὸ κρύους διαφθαρῆναι ἐποίησε πολὺ αὐτῶν ἀποσπάσας τὸ πῦρ, καὶ ὅλως οὐδὲν ὅ τι οὐ ξυνετάραξε καὶ ξυνέχεε, καὶ εἰ μὴ ἐγὼ ξυνεὶς τὸ γιγνόμενον κατέβαλον αὐτὸν τῷ κεραυνῷ, οὐδὲ λείψανον ἀνθρώπων ἐπέμεινεν ἄν· τοιοῦτον ἡμῖν ἡνίοχον τὸν καλὸν ἐκεῖνον καὶ διφρηλάτην ἐκπέπομφας.

ΗΛ. Ἥμαρτον, ὦ Ζεῦ, ἀλλὰ μὴ χαλέπαινε, εἰ ἐπείσθην υἱῷ πολλὰ ἱκετεύοντι· πόθεν γὰρ ἂν καὶ ἤλπισα τηλικοῦτο γενήσεσθαι κακόν;

ΖΕΥΣ. Οὐκ ᾔδεις ὅσης ἐδεῖτο ἀκριβείας τὸ πρᾶγμα καὶ ὡς, εἰ βραχύ τις ἐκβαίη τῆς ὁδοῦ, οἴχεται πάντα; ἠγνόεις δὲ καὶ τῶν ἵππων τὸν θυμὸν, ὡς δεῖ ξυνέχειν ἀνάγκῃ τὸν χαλινόν; εἰ γὰρ ἐνδοίη τις, ἀφηνιάζουσιν εὐθὺς, ὥσπερ ἀμέλει καὶ τοῦτον ἐξήνεγκαν, ἄρτι μὲν ἐπὶ τὰ λαιὰ, μετ' ὀλίγον δὲ ἐπὶ τὰ δεξιὰ, καὶ ἐς τὸ ἐναντίον τοῦ δρόμου ἐνίοτε, καὶ ἄνω καὶ κάτω, ὅλως ἔνθα ἐβούλοντο αὐτοί· ὁ δὲ οὐκ εἶχεν ὅ τι χρήσαιτο αὐτοῖς.

2. ΗΛ. Πάντα μὲν ἠπιστάμην ταῦτα καὶ διὰ τοῦτο ἀντεῖχον ἐπὶ πολὺ καὶ οὐκ ἐπίστευον αὐτῷ τὴν ἔλασιν· ἐπεὶ δὲ κατελιπάρησε δακρύων καὶ ἡ μήτηρ Κλυμένη μετ' αὐτοῦ, ἀναβιβασάμενος ἐπὶ τὸ ἅρμα ὑπεθέμην ὅπως μὲν χρὴ βεβηκέναι αὐτὸν, ἐφ' ὁπόσον δὲ ἐς τὸ ἄνω ἀφέντα ὑπερενεγθῆναι, εἶτα ἐς τὸ κάταντες αὖθις ἐπινεύειν καὶ ὡς ἐγκρατῆ εἶναι τῶν ἡνιῶν καὶ μὴ ἐφιέναι τῷ θυμῷ τῶν ἵππων· εἶπον δὲ καὶ ἡλίκος ὁ κίνδυνος, εἰ μὴ ὀρθὴν ἐλαύνοι· ὁ δὲ — παῖς γὰρ ἦν — ἐπιδὰς τοσούτου πυρὸς καὶ ἐπικύψας ἐς βάθος ἀχανὲς ἐξεπλάγη, ὡς τὸ εἰκός· οἱ δὲ ἵπποι ὡς ᾔσθοντο οὐκ ὄντα ἐμὲ τὸν ἐπιβεβηκότα, καταφρονήσαντες τοῦ μειρακίου ἐξετράποντο τῆς ὁδοῦ καὶ τὰ δεινὰ ταῦτα ἐποίησαν· ὁ δὲ τὰς ἡνίας ἀφεὶς, οἶμαι δεδιὼς μὴ ἐκπέσῃ αὐτὸς, εἶχετο τῆς ἄντυγος. Ἀλλὰ ἐκεῖνός τε ἤδη ἔχει τὴν δίκην κἀμοὶ, ὦ Ζεῦ, ἱκανὸν τὸ πένθος.

3. ΖΕΥΣ. Ἱκανὸν λέγεις τοιαῦτα τολμήσας; Νῦν μὲν οὖν συγγνώμην ἀπονέμω σοι, ἐς δὲ τὸ λοιπὸν, ἤν τι ὅμοιον παρανομήσῃς ἢ τινα τοιοῦτον σεαυτοῦ διάδοχον ἐκπέμψῃς, αὐτίκα εἴσῃ ὁπόσον τοῦ σοῦ πυρὸς ὁ κεραυνὸς πυρωδέστερος. Ὥστε ἐκεῖνον μὲν αἱ ἀδελφαὶ θαπτέτωσαν ἐπὶ τῷ Ἠριδανῷ, ἵναπερ ἔπεσεν ἐκδιφρευθεὶς, ἤλεκτρον ἐπ' αὐτῷ δακρύουσαι καὶ αἴγειροι γενέσθωσαν ἐπὶ τῷ πάθει, σὺ δὲ ξυμπηξάμενος τὸ ἅρμα —

1. JUP. Qualia patrasti, Titanum pessime! perdidisti quæ in terris sunt omnia, adolescentulo insipienti concredito curru; qui hæc exussit, prope terram latus, illa frigore corrumpi fecit, multum inde abducto igne : utque paucis dicam, nihil est, quod non conturbarit, et confuderit : ac nisi animadversa re dejecissem illum fulmine, ne reliquiæ quidem hominum restarent : talem nobis optimum illum aurigam et currus agitatorem emisisti.

SOL. Peccavi, Jupiter : sed ne acerbius feras, si morem gessi filio multum supplicanti : unde enim sperare potui tantum fore mali?

JUP. Non tu sciebas quanta indigeret accuratione hæc res, et, si quis tantillum evagetur a via, actum esse de omnibus? ignorabasne porro equorum animos, utque deceat continere summa vi frænа? si quis enim relaxat, habenas aspernantur statim; quemadmodum videlicet istum quoque distulerunt nunc ad sinistra, post paullo ad dextra, interdum etiam in contrariam, quam quo cursus ferebat, partem; tum sursum et deorsum, ac plane quo vellent ipsi : hic interea nihil habebat quod equis faceret.

2. SOL. Istæc equidem omnia noram, ac propterea renitebar diu, nec committebam ipsi mei currus agitationem. Postquam tandem instando expugnavit et lacrimis, et mater Clymene una cum eo, permisi currum ut conscenderet, et monendo docui, quomodo oporteret firmo gradu consistere, quousque sursum immissis habenis in sublime ferri, tum deorsum rursus vergere, quoque pacto compotem esse habenarum, ac minimum concedere animis equorum. Addidi porro, quantum esset discrimen, nisi per rectam viam ageret. Hic vero, quippe puer, quum conscenderat tantum ignem, et prospexerat in profundum immense patens, stupore perculsus est, ut par fuit : equi autem, ubi senserunt non esse me qui currum insistens regerem, contemto adolescentulo, præcipites extra viam ruerunt, et gravia ista fecerunt : at Phaethon, habenis e manu dimissis, opinor metuens ne excuteretur ipse, arreptam tenebat antygem. Sed et ille jam, quam meruit, habet pœnam, et mihi, Jupiter, satis est supplicii luctus.

3. JUP. Satis esse ais, talia qui fueris ausus? Nunc tamen ignosco tibi : in posterum vero si quid simile deliqueris, aut talem aliquem successorem tibi emiseris, confestim experiere quantum igne tuo fulmen sit magis ignitum. Illum ergo sorores sepeliant ad Eridanum, ubi cecidit quadrigis excussus, electri super eo lacrimas effundentes, et populi fiant ob hunce casum : at tu refecto curru (infractus enim est temo ejus,

κατέαγε δὲ καὶ ὁ ῥυμὸς αὐτοῦ καὶ ἄτερος τῶν τροχῶν συντέτριπται — ἔλαυνε ὑπαγαγὼν τοὺς ἵππους. Ἀλλὰ μέμνησο τούτων ἁπάντων.

alteraque rotarum contrita), cursum redordire subjunctis equis. Ut tamen memor sis horum omnium.

26.

ΑΠΟΛΛΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ.

1. ΑΠ. Ἔχεις μοι εἰπεῖν, ὦ Ἑρμῆ, πότερος ὁ Κάστωρ ἐστὶ τούτων ἢ πότερος ὁ Πολυδεύκης; ἐγὼ γὰρ οὐκ ἂν διακρίναιμι αὐτούς.

ΕΡΜ. Ὁ μὲν χθὲς ἡμῖν ξυγγενόμενος ἐκεῖνος Κάστωρ ἦν, οὗτος δὲ Πολυδεύκης.

ΑΠ. Πῶς διαγιγνώσκεις; ὅμοιοι γάρ.

ΕΡΜ. Ὅτι οὗτος μέν, ὦ Ἄπολλον, ἔχει ἐπὶ τοῦ προσώπου τὰ ἴχνη τῶν τραυμάτων ἃ ἔλαβε παρὰ τῶν ἀνταγωνιστῶν πυκτεύων, καὶ μάλιστα ὁπόσα ὑπὸ τοῦ Βέβρυκος Ἀμύκου ἐτρώθη τῷ Ἰάσονι συμπλέων, ἄτερος δὲ οὐδὲν τοιοῦτον ἐμφαίνει, ἀλλὰ καθαρός ἐστι καὶ ἀπαθὴς τὸ πρόσωπον.

ΑΠ. Ὄνησας διδάξας τὰ γνωρίσματα, ἐπεὶ τά γε ἄλλα πάντα ἴσα, τοῦ ᾠοῦ τὸ ἡμίτομον καὶ ἀστὴρ ὑπερένω καὶ ἀκόντιον ἐν τῇ χειρὶ καὶ ἵππος ἑκατέρῳ λευκὸς, ὥστε πολλάκις ἐγὼ τὸν μὲν προσεῖπον Κάστορα Πολυδεύκην ὄντα, τὸν δὲ τῷ τοῦ Πολυδεύκους ὀνόματι. Ἀτὰρ εἰπέ μοι καὶ τόδε, τί δήποτε οὐκ ἄμφω ξύνεισιν ἡμῖν, ἀλλ' ἐξ ἡμισείας ἄρτι μὲν νεκρὸς, ἄρτι δὲ θεός ἐστιν ἄτερος αὐτῶν;

2. ΕΡΜ. Ὑπὸ φιλαδελφίας τοῦτο ποιοῦσιν· ἐπεὶ γὰρ ἔδει ἕνα μὲν τεθνάναι τῶν Λήδας υἱέων, ἕνα δὲ ἀθάνατον εἶναι, ἐνείμαντο οὕτως αὐτοὶ τὴν ἀθανασίαν.

ΑΠ. Οὐ ξυνετὴν, ὦ Ἑρμῆ, τὴν νομὴν, οἵ γε οὐδὲ ὄψονται οὕτως ἀλλήλους, ὅπερ ἐπόθουν, οἶμαι, μάλιστα· πῶς γὰρ ὁ μὲν παρὰ θεοῖς, ὁ δὲ παρὰ τοῖς φθιτοῖς ὤν; Πλὴν ἀλλ', ὥσπερ ἐγὼ μαντεύομαι, ὁ δὲ Ἀσκληπιὸς ἰᾶται, σὺ δὲ παλαίειν διδάσκεις παιδοτρίβης ἄριστος ὤν, ἡ δὲ Ἄρτεμις μαιεύεται καὶ τῶν ἄλλων ἕκαστος ἔχει τινὰ τέχνην ἢ θεοῖς ἢ ἀνθρώποις χρησίμην, οὗτοι δὲ τί ποιήσουσιν ἡμῖν; ἢ ἀργοὶ εὐωχήσονται τηλικοῦτοι ὄντες;

ΕΡΜ. Οὐδαμῶς, ἀλλὰ προστέτακται αὐτοῖν ὑπηρετεῖν τῷ Ποσειδῶνι καὶ καθιππεύειν δεῖ τὸ πέλαγος καὶ ἐάν που ναύτας χειμαζομένους ἴδωσιν, ἐπικαθίσαντας ἐπὶ τὸ πλοῖον σώζειν τοὺς ἐμπλέοντας.

ΑΠ. Ἀγαθὴν, ὦ Ἑρμῆ, καὶ σωτήριον λέγεις τὴν τέχνην.

26.

APOLLINIS ET MERCURII.

1. AP. Potin' ut mihi dicas, Mercuri, uter Castor sit horum, uterve Pollux? nam equidem ut discernam eos, non est.

MERC. Heri qui nobiscum fuit versatus, is Castor erat; hic, Pollux.

AP. Quo pacto dignoscis? similes enim.

MERC. Eo quod hic, Apollo, habet in facie vestigia vulnerum, quæ accepit ab adversariis pugilatu certans; ea maxime, quibus est a Bebryce Amyco vulneratus, quando Iasoni socius navigabat: alter autem nihil tale præfert, sed purus est atque integra facie.

AP. Gratum inprimis fecisti, qui me docueris hæc indicia: ceteroqnin alia cuncta sunt paria, ovi dimidium segmentum, eique addita superne stella, jaculum in manu, et equus utrique albus: quo factum est, ut sæpe hunc appellarim Castora, qui Pollux erat; illum, Pollucis nomine. Verum dic mihi etiam illud, quid tandem sit causæ, cur ambo simul nobiscum non sint, sed partitis vicibus nunc mortuus, nunc deus sit alter eorum.

2. MERC. Fraternus amor suasit ut hoc facerent: quoniam enim oportebat unum oppetere mortem Ledæ filiorum, alterum immortalem esse, inter se diviserunt eo pacto ipsi immortalitatem.

AP. Haud prudenti, Mercuri, partitione; siquidem ne videbunt quidem sese, quod desiderabant, ut puto, maxime: qui enim hoc fieri possit, quum hic apud deos, iste apud defunctos per vices sit? Attamen, sicuti ego vaticinor, Æsculapius medetur, tu luctari doces, exercitator in hoc genere optimus, Diana obstetricatur, ceterorumque deorum singuli habent artem quandam aut diis aut hominibus utilem, quid hi nobis operis facient? an inertes epulabuntur tam grandi natu?

MERC. Neutiquam: illis hæc est mandata provincia, ut ministrent Neptuno; et obsequitare decet pelagus, et sicubi nautas hieme vexatos viderint, considere in ea navi, illaque vectos servare.

AP. Bonam, Mercuri, et salutarem narras artem.

IX.

ΕΝΑΛΙΟΙ ΔΙΑΛΟΓΟΙ.

1.

ΔΩΡΙΔΟΣ ΚΑΙ ΓΑΛΑΤΕΙΑΣ.

1. ΔΩΡ. Καλὸν ἐραστὴν, ὦ Γαλάτεια, τὸν Σικελὸν τοῦτον ποιμένα φασὶν ἐπιμεμηνέναι σοί.

ΓΑΛ. Μὴ σκῶπτε, Δωρί· Ποσειδῶνος γὰρ υἱός ἐστιν, ὁποῖος ἂν ᾖ.

ΔΩΡ. Τί οὖν; εἰ καὶ τοῦ Διὸς αὐτοῦ παῖς ὢν ἄγριος οὕτω καὶ λάσιος ἐφαίνετο καὶ, τὸ πάντων ἀμορφότατον, μονόφθαλμος, οἴει τὸ γένος ἄν τι ὀνῆσαι αὐτὸν πρὸς τὴν μορφήν;

ΓΑΛ. Οὐδὲ τὸ λάσιον αὐτοῦ καὶ, ὡς φῂς, ἄγριον ἄμορφόν ἐστιν — ἀνδρῶδες γάρ — ὅ τε ὀφθαλμὸς ἐπιπρέπει τῷ μετώπῳ οὐδὲν ἐνδεέστερον ὁρῶν ἢ εἰ δύ' ἦσαν.

ΔΩΡ. Ἔοικας, ὦ Γαλάτεια, οὐκ ἐραστὴν ἀλλ' ἐρώμενον ἔχειν τὸν Πολύφημον, οἷα ἐπαινεῖς αὐτόν.

2. ΓΑΛ. Οὐκ ἐρώμενον, ἀλλὰ τὸ πάνυ ὀνειδιστικὸν τοῦτο οὐ φέρω ὑμῶν, καί μοι δοκεῖτε ὑπὸ φθόνου αὐτὸ ποιεῖν, ὅτι ποιμαίνων ποτὲ ἀπὸ τῆς σκοπῆς παιζούσας ἡμᾶς ἰδὼν ἐπὶ τῆς ἠόνος ἐν τοῖς πρόποσι τῆς Αἴτνης, καθ' ὃ μεταξὺ τοῦ ὄρους καὶ τῆς θαλάττης αἰγιαλὸς ἀπομηκύνεται, ὑμᾶς μὲν οὐδὲ προσέβλεψεν, ἐγὼ δ' ἐξ ἁπασῶν ἡ καλλίστη ἔδοξα, καὶ μόνῃ ἐμοὶ ἐπεῖχε τὸν ὀφθαλμόν. Ταῦτα ὑμᾶς ἀνιᾷ· δεῖγμα γὰρ ὡς ἀμείνων εἰμὶ καὶ ἀξιέραστος, ὑμεῖς δὲ παρώφθητε.

ΔΩΡ. Εἰ ποιμένι καὶ ἐνδεεῖ τὴν ὄψιν καλὴ ἔδοξας, ἐπίφθονος οἷει γεγονέναι; καίτοι τί ἄλλο ἐν σοὶ ἐπαινέσαι εἶχεν ἢ τὸ λευκὸν μόνον; καὶ τοῦτο, οἶμαι, ὅτι ξυνήθης ἐστὶ τυρῷ καὶ γάλακτι· πάντα οὖν τὰ ὅμοια τούτοις ἡγεῖται καλά.

3. Ἐπεὶ τά γε ἄλλα ὁπόταν ἐθελήσῃς μαθεῖν, οἷα τυγχάνεις οὖσα τὴν ὄψιν, ἀπὸ πέτρας τινὸς, εἴ ποτε γαλήνη εἴη, ἐπικύψασα ἐς τὸ ὕδωρ ἰδὲ σεαυτὴν οὐδὲν ἄλλο· ἢ χρόαν λευκὴν ἀκριβῶς· οὐκ ἐπαινεῖται δὲ τοῦτο, ἢν μὴ ἐπιπρέπῃ αὐτῷ καὶ τὸ ἐρύθημα.

ΓΑΛ. Καὶ μὴν ἐγὼ μὲν ἡ ἀκράτως λευκὴ ὅμως ἐραστὴν ἔχω κἂν τοῦτον, ὑμῶν δὲ οὐκ ἔστιν ἥντινα ἢ ποιμὴν ἢ ναύτης ἢ πορθμεὺς ἐπαινεῖ· ὁ δὲ Πολύφημος τά τε ἄλλα καὶ μουσικός ἐστι.

4. ΔΩΡ. Σιώπα, ὦ Γαλάτεια· ἠκούσαμεν αὐτοῦ ᾄδοντος, ὁπότε ἐκώμασε πρῴην ἐπὶ σέ· Ἀφροδίτη φίλη, ὄνον ἄν τις ὀγκᾶσθαι ἔδοξε. Καὶ αὐτὴ δὲ ἡ πηκτὶς οἷα· κρανίον ἐλάφου γυμνὸν τῶν σαρκῶν, καὶ τὰ μὲν κέρατα πήχεις ὥσπερ ἦσαν, ζυγώσας δὲ αὐτὰ καὶ ἐνάψας τὰ νεῦρα, οὐδὲ κόλλοπι περιστρέψας, ἐμελῴδει ἄμουσόν τι καὶ ἀπῳδὸν, ἄλλο μὲν αὐτὸς βοῶν, ἄλλο δὲ ἡ λύρα ὑπήχει, ὥστε οὐδὲ κατέχειν τὸν γέλωτα ἐδύ-

IX.

DIALOGI MARINI.

1.

DORIDIS ET GALATEÆ.

1. DOR. Pulchrum amatorem, o Galatea, aiunt, Siculum istum pastorem, insanire in te.

GAL. Ne cavillare, Dori: Neptuni enim est filius, qualiscumque est.

DOR. Quid ergo? si vel Jovis ipsius filius ferus adeo et hirtus videretur, quodque omnium est maxime deforme, unoculus, censen' genus ei profuturum esse ad formam?

GAL. Neque hirtum illud ejus et, ut ais, ferum omni plane pulchritudine destituitur: est enim virile: et oculus decorat frontem, nihil deterius cernens, quam si duo essent.

DOR. Videre, Galatea, non amatorem, sed amatum habere Polyphemum, prout quidem laudas eum.

2. GAL. Haud certe amatum: verum illam nimiam opprobrandi libidinem vestram non fero: quin mihi videmini ex invidia illud facere, quia pascens aliquando, quum a specula ludentes nos videret in littore, ad imos pedes Ætnæ, qua parte inter montem et mare longe litus protenditur, vos ne aspexit quidem; ego contra ex omnibus ipsi pulcherrima sum visa: ideoque soli etiam mihi adjecit oculum. Illa vos pungunt; indicio enim sunt, me forma meliorem esse et amore dignam: at vos despectæ fuistis.

DOR. Tu si pastori et lumine defecto pulchra es visa, ideo te talem putas cui invideamus? atqui quid aliud in te laudare potuit, quam candorem tantummodo? hanc, opinor, ob causam, quod assueverit caseo et lacti: cuncta igitur his similia ducit pulchra.

3. Ceterum ubi volueris discere, qualis tibi sit facies, a rupe quadam, si quando tranquillum fuerit mare, prona in aquam despectans, contemplare temet ipsam, nihil aliud, quam colore candidam exquisite: illud autem non laudatur, nisi enitescat candori immixtus rubor.

GAL. Atqui illa ego mere candida tamen amatorem vel istum habeo; at vestrum nulla est quam seu pastor, sive nauta, seu portitor laudet: Polyphemus autem et aliis rebus excellit, et musicus est.

4. DOR. Tace, Galatea: audivimus illum canentem, quando comessatum ibat nuper ad te: ita mihi Venus sit propitia, ut asinus aliquis rudere est visus. Tum ipsa lyra qualis! cranium cervi nudum carnibus; cornua quidem quasi manubria erant, quibus quum jugum addidisset atque alligasset nervos, quos nulla clavicula tetenderat, modulabatur agreste quiddam et absonum, dum aliud ipse vociferaretur, aliud lyra subsonaret. Itaque ne continere quidem

νάμεθα ἐπὶ τῷ ἐρωτικῷ ἐκείνῳ ἄσματι· ἡ μὲν γὰρ Ἠχὼ οὐδὲ ἀποκρίνεσθαι αὐτῷ ἤθελεν οὕτω λάλος οὖσα βρυχωμένῳ, ἀλλ' ἠσχύνετο, εἰ φανείη μιμουμένη τραχεῖαν ὠδὴν καὶ καταγέλαστον.

5. Ἔφερε δὲ ὁ ἐπέραστος ἐν ταῖς ἀγκάλαις ἀθυρμάτιον ἄρκτου σκύλακα τὸ λάσιον αὐτῷ προσεοικότα. Τίς οὖν οὐκ ἂν φθονήσειέ σοι, ὦ Γαλάτεια, τοιούτου ἐραστοῦ;

ΓΑΛ. Οὐκοῦν σὺ, Δωρὶ, δεῖξον ἡμῖν τὸν σεαυτῆς, καλλίω δῆλον ὅτι ὄντα καὶ ᾠδικώτερον καὶ κιθαρίζειν ἄμεινον ἐπιστάμενον.

ΔΩΡ. Ἀλλ' ἐραστὴς μὲν οὐδεὶς ἔστι μοι οὐδὲ σεμνύνομαι ἐπέραστος εἶναι· τοιοῦτος δὲ οἷος ὁ Κύκλωψ ἐστὶ, κινάβρας ἀπόζων ὥσπερ ὁ τράγος, ὠμοφάγος, ὡς φασι, καὶ σιτούμενος τοὺς ἐπιδημοῦντας τῶν ξένων, σοὶ γένοιτο καὶ σὺ ἀντερῴης αὐτοῦ.

2.

ΚΥΚΛΩΠΟΣ ΚΑΙ ΠΟΣΕΙΔΩΝΟΣ.

1. ΚΥΚ. Ὦ πάτερ, οἷα πέπονθα ὑπὸ τοῦ καταράτου ξένου, ὃς μεθύσας ἐξετύφλωσέ με κοιμωμένῳ ἐπιχειρήσας.

ΠΟΣ. Τίς δαὶ ἦν ὁ ταῦτα τολμήσας, ὦ Πολύφημε;

ΚΥΚ. Τὸ μὲν πρῶτον Οὖτιν αὐτὸν ἀπεκάλει, ἐπεὶ δὲ διέφυγε καὶ ἔξω ἦν βέλους, Ὀδυσσεὺς ὀνομάζεσθαι ἔφη.

ΠΟΣ. Οἶδα ὃν λέγεις, τὸν Ἰθακήσιον· ἐξ Ἰλίου δ' ἀνέπλει. Ἀλλὰ πῶς ταῦτα ἔπραξεν οὐδὲ πάνυ εὐθαρσὴς ὤν;

2. ΚΥΚ. Κατέλαβον ἐν τῷ ἄντρῳ ἀπὸ τῆς νομῆς ἀναστρέψας πολλούς τινας, ἐπιβουλεύοντας δῆλον ὅτι τοῖς ποιμνίοις· ἐπεὶ γὰρ ἐπέθηκα τῇ θύρᾳ τὸ πῶμα — πέτρα δέ ἐστι παμμεγέθης — καὶ τὸ πῦρ ἀνέκαυσα ἐναυσάμενος ὃ ἔφερον δένδρον ἀπὸ τοῦ ὄρους, ἐφάνησαν ἀποκρύπτειν ἑαυτοὺς πειρώμενοι· ἐγὼ δὲ συλλαβών τινας αὐτῶν, ὥσπερ εἰκὸς ἦν, κατέφαγον λῃστάς γε ὄντας. Ἐνταῦθα ὁ πανουργότατος ἐκεῖνος, εἴτε Οὖτις εἴτε Ὀδυσσεὺς ἦν, δίδωσί μοι πιεῖν φάρμακόν τι ἐγχέας, ἡδὺ μὲν καὶ εὔοσμον, ἐπιβουλότατον δὲ καὶ ταραχωδέστατον· ἅπαντα γὰρ εὐθὺς ἐδόκει μοι περιφέρεσθαι πιόντι καὶ τὸ σπήλαιον αὐτὸ ἀνεστρέφετο καὶ οὐκέτι ὅλως ἐν ἐμαυτοῦ ἦμην, τέλος δὲ ἐς ὕπνον κατεσπάσθην. Ὁ δὲ ἀποξύνας τὸν μοχλὸν καὶ πυρώσας γε προσέτι ἐτύφλωσέ με καθεύδοντα, καὶ ἀπ' ἐκείνου τυφλός εἰμί σοι, ὦ Πόσειδον.

3. ΠΟΣ. Ὡς βαθὺν ἐκοιμήθης, ὦ τέκνον, ὃς οὐκ ἐξέθορες μεταξὺ τυφλούμενος. Ὁ δ' οὖν Ὀδυσσεὺς πῶς διέφυγεν; οὐ γὰρ ἂν εὖ οἶδ' ὅτι ἐδυνήθη ἀποκινῆσαι τὴν πέτραν ἀπὸ τῆς θύρας.

ΚΥΚ. Ἀλλ' ἐγὼ ἀφεῖλον, ὡς μᾶλλον αὐτὸν λάβοιμι ἐξιόντα, καὶ καθίσας παρὰ τὴν θύραν ἐθήρων τὰς χεῖ-

risum poteramus in amatorio isto cantico : nam vel Echo multum aberat ut respondere ipsi vellet, tam licet garrula, rugienti; sed pudebat eam, si visa fuisset imitari asperum cantum et ridiculum.

5. Imo ferebat etiam amabilis iste in ulnis ludicrum, ursæ catulum, hirsutia ipsi plane similem. Quis non invideat tibi, Galatea, talem amatorem?

GAL. Quin ergo, Dori, monstra nobis tuum, formosiorem scilicet ac doctius canentem, quique cithara ludere melius sciat.

DOR. At amator quidem nullus est mihi, neque me amabilem esse arroganter præ me fero : talis autem, qualis est Cyclops, fœtidum alarum odorem spargens, tanquam hircus, crudivorus, ut aiunt, et cibum capiens, qui eo deferuntur, hospites, tibi eveniat, tuque mutuo ames illum.

2.

CYCLOPIS ET NEPTUNI.

1. CYC. O pater, qualia sum passus ab illo scelerato hospite, qui, quum inebriasset, excæcavit me dormientem aggressus.

NEP. Quis ista, Polypheme, est ausus?

CYC. Initio semet Neminem appellitabat : at postquam effugit extraque teli jactum erat, Ulyssem sibi nomen esse dixit.

NEP. Novi, quem dicas, Ithacensem illum : ex Ilio domum revehebatur. Quomodo tamen ista patravit, qui haud valde forti sit animo?

2. CYC. Deprehendi in antro a pastu reversus aliquammultos, insidiantes nimirum gregibus : ubi enim opposui januæ operculum (hoc saxum mihi est ingens) ignemque feci succensa quam ferebam arbore a monte, id agere videbantur, ut absconderent sese. Tum ego correptos eorum quosdam, ut æquum erat, commanducavi, quippe latrones : ibi vaferrimus ille sive Nemo sive Ulysses dat mihi bibere medicamentum infusum, suave quidem et odoris boni, sed idem insidiosissimum ac turbulentissimum : etenim cuncta statim videbantur mihi circumagi, hoc potu hausto, ipsaque spelunca sursum deorsum vertebatur, neque amplius omnino apud me eram; denique in somnum devolutus sum. Ibi ille, exacuto vecte et ambusto insuper, lumine me privavit dormientem : ex eoque tempore cæcus sum tibi, Neptune.

3. NEP. Quam tu altum obdormivisti, fili, qui non exsilueris, dum oculus effodiebatur. Ulysses autem quo pacto effugit? nam, ut mihi quidem certo persuadeo, non potuit amovere petram a janua.

CYC. Imo ipse abstuli, ut magis eum caperem exeuntem : nam quum consedissem juxta januam, venabar manu-

ρας ἐκπετάσας, μόνα παρεὶς τὰ πρόβατα ἐς τὴν νομὴν, ἐντειλάμενος τῷ κριῷ ὁπόσα ἐχρῆν πράττειν αὐτὸν ὑπὲρ ἐμοῦ.

4. ΠΟΣ. Μανθάνω· ὑπ' ἐκείνοις ἔλαθον ὑπεξελθόντες σὲ δὲ τοὺς ἄλλους Κύκλωπας ἔδει ἐπιβοήσασθαι ἐπ' αὐτόν.

ΚΥΚ. Συνεκάλεσα, ὦ πάτερ, καὶ ἦκον· ἐπεὶ δὲ ἤροντο τοῦ ἐπιβουλεύοντος τοὔνομα κἀγὼ ἔφην ὅτι Οὔτίς ἐστι, μελαγχολᾶν οἰηθέντες με ᾤχοντο ἀπιόντες. Οὕτω κατεσοφίσατό με ὁ κατάρατος τῷ ὀνόματι. Καὶ ὃ μάλιστα ἠνίασέ με, ὅτι καὶ ὀνειδίζων ἐμοὶ τὴν συμφορὰν, Οὐδὲ ὁ πατὴρ, φησὶν, ὁ Ποσειδῶν ἰάσεταί σε.

ΠΟΣ. Θάρρει, ὦ τέκνον· ἀμυνοῦμαι γὰρ αὐτὸν, ὡς μάθῃ ὅτι, καὶ εἰ πήρωσίν μοι ὀφθαλμῶν ἴασθαι ἀδύνατον, τὰ γοῦν τῶν πλεόντων, τὸ σώζειν αὐτοὺς καὶ ἀπολλύναι, ἐπ' ἐμοί ἐστι· πλεῖ δὲ ἔτι.

3.

ΠΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΑΛΦΕΙΟΥ.

1. ΠΟΣ. Τί τοῦτο, Ἀλφειέ; μόνος τῶν ἄλλων ἐμπεσὼν ἐς τὸ πέλαγος οὔτε ἀναμίγνυσαι τῇ ἅλμῃ, ὡς ἔθος ποταμοῖς ἅπασιν, οὔτε ἀναπαύεις σεαυτὸν διαχυθείς, ἀλλὰ διὰ τῆς θαλάττης ξυνεστὼς καὶ γλυκὺ φυλάττων τὸ ῥεῖθρον, ἀμιγὴς ἔτι καὶ καθαρὸς ἐπείγῃ οὐκ οἶδα ὅποι βύθιος ὑποδὺς καθάπερ οἱ λάροι καὶ ἐρωδιοί· καὶ ἔοικας ἀνακύψειν που καὶ αὖθις ἀναφανεῖν σεαυτόν.

ΑΛΦ. Ἐρωτικόν τι τὸ πρᾶγμά ἐστιν, ὦ Πόσειδον, ὥστε μὴ ἔλεγχε· ἠράσθης δὲ καὶ αὐτὸς πολλάκις.

ΠΟΣ. Γυναικὸς, ὦ Ἀλφειέ, ἢ νύμφης ἐρᾷς ἢ καὶ τῶν Νηρηίδων αὐτῶν μιᾶς;

ΑΛΦ. Οὐκ, ἀλλὰ πηγῆς, ὦ Πόσειδον.

ΠΟΣ. Ἡ δὲ ποῦ σοι γῆς αὕτη ῥεῖ;

ΑΛΦ. Νησιῶτίς ἐστι Σικελή· Ἀρέθουσαν αὐτὴν καλοῦσιν.

2. ΠΟΣ. Οἶδα οὐκ ἄμορφον, ὦ Ἀλφειέ, τὴν Ἀρέθουσαν, ἀλλὰ διαυγής τέ ἐστι καὶ διὰ καθαροῦ ἀναβλύζει καὶ τὸ ὕδωρ ἐπιπρέπει ταῖς ψηφῖσιν ὅλον ὑπὲρ αὐτῶν φαινόμενον ἀργυροειδές.

ΑΛΦ. Ὡς ἀληθῶς οἶσθα τὴν πηγὴν, ὦ Πόσειδον· παρ' ἐκείνην οὖν ἀπέρχομαι.

ΠΟΣ. Ἀλλ' ἄπιθι μὲν καὶ εὐτύχει ἐν τῷ ἔρωτι· ἐκεῖνο δέ μοι εἰπὲ, ποῦ τὴν Ἀρέθουσαν εἶδες αὐτὸς μὲν Ἀρκὰς ὤν, ἡ δὲ ἐν Συρακόσαις ἐστίν;

ΑΛΦ. Ἐπειγόμενόν με κατέχεις, ὦ Πόσειδον, περίεργα ἐρωτῶν.

ΠΟΣ. Εὖ λέγεις· χώρει παρὰ τὴν ἀγαπωμένην, καὶ ἀναδὺς ἀπὸ τῆς θαλάττης ξυναυλίᾳ μίγνυσο τῇ πηγῇ καὶ ἓν ὕδωρ γίγνεσθε.

bus expansis, solas prætermittens oves ad pastum, præcipiensque arieti quæcumque par erat illum facere pro me.

4. NEP. Intelligere mihi videor eos sub istis latentes clam egressos fuisse. Quin tu ceteros Cyclopas quanto poteras clamore advocasses adversum eum.

CYC. Convocavi, pater, et venerunt : sciscitati autem insidiatoris nomen, ubi ego dicebam Neminem esse, atra me bile percitum ducentes confestim abierunt : sic me circumventum detestabilis ille decepit nomine : quodque maximo mihi fuit dolori, etiam exprobrato mihi damno, No pater quidem, inquit, Neptunus sanabit te.

NEP. Bonum animum habe, fili; ulciscar ipsum, ut discat, quamvis cæcitati oculorum mederi non possim, fortunam tamen navigantium, ut servem eos aut perdam, in mea ease potestate : navigat autem adhuc.

3.

NEPTUNI ET ALPHEI.

1. NEP. Quid hoc est rei, Alphee? solus aliorum illapsus in pelagus nec commisceris salo, ut quidem mos est fluviis omnibus, nec requiescis te diffusus; sed per mare concretus, ac dulci servato liquore, non permixtus præterea purusque properas, nescio quo in profundum te demergens, ut gaviæ solent et ardeæ : et videris emersurus alicubi, teque denuo in lucem prolaturus.

ALPH. Amatorium hoc quiddam est, o Neptune : quare ne arguas; amore captus enim et tu fuisti sæpius.

NEP. Mulierem, Alphee, an nympham amas? an Nereidum ipsarum unam?

ALPH. Nequaquam; sed naiadem, Neptune.

NEP. Hæc tamen ubi terrarum tibi fluit?

ALPH. Insularis est Sicula : Arethusam vocitant.

2. NEP. Novi sane non invenustam, Alphee, Arethusam : imo enim est pellucida, e puroque solo scaturit, et aqua lapillis illudens nitet, totaque super eos apparet argentea.

ALPH. Ut vere nosti fontem Arethusam, Neptune : ad illam ipsam ergo me confero.

NEP. At abi, et esto felix in amore. Imo istud etiam mihi expone : ubi Arethusam vidisti tu, qui Arcas es, quum illa sit Syracusis?

ALP. Festinantem me detines, o Neptune, quæ nihil ad rem faciunt sciscitando.

NEP. Bene mones : quin tu perge ad dilectam; quumque emerseris a mari, mutua conspiratione miscetor fonti, et unam in aquam coite.

4.

ΜΕΝΕΛΑΟΥ ΚΑΙ ΠΡΩΤΕΩΣ.

1. ΜΕΝ. Ἀλλὰ ὕδωρ μέν σε γίγνεσθαι, ὦ Πρωτεῦ, οὐκ ἀπίθανον, ἐναλιόν γε ὄντα, καὶ δένδρον, ἔτι φορητὸν, καὶ ἐς λέοντα δὲ ὁπότε ἀλλαγείης, ὅμως οὐδὲ τοῦτο ἔξω πίστεως· εἰ δὲ καὶ πῦρ γίγνεσθαι δυνατὸν ἐν θαλάττῃ οἰκοῦντα, τοῦτο πάνυ θαυμάζω καὶ ἀπιστῶ.

ΠΡΩΤ. Μὴ θαυμάσῃς, ὦ Μενέλαε· γίγνομαι γάρ.

ΜΕΝ. Εἶδον καὶ αὐτός· ἀλλά μοι δοκεῖς — εἰρήσεται γὰρ πρὸς σέ — γοητείαν τινὰ προσάγειν τῷ πράγματι καὶ τοὺς ὀφθαλμοὺς ἐξαπατᾶν τῶν ὁρώντων αὐτὸς οὐδὲν τοιοῦτο γιγνόμενος.

2. ΠΡΩΤ. Καὶ τίς ἂν ἡ ἀπάτη ἐπὶ τῶν οὕτως ἐναργῶν γένοιτο; οὐκ ἀνεῳγμένοις τοῖς ὀφθαλμοῖς εἶδες ἐς ὅσα μετεποίησα ἐμαυτόν; εἰ δὲ ἀπιστεῖς καὶ τὸ πρᾶγμα ψευδὲς εἶναι δοκεῖ, φαντασία τις πρὸ τῶν ὀφθαλμῶν ἱσταμένη, ἐπειδὰν πῦρ γένωμαι, προσένεγκέ μοι, ὦ γενναιότατε, τὴν χεῖρα· εἴσῃ γὰρ εἰ ὁρῶμαι μόνον ἢ καὶ τὸ κάειν τότε μοι πρόσεστιν.

ΜΕΝ. Οὐκ ἀσφαλὴς ἡ πεῖρα, ὦ Πρωτεῦ.

ΠΡΩΤ. Σὺ δέ μοι, ὦ Μενέλαε, δοκεῖς οὐδὲ πολύπουν ἑωρακέναι πώποτε οὐδ' ὃ πάσχει ὁ ἰχθὺς οὗτος εἰδέναι.

ΜΕΝ. Ἀλλὰ τὸν μὲν πολύπουν εἶδον, ἃ πάσχει δὲ, ἡδέως ἂν μάθοιμι παρὰ σοῦ.

3. ΠΡΩΤ. Ὁποίᾳ ἂν πέτρᾳ προσελθὼν ἁρμόσῃ τὰς κοτύλας καὶ προσφὺς ἔχηται, ἐκείνῃ ὅμοιον ἀπεργάζεται ἑαυτὸν καὶ μεταβάλλει τὴν χρόαν μιμούμενος τὴν πέτραν, ὡς ἂν λάθῃ τοὺς ἁλιέας μὴ διαλλάττων μηδὲ φανερὸς ὢν διὰ τοῦτο, ἀλλ' ἐοικὼς τῷ λίθῳ.

ΜΕΝ. Φασὶ ταῦτα· τὸ δὲ σὸν πολλῷ παραδοξότερον, ὦ Πρωτεῦ.

ΠΡΩΤ. Οὐκ οἶδα, ὦ Μενέλαε, τίνι ἂν ἄλλῳ πιστεύσειας τοῖς ἑαυτοῦ ὀφθαλμοῖς ἀπιστῶν.

ΜΕΝ Ἰδὼν εἶδον· ἀλλὰ τὸ πρᾶγμα τεράστιον, τὸν αὐτὸν πῦρ καὶ ὕδωρ γίγνεσθαι.

5.

ΠΑΝΟΠΗΣ ΚΑΙ ΓΑΛΗΝΗΣ.

1. ΠΑΝ. Εἶδες, ὦ Γαλήνη, χθὲς οἷα ἐποίησεν ἡ Ἔρις παρὰ τὸ δεῖπνον ἐν Θετταλίᾳ, διότι μὴ καὶ αὐτὴ ἐκλήθη ἐς τὸ συμπόσιον;

ΓΑΛ. Οὐ ξυνειστιώμην ὑμῖν ἔγωγε· ὁ γὰρ Ποσειδῶν ἐκέλευσέ με, ὦ Πανόπη, ἀκύμαντον ἐν τοσούτῳ φυλάττειν τὸ πέλαγος. Τί δ' οὖν ἐποίησεν ἡ Ἔρις μὴ παροῦσα;

ΠΑΝ. Ἡ Θέτις μὲν ἤδη καὶ ὁ Πηλεὺς ἀπεληλύθεσαν ἐς τὸν θάλαμον ὑπὸ τῆς Ἀμφιτρίτης καὶ τοῦ Ποσειδῶνος παραπεμφθέντες, ἡ Ἔρις δ' ἐν τοσούτῳ λαθοῦσα πάντας — ἐδυνήθη δὲ ῥᾳδίως, τῶν μὲν πι-

4.

MENELAI ET PROTEI.

1. MEN. At aquam te fieri, o Proteu, haud improbabile, quippe marinum; et arborem, id quoque ferri potest: quin in leonem quando mutaris, ne id quidem plane extra fidem est: verum, si et ignis fieri possis, in mari qui habites, id valde admiror ac minime credo.

PROT. Ne mireris, Menelae: nam ita res est, fio.

MEN. Vidi ipse equidem: sed videre mihi, quod pace tua dictum velim, præstigias quasdam admovere huic rei, oculosque fallere spectantium, dum ipse nihil tale fis.

2. PROT. Et quæ tandem fallacia in rebus tam manifestis resideat? non tu apertis oculis es contuitus, quas in formas memet ipse conversum fecerim? sin fidem non habes, et falsa res hæc esse videtur, inanis scilicet quædam species ante oculos consistens, tum tu, ubi ignis factus fuero, admove mihi, vir fortissime, manum: probe scies, videarne solum talis, an facultas etiam urendi tunc mihi adsit.

MEN. Non tutum est hoc experimentum, o Proteu.

PROT. Tu quidem mihi, Menelae, videris polypum vidisse nunquam, quæque hujus piscis sit natura, ignorare.

MEN. Imo polypum vidi: at naturam ejus libenter didicerim abs te.

3. PROT. Ad quamcumque petram accesserit, aptaritque acetabula et agglutinatus ei hæserit, illi similem se reddit, mutatoque colore scopulum imitatur, ut fallat piscatores nihil diversus, proptereaque nec conspicuus, sed plane similis isti lapidi.

MEN. Ista narrant: tuum autem illud multo est incredibilius, Proteu.

PRO. Nescio profecto, Menelae, cui sis alteri fidem habiturus, quam tuis ipsius oculis denegas.

MEN. Videndo sane vidi: sed res est portentosa, idem ut ignis et aqua fiat.

5.

PANOPES ET GALENES.

1. PAN. Vidistin', Galene, heri, qualia designarit Eris inter cœnam in Thessalia, quod non et ipsa fuerit vocata ad convivium?

GAL. Equidem haud epulabar vobiscum: Neptunus enim jussit me, Panope, nullis fluctibus agitatum ac tranquillum interea servare pelagus. Quid ergo fecit Eris, quod non adesset?

PAN. Thetis et Peleus jam abierant in thalamum ab Amphitrite et Neptuno deducti: Eris interim clam omnibus (poterat autem facillime, dum hi quidem biberent, illi salta-

νόντων, ἐνίων δὲ κροτούντων ἢ τῷ Ἀπόλλωνι κιθαρίζοντι ἢ ταῖς Μούσαις ᾄδούσαις προσεχόντων τὸν νοῦν — ἐνέβαλεν ἐς τὸ ξυμπόσιον μῆλόν τι πάγκαλον, χρυσοῦν ὅλον, ᾧ Γαλήνη· ἐπεγέγραπτο δὲ « ἡ καλὴ λαβέτω. » Κυλινδούμενον δὲ τοῦτο ὥσπερ ἐξεπίτηδες ἦκεν ἔνθα Ἥρα τε καὶ Ἀφροδίτη καὶ Ἀθηνᾶ κατεκλίνοντο.

2. Κἀπειδὴ ὁ Ἑρμῆς ἀνελόμενος ἐπελέξατο τὰ γεγραμμένα, αἱ μὲν Νηρηίδες ἡμεῖς ἀπεσιωπήσαμεν· τί γὰρ ἔδει ποιεῖν ἐκείνων παρουσῶν; αἱ δὲ ἀντεποιοῦντο ἑκάστη καὶ αὑτῆς εἶναι τὸ μῆλον ἠξίουν, καὶ εἰ μή γε ὁ Ζεὺς διέστησεν αὐτάς, καὶ ἄχρι χειρῶν ἂν προὐχώρησε τὸ πρᾶγμα· ἀλλ' ἐκεῖνος, Αὐτὸς μὲν οὐ κρινῶ, φησὶ, περὶ τούτου, — καίτοι ἐκεῖναι αὐτὸν δικάσαι ἠξίουν — ἅπιτε δὲ ἐς τὴν Ἴδην παρὰ τὸν Πριάμου παῖδα, ὃς οἶδέ τε διαγνῶναι τὴν κάλλιονα φιλόκαλος ὤν, καὶ οὐκ ἂν ἐκεῖνος κρίναι κακῶς.

ΓΑΛ. Τί οὖν αἱ θεαί, ᾧ Πανόπη;

ΠΑΝ. Τήμερον, οἶμαι, ἀπίασιν ἐς τὴν Ἴδην, καί τις ἥξει μετὰ μικρὸν ἀπαγγέλλων ἡμῖν τὴν κρατοῦσαν.

ΓΑΛ. Ἤδη σοί φημι, οὐκ ἄλλη κρατήσει τῆς Ἀφροδίτης ἀγωνιζομένης, ἢν μὴ πάνυ ὁ διαιτητὴς ἀμβλυώττῃ.

rent, alii vel Apollini citharam pulsanti, vel Musis canentibus adhiberent animum) impulit in convivium malum quam pulcherrimum, aureum totum, Galene : cui erat inscriptum : PULCHRA ACCIPIAT. Id autem provolutum quasi de industria pervenit ubi Juno, Venus et Minerva decumbebant.

2. Tum eo Mercurius sublato postquam perlegit inscripta, nos quidem Nereides conticuimus : quid enim oportebat facere, deabus præsentibus? at hæ sibi quæque vindicabant, suumque esse malum contendebant : quin etiam, nisi Jupiter diremisset eas, ad manus res pervenisset. Ille tamen, Ipse quidem, inquit, judicium non interponam ea de re (quanquam hoc ut faceret, istæ magno opere laborarent); abite vero in Idam ad Priami filium, qui certe noverit dignoscere pulchriorem, formarum elegans spectator; neque is profecto judicaverit male.

GAL. Quid ergo deæ, Panope?

PAN. Hodie, puto, petunt Idam; et aliquis affuturus erit mox, qui nunciet nobis victricem.

GAL. Jam nunc tibi dico, non alia vincet, Venere quidem certante, nisi valde sit arbiter hebeti oculorum acie.

6.

ΤΡΙΤΩΝΟΣ, ΑΜΥΜΩΝΗΣ ΚΑΙ ΠΟΣΕΙΔΩΝΟΣ.

1. ΤΡΙΤ. Ἐπὶ τὴν Λέρναν, ᾧ Πόσειδον, παραγίγνεται καθ' ἑκάστην ἡμέραν ὑδρευσομένη παρθένος, πάγκαλόν τι χρῆμα· οὐκ οἶδα ἔγωγε καλλίω παῖδα ἰδών.

ΠΟΣ. Ἐλευθέραν τινὰ, ᾧ Τρίτων, λέγεις, ἢ θεράπαινά τις ὑδροφόρος ἐστίν;

ΤΡΙΤ. Οὐ μὲν οὖν, ἀλλὰ τοῦ Αἰγυπτίου ἐκείνου θυγάτηρ, μία τῶν πεντήκοντα καὶ αὐτὴ, Ἀμυμώνη τοὔνομα· ἐπυθόμην γὰρ ἥτις καλοῖτο καὶ τὸ γένος. Ὁ Δαναὸς δὲ σκληραγωγεῖ τὰς θυγατέρας καὶ αὐτουργεῖν διδάσκει καὶ πέμπει ὕδωρ τε ἀρυσομένας καὶ πρὸς τὰ ἄλλα παιδεύει ἀόκνους εἶναι αὐτάς.

2. ΠΟΣ. Μόνη δὲ παραγίγνεται μακρὰν οὕτω τὴν ὁδὸν ἐξ Ἄργους ἐς Λέρναν;

ΤΡΙΤ. Μόνη· πολυσίφιον δὲ τὸ Ἄργος, ὡς οἶσθα· ὥστε ἀνάγκη ἀεὶ ὑδροφορεῖν.

ΠΟΣ. Ὦ Τρίτων, οὐ μετρίως με διετάραξας εἰπὼν τὰ περὶ τῆς παιδός· ὥστε ἴωμεν ἐπ' αὐτήν.

ΤΡΙΤ. Ἴωμεν· ἤδη γοῦν καιρὸς τῆς ὑδροφορίας· καὶ σχεδόν που κατὰ μέσην τὴν ὁδόν ἐστιν ἰοῦσα ἐς τὴν Λέρναν.

ΠΟΣ. Οὐκοῦν ζεῦξον τὸ ἅρμα· ἢ τοῦτο μὲν πολλὴν ἔχει τὴν διατριβὴν ὑπάγειν τοὺς ἵππους τῇ ζεύγλῃ καὶ τὸ ἅρμα ἐπισκευάζειν, σὺ δὲ ἀλλὰ δελφινά μοι τινα τῶν ὠκέων παράστησον· ἐφιππάσομαι γὰρ ἐπ' αὐτοῦ τάχιστα.

6.

TRITONIS, AMYMONES ET NEPTUNI.

1. TRIT. Ad Lernam, Neptune, accedit quotidie aquatum virgo, res plane pulcherrima : haud equidem scio formosiorem me puellam vidisse.

NEP. Ingenuamne dicis, o Triton, an famula quædam est ad aquam ferendam?

TRIT. Nequaquam : sed Ægyptii istius filia, una quinquagenarum et ipsa, Amymone nomine : sciscitatus enim sum et quomodo vocetur, et genus. Danaus autem durius habet filias, et ad opus suis manibus faciendum instituit, atque etiam mittit aquam hausturas; ad cetera porro ministeria condocefacit, ut impigræ sint.

2. NEP. Solane conficit tam longum iter Argis ad Lernam?

TRIT. Sola : valde autem siticulosum est Argos, ut nosti : atque adeo necesse est semper aquam eo ferre.

NEP. Triton, non mediocriter tu me conturbasti his de puella dictis : quare adeamus ad eam.

TRIT. Eamus : jam enim tempus est aquationis; et fere, ni fallor, in media versatur via petens Lernam.

NEP. Itaque junge currum : aut illud quidem longam habet moram, subdere equos jugo, et currum apparare : quin tu potius delphinum mihi aliquem ex velocioribus adducito : equitans enim in eo provehar celerrime.

ΤΡΙΤ. Ἰδού σοι οὑτοσὶ δελφίνων ὁ ὠκύτατος.

ΠΟΣ. Εὖ γε· ἀπελαύνωμεν· σὺ δὲ παρανήχου, ὦ Τρίτων. Κἀπειδὴ πάρεσμεν ἐς τὴν Λέρναν, ἐγὼ μὲν λοχήσω ἐνταῦθά που, σὺ δ' ἀποσκόπει· ὁπόταν αἴσθῃ προσιοῦσαν αὐτὴν —

ΤΡΙΤ. Αὕτη σοι πλησίον.

3. ΠΟΣ. Καλὴ, ὦ Τρίτων, καὶ ὡραία παρθένος· ἀλλὰ συλληπτέα ἡμῖν ἐστιν.

ΑΜ. Ἄνθρωπε, ποῖ με ξυναρπάσας ἄγεις; ἀνδραποδιστὴς εἶ, καὶ ἔοικας ἡμῖν ὑπ' Αἰγύπτου τοῦ θείου ἐπιπεμφθῆναι· ὥστε βοήσομαι τὸν πατέρα.

ΤΡΙΤ. Σώπησον, ὦ Ἀμυμώνη· Ποσειδῶν ἐστι.

ΑΜ. Τί Ποσειδῶν λέγεις; τί βιάζῃ με, ὦ ἄνθρωπε, καὶ ἐς τὴν θάλατταν καθέλκεις; ἐγὼ δὲ ἀποπνιγήσομαι ἡ ἀθλία καταδῦσα.

ΠΟΣ. Θάρρει, οὐδὲν δεινὸν μὴ πάθῃς· ἀλλὰ καὶ πηγὴν ἐπώνυμόν σοι ἀναδοθῆναι ἐάσω ἐνταῦθα πατάξας τῇ τριαίνῃ τὴν πέτραν πλησίον τοῦ κλύσματος, καὶ σὺ εὐδαίμων ἔσῃ καὶ μόνη τῶν ἀδελφῶν οὐχ ὑδροφορήσεις ἀποθανοῦσα.

TRIT. Ecce tibi istum delphinorum ocissimum.

NEP. Bene: avehamur; tu vero juxta adnata, Triton. Quandoquidem venimus Lernam, ego insidiabor isto fere loco; tu prospecta; quumque senseris adventantem illam —

TRIT. En ipsa tibi prope adest.

3. NEP. Pulchra, Triton, et florens virgo: omnino comprehendenda nobis est.

AMY. Mi homo, quo me correptam ducis? plagiarius es, et videris in nos ab Ægypto patruo immissus esse: quare invocabo patrem.

TRIT. Tace, Amymone: Neptunus hic est.

AMY. Quid mihi Neptunum dicis? quid vim affers mihi, homo, inque mare detrahis? misera suffocabor demersa.

NEP. Bonum animum habe; nullum incommodum patieris: imo etiam fontem tui nominis emicare faciam ibi, percussa tridente hac petra, prope maris æstum: tu vero felix eris, sororumque sola non feres aquam mortua.

7.

ΝΟΤΟΥ ΚΑΙ ΖΕΦΥΡΟΥ.

1. ΝΟΤ. Ταύτην, ὦ Ζέφυρε, τὴν δάμαλιν, ἣν διὰ τοῦ πελάγους ἐς Αἴγυπτον ὁ Ἑρμῆς ἄγει, ὁ Ζεὺς διεκόρευσεν ἁλοὺς ἔρωτι;

ΖΕΦ. Ναὶ, ὦ Νότε· οὐ δάμαλις δὲ τότε, ἀλλὰ παῖς ἦν τοῦ ποταμοῦ Ἰνάχου· νῦν δὲ ἡ Ἥρα τοιαύτην ἐποίησεν αὐτὴν ζηλοτυπήσασα, ὅτι καὶ πάνυ ἑώρα ἐρῶντα τὸν Δία.

ΝΟΤ. Νῦν οὖν ἔτι ἐρᾷ τῆς βοός;

ΖΕΦ. Καὶ μάλα, καὶ διὰ τοῦτο ἐς Αἴγυπτον αὐτὴν ἔπεμψε καὶ ἡμῖν προσέταξε μὴ κυμαίνειν τὴν θάλατταν ἕστ' ἂν διανήξηται, ὡς ἀποτεκοῦσα ἐκεῖ — κυεῖ δὲ ἤδη — θεὸς γένοιτο καὶ αὐτὴ καὶ τὸ τεχθέν.

2. ΝΟΤ. Ἡ δάμαλις θεός;

ΖΕΦ. Καὶ μάλα, ὦ Νότε· ἄρξει τε, ὡς ὁ Ἑρμῆς ἔφη, τῶν πλεόντων καὶ ἡμῶν ἔσται δέσποινα, ὅντινα ἂν ἡμῶν ἐθέλῃ ἐκπέμψαι ἢ κωλῦσαι ἐπιπνεῖν.

ΝΟΤ. Θεραπευτέα τοιγαροῦν, ὦ Ζέφυρε, ἤδη δέσποινά γε οὖσα.

ΖΕΦ. Νὴ Δί· εὐνουστέρα γὰρ ἂν οὕτω γένοιτο. Ἀλλ' ἤδη γὰρ διεπέρασε καὶ ἐξένευσεν ἐς τὴν γῆν. Ὁρᾷς ὅπως οὐκέτι μὲν τετραποδιστὶ βαδίζει, ἀνορθώσας δ' αὐτὴν ὁ Ἑρμῆς γυναῖκα παγκάλην αὖθις ἐποίησε;

ΝΟΤ. Παράδοξα γοῦν ταῦτα, ὦ Ζέφυρε· οὐκέτι τὰ κέρατα οὐδὲ οὐρὰ καὶ διχαλὰ τὰ σκέλη, ἀλλ' ἐπέραστος κόρη. Ὁ μέντοι Ἑρμῆς τί παθὼν μεταβέβληκεν ἑαυτὸν καὶ ἀντὶ νεανίου κυνοπρόσωπος γεγένηται;

ΖΕΦ. Μὴ πολυπραγμονῶμεν, ὅτε ἄμεινον ἐκεῖνος οἶδε τὰ πρακτέα.

7.

NOTI ET ZEPHYRI.

1. NOT. Illam ergo, Zephyre, juvencam, quam per pelagus in Ægyptum Mercurius ducit, Jupiter vitiavit amore captus?

ZEPH. Ita est, Note: neque tunc tamen erat juvenca, sed filia fluvii Inachi: nunc Juno talem fecit eam, æmulatione fervida, quod vehementer videret amare Jovem.

NOT. Igitur etiam nunc amat illam vaccam?

ZEPH. Plane: ideoque in Ægyptum eam misit, ac nobis præcepit ne fluctibus agitaremus mare, donec transnarit, ut partum ibi enixa (uterum enim jam fert), dea fiat tum ipsa, tum quod natum erit.

2. NOT. Juvenca ut dea fiat?

ZEPH. Omnino, Note: et præerit, ut Mercurius narravit, navigantibus, nosque erimus in ejus potestate, ut quemcumque nostrûm voluerit emittat, aut prohibeat flare.

NOT. Colenda igitur, o Zephyre, jam quippe domina.

ZEPH. Profecto: magis enim benevola nobis ita reddatur. At ecce jam trajecit, atque evasit in terram. Viden' ut non amplius quadrupedis more incedat, sed eam erectam Mercurius mulierem pulcherrimam iterum effecerit?

NOT. Mirabilia sane sunt ista, Zephyre: abierunt cornua, cauda, bifidi pedes: contra amabilis est virgo. Atqui Mercurius quid est quod semet mutarit, et pro juvene caninam faciem sumserit?

ZEPH. Ne curiosius inquiramus; quandoquidem melius ille sciverit quid sit faciendum.

8.

ΠΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΔΕΛΦΙΝΩΝ.

1. ΠΟΣ. Εὖ γε, ὦ Δελφῖνες, ὅτι ἀεὶ φιλάνθρωποί ἐστε, καὶ πάλαι μὲν τὸ τῆς Ἰνοῦς παιδίον ἐπὶ τὸν Ἰσθμὸν ἐκομίσατε ὑποδεξάμενοι ἀπὸ τῶν Σκειρωνίδων μετὰ τῆς μητρὸς ἐμπεσὸν, καὶ νῦν σὺ τὸν κιθαρῳδὸν τουτονὶ τὸν ἐκ Μηθύμνης ἀναλαβὼν ἐξενήξω ἐς Ταίναρον αὐτῇ σκευῇ καὶ κιθάρᾳ, οὐδὲ περιεῖδες κακῶς ὑπὸ τῶν ναυτῶν ἀπολλύμενον.

ΔΕΛΦ. Μὴ θαυμάσῃς, ὦ Πόσειδον, εἰ τοὺς ἀνθρώπους εὖ ποιοῦμεν ἐξ ἀνθρώπων γε καὶ αὐτοὶ ἰχθύες γενόμενοι.

ΠΟΣ. Καὶ μέμφομαί γε τῷ Διονύσῳ, ὅτι ὑμᾶς καταναυμαχήσας μετέβαλε, δέον χειρώσασθαι μόνον, ὥσπερ τοὺς ἄλλους ὑπηγάγετο. Πῶς δ' οὖν τὰ κατὰ τὸν Ἀρίονα τοῦτον ἐγένετο, ὦ Δελφίν;

2. ΔΕΛΦ. Ὁ Περίανδρος, οἶμαι, ἔχαιρεν αὐτῷ καὶ πολλάκις μετεπέμπετο αὐτὸν ἐπὶ τῇ τέχνῃ, ὁ δὲ πλουτήσας παρὰ τοῦ τυράννου ἐπεθύμησε πλεύσας οἴκαδε ἐς τὴν Μήθυμναν ἐπιδείξασθαι τὸν πλοῦτον, καὶ ἐπιβὰς πορθμείου τενὸς κακούργων ἀνδρῶν ὡς ἔδειξε πολὺν ἄγων χρυσόν τε καὶ ἄργυρον, ἐπεὶ κατὰ μέσον τὸ Αἰγαῖον ἐγένοντο, ἐπιβουλεύουσιν αὐτῷ οἱ ναῦται· ὁ δὲ — ἠκροώμην γὰρ ἅπαντα παρανέων τῷ σκάφει — Ἐπεὶ ταῦτα ὑμῖν δέδοκται, ἔφη, ἀλλὰ τὴν σκευὴν ἀναλαβόντα με καὶ ᾄσαντα θρῆνόν τινα ἐπ' ἐμαυτῷ ἑκόντα ἐάσατε ῥῖψαι ἐμαυτόν. Ἐπέτρεψαν οἱ ναῦται καὶ ἀνέλαβε τὴν σκευὴν καὶ ἦσε πάνυ λιγυρὸν, καὶ ἔπεσεν ἐς τὴν θάλασσαν ὡς αὐτίκα πάντως ἀποθανούμενος· ἐγὼ δὲ ὑπολαβὼν καὶ ἀναθέμενος αὐτὸν ἐξενηξάμην ἔχων ἐς Ταίναρον.

ΠΟΣ. Ἐπαινῶ σε τῆς φιλομουσίας· ἄξιον γὰρ τὸν μισθὸν ἀποδέδωκας αὐτῷ ἀκροάσεως.

8.

NEPTUNI ET DELPHINUM.

1. NEP. Recte vero, Delphines, quod semper amantes sitis hominum; etenim olim Inus filium ad Isthmum detulistis exceptum, quum a Scironiis saxis cum matre incideret in mare; tuque nunc citharœdum illum ex Methymna postquam dorso sublevaras cum ipso habitu citharœdico et cithara, enatasti ad Tænarum, neque neglexisti male nautarum scelere pereuntem.

DEL. Ne mireris, Neptune, si hominibus benefacimus, ex hominibus quippe ipsi in pisces versi.

NEP. Imo equidem accuso Bacchum, qui vobis prælio navali victis formam mutavit, quum decuisset in potestatem redigere tantum, quo pacto alios sibi subjecit. At quomodo, quæ ad Arionem istum spectant, sunt facta, Delphin?

2. DEL. Periander, opinor, delectabatur eo, et sæpius eum arcessebat ob artis excellentiam: hunc autem nactum a tyranno divitias desiderium cepit domum redeundi Methymnam ad ostentandas opes. Quare conscensa vectoria navicula maleficorum hominum, ut præ se tulit multum ferre se auri et argenti, ubi medium Ægæum tetigerunt, insidiantur ipsi nautæ. Tum ille (auscultabam enim omnia adnatans navigio), Quandoquidem id vobis constitutum est, inquit, at ornatu sumto, decantatoque lesso sponte sinite me projicere memet ipsum. Permiserunt nautæ: mox citharœdi habitum indutus cecinit admodum argute, ceciditque in mare, quasi statim plane periturus. Ego autem susceptum impositumque dorso ferens enatavi ad Tænarum.

NEP. Equidem laudo te ob studium illud musices; dignam enim mercedem reddidisti ipsi auditæ cantionis.

9.

ΠΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΝΗΡΗΙΔΩΝ.

1. ΠΟΣ. Τὸ μὲν στενὸν τοῦτο, ἔνθα ἡ παῖς κατενέχθη, Ἑλλήσποντος ἀπ' αὐτῆς καλείσθω· τὸν δὲ νεκρὸν ὑμεῖς, ὦ Νηρηίδες, παραλαβοῦσαι τῇ Τρῳάδι προσενέγκατε, ὡς ταφείη ὑπὸ τῶν ἐπιχωρίων.

ΑΜΦ. Μηδαμῶς, ὦ Πόσειδον, ἀλλ' ἐνταῦθα ἐν τῷ ἐπωνύμῳ πελάγει τεθάφθω· ἐλεοῦμεν γὰρ αὐτὴν οἰκτιστα ὑπὸ τῆς μητρυιᾶς πεπονθυῖαν.

ΠΟΣ. Τοῦτο μὲν, ὦ Ἀμφιτρίτη, οὐ θέμις· οὐδ' ἄλλως καλὸν ἐνταῦθά που κεῖσθαι ὑπὸ τῇ ψάμμῳ αὐτὴν, ἀλλ' ὅπερ ἔφην ἐν τῇ Τρῳάδι ἡ ἐν Χερρονήσῳ τεθάψεται. Ἐκεῖνο δὲ παραμύθιον οὐ μικρὸν ἔσται αὐτῇ, ὅτι μετ' ὀλίγον τὰ αὐτὰ καὶ ἡ Ἰνὼ πείσεται καὶ ἐμπεσεῖται ὑπὸ τοῦ Ἀθάμαντος διωκομένη ἐς τὸ πέλαγος ἀπ' ἄκρου

9.

NEPTUNI ET NEREIDUM.

1. NEP. Fretum illud angustum, quo puella delapsa est, Hellespontus ab ea vocetur: corpus autem vos, Nereides, acceptum ad Troadem deferte, ut sepeliatur a regionis incolis.

AMPH. Neutiquam, Neptune; verum hoc ipso in pelago cui nomen dedit, sepeliatur: miseret enim nos ejus, quæ miseranda fuit a noverca passa.

NEP. Id quidem, Amphitrite, fas non est; neque porro decorum istic alicubi jacere eam sub arena: sed, quod dixi, in Troade aut Chersoneso mox sepulturæ mandabitur. Id autem solatium erit ipsi non mediocre, quod post paullo eadem et Ino patietur, præcepsque cadet ab Athamante fu-

τοῦ Κιθαιρῶνος, καθ' ὅπερ καθήκει ἐς τὴν θάλατταν, ἔχουσα καὶ τὸν υἱὸν ἐπὶ τῆς ἀγκάλης. Ἀλλὰ κἀκείνην σῶσαι δεήσει χαρισαμένους τῷ Διονύσῳ· τροφὸς γὰρ αὐτοῦ καὶ τιτθὴ ἡ Ἰνώ.

2. ΑΜΦ. Οὐκ ἐχρῆν οὕτω πονηρὰν οὖσαν.

ΠΟΣ. Ἀλλὰ τῷ Διονύσῳ ἀχαριστεῖν, ὦ Ἀμφιτρίτη, οὐκ ἄξιον.

ΝΗΡ. Αὕτη δὲ ἆρα τί παθοῦσα κατέπεσεν ἀπὸ τοῦ κριοῦ; ὁ ἀδελφὸς δὲ ὁ Φρίξος ἀσφαλῶς ὀχεῖται;

ΠΟΣ. Εἰκότως· νεανίας γὰρ καὶ δυνατὸς ἀντέχειν πρὸς τὴν φοράν, ἡ δὲ ὑπ' ἀηθείας ἐπιβᾶσα ὀχήματος παραδόξου καὶ ἀπιδοῦσα ἐς βάθος ἀχανὲς, ἐκπλαγεῖσα καὶ τῷ θάλπει ἅμα συσχεθεῖσα καὶ ἰλιγγιάσασα πρὸς τὸ σφοδρὸν τῆς πτήσεως ἀκρατὴς ἐγένετο τῶν κεράτων τοῦ κριοῦ, ὧν τέως ἐπείληπτο, καὶ κατέπεσεν ἐς τὸ πέλαγος.

ΝΗΡ. Οὔκουν ἐχρῆν τὴν μητέρα τὴν Νεφέλην βοηθῆσαι πιπτούσῃ;

ΠΟΣ. Ἐχρῆν· ἀλλ' ἡ Μοῖρα πολλῷ τῆς Νεφέλης δυνατωτέρα.

10.

ΙΡΙΔΟΣ ΚΑΙ ΠΟΣΕΙΔΩΝΟΣ.

1. ΙΡΙΣ. Τὴν νῆσον τὴν πλανωμένην, ὦ Πόσειδον, ἣν ἀποσπασθεῖσαν τῆς Σικελίας ὕφαλον ἔτι νήχεσθαι συμβέβηκε, ταύτην, φησὶν ὁ Ζεὺς, στῆσον ἤδη καὶ ἀνάφηνον καὶ ποίησον ἤδη δῆλον ἐν τῷ Αἰγαίῳ μέσῳ βεβαίως μένειν στηρίξας πάνυ ἀσφαλῶς· δεῖται γάρ τι αὐτῆς.

ΠΟΣ. Πεπράξεται ταῦτα, ὦ Ἶρι. Τίνα δ' ὅμως παρέξει αὐτῷ τὴν χρείαν ἀναφανεῖσα καὶ μηκέτι πλέουσα;

ΙΡΙΣ. Τὴν Λητὼ ἐπ' αὐτῆς δεῖ ἀποκυῆσαι· ἤδη γὰρ πονήρως ὑπὸ τῶν ὠδίνων ἔχει.

ΠΟΣ. Τί οὖν; οὐχ ἱκανὸς ὁ οὐρανὸς ἐντεκεῖν; εἰ δὲ μὴ οὗτος, ἀλλ' ἥ γε γῆ πᾶσα οὐκ ἂν δύναιτο ὑποδέξασθαι τὰς γονὰς αὐτῆς;

ΙΡΙΣ. Οὐκ, ὦ Πόσειδον· ἡ Ἥρα γὰρ ὅρκῳ μεγάλῳ κατέλαβε τὴν γῆν, μὴ παρασχεῖν τῇ Λητοῖ τῶν ὠδίνων ὑποδοχήν. Ἡ τοίνυν νῆσος αὕτη ἀνώμοτός ἐστιν· ἀφανὴς γὰρ ἦν.

2. ΠΟΣ. Συνίημι. Στῆθι, ὦ νῆσε, καὶ ἀνάδυθι αὖθις ἐκ τοῦ βυθοῦ καὶ μηκέτι ὑποφέρου, ἀλλὰ βεβαίως μένε καὶ ὑπόδεξαι, ὦ εὐδαιμονεστάτη, τοῦ ἀδελφοῦ τὰ τέκνα δύο, τοὺς καλλίστους τῶν θεῶν· καὶ ὑμεῖς, ὦ Τρίτωνες, διαπορθμεύσατε τὴν Λητὼ ἐς αὐτήν· καὶ γαληνὰ ἅπαντα ἔστω. Τὸν δράκοντα δὲ, ὃς νῦν ἐξοιστρεῖ αὐτὴν φοβῶν, τὰ νεογνὰ ἐπειδὰν τεχθῇ, αὐτίκα μέτεισι καὶ τιμωρήσει τῇ μητρί. Σὺ δὲ ἀπάγγελλε τῷ Διὶ πάντα εἶναι εὐτρεπῆ· ἔστηκεν ἡ Δῆλος· ἡκέτω ἡ Λητὼ ἤδη καὶ τικτέτω.

gata in pelagus ex summo Cithærone, qua parte protenditur ad mare, gerens præterea filium in ulnis. Sed illam quoque servare nos oportebit gratificantes Baccho; nam nutrix præbuit illi mammas Ino.

2. AMPH. Haud oportebat tam malam.

NEP. Sed Baccho gratiam illam negare, Amphitrite, non est æquum.

NER. Helle vero qui factum est ut deciderit ab arietc, quum frater ejus Phrixus absque periculo vehatur?

NEP. Et merito quidem: nam juvenis est, ac potest sustinere se adversus motus celeritatem: illa autem præ insolentia, quum inscendisset vehiculum prorsus inusitatum, et prospectasset in profundum immense patens, obstupefacta, æstuque simul aeris correpta et vertigine ex violentia volatus, e manibus amisit arietis cornua, quæ hactenus prehensa tenuerat, et defluxit in mare.

NER. Non oportebat matrem Nephelen auxilium ferre cadenti?

NEP. Oportebat: sed fatum multo Nephele potentius.

10.

IRIDIS ET NEPTUNI.

1. IR. Insula ista errans, Neptune, quæ avulsa a Sicilia, fluctu tecta adhuc natat: eam, ait Jupiter, e vestigio constitue, inque lucem profer, et fac jam ut conspicua in Ægæo medio stabilisque maneat, firmata immotis radicibus: usus enim ejus erit.

NEP. Jamjam factum erit, Iri. Verumtamen quem præbebit ipsi usum in lucem educta neque amplius innatans?

IR. Latonam in ea insula oportet partum deponere: jam enim male a doloribus habet.

NEP. Quid ergo? non idoneum est cœlum, in quo pariat? hoc si minus, at universa saltem terra nonne excipere possit Latonæ partus?

IR. Minime, Neptune: nam Juno jurejurando gravi obstrinxit terram, ne præberet Latonæ commodam pariendo sedem; jam istæc insula jurata non est, quippe nondum conspicua.

2. NEP. Rem teneo. Consiste, insula, atque emerge rursus ex profundo, nec porro sub undis ferare; sed fixa mane, ac suscipe, fortunatissima, fratris liberos binos, pulcherrimos deorum. Vos, Tritones, transvehite Latonam eo; cunctaque stent tranquilla. Draconem vero, qui nunc velut œstro exagitat illam territans, infantes, statim atque nati fuerint, ulciscentur, ac pœnas expetent pro matre. Tu renuncia Jovi, omnia esse parata: constitit Delus; veniat Latona et pariat.

11.

ΞΑΝΘΟΥ ΚΑΙ ΘΑΛΑΤΤΗΣ.

1. ΞΑΝΘ. Δέξαι με, ὦ θάλαττα, δεινὰ πεπονθότα καὶ κατάσβεσόν μου τὰ τραύματα.

ΘΑΛ. Τί τοῦτο, ὦ Ξάνθε; τίς σε κατέκαυσεν;

ΞΑΝΘ. Ὁ Ἥφαιστος. Ἀλλ' ἀπηνθράκωμαι ὅλος ὁ κακοδαίμων καὶ ζέω.

ΘΑΛ. Διὰ τί δαί σοι καὶ ἐνέβαλε τὸ πῦρ;

ΞΑΝΘ. Διὰ τὸν ταύτης υἱὸν τῆς Θέτιδος· ἐπεὶ γὰρ φονεύοντα τοὺς Φρύγας ἱκετεύσας οὐκ ἔπαυσα τῆς ὀργῆς, ἀλλ' ὑπὸ τῶν νεκρῶν ἐνέφραττέ μοι τὸν ῥοῦν, ἐλεήσας τοὺς ἀθλίους ἐπῆλθον ἐπικλύσαι ἐθέλων, ὡς φοβηθεὶς ἀπόσχοιτο τῶν ἀνδρῶν.

2. Ἐνταῦθα ὁ Ἥφαιστος — ἔτυχε γὰρ πλησίον που ὤν — πᾶν ὅσον, οἶμαι, πῦρ εἶχε καὶ ὅσον ἐν τῇ Αἴτνῃ καὶ εἴ ποθι ἄλλοθι, φέρων ἐπῆλθέ μοι, καὶ ἔκαυσε μὲν τὰς πτελέας καὶ μυρίκας, ὤπτησε δὲ καὶ τοὺς κακοδαίμονας ἰχθῦς καὶ τὰς ἐγχέλεις, αὐτὸν δὲ ἐμὲ ὑπερκαχλάσαι ποιήσας μικροῦ δεῖν ὅλον ξηρὸν εἴργασται. Ὁρᾷς γοῦν, ὅπως διάκειμαι ὑπὸ τῶν ἐγκαυμάτων.

ΘΑΛ. Θολερὸς, ὦ Ξάνθε, καὶ θερμὸς, ὡς εἰκὸς, τὸ αἷμα μὲν ἀπὸ τῶν νεκρῶν, ἡ θέρμη δὲ, ὡς φῂς, ἀπὸ τοῦ πυρός· καὶ εἰκότως, ὦ Ξάνθε, ὃς ἐπὶ τὸν ἐμὸν υἱωνὸν ὥρμησας οὐκ αἰδεσθεὶς ὅτι Νηρηΐδος υἱὸς ἦν.

ΞΑΝΘ. Οὐκ ἔδει οὖν ἐλεῆσαι γείτονας ὄντας τοὺς Φρύγας;

ΘΑΛ. Τὸν Ἥφαιστον δὲ οὐκ ἔδει ἐλεῆσαι Θέτιδος υἱὸν ὄντα τὸν Ἀχιλλέα;

12.

ΔΩΡΙΔΟΣ ΚΑΙ ΘΕΤΙΔΟΣ.

1. ΔΩΡ. Τί δακρύεις, ὦ Θέτι;

ΘΕΤ. Καλλίστην, ὦ Δωρὶ, κόρην εἶδον ἐς κιβωτὸν ὑπὸ τοῦ πατρὸς ἐμβληθεῖσαν, αὐτήν τε καὶ βρέφος αὐτῆς ἀρτιγέννητον· ἐκέλευσε δὲ ὁ πατὴρ τοὺς ναύτας ἀναλαβόντας τὸ κιβώτιον, ἐπειδὰν πολὺ ἀπὸ τῆς γῆς ἀποσπάσωσιν, ἀφεῖναι ἐς τὴν θάλατταν, ὡς ἀπόλοιτο ἡ ἀθλία, καὶ αὐτὴ καὶ τὸ βρέφος.

ΔΩΡ. Τίνος δὲ ἕνεκα, ὦ ἀδελφή; εἰπέ, εἴ τι ἔμαθες ἀκριβῶς ἅπαντα.

ΘΕΤ. Ὁ Ἀκρίσιος ὁ πατὴρ αὐτῆς καλλίστην οὖσαν ἐπαρθένευεν ἐς χαλκοῦν τινα θάλαμον ἐμβαλών· εἶτα, εἰ μὲν ἀληθὲς οὐκ ἔχω εἰπεῖν, φασὶ δ' οὖν τὸν Δία χρυσὸν γενόμενον ῥυῆναι διὰ τοῦ ὀρόφου ἐπ' αὐτὴν, δεξαμένην δ' ἐκείνην ἐς τὸν κόλπον καταρρέοντα τὸν θεὸν ἐγκύμονα γενέσθαι. Τοῦτο αἰσθόμενος ὁ πατὴρ, ἄγριός τις καὶ ζηλότυπος γέρων, ἠγανάκτησε καὶ ὑπό τινος μεμοιχεῦσθαι οἰηθεὶς αὐτὴν ἐμβάλλει ἐς τὴν κιβωτὸν ἄρτι τετοκυῖαν.

11.

XANTHI ET MARIS.

1. XAN. Recipe me, Mare, gravia passum; restingue mea vulnera.

MAR. Quid hoc est rei, Xanthe? quis te exussit?

XAN. Vulcanus. Imo torrefactus sum totus ego miser, et ferveo.

MAR. Quam vero ob causam tibi injecit ignem?

XAN. Ob filium Thetidis hujus: quum enim occidentem Phrygas supplex adirem, atque ille tamen iram non remitteret, quin etiam cadaveribus obstrueret mihi flumen, miseratus infelices irrui tanquam undis eum mersurus, quo territus abstineret se a virorum cæde.

2. Ibi tum Vulcanus (forte enim propius aderat) quantum, credo, habebat ignis, et quodcumque in Ætna, et sicubi uspiam, collecto, impetum in me fecit, incenditque ulmos ac myricas; tum assavit etiam infelicissimos pisces et anguillas: ipsum vero me quum effervefecisset, parum abest quin totum aridum reddiderit. Vides certe, quomodo sim affectus ab istis incendii notis.

MAR. Turbidus, o Xanthe, atque æstuans, ut par erat: sanguis a cadaveribus; æstus, ut ais, ab igne. Neque id immerito, Xanthe, qui in meum nepotem irrueris, non veritus nec cogitans Nereidis esse filium.

XAN. Non decebat ergo misericordia tangi vicinorum meorum Phrygum?

MAR. Vulcanum vero non decebat misericordia tangi Achillis, qui Thetidis esset filius?

12.

DORIDIS ET THETIDIS.

1. DOR. Quid lacrimare, Theti?

THET. Formosissimam, Dori, vidi puellam in cistam a patre conjectam, tum ipsam, tum infantem ejus modo natum: jussit autem pater nautas sublatam arcam, ubi longe a terra processerint, demittere in mare, ut intereat misera, et ipsa et infans.

DOR. Quam ob causam, soror? dic, si forte accurate didicisti omnia?

THET. Acrisius pater ejus forma præstantem servabat virginem, in æreum quendam thalamum inclusam. Tum porro quid revera sit factum, si dicere non habeo, aiunt tamen Jovem in aurum mutatum fluxisse per tectum ad eam; quæ, recepto in sinum defluente deo, gravida sit facta. Hoc quum sensisset pater, ferus aliquis et æmulatione fervidus senex, ægerrime tulit; et ab aliquo adulteratam suspicatus immittit in arcam partu modo edito.

2. ΔΩΡ. Ἡ δὲ τί ἔπραττεν, ὦ Θέτι, ὁπότε καθίετο;

ΘΕΤ. Ὑπὲρ αὑτῆς μὲν ἐσίγα, ὦ Δωρὶ, καὶ ἔφερε τὴν καταδίκην, τὸ βρέφος δὲ παρητεῖτο μὴ ἀποθανεῖν δακρύουσα καὶ τῷ πάππῳ δεικνύουσα αὐτὸ, κάλλιστον ὄν· τὸ δὲ ὑπ' ἀγνοίας τῶν κακῶν ὑπεμειδία πρὸς τὴν θάλατταν. Ὑποπίμπλαμαι αὖθις τοὺς ὀφθαλμοὺς δακρύων μνημονεύουσα αὐτῶν.

ΔΩΡ. Καμὲ δακρῦσαι ἐποίησας. Ἀλλ' ἤδη τεθνᾶσιν;

ΘΕΤ. Οὐδαμῶς· νήχεται γὰρ ἔτι ἡ κιβωτὸς ἀμφὶ τὴν Σέριφον ζῶντας αὐτοὺς φυλάττουσα.

ΔΩΡ. Τί οὖν οὐχὶ σώζομεν αὐτὴν τοῖς ἁλιεῦσι τούτοις ἐμβαλοῦσαι ἐς τὰ δίκτυα τοῖς Σεριφίοις; οἱ δὲ ἀνασπάσαντες σώσουσι δῆλον ὅτι.

ΘΕΤ. Εὖ λέγεις, οὕτω ποιῶμεν· μὴ γὰρ ἀπολέσθω μήτε αὐτὴ μήτε τὸ παιδίον οὕτως ὂν καλόν.

13.

ΕΝΙΠΕΩΣ ΚΑΙ ΠΟΣΕΙΔΩΝΟΣ.

1. ΕΝΙΠ. Οὐ καλὰ ταῦτα, ὦ Πόσειδον· εἰρήσεται γὰρ τἀληθές· ὑπελθών μου τὴν ἐρωμένην εἶχασθεὶς ἐμοὶ διεκόρευσας τὴν παῖδα· ἡ δὲ ᾤετο ὑπ' ἐμοῦ ταῦτα πεπονθέναι καὶ διὰ τοῦτο παρεῖχεν ἑαυτήν.

ΠΟΣ. Σὺ γὰρ, ὦ Ἐνιπεῦ, ὑπεροπτικὸς ἦσθα καὶ βραδὺς, ὃς κόρης οὕτω καλῆς φοιτώσης ὁσημέραι παρὰ σὲ, ἀπολλυμένης ὑπὸ τοῦ ἔρωτος, ὑπερεώρας καὶ ἔχαιρες λυπῶν αὐτὴν, ἡ δὲ περὶ τὰς ὄχθας ἀλύουσα καὶ ἐμβαίνουσα καὶ λουομένη ἐνίοτε ἠύχετό σοι ἐντυχεῖν, σὺ δὲ ἐθρύπτου πρὸς αὐτήν.

2. ΕΝΙΠ. Τί οὖν; διὰ τοῦτο ἐχρῆν σε προαρπάσαι τὸν ἔρωτα καὶ καθυποκρίνασθαι Ἐνιπέα ἀντὶ Ποσειδῶνος εἶναι καὶ κατασοφίσασθαι τὴν Τυρὼ ἀφελῆ κόρην οὖσαν;

ΠΟΣ. Ὀψὲ ζηλοτυπεῖς, ὦ Ἐνιπεῦ, ὑπερόπτης πρότερον ὤν· ἡ Τυρὼ δὲ οὐδὲν δεινὸν πέπονθεν οἰομένη ὑπὸ σοῦ διακεκορεῦσθαι.

ΕΝΙΠ. Οὐ μὲν οὖν· ἔφησθα γὰρ ἀπιὼν ὅτι Ποσειδῶν ἦσθα, ὃ καὶ μάλιστα ἐλύπησεν αὐτήν· καὶ ἐγὼ τοῦτο ἠδίκημαι, ὅτι τὰ ἐμὰ σὺ ηὐφραίνου τότε καὶ περιστήσας πορφύρεόν τι κῦμα, ὅπερ ὑμᾶς συνέκρυπτεν ἅμα, συνῆσθα τῇ παιδὶ ἀντ' ἐμοῦ.

ΠΟΣ. Ναί· σὺ γὰρ οὐκ ἤθελες, ὦ Ἐνιπεῦ.

14.

ΤΡΙΤΩΝΟΣ ΚΑΙ ΝΗΡΗΙΔΩΝ.

1. ΤΡΙΤ. Τὸ κῆτος ὑμῶν, ὦ Νηρηΐδες, ὃ ἐπὶ τὴν τοῦ Κηφέως θυγατέρα τὴν Ἀνδρομέδαν ἐπέμψατε, οὔτε τὴν παῖδα ἠδίκησεν, ὡς οἴεσθε, καὶ αὐτὸ ἤδη τέθνηκεν

2. DOR. Illa vero quid faciebat, Theti, quando demittebatur?

THET. Pro se quidem tacebat, Dori, æquo animo ferens sententiam : at infantem deprecabatur, ne interiret, multis cum lacrimis avo ostendens illum pulcherrima specie : is autem ignarus malorum etiam arridebat ad mare. Complentur mihi iterum oculi lacrimis ista repetenti.

DOR. Et me ad lacrimas provocasti. Verum num mortui jam sunt?

THET. Nondum : natat enim hactenus arca circa Seriphum, vivosque eos custodit.

DOR. Quid itaque non servamus eam, et piscatoribus injicimus in retia Seriphiis istis? hi nimirum extractam servabunt.

THET. Recte mones : ita faciamus : ne enim intereat nec ipsa, nec infans tam formosus.

13.

ENIPEI ET NEPTUNI.

1. ENIP. Non bella sunt ista, Neptune : dicetur enim veritas. Per fraudem obrepens amicæ meæ, meam formam mentitus, vitiasti puellam : at illa putabat a me hæc se fuisse passam; ideoque præbebat sese.

NEP. Etenim, Enipeu, fastosus eras et tardus, qui puellam tam pulchram ventitantem quotidie ad te, pereuntem amore despiceres, atque etiam lætareris ægre ei faciendo. Illa interim ad ripas tuas mœsta oberrabat, atque ingressa imo et se lavans aliquando, optabat te potiri : tu vero fastidiosum te gerebas erga illam.

2. ENIP. Quid ergo? propterea ne oportebat te præripere meum amorem, et simulare Enipei personam pro Neptuno, doloque circumvenire Tyro, simplicem puellam?

NEP. Sero nunc æmulatione tangeris, Enipeu, qui prius superbe sprevisti : nihil autem Tyro mali contigit, quum putabat virginitatem suam a te imminui.

ENIP. Haud ita sane : dixisti enim, quum abires, te Neptunum esse, quod et maximum in modum illam pupugit : ea quoque in me injuria redundavit, quod tu vicem meam gaudia tunc ferres; et circumjecto purpureo fluctu, qui vos contegebat una, rem haberes cum puella pro me.

NEP. Quippe tu nolebas, Enipeu.

14.

TRITONIS ET NEREIDUM.

1. TRIT. Cetus ille vester, Nereides, quem in Cephei filiam Andromedam immisistis, nec puellam læsit, ut arbitramini, et ipse jam interiit.

ΝΗΡ. Ὑπὸ τίνος, ὦ Τρίτων; ἢ ὁ Κηφεὺς καθάπερ δέλεαρ προθεὶς τὴν κόρην ἀπέκτεινεν ἐπιὼν, λοχήσας μετὰ πολλῆς δυνάμεως;

ΤΡΙΤ. Οὐκ, ἀλλ' ἴστε, οἶμαι, ὦ Ἰφιάνασσα, τὸν Περσέα, τὸ τῆς Δανάης παιδίον, ὃ μετὰ τῆς μητρὸς ἐν τῇ κιβωτῷ ἐμβληθὲν ἐς τὴν θάλατταν ὑπὸ τοῦ μητροπάτορος ἐσώσατε οἰκτείρασαι αὐτούς.

ΙΦ. Οἶδα ὃν λέγεις· εἰκὸς δὲ ἤδη νεανίαν εἶναι καὶ μάλα γενναῖόν τε καὶ καλὸν ἰδεῖν.

ΤΡΙΤ. Οὗτος ἀπέκτεινε τὸ κῆτος.

ΙΦ. Διὰ τί, ὦ Τρίτων; οὐ γὰρ δὴ σῶστρα ἡμῖν τοιαῦτα ἐκτίνειν αὐτὸν ἐχρῆν.

2. ΤΡΙΤ. Ἐγὼ ὑμῖν φράσω τὸ πᾶν ὡς ἐγένετο· ἱστάλη μὲν οὗτος ἐπὶ τὰς Γοργόνας ἆθλόν τινα τοῦτον τῷ βασιλεῖ ἐπιτελῶν, ἐπεὶ δὲ ἀφίκετο ἐς τὴν Λιβύην —

ΙΦ. Πῶς, ὦ Τρίτων; μόνος; ἢ καὶ ἄλλους συμμάχους ἦγεν; ἄλλως γὰρ δύσπορος ἡ ὁδός.

ΤΡΙΤ. Διὰ τοῦ ἀέρος· ὑπόπτερον γὰρ αὐτὸν ἡ Ἀθηνᾶ ἔθηκεν. Ἐπεὶ δ' οὖν ἦκεν ὅπου διῃτῶντο, αἱ μὲν ἐκάθευδον, οἶμαι, ὁ δὲ ἀποτεμὼν τῆς Μεδούσης τὴν κεφαλὴν ᾤχετ' ἀποπταμενος.

ΙΦ. Πῶς ἰδών; ἀθέατοι γάρ εἰσιν· ἢ ὃς ἂν ἴδῃ, οὐκ ἄν τι ἄλλο μετὰ ταύτας ἴδοι.

ΤΡΙΤ. Ἡ Ἀθηνᾶ τὴν ἀσπίδα προφαίνουσα — τοιαῦτα γὰρ ἤκουσα διηγουμένου αὐτοῦ πρὸς τὴν Ἀνδρομέδαν καὶ πρὸς τὸν Κηφέα ὕστερον — ἡ Ἀθηνᾶ δὴ ἐπὶ τῆς ἀσπίδος ἀποστιλβούσης ὥσπερ ἐπὶ κατόπτρου παρέσχεν αὐτῷ ἰδεῖν τὴν εἰκόνα τῆς Μεδούσης· εἶτα λαβόμενος τῇ λαιᾷ τῆς κόμης, ἐνορῶν δ' ἐς τὴν εἰκόνα, τῇ δεξιᾷ τὴν ἅρπην ἔχων, ἀπέτεμε τὴν κεφαλὴν αὐτῆς, καὶ πρὶν ἀνεγρέσθαι τὰς ἀδελφὰς ἀνέπτατο.

3. Ἐπεὶ δὲ κατὰ τὴν παράλιον ταύτην Αἰθιοπίαν ἐγένετο, ἤδη πρόσγειος πετόμενος, ὁρᾷ τὴν Ἀνδρομέδαν προκειμένην ἐπί τινος πέτρας προβλῆτος προσπεπταλευμένην, καλλίστην, ὦ θεοί, καθειμένην τὰς κόμας, ἡμίγυμνον πολὺ ἕνερθεν τῶν μαστῶν· καὶ τὸ μὲν πρῶτον οἰκτείρας τὴν τύχην αὐτῆς ἀνηρώτα τὴν αἰτίαν τῆς καταδίκης, κατὰ μικρὸν δὲ ἁλοὺς ἔρωτι — ἐχρῆν γὰρ σεσῶσθαι τὴν παῖδα — βοηθεῖν διέγνω· κἀπειδὴ τὸ κῆτος ἐπῄει μάλα φοβερὸν ὡς καταπιόμενον τὴν Ἀνδρομέδαν, ὑπεραιωρηθεὶς ὁ νεανίσκος πρόκωπον ἔχων τὴν ἅρπην τῇ μὲν καθικνεῖται, τῇ δὲ προδεικνὺς τὴν Γοργόνα λίθον ἐποίει αὐτὸ, τὸ δὲ τέθνηκεν ὁμοῦ καὶ πέπηγεν αὐτοῦ τὰ πολλὰ, ὅσα εἶδε τὴν Μέδουσαν· ὁ δὲ λύσας τὰ δεσμὰ τῆς παρθένου, ὑποσχὼν τὴν χεῖρα ὑπεδέξατο ἀκροποδητὶ κατιοῦσαν ἐκ τῆς πέτρας ὀλισθηρᾶς οὔσης, καὶ νῦν γαμεῖ ἐν τοῦ Κηφέως καὶ ἀπάξει αὐτὴν ἐς Ἄργος, ὥστε ἀντὶ θανάτου γάμον οὐ τὸν τυχόντα εὗρετο.

4. ΙΦ. Ἐγὼ μὲν οὐ πάνυ τῷ γεγονότι ἄχθομαι· τί γὰρ ἡ παῖς ἠδίκει ἡμᾶς, εἴ τι ἡ μήτηρ ἐμεγαλαυχεῖτο καὶ ἠξίου καλλίων εἶναι;

ΔΩΡ. Ὅτι οὕτως ἂν ἤλγησεν ἐπὶ τῇ θυγατρὶ μήτηρ γε οὖσα.

NER. A quo, Triton? an Cepheus, tanquam esca proposita virgine, interemit adortus inque insidiis locatus cum multa manu?

TRIT. Non: at novistis, opinor, Iphianassa, Perseum Danaes filium, quem cum matre in cista projectum in mare ab avo materno servastis eorum misertæ.

IPH. Novi, quem dicas: credibile est eum jam juvenem esse, ac valde strenuum pulchrumque aspectu.

TRIT. Hic interfecit cetum.

IPH. Quam ob causam, Triton? haud enim sane salutis præmia nobis talia exsolvere ipsum decebat.

2. TRIT. Ego vobis indicabo rem omnem, ut facta est. Iter hic ingressus est adversus Gorgonas, certamen istud regi peracturus: postquam autem pervenit in Libyam —

IPH. Quomodo, Triton, solus? an et alios secum socios duxit? ceteroquin enim difficilis est via.

TRIT. Per aerem; nam alis eum Minerva instruxit. Postquam ergo venit ubi degebant, illæ dormiebant, ut puto; hic autem, abscisso Medusæ capite, volando aufugit.

IPH. Quo tandem pacto conspiciens? non possunt enim aspici; aut quicumque vidit, nihil aliud amplius postea videt.

TRIT. Minerva clypeum prætendens (nam talia enarrantem eum audivi Andromedæ et Cepheo postmodum), Minerva, inquam, in clypeo resplendente, velut in speculo, exhibuit ipsi videndam imaginem Medusæ: tum Perseus, correpta læva manu coma, inspectans in imaginem, dextraque harpen tenens, desecuit ejus caput, et antequam expergefierent sorores, evolavit.

3. Ubi vero ad hanc mari prætensam Æthiopiam accessit, jam prope terram volans Andromedam conspicatur expositam in petra quadam prominente, clavis affixam, pulcherrimam, dii! demissis capillis, seminudam multum infra mammas: ille primum, miseratus fortunam ejus, sciscitabatur causam supplicii; tum sensim amore captus (oportebat enim servari puellam), opem ferre constituit. Ubi vero cetus irruebat valde terribilis, quasi devoraturus Andromedam, superne pendens juvenis, capuloque promtam habens harpen, hac manu ictus demittit, illa, Gorgone monstrata, in lapidem vertebat cetum: qui inde interiit, et obriguerunt ejus pleræque partes, quæ quidem viderant Medusam. Perseus autem, solutis vinculis virginis, porrecta manu sustentavit suspenso pede degredientem ex rupe lubrica; et nunc nuptias celebrat in Cephei ædibus, abducetque illam Argos: adeo ut pro morte Andromeda connubium non vulgare invenerit.

4. IPH. Equidem non admodum, quod factum est, graviter fero: nam quid puella nocebat nobis, si quid mater superbius aliquando loquebatur, viderique volebat forma nos anteire?

DOR. Imo sic doluisset ob filiam amissam, quippe mater.

ΙΦ. Μηκέτι μεμνώμεθα, ὦ Δωρὶ, ἐκείνων, εἴ τι βάρβαρος γυνὴ ὑπὲρ τὴν ἀξίαν ἐλάλησεν· ἱκανὴν γὰρ ἡμῖν τιμωρίαν ἔδωκε φοβηθεῖσα ἐπὶ τῇ παιδί. Χαίρωμεν οὖν τῷ γάμῳ.

15.

ΖΕΦΥΡΟΥ ΚΑΙ ΝΟΤΟΥ.

1. ΖΕΦ. Οὐ πώποτε πομπὴν ἐγὼ μεγαλοπρεπεστέραν εἶδον ἐν τῇ θαλάττῃ, ἀφ' οὗ γέ εἰμι καὶ πνέω. Σὺ δὲ οὐκ εἶδες, ὦ Νότε;

ΝΟΤ. Τίνα ταύτην λέγεις, ὦ Ζέφυρε, τὴν πομπήν; ἢ τίνες οἱ πέμποντες ἦσαν;

ΖΕΦ. Ἡδίστου θεάματος ἀπελείφθης, οἷον οὐκ ἂν ἄλλο ἴδοις ἔτι.

ΝΟΤ. Περὶ τὴν ἐρυθρὰν γὰρ θάλατταν εἰργαζόμην, ἐπέπνευσα δὲ καὶ μέρος τῆς Ἰνδικῆς, ὅσα παράλια τῆς χώρας· οὐδὲν οὖν οἶδα ὧν λέγεις.

ΖΕΦ. Ἀλλὰ τὸν Σιδώνιον Ἀγήνορα οἶδας;

ΝΟΤ. Ναί· τὸν τῆς Εὐρώπης πατέρα. Τί μήν;

ΖΕΦ. Περὶ αὐτῆς ἐκείνης διηγήσομαί σοι.

ΝΟΤ. Μῶν ὅτι ὁ Ζεὺς ἐραστὴς τῆς παιδὸς ἐκ πολλοῦ; τοῦτο γὰρ καὶ πάλαι ἠπιστάμην.

ΖΕΦ. Οὐκοῦν τὸν μὲν ἔρωτα οἶσθα, τὰ μετὰ ταῦτα δὲ ἤδη ἄκουσον.

2. Ἡ μὲν Εὐρώπη κατελήλυθει ἐπὶ τὴν ἠόνα παίζουσα τὰς ἡλικιώτιδας παραλαβοῦσα, ὁ Ζεὺς δὲ ταύρῳ εἰκάσας ἑαυτὸν συνέπαιζεν αὐταῖς κάλλιστος φαινόμενος· λευκός τε γὰρ ἦν ἀκριβῶς καὶ τὰ κέρατα εὐκαμπὴς καὶ τὸ βλέμμα ἥμερος· ἐσκίρτα οὖν καὶ αὐτὸς ἐπὶ τῆς ἠόνος καὶ ἐμυκᾶτο ἥδιστον, ὥστε τὴν Εὐρώπην τολμῆσαι καὶ ἀναβῆναι αὐτόν. Ὡς δὲ τοῦτο ἐγένετο, δρομαῖος μὲν ὁ Ζεὺς ὥρμησεν ἐπὶ τὴν θάλατταν φέρων αὐτὴν καὶ ἐνήχετο ἐμπεσών, ἡ δὲ πάνυ ἐκπλαγὴς τῷ πράγματι τῇ λαιᾷ μὲν εἶχετο τοῦ κέρατος, ὡς μὴ ἀπολισθάνοι, τῇ ἑτέρᾳ δὲ ἠνεμωμένον τὸν πέπλον ξυνεῖχεν.

3. ΝΟΤ. Ἡδὺ τοῦτο θέαμα εἶδες, ὦ Ζέφυρε, καὶ ἐρωτικὸν, νηχόμενον τὸν Δία φέροντα τὴν ἀγαπωμένην.

ΖΕΦ. Καὶ μὴν τὰ μετὰ ταῦτα ἡδίω παρὰ πολὺ, ὦ Νότε· ἥ τε γὰρ θάλαττα εὐθὺς ἀκύμων ἐγένετο καὶ τὴν γαλήνην ἐπισπασαμένη λείαν παρεῖχεν ἑαυτὴν, ἡμεῖς δὲ πάντες ἡσυχίαν ἄγοντες οὐδὲν ἄλλο ἢ θεαταὶ μόνον τῶν γιγνομένων παρηκολουθοῦμεν, Ἔρωτες δὲ παραπετόμενοι μικρὸν ἐκ τῆς θαλάττης, ὡς ἐνίοτε ἄκροις τοῖς ποσὶν ἐπιψαύειν τοῦ ὕδατος, ἡμμένας τὰς δᾷδας φέροντες ᾖδον ἅμα τὸν ὑμέναιον, αἱ Νηρηίδες δὲ ἀναδῦσαι παρίππευον ἐπὶ τῶν δελφίνων ἐπικροτοῦσαι ἡμίγυμνοι αἱ πολλαὶ, τό τε τῶν Τριτώνων γένος καὶ εἴ τι ἄλλο μὴ φοβερὸν ἰδεῖν τῶν θαλαττίων ἅπαντα περιεχόρευε τὴν παῖδα· ὁ μὲν γὰρ Ποσειδῶν ἐπιβεβηκὼς ἅρματος, παροχουμένην τὴν Ἀμφιτρίτην ἔχων

IPH. Ne ultra meminerimus, o Dori, istorum, si quid barbara mulier supra sortem suam effutierit: satis enim nobis pœnarum dedit filiæ periculo consternata. Lætemur ergo nuptiis.

15.

ZEPHYRI ET NOTI.

1. ZEPH. Nunquam equidem pompam magnificentiorem vidi in mari, ex quo sum et flo: tu autem nonne vidisti, Note?

NOT. Quam tu istam dicis, Zephyre, pompam? aut quinam erant, qui ducerent?

ZEPH. Jucundissimo spectaculo caruisti, quale nullum videas in posterum.

NOT. Scilicet ad Rubrum mare operam navabam: imo etiam flando percurri partem Indiæ, quanta mari contingitur ejus regionis: nihil ergo eorum novi, quæ dicis.

ZEPH. At tu Sidonium Agenorem nosti?

NOT. Sane; Europæ patrem: quid tum postea?

ZEPH. De illa ipsa narrabo tibi.

NOT. Num hoc, Jovem esse amatorem jamdudum puellæ? istuc equidem olim compertum habebam.

ZEPH. Igitur amorem nosti: quæ vero sunt consecuta, jam nunc audi.

2. Europa descenderat ad litus ludibunda, æqualibus assumtis comitibus: ibi Jupiter, tauro quum se assimilasset, una ludebat pulcherrimusque videbatur: etenim albus erat perfecte, cornibusque scite intortis, et vultu placido: subsultabat ergo et ipse in litore, mugiebatque suavissime, sic ut Europa anderet etiam inscendere taurum. Quod ubi factum est, tum cursu citatissimo Jupiter ad mare festinavit ferens illam; jamque natabat illapsus. Europa vero mirifice perculsa eo negotio læva apprehenderat cornu, ne deflueret; altera vento agitatum peplum continebat.

3. NOT. Jucundum illud spectaculum, Zephyre, vidisti, et amatorium, nantem Jovem, portantemque dilectam.

ZEPH. Imo quæ postea consequuntur jucundiora multo, Note: nam pelagus statim fluctibus vacavit, flustroque ad se attracto læve sedatumque se præbuit: nos autem omnes quietem agentes, nihil aliud quam spectatores solum eorum, quæ fiebant, assectabamur. Amores porro juxta volantes paululum supra mare, sic ut nonnunquam summis pedibus delibarent aquam, accensas faces ferentes canebant simul hymenæum: Nereides vero emersæ adequitabant in delphinis applaudentes, seminudæ pleræque: tum etiam Tritonum genus, et si quod aliud non terrificum visu marinorum, cuncta choreas ducebant circa puellam. Neptunus quidem conscenso curru, assidentem lateri Amphitriten habens

προῆγε γεγηθὼς ὁδοποιῶν νηχομένῳ τῷ ἀδελφῷ· ἐπὶ πᾶσι δὲ τὴν Ἀφροδίτην δύο Τρίτωνες ἔφερον ἐπὶ κόγχης κατακειμένην, ἄνθη παντοῖα ἐπιπάττουσαν τῇ νύμφῃ.

4. Ταῦτα ἐκ Φοινίκης ἄχρι τῆς Κρήτης ἐγένετο· ἐπεὶ δὲ ἐπέβη τῇ νήσῳ, ὁ μὲν ταῦρος οὐκέτι ἐφαίνετο, ἐπιλαβόμενος δὲ τῆς χειρὸς ὁ Ζεὺς ἀπῆγε τὴν Εὐρώπην ἐς τὸ Δικταῖον ἄντρον ἐρυθριῶσαν καὶ κάτω ὁρῶσαν· ἠπίστατο γὰρ ἤδη ἐφ' ὅτῳ ἄγοιτο. Ἡμεῖς δὲ ἐμπεσόντες ἄλλο ἄλλος τοῦ πελάγους μέρος διεκυμαίνομεν.

NOT. Ὦ μακάριε Ζέφυρε τῆς θέας· ἐγὼ δὲ γρῦπας καὶ ἐλέφαντας καὶ μέλανας ἀνθρώπους ἑώρων.

X.

ΝΕΚΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ.

1.

ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΠΟΛΥΔΕΥΚΟΥΣ.

1. ΔΙΟΓ. Ὦ Πολύδευκες, ἐντέλλομαί σοι, ἐπειδὰν τάχιστα ἀνέλθῃς — σὸν γάρ ἐστιν, οἶμαι, ἀναβιῶναι αὖριον — ἢν που ἴδῃς Μένιππον τὸν κύνα — εὖροις δ' ἂν αὐτὸν ἐν Κορίνθῳ κατὰ τὸ Κράνειον ἢ ἐν Λυκείῳ τῶν ἐριζόντων πρὸς ἀλλήλους φιλοσόφων καταγελῶντα — εἰπεῖν πρὸς αὐτὸν ὅτι σοί, ὦ Μένιππε, κελεύει ὁ Διογένης, εἴ σοι ἱκανῶς τὰ ὑπὲρ γῆς καταγεγέλασται, ἥκειν ἐνθάδε πολλῷ πλείω ἐπιγελασόμενον· ἐκεῖ μὲν γὰρ ἐν ἀμφιβόλῳ σοὶ ἔτι ὁ γέλως ἦν καὶ πολὺ τὸ « τίς γὰρ ὅλως οἶδε τὰ μετὰ τὸν βίον; » ἐνταῦθα δὲ οὐ παύσῃ βεβαίως γελῶν καθάπερ ἐγὼ νῦν, καὶ μάλιστα ἐπειδὰν ὁρᾷς τοὺς πλουσίους καὶ σατράπας καὶ τυράννους οὕτω ταπεινοὺς καὶ ἀσήμους, ἐκ μόνης οἰμωγῆς διαγιγνωσκομένους, καὶ ὅτι μαλθακοὶ καὶ ἀγεννεῖς εἰσι μεμνημένοι τῶν ἄνω. Ταῦτα λέγε αὐτῷ, καὶ προσέτι ἐμπλησάμενον τὴν πήραν ἥκειν θέρμων τε πολλῶν καὶ εἴ που εὕροι ἐν τῇ τριόδῳ Ἑκάτης δεῖπνον κείμενον ἢ ᾠὸν ἐκ καθαρσίου ἤ τι τοιοῦτον.

2. ΠΟΛ. Ἀλλ' ἀπαγγελῶ ταῦτα, ὦ Διόγενες. Ὅπως δὲ εἰδῶ μάλιστα ὁποῖός τίς ἐστι τὴν ὄψιν.

ΔΙΟΓ. Γέρων, φαλακρὸς, τριβώνιον ἔχων πολύθυρον, ἅπαντι ἀνέμῳ ἀναπεπταμένον καὶ ταῖς ἐπιπτυχαῖς τῶν ῥακίων ποικίλον, γελᾷ δ' ἀεὶ καὶ τὰ πολλὰ τοὺς ἀλαζόνας τούτους φιλοσόφους ἐπισκώπτει.

ΠΟΛ. Ῥᾴδιον εὑρεῖν ἀπό γε τούτων.

ΔΙΟΓ. Βούλει καὶ πρὸς αὐτοὺς ἐκείνους ἐντείλωμαί τι τοὺς φιλοσόφους;

ΠΟΛ. Λέγε· οὐ βαρὺ γὰρ οὐδὲ τοῦτο.

ΔΙΟΓ. Τὸ μὲν ὅλον παύσασθαι αὐτοῖς παρεγγύα ληροῦσι καὶ περὶ τῶν ὅλων ἐρίζουσι καὶ κέρατα φύουσιν

præcedebat hilaris, viamque faciebat natanti fratri. Denique Venerem duo Tritones ferebant in concha decumbentem, flores omnigenos inspergentem sponsæ.

4. Hæc a Phœnicia usque ad Cretam sunt facta. Postquam vero pedem in insula posuit, taurus non amplius exstabat, sed prehensa manu Jupiter abduxit Europam in Dictæum antrum rubore suffusam dejectisque oculis : jam enim haud ignorabat, cujus rei gratia duceretur : tum nos impetu facto alius aliam pelagi partem concitabamus.

NOT. Te beatum, Zephyre, spectaculo : at ego gryphas interea, et elephantos et nigros homines videbam.

X.

MORTUORUM DIALOGI.

1.

DIOGENIS ET POLLUCIS.

1. DIO. O Pollux, mando tibi, simulatque ad superos escenderis (tuum est enim, opinor, in vitam redire cras), sicubi videris Menippum canem (inveneris autem illum Corinthi ad Craneum, aut in Lyceo altercantes inter se philosophos deridentem), ut dicas ad eum : Te, Menippe, jubet Diogenes, si tibi satis, quæ super terram geruntur, sunt derisa, venire huc multo plura irrisurum : illic etenim in ambiguo tibi risus erat, illudque in ore multum, Quis enim omnino novit quæ post vitam sint consecutura? hic vero non desines bona fide ridere, veluti ego nunc ; et maxime quidem ubi videris divites istos, et satrapas, et tyrannos, tam humiles nulloque insigni distinctos, ex solo ejulatu dignoscendos, eosque esse molles et ignavos, dum recordantur rerum superarum. Ista dic ipsi, atque insuper, ut impleta lupinis multis pera veniat, et si quam repererit in trivio Hecates cœnam jacentem, aut ovum lustrale, aut tale quiddam.

2. POL. At ista renunciabo, Diogenes : modo noverim accurate, qualis sit facie.

DIO. Senex, calvus, pallium habens multifore, omni vento apertum, et applicatis pannorum assumentis varium : ridet autem semper, et plurimum illos mendaces arroganter philosophos illudit.

POL. Facile est eum invenire ab istis quidem indiciis.

DIO. Vin' ad ipsos quoque illos mandem quiddam philosophos?

POL. Dic : neque enim grave mihi fuerit hoc.

DIO. Ergo in summa serio ipsis denuncia, ut desinant nugari, de rebus universis rixari, cornua generare sibi

ἀλλήλοις καὶ κροκοδείλους ποιοῦσι καὶ τὰ τοιαῦτα ἄπορα ἐρωτᾶν διδάσκουσι τὸν νοῦν.

ΠΟΛ. Ἀλλ' ἐμὲ ἀμαθῆ καὶ ἀπαίδευτον εἶναι φήσουσι κατηγοροῦντα τῆς σοφίας αὐτῶν.

ΔΙΟΓ. Σὺ δὲ οἰμώζειν αὐτοῖς παρ' ἐμοῦ λέγε.

ΠΟΛ. Καὶ ταῦτα, ὦ Διόγενες, ἀπαγγελῶ.

3. ΔΙΟΓ. Τοῖς πλουσίοις δ', ὦ φίλτατον Πολυδεύκιον, ἀπάγγελλε ταῦτα παρ' ἡμῶν· Τί, ὦ μάταιοι, τὸν χρυσὸν φυλάττετε; τί δὲ τιμωρεῖσθε ἑαυτοὺς λογιζόμενοι τοὺς τόκους καὶ τάλαντα ἐπὶ ταλάντοις συντιθέντες, οὓς χρὴ ἕνα ὀβολὸν ἔχοντας ἥκειν μετ' ὀλίγον;

ΠΟΛ. Εἰρήσεται καὶ ταῦτα πρὸς ἐκείνους.

ΔΙΟΓ. Ἀλλὰ καὶ τοῖς καλοῖς τε καὶ ἰσχυροῖς λέγε Μεγίλλῳ τε τῷ Κορινθίῳ καὶ Δαμοξένῳ τῷ παλαιστῇ, ὅτι παρ' ἡμῖν οὔτε ἡ ξανθὴ κόμη οὔτε τὰ χαροπὰ ἢ μέλανα ὄμματα ἢ ἐρύθημα ἐπὶ τοῦ προσώπου ἔτι ἔστιν ἢ νεῦρα εὔτονα ἢ ὦμοι καρτεροὶ, ἀλλὰ πάντα μία Μύκονος, φασὶ, κρανία γυμνὰ τοῦ κάλλους.

ΠΟΛ. Οὐ χαλεπὸν οὐδὲ ταῦτα εἰπεῖν πρὸς τοὺς καλοὺς καὶ ἰσχυρούς.

4. ΔΙΟΓ. Καὶ τοῖς πένησιν, ὦ Λάκων, — πολλοὶ δ' εἰσὶ καὶ ἀχθόμενοι τῷ πράγματι καὶ οἰκτείροντες τὴν ἀπορίαν — λέγε μήτε δακρύειν μήτ' οἰμώζειν διηγησάμενος τὴν ἐνταῦθα ἰσοτιμίαν, καὶ ὅτι ὄψονται τοὺς ἐκεῖ πλουσίους οὐδὲν ἀμείνους αὐτῶν· καὶ Λακεδαιμονίοις δὲ τοῖς σοῖς ταῦτα, εἰ δοκεῖ, παρ' ἐμοῦ ἐπιτίμησον λέγων ἐκλελύσθαι αὐτούς.

ΠΟΛ. Μηδὲν, ὦ Διόγενες, περὶ Λακεδαιμονίων λέγε· οὐ γὰρ ἀνέξομαί γε· ἃ δὲ πρὸς τοὺς ἄλλους ἔφησθα, ἀπαγγελῶ.

ΔΙΟΓ. Ἐάσωμεν τούτους, ἐπεί σοι δοκεῖ· σὺ δ' οἷς προεῖπον ἀπένεγκον παρ' ἐμοῦ τοὺς λόγους.

2.

ΠΛΟΥΤΩΝ Η ΚΑΤΑ ΜΕΝΙΠΠΟΥ.

1. ΚΡΟΙΣ. Οὐ φέρομεν, ὦ Πλούτων, Μένιππον τουτονὶ τὸν κύνα παροικοῦντα· ὥστε ἢ ἐκεῖνόν τοι μετάστησον ἢ ἡμεῖς μετοικήσομεν ἐς ἕτερον τόπον.

ΠΛΟΥΤ. Τί δ' ὑμᾶς δεινὸν ἐργάζεται ὁμόνεκρος ὤν;

ΚΡΟΙΣ. Ἐπειδὰν ἡμεῖς οἰμώζωμεν καὶ στένωμεν ἐκείνων μεμνημένοι τῶν ἄνω, Μίδας μὲν οὑτοσὶ τοῦ χρυσίου, Σαρδανάπαλλος δὲ τῆς πολλῆς τρυφῆς, ἐγὼ δὲ Κροῖσος τῶν θησαυρῶν, ἐπιγελᾷ καὶ ἐξονειδίζει ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν, ἐνίοτε δὲ καὶ ᾄδων ἐπιταράττει ἡμῶν τὰς οἰμωγὰς, καὶ ὅλως λυπηρός ἐστι.

ΠΛΟΥΤ. Τί ταῦτά φασιν, ὦ Μένιππε;

ΜΕΝ. Ἀληθῆ, ὦ Πλούτων· μισῶ γὰρ αὐτοὺς ἀγεννεῖς καὶ ὀλέθρους ὄντας, οἷς οὐκ ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες ἔτι μέμνηνται καὶ περιέχονται τῶν ἄνω· χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς

mutuo, crocodilos fingere, et ejusmodi perplexas interrogatiunculas mentibus inserere.

POL. Sed me indoctum et disciplinæ expertem esse dicent, qui audeam incusare sapientiam ipsorum.

DIO. Tum tu plorare illos a me jube.

POL. Et hæc ipsa, Diogenes, referam.

3. DIO. Divitibus autem, suavissime Pollucule, nuncia istæc a nobis : Quid, o vani, aurum custoditis? quid autem vosmet ipsi cruciatis, rationem ineuntes usurarum, et talenta super talentis componentes, quos oportet uno obolo instructos huc venire paullo post?

POL. Et illa dicentur ad eos.

DIO. Imo etiam formosulis illis ac robustis dicito, Megillo Corinthio et Damoxeno luctatori, apud nos nec flavam comam, nec grate torvos aut nigricantes oculos, nec florem in facie amplius adesse, aut nervos intentos, humerosve validos; sed omnia, quod aiunt, una Myconus, crania nuda pulchritudine.

POL. Ne ista quidem molestum erit exponere apud pulchros et robustos.

4. DIO. Porro pauperibus, o Lacon, (nam sunt sane multi, et graviter ferentes illam rem, misereque deplorantes inopiam) dic, ne lacrimas neu ejulatum edant, enarrata, quæ hic obtinet, conditionum æqualitate; idque etiam eos esse visuros, qui istic in vita sunt divites, nihilo meliores se. Et Lacedæmoniis tuis ista, si videtur, meo nomine exprobra, dicitoque moribus solutis eos a pristina severitate descivisse.

POL. Cave, Diogenes, de Lacedæmoniis quicquam dixeris; equidem non feram : quæ vero ad alios mandasti, renunciabo.

DIO. Mittamus istos, quoniam ita tibi videtur : at tu, quibus ante dixi, perfer mandata mea.

2.

PLUTO SEU CONTRA MENIPPUM.

1. CRŒSUS. Non ferimus, o Pluto, Menippum istum canem juxta nos habitantem : quare aut illum alio abire coge; aut nos migrabimus in alium locum.

PLUT. Quid autem vobis mali facit, qui perinde ac vos sit mortuus?

CRŒS. Quando nos ploramus et gemimus, istorum reminiscentes quæ supra affuerunt, Midas hicce auri, Sardanapalus iste multæ luxuriæ, ego vero Crœsus thesaurorum, irridet et conviciatur, mancipia nos et piaculares vocitans : interdum etiam cantando obturbat nostros gemitus : in summa, molestus est.

PLUT. Quid ista dicunt, Menippe?

MEN. Vera, Pluto : odi enim eos, quippe ignavos et perditissimos, quibus non satis fuit vivere male, sed et mortui recordantur ac mordicus retinere cupiunt res superas : gaudeo propterea, dum dolore eos afficio.

ΠΛΟΥΤ. Ἀλλ' οὐ χρή· λυποῦνται γὰρ οὐ μικρῶν στερόμενοι.

ΜΕΝ. Καὶ σὺ μωραίνεις, ὦ Πλούτων, ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς;

ΠΛΟΥΤ. Οὐδαμῶς, ἀλλ' οὐκ ἂν ἐθέλοιμι στασιάζειν ὑμᾶς.

2. ΜΕΝ. Καὶ μήν, ὦ κάκιστοι Λυδῶν καὶ Φρυγῶν καὶ Ἀσσυρίων, οὕτω γιγνώσκετε ὡς οὐδὲ παυσομένου μου· ἕνθα γὰρ ἂν ἦτε, ἀκολουθήσω ἀνιῶν καὶ κατᾴδων καὶ καταγελῶν.

ΚΡΟΙΣ. Ταῦτα οὐχ ὕβρις;

ΜΕΝ. Οὐκ, ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες καὶ τοῦ θανάτου τὸ παράπαν οὐ μνημονεύοντες· τοιγαροῦν οἰμώξεσθε πάντων ἐκείνων ἀφῃρημένοι.

ΚΡΟΙΣ. Πολλῶν γε, ὦ θεοί, καὶ μεγάλων κτημάτων.

ΜΙΔ. Ὅσου μὲν ἐγὼ χρυσοῦ.

ΣΑΡΔ. Ὅσης δὲ ἐγὼ τρυφῆς.

ΜΕΝ. Εὖ γε, οὕτω ποιεῖτε· ὀδύρεσθε μὲν ὑμεῖς, ἐγὼ δὲ τὸ γνῶθι σαυτὸν πολλάκις συνείρων ἐπᾴσομαι ὑμῖν· πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾳδόμενον.

PLUT. At non oportet : dolent enim non parvis rebus privati.

MEN. Tune etiam deliras, Pluto, qui calculum adjicias eorum suspiriis?

PLUT. Neutiquam : sed nolim equidem seditionem vos movere.

2. MEN. Atqui, pessimi Lydorum et Phrygum et Assyriorum, ita vobiscum statuite, me nullo pacto esse desiturum : quocumque enim iveritis, persequar ægre vobis faciens, occinens ac deridens.

CRŒS. Istæc nonne contumelia est?

MEN. Non est : sed ista, quæ vos faciebatis, dignos qui adoraremini vos ferentes, liberis hominibus insultantes, mortisque omnino immemores. Ideo ergo plorate omnibus istis spoliati.

CRŒ. Multis sane, dii, magnisque possessionibus.

MIDAS. Quanto quidem ego auro!

SARDANAPALUS. Et ego quanta luxuria!

MEN. Euge, ita instituite : lamentamini quidem vos; ego vero illud, Nosce te ipsum, sæpius ingeminans occinam vobis; belle enim deceat istiusmodi gemitibus adcantatum.

3.

ΜΕΝΙΠΠΟΥ, ΑΜΦΙΛΟΧΟΥ ΚΑΙ ΤΡΟΦΩΝΙΟΥ.

1. ΜΕΝ. Σφὼ μέντοι, ὦ Τροφώνιε καὶ Ἀμφίλοχε, νεκροὶ ὄντες οὐκ οἶδ' ὅπως ναῶν κατηξιώθητε καὶ μάντεις δοκεῖτε, καὶ οἱ μάταιοι τῶν ἀνθρώπων θεοὺς ὑμᾶς ὑπειλήφασιν εἶναι.

ΑΜΦΙΛ. Τί οὖν ἡμεῖς αἴτιοι, εἰ ὑπ' ἀνοίας ἐκεῖνοι τοιαῦτα περὶ νεκρῶν δοξάζουσιν;

ΜΕΝ. Ἀλλ' οὐκ ἂν ἐδόξαζον, εἰ μὴ ζῶντες καὶ ὑμεῖς τοιαῦτα ἐτερατεύεσθε ὡς τὰ μέλλοντα προειδότες καὶ προειπεῖν δυνάμενοι τοῖς ἐρομένοις.

ΤΡΟΦ. Ὦ Μένιππε, Ἀμφίλοχος μὲν οὗτος ἂν εἰδείη ὅ τι αὐτῷ ἀποκριτέον ὑπὲρ αὐτοῦ, ἐγὼ δὲ ἥρως εἰμὶ καὶ μαντεύομαι, ἤν τις κατέλθῃ παρ' ἐμέ. Σὺ δ' ἔοικας οὐκ ἐπιδεδημηκέναι Λεβαδείᾳ τὸ παράπαν· οὐ γὰρ ἂν ἠπίστεις σὺ τούτοις.

2. ΜΕΝ. Τί φῄς; εἰ μὴ ἐς Λεβάδειαν γὰρ παρέλθω καὶ ἐσταλμένος ταῖς ὀθόναις γελοίως μᾶζαν ἐν ταῖν χεροῖν ἔχων εἰσερπύσω διὰ τοῦ στομίου ταπεινοῦ ὄντος ἐς τὸ σπήλαιον, οὐκ ἂν ἠδυνάμην εἰδέναι ὅτι νεκρὸς εἶ ὥσπερ ἡμεῖς μόνῃ τῇ γοητείᾳ διαφέρων; ἀλλὰ πρὸς τῆς μαντικῆς, τί δαὶ ὁ ἥρως ἐστίν; ἀγνοῶ γάρ.

ΤΡΟΦ. Ἐξ ἀνθρώπου τι καὶ θεοῦ σύνθετον.

ΜΕΝ. Ὁ μήτε ἄνθρωπός ἐστιν, ὡς φῄς, μήτε θεός, καὶ συναμφότερόν ἐστι; νῦν οὖν ποῦ σου τὸ θεῶν ἐκεῖνο ἡμίτομον ἀπελήλυθε;

ΤΡΟΦ. Χρᾷ, ὦ Μένιππε, ἐν Βοιωτίᾳ.

3.

MENIPPI, AMPHILOCHI ET TROPHONII.

1. MEN. Vos quidem, Trophoni et Amphiloche, mortui quum sitis, nescio quo pacto templis estis honorati, vatesque videmini, et qui vani sunt inter mortales, deos esse vos arbitrantur.

AMPH. Quid ergo? nosne in causa sumus, si præ dementia isti talia de mortuis opinantur?

MEN. At non opinarentur, nisi et vivi vos tales præstigias præ vobis tulissetis, quasi futura præsciretis et prædicere possetis rogantibus.

TROPH. Menippe, Amphilochus hicce sciverit quid sibi respondendum sit pro se : ego vero heros sum, et oracula reddo, si quis descenderit ad me. Haud sane videris unquam invisisse Lebadeam : non enim fidem negares istis.

2. Quid ais? ergo, nisi Lebadeam adiero, ornatusque linteis ridicule, offam manibus tenens irrepsero per os depressum in specum, nequeam scire te mortuum esse, quemadmodum nos, sola præstigiarum fraude diversum? Verum, per artem divinandi, quid tandem heros est? ignoro enim.

TROPH. Ex homine quiddam et deo compositum.

MEN. Quod neque homo sit, ut ais, neque deus; sed simul utrumque? Nunc igitur quo tua ista dei dimidia pars abiit?

TROPH. Oracula edit, Menippe, in Bœotia.

ΜΕΝ. Οὐκ οἶδα, ὦ Τροφώνιε, ὅ τι καὶ λέγεις· ὅτι μέντοι ὅλος εἶ νεκρὸς ἀκριβῶς ὁρῶ.

4.

ΕΡΜΟΥ ΚΑΙ ΧΑΡΩΝΟΣ.

1. ΕΡΜ. Λογισώμεθα, ὦ πορθμεῦ, εἰ δοκεῖ, ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ αὖθις ἐρίζωμέν τι περὶ αὐτῶν.

ΧΑΡ. Λογισώμεθα, ὦ Ἑρμῆ· ἄμεινον γὰρ ὡρίσθαι καὶ ἀπραγμονέστερον.

ΕΡΜ. Ἄγκυραν ἐντειλαμένῳ ἐκόμισα πέντε δραχμῶν.

ΧΑΡ. Πολλοῦ λέγεις.

ΕΡΜ. Νὴ τὸν Ἀΐδωνέα, τῶν πέντε ὠνησάμην, καὶ τροπωτῆρα δύο ὀβολῶν.

ΧΑΡ. Τίθει πέντε δραχμὰς καὶ ὀβολοὺς δύο.

ΕΡΜ. Καὶ ἀκέστραν ὑπὲρ τοῦ ἱστίου· πέντε ὀβολοὺς ἐγὼ κατέβαλον.

ΧΑΡ. Καὶ τούτους προστίθει.

ΕΡΜ. Καὶ κηρὸν ὡς ἐπιπλάσαι τοῦ σκαφιδίου τὰ ἀνεῳγότα καὶ ἧλους δὲ καὶ καλώδιον, ἀφ' οὗ τὴν ὑπέραν ἐποίησας, δύο δραχμῶν ἅπαντα.

ΧΑΡ. Καὶ ἄξια ταῦτα ὠνήσω.

ΕΡΜ. Ταῦτά ἐστιν, εἰ μή τι ἄλλο ἡμᾶς διέλαθεν ἐν τῷ λογισμῷ. Πότε δ' οὖν ταῦτα ἀποδώσειν φῄς;

ΧΑΡ. Νῦν μέν, ὦ Ἑρμῆ, ἀδύνατον, ἢν δὲ λοιμός τις ἢ πόλεμος καταπέμψῃ ἀθρόους τινάς, ἐνέσται τότε ἀποκερδᾶναι παραλογιζόμενον τὰ πορθμεῖα.

2. ΕΡΜ. Νῦν οὖν ἐγὼ καθεδοῦμαι τὰ κάκιστα εὐχόμενος γενέσθαι, ὡς ἂν ἀπὸ τούτων ἀπολάβοιμι;

ΧΑΡ. Οὐκ ἔστιν ἄλλως, ὦ Ἑρμῆ. Νῦν δ' ὀλίγοι, ὡς ὁρᾷς, ἀφικνοῦνται ἡμῖν· εἰρήνη γάρ.

ΕΡΜ. Ἄμεινον οὕτως, εἰ καὶ ἡμῖν παρατείνοιτο ὑπὸ σοῦ τὸ ὄφλημα. Πλὴν ἀλλ' οἱ μὲν παλαιοί, ὦ Χάρων, οἷσθα οἷοι παρεγίγνοντο, ἀνδρεῖοι ἅπαντες, αἵματος ἀνάπλεῳ καὶ τραυματίαι οἱ πολλοί· νῦν δὲ ἢ φαρμάκῳ τις ὑπὸ τοῦ παιδὸς ἀποθανὼν ἢ ὑπὸ τῆς γυναικὸς ἢ ὑπὸ τρυφῆς ἐξῳδηκὼς τὴν γαστέρα καὶ τὰ σκέλη, ὠχροὶ ἅπαντες καὶ ἀγεννεῖς, οὐδὲν ὅμοιοι ἐκείνοις. Οἱ δὲ πλεῖστοι αὐτῶν διὰ χρήματα ἥκουσιν ἐπιβουλεύοντες ἀλλήλοις, ὡς ἐοίκασι.

ΧΑΡ. Πάνυ γὰρ περιπόθητά ἐστι ταῦτα.

ΕΡΜ. Οὐκοῦν οὐδ' ἐγὼ δόξαιμι ἂν ἁμαρτάνειν πικρῶς ἀπαιτῶν τὰ ὀφειλόμενα παρὰ σοῦ.

5.

ΠΛΟΥΤΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ.

1. ΠΛΟΥΤ. Τὸν γέροντα οἶσθα, τὸν πάνυ γεγηρακότα λέγω, τὸν πλούσιον Εὐκράτην, ᾧ παῖδες μὲν οὐκ εἰσὶν, οἱ τὸν κλῆρον δὲ θηρῶντες πεντακισμύριοι;

MEN. Non capio, Trophoni, quid tandem dicas : at te quidem totum esse mortuum, accurate video.

4.

MERCURII ET CHARONTIS.

1. MERC. Rationes ineamus, portitor, si videtur, quantum mihi jam debeas, ne quid denuo litigemus super istis.

CHAR. Ineamus sane, Mercuri : melius enim certi quid esse definitum ea de re, minusque habet molestiæ.

MERC. Ancoram tibi mandanti attuli comparatam quinque drachmis.

CHAR. Magno dicis.

MERC. Per Plutonem, ipsis quinque drachmis emi; et strophum alligando remo binis obolis.

CHAR. Pone quinque drachmas et binos obolos.

MERC. Et acum ad velum sarciendum : quinque obolos in eam persolvi.

CHAR. Et hos ascribe.

MERC. Tum ceram, qua oblineres navigii patentes rimas; et clavos itidem, et funem, unde hyperam confecisti; duabus drachmis hæc cuncta.

CHAR. Euge, vili ista quidem pretio emisti.

MERC. Hæc sunt; nisi quid aliud nos præteriit in computatione. Quando igitur ista te redditurum ais?

CHAR. Nunc quidem id, Mercuri, fieri non potest : quodsi pestis aliqua aut bellum huc demiserit confertos, licebit tunc lucri quiddam inde capere in majore turba fraudantem portoria.

2. MERC. Ergo nunc ego considebo, pessima quæque precatus evenire, ut per ea accipiam debitum?

CHAR. Aliter non datur, Mercuri : nunc autem pauci, ut vides, adveniunt nobis : est enim pax.

MERC. Præstat ita se rem habere, etiamsi nobis protendatur a te debitum. Veteres tamen illi, o Charon, nosti quales advenirent, strenui omnes, sanguinis pleni et saucii plerique : nunc autem vel veneno quis a filio sublatus, aut ab uxore, aut ex luxu tumefactus ventre et cruribus : pallidi quippe omnes et ignavi, neque similes istis. Eorum autem plurimi propter opes veniunt insidiati sibi invicem, ut quidem videntur.

CHAR. Valde scilicet expetendæ sunt illæ.

MERC. Proinde neque ego videri possim peccare, qui paullo acerbius flagitem debita abs te.

5.

PLUTONIS ET MERCURII.

1. PLUT. Senem nosti, illum inquam valde provectum ætate, divitem Eucratem, cui liberi quidem non sunt, hæreditatem vero qui venentur quinquaginta millia?

ΕΡΜ. Ναὶ, τὸν Σικυώνιον φής. Τί οὖν;

ΠΛΟΥΤ. Ἐκεῖνον μέν, ὦ Ἑρμῆ, ζῆν ἔασον ἐπὶ τοῖς ἐνενήκοντα ἔτεσιν, ἃ βεβίωκεν, ἐπιμετρήσας ἄλλα τοσαῦτα, εἰ δὲ οἷόν τε ἦν, καὶ ἔτι πλείω, τοὺς δὲ κόλακας αὐτοῦ Χαρῖνον τὸν νέον καὶ Δάμωνα καὶ τοὺς ἄλλους κατάσπασον ἐφεξῆς ἅπαντας.

ΕΡΜ. Ἄτοπον ἂν δόξειε τὸ τοιοῦτον.

ΠΛΟΥΤ. Οὐ μὲν οὖν, ἀλλὰ δικαιότατον· τί γὰρ ἐκεῖνοι παθόντες εὔχονται ἀποθανεῖν ἐκεῖνον ἢ τῶν χρημάτων ἀντιποιοῦνται οὐδὲν προσήκοντες; ὃ δὲ πάντων ἐστὶ μιαρώτατον, ὅτι καὶ τὰ τοιαῦτα εὐχόμενοι ὅμως θεραπεύουσιν ἔν γε τῷ φανερῷ, καὶ νοσοῦντος ἃ μὲν βουλεύονται πᾶσι πρόδηλα, θύσειν δὲ ὅμως ὑπισχνοῦνται, ἢν ῥαΐσῃ, καὶ ὅλως ποικίλη τις ἡ κολακεία τῶν ἀνδρῶν. Διὰ ταῦτα ὁ μὲν ἔστω ἀθάνατος, οἱ δὲ προαπίτωσαν αὐτοῦ μάτην ἐπιχανόντες.

2. ΕΡΜ. Γελοῖα πείσονται, πανοῦργοι ὄντες· πολλὰ κἀκεῖνος εὖ μάλα διαβουκολεῖ αὐτοὺς καὶ ἐλπίζει, καὶ ὅλως ἀεὶ θανόντι ἐοικὼς ἔρρωται πολὺ μᾶλλον τῶν νέων. Οἱ δὲ ἤδη τὸν κλῆρον ἐν σφίσι διῃρημένοι βόσκονται ζωὴν μακαρίαν πρὸς ἑαυτοὺς τιθέντες.

ΠΛΟΥΤ. Οὐκοῦν ὁ μὲν ἀποδυσάμενος τὸ γῆρας ὥσπερ Ἰόλεως ἀνηβησάτω, οἱ δὲ ἀπὸ μέσων τῶν ἐλπίδων τὸν ὀνειροποληθέντα πλοῦτον ἀπολιπόντες ἡκέτωσαν ἤδη κακοὶ κακῶς ἀποθανόντες.

ΕΡΜ. Ἀμέλησον, ὦ Πλούτων· μετελεύσομαι γάρ σοι ἤδη αὐτοὺς καθ' ἕνα ἐξῆς· ἑπτὰ δέ, οἶμαι, εἰσί.

ΠΛΟΥΤ. Κατάσπα, ὁ δὲ παραπέμψει ἕκαστον ἀντὶ γέροντος αὖθις πρωθήβης γενόμενος.

MERC. Sane : Sicyonium illum nempe dicis : quid autem?

PLUT. Eum, Mercuri, vivere sine, ad nonaginta annos, quos vixit, admensus totidem alios, et si quidem fieri possit, plures etiam : verum adulatores ejus, Charinum juvenem, Damonem et ceteros, detrahe per ordinem omnes.

MERC. Alienum plane videri queat hoc tale.

PLUT. Neutiquam; sed justissimum : quam enim illi tandem ob causam optant obire eum, aut bonis ejus sibi vindicandis inhiant nulla generis propinquitate conjuncti? Quod autem omnium est flagitiosissimum, talia quum optent, tamen eum observant in propatulo quidem; et quando ægrotat, quæ consilia agitent, omnibus sunt manifesta : neque tamen eo minus se hostia facturos esse pollicentur, si melius habuerit : et plane varia quædam est et versuta hominum istorum adulatio. Propterea hic quidem esto immortalis, illi vero ante eum abeant frustrata inhiatione decepti.

2. MERC. Ridicula patientur, quippe male subdoli : multum et ille perbelle deludit eos, et spe vana lactat : imo etiam semper moribundo similis valetudine est multo quam juvenes firmiore; hi vero, jam sorte inter se divisa, securi pascuntur vitam beatam sibi ascribentes.

PLUT. Ergo hic exuto senio, tanquam Iolaus, repubescat : illi autem a media spe, somniatis opibus relictis, detrusi jam veniant mali male mortui.

MERC. At tu securo sis animo, Pluto : arcessam enim jam tibi eos singulos ordine : septem, opinor, sunt.

PLUT. Detrahe : ille autem singulos prosequetur, pro sene denuo primæ pubertatis juvenis factus.

6.

ΤΕΡΨΙΩΝΟΣ ΚΑΙ ΠΛΟΥΤΩΝΟΣ.

1. ΤΕΡΨ. Τοῦτο, ὦ Πλούτων, δίκαιον, ἐμὲ μὲν τεθνάναι τριάκοντα ἔτη γεγονότα, τὸν δὲ ὑπὲρ τὰ ἐνενήκοντα γέροντα Θούκριτον ζῆν ἔτι;

ΠΛΟΥΤ. Δικαιότατον μὲν οὖν, ὦ Τερψίων, εἴ γε ὁ μὲν ζῇ μηδένα εὐχόμενος ἀποθανεῖν τῶν φίλων, σὺ δὲ παρὰ πάντα τὸν χρόνον ἐπεβούλευες αὐτῷ περιμένων τὸν κλῆρον.

ΤΕΡΨ. Οὐ γὰρ ἐχρῆν γέροντα ὄντα καὶ μηκέτι χρήσασθαι τῷ πλούτῳ αὐτὸν δυνάμενον ἀπελθεῖν τοῦ βίου παραχωρήσαντα τοῖς νέοις;

ΠΛΟΥΤ. Καινά, ὦ Τερψίων, νομοθετεῖς, τὸν μηκέτι τῷ πλούτῳ χρήσασθαι δυνάμενον πρὸς ἡδονὴν ἀποθνήσκειν· τὸ δὲ ἄλλως ἡ Μοῖρα καὶ ἡ φύσις διέταξεν.

2. ΤΕΡΨ. Οὐκοῦν ταύτης αἰτιῶμαι τῆς διατάξεως· ἐχρῆν γὰρ τὸ πρᾶγμα ἐξῆς πως γίνεσθαι, τὸν πρεσβύτερον πρότερον καὶ μετὰ τοῦτον ὅστις καὶ τῇ ἡλικίᾳ μετ' αὐτὸν, ἀναστρέφεσθαι δὲ μηδαμῶς, μηδὲ ζῆν μὲν τὸν ὑπέργηρων ὀδόντας τρεῖς ἔτι λοιποὺς ἔχοντα, μόγις ὁρῶντα, οἰκέταις τέτταρσιν ἐπικεκυφότα, κορύζης μὲν

6.

TERPSIONIS ET PLUTONIS.

1. TERP. Istane res, o Pluto, justa, ut ego vita discedam triginta natus annos, ubi, qui nonaginta superavit, senex Thucritus vivit adhuc?

PLUT. Justissima quippe, Terpsion, siquidem hic vivit neminem optans emori amicorum : tu contra per omne tempus insidiabaris ipsi, avide exspectans hæreditatem.

TERP. Non enim oportebat, qui senex esset, neque amplius uti divitiis ipse possit, abire vita, locumque cedere junioribus?

PLUT. Tu quidem, o Terpsion, novæ legis es auctor, ut is, qui amplius divitiis uti nequeat ad voluptatem, moriatur : hoc autem secus a Fato et Natura constitutum est.

2. TERP. Quin illam igitur incuso iniquæ constitutionis : nam conveniebat hanc rem ordine quodammodo fieri, senior ut prius abiret, et deinceps qui ætate proximus esset, nullo autem pacto rationem in contrarium verti, neque in vita remanere decrepitum, cui dentes tres admodum sint residui, vix videntem, servulis quatuor corpore curvato inni-

τὴν ῥῖνα, λήμης δὲ τοὺς ὀφθαλμοὺς μεστὸν ὄντα, οὐδὲν ἔτι ἡδὺ εἰδότα, ἐμψυχόν τινα τάφον ὑπὸ τῶν νέων καταγελώμενον, ἀποθνήσκειν δὲ καλλίστους καὶ ἐρρωμενεστάτους νεανίσκους· ἄνω γὰρ ποταμῶν τοῦτό γε· ἢ τὸ τελευταῖον εἰδέναι ἐχρῆν πότε καὶ τεθνήξεται τῶν γερόντων ἕκαστος, ἵνα μὴ μάτην ἂν ἑνίους ἐθεράπευον. Νῦν δὲ τὸ τῆς παροιμίας, ἡ ἅμαξα τὸν βοῦν.

3. ΠΛΟΥΤ. Ταῦτα μέν, ὦ Τερψίων, πολὺ συνετώτερα γίγνεται ἢπερ σοὶ δοκεῖ. Καὶ ὑμεῖς δὲ τί παθόντες ἀλλοτρίοις ἐπιχαίνετε καὶ τοῖς ἀτέκνοις τῶν γερόντων εἰσποιεῖτε φέροντες αὐτούς; τοιγαροῦν γέλωτα ὀφλισκάνετε πρὸ ἐκείνων κατορυττόμενοι, καὶ τὸ πρᾶγμα τοῖς πολλοῖς ἥδιστον γίγνεται· ὅσῳ γὰρ ὑμεῖς ἐκείνους ἀποθανεῖν εὔχεσθε, τοσούτῳ ἅπασιν ἡδὺ προαποθανεῖν ὑμᾶς αὐτῶν. Καινὴν γάρ τινα ταύτην τέχνην ἐπινενοήκατε γραῶν καὶ γερόντων ἐρῶντες, καὶ μάλιστα εἰ ἄτεκνοι εἶεν, οἱ δὲ ἔντεκνοι ὑμῖν ἀνέραστοι. Καίτοι πολλοὶ ἤδη τῶν ἐρωμένων συνέντες ὑμῶν τὴν πανουργίαν τοῦ ἔρωτος, ἢν καὶ τύχωσι παῖδας ἔχοντες, μισεῖν αὐτοὺς πλάττονται, ὡς καὶ αὐτοὶ ἐραστὰς ἔχωσιν· εἶτα ἐν ταῖς διαθήκαις ἀπεκλείσθησαν μὲν οἱ πάλαι δορυφορήσαντες, ὁ δὲ παῖς καὶ ἡ φύσις, ὥσπερ ἐστὶ δίκαιον, κρατοῦσι πάντων, οἱ δὲ ὑποπρίουσι τοὺς ὀδόντας ἀποσμυγέντες.

4. ΤΕΡΨ. Ἀληθῆ ταῦτα φῄς· ἐμοῦ γοῦν Θούκριτος πόσα κατέφαγεν ἀεὶ τεθνήξεσθαι δοκῶν καὶ ὁπότε ἐσίοιμι ὑποστένων καὶ μύχιόν τι καθάπερ ἐξ ᾠοῦ νεοττὸς ἀτελὴς ὑποκρώζων, ὥστ' ἔγωγε ὅσον αὐτίκα οἰόμενος ἐπιβήσειν αὐτὸν τῆς σοροῦ ἔπεμπόν τε πολλὰ, ὡς μὴ ὑπερβάλλοιντό με οἱ ἀντερασταὶ τῇ μεγαλοδωρεᾷ, καὶ τὰ πολλὰ ὑπὸ φροντίδων ἄγρυπνος ἐκείμην ἀριθμῶν ἕκαστα καὶ διατάττων. Ταῦτα γοῦν μοι καὶ τοῦ ἀποθανεῖν αἴτια γεγένηται, ἀγρυπνία καὶ φροντίδες· ὁ δὲ τοσοῦτόν μοι δέλεαρ καταπιὼν ἐφειστήκει θαπτομένῳ πρώην ἐπιγελῶν.

5. ΠΛΟΥΤ. Εὖ γε, ὦ Θούκριτε, ζώοις ἐπὶ μήκιστον πλουτῶν ἅμα καὶ τῶν τοιούτων καταγελῶν, μηδὲ πρότερόν γε σὺ ἀποθάνοις ἢ προπέμψας πάντας τοὺς κόλακας.

ΤΕΡΨ. Τοῦτο μέν, ὦ Πλούτων, καὶ ἐμοὶ ἥδιστον ἤδη, εἰ καὶ Χαροιάδης προτεθνήξεται Θουκρίτου.

ΠΛΟΥΤ. Θάρρει, ὦ Τερψίων· καὶ Φείδων γὰρ καὶ Μέλανθος καὶ ὅλως ἅπαντες προελεύσονται αὐτοῦ ὑπὸ ταῖς αὐταῖς φροντίσιν.

ΤΕΡΨ. Ἐπαινῶ ταῦτα. Ζώοις ἐπὶ μήκιστον, ὦ Θούκριτε.

xum, qui pituita nasum, gramiis oculos habeat oppletos, nihil amplius suave sentiat, animatum quoddam sepulchrum, ab adolescentibus derisum, dum interea moriuntur formosissimi robustissimique juvenes : hoc utique perinde est, quasi in caput flumina recurrant. Saltem denique sciendum erat, quando quisque senum esset obiturus, ne frustra quosdam observarent. Nunc autem quod proverbio vulgatur, Currus bovem (*sæpe effert*).

3. PLUT. Illa quidem, Terpsion, multo sapientius gubernantur, quam tu putas. Quæ, malum, causa vos impellit, ut alienis inhietis, et orbis senibus vosmet adoptandos omnibus obsequiis ingeratis? propterea merito risum debetis ante eos defossi; resque illa plerisque jucundissima accidit : nam quantum illos obire optatis, tantum omnibus est gratum, si vos ante moriamini. Novam profecto illam artem excogitastis, vetularum et senum amorem, tum maxime, si prole careant; nam quibus liberi sunt, illi amore vestro vacant. Quanquam multi jam eorum, qui *non* amantur, intellecta vestri amoris calliditate, etsi liberos habeant, illos odisse se fingunt, ut et ipsi amatores nanciscantur : verumtamen in testamentis excludi solent, qui dudum satellitum more fuerant sectati; liberi autem et natura, sicuti justum est, potiuntur omnibus : isti vero infrendunt dentibus, dolore emacerati.

4. TERP. Vera sunt, quæ dicis : ecce enim Thucritus a me profecta quot dona consumsit, semper mox morituro similis, et, quando intrarem, altum gemens ex imoque pectore, quasi ex ovo pullus imperfectus, crocitando suspirans. Ego igitur, qui non dubitarem quin jamjam inscensurus esset sandapilam, mittebam multa, ne me superarent æmuli amatores magnitudine munerum; ac plerumque ex curis insomnis jacebam, dinumerans singula disponensque : imo hæc ipsa mihi mortis exstitit causa, insomnia, inquam, et curæ : hic vero, tanta mihi esca deglutita, astabat, quum terræ mandarer pridie, multo cum risu.

5. PLUT. Euge, Thucrite, vitam producas quam longissime, divitiis simul abundans, ac tales deridens; neque ante tu quidem moriaris, quam fueris prosecutus omnes istos adulatores.

TERP. Id quidem, o Pluto, et mihi jam gratissimum erit, si etiam Charœades ante Thucritum sit moriturus.

PLUT. Bono sis animo, Terpsion; etenim et Phidon, et Melanthus, et plane cuncti eum prævertent sub iisdem curis huc deducti.

TERP. Ista laudo : vitam producas quam longissime, Thucrite.

7.

ΖΗΝΟΦΑΝΤΟΥ ΚΑΙ ΚΑΛΛΙΔΗΜΙΔΟΥ.

1. ΖΗΝ. Σὺ δέ, ὦ Καλλιδημίδη, πῶς ἀπέθανες; ἐγὼ μὲν γὰρ ὅτι παράσιτος ὢν Δεινίου πλέον τοῦ ἱκανοῦ ἐμφαγὼν ἀπεπνίγην οἶσθα· παρῆς γὰρ ἀποθνήσκοντί μοι.

7.

ZENOPHANTÆ ET CALLIDEMIDÆ.

1. ZEN. Tu autem, o Callidemide, quomodo mortem oppetiisti? me quidem, quum parasitus essem Diniæ, et plus quam satis erat ingurgitassem, fuisse suffocatum nosti : aderas enim mihi morienti.

ΚΑΛΛ. Παρῆν, ὦ Ζηνόφαντε· τὸ δὲ ἐμὸν παράδοξόν τι ἐγένετο. Οἶσθα γὰρ καὶ σύ που Πτοιόδωρον τὸν γέροντα;

ΖΗΝ. Τὸν ἄτεκνον, τὸν πλούσιον, ᾧ σε τὰ πολλὰ ἤδειν συνόντα.

ΚΑΛΛ. Ἐκεῖνον αὐτὸν ἀεὶ ἐθεράπευον ὑπισχνούμενον ἐπ' ἐμοὶ τεθνήξεσθαι. Ἐπεὶ δὲ τὸ πρᾶγμα ἐς μήκιστον ἐπεγίγνετο καὶ ὑπὲρ τὸν Τιθωνὸν ὁ γέρων ἔζη, ἐπίτομόν τινα ὁδὸν ἐπὶ τὸν κλῆρον ἐξεῦρον· πριάμενος γὰρ φάρμακον ἀνέπεισα τὸν οἰνοχόον, ἐπειδὰν τάχιστα ὁ Πτοιόδωρος αἰτήσῃ πιεῖν — πίνει δ' ἐπιεικῶς ζωρότερον — ἐμβαλόντα ἐς κύλικα ἕτοιμον ἔχειν αὐτὸ καὶ ἐπιδοῦναι αὐτῷ· εἰ δὲ τοῦτο ποιήσειεν, ἐλεύθερον ἐπωμοσάμην ἀφήσειν αὐτόν.

ΖΗΝ. Τί οὖν ἐγένετο; πάνυ γάρ τι παράδοξον ἐρεῖν ἔοικας.

2. ΚΑΛΛ. Ἐπεὶ τοίνυν λουσάμενοι ἤκομεν, δύο δὴ ὁ μειρακίσκος κύλικας ἑτοίμους ἔχων τὴν μὲν τῷ Πτοιοδώρῳ τὴν ἔχουσαν τὸ φάρμακον, τὴν δὲ ἑτέραν ἐμοί, σφαλεὶς οὐκ οἶδ' ὅπως ἐμοὶ μὲν τὸ φάρμακον, Πτοιοδώρῳ δὲ τὸ ἀφάρμακτον ἔδωκεν· εἶτα ὁ μὲν ἔπινεν, ἐγὼ δὲ αὐτίκα μάλα ἐκτάδην ἐκείμην ὑποβολιμαῖος ἀντ' ἐκείνου νεκρός. Τί τοῦτο γελᾷς, ὦ Ζηνόφαντε; καὶ μὴν οὐκ ἔδει γε ἑταίρῳ ἀνδρὶ ἐπιγελᾶν.

ΖΗΝ. Ἀστεῖα γάρ, ὦ Καλλιδημίδη, πέπονθας. Ὁ γέρων δὲ τί πρὸς ταῦτα;

ΚΑΛΛ. Πρῶτον μὲν ὑπεταράχθη πρὸς τὸ αἰφνίδιον, εἶτα συνεὶς, οἶμαι, τὸ γεγενημένον ἐγέλα καὶ αὐτὸς, οἷά γε ὁ οἰνοχόος εἴργασται.

ΖΗΝ. Πλὴν ἀλλ' οὐδέ σε τὴν ἐπίτομον ἐχρῆν τραπέσθαι· ἦκε γὰρ ἄν σοι διὰ τῆς λεωφόρου ἀσφαλέστερον, εἰ καὶ ὀλίγῳ βραδύτερον.

CALL. Aderam, Zenophante : de me vero prorsus quiddam præter opinionem evenit. Nosti enim, credo, Ptœodorum senem?

ZEN. Orbum illum, ac divitem, quocum te plerumque noveram una esse.

CALL. Illum ipsum semper observabam, promittentem, me relicto hærede, se moriturum. Quum autem illa res in longissimum protraheretur, Tithonumque senex annis excederet, compendiosam quandam viam ad hæreditatem excogitavi : emto nimirum veneno, induxi servum a poculis, simulatque Ptœodorus petiisset bibere (bibit autem sane meracius), infusum in calicem paratum ut illud haberet, porrigeretque ipsi : hoc si fecerit, adjuravi me ipsum manumissurum.

ZEN. Quid ergo factum? aliquid enim valde inopinatum narraturus videris.

2. CALL. Postquam ergo loti adsumus, duos jam puer calices in promtu habens, alterum pro Ptœodoro veneno infectum, pro me alterum, errore deceptus nescio quo pacto mihi venenatam, Ptœodoro veneni puram potionem tradidit. Tum hic quidem hausit; ego e vestigio porrectus jacebam supposititium illius vice cadaver. Quid autem? riden', o Zenophantes? atqui non decebat sodalem virum irridere.

ZEN. Quippe festivum hoc, Callidemide, tibi contigit. Senex vero quid ad ista?

CALL. Primum quidem nonnihil est conturbatus ad casum repentinum : tum, re, ut puto, cognita, et ipse ridebat ob ea, quæ servus a poculis patrasset.

ZEN. Enimvero neque tu ad compendiariam istam debueras te convertere : venisset enim tibi hæreditas via regia tutius, etsi paulo tardius.

8.

ΚΝΗΜΩΝΟΣ ΚΑΙ ΔΑΜΝΙΠΠΟΥ.

ΚΝΗΜ. Τοῦτο ἐκεῖνο τὸ τῆς παροιμίας· ὁ νεβρὸς τὸν λέοντα.

ΔΑΜ. Τί ἀγανακτεῖς, ὦ Κνήμων;

ΚΝΗΜ. Πυνθάνῃ δ' τι ἀγανακτῶ; κληρονόμον ἀκούσιον καταλέλοιπα κατασοφισθεὶς ἀθλιος, οὓς ἐβουλόμην ἂν μάλιστα σχεῖν τἀμὰ παραλιπών.

ΔΑΜ. Πῶς τοῦτο ἐγένετο;

ΚΝΗΜ. Ἑρμόλαον τὸν πάνυ πλούσιον ἄτεκνον ὄντα ἐθεράπευον ἐπὶ θανάτῳ, κἀκεῖνος οὐκ ἀηδῶς τὴν θεραπείαν προσίετο. Ἔδοξε δή μοι καὶ σοφὸν τοῦτο εἶναι, θέσθαι διαθήκας ἐς τὸ φανερὸν, ἐν αἷς ἐκείνῳ καταλέλοιπα τἀμὰ πάντα, ὡς κἀκεῖνος ζηλώσειε καὶ τὰ αὐτὰ πράξειε.

ΔΑΜ. Τί οὖν δὴ ἐκεῖνος;

ΚΝΗΜ. Ὅ τι μὲν αὐτὸς ἐνέγραψε ταῖς ἑαυτοῦ διαθήκαις οὐκ οἶδα· ἐγὼ γοῦν ἄφνω ἀπέθανον τοῦ τέγους

8.

CNEMONIS ET DAMNIPPI.

CNEM. Hoc illud est, quod proverbio dicitur, Hinnulus leonem.

DAM. Quid indignaris, o Cnemon?

CNEM. Tu quid indigner rogas? hæredem invitus reliqui, arte circumventus miser, iis, quos volebam maxime mea possidere, præteritis.

DAM. Quinam illud accidit?

CNEM. Hermolaum illum valde divitem colebam spe mortis : neque ille illibenter obsequium admittebat. Illud insuper videbatur mihi callidum esse, si proferrem testamentum in publicum, quo illum scripseram hæredem bonorum meorum omnium, ut ille vicissim me æmularetur, idemque faceret.

DAM. Quid igitur ille?

CNEM. Quid suis quidem in testamenti tabulis scripserit, ignoro : ego vero repente sum mortuus, tecto mihi in caput

μοι ἐπιπε·ὀντος, καὶ νῦν Ἑρμόλαος ἔχει τἀμὰ ὥσπερ τις λάβραξ καὶ τὸ ἄγκιστρον τῷ δελέατι συγκατασπάσας.

ΔΑΜ. Οὐ μόνον, ἀλλὰ καὶ αὐτόν σε τὸν ἁλιέα· ὥστε σόφισμα κατὰ σαυτοῦ συντέθεικας.

ΚΝΗΜ. Ἔοικα· οἰμώζω τοιγαροῦν.

incidente. Et nunc Hermolaus habet mea, quasi lupus quidam marinus hamo simul cum esca deorsum abrepto.

DAM. Neque hoc tantum; sed et ipso te piscatore. Itaque dolos adversum te instruxisti.

CNEM. Ita quidem videor, propterea que gemo.

9.

ΣΙΜΥΛΟΥ ΚΑΙ ΠΟΛΥΣΤΡΑΤΟΥ.

1. ΣΙΜ. Ἥκεις ποτέ, ὦ Πολύστρατε, καὶ σὺ παρ' ἡμᾶς ἔτη οἶμαι οὐ πολὺ ἀποδέοντα τῶν ἑκατὸν βεβιωκώς;

ΠΟΛ. Ὀκτὼ ἐπὶ τοῖς ἐνενήκοντα, ὦ Σιμύλε.

ΣΙΜ. Πῶς δαὶ τὰ μετ' ἐμὲ ταῦτα ἐβίως τριάκοντα; ἐγὼ γὰρ ἀμφὶ τὰ ἑβδομήκοντά σου ὄντος ἀπέθανον.

ΠΟΛ. Ὑπερήδιστα, εἰ καί σοι παράδοξον τοῦτο δόξει.

ΣΙΜ. Παράδοξον, εἰ γέρων τε καὶ ἀσθενὴς ἄτεκνός τε προσέτι ἥδεσθαι τοῖς ἐν τῷ βίῳ ἐδύνασο.

2. ΠΟΛ. Τὸ μὲν πρῶτον ἅπαντα ἐδυνάμην· ἔτι καὶ παῖδες ὡραῖοι ἦσαν πολλοὶ καὶ γυναῖκες ἁβρόταται καὶ μύρα καὶ οἶνος ἀνθοσμίας καὶ τράπεζα ὑπὲρ τὰς ἐν Σικελίᾳ.

ΣΙΜ. Καινὰ ταῦτα· ἐγὼ γάρ σε πάνυ φειδόμενον ἠπιστάμην.

ΠΟΛ. Ἀλλ' ἐπέρρει μοι, ὦ γενναῖε, παρ' ἄλλων τἀγαθά· καὶ ἕωθεν μὲν εὐθὺς ἐπὶ θύρας ἐφοίτων μάλα πολλοί, μετὰ δὲ παντοῖά μοι δῶρα προσήγετο ἀπανταχόθεν τῆς γῆς τὰ κάλλιστα.

ΣΙΜ. Ἐτυράννησας, ὦ Πολύστρατε, μετ' ἐμέ;

ΠΟΛ. Οὐκ, ἀλλ' ἐραστὰς εἶχον μυρίους.

ΣΙΜ. Ἐγέλασα· ἐραστὰς σὺ τηλικοῦτος ὤν, ὀδόντας τέτταρας ἔχων;

ΠΟΛ. Νὴ Δία, τοὺς ἀρίστους γε τῶν ἐν τῇ πόλει· καὶ γέροντά με, καὶ φαλακρὸν, ὡς ὁρᾷς, ὄντα, καὶ λημῶντα προσέτι καὶ κορυζῶντα ὑπερήδοντο θεραπεύοντες, καὶ μακάριος ἦν αὐτῶν ὅντινα ἂν καὶ μόνον προσέβλεψα.

ΣΙΜ. Μῶν καὶ σύ τινα ὥσπερ ὁ Φάων τὴν Ἀφροδίτην ἐκ Χίου διεπόρθμευσας, εἶτά σοι εὐξαμένῳ ἔδωκε νέον εἶναι καὶ καλὸν ἐξ ὑπαρχῆς καὶ ἀξιέραστον;

ΠΟΛ. Οὐκ, ἀλλὰ τοιοῦτος ὢν περιπόθητος ἦν.

ΣΙΜ. Αἰνίγματα λέγεις.

3. ΠΟΛ. Καὶ μὴν πρόδηλός γε ὁ ἔρως οὑτοσὶ πολὺς ὢν ὁ περὶ τοὺς ἀτέκνους καὶ πλουσίους γέροντας.

ΣΙΜ. Νῦν μανθάνω σου τὸ κάλλος, ὦ θαυμάσιε, ὅτι παρὰ τῆς χρυσῆς Ἀφροδίτης ἦν.

ΠΟΛ. Ἀτὰρ, ὦ Σιμύλε, οὐκ ὀλίγα τῶν ἐραστῶν ἀπολέλαυκα μονονουχὶ προσκυνούμενος ὑπ' αὐτῶν· καὶ ἐθρυπτόμην δὲ πολλάκις καὶ ἀπέκλειον αὐτῶν τινας ἐνίοτε, οἱ δὲ ἠμιλλῶντο καὶ ἀλλήλους ὑπερεβάλλοντο ἐν τῇ περὶ ἐμὲ φιλοτιμίᾳ.

9.

SIMYLI ET POLYSTRATI.

1. SIM. Advenis aliquando tandem, Polystrate, tu quoque ad nos, cujus ætas, opinor, prope ab annis centum abfuit?

POL. Octo annos supra nonaginta vixi, Simyle.

SIM. Quemadmodum autem istos post me triginta annos traduxisti? nam ego, quum tu admodum septuagenarius esses, obii.

POL. Supra quam dici potest suavissime, quanquam hoc tibi plane mirum videbitur.

SIM. Mirum enimvero, si tu vetulus et imbecillus, et præterea liberis carens delectari fructu vitæ potuisti.

2. POL. Primum omnia poteram: deinde aderant etiam pueri formosi sane multi, et mulieres tenerrimæ, et unguenta, et vinum fragrans, et mensæ vel Siculis delicatiores.

SIM. Nova narras: equidem te valde parcum cognoveram.

POL. At affluebant mihi, vir optime, ab aliis hæc commoda. Summo mane statim ad januas salutatum ventitabant frequentes: tum postea omnis generis dona afferebantur, ex quocumque terrarum angulo præstantissima.

SIM. An regnasti, Polystrate, post meum obitum?

POL. Neutiquam: verum amatores habebam ingenti numero.

SIM. Ridere libet: amatores tu ea ætate, dentes quatuor habens?

POL. Ita me Jupiter amet, primarios quidem civitatis: illi me vetulum, et, uti vides, calvum, lippum præterea, et senili muco fluentem mirifica voluptate colebant, isque eorum erat beatus, quemcunque solum aspicerem.

SIM. Num et tu ut Phaonem ferunt Venerem ex Chio transvexisti, quæ tum tibi optanti dederit esse juvenem et pulchrum denuo atque amabilem?

POL. Haudquaquam; sed vel talis summe desiderabar.

SIM. Ænigmata loqueris.

3. POL. Atqui manifestus est amor hicce tam frequens, qui orbis senibus et locupletibus insidiatur.

SIM. Nunc intelligo tuam illam, vir admirande, pulchritudinem, ab aurea scilicet Venere profectam.

POL. Verum, o Simyle, non paucos ab amatoribus fructus cepi, tantum non adoratus ab iis. Quin sæpe superbius aspernabar, et excludebam eorum nonnullos aliquando: hi vero contendebant inter se, et alius alium præcedere conabantur studio et obsequiis erga me.

ΣΙΜ. Τέλος δ' οὖν πῶς ἐβουλεύσω περὶ τῶν κτημάτων;

ΠΟΛ. Ἐς τὸ φανερὸν μὲν ἕκαστον αὐτῶν κληρονόμον ἀπολιπεῖν ἔφασκον, ὁ δ' ἐπίστευέ τε ἂν καὶ κολακευτικώτερον παρεσκεύαζεν ἑαυτὸν, ἄλλας δὲ τὰς ἀληθεῖς διαθήκας ἔχων, ἐκείνας κατέλιπον οἰμώζειν ἅπασι φράσας.

4. ΣΙΜ. Τίνα δ' αἱ τελευταῖαι τὸν κληρονόμον ἔσχον; ἦ πού τινα τῶν ἀπὸ τοῦ γένους;

ΠΟΛ. Οὐ μὰ Δί', ἀλλὰ νεώνητόν τινα τῶν μειρακίων τῶν ὡραίων Φρύγα.

ΣΙΜ. Ἀμφὶ πόσα ἔτη, ὦ Πολύστρατε;

ΠΟΛ. Σχεδὸν ἀμφὶ τὰ εἴκοσι.

ΣΙΜ. Ἤδη μανθάνω ἅτινά σοι ἐκεῖνος ἐχαρίζετο.

ΠΟΛ. Πλὴν ἀλλὰ πολὺ ἐκείνων ἀξιώτερος κληρονομεῖν, εἰ καὶ βάρβαρος ἦν καὶ ὄλεθρος, ὃν ἤδη καὶ αὐτοὶ οἱ ἄριστοι θεραπεύουσιν. Ἐκεῖνος τοίνυν ἐκληρονόμησέ μου καὶ νῦν ἐν τοῖς εὐπατρίδαις ἀριθμεῖται ὑπεξυρημένος μὲν τὸ γένειον καὶ βαρβαρίζων, Κόδρου δὲ εὐγενέστερος καὶ Νιρέως καλλίων καὶ Ὀδυσσέως συνετώτερος λεγόμενος εἶναι.

ΣΙΜ. Οὔ μοι μέλει· καὶ στρατηγησάτω τῆς Ἑλλάδος, εἰ δοκεῖ, ἐκεῖνοι δὲ μὴ κληρονομείτωσαν μόνον.

SIM. Ergo tandem quod consilium de tuis possessionibus iniisti?

POL. Palam singulos illorum hæredes me relicturum esse dictitabam : credebant scilicet, eoque magis ad adulationem se comparabant : at alias veras testamenti tabulas mecum servans, has reliqui, plorare jussis omnibus.

4. SIM. Quem ultimæ scriptum hæredem habuerunt? numquid aliquem genere propinquum?

POL. Nullo modo, sed recens emtum quendam adolescentulorum forma commendabilium Phrygem.

SIM. Quid ætatis circiter, Polystrate?

POL. Annos admodum viginti natum.

SIM. Jam teneo quæ tibi ille gratificaretur.

POL. Vel sic tamen multum illis dignior, qui hæreditatem cerneret, quantumvis barbarus et nequam; quem ipsi jam optimates assectantur. Is igitur hæres meus fuit, et nunc summo loco natis annumeratur ille mento raso delicatulus, et barbare loquens, qui tamen Codro nobilior, Nireo formosior, Ulixe prudentior esse perhibetur.

SIM. Nihil hoc ad me : vel imperator sit Græciæ, si vult, dummodo ne isti hæreditatem capiant.

10.

ΧΑΡΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ ΚΑΙ ΝΕΚΡΩΝ ΔΙΑΦΟΡΩΝ.

1. ΧΑΡ. Ἀκούσατε ὡς ἔχει ἡμῖν τὰ πράγματα. Μικρὸν μὲν ἡμῖν, ὡς ὁρᾶτε, τὸ σκαφίδιον καὶ ὑπόσαθρόν ἐστι καὶ διαρρεῖ τὰ πολλὰ, καὶ ἢν τραπῇ ἐπὶ θάτερα, οἰχήσεται περιτραπέν, ὑμεῖς δὲ ἅμα τοσοῦτοι ἥκετε πολλὰ ἐπιφερόμενοι ἕκαστος. Ἢν οὖν μετὰ τούτων ἐμβῆτε, δέδια μὴ ὕστερον μετανοήσητε, καὶ μάλιστα ὁπόσοι νεῖν οὐκ ἐπίστασθε.

ΕΡΜ. Πῶς οὖν ποιήσαντες εὐπλοήσομεν;

ΧΑΡ. Ἐγὼ ὑμῖν φράσω· γυμνοὺς ἐπιβαίνειν χρὴ τὰ περιττὰ ταῦτα πάντα ἐπὶ τῆς ἠόνος καταλιπόντας· μόλις γὰρ ἂν καὶ οὕτω δέξαιτο ὑμᾶς τὸ πορθμεῖον. Σοὶ δὲ, ὦ Ἑρμῆ, μελήσει τὸ ἀπὸ τούτου μηδένα παραδέχεσθαι αὐτῶν, ὃς ἂν μὴ ψιλὸς ᾖ καὶ τὰ ἔπιπλα, ὥσπερ ἔφην, ἀποβαλών. Παρὰ δὲ τὴν ἀποβάθραν ἑστὼς διαγίγνωσκε αὐτοὺς καὶ ἀναλάμβανε γυμνοὺς ἐπιβαίνειν ἀναγκάζων.

2. ΕΡΜ. Εὖ λέγεις, καὶ οὕτω ποιήσωμεν. — Οὑτοσὶ τίς ὁ πρῶτός ἐστι;

ΜΕΝ. Μένιππος ἔγωγε. Ἀλλ' ἰδοὺ ἡ πήρα μοι, ὦ Ἑρμῆ, καὶ τὸ βάκτρον ἐς τὴν λίμνην ἀπερρίφθων, τὸν τρίβωνα δὲ οὐδὲ ἐκόμισα εὖ ποιῶν.

ΕΡΜ. Ἔμβαινε, ὦ Μένιππε ἀνδρῶν ἄριστε, καὶ τὴν προεδρίαν παρὰ τὸν κυβερνήτην ἔχε ἐφ' ὑψηλοῦ, ὡς ἐπισκοπῇς ἅπαντας.

10.

CHARONTIS ET MERCURII ET MORTUORUM DIVERSORUM.

1. CHAR. Auscultate, quo statu nostræ sint res : parvula vobis, ut videtis, est scaphula, et nonnihil vetustate labefacta, rimisque crebris perpluit; quæ si inclinarit in alterutram partem, pessum ibit eversa : vos autem tot simul advenistis multis onusti sarcinis singuli. Cum istis itaque rebus si ingressi fueritis, metuo ne postmodum pœniteat, vos maxime, qui nare non novistis.

MERC. Quid ergo facto opus est, ut prospere navigemus?

CHAR. Equidem dicam : nudos ingredi oportet, supervacuis istis omnibus in litore relictis : vix enim vel sic ceperit vos navicula hæc vectoria. Tibi autem, Mercuri, curæ erit exinde neminem eorum ut admittas, qui non fuerit onere vacuus, et supellectilem, ut dixi, deposuerit. Ad scalam itaque navalem astans dispice eos, ac recipe, nudos scapham conscendere cogens.

2. MERC. Recte mones; eoque modo faciamus. — Hicce primus quis est?

MEN. Menippus ego : ecce vero pera mihi, Mercuri, baculusque in paludem sunto abjecta : pallium autem recte feci qui mecum ne tulerim quidem.

MERC. Inscende, Menippe, virorum optime, primamque sedem habe juxta gubernatorem in alto, ut inspicias omnes.

3. Ὁ καλὸς δ' οὗτος τίς ἐστι;

ΧΑΡΜ. Χαρμόλεως ὁ Μεγαρικὸς ὁ ἐπέραστος, οὗ τὸ φίλημα διτάλαντον ἦν.

ΕΡΜ. Ἀπόδυθι τοιγαροῦν τὸ κάλλος καὶ τὰ χείλη αὐτοῖς φιλήμασι καὶ τὴν κόμην τὴν βαθεῖαν καὶ τὸ ἐπὶ τῶν παρειῶν ἐρύθημα καὶ τὸ δέρμα ὅλον. Ἔχει καλῶς, εὔζωνος εἶ, ἐπίβαινε ἤδη.

4. Ὁ δὲ τὴν πορφυρίδα οὑτοσὶ καὶ τὸ διάδημα ὁ βλοσυρὸς τίς ὢν τυγχάνεις;

ΛΑΜΠ. Λάμπιχος Γελῴων τύραννος.

ΕΡΜ. Τί οὖν, ὦ Λάμπιχε, τοσαῦτα ἔχων πάρει;

ΛΑΜΠ. Τί οὖν; ἐχρῆν, ὦ Ἑρμῆ, γυμνὸν ἥκειν τύραννον ἄνδρα;

ΕΡΜ. Τύραννον μὲν οὐδαμῶς, νεκρὸν δὲ μάλα· ὥστε ἀπόθου ταῦτα.

ΛΑΜΠ. Ἰδού σοι ὁ πλοῦτος ἀπέρριπται.

ΕΡΜ. Καὶ τὸν τῦφον ἀπόρριψον, ὦ Λάμπιχε, καὶ τὴν ὑπεροψίαν· βαρήσει γὰρ τὸ πορθμεῖον συνεμπεσόντα.

ΛΑΜΠ. Οὐκοῦν ἀλλὰ τὸ διάδημα ἐασόν με ἔχειν καὶ τὴν ἐφεστρίδα.

ΕΡΜ. Οὐδαμῶς, ἀλλὰ καὶ ταῦτα ἄφες.

ΛΑΜΠ. Εἶεν. Τί ἔτι; πάντα γὰρ ἀφῆκα, ὡς ὁρᾷς.

ΕΡΜ. Καὶ τὴν ὠμότητα καὶ τὴν ἄνοιαν καὶ τὴν ὕβριν καὶ τὴν ὀργὴν, καὶ ταῦτα ἄφες.

ΛΑΜΠ. Ἰδού σοι ψιλός εἰμι.

5. ΕΡΜ. Ἔμβαινε ἤδη. — Σὺ δὲ ὁ παχὺς, ὁ πολύσαρκος τίς ὢν τυγχάνεις;

ΔΑΜ. Δαμασίας ὁ ἀθλητής.

ΕΡΜ. Ναὶ, ἔοικας· οἶδα γάρ σε πολλάκις ἐν ταῖς παλαίστραις ἰδών.

ΔΑΜ. Ναὶ, ὦ Ἑρμῆ· ἀλλὰ παράδεξαί με γυμνὸν ὄντα.

ΕΡΜ. Οὐ γυμνὸν, ὦ βέλτιστε, τοσαύτας σάρκας περιδεδλημένον· ὥστε ἀπόδυθι αὐτὰς, ἐπεὶ καταδύσεις τὸ σκάφος τὸν ἕτερον πόδα ὑπερθεὶς μόνον· ἀλλὰ καὶ τοὺς στεφάνους τούτους ἀπόρριψον καὶ τὰ κηρύγματα.

ΔΑΜ. Ἰδού σοι γυμνὸς, ὡς ὁρᾷς, ἀληθῶς εἰμι καὶ ἰσοστάσιος τοῖς ἄλλοις νεκροῖς.

ΕΡΜ. Οὕτως ἄμεινον ἀβαρῆ εἶναι· ὥστε ἔμβαινε.

6. Καὶ σὺ δὲ τὸν πλοῦτον ἀποθέμενος, ὦ Κράτων, καὶ τὴν μαλακίαν δὲ προσέτι καὶ τὴν τρυφὴν, μηδὲ τὰ ἐντάφια κόμιζε μηδὲ τὰ τῶν προγόνων ἀξιώματα, κατάλιπε δὲ καὶ γένος καὶ δόξαν καὶ εἴ ποτέ σε ἡ πόλις ἀνεκήρυξε καὶ τὰς τῶν ἀνδριάντων ἐπιγραφὰς, μηδὲ, ὅτι μέγαν τάφον ἐπί σοι ἔχωσαν, λέγε· βαρύνει γὰρ καὶ ταῦτα μνημονευόμενα.

ΚΡΑΤ. Οὐχ ἑκὼν μὲν, ἀπορρίψω δέ· τί γὰρ ἂν καὶ πάθοιμι;

7. ΕΡΜ. Βαβαί· σὺ δὲ ὁ ἔνοπλος τί βούλει; ἢ τί τὸ τρόπαιον τοῦτο φέρεις;

ΣΤΡΑΤ. Ὅτι ἐνίκησα, ὦ Ἑρμῆ, καὶ ἠρίστευσα καὶ ἡ πόλις ἐτίμησέ με.

3. Pulcher hicce quis est?

CHARM. Charmolaus Megarensis, amabilis ille, cujus osculum binis talentis æstimabatur.

MERC. At enim exue formam, et labia cum ipsis osculis, et comam promissam, ruborisque florem genis insidentem, cutemque totam. Recte habet, accinctus es : jam ingredere.

4. Tu vero cum purpurea veste et diademate, vultu truculentus, quis tandem es?

LAMP. Lampichus Geloorum tyrannus.

MERC. Quid ergo, Lampiche, tot rebus instructus ades?

LAMP. Quid autem? decebatne, Mercuri, nudum venire virum tyrannum?

MERC. Haud quidem tyrannum, sed mortuum omnino : quare depone ista.

LAMP. En tibi divitiæ sunt abjectæ.

MERC. Præterea fastum abjice, Lampiche, et despectionem aliorum : onerabunt enim naviculam, si tecum simul inciderint.

LAMP. At saltem diadema sine me retinere, amiculumque purpureum.

MERC. Neutiquam; verum et ista mitte.

LAMP. Fiat : quid porro? nam, uti vides, cuncta dimisi.

MERC. Etiam crudelitatem, et amentiam, et contumeliam, et iram, ista, inquam, omnia dimitte.

LAMP. Ecce me tibi plane nudum.

5. MERC. Ingredere nunc scapham. — Tu autem obesus, carnium mole gravis, quis es?

DAM. Damasias athleta.

MERC. Ita sane videris : novi enim, ut qui te sæpe viderim in palæstris.

DAM. Sic est, Mercuri : at tu me recipe nudum.

MERC. Haudquaquam nudum, vir optime, qui tot carnibus obtegaris : quamobrem exue istas, celeroqui demersurus scapham vel altero tantum pede imposito. Imo etiam coronas istas abjice, et præconia.

DAM. Ecce me tibi vere nudum, ut vides, ceterisque mortuis æqualem pondere.

MERC. Sic præstat esse levem : itaque naviculam conscende.

6. Tu quoque, divitiis positis, o Crato, et mollitie insuper, ac luxuria; nec tecum porta tegumenta funebria, nec majorum dignitates : relinque vero et genus et gloriam, et si quando civitas publico te præconio decoravit bene meritum, et statuarum inscriptiones; nec quod magnum monumentum tui honoris causa exaggerarint dicito; gravant enim ista vel commemorata.

CRAT. Invitus equidem, abjiciam tamen : nam quid faciam?

7. MERC. Papæ : tu autem in armis totus quid tibi vis? aut quod tropæum illud geris?

STRAT. Quia vici, Mercuri, belloque res præclaras gessi, et præmiis me civitas honoravit.

ΕΡΜ. Ἄφες ὑπὲρ γῆς τὸ τρόπαιον· ἐν ᾅδου γὰρ εἰρήνη καὶ οὐδὲν ὅπλων δεήσει.

8. Ὁ σεμνὸς δὲ οὗτος ἀπό γε τοῦ σχήματος καὶ βρενθυόμενος, ὁ τὰς ὀφρῦς ἐπηρκὼς, ὁ ἐπὶ τῶν φροντίδων τίς ἐστιν, ὁ τὸν βαθὺν πώγωνα καθειμένος;

ΜΕΝ. Φιλόσοφός τις, ὦ Ἑρμῆ, μᾶλλον δὲ γόης καὶ τερατείας μεστός· ὥστε ἀπόδυσον καὶ τοῦτον· ὄψει γὰρ πολλὰ καὶ γελοῖα ὑπὸ τῷ ἱματίῳ σκεπόμενα.

ΕΡΜ. Ἀπόθου σὺ τὸ σχῆμα πρῶτον, εἶτα καὶ ταυτὶ πάντα. Ὦ Ζεῦ, ὅσην μὲν τὴν ἀλαζονείαν κομίζει, ὅσην δὲ ἀμαθίαν καὶ ἔριν καὶ κενοδοξίαν καὶ ἐρωτήσεις ἀπόρους καὶ λόγους ἀκανθώδεις καὶ ἐννοίας πολυπλόκους, ἀλλὰ καὶ ματαιοπονίαν μάλα πολλὴν καὶ λῆρον οὐκ ὀλίγον καὶ ὕθλους καὶ μικρολογίαν, νὴ Δία καὶ χρυσίον γε τουτὶ καὶ ἡδυπάθειαν δὲ καὶ ἀναισχυντίαν καὶ ὀργὴν καὶ τρυφὴν καὶ μαλακίαν· οὐ λέληθε γάρ με, εἰ καὶ μάλα περικρύπτεις αὐτά. Καὶ τὸ ψεῦδος δὲ ἀπόθου καὶ τὸν τῦφον καὶ τὸ οἴεσθαι ἀμείνων εἶναι τῶν ἄλλων· ὡς εἴ γε ταῦτα πάντα ἔχων ἐμβαίης, ποία πεντηκόντορος δέξαιτο ἄν σε;

ΦΙΛ. Ἀποτίθεμαι τοίνυν αὐτὰ, ἐπείπερ οὕτω κελεύεις.

9. ΜΕΝ. Ἀλλὰ καὶ τὸν πώγωνα τοῦτον ἀποθέσθω, ὦ Ἑρμῆ, βαρύν τε ὄντα καὶ λάσιον, ὡς ὁρᾷς· πέντε μναῖ τριχῶν εἰσι τοὐλάχιστον.

ΕΡΜ. Εὖ λέγεις· ἀπόθου καὶ τοῦτον.

ΦΙΛ. Καὶ τίς ὁ ἀποκείρων ἔσται;

ΕΡΜ. Μένιππος οὑτοσὶ λαβὼν πέλεκυν τῶν ναυπηγιῶν ἀποκόψει αὐτὸν ἐπικόπῳ τῇ ἀποβάθρᾳ χρησάμενος.

ΜΕΝ. Οὐκ, ὦ Ἑρμῆ, ἀλλὰ πρίονά μοι ἀνάδος· γελοιότερον γὰρ τοῦτο.

ΕΡΜ. Ὁ πέλεκυς ἱκανός. — Εὖ γε. Ἀνθρωπινώτερος νῦν ἀναπέφηνας ἀποθέμενος σαυτοῦ τὴν κινάβραν.

ΜΕΝ. Βούλει μικρὸν ἀφέλωμαι καὶ τῶν ὀφρύων;

ΕΡΜ. Μάλιστα· ὑπὲρ τὸ μέτωπον γὰρ καὶ ταύτας ἐπῆρκεν, οὐκ οἶδα ἐφ' ὅτῳ ἀνατείνων ἑαυτόν. Τί τοῦτο; καὶ δακρύεις, ὦ κάθαρμα, καὶ πρὸς θάνατον ἀποδειλιᾷς; ἔμβηθι δ' οὖν.

ΜΕΝ. Ἓν ἔτι τὸ βαρύτατον ὑπὸ μάλης ἔχει.

ΕΡΜ. Τί, ὦ Μένιππε;

ΜΕΝ. Κολακείαν, ὦ Ἑρμῆ, πολλὰ χρησιμεύσασαν αὐτῷ ἐν τῷ βίῳ.

ΦΙΛ. Οὐκοῦν καὶ σὺ, ὦ Μένιππε, ἀπόθου τὴν ἐλευθερίαν καὶ παρρησίαν καὶ τὸ ἄλυπον καὶ τὸ γενναῖον καὶ τὸν γέλωτα· μόνος γοῦν τῶν ἄλλων γελᾷς.

ΕΡΜ. Μηδαμῶς, ἀλλὰ καὶ ἔχε ταῦτα, κοῦφα γὰρ καὶ πάνυ εὔφορα ὄντα καὶ πρὸς τὸν κατάπλουν χρήσιμα.

10. Καὶ ὁ ῥήτωρ δὲ σὺ ἀπόθου τῶν ῥημάτων τὴν τοσαύτην ἀπεραντολογίαν καὶ ἀντιθέσεις καὶ παρισώσεις καὶ περιόδους καὶ βαρβαρισμοὺς καὶ τὰ ἄλλα βάρη τῶν λύγων.

MERC. Super terra relinque tropæum : in orco pax, nihilque armis opus erit.

8. Ille vero severus, de habitu quidem, fastumque præferens, superciliis arrectis, in meditando defixus quis est, iste qui prolixam barbam demisit?

MEN. Philosophus aliquis, Mercuri; quin potius incantator, et prodigiorum plenus : idcirco istum quoque exuere se jube : videbis enim ridicula multa sub pallio abscondita.

MERC. Depone tu habitum primum; tum ista omnia. *Jupiter!* quantam *inanem ostentationem* gerit, quantam inscitiam, et rixandi libidinem, et vanam gloriam, quæstiones impeditas, disputationes spinosas, et sententias perplexe involutas : imo etiam inutilem laborem valde multum, nugasque non paucas, et quisquilias, ac minutas disceptatiunculas : quin et per Jovem nummulos istos aureos, et præterea suaviter vivendi voluptatem, impudentiam, iram, luxum et mollitiem; neque enim me fallunt, quantumcumque studiose prætegas ea. Tum porro mendacium depone, atque inflatam arrogantiam, eamque de te opinionem quasi melior sis aliis : etenim si cum istis omnibus conscendas, quæ te quinquaginta remorum navis accipiat?

PHIL. Depono igitur ista, quandoquidem ita jubes.

9. MEN. At barbam istam quoque deponat, Mercuri, gravem sane et hirtam, ut vides : quinque minas pili minimum pendunt.

MERC. Recte mones, et istam remove.

PHIL. Quis autem erit, qui detondeat?

MERC. Menippus ille, capta securi nautica, præcidet eam pro codice usus scala navali.

MEN. Minime, Mercuri : verum serram mihi porrige; nam hoc quidem magis ridiculum.

MERC. Securis est satis idonea. — Euge; homini nunc quidem similior evasisti, exutis tibi sordibus hircinis.

MEN. Vin' paulum etiam demam de superciliis?

MERC. Omnino : super ipsam enim frontem ea sustulit, nescio cujus rei gratia sese tam superbe erigens. Quid hoc? etiam lacrimaris, scelerate, et ad mortem expavescis? quin ocius inscende.

MEN. Unum adhuc gravissimum sub ala tenet.

MERC. Quidnam, Menippe?

MEN. Adulationem, Mercuri, quæ multum in vita utilitatis ipsi attulit.

PHIL. Quin tu igitur, Menippe, depone mentis et *linguæ* libertatem, *illudque doloris expers* et generosum, ac risum : tu nimirum solus reliquorum rides.

MERC. Neutiquam : quin potius ista retine, quippe levia, portatuque facillima, et ad hancce navigationem percommoda.

10. Tu vero, rhetor, pone verborum futilem illam et infinitam affluentiam, opposita, paria paribus æquata, comprehensiones sententiarum, barbarismos, ceteraque orationum pondera.

ΡΗΤ. Ἦν ἰδού, ἀποτίθεμαι.

ΕΡΜ. Εὖ ἔχει· ὥστε λῦε τὰ ἀπόγεια, τὴν ἀποβάθραν ἀνελώμεθα, τὸ ἀγκύριον ἀνεσπάσθω, πέτασον τὸ ἱστίον, εὔθυνε, ὦ πορθμεῦ, τὸ πηδάλιον· εὐπλοῶμεν.

11. Τί οἰμώζετε, ὦ μάταιοι, καὶ μάλιστα ὁ φιλόσοφος σὺ ὁ ἀρτίως τὸν πώγωνα δεδῃωμένος;

ΦΙΛ. Ὅτι, ὦ Ἑρμῆ, ἀθάνατον ᾠμην τὴν ψυχὴν ὑπάρχειν.

ΜΕΝ. Ψεύδεται· ἄλλα γὰρ ἔοικε λυπεῖν αὐτόν.

ΕΡΜ. Τὰ ποῖα;

ΜΕΝ. Ὅτι μηκέτι δειπνήσει πολυτελῆ δεῖπνα μηδὲ νύκτωρ ἐξιὼν ἅπαντας λανθάνων τῷ ἱματίῳ τὴν κεφαλὴν κατειλήσας περίεισιν ἐν κύκλῳ τὰ χαμαιτυπεῖα, καὶ ἔωθεν ἐξαπατῶν τοὺς νέους ἐπὶ τῇ σοφίᾳ ἀργύριον λήψεται· ταῦτα λυπεῖ αὐτόν.

ΦΙΛ. Σὺ γάρ, ὦ Μένιππε, οὐκ ἄχθῃ ἀποθανών;

ΜΕΝ. Πῶς, ὃς ἔσπευσα ἐπὶ τὸν θάνατον καλέσαντος μηδενός;

12. Ἀλλὰ μεταξὺ λόγων οὐ κραυγή τις ἀκούεται ὥσπερ τινῶν ἀπὸ γῆς βοώντων;

ΕΡΜ. Ναὶ, ὦ Μένιππε, οὐκ ἀφ' ἑνός γε χωρίου, ἀλλ' οἱ μὲν ἐς τὴν ἐκκλησίαν συνελθόντες ἅσμενοι γελῶσι πάντες ἐπὶ τῷ Λαμπίχου θανάτῳ καὶ ἡ γυνὴ αὐτοῦ συνέχεται πρὸς τῶν γυναικῶν καὶ τὰ παιδία νεογνὰ ὄντα ὁμοίως κἀκεῖνα ὑπὸ τῶν παίδων βάλλεται ἀφθόνοις τοῖς λίθοις· ἄλλοι δὲ Διόφαντον τὸν ῥήτορα ἐπαινοῦσιν ἐν Σικυῶνι ἐπιταφίους λόγους διεξιόντα ἐπὶ Κράτωνι τούτῳ. Καὶ νὴ Δία γε ἡ Δαμασίου μήτηρ κωκύουσα ἐξάρχει τοῦ θρήνου σὺν γυναιξὶν ἐπὶ τῷ Δαμασίᾳ· σὲ δὲ, ὦ Μένιππε, οὐδεὶς δακρύει, καθ' ἡσυχίαν δὲ κεῖσαι μόνος.

13. ΜΕΝ. Οὐδαμῶς, ἀλλ' ἀκούσῃ τῶν κυνῶν μετ' ὀλίγον ὠρυομένων οἰκτιστον ἐπ' ἐμοὶ καὶ τῶν κοράκων τυπτομένων τοῖς πτεροῖς, ὁπόταν συνελθόντες θάπτωσί με.

ΕΡΜ. Γεννάδας εἶ, ὦ Μένιππε. Ἀλλ' ἐπεὶ καταπεπλεύκαμεν ἡμεῖς, ὑμεῖς μὲν ἅπιτε πρὸς τὸ δικαστήριον εὐθεῖαν ἐκείνην προϊόντες, ἐγὼ δὲ καὶ ὁ πορθμεὺς ἄλλους μετελευσόμεθα.

ΜΕΝ. Εὐπλοεῖτε, ὦ Ἑρμῆ· προίωμεν δὲ καὶ ἡμεῖς. Τί οὖν ἔτι καὶ μέλλετε; πάντως δικασθῆναι δεήσει, καὶ τὰς καταδίκας φασὶν εἶναι βαρείας, τροχοὺς καὶ λίθους καὶ γῦπας· δειχθήσεται δὲ ὁ ἑκάστου βίος ἀκριβῶς.

RHET. Ecce enimvero, pono.

MERC. Bene habet : solve itaque retinacula; scalam nauticam attollamus; ancora subducatur; expande velum : dirige, portitor, clavum. Bona nobis sit navigatio.

11. Quid ploratis, inepti, tuque maxime, philosophe, cujus jam modo barba fuit evastata?

PHIL. Hoc scilicet, Mercuri, quod immortalem opinabar animam esse.

MEN. Mentitur : nam alia sunt aperte, quæ ipsum pungant.

MERC. Qualia?

MEN. Quod non amplius cœnabit magno sumtu apparatas cœnas, neque de nocte egressus, clam omnibus, palliolo caput obvolutus, circumibit in orbem lupanaria; nec summo mane decipiens juvenes sapientiæ prætextu argentum accipiet : hæc urunt eum.

PHIL. Tu autem, Menippe, non doles te mortuum esse?

MEN. Egone, qui festinavi ad mortem citante nemine?

12. Verum interea dum cædimus sermones, nonne clamor aliquis auditur tanquam a terra vociferantium?

MERC. Sane, Menippe, neque ab una tantum regione : etenim hi in concionem coeuntes læti rident cuncti ob Lampichi mortem; ejusque uxor comprehensa tenetur a mulieribus, et infantes teneri pariter et ipsi a pueris impetuntur largis lapidibus : alii Diophantum rhetorem laudant Sicyone, qui funebri oratione cohonestat exsequias hujus Cratonis. Atque etiam profecto Damasiæ mater gemitus cieus præit lessum cum feminis in funere Damasiæ : te vero nullus, o Menippe, lacrimis prosequitur, quieteque jaces solus.

13. MEN. Nequaquam; sed audies canes jamjam miserabiliter ululantes mei causa, corvosque flebilem in modum alis concrepantes, quando frequentes sepelient me.

MERC. Fortem te præstas, Menippe. Sed quoniam in portum appulimus, vos abite ad tribunal, recta illac progressi : ego vero et portitor alios arcessemus.

MEN. Prospera sit vobis navigatio, Mercuri : nos autem pedem promoveamus. Quid ergo vos amplius cunctamini? omnino judicium subire oportebit : et pœnas aiunt esse graves, rotas, saxa, vultures : exponetur autem palam uniuscujusque vita.

11.

ΚΡΑΤΗΤΟΣ ΚΑΙ ΔΙΟΓΕΝΟΥΣ.

1. ΚΡΑΤ. Μοίριχον τὸν πλούσιον ἐγίγνωσκες, ὦ Διόγενες, τὸν πάνυ πλούσιον, τὸν ἐκ Κορίνθου, τὸν τὰς πολλὰς ὁλκάδας ἔχοντα, οὗ ἀνεψιὸς Ἀριστέας, πλούσιος

11.

CRATETIS ET DIOGENIS.

1. CRAT. Mœrichum opulentum illum noras, Diogenes, illum divitiis affluentem, domo Corinthium, cui multæ erant onerariæ naves, cujus consobrinus est Aristeas, et

καὶ αὐτὸς ὤν; ὃς τὸ Ὁμηρικὸν ἐκεῖνο εἰώθει ἐπιλέγειν « ἢ μ' ἀνάειρ' ἢ ἐγὼ σέ. »

ΔΙΟΓ. Τίνος ἕνεκα, ὦ Κράτης;

ΚΡΑΤ. Ἐθεράπευον ἀλλήλους τοῦ κλήρου ἕνεκα ἑκάτερος ἡλικιῶται ὄντες, καὶ τὰς διαθήκας ἐς τὸ φανερὸν ἐτίθεντο, Ἀριστέαν μὲν ὁ Μοίριχος, εἰ προαποθάνοι, δεσπότην ἀφιεὶς τῶν ἑαυτοῦ πάντων, Μοίριχον δὲ ὁ Ἀριστέας, εἰ προαπέλθοι αὐτοῦ. Ταῦτα μὲν ἐγέγραπτο, οἱ δ' ἐθεράπευον ὑπερβαλλόμενοι ἀλλήλους τῇ κολακείᾳ· καὶ οἱ μάντεις, οἵ τε ἀπὸ τῶν ἄστρων τεκμαιρόμενοι τὸ μέλλον οἵ τε ἀπὸ τῶν ὀνειράτων, ὥς γε Χαλδαίων παῖδες, ἀλλὰ καὶ ὁ Πύθιος αὐτὸς ἄρτι μὲν Ἀριστέᾳ παρεῖχε τὸ κράτος, ἄρτι δὲ Μοιρίχῳ, καὶ τὰ τάλαντα ποτὲ μὲν ἐπ' ἐκεῖνον, νῦν δ' ἐπὶ τοῦτον ἔρρεπε.

2. ΔΙΟΓ. Τί οὖν πέρας ἐγένετο, ὦ Κράτης; ἀκοῦσαι γὰρ ἄξιον.

ΚΡΑΤ. Ἄμφω τεθνᾶσιν ἐπὶ μιᾶς ἡμέρας, οἱ δὲ κλῆροι ἐς Εὐνόμιον καὶ Θρασυκλέα περιῆλθον ἄμφω συγγενεῖς ὄντας οὐδὲ πώποτε προμαντευομένους οὕτω γενέσθαι ταῦτα· διαπλέοντες γὰρ ἀπὸ Σικυῶνος ἐς Κίρραν κατὰ μέσον τὸν πόρον πλαγίῳ περιπεσόντες τῷ Ἰάπυγι ἀνετράπησαν.

3. ΔΙΟΓ. Εὖ ἐποίησαν. Ἡμεῖς δὲ ὁπότε ἐν τῷ βίῳ ἦμεν, οὐδὲν τοιοῦτον ἐνενοοῦμεν περὶ ἀλλήλων· οὔτε ἐγώ ποτε ηὐξάμην Ἀντισθένην ἀποθανεῖν, ὡς κληρονομήσαιμι τῆς βακτηρίας αὐτοῦ — εἶχε δὲ πάνυ καρτερὰν ἐκ κοτίνου ποιησάμενος — οὔτε οἶμαι σὺ ὁ Κράτης ἐπεθύμεις κληρονομεῖν ἀποθανόντος ἐμοῦ τὰ κτήματα, τὸν πίθον καὶ τὴν πήραν χοίνικας δύο θέρμων ἔχουσαν.

ΚΡΑΤ. Οὐδὲν γάρ μοι τούτων ἔδει, ἀλλ' οὐδὲ σοί, ὦ Διόγενες· ἃ γὰρ ἐχρῆν, σύ τε Ἀντισθένους ἐκληρονόμησας καὶ ἐγὼ σοῦ, πολλῷ μείζω καὶ σεμνότερα τῆς Περσῶν ἀρχῆς.

ΔΙΟΓ. Τίνα ταῦτα φῄς;

ΚΡΑΤ. Σοφίαν, αὐτάρκειαν, ἀλήθειαν, παρρησίαν, ἐλευθερίαν.

ΔΙΟΓ. Νὴ Δία, μέμνημαι καὶ τοῦτον διαδεξάμενος τὸν πλοῦτον παρ' Ἀντισθένους καὶ σοὶ ἔτι πλείω καταλιπών.

4. ΚΡΑΤ. Ἀλλ' οἱ ἄλλοι ἠμέλουν τῶν τοιούτων κτημάτων καὶ οὐδεὶς ἐθεράπευεν ἡμᾶς κληρονομήσειν προσδοκῶν, ἐς δὲ τὸ χρυσίον πάντες ἔβλεπον.

ΔΙΟΓ. Εἰκότως· οὐ γὰρ εἶχον ἔνθα ἂν δέξαιντο τὰ τοιαῦτα παρ' ἡμῶν διερρυηκότες ὑπὸ τρυφῆς, καθάπερ τὰ σαπρὰ τῶν βαλλαντίων· ὥστε εἴ ποτε καὶ ἐμβάλοι τις ἐς αὐτοὺς ἢ σοφίαν ἢ παρρησίαν ἢ ἀλήθειαν, ἐξέπιπτεν εὐθὺς καὶ διέρρει, τοῦ πυθμένος στέγειν οὐ δυναμένου, οἷόν τι πάσχουσιν αἱ τοῦ Δαναοῦ αὗται παρθένοι εἰς τὸν τετρημένον πίθον ἐπαντλοῦσαι· τὸ δὲ χρυσίον ὀδοῦσι καὶ ὄνυξι καὶ πάσῃ μηχανῇ ἐφύλαττον.

ΚΡΑΤ. Οὐκοῦν ἡμεῖς μὲν ἔξομεν κἀνταῦθα τὸν πλοῦτον, οἱ δὲ ὀβολὸν ἕξουσι κομίζοντες καὶ τοῦτον ἄχρι τοῦ πορθμέως.

ipse dives? qui Homericum illud solebat dictitare, « Aut tu tolle me, aut ego te. »

DIOG. Quid ita, Crates?

CRAT. Mutuis obsequiis captabant alter alterius hæreditatem, æquales; et testamenti quidem tabulas in propatulo proponebant, Aristea Mœrichus, si prius decederet, domino relicto suorum omnium; Mœricho vicissim Aristeas, si ante eum abiret. Hæc quidem in testamento erant scripta: illi vero observabant sese invicem, antecedere alter alterum adulatione conantes. Vates etiam, sive ab astris conjecta-rent futura, sive ex somniis, *sive* Chaldæorum imbuti disciplina, quin et ipse Pythius modo Aristeæ tribuebat victoriam, modo Mœricho; lancesque nunc ad istum, mox ad illum vergebant.

DIOG. Quem ergo exitum res habuit, Crates? est enim audire operæ pretium.

CRAT. Ambo mortem obierunt eodem die; hæreditates autem ad Eunomium et Thrasyclem inopinato pervenerunt, cognatos utrumque nullo unquam mentis præsagio divinantes hæc ita fore: Mœrichus enim et Aristeas quum Sicyone trajicerent Cirrham, medioque cursu in obliquum Iapygem incidissent, eversa navi perierunt.

3. DIOG. Bonum factum. Verum nos, quando in vita eramus, nihil tale cogitabamus de nobis invicem; neque unquam optavi Antisthenem emori, ut hæreditatem nanciscerer ejus baculi: habebat autem admodum robustum, quem ex oleastro ipse confecerat. Neque tu, puto, Crates, cupiebas hæres esse, mortuo me, bonorum, dolii peraque chœnices lupinorum duos habentis.

CRAT. Quippe nihil mihi istis erat opus: at nec tibi, Diogenes; quam enim decebat tu ab Antisthene adeptus es hæreditatem, ego autem abs te, multo majorem gravioris-que momenti quam Persarum imperium.

DIOG. Quæ tu bona dicis?

CRAT. Sapientiam, frugalitatem parvo contentam, veritatem, loquendi fiduciam, animi libertatem.

DIOG. Memini profecto eas me opes accepisse ab Antisthene, tibique etiam ampliores reliquisse.

4. CRAT. At ceteri non curabant ejusmodi possessiones, nemoque nos assectabatur talis hæreditatis spe; siquidem auro omnes inhiabant.

DIOG. Quippeni: neque enim habebant ubi reconderent accepta a nobis talia bona, diffluentes præ luxu, veluti rupta vetustate marsupia. Proinde si quis vel immitteret in eos sive sapientiam, sive libertatem loquendi, sive veritatem, excidebat protinus et diffluebat, quum fundus ingesta continere nequiret; quale quiddam accidit Danai filiabus istis, quæ in perforatum dolium haustam aquam infundunt: aurum vero dentibus unguibusque et omni machina custodiebant.

CRAT. Propterea nos quidem habebimus hic quoque nostras divitias: hi autem obolum scilicet apportabunt, eumque ad portitorem usque tantum.

12.

ΑΛΕΞΑΝΔΡΟΥ, ΑΝΝΙΒΟΥ, ΜΙΝΩΟΣ ΚΑΙ ΣΚΗΠΙΩΝΟΣ.

1. ΑΛΕΞ. Ἐμὲ δεῖ προκεκρίσθαι σου, ὦ Λίβυ· ἀμείνων γάρ εἰμι.

ΑΝΝ. Οὐ μὲν οὖν, ἀλλ' ἐμέ.

ΑΛΕΞ. Οὐκοῦν ὁ Μίνως δικασάτω.

ΜΙΝ. Τίνες δὲ ἐστέ;

ΑΛΕΞ. Οὗτος μὲν Ἀννίβας ὁ Καρχηδόνιος, ἐγὼ δὲ Ἀλέξανδρος ὁ Φιλίππου.

ΜΙΝ. Νὴ Δία ἔνδοξοί γε ἀμφότεροι. Ἀλλὰ περὶ τίνος ὑμῖν ἡ ἔρις;

ΑΛΕΞ. Περὶ προεδρίας· φησὶ γὰρ οὗτος ἀμείνων γεγενῆσθαι στρατηγὸς ἐμοῦ, ἐγὼ δὲ, ὥσπερ ἅπαντες ἴσασιν, οὐχὶ τούτου μόνον, ἀλλὰ πάντων σχεδὸν τῶν πρὸ ἐμοῦ φημὶ διενεγκεῖν τὰ πολέμια.

ΜΙΝ. Οὐκοῦν ἐν μέρει ἑκάτερος εἰπάτω, σὺ δὲ πρῶτος ὁ Λίβυς λέγε.

2. ΑΝΝ. Ἓν μὲν τοῦτο, ὦ Μίνως, ὠνάμην, ὅτι ἐνταῦθα καὶ τὴν Ἑλλάδα φωνὴν ἐξέμαθον· ὥστε οὐδὲ ταύτῃ πλέον οὗτος ἂν ἐνέγκαιτό μου. Φημὶ δὲ τούτους μάλιστα ἐπαίνου ἀξίους εἶναι, ὅσοι τὸ μηδὲν ἐξ ἀρχῆς ὄντες ὅμως ἐπὶ μέγα προεχώρησαν δι' αὑτῶν δύναμίν τε περιβαλόμενοι καὶ ἄξιοι δόξαντες ἀρχῆς. Ἔγωγ' οὖν μετ' ὀλίγων ἐξορμήσας εἰς τὴν Ἰβηρίαν τὸ πρῶτον ὕπαρχος ὢν τῷ ἀδελφῷ μεγίστων ἠξιώθην ἄριστος κριθείς, καὶ τούς τε Κελτίβηρας εἷλον καὶ Γαλατῶν ἐκράτησα τῶν ἑσπερίων καὶ τὰ μεγάλα ὄρη ὑπερβὰς τὰ περὶ τὸν Ἠριδανὸν ἅπαντα κατέδραμον καὶ ἀναστάτους ἐποίησα τοσαύτας πόλεις καὶ τὴν πεδινὴν Ἰταλίαν ἐχειρωσάμην καὶ μέχρι τῶν προαστείων τῆς προὐχούσης πόλεως ἦλθον καὶ τοσούτους ἀπέκτεινα μιᾶς ἡμέρας, ὥστε τοὺς δακτυλίους αὐτῶν μεδίμνοις ἀπομετρῆσαι καὶ τοὺς ποταμοὺς γεφυρῶσαι νεκροῖς. Καὶ ταῦτα πάντα ἔπραξα οὔτε Ἄμμωνος υἱὸς ὀνομαζόμενος οὔτε θεὸς εἶναι προσποιούμενος ἢ ἐνύπνια τῆς μητρὸς διεξιών, ἀλλ' ἄνθρωπος εἶναι ὁμολογῶν, στρατηγοῖς τε τοῖς συνετωτάτοις ἀντεξεταζόμενος καὶ στρατιώταις τοῖς μαχιμωτάτοις συμπλεκόμενος, οὐ Μήδους καὶ Ἀρμενίους καταγωνιζόμενος ὑποφεύγοντας πρὶν διώκειν τινὰ καὶ τῷ τολμήσαντι παραδιδόντας εὐθὺς τὴν νίκην.

3. Ἀλέξανδρος δὲ πατρῴαν ἀρχὴν παραλαβὼν ηὔξησε καὶ παρὰ πολὺ ἐξέτεινε χρησάμενος τῇ τῆς τύχης ὁρμῇ. Ἐπεὶ δ' οὖν ἐνίκησέ τε καὶ τὸν ὄλεθρον ἐκεῖνον Δαρεῖον ἐν Ἰσσῷ τε καὶ Ἀρβήλοις ἐκράτησεν, ἀποστὰς τῶν πατρώων προσκυνεῖσθαι ἠξίου καὶ ἐς δίαιταν τὴν Μηδικὴν μετεδιήτησεν ἑαυτὸν καὶ ἐμιαιφόνει ἐν τοῖς συμποσίοις τοὺς φίλους καὶ συνελάμβανεν ἐπὶ θανάτῳ. Ἐγὼ δὲ ἦρξα ἐπ' ἴσης τῆς πατρίδος, καὶ ἐπειδὴ μετεπέμπετο τῶν πολεμίων μεγάλῳ στόλῳ ἐπιπλευσάντων τῇ Λιβύῃ, ταχέως ὑπήκουσα, καὶ ἰδιώτην ἐμαυτὸν πα-

12.

ALEXANDRI, ANNIBALIS, MINOIS, SCIPIONIS.

1. ALEX. Me par est præponi tibi, Afer : melior enim sum.

ANN. Neutiquam; verum me.

ALEX. Ergo Minos causam disceptet.

MIN. Quinam estis?

ALEX. Hic Annibal Carthaginiensis : ego Alexander Philippi filius.

MIN. Profecto clari uterque : sed qua de re orta vobis lis est?

ALEX. De primæ sedis jure : fert enim hicce se præstantiorem exstitisse imperatorem me; ego vero, quemadmodum omnes norunt, non illi solum, sed cunctis fere, qui ante me fuerunt, aio me præstitisse belli peritia.

MIN. Ergo per vices uterque dicat : tu prior, Afer, causam tuam age.

2. ANN. Id quidem unum, Minos, me juvat, quod hic loci Græcum etiam sermonem edidicerim, ut ne hac quidem parte hic præ me quicquam habeat præcipui. Eos autem pono maxime laude dignos esse, quotcumque quum initio nihil essent, tamen ad magnum potentiæ fastigium processerunt, per se opibus comparatis, aptique imperio habiti. Ego itaque cum paucis transgressus in Hispaniam, quum primum sub fratris auspiciis dux fuissem, summæ rerum præfui, belli peritissimus judicatus. Exinde Celtiberos in potestatem redegi, Gallos occidentales devici, superatisque magnis montibus, quæ circa Padum sunt omnia sum depopulatus, et sedibus emovi tot urbes; campestrem Italiam subjeci; ad suburbia usque primariæ urbis perveni, tot interfeci uno die, ut annulos eorum modiis sim mensus, inque fluviis cadaverum pontes struxerim. Hæc omnia gessi, qui neque Ammonis filius dicebar, neque deus esse videri volebam, nec somnia matris fabulabar; sed me hominem esse fassus, cumque ducibus prudentissimis comparatus, et cum militibus pugnacissimis congressus : non Medos Armeniosque debellans, prius aufugientes quam aliquis insequatur, et audenti statim cedentes victoriam.

3. Alexander autem, quum paternum imperium suscepisset, id auxit et multis partibus ampliavit, usus secundo fortunæ impetu. At postquam vicit illum nullius pretii Darium, atque ad Issum et Arbelis superior fuit, pertæsus patrii moris, adorari volebat, atque in Medicam illam et effeminatam vivendi rationem degeneravit; tum impie trucidabat inter convivia amicos, comprehendebatque ad mortem ducendos. Ego contra præfui æquo jure patriæ, atque ubi me domum arcessebat, hostibus magna classe adortis Africam, e vestigio parui, meque privatum præ-

ρέσχον καὶ καταδικασθεὶς ἤνεγκα εὐγνωμόνως τὸ πρᾶγμα. Καὶ ταῦτα ἔπραξα βάρβαρος ὢν καὶ ἀπαίδευτος παιδείας τῆς Ἑλληνικῆς καὶ οὔτε Ὅμηρον ὥσπερ οὗτος ραψῳδῶν οὔτε ὑπ' Ἀριστοτέλει τῷ σοφιστῇ παιδευθεὶς, μόνῃ δὲ τῇ φύσει ἀγαθῇ χρησάμενος. Ταῦτά ἐστιν ἃ ἐγὼ Ἀλεξάνδρου ἀμείνων φημὶ εἶναι. Εἰ δέ ἐστι καλλίων οὑτοσὶ, διότι διαδήματι τὴν κεφαλὴν διεδέδετο, Μακεδόσι μὲν ἴσως καὶ ταῦτα σεμνὰ, οὐ μὴν διὰ τοῦτο ἀμείνων δόξειεν ἂν γενναίου καὶ στρατηγικοῦ ἀνδρὸς τῇ γνώμῃ πλέον ἢπερ τῇ τύχῃ κεχρημένου.

MIN. Ὁ μὲν εἴρηκεν οὐκ ἀγεννῆ τὸν λόγον οὐδ' ὡς Λίβυν εἰκὸς ἦν ὑπὲρ αὑτοῦ. Σὺ δὲ, ὦ Ἀλέξανδρε, τί πρὸς ταῦτα φῄς;

4. ΑΛΕΞ. Ἐχρῆν μὲν, ὦ Μίνως, μηδὲν πρὸς ἄνδρα οὕτω θρασὺν ἀποκρίνασθαι· ἱκανὴ γὰρ ἡ φήμη διδάξαι σε οἷος μὲν ἐγὼ βασιλεὺς, οἷος δὲ οὗτος λῃστὴς ἐγένετο. Ὅμως δὲ ὅρα εἰ κατ' ὀλίγον αὐτοῦ διήνεγκα, ὃς νέος ὢν ἔτι παρελθὼν ἐπὶ τὰ πράγματα καὶ τὴν ἀρχὴν τεταραγμένην κατέσχον καὶ τοὺς φονέας τοῦ πατρὸς μετῆλθον, κἄπτα φοβήσας τὴν Ἑλλάδα τῇ Θηβαίων ἀπωλείᾳ στρατηγὸς ὑπ' αὐτῶν χειροτονηθεὶς οὐκ ἠξίωσα τὴν Μακεδόνων ἀρχὴν περιέπων ἀγαπᾶν ἄρχειν ὁπόσων ὁ πατὴρ κατέλιπεν, ἀλλὰ πᾶσαν ἐπινοήσας τὴν γῆν καὶ δεινὸν ἡγησάμενος, εἰ μὴ ἁπάντων κρατήσαιμι, ὀλίγους ἄγων ἐσέβαλον ἐς τὴν Ἀσίαν, καὶ ἐπί τε Γρανικῷ ἐκράτησα μεγάλῃ μάχῃ καὶ τὴν Λυδίαν λαβὼν καὶ Ἰωνίαν καὶ Φρυγίαν καὶ ὅλως τὰ ἐν ποσὶν ἀεὶ χειρούμενος ἦλθον ἐπὶ Ἰσσὸν, ἔνθα Δαρεῖος ὑπέμεινε μυριάδας πολλὰς στρατοῦ ἄγων.

5. Καὶ τὸ ἀπὸ τούτου, ὦ Μίνως, ὑμεῖς ἴστε ὅσους ὑμῖν νεκροὺς ἐπὶ μιᾶς ἡμέρας κατέπεμψα· φησὶ γοῦν ὁ πορθμεὺς μὴ διαρκέσαι αὐτοῖς τότε τὸ σκάφος, ἀλλὰ σχεδίας πηξαμένους τοὺς πολλοὺς αὐτῶν διαπλεῦσαι. Καὶ ταῦτα διέπραττον αὐτὸς προκινδυνεύων καὶ τιτρώσκεσθαι ἀξιῶν. Καὶ ἵνα σοὶ μὴ τὰ ἐν Τύρῳ μηδὲ τὰ ἐν Ἀρβήλοις διηγήσωμαι, ἀλλὰ καὶ μέχρι Ἰνδῶν ἦλθον καὶ τὸν Ὠκεανὸν ὅρον ἐποιησάμην τῆς ἀρχῆς καὶ τοὺς ἐλέφαντας αὐτῶν εἷλον καὶ Πῶρον ἐχειρωσάμην, καὶ Σκύθας δὲ οὐκ εὐκαταφρονήτους ἄνδρας ὑπερβὰς τὸν Τάναϊν ἐνίκησα μεγάλῃ ἱππομαχίᾳ, καὶ τοὺς φίλους εὖ ἐποίησα καὶ τοὺς ἐχθροὺς ἠμυνάμην. Εἰ δὲ καὶ θεὸς ἐδόκουν τοῖς ἀνθρώποις, συγγνωστοὶ ἐκεῖνοι πρὸς τὸ μέγεθος τῶν πραγμάτων καὶ τοιοῦτόν τι πιστεύαντες περὶ ἐμοῦ.

6. Τὸ δ' οὖν τελευταῖον ἐγὼ μὲν βασιλεύων ἀπέθανον, οὗτος δὲ ἐν φυγῇ ὢν παρὰ Προυσίᾳ τῷ Βιθυνῷ, καθάπερ ἄξιον ἦν πανουργότατον καὶ ὠμότατον ὄντα· ὡς γὰρ δὴ ἐκράτησε τῶν Ἰταλῶν, ἐῶ λέγειν ὅτι οὐκ ἰσχύϊ, ἀλλὰ πονηρίᾳ καὶ ἀπιστίᾳ καὶ δόλοις, νόμιμον δὲ ἢ προφανὲς οὐδέν. Ἐπεὶ δέ μοι ὠνείδισε τὴν τρυφὴν, ἐκλελῆσθαί μοι δοκεῖ οἷα ἐποίει ἐν Καπύῃ ἑταίραις συνὼν καὶ τοὺς τοῦ πολέμου καιροὺς ὁ θαυμάσιος καθηδυπαθῶν. Ἐγὼ δὲ εἰ μὴ μικρὰ τὰ ἑσπέρια δόξας ἐπὶ τὴν ἕω μᾶλλον ὥρμησα, τί ἂν μέγα ἔπραξα

bui : condemnatus tuli animo moderato casum. Hæc feci barbarus et expers disciplinæ Græcæ, neque Homeri, prout hicce, carmina recitando decantans, nec sub Aristotele sophista doctrinis imbutus, at sola usus natura bona. Hæc sunt quibus ego Alexandro præstare me fero : ille autem si pulchrior est, quia diademate caput habet revinctum, apud Macedonas ista forte majestatem habent; attamen idcirco præferendus non existimetur viro strenuo, atque artibus imperatoriis instructo, qui solerti prudentia plus quam fortuna fuerit usus.

MIN. Hic certe dixit masculam orationem, nec qualem ab Afro exspectasses, pro se : tu, Alexander, quid ad illa respondes?

4. ALEX. Nihil oportebat, Minos, homini respondere tam audaci : satis enim te fama docuerit, qualis ego rex, hic contra qualis fuerit latro : vide tamen, an parvo intervallo illum superarim, qui juvenis adhuc rerum administrationem aggressus, imperium turbatum continui, et percussores parentis supplicio sum ultus; tum perculsis Thebanorum excidio Græcis, dux eorum suffragiis lectus indignum existimavi, si soli Macedonum regno incubans contentus essem imperio a patre mihi relicto : sed universum mente terrarum orbem complexus, intolerandumque putans, nisi omnium forem dominus, paucis mecum ductis militibus invasi Asiam; ad Granicum magno prælio fui superior; Lydiaque capta, Ionia et Phrygia, in summa proxima quæque subjiciens perveni ad Issum, ubi Darius exspectabat cum immensa copiarum multitudine.

5. Exinde, Minos, vos non præterit, quot vobis mortuos uno die huc demiserim : portitor quidem affirmat, non suffecisse ipsis tunc cymbam, sed ratibus junctis plurimos eorum trajecisse. Equidem ista agebam ipse me ante alios periculis offerens, vulnerarique pulchrum ducens. Et ne tibi quæ Tyri sunt gesta, quæque Arbelis enarrem, ad Indos usque penetravi, Oceanumque limitem feci imperii, elephantos eorum cepi, Porum subegi : Scythas etiam, minime contemnendos viros, transgressus Tanaim magna devici equestri pugna : amicis benefeci, inimicos ultus sum. Quodsi deus etiam videbar hominibus, veniam illi merentur ob magnitudinem rerum gestarum tale quiddam de me sibi persuadentes.

6. Denique ego regnans diem obii; hicce patria extorris apud Prusiam Bithynum, ut dignum erat fraudulentissimo crudelissimoque homine. Nam quomodo superarit Italos, mitto dicere; non fortitudine sane, sed malitia, perfidia et dolis; nihil autem in præliis justum atque apertum. Quandoquidem vero mihi exprobravit luxuriam, oblitus mihi videtur qualia fecerit Capuæ, meretriculis affixus et belli opportunitates in deliciis disperdens. Ego autem nisi, parvifactis orbis occidui rebus, in Orientem irruissem, quid grande præstitissem Italia incruente capta,

Ἰταλίαν ἀναιμωτὶ λαβὼν καὶ Λιβύην καὶ τὰ μέχρι Γαδείρων ὑπαγόμενος; Ἀλλ' οὐκ ἀξιόμαχα ἔδοξέ μοι ἐκεῖνα ὑποπτήσσοντα ἤδη καὶ δεσπότην ὁμολογοῦντα. Εἴρηκα· σὺ δὲ, ὦ Μίνως, δίκαζε· ἱκανὰ γὰρ ἀπὸ πολλῶν καὶ ταῦτα.

7. ΣΚΗΠ. Μὴ πρότερον, ἢν μὴ καὶ ἐμοῦ ἀκούσῃς.

ΜΙΝ. Τίς γὰρ εἶ, ὦ βέλτιστε; ἢ πόθεν ὢν ἐρεῖς;

ΣΚΗΠ. Ἰταλιώτης Σκηπίων στρατηγὸς ὁ καθελὼν Καρχηδόνα καὶ κρατήσας Λιβύων μεγάλαις μάχαις.

ΜΙΝ. Τί οὖν καὶ σὺ ἐρεῖς;

ΣΚΗΠ. Ἀλεξάνδρου μὲν ἥττων εἶναι, τοῦ δὲ Ἀννίβου ἀμείνων, ὃς ἐδίωξα νικήσας αὐτὸν καὶ φυγεῖν κατηνάγκασα ἀτίμως. Πῶς οὖν οὐκ ἀναίσχυντος οὗτος, ὃς πρὸς Ἀλέξανδρον ἀμιλλᾶται, ᾧ οὐδὲ Σκηπίων ἐγὼ ὁ νενικηκὼς ἐμαυτὸν παραβάλλεσθαι ἀξιῶ;

ΜΙΝ. Νὴ Δί' εὐγνώμονα ῥῆς, ὦ Σκηπίων· ὥστε πρῶτος μὲν κεχρίσθω Ἀλέξανδρος, μετ' αὐτὸν δὲ σὺ, εἶτα, εἰ δοκεῖ, τρίτος Ἀννίβας οὐδὲ οὗτος εὐκαταφρόνητος ὤν.

Libyaque et cunctis ad Gades usque subactis? At illæ partes bello mihi dignæ non videbantur, ut quæ ultro jam metu jugum subirent ac dominum faterentur. Dixi : tu, Minos, judica : hæc enim ipsa de multis sufficiunt.

7. SCIP. Ne prius tamen, nisi de me quoque audiveris

MIN. At quis tu es, virorum optime? aut unde domo dicturus eris?

SCIP. Italus Scipio, imperator, qui delevi Carthaginem, Afrosque devici magnis prœliis.

MIN. Quid igitur porro tu dices?

SCIP. Alexandro quidem me concedere, verum Annibalem anteire, ut qui victum illum pepuli fugamque turpem capessere coegi. Quomodo non impudens igitur hicce, qui cum Alexandro contendat, cui ne ego quidem Scipio, qui cum superavi, comparari sustineo?

MIN. Ita me Jupiter amet, æquum loquere, Scipio : quare primo quidem loco ponatur Alexander; tu illi secundus esto : postea, si videtur, Annibal, ne ipse quidem facile contemnendus.

13.

ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ.

1. ΔΙΟΓ. Τί τοῦτο, ὦ Ἀλέξανδρε; καὶ σὺ τέθνηκας ὥσπερ ἡμεῖς ἅπαντες;

ΑΛΕΞ. Ὁρᾷς, ὦ Διόγενες· οὐ παράδοξον δὲ εἰ ἄνθρωπος ὢν ἀπέθανον.

ΔΙΟΓ. Οὐκοῦν ὁ Ἄμμων ἐψεύδετο λέγων ἑαυτοῦ σε εἶναι, σὺ δὲ Φιλίππου ἄρα ἦσθα;

ΑΛΕΞ. Φιλίππου δηλαδή· οὐ γὰρ ἂν ἐτεθνήκειν Ἄμμωνος ὤν.

ΔΙΟΓ. Καὶ μὴν καὶ περὶ τῆς Ὀλυμπιάδος ὅμοια ἐλέγετο, δράκοντα ὁμιλεῖν αὐτῇ καὶ βλέπεσθαι ἐν τῇ εὐνῇ, εἶτα οὕτω σε τεχθῆναι, τὸν δὲ Φίλιππον ἐξηπατῆσθαι οἰόμενον παρ' ἑαυτοῦ σε εἶναι.

ΑΛΕΞ. Κἀγὼ ταῦτα ἤκουον ὥσπερ σὺ, νῦν δὲ ὁρῶ ὅτι οὐδὲν ὑγιὲς οὔτε ἡ μήτηρ οὔτε οἱ τῶν Ἀμμωνίων προφῆται ἔλεγον.

ΔΙΟΓ. Ἀλλὰ τὸ ψεῦδος αὐτῶν οὐκ ἄχρηστόν σοι, ὦ Ἀλέξανδρε, πρὸς τὰ πράγματα ἐγένετο· πολλοὶ γὰρ ὑπέπτησσον θεὸν εἶναί σε νομίζοντες.

2. Ἀτὰρ εἰπέ μοι, τίνι τὴν τοσαύτην ἀρχὴν κατέλειπας;

ΑΛΕΞ. Οὐκ οἶδα, ὦ Διόγενες· οὐ γὰρ ἔφθασα ἐπισκῆψαί τι περὶ αὐτῆς, ἢ τοῦτο μόνον, ὅτι ἀποθνήσκων Περδίκκᾳ τὸν δακτύλιον ἐπέδωκα. Πλὴν ἀλλὰ τί γελᾷς, ὦ Διόγενες;

ΔΙΟΓ. Τί γὰρ ἄλλο ἢ ἀνεμνήσθην οἷα ἐποίει ἡ Ἑλλὰς, ἄρτι σε παρειληφότα τὴν ἀρχὴν κολακεύοντες καὶ προστάτην αἱρούμενοι καὶ στρατηγὸν ἐπὶ τοὺς βαρβάρους, ἔνιοι δὲ καὶ τοῖς δώδεκα θεοῖς προστιθέντες καὶ οἰκοδομοῦντές σοι νεὼς καὶ θύοντες ὡς δράκοντος υἱῷ.

13.

DIOGENIS ET ALEXANDRI.

1. DIOG. Quid hoc, Alexander? et tu mortuus es perinde atque nos omnes?

ALEX. Res apparet, Diogenes : nec valde mirandum, si homo natus mortem obii.

DIOG. Igitur Ammon mentiebatur te prædicans suum esse filium, quum tu interea Philippi fores?

ALEX. Nempe Philippi : neque enim Ammone genitus decessissem.

DIOG. Atqui etiam de Olympiade similia quædam ferebantur, draconem cum ea rem habere et conspici in lecto; tum ita te fuisse prognatum, Philippum vero deceptum, qui opinaretur se tibi patrem esse.

ALEX. Et ego non secus ista, quam tu, audiebam : nunc video nihil veri nec matrem, neque Ammoniorum vates dixisse.

DIOG. Verum mendacium eorum non inutile tibi, Alexander, ad res gerendas fuit : multi enim metu succumbebant, deum esse te rati.

2. At cedo mihi, cui illud tantum imperium reliquisti?

ALEX. Nescio sane, Diogenes : nam nihil antequam morerer mandavi quicquam de eo, nisi hoc solum, quod animam agens Perdiccæ annulum tradidi. Interea tu quid rides, Diogenes?

DIOG. Quid scilicet aliud quam in memoriam revocavi qualia faceret Græcia, te suscepto jam modo imperio adulati, præfectumque capientes et imperatorem adversum barbaros : nonnulli etiam duodecim diis adjungebant, templaque et sacra faciebant tanquam serpentis filio.

3. Ἀλλ' εἰπέ μοι, ποῦ σε οἱ Μακεδόνες ἔθαψαν;

ΑΛΕΞ. Ἔτι ἐν Βαβυλῶνι κεῖμαι τριακοστὴν ταύτην ἡμέραν, ὑπισχνεῖται δὲ Πτολεμαῖος ὁ ὑπασπιστὴς, ἢν ποτε ἀγάγῃ σχολὴν ἀπὸ τῶν θορύβων τῶν ἐν ποσὶν, ἐς Αἴγυπτον ἀπαγαγὼν θάψειν ἐκεῖ, ὡς γενοίμην εἷς τῶν Αἰγυπτίων θεῶν.

ΔΙΟΓ. Μὴ γελάσω οὖν, ὦ Ἀλέξανδρε, ὁρῶν ἐν ᾅδου ἔτι σε μωραίνοντα καὶ ἐλπίζοντα Ἄνουβιν ἢ Ὄσιριν γενήσεσθαι; Πλὴν ἀλλὰ ταῦτα μὲν, ὦ θειότατε, μὴ ἐλπίσῃς· οὐ γὰρ θέμις ἀνελθεῖν τινα τῶν ἅπαξ διαπλευσάντων τὴν λίμνην καὶ ἐς τὸ εἴσω τοῦ στομίου παρελθόντων· οὐ γὰρ ἀμελὴς ὁ Αἰακὸς οὐδ' ὁ Κέρβερος εὐκαταφρόνητος.

4. Ἐκεῖνο δέ γε ἡδέως ἂν μάθοιμι παρὰ σοῦ, πῶς φέρεις, ὁπόταν ἐννοήσῃς, ὅσην εὐδαιμονίαν ὑπὲρ γῆς ἀπολιπὼν ἀφῖξαι, σωματοφύλακας καὶ ὑπασπιστὰς καὶ σατράπας καὶ χρυσὸν τοσοῦτον καὶ ἔθνη προσκυνοῦντα καὶ Βαβυλῶνα καὶ Βάκτρα καὶ τὰ μεγάλα θηρία καὶ τιμὴν καὶ δόξαν καὶ τὸ ἐπίσημον εἶναι ἐξελαύνοντα διαδεδεμένον ταινίᾳ λευκῇ τὴν κεφαλὴν πορφυρίδα ἐμπεπορπημένον. Οὐ λυπεῖ ταῦτά σε ὑπὸ τὴν μνήμην ἰόντα; Τί δακρύεις, ὦ μάταιε; οὐδὲ ταῦτά σε ὁ σοφὸς Ἀριστοτέλης ἐπαίδευσε, μὴ οἴεσθαι βέβαια εἶναι τὰ παρὰ τῆς τύχης;

5. ΑΛΕΞ. Ὁ σοφός; ἁπάντων ἐκεῖνος κολάκων ἐπιτριπτότατος ὤν. Ἐμὲ μόνον ἔασον τὰ Ἀριστοτέλους εἰδέναι, ὅσα μὲν ἤτησε παρ' ἐμοῦ, οἷα δὲ ἐπέστελλεν, ὡς δὲ κατεχρῆτό μου τῇ περὶ παιδείαν φιλοτιμίᾳ θωπεύων καὶ ἐπαινῶν ἄρτι μὲν πρὸς τὸ κάλλος, ὡς καὶ τοῦτο μέρος ὂν τἀγαθοῦ, ἄρτι δὲ ἐς τὰς πράξεις καὶ τὸν πλοῦτον. Καὶ γὰρ αὖ καὶ τοῦτο ἀγαθὸν ἡγεῖτο εἶναι, ὡς μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων· γόης, ὦ Διόγενες, ἄνθρωπος καὶ τεχνίτης. Πλὴν ἀλλὰ τοῦτό γε ἀπολέλαυκα αὐτοῦ τῆς σοφίας, τὸ λυπεῖσθαι ὡς ἐπὶ μεγίστοις ἀγαθοῖς ἐκείνοις, ἃ κατηριθμήσω μικρῷ γε ἔμπροσθεν.

6. ΔΙΟΓ. Ἀλλ' οἶσθα ὃ δράσεις; ἄκος γάρ σοι τῆς λύπης ὑποθήσομαι. Ἐπεὶ ἐνταῦθά γε ἑλλέβορος οὐ φύεται, σὺ δὲ κἂν τὸ Λήθης ὕδωρ χανδὸν ἐπισπασάμενος πίε καὶ αὖθις πίε καὶ πολλάκις· οὕτω γὰρ παύσῃ ἐπὶ τοῖς Ἀριστοτέλους ἀγαθοῖς ἀνιώμενος. Καὶ γὰρ Κλεῖτον ἐκεῖνον ὁρῶ καὶ Καλλισθένην καὶ ἄλλους πολλοὺς ἐπὶ σὲ ὁρμῶντας, ὡς διασπάσαιντο καὶ ἀμύναιντό σε ὧν ἐδρασας αὐτούς. Ὥστε τὴν ἑτέραν σὺ ταύτην βάδιζε καὶ πῖνε πολλάκις, ὡς ἔφην.

3. At quæso, ubi te Macedones sepeliverunt?

ALEX. Etiamnum Babylone jaceo tricesimum hunc diem: promittit autem Ptolemæus satelles, si quando otium agat a turbis quæ nunc urgent, se in Ægyptum me delatum humaturum ibi, ut unus fiam Ægyptiorum deorum.

DIOG. Non ego rideam, Alexander, quum te video in Orco quoque desipientem, sperantemque fore ut Anubis aut Osiris evadas? At tu tamen ista, divinissime, ne speres: fas enim non est, sursum redire quemquam eorum, qui semel trajecerunt hanc paludem, et citra ostium illud sese penetrarunt; neque enim Æacus est negligens, nec talis Cerberus, quem facile contemnas.

4. Istud autem perlibenter didicerim a te, quo animo feras, quum cogitando percenses, quanta felicitate in terra relicta huc adveneris; corporis custodes inquam, satellites, satrapas, auri tantum numerum, populos adorantes, Babylonem, Bactra, immanes belluas, honorem, et gloriam; idque præterea, insignem esse curru vehentem, religatum tænia candida caput, purpuream vestem fibula substrictam gerentem: non illa te pungunt mentem subeuntia? Quid lacrimaris, inepte? ne istud quidem te docuit sapiens Aristoteles, non putare certa esse fortunæ dona?

5. ALEX. Sapiens ille? omnium iste adulatorum est perditissimus; me solum sine ad Aristotelem quæ spectant scire, quam multa petierit a me, quales literas miserit, quam fuerit abusus meo doctrinarum ambitioso studio, dum blande assentatur, laudatque nunc ob pulchritudinem, quasi et illa pars sit boni; nunc ob res gestas et divitias: etenim illud etiam esse bonum ducebat, ut nullo pudore deterritus oblatas a me opes acciperet: præstigiator, Diogenes, plane, et mirus artifex. Illum adeo percepi fructum ex ejus sapientia, ut doleam amissis, quasi maximis bonis, rebus illis, quas denumerasti paulo ante.

6. DIOG. At scin' tu, quid facias? remedium enim tibi doloris suggeram. Quandoquidem hicce loci helleborus non nascitur, tu certe Lethes aquam ore patulo ductam bibe, iterumque bibe et sæpius; sic enim desines propter Aristotelis bonorum amissionem dolore cruciari. Verum et Clitum illum video, et Callisthenem, aliosque multos in te irruentes, ut discerpant, atque ulciscantur injurias a te illatas. Quare tu alteram illam viam ingredere, et bibe sæpius, ut dixi.

14.

ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ.

1. ΦΙΛ. Νῦν μὲν, ὦ Ἀλέξανδρε, οὐκ ἂν ἔξαρνος γένοιο μὴ οὐκ ἐμὸς υἱὸς εἶναι· οὐ γὰρ ἂν ἐτεθνήκεις Ἀμμωνός γε ὤν.

14.

PHILIPPI ET ALEXANDRI.

1. PHIL. Nunc sane, Alexander, infitias haud iveris te filium esse meum; nequaquam enim mortuus fores, si quidem Ammonis esses.

ΑΛΕΞ. Οὐδ' αὐτὸς ἠγνόουν, ὦ πάτερ, ὡς Φιλίππου τοῦ Ἀμύντου υἱός εἰμι, ἀλλ' ἐδεξάμην τὸ μάντευμα ὡς χρήσιμον ἐς τὰ πράγματα οἰόμενος εἶναι.

ΦΙΛ. Τί λέγεις; χρήσιμον ἐδόκει σοι τὸ παρέχειν σεαυτὸν ἐξαπατηθησόμενον ὑπὸ τῶν προφητῶν;

ΑΛΕΞ. Οὐ τοῦτο, ἀλλ' οἱ βάρβαροι κατεπλάγησάν με καὶ οὐδεὶς ἔτι ἀνθίστατο οἰόμενοι θεῷ μάχεσθαι, ὥστε ῥᾷον ἐκράτουν αὐτῶν.

2. ΦΙΛ. Τίνων δὲ ἐκράτησας σύ γε ἀξιομάχων ἀνδρῶν, ὃς δειλοῖς ἀεὶ ξυνηνέχθης τοξάρια καὶ πελτάρια καὶ γέρρα οἰσύινα προβεβλημένοις; Ἑλλήνων κρατεῖν ἔργον ἦν, Βοιωτῶν καὶ Φωκέων καὶ Ἀθηναίων, καὶ τὸ Ἀρκάδων ὁπλιτικὸν καὶ τὴν Θετταλὴν ἵππον καὶ τοὺς Ἠλείων ἀκοντιστὰς καὶ τὸ Μαντινέων πελταστικὸν ἢ Θρᾷκας ἢ Ἰλλυριοὺς ἢ καὶ Παίονας χειρώσασθαι, ταῦτα μεγάλα· Μήδων δὲ καὶ Περσῶν καὶ Χαλδαίων, χρυσοφόρων ἀνθρώπων καὶ ἁβρῶν, οὐκ οἶσθα ὡς πρὸ σοῦ μύριοι μετὰ Κλεάρχου ἀνελθόντες ἐκράτησαν οὐδ' ἐς χεῖρας ὑπομεινάντων ἐλθεῖν ἐκείνων, ἀλλὰ πρὶν ἢ τὸ τόξευμα ἐξικνεῖσθαι φυγόντων;

3. ΑΛΕΞ. Ἀλλ' οἱ Σκύθαι γε, ὦ πάτερ, καὶ οἱ Ἰνδῶν ἐλέφαντες οὐκ εὐκαταφρόνητόν τι ἔργον, καὶ ὅμως οὐ διαστάσας αὐτοὺς οὐδὲ προδοσίαις ὠνούμενος τὰς νίκας ἐκράτουν αὐτῶν· οὐδ' ἐπιώρκησα πώποτε ἢ ὑποσχόμενος ἐψευσάμην ἢ ἄπιστον ἔπραξά τι τοῦ νικᾶν ἕνεκα. Καὶ τοὺς Ἕλληνας δὲ τοὺς μὲν ἀναιμωτὶ παρέλαβον, Θηβαίους δὲ ἴσως ἀκούεις ὅπως μετῆλθον.

ΦΙΛ. Οἶδα ταῦτα πάντα· Κλεῖτος γὰρ ἀπήγγειλέ μοι, ὃν σὺ τῷ δορατίῳ διελάσας μεταξὺ δειπνοῦντα ἐφόνευσας, ὅτι μὲ πρὸς τὰς σὰς πράξεις ἐπαινέσαι ἐτόλμησε.

4. Σὺ δὲ καὶ τὴν Μακεδονικὴν χλαμύδα καταβαλὼν κάνδυν, ὥς φασι, μετενέδυς καὶ τιάραν ὀρθὴν ἐπέθου καὶ προσκυνεῖσθαι ὑπὸ Μακεδόνων, ὑπ' ἐλευθέρων ἀνδρῶν, ἠξίους, καὶ τὸ πάντων γελοιότατον, ἐμιμοῦ τὰ τῶν νενικημένων. Ἐῶ γὰρ λέγειν ὅσα ἄλλα ἔπραξας, λέουσι συγκατακλείων πεπαιδευμένους ἄνδρας καὶ γάμους τοιούτους γαμῶν καὶ Ἡφαιστίωνα ὑπεραγαπῶν. Ἓν ἐπήνεσα μόνον ἀκούσας, ὅτι ἀπέσχου τῆς τοῦ Δαρείου γυναικὸς καλῆς οὔσης, καὶ τῆς μητρὸς αὐτοῦ καὶ τῶν θυγατέρων ἐπεμελήθης· βασιλικὰ γὰρ ταῦτα.

5. ΑΛΕΞ. Τὸ φιλοκίνδυνον δέ, ὦ πάτερ, οὐκ ἐπαινεῖς καὶ τὸ ἐν Ὀξυδράκαις πρῶτον καθαλέσθαι ἐντὸς τοῦ τείχους καὶ τοσαῦτα λαβεῖν τραύματα;

ΦΙΛ. Οὐκ ἐπαινῶ τοῦτο, ὦ Ἀλέξανδρε, οὐχ ὅτι μὴ καλὸν οἶμαι εἶναι καὶ τιτρώσκεσθαί ποτε τὸν βασιλέα καὶ προκινδυνεύειν τοῦ στρατοῦ, ἀλλ' ὅτι σοι τὸ τοιοῦτον ἥκιστα συνέφερε· θεὸς γὰρ εἶναι δοκῶν εἴ ποτε τρωθείης, καὶ βλέποιέν σε φοράδην τοῦ πολέμου ἐκκομιζόμενον, αἵματι ῥεόμενον, οἰμώζοντα ἐπὶ τῷ τραύματι, ταῦτα γέλως ἦν τοῖς ὁρῶσιν, ἢ καὶ ὁ Ἄμμων γόης καὶ ψευδόμαντις ἠλέγχετο καὶ οἱ προφῆται κόλακες. Ἥ τίς οὐκ ἂν ἐγέλασεν ὁρῶν τὸν τοῦ Διὸς υἱὸν λειποψυχοῦντα, δεόμενον τῶν ἰατρῶν βοηθεῖν; νῦν μὲν

ALEX. Nec ipse ignorabam, pater, me Philippi Amynta nati filium esse : sed probavi et accepi oraculum, conducibile ratus ad res gerendas.

PHIL. Quid ita? conducibile tibi videbatur præbere temet decipiendum a prophetis?

ALEX. Non illud dico : sed barbari stupore perculsi me formidabant, nullusque amplius resistebat, arbitrati cum deo se pugnare : quare facilius eos devici.

2. PHIL. At quos tu devicisti bello vinci dignos viros, qui cum ignavis semper manum conseruisti, qui arcus, peltas minutas, scuta denique viminea præ se projiciunt? Græcos superare labor erat, Bœotos, Phocenses et Athenienses : tum Arcades gravis armaturæ, Thessalum equitatum, Eleorum jaculatores, Mantinensium cetratos milites, aut Thracas, Illyrios, quin etiam Pæonas subjicere, hæc præclara : Medos autem, Persas et Chaldæos, auro nitentes homines ac molles, non meministi ante te a decem illis millibus, qui cum Clearcho in Persidem sunt profecti, esse superatos, quum ne manus quidem gradumque conferre sustinerent, sed antequam telum ad eos perveniret, in fugam se darent?

3. ALEX. Attamen Scythæ, pater, et Indorum elephanti haud sane contemnendum opus; quos quidem, non factione mota divisos, nec emta proditione victoria, superavi tamen : neque pejeravi unquam, promissamve fidem fefelli, aut perfidum aliquid designavi vincendi causa. Græcos porro, hos sine sanguine mihi adjunxi; Thebanos autem forte inaudivisti quibus suppliciis sim persecutus.

PHIL. Novi istæc omnia : Clitus enim renunciavit mihi, quem tu spiculo trajectum inter cœnam trucidasti, quia me ad tuas res gestas comparatum laudare instituerit.

4. Tu præterea Macedonica chlamyde projecta, mutato, ut aiunt, habitu candyn Persicam induisti, et tiaram rectam capiti imposuisti, et adorari a Macedonibus, ab hominibus liberis, volebas, quodque omnium erat maxime ridiculum, æmulabare mores devictorum : nam omitto dicere quæ alia perpetraris, dum in eandem caveam cum leonibus includis eruditos viros, nuptiasque tales celebras, et Hephæstionem ultra modum diligis. Unum laudavi tantummodo relatum, abstinuisse te a Darii uxore formosa, ejusque matris, et natarum curam habuisse : hæc enim regia sunt.

5. ALEX. Ad pericula vero subeunda promtum animum, pater, non laudas, nec quod in Oxydracis primus desiluerim intra murum, totque acceperim vulnera?

PHIL. Non laudo, Alexander; non quod pulchrum esse non putem etiam vulnerari aliquando regem, et pro exercitu pericula suscipere; sed quod tibi tale inceptum minime conducebat : deus enim quum videbare, si quando vulnerareris, viderentque te portatum prælio efferri, cruore manantem, ingemiscentem vulnere, hæc utique ridendi materies erat futura spectantibus : sic et Ammon impostor falsusque vates arguebatur; prophetæ vero adulatores. Aut quis non risisset, si videret Jovis filium animo deficientem, implorantem medicorum operam? Nunc certe, quum jam mortuus

γὰρ ὁπότε ἤδη τέθνηκας, οὐκ οἴει πολλοὺς εἶναι τοὺς τὴν προσποίησιν ἐκείνην ἐπικερτομοῦντας, ὁρῶντας τὸν νεκρὸν τοῦ θεοῦ ἐκτάδην κείμενον, μυδῶντα ἤδη καὶ ἐξῳδηκότα κατὰ νόμον σωμάτων ἁπάντων; Ἄλλως τε καὶ τοῦτο, ὃ χρήσιμον ἔφης, ὦ Ἀλέξανδρε, τὸ διὰ τοῦτο κρατεῖν ῥᾳδίως, πολὺ τῆς δόξης ἀφῄρει τῶν κατορθουμένων· πᾶν γὰρ ἐδόκει ἐνδεὲς ὑπὸ θεοῦ γίγνεσθαι δοκοῦν.

6. ΑΛΕΞ. Οὐ ταῦτα φρονοῦσιν οἱ ἄνθρωποι περὶ ἐμοῦ, ἀλλ' Ἡρακλεῖ καὶ Διονύσῳ ἐνάμιλλον τιθέασί με. Καίτοι τὴν Ἄορνον ἐκείνην, οὐδετέρου ἐκείνων λαβόντος, ἐγὼ μόνος ἐχειρωσάμην.

ΦΙΛ. Ὁρᾷς ὅτι ταῦτα ὡς υἱὸς Ἄμμωνος λέγεις, ὃς Ἡρακλεῖ καὶ Διονύσῳ παραβάλλεις σεαυτόν; καὶ οὐκ αἰσχύνῃ, ὦ Ἀλέξανδρε, οὐδὲ τὸν τῦφον ἀπομαθήσῃ καὶ γνώσῃ σεαυτὸν καὶ συνήσῃ ἤδη νεκρὸς ὤν;

ea, non tu censes multos esse qui simulationem divinitatis istam acerbioribus jocis proscindant, quum vident cadaver dei porrectum, putrescens jam ac tumidum ex lege corporum omnium? Præterea etiam illa, quam dicebas, Alexander, utilitas, quasi eam ob causam facili victoria potireris, multum tibi detraxit gloriæ rerum egregie gestarum : nihil enim non videbatur minus et infra dignitatem, quod a deo fieri videretur.

6. ALEX. Non ista de me sentiunt homines, sed cum Hercule et Baccho me comparant : quin imo Aornum, illam inaccessam avibus rupem, quum neuter illorum ceperit, ego solus subegi.

PHIL. Viden' ista te tanquam Ammonis filium dicere, qui Herculi et Baccho æquiparas te ipsum? nonne te pudet, Alexander, nec fastum dedisces, teque ipse cognosces, et jam intelliges te mortuum esse?

15.

ΑΧΙΛΛΕΩΣ ΚΑΙ ΑΝΤΙΛΟΧΟΥ.

1. ΑΝΤ. Οἷα πρώην, Ἀχιλλεῦ, πρὸς τὸν Ὀδυσσέα σοι εἴρηται περὶ τοῦ θανάτου, ὡς ἀγεννῆ καὶ ἀνάξια τοῖν διδασκάλοιν ἀμφοῖν, Χείρωνός τε καὶ Φοίνικος. Ἠκροώμην γὰρ, ὁπότε ἔφης βούλεσθαι ἐπάρουρος ὢν θητεύειν παρά τινι τῶν ἀκλήρων, « ᾧ μὴ βίοτος πολὺς εἴη, » μᾶλλον ἢ πάντων ἀνάσσειν τῶν νεκρῶν. Ταῦτα μὲν οὖν ἀγεννῆ τινα Φρύγα δειλὸν καὶ πέρα τοῦ καλῶς ἔχοντος φιλόζωον ἴσως ἐχρῆν λέγειν, τὸν Πηλέως δὲ υἱὸν, τὸν φιλοκινδυνότατον ἡρώων ἁπάντων, ταπεινὰ οὕτω περὶ αὑτοῦ διανοεῖσθαι πολλὴ αἰσχύνη καὶ ἐναντιότης πρὸς τὰ πεπραγμένα σοι ἐν τῷ βίῳ, ὃς ἐξὸν ἀκλεῶς ἐν τῇ Φθιώτιδι πολυχρόνιον βασιλεύειν, ἑκὼν προείλου τὸν μετὰ τῆς ἀγαθῆς δόξης θάνατον.

2. ΑΧ. Ὦ παῖ Νέστορος, ἀλλὰ τότε μὲν ἄπειρος ἔτι τῶν ἐνταῦθα ὢν καὶ τὸ βέλτιον ἐκείνων ὁπότερον ἦν ἀγνοῶν τὸ δύστηνον ἐκεῖνο δοξάριον προετίμων τοῦ βίου, νῦν δὲ συνίημι ἤδη ὡς ἐκείνη μὲν ἀνωφελὴς, εἰ καὶ ὅτι μάλιστα οἱ ἄνω ῥαψῳδήσουσι· μετὰ νεκρῶν δὲ ὁμοτιμία, καὶ οὔτε τὸ κάλλος ἐκεῖνο, ὦ Ἀντίλοχε, οὔτε ἡ ἰσχὺς πάρεστιν, ἀλλὰ κείμεθα ἅπαντες ὑπὸ τῷ αὐτῷ ζόφῳ ὅμοιοι καὶ κατ' οὐδὲν ἀλλήλων διαφέροντες, καὶ οὔτε οἱ τῶν Τρώων νεκροὶ δεδίασί με οὔτε οἱ τῶν Ἀχαιῶν θεραπεύουσιν, ἰσηγορία δὲ ἀκριβὴς καὶ νεκρὸς ὅμοιος « ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός. » Ταῦτά με ἀνιᾷ καὶ ἄχθομαι, ὅτι μὴ θητεύω ζῶν.

3. ΑΝΤ. Ὅμως τί οὖν ἄν τις πάθοι, ὦ Ἀχιλλεῦ; ταῦτα γὰρ ἔδοξε τῇ φύσει, πάντως ἀποθνήσκειν ἅπαντας, ὥστε χρὴ ἐμμένειν τῷ νόμῳ καὶ μὴ ἀνιᾶσθαι τοῖς διατεταγμένοις. Ἄλλως τε ὁρᾷς τῶν ἑταίρων ὅσοι περὶ σέ ἐσμεν ὧδε· μετὰ μικρὸν δὲ καὶ Ὀδυσσεὺς ἀφίξεται πάντως. Φέρει δὲ παραμυθίαν καὶ ἡ κοινωνία τοῦ πράγματος καὶ τὸ μὴ μόνον αὐτὸν πεπονθέναι. Ὁρᾷς

15.

ACHILLIS ET ANTILOCHI.

1. ANT. Qualia pridie, Achille, ad Ulyssem a te sunt dicta de morte, quam humilis animi minimoque digna utroque præceptore, Chirone et Phœnice! Auscultabam enim, quando dictitabas malle te in terra vitam degentem mercenariam operam præstare cuipiam inopum, cui victus copia non abundet, quam omnibus imperare mortuis : ista abjectum aliquem ignavumque Phrygem, ultra quam decorum sit vitæ cupidum, forte fas erat proloqui; at Pelei filium, heroum omnium promptissime se periculis offerentem, tam demissa de se cogitare pudendum plane, et multimodis discrepans a rebus in vita gestis; ut qui, quum liceret inglorium in Phthiotide diuturnumque regnum possidere, ultro prætulisti conjunctam cum pulchra laude mortem.

2. ACH. Nestoris fili, tunc equidem inexpertus rerum inferarum, ignarusque utrum ex duobus præstaret, miseram istam gloriolam anteponebam vitæ : nunc vero jam tandem intelligo illam esse infructuosam, etiam si maximo opere a superis canitur, inter mortuos autem æqualia honoris jura : neque forma illa, Antiloche, nec robur adest; sed jacemus omnes sub eadem caligine similes, et nulla parte alter ab altero diversi : neque Trojanorum umbræ pertimescunt me, neque Achivorum observant : verum æqualitas juris exacta; mortuique similes, ignavi fuerint an fortes. Ista me torquent, et graviter fero, quod mercenarius non sim in vita.

3. ANT. Attamen quid facias, Achille? hoc enim ita visum fuit naturæ, ut omnino moriantur omnes. Quamobrem legi obtemperandum est, neque oportet gravari jussa. Atque etiam vides, sodalium quot circa te hic simus; Ulysses quoque jamjam aderit omnino. Affert autem solatium societas rei malæ, et quod eam non ipse solus perpetiaris.

τὸν Ἡρακλέα καὶ τὸν Μελέαγρον καὶ ἄλλους θαυμαστοὺς ἄνδρας, οἳ οὐκ ἂν οἶμαι δέξαιντο ἀνελθεῖν, εἴ τις αὐτοὺς ἀναπέμψειε θητεύσοντας ἀκλήροις καὶ ἀβίοις ἀνδράσιν.

4. ΑΧ. Ἑταιρικὴ μὲν ἡ παραίνεσις, ἐμὲ δὲ οὐχ οἷδ' ὅπως ἡ μνήμη τῶν παρὰ τὸν βίον ἀνιᾷ, οἶμαι δὲ καὶ ὑμῶν ἕκαστον· εἰ δὲ μὴ ὁμολογεῖτε, ταύτῃ χείρους ἐστὲ καθ' ἡσυχίαν αὐτὸ πάσχοντες.

ΑΝΤ. Οὐκ, ἀλλ' ἀμείνους, ὦ Ἀχιλλεῦ· τὸ γὰρ ἀνωφελὲς τοῦ λέγειν ὁρῶμεν· σωπᾶν γὰρ καὶ φέρειν καὶ ἀνέχεσθαι δέδοκται ἡμῖν, μὴ καὶ γέλωτα ὀφλωμεν ὥσπερ καὶ σὺ τοιαῦτα εὐχόμενοι.

Vides Herculem et Meleagrum, aliosque viros admirandos, qui, puto, non cupiant sursum in vitam redire, si quis eos emiserit mercedem merituros apud inopes pauperculosque homines.

4. ACH. Qualis sodalem decet est hæc admonitio : me tamen nescio quomodo memoria rerum per vitam actarum angit; ni fallor, et vestrûm unumquemque : quod si minus fatemini, tanto pejores estis, per quietem id tolerantes.

ANT. Minime, sed meliores, Achille : nullum enim esse proloquendi fructum vidimus : silere igitur et ferre ac tolerare casum constitutum est nobis, ne risum insuper debeamus, quemadmodum tu, talia optantes.

16.

ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΗΡΑΚΛΕΟΥΣ.

1. ΔΙΟΓ. Οὐχ Ἡρακλῆς οὗτός ἐστιν; οὐ μὲν οὖν ἄλλος, μὰ τὸν Ἡρακλέα· τὸ τόξον, τὸ ῥόπαλον, ἡ λεοντῆ, τὸ μέγεθος, ὅλος Ἡρακλῆς ἐστιν. Εἶτα τέθνηκε Διὸς υἱὸς ὤν; Εἰπέ μοι, ὦ καλλίνικε, νεκρὸς εἶ; ἐγὼ γάρ σοι ἔθυον ὑπὲρ γῆς ὡς θεῷ.

ΗΡ. Καὶ ὀρθῶς ἔθυες· αὐτὸς μὲν γὰρ ὁ Ἡρακλῆς ἐν τῷ οὐρανῷ τοῖς θεοῖς σύνεστι « καὶ ἔχει καλλίσφυρον Ἥβην, » ἐγὼ δ' εἴδωλόν εἰμι αὐτοῦ.

ΔΙΟΓ. Πῶς λέγεις; εἴδωλον τοῦ θεοῦ; καὶ δυνατὸν ἐξ ἡμισείας μέν τινα θεὸν εἶναι, τεθνάναι δὲ τῷ ἡμίσει;

ΗΡ. Ναί· οὐ γὰρ ἐκεῖνος τέθνηκεν, ἀλλ' ἐγὼ ἡ εἰκὼν αὐτοῦ.

2. ΔΙΟΓ. Μανθάνω· ἀντανδρόν σε τῷ Πλούτωνι παρέδωκεν ἀνθ' ἑαυτοῦ, καὶ σὺ τοίνυν ἀντ' ἐκείνου νεκρὸς εἶ.

ΗΡ. Τοιοῦτό τι.

ΔΙΟΓ. Πῶς οὖν ἀκριβὴς ὁ Αἰακὸς ὢν οὐ διέγνω σε μὴ ὄντα ἐκεῖνον, ἀλλὰ παρεδέξατο ὑποβολιμαῖον Ἡρακλέα παρόντα;

ΗΡ. Ὅτι ἐῴκειν ἀκριβῶς.

ΔΙΟΓ. Ἀληθῆ λέγεις· ἀκριβῶς γάρ, ὥστε αὐτὸς εἶναι. Ὅρα γοῦν μὴ τὸ ἐναντίον ἐστὶ καὶ, σὺ μὲν εἶ ὁ Ἡρακλῆς, τὸ δὲ εἴδωλον γεγάμηκε τὴν Ἥβην παρὰ τοῖς θεοῖς.

3. ΗΡ. Θρασὺς εἶ καὶ λάλος, καὶ εἰ μὴ παύσῃ σκώπτων ἐς ἐμέ, εἴσῃ αὐτίκα οἷου θεοῦ εἴδωλόν εἰμι.

ΔΙΟΓ. Τὸ μὲν τόξον γυμνὸν καὶ πρόχειρον· ἐγὼ δὲ τί ἂν ἔτι φοβοίμην σε ἅπαξ τεθνηκώς; Ἀτὰρ εἰπέ μοι πρὸς τοῦ σοῦ Ἡρακλέους, ὁπότε ἐκεῖνος ἔζη, συνῆς αὐτῷ καὶ τότε εἴδωλον ὤν; ἢ εἷς μὲν ἦτε παρὰ τὸν βίον, ἐπεὶ δὲ ἀπεθάνετε, διαιρεθέντες ὁ μὲν ἐς θεοὺς ἀπέπτατο, σὺ δὲ τὸ εἴδωλον, ὥσπερ εἰχὸς ἦν, ἐς ᾅδου πάρει;

ΗΡ. Ἐχρῆν μὲν μηδὲ ἀποκρίνασθαι πρὸς ἄνδρα οὕτως ἐρεσχηλοῦντα· ὅμως δ' οὖν καὶ τοῦτο ἄκουσον· ὁπόσον μὲν γὰρ Ἀμφιτρύωνος ἐν τῷ Ἡρακλεῖ ἦν, τοῦτο

16.

DIOGENIS ET HERCULIS.

1. DIOG. Non Hercules est hicce? haud sane alius, me Hercule : arcus, clava, leonina pellis, statura; plane ipse Hercules est. Et diem obiit supremum, Jovis filius qui sit? Quæso te, pulcherrimis victoriis inclyte, mortuusne es? at ego tibi in terris sacra faciebam, tanquam deo.

HERC. Merito quidem : etenim ipse verus Hercules in cœlo cum diis versatur, et habet formosam pedibus Heben : ego autem ejus sum simulacrum.

DIOG. Quomodo ais? simulacrum dei? fierine potest, ut aliquis dimidia parte sit deus, mortuus altero dimidio?

HERC. Plane : non enim ille mortuus est; sed ego ejus effigies.

2. DIOG. Rem teneo : te vicarium Plutoni tradidit pro se; tuque nunc ejus vice mortuus es.

HERC. Sic fere se res habet.

DIOG. Qui ergo factum, ut, quantumvis diligentissimam curam adhibeat, Æacus non animadverterit te non esse istum, et receperit suppositum Herculem huc advenientem?

HERC. Exacte scilicet similis eram.

DIOG. Vera loqueris : exacte quidem, ut ille ipsus esses. Cave ergo ne res contra cadat, tuque sis Hercules, illud autem simulacrum duxerit Heben apud deos.

3. HERC. Audaculus es et loquax : quodsi non desiteris cavillari me, jam senties, qualis dei sim simulacrum.

DIOG. Arcus quidem expromtus et ad manum : sed ego quid te metuam semel mortuus? Verum dic mihi per tuum illum Herculem, quum is vivebat, aderasne ipsi tunc etiam ejus effigies? an potius unus eratis in vita; postquam vero mortem obiistis, segregati, ille ad deos evolavit, tu simulacrum, ut par erat, huc ad inferos advenisti?

HERC. Ne respondere quidem oportebat homini de industria ludos facienti : hoc tamen accipe : quicquid Am-

τέθνηκε καί εἰμι ἐγὼ ἐκεῖνο πᾶν, ὁ δὲ ἦν τοῦ Διὸς, ἐν οὐρανῷ σύνεστι τοῖς θεοῖς.

4. ΔΙΟΓ. Σαφῶς νῦν μανθάνω· δύο γὰρ φῂς ἔτεκεν ἡ Ἀλκμήνη κατὰ τὸ αὐτὸ Ἡρακλέας, τὸν μὲν ὑπ' Ἀμφιτρύωνι, τὸν δὲ παρὰ τοῦ Διὸς, ὥστε ἐλελήθειτε ὄἰδυμοι ὄντες ὁμομήτριοι.

ΗΡ. Οὐκ, ὦ μάταιε· ὁ γὰρ αὐτὸς ἄμφω ἦμεν.

ΔΙΟΓ. Οὐκ ἔστι μαθεῖν τοῦτο ῥᾴδιον, συνθέτους δύο ὄντας Ἡρακλέας, ἐκτὸς εἰ μὴ ὥσπερ ἱπποκένταυρός τις ἦτε ἐς ἓν συμπεφυκότες ἄνθρωπος καὶ θεός.

ΗΡ. Οὐ γὰρ καὶ πάντες οὕτω σοι δοκοῦσι συγκεῖσθαι ἐκ δυοῖν, ψυχῆς καὶ σώματος; ὥστε τί τὸ κωλῦόν ἐστι τὴν μὲν ψυχὴν ἐν οὐρανῷ εἶναι, ἥπερ ἦν ἐκ Διὸς, τὸ δὲ θνητὸν ἐμὲ παρὰ τοῖς νεκροῖς;

5. ΔΙΟΓ. Ἀλλ', ὦ βέλτιστε Ἀμφιτρυωνιάδη, καλῶς ἂν τοῦτ' ἔλεγες, εἰ σῶμα ἦσθα, νῦν δὲ ἀσώματον εἴδωλον εἶ· ὥστε κινδυνεύεις τριπλοῦν ἤδη ποιῆσαι τὸν Ἡρακλέα.

ΗΡ. Πῶς τριπλοῦν;

ΔΙΟΓ. Ὧδέ πως· εἰ γὰρ ὁ μέν τις ἐν οὐρανῷ, ὁ δὲ παρ' ἡμῖν σὺ τὸ εἴδωλον, τὸ δὲ σῶμα ἐλύθη κόνις ἤδη γενόμενον, τρία ταῦτα δὴ γίγνεται. Καὶ σκόπει, ὄντινα δὴ πατέρα τὸν τρίτον ἐπινοήσεις τῷ σώματι.

ΗΡ. Θρασὺς εἶ καὶ σοφιστής· τίς δὲ καὶ ὢν τυγχάνεις;

ΔΙΟΓ. Διογένους τοῦ Σινωπέως εἴδωλον, αὐτὸς δὲ οὐ μὰ Δία

μετ' ἀθανάτοισι θεοῖσιν,

ἀλλὰ τοῖς βελτίστοις νεκρῶν ἀνδρῶν συνὼν Ὁμήρου καὶ τῆς τοσαύτης ψυχρολογίας καταγελῶ.

phitryonis in Hercule erat, id mortuum est, et hoc omne sum ego : quod autem Jovis erat, in cœlo inter deos agit.

4. DIOG. Plane nunc intelligo : duos, inquis, peperit Alcmena sub idem tempus Hercules, hunc ex Amphitryone conceptum, illum de Jove : quippe nos latuerat, geminos esse vos eadem matre prognatos.

HERC. Neutiquam, inepte : is ipse ambo eramus.

DIOG. Haudquaquam est ad intelligendum facile, duos esse Hercules eosque in unum conflatos : nisi forte quasi Hippocentaurus aliquis eratis, in unum coaliti homo et deus.

HERC. Non ergo omnes sic tibi videntur componi ex binis, anima et corpore? quid igitur impedit, quominus anima sit in cœlis, quæ erat ex Jove, ego autem mortalis illa pars apud mortuos?

5. DIOG. Sed, optime Amphitryoniada, per ista commode diceres, si corpus fores : nunc incorporeum es simulacrum; adeo ut periculum sit, ne triplicem jam conficias Herculem.

HERC. Quid ita triplicem?

DIOG. Hunc fere in modum : si unus aliquis in cœlo sit, alter tu scilicet, qui nobiscum versaris, illius simulacrum, tum corpus jam in cineres solutum, tria nimirum ista habentur : atque adeo vide, quem tertium patrem inventurus sis corpori.

HERC. Es homo audax et sophista : quis tandem es?

DIOG. Diogenis Sinopensis umbra : ipse autem non profecto inter deos immortales, sed cum manium præstantissimis versor, Homerum tamque frigidas ejus fabulationes deridens.

17.

ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΤΑΝΤΑΛΟΥ.

1. ΜΕΝ. Τί κλαίεις, ὦ Τάνταλε; ἢ τί σεαυτὸν ὀδύρῃ ἐπὶ τῇ λίμνῃ ἑστώς;

ΤΑΝ. Ὅτι, ὦ Μένιππε, ἀπόλωλα ὑπὸ τοῦ δίψους.

ΜΕΝ. Οὕτως ἀργὸς εἶ, ὡς μὴ ἐπικύψας πιεῖν ἢ καὶ νὴ Δί' ἀρυσάμενος κοίλῃ τῇ χειρί;

ΤΑΝ. Οὐδὲν ὄφελος, εἰ ἐπικύψαιμι· φεύγει γὰρ τὸ ὕδωρ, ἐπειδὰν προσιόντα αἴσθηταί με· ἢν δέ ποτε καὶ ἀρύσωμαι καὶ προσενέγκω τῷ στόματι, οὐ φθάνω βρέξας ἄκρον τὸ χεῖλος, καὶ διὰ τῶν δακτύλων διαρρυὲν οὐκ οἶδ' ὅπως αὖθις ἀπολείπει ξηρὰν τὴν χεῖρά μοι.

ΜΕΝ. Τεράστιόν τι πάσχεις, ὦ Τάνταλε. Ἀτὰρ εἰπέ μοι, τί δαὶ κοὶ δέῃ τοῦ πιεῖν; οὐ γὰρ σῶμα ἔχεις, ἀλλ' ἐκεῖνο μὲν ἐν Λυδίᾳ που τέθαπται, ὅπερ καὶ πεινῆν καὶ διψῆν ἐδύνατο, σὺ δὲ ἡ ψυχὴ πῶς ἂν ἔτι ἢ διψώης ἢ πίνοις;

ΤΑΝ. Τοῦτ' αὐτὸ ἡ κόλασίς ἐστι, τὸ διψῆν τὴν ψυχὴν ὡς σῶμα οὖσαν.

2. ΜΕΝ. Ἀλλὰ τοῦτο μὲν οὕτως πιστεύσομεν, ἐπεὶ

1. MEN. Quid ploras, Tantale? quidve temet ipse commiseraris ad lacum astans?

TAN. Quia, Menippe, enecor siti.

MEN. Itane piger es, ut ne corpore quidem inclinato bibas, sive magis etiam hauriendo cava manu?

TAN. Nihil juvat, si pronus procumbam : fugit enim aqua, ubi accedentem me senserit : quodsi quandoque hausero, orique admovero, simul ac rigavi extrema labia, statim per digitos dilapsa nescio quomodo iterum destituit siccam manum meam.

MEN. Portentosum quiddam tibi contingit, Tantale. Verum dic mihi, quid tanto opere indiges potu? etenim corpus non habes : quin illud in Lydia alicubi humatum est, cui et esuriendi et sitiendi facultas inerat : tu vero jam anima quo tandem pacto amplius aut sitias aut bibas?

TAN. Ea ipsa re constat supplicium meum, ut siti afficiatur anima mea velut corpus.

2. MEN. Sed id quidem ita esse credemus, quandoqui-

φῆς κολάζεσθαι τῷ δίψει. Τί δ' οὖν σοι τὸ δεινὸν ἔσται; ἢ δέδιας μὴ ἐνδείᾳ τοῦ ποτοῦ ἀποθάνῃς; οὐχ ὁρῶ γὰρ ἄλλον ἅδην μετὰ τοῦτον ἢ θάνατον ἐντεῦθεν εἰς ἕτερον τόπον.

TAN. Ὀρθῶς μὲν λέγεις· καὶ τοῦτο δ' οὖν μέρος τῆς καταδίκης, τὸ ἐπιθυμεῖν πιεῖν μηδὲν δεόμενον.

MEN. Ληρεῖς, ὦ Τάνταλε, καὶ ὡς ἀληθῶς ποτοῦ δεῖσθαι δοκεῖς, ἀκράτου γε ἑλλεβόρου νὴ Δία, ὅστις τοὐναντίον τοῖς ὑπὸ τῶν λυττώντων κυνῶν δεδηγμένοις πέπονθας οὐ τὸ ὕδωρ, ἀλλὰ τὴν δίψαν πεφοβημένος.

TAN. Οὐδὲ τὸν ἑλλέβορον, ὦ Μένιππε, ἀναίνομαι πιεῖν, γένοιτό μοι μόνον.

MEN. Θάρρει, ὦ Τάνταλε, ὡς οὔτε σὺ οὔτε ἄλλος πίεται τῶν νεκρῶν· ἀδύνατον γάρ· καίτοι οὐ πάντες ὥσπερ σὺ ἐκ καταδίκης διψῶσι τοῦ ὕδατος αὐτοὺς οὐχ ὑπομένοντος.

dem ais sitim tibi pœnam esse impositam. Quid tamen hinc tibi molesti accidet? an metuis ne inopia potus moriare? equidem non video alium post huncce orcum, aut mortem, qua functi hinc alterum in locum migremus.

TAN. Recte tu quidem loquere : at illud ipsum est pars pœnæ, ut desiderem bibere nullius potus indigus.

MEN. Ineptis, Tantale, et revera potu indigere videris, mero scilicet, ita me Jupiter amet, helleboro, qui contraria ratione atque illi, quos rabiosi canes momorderint, affectus sis, non aquam, sed sitim abhorrens.

TAN. Ne helleborum quidem, Menippe, renuo bibere : modo hoc mihi contingat.

MEN. Bono esto animo, Tantale : nam nec tu, neque alius quisquam bibet mortuorum : hoc enim fieri nequit. Haud omnes tamen, quemadmodum tu, ex inflicta pœna sitiunt aquam ipsos fugientem.

18.

ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΕΡΜΟΥ.

1. MEN. Ποῦ δὲ οἱ καλοί εἰσιν ἢ αἱ καλαί, Ἑρμῆ; ξενάγησόν με νέηλυν ὄντα.

ΕΡΜ. Οὐ σχολή μοι, ὦ Μένιππε· πλὴν κατ' ἐκεῖνο ἀπόβλεψον, ἐπὶ τὰ δεξιά, ἔνθα ὁ Ὑάκινθός τέ ἐστι καὶ Νάρκισσος καὶ Νιρεὺς καὶ Ἀχιλλεὺς καὶ Τυρὼ καὶ Ἑλένη καὶ Λήδα καὶ ὅλως τὰ ἀρχαῖα πάντα κάλλη.

MEN. Ὀστᾶ μόνα ὁρῶ καὶ κρανία τῶν σαρκῶν γυμνὰ, ὅμοια τὰ πολλά.

ΕΡΜ. Καὶ μὴν ἐκεῖνά ἐστιν ἃ πάντες οἱ ποιηταὶ θαυμάζουσι τὰ ὀστᾶ, ὧν σὺ ἔοικας καταφρονεῖν.

MEN. Ὅμως τὴν Ἑλένην μοι δεῖξον· οὐ γὰρ ἂν διαγνοίην ἔγωγε.

ΕΡΜ. Τουτὶ τὸ κρανίον ἡ Ἑλένη ἐστίν.

2. MEN. Εἶτα διὰ τοῦτο αἱ χίλιαι νῆες ἐπληρώθησαν ἐξ ἁπάσης τῆς Ἑλλάδος καὶ τοσοῦτοι ἔπεσον Ἕλληνές τε καὶ βάρβαροι καὶ τοσαῦται πόλεις ἀνάστατοι γεγόνασιν;

ΕΡΜ. Ἀλλ' οὐκ εἶδες, ὦ Μένιππε, ζῶσαν τὴν γυναῖκα· ἔφης γὰρ ἂν καὶ σὺ ἀνεμέσητον εἶναι

τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·

ἐπεὶ καὶ τὰ ἄνθη ξηρὰ ὄντα εἴ τις βλέποι ἀποβεβληκότα τὴν βαφὴν, ἄμορφα δῆλον ὅτι αὐτῷ δόξει, ὅτε μέντοι ἀνθεῖ καὶ ἔχει τὴν χροιὰν, κάλλιστά ἐστιν.

MEN. Οὐκοῦν τοῦτο, ὦ Ἑρμῆ, θαυμάζω, εἰ μὴ συνίεσαν οἱ Ἀχαιοὶ περὶ πράγματος οὕτως ὀλιγοχρονίου καὶ ῥᾳδίως ἀπανθοῦντος πονοῦντες.

ΕΡΜ. Οὐ σχολή μοι, ὦ Μένιππε, συμφιλοσοφεῖν σοι. Ὥστε σὺ μὲν ἐπιλεξάμενος τόπον, ἔνθα ἂν ἐθέλῃς, κεῖσο καταβαλὼν σεαυτὸν, ἐγὼ δὲ τοὺς ἄλλους νεκροὺς ἤδη μετελεύσομαι.

18.

MENIPPI ET MERCURII.

1. MEN. Ubi autem pulchri sunt et pulchræ, Mercuri? duc me illæ ducem te mihi præbe, quippe hospiti et novo advenæ.

MERC. Otium mihi non est, Menippe : attamen illo respice, quasi ad dextram : ibi Hyacinthus est, et Narcissus, et Nireus, et Achilles, et Tyro, et Helena, et Leda; summatim, vetustæ formæ omnes.

MEN. Ego ossa tantum video et crania carnibus nudata, similia pleraque.

MERC. Atqui illa sunt quæ omnes poetæ admirantur ossa, quorum tu contemtum præ te ferre videris.

MEN. Attamen Helenam mihi monstra : etenim ego quidem non dignoverim.

MERC. Istud cranium est Helena.

2. MEN. Propter illud igitur mille navium classis instructa fuit ex tota Græcia, totque ceciderunt Græci et barbari, urbiumque tantus numerus internecione periit?

MERC. At non vidisti, Menippe, mulierem vivam : scilicet ipse diceres non indignum fuisse nec vitio vertendum, talem ob feminam multum tempus ærumnas pati : enimvero flores arefactos si quis intueatur amisso colore, forma nimirum ipsi carere videbuntur; at quando florent, coloremque nativum habent, pulcherrimi sunt.

MEN. Atqui illud, Mercuri, demiror, non intellexisse Achivos de re tam brevis ætatis tamque facile deflorescente se laborare.

MERC. Otium mihi non est, Menippe, philosophari tecum : quare delecto loco, ubicumque velis, jace prostrato corpore : ego vero alios mortuos jam arcessam.

19.

ΑΙΑΚΟΥ, ΠΡΩΤΕΣΙΛΑΟΥ, ΜΕΝΕΛΑΟΥ ΚΑΙ ΠΑΡΙΔΟΣ.

1. ΑΙΑΚ. Τί ἄγχεις, ὦ Πρωτεσίλαε, τὴν Ἑλένην προσπεσών;

ΠΡΩΤ. Ὅτι διὰ ταύτην, ὦ Αἰακέ, ἀπέθανον ἡμιτελῆ μὲν τὸν δόμον καταλιπών, χήραν τε τὴν νεόγαμον γυναῖκα.

ΑΙΑΚ. Αἰτιῶ τοίνυν τὸν Μενέλαον, ὅστις ὑμᾶς ὑπὲρ τοιαύτης γυναικὸς ἐπὶ Τροίαν ἤγαγεν.

ΠΡΩΤ. Εὖ λέγεις· ἐκεῖνόν μοι αἰτιατέον.

ΜΕΝ. Οὐκ ἐμέ, ὦ βέλτιστε, ἀλλὰ δικαιότερον τὸν Πάριν, ὃς ἐμοῦ τοῦ ξένου τὴν γυναῖκα παρὰ πάντα τὰ δίκαια ᾤχετο ἁρπάσας· οὗτος γὰρ οὐχ ὑπὸ σοῦ μόνου, ἀλλ' ὑπὸ πάντων Ἑλλήνων τε καὶ βαρβάρων ἄξιος ἄγχεσθαι τοσούτοις θανάτου αἴτιος γεγενημένος.

ΠΡΩΤ. Ἄμεινον οὕτω· σὲ τοιγαροῦν, ὦ Δύσπαρι, οὐκ ἀφήσω ποτὲ ἀπὸ τῶν χειρῶν.

ΠΑΡ. Ἄδικα ποιῶν, ὦ Πρωτεσίλαε, καὶ ταῦτα ὁμότεχνον ὄντα σοι· ἐρωτικὸς γὰρ καὶ αὐτός εἰμι καὶ τῷ αὐτῷ θεῷ κατέσχημαι· οἶσθα δὲ ὡς ἀκούσιόν τί ἐστι καί τις ἡμᾶς δαίμων ἄγει ἔνθα ἂν ἐθέλῃ, καὶ ἀδύνατόν ἐστιν ἀντιτάττεσθαι αὐτῷ.

2. ΠΡΩΤ. Εὖ λέγεις. Εἴθε οὖν μοι τὸν Ἔρωτα ἐνταῦθα λαβεῖν δυνατὸν ἦν.

ΑΙΑΚ. Ἐγώ σοι καὶ περὶ τοῦ Ἔρωτος ἀποκρινοῦμαι τὰ δίκαια· φήσει γὰρ αὐτὸς μὲν τοῦ ἐρᾶν τῷ Πάριδι ἴσως γεγενῆσθαι αἴτιος, τοῦ θανάτου δέ σοι οὐδένα ἄλλον, ὦ Πρωτεσίλαε, ἢ σεαυτόν, ὃς ἐκλαθόμενος τῆς νεογάμου γυναικός, ἐπεὶ προσεφέρεσθε τῇ Τρῳάδι, οὕτω φιλοκινδύνως καὶ ἀπονενοημένως προεπήδησας τῶν ἄλλων δόξης ἐρασθείς, δι' ἣν πρῶτος ἐν τῇ ἀποβάσει ἀπέθανες.

ΠΡΩΤ. Οὐκοῦν καὶ ὑπὲρ ἐμαυτοῦ σοι, ὦ Αἰακέ, ἀποκρινοῦμαι δικαιότερα· οὐ γὰρ ἐγὼ τούτων αἴτιος, ἀλλ' ἡ Μοῖρα καὶ τὸ ἐξ ἀρχῆς οὕτως ἐπικεκλῶσθαι.

ΑΙΑΚ. Ὀρθῶς· τί οὖν τούτους αἰτιᾷ;

20.

ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΑΙΑΚΟΥ.

1. ΜΕΝ. Πρὸς τοῦ Πλούτωνος, ὦ Αἰακέ, περιήγησαί μοι τὰ ἐν ᾅδου πάντα.

ΑΙΑΚ. Οὐ ῥᾴδιον, ὦ Μένιππε, ἅπαντα· ὅσα μέντοι κεφαλαιώδη, μάνθανε· οὑτοσὶ μὲν ὅτι Κέρβερός ἐστιν οἶσθα, καὶ τὸν πορθμέα τοῦτον, ὃς σε διεπέρασε, καὶ τὴν λίμνην καὶ τὸν Πυριφλεγέθοντα ἤδη ἑώρακας ἐσιών.

ΜΕΝ. Οἶδα ταῦτα καὶ σέ, ὅτι πυλωρεῖς, καὶ τὸν βασιλέα εἶδον καὶ τὰς Ἐρινῦς· τοὺς δὲ ἀνθρώπους μοι τοὺς πάλαι δεῖξον καὶ μάλιστα τοὺς ἐνδόξους αὐτῶν.

19.

ÆACI, PROTESILAI, MENELAI AC PARIDIS.

1. ÆAC. Quid strangulas, o Protesilae, Helenam, impetu in eam facto?

PROT. Quod propter eam, Æace, interii imperfecta domo relicta, et vidua, quæ modo fuerat nupta, uxore.

ÆAC. Incusa igitur Menelaum, qui vos talis mulieris causa adversus Trojam duxit.

PROT. Bene mones: is ergo mihi reus est agendus.

MEN. Non ego, vir optime, sed justius Paris, qui mea hospitis uxore præter omne jus ac fas rapta se proripuit: hic enim non a te solo, verum ab omnibus Græcis ac barbaris dignus est strangulari, ut qui tot hominibus mortis exstiterit causa.

PROT. Ita quidem præstat; atque adeo te, inominate Pari, non dimittam unquam e manibus.

PAR. Injusta feceris, Protesilae, idque in eum, qui artem eandem ac tu colit; nam et ipse sum deditus amori, ab eodemque deo occupatus: scis autem involuntarium esse quiddam, deumque aliquem nos agere quocumque velit, cui non possit resisti.

2. PROT. Vera dicis. Utinam ergo mihi Amorem hic comprehendere detur!

ÆAC. At ego apud te causam Amoris etiam agam: dixerit enim, amandi se Paridi fortasse exstitisse causam; mortis vero tibi neminem alium, Protesilae, quam temet ipsum, qui oblitus novæ nuptæ uxoris, ubi appellebatis ad Troadem, tam audacter et desperate ante alios exsiluisti gloriæ cupiditate ductus, ob quam primus in escensu occubuisti.

PROT. Enimvero meam tibi, Æace, causam egero planius: non enim ego istorum auctor, sed fatum fatalisque staminis ab initio vitam hominum temperantis necessitas.

ÆAC. Recte: quid igitur istos accusas?

20.

MENIPPI ET ÆACI.

1. MEN. Per Plutonem, Æace, quæso comes mihi monstra, quæ in Orco sunt, omnia.

ÆAC. Haud pronum est, Menippe, omnia: quæcumque tamen præcipua summatim percurri possunt, disce. Hunc esse Cerberum nosti, portitoremque illum, qui te transvexit; et lacum et Pyriphlegethontem jam vidisti, quando hæc loca intrabas.

MEN. Scio ista, et te custodem esse portæ infernalis: regem porro vidi et Erinnyas. Verum homines mihi veteres illos ostende, atque inprimis eorum insignes.

ΑΙΑΚ. Οὗτος μὲν Ἀγαμέμνων, οὗτος δὲ Ἀχιλλεύς, οὗτος δὲ Ἰδομενεὺς πλησίον, οὗτος δὲ Ὀδυσσεύς, εἶτα Αἴας καὶ Διομήδης καὶ οἱ ἄριστοι τῶν Ἑλλήνων.

2. ΜΕΝ. Βαβαί, ὦ Ὅμηρε, οἷά σοι τῶν ῥαψῳδιῶν τὰ κεφάλαια χαμαὶ ἔρριπται ἄγνωστα καὶ ἄμορφα, κόνις πάντα καὶ λῆρος πολύς, ἀμενηνὰ ὡς ἀληθῶς κάρηνα. Οὗτος δέ, ὦ Αἰακέ, τίς ἐστι;

ΑΙΑΚ. Κῦρός ἐστιν· οὗτος δὲ Κροῖσος, ὁ δ' ὑπὲρ αὐτὸν Σαρδανάπαλλος, ὁ δ' ὑπὲρ τούτους Μίδας, ἐκεῖνος δὲ Ξέρξης.

ΜΕΝ. Εἶτα σέ, ὦ κάθαρμα, ἡ Ἑλλὰς ἔφριττε ζευγνύντα μὲν τὸν Ἑλλήσποντον, διὰ δὲ τῶν ὀρῶν πλεῖν ἐπιθυμοῦντα; Οἷος δὲ καὶ ὁ Κροῖσός ἐστι. Τὸν Σαρδανάπαλλον δέ, ὦ Αἰακέ, πατάξαι μοι κατὰ κόρρης ἐπίτρεψον.

ΑΙΑΚ. Μηδαμῶς· διαθρύψεις γὰρ αὐτοῦ τὸ κρανίον γυναικεῖον ὄν.

ΜΕΝ. Οὐκοῦν ἀλλὰ προσπτύσομαί γε πάντως ἀνδρογύνῳ γε ὄντι.

3. ΑΙΑΚ. Βούλει σοι ἐπιδείξω καὶ τοὺς σοφούς;

ΜΕΝ. Νὴ Δία γε.

ΑΙΑΚ. Πρῶτος οὗτός σοι ὁ Πυθαγόρας ἐστί.

ΜΕΝ. Χαῖρε, ὦ Εὔφορβε ἢ Ἄπολλον ἢ ὅ τι ἂν ἐθέλῃς.

ΠΥΘ. Νηδὶ καὶ σύ γε, ὦ Μένιππε.

ΜΕΝ. Οὐκέτι χρυσοῦς ὁ μηρός ἐστί σοι;

ΠΥΘ. Οὐ γάρ· ἀλλὰ φέρε ἴδω εἴ τί σοι ἐδώδιμον ἡ πήρα ἔχει.

ΜΕΝ. Κυάμους, ὦγαθέ· ὥστε οὐ τοῦτό σοι ἐδώδιμον.

ΠΥΘ. Δὸς μόνον· ἄλλα παρὰ νεκροῖς δόγματα· ἔμαθον γὰρ ὡς οὐδὲν ἴσαν κύαμοι καὶ κεφαλαὶ τοκήων ἐνθάδε.

4. ΑΙΑΚ. Οὗτος δὲ Σόλων ὁ Ἐξηκεστίδου καὶ Θαλῆς ἐκεῖνος καὶ παρ' αὐτοὺς Πιττακὸς καὶ οἱ ἄλλοι· ἑπτὰ δὲ πάντες εἰσὶν ὡς ὁρᾷς.

ΜΕΝ. Ἄλυποι, ὦ Αἰακέ, οὗτοι μόνοι καὶ φαιδροὶ τῶν ἄλλων. Ὁ δὲ σποδοῦ πλέως ὥσπερ ἐγκρυφίας ἄρτος, ὁ τὰς φλυκταίνας ἐξηνθηκὼς, τίς ἐστιν;

ΑΙΑΚ. Ἐμπεδοκλῆς, ὦ Μένιππε, ἡμίεφθος ἀπὸ τῆς Αἴτνης παρών.

ΜΕΝ. Ὦ χαλκόπου βέλτιστε, τί παθὼν σαυτὸν ἐς τοὺς κρατῆρας ἐνέβαλες;

ΕΜΠ. Μελαγχολία τις, ὦ Μένιππε.

ΜΕΝ. Οὐ μὰ Δί', ἀλλὰ κενοδοξία καὶ τῦφος καὶ πολλὴ κόρυζα, ταῦτά σε ἀπηνθράκωσεν αὐταῖς κρηπῖσιν οὐκ ἀνάξιον ὄντα· πλὴν ἀλλ' οὐδέν σε τὸ σόφισμα ὤνησεν· ἐφωράθης γὰρ τεθνεώς. Ὁ Σωκράτης δέ, ὦ Αἰακέ, ποῦ ποτε ἄρα ἐστίν;

ΑΙΑΚ. Μετὰ Νέστορος καὶ Παλαμήδους ἐκεῖνος λῃρεῖ τὰ πολλά.

ΜΕΝ. Ὅμως ἐβουλόμην ἰδεῖν αὐτὸν, εἴ που ἐνθάδε ἐστίν.

ΑΙΑΚ. Ὁρᾷς τὸν φαλακρόν;

ÆAC. Hic Agamemno; ille Achilles; iste propius aliquanto Idomeneus : tum Ulysses, deinde Ajax, et Diomedes, et præstantissimi Græcorum.

2. MEN. Papæ, Homere; qualia tibi eximia carminum tuorum decora humi jacent abjecta, ignota, informia, pulvis cuncta, nugæque magnæ, imbecilla vere capita. Hicce autem, Æace, quis est?

ÆAC. Cyrus est : hic autem Crœsus; atque super eum Sardanapalus; qui super istos, Midas : ille vero Xerxes.

MEN. Te igitur, purgamentum hominis, horrescebat Græcia jungentem Hellespontum, perque montes navigare desiderantem? Qualis autem et Crœsus est! At Sardanapalo, Æace, ut alapam in caput impingam, permitte mihi.

ÆAC. Neutiquam : diffringes enim cranium ipsius molle ac muliebre.

MEN. Enimvero conspuam omnino effeminatum istum.

3. ÆAC. Vin' tibi demonstrem etiam sapientes?

MEN. Ita per Jovem.

ÆAC. Primus hicce tibi Pythagoras est.

MEN. Salve, Euphorbe, aut Apollo, aut quocumque nomine velis appellari.

PYTH. Sane tu quoque, Menippe.

MEN. Non tibi aureum femur amplius est?

PYTH. Non quidem : verum age videam si quid tibi ad edendum paratum pera habet.

MEN. Fabas, optime : quæ quidem edules tibi non sunt.

PYTH. Præbe tantum : alia sunt apud mortuos decreta; etenim didici nihil hic esse simile fabis et capitibus parentum.

4. ÆAC. Hicce autem Solon Execestidæ filius, et Thales ille, juxtaque eos Pittacus, ceterique : septem vero sunt cuncti, uti vides.

MEN. Hi tristitiæ immunes, Æace, soli ceterorum, atque hilares. Iste vero cinere plenus velut subcinericius panis, qui pustulis totus efflоruit, quis est?

ÆAC. Empedocles, Menippe, qui semicoctus huc ab Ætna advenit.

MEN. O optime tu, æreis indute calceis, quid causæ fuit, cur ipse te in Ætnæ crateras immitteres?

EMP. Atra quædam bilis, Menippe.

MEN. Nullo pacto; sed vana gloria, et superbiæ tumor, et multa stultitia : hæc te scilicet exustularunt cum ipsis crepidis, haud indignum : attamen nihil te callidum commentum juvit; patuit enim esse te mortuum. Socrates vero, Æace, ubi tandem est?

ÆAC. Cum Nestore et Palamede ille nugatur plerumque.

MEN. Vellem tamen eum videre, sicubi hic esset.

ÆAC. Viden' istum calvum?

ΜΕΝ. Ἅπαντες φαλακροί εἰσιν· ὥστε πάντων ἂν εἴη τοῦτο τὸ γνώρισμα.

ΑΙΑΚ. Τὸν σιμὸν λέγω.

ΜΕΝ. Καὶ τοῦτο ὅμοιον· σιμοὶ γὰρ ἅπαντες.

5. ΣΩΚ. Ἐμὲ ζητεῖς, ὦ Μένιππε;

ΜΕΝ. Καὶ μάλα, ὦ Σώκρατες.

ΣΩΚ. Τί τὰ ἐν Ἀθήναις;

ΜΕΝ. Πολλοὶ τῶν νέων φιλοσοφεῖν λέγουσι, καὶ τά γε σχήματα αὐτὰ καὶ τὰ βαδίσματα εἰ θεάσαιτό τις, ἄκροι φιλόσοφοι.

ΣΩΚ. Μάλα πολλοὺς ἑόρακα.

ΜΕΝ. Ἀλλὰ ἑόρακας, οἶμαι, οἷος ἦκε παρὰ σοὶ Ἀρίστιππος καὶ Πλάτων αὐτὸς, ὁ μὲν ἀποπνέων μύρου, ὁ δὲ τοὺς ἐν Σικελίᾳ τυράννους θεραπεύειν ἐκμαθών.

ΣΩΚ. Περὶ ἐμοῦ δὲ τί φρονοῦσιν;

ΜΕΝ. Εὐδαίμων, ὦ Σώκρατες, ἄνθρωπος εἶ τά γε τοιαῦτα· πάντες γοῦν σε θαυμάσιον οἴονται ἄνδρα γεγενῆσθαι καὶ πάντα ἐγνωκέναι καὶ ταῦτα — δεῖ γὰρ, οἶμαι, τἀληθῆ λέγειν — οὐδὲν εἰδότα.

ΣΩΚ. Καὶ αὐτὸς ἔφασκον ταῦτα πρὸς αὐτοὺς, οἱ δὲ εἰρωνείαν ᾤοντο τὸ πρᾶγμα εἶναι.

6. ΜΕΝ. Τίνες δέ εἰσιν οὗτοι οἱ περὶ σέ;

ΣΩΚ. Χαρμίδης, ὦ Μένιππε, καὶ Φαῖδρος καὶ ὁ τοῦ Κλεινίου.

ΜΕΝ. Εὖ γε, ὦ Σώκρατες, ὅτι κἀνταῦθα μέτει τὴν σαυτοῦ τέχνην καὶ οὐκ ὀλιγωρεῖς τῶν καλῶν.

ΣΩΚ. Τί γὰρ ἂν ἄλλο ἥδιον πράττοιμι; Ἀλλὰ πλησίον ἡμῶν κατάκεισο, εἰ δοκεῖ.

ΜΕΝ. Μὰ Δί', ἐπεὶ παρὰ τὸν Κροῖσον καὶ τὸν Σαρδανάπαλλον ἄπειμι πλησίον οἰκήσων αὐτῶν· ἔοικα γοῦν οὐκ ὀλίγα γελάσεσθαι οἰμωζόντων ἀκούων.

ΑΙΑΚ. Κἀγὼ ἤδη ἄπειμι, μὴ καί τις ἡμᾶς νεκρῶν λάθῃ διαφυγών. Τὰ λοιπὰ δ' ἐσαῦθις ὄψει, ὦ Μένιππε.

ΜΕΝ. Ἄπιθι· καὶ ταυτὶ γὰρ ἱκανὰ, ὦ Αἰακέ.

ΜΕΝ. Omnes utique sunt calvi : idque adeo omnium fuerit indicium.

ÆAC. At simum istum dico.

MEN. Hoc etiam perinde simile : cuncti enim simi.

5. SOCR. Mene quæris, Menippe?

MEN. Maxime, Socrates.

SOCR. Quid agitur Athenis?

MEN. Multi juvenum philosophari se prædicant : et habitus quidem atque incessus si spectaverit aliquis, summi philosophi.

SOCR. Valde *multos* vidi.

MEN. At vidisti, opinor, qualis venerit ad te Aristippus, atque ipse Plato : ille unguentum spirans ; hic colere Siculos tyrannos edoctus.

SOCR. De me vero quid sentiunt?

MEN. Felix, Socrates, es homo ista quidem parte : omnes adeo te admirabilem existimant virum fuisse, et cuncta scivisse, idque (est enim, ut puto, verum dicendum) nihil scientem.

SOCR. Equidem affirmabam hoc ipsum apud eos : illi meram ironiam opinabantur esse factum meum.

6. MEN. Quinam hi circa te sunt?

SOCR. Charmides, Menippe, et Phædrus, Clinieque filius.

MEN. Bene factum, Socrates, ut qui et hicce colas artem tuam, neque despicias pulchros.

SOCR. Nam quid aliud jucundius agam? Verum prope nos recumbe, si videtur.

MEN. Nequaquam : ad Crœsum enim et Sardanapalum abeo proxime illos habitaturus : videor equidem non parum risurus plorantes eos audiens.

ÆAC. Jamque ego abeo, ne quis mortuorum clam nobis effugiat : reliqua in posterum vises, Menippe.

MEN. Abi modo : hæc enim ipsa sunt satis, Æace.

21.

ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΚΕΡΒΕΡΟΥ.

1. ΜΕΝ. Ὦ Κέρβερε — συγγενὴς γάρ εἰμί σοι κύων καὶ αὐτὸς ὤν — εἰπέ μοι πρὸς τῆς Στυγὸς, οἷος ἦν ὁ Σωκράτης, ὁπότε κατῄει παρ' ὑμᾶς· εἰκὸς δέ σε θεὸν ὄντα μὴ ὑλακτεῖν μόνον, ἀλλὰ καὶ ἀνθρωπίνως φθέγγεσθαι, ὁπότ' ἐθέλοις.

ΚΕΡΒ. Πόρρωθεν μέν, ὦ Μένιππε, παντάπασιν ἐδόκει ἀτρέπτῳ τῷ προσώπῳ προσιέναι καὶ οὐ πάνυ δεδιέναι τὸν θάνατον δοκῶν καὶ τοῦτο ἐμφῆναι τοῖς ἔξω τοῦ στομίου ἑστῶσιν ἐθέλων, ἐπεὶ δὲ κατέκυψεν εἴσω τοῦ χάσματος καὶ εἶδε τὸν ζόφον, κἀγὼ ἔτι διαμέλλοντα αὐτὸν δακὼν τῷ κωνείῳ κατέσπασα τοῦ ποδὸς, ὥσπερ

21.

MENIPPI ET CERBERI.

MEN. Cerbere, nam cognatus sum tibi, quippe canis et ipse, dic mihi per Stygem, qualis fuerit Socrates, quando descendebat ad vos : par est te deum scilicet non latrare solum, sed et humano more loqui, quum velis.

CER. E *longinquo*, Menippe, omnimodis videbatur constanti et imperterrito vultu accedere, neque omnino reformidare mortem, idque ipsum significare iis, qui extra ostium stabant, velle. Verum postquam se demisit intra hiatum infernæ domus, et vidit caliginem, atque ego cunctantem adhuc cicutæ morsu correptum detraxi pede, sicut

τὰ βρέφη ἐκώκυε καὶ τὰ ἑαυτοῦ παιδία ὠδύρετο καὶ παντοῖος ἐγίγνετο.

2. MEN. Οὐκοῦν σοφιστὴς ὁ ἄνθρωπος ἦν καὶ οὐκ ἀληθῶς κατεφρόνει τοῦ πράγματος;

ΚΕΡΒ. Οὐκ, ἀλλ' ἐπείπερ ἀναγκαῖον αὐτὸ ἑώρα, κατεθρασύνετο ὡς δῆθεν οὐκ ἄκων πεισόμενος ὅ πάντως ἔδει παθεῖν, ὡς θαυμάσονται οἱ θεαταί. Καὶ ὅλως περὶ πάντων γε τῶν τοιούτων εἰπεῖν ἂν ἔχοιμι, ἕως τοῦ στομίου τολμηροὶ καὶ ἀνδρεῖοι, τὰ δὲ ἔνδοθεν ἔλεγχος ἀκριβής.

MEN. Ἐγὼ δὲ πῶς σοι κατεληλυθέναι ἔδοξα;

ΚΕΡΒ. Μόνος, ὦ Μένιππε, ἀξίως τοῦ γένους, καὶ Διογένης πρὸ σοῦ, ὅτι μὴ ἀναγκαζόμενοι εἰσήειτε μηδ' ὠθούμενοι, ἀλλ' ἐθελούσιοι, γελῶντες, οἰμώζειν παραγγείλαντες ἅπασιν.

22.

ΧΑΡΩΝΟΣ ΚΑΙ ΜΕΝΙΠΠΟΥ.

1. ΧΑΡ. Ἀπόδος, ὦ κατάρατε, τὰ πορθμεῖα.

MEN. Βόα, εἰ τοῦτό σοι, ὦ Χάρων, ἥδιον.

ΧΑΡ. Ἀπόδος, φημὶ, ἀνθ' ὧν σε διεπορθμεύσαμεν.

MEN. Οὐκ ἂν λάβοις παρὰ τοῦ μὴ ἔχοντος.

ΧΑΡ. Ἔστι δέ τις ὁβολὸν μὴ ἔχων;

MEN. Εἰ μὲν καὶ ἄλλος τις οὐκ οἶδα, ἐγὼ δ' οὐκ ἔχω.

ΧΑΡ. Καὶ μὴν ἄγξω σε νὴ τὸν Πλούτωνα, ὦ μιαρὲ, ἢν μὴ ἀποδῷς.

MEN. Κἀγὼ τῷ ξύλῳ σου πατάξας τὸ κρανίον παραλύσω.

ΧΑΡ. Μάτην οὖν ἔσῃ πεπλευκὼς τοσοῦτον πλοῦν.

MEN. Ὁ Ἑρμῆς ὑπὲρ ἐμοῦ σοι ἀποδότω, ὃς με παρέδωκέ σοι.

2. ΕΡΜ. Νὴ Δί' ὠνάμην γε, εἰ μέλλω καὶ ὑπερεκτίνειν τῶν νεκρῶν.

ΧΑΡ. Οὐκ ἀποστήσομαί σου.

MEN. Τούτου γε ἕνεκα καὶ νεωλκήσας τὸ πορθμεῖον παράμενε· πλὴν ἀλλ' ὅ γε μὴ ἔχω, πῶς ἂν λάβοις;

ΧΑΡ. Σὺ δ' οὐκ ἤδεις ὡς κομίζεσθαι δέον;

MEN. Ἤδειν μὲν, οὐκ εἶχον δέ. Τί οὖν; ἐχρῆν διὰ τοῦτο μὴ ἀποθανεῖν;

ΧΑΡ. Μόνος οὖν αὐχήσεις προῖκα πεπλευκέναι;

MEN. Οὐ προῖκα, ὦ βέλτιστε· καὶ γὰρ ἤντλησα καὶ τῆς κώπης συνεπελαβόμην καὶ οὐκ ἔκλαον μόνος τῶν ἄλλων ἐπιβατῶν.

ΧΑΡ. Οὐδὲν ταῦτα πρὸς πορθμέα· τὸν ὁβολὸν ἀποδοῦναί σε δεῖ· οὐ θέμις ἄλλως γενέσθαι.

3. MEN. Οὐκοῦν ἄπαγέ με αὖθις ἐς τὸν βίον.

ΧΑΡ. Χάριεν λέγεις, ἵνα καὶ πληγὰς ἐπὶ τούτῳ παρὰ τοῦ Αἰακοῦ προσλάβω.

MEN. Μὴ ἐνόχλει οὖν.

ΧΑΡ. Δεῖξον τί ἐν τῇ πήρᾳ ἔχεις.

infantes ejulabat, suos liberos deflebat, et nihil non moliebatur.

2. MEN. Ergo subdolus erat hic homo sophista, nec revera contemnebat mortem?

CER. Minime: sed ubi necessariam animadvertit, audacter sese offerebat, quasi scilicet non invitus subiturus quod omnino oportebat pati, ut eum admirarentur spectatores. In summa de omnibus quidem ejusmodi dicere possim, Usque ad ostium audaces ac fortes: ubi intus penetratum est, documentum timoris manifestum.

MEN. Ego vero quomodo tibi descendisse visus sum?

CER. Solus, Menippe, ut dignum erat genere, ac Diogenes ante te; quia non coacti intrabatis, neque impulsi, sed voluntarii, ridentes, plorare jubentes cunctos.

22.

CHARONTIS, MENIPPI (ET MERCURII).

1. CHAR. Redde, scelerate, portorium.

MEN. Vociferare, si id tibi allubescit, Charon.

CHAR. Redde, inquam, pro eo quod te transvexi.

MEN. Haud acceperis ab eo qui non habet.

CHAR. Estne aliquis qui obolum non habeat?

MEN. An alius aliquis, haud scio: de me vero, non habeo.

CHAR. Enimvero fauces tibi præcludam, detestande, nisi dederis.

MEN. Ego contra baculo tibi percussum dissolvam cranium.

CHAR. Gratis igitur navigaveris tam longam navigationem.

MEN. Mercurius pro me tibi solvat, qui me tradidit tibi.

2. MERC. Per Jovem, belle mecum agatur, si mortuorum etiam vice solvendum mihi sit.

CHAR. Missum te non faciam.

MEN. Quod ad istam quidem rem attinet, vel subducto navigio assiduus esto flagitator: attamen quod non habeo, qui tandem accipias?

CHAR. Tu nesciebas obolum esse tibi apportandum?

MEN. Sciebam equidem, nec tamen habebam. Quid ergo? propterea oportebat non mori?

CHAR. Solus igitur gloriabere gratis te navigasse?

MEN. Non gratis, vir optime: etenim antliam duxi, et remo simul incubui, et unus omnium vectorum non plorabam.

CHAR. Nihil ista ad portitorem: obolum persolvere te oportet: neque enim fas est aliter fieri.

3. MEN. Quin ergo me rursus abduc in vitam.

CHAR. Pulchre sane; ut plagas insuper eapropter ab Æaco accipiam.

MEN. Ergo desiste negotium facessere.

CHAR. Ostende quid in pera geras.

ΜΕΝ. Θέρμους, εἰ θέλεις, καὶ τῆς Ἑκάτης τὸ δεῖπνον.

ΧΑΡ. Πόθεν τοῦτον ἡμῖν, ὦ Ἑρμῆ, τὸν κύνα ἤγαγες; οἷα δὲ καὶ ἐλάλει παρὰ τὸν πλοῦν τῶν ἐπιβατῶν ἁπάντων καταγελῶν καὶ ἐπισκώπτων καὶ μόνος ᾄδων οἰμωζόντων ἐκείνων.

ΕΡΜ. Ἀγνοεῖς, ὦ Χάρων, ὅντινα ἄνδρα διεπόρθμευσας; ἐλεύθερον ἀκριβῶς, κοὐδενὸς αὐτῷ μέλει. Οὗτός ἐστιν ὁ Μένιππος.

ΧΑΡ. Καὶ μὴν ἄν σε λάβω ποτέ —

ΜΕΝ. Ἂν λάβῃς, ὦ βέλτιστε· δὶς δὲ οὐκ ἂν λάβοις.

23.

ΠΡΩΤΕΣΙΛΑΟΥ, ΠΛΟΥΤΩΝΟΣ ΚΑΙ ΠΕΡΣΕΦΟΝΗΣ.

1. ΠΡΩΤ. Ὦ δέσποτα καὶ βασιλεῦ καὶ ἡμέτερε Ζεῦ καὶ σὺ Δήμητρος θύγατερ, μὴ ὑπερίδητε δέησιν ἐρωτικήν.

ΠΛΟΥΤ. Σὺ δὲ τίνων δέῃ παρ' ἡμῶν; ἢ τίς ὢν τυγχάνεις;

ΠΡΩΤ. Εἰμὶ μὲν Πρωτεσίλεως ὁ Ἰφίκλου Φυλάκιος συστρατιώτης τῶν Ἀχαιῶν καὶ πρῶτος ἀποθανὼν τῶν ἐπ' Ἴλιῳ. Δέομαι δὲ ἀφεθείς πρὸς ὀλίγον ἀναβιῶναι πάλιν.

ΠΛΟΥΤ. Τοῦτον μὲν τὸν ἔρωτα, ὦ Πρωτεσίλαε, πάντες νεκροὶ ἐρῶσι, πλὴν οὐδεὶς ἂν αὐτῶν τύχοι.

ΠΡΩΤ. Ἀλλ' οὐ τοῦ ζῆν, Ἀΐδωνεῦ, ἐρῶ ἔγωγε, τῆς γυναικὸς δέ, ἣν νεόγαμον ἔτι ἐν τῷ θαλάμῳ καταλιπὼν ᾠχόμην ἀποπλέων, εἶτα ὁ κακοδαίμων ἐν τῇ ἀποβάσει ἀπέθανον ὑπὸ τοῦ Ἕκτορος. Ὁ οὖν ἔρως τῆς γυναικὸς οὗ μετρίως ἀποκναίει με, ὦ δέσποτα, καὶ βούλομαι κἂν πρὸς ὀλίγον ὀφθεὶς αὐτῇ καταβῆναι πάλιν.

2. ΠΛΟΥΤ. Οὐκ ἔπιες, ὦ Πρωτεσίλαε, τὸ Λήθης ὕδωρ;

ΠΡΩΤ. Καὶ μάλα, ὦ δέσποτα· τὸ δὲ πρᾶγμα ὑπέρογκον ἦν.

ΠΛΟΥΤ. Οὐκοῦν περίμεινον· ἀφίξεται γὰρ κἀκείνη ποτὲ καὶ οὐδὲ σὲ ἀνελθεῖν δεήσει.

ΠΡΩΤ. Ἀλλ' οὐ φέρω τὴν διατριβήν, ὦ Πλούτων· ἠράσθης δὲ καὶ αὐτὸς ἤδη καὶ οἶσθα οἷον τὸ ἐρᾶν ἐστιν.

ΠΛΟΥΤ. Εἶτα τί σε ὀνήσει μίαν ἡμέραν ἀναβιῶναι μετ' ὀλίγον τὰ αὐτὰ ὀδυρούμενον;

ΠΡΩΤ. Οἶμαι πείσειν κἀκείνην ἀκολουθεῖν παρ' ὑμᾶς, ὥστε ἀνθ' ἑνὸς δύο νεκροὺς λήψει μετ' ὀλίγον.

ΠΛΟΥΤ. Οὐ θέμις γενέσθαι ταῦτα οὐδὲ γέγονε πώποτε.

3. ΠΡΩΤ. Ἀναμνήσω σε, ὦ Πλούτων· Ὀρφεῖ γὰρ δι' αὐτὴν ταύτην τὴν αἰτίαν τὴν Εὐρυδίκην παρέδοτε καὶ τὴν ὁμογενῆ μου Ἄλκηστιν παρεπέμψατε Ἡρακλεῖ χαριζόμενοι.

ΠΛΟΥΤ. Θελήσεις δὲ οὕτως κρανίον γυμνὸν ὢν καὶ

ΜΕΝ. Lupinos, si lubet, et Hecatæ cœnam.

CHAR. Undę istum nobis, Mercuri, canem adduxisti? et qualia fabulabatur inter navigandum, vectores omnes deridens et jocis incessens, solus cantans illis gementibus.

MERC. Nescis, Charon, qualem virum transvexeris? liberum exacte, quique neminem curet. Hicce est Menippus.

CHAR. At si te unquam prehendero. —

MEN. Si prehenderis, vir optime: bis quidem me non prehendas.

23.

PROTESILAI, PLUTONIS ET PROSERPINÆ.

1. PROT. O domine, et rex, nosterque Jupiter, et tu Cereris nata, ne spreveritis petitionem amatoriam.

PLUT. Quid tibi vis a nobis fieri? aut quis tandem homo es?

PROT. Sum Protesilaus Iphicli filius, Phylacius, commilito Achivorum, quique primus eorum, qui ad Ilium venerunt, interii. Oro autem ut accepto in breve tempus commeatu, in vitam redire mihi liceat.

PLUT. Istum amorem, Protesilae, omnes mortui amant: quo tamen eorum nemo potiatur.

PROT. Equidem non vivendi, Pluto, amore teneor, sed uxoris, quam novam nuptam adhuc in thalamo dereliqui, conscensaque navi ne proripui: deinde miser, dum in littus exponimur, Hectoris manu cecidi. Exinde amor uxoris non mediocriter me contabefacit, domine: velimque vel paululo tempore conspectus ab ea descendere denuo.

2. PLUT. Non tu bibisti, Protesilae, Lethes aquam?

PROT. Maxime, domine: sed amor meus vim Lethæi liquoris vehementiæ magnitudine vincebat.

PLUT. Quin ergo mane atque exspecta: aderit illa aliquando; neque tu, ut ad superos evadas, necesse habebis.

PROT. At non fero moram, Pluto: amore nimirum et tu ipse jam captus fuisti, et novisti quale sit amare.

PLUT. Et quid te juvabit unum diem reviviscere, quum post paullo sis eadem lamentaturus?

PROT. Puto me persuasurum ipsi, ut comes me sequatur ad inferos: atque adeo pro uno duos mortuos recipies brevi.

PLUT. Ista fieri fas non est; neque facta fuerunt unquam.

3. PROT. At faciam, ut reminiscare, Pluto: nam Orpheo eandem istam ob causam Eurydicen tradidistis, et consanguineæ meæ Alcesti commeatum dedistis Herculi gratificati.

PLUT. Tune voles cranium ita nudum et forma destitu-

ἄμορφον τῇ καλῇ σου ἐκείνῃ νύμφῃ φανῆναι; πῶς δὲ κἀκείνη προσήσεταί σε οὐδὲ δυναμένη διαγνῶναι; φοβήσεται γὰρ εὖ οἶδα καὶ φεύξεταί σε καὶ μάτην ἔσῃ τοσαύτην ὁδὸν ἀνεληλυθώς.

ΠΕΡΣ. Οὐκοῦν, ὦ ἄνερ, σὺ καὶ τοῦτο ἴασαι καὶ τὸν Ἑρμῆν κέλευσον, ἐπειδὰν ἐν τῷ φωτὶ ᾖδη ὁ Πρωτεσίλεως ᾖ, καθικόμενον ἐν τῇ ῥάβδῳ νεανίαν αὖθις καλὸν ἀπεργάσασθαι αὐτὸν, οἷος ἦν ἐκ τοῦ παστοῦ.

ΠΛΟΥΤ. Ἐπεὶ Φερσεφόνῃ συνδοκεῖ, ἀναγαγὼν τοῦτον αὖθις ποίησον νυμφίον· σὺ δὲ μέμνησο μίαν λαβὼν ἡμέραν.

24.

ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΜΑΥΣΩΛΟΥ.

1. ΔΙΟΓ. Ὦ Κάρ, ἐπὶ τίνι μέγα φρονεῖς καὶ πάντων ἡμῶν πρωτιμᾶσθαι ἀξιοῖς;

ΜΑΥΣ. Καὶ ἐπὶ τῇ βασιλείᾳ μὲν, ὦ Σινωπεῦ, ὃς ἐβασίλευσα Καρίας μὲν ἁπάσης, ἄρξα δὲ καὶ Λυδῶν ἐνίων καὶ νήσους δέ τινας ὑπηγαγόμην καὶ ἄχρι Μιλήτου ἐπέβην τὰ πολλὰ τῆς Ἰωνίας καταστρεφόμενος· καὶ καλὸς ἦν καὶ μέγας καὶ ἐν πολέμοις καρτερός· τὸ δὲ μέγιστον, ὅτι ἐν Ἁλικαρνασῷ μνῆμα παμμέγεθες ἔχω ἐπικείμενον, ἡλίκον οὐκ ἄλλος νεκρὸς, ἀλλ' οὐδὲ οὕτως ἐς κάλλος ἐξησκημένον, ἵπποι καὶ ἀνδρῶν ἐς τὸ ἀκριβέστατον εἰκασμένων λίθου τοῦ καλλίστου, οἷον οὐδὲ νεὼν εὕροι τις ἂν ῥᾳδίως. Οὐ δοκῶ σοι δικαίως ἐπὶ τούτοις μέγα φρονεῖν;

2. ΔΙΟΓ. Ἐπὶ τῇ βασιλείᾳ φῂς καὶ τῷ κάλλει καὶ τῷ βάρει τοῦ τάφου;

ΜΑΥΣ. Νὴ Δί' ἐπὶ τούτοις.

ΔΙΟΓ. Ἀλλ', ὦ καλὲ Μαύσωλε, οὔτε ἡ ἰσχὺς ἐκείνη ἔτι σοι οὔτε ἡ μορφὴ πάρεστιν· εἰ γοῦν τινα ἐλοίμεθα δικαστὴν εὐμορφίας πέρι, οὐκ ἔχω εἰπεῖν, τίνος ἕνεκα τὸ σὸν κρανίον προτιμηθείη ἂν τοῦ ἐμοῦ· φαλακρὰ γὰρ ἄμφω καὶ γυμνὰ, καὶ τοὺς ὀδόντας ὁμοίως προφαίνομεν καὶ τοὺς ὀφθαλμοὺς ἀφῃρήμεθα καὶ τὰς ῥῖνας ἀποσεσιμώμεθα. Ὁ δὲ τάφος καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι Ἁλικαρνασεῦσι μὲν ἴσως εἶεν ἐπιδείκνυσθαι καὶ φιλοτιμεῖσθαι πρὸς τοὺς ξένους, ὡς δή τι μέγα οἰκοδόμημα αὐτοῖς ἐστι, σὺ δὲ, ὦ βέλτιστε, οὐχ ὁρῶ ὅ τι ἀπολαύεις αὐτοῦ, πλὴν εἰ μὴ τοῦτο φῂς, ὅτι μᾶλλον ἡμῶν ἀχθοφορεῖς ὑπὸ τηλικούτοις λίθοις πιεζόμενος.

3. ΜΑΥΣ. Ἀνόνητα οὖν μοι ἐκεῖνα πάντα καὶ ἰσότιμος ἔσται Μαύσωλος καὶ Διογένης;

ΔΙΟΓ. Οὐκ ἰσότιμος, ὦ γενναιότατε, οὐ γάρ· Μαύσωλος μὲν γὰρ οἰμώξεται μεμνημένος τῶν ὑπὲρ γῆς, ἐν οἷς εὐδαιμονεῖν ᾤετο, Διογένης δὲ καταγελάσεται αὐτοῦ. Καὶ τάφον ὁ μὲν ἐν Ἁλικαρνασῷ ἐρεῖ ἑαυτοῦ ὑπὸ Ἀρτεμισίας τῆς γυναικὸς καὶ ἀδελφῆς κατεσκευασμένον, ὁ Διογένης δὲ τοῦ μὲν σώματος εἰ καί τινα τάφον ἔχει οὐκ οἶδεν· οὐδὲ γὰρ ἔμελεν αὐτῷ τούτου· λόγον

tum in conspectum formosæ tuæ sponsæ venire? quomodo autem illa admittet te, quem dignoscere nequeat? imo perterrefiet, sat scio, teque fugiet; et frustra tam longam ad superos viam relegeris.

PROS. Quin tu, marite, huic etiam incommodo medere, Mercurioque manda, ut, postquam luci redditus erit Protesilaus, eum potenti virga contactum juvenem rursus efficiat pulchrum, qualis erat ex thalamo nuptiali.

PLUT. Quoniam hoc Proserpinæ quoque placet, duc illum ad superos iterum, Mercuri, et redde sponsum. Tu, Protesilae, memineris, unius diei accepisse te commeatum.

24.

DIOGENIS ET MAUSOLI.

1. DIOG. Tu Car, ob quam rem magnum spiras, omnibusque nobis præferri postulas?

MAUS. Primum ob regnum, Sinopensis, ut qui rex fuerim Cariæ universæ, imperaverim etiam Lydorum nonnullis, insulas quasdam subegerim, et Miletum usque progressus pleraque Ioniæ debellarim. Deinde quia pulcher eram et magnus, belloque strenuus. Tum, quod maximum est, quia Halicarnassi monumentum ingens habeo mihi impositum, quantum mortuus alius nemo; sed neque ita in speciem elegantissimam expolitum, equis virisque exactissime assimilatis ex lapide pulcherrimo, quale ne templum quidem facile quis invenerit. Non tibi videor jure ob ista superbius efferri?

2. DIOG. Ob regnum, inquis, et formam, et pondus sepulcri?

MAUS. Omnino ob ista.

DIOG. Sed, formose Mausole, neque robur illud amplius, nec forma tibi adest. Quare si capiamus judicem de pulchritudine, dicere nequeas, cur tuum cranium anteponendum sit meo: utrumque calvum et nudum: dentes perinde nobis prominent; oculis sumus spoliati, naresque simas gerimus. De sepulcro autem pretiosisque istis lapidibus, Halicarnassensibus forte conducant ad ostentandum et ambitiosius ad peregrinos jactandum, ingens aliquod ædificium esse scilicet penes se: tu autem, vir optime, non video quo tibi monumentum prosit; nisi hoc dixeris, te majus quam nos gestare pondus tantis lapidibus oppressum.

3. MAUS. Infructuosa igitur ista mihi fuerint omnia, et pari honore æquabitur Mausolus ac Diogenes?

DIOG. Non pari, vir præstantissime: haudquaquam. Mausolus etenim lamentabitur, recordatus eorum quæ in terra præsto fuerunt, in quibus felicitatem esse sitam ducebat: Diogenes contra deridebit ipsum. Et ille monumentum quidem suum Halicarnassi memorabit ab Artemisia uxore simul et sorore constructum: Diogenes autem corpusculi sepulcrum aliquod an habeat, est nescius, siquidem

δὲ τοῖς ἀρίστοις περὶ αὐτοῦ καταλέλοιπεν ἀνδρὸς βίον βεβιωκὼς ὑψηλότερον, ὦ Καρῶν ἀνδραποδωδέστατε, τοῦ σοῦ μνήματος καὶ ἐν βεβαιοτέρῳ χωρίῳ κατασκευασμένον.

25.

ΝΙΡΕΩΣ ΚΑΙ ΘΕΡΣΙΤΟΥ ΚΑΙ ΜΕΝΙΠΠΟΥ.

1. ΝΙΡ. Ἰδοὺ δή, Μένιππος οὑτοσὶ δικάσει πότερος εὐμορφότερός ἐστιν. Εἰπέ, ὦ Μένιππε, οὐ καλλίων σοι δοκῶ;

ΜΕΝ. Τίνες δὲ καὶ ἔστε; πρότερον, οἶμαι, χρὴ γὰρ τοῦτο εἰδέναι.

ΝΙΡ. Νιρεὺς καὶ Θερσίτης.

ΜΕΝ. Πότερος οὖν ὁ Νιρεὺς καὶ πότερος ὁ Θερσίτης; οὐδέπω γὰρ τοῦτο δῆλον.

ΘΕΡΣ. Ἓν μὲν ἤδη τοῦτ' ἔχω, ὅτι ὅμοιός εἰμί σοι καὶ οὐδὲν τηλικοῦτον διαφέρεις ἡλίκον σε Ὅμηρος ἐκεῖνος ὁ τυφλὸς ἐπῄνεσεν ἁπάντων εὐμορφότερον προσειπών, ἀλλ' ὁ φοξὸς ἐγὼ καὶ ψεδνὸς οὐδὲν χείρων ἐφάνην τῷ δικαστῇ· ὅρα δὲ σὺ, ὦ Μένιππε, ὅντινα καὶ εὐμορφότερον ἡγῇ.

ΝΙΡ. Ἐμέ γε τὸν Ἀγλαΐας καὶ Χαρόπου,

ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθον.

2. ΜΕΝ. Ἀλλ' οὐχὶ καὶ ὑπὸ γῆν, ὡς οἶμαι, κάλλιστος ἦλθες, ἀλλὰ τὰ μὲν ὀστᾶ ὅμοια, τὸ δὲ κρανίον ταύτῃ μόνον ἄρα διακρίνοιτ' ἂν ἀπὸ τοῦ Θερσίτου κρανίου, ὅτι εὔθρυπτον τὸ σόν· ἀλαπαδνὸν γὰρ αὐτὸ καὶ οὐκ ἀνδρῶδες ἔχεις.

ΝΙΡ. Καὶ μὴν ἐροῦ Ὅμηρον, ὁποῖος ἦν, ὁπότε συνεστράτευον τοῖς Ἀχαιοῖς.

ΜΕΝ. Ὀνείρατά μοι λέγεις· ἐγὼ δὲ βλέπω ἃ καὶ νῦν ἔχεις, ἐκεῖνα δὲ οἱ τότε ἴσασιν.

ΝΙΡ. Οὔκουν ἐγὼ ἐνταῦθα εὐμορφότερός εἰμι, ὦ Μένιππε;

ΜΕΝ. Οὔτε σὺ οὔτε ἄλλος εὔμορφος· ἰσοτιμία γὰρ ἐν ᾅδου καὶ ὅμοιοι ἅπαντες.

ΘΕΡΣ. Ἐμοὶ μὲν οὖν καὶ τοῦτο ἱκανόν.

26

ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΧΕΙΡΩΝΟΣ.

1. ΜΕΝ. Ἤκουσα, ὦ Χείρων, ὡς θεὸς ὢν ἐπιθυμήσειας ἀποθανεῖν.

ΧΕΙΡ. Ἀληθῆ ταῦτα ἤκουσας, ὦ Μένιππε, καὶ τέθνηκα, ὡς ὁρᾷς, ἀθάνατος εἶναι δυνάμενος.

ΜΕΝ. Τίς δαί σε ἔρως τοῦ θανάτου ἔσχεν, ἀνεράστου τοῖς πολλοῖς χρήματος;

ΧΕΙΡ. Ἐρῶ πρὸς σὲ οὐκ ἀσύνετον ὄντα. Οὐκ ἦν ἔτι ἡδὺ ἀπολαύειν τῆς ἀθανασίας.

nihil eam rem curavit: verum perpetuam sapientissimis viris sui commemorationem reliquit, quippe qui viri vitam vixerit sublimiorem tuo, Carum abjectissimum mancipium, monumento, inque tutiore loco conditam.

25.

NIREI, THERSITÆ ET MENIPPI.

1. NIR. Ecce enim, Menippus hicce judicabit, uter sit formosior. Dic, Menippe, non pulchrior tibi videor?

MEN. Quinam estis? nam prius, opinor, illud scire commodum est.

NIR. Nireus et Thersites.

MEN. Uter ergo Nireus, uter Thersites? nondum enim hoc manifestum.

THER. Jam unum hoc in rem meam teneo, quod similis sim tibi, et nihil tanto opere præcellas, quantum te Homerus iste cæcus laudavit, omnium formosissimum appellans: sed ille ego, cui caput in acutum desinens, et rari crines, nihilo inferior visus sum judici. Expende vero, Menippe, quemnam formosiorem ducas.

NIR. Me certe filium Aglaiæ et Charopi, «qui pulcherrimus homo sub Ilium veni.»

2. MEN. Non quidem sub terram, ut puto, pulcherrimus venisti; sed ossa similia; cranium autem ea re sola nimirum discernatur a Thersitæ cranio, quod fractu facile sit tuum: molle enim illud et minime virile geris.

NIR. Veruntamen sciscitare Homerum, qualis fuerim, quum inter Achivos militabam.

MEN. Somnia mihi narras: ego quippe conspicor quæ et nunc habes; ista, qui tunc vixere, norunt.

NIR. Non ego hicce sum formosior aliis, Menippe?

MEN. Nec tu, neque alius est formosus: nam æquo jure in Orco versamur, et similes omnes.

THER. Mihi quidem et hoc suffecerit.

26.

MENIPPI ET CHIRONIS.

1. MEN. Audivi, Chiron, te, quamvis deus fores, cupivisse mori.

CHIR. Audivisti vera, Menippe: et mortem, ut vides, obii, quum immortalis esse potuissem.

MEN. Quid est cur te cupido mortis tenuerit, rei plerisque non amabilis?

CHIR. Dicam ad te hominem haud insipientem: non erat amplius jucundum frui immortalitate.

ΜΕΝ. Οὐχ ἡδὺ ἦν ζῶντα ὁρᾶν τὸ φῶς;

ΧΕΙΡ. Οὐκ, ὦ Μένιππε· τὸ γὰρ ἡδὺ ἔγωγε ποικίλον τι καὶ οὐχ ἁπλοῦν ἡγοῦμαι εἶναι. Ἐγὼ δ' ἔζων ἀεὶ καὶ ἀπέλαυον τῶν ὁμοίων, ἡλίου, φωτὸς, τροφῆς, αἱ ὧραι δὲ αἱ αὐταὶ καὶ τὰ γιγνόμενα ἅπαντα ἑξῆς ἕκαστον, ὥσπερ ἀκολουθοῦν θάτερον θατέρῳ. Ἐνεπλήσθην γοῦν αὐτῶν· οὐ γὰρ ἐν τῷ ἀεὶ, ἀλλὰ καὶ ἐν τῷ μὴ μετασχεῖν ὅλως τὸ τερπνὸν ἦν.

ΜΕΝ. Εὖ λέγεις, ὦ Χείρων. Τὰ ἐν ᾅδου δὲ πῶς φέρεις, ἀφ' οὗ προελόμενος αὐτὰ ἧκεις;

2. ΧΕΙΡ. Οὐκ ἀηδῶς, ὦ Μένιππε· ἡ γὰρ ἰσοτιμία πάνυ δημοτικὴ καὶ τὸ πρᾶγμα οὐδὲν ἔχει τὸ διάφορον ἐν φωτὶ εἶναι ἢ καὶ ἐν σκότῳ· ἄλλως τε οὔτε διψῆν ὥσπερ ἄνω οὔτε πεινῆν δεῖ, ἀλλ' ἀνεπιδεεῖς τούτων ἁπάντων ἐσμέν.

ΜΕΝ. Ὅρα, ὦ Χείρων, μὴ περιπίπτῃς σεαυτῷ καὶ ἐς τὸ αὐτό σοι ὁ λόγος περιπέσῃ.

ΧΕΙΡ. Πῶς τοῦτο φῄς;

ΜΕΝ. Ὅτι εἰ τῶν ἐν τῷ βίῳ τὸ ὅμοιον ἀεὶ καὶ ταὐτὸν ἐγένετό σοι προσκορὲς, καὶ τἀνταῦθα ὅμοια ὄντα προσκορῆ ὁμοίως ἂν γένοιτο, καὶ δεήσει μεταβολήν σε ζητεῖν τινα καὶ ἐντεῦθεν ἐς ἄλλον βίον, ὅπερ οἶμαι ἀδύνατον.

ΧΕΙΡ. Τί οὖν ἂν πάθοι τις, ὦ Μένιππε;

ΜΕΝ. Ὅπερ, οἶμαι, φασὶ, συνετὸν ὄντα ἀρέσκεσθαι καὶ ἀγαπᾶν τοῖς παροῦσι καὶ μηδὲν αὐτῶν ἀφόρητον οἴεσθαι.

MEN. Non jucundum erat vivum videre lucem?

CHIR. Non, Menippe: etenim jucundi naturam ego quidem varium esse quiddam et non simplex duco. Verum ego vivebam semper et fruebar rebus iisdem, sole, luce, alimentis; tum et tempestates anni eædem, et quæ fiebant cuncta per seriem singula velut alterum alteri adhærens sequebantur. Ita exsatiatus sum iis: non enim in eo, quod semper potimur, sed in eo etiam, quod aliquando non potiamur, posita est voluptas.

MEN. Vere, Chiron. At quo animo hanc rerum conditionem quæ est in Orco, fers, ex quo iis prælatis huc advenisti?

2. CHIR. Non illibenter, Menippe: est enim status plane popularis et honorum parilitas; resque ipsa nihil tanto opere differt, in luce verseris, an in tenebris: porro nec sitire, quemadmodum supra, nec esurire necesse est; sed istorum omnium haud indigemus.

MEN. Vide tamen, Chiron, ne tecummet ipse pugnes, et in orbem tibi sermo redeat.

CHAR. Quid ita?

MEN. Nimirum si eorum, quæ in vita sunt, par semper et idem status satietatem tibi peperit, hic etiam, quum sit similis rerum conditio, perinde tibi pariat, oportebitque migrationem quærere aliquam etiam hinc in aliam vitam, quod opinor fieri nequit.

CHIR. Quid ergo faciat aliquis, Menippe?

MEN. Scilicet quod, puto, vulgo dicunt, ut is, qui sit prudens, acceptis fruatur contentusque sit præsentibus, nihilque eorum tale existimet, quod tolerari nequeat.

27.

ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΑΝΤΙΣΘΕΝΟΥΣ ΚΑΙ ΚΡΑΤΗΤΟΣ.

1. ΔΙΟΓ. Ἀντίσθενες καὶ Κράτης, σχολὴν ἄγομεν· ὥστε τί οὐκ ἄπιμεν εὐθὺ τῆς καθόδου περιπατήσαντες, ὀψόμενοι τοὺς κατιόντας, οἷοί τέ εἰσι καὶ τί ἕκαστος αὐτῶν ποιεῖ;

ΑΝΤ. Ἀπίωμεν, ὦ Διόγενες· καὶ γὰρ ἂν ἡδὺ τὸ θέαμα γένοιτο, τοὺς μὲν δακρύοντας αὐτῶν ὁρᾶν, τοὺς δὲ καὶ ἱκετεύοντας ἀφεθῆναι, ἐνίους δὲ μόλις κατιόντας καὶ ἐπὶ τράχηλον ὠθοῦντος τοῦ Ἑρμοῦ ὅμως ἀντιβαίνοντας καὶ ὑπτίους ἀντερείδοντας οὐδὲν δέον.

ΚΡΑΤ. Ἐγωγ' οὖν καὶ διηγήσομαι ὑμῖν ἃ εἶδον ὁπότε κατήειν κατὰ τὴν ὁδόν.

ΔΙΟΓ. Διήγησαι, ὦ Κράτης· ἔοικας γάρ τινα ἑωρακέναι παγγέλοια.

2. ΚΡΑΤ. Καὶ ἄλλοι μὲν πολλοὶ συγκατέβαινον ἡμῖν, ἐν αὐτοῖς δὲ ἐπίσημοι Ἰσμηνόδωρός τε ὁ πλούσιος ὁ ἡμέτερος καὶ Ἀρσάκης ὁ Μηδίας ὕπαρχος καὶ Ὀροίτης ὁ Ἀρμένιος. Ὁ μὲν οὖν Ἰσμηνόδωρος — ἐπεφόνευτο γὰρ ὑπὸ τῶν λῃστῶν περὶ τὸν Κιθαιρῶνα ἐς Ἐλευσῖνα οἶμαι βαδίζων — ἔστενέ τε καὶ τὸ τραῦμα ἐν ταῖν χεροῖν εἶχε καὶ τὰ παιδία, ἃ νεογνὰ κατελε-

27.

DIOGENIS, ANTISTHENIS ET CRATETIS.

1. DIOG. Antisthenes et Crates, otium agimus: quare quid vetat, quominus abeamus recta ad descensum Averni ambulantes, visuri eos qui deorsum veniunt, quales tandem sint, et quid eorum unusquisque faciat?

ANT. Eamus eo, Diogenes: etenim spectaculum fuerit jucundum, hos eorum lacrimantes videre, illos supplicantes, ut dimittantur, quosdam ægre descendentes, et quamvis cervicem tundat Mercurius, tamen restitantes, et supino corpore renitentes sine ulla proficiendi spe.

CRAT. Ego enimvero narrabo vobis quæ vidi, quum descenderem, per viam.

DIOG. Narra, quæso, Crates: nam videre quædam perridicula conspexisse.

2. CRAT. Et alii quidem multi una nobiscum descendebant, et in iis insignes Ismenodorus ille dives noster, et Arsaces Mediæ præfectus, et Orœtes Armenius. Ismenodorus ergo (nam trucidatus erat a latronibus juxta Cithæronem, Eleusinem, ut puto, iter faciens) gemebat, vulnusque in manibus habebat; tum infantes parvulos, quos reliqué-

λοίπει, ἀνεκαλεῖτο καὶ ἑαυτῷ ἐπεμέμφετο τῆς τόλμης, ὃς Κιθαιρῶνα ὑπερβάλλων καὶ τὰ περὶ τὰς Ἐλευθερὰς χωρία πανέρημα ὄντα ὑπὸ τῶν πολέμων διοδεύων δύο μόνους οἰκέτας ἐπηγάγετο, καὶ ταῦτα φιάλας πέντε χρυσᾶς καὶ κυμβία τέτταρα μεθ' ἑαυτοῦ ἔχων.

3. Ὁ δὲ Ἀρσάκης — γηραιὸς γὰρ ἤδη καὶ νὴ Δί' οὐκ ἄσεμνος τὴν ὄψιν — ἐς τὸ βαρβαρικὸν ἤχθετο καὶ ἠγανάκτει πεζὸς βαδίζων καὶ ἠξίου τὸν ἵππον αὐτῷ προσαχθῆναι· καὶ γὰρ ὁ ἵππος αὐτῷ συνετεθνήκει, μιᾷ πληγῇ ἀμφότεροι διαπαρέντες ὑπὸ Θρᾳκός τινος πελτασταῦ ἐν τῇ ἐπὶ τῷ Ἀράξῃ πρὸς τὸν Καππαδόκην συμπλοκῇ. Ὁ μὲν γὰρ Ἀρσάκης ἐπήλαυνεν, ὡς διηγεῖτο, πολὺ τῶν ἄλλων προϋπεξορμήσας, ὑποστὰς δὲ ὁ Θρᾷξ τῇ πέλτῃ μὲν ὑποδὺς ἀποσείεται τοῦ Ἀρσάκου τὸν κοντὸν, ὑποθεὶς δὲ τὴν σάρισαν αὐτόν τε διαπείρει καὶ τὸν ἵππον.

4. ANT. Πῶς οἷόν τε, ὦ Κράτης, μιᾷ πληγῇ τοῦτο γενέσθαι;

ΚΡΑΤ. Ῥᾷστ', ὦ Ἀντίσθενες· ὁ μὲν γὰρ ἐπήλαυνεν εἰκοσάπηχύν τινα προβεβλημένος κοντὸν, ὁ Θρᾷξ δὲ ἐπειδὴ τῇ πέλτῃ ἀπεκρούσατο τὴν προσβολὴν καὶ παρῆλθεν αὐτὸν ἡ ἀκωκὴ, ἐς τὸ γόνυ ὀκλάσας δέχεται τῇ σαρίσῃ τὴν ἐπέλασιν καὶ τιτρώσκει τὸν ἵππον ὑπὸ τὸ στέρνον ὑπὸ θυμοῦ καὶ σφοδρότητος διαπείραντα ἑαυτόν· διελαύνεται δὲ καὶ ὁ Ἀρσάκης ἐκ τοῦ βουβῶνος διαμπὰξ ἄχρι ὑπὸ τὴν πυγήν. Ὁρᾷς οἷόν τι ἐγένετο, οὐ τοῦ ἀνδρὸς, ἀλλὰ τοῦ ἵππου μᾶλλον τὸ ἔργον. Ἠγανάκτει δ' ὅμως ὁμότιμος ὢν τῶν ἄλλων καὶ ἠξίου ἱππεὺς κατιέναι.

5. Ὁ δέ γε Ὀροίτης καὶ πάνυ ἁπαλὸς ἦν τὼ πόδε καὶ οὐδ' ἑστάναι χαμαὶ, οὐχ ὅπως βαδίζειν ἐδύνατο· πάσχουσι δ' αὐτὸ ἀτεχνῶς Μῆδοι πάντες, ἐπὰν ἀποβῶσι τῶν ἵππων, ὥσπερ ἐπὶ τῶν ἀκανθῶν βαίνοντες ἀκροποδητὶ μόλις βαδίζουσιν. Ὥστε ἐπεὶ καταβαλὼν ἑαυτὸν ἔκειτο καὶ οὐδεμιᾷ μηχανῇ ἀνίστασθαι ἤθελεν, ὁ βέλτιστος Ἑρμῆς ἁράμενος αὐτὸν ἐκόμισεν ἄχρι πρὸς τὸ πορθμεῖον, ἐγὼ δὲ ἐγέλων.

6. ANT. Κἀγὼ δὲ ὁπότε κατήειν, οὐδ' ἀνέμιξα ἐμαυτὸν τοῖς ἄλλοις, ἀλλ' ἀφεὶς οἰμώζοντας αὐτοὺς προσδραμὼν ἐπὶ τὸ πορθμεῖον προκατέλαβον χώραν, ὡς ἂν ἐπιτηδείως πλεύσαιμι· καὶ παρὰ τὸν πλοῦν οἱ μὲν ἐδάκρυόν τε καὶ ἐναυτίων, ἐγὼ δὲ μάλα ἐτερπόμην ἐπ' αὐτοῖς.

7. ΔΙΟΓ. Σὺ μὲν, ὦ Κράτης καὶ Ἀντίσθενες, τοιούτων ἐτύγχετε τῶν ξυνοδοιπόρων, ἐμοὶ δὲ Βλεψίας τε ὁ δανειστικὸς ὁ ἐκ Πίσης καὶ Λάμπις ὁ Ἀκαρνὰν ξεναγὸς ὢν καὶ Δᾶμις ὁ πλούσιος ὁ ἐκ Κορίνθου συγκατῆεσαν, ὁ μὲν Δᾶμις ὑπὸ τοῦ παιδὸς ἐκ φαρμάκων ἀποθανὼν, ὁ δὲ Λάμπις δι' ἔρωτα Μυρτίου τῆς ἑταίρας ἀποσφάξας ἑαυτὸν, ὁ δὲ Βλεψίας λιμῷ ὁ ἄθλιος ἐλέγετο ἀπεσκληκέναι καὶ ἐδήλου δέ γε ὠχρὸς ἐς ὑπερβολὴν καὶ λεπτὸς ἐς τὸ ἀκριβέστατον φαινόμενος. Ἐγὼ δὲ καίπερ εἰδὼς ἀνέκρινον ὁντινα τρόπον ἀποθάνοιεν. Εἶτα τῷ μὲν Δάμιδι αἰτιωμένῳ τὸν υἱὸν, Οὐκ ἄδικα μέντοι ἔπαθες, ἔφην, ὑπ' rat, voce ciebat, suamque ipsius incusabat audaciam, qui, ubi Cithæron erat superandus Eleutherisque loca proxima bellis prorsus evastata transeunda, binos tantum servos secum duxerit; idque quum phialas quinque aureas et cymbas quattuor secum haberet.

3. Arsaces autem, jam ætate provecta, et sane non illiberali facie, barbaricum in morem indignabatur, ægreque ferabat se pedibus ire, ac postulabat equum sibi adduci: simul enim cum eo equus obierat, dum uno ictu uterque caderent perfossi a Thrace quodam peltasta in congressu cum Cappadoce ad fluxium Araxen. Etenim Arsaces in hostem ferebatur, ut narrabat, longe ante alios provectus: Thrax autem impetum excipiens pelta, submisso corpore, amolitur Arsacæ contum: tum ipse e vestigio objecta sarissa eum simul et equum transfigit.

4. ANT. Qui potest, Crates, uno ictu hoc confici?

CRAT. Facillime, Antisthenes; hic enim irruebat, viginti cubitorum conto projecto; Thrax vero, postquam pelta demovit ictum, sic ut cuspis eum præteriret, tum genu nixus excipit sarissa prælata impetum, et vulnerat equum sub pectus, qui præ ardore cursusque vehementia semet ipse in telum induebat: eadem Arsaces opera transfoditur per inguen penitus usque sub ipsas nates. Vides quid quoque modo acciderit, non viri, sed equi potius facinus. Attamen moleste ferebat pari se cum aliis esse loco, volebatque eques descendere.

5. Orœtes autem, pedibus debilis admodum, ne stare quidem humi, nedum ingredi poterat: accidit autem hoc ipsum plane Medis omnibus, quum descenderint ab equis; ut qui per spinas incedunt suspensis pedibus, vix progrediuntur. Quare quum prostratus jaceret nullaque machina surgere vellet, optimus Mercurius in humeros sublatum portavit usque ad Charontis cymbam: ego vero ridebam.

6. ANT. At ego, quum descenderem, ne immiscui quidem me ceteris, sed relictis plorantibus illis, ubi accucurreram ad cymbam, ante alios occupavi locum, quo commode navigarem: in trajectu vero hi quidem lacrimabantur et nauseabant, ego contra valde oblectabar iis.

7. DIOG. Tu Crates, tuque Antisthenes istiusmodi nacti fuistis itineris socios: mecum Blepsias danista Pisæus, Lampis Acarnan mercenarii militis præfectus, et Damis ille dives Corintho una descenderunt: Damis scilicet per filium veneno sublatus; Lampis ob amorem Myrtii meretricis vi sibi illata: Blepsias autem fame miser dicebatur extabuisse; idque satis indicabat, ut qui pallidus mirum in modum, atque attenuatus exactissime conspiceretur: ego vero, quamvis scirem, exquirebam quo pacto obiissent. Tum Damidi accusanti filium, Atqui non injusta passus es, inquam, ab

αὐτοῦ, εἰ τάλαντα ἔχων ὁμοῦ χίλια καὶ τρυφῶν αὐτὸς ἐνενηκοντούτης ὢν ὀκτωκαιδεκαέτει νεανίσκῳ τέτταρας ὀβολοὺς παρεῖχες. Σὺ δέ, ὦ Ἀκαρνὰν — ἔστενε γὰρ κἀκεῖνος καὶ κατηρᾶτο τῇ Μυρτίῳ — τί αἰτιᾷ τὸν Ἔρωτα, σεαυτὸν δέον, ὃς τοὺς μὲν πολεμίους οὐδεπώποτε ἔτρεσας, ἀλλὰ φιλοκινδύνως ἠγωνίζου πρὸ τῶν ἄλλων, ὑπὸ δὲ τοῦ τυχόντος παιδισκαρίου καὶ δακρύων ἐπιπλάστων καὶ στεναγμῶν ἑάλως ὁ γενναῖος. Ὁ μὲν γὰρ Βλεψίας αὐτὸς ἑαυτοῦ κατηγόρει φθάσας πολλὴν τὴν ἄνοιαν, ὡς τὰ χρήματα ἐφύλαττε τοῖς οὐδὲν προσήκουσι κληρονόμοις, ἐς ἀεὶ βιώσεσθαι ὁ μάταιος νομίζων. Πλὴν ἔμοιγε οὐ τὴν τυχοῦσαν τερπωλὴν παρέσχον τότε στένοντες.

8. Ἀλλ' ἤδη μὲν ἐπὶ τῷ στομίῳ ἐσμὲν, ἀποβλέπειν δὲ χρὴ καὶ ἀποσκοπεῖν πόρρωθεν τοὺς ἀφικνουμένους. Βαβαὶ, πολλοί γε καὶ ποικίλοι καὶ πάντες δακρύοντες πλὴν τῶν νεογνῶν τούτων καὶ νηπίων. Ἀλλὰ καὶ οἱ πάνυ γεγηρακότες ὀδύρονται. Τί τοῦτο; ἆρα τὸ φίλτρον αὐτοὺς ἔχει τοῦ βίου;

9. Τοῦτον τὸν ὑπέργηρων ἐρέσθαι βούλομαι. Τί δακρύεις τηλικοῦτος ἀποθανών; τί ἀγανακτεῖς, ὦ βέλτιστε, καὶ ταῦτα γέρων ἀφιγμένος; ἦ που βασιλεύς τις ἦσθα;

ΠΤΩΧΟΣ. Οὐδαμῶς.

ΔΙΟΓ. Ἀλλὰ σατράπης;

ΠΤΩ. Οὐδὲ τοῦτο.

ΔΙΟΓ. Ἆρα οὖν ἐπλούτεις, εἶτα ἀνιᾷ σε τὸ πολλὴν τρυφὴν ἀπολιπόντα τεθνάναι;

ΠΤΩ. Οὐδὲν τοιοῦτον, ἀλλ' ἔτη μὲν ἐγεγόνειν ἀμφὶ τὰ ἐνενήκοντα, βίον δὲ ἄπορον ἀπὸ καλάμου καὶ δρμιᾶς εἶχον ἐς ὑπερβολὴν πτωχὸς ὢν ἄτεκνός τε καὶ προσέτι χωλὸς καὶ ἀμυδρὸν βλέπων.

ΔΙΟΓ. Εἶτα τοιοῦτος ὢν ζῆν ἤθελες;

ΠΤΩ. Ναί· ἡδὺ γὰρ ἦν τὸ φῶς καὶ τὸ τεθνάναι δεινὸν καὶ φευκτέον.

ΔΙΟΓ. Παραπαίεις, ὦ γέρον, καὶ μειρακιεύῃ πρὸς τὸ χρεὼν, καὶ ταῦτα ἡλικιώτης ὢν τοῦ πορθμέως. Τί οὖν ἄν τις ἔτι λέγοι περὶ τῶν νέων, ὁπότε οἱ τηλικοῦτοι φιλόζωοί εἰσιν; οὓς ἐχρῆν διώκειν τὸν θάνατον ὡς τῶν ἐν τῷ γήρᾳ κακῶν φάρμακον. Ἀλλ' ἀπίωμεν ἤδη, μὴ καί τις ἡμᾶς ὑπίδηται ὡς ἀπόδρασιν βουλεύοντας, ὁρῶν περὶ τὸ στόμιον εἱλουμένους.

eo tu, qui talenta quum possideres admodum mille, inque luxu ipse viveres nonaginta natus annos, octodecim annorum juveni quatuor obolos præbebas. Tu vero, Acarnan (gemebat enim et iste, dirisque Myrtium prosequebatur), quid insimulas Amorem, non temet ipsum? qui hostes nunquam exhorruisti, sed periculi securus prælium inibas ante alios, at a vulgari meretricula, lacrimisque fictis et suspiriis captus es vir tam fortis. Nam quod ad Blepsiam attinet, se ipsum accusabat primus multæ dementiæ, quod opes custodierit nulla sibi necessitudine junctis hæredibus, in sempiternum se victurum ineptissimus ille putans. Mihi enimvero non vulgarem delectationem præbuerunt tunc gementes.

8. Sed jam ad Orci ostium sumus : contueri oportet et prospectare ex longinquo venientes. Papæ : multi sane diversique, et omnes lacrimarum pleni præter istos recens natos et infantes : quin et valde senes lamentantur. Quid hoc? num quis incantatis veneficiis inductus eos tenet vitæ amor?

9. Illum equidem ætatis provectissimæ hominem interrogare volo. Quid lacrimare id ætatis mortuus? quid indignaris, optime, idque senex quum huc adveneris? an forte rex eras?

MENDICUS. Haudquaquam.

DIOG. At certe satrapa?

MEND. Neque istud.

DIOG. Num ergo divitiis affluebas? idque adeo dolorem tibi creat, quod multo luxu relicto mortem obieris?

MEND. Nihil tale; sed annos quidem attigi propemodum nonaginta, vitam vero inopem calamo piscatorio ac linea sustentabam insigniter egenus, prole carens, præterea claudus, hebetique visu.

DIOG. Tum tu talis vivere sustinuisti?

MEND. Sanequam : jucunda quippe erat lux; mori contra grave ac fugiendum.

DIOG. Deliras, senex, et juveniliter atque inepte fato adversaris, quum tamen annis ipsum portitorem æques. Quid jam dicat aliquis de juvenibus, ubi id ætatis homines vitam amplexantur? quos oportebat consectari mortem, tanquam senilium malorum remedium. Verum abeamus, jam ne quis nos suspectos habeat fugæ cogitatæ, dum videt circa hoc ostium obversantes.

28.

ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΤΕΙΡΕΣΙΟΥ.

1. ΜΕΝ. Ὦ Τειρεσία, εἰ μὲν καὶ τυφλὸς εἶ οὐκέτι διαγνῶναι ῥᾴδιον· ἅπασι γὰρ ἡμῖν ὁμοίως τὰ ὄμματα κενὰ, μόνον δὲ αἱ χῶραι αὐτῶν· τὰ δ' ἄλλα οὐκέτ' ἂν εἰπεῖν ἔχοις, τίς ὁ Φινεὺς ἦν ἢ τίς ὁ Αυγκεύς. Ὅτι μέντοι μάντις ἦσθα καὶ ὅτι ἀμφότερα ἐγένου μόνος καὶ ἀνὴρ καὶ γυνὴ, τῶν ποιητῶν ἀκούσας οἶδα. Πρὸς

28.

MENIPPI ET TIRESIÆ.

1. MEN. Tiresia, cæcusne sis, non amplius dignoscere facile : cunctis enim nobis perinde oculi sunt vacui; solum restant oculorum cava loca : ceterum dicere nequeas, quis Phineus fuerit, quis Lynceus. Jam vatem fuisse et utrumque te solum, marem ac feminam, ex poetis audivisse memini.

τῶν θεῶν τοιγαροῦν εἰπέ μοι, ὁποτέρου ἐπειράθης ἡδίονος τῶν βίων, ὁπότε ἀνὴρ ἦσθα, ἢ ὁ γυναικεῖος ἀμείνων ἦν;

ΤΕΙΡ. Παρὰ πολὺ, ὦ Μένιππε, ὁ γυναικεῖος· ἀπραγμονέστερος γάρ. Καὶ δεσπόζουσι τῶν ἀνδρῶν αἱ γυναῖκες, καὶ οὔτε πολεμεῖν ἀνάγκη αὐταῖς οὔτε παρ' ἔπαλξιν ἑστάναι οὔτ' ἐν ἐκκλησίᾳ διαφέρεσθαι οὔτ' ἐν δικαστηρίοις ἐξετάζεσθαι.

2. ΜΕΝ. Οὐ γὰρ ἀκήκοας, ὦ Τειρεσία, τῆς Εὐριπίδου Μηδείας, οἷα εἶπεν οἰκτείρουσα τὸ γυναικεῖον, ὡς ἀθλίας οὔσας καὶ ἀφόρητόν τινα τὸν ἐκ τῶν ὠδίνων πόνον ὑφισταμένας; Ἀτὰρ εἰπέ μοι — ὑπέμνησε γάρ με τὰ τῆς Μηδείας ἰαμβεῖα — καὶ ἔτεκές ποτε, ὁπότε γυνὴ ἦσθα, ἢ στεῖρα καὶ ἄγονος διετέλεσας ἐν ἐκείνῳ τῷ βίῳ;

ΤΕΙΡ. Τί τοῦτο, Μένιππε, ἐρωτᾷς;

ΜΕΝ. Οὐδὲν χαλεπὸν, ὦ Τειρεσία· πλὴν ἀπόκριναι, εἴ σοι ῥᾴδιον.

ΤΕΙΡ. Οὐ στεῖρα μὲν ἦμην, οὐκ ἔτεκον δ' ὅλως.

ΜΕΝ. Ἱκανὸν τοῦτο· εἰ γὰρ καὶ μήτραν εἶχες, ἐβουλόμην εἰδέναι.

ΤΕΙΡ. Εἶχον δηλαδή.

ΜΕΝ. Χρόνῳ δέ σοι ἡ μήτρα ἠφανίσθη καὶ τὸ μόριον τὸ γυναικεῖον ἀπεφράγη καὶ οἱ μαστοὶ ἀπεσπάσθησαν καὶ τὸ ἀνδρεῖον ἀνέφυ καὶ πώγωνα ἐξήνεγκας, ἢ αὐτίκα ἐκ γυναικὸς ἀνὴρ ἀνεφάνης;

ΤΕΙΡ. Οὐχ ὁρῶ τί σοι βούλεται τὸ ἐρώτημα· δοκεῖς δ' οὖν μοι ἀπιστεῖν, εἰ τοῦθ' οὕτως ἐγένετο.

ΜΕΝ. Οὐ χρὴ γὰρ ἀπιστεῖν, ὦ Τειρεσία, τοῖς τοιούτοις, ἀλλὰ καθάπερ τινὰ βλᾶκα μὴ ἐξετάζοντα εἴτε δυνατά ἐστιν εἴτε καὶ μὴ παραδέχεσθαι;

3. ΤΕΙΡ. Σὺ οὖν οὐδὲ τἆλλα πιστεύεις οὕτω γενέσθαι, ὁπόταν ἀκούσῃς ὅτι ὄρνεα ἐκ γυναικῶν ἐγένοντό τινες ἢ δένδρα ἢ θηρία, τὴν Ἀηδόνα ἢ τὴν Δάφνην ἢ τὴν τοῦ Λυκάονος θυγατέρα;

ΜΕΝ. Ἥν που κἀκείναις ἐντύχω, εἴσομαι ὅ τι καὶ λέγουσι. Σὺ δὲ, ὦ βέλτιστε, ὁπότε γυνὴ ἦσθα, καὶ ἐμαντεύου τότε ὥσπερ καὶ ὕστερον, ἢ ἅμα ἀνὴρ καὶ μάντις ἔμαθες εἶναι;

ΤΕΙΡ. Ὁρᾷς; ἀγνοεῖς τὰ περὶ ἐμοῦ ἅπαντα, ὡς καὶ διέλυσά τινα ἔριν τῶν θεῶν, καὶ ἡ μὲν Ἥρα ἐπήρωσέ με, ὁ δὲ Ζεὺς παρεμυθήσατο τῇ μαντικῇ τὴν συμφοράν.

ΜΕΝ. Ἔτι ἔχῃ, ὦ Τειρεσία, τῶν ψευσμάτων; ἀλλὰ κατὰ τοὺς μάντεις τοῦτο ποιεῖς· ἔθος γὰρ ὑμῖν μηδὲν ὑγιὲς λέγειν.

Per Deos itaque te obtestor, expone mihi, utrum expertus fueris suavius vitæ genus, quum mas fores, an melius erat femineum?

TIR. Potior erat magno intervallo, Menippe, vita feminei sexus; quippe magis negotiorum expers: tum dominantur in viros mulieres, neque eas bello vacare necesse est, neque ad murorum pinnas stantes excubare, neque in concionibus altercari, neque in judiciis tentari.

2. MEN. Non tu audivisti, Tiresia, Euripidæ Medeam, qualia dixerit deplorans muliebre secus tanquam miseras, atque intolerandum quendam ex puerperiis dolorem sustinentes? Verum dic mihi (nam admonuerunt me isti Medeæ iambi), peperistine aliquando, quum mulier eras, an sterilis et partus expers degisti in illo vitæ statu?

TIR. Quid illud, Menippe, rogitas?

MEN. Nihil explicatu difficile, Tiresia: quin responde, si tibi promtum.

TIR. Haud sterilis eram, neque tamen plane peperi.

MEN. Satis: nimirum an etiam matricem habuisses, volebam scire.

TIR. Habebam scilicet.

MEN. Temporis autem tractu tibi matrix evanuit, pars muliebris obstructa est, mammæ detractæ sunt et virile membrum succrevit, barbamque protulisti; an subito ex femina masculus evasisti?

TIR. Non video quid tibi velit quæsitum illud: nisi quod videre mihi non credere hæc ita fuisse facta.

MEN. Non enim, Tiresia, decet diffidere talibus, sed velut insulsum, re non explorata fierine possint nec-ne, probare?

3. TIR. Tu ergo nec cetera credis ita fuisse facta, quando audis aves ex mulieribus exstitisse, aut arbores, aut feras; sicuti Aedona, Daphnen, aut Lycaonis filiam.

MEN. Illis si quando forte obviam venero, cognoscam quid dicant. Tu autem, vir optime, quum mulier eras, tunc etiam vaticinabare, quemadmodum postea, an simul vir et vates esse didicisti?

TIR. Ecce enim ignoras quæ ad me spectant omnia; me scilicet litem deorum quandam diremisse, tum ut Juno me visu privaverit, Jupiter autem mitigaverit arte vaticinandi donata calamitatem illam.

MEN. Adhuc tu, Tiresia, affixus hæres mendaciis? Verum hoc quidem solemni vatum more facis: soletis enim vates nihil sani et veri proloqui.

29.

ΑΙΑΝΤΟΣ ΚΑΙ ΑΓΑΜΕΜΝΟΝΟΣ.

1. ΑΓΑΜ. Εἰ σὺ μανεὶς, ὦ Αἶαν, σαυτὸν ἐφόνευσας, ἐμέλλησας δὲ καὶ ἡμᾶς ἅπαντας, τί αἰτιᾷ τὸν

29.

AJACIS ET AGAMEMNONIS.

1. AGAM. Si tu furore actus, Ajax, temet ipse interemisti, nosque omnes destinaras, quid incusas Ulixen? et nuper ne

Ὀδυσσέα καὶ πρώην οὔτε προσέβλεψας αὐτὸν, ὁπότε ἦκε μαντευσόμενος, οὔτε προσειπεῖν ἠξίωσας ἄνδρα συστρατιώτην καὶ ἑταῖρον, ἀλλ' ὑπεροπτικῶς μεγάλα βαίνων παρῆλθες;

ΑΙΑΣ. Εἰκότως, ὦ Ἀγάμεμνον· αὐτὸς γάρ μοι τῆς μανίας αἴτιος κατέστη μόνος ἀντεξετασθεὶς ἐπὶ τοῖς ὅπλοις.

ΑΓΑΜ. Ἠξίωσας δὲ ἀνανταγώνιστος εἶναι καὶ ἀκονιτὶ κρατεῖν ἁπάντων;

ΑΙΑΣ. Ναὶ, τά γε τοιαῦτα· οἰκεία γάρ μοι ἦν ἡ πανοπλία τοῦ ἀνεψιοῦ γε οὖσα. Καὶ ὑμεῖς οἱ ἄλλοι πολὺ ἀμείνους ὄντες ἀπείπασθε τὸν ἀγῶνα καὶ παρεχωρήσατέ μοι, ὁ δὲ Λαέρτου, ὃν ἐγὼ πολλάκις ἔσωσα κινδυνεύοντα κατακεκόφθαι ὑπὸ τῶν Φρυγῶν, ἀμείνων ἠξίου εἶναι καὶ ἐπιτηδειότερος ἔχειν τὰ ὅπλα.

2. ΑΓΑΜ. Αἰτιῶ τοιγαροῦν, ὦ γενναῖε, τὴν Θέτιν, ἣ δέον σοὶ τὴν κληρονομίαν παραδοῦναι τῶν ὅπλων συγγενεῖ γε ὄντι, φέρουσα ἐς τὸ κοινὸν κατέθετο αὐτά.

ΑΙΑΣ. Οὐκ, ἀλλὰ τὸν Ὀδυσσέα, ὃς ἀντεποιήθη μόνος.

ΑΓΑΜ. Συγγνώμη, ὦ Αἶαν, εἰ ἄνθρωπος ὢν ὠρέχθη δόξης ἡδίστου πράγματος, ὑπὲρ οὗ καὶ ἡμῶν ἕκαστος κινδύνους ὑπέμενεν, ἐπεὶ καὶ ἐκράτησέ σου καὶ ταῦτα ἐπὶ Τρωσὶ δικασταῖς.

ΑΙΑΣ. Οἶδα ἐγὼ, ἥτις μου κατεδίκασεν· ἀλλ' οὐ θέμις λέγειν τι περὶ τῶν θεῶν. Τὸν δ' οὖν Ὀδυσσέα μὴ οὐχὶ μισεῖν οὐκ ἂν δυναίμην, ὦ Ἀγάμεμνον, οὐδ' εἰ αὐτή μοι ἡ Ἀθηνᾶ τοῦτ' ἐπιτάττοι.

aspexisti quidem eum, quando Tiresiam interrogatum veniebat, neque alloqui dignum habuisti virum commilitonem et sodalem, sed superbe grandi passu incedens præteriisti?

AJAX. Et merito, Agamemno: is enim mihi furoris causa fuit, solus mecum qui se composuerit in armorum judicio.

AGAM Volebasne adversarium habêre nullum, et sine pulvere ac certamine vincere omnes?

AJAX. Sane, hac quidem in parte: nam generis jure ad me pertinebat tota hæc armatura, quippe patruelis. Et vos ceteri multo præstantiores detrectastis certamen, et mihi cessistis: verum Laertæ filius, quem ego sæpe servavi in periculo versantem, ne concideretur a Phrygibus, meliorem se ferebat et magis idoneum qui possideret arma.

2. AGAM. Accusa itaque, vir fortissime, Thetin, quæ, quum oporteret hæreditatem armorum tibi tradere, quippe cognato, in medium allata proposuit.

AJAX. Minime; sed Ulixen, qui contra me solus illa sibi vindicavit.

AGAM. Venia dignum, o Ajax, si homo cupiditate tactus fuerit gloriæ, gratissimæ rei, cujus causa quisque nostrûm pericula subire non refugit: quin vero superavit te, idque Trojanis judicibus.

AJAX. Equidem scio, quænam me condemnaverit: sed fas non est dicere quicquam de diis. Ulixen enimvero ut non oderim impetrare a me nequeo, Agamemno, etsi hoc vel ipsa Minerva mihi præcipiat.

30.

ΜΙΝΩΟΣ ΚΑΙ ΣΩΣΤΡΑΤΟΥ.

1. ΜΙΝ. Ὁ μὲν λῃστὴς οὑτοσὶ Σώστρατος ἐς τὸν Πυριφλεγέθοντα ἐμβεβλήσθω, ὁ δὲ ἱερόσυλος ὑπὸ τῆς Χιμαίρας διασπασθήτω, ὁ δὲ τύραννος, ὦ Ἑρμῆ, παρὰ τὸν Τιτυὸν ἀποταθεὶς ὑπὸ τῶν γυπῶν καὶ αὐτὸς κειρέσθω τὸ ἧπαρ, ὑμεῖς δὲ οἱ ἀγαθοὶ ἅπιτε κατὰ τάχος ἐς τὸ Ἠλύσιον πεδίον καὶ τὰς μακάρων νήσους κατοικεῖτε, ἀνθ' ὧν δίκαια ἐποιεῖτε παρὰ τὸν βίον.

ΣΩΣΤ. Ἄκουσον, ὦ Μίνως, εἴ σοι δίκαια δοξῶ λέγειν.

ΜΙΝ. Νῦν ἀκούσω αὖθις; οὐ γὰρ ἐξελήλεγξαι, ὦ Σώστρατε, πονηρὸς ὢν καὶ τοσούτους ἀπεκτονώς;

ΣΩΣΤ. Ἐλήλεγμαι μὲν, ἀλλ' ὅρα, εἰ καὶ δικαίως κολασθήσομαι.

ΜΙΝ. Καὶ πάνυ, εἴ γε ἀποτίνειν τὴν ἀξίαν δίκαιον.

ΣΩΣΤ. Ὅμως ἀπόκριναί μοι, ὦ Μίνως· βραχὺ γάρ τι ἐρήσομαί σε.

ΜΙΝ. Λέγε, μὴ μακρὰ μόνον, ὡς καὶ τοὺς ἄλλους διακρίνωμεν ἤδη.

2. ΣΩΣΤ. Ὁπόσα ἔπραττον ἐν τῷ βίῳ, πότερα ἑκὼν ἔπραττον ἢ ἐπεκέκλωστό μοι ὑπὸ τῆς Μοίρας;

30.

MINOIS ET SOSTRATI.

1. MIN. Hic quidem latro Sostratus in Pyriphlegethontem injiciatur: ille sacrilegus a Chimæra dilaceretur: iste tyrannus, Mercuri, juxta Tityum porrectus a vulturibus præcordia et ipse tondeatur. At vos probi abite quantocius ad Elysium campum, Beatorumque insulas incolite pro eo quod justa feceritis per vitam.

SOST. Audi, Minos, si tibi justa videar dicere.

MIN. Nunc audiam iterum? nonne enim tu convictus es, Sostrate, maleficii totque homicidiorum?

SOST. Sum sane convictus: considera tamen an juste supplicio sim afficiendus.

MIN. Omnino: siquidem dare meritas pœnas justum est.

SOST. Nihilominus responde mihi, Minos: paullum enim quiddam rogare te volo.

MIN. Loquere, dum ne prolixa, ut et de aliis judicium jam reddamus.

2. SOST. Quæcumque egi in vita, utrum sponte mea egi, an fatali stamine destinata mihi fuerant a Parca?

ΜΙΝ. Ὑπὸ τῆς Μοίρας δηλαδή.

ΣΩΣΤ. Οὐκοῦν καὶ οἱ χρηστοὶ ἅπαντες καὶ οἱ πονηροὶ δοκοῦντες ἡμεῖς ἐκείνῃ ὑπηρετοῦντες ταῦτα ἐδρῶμεν;

ΜΙΝ. Ναί, τῇ Κλωθοῖ, ἣ ἑκάστῳ ἐπέταξε γεννηθέντι τὰ πρακτέα.

ΣΩΣΤ. Εἰ τοίνυν ἀναγκασθείς τις ὑπ' ἄλλου φονεύσειέ τινα οὐ δυνάμενος ἀντιλέγειν ἐκείνῳ βιαζομένῳ, οἷον δήμιος ἢ δορυφόρος, ὁ μὲν δικαστῇ πεισθείς, ὁ δὲ τυράννῳ, τίνα αἰτιάσῃ τοῦ φόνου;

ΜΙΝ. Δῆλον ὡς τὸν δικαστὴν ἢ τὸν τύραννον, ἐπεὶ οὐδὲ τὸ ξίφος αὐτό· ὑπηρετεῖ γὰρ ὄργανον ὂν τοῦτο πρὸς τὸν θυμὸν τῷ πρώτῳ παρασχόντι τὴν αἰτίαν.

ΣΩΣΤ. Εὖ γε, ὦ Μίνως, ὅτι καὶ ἐπιδαψιλεύει τῷ παραδείγματι. Ἦν δέ τις ἀποστείλαντος τοῦ δεσπότου ἥκῃ αὐτὸς χρυσὸν ἢ ἄργυρον κομίζων, τίνι τὴν χάριν ἰστέον ἢ τίνα εὐεργέτην ἀναγραπτέον;

ΜΙΝ. Τὸν πέμψαντα, ὦ Σώστρατε· διάκονος γὰρ ὁ κομίσας ἦν.

3. ΣΩΣΤ. Οὐκοῦν ὁρᾷς ὅπως ἄδικα ποιεῖς κολάζων ἡμᾶς ὑπηρέτας γενομένους ὧν ἡ Κλωθὼ προσέταττε, καὶ τούτους τιμῶν τοὺς διακονησαμένους ἀλλοτρίοις ἀγαθοῖς; οὐ γὰρ δὴ ἐκεῖνό γε εἰπεῖν ἔχοι τις ἄν, ὡς τὸ ἀντιλέγειν δυνατὸν ἦν τοῖς μετὰ πάσης ἀνάγκης προστεταγμένοις.

ΜΙΝ. Ὦ Σώστρατε, πολλὰ ἴδοις ἂν καὶ ἄλλα οὐ κατὰ λόγον γιγνόμενα, εἰ ἀκριβῶς ἐξετάζοις. Πλὴν ἀλλὰ σὺ τοῦτο ἀπολαύεις τῆς ἐρωτήσεως, διότι οὐ λῃστὴς μόνον, ἀλλὰ καὶ σοφιστής τις εἶναι δοκεῖς. Ἀπόλυσον αὐτόν, ὦ Ἑρμῆ, καὶ μηκέτι κολαζέσθω. Ὅρα δὲ μὴ καὶ τοὺς ἄλλους νεκροὺς τὰ ὅμοια ἐρωτᾶν διδάξῃς.

MIN. A Parca videlicet.

SOST. Nempe igitur probi omnes, malique qui videmur nos, illi ministrantes hæc fecimus?

MIN. Prorsus, Clothoni quippe, quæ unicuique nato injunxit quæ facienda forent.

SOST. Si quis ergo occiderit aliquem necessitate adactus ab alio, cui contradicere non potuerit vi compellenti, velut carnifex aut satelles, ille judici morem gerens, hic tyranno, quem reum ages cædis?

MIN. Nimirum judicem aut tyrannum: nam nec ipsum ensem egerim: is enim administer est, utpote instrumentum libidinis illi, qui primus intulit cædis causam.

SOST. Perbene, Minos, qui uberius etiam illustres et cumulatius exemplum meum. Si quis porro, mittente domino, ipse veniat aurum argentumve apportans, utri gratiæ habendæ beneficiumque acceptum erit ferendum?

MIN. Mittenti, Sostrate; quippe minister tantum erat qui portavit.

3. SOST. Jamne igitur vides quam injusta facias, qui nos ad supplicium condemnes, ministros eorum quæ Clotho imperabat, illos contra præmiis et honore afficias, qui ministrarunt in alienis bonis? illud enimvero dicere quis nequeat, resisti potuisse rebus quæ summa cum necessitate imperabantur.

MIN. Sostrate, multa videas alia non ex ratione fieri, si rem accurate explores. Verum tu quidem hunc propositæ quæstionis fructum fers, quia non latro solum, sed et sophista videris. Solve illum, Mercuri; pœnaque liber esto. Tu cave ne alios quoque mortuos similes interrogatiunculas proponere doceas.

XI.

ΜΕΝΙΠΠΟΣ Η ΝΕΚΥΟΜΑΝΤΕΙΑ.

ΜΕΝΙΠΠΟΣ ΚΑΙ ΦΙΛΩΝΙΔΗΣ.

1. ΜΕΝ. Ὦ χαῖρε μέλαθρον πρόπυλά θ' ἑστίας ἐμῆς,
ὡς ἄσμενός σέ γ' εἶδον ἐς φάος μολών.

ΦΙΛ. Οὐ Μένιππος οὗτός ἐστιν ὁ κύων; οὐ μὲν οὖν ἄλλος, εἰ μὴ ἐγὼ παραβλέπω· Μένιππος ὅλος. Τί οὖν αὐτῷ βούλεται τὸ ἀλλόκοτον τοῦ σχήματος, πῖλος καὶ λύρα καὶ λεοντῆ; προσιτέον δὲ ὅμως αὐτῷ. Χαῖρε, ὦ Μένιππε· πόθεν ἡμῖν ἀφῖξαι; πολὺν γὰρ χρόνον οὐ πέφηνας ἐν τῇ πόλει.

1. MEN. Ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
λιπών, ἵν' Ἅδης χωρὶς ὠκισται θεῶν.

ΦΙΛ. Ἡράκλεις, ἐλελήθει Μένιππος ἡμᾶς ἀποθανών, κἄτ' ἐξ ὑπαρχῆς ἀναβεβίωκεν;

ΜΕΝ. Οὐκ, ἀλλ' ἔτ' ἔμπνουν Αἴδης μ' ἐδέξατο.

ΦΙΛ. Τίς δ' ἡ αἰτία σοι τῆς καινῆς καὶ παραδόξου ταύτης ἀποδημίας;

MENIPPUS, SIVE ORACULUM MORTUORUM CONSULTUM.

MENIPPUS ET PHILONIDES.

1. MEN. Salve domus, ædisque vestibulum meæ!
ut te lubens aspexi luci redditus.

PHIL. Nonne hic Menippus est ille canis? non hercle alius, nisi hallucinor: plane Menippus ipse est. Quid autem ipsi vult insolens habitus, pileus, lyra, leonina pellis? quippe adeundum est ad illum. Salve, Menippe: unde tu nobis advenisti? jam enim multo abhinc tempore non visus es in urbe.

MEN. Advenio linquens Acherontem et caliginis
portas, ubi Orci sedes ab dis dissita.

PHIL. Hercules tuam fidem! nobis ignaris mortem Menippus obierat; tumque denuo rediit in vitam?

MEN. Non: sed spirantem inferna me admisit plaga.

PHIL. At quæ causa tibi fuit novæ et fidem superantis hujus peregrinationis?

ΜΕΝ. Νεότης μ' ἐπῆρε καὶ θράσος τοῦ νοῦ πλέον.

ΦΙΛ. Παῦσαι, μακάριε, τραγῳδῶν καὶ λέγε οὕτωσί πως ἁπλῶς καταβὰς ἀπὸ τῶν ἰαμβείων, τίς ἡ στολή; τί σοι τῆς κάτω πορείας ἐδέησεν; ἄλλως γὰρ οὐχ ἡδεῖά τις οὐδὲ ἀσπάσιος ἡ ὁδός.

ΜΕΝ. Ὦ φιλότης, χρειώ με κατήγαγεν εἰς Ἅιδαο
ψυχῇ χρησόμενον Θηβαίου Τειρεσίαο.

ΦΙΛ. Οὗτος, ἀλλ' ἢ παραπαίεις; οὐ γὰρ ἂν οὕτως ἐμμέτρως ἐρραψῴδεις πρὸς ἄνδρας φίλους.

ΜΕΝ. Μὴ θαυμάσῃς, ὦ ἑταῖρε· νεωστὶ γὰρ Εὐριπίδῃ καὶ Ὁμήρῳ συγγενόμενος οὐκ οἶδ' ὅπως ἀνεπλήσθην τῶν ἐπῶν καὶ αὐτόματά μοι τὰ μέτρα ἐπὶ τὸ στόμα ἔρχεται.

2. Ἀτὰρ εἰπέ μοι, πῶς τὰ ὑπὲρ γῆς ἔχει καὶ τί ποιοῦσιν οἱ ἐν τῇ πόλει;

ΦΙΛ. Καινὸν οὐδέν, ἀλλ' οἷα καὶ πρὸ τοῦ ἁρπάζουσιν, ἐπιορκοῦσι, τοκογλυφοῦσιν, ὀβολοστατοῦσιν.

ΜΕΝ. Ἄθλιοι καὶ κακοδαίμονες· οὐ γὰρ ἴσασιν οἷα ἔναγχος κεκύρωται παρὰ τοῖς κάτω καὶ οἷα κεχειροτόνηται τὰ ψηφίσματα κατὰ τῶν πλουσίων, ἃ μὰ τὸν Κέρβερον οὐδεμίᾳ μηχανῇ τὸ διαφυγεῖν αὐτούς.

ΦΙΛ. Τί φῄς; δέδοκταί τι νεώτερον τοῖς κάτω περὶ τῶν ἐνθάδε;

ΜΕΝ. Νὴ Δία, καὶ πολλά γε· ἀλλ' οὐ θέμις ἐκφέρειν αὐτὰ πρὸς ἅπαντας οὐδὲ τὰ ἀπόρρητα ἐξαγορεύειν, μὴ καί τις ἡμᾶς γράψηται γραφὴν ἀσεβείας ἐπὶ τοῦ Ῥαδαμάνθυος.

ΦΙΛ. Μηδαμῶς, ὦ Μένιππε, πρὸς τοῦ Διός, μὴ φθονήσῃς τῶν λόγων φίλῳ ἀνδρί· πρὸς γὰρ εἰδότα σωπᾶν ἐρεῖς, τά τ' ἄλλα καὶ πρὸς μεμυημένον.

ΜΕΝ. Χαλεπὸν μὲν ἐπιτάττεις τοὐπίταγμα καὶ οὐ πάντη ἀσφαλές· πλὴν ἀλλὰ σοῦ γε ἕνεκα τολμητέον. Ἔδοξε δὴ τοὺς πλουσίους τούτους καὶ πολυχρημάτους καὶ τὸ χρυσίον κατάκλειστον ὥσπερ τὴν Δανάην φυλάττοντας —

ΦΙΛ. Μὴ πρότερον εἴπῃς, ὦγαθέ, τὰ δεδογμένα, πρὶν ἐκεῖνα διελθεῖν, ἃ μάλιστ' ἂν ἡδέως ἀκούσαιμί σου, τίς ἡ ἐπίνοιά σου τῆς καθόδου ἐγένετο, τίς δὲ ὁ τῆς πορείας ἡγεμών, εἶθ' ἑξῆς ἅ τε εἶδες ἅ τε ἤκουσας παρ' αὐτοῖς· εἰκὸς γὰρ δὴ φιλόκαλον ὄντα σε μηδὲν τῶν ἀξίων θέας ἢ ἀκοῆς παραλιπεῖν.

3. ΜΕΝ. Ὑπουργητέον καὶ ταῦτά σοι· τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε φίλος ἀνὴρ βιάζοιτο; Καὶ δὴ πρῶτά σοι δίειμι τὰ περὶ τῆς γνώμης τῆς ἐμῆς καὶ ὅθεν ὡρμήθην πρὸς τὴν κατάβασιν· ἐγὼ γάρ, ἄχρι μὲν ἐν παισὶν ἦν, ἀκούων Ὁμήρου καὶ Ἡσιόδου πολέμους καὶ στάσεις διηγουμένων οὐ μόνον τῶν ἡμιθέων, ἀλλὰ καὶ αὐτῶν ἤδη τῶν θεῶν, ἔτι δὲ καὶ μοιχείας αὐτῶν καὶ βίας καὶ ἁρπαγὰς καὶ δίκας καὶ πατέρων ἐξελάσεις καὶ ἀδελφῶν γάμους, πάντα ταῦτα ἐνόμιζον εἶναι καλὰ καὶ οὐ παρέργως ἐκνώμην πρὸς αὐτά· ἐπεὶ δὲ εἰς ἄνδρας τελεῖν ἠρξάμην, πάλιν αὖ ἐνταῦθα ἤκουον τῶν νόμων τἀναντία τοῖς ποιηταῖς κελευόντων, μήτε μοιχεύειν

ΜΕΝ. Suasit juventa, vi potens, mente impotens.

PHIL. Desine, vir bone, tragicos numeros recitare, et dic ita simpliciter pedestri sermone, ubi descenderis ab iambis, quis ille sit ornatus? quid tibi itinere ad inferos suscipiendo opus fuerit? est enim alioquin haud jucunda neque expetenda hæc via.

MEN. O bone, res urgens hinc me demisit in Orcum,
Tiresiæ Thebani ut consulerem senis umbram.

PHIL. At tu plane deliras: aliter enim non ita modulatos versus occentares hominibus amicis.

MEN. Ne mirere, mi sodalis: nuper enim Euripidem et Homerum quum convenerim, nescio quo pacto repletus sum versibus, et sponte sua mihi numeri in os veniunt.

2. Verum dic mihi, ut se res in terris habeant, et quid faciant qui sunt in urbe.

PHIL. Nihil quidem novi, sed perinde atque antehac rapiunt, pejerant, sordide fœnerantur, usuras extendunt.

MEN. Miseros atque infelices! ignorant enim qualia nuper admodum sancita sint apud inferos, et qualia sint perlata cunctis suffragiis scita adversus divites, quæ sane per Cerberum nullis machinis effugere licebit illis.

PHIL. Quid ais? novumne aliquod factum est ab inferis decretum de superis, qui hic sunt?

MEN. Per Jovem, sane multa: verum fas non est illa efferre ad omnes, neque arcana evulgare, ne quis etiam nobis dicam scribat impietatis apud Rhadamanthum.

PHIL. Ne tu, Menippe, per Jovem, ullo pacto invideas hosce sermones homini amico: ad eum enim qui tacere sciat dixeris; prætereaque ad initiatum.

MEN. Difficile quidem mandas mandatum, neque usquequaque tutum: attamen tui gratia audendum est. Visum igitur est divites illos ac pecuniosos, qui aurum occlusum, tanquam Danaen, servant —

PHIL. Ne prius dixeris, o bone, quæ decreta sunt, quam ista fueris persecutus, quæ libentissime audiverim ex te; quæ causa tibi descensus constiterit, quisque fuerit itineris dux; tum deinde quæ visu, quæque auditu acceperis apud eos: quippe credibile est te hominem elegantem nihil eorum, quæ videri audirique merebantur, prætermisisse.

3. MEN. Hæc etiam opera tibi navanda est: quid enim aliquis faciat, quando blande vir amicus cogit? Jamque primum tibi enarrabo consilium meum, et unde impetum descendendi ad inferos ceperim. Equidem dum adhuc in pueris eram, audiebamque Homerum et Hesiodum bella et factiones narrantes non solum semideorum, sed ipsorum etiam deorum, prætereaque eorum adulteria, vim, raptus, judicia, parentum expulsiones, fratrum nuptias, cuncta illa ducebam esse honesta, nec mediocriter ad ea titillabar. Ubi vero virilem ætatem ingredi cœpi, ex contrario tum leges audiebam, quæ pugnantia poetarum præceptis jubebant, non mœchari, neque seditiones excitare, nec rapere. In

μήτε στασιάζειν μήτε ἁρπάζειν. Ἐν μεγάλῃ οὖν καθειστήκειν ἀμφιβολίᾳ οὐκ εἰδὼς ὅ τι χρησαίμην ἐμαυτῷ· οὔτε γὰρ ἄν ποτε τοὺς θεοὺς μοιχεῦσαι καὶ στασιάσαι πρὸς ἀλλήλους ἡγούμην, εἰ μὴ ὡς περὶ καλῶν τούτων ἐγίγνωσκον, οὔτ' ἂν τοὺς νομοθέτας τἀναντία τούτοις παραινεῖν, εἰ μὴ λυσιτελεῖν ὑπελάμβανον.

4. Ἐπεὶ δὲ διηπόρουν, ἔδοξέ μοι ἐλθόντα παρὰ τοὺς καλουμένους τούτους φιλοσόφους ἐγχειρίσαι τε ἐμαυτὸν καὶ δεηθῆναι αὐτῶν χρῆσθαί μοι ὅ τι βούλοιντο καί τινα ὁδὸν ἁπλῆν καὶ βέβαιον ὑποδεῖξαι τοῦ βίου. Ταῦτα μὲν δὴ φρονῶν προσήειν αὐτοῖς, ἐλελήθειν δ' ἐμαυτὸν ἐς αὐτό, φασί, τὸ πῦρ ἐκ τοῦ καπνοῦ βιαζόμενος· παρὰ γὰρ δὴ τούτοις μάλιστα εὕρισκον ἐπισκοπῶν τὴν ἄγνοιαν καὶ τὴν ἀπορίαν πλείονα, ὥστε μοι τάχιστα χρυσοῦν ἀπέδειξαν οὗτοι τὸν τῶν ἰδιωτῶν βίον· ἀμέλει ὁ μὲν αὐτῶν παρῄνει τὸ πᾶν ἥδεσθαι καὶ μόνον τοῦτο ἐκ παντὸς μετιέναι· τοῦτο γὰρ εἶναι τὸ εὔδαιμον· ὁ δέ τις ἔμπαλιν, πονεῖν τὰ πάντα καὶ μοχθεῖν καὶ τὸ σῶμα καταναγκάζειν ῥυπῶντα καὶ αὐχμῶντα καὶ πᾶσι δυσαρεστοῦντα καὶ λοιδορούμενον, συνεχὲς ἐπιρραψῳδῶν τὰ πάνδημα ἐκεῖνα τοῦ Ἡσιόδου περὶ τῆς ἀρετῆς ἔπη καὶ τὸν ἱδρῶτα καὶ τὴν ἐπὶ τὸ ἄκρον ἀνάβασιν· ἄλλος καταφρονεῖν χρημάτων παρεκελεύετο καὶ ἀδιάφορον οἴεσθαι τὴν κτῆσιν αὐτῶν· ὁ δέ τις ἔμπαλιν ἀγαθὸν εἶναι καὶ τὸν πλοῦτον αὐτὸν ἀπεφαίνετο· περὶ μὲν γὰρ τοῦ κόσμου τί χρὴ καὶ λέγειν; ὅς γε ἰδέας καὶ ἀσώματα καὶ ἀτόμους καὶ κενὰ καὶ τοιοῦτόν τινα ὄχλον ὀνομάτων ὀσημέραι παρ' αὐτῶν ἀκούων ἐναυτίων. Καὶ τὸ πάντων ἀτοπώτατον, ὅτι περὶ τῶν ἐναντιωτάτων ἕκαστος αὐτῶν λέγων σφόδρα νικῶντας καὶ πιθανοὺς λόγους ἐπορίζετο, ὥστε μήτε τῷ θερμὸν τὸ αὐτὸ πρᾶγμα λέγοντι μήτε τῷ ψυχρὸν ἀντιλέγειν ἔχειν καὶ ταῦτα εἰδότα σαφῶς ὡς οὐκ ἄν ποτε θερμὸν εἴη τι καὶ ψυχρὸν ἐν ταὐτῷ χρόνῳ· ἀτεχνῶς οὖν ἔπασχον τοῖς νυστάζουσι τούτοις ὅμοιον ἄρτι μὲν ἐπινεύων, ἄρτι δὲ ἀνανεύων ἔμπαλιν.

5. Πολλῷ δὲ τούτων ἐκεῖνο ἀλογώτερον· τοὺς γὰρ αὐτοὺς τούτους εὕρισκον ἐπιτηρῶν ἐναντιώτατα τοῖς αὑτῶν λόγοις ἐπιτηδεύοντας· τοὺς γοῦν καταφρονεῖν παραινοῦντας χρημάτων ἑώρων ἁπρὶξ ἐχομένους αὐτῶν καὶ περὶ τόκων διαφερομένους καὶ ἐπὶ μισθῷ παιδεύοντας καὶ πάντα ἕνεκα τούτων ὑπομένοντας, τούς τε τὴν δόξαν ἀποβαλλομένους αὐτῆς ταύτης χάριν τὰ πάντα καὶ πράττοντας καὶ λέγοντας, ἡδονῆς τε αὖ σχεδὸν ἅπαντας κατηγοροῦντας, ἰδίᾳ δὲ μόνῃ ταύτῃ προσηρτημένους.

6. Σφαλεὶς οὖν καὶ τῆσδε τῆς ἐλπίδος ἔτι μᾶλλον ἐδυσχέραινον ἠρέμα παραμυθούμενος ἐμαυτὸν, ὅτι μετὰ πολλῶν καὶ σοφῶν καὶ σφόδρα ἐπὶ συνέσει διαβεβοημένων ἀνόητός τέ εἰμι καὶ τἀληθὲς ἔτι ἀγνοῶν περιέρχομαι· καί μοί ποτε διαγρυπνοῦντι τούτων ἕνεκα ἔδοξεν ἐς Βαβυλῶνα ἐλθόντα δεηθῆναί τινος τῶν μάγων τῶν Ζωροάστρου μαθητῶν καὶ διαδόχων, ἥκουον δ' αὐτοὺς ἐπῳδαῖς τε καὶ τελεταῖς τισιν ἀνοίγειν τε τοῦ Ἅδου

magna igitur versabar hæsitatione, ignarus quid me facerem: neque enim deos unquam arbitrabar mœchatos fuisse, mutuisve seditionibus collisos, nisi has res honestas esse judicassent; nec rursus legislatores his contraria præcipere, nisi ea conducere putassent.

4. Quoniam itaque incertus hærebam, visum mihi fuit ut ad hos quos vocant philosophos accederem, meque ipsum traderem, ac rogarem eos, me quo vellent modo uterentur, et viam aliquam vitæ simplicem ac tutam mihi præmonstrarent. Hoc animo adibam eos, minime prospiciens fore, ut in ipsum, quod aiunt, ignem ex fumo me inferrem: etenim apud hosce maxime inveniebam, re considerata, inscitiæ dubitationisque plus; adeo ut cito mihi auream esse persuaderent idiotarum vitam. Ecce enim hic eorum præcipiebat omnino voluptati indulgere, idque solum omni modo persequi; nam ea in re sitam esse felicitatem: ille contra, in labore perpetuo versari, corpusque contundere sordidum et squalentem, cunctis offensum et convicia ingerentem, dum continuo inculcat illa pervulgata Hesiodi de virtute carmina, sudoremque, et in summum verticem ascensum: alius despicere opes adhortabatur et indifferentem putare possessionem earum: alius iterum in bonis etiam esse divitias decernebat: nam de mundo quid attinet dicere? siquidem ideas, incorporea, individua, spatia vacua talemque turbam vocabulorum quotidie ab iis dum audiebam, nausea mihi oriebatur. At omnium illud absurdissimum, quod de rebus plane contrariis quum unusquisque eorum diceret, valde præstantes probabilesque rationes suppeditabat; adeo ut neque ei, qui calidum esse idem affirmaret, neque alteri, qui frigidum, contradicere posses; idque licet scires perspicue nunquam rem eandem et calidam esse et frigidam eodem tempore: prorsus ergo simile quiddam accidebat mihi atque dormitantibus, nunc ut annuerem, mox vice versa renuerem.

5. Præterea vero longe hoc istis erat absurdius: nam illos ipsos inveniebam observando valde contrariam suis sermonibus ac doctrinæ vitæ rationem instituere: eos itaque qui contemnere præcipiunt opes, animadvertebam illum in modum iis adhærere, ut inde divelli non possent, de usuris litigare, pacta mercede docere, nihil non pecuniæ causa perpeti: illos porro qui gloriam abjiciendam putent, gloriæ causa cuncta et facere et dicere; voluptatem denique pæne omnes criminantes, at privatim huic soli affixos.

6. Frustratus igitur hac quoque spe, magis etiam moleste ferebam, sensim tamen me consolans, quod cum multis iisque sapientibus et valde ob prudentiam celebratis demens sim, et veri hactenus ignarus circumvager. Jam mihi insomnem aliquando noctem horum causa ducenti visum fuit Babylonem profectum implorare auxilium cujusdam magorum Zoroastris discipulorum et successorum: fama autem cognoveram eos incantationibus et sacris quibusdam aperire Orci

τὰς πύλας καὶ κατάγειν ὃν ἂν βούλωνται ἀσφαλῶς καὶ ὀπίσω αὖθις ἀναπέμπειν. Ἄριστον οὖν ἡγούμην εἶναι παρά τινος τούτων διαπραξάμενον τὴν κατάβασιν ἐλθόντα παρὰ Τειρεσίαν τὸν Βοιώτιον μαθεῖν παρ' αὐτοῦ ἅτε μάντεως καὶ σοφοῦ, τίς ἐστιν ὁ ἄριστος βίος καὶ ὃν ἄν τις ἕλοιτο εὖ φρονῶν· καὶ δὴ ἀναπηδήσας ὡς εἶχον τάχους ἔτεινον εὐθὺ Βαβυλῶνος. Ἐλθὼν δὲ συγγίγνομαί τινι τῶν Χαλδαίων σοφῷ ἀνδρὶ καὶ θεσπεσίῳ τὴν τέχνην, πολιῷ μὲν τὴν κόμην, γένειον δὲ μάλα σεμνὸν καθειμένῳ, τοὔνομα δὲ ἦν αὐτῷ Μιθροβαρζάνης· δεηθεὶς δὲ καὶ καθικετεύσας μόγις ἐπέτυχον παρ' αὐτοῦ, ἐφ' ὅτῳ βούλοιτο μισθῷ, καθηγήσασθαί μοι τῆς ὁδοῦ.

7. Παραλαβὼν δέ με ὁ ἀνὴρ πρῶτα μὲν ἡμέρας ἐννέα καὶ εἴκοσιν ἅμα τῇ σελήνῃ ἀρξάμενος ἔλουε κατάγων ἕωθεν ἐπὶ τὸν Εὐφράτην, πρὸς ἀνίσχοντα τὸν ἥλιον ῥῆσίν τινα μακρὰν ἐπιλέγων, ἧς οὐ σφόδρα κατήκουον· ὥσπερ γὰρ οἱ φαῦλοι τῶν ἐν τοῖς ἀγῶσι κηρύκων ἐπίτροχόν τι καὶ ἀσαφὲς ἐφθέγγετο· πλὴν ἐώκει γέ τινας ἐπικαλεῖσθαι δαίμονας. Μετὰ δ' οὖν τὴν ἐπῳδὴν τρὶς ἄν μου πρὸς τὸ πρόσωπον ἀποπτύσας, ἐπανῆειν πάλιν οὐδένα τῶν ἀπαντώντων προσβλέπων· καὶ σιτία μὲν ἡμῖν τὰ ἀκρόδρυα, ποτὸν δὲ γάλα καὶ μελίκρατον καὶ τὸ τοῦ Χοάσπου ὕδωρ, εὐνὴ δὲ ὑπαίθριος ἐπὶ τῆς πόας. Ἐπεὶ δὲ ἄλις εἶχε τῆς προδιαιτήσεως, περὶ μέσας νύκτας ἐπὶ τὸν Τίγρητα ποταμὸν ἀγαγὼν ἐκάθηρέ τέ με καὶ ἀπέμαξε καὶ περιήγνισε δᾳδίοις καὶ σκίλλῃ καὶ ἄλλοις πλείοσιν ἅμα καὶ τὴν ἐπῳδὴν ἐκείνην ὑποτονθορύσας, εἶτα ὅλον με καταμαγεύσας καὶ περιελθών, ἵνα μὴ βλαπτοίμην ὑπὸ τῶν φασμάτων, ἐπανάγει ἐς τὴν οἰκίαν, ὡς εἶχον, ἀναποδίζοντα, καὶ τὸ λοιπὸν ἀμφὶ πλοῦν εἴχομεν.

8. Αὐτὸς μὲν οὖν μαγικήν τινα ἐνέδυ στολὴν τὰ πολλὰ ἐοικυῖαν τῇ Μηδικῇ, ἐμὲ δὲ τουτοισὶ φέρων ἐνεσκεύασε τῷ πίλῳ καὶ τῇ λεοντῇ καὶ προσέτι τῇ λύρᾳ, καὶ παρεκελεύσατο, ἤν τις ἔρηταί με τοὔνομα, Μένιππον μὲν μὴ λέγειν, Ἡρακλέα δὲ ἢ Ὀδυσσέα ἢ Ὀρφέα.

ΦΙΛ. Ὡς δὴ τί τοῦτο, ὦ Μένιππε; οὐ γὰρ συνίημι τὴν αἰτίαν οὔτε τοῦ σχήματος οὔτε τῶν ὀνομάτων.

ΜΕΝ. Καὶ μὴν πρόδηλον τοῦτό γε καὶ οὐ παντελῶς ἀπόρρητον· ἐπεὶ γὰρ οὗτοι πρὸ ἡμῶν ζῶντες ἐς Ἅιδου κατεληλύθεσαν, ἡγεῖτο, εἴ με ἀπεικάσειεν αὐτοῖς, ῥᾳδίως ἂν τὴν τοῦ Αἰακοῦ φρουρὰν διαλαθεῖν καὶ ἀκωλύτως παρελθεῖν ἅτε συνηθέστερον τραγικῶς μάλα παραπεμπόμενον ὑπὸ τοῦ σχήματος.

9. Ἤδη δ' οὖν ὑπέφαινεν ἡμέρα, καὶ κατελθόντες ἐπὶ τὸν ποταμὸν περὶ ἀναγωγὴν ἐγιγνόμεθα· παρεσκεύαστο δ' αὐτῷ καὶ σκάφος καὶ ἱερεῖα καὶ μελίκρατον καὶ ἄλλ' ὅσα πρὸς τὴν τελετὴν χρήσιμα. Ἐμβαλόμενοι οὖν ἅπαντα τὰ παρεσκευασμένα οὕτω δὴ καὶ αὐτοὶ

βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες.

Καὶ μέχρι μέν τινος ὑπεφερόμεθα ἐν τῷ ποταμῷ, εἶτα δ' ἐσεπλεύσαμεν ἐς τὸ ἕλος καὶ τὴν λίμνην, ἐς ἣν ὁ Εὐ-

fores, et demittere quem velint tuto, iterumque rursus reducere. Optimum igitur factu ducebam, ab eorum aliquo comparata mihi descendendi copia, adire ad Tiresiam Boeotum, ab eoque discere, quippe vate et sapiente, quæ sit optima vita, quamque sibi quis deligat bene prudens. Atque adeo repente exsiliens quam poteram celerrime tendebam recta Babylonem. Ibi convenio quendam Chaldæorum virum sapientem et arte divinum, qui canus erat coma, barbamque plane venerabilem promittebat, nomine Mithrobarzanem: eum multis precibus obtestatus vix exoravi, ut, qua vellet mercede, se mihi ducem præberet viæ.

7. Tum me assumtum ille vir primum dies novem et viginti, a luna nova initio facto, lavabat deducens ad Euphratem summo mane, et ad orientem solem carmen aliquod longum effatus, quod equidem non admodum exaudiebam: ut enim mali, qui sunt in ludis, præcones, volubile quiddam et inconditum proferebat; nisi quod videbatur genios aliquos invocare. At post incantationem, quum ter in faciem meam inspuisset, redibam rursus neminem obviorum intuens. Cibus autem nobis arboreæ nuces; potus lac, mulsum et Choaspis aqua; lectus sub divo in herba. Postquam vero satis erat præparationis, circa mediam noctem ad Tigrin fluvium deductum lustravit me, detersitque, et circumtulit tæda, scilla aliisque pluribus, simul et istam incantationem submurmurans: deinde me totum quum arte magica incantasset et circumiisset, ne læderer a spectris, reducit me domum, ut eram, retrocedentem: tum porro navigationi parandæ intenti eramus.

8. Ipse quidem magicam quandam induebat stolam, persimilem Medicæ: me vero istis propere instruxit, pileo, leonina pelle, itidemque lyra; præcepitque, si quis roget me nomen, Menippum ut ne dicerem, sed Herculem, aut Ulixem, aut Orpheum.

PHIL. Quorsum illud, Menippe? neque enim intelligo causam vel habitus vel nominum.

MEN. Atqui perspicuum illud quidem est, nec prorsus arcanum: quandoquidem enim hi ante nos vivi ad inferos descenderunt, existimabat, si me illis assimilasset, fore ut facile custodiam Æaci fallerem et sine impedimento transirem, utpote consuetior, tragice plane commendatus ab ipso habitu.

9. Jam igitur illucescebat dies, quum descendentes ad fluvium solvendo navigio operam dabamus: comparata autem ipsi erant et scapha, et victimæ, et mulsum, et quæcumque alia ad sacri rationem conducebant. Ergo impositis in navim quæ fuerant parata cunctis, sic demum et ipsi ingredimur, tristes largasque lacrimas effundentes. Tum ad aliquod tempus deferebamur in flumine: post invecti sumus in paludem et lacum, in quem Euphrates im-

φράτης ἀφανίζεται· περαιωθέντες δὲ καὶ ταύτην ἀφικνούμεθα ἔς τι χωρίον ἔρημον καὶ ὑλῶδες καὶ ἀνήλιον, εἰς ὃ δὴ ἀποβάντες — ἦγεῖτο δὲ ὁ Μιθροβαρζάνης — βόθρον τε ὠρυξάμεθα καὶ τὰ μῆλα ἐσφάξαμεν καὶ τὸ αἷμα περὶ αὐτὸν ἐσπείσαμεν. Ὁ δὲ μάγος ἐν τοσούτῳ δᾳδα καομένην ἔχων οὐκέτ' ἠρεμαίᾳ τῇ φωνῇ, παμμέγεθες δὲ, ὡς οἷός τε ἦν, ἀνακραγὼν δαίμονάς τε ὁμοῦ πάντας ἐπεβοᾶτο καὶ Ποινὰς καὶ Ἐρινύας,

καὶ νυχίαν Ἑκάτην καὶ ἐπαινὴν Περσεφόνειαν,

παραμιγνὺς ἅμα καὶ βαρβαρικά τινα καὶ ἄσημα ὀνόματα καὶ πολυσύλλαβα.

10. Εὐθὺς οὖν ἅπαντα ἐκεῖνα ἐσαλεύετο καὶ ὑπὸ τῆς ἐπῳδῆς τοὔδαφος ἀνερρήγνυτο καὶ ἡ ὑλακὴ τοῦ Κερβέρου καὶ πόρρωθεν ἠκούετο καὶ τὸ πρᾶγμα ὑπερκατηφὲς ἦν καὶ σκυθρωπόν.

Ἔδδεισεν δ' ὑπένερθεν ἀναξ ἐνέρων Αἰδωνεύς·

κατεφαίνετο γὰρ ἤδη τὰ πλεῖστα, καὶ ἡ λίμνη καὶ ὁ Πυριφλεγέθων καὶ τοῦ Πλούτωνος τὰ βασίλεια. Κατελθόντες δ' ὅμως διὰ τοῦ χάσματος τὸν μὲν Ῥαδάμανθυν εὕρομεν τεθνεῶτα μικροῦ δεῖν ὑπὸ τοῦ δέους· ὁ δὲ Κέρβερος ὑλάκτησε μέν τι καὶ παρεκίνησε, ταχὺ δέ μου κρούσαντος τὴν λύραν παραχρῆμα ἐκηλήθη ὑπὸ τοῦ μέλους. Ἐπεὶ δὲ πρὸς τὴν λίμνην ἀφικόμεθα, μικροῦ μὲν οὐδ' ἐπεραιώθημεν· ἦν γὰρ πλῆρες ἤδη τὸ πορθμεῖον καὶ οἰμωγῆς ἀνάπλεων, τραυματίαι δὲ πάντες ἐπέπλεον, ὁ μὲν τὸ σκέλος, ὁ δὲ τὴν κεφαλὴν, ὁ δὲ ἄλλο τι συντετριμμένος, ἐμοὶ δοκεῖν, ἔκ τινος πολέμου παρόντες. Ὅμως δ' οὖν ὁ βέλτιστος Χάρων ὡς εἶδε τὴν λεοντῆν, οἰηθείς με τὸν Ἡρακλέα εἶναι, ἐσεδέξατό με καὶ διεπόρθμευσέ τε ἄσμενος καὶ ἀποβᾶσι διεσήμηνε τὴν ἀτραπόν.

11. Ἐπεὶ δὲ ἦμεν ἐν τῷ σκότῳ, προῄει μὲν ὁ Μιθροβαρζάνης, εἱπόμην δ' ἐγὼ κατόπιν ἐχόμενος αὐτοῦ, ἕως πρὸς λειμῶνα μέγιστον ἀφικνούμεθα τῷ ἀσφοδέλῳ κατάφυτον, ἔνθα δὴ περιεπέτοντο ἡμᾶς τετριγυῖαι τῶν νεκρῶν αἱ σκιαί· κατ' ὀλίγον δὲ προϊόντες παραγιγνόμεθα πρὸς τὸ τοῦ Μίνω δικαστήριον, ἐτύγχανε δὲ ὁ μὲν ἐπὶ θρόνου τινὸς ὑψηλοῦ καθήμενος, παρειστήκεσαν δὲ αὐτῷ Ποιναὶ καὶ ἀλάστορες καὶ Ἐρινύες· ἑτέρωθεν δὲ προσήγοντο πολλοί τινες ἐφεξῆς ἁλύσει μακρᾷ δεδεμένοι, ἐλέγοντο δὲ εἶναι μοιχοὶ καὶ πορνοβοσκοὶ καὶ τελῶναι καὶ κόλακες καὶ συκοφάνται καὶ ὁ τοιοῦτος ὅμιλος τῶν πάντα κυκώντων ἐν τῷ βίῳ· χωρὶς δὲ οἵ τε πλούσιοι καὶ τοκογλύφοι προσήεσαν ὠχροὶ καὶ προγάστορες καὶ ποδαγροὶ, κλοιὸν ἕκαστος αὐτῶν καὶ σκύλακα διτάλαντον ἐπικείμενος. Ἐφεστῶτες οὖν ἡμεῖς ἐωρῶμέν τε τὰ γιγνόμενα καὶ ἠκούομεν τῶν ἀπολογουμένων· κατηγόρουν δὲ αὐτῶν καινοί τινες καὶ παράδοξοι ῥήτορες.

ΦΙΑ. Τίνες οὗτοι, πρὸς Διός; μὴ γὰρ ὀκνήσῃς καὶ τοῦτο εἰπεῖν.

MEN. Οἶσθά που ταυτασὶ τὰς πρὸς τὸν ἥλιον ἀποτελουμένας σκιὰς ἀπὸ τῶν σωμάτων;

mergitur : eo trajecto devenimus in locum desertum, silvestrem et sole carentem : quo ubi escensum est (viam autem præibat Mithrobarzanes), foveam effodimus, oves mactavimus, et sanguinem circa scrobem aspersum libavimus. Magus interea tedam ardentem tenens non jam sedata voce, sed quam poterat maxima exclamans, dæmones simul omnes invocabat, Pœnas et Furias, et nocturnam Hecaten, et tremendam Proserpinam, admixtis etiam barbaris quibusdam ignotisque nominibus et multarum syllabarum.

10. Statim igitur omnia ibi quassabantur, potentique carmine solum fissum discedebat, latratus Cerberi procul audiebatur, adeo ut res valde formidolosa foret ac truculenta. Ipse pertinuit in inferna regione rex manium Pluto : apparebant enim jam pleraque, lacus, Pyriphlegethon, Plutonisque regia. Nos tamen ubi descenderamus per hiatum, Rhadamanthum invenimus mortuum propemodum præ metu ; Cerberus autem latravit ille quidem ac nonnihil se commovit, verum me cito pulsante lyram illico sopitus est cantu. Postquam vero ad lacum venimus, prope fuit ut non trajiceremur : jam enim onusta portitoris erat cymba, ejulatuque plena ; quippe saucii omnes in ea navigabant, hic crus, caput ille, iste aliud quiddam contusum habens, sic ut mihi viderentur ex bello aliquo advenisse. Veruntamen optimus Charon ut vidit leoninam pellem, opinatus me Herculem esse, recepit me lubensque transvexit, atque etiam egressis demonstravit semitam.

11. Quum autem eramus in caligine, præibat Mithrobarzanes, sequebar ego pone illi adhærens, donec ad pratum ingens pervenimus asphodelo consitum : ibi tum circumvolitabant nos stridulæ mortuorum umbræ. Sensim autem progressi accessimus ad Minois tribunal, qui quidem in solio quodam sublimi sedebat : astabant autem ipsi Pœnæ, scelerum vindices genii, et Furiæ. Ab alia vero parte adducebantur ordine multi sane longa catena vincti, qui dicebantur esse adulteri, lenones, publicani, adulatores, sycophantæ, talisque turba hominum cuncta permiscentium in vita. Seorsum porro divites sordidique fœneratores accedebant pallidi, ventre projecto, podagra capti, boiam singuli canenique, qui bina talenta pendat, impositum ferentes. Nos igitur prope stantes videbamus quæ fierent, audiebamusque causam suam agentes, dum accusarent eos novi quidam atque inopinati oratores.

PHIL. Quinam hi, quæso per Jovem? illud enim quoque ne dicere refugias.

MEN. Nostin' illas ad solem projectas a corporibus umbras?

ΦΙΛ. Πάνυ μὲν οὖν.

ΜΕΝ. Αὗται τοίνυν, ἐπειδὰν ἀποθάνωμεν, κατηγοροῦσί τε καὶ καταμαρτυροῦσι καὶ διελέγχουσι τὰ πεπραγμένα ἡμῖν παρὰ τὸν βίον, καὶ σφόδρα τινὲς ἀξιόπιστοι δοκοῦσιν ἅτε ἀεὶ ξυνοῦσαι καὶ μηδέποτε ἀφιστάμεναι τῶν σωμάτων.

12. Ὁ δ' οὖν Μίνως ἐπιμελῶς ἐξετάζων ἀπέπεμπεν ἕκαστον ἐς τὸν τῶν ἀσεβῶν χῶρον δίκην ὑφέξοντα κατ' ἀξίαν τῶν τετολμημένων, καὶ μάλιστα ἐκείνων ἥπτετο τῶν ἐπὶ πλούτοις τε καὶ ἀρχαῖς τετυφωμένων καὶ μονονουχὶ καὶ προσκυνεῖσθαι περιμενόντων, τήν τε ὀλιγοχρόνιον ἀλαζονείαν αὐτῶν καὶ τὴν ὑπεροψίαν μυσαττόμενος, καὶ ὅτι μὴ ἐμέμνηντο θνητοί τε ὄντες αὐτοὶ καὶ θνητῶν ἀγαθῶν τετυχηκότες· οἱ δὲ ἀποδυσάμενοι τὰ λαμπρὰ ἐκεῖνα πάντα, πλούτους λέγω καὶ γένη καὶ δυναστείας, γυμνοὶ κάτω νενευκότες παρειστήκεσαν ὥσπερ τινὰ ὄνειρον ἀναπεμπαζόμενοι τὴν παρ' ἡμῖν εὐδαιμονίαν· ὥστε ἔγωγε ταῦθ' ὁρῶν ὑπερέχαιρον καὶ εἴ τινα γνωρίσαιμι αὐτῶν, προσιὼν ἂν ἡσυχῇ πως ὑπεμίμνησκον οἷος ἦν παρὰ τὸν βίον καὶ ἡλίκον ἐφύσα τότε, ἡνίκα πολλοὶ μὲν ἔωθεν ἐπὶ τῶν πυλώνων παρειστήκεσαν τὴν πρόοδον αὐτοῦ περιμένοντες ὠθούμενοί τε καὶ ἀποκλειόμενοι πρὸς τῶν οἰκετῶν· ὁ δὲ μόγις ἄν ποτε ἀνατείλας αὐτοῖς πορφυροῦς τις ἢ περίχρυσος ἢ διαποίκιλος εὐδαίμονας ᾠετο καὶ μακαρίους ἀποφαίνειν τοὺς προσειπόντας, εἰ τὸ στῆθος ἢ τὴν δεξιὰν προτείνων δοίη καταφιλεῖν. Ἐκεῖνοι μὲν οὖν ἡνιῶντο ἀκούοντες.

13. Τῷ δὲ Μίνωϊ μία τις καὶ πρὸς χάριν ἐδικάσθη· τὸν γάρ τοι Σικελιώτην Διονύσιον πολλὰ καὶ ἀνόσια ὑπό τε Δίωνος κατηγορηθέντα καὶ ὑπὸ τῆς σκιᾶς καταμαρτυρηθέντα παρελθὼν Ἀρίστιππος ὁ Κυρηναῖος — ἄγουσι δ' αὐτὸν ἐν τιμῇ καὶ δύναται μέγιστον ἐν τοῖς κάτω — μικροῦ δεῖν τῇ Χιμαίρᾳ παραδοθέντα παρέλυσε τῆς καταδίκης λέγων πολλοῖς αὐτὸν τῶν πεπαιδευμένων πρὸς ἀργύριον γενέσθαι δεξιόν.

14. Ἀποστάντες δὲ ὅμως τοῦ δικαστηρίου πρὸς τὸ κολαστήριον ἀφικνούμεθα. Ἔνθα δή, ὦ φίλε, πολλὰ καὶ ἐλεεινὰ ἦν καὶ ἀκοῦσαι καὶ ἰδεῖν· μαστίγων τε γὰρ ὁμοῦ ψόφος ἠκούετο καὶ οἰμωγὴ τῶν ἐπὶ τοῦ πυρὸς ὀπτωμένων καὶ στρέβλαι καὶ κύφωνες καὶ τροχοί, καὶ ἡ Χίμαιρα ἐσπάραττε καὶ ὁ Κέρβερος ἐδάρδαπτεν, ἐκολάζοντό τε ἅμα πάντες, βασιλεῖς, δοῦλοι, σατράπαι, πένητες, πλούσιοι, πτωχοί, καὶ μετέμελε πᾶσι τῶν τετολμημένων. Ἐνίους δὲ αὐτῶν καὶ ἐγνωρίσαμεν ἰδόντες, ὁπόσοι ἦσαν τῶν ἐναγχος τετελευτηκότων· οἱ δὲ ἐνεκαλύπτοντο καὶ ἀπεστρέφοντο, εἰ δὲ καὶ προσβλέποιεν, μάλα δουλοπρεπές τι καὶ κολακευτικὸν, καὶ ταῦτα πῶς οἴει βαρεῖς ὄντες καὶ ὑπερόπται παρὰ τὸν βίον; Τοῖς μέντοι πένησιν ἡμιτέλεια τῶν κακῶν ἐδίδοτο, καὶ διαναπαυόμενοι πάλιν ἐκολάζοντο. Καὶ μὴν κἀκεῖνα εἶδον τὰ μυθώδη, τὸν Ἰξίονα καὶ τὸν Σίσυφον καὶ τὸν Φρύγα Τάνταλον χαλεπῶς ἔχοντα καὶ

PHIL. Utique.

MEN. Hæ igitur ipsæ, postquam mortui sumus, accusant, testimonium adversus nos dicunt, et arguunt quæ a nobis per vitam sunt acta; et valde videntur quædam esse fide dignæ, quippe quæ semper adsint neque unquam absistant a corporibus.

12. Minos ergo cum cura singulos explorans ablegat ad impiorum sedes, pœnas subituros meritas pro facinoribus patratis: maxime vero acerbius eos tractabat, qui ob divitias et imperia fuerant inflati, et tantum non adorari se postulabant, ostentationem eorum brevissimi temporis inanem et fastum detestatus, itidemque quod non meminissent se mortales esse, ac bona mortalia sortiti. Hi autem, exutis splendidis istis omnibus, divitiis, inquam, genere et imperiis, nudi demisso in terram vultu astabant, quasi somnium aliquod secum retractantes, quam apud nos habuissent, felicitatem. Quare ego ista quum viderem, impense gaudebam, et, si quem agnoscerem eorum, leniter accedens commonefaciebam qualis fuisset in vita, et quantos spiritus tunc gessisset, quum multi mane vestibulis astabant egressum ejus exspectantes, impulsi exclusique a vernulis: hicce vero vix tandem exortus ipsis in veste purpurea, vel auro prætexta, vel vario colore distincta, felices putabat beatosque se redditurum salutatores, si pectus aut dextram porrectam dederit osculari. Et illi quidem pungebantur his auditis.

13. A Minoe vero unum quoddam in gratiam disceptatum est judicium: etenim Siculum Dionysium multorum ac nefariorum a Dione criminum insimulatum, umbræque suæ testimonio pressum, in medium progressus Aristippus Cyrenæus (eum in honore habent, multumque pollet apud inferos) jamjam Chimæræ tradendum exsolvit pœna, dum diceret in multis eruditorum pecunia juvandis eum dextre fuisse versatum.

14. Digressi tamen a tribunali ad supplicii locum pervenimus: ibi enimvero, amice mi, multa miserandaque erat audire ac videre; nam simul et flagellorum sonitus exaudiebatur, et ploratus eorum qui in igne torrebantur, et tormenta, et cippi, et rotæ; Chimæra discerpebat, Cerberus laniando vorabat: una autem omnes puniebantur, reges, servi, satrapæ, pauperes, divites, mendici; cunctosque pœnitebat patratorum. Nonnullos agnovimus etiam conspicati, eorum de numero scilicet, qui nuper vitam finierant: illi vero præ pudore vultus tegebant seseque avertebant: quodsi forte nos aspicerent, valde quidem servilem in modum atque adulatorie, illi ipsi qui fuerant quam putas graves et superbi aliorum contemtores in hac vita! At pauperibus pro dimidia parte malorum immunitas erat concessa; et quum interquievissent, denuo pœnis afficiebantur. Porro illa etiam vidi fabulosa, Ixionem, Sisyphum, Phrygem

τὸν γηγενῆ Τιτυὸν, Ἡράκλεις ὅσος· ἔκειτο γοῦν τόπον ἐπέχων ἀγροῦ.

15. Διελθόντες δὲ καὶ τούτους ἐς τὸ πεδίον ἐσβάλλομεν τὸ Ἀχερούσιον, εὑρίσκομέν τε αὐτόθι τοὺς ἡμιθέους τε καὶ τὰς ἡρωίνας καὶ τὸν ἄλλον ὅμιλον τῶν νεκρῶν κατὰ ἔθνη καὶ κατὰ φῦλα διαιτωμένους, τοὺς μὲν παλαιούς τινας καὶ εὐρωτιῶντας καὶ ὥς φησιν Ὅμηρος, ἀμενηνοὺς, τοὺς δ' ἔτι νεαλεῖς καὶ συνεστηκότας, καὶ μάλιστα τοὺς Αἰγυπτίους αὐτῶν διὰ τὸ πολυαρκὲς τῆς ταριχείας. Τὸ μέντοι διαγιγνώσκειν ἕκαστον οὐ πάνυ τι ἦν ῥᾴδιον· ἅπαντες γὰρ ἀτεχνῶς ἀλλήλοις γίγνονται ὅμοιοι τῶν ὀστῶν γεγυμνωμένων· πλὴν ἀλλὰ μόγις τε καὶ διὰ πολλοῦ ἀναθεωροῦντες αὐτοὺς ἐγιγνώσκομεν. Ἔκειντο δ' ἐπ' ἀλλήλοις ἀμαυροὶ καὶ ἄσημοι καὶ οὐδὲν ἔτι τῶν παρ' ἡμῖν καλῶν φυλάττοντες. Ἀμέλει πολλῶν ἐν ταὐτῷ σκελετῶν κειμένων καὶ πάντων ὁμοίων φοβερόν τι καὶ διάκενον δεδορκότων καὶ γυμνοὺς τοὺς ὀδόντας προφαινόντων, ἠπόρουν πρὸς ἐμαυτὸν ᾧτινι διακρίναιμι τὸν Θερσίτην ἀπὸ τοῦ καλοῦ Νιρέως ἢ τὸν μεταίτην Ἶρον ἀπὸ τοῦ Φαιάκων βασιλέως ἢ Πυρρίαν τὸν μάγειρον ἀπὸ τοῦ Ἀγαμέμνονος· οὐδὲν γὰρ ἔτι τῶν παλαιῶν γνωρισμάτων αὐτοῖς παρέμενεν, ἀλλ' ὅμοια τὰ ὀστᾶ ἦν, ἄδηλα καὶ ἀνεπίγραφα καὶ ὑπ' οὐδενὸς ἔτι διακρίνεσθαι δυνάμενα.

16. Ταιγάρτοι ἐκεῖνα ὁρῶντι ἐδόκει μοι ὁ τῶν ἀνθρώπων βίος πομπῇ τινι μακρᾷ προσεοικέναι, χορηγεῖν δὲ καὶ διατάττειν ἕκαστα ἡ Τύχη διάφορα καὶ ποικίλα τοῖς πομπευταῖς τὰ σχήματα προσάπτουσα· τὸν μὲν γὰρ λαβοῦσα, εἰ τύχοι, βασιλικῶς διεσκεύασε τιάραν τε ἐπιθεῖσα καὶ δορυφόρους παραδοῦσα καὶ τὴν κεφαλὴν στέψασα τῷ διαδήματι, τῷ δὲ οἰκέτου σχῆμα περιέθηκε, τὸν δέ τινα καλὸν εἶναι ἐκόσμησε, τὸν δὲ ἄμορφον καὶ γελοῖον παρεσκεύασε· παντοδαπὴν γὰρ, οἶμαι, δεῖ γενέσθαι τὴν θέαν. Πολλάκις δὲ καὶ διὰ μέσης τῆς πομπῆς μετέβαλε τὰ ἑνίων σχήματα οὐκ ἐῶσα ἐς τέλος διαπομπεῦσαι ὡς ἐτάχθησαν, ἀλλὰ μεταμφιέσασα τὸν μὲν Κροῖσον ἠνάγκασε τὴν οἰκέτου καὶ αἰχμαλώτου σκευὴν ἀναλαβεῖν, τὸν δὲ Μαιάνδριον τέως ἐν τοῖς οἰκέταις πομπεύοντα τὴν τοῦ Πολυκράτους τυραννίδα μετενέδυσε, καὶ μέχρι μέν τινος εἴασε χρῆσθαι τῷ σχήματι· ἐπειδὰν δ' ὁ τῆς πομπῆς καιρὸς παρέλθῃ, τηνικαῦτα ἕκαστος ἀποδοὺς τὴν σκευὴν καὶ ἀποδυσάμενος τὸ σχῆμα μετὰ τοῦ σώματος ὅπερ ἦν πρὸ τοῦ γίγνεται, μηδὲν τοῦ πλησίον διαφέρων. Ἔνιοι δὲ ὑπ' ἀγνωμοσύνης, ἐπειδὰν ἀπαιτῇ τὸν κόσμον ἐπιστᾶσα ἡ Τύχη, ἄχθονταί τε καὶ ἀγανακτοῦσιν ὥσπερ οἰκείων τινῶν στερισκόμενοι καὶ οὐχ ἃ πρὸς ὀλίγον ἐχρήσαντο, ἀποδιδόντες. Οἶμαι δέ σε καὶ τῶν ἐπὶ τῆς σκηνῆς πολλάκις ἑορακέναι τοὺς τραγικοὺς ὑποκριτὰς τούτους πρὸς τὰς χρείας τῶν δραμάτων ἄρτι μὲν Κρέοντας, ἐνίοτε δὲ Πριάμους γιγνομένους ἢ Ἀγαμέμνονας, καὶ ὁ αὐτὸς, εἰ τύχοι, μικρὸν ἔμπροσθεν μάλα σεμνῶς τὸ τοῦ Κέκροπος ἢ Ἐρεχθέως σχῆμα μιμησάμενος μετ' ὀλίγον οἰκέτης προῆλθεν

Tantalum male se habentem, terrigenam Tityum : Hercule, quantus erat! jacebat enim spatium occupans agri.

15. His quoque præteritis, in campum nos inferimus Acherusium, invenimusque ibi semideos, et heroidas, ceteramque mortuorum in populos et tribus dispertitam turbam ibi commorantem; veteres alios situque mucidos et, ut ait Homerus, roboris expertes; alios recentes et compactos, inprimis vero qui ex illis Ægyptii erant, ob condituræ suæ durabilitatem. Verum unumquemque dignoscere non admodum erat facile : omnes enim plane sibi invicem fiunt similes ossibus nudatis: vix tamen et per multum tempus contemplati eos noscitabamus. Jacebant autem acervatim, obscuri ignotique, et nihil eorum, quæ apud nos pulchra videntur, servantes. Quin imo, multis eodem in loco sceletis jacentibus, cunctis similibus, qui terribile quiddam per vacuos oculorum orbes intuerentur, nudosque dentes ostenderent, mecum hæsitabam, quo signo discernerem Thersiten a formoso Nireo, aut mendicum Irum a Phæacum rege, aut Pyrrhiam coquum ab Agamemnone : nihil enim amplius pristinorum indiciorum ipsis adhærebat, sed consimilia ossa erant, incerta nullisque notis inscripta, sic ut a nemine amplius distingui possent.

16. Tum vero ista videnti videbatur mihi hominum vita pompæ cujusdam longæ similitudinem habere; administrare vero atque ordinare singula Fortuna, diversos ac varios pompam ducentibus habitus attribuens : hunc enim oblatum, si fors fert, regali cultu instruxit, tiara imposita, satellitibus additis et capite diademate coronato : alteri servilem schemam circumdedit : alium quendam formæ decore ornavit : illum deformem ac ridiculum finxit : ex omnigenis enim, puto, formis decet componi hoc spectaculum. Sæpe vero per mediam pompam immutare solet nonnullorum habitus, haud sinens ad finem usque pompæ interesse quo collocati fuerant ordine : atque adeo detracto priore vestitu Crœsum coegit servi captivique ornatum suscipere; Mæandrio contra, qui hactenus in pompa servis erat immixtus, Polycratis tyrannidem induit eoque ad aliquod tempus permisit uti habitu. Verum ubi pompæ tempus præteriit, tunc unusquisque, reddito ornatu exutoque habitu cum corpore, qualis erat ante, fit, nihil ab alio quolibet diversus. Sunt autem qui præ dementia, quando repetit ornatum instans ipsis Fortuna, graviter ferant atque indignentur quasi propriis quibusdam rebus orbati, non ea reddentes quæ ad parvum tempus mutua sumserant. Opinor autem eorum qui versantur in scena sæpe te vidisse tragicos actores istos, qui, prout usus fabularum poposcerit, nunc Creontes, alias Priami fiunt, aut Agamemnones : idemque, si ita evenit, qui paullo ante valde magnifice Cecropis aut Erechthei personam sustinuit, confestim servus prodire

ὑπὸ τοῦ ποιητοῦ κεκελευσμένος· ἤδη δὲ πέρας ἔχοντος τοῦ δράματος ἀποδυσάμενος ἕκαστος αὐτῶν τὴν χρυσόπαστον ἐκείνην ἐσθῆτα καὶ τὸ προσωπεῖον ἀποθέμενος καὶ καταβὰς ἀπὸ τῶν ἐμβατῶν πένης καὶ ταπεινὸς περίεισιν οὐκέτ' Ἀγαμέμνων ὁ Ἀτρέως οὐδὲ Κρέων ὁ Μενοικέως, ἀλλὰ Πῶλος Χαρικλέους Σουνιεὺς ὀνομαζόμενος ἢ Σάτυρος Θεογείτονος Μαραθώνιος. Τοιαῦτα καὶ τὰ τῶν ἀνθρώπων πράγματά ἐστιν, ὡς τότε μοι ὁρῶντι ἔδοξεν.

17. ΦΙΛ. Εἰπέ μοι, ὦ Μένιππε, οἱ δὲ τοὺς πολυτελεῖς τούτους καὶ ὑψηλοὺς τάφους ἔχοντες ὑπὲρ γῆς καὶ στήλας καὶ εἰκόνας καὶ ἐπιγράμματα οὐδὲν τιμιώτεροι παρ' αὐτοῖς εἰσι τῶν ἰδιωτῶν νεκρῶν;

ΜΕΝ. Ληρεῖς, ὦ οὗτος· εἰ γοῦν ἐθεάσω τὸν Μαύσωλον αὐτὸν — λέγω δὲ τὸν Κᾶρα, τὸν ἐκ τοῦ τάφου περιβόητον — εὖ οἶδα οὐκ ἂν ἐπαύσω γελῶν, οὕτω ταπεινὸς ἔρριπτο ἐν παραβύστῳ που λανθάνων ἐν τῷ λοιπῷ δήμῳ τῶν νεκρῶν, ἐμοὶ δοκεῖν, τοσοῦτον ἀπολαύων τοῦ μνήματος, παρ' ὅσον ἐβαρύνετο τηλικοῦτον ἄχθος ἐπικείμενος· ἐπειδὰν γάρ, ὦ ἑταῖρε, ὁ Αἰακὸς ἀπομετρήσῃ ἑκάστῳ τὸν τόπον — δίδωσι δὲ τὸ μέγιστον οὐ πλέον ποδός — ἀνάγκη ἀγαπῶντα κατακεῖσθαι πρὸς τὸ μέτρον συνεσταλμένον. Πολλῷ δ' ἂν οἶμαι μᾶλλον ἐγέλασας, εἰ ἐθεάσω τοὺς παρ' ἡμῖν βασιλέας καὶ σατράπας πτωχεύοντας παρ' αὐτοῖς καὶ ἤτοι ταριχοπωλοῦντας ὑπ' ἀπορίας ἢ τὰ πρῶτα διδάσκοντας γράμματα καὶ ὑπὸ τοῦ τυχόντος ὑβριζομένους καὶ κατὰ κόρρης παιομένους ὥσπερ τῶν ἀνδραπόδων τὰ ἀτιμότατα· Φίλιππον γοῦν τὸν Μακεδόνα ἐγὼ θεασάμενος οὐδὲ κρατεῖν ἐμαυτοῦ δυνατὸς ἦν· ἐδείχθη δέ μοι ἐν γωνιδίῳ τινὶ μισθοῦ ἀκούμενος τὰ σαπρὰ τῶν ὑποδημάτων. Πολλοὺς δὲ καὶ ἄλλους ἦν ἰδεῖν ἐν ταῖς τριόδοις μεταιτοῦντας, Ξέρξας λέγω καὶ Δαρείους καὶ Πολυκράτεις.

18. ΦΙΛ. Ἄτοπα διηγῇ τὰ περὶ τῶν βασιλέων καὶ μικροῦ δεῖν ἄπιστα. Τί δὲ ὁ Σωκράτης ἔπραττε καὶ Διογένης καὶ εἴ τις ἄλλος τῶν σοφῶν;

ΜΕΝ. Ὁ μὲν Σωκράτης κἀκεῖ περιέρχεται διελέγχων ἅπαντας· σύνεισι δ' αὐτῷ Παλαμήδης καὶ Ὀδυσσεὺς καὶ Νέστωρ καὶ εἴ τις ἄλλος λάλος νεκρός. Ἔτι μέντοι ἐπεφύσητο αὐτῷ καὶ διῳδήκει ἐκ τῆς φαρμακοποσίας τὰ σκέλη. Ὁ δὲ βέλτιστος Διογένης παροικεῖ μὲν Σαρδαναπάλλῳ τῷ Ἀσσυρίῳ καὶ Μίδᾳ τῷ Φρυγὶ καὶ ἄλλοις τισὶ τῶν πολυτελῶν· ἀκούων δὲ οἰμωζόντων αὐτῶν καὶ τὴν παλαιὰν τύχην ἀναμετρουμένων γελᾷ τε καὶ τέρπεται καὶ τὰ πολλὰ ὕπτιος κατακείμενος ᾄδει μάλα τραχεῖα καὶ ἀπηνεῖ τῇ φωνῇ τὰς οἰμωγὰς αὐτῶν ἐπικαλύπτων, ὥστε ἀνιᾶσθαι τοὺς ἄνδρας καὶ διασκέπτεσθαι μετοικεῖν οὐ φέροντας τὸν Διογένην.

19. ΦΙΛ. Ταυτὶ μὲν ἱκανῶς· τί δὲ τὸ ψήφισμα ἦν, ὅπερ ἐν ἀρχῇ ἔλεγες κεκυρῶσθαι κατὰ τῶν πλουσίων;

ΜΕΝ. Εὖ γε ὑπέμνησας· οὐ γὰρ οἶδ' ὅπως περὶ τούτου λέγειν προθέμενος πάμπολυ ἀπεπλανήθην τοῦ λόγου. Διατρίβοντος γάρ μου παρ' αὐτοῖς προὔθεσαν οἱ πρυτάνεις ἐκκλησίαν περὶ τῶν κοινῇ συμφερόντων· ἰδὼν οὖν πολλοὺς συνθέοντας ἀναμίξας ἐμαυτὸν τοῖς νεsolet a poeta jussus : at finito jam dramate, quum exuerit eorum quisque auro sparsam illam vestem, personam posuerit, et descenderit a cothurnis, pauper et humilis obambulat, non amplius Agamemno Atrei filius, neque Creon Menœcei, sed Polus Chariclis Suniensis nomine nunc suo dictus, aut Satyrus Theogitonis Marathonius. Perinde atque ista hominum quoque res sunt, ut mihi tum videnti apparuit.

17. PHIL. At dic mihi, quæso, Menippe, qui sumtuosa ista sepulcrorum et celsa monumenta habent in terris, columnas, imagines atque inscriptiones, nihilne sunt honoratiores apud eos, quam plebeii mortui?

MEN. Deliras, o bone : quodsi conspexisses Mausolum ipsum (Carem illum dico, cujus ex monumento late fama circumfertur), id quidem bene scio, te cessaturum non fuisse a ridendo; tam humiliter abjectus erat in angulo quodam remoto, latens in reliqua mortuorum gente, tantum, opinione mea, fructus capiens ex monumento, quantum gravabatur tam grandi onere pressus : nam, amice, postquam Æacus admensus est suum singulis locum (tribuit autem ad summum non plus pede), eo necesse est contentos decumbere corpore ad modulum spatii contracto. Jam porro multo magis, puto, risisses, si spectasses illos qui reges apud nos et satrapæ fuerant, mendicantes ibi, et vel salsamentarios ex inopia, vel elementa prima docentes, dum a quolibet ex vulgo contumelias et alapas in caput impactas patiuntur, perinde ac mancipiorum vilissima. Philippum quidem Macedonem quando contemplabar, plane me continere non poteram : scilicet monstrabatur mihi in angulo quodam mercede resarciens attritos calceos. Multos præterea alios videre licebat in triviis stipem petentes, Xerxas inquam, Darios et Polycratas.

18. PHIL. Mirabilia narras de regibus, et parum abest quin incredibilia. Quid autem Socrates agebat, et Diogenes, et si quis alius sapientum?

MEN. Socrates ibi quoque obambulat redarguens omnes : adsunt autem ipsi Palamedes, Ulysses, Nestor, et si qua alia est umbra garrula : adhucdum vero inflata illi erant atque extumuerant e veneni potu crura. Optimus autem Diogenes habitat juxta Sardanapalum Assyrium, Midam Phrygem et alios quosdam hominum splendidorum : eos quum audit plorantes pristinamque fortunam animo remetientes, ridet ac delectatur; tum plurimum supinus recumbens cantat, valde aspera ac dura voce ejulatus eorum abscondens; quod illi adeo moleste patiuntur, ut consilia volvant migrandi, non ferentes Diogenem.

19. PHIL. Ista quidem satis : sed quod erat illud plebiscitum, quod initio dicebas perlatum esse adversus divites?

MEN. Bene vero submonuisti : nescio enim quomodo, quum de eo dicere proposuissem, longissime aberrarim ab instituto sermone. Ergo dum versabar apud inferos, edixerunt prytanes comitia de rebus ad communem utilitatem pertinentibus : ego, qui multos viderem concurrentes,

κροῖς εὐθὺς εἷς καὶ αὐτὸς ἦν τῶν ἐκκλησιαστῶν. Διωκήθη μὲν οὖν καὶ ἄλλα, τελευταῖον δὲ τὸ περὶ τῶν πλουσίων· ἐπεὶ γὰρ αὐτῶν κατηγόρητο πολλὰ καὶ δεινά, βία καὶ ἀλαζονεία καὶ ὑπεροφία καὶ ἀδικία, τέλος ἀναστάς τις τῶν δημαγωγῶν ἀνέγνω ψήφισμα τοιοῦτον.

ΨΗΦΙΣΜΑ.

20. « Ἐπειδὴ πολλὰ καὶ παράνομα οἱ πλούσιοι ὁρῶσι παρὰ τὸν βίον ἁρπάζοντες καὶ βιαζόμενοι καὶ πάντα τρόπον τῶν πενήτων καταφρονοῦντες, δεδόχθω τῇ βουλῇ καὶ τῷ δήμῳ, ἐπειδὰν ἀποθάνωσι, τὰ μὲν σώματα αὐτῶν κολάζεσθαι καθάπερ καὶ τὰ τῶν ἄλλων πονηρῶν, τὰς δὲ ψυχὰς ἀναπεμφθείσας ἄνω ἐς τὸν βίον καταδύεσθαι ἐς τοὺς ὄνους, ἄχρι ἂν ἐν τῷ τοιούτῳ διαγάγωσι μυριάδας ἐτῶν πέντε καὶ εἴκοσιν, ὄνοι ἐξ ὄνων γιγνόμενοι, καὶ ἀχθοφοροῦντες καὶ ὑπὸ τῶν πενήτων ἐλαυνόμενοι, τοὐντεῦθεν δὲ λοιπὸν ἐξεῖναι αὐτοῖς ἀποθανεῖν. Εἶπε τὴν γνώμην Κρανίων Σκελετίωνος Νεκυσιεὺς φυλῆς Ἀλιβαντίδος. »

Τούτου ἀναγνωσθέντος τοῦ ψηφίσματος ἐπεψήφισαν μὲν αἱ ἀρχαί, ἐπεχειροτόνησε δὲ τὸ πλῆθος καὶ ἐνεβριμήσατο ἡ Βριμὼ καὶ ὑλάκτησεν ὁ Κέρβερος· οὕτω γὰρ ἐντελῆ γίγνεται καὶ κύρια τὰ ἀνεγνωσμένα.

21. Ταῦτα μὲν δή σοι τὰ ἐν τῇ ἐκκλησίᾳ. Ἐγὼ δέ, ὑπὲρ ἀφίγμην ἕνεκα, τῷ Τειρεσίᾳ προσελθὼν ἱκέτευον αὐτὸν τὰ πάντα διηγησάμενος εἰπεῖν πρός με, ποῖόν τινα ἡγεῖται τὸν ἄριστον βίον. Ὁ δὲ γελάσας — ἔστι δὲ τυφλόν τι γερόντιον καὶ ὠχρὸν καὶ λεπτόφωνον — Ὦ τέκνον, φησί, τὴν μὲν αἰτίαν οἶδά σοι τῆς ἀπορίας ὅτι παρὰ τῶν σοφῶν ἐγένετο οὐ τὰ αὐτὰ γιγνωσκόντων ἑαυτοῖς· ἀτὰρ οὐ θέμις λέγειν πρὸς σέ· ἀπείρηται γὰρ ὑπὸ τοῦ Ῥαδαμάνθυος. Μηδαμῶς, ἔφην, ὦ πατέριον, ἀλλ' εἰπὲ καὶ μὴ περιίδῃς με σοῦ τυφλότερον περιιόντα ἐν τῷ βίῳ. Ὁ δὲ δή με ἀπαγαγὼν καὶ πολὺ τῶν ἄλλων ἀποσπάσας ἠρέμα προσκύψας πρὸς τὸ οὖς φησιν, Ὁ τῶν ἰδιωτῶν ἄριστος βίος καὶ σωφρονέστερος· ὡς τῆς ἀφροσύνης παυσάμενος τοῦ μετεωρολογεῖν καὶ τέλη καὶ ἀρχὰς ἐπισκοπεῖν καὶ καταπτύσας τῶν σοφῶν τούτων συλλογισμῶν καὶ τὰ τοιαῦτα λῆρον ἡγησάμενος τοῦτο μόνον ἐξ ἅπαντος θηράσῃ, ὅπως τὸ παρὸν εὖ θέμενος παραδράμῃς γελῶν τὰ πολλὰ καὶ περὶ μηδὲν ἐσπουδακώς.

Ὡς εἰπὼν πάλιν ὦρτο κατ' ἀσφοδελὸν λειμῶνα.

22. Ἐγὼ δὲ — καὶ γὰρ ἤδη ὀψὲ ἦν — Ἄγε δή, ὦ Μιθροβαρζάνη, φημί, τί διαμέλλομεν καὶ οὐχ ἅπιμεν αὖθις ἐς τὸν βίον; Ὁ δὲ πρὸς ταῦτα, Θάρρει, φησίν, ὦ Μένιππε· ταχεῖαν γάρ σοι καὶ ἀπράγμονα ὑποδείξω ἀτραπόν. Καὶ δὴ ἀπαγαγών με πρός τι χωρίον τοῦ ἄλλου ζοφερώτερον δείξας τῇ χειρὶ πόρρωθεν ἀμαυρόν τι καὶ λεπτὸν ὥσπερ διὰ κλειθρίας ἐσρέον φῶς, Ἐκεῖνο, ἔφη, ἐστὶ τὸ ἱερὸν τὸ Τροφωνίου, κἀκεῖθεν κατίασιν οἱ

immixtus umbris, statim unus eram illorum quibus in in concionem veniendi jus erat : tum igitur et alia sunt administrata, et denique quod ad divites spectabat negotium. Itaque quum criminum accusati essent multorum et gravium, violentiæ, arrogantiæ, superbiæ, injustitiæ, tandem surgens aliquis populi moderatorum prælegit scitum tale.

PSEPHISMA.

20. « Quandoquidem multa et injusta divites perpetrant in vita, rapiendo, vim inferendo omnibusque modis pauperes despicatui habendo, visum est Senatui Populoque, ut, quum obierint, eorum corpora pœnas subeant non secus atque aliorum improborum; animas autem sursum remissas in vitam demergi in asinos, usque dum in tali statu transegerint bis centum et quinquaginta millia annorum, asini ex asinis prognati, onera ferentes atque a pauperibus acti : exinde demum ut liceat ipsis mori. Dixi sententiam Cranion Sceletionis F. Necysiensis, tribu Alibantide. »

Hoc lecto psephismate in suffragia mittunt magistratus, scivit plebs, infremuit Brimo, et latravit Cerberus : nam eo pacto firma fiunt et rata quæ lecta sunt.

21. Atque hæc tibi sunt acta in concione. Ego porro, cujus gratia eo veneram, Tiresiam adii, eumque supplex rogavi, re tota narrata, ut exponeret mihi qualem tandem ducat optimam vitam. Tum ille risu sublato (est autem captus oculis seniculus, pallidus et tenuissima voce), Fili, inquit, causam novi tuæ fluctuationis a sapientibus esse ortam, qui secum ipsi dissident : at fas non est hæc ad te proloqui; interdictum enim ab Rhadamantho. Nullo pacto, inquam, suavissime pater, quin eloquere, neu me asperneris, qui te ipso cæcior oberrem in vita. Ille enimvero, quum me seduxisset longeque a ceteris abstraxisset, leniter inclinatus ad aurem, Idiotarum, ait, optima est vita, et prudentissima. Quare tu, posita dementia rimandi cœlestia, et fines ac principia rerum inspiciendi, despuens solertes illos syllogismos, et hæc talia pro nugis ducens, illud ex omnibus unum modo venabere, ut eo, quod in manibus est, sapienter usus prætercurras ridendo pleraque, nec quicquam serio studio consecteris. Hæc ubi dixerat, recepit se in asphodelo consitum pratum.

22. Atque ego (etenim jam serum erat), Age vero, Mithrobarzanes, inquam, quid ultra moramur et non abimus iterum in vitam? Ad hæc ille, Bono, inquit, esto animo, Menippe : brevem equidem tibi et minime molestum ostendam tramitem. Simul abduxit me ad quendam locum altero caliginosiorem, ostendensque manu procul obscurum aliquod et tenue tanquam per fenestram influens lumen, Illud, ait, est Trophonii fanum, atque inde descendunt

ἀπὸ Βοιωτίας· ταύτην οὖν ἄνιθι καὶ εὐθὺς ἔσῃ ἐπὶ τῆς Ἑλλάδος. Ἡσθεὶς δὲ τοῖς εἰρημένοις ἐγὼ καὶ τὸν μάγον ἀσπασάμενος χαλεπῶς μάλα διὰ τοῦ στομίου ἀνερπύσας οὐκ οἶδ' ὅπως ἐν Λεβαδείᾳ γίγνομαι.

Bœoti, hac igitur enitere, et statim eris in Græcia. Ego vero dictis delectatus, salutatoque mago, quum difficulter admodum per angustum ostium erepsissem, nescio quomodo in Lebadia adsum.

XII.

ΧΑΡΩΝ Η ΕΠΙΣΚΟΠΟΥΝΤΕΣ.

ΕΡΜΗΣ ΚΑΙ ΧΑΡΩΝ.

1. ΕΡΜ. Τί γελᾷς, ὦ Χάρων; ἢ τί τὸ πορθμεῖον ἀπολιπὼν δεῦρο ἀνελήλυθας ἐς τὴν ἡμετέραν οὐ πάνυ εἰωθὼς ἐπιχωριάζειν τοῖς ἄνω πράγμασιν;

ΧΑΡ. Ἐπεθύμησα, ὦ Ἑρμῆ, ἰδεῖν ὁποῖά ἐστι τὰ ἐν τῷ βίῳ καὶ ἃ πράττουσιν οἱ ἄνθρωποι ἐν αὐτῷ ἢ τίνων στερόμενοι πάντες οἰμώζουσι κατιόντες παρ' ἡμᾶς· οὐδεὶς γὰρ αὐτῶν ἀδακρυτὶ διέπλευσεν. Αἰτησάμενος οὖν παρὰ τοῦ Ἅδου καὶ αὐτὸς ὥσπερ ὁ Θετταλὸς ἐκεῖνος νεανίσκος μίαν ἡμέραν λειπόνεως γενέσθαι ἀνελήλυθα ἐς τὸ φῶς, καί μοι δοκῶ ἐς δέον ἐντετυχηκέναι σοι· ξεναγήσεις γὰρ εὖ οἶδ' ὅτι με ξυμπερινοστῶν καὶ δείξεις ἕκαστα ὡς ἂν εἰδὼς ἅπαντα.

ΕΡΜ. Οὐ σχολή μοι, ὦ πορθμεῦ· ἀπέρχομαι γάρ τι διακονησόμενος τῷ ἄνω Διὶ τῶν ἀνθρωπικῶν· ὁ δὲ ὀξύθυμός ἐστι καὶ δέδια μὴ βραδύναντά με ὅλον ὑμέτερον ἐάσῃ εἶναι παραδοὺς τῷ ζόφῳ, ἢ ὅπερ τὸν Ἥφαιστον πρώην ἐποίησε, ῥίψῃ κἀμὲ τεταγὼν τοῦ ποδὸς ἀπὸ τοῦ θεσπεσίου βηλοῦ, ὡς ὑποσκάζων γέλωτα καὶ αὐτὸς παρέχοιμι οἰνοχοῶν.

ΧΑΡ. Περιόψει οὖν με ἄλλως πλανώμενον ὑπὲρ γῆς καὶ ταῦτα ἑταῖρος καὶ σύμπλους καὶ ξυνδιάκτορος ὤν; Καὶ μὴν καλῶς εἶχεν, ὦ Μαίας παῖ, ἐκείνων γοῦν σε μεμνῆσθαι, ὅτι μηδεπώποτέ σε ἡ ἀντλεῖν ἐκέλευσα ἢ πρόσκωπον εἶναι· ἀλλὰ σὺ μὲν ῥέγκεις ἐπὶ τοῦ καταστρώματος ἐκταθεὶς ὤμους οὕτω καρτεροὺς ἔχων, ἢ εἴ τινα λάλον νεκρὸν εὕροις, ἐκείνῳ παρ' ὅλον τὸν πλοῦν διαλέγῃ· ἐγὼ δὲ πρεσβύτης ὢν τὴν δικωπίαν ἐρέττω μόνος. Ἀλλὰ πρὸς τοῦ πατρός, ὦ φίλτατον Ἑρμίδιον, μὴ καταλίπῃς με, περιήγησαι δὲ τὰ ἐν τῷ βίῳ ἅπαντα, ὅ τι καὶ ἰδὼν ἐπανέλθοιμι· ὡς ἦν με σὺ ἀφῇς, οὐδὲν τῶν τυφλῶν διοίσω· καθάπερ γὰρ ἐκεῖνοι σφάλλονται διολισθάνοντες ἐν τῷ σκότῳ, οὕτω δὴ κἀγώ σοι ἔμπαλιν ἀμβλυώττων πρὸς τὸ φῶς. Ἀλλὰ δός, ὦ Κυλλήνιε, ἐς ἀεὶ μεμνησομένῳ τὴν χάριν.

2. ΕΡΜ. Τοῦτο τὸ πρᾶγμα πληγῶν αἴτιον καταστήσεταί μοι· ὁρῶ γοῦν ἤδη τὸν μισθὸν τῆς περιηγήσεως οὐκ ἀκόνδυλον παντάπασιν ἡμῖν ἐσόμενον. Ὑπουργητέον δὲ ὅμως· τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε φίλος τις ὢν βιάζοιτο; Πάντα μὲν οὖν σε ἰδεῖν καθ' ἕκαστον ἀκριβῶς ἀμήχανόν ἐστιν, ὦ πορθμεῦ· πολλῶν γὰρ ἂν ἐτῶν ἡ διατριβὴ γένοιτο. Εἶτα ἐμὲ μὲν κηρύττεσθαι δεήσει καθάπερ ἀποδράντα ὑπὸ τοῦ Διός, σὲ δὲ καὶ αὐτὸν κωλύσει ἐνεργεῖν τὰ τοῦ Θανάτου ἔργα, καὶ τὴν

XII.

CHARON, SIVE CONTEMPLANTES.

MERCURIUS ET CHARON.

1. MERC. Quid tu rides, Charon? quidve navicula derelicta huc evasisti, ad præsentem usque diem non valde solitus frequentare res superas?

CHAR. Desideravi, Mercuri, inspicere qualia sint quæ habentur in vita, quæque ibi agant homines; deinde quibus privati omnes plorent, ubi deorsum venerint ad nos: nullus enim eorum sine lacrimis trajecit. Quare postulata ab Orco, non secus ac Thessalus ille juvenis, ad unum diem linquendæ navis venia, escendi in lucem; mihique videor in te peropportune incidisse: non enim dubito, quin hospitem amice ducturus sis, mecum obeundo singula monstrandoque, ut qui noris omnia.

MERC. Non sane vacat, portitor: etenim properò curaturus supero Jovi quiddam negotioli humani: hicce vero, quippe facilis irasci, metuo ne me cessantem vestræ ditionis esse totum sinat traditum in tenebras; aut, quod Vulcano nuperrime fecit, me quoque projiciat pede correptum de sacro cœli limine, ut subclaudo gressu risum et ipse præbeam vinum ministrans.

CHAR. Ergo te nulla mei cura tanget temere oberrantis in terra, idque quum sodalis sim, tecumque simul navigem et umbras transveham? Atqui non indecorum erat, Maiæ fili, eorum quidem ut meminisses, quod nunquam te antliam ducere jussi, nec remis admovi: quin stertis in transtris porrectus tu, qui humeros habes tam validos; nisi si garrulam aliquam umbram inveneris, quacum per totum cursum confabuleris: ego interea vetulus binos remos agens solus remigo. At per patrem te obsecro, suavissime Mercuriole, ne me destituas: imo age, per partes, in hominum vita quæ sint, omnia mihi demonstra, ut fructum aliquem ex ea contemplatione referam. Quodsi tu me deserueris, nihil inter me et cæcos intererit; quemadmodum enim illi vacillant frustratis per lubrica vestigiis in caligine, similiter sane et ego tibi vicissim acie sum ad lucem hebetata. Verum fac mihi, Cyllenie, semper memori futuro hanc gratiam.

2. MERC. Hocce negotium mihi non sine plagis abibit: jamque video mercedem præstiti officii præsentibus pugnis omnino persolutum iri: neque tamen eo minus opera tibi danda est: quid enim facias, ubi vir amicus blanda vi cogit? Ergo omnia quidem ut videas singulatim et accurate, nullo modo fieri potest; multorum enim hæc annorum foret mora. Tum me quidem oportuerit præconio citari, tanquam fugitivum, a Jove: te quoque ipsum idem impediverit, ne administres mortuale tuum munus; et Plutonis imperio

Πλούτωνος ἀρχὴν ζημιοῦν μὴ νεκραγωγοῦντα πολλοῦ τοῦ χρόνου· κἄτα ὁ τελώνης Αἰακὸς ἀγαναχτήσει μηδ' ὀβολὸν ἐμπολῶν. Ὡς δὲ τὰ κεφάλαια τῶν γιγνομένων ἴδοις, τοῦτο ἤδη σκεπτέον.

ΧΑΡ. Αὐτὸς, ὦ Ἑρμῆ, ἐπινόει τὸ βέλτιστον· ἐγὼ δὲ οὐδὲν οἶδα τῶν ὑπὲρ γῆς ξένος ὤν.

ΕΡΜ. Τὸ μὲν ὅλον, ὦ Χάρων, ὑψηλοῦ τινος ἡμῖν δεῖ χωρίου, ὡς ἀπ' ἐκείνου πάντα κατίδοις· σοὶ δὲ εἰ μὲν ἐς τὸν οὐρανὸν ἀνελθεῖν δυνατὸν ἦν, οὐκ ἂν ἐκάμνομεν· ἐκ περιωπῆς γὰρ ἂν ἀκριβῶς ἅπαντα καθεώρας. Ἐπεὶ δὲ οὐ θέμις εἰδώλοις ἀεὶ ξυνόντα ἐπιβατεύειν τῶν βασιλείων τοῦ Διὸς, ὥρα ὑμῖν ὑψηλόν τι ὄρος περισκοπεῖν.

3. ΧΑΡ. Οἶσθα, ὦ Ἑρμῆ, ἅπερ εἴωθα λέγειν ἐγὼ πρὸς ὑμᾶς, ἐπειδὰν πλέωμεν; ὁπόταν γὰρ τὸ πνεῦμα καταιγίσαν πλαγίᾳ τῇ ὀθόνῃ ἐμπέσῃ καὶ τὸ κῦμα ὑψηλὸν ἀρθῇ, τότε ὑμεῖς μὲν ὑπ' ἀγνοίας κελεύετε τὴν ὀθόνην στεῖλαι ἢ ἐνδοῦναι ὀλίγον τοῦ ποδὸς ἢ συνεκδραμεῖν τῷ πνέοντι, ἐγὼ δὲ τὴν ἡσυχίαν ἄγειν παρακελεύομαι ὑμῖν· αὐτὸς γὰρ εἰδέναι τὸ βέλτιον. Κατὰ ταὐτὰ δὴ καὶ σὺ πρᾶττε ὁπόσα καλῶς ἔχειν νομίζεις κυβερνήτης νῦν γε ὤν· ἐγὼ δὲ, ὥσπερ ἐπιβάταις νόμος, σιωπῇ καθεδοῦμαι πάντα πειθόμενος κελεύοντί σοι.

ΕΡΜ. Ὀρθῶς λέγεις· αὐτὸς γὰρ εἴσομαι τί ποιητέον κἀξευρήσω τὴν ἱκανὴν σκοπήν. Ἆρ' οὖν ὁ Καύκασος ἐπιτήδειος ἢ ὁ Παρνασὸς ὑψηλότερος ἢ ἀμφοῖν ὁ Ὄλυμπος ἐκεινοσί; καίτοι οὐ φαῦλον δ ἀνεμνήσθην ἐς τὸν Ὄλυμπον ἀπιδών· συγκαμεῖν δέ τι καὶ ὑπουργῆσαι καὶ σὲ δεῖ.

ΧΑΡ. Πρόσταττε· ὑπουργήσω γὰρ ὅσα δυνατά.

ΕΡΜ. Ὅμηρος ὁ ποιητής φησι τοὺς Ἀλωέως υἱέας, δύο καὶ αὐτοὺς ὄντας, ἔτι παῖδας ἐθελῆσαί ποτε τὴν Ὄσσαν ἐκ βάθρων ἀναστάσαντας ἐπιθεῖναι τῷ Ὀλύμπῳ, εἶτα τὸ Πήλιον ἐπ' αὐτῇ, ἱκανὴν ταύτην κλίμακα ἕξειν οἰομένους καὶ πρόσβασιν ἐπὶ τὸν οὐρανόν. Ἐκείνω μὲν οὖν τὼ μειρακίω, ἀτασθάλω γὰρ ἦστην, δίκας ἐτισάτην· νὼ δὲ — οὐ γὰρ ἐπὶ κακῷ τῶν θεῶν ταῦτα βουλεύομεν — τί οὐχὶ οἰκοδομοῦμεν καὶ αὐτοὶ κατὰ τὰ αὐτὰ ἐπικυλινδοῦντες ἐπάλληλα τὰ ὄρη, ὡς ἔχοιμεν ἀφ' ὑψηλοτέρου ἀκριβεστέραν τὴν σκοπήν;

4. ΧΑΡ. Καὶ δυνησόμεθα, ὦ Ἑρμῆ, δύ' ὄντες ἀναθέσθαι ἀράμενοι τὸ Πήλιον ἢ τὴν Ὄσσαν;

ΕΡΜ. Διὰ τί δ' οὐκ ἂν, ὦ Χάρων; ἢ ἀξιοῖς ἡμᾶς ἀγεννεστέρους εἶναι τοῖν βρεφυλλίοιν ἐκείνοιν, καὶ ταῦτα θεοὺς ὑπάρχοντας;

ΧΑΡ. Οὐκ, ἀλλὰ τὸ πρᾶγμα δοκεῖ μοι ἀπίθανόν τινα τὴν μεγαλουργίαν ἔχειν.

ΕΡΜ. Εἰκότως· ἰδιώτης γὰρ εἶ, ὦ Χάρων, καὶ ἥκιστα ποιητικός· ὁ δὲ γεννάδας Ὅμηρος ἀπὸ δυοῖν στίχοιν αὐτίκα ἡμῖν ἀμβατὸν ἐποίησε τὸν οὐρανὸν, οὕτω ῥᾳδίως συνθεὶς τὰ ὄρη. Καὶ θαυμάζω, εἴ σοι ταῦτα τεράστια εἶναι δοκεῖ τὸν Ἄτλαντα δηλαδὴ εἰδότι, ὃς τὸν πόλον αὐτὸν εἷς ὢν φέρει ἀνέχων ἡμᾶς ἅπαντας. Ἀκούεις δέ γε ἴσως καὶ τοῦ ἀδελφοῦ τοῦ ἐμοῦ πέρι τοῦ Ἡρα-

damnum attuleris, si nullos mortuos deducas longo temporis intervallo: denique publicanus Æacus indignabitur, ne obolum quidem lucrifaciens. Ut vero summa rerum, quæ geruntur, capita spectes, id jam nunc dispiciendum est.

CHAR. Ipse tu, Mercuri, quid optimum sit, excogita: quandoquidem ego eorum ignarus sum, quæ sunt in terra, quippe hospes.

MERC. Ut paucis dicam, Charon, eminente quodam nobis opus erat loco, ut inde cuncta contempleris: quodsi in cœlum ascendendi jus tibi foret, non laboraremus: ex specula enim exacte cuncta despiceres: nunc, quoniam fas non est te, qui cum umbris semper versaris, pedem ponere in regia Jovis, id scilicet agendum nobis, ut montem aliquem altum circumspiciamus.

3. CHAR. Scin', Mercuri, quæ soleam dicere vobis, quando navigamus? quum enim ventus turbine impulsus in obliquum velum incidit, fluctusque tumidi tolluntur, tum vos præ imperitia jubetis velum contrahere, aut laxare paululum pedem, aut obsecundare vento rapienti: ego vero vos, ut quietem agatis, admoneo; me enim ipsum optime scire quid facto sit opus. Similem in modum tu, qui nunc vicem gubernatoris geris, fac quodcumque putaveris e re esse: at ego, ut vectorum est officium, silentio sedebo, per omnia morem gerens imperanti tibi.

MERC. Recte mones: nam ipse scivero quid fieri conveniat, et invenero idoneam speculam. Num igitur Caucasus opportunus? an Parnassus altior, an utroque Olympus iste? At enim non inscitum aliquid mihi in mentem venit ad Olympum respicienti; verum te quoque operam mecum laboremque consociare oportet.

CHAR. Impera modo: adjuvabo quod in me est.

MERC. Homerus poeta Aloei filios, et ipsos duos, ait adhucdum pueros voluisse aliquando Ossam ex fundamentis revulsam imponere Olympo, tum Pelion Ossæ, illamque se scalam idoneam habituros putasse et ascensum in cœlos. Illi quidem ambo adolescentuli, utpote perditissime improbi, pœnas luerunt: nos autem, quibus in deorum fraudem hæc consilia non capiuntur, cur non structuram et ipsi similem adornamus, convolutis aliis super alios montibus, ut nanciscamur ab altiore loco accuratiorem prospectum?

4. CHAR. Et poterimus, Mercuri, nos duo in altum extollere levatum Pelium aut Ossam?

MERC. Quidni, Charon? an nos statuis ignaviores esse puerulis istis, idque, qui dii simus?

CHAR. Non quidem: verum res mihi videtur improbabilem quandam habere operis aggrediundi magnitudinem.

MERC. Sane; quippe literarum imperitus es, o Charon, minimeque poetica facultate præditus: at animosus ille Homerus binorum versuum opera statim nobis aditum in cœlos confecit: tam ex facili componebat montes. Equidem miror, si ista tibi esse portentosa videantur, quem Atlas non latet scilicet, qui polum ipsum fert unus, sustinens nos simul omnes. Etiam inaudiveris forte de fratre meo Her-

κλέους, ὡς διαδέξαιτό ποτε αὐτὸν ἐκεῖνον τὸν Ἄτλαντα, καὶ ἀναπαύσειε πρὸς ὀλίγον τοῦ ἄχθους ὑποθεὶς ἑαυτὸν τῷ φορτίῳ.

ΧΑΡ. Ἀκούω καὶ ταῦτα· εἰ δὲ ἀληθῆ, σὺ ἂν, ὦ Ἑρμῆ, καὶ οἱ ποιηταὶ εἰδείητε.

ΕΡΜ. Ἀληθέστατα, ὦ Χάρων· ἢ τίνος γὰρ ἕνεκα σοφοὶ ἄνδρες ἐψεύδοντο ἄν; ὥστε ἀναμοχλεύωμεν τὴν Ὄσσαν πρῶτον, ὥσπερ ἡμῖν ὑφηγεῖται τὸ ἔπος καὶ ὁ ἀρχιτέκτων,

αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον.

Ὁρᾷς, πῶς; ῥᾳδίως ἅμα καὶ ποιητικῶς ἐξειργάσμεθα. Φέρ' οὖν ἀναβὰς ἴδω εἰ καὶ ταῦτα ἱκανὰ ἢ ἐποικοδομεῖν ἔτι δεήσει.

5. Παπαῖ, κάτω ἔτι ἐσμὲν ἐν ὑπωρείᾳ τοῦ οὐρανοῦ· ἀπὸ μὲν γὰρ τῶν ἑῴων μόγις Ἰωνία καὶ Λυδία φαίνεται, ἀπὸ δὲ τῆς ἑσπέρας οὐ πλέον Ἰταλίας καὶ Σικελίας, ἀπὸ δὲ τῶν ἀρκτῴων τὰ ἐπὶ τάδε τοῦ Ἴστρου μόνον, κἀκεῖθεν ἡ Κρήτη οὐ πάνυ σαφῶς. Μετακινητέα ἡμῖν, ὦ πορθμεῦ, καὶ ἡ Οἴτη, ὡς ἔοικεν, εἶτα ὁ Παρνασὸς ἐπὶ πᾶσιν.

ΧΑΡ. Οὕτω ποιῶμεν. Ὅρα μόνον μὴ λεπτότερον ἐξεργασώμεθα τὸ ἔργον ἀπομηκύναντες πέρα τοῦ πιθανοῦ, εἶτα συγκαταρριφέντες αὐτῷ πικρᾶς τῆς Ὁμήρου οἰκοδομητικῆς πειραθῶμεν ξυντριβέντες τῶν κρανίων.

ΕΡΜ. Θάρρει· ἀσφαλῶς ἕξει ἅπαντα. Μετατίθει τὴν Οἴτην· ἐπικυλινδείσθω ὁ Παρνασός. Ἰδοὺ δή, ἐπάνειμι αὖθις· εὖ ἔχει· πάντα ὁρῶ· ἀνάβαινε ἤδη καὶ σύ.

ΧΑΡ. Ὄρεξον, ὦ Ἑρμῆ, τὴν χεῖρα· οὐ γὰρ ἐπὶ μικράν με ταύτην μηχανὴν ἀναβιβάζεις.

ΕΡΜ. Εἴ γε καὶ ἰδεῖν ἐθέλεις, ὦ Χάρων, ἅπαντα· οὐκ ἐνὶ δὲ ἄμφω καὶ ἀσφαλῆ καὶ φιλοθεάμονα εἶναι. Ἀλλ' ἔχου μου τῆς δεξιᾶς καὶ φείδου μὴ κατὰ τοῦ ὀλισθηροῦ πατεῖν. Εὖ γε, ἀνελήλυθας καὶ σύ· ἐπείπερ δὲ δικόρυμβος ὁ Παρνασός ἐστι, μίαν ἑκάτερος ἄκραν ἐπιλαβόμενοι καθεζώμεθα. Σὺ δέ μοι ἤδη ἐν κύκλῳ περιβλέπων ἐπισκόπει ἅπαντα.

6. ΧΑΡ. Ὁρῶ γῆν πολλὴν καὶ λίμνην τινὰ μεγάλην περιῤῥέουσαν καὶ ὄρη καὶ ποταμοὺς τοῦ Κωκυτοῦ καὶ Πυριφλεγέθοντος μείζονας καὶ ἀνθρώπους πάνυ σμικροὺς καὶ τινὰς φωλεοὺς αὐτῶν.

ΕΡΜ. Πόλεις ἐκεῖναί εἰσιν, οὓς φωλεοὺς εἶναι νομίζεις.

ΧΑΡ. Οἶσθα οὖν, ὦ Ἑρμῆ, ὡς οὐδὲν ἡμῖν πέπρακται, ἀλλὰ μάτην τὸν Παρνασὸν αὐτῇ Κασταλίᾳ καὶ τὴν Οἴτην καὶ τὰ ἄλλα ὄρη μετεκινήσαμεν;

ΕΡΜ. Ὅτι τί;

ΧΑΡ. Οὐδὲν ἀκριβὲς ἐγὼ γοῦν ἀπὸ τοῦ ὑψηλοῦ ὁρῶ· ἐδεόμην δὲ οὐ πόλεις καὶ ὄρη αὐτὸ μόνον ὥσπερ ἐν γραφαῖς ὁρᾶν, ἀλλὰ τοὺς ἀνθρώπους αὐτοὺς καὶ ἃ πράττουσι καὶ οἷα λέγουσιν, ὥσπερ ὅτε με τὸ πρῶτον ἐντυχὼν εἶδες γελῶντα καὶ ἤρου με ὅ τι γελῴην· ἀκούσας γάρ τινος ἡσθην ἐς ὑπερβολήν.

cule, ut successerit aliquando hic in vicem illius ipsius Atlantis, eumque recrearit interquiescentem tantisper, dum ipse subditis humeris onus cœli gestaret.

CHAR. Audivi et ista : sintne vera, tu, Mercuri, poetæque sciveritis.

MERC. Verissima, Charon : nam quam ob rem sapientes viri falsum dicerent? Itaque emoliamur Ossam primum, uti nobis præmonstrat carmen et architectus Homerus; « dein super Ossam tremulum arboribus Pelion. » Viden' ut successerit? facile simul et poetice rem perfecimus. Age igitur ascendam videamque, istane sint satis idonea, an plura insuper accumulare debeamus.

5. Papæ! infra sumus adhuc in radicibus Olympi : etenim ab Orientali plaga vix Ionia et Lydia apparet; ab Occidente non plus quam Italia et Sicilia; a Septentrionali regione, quæ cis Istrum sunt sola : ab ista vero parte Creta non admodum dilucide. Sedibus suis emovenda nobis, portitor, etiam Œta, uti par est; tum Parnassus super omnes imponendus.

CHAR. Ita faciamus : vide modo, ne subtilius elaboremus opus producendo ultra verisimilitudinem; deinde ne cum ipsa mole devoluti amaram nobis Homeri architecturam experiamur, contritis craniis.

MERC. Bono sis animo : periculo nobis vacabunt hæc omnia. Transfer Œtam : subvolvatur etiam Parnassus. En iterum escendo : recte habet; cuncta video : jam tu quoque huc subi.

CHAR. Porrige, Mercuri, manum : haud enim in parvam istam me machinam elevas.

MERC. Siquidem contemplari vis, Charon, omnia : etenim non licet utrumque, et tutum et spectandi cupidum esse. At tu tene dextram meam firmiter, et parce pedem in lubrico ponere. Euge, tu etiam huc evasisti : quandoquidem vero biceps est Parnassus, alterum uterque verticem occupemus ubi consideamus. Tu vero jam mihi in orbem circumspiciens, contuere omnia.

6. CHAR. Video terram amplam, eamque lacum quendam magnum circumfluentem; tum montes, et fluvios Cocyto ac Pyriphlegethonte majores; deinde homines valde parvos, eorumque lustra quædam.

MERC. Sunt illæ urbes, quas tu lustra esse putas.

CHAR. Scin' tu, Mercuri, nihil esse nobis actum? quin frustra Parnassum cum ipso fonte Castalio, et Œtam et alios montes loco emovimus.

MERC. Quid ita?

CHAR. Nihil equidem accurate distinctum ex alto video : volebam enimvero non urbes nec montes solos tantum, velut in picturis, videre; sed ipsos homines, quæque agant, et qualia loquantur : uti quum mihi primum obviam factus conspexisti ridentem, quærebasque quid riderem : etenim re quadam audita mirificum in modum eram delectatus.

ΕΡΜ. Τί δαὶ τοῦτο ἦν;

ΧΑΡ. Ἐπὶ δεῖπνον, οἶμαι, κληθεὶς ὑπό τινος τῶν φίλων ἐς τὴν ὑστεραίαν, Μάλιστα ἥξω, ἔφη, καὶ μεταξὺ λέγοντος ἀπὸ τοῦ τέγους κεραμὶς ἐπιπεσοῦσα οὐκ οἶδ' ὅτου κινήσαντος ἀπέκτεινεν αὐτόν. Ἐγέλασα οὖν, οὐκ ἐπιτελέσαντος τὴν ὑπόσχεσιν. Ἔοικα δὲ καὶ νῦν ὑποκαταβήσεσθαι, ὡς μᾶλλον βλέποιμι καὶ ἀκούοιμι.

7. ΕΡΜ. Ἔχ' ἀτρέμας· καὶ τοῦτο γὰρ ἐγὼ ἰάσομαί σοι καὶ ὀξυδερκέστατον ἐν βραχεῖ ἀποφανῶ παρ' Ὁμήρου τινὰ καὶ πρὸς τοῦτο ἐπῳδὴν λαβών, κἀπειδὰν εἴπω τὰ ἔπη, μέμνησο μηκέτι ἀμβλυώττειν, ἀλλὰ σαφῶς πάντα ὁρᾶν.

ΧΑΡ. Λέγε μόνον.

ΕΡΜ. Ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν εἷον, ἡ πρὶν ἐπῆεν,
ὄφρ' εὖ γινώσκῃς ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα.

Τί ἐστιν; ἤδη ὁρᾷς;

ΧΑΡ. Ὑπερφυῶς γε· τυφλὸς ὁ Αυγκεὺς ἐκεῖνος ὡς πρὸς ἐμέ· ὥστε σὺ τὸ ἐπὶ τούτῳ προσδίδασκέ με καὶ ἀποκρίνου ἐρωτῶντι. Ἀλλὰ βούλει κἀγὼ κατὰ τὸν Ὅμηρον ἐρήσομαί σε, ὡς μάθῃς οὐδ' αὐτὸν ἀμελέτητον ὄντα με τῶν Ὁμήρου;

ΕΡΜ. Καὶ πόθεν σὺ ἔχεις τι τῶν ἐκείνου εἰδέναι ναύτης ἀεὶ καὶ πρόσκωπος ὤν;

ΧΑΡ. Ὁρᾷς; ὀνειδιστικὸν τοῦτο ἐς τὴν τέχνην. Ἐγὼ δὲ ὁπότε διεπόρθμευον αὐτὸν ἀποθανόντα, πολλὰ ῥαψῳδοῦντος ἀκούσας ἐνίων ἔτι μέμνημαι· καίτοι χειμὼν ἡμᾶς οὐ μικρὸς τότε κατελάμβανεν. Ἐπεὶ γὰρ ἤρξατο ᾄδειν οὐ πάνυ αἰσιόν τινα ᾠδὴν τοῖς πλέουσιν, ὡς ὁ Ποσειδῶν συνήγαγε τὰς νεφέλας καὶ ἐτάραξε τὸν πόντον ὥσπερ τορύνην τινὰ ἐμβαλὼν τὴν τρίαιναν καὶ πάσας τὰς θυέλλας ὠρόθυνε καὶ ἄλλα πολλά, κυκῶν τὴν θάλατταν ὑπὸ τῶν ἐπῶν, χειμὼν ἄφνω καὶ γνόφος ἐμπεσὼν ὀλίγου δεῖν περιέτρεψεν ἡμῖν τὴν ναῦν· ὅτε περ καὶ ναυτιάσας ἐκεῖνος ἀπήμεσε τῶν ῥαψῳδιῶν τὰς πολλὰς αὐτῇ Σκύλλῃ καὶ Χαρύβδει καὶ Κύκλωπι. Οὐ χαλεπὸν οὖν ἦν ἐκ τοσούτου ἐμέτου ὀλίγα γοῦν διαφυλάττειν.

8. Εἰπὲ γάρ μοι·

τίς γὰρ δὴ ὅδ' ἐστὶ πάχιστος ἀνὴρ ἠός τε μέγας τε,
ἔξοχος ἀνθρώπων κεφαλὴν καὶ εὐρέας ὤμους;

ΕΡΜ. Μίλων οὗτος ὁ ἐκ Κρότωνος ἀθλητής. Ἐπικροτοῦσι δ' αὐτῷ οἱ Ἕλληνες, ὅτι τὸν ταῦρον ἀράμενος φέρει διὰ τοῦ σταδίου μέσου.

ΧΑΡ. Καὶ πόσῳ δικαιότερον ἂν ἐμέ, ὦ Ἑρμῆ, ἐπαινοῖεν, ὃς αὐτόν σοι τὸν Μίλωνα μετ' ὀλίγον ξυλλαβὼν ἐνθήσομαι ἐς τὸ σκαφίδιον, ὁπόταν ἥκῃ πρὸς ἡμᾶς ὑπὸ τοῦ ἀναλωτοτάτου τῶν ἀνταγωνιστῶν καταπαλαισθεὶς τοῦ Θανάτου, μηδὲ ξυνεὶς ὅπως αὐτὸν ὑποσκελίζει; κἄτα οἰμώξεται ἡμῖν δηλαδὴ μεμνημένος τῶν στεφάνων τούτων καὶ τοῦ κρότου· νῦν δὲ μέγα φρονεῖ θαυμαζόμενος ἐπὶ τῇ τοῦ ταύρου φορᾷ. Τί δ' οὖν οἰηθῶμεν; ἆρα ἐλπίζειν αὐτὸν καὶ τεθνήξεσθαί ποτε;

MERC. Quid autem illud erat?

CHAR. Ad cœnam aliquis, opinor, vocatus a quodam amicorum in posterum diem, Sine dubio veniam, inquit: dumque loquebatur, de tecto in caput tegula delapsa, nescio quo impellente, eum interemit: quare risi, quod ad constitutum non venerit. At vero mihi nunc etiam inferius descendendum, ut magis videam et audiam.

7. MERC. Ne te moveas: equidem et huic malo remedium tibi afferam, teque visu acutissimum brevi reddam ab Homero quadam ad hunc quoque usum incantatione sumta: tu vero, simul ac pronunciavero versus, sic tibi persuade, te non amplius esse hebeti oculorum acie, sed plane cuncta perspicere.

CHAR. Dic modo.

MERC. Ecce tibi nebulam velantem lumina demsi,
divos mortalesque ut jam dignoscere possis.

Quid est? jamne liquide vides?

CHAR. Mirum in modum, ut nihil supra: cæcus fuerit Lynceus ille præ me. Itaque tu nunc porro doce me, ac responde roganti. Sed vin' ex Homero et ego te rogem, ut discas in Homeri carminibus me quoque non esse non versatum?

MERC. Unde vero tibi fit, eorum quicquam ut scias, qui nauta semper remoque affixus fueris?

CHAR. Ecce autem, quam hoc probrose dicitur in artem! Neque tamen eo minus, quando illum trajiciebam fato functum, quum multa canentem audiverim, quorundam adhuc memini; quanquam tempestas nos non mediocris tunc deprehendebat. Postquam enim occepit cantando recitare nescio quam non valde navigantibus auspicatam cantilenam, scilicet Neptunum conduxisse nubes, turbasse pontum, velut radicula quadam injecto tridente, omnesque procellas concitasse, atque alia multa, dum mare miscet versibus, tanta tempestas subito caligoque ingruit, ut parum abesset quin navim nobis everteret; dum ille nausea correptus evomuit rhapsodiarum plerasque cum ipsa Scylla, Charybdi et Cyclope. Haud arduum igitur erat ex tanto vomitu paucula certe conservare.

8. At dic mihi, quæso,

Quisnam hic eximie crassus vir, strenuus, amplus,
qui capite et latis humeris supereminet omnes?

MERC. Milon Crotone oriundus, athleta: plausus ipsi dant Græci, quod taurum sublatum ferat per stadium medium.

CHAR. Et quanto justius me, Mercuri, laudent, qui ipsum tibi Milonem haud multo post comprehensum imponam in cymbulam, quum veniet ad nos a Morte adversariorum invictissimo dejectus, ne intelligens quidem, quo pacto ipsum supplantatum prosternat? deinde nobis gemitus edet scilicet, recordatus coronarum istarum et plausus: nunc vero magnum spirat, dum omnes eum admirantur ob taurum gestatum. Quid ergo? illumne existimabimus sperare se aliquando moriturum esse?

ΕΡΜ. Πόθεν ἐκεῖνος θανάτου νῦν μνημονεύσειεν ἂν ἐν ἀκμῇ τοσαύτῃ;

ΧΑΡ. Ἔα τοῦτον οὐκ εἰς μακρὰν γέλωτα ἡμῖν παρέξοντα, ὁπόταν πλέῃ μηδ' ἐμπίδα ἡμῖν οὐχ ὅπως ταῦρον ἔτι ἄρασθαι δυνάμενος.

9. Σὺ δέ μοι ἐκεῖνο εἰπέ,

τίς τ' ἄρ' ὅδ' ἄλλος ὁ σεμνὸς ἀνήρ;

οὐχ Ἕλλην, ὡς ἔοικεν ἀπὸ γοῦν τῆς στολῆς.

ΕΡΜ. Κῦρος, ὦ Χάρων, ὁ Καμβύσου, ὃς τὴν ἀρχὴν πάλαι Μήδων ἐχόντων νῦν Περσῶν ἤδη ἐποίησεν εἶναι· καὶ Ἀσσυρίων δ' ἐναγχος οὗτος ἐκράτησε καὶ Βαβυλῶνα παρεστήσατο καὶ νῦν ἐλασείοντι ἐπὶ Λυδίαν ἔοικεν, ὡς καθελὼν τὸν Κροῖσον ἄρχειν ἁπάντων.

ΧΑΡ. Ὁ Κροῖσος δὲ ποῦ ποτε κἀκεῖνός ἐστιν;

ΕΡΜ. Ἐκεῖσε ἀπόβλεψον ἐς τὴν μεγάλην ἀκρόπολιν τὴν τὸ τριπλοῦν τεῖχος· Σάρδεις ἐκεῖναι, καὶ τὸν Κροῖσον αὐτὸν ὁρᾷς ἤδη ἐπὶ κλίνης χρυσῆς καθήμενον Σόλωνι τῷ Ἀθηναίῳ διαλεγόμενον. Βούλει ἀκούσωμεν αὐτῶν ὅ τι καὶ λέγουσι;

ΧΑΡ. Πάνυ μὲν οὖν.

10. ΚΡ. Ὦ ξένε Ἀθηναῖε, εἶδες γάρ μου τὸν πλοῦτον καὶ τοὺς θησαυροὺς καὶ ὅσος ἄσημος χρυσός ἐστιν ἡμῖν καὶ τὴν ἄλλην πολυτέλειαν, εἰπέ μοι τίνα ἡγῇ τῶν ἁπάντων ἀνθρώπων εὐδαιμονέστατον εἶναι.

ΧΑΡ. Τί ἄρα ὁ Σόλων ἐρεῖ;

ΕΡΜ. Θάρρει· οὐδὲν ἀγεννὲς, ὦ Χάρων.

ΣΟΛ. Ὦ Κροῖσε, ὀλίγοι μὲν οἱ εὐδαίμονες· ἐγὼ δὲ ὧν οἶδα Κλέοβιν καὶ Βίτωνα ἡγοῦμαι εὐδαιμονεστάτους γενέσθαι, τοὺς τῆς ἱερείας παῖδας τῆς Ἀργόθεν.

ΧΑΡ. Φησὶν οὗτος τοὺς ἅμα πρώην ἀποθανόντας, ἐπεὶ τὴν μητέρα ὑποδύντες εἵλκυσαν ἐπὶ τῆς ἁπήνης ἄχρι πρὸς τὸ ἱερόν.

ΚΡΟΙΣ. Ἔστω· ἐχέτωσαν ἐκεῖνοι τὰ πρῶτα τῆς εὐδαιμονίας. Ὁ δεύτερος δὲ τίς ἂν εἴη;

ΣΟΛ. Τέλλος ὁ Ἀθηναῖος, ὃς εὖ τε ἐβίω καὶ ἀπέθανεν ὑπὲρ τῆς πατρίδος.

ΚΡΟΙΣ. Ἐγὼ δὲ, ὦ κάθαρμα, οὔ σοι δοκῶ εὐδαίμων εἶναι;

ΣΟΛ. Οὐδέπω οἶδα, ὦ Κροῖσε, ἢν μὴ πρὸς τὸ τέλος ἀφίκῃ τοῦ βίου· ὁ γὰρ θάνατος ἀκριβὴς ἔλεγχος τῶν τοιούτων καὶ τὸ ἄχρι πρὸς τὸ τέρμα εὐδαιμόνως διαβιῶναι.

ΧΑΡ. Κάλλιστα, ὦ Σόλων, ὅτι ἡμῶν οὐκ ἐπιλέλησαι, ἀλλὰ παρὰ τὸ πορθμεῖον αὐτὸς ἀξιοῖς γίγνεσθαι τὴν περὶ τῶν τοιούτων κρίσιν.

11. Ἀλλὰ τίνας ἐκείνους ὁ Κροῖσος ἐκπέμπει ἢ τί ἐπὶ τῶν ὤμων φέρουσι;

ΕΡΜ. Πλίνθους τῷ Πυθίῳ χρυσᾶς ἀνατίθησι μισθὸν τῶν χρησμῶν, ὑφ' ὧν καὶ ἀπολεῖται μικρὸν ὕστερον· φιλόμαντις δὲ ἀνὴρ ἐκτόπως.

ΧΑΡ. Ἐκεῖνο γάρ ἐστιν ὁ χρυσὸς, τὸ λαμπρὸν ὃ ἀποστίλβει, τὸ ὕπωχρον μετ' ἐρυθήματος; νῦν γὰρ πρῶτον εἶδον ἀκούων ἀεί.

MERC. Qui fieri potest, mortis ut ille meminerit in tanto roboris vigore?

CHAR. Mitte istum, qui non longe post risum nobis præbiturus est, quando navigio meo vectabitur, quum ne culicem quidem nobis, nedum taurum, sustinere poterit.

9. Tu porro id mihi dic, «quis hic alius sit venerabili forma vir præstans?» non Græcus, ut videtur, quantum e vestitu quidem apparet.

MERC. Cyrus, Charon, Cambysæ filius, qui imperium, quod Medi dudum tenebant, nunc ad Persas transtulit: Assyrios idem hicce nuper devicit, suamque in potestatem Babylonem redegit; et nunc expeditionem videtur meditari et jamjam suscipere in Lydiam, ut, Crœso subacto, potiatur omnium.

CHAR. Crœsus autem ubi tandem et ille est?

MERC. Eo respice ad magnam illam arcem, triplici muro munitam: Sardes istæ sunt: ipsumque jam Crœsum conspicis in aureo lecto sedentem, cumque Solone Atheniensi confabulantem. Vin' auscultemus quidnam dicant?

CHAR. Lubentissime quidem.

10. CRŒS. Hospes Atheniensis (nam vidisti divitias meas, et thesauros, quantumque nobis sit rudis auri, ceterarumque rerum lautissimum apparatum), dic mihi quem ducas omnium hominum felicissimum esse.

CHAR. Quid ergo Solon respondebit?

MERC. Hac de re securus esto: nihil, Charon, quod animum magnum dedeceat.

SOL. Crœse, pauci felices: eorum autem, quos ego novi, Cleobin et Bitonem statuo felicissimos exstitisse, illos inquam sacerdotis Argivæ filios.

CHAR. Illos hic dicit, qui una nuper admodum sunt mortui, postquam matrem jugo succedentes traxerant in carpento usque ad templum.

CRŒS. Sit ita: primas illi ferant felicitatis: at secundas quis obtineat?

SOL. Tellus Atheniensis, qui et bene vixit, et pro patria mortem oppetiit.

CRŒS. Ego vero, purgamentum hominis, non tibi videor esse felix?

SOL. Necdum mihi liquet, Crœse, nisi ad finem perveneris vitæ: mors enim exactissimus index ejusmodi rerum et vita ad metam usque feliciter peracta.

CHAR. Pulcherrime, Solon, quod nostri non sis oblitus, sed in cymbula nostra esse censeas de talibus bene judicandi normam.

11. Sed quosnam istos Crœsus ablegat? aut quid id est quod in humeris ferunt?

MERC. Lateres Apollini Pythio aureos consecrat, mercedem oraculorum, per quæ etiam pessumibit brevi post tempore: est autem vatibus vir deditus supra modum.

CHAR. Illud igitur est aurum, splendidum id quod refulget, subpallidum rubore tinctum? nunc enim primum vidi de quo semper audio.

ΕΡΜ. Ἐκεῖνο, ὦ Χάρων, τὸ ἀοίδιμον ὄνομα καὶ περιμάχητον.

ΧΑΡ. Καὶ μὴν οὐχ ὁρῶ ὅ τι ἀγαθὸν αὐτῷ πρόσεστιν, εἰ μὴ ἄρα ἕν τι μόνον, ὅτι βαρύνονται οἱ φέροντες αὐτό.

ΕΡΜ. Οὐ γὰρ οἶσθα ὅσοι πόλεμοι διὰ τοῦτο καὶ ἐπιβουλαὶ καὶ λῃστήρια καὶ ἐπιορκίαι καὶ φόνοι καὶ δεσμὰ καὶ πλοῦς μακρὸς καὶ ἐμπορίαι καὶ δουλεῖαι;

ΧΑΡ. Διὰ τοῦτο, ὦ Ἑρμῆ, τὸ μὴ πολὺ τοῦ χαλκοῦ διαφέρον; οἶδα γὰρ τὸν χαλκὸν, ὀβολὸν, ὡς οἶσθα, παρὰ τῶν καταπλεόντων ἑκάστου ἐκλέγων.

ΕΡΜ. Ναί· ἀλλ' ὁ χαλκὸς μὲν πολὺς, ὥστε οὐ πάνυ σπουδάζεται ὑπ' αὐτῶν· τοῦτον δὲ ὀλίγον ἐκ πολλοῦ τοῦ βάθους οἱ μεταλλεύοντες ἀνορύττουσι· πλὴν ἀλλ' ἐκ γῆς καὶ οὗτος ὥσπερ ὁ μόλυβδος καὶ τὰ ἄλλα.

ΧΑΡ. Δεινήν τινα λέγεις τῶν ἀνθρώπων τὴν ἀβελτερίαν, οἳ τοσοῦτον ἔρωτα ἐρῶσιν ὠχροῦ καὶ βαρέος κτήματος.

ΕΡΜ. Ἀλλ' οὐ Σόλων γε ἐκεῖνος, ὦ Χάρων, ἐρᾶν αὐτοῦ φαίνεται· ὡς ὁρᾷς, καταγελᾷ γὰρ τοῦ Κροίσου καὶ τῆς μεγαλαυχίας τοῦ βαρβάρου, καί μοι δοκεῖν ἐρέσθαι τι βούλεται αὐτόν· ἐπακούσωμεν οὖν.

12. ΣΟΛ. Εἰπέ μοι, ὦ Κροῖσε, οἴει γάρ τι δεῖσθαι τῶν πλίνθων τούτων τὸν Πύθιον;

ΚΡΟΙΣ. Νὴ Δί· οὐ γάρ ἐστιν αὐτῷ ἐν Δελφοῖς ἀνάθημα οὐδὲν τοιοῦτον.

ΣΟΛ. Οὐκοῦν μακάριον οἴει τὸν θεὸν ἀποφαίνειν, εἰ κτήσαιτο σὺν τοῖς ἄλλοις καὶ πλίνθους χρυσᾶς;

ΚΡΟΙΣ. Πῶς γὰρ οὔ;

ΣΟΛ. Πολλήν μοι λέγεις, ὦ Κροῖσε, πενίαν ἐν τῷ οὐρανῷ, εἰ ἐκ Λυδίας μεταστέλλεσθαι τὸ χρυσίον δεήσει αὐτοὺς, ἢν ἐπιθυμήσωσι.

ΚΡΟΙΣ. Ποῦ γὰρ τοσοῦτος ἂν γένοιτο χρυσὸς ὅσος παρ' ἡμῖν;

ΣΟΛ. Εἰπέ μοι, σίδηρος δὲ φύεται ἐν Λυδίᾳ;

ΚΡΟΙΣ. Οὐ πάνυ τι.

ΣΟΛ. Τοῦ βελτίονος ἄρα ἐνδεεῖς ἐστε.

ΚΡΟΙΣ. Πῶς ἀμείνων ὁ σίδηρος χρυσίου;

ΣΟΛ. Ἢν ἀποκρίνῃ μηδὲν ἀγανακτῶν, μάθοις ἄν.

ΚΡΟΙΣ. Ἐρώτα, ὦ Σόλων.

ΣΟΛ. Πότεροι ἀμείνους, οἱ σώζοντές τινας ἢ οἱ σωζόμενοι πρὸς αὐτῶν;

ΚΡΟΙΣ. Οἱ σώζοντες δηλαδή.

ΣΟΛ. Ἆρ' οὖν, ἢν Κῦρος, ὡς λογοποιοῦσί τινες, ἐπὶῃ Λυδοῖς, χρυσᾶς μαχαίρας σὺ ποίησῃ τῷ στρατῷ, ἢ ὁ σίδηρος ἀναγκαῖος τότε;

ΚΡΟΙΣ. Ὁ σίδηρος δῆλον ὅτι.

ΣΟΛ. Καὶ εἴ γε τοῦτον μὴ παρασκευάσαιο, οἴχοιτο ἄν σοι ὁ χρυσὸς ἐς Πέρσας αἰχμάλωτος.

ΚΡΟΙΣ. Εὐφήμει, ὦ ἄνθρωπε.

ΣΟΛ. Μὴ γένοιτο μὲν οὕτω ταῦτα· φαίνῃ δ' οὖν ἀμείνω τοῦ χρυσοῦ τὸν σίδηρον ὁμολογῶν.

ΚΡΟΙΣ. Οὐκοῦν καὶ τῷ θεῷ σιδηρᾶς πλίνθους θέλεις ἀνατιθέναι με, τὸν δὲ χρυσὸν ὀπίσω αὖθις ἀνακαλεῖν·

MERC. Hoc illud est, Charon, decantatissimum nomen et magnis omnium contentionibus expetitum.

CHAR. At equidem nullus video quid boni ipsi adsit, nisi forte hoc unum, quod qui ferant eo graventur.

MERC. An nescis, quot propterea bella exsistant, et insidiæ, latrocinia, perjuria, cædes, vincula, navigatio longinqua, mercaturæ, servitutes denique?

CHAR. Ob istudne Mercuri, quod non multum ab ære differt? æs enim novi, ut qui obolum, ut scis, a vectorum unoquoque exigam.

MERC. Sane: sed æs quidem abundat; eamque ob rem non valde magno studio expetitur ab ipsis: verum illud paucum ex profundissimis terræ visceribus metalli fossores eruunt: perinde tamen hoc etiam ex terra oritur, itidem ut plumbum ceteraque metalla.

CHAR. Incredibilem quandam narras hominum dementiam, qui tanto amore capiantur rei pallidæ ac ponderosæ.

MERC. At Solon quidem ille, Charon, ejus amore duci non videtur: deridet enim, uti vides, Crœsum et jactabundam barbari gloriationem. Verum, ni fallor, ex illo quærere quidpiam vult: auscultemus ergo.

12. SOL. Dic mihi, Crœse, numnam putas opus habere lateribus istis Pythium?

CRŒS. Ita per Jovem: non enim est illi Delphis donarium tale ullum dedicatum.

SOL. Ergo beatum arbitrare te Apollinem esse redditurum, si possideat in ceteris etiam lateres aureos?

CRŒS. Quidni putem?

SOL. Magnam mihi narras, Crœse, paupertatem in cœlo, quando dii eo redacti sunt, ut aurum ipsis e Lydia sit petendum, si desiderarint.

CRŒS. Ubinam tanta fuerit auri copia, quanta apud nos?

SOL. Quæso te, ferrumne etiam nascitur in Lydia?

CRŒS. Non sane multum.

SOL. Potioris ergo metalli indigetis.

CRŒS. At quomodo præstet ferrum auro?

SOL. Si respondeas nihil indignatus, discere licebit.

CRŒS. Roga modo, Solon.

SOL. Utrum, qui servant aliquos, meliores, an qui ab iis servantur?

CRŒS. Qui servant videlicet.

SOL. Num igitur, si Cyrus, quos rumores nonnulli spargunt, adoriatur Lydos, aureos enses tu confici curabis exercitui, an ferrum tunc videbitur necessarium?

CRŒS. Ferrum utique.

SOL. Hoc sane metallum nisi compararis, abeat tibi aurum in Persidem captivum.

CRŒS. Di meliora, mi homo.

SOL. Absit, hæc ut ita contingant: videre tamen nunc auro melius esse ferrum fateri.

CRŒS. Num igitur Apollini quoque me jubes ferreos lateres dedicare, aurum vero rursus repetere?

ΣΟΛ. Οὐδὲ σιδήρου ἐκεῖνός γε δεήσεται, ἀλλ' ἢν τε χαλκὸν ἢν τε χρυσὸν ἀναθῇς, ἄλλοις μέν ποτε κτῆμα καὶ ἕρμαιον ἔσῃ ἀνατεθεικὼς ἢ Φωκεῦσιν ἢ Βοιωτοῖς ἢ Δελφοῖς αὐτοῖς ἤ τινι τυράννῳ ἢ λῃστῇ, τῷ δὲ θεῷ ὀλίγον μέλει τῶν σῶν χρυσοποιῶν.

ΚΡΟΙΣ. Ἀεὶ σύ μου τῷ πλούτῳ προσπολεμεῖς καὶ φθονεῖς.

13. ΕΡΜ. Οὐ φέρει ὁ Λυδὸς, ὦ Χάρων, τὴν παρρησίαν καὶ τὴν ἀλήθειαν τῶν λόγων, ἀλλὰ ξένον αὐτῷ δοκεῖ τὸ πρᾶγμα, πένης ἄνθρωπος οὐχ ὑποπτήσσων, τὸ δὲ παριστάμενον ἐλευθέρως λέγων. Μεμνήσεται δ' οὖν μικρὸν ὕστερον τοῦ Σόλωνος, ὅταν αὐτὸν δέῃ ἁλόντα ἐπὶ τὴν πυρὰν ὑπὸ τοῦ Κύρου ἀναχθῆναι· ἤκουσα γὰρ τῆς Κλωθοῦς πρώην ἀναγιγνωσκούσης τὰ ἑκάστῳ ἐπικεκλωσμένα, ἐν οἷς καὶ ταῦτ' ἐγέγραπτο, Κροῖσον μὲν ἁλῶναι ὑπὸ Κύρου, Κῦρον δὲ αὐτὸν ὑπ' ἐκείνησι τῆς Μασσαγέτιδος ἀποθανεῖν. Ὁρᾷς τὴν Σκυθίδα, τὴν ἐπὶ τοῦ ἵππου τούτου τοῦ λευκοῦ ἐξελαύνουσαν;

ΧΑΡ. Νὴ Δία.

ΕΡΜ. Τόμυρις ἐκείνη ἐστὶ, καὶ τὴν κεφαλήν γε ἀποτεμοῦσα τοῦ Κύρου αὕτη ἐς ἀσκὸν ἐμβαλεῖ πλήρη αἵματος. Ὁρᾷς δὲ καὶ τὸν υἱὸν αὐτοῦ τὸν νεανίσκον; Καμβύσης ἐκεῖνός ἐστιν· οὗτος βασιλεύσει μετὰ τὸν πατέρα καὶ μυρία σφαλεὶς ἔν τε τῇ Λιβύῃ καὶ Αἰθιοπίᾳ τὸ τελευταῖον μανεὶς ἀποθανεῖται ἀποκτείνας τὸν Ἆπιν.

ΧΑΡ. Ὦ πολλοῦ γέλωτος. Ἀλλὰ νῦν τίς ἂν αὐτοὺς προσβλέψειεν οὕτως ὑπερφρονοῦντας τῶν ἄλλων; ἢ τίς ἂν πιστεύσειεν ὡς μετ' ὀλίγον οὗτος μὲν αἰχμάλωτος ἔσται, οὗτος δὲ τὴν κεφαλὴν ἕξει ἐν ἀσκῷ αἵματος;

14. Ἐκεῖνος δὲ τίς ἐστιν, ὦ Ἑρμῆ, ὁ τὴν πορφυρᾶν ἐφεστρίδα ἐμπεπορπημένος, ὁ τὸ διάδημα, ᾧ τὸν δακτύλιον ὁ μάγειρος ἀναδίδωσι τὸν ἰχθῦν ἀνατεμών,

νήσῳ ἐν ἀμφιρύτῃ; βασιλεὺς δέ τις εὔχεται εἶναι.

ΕΡΜ. Εὖ γε παρῳδεῖς ἤδη, ὦ Χάρων. Ἀλλὰ Πολυκράτην ὁρᾷς τὸν Σαμίων τύραννον πανευδαίμονα ἡγούμενον εἶναι· ἀτὰρ καὶ οὗτος αὐτὸς ὑπὸ τοῦ παρεστῶτος οἰκέτου Μαιανδρίου προδοθεὶς Ὀροίτῃ τῷ σατράπῃ ἀνασκολοπισθήσεται ἄθλιος ἐκπεσὼν τῆς εὐδαιμονίας ἐν ἀκαρεῖ τοῦ χρόνου· καὶ ταῦτα γὰρ τῆς Κλωθοῦς ἐπήκουσα.

ΧΑΡ. Ἄγαμαι Κλωθοῦς γεννικῆς· καὶ αὐτοὺς, ὦ βελτίστη, καὶ τὰς κεφαλὰς ἀπότεμνε καὶ ἀνασκολόπιζε, ὡς εἰδῶσιν ἄνθρωποι ὄντες· ἐν τοσούτῳ δὲ ἐπαιρέσθων ὡς ἂν ἀφ' ὑψηλοτέρου ἀλγεινότερον καταπεσούμενοι. Ἐγὼ δὲ γελάσομαι τότε γνωρίσας αὐτῶν ἕκαστον γυμνὸν ἐν τῷ σκαφιδίῳ, μήτε τὴν πορφυρίδα μήτε τιάραν ἢ κλίνην χρυσῆν κομίζοντας.

15. ΕΡΜ. Καὶ τὰ μὲν τούτων ὧδε ἕξει. Τὴν δὲ πληθὺν ὁρᾷς, ὦ Χάρων, τοὺς πλέοντας αὐτῶν, τοὺς πολεμοῦντας, τοὺς δικαζομένους, τοὺς γεωργοῦντας, τοὺς δανείζοντας, τοὺς προσαιτοῦντας;

ΧΑΡ. Ὁρῶ ποικίλην τινὰ τὴν τύρβην καὶ μεστὸν

SOL. Is ne ferro quidem opus habebit; at tu sive æs sive aurum consecres, aliis quod in possessionem aliquando ac prædam facilem cedat dedicaveris, Phocensibus, inquam, aut Bœotis, aut ipsis Delphis, aut cuidam tyranno, aut latroni: Pythius certe parum curat tuos aurifices.

CRŒS. Semper tu meis divitiis bellum indicis et invides.

13. MERC. Non fert Lydus, o Charon, loquendi istam libertatem verosque sermones: quin res ipsi videtur plane inusitata, pauper homo qui nullo metu se submittat, animique cogitata libere proferat. Verum in memoriam non diu post redibit Solonis, quum tempus aderit ut captus in rogum Cyri jussu imponatur. Etenim audivi ex Clothone nuper prælegente quæ cuique forent fato decreta: in quibus et hæc erant consignata, Crœsum captum iri a Cyro, Cyrum autem ipsum ab ista Massagetide occidendum esse. Viden' illam mulierem Scythicam, illam equo hoc albo invehentem?

CHAR. Ita sane.

MERC. Illa Tomyris est, quæ caput Cyri præcisum in utrem injiciet plenum sanguinis. Viden' etiam filium Cyri juvenem? iste Cambyses est, regnabitque post patrem: is rebus omnibus male gestis et in Libya et in Æthiopia, tandem mente captus interibit, postquam occiderit Apin.

CHAR. O multam ridendi materiem! At nunc quis eos adspicere sustineat tanto fastu elatos? aut quis in animum inducat, paullo post hunc fore captivum, illum caput habiturum in utre sanguinis?

14. Verum quis ille est, Mercuri, qui purpureum amiculum fibula substrictum gerit, diademate revinctus, cui annulum coquus porrigit pisce dissecto,

insula in ambita ponto? rex esse videtur.

MERC. Belle versum Homeri huc inflectis, Charon. At enim Polycratem intueris Samiorum tyrannum, qui se omni ex parte felicem esse putat: verum hic ipse ab adstante familiari servo Mæandrio proditus Orœtæ satrapæ in crucem agetur miser, ejectus fortunis omnibus in puncto temporis: etenim hæc quoque ex Clotho percepi.

CHAR. Laudo Clothonem strenuissimam: atque ipsis, optima, et capita præcide, atque palo suffige, ut se sciant homines esse: interea in altum tollantur, quippe ab excelsiore fastigio acerbius casuri. Tum ego ridebo singulos agnoscens nudos in cymbula, nec purpuream vestem neque tiaram neque lectum aureum secum ferentes.

15. MERC. Et illorum quidem, quos dixi, talis erit sors: multitudinem vero, Charon, istam vides, navigantes, bellantes, in judiciis versantes, agros colentes, fœnus exercentes, stipem petentes?

CHAR. Equidem video variam quandam turbam, ple-

ταραχῆς τὸν βίον καὶ τὰς πόλεις γε αὐτῶν ἐοικυίας τοῖς σμήνεσιν, ἐν οἷς ἅπας μὲν ἰδιόν τι κέντρον ἔχει καὶ τὸν πλησίον κεντεῖ, ὀλίγοι δέ τινες ὥσπερ σφῆκες ἄγουσι καὶ φέρουσι τὸ ὑποδεέστερον. Ὁ δὲ περιπετόμενος αὐτοὺς ἐκ τἀφανοῦς οὗτος ὄχλος τίνες εἰσίν;

ΕΡΜ. Ἐλπίδες, ὦ Χάρων, καὶ δείματα καὶ ἄνοιαι καὶ ἡδοναὶ καὶ φιλαργυρίαι καὶ ὀργαὶ καὶ μίση καὶ τὰ τοιαῦτα. Τούτων δὲ ἡ ἄνοια μὲν κάτω ξυναναμέμικται αὐτοῖς καὶ ξυμπολιτεύεταί γε νὴ Δία καὶ τὸ μῖσος καὶ ἡ ὀργὴ καὶ ζηλοτυπία καὶ ἀμαθία καὶ ἀπορία καὶ φιλαργυρία, ὁ φόβος δὲ καὶ αἱ ἐλπίδες ὑπεράνω πετόμενοι ὁ μὲν ἐμπίπτων ἐκπλήττει, ἐνίοτε καὶ ὑποπτήσσειν ποιεῖ, αἱ δ' ἐλπίδες ὑπὲρ κεφαλῆς αἰωρούμεναι, ὁπόταν μάλιστα οἴηταί τις ἐπιλήψεσθαι αὐτῶν, ἀναπτάμεναι οἴχονται κεχηνότας αὐτοὺς ἀπολιποῦσαι, ὅπερ καὶ τὸν Τάνταλον κάτω πάσχοντα ὁρᾷς ὑπὸ τοῦ ὕδατος.

16. Ἢν δὲ ἀτενίσῃς, κατόψει καὶ τὰς Μοίρας ἄνω ἐπικλωθούσας ἑκάστῳ τὸν ἄτρακτον, ἀφ' οὗ ἠρτῆσθαι ξυμβέβηκεν ἅπαντας ἐκ λεπτῶν νημάτων. Ὁρᾷς καθάπερ ἀράχνιά τινα καταβαίνοντα ἐφ' ἕκαστον ἀπὸ τῶν ἀτράκτων;

ΧΑΡ. Ὁρῶ πάνυ λεπτὸν ἑκάστῳ νῆμα ἐπιπεπλεγμένον γε τὰ πολλά, τοῦτο μὲν ἐκείνῳ, ἐκεῖνο δὲ ἄλλῳ.

ΕΡΜ. Εἰκότως, ὦ πορθμεῦ· εἵμαρται γὰρ ἐκεῖνον μὲν ὑπὸ τούτου φονευθῆναι, τοῦτον δὲ ὑπ' ἄλλου, καὶ κληρονομῆσαί γε τοῦτον μὲν ἐκείνου, ὅτου ἂν ᾖ μικρότερον τὸ νῆμα, ἐκεῖνον δὲ αὖ τούτου· τοιόνδε γάρ τι ἡ ἐπιπλοκὴ δηλοῖ. Ὁρᾷς δ' οὖν ἀπὸ λεπτοῦ κρεμαμένους ἅπαντας; καὶ οὗτος μὲν ἀνασπασθεὶς ἄνω μετέωρός ἐστι καὶ μετὰ μικρὸν καταπεσών, ἀπορραγέντος τοῦ λίνου, ἐπειδὰν μηκέτι ἀντέχῃ πρὸς τὸ βάρος, μέγαν τὸν ψόφον ἐργάσεται, οὗτος δὲ ὀλίγον ἀπὸ γῆς αἰωρούμενος, ἢν καὶ πέσῃ, ἀψοφητὶ κείσεται, μόλις καὶ τοῖς γείτοσιν ἐξακουσθέντος τοῦ πτώματος.

ΧΑΡ. Παγγέλοια ταῦτα, ὦ Ἑρμῆ.

17. ΕΡΜ. Καὶ μὴν οὐδ' εἰπεῖν ἔχοις ἂν κατὰ τὴν ἀξίαν, ὅπως ἐστὶ καταγέλαστα, ὦ Χάρων, καὶ μάλιστα αἱ ἄγαν σπουδαὶ αὐτῶν καὶ τὸ μεταξὺ τῶν ἐλπίδων οἴχεσθαι ἀναρπάστους γιγνομένους ὑπὸ τοῦ βελτίστου Θανάτου. Ἄγγελοι δὲ καὶ ὑπηρέται αὐτοῦ μάλα πολλοί, ὡς ὁρᾷς, ἠπίαλοι καὶ πυρετοὶ καὶ φθόαι καὶ περιπνευμονίαι καὶ ξίφη καὶ ληστήριά καὶ κώνεια καὶ δικασταὶ καὶ τύραννοι· καὶ τούτων οὐδὲν ὅλως αὐτοὺς εἰσέρχεται, ἔστ' ἂν εὖ πράττωσιν, ὅταν δὲ σφαλῶσι, πολὺ τὸ ὀτοτοῖ καὶ αἰαῖ καὶ οἴμοι. Εἶ δ' εὐθὺς ἐξ ἀρχῆς ἐνενόουν ὅτι θνητοί τέ εἰσιν αὐτοὶ καὶ ὀλίγον τοῦτον χρόνον ἐπιδημήσαντες τῷ βίῳ ἀπίασιν ὥσπερ ἐξ ὀνείρατος πάντα ὑπὲρ γῆς ἀφέντες, ἔζων τε ἂν σωφρονέστερον καὶ ἧττον ἠνιῶντο ἀποθανόντες· νῦν δὲ ἐς ἀεὶ ἐλπίσαντες χρήσεσθαι τοῖς παροῦσιν, ἐπειδὰν ἐπιστὰς ὁ ὑπηρέτης καλῇ καὶ ἀπάγῃ πεδήσας τῷ πυρετῷ ἢ τῇ φθόῃ, ἀγανακτοῦσι πρὸς τὴν ἀγωγὴν οὔποτε προσδοκήσαντες ἀποσπασθήσεσθαι αὐτῶν. Ἢ τί γὰρ οὐκ ἂν

namque trepidi tumultus vitam; quin et urbes eorum persimiles alvearibus, in quibus unusquisque proprium quendam aculeum habet, proximumque pungit; at pauci nonnulli, tanquam vespæ, agunt feruntque imbecilliores. Quod autem circumvolat eos ex occulto agmen illud, quinam sunt?

MERC. Spes, Charon, et metus, et amentia, voluptates, avaritia, *iræ, odia, atque ejusmodi plura: ex eo numero* amentia quidem infra ipsis adest immixta, et in eadem hercle velut *civitate degit, itemque odium*, ira, *æmulatio, inscitia*, perplexa hæsitatio, et avaritia: sed metus et spes superne volitantes, *ille* quidem incidens mentem excutit, nonnunquam et paventem demittere se facit; hæ vero capitibus imminentes, ubi maxime quis putat se prehensurum eas, avolant repente hiantesque destituunt; quod ipsum et Tantalo vides accidere apud inferos ab aqua fugiente.

16. Quodsi aciem intenderis, conspicies etiam Parcas stamina singulis versato deducentes fuso, unde nexos pendere contingat omnes ex tenuibus filis. Videsne quasi aranearum fila quædam in singulos a fusis demissa?

CHAR. Cerno tenuissimum unicuique licium additum implexumque ut plurimum, hoc illi, illud alii.

MERC. Et jure quidem, portitor: nam illi fatale est, ab isto ut occidatur; isti, ut ab alio: huic vero, ut hæreditatem adeat ejus, cujus brevius sit filum; isti contra, ut illius: tale enim quiddam mutuus implexus significat. Jam perspicis a *tenui filo suspensos omnes? hic* quidem sursum attractus sublimis apparet; ac paullo post præcipitatus abrupto *lino*, quando non amplius oneri *sustinendo sufficiet*, magnum edet sonitum: ille autem paulum modo a terra levatus, etiamsi ceciderit, nullo jacebit excitato sonitu, sic ut a vicinis vix casus ejus exaudiatur.

CHAR. Sunt illa, Mercuri, omnino ridicula.

17. MERC. Imo vero ne verbis quidem consequi possis, prout dignum est, quanto sint risu excipienda, Charon: maxime si spectes eorum contentissima studia, et quod inter medias spes intereant correpti ab optima Morte. Ejus autem sunt nuncii ministrique valde multi, ut vides, frigora febrium et ardores, tabes, pulmonum affectus, gladii, latrocinia, cicutæ potiones, judices, tyranni: horum ipsis nihil in mentem plane subit, dum felices agunt; simulatque offenderint, mox crebrum in ore ototœ, ah, ah, *hei mihi*. Quodsi statim ab initio secum cogitarent tum se esse mortales, tum, pauxillum istud temporis in vitam quasi peregrinatione *instituta*, abituros tanquam ex somnio, omnibus super terram relictis, viverent sane sapientius, minusque doloris morientes caperent: *nunc autem* perpetuo quum se sperent usuros esse rebus præsentibus, ubi præsto fuerit minister, citaveritque et duxerit *vinculis* impeditos febris tabisve, indignantur se abduci, ut qui nunquam exspectaverant fore ut inde avellerentur. Quid enim-

ποιήσειεν ἐκεῖνος ὁ τὴν οἰκίαν σπουδῇ οἰκοδομούμενος καὶ τοὺς ἐργάτας ἐπισπέρχων, εἰ μάθοι ὅτι ἡ μὲν ἕξει τέλος αὐτῷ, ὁ δὲ ἄρτι ἐπιθεὶς τὸν ὄροφον ἀπεισι τῷ κληρονόμῳ καταλιπὼν ἀπολαύειν αὐτῆς, αὐτὸς μηδὲ δειπνήσας ὁ ἄθλιος ἐναὐτῇ; Ἐκεῖνος μὲν γὰρ ὁ χαίρων ὅτι ἄρρενα παῖδα τέτοκεν αὐτῷ ἡ γυνὴ, καὶ τοὺς φίλους διὰ τοῦτο ἑστιῶν καὶ τοὔνομα τοῦ πατρὸς τιθέμενος, εἰ ἠπίστατο ὡς ἑπτέτης γενόμενος ὁ παῖς τεθνήξεται, ἆρα ἄν σοι δοκεῖ χαίρειν ἐπ' αὐτῷ γεννωμένῳ; ἀλλὰ τὸ αἴτιον, ὅτι τὸν μὲν εὐτυχοῦντα ἐπὶ τῷ παιδὶ ἐκεῖνον ὁρᾷ τὸν τοῦ ἀθλητοῦ πατέρα τοῦ Ὀλύμπια νενικηκότος, τὸν γείτονα δὲ τὸν ἐκκομίζοντα τὸ παιδίον οὐχ ὁρᾷ οὐδὲ οἶδεν ἀφ' οἵας αὐτῷ κρόκης ἐκρέματο. Τοὺς μὲν γὰρ περὶ τῶν ὅρων διαφερομένους ὁρᾷς, ὅσοι εἰσὶ, καὶ τοὺς ξυναγείροντας τὰ χρήματα, εἶτα, πρὶν ἀπολαῦσαι αὐτῶν, καλουμένους ὑφ' ὧν εἶπον τῶν ἀγγέλων τε καὶ τῶν ὑπηρετῶν.

18. ΧΑΡ. Ὁρῶ ταῦτα πάντα καὶ πρὸς ἐμαυτόν γε ἐννοῶ ὅ τι τὸ ἡδὺ αὐτοῖς παρὰ τὸν βίον ἢ τί ἐκεῖνό ἐστιν, οὗ στερόμενοι ἀγανακτοῦσιν. Ἦν γοῦν τοὺς βασιλέας ἴδῃ τις αὐτῶν, οἵπερ εὐδαιμονέστατοι εἶναι δοκοῦσιν, ἔξω τοῦ ἀβεβαίου καὶ ὡς φῂς ἀμφιβόλου τῆς τύχης, πλείω τῶν ἡδέων τὰ ἀνιαρὰ εὑρήσει προσόντα αὐτοῖς, φύβους καὶ ταραχὰς καὶ μίση καὶ ἐπιβουλὰς καὶ ὀργὰς καὶ κολακείας· τούτοις γὰρ ἅπαντες ξύνεισιν. Ἐῶ πένθη καὶ νόσους καὶ πάθη ἐξ ἰσοτιμίας δηλαδὴ ἄρχοντα αὐτῶν· ὅπου δὲ τὰ τούτων πονηρὰ, λογίζεσθαι καιρὸς οἷα τὰ τῶν ἰδιωτῶν ἂν εἴη.

19. Ἐθέλω δ' οὖν σοι, ὦ Ἑρμῆ, εἰπεῖν, ᾧτινι ἐοικέναι μοι ἔδοξαν οἱ ἄνθρωποι καὶ ὁ βίος ἅπας αὐτῶν. Ἤδη ποτὲ πομφολυγας ἐν ὕδατι ἐθεάσω ὑπὸ κρουνῷ τινι καταράττοντι ἀνισταμένας; τὰς φυσαλλίδας λέγω, ἀφ' ὧν ξυναγείρεται ὁ ἀφρός· ἐκείνων τοίνυν τινὲς μὲν μικραί εἰσι καὶ αὐτίκα ἐκραγεῖσαι ἀπέσβησαν, αἱ δ' ἐπὶ πλέον διαρκοῦσι καὶ προσχωρουσῶν αὐταῖς τῶν ἄλλων αὖται ὑπερφυσώμεναι ἐς μέγιστον ὄγκον αἴρονται, εἶτα μέντοι κἀκεῖναι πάντως ἐξερράγησάν ποτε· οὐ γὰρ οἷόν τε ἄλλως γενέσθαι. Τοῦτό ἐστιν ὁ ἀνθρώπου βίος· ἅπαντες ὑπὸ πνεύματος ἐμπεφυσημένοι οἱ μὲν μείζους, οἱ δ' ἐλάττους· καὶ οἱ μὲν ὀλιγοχρόνιον ἔχουσι καὶ ὠκύμορον τὸ φύσημα, οἱ δὲ ἅμα τῷ ξυστῆναι ἐπαύσαντο· πᾶσι δ' οὖν ἀπορραγῆναι ἀναγκαῖον.

ΕΡΜ. Οὐδὲν χεῖρον σὺ τοῦ Ὁμήρου εἴκασας, ὦ Χάρων, ὃς φύλλοις τὸ γένος αὐτῶν ὁμοιοῖ.

20. ΧΑΡ. Καὶ τοιοῦτοι ὄντες, ὦ Ἑρμῆ, ὁρᾷς οἷα ποιοῦσι καὶ ὡς φιλοτιμοῦνται πρὸς ἀλλήλους ἀρχῶν πέρι καὶ τιμῶν καὶ κτήσεων ἀμιλλώμενοι, ἅπερ ἅπαντα καταλιπόντας αὐτοὺς δεήσει ἕνα ὀβολὸν ἔχοντας ἥκειν παρ' ἡμᾶς. Βούλει οὖν, ἐπείπερ ἐφ' ὑψηλοῦ ἐσμὲν, ἀναβοήσας παμμέγεθες παραινέσω αὐτοῖς ἀπέχεσθαι μὲν τῶν ματαίων πόνων, ζῆν δὲ ἀεὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἔχοντας, λέγων, Ὦ μάταιοι, τί ἐσπουδάκατε περὶ ταῦτα; παύσασθε κάμνοντες· οὐ γὰρ ἐς ἀεὶ βιώσεσθε· οὐδὲν τῶν ἐνταῦθα σεμνῶν ἀίδιόν ἐστιν, οὐδ' ἂν

vero non faciat iste, qui domum gnaviter ædificat, operariosque urget, si didicerit, hanc quidem sibi finitum iri, at se, vixdum imposito tecto, decessurum, hæredique relicturum ut ea domo fruatur, in qua ne semel quidem ipse miser cœnaverit. Ille porro, qui gaudet quod masculum infantem uxor sibi pepererit, ideoque amicos prolixe accipit et patris nomen ei imponit, si sciret septennem puerum esse obiturum, num tibi videtur lætaturus eo nato? sed hoc nimirum in causa est, quod illum felicem filii sorte contempletur, athletæ patrem Olympico certamine victoris; sed vicinum, qui exsequias it infanti, non cernit, neque novit a quo stamine ipsi pendeat. Jam de finibus litigantium vides quantus sit numerus; item eorum, qui coacervant pecunias, tum, antequam frui liceat, citantur ab iis, quos modo dixi imminentibus nunciis et ministris.

18. CHAR. Hæc omnia video, et apud animum meum cogito, quid ipsis dulce sit in cursu vitæ, quidve sit illud quo privati indignantur. Vel reges eorum si quis intueatur, qui esse felicissimi censentur, præter instabilem et ut ais ancipitem fortunam, multo plura jucundis ingrata inveniet ipsis adesse, timores, perturbationes, odia, insidias, iras, adulationes : in his enim malis omnes versantur. Mitto luctus, morbos, affectiones, quæ scilicet in eos æquali jure atque in alios quosvis imperium exercent. Nunc ubi regum istorum conditio misera est, exputare commodum, qualis privatorum sit hominum.

19. At enim exponere tibi volo, Mercuri, cuinam rei similes mihi visi sint homines eorumque universa vita. Tu jam sane bullas aliquando in aqua spectasti sub scatebra violenter præcipitante exsistentes? bullas istas inquam inflatas, unde cogitur spuma : earum igitur quædam parvæ sunt, quæ statim diruptæ solent exstingui; aliæ diutius perdurant, accedentibusque aliis hæ mirifice inflatæ maximum in tumorem excrescunt; nec tamen et ipsæ non tandem ruptæ dilabuntur; haud enim aliter fieri potest. Id ipsum est hominis vita : cuncti a spiritu quodam intumuerunt, hi majores, illi minores; et nonnulli quidem brevissimi temporis habent et cito pereuntem inflationem, alii simul atque coaluerint deficiunt : veruntamen omnes bullæ modo ruptos interire necesse est.

MERC. Nulla quidem parte deteriorem, Charon, comparationem instituisti, quam Homerus, qui cum foliis genus eorum confert.

20. CHAR. Ejusmodi quum sint, Mercuri, vides qualia aggrediantur, quamque ambitiosa contentione inter se de magistratibus, honoribus et possessionibus decertent; quibus tamen omnibus relictis, non effugient quin haud plus uno obolo habentes veniant ad nos. Vin' ergo, quoniam in alto sumus, quanta potero maxima voce exclamem adhorterque eos, ut abstineant se a vanis laboribus, eoque modo vivant, ut semper mortem sibi ante oculos habeant positam, sic eos compellans : Inepti, quid studio istis in rebus abutimini? desinite fatigari, non enim in perpetuum vivetis : nihil eorum, quæ in terris maximi fiunt, sempiter-

ἀπάγοι τις αὐτῶν τι ξὺν αὑτῷ ἀποθανών, ἀλλ' ἀνάγκη τὸν μὲν γυμνὸν οἴχεσθαι, τὴν οἰκίαν δὲ καὶ τὸν ἀγρὸν καὶ τὸ χρυσίον ἀεὶ ἄλλων εἶναι καὶ μεταβάλλειν τοὺς δεσπότας. Εἰ ταῦτα καὶ τὰ τοιαῦτα ἐξ ἐπηκόου ἐμβοήσαιμι αὐτοῖς, οὐκ ἂν οἶει μεγάλα ὠφεληθῆναι τὸν βίον καὶ σωφρονεστέρους ἂν γενέσθαι παρὰ πολύ;

21. ΕΡΜ. Ὦ μακάριε, οὐκ οἶσθα, ὅπως αὐτοὺς ἡ ἄγνοια καὶ ἡ ἀπάτη διατεθείκασιν, ὡς μηδ' ἂν τρυπάνῳ ἔτι διανοιχθῆναι αὐτοῖς τὰ ὦτα· τοσούτῳ κηρῷ ἔβυσαν αὐτὰ, οἷόν περ ὁ Ὀδυσσεὺς τοὺς ἑταίρους ἔδρασε δέει τῆς Σειρήνων ἀκροάσεως. Πόθεν οὖν ἂν ἐκεῖνοι ἀκοῦσαι δυνηθεῖεν, ἢν καὶ σὺ κεκραγὼς διαρραγῇς; ὅπερ γὰρ παρ' ὑμῖν ἡ Λήθη δύναται, τοῦτο ἐνταῦθα ἡ ἄγνοια ἐργάζεται. Πλὴν ἀλλ' εἰσὶν αὐτῶν ὀλίγοι οὐ παραδεδεγμένοι τὸν κηρὸν ἐς τὰ ὦτα πρὸς τὴν ἀλήθειαν ἀποκλίνοντες, ὀξὺ δεδορκότες ἐς τὰ πράγματα καὶ κατεγνωκότες οἷά ἐστιν.

ΧΑΡ. Οὐκοῦν ἐκείνοις γοῦν ἐμβοήσωμεν;

ΕΡΜ. Περιττὸν καὶ τοῦτο, λέγειν πρὸς αὐτοὺς ἃ ἴσασιν. Ὁρᾷς ὅπως ἀποσπάσαντες τῶν πολλῶν καταγελῶσι τῶν γιγνομένων καὶ οὐδαμῇ οὐδαμῶς ἀρέσκονται αὐτοῖς, ἀλλὰ δῆλοί εἰσι δρασμὸν ἤδη βουλεύοντες παρ' ὑμᾶς ἀπὸ τοῦ βίου; καὶ γὰρ καὶ μισοῦνται ἐλέγχοντες αὐτῶν τὰς ἀμαθίας.

ΧΑΡ. Εὖ γε, ὦ γεννάδαι· πλὴν πάνυ ὀλίγοι εἰσὶν, ὦ Ἑρμῆ.

ΕΡΜ. Ἱκανοὶ καὶ οὗτοι. Ἀλλὰ κατίωμεν ἤδη.

22. ΧΑΡ. Ἕν ἔτι ἐπόθουν, ὦ Ἑρμῆ, εἰδέναι, καί μοι δείξας αὐτὸ ἐντελῆ ἔσῃ τὴν περιήγησιν πεποιημένος, τὰς ἀποθήκας τῶν σωμάτων, ἵνα κατορύττουσι, θεάσασθαι.

ΕΡΜ. Ἡρία, ὦ Χάρων, καὶ τύμβους καὶ τάφους καλοῦσι τὰ τοιαῦτα. Πλὴν τὰ πρὸ τῶν πόλεων ἐκεῖνα τὰ χώματα ὁρᾷς καὶ τὰς στήλας καὶ πυραμίδας; ἐκεῖνα πάντα νεκροδοχεῖα καὶ σωματοφυλάκιά εἰσι.

ΧΑΡ. Τί οὖν ἐκεῖνοι στεφανοῦσι τοὺς λίθους καὶ χρίουσι μύρῳ; οἱ δὲ καὶ πυρὰν νήσαντες πρὸ τῶν χωμάτων καὶ βόθρον τινὰ ὀρύξαντες κάουσί τε ταυτὶ τὰ πολυτελῆ δεῖπνα καὶ εἰς τὰ ὀρύγματα οἶνον καὶ μελίκρατον, ὡς γοῦν εἰκάσαι, ἐκχέουσιν;

ΕΡΜ. Οὐκ οἶδα, ὦ πορθμεῦ, τί ταῦτα πρὸς τοὺς ἐν Ἅιδου· πεπιστεύκασι γοῦν τὰς ψυχὰς ἀναπεμπομένας κάτωθεν δειπνεῖν μὲν ὡς οἷόν τε περιπετομένας τὴν κνῖσαν καὶ τὸν καπνὸν, πίνειν δὲ ἀπὸ τοῦ βόθρου τὸ μελίκρατον.

ΧΑΡ. Ἐκείνους ἔτι πίνειν ἢ ἐσθίειν, ὧν τὰ κρανία ξηρότατα; καίτοι γελοῖός εἰμι σοὶ λέγων ταῦτα δσημέραι κατάγοντι αὐτούς. Οἶσθ' οὖν, εἰ δύναιντ' ἂν ἔτι ἀνελθεῖν ἅπαξ ὑποχθόνιοι γενόμενοι; ἐπεί τοι καὶ παγγέλοι' ἂν, ὦ Ἑρμῆ, ἔπασχες, οὐκ ὀλίγα πράγματα ἔχων, εἰ ἔδει μὴ κατάγειν μόνον αὐτοὺς, ἀλλὰ καὶ αὖθις ἀνάγειν πιομένους. Ὦ μάταιοι, τῆς ἀνοίας, οὐκ εἰδότες ἡλίκοις ὅροις διακέκριται τὰ νεκρῶν καὶ τὰ ζώντων πράγματα καὶ οἷα τὰ παρ' ἡμῖν ἐστι καὶ ὅτι

num est; nec quicquam inde secum abstulerit qui vita fungitur; quandoquidem necesse est ipsum abire nudum, domum vero, agrum, aurum aliorum ex aliis esse et mutare dominos. Hæc atque ejusmodi si sic, ut exaudiri possim, ipsis inclamem, non tu censes magnos inde redundaturos ad vitam fructus, ipsosque multo fore prudentiores?

21. MERC. Mi Charon, nescis quam eos ignorantia et fraudulentus error teneant occupatos, ut ne terebra quidem ipsis perforari queant aures: tanta ceræ copia eas obstruxerunt, quemadmodum Ulysses fecit sociis metuens ne Sirenas auscultarent. Quæ ergo spes est, illi ut audire possint, etiamsi tu clamando dirumparis? Quod enim apud vos Lethe potest, idem hic ignorantia perficit. Attamen sunt eorum pauci, qui ceram in aures non receperunt, veritatis partes sequentes, acie mentis ad pervidendas cognoscendasque res humanas plane singulari.

CHAR. Quin illis certe inclamamus?

MERC. Supervacuum et hoc fuerit, si dicas iis quæ noverunt. Viden' ut semoti a vulgo hominum derideant quicquid agitur, nullaque ex parte probant unquam? imo vero non obscure patefaciunt, se aufugere jam conari ad vos ex vita; eo magis quod odio sint, dum redarguunt istorum inscitias.

CHAR. Euge, generosa pectora! verum valde sunt pauci, Mercuri.

MERC. Etiam hi sufficiunt. Sed jam descendamus.

22. CHAR. Unum est adhuc quod desiderem scire, Mercuri: id si mihi ostenderis, plene res mihi humanas demonstrandi beneficium absolveris; scilicet conditoria cadaverum, ubi ea sepeliunt, ut spectem.

MERC. Monumenta, Charon, tumulos et sepulcra vocant istiusmodi conditoria. Ceterum, qui ante urbes sunt, aggestæ terræ cumulos illos vides, cipposque et pyramidas? ista omnia loci sunt mortuis recipiendis servandisque corporibus.

CHAR. Quid igitur illi coronant lapides et perungunt unguento? quidam vero etiam rogo præ tumulis exstructo et scrobe quadam effossa comburunt sumtuosas istas cœnas, atque in foveas vinum mulsumque, quantum conjectare licet, invergunt?

MERC. Equidem, o portitor, quid ista faciant ad eos qui sunt in Orco, ignoro: hoc tamen illis esse persuasum scio, animas sursum emissas ab inferis cœnare, qua licet, circumvolantes nidorem et fumum, atque haurire de scrobe mulsum.

CHAR. Illi ut adhuc bibant edantve, quorum crania sunt aridissima? ridiculus enimvero sim, hæc tibi si dicam, qui quotidie deducis eos. Scin' quid, si possint remeare, ubi semel terram subierunt? nimirum tibi plane risu digna acciderent, Mercuri, qui jam satis quod agas habes negotii, si te oporteret non deducere solum ad inferos, sed insuper eos iterum reducere potaturos. Vah dementiam! inanissimi mortales, qui nesciatis quam longinquo finium intervallo discreta sint mortuorum viventiumque negotia, qualisque rerum sit nostrarum ratio; nec illud sciatis:

κάτθαν' ὁμῶς ὅ τ' ἄτυμβος ἀνὴρ ὅς τ' Ἕλλαχε τύμβου,
ἐν δὲ ἰῇ τιμῇ Ἶρος κρείων τ' Ἀγαμέμνων·
Θερσίτῃ δ' ἶσος Θέτιδος παῖς ἠϋκόμοιο.
Πάντες δ' εἰσὶν ὁμῶς νεκύων ἀμενηνὰ κάρηνα,
γυμνοί τε ξηροί τε κατ' ἀσφοδελὸν λειμῶνα.

Æque obiit nactus tumulum quique intumulatus:
hinc simili est in honore Irusque et rex Agamemno,
et par Thersitæ pulchra Nereide natus.
Debilia umbrarum capita omnes sunt simul atque
per pratum asphodeli nudi siccique vagantur.

23. ΕΡΜ. Ἡράκλεις, ὡς πολὺν τὸν Ὅμηρον ἐπαντλεῖς. Ἀλλ' ἐπείπερ ἀνέμνησάς με, ἐθέλω σοι δεῖξαι τὸν τοῦ Ἀχιλλέως τάφον. Ὁρᾷς τὸν ἐπὶ τῇ θαλάττῃ; Σίγειον μὲν ἐκεῖνό ἐστι τὸ Τρωϊκόν· ἀντικρὺ δὲ ὁ Αἴας τέθαπται ἐν τῷ Ῥοιτείῳ.

ΧΑΡ. Οὐ μεγάλοι, ὦ Ἑρμῆ, οἱ τάφοι. Τὰς πόλεις δὲ τὰς ἐπισήμους δεῖξόν μοι ἤδη, ἃς κάτω ἀκούομεν, τὴν Νίνον τὴν Σαρδαναπάλλου καὶ Βαβυλῶνα καὶ Μυκήνας καὶ Κλεωνὰς καὶ τὴν Ἴλιον αὐτήν· πολλοὺς γοῦν μέμνημαι διαπορθμεύσας ἐκεῖθεν, ὡς δέκα ὅλων ἐτῶν μὴ νεωλκῆσαι μηδὲ διαψῦξαι τὸ σκαφίδιον.

ΕΡΜ. Ἡ Νίνος μέν, ὦ πορθμεῦ, ἀπόλωλεν ἤδη καὶ οὐδὲ ἴχνος ἔτι λοιπὸν αὐτῆς, οὐδ' ἂν εἴποις ὅπου ποτ' ἦν· ἡ Βαβυλὼν δέ σοι ἐκείνη ἐστὶν ἡ εὔπυργος, ἡ τὸν μέγαν περίβολον, οὐ μετὰ πολὺ καὶ αὐτὴ ζητηθησομένη ὥσπερ ἡ Νίνος· Μυκήνας δὲ καὶ Κλεωνὰς αἰσχύνομαι δεῖξαί σοι, καὶ μάλιστα τὸ Ἴλιον. Ἀποπνίξεις γὰρ εὖ οἶδ' ὅτι τὸν Ὅμηρον κατελθὼν ἐπὶ τῇ μεγαληγορίᾳ τῶν ἐπῶν. Πλὴν ἀλλὰ πάλαι μὲν ἦσαν εὐδαίμονες, νῦν δὲ τεθνᾶσι καὶ αὗται· ἀποθνήσκουσι γὰρ, ὦ πορθμεῦ, καὶ πόλεις ὥσπερ ἄνθρωποι, καὶ τὸ παραδοξότατον, καὶ ποταμοὶ ὅλοι· Ἰνάχου γοῦν οὐδὲ τάφρος ἔτι ἐν Ἄργει καταλείπεται.

ΧΑΡ. Παπαῖ τῶν ἐπαίνων, Ὅμηρε, καὶ τῶν ὀνομάτων, Ἴλιος ἱρὴ καὶ εὐρυάγυια καὶ εὐκτίμεναι Κλεωναί.

24. Ἀλλὰ μεταξὺ λόγων τίνες ἐκεῖνοί εἰσιν οἱ πολεμοῦντες ἢ ὑπὲρ τίνος ἀλλήλους φονεύουσιν;

ΕΡΜ. Ἀργείους ὁρᾷς, ὦ Χάρων, καὶ Λακεδαιμονίους καὶ τὸν ἡμιθνῆτα ἐκεῖνον στρατηγὸν Ὀθρυάδαν τὸν ἐπιγράφοντα τὸ τρόπαιον τῷ αὑτοῦ αἵματι.

ΧΑΡ. Ὑπὲρ τίνος δ' αὐτοῖς, ὦ Ἑρμῆ, ὁ πόλεμος;

ΕΡΜ. Ὑπὲρ τοῦ πεδίου αὐτοῦ, ἐν ᾧ μάχονται.

ΧΑΡ. Ὦ τῆς ἀνοίας, οἵ γε οὐκ ἴσασιν ὅτι, κἂν ὅλην τὴν Πελοπόννησον ἕκαστος αὐτῶν κτήσωνται, μόγις ἂν ποδιαῖον λάβοιεν τόπον παρὰ τοῦ Αἰακοῦ· τὸ δὲ πεδίον τοῦτο ἄλλοτε ἄλλοι γεωργήσουσι πολλάκις ἐκβάθρων τὸ τρόπαιον ἀνασπάσαντες τῷ ἀρότρῳ.

ΕΡΜ. Οὕτω μὲν ταῦτα ἔσται· ἡμεῖς δὲ καταβάντες ἤδη καὶ κατὰ χώραν εὐθετήσαντες αὖθις τὰ ὄρη ἀπαλλαττώμεθα, ἐγὼ μὲν καθ' ἃ ἐστάλην, σὺ δὲ ἐπὶ τὸ πορθμεῖον· ἥξω δέ σοι καὶ αὐτὸς μετ' ὀλίγον νεκροστολῶν.

ΧΑΡ. Εὖ γε ἐποίησας, ὦ Ἑρμῆ· εὐεργέτης ἐς ἀεὶ ἀναγεγράψῃ. Ὠνάμην δέ τι διὰ σὲ τῆς ἀποδημίας. — Οἷά ἐστι τὰ τῶν κακοδαιμόνων ἀνθρώπων πράγματα. Χάρωνος δὲ οὐδεὶς λόγος.

23. MERC. Hercules, quam large nobis Homeri versus ingeris? Sed quandoquidem me commonefecisti, volo tibi monstrare Achillis sepulcrum. Viden' mari prope adjacens? Sigeum est illud Troicum; e regione autem situs est Ajax in Rhœteo.

CHAR. Non magna sunt, Mercuri, monumenta. Nunc urbes insignes monstra mihi, quas infra celebrari audimus, Ninum illam Sardanapali, Babylonem, Mycenas, Cleonas, ipsamque Ilion: multos equidem inde memini me trajecisse, adeo ut decem integris annis nec subducere neque ventis exponere licuerit scapham.

MERC. Ninus jam, portitor, interiit, neque ullum vestigium amplius est ejus reliquum; sic ut dicere nequeas ubi olim fuerit. Ecce tibi Babylonem turribus ornatam, quæ magno mœnium ambitu est cincta: illa ipsa quoque non diu post quæretur, haud secus ac Ninus. Mycenas vero Cleonasque pudet me monstrare tibi, ac præcipue Ilion: offocabis enim, sat scio, Homerum ad Orcum reversus ob magniloquentiam carminum. Attamen olim erant felices; nunc vero hæ quoque totæ sunt mortuæ: moriuntur enim, quemadmodum homines, sic et urbes; quodque maxime mirabile, fluvii etiam integri: Inachi certe ne alveus quidem Argis amplius superest.

CHAR. Papæ, quæ laudes, Homere! qui nominum splendor! Ilios sacra latisque viis insignis; Cleonæ nitide conditæ.

24. Sed, dum hæc loquimur, quinam isti sunt belligerantes, aut cujus rei causa sese invicem obtruncant?

MERC. Argivos cernis, Charon, et Lacedæmonios, illumque semianimem imperatorem Othryaden, qui inscribit tropæum suo sanguine.

CHAR. Pro qua re, Mercuri, bellum inter eos est?

MERC. Pro illo ipso campo, in quo pugna conseritur.

CHAR. O insignem dementiam! scilicet ignorant se, licet vel totam Peloponnesum eorum quisque possederit, vix tamen unius pedis spatium ab Æaco accepturos esse: campum autem illum alii atque alii usque colent, ac sæpe funditus illud tropæum eruent aratro.

MERC. Hæc quidem ita fient: nos vero, ubi jam descenderimus, suisque montes sedibus reposuerimus, discedamus, ego ad ea peragenda quorum gratia iter ingressus sum, tu ad cymbulam tuam: neque diu erit quum adventabo tibi mortuos deducens.

CHAR. Bene de me meritus es, Mercuri: in omne tempus beneficii auctor penes me eris scriptus. Haud mediocris autem per te fructus ex istac peregrinatione ad me redundavit. — Qualia sunt hominum infortunatorum negotia! Charontis vero nulla habetur ratio.

XIII.

ΠΕΡΙ ΘΥΣΙΩΝ.

1. Ἃ μὲν ἐν ταῖς θυσίαις οἱ μάταιοι πράττουσι καὶ ταῖς ἑορταῖς καὶ προσόδοις τῶν θεῶν καὶ ἃ αἰτοῦσι καὶ ἃ εὔχονται καὶ ἃ γιγνώσκουσι περὶ αὐτῶν, οὐκ οἶδ' εἴ τις οὕτω κατηφής ἐστι καὶ λελυπημένος ὅστις οὐ γελάσεται τὴν ἀβελτερίαν ἐπιβλέψας τῶν δρωμένων· καὶ πολύ γε, οἶμαι, πρότερον τοῦ γελᾶν πρὸς ἑαυτὸν ἐξετάσει πότερον εὐσεβεῖς αὐτοὺς χρὴ καλεῖν ἢ τοὐναντίον θεοῖς ἐχθροὺς καὶ κακοδαίμονας, οἵ γε οὕτω ταπεινὸν καὶ ἀγεννὲς τὸ θεῖον ὑπειλήφασιν ὥστε εἶναι ἀνθρώπων ἐνδεὲς καὶ κολακευόμενον ἥδεσθαι καὶ ἀγαναχτεῖν ἀμελούμενον· τὰ γοῦν Αἰτωλικὰ πάθη καὶ τὰς τῶν Καλυδωνίων συμφορὰς καὶ τοὺς τοσούτους φόνους καὶ τὴν Μελεάγρου διάλυσιν, πάντα ταῦτα ἔργα φασὶν εἶναι τῆς Ἀρτέμιδος μεμψιμοιρούσης, ὅτι μὴ παρελήφθη πρὸς τὴν θυσίαν ὑπὸ τοῦ Οἰνέως· οὕτως ἄρα βαθέως καθίκετο αὐτῆς ἡ τῶν ἱερείων διαμαρτία. Καί μοι δοκῶ ὁρᾶν αὐτὴν ἐν τῷ οὐρανῷ τότε μόνην τῶν ἄλλων θεῶν ἐς Οἰνέως πεπορευμένων, δεινὰ ποιοῦσαν καὶ σχετλιάζουσαν οἷας ἑορτῆς ἀπολειφθήσεται.

2. Τοὺς δ' αὖ Αἰθίοπας καὶ μακαρίους καὶ τρισευδαίμονας εἴποι τις ἄν, εἴ γε ἀπομνημονεύει τὴν χάριν αὐτοῖς ὁ Ζεύς, ἣν [ἐν ἀρχῇ τῆς Ὁμήρου ποιήσεως] πρὸς αὐτὸν ἐπεδείξαντο δώδεκα ἐξῆς ἡμέρας ἑστιάσαντες, καὶ | ταῦτα ἐπαγόμενον καὶ τοὺς ἄλλους θεούς. Οὕτως οὐδὲν, ὡς ἔοικεν, ἀμισθὶ ποιοῦσιν ὧν ποιοῦσιν, ἀλλὰ πωλοῦσι τοῖς ἀνθρώποις τἀγαθὰ, καὶ ἔνεστι πρίασθαι παρ' αὐτῶν τὸ μὲν ὑγιαίνειν, εἰ τύχοι, βοτδίου, τὸ δὲ πλουτεῖν βοῶν τεττάρων, τὸ δὲ βασιλεύειν ἑκατόμβης, τὸ δὲ σῶν ἐπανελθεῖν ἐξ Ἰλίου ἐς Πύλον ταύρων ἐννέα, καὶ τὸ ἐκ τῆς Αὐλίδος ἐς Ἴλιον διαπλεῦσαι παρθένου βασιλικῆς· ἡ μὲν γὰρ Ἑκάβη τὸ μὴ ἁλῶναι τὴν πόλιν τότε ἐπρίατο παρὰ τῆς Ἀθηνᾶς βοῶν δώδεκα καὶ πέπλου. Εἰκάζειν δὲ χρὴ πολλὰ εἶναι καὶ ἀλεκτρυόνος καὶ στεφάνου καὶ λιβανωτοῦ μόνου παρ' αὐτοῖς ὤνια.

3. Ταῦτα δὲ, οἶμαι, καὶ ὁ Χρύσης ἐπιστάμενος ἅτε ἱερεὺς καὶ γέρων καὶ τὰ θεῖα σοφὸς, ἐπειδὴ ἄπρακτος ἀπῆει παρὰ τοῦ Ἀγαμέμνονος, ὡς ἂν καὶ προδανείσας τῷ Ἀπόλλωνι τὴν χάριν δικαιολογεῖται καὶ ἀπαιτεῖ τὴν ἀμοιβὴν καὶ μόνον οὐκ ὀνειδίζει λέγων, Ὦ βέλτιστε Ἄπολλον, ἐγὼ μέν σου τὸν νεὼν τέως ἀστεφάνωτον ὄντα πολλάκις ἐστεφάνωσα καὶ τοσαῦτά σοι μηρία ταύρων τε καὶ αἰγῶν ἔκαυσα ἐπὶ τῶν βωμῶν, σὺ δὲ ἀμελεῖς μου τοιαῦτα πεπονθότος καὶ παρ' οὐδὲν τίθεσαι τὸν εὐεργέτην. Τοιγαροῦν οὕτω κατεδυσώπησεν αὐτὸν ἐκ τῶν λόγων, ὥστε ἁρπασάμενος τὰ τόξα καὶ ὑπὲρ τοῦ ναοστάθμου καθίσας ἑαυτὸν κατετόξευε τῷ λοιμῷ τοὺς Ἀχαιοὺς αὐταῖς ἡμιόνοις καὶ κυσίν.

4. Ἐπεὶ δ' ἅπαξ τοῦ Ἀπόλλωνος ἐμνήσθην, βούλομαι καὶ τὰ ἄλλα εἰπεῖν, ἃ περὶ αὐτοῦ οἱ σοφοὶ τῶν ἀν-

XIII.

DE SACRIFICIIS.

1. In sacrificiis quæ perpetrant inepti homines, in diebus festis, in salutationibus deorum; quæ porro petunt, quæ optant, quæ de illis sentiunt; nescio an ita demissus quisquam aut tristis sit, quin rideat, eorum quæ fiunt stoliditatem inspiciens. Verum multo, opinor, antequam rideat, cum animo suo exquiret, piosne prædicare illos fas sit, an contra ea hostes deorum et scelestos; qui quidem ita humilem illiberalemque esse divinam naturam opinentur, ut hominibus indigeat, ut gaudeat adulantibus, negligi se indignetur. Etenim Ætolicos illos casus, et calamitates Calydoniorum, et tot cædes, et illam Meleagri tabem, universa hæc opera aiunt esse Dianæ ægre ferentis ad sacrificium se non adhibitam ab Œneo: tam profunde in animum illius descendit, quod sacrificialibus epulis excidit! Ac videor mihi illam videre in cœlo solam tunc relictam, reliquis diis ad Œneum profectis, afflictantem se, et conquerentem quali sacro sibi sit carendum.

2. Ab altera parte Æthiopes beatos ac ter felices aliquis dixerit, si gratiam iis habeat Jupiter, quam [in ipso Homeri poeseos principio] ab illo inierunt, duodecim deinceps dierum epulis illum excipientes, idque quum reliquos etiam deos tanquam umbras secum adduceret. Adeo eorum quæ faciunt, absque mercede, ut videtur, faciunt nihil, sed vendunt bona hominibus, estque ut emat ab illis hic quidem valetudinem forte bucula, divitias alius bobus quatuor; alius regnum hecatomba; alius ut salvus ab Ilio Pylum redeat, tauris novem; uti vero Aulide Ilion liceat trajicere, virgine regia. Nam Hecuba quidem, ne tum urbs caperetur, bobus duodecim atque peplo a Minerva redimebat. Conjicere autem fas est, multa etiam gallo, aut corona, aut solo thure adeo apud ipsos esse venalia.

3. Horum puto, etiam Chryses gnarus, qui sacerdos esset, et senex et divinarum rerum consultus, quum infectis rebus rediret ab Agamemnone, expostulat cum Apolline, tanquam apud quem in fœnore collocasset gratiam, et vicem reposcit, et tantum non conviciatur, dicens: Equidem, optime Apollo, ædem tuam, coronarum honore ad eum diem carentem, sæpe coronavi, totque tibi taurorum caprarumque femora in altaribus tuis adolevi: tu vero me talia negligis passum, nulloque numero habes optime de te meritum. Itaque tantum oratione illa pudorem ei objecit, ut sagittis correptis insessoque editiore prope navium stationem loco, pestilentiæ telis Achivos ipsis cum mulis canibusque configeret.

4. Quum vero semel in Apollinis incidi mentionem, volo etiam reliqua dicere, quæ docti de illo homines commenta-

θρώπων λέγουσιν, οὐχ ὅσα περὶ τοὺς ἔρωτας ἐδυστύχησεν οὐδὲ τοῦ Ὑακίνθου τὸν φόνον οὐδὲ τῆς Δάφνης τὴν ὑπεροψίαν, ἀλλ' ὅτι καὶ καταγνωσθεὶς ἐπὶ τῷ τῶν Κυκλώπων θανάτῳ κἀξοστρακισθεὶς διὰ τοῦτο ἐκ τοῦ οὐρανοῦ κατεπέμφθη ἐς τὴν γῆν ἀνθρωπίνῃ χρησόμενος τῇ τύχῃ· ὅτε δὴ καὶ ἐθήτευσεν ἐν Θετταλίᾳ παρ' Ἀδμήτῳ καὶ ἐν Φρυγίᾳ παρὰ Λαομέδοντι, παρὰ τούτῳ μέν γε οὐ μόνος, ἀλλὰ μετὰ τοῦ Ποσειδῶνος ἀμφότεροι πλινθεύοντες ὑπ' ἀπορίας καὶ ἐργαζόμενοι τὸ τεῖχος, καὶ οὐδὲ ἐντελῆ τὸν μισθὸν ἐκομίσαντο παρὰ τοῦ Φρυγὸς, ἀλλὰ προσώφειλεν αὐτοῖς πλέον ἢ τριάκοντα, φασὶ, δραχμὰς Τρωϊκάς.

5. Ἦ γὰρ οὐ ταῦτα σεμνολογοῦσιν οἱ ποιηταὶ περὶ τῶν θεῶν καὶ πολὺ τούτων ἱερώτερα περί τε Ἡφαίστου καὶ Προμηθέως καὶ Κρόνου καὶ Ῥέας καὶ σχεδὸν ὅλης τῆς τοῦ Διὸς οἰκίας; καὶ ταῦτα παρακαλέσαντες τὰς Μούσας συνῳδοὺς ἐν ἀρχῇ τῶν ἐπῶν, ὑφ' ὧν δὴ ἔνθεοι γενόμενοι ὡς τὸ εἰκὸς ᾄδουσιν, ὡς ὁ μὲν Κρόνος ἐπειδὴ τάχιστα ἐξέτεμε τὸν πατέρα τὸν Οὐρανὸν, ἐβασίλευέ τε ἐν αὐτῷ καὶ τὰ τέκνα κατήσθιεν ὥσπερ ὁ Ἀργεῖος Θυέστης· ὕστερον δὲ ὁ Ζεὺς κλαπεὶς ὑπὸ τῆς Ῥέας ὑποβαλλομένης τὸν λίθον ἐς τὴν Κρήτην ἐκτεθεὶς ὑπ' αἰγὸς ἀνετράφη καθάπερ ὁ Τήλεφος ὑπ' ἐλάφου καὶ ὁ Πέρσης Κῦρος ὁ πρότερον ὑπὸ τῆς κυνὸς, εἶτ' ἐξελάσας τὸν πατέρα καὶ ἐς τὸ δεσμωτήριον καταβαλὼν ἔσχε τὴν ἀρχὴν αὐτός· ἔγημε δὲ πολλὰς μὲν καὶ ἄλλας, ὑστάτην δὲ τὴν Ἥραν τὴν ἀδελφὴν κατὰ τοὺς Περσῶν τοῦτο καὶ Ἀσσυρίων νόμους· ἐρωτικὸς δὲ ὢν καὶ ἐς τὰ ἀφροδίσια κεχυμένος ῥᾳδίως ἐνέπλησε παίδων τὸν οὐρανὸν, τοὺς μὲν ἐξ ὁμοτίμων ποιησάμενος, ἐνίους δὲ καὶ νόθους ἐκ τοῦ θνητοῦ καὶ ἐπιγείου γένους, ἄρτι μὲν ὁ γεννάδας γιγνόμενος χρυσίον, ἄρτι δὲ ταῦρος ἢ κύκνος ἢ ἀετὸς, καὶ ὅλως ποικιλώτερος αὐτοῦ Πρωτέως· μόνην δὲ τὴν Ἀθηνᾶν ἔφυσεν ἐκ τῆς ἑαυτοῦ κεφαλῆς ὑπ' αὐτὸν ἀτεχνῶς τὸν ἐγκέφαλον συλλαβών· τὸν μὲν γὰρ Διόνυσον ἡμιτελῆ, φασὶν, ἐκ τῆς μητρὸς ἔτι καομένης ἁρπάσας ἐν τῷ μηρῷ φέρων κατώρυξε κἄτα ἐξέτεμε τῆς ὠδῖνος ἐνστάσης.

6. Ὅμοια δὲ τούτοις καὶ περὶ τῆς Ἥρας ᾄδουσιν, ἄνευ τῆς πρὸς τὸν ἄνδρα ὁμιλίας ὑπηνέμιον αὐτὴν παῖδα γεννῆσαι τὸν Ἥφαιστον, οὐ μάλα εὐτυχῆ τοῦτον, ἀλλὰ βάναυσον καὶ χαλκέα καὶ πυρίτην ἐν καπνῷ τὸ πᾶν βιοῦντα καὶ σπινθήρων ἀνάπλεων οἷα δὴ καμινευτὴν καὶ οὐδὲ ἄρτιον τὼ πόδε· χωλευθῆναι γὰρ αὐτὸν ἀπὸ τοῦ πτώματος, ὁπότε ἐρρίφη ὑπὸ τοῦ Διὸς ἐξ οὐρανοῦ, καὶ εἴ γε μὴ οἱ Λήμνιοι καλῶς ποιοῦντες ἔτι φερόμενον αὐτὸν ὑπεδέξαντο, κἂν ἐτεθνήκει ἂν ἡμῖν ὁ Ἥφαιστος ὥσπερ ὁ Ἀστυάναξ ἀπὸ τοῦ πύργου καταπεσών. Καίτοι τὰ μὲν Ἡφαίστου μέτρια· τὸν δὲ Προμηθέα τίς οὐκ οἶδεν οἷα ἔπαθε, διότι καθ' ὑπερβολὴν φιλάνθρωπος ἦν; καὶ γὰρ αὖ καὶ τοῦτον ἐς τὴν Σκυθίαν ἀγαγὼν ὁ Ζεὺς ἀνεσταύρωσεν ἐπὶ τοῦ Καυκάσου καὶ τὸν ἀετὸν αὐτῷ παρακαταστήσας τὸ ἦπαρ ὁσημέραι κολάψοντα.

rant, non quam invenustus amator fuerit, nec Hyacinthi cædem, neque ut Daphne aspernata sit illum; sed quod et judicio damnatus ob Cyclopas interfectos et testarum suffragio de cœlo in terram sit ejectus, humana conditione atque sorte usurus: illo igitur tempore etiam servili ministerio, in Thessalia apud Admetum, et apud Laomedontem in Phrygia, functus est; apud hunc quidem non ipse solus, sed cum Neptuno, lateribus ducendis ambo et muro struendo operam locantes ob inopiam, ne integram quidem a Phryge mercedem tulerunt, sed debuit hic de ea illis, aiunt, amplius triginta drachmas Troicas.

5. Numquid enim non talia magnifice narrant de diis poetæ, et multum hisce diviniora, de Vulcano, et Prometheo, et Saturno et Rhea, totaque pæne Jovis familia? et hæc faciunt invocatis in principio versuum Musis cantus adjutricibus, quarum afflatu deo, ut consentaneum est, pleni canunt, ut Saturnus exsecto statim Cœlo patre in illo imperaverit, suosque natos devorarit, ut Argivus Thyestes; ut deinde Jupiter, furto subjicientis lapidem Rheæ, in Creta expositus et a capra nutritus sit, quemadmodum Telephus a cerva et a cane Persa Cyrus superior; ut deinde expulso patre et in carcerem conjecto, imperium ipse tenuerit; ut uxores duxerit ille quidem complures alias, ultimam vero Junonem germanam suam, ex Persarum hoc quidem Assyriorumque legibus: amator vero maximus quum esset et effusus solutusque in venerem, facile cœlum liberis ut compleverit; quorum alios ex suæ dignitatis matribus, alios vero etiam nothos ex mortali ac terrestri genere creaverit, quum nunc aurum generosus ille, nunc taurus, aut olor, aut aquila fieret, denique ipso Proteo mutabilior; solam autem ex suo ipse capite Minervam ut genuerit, intra ipsum plane cerebrum conceptam: Bacchum enim, semiformem, aiunt, ex matre cummaxime flagrante ereptum, in suo ipse femore ocius defodit, ac deinde instante partus dolore exsecuit.

6. Similia vero hisce etiam de Junone canunt, sine viri consuetudine eam peperisse filium Vulcanum, quasi aura conceptum, non nimis illum beatum, sed sordidum opificem, fabrum ærarium, igne adustum, in fumo viventem semper, favilla oppletum, ut qui camino astet tota vita; et ne recte quidem pedibus valentem: claudum nempe redditum ex casu, quum de cœlo projectus a Jove esset; et nisi (bonum factum!) Lemnii, quum ita præceps ferretur, illum excepissent, perierat adeo nobis Vulcanus, ut ille præcipitatus de turri Astyanax. Quanquam Vulcani ista tolerabilia: Prometheo vero quis ignorat quæ acciderint ea causa, quod supra modum homines amaret? abductum enim hunc in Scythiam Jupiter Caucaso monti tanquam cruci affixit, aquila etiam apposita, quæ jecur viri quotidie rostro tunderet.

7. Οὗτος μὲν οὖν ἐξετέλεσε τὴν καταδίκην. Ἡ Ῥέα δὲ — χρὴ γὰρ ἴσως καὶ ταῦτα εἰπεῖν — πῶς οὐκ ἀσχημονεῖ καὶ δεινὰ ποιεῖ, γραῦς μὲν ἤδη καὶ ἔζωρος οὖσα καὶ τοσούτων μήτηρ θεῶν, παιδεραστοῦσα δ' ἔτι καὶ ζηλοτυποῦσα καὶ τὸν Ἄττιν ἐπὶ τῶν λεόντων περιφέρουσα, καὶ ταῦτα χρήσιμον μηκέτι εἶναι δυνάμενον; ὥστε πῶς ἂν ἔτι μέμφοιτό τις ἢ τῇ Ἀφροδίτῃ, ὅτι μοιχεύεται, ἢ τῇ Σελήνῃ πρὸς τὸν Ἐνδυμίωνα κατιούσῃ πολλάκις ἐκ μέσης τῆς ὁδοῦ;

7. Hic igitur pœnas persolvit. Rheam vero (fortasse enim ista quoque dicenda sunt) quis neget indecore se gerere et indigna facere, quæ, anus licet et effœta et tot deorum mater, puerorum adhuc amoribus ac zelotypia ardeat, atque Attin suum juncta leonibus rheda tollat, eumque talem qui jam nec utilis illi esse possit? Quæ quum ita sint, quis jam Veneri succenseat ob adulteria, aut Lunæ de media sæpe via ad suum descendenti Endymionem?

8. Φέρε δὲ ἤδη τούτων ἀφέμενοι τῶν λόγων ἐς αὐτὸν ἀνέλθωμεν τὸν οὐρανὸν ποιητικῶς ἀναπτάμενοι κατὰ τὴν αὐτὴν Ὁμήρῳ καὶ Ἡσιόδῳ ὁδὸν καὶ θεασώμεθα ὅπως ἕκαστον διακεκόσμηται τῶν ἄνω· καὶ ὅτι μὲν χαλκοῦς ἐστι τὰ ἔξω, καὶ πρὸ ἡμῶν τοῦ Ὁμήρου λέγοντος ἠκούσαμεν· ὑπερβάντι δὲ καὶ ἀνακύψαντι μικρὸν ἐς τὸ ἄνω καὶ ἀτεχνῶς ἐπὶ τοῦ νώτου γενομένῳ φῶς τε λαμπρότερον φαίνεται καὶ ἥλιος καθαρώτερος καὶ ἄστρα διαυγέστερα καὶ τὸ πᾶν ἡμέρα καὶ χρυσοῦν τὸ δάπεδον· ἐσιόντων δὲ πρῶτα μὲν οἰκοῦσιν αἱ Ὧραι· πυλωροῦσι γάρ· ἔπειτα δ' ἡ Ἶρις καὶ ὁ Ἑρμῆς ὄντες ὑπηρέται καὶ ἀγγελιαφόροι τοῦ Διός· ἑξῆς δὲ τοῦ Ἡφαίστου τὸ χαλκεῖον ἀνάμεστον ἁπάσης τέχνης, μετὰ δὲ αἱ τῶν θεῶν οἰκίαι καὶ τοῦ Διὸς τὰ βασίλεια, ταῦτα πάντα περικαλλῆ τοῦ Ἡφαίστου κατασκευάσαντος.

8. Age vero jam his relictis sermonibus in ipsum ascendamus cœlum, poetarum licentia eadem qua Homerus Hesiodusque via evecti, videamusque quomodo cœlestium unumquodque ornatum instructumque sit. Atque æneum quidem esse cœlum exterius, jam ante nos Homerum narrantem audivimus: si quis autem transgressus paullum etiam interiora sublato capite introspexerit, atque adeo in dorsum et terga convexa evaserit, illi vero et lux candidior fulget, et sol purior, et illustriora sidera, ac dies ubique et solum aureum. Ad primum ingressum Horæ habitant, janitrices nempe; tum Iris et Mercurius, ministri siquidem Jovis ac nuntii: deinde æraria Vulcani officina omni artis instrumento plena; tum deorum domus, et ipsa Jovis regia: hæc omnia pulcherrima undique a Vulcano fabricata.

9. « Οἱ δὲ θεοὶ παρ Ζηνὶ καθήμενοι » — πρέπει γάρ, οἶμαι, ἄνω ὄντα μεγαληγορεῖν — ἀποσκοποῦσιν ἐς τὴν γῆν καὶ πάντη περιβλέπουσιν ἐπικύπτοντες, εἴ ποθεν ὄψονται πῦρ ἀναπτόμενον ἢ ἀναφερομένην « κνῖσαν ἑλισσομένην περὶ καπνῷ. » Κἂν μὲν θύῃ τις, εὐωχοῦνται πάντες ἐπικεχηνότες τῷ καπνῷ καὶ τὸ αἷμα πίνοντες τοῖς βωμοῖς προσχέομενον ὥσπερ αἱ μυῖαι· ἢν δὲ οἰκόσιτοι ὦσι, νέκταρ καὶ ἀμβροσία τὸ δεῖπνον. Πάλαι μὲν οὖν καὶ ἄνθρωποι συνειστιῶντο καὶ συνέπινον αὐτοῖς, ὁ Ἰξίων καὶ ὁ Τάνταλος· ἐπεὶ δὲ ἦσαν ὑβρισταὶ καὶ λάλοι, ἐκεῖνοι μὲν ἔτι καὶ νῦν κολάζονται, ἄβατος δὲ τῷ θνητῷ γένει καὶ ἀπόρρητος ὁ οὐρανός.

9. « Consedere dei » (decet enim puto superna illa ingressum magnifice etiam loqui) circa Jovem et in terram despiciunt, ubique oculos cernui circumferentes, si qua videant ignem accensum, aut surgentia « nidore volumina fumi » Et si quis sacrificat, epulantur omnes inhiantes fumo, et sanguinem altaribus affusum, muscarum instar, haurientes; domi vero si cœnant, nectar et ambrosia illorum sunt epulæ. Olim quidem homines etiam ad convivium et comessationem illorum adhibebantur, Ixion puta et Tantalus: quum vero tentatores dearum essent et loquaces, ipsi quidem pœnas ad hunc diem luunt, ceterum inaccessum est ab illo tempore mortalium generi cœlum atque interdictum.

10. Τοιοῦτος ὁ βίος τῶν θεῶν. Τοιγαροῦν καὶ οἱ ἄνθρωποι συνῳδὰ τούτοις καὶ ἀκόλουθα περὶ τὰς θρησκείας ἐπιτηδεύουσι· καὶ πρῶτον μὲν ὕλας ἀπετέμοντο καὶ ὄρη ἀνέθεσαν καὶ ὄρνεα καθιέρωσαν καὶ φυτὰ ἐπεφήμισαν ἑκάστῳ θεῷ· μετὰ δὲ νειμάμενοι κατὰ ἔθνη σέβουσι καὶ πολίτας αὐτῶν ἀποφαίνουσιν, ὁ μὲν Δελφὸς τὸν Ἀπόλλω καὶ ὁ Δήλιος, ὁ δ' Ἀθηναῖος τὴν Ἀθηνᾶν — μαρτυρεῖται γοῦν τὴν οἰκειότητα τῷ ὀνόματι — καὶ τὴν Ἥραν ὁ Ἀργεῖος καὶ ὁ Μυγδόνιος τὴν Ῥέαν καὶ τὴν Ἀφροδίτην ὁ Πάφιος, οἱ δ' αὖ Κρῆτες οὐ γενέσθαι παρ' αὐτοῖς οὐδὲ τραφῆναι μόνον τὸν Δία λέγουσιν, ἀλλὰ καὶ τάφον αὐτοῦ δεικνύουσι· καὶ ἡμεῖς ἄρα τοσοῦτον ἡπατήμεθα χρόνον οἰόμενοι τὸν Δία βροντᾶν τε καὶ ὕειν καὶ τἆλλα πάντα ἐπιτελεῖν, ὁ δὲ ἐλελήθει πάλαι τεθνεὼς παρὰ Κρησὶ τεθαμμένος.

10. Talis deorum vita est. Homines igitur consonantia his et consequentia circa religiones instituerunt. Primum nemora sacrarunt, et montes dedicarunt, et sacras esse jusserunt aves, et suas unicuique plantas deo assignarunt; deinde in gentes descriptos colunt, suosque cives declarant; Delphus quidem Deliusque Apollinem; Minervam vero Atheniensis (testatur enim ipso suo nomine Græco illam conjunctionem); Junonem porro Argivus, et Mygdonius Rheam, et Venerem Paphius: rursum Cretenses non natum modo apud se, neque nutritum modo Jovem prædicant, sed sepulcrum quoque illius ostendunt. Nos igitur longo adeo tempore falsi sumus, qui putaverimus Jovem tonare et pluere et reliqua omnia perficere: at fugit nos, olim eum esse mortuum, qui apud Cretenses sepultus sit.

11. Ἔπειτα δὲ ναοὺς ἐγείραντες, ἵν' αὐτοῖς μὴ ἄοικοι μηδὲ ἀνέστιοι ὄῃθεν ὦσιν, εἰκόνας αὐτοῖς ἀπεικά-

11. Deinde templis excitatis, ne sine domo videlicet et sine foco sibi sint dii, signa illis assimilant, aut Praxitele

ζουσι παρακαλέσαντες ἢ Πραξιτέλην ἢ Πολύκλειτον ἢ Φειδίαν, οἱ δ' οὐκ οἶδ' ὅπου ἰδόντες ἀναπλάττουσι γενειήτην μὲν τὸν Δία, παῖδα δ' ἐς ἀεὶ τὸν Ἀπόλλωνα καὶ τὸν Ἑρμῆν ὑπηνήτην καὶ τὸν Ποσειδῶνα κυανοχαίτην καὶ γλαυκῶπιν τὴν Ἀθηνᾶν. Ὅμως δ' οὖν οἱ παριόντες ἐς τὸν νεὼν οὔτε τὸν ἐξ Ἰνδῶν ἐλέφαντα ἔτι οἴονται ὁρᾶν οὔτε τὸ ἐκ τῆς Θρᾴκης μεταλλευθὲν χρυσίον, ἀλλ' αὐτὸν τὸν Κρόνου καὶ Ῥέας ἐς τὴν γῆν ὑπὸ Φειδίου μετῳκισμένον καὶ τὴν Πισαίων ἐρημίαν ἐπισκοπεῖν κεκελευσμένον, ἀγαπῶντα εἰ διὰ πέντε ὅλων ἐτῶν θύσει τις αὐτῷ πάρεργον Ὀλυμπίων.

12. Θέμενοι δὲ βωμοὺς καὶ προρρήσεις καὶ περιῤῥαντῆρια προσάγουσι τὰς θυσίας, βοῦν μὲν ἀροτῆρα ὁ γεωργὸς, ἄρνα δὲ ὁ ποιμὴν καὶ αἶγα ὁ αἰπόλος, ὁ δέ τις λιβανωτὸν ἢ πόπανον, ὁ δὲ πένης ἱλάσατο τὸν θεὸν φιλήσας μόνον τὴν αὐτοῦ δεξιάν. Ἀλλ' οἵ γε θύοντες — ἐπ' ἐκείνους γὰρ ἐπάνειμι — στεφανώσαντες τὸ ζῷον καὶ πολύ γε πρότερον ἐξετάσαντες εἰ ἐντελὲς εἴη, ἵνα μηδὲ τῶν ἀχρήστων τι κατασφάττωσι, προσάγουσι τῷ βωμῷ καὶ φονεύουσιν ἐν ὀφθαλμοῖς τοῦ θεοῦ γοερόν τι μυκώμενον καὶ ὡς τὸ εἰκὸς εὐφημοῦν καὶ ἡμίφωνον ἤδη τῇ θυσίᾳ ἐπαυλοῦν. Τίς οὐκ ἂν εἰκάσειεν ἥδεσθαι ταῦτα ὁρῶντας τοὺς θεούς;

13. Καὶ τὸ μὲν πρόγραμμά φησι μὴ παριέναι ἐς τὸ εἴσω τῶν περιῤῥαντηρίων ὅστις μὴ καθαρὸς ἐστι τὰς χεῖρας· ὁ δὲ ἱερεὺς αὐτὸς ἕστηκεν ἡμαγμένος καὶ ὥσπερ ὁ Κύκλωψ ἐκεῖνος ἀνατέμνων καὶ τὰ ἔγκατα ἐξαίρων καὶ καρδιουλκῶν καὶ τὸ αἷμα τῷ βωμῷ περιχέων καὶ τί γὰρ οὐκ εὐσεβὲς ἐπιτελῶν; ἐπὶ πᾶσι δὲ πῦρ ἀνακαύσας ἐπέθηκε φέρων αὐτῇ δορᾷ τὴν αἶγα καὶ αὐτοῖς ἐρίοις τὸ πρόβατον· ἡ δὲ κνῖσα θεσπέσιος καὶ ἱεροπρεπὴς χωρεῖ ἄνω καὶ ἐς αὐτὸν τὸν οὐρανὸν ἠρέμα διασῑδναται. Ὁ μέν γε Σκύθης πάσας τὰς θυσίας ἀφεὶς καὶ ἡγησάμενος ταπεινὰς αὐτοὺς τοὺς ἀνθρώπους τῇ Ἀρτέμιδι παρίστησι καὶ οὕτω ποιῶν ἀρέσκει τὴν θεόν.

14. Ταῦτα μὲν δὴ ἴσως μέτρια καὶ τὰ ὑπ' Ἀσσυρίων γιγνόμενα καὶ ὑπὸ Φρυγῶν καὶ Λυδῶν, ἢν δ' ἐς τὴν Αἴγυπτον ἔλθῃς, τότε δὴ τότε ὄψει πολλὰ τὰ σεμνὰ καὶ ὡς ἀληθῶς ἄξια τοῦ οὐρανοῦ, κριοπρόσωπον μὲν τὸν Δία, κυνοπρόσωπον δὲ τὸν βέλτιστον Ἑρμῆν καὶ τὸν Πᾶνα ὅλον τράγον καὶ ἶβίν τινα καὶ κροκόδειλον ἕτερον καὶ πίθηκον.

Εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' εὖ εἰδῇς,

ἀκούσῃ πολλῶν σοφιστῶν καὶ γραμματέων καὶ προφητῶν ἐξυρημένων διηγουμένων — πρότερον δέ φησιν ὁ λόγος, « Θύρας δ' ἐπίθεσθε βέβηλοι » — ὡς ἄρα ὑπὸ τῶν πολεμίων καὶ τῶν γιγάντων τὴν ἐπανάστασιν οἱ θεοὶ φοβηθέντες ἦκον ἐς τὴν Αἴγυπτον ὡς δὴ ἐνταῦθα λησόμενοι τοὺς πολεμίους· εἶθ' ὁ μὲν αὐτῶν ὑπέδυ τράγον, ὁ δὲ κριὸν ὑπὸ τοῦ δέους, ὁ δὲ θηρίον ἢ ὄρνεον, διὸ δὴ εἰσέτι καὶ νῦν φυλάττεσθαι τὰς τότε μορφὰς τοῖς θεοῖς· ταῦτα γὰρ ἀμέλει ἐν τοῖς ἀδύτοις ἀπόκειται γραφέντα πλεῖον ἢ πρὸ ἐτῶν μυρίων.

advocato aut Polycleto, aut Phidia: atque hi nescio ubi viderint deos; fingunt certe barbatum Jovem, perpetuo adolescentem Apollinem, Mercurium primæ lanuginis juvenem, cæruleo capillo Neptunum, et glaucis Minervam oculis. Tamen qui intrant ædem, non jam Indicum sibi ebur videntur videre, aut quæsitum ex Thraciæ metallis aurum; sed ipsum Saturni ac Rheæ filium, in terram traductum collocatumque a Phidia, et Pisæorum desertis præsidere jussum, ac satis habere si ipsis quinque interjectis annis per Olympiorum occasionem obiter aliquis ei sacrificet.

12. Positis vero altaribus et edictis et vasis lustralibus, hostias admovent, aratorem bovem agricola, opilio ovem, capram caprarius, alius quidam thus aut libum; pauper autem placavit deum adorata solum dextra. Ipsi vero sacrificantes (ad hos enim redeo) vittatum animal, quod quidem diu ante probarunt si sit integrum, ne quod impurum aut parum idoneum mactent, admovent altari, et in oculis dei mactant lugubre quiddam sonans, quæ bona illius verba interpretari licet, et tibiarum instar dimidiata jam voce sacrificio accinens. Quis non putet delectari, hæc quum vident, deos?

13. Et edicti quidem tabula denunciat, ne ingredi audeat intra vasa lustralia, si quis manus puras non habeat: ceterum sacerdos ipse stat cruentatus, et ut Cyclops ille secans et exta eximens et cor protrahens, et sanguinem affundens altari, et nihil non pium perficiens: denique vero igni accenso imponit ipsa cum pelle capram, et ovem cum sua sibi lana: tum nidor ille sanctus ac deo dignus alta petit et in ipsum cœlum paullatim diffunditur. At Scytha relictis hostiis omnibus, quas humiles putat, ipsos homines ad aram Dianæ sistit, eoque facto deam placat.

14. At ista forte mediocria, non minus his quæ apud Assyrios fiunt et Phrygas Lydosque: in Ægyptum vero si veneris, tum sane, tum videbis magnifica multa et vere digna cœlo: arietina facie Jovem, canina præclarum illum Mercurium, et Pana caprum usquequaque: et aliquem eorum ibin videbis, crocodilum alium, et simiam.

Hæc si nosse velis, ut sint tibi cognita plane,

audies sophistas multos et scribas, et raso capite prophetas, qui tibi enarrent, edicto prius, « Aures cohibete profani! » qui tibi enarrent, inquam, ut ab hostibus et gigantibus seditionem metuentes dii in Ægyptum venerint, ubi latere se sperarent ab hostibus; deinde unus illorum caprum subierit, arietem præ metu alius, bestiam quamcumque alius, aut avem: hancque ob causam illas formas hodie quoque servari diis. Hæc nimirum in penetralibus templorum reposita servantur, scripta ante decies mille amplius annos.

15. Αἱ δὲ θυσίαι καὶ παρ' ἐκείνοις αἱ αὐταὶ, πλὴν ὅτι πενθοῦσι τὸ ἱερεῖον καὶ κόπτονται περιστάντες ἤδη πεφονευμένον, οἱ δὲ καὶ θάπτουσι μόνον ἀποσφάξαντες. Ὁ μὲν γὰρ Ἆπις, ὁ μέγιστος αὐτοῖς θεὸς, ἐὰν ἀποθάνῃ, τίς οὕτω περὶ πολλοῦ ποιεῖται τὴν κόμην ὅστις οὐκ ἀπεξύρησε καὶ ὑψηλὸν ἐπὶ τῆς κεφαλῆς τὸ πένθος ἐπεδείξατο, κἂν τὸν Νίσου ἔχῃ πλόκαμον τὸν πορφυροῦν; Ἔστι δὲ ὁ Ἆπις ἐξ ἀγέλης θεὸς ἐπὶ τῷ προτέρῳ χειροτονούμενος, ὡς πολὺ καλλίων καὶ σεμνότερος τῶν ἰδιωτῶν βοῶν. Ταῦτα οὕτω γιγνόμενα καὶ ὑπὸ τῶν πολλῶν πιστευόμενα δεῖσθαί μοι δοκεῖ τοῦ μὲν ἐπιτιμήσοντος οὐδενὸς, Ἡρακλείτου δέ τινος ἢ Δημοκρίτου, τοῦ μὲν γελασομένου τὴν ἄγνοιαν αὐτῶν, τοῦ δὲ τὴν ἄνοιαν ὀδυρουμένου.

15. Ceterum sacrificia etiam apud illos eadem, nisi quod lugent hostiam et plangunt circumstantes modo mactatam; alii vero eam sepeliunt, contenti jugulasse. Maximus quidem illorum deus Apis si moritur, quis tanti facit comam, quin tondeat, et altum in capite luctum præ se ferat, si vel purpureum Nisi cirrum habeat? Est porro Apis de grege deus, priori illi suffectus, honestior longe ceteris de plebe bobus et augustior. Hæc quæ ita fiunt et a vulgo creduntur, reprehensore opus habere mihi non videntur, sed vel Heraclito quodam vel Democrito, quorum alter ignorantiam illorum rideat, amentiam alter deploret.

XIV.

ΒΙΩΝ ΠΡΑΣΙΣ.

1. ΖΕΥΣ. Σὺ μὲν διατίθει τὰ βάθρα καὶ παρασκεύαζε τὸν τόπον τοῖς ἀφικνουμένοις, σὺ δὲ στῆσον ἐξῆς παραγαγὼν τοὺς βίους, ἀλλὰ κοσμήσας πρότερον, ὡς εὐπρόσωποι φανοῦνται καὶ ὅτι πλείστους ἐπάξονται· σὺ δὲ, ὦ Ἑρμῆ, κήρυττε καὶ ξυγκάλει ἀγαθῇ τύχῃ τοὺς ὠνητὰς ἤδη παρεῖναι πρὸς τὸ πωλητήριον. Ἀποκηρύξομεν δὲ βίους φιλοσόφους παντὸς εἴδους καὶ προαιρέσεων ποικίλων. Εἰ δέ τις οὐκ ἔχοι τὸ παραυτίκα τἀργύριον καταβαλέσθαι, ἐς νέωτα ἐκτίσει καταστήσας ἐγγυητήν.

ΕΡΜ. Πολλοὶ συνίασιν· ὥστε χρὴ μὴ διατρίβειν μηδὲ κατέχειν αὐτούς.

ΖΕΥΣ. Πωλῶμεν οὖν.

2. ΕΡΜ. Τίνα θέλεις πρῶτον παραγάγωμεν;

ΖΕΥΣ. Τουτονὶ τὸν κομήτην, τὸν Ἰωνικὸν, ἐπεὶ καὶ σεμνός τις εἶναι φαίνεται.

ΕΡΜ. Οὗτος ὁ Πυθαγορικὸς κατάβηθι καὶ πάρεχε σαυτὸν ἀναθεωρεῖν τοῖς συνειλεγμένοις.

ΖΕΥΣ. Κήρυττε δή.

ΕΡΜ. Τὸν ἄριστον βίον πωλῶ, τὸν σεμνότατον, τίς ὠνήσεται; τίς ὑπὲρ ἄνθρωπον εἶναι βούλεται; τίς εἰδέναι τὴν τοῦ παντὸς ἁρμονίαν καὶ ἀναβιῶναι πάλιν;

ΑΓΟΡΑΣΤΗΣ. Τὸ μὲν εἶδος οὐκ ἀγεννής. Τί δὲ μάλιστα οἶδεν;

ΕΡΜ. Ἀριθμητικὴν, ἀστρονομίαν, τερατείαν, γεωμετρίαν, μουσικὴν, γοητείαν. Μάντιν ἄκρον βλέπεις.

ΑΓΟ. Ἔξεστιν αὐτὸν ἀνακρίνειν;

ΕΡΜ. Ἀνάκρινε ἀγαθῇ τύχῃ.

3. ΑΓΟ. Ποδαπὸς εἶ σύ;

ΠΥΘΑΓΟΡΑΣ. Σάμιος.

ΑΓΟ. Ποῦ δὲ ἐπαιδεύθης;

ΠΥΘ. Ἐν Αἰγύπτῳ παρὰ τοῖς ἐκεῖ σοφοῖσι.

ΑΓΟ. Φέρε δὲ, ἢν πρίωμαί σε, τί με διδάξεις;

ΠΥΘ. Διδάξομαι μὲν οὐδὲν, ἀναμνήσω δέ.

ΑΓΟ. Πῶς ἀναμνήσεις;

XIV.

VITARUM AUCTIO.

1. JUP. Tu scamna dispone, et locum para advenientibus: tu colloca productas ordine vitas; sed exorna ante, ut speciosæ videantur et emtores quam plurimos alliciant. Tu vero, Mercuri, præconium fac, et jube, quod bene vertat! emtores jam adesse ad forum. Præconio autem vendemus vitas philosophas omnis generis et sectarum diversarum. Si quis vero præsentem pecuniam numerare non possit, fidejussore dato, proximo anno solvet.

MERC. Multi conveniunt: proinde nihil cunctandum est, neque illos retinendum.

JUP. Vendamus ergo.

2. MERC. Quem vis primum producamus?

JUP. Comatum huncce, Ionicum; etenim honestus esse videtur.

MERC. Heus tu, Pythagorice, descende et perspiciendum te præbe congregatis.

JUP. Jam fac præconium.

MERC. Optimam vitam vendo, honestissimam: quis emet? quis supra hominis conditionem extolli vult? quis nosse concordiam universi, et reviviscere?

EMTOR. Specie videtur haud illiberali. Quid vero maxime novit?

MERC. Arithmeticam, astronomiam, præstigias, geometriam, musicam, imposturam. Vatem vides summum.

EMT. Licetne interrogare hominem?

MERC. Interroga, quod bene eveniat!

3. EMT. Cujas es?

PYTHAGORAS. Samius.

EMT. Ubi institutus es?

PYTH. In Ægypto apud sapientes qui ibi sunt.

EMT. Age, si te emero, quid me docebis?

PYTH. Docebo te nihil, sed in memoriam tibi revocabo.

EMT. Quomodo revocabis?

ζουσι παρακαλέσαντες ἢ Πραξιτέλην ἢ Πολύκλειτον ἢ Φειδίαν, οἱ δ' οὐκ οἶδ' ὅπου ἰδόντες ἀναπλάττουσι γενειήτην μὲν τὸν Δία, παῖδα δ' ἐς ἀεὶ τὸν Ἀπόλλωνα καὶ τὸν Ἑρμῆν ὑπηνήτην καὶ τὸν Ποσειδῶνα κυανοχαίτην καὶ γλαυκῶπιν τὴν Ἀθηνᾶν. Ὅμως δ' οὖν οἱ παριόντες ἐς τὸν νεὼν οὔτε τὸν ἐξ Ἰνδῶν ἐλέφαντα ἔτι οἴονται ὁρᾶν οὔτε τὸ ἐκ τῆς Θράκης μεταλλευθὲν χρυσίον, ἀλλ' αὐτὸν τὸν Κρόνου καὶ Ῥέας ἐς τὴν γῆν ὑπὸ Φειδίου μετῳκισμένον καὶ τὴν Πισαίων ἐρημίαν ἐπισκοπεῖν κεκελευσμένον, ἀγαπῶντα εἰ διὰ πέντε ὅλων ἐτῶν θύσει τις αὐτῷ πάρεργον Ὀλυμπίων.

12. Θέμενοι δὲ βωμοὺς καὶ προρρήσεις καὶ περιῤῥαντήρια προσάγουσι τὰς θυσίας, βοῦν μὲν ἀροτῆρα ὁ γεωργὸς, ἄρνα δὲ ὁ ποιμὴν καὶ αἶγα ὁ αἰπόλος, ὁ δέ τις λιβανωτὸν ἢ πόπανον, ὁ δὲ πένης ἱλάσατο τὸν θεὸν φιλήσας μόνον τὴν αὐτοῦ δεξιάν. Ἀλλ' οἵ γε θύοντες — ἐπ' ἐκείνους γὰρ ἐπάνειμι — στεφανώσαντες τὸ ζῷον καὶ πολύ γε πρότερον ἐξετάσαντες εἰ ἐντελὲς εἴη, ἵνα μηδὲ τῶν ἀχρήστων τι κατασφάττωσι, προσάγουσι τῷ βωμῷ καὶ φονεύουσιν ἐν ὀφθαλμοῖς τοῦ θεοῦ γοερόν τι μυκώμενον καὶ ὡς τὸ εἰκὸς εὐφημοῦν καὶ ἡμίφωνον ἤδη τῇ θυσίᾳ ἐπαυλοῦν. Τίς οὐκ ἂν εἰκάσειεν ἥδεσθαι ταῦτα ὁρῶντας τοὺς θεούς;

13. Καὶ τὸ μὲν πρόγραμμά φησι μὴ παριέναι ἐς τὸ εἴσω τῶν περιῤῥαντηρίων ὅστις μὴ καθαρὸς ἐστι τὰς χεῖρας· ὁ δὲ ἱερεὺς αὐτὸς ἕστηκεν ἡμαγμένος καὶ ὥσπερ ὁ Κύκλωψ ἐκεῖνος ἀνατέμνων καὶ τὰ ἔγκατα ἐξαίρων καὶ καρδιουλκῶν καὶ τὸ αἷμα τῷ βωμῷ περιχέων καὶ τί γὰρ οὐκ εὐσεβὲς ἐπιτελῶν; ἐπὶ πᾶσι δὲ πῦρ ἀνακαύσας ἐπέθηκε φέρων αὐτῇ δορᾷ τὴν αἶγα καὶ αὐτοῖς ἐρίοις τὸ πρόβατον· ἡ δὲ κνῖσα θεσπέσιος καὶ ἱεροπρεπὴς χωρεῖ ἄνω καὶ ἐς αὐτὸν τὸν οὐρανὸν ἠρέμα διασχίδναται. Ὁ μέν γε Σκύθης πάσας τὰς θυσίας ἀφεὶς καὶ ἡγησάμενος ταπεινὰς αὐτοὺς τοὺς ἀνθρώπους τῇ Ἀρτέμιδι παρίστησι καὶ οὕτω ποιῶν ἀρέσκει τὴν θεόν.

14. Ταῦτα μὲν δὴ ἴσως μέτρια καὶ τὰ ὑπ' Ἀσσυρίων γιγνόμενα καὶ ὑπὸ Φρυγῶν καὶ Λυδῶν, ἢν δ' ἐς τὴν Αἴγυπτον ἔλθῃς, τότε δὴ τότε ὄψει πολλὰ τὰ σεμνὰ καὶ ὡς ἀληθῶς ἄξια τοῦ οὐρανοῦ, κριοπρόσωπον μὲν τὸν Δία, κυνοπρόσωπον δὲ τὸν βέλτιστον Ἑρμῆν καὶ τὸν Πᾶνα ὅλον τράγον καὶ ἴβίν τινα καὶ κροκόδειλον ἕτερον καὶ πίθηκον.

Εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄρρ' εὖ εἰδῇς,

ἀκούσῃ πολλῶν σοφιστῶν καὶ γραμματέων καὶ προφητῶν ἐξυρημένων διηγουμένων — πρότερον δέ φησιν ὁ λόγος, « θύρας δ' ἐπίθεσθε βέβηλοι » — ὡς ἄρα ὑπὸ τῶν πολεμίων καὶ τῶν γιγάντων τὴν ἐπανάστασιν οἱ θεοὶ φοβηθέντες ἦκον ἐς τὴν Αἴγυπτον ὡς δὴ ἐνταῦθα λησόμενοι τοὺς πολεμίους· εἶθ' ὁ μὲν αὐτῶν ὑπέδυ τράγον, ὁ δὲ κριὸν ὑπὸ τοῦ δέους, ὁ δὲ θηρίον ἢ ὄρνεον, διὸ δὴ εἰσέτι καὶ νῦν φυλάττεσθαι τὰς τότε μορφὰς τοῖς θεοῖς· ταῦτα γὰρ ἀμέλει ἐν τοῖς ἀδύτοις ἀπόκειται γραφέντα πλεῖον ἢ πρὸ ἐτῶν μυρίων.

advocato aut Polycleto, aut Phidia : atque hi nescio ubi viderint deos; fingunt certe barbatum Jovem, perpetuo adolescentem Apollinem, Mercurium primæ lanuginis juvenem, cæruleo capillo Neptunum, et glaucis Minervam oculis. Tamen qui intrant ædem, non jam Indicum sibi ebur videntur videre, aut quæsitum ex Thraciæ metallis aurum; sed ipsum Saturni ac Rheæ filium, in terram traductum collocatumque a Phidia, et Pisæorum desertis præsidere jussum, ac satis habere si ipsis quinque interjectis annis per Olympiorum occasionem obiter aliquis ei sacrificet.

12. Positis vero altaribus et edictis et vasis lustralibus, hostias admovent, aratorem bovem agricola, opilio ovem, capram caprarius, alius quidam thus aut libum; pauper autem placavit deum adorata solum dextra. Ipsi vero sacrificantes (ad hos enim redeo) vittatum animal, quod quidem diu ante probarunt si sit integrum, ne quod impurum aut parum idoneum mactent, admovent altari, et in oculis dei mactant lugubre quiddam sonans, quæ bona illius verba interpretari licet, et tibiarum instar dimidiata jam voce sacrificio accinens. Quis non putet delectari, hæc quum vident, deos?

13. Et edicti quidem tabula denunciat, ne ingredi audeat intra vasa lustralia, si quis manus puras non habeat : ceterum sacerdos ipse stat cruentatus, et ut Cyclops ille secans et exta eximens et cor protrahens, et sanguinem affundens altari, et nihil non pium perficiens : denique vero igni accenso imponit ipsa cum pelle capram, et ovem cum sua sibi lana : tum nidor ille sanctus ac deo dignus alta petit et in ipsum cœlum paullatim diffunditur. At Scytha relictis hostiis omnibus, quas humiles putat, ipsos homines ad aram Dianæ sistit, eoque facto deam placat.

14. At ista forte mediocria, non minus his quæ apud Assyrios fiunt et Phrygas Lydosque : in Ægyptum vero si veneris, tum sane, tum videbis magnifica multa et vere digna cœlo : arietina facie Jovem, canina præclarum illum Mercurium, et Pana caprum usquequaque : et aliquem eorum ibin videbis, crocodilum alium, et simiam.

Hæc si nosse velis, ut sint tibi cognita plane,

audies sophistas multos et scribas, et raso capite prophetas, qui tibi enarrent, edicto prius, « Aures cohibete profani! » qui tibi enarrent, inquam, ut ab hostibus et gigantibus seditionem metuentes dii in Ægyptum venerint, ubi latere se sperarent ab hostibus; deinde unus illorum caprum subierit, arietem præ metu alius, bestiam quamcumque alius, aut avem : hancque ob causam illas formas hodie quoque servari diis. Hæc nimirum in penetralibus templorum reposita servantur, scripta ante decies mille amplius annos.

15. Αἱ δὲ θυσίαι καὶ παρ' ἐκείνοις αἱ αὐταὶ, πλὴν ὅτι πενθοῦσι τὸ ἱερεῖον καὶ κόπτονται περιστάντες ἤδη πεφονευμένον, οἱ δὲ καὶ θάπτουσι μόνον ἀποσφάξαντες. Ὁ μὲν γὰρ Ἆπις, ὁ μέγιστος αὐτοῖς θεὸς, ἐὰν ἀποθάνῃ, τίς οὕτω περὶ πολλοῦ ποιεῖται τὴν κόμην ὅστις οὐκ ἀπεξύρησε καὶ ὑψηλὸν ἐπὶ τῆς κεφαλῆς τὸ πένθος ἐπεδείξατο, κἂν τὸν Νίσου ἔχῃ πλόκαμον τὸν πορφυροῦν; Ἔστι δὲ ὁ Ἆπις ἐξ ἀγέλης θεὸς ἐπὶ τῷ προτέρῳ χειροτονούμενος, ὡς πολὺ καλλίων καὶ σεμνότερος τῶν ἰδιωτῶν βοῶν. Ταῦτα οὕτω γιγνόμενα καὶ ὑπὸ τῶν πολλῶν πιστευόμενα δεῖσθαί μοι δοκεῖ τοῦ μὲν ἐπιτιμήσοντος οὐδενὸς, Ἡρακλείτου δέ τινος ἢ Δημοκρίτου, τοῦ μὲν γελασομένου τὴν ἄγνοιαν αὐτῶν, τοῦ δὲ τὴν ἄνοιαν ὀδυρουμένου.

15. Ceterum sacrificia etiam apud illos eadem, nisi quod lugent hostiam et plangunt circumstantes modo mactatam; alii vero eam sepeliunt, contenti jugulasse. Maximus quidem illorum deus Apis si moritur, quis tanti facit comam, quin tondeat, et altum in capite luctum præ se ferat, si vel purpureum Nisi cirrum habeat? Est porro Apis de grege deus, priori illi suffectus, honestior longe ceteris de plebe bobus et augustior. Hæc quæ ita fiunt et a vulgo creduntur, reprehensore opus habere mihi non videntur, sed vel Heraclito quodam vel Democrito, quorum alter ignorantiam illorum rideat, amentiam alter deploret.

XIV.

ΒΙΩΝ ΠΡΑΣΙΣ.

1. ΖΕΥΣ. Σὺ μὲν διατίθει τὰ βάθρα καὶ παρασκεύαζε τὸν τόπον τοῖς ἀφικνουμένοις, σὺ δὲ στῆσον ἐξῆς παραγαγὼν τοὺς βίους, ἀλλὰ κοσμήσας πρότερον, ὡς εὐπρόσωποι φανοῦνται καὶ ὅτι πλείστους ἐπάξονται· σὺ δὲ, ὦ Ἑρμῆ, κήρυττε καὶ ξυγκάλει ἀγαθῇ τύχῃ τοὺς ὠνητὰς ἤδη παρεῖναι πρὸς τὸ πωλητήριον. Ἀποκηρύξομεν δὲ βίους φιλοσόφους παντὸς εἴδους καὶ προαιρέσεων ποικίλων. Εἰ δέ τις οὐκ ἔχοι τὸ παραυτίκα τἀργύριον καταβαλέσθαι, ἐς νέωτα ἐκτίσει καταστήσας ἐγγυητήν.

ΕΡΜ. Πολλοὶ συνίασιν· ὥστε χρὴ μὴ διατρίβειν μηδὲ κατέχειν αὐτούς.

ΖΕΥΣ. Πωλῶμεν οὖν.

2. ΕΡΜ. Τίνα θέλεις πρῶτον παραγάγωμεν;

ΖΕΥΣ. Τουτονὶ τὸν κομήτην, τὸν Ἰωνικὸν, ἐπεὶ καὶ σεμνός τις εἶναι φαίνεται.

ΕΡΜ. Οὗτος ὁ Πυθαγορικὸς κατάβηθι καὶ πάρεχε σαυτὸν ἀναθεωρεῖν τοῖς συνειλεγμένοις.

ΖΕΥΣ. Κήρυττε δή.

ΕΡΜ. Τὸν ἄριστον βίον πωλῶ, τὸν σεμνότατον, τίς ὠνήσεται; τίς ὑπὲρ ἄνθρωπον εἶναι βούλεται; τίς εἰδέναι τὴν τοῦ παντὸς ἁρμονίαν καὶ ἀναβιῶναι πάλιν;

ΑΓΟΡΑΣΤΗΣ. Τὸ μὲν εἶδος οὐκ ἀγεννής. Τί δὲ μάλιστα οἶδεν;

ΕΡΜ. Ἀριθμητικὴν, ἀστρονομίαν, τερατείαν, γεωμετρίαν, μουσικὴν, γοητείαν. Μάντιν ἄκρον βλέπεις.

ΑΓΟ. Ἔξεστιν αὐτὸν ἀνακρίνειν;

ΕΡΜ. Ἀνάκρινε ἀγαθῇ τύχῃ.

3. ΑΓΟ. Ποδαπὸς εἶ σύ;

ΠΥΘΑΓΟΡΑΣ. Σάμιος.

ΑΓΟ. Ποῦ δὲ ἐπαιδεύθης;

ΠΥΘ. Ἐν Αἰγύπτῳ παρὰ τοῖς ἐκεῖ σοφοῖσι.

ΑΓΟ. Φέρε δὲ, ἢν πρίωμαί σε, τί με διδάξεις;

ΠΥΘ. Διδάξομαι μὲν οὐδὲν, ἀναμνήσω δέ.

ΑΓΟ. Πῶς ἀναμνήσεις;

XIV.

VITARUM AUCTIO.

1. JUP. Tu scamna dispone, et locum para advenientibus: tu colloca productas ordine vitas; sed exorna ante, ut speciosæ videantur et emtores quam plurimos alliciant. Tu vero, Mercuri, præconium fac, et jube, quod bene vertat! emtores jam adesse ad forum. Præconio autem vendemus vitas philosophas omnis generis et sectarum diversarum. Si quis vero præsentem pecuniam numerare non possit, fidejussore dato, proximo anno solvet.

MERC. Multi conveniunt: proinde nihil cunctandum est, neque illos retinendum.

JUP. Vendamus ergo.

2. MERC. Quem vis primum producamus?

JUP. Comatum hunccе, Ionicum; etenim honestus esse videtur.

MERC. Heus tu, Pythagorice, descende et perspiciendum te præbe congregatis.

JUP. Jam fac præconium.

MERC. Optimam vitam vendo, honestissimam: quis emet? quis supra hominis conditionem extolli vult? quis nosse concordiam universi, et reviviscere?

EMTOR. Specie videtur haud illiberali. Quid vero maxime novit?

MERC. Arithmeticam, astronomiam, præstigias, geometriam, musicam, imposturam. Vatem vides summum.

EMT. Licetne interrogare hominem?

MERC. Interroga, quod bene eveniat!

3. EMT. Cujas es?

PYTHAGORAS. Samius.

EMT. Ubi institutus es?

PYTH. In Ægypto apud sapientes qui ibi sunt.

EMT. Age, si te emero, quid me docebis?

PYTH. Docebo te nihil, sed in memoriam tibi revocabo.

EMT. Quomodo revocabis?

ΠΥΘ. Καθαρὴν πρότερον τὴν ψυχὴν ἐργασάμενος καὶ τὸν ἐπ' αὐτῇ ῥύπον ἐκκλύσας.

ΑΓΟ. Καὶ δὴ νόμισον ἤδη κεκαθάρθαι με, τίς ὁ τρόπος τῆς ἀναμνήσεως;

ΠΥΘ. Τὸ μὲν πρῶτον ἡσυχίη μακρὴ καὶ ἀφωνίη καὶ πέντε ὅλων ἐτέων λαλέειν μηδέν.

ΑΓΟ. Ὥρα σοι, ὦ βέλτιστε, τὸν Κροίσου παῖδα παιδεύειν· ἐγὼ γὰρ λάλος, οὐκ ἀνδριὰς εἶναι βούλομαι. Τί δὲ μετὰ τὴν σιωπὴν ὅμως καὶ τὴν πενταετίαν;

ΠΥΘ. Μουσουργίῃ καὶ γεωμετρίῃ ἐνασκήσεαι.

ΑΓΟ. Χάριεν λέγεις, εἰ πρῶτόν με κιθαρῳδὸν γενόμενον κᾆτα εἶναι σοφὸν χρή.

4. ΠΥΘ. Εἶτ' ἐπὶ τουτέοισιν ἀριθμέειν.

ΑΓΟ. Οἶδα καὶ νῦν ἀριθμεῖν.

ΠΥΘ. Πῶς ἀριθμέεις;

ΑΓΟ. Ἕν, δύο, τρία, τέτταρα.

ΠΥΘ. Ὁρᾷς; ἃ σὺ δοκέεις τέσσαρα, ταῦτα δέκα ἐστὶ καὶ τρίγωνον ἐντελὲς καὶ ἡμέτερον ὅρκιον.

ΑΓΟ. Οὐ μὰ τὸν μέγιστον τοίνυν ὅρκον τὰ τέτταρα, οὔποτε θειοτέρους λόγους ἤκουσα οὐδὲ μᾶλλον ἱερούς.

ΠΥΘ. Μετὰ δὲ, ὦ ξεῖνε, εἴσεαι γῆς τε πέρι καὶ ἠέρος καὶ ὕδατος καὶ πυρὸς ἥτις αὐτέοισι ἡ φορὴ καὶ ὁκοῖα ἐόντα μορφὴν ὅκως κινέονται.

ΑΓΟ. Μορφὴν γὰρ ἔχει τὸ πῦρ ἢ ἀὴρ ἢ ὕδωρ;

ΠΥΘ. Καὶ μάλα ἐμφανέα· οὐ γὰρ οἷά τε ἀμορφίῃ καὶ ἀσχημοσύνῃ κινέεσθαι. Καὶ ἐπὶ τουτέοισι δὲ γνώσεαι τὸν θεὸν ἀριθμὸν ἐόντα καὶ νόον καὶ ἁρμονίην.

ΑΓΟ. Θαυμάσια λέγεις.

5. ΠΥΘ. Πρὸς δὲ τοῖσδεσι τοῖσιν εἰρημένοισι καὶ σεωυτὸν ἕνα δοκέοντα καὶ ἄλλον ὁρεόμενον ἄλλον ἐόντα εἴσεαι.

ΑΓΟ. Τί φῄς; ἄλλος εἰμὶ καὶ οὐχ οὗτος ὅσπερ νῦν πρὸς σὲ διαλέγομαι;

ΠΥΘ. Νῦν μὲν οὗτος, πάλαι δὲ ἐν ἄλλῳ σώματι καὶ ἐν ἄλλῳ οὐνόματι ἐφαντάζεο· χρόνῳ δὲ αὖτις ἐς ἄλλον μεταβήσεαι.

ΑΓΟ. Τοῦτο φῂς, ἀθάνατον ἔσεσθαί με ἀλλαττόμενον ἐς μορφὰς πλείονας; Ἀλλὰ τάδε μὲν ἱκανῶς.

6. Τὰ δ' ἀμφὶ δίαιταν ὁποῖος εἶ;

ΠΥΘ. Ψυχήϊον μὲν οὐδὲ ἓν σιτέομαι, τὰ δ' ἄλλα πλὴν κυάμων.

ΑΓΟ. Τίνος εἵνεκα; ἢ μυσάττῃ τοὺς κυάμους;

ΠΥΘ. Οὐκ, ἀλλὰ ἱροί εἰσι καὶ θωυμαστὴ αὐτέων ἡ φύσις· πρῶτον μὲν γὰρ τὸ πᾶν γονή εἰσι, καὶ ἢν ἀποδύσῃς κύαμον ἔτι χλωρὸν ἐόντα, ὄψεαι τοῖσι ἀνδρηίοισι μορίοισι ἐμφερέα τὴν φυήν· ἐψηθέντα δὲ ἢν ἀφῇς ἐς τὴν σεληναίην νυξὶ μεμετρημένῃσι, αἷμα ποιήσεις. Τὸ δὲ μεῖζον, Ἀθηναίοισι νόμος κυάμοισι τὰς ἀρχὰς αἱρέεσθαι.

ΑΓΟ. Καλῶς πάντα ἔφης καὶ ἱεροπρεπῶς. Ἀλλ' ἀπόδυθι, καὶ γυμνὸν γάρ σε ἰδεῖν βούλομαι. Ὦ Ἡράκλεις, χρυσοῦς αὐτῷ ὁ μηρός ἐστι. Θεὸς, οὐ βροτός τις εἶναι φαίνεται· ὥστε ὠνήσομαι πάντως αὐτόν. Πόσου τοῦτον ἀποκηρύττεις;

PYTH. Purgando prius animam, et sordes in ea collectas eluendo.

EMT. Pone nimirum me jam purgatum esse : quis modus reponendi in memoriam?

PYTH. Primum quidem longa quies, et silentium, et quinque integris annis nihil quicquam loqui.

EMT. Quin tu, bone vir, Crœsi filium institues : ego enim loquax esse volo, non statua. Sed tamen, quid post silentium, et post quinquennium istud fiet?

PYTH. In musicis exercebere et geometricis.

EMT. Lepide narras, si prius fieri citharœdum oportet, tum deinde sapientem.

4. PYTH. Post hæc deinde numerare.

EMT. Novi jam nunc numerare.

PYTH. Quomodo igitur numeras?

EMT. Unum, duo, tria, quattuor.

PYTH. Viden'? quæ tu putas quattuor, ea decem sunt, et trigonum perfectum et nostrum jusjurandum.

EMT. Ita me quaternio, maximum illud jusjurandum, ut non unquam diviniores nec sacros magis sermones audivi.

PYTH. Post ea vero, hospes, scies de terra et aere et aqua et igne, quis motus illorum naturalis sit, qua sint forma, et quomodo moveantur?

EMT. Formam igitur habet ignis, aut aer, aut aqua?

PYTH. Et maxime quidem manifestam : alioquin qui possent habituque nullo et forma cassa moveri? Ad hæc intelliges deum numerum esse, mentem et harmoniam.

EMT. Mira prædicas.

5. PYTH. Præter ea quæ dicta sunt, etiam ipsum te, qui unus videris, alium oculis cerni, alium autem esse cognosces.

EMT. Quid ais? alium me esse, non illum ipsum qui nunc tecum loquor?

PYTH. Jam quidem hic es, olim vero in alio corpore et sub nomine alio apparebas : cum tempore vero rursus in alium transibis.

EMT. Hoc dicis, immortalem me futurum, mutandum in formas plures? Sed de his satis.

6. Quod ad victum, qualis es?

PYTH. Animale edo prorsus nihil : sed reliqua exceptis fabis.

EMT. Cur hoc? an aversaris fabas?

PYTH. Non aversor : sed sacræ sunt, et mira earum natura. Primum quantæ sunt, genitura sunt; et si cute nudes fabam adhucdum viridem, videbis eam virilibus membris figura similem; coctam vero si destituas sub luna certo numero noctium, sanguinem efficies. Quod vero majus, lex est Atheniensibus fabarum suffragiis eligere magistratus.

EMT. Præclare omnia dixisti, et ut sacris dignum est. Sed exue te; nam et nudum te videre volo. Hercules, aureum illi femur est! Deus, non mortalis aliquis esse videtur. Itaque omnino emam eum. Quanti hunc prædicas?

ΕΡΜ. Δέκα μνῶν.

ΑΓΟ. Ἔγωγε τοσούτου λαβών.

ΖΕΥΣ. Γράφε τοῦ ὠνησαμένου τοὔνομα καὶ ὅθεν ἐστίν.

ΕΡΜ. Ἰταλιώτης, ὦ Ζεῦ, δοκεῖ τις εἶναι τῶν ἀμφὶ Κρότωνα καὶ Τάραντα καὶ τὴν ταύτῃ Ἑλλάδα· καίτοι οὐχ εἷς, ἀλλὰ τριακόσιοι σχεδὸν ἐώνηνται κατὰ κοινὸν αὐτόν.

ΖΕΥΣ. Ἀπαγέτωσαν· ἄλλον παραγάγωμεν.

7. ΕΡΜ. Βούλει τὸν αὐχμῶντα ἐκεῖνον, τὸν Ποντικόν;

ΖΕΥΣ. Πάνυ μὲν οὖν.

ΕΡΜ. Οὗτος ὁ τὴν πήραν ἐξηρτημένος, ὁ ἐξωμίας, ἐλθὲ καὶ περίιθι ἐν κύκλῳ τὸ συνέδριον. Βίον ἀνδρικὸν πωλῶ, βίον ἄριστον καὶ γεννικόν, βίον ἐλεύθερον· τίς ὠνήσεται;

ΑΓΟ. Ὁ κῆρυξ πῶς ἔφης; πωλεῖς τὸν ἐλεύθερον;

ΕΡΜ. Ἔγωγε.

ΑΓΟ. Εἶτα οὐ δέδιας μή σοι δικάσηται ἀνδραποδισμοῦ ἢ καὶ προκαλέσηταί σε ἐς Ἄρειον πάγον;

ΕΡΜ. Οὐδὲν αὐτῷ μέλει τῆς πράσεως· οἴεται γὰρ εἶναι παντάπασιν ἐλεύθερος.

ΑΓΟ. Τί δ' ἄν τις αὐτῷ χρήσαιτο ῥυπῶντι καὶ οὕτω κακοδαιμόνως διακειμένῳ; πλὴν εἰ μὴ σκαπανέα γε καὶ ὑδροφόρον αὐτὸν ἀποδεικτέον.

ΕΡΜ. Οὐ μόνον, ἀλλὰ καὶ ἦν θυρωρὸν αὐτὸν ἐπιστήσῃς, πολὺ πιστοτέρῳ χρήσῃ τῶν κυνῶν. Ἀμέλει κύων αὐτῷ καὶ τοὔνομα.

ΑΓΟ. Ποδαπὸς δέ ἐστι καὶ τίνα τὴν ἄσκησιν ἐπαγγέλλεται;

ΕΡΜ. Αὐτὸν ἐροῦ· κάλλιον γὰρ οὕτω ποιεῖν.

ΑΓΟ. Δέδια τὸ σκυθρωπὸν αὐτοῦ καὶ κατηφὲς, μή με ὑλακτήσῃ προσελθόντα ἢ καὶ νὴ Δία δάκῃ γε. Οὐχ ὁρᾷς ὡς διῆρται τὸ ξύλον καὶ συνέσπακε τὰς ὀφρῦς καὶ ἀπειλητικόν τι καὶ χολῶδες ὑποβλέπει;

ΕΡΜ. Μὴ δέδιθι· τιθασὸς γάρ ἐστι.

8. ΑΓΟ. Τὸ πρῶτον, ὦ βέλτιστε, ποδαπὸς εἶ;

ΔΙΟΓΕΝΗΣ. Παντοδαπός.

ΑΓΟ. Πῶς λέγεις;

ΔΙΟΓ. Τοῦ κόσμου πολίτην ὁρᾷς.

ΑΓΟ. Ζηλοῖς δὲ τίνα;

ΔΙΟΓ. Τὸν Ἡρακλέα.

ΑΓΟ. Τί οὖν οὐχὶ καὶ λεοντῆν ἀμπέχῃ; τὸ μὲν γὰρ ξύλον ἔοικας αὐτῷ.

ΔΙΟΓ. Τουτί μοι λεοντῆ, τὸ τριβώνιον. Στρατεύομαι δὲ ὥσπερ ἐκεῖνος ἐπὶ τὰς ἡδονὰς, οὐ κελευστὸς, ἀλλ' ἑκούσιος, ἐκκαθᾶραι τὸν βίον προαιρούμενος.

ΑΓΟ. Εὖ γε τῆς προαιρέσεως. Ἀλλὰ τί μάλιστα εἰδέναι σε φῶμεν; ἢ τίνα τὴν τέχνην ἔχεις;

ΔΙΟΓ. Ἐλευθερωτής εἰμι τῶν ἀνθρώπων καὶ ἰατρὸς τῶν παθῶν· τὸ δ' ὅλον ἀληθείας καὶ παρρησίας προφήτης εἶναι βούλομαι.

9. ΑΓΟ. Ἄγε, ὦ προφῆτα, ἢν δὲ πρίωμαί σε, τίνα με τὸν τρόπον διασκήσεις;

MERC. Decem minis.

EMT. Meus igitur est: tanti enim emo.

JUP. Scribe nomen emtoris et patriam.

MERC. Videtur, Jupiter, Italicus esse de his qui circa Crotonem et Tarentum et illam Græciam habitant. Quanquam non unus, sed trecenti circiter emerunt communiter possidendum.

JUP. Abducant. Nos producamus alium.

7. MERC. Visne squalidum illum, illum Ponticum?

JUP. Prorsus ita volo.

MERC. Heus tu peram suspense, exserte humerum, veni, circumi undique hunc consessum. Virilem vitam vendo, vitam præclaram et generosam, vitam liberalem: ecquis emet?

EMT. Quid ais, præco? liberum tu hominem vendis?

MERC. Equidem.

EMT. Et non metuis, ne dicam tibi impingat plagii, aut in Areopagum te in jus vocet?

MERC. Nihil sua referre putat, si vendatur: putat enim omni modo se esse liberum.

EMT. Quis vero usus esse possit hominis squalidi et adeo miseri? nisi forte fossorem aut aquarium facere velimus.

MERC. Non hoc solum, sed si januæ etiam custodem illum imponas, multo quam sunt canes fideliori illo uteris: sane cani ei et nomen est.

EMT. Cujas est autem et cujus rei usum et exercitationem promittit?

MERC. Ipsum interroga; id enim melius factu erit.

EMT. Metuo truculentum hominis vultum atque tristem, ne allatret me accedentem, aut hercle etiam mordeat. Nonne vides uti clavam sustulit et supercilia contraxit, et minax quiddam ac biliosum obtuetur?

MERC. Noli timere: cicur est.

8. EMT. Primum, bone vir, cujas es?

DIOGENES. Omnigena.

EMT. Quid ais?

DIOG. Mundi civem vides.

EMT. Quem vero sectaris?

DIOG. Herculem.

EMT. Quin igitur et leoninam sumis? nam ad clavam quod pertinet, similis ei videris.

DIOG. At leonina mihi est detritum hoc palliolum. Bellum autem gero, ut ille, contra voluptates, non jussu, ut ille, sed mea sponte, qui repurgare illis vitam instituerim.

EMT. Laudo propositum. Sed quid maxime scire te dicamus? aut quam artem habes?

DIOG. Liberator sum hominum, et medicus affectionum: in universum autem veritatis et libertatis in loquendo propheta esse volo.

9. EMT. Age, propheta, si te emero, qua me ratione docebis?

ΔΙΟΓ. Πρῶτον μὲν παραλαβών σε καὶ ἀποδύσας τὴν τρυφὴν καὶ ἀπορίᾳ συγκατακλείσας τριβώνιον περιβαλῶ, μετὰ δὲ πονεῖν καὶ κάμνειν καταναγκάσω χαμαὶ καθεύδοντα καὶ ὕδωρ πίνοντα καὶ ὧν ἔτυχε πιμπλάμενον, τὰ δὲ χρήματα, ἢν ἔχῃς, ἐμοὶ πιθόμενος ἐς τὴν θάλατταν φέρων ἐμβαλεῖς, γάμου δὲ ἀμελήσεις καὶ παίδων καὶ πατρίδος, καὶ πάντα σοι λῆρος ἔσται, καὶ τὴν πατρῴαν οἰκίαν ἀπολιπὼν ἢ τάφον οἰκήσεις ἢ πυργίον ἔρημον ἢ καὶ πίθον· ἡ πήρα δέ σοι θέρμων ἔστω μεστὴ καὶ ὀπισθογράφων βιβλίων, καὶ οὕτως ἔχων εὐδαιμονέστερος εἶναι φήσεις τοῦ μεγάλου βασιλέως. Ἢν μαστιγοῖ δέ τις ἢ στρεβλοῖ, τούτων οὐδὲν ἀνιαρὸν ἡγήσῃ.

ΑΓΟ. Πῶς τοῦτο φῂς τὸ μὴ ἀλγεῖν μαστιγούμενον; οὐ γὰρ χελώνης ἢ καράβου δέρμα περιβέβλημαι.

ΔΙΟΓ. Τὸ Εὐριπίδειον ἐκεῖνο ζηλώσεις μικρὸν ἐναλλάξας.

ΑΓΟ. Τὸ ποῖον;

ΔΙΟΓ. Ἡ φρήν σοι ἀλγήσει, ἡ δὲ γλῶσσα ἔσται ἀνάλγητος.

10. Ἃ δὲ μάλιστα δεῖ προσεῖναι, ταῦτ' ἐστίν· ἰταμὸν χρὴ εἶναι καὶ θρασὺν καὶ λοιδορεῖσθαι πᾶσιν ἐξ ἴσης καὶ βασιλεῦσι καὶ ἰδιώταις· οὕτω γὰρ ἀποβλέψονταί σε καὶ ἀνδρεῖον ὑπολήψονται. Βάρβαρος δὲ ἡ φωνὴ ἔστω καὶ ἀπηχὲς τὸ φθέγμα καὶ ἀτεχνῶς ὅμοιον κυνί, καὶ πρόσωπον δὲ ἐντεταμένον καὶ βάδισμα τοιούτῳ προσώπῳ πρέπον, καὶ ὅλως θηριώδη τὰ πάντα καὶ ἄγρια. Αἰδὼς δὲ καὶ ἐπιείκεια καὶ μετριότης ἀπέστω, καὶ τὸ ἐρυθριᾶν ἀπόξεσον τοῦ προσώπου παντελῶς. Δίωκε δὲ τὰ πολυανθρωπότατα τῶν χωρίων, καὶ ἐν αὐτοῖς τούτοις μόνος καὶ ἀκοινώνητος εἶναι θέλε μὴ φίλον, μὴ ξένον προσιέμενος· κατάλυσις γὰρ τὰ τοιαῦτα τῆς ἀρχῆς. Ἐν ὄψει δὲ πάντων, ἃ μηδ' ἰδίᾳ ποιήσειεν ἄν τις, θαρρῶν ποίει, καὶ τῶν ἀφροδισίων αἱροῦ τὰ γελοιότερα, καὶ τέλος, ἢν σοι δοκῇ, πολύποδα ὠμὸν ἢ σηπίαν φαγὼν ἀπόθανε. Ταύτην σοι τὴν εὐδαιμονίαν προξενοῦμεν.

DIOG. Quum primum te accepero, et deliciis exutum cum inopia conclusero, palliolo te amiciam, deinde opus facere et elaborare te cogam, humi dormientem inter hæc, aquam bibentem, et obvio primum facillimoque cibo implendum : opes autem, si quas habeas, mihi obsecutus statim in mare abjicies: tum matrimonium et liberos et patriam negliges, et nugas putabis omnia : relictaque domo paterna, aut sepulcrum inhabitabis, aut desertam turriculam, aut dolium denique. Ceterum pera tibi lupinorum plena erit, et librorum in tergo etiam scriptorum. Ita constitutus beatiorem te magno rege Persarum putabis. Si vero flagris te cædat aliquis, aut torqueat, nihil horum molestum judicabis.

EMT. Quid ais? non dolere flagris licet cæsum? non enim testudinis neque cancri testa circumdatus sum.

DIOG. Euripidis illud parva mutatione deflexum æmulabere.

EMT. Quodnam?

DIOG. Animus tibi dolebit, sed lingua dolore vacabit.

10. Porro quæ maxime adesse tibi debent, hæc sunt : improbum oportet esse, et audacem, et conviciari ordine omnibus regibus pariter et privatis : ita enim oculos in te conjicient, fortemque te virum putabunt. Porro barbara vox erit, et absona loquela, et plane cani similis : vultus contentus ac rigidus, et incessus qui vultum talem deceat : verbo, fera omnia et agrestia. Pudor vero et æquitas et mediocritas abesto : erubescendi facultatem a facie abrade penitus. Loca sequere celeberrima, et in his ipsis solus et insociabilis esse postula, neque amico admisso neque hospite : in hoc enim inest regni illius tui interitus. In conspectu omnium ea fac animose, quæ neque solus aliquis temere suscipiat, et rerum venerearum elige formas vulgaribus magis ridendas. Tandem, si e re videbitur, crudo polypo aut sepia devorata mortem oppete. Hanc tibi propinamus felicitatem.

11. ΑΓΟ. Ἄπαγε· μιαρὰ γὰρ καὶ οὐκ ἀνθρώπινα λέγεις.

ΔΙΟΓ. Ἀλλὰ ῥᾷστά γε, ὦ οὗτος, καὶ πᾶσιν εὐχερῆ μετελθεῖν· οὐ γάρ σοι δεήσει παιδείας καὶ λόγων καὶ λήρων, ἀλλ' ἐπίτομος αὕτη σοι πρὸς δόξαν ἡ ὁδός· καὶ ἰδιώτης γὰρ ἐὰν ᾖς, ἤτοι σκυτοδεψὸς ἢ ταριχοπώλης ἢ τέκτων ἢ τραπεζίτης, οὐδέν σε κωλύσει θαυμαστὸν εἶναι, ἢν μόνον ἀναίδεια καὶ τὸ θράσος παρῇ καὶ λοιδορεῖσθαι καλῶς ἐκμάθῃς.

ΑΓΟ. Πρὸς ταῦτα μὲν οὐ δέομαί σου. Ναύτης δ' ἂν ἴσως ἢ κηπουρὸς ἐν καιρῷ γένοιο, καὶ ταῦτα, ἢν ἐθέλῃ σε ἀποδόσθαι οὑτοσὶ τὸ μέγιστον δύ' ὀβολῶν.

ΕΡΜ. Ἔχε λαβών· καὶ γὰρ ἄσμενοι ἀπαλλαξόμεθα ἐνοχλοῦντος αὐτοῦ καὶ βοῶντος καὶ ἅπαντας ἀπαξαπλῶς ὑβρίζοντος καὶ ἀγορεύοντος κακῶς.

11. EMT. Apage : impura narras et ab humanitate abhorrentia.

DIOG. Sed heus tu, facillima et quæ nullo negotio unusquisque obeat. Neque enim opus tibi erit eruditione et literis et nugis, sed compendiaria ista tibi ad famam via. Licet enim idiota fueris, vel cerdo, aut salsamentarius, aut faber, aut argentarius, nihil prohibebit admirabilem te esse, modo impudentia audaciaque adsint, et conviciari præclare didiceris.

EMT. Ad ista quidem te non opus habeo : verum nauta forte, aut olitor opportune fias, idque, hic si duobus summum obolis te vendere voluerit.

MERC. Habe tibi hominem : gaudemus enim illo liberari, qui molestiam nobis facessat, et clamet, et in universum omnibus insultet atque maledicat.

12. ΖΕΥΣ. Ἄλλον κάλει τὸν Κυρηναῖον, τὸν ἐν τῇ πορφυρίδι, τὸν ἐστεφανωμένον.

12. JUP. Alium voca, Cyrenæum illum, purpura illum indutum, coronatum.

ΕΡΜ. Ἄγε δή, πρόσεχε πᾶς· πολυτελὲς τὸ χρῆμα καὶ πλουσίων δεόμενον. Βίος οὗτος ἡδύς, βίος τρισμακάριστος. Τίς ἐπιθυμεῖ τρυφῆς; τίς ὠνεῖται τὸν ἁβρότατον;

ΑΓΟ. Ἐλθὲ σὺ καὶ λέγε ἅπερ εἰδὼς τυγχάνεις· ὠνήσομαι γάρ σε, ἢν ὠφέλιμος ᾖς.

ΕΡΜ. Μὴ ἐνόχλει αὐτόν, ὦ βέλτιστε, μηδὲ ἀνάκρινε· μεθύει γάρ· ὥστε οὐκ ἂν ἀποκρίναιτό σοι τὴν γλῶτταν, ὡς ὁρᾷς, διολισθάνων.

ΑΓΟ. Καὶ τίς ἂν εὖ φρονῶν πρίαιτο διεφθαρμένον οὕτω καὶ ἀκόλαστον ἀνδράποδον; ὅσον δὲ καὶ ἀποπνεῖ μύρων, ὡς δὲ καὶ σφαλερὸν βαδίζει καὶ παράφορον. Ἀλλὰ κἂν σύ γε, ὦ Ἑρμῆ, λέγε ὁπόσα πρόσεστιν αὐτῷ καὶ ἃ μετιὼν τυγχάνει.

ΕΡΜ. Τὸ μὲν ὅλον συμβιῶναι δεξιὸς καὶ συμπιεῖν ἱκανὸς καὶ κωμάσαι μετὰ αὐλητρίδος ἐπιτήδειος ἐρῶντι καὶ ἀσώτῳ δεσπότῃ· τὰ ἄλλα δὲ πεμμάτων ἐπιστήμων καὶ ὀψοποιὸς ἐμπειρότατος, καὶ ὅλως σοφιστὴς ἡδυπαθείας. Ἐπαιδεύθη μὲν οὖν Ἀθήνησιν, ἐδούλευσε δὲ καὶ περὶ Σικελίαν τοῖς τυράννοις καὶ σφόδρα ἠδοκίμει παρ' αὐτοῖς. Τὸ δὲ κεφάλαιον τῆς προαιρέσεως, ἁπάντων καταφρονεῖν, ἅπασι χρῆσθαι, πανταχόθεν ἐρανίζεσθαι τὴν ἡδονήν.

ΑΓΟ. Ὥρα σοι ἄλλον περιβλέπειν τῶν πλουσίων τούτων καὶ πολυχρημάτων· ἐγὼ δὲ οὐκ ἐπιτήδειος ἱλαρὸν ὠνεῖσθαι βίον.

ΕΡΜ. Ἄπρατος ἔοικεν, ὦ Ζεῦ, οὗτος ἡμῖν μενεῖν.

13. ΖΕΥΣ. Μετάστησον· ἄλλον παράγαγε· μᾶλλον δὲ τὼ δύο τούτω, τὸν γελῶντα τὸν Ἀβδηρόθεν καὶ τὸν κλαίοντα τὸν ἐξ Ἐφέσου· ἅμα γὰρ αὐτὼ πεπρᾶσθαι βούλομαι.

ΕΡΜ. Κατάβητον ἐς τὸ μέσον. Τὼ ἀρίστω βίω πωλῶ, τὼ σοφωτάτω πάντων ἀποκηρύττομεν.

ΑΓΟ. Ὦ Ζεῦ τῆς ἐναντιότητος. Ὁ μὲν οὐ διαλείπει γελῶν, ὁ δέ τινα ἔοικε πενθεῖν· δακρύει γὰρ τὸ παράπαν. Τί ταῦτα, ὦ οὗτος; τί γελᾷς;

ΔΗΜΟΚΡΙΤΟΣ. Ἐρωτᾷς; ὅτι μοι γελοῖα πάντα δοκέει τὰ πρήγματα ὑμέων καὶ αὐτοὶ ὑμέες.

ΑΓΟ. Πῶς λέγεις; καταγελᾷς ἡμῶν ἁπάντων καὶ παρ' οὐδὲν τίθεσαι τὰ ἡμέτερα πράγματα;

ΔΗΜ. Ὧδε ἔχει· σπουδαῖον γὰρ ἐν αὐτέοισι οὐδέν, κενεὰ δὲ τὰ πάντα καὶ ἀτόμων φορὴ καὶ ἀπειρίη.

ΑΓΟ. Οὐ μὲν οὖν, ἀλλὰ σὺ κενὸς ὡς ἀληθῶς καὶ ἄπειρος. Ὦ τῆς ὕβρεως, οὐ παύσῃ γελῶν;

14. Σὺ δὲ τί κλάεις, ὦ βέλτιστε; πολὺ γὰρ οἶμαι κάλλιον σοὶ προσλαλεῖν.

ΗΡΑΚΛΕΙΤΟΣ. Ἡγέομαι γάρ, ὦ ξεῖνε, τὰ ἀνθρώπινα πρήγματα οἰζυρὰ καὶ δακρυώδεα καὶ οὐδὲν αὐτέων ὅ τι μὴ ἐπικήριον· τῷ δὴ οἰκτείρω τε σφέας καὶ ὀδύρομαι, καὶ τὰ μὲν παρεόντα οὐ δοκέω μεγάλα, τὰ δὲ ὑστέρῳ χρόνῳ ἐσόμενα πάμπαν ἀνιηρά, λέγω δὲ τὰς ἐκπυρώσιας καὶ τὴν τοῦ ὅλου συμφορήν· ταῦτα ὀδύρομαι καὶ ὅτι ἔμπεδον οὐδὲν, ἀλλά κως ἐς κυκεῶνα πάντα

MERC. Age ergo, attende quisquis es : res pretiosa et locupletem emtorem desiderans. Hæc vita suavis, vita ter beata. Quis voluptatis cupidus est? quis emit delicatissimum?

EMT. Huc veni, et dic quæ nosti : emam enim te, si *frugi fueris*.

MERC. Noli molestiam ei facessere, o bone, neu interroga; ebrius enim est : quare haud responderit tibi, labante, ut vides, lingua.

EMT. Et quis bene sanus emat corruptum adeo et nequam mancipium? ut vero olet unguenta! ut incerto labantique pede incedit et extra viam fertur! Interim vel tu dic, o Mercuri, quæ sint in illo et quæ tractet.

MERC. In universum conviva dexter est, et compotationi aptus, et qui comessetur cum tibicina apud amatorem herum et luxuriosum : ceterum bellariorum coquendorum sciens, et obsoniorum peritissimus, et omnino voluptatis magister. Institutus quidem est Athenis, serviit autem tyrannis in Sicilia, quorum gratia floruit. Summa autem illius instituti, contemnere omnia, uti omnibus, undique corrogare voluptatem.

EMT. Circumspiciendus tibi erit alius emtor, de divitibus illis et pecuniosis : equidem hilarem adeo vitam emere non possum.

MERC. Videtur hic non vendibilis esse et apud nos mansurus, Jupiter.

13. JUP. Transire illum in alteram partem jube. Produc alium, quin duos illos, ridentem alterum ex Abdera, et ex Epheso alterum ploratorem : ambo enim una vendi volo.

MERC. Descendite in medium. Vitas optimas vendo, sapientissimos omnium prædico venales.

EMT. Quantum, Jupiter, distant! alter ridere non desinit; lugere alter aliquem videtur, ita plorat perpetuo. Heus tu, quid hoc sibi vult? quid rides?

DEMOCRITUS. Rogas? quoniam ridiculæ mihi videntur res vestræ omnes et vos ipsi.

EMT. Ain tu? omnes tu nos derides, nihilque putas res nostras?

DEM. Sic est. Serium enim in iis nihil quicquam : vana omnia, atomorum impetus et infinitas.

EMT. Enimvero tu vanus es re vera et imperitus. O insolentiam! non desines ridere?

14. Tu vero, vir optime, quid ploras? multo enim melius credo, te alloqui.

HERACLITUS. Puto enim, hospes, res hominum questu et lacrimis dignas, neque quicquam earum non fato obnoxium. Hoc sane nomine miseror illos et defleo, et præsentia quidem magna non arbitror; sed quæ in posterum futura sunt, ea demum tristia, exustiones dico, et universi calamitatem. Hæc deploro, et quod stabile nihil est ac firmum, sed ciano quasi quodam permista et confusa feruntur,

συνειλέονται καί ἐστι τωὐτὸ τέρψις ἀτερψίη, γνῶσις ἀγνωσίη, μέγα μικρὸν, ἄνω κάτω περιχωρέοντα καὶ ἀμειβόμενα ἐν τῇ τοῦ αἰῶνος παιδιῇ.

ΑΓΟ. Τί γὰρ ὁ αἰών ἐστι;

ΗΡΑΚ. Παῖς παίζων, πεσσεύων, διαφερόμενος.

ΑΓΟ. Τί δαὶ οἱ ἄνθρωποι;

ΗΡΑΚ. Θεοὶ θνητοί.

ΑΓΟ. Τί δαὶ οἱ θεοί;

ΗΡΑΚ. Ἄνθρωποι ἀθάνατοι.

ΑΓΟ. Αἰνίγματα λέγεις, ὦ οὗτος, ἢ γρίφους συντίθης; ἀτεχνῶς γὰρ ὥσπερ ὁ Λοξίας οὐδὲν ἀποσαφεῖς.

ΗΡΑΚ. Οὐδὲν γάρ μοι μέλει ὑμέων.

ΑΓΟ. Τοιγαροῦν οὐδὲ ὠνήσεταί σέ τις εὖ φρονῶν.

ΗΡΑΚ. Ἐγὼ δὲ κέλομαι πᾶσιν ἡδηδὸν οἰμώζειν, τοῖσι ὠνεομένοισι καὶ τοῖσι οὐκ ὠνεομένοισι.

ΑΓΟ. Τουτὶ τὸ κακὸν οὐ πόρρω μελαγχολίας ἐστίν· οὐδέτερον δ' ἔγωγε αὐτῶν ὠνήσομαι.

ΕΡΜ. Ἄπρατοι καὶ οὗτοι μενοῦσιν.

ΖΕΥΣ. Ἄλλον ἀποκήρυττε.

15. ΕΡΜ. Βούλει τὸν Ἀθηναῖον ἐκεῖνον, τὸν στωμύλον;

ΖΕΥΣ. Πάνυ μὲν οὖν.

ΕΡΜ. Δεῦρ' ἐλθὲ σύ. Βίον ἀγαθὸν καὶ συνετὸν ἀποκηρύττομεν. Τίς ὠνεῖται τὸν ἱερώτατον;

ΑΓΟ. Εἰπέ μοι, τί μάλιστα εἰδὼς τυγχάνεις;

ΣΩΚ. Παιδεραστής εἰμι καὶ σοφὸς τὰ ἐρωτικά.

ΑΓΟ. Πῶς οὖν ἐγὼ πρίωμαί σε; παιδαγωγοῦ γὰρ ἐδεόμην τῷ παιδὶ καλῷ ὄντι μοι.

ΣΩΚΡΑΤΗΣ. Τίς δ' ἂν ἐπιτηδειότερος ἐμοῦ γένοιτο συνεῖναι καλῷ; καὶ γὰρ οὐ τῶν σωμάτων ἐραστής εἰμι, τὴν ψυχὴν δὲ ἡγοῦμαι καλήν. Ἀμέλει κἂν ὑπὸ ταὐτὸν ἱμάτιόν μοι κατακέωνται, ἀκούσῃ αὐτῶν λεγόντων μηδὲν ὑπ' ἐμοῦ δεινὸν παθεῖν.

ΑΓΟ. Ἄπιστα λέγεις, τὸ παιδεραστὴν ὄντα μὴ πέρα τῆς ψυχῆς τι πολυπραγμονεῖν, καὶ ταῦτα ἐπ' ἐξουσίας, ὑπὸ τῷ αὐτῷ ἱματίῳ κατακείμενον.

16. ΣΩΚ. Καὶ μὴν ὀμνύω γέ σοι τὸν κύνα καὶ τὴν πλάτανον, οὕτω ταῦτ' ἔχειν.

ΑΓΟ. Ἡράκλεις τῆς ἀτοπίας τῶν θεῶν.

ΣΩΚ. Τί σὺ λέγεις; οὐ δοκεῖ σοι ὁ κύων εἶναι θεός; οὐχ ὁρᾷς τὸν Ἄνουβιν ἐν Αἰγύπτῳ ὅσος; καὶ τὸν ἐν οὐρανῷ Σείριον καὶ τὸν παρὰ τοῖς κάτω Κέρβερον;

17. ΑΓΟ. Εὖ λέγεις, ἐγὼ δὲ διημάρτανον. Ἀλλὰ τίνα βιοῖς τὸν τρόπον;

ΣΩΚ. Οἰκῶ μὲν ἐμαυτῷ τινα πόλιν ἀναπλάσας, χρῶμαι δὲ πολιτείᾳ ξένῃ καὶ νόμους νομίζω τοὺς ἐμούς.

ΑΓΟ. Ἐν ἐβουλόμην ἀκοῦσαι τῶν δογμάτων.

ΣΩΚ. Ἄκουε δὴ τὸ μέγιστον, ὃ περὶ τῶν γυναικῶν μοι δοκεῖ· μηδεμίαν αὐτῶν μηδενὸς εἶναι μόνου, παντὶ δὲ μετεῖναι τῷ βουλομένῳ τοῦ γάμου.

ΑΓΟ. Τί τοῦτο φῄς; ἀνῃρῆσθαι τοὺς περὶ μοιχείαν νόμους;

ΣΩΚ. Νὴ Δία, καὶ ἁπλῶς γε πᾶσαν τὴν περὶ τὰ τοιαῦτα μικρολογίαν.

idemque sunt delectatio et fastidium, cognitio ignorantia, magnum parvum, sursum deorsum circueuntia, et vices in illo sæculi lusu permutantia.

EMT. Quidnam est sæculum?

HER. Puer ludens, talos jactans, huc illuc vagans.

EMT. Homines vero quid?

HER. Dii mortales.

EMT. Dii vero?

HER. Homines immortales.

EMT. Ænigmata loqueris, mi homo, an griphos nectis? plane enim veluti Loxias ille nihil clare dicis.

HER. Nihil enim vos curo.

EMT. Igitur neque sanus quisquam te emerit.

HER. Ego vero plorare jubeo omnes, maximos minimos, emtores non emtores.

EMT. Morbus hujus hominis ab atra bile non procul abest; neutrum vero eorum emerim equidem.

MERC. Neque igitur hi vendi poterunt.

JUP. Prædica alium.

15. MERC. Vis Atheniensem illum, illum loquaculum?

JUP. Ego vero volo.

MERC. Huc tu transi. Vitam bonam et prudentem prædicamus. Quis emit sanctissimum?

EMT. Dic mihi, quid maxime nosti?

SOCR. Puerorum amator sum et doctus artes amatorias.

EMT. Quomodo igitur ego emam te? pædagogo enim opus habebam puero qui mihi est pulchro.

SOCRATES. Ecquis vero aptior me sit contubernalis pulchri? neque enim corporum amator ego, verum animam pulchram judico. Adeo si vel sub eadem veste mecum pernoctarint, audias dicentes, nulla se injuria a me affectos.

EMT. Supra fidem sunt quæ dicis: amatorem ultra animam nihil nugarum tentare, idque ubi plena ejus rei sit facultas, utpote sub eadem veste jacenti.

16. SOCR. At ego canem tibi juro et platanum, hæc ita se habere.

EMT. Hercules! quam absurdi sunt isti dii!

SOCR. Quid ais? nonne canis deus tibi esse videtur? Anubin non vides quantus sit in Ægypto? et illum in cœlo Sirium? et Cerberum illum apud inferos?

17. EMT. Recte dicis: ego vero errabam. Sed qua ratione vivis?

SOCR. Civitatem incolo quam ipse mihi formavi, republica utor nova, et meas ipse mihi leges fero.

EMT. Unum velim audire decretorum tuorum.

SOCR. Audi ergo maximum, quod de mulieribus statui. Placet nullam earum uniuscujusquam esse, sed in partem nuptiarum venire quisquis voluerit.

EMT. Quid ais? sublatas abrogatasque quæ sunt de adulterio leges?

SOCR. Ita per Jovem, et omnem simpliciter circa talia minutam illam diligentiam.

ΑΓΟ. Τί δαὶ περὶ τῶν ἐν ὥρᾳ σοι παίδων δοκεῖ; EMT. [illegible] is vero ætate et forma florentibus quid

ΣΩΚ. Καὶ οὗτοι ἔσονται τοῖς ἀρίστοις ἆθλον σοφίας καὶ σωφροσύνης καὶ ἀνδρείας καὶ τοῦ ὅσιον εἶναι καὶ εὐσεβὲς καὶ λαμπρόν τι καὶ νεανικὸν ἐργασαμένοις τὸν βίον.

[illegible] ut præmium fortissimis, qui osculentur [illegible]idum et audax facinus ediderint.

18. ΑΓΟ. Βαβαὶ [illegible] σοφίαν [illegible] magnificentiam! Sapientiæ vero quod tibi τί σοι

[illegible] exemplaria rerum. Quidquid enim [illegible]ria, cœlum, mare : horum omnium [illegible]um effugientes, stant extra hoc uni-

[illegible] enim in loco aliquo essent, plane

[illegible]æ narras exemplaria.

[illegible] : cæcus enim es mentis quidem [illegible] video imagines, et te quendam [illegible]ntem, et me, et prorsus duplicia

[illegible] ta sapiens et visu ita acuto præ- [illegible] id pro illo a me exiges?

[illegible]ecuniam vero deinde solvam.

[illegible]n?

[illegible]d bene vertat! Te jam Epi- [illegible] Est quidem ridentis illius [illegible]os paullo ante præconio [illegible]lius novit illis, quatenus [illegible]s est, et gulæ amicus.

Α[illegible] [illegible] ut sciam, quibus gau-

τῶν [illegible]

ΕΡ[illegible] [illegible] saporem habentibus,

μάλιστ[illegible]

ΑΓΟ[illegible] [illegible] abet : eamus viro

λάθας τ[illegible]

20. Ζ[illegible] [illegible] m rasum, tristem

νον, τὸν σ[illegible]

ΕΡΜ. [illegible] [illegible] i eum exspectare

τὸν περιμέ[illegible] [illegible] virtutem vendo,

τὴν ἀρετὴν[illegible] [illegible] scire cupit?

πάντα μόνο[illegible]

ΑΓΟ. Π[illegible] [illegible] ulcher, solus

ΕΡΜ. Ὅ[illegible] [illegible] et quotquot

δίκαιος ἀνδρ[illegible]

καὶ τἆλλα ὁπ[illegible] [illegible] iedius fidius

ΑΓΟ. Οὐκ[illegible]

Δία γε σκυτοδε[illegible]

ΕΡΜ. Ἔοικ[illegible] [illegible] turo, quid

21. ΑΓΟ. [illegible] [illegible] ndi et ser-

ἐμὲ ποῖός τις εἶ[illegible]

μενος καὶ δοῦλος [illegible]

MAGAZIJNBON 08-10-82 8:40:43
signatuur:
opslagruimte:
opslagtransportsyst.nr.:
beschrijving:
opslageenheid:
9303 D 19
+5B
21-5
MAGAZIJN LAAG 5, RE
+5B
18:6
KB

συνειλέονται καί ἐστι τωὐτὸ τέρψις ἀτερψίη, γνῶσις ἀγνωσίη, μέγα μικρὸν, ἄνω κάτω περιχωρέοντα καὶ ἀμειβόμενα ἐν τῇ τοῦ αἰῶνος παιδιῇ.

ΑΓΟ. Τί γὰρ ὁ αἰών ἐστι;

ΗΡΑΚ. Παῖς παίζων, πεσσεύων, διαφερόμενος.

ΑΓΟ. Τί δαὶ οἱ ἄνθρωποι;

ΗΡΑΚ. Θεοὶ θνητοί.

ΑΓΟ. Τί δαὶ οἱ θεοί;

ΗΡΑΚ. Ἄνθρωποι ἀθάνατοι.

ΑΓΟ. Αἰνίγματα λέγεις, ὦ οὗτος, ἢ γρίφους συντίθης; ἀτεχνῶς γὰρ ὥσπερ ὁ Λοξίας οὐδὲν ἀποσαφεῖς.

ΗΡΑΚ. Οὐδὲν γάρ μοι μέλει ὑμέων.

ΑΓΟ. Τοιγαροῦν οὐδὲ ὠνήσεταί σέ τις εὖ φρονῶν.

ΗΡΑΚ. Ἐγὼ δὲ κέλομαι πᾶσιν ἡδηδὸν οἰμώζειν, τοῖσι ὠνεομένοισι καὶ τοῖσι οὐκ ὠνεομένοισι.

ΑΓΟ. Τουτὶ τὸ κακὸν οὐ πόρρω μελαγχολίας ἐστίν· οὐδέτερον δ' ἔγωγε αὐτῶν ὠνήσομαι.

ΕΡΜ. Ἄπρατοι καὶ οὗτοι μενοῦσιν.

ΖΕΥΣ. Ἄλλον ἀποκήρυττε.

15. ΕΡΜ. Βούλει τὸν Ἀθηναῖον ἐκεῖνον, τὸν στωμύλον;

ΖΕΥΣ. Πάνυ μὲν οὖν.

ΕΡΜ. Δεῦρ' ἐλθὲ σύ. Βίον ἀγαθὸν καὶ συνετὸν ἀποκηρύττομεν. Τίς ὠνεῖται τὸν ἱερώτατον;

ΑΓΟ. Εἰπέ μοι, τί μάλιστα εἰδὼς τυγχάνεις;

ΣΩΚ. Παιδεραστής εἰμι καὶ σοφὸς τὰ ἐρωτικά.

ΑΓΟ. Πῶς οὖν ἐγὼ πρίωμαί σε; παιδαγωγοῦ γὰρ ἐδεόμην τῷ παιδὶ καλῷ ὄντι μοι.

ΣΩΚΡΑΤΗΣ. Τίς δ' ἂν ἐπιτηδειότερος ἐμοῦ γένοιτο συνεῖναι καλῷ; καὶ γὰρ οὐ τῶν σωμάτων ἐραστής εἰμι, τὴν ψυχὴν δὲ ἡγοῦμαι καλήν. Ἀμέλει κἂν ὑπὸ ταὐτὸν ἱμάτιόν μοι κατακέωνται, ἀκούσῃ αὐτῶν λεγόντων μηδὲν ὑπ' ἐμοῦ δεινὸν παθεῖν.

ΑΓΟ. Ἄπιστα λέγεις, τὸ παιδεραστὴν ὄντα μὴ πέρα τῆς ψυχῆς τι πολυπραγμονεῖν, καὶ ταῦτα ἐπ' ἐξουσίας, ὑπὸ τῷ αὐτῷ ἱματίῳ κατακείμενον.

16. ΣΩΚ. Καὶ μὴν ὀμνύω γέ σοι τὸν κύνα καὶ τὴν πλάτανον, οὕτω ταῦτ' ἔχειν.

ΑΓΟ. Ἡράκλεις τῆς ἀτοπίας τῶν θεῶν.

ΣΩΚ. Τί σὺ λέγεις; οὐ δοκεῖ σοι ὁ κύων εἶναι θεός; οὐχ ὁρᾷς τὸν Ἄνουβιν ἐν Αἰγύπτῳ ὅσος; καὶ τὸν ἐν οὐρανῷ Σείριον καὶ τὸν παρὰ τοῖς κάτω Κέρβερον;

17. ΑΓΟ. Εὖ λέγεις, ἐγὼ δὲ διημάρτανον. Ἀλλὰ τίνα βιοῖς τὸν τρόπον;

ΣΩΚ. Οἰκῶ μὲν ἐμαυτῷ τινα πολιν ἀναπλάσας, χρῶμαι δὲ πολιτείᾳ ξένῃ καὶ νόμους νομίζω τοὺς ἐμούς.

ΑΓΟ. Ἐν ἐβουλόμην ἀκοῦσαι τῶν δογμάτων.

ΣΩΚ. Ἄκουε δὴ τὸ μέγιστον, ὃ περὶ τῶν γυναικῶν μοι δοκεῖ· μηδεμίαν αὐτῶν μηδενὸς εἶναι μόνου, παντὶ δὲ μετεῖναι τῷ βουλομένῳ τοῦ γάμου.

ΑΓΟ. Τί τοῦτο φής; ἀνῃρῆσθαι τοὺς περὶ μοιχείαν νόμους;

ΣΩΚ. Νὴ Δία, καὶ ἁπλῶς γε πᾶσαν τὴν περὶ τὰ τοιαῦτα μικρολογίαν.

idemque sunt delectatio et fastidium, cognitio ignorantia, magnum parvum, sursum deorsum circueuntia, et vices in illo sæculi lusu permutantia.

EMT. Quidnam est sæculum?

HER. Puer ludens, talos jactans, huc illuc vagans.

EMT. Homines vero quid?

HER. Dii mortales.

EMT. Dii vero?

HER. Homines immortales.

EMT. Ænigmata loqueris, mi homo, an griphos nectis? plane enim veluti Loxias ille nihil clare dicis.

HER. Nihil enim vos curo.

EMT. Igitur neque sanus quisquam te emerit.

HER. Ego vero plorare jubeo omnes, maximos minimos, emtores non emtores.

EMT. Morbus hujus hominis ab atra bile non procul abest; neutrum vero eorum emerim equidem.

MERC. Neque igitur hi vendi poterunt.

JUP. Prædica alium.

15. MERC. Vis Atheniensem illum, illum loquaculum?

JUP. Ego vero volo.

MERC. Huc tu transi. Vitam bonam et prudentem prædicamus. Quis emit sanctissimum?

EMT. Dic mihi, quid maxime nosti?

SOCR. Puerorum amator sum et doctus artes amatorias.

EMT. Quomodo igitur ego emam te? pædagogo enim opus habebam puero qui mihi est pulchro.

SOCRATES. Ecquis vero aptior me sit contubernalis pulchri? neque enim corporum amator ego, verum animam pulchram judico. Adeo si vel sub eadem veste mecum pernoctarint, audias dicentes, nulla se injuria a me affectos.

EMT. Supra fidem sunt quæ dicis : amatorem ultra animam nihil nugarum tentare, idque ubi plena ejus rei sit facultas, utpote sub eadem veste jacenti.

16. SOCR. At ego canem tibi juro et platanum, hæc ita se habere.

EMT. Hercules! quam absurdi sunt isti dii!

SOCR. Quid ais? nonne canis deus tibi esse videtur? Anubin non vides quantus sit in Ægypto? et illum in cœlo Sirium? et Cerberum illum apud inferos?

17. EMT. Recte dicis : ego vero errabam. Sed qua ratione vivis?

SOCR. Civitatem incolo quam ipse mihi formavi, republica utor nova, et meas ipse mihi leges fero.

EMT. Unum velim audire decretorum tuorum.

SOCR. Audi ergo maximum, quod de mulieribus statui. Placet nullam earum uniuscujusquam esse, sed in partem nuptiarum venire quisquis voluerit.

EMT. Quid ais? sublatas abrogatasque quæ sunt de adulterio leges?

SOCR. Ita per Jovem, et omnem simpliciter circa talia minutam illam diligentiam.

ΑΓΟ. Τί δαὶ περὶ τῶν ἐν ὥρᾳ σοι παίδων δοκεῖ;

ΣΩΚ. Καὶ οὗτοι ἔσονται τοῖς ἀρίστοις ἆθλον φιλῆσαι λαμπρόν τι καὶ νεανικὸν ἐργασαμένοις.

18. ΑΓΟ. Βαβαὶ τῆς φιλοδωρίας. Τῆς δὲ σοφίας τί σοι τὸ κεφάλαιον;

ΣΩΚ. Αἱ ἰδέαι καὶ τὰ τῶν ὄντων παραδείγματα· ὁπόσα γὰρ δὴ ὁρᾷς, τὴν γῆν, ταπὶ γῆς, τὸν οὐρανὸν, τὴν θάλατταν, ἁπάντων τούτων εἰκόνες ἀφανεῖς ἑστᾶσιν ἔξω τῶν ὅλων.

ΑΓΟ. Ποῦ δὲ ἑστᾶσιν;

ΣΩΚ. Οὐδαμοῦ· εἰ γάρ που εἶεν, οὐκ ἂν εἶεν.

ΑΓΟ. Οὐχ ὁρῶ ταῦθ' ἅπερ λέγεις τὰ παραδείγματα.

ΣΩΚ. Εἰκότως· τυφλὸς γὰρ εἶ τῆς ψυχῆς τὸν ὀφθαλμόν. Ἐγὼ δὲ πάντων ὁρῶ εἰκόνας καὶ σὲ ἀφανῆ κἀμὲ ἄλλον, καὶ ὅλως διπλᾶ πάντα.

ΑΓΟ. Τοιγαροῦν ὠνητέος εἶ σοφὸς καὶ ὀξυδερκής τις ὤν. Φέρε δ' ἴδω τί καὶ πράξεις με ὑπὲρ αὐτοῦ σύ;

ΕΡΜ. Δὸς δύο τάλαντα.

ΑΓΟ. Ὠνησάμην ὅσου φῄς. Ταργύριον μέντοι ἐς αὖθις καταβαλῶ.

19. ΕΡΜ. Τί σοι τοὔνομα;

ΑΓΟ. Δίων Συρακόσιος.

ΕΡΜ. Ἄγε λαβὼν ἀγαθῇ τύχῃ. Τὸν Ἐπικούρειον σὲ ἤδη καλῶ. Τίς ὠνεῖται τοῦτον; Ἔστι μὲν τοῦ γελῶντος ἐκείνου μαθητὴς καὶ τοῦ μεθύοντος, οὓς μικρῷ πρόσθεν ἀπεκηρύττομεν. Ἕν δὲ πλεῖον οἶδεν αὐτῶν, παρ' ὅσον ἀσεβέστερος τυγχάνει· τὰ δ' ἄλλα ἡδὺς καὶ λιχνείᾳ φίλος.

ΑΓΟ. Τίς ἡ τιμή;

ΕΡΜ. Δύο μναῖ.

ΑΓΟ. Λάμβανε· τὸ δεῖνα δὲ, ὅπως εἰδῶ, τίσι χαίρει τῶν ἐδεσμάτων.

ΕΡΜ. Τὰ γλυκέα σιτεῖται καὶ τὰ μελιτώδη καὶ μάλιστά γε τὰς ἰσχάδας.

ΑΓΟ. Χαλεπὸν οὐδέν· ὠνησόμεθα γὰρ αὐτῷ παλάθας τῶν Καρικῶν.

20. ΖΕΥΣ. Ἄλλον κάλει, τὸν ἐν χρῷ κουρίαν ἐκεῖνον, τὸν σκυθρωπὸν, τὸν ἀπὸ τῆς στοᾶς.

ΕΡΜ. Εὖ λέγεις· ἐοίκασι γοῦν πολύ τι πλῆθος αὐτὸν περιμένειν τῶν ἐπὶ τὴν ἀγορὰν ἀπηντηκότων. Αὐτὴν τὴν ἀρετὴν πωλῶ, τῶν βίων τὸν τελειότατον. Τίς πάντα μόνος εἰδέναι θέλει;

ΑΓΟ. Πῶς τοῦτο φῄς;

ΕΡΜ. Ὅτι μόνος οὗτος σοφὸς, μόνος καλὸς, μόνος δίκαιος ἀνδρεῖος βασιλεὺς ῥήτωρ πλούσιος νομοθέτης καὶ τἆλλα ὁπόσα ἐστίν.

ΑΓΟ. Οὐκοῦν, ὦγαθὲ, καὶ μάγειρος μόνος, καὶ νὴ Δία γε σκυτοδεψὸς καὶ τέκτων καὶ τὰ τοιαῦτα;

ΕΡΜ. Ἔοικεν.

21. ΑΓΟ. Ἐλθὲ, ὦγαθὲ, καὶ λέγε πρὸς τὸν ὠνητὴν ἐμὲ ποῖός τις εἶ, καὶ πρῶτον εἰ οὐκ ἄχθῃ πιπρασκόμενος καὶ δοῦλος ὤν.

EMT. De pueris vero ætate et forma florentibus quid statuis?

SOCR. Et hi erunt præmium fortissimis, qui osculentur eos, quoties splendidum et audax facinus ediderint.

18. EMT. Hem magnificentiam! Sapientiæ vero quod tibi caput est?

SOCR. Formæ et exemplaria rerum. Quidquid enim vides, terram, terrestria, cœlum, mare : horum omnium imagines quædam, visum effugientes, stant extra hoc universum.

EMT. At ubi stant?

SOCR. Nusquam : si enim in loco aliquo essent, plane non essent.

EMT. Non video ea quæ narras exemplaria.

SOCR. Neque id mirum : cæcus enim es mentis quidem oculo. At ego omnium video imagines, et te quendam alium corporis oculos fugientem, et me, et prorsus duplicia omnia.

EMT. Ergo emendus es, ita sapiens et visu ita acuto præditus. Jam age videam, quid pro illo a me exiges?

MERC. Dabis talenta duo.

EMT. Emi quanti dicis. Pecuniam vero deinde solvam.

19. MERC. Quod tibi nomen?

EMT. Dio Syracusanus.

MERC. Habe tibi et duc, quod bene vertat! Te jam Epicureum voco. Quis hunc emet? Est quidem ridentis illius discipulus, et ebrii alterius, quos paullo ante præconio offerebamus. Unum autem amplius novit illis, quatenus magis est impius. Ceterum suavis est, et gulæ amicus.

EMT. Quod pretium?

MERC. Duæ minæ.

EMT. En tibi illas. Illud vero fac ut sciam, quibus gaudet cibis.

MERC. Dulcibus vescitur et mellis saporem habentibus, maxime quidem ficubus.

EMT. Hæc res difficultatem non habet : emamus viro massas caricarum.

20. JUP. Alium voca; illum ad cutem rasum, tristem illum de porticu.

MERC. Bene mones : videntur sane multi eum exspectare eorum qui ad forum venerunt. Ipsam virtutem vendo, vitam perfectissimam. Quis omnia solus scire cupit?

EMT. Quorsum illud dicis?

MERC. Nempe solus hic sapiens, solus pulcher, solus justus, fortis, rex, rhetor, dives, legislator et quotquot sunt reliqua.

EMT. Ergo, o bone, coquus etiam solus, et medius fidius cerdo, et faber, et id genus?

MERC. Apparet.

21. EMT. Huc prodi, o bone, et dic mihi te emturo, quid hominis sis; et primum, an non ægre feras te vendi et servum esse.

συνειλέονται καί ἐστι τωὐτὸ τέρψις ἀτερψίη, γνῶσις ἀγνωσίη, μέγα μικρὸν, ἄνω κάτω περιχωρέοντα καὶ ἀμειβόμενα ἐν τῇ τοῦ αἰῶνος παιδιῇ.

ΑΓΟ. Τί γὰρ ὁ αἰών ἐστι;

ΗΡΑΚ. Παῖς παίζων, πεσσεύων, διαφερόμενος.

ΑΓΟ. Τί δαὶ οἱ ἄνθρωποι;

ΗΡΑΚ. Θεοὶ θνητοί.

ΑΓΟ. Τί δαὶ οἱ θεοί;

ΗΡΑΚ. Ἄνθρωποι ἀθάνατοι.

ΑΓΟ. Αἰνίγματα λέγεις, ὦ οὗτος, ἢ γρίφους συντίθης; ἀτεχνῶς γὰρ ὥσπερ ὁ Λοξίας οὐδὲν ἀποσαφεῖς.

ΗΡΑΚ. Οὐδὲν γάρ μοι μέλει ὑμέων.

ΑΓΟ. Τοιγαροῦν οὐδὲ ὠνήσεταί σέ τις εὖ φρονῶν.

ΗΡΑΚ. Ἐγὼ δὲ κέλομαι πᾶσιν ἥδηδὸν οἰμώζειν, τοῖσι ὠνεομένοισι καὶ τοῖσι οὐκ ὠνεομένοισι.

ΑΓΟ. Τουτὶ τὸ κακὸν οὐ πόρρω μελαγχολίας ἐστίν· οὐδέτερον δ' ἔγωγε αὐτῶν ὠνήσομαι.

ΕΡΜ. Ἄπρατοι καὶ οὗτοι μενοῦσιν.

ΖΕΥΣ. Ἄλλον ἀποκήρυττε.

15. ΕΡΜ. Βούλει τὸν Ἀθηναῖον ἐκεῖνον, τὸν στωμύλον;

ΖΕΥΣ. Πάνυ μὲν οὖν.

ΕΡΜ. Δεῦρ' ἐλθὲ σύ. Βίον ἀγαθὸν καὶ συνετὸν ἀποκηρύττομεν. Τίς ὠνεῖται τὸν ἱερώτατον;

ΑΓΟ. Εἰπέ μοι, τί μάλιστα εἰδὼς τυγχάνεις;

ΣΩΚ. Παιδεραστής εἰμι καὶ σοφὸς τὰ ἐρωτικά.

ΑΓΟ. Πῶς οὖν ἐγὼ πρίωμαί σε; παιδαγωγοῦ γὰρ ἐδεόμην τῷ παιδὶ καλῷ ὄντι μοι.

ΣΩΚΡΑΤΗΣ. Τίς δ' ἂν ἐπιτηδειότερος ἐμοῦ γένοιτο συνεῖναι καλῷ; καὶ γὰρ οὐ τῶν σωμάτων ἐραστής εἰμι, τὴν ψυχὴν δὲ ἡγοῦμαι καλήν. Ἀμέλει κἂν ὑπὸ ταὐτὸν ἱμάτιόν μοι κατακέωνται, ἀκούσῃ αὐτῶν λεγόντων μηδὲν ὑπ' ἐμοῦ δεινὸν παθεῖν.

ΑΓΟ. Ἄπιστα λέγεις, τὸ παιδεραστὴν ὄντα μὴ πέρα τῆς ψυχῆς τι πολυπραγμονεῖν, καὶ ταῦτα ἐπ' ἐξουσίας, ὑπὸ τῷ αὐτῷ ἱματίῳ κατακείμενον.

16. ΣΩΚ. Καὶ μὴν ὀμνύω γέ σοι τὸν κύνα καὶ τὴν πλάτανον, οὕτω ταῦτ' ἔχειν.

ΑΓΟ. Ἡράκλεις τῆς ἀτοπίας τῶν θεῶν.

ΣΩΚ. Τί σὺ λέγεις; οὐ δοκεῖ σοι ὁ κύων εἶναι θεός; οὐχ ὁρᾷς τὸν Ἄνουβιν ἐν Αἰγύπτῳ ὅσος; καὶ τὸν ἐν οὐρανῷ Σείριον καὶ τὸν παρὰ τοῖς κάτω Κέρβερον;

17. ΑΓΟ. Εὖ λέγεις, ἐγὼ δὲ διημάρτανον. Ἀλλὰ τίνα βιοῖς τὸν τρόπον;

ΣΩΚ. Οἰκῶ μὲν ἐμαυτῷ τινα πόλιν ἀναπλάσας, χρῶμαι δὲ πολιτείᾳ ξένῃ καὶ νόμους νομίζω τοὺς ἐμούς.

ΑΓΟ. Ἐν ἐβουλόμην ἀκοῦσαι τῶν δογμάτων.

ΣΩΚ. Ἄκουε δὴ τὸ μέγιστον, ὃ περὶ τῶν γυναικῶν μοι δοκεῖ· μηδεμίαν αὐτῶν μηδενὸς εἶναι μόνου, παντὶ δὲ μετεῖναι τῷ βουλομένῳ τοῦ γάμου.

ΑΓΟ. Τί τοῦτο φῄς; ἀνῃρῆσθαι τοὺς περὶ μοιχείαν νόμους;

ΣΩΚ. Νὴ Δία, καὶ ἁπλῶς γε πᾶσαν τὴν περὶ τὰ τοιαῦτα μικρολογίαν.

idemque sunt delectatio et fastidium, cognitio ignorantia, magnum parvum, sursum deorsum circueuntia, et vices in illo sæculi lusu permutantia.

EMT. Quidnam est sæculum?

HER. Puer ludens, talos jactans, huc illuc vagans.

EMT. Homines vero quid?

HER. Dii mortales.

EMT. Dii vero?

HER. Homines immortales.

EMT. Ænigmata loqueris, mi homo, an griphos nectis? plane enim veluti Loxias ille nihil clare dicis.

HER. Nihil enim vos curo.

EMT. Igitur neque sanus quisquam te emerit.

HER. Ego vero plorare jubeo omnes, maximos minimos, emtores non emtores.

EMT. Morbus hujus hominis ab atra bile non procul abest; neutrum vero eorum emerim equidem.

MERC. Neque igitur hi vendi poterunt.

JUP. Prædica alium.

15. MERC. Vis Atheniensem illum, illum loquaculum?

JUP. Ego vero volo.

MERC. Huc tu transi. Vitam bonam et prudentem prædicamus. Quis emit sanctissimum?

EMT. Dic mihi, quid maxime nosti?

SOCR. Puerorum amator sum et doctus artes amatorias.

EMT. Quomodo igitur ego emam te? pædagogo enim opus habebam puero qui mihi est pulchro.

SOCRATES. Ecquis vero aptior me sit contubernalis pulchri? neque enim corporum amator ego, verum animam pulchram judico. Adeo si vel sub eadem veste mecum pernoctarint, audias dicentes, nulla se injuria a me affectos.

EMT. Supra fidem sunt quæ dicis : amatorem ultra animam nihil nugarum tentare, idque ubi plena ejus rei sit facultas, utpote sub eadem veste jacenti.

16. SOCR. At ego canem tibi juro et platanum, hæc ita se habere.

EMT. Hercules! quam absurdi sunt isti dii!

SOCR. Quid ais? nonne canis deus tibi esse videtur? Anubin non vides quantus sit in Ægypto? et illum in cœlo Sirium? et Cerberum illum apud inferos?

17. EMT. Recte dicis : ego vero errabam. Sed qua ratione vivis?

SOCR. Civitatem incolo quam ipse mihi formavi, republica utor nova, et meas ipse mihi leges fero.

EMT. Unum velim audire decretorum tuorum.

SOCR. Audi ergo maximum, quod de mulieribus statui. Placet nullam earum uniuscujusquam esse, sed in partem nuptiarum venire quisquis voluerit.

EMT. Quid ais? sublatas abrogatasque quæ sunt de adulterio leges?

SOCR. Ita per Jovem, et omnem simpliciter circa talia minutam illam diligentiam.

ΑΓΟ. Τί δαὶ περὶ τῶν ἐν ὥρᾳ σοι παίδων δοκεῖ;

ΣΩΚ. Καὶ οὗτοι ἔσονται τοῖς ἀρίστοις ἆθλον φιλῆσαι λαμπρόν τι καὶ νεανικὸν ἐργασαμένοις.

18. ΑΓΟ. Βαβαὶ τῆς φιλοδωρίας. Τῆς δὲ σοφίας τί σοι τὸ κεφάλαιον;

ΣΩΚ. Αἱ ἰδέαι καὶ τὰ τῶν ὄντων παραδείγματα· ὁπόσα γὰρ δὴ ὁρᾷς, τὴν γῆν, τἀπὶ γῆς, τὸν οὐρανὸν, τὴν θάλατταν, ἁπάντων τούτων εἰκόνες ἀφανεῖς ἑστᾶσιν ἔξω τῶν ὅλων.

ΑΓΟ. Ποῦ δὲ ἑστᾶσιν;

ΣΩΚ. Οὐδαμοῦ· εἰ γάρ που εἶεν, οὐκ ἂν εἶεν.

ΑΓΟ. Οὐχ ὁρῶ ταῦθ' ἅπερ λέγεις τὰ παραδείγματα.

ΣΩΚ. Εἰκότως· τυφλὸς γὰρ εἶ τῆς ψυχῆς τὸν ὀφθαλμόν. Ἐγὼ δὲ πάντων ὁρῶ εἰκόνας καὶ σὲ ἀφανῆ καμὲ ἄλλον, καὶ ὅλως διπλᾶ πάντα.

ΑΓΟ. Τοιγαροῦν ὠνητέος εἶ σοφὸς καὶ ὀξυδερκής τις ὤν. Φέρε δ' ἴδω τί καὶ πράξεις με ὑπὲρ αὐτοῦ σύ;

ΕΡΜ. Δὸς δύο τάλαντα.

ΑΓΟ. Ὠνησάμην ὅσου φής. Τἀργύριον μέντοι ἐς αὖθις καταβαλῶ.

19. ΕΡΜ. Τί σοι τοὔνομα;

ΑΓΟ. Δίων Συρακόσιος.

ΕΡΜ. Ἄγε λαβὼν ἀγαθῇ τύχῃ. Τὸν Ἐπικούρειον σὲ ἤδη καλῶ. Τίς ὠνεῖται τοῦτον; Ἔστι μὲν τοῦ γελῶντος ἐκείνου μαθητὴς καὶ τοῦ μεθύοντος, οὓς μικρῷ πρόσθεν ἀπεκηρύττομεν. Ἓν δὲ πλεῖον οἶδεν αὐτῶν, παρ' ὅσον ἀσεβέστερος τυγχάνει· τὰ δ' ἄλλα ἡδὺς καὶ λιχνείᾳ φίλος.

ΑΓΟ. Τίς ἡ τιμή;

ΕΡΜ. Δύο μναῖ.

ΑΓΟ. Λάμβανε· τὸ δεῖνα δὲ, ὅπως εἰδῶ, τίσι χαίρει τῶν ἐδεσμάτων.

ΕΡΜ. Τὰ γλυκέα σιτεῖται καὶ τὰ μελιτώδη καὶ μάλιστά γε τὰς ἰσχάδας.

ΑΓΟ. Χαλεπὸν οὐδέν· ὠνησόμεθα γὰρ αὐτῷ παλάθας τῶν Καρικῶν.

20. ΖΕΥΣ. Ἄλλον κάλει, τὸν ἐν χρῷ κουρίαν ἐκεῖνον, τὸν σκυθρωπὸν, τὸν ἀπὸ τῆς στοᾶς.

ΕΡΜ. Εὖ λέγεις· ἐοίκασι γοῦν πολύ τι πλῆθος αὐτὸν περιμένειν τῶν ἐπὶ τὴν ἀγορὰν ἀπηντηκότων. Αὐτὴν τὴν ἀρετὴν πωλῶ, τῶν βίων τὸν τελειότατον. Τίς πάντα μόνος εἰδέναι θέλει;

ΑΓΟ. Πῶς τοῦτο φής;

ΕΡΜ. Ὅτι μόνος οὗτος σοφὸς, μόνος καλὸς, μόνος δίκαιος ἀνδρεῖος βασιλεὺς ῥήτωρ πλούσιος νομοθέτης καὶ τἆλλα ὁπόσα ἐστίν.

ΑΓΟ. Οὐκοῦν, ὦγαθὲ, καὶ μάγειρος μόνος, καὶ νὴ Δία γε σκυτοδεψὸς καὶ τέκτων καὶ τὰ τοιαῦτα;

ΕΡΜ. Ἔοικεν.

21. ΑΓΟ. Ἐλθὲ, ὦγαθὲ, καὶ λέγε πρὸς τὸν ὠνητὴν ἐμὲ ποῖός τις εἶ, καὶ πρῶτον εἰ οὐκ ἄχθῃ πιπρασκόμενος καὶ δοῦλος ὤν.

EMT. De pueris vero ætate et forma florentibus quid statuis?

SOCR. Et hi erunt præmium fortissimis, qui osculentur eos, quoties splendidum et audax facinus ediderint.

18. EMT. Hem magnificentiam! Sapientiæ vero quod tibi caput est?

SOCR. Formæ et exemplaria rerum. Quidquid enim vides, terram, terrestria, cœlum, mare : horum omnium imagines quædam, visum effugientes, stant extra hoc universum.

EMT. At ubi stant?

SOCR. Nusquam : si enim in loco aliquo essent, plane non essent.

EMT. Non video ea quæ narras exemplaria.

SOCR. Neque id mirum : cæcus enim es mentis quidem oculo. At ego omnium video imagines, et te quendam alium corporis oculos fugientem, et me, et prorsus duplicia omnia.

EMT. Ergo emendus es, ita sapiens et visu ita acuto præditus. Jam age videam, quid pro illo a me exiges?

MERC. Dabis talenta duo.

EMT. Emi quanti dicis. Pecuniam vero deinde solvam.

19. MERC. Quod tibi nomen?

EMT. Dio Syracusanus.

MERC. Habe tibi et duc, quod bene vertat! Te jam Epicureum voco. Quis hunc emet? Est quidem ridentis illius discipulus, et ebrii alterius, quos paullo ante præconio offerebamus. Unum autem amplius novit illis, quatenus magis est impius. Ceterum suavis est, et gulæ amicus.

EMT. Quod pretium?

MERC. Duæ minæ.

EMT. En tibi illas. Illud vero fac ut sciam, quibus gaudet cibis.

MERC. Dulcibus vescitur et mellis saporem habentibus, maxime quidem ficubus.

EMT. Hæc res difficultatem non habet : emamus viro massas caricarum.

20. JUP. Alium voca; illum ad cutem rasum, tristem illum de porticu.

MERC. Bene mones : videntur sane multi eum exspectare eorum qui ad forum venerunt. Ipsam virtutem vendo, vitam perfectissimam. Quis omnia solus scire cupit?

EMT. Quorsum illud dicis?

MERC. Nempe solus hic sapiens, solus pulcher, solus justus, fortis, rex, rhetor, dives, legislator et quotquot sunt reliqua.

EMT. Ergo, o bone, coquus etiam solus, et medius fidius cerdo, et faber, et id genus?

MERC. Apparet.

21. EMT. Huc prodi, o bone, et dic mihi te emturo, quid hominis sis; et primum, an non ægre feras te vendi et servum esse.

συνειλέονται καί ἐστι τωὐτὸ τέρψις ἀτερψίη, γνῶσις ἀγνωσίη, μέγα μικρὸν, ἄνω κάτω περιχωρέοντα καὶ ἀμειβόμενα ἐν τῇ τοῦ αἰῶνος παιδιῇ.

ΑΓΟ. Τί γὰρ ὁ αἰών ἐστι;

ΗΡΑΚ. Παῖς παίζων, πεσσεύων, διαφερόμενος.

ΑΓΟ. Τί δαὶ οἱ ἄνθρωποι;

ΗΡΑΚ. Θεοὶ θνητοί.

ΑΓΟ. Τί δαὶ οἱ θεοί;

ΗΡΑΚ. Ἄνθρωποι ἀθάνατοι.

ΑΓΟ. Αἰνίγματα λέγεις, ὦ οὗτος, ἢ γρίφους συντίθης; ἀτεχνῶς γὰρ ὥσπερ ὁ Λοξίας οὐδὲν ἀποσαφεῖς.

ΗΡΑΚ. Οὐδὲν γάρ μοι μέλει ὑμέων.

ΑΓΟ. Τοιγαροῦν οὐδὲ ὠνήσεταί σέ τις εὖ φρονῶν.

ΗΡΑΚ. Ἐγὼ δὲ κέλομαι πᾶσιν ἡδηδὸν οἰμώζειν, τοῖσι ὠνεομένοισι καὶ τοῖσι οὐκ ὠνεομένοισι.

ΑΓΟ. Τουτὶ τὸ κακὸν οὐ πόρρω μελαγχολίας ἐστίν· οὐδέτερον δ' ἔγωγε αὐτῶν ὠνήσομαι.

ΕΡΜ. Ἄπρατοι καὶ οὗτοι μενοῦσιν.

ΖΕΥΣ. Ἄλλον ἀποκήρυττε.

15. ΕΡΜ. Βούλει τὸν Ἀθηναῖον ἐκεῖνον, τὸν στωμύλον;

ΖΕΥΣ. Πάνυ μὲν οὖν.

ΕΡΜ. Δεῦρ' ἐλθὲ σύ. Βίον ἀγαθὸν καὶ συνετὸν ἀποκηρύττομεν. Τίς ὠνεῖται τὸν ἱερώτατον;

ΑΓΟ. Εἰπέ μοι, τί μάλιστα εἰδὼς τυγχάνεις;

ΣΩΚ. Παιδεραστής εἰμι καὶ σοφὸς τὰ ἐρωτικά.

ΑΓΟ. Πῶς οὖν ἐγὼ πρίωμαί σε; παιδαγωγοῦ γὰρ ἐδεόμην τῷ παιδὶ καλῷ ὄντι μοι.

ΣΩΚΡΑΤΗΣ. Τίς δ' ἂν ἐπιτηδειότερος ἐμοῦ γένοιτο συνεῖναι καλῷ; καὶ γὰρ οὐ τῶν σωμάτων ἐραστής εἰμι, τὴν ψυχὴν δὲ ἡγοῦμαι καλήν. Ἀμέλει κἂν ὑπὸ ταὐτὸν ἱμάτιόν μοι κατακέωνται, ἀκούσῃ αὐτῶν λεγόντων μηδὲν ὑπ' ἐμοῦ δεινὸν παθεῖν.

ΑΓΟ. Ἄπιστα λέγεις, τὸ παιδεραστὴν ὄντα μὴ πέρα τῆς ψυχῆς τι πολυπραγμονεῖν, καὶ ταῦτα ἐπ' ἐξουσίας, ὑπὸ τῷ αὐτῷ ἱματίῳ κατακείμενον.

16. ΣΩΚ. Καὶ μὴν ὀμνύω γέ σοι τὸν κύνα καὶ τὴν πλάτανον, οὕτω ταῦτ' ἔχειν.

ΑΓΟ. Ἡράκλεις τῆς ἀτοπίας τῶν θεῶν.

ΣΩΚ. Τί σὺ λέγεις; οὐ δοκεῖ σοι ὁ κύων εἶναι θεός; οὐχ ὁρᾷς τὸν Ἄνουβιν ἐν Αἰγύπτῳ ὅσος; καὶ τὸν ἐν οὐρανῷ Σείριον καὶ τὸν παρὰ τοῖς κάτω Κέρβερον;

17. ΑΓΟ. Εὖ λέγεις, ἐγὼ δὲ διημάρτανον. Ἀλλὰ τίνα βιοῖς τὸν τρόπον;

ΣΩΚ. Οἰκῶ μὲν ἐμαυτῷ τινα πόλιν ἀναπλάσας, χρῶμαι δὲ πολιτείᾳ ξένῃ καὶ νόμους νομίζω τοὺς ἐμούς.

ΑΓΟ. Ἐν ἐβουλόμην ἀκοῦσαι τῶν δογμάτων.

ΣΩΚ. Ἄκουε δὴ τὸ μέγιστον, ὃ περὶ τῶν γυναικῶν μοι δοκεῖ· μηδεμίαν αὐτῶν μηδενὸς εἶναι μόνου, παντὶ δὲ μετεῖναι τῷ βουλομένῳ τοῦ γάμου.

ΑΓΟ. Τί τοῦτο φῄς; ἀνῃρῆσθαι τοὺς περὶ μοιχείαν νόμους;

ΣΩΚ. Νὴ Δία, καὶ ἁπλῶς γε πᾶσαν τὴν περὶ τὰ τοιαῦτα μικρολογίαν.

idemque sunt delectatio et fastidium, cognitio ignorantia, magnum parvum, sursum deorsum circueuntia, et vices in illo sæculi lusu permutantia.

EMT. Quidnam est sæculum?

HER. Puer ludens, talos jactans, huc illuc vagans.

EMT. Homines vero quid?

HER. Dii mortales.

EMT. Dii vero?

HER. Homines immortales.

EMT. Ænigmata loqueris, mi homo, an griphos nectis? plane enim veluti Loxias ille nihil clare dicis.

HER. Nihil enim vos curo.

EMT. Igitur neque sanus quisquam te emerit.

HER. Ego vero plorare jubeo omnes, maximos minimos, emtores non emtores.

EMT. Morbus hujus hominis ab atra bile non procul abest; neutrum vero eorum emerim equidem.

MERC. Neque igitur hi vendi poterunt.

JUP. Prædica alium.

15. MERC. Vis Atheniensem illum, illum loquaculum?

JUP. Ego vero volo.

MERC. Huc tu transi. Vitam bonam et prudentem prædicamus. Quis emit sanctissimum?

EMT. Dic mihi, quid maxime nosti?

SOCR. Puerorum amator sum et doctus artes amatorias.

EMT. Quomodo igitur ego emam te? pædagogo enim opus habebam puero qui mihi est pulchro.

SOCRATES. Ecquis vero aptior me sit contubernalis pulchri? neque enim corporum amator ego, verum animam pulchram judico. Adeo si vel sub eadem veste mecum pernoctarint, audias dicentes, nulla se injuria a me affectos.

EMT. Supra fidem sunt quæ dicis: amatorem ultra animam nihil nugarum tentare, idque ubi plena ejus rei sit facultas, utpote sub eadem veste jacenti.

16. SOCR. At ego canem tibi juro et platanum, hæc ita se habere.

EMT. Hercules! quam absurdi sunt isti dii!

SOCR. Quid ais? nonne canis deus tibi esse videtur? Anubin non vides quantus sit in Ægypto? et illum in cœlo Sirium? et Cerberum illum apud inferos?

17. EMT. Recte dicis: ego vero errabam. Sed qua ratione vivis?

SOCR. Civitatem incolo quam ipse mihi formavi, republica utor nova, et meas ipse mihi leges fero.

EMT. Unum velim audire decretorum tuorum.

SOCR. Audi ergo maximum, quod de mulieribus statui. Placet nullam earum uniuscujusquam esse, sed in partem nuptiarum venire quisquis voluerit.

EMT. Quid ais? sublatas abrogatasque quæ sunt de adulterio leges?

SOCR. Ita per Jovem, et omnem simpliciter circa talia minutam illam diligentiam.

ΑΓΟ. Τί δαὶ περὶ τῶν ἐν ὥρᾳ σοι παίδων δακεῖ;

ΣΩΚ. Καὶ οὗτοι ἔσονται τοῖς ἀρίστοις ἆθλον φιλῆσαι λαμπρόν τι καὶ νεανικὸν ἐργασαμένοις.

18. ΑΓΟ. Βαβαὶ τῆς φιλοδωρίας. Τῆς δὲ σοφίας τί σοι τὸ κεφάλαιον;

ΣΩΚ. Αἱ ἰδέαι καὶ τὰ τῶν ὄντων παραδείγματα· ὁπόσα γὰρ δὴ ὁρᾷς, τὴν γῆν, τἀπὶ γῆς, τὸν οὐρανόν, τὴν θάλατταν, ἁπάντων τούτων εἰκόνες ἀφανεῖς ἑστᾶσιν ἔξω τῶν ὅλων.

ΑΓΟ. Ποῦ δὲ ἑστᾶσιν;

ΣΩΚ. Οὐδαμοῦ· εἰ γάρ που εἶεν, οὐκ ἂν εἶεν.

ΑΓΟ. Οὐχ ὁρῶ ταῦθ' ἅπερ λέγεις τὰ παραδείγματα.

ΣΩΚ. Εἰκότως· τυφλὸς γὰρ εἶ τῆς ψυχῆς τὸν ὀφθαλμόν. Ἐγὼ δὲ πάντων ὁρῶ εἰκόνας καὶ σὲ ἀφανῆ κἀμὲ ἄλλον, καὶ ὅλως διπλᾶ πάντα.

ΑΓΟ. Τοιγαροῦν ὠνητέος εἶ σοφὸς καὶ ὀξυδερκής τις ὤν. Φέρε δ' ἴδω τί καὶ πράξεις με ὑπὲρ αὐτοῦ σύ;

ΕΡΜ. Δὸς δύο τάλαντα.

ΑΓΟ. Ὠνησάμην ὅσου φῄς. Ταργύριον μέντοι ἐς αὖθις καταβαλῶ.

19. ΕΡΜ. Τί σοι τοὔνομα;

ΑΓΟ. Δίων Συρακόσιος.

ΕΡΜ. Ἄγε λαβὼν ἀγαθῇ τύχῃ. Τὸν Ἐπικούρειον σὲ ἤδη καλῶ. Τίς ὠνεῖται τοῦτον; Ἔστι μὲν τοῦ γελῶντος ἐκείνου μαθητὴς καὶ τοῦ μεθύοντος, οὓς μικρῷ πρόσθεν ἀπεκηρύττομεν. Ἓν δὲ πλεῖον οἶδεν αὐτῶν, παρ' ὅσον ἀσεβέστερος τυγχάνει· τὰ δ' ἄλλα ἡδὺς καὶ λιχνείᾳ φίλος.

ΑΓΟ. Τίς ἡ τιμή;

ΕΡΜ. Δύο μναῖ.

ΑΓΟ. Λάμβανε· τὸ δεῖνα δὲ, ὅπως εἰδῶ, τίσι χαίρει τῶν ἐδεσμάτων.

ΕΡΜ. Τὰ γλυκέα σιτεῖται καὶ τὰ μελιτώδη καὶ μάλιστά γε τὰς ἰσχάδας.

ΑΓΟ. Χαλεπὸν οὐδέν· ὠνησόμεθα γὰρ αὐτῷ παλάθας τῶν Καρικῶν.

20. ΖΕΥΣ. Ἄλλον κάλει, τὸν ἐν χρῷ κουρίαν ἐκεῖνον, τὸν σκυθρωπὸν, τὸν ἀπὸ τῆς στοᾶς.

ΕΡΜ. Εὖ λέγεις· ἐοίκασι γοῦν πολύ τι πλῆθος αὐτὸν περιμένειν τῶν ἐπὶ τὴν ἀγορὰν ἀπηντηκότων. Αὐτὴν τὴν ἀρετὴν πωλῶ, τῶν βίων τὸν τελειότατον. Τίς πάντα μόνος εἰδέναι θέλει;

ΑΓΟ. Πῶς τοῦτο φῄς;

ΕΡΜ. Ὅτι μόνος οὗτος σοφὸς, μόνος καλὸς, μόνος δίκαιος ἀνδρεῖος βασιλεὺς ῥήτωρ πλούσιος νομοθέτης καὶ τἆλλα ὁπόσα ἐστίν.

ΑΓΟ. Οὐκοῦν, ὦγαθὲ, καὶ μάγειρος μόνος, καὶ νὴ Δία γε σκυτοδεψὸς καὶ τέκτων καὶ τὰ τοιαῦτα;

ΕΡΜ. Ἔοικεν.

21. ΑΓΟ. Ἐλθὲ, ὦγαθὲ, καὶ λέγε πρὸς τὸν ὠνητὴν ἐμὲ ποῖός τις εἶ, καὶ πρῶτον εἰ οὐκ ἄχθῃ πιπρασκόμενος καὶ δοῦλος ὤν.

EMT. De pueris vero ætate et forma florentibus quid statuis?

SOCR. Et hi erunt præmium fortissimis, qui osculentur eos, quoties splendidum et audax facinus ediderint.

18. EMT. Hem magnificentiam! Sapientiæ vero quod tibi caput est?

SOCR. Formæ et exemplaria rerum. Quidquid enim vides, terram, terrestria, cœlum, mare: horum omnium imagines quædam, visum effugientes, stant extra hoc universum.

EMT. At ubi stant?

SOCR. Nusquam: si enim in loco aliquo essent, plane non essent.

EMT. Non video ea quæ narras exemplaria.

SOCR. Neque id mirum: cæcus enim es mentis quidem oculo. At ego omnium video imagines, et te quendam alium corporis oculos fugientem, et me, et prorsus duplicia omnia.

EMT. Ergo emendus es, ita sapiens et visu ita acuto præditus. Jam age videam, quid pro illo a me exiges?

MERC. Dabis talenta duo.

EMT. Emi quanti dicis. Pecuniam vero deinde solvam.

19. MERC. Quod tibi nomen?

EMT. Dio Syracusanus.

MERC. Habe tibi et duc, quod bene vertat! Te jam Epicureum voco. Quis hunc emet? Est quidem ridentis illius discipulus, et ebrii alterius, quos paullo ante præconio offerebamus. Unum autem amplius novit illis, quatenus magis est impius. Ceterum suavis est, et gulæ amicus.

EMT. Quod pretium?

MERC. Duæ minæ.

EMT. En tibi illas. Illud vero fac ut sciam, quibus gaudet cibis.

MERC. Dulcibus vescitur et mellis saporem habentibus, maxime quidem ficubus.

EMT. Hæc res difficultatem non habet: emamus viro massas caricarum.

20. JUP. Alium voca; illum ad cutem rasum, tristem illum de porticu.

MERC. Bene mones: videntur sane multi eum exspectare eorum qui ad forum venerunt. Ipsam virtutem vendo, vitam perfectissimam. Quis omnia solus scire cupit?

EMT. Quorsum illud dicis?

MERC. Nempe solus hic sapiens, solus pulcher, solus justus, fortis, rex, rhetor, dives, legislator et quotquot sunt reliqua.

EMT. Ergo, o bone, coquus etiam solus, et medius fidius cerdo, et faber, et id genus?

MERC. Apparet.

21. EMT. Huc prodi, o bone, et dic mihi te emturo, quid hominis sis; et primum, an non ægre feras te vendi et servum esse.

ΧΡΥΣΙΠΠΟΣ. Οὐδαμῶς· οὐ γὰρ ἐφ' ἡμῖν ταῦτά ἐστιν. Ὅσα δὲ οὐκ ἐφ' ἡμῖν, ἀδιάφορα εἶναι σύμβέβηκεν.

ΑΓΟ. Οὐ μανθάνω ἢ καὶ λέγεις.

ΧΡΥΣ. Τί φής; οὐ μανθάνεις ὅτι τῶν τοιούτων τὰ μέν ἐστι προηγμένα, τὰ δ' ἐμπαλιν ἀποπροηγμένα;

ΑΓΟ. Οὐδὲ νῦν μανθάνω.

ΧΡΥΣ. Εἰκότως· οὐ γὰρ εἶ συνήθης τοῖς ἡμετέροις ὀνόμασιν οὐδὲ τὴν καταληπτικὴν φαντασίαν ἔχεις, ὁ δὲ σπουδαῖος ὁ τὴν λογικὴν θεωρίαν ἐκμαθὼν οὐ μόνον ταῦτ' οἶδεν, ἀλλὰ καὶ σύμβαμα καὶ παρασύμβαμα ὁποῖα καὶ ὁπόσον ἀλλήλων διαφέρει.

ΑΓΟ. Πρὸς τῆς σοφίας, μὴ φθονήσῃς κἂν τοῦτο εἰπεῖν τί τὸ σύμβαμα καὶ τί τὸ παρασύμβαμα· καὶ γὰρ οὐκ οἶδ' ὅπως ἐπλήγην ὑπὸ τοῦ ῥυθμοῦ τῶν ὀνομάτων.

ΧΡΥΣ. Ἀλλ' οὐδεὶς φθόνος· ἦν γάρ τις χωλὸς ὢν αὐτῷ ἐκείνῳ τῷ χωλῷ ποδὶ προσπταίσας λίθῳ τραῦμα ἐξ ἀφανοῦς λάβῃ, ὁ τοιοῦτος εἶχε μὲν δήπου σύμβαμα τὴν χωλείαν, τὸ τραῦμα δὲ παρασύμβαμα προσέλαβεν.

22. ΑΓΟ. Ὦ τῆς ἀγχινοίας. Τί δαὶ ἄλλο μάλιστα φῂς εἰδέναι;

ΧΡΥΣ. Τὰς τῶν λόγων πλεκτάνας, αἷς συμποδίζω τοὺς προσομιλοῦντας καὶ ἀποφράττω καὶ σωπᾶν ποιῶ φιμὸν ἀτεχνῶς αὐτοῖς περιτιθείς· ὄνομα δὲ τῇ δυνάμει ταύτῃ ὁ ἀοίδιμος συλλογισμός.

ΑΓΟ. Ἡράκλεις, ἄμαχόν τινα καὶ βίαιον λέγεις.

ΧΡΥΣ. Σκόπει γοῦν. Ἔστι σοι παιδίον;

ΑΓΟ. Τί μήν;

ΧΡΥΣ. Τοῦτο ἦν πως κροκόδειλος ἁρπάσῃ πλησίον τοῦ ποταμοῦ πλαζόμενον εὑρών, κἄτά σοι ἀποδώσειν ὑπισχνῆται αὐτό, ἢν εἴπῃς τἀληθὲς ὅ τι δέδοκται αὐτῷ περὶ τῆς ἀποδόσεως τοῦ βρέφους, τί φήσεις αὐτὸν ἐγνωκέναι;

ΑΓΟ. Δυσαπόκριτον ἐρωτᾷς· ἀπορῶ γὰρ ὃ πρότερον εἰπὼν ἀπολάβοιμι. Ἀλλὰ σὺ πρὸς τοῦ Διὸς ἀποκρινάμενος ἀνάσωσαί μοι τὸ παιδίον, μὴ καὶ φθάσῃ αὐτὸ καταπιών.

ΧΡΥΣ. Θάρρει· καὶ ἄλλα γάρ σε διδάξομαι θαυμασιώτερα.

ΑΓΟ. Τὰ ποῖα;

ΧΡΥΣ. Τὸν θερίζοντα καὶ τὸν κυριεύοντα καὶ ἐπὶ πᾶσι τὴν Ἠλέκτραν καὶ τὸν ἐγκεκαλυμμένον.

ΑΓΟ. Τίνα τοῦτον τὸν ἐγκεκαλυμμένον ἢ τίνα τὴν Ἠλέκτραν λέγεις;

ΧΡΥΣ. Ἠλέκτραν μὲν ἐκείνην τὴν πάνυ, τὴν Ἀγαμέμνονος, ἣ τὰ αὐτὰ οἶδέ τε ἅμα καὶ οὐκ οἶδε· παρεστῶτος γὰρ αὐτῇ τοῦ Ὀρέστου ἔτι ἀγνῶτος οἶδε μὲν Ὀρέστην, ὅτι ἀδελφὸς αὐτῆς, ὅτι δὲ οὗτος Ὀρέστης ἀγνοεῖ. Τὸν δ' αὖ ἐγκεκαλυμμένον καὶ πάνυ θαυμαστὸν ἀκούσῃ λόγον· ἀπόκριναι γάρ μοι, τὸν πατέρα οἶσθα τὸν σεαυτοῦ;

ΑΓΟ. Ναί.

ΧΡΥΣ. Τί οὖν; ἦν σοι παραστήσας τινὰ ἐγκεκαλυμμένον ἔρωμαι, τοῦτον οἶσθα; τί φήσεις;

ΑΓΟ. Δηλαδὴ ἀγνοεῖν.

CHRYSIPPUS. Nequaquam; hæc enim in nostra potestate non sunt: quæcumque vero in potestate nostra non sunt, ea indifferentia esse contingit.

EMT. Non intelligo quomodo hoc dicas.

CHRYS. Quid ais? intelligere te negas, talium quædam esse præposita, alia rursus rejectanea?

EMT. Ne nunc quidem intelligo.

CHRYS. Nec mirum, qui non assuetus sis nostris nominibus, neque facultate gaudeas facile percipiendi rerum imagines. Sed studiosus, qui rationalem inspectionem perdidicit, non hæc modo novit, verum etiam accidens et præteraccidens qualibus et quantis rebus inter se differant.

EMT. Per Philosophiam, ne invideas mihi vel hoc dicere, quid rei accidens sit, et quid præteraccidens: nescio enim quomodo feriit aures ipse numerus horum nominum et concinnitas.

CHRYS. Nulla vero est invidia: si quis enim, claudus quum sit, illo ipso claudo pede offendens ad lapidem, vulnus ex improviso accipiat, ille habuit accidens claudicationem, vulnus autem illud ut præteraccidens insuper nactus est.

22. EMT. Hem solertiam! Quid vero amplius te nosse ais?

CHRYS. Verborum laqueos, quibus impedio qui mecum loquuntur, quos obturato ore et freno plane injecto ad silentium redigo. Nomen huic facultati decantatus ille syllogismus.

EMT. Inexpugnabilem hercle mihi et violentum narras.

CHRYS. Attende igitur. Estne tibi puer?

EMT. Quid tum?

CHRYS. Hunc si forte crocodilus ad flumen oberrantem rapiat, ac deinde redditurum se tibi polliceatur, ea lege, si verum dicas quid statuerit ipse de reddendo puero: quid dices illum decrevisse?

EMT. Rogas ad quod respondere admodum sit difficile: anceps enim hæreo, quo responso recipere illum possim. Sed tu per Jovem responso tuo serva mihi puerum, ne, antequam ego respondeam, illum devoret.

CHRYS. Bono es animo: nam et alia te docebo etiam admirabiliora.

EMT. Quænam?

CHRYS. Metentem syllogismum, et dominantem, et super omnia Electram et opertum.

EMT. Quem tu mihi Opertum, quam Electram narras?

CHRYS. Electram dico nobilissimam illam, Agamemnonis filiam quæ eadem novit simul et non novit: astante enim apud illam Oreste nondum agnito, novit illa quidem Orestem esse fratrem suum, hunece hominem vero esse Orestem ignorat. Opertum autem illum et prorsus admirabilem sermonem jam statim audies. Etenim responde mihi: patrem tuum nosti?

EMT. Sanequam.

CHRYS. Quid igitur, si quenpiam hominem opertum astare jubeam, teque interrogem, Hunecine nosti? quid dices?

EMT. Scilicet me non nosse.

23. ΧΡΥΣ. Ἀλλὰ μὴν αὐτὸς οὗτος ἦν ὁ πατὴρ ὁ σός· ὥστε εἰ τοῦτον ἀγνοεῖς, δῆλος εἶ τὸν πατέρα τὸν σὸν ἀγνοῶν.

ΑΓΟ. Οὐ μὲν οὖν· ἀλλ' ἀποκαλύψας αὐτὸν εἴσομαι τὴν ἀλήθειαν. Ὅμως δ' οὖν τί σοι τῆς σοφίας τὸ τέλος, ἢ τί πράξεις πρὸς τὸ ἀκρότατον τῆς ἀρετῆς ἀφικόμενος;

ΧΡΥΣ. Περὶ τὰ πρῶτα κατὰ φύσιν τότε γενήσομαι, λέγω δὲ πλοῦτον, ὑγίειαν καὶ τὰ τοιαῦτα. Πρότερον δὲ ἀνάγκη πολλὰ προπονῆσαι λεπτογράφοις βιβλίοις παραθήγοντα τὴν ὄψιν καὶ σχόλια συναγείροντα καὶ σολοικισμῶν ἐμπιπλάμενον καὶ ἀτόπων ῥημάτων· καὶ τὸ κεφάλαιον, οὐ θέμις γενέσθαι σοφὸν, ἢν μὴ τρὶς ἐφεξῆς τοῦ ἑλλεβόρου πίῃς.

ΑΓΟ. Γενναῖά σου ταῦτα καὶ δεινῶς ἀνδρικά. Τὸ δὲ Γνίφωνα εἶναι καὶ τοκογλύφον — καὶ γὰρ τάδε ὁρῶ σοι προσόντα — τί φῶμεν, ἀνδρὸς ἤδη πεπωκότος τὸν ἑλλέβορον καὶ τελείου πρὸς ἀρετήν;

ΧΡΥΣ. Ναί· μόνῳ γοῦν τὸ δανείζειν πρέποι ἂν τῷ σοφῷ· ἐπεὶ γὰρ ἴδιον αὐτοῦ τὸ συλλογίζεσθαι, τὸ δανείζειν δὲ καὶ λογίζεσθαι τοὺς τόκους πλησίον εἶναι δοκεῖ τοῦ συλλογίζεσθαι, μόνου ἂν εἴη τοῦ σπουδαίου καθάπερ ἐκεῖνο καὶ τοῦτο, καὶ οὐ μόνον γε ἁπλοῦς, ὥσπερ οἱ ἄλλοι, τοὺς τόκους, ἀλλὰ καὶ τούτων ἑτέρους τόκους λαμβάνειν· ἢ γὰρ ἀγνοεῖς ὅτι τῶν τόκων οἱ μέν εἰσι πρῶτοί τινες, οἱ δὲ δεύτεροι καθάπερ αὐτῶν ἐκείνων ἀπόγονοι; Ὁρᾷς δὲ δῆτα καὶ τὸν συλλογισμὸν ὁποῖά φησιν· εἰ τὸν πρῶτον τόκον λήψεται, λήψεται καὶ τὸν δεύτερον· ἀλλὰ μὴν τὸν πρῶτον λήψεται, λήψεται ἄρα καὶ τὸν δεύτερον.

24. ΑΓΟ. Οὐκοῦν καὶ μισθῶν πέρι τὰ αὐτὰ φῶμεν, οὓς σὺ λαμβάνεις ἐπὶ τῇ σοφίᾳ παρὰ τῶν νέων, καὶ δῆλον ὅτι μόνος ὁ σπουδαῖος μισθὸν ἐπὶ τῇ ἀρετῇ λήψεται;

ΧΡΥΣ. Μανθάνεις· οὐ γὰρ ἐμαυτοῦ ἕνεκα λαμβάνω, τοῦ δὲ διδόντος αὐτοῦ χάριν· ἐπεὶ γάρ ἐστιν ὁ μέν τις ἐκχύτης, ὁ δὲ περιεκτικὸς, ἐμαυτὸν μὲν ἀσκῶ εἶναι περιεκτικὸν, τὸν δὲ μαθητὴν ἐκχύτην.

ΑΓΟ. Καὶ μὴν τοὐναντίον ἐχρῆν, τὸν νέον μὲν εἶναι περιεκτικὸν, σὲ δὲ τὸν μόνον πλούσιον ἐκχύτην.

ΧΡΥΣ. Σκώπτεις, ὦ οὗτος. Ἀλλ' ὅρα μή σε ἀποτοξεύσω τῷ ἀναποδείκτῳ συλλογισμῷ.

ΑΓΟ. Καὶ τί δεινὸν ἀπὸ τοῦ βέλους;

ΧΡΥΣ. Ἀπορία καὶ σιωπὴ καὶ διαστραφῆναι τὴν διάνοιαν.

25. Ὃ δὲ μέγιστον, ἢν ἐθέλω, τάχιστά σε ἀποδείξω λίθον.

ΑΓΟ. Ἵππος λίθον; οὐ γὰρ Περσεὺς σὺ, ὦ βέλτιστε, εἶναί μοι δοκεῖς.

ΧΡΥΣ. Ὧδέ πως· ὁ λίθος σῶμά ἐστι;

ΑΓΟ. Ναί.

ΧΡΥΣ. Τί δέ; τὸ ζῷον οὐ σῶμα;

ΑΓΟ. Ναί.

ΧΡΥΣ. Σὺ δὲ ζῷον;

ΑΓΟ. Ἔοικα γοῦν.

23. CHRYS. Verum enim vero ille ipse erat pater tuus. Hunc igitur si non novisti, manifestum est patrem tuum te non nosse.

EMT. Minime vero, sed ego retecto illo verum sciam. Attamen quis tibi finis sapientiæ, aut quid facies quum ad fastigium virtutis perveneris?

CHRYS. In primis naturæ tunc morabor, divitias dico, sanitatem et similia. Opus vero est multa ante laborare, libris subtiliter scriptis velut cote acuere mentis aciem, commentarios congerere, solœcismis impleri et inusitatis vocibus: et quod caput rei est, fas non est sapientem fieri, nisi ter deinceps helleborum biberis.

EMT. Generosa ista et plane virilia. Sed Gniphonem sordidum esse et fœneratorem improbum (nam hæc quoque tibi inesse video), hæcne dicemus esse viri helleboro jam purgati et perfecti ad virtutem?

CHRYS. Ita sane; solum igitur sapientem fœnerari deceat. Quum enim proprium illius sit argumentis putare, fœnerari autem et argenti computare usuras vicinum videatur argumentis putandi industriæ, solius esse dixerim viri boni, quemadmodum illud, ita hoc etiam, et non simplices modo, ut reliqui solent, usuras, sed usurarum quoque alias usuras capere. An enim ignoras, usurarum alias quasdam esse primas, alias secundas, illarum quasi filias? Vides vero scilicet syllogismum, quid dicat: si primas usuras accipiet sapiens, accipiat etiam secundas: atqui primas accipiet: accipiet ergo etiam secundas.

24. EMT. Igitur de mercedibus eadem dicemus, quas sapientiæ nomine tu sumis ab adolescentibus, manifestumque est solum virum bonum mercedem virtutis nomine capturum.

CHRYS. Rem tenes; neque enim ego mea causa capio, sed ipsius dantis. Quum enim alius sit effusor et prodigus, alius comprehensor, et tenax; ego quidem comprehensor esse meditor, discipulum autem studeo effusorem efficere.

EMT. At enim contrarium oportebat; ut juvenis quidem esset comprehensor, tu vero, qui solus dives es, effusor.

CHRYS. Rides tu quidem: sed vide ne syllogismo te indemonstrabili feriam.

EMT. Et quid ab illo telo metuendum?

CHRYS. Dubitatio et silentium, et mentis distractio.

25. Quod vero maximum, si voluero, statim efficiam te lapidem.

EMT. Quomodo lapidem? neque enim tu, opinor, optime vir, es Perseus.

CHRYS. Hac fere ratione. Lapis corpusne est?

EMT. Est.

CHRYS. Quid vero? animal nonne corpus?

EMT. Est.

CHRYS. Tu vero animal?

EMT. Sic sane videtur.

ΧΡΥΣ. Λίθος ἄρα εἶ σῶμα ὤν.

ΑΓΟ. Μηδαμῶς. Ἀλλ' ἀνάλυσόν με πρὸς τοῦ Διὸς καὶ ἐξ ὑπαρχῆς ποίησον ἄνθρωπον.

ΧΡΥΣ. Οὐ χαλεπόν· ἀλλ' ἔμπαλιν ἴσθι ἄνθρωπος. Εἰπὲ γάρ μοι, πᾶν σῶμα ζῷον;

ΑΓΟ. Οὔ.

ΧΡΥΣ. Τί δέ; λίθος ζῷον;

ΑΓΟ. Οὔ.

ΧΡΥΣ. Σὺ δὲ σῶμα εἶ;

ΑΓΟ. Ναί.

ΧΡΥΣ. Σῶμα δὲ ὢν ζῷον εἶ;

ΑΓΟ. Ναί.

ΧΡΥΣ. Οὐκ ἄρα λίθος εἶ ζῷόν γε ὤν.

ΑΓΟ. Εὖ γε ἐποίησας, ὡς ἤδη μου τὰ σκέλη καθάπερ τῆς Νιόβης ἀπεψύχετο καὶ πάγια ἦν. Ἀλλὰ ὠνήσομαί γε σέ. Πόσον ὑπὲρ αὐτοῦ καταβαλῶ;

ΕΡΜ. Μνᾶς δώδεκα.

ΑΓΟ. Λάμβανε.

ΕΡΜ. Μόνος δ' αὐτὸν ἐώνησαι;

ΑΓΟ. Μὰ Δί', ἀλλ' οὗτοι πάντες, οὓς ὁρᾷς.

ΕΡΜ. Πολλοί γε καὶ τοὺς ὤμους καρτεροὶ καὶ τοῦ θερίζοντος λόγου ἄξιοι.

26. ΖΕΥΣ. Μὴ διάτριβε· ἄλλον κάλει τὸν Περιπατητικόν.

ΕΡΜ. Σέ φημι, τὸν καλὸν, τὸν πλούσιον. Ἄγε δὴ, ὠνήσασθε τὸν συνετώτατον, τὸν ἅπαντα ὅλως ἐπιστάμενον.

ΑΓΟ. Ποῖος δέ τις ἐστί;

ΕΡΜ. Μέτριος, ἐπιεικὴς, ἁρμόδιος τῷ βίῳ, τὸ δὲ μέγιστον, διπλοῦς.

ΑΓΟ. Πῶς λέγεις;

ΕΡΜ. Ἄλλος μὲν ὁ ἔκτοσθεν φαινόμενος, ἄλλος δὲ ὁ ἔντοσθεν εἶναι δοκεῖ· ὥστε ἢν πρίῃ αὐτὸν, μέμνησο τὸν μὲν ἐσωτερικὸν, τὸν δὲ ἐξωτερικὸν καλεῖν.

ΑΓΟ. Τί δὲ γιγνώσκει μάλιστα;

ΕΡΜ. Τρία εἶναι τἀγαθὰ, ἐν ψυχῇ, ἐν σώματι, ἐν τοῖς ἐκτός.

ΑΓΟ. Ἀνθρώπινα φρονεῖ. Πόσου δέ ἐστιν;

ΕΡΜ. Εἴκοσι μνῶν.

ΑΓΟ. Πολὺ λέγεις.

ΕΡΜ. Οὐκ, ὦ μακάριε· καὶ γὰρ αὐτὸς ἔχειν τι ἀργύριον δοκεῖ· ὥστε οὐκ ἂν φθάνοις ὠνησάμενος. Ἔτι δὲ εἴσῃ αὐτίκα μάλα παρ' αὐτοῦ πόσον μὲν ὁ κώνωψ βιοῖ τὸν χρόνον, ἐφ' ὁπόσον δὲ βάθος ἡ θάλαττα ὑπὸ τοῦ ἡλίου καταλάμπεται, καὶ ὁποία τίς ἐστιν ἡ ψυχὴ τῶν ὀστρείων.

ΑΓΟ. Ἡράκλεις τῆς ἀκριβολογίας.

ΕΡΜ. Τί δαὶ, εἰ ἀκούσειας ἄλλα πολλῷ τούτων ὀξυδερκέστερα, γονῆς τε πέρι καὶ γενέσεως καὶ τῆς ἐν ταῖς μήτραις τῶν ἐμβρύων πλαστικῆς, καὶ ὡς ἄνθρωπος μὲν γελαστικὸν, ὄνος δὲ οὐ γελαστικὸν *** οὐδὲ τεκταινόμενον οὐδὲ πλωϊζόμενον;

ΑΓΟ. Πάνσεμνα φῂς καὶ ὀνησιφόρα τὰ μαθήματα, ὥστε ὠνοῦμαι αὐτὸν εἴκοσιν.

CHRYS. Lapis ergo es, qui sis corpus.

EMT. Nequaquam vero. Sed solve me per Jovem, et rursus me hominem redde.

CHRYS. Difficile non est : sed rursus esto homo. Dic mihi : omne corpus animal?

EMT. Non.

CHRYS. Quid vero? num lapis animal?

EMT. Non.

CHRYS. Tu vero es corpus?

EMT. Scilicet.

CHRYS. Corpus vero quum sis, an animal es?

EMT. Sane.

CHRYS. Nec igitur lapis es, qui sis animal.

EMT. Bene abs te factum : jam enim crura mea, ut olim Niobes, spiritu vitali exeunte diriguerant. Verum emam te. Quantum pro illo numeraho?

MERC. Minas duodecim.

EMT. Hem cape.

MERC. Solus vero illum emisti?

EMT. Non hercle, sed hi quos vides universi.

MERC. Multi quidem et robusti humeros et ratione illa metente digni.

26. JUP. Noli tempus terere, voca alium, Peripateticum illum.

MERC. Te jam dico, te pulchrum, divitem. Agite, emite prudentissimum, scientem omnino omnia.

EMT. At qualis est?

MERC. Moderatus, æquus, vitæ aptus, et, quod maximum est, duplex.

EMT. Quid ais?

MERC. Alius est qui extra apparet, intus autem videtur alius. Itaque si illum emeris, memento hunc quidem interiorem, illum vocare exteriorem.

EMT. Quid vero maxime tenet?

MERC. Tria esse bona, in anima, in corpore, in rebus externis.

EMT. Humanum sapit. Quanti vero est?

MERC. Viginti minarum.

EMT. Multum dicis.

MERC. Non, o bone : videtur enim et ipse argenti aliquantum habere. Itaque non est cur cesses emere. Porro statim ex illo scies, quanto tempore culex vivat; ad quam altitudinem mare a sole perluceat, et qualis sit anima ostreorum.

EMT. Hercules! quam subtilis illa perscrutatio!

MERC. Quid vero, alia multa si audias hisce acutiora? de semine, et generatione, et illa embryonum in uteris figlina; et ut homo sit animal risibile, asinus autem non risibile, *** neque fabricans, neque navigans.

EMT. Gravissima narras, et utilia plane hujus disciplinæ capita : itaque emam illum viginti minis.

27. ΕΡΜ. Εἶεν.

ΖΕΥΣ. Τίς λοιπὸς ἡμῖν καταλείπεται;

ΕΡΜ. Ὁ σκεπτικὸς οὗτος. Σὺ ὁ Πύρρων πρόσιθι καὶ ἀποκηρύττου κατὰ τάχος. Ἤδη μὲν ὑπορρέουσιν οἱ πολλοὶ καὶ ἐν ὀλίγοις ἡ πρᾶσις ἔσται. Ὅμως δὲ τίς καὶ τοῦτον ὠνεῖται;

ΑΓΟ. Ἔγωγε. Ἀλλ' οὖν πρῶτον εἰπέ μοι, σὺ τί ἐπίστασαι;

ΠΥΡΡΩΝ. Οὐδέν.

ΑΓΟ. Πῶς τοῦτ' ἔφησθα;

ΠΥΡΡ. Ὅτι οὐδὲν ὅλως εἶναί μοι δοκεῖ.

ΑΓΟ. Οὐδὲ ἡμεῖς ἄρα ἐσμέν τινες;

ΠΥΡΡ. Οὐδὲ τοῦτο οἶδα.

ΑΓΟ. Οὐδ' ὅτι σύ τις ὢν τυγχάνεις;

ΠΥΡΡ. Πολὺ μᾶλλον ἔτι τοῦτ' ἀγνοῶ.

ΑΓΟ. Ὦ τῆς ἀπορίας. Τί δαί σοι τὰ σταθμία ταυτὶ βούλεται;

ΠΥΡΡ. Ζυγοστατῶ ἐν αὐτοῖς τοὺς λόγους καὶ πρὸς τὸ ἴσον ἀπευθύνω, καὶ ἐπειδὰν ἀκριβῶς ὁμοίους τε καὶ ἰσοβαρεῖς ἴδω, τότε δὴ τότε ἀγνοῶ τὸν ἀληθέστερον.

ΑΓΟ. Τῶν ἄλλων δὲ τί ἂν πράττοις ἐμμελῶς;

ΠΥΡΡ. Τὰ πάντα πλὴν ὀραπέτην μεταδιώκειν.

ΑΓΟ. Τί δαὶ τοῦτό σοι ἀδύνατον;

ΠΥΡΡ. Ὅτι, ὦγαθέ, οὐ καταλαμβάνω.

ΑΓΟ. Εἰκότως· βραδὺς γὰρ καὶ νωθής τις εἶναι δοκεῖς. Ἀλλὰ τί σοι τὸ τέλος τῆς ἐπιστάσεως;

ΠΥΡΡ. Ἡ ἀμαθία καὶ τὸ μήτε ἀκούειν μήτε ὁρᾶν.

ΑΓΟ. Οὐκοῦν καὶ κωφὸς ἅμα καὶ τυφλὸς εἶναι λέγεις.

ΠΥΡΡ. Καὶ ἄκριτός γε προσέτι καὶ ἀναίσθητος καὶ ὅλως τοῦ σκώληκος οὐδὲν διαφέρων.

ΑΓΟ. Ὠνητέος εἶ διὰ ταῦτα. Πόσου τοῦτον ἄξιον χρὴ φάναι;

ΕΡΜ. Μνᾶς Ἀττικῆς.

ΑΓΟ. Λάμβανε. Τί φῂς, ὦ οὗτος; ἐπριάμην σε;

ΠΥΡΡ. Ἄδηλον.

ΑΓΟ. Μηδαμῶς· ἐώνημαι γὰρ καὶ τἀργύριον κατέβαλον.

ΠΥΡΡ. Ἐπέχω περὶ τούτου καὶ διασκέπτομαι.

ΑΓΟ. Καὶ μὴν ἀκολούθει μοι, καθάπερ χρὴ ἐμὸν οἰκέτην.

ΠΥΡΡ. Τίς οἶδεν εἰ ἀληθῆ ταῦτα φῄς;

ΑΓΟ. Ὁ κῆρυξ καὶ ἡ μνᾶ καὶ οἱ παρόντες.

ΠΥΡΡ. Πάρεισι γὰρ ἡμῖν τινες;

ΑΓΟ. Ἀλλ' ἔγωγέ σε ἤδη ἐμβαλὼν ἐς τὸν μυλῶνα πείσω εἶναι δεσπότης κατὰ τὸν χείρω λόγον.

ΠΥΡΡ. Ἔπεχε περὶ τούτου.

ΑΓΟ. Μὰ Δί', ἀλλ' ἤδη γε ἀπεφηνάμην.

ΕΡΜ. Σὺ μὲν παῦσαι ἀντιτείνων καὶ ἀκολούθει τῷ πριαμένῳ, ὑμᾶς δὲ ἐς αὔριον παρακαλοῦμεν· ἀποκηρύξειν γὰρ τοὺς ἰδιώτας καὶ βαναύσους καὶ ἀγοραίους βίους μέλλομεν.

27. MERC. Fiat.

JUP. Quis reliquus nobis est?

MERC. Scepticus hicce. Heus tu, Pyrrhon, prodi, præconio vendendus celeriter. Jam enim plures paullatim recedunt, ut inter paucos futura sit venditio. Attamen quis et hunc emet?

EMT. Ego. Verum hoc tu primum dic mihi, quid nosti?

PYRRHON. Nihil equidem.

EMT. Quid tibi vis hoc responso?

PYRRH. Nempe nihil omnino esse mihi videtur.

EMT. Ergo neque nos quiquam sumus?

PYRRH. Neque hoc novi equidem.

EMT. Neque te si quis sis nosti?

PYRRH. Etiam multo hoc magis ignoro.

EMT. Vah quanta dubitatio! Ista vero bilanx quid sibi vult?

PYRRH. Rationes in ea expendo et exæquo : deinde, quum ad amussim pares et ejusdem ponderis esse intelligo, tum demum utra verior sit, plane ignoro.

EMT. Reliquarum vero rerum num quid facere recte et ordine potes?

PYRRH. Omnia, nisi quod fugitivum nescio persequi.

EMT. Cur vero hoc non potes?

PYRRH. Quia, o bone, non comprehendo.

EMT. Credibile est : tardus enim et ignavus esse videris. Sed quis finis tibi scientiæ est?

PYRRH. Nihil discere, et neque audire quicquam, nec videre.

EMT. Surdum igitur simul et cæcum esse dicis te ipsum.

PYRRH. Et insuper judicii omnis expertem et sensus, denique a verme nulla in re differentem.

EMT. Propter hæc emendus sane es. Quanto hunc dignum dicemus?

MERC. Mina Attica.

EMT. Sume. Heus tu, quid ais? num emi te?

PYRRH. Obscurum id est.

EMT. Minime vero : emi enim et pecuniam numeravi.

PYRRH. Cohibeo me hac de re, et dispicio.

EMT. Quin tu sequere me, ut par est meum servum.

PYRRH. Quis novit utrum vere illa dicas?

EMT. Præco, et mina, et præsentes.

PYRRH. Adsunt ergo nobis quidam?

EMT. At ego tibi jam in pistrinum compacto planum faciam, dominum me tuum esse, secundum rationem deteriorem.

PYRRH. De hoc cohibe assensum.

EMT. At hercle jam quid videatur pronunciavi.

MERC. Desine contra niti, et sequere emtorem : vos autem in crastinum invitamus; nam idiotas, et sellularias, et forenses vitas præconio vendemus.

XV.

ΑΛΙΕΥΣ Η ΑΝΑΒΙΟΥΝΤΕΣ.

1. ΣΩΚΡ. Βάλλε βάλλε τὸν κατάρατον ἀφθόνοις τοῖς λίθοις, ἐπίβαλλε τῶν βώλων, προσεπίβαλλε καὶ τῶν ὀστράκων, παῖε τοῖς ξύλοις τὸν ἀλιτήριον, ὅρα μὴ διαφύγῃ· καὶ σὺ βάλλε, ὦ Πλάτων· καὶ σὺ, ὦ Χρύσιππε, καὶ σὺ δέ. Πάντες ἅμα ξυνασπίσωμεν ἐπ' αὐτὸν,

ὡς πήρη πήρηφιν ἀρήγῃ, βάκτρα δὲ βάκτροις.

Κοινὸς γὰρ πολέμιος, καὶ οὐκ ἔστιν ὅντινα ὑμῶν οὐχ ὕβρικε. Σὺ δὲ, ὦ Διόγενες, εἴ ποτε καὶ ἄλλοτε, χρῶ τῷ ξύλῳ, μηδὲ ἀνῆτε· διδότω τὴν ἀξίαν βλάσφημος ὤν. Τί τοῦτο; κεκμήκατε, ὦ Ἐπίκουρε καὶ Ἀρίστιππε; καὶ μὴν οὐκ ἐχρῆν.

Ἀνέρες ἔστε, σοφοὶ, μνήσασθε δὲ θούριδος ὀργῆς.

2. Ἀριστότελες, ἐπισπούδασον ἔτι θᾶττον. Εὖ ἔχει· ἐάλωκε τὸ θηρίον· εἰλήφαμέν σε, ὦ μιαρέ. Εἶσῃ γοῦν αὐτίκα οὗστινας ὄντας ἡμᾶς ἐκακηγόρεις. Τῷ τρόπῳ δέ τις αὐτὸν καὶ μετέλθῃ; Ποικίλον γάρ τινα ἐπινοῶμεν θάνατον κατ' αὐτοῦ πᾶσιν ἡμῖν ἐξαρκέσαι δυνάμενον· καθ' ἕκαστον γοῦν δίκαιός ἐστιν ἡμῖν ἀπολωλέναι.

ΦΙΛΟΣΟΦΟΣ Α. Ἐμοὶ μὲν ἀνεσκολοπίσθαι δοκεῖ αὐτόν.

ΦΙΛ. Β. Νὴ Δία, μαστιγωθέντα γε πρότερον.

ΦΙΛ. Γ. Τοὺς ὀφθαλμοὺς ἐκκεκόφθω.

ΦΙΛ. Δ. Τὴν γλῶτταν αὐτὴν ἔτι πολὺ πρότερον ἀποτετμήσθω.

ΣΩΚ. Σοὶ δὲ τί, Ἐμπεδόκλεις, δοκεῖ;

ΕΜΠ. Ἐς τοὺς κρατῆρας ἐμπεσεῖν αὐτὸν, ὡς μάθῃ μὴ λοιδορεῖσθαι τοῖς κρείττοσι.

ΠΛΑΤ. Καὶ μὴν ἄριστον ἦν καθάπερ τινὰ Πενθέα ἢ Ὀρφέα

λακιστὸν ἐν πέτραισιν εὑρέσθαι μόρον,

ἵν' ἂν καὶ τὸ μέρος αὐτοῦ ἕκαστος ἔχων ἀπηλλάττετο καὶ —

3. ΛΟΥΚ. Μηδαμῶς· ἀλλὰ πρὸς ἱκεσίου φείσασθέ μου.

ΣΩΚ. Ἄραρεν· οὐκ ἂν ἀφεθείης ἔτι. Ὁρᾷς δὲ δὴ καὶ τὸν Ὅμηρον ἅ φησιν,

ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά;

ΛΟΥΚ. Καὶ μὴν καθ' Ὅμηρον ὑμᾶς καὶ αὐτὸς ἱκετεύω· αἰδέσεσθε γὰρ ἴσως τὰ ἔπη καὶ οὐ παρόψεσθε ῥαψῳδήσαντά με·

Ζωγρεῖτ' οὐ κακὸν ἄνδρα καὶ ἄξια δέχθε ἄποινα,
χαλκόν τε χρυσόν τε, τὰ δὴ φιλέουσι σοφοί περ.

ΠΛΑΤ. Ἀλλ' οὐδὲ ἡμεῖς ἀπορήσομεν πρὸς σὲ Ὁμηρικῆς ἀντιλογίας. Ἄκουε γοῦν·

Μὴ δή μοι φύξιν γε, κακηγόρε, βάλλεο θυμῷ
χρυσόν περ λέξας, ἐπεὶ ἶκεο χεῖρας ἐς ἁμάς.

XV.

PISCATOR vel REVIVISCENTES.

1. SOCR. Feri, feri exsecrabilem saxis copiosissimis; adjice glebas; insuper adjice testas: pulsa baculis impium; vide ne effugiat. Et tu, Plato, feri, et tu, Chrysippe, et tu. Omnes simul in illum irruamus facta testudine,

Ut baculus baculo firmetur, peraque peris.

Communis enim hic hostis, neque quisquam est nostrûm, quem contumelia non affecerit. Tu vero, Diogenes, si unquam alias, clava nunc utere; nec remittite quicquam: dignas maledico illo ore pœnas luat. Quid hoc? fessine estis, Epicure et Aristippe? Atqui non decebat. Sapientes,

Este viri, calidæ moveat vos impetus iræ.

2. Aristoteles, magis accelera! Bene habet: capta est bestia. Cepimus te, impure. Mox igitur scies, quibus viris maledixeris. Quo vero modo illum tractabimus? Variam enim quandam contra ipsum mortem excogitemus, quæ sufficere nobis omnibus possit; dignus vero est qui secundum uniuscujusque nostrûm sententiam sigillatim pereat.

PHILOSOPHUS A. Ego censeo palo eum figi.

PHIL. B. Flagellis quidem hercle prius cæsum.

PHIL. C. Oculi effodiuntor ei.

PHIL. D. Imo multo prius lingua ipsi exciditor.

SOCR. Tibi vero quid videtur, Empedocles?

EMP. In crateres dejici Ætnæ, ut discat non maledicere melioribus.

PLAT. Quin optimum fuerit, eum instar Penthei alicujus aut Orphei,

lacerum invenire fatum per petras,

ut etiam partem illius habens quisque discedat, et —

3. LUC. Minime vero: sed per Jovem supplicum præsidem mihi parcite.

SOCR. Decretum est: non amplius potes dimitti. Vides vero quid Homerus dicat,

Nunquam fœdera fida leonibus atque viris sunt?

LUC. Verumtamen ex Homero et ego vobis supplicabo: reverebimini fortasse versus, neque asperuabimini consuentem carmina:

Ducite captivum! vir non malus: ac redimet se
ære, auro: nec enim sapientes munera spernunt.

PLAT. Sed neque nobis deerit Homerica responsio tibi facienda. Audi modo:

Ne meditare fugam, blasphema, barbare, lingua,
ostentans aurum, postquam mea præda fuisti.

ΛΟΥΚ. Οἴμοι τῶν κακῶν. Ὁ μὲν Ὅμηρος ἡμῖν ἄπρακτος, ἡ μεγίστη ἐλπίς. Ἐπὶ τὸν Εὐριπίδην δή μοι καταφευκτέον· τάχα γὰρ ἂν ἐκεῖνος σώσειέ με.

Μὴ κτεῖνε· τὸν ἱκέτην γὰρ οὐ θέμις κτανεῖν.

ΠΛΑΤ. Τί δ'; Οὐχὶ κἀκεῖνα Εὐριπίδου ἐστίν,

Οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους;

ΛΟΥΚ. Νῦν οὖν ἕκατι ῥημάτων κτενεῖτέ με;
ΠΛΑΤ. Νὴ Δία· φησὶ γοῦν ἐκεῖνος αὐτός,

Ἀχαλίνων στομάτων
ἀνόμου τ' ἀφροσύνας
τό τέλος δυστυχία.

4. ΛΟΥΚ. Οὐκοῦν ἐπεὶ δέδοκται πάντως ἀποκτιννύναι καὶ οὐδεμία μηχανὴ τὸ διαφυγεῖν με, φέρε, τοῦτο γοῦν εἰπατέ μοι, οἵτινες ὄντες ἢ τί πεπονθότες ἀνήκεστον πρὸς ἡμῶν ἀμείλικτα ὀργίζεσθε καὶ ἐπὶ θανάτῳ με ξυνειλήφατε;

ΠΛΑΤ. Ἅτινα μὲν εἴργασαι ἡμᾶς τὰ δεινά, σεαυτὸν ἐρώτα, ὦ κάκιστε, καὶ τοὺς καλοὺς ἐκείνους σου λόγους, ἐν οἷς φιλοσοφίαν τε αὐτὴν κακῶς ἠγόρευες καὶ ἐς ἡμᾶς ὕβριζες ὥσπερ ἐξ ἀγορᾶς ἀποκηρύττων σοφοὺς ἄνδρας, καὶ τὸ μέγιστον, ἐλευθέρους· ἐφ' οἷς ἀγανακτήσαντες ἀνεληλύθαμεν ἐπὶ σὲ παραιτησάμενοι πρὸς ὀλίγον τὸν Ἀΐδωνέα, Χρύσιππος οὑτοσὶ καὶ Ἐπίκουρος καὶ ὁ Πλάτων ἐγὼ καὶ Ἀριστοτέλης ἐκεινοσὶ καὶ ὁ σιωπῶν οὗτος Πυθαγόρας καὶ ὁ Διογένης καὶ ἅπαντες ὅσους διέσυρες ἐν τοῖς λόγοις.

5. ΛΟΥΚ. Ἀνέπνευσα· οὐ γὰρ ἀποκτενεῖτέ με, ἢν μάθητε ὁποῖος ἐγὼ περὶ ὑμᾶς ἐγενόμην· ὥστε ἀπορρίψατε τοὺς λίθους, μᾶλλον δὲ φυλάττετε. Χρήσεσθε γὰρ αὐτοῖς κατὰ τῶν ἀξίων.

ΠΛΑΤ. Ληρεῖς. Σὲ δὲ τήμερον χρὴ ἀπολωλέναι, καὶ ἤδη γε

λάϊνον ἕσσο χιτῶνα κακῶν ἕνεχ', ὅσσα ἔοργας.

ΛΟΥΚ. Καὶ μήν, ὦ ἄριστοι, ὃν ἐχρῆν μόνον ἐξ ἁπάντων ἐπαινεῖν οἰκεῖόν τε ὑμῖν ὄντα καὶ εὔνουν καὶ ὁμογνώμονα καὶ, εἰ μὴ φορτικὸν εἰπεῖν, κηδεμόνα τῶν ἐπιτηδευμάτων, εὖ ἴστε ἀποκτενοῦντες, ἢν ἐμὲ ἀποκτείνητε τοσαῦτα περὶ ὑμῶν πεπονηκότα. Ὁρᾶτε οὖν μὴ τὸ τῶν νῦν φιλοσόφων αὐτὸ ποιῆτε, ἀχάριστοι καὶ ὀργίλοι καὶ ἀγνώμονες φαινόμενοι πρὸς ἄνδρα εὐεργέτην.

ΠΛΑΤ. Ὦ τῆς ἀναισχυντίας. Καὶ χάριν σοι τῆς κακηγορίας προσοφείλομεν; οὕτως ὡς ἀνδραπόδοις ἀληθῶς οἷει διαλέγεσθαι καὶ εὐεργεσίαν καταλογιῇ πρὸς ἡμᾶς ἐπὶ τῇ τοσαύτῃ ὕβρει καὶ παροινίᾳ τῶν λόγων;

6. ΛΟΥΚ. Ποῦ γὰρ ἐγὼ ὑμᾶς ἢ πότε ὕβρικα, ὃς ἀεὶ φιλοσοφίαν τε θαυμάζων διατετέλεκα καὶ ὑμᾶς αὐτοὺς ὑπερεπαινῶν καὶ τοῖς λόγοις οὓς καταλελοίπατε ὁμιλῶν; Αὐτὰ γοῦν ἃ φημι ταῦτα, πόθεν ἄλλοθεν ἢ παρ' ὑμῶν λαβὼν καὶ κατὰ τὴν μέλιτταν ἀπανθισάμενος ἐπιδείκνυμαι τοῖς ἀνθρώποις; οἱ δὲ ἐπαινοῦσι καὶ γνωρίζουσιν ἕκαστον τὸ ἄνθος ὅθεν καὶ παρ' ὅτου καὶ ὅπως ἀνελεξάμην, καὶ λόγῳ μὲν ἐμὲ ζηλοῦσι τῆς ἀνθολογίας, τὸ δ' ἀληθὲς ὑμᾶς καὶ τὸν λειμῶνα τὸν ὑμέτερον, οἷ

LUC. Væ mihi! Homerus nos destituit, spes maxima! Ad Euripidem nempe confugiendum : forsitan ille me servaverit.

Ne cæde : supplicem etenim jus vetat mori.

PLAT. Quid vero? nonne et illa sunt Euripidea,

Haud digna ferre, indigna qui patraverint?

LUC. Sic igitur propter verba me occidetis?
PLAT. Sic per Jovem. Ait enim idem ille,

Effrenis loquelæ,
impii stuporis
finis miseria est.

4. LUC. Igitur quum stet sententia omnino interficere me, neque ulla arte liceat mihi effugere, agite, hoc certe mihi dicite, qui sitis, aut quam immedicabilem a me injuriam passi sine ullo remedio mihi irascamini, et supplicii causa me comprehenderitis.

PLAT. Quibus nos injuriis affeceris, ipsum te, scelus, interroga, et præclaros illos tuos libros, in quibus et philosophiæ ipsi maledixisti, et nos affecisti contumelia, tanquam in foro vendens præconio viros sapientes, et, quod maximum, ingenuos. Propter hæc indignati, contra te ab inferis huc venimus, commeatu brevi a Plutone impetrato, Chrysippus hic, et Epicurus, et ego Plato, et Aristoteles ille, et tacitus hic Pythagoras, et Diogenes, et omnes quos in libris tuis lacerasti.

5. LUC. Respiravi. Nec enim interficietis me, ubi cognoveritis qualem erga vos me præbuerim. Itaque abjicite lapides. Quin servate potius : ntemini enim iis contra dignos.

PLAT. Nugaris : hodie enim periisse te oportet. Quin jam

saxea adest toga tantorum tibi pœna malorum.

LUC. Enimvero scitote, viri optimi, vos eum interfecturos, quem unum omnium laudare oportebat, utpote familiarem vestrum et benevolum, et earundem sententiarum, et nisi dictu grave est, vestrorum studiorum curatorem utoremque, me si interficiatis, qui tantum pro vobis laboris susceperim. Videte igitur ne idem faciatis, quod qui nunc sunt philosophi, si ingrati, iracundi et parum officii memores videamini adversus virum bene de vobis meritum.

PLAT. Impudentiam hominis videte! Insuper gratiam tibi maledicentiæ illius causa debemus? usque adeone cum mancipiis te putas disputare veris? etiamne in beneficio nobis imputabis contumeliam tantam et ebriam verborum in nos petulantiam?

6. LUC. Ubi ergo vos ego aut quando affeci contumelia? qui semper ita vixerim, philosophiam ut admirarer, et vos ipsos laudibus tollerem, et in libris quos reliquistis versarer. Hæc enim ipsa quæ dico, unde alias, quam a vobis, sumens, et apum instar delibans flores vestros, ostendo hominibus? at illi laudant, et florem unumquemque agnoscunt, unde et a quo et quomodo legerim : et verbis quidem me sectantur propter florum legendorum solertiam, re autem ipsa vos et vestrum illud pratum, qui tales protuleritis, tam

τοιαῦτα ἐξηνθήκατε ποικίλα καὶ πολυειδῆ τὰς βαφάς, εἴ τις ἀναλέξασθαί τε αὐτὰ ἐπίσταιτο καὶ ἀναπλέξαι καὶ ἁρμόσαι, ὡς μὴ ἀπᾴδειν θάτερον θατέρου. Ἔσθ' ὅστις οὖν ταῦτα εὖ πεπονθὼς παρ' ὑμῶν κακῶς ἂν εἰπεῖν ἐπιχειρήσειεν εὐεργέτας ἀνδρας, ἀφ' ὧν ἤδη τις εἶναι ἔδοξεν; ἐκτὸς εἰ μὴ κατὰ τὸν Θάμυριν ἢ τὸν Εὔρυτον εἴη τὴν φύσιν, ὡς ταῖς Μούσαις ἀνταδεῖν, παρ' ὧν εἰλήφει τὴν ᾠδήν, ἢ τῷ Ἀπόλλωνι ἐριδαίνειν ἐναντία τοξεύων, καὶ ταῦτα δοτῆρι ὄντι τῆς τοξικῆς.

7. ΠΛΑΤ. Τοῦτο μέν, ὦ γενναῖε, κατὰ τοὺς ῥήτορας εἴρηταί σοι· ἐναντιώτατον γοῦν ἐστί σοι τῷ πράγματι καὶ χαλεπωτέραν σου ἐπιδείκνυσι τὴν τόλμαν, εἴ γε τῇ ἀδικίᾳ καὶ ἀχαριστίᾳ πρόσεστιν, ὃς παρ' ἡμῶν τὰ τοξεύματα, ὡς φῄς, λαβὼν καθ' ἡμῶν ἐτόξευες, ἕνα τοῦτον ὑποθέμενος τὸν σκοπὸν, ἅπαντας ἡμᾶς ἀγορεύειν κακῶς· τοιαῦτα παρὰ σοῦ ἀπειλήφαμεν ἀνθ' ὧν σοι τὸν λειμῶνα ἐκεῖνον ἀναπετάσαντες οὐκ ἐκωλύσαμεν δρέπεσθαι καὶ τὸ προκόλπιον ἐμπλησάμενον ἀπελθεῖν· ὥστε διά γε τοῦτο μάλιστα δίκαιος ἂν εἴης ἀποθανεῖν.

8. ΛΟΥΚ. Ὁρᾶτε; πρὸς ὀργὴν ἀκούετε καὶ οὐδὲν τῶν δικαίων προσίεσθε. Καίτοι οὐκ ἂν ᾠήθην ποτὲ ὡς ὀργὴ Πλάτωνος ἢ Χρυσίππου ἢ Ἀριστοτέλους ἢ τῶν ἄλλων ὑμῶν καθίκοιτο ἄν, ἀλλά μοι ἐδοκεῖτε μόνοι δὴ πόρρω εἶναι τοῦ τοιούτου. Πλὴν ἀλλὰ μὴ ἄκριτόν γε, ὦ θαυμάσιοι, μηδὲ πρὸ δίκης ἀποκτείνητέ με· ὑμέτερον γοῦν καὶ τοῦτο ἦν, μὴ βίᾳ μηδὲ κατὰ τὸ ἰσχυρότερον πολιτεύεσθαι, δίκῃ δὲ τὰ διάφορα διαλύεσθαι διδόντας λόγον καὶ δεχομένους ἐν τῷ μέρει. Ὥστε δικαστὴν ἑλόμενοι κατηγορήσατε μὲν ὑμεῖς ἢ ἅμα πάντες ἢ ὁντινα ἂν χειροτονήσητε ὑπὲρ ἁπάντων, ἐγὼ δὲ ἀπολογήσομαι πρὸς τὰ ἐγκλήματα, καὶ ἢν μὲν ἀδικῶν φαίνωμαι καὶ τοῦτο περὶ ἐμοῦ γνῷ τὸ δικαστήριον, ὑφέξω δηλαδὴ τὴν ἀξίαν· ὑμεῖς δὲ βίαιον οὐδὲν τολμήσετε. Ἢν δὲ τὰς εὐθύνας ὑποσχὼν καθαρὸς ὑμῖν καὶ ἀνεπίληπτος εὑρίσκωμαι, ἀφήσουσί με οἱ δικασταί, ὑμεῖς δὲ ἐς τοὺς ἐξαπατήσαντας ὑμᾶς καὶ παροξύναντας καθ' ἡμῶν τὴν ὀργὴν τρέψατε.

9. ΠΛΑΤ. Τοῦτ' ἐκεῖνο, ἐς πεδίον τὸν ἵππον, ὡς παρακρουσάμενος τοὺς δικαστὰς ἀπέλθῃς· φασὶ γοῦν ῥήτορά σε καὶ δικανικόν τινα εἶναι καὶ πανοῦργον ἐν τοῖς λόγοις. Τίνα δὲ καὶ δικαστὴν ἐθέλεις γενέσθαι, ὁντινα μὴ σὺ ὠροδοκήσας οἷα πολλὰ ποιεῖτε, ἄδικα πείσεις ὑπὲρ σοῦ ψηφίσασθαι;

ΛΟΥΚ. Θαρρεῖτε τούτου γε ἕνεκα· οὐδένα τοιοῦτον διαιτητὴν ὕποπτον ἢ ἀμφίβολον ἀξιώσαιμ' ἂν γενέσθαι καὶ ὅστις ἀποδώσεταί μοι τὴν ψῆφον. Ὁρᾶτε γοῦν, τὴν Φιλοσοφίαν αὐτὴν μεθ' ὑμῶν δικάστριαν ποιοῦμαι ἔγωγε.

ΠΛΑΤ. Καὶ τίς ἂν κατηγορήσειεν, εἴ γε ἡμεῖς δικάσομεν;

ΛΟΥΚ. Οἱ αὐτοὶ κατηγορεῖτε καὶ δικάζετε· οὐδὲν οὐδὲ τοῦτο δέδια· τοσοῦτον ὑπερφέρω τοῖς δικαίοις καὶ ἐκ περιουσίας ἀπολογήσασθαι ὑπολαμβάνω.

varios specie et coloribus; si quidem legere illos sciat aliquis et nectere et concinnare, ne alter ab altero dissideat. Estne igitur qui his bonis vestris usus male audeat dicere viris bene de se meritis, a quibus jam hoc habet, ut esse aliquis videatur? nisi forte eo sit ingenio, quo Thamyris quondam aut Eurytus, ut occinat ipsis Musis, a quibus canendi artem acceperit, aut cum Apolline contendat, jaculari ausus contra ipsum muneris hujus et artis sagittandi datorem.

7. PLAT. Ista quidem, vir fortis, ex rhetorum arte declamasti: maxime enim rebus ipsis sunt contraria, et eo importuniorem ostendunt audaciam tuam, quandoquidem injuriæ huic ingratus etiam animus accedit, qui acceptis a nobis, quod fatere, telis, contra nos jaculatus sis, hoc uno tibi scopo proposito, de omnibus nobis male uti diceres. Hæc a te præmia habemus, quod aperto tibi illo prato nostro, non prohibuimus quominus meteres, et pleno sinu abires. Itaque vel propter ipsum hoc mori dignus fueris.

8. LUC. Videtisne? cum ira auscultatis, neque justum quidquam admittitis: quanquam non putabam fieri unquam posse, ut ad Platonem, ad Chrysippum aut Aristotelem aut ad alium quenquam vestrûm ira perveniat; verum soli vos ab ejusmodi rebus videbamini esse remotissimi. Sed quidquid est, certe non indemnatum, viri admirabiles, nec ante judicium me occideritis. Vestrum enim hoc quoque erat, non vi, nec prout quis robustior est, rem gerere, sed jure lites dirimi, redditis invicem auditisque rationibus. Itaque judice capto accusate me vos aut simul omnes, aut quemcumque pro universis dicturum suffragiis vestris elegeritis: ego vero criminibus respondebo. Si deinde pareat me fecisse injuriam, idque de me statuerit judicium, sustinebo nimirum justam pœnam; vos vero nihil per vim audebitis. Si vero, cognitione facta, purus vobis et expers reprehensionis inveniar, absolvent me scilicet judices, vos vero inde in eos iram vertite, qui deceperunt vos et contra nos incitarunt.

9. PLAT. Hoc vero illud fuerit, Equum in campum, ut tu impulsis in fraudem judicibus abeas. Aiunt enim te rhetorem esse et causidicum et versutum in dicendo veteratorem. Quem vero judicem vis fieri, quem tu non muneribus corruptum (ejusmodi enim multa facitis) inducas, ut injuste secundum te ferat sententiam?

LUC. Hac quidem cura vos libero: suspectum id genus judicem, aut ambiguum, quique calculum mihi suum vendat, esse velim neminem. Videte enim, ipsam vobiscum Philosophiam judicem vobis ipse fero.

PLAT. Quis igitur accuset, siquidem nos judicaturi sumus?

LUC. Vos iidem et accusate et judicate. Ne hoc quidem metuo: tantum justitia causæ supero, et ex abundanti pro me dicturum confido.

10. ΠΛΑΤ. Τί ποιῶμεν, ὦ Πυθαγόρα καὶ Σώκρατες; ἔοικε γὰρ οὐκ ἄλογα ὁ ἀνὴρ προκαλεῖσθαι ἀξιῶν.

ΣΩΚ. Τί δ' ἄλλο ἢ βαδίζωμεν ἐπὶ τὸ δικαστήριον καὶ τὴν Φιλοσοφίαν παραλαβόντες ἀκούσωμεν ὅ τι καὶ ἀπολογήσεται· τὸ πρὸ δίκης γὰρ οὐχ ἡμέτερον, ἀλλὰ δεινῶς ἰδιωτικὸν, ὀργίλων τινῶν ἀνθρώπων καὶ τὸ δίκαιον ἐν τῇ χειρὶ τιθεμένων. Παρέξομεν οὖν ἀφορμὰς τοῖς κακηγορεῖν ἐθέλουσι καταλεύσαντες ἄνδρα μηδὲ ἀπολογησάμενον ὑπὲρ ἑαυτοῦ, καὶ ταῦτα δικαιοσύνῃ χαίρειν αὐτοὶ λέγοντες. Ἢ τί ἂν εἴποιμεν Ἀνύτου πέρι καὶ Μελήτου, τῶν ἐμοῦ κατηγορησάντων, ἢ τῶν τότε δικαστῶν, εἰ οὗτος τεθνήξεται μηδὲ τὸ παράπαν ὕδατος μεταλαβών;

ΠΛΑΤ. Ἄριστα παραινεῖς, ὦ Σώκρατες· ὥστε ἀπίωμεν ἐπὶ τὴν Φιλοσοφίαν· ἡ δὲ δικασάτω, καὶ ἡμεῖς ἀγαπήσομεν οἷς ἂν ἐκείνη διαγνῷ.

11. ΛΟΥΚ. Εὖ γε, ὦ σοφώτατοι, ἀμείνω ταῦτα καὶ νομιμώτερα. Τοὺς μέντοι λίθους φυλάττετε, ὡς ἔφην· δεήσει γὰρ αὐτῶν μικρὸν ὕστερον ἐν τῷ δικαστηρίῳ. Ποῦ δὲ τὴν Φιλοσοφίαν εὕροι τις ἄν; οὐ γὰρ οἶδα ἔνθα οἰκεῖ· καίτοι πάνυ πολὺν ἐπλανήθην χρόνον ἀναζητῶν τὴν οἰκίαν, ὡς ξυγγενοίμην αὐτῇ· εἶτα ἐντυγχάνων ἄν τισι τριβώνια περιβεβλημένοις καὶ πώγωνας βαθεῖς καθειμένοις παρ' αὐτῆς ἐκείνης ἥκειν φάσκουσιν, οἰόμενος εἰδέναι αὐτοὺς ἀνηρώτων· οἱ δὲ πολὺ μᾶλλον ἐμοῦ ἀγνοοῦντες ἢ οὐδ' ὅλως ἀπεκρίνοντό μοι, ὡς μὴ ἐλέγχοιντο οὐκ εἰδότες, ἢ ἄλλην θύραν ἀντ' ἄλλης ἀπεδείκνυον. Οὐδέπω γοῦν καὶ τήμερον ἐξευρεῖν δεδύνημαι τὴν οἰκίαν.

12. Πολλάκις δὲ αὐτὸς εἰκάσας ἢ ξεναγήσαντός τινος ἦκον ἂν ἐπί τινας θύρας βεβαίως ἐλπίσας τότε γοῦν εὑρηκέναι, τεκμαιρόμενος τῷ πλήθει τῶν ἐσιόντων τε καὶ ἐξιόντων, ἁπάντων σκυθρωπῶν καὶ τὰ σχήματα εὐσταλῶν καὶ φροντιστικῶν τὴν πρόσοψιν· μετὰ τούτων οὖν ξυμπαραβυσθεὶς καὶ αὐτὸς ἐσῆλθον. Εἶτα ἑώρων γύναιόν τι οὐχ ἁπλοϊκὸν, εἰ καὶ ὅτι μάλιστα ἐς τὸ ἀφελὲς καὶ ἀκόσμητον ἑαυτὴν ἐρρύθμιζεν, ἀλλὰ κατεφάνη μοι αὐτίκα οὐδὲ τὸ ἄνετον δοκοῦν τῆς κόμης ἀκαλλώπιστον ἐῶσα οὐδὲ τοῦ ἱματίου τὴν ἀναβολὴν ἀνεπιτηδεύτως περιστέλλουσα· πρόδηλος δὲ ἦν κοσμουμένη αὐτοῖς καὶ πρὸς εὐπρέπειαν τῷ ἀθεραπεύτῳ δοκοῦντι προσχρωμένη. Ὑπεφαίνετο δέ τι καὶ ψιμύθιον καὶ φῦκος καὶ τὰ ῥήματα πάντα ἑταιρικά· καὶ ἐπαινουμένη ὑπὸ τῶν ἐραστῶν ἐς κάλλος ἔχαιρε, καὶ εἴ δοίη τις, προχείρως ἐδέχετο, καὶ τοὺς πλουσιωτέρους ἂν παρακαθισαμένη πλησίον τοὺς πένητας τῶν ἐραστῶν οὐδὲ προσέβλεπε. Πολλάκις δὲ καὶ γυμνωθείσης αὐτῆς κατὰ τὸ ἀκούσιον ἑώρων περιδέραια χρύσεα τῶν κλοιῶν παχύτερα. Ταῦτα ἰδὼν ἐπὶ πόδας αὖ εὐθὺς ἀνέστρεφον οἰκτείρας δηλαδὴ τοὺς κακοδαίμονας ἐκείνους οὐ τῆς ῥινὸς, ἀλλὰ τοῦ πώγωνος ἑλκομένους πρὸς αὐτῆς καὶ κατὰ τὸν Ἰξίονα εἰδώλῳ ἀντὶ τῆς Ἥρας ξυνόντας.

13. ΠΛΑΤ. Τοῦτο μὲν ὀρθῶς ἔλεξας· οὐδὲ γὰρ

10. PLAT. Quid agimus, Pythagora et Socrates? videtur enim vir non præter rationem provocare velle ad judicium.

SOCR. Quid vero aliud quam eamus ad tribunal, et assumta Philosophia audiamus, quid causæ dicturus sit. Indicta enim causa damnare nostrum non est, sed valde idioticum, iracundorum quorundam hominum et jus in manu ponentium: Præbebimus enim occasiones volentibus male de nobis loqui, si indicta causa virum lapidemus, idque homines gaudere nos justitia professi: aut de Anyto ac Melito quid dicemus, meis accusatoribus, aut de iis qui tum erant judices, si hic ne aqua quidem concessa et clepsydra ad defensionem moriatur?

PLAT. Optime mones, Socrates. Itaque abeamus ad Philosophiam: illa judicet, et nos sententia illius stabimus.

11. LUC. Euge, viri sapientissimi, meliora ista et magis legitima. Verum lapides servate, uti dixi: opus enim paullo post illis erit apud tribunal. Ubi vero Philosophiam inveniat aliquis? neque enim ubi habitet, novi; quanquam longo tempore oberravi domo ejus quærenda, ut illius consuetudine uterer. Deinde quum inciderem in quosdam palliolis amictos et prolixas barbas submittentes, qui ab illa se venire dicerent, putans hos scire, interrogabam: at illi, qui multo quam ego magis ignorarunt, aut plane non respondere mihi, ne ignorantiæ suæ convincerentur, aut aliam pro alia januam mihi demonstrare. Itaque ad hodiernum diem nondum invenire illius domum potui.

12. Sæpe vero vel mea conjectura vel aliquo deducente ad januas quasdam delatus sum, firma cum spe tandem aliquando me invenisse, idque colligebam ex multitudine intrantium et exeuntium, qui severi omnes viderentur, habitu composito, et vultu acriorem cogitationem præ se ferente. Cum his igitur clanculum me inferciens et ipse intrabam. Deinde vidi mulierculam minime candidam, quantumvis ad simplicitatem quandam cultus expertem se concinnaret: sed mox mihi apparuit scilicet, eam neque comas, quas negligenter solutas videri volebat, inornatas reliquisse, neque vestis amictum sine affectatione composuisse; manifesto autem iis se rebus exornaverat, et ad decentiam assimilato illo cultus neglectu usa fuerat. Sublucebat vero etiam aliquantum cerussæ et fuci, verbaque omnino meretricia; laudarique se ab amatoribus pulchritudinis nomine gaudebat, et, si quis quid daret, accipiebat cupide, et ditiores prope se assidere jubens, pauperes amatorum suorum ne respiciebat quidem. Sæpe vero etiam si imprudens nudaretur, videbam monilia illius aurea boiis crassiora. Hæc videns mea per vestigia mox recessi, miseratus nempe infelices illos, qui se ab illa non naso quidem, sed barba duci paterentur, et Ixionis exemplo inanem speciem amplecterentur pro Junone.

13. PLAT. Illud quidem recte dixisti: neque enim in

πρόδηλος οὐδὲ πᾶσι γνώριμος ἡ θύρα. Πλὴν ἀλλὰ οὐδὲν δεήσει βαδίζειν ἐπὶ τὴν οἰκίαν· ἐνταῦθα γὰρ ἐν Κεραμεικῷ ὑπομενοῦμεν αὐτήν. Ἡ δὲ ἤδη που ἀφίξεται ἐπανιοῦσα ἐξ Ἀκαδημείας, ὡς περιπατήσειε καὶ ἐν τῇ Ποικίλῃ· τοῦτο δσημέραι ποιεῖν ἔθος αὐτῇ· μᾶλλον δὲ ἤδη προσέρχεται. Ὁρᾷς τὴν κόσμιον, τὴν ἀπὸ τοῦ σχήματος, τὴν προσηνῆ τὸ βλέμμα, τὴν ἐπὶ συννοίᾳ ἠρέμα βαδίζουσαν;

ΛΟΥΚ. Πολλὰς ὁμοίας ὁρῶ τό τε σχῆμα καὶ τὸ βάδισμα καὶ τὴν ἀναβολήν. Καίτοι μία πάντως ἥ γε ἀληθὴς Φιλοσοφία ἐστὶν ἐν αὐταῖς.

ΠΛΑΤ. Εὖ λέγεις. Ἀλλὰ δηλώσει ἥτις ἐστὶ φθεγξαμένη μόνον.

14. ΦΙΛ. Παπαῖ· τί Πλάτων καὶ Χρύσιππος ἄνω καὶ Ἀριστοτέλης καὶ οἱ ἄλλοι πάντες, αὐτὰ δὴ τὰ κεφάλαιά μου τῶν μαθημάτων; τί αὖθις ἐς τὸν βίον; ἆρά τι ὑμᾶς ἐλύπει τῶν κάτω; ὀργιζομένοις γοῦν ἐοίκατε. Καὶ τίνα τοῦτον ξυλλαβόντες ἄγετε; ἢ που τυμβωρύχος τις ἢ ἀνδροφόνος ἢ ἱερόσυλός ἐστι;

ΠΛΑΤ. Νὴ Δί', ὦ Φιλοσοφία, πάντων γε ἱεροσύλων ἀσεβέστατος, ὃς τὴν ἱερωτάτην σὲ κακῶς ἀγορεύειν ἐπεχείρησε καὶ ἡμᾶς ἅπαντας, ὁπόσοι τι παρὰ σοῦ μαθόντες τοῖς μεθ' ἡμᾶς καταλελοίπαμεν.

ΦΙΛ. Εἶτα ἠγανακτήσατε λοιδορησαμένου τινὸς, καὶ ταῦτα εἰδότες ἐμέ, οἷα πρὸς τῆς Κωμῳδίας ἀκούουσα ἐν τοῖς Διονυσίοις ὅμως φίλην τε αὐτὴν ἥγημαι καὶ οὔτε ἐδικασάμην οὔτε ἠτιασάμην προσελθοῦσα, ἐφίημι δὲ παίζειν τὰ εἰκότα καὶ τὰ ξυνήθη τῇ ἑορτῇ; οἶδα γὰρ ὡς οὐκ ἄν τι ὑπὸ σκώμματος χεῖρον γένοιτο, ἀλλὰ τοὐναντίον ὅπερ ἂν ᾖ καλὸν, ὥσπερ τὸ χρυσίον ἀποσμώμενον τοῖς κόμμασι λαμπρότερον ἀποστίλβει καὶ φανερώτερον γίγνεται. Ὑμεῖς δ' οὐκ οἶδ' ὅπως ὀργίλοι καὶ ἀγανακτικοὶ γεγόνατε. Τί δ' οὖν αὐτὸν ἄγχετε;

ΠΛΑΤ. Μίαν ἡμέραν ταύτην παραιτησάμενοι ἤκομεν ἐπ' αὐτὸν, ὡς ὑπόσχῃ τὴν ἀξίαν ὧν δέδρακε· φῆμαι γὰρ ἡμῖν διήγγελλον οἷα ἔλεγεν ἐπιὼν ἐς τὰ πλήθη καθ' ἡμῶν.

15. ΦΙΛ. Εἶτα πρὸ δίκης οὐδὲ ἀπολογησάμενον ἀποκτενεῖτε; δῆλος γοῦν ἐστιν εἰπεῖν τι θέλων.

ΠΛΑΤ. Οὐκ, ἀλλ' ἐπὶ σὲ τὸ πᾶν ἀνεβαλόμεθα. Καὶ σοὶ ἂν δοκῇ τοῦτο, ποιήσῃ τέλος τῆς δίκης.

ΦΙΛ. Τί φῂς σύ;

ΛΟΥΚ. Τοῦτο αὐτὸ, ὦ δέσποινα Φιλοσοφία, ἥπερ καὶ μόνη τἀληθὲς ἂν εὑρεῖν δύναιο· μόγις γοῦν εὑρόμην πολλὰ ἱκετεύσας τὸ σοὶ φυλαχθῆναι τὴν δίκην.

ΠΛΑΤ. Νῦν, ὦ κατάρατε, δέσποιναν αὐτὴν καλεῖς; πρώην δὲ τὸ ἀτιμότατον Φιλοσοφίαν ἀπέφαινες ἐν τοσούτῳ θεάτρῳ ἀποκηρύττων κατὰ μέρη δύ' ὀβολῶν ἕκαστον εἶδος αὐτῆς τῶν λόγων.

ΦΙΛ. Ὁρᾶτε, μὴ οὐ Φιλοσοφίαν οὗτός γε, ἀλλὰ γόητας ἄνδρας ἐπὶ τῷ ἡμετέρῳ ὀνόματι πολλὰ καὶ μιαρὰ πράττοντας ἠγόρευσε κακῶς.

propatulo janua, neque nota omnibus. Ceterum ne opus quidem est domum ad illam ire : hic enim ipsam in Ceramico operiemur, mox huc venturam in reditu ab Academia, ut in Pœcile inambulet, quod facere solet quotidie. Quin jam accedit. Viden' illam decenti habitu, aspectu propitio, quæ cogitabunda placide incedit?

LUC. Multas video similes habitu, incessu atque amictu : et tamen inter has quoque una tantum est vera quidem Philosophia.

PLAT. Recte; sed quum loqui incipiet, satis se ipsa indicabit.

14. PHIL. Vah! quid Plato et Chrysippus apud superos, et Aristoteles, et reliqui omnes, ipsa disciplinæ meæ capita? quid vos rursus in vitam? num quid adversi vobis apud inferos accidit? irati certe videmini. Et quis est quem captum hic ducitis? sepulchrorumne spoliator est, an homicida, an sacrilegus?

PLAT. Et quidem, Philosophia, sacrilegorum omnium scelestissimus, qui sanctissimam te maledictis lædere ausus sit, et nos omnes, quotquot aliquid eorum, quæ apud te didiceramus, posteris reliquimus.

PHIL. Et vos indignati estis maledicente nobis quodam, idque quum me sciatis, qualia a Comœdia audiens Dionysiis, tamen amicam illam putem, neque in jus vocarim unquam, neque accedens cum illa expostulaverim; sed patiar illam ludere quæ convenire videntur et solemnia sunt illis feriis? quippe quum noverim, nihil a dicto fieri deterius, sed contra ea, quod pulchrum sit, ut aurum ipsa percussione detersum clarius exsplendescere et fieri manifestius. Vos vero nescio quomodo iracundi facti estis et irritabiles. Quid vero collum obtorquetis homini?

PLAT. Commeatu unius hujus diei sumto, contra illum venimus, ut dignam factis suis pœnam sustineat. Fama enim ad nos perlatum est, qualia in concionem progressus de nobis dixerit.

15. PHIL. Deinde vos illum ante judicium, indicta causa interficietis? apparet certe dicere illum velle aliquid.

PLAT. Non; sed ad te rejecimus omnia. Ac tibi si ita videtur, tu litem dirimes.

PHIL. Tu quid ais?

LUC. Idem hoc, Philosophia domina, quæ sola nempe invenire verum possis. Itaque vix multis precibus hoc impetravi, tibi ut cognitio causæ servaretur.

PLAT. Nunc, sacerrime, dominam vocas? paullo ante vero contemtissimam rerum pronunciabas Philosophiam, in tanto theatro præconio vendens, et duobus quidem obolis genus unumquodque illius disputationum.

PHIL. Videte ne iste non Philosophiam, sed impostores quosdam, nostri sub nominis obtentu turpia multa patrantes, traduxerit.

ΠΛΑΤ. Εἶσῃ αὐτίκα, ἢν ἐθέλῃς ἀκούειν ἀπολογουμένου μόνον.

ΦΙΛ. Ἀπίωμεν ἐπ' Ἄρειον πάγον, μᾶλλον δὲ ἐς τὴν ἀκρόπολιν αὐτὴν, ὡς ἂν ἐκ περιωπῆς ἅμα καταφανῆ πάντα εἴη τὰ ἐν τῇ πόλει.

16. Ὑμεῖς δὲ, ὦ φίλαι, ἐν τῇ Ποικίλῃ τέως περιπατήσατε· ἥξω γὰρ ὑμῖν ἐκδικάσασα τὴν δίκην.

ΛΟΥΚ. Τίνες δέ εἰσιν, ὦ Φιλοσοφία; πάνυ γάρ μοι κόσμιαι καὶ αὐταὶ δοκοῦσιν.

ΦΙΛ. Ἀρετὴ μὲν ἡ ἀνδρώδης αὕτη, Σωφροσύνη δὲ ἐκείνη καὶ Δικαιοσύνη ἡ παρ' αὐτήν· ἡ δὲ προηγουμένη Παιδεία, ἡ ἀμυδρὰ δὲ αὖτη καὶ ἀσαφὴς τὸ χρῶμα ἡ Ἀλήθειά ἐστιν.

ΛΟΥΚ. Οὐχ ὁρῶ ἥντινα καὶ λέγεις.

ΦΙΛ. Τὴν ἀκαλλώπιστον ἐκείνην οὐχ ὁρᾷς, τὴν γυμνὴν, τὴν ὑποφεύγουσαν ἀεὶ καὶ διολισθάνουσαν;

ΛΟΥΚ. Ὁρῶ νῦν μόγις. Ἀλλὰ τί οὐχὶ καὶ ταύτας ἄγεις, ὡς πλῆρες γένοιτο καὶ ἐντελὲς τὸ ξυνέδριον; τὴν Ἀλήθειαν δέ γε καὶ ξυνήγορον ἀναβιβάσασθαι πρὸς τὴν δίκην βούλομαι.

ΦΙΛ. Νὴ Δία, ἀκολουθήσατε καὶ ὑμεῖς· οὐ χαλεπὸν γὰρ μίαν δικάσαι δίκην, καὶ ταῦτα περὶ τῶν ἡμετέρων ἐσομένην.

17. ΑΛΗΘ. Ἅπιτε ὑμεῖς· ἐγὼ γὰρ οὐδὲν δέομαι ἀκούειν ἃ πάλαι οἶδα ὁποῖά ἐστιν.

ΦΙΛ. Ἀλλ' ἡμῖν, ὦ Ἀλήθεια, ἐν δέοντι ξυνδικάζοις ἄν, ὡς καὶ καταμηνύοις ἕκαστα.

ΑΛΗΘ. Οὐκοῦν ἐπάγωμαι καὶ τὼ θεραπαινιδίω τούτω συνοικοτάτω μοι ὄντε;

ΦΙΛ. Καὶ μάλα ὁπόσας ἂν ἐθέλῃς.

ΑΛΗΘ. Ἕπεσθον, ὦ Ἐλευθερία καὶ Παρρησία, μεθ' ἡμῶν, ὡς τὸν δείλαιον τουτονὶ ἀνθρωπίσκον ἐραστὴν ἡμέτερον ὄντα κινδυνεύοντα ἐπ' οὐδεμιᾷ προφάσει δικαίᾳ σῶσαι δυνηθῶμεν· σὺ δὲ, ὦ Ἔλεγχε, αὐτοῦ περίμενε.

ΛΟΥΚ. Μηδαμῶς, ὦ δέσποινα, ἡκέτω δὲ καὶ οὗτος, εἰ καί τις ἄλλος· οὐ γὰρ τοῖς τυχοῦσι θηρίοις προσπολεμῆσαι δεήσει με, ἀλλ' ἀλαζόσιν ἀνθρώποις καὶ δυσελέγκτοις, ἀεί τινας ἀποφυγὰς εὑρισκομένοις, ὥστε ἀναγκαῖος ὁ Ἔλεγχος.

ΦΙΛ. Ἀναγκαιότατος μὲν οὖν· ἄμεινον δὲ, εἰ καὶ τὴν Ἀπόδειξιν παραλάβοις.

ΑΛΗΘ. Ἕπεσθε πάντες, ἐπείπερ ἀναγκαιότατοι δοκεῖτε πρὸς τὴν δίκην.

18. ΑΡΙΣΤ. Ὁρᾷς; προσεταιρίζεται καθ' ἡμῶν, ὦ Φιλοσοφία, τὴν Ἀλήθειαν.

ΦΙΛ. Εἶτα δέδιτε, ὦ Πλάτων καὶ Χρύσιππε καὶ Ἀριστότελες, μή τι ψεύσηται ὑπὲρ αὐτοῦ Ἀλήθεια οὖσα;

ΠΛΑΤ. Οὐ τοῦτο, ἀλλὰ δεινῶς πανοῦργός ἐστι καὶ κολακικός· ὥστε παραπείσει αὐτήν.

ΦΙΛ. Θαρρεῖτε· οὐδὲν μὴ γένηται ἄδικον, Δικαιοσύνης ταύτης ξυμπαρούσης. Ἀνίωμεν οὖν.

19. Ἀλλ' εἰπέ μοι σὺ, τί σοι τοὔνομα;

PLAT. Hoc statim scies, si modo causam dicturo operam darevolueris.

PHIL. Abeamus in Areopagum : potius vero in ipsam arcem, ut ex illa quasi specula simul in conspectu sint res urbanæ omnes.

16. Vos vero, amicæ, in Pœcile interim inambulate. Veniam enim vobis, hac lite judicata.

LUC. Quæ vero sunt, o Philosophia? videntur enim mihi et ipsæ decentissimæ.

PHIL. Virtus est illa virago, Temperantia ista, et prope illam Justitia, præcedens vero Eruditio, sed obscura illa et tenui colore Veritas est.

LUC. Non video quam tu dicas.

PHIL. Nonne vides fuci illam expertem, nudam, subducentem se semper et elabentem?

LUC. Nunc tandem vix video. Sed quidni has etiam adducis, ut plenus perfectusque nobis consessus fiat? Veritatem vero etiam advocatam mihi adducere in jus volo.

PHIL. Nempe sequimini etiam vos : nec enim molestum erit, unam judicare causam, eamque de rebus nostris futuram.

17. VER. Ite vos : ego enim non opus habeo audire quæ dudum scivi ut sint comparata.

LUC. Verum tu nobis, Veritas, adfueris, quando erit opus, in judicio, ut indices singula.

VER. Itaque adducam etiam duas ancillulas meas, quæ semper mecum habitant?

PHIL. Duc sane quotquot volueris.

VER. Sequimini, Libertas, et tu, Loquendi Fiducia, ut infortunatum hunc homuncionem, amatorem nostrum, in periculo justa nulla causa versantem servare possimus. Tu vero, Elenche (Arguens), hic mane.

LUC. Minime vero, domina : quin hic etiam, si quis alius, veniat. Neque enim cum vulgaribus bestiis depugnandum mihi erit, sed cum insolentibus hominibus et qui difficillime arguantur, effugia sibi semper quædam invenientibus. Itaque necessarius est Elenchus.

PHIL. Maxime ille quidem : rectius vero feceris, si Demonstrationem etiam assumas.

VER. Sequimini omnes, quandoquidem maxime necessarii ad judicium videmini.

18. ARIST. Viden'? ad suas partes allicit, o Philosophia, contra nos Veritatem.

PHIL. Et vos metuitis, Plato, Chrysippe, Aristoteles, ne quid mentiatur pro ipso, quum sit Veritas?

PLAT. Non istuc quidem : sed terribili quadam astutia est et adulandi facultate. Itaque persuasione a via illam abducet.

VER. Bono animo estote. Nihil profecto injustum fiet, hac una præsente, Justitia. Ascendamus igitur.

19. Sed age dic, quod tibi nomen est?

ΛΟΥΚ. Ἐμοὶ Παρρησιάδης Ἀληθίωνος τοῦ Ἐλεγξικλέους.

ΦΙΛ. Πατρὶς δέ;

ΛΟΥΚ. Σύρος, ὦ Φιλοσοφία, τῶν Ἐπευφρατιδίων. Ἀλλὰ τί τοῦτο; Καὶ γὰρ τούτων τινὰς οἶδα τῶν ἀντιδίκων οὐχ ἧττον ἐμοῦ βαρβάρους τὸ γένος· ὁ τρόπος δὲ καὶ ἡ παιδεία οὐ κατὰ Σολέας ἢ Κυπρίους ἢ Βαβυλωνίους ἢ Σταγειρίτας. Καίτοι πρός γε σὲ οὐδὲν ἂν ἐλάττων γένοιτο οὐδ' εἰ τὴν φωνὴν βάρβαρος εἴη τις, εἴπερ ἡ γνώμη ὀρθὴ καὶ δικαία φαίνοιτο οὖσα.

ΦΙΛ. Εὖ λέγεις· ἄλλως γοῦν τοῦτο ἠρόμην.

20. Ἡ τέχνη δέ σοι τίς; Ἄξιον γὰρ ἐπίστασθαι τοῦτό γε.

ΛΟΥΚ. Μισαλαζών εἰμι καὶ μισογόης καὶ μισοψευδὴς καὶ μισότυφος καὶ μισῶ πᾶν τὸ τοιουτῶδες εἶδος τῶν μιαρῶν ἀνθρώπων· πάνυ δὲ πολλοί εἰσιν, ὡς οἶσθα.

ΦΙΛ. Ἡράκλεις, πολυμισῆ τινα μέτει τὴν τέχνην.

ΛΟΥΚ. Εὖ λέγεις· ὁρᾷς γοῦν ὁπόσοις ἀπεχθάνομαι καὶ ὡς κινδυνεύω δι' αὐτήν. Οὐ μὴν ἀλλὰ καὶ τὴν ἐναντίαν αὐτῇ πάνυ ἀκριβῶς οἶδα, λέγω δὴ τὴν ἀπὸ τοῦ φιλο τὴν ἀρχὴν ἔχουσαν· φιλαλήθης τε γὰρ καὶ φιλόκαλος καὶ φιλαπλοῦς καὶ ὅσα τῷ φιλεῖσθαι ξυγγενῆ· πλὴν ἀλλ' ὀλίγοι πάνυ ταύτης ἄξιοι τῆς τέχνης· οἱ δὲ ὑπὸ τῇ ἐναντίᾳ ταττόμενοι καὶ τῷ μίσει οἰκειότεροι πεντακισμύριοι. Κινδυνεύω τοιγαροῦν τὴν μὲν ὑπ' ἀργίας ἀπομαθεῖν ἤδη, τὴν δὲ πάνυ ἠκριβωκέναι.

ΦΙΛ. Καὶ μὴν οὐκ ἐχρῆν· τοῦ γὰρ αὐτοῦ καὶ τάδε, φασί, καὶ τάδε· ὥστε μὴ διαίρει τὼ τέχνα· μία γὰρ ἐστὸν δύ' εἶναι δοκοῦσαι.

ΛΟΥΚ. Ἄμεινον σὺ ταῦτα οἶσθα, ὦ Φιλοσοφία. Τὸ μέντοι ἐμὸν τοιοῦτόν ἐστιν, οἷον τοὺς μὲν πονηροὺς μισεῖν, ἐπαινεῖν δὲ τοὺς χρηστοὺς καὶ φιλεῖν.

21. ΦΙΛ. Ἄγε δή, πάρεσμεν γὰρ ἔνθα ἐχρῆν· ἐνταῦθά που ἐν τῷ προνάῳ τῆς Πολιάδος δικάσωμεν. Ἡ Ἱέρεια διάθες ἡμῖν τὰ βάθρα, ἡμεῖς δὲ ἐν τοσούτῳ προσκυνήσωμεν τῇ θεῷ.

ΛΟΥΚ. Ὦ Πολιάς, ἐλθέ μοι κατὰ τῶν ἀλαζόνων σύμμαχος ἀναμνησθεῖσα ὁπόσα ἐπιορκούντων ὀσημέραι ἀκούεις αὐτῶν· καὶ ἃ πράττουσι δὲ, μόνη ὁρᾷς ἅτε δὴ ἐπίσκοπος οὖσα. Νῦν καιρὸς ἀμύνασθαι αὐτούς. Ἐμὲ δὲ ἢν που κρατούμενον ἴδῃς κἂν πλείους ὦσιν αἱ μέλαιναι, σὺ προσθεῖσα τὴν σαυτῆς σῶζέ με.

22. ΦΙΛ. Εἶεν· ἡμεῖς μὲν ὑμῖν καὶ δὴ καθήμεθα ἕτοιμοι ἀκούειν τῶν λόγων, ὑμεῖς δὲ προελόμενοί τινα ἐξ ἁπάντων, ὅστις ἄριστα κατηγορῆσαι ἂν δοκῇ, ξυνείρετε τὴν κατηγορίαν καὶ διελέγχετε· πάντας γὰρ ἅμα λέγειν ἀμήχανον. Σὺ δέ, ὦ Παρρησιάδη, ἀπολογήσῃ τὸ μετὰ τοῦτο.

ΧΡΥΣ. Τίς οὖν ἂν ἐπιτηδειότερος ἐξ ἡμῶν γένοιτο πρὸς τὴν δίκην σοῦ, ὦ Πλάτων; ἥ τε γὰρ μεγαλόνοια θαυμαστὴ καὶ ἡ καλλιφωνία δεινῶς Ἀττικὴ καὶ τὸ κεχαρισμένον καὶ πειθοῦς μεστὸν ἥ τε ξύνεσις καὶ τὸ ἀκριβὲς καὶ τὸ ἐπαγωγὸν ἐν καιρῷ τῶν ἀποδείξεων, πάντα ταῦτά σοι ἀθρόα πρόσεστιν· ὥστε τὴν προηγορίαν δέ-

LUC. Parrhesiades Alethionis Elenxiclis (*i. e.* Confidentius Veri F. Convincentii N.).

PHIL. Sed patria?

LUC. Syrus sum, o Philosophia, eorum qui ad Euphratem colunt. Sed quid hoc ad rem? nam horum etiam adversariorum meorum novi quosdam non minus quam ego sum genere barbaros; mores vero et eruditio, non qualis Solensium, aut Cypriorum, aut Babyloniorum, aut Stagiritarum. Quanquam apud te quidem nihil quicquam deteriore causa quis fuerit, neque si voce sit barbarus; modo sententia recta et justa esse appareat.

PHIL. Recte narras : temere enim illud quæsieram.

20. Ars vero quæ tibi est? nam istud quidem scire refert.

LUC. Osor superbiæ sum, et præstigiarum, et mendaciorum, et tumoris inanis : odi igitur omne hoc genus impurorum hominum. Admodum vero multi sunt, quod nosti.

PHIL. Hercules! multi odii quandam artem facis.

LUC. Bene dicis. Vides enim apud quam multos in odio sim, et in quæ pericula propter eam venerim. Verum tamen etiam oppositam illi artem accurate novi : illam puta ab amore vocatam. Sum enim veri amans, et honesti ac pulchri, tum simplicitatis et quæcumque natura amabilia sunt : verum pauci admodum digni in quibus hac arte utar; contra alteri illi oppositæ arti subjecti et odio aptiores quinquagies mille : quare periculum est ne alteram quidem, cujus exercendæ ita rara offeratur occasio, dediscam; alteram autem nimis etiam calleam.

PHIL. At non oportebat : ejusdem enim et hoc est, aiunt, et illud. Noli itaque has artes dirimere, quæ duæ quum videantur esse, una sunt.

LUC. Melius tu ea nosti, Philosophia. Mea igitur hæc ratio est, odisse malos, bonos autem laudare atque amare.

21. PHIL. Jam age, adsumus enim nunc ubi oportebat : hic alicubi in templo urbicæ Palladis judicemus. Disponi nobis, Antistes, jube subsellia : nos interea deam adoremus.

LUC. Custos urbis, præsidio mihi veni contra insolentes homines, recordata quot illorum perjuria quotidie audias. Quæ faciunt, sola vides, quæ inspectionem habeas. Nunc tempus est illos ulcisci. Me vero si qua succumbere videas, et plures sint nigri calculi, tuo tu adjecto me serva.

22. PHIL. Age jam sedemus vobis, paratæ vestras audire rationes. Vos autem electo uno ex omnibus, qui optime accusaturus videatur, actionem componite, et reum convincite : neque enim fieri potest ut simul omnes dicatis. Tu vero post hæc causam dices, Parrhesiade.

CHRYS. Quis igitur nostrum huic judicio aptior fuerit te, o Plato? tua enim cogitandi admirabilis sublimitas, et mere Attica vocis suavitas, et gratia illa, quæ tantum in persuadendo valet; tum prudentia, et exquisitum illud artificium, et illæ, ubi demonstrandum est, verborum illecebræ; omnia hæc copiose tibi adsunt. Itaque orandi

χου καὶ ὑπὲρ ἁπάντων εἰπὲ τὰ εἰκότα. Νῦν ἀναμνήσθητι πάντων ἐκείνων καὶ ξυμφόρει ἐς τὸ αὐτό, εἴ τί σοι πρὸς Γοργίαν ἢ Πῶλον ἢ Ἱππίαν ἢ Πρόδικον εἴρηται· δεινότερος οὗτός ἐστιν. Ἐπίπαττε οὖν καὶ τῆς εἰρωνείας καὶ τὰ κομψὰ ἐκεῖνα καὶ συνεχῆ ἐρώτα, κἂν σοι δοκῇ, κἀκεῖνό που παράβυσον, ὡς ὁ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων ἀγαναχτήσειεν ἂν, εἰ μὴ οὗτος ὑπόσχοι τὴν δίκην.

23. ΠΛΑΤ. Μηδαμῶς, ἀλλά τινα τῶν σφοδροτέρων προχειρισώμεθα, Διογένην τοῦτον ἢ Ἀντισθένην ἢ Κράτητα ἢ καὶ σέ, ὦ Χρύσιππε· οὐ γὰρ δὴ κάλλους ἐν τῷ παρόντι καὶ δεινότητος συγγραφικῆς ὁ καιρὸς, ἀλλά τινος ἐλεγκτικῆς καὶ δικανικῆς παρασκευῆς· ῥήτωρ δὲ ὁ Παρρησιάδης ἐστίν.

ΔΙΟΓ. Ἀλλ' ἐγὼ αὐτοῦ κατηγορήσω· καὶ γὰρ οὐδὲ πάνυ μακρῶν οἶομαι τῶν λόγων δεῖσθαι. Καὶ ἄλλως δὲ ὑπὲρ ἅπαντας ὕβρισμαι δύ' ὀβολῶν πρώην ἀποκεκηρυγμένος.

ΠΛΑΤ. Ὁ Διογένης, ὦ Φιλοσοφία, ἐρεῖ τὸν λόγον ὑπὲρ ἁπάντων. Μέμνησο δὲ, ὦ γενναῖε, μὴ τὰ σεαυτοῦ μόνον πρεσβεύειν ἐν τῇ κατηγορίᾳ, τὰ κοινὰ δὲ ὁρᾶν· εἰ γάρ τι καὶ πρὸς ἀλλήλους διαφερόμεθα ἐν τοῖς λόγοις, σὺ δὲ τοῦτο μὲν μὴ ἐξέταζε, μηδ' ὅστις ἐστὶν ὁ ἀληθέστερος νῦν λέγε, ὅλως δὲ ὑπὲρ φιλοσοφίας αὐτῆς ἀγανάκτει περιυβρισμένης καὶ κακῶς ἀκουούσης ἐν τοῖς Παρρησιάδου λόγοις, καὶ τὰς προαιρέσεις ἀφεὶς, ἐν αἷς διαλλάττομεν, ὃ κοινὸν ἅπαντες ἔχομεν, τούτου ὑπερμάχει. Ὁρᾷς δὲ, μόνον σὲ προεστησάμεθα καὶ ἐν σοὶ τὰ πάντων ἡμῶν νῦν κινδυνεύεται, ἢ σεμνότατα δόξαι ἢ τοιαῦτα πιστευθῆναι οἷα οὗτος ἀπέφηνε.

24. ΔΙΟΓ. Θαρρεῖτε, οὐδὲν ἐλλείψομεν, ὑπὲρ ἁπάντων ἐρῶ. Κἂν ἡ Φιλοσοφία δὲ πρὸς τοὺς λόγους ἐπικλασθεῖσα — φύσει γὰρ ἥμερος καὶ πρᾶός ἐστιν — ἀφεῖναι διαβουλεύηται αὐτὸν, ἀλλ' οὐ τἀμὰ ἐνδεήσει· δείξω γὰρ αὐτῷ ὅτι μὴ μάτην ξυλοφοροῦμεν.

ΦΙΛ. Τοῦτο μὲν μηδαμῶς, ἀλλὰ τῷ λόγῳ μᾶλλον — ἄριστον γάρ — ἢπερ τῷ ξύλῳ. Μὴ μέλλε δ' οὖν. Ἤδη γὰρ ἐγκέχυται τὸ ὕδωρ καὶ πρὸς σὲ τὸ δικαστήριον ἀποβλέπει.

ΛΟΥΚ. Οἱ λοιποὶ καθιζέσθωσαν, ὦ Φιλοσοφία, καὶ ψηφοφορείτωσαν μεθ' ὑμῶν, Διογένης δὲ κατηγορείτω μόνος.

ΦΙΛ. Οὐ δέδιας οὖν μή σου καταψηφίσωνται;

ΛΟΥΚ. Οὐδαμῶς· πλείοσι γοῦν κρατῆσαι βούλομαι.

ΦΙΛ. Γενναῖά σου ταῦτα· καθίσατε δ' οὖν. Σὺ δ', ὦ Διόγενες, λέγε.

25. ΔΙΟΓ. Οἷοι μὲν ἡμεῖς ἄνδρες ἐγενόμεθα παρὰ τὸν βίον, ὦ Φιλοσοφία, πάνυ ἀκριβῶς οἶσθα καὶ οὐδὲν δεῖ λόγων· ἵνα γὰρ τὸ κατ' ἐμὲ σιωπήσω, ἀλλὰ Πυθαγόραν τοῦτον καὶ Πλάτωνα καὶ Ἀριστοτέλην καὶ Χρύσιππον καὶ τοὺς ἄλλους τίς οὐκ οἶδεν ὅσα ἐς τὸν βίον καλὰ ἐσεκομίσαντο; ἃ δὲ τοιούτους ὄντας ἡμᾶς ὁ τρισκατάρατος οὗτος Παρρησιάδης ὕβρικεν, ἤδη ἐρῶ· ῥήτωρ γάρ τις, ὡς φησιν, ὢν, ἀπολιπὼν τὰ δικαστήρια

suscipe provinciam, et pro omnibus ea, quibus opus est, profer. Nunc recordare omnium illorum, et in eundem locum confer, si quid tibi ad Gorgiam, aut Polum, aut Hippiam, aut Prodicum dictum est : hic enim illis magis formidandus est. Itaque asperge etiam aliquid de ironia, et lepidas illas perpetuasque interrogationes profer : et si videbitur, illud etiam alicubi inferci, ut magnus ille in cœlo Jupiter volucrem currum agens indignaturus sit, nisi supplicio iste afficiatur.

23. PLAT. Nequaquam : sed vehementiorum aliquem deligamus, Diogenem hunc, vel Antisthenem, vel Cratetem, vel te adeo, Chrysippe. Neque enim sane pulchritudinem aut in scribendo vim quandam præsens tempus desiderat, sed apparatum convincendi et judicialem : orator autem est Parrhesiades.

DIOG. Ego vero accusabo illum : neque enim puto longa oratione opus futurum. Et alioquin ego supra omnes contumeliose tractatus sum, quem duobus ille obolis nuper sub præcone vendiderit.

PLAT. Diogenes, o Philosophia, aget pro omnibus. Memento autem, vir generose, ne tuum modo in accusatione negotium agas, sed communem causam species. Si quid enim inter nos non convenit de nostris disputationibus, tu in præsentia quidem hoc noli quærere, aut utra sit verior ratio definire : sed in universum modo pro philosophia ipsa indignationem ostende, contumeliis obruta et male audiente in Parrhesiadæ sermonibus; relictisque sectis, quibus dissidemus, quod commune habemus omnes, pro eo propugna. Vide, solum te præfecimus, in te nostra jam omnia periclitantur, ut aut honestissima videantur, aut talia credantur esse qualia hic proposuit.

24. DIOG. Bono estote animo; nulla in re deficiemus : dicam pro omnibus. Et, si forte Philosophia sermonibus istius fracta, ut est ingenio mansueto et miti, dimittere illum cogitet, at ego certe causæ non deero : ostendam enim homini nos non frustra clavam gerere.

PHIL. Istuc quidem minime; sed oratione potius, quod optimum, quam clava res gerenda est. Sed noli cunctari diutius. Jam enim infusa est in clepsydram aqua, et in te consilium intuetur.

LUC. Assideant reliqui, o Philosophia, et ferant suffragia vobiscum : Diogenes vero accuset solus.

PHIL. Non metuis igitur ne contra te ferant suffragia?

LUC. Minime : pluribus enim volo vincere.

PHIL. Generose tu quidem. Assidete igitur : tu vero dic, Diogenes.

25. DIOG. Qui viri nos in vita fuerimus, o Philosophia, accurate nosti, neque oratione opus est. De me enim ut taceam, quis vero hunc Pythagoram, et Platonem, et Aristotelem, et reliquos ignorat, quanta in vitam bona intulerint? quibus vero nos, tales quum simus, exsecrabilis ter et amplius iste Parrhesiades contumeliis affecerit, jam dicam. Quum enim orator, ut ait, esset, relictis judiciis et secunda

καὶ τὰς ἐν ἐκείνοις εὐδοκιμήσεις, ὁπόσον ἢ δεινότητος ἢ ἀκμῆς ἐπεπόριστο ἐν τοῖς λόγοις, τοῦτο πᾶν ἐφ' ἡμᾶς συσκευασάμενος οὐ παύεται μὲν ἀγορεύων κακῶς γόητας καὶ ἀπατεῶνας ἀποκαλῶν, τὰ πλήθη δὲ ἀναπείθων καταγελᾶν ἡμῶν καὶ καταφρονεῖν ὡς τὸ μηδὲν ὄντων· μᾶλλον δὲ καὶ μισεῖσθαι πρὸς τῶν πολλῶν ἤδη πεποίηκεν αὐτούς τε ἡμᾶς καὶ σὲ τὴν Φιλοσοφίαν, φληνάφους καὶ λήρους ἀποκαλῶν τὰ σὰ καὶ τὰ σπουδαιότατα ὧν ἡμᾶς ἐπαίδευσας ἐπὶ χλευασμῷ διεξιών, ὥστε αὐτὸν μὲν κροτεῖσθαι καὶ ἐπαινεῖσθαι πρὸς τῶν θεατῶν, ἡμᾶς δὲ ὑβρίζεσθαι· φύσει γὰρ τοιοῦτόν ἐστιν ὁ πολὺς λεώς, χαίρουσιν ἀποσκώπτουσι καὶ λοιδορουμένοις, καὶ μάλιστ' ὅταν τὰ σεμνότατα εἶναι δοκοῦντα διασύρηται, ὥσπερ ἀμέλει καὶ πάλαι ἔχαιρον Ἀριστοφάνει καὶ Εὐπόλιδι Σωκράτην τουτονὶ ἐπὶ χλευασίᾳ παράγουσιν ἐπὶ τὴν σκηνὴν καὶ κωμῳδοῦσιν ἀλλοκότους τινὰς περὶ αὐτοῦ κωμῳδίας. Καίτοι ἐκεῖνοι μὲν καθ' ἑνὸς ἀνδρὸς ἐτόλμων τοιαῦτα καὶ ἐν Διονύσου, ἐφειμένον αὐτὸ ὁρᾶν, καὶ τὸ σκῶμμα μέρος ἐδόκει τῆς ἑορτῆς, καὶ ὁ θεὸς ἴσως χαίρει φιλόγελώς τις ὤν.

26. Ὁ δὲ τοὺς ἀρίστους συγκαλῶν, ἐκ πολλοῦ φροντίσας καὶ παρασκευασάμενος καὶ βλασφημίας τινὰς ἐς παχὺ βιβλίον ἐγγράψας μεγάλῃ τῇ φωνῇ διαγορεύει κακῶς Πλάτωνα, Πυθαγόραν, Ἀριστοτέλην, Χρύσιππον ἐκεῖνον, ἐμὲ καὶ ὅλως ἅπαντας οὔτε ἑορτῆς ἐπιούσης οὔτε ἰδίᾳ τι πρὸς ἡμῶν παθών· εἶχε γὰρ ἄν τινα συγγνώμην αὐτῷ τὸ πρᾶγμα, εἰ ἀμυνόμενος, ἀλλὰ μὴ ἄρχων αὐτὸς ἔδρασε. Καὶ τὸ πάντων δεινότατον, ὅτι ταῦτα ποιῶν καὶ ὑπὸ τὸ σὸν ὄνομα, ὦ Φιλοσοφία, ὑποδύεται καὶ ὑπελθὼν τὸν Διάλογον ἡμέτερον οἰκεῖον ὄντα, τούτῳ ξυναγωνιστῇ καὶ ὑποκριτῇ χρῆται καθ' ἡμῶν, ἔτι καὶ Μένιππον ἀναπείσας ἑταῖρον ἡμῶν ἄνδρα ξυγκωμῳδεῖν αὐτῷ τὰ πολλά, ὃς μόνος οὐ πάρεστιν οὐδὲ κατηγορεῖ μεθ' ἡμῶν, προδοὺς τὸ κοινόν.

27. Ἀνθ' ὧν ἁπάντων ἄξιόν ἐστιν ὑποσχεῖν αὐτὸν τὴν δίκην. Ἢ τί γὰρ ἂν εἰπεῖν ἔχοι τὰ σεμνότατα διασύρας ἐπὶ τοσούτων μαρτύρων; Χρήσιμον γοῦν καὶ πρὸς ἐκείνους τὸ τοιοῦτον, εἰ θεάσαιντο αὐτὸν κολασθέντα, ὡς μηδὲ ἄλλος τις ἔτι καταφρονοίη φιλοσοφίας· ἐπεὶ τό γε τὴν ἡσυχίαν ἄγειν καὶ ὑβριζόμενον ἀνέχεσθαι οὐ μετριότητος, ἀλλ' ἀνανδρίας καὶ εὐηθείας εἰκότως ἂν νομίζοιτο. Τὰ γὰρ τελευταῖα τίνι φορητά; ὃς καθάπερ τὰ ἀνδράποδα παραγαγὼν ἡμᾶς ἐπὶ τὸ πωλητήριον καὶ κήρυκα ἐπιστήσας ἀπημπόλησεν, ὥς φασι, τοὺς μὲν ἐπὶ πολλῷ, ἐνίους δὲ μνᾶς Ἀττικῆς, ἐμὲ δ' ὁ παμπονηρότατος οὗτος δύ' ὀβολῶν· οἱ παρόντες δ' ἐγέλων. Ἀνθ' ὧν γε αὐτοί τε ἀνεληλύθαμεν ἀγαναχτήσαντες καὶ σὲ ἀξιοῦμεν τιμωρήσειν ἡμῖν τὰ αἴσχιστα ὑβρισμένοις.

28. ΑΝΑΒ. Εὖ γε, ὦ Διόγενες, ὑπὲρ ἁπάντων καλῶς ὁπόσα ἐχρῆν εἴρηκας.

ΦΙΛ. Παύσασθε ἐπαινοῦντες· ἔγχει τῷ ἀπολογουμένῳ. Σὺ δέ, ὦ Παρρησιάδη, λέγε ἤδη ἐν τῷ μέρει· σοὶ γὰρ τὸ ὕδωρ ῥεῖ νῦν. Μὴ μέλλε οὖν.

in illis fama, quantum vel vehementiæ vel maturitatis in dicendo ipsi suppeteret, omni, inquam, illo instrumento ac dicendi copiis contra nos collectis, male loqui de nobis non desinit, quum præstigiatores atque impostores appellet, ac persuadeat multitudini, ut irrideat nos et, tanquam nihili simus, contemnat. Quin et in plurimorum odium jam et nos ipsos et te Philosophiam adduxit, nugas ac deliria quum appellet res tuas, et, quæ maxime seria nos docuisti, per risum et ludibrium enarret, ut ipse quidem plausus ferat ac laudes a spectatoribus, nobis vero insultetur. Tale enim ingenium est vulgi, gaudent irrisoribus et maledicis, præsertim quum ea traducuntur, quæ videntur augustissima, ut nimirum olim quoque Aristophane gaudebant et Eupolide, Socratem hunc nostrum risus causa in scenam producentibus, et absurdas quasdam de illo agentibus fabulas. Quanquam illi quidem unum contra virum audebant talia, idque Dionysiis, quando permissum erat hoc facere, quum pars quædam ea solemnitatis videretur; ac deus ille forte gaudet ludis talibus qui risus amans sit.

26. At iste convocatis optimatibus, diu multumque commentatus et paratus, maledictis quibusdam inscriptis crasso libro, magna voce male differt Platonem, Pythagoram, Aristotelem, Chrysippum illum, me, et in universum omnes, nec solemnitate instante, neque ulla privatim a nobis læsus injuria. Haberet enim sane ea res veniam, si defendens injurias, non ultro lædens hoc faceret. Omnium vero indignum maxime illud est, quod hæc quum agat, tuum tamen, Philosophia, nomen subit; et conciliato sibi Dialogo, familiari nostro, certaminis adjutore actoreque contra nos utitur; qui insuper Menippo persuaserit, nostro sodali, ut comœdias plerumque secum agat, qui solus non adest neque accusat nobiscum, communis causæ proditor.

27. Pro quibus rebus omnibus pœnas illum subire æquum est. Quid enim habeat quod contradicat homo res gravissimas tot sub testibus traducens? Utile igitur etiam hisce tale supplicium, si puniri istum videant, ne quis alius in posterum philosophiam contemnat: quandoquidem si nunc quiescamus et feramus injurias, ea non jam moderatio, sed ignavia et inscitia videatur merito. Ultima enim illa cui tolerabilia? quum mancipiorum instar in forum nos productos, præcone constituto, alios, ut narrant, magno, quosdam vero mina Attica; me quidem pessimus duobus obolis, cum risu præsentium, vendidit. Quibus de causis et ipsi indignabundi in vitam rediimus, et te rogamus, ut vicem nostram ulciscaris, qui turpissimis contumeliis sumus affecti.

28. REV. Euge, Diogenes! præclare quæ opus erant pro omnibus dixisti.

PHIL. Desinite laudare: infunde jam causam dicturo. Tu vero, Parrhesiade, nunc vicissim dicito: tua nunc aqua fluit; noli ergo cunctari.

29. ΠΑΡΡ. Οὐ πάντα μου, ὦ Φιλοσοφία, κατηγόρησε Διογένης, ἀλλὰ τὰ πλείω καὶ ὅσα ἦν χαλεπώτερα οὐκ οἶδ' ὅ τι παθὼν παρέλιπεν. Ἐγὼ δὲ τοσούτου δέω ἔξαρνος γενέσθαι ὡς οὐκ εἶπον αὐτὰ, ἢ ἀπολογίαν τινὰ μεμελετηκὼς ἀφῖχθαι, ὥστε καὶ εἴ τινα ἢ αὐτὸς οὗτος ἀπεσιώπησεν ἢ ἐγὼ μὴ πρότερον ἔφθασα εἰρηκὼς, νῦν προσθήσειν μοι δοκῶ· οὕτω γὰρ ἂν μάθοις οὐστινας ἀπεκήρυττον καὶ κακῶς ἠγόρευον ἀλαζόνας καὶ γόητας ἀποκαλῶν· καί μοι μόνον τοῦτο παραφυλάττετε, εἰ ἀληθῆ περὶ αὐτῶν ἐρῶ. Εἰ δέ τι βλάσφημον ἢ τραχὺ φαίνοιτο ἔχων ὁ λόγος, οὐ τὸν διελέγχοντα ἐμὲ, ἀλλ' ἐκείνους ἂν, οἶμαι, δικαιότερον αἰτιάσαισθε τοιαῦτα ποιοῦντας. Ἐγὼ γὰρ ἐπειδὴ τάχιστα ξυνεῖδον ὁπόσα τοῖς ῥητορεύουσι τὰ δυσχερῆ ἀναγκαῖον προσεῖναι, ἀπάτην καὶ ψεῦδος καὶ θρασύτητα καὶ βοὴν καὶ ὠθισμοὺς καὶ μυρία ἄλλα, ταῦτα μὲν, ὥσπερ εἰκὸς ἦν, ἀπέφυγον, ἐπὶ δὲ τὰ σὰ, ὦ Φιλοσοφία, καλὰ ὁρμήσας ἠξίουν ὁπόσον ἔτι μοι λοιπὸν τοῦ βίου καθάπερ ἐκ ζάλης καὶ κλύδωνος ἐς εὐδιόν τινα λιμένα σπεύσας ὑπὸ σοὶ σκεπόμενος καταβιῶναι.

30. Κἀπειδὴ μόνον παρέκυψα ἐς τὰ ὑμέτερα, σὲ μὲν, ὥσπερ ἀναγκαῖον ἦν, καὶ τούσδε ἅπαντας ἐθαύμαζον ἀρίστου βίου νομοθέτας ὄντας καὶ τοῖς ἐπ' αὐτὸν ἐπειγομένοις χεῖρα ὀρέγοντας, τὰ κάλλιστα καὶ ξυμφορώτατα παραινοῦντας, εἴ τις μὴ παραβαίνοι αὐτὰ μηδὲ διολισθάνοι, ἀλλ' ἀτενὲς ἀποβλέπων ἐς τοὺς κανόνας οὓς προτεθείκατε, πρὸς τούτους ῥυθμίζοι καὶ ἀπευθύνοι τὸν ἑαυτοῦ βίον, ὅπερ νὴ Δία καὶ τῶν καθ' ἡμᾶς αὐτοὺς ὀλίγοι ποιοῦσιν.

31. Ὁρῶν δὲ πολλοὺς οὐκ ἔρωτι φιλοσοφίας ἐχομένους, ἀλλὰ δόξης μόνον τῆς ἀπὸ τοῦ πράγματος, τὰ μὲν πρόχειρα ταῦτα καὶ δημόσια καὶ ὁπόσα παντὶ μιμεῖσθαι ῥᾴδιον εὖ μάλα εἰκότας ἀγαθοῖς ἀνδράσι, τὸ γένειον λέγω καὶ τὸ βάδισμα καὶ τὴν ἀναβολὴν, ἐπὶ δὲ τοῦ βίου καὶ τῶν πραγμάτων ἀντιφθεγγομένους τῷ σχήματι καὶ τἀναντία ὑμῖν ἐπιτηδεύοντας καὶ διαφθείροντας τὸ ἀξίωμα τῆς ὑποσχέσεως, ἠγανάκτουν· καὶ τὸ πρᾶγμα ὅμοιον ἐδόκει μοι καθάπερ ἂν εἴ τις ὑποκριτὴς τραγῳδίας μαλθακὸς αὐτὸς ὢν καὶ γυναικεῖος Ἀχιλλέα ἢ Θησέα ἢ καὶ τὸν Ἡρακλέα ὑποκρίνοιτο αὐτὸν μήτε βαδίζων μήτε βοῶν ἡρωϊκὸν, ἀλλὰ θρυπτόμενος ὑπὸ τηλικούτῳ προσωπείῳ, ὃν οὐδ' ἂν ἡ Ἑλένη ποτὲ ἢ Πολυξένη ἀνάσχοιντο πέρα τοῦ μετρίου αὐταῖς προσεοικότα, οὐχ ὅπως ὁ Ἡρακλῆς ὁ καλλίνικος, ἀλλά μοι δοκεῖ τάχιστ' ἂν ἐπιτρῖψαι τῷ ῥοπάλῳ παίων τὸν τοιοῦτον, αὐτόν τε καὶ τὸ προσωπεῖον, οὕτως ἀτίμως κατατεθηλυμμένος πρὸς αὐτοῦ.

32. Τοιαῦτα καὶ ὑμᾶς πάσχοντας ὑπ' ἐκείνων ὁρῶν οὐκ ἠνεγκα τὴν αἰσχύνην τῆς ὑποκρίσεως, εἰ πίθηκοι ὄντες ἐτόλμησαν ἡρώων προσωπεῖα περιθέσθαι ἢ τὸν ἐν Κύμῃ ὄνον μιμήσασθαι, ὃς λεοντῆν περιβαλόμενος ἠξίου λέων αὐτὸς εἶναι πρὸς ἀγνοοῦντας τοὺς Κυμαίους ὀγκώμενος μάλα τραχὺ καὶ καταπληκτικὸν, ἄχρι δή τις αὐτὸν ξένος καὶ λέοντα ἰδὼν καὶ ὄνον πολλάκις

29. PARRH. Non omnia contra me dixit, o Philosophia, Diogenes: sed pleraque, et difficiliora quidem, nescio qua re motus, prætermisit. Ego vero tantum abest ut ea negem me dixisse, aut meditatus defensionem aliquam huc venerim, ut statuerim, si quid aut iste ipse reticuit, aut ego dicere nondum occupavi, nunc jam adjicere: ita enim intelligas quos ego homines præconio vendiderim, quibus male, ventosos et impostores appellando, dixerim. Et ad hoc mihi unum attendite, si vera de omnibus dicam. Si quid vero maledicum aut asperum habere videatur oratio, non me, qui arguo, sed illos accusare æquius arbitror, qui talia faciunt. Equidem quum primum perspexissem; quæ dura necessario inesse debeant causidicis, deceptionem, mendacium, audaciam, clamorem, conflictationes, et sexcenta alia; ab his, ut decebat, refugiens, animum ad ea quæ tu pulchra habes, o Philosophia, appuli, optavique, quicquid reliquum mihi vitæ esset, tanquam ex procella et æstu in serenum quendam portum invectus, sub tua tutela transigere.

30. Deinde quum vix inspexissem res vestras, te quidem, quod necesse erat, et hosce omnes admirabar, vitæ beatæ legislatores, et manum festinantibus ad eam porrigentes, honestissimis præceptis proponendis utilissimisque, si quis ab iis non discedat neque vestigio fallente labatur, sed intentis in regulas a vobis propositas oculis, ad illas componat vitam suam ac dirigat, quod mehercules nostra ætate pauci faciunt.

31. Quum vero viderem multos non amore philosophiæ captos, sed sola, quæ ab illo negotio sperari potest, gloria ductos, promtis istis et palam gestis, quæque imitari unicuique facile est, satis bene referre viros bonos, barbam dico, incessum et amictum; vita vero et actionibus contradicere habitui, et contraria vestris studia habere, dignitatemque professionis corrumpere, indignabar equidem: videbaturque mihi negotium illi simile, si quis actor tragicus, mollis ipse atque effeminatus, Achillem, aut Thesea, aut ipsum Herculem agens, neque incessu utatur neque voce heroica, sed sub tanta persona fractas delicias faciat: quem neque Helena quondam, neque Polyxena ferret ultra modum sibi similem; nedum ille decorus victoriis Hercules, qui videtur mihi mox cum ipsa persona actorem talem sua clava elisurus a quo ignominiose adeo in feminam fractus esset.

32. Huic similem injuriam ab illis quum fieri vobis cernerem, non tuli illam histrioniæ turpitudinem, simios hosce heroum personas induere ausos, et Cumanum illum asinum imitari; qui leoninam indutus postulabat ipse leo esse, quum apud ignaros ejus rei Cumanos asperos terribilesque ruditus ederet, donec illum peregrinus, qui et leonem sæpe et asinum vidisset, redargueret, et fustibus

ἤλεγξε παίων τοῖς ξύλοις. Ὃ δὲ μάλιστά μοι δεινὸν, ὦ Φιλοσοφία, κατεφαίνετο, τοῦτο ἦν· οἱ γὰρ ἄνθρωποι εἴ τινα τούτων ἑώρων πονηρὸν ἢ ἄσχημον ἢ ἀσελγές τι ἐπιτηδεύοντα, οὐκ ἔστιν ὅστις οὐ φιλοσοφίαν αὐτὴν ἠτιᾶτο καὶ τὸν Χρύσιππον εὐθὺς ἢ Πλάτωνα ἢ Πυθαγόραν ἢ ὅτου αὐτὸν ἐπώνυμον ὁ διαμαρτάνων ἐκεῖνος ἐποιεῖτο καὶ οὗ τοὺς λόγους ἐμιμεῖτο, καὶ ἀπὸ τοῦ κακῶς βιοῦντος πονηρὰ περὶ ὑμῶν εἴκαζον τῶν πρὸ πολλοῦ τεθνηκότων — οὐ γὰρ παρὰ ζῶντας ὑμᾶς ἡ ἐξέτασις αὐτοῦ ἐγίγνετο, ἀλλ' ὑμεῖς μὲν ἐκποδών — ἐκεῖνον δὲ ἑώρων σαφῶς ἅπαντες δεινὰ καὶ ἄσεμνα ἐπιτηδεύοντα, ὥστε ἐρήμην ἡλίσκεσθε μετ' αὐτοῦ καὶ ἐπὶ τὴν ὁμοίαν διαβολὴν συγκατεσπᾶσθε.

33. Ταῦτα οὐκ ἤνεγκα ὁρῶν ἔγωγε, ἀλλ' ἤλεγχον αὐτοὺς καὶ διέκρινον ἀφ' ὑμῶν· ὑμεῖς δὲ, τιμᾶν ἐπὶ τούτοις δέον, ἐς δικαστήριον ἄγετε. Οὐκοῦν ἦν τινα καὶ τῶν μεμυημένων ἰδὼν ἐξαγορεύοντα ταῖν θεαῖν τἀπόρρητα καὶ ἐξορχούμενον ἀγανακτήσω καὶ διελέγξω, ἐμὲ τὸν ἀδικοῦντα ἡγήσεσθε εἶναι; ἀλλ' οὐ δίκαιον· ἐπεὶ καὶ οἱ ἀθλοθέται μαστιγοῦν εἰώθασιν, ἤν τις ὑποκριτὴς Ἀθηνᾶν ἢ Ποσειδῶνα ἢ τὸν Δία ὑποδεδυκὼς μὴ καλῶς ὑποκρίνοιτο μηδὲ κατ' ἀξίαν τῶν θεῶν, καὶ οὐ δή που ὀργίζονται αὐτοῖς ἐκεῖνοι, ὅτι τὸν περικείμενον αὐτῶν τὰ προσωπεῖα καὶ τὸ σχῆμα ἐνδεδυκότα ἐπέτρεψαν παίειν τοῖς μαστιγοφόροις, ἀλλὰ καὶ ἥδοιντ' ἄν, οἶμαι, μαστιγουμένων· οἰκέτην μὲν γὰρ ἢ ἄγγελόν τινα μὴ δεξιῶς ὑποκρίνασθαι μικρὸν τὸ πταῖσμα, τὸν Δία δὲ ἢ τὸν Ἡρακλέα μὴ κατ' ἀξίαν ἐπιδείξασθαι τοῖς θεαταῖς ἀποτρόπαιον ὄντως καὶ αἰσχρόν.

34. Καὶ γὰρ αὖ καὶ τόδε πάντων ἀτοπώτατόν ἐστιν, ὅτι τοὺς μὲν λόγους ὑμῶν πάνυ ἀκριβοῦσιν οἱ πολλοὶ αὐτῶν, καθάπερ δὲ ἐπὶ τούτῳ μόνον ἀναγιγνώσκοντες αὐτοὺς καὶ μελετῶντες, ὡς τἀναντία ἐπιτηδεύοιεν, οὕτω βιοῦσι· πάντα μὲν γὰρ ὅσα φασὶν, οἷον χρημάτων καταφρονεῖν καὶ δόξης καὶ μόνον τὸ καλὸν οἴεσθαι ἀγαθὸν, καὶ ἀόργητον εἶναι καὶ τῶν λαμπρῶν τούτων ὑπερορᾶν καὶ ἐξ ἰσοτιμίας αὐτοῖς διαλέγεσθαι, καλὰ, ὦ θεοὶ, καὶ σοφὰ καὶ θαυμάσια λίαν ὡς ἀληθῶς. Οἱ δὲ καὶ αὐτὰ ταῦτα ἐπὶ μισθῷ διδάσκουσι καὶ τοὺς πλουσίους τεθήπασι καὶ πρὸς τὸ ἀργύριον κεχήνασιν, ὀργιλώτεροι μὲν τῶν κυνιδίων ὄντες, δειλότεροι δὲ τῶν λαγῶν, κολακευτικώτεροι δὲ τῶν πιθήκων, ἀσελγέστεροι δὲ τῶν ὄνων, ἁρπακτικώτεροι δὲ τῶν γαλῶν, φιλονεικότεροι δὲ τῶν ἀλεκτρυόνων. Τοιγαροῦν γέλωτα ὀφλισκάνουσιν ὠθιζόμενοι ἐπὶ ταῦτα καὶ περὶ τὰς τῶν πλουσίων θύρας ἀλλήλους παραγκωνιζόμενοι, δεῖπνα πολυάνθρωπα δειπνοῦντες καὶ ἐν αὐτοῖς τούτοις ἐπαινοῦντες φορτικῶς· καὶ πέρα τοῦ καλῶς ἔχοντος ἐμφορούμενοι καὶ μεμψίμοιροι φαινόμενοι καὶ ἐπὶ τῆς κύλικος ἀτερπῆ καὶ ἀπῳδὰ φιλοσοφοῦντες καὶ τὸν ἄκρατον οὐ φέροντες· οἱ ἰδιῶται δὲ ὁπόσοι ξυμπίνουσι, γελῶσι δηλαδὴ καὶ καταπτύουσι φιλοσοφίας, εἰ τοιαῦτα καθάρματα ἐκτρέφει.

35. Τὸ δὲ πάντων αἴσχιστον, ὅτι μηδενὸς δεῖσθαι λέγων ἕκαστος αὐτῶν, ἀλλὰ μόνον πλούσιον εἶναι τὸν

dolatum abigeret. Præter cetera vero indignum hoc mihi, Philosophia, videbatur, quod nemo non hominum, si quem horum prave aut indecore aut libidinose quicquam facere videret, ipsam statim philosophiam accusaret, et Chrysippum, aut Platonem, aut Pythagoram, aut cujuscumque se cognominem peccator ille ferret disputationesque imitaretur. Itaque ab male illo vivente, male de vobis conjectabant, olim mortuis : neque enim ad vos viventes exigebatur, sed vos discesseratis e medio : illum vero aperte videbant omnes indigne et inhoneste se gerentem. Ita quasi deserto vos vadimonio cum illo damnati, et in simile cum illo crimen pertracti estis.

33. Hæc ego videns non tuli, sed redargui illos et a vobis discrevi. At vos, qui honorem mihi ea de causa debebatis habere, in jus me trahitis. Igitur si quem ego initiatorum observans, dearum mysteria effutientem et indignis omnibus impie monstrantem, indignatus fuero, eumque redarguero; mene impium esse putabitis? injuste illud quidem : quum etiam sacrorum certaminum præsides flagris objurgare soleant, si quis histrio Minervæ aut Neptuni aut Jovis personam qui suscepit, non bene neque ex dignitate deorum perferat : neque ideo illis irascantur dii, quod personas suas gerentem et habitu suo indutum flagellis cædendum virgatoribus tradiderint : sed gaudeant, puto, vapulantibus. Nam servum aut nuntium parum dextre agere, parvus fuerit error. : Jovem vero aut Herculem non pro dignitate demonstrare spectatoribus, piaculi sane instar et turpe nimis fuerit!

34. Rursus illud omnium est absurdissimum; quod dogmata quidem vestra studiose vulgus illorum exquirit; ceterum perinde vivunt, ac si ad hoc solum ea legerent et meditarentur, ut contraria omnia sequantur. Quæ enim dicunt omnia, exempli causa, divitias gloriamque contemnere, et sola quæ bona sunt honesta putare, et iræ expertem esse, et splendidos hosce despicere, et tanquam cum æqualibus agere, pulchra, dii boni! sunt et sapientia, et vere sane admiranda. Verum enim vero isti mercede hæc ipsa docent, et divites admirantur, et argento inhiant, et caniculis iracundiores sunt, et leporibus timidiores, magis adulatores quam simii, libidinosiores asinis, felibusque rapaciores, et in contentionibus quam gallinacei galli pertinaciores. Itaque ludibrium debent, quum circa ista conflictantur, et circa divitum januas alii alios cubitis detrudunt, et celebriores cœnas frequentant, et in illis ipsis sine more modoque laudant, et ultra decus se ingurgitant, et attributa sibi parte non contentos se produnt, et in vino insuavia quædam atque absurda philosophantur, et merum non continent. Idiotæ autem quotquot convivæ adsunt, rident scilicet, et despuunt philosophiam, talia quæ purgamenta educat.

35. Quod vero turpissimum omnium est, nulla se re indigere unusquisque eorum quum dicat, sed solum divitem

σοφὸν κεκραγὼς μικρὸν ὕστερον αἰτεῖ προσελθὼν καὶ ἀγαναχτεῖ μὴ λαβών, δμοιον ὡς εἴ τις ἐν βασιλικῷ σχήματι ὀρθὴν τιάραν ἔχων καὶ διάδημα καὶ τἄλλα ὅσα βασιλείας γνωρίσματα προσαιτοίη τῶν ὑποδεεστέρων δεόμενος. Ὅταν μὲν οὖν αὐτούς τι δέῃ λαμβάνειν, πολὺς ὁ περὶ τοῦ κοινωνικὸν εἶναι δεῖν λόγος καὶ ὡς ἀδιάφορον ὁ πλοῦτος καὶ, τί γὰρ τὸ χρυσίον ἢ ἀργύριον οὐδὲν τῶν ἐν τοῖς αἰγιαλοῖς ψηφίδων διαφέρον; ὅταν δέ τις ἐπικουρίας δεόμενος ἑταῖρος ἐκ παλαιοῦ καὶ φίλος ἀπὸ πολλῶν ὀλίγα αἰτῇ προσελθών, σιωπὴ καὶ ἀπορία καὶ ἀμαθία καὶ παλινῳδία τῶν λόγων πρὸς τὸ ἐναντίον· οἱ δὲ πολλοὶ περὶ φιλίας ἐκεῖνοι λόγοι καὶ ἡ ἀρετὴ καὶ τὸ καλὸν οὐκ οἶδ' ὅποι ποτὲ οἴχεται πάντα ταῦτα ἀποπτάμενα, πτερόεντα ὡς ἀληθῶς ἔπη, μάτην ὀσημέραι πρὸς αὐτῶν ἐν ταῖς διατριβαῖς σκιαμαχούμενα.

36. Μέχρι γὰρ τούτου φίλος ἕκαστος αὐτῶν, ἐς ὅσον ἂν μὴ ἀργύριον ἢ χρυσίον ᾖ προκείμενον ἐν τῷ μέσῳ· ἢν δέ τις ὀβολὸν ἐπιδείξῃ μόνον, λέλυται μὲν ἡ εἰρήνη, ἄσπονδα δὲ καὶ ἀκήρυκτα πάντα, καὶ τὰ βιβλία ἐξαλήλιπται καὶ ἡ ἀρετὴ πέφευγεν, οἷόν τι καὶ οἱ κύνες πάσχουσιν· ἐπειδάν τις ὀστοῦν ἐς μέσους αὐτοὺς ἐμβάλῃ, ἀναπηδήσαντες δάκνουσιν ἀλλήλους καὶ τὸν προαρπάσαντα τὸ ὀστοῦν ὑλακτοῦσι. Λέγεται δὲ καὶ βασιλεύς τις Αἰγύπτιος πιθήκους ποτὲ πυρριχίζειν διδάξαι καὶ τὰ θηρία — μιμηλότατα δέ ἐστι τῶν ἀνθρωπίνων — ἐκμαθεῖν τάχιστα καὶ ὀρχεῖσθαι ἀλουργίδας ἀμπεχόμενα καὶ προσωπεῖα περικείμενα, καὶ μέχρι γε πολλοῦ εὐδοκιμεῖν τὴν θέαν, ἄχρι δή τις θεατὴς ἀστεῖος κάρυα ὑπὸ κόλπον ἔχων ἀφῆκεν ἐς τὸ μέσον· οἱ δὲ πίθηκοι ἰδόντες καὶ ἐκλαθόμενοι τῆς ὀρχήσεως, τοῦθ' ὅπερ ἦσαν, πίθηκοι ἐγένοντο ἀντὶ πυρριχιστῶν καὶ ξυνέτριβον τὰ προσωπεῖα καὶ τὴν ἐσθῆτα κατερρήγνυον καὶ ἐμάχοντο περὶ τῆς ὀπώρας πρὸς ἀλλήλους, τὸ δὲ σύνταγμα τῆς πυρρίχης διελέλυτο καὶ κατεγελᾶτο ὑπὸ τοῦ θεάτρου.

37. Τοιαῦτα καὶ οὗτοι ποιοῦσι, καὶ ἔγωγε τοὺς τοιούτους κακῶς ἠγόρευον καὶ οὔποτε παύσομαι διελέγχων καὶ κωμῳδῶν, περὶ ὑμῶν δὲ ἢ τῶν ὑμῖν παραπλησίων —. εἰσὶ γάρ, εἰσί τινες ὡς ἀληθῶς φιλοσοφίαν ζηλοῦντες καὶ τοῖς ὑμετέροις νόμοις ἐμμένοντες — μὴ οὕτω μανείην ἐγὼ ὡς βλάσφημον εἰπεῖν τι ἢ σκαιόν. Ἦ τί γὰρ ἂν εἰπεῖν ἔχοιμι; τί γὰρ ὑμῖν τοιοῦτο βεβίωται; τοὺς δὲ ἀλαζόνας ἐκείνους καὶ θεοῖς ἐχθροὺς ἄξιον οἶμαι μισεῖν. Ἦ σὺ γάρ, ὦ Πυθαγόρα καὶ Πλάτων καὶ Χρύσιππε καὶ Ἀριστότελες, τί φατε προσήκειν ὑμῖν τοὺς τοιούτους ἢ οἰκεῖόν τι καὶ ξυγγενὲς ἐπιδείκνυσθαι τῷ βίῳ; νὴ Δία Ἡρακλῆς, φασὶ, καὶ πίθηκος. Ἦ διότι πώγωνας ἔχουσι καὶ φιλοσοφεῖν φάσκουσι καὶ σκυθρωποί εἰσι, διὰ τοῦτο χρὴ ὑμῖν εἰκάζειν αὐτούς; ἀλλ' ἤνεγκα ἄν, εἰ πιθανοὶ γοῦν ἦσαν καὶ ἐπὶ τῆς ὑποκρίσεως αὐτῆς· νῦν δὲ θᾶττον ἂν γὺψ ἀηδόνα μιμήσαιτο ἢ οὗτοι φιλοσόφους. Εἴρηκα ὑπὲρ ἐμαυτοῦ ὁπόσα εἶχον. Σὺ δέ, ὦ Ἀλήθεια, μαρτύρει πρὸς αὐτοὺς εἰ ἀληθῆ ἐστι.

esse sapientem clamet, paullo post rogandi causa accedit, et nisi acceperit, indignatur : non aliter quam si quis in regio habitu tiaram rectam gerens ac diadema, et reliqua quotquot sunt insignia regni, mendicet, rogans a tenuioribus. Quum igitur sperant aliquid accipere, multa de bonorum inter sapientes communione disputatio, et quam res sit indifferens divitiæ! Quid enim, inquit, aurum est vel argentum, nihil calculis in litore distans? Si vero opis indigus sodalis vetus et amicus accedens ex multis paullum quiddam roget, silentium, æstus, inscitia et verborum illorum in contrariam sententiam retractatio : multæ autem illæ de amicitia disputationes, et virtus, et honestum, nescio quo repente abiere; omnia quidem avolarunt, volucria vere verba, quibus temere quotidie in scholis suis umbratiles pugnas ludunt.

36. Eo enim usque unusquisque eorum amicus est, quoad argentum vel aurum in medio positum non fuerit : si quis vero obolum unum ostenderit, ilicet rupta pax, ut nec jam fœderi locus, nec præconi sit securitas : libri deleti, fugit virtus : cujus rei simile quiddam usu venit canibus : si quis os in medios illos projecerit, exsiliunt, mordent invicem; eumque qui os præripuit allatrant. Dicitur autem rex etiam aliquis Ægyptius simios quondam docuisse saltare pyrrhicham, easque bestias (facillime autem humanas imitantur actiones) didicisse celeriter, et saltasse in vestibus purpureis, et personatas, diuque probatum spectaculum; donec spectator aliquis festivus, qui nuces sinu gereret, projiceret eas in medium : tum vero simii, visa re, obliti saltationis, repente pro pyrrhichistis simii, quod erant scilicet, facti, larvas contrivere, laceratisque vestibus de fructibus invicem depugnarunt : illa autem pyrrhiches institutio dissoluta risui fuit spectatoribus.

37. Talia igitur hi quoque faciunt. Talibus ego maledixi, neque unquam desinam convincere illorum fraudes, ipsosque ridendos præbere : de vobis vero vestrumque similibus (sunt enim, sunt quidam vere sectantes philosophiam, legumque vestrarum observantes) absit a me insania illa ut contumeliosum quicquam aut sinistrum dicam. Aut quid habeam dicere? quid enim horum simile est in vita vestra? At insolentes illos et diis invisos odio persequi, puto, fas est. Nisi forte tu, Pythagora, et Plato, et Chrysippe, et Aristoles, ad vos pertinere quicquam dicetis tales, aut proprium quicquam vestrum et cognatum vita sua demonstrare : quanta scilicet Herculi cum simia necessitudo est. An forte quod barbas submittunt et philosophari se prædicant et truci vultu sunt, propter hæc vobis assimilare illos oportet? Atqui equidem ferrem illos, si in ipsa illa histrionia probabiles essent : jam vero facilius lusciniam vultur imitetur, quam isti philosophos. Dixi pro me quæ habebam. Jam tu, Veritas, testimonium apud hosce perhibe, si vera sint.

38. ΦΙΛ. Μετάστηθι, ὦ Παρρησιάδη, ἔτι πορρωτέρω. Τί ποιῶμεν ἡμεῖς; πῶς ὑμῖν εἰρηκέναι ἀνὴρ ἔδοξεν;

ΑΛΗΘ. Ἐγὼ μέν, ὦ Φιλοσοφία, μεταξὺ λέγοντος αὐτοῦ κατὰ τῆς γῆς ὄυναι ἠὐχόμην· οὕτως ἀληθῆ πάντα εἶπεν. Ἐγνώριζον γοῦν ἀκούουσα ἕκαστον τῶν ποιούντων αὐτὰ καφήρμοζον μεταξὺ τοῖς λεγομένοις τοῦτο μὲν ἐς τόνδε, τοῦτο δὲ ὁ δεῖνα ποιεῖ· καὶ ὅλως ἔδειξε τοὺς ἄνδρας ἐναργῶς καθάπερ ἐπί τινος γραφῆς τὰ πάντα ἐοικότας, οὐ τὰ σώματα μόνον, ἀλλὰ καὶ τὰς ψυχὰς αὐτὰς ἐς τὸ ἀκριβέστατον ἀπεικάσας.

ΣΩΦΡ. Κἀγὼ πάνυ ἠρυθρίασα, ὦ Ἀλήθεια.

ΦΙΛ. Ὑμεῖς δὲ τί φατέ;

ΑΝΑΒ. Τί δαὶ ἄλλο ἢ ἀφεῖσθαι αὐτὸν τοῦ ἐγκλήματος καὶ φίλον ἡμῖν καὶ εὐεργέτην ἀναγεγράφθαι; τὸ γοῦν τῶν Ἰλιέων ἀτεχνῶς πεπόνθαμεν, τραγῳδόν τινα τοῦτον ἐφ' ἡμᾶς κεκινήκαμεν ἀσόμενον τὰς Φρυγῶν ξυμφοράς. Ἀδέτω δ' οὖν καὶ τοὺς θεοῖς ἐχθροὺς ἐκτραγῳδείτω.

ΔΙΟΓ. Καὶ αὐτὸς, ὦ Φιλοσοφία, πάνυ ἐπαινῶ τὸν ἄνδρα καὶ ἀνατίθεμαι τὰ κατηγορούμενα καὶ φίλον ποιοῦμαι αὐτὸν γενναῖον ὄντα.

39. ΦΙΛ. Εὖ γε, ὦ Παρρησιάδη· ἀφίεμέν σε τῆς αἰτίας, καὶ ταῖς πάσαις κρατεῖς καὶ τὸ λοιπὸν ἴσθι ἡμέτερος ὤν.

ΠΑΡΡ. Προσεκύνησα τήν γε πρώτην· μᾶλλον δὲ τραγικώτερον αὐτὸ ποιήσειν μοι δοκῶ· σεμνότερον γάρ·

ὦ μέγα σεμνὴ Νίκη, τὸν ἐμὸν
βίοτον κατέχοις
καὶ μὴ λήγοις στεφανοῦσα.

ΑΡΕΤ. Οὐκοῦν δευτέρου κρατῆρος ἤδη καταρχώμεθα, προσκαλῶμεν κἀκείνους, ὡς δίκην ὑπόσχωσιν ἀν0' ὧν ἐς ὑμᾶς ὑβρίζουσι· κατηγορήσει δὲ Παρρησιάδης ἑκάστου.

ΠΑΡΡ. Ὀρθῶς, ὦ Ἀρετὴ, ἔλεξας· ὥστε σὺ, παῖ Συλλογισμὲ, κατακύψας ἐς τὸ ἄστυ προσκήρυττε τοὺς φιλοσόφους.

40. ΣΥΛΛ. Ἄκουε, σίγα· τοὺς φιλοσόφους ἥκειν ἐς ἀκρόπολιν ἀπολογησομένους ἐπὶ τῆς Ἀρετῆς καὶ Φιλοσοφίας καὶ Δίκης.

ΠΑΡΡ. Ὁρᾷς; ὀλίγοι συνέρχονται γνωρίσαντες τὸ κήρυγμα· ἄλλως γὰρ δεδίασι τὴν Δίκην. Οἱ πολλοὶ δὲ αὐτῶν οὐδὲ σχολὴν ἄγουσιν ἀμφὶ τοὺς πλουσίους ἔχοντες. Εἰ δὲ βούλει πάντας ἥκειν, κατὰ τάδε, ὦ Συλλογισμὲ, κήρυττε.

ΦΙΛ. Μηδαμῶς, ἀλλὰ σὺ, ὦ Παρρησιάδη, προσκάλει καθ' ὅ τι σόι δοκεῖ.

41. ΠΑΡΡ. Οὐδὲν τόδε χαλεπόν. Ἄκουε, σίγα. Ὅσοι φιλόσοφοι εἶναι λέγουσι καὶ ὅσοι προσήκειν αὐτοῖς οἴονται τοῦ ὀνόματος, ἥκειν ἐς ἀκρόπολιν ἐπὶ τὴν διανομήν. Δύο μναῖ ἑκάστῳ δοθήσονται καὶ σησαμαῖος πλακοῦς· ὃς δ' ἂν πώγωνα βαθὺν ἐπιδείξηται, καὶ παλάθην ἰσχάδων οὗτός γε προσεπιλήψεται. Κομίζειν δ' ἕκαστον σωφροσύνην μὲν ἢ δικαιοσύνην ἢ ἐγκράτειαν

38. PHIL. Longius hinc, Parrhesiade, recede interim. Nos quid faciamus? quomodo dixisse vobis videtur?

VER. Equidem, Philosophia, illo dicente terram mihi hiscere optabam præ pudore: adeo vera dicebat omnia. Agnoscebam enim inter audiendum unumquemque qui ista faceret; et referebam, dum dicerentur, illud quidem ad huncce; hoc vero ille, inquiebam, facit. Et omnino ostendit homines dilucide, ut in pictura quadam similes per omnia, quum non corpora modo, sed ipsas quoque animas exquisitissima similitudine exprimeret.

MODESTIA. Et ego plane erubescam, o Veritas.

PHIL. Vos autem quid dicitis?

REV. Quid aliud nisi absolvi illum a crimine oportere, et amicum nobis ac bene meritum in publico monumento scribi? Iliensium enim exemplo tragœdum hunc in nos commovimus, qui Phrygum canat calamitates. Canito igitur, et illos diis invisos tragœdiis suis infamato.

DIOG. Ipse quoque ego, Philosophia, laudo virum magnopere et retracto crimina, eumque, ut virum fortem, amicum mihi ascisco.

39. PHIL. Bonum factum, Parrhesiade; solvimus te accusatione; vincis suffragiis omnibus, et quod reliquum est, scito te nostrum esse.

PARRH. Equidem initio jam adoravi: jam vero tragico magis orationis genere faciendum videtur: augustius enim fuerit.

Splendida quæso Victoria, me
comitare tuum,
viridi neu parce coronæ.

VIRT. Igitur de altero jam cratere libemus, et vocemus etiam istos, ut pœnas suarum in vos contumeliarum nobis persolvant. Accusabit unumquemque Parrhesiades.

PARRH. Bene istud, Virtus. Itaque tu, Syllogisme puer, despiciens in urbem, præconio huc evoca philosophos.

40. SYLL. Audi, tace. Veniunto philosophi in arcem, causam dicturi ad tribunal Virtuti, Philosophiæ, Justitiæ.

PARRH. Viden'? pauci conveniunt agnito præconio: nam alioqui Justitiam metuunt. Ceterum vulgus illorum otium non habet, occupati circa divites. Si vero venire omnes volueris, hunc fere in modum edic, Syllogisme.

PHIL. Nequaquam: sed tu, Parrhesiade, prout videbitur, eos advoca.

41. PARRH. Nihil res habet difficultatis. Audi, tace. Quotquot philosophos se esse dicunt, quotquot nominis causa ad illos pertinere se judicant, veniunto in arcem ad congiarium. Binæ unicuique minæ dabuntur, et de sesamo placenta. Quicumque vero prolixam barbam exhibuerit, ille corollarium ficuum massam accipiet. Afferat autem quisque temperantiam aut justitiam aut continentiam mi-

μηδαμῶς· οὐκ ἀναγκαῖα γὰρ ταῦτά γε, ἢν μὴ παρῇ· πέντε δὲ συλλογισμοὺς ἐξ ἅπαντος· οὐ γὰρ θέμις ἄνευ τούτων εἶναι σοφόν.

Κεῖται δ' ἐν μέσσοισι δύο χρυσοῦ ταλάντα,
τῷ δόμεν, ὃς μετὰ πᾶσιν ἐριζέμεν ἔξοχος εἴη.

42. Βαβαί, ὡς πλήρης μὲν ἡ ἄνοδος ὠθιζομένων, ἐπεὶ τὰς δύο μνᾶς ἤκουσαν μόνον. Παρὰ δὲ τὸ Πελασγικὸν ἄλλοι καὶ κατὰ τὸ Ἀσκληπιεῖον ἕτεροι καὶ παρὰ τὸν Ἄρειον πάγον ἔτι πλείους, ἔνιοι δὲ καὶ κατὰ τὸν τοῦ Τάλω τάφον, οἱ δὲ καὶ πρὸς τὸ Ἀνάκειον προσθέμενοι κλίμακας ἀνέρπουσι βομβηδὸν νὴ Δία καὶ βοτρυδὸν ἑσμοῦ δίκην, ἵνα καὶ καθ' Ὅμηρον εἴπω, ἀλλὰ κἀκεῖθεν εὖ μάλα πολλοὶ κἀντεῦθεν

μυρίοι, ὅσσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ.

Μεστὴ δὲ ἡ ἀκρόπολις ἐν βραχεῖ κλαγγηδὸν προκαθιζόντων καὶ πανταχοῦ πήρα πώγων κολακεία ἀναισχυντία βακτηρία λιχνεία συλλογισμὸς φιλαργυρία· οἱ ὀλίγοι δέ, ὁπόσοι πρὸς τὸ πρῶτον κήρυγμα ἐκεῖνο ἀνῆεσαν, ἀφανεῖς καὶ ἄσημοι, ἀναμιχθέντες τῷ πλήθει τῶν ἄλλων, καὶ λελήθασιν ἐν τῇ ὁμοιότητι τῶν ἄλλων σχημάτων. Τοῦτο γοῦν τὸ δεινότατόν ἐστιν, ὦ Φιλοσοφία, καὶ ὅ τις ἂν μέμψαιτό σου μάλιστα, τὸ μηδὲ ἐπιβαλεῖν γνώρισμα καὶ σημεῖον αὐτοῖς· πιθανώτεροι γὰρ οἱ γόητες οὗτοι πολλάκις τῶν ἀληθῶς φιλοσοφούντων.

ΦΙΛ. Ἔσται τοῦτο μεθ' ὀλίγον, ἀλλὰ δεχώμεθα ἤδη αὐτούς.

43. ΠΛΑΤ. Ἡμᾶς πρώτους χρὴ τοὺς Πλατωνικοὺς λαβεῖν.

ΠΥΘ. Οὐκ, ἀλλὰ τοὺς Πυθαγορικοὺς ἡμᾶς· πρότερος γὰρ ὁ Πυθαγόρας ἦν.

ΣΤΩΙΚ. Ληρεῖτε· ἀμείνους ἡμεῖς οἱ ἀπὸ τῆς στοᾶς.

ΠΕΡ. Οὐ μὲν οὖν, ἀλλ' ἔν γε τοῖς χρήμασι πρῶτοι ἂν ἡμεῖς εἴημεν οἱ ἐκ τοῦ περιπάτου.

ΕΠΙΚ. Ἡμῖν τοῖς Ἐπικουρείοις τοὺς πλακοῦντας ὀπτε καὶ τὰς παλάθας· περὶ δὲ τῶν μνῶν περιμενοῦμεν, κἂν ὑστάτους δέῃ λαμβάνειν.

ΑΚΑΔ. Ποῦ τὰ δύο τάλαντα; δείξομεν γὰρ οἱ Ἀκαδημαϊκοὶ ὅσον τῶν ἄλλων ἐσμὲν ἐριστικώτεροι.

ΣΤΩΙΚ. Οὐχ ἡμῶν γε τῶν Στωϊκῶν παρόντων.

44. ΦΙΛ. Παύσασθε φιλονεικοῦντες· ὑμεῖς δὲ οἱ Κυνικοὶ μήτε ὠθεῖτε ἀλλήλους μήτε τοῖς ξύλοις παίετε· ἐπ' ἄλλα γὰρ ἴστε κεκλημένοι· καὶ νῦν ἔγωγε ἡ Φιλοσοφία καὶ Ἀρετὴ αὕτη καὶ Ἀλήθεια δικάσομεν τίνες οἱ ὀρθῶς φιλοσοφοῦντές εἰσιν, εἶτα ὅσοι μὲν ἂν εὑρεθῶσι κατὰ τὰ ἡμῖν δοκοῦντα βιοῦντες, εὐδαιμονήσουσιν ἄριστοι κεκριμένοι· τοὺς γόητας δὲ καὶ οὐδὲν ἡμῖν προσήκοντας κακοὺς κακῶς ἐπιτρίψομεν, ὡς μὴ ἀντιποιοῖντο τῶν ὑπὲρ αὐτοὺς ἀλαζόνες ὄντες. Τί τοῦτο; φεύγετε; νὴ Δία, κατὰ τῶν γε κρημνῶν οἱ πολλοὶ ἁλλόμενοι. Κενὴ δ' οὖν ἡ ἀκρόπολις, πλὴν ὀλίγων τούτων, ὁπόσοι μεμενήκασιν οὐ φοβηθέντες τὴν κρίσιν.

45. Οἱ ὑπηρέται ἀνέλεσθε τὴν πήραν, ἣν ὁ Κυνίσκος

nime; neque enim ista, si non adsint, necessaria: verum quinque omnino syllogismos; quippe nefas est absque illis esse sapientem.

Proposita in medio sunt auri bina talenta,
præmia, qui reliquos rixa superaverit omnes.

42. Vah quam plenus est ascensus invicem se trudentium, quum modo de duabus minis audiere. Ad Pelasgicum autem alii, ad Æsculapii alii, et circa Areopagum etiam plures, alii vero etiam ad Tali sepulchrum: alii ad Dioscurorum ædem scalis admotis in altum enituntur, cum bombo hercle atque examinis instar apum glomerati in uvam, ut Homeri verbo utar. Verum inde etiam bene sane multi, et hinc sexcenti,

Quot folia, et flores quot nascens exigit annus.

Brevi autem plena illorum arx erit, cum clangore considentium, et ubique pera, barba, adulatio, impudentia, baculum, gula, syllogismus, avaritia. Pauci vero qui ad primam præconis vocem ascenderant, vix apparent, nulla nota insignes, reliquorum turbæ immisti, et latent per similitudinem habitus reliquorum. Illud enim, Philosophia, sane molestissimum est, et quod quis maxime in te etiam reprehendat, quod notam illis nullam aut signum imponis: sæpe enim hi impostores ipsis vere philosophantibus magis probantur.

PHIL. Fiet illud paulo post, sed jam hos excipiamus.

43. PLAT. Ipsos nos Platonicos accipere primum oportet.

PYTH. Non, sed Pythagoricos nos; prior enim fuit Pythagoras.

STOIC. Nugas agitis, meliores nos de Porticu.

PER. Nequaquam, sed quantum ad pecunias, primi nos esse debemus Peripatetici.

EPIC. Nobis Epicureis placentas date et massas: de minis exspectabimus, etsi accipiamus ultimi.

ACAD. Ubi duo illa talenta? ostendemus enim Academici, quantum reliquis simus contentiosiores.

STOIC. Nequaquam, nobis quidem Stoicis præsentibus.

44. PHIL. Desinite rixarum: vos vero, Cynici, ne impellite alii alios, neu baculis pulsate: ad alia enim vocati estis. Et jam ego Philosophia, et Virtus hæc, et Veritas cognoscemus, qui vestrùm vere philosophentur, deindé qui invenientur ex nostris placitis vivere, beati erunt, judicio nostro optimi: impostores vero et nihil ad nos pertinentes malos male conteremus, ne quæ supra ipsos sunt, affectent ventosi. Quid hoc? fugitis? per Jovem, per ipsa præcipitia desilientes multi. Vacua igitur arx est, præter paucos illos, qui remansere, nihil metuentes judicium.

45. Famuli, tollite peram, quam minutus ille Cynicus in

ἀπέρριψεν ἐν τῇ τροπῇ. Φέρ' ἴδω τί καὶ ἔχει, ἢ που θέρμους ἢ βιβλίον ἢ ἄρτους τῶν αὐτοπυριτῶν;

ΠΑΡΡ. Οὐχ, ἀλλὰ χρυσίον τουτὶ καὶ μύρον [καὶ μαχαιρίδιον θυτικὸν] καὶ κάτοπτρον καὶ κύβους.

ΦΙΛ. Εὖ γε, ὦ γενναῖε. Τοιαῦτά σοι ἦν τὰ ἐφόδια τῆς ἀσκήσεως καὶ μετὰ τούτων ἠξίους λοιδορεῖσθαι ἅπασι καὶ τοὺς ἄλλους παιδαγωγεῖν;

ΠΑΡΡ. Τοιοῦτοι μὲν οὖν ὑμῖν οὗτοι. Χρὴ δὲ ὑμᾶς σκοπεῖν ὄντινα τρόπον ἀγνοούμενα ταῦτα πεπαύσεται καὶ διαγνώσονται οἱ ἐντυγχάνοντες, οἵτινες οἱ ἀγαθοὶ αὐτῶν καὶ οἵτινες αὖ πάλιν οἱ τοῦ ἑτέρου βίου. Σὺ δέ, ὦ Ἀλήθεια, ἐξεύρισκε — ὑπὲρ σοῦ γὰρ τοῦτο γένοιτ' ἄν — ὡς μὴ ἐπικρατήσῃ τὸ Ψεῦδος μηδὲ ὑπὸ τῇ Ἀγνοίᾳ λανθάνωσιν οἱ φαῦλοι τῶν ἀνδρῶν σε τοὺς χρηστοὺς μεμιμημένοι.

46. ΑΛΗΘ. Ἐπ' αὐτῷ, εἰ δοκεῖ, Παρρησιάδῃ ποιησώμεθα τὸ τοιοῦτον, ἐπεὶ χρηστὸς ὤπται καὶ εὔνους ἡμῖν καὶ σὲ, ὦ Φιλοσοφία, μάλιστα θαυμάζων, παραλαβόντα μετ' αὐτοῦ τὸν Ἔλεγχον ἅπασι τοῖς φάσκουσι φιλοσοφεῖν ἐντυγχάνειν, εἶθ' ὃν μὲν ἂν εὕρῃ γνήσιον ὡς ἀληθῶς φιλοσοφίας, στεφανωσάτω θαλλοῦ στεφάνῳ καὶ ἐς τὸ Πρυτανεῖον καλεσάτω, ἢν δέ τινι — οἷοι πολλοί εἰσι — καταράτῳ ἀνδρὶ ὑποκριτῇ φιλοσοφίας ἐντύχῃ, τὸ τριβώνιον περισπάσας ἀποκειράτω τὸν πώγωνα ἐν χρῷ πάνυ τραγοκουρικῇ μαχαίρᾳ καὶ ἐπὶ τοῦ μετώπου στίγματα ἐπιβαλέτω ἢ ἐγκαυσάτω κατὰ τὸ μεσόφρυον· ὁ δὲ τύπος τοῦ καυτῆρος ἔστω ἀλώπηξ ἢ πίθηκος.

ΦΙΛ. Εὖ γε, ὦ Ἀλήθεια· ὁ δὲ ἔλεγχος, ὦ Παρρησιάδη, τοιόσδε ἔστω, οἷος ὁ τῶν ἀετῶν πρὸς τὸν ἥλιον εἶναι λέγεται, οὐ μὰ Δί' ὥστε κἀκείνους ἀντιβλέπειν τῷ φωτὶ καὶ πρὸς ἐκεῖνο δοκιμάζεσθαι, ἀλλὰ προθεὶς χρυσίον καὶ δόξαν καὶ ἡδονὴν ὃν μὲν ἂν αὐτῶν ἴδῃς ὑπεροράντα καὶ μηδαμῶς ἑλκόμενον πρὸς τὴν ὄψιν, οὗτος ἔστω ὁ τῷ θαλλῷ στεφόμενος, ὃν δ' ἂν ἀτενὲς ἀποβλέποντα καὶ τὴν χεῖρα ὀρέγοντα ἐπὶ τὸ χρυσίον, ἀπάγειν ἐπὶ τὸ καυτήριον τοῦτον ἀποκείραντα πρότερον τὸν πώγωνα.

47. ΠΑΡΡ. Ὡς ἔδοξεν, ἔσται ταῦτα, ὦ Φιλόσοφία, καὶ ὄψει αὐτίκα μάλα τοὺς πολλοὺς αὐτῶν ἀλωπεκίας ἢ πιθηκοφόρους, ὀλίγους δὲ καὶ ἐστεφανωμένους· εἰ βούλεσθε μέντοι, κἀνταῦθα ἀνάξω τινὰς ὑμῖν νὴ Δι' αὐτῶν.

ΦΙΛ. Πῶς λέγεις; ἀνάξεις τοὺς φυγόντας;

ΠΑΡΡ. Καὶ μάλα, ἥνπερ ἡ ἱέρεια μοι ἐθελήσῃ πρὸς ὀλίγον χρῆσαι τὴν ὁρμιὰν ἐκείνην καὶ τὸ ἄγκιστρον, ὅπερ ὁ ἁλιεὺς ἀνέθηκεν ὁ ἐκ Πειραιῶς.

ΙΕΡ. Ἰδοὺ δὴ λαβέ, καὶ τὸν κάλαμόν γε ἅμα, ὡς πάντ' ἔχοις.

ΠΑΡΡ. Οὐκοῦν, ὦ ἱέρεια, καὶ ἰσχάδας μοί τινας ὀὸς ἀνύσασα καὶ ὀλίγον τοῦ χρυσίου.

ΙΕΡ. Λάμβανε.

ΦΙΛ. Τί πράττειν ἀνὴρ διανοεῖται;

ΙΕΡ. Δελεάσας τὸ ἄγκιστρον ἰσχάδι καὶ τῷ χρυσίῳ καθεζόμενος ἐπὶ τὸ ἄκρον τοῦ τείχους καθῆκεν ἐς τὴν πόλιν.

fuga abjecit. Age videam, quid habeat: num forte lupinos, aut librum, aut panes ex atrorum genere?

PARRH. Non: sed hoc aurum, et unguentum, [et cultrum ad sacrificiales epulas,] et speculum, et tesseras.

PHIL. Bonum factum, vir fortis. Hæc igitur tibi habebas exercitationis tuæ viatica? his instructus postulabas maledicere omnibus, et reliquos disciplina continere?

PARRH. Tales quidem nobis hi sunt. Oportet autem vos videre quemadmodum ista ignorari desinant, dignoscantque qui in illos incidunt, qui illorum boni viri sint, et qui alterius sint vitæ. Tu vero, Veritas, inveni: quandoquidem e tua hoc re fuerit, ne invalescat contra te Mendacium, neve sub Ignorantia te lateant pravi homines bonos speciose imitati.

46. VER. Ipsi, si videtur, Parrhesiadæ hoc permittamus, quandoquidem bonus vir spectatus est, et nobis benevolus, et tuus, Philosophia, admirator maximus, ut secum assumto Elencho, cum omnibus agat, qui se dicunt philosophos: deinde si quem invenerit germanum vere philosophiæ, coronet eum oleagina corona, et in Prytaneum vocet; si vero incidat in aliquem, quod genus multi sunt, exsecrabilem virum, philosophiæ histrionem, detracto pallio, barbam illi in ipsa cute eo genere cultri, quo capri tondentur, resecet, et stigmata fronti illius imponat, aut inter supercilia inurat: typus autem cauteris vulpes esto, aut simia.

PHIL. Bene ista, Veritas: examen autem, Parrhesiade, tale erit, quale aquilarum ad solem esse dicitur: non sane ut et illi adversus lumen contueantur et ad illud examinentur; sed auro proposito, et gloria, et voluptate, quem illorum videris despicere ista et nequaquam ad speciem illam trahi, hic esto ille ramo olivæ coronandus: quem vero fixis oculis respicere et manum ad aurum porrigere, hunc vero ad cauterium memento, detonsa prius barba, abducere.

47. PARRH. Fient ista, ut tibi visum est, Philosophia: et videbis confestim vulgus illorum vulpe notatos aut simia; sed paucos quosdam etiam coronatos. Verum si vultis, etiam huc profecto quosdam illorum vobis extraham.

PHIL. Quid? tu fugientes huc retrahes?

PARRH. Ego vero, si antistes velit paullum mihi commodare lineam illam cum hamo, quem piscator ex Piræeo dedicavit.

ANT. En tibi, cape, una cum arundine, ut habeas omnia.

PARRH. Ergo fac, antistes, ut mihi des etiam caricas aliquot, et pauxillum auri.

ANT. Cape.

PHIL. Quid facere vir cogitat?

ANT. Escam hamo impositam ficu et auro, sedens ipse in lorica muri demisit in urbem.

ΦΙΛ. Τί ταῦτα, ὦ Παρρησιάδη, ποιεῖς; ἦ που τοὺς λίθους ἁλιεύσειν διέγνωκας ἐκ τοῦ Πελασγικοῦ;

ΠΑΡΡ. Σιώπησον, ὦ Φιλοσοφία, καὶ τὴν ἄγραν περίμενε· σὺ δὲ, Πόσειδον ἀγρεῦ καὶ Ἀμφιτρίτη φίλη, πολλοὺς ἡμῖν ἀνάπεμπε τῶν ἰχθύων.

48. Ἀλλ' ὁρῶ τινα λάβρακα εὐμεγέθη, μᾶλλον δὲ χρύσοφρυν.

ΕΛΕΓ. Οὐκ, ἀλλὰ γαλεός ἐστι· προσέρχεται δὴ τῷ ἀγκίστρῳ κεχηνώς. Ὀσφρᾶται τοῦ χρυσίου, πλησίον ἤδη ἐστίν· ἔψαυσεν, εἴληπται, ἀνασπάσωμεν.

ΠΑΡΡ. Καὶ σὺ, ὦ Ἔλεγχε, νῦν ξυνεπιλαβοῦ τῆς ὁρμιᾶς· ἄνω ἐστί. Φέρ' ἴδω τίς εἶ, ὦ βέλτιστε ἰχθύων; κύων οὗτός γε. Ἡράκλεις τῶν ὀδόντων. Τί τοῦτο, ὦ γενναιότατε; εἴληψαι λιχνεύων περὶ τὰς πέτρας, ἔνθα λήσειν ἤλπισας ὑποδεδυκώς; ἀλλὰ νῦν ἔσῃ φανερὸς ἅπασιν ἐκ τῶν βραγχίων ἀπηρτημένος. Ἐξέλωμεν τὸ δέλεαρ καὶ τὸ ἄγκιστρον τουτί. Κενόν σοι τὸ ἄγκιστρον· ἡ δ' ἰσχὰς ἤδη προσέσχηται καὶ τὸ χρυσίον ἐν τῇ κοιλίᾳ.

ΔΙΟΓ. Μὰ Δί' ἐξεμεσάτω, ὡς δὴ καὶ ἐπ' ἄλλους δελεάσωμεν.

ΠΑΡΡ. Εὖ ἔχει· τί φῂς, ὦ Διόγενες; οἶσθα τοῦτον ὅστις ἐστὶν, ἢ προσήκει σοί τι ἀνήρ;

ΔΙΟΓ. Οὐδαμῶς.

ΠΑΡΡ. Τί οὖν; πόσου ἄξιον αὐτὸν χρὴ φάναι; ἐγὼ μὲν γὰρ δύ' ὀβολῶν πρώην αὐτὸν ἐτιμησάμην.

ΔΙΟΓ. Πολὺ λέγεις· ἄβρωτός τε γάρ ἐστι καὶ εἰδεχθὴς καὶ σκληρὸς καὶ ἄτιμος· ἄφες αὐτὸν ἐπὶ κεφαλὴν ἀπὸ τῆς πέτρας· σὺ δὲ ἄλλον ἀνάσπασον καθεὶς τὸ ἄγκιστρον. Ἐκεῖνο μέντοι ὅρα, ὦ Παρρησιάδη, μὴ καμπτόμενός σοι ὁ κάλαμος ἀποκλασθῇ.

ΠΑΡΡ. Θάρρει, ὦ Διόγενες· κοῦφοί εἰσι καὶ τῶν ἀφύων ἐλαφρότεροι.

ΔΙΟΓ. Νὴ Δί', ἀφυέστατοί γε· ἀνάσπα δὲ ὅμως.

49. ΠΑΡΡ. Ἰδού· τίς ἄλλος οὗτος ὁ πλατύς; ὥσπερ ἡμίτομος ἰχθὺς προσέρχεται, ψῆττά τις, κεχηνὼς ἐς τὸ ἄγκιστρον· κατέπιεν, ἔχεται, ἀνεσπάσθω.

ΔΙΟΓ. Τίς ἐστιν;

ΕΛΕΓ. Ὁ Πλατωνικὸς εἶναι λέγων.

ΠΛΑΤ. Καὶ σὺ, ὦ κατάρατε, ἥκεις ἐπὶ τὸ χρυσίον;

ΠΑΡΡ. Τί φῂς, ὦ Πλάτων; τί ποιῶμεν αὐτόν;

ΠΛΑΤ. Ἀπὸ τῆς αὐτῆς πέτρας καὶ οὗτος.

50. ΔΙΟΓ. Ἐπ' ἄλλον καθείσθω.

ΠΑΡΡ. Καὶ μὴν ὁρῶ τινα πάγκαλον προσιόντα, ὡς ἂν ἐν βυθῷ δόξειεν, ποικίλον τὴν χρόαν, ταινίας τινὰς ἐπὶ τοῦ νώτου ἐπιχρύσους ἔχοντα. Ὁρᾷς, ὦ Ἔλεγχε; ὁ τὸν Ἀριστοτέλην προσποιούμενος οὗτός ἐστιν. Ἦλθεν, εἶτα πάλιν ἀπενήξατο. Περισκοπεῖ ἀκριβῶς, αὖθις ἐπανῆλθεν, ἔχανεν, εἴληπται, ἀνιμήσθω.

ΑΡΙΣΤ. Μὴ ἔρῃ με, ὦ Παρρησιάδη, περὶ αὐτοῦ· ἀγνοῶ γὰρ ὅστις ἐστίν.

ΠΑΡΡ. Οὐκοῦν καὶ οὗτος, ὦ Ἀριστότελες, κατὰ τῶν πετρῶν.

PHIL. Quorsum hæc facis, Parrhesiade? numquid lapides piscari cogitas e Pelasgico?

PARRH. Tace, quæso, Philosophia, et capturam exspecta. Tu vero, piscator Neptune, et tu, cara Amphitrite, multos nobis submitte pisces.

48. Verum video lupum speciosum, aut potius auratam.

ELENCH. Non: sed mustelus est. Accedit sane ad hamum hians: jam auri odorem captat: prope jam est: attigit, captus est: extrahamus.

PARRH. Et tu, Elenche, manum lineæ admove. Jam supra est. Age videam, quis es, piscium optime? Canis hic quidem est. Hercules! qui dentes! Quid hoc, vir bone, captus es, gulam dum sectaris circa petras, ubi putabas subeundo te latere posse: sed nunc manifestus eris omnibus, suspensus e branchiis. Eximamus escam, et hamum huncce. Vacuus jam tibi hamus, ficus jam insedit, et aurum descendit in ventrem.

DIOG. Per Jovem evomat, ut ea ad alios etiam esca utamur.

PARRH. Recte. Quid ais, Diogenes? nosti hunc quis sit, et ad tene aliqua ratione hic vir pertinet?

DIOG. Minime.

PARRH. Quid igitur? quanti illum æstimare par est? equidem duobus illum obolis nuper indicavi.

DIOG. Multum narras. Neque enim edulis est, et horridus aspectu, et durus, et nullius pretii. Demitte illum per petram præcipitem: tu vero alium hamo demisso extrahe. Illud tamen vide, Parrhesiade, ne inflexa tibi arundo frangatur.

PARRH. Noli metuere, Diogenes: leves enim sunt et minoris quam apuæ ponderis.

DIOG. Ita sane: maxime sunt cognati apuis, infelicissimi ingenii homines. Sed tamen extrahe.

49. PARRH. Vide: quis alius ille latus? quasi dimidiatus piscis accedit: rhombus est, hians ad hamum: deglutiit: tenetur: extrahatur.

DIOG. Quis est?

ELENCH. Platonicum se dicit.

PLAT. Et tu, sacerrime, ad aurum venis?

PARRH. Quid ais, Plato? quid illo faciemus?

PLAT. De eadem petra hic etiam.

50. DIOG. In alium jam demittatur hamus.

PARRH. Et sane video quendam undique pulchrum accedere, ut in profundo videri potest, vario colore, tæniis quasdam per tergum inauratas habentem. Viden', Elenche? hic est qui Aristotelis se esse prædicat. Accessit: deinde rursus renatat: cum cura respicit: denuo redit: hiat, captus est: extrahatur.

ARIST. Noli me de illo interrogare, Parrhesiade: ignoro enim quis sit.

PARRH. Igitur hic quoque, o Aristoteles, de rupe ibit præceps.

51. ΔΙΟΓ. Ἀλλ' ἦν ἰδού, πολλούς που τοὺς ἰχθῦς ὁρῶ κατὰ ταὐτὸν ὁμόχροας, ἀκανθώδεις καὶ τὴν ἐπιφάνειαν ἐκτετραχυσμένους, ἐχίνων δυσληπτοτέρους. Ἦ που σαγήνης ἐπ' αὐτοὺς δεήσει; ἀλλ' οὐ πάρεστιν. Ἱκανὸν εἰ κἂν ἕνα τινὰ ἐκ τῆς ἀγέλης ἀνασπάσαιμεν. Ἥξει δὲ ἐπὶ τὸ ἄγκιστρον δηλαδὴ ὃς ἂν αὐτῶν θρασύτατος ᾖ.

ΕΛΕΓ. Κάθες, εἰ δοκεῖ, σιδηρώσας γε πρότερον ἐπὶ πολὺ τῆς ὁρμιᾶς, ὡς μὴ ἀποπρίσῃ τοῖς ὀδοῦσι καταπιὼν τὸ χρυσίον.

ΠΑΡΡ. Καθῆκα. Σὺ δέ, ὦ Πόσειδον, ταχεῖαν ἐπιτέλει τὴν ἄγραν. Βαβαί, μάχονται περὶ τοῦ δελέατος, καὶ συνάμα πολλοὶ περιτρώγουσι τὴν ἰσχάδα, οἱ δὲ προσφύντες ἔχονται τοῦ χρυσίου. Εὖ ἔχει· περιεπάρη τις μάλα καρτερός. Φέρ' ἴδω τίνος ἐπώνυμον σεαυτὸν εἶναι λέγεις; καίτοι γελοῖός γέ εἰμι ἀναγκάζων ἰχθὺν λαλεῖν· ἄφωνοι γὰρ αὐτοί. Ἀλλὰ σὺ, ὦ Ἔλεγχε, εἰπὲ ὄντινα ἔχει διδάσκαλον.

ΕΛΕΓ. Χρύσιππον τουτονί.

ΠΑΡΡ. Μανθάνω· διότι χρυσίον, οἶμαι, προσῆν τῷ ὀνόματι. Σὺ δ' οὖν, Χρύσιππε, πρὸς τῆς Ἀθηνᾶς εἰπέ, οἶσθα τοὺς ἄνδρας ἢ τοιαῦτα παρῄνεις αὐτοῖς ποιεῖν;

ΧΡΥΣ. Νὴ Δί', ὑβριστικὰ ἐρωτᾷς, ὦ Παρρησιάδη, προσήκειν τι ἡμῖν ὑπολαμβάνων τοιούτους ὄντας.

ΠΑΡΡ. Εὖ γε, ὦ Χρύσιππε, γενναῖος εἶ. Οὕτω γοῦν καὶ αὐτὸς ἐπὶ κεφαλὴν μετὰ τῶν ἄλλων, ἐπεὶ καὶ ἀκανθώδης ἐστὶ, καὶ δέος μὴ διαπαρῇ τις τὸν λαιμὸν ἐσθίων.

52. ΦΙΛ. Ἅλις, ὦ Παρρησιάδη, τῆς ἄγρας, μὴ καί τίς σοι, οἷοι πολλοί εἰσιν, οἰχηται ἀποσπάσας τὸ χρυσίον καὶ τὸ ἄγκιστρον, εἶτά σε ἀποτῖσαι τῇ ἱερείᾳ δεήσῃ. Ὥστε ἡμεῖς μὲν ἀπίωμεν περιπατήσουσαι· καιρὸς δὲ καὶ ὑμᾶς ἀπιέναι ὅθεν ἥκετε, μὴ καὶ ὑπερήμεροι γένησθε τῆς προθεσμίας. Σὺ δὲ καὶ ὁ Ἔλεγχος, ὦ Παρρησιάδη, κύκλῳ ἐπὶ πάντας αὐτοὺς ἰόντες ἢ στεφανοῦτε ἢ ἐγκάετε, ὡς ἔφην.

ΠΑΡΡ. Ἔσται ταῦτα, ὦ Φιλοσοφία. Χαίρετε, ὦ βέλτιστοι ἀνδρῶν. Ἡμεῖς δὲ κατίωμεν, ὦ Ἔλεγχε, καὶ τελῶμεν τὰ παραγγελλόμενα. Ποῖ δὲ καὶ πρῶτον ἀπιέναι δεήσει; μῶν ἐς τὴν Ἀκαδήμειαν ἢ ἐς τὴν Στοάν;

ΕΛΕΓ. Ἀπὸ τοῦ Λυκείου ποιησόμεθα τὴν ἀρχήν.

ΠΑΡΡ. Οὐδὲν διοίσει τοῦτο. Πλὴν οἶδά γε ἐγὼ ὡς ὅποι ποτ' ἂν ἀπέλθωμεν, ὀλίγων μὲν τῶν στεφάνων, πολλῶν δὲ τῶν καυτηρίων δεησόμεθα.

51. DIOG. Sed ecce multos illic pisces video in eodem loco concolores, spinosos, exasperata facie, echinis captu difficiliores. Anne sagena ad illos opus erit? Verum ad manus non est. Satis fuerit, vel unum de grege si extraxerimus. Nimirum veniet ad hamum, qui illorum erit audacissimus.

ELENCH. Demitte si videtur, ferrata prius probe linea, ne auro devorato dentibus illam serratis resecet.

PARRH. Demisi : tu vero, Neptune, propere piscatum perfice. Vah! pugnant de esca : et alii quidem simul multi ficum arrodunt, alii vero mordicus tenent aurum. Bene habet. Trajectus est hamo unus robustissimus. Age videam : cujus nomine te dictum ais? quanquam ridiculus equidem sum qui loqui piscem cogam; mutum enim hoc genus. Sed tu dic, Elenche, quem habeat magistrum.

ELENCH. Chrysippum hunc.

PARRH. Jam percipio : ideo quod aurum (Chrysus) inerat nomini. Tu igitur, Chrysippe, per Minervam, dic, an nosti hos viros? aut talia facere illos jubebas?

CHRYS. Contumeliose facis, Parrhesiade, quum talia nos interroges, hoc sumens, ad nos aliquid pertinere qui sint tales.

PARRH. Euge, Chrysippe, vir fortis es. Itaque hic etiam præceps eat cum reliquis, spinosus quum sit, metuendumque adeo, ne quis edere volens guttur sibi configat.

52. PHIL. Satis captum, Parrhesiade, ne quis tibi, ut sunt multi, abeat cum auro et hamo, ac tu deinde dependere antistitæ cogaris. Itaque nos quidem ambulatum ibimus in Peripatum : sed tempus etiam est vos abire unde venistis, ne commeatum vobis datum excedatis. Tu vero, Parrhesiade, et Elenchus, in orbem ad omnes illos euntes, vel coronate vel inurite ut jussi.

PARRH. Fiet istuc, Philosophia. Vos valete viri optimi. Nos vero, Elenche, descendamus, perfecturi quæ injuncta nobis sunt. Quorsum vero primo eundum erit? in Academiamne an in Porticum?

ELENCH. A Lyceo capiemus initium.

PARRH. Nihil intererit. Verum scio ego, quocumque tandem ibimus, paucis nobis coronis, cauteriis vero plurimis opus futurum.

XVI.

ΚΑΤΑΠΛΟΥΣ Η ΤΥΡΑΝΝΟΣ.

1. ΧΑΡΩΝ. Εἶεν, ὦ Κλωθοῖ, τὸ μὲν σκάφος τοῦτο ἡμῖν πάλαι εὐτρεπὲς καὶ πρὸς ἀναγωγὴν εὖ μάλα παρεσκευασμένον· ὅ τε γὰρ ἄντλος ἐκκέχυται καὶ ὁ ἱστὸς

XVI.

TRAJECTUS, SIVE TYRANNUS.

1. CHARON. Satis de his, Clotho. At scapha nobis dudum instructa, et ad trajectum parata optime est : exhausta enim sentina, erectus malus, velum passum, suo loco su-

ὥρκωται καὶ ἡ ὀθόνη παρακέκρουσται καὶ τῶν κωπῶν ἑκάστη τετρόπωται, κωλύει τε οὐδὲν, ὅσον ἐπ' ἐμοὶ, τὸ ἀγκύριον ἀνασπάσαντας ἀποπλεῖν. Ὁ δ' Ἑρμῆς βραδύνει, πάλαι παρεῖναι δέον· κενὸν γοῦν ἐπιβατῶν, ὡς ὁρᾷς, ἔστι τὸ πορθμεῖον τρὶς ἤδη τήμερον ἀναπεπλευκέναι δυνάμενον· καὶ σχεδὸν ἀμφὶ βουλυτόν ἐστιν, ἡμεῖς δὲ οὐδέπω οὐδὲ ὀβολὸν ἐμπεπολήκαμεν. Εἶτα ὁ Πλούτων εὖ οἶδα ὅτι ἐμὲ ῥᾳθυμεῖν ἐν τούτοις ὑπολήψεται, καὶ ταῦτα παρ' ἄλλῳ οὔσης τῆς αἰτίας. Ὁ δὲ καλὸς ἡμῖν κἀγαθὸς νεκροπομπὸς ὥσπερ τις ἄλλος καὶ αὐτὸς τὸ τῆς ἄνω Λήθης ὕδωρ πεπωκὼς ἀναστρέψαι πρὸς ἡμᾶς ἐπιλέλησται, καὶ ἤτοι παλαίει μετὰ τῶν ἐφήβων ἢ κιθαρίζει ἢ λόγους τινὰς διεξέρχεται ἐπιδεικνύμενος τὸν λῆρον τὸν αὑτοῦ, ἢ τάχα που καὶ κλωπεύει ὁ γεννάδας παρελθών· μία γὰρ αὐτοῦ καὶ αὕτη τῶν τεχνῶν. Ὁ δ' οὖν ἐλευθεριάζει πρὸς ἡμᾶς, καὶ ταῦτα ἐξ ἡμισείας ἡμέτερος ὤν.

2. ΚΛΩΘΩ. Τί δέ; οἶδας, ὦ Χάρων, εἴ τις ἀσχολία προσέπεσεν αὐτῷ, τοῦ Διὸς ἐπὶ πλέον δεηθέντος ἀποχρήσασθαι πρὸς τὰ ἄνω πράγματα; δεσπότης δὲ κἀκεῖνός ἐστιν.

ΧΑΡ. Ἀλλ' οὐχ ὥστε, ὦ Κλωθοῖ, πέρα τοῦ μετρίου δεσπόζειν κοινοῦ κτήματος, ἐπεὶ οὐδὲ ἡμεῖς ποτε αὐτὸν, ἀπιέναι δέον, κατεσχήκαμεν. Ἀλλ' ἐγὼ οἶδα τὴν αἰτίαν· παρ' ἡμῖν μὲν γὰρ ἀσφόδελος μόνον καὶ χοαὶ καὶ πόπανα καὶ ἐναγίσματα, τὰ δ' ἄλλα ζόφος καὶ ὁμίχλη καὶ σκότος, ἐν δὲ τῷ οὐρανῷ φαιδρὰ πάντα καὶ ἥ τε ἀμβροσία πολλὴ καὶ τὸ νέκταρ ἄφθονον· ὥστε μοι ἥδιον παρ' ἐκείνοις βραδύνειν ἔοικε. Καὶ παρ' ἡμῶν μὲν ἀνίπταται καθάπερ ἐκ δεσμωτηρίου τινὸς ἀποδιδράσκων· ἐπειδὰν δὲ καιρὸς κατιέναι, σχολῇ καὶ βάδην μόλις ποτὲ κατέρχεται.

3. ΚΛΩΘ. Μηκέτι χαλέπαινε, ὦ Χάρων· πλησίον γὰρ αὐτὸς οὗτος, ὡς ὁρᾷς, πολλούς τινας ἡμῖν ἄγων, μᾶλλον δὲ ὥσπερ τι αἰπόλιον ἀθρόους αὐτοὺς τῇ ῥάβδῳ σοβῶν. Ἀλλὰ τί τοῦτο; δεδεμένον τινὰ ἐν αὐτοῖς καὶ ἄλλον γελῶντα ὁρῶ, ἕνα δέ τινα καὶ πήραν ἐξημμένον καὶ ξύλον ἐν τῇ χειρὶ ἔχοντα, ὁριμὺ ἐνορῶντα καὶ τοὺς ἄλλους ἐπισπεύδοντα. Οὐχ ὁρᾷς δὲ καὶ τὸν Ἑρμῆν αὐτὸν ἱδρῶτι ῥεόμενον καὶ τῷ πόδε κεκονιμένον καὶ πνευστιῶντα; μεστὸν γοῦν ἄσθματος αὐτῷ τὸ στόμα. Τί ταῦτα, ὦ Ἑρμῆ; τίς ἡ σπουδή; τεταραγμένος γὰρ ἡμῖν ἔοικας.

ΕΡΜ. Τί δ' ἄλλο, ὦ Κλωθοῖ, ἢ τουτονὶ τὸν ἁλιτήριον ἀποδράντα μεταδιώκων ὀλίγου δεῖν λειπόνεως ὑμῖν τήμερον ἐγενόμην;

ΚΛΩΘ. Τίς δ' ἐστίν; ἢ τί βουλόμενος ἀπεδίδρασκε;

ΕΡΜ. Τουτὶ μὲν πρόδηλον, ὅτι ζῆν μᾶλλον ἐβούλετο. Ἔστι δὲ βασιλεύς τις ἢ τύραννος, ἀπὸ γοῦν τῶν ὀδυρμῶν καὶ ὧν ἀνανωκύει, πολλῆς τινος εὐδαιμονίας ἐστερῆσθαι λέγων.

ΚΛΩΘ. Εἶθ' ὁ μάταιος ἀπεδίδρασκεν, ὡς ἐπιβιῶναι δυνάμενος, ἐπιλελοιπότος ἤδη τοῦ ἐπικεκλωσμένου αὐτῷ νήματος;

spensus unusquisque remus; neque quicquam in me moræ est, quominus sublata ancora solvamus. Sed moras nectit Mercurius, qui jam olim adesse debebat. Itaque vacua vectoribus, ut vides, navis est, quæ ter jam hodie trajecisse poterat: et prope jam vesperam est, nos vero obolum nondum fecimus. Deinde Pluto, bene novi, me omissiore esse his in rebus animo putabit, idque quum penes alium sit culpa. Præclarus vero ille noster et bonus mortuorum deductor, si quis alius, supra et ipse aquis Lethes potis redire ad nos oblitus est, et vel luctatur cum adolescentulis, vel cithara canit, aut orationes quasdam explicat, suis nugis ostendendis, aut forte obiter etiam furatrinam facit generosus ille: est enim hæc quoque una ipsius artium. Licenter igitur nobiscum agit, quum tamen ex semisse noster sit.

2. CLOTHO. Quid vero? an nosti, Charon, si quod forte negotium illi inciderit, dum Jovi opus fuerit opera illius diutius abuti ad superna negotia? herus autem et ille est.

CHAR. Verum non ita, Clotho, ut ultra modum imperitet communi mancipio: quandoquidem neque nos unquam illum retinuimus quum discedendum esset. Verum causam novi equidem. Apud nos enim asphodelus solum est, et libationes, et placentæ, et inferiæ; ceterum obscuritas, nebulæ, tenebræ: in cœlo vero læta sunt omnia, et multa ambrosia, et copiosissimum nectar: itaque suavius apud illos morari mihi videtur: atque a nobis quidem evolat, tanquam e carcere quodam fugiens; quum vero descendendi tempus est, otiose et lento gradu vix tandem aliquando adest.

3. CLOTH. Desine indignari, Charon; prope enim ipse est, ut vides, multos nobis adducens, vel potius ut gregem caprarum confertos virga agens. Sed quid hoc? vinctum quendam inter hos, et alium ridentem, alium vero peram ab humeris suspensam et clavam in manu habentem video, torvum tuentem, et cogentem urgentemque reliquos. Nonne vides autem Mercurium ipsum sudore diffluentem, pulvere oppletis pedibus, et anhelantem? plenum enim spiritu os habet. Quid hæc, Mercuri? quæ ista est festinatio? perturbatus enim esse nobis videre.

MERC. Quid aliud, Clotho, quam quod, impurum hunc fugitivum dum persequor, navem parum abest quin hodie deseruerim?

CLOTH. Quis vero est? aut quid sibi voluit quum fugam molitus est?

MERC. Illud quidem apertum, vivere hominem maluisse. Est autem rex aliquis vel tyrannus, quantum quidem intelligas ex lacrimis, et quatenus ejulat, multa se felicitate privatum dicens.

CLOTH. Et ineptus homuncio fugere instituit, quasi diutius posset supervivere, deficiente jam, quod netum ipsi a me fuit, stamine?

4. ΕΡΜ. Ἀπεδίδρασκε, λέγεις; εἰ γὰρ μὴ ὁ γενναιότατος οὗτος, ὁ τὸ ξύλον, συνήργησέ μοι καὶ συλλαβόντες αὐτὸν ἐδήσαμεν, κἂν ᾤχετο ἡμᾶς ἀποφυγών· ἀφ' οὗ γάρ μοι παρέδωκεν αὐτὸν ἡ Ἄτροπος, παρ' ὅλην τὴν ὁδὸν ἀντέτεινε καὶ ἀντέσπα, καὶ τὸ πόδε ἀντερείδων πρὸς τοὔδαφος οὐ παντελῶς εὐάγωγος ἦν· ἐνίοτε δὲ καὶ ἱκέτευε καὶ κατελιπάρει ἀφεθῆναι πρὸς ὀλίγον ἀξιῶν καὶ πολλὰ δώσειν ὑπισχνούμενος. Ἐγὼ δέ, ὥσπερ εἰκὸς, οὐκ ἀνίειν ὁρῶν ἀδυνάτων ἐφιέμενον. Ἐπεὶ δὲ κατ' αὐτὸ δὴ τὸ στόμιον ἦμεν, ἐμοῦ τοὺς νεκροὺς, ὡς ἔθος, ἀπαριθμοῦντος τῷ Αἰακῷ κἀκείνου λογιζομένου αὐτοὺς πρὸς τὸ παρὰ τῆς σῆς ἀδελφῆς πεμφθὲν αὐτῷ σύμβολον, λαθὼν οὐκ οἶδ' ὅπως ὁ τρισκατάρατος ἀπιὼν ᾤχετο. Ἐνέδει οὖν νεκρὸς εἷς τῷ λογισμῷ, καὶ ὁ Αἰακὸς ἀνατείνας τὰς ὀφρῦς, Μὴ ἐπὶ πάντων, ὦ Ἑρμῆ, φησὶ, χρῶ τῇ κλεπτικῇ, ἅλις σοι αἱ ἐν οὐρανῷ παιδιαί· τὰ νεκρῶν δὲ ἀκριβῆ καὶ οὐδαμῶς λαθεῖν δυνάμενα. Τέτταρας, ὡς ὁρᾷς, πρὸς τοῖς χιλίοις ἔχει τὸ σύμβολον ἐγκεχαραγμένους, σὺ δέ μοι παρ' ἕνα ἥκεις ἄγων, εἰ μὴ τοῦτο φῂς, ὡς παραλελόγισταί σε ἡ Ἄτροπος. Ἐγὼ δὲ ἐρυθριάσας πρὸς τὸν λόγον ταχέως ὑπεμνήσθην τῶν κατὰ τὴν ὁδὸν, κἀπειδὴ περιβλέπων οὐδαμοῦ τοῦτον εἶδον, συνεὶς τὴν ἀπόδρασιν ἐδίωκον ὡς εἶχον τάχους κατὰ τὴν ἄγουσαν πρὸς τὸ φῶς· εἵπετο δὲ αὐθαίρετός μοι ὁ βέλτιστος οὗτος, καὶ ὥσπερ ἀπὸ ὑσπληγγος θέοντες κατελαμβάνομεν αὐτὸν ἤδη ἐν Ταινάρῳ· παρὰ τοσοῦτον ἦλθε διαφυγεῖν.

5. ΚΛΩΘ. Ἡμεῖς δὲ, ὦ Χάρων, ὀλιγωρίαν ἤδη τοῦ Ἑρμοῦ κατεγιγνώσκομεν.

ΧΑΡ. Τί οὖν ἔτι διαμέλλομεν ὡς οὐχ ἱκανῆς ἡμῖν γεγεννημένης διατριβῆς;

ΚΛΩΘ. Εὖ λέγεις· ἐμβαινέτωσαν. Ἐγὼ δὲ προχειρισαμένη τὸ βιβλίον καὶ παρὰ τὴν ἀποβάθραν καθεζομένη, ὡς ἔθος, ἐπιβαίνοντα ἕκαστον αὐτῶν διαγνώσομαι, τίς καὶ πόθεν καὶ ὅντινα τεθνεὼς τὸν τρόπον· σὺ δὲ παραλαμβάνων στοίβαζε καὶ συντίθει· σὺ δὲ, ὦ Ἑρμῆ, τὰ νεογνὰ ταυτὶ πρῶτα ἐμβαλοῦ· τί γὰρ ἂν καὶ ἀποκρίναιντό μοι;

ΕΡΜ. Ἰδού σοι, ὦ πορθμεῦ, τὸν ἀριθμὸν οὗτοι τριακόσιοι μετὰ τῶν ἐκτεθειμένων.

ΧΑΡ. Βαβαὶ τῆς εὐαγρίας. Ὀμφακίας ἡμῖν νεκροὺς ἥκεις ἄγων.

ΕΡΜ. Βούλει, ὦ Κλωθοῖ, τοὺς ἀκλαύστους ἐπὶ τούτοις ἐμβιβασώμεθα;

ΚΛΩΘ. Τοὺς γέροντας λέγεις; οὕτω ποίει· τί γάρ με δεῖ πράγματα ἔχειν τὰ πρὸ Εὐκλείδου νῦν ἐξετάζουσαν; Οἱ ὑπὲρ ἑξήκοντα ὑμεῖς πάριτε ἤδη. Τί τοῦτο; οὐκ ἐπακούουσί μου βεβυσμένοι τὰ ὦτα ὑπὸ τῶν ἐτῶν. Δεήσει τάχα καὶ τούτους ἀράμενον παραγαγεῖν.

ΕΡΜ. Ἰδοὺ πάλιν οὗτοι δυοῖν δέοντες τετρακόσιοι, τακεροὶ πάντες καὶ πέπειροι καὶ καθ' ὥραν τετρυγημένοι.

ΧΑΡ. Νὴ Δί', ἐπεὶ ἀσταφίδες γε πάντες ἤδη εἰσί.

6. ΚΛΩΘ. Τοὺς τραυματίας ἐπὶ τούτοις, ὦ Ἑρμῆ,

4. MERC. Instituisse fugere dicis? nisi enim vir ille fortissimus, ille cum clava, adjuvisset me, nisi comprehensum vinxissemus, fuga nobis evaserat. Ex quo enim tradiderat illum mihi Atropos, per totam viam contra contendit, et obtraxit gradum, pedibusque solo obnixus non sane facilis ductu fuit: interdum vero supplicavit etiam, et blandis precibus magnisque promissionibus interpositis, dimitti paullum rogavit. Ego vero, ut par erat, non remisi, quum ea illum petere viderem, quæ fieri non possunt. Quum vero in ipsis jam faucibus essemus, annumerante me pro more mortuos Æaco, et illo ad tesseram a tua sorore missam eos recensente, ilicet, clanculum exsecrabilis ille nescio quomodo abierat. Defuit igitur mortuus unus rationibus, et subductis Æacus superciliis, Noli, inquit, Mercuri, apud omnes illa furandi solertia uti: satis tibi apud superos lusus sit; mortuorum res accuratæ, neque latere quicquam potest. Quatuor et mille, ut vides, insculptos habet tabula; tu vero mihi uno minus adducis; nisi forte hoc dixeris, circumventum te ab Atropo. Ego vero erubescens ad hanc illius orationem, mox recordatus sum eorum quæ in via acta essent, quumque circumlatis oculis nusquam hunc viderem, intellecta fuga, quam celeriter potui, qua ad lucem itur persecutus sum; sua vero sponte insecutus me est vir optimus hicce: itaque velut emissi carceribus currentes comprehendimus hominem in ipso jam Tænaro: tantillum aberat quin effugisset.

5. CLOTH. Nos vero, Charon, jam negligentiæ Mercurium damnabamus.

CHAR. At quid cunctamur adhuc, quasi non satis jam morarum fuerit?

CLOTH. Bene dicis: inscendant. Ego vero libro in manus sumto ad scalas assidens, uti mos est, illorum ingredientem unumquemque cognoscam, quis sit et unde et qua ratione mortuus. Tu vero assumtos stipa et compone. At tu, Mercuri, hosce recens natos primum injice: quid enim mihi respondeant?

MERC. En tibi, portitor, trecenti hi sunt numero una cum expositis.

CHAR. Vah dives captura! acerbos nobis et immaturos mortuos adducis.

MERC. Vin', Clotho, ut indeploratos post hosce imponamus?

CLOTH. Senes dicis? ita facias. Quid enim molestiam subeam exquirendi nunc quæ ante Euclidem acta sunt? Vos jam accedite sexagenariis majores. Quid hoc? non exaudiunt me: ab annis ipsis (credo) occalluerunt illis aures. Opus forte erit ut hos quoque sublatos admoveamus.

MERC. En tibi hos etiam duodequadringentos, maturitate mites omnes et suo tempore vindemiatos.

CHAR. Ita sane: qui passi jam omnes et corrugati sint.

6. CLOTH. Jam vulneribus interfectos, Mercuri, admove.

παράγαγε· καὶ πρῶτοί μοι εἴπατε ὅπως ἀποθανόντες ἥκετε· μᾶλλον δὲ αὐτὴ πρὸς τὰ γεγραμμένα ὑμᾶς ἐπισκέψομαι. Πολεμοῦντας ἀποθανεῖν ἔδει χθὲς ἐν Μυσίᾳ τέτταρας ἐπὶ τοῖς ὀγδοήκοντα καὶ τὸν Ὀξυάρτου υἱὸν μετ' αὐτῶν Γωβάρην.

ΕΡΜ. Πάρεισι.

ΚΛΩΘ. Δι' ἔρωτα αὐτοὺς ἀπέσφαξαν ἑπτὰ, καὶ ὁ φιλόσοφος Θεαγένης διὰ τὴν ἑταίραν τὴν Μεγαρόθεν.

ΕΡΜ. Οὑτοιὶ πλησίον.

ΚΛΩΘ. Ποῦ δ' οἱ περὶ τῆς βασιλείας ὑπ' ἀλλήλων ἀποθανόντες;

ΕΡΜ. Παρεστᾶσιν.

ΚΛΩΘ. Ὁ δ' ὑπὸ τοῦ μοιχοῦ καὶ τῆς γυναικὸς φονευθείς;

ΕΡΜ. Ἰδού σοι πλησίον.

ΚΛΩΘ. Τοὺς ἐκ δικαστηρίων δῆτα παράγαγε, λέγω δὴ τοὺς ἐκ τυμπάνου καὶ τοὺς ἀνεσκολοπισμένους. Οἱ δ' ὑπὸ λῃστῶν ἀποθανόντες ἑκκαίδεκα ποῦ εἰσιν, ὦ Ἑρμῆ;

ΕΡΜ. Πάρεισιν οἵδε οἱ τραυματίαι, ὡς ὁρᾷς. Τὰς δὲ γυναῖκας ἅμα βούλει παραγάγω;

ΚΛΩΘ. Μάλιστα, καὶ τοὺς ἀπὸ ναυαγίων γε ἅμα· καὶ γὰρ τεθνᾶσι τὸν ὅμοιον τρόπον. Καὶ τοὺς ἀπὸ τοῦ πυρετοῦ δὲ, καὶ τούτους ἅμα, καὶ τὸν ἰατρὸν μετ' αὐτῶν Ἀγαθοκλέα.

7. Ποῦ δ' ὁ φιλόσοφος Κυνίσκος, ὃν ἔδει τῆς Ἑκάτης τὸ δεῖπνον φαγόντα καὶ τὰ ἐκ τῶν καθαρσίων ᾠὰ καὶ πρὸς τούτοις γε σηπίαν ὠμὴν ἀποθανεῖν;

ΚΥΝ. Πάλαι σοι παρέστηκα, ὦ βελτίστη Κλωθοῖ. Τί δέ με ἀδικήσαντα τοσοῦτον εἴασας ἄνω τὸν χρόνον; σχεδὸν γὰρ ὅλον μοι τὸν ἄτρακτον ἐπέκλωσας. Καίτοι πολλάκις ἐπειράθην τὸ νῆμα διακόψας ἐλθεῖν, ἀλλ' οὐκ οἶδ' ὅπως ἄρρηκτον ἦν.

ΚΛΩΘ. Ἐφορόν σε καὶ ἰατρὸν εἶναι τῶν ἀνθρωπίνων ἁμαρτημάτων ἀπελίμπανον. Ἀλλ' ἔμβαινε ἀγαθῇ τύχῃ.

ΚΥΝ. Μὰ Δί', εἰ μὴ πρότερόν γε τουτονὶ τὸν δεδεμένον ἐμβιβασόμεθα· δέδια γὰρ μή σε παραπείσῃ δέσμενος.

8. ΚΛΩΘ. Φέρ' ἴδω τίς ἐστι.

ΕΡΜ. Μεγαπένθης ὁ Λακύδου, τύραννος.

ΚΛΩΘ. Ἐπίβαινε σύ.

ΜΕΓ. Μηδαμῶς, ὦ δέσποινα Κλωθοῖ, ἀλλά με πρὸς ὀλίγον ἔασον ἀνελθεῖν. Εἶτά σοι αὐτόματος ἥξω καλοῦντος μηδενός.

ΚΛΩΘ. Τί δὲ ἔστιν οὗ χάριν ἀφικέσθαι θέλεις;

ΜΕΓ. Τὴν οἰκίαν ἐκτελέσαι μοι πρότερον ἐπίτρεψον· ἡμιτελὴς γὰρ ὁ δόμος καταλέλειπται.

ΚΛΩΘ. Ληρεῖς· ἀλλ' ἔμβαινε.

ΜΕΓ. Οὐ πολὺν χρόνον, ὦ Μοῖρα, αἰτῶ· μίαν με ἔασον μεῖναι τήνδε ἡμέραν, ἄχρι ἂν τι ἐπισκήψω τῇ γυναικὶ περὶ τῶν χρημάτων, ἔνθα τὸν μέγαν εἶχον θησαυρὸν κατορωρυγμένον.

ΚΛΩΘ. Ἄραρεν· οὐκ ἂν τύχοις.

Et vos primi mihi dicite, qua ratione mortui huc veneritis: potius vero ipsa ad ea quæ descripta sunt, recognoscam. In pugna mori oportuit heri in Mysia quattuor et octaginta et in his Gobarem Oxyartis filium.

MERC. Adsunt.

CLOTH. Amoris impatientia interfecerunt se septem: et Theagenes philosophus propter Megarensem meretricem.

MERC. Hic prope te isti.

CLOTH. Ubi vero sunt qui regnandi causa alter ab altero interemti sunt?

MERC. Astant.

CLOTH. Et ille ab adultero et uxore interfectus?

MERC. En prope te.

CLOTH. Jam judicio damnatos adduc: dico autem illos fustibus et fidiculis excruciatos, itemque palo suffixos. Sexdecim vero a latronibus interfecti ubi sunt, Mercuri?

MERC. Adsunt saucii isti, ut vides. Vin' mulieres simul adducam?

CLOTH. Sane: et naufragos; simul enim et eodem modo perierunt. Et a febri confectos simul, et cum illis Agathoclem medicum.

7. Ubi autem Cyniscus ille philosophus, quem cœna Hecates devorata et ovis piacularibus, insuperque sepia cruda, mori oportuit?

CYN. Olim tibi adsum, Clotho optima. Ob quod vero peccatum meum diu adeo me apud superos reliquisti? fere enim totum mihi fusum glomeraveras: quanquam sæpe tentabam abscisso filo huc venire; at illud nescio quomodo rumpi non poterat.

CLOTH. Reliqueram te, ut inspector esses et medicus eorum quæ peccant homines. Sed inscende, quod faustum felixque sit.

CYN. Non prius, Hercule, quam vinctum huncce imposuerimus: metuo enim ne precibus te suis præter fas moveat.

8. CLOTH. Age videam quis sit.

MERC. Megapenthes Lacydis filius, tyrannus.

CLOTH. Inscende tu.

MEG. Nequaquam, Clotho domina: sed paullum me redire ad superos patere; deinde mea tibi sponte veniam, vocante nemine.

CLOTH. Quid vero est cujus causa ire cupis?

MEG. Domum perficere mihi prius permitte: ex dimidia enim parte ædificatam reliqui.

CLOTH. Nugas agis? verum inscende.

MEG. Non multum, o Parca, temporis oro. Unum hunc diem manere mihi permitte, dum uxori de pecuniis aliquid mandem, ubi magnum thesaurum defossum habeam.

CLOTH. Stat sententia: non potes consequi.

ΜΕΓ. Ἀπολεῖται οὖν ὁ χρυσὸς τοσοῦτος;

ΚΛΩΘ. Οὐκ ἀπολεῖται. Θάρρει τούτου γε ἕνεκα· Μεγακλῆς γὰρ αὐτὸν ὁ σὸς ἀνεψιὸς παραλήψεται.

ΜΕΓ. Ὢ τῆς ὕβρεως. Ὁ ἐχθρὸς, ὃν ὑπὸ ῥαθυμίας ἔγωγε οὐ προαπέκτεινα;

ΚΛΩΘ. Ἐκεῖνος αὐτός· καὶ ἐπιβιώσεταί σοι ἔτη τετταράκοντα καὶ μικρόν τι πρὸς, τὰς παλλακίδας καὶ τὴν ἐσθῆτα καὶ τὸν χρυσὸν ὅλον σου παραλαβών.

ΜΕΓ. Ἀδικεῖς, ὦ Κλωθοῖ, ταμὰ τοῖς πολεμιωτάτοις διανέμουσα.

ΚΛΩΘ. Σὺ γὰρ οὐχὶ Κυδιμάχου αὐτὰ ὄντα, ὦ γενναιότατε, παρειλήφεις ἀποκτείνας τε αὐτὸν καὶ τὰ παιδία ἔτι ἐμπνέοντι ἐπισφάξας;

ΜΕΓ. Ἀλλὰ νῦν ἐμὰ ἦν.

ΚΛΩΘ. Οὐκοῦν ἐξήκει σοι ὁ χρόνος ἤδη τῆς κτήσεως.

9. ΜΕΓ. Ἄκουσον, ὦ Κλωθοῖ, ἃ σοι ἰδίᾳ μηδενὸς ἀκούοντος εἰπεῖν βούλομαι· ὑμεῖς δὲ ἀπόστητε πρὸς ὀλίγον. Ἂν με ἀφῇς ἀποδρᾶναι, χίλιά σοι τάλαντα χρυσίου ἐπισήμου δώσειν ὑπισχνοῦμαι τήμερον.

ΚΛΩΘ. Ἔτι γὰρ χρυσὸν, ὦ γελοῖε, καὶ τάλαντα διὰ μνήμης ἔχεις;

ΜΕΓ. Καὶ τοὺς δύο κρατῆρας, εἰ βούλει, προσθήσω, οὓς ἔλαβον ἀποκτείνας Κλεόκριτον, ἑλκοντας ἑκάτερον χρυσοῦ ἀπέφθου τάλαντα ἑκατόν.

ΚΛΩΘ. Ἕλκετε αὐτόν· ἔοικε γὰρ οὐκ ἐπεμβήσεσθαι ἡμῖν ἑκών.

ΜΕΓ. Μαρτύρομαι ὑμᾶς, ἀτελὲς μένει τὸ τεῖχος καὶ τὰ νεώρια· ἐξετέλεσα γὰρ ἂν αὐτὰ ἐπιβιοὺς πέντε μόνας ἡμέρας.

ΚΛΩΘ. Ἀμέλησον· ἄλλος τειχιεῖ.

ΜΕΓ. Καὶ μὴν τοῦτό γε πάντως εὔγνωμον αἰτῶ.

ΚΛΩΘ. Τὸ ποῖον;

ΜΕΓ. Εἰς τοσοῦτον ἐπιβιῶναι, μέχρι ἂν ὑπαγάγωμαι Πισίδας καὶ Λυδοῖς ἐπιθῶ τοὺς φόρους καὶ μνῆμα ἐμαυτῷ παμμέγεθες ἀναστήσας ἐπιγράψω ὁπόσα ἔπραξα μεγάλα καὶ στρατηγικὰ παρὰ τὸν βίον.

ΚΛΩΘ. Οὗτος, οὐκέτι ταῦτα μίαν ἡμέραν αἰτεῖς, ἀλλὰ σχεδὸν εἴκοσιν ἐτῶν διατριβήν.

10. ΜΕΓ. Καὶ μὴν ἐγγυητὰς ὑμῖν ἕτοιμος παρασχέσθαι τοῦ τάχους καὶ τῆς ἐπανόδου. Εἰ βούλεσθε δὲ, καὶ ἄνταν̓δρον ὑμῖν ἀντ̓ ἐμαυτοῦ παραδώσω τὸν ἀγαπητόν.

ΚΛΩΘ. Ὦ μιαρὲ, ὃν ηὔχου πολλάκις ὑπὲρ γῆς καταλιπεῖν;

ΜΕΓ. Πάλαι ταῦτα ηὐχόμην· νυνὶ δ̓ ὁρῶ τὸ βέλτιον.

ΚΛΩΘ. Ἥξει κἀκεῖνός σοι μετ̓ ὀλίγον ὑπὸ τοῦ νεωστὶ βασιλεύοντος ἀνῃρημένος.

11. ΜΕΓ. Οὐκοῦν ἀλλὰ τοῦτό γε μὴ ἀντείπῃς ὦ Μοῖρά μοι.

ΚΛΩΘ. Τὸ ποῖον;

ΜΕΓ. Εἰδέναι βούλομαι τὰ μετ̓ ἐμὲ ὄντινα ἕξει τὸν τρόπον.

MEG. Peribit igitur tantum auri?

CLOTH. Non peribit : noli laborare. Megacles enim illud cognatus tuus accipiet.

MEG. Heu quæ ista contumelia! inimicus ille meus, quem præ socordia non prius interfeci?

CLOTH. Ille ipse : et superstes tibi erit annis quadraginta et paullo amplius, pellices tuas nactus et vestem et aurum tuum universum.

MEG. Injuriam mihi, Clotho, facis, quæ res meas inimicissimis attribuas.

CLOTH. Nonne enim tu eadem, quum Cydimachi fuissent, accepisti, interfecto illo, et liberis ipsius super spirantem adhuc jugulatis?

MEG. Sed jam quidem mea erant.

CLOTH. Nunc igitur exit tibi possessionis tempus.

9. MEG. Audi, Clotho, quæ tibi soli, nemine audiente, dicturus sum. Vos vero paullum recedite. Si patiaris me aufugere, mille tibi auri signati talenta dare hodie promitto.

CLOTH. Itaque adhuc aurum et talenta in memoria habes, ridiculum caput?

MEG. Et duos crateras, si vis, adjiciam, quos interfecto Cleocrito accepi, utrumque auri excocti et purissimi talentorum centum pondo.

CLOTH. Rapite hominem : sponte enim sua inscensurus non videtur.

MEG. Antestor vos : imperfecta manent mœnia et navale, quæ perfecturus eram si vel quinque ipsos dies vivere adhuc licuisset.

CLOTH. Omitte curam, struet alius.

MEG. Verum hoc quidem omnino æquum postulo.

CLOTH. Quid illud est?

MEG. Tantum ut superstes sim, quoad Pisidas subegero, et Lydis tributa imposuero, et monumentum mihi ipsi maximum excitavero, cui inscribam quot et quanta imperatoria in vita facinora ediderim.

CLOTH. Heus tu, non jam diem unum postulas, sed viginti fere annorum moram.

10. MEG. Verum vades vobis dare paratus sum celeritatis et reditus. Si vultis vero, succedaneum vobis pro me dabo unicum filium meum.

CLOTH. Impurissime, quem sæpe optabas esse tibi superstitem?

MEG. Olim istud optabam; sed nunc quod est melius video.

CLOTH. Veniet et ille tibi paullo post, ab eo qui modo regnat sublatus.

11. MEG. Igitur illud certe non negabis mihi, Parca.

CLOTH. Quid?

MEG. Scire volo quemadmodum post me mea se habitura sint.

ΚΛΩΘ. Ἄκουε· μᾶλλον γὰρ ἀνιάσῃ μαθών. Τὴν μὲν γυναῖκα Μίδας ὁ δοῦλος ἕξει, καὶ πάλαι δὲ αὐτὴν ἐμοίχευεν.

ΜΕΓ. Ὁ κατάρατος, ὃν ἐγὼ πιθόμενος αὐτῇ ἀφῆκα ἐλεύθερον.

ΚΛΩΘ. Ἡ θυγάτηρ δέ σοι ταῖς παλλακίσι τοῦ νυνὶ τυραννοῦντος ἐγκαταλεγήσεται· εἰκόνες δὲ καὶ ἀνδριάντες, οὓς ἡ πόλις ἀνέστησέ σοι πάλαι, πάντες ἀνατετραμμένοι γέλωτα παρέξουσι τοῖς θεωμένοις.

ΜΕΓ. Εἰπέ μοι, τῶν φίλων δὲ οὐδεὶς ἀγαναχτεῖ τοῖς δρωμένοις;

ΚΛΩΘ. Τίς γὰρ ἦν σοι φίλος; ἢ ἐκ τίνος αἰτίας γενόμενος; ἀγνοεῖς ὅτι πάντες οἱ καὶ προσκυνοῦντες καὶ τῶν λεγομένων καὶ πραττομένων ἕκαστα ἐπαινοῦντες ἢ φόβῳ ἢ ἐλπίσι ταῦτ' ἔδρων τῆς ἀρχῆς ὄντες φίλοι καὶ πρὸς τὸν καιρὸν ἀποβλέποντες;

ΜΕΓ. Καὶ μὴν σπένδοντες ἐν τοῖς συμποσίοις μεγάλῃ τῇ φωνῇ ἐπηύχοντό μοι πολλὰ καὶ ἀγαθά, προαποθανεῖν ἕκαστος αὐτῶν ἕτοιμος, εἰ οἷόν τε εἶναι, καὶ ὅλως, ὅρκος αὐτοῖς ἦν ἐγώ.

ΚΛΩΘ. Τοιγαροῦν παρ' ἑνὶ αὐτῶν χθὲς δειπνήσας ἀπέθανες· τὸ γὰρ τελευταῖόν σοι πιεῖν ἐνεχθὲν ἐκεῖνο δευρὶ κατέπεμψέ σε.

ΜΕΓ. Ταῦτ' ἄρα πικροῦ τινος ᾐσθόμην· τί βουλόμενος δὲ ταῦτ' ἔπραξε;

ΚΛΩΘ. Πολλά με ἀνακρίνεις, ἐμβῆναι δέον.

12. ΜΕΓ. Ἕν με πνίγει μάλιστα, ὦ Κλωθοῖ, δι' ὅπερ ἐπόθουν καὶ πρὸς ὀλίγον ἐς τὸ φῶς ἀνακῦψαι πάλιν.

ΚΛΩΘ. Τί δὲ τοῦτό ἐστιν; ἔοικε γάρ τι παμμέγεθες εἶναι.

ΜΕΓ. Καρίων ὁ ἐμὸς οἰκέτης ἐπεὶ τάχιστά με ἀποθανόντα εἶδε, περὶ δείλην ὀψίαν ἀνελθὼν εἰς τὸ οἴκημα, ἔνθα ἐκείμην, σχολῆς οὔσης — οὐδεὶς γὰρ οὐδὲ ἐφύλαττέ με — Γλυκέριον τὴν παλλακίδα μου — καὶ πάλαι δέ, οἶμαι, κεκοινωνήκεσαν — παραγαγὼν ἐπισπασάμενος τὴν θύραν ἐσπόδει καθάπερ οὐδενὸς ἔνδον παρόντος, εἶτ' ἐπειδὴ ἅλις εἶχε τῆς ἐπιθυμίας, ἀποβλέψας εἰς ἐμέ, Σὺ μέντοι, φησίν, ὦ μιαρὸν ἀνθρώπιον, πληγάς μοι πολλάκις οὐδὲν ἀδικοῦντι ἐνέτεινας· καὶ ταῦθ' ἅμα λέγων παρέτιλλέ με καὶ κατὰ κόρρης ἔπαιε, τέλος δὲ πλατὺ χρεμψάμενος καὶ καταπτύσας μου καί, Εἰς τὸν τῶν ἀσεβῶν χῶρον ἄπιθι, ἐπειπὼν ᾤχετο· ἐγὼ δὲ ἐνεπιμπράμην μέν, οὐκ εἶχον δὲ ὅμως ὅ τι καὶ δράσαιμι αὐτὸν αὖος ἤδη καὶ ψυχρὸς ὤν. Καὶ ἡ μιαρὰ δὲ παιδίσκη ἐπεὶ ψόφου προσιόντων τινῶν ἤσθετο, σιέλῳ χρίσασα τοὺς ὀφθαλμοὺς ὡς δακρύσασα ἐπ' ἐμοί, κωκύουσα καὶ τοὔνομα ἐπικαλουμένη ἀπηλλάττετο. Ὤν εἰ λαβοίμην —

13. ΚΛΩΘ. Παῦσαι ἀπειλῶν, ἀλλὰ ἐμβήθι· καιρὸς ἤδη σοι ἁπάντων ἐπὶ τὸ δικαστήριον.

ΜΕΓ. Καὶ τίς ἀξιώσει κατ' ἀνδρὸς τυράννου ψῆφον λαβεῖν;

ΚΛΩΘ. Κατὰ τυράννου μὲν οὐδείς, κατὰ νεκροῦ δὲ

CLOTH. Audi : magis enim iis auditis lugebis. Uxorem tuam Midas habebit servus, qui dudum adulterio illi cognitus est.

MEG. Sacerrimus homo, quem ego illi obsecutus manumisi.

CLOTH. Filia tua in pellicibus ejus, qui nunc imperitat, annumerabitur. Imagines vero et statuæ, quas olim tibi posuit respublica, eversæ omnes, ludibrium præbebunt spectantibus.

MEG. Dic mihi, an amicorum nullus indigne fert ea quæ fiunt?

CLOTH. Quis enim amicus tibi fuit? aut qua justa causa fuisset? Ignoras, etiam qui adorabant te, et quæcumque diceres faceresve laudabant, eos universos aut metu aut spe quadam hoc fecisse, imperii tui amicos et rationem habentes temporis?

MEG. At illi libantes in conviviis magna voce multa mihi et magna bona apprecari solebant, vicariam pro me mortem, si fas esset, subire parati omnes : et omnino per genium meum jurabant.

CLOTH. Igitur apud unum illorum cœnatus heri periisti. Ultimum enim quod oblatum tibi poculum est, illud ipsum huc te demisit.

MEG. Hoc erat ergo, quod amarulentum quid gustabam. Quo vero consilio hæc fecit?

CLOTH. Multa me interrogas, quum inscendendum sit.

12. MEG. Unum me angit maxime, Clotho, propter quod cuperem vel pauxillum in lucem respicere.

CLOTH. Quid vero illud est? videtur enim maximum quiddam esse.

MEG. Cario servus meus, ut primum me vidit mortuum, circa vesperam, quum ascendisset in conclave ubi jacebam, nactus opportunitatem (neque enim quisquam aderat qui me custodiret), Glycerium pellicem meam, cum qua stupri consuetudinem olim, credo, habuit, ostio clauso, quasi nemine intus præsente, subegit : deinde quum explevisset libidinem, me respiciens, Tu quidem, inquit, impure homuncio, plagas mihi sæpe nihil commerito inflixisti; et cum his dictis vellicavit me, et malas mihi percussit : denique pituitam lato screatu adductam in me quum exspuisset, et in impiorum loca abire me jussisset, discessit. Ego vero quamvis excandescens, non habebam tamen quo ulciscerer hominem, qui exsanguis jam et frigidus essem. Scelesta vero puella, strepitu quorundam supervenientium animadverso, saliva madefactis oculis, quasi me lacrimasset, plorans et nomen meum appellans discessit. Quos ego si nanciscar —

13. CLOTH. Parce minis, sed inscende : tempus est te jam ad tribunal venire.

MEG. Et quis audebit contra virum tyrannum sumere tabellam?

CLOTH. Contra tyrannum quidem nemo; contra mor-

ὁ Ῥαδάμανθυς, ὃν αὐτίκα ὄψει μάλα δίκαιον καὶ κατ' ἀξίαν ἐπιτιθέντα ἑκάστῳ τὴν δίκην· τὸ δὲ νῦν ἔχον μὴ διάτριβε.

ΜΕΓ. Κἂν ἰδιώτην με ποίησον, ὦ Μοῖρα, τῶν πενήτων, κἂν δοῦλον ἀντὶ τοῦ πάλαι βασιλέως· ἀναβιῶναί με ἔασον μόνον.

ΚΛΩΘ. Ποῦ 'στιν ὁ τὸ ξύλον; καὶ σὺ δέ, ὦ Ἑρμῆ, σύρετ' αὐτὸν εἴσω τοῦ ποδός· οὐ γὰρ ἂν ἐμβαίη ἑκών.

ΕΡΜ. Ἕπου νῦν, δραπέτα· δέχου τοῦτον σὺ, πορθμεῦ, καὶ, τὸ δεῖνα, ὅπως ἀσφαλῶς —

ΧΑΡ. Ἀμέλει, πρὸς τὸν ἱστὸν δεδήσεται.

ΜΕΓ. Καὶ μὴν ἐν τῇ προεδρίᾳ καθέζεσθαί με δεῖ.

ΚΛΩΘ. Ὅτι τί;

ΜΕΓ. Ὅτι, νὴ Δία, τύραννος ἦν καὶ δορυφόρους εἶχον μυρίους.

ΚΥΝ. Εἶτ' οὐ δικαίως σε παρέτιλλεν ὁ Καρίων οὑτωσὶ σκαιὸν ὄντα; πικρὰν γοῦν τὴν τυραννίδα ἕξεις γευσάμενος τοῦ ξύλου.

ΜΕΓ. Τολμήσει γὰρ Κυνίσκος ἐπανατείνασθαί μοι τὸ βάκτρον; οὐκ ἐγώ σε πρώην, ὅτι ἐλεύθερος ἄγαν καὶ τραχὺς ἦσθα καὶ ἐπιτιμητικὸς, μικροῦ δεῖν προσεπατάλευσα;

ΚΥΝ. Τοιγαροῦν μενεῖς καὶ σὺ τῷ ἱστῷ προσπεπατταλευμένος.

14. ΜΙΚ. Εἰπέ μοι, ὦ Κλωθοῖ, ἐμοῦ δὲ οὐδεὶς ὑμῖν λόγος; ἢ διότι πένης εἰμὶ, διὰ τοῦτο καὶ τελευταῖον ἐμβῆναί με δεῖ;

ΚΛΩΘ. Σὺ δὲ τίς εἶ;

ΜΙΚ. Ὁ σκυτοτόμος Μίκυλλος.

ΚΛΩΘ. Εἶτα ἄχθῃ βραδύνων; οὐχ ὁρᾷς ὁπόσα ὁ τύραννος ὑπισχνεῖται δώσειν ἀφεθεὶς πρὸς ὀλίγον; θαῦμα γοῦν ἔχει με εἰ μὴ ἀγαπητὴ καὶ σοὶ ἡ διατριβή.

ΜΙΚ. Ἄκουσον, ὦ βελτίστη Μοιρῶν· οὐ πάνυ με ἡ τοῦ Κύκλωπος εὐφραίνει δωρεὰ, τὸ ὑπισχνεῖσθαι ὅτι πύματον ἐγὼ τὸν Οὖτιν κατέδομαι· ἂν τε γοῦν πρῶτον, ἂν τε πύματον, οἱ αὐτοὶ ὀδόντες περιμένουσιν. Ἄλλως τε οὐδ' ὅμοια τἀμὰ τοῖς τῶν πλουσίων· ἐξ διαμέτρου γὰρ ἡμῖν οἱ βίοι, φασίν· ὁ μέν γε τύραννος εὐδαίμων εἶναι δοκῶν παρὰ τὸν βίον, φοβερὸς ἅπασι καὶ περίβλεπτος, ἀπολιπὼν χρυσὸν τοσοῦτον καὶ ἀργύριον καὶ ἐσθῆτα καὶ ἵππους καὶ δεῖπνα καὶ παῖδας ὡραίους καὶ γυναῖκας εὐμόρφους εἰκότως ἠνιᾶτο καὶ ἀποσπώμενος αὐτῶν ἤχθετο· οὐ γὰρ οἷδ' ὅπως καθάπερ ἰξῷ τινι προσέχεται τοῖς τοιούτοις ἡ ψυχὴ καὶ οὐκ ἐθέλει ἀπαλλάττεσθαι ῥᾳδίως ἅτε αὐτοῖς πάλαι προστετηκυῖα· μᾶλλον δὲ ὥσπερ ἄρρηκτός τις οὗτος ὁ δεσμός ἐστιν, ᾧ δεδέσθαι συμβέβηκεν αὐτούς· ἀμέλει κἂν ἀπάγῃ τις αὐτοὺς μετὰ βίας, ἀνακωκύουσι καὶ ἱκετεύουσι, καὶ τἄλλα ὄντες θρασεῖς, δειλοὶ πρὸς ταύτην εὑρίσκονται τὴν ἐπὶ τὸν Ἅδην φέρουσαν ὁδόν· ἐπιστρέφονται γοῦν εἰς τοὐπίσω καὶ ὥσπερ οἱ δυσέρωτες κἂν πόρρωθεν ἀποβλέπειν τὰ ἐν τῷ φωτὶ βούλονται, οἷα ὁ μάταιος ἐκεῖνος ἐποίει καὶ παρὰ τὴν ὁδὸν ἀποδιδράσκων κἀνταῦθά σε καταλιπαρῶν.

tuum vero Rhadamanthus, quem statim videbis plane justum et juste de unoquoque pronunciantem. Jam vero moras diutius nectere noli.

MEG. Vel privatum me facito, Parca, pauperum unum, vel servum pro eo qui rex nuper fui : ad vitam modo redire me patere.

CLOTH. Ubi ille cum clava? et tu, Mercuri, pede illum intro trahite : neque enim sponte intraverit.

MERC. Sequere jam, fugitive : assume hunc, portitor, et, quod dicere volebam, ut tuto —

CHAR. Noli curare, ad malum alligabitur.

MEG. Atqui loco primo assidere me oportet.

CLOTH. Quid ita?

MEG. Quod mehercule tyrannus fui, et satellites decies mille habui.

CYN. Et tum non juste barbam tibi vellit Cario, scævo adeo mortali? Amaram igitur tyrannidem habebis, clava hujus subinde gustata.

MEG. Audebit quippe Cyniscus intendere mihi baculum? non ego te nuper, quum procax nimium et asper esses, et increpare me ausus, vix continebar quin clavis affigerem?

CYN. Propterea et tu nunc ad malum defixus manebis.

14. MIC. Dic mihi, Clotho, mei plane nulla a vobis habetur ratio? an quod pauper sum, ideo ultimo etiam inscendendum mihi est?

CLOTH. Tu vero quis es?

MIC. Sutor Micyllus.

CLOTH. Et gravaris moram? non vides quanta daturum se pollicetur tyrannus, ad exiguum tempus si dimittatur? miror igitur, nisi tibi etiam grata videtur mora.

MIC. Audi, Parcarum optima. Non sane illud me Cyclopis munus delectat, quum promittit, Ultimum ego Utin devorabo : sive primum enim sive ultimum, iidem dentes manent. Ceterum nec par mea ac divitum ratio est : ex diametro enim opposita nobis vitæ genera. Tyrannus quippe felix quum videretur in vita, metuendus omnibus et conspicuus, relicto auro illo tanto atque argento, et vestibus, et equis, et cœnis, et pueris speciosis, formosisque mulieribus, non absurde angebatur, et ab illis abstrahi ferebat graviter : nescio enim quomodo velut visco quodam talibus adhærescit animus, nec facile ab illis vult discedere, quibus olim conglutinatus velut fuerit : potius illud quasi nescium rumpi vinculum est, quo devinciri eos contigit. Quin si quis vi illos abducat, ejulatus tollunt, supplicant, et quum cetera sint audaces, meticulosi ad hanc ferentem ad inferos viam deprehenduntur. Itaque conversi retro ad ea quæ a tergo sunt, ut invenusti amatores, e longinquo certe aspicere cupiunt, ea quæ in vita sunt, qualia ineptus ille modo factitabat, qui et in via fugam tentarit, et hic te fatigarit precibus.

15. Ἐγὼ δὲ ἅτε μηδὲν ἔχων ἐνέχυρον ἐν τῷ βίῳ, οὐκ ἀγρὸν, οὐ συνοικίαν, οὐ χρυσὸν, οὐ σκεῦος, οὐ δόξαν, οὐκ εἰκόνας, εἰκότως εὔζωνος ἦν, κἀπειδὴ μόνον ἡ Ἄτροπος ἔνευσέ μοι, ἄσμενος ἀπορρίψας τὴν σμίλην καὶ τὸ κάττυμα — κρηπῖδα γάρ τινα ἐν ταῖν χεροῖν εἶχον — ἀναπηδήσας εὐθὺς ἀνυπόδητος οὐδὲ τὴν μελαντηρίαν ἀπονιψάμενος εἱπόμην· μᾶλλον δὲ ἡγούμην ἐς τὸ πρόσω ὁρῶν. Οὐδὲν γάρ με τῶν κατόπιν ἐπέστρεφε καὶ μετεκάλει. Καὶ νὴ Δί' ἤδη καλὰ τὰ παρ' ὑμῖν πάντα ὁρῶ· τό τε γὰρ ἰσοτιμίαν ἅπασιν εἶναι καὶ μηδένα τοῦ πλησίον διαφέρειν, ὑπερήδιστον ἐμοὶ γοῦν δοκεῖ. Τεκμαίρομαι δὲ μηδ' ἀπαιτεῖσθαι τὰ χρέα τοὺς ὀφείλοντας ἐνταῦθα μηδὲ φόρους ὑποτελεῖν, τὸ δὲ μέγιστον, μηδὲ ῥιγοῦν τοῦ χειμῶνος μηδὲ νοσεῖν μηδ' ὑπὸ τῶν δυνατωτέρων ῥαπίζεσθαι. Εἰρήνη δὲ πᾶσα καὶ τὰ πράγματα ἐς τὸ ἔμπαλιν ἀνατετραμμένα· ἡμεῖς μὲν οἱ πένητες γελῶμεν, ἀνιῶνται δὲ καὶ οἰμώζουσιν οἱ πλούσιοι.

16. ΚΛΩΘ. Πάλαι οὖν σε, ὦ Μίκυλλε, γελῶντα ἑώρων. Τί δὲ ἦν ὅ σε μάλιστα ἐκίνει γελᾶν;

ΜΙΚ. Ἄκουσον, ὦ τιμιωτάτη μοι θεῶν· παροικῶν ἄνω τυράννῳ πάνυ ἀκριβῶς ἑώρων τὰ γιγνόμενα παρ' αὐτῷ καί μοι ἐδόκει τότε ἰσόθεός τις εἶναι· τῆς τε γὰρ πορφύρας τὸ ἄνθος ὁρῶν ἐμακάριζον, καὶ τῶν ἀκολουθούντων τὸ πλῆθος καὶ τὸν χρυσὸν καὶ τὰ λιθοκόλλητα ἐκπώματα καὶ τὰς κλίνας τὰς ἀργυρόποδας· ἔτι δὲ καὶ ἡ κνῖσα ἡ τῶν σκευαζομένων εἰς τὸ δεῖπνον ἀπέκναιέ με, ὥστε ὑπεράνθρωπός τις ἀνὴρ καὶ τρισόλβιός μοι κατεφαίνετο καὶ μονονουχὶ καλλίων καὶ ὑψηλότερος ὅλῳ πήχει βασιλικῷ, ἐπαιρόμενος τῇ τύχῃ καὶ σεμνῶς προβαίνων καὶ ἑαυτὸν ἐξυπτιάζων καὶ τοὺς ἐντυγχάνοντας ἐκπλήττων· ἐπεὶ δὲ ἀπέθανεν, αὐτός τε παγγέλοιος ὤφθη μοι ἀποδυσάμενος τὴν τρυφὴν, κἀμαυτοῦ ἔτι μᾶλλον κατεγέλων, οἷον κάθαρμα ἐτεθήπειν ἀπὸ τῆς κνίσης τεκμαιρόμενος αὐτοῦ τὴν εὐδαιμονίαν καὶ μακαρίζων ἐπὶ τῷ αἵματι τῶν ἐν τῇ Λακωνικῇ θαλάττῃ κοχλίδων.

17. Οὐ μόνον δὲ τοῦτον, ἀλλὰ καὶ τὸν δανειστὴν Γνίφωνα ἰδὼν στένοντα καὶ μεταγιγνώσκοντα, ὅτι μὴ ἀπέλαυσε τῶν χρημάτων, ἀλλ' ἄγευστος αὐτῶν ἀπέθανε. τῷ ἀσώτῳ Ῥοδοχάρει τὴν οὐσίαν καταλιπών — οὗτος γὰρ ἄγχιστα ἦν αὐτῷ γένους καὶ πρῶτος ἐπὶ τὸν κλῆρον ἐκαλεῖτο παρὰ τῶν νόμων — οὐκ εἶχον ὅπως καταπαύσω τὸν γέλωτα, καὶ μάλιστα μεμνημένος ὡς ὠχρὸς ἀεὶ καὶ αὐχμηρὸς ἦν, φροντίδος τὸ μέτωπον ἀνάπλεως καὶ μόνοις τοῖς δακτύλοις πλουτῶν, οἷς τάλαντα καὶ μυριάδας ἐλογίζετο, κατὰ μικρὸν συλλέγων τὰ μετ' ὀλίγον ἐκχυθησόμενα πρὸς τοῦ μακαρίου Ῥοδοχάρους. Ἀλλὰ τί οὐκ ἀπερχόμεθα ἤδη; καὶ μεταξὺ γὰρ πλέοντες τὰ λοιπὰ γελασόμεθα οἰμώζοντας αὐτοὺς ὁρῶντες.

ΚΛΩΘ. Ἔμβαινε, ἵνα καὶ ἀνιμήσηται ὁ πορθμεὺς τὸ ἀγκύριον.

18. ΧΑΡ. Οὗτος, ποῖ φέρῃ; πλῆρες ἤδη τὸ σκάφος· αὐτοῦ περίμενε εἰς αὔριον· ἔωθέν σε διαπορθμεύσομεν.

15. Ego vero, quippe qui nullum in vita pignus haberem, nec agrum, nec domus plures, nec aurum, nec instrumentum, neque gloriam, neque statuas, non est mirum quod succinctus fui, et ad primum Atropi nutum lætus, abjecto scalpro et coriis (crepidam forte in manibus habebam), exsilii statim, ut eram discalceatus, ac non abluto prius atramento, secutus sum, vel præivi potius, ad anteriora prospiciens: neque enim quicquam eorum quæ a tergo erant advertit me et revocavit. Et Hercules, jam pulchra esse vestra video omnia. Quod enim æquo omnes honore sunt, neque quisquam super alium eminet, supra sane quam dici potest jucundum mihi videtur. Arbitror autem neque æs alienum reposci hic debitores, nec tributa pendere; et quod maximum, neque frigere per hiemem, neque ægrotare, nec pulsari a potentioribus. Pax vero ubique, et res plane in contrarium versæ: nos enim ridemus pauperes, at illi divites afflictantur et plorant.

16. CLOTH. Hoc est quod diu te ridere observavi, Micylle. Quid vero est quod risum tibi movit maxime?

MIC. Audi, veneranda mihi maxime dearum. Quum apud superos vicinus essem tyranhi, accurate, quæ fierent ab illo, observavi, et videbatur mihi tunc par diis esse: quippe florem purpuræ quum viderem et ministrantium multitudinem, et aurum et pocula gemmis distincta, et lectos argenteis fultos pedibus, beatum hominem prædicabam: enecabat me porro nidor eorum quæ in cœnam illi parabantur, adeo quidem, ut ille egressus mortalium sortem ac ter beatus mihi videretur, ac tantum non pulchrior excelsiorque reliquis cubito ipso regio: sublatus fortuna, et procedens cum gravitate quadam, ac vultu supino, et colloqui volentibus terrorem incutiens. Quum vero defunctus esset, et ipse mihi usquequaque ridiculus videbatur exutis illis deliciis, meque ipsum magis etiam deridebam quale purgamentum admiratus essem, nidore æstimans illius felicitatem, et beatum illum putans propter cochlearum Laconici maris sanguinem.

17. Quum vero non hunc solum, sed præterea Gniphonem fœneratorem viderem, ingemiscentem et cruciantem se pœnitentia, quippe non fruitum divitiis, sed haud gustatis illis mortuum, relicta substantia Rhodochari luxurioso, qui proximus genere illi quum esset, primus lege ad hæreditatem vocabatur; hæc inquam quum viderem, compescere risum non potui, recordatus præsertim, quam pallidus semper squalidusque fuerit, curarum, quod frons ostenderet, plenus, solisque dives digitis, quibus talenta et myriadas computaret, minutatim ea colligens, quæ paullo post effundentur a beato illo Rhodochare. Sed cur non jam solvimus? etenim inter navigandum ridebimus reliqua, plorare illos videntes.

CLOTH. Ingredere, ut tollat ancoram portitor.

18. CHAR. Heus tu, quo tendis? plena jam est cymba: illic exspecta: cras mane trajiciemus te.

ΜΙΚ. Ἀδικεῖς, ὦ Χάρων, ἕωλον ἤδη νεκρὸν ἀπολιμπάνων· ἀμελεῖ γράψομαί σε παρανόμων ἐπὶ τοῦ Ῥαδαμάνθυος. Οἴμοι τῶν κακῶν· ἤδη πλέουσιν· ἐγὼ δὲ μόνος ἐνταῦθα περιλελείψομαι. Καίτοι τί οὐ διανήχομαι κατ' αὐτούς; οὐ γὰρ δέδια μὴ ἀπαγορεύσας ἀποπνιγῶ ἤδη τεθνεώς· ἄλλως τε οὐδὲ τὸν ὀβολὸν ἔχω τὰ πορθμεῖα καταβαλεῖν.

ΚΛΩΘ. Τί τοῦτο; περίμεινον, ὦ Μίκυλλε· οὐ θέμις οὕτω σε διελθεῖν.

ΜΙΚ. Καὶ μὴν ἴσως ὑμῶν καὶ προκαταχθήσομαι.

ΚΛΩΘ. Μηδαμῶς, ἀλλὰ προσελάσαντες ἀναλάβωμεν αὐτόν, καὶ σὺ, ὦ Ἑρμῆ, συνανάσπασον.

19. ΧΑΡ. Ποῦ νῦν καθεδεῖται; μεστὰ γὰρ πάντα, ὡς ὁρᾷς.

ΕΡΜ. Ἐπὶ τοὺς ὤμους, εἰ δοκεῖ, τοῦ τυράννου.

ΚΛΩΘ. Καλῶς ὁ Ἑρμῆς ἐνενόησεν.

ΧΑΡ. Ἀνάβαινε οὖν καὶ τὸν τένοντα τοῦ ἁλιτηρίου καταπάτει· ἡμεῖς δὲ εὐπλοῶμεν.

ΚΥΝ. Ὦ Χάρων, καλῶς ἔχει σοι τὰς ἀληθείας ἐντεῦθεν εἰπεῖν. Ἐγὼ τὸν ὀβολὸν μὲν οὐκ ἂν ἔχοιμι δοῦναί σοι καταπλεύσας· πλέον γὰρ οὐδέν ἐστι τῆς πήρας, ἣν ὁρᾷς, καὶ τουτουὶ τοῦ ξύλου· τἆλλα δὲ ἢν ἀντλεῖν ἐθέλῃς ἕτοιμος καὶ πρόσκωπος εἶναι· μέμψῃ δὲ οὐδέν, ἢν εὑρῇς καὶ καρτερόν μοι ἐρετμὸν δῷς μόνον.

ΧΑΡ. Ἔρεττε· καὶ τοῦτο γὰρ ἱκανὸν παρὰ σοῦ λαβεῖν.

ΚΥΝ. Ἦ καὶ ὑποκελεῦσαι δεήσει;

ΧΑΡ. Νὴ Δί', ἥνπερ εἰδῇς κέλευσμά τι τῶν ναυτικῶν.

ΚΥΝ. Οἶδα καὶ πολλά, ὦ Χάρων. Ἀλλ', ὁρᾷς, ἀντεπηχοῦσιν οὗτοι δακρύοντες· ὥστε ἡμῖν τὸ ᾆσμα ἐπιταραχθήσεται.

20. ΝΕΚΡΟΙ. Οἴμοι τῶν κτημάτων. — Οἴμοι τῶν ἀγρῶν. — Ὀτοτοῖ, τὴν οἰκίαν οἵαν ἀπέλιπον. — Ὅσα τάλαντα ὁ κληρονόμος σπαθήσει παραλαβών. — Αἰαῖ, τῶν νεογνῶν μοι παιδίων. — Τίς ἄρα τὰς ἀμπέλους τρυγήσει, ἃς πέρυσιν ἐφυτευσάμην;

ΕΡΜ. Μίκυλλε, σὺ δ' οὐδὲν οἰμώζεις; καὶ μὴν οὐ θέμις ἀδακρυτὶ διαπλεῦσαί τινα.

ΜΙΚ. Ἄπαγε· οὐδέν ἐστιν ἐφ' ὅτῳ ἂν οἰμώξαιμι εὐπλοῶν.

ΕΡΜ. Ὅμως κἂν μικρόν τι ἐς τὸ ἔθος ἐπιστέναξον.

ΜΙΚ. Οἰμώξομαι τοίνυν, ἐπειδή, ὦ Ἑρμῆ, σοὶ δοκεῖ. Οἴμοι τῶν καττυμάτων· οἴμοι τῶν κρηπίδων τῶν παλαιῶν· ὀτοτοῖ τῶν σαθρῶν ὑποδημάτων. Οὐκέτι ὁ κακοδαίμων ἔωθεν εἰς ἑσπέραν ἄσιτος διαμενῶ, οὐδὲ τοῦ χειμῶνος ἀνυπόδητός τε καὶ ἡμίγυμνος περινοστήσω τοὺς ὀδόντας ὑπὸ τοῦ κρύους συγκροτῶν. Τίς ἄρα μου τὴν σμίλην ἕξει καὶ τὸ κεντητήριον;

ΕΡΜ. Ἱκανῶς τεθρήνηται· σχεδὸν δὲ ἤδη καὶ καταπεπλεύκαμεν.

21. ΧΑΡ. Ἄγε δὴ τὰ πορθμεῖα πρῶτον ἡμῖν ἀπόδοτε· καὶ σὺ δός· παρὰ πάντων ἤδη ἔχω. Δὸς καὶ σὺ τὸν ὀβολόν, ὦ Μίκυλλε.

MIC. Injuriam mihi, Charon, facis, si relinquas me hesternum jam mortuum. Crede mihi, legum te violatarum apud Rhadamanthum reum faciam. Heu mihi malorum! jam navigant, ego vero solus hic destituar. Quanquam cur non post illos transnato? neque enim metuo ne viribus defectus suffocer, qui jam sim mortuus, præsertim quum nec obolum habeam unde naulum solvam.

CLOTH. Quid hoc? exspecta, Micylle: non est fas ita te transire.

MIC. Quin forte citius quam vos deferar.

CLOTH. Nequaquam: sed adnavigabimus ejus recipiendi causa, et tu, Mercuri, una illum manu porrecta intro trahe.

19. CHAR. Ubi jam sedebit? plena enim, ut vides, omnia.

MERC. Super humeros, si videtur, tyranni.

CLOTH. Scite excogitavit illud Mercurius.

CHAR. Ascende igitur et cervices impii conculca. Nobis vero felix cursus contingat!

CYN. Optimum fuerit, nunc tibi, Charon, verum dicere. Ego obolum, quem post trajectum tibi solvam, non habeo: neque enim mihi quicquam est præter hanc quam vides peram, et hanc clavam. Ceterum si exhaurire me velis, aut remigare, paratus sum: nihil autem de me querere, modo commodum et robustum mihi remum dederis.

CHAR. Remiga. Satis etenim fuerit si hoc abs te auferam.

CYN. Numquid etiam cantu incitare remiges oportebit?

CHAR. Sane, si nosti celeusma quoddam nauticum.

CYN. Novi, Charon, et plurima quidem. Sed vide, occinunt hi nobis ploratus: itaque cantus nobis perturbabitur.

20. MORTUI. Hei mihi divitias! — Hei mihi agros! — Hei hei quam domum reliqui! — Quot talenta hæres meus a me accepta per luxum effundet! — Hei hei recens mihi natos pueros! — Quis igitur vineas vindemiabit, quas superiore anno institui?

MERC. Tu vero nihil, Micylle, ploras! et tamen nefas est, sine lacrimis quenquam trajicere.

MIC. Apage, nihil est quod secunda adeo navigatione plorem.

MERC. Tamen vel pauxillum quiddam moris gratia ingemisce.

MIC. Plorabo igitur, quum tibi ita videatur, Mercuri. Hei frusta corii! hei crepidas veteres! hei hei putres calceos! Non jam infelix ego a mane ad vesperam sine cibo manebo, nec hieme sine calceis oberrabo et seminudus, stridens præ frigore dentibus. Quis igitur scalprum meum habebit et subulam?

MERC. Satis ploratum est, et prope jam trajecimus.

21. CHAR. Age jam vecturæ pretium nobis primum date: da tu quoque: ab omnibus jam habeo. Tu quoque obolum da, Micylle.

ΜΙΚ. Παίζεις, ὦ Χάρων, ἢ καθ' ὕδατος, φασὶν, γράφεις παρὰ Μικύλλου τινὰ ὀβολὸν προσδοκῶν. Ἀρχὴν δὲ οὐδὲ οἶδα εἰ τετράγωνόν ἐστιν ὁ ὀβολὸς ἢ στρογγύλον.

ΧΑΡ. Ὦ καλῆς ναυτιλίας καὶ ἐπικερδοῦς τήμερον. Ἀποβαίνετε δ' ὅμως· ἐγὼ δ' ἵππους καὶ βοῦς καὶ κύνας καὶ τὰ λοιπὰ ζῷα μέτειμι· διαπλεῦσαι γὰρ ἤδη κἀκεῖνα δεῖ.

ΚΛΩΘ. Ἄπαγε αὐτοὺς, Ἑρμῆ, παραλαβών· ἐγὼ δὲ αὐτὴ ἐς τὸ ἀντιπέραν ἀναπλευσοῦμαι Ἰνδοπάτρην καὶ Ἡραμίθρην τοὺς Σῆρας διάξουσα· τεθνᾶσι γὰρ ἤδη πρὸς ἀλλήλων περὶ γῆς ὅρων μαχόμενοι.

ΕΡΜ. Προΐωμεν, ὦ οὗτοι· μᾶλλον δὲ πάντες ἕξῆς ἕπεσθέ μοι.

22. ΜΙΚ. Ὦ Ἡράκλεις, τοῦ ζόφου. Ποῦ νῦν ὁ καλὸς Μέγιλλος; ἢ τῷ διαγνῷ τις ἐνταῦθα εἰ καλλίων Φρύνης Σιμίχη; πάντα γὰρ ἴσα καὶ ὁμόχροα καὶ οὐδὲν οὔτε καλὸν οὔτε κάλλιον, ἀλλ' ἤδη καὶ τὸ τριβώνιον πρότερον τέως ἄμορφον εἶναί μοι δοκοῦν ἰσότιμον γίγνεται τῇ πορφυρίδι τοῦ βασιλέως· ἀφανῆ γὰρ ἄμφω καὶ ὑπὸ τῷ αὐτῷ σκότῳ καταδεδυκότα. Κυνίσκε, σὺ δὲ ποῦ ποτε ἄρα ὢν τυγχάνεις;

ΚΥΝ. Ἐνταῦθα λέγω σοι, Μίκυλλε· ἀλλ' ἅμα, εἰ δοκεῖ, βαδίζωμεν.

ΜΙΚ. Εὖ λέγεις· ἔμβαλέ μοι τὴν δεξιάν. Εἰπέ μοι — ἐτελέσθης γὰρ, ὦ Κυνίσκε, τὰ Ἐλευσίνια δῆλον ὅτι — οὐχ ὅμοια τοῖς ἐκεῖ τὰ ἐνθάδε σοι δοκεῖ;

ΚΥΝ. Εὖ λέγεις· ἰδοὺ γοῦν προσέρχεται δᾳδουχοῦσά τις φοβερόν τι καὶ ἀπειλητικὸν προσβλέπουσα. Ἦ ἄρα που Ἐρινύς ἐστιν;

ΜΙΚ. Ἔοικεν ἀπό γε τοῦ σχήματος.

23. ΕΡΜ. Παράλαβε τούτους, ὦ Τισιφόνη, τέτταρας ἐπὶ τοῖς χιλίοις.

ΤΙΣ. Καὶ μὴν πάλαι γε ὁ Ῥαδάμανθυς οὗτος ὑμᾶς περιμένει.

ΡΑΔ. Πρόσαγε τούτους, ὦ Ἐρινύ. Σὺ δὲ, ὦ Ἑρμῆ, κήρυττε καὶ προσκάλει.

ΚΥΝ. Ὦ Ῥαδάμανθυ, πρὸς τοῦ πατρὸς πρῶτον ἐμὲ ἐπίσκεψαι παραγαγών.

ΡΑΔ. Τίνος ἕνεκα;

ΚΥΝ. Πάντως βούλομαι κατηγορῆσαί τινος ἃ συνεπίσταμαι πονηρὰ δράσαντι αὐτῷ παρὰ τὸν βίον. Οὐκ ἂν οὖν ἀξιόπιστος εἴην λέγων, μὴ οὐχὶ πρότερον αὐτὸς φανεὶς οἷός εἰμι καὶ οἷόν τινα ἐβίωσα τὸν τρόπον.

ΡΑΔ. Τίς δὲ σύ;

ΚΥΝ. Κυνίσκος, ὦ ἄριστε, τὴν γνώμην φιλόσοφος.

ΡΑΔ. Δεῦρ' ἐλθὲ καὶ πρῶτος εἰς τὴν δίκην κατάστηθι. Σὺ δὲ προσκάλει τοὺς κατηγόρους.

24. ΕΡΜ. Εἴ τις Κυνίσκου τουτουΐ κατηγορεῖ, δεῦρο προσίτω.

ΚΥΝ. Οὐδεὶς προσέρχεται.

ΡΑΔ. Ἀλλ' οὐχ ἱκανὸν τοῦτο, ὦ Κυνίσκε· ἀπόδυθι δὲ, ὅπως ἐπισκοπήσω σε ἀπὸ τῶν στιγμάτων.

ΚΥΝ. Ποῦ γὰρ ἐγὼ στιγματίας ἐγενόμην;

MIC. Ludis, Charon, aut in aqua, quod aiunt, scribis, a Micyllo si exspectas obolum. Omnino enim neque hoc novi, quadratum quiddam sitne obolus, an rotundum.

CHAR. Præclaram vero navigationem hodie et lucrosam! Excendite tamen. Ego vero ad equos, et boves, et canes, et reliquas animantes transeo: trajici enim et has oportet.

CLOTH. Accipe istos abducendos, Mercuri. Ego ipsa in adversam ripam renavigabo, Indopatrem et Heramithrem Seras transductura: mortui enim sunt in pugna quam inter se de finibus commiserant.

MERC. Heus procedamus, vel potius sequimini me deinceps omnes.

22. MIC. Vah quanta hic obscuritas! ubi nunc pulcher Megillus? aut qua re hic dignoscat aliquis, pulchriorne Phryne sit Simicha? omnia enim æqualia, et ejusdem coloris, neque quicquam vel pulchrum vel pulchrius, sed jam detrita illa lacerna, quæ turpis mihi paullo ante videbatur, æquum honorem regis purpuræ obtinet: speciem enim neutra habet, easdem utraque tenebras subiit. Tu vero ubi tandem es, Cynisce?

CYN. Hic, dico tibi, Micylle. Sed, si videtur, ambo una ibimus.

MIC. Bene mones: manum mihi porrige. Dic mihi (initiatus enim es, Cynisce, Eleusiniis), nonne tibi similis hic status superis esse rebus videtur?

CYN. Bene dicis. Ecce igitur accedit cum facibus mulier, terribile et minax quiddam tuens. Numquid ista Erinnys est?

MIC. Sic quidem videtur, habitum si spectes.

23. MERC. Adsume hosce, Tisiphone, quatuor supra mille.

TIS. Quin diu jam Rhadamanthus hic vos exspectat.

RHAD. Adduc eos, Erinnys. Tu vero, Mercuri, præconium fac et advoca.

CYN. Per ego te tuum patrem obtestor, Rhadamanthe, me primum inspiciendum admove.

RHAD. Qua causa?

CYN. Omnino decrevi accusare criminum quendam quæ me conscio in vita patravit: neque vero fide dignus ante fuerim, quam aperto, quis fuerim ipse, et quonam modo vixerim.

RHAD. Quis autem es?

CYN. Cyniscus, vir optime, sententia philosophus.

RHAD. Huc accede, et primus sta in judicio. Tu vero accusaturos advoca.

24. MERC. Si quis contra hunc Cyniscum velit dicere, huc accedito.

CYN. Nemo accedit.

RHAD. Verum non satis hoc est, Cynisce. Exue te, ut inspiciam de stigmatis.

CYN. Ubinam ego notis compunctus essem?

ΡΑΔ. Ὁπόσα ἄν τις ὑμῶν πονηρὰ ἐργάσηται παρὰ τὸν βίον, καθ' ἕκαστον αὐτῶν ἀφανῆ στίγματα ἐπὶ τῆς ψυχῆς περιφέρει.

ΚΥΝ. Ἰδού σοι γυμνὸς παρέστηκα· ὥστε ἀναζήτει ταῦτα ἅπερ σὺ φῂς τὰ στίγματα.

ΡΑΔ. Καθαρὸς ὡς ἐπίπαν οὑτοσὶ πλὴν τούτων τῶν τριῶν ἢ τεττάρων ἀμαυρῶν πάνυ καὶ ἀσαφῶν στιγμάτων. Καίτοι τί τοῦτο; ἴχνη μὲν καὶ σημεῖα πολλὰ τῶν ἐγκαυμάτων, οὐκ οἶδα δὲ ὅπως ἐξαλήλιπται, μᾶλλον δὲ ἐκκέκοπται. Πῶς ταῦτα, ὦ Κυνίσκε, ἢ πῶς καθαρὸς ἐξ ὑπαρχῆς ἀναπέφηνας;

ΚΥΝ. Ἐγώ σοι φράσω· πάλαι πονηρὸς δι' ἀπαιδευσίαν γενόμενος καὶ πολλὰ διὰ τοῦτο ἐμπολήσας στίγματα ἐπειδὴ τάχιστα φιλοσοφεῖν ἠρξάμην, κατ' ὀλίγον ἁπάσας τὰς κηλῖδας τῆς ψυχῆς ἀπελουσάμην ἀγαθῷ γε οὕτω καὶ ἀνυσιμωτάτῳ χρησάμενος τῷ φαρμάκῳ.

ΡΑΔ. Ἀλλ' ἄπιθι ἐς τὰς Μακάρων νήσους τοῖς ἀρίστοις συνεσόμενος, κατηγορήσας γε πρότερον οὗ φῂς τυράννου. Ἄλλους προσκάλει.

25. ΜΙΚ. Καὶ τοὐμόν, ὦ Ῥαδάμανθυ, μικρόν ἐστι καὶ βραχείας τινὸς ἐξετάσεως δεόμενον· πάλαι γοῦν σοι καὶ γυμνός εἰμι, ὥστε ἐπισκόπει.

ΡΑΔ. Τίς δὲ ὢν τυγχάνεις;

ΜΙΚ. Ὁ σκυτοτόμος Μίκυλλος.

ΡΑΔ. Εὖ γε, ὦ Μίκυλλε, καθαρὸς ἀκριβῶς καὶ ἀνεπίγραφος· ἄπιθι καὶ σὺ παρὰ Κυνίσκον τουτονί. Τὸν τύραννον ἤδη προσκάλει.

ΕΡΜ. Μεγαπένθης Λακύδου ἡκέτω. Ποῖ στρέφῃ; πρόσιθι. Σὲ τὸν τύραννον προσκαλῶ. Πρόβαλλ' αὐτόν, ὦ Τισιφόνη, ἐς τὸ μέσον ἐπὶ τράχηλον ὠθοῦσα.

ΡΑΔ. Σὺ δέ, ὦ Κυνίσκε, κατηγόρει καὶ διέλεγχε ἤδη· πλησίον γὰρ ὁ ἀνὴρ οὑτοσί.

26. ΚΥΝ. Τὸ μὲν ὅλον οὐδὲ λόγων ἔδει· γνώσῃ γὰρ αὐτὸν αὐτίκα μάλα οἷός ἐστιν ἀπὸ τῶν στιγμάτων. Ὅμως δὲ καὐτὸς ἀποκαλύψω σοι τὸν ἄνδρα κἀκ τοῦ λόγου δείξω φανερώτερον· οὑτοσὶ γὰρ ὁ τρισκατάρατος ὁπόσα μὲν ἰδιώτης ὢν ἔπραξε, παραλείψειν μοι δοκῶ· ἐπεὶ δὲ τοὺς θρασυτάτους προσεταιρούμενος καὶ δορυφόρους συναγαγὼν ἐπαναστὰς τῇ πόλει τύραννος κατέστη, ἀκρίτους μὲν ἀπέκτεινε πλείους ἢ μυρίους, τὰς δὲ οὐσίας ἑκάστων ἀφαιρούμενος καὶ πλούτου πρὸς τὸ ἀκρότατον ἀφικόμενος οὐδεμίαν μὲν ἀκολασίας ἰδέαν παραλέλοιπεν, ἁπάσῃ δὲ ὠμότητι καὶ ὕβρει κατὰ τῶν ἀθλίων πολιτῶν ἐχρήσατο, παρθένους διαφθείρων καὶ ἐφήβους καταισχύνων καὶ πάντα τρόπον τοῖς ὑπηκόοις ἐμπαροινῶν. Καὶ ὑπεροψίας μέντοι καὶ τύφου καὶ τοῦ πρὸς τοὺς ἐντυγχάνοντας φρυάγματος οὐδὲ κατ' ἀξίαν δύναιο ἂν παρ' αὐτοῦ λαβεῖν τὴν δίκην· ῥᾷον γὰρ οὖν τὸν ἥλιον ἄν τις ἢ τοῦτον ἀσκαρδαμυκτὶ προσέβλεψεν. Οὐ μὴν καὶ τῶν κολάσεων τὸ πρὸς ὠμότητα καινουργὸν αὐτοῦ τίς ἂν διηγήσασθαι δύναιτο, ὅς γε μηδὲ τῶν οἰκειοτάτων ἀπέσχετο; Καὶ ταῦτα ὅτι μὴ ἄλλως κενή τίς ἐστι κατ' αὐτοῦ διαβολὴ αὐτίκα εἴσῃ προσκαλέσας τοὺς ὑπ' αὐτοῦ πεφονευμένους· μᾶλλον δὲ ἄκλητοι, ὡς

RHAD. Quæcumque vestrûm quisque mala in vita patraverit, eorum notas quasdam visum effugientes in animo circumfert.

CYN. Ecce nudus tibi asto. Require igitur quas dicis notas.

RHAD. Purus utplurimum hic est, præter tres illas aut quatuor evanidas omnino et vix cognoscibiles notulas. Quanquam quid hoc est? vestigia quidem et signa multa notarum inustarum adsunt, sed nescio quomodo deleta vel exsculpta potius. Quomodo hæc se habent, Cynisce, aut quomodo purus quasi postliminio factus es?

CYN. Dicam tibi. Olim malus quum essem disciplinæ defectu, ac multa hinc nactus stigmata, quum primum cœpi philosophari, maculas paullatim omnes ex animo elui : tam bono et eximie efficaci usus sum remedio.

RHAD. At abi in Beatorum insulas, versaturus cum optimis quibusque, quando prius tyrannum quem dicis reum peregeris. Advoca alios.

25. MIC. De me negotium parvum est, o Rhadamanthe, et brevi exploratione opus habet. Olim enim nudus tibi sum : iuspice igitur.

RHAD. Quis vero es?

MIC. Sutor Micyllus.

RHAD. Euge, Micylle, purus plane es et nulla nota inscriptus : abi et tu ad Cyniscum illum. Tyrannum jam advoca.

MERC. Megapenthes Lacydæ F. prodito. Quo te vertis? accede. Te tyrannum advoco. Protrude illum, Tisiphone, obtorto collo in medium.

RHAD. Tu vero, Cynisce, accusa jam et convince : prope enim homo est.

26. CYN. Universe quidem neque opus erat oratione : statim enim illum, qualis sit, cognosces ex notis : tamen et ipse detegam tibi virum, et oratione mea clarius ostendam. Quæ igitur sacerrimus iste, quamdiu privatus fuit, perpetraverit, omittenda arbitror : postquam vero assumtis in sceleris societatem audacissimis quibusque, et conducto satellitio, insurgens contra civitatem, tyrannidem occupavit, indemnatos interfecit decies mille amplius. Horum vero omnium bonis correptis, ad fastigium divitiarum quum pervenisset, nullam ille luxuriæ formam prætermisit : crudelitate porro omni et contumelia in miseros cives usus est, virgines eorum stupris corrupit, adolescentibus pudorem eripuit, ebrii more in subjectos sibi impotenter grassatus. Et superbiæ quidem, et fastus, et fremebundæ illius erga alloquentes insolentiæ ne possis quidem satis dignas ab isto pœnas repetere : facilius enim solem aliquis quam istum oculis rectis et nihil conniventibus aspexisset. Verum etiam crudelem istius in novis suppliciis excogitandis sollertiam quis valeat enarrare, ut qui ne familiarissimis quidem pepercerit? Hanc vero non esse inanem contra istum calumniam, statim scies, si advocari jusseris ab isto interemtos : quin invocati, ut vides, adsunt, et circumfusi illum

ὁρᾷς, πάρεισι καὶ περιστάντες ἄγχουσιν αὐτόν. Οὗτοι πάντες, ὦ Ῥαδάμανθυ, πρὸς τοῦ ἁλιτηρίου τεθνᾶσιν, οἱ μὲν γυναικῶν ἕνεκα εὐμόρφων ἐπιβουλευθέντες, οἱ δὲ υἱῶν ἀπαγομένων πρὸς ὕβριν ἀγαναχτήσαντες, οἱ δὲ, ὅτι ἐπλούτουν, οἱ δὲ, ὅτι ἦσαν δεξιοὶ καὶ σώφρονες καὶ οὐδαμοῦ ἠρέσκοντο τοῖς δρωμένοις.

27. ΡΑΔ. Τί πρὸς ταῦτα φῂς, ὦ μιαρὲ σύ;

ΜΕΓ. Τοὺς μὲν φόνους εἰργασμαι οὓς λέγει, τὰ δ' ἄλλα πάντα, τὰς μοιχείας καὶ τὰς τῶν ἐφήβων ὕβρεις καὶ τὰς διαφθορὰς τῶν παρθένων, ταῦτα πάντα Κυνίσκος μου κατεψεύσατο.

ΚΥΝ. Οὐκοῦν καὶ τούτων, ὦ Ῥαδάμανθυ, παρέξω σοι μάρτυρας.

ΡΑΔ. Τίνας τούτους λέγεις;

ΚΥΝ. Προσκάλει μοι, ὦ Ἑρμῆ, τὸν λύχνον αὐτοῦ καὶ τὴν κλίνην· μαρτυρήσουσι γὰρ αὐτοὶ παρελθόντες, οἷα πράττοντι συνηπίσταντο αὐτῷ.

ΕΡΜ. Ἡ Κλίνη καὶ ὁ Λύχνος ὁ Μεγαπένθους παρέστω. Εὖ γε ἐποίησαν ὑπακούσαντες.

ΡΑΔ. Εἶπατε οὖν ὑμεῖς ἃ συνεπίστασθε Μεγαπένθει τούτῳ· πρότερα δὲ σὺ ἡ Κλίνη λέγε.

ΚΛΙΝ. Πάντα ἀληθῆ κατηγόρησε Κυνίσκος. Ἐγὼ μέντοι ταῦτα εἰπεῖν, ὦ δέσποτα Ῥαδάμανθυ, αἰσχύνομαι· τοιαῦτα ἦν ἃ ἐπ' ἐμοῦ διεπράττετο.

ΡΑΔ. Σαφέστατα μὲν οὖν καταμαρτυρεῖς μηδὲ εἰπεῖν αὐτὰ ὑπομένουσα. Καὶ σὺ δὲ ὁ Λύχνος ἤδη μαρτύρει.

ΛΥΧ. Ἐγὼ τὰ μεθ' ἡμέραν μὲν οὐκ εἶδον· οὐ γὰρ παρῆν· ἃ δὲ τῶν νυκτῶν ἐποίει καὶ ἔπασχεν, ὀκνῶ λέγειν· πλὴν ἐθεασάμην γε πολλὰ καὶ ἄρρητα καὶ πᾶσαν ὕβριν ὑπερπεπαικότα. Καίτοι πολλάκις ἐκὼν τοὔλαιον οὐκ ἔπινον ἀποσβεσθῆναι θέλων· ὁ δὲ καὶ προσῆγέ με τοῖς δρωμένοις καὶ τὸ φῶς μου πάντα τρόπον κατεμίαινεν.

28. ΡΑΔ. Ἅλις ἤδη τῶν μαρτύρων. Ἀλλὰ καὶ ἀπόδυθι τὴν πορφυρίδα, ἵνα τὸν ἀριθμὸν ἴδωμεν τῶν στιγμάτων. Παπαῖ, ὅλος οὗτος πελιδνὸς καὶ κατάγραφος, μᾶλλον δὲ κυανός ἐστιν ἀπὸ τῶν στιγμάτων. Τίνα ἂν οὖν κολασθείη τρόπον; ἆρ' ἐς τὸν Πυριφλεγέθοντά ἐστιν ἐμβλητέος ἢ παραδοτέος τῷ Κερβέρῳ;

ΚΥΝ. Μηδαμῶς· ἀλλ' εἰ θέλεις, ἐγώ σοι καινήν τινα καὶ πρέπουσαν αὐτῷ τιμωρίαν ὑποθήσομαι.

ΡΑΔ. Λέγε, ὡς ἐγώ σοι μεγίστην ἐπὶ τούτῳ χάριν εἴσομαι.

ΚΥΝ. Ἔθος ἐστὶν, οἶμαι, τοῖς ἀποθνήσκουσι πᾶσι πίνειν τὸ Λήθης ὕδωρ.

ΡΑΔ. Πάνυ μὲν οὖν.

ΚΥΝ. Οὐκοῦν μόνος οὗτος ἐξ ἁπάντων ἄποτος ἔστω.

29. ΡΑΔ. Διὰ τί δή;

ΚΥΝ. Χαλεπὴν οὕτως ὑφέξει τὴν δίκην μεμνημένος οἷος ἦν καὶ ὅσον ἠδύνατο ἐν τοῖς ἄνω, καὶ ἀναπεμπαζόμενος τὴν τρυφήν.

ΡΑΔ. Εὖ λέγεις· καὶ καταδεδικάσθω καὶ παρὰ τὸν Τάνταλον ἀπαχθεὶς οὑτοσὶ δεδέσθω, μεμνημένος ὧν ἔπραξε παρὰ τὸν βίον.

angunt. Hi omnes, Rhadamanthe, ab exsecrabili homine perierunt: alii quidem insidiis, quas ob uxores formosas illis struxit; alii, quod indignarentur filiis suis contumeliæ causa ad ipsum perductis; alii, quod essent divites; alii, quod dextri essent ac prudentes, iisque quæ fierent minime delectarentur.

27. RHAD. Quid ad hæc, impurate, respondes?

MEG. Cædes quidem perpetravi quas dicit; reliqua vero omnia, adulteria, adolescentum contumelias, corruptelas virginum, hæc omnia, inquam, contra me Cyniscus mentitus est.

CYN. Igitur et horum exhibebo tibi, Rhadamanthe, testes.

RHAD. Quosnam dicis?

CYN. Advoca mihi, Mercuri, lucernam ipsius et lectum: hæc enim pro testimonio dicent quæ se consciis fecerit.

MERC. Lectus et Lucerna Megapenthis adsunto. Bonum factum! paruerunt.

RHAD. Dicite igitur vos, quorum conscii sitis huic Megapenthi. Prior vero tu dicas, Lecte.

LECT. Vere omnia accusavit Cyniscus. Ego tamen dicere ea, domine Rhadamanthe, pudore prohibeor: tam turpia erant, quæ in me patravit.

RHAD. Planissime igitur contra illum fers testimonium, qui nec dicere ea sustineas. Et tu jam, Lucerna, dic testimonium.

LUC. Diurna ejus facinora non novi; neque enim aderam: quæ vero noctibus fecerit ac passus fuerit, piget dicere. Verum vidi equidem infanda multa, et contumeliam omnem supergressa. Quamvis sæpe ultro oleum non biberem, exstingui cupiens: at ille et admovit me factis suis, et lucem meam modis omnibus polluit.

28. RHAD. Satis jam testium. Sed exue etiam purpuram, ut numerum videamus stigmatum. Papæ! totus hic est lividus et notis scriptus, quin cæruleus est a notis. Quo igitur modo puniatur? numquid in Pyriphlegethontem injiciendus, an tradendus Cerbero?

CYN. Nequaquam. Sed ego tibi, si placet, novum quoddam et dignum illo supplicium subjiciam.

RHAD. Dic, maximam ea re gratiam a me initurus.

CYN. Mos est, puto, mortuis omnibus Lethes aquam bibere.

RHAD. Ita est.

CYN. Solus igitur iste ex omnibus non bibat.

29. RHAD. Quid ita?

CYN. Gravem ita pœnam sustinebit, qui meminerit quis fuerit, quantum potuerit apud superos; et delicias illas animo revolvat.

RHAD. Bene mones. Damnas esto, et ad Tantalum abductus vincitor, memor eorum quæ in vita egerit.

XVII.

ΠΕΡΙ ΤΩΝ ΕΠΙ ΜΙΣΘΩ ΣΥΝΟΝΤΩΝ.

1. Καὶ τί σοι πρῶτον, ὦ φιλότης, ἢ τί ὕστατον, φασὶ, καταλέξω τούτων, ἃ πάσχειν ἢ ποιεῖν ἀνάγκη τοὺς ἐπὶ μισθῷ συνόντας κἂν ταῖς τῶν εὐδαιμόνων τούτων φιλίαις ἐξεταζομένους, εἰ χρὴ φιλίαν τὴν τοιαύτην αὐτῶν δουλείαν ἐπονομάζειν; οἶδα γὰρ πολλὰ καὶ σχεδὸν τὰ πλεῖστα τῶν συμβαινόντων αὐτοῖς, οὐκ αὐτὸς μὰ Δία τοῦ τοιούτου πειραθείς — οὐ γὰρ ἐν ἀνάγκῃ μοι ἡ πεῖρα ἐγεγένητο, μηδὲ, ὦ θεοὶ, γένοιτο — ἀλλὰ πολλοὶ τῶν ἐς τὸν βίον τοῦτον ἐμπεπτωκότων ἐξηγόρευον πρός με, οἱ μὲν ἔτι ἐν τῷ κακῷ ὄντες, ἀποδυρόμενοι ὁπόσα καὶ ὁποῖα ἔπασχον, οἱ δὲ ὥσπερ ἐκ δεσμωτηρίου τινὸς ἀποδράντες οὐκ ἀηδῶς μνημονεύοντες ὧν ἐπεπόνθεσαν· ἀλλὰ γὰρ ἡδέως ἐμοὶ ἀναλογιζόμενοι οἷων ἀπηλλάγησαν. Ἀξιοπιστότεροι δὲ ἦσαν οὗτοι διὰ πάσης, ὡς εἰπεῖν, τῆς τελετῆς διεξεληλυθότες καὶ πάντα ἐξ ἀρχῆς ἐς τέλος ἐποπτεύσαντες. Οὐ παρέργως οὖν οὐδὲ ἀμελῶς ἐπήκουον αὐτῶν καθάπερ ναυαγίαν τινὰ καὶ σωτηρίαν αὐτῶν παράλογον διηγουμένων, οἷοί εἰσιν οἱ πρὸς τοῖς ἱεροῖς ἐξυρημένοι τὰς κεφαλὰς, συνάμα πολλοὶ τὰς τρικυμίας καὶ ζάλας καὶ ἀκρωτήρια καὶ ἐκβολὰς καὶ ἱστοῦ κλάσεις καὶ πηδαλίων ἀποκαυλίσεις διεξιόντες, ἐπὶ πᾶσι δὲ τοὺς Διοσκούρους ἐπιφαινομένους — οἰκεῖοι γὰρ τῆς τοιαύτης τραγῳδίας οὗτοί γε — ἢ τιν' ἄλλον ἐκ μηχανῆς θεὸν ἐπὶ τῷ καρχησίῳ καθεζόμενον ἢ πρὸς τοῖς πηδαλίοις ἑστῶτα καὶ πρός τινα ἠόνα μαλακὴν ἀπευθύνοντα τὴν ναῦν, οἳ προσενεχθεῖσα ἔμελλεν αὐτὴ μὲν ἠρέμα καὶ κατὰ σχολὴν διαλυθήσεσθαι, αὐτοὶ δ' ἀσφαλῶς ἀποβήσεσθαι χάριτι καὶ εὐμενείᾳ τοῦ θεοῦ. Ἐκεῖνοι μὲν οὖν τὰ πολλὰ ταῦτα πρὸς τὴν χρείαν τὴν παραυτίκα ἐπιτραγῳδοῦσιν, ὡς παρὰ πλειόνων λαμβάνοιεν οὐ δυστυχεῖς μόνον, ἀλλὰ καὶ θεοφιλεῖς τινες εἶναι δοκοῦντες.

2. Οἱ δὲ τοὺς ἐν ταῖς οἰκίαις χειμῶνας καὶ τὰς τρικυμίας καὶ νὴ Δία πενταπλᾶς καὶ δεκαπλᾶς, εἰ οἷόν τε εἰπεῖν, διηγούμενοι, καὶ ὡς τὸ πρῶτον εἰσέπλευσαν, γαληνοῦ ὑποφαινομένου τοῦ πελάγους, καὶ ὅσα πράγματα παρὰ τὸν πλοῦν ὅλον ὑπέμειναν ἢ διψῶντες ἢ ναυτιῶντες ἢ ὑπεραντλούμενοι τῇ ἅλμῃ, καὶ τέλος ὡς πρὸς πέτραν τινὰ ὕφαλον ἢ σκόπελον ἀπόκρημνον περιρρήξαντες τὸ δύστηνον σκαφίδιον ἄθλιοι κακῶς ἐξενήξαντο γυμνοὶ καὶ πάντων ἐνδεεῖς τῶν ἀναγκαίων· ἐν δὴ τούτοις καὶ τῇ τούτων διηγήσει ἐδόκουν μοι τὰ πολλὰ οὗτοι ὑπ' αἰσχύνης ἐπικρύπτεσθαι καὶ ἑκόντες εἶναι ἐπιλανθάνεσθαι αὐτῶν· ἀλλ' ἔγωγε κἀκεῖνα καὶ εἴ τιν' ἄλλα ἐκ τοῦ λόγου ξυντιθεὶς εὑρίσκω προσόντα ταῖς τοιαύταις ξυνουσίαις, οὐκ ὀκνήσω σοι πάντα, ὦ καλὲ Τιμόκλεις, διεξελθεῖν· δοκῶ γάρ μοι ἐκ πολλοῦ ἤδη κατανενοηκέναι σε τούτῳ τῷ βίῳ ἐπιβουλεύοντα.

3. Καὶ πρῶτόν γε, ὁπηνίκα περὶ τῶν τοιούτων ὁ λόγος ἐνέπεσεν, εἶτα ἐπήνεσέ τις τῶν παρόντων τὴν τοι-

XVII.

DE MERCEDE CONDUCTIS POTENTIUM FAMILIARIBUS.

1. Et quid primum tibi, amice, aut quid ultimum, aiunt, enarrem illorum, quæ pati vel facere coguntur mercenarii familiares illi, quique censeri se in amicitiis beatorum istorum volunt, modo amicitiam nominare fas sit hanc illorum servitutem? Novi enim multa et fere pleraque eorum, quæ usu illis veniunt, non ego profecto ejusmodi aliquid expertus (neque enim necessarium mihi experimentum fuit, neque unquam, dii boni, fiat), sed multi eorum, qui in hanc vitam inciderant, apud me enunciarunt; alii in malo adhuc constituti, quum deflerent quam multa et qualia paterentur; alii vero, qui ex illo quasi carcere effugerant, quæ perpessi essent non sine jucunditate memorantes: sane enim lætabantur, quoties rationes ponerent quæ effugissent. Fide autem digniores hi erant, qui tota, ut ita loquar, mysteria exsecuti, ab initio ad finem omnia inspexissent. Non obiter itaque nec incuriose audiebam illos velut naufragium quoddam et insperatam ex illo salutem enarrantes; quales sunt quos ad templa videmus rasis capitibus, multi simul decumanos fluctus, et procellas, et promontoria, et jacturas, et malos fractos, et gubernacula revulsa persequentes: super omnia vero ut Dioscuri præsentes illuxerint (hi enim tragœdiæ hujus velut domestici sunt), aut alius aliquis ex machina deus in carchesio sederit, aut astiterit gubernaculo, et ad molle quoddam litus navem direxerit, quo delata ipsa quidem paullatim et otiose solveretur, ipsi vero gratia et benignitate numinis salvi discederent. Et illi quidem multa id genus, prout ipsis tum usus est, tragicæ declamant, ut a pluribus accipiant nimirum, si non calamitosi solum, sed diis etiam cari esse videantur.

2. At hi tempestates domesticas, fluctusque triplices, atque adeo quintuplices et hercle decemplices, si fas sit ita dicere, enarrant, et ut primum solverint, tranquillo ad speciem mari, et quos deinde labores per totam navigationem sustinuerint, vel siti, vel nausea, vel abundante ultra exhaurientium vires aqua salsa; et denique ut ad cæcum aliquem scopulum aut præruptam rupem, fracta infelici scapha, miseri ægre enataverint, nudi et rerum omnium necessariarum indigentes. Inter hæc sane et in harum rerum enarratione videbantur mihi multa illi præ pudore tegere, ac velle eorum oblivisci. At ego et illa, et si qua alia ex sermonibus illorum conjectura quadam componens, invenio adesse ejusmodi familiaritatibus, non gravabor tibi omnia, mi bone Timocles, enarrare: quippe diu est quum intellexisse mihi videor, hujus te vitæ ineundæ consilium agitare.

3. Et primum quidem, si quando sermo incideret de talibus, ac deinde laudaret præsentium aliquis vitam illam

αὐτὴν μισθοφορὰν τρισευδαίμονας εἶναι λέγων οἷς μετὰ τοῦ τοὺς φίλους ἔχειν τοὺς ἀρίστους Ῥωμαίων καὶ δειπνεῖν δεῖπνα πολυτελῆ καὶ ἀσύμβολα καὶ οἰκεῖν ἐν καλῷ καὶ ἀποδημεῖν μετὰ πάσης ῥᾳστώνης καὶ ἡδονῆς ἐπὶ λευκοῦ ζεύγους, εἰ τύχοι, ἐξυπτιάζοντας, προσέτι καὶ μισθὸν τῆς φιλίας καὶ ὧν εὖ πάσχουσι τούτων λαμβάνειν οὐκ ὀλίγον ἔστιν· — ἀτεχνῶς γὰρ ἄσπορα καὶ ἀνήροτα τοῖς τοιούτοις τὰ πάντα φύεσθαι — ὁπότε οὖν ταῦτα καὶ τὰ τοιαῦτα ἤκουες, ἑώρων ὅπως ἐκεχήνεις πρὸς αὐτὰ καὶ πάνυ σφόδρα πρὸς τὸ ὀέλεαρ ἀναπεπταμένον παρεῖχες τὸ στόμα. Ὡς οὖν τό γε ἡμέτερον εἰσαῦθίς ποτε ἀναίτιον ᾖ μηδὲ ἔχῃς λέγειν ὡς ὁρῶντές σε τηλικοῦτο μετὰ τῆς καρίδος ἄγχιστρον καταπίνοντα οὐκ ἐπελαβόμεθα οὐδὲ πρὶν ἐμπεσεῖν τῷ λαιμῷ περιεσπάσαμεν οὐδὲ προεδηλώσαμεν, ἀλλὰ περιμείναντες ἐξελκομένου καὶ ἐμπεπηγότος ἤδη συρόμενον καὶ πρὸς ἀνάγκην ἀγόμενον ὁρᾶν, ὅτ' οὐδὲν ὄφελος ἑστῶτες ἐπεδακρύομεν· ὅπως μὴ ταῦτα λέγῃς ποτὲ πάνυ εὔλογα, ἢν λέγηται, καὶ ἄφυκτα ἡμῖν, ὡς οὐκ ἀδικοῦμεν μὴ προμηνύσαντες, ἄκουσον ἐξ ἀρχῆς ἁπάντων καὶ τὸ δίκτυόν τε αὐτὸ καὶ τῶν κύρτων τὸ ἀδιέξοδον ἔκτοθεν ἐπὶ σχολῆς, ἀλλὰ μὴ ἔνδοθεν ἐκ τοῦ μυχοῦ προεπισκόπησον, καὶ τοῦ ἀγκίστρου δὲ τὸ ἀγκύλον καὶ τὴν ἐς τὸ ἔμπαλιν τοῦ σκόλοπος ἀναστροφὴν καὶ τῆς τριαίνης τὰς ἀκμὰς ἐς τὰς χεῖρας λαβὼν καὶ πρὸς τὴν γνάθον πεφυσημένην ἀποπειρώμενος ἢν μὴ πάνυ ὀξέα μηδὲ ἄφυκτα μηδὲ ἀνιαρὰ ἐν τοῖς τραύμασι φαίνηται βιαίως σπῶντα καὶ ἀμάχως ἀντιλαμβανόμενα, ἡμᾶς μὲν ἐν τοῖς δειλοῖς καὶ διὰ τοῦτο πεινῶσιν ἀνάγραφε, σεαυτὸν δὲ παρακαλέσας θαρρεῖν ἐπιχείρει τῇ ἄγρᾳ, εἰ θέλεις, καθάπερ ὁ λάρος ὅλον περιχανὼν τὸ δέλεαρ.

4. Ῥηθήσεται δὲ ὁ πᾶς λόγος τὸ μὲν ὅλον ἴσως διὰ σέ, πλὴν ἀλλ' οὔ γε περὶ τῶν φιλοσοφούντων ὑμῶν μόνον, οὐδ' ὁπόσοι σπουδαιοτέραν τὴν προαίρεσιν προείλοντο ἐν τῷ βίῳ, ἀλλὰ καὶ περὶ γραμματιστῶν καὶ ῥητόρων καὶ μουσικῶν καὶ ὅλως τῶν ἐπὶ παιδείᾳ συνεῖναι καὶ μισθοφορεῖν ἀξιουμένων. Κοινῶν δὲ ὡς ἐπίπαν ὄντων καὶ ὁμοίων τῶν ξυμβαινόντων ἅπασι, δῆλον ὡς οὐκ ἐξαίρετα μέν, αἰσχίω δὲ τὰ αὐτὰ ὄντα γίγνεται τοῖς φιλοσοφοῦσιν, εἰ τῶν ὁμοίων τοῖς ἄλλοις ἀξιοῖντο καὶ μηδὲν αὐτοὺς σεμνότερον οἱ μισθοδόται ἄγοιεν. Ὅ τι δ' ἂν οὖν ὁ λόγος αὐτὸς ἐπιὼν ἐξευρίσκῃ, τούτου τὴν αἰτίαν μάλιστα μὲν οἱ ποιοῦντες αὐτοί, ἔπειτα δὲ οἱ ὑπομένοντες αὐτὰ δίκαιοι ἔχειν· ἐγὼ δὲ ἀναίτιος, εἰ μὴ ἀληθείας καὶ παρρησίας ἐπιτίμιόν τί ἐστι. Τοὺς μέντοι τοῦ ἄλλου πλήθους, οἷον γυμναστάς τινας ἢ κόλακας, ἰδιώτας καὶ μικροὺς τὰς γνώμας καὶ ταπεινοὺς αὐτόθεν ἀνθρώπους, οὔτε ἀποτρέπειν ἄξιον τῶν τοιούτων ξυνουσιῶν — οὐδὲ γὰρ ἂν πεισθεῖεν — οὔτε μὴν αἰτιᾶσθαι καλῶς ἔχει μὴ ἀπολειπομένους τῶν μισθοδοτῶν, εἰ καὶ πάνυ πολλὰ ὑβρίζοιντο ὑπ' αὐτῶν — ἐπιτήδειοι γὰρ καὶ οὐκ ἀνάξιοι τῆς τοιαύτης διατριβῆς — ἄλλως τε οὐδὲ σχοῖεν ἄν τι ἄλλο πρὸς ὅ τι χρὴ ἀποκλίναντας αὐτοὺς παρέχειν αὑτοὺς ἐνεργοὺς, ἀλλ' ἦν τις

mercenariam, ter eos beatos prædicans, quibus cum eo, quod amicos haberent Romanorum nobilissimos, et cœnarent nihil ipsi conferentes cœnas sumtuosissimas, et pulchre habitarent, et peregrinarentur commodissime jucundissimeque, resupini, si res ita ferret, in curru equis albis juncto; mercedem insuper amicitiæ et perceptarum, quas dixi, commoditatum non exiguam capere contigisset; hos enim plane esse quibus nec serentibus neque colentibus nascerentur omnia: quoties igitur hæc et his similia audires, videbam te hiare ad illa, et patens ad escam os cupide præbere. Ut igitur ego in posterum culpa sim vacuus, neque dicere possis nos, licet viderimus te talem cum carica hamum glutire, manum tibi non injecisse, neque prius, quam immergeretur gutturi, retraxisse, neque ante indicasse adeo, sed exspectasse dum videremus te reducto et fixo firmiter jam trahi et necessitate duci, et jam, quum nihil tibi ea res prosit, stantes illacrimari; ne, inquam, talia dicas aliquando, rationabilia omnino, si dicantur, et ad quæ causam dicere non possimus, quin videamur injurii in te illo silentio nostro fuisse: audi nunc a principio omnia, et rete ipsum et nassam, ut exitum non habeat, otiose extra illam constitutus, non intus ex recessu, ante considera; et hami aduncitatem, ipsumque flexum retro aculeum, et tridentis acumina in manus sumens et ad inflatam buccam tentans, nisi valde acuta, nisi inevitabilia, nisi ipso vulnere molestissima intelligas, trahentia violente et invicte contra urgentia, nos quidem in meticulosis, et ob id ipsum esurientibus ascribe; ipse vero animo confirmato venatum aggredere, si volueris, et lari more totam escam hiatu complectere.

4. Habebitur autem omnis oratio in universum quidem tua forte causa; verum non de vobis solum philosophantibus, aut his qui serium et grave vitæ genus amplexi sunt, sed de grammaticis etiam, et rhetoribus, et musicis, omnibusque adeo, qui ut sint doctrinæ causa familiares et ejus rei mercedem ferant digni habentur. Quum vero communia ut plurimum sint et similia quæ usu veniunt omnibus, manifestum est non eximia quidem esse ista, sed eo turpiora, quatenus eadem eveniunt philosophis, si ipsi iisdem quibus alii omnes digni putentur, et illi conductores nulla parte honestius ipsos tractent. Quicquid autem progressus orationis hujus deprehenderit, eorum causam maxime quidem ipsi qui faciunt, deinde vero etiam qui ea patiuntur, sustinent merito: ego vero innocens, nisi veritatis et libertatis pœna est. Ac reliquam quidem turbam, ut exercitores quosdam aut adulatores, idiotas et parvo animo humilesque suo ingenio homunciones, neque operæ pretium est ab ejusmodi familiaritatibus deterrere: neque enim obsequuntur: quin ne reprehendi quidem eos decet, si non discedant a suis conductoribus quantacumque ab illis contumelia affecti (idonei enim neque indigni sunt ea consuetudine), et alioquin neque habeant ad quod animum appellentes, operosos se demonstrent; sed si quis hoc illis auferat, ilicet

αὐτῶν ἀφέλῃ τοῦτο, ἄτεχνοι αὐτίκα καὶ ἀργοὶ καὶ περιττοί εἰσιν. Οὐδὲν οὖν οὕτ' αὐτοὶ δεινὸν πάσχοιεν ἂν οὔτ' ἐκεῖνοι ὑβρισταὶ δοκοῖεν ἐς τὴν ἀμίδα, φασίν, ἐνουροῦντες· ἐπὶ γάρ τοι τὴν ὕβριν ταύτην ἐξ ἀρχῆς παρέρχονται ἐς τὰς οἰκίας, καὶ ἡ τέχνη φέρειν καὶ ἀνέχεσθαι τὰ γιγνόμενα. Περὶ δὲ ὧν προεῖπον τῶν πεπαιδευμένων ἄξιον ἀγαναχτεῖν καὶ πειρᾶσθαι ὡς ἔνι μάλιστα μετάγειν αὐτοὺς καὶ πρὸς ἐλευθερίαν ἀφαιρεῖσθαι.

5. Δοκῶ δέ μοι καλῶς ἂν ποιῆσαι, εἰ τὰς αἰτίας, ἀφ' ὧν ἐπὶ τὸν τοιοῦτον βίον ἀφικνοῦνταί τινες, προεξετάσας δείξαιμι οὐ πάνυ βιαίους οὐδ' ἀναγκαίας· οὕτω γὰρ ἂν αὐτοῖς ἡ ἀπολογία προαναιροῖτο καὶ ἡ πρώτη ὑπόθεσις τῆς ἐθελοδουλείας. Οἱ μὲν δὴ πολλοὶ τὴν πενίαν καὶ τὴν τῶν ἀναγκαίων χρείαν προθέμενοι ἱκανὸν τοῦτο προκάλυμμα οἴονται προβεβλῆσθαι τῆς πρὸς τὸν βίον τοῦτον αὐτομολίας, καὶ ἀποχρῆν αὐτοῖς νομίζουσιν εἰ λέγοιεν ὡς ξυγγνώμης ἄξιον ποιοῦσι τὸ χαλεπώτατον τῶν ἐν τῷ βίῳ τὴν πενίαν διαφυγεῖν ζητοῦντες· εἶτα ὁ Θέογνις πρόχειρος καὶ πολὺ τὸ,

πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος,

καὶ ὅσα ἄλλα δείματα ὑπὲρ τῆς πενίας οἱ ἀγεννέστατοι τῶν ποιητῶν ἐξενηνόχασιν. Ἐγὼ δ' εἰ μὲν ἑώρων αὐτοὺς φυγήν τινα ὡς ἀληθῶς τῆς πενίας εὑρισκομένους ἐκ τῶν τοιούτων ξυνουσιῶν, οὐκ ἂν ὑπὲρ τῆς ἄγαν ἐλευθερίας ἐμικρολογούμην πρὸς αὐτούς· ἐπεὶ δὲ — ὡς ὁ καλὸς που ῥήτωρ ἔφη — τοῖς τῶν νοσούντων σιτίοις ἐοικότα λαμβάνουσι, τίς ἔτι μηχανὴ μὴ οὐχὶ καὶ πρὸς τοῦτο κακῶς βεβουλεῦσθαι δοκεῖν αὐτοὺς ἀεὶ μενούσης ὁμοίας αὐτοῖς τῆς ὑποθέσεως τοῦ βίου; πενία γὰρ εἰσαεὶ καὶ τὸ λαμβάνειν ἀναγκαῖον καὶ ἀπόθετον οὐδὲν οὐδὲ περιττὸν ἐς φυλακήν, ἀλλὰ τὸ δοθέν, κἂν δοθῇ, κἂν ἀθρόως ληφθῇ, πᾶν ἀκριβῶς καὶ τῆς χρείας ἐνδεῶς καταναλίσκεται. Καλῶς δὲ εἶχε μὴ τοιαύτας τινὰς ἀφορμὰς ἐπινοεῖν, αἳ τὴν πενίαν τηροῦσι παραβοηθοῦσαι μόνον αὐτῇ, ἀλλ' αἳ τέλεον ἐξαιρήσουσι, καὶ ὑπέρ γε τοῦ τοιούτου καὶ ἐς βαθυκήτεα πόντον ἴσως ῥιπτεῖν ἔδει, ὦ Θέογνι, καὶ πετρῶν, ὡς φῂς, κατ' ἠλιβάτων. Εἰ δέ τις ἀεὶ πένης καὶ ἐνδεὴς καὶ ὑπόμισθος ὢν οἴεται πενίαν αὐτῷ τούτῳ διαπεφευγέναι, οὐκ οἶδα πῶς ὁ τοιοῦτος οὐκ ἂν δόξειεν ἑαυτὸν ἐξαπατᾶν.

6. Ἄλλοι δὲ πενίαν μὲν αὐτὴν οὐκ ἂν φοβηθῆναι οὐδὲ καταπλαγῆναί φασιν, εἰ ἠδύναντο τοῖς ἄλλοις ὁμοίως πονοῦντες ἐκπορίζειν τὰ ἅλφιτα, νῦν δέ — πεπονηκέναι γὰρ αὐτοῖς τὰ σώματα ἢ ὑπὸ γήρως ἢ ὑπὸ νόσων — ἐπὶ τήνδε ῥᾳστην οὖσαν τὴν μισθοφορὰν ἀπηντηκέναι. Φέρ' οὖν ἴδωμεν εἰ ἀληθῆ λέγουσι καὶ ἐκ τοῦ ῥᾴστου μὴ πολλὰ μηδὲ πλείω τῶν ἄλλων πονοῦσι περιγίγνεται αὐτοῖς τὰ διδόμενα· εὐχῇ γὰρ ἂν ἐοικότα εἴη ταῦτά γε, μὴ πονήσαντα μηδὲ καμόντα ἕτοιμον ἀργύριον λαβεῖν. Τὸ δέ ἐστι καὶ ῥηθῆναι κατ' ἀξίαν ἀδύνατον· τοσαῦτα πονοῦσι καὶ κάμνουσιν ἐν ταῖς συνουσίαις ὥστε πλείονος ἐνταῦθα καὶ ἐπὶ τοῦτο μάλιστα τῆς ὑγιείας δεῖσθαι, μυρίων ὄντων ὁσημέραι τῶν ἐπιτριβόν-

inertes sunt, otiosi, superflui. Neque igitur indigna his accidere, neque illos alteros contumeliosos esse putaverim, si in matulam, quod aiunt, immingant: hujus enim contumeliæ causa a principio domos isti intrant, hæc professio istorum est, ferre quæ fiunt et perpeti. Horum vero, quos dixi, eruditorum hominum causa indignari æquum est, et tentare, quantum ejus potest fieri, reducine possint et erepti dominis suis ad libertatem revocari.

5. Videor autem commode facturus, si perpensis antea causis, quibus ad hoc vitæ genus induci quidam se patiuntur, ostendam non valide urgentes esse neque necessarias. Ita enim præcidatur illis causa quam possint dicere, et primum voluntariæ servitutis argumentum. Plerique igitur paupertatem et necessariarum rerum indigentiam causati, illud putant idoneum velum prætendisse sui ad hanc vitam transfugii, ac sufficere sibi putant si dixerint venia se dignum facere, qui molestissimam rerum in vita omnium, paupertatem, effugere studeant. Tum Theognis in promtu est, et frequens illud,

Quisquis enim dira vir paupertate subactus,

et quæcumque terriculamenta de paupertate ignavissimi quique poetarum extulere. Ego vero si quidem viderem illos fugam aliquam paupertatis revera talibus in convictibus invenire, minutam cum illis de nimia libertate disputationem non occiperem. At quoniam, ut præclarus alicubi orator ait, cibis ægrotorum similia accipiunt, quomodo efficient ut non et hac parte male sibi consuluisse videantur, eodem illis vitæ tenore semper manente? Paupertas enim semper illos comitatur, accipere semper necesse habent, nihil est quod reponant aut tanquam superfluum in præsentia custodiant; sed quod datur, si quid detur, si vel crebro accipiatur, ad assem omne et in præsentem necessitatem haud sufficiens impenditur. At præstiterat eas excogitasse rationes, non quæ servent paupertatem, modice modo sublevatam interim, sed quæ tollant penitus: Et hujus quidem rei causa in pontum forte cetis horribilem projicere se, Theogni, fas fuerit, rupe vel aeria, quod ais, se dare præcipitem. Si quis vero semper inops, indigus et mercenarius quum sit, ea ipsa re paupertatem se putat effugisse: nescio qui talis non ipse sibi videatur imponere.

6. Alii rursus paupertatem ipsam a se metui negant neque reformidari, si possint eodem quo alii modo laborantes victum parare. Jam vero affecto sibi, aiunt, vel senectute vel morbis corpore, ad hanc se facillimam mercenariæ vitæ rationem delatos. Age igitur videamus, utrum vera prædicent, et an ex facili adeo redeant illis ea quæ dantur, non multum, non plus quam alii laborantibus: voto enim sane simile fuerit, sine labore aliquem, sine molestia, præsentem pecuniam accipere. Sed quam contra omnia se habeant neque dici, prout res postulat, potest: tot labores sustinent, tot molestias in illis familiaritatibus, ut firmiore hic vel ad hoc ipsum valetudine opus sit, quum sexcenta sint quæ corpus atterant quotidie, et ad ultimam

των τὸ σῶμα καὶ πρὸς ἐσχάτην ἀπόγνωσιν καταπονούντων. Λέξομεν δὲ αὐτὰ ἐν τῷ προσήκοντι καιρῷ, ἐπειδὰν καὶ τὰς ἄλλας αὐτῶν δυσχερείας διεξίωμεν· τὸ δὲ νῦν εἶναι ἱκανὸν ἦν ὑποδεῖξαι ὡς οὐδ' οἱ διὰ ταύτην λέγοντες αὐτοὺς ἀποδίδοσθαι τὴν πρόφασιν ἀληθεύοιεν ἄν.

7. Λοιπὸν δὴ καὶ ἀληθέστατον μὲν, ἥκιστα δὲ πρὸς αὐτῶν λεγόμενον, ἡδονῆς ἕνεκα καὶ τῶν πολλῶν καὶ ἀθρόων ἐλπίδων ἐσπηδᾶν αὐτοὺς ἐς τὰς οἰκίας καταπλαγέντας μὲν τὸ πλῆθος τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου, εὐδαιμονήσαντας δὲ ἐπὶ τοῖς δείπνοις καὶ τῇ ἄλλῃ τρυφῇ, ἐλπίσαντας δὲ ὅσον αὐτίκα χανδὸν οὐδενὸς ἐπιστομίζοντος πίεσθαι τοῦ χρυσίου. Ταῦτα ὑπάγει αὐτοὺς καὶ δούλους ἀντ' ἐλευθέρων τίθησιν, οὐχ ἡ τῶν ἀναγκαίων χρεία, ἣν ἔφασκον, ἀλλ' ἡ τῶν οὐκ ἀναγκαίων ἐπιθυμία καὶ ὁ τῶν πολλῶν καὶ πολυτελῶν ἐκείνων ζῆλος. Τοιγαροῦν ὥσπερ δυσέρωτας αὐτοὺς καὶ κακοδαίμονας ἐραστὰς ἔντεχνοί τινες καὶ τρίβωνες ἐρώμενοι παραλαβόντες ὑπεροπτικῶς περιέπουσιν, ὅπως ἀεὶ ἐρασθήσονται αὐτῶν θεραπεύοντες, ἀπολαῦσαι δὲ τῶν παιδικῶν ἀλλ' οὐδὲ μέχρι φιλήματος ἄκρου μεταδιδόντες· ἴσασι γὰρ ἐν τῷ τυχεῖν τὴν διάλυσιν τοῦ ἔρωτος γενησομένην. Ταύτην οὖν ἀποκλείουσι καὶ ζηλοτύπως φυλάττουσι· τὰ δ' ἄλλα ἐπ' ἐλπίδος ἀεὶ τὸν ἐραστὴν ἔχουσι· δεδίασι γὰρ μὴ αὐτὸν ἡ ἀπόγνωσις ἀπαγάγῃ τῆς ἄγαν ἐπιθυμίας καὶ ἀνέραστος αὐτοῖς γένηται· προσμειδιῶσιν οὖν καὶ ὑπισχνοῦνται ὡς ἀεὶ ποιήσουσι καὶ χαριοῦνται καὶ ἐπιμελήσονταί ποτε αὐτῶν πολυτελῶς. Εἶτ' ἔλαθον ἄμφω γηράσαντες, ἔξωροι γενόμενοι καὶ οὗτος τοῦ ἐρᾶν κἀκεῖνος τοῦ μεταδιδόναι. Πέπρακται δ' οὖν αὐτοῖς οὐδὲν ἐν ἅπαντι τῷ βίῳ πέρα τῆς ἐλπίδος.

8. Τὸ μὲν δὴ δι' ἡδονῆς ἐπιθυμίαν ἅπαντα ὑπομένειν οὐ πάνυ ἴσως ὑπαίτιον, ἀλλὰ συγγνώμη, εἴ τις ἡδονῇ χαίρει καὶ ταύτην ἐξ ἁπάντος θεραπεύει, ὅπως μεθέξει αὐτῆς. Καίτοι αἰσχρὸν ἴσως καὶ ἀνδραποδώδες ἀποδόσθαι διὰ ταύτην ἑαυτόν· πολὺ γὰρ ἡδίων ἡ ἐκ τῆς ἐλευθερίας ἡδονή. Ὅμως δ' οὖν ἐχέτω τινὰ συγγνώμην αὐτοῖς, εἰ ἐπιτυγχάνοιτο· τὸ δὲ δι' ἡδονῆς ἐλπίδα μόνον πολλὰς ἀηδίας ὑπομένειν, γελοῖον οἶμαι καὶ ἀνόητον, καὶ ταῦθ' ὁρῶντας ὡς οἱ μὲν πόνοι σαφεῖς καὶ πρόδηλοι καὶ ἀναγκαῖοι, τὸ δὲ ἐλπιζόμενον ἐκεῖνο, ὁτιδήποτέ ἐστι τὸ ἡδύ, οὔτε ἐγένετό πω τοσούτου χρόνου, προσέτι δὲ οὐδὲ γενήσεσθαι ἔοικεν, εἴ τις ἐκ τῆς ἀληθείας λογίζοιτο. Οἱ μέν γε τοῦ Ὀδυσσέως ἑταῖροι γλυκύν τινα τὸν λωτὸν ἐσθίοντες ἠμέλουν τῶν ἄλλων καὶ πρὸς τὸ παρὸν ἡδὺ τῶν καλῶς ἐχόντων κατεφρόνουν· ὥστε οὐ πάντη ἄλογος αὐτῶν ἡ λήθη τοῦ καλοῦ, πρὸς τὸ ἡδὺ ἐκεῖνο τῆς ψυχῆς διατριβούσης. Τὸ δὲ λιμῷ ξυνόντα παρεστῶτα ἄλλῳ τοῦ λωτοῦ ἐμφορουμένῳ μηδὲν μεταδιδόντι ὑπ' ἐλπίδος μόνης τοῦ κἂν αὐτὸν παραγεύσασθαί ποτε δεδέσθαι τῶν καλῶς καὶ ὀρθῶς ἐχόντων ἐπιλελησμένον, Ἡράκλεις, ὡς καταγέλαστον καὶ πληγῶν τινων Ὁμηρικῶν ὡς ἀληθῶς δεόμενον.

9. Τὰ μὲν τοίνυν πρὸς τὰς ξυνουσίας αὐτοὺς ἄγοντα

desperationem fatigent. Dicemus autem suo illa tempore, quum etiam reliquas istorum molestias enarrabimus : in præsentia satis fuit ostendisse, ne eos quidem verum dicere qui hac de causa se ipsos vendere prædicant.

7. Relinquitur, id quod verissimum est, minime vero omnium ab illis dicitur, voluptatis causa illos et multas propter spes, easque luculentas, in domos alienas insilire, attonitos multitudine auri atque argenti, felicitatem ponentes in cœnis ceterisque deliciis, sperantes tantum non statim plenis faucibus, nemine obturante, aurum esse devoraturos. *Hæc abducunt illos et ex liberis servos faciunt : non indigentia rerum necessariarum, quam dicebant modo, sed non necessariarum cupiditas, et multarum illarum atque pretii magni rerum affectatio.* Itaque istos, tanquam invenustos et infelices amatores, quum nacti sunt astuti et veteratores amasii, superbe tractant, atque in tantum modo coluntur, uti semper ab iis amentur, frui autem amoribus suis ne ad osculum quidem extimum permittunt, qui norint in fructu ipso solutionem amoris eventuram. Hanc igitur excludunt et summo cavent studio. Ceterum spe semper amatorem sustentant : quippe metuunt, ne desperatio illum a nimia cupiditate abducat, atque ita amare ipsos desinat. Arrident igitur, et pollicentur se quavis oblata occasione facturos et præbituros, et curam olim ipsorum acturos splendidum in modum. Inter hæc ambobus non sentientibus anni obrepunt, ut jam intempestivum sit, amare alterum, alterum præbere. Tota itaque vita nihil iis uttra spem effectum est.

8. Ac propter cupiditatem voluptatis sustinere omnia, non omnino forte reprehendendum fuerit; sed venia indulgenda, si quis voluptate gaudeat, et undique illam persequatur, ut particeps illius fiat : quanquam illud tamen forte turpe ac servile, ipsum se propter eam vendere; multo enim major ea quæ ex libertate contingit voluptas est : veruntamen veniam aliquam habeat, ea si potiatur. At enim propter solam spem voluptatis insuavia ita multa sustinere, ridiculum et amens esse arbitror, idque quum videant, labores quidem manifestos esse et apertos et necessarios, speratum autem illud, quidquid demum sit suave, neque contigisse unquam tanto tempore, neque adeo, si quis recte rationem putet, ut contingat, futurum videri. Ac socii quidem Ulyssis, dulci illo loto gustato, neglexerunt reliqua, et præ eo, quod in præsentia suave videretur, honesta et pulchra neglexerunt : igitur non omnino absurda erat illorum oblivio honesti, animo in suavitate illa occupato. Verum esse aliquem qui famis ipse sodalis astet alii loto se ingurgitanti neque impertienti quicquam, hac sola spe vinctus, fore ut sibi etiam aliquando degustandus detur; atque interim bona et recta obliviscatur : illud mehercules risu dignum et Homericis plagis vere indigens.

9 Quæ igitur ad hos convictus istos agunt, et propter

καὶ ἀφ' ὧν αὐτοὺς φέροντες ἐπιτρέπουσι τοῖς πλουσίοις χρῆσθαι πρὸς ὅ τι ἂν ἐθέλωσι, ταῦτά ἐστιν ἢ ὅτι ἐγγύτατα τούτων, πλὴν εἴ μὴ κἀκείνων τις μεμνῆσθαι ἀξιώσειε τῶν καὶ μόνῃ τῇ δόξῃ ἐπαιρομένων τοῦ ξυνεῖναι εὐπατρίδαις τε καὶ εὐπαρύφοις ἀνδράσιν· εἰσὶ γὰρ οἳ καὶ τοῦτο περίβλεπτον καὶ ὑπὲρ τοὺς πολλοὺς νομίζουσιν, ὡς ἔγωγε τοὐμὸν ἴδιον οὐδὲ βασιλεῖ τῷ μεγάλῳ αὐτὸ μόνον συνεῖναι καὶ συνὼν ὁρᾶσθαι μηδὲν χρηστὸν ἀπολαύων τῆς ξυνουσίας δεξαίμην ἄν.

10. Τοιαύτης δὲ αὐτοῖς τῆς ὑποθέσεως οὔσης, φέρε ἤδη πρὸς ἡμᾶς αὐτοὺς ἐπισκοπήσωμεν οἷα μὲν πρὸ τοῦ εἰσδεχθῆναι καὶ τυχεῖν ὑπομένουσιν, οἷα δ' ἐν αὐτῷ ἤδη ὄντες πάσχουσιν, ἐπὶ πᾶσι δὲ ἥτις αὐτοῖς ἡ καταστροφὴ τοῦ δράματος γίγνεται· οὐ γὰρ δὴ ἐκεῖνό γε εἰπεῖν ἐστιν, ὡς εἰ καὶ πονηρὰ ταῦτα, εὔληπτα γοῦν καὶ οὐ πολλοῦ δεήσει τοῦ πόνου, ἀλλὰ θελῆσαι δεῖ μόνον, εἶτά σοι πέπρακται τὸ πᾶν εὐμαρῶς· ἀλλὰ πολλῆς μὲν τῆς διαδρομῆς, συνεχοῦς δὲ τῆς θυραυλίας, ἕωθέν τε ἐξανιστάμενον περιμένειν ὠθούμενον καὶ ἀποκλειόμενον καὶ ἀναίσχυντον ἐνίοτε καὶ ὀχληρὸν δοκοῦντα ὑπὸ θυρωρῷ κακῶς Συρίζοντι καὶ ὀνομακλήτορι Λιβυκῷ ταττόμενον καὶ μισθὸν τελοῦντα τῆς μνήμης τοῦ ὀνόματος· καὶ μὴν καὶ ἐσθῆτος ὑπὲρ τὴν ὑπάρχουσαν δύναμιν ἐπιμεληθῆναι χρὴ πρὸς τὸ τοῦ θεραπευομένου ἀξίωμα καὶ χρώματα αἱρεῖσθαι, οἷς ἂν ἐκεῖνος ἥδηται, ὡς μὴ ἀπᾴδῃς μηδὲ προσκρούῃς βλεπόμενος, καὶ φιλοπόνως ἕπεσθαι, μᾶλλον δὲ ἡγεῖσθαι ὑπὸ τῶν οἰκετῶν προωθούμενον καὶ ὥσπερ τινὰ πομπὴν ἀναπληροῦντα. Ὁ δὲ οὐδὲ προσβλέπει πολλῶν ἐξῆς ἡμερῶν.

11. Ἦν δέ ποτε καὶ τὰ ἄριστα πράξῃς, καὶ ἴδῃ σε καὶ προσκαλέσας ἔρηταί τι ὧν ἂν τύχῃ, τότε δὴ τότε πολὺς μὲν ὁ ἱδρώς, ἀθρόος δὲ ὁ ἴλιγγος καὶ τρόμος ἄκαιρος καὶ γέλως τῶν παρόντων ἐπὶ τῇ ἀπορίᾳ· καὶ πολλάκις ἀποκρίνασθαι δέον, τίς ἦν ὁ βασιλεὺς τῶν Ἀχαιῶν, ὅτι χίλιαι νῆες ἦσαν αὐτοῖς, λέγεις. Τοῦτο οἱ μὲν χρηστοὶ αἰδῶ ἐκάλεσαν, οἱ δὲ τολμηροὶ δειλίαν, οἱ δὲ κακοήθεις ἀπαιδευσίαν. Σὺ δ' οὖν ἐπισφαλεστάτης πειραθεὶς τῆς πρώτης φιλοφροσύνης ἀπῆλθες καταδικάσας σεαυτοῦ πολλὴν τὴν ἀπόγνωσιν. Ἐπειδὰν δὲ

πολλὰς μὲν ἀΰπνους νύκτας ἰαύσῃς,
ἤματα δ' αἱματόεντα

διαγάγῃς, οὐ μὰ Δία τῆς Ἑλένης ἕνεκα οὐδὲ τῶν Πριάμου Περγάμων, ἀλλὰ τῶν ἐλπιζομένων πέντε ὀβολῶν, τύχῃς δὲ καὶ τραγικοῦ τινος θεοῦ συνιστάντος, ἐξέτασις τοὐντεῦθεν εἰ οἶσθα τὰ μαθήματα· καὶ τῷ μὲν πλουσίῳ ἡ διατριβὴ οὐκ ἀηδὴς ἐπαινουμένῳ καὶ εὐδαιμονιζομένῳ, σοὶ δὲ ὁ ὑπὲρ τῆς ψυχῆς ἀγὼν καὶ ὑπὲρ ἅπαντος τοῦ βίου τότε προκεῖσθαι δοκεῖ· ὑπεισέρχεται γὰρ εἰκότως τὸ μηδ' ὑπ' ἄλλου ἂν καταδεχθῆναι πρὸς τοῦ προτέρου ἀποβληθέντα καὶ δόξαντα εἶναι ἀδόκιμον. Ἀνάγκη τοίνυν ἐς μυρία διαιρεθῆναι τότε τοῖς μὲν ἀντεξεταζομένοις φθονοῦντα — τίθει γὰρ καὶ ἄλλους εἶναι τῶν αὐτῶν ἀντιποιουμένους — αὐτὸν δὲ πάντα ἐνδεῶς εἰρη-

quæ divitibus alacriter se præbent, ut ipsis pro arbitrio abutantur, hæc sunt, aut his fere proxima : nisi forte illorum etiam mentionem injecisse aliquis velit, qui gloria sola efferuntur versandi cum generosis viris et prætextatis. Sunt enim qui hoc etiam illustre quiddam et vulgo superius putent, quum equidem, quod me privatim attinet, ne cum magno quidem Rege esse velim et in convictu eo conspici, si hoc per se solum sit, neque aliud quicquam boni ex illa consuetudine ad me redeat.

10. Hoc igitur quum rationis suæ argumentum et quasi fundamentum habeant, age jam inter nos videamus primo, quæ illi sustineant, priusquam admittantur et voti fiant compotes; quæ deinde, quum ibi sunt, illis eveniant; post omnia vero qualis ipsis exitus fiat fabulæ. Neque enim hoc dicere licet, vilia quidem ista esse, sed ob id ipsum facilia ad adipiscendum, neque multo labore opus habere; sed modo opus esse ut velis, dein reliqua facile perfecta omnia : quin multo discursu opus est, et multis ad januam excubiis. Mane surgendum, exspectandum deinde est ac durandum, si impellaris interea et excludaris, et impudens nonnunquam molestusque videaris, sub imperio quasi janitoris Syrum male sermonem admiscentis, aut nomenclatoris Libyci constituti, quibus mercedem solvas etiam oportet, quod nomen tuum meminere. Quin etiam vestium curam majorem quam pro facultatibus suscipere oportet, ad dignitatem nempe ejus quem colas, et colores eligere quibus ille delectetur, ne discrepes ab illo, neu offendas si forte te videat; tum studiose illum assectari, vel præcedere potius impulsum a servis, et quandam quasi pompam vero implere. Ille multis deinceps diebus ne aspicit quidem te.

11. Si vero aliquando felicissimus sis, et videat te, et ad se vocatum rogaverit fortuitorum quiddam : tum sane sudor multus, et crebra vertigo, et tremor intempestivus, et risus præsentium de æstu tuo : et sæpe quum respondendum sit, quis Achivorum rex fuerit, respondes, mille illis naves fuisse. Hoc boni quidem viri pudorem appellant, audaces vero timiditatem, et maligni, inscitiam : tu vero primam tibi humanitatem periculosissimam expertus, discedis tuam ipse damnans meticulosam diffidentiam. Quum vero

multæ inde tibi noctes sine munere somni,
sanguineique dies

transierunt, non Helenæ sane causa, aut Pergamorum Priami, sed quinque quos speras obolorum, et jam tragicus tibi deus aliquis obvenerit, qui te commendet; examen inde instituitur, an literas noveris. Ac diviti quidem illa non insuavis exercitatio, qui laudetur tum et felicitatis nomine prædicetur; tibi vero certamen de ipsa anima et vita universa videtur esse propositum. Nec immerito enim subit, nec ab alio receptum te iri, rejectus a priore aliquo et reprobatus si fueris. Necesse igitur est in sexcentas tum partes animum distrahi, qui invideas his qui tecum simul examinantur (pone enim alios esse eadem quæ tu appetentes), te ipsum vero tenuiter nimis dixisse omnia

κέναι νομίζοντα, φοβούμενον δὲ καὶ ἐλπίζοντα καὶ πρὸς τὸ ἐκείνου πρόσωπον ἀτενίζοντα καὶ εἰ μὲν ἐκφαυλίζοι τι τῶν λεγομένων, ἀπολλύμενον· εἰ δὲ μειδιῶν ἀκούοι, γεγηθότα καὶ εὔελπιν καθιστάμενον.

12. Εἰκὸς δὲ πολλοὺς εἶναι τοὺς ἐναντία σοι φρονοῦντας καὶ ἄλλους ἀντὶ σοῦ τιθεμένους, ὧν ἕκαστος ὥσπερ ἐκ λόχου τοξεύων λέληθεν. Εἶτ' ἐννόησον ἄνδρα ἐν βαθεῖ πώγωνι καὶ πολιᾷ τῇ κόμῃ ἐξεταζόμενον, εἴ τι οἶδεν ὠφέλιμον, καὶ τοῖς μὲν δοκοῦντα εἰδέναι, τοῖς δὲ μή. Μέσος ἐν τοσούτῳ χρόνος, καὶ πολυπραγμονεῖταί σου ἅπας ὁ παρεληλυθὼς βίος, κἂν μέν τις ἢ πολίτης ὑπὸ φθόνου ἢ γείτων ἐκ τινος εὐτελοῦς αἰτίας προσκεκρουκὼς ἀνακρινόμενος εἴπῃ μοιχὸν ἢ παιδεραστήν, τοῦτ' ἐκεῖνο, ἐκ τῶν Διὸς δέλτων ὁ μάρτυς, ἦν δὲ πάντες ἅμα ἐξῆς ἐπαινῶσιν, ὕποπτοι καὶ ἀμφίβολοι καὶ δεδεκασμένοι. Χρὴ τοίνυν πολλὰ εὐτυχῆσαι καὶ μηδὲν ὅλως ἐναντιωθῆναι· μόνως γὰρ ἂν οὕτω κρατήσειας. Εἶεν, καὶ δὴ ηὐτύχηταί σοι πάντα τῆς εὐχῆς μειζόνως· αὐτός τε γὰρ ἐπῄνεσε τοὺς λόγους καὶ τῶν φίλων οἱ ἐντιμότατοι καὶ οἷς μάλιστα πιστεύει τὰ τοιαῦτα οὐκ ἀπέτρεψαν· ἔτι δὲ καὶ ἡ γυνὴ βούλεται, οὐκ ἀντιλέγει δὲ οὔτε ὁ ἐπίτροπος οὔτε ὁ οἰκονόμος· οὐδέ τις ἐμέμψατό σου τὸν βίον, ἀλλὰ πάντα ἥλεω καὶ παντα-χόθεν αἴσια τὰ ἱερά.

13. Κεκράτηκας οὖν, ὦ μακάριε, καὶ ἔστεψαι τὰ Ὀλύμπια, μᾶλλον δὲ Βαβυλῶνα εἵληφας ἢ τὴν Σάρδεων ἀκρόπολιν καθῄρηκας καὶ ἕξεις τὸ τῆς Ἀμαλθείας κέρας καὶ ἀμέλξεις ὀρνίθων γάλα. Δεῖ δή σοι ἀντὶ τῶν τοσούτων πόνων μέγιστα ἡλίκα γενέσθαι τάγαθά, ἵνα μὴ φύλλινος μόνον ὁ στέφανος ᾖ, καὶ τόν τε μισθὸν οὐκ εὐκαταφρόνητον ὁρισθῆναι καὶ τοῦτον ἐν καιρῷ τῆς χρείας ἀπραγμόνως ἀποδίδοσθαι καὶ τὴν ἄλλην τιμὴν ὑπὲρ τοὺς πολλοὺς ὑπάρχειν, πόνων δὲ ἐκείνων καὶ πηλοῦ καὶ δρόμων καὶ ἀγρυπνιῶν ἀναπεπαῦσθαι, καὶ τοῦτο δὴ τὸ τῆς εὐχῆς, ἀποτείναντα τὼ πόδε καθεύδειν μόνα ἐκεῖνα πράττοντα ὧν ἕνεκα τὴν ἀρχὴν παρελήφθης καὶ ὧν ἔμμισθος εἶ. Ἐχρῆν μὲν οὕτως, ὦ Τιμόκλεις, καὶ οὐδὲν ἂν ἦν μέγα κακόν, ὑποκύψαντα φέρειν τὸν ζυγὸν ἥλαφρόν τε καὶ εὔφορον καὶ τὸ μέγιστον, ἐπίχρυσον ὄντα. Ἀλλὰ πολλοῦ, μᾶλλον δὲ τοῦ παντὸς δεῖ· μυρία γάρ ἐστιν ἀφόρητα ἐλευθέρῳ ἀνδρὶ ἐν αὐταῖς ἤδη ταῖς συνουσίαις γιγνόμενα. Σκέψαι δ' αὐτὸς ἐξῆς ἀκούων εἴ τις ἂν αὐτὰ ὑπομεῖναι δύναιτο παιδείᾳ κἂν ἐπ' ἐλάχιστον ὠμιληκώς.

14. Ἄρξομαι δ' ἀπὸ τοῦ πρώτου δείπνου, ἣν δοκῇ, ὅ σε εἰκὸς δειπνήσειν τὰ προτέλεια τῆς μελλούσης ξυνουσίας. Εὐθὺς οὖν πρόσεισι παραγγέλλων τις ἥκειν ἐπὶ τὸ δεῖπνον, οὐκ ἀνομίλητος οἰκέτης, ὃν χρὴ πρῶτον ἥλεων ποιήσασθαι, πᾶραδύσαντα ἐς τὴν χεῖρα, ὡς μὴ ἀδέξιος εἶναι δοκῇς, τοὐλάχιστον πέντε δραχμάς· ὁ δὲ ἀκκισάμενος καὶ, ἄπαγε, παρὰ σοῦ δὲ ἐγώ; καὶ, Ἡράκλεις μὴ γένοιτο, ὑπειπὼν τέλος ἐπείσθη, καὶ ἄπεισί σοι πλατὺ ἐγχανών· σὺ δ' ἐσθῆτα καθαρὰν προχειρισάμενος καὶ σεαυτὸν ὡς κοσμιώτατα σχηματίσας λουarbitreris; porro metuas et speres, et ipsius in vultu oculos defigas, ita ut si eorum quæ dicis ipse respuere quid videatur, perisse te putes; si vero cum subrisu audiat, gaudeas et bona cum spe astes.

12. Est autem vero simile, multos esse qui obtrectent tibi, et alios tibi opponant, quorum unusquisque velut ex insidiis occulte jaculetur. Jam cogita virum prolixa cum barba et canis capillis explorari, si quid norit utile; et aliis quidem videri nosse, aliis non item. Tum tempus intercedit, quo scrupulose inquiritur vita tua omnis superior: et si quis vel tuus civis invidia, aut vicinus levi quadam de causa tibi offensus, interrogatus de te aut mœchum dixerit, aut puerorum amore infamem, ilicet, is putatur ex Jovis ipsius tabulis datus testis; sin ad unum omnes ordine te laudent, suspecti habentur et ambigui et corrupti. Oportet igitur multa te felicitate uti, et nusquam omnino oppugnari: hac sola enim ratione viceris. Esto: feliciter tibi omnia et supra votum evenerunt: et ipse enim tuam laudavit orationem, et amicorum honoratissimi, et quibus maxime credit de talibus, ipsum non averterunt: porro idem vult uxor, neque procurator contradicit, nec dispensator: neque vitam tuam quisquam reprehendit, sed placata omnia, et litatum undique.

13. Vicisti igitur, beate, coronatus es Olympiis, vel potius, Babylonem cepisti, aut Sardium arcem expugnasti: et Amaltheæ cornu habebis, et gallinarum lac mulgebis. Oportet enim pro tantis tibi laboribus mirum quanta bona contingere, ne foliacea modo corona sit; mercedem oportet constitui minime contemnendam, eamque, quo tempore opus est, sine difficultate solvi, ceterumque supra vulgus honorem tibi haberi; et requietem jam contingere laborum illorum, et luti, et cursuum, et vigiliarum; et illud quod in votis fuerat, ut porrectis pedibus dormire liceat, ac sola agere ea, quorum causa assumtus initio fuisti, et quorum nomine capis mercedem. Sic quidem oportebat, Timocles, nec magnum sic malum foret, submissa cervice jugum ferre leve et commodum, et quod maximum est, inauratum. Sed multum abest, immo omnia. Sexcenta enim sunt intolerabilia libero homini, quæ in ipso jam convictu fiunt. Considera autem ipse dum deinceps audies, utrum ferre ea possit, si cui vel ad brevissimum tempus consuetudo cum eruditione fuerit.

14. Incipiam autem a prima cœna, si ita videtur, quam te cœnaturum probabile est, aditialem quasi futuræ consuetudinis. Statim igitur accedit, qui ad cœnam te vocet, non inhumanus servulus, quem placare prius oportet, in manum insertis, ne rusticus esse videaris, quinque minimum drachmis. Ille vero per simulationem recusans initio, et, Apage, inquiens, a tene ego? et, Mehercules non fiet, subjiciens, denique persuaderi sibi patitur, et albis te dentibus ridens abit. Tu vero pura veste depromta, et quam ornatissime compositus lotusque venis, metuens ne

σάμενος ἥκεις δεδιὼς μὴ πρὸ τῶν ἄλλων ἀφίκοιο, ἀπειράκαλον γὰρ, ὥσπερ καὶ τὸ ὕστατον ἥκειν φορτικόν. Αὐτὸ οὖν τηρήσας τὸ μέσον τοῦ καιροῦ εἰσελήλυθας, καί σε πάνυ ἐντίμως ἐδέξαντο, καὶ παραλαβών τις κατέκλινε μικρὸν ὑπὲρ τοῦ πλουσίου μετὰ δύο που σχεδὸν τῶν παλαιῶν φίλων.

15. Σὺ δ' ὥσπερ εἰς τοῦ Διὸς τὸν οἶκον παρελθὼν πάντα τεθαύμακας καὶ ἐφ' ἑκάστῳ τῶν πραττομένων μετέωρος εἶ· ξένα γάρ σοι καὶ ἄγνωστα πάντα· καὶ ἡ τε οἰκετεία εἰς σὲ ἀποβλέπει καὶ τῶν παρόντων ἕκαστος ὅ τι πράξεις ἐπιτηροῦσιν, οὐδ' αὐτῷ δὲ ἀμελὲς τῷ πλουσίῳ τοῦτο, ἀλλὰ καὶ προεῖπέ τισι τῶν οἰκετῶν ἐπισκοπεῖν, [ὅπως] ἐς τοὺς παῖδας ἢ ἐς τὴν γυναῖκα εἰ πολλάκις ἐκ περιωπῆς ἀποβλέψεις· οἱ μὲν γὰρ τῶν συνδείπνων ἀκόλουθοι ὁρῶντες ἐκπεπληγμένον ἐς τὴν ἀπειρίαν τῶν ὁρωμένων ἀποσκώπτουσι τεκμήριον ποιούμενοι τοῦ μὴ παρ' ἄλλῳ πρότερόν σε δεδειπνηκέναι καὶ τὸ καινὸν εἶναί σοι τὸ χειρόμακτρον τιθέμενον· ὥσπερ οὖν εἰκὸς, ἰδίειν τε ἀνάγκη ὑπ' ἀπορίας καὶ μήτε διψῶντα πιεῖν αἰτεῖν τολμᾶν, μὴ δόξῃς οἰνόφλυξ τις εἶναι, μήτε τῶν ὄψων παρατεθέντων ποικίλων καὶ πρός τινα τάξιν ἐσκευασμένων εἰδέναι ἐφ' ὅ τι πρῶτον ἢ δεύτερον τὴν χεῖρα ἐνέγκῃς· ὑποβλέπειν οὖν ἐς τὸν πλησίον δεήσει κἀκεῖνον ζηλοῦν καὶ μανθάνειν τοῦ δείπνου τὴν ἀκολουθίαν.

16. Τὰ δ' ἄλλα ποικίλος εἶ καὶ θορύβου πλέως τὴν ψυχὴν, πρὸς ἕκαστα τῶν πραττομένων ἐκπεπληγμένος, καὶ ἄρτι μὲν εὐδαιμονίζεις τὸν πλούσιον τοῦ χρυσοῦ καὶ τοῦ ἐλέφαντος καὶ τῆς τοσαύτης τρυφῆς, ἄρτι δὲ οἰκτείρεις σεαυτὸν, ὡς τὸ μηδὲν ὢν εἶτα ζῇν ὑπολαμβάνεις, ἐνίοτε δὲ κἀκεῖνο εἰσέρχεταί σε, ὡς ζηλωτόν τινα βιώσῃ τὸν βίον ἅπασιν ἐκείνοις ἐντρυφήσων καὶ μεθέξων αὐτῶν ἐξ ἰσοτιμίας. Οἴει γὰρ εἰς ἀεὶ Διονύσια ἑορτάσειν, καί που καὶ μειράκια ὡραῖα διακονούμενα καὶ ἠρέμα προσμειδιῶντα γλαφυρωτέραν ὑπογράφει σοι τὴν μέλλουσαν διατριβήν, ὥστε συνεχῶς τὸ Ὁμηρικὸν ἐκεῖνο ἐπιφθέγγεσθαι,

οὐ νέμεσις Τρῶας καὶ ἐϋκνήμιδας Ἀχαιοὺς

πολλὰ πονεῖν καὶ ὑπομένειν ὑπὲρ τῆς τοσαύτης εὐδαιμονίας. Φιλοτησίαι τὸ ἐπὶ τούτῳ, καὶ σκύφον εὐμεγέθη τινὰ αἰτήσας προῦπιέ σοι τῷ διδασκάλῳ, ἢ ὁτιδήποτε προσειπών· σὺ δὲ λαβὼν, ὅτι μέν τί σε καὶ αὐτὸν ὑπειπεῖν ἔδει ἠγνόησας ὑπ' ἀπειρίας, καὶ ἀγροικίας δόξαν ὤφλες.

17. Ἐπίφθονος δ' οὖν ἀπὸ τῆς προπόσεως ἐκείνης πολλοῖς τῶν παλαιῶν φίλων γεγένησαι καὶ πρότερον ἐπὶ τῇ κατακλίσει ἐλύπησάς τινας αὐτῶν, ὅτι τήμερον ἦκων προὐκρίθης ἀνδρῶν πολυετῆ δουλείαν ἠντληκότων. Εὐθὺς οὖν καὶ τοιοῦτός τις ἐν αὐτοῖς περὶ σοῦ λόγος· Τοῦτο ἡμῶν πρὸς τοῖς ἄλλοις δεινοῖς ἐλείπετο, καὶ τῶν ἄρτι ἐσεληλυθότων ἐς τὴν οἰκίαν δευτέρους εἶναι· καὶ, Μόνοις τοῖς Ἕλλησι τούτοις ἀνέῳκται ἡ Ῥωμαίων πόλις. Καίτοι τί ἐστιν ἐφ' ὅτῳ προτιμῶνται ἡμῶν; οὐ ῥημάτια δύστηνα λέγοντες οἰονταί τι παμμέγεθες

ante alios adsis : parum elegantis enim hoc fuerit, ut superbum, venire ultimum. Ipso igitur medio observato tempore ingressus es, et cùm multa te honoris significatione exceperunt, teque prehensum aliquis accumbere jussit paullum supra divitem, post duos circiter amicorum veterum.

15. Tu vero tanquam Jovis domum ingressus admiraris omnia, et ad unumquodque eorum quæ fiunt suspensus æstuas : peregrina enim tibi et incognita omnia. Porro hinc familia in te intendit oculos, hinc convivarum quisque, quid agas, observant. Neque ipse dives non hoc curat, sed præcepit etiam servorum quibusdam, ut attendant, si ad pueros et uxorem sæpe circumlatis oculis respicias. Ac convivarum quidem servi attonitum te videntes, inscitiam eorum, quæ facis, rident, signumque etiam ex illo capiunt, te nunquam apud alium prius cœnasse, quod novum tibi insolensque sit mantile appositum. Ut igitur facile est ad conjiciendum, sudare te præ æstu necesse est, nec audere quum sitis poscere poculum, ne vinosus videare; neque dapibus appositis variis, ordine quodam structis, scire ad quid primo aut postea manum porrigas. Furtim igitur respicere ad vicinum oportebit, et illum imitari, et ab illo discere cœnæ ordinem.

16. Ceterum varius es, et tumultu animi plenus, perturbatus ad singula quæ fiunt : et nunc quidem beatum prædicas divitem auri causa et eboris, et tantarum deliciarum : jam vero te ipsum miserare, qui quum nihil sis ad hunc comparatus divitem, vivere tamen te arbitreris : nonnunquam vero illud quoque in mentem tibi venit, quam invidendam victurus sis vitam, qui ad delicias usque omnibus illis usurus et æquo jure particeps sis illorum futurus. Putabis nimirum semper te acturum Dionysia : ac forte etiam adolescentuli formosi ministrantes et leviter arridentes venustiorem tibi futuram vivendi conditionem pingunt, uti semper Homericum illud succinas,

Non piget Troasque ocreati et cruris Achivos

multa facere et pati tantæ felicitatis gratia. Hinc amicitiæ libabitur, et magnum quoddam poculum poscens propinat tibi Magistro, vel quocumque demum nomine te appellans : tu vero capiens poculum, et respondendum tibi esse aliquid ignorans præ imperitia, rusticitatis adeo opinionem præbes.

17. Igitur invidiam ab illa propinatione veterum amicorum plurium subiisti, et jam prius in ipso accubitu offendisti quosdam illorum, quod hodie ingressus prælatus es viris qui multorum jam annorum servitutem exhausere. Statim igitur tales inter ipsos habentur de te sermones : Hoc scilicet nobis ad reliqua mala deerat, ut etiam post eos, qui modo ingressi domum sunt, habeamur! et, Solis hisce Græculis Romanorum urbs patet. Quid vero est quo ante nos censentur? nonne sermunculis quibusdam miseris proferendis maximam se putant utilitatem afferre? Alius vero, Non

ὠφελεῖν; Ἄλλος δὲ, Οὐ γὰρ εἶδες ὅσα μὲν ἔπιεν, ὅπως δὲ τὰ παρατεθέντα συλλαβὼν κατέφαγεν; ἀπειρόκαλος ἄνθρωπος καὶ λιμοῦ πλέως, οὐδ' ὄναρ λευκοῦ ποτε ἄρτου ἐμφορηθείς, οὔτι γε Νομαδικοῦ ἢ Φασιανοῦ ὄρνιθος, ὧν μόλις τὰ ὀστᾶ ἡμῖν καταλέλοιπε. Τρίτος ἄλλος, Ὦ μάταιοι, φησὶ, πέντε οὐδ' ὅλων ἡμερῶν ὄψεσθε αὐτὸν ἐνταῦθά που ἐν ἡμῖν τὰ ὅμοια ποτνιώμενον· νῦν μὲν γὰρ ὥσπερ τὰ καινὰ τῶν ὑποδημάτων ἐν τιμῇ τινι καὶ ἐπιμελείᾳ ἐστὶν, ἐπειδὰν δὲ πατηθῇ πολλάκις καὶ ὑπὸ τοῦ πηλοῦ ἀναπλασθῇ, ὑπὸ τῇ κλίνῃ ἀθλίως ἐρρίψεται κόρεων ὥσπερ ἡμεῖς ἀνάπλεως. Ἐκεῖνοι μὲν οὖν τοιαῦτα πολλὰ περὶ σοῦ στρέφουσι καί που ἤδη καὶ πρὸς διαβολάς τινες αὐτῶν παρασκευάζονται.

18. Τὸ δ' οὖν συμπόσιον ὅλον ἐκεῖνο σόν ἐστι καὶ περὶ σοῦ οἱ πλεῖστοι τῶν λόγων· σὺ δ' ὑπ' ἀηθείας πλέον τοῦ ἱκανοῦ ἐμπιὼν οἴνου λεπτοῦ καὶ δριμέος, πάλαι τῆς γαστρὸς ἐπειγούσης, πονήρως ἔχεις, καὶ οὔτε προεξαναστῆναί σοι καλὸν οὔτε μένειν ἀσφαλές· ἀποτεινομένου τοίνυν τοῦ πότου καὶ λόγων ἐπὶ λόγοις γιγνομένων καὶ θεαμάτων ἐπὶ θεάμασι παριόντων — ἅπαντα γὰρ ἐπιδείξασθαί σοι τὰ αὑτοῦ βούλεται — κόλασιν οὐ μικρὰν ὑπομένεις μήτε ὁρῶν τὰ γιγνόμενα μήτε ἀκούων εἴ τις ᾄδει ἢ κιθαρίζει πάνυ τιμώμενος μειρακίσκος, ἀλλ' ἐπαινεῖς μὲν ὑπ' ἀνάγκης, εὐχῇ δὲ ἢ σεισμῷ συμπεσεῖν ἐκεῖνα πάντα ἢ πυρκαϊάν τινα προσαγγελθῆναι, ἵνα ποτὲ καὶ διαλυθῇ τὸ συμπόσιον.

19. Τοῦτο μὲν δή σοι τὸ πρῶτον, ὦ ἑταῖρε, καὶ ἥδιστον ἐκεῖνο δεῖπνον, οὐκ ἔμοιγε τοῦ θύμου καὶ τῶν λευκῶν ἁλῶν ἥδιον, ὁπηνίκα βούλομαι καὶ ὁπόσον, ἐλευθέρως ἐσθιομένων. Ἵνα γοῦν σοι τὴν ὀξυρεγμίαν τὴν ἐπὶ τούτοις παρῶ καὶ τὸν ἐν τῇ νυκτὶ ἔμετον, ἔωθεν δεήσει περὶ τοῦ μισθοῦ ξυμβῆναι ὑμᾶς, ὁπόσον τε καὶ ὁπότε τοῦ ἔτους χρὴ λαμβάνειν. Παρόντων οὖν ἢ δύο ἢ τριῶν φίλων προσκαλέσας σε καὶ καθίζεσθαι κελεύσας ἄρχεται λέγειν· Τὰ μὲν ἡμέτερα ὁποῖά ἐστιν ἑόρακας ἤδη, καὶ ὡς τῦφος ἐν αὐτοῖς οὐδὲ εἷς, ἀτραγῳδήτα δὲ καὶ πεζὰ πάντα καὶ δημοτικά, χρὴ δέ σε οὕτως ἔχειν ὡς ἁπάντων ἡμῖν κοινῶν ἐσομένων· γελοῖον γὰρ εἰ τὸ κυριώτατον, τὴν ψυχήν σοι τὴν ἐμαυτοῦ ἢ καὶ νὴ Δία τῶν παίδων — εἰ παῖδες εἶεν αὐτῷ παιδεύσεως δεόμενοι — ἐπιτρέπων τῶν ἄλλων μὴ ἐπ' ἴσης ἡγοίμην δεσπότην. Ἐπεὶ δὲ καὶ ὡρίσθαι τι δεῖ, ὁρῶ μὲν τὸ μέτριον καὶ αὐτάρκες τοῦ σοῦ τρόπου καὶ συνίημι ὡς οὐχὶ μισθοῦ ἐλπίδι προσελήλυθας ἡμῶν τῇ οἰκίᾳ, τῶν δὲ ἄλλων ἕνεκα, τῆς εὐνοίας τῆς παρ' ἡμῶν καὶ τιμῆς, ἣν παρὰ πᾶσιν ἕξεις· ὅμως δ' οὖν καὶ ὡρίσθω τι. Σὺ δ' αὐτὸς ὅ τι καὶ βούλει λέγε μεμνημένος, ὦ φίλτατε, κἀκείνων, ἅπερ ἐν ἑορταῖς διετησίοις εἰκὸς ἡμᾶς παρέξειν· οὐ γὰρ ἀμελήσομεν οὐδὲ τῶν τοιούτων, εἰ καὶ μὴ νῦν αὐτὰ συντιθέμεθα· πολλαὶ δὲ, οἶσθα, τοῦ ἔτους αἱ τοιαῦται ἀφορμαί. Καὶ πρὸς ἐκεῖνα τοίνυν ἀποβλέπων μετριώτερον δῆλον ὅτι ἐπιβαλεῖς ἡμῖν τὸν μισθόν· ἄλλως τε καὶ πρέπον ἂν εἴη τοῖς πεπαιδευμένοις ὑμῖν κρείττοσιν εἶναι χρημάτων.

tu vidisti, inquit, quantum biberit? et quomodo apposita sibi corripiens voraverit? bonarum rerum imperitus homo, et esuritionum plenus, ne per somnum quidem unquam candido pane satiatus, nedum Numidica gallina, vel Phasiana, quarum vix ossa nobis reliquit. Tertius alius, Inepti, inquit, ne totis quidem quinque interjectis diebus videbitis hominem hic inter nos similiter querentem. Nunc enim u' novi calcei in honore quodam et cura est : quum vero calcatus fuerit aliquoties, et luto perlitus, sub lecto jacebit misere, cimicibus non minus quam nos refertus. Atque hi quidem talia de te multa versant, et forte jam ad calumnias se parant quidam eorum.

18. Convivium igitur illud totum tuum est, ac de te sermones plerique. Tu vero, insuetus videlicet, plus justo qui biberis vini tenuis et acris, dudum urgente ventre male habes : et tamen neque ante reliquos surgere decorum tibi est, neque manere tutum. Producta ergo compotatione, dum sermo alius ex alio nascitur, dum spectaculum succedit spectaculo (omnia enim sua ostentare tibi vult), pœnam non parvam sustines, præ qua nec vides quæ fiunt, neque audis si quis cantat, vel cithara canit habitus magno in pretio adolescentulus : sed laudas tu quidem necessario, ceterum aut terræ motu concidere illa omnia optas, aut incendium quoddam nunciari, ut tandem aliquando solvatur convivium.

19. Hæc itaque prima tibi, sodalis, et suavissima illa cœna : mihi quidem cepa et candido sale non jucundior, quum volo et quantum volo, libere sumtis. Jam ut acidum tibi ructum, qui consequi ista solet, et vomitionem nocturnam omittam, postridie oportebit de mercede inter vos convenire, quantum et quo anni tempore accipere oporteat. Præsentibus ergo duobus tribusve amicis, advocato te atque assidere jusso, dicere incipit : Quæ sit nostra vivendi ratio, heri vidisti, et quam nullus sit in ea superbiæ locus ; nihil hic tragœdiarum, pedestria omnia et civilia : ceterum ita te existimare volo, et ita te instituere, ut communia nobis futura memineris omnia. Ridiculum enim fuerit, si quod principatum tenet, animum tibi meum aut hercule liberorum (si sint illi liberi institutionis egentes) quum credam, reliquorum te non ex æquo dominum arbitrer. Quandoquidem vero et definiri aliquid opus est, video quidem mediocritatem tuam et mores sua virtute beatos contentosque, atque intelligo, non mercedis spe nostram te domum accessisse, sed ceterarum rerum causa, benevolentiæ nostræ, et honoris, quem omnes tibi habebunt : attamen etiam definiatur aliquid. Tu vero ipse, quid volueris, dicito, sed memineris, carissime, illorum etiam, quæ in solemnitatibus annuis daturos nos consentaneum est : neque enim negligemus ista, licet de his nihil jam inter nos conveniat : multæ autem, nosti, singulis annis ejusmodi sunt occasiones. Ad hæc ergo respiciens, moderatiorem nobis scilicet mercedem impones : et aliquin decet vos eruditos superiores esse pecunia.

20. Ὁ μὲν ταῦτα εἰπὼν καὶ ὅλον σε διασείσας ταῖς ἐλπίσι τιθασὸν ἑαυτῷ πεποίηκε, σὺ δὲ πάλαι τάλαντα καὶ μυριάδας ὀνειροπολήσας καὶ ἀγροὺς ὅλους καὶ συνοικίας συνίης μὲν ἡρέμα τῆς μικρολογίας, σαίνεις δὲ ὅμως τὴν ὑπόσχεσιν καὶ τὸ, πάντα ἡμῖν κοινὰ ἔσται, βέβαιον καὶ ἀληθὲς ἔσεσθαι νομίζεις, οὐκ εἰδὼς ὅτι τὰ τοιαῦτα

χείλεα μέν τ' ἐδίην', ὑπερώην δ' οὐκ ἐδίηνε·

τελευταῖον δ' ὑπ' αἰδοῦς αὐτῷ ἐπέτρεψας. Ὁ δὲ αὐτὸς μὲν οὔ φησιν ἐρεῖν, τῶν φίλων δέ τινα τῶν παρόντων κελεύει μέσον ἐλθόντα τοῦ πράγματος εἰπεῖν ὃ μὴ' αὐτῷ γίγνοιτ' ἂν βαρὺ καὶ πρὸς ἄλλα τούτων ἀναγκαιότερα δαπανῶντι μήτε τῷ ληψομένῳ εὐτελές. Ὁ δὲ ὠμογέρων τις ἐκ παίδων κολακείᾳ σύντροφος, Ὡς μὲν οὐκ εὐδαιμονέστατος εἶ, φησί, τῶν ἐν τῇ πόλει ἁπάντων, ᾧ οὗτος, οὐκ ἂν εἴποις, ᾧ γε τοῦτο πρῶτον ὑπῆρχεν, ὃ πολλοῖς πάνυ γλιχομένοις μόλις ἂν γένοιτο παρὰ τῆς Τύχης, λέγω δή, ὁμιλίας ἀξιωθῆναι καὶ ἑστίας κοινωνῆσαι καὶ ἐς τὴν πρώτην οἰκίαν τῶν ἐν τῇ Ῥωμαίων ἀρχῇ καταδεχθῆναι· τοῦτο γὰρ ὑπὲρ τὰ Κροίσου τάλαντα καὶ τὸν Μίδα πλοῦτον, εἰ σωφρονεῖν οἶσθα. Εἰδὼς δὲ πολλοὺς τῶν εὐδοκίμων ἐθελήσαντας ἄν, εἰ καὶ προσδιδόναι δέοι, μόνης τῆς δόξης ἕνεκα συνεῖναι τούτῳ καὶ �ρᾶσθαι περὶ αὐτὸν ἑταίρους καὶ φίλους εἶναι δοκοῦντας, οὐκ ἔχω ὅπως σε τῆς εὐποτμίας μακαρίσω, ὃς καὶ προσλήψῃ μισθὸν τῆς τοιαύτης εὐδαιμονίας. Ἀρκεῖν οὖν νομίζω, εἰ μὴ πάνυ ἄσωτος εἶ, τοσόνδε τι — εἰπὼν ἐλάχιστον καὶ μάλιστα πρὸς τὰς σὰς ἐκείνας ἐλπίδας —.

21. Ἀγαπᾶν δ' ὅμως ἀναγκαῖον· οὐ γὰρ οὐδ' ἂν φυγεῖν ἔτι σοι δυνατὸν ἐντὸς ἀρκύων γενομένῳ. Δέχῃ τοίνυν τὸν χαλινὸν μύσας καὶ τὰ πρῶτα εὐάγωγος εἰ πρὸς αὐτὸν οὐ πάνυ περισπῶντα οὐδὲ ὀξέως νύττοντα, μέχρι ἂν λάθῃς τέλεον αὐτῷ συνήθης γενόμενος. Οἱ μὲν δὴ ἔξω ἄνθρωποι τὸ μετὰ τοῦτο ζηλοῦσί σε ὁρῶντες ἐντὸς τῆς κιγκλίδος διατρίβοντα καὶ ἀκωλύτως εἰσιόντα καὶ τῶν πάνυ τινὰ ἔνδον γεγενημένον· σὺ δὲ αὐτὸς οὐδέπω ὁρᾷς οὕτινος ἕνεκα εὐδαίμων αὐτοῖς εἶναι δοκεῖς. Πλὴν ἀλλὰ χαίρεις γε καὶ σεαυτὸν ἐξαπατᾷς καὶ ἀεὶ τὰ μέλλοντα βελτίω γενήσεσθαι νομίζεις. Τὸ δ' ἔμπαλιν ἢ σὺ ἤλπισας γίγνεται καὶ ὡς ἡ παροιμία φησίν, ἐπὶ Μανδροβούλου χωρεῖ τὸ πρᾶγμα καθ' ἑκάστην, ὡς εἰπεῖν, τὴν ἡμέραν ἀποσμικρυνόμενον καὶ εἰς τοὐπίσω ἀναποδίζον.

22. Ἠρέμα οὖν καὶ κατ' ὀλίγον ὥσπερ ἐν ἀμυδρῷ τῷ φωτὶ τότε πρῶτον διαβλέπων ἄρχῃ κατανοεῖν, ὡς αἱ μὲν χρυσαῖ ἐκεῖναι ἐλπίδες οὐδὲν ἀλλ' ἢ φῦσαί τινες ἦσαν ἐπίχρυσοι, βαρεῖς δὲ καὶ ἀληθεῖς καὶ ἀπαραίτητοι καὶ συνεχεῖς οἱ πόνοι. Τίνες οὗτοι; ἴσως ἐρήσῃ μεοὐχ ὁρῶ γὰρ ὅ τι τὸ ἐπίπονον ἐν ταῖς τοιαύταις ξυνουσίαις ἐστὶν οὐδ' ἐπινῶ ἅτινα ἔφησθα τὰ καματηρὰ καὶ ἀφόρητα. Οὐκοῦν ἄκουσον, ὦ γενναῖε, μὴ εἰ κάματος ἔνεστιν ἐν τῷ πράγματι μόνον ἐξετάζων, ἀλλὰ καὶ τὸ

20. His ille dictis totum te commovit spe varia et mansuetum sibi reddidit: tu vero, qui talenta olim et millia somniaveras, et agros totos vicosque, intelligis quidem paullatim minutam parcimoniam; interim tamen adularis ad promissionem, et illud, Communia nobis erunt omnia, firmum verumque esse putas, nesciens hæc talia

labra rigasse quidem; non humectasse palatum.

Denique præ pudore ipsi permittis. At ille se quidem dicturum negat, amicorum autem præsentium unum jubet intercedere, et dicere quod neque sibi grave sit, qui in alia etiam magis necessaria sumtum faciat, nec vile accepturo. Ille vero viridis senectutis homo, adulationi a pueritia inde assuetus, Felicissimum te, o noster, inquit, esse qui in hac urbe sunt omnium, non negabis, cui primum hoc contigerit, quod multis vehementer cupientibus vix a Fortuna obtingat: hoc dico, quod consuetudine et communi mensa dignus habitus es atque in primam earum, quæ sunt in Romanorum imperio, domum receptus. Hoc enim supra Crœsi talenta et Midæ divitias, si moderate scias uti. Equidem quum norim multos nobiles viros qui vellent, si quid etiam impendendum sit, solius gloriæ causa cum hoc vivere, et conspici circa hunc, et sodales ipsius atque amicos videri: non invenio quibus verbis fortunam tuam prædicem, qui hujus felicitatis insuper etiam mercedem sis accepturus. Sufficere igitur puto, nisi plane prodigus et nequam es, fere tantum — hic valde exiguum quiddam dicit, inprimis ad illas spes tuas.

21. Tamen boni consulas necesse est: neque enim jam fugere tibi integrum, intra retia hærenti. Recipis itaque frenum et os comprimis, et primum facilem te ipsi præbes agilemque, nec valde trahenti, neque acutum pungenti, donec sensim plane mansuetus illi fias. At qui extra familiam sunt homines ab eo tampore admirantur te videntes intra cancellos esse, ac nemine prohibente intrare, et interiorum quam qui maxime unum factum esse. Tu vero nondum ipse vides, qua re felix illis esse videaris: gaudes tamen interim, et ipse te decipis, et futura semper meliora putas fore. At illud plane contra quam tu speraveras accidit, et quod est in proverbio, Mandrobuli more succedit negotium, quod singulis prope diebus minuatur et retro pedem ferat.

22. Paullatim itaque et pedetentim quasi per obscuram lucem tum primum perspiciens intelligere incipis, aureas illas spes nihil fuisse aliud quam bullas aqueas coloris aurei; graves autem, veros, inevitabiles perpetuosque labores. Qui sunt illi? forte rogabis; nec enim video quid laboriosum sit tali in convictu, nec intelligo, quæ molesta atque intolerabilia dixeris. Audi itaque, vir optime, et non hoc solum, an labor insit in hoc negotio, expende; sed

αἰσχρὸν καὶ ταπεινὸν καὶ συνόλως δουλοπρεπὲς οὐκ ἐν παρέργῳ τῆς ἀκροάσεως τιθέμενος.

23. Καὶ πρῶτόν γε μέμνησο μηκέτι ἐλεύθερον τὸ ἀπ' ἐκείνου μηδὲ εὐπατρίδην σεαυτὸν οἴεσθαι· πάντα γὰρ ταῦτα, τὸ γένος, τὴν ἐλευθερίαν, τοὺς προγόνους ἔξω τοῦ ὁδοῦ καταλείψων ἴσθι, ἐπειδὰν ἐπὶ τοιαύτην σαυτὸν λατρείαν ἀπεμπολήσας εἰσῇς· οὐ γὰρ ἐθελήσει σοι ἡ Ἐλευθερία ξυνεισελθεῖν ἐφ' οὕτως ἀγεννῆ πράγματα καὶ ταπεινὰ εἰσιόντι. Δοῦλος οὖν, εἰ καὶ πάνυ ἀχθέσῃ τῷ ὀνόματι, καὶ οὐχ ἑνὸς, ἀλλὰ πολλῶν δοῦλος ἀναγκαίως ἔσῃ καὶ θητεύσεις κάτω νενευκὼς ἕωθεν εἰς ἑσπέραν « ἀεικελίῳ ἐπὶ μισθῷ· » καὶ ἅτε δὴ μὴ ἐκ παίδων τῇ δουλείᾳ ξυντραφείς, ὀψιμαθήσας δὲ καὶ πόρρω που τῆς ἡλικίας παιδευόμενος πρὸς αὐτῆς οὐ πάνυ εὐδόκιμος ἔσῃ οὐδὲ πολλοῦ ἄξιος τῷ δεσπότῃ· διαφθείρει γάρ σε ἡ μνήμη τῆς ἐλευθερίας ὑπιοῦσα καὶ ἀποσκιρτᾶν ἐνίοτε ποιεῖ καὶ δι' αὐτὸ ἐν τῇ δουλείᾳ πονήρως ἀπαλλάττειν, πλὴν εἰ μὴ ἀποχρῆν σοι πρὸς ἐλευθερίαν νομίζεις, τὸ μὴ Πυρρίου μηδὲ Ζωπυρίωνος υἱὸν εἶναι, μηδὲ ὥσπερ τις Βιθυνὸς ὑπὸ μεγαλοφώνῳ τῷ κήρυκι ἀπημπολῆσθαι. Ἀλλ' ὁπόταν, ὦ βέλτιστε, τῆς νουμηνίας ἐπιστάσης ἀναμιχθεὶς τῷ Πυρρίᾳ καὶ τῷ Ζωπυρίωνι προτείνῃς τὴν χεῖρα ὁμοίως τοῖς ἄλλοις οἰκέτας καὶ λάβῃς ἐκεῖνο ὁτιδήποτε ἦν τὸ γιγνόμενον, τοῦτο ἡ πρᾶσίς ἐστι· κήρυκος γὰρ οὐκ ἔδει ἐπ' ἄνδρα ἑαυτὸν ἀποκηρύξαντα καὶ μακρῷ χρόνῳ μνηστευσάμενον ἑαυτῷ τὸν δεσπότην.

24. Εἶτ', ὦ κάθαρμα, φαίην ἄν, καὶ μάλιστα πρὸς τὸν φιλοσοφεῖν φάσκοντα, εἰ μέν σέ τις ἢ πλέοντα καταποντιστὴς συλλαβὼν ἢ λῃστὴς ἀπεδίδοτο, ᾠκτειρες ἂν σεαυτὸν ὡς παρὰ τὴν ἀξίαν δυστυχοῦντα, ἢ εἴ τίς σου λαβόμενος ἦγε δοῦλον εἶναι λέγων, ἐβόας ἂν τοὺς νόμους καὶ δεινὰ ἐποίεις καὶ ἠγανάκτεις καὶ, ὦ γῆ καὶ θεοί, μεγάλῃ τῇ φωνῇ ἐκεκράγεις ἄν, σεαυτὸν δὲ ὀλίγων ἕνεκα ὀβολῶν ἐν τούτῳ τῆς ἡλικίας, ὅτε καὶ εἰ φύσει δοῦλος ἦσθα, καιρὸς ἦν πρὸς ἐλευθερίαν ἤδη ὁρᾶν, αὐτῇ ἀρετῇ καὶ σοφίᾳ φέρων ἀπημπόληκας, οὐδὲ τοὺς πολλοὺς ἐκείνους λόγους αἰδεσθείς, οὓς ὁ καλὸς Πλάτων ἢ ὁ Χρύσιππος ἢ Ἀριστοτέλης διεξεληλύθασι τὸ μὲν ἐλεύθέριον ἐπαινοῦντες, τὸ δουλοπρεπὲς δὲ διαβάλλοντες; καὶ οὐκ αἰσχύνῃ κόλαξιν ἀνθρώποις καὶ ἀγοραίοις καὶ βωμολόχοις ἀντεξεταζόμενος καὶ ἐν τοσούτῳ πλήθει ἀστικῷ μόνος ξενίζων τῷ τρίβωνι καὶ πονήρως τὴν Ῥωμαίων φωνὴν βαρβαρίζων, εἶτα δειπνῶν δεῖπνα θορυβώδη καὶ πολυάνθρωπα συγκλύδων τινῶν καὶ τῶν πλείστων μοχθηρῶν; καὶ ἐν αὐτοῖς ἐπαινεῖς φορτικῶς καὶ πίνεις πέρα τοῦ μετρίως ἔχοντος, ἔωθέν τε ὑπὸ κώδωνι ἐξαναστὰς ἀποσεισάμενος τοῦ ὕπνου τὸ ἥδιστον συμπεριθεῖς ἄνω καὶ κάτω ἔτι τὸν χθιζὸν ἔχων πηλὸν ἐπὶ τοῖν σκελοῖν. Οὕτως ἀπορία μέν σε θέρμων ἔσχεν ἢ τῶν ἀγρίων λαχάνων, ἐπέλιπον δὲ καὶ αἱ κρῆναι ῥέουσαι τοῦ ψυχροῦ ὕδατος, ὡς ἐπὶ ταῦτά σε ὑπ' ἀμηχανίας ἐλθεῖν; Ἀλλὰ δῆλον ὡς οὐχ ὕδατος οὐδὲ θέρμων, ἀλλὰ πεμμάτων καὶ ὄψων καὶ

quid turpe, quid humile et omnino servile habeat, non obiter audi.

23. Ac *primum quidem illud memento*, ab illo te tempore non jam liberum, non ingenuum putare. Genus enim, libertatem, majores, hæc omnia extra te limen illud relicturum scito, quum primum ad tale ministerium a te ipso mancipatus intraveris. Nec enim ingredi tecum Libertas volet, qui ad ignobilia adeo negotia et humilia ingrediare. Servus itaque, quantumvis hoc nomen graveris, nec unius, sed multorum servus eris necessario, et serviles operas obstipo capite præstabis a mane inde usque ad vesperam, mercede iniquissima : et tanquam homo non a puero inde servituti innutritus, sed qui sero discas atque ætate jam provecta instituendum te illi tradideris, non valde probaberis, nec magni pretii videbere domino. Corrumpit enim te subiens libertatis recordatio, et resilire facit nonnunquam, et ea ipsa de causa servitute male defungi : *nisi* forte illud satis esse putas ad libertatem, quod non Pyrrhiæ neque Zopyrionis filius es, neque ut Bithynus aliquis sub vocali præcone veniisti. Verum enim vero, quum tu, vir optime, instantibus calendis permistus Pyrrhiæ ac Zopyrioni, manum non minus quam hi alii servi porriges, capiesque quicquid est quod tibi redit; hæc vere venditio est : præcone quidem non erat opus in viro qui ipse suo se præconio venderet, et longo tempore herum ambiret et *quasi* procaretur.

24. Tu vero, purgamentum hominis, prope dixerim, præsertim ad eum, qui philosophum se ferat, si te navigantem hostis qui submerserit navim, vel pirata captum vendidisset, miserareris te, ut præter dignitatem calamitosum : ut si quis, manu injecta, servum te suum perhibens abduxisset, leges proclamares, et quiritareris, et indignareris, et terram deosque magna voce testareris : sed te ipsum *paucos propter nummos*, in hoc ætatis, quum, si vel natus esses servus, tempus erat libertatem circumspicere, cum ipsa te virtute et sapientia ultro vendidisti, nihil veritus multas illas disputationes, quas pulcher Plato, et Chrysippus, et Aristoteles in laude libertatis et servilis humilitatis vituperatione consumserunt? neque pudet te cum adulatoribus et forensi turba et nidorem sectantibus componi, et in tanta Urbis multitudine solum peregrino cum pallio conspici, et male nec sine barbarie Romanorum lingua loqui, tum cœnas cœnare tumultuosas et multorum hominum, convenarum et majorem partem malorum? In his ipsis conviviis laudas importune, et bibis ultra mediocritatem, et mane ad tintinnabuli sonum surgens, excussa somni parte *suavissima*, *sursum deorsum* curris cum aliis, hesternum adhuc lutum in cruribus circumferens? Adeone inops lupinorum eras aut agrestium olerum, adeone defecerant te frontes frigida manantes, ut præ desperatione ad hæc devenires? Sed apertum scilicet est, te non aquæ

οἴνου ἀνθοσμίου ἐπιθυμῶν ἑάλως, καθάπερ ὁ λάβραξ αὐτὸν μάλα δικαίως τὸν ὀρεγόμενον τούτων λαιμὸν διαπαρείς. Παρὰ πόδας τοιγαροῦν τῆς λιχνείας ταύτης τἀπίχειρα, καὶ ὥσπερ οἱ πίθηκοι δεθεὶς κλοιῷ τὸν τράχηλον ἄλλοις μὲν γέλωτα παρέχεις, σεαυτῷ δὲ δοκεῖς τρυφᾶν, ὅτι ἔστι σοι τῶν ἰσχάδων ἀφθόνως ἐντραγεῖν· ἡ δὲ ἐλευθερία καὶ τὸ εὐγενὲς αὐτοῖς φυλέταις καὶ φράτορσι φροῦδα πάντα καὶ οὐδὲ μνήμη τις αὐτῶν.

25. Καὶ ἀγαπητὸν, εἰ μόνον τὸ αἰσχρὸν προσῆν τῷ πράγματι, δοῦλον ἀντ' ἐλευθέρου δοκεῖν, οἱ δὲ πόνοι μὴ κατὰ τοὺς πάνυ τούτους οἰκέτας. Ἀλλ' ὅρα εἰ μετριώτερά σοι προστέτακται τῶν Δρόμωνι καὶ Τιβίῳ προστεταγμένων· ὧν μὲν γὰρ ἕνεκα τῶν μαθημάτων ἐπιθυμεῖν φήσας παρελήφθ σε, ὀλίγον αὐτῷ μέλει. Τί γὰρ κοινὸν, φασὶ, λύρᾳ καὶ ὄνῳ; πάνυ γοῦν, οὐχ ὁρᾷς; ἐκτετήκασι τῷ πόθῳ τῆς Ὁμήρου σοφίας ἢ τῆς Δημοσθένους δεινότητος ἢ τῆς Πλάτωνος μεγαλοφροσύνης, ὧν ἤν τις ἐκ τῆς ψυχῆς ἀφέλῃ τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ τὰς περὶ τούτων φροντίδας, τὸ καταλειπόμενόν ἐστι τῦφος καὶ μαλακία καὶ ἡδυπάθεια καὶ ἀσέλγεια καὶ ὕβρις καὶ ἀπαιδευσία. Δεῖται δή σου ἐπ' ἐκεῖνα μὲν οὐδαμῶς, ἐπεὶ δὲ πώγωνα ἔχεις βαθὺν καὶ σεμνός τις εἶ τὴν πρόσοψιν καὶ ἱμάτιον Ἑλληνικὸν εὐσταλῶς περιβέβλησαι καὶ πάντες ἴσασί σε γραμματικὸν ἢ ῥήτορα ἢ φιλόσοφον, καλὸν αὐτῷ δοκεῖ ἀναμεμίχθαι καὶ τοιοῦτόν τινα τοῖς προϊοῦσι καὶ προπομπεύουσιν αὐτοῦ· δόξει γὰρ ἐκ τούτου καὶ φιλομαθὴς τῶν Ἑλληνικῶν μαθημάτων καὶ ὅλως περὶ παιδείαν φιλόκαλος· ὥστε κινδυνεύσεις, ὦ γενναῖε, ἀντὶ τῶν θαυμαστῶν λόγων τὸν πώγωνα καὶ τὸν τρίβωνα μεμισθωκέναι. Χρὴ οὖν σε ἀεὶ σὺν αὐτῷ ὁρᾶσθαι καὶ μηδέποτε ἀπολείπεσθαι, ἀλλ' ἔωθεν ἐξαναστάντα παρέχειν σεαυτὸν ὀρθησόμενον ἐν τῇ θεραπείᾳ καὶ μὴ λιπεῖν τὴν τάξιν. Ὁ δ' ἐπιβάλλων ἐνίοτέ σοι τὴν χεῖρα, ὅ τι ἂν τύχῃ, λῆρεῖ τοῖς ἐντυγχάνουσιν ἐπιδεικνύμενος ὡς οὐδὲ ὁδῷ βαδίζων ἀμελὴς ἐστι τῶν Μουσῶν, ἀλλ' εἰς καλὸν τὴν ἐν τῷ περιπάτῳ διατίθεται σχολήν.

26. Σὺ δ' ὁ ἄθλιος τὰ μὲν παραδρομὼν, τὰ δὲ βάδην ἅναντα πολλὰ καὶ κάταντα — τοιαύτη γὰρ, ὡς οἶσθα, ἡ πόλις — περιελθὼν ἱδρῶσά τε καὶ πνευστιᾷς, κἀκείνου ἔνδον τινὶ τῶν φίλων, πρὸς ὃν ἦλθε, διαλεγομένου, μηδὲ ὅπου καθίζῃς ἔχων ὀρθὸς ὑπ' ἀπορίας ἀναγιγνώσκεις τὸ βιβλίον προχειρισάμενος· ἐπειδὰν δὲ ἄσιτόν τε καὶ ἄποτον ἡ νὺξ καταλάβῃ, λουσάμενος πονηρῶς ἀωρὶ περὶ αὐτό που σχεδὸν τὸ μεσονύκτιον ἥκεις ἐπὶ τὸ δεῖπνον οὐκέθ' ὁμοίως ἔντιμος οὐδὲ περίβλεπτος τοῖς παροῦσιν, ἀλλ' ἤν τις ἄλλος ἐπεισέλθῃ νεαλέστερος, ἐς τοὐπίσω σὺ, καὶ οὕτως ἐς τὴν ἀτιμοτάτην γωνίαν ἐξωσθεὶς κατάκεισαι μάρτυς μόνον τῶν παραφερομένων, τὰ ὀστᾶ, εἰ ἐφίκοιτο μέχρι σοῦ, καθάπερ οἱ κύνες περιεσθίων ἢ τὸ σκληρὸν τῆς μαλάχης φύλλον, ᾧ τὰ ἄλλα συνειλοῦσιν, εἰ ὑπερορθείη ὑπὸ τῶν προκατακειμένων, ἄσμενος ὑπὸ λιμοῦ παροψώμενος. Οὐ μὴν οὐδ' ἡ ἄλλη ὕβρις ἄπεστιν, ἀλλ' οὔτε ᾠὸν neque lupinorum, sed bellariorum et pulpamentorum et vini odorati cupiditate captum, lupi marini instar, ipsa merito, quæ appeteret ista, gula confossum. Præsto ergo sunt liguritionis illius præmia, et instar simiorum collari vinctus risum præbes aliis, tibi vero in deliciis esse videris, quod licet quantum lubet devorare ficuum. Ceterum libertas cum ipsis tribulibus et sodalibus, ilicet evanuerunt, nec memoria illorum ulla superest.

25. Ac ferendum erat, si sola turpitudo inesset huic negotio, quod jam pro libero servus videaris; nec labores etiam iidem qui plane servis. Verum vide mihi an moderatiora tibi injuncta sint, quam Dromoni aut Tibio. Nam doctrina illa, cujus se cupiditate ductum ascivisse te dicebat, parum illi curæ est: quid enim, aiunt, asino cum lyra? Nimirum omnino (nonne vides?) intabescunt cupiditati Homericæ sapientiæ, aut Demosthenicæ gravitatis, aut magnificentiæ Platonis: quorum si quis ex animo aurum auferat et argentum, et earum rerum curas; quod superest, fastus est, et mollities, et voluptas, et luxuries, et contumelia, et ruditas. Ad ista vero neutiquam te opus habet: verum, quoniam barbam habes prolixam et vultum venerabilem, et Græco pallio decenter amictus es; et quod omnes grammaticum te esse norunt, aut rhetorem, aut philosophum, pulchrum illi videtur, permistum esse etiam ex hoc genere aliquem præcedentibus ipsum et deducentibus: videbitur enim ipsa hac re ipse quoque Græcarum literarum cupidus, et universim pulchritudinis illius, quæ in doctrina inest, studiosus. Itaque metus est, ne pro admirandis illis sermonibus tuis barbam palliumque locaveris. Oportet igitur te semper cum illo conspici, nec unquam desiderari, sed mane surgentem præbere te videndum in officio, nec deserere ordines. Ille vero manu nonnunquam tibi injecta, quod in buccam venerit, nugatur, ostendens obviis, se ne in via quidem curam Musarum deponere, sed ipsum quod in itinere contingit otium bene collocare.

26. Tu vero miser partim una currens, partim lente ingressus, per ardua multa et declivia (talis enim est urbs, ut nosti), post circuitum illum sudas et anhelas: et dum ille intus cum amicorum aliquo, ad quem invisit, colloquitur, tu, qui ne sedendi quidem copiam habeas, astans, quum nihil sit quod agas, depromto libello legis. Quum vero cibi potusque expertem nox oppressit, lotus male, intempestive circa ipsam fere mediam noctem ad cœnam venis, non jam ut ante honoratus, neque conspiciendus præsentibus, sed si quis alius supervenit recentior, tu post tergum, atque ita in contemtissimum angulum expulsus testis modo accumbis eorum quæ præterferuntur, ossa sola, modo ea ad te perveniant, rodens canum instar, aut siccum malvæ folium, cui involvunt alia, si qua despiciantur ab his qui ante te accumbunt, præ fame lubenter comedens instar obsonii. Verum nec alia contumelia abest: sed neque ovum solus habes

ἔχεις μόνος — οὐ γὰρ ἀναγκαῖόν ἐστι καὶ σὲ τῶν αὐτῶν ἀεὶ τοῖς ξένοις καὶ ἀγνώστοις ἀντιποιεῖσθαι· ἀγνωμοσύνη γὰρ δὴ τοῦτό γε — οὔτε ἡ ὄρνις ὁμοία ταῖς ἄλλαις, ἀλλὰ τῷ μὲν πλησίον παχεῖα καὶ πιμελής, σοὶ δὲ νεοττὸς ἡμίτομος ἢ φάττα τις ὑπόσκληρος, ὕβρις ἄντικρυς καὶ ἀτιμία. Πολλάκις δὲ ἦν ἐπιλίπῃ ἄλλου τινὸς αἰφνιδίως ἐπιπαρόντος, ἀράμενος ὁ διάκονος τὰ σοὶ παρακείμενα φέρων ἐκείνῳ παρατέθεικεν ὑποτονθορύσας, Σὺ γὰρ ἡμέτερος εἶ· τεμνομένου μὲν γὰρ ἐν τῷ μέσῳ ἢ συὸς ὑπογαστρίου ἢ ἐλάφου, χρὴ ἐκ παντὸς ἢ τὸν διανέμοντα ἵλεων ἔχειν ἢ τὴν Προμηθέως μερίδα φέρεσθαι, ὀστᾶ κεκαλυμμένα τῇ πιμελῇ. Τὸ γὰρ τῷ μὲν ὑπὲρ σὲ τὴν λοπάδα παρεστάναι, ἔστ' ἂν ἀπαγορεύσῃ ἐμφορούμενος, σὲ δ' οὕτω ταχέως παραδραμεῖν, τίνι φορητὸν ἐλευθέρῳ ἀνδρὶ κἂν ὁπόσην αἱ ἔλαφοι τὴν χολὴν ἔχοντι; Καίτοι οὐδέπω ἐκεῖνο ἔφην, ὅτι τῶν ἄλλων ἡδιστόν τε καὶ παλαιότατον οἶνον πινόντων μόνος σὺ πονηρόν τινα καὶ παχὺν πίνεις, θεραπεύων ἀεὶ ἐν ἀργύρῳ ἢ χρυσῷ πίνειν, ὡς μὴ ἐλεγχθείης ἀπὸ τοῦ χρώματος οὕτως ἄτιμος ὢν ξυμπότης· καὶ εἶθε γε κἂν ἐκείνου ἐς κόρον ἦν πιεῖν, νῦν δὲ πολλάκις αἰτήσαντος, ὁ παῖς « οὐδ' αἴοντι ἔοικεν. »

27. Ἀνιᾷ δή σε πολλὰ καὶ ἀθρόα καὶ σχεδὸν τὰ πάντα, καὶ μάλιστα ὅταν σε παρευδοκιμῇ κίναιδός τις ἢ ὀρχηστοδιδάσκαλος ἢ Ἰωνικὰ ξυνείρων Ἀλεξανδρεωτικὸς ἀνθρωπίσκος· τοῖς μὲν γὰρ τὰ ἐρωτικὰ ταῦτα διακονουμένοις καὶ γραμματίδια ὑπὸ κόλπου διακομίζουσι πόθεν σύ γ' ἰσότιμος κατακείμενος; Τοιγαροῦν ἐν μυχῷ τοῦ συμποσίου καὶ ὑπ' αἰδοῦς καταδεδυκὼς στένεις ὡς τὸ εἰκὸς καὶ σεαυτὸν οἰκτείρεις καὶ αἰτιᾷ τὴν τύχην οὐδ' ὀλίγα σοι τῶν χαρίτων ἐπιψεκάσασαν. Ἡδέως δ' ἄν μοι δοκεῖς καὶ ποιητὴς γενέσθαι τῶν ἐρωτικῶν ἀσμάτων ἢ κἂν ἄλλου ποιήσαντος δύνασθαι ᾄδειν ἀξίως· ὁρᾷς γὰρ οἷον τὸ προτιμᾶσθαι καὶ εὐδοκιμεῖν ἐστιν. Ὑποσταίης δ' ἄν, εἰ καὶ μάγον ἢ μάντιν ὑποκρίνασθαι δέοι τῶν κλήρους πολυταλάντους καὶ ἀρχὰς καὶ ἀθρόους τοὺς πλούτους ὑπισχνουμένων· καὶ γὰρ αὖ καὶ τούτους ὁρᾷς εὖ φερομένους ἐν ταῖς φιλίαις καὶ πολλῶν ἀξιουμένους. Κἂν ἕν τι οὖν τούτων ἡδέως ἂν γένοιο, ὡς μὴ ἀπόβλητος καὶ περιττὸς εἴης. Ἀλλ' οὐδὲ πρὸς ταῦτα ὁ κακοδαίμων πιθανὸς εἶ. Τοιγαροῦν ἀνάγκη μειοῦσθαι καὶ σιωπῇ ἀνέχεσθαι ὑποιμώζοντα καὶ ἀμελούμενον.

28. Ἦν μὲν γὰρ κατείπῃ σοῦ τις ψιθυρὸς οἰκέτης, ὡς μόνος οὐκ ἐπήνεις τὸν τῆς δεσποίνης παιδίσκον ὀρχούμενον ἢ κιθαρίζοντα, κίνδυνος οὐ μικρὸς ἐκ τοῦ πράγματος. Χρὴ οὖν χερσαίου βατράχου δίκην διψῶντα κεκραγέναι, ὡς ἐπίσημος ἔσῃ ἐν τοῖς ἐπαινοῦσι καὶ κορυφαῖος ἐπιμελούμενον· πολλάκις δὲ καὶ τῶν ἄλλων σιωπησάντων αὐτὸν ἐπειπεῖν ἐσκεμμένον τινὰ ἔπαινον πολλὴν τὴν κολακείαν ἐμφανιοῦντα· τὸ μὲν γὰρ λιμῷ ξυνόντα καὶ νὴ Δία γε διψῶντα μύρῳ χρίεσθαι καὶ στεφανοῦσθαι τὴν κεφαλήν, ἠρέμα καὶ γελοῖον· ἔοικας γὰρ τότε στήλῃ ἑώλου τινὸς νεκροῦ ἄγοντος ἐναγίσματα·

(neque enim opus est, et te eadem affectare semper, quæ hospites et ignoti : illa enim esset impudentia tua), neque avis tibi similis aliarum apponitur : verum vicino convivæ pinguis et saginata; tibi vero pullus dimidiatus, aut palumbus exsiccus; quæ quidem aperta contumelia est et contemtus. Sæpe etiam, si qua desit, alio repente conviva superveniente, minister ablata ea, quæ tibi apposita fuerant, ponit illi, admurmurans illud : Tu enim noster es. Quoties quidem carpitur in medium appositus aut porcellus subrumis, aut cervus, omnino aut propitium habeas divisorem opus est, aut Promethei partem feras, ossa dico pinguedini involuta. Quod enim supra te accumbenti astat patina, donec satietate victus renunciet, te vero celeriter adeo præterit, cui libero tolerabile est, etiam si non plus quam cervi bilis habeat? Sed illud nondum dixi, quod aliis suavissimum vetustissimumque vinum bibentibus, solus tu malum et quoddam crassum potas, curans in argento semper aut auro ut bibas, ne colore vini, quam contemtus sis conviva, prodaris. Et utinam vel illius ad satietatem bibere tibi liceret! Jam vero sæpe te poscente, puer se exaudiisse dissimulat.

27. Molestia sane te afficiunt multa et crebra, et pæne omnia : maxime quoties præ te floret vel cinædus aliquis, vel saltandi magister, vel Ionicos modos et cantilenas contexens homuncio Alexandrinus. Unde enim amatoriarum voluptatum hisce ministris, et literulas sinu perferentibus, æqualem accubitus honorem tu postules? Itaque in latibulo aliquo triclinii, præ pudore quærens suffugium, ingemiscis merito, teque ipse miseraris, et fortunam accusas, quæ ne tantillum quidem tibi venustatis asperserit. Libenter autem videaris mihi et ipse poeta velle fieri amatoriarum cantilenarum, aut ab alio composita canere posse commode; quum videas quanta sit res præferri ceteris et in honore haberi. Sustineas vero, si vel magum aut vatem agere oporteat ex eorum genere, qui hæreditates multorum talentorum, et imperia, et confertas divitias pollicentur : vides enim hos quoque felicem in amicitiis cursum habere, et magna in dignitate versari. Horum igitur unum aliquid libenter fieres, ne plane rejiculus esses et superfluus. Sed nec ad ista tu, infelix, es probabilis. Itaque necessario minueris, et silentio occultisque lacrimis perfers neglectum tui.

28. Si enim deferat te susurro servus, solum te non laudasse puerum dominæ saltantem, aut canentem cithara, periculum ex ea re non parvum. Oportet igitur terrestris ranæ instar sitientem clamare, et ut insignis inter clamantes sis et quasi præcentor, studere : sæpe etiam, postquam conticuerunt alii, ipsum subjicere meditatam quandam laudationem, magnæ adulationis indicem. Porro esuritionum te sodalem, et hercle sitientem ungi et coronari caput, fere etiam ridiculum est : tum enim similis es cippo nuperi alicujus mortui, cui mittuntur inferiæ : nam etiam illum per-

καὶ γὰρ ἐκείνου καταχέαντες μύρον καὶ τὸν στέφανον ἐπιθέντες αὐτοὶ πίνουσι καὶ εὐωχοῦνται τὰ παρεσκευασμένα.

29. Ἢν μὲν γὰρ καὶ ζηλότυπός τις ᾖ καὶ παῖδες εὔμορφοι ὦσιν ἢ νέα γυνὴ καὶ σὺ μὴ παντελῶς πόρρω Ἀφροδίτης καὶ Χαρίτων ᾖς, οὐκ ἐν εἰρήνῃ τὸ πρᾶγμα οὐδ' ὁ κίνδυνος εὐκαταφρόνητος· ὦτα γὰρ καὶ ὀφθαλμοὶ βασιλέως πολλοί, οὐ μόνον τἀληθῆ ὁρῶντες, ἀλλ' ἀεί τι καὶ προσεπιμετροῦντες, ὡς μὴ νυστάζειν δοκοῖεν. Δεῖ οὖν ὥσπερ ἐν τοῖς Περσικοῖς δείπνοις κάτω νεύοντα κατακεῖσθαι δεδιότα μή τις εὐνοῦχός σε ἴδῃ προσβλέψαντα μιᾷ τῶν παλλακίδων, ἐπεὶ ἄλλος γε εὐνοῦχος ἐντεταμένον πάλαι τὸ τόξον ἔχων, ἃ μὴ θέμις ὁρῶντα διαπείρας τῷ οἰστῷ μεταξὺ πίνοντος τὴν γνάθον.

30. Εἶτ' ἀπελθὼν τοῦ δείπνου μικρόν τι κατέδαρθες· ὑπὸ δὲ ᾠδῆν ἀλεκτρυόνων ἀνεγρόμενος, Ὦ δείλαιος ἐγώ, φῄς, καὶ ἄθλιος, οἵας τὰς πάλαι διατριβὰς ἀπολιπὼν καὶ ἑταίρους καὶ βίον ἀπράγμονα καὶ ὕπνον μετρούμενον τῇ ἐπιθυμίᾳ καὶ περίπατους ἐλευθερίους εἰς οἷον βάραθρον φέρων ἐμαυτὸν ἐνσέσεικα. Τίνος ἕνεκα, ὦ θεοί, ἢ τίς ὁ λαμπρὸς οὗτος μισθός ἐστιν; οὐ γὰρ καὶ ἄλλως μοι πλείω τούτων ἐκπορίζειν δυνατὸν ἦν καὶ προσῆν τὸ ἐλεύθερον καὶ τὸ πάντα ἐπ' ἐξουσίας; Νῦν δὲ τὸ τοῦ λόγου, λέων κροκῃ δεθείς, ἄνω καὶ κάτω περισύρομαι, τὸ πάντων οἰκτιστον, οὐκ εὐδοκιμεῖν εἰδὼς οὐδὲ κεχαρισμένος εἶναι δυνάμενος· ἰδιώτης γὰρ ἔγωγε τῶν τοιούτων καὶ ἄτεχνος, καὶ μάλιστα παραβαλλόμενος ἀνδράσι τέχνην τὸ πρᾶγμα πεποιημένοις. Ὡς δὲ καὶ ἀχάριστός εἰμι, καὶ ἥκιστα συμποτικὸς, οὐδ' ὅσον γέλωτα ποιῆσαι δυνάμενος· συνίημι δὲ ὡς καὶ ἐνοχλῶ πολλάκις βλεπόμενος, καὶ μάλισθ' ὅταν ἡδίων αὐτὸς αὑτοῦ εἶναι θέλω· σκυθρωπὸς γὰρ αὐτῷ δοκῶ, καὶ ὅλως οὐκ ἔχω ὅπως ἁρμόσωμαι πρὸς αὐτόν. Ἢν μὲν γὰρ ἐπὶ τοῦ σεμνοῦ φυλάττω ἐμαυτὸν, ἀηδὴς ἔδοξα καὶ μονονουχὶ φευκτέος, ἢν δὲ μειδιάσω καὶ ῥυθμίσω τὸ πρόσωπον εἰς τὸ ἥδιστον, κατεφρόνησεν εὐθὺς καὶ διέπτυσε, καὶ τὸ πρᾶγμα ὅμοιον δοκεῖ ὥσπερ ἂν εἴ τις κωμῳδίαν ὑποκρίναιτο τραγικὸν προσωπεῖον περικείμενος. Τὸ δ' ὅλον, τίνα ἄλλον ὁ μάταιος ἐμαυτῷ βιώσομαι βίον τὸν παρόντα τοῦτον ἄλλῳ βεβιωκώς;

31. Ἔτι σου ταῦτα διαλογιζομένου ὁ κώδων ἤχησε, καὶ χρὴ τῶν ὁμοίων ἔχεσθαι καὶ περινοστεῖν καὶ ἑστάναι ὑπαλείψαντά γε πρότερον τοὺς βουβῶνας καὶ τὰς ἰγνύας, εἰ θέλεις διαρκέσαι πρὸς τὸν ἆθλον· εἶτα δεῖπνον ὅμοιον καὶ ἐς τὴν αὐτὴν ὥραν περιηγμένον, καί σοι τὰ τῆς διαίτης πρὸς τὸν πάλαι βίον ἀντίστροφα καὶ ἡ ἀγρυπνία δὲ καὶ ὁ ἱδρὼς καὶ ὁ κάματος ἠρέμα ἤδη ὑπορύττουσιν ἢ φθόην ἢ περιπνευμονίαν ἢ κώλου ἄλγημα ἢ τὴν καλὴν ποδάγραν ἀναπλάττοντες. Ἀντέχεις δὲ ὅμως, καὶ πολλάκις κατακεῖσθαι δέον, οὐδὲ τοῦτο συγκεχώρηται· σκῆψις γὰρ ἡ νόσος καὶ φυγὴ τῶν καθηκόντων ἔδοξεν. Ὥστ' ἐξ ἁπάντων ὠχρὸς ἀεὶ καὶ ὅσον οὐδέπω τεθνηξομένῳ ἔοικας.

32. Καὶ τὰ μὲν ἐν τῇ πόλει ταῦτα. Ἦν δέ που

fundunt unguento, et coronam illi imponunt, vinum ve.o ipsi bibunt et epulantur ea quæ parata sunt.

29. Si vero et zelotypus ipse sit, et formosi pueri, aut mulier juvenis, neque tu sis plane alienus a Venere et Gratiis, res in pace non transit nec periculum est contemptibile. Aures enim regis et oculi multi, nec qui vera solum videant, sed semper quasi corollarium, ne connivere unquam putentur, adjiciant. Oportet igitur, ut in Persarum conviviis, dejecto vultu accumbere, metuentem ne quis te forte eunuchorum observet aspicientem pellicum unam, quum alius eunuchus intentum jam arcum habeat, qui spectantis quæ fas non est buccam sagitta inter bibendum trajiciat.

30. Deinde egressus convivio paullum obdormiisti. Sub gallorum vero cantum excitatus, Miserum me, inquis, et ærumnosum! quibus ego exercitationibus relictis, et sodalibus, et quam otiosa vita, et somno, quem sola metiretur dormiendi libido, et ambulationibus liberis, in quod me barathrum ipse præcipitavi! Cujus rei causa, dii boni! aut quæ splendida illa merces? nonne enim alio etiam modo plura ipsis parare mihi licuit, libertate manente et omnium rerum potestate? Nunc vero tanquam leo, quod est in proverbio, licio devinctus, sursum deorsum trahor, et quod omnium miserrimum est, nec bonam de me opinionem concitare, neque gratiosus esse possum. Idiota enim ego his in rebus et iners, maxime si cum hominibus comparer, qui artem sibi hoc opus fecerint. Insuper vero invenustus etiam sum, et minime comis conviva, ac ne risum quidem excitare valeo : intelligo autem, conspectum etiam meum sæpe molestum esse, inprimis quoties me ipso suavior hilariorque esse volo : tetricus enim illi videor, et in universum non habeo quomodo aptus illi esse possim : nam si gravitatem servo, insuavis illi videor et tantum non fugiendus; sin rideam et ad suavitatem componam vultum, contemnit statim et despuit; et similis mihi res videtur, ac si quis tragicam personam indutus comœdiam agat. In summa vero, quam aliam stultus ego vitam mihi ipsi vivam, hanc præsentem si alii vixero?

31. Adhuc ista cogitas quum tintinnabulum sonuit, et consuetus vitæ tenor servandus est : circumeundum est, standum est, unctis prius summis femoribus poplitibusque, si velis durare ad instans certamen : tum cœna similis, et in eandem horam protracta. Inter hæc victus ratio superior vitæ contraria, tum vigiliæ, et sudor, et fatigatio paullatim jam cuniculis te suffodiunt, et vel tabem, vel respirandi difficultatem, vel coli dolorem, vel præclaram podagram elaborant. Obduras tamen et sæpe, quum decumbendum esset, neque hoc tibi concessum est : simulatio enim morbus tuus videtur esse et officiorum fuga. Itaque ob hæc omnia pallidus semper, et parum abest quin jam morituro similis videaris.

32. Hæc quidem urbanæ vitæ ratio. Si qua vero etiam

καὶ ἀποδημῆσαι δέῃ, τὰ μὲν ἄλλα ἐῶ· ὄντος δὲ πολλάκις ὕστατος ἐλθών — τοιοῦτο γάρ σοι ἀποκεκλήρωται — τὸ ζεῦγος περιμένεις, ἔστ' ἂν οὐκέτ' οὔσης καταγωγῆς τῷ μαγείρῳ σε ἢ τῷ τῆς δεσποίνης κομμωτῇ συμπαραβύσωσιν οὐδὲ τῶν φρυγάνων δαψιλῶς ὑποβαλόντες.

33. Οὐκ ὀκνῶ δέ σοι καὶ διηγήσασθαι ὅ μοι Θεσμόπολις οὗτος ὁ Στωϊκὸς διηγήσατο ξυμβὰν αὐτῷ πάνυ γελοῖον καὶ νὴ Δί' οὐκ ἀνέλπιστον, ὡς ἂν καὶ ἄλλῳ ταὐτὸν συμβαίη· συνῆν μὲν γὰρ πλουσίᾳ τινὶ καὶ τρυφώσῃ γυναικὶ τῶν ἐπιφανῶν ἐν τῇ πόλει· δεῆσαν δὲ καὶ ἀποδημῆσαί ποτε τὸ μὲν πρῶτον ἐκεῖνο παθεῖν ἔφη γελοιότατον, συγκαθίζεσθαι παρ' αὐτῷ παραδεδόσθαι φιλοσόφῳ ὄντι κίναιδόν τινα τῶν πεπιττωμένων τὰ σκέλη καὶ τὸν πώγωνα περιεξυρημένων· ὁπὰ τιμῆς δ' αὐτὸν ἐκείνη, ὡς τὸ εἰκὸς, ἦγε, καὶ τοὔνομα δὲ τοῦ κιναίδου ἀπεμνημόνευε, Χελιδόνιον γὰρ καλεῖσθαι. Τοῦτο τοίνυν πρῶτον ἡλίκον, σκυθρωπῷ καὶ γέροντι ἀνδρὶ καὶ πολιῷ τὸ γένειον — οἶσθα δὲ ὡς βαθὺν πώγωνα καὶ σεμνὸν ὁ Θεσμόπολις εἶχε — παρακαθίζεσθαι φῦκος ἐντετριμμένον καὶ ὑπογεγραμμένον τοὺς ὀφθαλμοὺς καὶ διασεσαλευμένον τὸ βλέμμα καὶ τὸν τράχηλον ἐπικεκλασμένον, οὐ χελιδόνα μὰ Δί', ἀλλὰ γῦπά τινα περιτετιλμένον τοῦ πώγωνος τὰ πτερὰ, καὶ εἴ γε μὴ πολλὰ δεηθῆναι αὐτοῦ, καὶ τὸν κεκρύφαλον ἔχοντα ἐπὶ τῇ κεφαλῇ ἂν συγκαθίζεσθαι· τὰ δ' οὖν ἄλλα παρ' ὅλην τὴν ὁδὸν μυρίας τὰς ἀηδίας ἀνασχέσθαι ὑπᾴδοντος καὶ τερετίζοντος, εἰ δὲ μὴ ἐπεῖχεν αὐτὸς, ἴσως ἂν καὶ ὀρχουμένου ἐπὶ τῆς ἁπήνης.

34. Ἕτερον δ' οὖν τι καὶ τοιοῦτον αὐτῷ προσταχθῆναι· καλέσασα γὰρ αὐτὸν ἡ γυνὴ, Θεσμόπολι, φησὶν, οὕτως ὄναιο, χάριν οὐ μικρὰν αἰτούσῃ δὸς μηδὲν ἀντειπὼν μηδ' ὅπως ἐπὶ πλεῖόν σου δεήσομαι περιμείνας. Τοῦ δὲ, ὅπερ εἰκὸς ἦν, ὑποσχομένου πάντα πράξειν, Δέομαί σου τοῦτο, ἔφη, χρηστὸν ὁρῶσά σε καὶ ἐπιμελῆ καὶ φιλόστοργον, τὴν κύνα ἣν οἶσθα τὴν Μυρρίνην ἀναλαβὼν ἐς τὸ ὄχημα φύλαττέ μοι καὶ ἐπιμελοῦ ὅπως μηδενὸς ἐνδεὴς ἔσται· βαρύνεται γὰρ ἡ ἀθλία τὴν γαστέρα καὶ σχεδὸν ὡς ἐπίτεξ ἐστίν· οἱ δὲ κατάρατοι οὗτοι καὶ ἀπειθεῖς οἰκέται οὐχ ὅπως ἐκείνης, ἀλλ' οὐδ' ἐμοῦ αὐτῆς πολὺν ποιοῦνται λόγον ἐν ταῖς ὁδοῖς. Μὴ τοίνυν τι σμικρὸν οἰηθῇς εὖ ποιήσειν με τὸ περισπούδαστόν μοι καὶ ἥδιστον κυνίδιον διαφυλάξας. Ὑπέσχετο ὁ Θεσμόπολις πολλὰ ἱκετευούσης καὶ μονονουχὶ καὶ δακρυούσης. Τὸ δὲ πρᾶγμα παγγέλοιον ἦν, κυνίδιον ἐκ τοῦ ἱματίου προκῦπτον μικρὸν ὑπὸ τὸν πώγωνα καὶ κατουρῆσαν πολλάκις, εἰ καὶ μὴ ταῦτα ὁ Θεσμόπολις προσετίθει, καὶ βαῦζον λεπτῇ τῇ φωνῇ — τοιαῦτα γὰρ τὰ Μελιταῖα — καὶ τὸ γένειον τοῦ φιλοσόφου περιλιχμώμενον, καὶ μάλιστα εἴ τι τοῦ χθιζοῦ αὐτῷ ζωμοῦ ἐγκατεμέμικτο. Καὶ ὅ γε κίναιδος, ὁ ζύνεδρος, οὐκ ἀμούσως ποτὲ καὶ εἰς τοὺς ἄλλους τοὺς παρόντας ἐν τῷ ξυμποσίῳ ἀποσκώπτων, ἐπειδή ποτε καὶ ἐπὶ τὸν Θεσμόπολιν καθῆκε τὸ σκῶμμα, Περὶ δὲ Θεσμοπόλιδος, ἔφη, τοῦτο μόνον εἰπεῖν ἔχω, ὅτι ἀντὶ Στωϊκοῦ ἤδη

iter instituendum sit, reliqua omitto : sæpe vero quum pluit ultimus tu veniens (hoc enim sors tibi tribuit) jumenta exspectas, donec, quum jam non amplius sit devertendi copia, cum coquo te aut ciniflone dominæ in vehiculum compingunt, et ne virgultorum quidem satis substernunt.

33. Non piget etiam narrare tibi, quod sibi accidisse Thesmopolis, hic Stoicus, mihi narravit, ridiculum sane, quod aliis quoque usu venire posse non improbabile, per Jovem, fuerit. Vivebat ille in domo divitis et delicatæ mulieris ex nobilium in Urbe numero : quum autem peregre eundum esset aliquando, primum hoc sibi accidisse narravit omnino ridiculum, ut juxta se philosophum hominem, assidere juberetur cinædus quidam lævigatis pice cruribus et rasa barba : nempe in honore illum ipsa, ut facile est ad intelligendum, habebat : nomen etiam cinædi mihi retulit, Chelidonium dictum esse. Hoc igitur primum quale est! tetrico et seni viro, et capo mento, (nosti vero quam prolixam barbam et venerabilem Thesmopolis habuerit) assidere infucatum, et pictis genis, et natantibus oculis, et fracta cervice, non hirundinem sane (quæ nominis illius vis est), sed vulturem quendam vulsis barbæ pennis! et nisi multum deprecatus esset, etiam caput flammeo tectum habentem ait fuisse assessurum : se ergo tum cetera sexcentas in illa via molestias sustinuisse, cantillante illo et minuriente; qui, nisi ipse retinuisset, fortasse etiam in ipso plaustro esset saltaturus.

34. Verum injunctum sibi esse etiam aliud fere hujusmodi : vocans enim ipsum mulier, Da mihi, inquit, hanc veniam, Thesmopoli, sic fortunatus sis! magnam quidem, petenti nihil contradicens, nec exspecta, ut diutius te rogem. Illo vero, quod facile credas, pollicito se facturum omnia, Hoc, inquit, te rogo, quæ benignum te videam, et diligentem, et a natura factum ad amorem; canem quam nosti, Myrrhinam, receptam in vehiculum custodi mihi, et curam illius gere ne qua re indigeat : uterum enim gerit misera, et prope abest a partu : exsecrabiles vero illi et immorigeri servi, ne mei quidem ipsius, tantum abest ut illius, ullam rationem habent in via. Ne putes igitur te mediocriter de me mereri, si caniculam, de qua tantum laborem, suavissimamque mihi servaveris. Pollicetur Thesmopolis multum ita et tantum non cum lacrimis petenti. Res autem ridicula omnino, canicula de veste sub ipsam barbam prospiciens, et sæpe ipsum permingens, etiamsi illud quidem non addidit Thesmopolis, et minuta voce ganniens (tales enim sunt Melitenses illæ caniculæ), et mentum philosophi circumlambens, inprimis si quid pridiani juris in illo hæreret. Et cinædus ille, assessor, qui interdum non indocta dicta in ceteros quoque convivas jacere solet, quum in Thesmopolin quoque aliquando laxaret dicacitatem, De Thesmopolide, inquit,

Κυνικὸς ἡμῖν γεγένηται. Τὸ δ' οὖν κυνίδιον καὶ τεκέναι ἐν τῷ τρίβωνι τῷ τοῦ Θεσμοπόλιδος ἐπυθόμην.

35. Τοιαῦτα ἐντρυφῶσι, μᾶλλον δὲ ἐνυβρίζουσι τοῖς ξυνοῦσι κατὰ μικρὸν αὐτοὺς χειρσήθεις τῇ ὕβρει παρασκευάζοντες. Οἶδα δ' ἐγὼ καὶ ῥήτορα τῶν καρχάρων ἐπὶ τῷ δείπνῳ κελευσθέντα μελετήσαντα μὰ τὸν Δί' οὐκ ἀπαιδεύτως, ἀλλὰ πάνυ τορῶς καὶ ξυγκεκροτημένως· ἐπῃνεῖτο γοῦν μεταξὺ τινόντων οὐ πρὸς ὕδωρ μεμετρημένον, ἀλλὰ πρὸς οἶνου ἀμφορέας λέγων, καὶ τοῦτο ὑποστῆναι τὸ τόλμημα ἐπὶ διακοσίαις δραχμαῖς ἐλέγετο. Ταῦτα μὲν οὖν ἴσως μέτρια. Ἦν δὲ ποιητικὸς αὐτὸς ἢ συγγραφικὸς ὁ πλούσιος ᾖ, παρὰ τὸ δεῖπνον τὰ αὑτοῦ ῥαψῳδῶν, τότε καὶ μάλιστα διαρραγῆναι χρὴ ἐπαινοῦντα καὶ κολακεύοντα καὶ τρόπους ἐπαίνων καινοτέρους ἐπινοοῦντα. Εἰσὶ δ' οἱ καὶ ἐπὶ κάλλει θαυμάζεσθαι ἐθέλουσι, καὶ δεῖ Ἀδώνιδας αὐτοὺς καὶ Ὑακίνθους ἀκούειν, πήχεως ἐνίοτε τὴν ῥῖνα ἔχοντας. Σὺ δ' οὖν ἐὰν μὴ ἐπαινῇς, ἐς τὰς λιθοτομίας τὰς Διογυσίου εὐθὺς ἀφίξῃ ὡς καὶ φθονῶν καὶ ἐπιβουλεύων αὐτῷ. Χρὴ δὲ καὶ σοφοὺς καὶ ῥήτορας εἶναι αὐτούς, κἂν εἴ τι σολοικίσαντες τύχωσιν, αὐτὸ τοῦτο τῆς Ἀττικῆς καὶ τοῦ Ὑμηττοῦ μεστοὺς δοκεῖν τοὺς λόγους καὶ νόμον εἶναι τὸ λοιπὸν οὕτω λέγειν.

36. Καίτοι φορητὰ ἴσως τὰ τῶν ἀνδρῶν. Αἱ δὲ [οὖν] γυναῖκες — καὶ γὰρ αὖ καὶ τόδε ὑπὸ τῶν γυναικῶν σπουδάζεται, τὸ εἶναί τινας αὐταῖς πεπαιδευμένους μισθοῦ ὑποτελεῖς ξυνόντας καὶ τῷ φορείῳ ἑπομένους· ἓν γάρ τι καὶ τοῦτο τῶν ἄλλων καλλωπισμάτων αὐταῖς δοκεῖ, ἣν λέγηται ὡς πεπαιδευμέναι τέ εἰσι καὶ φιλόσοφοι καὶ ποιοῦσιν ᾄσματα οὐ πολὺ τῆς Σαπφοῦς ἀποδέοντα — διὰ δὴ ταῦτα μισθωτοὺς καὶ αὗται περιάγονται ῥήτορας καὶ γραμματικοὺς καὶ φιλοσόφους, ἀκροῶνται δ' αὐτῶν πηνίκα; — γελοῖον γὰρ καὶ τοῦτο — ἤτοι μεταξὺ κομμούμεναι καὶ τὰς κόμας παραπλεκόμεναι ἢ παρὰ τὸ δεῖπνον· ἄλλοτε γὰρ οὐκ ἄγουσι σχολήν. Πολλάκις δὲ καὶ μεταξὺ τοῦ φιλοσόφου τι διεξιόντος ἡ ἄβρα προσελθοῦσα ὥρεξε παρὰ τοῦ μοιχοῦ γραμμάτιον, οἱ δὲ περὶ σωφροσύνης ἐκεῖνοι λόγοι ἑστᾶσι περιμένοντες, ἕστ' ἂν ἐκείνη ἀντιγράψασα τῷ μοιχῷ ἐπαναδράμῃ πρὸς τὴν ἀκρόασιν.

37. Ἐπειδὰν δέ ποτε διὰ μακροῦ τοῦ χρόνου Κρονίων ἢ Παναθηναίων ἐπιστάντων, πέμπηταί τί σοι ἐφεστρίδιον ἄθλιον ἢ χιτώνιον ὑπόσαθρον, ἐνταῦθα μάλιστα πολλὴν δεῖ καὶ μεγάλην γενέσθαι τὴν πομπήν· καὶ ὁ μὲν πρῶτος εὐθὺς ἔτι σκεπτομένου παρακούσας τοῦ δεσπότου προδραμὼν καὶ προμηνύσας ἀπέρχεται μισθὸν οὐκ ὀλίγον τῆς ἀγγελίας προλαβών, ἔωθεν δὲ τρισκαίδεκα ἥκουσι κομίζοντες, ἕκαστος ὡς πολλὰ εἶπε καὶ ὡς ὑπέμνησε καὶ ὡς ἐπιτραπεὶς τὸ κάλλιον ἐπελέξατο διεξιών. Ἅπαντες δ' οὖν ἀπαλλάττονται λαβόντες, ἔτι καὶ βρενθυόμενοι, ὅτι μὴ πλείω ἔδωκας.

38. Ὁ μὲν γὰρ μισθὸς αὐτὸς κατὰ δύ' ὀβολοὺς ἢ τέτταρας, καὶ βαρὺς αἰτῶν σὺ καὶ ὀχληρὸς δοκεῖς. Ἵνα δ' οὖν λάβῃς, κολακευτέος μὲν αὐτὸς καὶ ἱκετευτέος, θεhoc solum habeo quod dicam, illum pro Stoico jam Cynicum nobis factum. Caniculam igitur etiam peperisse in pallio Thesmopolidis audivi.

35. Sic ad delicias, vel ad contumeliam potius abutuntur suis familiaribus, quos paullatim mansuetos et patientes injuriæ faciunt. Novi ego etiam rhetora quendam de asperis illis jussum in cœna declamare, non inerudite profecto, sed vehementer et concinne : laudabatur igitur inter pocula, qui non ad aquam demensam diceret, sed ad vini amphoras; ditebatur autem pro ducentis illam rem drachmis ausus esse. Sed hæc fortasse modica. Si vero dives ipse vel poeticam affectet laudem vel historicam, qui in convivio sua recitet, tum maxime est ubi rumpatur aliquis laudando, adulando, modis laudandi novis excogitandis. Sunt vero qui etiam pulchritudinis nomine admirationi esse postulent, quos Adonidas, vel Hyacinthos audire oportet, cubitalem licet nasum interdum habeant. Tu vero si non laudes, ilicet in Dionysii lautumias venies, utpote qui invideas ipsi et insidieris. Oportet autem doctos esse ipsos et rhetoras, et licet solœcismos committant, Atticæ tamen et Hymetti plenos videri illorum sermones, et legem esse in posterum ita dicendi.

36. Quanquam tolerabilia forte videantur quæ viri faciunt. Mulieres vero, nam hoc quoque nunc affectant mulieres, habere quosdam eruditos, mercede conductos sibi familiares, et lecticam assectantes, quandoquidem unum hoc inter reliqua ornamenta illis videtur, si dicantur eruditæ esse et philosophæ, et carmina faciant non multum inferiora Sapphicis : propter hæc igitur mulieres ipsæ quoque mercenarios circumducunt rhetores, et grammaticos, et philosophos. Audiunt vero illos, quando? (nam hoc quoque ridiculum) vel dum ornantur et comas disponi sibi curant, vel in cœna adeo : neque enim aliud ipsis otium suppetit. Sæpe vero, dum philosophus aliquid disputat, accedens ancilla a mœcho tabellas tradit : at illi de temperantia sermones insistunt expectantque, dum illa, mœcho postquam rescripserit, ad auditionem redeat.

37. Quum vero longo post tempore aliquando Saturnalibus instantibus vel Quinquatribus, mittitur tibi amiculum miserum aut tunica fere putris, tunc maxime multam institui magnamque pompam oportet. Et primus quidem, qui deliberante etiamnum domino illud sublegit, præcurrens et indicans, non parvo ablato nuncii præmio, redit. Mane vero tredecim veniunt ferentes munus, quorum unusquisque, ut multa dixerit, ut monuerit, ut dato sibi negotio pulcherrimum elegerit, commemorat. Omnes igitur cum munusculo abeunt, insuper cum fastidio quodam murmurantes, quod plura non dederis.

38. Merces ipsa minutatim tibi solvitur, obolis binis aut quaternis; si petas, gravis videris ac molestus. Ut igitur accipias, adulandum primo ipsi et supplicandum; colendus

ραπευτέος δὲ καὶ ὁ οἰκονόμος, οὗτος μὲν καὶ ἄλλον θεραπείας τρόπον· οὐκ ἀμελητέος δὲ οὐδὲ ὁ ξύμβουλος καὶ φίλος. Καὶ τὸ ληφθὲν ἤδη προωφείλετο ἱματιοκαπήλῳ ἢ ἰατρῷ ἢ σκυτοτόμῳ τινί. Ἄδωρα οὖν σοι τὰ δῶρα καὶ ἀνόνητα.

39. Πολὺς δὲ ὁ φθόνος καί που καὶ διαβολή τις ἠρέμα ὑπεξανίσταται πρὸς ἄνδρα ἤδη τοὺς κατὰ σοῦ λόγους ἡδέως ἐνδεχόμενον· ὁρᾷ γὰρ ἤδη σὲ μὲν ὑπὸ τῶν συνεχῶν πόνων ἐκτετρυχωμένον καὶ πρὸς τὴν θεραπείαν σκάζοντα καὶ ἀπηυδηκότα, τὴν ποδάγραν δὲ ὑπανιοῦσαν· ὅλως γὰρ ὅπερ ἦν νοστιμώτατον ἐν σοὶ ἀπανθισάμενος καὶ τὸ ἐγκαρπότατον τῆς ἡλικίας καὶ τὸ ἀκμαιότατον τοῦ σώματος ἐπιτρίψας καὶ ῥάκος σε πολυσχιδὲς ἐργασάμενος ἤδη περιβλέπει, σὲ μὲν οἷ τῆς κόπρου ἀπορρίψει φέρων, ἄλλον δὲ ὅπως τῶν δυναμένων τοὺς πόνους καρτερεῖν προσλήψεται, καὶ ἤτοι μειράκιον αὐτοῦ ὅτι ἐπείρασας τότε ἢ τῆς γυναικὸς ἄβραν παρθένον γέρων ἀνὴρ διαφθείρεις ἢ ἄλλο τι τοιοῦτον ἐπικληθεὶς νύκτωρ ἐγκεκαλυμμένος ἐπὶ τράχηλον ὠσθεὶς ἐξελήλυθας ἔρημος ἁπάντων καὶ ἄπορος τὴν βελτίστην ποδάγραν αὐτῷ γήρᾳ παραλαβών, καὶ ἃ μὲν τέως ἤδεις, ἀπομαθὼν ἐν τοσούτῳ χρόνῳ, θυλάκου δὲ μείζω τὴν γαστέρα ἐργασάμενος, ἀπλήρωτόν τι καὶ ἀπαραίτητον κακόν· καὶ γὰρ ὁ λαιμὸς ἀπαιτεῖ ἐκ τοῦ ἔθους καὶ ἀπομανθάνων αὐτὰ ἀγαναχτεῖ.

40. Καί σε οὐκ ἄν τις ἄλλος δέξαιτο ἔξωρον ἤδη γεγονότα καὶ τοῖς γεγηρακόσιν ἵπποις ἐοικότα, ὧν οὐδὲ τὸ δέρμα ὁμοίως χρήσιμον. Ἄλλως τε καὶ ἡ ἐκ τοῦ ἀπωσθῆναι διαβολὴ πρὸς τὸ μεῖζον εἰκαζομένη μοιχὸν ἢ φαρμακέα σε ἤ τι τοιοῦτον ἄλλο δοκεῖν ποιεῖ· ὁ μὲν γὰρ κατήγορος καὶ σωπῶν ἀξιόπιστος, σὺ δ' Ἕλλην καὶ ῥᾴδιος τὸν τρόπον καὶ πρὸς πᾶσαν ἀδικίαν εὔκολος· τοιούτους γὰρ ἅπαντας ἡμᾶς εἶναι οἴονται, καὶ μάλα εἰκότως· δοκῶ γάρ μοι καὶ τῆς τοιαύτης δόξης αὐτῶν, ἣν ἔχουσι περὶ ἡμῶν, κατανενοηκέναι τὴν αἰτίαν. Πολλοὶ γὰρ ἐς τὰς οἰκίας παρελθόντες ὑπὲρ τοῦ μηδὲν ἄλλο χρήσιμον εἰδέναι μαγείας καὶ φαρμακείας ὑπέσχοντο καὶ χάριτας ἐπὶ τοῖς ἐρωτικοῖς καὶ ἐπαγωγὰς τοῖς ἐχθροῖς, καὶ ταῦτα πεπαιδεῦσθαι λέγοντες καὶ τρίβωνας ἀμπεχόμενοι καὶ πώγωνας οὐκ εὐκαταφρονήτους καθειμένοι. Εἰκότως οὖν τὴν ὁμοίαν περὶ πάντων ὑπόνοιαν ἔχουσιν, οὓς ἀρίστους ὤοντο, τοιούτους ὁρῶντες καὶ μάλιστα ἐπιτηροῦντες αὐτῶν τὴν ἐν τοῖς δείπνοις καὶ τῇ ἄλλῃ ξυνουσίᾳ κολακείαν καὶ τὴν πρὸς τὸ κέρδος δουλοπρέπειαν.

41. Ἀποσεισάμενοι δὲ αὐτοὺς μισοῦσι, καὶ μάλα εἰκότως, καὶ ἐξ ἅπαντος ζητοῦσιν ὅπως ἀρδὴν ἀπολέσωσιν, ἣν δύνωνται· λογίζονται γὰρ ὡς ἐξαγορεύσουσιν αὐτῶν τὰ πολλὰ ἐκεῖνα τῆς φύσεως ἀπόρρητα ὡς ἅπαντα εἰδότες ἀκριβῶς καὶ γυμνοὺς αὐτοὺς ἐπωπτευκότες. Τοῦτο τοίνυν ἀποπνίγει αὐτούς· ἅπαντες γὰρ ἀκριβῶς ὅμοιοί εἰσι τοῖς καλλίστοις τούτοις βιβλίοις, ὧν χρυσοῖ μὲν οἱ ὀμφαλοί, πορφυρᾶ δ' ἔκτοσθεν ἡ διφθέρα, τὰ δ' ἔνδον ἢ Θυέστης ἐστὶ τῶν τέκνων ἐστιώμενος ἢ Οἰδί-

autem dispensator quoque est, hic quidem alio culturæ genere : nec vero negligendus consiliarius et amicus. Porro quod accipis, id jam debebatur vestiario aut medico, aut sutori cuidam. Munera igitur illa non munera et nullius utilitatis.

39. Tum invidia multa, forte etiam calumnia paullatim contra te insurgit apud virum, sermones qui contra te habentur libenter jam excipientem. Videt enim te jam perpetuis laboribus detritum, et ad officia claudicantem, et defectum viribus, subeuntemque paullatim podagram. Omnino enim postquam florem ætatis valetudinisque tuæ præcerpsit, postquam fertilissimam vitæ tuæ partem et summum vigorem corporis contrivit, et pannum te undique fissum concinnavit, jam circumspicit, te quidem in quod sterquilinium abjiciat, alium vero ex iis, qui labores sustinere possunt, ut assumat. Tum igitur vel tentasse puerum ipsius, vel ancillam virginem dominæ subigere, homo senex, vel quiddam aliud huic simile incusatus noctu, capite obvoluto, præceps ejiceris domo, relictus ab omnibus, inops, cum senectute podagram etiam optimam nactus; obljtus hoc tanto tempore interjecto eorum quæ ante sciebas, ventre auctus majore quam culeus est, malo quod neque explere possis, nec deprecari. Etenim et gula poscit te ex consuetudine, et cum indignatione et querela dediscit.

40. Nec te facile alius quis recipiat, exoletum jam et equis vetulis similem, quorum neque pellis æque utilis. Alioquin etiam calumnia e tua expulsione orta, et majus quid suspicata, ut mœchus vel veneficus, vel horum simile aliquid videaris, efficit. Tuus enim accusator tacens etiam fide dignus : tu vero Græculus et levis ingenii, et ad scelus omne facilis. Tales enim universos nos esse arbitrantur : nec injuria. Videor enim mihi etiam talis illorum opinionis, quam de nobis habent, causam intellexisse. Multi enim in domos ingressi, quod nihil aliud utile scirent, vaticinia et veneficia polliciti sunt, et gratiam ab amasiis, et carmina magica contra hostes : idque quum facerent, se eruditos dicebant, et pallia induti erant et barbas submittebant minime contemnendas. Non absurde ergo similia de omnibus suspicantur, quum tales esse videant, quos putabant præstantissimos, maximeque quum observent eorum in cœnis et reliqua consuetudine adulationem, et quam servilem lucri causa personam suscipiant.

41. Quos vero ejecerunt, illos etiam, ut valde consentaneum est, odio habent, et undique quærunt funditus, si queant, perdere. Etenim arbitrantur illos enunciaturos multa illa in natura ipsorum ac moribus secreta, ut qui norint accurate omnia, et nudos ipsos inspexerint. Hoc igitur est, quod illos angit. Omnes enim accurate similes sunt pulcherrimis illis libris, quorum aurei umbilici, purpereique coloris membrana exterior; intus autem vel Thyestes est liberos suos epulatus, aut Œdipus cum matre

πους τῇ μητρὶ ξυνὼν ἡ Τηρεὺς δύο ἀδελφὰς ἅμα ὀπυίων. Τοιοῦτοι καὶ αὐτοί εἰσι, λαμπροὶ καὶ περίβλεπτοι, ἔνδον δ' ὑπὸ τῇ πορφύρᾳ πολλὴν τὴν τραγῳδίαν σκέποντες· ἕκαστον γοῦν αὐτῶν ἢν ἐξειλήσῃς, δρᾶμα οὐ μικρὸν εὑρήσεις Εὐριπίδου τινὸς ἢ Σοφοκλέους, τὰ δ' ἔξω πορφύρα εὐανθὴς καὶ χρυσοῦς ὁ ὀμφαλός. Ταῦτ' οὖν ξυνεπιστάμενοι αὐτοῖς μισοῦσι καὶ ἐπιβουλεύουσιν, εἴ τις ἀποστὰς ἀκριβῶς κατανενοηκὼς αὐτοὺς ἐκτραγῳδήσει καὶ πρὸς πολλοὺς ἐρεῖ.

42. Βούλομαι δ' ὅμως ἔγωγε ὥσπερ ὁ Κέβης ἐκεῖνος εἰκόνα τινὰ τοῦ τοιούτου βίου σοι γράψαι, ὅπως ἐς ταύτην ἀποβλέπων εἰδῇς εἴ σοι παριτητέον ἐστὶν ἐς αὐτήν. Ἡδέως μὲν οὖν Ἀπελλοῦ τινος ἢ Παρρασίου ἢ Ἀετίωνος ἢ καὶ Εὐφράνορος ἂν ἐδεήθην ἐπὶ τὴν γραφήν· ἐπεὶ δὲ ἄπορον νῦν εὑρεῖν τινα οὕτω γενναῖον καὶ ἀκριβῆ τὴν τέχνην, ψιλὴν ὡς οἷόν τέ σοι ἐπιδείξω τὴν εἰκόνα. Καὶ δὴ γεγράφθω προπύλαια μὲν ὑψηλὰ καὶ ἐπίχρυσα καὶ μὴ κάτω ἐπὶ τοῦ ἐδάφους, ἀλλ' ἄνω τῆς γῆς ἐπὶ λόφου κείμενα, καὶ ἡ ἄνοδος ἐπὶ πολὺ καὶ ἀνάντης καὶ ὀλισθον ἔχουσα, ὡς πολλάκις ἤδη πρὸς τῷ ἄκρῳ ἔσεσθαι ἐλπίσαντας ἐκτραχηλισθῆναι διαμαρτόντος τοῦ ποδός· ἔνδον δὲ ὁ Πλοῦτος αὐτὸς καθήσθω χρυσοῦς ὅλος, ὡς δοκεῖ, πάνυ εὔμορφος καὶ ἐπέραστος, ὁ δ' ἐραστὴς μόλις ἀνελθὼν καὶ πλησιάσας τῇ θύρᾳ τεθηπέτω ἀφορῶν ἐς τὸ χρυσίον· παραλαβοῦσα δ' αὐτὸν ἡ Ἐλπὶς, εὐπρόσωπος καὶ αὕτη καὶ ποικίλα ἀμπεχομένη, ἐσαγέτω σφόδρα ἐκπεπληγμένον τῇ εἰσόδῳ. Τοὐντεῦθεν δὲ ἡ μὲν Ἐλπὶς ἀεὶ προηγείσθω, διαδεξάμεναι δ' αὐτὸν αἱ λαι γυναῖκες, Ἀπάτη καὶ Δουλεία, παραδότωσαν τῷ Πόνῳ, ὁ δὲ πολλὰ τὸν ἄθλιον καταγυμνάσας τελευτῶν ἐγχειρισάτω αὐτὸν τῷ Γήρᾳ ἤδη ὑπονοσοῦντα καὶ τετραμμένον τὴν χρόαν· ὑστάτη δὲ ἡ Ὕβρις ἐπιλαβομένη συρέτω πρὸς τὴν Ἀπόγνωσιν· ἡ δ' Ἐλπὶς τὸ ἀπὸ τούτου ἀφανὴς ἀποπτέσθω, καὶ μηκέτι καθ' οὓς εἰσῆλθε τοὺς χρυσοῦς θυρῶνας, ἔκ τινος δ' ἀποστρόφου καὶ λεληθυίας ἐξόδου ἐξωθείσθω γυμνὸς προγάστωρ ὠχρὸς γέρων, τῇ ἑτέρᾳ μὲν τὴν αἰδῶ σκέπων, τῇ δεξιᾷ δὲ αὐτὸς ἑαυτὸν ἄγχων· ἀπαντάτω δ' ἐξιόντι ἡ Μετάνοια δακρύουσα ἐς οὐδὲν ὄφελος καὶ τὸν ἄθλιον ἐπαπολλύουσα. Τοῦτο μὲν ἔστω τὸ τέλος τῆς γραφῆς. Σὺ δ' οὖν, ὦ ἄριστε Τιμόκλεις, αὐτὸς ἤδη ἀκριβῶς ἐπισκοπῶν ἕκαστα ἐννόησον εἴ σοι καλῶς ἔχει προσελθόντα εἰς τὴν εἰκόνα κατὰ ταύτας τὰς θύρας κατ' ἐκείνην τὴν ἐμπαλιν αἰσχρῶς οὕτως ἐκπεσεῖν. Ὅ τι δ' ἂν πράττῃς, μέμνησο τοῦ σοφοῦ λέγοντος, Ὡς θεὸς ἀναίτιος, αἰτία δὲ ἑλομένου.

concumbens, aut duas simul sorores Tereus subigens. Tales et hi sunt, splendidi et conspicui, intus vero sub purpura tragœdiam multam tegentes. Si enim unumquemque eorum evolvas, fabulam invenies haud parvam, Euripide aliquo aut Sophocle dignam : extra autem sunt purpura florida, et umbilicus aureus. Horum ergo sibi conscii odio habent et struunt insidias, si quis ab illis sejunctus, qui accurate ipsos norit, tragœdiam ipsos faciat, et in vulgus de ipsis narret.

42. Volo tamen ego, ut Cebes ille, imaginem tibi quandam talis vitæ depingere, ut illa inspecta constituas, utrum in eam tibi ingrediendum sit. Libenter itaque Apellem quendam, aut Parrhasium, aut Aetionem, aut Euphranorem etiam ad picturam adhiberem : quandoquidem vero fieri non potest ut nunc inveniatur aliquis eo ingenio et hac artis accuratione, tenuem tibi, quantum a me potest, imaginem ostendam. Pingatur itaque vestibulum altum, inauratum, nec infra in solo, sed supra terram in colle situm : ascensus sit valde et arduus et lubricus, ut sæpe qui in summo se jam sperarent esse, vestigio fallente præcipitentur. Intra vero Plutus sedeat ipse, aurea specie totus, formosus idem atque amabilis : amator autem qui ægre ascendit et ad januam accessit, obstupescat oculis in aurum directis. Assumtum vero Spes, formosa et ipsa, et pictam vestem induta, introducat valde in ingressu perculsum. Inde vero Spes quidem præcedat semper, excipientes autem illum aliæ mulieres, Fraus, et Servitus, tradant Labori. At hic postquam multum exercuit miserum, commendet eum Senectuti, jam aliquantum ægrotantem et colorem vertentem : ultima vero Contumelia comprehensum abducat ad Desperationem. Spes ab hoc inde loco avolet nec conspiciatur amplius : ipse vero non jam per aureum qua ingressus fuerat vestibulum, sed per aversum quendam et latentem exitum nudus extrudatur, ventre prominulo, pallidus, senex, altera manu pudenda tegens, dextra autem suum ipse collum angens. Occurrat autem exeunti Pœnitentia nequicquam plorans, et magis perdens perditum. Hic quidem picturæ finis esto. At tu, Timocles optime, ipse jam diligenter inspiciens singula, cogita, an decere te putes, ingressum in vitam depictam per illas portas, altera illa janua opposita turpiter adeo elabi. Quicquid autem feceris, sapientis viri memento, qui, Innocens, inquit, deus est, culpa vero eligentis.

XVIII.

ΑΠΟΛΟΓΙΑ.

1. Πάλαι σκοπῶ πρὸς ἐμαυτὸν, ὦ καλὲ Σαβῖνε, ἅτινά σοι εἰκὸς ἐπελθεῖν εἰπεῖν ἀναγνόντι ἡμῶν τὸ περὶ τῶν

XVIII.

APOLOGIA.

1. Dudum apud me considero, pulcher Sabine, quid in mentem tibi venisse probabiliter dicam, legenti nostrum

ἐπὶ μισθῷ συνόντων βιβλίον· ὅτι μὲν γὰρ οὐκ ἀγελαστὶ διεξῇεις αὐτὸ καὶ πάνυ μοι πρόδηλον. Ἃ δὲ μεταξὺ καὶ ἐπὶ πᾶσιν ὑπὸ σοῦ ἐλέγετο, ταῦτα νῦν ἐφαρμόττειν ζητῶ τοῖς ἀνεγνωσμένοις. Εἰ τοίνυν μὴ κακὸς ἐγὼ μαντικὴν, δοκῶ μοι ἀκούειν σου λέγοντος· Εἶτά τις αὐτὸς ταῦτα γεγραφὼς καὶ κατηγορίαν οὕτω δεινὴν κατὰ τοῦ τοιούτου βίου διεξελθὼν, ἔπειτα πάντων ἐκλαθόμενος, ὀστράκου, φησὶ, μεταπεσόντος, ἑκὼν ἑαυτὸν φέρων ἐς δουλείαν οὕτω περιφανῆ καὶ περίβλεπτον ἐνσέσεικε; πόσοι Μίδαι καὶ Κροῖσοι καὶ Πακτωλοὶ ὅλοι μετέπεισαν αὐτὸν ἀφεῖναι μὲν τὴν ἐκ παίδων φίλην καὶ σύντροφον ἐλευθερίαν, πρὸς αὐτῷ δὲ ἤδη τῷ Αἰακῷ γενόμενον καὶ μονονουχὶ τὸν ἕτερον πόδα ἐν τῷ πορθμείῳ ἔχοντα παρέχειν ἑαυτὸν ἕλκεσθαι καὶ σύρεσθαι καθάπερ ὑπὸ κλοιῷ τινι χρυσῷ τὸν αὐχένα δεθέντα; [οἷά ἐστι τῶν τρυφώντων πλουσίων τὰ σφιγγία καὶ τὰ κουράλλια;] πολλὴ γοῦν ἡ διαφωνία τοῦ νῦν βίου πρὸς τὸ σύγγραμμα, καὶ τὸ ἄνω τοὺς ποταμοὺς χωρεῖν καὶ ἀνεστράφθαι τὰ πάντα καὶ παλινῳδεῖν πρὸς τὸ χεῖρον τοῦτ' ἂν εἴη οὐχ ὑπὲρ Ἑλένης μὰ Δί' οὐδ' ὑπὲρ τῶν ἐπ' Ἰλίῳ γενομένων, ἀλλ' ἔργῳ ἀνατρεπομένων τῶν λόγων, καλῶς πρότερον εἰρῆσθαι δοκούντων.

2. Ταῦτα μὲν πρὸς ἑαυτὸν, ὡς τὸ εἰκὸς, λέλεκταί σοι. Ἐπάξεις δὲ ἴσως καὶ πρὸς αὐτὸν ἐμὲ ξυμβουλήν τινα τοιαύτην οὐκ ἄκαιρον, ἀλλὰ φιλικὴν καὶ οἵῳ σοι χρηστῷ καὶ φιλοσόφῳ ἀνδρὶ πρέπουσαν. Ἧν μὲν οὖν κατ' ἀξίαν ὑποδὺς τὸ σὸν πρόσωπον ὑποκρίνωμαι, εὖ ἂν ἡμῖν ἔχοι καὶ τῷ Λογίῳ θύσομεν· εἰ δὲ μὴ, ἀλλὰ σὺ προσθήσεις τὰ ἐνδέοντα. Ὥρα τοίνυν μετασκευάσαντας ἡμᾶς τὴν σκηνὴν ἐμὲ μὲν σιωπᾶν καὶ ἀνέχεσθαι τεμνόμενον καὶ καόμενον, εἰ δέοι, ἐπὶ σωτηρίᾳ, σὲ δὲ ἐπιπάττειν τῶν φαρμάκων καὶ τὴν σμίλην ἅμα πρόχειρον ἔχοντα καὶ τὸ καυτήριον διάπυρον· καὶ δὴ παραλαβὼν τὴν ῥήτραν σὺ ταῦτα πρός με ὁ Σαβῖνος ἤδη λέγεις.

3. Πάλαι μὲν, ὦ φιλότης, ὡς εἰκὸς, ηὐδοκίμηταί σοι τουτὶ τὸ σύγγραμμα καὶ ἐν πολλῷ πλήθει δειχθὲν, ὡς οἱ τότε ἀκροασάμενοι διηγοῦντο, καὶ ἰδίᾳ παρὰ τοῖς πεπαιδευμένοις, ὁπόσοι ὁμιλεῖν αὐτῷ καὶ διὰ χειρὸς ἔχειν ἠξίωσαν· ἥ τε γὰρ τῶν λόγων παρασκευὴ οὐ μεμπτὴ καὶ ἡ ἱστορία πολλὴ καὶ ἐμπειρία τῶν πραγμάτων καὶ ὅτι ἕκαστα σαφῶς ἐλέγετο, καὶ τὸ μέγιστον, ὅτι χρήσιμα πᾶσιν ἦν, καὶ μάλιστα τοῖς πεπαιδευμένοις, ὡς μὴ ὑπ' ἀγνοίας σφᾶς αὐτοὺς εἰς δουλείαν ὑπάγοιεν. Ἐπεὶ δέ σοι μετέδοξε βελτίω ταῦτα εἶναι καὶ τὴν μὲν ἐλευθερίαν μακρὰ χαίρειν ἐᾶν, ζηλῶσαι δὲ τὸ ἀγεννέστατον ἐκεῖνο ἰαμβεῖον

ὅπου τὸ κέρδος, παρὰ φύσιν δουλευτέον,

ὅρα ὅπως μηδεὶς ἔτι ἀκούσεταί σου ἀναγιγνώσκοντος αὐτὸ, ἀλλὰ μηδ' ἄλλῳ παράσχῃς τῶν τὸν παρόντα σου βίον ὁρώντων ἐπελθεῖν τὰ γεγραμμένα, εὔχου δὲ Ἑρμῇ τῷ χθονίῳ καὶ τῶν ἀκηκοότων πρότερον πολλὴν λήθην κατασκεδάσαι, ἣ δόξεις τῷ τοῦ Κορινθίου μύθου ταὐτόν

de mercenariis familiaribus libellum. Nam id quidem omnino certum habeo, non sine risu te illum percurrisse. Quæ vero interjecto tempore et post omnia a te dicta sint, ea nunc componere his, quæ legisti, studeo. Nisi igitur male ego vaticinari didici, videor mihi audire te dicentem ista: Et est, qui postquam scripsit ipse talia, et gravem adeo accusationem contra hoc vitæ genus explicavit, repente omnium oblitus, cadente, ut aiunt, aliter calculo, sua se sponte in manifestam adeo conspicuamque servitutem alacriter demiserit? Quot hunc Midæ et Crœsi et Pactoli integri in sententiam aliam traduxere, ut relicta amica illa a teneris inde et cui innutritus est libertate, quum jam prope ipsum est Æacum, et tantum non alterum pedem in cymba Charontis habet, præberet se trahendum agendumque tanquam aureo circa cervices collari devinctum? [quales sunt delicatorum divitum simiolæ et pueruli?] Multum ergo hæc vita et illa scriptio discrepant, et hoc sane fuerit illud, quod aiunt, flumina retro ire et inversa omnia, et in pejus recantare, non de Helena per Jovem, aut his quæ ad Ilium gesta sunt, sed opere et factis retractantur quæ bene antea dicta videbantur.

2. Hæc quidem ad te ipsum, ut consentaneum, a te dicta sunt. Subjicies autem forte ad me ipsum etiam consilium quoddam ejusmodi non intempestivum, sed amicum, teque virum bonum et sapientem decens. Si igitur pro dignitate sumtam personam tuam egero, bene res habet nobis, et Eloquenti deo sacrificabimus: sin minus, at tu quæ desunt adjicies. Tempus est igitur, conversa inter nos scena, me silentio secandum urendumque, si opus sit, salutis causa præbere me, te vero medicamenta inspergere, cultrumque in promtu habere, et candens cauterium. Jamque sumtis dicendi partibus tu hæc ad me Sabinus, dicis.

3. Olim sane, amice, ut par erat, bonam famam tibi hoc scriptum adeptum est, tam in magna concione quum recitaretur, ut narrarunt mihi qui tum audiere, quam privatim apud eruditos, quotquot cognoscere illud et in manu habere dignati sunt. Etenim verborum in eo apparatus non contemnendus, et historiæ multum, et rerum peritia, et quod aperte omnia dicerentur: et maxime, quod utilia omnibus essent, eruditis præsertim, ne per ignorantiam ipsi in servitutem se conjiciant. Postquam vero mutata sententia tibi visum est, meliora hæc esse, et longum libertati vale dicere, imitarique ignavissimum illum versiculum,

Ubi lucra magna, serviant et liberi:

vide ne quis in posterum audiat te illud prælegentem, sed nec alii cuiquam eorum, qui præsentem vitam tuam inspiciunt, copiam facito legendi; sed infero Mercurio vota nuncupa, ut hos, qui prius audiere, Lethæis aquis perfundat: alioquin videberis idem esse expertus, quod est in

τι πεπονθέναι, κατὰ σαυτοῦ ὁ Βελλεροφόντης γεγράφὼς τὸ βιβλίον· μὰ γὰρ τὸν Δί' οὐχ ὁρῶ τὴν ἀπολογίαν, ἥτις ἂν εὐπρόσωπός σοι γένοιτο πρὸς τοὺς κατηγοροῦντας, καὶ μάλιστα, ἢν σὺν γέλωτι αὐτὸ ποιῶσιν ἐπαινοῦντες μὲν τὰ γεγραμμένα καὶ τὴν ἐν αὐτοῖς ἐλευθερίαν, αὐτὸν δὲ τὸν συγγραφέα δουλεύοντα ὁρῶντες καὶ ἑκόντα ὑποτιθέντα τὸν αὐχένα τῷ ζυγῷ.

4. Οὐκ ἀπεικότα γοῦν λέγοιεν ἂν, εἰ λέγοιεν ἤτοι ἄλλου του γενναίου ἀνδρὸς εἶναι τὸ βιβλίον καὶ σὲ τὸν κολοιὸν ἀλλοτρίοις πτεροῖς ἀγάλλεσθαι, ἢ εἴπερ σόν ἐστιν, ὁμοιά σε τῷ Σαλαίθῳ ποιεῖν, ὃς πικρότατον κατὰ μοιχῶν τοῖς Κροτωνιάταις νόμον θεὶς καὶ θαυμαζόμενος ἐπ' αὐτῷ μετὰ μικρὸν αὐτὸς ἑάλω μοιχεύων τοῦ ἀδελφοῦ τὴν γυναῖκα. Περὶ πόδα τοίνυν καὶ σὲ τὸν Σάλαιθον ἐκεῖνον εἶναι φαίη τις ἄν· μᾶλλον δὲ πολὺ μετριώτερος ἐκεῖνος, ἔρωτι μὲν ἁλοὺς, ὡς ἔφασκεν ἀπολογούμενος, ἑκὼν δὲ μάλα εὐψύχως ἐς τὸ πῦρ ἁλλόμενος, καίτοι ἐλεούντων αὐτὸν ἤδη Κροτωνιατῶν καὶ ἐνδιδόντων φυγεῖν, εἰ βούλοιτο. Τὸ δὲ σὸν οὐ παρὰ μικρὸν ἀτοπώτερον, ἀκριβοῦντος μὲν ἐν τοῖς λόγοις τὴν τοῦ τοιούτου βίου δουλοπρέπειαν καὶ κατηγοροῦντος, εἴ τις εἰς πλουσίου τινὸς ἐμπεσὼν καὶ καθείρξας ἑαυτὸν ἀνέχοιτο μυρία τὰ δυσχερῆ πάσχων καὶ ποιῶν, ἐν γήρᾳ δ' ὑστάτῳ καὶ σχεδὸν ἤδη ὑπὲρ τὸν οὐδὸν οὕτως ἀγεννῆ λατρείαν ἐπανηρημένου καὶ μονονουχὶ καὶ ἐμπομπεύοντος αὐτῇ· ὅσῳ γοῦν πᾶσιν ἐπισημότερος εἶναι δοκεῖς, τοσούτῳ καταγελαστότερος ἂν δόξειας εἶναι, ἀντιφωνοῦντος τοῦ νῦν βίου τῷ βιβλίῳ.

5. Καίτοι τί δεῖ καινὴν ἐπὶ σὲ κατηγορίαν ζητεῖν μετὰ τὴν θαυμαστὴν τραγῳδίαν λέγουσαν

μισῶ σοφιστὴν, ὅστις οὐχ αὑτῷ σοφός;

Οὐκ ἀπορήσουσι δὲ οἱ κατηγοροῦντες καὶ ἄλλων παραδειγμάτων ἐπὶ σὲ, ἀλλ' οἱ μὲν τοῖς τραγικοῖς ὑποκριταῖς εἰκάσουσιν, οἳ ἐπὶ μὲν τῆς σκηνῆς Ἀγαμέμνων ἕκαστος αὐτῶν ἢ Κρέων ἢ αὐτὸς Ἡρακλῆς εἰσιν, ἔξω δὲ Πῶλος ἢ Ἀριστόδημος ἀποθέμενοι τὰ προσωπεῖα γίγνονται ὑπόμισθοι τραγῳδοῦντες, ἐκπίπτοντες καὶ συριττόμενοι, ἐνίοτε δὲ καὶ μαστιγούμενοί τινες αὐτῶν, ὡς ἂν τῷ θεάτρῳ δοκῇ· ἄλλοι δὲ τὸ τοῦ πιθήκου πεπονθέναι σε φήσουσιν, ὃν Κλεοπάτρᾳ τῇ πάνυ φασὶ γενέσθαι· ἐκεῖνον γὰρ διδαχθέντα τέως μὲν ὀρχεῖσθαι πάνυ κοσμίως καὶ ἐμμελῶς καὶ ἐπὶ πολὺ θαυμάζεσθαι μένοντα ἐν τῷ σχήματι καὶ τὸ πρέπον φυλάττοντα καὶ τοῖς ᾄδουσι καὶ αὐλοῦσι συγκινούμενον ὑμέναιον, ἐπεὶ δὲ εἶδεν ἰσχάδα, οἶμαι, ἢ ἀμύγδαλον πόρρω κειμένην, μακρὰ χαίρειν φράσαντα τοῖς αὐλοῖς καὶ ῥυθμοῖς καὶ ὀρχήμασι συναρπάσαντα κατατρώγειν, ἀπορρίψαντα, μᾶλλον δὲ συντρίψαντα τὸ πρόσωπον.

6. Καὶ σὺ τοίνυν, φαῖεν ἂν, οὐχ ὑποκριτὴς, ἀλλὰ ποιητὴς τῶν καλλίστων καὶ νομοθέτης γενόμενος ὑπὸ ταυτησὶ τῆς ἰσχάδος παραφανείσης ἠλέγχθης πίθηκος ὢν καὶ ἀπ' ἄκρου χείλους φιλοσοφῶν καὶ ἕτερα μὲν κεύθων ἐνὶ φρεσὶν, ἄλλα δὲ λέγων, ὡς εἰκότως ἄν τινα ἐπὶ

fabula Corinthia, et ipse contra te Bellerophon scripsisse libellum. Ita enim me Jupiter amet, ut non video, quam causam, quæ quidem speciem habeat, contra accusantes possis dicere: præsertim si cum risu hoc faciant, laudantes scripta, et quæ in illis elucet libertatem, ipsum vero scriptorem servientem videntes et qui sponte collum jugo submiserit.

4. Non absurde itaque dixerint, si dixerint aut alterius cujusdam fortis viri esse librum, teque graculum alienis superbire pennis; aut, si tuus sit, idem te quod Salæthum facere, qui acerbissima apud Crotoniatas lege contra adulteros lata, eam ob causam celebratus, non ita multo post in adulterio cum fratris uxore deprehensus est. Ad amussim igitur te quoque Salæthum illum aliquis dixerit. Quin multo tolerabilior ille, amore qui captus esset, quemadmodum in causa dicenda commemoravit, et ultro in ignem atque animose insilierit, misericordia licet illius jam tangerentur Crotoniatæ, et exilii, si voluisset, copiam facerent. Tuum autem haud pàullo absurdius factum est, qui servilem hujus vitæ humilitatem accurata oratione excusseris, accusaverisque si quis in divitis alicujus domum incidens et concludens se, sexcenta incommoda et pati et facere sustineat; extrema vero senectute et prope jam in limine, ignavam adeo servitutem subieris, et tantum non in ea te, tanquam in pompa quadam constitutus, ostentes. Quanto igitur insignior esse omnibus videris, tanto magis idem videare ridiculus, reclamante quam nunc agis vita libello tuo.

5. Quanquam quid opus est novam contra te accusationem circumspicere, post admirabilem illam tragœdiam, quæ,

Odi (inquit) sophistam qui sibi nihil sapit?

Nec deerunt his, qui accusare volent, etiam alia in te argumenta: sed alii tragicis te actoribus assimilabunt, qui in scena quidem Agamemno unusquisque aut Creon, aut ipse adeo Hercules sunt; extra vero Polus aut Aristodemus personis depositis fiunt mercenarii tragœdi, qui excidunt interdum exsibilanturque, interdum vero etiam, si ita videatur spectatoribus, flagellis quidam illorum cæduntur. Alii idem tibi usu venisse dicent quod simiæ, quam illustri Cleopatræ aiunt fuisse. Illam enim edoctam aliquamdiu quidem saltasse decenter admodum modulateque, ac multæ fuisse admirationi, quæ et habitum suum servaret, et decorum custodiret, et hymenæum voce tibiaque canentibus motus accommodaret, conspecta vero ficu, opinor, aut amygdala procul jacente, longum vale dixisse tibiis et modis et saltationibus, correptosque fructus abjecta vel contrita potius persona, devorasse.

6. Et tu igitur, dixerint, non actor, sed poeta rerum pulcherrimarum et legislator qui fueris, ab hac ostensa ficu simius esse et a primoribus labris philosophari convictus es, atque mente aliud celare, aliud promere verbis; ut jure aliquis de te dicat, quæ dicis et propter quæ lau-

σοῦ εἰπεῖν ὅτι ἃ λέγεις καὶ ἐφ' οἷς ἐπαινεῖσθαι ἀξιοῖς, χείλεα μέν σου ἐδίηνεν, ὑπερῴην δ' αὐχμῶσαν καταλέλοιπε. Τοιγαροῦν παρὰ πόδας εὐθὺς ἔτισας δίκην, προπετῶς μὲν θρασυνάμενος πρὸς τὰς ἀνθρώπων χρείας, μετὰ μικρὸν δὲ μονονουχὶ ὑπὸ κήρυξιν ἐξομοσάμενος τὴν ἐλευθερίαν. Καὶ ἐῴκει ἡ Ἀδράστεια τότε κατόπιν ἐφεστῶσά σοι εὐδοκιμοῦντι ἐφ' οἷς κατηγόρεις τῶν ἄλλων, καταγελᾶν ὡς ἂν θεὸς εἰδυῖα τὴν μέλλουσάν σου ἐς τὰ ὅμοια μεταβολὴν καὶ ὅτι οὐκ εἰς τὸν κόλπον πτύσας πρότερον ἠξίους κατηγορεῖν τῶν διὰ ποικίλας τινὰς τύχας τοιαῦτα πράττειν ὑπομενόντων.

7. Εἰ γοῦν ὑποθεῖτό τις τῷ λόγῳ τὸν Αἰσχίνην μετὰ τὴν κατὰ τοῦ Τιμάρχου κατηγορίαν αὐτὸν ἁλῶναι καὶ φωραθῆναι τὰ ὅμοια πάσχοντα, πόσον ἂν οἴει παρὰ τῶν ὁρώντων γενέσθαι τὸν γέλωτα, εἰ Τίμαρχον μὲν ἡθύνειν ἐπὶ τοῖς καθ' ὥραν ἡμαρτημένοις, αὐτὸς δὲ γέρων ἤδη τοιαῦτα εἰς ἑαυτὸν παρενόμει; Τὸ δ' ὅλον ἐκείνῳ τῷ φαρμακοπώλῃ ἔοικας, ὃς ἀποκηρύττων βηχὸς φάρμακον καὶ αὐτίκα παύσειν τοὺς πάσχοντας ὑπισχνούμενος αὐτὸς μεταξὺ σπώμενος ὑπὸ βηχὸς ἐφαίνετο.

8. Ταῦτα μὲν καὶ τὰ τοιαῦτα πολλὰ ἕτερα εἴποι τις ἂν οἷος σὺ κατηγορῶν ἐν οὕτως ἀμφιλαφεῖ τῇ ὑποθέσει καὶ μυρίας τὰς ἀφορμὰς παρεχομένῃ· ἐγὼ δὲ ἤδη σκοπῶ ἥντινα καὶ τράπωμαι πρὸς τὴν ἀπολογίαν. Ἆρά μοι κράτιστον, ἑθελοκακήσαντα καὶ τὰ νῦν ἐπιστρέψαντα καὶ ἀδικεῖν οὐκ ἀρνούμενον ἐπὶ τὴν κοινὴν ἐκείνην ἀπολογίαν καταφυγεῖν — λέγω δὲ τὴν Τύχην καὶ Μοῖραν καὶ Εἱμαρμένην — καὶ παραιτεῖσθαι συγγνώμην ἔχειν μοι τοὺς ἐπιτιμῶντας εἰδότας ὡς οὐδενὸς ἡμεῖς κύριοι, ἀλλ' ὑπό τινος κρείττονος, μᾶλλον δὲ μιᾶς τῶν προειρημένων ἀγόμεθα οὐχ ἑκόντες, ἀλλ' ἀναίτιοι παντάπασιν ὄντες ἃ ἂν λέγωμεν ἢ ποιῶμεν; ἢ τοῦτο μὲν κομιδῇ ἰδιωτικὸν, καὶ οὐδ' ἂν σύ με, ὦ φιλότης, ἀνάσχοιο τοιαύτην ἀπολογίαν προϊσχόμενον καὶ συνήγορον τὸν Ὅμηρον παραλαμβάνοντα καὶ τὰ ἐκείνου ἔπη ῥαψῳδοῦντα,

Μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,

καὶ τὸ

Γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ.

9. Εἰ δὲ τοῦτον ἀφεὶς τὸν λόγον ὡς οὐ πάνυ ἀξιόπιστον ἐκεῖνο λέγοιμι, μήτε ὑπὸ χρημάτων μήτε ὑπ' ἄλλης τινὸς ἐλπίδος τοιαύτης δελεασθεὶς ὑποστῆναι τὴν παροῦσαν συνουσίαν, ἀλλὰ τὴν σύνεσιν καὶ ἀνδρείαν καὶ μεγαλόνοιαν τοῦ ἀνδρὸς θαυμάσας ἐθελῆσαι κοινωνῆσαι πράξεων τῷ τοιούτῳ, δέδοικα μὴ πρὸς τῇ ἐπιφερομένῃ κατηγορίᾳ κολακείας αἰτίαν προσλαβὼν κἄτα εὑρίσκωμαι ἥλῳ, φασὶν, ἐκκρούων τὸν ἦλον, καὶ μείζονί γε τὸν σμικρότερον, ὅσῳ κολακεία τῶν ἄλλων ἁπάντων κακῶν τὸ δουλοπρεπέστατον εἶναι καὶ ταύτῃ χείριστον νενόμισται.

10. Τί οὖν ἄλλο, εἰ μήτε ταῦτα μήτε ἐκεῖνα λέγειν δοκεῖ, ὑπόλοιπόν ἐστιν ἢ ὁμολογεῖν μηδὲ ἓν ὑγιὲς εἰπεῖν

dem affectas, ea labra rigasse quidem, siccum liquisse palatum. Itaque e vestigio statim pœnas dedisti, qui temere audaciam sumseris contra hominum necessitates, paullo post autem tantum non sub præcone libertatem ejuraveris. Ac videtur laudibus tibi hominum ab accusatione aliorum florenti a tergo tum astans Adrastea te derisisse, quæ utpote dea futuram tuam ad idem vitæ genus mutationem videret, atque illud etiam, quod non despuens ante in tuum sinum, accusares eos qui per quandam fortunæ varietatem facere talia sustinerent.

7. Si quis igitur hoc declamationi argumentum ponat Æschinem post Timarchi accusationem ipsum deprehendi patientem similia : quantum a spectantibus risum putas oriturum, si Timarchum quidem in judicium vocet ob ea quæ in flore ætatis peccaverit, ipse vero jam senex eadem in se designet? In summa, pharmacopolæ illi similis es, qui tussis remedium prædicans, et statim liberaturum se illa laborantes pollicitus, ipse interim convelli a tussi cerneretur.

8. Hæc igitur et in hoc genere multa alia dicat aliquis tui similis accusator in argumento ita copioso et mille dicendi opportunitates præbente. Ego vero jam dispicio qua via ad causam dicendam aggrediar. Numquid optimum fuerit sponte me succumbere et tergum præbere, nec negare peccatum, sed ad communem illam deprecationem confugere; Fortunam dico, et Parcam, et Fatum; ac rogare veniam hos qui me reprehendant, quum sciant, nullius rei penes nos arbitrium esse, sed a præstantiore natura, aut potius ab una earum quas prædiximus, agi non sponte nostra, sed extra causam undiquaque constitutos, quicquid dicamus faciamusve? An plane hoc plebeium, ut neque tu me, amice, feras, talem defensionem si prætendam, et Homerum advocatum asciscam, versusque illius recitem,

Fatum equidem nullum dico effugisse virorum;

et illud,

Nascenti nevit, genitrix quum funderet alvo.

9. Sin relicta hac oratione tanquam non valde probabili, illud dicam, me neque a pecuniæ neque ab alia id genus cupiditate illectum, subiisse præsentem convictum, sed prudentiæ, fortitudinis et magnanimitatis in hoc viro admiratione voluisse in communionem venire talis illius actuum : metuo ne ad intentatam accusationem adulationis insuper crimen subeam, deprehendarque clavo, quod aiunt, clavum ejicere, majori quidem minorem, in quantum adulatio malorum omnium reliquorum maxime servile esse, et hoc ipso nomine pessimum, perhibetur.

10. Quid igitur, si neque hæc neque illa dicenda videntur, aliud relinquitur, quam ut confitear nihil quicquam

ἔχειν; Μία μοι ἴσως ἐκείνη ἄγκυρα ἔτι ἄβροχος, ὀδύρεσθαι τὸ γῆρας καὶ τὴν νόσον καὶ μετὰ τούτων τὴν πενίαν πάντα ποιεῖν καὶ πάσχειν ἀναπείθουσαν, ὡς ἐκφύγοι τις αὐτήν· καὶ ἐν τῷ τοιούτῳ οὐκ ἄκαιρον ἴσως καὶ τὴν τοῦ Εὐριπίδου Μήδειαν παρακαλέσαι παρελθοῦσαν εἰπεῖν ὑπὲρ ἐμοῦ ἐκεῖνα τὰ ἰαμβεῖα μικρὸν αὐτὰ παρῳδήσασαν·

> Καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά,
> πενία δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων.

Τὸ μὲν γὰρ τοῦ Θεόγνιδος κἂν ἐγὼ μὴ λέγω, τίς οὐκ οἶδεν, οὐκ ἀπαξιοῦντος, καὶ ἐς βαθυκήτεα πόντον σφᾶς αὐτοὺς ῥιπτεῖν καὶ κατὰ κρημνῶν γε ἠλιβάτων, εἰ μέλλοι τις οὕτως ἀποδράσεσθαι τὴν πενίαν;

11. Ταῦτα μὲν εἶναι δοκεῖ, ἃ τις ἂν ὡς ἐν τοιούτῳ ἀπολογήσασθαι ἔχοι, οὐ πάνυ εὐπρόσωπον ἕκαστον αὐτῶν. Σὺ δέ μοι θάρρει, ὦ ἑταῖρε, ὡς οὐδενὶ τούτων ἐμοῦ χρησομένου· μὴ γὰρ τοσοῦτός ποτε λιμὸς καταλάβοι τὸ Ἄργος, ὡς τὴν Κυλλάραβιν σπείρειν ἐπιχειρεῖν· οὐδ' ἡμεῖς οὕτω πένητες εὐλόγου ἀπολογίας ὡς ὑπ' ἀπορίας τὰ τοιαῦτα κρησφύγετα πρὸς τὴν κατηγορίαν ζητεῖν. Ἀλλά μοι ἐκεῖνο ἐννόησον, ὡς πάμπολυ διαφέρει, ἐς οἰκίαν τινὸς πλουσίου ὑπόμισθον παρελθόντα δουλεύειν καὶ ἀνέχεσθαι ὅσα μοί φησι τὸ βιβλίον, ἢ δημοσίᾳ πράττοντά τι τῶν κοινῶν καὶ ἐς δύναμιν πολιτευόμενον ἐπὶ τούτῳ παρὰ βασιλέως μισθοφορεῖν. Διελθὼν δὴ καὶ ἰδίᾳ καταθεὶς ἑκάτερον σκόπει· εὑρήσεις γὰρ τὸ τῶν μουσικῶν δή τοῦτο, δὶς διὰ πασῶν τὸ πρᾶγμα, καὶ τοσοῦτον ἐοικότας ἀλλήλοις τοὺς βίους, ὅσον μόλυβδος ἀργύρῳ καὶ χαλκὸς χρυσῷ καὶ ἀνεμώνη ῥόδῳ καὶ ἀνθρώπῳ πίθηκος· μισθὸς μὲν γὰρ δὴ κἀκεῖ κἀνταῦθα καὶ τὸ ὑπ' ἄλλῳ τάττεσθαι, τὸ δὲ πρᾶγμα παμπόλλην ἔχει τὴν διαφωνίαν. Ἐκεῖ μὲν γὰρ δουλεία σαφὴς καὶ οὐ πολὺ τῶν ἀργυρωνήτων καὶ οἰκοτρίβων διαφέρουσιν οἱ ἐπὶ τῷ τοιούτῳ εἰσιόντες, οἱ δὲ τὰ κοινὰ διὰ χειρὸς ἔχοντες καὶ πόλεσι καὶ ἔθνεσιν ὅλοις σφᾶς αὐτοὺς χρησίμους παρέχοντες οὐκ ἂν εἰκότως ἐκ μόνου τοῦ μισθοῦ διαβάλλοιντο καὶ ἐς ὁμοιότητα καὶ κοινωνίαν τῆς κατηγορίας καθέλκοιντο· ἐπεὶ οὐκ ἂν φθάνοι τις ἁπάσας ἀναιρῶν τὰς τοιαύτας προστασίας, καὶ οὔτε οἱ τοσαῦτα ἔθνη ἐπιτροπεύοντες οὔθ' οἱ τὰς πόλεις ἁρμόττοντες οὔθ' οἱ τὰς φάλαγγας ἢ στρατόπεδα ὅλα ἐγχειριζόμενοι ὀρθῶς ποιήσουσιν, ἐπεὶ καὶ μισθὸς αὐτῶν τῷ ἔργῳ πρόσεστιν. Ἀλλ' οὐκ ἀφ' ἑνός, οἶμαι, χρὴ ἀνατρέπειν τὰ πάντα οὐδ' ἰσοτιμίαν τῶν μισθοφορούντων καθιστάναι.

12. Τὸ δὲ ὅλον οὐ τοὺς μισθαρνοῦντας ἅπαντας ἐγὼ φαύλῳ βίῳ συνεῖναι ἔφασκον, ἀλλὰ τοὺς ἐν ταῖς οἰκίαις ἐπὶ προφάσει παιδεύσεως δουλεύοντας ᾠκτειρον. Τοῦτο δέ, ὦ ἑταῖρε, τὸ ἡμέτερον πρᾶγμα παντάπασιν ἑτεροῖόν ἐστιν, εἴ γε τὰ μὲν οἴκοι ἰσότιμα ἡμῖν, δημοσίᾳ δὲ τῆς μεγίστης ἀρχῆς κοινωνοῦμεν καὶ τὸ μέρος συνδιαπράττομεν. Ἔγωγ' οὖν, εἰ σκέψαιο, δοξαιμ' ἂν σοι οὐ τὸ σμικρότατον τῆς Αἰγυπτίας ταύτης ἀρχῆς ἐγχειρίσαι me quod dicam habere? Illa forte una mihi ancora adhuc in sicco est, deplorare senectutem, et morbum, et cum his paupertatem, facere omnia ac pati persuadentem, ut quis illam effugiat : ubi forte nec intempestivum fuerit Euripidis Medeam advocare, quæ in medium progressa dicat pro me iambos illos paulum quiddam inflexos,

> Nec me, scelesta quantum moliar, fugit;
> sed major urget meis consiliis inopia.

Illa enim Theognidis vel me tacente quis ignorat, non indignum putantis vel in mare cetosum abjicere se, vel montis ab aerii præcipitio, si quis hoc modo queat effugere pauperiem?

11. Hæc igitur esse videntur, quæ quis in tali re defendendi criminis causa dicere habeat, quorum nullum unum per se valde speciosum. At bono te, sodalis, animo esse jubeo, utpote nullo horum me usuro : ne enim talis unquam fames Argos deprehendat, ut Cyllarabin conserere conentur. Neque nos ita pauperes defensionis rationabilis, ut præ inopia id genus effugia contra accusationem quæramus. Sed illud mihi cogita, multum omnino hæc inter se differre, utrum in domum divitis cujusdam mercede conductus aliquis ingrediatur, et ibi serviat sustineatque quæcumque mihi dicit liber, an vero publicæ rei partem aliquam tractans et pro virili parte administrans, mercedem eo nomine ab imperatore accipiat. Nimirum percurre, et separatim unumquodque horum positum considera. Invenies sane musicorum illud Disdiapason, hoc est eo quod maximum est intervallo scriptum illud distare a facto meo, ac tantundem sibi similem utramque vitam, quantum argento plumbum, æs auro, et anemone rosæ, et homini simius. Etenim merces quidem et illic et hic est, et quod alieno paretur imperio : at res ipsa plurimum discrepat. Nam ibi quidem servitus manifesta nec multum emtis mancipiis distant qui ea lege accedunt : at qui publicam rem tractant, et urbibus gentibusque integris utiles se præstant, eos iniquum fuerit solius mercedis causa male audire, et in similitudinem communionemque criminis detrahi. Quandoquidem ubi primum aliquis omnes id genus præfecturas sustulerit : neque ipsi qui tantas gentes procurant, neque qui urbium statum ordinant, neque quibus legiones et exercitus integri mandati sunt, recte facient, quum merces ipsorum quoque operi proposita sit. Verum non oportet uno omnia impetu evertere, neque uno loco qui mercedem accipiunt omnes habere.

12. In universum vero non omnes ego qui mercede locarent operas, miseram vitam dixi vivere, sed eos miseratus sum, qui in domibus institutionis obtentu serviunt. Hoc vero nostrum, o sodalis, negotium longe diversum est : quandoquidem privatim eodem quo ante loco sumus, publice autem in maximi communionem imperii venimus, ejusque partem una administramus. Equidem, si considerare velis, videar tibi non minimam Ægyptii hujus imperii partem

σθαι, τὰς δίκας εἰσάγειν καὶ τάξιν αὐταῖς τὴν προσήκουσαν ἐπιτιθέναι καὶ τῶν πραττομένων καὶ λεγομένων ἁπαξαπάντων ὑπομνήματα γράφεσθαι καὶ τάς τε ῥητορείας τῶν δικαιολογούντων ῥυθμίζειν καὶ τὰς τοῦ ἄρχοντος γνώσεις πρὸς τὸ σαφέστατον ἅμα καὶ ἀκριβέστατον σὺν πίστει τῇ μεγίστῃ διαφυλάττειν καὶ παραδιδόναι δημοσίᾳ πρὸς τὸν ἀεὶ χρόνον ἀποκειμενάς, καὶ ὁ μισθὸς οὐκ ἰδιωτικὸς, ἀλλὰ παρὰ τοῦ βασιλέως, οὐ σμικρὸς οὐδὲ οὗτος, ἀλλὰ πολυτάλαντος· καὶ τὰ μετὰ ταῦτα δὲ οὐ φαῦλαι ἐλπίδες, εἰ τὰ εἰκότα γίγνοιτο, ἀλλ' ἔθνος ἐπιτραπῆναι ἢ τινας ἄλλας πράξεις βασιλικάς.

13. Ἐθέλω γοῦν ἐκ περιττοῦ χρησάμενος τῇ παρρησίᾳ καὶ ὁμόσε χωρήσας τῷ ἐπιφερομένῳ ἐγκλήματι καθ' ὑπερβολὴν ἀπολογήσασθαι, καὶ δὴ φημί σοι μηδένα μηδὲν ἁμισθὶ ποιεῖν, οὐδ' ἂν τοὺς τὰ μέγιστα πράττοντας εἴπῃς, ὅπου μηδὲ βασιλεὺς αὐτὸς ἄμισθός ἐστιν. Οὐ φόρους λέγω οὐδὲ δασμοὺς, ὁπόσοι παρὰ τῶν ἀρχομένων ἐπέτειοι φοιτῶσιν, ἀλλ' ἔστι βασιλεῖ μισθὸς μέγιστος ἔπαινοι καὶ ἡ παρὰ πᾶσιν εὐκλεια καὶ τὸ ἐπὶ ταῖς εὐεργεσίαις προσκυνεῖσθαι, καὶ εἰκόνες δὲ καὶ νεὼ καὶ τεμένη, ὁπόσα παρὰ τῶν ἀρχομένων ἔχουσι, μισθοὶ καὶ ταῦτά εἰσιν ὑπὲρ τῶν φροντίδων καὶ προνοίας, ἣν εἰσφέρονται προσκοποῦντες ἀεὶ τὰ κοινὰ καὶ βελτίω ποιοῦντες. Ὡς δὴ μικρὰ μεγάλοις εἰκάζειν, ἢν ἐθέλῃς ἀρξάμενος ἀπὸ τῆς τοῦ σωροῦ κορυφῆς ἐφ' ἕκαστον τούτων, ἀφ' ὧν σύγκειται, καταβαίνειν, ὄψει ὅτι μεγέθει καὶ σμικρότητι διαλλάττομεν τῶν ἀκροτάτων, τὰ δ' ἄλλα μισθοφόροι ὁμοίως ἅπαντες.

14. Εἰ μὲν οὖν τοῦτον ἐτεθείκειν τὸν νόμον, μηδένα μηδὲν πράττειν, ἑνόχος ἂν εἰκότως ἐδόκουν τῇ παρανομίᾳ, εἰ δὲ τοῦτο μὲν οὐδαμοῦ τοῦ βιβλίου λέλεκταί μοι, χρὴ δὲ τὸν ἀγαθὸν ἄνδρα ἐνεργὸν εἶναι, τί ἂν ἄλλο ἐς δέον αὑτῷ χρῷτο, ἢ φίλοις συμπονῶν πρὸς τὰ βέλτιστα κἀν τῷ μέσῳ ὑπαίθριος πεῖραν αὑτοῦ διδοὺς ὅπως ἔχει πίστεως καὶ σπουδῆς καὶ εὐνοίας πρὸς τὰ ἐγκεχειρισμένα, ὡς μὴ, τὸ Ὁμηρικὸν ἐκεῖνο, « ἐτώσιον ἄχθος ἀρούρης » εἴη.

15. Πρὸ δὲ τῶν ὅλων μεμνῆσθαι χρὴ τοὺς ἐπιτιμῶντας ὅτι οὐ σοφῷ ὄντι μοι — εἰ δή τις καὶ ἄλλος ἐστί που σοφός — ἐπιτιμήσουσιν, ἀλλὰ τῷ ἐκ τοῦ πολλοῦ δήμου, λόγους μὲν ἀσκήσαντι καὶ τὰ μέτρια ἐπαινουμένῳ ἐπ' αὐτοῖς, πρὸς δὲ τὴν ἄκραν ἐκείνην τῶν κορυφαίων ἀρετὴν οὐ πάνυ γεγυμνασμένῳ· καὶ μὰ Δί' οὐδ' ἐπὶ τούτῳ ἀνιᾶσθαί μοι ἄξιον, ὅτι μηδὲ ἄλλῳ ἐγὼ γοῦν ἐντετύχηκα τὴν τοῦ σοφοῦ ὑπόσχεσιν ἀποπληροῦντι. Σοῦ μέντοι καὶ θαυμάσαιμ' ἂν ἐπιτιμῶντός μου τῷ νυνὶ βίῳ, εἴ γε ἐπιτιμᾷς, ὃν πρὸ πολλοῦ ᾔδεις ἐπὶ ῥητορικῇ δημοσίᾳ μεγίστας μισθοφορὰς ἐνεγκάμενον, ὁπότε κατὰ θέαν τοῦ ἑσπερίου Ὠκεανοῦ καὶ τὴν Κελτικὴν ἅμα ἐπιὼν ἐνέτυχες ἡμῖν τοῖς μεγαλομίσθοις τῶν σοφιστῶν ἐναριθμουμένοις. Ταῦτά σοι, ὦ ἑταῖρε, καίτοι ἐν μυρίαις ταῖς ἀσχολίαις ὧν ὅμως ἀπελογησάμην, οὐκ ἐν παρέργῳ θέμενος τὴν λευκὴν

mandatam habere, judicia dare et ordinem illis decentem adhibere, et eorum quæ aguntur dicunturque omnium commentarios scribendos curare, et litigantium orationes moderari, et decreta principis, quam disertissime potest et accuratissime, cum fide maxima conservare, et publice tradere ad futuri temporis perpetuitatem reponenda. Porro merces non a privato, sed ab imperatore; nec parva illa, sed multorum talentorum : et post hæc non spes quædam exiguæ, si fiant, quæ consentaneum est fieri, sed futurum ut gens integra nobis committatur, aut actiones aliæ principales.

13. Volo equidem ex abundanti, utens fiducia, et comminus congressus intentato crimini, ultra etiam quam oporte' causam dicere : et illud nempe dico tibi, neminem quicquam sine mercede facere, ne si eos quidem nomines, qui res maximas gerunt; quum neque ipse imperator mercedis expers sit. Non vectigalia dico neque tributa, quæ a civibus quotannis veniunt : sed est imperatori merces maxima laudes et gloria apud omnes, et quod beneficiorum causa adoratur; statuæ porro, et ædes, ac templa, quæ habent a civibus, merces et ista sunt pro curis et providentia, quam adhibent procuranda semper publica re et in melius augenda. Nempe ut parva assimilemus magnis, si volueris a vertice quasi acervi ad unumquodque eorum, quibus constat, descendere, videbis magnitudine nos et parvitate differre ab his qui summi sunt; ceterum mercenarios æque esse universos.

14. Si igitur eam ego legem scripsissem, neminem quicquam oportere agere, tenerer merito violatæ legis meæ : sin vero hoc quidem nusquam in libello dictum a me est, ac porro bonum virum efficacem esse oportet, quodnam aliud ad officium applicet se, quam ut elaboret cum amicis in iis quæ optima sunt, et in medio atque sub divo quasi constitutus experimentum sui præbeat, qualis sit fide, diligentia, amore eorum quæ commissa ipsi sunt, ne sit, ut Homeri verbo utar, « telluris inutile pondus. »

15. Ante omnia vero et hoc meminisse oportet qui reprehendere nos voluerint, ipsos non tanquam sapientem me (modo usquam sit aliquis sapiens) reprehensuros, sed unum de multis, qui dicendi facultatem exercuerit ille quidem, mediocrem ex ea re laudem consecutus; ad summam autem illam eorum, qui capita ac duces sunt, virtutem non sit exercitatus. Neque hercules eo nomine dolere mihi fas est, quandoquidem nec in alium ego quenquam incidi, qui sapientis professionem impleret. Ac mirer etiam te si reprehendas vitam præsentem nostram, si quidem reprehendas, ejus hominis, quem olim noveras rhetorices nomine maximas publice mercedes capere, quum occidentalis Oceani videndi causa, et Celticam eadem peragrans, in nos incideres, qui in illis sophistarum numeraremur, qui magnas mercedes mererentur. Hæc apud te, sodalis, maximas licet inter occupationes, tamen defendendi criminis caussa scripsi, non obiter id agendum ratus, ut album

παρα σοῦ καὶ πλήρη μοι ἐνεχθῆναι· ἐπεὶ πρός γε τοὺς ἄλλους, κἂν συνάμα πάντες κατηγορῶσιν, ἱκανὸν ἂν εἴη μοι τὸ, οὐ φροντὶς Ἱπποκλείδῃ.

ΧΙΧ.

ΥΠΕΡ ΤΟΥ ΕΝ ΤΗ ΠΡΟΣΑΓΟΡΕΥΣΕΙ ΠΤΑΙΣΜΑΤΟΣ.

1. Χαλεπὸν μὲν ἄνθρωπον ὄντα δαίμονός τινος ἐπήρειαν διαφυγεῖν, πολὺ δὲ χαλεπώτερον ἀπολογίαν εὑρεῖν παραλόγου καὶ δαιμονίου πταίσματος, ἅπερ ἀμφότερα νῦν ἐμοὶ συμβέβηκεν, ὃς ἀφικόμενος παρὰ σὲ, ὡς προσείποιμι τὸ ἑωθινὸν, δέον τὴν συνήθη ταύτην φωνὴν ἀφεῖναι καὶ χαίρειν κελεύειν, ἐγὼ δ' ὁ χρυσοῦς ἐπιλαθόμενος ὑγιαίνειν σε ἠξίουν, εὔφημον μὲν καὶ τοῦτο, οὐκ ἐν καιρῷ δὲ ὡς οὐ κατὰ τὴν ἕω. Ἐγὼ μὲν οὖν ἐπὶ τούτῳ εὐθὺς ἰδιόν τε καὶ ἠρυθρίων καὶ παντοῖος ἦν ὑπὸ ἀπορίας, οἱ παρόντες δὲ οἱ μὲν παραπαίειν, ὡς εἰκὸς, οἱ δὲ ληρεῖν ὑφ' ἡλικίας, οἱ δὲ χθεσινῆς κραιπάλης ἀνάμεστον ἔτι ᾤοντό με εἶναι, εἰ καὶ ὅτι μάλιστα σὺ ἐπιεικῶς ἤνεγκας τὸ γεγονὸς οὐδ' ὅσον ἄκρῳ τῷ μειδιάματι ἐπισημηνάμενος τῆς γλώττης τὴν διαμαρτίαν. Ἔδοξεν οὖν μοι καλῶς ἔχειν παραμυθίαν τινὰ ἐμαυτῷ συγγράψαι, ὡς μὴ πάνυ ἀνιώμην ἐπὶ τῷ πταίσματι μηδ' ἀφόρητον ἡγοίμην, εἰ πρεσβύτης ἀνὴρ τοσοῦτον ἀπεσφάλην τοῦ καλῶς ἔχοντος ἐπὶ τοσούτων μαρτύρων· ἀπολογίας μὲν γὰρ οὐδὲν ἔδει, οἶμαι, ὑπὲρ γλώττης εἰς οὕτως εὔφημον εὐχὴν ὀλισθούσης.

2. Ἀρχόμενος μὲν οὖν τῆς γραφῆς πάνυ ἀπόρῳ ἐντεύξεσθαι ᾤμην τῷ προβλήματι, προ όντι δὲ πολλὰ προὐφάνη τὰ λεκτέα. Οὐ μὴν πρότερον ἐρῶ αὐτὰ, ἢν μὴ περὶ τοῦ χαίρειν αὐτοῦ καὶ τοῦ εὖ πράττειν καὶ τοῦ ὑγιαίνειν προείπω τὰ εἰκότα. Τὸ μὲν δὴ χαίρειν ἀρχαία μὲν ἡ προσαγόρευσις, οὐ μὴν ἑωθινὴ μόνον οὐδὲ ὑπὸ τὴν πρώτην ἔντευξιν, ἀλλὰ καὶ πρῶτον μὲν ἰδόντες ἀλλήλους ἔλεγον αὐτὸ, ὡς τὸ,

Χαῖρ', ὦ δυνάστα τῆσδε γῆς Τιρυνθίας·

καὶ μετὰ τὸ δεῖπνον ἐς λόγους ἤδη παροινίους τρεπόμενοι, ὡς τὸ,

Χαῖρ', Ἀχιλεῦ, δαιτὸς μὲν ἔτσης οὐκ ἐπιδευεῖς,

Ὀδυσσεὺς ὁπότε τὴν ἐπεσταλμένην πρεσβείαν αὐτῷ ἐρρητόρευε· καὶ ἤδη ἀπιόντες παρ' ἀλλήλων, ὡς τὸ,

Χαίρετ', ἐγὼ δ' ὔμμιν θεὸς ἄμβροτος, οὐκέτι θνητός.

Ἴδιος δὲ καιρὸς οὐδεὶς ἀπενενέμητο τῇ προσρήσει, οὐδὲ ὡς νῦν μόνος ὁ ἑωθινὸς, ὅπου γε καὶ ἐπὶ τῶν ἀπαισίων καὶ ἀπευκτοτάτων ὅμως ἐχρῶντο αὐτῇ, ὡς ὁ τοῦ Εὐριπίδου Πολυνείκης ἤδη τελευτῶν τὸν βίον,

Καὶ χαίρετ', ἤδη γάρ με περιβάλλει σκότος.

Καὶ οὐ μόνον φιλοφροσύνης αὐτοῖς ἦν τοῦτο σύμβολον, ἀλλὰ καὶ ἀπεχθείας καὶ τοῦ μηκέτι χρήσεσθαι ἀλλήλοις. Ἐπεὶ καὶ τὸν Ἀλέξανδρον ἐν τῇ πρὸς Ἀθηναίους ἐπιστολῇ φασὶ τὸν Φίλιππον ἐπιγράψαι, Φίλιππος Ἀθηναίοις χαίρειν, ὡς ἐχθρὸς ἐχθροῖς. Ἐπὶ δὲ τῶν φίλων ἐν τῷ ἀντιγράφειν ἐπιστολὴν ἐπιστέλλειν τὸ ὑγιαίνειν, ὡς ἐν τῇ πρὸς Ἀντίπατρον Ἀλεξάνδρου, Ἀλέξανδρος Ἀντιπάτρῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Ἀντίγονον Ἀντιόχου, Ἀντίοχος Ἀντιγόνῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Ἀντίοχον Ἀντιγόνου, Ἀντίγονος Ἀντιόχῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Ἀντίγονον Φιλίππου, Φίλιππος Ἀντιγόνῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Φίλιππον Ἀντιγόνου, Ἀντίγονος Φιλίππῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Ἀντίγονον Δημητρίου, Δημήτριος Ἀντιγόνῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Δημήτριον Ἀντιγόνου, Ἀντίγονος Δημητρίῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Ἀντίγονον Ἀντιπάτρου, Ἀντίπατρος Ἀντιγόνῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Ἀντίπατρον Κασσάνδρου, Κάσσανδρος Ἀντιπάτρῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Κάσσανδρον Ἀντιπάτρου, Ἀντίπατρος Κασσάνδρῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Ἀντίπατρον Ἀντιόχου, Ἀντίοχος Ἀντιπάτρῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Ἀντίοχον Ἀντιπάτρου, Ἀντίπατρος Ἀντιόχῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Ἀντίπατρον Φιλίππου, Φίλιππος Ἀντιπάτρῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Φίλιππον Ἀντιπάτρου, Ἀντίπατρος Φιλίππῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Ἀντίπατρον Δημητρίου, Δημήτριος Ἀντιπάτρῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Δημήτριον Ἀντιπάτρου, Ἀντίπατρος Δημητρίῳ ὑγιαίνειν. Καὶ ἐν τῇ πρὸς Ἀντίπατρον Ἀντιγόνου, Ἀντίγονος Ἀντιπάτρ

λοις· τὸ γοῦν μακρὰ χαίρειν φράσαι τὸ μηκέτι φροντιεῖν δηλοῖ.

3. Πρῶτος δ' αὐτὸ Φιλιππίδης ὁ ἡμεροδρομήσας λέγεται ἀπὸ Μαραθῶνος ἀγγέλλων τὴν νίκην εἰπεῖν πρὸς τοὺς ἄρχοντας καθημένους καὶ περφροντικότας ὑπὲρ τοῦ τέλους τῆς μάχης, Χαίρετε, νικῶμεν, καὶ τοῦτο εἰπὼν συναποθανεῖν τῇ ἀγγελίᾳ καὶ τῷ χαίρειν συνεκπνεῦσαι. Ἐν ἐπιστολῇς δὲ ἀρχῇ Κλέων ὁ Ἀθηναῖος δημαγωγὸς ἀπὸ Σφακτηρίας πρῶτον χαίρειν προύθηκεν εὐαγγελιζόμενος τὴν νίκην τὴν ἐκεῖθεν καὶ τὴν τῶν Σπαρτιατῶν ἅλωσιν· καὶ ὅλως γε μετ' ἐκεῖνον ὁ Νικίας ἀπὸ Σικελίας ἐπιστέλλων ἐν τῷ ἀρχαίῳ τῶν ἐπιστολῶν διέμεινεν ἀπ' αὐτῶν ἀρξάμενος τῶν πραγμάτων.

4. Ἀλλ' ὁ θαυμαστὸς Πλάτων, ἀνὴρ ἀξιόπιστος νομοθέτης τῶν τοιούτων, τὸ μὲν χαίρειν κελεύει καὶ πάνυ ἀποδοκιμάζειν ὡς μοχθηρὸν ὂν καὶ οὐδὲν σπουδαῖον ἐμφαῖνον, τὸ δ' εὖ πράττειν ἀντ' αὐτοῦ εἰσάγει ὡς κοινὸν σώματός τε καὶ ψυχῆς εὖ διακειμένων σύμβολον, καὶ ἐπιστέλλων γε τῷ Διονυσίῳ αἰτιᾶται αὐτὸν, ὅτι ποιῶν ἐς τὸν Ἀπόλλω χαίρειν τὸν θεὸν προσεῖπεν ὡς ἀνάξιον τοῦ Πυθίου καὶ οὐχ ὅπως θεοῖς, ἀλλ' οὐδ' ἀνθρώποις δεξιοῖς πρέπον.

5. Ὁ μέν γε θεσπέσιος Πυθαγόρας, εἰ καὶ μηδὲν αὐτὸς ἴδιον ἡμῖν καταλιπεῖν τῶν αὐτοῦ ἠξίωσεν, ὅσον Ὀκέλλῳ τῷ Λευκανῷ καὶ Ἀρχύτᾳ καὶ τοῖς ἄλλοις ὁμιλητaῖς αὐτοῦ τεκμαίρεσθαι, οὔτε τὸ χαίρειν οὔτε τὸ εὖ πράττειν προὔγραφεν, ἀλλ' ἀπὸ τοῦ ὑγιαίνειν ἄρχεσθαι ἐκέλευεν· ἅπαντες γοῦν οἱ ἀπ' αὐτοῦ ἀλλήλοις ἐπιστέλλοντες ὁπότε σπουδαῖόν τι γράφοιεν, ὑγιαίνειν εὐθὺς ἐν ἀρχῇ παρεκελεύοντο ὡς καὶ αὐτὸ ψυχῇ τε καὶ σώματι ἁρμοδιώτατον καὶ συνόλως ἅπαντα περιειληφὸς τἀνθρώπου ἀγαθά, καὶ τό γε τριπλοῦν αὐτοῖς τρίγωνον, τὸ δι' ἀλλήλων, τὸ πεντάγραμμον, ᾧ συμβόλῳ πρὸς τοὺς ὁμοδόξους ἐχρῶντο, ὑγίεια πρὸς αὐτῶν ὠνομάζετο, καὶ ὅλως ἡγοῦντο τῷ μὲν ὑγιαίνειν τὸ εὖ πράττειν καὶ τὸ χαίρειν εἶναι, οὔτε δὲ τῷ εὖ πράττειν οὔτε τῷ χαίρειν πάντως καὶ τὸ ὑγιαίνειν. Εἰσὶ δὲ οἳ καὶ τὴν τετρακτὺν, τὸν μέγιστον ὅρκον αὐτῶν, ἢ τὸν ἐντελῆ αὐτοῖς ἀριθμὸν ἀποτελεῖ, ἤδη καὶ ὑγιείας ἀρχὴν ἐκάλεσαν, ὧν καὶ Φιλόλαός ἐστι.

6. Καὶ τί σοι τοὺς παλαιοὺς λέγω, ὅπου καὶ Ἐπίκουρος ἀνὴρ πάνυ χαίρων τῷ χαίρειν καὶ τὴν ἡδονὴν πρὸ ἁπάντων αἱρούμενος ἐν ταῖς σπουδαιοτέραις ἐπιστολαῖς — εἰσὶ δ' αὗται ὀλίγαι — καὶ ἐν ταῖς πρὸς τοὺς φιλτάτους μάλιστα ὑγιαίνειν εὐθὺς ἐν ἀρχῇ προστάττει; Πολὺ δ' ἂν καὶ ἐν τῇ τραγῳδίᾳ καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ εὕροις τὸ ὑγιαίνειν πρῶτον εὐθὺς λεγόμενον· τὸ μὲν γὰρ

Οὖλέ τε καὶ μάλα χαῖρε

σαφῶς προτεταγμένον τοῦ χαίρειν τὸ ὑγιαίνειν ἔχει· ὁ δ' Ἀλεξις,

Ὦ δέσποθ', ὑγίαιν', ὡς χρόνιος ἐλήλυθας·

ὁ δ' Ἀχαιὸς,

qui enim longum gaudere jubet aliquid, ille non curaturum se in posterum significat.

3. Primus vero illud verbum Philippides cursor dicitur usurpasse, quum a Marathone victoriam nunciaret, et dixisse ad Archontes sedentes ac de pugnæ exitu sollicitos, Gaudete, vincimus; eoque dicto suo nuntio immortuus esse, et in ipso gaudendi verbo exspirasse. In epistolæ autem principio Cleon, Atheniensis populi ductor, primum illud Gaudere præposuit, epistolæ ejus quam Sphacteria dederat, victoriæ ibi reportatæ et captorum Spartanorum nuntiam: in universum tamen etiam Nicias a Sicilia scribens in antiquo epistolarum more perseveravit, initium ab ipsis rebus capiens.

4. Sed admirabilis noster Plato, fide dignus legislator talium, illud Gaudere quidem gaudere (*i. e. valere*) jubet, et plane rejici, velut malum et nihil honesti significans: sed Salvere (*ad verbum* Bene agere) pro eo inducit, ut communem corporis pariter et animi bene constituti tesseram. Atque scribens ad Dionysium accusat illum, quod in Hymno Apollinis Gaudere deum jubeat, tanquam indignum Pythio, et non tantum diis, sed ne hominibus quidem non ineptis decorum.

5. Divinus sane Pythagoras, etsi nihil ipse nobis proprium relinquere suorum scriptorum dignatus est, quantum tamen ex Ocello Lucano et Archyta et reliquis ipsius familiaribus colligere licet, neque ipsum illud Gaudere neque Salvere præscripsit, sed a verbo Valere jussit incipere. Omnes enim ab illo docti in epistolis quoties serium quiddam scriberent, Valere (*ad verbum* Sanum esse) in ipso statim principio jubebant, tanquam et ipsum animo pariter et corpori convenientissimum, et bona hominis complexum in universum omnia: et triplex illud triangulum sibi implexum, quinque descriptum et inclusum lineis, qua tessera ad sententiæ suæ homines uterentur, sanitas ab ipsis vocabatur. Et omnino putabant, in verbo Valere inesse etiam ipsum Salvere et Gaudere; sed neque Salvere, neque Gaudere, continuo esse etiam Valere. Sunt vero etiam qui quaternionem, maximum illorum jusjurandum, qui perfectum secundum ipsos numerum efficit, jam sanitatis initium vocarent, in quibus et Philolaus est.

6. Et quid tibi antiquos narro, quum et Epicurus, vir valde gaudens Gaudere, et voluptatem rebus præoptans omnibus, tum in seriis magis epistolis (sunt autem hæ paucæ), tum in his quas dedit ad omnium carissimos, Valere statim in principio jubeat? Multum etiam in tragœdia et in comœdia vetere invenias Valere primo statim congressu dictum. Etenim illud,

Valeque et multum gaude,

perspicue præpositum habet gaudendi voto illud valitudinis. Alexis autem,

Here mi, vale quam quæso serus advenis!

et Achæus,

Ἥκω πεπραγὼς δεινά, σὺ δ' ὑγίαινέ μοι·

καὶ ὁ Φιλήμων,

Αἰτῶ δ' ὑγίειαν πρῶτον, εἶτ' εὐπραξίαν,
τρίτον δὲ χαίρειν, εἶτ' ὀφείλειν μηδενί.

Ὁ μὲν γὰρ τὸ σκόλιον γράψας, οὗ καὶ Πλάτων μέμνηται, τί καὶ οὗτός φησιν; Ὑγιαίνειν μὲν ἄριστον, τὸ δεύτερον καλὸν γενέσθαι, τρίτον δὲ πλουτεῖν, τοῦ χαίρειν δὲ τὸ παράπαν οὐκ ἐμνήσθη, ἵνα σοι μὴ τὸ γνωριμώτατον ἐκεῖνο καὶ πᾶσι διὰ στόματος λέγω,

Ὑγίεια, πρεσβίστα μακάρων, μετὰ σεῦ ναίοιμι τὸ λειπόμενον βιοτᾶς·

ὥστε εἰ πρεσβίστη ἐστὶν ὑγίεια, καὶ τὸ ἔργον αὐτῆς τὸ ὑγιαίνειν προτακτέον τῶν ἄλλων ἀγαθῶν.

7. Μυρία δὲ καὶ ἄλλα ἔκ τε ποιητῶν καὶ συγγραφέων καὶ φιλοσόφων καταδεῖξαί σοι ἔχων, προτιμώντων τὸ ὑγιαίνειν, τοῦτο μὲν παραιτήσομαι, ὡς μὴ εἰς ἀπειροκαλίαν τινὰ μειρακιώδη ἐκπέσῃ μοι τὸ σύγγραμμα καὶ κινδυνεύωμεν ἄλλῳ ἄλῳ ἐκκρούειν τὸν ἦλον, ὀλίγα δέ σοι τῆς ἀρχαίας ἱστορίας ὁπόσα μέμνημαι οἰκεῖα τῷ παρόντι προσγράψαι καλῶς ἔχειν ὑπέλαβον.

8. Ὅτε Ἀλέξανδρος τὴν ἐν Ἰσσῷ μάχην ἀγωνιεῖσθαι ἔμελλεν, ὡς Εὐμένης ὁ Καρδιανὸς ἐν τῇ πρὸς Ἀντίπατρον ἐπιστολῇ λέγει, ἕωθεν εἰσελθὼν εἰς τὴν σκηνὴν αὐτοῦ ὁ Ἡφαιστίων, εἴτ' ἐπιλαθόμενος εἴτ' ἐκταραχθεὶς ὥσπερ ἐγὼ, εἴτε καὶ θεοῦ τινος τοῦτο καταναγκάσαντος, ταὐτὸν ἐμοὶ ἔφη, Ὑγίαινε, βασιλεῦ, καιρὸς ἤδη παρατάττεσθαι. Ταραχθέντων δὲ τῶν παρόντων πρὸς τὸ παράδοξον τῆς προσαγορεύσεως καὶ τοῦ Ἡφαιστίωνος ὀλίγου δεῖν ὑπ' αἰδοῦς ἐκθανόντος, Ἀλέξανδρος, Δέχομαι, εἶπε, τὴν κληδόνα· τὸ γὰρ σώους ἐπανήξειν ἀπὸ τῆς μάχης ἤδη μοι ὑπέσχηται.

9. Ἀντίοχος δὲ ὁ σωτὴρ ὅτε τοῖς Γαλάταις συνάπτειν ἔμελλεν, ἔδοξεν ὄναρ ἐπιστάντα οἱ τὸν Ἀλέξανδρον κελεύειν σύνθημα πρὸ τῆς μάχης παραδοῦναι τῇ στρατιᾷ τὸ ὑγιαίνειν, καὶ ὑπὸ τούτῳ συνθήματι τὴν θαυμαστὴν ἐκείνην νίκην ἐνίκησε.

10. Καὶ Πτολεμαῖος δὲ ὁ Λάγου Σελεύκῳ ἐπιστέλλων σαφῶς ἀνέστρεψε τὴν τάξιν ἐν ἀρχῇ μὲν τῆς ἐπιστολῆς ὑγιαίνειν αὐτὸν προσειπὼν, ἐπὶ τέλει δὲ ἀντὶ τοῦ ἐρρῶσθαι ὑπογράψας τὸ χαίρειν, ὡς Διονυσόδωρος ὁ τὰς ἐπιστολὰς αὐτοῦ συναγαγών φησιν.

11. Ἄξιον δὲ καὶ Πύρρου τοῦ Ἠπειρώτου μνησθῆναι, ἀνδρὸς μετ' Ἀλέξανδρον τὰ δεύτερα ἐν στρατηγίαις ἐνεγκαμένου καὶ μυρίας τροπὰς τῆς τύχης ἐνεγκόντος. Οὗτος τοίνυν ἀεὶ θεοῖς εὐχόμενος καὶ θύων καὶ ἀναθεὶς οὐδεπώποτε ἢ νίκην ἢ βασιλείας ἀξίωμα μεῖζον ἢ εὐκλειαν ἢ πλούτου ὑπερβολὴν ἤτησε παρ' αὐτῶν, ἀλλ' ἓν τοῦτο ηὔχετο, ὑγιαίνειν, ὡς ἔστ' ἂν τοῦτ' ἔχῃ, ῥᾳδίως αὐτῷ τῶν ἄλλων προσγενησομένων. Καὶ ἄριστα, οἶμαι, ἐφρόνει, λογιζόμενος ὅτι οὐδὲν ὄφελος τῶν ἁπάντων ἀγαθῶν, ἔστ' ἂν τοῦ ὑγιαίνειν μόνον ἀπῇ.

12. Ναὶ, φησί τις· ἀλλὰ νῦν ἑκάστου καιρὸς ἴδιος

Venio patratis horridis, at tu vale!

et Philemo,

Valere est quod primum opto, tum res prosperas, gaudere deinde, tum debere nemini.

Ille vero convivalis cantici scriptor, cujus etiam Plato mentionem facit, quid etiam hic ait? Primum volo Valere: deinde vero pulcher esse; deinde dives; Gaudendi vero omnino mentionem non fecit, ne tibi notissimum illud denique, quod omnium in ore est, dicam,

Divûm senior, Valitudo, habitem tecum vitæ mihi reliquum quod superest.

Si itaque antiquissima est Valitudo, ejus etiam opus, Valere, utique præponendum est bonis reliquis.

7. Sexcenta autem alia quum habeam quæ ostendere tibi possim e poetis, historicisque et philosophis, Valere præponentibus, supersedebo equidem, ne in pueriles mihi ineptias scriptio ista exeat, et forte clavum excutere clavo alio videar: pauca vero tibi ex antiqua historia, quantorum quidem recordor in rem præsentem convenientium, ascribere opportunum putavi.

8. Quum Alexander prælium ad Issum commissurus esset, ut narrat in Epistola ad Antipatrum Cardianus Eumenes, mane in tabernaculum regis ingressus Hephæstio, vel oblivione quadam, vel mente excussus, ut ego, vel numine quodam cogente, idem quod ego dixit, Vale, rex; tempus est jam eundi in aciem. Turbatis autem ad insolitam salutationem reliquis, et Hephæstione præ pudore tantum non mortuo, Alexander, Accipio, inquit, omen; salvos enim nos e prælio redituros, jam mihi pollicitum est.

9. Antiochus autem Soter, conflicturus cum Gallo-Græcis, per quietem videre sibi visus est astantem Alexandrum, qui tesseram juberet ipsum dare ante pugnam militibus, Vale: et sub ea ipsa tessara admirabilem illam victoriam retulit

10. Et Ptolemæus Lagi scribens ad Seleucum aperte invertit ordinem, qui in principio epistolæ Valere illum juberet, in fine autem usitatæ formulæ loco Gaudere subscriberet, ut Dionysodorus refert, qui collegit illius epistolas.

11. Operæ vero pretium est Epirotæ etiam Pyrrhi mentionem facere, viri qui secundas post Alexandrum imperii militaris tulit, et sexcentas fortunæ vices subiit. Hic igitur qui semper diis supplicaret et mactaret et donaria suspenderet, nec victoriam unquam, neque regni majestatem ampliorem, neque gloriam, nec divitiarum ingentem vim ab illis petebat, sed hoc unum optabat, Valere, veluti, hoc si haberet, facile ipsi accessuris reliquis. Et præclare, arbitror, sapuit, qui ita putaret, nihil prodesse sibi bona reliqua omnia, quoad solum illud absit, Valere.

12. Recte hæc omnia, forte dixerit aliquis: at nunc qui-

ὑφ' ἡμῶν ἀποδέδεικται, σὺ δὲ τοῦτον ἐναλλάξας, εἰ καὶ μηδὲν ἄλλο ἔφησθα, ὅμως τῷ δικαίῳ λόγῳ οὐκ ἂν ἔζω εἴης τοῦ ἡμαρτηκέναι, ὥσπερ ἂν εἴ τις περὶ τῇ κνήμῃ τὸ κράνος ἢ περὶ τῇ κεφαλῇ τὰς κνημῖδας ἐπιδήσαιτο. Ἀλλ', ὦ βέλτιστε, φαίην ἂν κἀγὼ πρὸς αὐτὸν, εἰκότως ἂν ταῦτα ἔλεγες, εἴ τις ὅλως καιρὸς ἦν ὑγιείας μὴ δεόμενος, νῦν δὲ καὶ ἕωθεν καὶ μεσούσης ἡμέρας καὶ νύκτωρ ἀεὶ τὸ ὑγιαῖνον ἀναγκαῖον, καὶ μάλιστα τοῖς ἄρχουσι καὶ πολλὰ πράττουσιν ὑμῖν, ὅσῳ καὶ πρὸς τὰ πολλὰ δεῖσθε τοῦ σώματος· ἔτι δὲ ὁ μὲν χαῖρε εἰπὼν μόνον εὐφήμῳ τῇ ἀρχῇ ἐχρήσατο, καὶ ἔστιν εὐχὴ τὸ πρᾶγμα, ὁ δὲ ὑγιαίνειν παρακελευόμενος καὶ χρήσιμόν τι ὁρᾷ καὶ ὑπομιμνήσκει τῶν πρὸς τὸ ὑγιαίνειν συντελούντων, καὶ οὐ συνεύχεται μόνον, ἀλλὰ καὶ παραγγέλλει.

13. Τί δ'; οὐχὶ καὶ ἐν τῷ τῶν ἐντολῶν βιβλίῳ, ὃ ἀεὶ παρὰ βασιλέως λαμβάνετε, τοῦτο πρῶτον ὑμῖν ἐστι παράγγελμα, τῆς ὑγιείας τῆς ὑμετέρας αὐτῶν ἐπιμελεῖσθαι; καὶ μάλ' εἰκότως· οὐδὲν γὰρ ἂν εἴη ὄφελος ὑμῶν πρὸς τὰ ἄλλα μὴ οὕτω διακειμένων. Ἀλλὰ καὶ ὑμεῖς αὐτοὶ, εἴ τι κἀγὼ τῆς Ῥωμαίων φωνῆς ἐπαΐω, τοὺς προσαγορεύοντας ἀντιδεξιούμενοι τῷ τῆς ὑγιείας ὀνόματι πολλάκις ἀμείβεσθε.

14. Καὶ ταῦτα πάντα εἶπον οὐχ ὡς ἐκ προνοίας ἀφελὼν μὲν τὸ χαίρειν, ἐπιτηδεύσας δὲ ἀντ' αὐτοῦ εἰπεῖν τὸ ὑγιαίνειν, ἀλλ' ὡς τοῦτο μὲν ἄχων παθών· ἢ γελοῖός γ' ἂν ἦν ξενίζων καὶ τοὺς καιροὺς τῶν προσαγορεύσεων ἐναλλάττων.

15. Χάριν δὲ ὁμολογῶ τοῖς θεοῖς, ὅτι μοι τὸ σφάλμα εἰς ἄλλο μακρῷ αἰσιώτερον περιετράπη καὶ εἰς τὸ ἄμεινον παρώλισθον, καὶ τάχα τῆς Ὑγιείας ἢ Ἀσκληπιοῦ αὐτοῦ ἐπιπνοίᾳ τοῦτ' ἐπράχθη δι' ἐμοῦ σοι τὸ ὑγιαίνειν ὑπισχνουμένου· ἐπεὶ ἔγωγε πῶς ἂν αὐτὸ ἔπαθον ἄνευ θεοῦ μηδέπω πρότερον ἐν τῷ μακρῷ βίῳ ταραχθεὶς ὅμοιον;

16. Εἰ δὲ δεῖ καὶ ἀνθρωπίνην τινὰ ὑπὲρ τοῦ γεγονότος ἀπολογίαν εἰπεῖν, οὐδὲν ξένον, εἰ πάνυ ἐσπουδακὼς ἐπὶ τοῖς ἀρίστοις ὑπὸ σοῦ γνωρίζεσθαι ἐκ τῆς ἄγαν ἐπιθυμίας εἰς τοὐναντίον διαταραχθεὶς ἐνέπεσον. Τάχα δ' ἂν τινα ἐκπλήξειε τῆς κατ' ὀρθὸν λογισμὸν καὶ στρατιωτῶν πλῆθος, ὧν οἱ μὲν προωθοῦντες, οἱ δὲ ἐν τῇ τάξει τῆς προσαγορεύσεως μὴ μένοντες.

17. Σὺ δ' εὖ οἶδ' ὅτι κἂν οἱ ἄλλοι εἰς ἄνοιαν ἢ ἀπαιδευσίαν ἢ παραφροσύνην ἀναφέρωσι τὸ πρᾶγμα, αἰδοῦς αὐτὸ σύμβολον καὶ ἀφελείας ἐποιήσω καὶ ψυχῆς μηδὲν ἀγοραῖον καὶ ἔντεχνον ἐχούσης· ὡς τό γε πάνυ θαρραλέον ἐν τοῖς τοιούτοις οὐ πόρρω θρασύτητος καὶ ἀναισχυντίας ἐστί. Καὶ ἔμοιγε εἴη μηδὲν μὲν τοιοῦτο σφάλλεσθαι, εἰ δὲ συμβαίη, πρὸς εὐφημίαν αὐτὸ τρέπεσθαι.

18. Ἐπὶ γοῦν τοῦ πρώτου Σεβαστοῦ καὶ τοιόνδε τι λέγεται γενέσθαι· ὁ μὲν ἔτυχε δίκην τινὰ δικάσας ὀρθῶς καὶ ἀπολύσας ἐγκλήματος τοῦ μεγίστου ἀδίκως συκοφαντούμενον ἄνθρωπον, ὁ δὲ χάριν ὁμολογῶν μεγάλῃ τῇ φωνῇ, Χάριν οἶδά σοι, ἔφη, ὦ αὐτοκράτορ, ὅτι κακῶς

dem proprium unicuique verbo et suum tempus ab nobis assignatum est : tu vero, illo immutato, etsi nihil diversum dixisti, tamen, si recte rem putemus, extra peccatum non fueris, non magis quam si tibiæ galeam alliget aliquis, aut ocreas capiti. Verum, vir optime, ego quoque huic respondeam, merito ista tu quidem diceres, si quod omnino tempus esset valitudine non indigens : jam vero et mane, et medio die, et noctu semper Valere necessarium est, et maxime imperantibus vobis et negotia multa sustinentibus, quo magis corpore ad multas illas res opus habetis. Ad hæc, qui Gaude dicit, bene ominato tantum exordio usus est et votum est quidquid agitur : sed qui Valere jubet, etiam utile aliquid agit, et eorum admonet, quæ ad valitudinem aliquid conferunt, nec una optat modo, sed etiam præcipit.

13. Quid vero? nonne et in mandatorum libello, quem semper ab imperatore accipitis, hoc primum vobis est præceptum, Valitudinem vestram curate? Recte sane : neque enim usus aliquis vestrûm esset ad reliqua, nisi ita constitutorum. Verum vos ipsi adeo, si quid ego quoque de Romanorum lingua intelligo, salutantibus comiter respondentes, valitudinis (*Lat.* salutis) nomen sæpe reponitis.

14. Et hæc dixi omnia, non qui prudens Gaudere illud abjecerim, et Vale pro eo dicere affectarim; sed tanquam cui imprudenti hoc acciderit : alioqui ridiculus ego essem peregrino more agens et tempora salutationum permutans.

15. Sed gratias diis ago, quod error mihi meus in longe auspicatius quiddam abiit, et labascente lingua in melius incidi : et forte Hygieæ aut ipsius adeo Æsculapii afflatu hoc est factum, Valitudinem meo tibi ore promittentis : quomodo enim sine deo hoc mihi accidisset, qui in longa vita nunquam ante simili ratione turbatus fuerim?

16. Si vero humanam etiam pro eo quod accidit excusationem proferre opus est, nihil mirum, si in summo studio ut optimis in rebus abs te cognoscerer, præ nimia illa cupiditate perturbatus in contrarium incidi. Forte etiam recta cogitandi via excutiat aliquem multitudo militum, quorum alii quidem antrorsum urgent, alii vero ordinem salutandi minime servant.

17. Tu vero, bene novi, licet ceteri ad stuporem, aut rusticam ruditatem, aut delirationem referant illud factum, pudoris signum et simplicitatis judicasti, et animi a fori tritura et artificiis abhorrentis : ut fere insignis in talibus fiducia a protervitate et impudentia non longe abest. Ac mihi quidem contingat nihil tale peccare; si vero eveniat, in bonum id ipsum quoque omen verti.

18. Primo quidem Augusto imperante etiam tale quid factum narratur. Causam forte ille quandam recte judicaverat, hominemque maximo crimine per summam illi calumniam impacto liberaverat. At ille gratias agens, magna voce : Gratiam tibi habeo, inquit, Imperator, quod male et

καὶ ἀδίκως ἐδίκασας· καὶ τῶν περὶ Σεβαστὸν ἀγανακτησάντων καὶ διασπάσασθαι τὸν ἄνθρωπον ἐθελόντων, Παύσασθε χαλεπαίνοντες, ἐκεῖνος ἔφη· οὐ γὰρ τὴν γλῶτταν αὐτοῦ, ἀλλὰ τὴν γνώμην ἐξετάζειν ἄξιον. Ἐκεῖνος μὲν οὕτως· σὺ δ' εἴτε τὴν γνώμην σκέψαιο, πάνυ εὔνουν εὑρήσεις, εἴτε τὴν γλῶτταν, εὔφημος καὶ αὐτή.

19. Ἔοικα δ' ἐνταῦθα ἤδη γενόμενος εἰκότως ἄλλο τι φοβήσεσθαι, μή τισι δόξω ἐξεπίτηδες ἡμαρτηκέναι, ὡς τὴν ἀπολογίαν ταύτην συγγράψαιμι. Καὶ εἴη γε, ὦ φίλτατε Ἀσκληπιέ, τοιοῦτον φανῆναι τὸν λόγον, ὡς μὴ ἀπολογίαν, ἀλλ' ἐπιδείξεως ἀφορμὴν εἶναι δοκεῖν.

injuste judicasti. Quumque ii qui essent circa Augustum, indigne ferrent et dilacerare hominem vellent, ille, Desinite, inquit, irasci : neque enim linguam hominis, sed mentem examinare æquum est. Atque ille quidem sic : tu vero, sive animum spectes, benevolentissimum reperies; sive linguam, bene ominata etiam hæc est.

19. Cæterum huc delatus jam non sine causa videor alterum quiddam vereri, ne sint quibus dedita opera peccasse videar, ut defensionem hanc scriberem. Ac sane contingat mihi, Æsculapi optime, talem videri hunc libellum, ut non defensio, sed ostentandæ orationis petita esse occasio videatur.

XX.

ΕΡΜΟΤΙΜΟΣ Η ΠΕΡΙ ΑΙΡΕΣΕΩΝ.

1. ΛΥΚΙΝΟΣ. Ὅσον, ὦ Ἑρμότιμε, τῷ βιβλίῳ καὶ τῇ τοῦ βαδίσματος σπουδῇ τεκμήρασθαι, παρὰ τὸν διδάσκαλον ἐπειγομένῳ ἔοικας· ἐνενόεις γοῦν τι μεταξὺ προϊὼν καὶ τὰ χείλη διεσάλευες ἠρέμα ὑποτονθορύζων καὶ τὴν χεῖρα ὧδε κἀκεῖσε μετέφερες ὥσπερ τινὰ ῥῆσιν ἐπὶ ἑαυτοῦ διατιθέμενος, ἐρώτημα δή τι τῶν ἀγκύλων συντιθεὶς ἢ σκέμμα σοφιστικὸν ἀναφροντίζων, ὡς μηδὲ ὁδῷ βαδίζων σχολὴν ἄγοις, ἀλλ' ἐνεργὸς εἶης ἀεὶ σπουδαῖόν τι πράττων καὶ ὃ πρὸ ὁδοῦ σοι γένοιτ' ἂν ἐς τὰ μαθήματα.

ΕΡΜ. Νὴ Δί', ὦ Λυκῖνε, τοιοῦτό τι· τὴν γὰρ χθιζὴν συνουσίαν καὶ ἃ εἶπε πρὸς ἡμᾶς, ἀνεπεμπαζόμην ἐπιὼν τῇ μνήμῃ ἕκαστα. Χρὴ δὲ μηδένα καιρόν, οἶμαι, παριέναι εἰδότας ἀληθὲς ὂν τὸ ὑπὸ τοῦ Κῴου ἰατροῦ εἰρημένον, ὡς ἄρα « βραχὺς μὲν ὁ βίος, μακρὴ δὲ ἡ τέχνη. » Καίτοι ἐκεῖνος ἰατρικῆς πέρι ταῦτ' ἔλεγεν, εὐμαθεστέρου πράγματος· φιλοσοφία δὲ καὶ μακρῷ τῷ χρόνῳ ἀνέφικτος, ἢν μὴ πάνυ τις ἐγρηγορὼς ἀτενὲς ἀεὶ καὶ γοργὸν ἀποβλέπῃ ἐς αὐτὴν, καὶ τὸ κινδύνευμα οὐ περὶ μικρῶν, ἢ ἄθλιον εἶναι ἐν τῷ πολλῷ τῶν ἰδιωτῶν συρφετῷ παραπολόμενον ἢ εὐδαιμονῆσαι φιλοσοφήσαντα.

2. ΛΥΚ. Τὰ μὲν ἆθλα, ὦ Ἑρμότιμε, θαυμάσια ἡλίκα εἴρηκας. Οἶμαί γε μὴν οὐ πόρρω σε εἶναι αὐτῶν, εἴ γε χρὴ εἰκάζειν τῷ τε χρόνῳ, ὁπόσον φιλοσοφεῖς, καὶ προσέτι τῷ πόνῳ οἷόν μοι οὐ μέτριον ἐκ πολλοῦ ἤδη ἔχειν δοκεῖς· εἰ γάρ τι μέμνημαι, σχεδὸν εἴκοσιν ἔτη ταῦτά ἐστιν, ἀφ' οὗ σε οὐδὲν ἄλλο ποιοῦντα ἑόρακα, ἢ παρὰ τοὺς διδασκάλους φοιτῶντα καὶ ὡς τὸ πολὺ ἐς βιβλίον ἐπικεκυφότα καὶ ὑπομνήματα τῶν συνουσιῶν ἀπογραφόμενον, ὠχρὸν ἀεὶ ὑπὸ φροντίδων καὶ τὸ σῶμα κατεσκληκότα. Δοκεῖς δέ μοι ἀλλ' οὐδὲ ὄναρ ποτὲ ἀνιέναι σεαυτὸν, οὕτως ὅλος εἶ ἐν τῷ πράγματι. Ταῦτ' οὖν σκοπουμένῳ μοι φαίνῃ οὐκ ἐς μακρὰν ἐπιλήψεσθαι τῆς εὐδαιμονίας, εἴ γε μὴ λέληθάς ἡμᾶς καὶ πάλαι αὐτῇ συνών.

ΕΡΜ. Πόθεν, ὦ Λυκῖνε, ὃς νῦν ἄρχομαι παρακύ-

XX.

HERMOTIMUS, SIVE DE SECTIS.

1. LYCINUS. Quantum licet, Hermotime, ex libro et ex incessus celeritate colligere, ad magistrum festinare videris. Commentabaris enim aliquid inter eundum, et movebas cum leni murmure labia, et manum huc illuc transferebas, tanquam qui orationem aliquam intra te disponeres, interrogationem, videlicet quandam ex tortuosis illis componens, aut sophisticam quæstionem persequens mente, ut ne in via quidem otio indulgeas, sed operosus sis, nunquam non agens serium quiddam, quodque ad doctrinam tibi prosit.

HERM. Per Jovem, Lycine, tale quiddam erat. Etenim hesternam auditionem et quæ dixit nobis repetebam, memoria percurrens singula. Oportet autem, puto, tempus nullum prætermittere, qui sciamus verum esse illud a Coo dictum medico, Brevem vitam esse, artem vero longam. Quanquam hæc de medicina dixit ille, re ad discendum faciliore : ad philosophiam vero aliquis ne longo quidem tempore pervenerit, nisi vigilanti admodum animo defixos et acres in illam oculos habeat; nec de parva re periculum, quum id agatur, ut aut miser sis et in multa vulgi colluvie pereas, aut beatum in philosophia ævum agas.

2. LYC. Præmia quidem, quanta dixisti, admirabilia. Ac puto equidem te non longe ab illis abesse, si quidem conjicere illud fas est et ex tempore ex quo philosopharis, et ex labore insuper, quem minime mihi mediocrem jam diu sustinere videris. Si quid enim memini, prope viginti ipsi anni sunt ex quo te nihil aliud vidi agentem, quam ad magistros itare, et utplurimum libro inminere, et commentarios disputationum tibi exscribere, pallidum semper curis, et callo quodam aridum corpus habentem. Videris autem mihi adeo totus in hac re esse, ut ne per somnum quidem te remittas. Hæc ergo cogitanti mihi videris non ita multo post comprehensurus istam felicitatem, nisi forte fugit nos te dudum cum illa versari.

HERM. Qui possim, Lycine, qui nunc tandem incipiam

πτειν ἐς τὴν ὁδόν; Ἡ δ' Ἀρετὴ πάνυ πόρρω κατὰ τὸν Ἡσίοδον οἰκεῖ καὶ ἔστιν ὁ οἶμος ἐπ' αὐτὴν μακρός τε καὶ ὄρθιος καὶ τρηχὺς, ἱδρῶτα οὐκ ὀλίγον ἔχων τοῖς ὁδοιπόροις.

ΛΥΚ. Οὐχ ἱκανὰ οὖν ἵδρωταί σοι, ὦ Ἑρμότιμε, καὶ ὡδοιπόρηται;

ΕΡΜ. Οὔ, φημί· οὐδὲν γὰρ ἂν ἐκώλυέ με πανευδαίμονα εἶναι ἐπὶ τῷ ἄκρῳ γενόμενον· τὸ δὲ νῦν ἀρχόμεθα ἔτι, ὦ Λυκῖνε.

3. ΛΥΚ. Ἀλλὰ τήν γε ἀρχὴν ὁ αὐτὸς οὗτος Ἡσίοδος ἥμισυ τοῦ παντὸς ἔφη εἶναι, ὥστε κατὰ μέσην τὴν ἄνοδον εἶναί σε ἤδη λέγοντες οὐκ ἂν ἁμάρτοιμεν.

ΕΡΜ. Οὐδέπω οὐδὲ τοῦτο· πάμπολυ γὰρ ἂν ἡμῖν ἦνυστο.

ΛΥΚ. Ἀλλὰ ποῦ γάρ σε φῶμεν τῆς ὁδοῦ τυγχάνειν ὄντα;

ΕΡΜ. Ἐν τῇ ὑπωρείᾳ κάτω ἔτι, ὦ Λυκῖνε, ἄρτι προβαίνειν βιαζόμενον· ὀλισθηρὰ δὲ καὶ τραχεῖα καὶ δεῖ χειρὸς ὀρέγοντος.

ΛΥΚ. Οὐκοῦν ὁ διδάσκαλός σοι τοῦτο ἱκανὸς ποιῆσαι ἄνωθεν ἐκ τοῦ ἄκρου καθάπερ ὁ τοῦ Ὁμήρου Ζεὺς χρυσῆν τινα σειρὰν καθεὶς τοὺς αὑτοῦ λόγους, ὑφ' ὧν σε ἀνασπᾷ δηλαδὴ καὶ ἀνακουφίζῃ πρὸς αὑτόν τε καὶ τὴν ἀρετὴν αὐτὸς πρὸ πολλοῦ ἀναβεβηκώς.

ΕΡΜ. Αὐτὸ ἔφησθα, ὦ Λυκῖνε, τὸ γιγνόμενον· ὅσον γοῦν ἐπ' ἐκείνῳ πάλαι ἂν ἐσπάσμην ἄνω καὶ συνῆν αὐτοῖς, τὸ δ' ἐμὸν ἔτι ἐνδεῖ.

4. ΛΥΚ. Ἀλλὰ θαρρεῖν χρὴ καὶ θυμὸν ἔχειν ἀγαθὸν ἐς τὸ τέλος τῆς ὁδοῦ ὁρῶντα καὶ τὴν ἄνω εὐδαιμονίαν, καὶ μάλιστα ἐκείνου ξυμπροθυμουμένου. Πλὴν ἀλλὰ τίνα σοι ἐλπίδα ὑποφαίνει ὡς δὴ πότε ἀναβησομένῳ; ἐς νέωτα εἰκαζεν ἐπὶ τὸ ἄκρον ἔσεσθαί σε, οἷον μετὰ τὰ μυστήρια τὰ μεγάλα ἢ Παναθήναια;

ΕΡΜ. Ὀλίγον φῂς, ὦ Λυκῖνε.

ΛΥΚ. Ἀλλ' ἐς τὴν ἑξῆς ὀλυμπιάδα;

ΕΡΜ. Καὶ τοῦτο ὀλίγον ὡς πρὸς ἀρετῆς ἄσκησιν καὶ εὐδαιμονίας κτῆσιν.

ΛΥΚ. Μετὰ δύο μὲν δὴ ὀλυμπιάδας πάντως· ἢ πολλήν γ' ἂν ὑμῶν ῥᾳθυμίαν καταγνοίη τις, εἰ μηδ' ἐν τοσούτῳ χρόνῳ δύνασθε, ὅσον τρὶς ἀπὸ Ἡρακλείων στηλῶν εἰς Ἰνδοὺς ἀπελθεῖν, εἶτ' ἐπανελθεῖν ῥᾴδιον, εἰ καὶ μὴ εὐθεῖαν μηδ' ἀεὶ βαδίζοι τις, ἀλλ' ἐν τοῖς διὰ μέσου ἔθνεσι περιπλανώμενος. Καίτοι πόσῳ τινὶ βούλει ὑψηλοτέραν καὶ λισσοτέραν θῶμεν εἶναι τὴν ἄκραν, ἐφ' ἧς ὑμῖν Ἀρετὴ οἰκεῖ, τῆς Ἀόρνου ἐκείνης, ἣν ἐντὸς ὀλίγων ἡμερῶν Ἀλέξανδρος κατὰ κράτος εἷλεν;

5. ΕΡΜ. Οὐδὲν ὅμοιον, ὦ Λυκῖνε, οὐδ' ἔστι τὸ πρᾶγμα τοιοῦτον οἷον σὺ εἰκάζεις, ὡς ὀλίγῳ χρόνῳ κατεργασθῆναι καὶ ἁλῶναι, οὐδ' ἂν μυρίοι Ἀλέξανδροι προσβάλλωσιν· ἐπεὶ πολλοὶ ἂν οἱ ἀνιόντες ἦσαν. Νῦν δὲ ἀνέρχονται μὲν οὐκ ὀλίγοι μάλα ἐρρωμένως καὶ προσέρχονται ἐπὶ ποσὸν, οἱ μὲν ἐπὶ πάνυ ὀλίγον, οἱ δὲ ἐπὶ πλέον, ἐπειδὰν δὲ κατὰ μέσην τὴν ὁδὸν γένωνται πολλοῖς τοῖς ἀπόροις καὶ δυσχερέσιν ἐντυγχάνοντες ἀποδυσ-

inspicere in viam? Valde procul autem habitat Hesiodo teste Virtus, et est via ad illam longaque et prærupta, et aspera, sudorem excutiens non parvum viatoribus.

LYC. Nondum ergo satis tibi sudatum est, Hermotime, nec viæ satis factum?

HERM. Nondum, inquam. Nihil enim prohiberet me undique beatum esse, in summo si essem: at nunc vix, Lycine, incipimus.

3. LYC. At initium idem ille Hesiodus totius dimidium ait esse. Itaque nihil erraverimus, si circa medium te ascensum jam esse dicamus.

HERM. Nondum ne hoc quidem: multum enim sic effectum esset.

LYC. Sed ubinam tandem viæ versari te dicemus?

HERM. In ipsis adhuc montis radicibus, Lycine, sed summa jam vi conantem progredi; lubrica autem est, et aspera, et opus est qui manum nobis porrigat.

LYC. Magister ergo tuus qui hoc faciat idoneus, qui desuper ex summo ut Homericus ille Jupiter auream catenam demittat, sermones suos, quibus nimirum attrahat te et levet ad se et virtutem, quum olim ipse ascenderit.

HERM. Rem ipsam, Lycine, dixisti. Quantum enim in illo est, olim extractus in altum essem, et cum illis versarer: sed quod mearum est partium, adhuc deficit.

4. LYC. Verum confidere oportet, et bonum habere animum, et finem viæ spectare, supernamque illam felicitatem, illo præsertim una animum studiumque adhibente. Interea quam tibi spem ostendit, quando futurum sit ut enitaris? proximone anno conjicit in arce te futurum, verbi causa post mysteria magna, aut Panathenæa?

HERM. Pauxillum narras, Lycine.

LYC. Sed proxima olympiade?

HERM. Et hoc parum est, ut ad virtutis exercitationem, possessionemque felicitatis.

LYC. Post duas ergo olympiadas omnino: alioquin multam quis socordiam vobis exprobraverit, si ne tanto quidem illud tempore possitis, quo facile sit ter a columnis inde Herculis ad Indos abire, indeque redire; etiamsi nec recto itinere neque semper progrediatur aliquis, sed in gentibus interjectis oberret. Quanquam, quanto vis altiorem et magis lubricum ponamus verticem illum, in quo Virtus vobis habitat, Aorno petra illa, quam paucos intra dies vi cepit Alexander?

5. HERM. Nihil quicquam simile est, Lycine, neque res talis est, qualem tu imaginaris, quæ exiguo tempore confici possit et capi; non, si sexcenti simul Alexandri aggrediantur: sic enim multi ascenderent. Jam vero aggrediuntur quidem non pauci valde animose, et aliquantum appropinquant, alii perparum, alii longius: quum vero circa mediam jam viam sunt, atque in impedita multa atque aspera incidunt, difficultate victi pedem referunt, anhelantes, sudore

πετοῦσί τε καὶ ἀναστρέφουσιν ἀσθμαίνοντες καὶ ἱδρῶτι ῥεόμενοι, οὐ φέροντες τὸν κάματον. Ὅσοι δ' ἂν εἰς τέλος διακαρτερήσωσιν, οὗτοι πρὸς τὸ ἄκρον ἀφικνοῦνται καὶ τὸ ἀπ' ἐκείνου εὐδαιμονοῦσι θαυμάσιόν τινα βίον τὸν λοιπὸν βιοῦντες, οἷον μύρμηκας ἀπὸ τοῦ ὕψους ἐπισκοποῦντές τινας τοὺς ἄλλους.

ΛΥΚ. Παπαῖ, ὦ Ἑρμότιμε, ἡλίκους ἡμᾶς ἀποφαίνεις, οὐδὲ κατὰ τοὺς Πυγμαίους ἐκείνους, ἀλλὰ χαμαιπετεῖς παντάπασιν ἐν χρῷ τῆς γῆς. Εἰκότως· ὑψηλὰ γὰρ ἤδη φρονεῖς καὶ ἄνωθεν· ἡμεῖς δὴ ὁ συρφετὸς καὶ ὅσοι χαμαὶ ἐρχόμενοι ἐσμέν, μετὰ τῶν θεῶν καὶ ὑμᾶς προσευξόμεθα ὑπερνεφέλους γενομένους καὶ ἀνελθόντας οἷ πάλαι σπεύδετε.

ΕΡΜ. Εἰ γὰρ γένοιτο καὶ ἀνελθεῖν, ὦ Λυκῖνε. Ἀλλὰ πάμπολυ τὸ λοιπόν.

6. ΛΥΚ. Ὅμως οὐκ ἔφησθα ὁπόσον, ὡς χρόνῳ περιλαβεῖν.

ΕΡΜ. Οὐδ' αὐτὸς γὰρ οἶδα, ὦ Λυκῖνε, τἀκριβές· εἰκάζω μέντοι οὐ πλείω τῶν εἴκοσιν ἐτῶν ἔσεσθαι, μεθ' ἃ πάντως που ἐπὶ τῷ ἄκρῳ ἐσόμεθα.

ΛΥΚ. Ἡράκλεις, πολὺ λέγεις.

ΕΡΜ. Καὶ γὰρ περὶ μεγάλων, ὦ Λυκῖνε, οἱ πόνοι.

ΛΥΚ. Τοῦτο μὲν ἴσως ἀληθές· ὑπὲρ δὲ τῶν εἴκοσιν ἐτῶν, ὅτι βιώσῃ τοσαῦτα, πότερον ὁ διδάσκαλός σου καθυπέσχετο, οὐ μόνον σοφὸς, ἀλλὰ καὶ μαντικὸς ὢν ἢ χρησμολόγος τις ἢ ὅσοι τὰς Χαλδαίων μεθόδους ἐπίστανται; φασὶ γοῦν εἰδέναι τὰ τοιαῦτα· οὐ γὰρ δὴ σέ γε εἰκὸς ἐπὶ τῷ ἀδήλῳ, εἰ βιώσῃ μέχρι πρὸς τὴν ἀρετὴν, τοσούτους πόνους ἀνέχεσθαι καὶ ταλαιπωρεῖν νύκτωρ καὶ μεθ' ἡμέραν οὐκ εἰδότα, εἴ σε πλησίον ἤδη τοῦ ἄκρου γενόμενον τὸ χρεὼν ἐπιστὰν κατασπάσει λαβόμενον τοῦ ποδὸς ἐξ ἀτελοῦς τῆς ἐλπίδος

ΕΡΜ. Ἄπαγε· δύσφημα γὰρ ταῦτα, ὦ Λυκῖνε. Ἀλλ' εἴη βιῶναι, ὡς μίαν γοῦν ἡμέραν εὐδαιμονήσω σοφὸς γενόμενος.

ΛΥΚ. Καὶ ἱκανή σοι ἀντὶ τῶν τοσούτων καμάτων ἡ μία ἡμέρα;

ΕΡΜ. Ἐμοὶ μὲν καὶ ἀκαριαῖον ὁπόσον ἱκανόν.

7. ΛΥΚ. Τὰ δὲ δὴ ἄνω ὅτι εὐδαίμονα καὶ τοιαῦτα ὡς πάντα χρῆν ὑπομεῖναι δι' αὐτὰ, πόθεν ἔχεις εἰδέναι; οὐ γὰρ δὴ αὐτός πω ἀνελήλυθας.

ΕΡΜ. Ἀλλὰ τῷ διδασκάλῳ πιστεύω λέγοντι· ὁ δὲ πάνυ οἶδεν ἅτε ἀκρότατος ἤδη ὤν.

ΛΥΚ. Ἔλεγε δὲ πρὸς θεῶν ποῖα τὰ περὶ αὐτῶν ἢ τίνα τὴν εὐδαιμονίαν εἶναι τὴν ἐκεῖ; ἦ που τινὰ πλοῦτον καὶ δόξαν καὶ ἡδονὰς ἀνυπερβλήτους;

ΕΡΜ. Εὐφήμει, ὦ ἑταῖρε· οὐδὲν γάρ ἐστι ταῦτα πρὸς τὸν ἐν τῇ ἀρετῇ βίον.

ΛΥΚ. Ἀλλὰ τίνα φησὶ τἀγαθὰ, εἰ μὴ ταῦτα, ἕξειν πρὸς τὸ τέλος τῆς ἀσκήσεως ἐλθόντας;

ΕΡΜ. Σοφίαν καὶ ἀνδρείαν καὶ τὸ καλὸν αὐτὸ καὶ τὸ δίκαιον καὶ τὸ πάντα ἐπίστασθαι βεβαίως πεπεισμένον ἧ ἕκαστα ἔχει· πλούτους δὲ καὶ δόξας καὶ ἡδονὰς καὶ ὅσα τοῦ σώματος, ταῦτα πάντα κάτω ἀφεὶς καὶ manantes, atque impares illi labori ferendo. Quotquot vero ad finem perseverant, hi in arcem perveniunt, et ab eo inde tempore felices, admirabilem, quæ reliqua est, vitam vivunt, velut formicas quasdam de alta illa specula reliquos intuentes.

LYC. Papæ, Hermotime, quantillos nos facis! ne Pygmæis quidem illis æquales sed humi omnino, in ipsa quasi telluris cute repentes. Nec mirum : jam enim altum sapis et e summo : nos vero colluvio illa, et quotquot humi repimus, cum diis vos etiam veneramur, qui supra nubes gradimini et eo quo festinatis dudum escendistis.

HERM. Modo contingat ille ascensus, Lycine. Sed nimis multum superest.

6. LYC. Tamen non dixisti, quantum, ut tempore metiri possemus.

HERM. Nempe nec ipse accurate scio, Lycine : conjicio tamen, viginti non amplius annos futuros, post quos omnino quondam in summo futuri simus.

LYC. Hercules tuam fidem! multum narras.

HERM. Etenim, Lycine, de magnis rebus laboratur.

LYC. Istuc quidem forte verum fuerit : sed de viginti annis, te eos exacturum, an magister tibi tuus promisit, ut non sapiens modo, sed divinus quidam aut fatidicus, aut ex eorum numero aliquis, qui Chaldæorum rationes norunt? aiunt quippe eum scire talia. Neque enim veri simile est, te rebus incertis, an vitam ad virtutem usque sis perducturus, tot labores sustinere, et ærumnis vexari noctes ac dies, dum nescias, an non te jam prope fastigium enixum, instans fatum ex imperfecta spe pede prehensum detrahat.

HERM. Apage : mali enim ominis sunt ista, Lycine. Sed vivere liceat, ut unum certe diem sapientiæ possessione beatus sim.

LYC. Ac satis tibi est pro tot laboribus unus ille dies?

HERM. Mihi quidem minuta quamvis temporis particula satis est.

7. LYC. Supera autem illa beata esse ac talia, propter quæ sustinere omnia consultum sit, unde potes scire? neque enim ipse unquam ascendisti.

HERM. Ego vero magistro fidem habeo dicenti : ille quidem omnino novit, fastigium jam assecutus videlicet.

LYC. Qualem autem dixit, per ego te deos oro, illorum conditionem, aut quam ibi esse felicitatem? numquid divitias, et gloriam, et voluptates inexsuperabiles?

HERM. Bona verba, amice! nihil enim ista ad vitam in virtute versantem.

LYC. Quæ igitur dicit bona, si hæc non dicit, habituros qui ad finem exercitationis pervenerint.

HERM. Sapientiam, et fortitudinem, et ipsum honestum, et quod firma persuasione novit quomodo se habeant singula omnia. Divitias autem, et glorias, et voluptates, et quæcumque sunt corporis, ea infra reliquit omnia, iisque

ἀποδυσάμενος ἀνέρχεται, ὥσπερ φασὶ τὸν Ἡρακλέα ἐν τῇ Οἴτῃ καταυθέντα θεὸν γενέσθαι· καὶ γὰρ ἐκεῖνος ἀποβαλὼν ὁπόσον ἀνθρώπειον εἶχε παρὰ τῆς μητρὸς καὶ καθαρόν τε καὶ ἀκήρατον φέρων τὸ θεῖον ἀνέπτατο ἐς τοὺς θεοὺς διευκρινηθὲν ὑπὸ τοῦ πυρός. Καὶ οὗτοι δὴ ὑπὸ φιλοσοφίας ὥσπερ ὑπό τινος πυρὸς ἅπαντα ταῦτα περιαιρεθέντες, ἃ τοῖς ἄλλοις θαυμαστὰ εἶναι δοκεῖ οὐκ ὀρθῶς δοξάζουσιν, ἀνελθόντες ἐπὶ τὸ ἄκρον εὐδαιμονοῦσι πλούτου καὶ δόξης καὶ ἡδονῶν ἀλλ' οὐδὲ μεμνημένοι ἔτι, καταγελῶντες δὲ τῶν οἰομένων ταῦτα εἶναι.

8. ΛΥΚ. Νὴ τὸν Ἡρακλέα, ὦ Ἑρμότιμε, τὸν ἐν Οἴτῃ ἀνδρεῖα καὶ εὐδαίμονα λέγεις περὶ αὐτῶν. Πλὴν ἀλλὰ τόδε μοι εἰπέ, καὶ κατέρχονταί ποτε ἐκ τῆς ἄκρας, ἢν ἐθελήσωσι, χρησόμενοι τοῖς κάτω ἃ καταλελοίπασιν, ἢ ἀνάγκη ἅπαξ ἀνελθόντας αὐτοὺς μένειν καὶ συνεῖναι τῇ ἀρετῇ πλούτου καὶ δόξης καὶ ἡδονῶν καταγελῶντας;

ΕΡΜ. Οὐ μόνον τοῦτο, ὦ Λυκῖνε, ἀλλ' ὃς ἂν ἀποτελεσθῇ πρὸς ἀρετὴν, οὔτε ὀργῇ οὔτε φόβῳ οὔτ' ἐπιθυμίαις ὁ τοιοῦτος ἂν δουλεύοι, οὐδὲ λυποῖτο, οὐδὲ ὅλως πάθος ἔτι τοιοῦτον πάθοι ἄν.

ΛΥΚ. Καὶ μὴν εἴ γέ με δεῖ μηδὲν ἀκνήσαντα εἰπεῖν τἀληθές — ἀλλ' εὐφημεῖν χρὴ, οἶμαι, μηδὲ ὅσιον εἶναι ἐξετάζειν τὰ ὑπὸ τῶν σοφῶν γιγνόμενα.

ΕΡΜ. Μηδαμῶς, ἀλλ' εἰπὲ ὅ τι καὶ λέγεις.

ΛΥΚ. Ὅρα, ὦ ἑταῖρε, ὡς ἔγωγε καὶ πάνυ ὀκνῶ.

ΕΡΜ. Ἀλλὰ μὴ ὄκνει, ὦ γενναῖε, πρός γε μόνον ἐμὲ λέγων.

9. ΛΥΚ. Τὰ μὲν τοίνυν ἄλλα, ὦ Ἑρμότιμε, διηγουμένῳ σοι παρειπόμην καὶ ἐπίστευον οὕτως ἔχειν, σοφούς τε γίγνεσθαι αὐτοὺς καὶ ἀνδρείους καὶ δικαίους καὶ τἆλλα, καί πως ἐκηλούμην πρὸς τὸν λόγον, ὁπότε δὲ καὶ πλούτου ἔφησθα καταφρονεῖν σφᾶς καὶ δόξης καὶ ἡδονῶν καὶ μήτε ὀργίζεσθαι μήτε λυπεῖσθαι, πάνυ ἐνταῦθα — μόνω γάρ ἐσμεν — ἐπέστην ἀναμνησθεὶς ἃ πρώην εἶδον ποιοῦντα — βούλει φῶ τίνα; ἢ ἱκανὸν καὶ ἄνευ τοῦ ὀνόματος;

ΕΡΜ. Μηδαμῶς, ἀλλὰ καὶ τοῦτο εἰπὲ, ὅστις ἦν.

ΛΥΚ. Διδάσκαλος αὐτὸς οὗτος ὁ σὸς, ἀνὴρ τά τε ἄλλα εἰδοῦς ἄξιος καὶ γέρων ἤδη ἐς τὸ ὕστατον.

ΕΡΜ. Τί οὖν δὴ ἐποίει;

ΛΥΚ. Τὸν ξένον οἶσθα τὸν Ἡρακλεώτην, ὃς ἐκ πολλοῦ συνεφιλοσόφει αὐτῷ, μαθητὴς ὢν, τὸν ξανθὸν, τὸν ἐριστικόν;

ΕΡΜ. Οἶδα δν λέγεις· Δίων αὐτῷ τοὔνομα.

ΛΥΚ. Ἐκεῖνον αὐτὸν, ἐπεὶ τὸν μισθὸν, οἶμαι, μὴ ἀπεδίδου κατὰ καιρὸν, ἀπήγαγε παρὰ τὸν ἄρχοντα ἔναγχος περιθείς γε αὐτῷ θοἰμάτιον περὶ τὸν τράχηλον καὶ ἕβόα καὶ ὠργίζετο, καὶ εἰ μὴ τῶν συνήθων τινὲς ἐν μέσῳ γενόμενοι ἀφεῖλοντο τὸν νεανίσκον ἐκ τῶν χειρῶν αὐτοῦ, εὖ ἴσθι, προσφὺς ἂν ἀπέτραγεν αὐτοῦ τὴν ῥῖνα ὁ γέρων, οὕτως ἠγανάκτει.

10. ΕΡΜ. Πονηρὸς γὰρ ἐκεῖνος ἀεὶ καὶ ἀγνώμων,

exutus ascendit, ut Herculem aiunt, quum in Œta conflagrasset, deum factum. Etenim ille, abjectis quæcumque humana a matre habebat, puramque et sinceram divinitatem, ipso igne quasi purgatam a scoriis, ferens evolavit ad deos. Et hi sane a philosophia velut igne quodam liberati illis omnibus quæ admiratione digna aliis non recte rem putantibus videntur, in arcem evecti felix ævum agunt, divitiarum et gloriæ et voluptatum ne memoriam servantes quidem, sed irridentes eos qui esse ista arbitrantur.

8. LYC. Œteum tibi Herculem juro, Hermotime, magnam tu mihi illorum fortitudinem prædicas, magnam felicitatem. Verum hoc mihi expedi, utrum descendunt aliquando de arce illa sua, si voluerint, usuri illis quæ hic infra reliquerunt? an necesse est eos qui semel ascenderunt, manere et usque versari cum virtute, divitias et gloriam et voluptates deridere?

HERM. Non hoc solum ita habet, Lycine, sed qui consummatus ad virtutem fuerit, is neque iræ, neque metui, neque cupiditatibus servit, neque tristitia, nec ulla in universum perturbatione afficitur.

LYC. Verum, si quidem fas est nihil cunctantem dicere quod res est — sed linguis, puto, favere oportet, neque per religionem licere inquirere in ea quæ fiunt a sapientibus.

HERM. Minime, quin tu loquere quicquid est, quod dicis.

LYC. Vide, amice, quam vehementer ego cuncter.

HERM. Tu vero cunctari noli, apud me solum qui dicas.

9. LYC. Cetera quidem, Hermotime, narrantem te prosequebar, credebamque rem ita habere, sapientesque fieri illos et fortes, et justos, et reliqua, mulcebarque aliquantum sermone illo tuo : quum vero etiam divitiarum contemtores esse diceres et gloriæ et voluptatum, et neque irasci illos nec dolere, hic omnino (soli enim duo sumus) institi, quum in mentem veniret quæ paullo ante videram facientem ... vis dicam quem? an satis est etiam tacito nomine?

HERM. Nequaquam, sed hoc etiam dic, quis fuerit.

LYC. Ipse tuus ille doctor, reverentia dignus vir cetera, et ultimæ jam ætatis senex.

HERM. Quid is igitur faciebat?

LYC. Hospitem nosti illum Heracleensem, qui diu cum ipso philosophatus est, tanquam discipulus? rufum illum, contentiosum?

HERM. Novi quem dicas. Dioni nomen est.

LYC. Illum ipsum, quum mercedem puto in tempore non solveret, rapuit nuper ad magistratum, obtorto collo, vociferans et irarum plenus, et nisi familiarium quidam, qui commodum adessent, eripuissent ipsius manibus juvenem, crede mihi, correptum morsu nasum homini abstulisset senex; adeo indignabatur.

10. HERM. Siquidem malus ille semper et in reddendo

ὦ Λυκῖνε, περὶ τὰς ἀποδόσεις· ἐπεὶ τούς γε ἄλλους, οἷς δανείζει, πολλοὺς ὄντας, οὐδὲν τοιοῦτό πω διατέθεικεν· ἀποδιδόασι γὰρ αὐτῷ κατὰ καιρὸν τοὺς τόκους.

ΛΥΚ. Τί δαί, ἂν μὴ ἀποδιδῶσιν, ὦ μακάριε, μέλει τι αὐτῷ καθαρθέντι ἤδη ὑπὸ φιλοσοφίας καὶ μηκέτι τῶν ἐν τῇ Οἴτῃ καταλελειμμένων δεομένῳ;

ΕΡΜ. Οἴει γὰρ ὅτι ἑαυτοῦ χάριν ἐκεῖνος περὶ τὰ τοιαῦτα ἐσπούδακεν; ἀλλ' ἔστιν αὐτῷ παιδία νεογνά, ὧν κήδεται μὴ ἐν ἀπορίᾳ καταβιώσωσι.

ΛΥΚ. Δέον, ὦ Ἑρμότιμε, ἀναγαγεῖν κἀκεῖνα ἐπὶ τὴν ἀρετὴν, ὡς συνευδαιμονοῖεν αὐτῷ πλούτου καταφρονοῦντες.

11. ΕΡΜ. Οὐ σχολή μοι, ὦ Λυκῖνε, περὶ τούτων διαλέγεσθαί σοι· σπεύδω γὰρ ἤδη ἀκροάσασθαι αὐτοῦ, μὴ καὶ λάθω τελέως ἀπολειφθείς.

ΛΥΚ. Θάρρει, ὦγαθέ· τὸ τήμερον γὰρ ἐκεχειρία ἐπήγγελται· ὥστε ἐγὼ ἀφίημί σοι ὅσον ἔτι τὸ λοιπὸν τῆς ὁδοῦ.

ΕΡΜ. Πῶς λέγεις;

ΛΥΚ. Ὅτι ἐν τῷ παρόντι οὐκ ἂν ἴδοις αὐτὸν, εἴ γε χρὴ πιστεύειν τῷ προγράμματι· πινάκιον γάρ τι ἐκρέματο ὑπὲρ τοῦ πυλῶνος μεγάλοις γράμμασι λέγον, τήμερον οὐ συμφιλοσοφεῖν. Ἐλέγετο δὲ παρ' Εὐκράτει τῷ πάνυ δειπνήσας χθὲς γενέθλια θυγατρὸς ἑστιῶντι πολλά τε συμφιλοσοφῆσαι ἐν τῷ συμποσίῳ καὶ πρὸς Εὐθύδημον τὸν ἐκ τοῦ Περιπάτου παροξυνθῆναί τι καὶ ἀμφισβητῆσαι αὐτῷ περὶ ὧν ἐκεῖνοι εἰώθασιν ἀντιλέγειν τοῖς ἀπὸ τῆς Στοᾶς· ὑπό τε οὖν τῆς κραυγῆς πονήρως τὴν κεφαλὴν διατεθῆναι καὶ ἱδρῶσαι μάλα πολλὰ ἐς μέσας νύκτας ἀποταθείσης, ὥς φασι, τῆς συνουσίας· ἅμα δὲ καὶ ἐπεπώκει, οἶμαι, πλέον τοῦ ἱκανοῦ, τῶν παρόντων, ὡς εἰκὸς, φιλοτησίας προπινόντων, καὶ ἐδεδειπνήκει πλέον ἢ κατὰ γέροντα· ὥστε ἀναστρέψας ἡμεσέ τε, ὡς ἔφασκον, πολλὰ καὶ μόνον ἀριθμῷ παραλαβὼν τὰ κρέα, ὁπόσα τῷ παιδὶ κατόπιν ἑστῶτι παραδεδώκει καὶ σημηνάμενος ἐπιμελῶς τὸ ἀπ' ἐκείνου καθεύδει μηδένα εἰσδέχεσθαι παραγγείλας. Ταῦτα δὲ Μίδα ἤκουσα τοῦ οἰκέτου αὐτοῦ διηγουμένου τισὶ τῶν μαθητῶν, οἳ καὶ αὐτοὶ ἀνέστρεφον μάλα πολλοί.

12. ΕΡΜ. Ἐκράτησε δὲ πότερος, ὦ Λυκῖνε, ὁ διδάσκαλος ἢ ὁ Εὐθύδημος; εἴ τι καὶ τοιοῦτον ἔλεγεν ὁ Μίδας.

ΛΥΚ. Τὰ μὲν πρῶτά φασιν, ὦ Ἑρμότιμε, ἀγχώμαλα σφίσι γενέσθαι, τὸ δ' οὖν τέλος τῆς νίκης καθ' ὑμᾶς ἐγένετο καὶ παρὰ πολὺ ὁ πρεσβύτης ὑπερέσχε· τὸν γοῦν Εὐθύδημον οὐδ' ἀναιμωτί φασιν ἀπελθεῖν, ἀλλὰ τραῦμα παμμέγεθες ἔχοντα ἐν τῇ κεφαλῇ· ἐπεὶ γὰρ ἀλαζὼν ἦν καὶ ἐλεγκτικὸς καὶ πείθεσθαι οὐκ ἤθελεν οὐδὲ παρεῖχε ῥᾴδιον αὐτὸν ἐλέγχεσθαι, ὁ διδάσκαλός σου ὁ βέλτιστος ὃν εἶχε σκύφον Νεστόρειόν τινα καταφέρει αὐτοῦ πλησίον κατακειμένου, καὶ οὕτως ἐκράτησεν.

ΕΡΜ. Εὖ γε· οὐ γὰρ ἄλλως ἐχρῆν πρὸς τοὺς μὴ θέλοντας εἴκειν τοῖς κρείττοσιν.

quod debet ingratus, Lycine. Aliis enim quibus fœneratur (sunt autem multi), nihil unquam tale fecit; solvunt quippe usuras tempori.

LYC. Quid vero, si non solvant, o beate, an curæ est ipsi, purgato jam a philosophia, et relictis illis in Œta monte nihil jam indigenti?

HERM. Putas enim sua ipsum causa laborare de talibus? Verum sunt ipsi parvi liberi, quorum curam habet, ne inopes vitam agant.

LYC. Oportebat, Hermotime, educere et illos ad virtutem, ut pari cum ipso felicitate fruantur in divitiarum contemtu.

11. HERM. Non vacat mihi, Lycine, de his disputare tecum; jam enim festino ad ipsum audiendum, ne forte imprudens plane sero veniam.

LYC. Bono es animo, bone vir: hodie enim induciæ denunciatæ sunt; itaque ego tibi quod reliquum est viæ remitto.

HERM. Quid ais?

LYC. Tibi illius jam copiam non futuram, si quidem fides habenda programmati. Tabella enim suspensa super vestibulum magnis literis scripta significabat, hodie illum non disputare. Dicebatur autem apud Eucratem, nobilem illum, filiæ suæ natalem qui celebraret convivio, heri cœnatus, tum disputasse multa in convivio, tum Euthydemo Peripatetico iratior concertasse cum illo de iis, in quibus illi solent contradicere Stoicis; a clamore vero caput illi dolere, et sudasse plurimum, protracta in mediam noctem, ut aiunt, congressione. Simul vero biberat, puto, plus quam satis fuit, quum, ut fieri solet, convivæ illum largioribus invitatiunculis ad bibendum provocarent; porro plus, quam pro sene, cibi sumserat. Igitur domum reversus et vomuit, ut aiunt, copiose, et quum primum annumerari sibi jussisset carnis frusta, quæ puero a tergo stanti tradiderat, et curate ea obsignasset, ab eo inde tempore dormit, imperato ne quis intro admittatur. Hæc autem e Mida audivi ejus servo, narrante quibusdam ipsius discipulorum, qui et ipsi, multi sane, revertebantur.

12. HERM. Uter vero, Lycine, discessit superior, doctorne meus an Euthydemus? si quid tale etiam narravit Midas.

LYC. Primo quidem æquo fere Marte pugnatum esse, ceterum finis victoriæ penes vos fuit, multumque fuit senex superior. Euthydemum enim nec incruentum discessisse aiunt, sed vulnus habentem in capite maximum. Quum enim insolens esset, et convincere vestrum studiose vellet, et persuaderi sibi nollet, nec facilem refutanti se præberet, optimus ille tuus magister, quem forte habebat scyphum, Nestoreum quendam, impingit in illum prope accubantem, atque ita superavit.

HERM. Bonum factum! neque enim aliter oportebat adversus eos qui cedere melioribus recusant.

ΛΥΚ. Ταυτὶ μέν, ὦ Ἑρμότιμε, πάνυ εὔλογα. Ἡ τί γὰρ παθὼν Εὐθύδημος ἄνδρα γέροντα παρώξυνεν, ἀόργητον καὶ θυμοῦ κρείττονα, σκύφον οὕτω βαρὺν ἐν τῇ χειρὶ ἔχοντα;

13. Ἀλλὰ σχολὴν γὰρ ἄγομεν — τί οὐ διηγῇ μοι ἑταίρῳ ὄντι ὃν τρόπον ὡρμήθης τὸ πρῶτον φιλοσοφεῖν, ὡς καὶ αὐτὸς, εἰ δυνατὸν ἔτι, συνοδοιποροίην ὑμῖν τὸ ἀπὸ τοῦδε ἀρξάμενος. Οὐ γὰρ ἀποκλείσετέ με δηλαδὴ φίλοι ὄντες.

ΕΡΜ. Εἰ γὰρ ἐθελήσειας, ὦ Λυκῖνε· ὄψει ἐν βραχεῖ ὅσον διοίσεις τῶν ἄλλων· παῖδας, εὖ ἴσθι, οἰήσῃ ἅπαντας ὡς πρὸς σὲ, τοσοῦτον ὑπερφρονήσεις αὐτός.

ΛΥΚ. Ἱκανὸν, εἰ μετὰ εἴκοσιν ἔτη γενοίμην τοιοῦτος οἷος σὺ νῦν.

ΕΡΜ. Ἀμέλει, καὶ αὐτὸς κατὰ σὲ γεγονὼς ἠρξάμην φιλοσοφεῖν τετταρακοντούτης σχεδὸν, ὁπόσα, οἶμαι, σὺ νῦν γέγονας.

ΛΥΚ. Τοσαῦτα γὰρ, ὦ Ἑρμότιμε· ὥστε τὴν αὐτὴν ἄγε λαβὼν κἀμέ — δίκαιον γάρ — καὶ πρῶτόν γέ μοι τοῦτο εἰπὲ, δίδοτε ἀντιλέγειν τοῖς μανθάνουσιν, ἤν τι μὴ ὀρθῶς λέγεσθαι δοκῇ αὐτοῖς, ἢ οὐκ ἐφίετε τοῦτο τοις νεωτέροις;

ΕΡΜ. Οὐ πάνυ. Σὺ δὲ, ἤν τι βούλῃ, ἐρώτα μεταξὺ καὶ ἀντίλεγε· ῥᾷον γὰρ ἂν οὕτω μάθοις.

ΛΥΚ. Εὖ γε, νὴ τὸν Ἑρμῆν, ὦ Ἑρμότιμε, αὐτὸν, οὗ ἐπώνυμος ὢν τυγχάνεις.

14. Ἀτὰρ εἰπέ μοι, μία τις ὁδός ἐστιν ἡ ἐπὶ φιλοσοφίαν ἄγουσα, ἡ τῶν Στωϊκῶν ὑμῶν, ἢ ἀληθῆ ἐγὼ ἤκουον ὡς καὶ ἄλλοι πολλοί τινές εἰσιν;

ΕΡΜ. Μάλα πολλοὶ, Περιπατητικοὶ καὶ Ἐπικούρειοι καὶ οἱ τὸν Πλάτωνα ἐπιγραφόμενοι, καὶ αὖ Διογένους ἄλλοι τινὲς καὶ Ἀντισθένους ζηλωταὶ καὶ οἱ ἀπὸ τοῦ Πυθαγόρου καὶ ἔτι πλείους.

ΛΥΚ. Ἀληθῆ ταῦτα· πολλοὶ γάρ εἰσι. Πότερον δὴ, ὦ Ἑρμότιμε, τὰ αὐτὰ οὗτοι λέγουσιν ἢ διάφορα;

ΕΡΜ. Καὶ πάνυ διάφορα.

ΛΥΚ. Τὸ δέ γε ἀληθὲς, οἶμαι, πάντως που ἓν ἦν αὐτῶν, ἀλλ' οὐ πάντα διάφορά γε ὄντα.

ΕΡΜ. Πάνυ μὲν οὖν.

15. ΛΥΚ. Ἴθι δὴ, ὦ φιλότης, ἀπόκριναί μοι, τῷ τότε πιστεύσας τὸ πρῶτον, ὁπότε ἤεις φιλοσοφήσων, πολλῶν σοι θυρῶν ἀναπεπταμένων, παρεὶς σὺ τὰς ἄλλας εἰς τὴν τῶν Στωϊκῶν ἦκες καὶ δι' ἐκείνης ἠξίους ἐπὶ τὴν ἀρετὴν εἰσιέναι, ὡς δὴ μόνης ἀληθοῦς οὔσης καὶ τὴν εὐθεῖαν ἐπιδεικνυούσης, τῶν δ' ἄλλων εἰς τυφλὰ καὶ ἀνέξοδα φερουσῶν; τίνι ταῦτ' ἐτεκμαίρου τότε; Καὶ μή μοι τὸν νῦν δὴ τοῦτον σεαυτὸν ἐννόει, τὸν εἴτε ἡμίσοφον εἴτε σοφὸν ἤδη τὰ βελτίω κρίνειν ὑπὲρ τοὺς πολλοὺς ἡμᾶς δυνάμενον, ἀλλ' οἷος ἀπόκριναι, ὁποῖος τότε ἦσθα ἰδιώτης καὶ κατὰ τὸν νῦν ἐμέ.

ΕΡΜ. Οὐ συνίημι ὅ τί σοι τοῦτο βούλεται, ὦ Λυκῖνε.

ΛΥΚ. Καὶ μὴν οὐ πάνυ ἀγκύλον ἠρόμην· πολλῶν

LYC. Illa quidem, Hermotime, valde rationabilia. Quibus enim intemperiis agitatus Euthydemus virum senem incendit, irritari nescium et ira superiorem, scyphum adeo gravem manu tenentem?

13. Verum enim vero, quando otiosi sumus, quid non narras mihi tuo sodali, quomodo primum animum ad philosophiam appuleris? ut ipse quoque, si fieri possit, iter illud vestrum ingrediar, initio ab hac inde hora facto. Neque enim excludetis me videlicet, amicum amici.

HERM. Modo velles, Lycine! paullo post videres quantum sis superaturus alios: pueros, mihi crede, judicabis, ad te si comparentur, omnes: tantum illos superabis sapientia.

LYC. Satis mihi fuerit, si post viginti annos talis fiam, qualem te nunc video.

HERM. Noli esse sollicitus: ego quoque ea, qua nunc es, ætate philosophari cœpi, quadraginta circiter annorum, quot tu jam, puto, natus es.

LYC. Nempe totidem, Hermotime. Itaque eadem via susceptum me quoque ducito; æquum enim est. Sed primum quidem hoc mihi dic, permittitisne contradicere discentibus, si quid minus recte dictum illis videatur? an non conceditis hoc junioribus?

HERM. Non usquequaque. At tu si quid volueris, inter dicendum interrogato et contradicito; sic enim disces facilius.

LYC. Bene, ita me Hermes (*Mercurius*) amet, cujus tu nomine appellaris.

14. At illud mihi dic, unane est via ad philosophiam ducens, vestra illa Stoicorum, an verum ego audivi, alios quoque multos esse philosophos?

HERM. Sane quam multi, Peripatetici, et Epicurei, et qui Platonis sibi nomen inscribunt, et rursus alii quidam Diogenis, et Antisthenis æmuli, et qui a Pythagora sunt, et adhuc plures.

LYC. Vera dicis: multi enim sunt. Utrum vero eadem isti, Hermotime, dicunt, an diversa?

HERM. Vehementer diversa.

LYC. Sed verum quidem, puto, omnino unum illorum est, at non omnia, si quidem sunt diversa.

HERM. Recte sane.

15. LYC. Age ergo, amice, responde mihi, cui tandem argumento fidem tu primum habens, quum philosophatum ires, ac multæ tibi januæ paterent, ceteris relictis, Stoicorum illam ingressus sis, ac per eam decreveris ad virtutem intrare, velut sola ea vera sit et rectam viam ostendat, reliquis ad cæca et exitum non habentia loca ducentibus? quo, inquam, argumento ista tum colligebas? Nec velis mihi illum qui nunc es te ipsum cogitare, vel semisapientem, vel sapientem plane, qui meliora judicare præ nobis, qui de vulgo sumus, possis: verum pro eo responde, qualis tum eras, idiota, et mei, ut nunc sum, similis.

HERM. Non intelligo, quid hoc tibi sermone velis, Lycine.

LYC. Atqui nihil valde tortuosum interrogavi. Quum

γὰρ ὄντων φιλοσόφων, οἷον Πλάτωνος καὶ Ἀριστοτέλους καὶ Ἀντισθένους καὶ τῶν ὑμετέρων προγόνων, τοῦ Χρυσίππου καὶ Ζήνωνος καὶ τῶν ἄλλων, ὅσοι εἰσὶ, τῷ σὺ πιστεύσας τοὺς μὲν ἄλλους εἷας, ἐξ ἁπάντων δὲ προελόμενος ἅπερ προῄρησαι, ἀξιοῖς κατὰ ταῦτα φιλοσοφεῖν; ἆρα καὶ σὲ ὥσπερ τὸν Χαιρεφῶντα ὁ Πύθιος ἐξέπεμψεν ἐπὶ τὰ Στωϊκῶν ἀρίστους ἐξ ἁπάντων προσειπών; ἔθος γὰρ αὐτῷ ἄλλον ἐπ' ἄλλο εἶδος φιλοσοφίας προτρέπειν τὴν ἁρμόττουσαν, οἶμαι, ἑκάστῳ εἰδότι.

ΕΡΜ. Ἀλλ' οὐδὲν τοιοῦτον, ὦ Λυκῖνε, οὐδὲ ἠρόμην περί γε τούτων τὸν θεόν.

ΛΥΚ. Πότερον οὐκ ἄξιον θείας συμβουλίας ἡγούμενος αὐτὸ ἢ ἱκανὸς ᾠου αὐτὸς εἶναι ἑλέσθαι τὸ βέλτιον κατὰ σεαυτὸν ἄνευ τοῦ θεοῦ;

ΕΡΜ. Ὠμην γάρ.

16. ΛΥΚ. Οὐκοῦν καὶ ἡμᾶς διδάσκοις ἂν τοῦτο πρῶτον, ὅπως διαγνωστέον ἡμῖν εὐθὺς ἐν ἀρχῇ, τίς ἡ ἀρίστη φιλοσοφία ἐστὶ καὶ ἡ ἀληθεύουσα, καὶ ἣν ἄν τις ἑλοιτο παρεὶς τὰς ἄλλας.

ΕΡΜ. Ἐγώ σοι φράσω· ἑώρων τοὺς πλείστους ἐπ' αὐτὴν ὁρμῶντας, ὥστε εἴκαζον ἀμείνω εἶναι αὐτήν.

ΛΥΚ. Πόσῳ τινὶ πλείους τῶν Ἐπικουρείων ἢ Πλατωνικῶν ἢ Περιπατητικῶν; ἠρίθμησας γὰρ αὐτοὺς δηλαδὴ καθάπερ ἐν ταῖς χειροτονίαις.

ΕΡΜ. Ἀλλ' οὐκ ἠρίθμησα ἔγωγε, εἴκαζον δέ.

ΛΥΚ. Ὡς οὐκ ἐθέλεις διδάξαι με, ἀλλ' ἐξαπατᾷς, ὃς περὶ τῶν τοιούτων εἰκασμῷ φῂς καὶ πλήθει κρῖναι ἀποκρυπτόμενος λέγειν πρός με τἀληθές.

ΕΡΜ. Οὐ μόνον τοῦτο, ὦ Λυκῖνε, ἀλλὰ καὶ ἤκουον ἁπάντων λεγόντων ὡς οἱ μὲν Ἐπικούρειοι γλυκύθυμοι καὶ φιλήδονοί εἰσιν, οἱ Περιπατητικοὶ δὲ φιλόπλουτοι καὶ ἐριστικοί τινες, οἱ Πλατωνικοὶ δὲ τετύφωνται καὶ φιλόδοξοί εἰσι, περὶ δὲ τῶν Στωϊκῶν πολλοὶ ἔφασκον, ὅτι ἀνδρώδεις καὶ πάντα γιγνώσκουσι, καὶ ὅτι ὁ ταύτην ἰὼν τὴν ὁδὸν μόνος βασιλεὺς, μόνος πλούσιος, μόνος σοφὸς καὶ συνόλως ἅπαντα.

17. ΛΥΚ. Ἔλεγον δὲ ταῦτα πρός σε ἄλλοι δηλαδὴ περὶ αὐτῶν· οὐ γὰρ δὴ ἐκείνοις ἂν αὐτοῖς ἐπίστευσας ἐπαινοῦσι τὰ αὐτῶν.

ΕΡΜ. Οὐδαμῶς, ἀλλ' οἱ ἄλλοι ἔλεγον.

ΛΥΚ. Οἱ μὲν δὴ ἀντίδοξοι οὐκ ἔλεγον, ὡς τὸ εἰκός.

ΕΡΜ. Οὐ γάρ.

ΛΥΚ. Οἱ δ' ἄρα ἰδιῶται ταῦτα ἔλεγον.

ΕΡΜ. Καὶ μάλα.

ΛΥΚ. Ὁρᾷς ὅπως αὖθις ἐξαπατᾷς με καὶ οὐ λέγεις τἀληθές, ἀλλ' οἴει Μαργίτῃ διαλέγεσθαί τινι, ὡς πιστεῦσαι ὅτι Ἑρμότιμος, ἀνὴρ συνετὸς, ἔτη τότε γεγονὼς τετταράκοντα, περὶ φιλοσοφίας καὶ φιλοσόφων ἀνδρῶν τοῖς ἰδιώταις ἐπίστευσε καὶ κατὰ τὰ ὑπ' ἐκείνων λεγόμενα ἐποιεῖτο τὴν αἵρεσιν τῶν κρειττόνων.

18. ΕΡΜ. Ἀλλ' οἶσθα, ὦ Λυκῖνε, οὐχὶ τοῖς ἄλλοις μόνον ἐπίστευον, ἀλλὰ καὶ ἐμαυτῷ· ἑώρων γὰρ αὐτοὺς κοσμίως βαδίζοντας, ἀναβεβλημένους εὐστα-

enim philosophi sint multi, ut Plato, ut Aristoteles, ut Antisthenes, ut vestri progenitores, Chrysippus, Zeno, et reliqui quotquot sunt, quo, inquam, argumento reliquos aspernatus, ex omnibus elegisti quæ elegisti; et secundum hæc philosophandum censes? Numquid te etiam, ut Chærephontem, Pythius ad Stoicorum rationem ablegavit, optimos omnium illos appellans? mos enim illi alium ad aliud philosophiæ genus hortari, qui noverit, opinor, quod cuique maxime conveniat.

HERM. At nihil tale, Lycine; nec interrogavi de hisce deum.

LYC. Utrum ideo, quod parum dignum negotium deliberatione divina judicares, an quod sufficere te putabas, qui per te ipsum quod optimum esset, etiam sine deo eligeres?

HERM. Nimirum sic putabam.

16. LYC. Igitur nos etiam hoc primum docueris, quomodo ab initio statim dignosci possit, quæ sit optima philosophia et sola verax, quam quis relictis ceteris eligat.

HERM. Ego tibi dicam. Videbam plerosque ad illam ferri : hanc itaque optimam esse colligebam.

LYC. Quanto fere plures videbas Epicureis aut Platonicis aut Peripateticis? numerabas enim illos videlicet, ut in suffragiis.

HERM. Quin non numerabam equidem : sed conjiciebam.

LYC. Ut tu non vis me docere! sed fallis, qui de tali re conjectura dicas et multitudine judicasse, verum apud me dicere subterfugiens.

HERM. Non hoc solum, Lycine : sed audiebam quoque omnes dicere, Epicureos quidem delicatos esse et voluptarios, Peripateticos vero divitiarum amantes et contentiosos, Platonicos denique inflatos gloriæque cupidos : de Stoicis autem multi prædicabant, fortes esse et cognoscere omnia, et qui illam viam ingressus esset, eum solum regem esse, solum divitem, solum sapientem, et universum omnia.

17. LYC. Dicebant vero de illis hæc ad te alii nimirum : neque enim sane illis ipsis credidisses sua laudantibus.

HERM. Nequaquam, sed dicebant ceteri.

LYC. Qui vero diversæ sententiæ erant philosophi, non dicebant, ut consentaneum est.

HERM. Non sane.

LYC. Ergo idiotæ dicebant ista.

HERM. Ita est.

LYC. Vides quam iterum me decipias, nec verum dicas, sed cum Margite quodam te disputare putes, qui credat Hermotimum, virum prudentem, annos tunc natum quadraginta, de philosophia et philosophis fidem habuisse idiotis, et secundum illorum dicta fecisse electionem præstantiorum.

18. HERM. Sed noris, Lycine; non aliis modo credebam sed ipsi etiam mihi. Videbam enim illos decenter ingredientes, amictos honeste, cogitabundos semper, virile quid

λῶς, φροντίζοντας ἀεὶ, ἀρρενωπούς, ἐν χρῷ κουρίας τοὺς πλείστους, οὐδὲν ἄδρὸν οὐδ' αὖ πάνυ ἐς τὸ ἀδιάφορον ὑπερεκπῖπτον, ὡς ἔκπληκτον εἶναι καὶ κυνικὸν ἀτεχνῶς, ἀλλ' ἐπὶ τοῦ μέσου καταστήματος, ὃ δὴ ἄριστον ἅπαντες εἶναί φασιν.

ΛΥΚ. Ἆρ' οὖν κἀκεῖνα εἶδες ποιοῦντας αὐτοὺς, ἃ μικρῷ πρόσθεν ἔλεγον αὐτὸς ἑωρακέναι τὸν σὸν διδάσκαλον, ὦ Ἑρμότιμε, πράττοντα; οἷον δανείζοντας καὶ ἀπαιτοῦντας πικρῶς καὶ φιλονείκως πάνυ ἐρίζοντας ἐν ταῖς ξυνουσίαις καὶ τὰ ἄλλα ὅσα ἐπιδείκνυνται; ἢ τούτων ὀλίγον σοι μέλει, ἄχρι ἂν εὐσταλὴς ἡ ἀναβολὴ καὶ ὁ πώγων βαθὺς καὶ ἐν χρῷ ἡ κουρά; καὶ πρὸς τὸ λοιπὸν ἄρα ἔχωμεν τουτονὶ κανόνα καὶ στάθμην ἀκριβῆ τῶν τοιούτων, ὡς Ἑρμότιμός φησι, καὶ χρὴ ἀπὸ σχημάτων καὶ βαδισμάτων καὶ κουρᾶς διαγιγνώσκειν τοὺς ἀρίστους, ὃς δ' ἂν μὴ ἔχῃ ταῦτα μηδὲ σκυθρωπὸς ᾖ καὶ φροντιστικὸς τὸ πρόσωπον, ἀποδοκιμαστέος καὶ ἀποβλητέος;

19. Ἀλλ' ὅρα μὴ καὶ ταῦτα, ὦ Ἑρμότιμε, παίζῃς πρός με πειρώμενος εἰ ἐξαπατώμενος συνίημι.

ΕΡΜ. Διὰ τί τοῦτ' ἔφησθα;

ΛΥΚ. Ὅτι, ὦγαθὲ, ἀνδριάντων ταύτην ἐξέτασιν λέγεις τὴν ἀπὸ τῶν σχημάτων· παρὰ πολὺ γοῦν ἐκεῖνοι εὐσχημονέστεροι καὶ τὰς ἀναβολὰς κοσμιώτεροι, Φειδίου τινὸς ἢ Ἀλκαμένους ἢ Μύρωνος πρὸς τὸ εὐμορφότατον εἰκάσαντος. Εἰ δὲ καὶ ὅτι μάλιστα χρὴ τεκμαίρεσθαι τοῖς τοιούτοις, τί ἂν πάθοι τις, εἰ τυφλὸς ὢν ἐπιθυμοίη φιλοσοφεῖν; τῷ διαγνῶ τὸν τὴν ἀμείνω προαίρεσιν προῃρημένον οὔτε σχῆμα οὔτε βάδισμα ὁρᾶν δυνάμενος;

ΕΡΜ. Ἀλλ' ἔμοιγε οὐ πρὸς τυφλοὺς ὁ λόγος, ὦ Λυκῖνε, οὐδέ μοι μέλει τῶν τοιούτων.

ΛΥΚ. Ἐχρῆν μέν, ὦ χρηστὲ, κοινόν τι τὸ γνώρισμα εἶναι τῶν οὕτω μεγάλων καὶ ἅπασι χρησίμων. Πλὴν εἰ δοκεῖ, οἱ μὲν ἔξω ἡμῖν φιλοσοφίας μενέτωσαν οἱ τυφλοὶ, ἐπείπερ μηδὲ ὁρῶσι — καίτοι ἀναγκαῖον ἦν τοῖς τοιούτοις μάλιστα φιλοσοφεῖν, ὡς μὴ πάνυ ἄχθοιντο ἐπὶ τῇ συμφορᾷ — οἱ δὲ δὴ βλέποντες, κἂν πάνυ ὀξυδερκεῖς ὦσι, τί ἂν δύναιντο συνιδεῖν τῶν τῆς ψυχῆς ἀπό γε τῆς ἔξωθεν ταύτης περιβολῆς;

20. Ὃ δὲ βούλομαι εἰπεῖν, τοιόνδε ἐστὶν, οὐχ ὅτι τῆς γνώμης τῶν ἀνδρῶν ἔρωτι προσῄεις αὐτοῖς καὶ ἠξίους ἀμείνων γίγνεσθαι ἐς τὰ τῆς γνώμης;

ΕΡΜ. Καὶ μάλα.

ΛΥΚ. Πῶς οὖν οἷόν τέ σοι ἦν ἀφ' ὧν ἔφησθα ἐκείνων τῶν γνωρισμάτων διορᾶν τὸν ὀρθῶς φιλοσοφοῦντα ἢ μή; οὐ γὰρ φιλεῖ τὰ τοιαῦτα οὕτω διαφαίνεσθαι, ἀλλ' ἔστιν ἀπόρρητα καὶ ἐν ἀφανεῖ κείμενα, λόγοις καὶ συνουσίαις ἀναδεικνύμενα καὶ ἔργοις τοῖς ὁμοίοις ὀψὲ μόλις. Ὁ γοῦν Μῶμος, ἀκήκοας, οἶμαι, ἅτινα ἠτιάσατο τοῦ Ἡφαίστου, εἰ δὲ μὴ, ἀλλὰ νῦν ἄκουε· φησὶ γὰρ ὁ μῦθος ἐρίσαι Ἀθηνᾶν καὶ Ποσειδῶνα καὶ Ἥφαιστον εὐτεχνίας πέρι, καὶ τὸν μὲν Ποσειδῶ ταῦρον ἀναπλάσαι, τὴν Ἀθηνᾶν δὲ οἰκίαν ἐπινοῆσαι, ὁ Ἥφαιστος δὲ

tuentes, ad cutem tonsos pleresque, nihil neque molle, neque rursus in nimiam negligentiam prolapsum (quo fit ut attonitus aliquis et plane cynicus sit); sed in medio quodam statu, quem optimum omnes esse perhibent, constitutos.

LYC. Numquid igitur ista quoque illos facere videbas, quæ paullo ante ipse dicebam me vidisse tuum, Hermotime, magistrum facere? verbi causa, fœnerari, et reposcere acerbe, et rixose omnino contendere in congressionibus, et reliqua quæ in se demonstrant? an parum ista curas, dum compositus sit amictus, et barba prolixa, et capillus ad cutem detonsus? et, quod superest, hunc habeamus canona, hanc regulam exactam talium, de sententia Hermotimi; atque oportet ex habitu, incessu, tonsura dignoscere optimos; quicumque vero ista non habuerit, qui neque tetricus fuerit et cogitabundo vultu, reprobandus est ac rejiciendus?

19. Sed vide ne in his quoque ludas me, Hermotime, tentans an decipi me sentiam?

HERM. Quorsum hoc dixisti?

LYC. Quod statuarum, bone vir, probationem mihi narrasti, quæ fit ex habitu: multum enim illæ magis compositæ et decentius amictæ, ubi Phidias aliquis, vel Alcamenes, vel Myron ad formosissimam illas speciem conformavit. Si vero vel maxime signis talibus utendum est, quid faciat si quis cæcus philosophari cupiat? qua re dignoverit sectæ melioris sectatorem, qui neque habitum cernere neque incessum queat?

HERM. At mihi oratio est non ad cæcos, Lycine, neque tales curo.

LYC. Debebat quidem, vir bone, commune quoddam signum esse rerum ita magnarum et omnibus utilium. Interim, si videtur, extra philosophiam nobis maneant cæci, quandoquidem neque oculis cernunt: quanquam talibus vel maxime necesse erat philosophari, ne nimis graviter calamitatem ferrent suam: sed ipsi sane qui vident, vel si acutissimum cernant, quidnam videre queant eorum, quæ sunt in animo, ex illo quidem externo amictu?

20. Quod autem dicere volo, ejusmodi est. Nonne verum est te amore quodam mentis et sententiarum in his viris ad eos accessisse, et mente fieri voluisse meliorem?

HERM. Ita est.

LYC. Quomodo ergo potuisti signis quæ modo dicebas, recte vel secus philosophantem pervidere? Neque enim solent ita dilucere talia, sed secreta sunt, in occulto latent, sermonibus et congressionibus et operibus sententiarum similibus vix sero tandem ostenduntur. Itaque Momus ille audisti, puto, quid Vulcanum accusaverit: sin minus, at nunc audi. Fert nempe fabula contentionem inter Minervam et Neptunum et Vulcanum de artis præstantia intercessisse; et a Neptuno quidem effictum taurum, a Minerva excogitatam domum, compositum a Vulcano hominem.

ἄνθρωπον ἆρα συνεστήσατο, καὶ ἐπείπερ ἐπὶ τὸν Μῶμον ἦκον, ὅνπερ δικαστὴν προείλοντο, θεασάμενος ἐκεῖνος ἑκάστου τὸ ἔργον, τῶν μὲν ἄλλων ἅτινα ἠτιάσατο περιττὸν ἂν εἴη λέγειν, ἐπὶ τοῦ ἀνθρώπου δὲ τοῦτο ἐμέμψατο καὶ τὸν ἀρχιτέκτονα ἐπέπληξε τὸν Ἥφαιστον, διότι μὴ καὶ θυρίδας ἐποίησεν αὐτῷ κατὰ τὸ στέρνον, ὡς ἀναπετασθεισῶν γνώριμα γίγνεσθαι ἅπασιν ἃ βούλεται καὶ ἐπινοεῖ καὶ εἰ ψεύδεται ἢ ἀληθεύει. Ἐκεῖνος μὲν οὖν ἅτε ἀμβλυώττων οὕτω περὶ τῶν ἀνθρώπων διενοεῖτο, σὺ δὲ ὑπὲρ τὸν Αυγκέα ἡμῖν δέδορκας καὶ ὁρᾷς τὰ ἔνδον, ὡς ἔοικε, διὰ τοῦ στέρνου καὶ ἀνέῳκταί σοι τὰ πάντα, ὡς εἰδέναι μὴ μόνον ἃ βούλεται καὶ ἃ γιγνώσκει ἕκαστος, ἀλλὰ καὶ πότερος ἀμείνων ἢ χείρων.

21. ΕΡΜ. Παίζεις, ὦ Λυκῖνε. Ἐγὼ δὲ κατὰ θεὸν εἱλόμην, καὶ οὐ μεταμέλει μοι τῆς αἱρέσεως· ἱκανὸν δὲ τοῦτο πρὸς γοῦν ἐμέ.

ΛΥΚ. Ὅμως οὐκ ἂν εἴποις, ὦ ἑταῖρε, καὶ πρὸς ἐμέ, ἀλλὰ περιόψει με παραπολόμενον ἐν τῷ πολλῷ συρφετῷ;

ΕΡΜ. Οὐδὲν γάρ σοι ἀρέσκει ὧν ἂν εἴπω.

ΛΥΚ. Οὐκ, ὦγαθέ, ἀλλ' οὐδὲν ἐθέλεις εἰπεῖν ὁποῖον ἄν μοι ἀρέσειεν. Ἐπεὶ δ' οὖν σὺ ἑκὼν ἀποκρύπτῃ καὶ φθονεῖς ἡμῖν, ὡς μὴ ἐξ ἴσου γενοίμεθά σοι φιλοσοφήσαντες, ἐγὼ πειράσομαι, ὅπως ἂν οἷός τε ὦ, κατ' ἐμαυτὸν ἐξευρεῖν τὴν ἀκριβῆ περὶ τούτων κρίσιν καὶ τὴν ἀσφαλεστάτην αἵρεσιν. Ἄκουε δὲ καὶ σύ, εἰ βούλει.

ΕΡΜ. Ἀλλὰ βούλομαι, ὦ Λυκῖνε· ἴσως γάρ τι γνώριμον ἐρεῖς.

ΛΥΚ. Σκόπει δὴ καὶ μὴ καταγελάσῃς, εἰ παντάπασιν ἰδιωτικῶς ἀναζητῶ αὐτό· ἀνάγκη γὰρ οὕτως, ἐπεὶ μὴ σὺ ἐθέλεις σαφέστερον εἰπεῖν εἰδὼς ἄμεινον.

22. Ἔστω δή μοι ἡ μὲν ἀρετὴ τοιόνδε τι, οἷον πόλις τις εὐδαίμονας ἔχουσα τοὺς ἐμπολιτευομένους — ὡς φαίη ἂν ὁ διδάσκαλος ὁ σὸς ἐκεῖθέν ποθεν ἀφιγμένος — σοφοὺς ἐς τὸ ἀκρότατον, ἀνδρείους ἅπαντας, δικαίους, σώφρονας, ὀλίγον θεῶν ἀποδέοντας· οἷα δὲ πολλὰ γίγνεται παρ' ἡμῖν, ἁρπαζόντων καὶ βιαζομένων καὶ πλεονεκτούντων, οὐδὲν ἂν ἴδοις, φασίν, ἐν ἐκείνῃ τῇ πόλει τολμώμενον, ἀλλ' ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ ξυμπολιτεύονται, μᾶλ' εἰκότως· ἃ γὰρ ἐν ταῖς ἄλλαις πόλεσιν, οἶμαι, τὰς στάσεις καὶ φιλονεικίας ἐγείρει καὶ ὧν ἕνεκα ἐπιβουλεύουσιν ἀλλήλοις, ταῦτα πάντα ἐκποδών ἐστιν ἐκείνοις. Οὐ γὰρ οὔτε χρυσίον ἔτι οὔτε ἡδονὰς οὔτε δόξας ὁρῶσιν, ὡς διαφέρεσθαι περὶ αὐτῶν, ἀλλὰ πάλαι τῆς πόλεως ἐξεληλάκασιν αὐτὰ οὐκ ἀναγκαῖα ἡγησάμενοι ξυμπολιτεύεσθαι. Ὥστε γαληνόν τινα καὶ πανευδαίμονα βίον βιοῦσι ξὺν εὐνομίᾳ καὶ ἰσότητι καὶ ἐλευθερίᾳ καὶ τοῖς ἄλλοις ἀγαθοῖς.

23. ΕΡΜ. Τί οὖν, ὦ Λυκῖνε; οὐκ ἄξιον ἅπαντας ἐπιθυμεῖν πολίτας γίγνεσθαι τῆς τοιαύτης πόλεως μήτε κάματον ὑπολογιζομένους τὸν ἐν τῇ ὁδῷ μήτε πρὸς τὸ μῆκος τοῦ χρόνου ἀπαγορεύοντας, εἰ μέλλουσιν ἀφικόμενοι ἐγγραφήσεσθαι καὶ αὐτοὶ καὶ μεθέξειν τῆς πολιτείας;

Quum ad Momum venissent, quem arbitrum sibi nempe sumserant, perspecto ille uniuscujusque opere, quid in reliquis reprehenderit, dicere jam superfluum fuerit : in nomine autem hoc vituperavit, et increpuit architectum illius Vulcanum, quod non et valvas pectori illius applicuisset, quibus apertis nota fierent omnibus quæ is vellet atque cogitaret, atque utrum mentiretur an vera diceret. Ille igitur ita de hominibus sentiebat, tanquam qui hebeti circa illos visu esset : tu vero supra Lyncea illum nobis acute vides, et quæ intus sunt trans ipsa, opinor, præcordia cernis, et patent tibi omnia, ut non quæ velit modo et quæ cognoscat unusquisque, scias, verum etiam uter melior sit aut deterior.

21. HERM. Ludis, Lycine. Ego vero secundo numine elegi, neque optionis illius meæ me pœnitet : satis autem hoc mihi quidem est.

LYC. Mihi tamen hoc, amice, non dixeris; sed negliges me in multa illa colluvione pereuntem cum reliquis?

HERM. Nihil enim tibi placet, quicquid dixero.

LYC. Non ita est, mi bone; sed tu nihil vis dicere, quod placere mihi possit. Quandoquidem vero tu volens occultus es et nobis invides, ne æque ac tu philosophemur, ego tentabo, quantum ejus facere potero, per me invenire accuratum de his judicium, et sectam certissimam. Audi vero et tu, si volueris.

HERM. Ego vero volo, Lycine : forte enim cognitu aliquid dignum dixeris.

LYC. Considera igitur, sed noli irridere, si hominis omnino rudis in morem illud disquiram : necesse est enim ita facere; quum tu, qui melius scias, dicere clarius nolis.

22. Sit igitur mihi virtus tale quiddam, velut civitas quædam beatos habens cives (ut dicat forte tuus magister, inde aliqua via huc delatus), sapientes summo gradu, fortes universos, tum justos, temperantes, parum diis minores. Eorum vero, quæ multa apud nos fiunt, quum rapiant homines, vim faciant, justo plus sibi arrogent, nihil videas, aiunt, in ea urbe quenquam audere, sed per pacem et concordiam civitate una fruuntur. Nec mirum : quæ enim, puto, aliis in civitatibus seditiones et contentiones excitant, quorum causa mutuas sibi insidias struunt homines, illa e medio sublata apud illos sunt omnia. Neque enim amplius aurum, neque voluptates, neque glorias spectant, de quibus certent : sed olim civitate illa exegerunt, non necessaria rati quæ in ea versentur. Itaque tranquillam quandam et undique beatam vitam vivunt, cum bonis legibus, et æqualitate, et libertate, et bonis reliquis.

23. HERM. Quid ergo, Lycine! nonne dignum est omnes concupiscere civitatem eam adipisci, nec laborem metientes viæ, neque animum despondentes propter longitudinem temporis, si futurum sit ut, ubi pervenerint, ascribantur et ipsi in tabulis publicis, civitatemque consequantur?

ΛΥΚ. Νὴ Δί', ὦ Ἑρμότιμε, πάντων μάλιστα ἐπὶ τούτῳ σπουδαστέον, τῶν δ' ἄλλων ἀμελητέον, καὶ μήτε πατρίδος τῆς ἐνταῦθα ἐπιλαμβανομένης πολὺν ποιεῖσθαι τὸν λόγον μήτε παίδων ἢ γονέων, ὅτῳ εἰσίν, ἐπικατεχόντων καὶ κλαυθμυριζομένων ἐπικλᾶσθαι, ἀλλὰ μάλιστα μὲν κἀκείνους παρακαλεῖν ἐπὶ τὴν αὐτὴν ὁδόν, εἰ δὲ μὴ ἐθέλοιεν ἢ μὴ δύναιντο, ἀποσεισάμενον αὐτοὺς χωρεῖν εὐθὺ τῆς πανευδαίμονος ἐκείνης πόλεως καὶ αὐτὸ ἀπορρίψαντα τὸ ἱμάτιον, εἰ τούτου ἐπειλημμένοι κατερύκοιεν, ἐσσύμενον ἐκεῖσε· οὐ γὰρ δέος μή σέ τις ἀποκλείσῃ καὶ γυμνὸν ἐκεῖσε ἥκοντα.

24. Ἤδη γάρ ποτε καὶ ἄλλοτε πρεσβύτου ἀνδρὸς ἤκουσα διεξιόντος ὅπως τὰ ἐκεῖ πράγματα ἔχοι, καί με προὔτρεπεν ἕπεσθαί οἱ πρὸς τὴν πόλιν· ἡγήσεσθαι γὰρ αὐτὸς καὶ ἐλθόντα ἐγγράψειν καὶ φυλέτην ποιήσεσθαι καὶ φρατρίας μεταδώσειν τῆς αὐτοῦ, ὡς μετὰ πάντων εὐδαιμονοίην· « ἀλλ' ἐγὼ οὐ πιθόμην » ὑπ' ἀνοίας καὶ νεότητος τότε, πρὸ πεντεκαίδεκα σχεδὸν ἐτῶν· ἴσως γὰρ ἂν αὐτὰ ἤδη ἀμφὶ τὰ προάστεια καὶ πρὸς ταῖς πύλαις ἦν ἄν. Ἔλεγε δ' οὖν περὶ τῆς πόλεως, εἴ γε μέμνημαι, ἄλλα τε πολλὰ καὶ δὴ καὶ τάδε, ὡς ξύμπαντες μὲν ἐπήλυδες καὶ ξένοι εἶεν, αὐθιγενὴς δὲ οὐδὲ εἷς, ἀλλὰ καὶ βαρβάρους ἐμπολιτεύεσθαι πολλοὺς καὶ δούλους καὶ ἀμόρφους καὶ μικροὺς καὶ πένητας, καὶ ὅλως μετέχειν τῆς πόλεως τὸν βουλόμενον· τὸν γὰρ δὴ νόμον αὐτοῖς οὐκ ἀπὸ τιμημάτων ποιεῖσθαι τὴν ἐγγραφὴν οὐδ' ἀπὸ σχημάτων ἢ μεγέθους ἢ κάλλους οὐδ' ἀπὸ γένους οὐδὲ λαμπρῶν ἐκ προγόνων, ἀλλὰ ταῦτα μὲν οὐδὲ νομίζεσθαι παρ' αὐτοῖς, ἀποχρῆν δ' ἑκάστῳ πρὸς τὸ πολίτην γενέσθαι σύνεσιν καὶ ἐπιθυμίαν τῶν καλῶν καὶ πόνον καὶ τὸ λιπαρὲς καὶ τὸ μὴ ἐνδοῦναι μηδὲ μαλακισθῆναι πολλοῖς τοῖς δυσχερέσι κατὰ τὴν ὁδὸν ἐντυγχάνοντα, ὡς ὅστις ἂν ταῦτα ἐπιδείξηται καὶ διεξέλθῃ πορευόμενος ἄχρι πρὸς τὴν πόλιν, αὐτίκα μάλα πολίτην ὄντα τοῦτον, ὅστις ἂν ᾖ, καὶ ἰσότιμον ἅπασι· τὸ δὲ χείρων ἢ κρείττων ἢ εὐπατρίδης ἢ ἀγεννὴς ἢ δοῦλος ἢ ἐλεύθερος οὐδὲ ὅλως εἶναι ἢ λέγεσθαι ἐν τῇ πόλει.

25. ΕΡΜ. Ὁρᾷς, ὦ Λυκῖνε, ὡς οὐ μάτην οὐδὲ περὶ μικρῶν κάμνω πολίτης ἐπιθυμῶν γενέσθαι καὶ αὐτὸς οὕτω καλῆς καὶ εὐδαίμονος πόλεως;

ΛΥΚ. Καὶ γὰρ αὐτὸς, ὦ Ἑρμότιμε, τῶν αὐτῶν σοι ἐρῶ καὶ οὐκ ἔστιν ὅ τι ἂν μοι πρὸ τούτων εὐξαίμην γενέσθαι. Εἰ μὲν οὖν πλησίον ἦν ἡ πόλις καὶ φανερὰ ἰδεῖν ἅπασι, πάλαι ἂν, εὖ ἴσθι, μηδὲν ἐνδοιάσας αὐτὸς ἦλθον ἐς αὐτὴν καὶ ἐπολιτευόμην ἂν ἐκ πολλοῦ, ἐπεὶ δὲ, ὡς ὑμεῖς φατε, σύ τε καὶ Ἡσίοδος ὁ ῥαψῳδὸς, πάνυ πόρρω ἀπῴκισται, ἀνάγκη ζητεῖν ὁδόν τε τὴν ἄγουσαν ἐπ' αὐτὴν καὶ ἡγεμόνα τὸν ἄριστον. Ἢ οὐκ οἴει σὺ χρῆναι οὕτω ποιεῖν;

ΕΡΜ. Καὶ πῶς ἂν ἄλλως ἔλθοι τις;

ΛΥΚ. Οὐκοῦν ὅσον μὲν ἐπὶ τῷ ὑπισχνεῖσθαι καὶ φάσκειν εἰδέναι πολλὴ ἀφθονία τῶν ἡγησομένων· πολλοὶ γὰρ ἕτοιμοι παρεστᾶσιν, αὐτόχθονες ἐκεῖθεν ἕκαστος εἶναι λέγοντες. Ὁδός γε μὴν οὐ μία καὶ ἡ αὐτὴ φαί-

LYC. Per Jovem, Hermotime, omnium maxime in hoc elaborandum est, reliquorum vero cura abjicienda; neque si haec antiqua patria manum injiciat, multam habere rationem oportet, neque liberis aut parentibus, si cui sint, retinere cum ploratu volentibus, frangi; sed primum quidem hortari et illos ad eandem viam ingrediendum; si vero nolint vel non possint, dimotis illis recta procedere ad beatam illam ex omni parte civitatem, et ipso abjecto vestimento, si forte illo comprehenso impediant, eo erumpere. Neque enim metus est ne quis excludat te vel nudum eo advenientem.

24. Jam enim alias quondam senem audivi enarrantem uti se res illae haberent; isque me hortatus est uti ad eam se civitatem sequerer; ipsum enim se praeiturum, et ascripturum civibus quum advenissem, et tribulem facturum, et curiae mihi suae jus impertiturum, ut cum omnibus beatam vitam viverem. Ego vero prae juvenili tum inscitia (quindecim fere anni sunt) non sum obsecutus: forte circa ipsa jam suburbia et ad portas essem. Dicebat autem de civitate illa, si bene memini, tum alia multa, tum ista etiam: omnes ibi advenas esse et peregrinos, indigenam neminem; sed et barbaros in civitate versari multos et servos, et deformes, et parvos, et pauperes, atque in universum civem esse qui velit: legem enim illis esse, non ex censu ascribi quenquam, neque ex habitu, vel statura, vel pulchritudine, neque ex genere, neque claris ex majoribus; sed istorum nec rationem ullam haberi apud illos: sufficere autem unicuique ad hoc, uti civis fiat, prudentiam, et honesti amorem, et laborem, et constantiam, et animum qui neque cedat temere, neque molliatur si in multas in via difficultates incidat. Atque adeo, si quis ista in se esse demonstraverit, emensusque totum ad urbem usque iter fuerit, eum civem esse continuo, et aequo cum omnibus jure, quisquis alioqui fuerit: ista autem nomina, deterior, melior, nobilis, ignobilis, servus, liber, neque esse omnino, neque nominari in ea civitate.

25. HERM. Vides, Lycine, quam non frustra neque parvis de rebus laborem, qui civis cupiam fieri et ipse pulchrae adeo et beatae civitatis?

LYC. Nam egomet eorundem quorum tu amore flagro: neque est quod mihi prae istis velim contingere. Si quidem igitur in propinquo esset illa civitas, et manifesta in conspectu omnium, olim, crede mihi, ipse nihil cunctatus ad eam perrexissem, et civis illius essem a longo inde tempore. Quum vero, ut vos dicitis, tu nempe et Hesiodus consarcinator ille carminum, longo admodum spatio remota habitetur, necesse est et viam quae ducit ad illam quaerere, et ducem optimum. An non putas hoc agendum?

HERM. Et qua alia ratione perveniat aliquis?

LYC. Igitur quantum ad promissiones et scientiae professionem, multa tibi ducum copia. Multi enim parati astant, indigenas inde esse quisque se dicentes. Sed via non una atque eadem videtur, sed multae ac diversae, ac

νεται, ἀλλὰ πολλαὶ καὶ διάφοροι καὶ οὐδὲν ἀλλήλαις ὅμοιαι· ἡ μὲν γὰρ ἐπὶ τὰ ἑσπέρια, ἡ δὲ ἐπὶ τὴν ἕω φέρειν ἔοικεν, ἡ δέ τις ἐπὶ τὰς ἄρκτους, καὶ ἄλλη εὐθὺ τῆς μεσημβρίας, καὶ ἡ μὲν διὰ λειμώνων καὶ φυτῶν καὶ σκιᾶς εὔυδρος καὶ ἡδεῖα οὐδὲν ἀντίτυπον ἢ δύσβατον ἔχουσα, ἡ δὲ πετρώδης καὶ τραχεῖα πολὺν ἥλιον καὶ δίψος καὶ κάματον προφαίνουσα· καὶ ὅμως αὗται πᾶσαι πρὸς τὴν πόλιν ἄγειν λέγονται μίαν οὖσαν ἐς τὰ ἐναντιώτατα τελευτῶσαι.

26. Ἔνθα δή μοι καὶ ἡ πᾶσα ἀπορία ἐστίν· ἐφ' ἣν γὰρ ἂν ἴλθω αὐτῶν, ἀνὴρ κατὰ τὴν ἀρχὴν τῆς ἀτραποῦ ἑκάστης ἑφεστὼς ἐν τῇ εἰσόδῳ μάλα τις ἀξιόπιστος ὀρέγει τε τὴν χεῖρα καὶ προτρέπει κατὰ τὴν αὐτοῦ ἀπιέναι, λέγων ἕκαστος αὐτῶν μόνος τὴν εὐθεῖαν εἰδέναι, τοὺς δ' ἄλλους πλανᾶσθαι μήτε αὐτοὺς ἐληλυθότας μήτε ἄλλοις ἡγήσασθαι δυναμένοις ἀκολουθήσαντας. Κἂν ἐπὶ τὸν πλησίον ἀφίκωμαι, κἀκεῖνος τὰ ὅμοια ὑπισχνεῖται περὶ τῆς αὐτοῦ ὁδοῦ καὶ τοὺς ἄλλους κακίζει, καὶ ὁ παρ' αὐτὸν ὁμοίως καὶ ἑξῆς ἅπαντες. Τό τε τοίνυν πλῆθος τῶν ὁδῶν καὶ τὸ ἀνόμοιον αὐτῶν οὐ μετρίως ταράττει με καὶ ἀπορεῖν ποιεῖ, καὶ μάλιστα οἱ ἡγεμόνες ὑπερδιατεινόμενοι καὶ τὰ ἑαυτῶν ἕκαστοι ἐπαινοῦντες· οὐ γὰρ οἶδα ἥντινα τραπόμενος ἢ τῷ μᾶλλον ἀκολουθήσας ἀφικοίμην ἂν πρὸς τὴν πόλιν.

27. ΕΡΜ. Ἀλλὰ ἐγώ σε ἀπολύσω τῆς ἀπορίας· τοῖς γὰρ προωδοιπορηκόσιν, ὦ Λυκῖνε, πιστεύσας οὐκ ἂν σφαλείης.

ΛΥΚ. Τίσι λέγεις; τοῖς κατὰ ποίαν ὁδὸν ἐλθοῦσιν, ἢ τίνι τῶν ἡγεμόνων ἀκολουθήσασιν; αὖθις γὰρ ἡμῖν τὸ αὐτὸ ἄπορον ἐν ἄλλῃ μορφῇ ἀναφαίνεται ἀπὸ τῶν πραγμάτων ἐπὶ τοὺς ἄνδρας μετεληλυθόσι.

ΕΡΜ. Πῶς τοῦτο φῄς;

ΛΥΚ. Ὅτι ὁ μὲν τὴν Πλάτωνος τραπόμενος καὶ συνοδοιπορήσας μετ' αὐτοῦ, ἐκείνην ἐπαινέσεται δῆλον ὅτι, ὁ δὲ τὴν Ἐπικούρου, ἐκείνην, καὶ ἄλλος ἄλλην, σὺ δὲ τὴν ὑμετέραν. Ἢ πῶς γάρ, ὦ Ἑρμότιμε; οὐχ οὕτως;

ΕΡΜ. Πῶς γὰρ οὔ;

ΛΥΚ. Οὐ τοίνυν ἀπέλυσάς με τῆς ἀπορίας, ἀλλ' ἔτι ὁμοίως ἀγνοῶ τῷ μᾶλλον χρὴ πιστεῦσαι τῶν ὁδοιπόρων· ὁρῶ γὰρ ἕκαστον αὐτῶν καὶ αὐτὸν τὸν ἡγεμόνα μιᾶς πεπειραμένον καὶ ἐκείνην ἐπαινοῦντα καὶ λέγοντα, ὡς αὕτη μόνη ἄγει ἐπὶ τὴν πόλιν. Οὐ μέντοι ἔχω εἰδέναι εἰ ἀληθῆ φησιν· ἀλλ' ὅτι μὲν ἀφῖκται πρός τι τέλος καὶ εἶδέ τινα πόλιν, δώσω αὐτῷ ἴσως, εἰ δὲ ἐκείνην εἶδεν, ἣν ἐχρῆν, ἐν ᾗ ἐπιθυμοῦμεν ἐγώ τε καὶ σὺ πολιτεύσασθαι, ἢ δέον εἰς Κόρινθον ἐλθεῖν, ὁ δ' εἰς Βαβυλῶνα ἀφικόμενος οἴεται Κόρινθον ἑωρακέναι, ἄδηλον ἐμοὶ γοῦν ἔτι· οὐ γὰρ πάντως ὁ τινὰ πόλιν ἰδὼν Κόρινθον εἶδεν, εἴ γε οὐ πόλις μόνη ἐστὶν ἡ Κόρινθος. Ὃ δὲ δὴ μάλιστα εἰς ἀπορίαν με καθίστησιν, ἐκεῖνό ἐστι, τὸ εἰδέναι ὅτι πᾶσα ἀνάγκη μίαν εἶναι τὴν ἀληθῆ ὁδόν· καὶ γὰρ ἡ Κόρινθος μία ἐστὶν, αἱ δ' ἄλλαι πανταχόσε μᾶλλον ἢ εἰς Κόρινθον ἄγουσιν, εἰ μή τις οὕτω σφόδρα παnihil altera alteri similes. Nam hæc quidem ad occidentales partes, illa vero ad orientem videtur ferre; hæc ad septentriones, et alia recta ad meridiem : et hæc quidem per prata et plantas et umbram, irrigua et amœna, nihil durum habens, nihil incedentibus asperum : altera vero saxosa, et aspera, solem multum ac sitim et laborem denuncians. Et tamen omnes hæ ad civitatem ferre dicuntur illam, quæ una est, ipsæ in maxime opposita exeuntes.

26. Hic igitur mihi, et quidem omnis dubitatio est. Ad quamcumque enim illarum veniam, vir ad caput uniuscujusque tramitis in ipso ingressu astans, fide dignissimus, et manum porrigit, et in suam nos abire hortatur, dicens unusquisque illorum, solum se rectam nosse, ceteros vero errare, qui nec ipsi venerint illuc, nec alios sint secuti duces peritos. Et si ad proximum accessero, ille quoque similia de sua via promittit, et aliis detrahit; et ille, qui juxta hunc est, similiter, et sic deinceps omnes. Hæc ipsa igitur viarum multitudo, earumque ratio dissimilis me non mediocriter perturbat, et in consilii inopiam conjicit : ac duces maxime quantum possunt et ultra contendentes, suamque singuli laudantes. Neque enim, in quam conversus, aut quem maxime secutus ad civitatem perveniam, scio.

27. HERM. At ego ista te consilii inopia liberabo. Si enim his, Lycine, fidem habueris, qui viam illam ante fecerunt, non erraveris.

LYC. Quibus dicis? et qua via euntibus, aut quem ducum secutis? rursus enim nobis eadem consilii inopia alia se forma offert, quum a rebus ad viros transivimus.

HERM. Quid ita ais?

LYC. Quoniam hic quidem in Platonis viam digressus eoque viæ duce usus, illam nimirum laudabit; ille vero Epicuri viam, atque alius aliam; tu autem, vestram : nam qui non ita fiat, Hermotime?

HERM. Et cur non?

LYC. Non tu liberasti me dubitatione, sed adhuc æque ignoro, cui viatorum magis credendum sit. Video enim unumquemque illorum cum ipsum, tum ducem, unius modo viæ periculum fecisse, et illam laudare, ac dicere solam ferre in urbem. Neque tamen habeo unde sciam vera illum dicere : verum venisse illum ad finem quendam, et vidisse civitatem aliquam, forte illi dederim : utrum vero illam viderit, quam oportebat, cujus cives esse tu non minus quam ego volumus; an quum Corinthum eundum esset, ille Babylonem delatus Corinthum se vidisse putarit, illud mihi quidem adhuc obscurum est : neque enim quisquis urbem vidit, Corinthum vidit, siquidem non sola urbs est Corinthus. Quod autem maxime inopem me consilii reddit, illud est, quod novi unam necessario esse veram, quippe quum et Corinthus una sit, reliquas autem quovis potius quam Corinthum ducere, nisi in tantum quis desi-

ραπαίοι, ὡς οἴεσθαι καὶ τὴν εἰς Ὑπερβορέους καὶ τὴν εἰς Ἰνδοὺς ἄγουσαν εἰς Κόρινθον στέλλειν.

ΕΡΜ. Καὶ πῶς οἷόν τε, ὦ Λυκῖνε; ἄλλη γὰρ ἀλλαχόσε ἄγει.

28. ΛΥΚ. Οὐκοῦν, ὦ καλὲ Ἑρμότιμε, οὐ μικρᾶς δεῖ βουλῆς ἐπὶ τὴν αἵρεσιν τῶν ὁδῶν τε καὶ ἡγεμόνων, οὐδὲ τοῦτο δὴ τὸ τοῦ λόγου ποιήσομεν, ἔνθα ἂν ἡμᾶς οἱ πόδες φέρωσιν, ἐκεῖσε ἅπιμεν· ἐπεὶ λήσομεν οὕτως ἀντὶ τῆς εἰς Κόρινθον ἀγούσης τὴν ἐπὶ Βαβυλῶνος ἢ Βάκτρων ἀπιόντες. Οὐδὲ γὰρ οὐδ' ἐκεῖνο καλῶς ἔχει, τῇ τύχῃ ἐπιτρέπειν ὡς τάχα ἂν τὴν ἀρίστην ἑλομένους, εἰ καὶ ἄνευ ἐξετάσεως ὁρμήσαιμεν ἐπὶ μίαν τῶν ὁδῶν ἡντιναοῦν· δυνατὸν μὲν γὰρ καὶ τοῦτο γενέσθαι, καὶ ἴσως ποτὲ ἐγένετο καὶ ἐν τῷ μακρῷ χρόνῳ· ἡμᾶς δέ γε περὶ τῶν οὕτω μεγάλων οὐκ οἶμαι δεῖν παραβόλως ἀναρριπτεῖν οὐδ' ἐς στενὸν κομιδῇ κατακλείειν τὴν ἐλπίδα ἐπὶ ῥιπὸς, ὡς ἡ παροιμία φησὶ, τὸν Αἰγαῖον ἢ τὸν Ἰόνιον διαπλεῦσαι θέλοντας, ὅτε οὐδ' αἰτιασαίμεθ' ἂν εὐλόγως τὴν τύχην, εἰ τοξεύουσα καὶ ἀκοντίζουσα μὴ πάντως ἔτυχε τἀληθοῦς ἑνὸς ὄντος ἐν μυρίοις τοῖς ψεύδεσιν, ὅπερ οὐδὲ τῷ Ὁμηρικῷ τοξότῃ ὑπῆρξεν, ὃς δέον τὴν πελειάδα κατατοξεῦσαι, ὁ δὲ τὴν μήρινθον ἐνέτεμεν, ὁ Τεῦκρος, οἶμαι. Ἀλλὰ παρὰ πολὺ ἐκεῖνο εὐλογώτερον τῶν πολλῶν τρωθήσεσθαι καὶ περιπεσεῖσθαι τῷ τοξεύματι ἐλπίζειν, ἢ πάντως ἐκεῖνο τὸ ἓν ἐξ ἁπάντων. Ὁ δὲ κίνδυνος ὅτι οὐ μικρὸς, εἰ ἀντὶ τῆς ἐπ' εὐθὺ ἀγούσης ἐς τῶν πεπλανημένων μίαν ἀγνοοῦντες ἐμπέσοιμεν, ἐλπίζοντες ἄμεινον αἱρήσεσθαι τὴν τύχην ὑπὲρ ἡμῶν, εἰκάζειν οἶμαι· οὐδὲ γὰρ ἀναστρέψαι ἔτι καὶ ἀνασωθῆναι ὀπίσω ῥᾴδιον, ἢν ἅπαξ ἐπιδῷ τῇ πνεούσῃ τις αὐτὸν τὰ ἀπόγεια λυσάμενος, ἀλλ' ἀνάγκη ἐν τῷ πελάγει διαφέρεσθαι ναυτιῶντα ὡς τὸ πολὺ καὶ δεδιότα καὶ καρηβαροῦντα ὑπὸ τοῦ σάλου, δέον ἐξ ἀρχῆς, πρὶν ἐκπλεῦσαι, ἀναβάντα ἐπὶ σκοπήν τινα σκέψασθαι εἰ ἐπίφορόν ἐστι καὶ οὔριον τὸ πνεῦμα τοῖς Κορινθόνδε διαπλεῦσαι ἐθέλουσι, καὶ νὴ Δία κυβερνήτην ἕνα τὸν ἄριστον ἐκλέξασθαι καὶ ναῦν εὔπαγῆ, οἵαν διαρκέσαι πρὸς τηλικοῦτον κλύδωνα.

29. ΕΡΜ. Οὕτω γε ἄμεινον, ὦ Λυκῖνε, παρὰ πολύ. Πλὴν οἶδά γε ὅτι ἅπαντας ἐν κύκλῳ περιελθὼν οὐκ ἄλλους ἂν εὕροις οὔτε ἡγεμόνας ἀμείνους οὔτε κυβερνήτας ἐμπειροτέρους τῶν Στωϊκῶν, καὶ ἢν ἐθελήσῃς γε ἀφικέσθαι ποτὲ εἰς τὴν Κόρινθον, ἐκείνοις ἕψῃ κατὰ τὰ Χρυσίππου καὶ Ζήνωνος ἴχνη προϊών· ἄλλως δὲ ἀδύνατον.

ΛΥΚ. Ὁρᾷς, τοῦτο ὡς κοινὸν, ὦ Ἑρμότιμε, εἴρηκας; εἴποι γὰρ ἂν αὐτὸ καὶ ὁ τῷ Πλάτωνι ξυνοδοιπορῶν καὶ ὁ Ἐπικούρῳ ἑπόμενος καὶ οἱ ἄλλοι, μὴ ἂν ἐλθεῖν με εἰς τὴν Κόρινθον, εἰ μὴ μεθ' ἑαυτοῦ, ἕκαστος. Ὥστε ἢ πᾶσι πιστεύειν χρὴ, ὅπερ γελοιότατον, ἢ ἀπιστεῖν ὁμοίως· μακρῷ γὰρ ἀσφαλέστατον τὸ τοιοῦτον, ἄχρι ἂν εὕρωμεν τἀληθῆ.

30. Ἐπεὶ φέρε, εἰ καθάπερ νῦν ἔχω, ἀγνοῶν ἔτι ὅστις ἐξ ἁπάντων ἐστὶν ὁ ἀληθεύων, ἑλοίμην τὰ ὑμέτερα

piat, etiam eam quæ ad Hyperboreos fert et quæ ad Indos, Corinthum ducere ut opinetur.

HERM. Et quomodo hoc fieri possit, Lycine? alia quippe aliorsum ducit.

28. LYC. Ergo, pulcher Hermotime, non parva deliberatione opus est ad electionem viarum pariter ac ductorum : neque id quod est in proverbio hic agemus, Quocumque nos pedes tulerint, eo ibimus : alioquin imprudentes pro ea quæ Corinthum fert, alteram quæ Babylonem aut Bactra ducit, ingrediamur. Neque illud consultum est, fortunæ permittere, ut qui forte optimam capessituri simus, licet sine examine in unam quamcumque viarum ingrediamur. Etenim potest quidem id quoque fieri, et forte aliquando in longo tempore factum est. At nos de tantis rebus non puto oportere periculosam temere aleam jacere, neque in angusto adeo concludere spes nostras, viminea, quod est in proverbio, crate Ægæum Ioniumve mare ausos trajicere : ubi nec fortunam cum ratione accusaremus, si ea sagittando vel jaculando non omnino feriat verum, quippe quod unum sit inter mille mendacia : quale quid nec Homerico illi sagittario contigit, qui quum columba dejicienda esset, lineam telo rupit; Teucrum fuisse arbitror. Atqui multo rationabilius est sperare futurum ut de multis quiddam (quodcumque sit) feriatur et in telum quasi incidat, quam unum illud omnino ex omnibus. Non parvum autem esse periculum, si spe illa inducti, futurum ut melius fortuna pro nobis eligat, pro recta via in erronearum aliquam ignorantia incidamus, ita me puto colligere : neque enim redire jam et retro navigare ad salutem facile est, si quis semel spiranti se auræ, solutis retinaculis, permiserit; sed necesse est in pelago jactari nauseantem plerumque, metuentem, et gravato ob agitationem capite : quum oportuisset ab initio, ante aliquando quam portu exires, conscensa specula videre, ferensne sit et secundus ventus Corinthum navigare volentibus; et, per Jovem, gubernatorem unum optimum deligere, et navim bene compactam, quæ durare ad tantum fluctum possit.

29. HERM. Ita quidem, Lycine, multo melius. Verum novi equidem, te, si circulo omnes obeas, nec duces meliores inventurum, neque peritiores gubernatores Stoicis : et si quidem pervenire aliquando Corinthum volueris, illos sequere, per Chrysippi Zenonisque vestigia progressus : aliter vero fieri non potest.

LYC. Vides quam commune illud, Hermotime, dixeris? Eodem enim modo et qui cum Platone viam faciat, et qui Epicurum sequatur, et reliqui, non perventurum me Corinthum, nisi secum, quisque dixerit. Itaque aut credere omnibus oportet, quod maxime ridiculum; aut fidem denegare similiter : longe vero tutissimum tale quid fuerit, dum qui vera promittat inveniamus.

30. Nam, age, si ita uti nunc habeo, ignarus adhuc quis ex omnibus verum dicat, vestra eligam, fide tibi habita

σοὶ πιστεύσας, ἀνδρὶ φίλῳ, ἀτὰρ μόνα γε τὰ τῶν Στωϊκῶν εἰδότι καὶ μίαν ὁδὸν ὁδοιπορήσαντι ταύτην, ἔπειτα θεῶν τις ἀναβιῶναι ποιήσειε Πλάτωνα καὶ Πυθαγόραν καὶ Ἀριστοτέλην καὶ τοὺς ἄλλους, οἱ δὲ περιστάντες ἐρωτῷέν με ἢ καὶ νὴ Δί' ἐς δικαστήριον ἀγαγόντες ὕβρεως ἕκαστος δικάζοιντο λέγοντες, Ὦ βέλτιστε Λυκῖνε, τί παθὼν ἢ τίνι ποτὲ πιστεύσας Χρύσιππον καὶ Ζήνωνα προετίμησας ἡμῶν, πρεσβυτέρων ὄντων παρὰ πολὺ, χθὲς καὶ πρῴην γενομένους, μήτε λόγου μεταδοὺς ἡμῖν μήτε πειραθεὶς ὅλως ὧν φαμέν; Εἰ ταῦτα λέγοιεν, τί ἂν ἀποκριναίμην αὐτοῖς; ἢ ἐξαρκέσει μοι, ἂν εἴπω ὅτι Ἑρμοτίμῳ ἐπείσθην φίλῳ ἀνδρί; ἀλλὰ φαῖεν ἂν, οἶδ' ὅτι, Ἡμεῖς, ὦ Λυκῖνε, οὐκ ἴσμεν τὸν Ἑρμότιμον τοῦτον ὅστις ποτέ ἐστιν, οὐδὲ ἐκεῖνος ἡμᾶς· ὥστε οὐκ ἐχρῆν ἁπάντων καταγιγνώσκειν οὐδὲ ἐρήμην ἡμῶν καταδιαιτᾶν ἀνδρὶ πιστεύσαντα μίαν ὁδὸν ἐν φιλοσοφίᾳ καὶ οὐδὲ ταύτην ἴσως, ἀκριβῶς κατανοήσαντι. Οἱ δέ γε νομοθέται, ὦ Λυκῖνε, οὐχ οὕτω προστάττουσι τοῖς δικασταῖς ποιεῖν, οὐδὲ τοῦ ἑτέρου μὲν ἀκούειν, τὸν δὲ ἕτερον οὐκ ἐᾶν λέγειν ὑπὲρ ἑαυτοῦ ἃ οἴεται ξυμφέρειν, ἀλλ' ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι, ὡς ῥᾷον ἀντεξετάζοντες τοὺς λόγους εὑρίσκοιεν τἀληθῆ τε καὶ ψευδῆ, καὶ ἦν γε μὴ οὕτω ποιῶσιν, ἐφιέναι δίδωσιν ὁ νόμος εἰς ἕτερον δικαστήριον. Τοιαῦτα ἄττα εἰκὸς ἐρεῖν αὐτούς.

31. Ἢ τάχ' ἄν τις αὐτῶν καὶ προσέροιτό με, Εἰπέ μοι, λέγων, ὦ Λυκῖνε, εἴ τις Αἰθίοψ μηδεπώποτε ἄλλους ἀνθρώπους ἰδὼν, οἵοι ἡμεῖς ἐσμεν, διὰ τὸ μὴ ἀποδεδημηκέναι τὸ παράπαν, ἔν τινι συλλόγῳ τῶν Αἰθιόπων διισχυρίζοιτο καὶ λέγοι μηδαμόθι τῆς γῆς ἀνθρώπους εἶναι λευκοὺς ἢ ξανθοὺς μηδὲ ἄλλο τι ἢ μέλανας, ἆρα πιστεύοιτ' ἂν ὑπ' αὐτῶν; ἢ εἴποι τις ἂν πρὸς αὐτὸν τῶν πρεσβυτέρων Αἰθιόπων, Σὺ δὲ δὴ πόθεν ταῦτα, ὦ θρασύτατε, οἶσθα; οὐ γὰρ ἀπεδήμησας παρ' ἡμῶν οὐδαμόσε οὐδὲ εἶδες νὴ Δία τὰ παρὰ τοῖς ἄλλοις ὁποῖά ἐστι· φαίην ἂν ἔγωγε δίκαια ἐρωτῆσαι τὸν πρεσβύτην; ἢ πῶς, ὦ Ἑρμότιμε, συμβουλεύεις;

ΕΡΜ. Οὕτω· δικαιότατα γὰρ ἐπιπλῆξαι δοκεῖ μοι.

ΛΥΚ. Καὶ γὰρ ἔμοιγε, ὦ Ἑρμότιμε. Ἀλλὰ τὸ μετὰ τοῦτο οὐκέτ' οἶδα εἰ ὁμοίως καὶ σοὶ δόξει· ἐμοὶ μὲν γὰρ καὶ τοῦτο πάνυ δοκεῖ.

32. ΕΡΜ. Τὸ ποῖον;

ΛΥΚ. Ἐπάξει δηλαδὴ ὁ ἀνὴρ καὶ φήσει πρός με ὧδέ πως· Ἀνάλογον τοίνυν κείσθω τις ἡμῖν, ὦ Λυκῖνε, τὰ Στωϊκῶν μόνα εἰδὼς, καθάπερ ὁ σὸς φίλος οὗτος ὁ Ἑρμότιμος, ἀποδημήσας δὲ μηδεπώποτε μήτε ἐς Πλάτωνος μήτε παρὰ τὸν Ἐπίκουρον μήτε ὅλως παρ' ἄλλον τινά. Εἰ τοίνυν λέγοι μηδὲν οὕτω καλὸν εἶναι μηδ' ἀληθὲς παρὰ τοῖς πολλοῖς, οἷα τὰ τῆς Στοᾶς ἐστι καὶ ἃ ἐκείνη φησὶν, οὐκ ἂν εὐλόγως θρασὺς εἶναι δόξειεν ἄν σοι περὶ πάντων ἀποφαινόμενος, καὶ ταῦτα ἓν εἰδὼς, οὐδεπώποτε ἐξ Αἰθιοπίας τὸν ἕτερον πόδα προελθών; τί βούλει ἀποκρίνωμαι αὐτῷ; — Τὸ ἀληθέστατον ἐκεῖνο δηλαδὴ, ὅτι ἡμεῖς τὰ μὲν Στωϊκῶν καὶ πάνυ ἐκμανθάνομεν, ἀνδρὶ φίλῳ, ἀτὰρ μόνα γε τὰ τῶν Στωϊκῶν εἰδότι καὶ μίαν ὁδὸν ὁδοιπορήσαντι ταύτην, ἔπειτα θεῶν τις ἀναβιῶναι ποιήσειε Πλάτωνα καὶ Πυθαγόραν καὶ Ἀριστοτέλην καὶ τοὺς ἄλλους, οἱ δὲ περιστάντες ἐρωτῷέν με ἢ καὶ νὴ Δί' ἐς δικαστήριον ἀγαγόντες ὕβρεως ἕκαστος δικάζοιντο λέγοντες, Ὦ βέλτιστε Λυκῖνε, τί παθὼν ἢ τίνι ποτὲ πιστεύσας Χρύσιππον καὶ Ζήνωνα προετίμησας ἡμῶν, πρεσβυτέρων ὄντων παρὰ πολὺ, χθὲς καὶ πρῴην γενομένους, μήτε λόγου μεταδοὺς ἡμῖν μήτε πειραθεὶς ὅλως ὧν φαμέν; Εἰ ταῦτα λέγοιεν, τί ἂν ἀποκριναίμην αὐτοῖς; ἢ ἐξαρκέσει μοι, ἂν εἴπω ὅτι Ἑρμοτίμῳ ἐπείσθην φίλῳ ἀνδρί; ἀλλὰ φαῖεν ἂν, οἶδ' ὅτι, Ἡμεῖς, ὦ Λυκῖνε, οὐκ ἴσμεν τὸν Ἑρμότιμον τοῦτον ὅστις ποτέ ἐστιν, οὐδὲ ἐκεῖνος ἡμᾶς· ὥστε οὐκ ἐχρῆν ἁπάντων καταγιγνώσκειν οὐδὲ ἐρήμην ἡμῶν καταδιαιτᾶν ἀνδρὶ πιστεύσαντα μίαν ὁδὸν ἐν φιλοσοφίᾳ καὶ οὐδὲ ταύτην ἴσως, ἀκριβῶς κατανοήσαντι. Οἱ δέ γε νομοθέται, ὦ Λυκῖνε, οὐχ οὕτω προστάττουσι τοῖς δικασταῖς ποιεῖν, οὐδὲ τοῦ ἑτέρου μὲν ἀκούειν, τὸν δὲ ἕτερον οὐκ ἐᾶν λέγειν ὑπὲρ ἑαυτοῦ ἃ οἴεται ξυμφέρειν, ἀλλ' ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι, ὡς ῥᾷον ἀντεξετάζοντες τοὺς λόγους εὑρίσκοιεν τἀληθῆ τε καὶ ψευδῆ, καὶ ἦν γε μὴ οὕτω ποιῶσιν, ἐφιέναι δίδωσιν ὁ νόμος εἰς ἕτερον δικαστήριον. Τοιαῦτα ἄττα εἰκὸς ἐρεῖν αὐτούς.

31. Ἢ τάχ' ἄν τις αὐτῶν καὶ προσέροιτό με, Εἰπέ μοι, λέγων, ὦ Λυκῖνε, εἴ τις Αἰθίοψ μηδεπώποτε ἄλλους ἀνθρώπους ἰδὼν, οἵοι ἡμεῖς ἐσμεν, διὰ τὸ μὴ ἀποδεδημηκέναι τὸ παράπαν, ἔν τινι συλλόγῳ τῶν Αἰθιόπων διισχυρίζοιτο καὶ λέγοι μηδαμόθι τῆς γῆς ἀνθρώπους εἶναι λευκοὺς ἢ ξανθοὺς μηδὲ ἄλλο τι ἢ μέλανας, ἆρα πιστεύοιτ' ἂν ὑπ' αὐτῶν; ἢ εἴποι τις ἂν πρὸς αὐτὸν τῶν πρεσβυτέρων Αἰθιόπων, Σὺ δὲ δὴ πόθεν ταῦτα, ὦ θρασύτατε, οἶσθα; οὐ γὰρ ἀπεδήμησας παρ' ἡμῶν οὐδαμόσε οὐδὲ εἶδες νὴ Δία τὰ παρὰ τοῖς ἄλλοις ὁποῖά ἐστι· φαίην ἂν ἔγωγε δίκαια ἐρωτῆσαι τὸν πρεσβύτην; ἢ πῶς, ὦ Ἑρμότιμε, συμβουλεύεις;

ΕΡΜ. Οὕτω· δικαιότατα γὰρ ἐπιπλῆξαι δοκεῖ μοι.

ΛΥΚ. Καὶ γὰρ ἔμοιγε, ὦ Ἑρμότιμε. Ἀλλὰ τὸ μετὰ τοῦτο οὐκέτ' οἶδα εἰ ὁμοίως καὶ σοὶ δόξει· ἐμοὶ μὲν γὰρ καὶ τοῦτο πάνυ δοκεῖ.

32. ΕΡΜ. Τὸ ποῖον;

ΛΥΚ. Ἐπάξει δηλαδὴ ὁ ἀνὴρ καὶ φήσει πρός με ὧδέ πως· Ἀνάλογον τοίνυν κείσθω τις ἡμῖν, ὦ Λυκῖνε, τὰ Στωϊκῶν μόνα εἰδὼς, καθάπερ ὁ σὸς φίλος οὗτος ὁ Ἑρμότιμος, ἀποδημήσας δὲ μηδεπώποτε μήτε ἐς Πλάτωνος μήτε παρὰ τὸν Ἐπίκουρον μήτε ὅλως παρ' ἄλλον τινά. Εἰ τοίνυν λέγοι μηδὲν οὕτω καλὸν εἶναι μηδ' ἀληθὲς παρὰ τοῖς πολλοῖς, οἷα τὰ τῆς Στοᾶς ἐστι καὶ ἃ ἐκείνη φησὶν, οὐκ ἂν εὐλόγως θρασὺς εἶναι δόξειεν ἄν σοι περὶ πάντων ἀποφαινόμενος, καὶ ταῦτα ἓν εἰδὼς, οὐδεπώποτε ἐξ Αἰθιοπίας τὸν ἕτερον πόδα προελθών; τί βούλει ἀποκρίνωμαι αὐτῷ; — Τὸ ἀληθέστατον ἐκεῖνο δηλαδὴ, ὅτι ἡμεῖς τὰ μὲν Στωϊκῶν καὶ πάνυ ἐκμανθά-

viro amico, sed qui sola tamen Stoicorum dogmata didiceris, et unam hanc viam iveris; ac deinde deus aliquis in lucem revocet Platonem, et Pythagoram, et Aristotelem, et reliquos: iique circumstantes me interrogent, quin, hercle, ad tribunal tractum injuriarum unusquisque postulent, dicentes, Quo animi impetu, bone Lycine, aut cujus auctoritate Chrysippum et Zenonem nobis prætulisti, homines heri et nudiustertius natos, nobis multum natu majoribus, qui nec sermonem communicaveris nobiscum, neque omnino quæ dicimus exploraveris? Hæc, inquam, si dicant, quid illis respondeam? satisne mihi erit dixisse, Hermotimo, amico homini, fidem habui? At ego novi illos dicturos, Nos, Lycine, Hermotimum illum tuum, quis homo sit, nescimus; neque ille nos. Itaque non decebat damnare universos, neque contra absentes et inauditos nos ferre arbitrium, ac fidem habere homini qui unam modo philosophiæ viam, et forte ne hanc quidem accurate satis perspexerit. Legumlatores autem, Lycine, non ita facere judices jubent, neque alteram quidem partem audire, alteram dicere pro se non pati quæ conducere videantur, sed similiter audire utramque, quo facilius, comparatis invicem orationibus, quid verum falsumve sit inveniant: et si tamen ita non fecerint judices, provocandi ad aliud tribunal potestatem lex tribuit. Talia fere dicturos illos veri simile est.

31. Aut forte illorum aliquis præterea me interroget, Dic mihi, Lycine, si quis Æthiops, qui alios nunquam homines, quales nos sumus, usurpasset oculis, eo quod patria pedem non unquam extulisset, hic igitur in concione Æthiopum asseveraret atque diceret, nusquam terrarum homines esse albos, vel flavos, neque aliud usquam nisi nigros, numquid fidem apud illos inveniat? aut si quis ei de majoribus natu Æthiopibus dicat, Tu vero unde hæc, audacissime, nosti, qui neque usquam a nobis peregre abfueris, neque hercle res aliorum quales sint noveris? dicamne ego merito sic interrogasse seniorem? aut quid consulis, Hermotime?

HERM. Sic est: justissime enim illum mihi videtur increpuisse.

LYC. Nimirum mihi quoque, Hermotime. Sed quod sequitur, non jam novi an æque tibi placeat: mihi certe hoc etiam magno videtur opere.

32. HERM. Quale id est?

LYC. Subjiciet nempe vir ille, et ita fere mecum aget: Hac igitur ratione ac proportione servata ponatur nobis aliquis, Lycine, qui Stoicorum placita sola norit, ut amicus hic tuus Hermotimus, nunquam autem neque in Platonis regnum, neque ad Epicurum, neque ad alium quenquam peregrinatus fuerit. Is ergo si dicat, nihil ita pulchrum esse neque verum apud plerosque, quam sint ea quæ sunt in Porticu, et quæ dicit hæc: nonne merito videatur tibi temerarius esse, qui de omnibus pronunciet, quum unum modo sciat, et nunquam alterum ex Æthiopia illa sua pedem protulerit? Quid vis illi respondeam? — Verissimum illud nempe, nos quidem Stoicorum dogmata, et præcipue

νομεν ὡς ἂν κατὰ ταῦτα φιλοσοφεῖν ἀξιοῦντες, οὐκ ἀγνοοῦμεν δὲ καὶ τὰ ὑπὸ τῶν ἄλλων λεγόμενα· ὁ γὰρ διδάσκαλος κἀκεῖνα μεταξὺ καὶ διέξεισι πρὸς ἡμᾶς καὶ ἀνατρέπει γε αὐτὰ προσθεὶς αὐτός.

33. Ἢ νομίζεις ἐνταῦθα σιωπήσεσθαι ἡμῖν τοὺς ἀμφὶ τὸν Πλάτωνα καὶ Πυθαγόραν καὶ Ἐπίκουρον καὶ τοὺς ἄλλους, οὐχὶ δὲ ἀναγελάσαντας ἂν εἰπεῖν πρὸς ἐμέ, Οἷα ποιεῖ, ὦ Λυκῖνε, ὁ ἑταῖρός σου ὁ Ἑρμότιμος; ἀξιοῖ τοῖς ἀντιδίκοις περὶ ἡμῶν πιστεύειν καὶ οἴεται τοιαῦτα εἶναι τὰ ἡμέτερα, ὁποῖα ἂν ἐκεῖνοι φῶσιν ἢ οὐκ εἰδότες ἢ κρυπτόμενοι ταληθές; Οὐκοῦν ἤν τινα καὶ τῶν ἀθλητῶν ἴδῃ ἀσκούμενον πρὸ τοῦ ἀγῶνος, λακτίζοντα εἰς τὸν ἀέρα ἢ πυξ κενὴν πληγήν τινα καταφέροντα, ὡς τὸν ἀνταγωνιστὴν ὄπισθεν παίοντα, εὐθὺς ἀνακηρύξει αὐτὸν ἀγωνοθέτης ὢν ὡς ἄμαχόν τινα, ἢ ἐκεῖνα μὲν οἰήσεται ῥᾴδια εἶναι καὶ ἀσφαλῆ τὰ νεανιεύματα, οὐδενὸς ἀνταιροµένου αὐτῷ, τὴν δὲ νίκην τηνικαῦτα κρίνεσθαι, ὁπόταν καταγωνίσηται τὸν ἀντίπαλον αὐτὸν καὶ κρατήσῃ, ὁ δ' ἀπαγορεύσῃ, ἄλλως δὲ οὔ; Μὴ τοίνυν μηδὲ Ἑρμότιμος ἀφ' ὧν ἂν οἱ διδάσκαλοι αὐτοῦ σκιαμαχῶσι πρὸς ἡμᾶς ἀπόντας, οἰέσθω κρατεῖν αὐτοὺς ἢ τὰ ἡμέτερα τοιαῦτα εἶναι ὡς ἀνατρέπεσθαι ῥᾳδίως· ἐπεὶ τὸ τοιοῦτον ὅμοιον ἂν εἶναι τοῖς τῶν παιδίων οἰκοδομήμασιν, ἃ κατασκευάσαντες ἐκεῖνοι ἀσθενῆ εὐθὺς ἀνατρέπουσιν, ἢ καὶ νὴ Δία τοῖς τοξεύειν μελετῶσιν, οἳ κάρφη τινὰ συνδήσαντες, ἔπειτα ἐπὶ κοντοῦ πήξαντες οὐ πόρρω προθέμενοι στοχάζονται ἀφιέντες, καὶ ἢν τύχωσί ποτε καὶ διαπείρωσι τὰ κάρφη, ἀνέκραγον εὐθὺς ὅς τι μέγα ποιήσαντες, εἰ διεξελήλυθεν αὐτοῖς τὸ βέλος διὰ τῶν φρυγάνων. Ἀλλ' οὐ Πέρσαι γε οὕτω ποιοῦσιν οὐδὲ Σκυθῶν ὅσοι τοξόται, ἀλλὰ πρῶτον μὲν αὐτοὶ κινούμενοι ἀφ' ἵππων ὡς τὸ πολὺ τοξεύουσιν, ἔπειτα δὲ καὶ τὰ τοξευόμενα κινεῖσθαι ἀξιοῦσιν, οὐχ ἑστῶτα οὐδὲ περιμένοντα τὸ βέλος, ἔστ' ἂν ἐμπέσῃ, ἀλλὰ διαδιδράσκοντα ὡς ἔνι μάλιστα· θηρία γέ τοι ὡς τὸ πολὺ κατατοξεύουσι, καὶ ὀρνίθων ἔνιοι τυγχάνουσιν. Ἤν δέ ποτε καὶ ἐπὶ σκοποῦ δέῃ πειραθῆναι τοῦ τόνου τῆς πληγῆς, ξύλον ἀντίτυπον ἢ ἀσπίδα ὠμοβοΐνην προθέμενοι διελαύνουσι, καὶ οὕτω πιστεύουσι κἂν δι' ὅπλων σφίσι χωρῆσαι τοὺς οἰστούς. Εἰπὲ τοίνυν, ὦ Λυκῖνε, παρ' ἡμῶν Ἑρμοτίμῳ ὅτι οἱ διδάσκαλοι αὐτοῦ φρύγανα προθέμενοι κατατοξεύουσιν, εἶτά φασιν ἀνδρῶν ὡπλισμένων κεκρατηκέναι, καὶ εἰκόνας ἡμῶν γραψάμενοι πυκτεύουσι πρὸς ἐκείνας, καὶ κρατήσαντες, ὡς τὸ εἰκὸς, κρατεῖν ἡμῶν οἴονται. Ἀλλὰ φαίημεν ἂν ἕκαστος πρὸς αὐτοὺς τὰ τοῦ Ἀχιλλέως ἐκεῖνα, ἃ φησι περὶ τοῦ Ἕκτορος, ὅτι-

Οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον.

Ταῦτα μὲν οἱ ξύμπαντες ἐν τῷ μέρει ἕκαστος.

34. Ὁ Πλάτων δ' ἄν μοι δοκεῖ καὶ διηγήσασθαί τι τῶν ἐκ Σικελίας ὡς ἂν εἰδὼς τὰ πλεῖστα· τῷ γὰρ Συρακοσίῳ Γέλωνί φασι δυσῶδες εἶναι τὸ στόμα καὶ τοῦτο ἐπὶ πολὺ διαλαθεῖν αὐτὸν, οὐδενὸς τολμῶντος ἐλέγχειν τύραννον ἄνδρα, μέχρι δή τινα γυναῖκα ξένην συνενε-

quidem illa, ediscere, ut qui secundum illa philosophari postulemus; neque tamen ignorare quæ dicantur ab aliis: magistrum enim et illa inter docendum nobis enarrare, atque eadem deinde suis verbis evertere.

33. An putas hic tacituros nobis Platonem et Pythagoram, et Epicurum, et reliquos, ac non potius cum risu ad me dicturos, Quid agit tuus, Lycine, sodalis Hermotimus? æquum censet adversariis de nobis nostris credere, ac talia esse putat nostra, qualia illi dixerint, vel ignorantes, vel suo studio occultantes verum? Utrum igitur si quem athletarum videat se exercentem ante certamen, calcibus petentem aera, aut vanam pugno plagam inferentem, quasi adversarium feriat: continuone, si præses sit certaminis, illum præconio ornabit pro invicto? an potius facilia illa putabit, et periculi expertes juvenis lusus, insurgente adversario nemine, victoriam vero tum decerni, quum ipsum adversarium certamine devicerit, isque victum se fassus fuerit, alias vero non? Ne igitur Hermotimus, ex eo quod magistri ipsius umbratiles forte velitationes adversus absentes nos instituunt, vincere illos arbitretur, aut talia esse nostra, quæ facile adeo evertantur: quum ea ratio similis sit puerorum ædificationibus, quas quum infirmas admodum struxerint, celeriter evertunt; aut his hercle, qui sagittandi artem meditantur, qui stipulas quasdam colligatas et in conto defixas proponunt intervallo non longo, atque ad eas deinde collineant; et si quando feriant trajiciantque stipulas, exclamant continuo, ut in magno facinore, si sarmenta telum ipsorum transierit. Verum ita Persæ certe non faciunt, neque Scytharum qui sunt sagittarii: sed primo ipsi dum moventur in equis, utplurimum sagittant; deinde vero ea etiam quæ petuntur, volunt moveri, non stare et exspectare sagittam, dum incidat, sed fugere quantum licet maxime: bestias enim utplurimum dejiciunt sagittis, et aves quidam eorum feriunt. Si vero etiam ad scopum tentanda sit vis et contentio plagæ, lignum quod ictum repellat, aut scutum e crudo boum tergore, propositum trajiciunt, et ita sperant per arma quoque sagittas suas transituras. Dic igitur, Lycine, a nobis Hermotimo, magistros ipsius proposita sarmenta sagittis trajicere, deinde viros armatos a se devictos gloriari; et pictas imagines nostras pugnis invadere, iisque, ut facile est ad existimandum, victis, nos a se putare superatos. Nostrûm vero quisque dixerimus ad eos Achillis ista, quæ ille de Hectore dixit,

Nec galeæ poterunt vultumque minasque tueri nostræ.

Hæc, inquam, universi, et pro se unusquisque.

34. Plato vero videtur mihi etiam enarraturus aliquid de Sicilia, qui pleraque ejus novit. Nempe Syracusio Geloni graveolens fuisse os aiunt, idque diu ipsum ignorasse, quum nemo auderet indicare viro tyranno, donec peregrina mulier congressa illi auderet dicere, uti se res haberet:

χθεῖσαν αὐτῷ τολμῆσαι καὶ εἰπεῖν ὅπως ἔχει· τὸν δὲ παρὰ τὴν γυναῖκα ἐλθόντα τὴν ἑαυτοῦ ὀργίζεσθαι ὅτι οὐκ ἐμήνυσε πρὸς αὐτὸν εἰδυῖα μάλιστα τὴν δυσωδίαν, τὴν δὲ παραιτεῖσθαι συγγνώμην ἔχειν αὐτῇ· ὑπὲρ γὰρ τοῦ μὴ πεπειρᾶσθαι ἄλλου ἀνδρὸς μηδὲ ὁμιλῆσαι πλησίον οἰηθῆναι ἅπασι τοῖς ἀνδράσι τοιοῦτό τι ἀποπνεῖν τοῦ στόματος. Καὶ ὁ Ἑρμότιμος τοιγαροῦν ἅτε μόνοις τοῖς Στωϊκοῖς ξυνὼν, φαίη ἂν ὁ Πλάτων, εἰκότως ἀγνοεῖ ὁποῖα τῶν ἄλλων τὰ στόματά ἐστιν. Ὅμοια δ' ἂν καὶ Χρύσιππος εἴποι ἢ ἔτι πλείω τούτων, εἴπερ λιπὼν αὐτὸν ἄκριτον ἐπὶ τὰ Πλάτωνος ὁρμήσαιμι πιστεύσας τινὶ τῶν μόνῳ Πλάτωνι ὡμιληκότων. Ἑνί τε λόγῳ ξυνελών φημι, ἄχρι ἂν ἄδηλον ᾖ τίς ἀληθής ἐστι προαίρεσις ἐν φιλοσοφίᾳ, μηδεμίαν αἱρεῖσθαι· ὕβρις γὰρ ἐς τὰς ἄλλας τὸ τοιοῦτον.

35. ΕΡΜ. Ὦ Λυκῖνε, πρὸς τῆς Ἑστίας, Πλάτωνα μὲν καὶ Ἀριστοτέλην καὶ Ἐπίκουρον καὶ τοὺς ἄλλους ἀτρεμεῖν ἐάσωμεν· οὐ γὰρ κατ' ἐμὲ ἀνταγωνίζεσθαι αὐτοῖς· νὼ δὲ, ἐγώ τε καὶ σὺ, ἐφ' ἡμῶν αὐτῶν ἐξετάσωμεν εἰ τοιοῦτόν ἐστι τὸ φιλοσοφίας πρᾶγμα, οἷον ἐγώ φημι αὐτὸ εἶναι. Αἰθίοπας δέ γε ἢ τὴν Γέλωνος γυναῖκα τί ἔδει καλεῖν ἐκ Συρακουσῶν ἐπὶ τὸν λόγον;

ΛΥΚ. Ἀλλ' ἐκεῖνοι μὲν ἀπίτωσαν ἐκποδὼν, εἴ σοι δοκοῦσι περιττοὶ εἶναι πρὸς τὸν λόγον· σὺ δὲ λέγε ἤδη· θαυμαστὸν γάρ τι ἐρεῖν ἔοικας.

ΕΡΜ. Δοκεῖ μοι, ὦ Λυκῖνε, καὶ πάνυ δυνατὸν εἶναι μόνα τὰ τῶν Στωϊκῶν ἐκμαθόντα εἰδέναι τἀληθὲς ἀπὸ τούτων, κἂν μὴ τὰ τῶν ἄλλων ἐπεξέλθῃ τις ἐκμανθάνων ἕκαστα. Οὑτωσὶ δὲ σκόπει· ἤν τις λέγῃ πρὸς σὲ μόνον τοῦτο, ὡς αἱ δύο δυάδες τὸν τέτταρα ἀριθμὸν ἀποτελοῦσιν, ἆρα δεήσει περιόντα σε πυνθάνεσθαι τῶν ἄλλων, ὅσοι ἀριθμητικοὶ, μή τις ἄρα εἴη πέντε ἢ ἑπτὰ λέγων αὐτὰς εἶναι; ἢ αὐτίκα εἰδείης ἂν ὅτι ὁ ἀνὴρ ἀληθῆ λέγει;

ΛΥΚ. Αὐτίκα, ὦ Ἑρμότιμε.

ΕΡΜ. Τί ποτ'οὖν ἀδύνατον εἶναί σοι δοκεῖ, ἐντυγχάνοντά τινα μόνοις τοῖς Στωϊκοῖς λέγουσι τἀληθῆ πείθεσθαί τε αὐτοῖς καὶ μηκέτι δεῖσθαι τῶν ἄλλων εἰδότα ὡς οὐκ ἄν ποτε τὰ τέτταρα πέντε γένοιτο, οὐδ' ἂν μυρίοι Πλάτωνες ἢ Πυθαγόραι λέγωσιν;

36. ΛΥΚ. Οὐδὲν πρὸς ἔπος, ὦ Ἑρμότιμε· τὰ γὰρ ὁμολογούμενα τοῖς ἀμφισβητουμένοις εἰκάζεις, πάμπολυ αὐτῶν διαφέροντα. Ἤ τί ἂν φαίης; ἔστιν ᾧτινι ἐντετύχηκας λέγοντι τὰς δύο δυάδας συντεθείσας τὸν ἑπτὰ ἢ ἕνδεκα ἀριθμὸν ἀποτελεῖν;

ΕΡΜ. Οὐκ ἔγωγε· ἢ μαίνοιτ' ἂν ὁ μὴ τέτταρα ξυμβαίνειν λέγων.

ΛΥΚ. Τί δαί; ἐντετύχηκας πώποτε — καὶ πρὸς Χαρίτων πειρῶ ἀληθεύειν — Στωϊκῷ τινι καὶ Ἐπικουρείῳ μὴ διαφερομένοις περὶ ἀρχῆς ἢ τέλους;

ΕΡΜ. Οὐδαμῶς.

ΛΥΚ. Ὅρα τοίνυν μή πώς με παραλογίζῃ, ὦ γενναῖε, καὶ ταῦτα φίλον ὄντα· ζητούντων γὰρ ἡμῶν οἵτινι illum vero ad conjugem quum veniret suam, iratum fuisse ipsi, quod sibi non indicasset, quum maxime graveolentiam illam sciret: illam vero ignosci sibi petiisse: se enim, quod virum alium experta non esset, neque ex proximo sermones cum quoquam miscuisset, putasse viris omnibus tale quiddam os olere. Etiam Hermotimus igitur, qui solis cum Stoicis fuerit, dicat Plato, ignorat (nec id mirum) qualia aliorum sint ora. Similia vero etiam Chrysippus dicat, aut plura hisce, si quidem relinquens ipsum inauditum ad Platonica me conferam, postquam fidem habuerim eorum alicui, qui solo cum Platone versati fuerint. Uno denique verbo comprehendens omnia aio: donec obscurum sit quae vera sit in philosophia secta, nullam earum esse sectandam: ista enim contumelia fuerit in reliquas.

35. HERM. Per Vestam, Lycine, Platonem, et Aristotelem, et Epicurum, et reliquos quiescere sinamus; neque enim cum illis contendere meum est. Nos vero, ego, inquam, et tu, per nos ipsos quæramus, sitne tale quid philosophia, quale ego aio esse. Æthiopas autem vel Gelonis uxorem Syracusis evocare ad hunc sermonem quid attinebat?

LYC. At illi quidem e vestigio abeant, si superflui tibi videntur esse ad nostram disputationem: tu vero jam dicito, mirabile enim quiddam videris dicturus.

HERM. Videtur mihi, Lycine, et facile quidem fieri posse, ut aliquis, qui sola Stoicorum placita didicerit, sciat ex his verum, etiamsi aliorum sententias non persequatur atque ediscat singulas. Ita vero considera. Si quis hoc tibi solum dicat, bis binos quaternarium numerum efficere, numquid opus est te in circuitu interrogare reliquos, quotquot sunt numerorum periti, num quis forte sit qui quinque aut septem dicat eos esse? an vero statim noris vera illum dicere?

LYC. Statim, Hermotime.

HERM. Qui tandem igitur fieri tibi non posse videtur, ut aliquis solos Stoicos adeat vera dicentes, et persuaderi sibi ab iis patiatur, nec amplius opus reliquis habeat, quum sciat, nunquam quæ quatuor sint quinque posse fieri, neque si sexcenti Platones aut Pythagoræ dicant?

36. LYC. Nihil hoc ad disputationem nostram, Hermotime: ea enim de quibus inter omnes convenit, cum his de quibus disceptatur confers, quæ tamen longe inter se distant. Aut quid dixeris? estne quem videris qui dicat binarios duos compositos septem aut undecim numerum efficere?

HERM. Non equidem. Alioqui furat, qui non confieri quatuor dicat.

LYC. Quid vero? incidistine unquam (et, per ego te Gratiarum numen obtestor, tenta verum amare) in Stoicum aliquem et Epicureum, qui non dissiderent de initiis rerum aut de finibus?

HERM. Nequaquam.

LYC. Vide igitur ne me rationibus colligendis fallas, eumque amicum. Quærentibus enim nobis, qui veram ra-

νες ἀληθεύουσιν ἐν φιλοσοφίᾳ, σὺ τοῦτο προαρπάσας ἔδωκας φέρων τοῖς Στωϊκοῖς λέγων ὡς οὗτοί εἰσιν οἱ τὰ ὀἰς δύο τέτταρα τιθέντες, ὅπερ ἄδηλον εἰ οὕτως ἔχει· φαῖεν γὰρ ἂν οἱ Ἐπικούρειοι ἢ Πλατωνικοὶ, σφᾶς μὲν οὕτω ξυντιθέναι, ὑμᾶς δὲ πέντε ἢ ἑπτὰ λέγειν αὐτά. Ἢ οὐ δοκοῦσί σοι τοῦτο ποιεῖν, ὁπόταν ὑμεῖς μὲν μόνον τὸ καλὸν ἀγαθὸν ἡγῆσθε εἶναι, οἱ Ἐπικούρειοι δὲ τὸ ἡδύ; καὶ ὅταν ὑμεῖς λέγητε σώματα εἶναι ἅπαντα, ὁ Πλάτων δὲ νομίζῃ καὶ ἀσώματόν τι ἐν τοῖς οὖσιν εἶναι; Ἀλλ' ὅπερ ἔφην, πλεονεκτικῶς πάνυ τὸ ἀμφισβητούμενον συλλαβὼν ὡς ἀναμφιλόγως ἴδιον τῶν Στωϊκῶν δίδως αὐτοῖς ἔχειν, καίτοι ἀντιλαμβανομένων τῶν ἄλλων καὶ λεγόντων αὐτῶν τοῦτο εἶναι, ἔνθα δὴ κρίσεως μάλιστα, οἶμαι, δεῖ. Ἂν μὲν οὖν πρόδηλον γένηται τοῦτο, ὡς Στωϊκῶν ἐστι μόνων τὰ δὶς δύο τέτταρα ἡγεῖσθαι, ὥρα σιωπᾶν τοῖς ἄλλοις· ἄχρι δ' ἂν αὐτοῦ τούτου πέρι διαμάχωνται, πάντων ὁμοίως ἀκουστέον ἢ εἰδέναι ὅτι πρὸς χάριν δικάζειν δόξομεν.

37. ΕΡΜ. Οὔ μοι δοκεῖς, ὦ Λυκῖνε, ξυνιέναι πῶς βούλομαι εἰπεῖν.

ΛΥΚ. Οὐκοῦν σαφέστερον χρὴ λέγειν εἴ ἑτεροῖόν τι, ἀλλὰ μὴ τοιοῦτον φήσεις.

ΕΡΜ. Εἴσῃ αὐτίκα οἷόν τι λέγω. Θῶμεν γάρ τινας δύο ἐσεληλυθέναι ἐς τὸ Ἀσκληπιεῖον ἢ ἐς τοῦ Διονύσου τὸ ἱερὸν, εἶτα μέντοι φιάλην τινὰ τῶν ἱερῶν ἀπολωλέναι. Δεήσει δή που ἀμφοτέρους ἐρευνηθῆναι αὐτοὺς, ὁπότερος ὑπὸ κόλπου ἔχει τὴν φιάλην.

ΛΥΚ. Καὶ μάλα.

ΕΡΜ. Ἔχει δὲ πάντως ὁ ἕτερος.

ΛΥΚ. Πῶς γὰρ οὔ, εἴ γε ἀπόλωλεν;

ΕΡΜ. Οὐκοῦν ἂν παρὰ τῷ προτέρῳ εὕρῃς αὐτὴν, οὐκέτι τὸν ἕτερον ἀποδύσεις· πρόδηλον γὰρ ὡς οὐκ ἔχει.

ΛΥΚ. Πρόδηλον γάρ.

ΕΡΜ. Καὶ εἴ γε μὴ εὑροιμεν ἐν τῷ τοῦ προτέρου κόλπῳ, ὁ ἕτερος πάντως ἔχει, καὶ οὐδὲν ἐρεύνης οὐδὲ οὕτω δεῖ.

ΛΥΚ. Ἔχει γάρ.

ΕΡΜ. Καὶ ἡμεῖς τοίνυν εἰ εὕροιμεν ἤδη παρὰ τοῖς Στωϊκοῖς τὴν φιάλην, οὐκέτι ἐρευνᾶν τοὺς ἄλλους ἀξιώσομεν ἔχοντες ὃ πάλαι ἐζητοῦμεν· ἢ τίνος γὰρ ἂν ἕνεκα ἔτι κάμνοιμεν;

38. ΛΥΚ. Οὐδενὸς, εἴ γε εὕροιτε καὶ εὑρόντες ἔχοιτε εἰδέναι ὡς ἐκεῖνο ἦν τὸ ἀπολωλὸς, ἢ ὅλως γνώριμον ὑμῖν εἴη τὸ ἀνάθημα. Νῦν δὲ, ὦ ἑταῖρε, πρῶτον μὲν οὐ δύο εἰσὶν οἱ παρελθόντες ἐς τὸν νεὼν, ὡς ἀναγκαῖον εἶναι τὸν ἕτερον αὐτοῖν τὰ φώρια ἔχειν, ἀλλὰ μάλα πολλοί τινες, εἶτα καὶ τὸ ἀπολόμενον αὐτὸ ἄδηλον ὅ τι ποτέ ἐστιν, εἴτε φιάλη τις ἢ σκύφος ἢ στέφανος· ὅσοι γοῦν ἱερεῖς, ἄλλος ἄλλο εἶναι λέγουσι καὶ οὐδὲ περὶ τῆς ὕλης αὐτῆς ὁμολογοῦσιν, ἀλλ' οἱ μὲν χαλκοῦ, οἱ δὲ ἀργύρου, οἱ δὲ χρυσοῦ, οἱ δὲ καττιτέρου εἶναι αὐτὸ φάσκουσιν. Ἀνάγκη τοίνυν ἅπαντας ἀποδῦσαι τοὺς εἰσελθόντας, εἰ βούλει εὑρεῖν τὸ ἀπολωλός· καὶ γὰρ ἂν παρὰ

tionem in philosophia sequantur, tu hoc præreptum aliis ad Stoicos detulisti, quum diceres, hos esse, qui bis duo ponant esse quattuor; quod obscurum, an ita habeat. Dixerint enim Epicurei vel Platonici, se quidem ita componere, vos autem quinque aut septem ea esse dicere. An non videntur tibi hoc facere, quum vos quidem solum quod honestum sit idem bonum putatis esse, Epicurei autem id quod suave sit? et quum vos dicitis corpora esse quæcumque sint, Plato autem statuit etiam incorporeum quiddam in rerum natura esse? Tu vero, quod modo dicebam, prorsus arroganter id ipsum de quo disceptatur comprehendens, tanquam extra controversiam Stoicorum esset proprium, ipsis habendum adjudicas, licet vindicantibus idem sibi reliquis, et suum esse dicentibus, ubi sane judicio vel maxime, opinor, opus est. Si quidem igitur planum hoc fiat, Stoicorum solorum esse bis duo putare esse quatuor; tum sane tacendum reliquis. Dum autem de hoc ipso certaverint, omnes æque audiendi sunt, aut sciendum, nos in opinionem venturos condonati gratiæ judicii.

37. HERM. Non videris mihi, Lycine, intelligere quid mihi voluerim.

LYC. Igitur dilucidius dicendum erit, si quid diversum, non autem tale quale ante intelligebam dices.

HERM. Statim scies, quid dicam. Ponamus enim duos quosdam in Æsculapii aut in Bacchi templum ingressos: deinde vero phialam de sacris perditam. Oportebit scilicet ambos excuti, uter in sinu habeat phialam.

LYC. Sane.

HERM. Habet autem omnino alteruter.

LYC. Qui non, si quidem perdita sit?

HERM. Igitur si apud priorem illam inveneris, non jam alterum exues: planum enim, illum non habere.

LYC. Planum.

HERM. Et si non inveniamus in sinu prioris, alter omnino habet, et nihil perscrutatione neque sic opus est.

LYC. Habet enim alter.

HERM. Et nos igitur si inveniamus statim apud Stoicos phialam, non jam excutere reliquos opus putabimus, quippe qui habeamus quod dudum quærebamus: aut cujus rei gratia plus laboris sumamus?

38. LYC. Nullius, si quidem inveneritis, et inventum scire possitis illud esse id ipsum, quod fuerat perditum; aut si omnino notum vobis sit donarium. Jam vero, amice, primum quidem non duo sunt ingressi in templum, ut necesse sit alterutrum habere rem furtivam, sed valde multi: deinde ipsum quod desideratur, quid sit obscurum est, phialane, an scyphus, an corona; quot enim sunt sacerdotes, alius aliud dicit, nec de materia ipsa inter illos convenit, sed alii ex ære, alii argenteum esse, aureum alii, alii e stanno esse dicunt. Necesse igitur est quicumque ingressi sunt, exuere omnes, si invenire velis quod desideratur:

τῷ πρώτῳ εὐθὺς εὕρῃς φιάλην χρυσῆν, ἔτι καὶ τοὺς ἄλλους σοι ἀποδυτέον.

ΕΡΜ. Διὰ τί, ὦ Λυκῖνε;

ΛΥΚ. Ὅτι ἄδηλον εἰ φιάλη τὸ ἀπολόμενον ἦν. Εἰ δὲ καὶ τοῦτο ὑπὸ πάντων ὁμολογηθείη, ἀλλ' οὔτι γε χρυσῆν ἅπαντές φασιν εἶναι τὴν φιάλην· εἰ δὲ καὶ μάλιστα γνώριμον γένοιτο ὡς φιάλη ἀπόλοιτο χρυσῆ, καὶ σὺ παρὰ τῷ πρώτῳ εὕροις φιάλην χρυσῆν, οὐδὲ οὕτω παύσῃ διερευνώμενος τοὺς ἄλλους· οὐ γὰρ δῆλόν που εἰ αὐτὴ ἦν ἡ τοῦ θεοῦ· ἢ οὐκ οἴει πολλὰς φιάλας εἶναι χρυσᾶς;

ΕΡΜ. Ἔγωγε.

ΛΥΚ. Δεήσει δὴ ἐπὶ πάντας ἰέναι ἐρευνῶντα καὶ τὰ παρ' ἑκάστῳ εὑρεθέντα πάντα εἰς μέσον καταθέντα εἰκάζειν ὅ τι ποτὲ αὐτῶν πρέποι ἂν θεῖον κτῆμα οἴεσθαι.

39. Καὶ γὰρ αὖ τὸ τὴν πολλὴν ἀπορίαν παρεχόμενον τοῦτό ἐστιν, ὅτι ἕκαστος τῶν ἀποδυθησομένων ἔχει τι πάντως, ὁ μὲν σκύφον, ὁ δὲ φιάλην, ὁ δὲ στέφανον, καὶ ὁ μὲν ἐκ χαλκοῦ, ὁ δὲ ἐκ χρυσοῦ, ὁ δὲ ἀργύρου· εἰ δὲ ὃ ἔχει, τοῦτο τὸ ἱερόν ἐστιν, οὐδέπω δῆλον. Πᾶσα τοίνυν ἀνάγκη ἀπορεῖν ὅντινα ἱερόσυλον εἴπῃς, ὅπου γε καὶ εἰ πάντες τὰ ὅμοια εἶχον, ἄδηλον ἦν καὶ οὕτως ὅστις ὁ τὰ τοῦ θεοῦ ὑφῃρημένος· ἔστι γὰρ καὶ ἰδιωτικὰ ἔχειν. Τὸ δ' αἴτιον τῆς ἀγνοίας ἓν ἐστιν, οἶμαι, τὸ ἀνεπίγραφον εἶναι τὴν ἀπολομένην φιάλην — θῶμεν γὰρ φιάλην ἀπολωλέναι — ὡς εἴ γε ἐπεγέγραπτο τοῦ θεοῦ τὸ ὄνομα ἢ τοῦ ἀναθέντος, ἧττον ἂν ἐκάμνομεν καὶ εὑρόντες τὴν ἐπιγεγραμμένην ἐπεπαύμεθ' ἂν ἀποδύοντες καὶ ἐνοχλοῦντες τοὺς ἄλλους. Οἶμαι δέ σε, ὦ Ἑρμότιμε, καὶ ἀγῶνας ἤδη γυμνικοὺς ἑορακέναι πολλάκις.

ΕΡΜ. Καὶ ὀρθῶς οἴει· πολλάκις γὰρ καὶ πολλαχόθι.

ΛΥΚ. Ἦ οὖν ποτε καὶ παρὰ τοὺς ἀθλοθέτας αὐτοὺς ἐκαθέζου;

ΕΡΜ. Νὴ Δία, ἔναγχος Ὀλυμπίασιν ἐπὶ τὰ λαιὰ τῶν Ἑλλανοδικῶν, Εὐανδρίδου τοῦ Ἠλείου θέαν μοι προκαταλαβόντος ἐν τοῖς ἑαυτοῦ πολίταις· ἐπεθύμουν γὰρ ἐγγύθεν ἅπαντα ὁρᾶν τὰ παρὰ τοῖς Ἑλλανοδίκαις γιγνόμενα.

ΛΥΚ. Οἶσθα οὖν καὶ τοῦτο, πῶς κληροῦσιν ὅντινα χρὴ παλαίειν ἢ παγκρατιάζειν;

ΕΡΜ. Οἶδα γάρ.

ΛΥΚ. Οὐκοῦν ἄμεινον σὺ εἴποις ὡς ἐγγύθεν ἰδών.

40. ΕΡΜ. Τὸ μὲν παλαιὸν ἐπὶ Ἡρακλέους ἀγωνοθετοῦντος φύλλα δάφνης —

ΛΥΚ. Μή μοι τὰ πάλαι, ὦ Ἑρμότιμε, ἃ δὲ εἶδες ἐγγύθεν, ἐκεῖνα λέγε.

ΕΡΜ. Κάλπις ἀργυρᾶ πρόκειται ἱερὰ τοῦ θεοῦ· ἐς ταύτην ἐμβάλλονται κλῆροι μικροί, ὅσον δὴ κυαμιαῖοι τὸ μέγεθος, ἐπιγεγραμμένοι. Ἐγγράφεται δὲ ἐς δύο μὲν ἄλφα ἐν ἑκατέρῳ, ἐς δύο δὲ τὸ βῆτα, καὶ ἐς ἄλλους δύο τὸ γάμμα καὶ ἑξῆς κατὰ τὰ αὐτά, ἢν πλείους οἱ

etiam si enim apud primum statim invenias phialam auream, adhuc reliquos tamen oportet exuere.

HERM. Cur, Lycine?

LYC. Quoniam obscurum est, sitne phiala illud quod periit. Si vero hoc etiam inter omnes conveniat, at auream non omnes aiunt esse phialam: et si maxime illud etiam constet, auream periisse phialam, tuque penes primum invenias phialam auream, ne sic quidem excutere alios desines: neque enim planum est, sitne hæc ipsa quæ fuit dei: aut non putas plures esse phialas aureas?

HERM. Ego vero.

LYC. Opus igitur erit per omnes ire scrutando, quæque apud singulos inventa fuerint, ea in medio ponere omnia, et sic facere conjecturam, quid tandem illorum divinam possessionem putare deceat.

39. Etenim quod multam adeo dubitationem affert, illud est, quod eorum qui exuentur unusquisque habet aliquid, scyphum unus, alius phialam, alius coronam; et alius quidem ex ære, ex auro alius, alius ex argento: utrum vero quod habet quisque, id ipsum sacrum sit, nondum patet. Necesse igitur omnino est dubitare, quem dicas sacrilegum: ubi, etiam si similia haberent omnes, sic quoque obscurum esset, quis sit qui dei res surripuisset: licet enim privata quoque habere. Causa autem illius ignorantiæ una est, puto, quod inscriptionem non habet desiderata phiala (ponamus enim interim, phialam desiderari): nam si inscriptum ei dei esset nomen, aut donantis, minus laboraremus, inventaque ea quæ inscripta est, desineremus exuere alios et molestiam illis facessere. Puto autem te, Hermotime, gymnicos etiam sæpe vidisse ludos.

HERM. Recte putas: sæpe enim vidi, et multis locis.

LYC. Numquid igitur unquam prope ipsos sedisti certaminum præsides?

HERM. Quin nuper Olympiis ad sinistram Hellanodicarum, Evandrida Eleo spectandi locum mihi occupante in suis civibus: cupiebam enim ex proximo videre omnia quæ apud Hellanodicas fierent.

LYC. Itaque nosti hoc quoque, ut sortiantur quem quicum aut lucta certare aut pancratio oporteat?

HERM. Novi enim.

LYC. Itaque melius tute dixeris, qui videris ex proximo.

40. HERM. Olim quidem, præside certaminis Hercule, lauri folia —

LYC. Ne tu mihi antiqua, Hermotime; sed quæ ex propinquo vidisti, ea narra.

HERM. Urna argentea proposita est, dei sacra: in hanc parvæ fabarum instar sortes injiciuntur, inscriptæ. Inscribitur autem binis A, binis aliis B, aliis binis C, et eodem modo deinceps, si plures athletæ fuerint, ut duæ semper

ἀθληταὶ ὦσι, δύο ἀεὶ κλῆροι τὸ αὐτὸ γράμμα ἔχοντες. Προσελθὼν δὴ τῶν ἀθλητῶν ἕκαστος προσευξάμενος τῷ Διὶ καθεὶς τὴν χεῖρα ἐς τὴν κάλπιν ἀνασπᾷ τῶν κλήρων ἕνα καὶ μετ' ἐκεῖνον ἕτερος, καὶ παρεστὼς μαστιγοφόρος ἑκάστῳ ἀνέχει αὐτοῦ τὴν χεῖρα οὐ παρέχων ἀναγνῶναι ὅ τι τὸ γράμμα ἐστὶν ὃ ἀνέσπακεν. Ἁπάντων δὲ ἤδη ἐχόντων ὁ ἀλυτάρχης, οἶμαι, ἢ τῶν Ἑλλανοδικῶν αὐτῶν εἷς — οὐκέτι γὰρ τοῦτο μέμνημαι — περιὼν ἐπισκοπεῖ τοὺς κλήρους ἐν κύκλῳ ἑστώτων καὶ οὕτω τὸν μὲν τὸ ἄλφα ἔχοντα τῷ τὸ ἕτερον ἄλφα ἀνεσπακότι παλαίειν ἢ παγκρατιάζειν συνάπτει, τὸν δὲ τὸ βῆτα τῷ τὸ βῆτα ὁμοίως καὶ τοὺς ἄλλους τοὺς ὁμογράμμους κατὰ ταὐτά· οὕτω μὲν γὰρ, ἢν ἄρτιοι ὦσιν οἱ ἀγωνισταὶ, οἷον ὀκτὼ ἢ τέτταρες ἢ δώδεκα, ἢν δὲ περιττοὶ, πέντε ἑπτὰ ἐννέα, γράμμα τι περιττὸν ἑνὶ κλήρῳ ἐγγραφὲν συμβάλλεται αὐτοῖς, ἀντίγραφον ἄλλο οὐκ ἔχον. Ὃς δ' ἂν τοῦτο ἀνασπάσῃ, ἐφεδρεύει περιμένων, ἕστ' ἂν ἐκεῖνοι ἀγωνίσωνται· οὐ γὰρ ἔχει τὸ ἀντίγραμμα· καὶ ἔστι τοῦτο οὐ μικρὰ εὐτυχία τοῦ ἀθλητοῦ, τὸ μέλλειν ἀκμῆτα τοῖς κεκμηκόσι συμπεσεῖσθαι.

41. ΛΥΚ. Ἔχ' ἀτρέμας· τούτου γὰρ ἐδεόμην μάλιστα. Οὐκοῦν ἐννέα ὄντες ἀνεσπάκασιν ἅπαντες καὶ ἔχουσι τοὺς κλήρους. Περιὼν δὴ — βούλομαι γάρ σε Ἑλλανοδίκην ἀντὶ θεατοῦ ποιῆσαι — ἐπισκοπεῖς τὰ γράμματα, καὶ οὐ πρότερον, οἶμαι, μάθοις ἂν ὅστις ὁ ἔφεδρός ἐστιν, ἢν μὴ ἐπὶ πάντας ἔλθῃς καὶ συζεύξῃς αὐτούς.

ΕΡΜ. Πῶς, ὦ Λυκῖνε, τοῦτο φῄς;

ΛΥΚ. Ἀδύνατόν ἐστιν εὐθὺς εὑρεῖν τὸ γράμμα ἐκεῖνο τὸ δηλοῦν τὸν ἔφεδρον, ἢ τὸ μὲν γράμμα ἴσως ἂν εὕροις, οὐ μὴν εἴσῃ γε εἰ ἐκεῖνός ἐστιν· οὐ γὰρ προείρηται ὅτι τὸ Κ ἢ τὸ Μ ἢ τὸ Ι ἐστὶ τὸ χειροτονοῦν τὸν ἔφεδρον· ἀλλ' ἐπειδὰν τῷ Α ἐντύχῃς, ζητεῖς τὸν τὸ ἕτερον Α ἔχοντα καὶ εὑρὼν ἐκείνους μὲν ἤδη συνέζευξας, ἐντυχὼν δὲ αὖθις τῷ βῆτα τὸ ἕτερον βῆτα ὅπου ἐστὶ ζητεῖς, τὸ ἀντίπαλον τῷ εὑρεθέντι, καὶ ἐπὶ πάντων ὁμοίως, ἄχρι ἂν ἐκεῖνός σοι περιλειφθῇ ὁ τὸ μόνον γράμμα ἔχων τὸ ἀνανταγώνιστον.

42. ΕΡΜ. Τί δ' εἰ ἐκείνῳ πρώτῳ ἢ δευτέρῳ ἐντύχοις, τί ποιήσεις;

ΛΥΚ. Οὐ μὲν οὖν, ἀλλὰ σὺ ὁ Ἑλλανοδίκης ἐθέλω εἰδέναι ὅ τι καὶ πράξεις, πότερον αὐτίκα ἐρεῖς ὅτι οὗτός ἐστιν ὁ ἔφεδρος, ἢ δεήσει ἐπὶ πάντας ἐν κύκλῳ ἐλθόντα ἰδεῖν εἴ που αὐτῷ γράμμα ὅμοιόν ἐστιν; ὡς εἴ γε μὴ τοὺς πάντων κλήρους ἴδοις, οὐκ ἂν μάθοις τὸν ἔφεδρον.

ΕΡΜ. Καὶ μήν, ὦ Λυκῖνε, ῥᾳδίως ἂν μάθοιμι· ἐπὶ γοῦν τῶν ἐννέα ἦν τὸ Ε εὗρω πρῶτον ἢ δεύτερον, οἶδα ὅτι ἔφεδρος ὁ τοῦτο ἔχων ἐστί.

ΛΥΚ. Πῶς, ὦ Ἑρμότιμε;

ΕΡΜ. Οὕτως· τὸ Α δύο αὐτῶν ἔχουσι καὶ τὸ Β ὁμοίως δύο, τῶν λοιπῶν δὲ τεττάρων ὄντων οἱ μὲν τὸ Γ, οἱ δὲ τὸ Δ πάντως ἀνεσπάκασι καὶ ἀνήλωται ἤδη ἐς τοὺς ἀθλητὰς ὀκτὼ ὄντας τὰ τέτταρα γράμματα. Δῆλον

sortes eandem literam habeant. Accedens autem athletarum unusquisque, Jovem precatus, demissa in urnam manu sortium unam extrahit, et post illum alius; astansque unicuique flagellifer manum illius retinet, nec sinit illum videre quæ sit litera quam extraxerit. Omnibus autem suam jam habentibus, Alytarcha puto, aut ipsorum unus Hellanodicarum (hoc enim non jam recordor) circumiens inspicit sortes stantium circulo, atque ita eum qui A habet, cum eo qui alterum A extraxit, ad luctam vel pancratium comparat similiterque eum cui B evenit, cum altero qui B habet, et reliquos ejusdem literæ eadem ratione. Atque ita quidem si pari numero sint athletæ, octo puta, quattuor, duodecim: si vero impari numero, quinque, septem, novem; litera quædam impar et ipsa, uni tantum sorti inscripta, respondentem sibi aliam non habens, cum reliquis injicitur. Hanc qui extraxerit, subsidet, exspectans dum illi certaverint: non enim habet ex adverso sibi respondentem literam. Et est illa non parva athletæ felicitas, qui integer committendus sit fatigatis.

41. LYC. Insiste: hoc enim maxime mihi opus erat. Igitur novem quum sint, extraxerunt omnes et habent sortes. Circumiens itaque (volo enim te jam pro spectatore Hellanodicam facere) inspicis literas, nec prius puto didiceris, quis subsessor ille sit, quam quum veneris ad omnes, eosque comparaveris.

HERM. Quid ita, Lycine?

LYC. Fieri non potest ut statim invenias literam illam subsessoris indicem, aut literam forte invenias, sed utrum ille sit, nescies. Neque enim prædictum est, aut K aut M aut I esse quæ subsessorem indicet. Sed ubi in A incideris, quæris eum qui alteram A habet, eoque invento, illos jam comparasti: et quum in B incidis, altera B ubi sit quæris, inventæ respondens, ac de omnibus similiter, donec ille tibi relinquatur, solitariam literam habens, cui nulla ex adverso respondet.

42. HERM. Quid vero si in illam primo aut secundo incidas, quid facies?

LYC. Minime quid ego sim facturus quæritur: sed tu Hellanodica, scire volo, quid facturus sis: utrum statim sis dicturus, Hic est subsessor, an ad omnes per orbem eundum putes, et videndum si qua ipsi litera similis sit: atque adeo nisi omnium sortes videris, non discas subsessorem.

HERM. Quin, Lycine, facile discam. Inter novem enim si E primo invenero, aut secundo loco, novi, hanc qui habeat, esse subsessorem.

LYC. Quid ita, Hermotime?

HERM. Hoc modo: A duo illorum habent, B itidem duo; reliqui, quum sint quatuor, duo C, D autem alii duo omnino extraxerunt, consumtæque sunt in octo athletas literæ quat-

οὐν ὅτι μόνον ἂν οὕτω περιττὸν εἴη τὸ ἑξῆς γράμμα τὸ Ε, καὶ ὁ τοῦτο ἀνεσπακὼς ἔφεδρός ἐστι.

ΛΥΚ. Πότερον, ὦ Ἑρμότιμε, ἐπαινέσω σε τῆς συνέσεως, ἢ θέλεις ἀντείπω τά γ' ἐμοὶ δοκοῦντα, ὁποῖα ἂν ᾖ;

ΕΡΜ. Νὴ Δία· διαπορῶ μέντοι ὅ τι ἂν εὔλογον ἀντειπεῖν ἔχοις πρὸς τὸ τοιοῦτον.

43. ΛΥΚ. Σὺ μὲν γὰρ ὡς ἑξῆς πάντως γραφομένων γραμμάτων εἴρηκας, οἷον πρώτου τοῦ Α, δευτέρου δὲ τοῦ Β καὶ κατὰ τὴν τάξιν, ἄχρι ἂν ἐς ἓν αὐτῶν τελευτήσῃ ὁ ἀριθμὸς τῶν ἀθλητῶν· καὶ δίδωμί σοι Ὀλυμπίασιν οὕτω γίγνεσθαι. Τί δὲ, εἰ ἐξελόντες ἀτάκτως πέντε γράμματα ἐξ ἁπάντων, τὸ Χ καὶ τὸ Σ καὶ τὸ Ζ καὶ τὸ Κ καὶ τὸ Θ, τὰ μὲν ἄλλα τέτταρα διπλᾶ ἐπὶ τῶν κλήρων τῶν ὀκτὼ γράφοιμεν, τὸ δὲ Ζ μόνον ἐπὶ τοῦ ἑνάτου, ὃ δὴ καὶ δηλοῦν ἐμελλεν ἡμῖν τὸν ἔφεδρον, τί ποιήσεις πρῶτον εὑρὼν τὸ Ζ; τῷ διαγνώσῃ ἔφεδρον ὄντα τὸν ἔχοντα αὐτὸ, ἢν μὴ ἐπὶ πάντας ἐλθὼν εὕρῃς οὐδὲν αὐτῷ συμφωνοῦν; οὐ γὰρ εἶχες ὥσπερ νῦν τῇ τάξει αὐτῶν τεκμαίρεσθαι.

ΕΡΜ. Δυσαπόκριτον τοῦτο ἐρωτᾷς.

44. ΛΥΚ. Ἰδοὺ δὴ καὶ ἑτέρως τὸ αὐτὸ ἐπισκόπησον. Τί γὰρ, εἰ μηδὲ γράμματα γράφοιμεν ἐπὶ τῶν κλήρων, ἀλλά τινα σημεῖα καὶ χαρακτῆρας, οἷα πολλὰ Αἰγύπτιοι γράφουσιν ἀντὶ τῶν γραμμάτων, κυνοκεφάλους τινὰς ὄντας καὶ λεοντοκεφάλους ἀνθρώπους, ἢ ἐκεῖνα μὲν ἐάσωμεν, ἐπείπερ ἀλλόκοτά ἐστι· φέρε δὲ τὰ μονοειδῆ καὶ ἁπλᾶ ἐπιγράψωμεν ὡς οἷόν τε εἰκάσαντες ἀνθρώπους ἐπὶ δυοῖν κλήροιν, δύο ἵππους ἐπὶ δυοῖν καὶ ἀλεκτρυόνας δύο καὶ κύνας δύο, τῷ δὲ ἑνάτῳ λέων ἔστω τοὐπίσημον. Ἢν τοίνυν τῷ λεοντοφόρῳ τούτῳ κλήρῳ ἐν ἀρχῇ ἐντύχῃς, πόθεν ἕξεις εἰπεῖν ὅτι οὗτός ἐστιν ὁ τὸν ἔφεδρον ποιῶν, ἢν μὴ παραθεωρήσῃς ἅπαντας ἐπιὼν εἴ τις καὶ ἄλλος λέοντα ἔχει;

ΕΡΜ. Οὐκ ἔχω ὅ τι σοι ἀποκρίνωμαι, ὦ Λυκῖνε.

45. ΛΥΚ. Εἰκότως· οὐδὲ γὰρ εὐπρόσωπον οὐδέν. Ὥστε ἢν ἐθέλωμεν ἢ τὸν ἔχοντα τὴν ἱερὰν φιάλην εὑρεῖν ἢ τὸν ἔφεδρον ἢ τὸν ἄριστα ἡγησόμενον ἡμῖν ἐς τὴν πόλιν ἐκείνην τὴν Κόρινθον, ἐπὶ πάντας ἀναγκαίως ἀφιξόμεθα καὶ ἐξετάσομεν ἄκρως πειρώμενοι καὶ ἀποδύοντες καὶ παραθεωροῦντες· μόλις γὰρ ἂν οὕτω τἀληθὲς ἐκμάθοιμεν. Καὶ εἴ γέ τις μέλλει σύμβουλός μοι ἀξιόπιστος ἔσεσθαι φιλοσοφίας πέρι, ἥντινα φιλοσοφητέον, οὗτος ἂν εἴη μόνος ὁ τὰ ὑπὸ πασῶν αὐτῶν λεγόμενα εἰδώς, οἱ δ' ἄλλοι ἀτελεῖς, καὶ οὐκ ἂν πιστεύσαιμι αὐτοῖς, ἔστ' ἂν καὶ μιᾶς ἀπείρατοι ὦσι· τάχα γὰρ ἂν ἡ ἀρίστη ἐκείνη εἴη. Οὐ γὰρ δὴ εἴ τις παραστησάμενος καλὸν ἄνθρωπον λέγοι τοῦτον εἶναι κάλλιστον ἀνθρώπων ἁπάντων, πιστεύσαιμεν ἂν αὐτῷ, ἢν μὴ εἰδῶμεν ὅτι πάντας ἀνθρώπους ἑόρακεν· ἴσως μὲν γὰρ καὶ οὗτος καλὸς, εἰ δὲ πάντων κάλλιστος οὐκ ἂν ἔχοι εἰδέναι μὴ ἰδὼν ἅπαντας. Ἡμεῖς δὲ οὐκ αὐτὸ μόνον καλοῦ, ἀλλὰ τοῦ καλλίστου δεόμεθα, καὶ ἢν μὴ τοῦτο εὕρωμεν, οὐδὲν ἡμῖν πλέον πεπρᾶχθαι ἡγησόμεθα· οὐ γὰρ

tuor. Apparet igitur solam ita imparem futuram proximam literam E, eumque qui illam extraxerit, esse subsessorem.

LYC. Utrum, Hermotime, prudentiam tuam laudabo an vis contra dicam quæ mihi videantur, qualiacumque demum fuerint?

HERM. Quin dic. Non comminiscor equidem quid cum ratione in tali re dicere contra possis.

43. LYC. Tu quidem ita dixisti, tanquam ordine deinceps suo omnino scribantur literæ, velut prima A, altera B, et sic ordine, donec in una illarum numerus athletarum deficiat. Ac do tibi, Olympiæ ita fieri. Quid vero, si sumtis sine ordine quinque literis C, S, Z, K, T, reliquas quidem quatuor bis quamque in octo sortibus scribamus, Z autem solum in nona, quod scilicet designet nobis subsessorem: quid facies, si primum Z invenias? quanam re intelliges subsessorem esse qui illam habeat, nisi ad omnes accedens invenias nullam cum ea convenire? non enim poteras, ut modo, ex ordine illarum illud intelligere.

HERM. Difficile est ad respondendum quod rogas.

44. LYC. Ecce alio etiam modo idem illud considera. Quid enim, si neque literas scribamus in sortibus, sed signa quædam et notas, quo genere Ægyptii multa scribunt, pro literis pingentes caninis aut leoninis capitibus homines: aut illa quidem relinquamus, quum absurda sint; sed age uniformia illa et simplicia in iis pingamus, observata quantum potest similitudine, homines in duabus sortibus, duos in duabus equos, et gallos duos, et duos canes, nonæ autem nota esto leo. In hanc igitur signatam leone sortem si primum incidas, unde habebis dicere, hanc esse quæ subsessorem faciat, nisi ante obeundo omnes inspexeris, si qua etiam alia leonem habeat?

HERM. Non habeo quod tibi, Lycine, respondeam.

45. LYC. Nihil mirum: neque enim speciosum quidquam est quod responderi possit. Itaque si voluerimus vel eum qui auream phialam habeat invenire, vel subsessorem, vel optimum in civitatem illam Corinthum ducem, ad omnes necessario deveniemus, et inquiremus summo opere tentantes, et exuentes, et cum aliis conferentes: vix enim vel sic verum perdiscamus. Et si quis mihi futurus est consiliarius fide dignus de philosophia ea quæ sequenda sit, ille fuerit solus, qui ea quæ ab omnibus dicuntur noverit: reliqui omnes in censum non veniunt, neque iis crediderim, dum vel unius sectæ sint ignari: forte enim hæc ipsa fuerit optima. Neque enim sane, si quis pulchrum nobis hominem adducat, huncque dicat esse omnium hominum pulcherrimum, ipsi credamus, nisi sciamus omnes illum homines vidisse. Forte enim et hic quidem pulcher: an vero omnium pulcherrimus, scire non possit qui omnes non viderit. Nos autem non pulchro solum, sed pulcherrimo opus habemus: et hoc nisi invenerimus, nihil nobis profecisse videbimur. Neque enim satis habebimus in pul-

ἀγαπήσομεν ὁποιῳδήποτε καλῷ ἐντυχόντες, ἀλλ' ἐκεῖνο τὸ ἀκρότατον ζητοῦμεν κάλλος, ὅπερ ἀνάγκη ἓν εἶναι.

46. ΕΡΜ. Ἀληθῆ.

ΛΥΚ. Τί οὖν; ἔχεις μοί τινα εἰπεῖν ἁπάσης ὁδοῦ πεπειραμένον ἐν φιλοσοφίᾳ, καὶ ὃς τά τε ὑπὸ Πυθαγόρου καὶ Πλάτωνος καὶ Ἀριστοτέλους καὶ Χρυσίππου καὶ Ἐπικούρου καὶ τῶν ἄλλων λεγόμενα εἰδὼς τελευτῶν μίαν εἵλετο ἐξ ἁπασῶν ὁδῶν ἀληθῆ τε δοκιμάσας καὶ πεῖρᾳ μαθὼν ὡς μόνη ἄγει εὐθὺ τῆς εὐδαιμονίας; εἰ γάρ τινα τοιοῦτον εὕροιμεν, παυσόμεθα πράγματα ἔχοντες.

ΕΡΜ. Οὐ ῥᾴδιον, ὦ Λυκῖνε, τοιοῦτον ἄνδρα εὑρεῖν.

47. ΛΥΚ. Τί δὴ οὖν πράξομεν, ὦ Ἑρμότιμε; Οὐκ ἀπαγορευτέον οἶμαι, ἐπεὶ μηδενὸς ἡγεμόνος τοιούτου ἓς γε τὸ παρὸν εὐποροῦμεν. Ἆρα τόδε πάντων κράτιστόν ἐστι καὶ ἀσφαλέστατον, αὐτὸν ἕκαστον ἀρξάμενον διὰ πάσης προαιρέσεως χωρῆσαι καὶ ἐπισκέψασθαι ἀκριβῶς τὰ ὑπὸ πάντων λεγόμενα;

ΕΡΜ. Ἔοικεν ἀπό γε τούτων· πλὴν ἐκεῖνο μὴ ἐναντίον ᾖ, ὃ μικρῷ πρόσθεν ἔλεγες, ὡς οὐ ῥᾴδιον, ἐπιδόντα ἑαυτὸν καὶ πετάσαντα τὴν ὀθόνην ἀναδραμεῖν αὖθις. Πῶς γὰρ οἷόν τε πάσας ἐπελθεῖν τὰς ὁδοὺς ἐν τῇ πρώτῃ, ὡς φῂς, κατασχεθησομένῳ;

ΛΥΚ. Ἐγώ σοι φράσω· τὸ τοῦ Θησέως ἐκεῖνο μιμησόμεθα, καί τι λίνον παρὰ τῆς τραγικῆς Ἀριάδνης λαβόντες εἴσιμεν ἐς τὸν λαβύρινθον ἕκαστον, ὡς ἔχειν ἀπραγμόνως μηρυόμενοι αὐτὸ ἐξιέναι.

ΕΡΜ. Τίς οὖν ἂν ἡμῖν Ἀριάδνη γένοιτ' ἂν ἢ πόθεν τοῦ λίνου εὐπορήσομεν;

ΛΥΚ. Θάρρει, ὦ ἑταῖρε· δοκῶ γάρ μοι εὑρηκέναι οὗτινος ἐχόμενοι ἐξέλθοιμεν ἄν.

ΕΡΜ. Τί οὖν τοῦτό ἐστιν;

ΛΥΚ. Οὐκ ἐμὸν ἐρῶ, ἀλλά τινος τῶν σοφῶν, τὸ, « νῆφε καὶ μέμνησ' ἀπιστεῖν· » ἦν γὰρ μὴ ῥᾳδίως πιστεύωμεν ἀκούοντες, ἀλλὰ δικαστικῶς αὐτὸ ποιῶμεν ἀπολιπόντες καὶ τοῖς ἑξῆς λόγον, ἴσως εὐμαρῶς ἂν τοὺς λαβυρίνθους ἐκφύγοιμεν.

ΕΡΜ. Εὖ λέγεις, καὶ τοῦτο ποιῶμεν.

48. ΛΥΚ. Εἶεν. Ἐπὶ τίνα δὴ αὐτῶν πρῶτον ἔλθοιμεν ἄν; ἢ τοῦτο μὲν οὐδὲν διοίσει, ἀρξάμενοι δὲ ἀφ' ὁτουοῦν, οἷον ἀπὸ Πυθαγόρου, ἦν οὕτω τύχῃ, πόσῳ ἂν χρόνῳ οἰώμεθα ἐκμαθεῖν τὰ Πυθαγόρου ἅπαντα; καὶ μή μοι ἐξαίρει καὶ τὰ πέντε ἔτη ἐκεῖνα τὰ τῆς σιωπῆς· σὺν δ' οὖν τοῖς πέντε ἱκανὰ τριάκοντα, οἶμαι, εἰ δὲ μή, ἀλλὰ πάντως γε εἴκοσι.

ΕΡΜ. Θῶμεν οὕτως.

ΛΥΚ. Εἶτα ἑξῆς τῷ Πλάτωνι θετέον δηλαδὴ τοσαῦτα ἕτερα, ἔτι μὴν καὶ Ἀριστοτέλει οὐκ ἐλάττω.

ΕΡΜ. Οὐ γάρ.

ΛΥΚ. Χρυσίππῳ δέ γε οὐκέτι ἐρήσομαί σε πόσα· οἶδα γὰρ παρὰ σοῦ ἀκούσας ὅτι τετταράκοντα μόγις ἱκανά.

ΕΡΜ. Οὕτως.

ΛΥΚ. Εἶτα ἑξῆς Ἐπικούρῳ καὶ τοῖς ἄλλοις. Ὡς

chrum quodcumque incidisse, sed summam illam pulchritudinem quærimus, quam unam esse necesse est.

46. HERM. Vera sunt ista.

LYC. Quid igitur? habes mihi dicere aliquem, qui viam omnem in philosophia tentaverit, quique cognitis quæ dicuntur a Pythagora et Platone et Aristotele et Chrysippo et Epicuro et reliquis, unam tandem ex omnibus viam delegerit, quam veram probaverit, et cognoverit experimento, solam ducere recta ad felicitatem? talem enim si invenerimus, laborare desinemus.

HERM. Non facile est, Lycine, talem virum reperire.

47. LYC. Quid agemus ergo, Hermotime? Non puto despondendum esse animum, si in præsens quidem non sit ducis ejusmodi copia. Numquid hoc omnium optimum est atque tutissimum, ipsum quemque incipere et per sectas ire omnes, et considerare accurate quæ dicuntur ab omnibus?

HERM. Sic videtur ex his quidem quæ disputata sunt. modo illud paullo ante a te dictum non adversetur, quod non facile est, qui semel se vento passis velis permiserit, retro cursum agere. Quomodo enim fieri potest ut vias aliquis omnes obeat, si in prima, quod dicis, futurum sit ut retineatur?

LYC. Dicam tibi. Thesei illud consilium imitabimur, et lino a tragica Ariadne accepto in labyrinthum quemque ingrediemur, ut glomerando illo sine molestia exeamus.

HERM. Quæ igitur nobis Ariadne fuerit, aut unde lini nobis erit copia?

LYC. Bono animo, sodalis, esto. Videor enim mihi invenisse quod tenentes egrediamur.

HERM. Quod igitur illud est?

LYC. Non meum dicam, sed cujusdam sapientium : « Sobrius fidem negato. » Si enim non facile credamus inter audiendum, sed tanquam judices illud faciemus, relinquentes etiam his qui sequuntur dicendi copiam, facile fortasse labyrinthos illos effugiamus.

HERM. Bene mones; hoc igitur faciemus.

48. LYC. Sint ista. Ad quem igitur illorum primum veniamus? an nihil hoc refert, verum incipientes a quocumque, verbi gratia a Pythagora, si usu ita veniat, quanto putamus tempore ediscere nos posse Pythagoræ omnia? ac noli mihi excipere etiam quinque illos silentii annos. Computatis igitur quinque illis, sufficere triginta arbitror : quod si non placet, at viginti quidem certe.

HERM. Sic ponamus.

LYC. Tum deinceps Platoni assignandi totidem nempe alii; hinc vero etiam Aristoteli non pauciores.

HERM. Non sane.

LYC. Chrysippo autem non jam interrogabo te quot : novi enim ex te auditum, quadraginta annos vix sufficere.

HERM. Ita est.

LYC. Tum deinceps Epicuro et reliquis ponendi sunt,

δὲ οὐ πολλὰ ταῦτα τίθημι, ἐκεῖθεν μάθοις ἄν, ἢν ἐννοήσῃς ὅσοι ὀγδοηκοντούτεις εἰσὶ Στωϊκοὶ ἢ Ἐπικούρειοι ἢ Πλατωνικοὶ ὁμολογοῦντες μὴ πάντα εἰδέναι τὰ τῆς ἑαυτοῦ αἱρέσεως ἕκαστος, ὡς μηδὲν ἐνδεῖν σφίσιν ἐς τὰ μαθήματα· εἰ δὲ μή, ἀλλὰ Χρύσιππός γε καὶ Ἀριστοτέλης καὶ Πλάτων φαῖεν ἄν, καὶ πρὸ τούτων ὁ Σωκράτης οὐδὲν φαυλότερος αὐτῶν, ὃς ἐκεκράγει πρὸς ἅπαντας οὐχ ὅπως μὴ πάντα, ἀλλὰ μηδ' ὅλως εἰδέναι τι ἢ τοῦτο μόνον ὅτι οὐκ οἶδε. Λογισώμεθα οὖν ἐξ ἀρχῆς· εἴκοσι τῷ Πυθαγόρᾳ ἔτη ἐτίθεμεν, εἶτα Πλάτωνι τοσαῦθ' ἕτερα, εἶτα ἑξῆς τοῖς ἄλλοις. Ὅσα δ' οὖν ταῦτα συντεθέντα ἐν κεφαλαίῳ γένοιτ' ἂν, εἰ δέκα μόνας θεῖμεν τὰς αἱρέσεις ἐν φιλοσοφίᾳ;

ΕΡΜ. Ὑπὲρ διακόσια, ὦ Λυκῖνε.

ΛΥΚ. Βούλει οὖν ἀφαιρῶμεν τὸ τέταρτον, ὡς πεντήκοντα καὶ ἑκατὸν ἔτη ἱκανὰ εἶναι, ἢ τὸ ἥμισυ ὅλον;

49. ΕΡΜ. Αὐτὸς ἂν εἰδείης ἄμεινον· ἐγὼ δὲ ὁρῶ τοῦτο, ὅτι ὀλίγοι ἂν καὶ οὕτω διὰ πασῶν ἐξέλθοιεν ἐκ γενετῆς εὐθὺς ἀρξάμενοι.

ΛΥΚ. Τί οὖν ἂν πάθοι τις, ὦ Ἑρμότιμε, εἰ τοιοῦτόν ἐστι τὸ πρᾶγμα; ἢ ἀνατρεπτέον ἐκεῖνα τὰ ἤδη ὡμολογημένα, ὡς οὐκ ἄν τις ἕλοιτο ἐκ πολλῶν τὸ βέλτιστον μὴ οὐχὶ πειραθεὶς ἁπάντων; ὡς τόν γε ἄνευ πείρας αἱρούμενον μαντείᾳ μᾶλλον ἢ κρίσει τἀληθὲς ἀναζητοῦντα. Οὐχ οὕτως ἐλέγομεν;

ΕΡΜ. Ναί.

ΛΥΚ. Πᾶσα τοίνυν ἀνάγκη ἐπὶ τοσοῦτον βιῶναι ἡμᾶς, εἰ μέλλοιμεν εὖ τε αἱρήσεσθαι ἁπάντων πειραθέντες καὶ ἑλόμενοι φιλοσοφήσειν καὶ φιλοσοφήσαντες εὐδαιμονήσειν· πρὶν δὲ οὕτω ποιῆσαι, ἐν σκότῳ, φασὶν, ὀρχοίμεθ' ἂν οἷς ἂν τύχωμεν προσπταίοντες καὶ ὅ τι ἂν πρῶτον ἐς τὰς χεῖρας ἔλθῃ, τοῦτ' εἶναι τὸ ζητούμενον ὑπολαμβάνοντες διὰ τὸ μὴ εἰδέναι τἀληθές. Εἰ δὲ καὶ εὕροιμεν ἄλλως κατά τινα ἀγαθὴν τύχην περιπεσόντες αὐτῷ, οὐχ ἕξομεν βεβαίως εἰδέναι εἰ ἐκεῖνό ἐστιν ὃ ζητοῦμεν· πολλὰ γάρ ἐστιν ὅμοια αὐτοῖς, λέγοντα ἕκαστον αὐτὸ εἶναι τἀληθέστατον.

50. ΕΡΜ. Ὦ Λυκῖνε, οὐκ οἶδ' ὅπως εὔλογα μὲν δοκεῖς μοι λέγειν, ἀτὰρ — εἰρήσεται γὰρ τἀληθές — οὐ μετρίως ἀνιᾷς με διεξιὼν αὐτὰ καὶ ἀκριβολογούμενος οὐδὲν δέον. Ἴσως δὲ καὶ ἔοικα οὐκ ἐπ' ἀγαθῷ ἐξελήλυθέναι τήμερον ἐκ τῆς οἰκίας καὶ ἐξελθὼν ἐντετυχηκέναι σοι, ὅς με πλησίον ἤδη τῆς ἐλπίδος ὄντα εἰς ἀπορίας φέρων ἐμβέβληκας ἀδύνατον ἀποφαίνων τῆς ἀληθείας τὴν εὕρεσιν ἐτῶν γε τοσούτων δεομένην.

ΛΥΚ. Οὐκοῦν, ὦ ἑταῖρε, πολὺ δικαιότερον μέμφοιο ἂν τῷ πατρί σου Μενεκράτει καὶ τῇ μητρί — ἥτις ποτὲ καὶ ἐκαλεῖτο, οὐ γὰρ οἶδα — ἢ καὶ πολὺ πρότερον τῇ φύσει ἡμῶν, ὅτι σε μὴ κατὰ τὸν Τιθωνὸν πολυετῆ καὶ μακρόβιον ἔθεσαν, ἀλλὰ περιέγραψαν μὴ πλείω βιῶναι τὸ μήκιστον ἐτῶν ἑκατὸν ἄνθρωπον ὄντα. Ἐγὼ δὲ μετὰ σοῦ σκεπτόμενος εὗρον τὸ ἐκ τοῦ λόγου ἀποβάν.

51. ΕΡΜ. Οὔκ, ἀλλ' ὑβριστὴς ἀεὶ σὺ, καὶ οὐκ οἶδ'

Me vero jam non multos ponere, inde intelligas, si cogites quot octogenarii sint Stoici, aut Epicurei, aut Platonici, qui fateantur nondum se scire suæ quisque sectæ omnia, ut nihil sibi ad discipliuam desit. Si hoc non placeat, at Chrysippus, et Aristoteles, et Plato dicant, et ante hos iis nihil deterior Socrates, qui clamabat ad omnes, nedum ut omnia, nihil omnino se scire, nisi hoc solum, nihil se scire. Computemus igitur ab initio : viginti Pythagoræ posuimus annos, tum Platoni totidem alios, tum ordine reliquis : quot igitur hi consummati effecerint, si decem solas ponamus philosophorum sectas?

HERM. Supra ducentos, Lycine.

LYC. Vin' ergo auferamus hinc quartam partem, ut centum et quinquaginta anni sufficiant, aut ipsum dimidium adeo?

49. HERM. Ipse noris melius : ego vero hoc video, paucos vel sic per sectas omnes ituros, si etiam a nativitate inde statim incipiant.

LYC. Quid igitur agat aliquis, Hermotime, si ita se res habet? Evertendane illa de quibus jam inter nos convenit? nempe eligere non posse quenquam ex pluribus quod sit optimum, nisi exploratis omnibus, eum quippe qui citra experimentum eligat, divinatione magis quam judicio verum exquirere. Nonne ita diximus?

HERM. Ita.

LYC. Omni igitur ratione necessarium, eo usque nos vivere, si et bene eligere velimus exploratis omnibus, et electione facta philosophari, et per philosophiam felices esse : ante vero quam id fecerimus, in tenebris, quod aiunt, saltabimus, offendentes ad quæcumque obvia, et quicquid primum in manus venerit, id ipsum rati quod quæritur, qui verum non noverimus. Si vero inveniamus temere, bona quadam fortuna in illud incidentes, non habebimus tamen unde sciamus firmiter, sitne illud hoc ipsum quod quærimus : multa enim sunt inter se similia, quorum unumquodque se verissimum esse contendat.

50. HERM. Nescio qui fiat, Lycine, ut rationalia quidem dicere mihi videaris : sed (dicetur enim verum) non mediocri me molestia afficis persequendis illis et ad minutias usque perscrutandis præter necessitatem. Forte etiam infelicibus hodie auspiciis domo exisse videar, et egressus in te incidisse, qui me, quum prope spem jam essem, subito in consilii inopiam conjeceris, ostendendo quam supra vires nostras veritatis sit inventio, idque quum tot annis indigeat.

LYC. Igitur, amice, multo justius irascaris patri tuo Menecrati et matri, quocumque illa nomine vocata est, non enim novi; vel etiam multo potius naturæ nostræ, quod te non, Tithoni instar, annosum et longævum fecerunt, sed circumscripserunt, ne plus quam centum summum annis vivat unusquisque homo qui sit. At ego tecum considerans, illud quod ex rationibus consequitur inveni.

51. HERM. Non : sed contumeliosus semper homo es, et

ἤ τι παθὼν μισεῖς φιλοσοφίαν καὶ ἐς τοὺς φιλοσοφοῦντας ἀποσκώπτεις.

ΛΥΚ. Ὦ Ἑρμότιμε, ἥτις μὲν ἡ ἀλήθειά ἐστιν ὑμεῖς ἂν ἄμεινον εἴποιτε οἱ σοφοὶ, σύ τε καὶ ὁ διδάσκαλος· ἐγὼ δὲ τό γε τοσοῦτον οἶδα, ὡς οὐ πάνυ ἡδεῖά ἐστιν αὐτὴ τοῖς ἀκούουσιν, ἀλλὰ παρευδοκιμεῖται ὑπὸ τοῦ ψεύδους παρὰ πολύ· εὐπροσωπότερον γὰρ ἐκεῖνο καὶ διὰ τοῦτο ἥδιον· ἡ δὲ ἅτε μηδὲν κίβδηλον ἑαυτῇ συνειδυῖα μετὰ παρρησίας διαλέγεται τοῖς ἀνθρώποις, καὶ διὰ τοῦτο ἄχθονται αὐτῇ. Ἰδού γέ τοι, καὶ σὺ νῦν ἄχθῃ μοι τάληθὲς ἐξευρόντι περὶ τούτων μετὰ σοῦ καὶ δηλώσαντι οἷων ἐρῶμεν ἐγώ τε καὶ σὺ, ὡς οὐ πάνυ ῥᾳδίων· ὥσπερ εἰ ἀνδριάντος ἐρῶν ἐτύγχανες καὶ ὥου τεύξεσθαι ὑπολαμβάνων ἄνθρωπον εἶναι, ἐγὼ δὲ κατιδὼν ὡς λίθος ἢ χαλκὸς εἴη ἐμήνυσα πρός σε ὑπ' εὐνοίας ὅτι ἀδυνάτων ἐρᾷς, καὶ τότε δύσνους ἐμὲ εἶναι ὥου σαυτῷ, διότι σε οὐκ εἰων ἐξαπατᾶσθαι ἀλλόκοτα καὶ ἀνέλπιστα ἐλπίζοντα.

52. ΕΡΜ. Οὐκοῦν τοῦτο, ὦ Λυκῖνε, φῂς, ὡς οὐ φιλοσοφητέον ἡμῖν, ἀλλὰ χρὴ ἀργίᾳ παραδιδόντας αὐτοὺς ἰδιώτας καταβιῶναι;

ΛΥΚ. Καὶ ποῦ τοῦτο ἤκουσας ἐμοῦ λέγοντος; ἐγὼ γὰρ οὐχ ὡς οὐ φιλοσοφητέον φημὶ, ἀλλ' ἐπείπερ φιλοσοφητέον ὁδοί τε πολλαί εἰσιν ἐπὶ φιλοσοφίαν ἑκάστη καὶ ἀρετὴν ἄγειν φάσκουσαι, ἡ δὲ ἀληθὴς ἐν αὐταῖς ἄδηλος, ἀκριβῆ ποιήσασθαι τὴν διαίρεσιν. Ἀδύνατον δέ γε ἡμῖν ἐφαίνετο, πολλῶν προτεθέντων ἐλέσθαι τὸ ἄριστον, εἰ μὴ ἐπὶ πάντα ἴοι τις πειρώμενος· εἶτά πως μακρὰ ἡ πεῖρα ὤφθη. Σὺ δὲ πῶς ἀξιοῖς; — αὖθις γὰρ ἐρήσομαι — ὅτῳ ἂν πρώτῳ ἐντύχῃς, τούτῳ ἕψῃ καὶ συμφιλοσοφήσεις, κἀκεῖνος ἕρμαιον ποιήσεταί σε;

53. ΕΡΜ. Καὶ τί σοι ἀποκριναίμην ἂν ἔτι, ὃς οὔτε αὐτόν τινα κρίνειν οἷόν τε εἶναι φῂς, ἢν μὴ φοίνικος ἔτη βιώσῃ πάντας ἐν κύκλῳ περιιὼν καὶ πειρώμενος, οὔτε τοῖς προπεπειραμένοις πιστεύειν ἀξιοῖς οὔτε τοῖς πολλοῖς ἐπαινοῦσι καὶ μαρτυροῦσι;

ΛΥΚ. Τίνας φῂς τοὺς πολλοὺς εἰδότας καὶ πεπειραμένους ἁπάντων; εἰ γάρ τις τοιοῦτός ἐστιν, ἱκανὸς ἐμοιγε καὶ εἷς, καὶ οὐκέτι πολλῶν δεήσει. Ἢν δὲ τοὺς οὐκ εἰδότας λέγῃς, οὐδέν τι τὸ πλῆθος αὐτῶν προσάξεταί με πιστεύειν, ἄχρι ἂν ἢ μηδὲν ἢ ἓν εἰδότες περὶ ἁπάντων ἀποφαίνωνται.

ΕΡΜ. Μόνος δὲ σὺ τἀληθὲς κατεῖδες, οἱ δ' ἄλλοι ἀνόητοι ἅπαντες, ὅσοι φιλοσοφοῦσι.

ΛΥΚ. Καταψεύδῃ μου, ὦ Ἑρμότιμε, λέγων ὡς ἐγὼ προτίθημί πῃ ἐμαυτὸν τῶν ἄλλων ἢ τάττω ὅλως ἐν τοῖς εἰδόσι, καὶ οὐ μνημονεύεις ὧν ἔφην, οὐκ αὐτὸς εἰδέναι τἀληθὲς ὑπὲρ τοὺς ἄλλους διατεινόμενος, ἀλλὰ μετὰ πάντων αὐτὸ ἀγνοεῖν ὁμολογῶν.

54. ΕΡΜ. Ἀλλ', ὦ Λυκῖνε, τὸ μὲν ἐπὶ πάντας ἐλθεῖν χρῆναι καὶ πειραθῆναι ὧν φασι καὶ τὸ μὴ ἂν ἄλλως ἑλέσθαι τὸ βέλτιον ἢ οὕτως, εὔλογον ἴσως, τὸ δὲ τῇ πείρᾳ ἑκάστῃ τοσαῦτα ἔτη ἀποδιδόναι, παγγέλοιον, ὥσπερ οὐχ οἷόν τε ὂν ἀπ' ὀλίγων καταμαθεῖν τὰ

nescio qua animi affectione odisti philosophiam et rides philosophos.

LYC. Mi Hermotime, quæ sit veritas, vos forte melius, qui sapientes estis, dixeritis, tu et tuus ille magister : at ego tantum modo novi, audientibus illam non vehementer suavem esse, sed multum gratia a mendacio superari : speciosius enim hoc, eaque causa jucundius. At illa, quæ scilicet nihil sibi fraudulenti conscia sit, cum fiducia agit cum hominibus, et ob id ipsum eam gravantur. Ecce jam tu quoque nunc offensus es mihi, qui verum hisce de rebus tecum invenerim, et declaraverim qualia amemus ego et tu, quam non omnino facilia : velut si statuam tu forte adamasses, ejusque te futurum compotem sperasses, quod hominem putares; ego autem, cognito lapidem esse aut æs, indicassem tibi benevolo animo, amare te quorum fieri non posset copia, et tum malevolum me esse tibi putares, qui decipi te non passus sim et absurda atque supra omnem spem posita sperare.

52. HERM. Ergo illud, Lycine, dicis, non philosophandum nobis esse, sed consultum ut pigritiæ nos tradamus idiotarumque vitam vivamus?

LYC. Et ubi hoc dicere me audisti? Neque enim ego philosophari nos veto : sed quum philosophandum sit, multæ porro viæ sint ad philosophiam unaquæque et virtutem ducere se professæ, vera denique inter has obscura : accuratum faciendum esse discrimen dixi. Fieri autem non posse nobis apparebat, ut multis propositis eligatur quod est optimum, nisi per omnia quis experiendo eat; deinde longum aliquanto experimentum illud visum est. Tu autem quomodo vis facere? rursus enim interrogabo : in quem primum incideris, eum sequeris, cum illo philosophabere? et ille te sibi habebit lucrum a propitio Mercurio temere objectum?

53. HERM. Et quid tibi porro respondeam, qui neges per se judicare quenquam posse, nisi annos vixerit phœnicis, ac per orbem circumiens omnes probaverit, neque his credere velis, qui ante experti sunt, laudantiumve et perhibentium testimonia multitudini?

LYC. Quam mihi narras multitudinem eorum qui sciant et experti sint omnia? si quis enim est talis, sufficit mihi unus etiam, nec jam multis opus fuerit. Si vero nescientes dicas, nihil me ipsorum multitudo ad credendum adducet, dum aut nihil aut unum modo quum sciant, pronunciabunt de omnibus.

HERM. Solus autem tu verum vidisti, reliqui amentes omnes, quotquot philosophantur.

LYC. Calumniaris me, Hermotime, quasi ego usquam me præponam reliquis, aut omnino in scientibus collocem, nec recordaris eorum quæ dixi, non contendens ipse scire verum præter reliquos, sed cum omnibus ignorare illud confessus.

54. HERM. Sed, Lycine, illud forte consentaneum rationi, eundum esse ad omnes, dicta omnium exploranda, nec aliter quam hoc modo eligendum quod optimum est : sed experimento unicuique tot annos attribuere, valde ridiculum, quasi non liceret ex paucis cognoscere universa.

πάντα. Ἐμοὶ δὲ καὶ πάνυ ῥᾴδιον εἶναι δοκεῖ τὸ τοιοῦτον καὶ οὐ πολλῆς διατριβῆς δεόμενον· φασί γέ τοι τῶν πλαστῶν τινα, Φειδίαν οἶμαι, ὄνυχα μόνον λέοντος δύντα ἀπ' ἐκείνου ἀναλελογίσθαι, ἡλίκος ἂν ὁ πᾶς λέων γένοιτο κατ' ἀξίαν τοῦ ὄνυχος ἀναπλασθείς. Καὶ σὺ δὲ, ἤν τίς σοι χεῖρα μόνην ἀνθρώπου δείξῃ τὸ ἄλλο σῶμα κατακαλύψας, εἴσῃ, οἶμαι, αὐτίκα ὅτι ἄνθρωπός ἐστι τὸ κατακεκαλυμμένον, κἂν μὴ τὸ πᾶν σῶμα ἴδῃς. Καὶ τοίνυν τὰ μὲν κεφαλαιώδη ὧν ἅπαντες λέγουσι, ῥᾴδιον καταμαθεῖν ἐν ὀλίγῳ μορίῳ ἡμέρας, τὸ δὲ ὑπερακριβὲς τοῦτο καὶ μακρᾶς τῆς ἐξετάσεως δεόμενον, οὐ πάνυ ἀναγκαῖον ἐς τὴν αἵρεσιν τοῦ βελτίονος, ἀλλ' ἔστι κρῖναι καὶ ἀπ' ἐκείνων.

55. ΛΥΚ. Παπαῖ, ὦ Ἑρμότιμε, ὡς ἰσχυρὰ ταῦτα εἴρηκας ἀπὸ τῶν μερῶν ἀξιῶν τὰ ὅλα εἰδέναι· καίτοι ἐγὼ τἀναντία ἀκούσας μέμνημαι ὡς ὁ μὲν τὸ ὅλον εἰδὼς εἰδείη ἂν καὶ τὸ μέρος, ὁ δὲ μόνον τὸ μέρος, οὐκέτι καὶ τὸ ὅλον. Οὕτως καί μοι τόδε ἀπόκριναι, ὁ Φειδίας ἄν ποτε ἰδὼν ὄνυχα λέοντος ἔγνω ἂν, ὅτι λέοντός ἐστιν, εἰ μὴ ἑοράκει ποτὲ λέοντα ὅλον; ἢ σὺ ἀνθρώπου χεῖρα ἰδὼν ἔσχες ἂν εἰπεῖν, ὅτι ἀνθρώπου ἐστὶ μὴ πρότερον εἰδὼς μηδὲ ἑορακὼς ἄνθρωπον; Τί σιγᾷς; ἢ βούλει ἐγὼ ἀποκρίνωμαι ὑπὲρ σοῦ τά γε ἀναγκαῖα, ὅτι οὐκ ἂν εἶχες; ὥστε κινδυνεύει ὁ Φειδίας ἄπρακτος ἀπεληλυθέναι μάτην ἀναπλάσας τὸν λέοντα· οὐδὲν γὰρ πρὸς τὸν Διόνυσον ὦπται λέγων. Ἢ πῶς ταῦτα ἐκείνοις ὅμοια; τῷ μὲν γὰρ Φειδίᾳ καὶ σοὶ οὐδὲν ἄλλο τοῦ γνωρίζειν τὰ μέρη αἴτιον ἦν ἢ τὸ εἰδέναι τὸ ὅλον, ἄνθρωπον λέγω καὶ λέοντα, ἐν φιλοσοφίᾳ δὲ, οἷον τῇ Στωϊκῶν, πῶς ἂν ἀπὸ τοῦ μέρους καὶ τὰ λοιπὰ ἴδοις; ἢ πῶς ἂν ἀποφαίνοιο ὡς καλά; οὐ γὰρ οἶσθα τὸ ὅλον, οὗ μέρη ἐκεῖνά ἐστιν.

56. Ὃ δὲ φῂς, ὅτι τὰ κεφάλαια ῥᾴδιον ἀκοῦσαι ἁπάσης φιλοσοφίας ἐν ὀλίγῳ μορίῳ ἡμέρας, οἷον ἀρχὰς αὐτῶν καὶ τέλη καὶ τί θεοὺς οἴονται εἶναι, τί ψυχήν, καὶ τίνες μὲν σώματα πάντα φασὶ, τίνες δὲ καὶ ἀσώματα εἶναι ἀξιοῦσι, καὶ ὅτι οἱ μὲν ἡδονὴν, οἱ δὲ τὸ καλὸν ἀγαθὸν καὶ εὐδαιμονίαν τίθενται καὶ τὰ τοιαῦτα, οὑτωσὶ μὲν ἀκούσαντας ἀποφήνασθαι ῥᾴδιον καὶ ἔργον οὐδέν· εἰδέναι δὲ ὅστις ὁ ταληθῆ λέγων ἐστὶν, ὅρα μὴ οὐχὶ μορίου ἐστὶν ἡμέρας, ἀλλὰ πολλῶν ἡμερῶν δέηται. Ἢ τί γὰρ ἐκεῖνοι παθόντες ὑπὲρ αὐτῶν τούτων ἑκατοντάδας καὶ χιλιάδας βιβλίων ἕκαστοι συγγεγράφασιν, ὡς πείσαιεν, οἶμαι, ἀληθῆ εἶναι τὰ ὀλίγα ἐκεῖνα καὶ ἃ σοι ἐδόκει ῥᾴδια καὶ εὐμαθῆ; Νῦν δὲ μάντεως, οἶμαι, δεήσει σοι κἀνταῦθα πρὸς τὴν αἵρεσιν τῶν κρειττόνων, εἰ μὴ ἀνέχῃ τὴν διατριβὴν, ὡς ἀκριβῶς ἐλέσθαι, αὐτὸς ἅπαντα καὶ ὅλον ἕκαστον κατανοήσας· ἐπίτομος γὰρ αὕτη γένοιτ' ἂν, οὐκ ἔχουσα περιπλοκὰς οὐδ' ἀναβολὰς, εἰ μεταστειλάμενος τὸν μάντιν ἀκούσας τῶν κεφαλαίων ἁπάντων σφαγιάζοιο ἐφ' ἑκάστοις· ἀπαλλάξει γάρ σε ὁ θεὸς μυρίων πραγμάτων δείξας ἐν τῷ τοῦ ἱερείου ἥπατι ἅτινά σοι αἱρετέον.

57. Εἰ δὲ βούλει, καὶ ἄλλο τι ἀπραγμονέστερον

Mihi vero etiam valde facile esse tale quippiam videtur, nec multa mora indigere. Dicunt certe statuariorum aliquem, Phidiam puto, solo conspecto leonis ungue, ex illa portionis æstimatione collegisse, quantus integer leo esset, ex dignitate unguis effictus. Et tu sane, si quis manum tibi solam ostenderit hominis, reliquo contecto corpore, scies, puto, statim, hominem esse quod tegitur, etiam si totum corpus non videas. Jam summa capita eorum quæ omnes dicunt, facile est in parva diei parte discere: illud autem nimis exquisitum et longa exploratione indigens, ad melioris electionem non utique necessarium est, sed ex illis etiam potest dijudicari.

55. LYC. Vah, Hermotime, quam firma sunt quæ dixisti, dum postulas ex partibus nos cognoscere tota: ego vero contraria me audire memini, qui totum norit, eum nosse etiam partes; qui vero partem modo, eum non continuo scire totum. Sic illud etiam mihi responde, Phidias unguem forte leonis videns num leonis esse cognovisset, si totum nunquam leonem vidisset? aut hominis tu manum videns an posses nobis dicere eam esse hominis, si prius neque novisses neque vidisses hominem? Quid taces? aut vis ego pro te necessaria respondeam? te non posse videlicet. Igitur infecta re abiturus videtur tuus Phidias, efficto frustra leone: deprehensus est enim quod nihil ad rem pertineat dicens. Aut quomodo hæc illis similia? Phidiæ enim et tibi nulla fuit causa alia partes agnoscendi, præter eam, quod integrum nossetis, hominem dico, et leonem: in philosophia autem, velut Stoicorum, quomodo ex parte cognosces etiam reliqua? aut quomodo ea pulchra pronunciabis? neque enim totum nosti, cujus illæ partes sunt.

56. Quod vero dicis, capita summa cujuscumque philosophiæ facile esse audire exigua diei parte, ut principia cujusque, et fines, et quid deos putent esse, quid animam; et qui corpora esse omnia dicant, qui incorporea etiam quædam velint esse; et quod alii quidem in voluptate, alii vero in honestate bonum ac felicitatem collocent, et similia, sic quidem audire et reddere facile est et labor nullus: scire vero *quis sit ille qui vera dicat*, vide *ne non tam partis sit* diei, quam dies multos postulet. Aut quid illis in mentem venit, ut de his ipsis rebus centenos millenosque libros singuli conscriberent? ut persuadeant, opinor, vera esse paucula illa, quæ facilia tibi videbantur et discentibus obvia. Jam vero vate, puto, opus erit tibi hic etiam ad melioum electionem, si moræ impatiens sis, qua curiose eligas, ipse omnia et singula universa inspiciens. Compendiaria enim hæc forte via fuerit, nihil habens perplexum, dilationes nullas, si haruspice advocato, dum audis capita omnia singula, exta de unoquoque consulas: infinitis enim te molestiis deus liberabit, ostendens in jecinore victimæ quæ tibi eligenda sint.

57. Si vero *vis*, etiam aliud *quiddam* tibi *minus* etiam

ὑποθύσομαί σοι, ὡς μὴ ἱερεῖα καταθύῃς ταυτὶ καὶ θυσιάζῃς τῷ μηδ' ἱερέα τινὰ τῶν μεγαλομίσθων παρακαλῇς, ἀλλ' ἐς κάλπιν ἐμβαλὼν γραμμάτια ἔχοντα τῶν φιλοσόφων ἑκάστου τοὔνομα κέλευε παῖδα τῶν ἀνήβων ἀμφιθαλῆ τινα, προσελθόντα πρὸς τὴν κάλπιν, ἀνελέσθαι ὅ τι ἂν πρῶτον ὑπὸ τὴν χεῖρα ἔλθῃ τῶν γραμματίων καὶ τὸ λοιπὸν κατὰ τὸν λαχόντα ἐκεῖνον, ὅστις ἂν ᾖ, φιλοσόφει.

58. ΕΡΜ. Ταυτὶ μέν, ὦ Λυκῖνε, βωμολοχικὰ καὶ οὐ κατὰ σέ. Σὺ δὲ εἰπέ μοι, ἤδη ποτὲ οἶνον ἐπρίω αὐτός;

ΛΥΚ. Καὶ μάλα πολλάκις.

ΕΡΜ. Ἆρ' οὖν περιῄεις ἅπαντας ἐν κύκλῳ τοὺς ἐν τῇ πόλει καπήλους ἀπογευόμενος καὶ παραβάλλων καὶ ἀντεξετάζων τοὺς οἴνους;

ΛΥΚ. Οὐδαμῶς.

ΕΡΜ. Ἀπέχρη γὰρ, οἶμαί, σοι τῷ πρώτῳ χρηστῷ καὶ ἀξίῳ ἐντυχόντι ἀποφέρεσθαι.

ΛΥΚ. Νὴ Δία.

ΕΡΜ. Καὶ ἀπό γε τοῦ ὀλίγου ἐκείνου γεύματος εἶχες ἂν εἰπεῖν ὁποῖος ἅπας ὁ οἶνός ἐστιν;

ΛΥΚ. Εἶχον γάρ.

ΕΡΜ. Εἰ δὲ δὴ ἔλεγες προσελθὼν τοῖς καπήλοις, Ἐπειδὴ κοτύλην πρίασθαι βούλομαι, δότε μοι, ὦ οὗτοι, ἐκπιεῖν ὅλον ἕκαστος ὑμῶν τὸν πίθον, ὡς διὰ παντὸς ἐπεξελθὼν μάθοιμι ὅστις ἀμείνω τὸν οἶνον ἔχει καὶ ὅθεν μοι ὠνητέον· εἰ ταῦτ' ἔλεγες, οὐκ ἂν οἶει καταγελάσαι σου αὐτοὺς, εἰ δὲ καὶ ἐπὶ πλέον ἐνοχλοίης, τάχ' ἂν καὶ προσχέαι τοῦ ὕδατος;

ΛΥΚ. Οἶμαι ἔγωγε καὶ δίκαιά γ' ἂν πάθοιμι.

ΕΡΜ. Κατὰ ταὐτὰ δὴ καὶ ἐν φιλοσοφίᾳ. Τί δεῖ ἐκπιεῖν τὸν πίθον δυναμένους γε ἀπ' ὀλίγου τοῦ γεύματος εἰδέναι ὁποῖον τὸ πᾶν ἐστιν;

59. ΛΥΚ. Ὡς ὀλισθηρὸς εἶ, ὦ Ἑρμότιμε, καὶ διαδιδράσκεις ἐκ τῶν χειρῶν. Πλὴν ἀλλ' ὠνησάς γε· οἰόμενος γὰρ ἐκπεφευγέναι ἐς τὸν αὐτὸν κύρτον ἐμπέπτωκας.

ΕΡΜ. Πῶς τοῦτ' ἔφης;

ΛΥΚ. Ὅτι αὐθομολογούμενον πρᾶγμα λαβὼν καὶ γνώριμον ἅπασι τὸν οἶνον εἰκάζεις αὐτῷ τὰ ἀνομοιότατα καὶ περὶ ὧν ἀμφισβητοῦσιν ἅπαντες ἀφανῶν ὄντων. Ὥστε ἔγωγε οὐκ ἔχω εἰπεῖν καθ' ὅ τι σοι ὅμοιος φιλοσοφία καὶ οἶνος, εἰ μὴ ἄρα κατὰ τοῦτο μόνον, ὅτι καὶ οἱ φιλόσοφοι ἀποδίδονται τὰ μαθήματα ὥσπερ οἱ κάπηλοι, κερασάμενοί γε οἱ πολλοὶ καὶ δολώσαντες καὶ κακομετροῦντες. Οὑτωσὶ δὲ ἐπισκοπήσωμεν ὅ τι καὶ λέγεις· τὸν οἶνον φῂς τὸν ἐν τῷ πίθῳ ὅλον αὐτὸν αὑτῷ ὅμοιον εἶναι, καὶ μὰ Δί' οὐδὲν ἄτοπον· ἀλλὰ καὶ εἴ τις γεύσαιτο ἀρυσάμενος ὀλίγον ὅσον αὐτοῦ, εἴσεσθαι αὐτίκα ὁποῖος ἅπας ὁ πίθος ἐστὶν, ἀκόλουθον καὶ τοῦτο, καὶ οὐδὲν ἂν ἔγωγέ τι ἀντεῖπον. Ὅρα δὴ καὶ τὸ μετὰ τοῦτο· φιλοσοφία καὶ οἱ φιλοσοφοῦντες οἷον ὁ διδάσκαλος ὁ σὸς, ἆρα ταὐτὰ πρὸς ὑμᾶς λέγει ὁσημέραι καὶ περὶ τῶν αὐτῶν, ἢ ἄλλα ἄλλοτε; πολλὰ γάρ ἐστι, πρόδηλον,

molestum subjiciam, ut non mactes istas hostias et sacrifices cuipiam, sed neque advoces sacerdotem aliquem ex illis qui magna mercede conducuntur; verum conjectis in urnam tabellis singulorum nomina philosophorum inscripta habentibus, jube puerum impuberem, patrimum quendam matrimumque, accedere ad urnam, et extrahere quæcumque tabellarum prima sub manum venerit, ac deinde secundum eum cujus sors exierit, qui demum cumque fuerit, philosophare.

58. HERM. Ista quidem, Lycine, scurrilia, neque digna te. At dic mihi, ipsene unquam vinum emisti?

LYC. Et sæpe quidem.

HERM. Tum ergo circumibas circulo omnes in urbe caupones, degustans et comparans, et inter se conferens vina?

LYC. Minime vero.

HERM. Sufficiebat enim tibi, puto, in quod primum bonum et dignum pretio incideres, de eo ferendum tibi curare.

LYC. Per Jovem.

HERM. Et de parvo illo gustu dicere poteras universum vinum quale esset?

LYC. Poteram enim.

HERM. Si vero accedens ad cauponem diceres, Quandoquidem emere vini heminam volo, date mihi, o isti, ebibere totum quisque dolium, ut, ubi omne penitus exploraverim, intelligam quis melius vinum habeat et unde mihi sit emendum. Hæc igitur si diceres, non arbitraris illos te derisuros, et, si pergas molestus esse, largiorem fortasse aquam affusuros?

LYC. Equidem arbitror: nec fiat mihi injuria.

HERM. Eadem igitur philosophiæ ratio. Quid ebibere dolium opus est, quum possimus de parvo gustu scire quale sit universum?

59. LYC. Quam lubricus es, Hermotime, et inter manus effugis! Veruntamen adjuvisti me: dum enim effugisse te putas, in nassam eandem incidisti.

HERM. Quid ita?

LYC. Quod rem de qua inter omnes prorsus convenit, et notam omnibus, vinum, sumsisti, eique assimilas dissimillima, de quibus nempe disputent omnes, quum sint obscura. Quare ego quidem non habeo dicere, qua re tibi similis philosophia et vinum sit, nisi forte hoc solo, quod etiam philosophi vendunt doctrinas, ut caupones, multi etiam interpolant, et adulterant, et male metiuntur. Ita vero inspiciamus quod dicis: ais vinum in dolio universum simile sibi esse, nec profecto id absurdum; sed etiam si quis haustum vel tantillum illius gustet, illum statim sciturum quale totum sit dolium: consequens hoc etiam, neque quicquam equidem contra dixero. Sed jam vide etiam, quod sequitur. Philosophia et philosophi, velut magister tuus, utrum eadem vobis dicit quotidie, et de iisdem, an alias alia? Multa enim

ὦ ἑταῖρε· ἢ οὐκ ἂν εἴκοσιν ἔτη παρέμενες αὐτῷ κατὰ τὸν Ὀδυσσέα περινοστῶν καὶ περιπλανώμενος, εἰ τὰ αὐτὰ ἔλεγεν, ἀλλ' ἀπέχρη ἄν σοι καὶ ἅπαξ ἀκούσαντι.

60. ΕΡΜ. Πῶς γὰρ οὔ;

ΛΥΚ. Πῶς οὖν οἷόν τέ σοι ἦν ἀπὸ τοῦ πρώτου γεύματος εἰδέναι τὰ πάντα; οὐ γὰρ τὰ αὐτά γε, ἀλλ' ἀεὶ ἕτερα καινὰ ἐπὶ καινοῖς ἐλέγετο, οὐχ ὥσπερ ὁ οἶνος ἀεὶ ὁ αὐτὸς ἦν. Ὥστε, ὦ ἑταῖρε, ἢν μὴ ὅλον ἐκπίῃς τὸν πίθον, τηνάλλως μεθύων περιῇεις· ἀτεχνῶς γὰρ ἐν τῷ πυθμένι δοκεῖ μοι ὁ θεὸς κατακρύψαι τὸ φιλοσοφίας ἀγαθὸν ὑπὸ τὴν τρύγα αὐτήν. Δεήσει οὖν ὅλον ἐξαντλῆσαι ἐς τέλος, ἢ οὔποτ' ἂν εὕροις τὸ νεκτάρεον ἐκεῖνο πῶμα, οὗ πάλαι διψῇν μοι δοκεῖς. Σὺ δὲ οἴει τὸ τοιοῦτον αὐτὸ εἶναι, ὡς εἰ μόνον γεύσαιο αὐτοῦ καὶ σπάσαις μικρὸν ὅσον, αὐτίκα σε πάνσοφον γενησόμενον, ὥσπερ φασὶν ἐν Δελφοῖς τὴν πρόμαντιν, ἐπειδὰν πίῃ τοῦ ἱεροῦ νάματος, ἔνθεον εὐθὺς γίγνεσθαι καὶ χρᾶν τοῖς προσιοῦσιν. Ἀλλ' οὐχ οὕτως ἔχειν ἔοικε· σύ γ' οὖν ὑπὲρ ἥμισυ τοῦ πίθου ἐκπεπωκὼς ἐνάρχεσθαι ἔτι ἔλεγες.

61. Ὅρα τοίνυν μὴ τῷδε μᾶλλον φιλοσοφία ἔοικεν· ὁ μὲν γὰρ πίθος ἔτι μενέτω σοι καὶ ὁ κάπηλος, ἐνέστω δὲ μὴ οἶνος, ἀλλὰ πανσπερμία τις, πυρὸς ὑπεράνω καὶ μετὰ τοῦτον κύαμοι, εἶτα κριθαὶ καὶ ὑπὸ ταύταις φακοί, εἶτα ἐρέβινθοι καὶ ἄλλα ποικίλα. Πρόσει δὴ σὺ ὠνήσασθαι ἐθέλων τῶν σπερμάτων, καὶ ὅς ἀφελὼν τοῦ πυροῦ, οὗπερ ἦν, ἀνέδωκέ σοι δεῖγμα ἐς τὴν χεῖρα, ὡς ἴδοις, ἆρα οὖν ἔχοις ἂν εἰπεῖν εἰς ἐκεῖνο ἀποβλέπων, εἰ καὶ οἱ ἐρέβινθοι καθαροὶ καὶ οἱ φακοὶ εὐτακεῖς καὶ οἱ κύαμοι οὐ διάκενοι;

ΕΡΜ. Οὐδαμῶς.

ΛΥΚ. Οὐ τοίνυν οὐδὲ φιλοσοφίαν ἀφ' ἑνὸς ὧν φήσει τις τοῦ πρώτου, μάθοις ἂν ἅπασαν ὁποία ἐστίν· οὐ γὰρ ἕν τι ἦν ὥσπερ ὁ οἶνος, ᾧπερ σὺ αὐτὴν ἀπεικάζεις ἀξιῶν ὁμοίαν εἶναι τῷ γεύματι, τὸ δὲ ἕτεροῖόν τι ὤφθη οὐ παρέργου τῆς ἐξετάσεως δεόμενον. Οἶνον μὲν γὰρ φαῦλον πρίασθαι ἐν δυοῖν ὀβολοῖν ὁ κίνδυνος, αὐτὸν δέ τινα ἐν τῷ συρφετῷ παραπολέσθαι, ὡς καὶ αὐτὸς ἐν ἀρχῇ ἔφησθα, οὐ μικρὸν εἶναι κακόν. Ἄλλως τε ὁ μὲν ὅλον ἀξιῶν ἐκπιεῖν τὸν πίθον, ὡς κοτύλην πρίαιτο, ζημιώσαι ἂν τὸν κάπηλον οὕτως ἀπίθανα γευόμενος, φιλοσοφία δὲ οὐδὲν ἂν τοιοῦτο πάθοι, ἀλλὰ κἂν πάμπολλα πίῃς, οὐδέν τι ἐλάττων ὁ πίθος γίγνεται οὐδὲ ζημιώσεται ὁ κάπηλος· ἐπιρρεῖ γὰρ κατὰ τὴν παροιμίαν τὸ πρᾶγμα ἐξαντλούμενον ἐς τὸ ἔμπαλιν ἢ ὁ τῶν Δαναΐδων πίθος· ἐκεῖνος μὲν γὰρ τὸ ἐμβαλλόμενον οὐ συνεῖχεν, ἀλλὰ διέρρει εὐθύς, ἐντεῦθεν δὲ ἦν ἀφέλῃς τι, πλεῖον τὸ λοιπὸν γίγνεται.

62. Ἐθέλω δέ σοι καὶ ἄλλο ὅμοιον εἰπεῖν φιλοσοφίας περὶ γεύματος, καὶ μή με νομίσῃς βλασφημεῖν περὶ αὐτῆς, ἣν εἶπω ὅτι φαρμάκῳ ὀλεθρίῳ ἔοικεν, οἷον κωνείῳ ἢ ἀκονίτῳ ἢ ἄλλῳ τῶν τοιούτων· οὐδὲ γὰρ ταῦτα, ἐπείπερ θανατηφόρα ἐστίν, ἀποκτείνειεν ἂν εἴ τις ὀλίγον ὅσον ἀχαριαῖον ἀποξύσας αὐτῶν ἄκρῳ τῷ ὄνυχι ἐπογεύσαιτο, ἀλλὰ ἦν μὴ τοσοῦτον ὅσον χρὴ, καὶ ὅπως

sunt : manifestum hoc, amice : alioquin probabile non fuerit apud illum mansisse te per viginti annos, Ulixis instar circumeuntem et oberrantem, si eadem diceret; sed semel audisse tibi suffecisset.

60. HERM. Qui enim possit res habere aliter?

LYC. Quomodo igitur potuisti de primo gustu nosse omnia? Neque enim eadem profecto, sed alia semper nova super nova dicebantur; non, quemadmodum vinum, semper idem erat. Itaque, sodalis, nisi totum ebibas dolium, temere ebrius oberraveris : in ipso enim plane fundo videtur mihi deus occultasse bonum philosophiæ, sub ipsas fæces. Oportebit igitur totum ad finem usque exhaurire, aut nunquam invenias nectareum illum, quem dudum sitire mihi videris, potum. Tu autem putas tale hoc esse, ut, si modo gustes illud et paullum quiddam haurias, continuo sapientiæ omnis consultus fias, ut Delphis aiunt antistitam, quum de sacro fonte biberit, deo statim plenam fieri et respondere accedentibus. Sed non ita se rem habere apparet : tu certe, epoto jam ultra dimidium dolio, te circa initia adhuc esse dicebas.

61. Vide igitur ne huic potius similis videatur philosophia, quod dicam. Maneat enim adhuc dolium, et mercator : inesto autem non jam vinum, sed seminum quædam omnigena congeries, triticum supra, deinde faba, tum hordeum, sub his lentes, deinde cicer, et alia insuper varia. Accedes igitur tu emturus de seminibus, et ille de tritico auferens aliquid ubi illud erat, specimen tibi in manum dedit, ut videres; numquid igitur posses illo inspecto videre, an etiam purum cicer, mollis ad coquendum lens, et fabæ non cassæ?

HERM. Nequaquam?

LYC. Ergo neque philosophiam ab uno aliquo, quod primum quis dixerit, universam didiceris qualis sit. Neque unum aliquid erat, ut vinum, cui tu illam assimilas, et similem esse gustui postulas : at illam in se diversum quid esse apparuit, quod exploratione non perfunctoria indigeat. Vinum enim malum emere periculo duorum obolorum constat : ipsum vero aliquem in colluvione perire cum ceteris, ipse initio dicebas non parvum esse malum. Ceterum ille, qui totum ebibere dolium postulet, ut deinde emat heminam, cauponem damno illa absurda sua gustatione auxerit : philosophiæ autem nihil tale usu venit; sed quantumcumque biberis, nihilo minus plenum fit dolium, neque damnum ad cauponem pervenit. Affluit enim, quod in proverbio est, res illa quo magis exhauritur, contraria ratione illi Danaidum dolio : illud enim quicquid in funderetur non continebat, quin statim diffluereret; hic autem, si quid abstuleris, plus fit quod superest.

62. Volo autem aliud quoque de gustu philosophiæ simile dicere, neque maledicere me putaveris, si veneno illam perniciosæ similem dixero, ut cicutæ vel aconito, aut alii ex eo genere. Neque enim hæc, mortifera quantumvis sint, interficiant si quis minutissimum quiddam et individuum summo inde ungue abrasum degustet : sed nisi

καὶ ξὺν οἷς, οὐκ ἂν ἀποθάνοι ὁ προσενεγκάμενος· σὺ δὲ ἡξίους τοὐλάχιστον ἐξαρκεῖν, ὡς ἀποτελέσαι τὴν τοῦ ὅλου γνῶσιν.

63. ΕΡΜ. Ἔστω ταῦτα ὡς βούλει, Λυκῖνε. Τί οὖν; ἑκατὸν ἔτη χρὴ βιῶναι καὶ τοσαῦθ' ὑπομεῖναι πράγματα; ἢ οὐκ ἂν ἄλλως φιλοσοφήσαιμεν;

ΛΥΚ. Οὐ γάρ, ὦ Ἑρμότιμε· καὶ δεινὸν οὐδέν, εἴ γε ἀληθῆ ἔλεγες ἐν ἀρχῇ, ὡς ὁ μὲν βίος βραχύς, ἡ δὲ τέχνη μακρή. Νῦν δ' οὐκ οἶδ' ὅ τι παθὼν ἀγανακτεῖς, εἰ μὴ αὐθημερὸν ἡμῖν πρὶν ἥλιον δῦναι Χρύσιππος ἢ Πλάτων ἢ Πυθαγόρας γένοιο.

ΕΡΜ. Περιέρχῃ με, ὦ Λυκῖνε, καὶ συνελαύνεις ἐς στενὸν οὐδὲν ὑπ' ἐμοῦ δεινὸν παθών, ὑπὸ φθόνου ὀηλαδὴ, ὅτι ἐγὼ μὲν προὔκοπτον ἐν τοῖς μαθήμασι, σὺ δὲ ὠλιγώρησας ἑαυτοῦ τηλικοῦτος ὤν.

ΛΥΚ. Οἶσθ' οὖν ὃ δράσεις; ἐμοὶ μὲν ὥσπερ κορυβαντιῶντι μὴ πρόσεχε τὸν νοῦν, ἀλλ' ἔα ληρεῖν, σὺ δ' ὡς ἔχεις, προχώρει ἐς τὸ πρόσθεν τῆς ὁδοῦ καὶ πέραινε κατὰ τὰ ἐξ ἀρχῆς σοι δεδογμένα περὶ τούτων.

ΕΡΜ. Ἀλλ' οὐκ ἐᾷς σὺ βίαιος ὢν αἱρεῖσθαί τι, ἢν μὴ πειραθῶ ἁπάντων.

ΛΥΚ. Καὶ μὴν εὖ εἰδέναι χρὴ ὡς οὐκ ἄν ποτε ἄλλο εἴποιμι. Βίαιον δὲ λέγων ἐμὲ ἀναίτιον δοκεῖς μοι κατὰ τὸν ποιητὴν αἰτιάασθαι αὐτὸν, ἕστ' ἂν μὴ ἕτερός μοι λόγος συμμαχήσας ἀφέληται τῆς βίας, ἤδη ἀγόμενον· ἰδοὺ γέ τοι καὶ τάδε πολλῷ βιαιότερα φαίη ἄν σοι ὁ λόγος· σὺ δ' ἐκεῖνον παρεὶς ἐμὲ ἴσως αἰτιάσῃ.

ΕΡΜ. Τὰ ποῖα; θαυμάζω γὰρ, εἴ τι ἄρρητον καταλέλειπται αὐτῷ.

64. ΛΥΚ. Οὐχ ἱκανὸν εἶναί φησι τὸ πάντα ἰδεῖν καὶ διεξελθεῖν δι' αὐτῶν, ὡς ἔχειν ἤδη ἑλέσθαι τὸ βέλτιστον, ἀλλ' ἔτι τοῦ μεγίστου ἐνδεῖν.

ΕΡΜ. Τίνος τούτου;

ΛΥΚ. Κριτικῆς τινος, ὦ θαυμάσιε, καὶ ἐξεταστικῆς παρασκευῆς καὶ νοῦ ὀξέος καὶ διανοίας ἀκριβοῦς καὶ ἀδεκάστου, οἵαν χρὴ εἶναι τὴν περὶ τῶν τηλικούτων δικάσουσαν, ἢ μάτην ἂν ἅπαντα ἑωραμένα εἴη. Ἀποδοτέον οὖν φησι καὶ τῷ τοιούτῳ χρόνον οὐκ ὀλίγον καὶ προθέμενον ἅπαντα εἰς μέσον αἱρεῖσθαι διαμέλλοντα καὶ βραδύνοντα καὶ πολλάκις ἐπισκοποῦντα, μήτε ἡλικίαν τοῦ λέγοντος ἑκάστου μήτε σχῆμα ἢ δόξαν ἐπισοφίᾳ αἰδούμενον, ἀλλὰ κατὰ τοὺς Ἀρεοπαγίτας αὐτὸ ποιοῦντα, οἳ ἐν νυκτὶ καὶ σκότῳ δικάζουσιν, ὡς μὴ ἐς τοὺς λέγοντας, ἀλλ' ἐς τὰ λεγόμενα ἀποβλέποιεν· καὶ τότ' ἤδη ἔξέσται σοι βεβαίως ἑλομένῳ φιλοσοφεῖν.

ΕΡΜ. Μετὰ τὸν βίον φῄς· ἐκ γὰρ τούτων οὐδενὸς ἀνθρώπων βίος ἐξαρκέσειεν ἂν ὡς ἐπὶ πάντα ἐλθεῖν καὶ ἕκαστον ἀκριβῶς ἐπιδεῖν καὶ ἐπιδόντα κρῖναι καὶ κρίναντα ἑλέσθαι καὶ ἑλόμενον φιλοσοφῆσαι, μόνως γὰρ δὴ οὕτως εὑρεθῆναι φῄς τἀληθὲς, ἄλλως δὲ οὔ.

65. ΛΥΚ. Ὀκνῶ γάρ σοι εἰπεῖν, ὦ Ἑρμότιμε, ὅτι οὐδὲ τοῦτό πω ἱκανὸν, ἀλλ' ἔτι μοι δοκοῦμεν λελῆθέναι ἡμᾶς αὐτοὺς οἰόμενοι μέν τι εὑρηκέναι βέβαιον, εὑρόντες δὲ οὐδὲν, ὥσπερ οἱ ἁλιεύοντες πολλάκις καθέντες τὰ

tantum quantum opus est, et quomodo, et cum quibus; non moriatur qui sumserit. Tu vero postulabas minimam particulam sufficere ad perficiendam totius cognitionem.

63. HERM. Sint ista uti vis, Lycine. Quid igitur? centumne annos vivere oportet, et tot sustinere molestias? an aliter philosophari non licet?

LYC. Non, Hermotime: neque id intolerabile putandum, si quidem vere dixisti ab initio, vitam brevem esse, artem autem longam. Nunc vero nescio qua causa indignaris, si non eodem die nobis ante solis occasum, Chrysippus aut Plato, aut Pythagoras fias.

HERM. Circumvenis me, Lycine, et in angustias cogis, nulla a me affectus injuria, præ invidia scilicet, quod ego progressus aliquo usque sum in doctrina, tu vero, id ætatis homo, te neglexisti.

LYC. Scis ergo quid facias? Mihi quidem, ut parum sanæ mentis homini, noli animum advertere, sed delirare me sinito: tu vero, ut habes, perge viam, et, ut ab initio tibi visum est de rebus hisce, ita perfice.

HERM. Sed tu, violentus homo, non pateris eligere me quicquam, nisi exploratis ante omnibus.

LYC. Atqui bene noris nunquam aliud me dicturum. Quum vero violentum me vocas, innocentem videris mihi, ut est apud Poetam, accusare, qui ipse, donec alia ratio mihi succenturiata a tua me vi liberet, jam auferar. Ecce enim ista multo jam violentiora dixerit tibi ratio: tu vero, illa omissa, me forte accusabis.

HERM. Quæ? miror enim si quid indictum ei prætermissum sit.

64. LYC. Negat ratio sufficere si per nos videamus et persequamur omnia, ad hoc, ut jam eligere quod optimum est queamus; sed eo quod maximum est, adhuc opus esse.

HERM. Quonam illo?

LYC. Judicandi quodam, vir mirifice, et explorandi apparatu, ingenio acuto, intelligentia accurata et incorrupta, qualem oportet esse quæ tantis de rebus judicatura sit: alioquin frustra omnia inspecta fuerint. Tribuendum ergo ait huic etiam tempus non parvum, et, in medium propositis omnibus, electionem ita faciendam, ut multum cunctetis, teque sustineas, ac sæpe consideres; nec ætatem uniuscujusque qui dicunt, neque habitum, aut gloriam sapientiæ reverearis, sed ut Areopagitarum more hoc agas, qui noctu et in tenebris judicant, ne ad hos qui dicunt, sed ad ea quæ dicuntur respiciant: tum demum licebit tibi post firmam electionem philosophari.

HERM. Post hanc vitam nempe. Quantum enim audio, nullius hominum vita sufficerit, ut ad omnes veniamus, et unumquemque accurate inspiciamus, inspectum judicemus, eligamusque judicatum, atque electione facta philosophemur: hac enim sola ratione inveniri verum ais, alia minime.

65. LYC. Piget enim tibi dicere, Hermotime, ne illud quidem jam satis esse, sed nos videri per imprudentiam putasse firmum quiddam a nobis inventum, invenisse autem nihil: uti piscatores sæpe submissis retibus pondus

δίκτυα καὶ βάρους τινὸς αἰσθόμενοι ἀνέλκουσιν ἰχθῦς παυπόλλους γε περιβεβληκέναι ἐλπίζοντες, εἶτα ἐπειδὰν κάμωσιν ἀνασπῶντες, ἢ λίθος τις ἀναφαίνεται αὐτοῖς ἢ κεράμιον ψάμμῳ σεσαγμένον. Σκόπει μὴ καὶ ἡμεῖς τι τοιοῦτον ἀνεσπάκαμεν.

ΕΡΜ. Οὐ μανθάνω τί σοι τὰ δίκτυα ταῦτα βούλεται· ἀτεχνῶς γάρ με περιβάλλεις αὐτοῖς.

ΛΥΚ. Οὐκοῦν πειρῶ διεκδῦναι· σὺν θεῷ γὰρ οἶσθα νεῖν, εἰ καί τις ἄλλος· ἐγὼ γὰρ κἂν ἐφ' ἅπαντας ἔλθωμεν πειρώμενοι καὶ τοῦτο ἐργασώμεθά ποτε, οὐδέπω οὐδὲ τοῦτο δῆλον ἔσεσθαι νομίζω, εἴ τις ἐξ αὐτῶν ἔχει τὸ ζητούμενον ἢ πάντες ὁμοίως ἀγνοοῦσι.

ΕΡΜ. Τί φής; οὐδὲ τούτων τις πάντως ἔχει;

ΛΥΚ. Ἄδηλον. Ἢ σοι ἀδύνατον δοκεῖ ἅπαντας ψεύδεσθαι, τὸ δ' ἀληθὲς ἄλλο τι εἶναι πρὸς μηδενὸς αὐτῶν πω εὑρημένον;

66. ΕΡΜ. Πῶς οἷόν τε;

ΛΥΚ. Οὕτως· ἔστω γὰρ ὁ μὲν ἀληθὴς ἀριθμὸς ἡμῖν εἴκοσιν, οἷον, κυάμους τις εἴκοσιν ἐς τὴν χεῖρα λαβών, ἐπικλεισάμενος ἐρωτάτω δέκα τινάς, ὁπόσοι εἰσὶν οἱ κύαμοι ἐν τῇ χειρὶ αὐτοῦ, οἱ δ' εἰκάζοντες ὁ μὲν ἑπτά, ὁ δὲ πέντε, ὁ δὲ τριάκοντα λεγέτωσαν, ὁ δέ τις δέκα ἢ πεντεκαίδεκα, καὶ ὅλως ἄλλος ἄλλον τινὰ ἀριθμόν· ἐνδέχεται μέντοι καὶ κατὰ τύχην τινὰ ἀληθεῦσαι, ἦ γάρ;

ΕΡΜ. Ναί.

ΛΥΚ. Οὐ μὴν οὐδὲ τοῦτο ἀδύνατον, ἅπαντας ἄλλον ἄλλους ἀριθμοὺς εἰπεῖν, τοὺς ψευδεῖς καὶ οὐκ ὄντας, μηδένα δὲ αὐτῶν φάναι ὅτι εἴκοσιν ὁ ἀνὴρ κυάμους ἔχει. Ἢ τί φής;

ΕΡΜ. Οὐκ ἀδύνατον.

ΛΥΚ. Κατὰ ταὐτὰ τοίνυν ἅπαντες μὲν οἱ φιλοσοφοῦντες τὴν εὐδαιμονίαν ζητοῦσιν ὁποῖόν τί ἐστι, καὶ λέγουσιν ἄλλος ἄλλο τι αὐτὴν εἶναι, ὁ μὲν ἡδονήν, ὁ δὲ τὸ καλόν, ὁ δὲ ὅσα ἕτερά φασι περὶ αὐτῆς. Εἰκὸς μὲν οὖν καὶ τούτων ἕν τι εἶναι τὸ εὔδαιμον, οὐκ ἀπεικὸς δὲ καὶ ἄλλο τι παρ' αὐτὰ πάντα. Καὶ ἐοίκαμεν ἡμεῖς ἀνάπαλιν ἢ ἐχρῆν, πρὶν τὴν ἀρχὴν εὑρεῖν, ἐπείγεσθαι πρὸς τὸ τέλος. Ἔδει δ' οἶμαι πρότερον φανερὸν γενέσθαι ὅτι ἔγνωσταί τἀληθὲς καὶ πάντως ἔχει τις αὐτὸ εἰδὼς τῶν φιλοσοφούντων, εἶτα μετὰ τοῦτο τὸ ἐξῆς ἂν ἦν ζητῆσαι, ᾧ πειστέον ἐστίν.

ΕΡΜ. Ὥστε, ὦ Λυκῖνε, τοῦτο φῂς, ὅτι οὐδ' ἂν διὰ πάσης φιλοσοφίας χωρήσωμεν, οὐδὲ τότε πάντως ἕξομεν τἀληθὲς ἐξευρεῖν.

ΛΥΚ. Μὴ ἐμέ, ὦγαθέ, ἐρώτα, ἀλλὰ τὸν λόγον αὖθις αὐτόν· καὶ ἴσως ἂν ἀποκρίναιτό σοι ὅτι οὐδέπω, ἔστ' ἂν ἄδηλον ᾖ εἰ ἕν τι τούτων ἐστὶν ὧν οὗτοι λέγουσιν.

67. ΕΡΜ. Οὐδέποτε ἄρα ἐξ ὧν σὺ φῂς εὑρήσομεν οὐδὲ φιλοσοφήσομεν, ἀλλὰ δεήσει ἡμᾶς ἰδιώτην τινὰ βίον ἕξειν ἀποστάντας τοῦ φιλοσοφεῖν. Τοῦτο ξυμβαίνει γε ἐξ ὧν φῂς, ἀδύνατον εἶναι φιλοσοφῆσαι καὶ ἀνέφικτον ἀνθρώπῳ γε ὄντι· ἀξιοῖς γὰρ τὸν φιλοσοφήσειν μέλλοντα ἑλέσθαι πρῶτον φιλοσοφίαν τὴν ἀρίστην, ἡ δ' αἵρεσις

quoddam sentientes, ea extrahunt, pisces se quamplurimos comprehendisse rati; deinde, quum multo cum labore extraxerunt, aut lapis illis apparet, aut figlinum vas arena impletum. Vide ne nos quoque tale quid extraxerimus.

HERM. Non assequor quid tua illa sibi retia velint: plane enim illis me comprehendis.

LYC. Evadere igitur tenta: dei enim virtute, si quis alius, natare didicisti. Ego enim, etiam quum tentando per omnes iverimus, idque perfecerimus aliquando, nondum puto neque id ipsum planum futurum, habeatne aliquis eorum id quod quærimus, an similiter omnes ignorent.

HERM. Quid ais? neque horum quisquam omnino illud habet?

LYC. Obscurum. Nisi forte fieri non posse putas ut fallantur omnes, verumque aliud plane quiddam sit, a nullodum illorum inventum.

66. HERM. Qui fieri illud possit?

LYC. Ita. Sit enim verus nobis numerus viginti: verbi causa fabas aliquis viginti in manum sumens, ea clausa interroget decem homines, quot sint in manu sua fabæ? at illi divinantes dicant unus septem, alius quinque, alius triginta, alius decem aut quindecim, et in universum alium alius numerum. Fieri quidem potest ut aliquis forte quadam verum dicat: nonne ita est?

HERM. Est sane.

LYC. Verum enim vero neque illud non potest accidere, ut omnes, alium alii, numeros falsos dicant, non veros, nemo autem illorum dicat, viginti fabas virum habere. Aut quid ais?

HERM. Fieri sic posse.

LYC. Eadem ratione igitur philosophi omnes felicitatem quærunt, qualis sit, et eam dicunt alius in alia re inesse, unus quidem in voluptate, alius in honesto, alii alia omnia de ea dicunt. Veri igitur simile est horum unum quoddam esse summum bonum; sed nec abhorret, esse quiddam præter illa omnia. Itaque videmur nos, contra quam oportebat, initio nondum invento, festinare ad finem: Oportebat autem, puto, planum ante fieri, cognitam esse veritatem, et omnino teneri illam ab uno, qui eam sciat, philosophorum: ac deinde quærendum erat, cui illorum fides sit habenda.

HERM. Hoc igitur, Lycine, dicis, neque si per unamquamque eamus philosophiam, ne sic quidem, inquam, omnino verum nos invenire posse.

LYC. Noli me, bone vir, interrogare, sed ipsam rursus rationem. Atque illa tibi forte respondeat, nondum hoc omnino nos posse, dum obscurum maneat, sitne aliquid eorum quæ isti dicunt.

67. HERM. Nunquam igitur, quantum dicis, inveniemus, neque philosophabimur, sed idiotarum nos vitam vivere oportebit, et a philosophia desistere. Hoc cogitur ex iis quæ dicis, fieri non posse ut philosophemur, pervenire ad eam rem homini nato non licere. Postulas enim eum qui philosophaturus sit eligere primum philosophiam optimam.

οὕτως σοι ἐδόκει μόνως ἀκριβὴς ἂν γενέσθαι, εἰ διὰ πάσης φιλοσοφίας χωρήσαντες ἑλοίμεθα τὴν ἀληθεστάτην. Εἶτα λογιζόμενος ἐτῶν ἀριθμὸν, ὁπόσος ἑκάστῃ ἱκανός ἐστιν, ὑπερεξέπιπτες ἀπομηκύνων τὸ πρᾶγμα ἐς γενεὰς ἄλλας, ὡς ὑπερήμερον γίγνεσθαι τἀληθὲς τοῦ ἑκάστου βίου· τελευτῶν δὲ καὶ τοῦτο αὐτὸ οὐκ ἀνενδοίαστον ἀποφαίνεις, ἄδηλον εἶναι λέγων, εἴτε εὕρηται πρὸς τῶν φιλοσοφούντων πάλαι τἀληθὲς εἴτε καὶ μή.

ΛΥΚ. Σὺ δὲ πῶς, ὦ Ἑρμότιμε, δύναιο ἂν ἐπομοσάμενος εἰπεῖν ὅτι εὕρηται πρὸς αὐτῶν;

ΕΡΜ. Ἐγὼ μὲν οὐκ ἂν ὀμόσαιμι.

ΛΥΚ. Καίτοι πόσα ἄλλα παρεῖδον ἐκών σοι ἐξετάσεως μακρᾶς καὶ αὐτὰ δεόμενα;

68. ΕΡΜ. Τὰ ποῖα;

ΛΥΚ. Οὐκ ἀκούεις τῶν Στωϊκῶν ἢ Ἐπικουρείων ἢ Πλατωνικῶν εἶναι φασκόντων τοὺς μὲν εἰδέναι τοὺς λόγους ἑκάστους, τοὺς δὲ μή, καίτοι τά γε ἄλλα πάνυ ἀξιοπίστους ὄντας;

ΕΡΜ. Ἀληθῆ ταῦτα.

ΛΥΚ. Τὸ τοίνυν διακρῖναι τοὺς εἰδότας καὶ διαγνῶναι ἀπὸ τῶν οὐκ εἰδότων μὲν, φασκόντων δὲ, οὔ σοι δοκεῖ πάνυ ἐργῶδες εἶναι;

ΕΡΜ. Καὶ μάλα.

ΛΥΚ. Δεήσει τοίνυν σὲ, εἰ μέλλεις Στωϊκῶν τὸν ἄριστον εἴσεσθαι, εἰ καὶ μὴ ἐπὶ πάντας, ἀλλ' οὖν ἐπὶ τοὺς πλείστους αὐτῶν ἐλθεῖν καὶ πειραθῆναι καὶ τὸν ἀμείνω προστήσασθαι διδάσκαλον, γυμνασάμενόν γε πρότερον καὶ κριτικὴν τῶν τοιούτων δύναμιν πορισάμενον, ὡς μή σε λάθῃ ὁ χείρων προκριθείς. Καὶ σὺ καὶ πρὸς τοῦτο ὅρα ὅσου δεῖ τοῦ χρόνου, οὗ ἑκὼν παρῆκα δεδιὼς μὴ σὺ ἀγανακτήσῃς, καίτοι τό γε μέγιστόν τε ἅμα καὶ ἀναγκαιότατον ἐν τοῖς τοιούτοις, λέγω δὴ τοῖς ἀδήλοις τε καὶ ἀμφιβόλοις, ἓν τοῦτό ἐστιν, οἶμαι· καὶ μόνη σοι αὕτη πιστὴ καὶ βέβαιος ἐλπὶς ἐπὶ τὴν ἀλήθειάν τε καὶ εὕρεσιν αὐτῆς, ἄλλη δὲ οὐδ' ἡτισοῦν ἢ τὸ κρίνειν δύνασθαι καὶ χωρίζειν ἀπὸ τῶν ἀληθῶν τὰ ψευδῆ ὑπάρχειν σοι καὶ κατὰ τοὺς ἀργυρογνώμονας διαγιγνώσκειν ἅ τε δόκιμα καὶ ἀκίβδηλα καὶ ἃ παρακεκομμένα, καὶ εἴ ποτε τοιαύτην τινὰ δύναμιν καὶ τέχνην πορισάμενος ἥξεις ἐπὶ τὴν ἐξέτασιν τῶν λεγομένων, εἰ δὲ μή, εὖ ἴσθι ὡς οὐδέν κωλύσει σε τῆς ῥινὸς ἕλκεσθαι ὑφ' ἑκάστων ἢ θαλλῷ προδειχθέντι ἀκολουθεῖν ὥσπερ τὰ πρόβατα, μᾶλλον δὲ τῷ ἐπιτραπεζίῳ ὕδατι ἐοικὼς ἔσῃ, ἐφ' ὅ τι ἂν μέρος ἕλκύσῃ σέ τις, ἄκρῳ τῷ δακτύλῳ ἀγόμενος, ἢ καὶ νὴ Δία καλάμῳ τινὶ ἐπ' ὀχθῃ παραποταμίᾳ πεφυκότι καὶ πρὸς πᾶν τὸ πνέον καμπτομένῳ, κἂν μικρά τις αὔρα διαφυσήσασα διασκεδάσῃ αὐτόν.

69. Ὡς εἴ γέ τινα εὕροις διδάσκαλον, ὃς ἀποδείξεως πέρι καὶ τῆς τῶν ἀμφισβητουμένων διακρίσεως τέχνην τινὰ εἰδὼς διδάξειέ σε, παύσῃ δηλαδὴ πράγματα ἔχων· αὐτίκα γάρ σοι τὸ βέλτιστον φανεῖται καὶ τἀληθὲς ὑπαχθὲν τῇ ἀποδεικτικῇ ταύτῃ τέχνῃ καὶ τὸ ψεῦδος ἐλεγχθήσεται, καὶ σὺ βεβαίως ἑλόμενος καὶ κρίνας φι-

Electio porro ista ita demum accurata tibi videtur esse, si per omnem philosophiam euntes, eam quæ verissima est eligamus. Deinde dum computas annorum numerum qui unicuique sectæ sufficiat, modum omnem excessisti, producto in alias generationes negotio, ut adeo post terminum vitæ singulorum veniat demum veritas. Denique vero id ipsum quoque dubitatione non usquequaque liberum esse pronuncias, qui dicas obscurum esse, inventane sit olim a philosophis veritas, an non.

LYC. At tu, Hermotime, num qua possis juratus dicere, eam inventam ab illis esse?

HERM. Equidem non juraverim.

LYC. Quam multa etiam prætervidi tibi prudens, examine longo quæ et ipsa opus habeant?

68. HERM. Quænam?

LYC. Nonne audis qui se Stoicos, aut Epicureos, aut Platonicos esse dicant, eorum partim scire rationes singulas, alios non item, quamvis fide ceteroquin dignissimos homines?

HERM. Vera ista.

LYC. Discernere igitur eos qui sciunt, et dignoscere ab his qui quum nesciant, scire tamen se dicant, nonne operosum valde esse tibi videtur?

HERM. Valde id quidem.

LYC. Oportebit igitur te, si optimum Stoicorum nosse volueris, si non ad omnes, ad plerosque certe illorum accedere, et tentare, et meliorem tibi magistrum eligere, instituta prius exercitatione, et judicandi de talibus comparata facultate, ne imprudens deteriorem præferas. Tu vero ad hoc etiam vide quanto opus sit tempore, quod prætermisi volens, veritus ne indigne ferres, licet maximum et maxime necessarium in talibus, obscuris inquam et ambiguis, unum hoc esse arbitrer. Ac sola tibi hæc fidelis et firma spes ad veritatem inveniendam; alia vero non ulla restat nisi hæc, si judicare possis, et separandi a veris falsa si facultas tibi sit, et, qualis est argentariorum, dignoscendi proba et fraudis expertia ab his quæ adulterata sunt; denique si tali facultate atque arte comparata, ad eorum quæ dicuntur examen tandem accedas : sin vero minus, nihil, mihi crede, obstabit quominus naribus traharis ab unoquoque, aut fruticem præmonstratum sequaris uti pecora : potius vero fusæ per mensam aquæ similis eris, qui, quamcumque te in partem summo quis digito trahat, sequare : aut, per Jovem, enatæ ad fluminis ripam arundini, ad quemvis se spiritum flectenti, quantumvis minuta aura suo eam flatu moveat.

69. Itaque si quem magistrum invenias, qui de demonstratione atque dubiorum dijudicatione artem, quam norit, te doceat, laborare nimirum desines. Statim enim quod optimum est tibi apparuerit, et verum demonstrativa illa arte subactum; mendacium quoque hinc deprehendetur, tuque, firma electione facta et judicio, philosophabere,

λοσοφήσεις καὶ τὴν τριπόθητον εὐδαιμονίαν κτησάμενος βιώσῃ μετ' αὐτῆς ἅπαντα συλλήβδην ἔχων τἀγαθά.

ΕΡΜ. Εὖ γε, ὦ Λυκῖνε· παρὰ πολὺ γὰρ ταῦτ' ἀμείνω καὶ ἐλπίδος οὐ μικρᾶς ἐχόμενα λέγεις, καὶ ζητητέος, ὡς ἔοικεν, ἡμῖν ἀνήρ τις τοιοῦτος, διαγνωστικούς τε καὶ διακριτικοὺς ποιήσων ἡμᾶς καὶ τὸ μέγιστον, ἀποδεικτικούς· ὡς τά γε μετὰ ταῦτα ῥᾴδια ἤδη καὶ ἀπράγμονα καὶ οὐ πολλῆς διατριβῆς δεόμενα. Καὶ ἔγωγε ἤδη χάριν οἶδά σοι ἐξευρόντι σύντομόν τινα ταύτην ἡμῖν καὶ ἀρίστην ὁδόν.

ΛΥΚ. Καὶ μὴν οὐδέπω χάριν ἄν μοι εἰδείης εἰκότως· οὐδὲν γάρ σοι ἐξευρηκὼς ἔδειξα, ὡς ἐγγυτέρω σε ποιήσειν τῆς ἐλπίδος, τὸ δὲ πολὺ πορρωτέρω γεγόναμεν ἢ πρότερον ἦμεν καὶ κατὰ τοὺς παροιμιαζομένους « πολλὰ μοχθήσαντες ὁμοίως ἐσμέν. »

ΕΡΜ. Πῶς τοῦτο φῄς; πάνυ γὰρ λυπηρόν τι καὶ δύσελπι ἐρεῖν ἔοικας.

70. ΛΥΚ. Ὅτι, ὦ ἑταῖρε, κἂν εὕρωμεν ὑπισχνούμενόν τινα εἰδέναι τε ἀπόδειξιν καὶ ἄλλον διδάξειν, οὐκ αὐτίκα, οἶμαι, πιστεύσομεν αὐτῷ, ἀλλά τινα ζητήσομεν τὸν κρῖναι δυνάμενον, εἰ ἀληθῆ ὁ ἀνὴρ λέγει· κἂν τούτου εὐπορήσωμεν, ἄδηλον ἔτι ἡμῖν εἰ ὁ ἐπιγνώμων οὗτος οἶδε διαγιγνώσκειν τὸν ὀρθῶς κρινοῦντα ἢ μή, καὶ ἐπ' αὐτὸν αὖθις τοῦτον ἄλλου ἐπιγνώμονος, οἶμαι, δεῖ· ἡμεῖς γὰρ πόθεν ἂν εἰδείημεν διακρίνειν τὸν ἄριστα κρῖναι δυνάμενον; Ὁρᾷς ὅπου τοῦτο ἀποτείνεται καὶ ὡς ἀπέραντον γίγνεται, στῆναί ποτε καὶ καταληφθῆναι μὴ δυνάμενον; ἐπεὶ καὶ τὰς ἀποδείξεις αὐτὰς, ὁπόσας οἷόν τε εὑρίσκειν, ἀμφισβητουμένας ὄψει καὶ μηδὲν ἐχούσας βέβαιον· αἱ γοῦν πλεῖσται αὐτῶν δι' ἄλλων ἀμφισβητουμένων πείθειν ἡμᾶς βιάζονται εἰδέναι, αἱ δὲ τοῖς πάνυ προδήλοις τὰ ἀφανέστατα συνάπτουσαι οὐδὲν αὐτοῖς κοινωνοῦντα ἀποδείξεις ὅμως αὐτῶν εἶναι φάσκουσιν, ὥσπερ εἴ τις οἴοιτο ἀποδείξειν εἶναι θεοὺς, διότι βωμοὶ αὐτῶν ὄντες φαίνονται. Ὥστε, ὦ Ἑρμότιμε, οὐκ οἶδ' ὅπως καθάπερ οἱ ἐν κύκλῳ θέοντες ἐπὶ τὴν αὐτὴν ἀρχὴν καὶ ἀπορίαν ἐπανελήλυθαμεν.

71. ΕΡΜ. Οἷά με εἰργάσω, ὦ Λυκῖνε, ἄνθρακάς μοι τὸν θησαυρὸν ἀποφήνας, καὶ ὡς ἔοικεν ἀπολεῖταί μοι τὰ τοσαῦτα ἔτη καὶ ὁ κάματος ὁ πολύς.

ΛΥΚ. Ἀλλ', ὦ Ἑρμότιμε, πολὺ ἔλαττον ἀνιάσῃ, ἢν ἐννοήσῃς ὅτι οὐ μόνος ἔξω μένεις τῶν ἐλπισθέντων ἀγαθῶν, ἀλλὰ πάντες, ὡς ἔπος εἰπεῖν, περὶ ὄνου σκιᾶς μάχονται οἱ φιλοσοφοῦντες. Ἤ τίς ἄρα δύναιτο δι' ἐκείνων ἁπάντων χωρῆσαι ὧν ἔφην; ὅπερ ἀδύνατον καὶ αὐτὸς λέγεις εἶναι. Νῦν δὲ ὁμοίόν μοι δοκεῖς ποιεῖν ὥσπερ εἴ τις δακρύοι καὶ αἰτιῷτο τὴν τύχην, ὅτι μὴ δύναιτο ἀνελθεῖν ἐς τὸν οὐρανὸν, ἢ ὅτι μὴ βύθιος ὑποδὺς εἰς τὴν θάλατταν ἀπὸ Σικελίας ἐς Κύπρον ἀναδύσεται, ἢ ὅτι μὴ ἀρθεὶς πτηνὸς αὐθημερὸν ἀπὸ τῆς Ἑλλάδος εἰς Ἰνδοὺς τελεῖ· τὸ δ' αἴτιον τῆς λύπης, ὅτι ἠλπίκει, οἶμαι, ἢ ὄναρ ποτὲ ἰδὼν τοιοῦτον ἢ αὐτὸς αὑτῷ ἀναπλάσας, οὐ πρότερον ἐξετάσας εἰ ἐφικτὰ εὔχεται καὶ κατὰ τὴν ἀνθρώπου φύσιν. Καὶ δὴ καὶ σὲ, ὦ ἑταῖρε,

et expetita illa votis omnibus felicitate parta, cum ea vives. bona possidens conjunctim omnia.

HERM. Euge, Lycine! multum enim ista meliora dicis, et cum spe non mediocri conjuncta, quærendusque, ut videtur, nobis talis vir est, qui illa nos dignoscendi dijudicandique facultate instruat, et, quod maximum est, demonstrandi quoque: itaque ea quæ sequuntur, facilia jam et molestiæ expertia, nec moræ multæ indigentia. Atque jam tibi gratiam equidem habeo, qui compendiariam hanc nobis optimamque viam inveneris.

LYC. Quin nondum mihi de jure debes gratias: nihil enim vel inveni vel ostendi tibi, quod spei te tuæ propius admoveat; sed plerumque, quam prius eramus, longius absumus, et, quod est in proverbio, post multum laborem ut ante habemus.

HERM. Quid ita? videris enim prorsus triste quiddam et desperationis plenum dicturus.

70. LYC. Quoniam, amice, etiamsi inveniamus aliquem professum scire se demonstrationem, ac docere velle alios, non statim, puto, illi credemus, sed quæremus qui judicare possit, an vera ille dicat: et hujus quoque si oblata copia sit, obscurum adhuc nobis, utrum ille judex dignoscere possit recte judicaturum an non: et ad hunc ipsum alio, arbitror, judice opus est: nos enim unde sciamus dijudicare eum qui judicare possit optime? Vides, quorsum hoc pertineat et ut sit infinitum, quum stare nusquam et comprehendi possit? quandoquidem ipsas quoque demonstrationes, quotquot inveniri possunt, in dubium revocari videas, neque firmum quicquam habere. Nam pleræque illarum per alia, de quibus et ipsis adhuc lis est, persuadere nobis nituntur se scire: aliæ vero, quæ e plane manifestis suspendunt obscurissima, commune nihil cum illis habentia, demonstrationes tamen horum se esse dicunt: verbi causa, si quis putet inde se demonstraturum deos esse, quod altaria illorum esse apparet. Itaque nescio quomodo, Hermotime, ut qui currunt in circulo, ad idem initium et dubitationem eandem rediimus.

71. HERM. Ut me tractasti, Lycine! qui thesaurum mihi in carbones redegeris: ut videtur, periere mihi tot anni et labor ille plurimus.

LYC. Sed multo minus, Hermotime, moleste feres, si cogitaveris non te solum speratis bonis carere, sed omnes, ut ita dicam, de asini umbra pugnare philosophos. Aut quis ire queat per illa, quæ dixi, omnia? quod fieri posse et ipse negas. Jam vero idem mihi videris facere, ac si quis ploret et cum fortuna queratur, quod ascendere in cœlum nequeat, aut quod non profundo mari mersus a Sicilia emergere in Cyprum, aut quod non pennis sublatus ex Græcia eodem die ad Indos perveniat: causam vero ejus doloris hanc habeat, quod illud speraverit, puto, aut viso forte tali somnio, aut quod ipse sibi ultro finxerit, non explorato prius num ea optet ad quæ pervenire possit, quæque humanæ naturæ conveniant. Et sane tibi quoque, so-

πολλὰ καὶ θαυμαστὰ ὀνειροπολοῦντα νύξας ὁ λόγος ἀπὸ τοῦ ὕπνου ἐκθορεῖν ἐποίησεν· εἶτα ὀργίζῃ αὐτῷ ἔτι μόλις τοὺς ὀφθαλμοὺς ἀνοίγων καὶ τὸν ὕπνον οὐ ῥᾳδίως ἀποσειόμενος ὑφ' ἡδονῆς ὧν ἑώρας. Πάσχουσι δ' αὐτὸ καὶ οἱ τὴν κενὴν μακαρίαν ἑαυτοῖς ἀναπλάττοντες, ἣν μεταξὺ πλουτοῦσιν αὐτοῖς καὶ θησαυροὺς ἀνορύττουσι καὶ βασιλεύουσι καὶ τἆλλα εὐδαιμονοῦσιν — οἷα πολλὰ ἡ θεὸς ἐκείνη ῥᾳδιουργεῖ, ἡ Εὐχή, μεγαλόδωρος οὖσα καὶ πρὸς οὐδὲν ἀντιλέγουσα, κἂν πτηνὸς θέλῃ τις γενέσθαι, κἂν κολοσσιαῖος τὸ μέγεθος, κἂν ὄρη ὅλα χρυσᾶ εὑρίσκειν — ἢν τοίνυν ταῦτα ἐννοοῦσιν αὐτοῖς, ὁ παῖς προσελθὼν ἐρήταί τι τῶν ἀναγκαίων, οἷον ὅθεν ἄρτους ὠνητέον ἢ ὅ τι φατέον πρὸς τὸν ἀπαιτοῦντα τοὐνοίκιον ἐκ πολλοῦ περιμένοντα, οὕτως ἀγαναχτοῦσιν ὡς ὑπὸ τοῦ ἐρομένου καὶ παρενοχλήσαντος ἀφαιρεθέντες ἅπαντα ἐκεῖνα τἀγαθὰ καὶ ὀλίγου δέουσι τὴν ῥῖνα τοῦ παιδὸς ἀποτραγεῖν.

72. Ἀλλὰ σὺ, ὦ φιλότης, μὴ πάθῃς αὐτὸ πρὸς ἐμέ, εἴ σε θησαυροὺς ἀνορύττοντα καὶ πετόμενον καί τινας ἐννοίας ὑπερφυεῖς ἐννοοῦντα καί τινας ἐλπίδας ἀνεφίκτους ἐλπίζοντα φίλος ὢν οὐ περιεῖδον διὰ παντὸς τοῦ βίου ὀνείρῳ ἡδεῖ μὲν ἴσως, ἀτὰρ ὀνείρῳ γε συνόντα, διαναστάντα δὲ ἀξιῶ πράττειν τι τῶν ἀναγκαίων καὶ ὅ σε παραπέμψει ἐς τὸ λοιπὸν τοῦ βίου τὰ κοινὰ ταῦτα φρονοῦντα· ἐπεὶ ὅ γε νῦν ἔπραττες καὶ ἐπενόεις, οὐδὲν τῶν Ἱπποκενταύρων καὶ Χιμαιρῶν καὶ Γοργόνων διαφέρει, καὶ ὅσα ἄλλα ὄνειροι καὶ ποιηταὶ καὶ γραφεῖς ἐλεύθεροι ὄντες ἀναπλάττουσιν οὔτε γενόμενα πώποτε οὔτε γενέσθαι δυνάμενα. Καὶ ὅμως ὁ πολὺς λεὼς πιστεύουσιν αὐτοῖς καὶ κηλοῦνται ὁρῶντες ἢ ἀκούοντες τὰ τοιαῦτα διὰ τὸ ξένα καὶ ἀλλόκοτα εἶναι.

73. Καὶ σὺ δὴ μυθοποιοῦ τινος ἀκούσας ὡς ἔστι τις γυνὴ ὑπερφυὴς τὸ κάλλος, ὑπὲρ τὰς Χάριτας αὐτὰς ἢ τὴν Οὐρανίαν, εἰ καὶ μὴ πρότερον ἐξήτασας εἰ ἀληθῆ λέγει καὶ εἰ ἔστι που τῆς γῆς ἡ ἄνθρωπος αὕτη, ἦρας εὐθὺς, ὥσπερ φασὶ τὴν Μήδειαν ἐξ ὀνείρατος ἐρασθῆναι τοῦ Ἰάσονος. Ὃ δὲ δὴ μάλιστά σε πρὸς τὸν ἔρωτα ἐπηγάγετο καὶ τοὺς ἄλλους δὲ, ὁπόσοι τοῦ αὐτοῦ σοι εἰδώλου ἐρῶσι, τοῦτο ἦν, ὡς γέ μοι εἰκάζοντι φαίνεται, τὸ τὸν λέγοντα ἐκεῖνον περὶ τῆς γυναικὸς, ἐπείπερ ἐπιστεύθη τὸ πρῶτον ὅτι ἀληθῆ λέγει, ἀκόλουθα ἐπάγειν· εἰς τοῦτο γὰρ ἑωρᾶτε μόνον, καὶ διὰ τοῦτο εἶλκεν ὑμᾶς τῆς ῥινὸς, ἐπείπερ ἅπαξ τὴν πρώτην λαβὴν ἐνεδώκατε αὐτῷ, καὶ ἦγεν ἐπὶ τὴν ἀγαπωμένην δι' ἧς ἔλεγεν εὐθείας ὁδοῦ· ῥᾴδια γὰρ, οἶμαι, τὰ μετὰ ταῦτα καὶ οὐδεὶς ὑμῶν ἔτι ἐπιστρεφόμενος εἰς τὴν εἴσοδον ἐξήταζεν εἰ ἐληθής ἐστι καὶ εἰ μὴ ἔλαθε καθ' ἣν οὐκ ἐγρῆν εἰσελθὼν, ἀλλ' ἠκολούθει τοῖς τῶν προωδευκότων ἴχνεσι, καὐάπερ τὰ πρόβατα πρὸς τὸν ἡγούμενον, δέον ἐπὶ τῇ εἰσόδῳ καὶ κατὰ τὴν ἀρχὴν εὐθὺς σκέψασθαι, εἴπερ εἰσιτητέον.

74. Ὃ δέ φημι, σαφέστερον ἂν μάθοις, ἤν τι τοιοῦτον ὅμοιον παραθεωρήσῃς αὐτῷ· λέγοντος γάρ τινος τῶν μεγαλοτόλμων τούτων ποιητῶν, ὡς γένοιτό ποτε τριπρόσωπος καὶ ἑξάχειρ ἄνθρωπος, ἂν τὸ πρῶτον ταῦτα

dalis, multa et admirabilia somnianti latus fodiens ratio, ex somno ut exsilires effecit: deinde illi iracunde vix aperiens oculos, et non sine difficultate somnum præ voluptate visorum excutiens. Usu illud venit etiam iis, qui vanam illam beatam insulam sibi fingunt: quibus si, dum divites sunt, dum effodiunt thesauros, et regnant et ceteris modis beati sunt (qualia multa perpetrat dea illa, cui Voti nomen est, magnifica muneribus, neque contradicens cuiquam, nec si volucris fieri quis velit, nec si colossea magnitudine, nec si aureos totos montes invenire): hæc igitur dum animo agitant, si puer accedens interroget necessarium quiddam, verbi gratia, unde panis emendus, aut quid sit respondendum mercedem domus repetenti, qui did jam exspectaverit; ita indignantur, quasi ab interrogante illo atque interpellante ablata ipsis essent bona illa omnia, et parum abest quin morsu nasum puero auferant.

72. Tu vero, amice, noli eodem in me impetu ferri, si te effodientem thesauros, aut volantem, aut cogitationes quasdam majores, quam natura patitur, agitantem, et spes habentem, ad quas perveniri non potest, pro amicitia nostra non passus sum per omnem vitam in somnio suavi illo quidem fortasse, somnio tamen, versari: sed surgere jubeo, et facere aliquid eorum quæ opus sunt, quodque te ad id quod superest vitæ dimittere possit communi illo sensu præditum. Quod enim modo agebas et cogitabas, ab Hippocentauris et Chimæris et Gorgonibus nihil quicquam differt, et quæcumque alia somni et poetæ et pictores pro sua libertate confingunt, quæ nec fuere unquam, neque esse possunt. Et tamen major pars populi credunt illis, et videndis audiendisve talibus mulcentur, ob id ipsum nempe quod peregrina sunt et absurda.

73. Et tu sane quum ex fabulatore quodam audisses, mulierem esse, quæ pulchritudine naturam supergressa, Gratias ipsas aut Cælestem illam Venerem vincat, licet non exploraris prius utrum vera dicat, et sitne terrarum alicubi ista mulier, statim amare eam cœpisti, ut Medeam aiunt ex insomnio amore Iasonis correptam. Quod autem maxime te in amorem illum induxit, aliosque, quotquot eandem quam tu umbram amant, quantum conjectura assequor, hoc erat, quod is qui de muliere prædicabat, postquam semel fides illi habita est ut vera dicenti, ea subjunxit, quæ consequentia et cohærentia illis essent: ad hoc enim spectabatis solum, et propter hoc ipsum naso vos quasi alligatos traxit, quum primam semel velut ansam ei dedissetis, duxitque ad amatam recta, quam dicebat, via. Facilia enim, reor, cetera, neque quisquam vestrûm ad ingressum reflexa cogitatione, verane esset via, exploravit, et num forte imprudens quam non oportebat institisset; sed præeuntium sequebatur vestigia, uti oves suum solent ducem, quum decuisset ad introitum et principio statim videre, essetne intrandum.

74. Quod autem dico apertius intelligas, si consideres et conferas ejusmodi quiddam simile. Si enim audacium horum poetarum aliquis dicat, fuisse quondam tricipitem et sex manibus hominem, si primum ista facile recipias, non

ἀπραγμόνως ἀποδέξῃ μὴ ἐξετάσας εἰ δυνατὸν, ἀλλὰ πιστεύσας, εὐθὺς ἀκολούθως ἂν ἐπάγοι καὶ τὰ λοιπὰ, ὡς καὶ ὀφθαλμοὺς ὁ αὐτὸς εἶχεν ἓξ καὶ ὦτα ἓξ καὶ φωνὰς τρεῖς ἅμα ἠφίει καὶ ἤσθιε διὰ τριῶν στομάτων καὶ δακτύλους τριάκοντα εἶχεν, οὐχ ὥσπερ ἕκαστος ἡμῶν δέκα ἐν ἀμφοτέραις ταῖς χερσὶ, καὶ εἰ πολεμεῖν δέοι, αἱ τρεῖς μὲν χεῖρες ἑκάστη πέλτην ἢ γέρρον ἢ ἀσπίδα εἶχον, αἱ τρεῖς δὲ ἡ μὲν πέλεκυν κατέφερεν, ἡ δὲ λόγχην ἠφίει, ἡ δὲ τῷ ξίφει ἐχρῆτο. Καὶ τίς ἔτι ἂν ἀπιστήσειε ταῦτα λέγοντι αὐτῷ; ἀκόλουθα γὰρ τῇ ἀρχῇ, περὶ ἧς ἐχρῆν εὐθὺς σκοπεῖν εἴπερ δεκτέα καὶ εἰ συγχωρητέα οὕτως ἔχειν. Ἦν δ' ἅπαξ ἐκεῖνα δῷς, ἐπιρρεῖ τὰ λοιπὰ καὶ οὔποτε στήσεται καὶ τὸ ἀπιστεῖν αὐτοῖς οὐκέτι ῥᾴδιον, ἐπείπερ ἀκόλουθα καὶ ὁμοιά ἐστι τῇ συγχωρηθείσῃ ἀρχῇ, ἅπερ καὶ ὑμεῖς πάσχετε· ὑπὸ γὰρ δὴ ἔρωτος καὶ προθυμίας οὐκ ἐξετάσαντες τὰ κατὰ τὴν εἴσοδον ἑκάστην ὅπως ὑμῖν ἔχει, προχωρεῖτε ὑπὸ τῆς ἀκολουθίας ἑλκόμενοι, οὐκ ἐννοοῦντες εἴ πῃ γένοιτ' ἂν ἀκόλουθόν τι αὐτῷ καὶ ψεῦδος ὄν, οἷον, εἴ τις λέγοι τὰ δὶς πέντε ἑπτὰ εἶναι καὶ σὺ πιστεύσειας αὐτῷ μὴ ἀριθμήσας ἐπὶ σαυτοῦ, ἐπάξει δηλαδὴ ὅτι καὶ τετράκις πέντε τετταρεσκαίδεκα πάντως ἐστὶ καὶ μέχρι ἂν ὅτου ἐθελήσῃ, οἷα καὶ ἡ θαυμαστὴ γεωμετρία ποιεῖ· κἀκείνη γὰρ τοὺς ἐν ἀρχῇ ἀλλόκοτά τινα αἰτήματα αἰτήσασα καὶ συγχωρηθῆναι αὐτῇ ἀξιώσασα οὐδὲ συστῆναι δυνάμενα, σημεῖά τινα ἀμερῆ καὶ γραμμὰς ἀπλατεῖς καὶ τὰ τοιαῦτα, ἐπὶ σαθροῖς τοῖς θεμελίοις τούτοις οἰκοδομεῖ τὰ τοιαῦτα καὶ ἀξιοῖ εἰς ἀπόδειξιν ἀληθῆ λέγειν ἀπὸ ψευδοῦς τῆς ἀρχῆς ὁρμωμένη.

75. Κατὰ ταὐτὰ τοίνυν καὶ ὑμεῖς δόντες τὰς ἀρχὰς τῆς προαιρέσεως ἑκάστης πιστεύετε τοῖς ἑξῆς καὶ γνώρισμα τῆς ἀληθείας αὐτῶν τὴν ἀκολουθίαν ἡγεῖσθε εἶναι ψευδῆ οὖσαν· εἶτα οἱ μὲν ὑμῶν ἐναποθνήσκουσι ταῖς ἐλπίσι, πρὶν ἰδεῖν τἀληθὲς καὶ καταγνῶναι τῶν ἐξαπατησάντων ἐκείνων, οἱ δὲ κἂν αἴσθωνται ἐξηπατημένοι ὀψέ ποτε γέροντες ἤδη γενόμενοι, ὀκνοῦσιν ἀναστρέφειν αἰδούμενοι, εἰ δεήσει τηλικούτους αὐτοὺς ὄντας ἐξομολογήσασθαι ὅτι πράγματα παίδων ἔχοντες οὐ συνίεσαν· ὥστε ἐμμένουσι τοῖς αὐτοῖς ὑπ' αἰσχύνης καὶ ἐπαινοῦσι τὰ παρόντα καὶ ὁπόσους ἂν δύνωνται προτρέπουσιν ἐπὶ τὰ αὐτὰ, ὡς ἂν μὴ μόνοι ἐξηπατημένοι ὦσιν, ἀλλ' ἔχωσι παραμυθίαν τὸ καὶ ἄλλους πολλοὺς τὰ ὅμοια παθεῖν αὐτοῖς· καὶ γὰρ αὖ κἀκεῖνο ὁρῶσιν, ὅτι ἦν τἀληθὲς εἴπωσιν, οὐκέτι σεμνοὶ ὥσπερ νῦν καὶ ὑπὲρ τοὺς πολλοὺς δόξουσιν οὐδὲ τιμήσονται ὁμοίως. Οὐκ ἂν οὖν ἑκόντες εἴποιεν εἰδότες, ἀφ' οἵων ἐκπεσόντες ὅμοιοι τοῖς ἄλλοις δοξουσιν. Ὀλίγοις δ' ἂν πάνυ ἐντύχοις ὑπ' ἀνδρείας τολμῶσι λέγειν ὅτι ἐξηπάτηνται καὶ τοὺς ἄλλους ἀποτρέπειν τῶν ὁμοίων πειρωμένους. Εἰ δ' οὖν τινι τοιούτῳ ἐντύχοις, φιλαλήθη τε κάλει τὸν τοιοῦτον καὶ χρηστὸν καὶ δίκαιον καὶ, εἰ βούλει, φιλόσοφον· οὐ γὰρ ἂν φθονήσαιμι τούτῳ μόνῳ τοῦ ὀνόματος· οἱ δ' ἄλλοι ἢ οὐδὲν ἀληθὲς ἴσασιν οἰόμενοι εἰδέναι ἢ εἰδότες ἀποκρύπτονται ὑπὸ δειλίας καὶ αἰσχύνης καὶ τοῦ προτιμᾶσθαι βούλεσθαι.

explorato fierine possit, sed fide illi habita; ille statim consequenter subjunxerit cetera: eundem hominem sex habuisse oculos, et aures totidem, et voces eodem tempore ternas emisisse, et oribus tribus sumsisse cibum, et triginta habuisse digitos, non decem, ut quisque nostrûm, in ambabus manibus: ac si bellica opera opus esset, tres quidem manus peltam, aut cratem, aut scutum habuisse; trium vero reliquarum unam dejecisse securim, alteram emisisse lanceam, tertiam usam gladio. Et quis adhuc fidem negaret dicenti talia? conveniunt enim principio, de quo statim videndum erat, possetne recipi, et an concedendum sit rem ita habere. Ubi vero semel illa dederis, affluunt quasi reliqua, neque usquam subsistent, ipsumque illud negare fidem non jam facile, quum consequentia sint et concessis principiis similia: quod quidem vobis accidit. Præ amore enim et studio quum non explorassetis ut se vobis habeant quæ sunt circa unumquemque ingressum, proceditis, tracti a consequentia, non advertentes animum si qua sit quod sequatur ex illis et idem sit falsum: velut si quis dicat bis quinque septem esse, tuque fidem illi habeas, non et ipse apud te dinumerans, inferet scilicet etiam quater sumta quinque efficere quatuordecim, et quousque ille voluerit: qualia etiam admirabilis geometria efficit. Nam illa quoque hos qui versantur circa principia, absurda quædam postulata poscit, eaque dari sibi æquum censet, quæ tamen ne consistere quidem possunt, puncta quædam individua, et lineas latitudine omni carentes, et id genus plura; deinde putribus illis fundamentis similia inædificat, et postulat vera ad demonstrationem dicere, initio a falsis principiis facto.

75. Eodem modo vos quoque, concessis sectæ cujusque principiis, his quæ sequuntur fidem adjungitis, et signum veritatis illorum consequentiam istam putatis, quæ et ipsa tamen falsa est: deinde alii quidem vestrûm spei suæ immoriuntur, antequam verum viderint suosque illos deceptores cognoverint; alii vero, licet sero denique senes jam facti deceptos se sentiant, redire tamen cunctantur, pudore nimirum deterriti, si oporteat, id ætatis quum sint, fateri se imprudentes puerorum tractasse ludibria: itaque manent in iisdem præ pudore, et laudant præsentia, et quotquot possunt ad eadem hortantur, ne soli sint decepti, sed solatium habeant ex eo, quod multis etiam aliis eadem quæ sibi usu venerint: nam rursus illud quoque vident, si verum dicant, se non jam graves, ut adhuc, et supra vulgus elatos visum iri, neque honore eodem fruituros. Nunquam ergo sua voluntate dixerint, quantumvis sciant, quam vanis opinionibus missis similes futuri sint reliquis. Paucos omnino reperias satis fortes, uti audeant dicere se deceptos esse, et dehortari alios qui similia tentent. In talem ergo si incidas, veritatis amicum voca, et frugi, et justum, et si vis etiam philosophum: non invideam enim huic soli nominis hujus honorem. Reliqui autem aut veri nihil sciunt, quum scire se putent; aut quod sciunt occultant, præ timiditate et pudore, et quod præferri aliis cupiunt.

76. Καίτοι πρὸς τῆς Ἀθηνᾶς ἅπαντα μὲν ἃ ἔφην, ἐάσωμεν αὐτοῦ καταβαλόντες καὶ λήθη τις ἔστω αὐτῶν ὥσπερ τῶν πρὸ Εὐκλείδου ἄρχοντος πραχθέντων, ὑποθέμενοι δὲ ταύτην φιλοσοφίαν ὀρθὴν εἶναι τὴν τῶν Στωϊκῶν, ἄλλην δὲ μηδ' ἡντιναοῦν, ἴδωμεν εἰ ἐφικτὴ αὕτη καὶ δυνατή ἐστιν, ἢ μάτην κάμνουσιν ὁπόσοι ἐφίενται αὐτῆς· τὰς μὲν γὰρ ὑποσχέσεις ἀκούω θαυμαστάς τινας, ἡλίκα εὐδαιμονήσουσιν οἱ ἐς τὸ ἀκρότατον ἐλθόντες· μόνους γὰρ τούτους πάντα συλλαβόντας ἔξειν τὰ τῷ ὄντι ἀγαθά. Τὸ μετὰ ταῦτα δὲ σὺ ἂν ἄμεινον εἰδείης, εἴ τινι ἐντετύχηκας Στωϊκῷ τοιούτῳ καὶ Στωϊκῶν τῷ ἄκρῳ, οἷῳ μήτε λυπεῖσθαι μήθ' ὑφ' ἡδονῆς κατασπᾶσθαι μήτε ὀργίζεσθαι, φθόνου δὲ κρείττονι καὶ πλούτου καταφρονοῦντι καὶ συνόλως εὐδαίμονι, ὁποῖον χρὴ τὸν κανόνα εἶναι καὶ γνώμονα τοῦ κατὰ τὴν ἀρετὴν βίου — ὁ γὰρ καὶ κατὰ μικρότατον ἐνδεὴς ἀτελὴς, κἂν πάντα πλείω ἔχῃ — εἰ δὲ τοῦτο οὐχί, οὐδέπω εὐδαίμων.

77. ΕΡΜ. Οὐδένα τοιοῦτον εἶδον.

ΛΥΚ. Εὖ γε, ὦ Ἑρμότιμε, ὅτι οὐ ψεύδῃ ἑκών. Εἰς τί δ' οὖν ἀποβλέπων φιλοσοφεῖς, ὅταν ὁρᾷς μήτε τὸν διδάσκαλον τὸν σὸν μήτε τὸν ἐκείνου μήτε τὸν πρὸ αὐτοῦ μηδ' ἂν εἰς δεκαγονίαν ἀναγάγῃς μηδένα αὐτῶν σοφὸν ἀκριβῶς καὶ διὰ τοῦτο εὐδαίμονα γεγενημένον; οὐδὲ γὰρ ἂν ἐκεῖνο ὀρθῶς εἴποις, ὡς ἀπόχρη κἂν πλησίον γένῃ τῆς εὐδαιμονίας, ἐπεὶ οὐδὲν ὄφελος· ὁμοίως γὰρ ἔξω τοῦ ὁδοῦ ἐστι καὶ ἐν τῷ ὑπαίθρῳ ὅ τε παρὰ τὴν θύραν ἔξω ἑστὼς καὶ ὁ πόρρω, διαλλάττοιεν δ' ἄν, ὅτι μᾶλλον οὗτος ἀνιάσεται ὁρῶν ἐγγύθεν οἷων ἐστέρηται. Εἶτα ἵνα πλησίον γένῃ τῆς εὐδαιμονίας — δώσω γὰρ τοῦτό σοι — τοσαῦτα πονεῖς κατατρύχων σεαυτὸν, καὶ παραδεδράμηκέ σε ὁ βίος ὁ τοσοῦτος ἐν ἀκηδίᾳ καὶ καμάτῳ καὶ ἀγρυπνίαις κάτω νενευκότα; καὶ εἰσαῦθις πονήσεις, ὡς φῄς, ἄλλα εἴκοσιν ἔτη τοὐλάχιστον, ἵνα ὀγδοηκοντούτης γενόμενος — εἴ τις ἐγγυητής ἐστί σοι, ὅτι βιώσῃ τοσαῦτα — ὅμως ἦ ἐν τοῖς μηδέπω εὐδαιμονοῦσιν; εἰ μὴ μόνος οἶει τεύξεσθαι τούτου καὶ αἱρήσειν διώκων ὃ πρὸ σοῦ μάλα πολλοὶ κἀγαθοὶ καὶ ὠκύτεροι παρὰ πολὺ διώκοντες οὐ κατέλαβον.

78. Ἀλλὰ καὶ κατάλαβε, εἰ δοκεῖ, καὶ ἔχε ὅλον συλλαβών, τὸ μὲν δὴ πρῶτον οὐχ ὁρῶ ὅ τι ποτ' ἂν εἴη τἀγαθὸν, ὡς ἀντάξιον δοκεῖν τῶν πόνων τῶν τοσούτων· ἔπειτα ἐς πόσον ἔτι τὸν λοιπὸν χρόνον ἀπολαύσεις αὐτοῦ γέρων ἤδη καὶ παντὸς ἡδέος ἔξωρος ὢν καὶ τὸν ἕτερον πόδα, φασὶν, ἐν τῇ σορῷ ἔχων; εἰ μή τι ἐς ἄλλον, ὦ γενναῖε, βίον προγυμνάζεις σεαυτὸν, ὡς ἐς ἐκεῖνον ἐλθὼν ἄμεινον διαγάγοις, εἰδὼς ὄντινα τρόπον χρὴ βιοῦν, ὅμοιον ὡς εἴ τις ἐς τοσοῦτον σκευάζοι τε καὶ εὐτρεπίζοι ὡς δειπνήσων ἄμεινον, ἄχρι ἂν λάθῃ ὑπὸ λιμοῦ διαφθαρείς.

79. Ἀλλὰ μὴν οὐδ' ἐκεῖνό πω κατανενόηκας, οἶμαι, ὡς ἡ μὲν ἀρετὴ ἐν ἔργοις δήπου ἐστὶν, οἷον ἐν τῷ δίκαια πράττειν καὶ σοφὰ καὶ ἀνδρεῖα, ὑμεῖς δὲ — τὸ δὲ ὑμεῖς ὅταν εἴπω, τοὺς ἄκρους τῶν φιλοσοφούντων φημὶ — ἀφέντες ταῦτα ζητεῖν καὶ ποιεῖν ῥημάτια δύστηνα μελετᾶτε καὶ συλλογισμοὺς καὶ ἀπορίας καὶ τὸ πλεῖστον τοῦ

76. Quanquam, per ego te Minervam oro, quæcumque dixi jam relinquamus hic deposita omnia, sitque eorum oblivio, ut eorum quæ ante Euclidem archontem facta sunt, ponamusque hanc Stoicorum philosophiam veram esse, aliam vero quamcumque nullam : ac videamus deinde, *num illa talis sit*, ad *quam pervenire* et *quam* assequi aliquis possit; an vero frustra laborent quotquot illam concupiverunt. Audio enim admirabilia quædam esse illius promissa de eorum felicitate, qui ad fastigium ejus delati sint : solos quippe illos vera bona habituros in universum omnia. Quod vero sequitur, melius tute noris, inciderisne unquam in Stoicum talem, et summum Stoicorum, qui nunquam vincatur dolore, ad voluptatem nunquam detrahatur, irascatur nunquam, qui invidia major sit, divitiarum contemtor, et, uno verbo, beatus, qualem oportet esse, *canon qui haberi velit et regula vitæ ad virtutem compositæ* : qui enim vel minima in re deficiatur, imperfectus est, quantumvis omnibus in rebus aliis superet. Hoc vero si non sit, nondum est beatus.

77. HERM. Talem quidem vidi neminem.

LYC. Recte istud, Hermotime, quod non mentiris prudens ac volens. Quo igitur consilio philosopharis, quum videas neque tuum magistrum, neque qui illius fuit, neque qui ante istum, neque si ad decimam generationem ascendas, quenquam illorum plane sapientem, et propter hoc beatum fuisse? Neque enim illud recte dixeris, sufficere tibi si vel prope felicitatem venias ; nihil quippe profeceris : nam æque extra limen est et sub divo, tam qui ad januam stat foris, quam qui e longinquo; et in hoc fortasse differant, quod ille magis excruciabitur, qui e proximo videat quibus sibi bonis sit carendum. Deinde, ut prope felicitatem sis (*dabo tibi enim hoc*), *tantum laboras*, teque conteris, tantumque tibi vitæ spatium effluxit, dum te non respicis, dum labores, dum vigiliæ te humi deprimunt? ac denuo laborabis, ut ais, viginti alios minimum annos, ut octuagenarius senex (si quis sponsor tibi est te tantum victurum) tamen sis illorum unus qui nondum beati sunt? nisi forte solum te putas illud consecuturum et persequendo capturum, quod ante te multi admodum et boni viri et multum celeriores, persequendo non comprehenderunt.

78. Sed comprehende etiam, si ita videtur, et habe tibi universum. Tum primo quidem non video quid demum sit illud bonum, quod tantis laboribus æquiparari possit : deinde quantum est temporis reliquum quo illo fruaris, senex jam et suavitatibus omnibus non amplius tempestivus, et alterum jam pedem, quod aiunt, habens in capulo? nisi forte ad aliam, generose, te vitam exerces, ut in eam delatus vivas melius, qui quomodo vivendum sit didiceris : quod est ejusmodi, ac si quis tantum paret atque adornet ad cœnandum melius, donec fame imprudens pereat.

79. Verum neque illuddum animadvertisti, puto, in operibus scilicet inesse virtutem, ut in faciendo juste, sapienter, fortiter : at vos (vos quum dico, summos philosophorum dico) mittentes ista quærere et facere, in voculis miseris exercemini et syllogismis et perplexis quæstionibus,

βίου ἐπὶ τούτοις διατρίβετε, καὶ ὃς ἂν κρατῇ ἐν αὐτοῖς, καλλίνικος ὑμῖν δοκεῖ· ἀφ' ὧν, οἶμαι, καὶ τὸν διδάσκαλον τουτονὶ θαυμάζετε, γέροντα ἄνδρα, ὅτι τοὺς προσομιλοῦντας ἐς ἀπορίαν καθίστησι καὶ οἶδεν ὡς χρὴ ἐρέσθαι καὶ σοφίσασθαι καὶ πανουργῆσαι καὶ ἐς ἄψυκτα ἐμβαλεῖν, καὶ τὸν καρπὸν ἀτεχνῶς ἀφέντες — οὗτος δὲ ἦν περὶ τὰ ἔργα — περὶ τὸν φλοιὸν ἀσχολεῖσθε τὰ φύλλα καταχέοντες ἀλλήλων ἐν ταῖς ὁμιλίαις. Ἢ γὰρ ἄλλα ἐστὶν ἃ πράττετε, ὦ Ἑρμότιμε, πάντες ἑωθεν εἰς ἑσπέραν;

ΕΡΜ. Οὐκ, ἀλλὰ ταῦτα.

ΛΥΚ. Ἢ οὖν οὐχὶ καὶ ὀρθῶς τις φαίη τὴν σκιὰν ὑμᾶς θηρεύειν ἐάσαντας τὸ σῶμα ἢ τοῦ ὄφεως τὸ σύφαρ ἀμελήσαντας τοῦ ὅλκοῦ, μᾶλλον δὲ τὸ ὅμοιον ποιεῖν ὥσπερ εἴ τις ἐς ὅλμον ὕδωρ ἐχέας ὑπέρῳ σιδηρῷ πτίττοι πράττειν ἀναγκαῖόν τι καὶ προὔργου οἰόμενος, οὐκ εἰδὼς ὅτι ἂν ἀποδάλῃ, φασὶ, τοὺς ὤμους πτίττων, ὕδωρ ὁμοίως τὸ ὕδωρ μένει;

80. Καί μοι δὸς ἐνταῦθα ἤδη ἐρέσθαι σε εἰ ἐθέλοις ἂν ἔξω τῶν λόγων τὰ ἄλλα ἐοικέναι τῷ διδασκάλῳ, οὕτω μὲν ὀργίλος, οὕτω δὲ μικρολόγος, οὕτω δὲ φιλόνεικος ὢν καὶ φιλήδονος νὴ Δί', εἰ καὶ μὴ τοῖς πολλοῖς δοκεῖ. Τί σιγᾷς, ὦ Ἑρμότιμε; θέλεις διηγήσωμαι ἃ πρώην ἤκουσα ὑπὲρ φιλοσοφίας τινὸς λέγοντος ἀνδρὸς πάνυ γεγηρακότος, ᾧ πάμπολλοι τῶν νέων ἐπὶ σοφίᾳ πλησιάζουσιν; Ἀπαιτῶν γὰρ παρά τινος τῶν μαθητῶν τὸν μισθὸν ἠγανάκτει, λέγων ὑπερήμερον εἶναι καὶ ἐκπρόθεσμον τοῦ ὀφλήματος, ὃν ἔδει πρὸ ἐκκαίδεκα ἡμερῶν ἐκτετικέναι τῇ ἕνῃ καὶ νέᾳ· οὕτω γὰρ συνθέσθαι.

81. Καὶ ἐπεὶ ταῦτα ἠγανάκτει, παρεστὼς ὁ θεῖος τοῦ νεανίσκου, ἄγροικος ἄνθρωπος καὶ ἰδιώτης ὡς πρὸς τὰ ὑμέτερα, Πέπαυσο, εἶπεν, ὦ θαυμάσιε, τὰ μέγιστ' ἠδικῆσθαι λέγων, εἰ ῥημάτια παρὰ σοῦ πριάμενοι μηδέπω ἐκτετίκαμεν διάφορον. Καίτοι ἃ μὲν ἡμῖν πέπρακας, ἔχεις ἔτι καὶ αὐτὸς καὶ οὐδὲν ἔλαττον γέγονέ σοι τῶν μαθημάτων· τὰ δ' ἄλλα ὧν ἐξ ἀρχῆς ἐπιθυμῶν συνέστησά σοι τὸν νεανίσκον, ὁ δ' οὐδὲν ἀμείνων γεγένηται διὰ σέ, ὃς τοὐμοῦ γείτονος Ἐχεκράτους τὴν θυγατέρα συναρπάσας παρθένον οὖσαν διέφθειρε καὶ ὀλίγου δίκην ἔφυγε βιαίων, εἰ μὴ ἐγὼ ταλάντου ὠνησάμην τὸ πλημμέλημα παρὰ πένητος ἀνδρὸς τοῦ Ἐχεκράτους· τὴν μητέρα δὲ πρώην ἐρράπισεν, ὅτι αὐτοῦ ἐλάβετο ὑπὸ κόλπου ἐκκομίζοντος τὸν κάδον, ὡς ἔχοι συμβολὰς, οἶμαι, καταθεῖναι. Τὰ μὲν γὰρ ἐς ὀργὴν καὶ θυμὸν καὶ ἀναισχυντίαν καὶ ἐς τόλμαν καὶ ψεῦδος μακρῷ τινι ἄμεινον εἶχε πέρυσιν ἢ νῦν· καίτοι ἐβουλόμην ἂν αὐτὸν ἐς ταῦτα ὠφελῆσθαι ὑπὸ σοῦ μᾶλλον ἢπερ ἐκεῖνα εἰδέναι, ἃ καθ' ἑκάστην ἡμέραν πρὸς ἡμᾶς οὐδὲν δεομένους ἐπὶ τὸ δεῖπνον διεξέρχεται, ὡς κροκόδειλος ἥρπασε παιδίον, καὶ ὑπέσχηται ἀποδώσειν αὐτὸ, ἂν ἀποκρίνηται ὁ πατὴρ οὐκ οἶδ' ὅ τι, ἢ ὡς ἀναγκαῖόν ἐστιν ἡμέρας οὔσης μὴ νύκτα εἶναι· ἐνίοτε δὲ καὶ κέρατα ἡμῖν ὁ γενναῖος ἀναφύει οὐκ οἶδ' ὅπως περιπλέκων τὸν λόγον. Ἡμεῖς δὲ γελῶμεν ἐπὶ τούτοις, καὶ μάλιστα ὅταν ἐπιβυσάμενος

et majorem vitæ partem in his conteritis; et qui in hisce vicerit, ille pulchram vobis retulisse victoriam videtur. Quarum rerum causa hunc etiam, puto, doctorem admiramini, senem hominem, quod qui secum colloquantur in perplexas ambages conjicit, et quomodo interrogandum sit novit, et cavillationibus atque fraudibus quomodo utendum, et ad incitas quomodo redigi aliquis possit. Plane igitur fructu relicto, qui in operibus est, circa corticem negotiosi estis, foliis vos invicem vestris in congressibus perfundentes. Aut sunt alia quæ facitis, Hermotime, omnes a prima luce ad vesperam?

HERM. Non, sed hæc ipsa.

LYC. Nonne igitur recte dicat aliquis, relicto vos corpore umbram captare, aut exuvias serpentis tractu ipso ac volumine corporis neglecto? aut potius simile quid illi facere, si quis aquam in mortarium infusam ferreo pistillo contundat, necessarium quid et quod ad rem faciat a se putans peragi, ignorans, aquam manere aquam, si tundendo perdat, quod aiunt, humeros?

80. Et concede mihi ut hic te jam interrogem, velisne, excepta doctrina, aliis in rebus similis esse magistri tui, æque iracundus, æque sordidus, æque contentiosus uti sis, et, per Jovem, æque voluptuarius, licet vulgo talis non videatur. Quid taces, Hermotime? Visne tibi referam, quæ nuper audivi quendam pro philosophia dicere hominem plane senem, cujus domum multi admodum juvenes sapientiæ causa frequentant? Is dum reposcit ab aliquo discipulorum mercedem, indignabatur, dicens ipsum excessisse diem præstitutum præstando debito, quod solutum jam ab illo oportuisset sexdecim diebus ante, nempe pridie calendas illius mensis: ita quippe convenisse.

81. Astans autem avunculus adolescentis, homo rusticus et ad hæc vestra imperitus, Desine, inquit, homo admirabilis, dicere maxima te affectum injuria, si pro verbis a te emtis pretium nondum persolvimus. Atqui quæ vendidisti nobis, eadem adhuc habes et ipse, neque quicquam decessit tibi doctrinarum: ceterum quarum rerum desiderio ab initio commendavi tibi adolescentem, in iis rebus ille nihilo melior tua opera factus est, qui Echecratis vicini mei filiam virginem raptam vitiaverit, et ægre judicium de vi effugisset, nisi talento redemissem injuriam a pauperculo homine Echecrate. Matri vero alapas nuper dedit, deprehensus ab ea quum sub veste efferret cadum, ut haberet, puto, quas conferret symbolas. Quantum ad iram, excandescentiam, impudentiam, audaciam, mendacia, multo melius superiore anno quam nunc habebat: atqui volebam ego in hisce potius illum tuam operam utilem experiri, quam illa scire, quæ quotidie ad nos nihil opus habentes in cœna disputat, ut crocodilus puerum rapuerit, illumque se redditurum promiserit, si respondisset pater nescio quid; aut, necesse esse si dies sit, non esse noctem: interdum et cornua nobis bonus vir, sermone nescio quomodo perplexo, producit. At nos ridemus ista, et maxime quoties obturatis auribus apud se medita-

τὰ ὦτα μελετᾷ πρὸς αὐτὸν ἕξεις τινὰς καὶ σχέσεις καὶ καταλήψεις καὶ φαντασίας καὶ τοιαῦτα πολλὰ ὀνόματα διεξιών. Ἀκούομεν δὲ αὐτοῦ λέγοντος ὡς καὶ ὁ θεὸς οὐκ ἐν οὐρανῷ ἐστιν, ἀλλὰ διὰ πάντων πεφοίτηκεν, οἷον ξύλων καὶ λίθων καὶ ζώων, ἄχρι καὶ τῶν ἀτιμοτάτων· καὶ τῆς γε μητρὸς ἐρομένης αὐτὸν τί ταῦτα ληρεῖ, καταγελάσας αὐτῆς, Ἀλλ' ἦν τὸν λῆρον τοῦτον, ἔφη, ἐκμάθω ἀκριβῶς, οὐδὲν κωλύσει με μόνον πλούσιον μόνον βασιλέα εἶναι, τοὺς δ' ἄλλους ἀνδράποδα καὶ καθάρματα νομίζεσθαι ὡς πρὸς ἐμέ.

82. Τοιαῦτα τοῦ ἀνδρὸς εἰπόντος, ὁ φιλόσοφος ὅρα οἵαν ἀπόκρισιν ἀπεκρίνατο, ὦ Ἑρμότιμε, ὡς πρεσβυτικήν· ἔφη γάρ, Ἀλλ' εἴ γε μὴ ἐμοὶ ἐπλησίαζεν οὗτος, οὐκ οἴει μακρῷ χείρω ἂν αὐτὸν ἐξεργάσασθαι ἢ καὶ νὴ Δία ἴσως τῷ δημίῳ παραδεδόσθαι; ὡς νῦν γε χαλινόν τινα ἐμβέβληκεν αὐτῷ ἡ φιλοσοφία καὶ ἡ πρὸς ταύτην αἰδώς, καὶ διὰ τοῦτο μετριώτερός ἐστιν ὑμῖν καὶ φορητὸς ἔτι· φέρει γάρ τινα αἰσχύνην αὐτῷ, εἰ ἀνάξιος φαίνοιτο τοῦ σχήματος καὶ τοῦ ὀνόματος, ἃ δὴ παρακολουθοῦντα παιδαγωγεῖ αὐτόν. Ὥστε δίκαιος ἂν εἴην, εἰ καὶ μὴ ὧν βελτίω ἀπέφηνα, μισθὸν παρ' ὑμῶν λαβεῖν, ἀλλ' οὖν ἐκείνων γε, ἃ μὴ δέδρακεν αἰδούμενος φιλοσοφίαν· ἐπεὶ καὶ αἱ τιτθαὶ τοιάδε λέγουσι περὶ τῶν παιδίων, ὡς ἀπιτέον αὐτοῖς ἐς διδασκάλου· καὶ γὰρ ἀνομηδέπω μαθεῖν ἀγαθόν τι δύνωνται, ἀλλ' οὖν φαῦλον οὐδὲν ποιήσουσιν ἐκεῖ μένοντες. Ἐγὼ μὲν οὖν τὰ ἄλλα πάντα ἀποπλῆσαί μοι δοκῶ, καὶ ὅντινα ἂν ἐθέλῃς τῶν εἰδότων τὰ ἡμέτερα, ἧκέ μοι ἐς αὔριον παραλαβὼν ὄψει τε ὅπως ἐρωτᾷ καὶ πῶς ἀποκρίνεται καὶ ὅσα μεμάθηκε καὶ ὅσα ἤδη ἀνέγνωκε βιβλία περὶ ἀξιωμάτων, περὶ συλλογισμῶν, περὶ καταλήψεως, περὶ καθηκόντων καὶ ἄλλα ποικίλα. Εἰ δὲ ἢ τὴν μητέρα ἔτυπτεν ἢ παρθένους συνήρπαζε, τί ταῦτα πρὸς ἐμέ; οὐ γὰρ παιδαγωγόν με ἐπεστήσατε αὐτῷ.

83. Τοιαῦτα γέρων ἄνθρωπος ὑπὲρ φιλοσοφίας ἔλεγε. Σὺ δὲ καὶ αὐτὸς ἂν φαίης, ὦ Ἑρμότιμε, ἱκανὸν εἶναι, ὡς διὰ τοῦτο φιλοσοφοίημεν, ὡς μηδὲν τῶν φαυλοτέρων πράττοιμεν. Ἢ ἐπ' ἄλλαις ἐλπίσιν ἐξ ἀρχῆς φιλοσοφεῖν ἠξιοῦμεν, οὐχ ὡς τῶν ἰδιωτῶν κοσμιώτεροι εἴημεν περινοστοῦντες; τί οὖν οὐκ ἀποκρίνῃ καὶ τοῦτο;

EPM. Τί δ' ἄλλο ἢ ὅτι καὶ δακρῦσαι ὀλίγου δέω; ἐς τοσοῦτό μου καθίκετο ὁ λόγος ἀληθὴς ὤν, καὶ ὀδύρομαι, ὅσον ἄθλιος χρόνον ἀνάλωκα καὶ προσέτι μισθοὺς οὐκ ὀλίγους τελῶν ἀντὶ τῶν πόνων· νυνὶ γὰρ ὥσπερ ἐκ μέθης ἀνανήφων ὁρῶ οἷα μέν ἐστιν ὧν ἤρων, ὁπόσα δὲ πέπονθα διὰ ταῦτα.

84. ΛΥΚ. Καὶ τί δεῖ δακρύων, ὦ χρηστέ; τὸ γὰρ τοῦ μύθου ἐκεῖνο πάνυ συνετὸν, οἶμαι, ὃν Αἴσωπος διηγεῖτο· ἔφη γάρ ἄνθρωπόν τινα ἐπὶ τῇ ἠόνι καθεζόμενον ἐπὶ τὴν κυματωγὴν ἀριθμεῖν τὰ κύματα, σφαλέντα δὲ ἄχθεσθαι καὶ ἀνιᾶσθαι, ἄχρι δὴ τὴν κερδὼ παραστᾶσαν εἰπεῖν αὐτῷ, Τί, ὦ γενναῖε, ἀνιᾷ τῶν παρελθόντων ἕνεκα, δέον τὰ ἐντεῦθεν ἀρξάμενον ἀριθμεῖν ἀμελήσαντα ἐκείνων; Καὶ σὺ τοίνυν, ἐπείπερ οὕτω σοι δοκεῖ, ἐς τὸ λοιπὸν ἂν ἄμεινον ποιήσαις βίον τε κοινὸν ἅπασι βιοῦν

tur, habitus quosdam, et relationes, et comprehensiones, et visa, et nomina id genus plura persequens. Audimus autem illum dicere, non in cœlo esse deum, sed ire per omnia, ut ligna, et lapides, et animalia, ad res usque contemtissimas. Ac quum mater ipsum interrogaret, quorsum ista nugaretur? deridens illam, Verum, inquit, si perdidicero accurate nugas illas, nihil prohibebit solum me divitem, solum regem esse, reliquos vero mancipia et purgamenta ad me putare.

82. Hæc ille quum dixisset, quod responsum ei philosophus dederit, jam vide, Hermotime, quam senile. Dixit enim: Verum nisi se ad me applicuisset, nonne putas multo illum deteriora perpetraturum fuisse, quin carnifici forte fuisse tradendum? adeo jam frenum illi quoddam philosophia imposuit, et adversus eam reverentia, atque ob id ipsum moderatior vobis est et adhuc tolerabilis: affert enim illi pudorem quendam, si indignus isto habitu et nomine isto videatur, quæ nimirum sequuntur illum et pædagogi in morem continent. Itaque dignus sim si non eorum, in quibus meliorem illum reddidi, mercedem a vobis capere; at certe eorum quæ philosophiæ reverentia facere intermisit: quandoquidem nutrices etiam parvos in scholam censent mittendos, quum, si nondum bonum quicquam possint discere, certe mali nihil, dum ibi manent, faciant. Equidem reliqua mihi omnia implevisse videor, et quocumque volueris eorum, qui nostra non ignorant, assumto, cras ad me veni, videbisque ut interroget, ut respondeat, quot res didicerit, et quot jam legerit libros, de axiomatis, de syllogismis, de comprehensione, de officiis, et alia varia. Si vero aut matrem pulsavit, aut rapuit virgines, quid ea ad me? neque enim pædagogum me illi præfecistis.

83. Talia homo senex pro philosophia dicebat. Tu vero et ipse forte dixeris, Hermotime, satis esse si propter hoc philosophemur, ne quid pejus faciamus. Aut num alia spe philosophari ab initio postulavimus? non ideo, ut idiotis decentiores circumiremus? cur igitur non respondes hoc quoque?

HERM. Quid vero aliud quam quod parum abest quin illacrimer? adeo in animum meum penetravit vera ratio; ac deploro quantum miser temporis insumserim, mercedes insuper non parvas laborum meorum persolvens: jam enim velut ab ebrietate resipiscens video qualia sint quæ amabam, quæ autem propter ea perpessus sim.

84. LYC. Et quid lacrimis opus est, o bone? valde enim prudens consilium arbitror fabulæ, quam narrabat Æsopus. Dicebat enim, hominem sedentem in litore ad fluctuosum mare, numerasse fluctus: quum vero subinde erraret, graviter tulisse et excruciatum esse, donec astans vulpes ei diceret, Quid laboras, mi homo, eorum causa qui præterierunt? quum oporteat eos qui hinc oriuntur numerare incipere, neglectis illis. Et tu igitur, quoniam ita tibi videtur, in reliquum melius feceris, si communem omnibus vitam

ἀξιῶν καὶ συμπολιτεύσῃ τοῖς πολλοῖς οὐδὲν ἀλλόκοτον καὶ τετυφωμένον ἐλπίζων, καὶ οὐκ αἰσχυνῇ, ἥνπερ εὖ φρονῇς, εἰ γέρων ἄνθρωπος μεταμαθήσῃ καὶ μεταχωρήσεις πρὸς τὸ βέλτιον.

85. Ταῦτα πάντα, ὦ φιλότης, ὁπόσα εἶπον, μή με νομίσῃς κατὰ τῆς Στοᾶς παρεσκευασμένον ἢ ἔχθραν τινὰ ἐξαίρετον πρὸς Στωϊκοὺς ἐπανῃρημένον εἰρηκέναι, ἀλλὰ κοινὸς ἐπὶ πάντας ὁ λόγος· τὰ γὰρ αὐτὰ πρὸς σὲ εἶπον ἂν, εἰ τὰ Πλάτωνος ἢ Ἀριστοτέλους ἥρησο τῶν ἄλλων ἀκρίτων ἐρήμην καταγνούς. Νῦν δὲ ἐπεὶ τὰ Στωϊκῶν προετίμησας, πρὸς τὴν Στοὰν ἀποτετάσθαι ὁ λόγος ἔδοξεν οὐδὲν ἐξαίρετον πρὸς αὐτὴν ἔχων.

86. ΕΡΜ. Εὖ λέγεις· ἄπειμι γοῦν ἐπ' αὐτὸ τοῦτο, ὡς μεταβαλοίμην καὶ αὐτὸ δὴ τὸ σχῆμα. Ὄψει γοῦν οὐκ εἰς μακρὰν οὔτε πώγωνα ὥσπερ νῦν λάσιον καὶ βαθὺν οὔτε δίαιταν κεκολασμένην, ἀλλ' ἄνετα πάντα καὶ ἐλεύθερα· τάχα δὲ καὶ πορφυρίδα μεταμφιάσομαι, ὡς εἰδεῖεν ἅπαντες ὅτι μηκέτι μοι τῶν λήρων ἐκείνων μέτεστιν. Ὡς εἴθε γε καὶ ἐξεμέσαι δυνατὸν ἦν ἅπαντα ἐκεῖθα, ὁπόσα ἤκουσα παρ' αὐτῶν, καὶ εὖ ἴσθι, οὐκ ἂν ὤκνησα καὶ ἑλλέβορον πιεῖν διὰ τοῦτο ἐς τὸ ἔμπαλιν ἢ ὁ Χρύσιππος, ὅπως μηδὲν ἔτι ἐννοήσαιμι ὧν φασι. Σοὶ δ' οὖν οὐ μικρὰν χάριν οἶδα, ὦ Λυκῖνε, ὅτι με παραφερόμενον ὑπὸ θολεροῦ τινος χειμάρρου καὶ τραχέος, ἐπιδιδόντα ἐμαυτὸν καὶ κατὰ ῥοῦν συρρέοντα τῷ ὕδατι ἀνέσπασας ἐπιστὰς, τὸ τῶν τραγῳδῶν τοῦτο, θεὸς ἐκ μηχανῆς ἐπιφανείς. Δοκῶ δέ μοι οὐκ ἀλόγως ἂν καὶ ξυρήσασθαι τὴν κεφαλὴν ὥσπερ οἱ ἐκ τῶν ναυαγίων ἀποσωθέντες ἐλεύθεροι, ἅτε καὶ σωτήρια τήμερον ἄξων τοσαύτην ἀχλὺν ἀποσεισάμενος τῶν ὀμμάτων. Φιλοσόφῳ δὲ ἐς τὸ λοιπὸν κἂν ἄκων ποτὲ ὁδῷ βαδίζων ἐντύχω, οὕτως ἐκτραπήσομαι καὶ περιστήσομαι ὥσπερ τοὺς λυττῶντας τῶν κυνῶν.

XXI.

ΗΡΟΔΟΤΟΣ Η ΑΕΤΙΩΝ.

1. Ἡροδότου εἴθε μὲν καὶ τἆλλα μιμήσασθαι δυνατὸν ἦν, οὐ πάντα φημὶ ὅσα προσῆν αὐτῷ — μεῖζον γὰρ εὐχῆς τοῦτό γε — ἀλλὰ κἂν ἓν ἐκ τῶν ἁπάντων, οἷον ἢ κάλλος τῶν λόγων ἢ ἁρμονίαν αὐτῶν ἢ τὸ οἰκεῖον τῇ Ἰωνίᾳ καὶ προσφυὲς ἢ τῆς γνώμης τὸ περιττὸν ἢ ὅσα μυρία καλὰ ἐκεῖνος ἅμα πάντα συλλαβὼν ἔχει πέρα τῆς εἰς μίμησιν ἐλπίδος· ἃ δὲ ἐποίησεν ἐπὶ τοῖς συγγράμμασι καὶ ὡς πολλαχῶς τοῖς Ἕλλησι γνώριμος ἐν βραχεῖ κατέστη, καὶ ἐγὼ καὶ σὺ καὶ ἄλλος ἂν μιμησαίμεθα. Πλεύσας γὰρ οἴκοθεν ἐκ τῆς Καρίας εὐθὺ τῆς Ἑλλάδος ἐσκοπεῖτο πρὸς ἑαυτὸν ὅπως ἂν τάχιστα καὶ ἀπραγμονέστατα ἐπίσημος καὶ περιβόητος γένοιτο καὶ αὐτὸς καὶ τὰ συγγράμματα. Τὸ μὲν οὖν περινοστοῦντα νῦν μὲν Ἀθηναίοις, νῦν δὲ Κορινθίοις ἀναγνώσκειν ἢ Ἀργείοις ἢ Λακεδαιμονίοις ἐν τῷ μέρει,

velis vivere, et civem te gerere de vulgo unum, nihil insolens et inflatum sperans; nec pudeat te, si recte sapis, senem hominem mutatis quasi partibus ad id quod melius est transire.

85. Cetcrum hæc quæcumque dixi omnia, amice, noli me putare contra Porticum paratum, aut susceptis eximiis contra Stoicos inimicitiis dixisse; sed communis ad omnes pertinet ratio : eadem enim ad te dixissem, si Platonis aut Aristotelis sectam secutus esses, reliquis indicta causa damnatis. Nunc vero quum Stoicorum sectam prætulisses, ad Porticum intenta videbatur ratio, quæ eximiun nihil contra eam habeat.

86. HERM. Bene dicis. Abeo igitur ad hoc ipsum, ut ipsum etiam mutem habitum. Videbis enim non ita multo post neque barbam uti nunc hirsutam et prolixam, neque victum ita castigatum, sed remissa omnia atque libera. Forte autem purpuram etiam induam, uti sciant omnes, nihil mihi jam esse cum illis nugis. Utinam etiam evomere liceat, quæcumque ex illis audivi! et noris me non cunctanter helleborum propterea bibiturum, contraria quam Chrysippus ratione, nimirum ne quid amplius eorum, quæ dicunt, in mentem mihi veniat. Tibi igitur gratiam, Lycine, non parvam habeo, quod me turbido torrente ablatum atque aspero, quum jam cessissem fluctibus et secundo flumine cum aqua ferrer, extraxisti, superveniens tanquam ille in tragœdiis præsens ex machina deus. Videor autem mihi non præter rationem caput etiam rasurus, ut qui e naufragiis servantur liberi, quippe qui et ipse salutis recuperatæ festum diem hodie acturus sim, tanta ab oculis amota caligine. In philosophum autem de reliquo si vel invitus aliquando ingrediens per viam incidero, ita aversabor, ita cavebo, ut canes rabiosos solemus.

XXI.

HERODOTUS, SIVE AETION.

1. Utinam Herodoti etiam reliqua imitari liceret! non omnia dico quæ viro aderant (majus enim voto illud quidem); sed unum quiddam de omnibus, verbi causa, venustatem orationis aut compositionem, aut domesticam illam Ionicæ linguæ et nativam suavitatem, aut sententiarum divitias, aut quæ sexcenta pulchra ille una complexus habet, imitandi omnem spem transgressa : ceterum quæ circa libros suos historicos faciebat, et modum quo Græcis multis in locis brevi innotesceret, illud et ego et tu et quivis alius imitemur. Quum enim domo e Caria versus Græciam navigaret, dispiciebat apud se, qua tandem ratione quam celerrime et minimo labore insignis et celebris tum ipse, tum si quid scripsisset, fieret. Jam circumire, et nunc Athenicnsibus, nunc Corinthiis recitare, aut Argivis, aut Lace-

ἐργῶδες καὶ μακρὸν ἡγεῖτο εἶναι καὶ τριβὴν οὐ μικρὰν ἐν τῷ τοιούτῳ ἔσεσθαι· οὐκουν ἠξίου διασπᾶν τὸ πρᾶγμα οὐδὲ κατὰ διαίρεσιν οὕτω κατ' ὀλίγον ἀγείρειν καὶ συλλέγειν τὴν γνῶσιν, ἐπεβούλευε δὲ, εἰ δυνατὸν εἴη, ἀθρόους που λαβεῖν τοὺς Ἕλληνας ἅπαντας. Ἐνίστανται οὖν Ὀλύμπια τὰ μεγάλα, καὶ ὁ Ἡρόδοτος τοῦτ' ἐκεῖνο ἥκειν οἱ νομίσας τὸν καιρὸν, οὗ μάλιστα ἐγλίχετο, πλήθουσαν τηρήσας τὴν πανήγυριν, ἁπανταχόθεν ἤδη τῶν ἀρίστων συνειλεγμένων, παρελθὼν ἐς τὸν ὀπισθόδομον οὐ θεατὴν, ἀλλ' ἀγωνιστὴν παρεῖχεν ἑαυτὸν Ὀλυμπίων ᾀδὼν τὰς ἱστορίας καὶ κηλῶν τοὺς παρόντας, ἄχρι τοῦ καὶ Μούσας κληθῆναι τὰς βίβλους αὐτοῦ, ἐννέα καὶ αὐτὰς οὔσας.

2. Ἤδη οὖν ἅπαντες αὐτὸν ἥδεσαν πολλῷ μᾶλλον ἢ τοὺς Ὀλυμπιονίκας αὐτούς· καὶ οὐκ ἔστιν ὅστις ἀνήκοος ἦν τοῦ Ἡροδότου ὀνόματος, οἱ μὲν αὐτοὶ ἀκούσαντες ἐν Ὀλυμπίᾳ, οἱ δὲ τῶν ἐκ τῆς πανηγύρεως ἡκόντων πυνθανόμενοι, καὶ εἴ πού γε φανείη μόνον, ἐδείκνυτο ἂν τῷ δακτύλῳ, Οὗτος ἐκεῖνος Ἡρόδοτός ἐστιν ὁ τὰς μάχας τὰς Περσικὰς Ἰαστὶ συγγεγραφὼς, ὁ τὰς νίκας ἡμῶν ὑμνήσας. Τοιαῦτα ἐκεῖνος ἀπέλαυσε τῶν ἱστοριῶν, ἐν μιᾷ συνόδῳ πάνδημόν τινα καὶ κοινὴν ψῆφον τῆς Ἑλλάδος λαβὼν καὶ ἀνακηρυχθεὶς οὐχ ὑφ' ἑνὸς μὰ Δία κήρυκος, ἀλλ' ἐν ἁπάσῃ πόλει, ὅθεν ἕκαστος ἦν τῶν πανηγυριστῶν.

3. Ὅπερ ὕστερον κατανοήσαντες ἐπίτομόν τινα ταύτην ὁδὸν ἐς γνῶσιν Ἱππίας τε ὁ ἐπιχώριος αὐτῶν σοφιστὴς καὶ Πρόδικος ὁ Κεῖος καὶ Ἀναξιμένης ὁ Χῖος καὶ Πῶλος ὁ Ἀκραγαντῖνος καὶ ἄλλοι συχνοὶ λόγους ἔλεγον ἀεὶ καὶ αὐτοὶ πρὸς τὴν πανήγυριν, ἀφ' ὧν γνώριμοι ἐν βραχεῖ ἐγίγνοντο.

4. Καὶ τί σοι τοὺς παλαιοὺς ἐκείνους λέγω σοφιστὰς καὶ συγγραφέας καὶ λογογράφους, ὅπου καὶ τὰ τελευταῖα ταῦτα καὶ Ἀετίωνά φασι τὸν ζωγράφον, γράψαντα τὸν Ῥωξάνης καὶ Ἀλεξάνδρου γάμον, εἰς Ὀλυμπίαν καὶ αὐτὸν ἀγαγόντα τὴν εἰκόνα ἐπιδείξασθαι, ὥστε Προξενίδαν, Ἑλλανοδίκην τότε ὄντα, ἡσθέντα τῇ τέχνῃ γαμβρὸν ποιήσασθαι τὸν Ἀετίωνα.

5. Καὶ τί τὸ θαῦμα ἐνῆν τῇ γραφῇ αὐτοῦ, ἤρετό τις, ὡς τὸν Ἑλλανοδίκην δι' αὐτὸ οὐκ ἐπιχωρίῳ τῷ Ἀετίωνι συνάψασθαι τῆς θυγατρὸς τὸν γάμον; Ἔστιν ἡ εἰκὼν ἐν Ἰταλίᾳ, κἀγὼ εἶδον, ὥστε καὶ σοὶ ἂν εἰπεῖν ἔχοιμι. Θάλαμός ἐστι περικαλλὴς καὶ κλίνη νυμφικὴ, καὶ ἡ Ῥωξάνη κάθηται πάγκαλόν τι χρῆμα παρθένου ἐς γῆν ὁρῶσα, αἰδουμένη ἑστῶτα τὸν Ἀλέξανδρον. Ἔρωτες δέ τινες μειδιῶντες ὁ μὲν κατόπιν ἐφεστὼς ἀπάγει τῆς κεφαλῆς τὴν καλύπτραν καὶ δείκνυσι τῷ νυμφίῳ τὴν Ῥωξάνην, ὁ δέ τις μάλα δουλικῶς ἀφαιρεῖ τὸ σανδάλιον ἐκ τοῦ ποδὸς, ὡς κατακλίνοιτο ἤδη, ἄλλος τῆς χλανίδος τοῦ Ἀλεξάνδρου ἐπειλημμένος, Ἔρως καὶ οὗτος, ἕλκει αὐτὸν πρὸς τὴν Ῥωξάνην πάνυ βιαίως ἐπισπώμενος, ὁ βασιλεὺς δὲ αὐτὸς μὲν στέφανόν τινα ὀρέγει τῇ παιδὶ, πάροχος δὲ καὶ νυμφαγωγὸς Ἡφαιστίων συμπάρεστι δᾷδα καομένην ἔχων, μειρακίῳ πάνυ ὡραίῳ ἐπερειδόμενος, Ὑμέναιός οἶμαι ἐστιν· οὐ γὰρ ἐπεγέ-

dæmoniis particulatim, laboriosum et longum esse ducebat, moramque in ea re haud parvam esse futuram. Noluit igitur negotium hoc distrahere, neque disperse ita et minutatim conciliare et cogere sibi notitiam hominum : verum eo intendit animum, ut, si fieri posset, confertos alicubi Græcos universos deprehenderet. Instant igitur magna Olympia : et Herodotus, rem ipsam putans, venire sibi tempus maxime desideratum, observato pleno concilio, collectis undique jam proceribus, ingressus in posticum templi Jovis Olympii, non spectatorem, sed certatorem se Olympiorum professus est, canens historias, et eo usque demulcens hos qui adessent, ut Musæ ipsius libri, qui et ipsi novem essent, vocarentur.

2. Jam igitur multo ipsum magis nosse omnes, quam victores ipsos Olympiæ; nec esse cui Herodoti nomen non esset auditum, partim quod ipsi illum Olympiæ audissent, partim quod ab his, qui ex concilio venerant, percontando percepissent : et sicubi conspiceretur modo, digito monstrabatur, Hic ille Herodotus est, dicentium, qui prælia cum Persis Ionico sermone conscripsit, qui victorias nostras hymno celebravit. Hunc ille talem historiarum suarum fructum cepit, in uno conventu publicum quoddam et communè totius Græciæ suffragium qui ferret, ornareturque præconio non hercle ab uno præcone, sed in unaquaque urbe, unde singuli spectatorum essent.

3. Quod quidem postea considerantes, hanc nempe compendiariam quandam ad notitiam hominum viam, Hippias ex ipsa illa Elidis regione sophista, et Ceus Prodicus, et Anaximenes Chius, et Agrigentinus Polus, et frequentes alii, semper verba et ipsi fecerunt ad concilium, unde nobiles brevi tempore facti sunt.

4. Et quid tibi antiquos illos sophistas dico, historicos et logographos, quum nuper adeo etiam Aetion pictor dicatur, depictis a se Roxanes et Alexandri nuptiis, Olympiam et ipse deportatam eam tabulam ostendisse, successu eo ut Proxenidas, judex certaminis qui tum esset, delectatus arte generum sibi Aetionem assumeret.

5. Et quid in pictura ipsius mirum inerat, rogabat aliquis, ut arbiter certaminum propter illud Aetioni, non civi, nuptias filiæ conciliaret? Est illa in Italia, et ipse eam vidi, ut etiam narrare tibi possim. Thalamus est pulcherrimus, et lectus nuptialis : et assidet Roxane virgo undique pulcherrima, lumi defixos habens oculos, pudore astantis Alexandri. Cupidines autem quidam renidentes, alius quidem a tergo imminens reducit a capite flammeum, ostenditque Roxanen sponso : alius autem aliquis verniliter sane demit pede sandalium, ut jam recumbat : alius læna prehensum Alexandrum, Cupido et hic, trahit versus Roxanem, connixus validissime : rex ipse quidem coronam offert puellæ; comes autem et deductor sponsi Hephæstion una astat, facem ardentem gerens, puero innixus formosissimo : Hymenæus ipse est; neque enim ascriptum est

γραπτο τοὔνομα. Ἑτέρωθι δὲ τῆς εἰκόνος ἄλλοι Ἔρωτες παίζουσιν ἐν τοῖς ὅπλοις τοῦ Ἀλεξάνδρου, δύο μὲν τὴν λόγχην αὐτοῦ φέροντες, μιμούμενοι τοὺς ἀχθοφόρους, ὁπότε δοκὸν φέροντες βαροῖντο· ἄλλοι δὲ δύο ἕνα τινὰ ἐπὶ τῆς ἀσπίδος κατακείμενον, βασιλέα δῆθεν καὶ αὐτὸν, σύρουσι τῶν ὀχάνων τῆς ἀσπίδος ἐπειλημμένοι· εἷς δὲ δὴ ἐς τὸν θώρακα ἐσελθὼν ὕπτιον κείμενον λοχῶντι ἔοικεν, ὡς φοβήσειεν αὐτοὺς, ὁπότε κατ' αὐτὸν γένοιντο σύροντες.

6. Οὐ παιδιὰ δὲ ἄλλως ταῦτά ἐστιν οὐδὲ περιείργασται ἐν αὐτοῖς ὁ Ἀετίων, ἀλλὰ δηλοῖ τοῦ Ἀλεξάνδρου καὶ τὸν ἐς τὰ πολεμικὰ ἔρωτα, καὶ ὅτι ἅμα καὶ Ῥωξάνης ἦρα καὶ τῶν ὅπλων οὐκ ἐπελέληστο. Πλὴν ἀλλ' ἥ γε εἰκὼν αὐτὴ καὶ ἄλλως γαμήλιόν τι ἐπὶ τῆς ἀληθείας διεφάνη ἔχουσα, προμνησαμένη τῷ Ἀετίωνι τὴν τοῦ Προξενίδου θυγατέρα· καὶ ἀπῆλθε γήμας καὶ αὐτὸς, πάρεργον τῶν Ἀλεξάνδρου γάμων, ὑπὸ νυμφαγωγῷ ᾧ βασιλεῖ, μισθὸν εἰκασμένου γάμου προσλαβὼν ἀληθῆ γάμον.

7. Ἡρόδοτος μὲν οὖν — ἐπάνειμι γὰρ ἐπ' ἐκεῖνον — ἱκανὴν τῶν Ὀλυμπίων τὴν πανήγυριν ἡγεῖτο καὶ συγγραφέα θαυμαστὸν δεῖξαι τοῖς Ἕλλησι τὰς Ἑλληνικὰς νίκας διεξιόντα, ὡς ἐκεῖνος διεξῆλθεν. Ἐγὼ δὲ — καὶ πρὸς Φιλίου μή με κορυβαντιᾶν ὑπολάβητε μηδὲ ταὐτὰ εἰκάζειν τοῖς ἐκείνου, ἵλεως ὁ ἀνήρ — ἀλλὰ τοῦτό γε ὅμοιον παθεῖν φημι αὐτῷ· ὅτε γὰρ τὸ πρῶτον ἐπεδήμησα τῇ Μακεδονίᾳ, πρὸς ἐμαυτὸν ἐσκόπουν ὅ τι μοι χρηστέον τῷ πράγματι· καὶ ὁ μὲν ἔρως οὗτος ἦν ἅπασιν ὑμῖν γνωσθῆναι καὶ ὅτι πλείστοις Μακεδόνων δεῖξαι ταὐτὰ, τὸ δὲ αὐτὸν περιιόντα τηνικαῦτα τοῦ ἔτους συγγενέσθαι τῇ πόλει ἑκάστῃ οὐκ εὐμαρὲς ἐφαίνετο, εἰ δὲ τηρήσαιμι τήνδε ὑμῶν τὴν σύνοδον, εἶτα παρελθὼν ἐς μέσον δεῖξαιμι τὸν λόγον, ἐς δέον οὕτως ἀποβήσεσθαί μοι τὰ τῆς εὐχῆς.

8. Αὐτοί τε οὖν ἤδη συνεληλύθατε, ὅ τι περ ὄφελος ἐξ ἑκάστης πόλεως, αὐτὸ δὴ τὸ κεφάλαιον ἁπάντων Μακεδόνων, καὶ ὑποδέχεται πόλις ἡ ἀρίστη οὖσα οὐ κατὰ Πίσαν μὰ Δί' οὐδὲ τὴν ἐκεῖθι στενοχωρίαν καὶ σκηνὰς καὶ καλύβας καὶ πνῖγος, οἵ τε αὖ πανηγυρισταὶ οὐ συρφετώδης ὄχλος, ἀθλητῶν μᾶλλον φιλοθεάμονες, ἐν παρέργῳ οἱ πολλοὶ τὸν Ἡρόδοτον τιθέμενοι, ἀλλὰ ῥητόρων τε καὶ συγγραφέων καὶ σοφιστῶν οἱ δοκιμώτατοι, ὅσον οὐ μικρὸν ἤδη, μὴ τοὐμὸν παρὰ πολὺ ἐνδεέστερον φαίνηται τῶν Ὀλυμπίων. Ἀλλ' ἢν μὲν ὑμεῖς Πολυδάμαντι ἢ Γλαύκῳ ἢ Μίλωνι παραθεωρῆτέ με, κομιδῇ ὑμῖν δόξω θρασὺς ἄνθρωπος εἶναι, ἢν δὲ πολὺ ἐκείνων ἀπαγαγόντες τὴν μνήμην ἐπ' ἐμαυτοῦ μόνου ἀποδύσαντες ἴδητε, τάχ' ἂν οὐ πάνυ μαστιγώσιμος ὑμῖν δόξαιμι· ὡς ἔν γε τηλικούτῳ σταδίῳ ἱκανὸν ἐμοὶ γοῦν καὶ τοῦτο.

nomen. In altera autem tabulæ parte Cupidines alii lusus agunt in armis Alexandri, duo quidem hastam illius ferentes, bajulos imitati, quum trabem ferentes onere pandantur: alii autem duo, unum in clypeo jacentem, regem nempe ipsum quoque, tanquam in curru trahunt, comprehensis clypei ansis: unus denique in loricam, quæ supina jacet, ingressus, insidianti similis est, qui perterreat illos, quando inter trahendum ad se deferantur.

6. Ceterum non lusus ista sunt, neque temere in illis operam abusus est Aetion, sed indicant Alexandri amorem etiam rerum bellicarum, ipsumque quum Roxanen amaret, armorum non esse oblitum. Præterea ipsa quoque tabula hæc nuptiale quiddam revera habere apparuit, nempe quæ conciliaverit Aetioni Proxenidæ filiam: discessitque pictor, nuptiis et ipse celebratis, quæ parergon essent et appendicula quasi nuptiarum Alexandri, conciliatore atque deductore sponsæ ipso rege, mercedis assimilatarum nuptiarum corollarium nactus veras nuptias.

7. Herodotus igitur (ad hunc enim redeo) aptum judicabat Olympiorum concilium, quod etiam historicum admirabilem ostenderet Græcis, qui quidem ita, ut ab ipso factum est, victorias Græcas enarrasset. Ego vero: et per amicitiarum vos præsidem Jovem obtestor, ne insanire me putetis, aut mea illius scriptis comparare, sic vir ille mihi faveat! ego igitur illud certe simile viri illius accidere mihi confirmo: quum primum in Macedoniam peregrinatum venissem, apud animum meum considerabam, quomodo res meæ essent tractandæ: et cupiebam sane innotescere vobis omnibus, et quamplurimis Macedonum, quid essem, ostendere; circumire autem ipsum, id anni, et cum civitate unaquaque agere præsentem, non facile videbatur: si vero hunc vestrum conventum observarem, ac tum progressus in medium dicendi facultatem ostenderem, sic sperabam votum mihi meum recte eventurum.

8. Jam igitur et ipsi convenistis, quicquid in unaquaque civitate præstantissimum est, caput ipsum et flos omnium Macedonum: et suscipit vos urbs præstantissima, non illa Pisæ similis, per Jovem, neque angustiis illis, et tabernaculis, et casis, et æstui: porro qui huc convenere, non fæx populi, athletarum spectacula præferentes plerique et obiter tantum audiendum putantes Herodotum; sed rhetorum, et historicorum, et sophistarum probatissimi: quare pæne jam effectum est, ne mea hæc conditio multum inferior videatur Olympiis. Verum si quidem ad Polydamantem aliquem, aut Glaucum, aut Milonem me inter spectandum comparaveritis, oppido vobis audax videbor homo esse: sin vero, memoria longe ab illis abducta, per me solum me exutum spectaveritis, forte non omnino flagris dignus vobis videar: nam in tali quidem stadio satis mihi certe et hoc fuerit.

XXII.

ΖΕΥΞΙΣ Η ΑΝΤΙΟΧΟΣ.

1. Ἔναγχος ἐγὼ μὲν ὑμῖν δείξας τὸν λόγον ἀπῆειν οἰκαδε, προσιόντες δέ μοι τῶν ἀκηκοότων πολλοί — κωλύει γὰρ οὐδέν, οἶμαι, καὶ τὰ τοιαῦτα πρὸς φίλους ἤδη ὄντας ὑμᾶς λέγειν — προσιόντες οὖν ἐδεξιοῦντο καὶ θαυμάζουσιν ἐώκεσαν· ἐπὶ πολὺ γοῦν παρομαρτοῦντες ἄλλος ἄλλοθεν ἐβόων καὶ ἐπῄνουν, ἄχρι τοῦ καὶ ἐρυθριᾶν με, μὴ ἄρα πάμπολυ τῆς ἀξίας τῶν ἐπαίνων ἀπολειποίμην. Τὸ δ' οὖν κεφάλαιον αὐτοῖς τοῦτο ἦν, καὶ πάντες ἓν καὶ τὸ αὐτὸ ἐπεσημαίνοντο, τὴν γνώμην τῶν συγγραμμάτων ξένην οὖσαν καὶ πολὺν ἐν αὐτῇ τὸν νεωτερισμόν. Μᾶλλον δὲ αὐτὰ εἰπεῖν ἄμεινον, ἅπερ ἐκεῖνοι ἀπεφθέγγοντο. « Ὦ τῆς καινότητος. Ἡράκλεις, τῆς παραδοξολογίας. Εὐμήχανος ἄνθρωπος. Οὐδὲν ἄν τις εἴποι τῆς ἐπινοίας νεαρώτερον. » Οἱ μὲν τοιαῦτα πολλὰ ἔλεγον, ὡς ἐκεκίνηντο δηλαδὴ ὑπὸ τῆς ἀκροάσεως· ἢ τίνα γὰρ ἂν αἰτίαν εἶχον ψεύδεσθαι καὶ κολακεύειν τὰ τοιαῦτα ξένον ἄνθρωπον, οὐ πάνυ πολλῆς αὐτοῖς φροντίδος ἄξιον τὰ ἄλλα;

2. Πλὴν ἐμέ γε — εἰρήσεται γάρ — οὐ μετρίως ἠνία ὁ ἔπαινος αὐτῶν, καὶ ἐπειδή ποτε ἀπελθόντων κατ' ἐμαυτὸν ἐγενόμην, ἐκεῖνα ἐνενόουν· οὐκοῦν τοῦτο μόνον χάριεν τοῖς ἐμοῖς ἔνεστιν, ὅτι μὴ συνήθη μηδὲ κατὰ τὸ κοινὸν βαδίζει τοῖς ἄλλοις, ὀνομάτων δὲ ἄρα καλῶν ἐν αὐτοῖς καὶ πρὸς τὸν ἀρχαῖον κανόνα συγκειμένων ἢ νοῦ ὀξέος ἢ περινοίας τινὸς ἢ χάριτος Ἀττικῆς ἢ ἁρμονίας ἢ τέχνης τῆς ἐφ' ἅπασι, τούτων δὲ πόρρω ἴσως τοὐμόν· οὐ γὰρ ἂν παρέντες αὐτὰ ἐκεῖνα, ἐπῄνουν μόνον τὸ καινὸν τῆς προαιρέσεως καὶ ξενίζον. Ἐγὼ δὲ ὁ μάταιος ᾠμην, ὁπότε ἀναπηδῶντες ἐπαινοῖεν, τάχα μέν τι καὶ αὐτὸ τοῦτο προσάγεσθαι αὐτούς· ἀληθὲς γὰρ εἶναι τὸ τοῦ Ὁμήρου, καὶ τὴν νέαν ᾠδὴν κεχαρισμένην ὑπάρχειν τοῖς ἀκούουσιν· οὐ μὴν τοσοῦτόν γε οὐδὲ ὅλον τῇ καινότητι νέμειν ἠξίουν, ἀλλὰ τὴν μὲν ὥσπερ ἐν προσθήκης μοίρᾳ συνεπικοσμεῖν τι καὶ πρὸς τὸν ἔπαινον συντελεῖν καὶ αὐτήν, τὰ δὲ τῷ ὄντι ἐπαινούμενα καὶ ὑπὸ τῶν ἀκουόντων εὐφημούμενα ἐκεῖνα εἶναι. Ὥστε οὐ μετρίως ἐπήρμην καὶ ἐκινδύνευον πιστεύειν αὐτοῖς ἕνα καὶ μόνον ἐν τοῖς Ἕλλησιν εἶναι λέγουσι καὶ τὰ τοιαῦτα. Τὸ δὲ κατὰ τὴν παροιμίαν, ἄνθρακες ἡμῶν ὁ θησαυρὸς ἦσαν, καὶ ὀλίγου δέω θαυματοποιοῦ τινος ἔπαινον ἐπαινεῖσθαι πρὸς αὐτῶν.

3. Ἐθέλω γοῦν ὑμῖν καὶ τὸ τοῦ γραφέως διηγήσασθαι· ὁ Ζεῦξις ἐκεῖνος ἄριστος γραφέων γενόμενος τὰ δημώδη καὶ τὰ κοινὰ ταῦτα οὐκ ἔγραφεν, ἢ ὅσα πάνυ ὀλίγα, ἥρωας ἢ θεοὺς ἢ πολέμους, ἀεὶ δὲ καινοποιεῖν ἐπειρᾶτο καί τι ἀλλόκοτον ἂν καὶ ξένον ἐπινοήσας ἐπ' ἐκείνῳ τὴν ἀκρίβειαν τῆς τέχνης ἐπεδείκνυτο· ἐν δὲ τοῖς ἄλλοις τολμήμασι καὶ θήλειαν Ἱπποκένταυρον ὁ Ζεῦξις αὐτὸς ἐποίησεν, ἀνατρέφουσάν γε προσέτι παιδίω Ἱππυκενταύρω διδύμω κομιδῇ νηπίω. Τῆς εἰκόνος ταύ-

XXII.

ZEUXIS AUT ANTIOCHUS.

1. Nuper quum dicendi vobis facultatem oratione ostendissem, domum abibam : accedentes vero ad me auditorum multi : nihil enim, puto, prohibet talia quoque apud vos amicos jam meos dicere : accedentes igitur complectebantur me, et admirationem præ se ferebant; multum enim prosecuti aliunde alius clamare, et laudare, adeo ut erubescerem, veritus ne nimis multum a dignitate laudum illarum abessem. Caput autem et summa laudis hæc illis erat, omnesque unum et idem acclamabant, consilium scriptionum insolitum esse, et multum in illo novatum. Quin præstat ipsa illa verba commemorare, quæ illi proferebant. « Vah novitatem! Mirifica hercle ultra fidem oratio! hominem ad inveniendum agilem! Nihil quisquam dixerit cogitatis illis magis novum. » Atque illi quidem talia multa dicere, prout nimirum ab auditione moverentur : quam alioqui mentiendi causam habuissent, et eo modo adulandi peregrino homini, nec de cetero ad curam illorum magno opere pertinenti?

2. At me (dicetur enim) ista laus eorum non mediocri afficiebat molestia, et quum tandem post illorum discessum solus essem, ita cogitabam : Ergo illud solum jucundum meis scriptis inest, quod usitata non sunt, neque communi quasi cum reliquis vestigio incedunt : a nominibus autem in iisdem pulchris et ad antiquam regulam compositis, aut sensu acuto, aut excogitandi solertia quadam, aut venustate Attica, aut compositione ac numero, aut arte in omnibus constituendis, ab his, inquam, longe forte ratio mea remota est : neque enim, nisi hoc ita se haberet, relictis illis ipsis, solam laudarent novitatem rationis nostræ ac peregrinitatem. At vanus ego spei putaram, quum ad laudandum consurgerent, forte quidem hoc ipsum etiam eos allecturum esse, quum verum sit Homericum illud, novam cantilenam jucundam esse audientibus; non tantum tamen neque omnino omnia novitati eos tribuere censebam; verum hanc quidem, corollarii cujusdam instar, ornamenti allaturam aliquid, et laudi ipsam quoque non nihil collaturam : ea vero quæ serio ac solide laudarentur, quæque secunda audientium fama exciperentur, ista esse quæ modo commemoravi. Itaque non mediocriter jam elatus eram, et prope fuerat ut crederem illis, quum unum et solum me in Græcis esse dicerent, atque id genus alia. Verum enim vero in carbones, quod est in proverbio, thesaurus noster abiit, et parum abest quin præstigiatoris circumforanei laude ab illis afficiar.

3. Volo igitur illud etiam de pictore vobis narrare. Zeuxis ille, pictorum præstantissimus, popularia ista et communia non pingebat, aut admodum certe pauca, heroas puta, aut deos, aut pugnas; sed novum quiddam proferre semper tentabat : et si quid insolens aut peregrinum excogitasset, in eo demum vim et accurationem artis summam ostendebat. Inter reliqua ausa Centaurum etiam feminam Zeuxis idem pinxit, lactantem adhuc pueros Centauros gemellos, admodum infantes. Tabulæ hujus exemplum nunc est

της ἀντίγραφός ἐστι νῦν Ἀθήνησι πρὸς αὐτὴν ἐκείνην ἀκριβεῖ τῇ στάθμῃ μετενηνεγμένη· τὸ ἀρχέτυπον δ' αὐτὸ Σύλλας ὁ Ῥωμαίων στρατηγὸς ἐλέγετο μετὰ τῶν ἄλλων εἰς Ἰταλίαν πεπομφέναι, εἶτα περὶ Μαλέαν, οἶμαι, καταδύσης τῆς ὁλκάδος, ἀπολέσθαι ἅπαντα καὶ τὴν γραφήν. Πλὴν ἀλλὰ τήν γε εἰκόνα τῆς εἰκόνος εἶδον, καὶ αὐτὸς ὑμῖν, ὡς ἂν οἷός τε ὦ, δείξω τῷ λόγῳ, οὐ μὰ τὸν Δία γραφικός τις ὤν, ἀλλὰ πάνυ μέμνημαι οὐ πρὸ πολλοῦ ἰδὼν ἔν τινος τῶν γραφέων Ἀθήνησι· καὶ τὸ ὑπερθαυμάσαι τότε τὴν τέχνην τάχ' ἄν μοι καὶ νῦν πρὸς τὸ σαφέστερον δηλῶσαι συναγωνίσαιτο.

4. Ἐπὶ χλόης εὐθαλοῦς ἡ Κένταυρος αὕτη πεποίηται δλη μὲν τῇ ἵππῳ χαμαὶ κειμένη, καὶ ἀποτέτανται εἰς τοὐπίσω οἱ πόδες, τὸ δὲ γυναικεῖον ὅσον αὐτῆς ἠρέμα ἐπεγήγερται καὶ ἐπ' ἀγκῶνός ἐστιν, οἱ δὲ πόδες οἱ ἔμπροσθεν οὐκέτι καὶ οὗτοι ἀποτάδην, οἷον ἐπὶ πλευρὰν κειμένης, ἀλλ' ὁ μὲν ὀκλάζοντι ἔοικεν ὢν καμπύλος ὑπεσταλμένῃ τῇ ὁπλῇ, ὁ δὲ ἔμπαλιν ἐπανίσταται καὶ τοῦ ἐδάφους ἀντιλαμβάνεται, οἷοί εἰσιν ἵπποι πειρώμενοι ἀναπηδᾶν. Τοῖν νεογνοῖν δὲ τὸ μὲν ἄνω ἔχει αὐτὴ ἐν ταῖς ἀγκάλαις καὶ τρέφει ἀνθρωπικῶς ἐπέχουσα τὸν γυναικεῖον μαστόν, τὸ δ' ἕτερον ἐκ τῆς ἵππου θηλάζει ἐς τὸν πωλικὸν τρόπον· ἄνω δὲ τῆς εἰκόνος οἷον ἀπό τινος σκοπῆς Ἱπποκένταυρός τις, ἀνὴρ ἐκείνης δηλαδὴ τῆς τὰ βρέφη ἀμφοτέρωθεν τιθηνουμένης, ἐπικύπτει γελῶν οὐχ ὅλος φαινόμενος, ἀλλ' ἐς μέσον τὸν ἵππον, λέοντος σκύμνον ἀνέχων τῇ δεξιᾷ καὶ ὑπὲρ ἑαυτὸν αἰωρῶν, ὡς ὀεδίζαιτο σὺν παιδιᾷ τὰ βρέφη.

5. Τὰ μὲν οὖν ἄλλα τῆς γραφῆς, ἐφ' ὅσα τοῖς ἰδιώταις ἡμῖν οὐ πάντη ἐμφανῆ ὄντα τὴν ὅλην ὅμως ἔχει δύναμιν τῆς τέχνης, οἷον τὸ ἀποτεῖναι τὰς γραμμὰς ἐς τὸ εὐθύτατον καὶ τῶν χρωμάτων ἀκριβῆ τὴν κρᾶσιν καὶ εὔκαιρον τὴν ἐπιβολὴν ποιήσασθαι καὶ σκιάσαι ἐς δέον καὶ τοῦ μεγέθους τὸν λόγον καὶ τὴν τῶν μερῶν πρὸς τὸ ὅλον ἰσότητα καὶ ἁρμονίαν γραφέων παῖδες ἐπαινούντων, οἷς ἔργον εἰδέναι τὰ τοιαῦτα· ἐγὼ δὲ τοῦ Ζεύξιδος ἐκεῖνο μάλιστα ἐπῄνεσα, ὅτι ἐν μιᾷ καὶ τῇ αὐτῇ ὑποθέσει ποικίλως τὸ περιττὸν ἐπεδείξατο τῆς τέχνης, τὸν μὲν ἄνδρα ποιήσας πάντη φοβερὸν καὶ κομιδῇ ἄγριον, σοβαρὸν τῇ χαίτῃ, λάσιον τὰ πολλὰ οὐ κατὰ τὸν ἵππον αὐτοῦ μόνον, ἀλλὰ καὶ καθ' ἕτερον τοῦ ἀνθρώπου, καὶ ἐξάρας αὐτῷ τοὺς ὤμους ἐπὶ πλεῖστον, τὸ βλέμμα, καίτοι γελῶντος, θηριῶδες ὅλον καὶ ὀρειόν τι καὶ ἀνήμερον.

6. Τοιοῦτον μὲν ἐκεῖνον· τὴν θήλειαν δὲ ἵππου γε τῆς καλλίστης, οἷαι μάλιστα αἱ Θετταλαί εἰσιν, ἀδμῆτες ἔτι καὶ ἄβατοι, τὸ δ' ἄνω ἡμίτομον γυναικὸς πάγκαλον ἔξω τῶν ὤτων· ἐκεῖνα δὲ μόνα σατυρώδη ἐστὶν αὐτῇ· καὶ ἡ μῖξις δὲ καὶ ἡ ἁρμογὴ τῶν σωμάτων, καθ' ὃ συνάπτεται καὶ συνδεῖται τῷ γυναικείῳ τὸ ἱππικόν, ἠρέμα καὶ οὐκ ἀθρόως μεταβαίνουσα καὶ ἐκ προσαγωγῆς τρεπομένη λανθάνει τὴν ὄψιν ἐκ θατέρου εἰς τὸ ἕτερον ὑπαγομένη. Τὸ νεογνὸν δὲ τὸ ἐν τῷ νηπίῳ ὅμως ἄγριον καὶ ἐν τῷ ἁπαλῷ ἤδη φοβερόν, καὶ τοῦτο θαυμαστὸν οἷον ἔδοξέ μοι, καὶ ὅτι παιδικῶς μάλα πρὸς τὸν σκύ-

Athenis, exacta regula inde translatum : ipsum vero archetypum Sylla Romanorum imperator dicebatur cum aliis in Italiam misisse, deinde circa Maleam, puto, submersa navi perisse omnia, cum his illam picturam. Verum imaginem certe imaginis vidi, et ipse eam vobis, quantum ejus potero, verbis ostendam, non profecto ut qui picturæ peritus sim; verum quod plane memini, qui haud ita pridem in pictoris cujusdam pergula Athenis eam viderim : et vehemens tum artis admiratio forte me nunc etiam in ea evidentius declaranda juverit.

4. In viridi molliter gramine Centaurus hæc facta est, qua quidem equa est, humi tota cubans extentis retrorsum pedibus : quantum autem illius muliebre est, sensim attollitur nixum cubito; anteriores vero pedes non jam ipsi quoque porrecti, tanquam jacentis in latus Centauri; sed alter quidem geniculanti similis, incurvatus subducta ungula; alter contra insurgit, humique nititur, quales sunt equi, exsilire dum conantur. Parvorum vero alterum quidem supra ipsa tenet ulnis, et humano more lactat, muliebrem illi mammam præbens : alterum ex equina parte subrumat, more pulli. In suprema vero tabulæ parte, quasi e specula quadam Centaurus aliquis, illius scilicet parvos suos utrimque nutrientis maritus, despicit ridens, non totus conspicuus, sed ad medium usque equum, leonis catulum dextra ostentans et supra se extollens, quasi per lusum terrere velit parvulos.

5. Reliquas igitur picturæ dotes, in quantum nobis, ejus artis rudibus, non satis apparent, quum tamen totam artis vim contineant, velut illam linearum exquisitam directionem, et pigmentorum accuratam temperationem et inductionem tempestive factam, et umbrarum commodam immissionem, et proportionem magnitudinis, et partium mensuras integro æquabiliter respondentes, pictorum filii laudaverint, quorum opus est intelligere talia : ego vero illud maxime Zeuxidis laudare soleo, quod in uno eodemque argumento varie divitias artis ostendit : qui virum quidem fecerit undique terribilem, et omnino ferum, crines superbe jactantem, hirsutum majori ex parte, non qua equus est modo, sed etiam altera parte humana, et humeros ejus quantum potest extulerit; vultum, ridentis licet, ferinum totum fecerit et montanum fere minimeque mansuetum.

6. Ita quidem illum : feminam vero finxit partem dimidiam equæ pulcherrimæ, quales præsertim sunt Thessalæ, nondum domitæ et sessorem nondum passæ; superiorem partem, mulieris, undique pulcherrimam præter aures, quæ solæ satyrorum instar illi sunt. Commistio vero et commissura corporum, ubi coagmentatur ac devincitur muliebri corpori equinum, sensim, non subito transiens, et accessu qui vix sentiatur conversa, visum fallit, ubi ex altero in alterum deducitur. Quod autem recens uterque partus in prima infantia tamen ferus, et in tenero jam est terribilis, id ipsum quoque res admirabilis mihi videbatur; et quod

μνον τοῦ λέοντος ἀναβλέπουσι, μεταξὺ τῆς θηλῆς ἑκάτερος ἐπειλημμένοι ἐν χρῷ τῇ μητρὶ προσιστάμενοι.

7. Ταῦτα δ' οὖν ἐπιδειξάμενος ὁ Ζεῦξις αὐτὸς μὲν ᾤετο ἐκπλήξειν τοὺς ὁρῶντας ἐπὶ τῇ τέχνῃ, οἱ δὲ αὐτίκα μὲν ἐβόων· ἢ τί γὰρ ἂν ἐποίουν καλλίστῳ θεάματι ἐντυγχάνοντες; ἐπῄνουν δὲ μάλιστα πάντες ἅπερ κἀμὲ πρώην ἐκεῖνοι, τῆς ἐπινοίας τὸ ξένον καὶ τὴν γνώμην τῆς γραφῆς ὡς νέαν καὶ τοῖς ἔμπροσθεν ἠγνοημένην οὖσαν. Ὥστε ὁ Ζεῦξις συνεὶς ὅτι αὐτοὺς ἀσχολεῖ ἡ ὑπόθεσις καινὴ οὖσα καὶ ἀπάγει τῆς τέχνης, ὡς ἐν παρέργῳ τίθεσθαι τὴν ἀκρίβειαν τῶν πραγμάτων, Ἄγε δή, ἔφη, ὦ Μικκίων, πρὸς τὸν μαθητήν, περίβαλε ἤδη τὴν εἰκόνα καὶ ἀράμενοι ἀποκομίζετε οἴκαδε· οὗτοι γὰρ ἡμῶν τὸν πηλὸν τῆς τέχνης ἐπαινοῦσι, τῶν δ', ἐφ' ὅτῳ, εἰ καλῶς ἔχει καὶ κατὰ τὴν τέχνην, οὐ πολὺν ποιοῦνται λόγον, ἀλλὰ παρευδοκιμεῖ τὴν ἀκρίβειαν τῶν ἔργων ἡ τῆς ὑποθέσεως καινοτομία.

8. Ὁ μὲν οὖν Ζεῦξις οὕτως, ὀργιλώτερον ἴσως. Ἀντίοχος δὲ ὁ σωτὴρ ἐπικληθεὶς καὶ οὗτος ὅμοιόν τι παθεῖν λέγεται ἐν τῇ πρὸς Γαλάτας μάχῃ. Εἰ βούλεσθε, διηγήσομαι καὶ τοῦτο, ὁποῖον ἐγένετο. Εἰδὼς γὰρ τούτους ἀλκίμους ὄντας καὶ πλήθει παμπόλλους ὁρῶν καὶ τὴν φάλαγγα καρτερῶς συναραρυῖαν καὶ ἐπὶ μετώπου μὲν προασπίζοντας τοὺς χαλκοθώρακας αὐτῶν, ἐς βάθος δὲ ἐπὶ τεττάρων καὶ εἴκοσι τεταγμένους ὁπλίτας, ἐπὶ κέρως δ' ἑκατέρωθεν τὴν ἵππον δισμυρίαν οὖσαν, ἐκ δὲ τοῦ μέσου τὰ ἅρματα ἐκπηδήσεσθαι μέλλοντα δρεπανηφόρα ὀγδοήκοντα καὶ συνωρίδας ἐπ' αὐτοῖς δὶς τοσαύτας, ταῦτα ὁρῶν πάνυ πονηρὰς εἶχε τὰς ἐλπίδας, ὡς ἀμάχων ὄντων ἐκείνων αὐτῷ· ἐκεῖνος γὰρ δι' ὀλίγου τῆς στρατιᾶς ἐκείνης παρασκευασθείσης οὐ μεγαλωστὶ οὐδὲ κατ' ἀξίαν τοῦ πολέμου ἀφίκετο κομιδῇ ὀλίγους ἄγων, καὶ τούτων πελταστικὸν τὸ πολὺ καὶ ψιλικόν· οἱ γυμνῆτες δὲ ὑπὲρ ἥμισυ τῆς στρατιᾶς ἦσαν. Ὥστε ἐδόκει αὐτῷ ἤδη σπένδεσθαι καί τινα εὐπρεπῆ διάλυσιν εὑρίσκεσθαι τοῦ πολέμου.

9. Ἀλλὰ Θεοδότας ὁ Ῥόδιος, ἀνὴρ γενναῖος καὶ τακτικῶν ἔμπειρος, οὐκ εἶα παρὼν ἀθυμεῖν· καὶ ἦσαν γὰρ ἐκκαίδεκα ἐλέφαντες τῷ Ἀντιόχῳ. Τούτους ἐκέλευσεν ὁ Θεοδότας τέως μὲν ἔχειν ὡς οἷόν τε κατακρύψαντας, ὡς μὴ κατάδηλοι εἶεν ὑπερφαινόμενοι τοῦ στρατοῦ, ἐπειδὰν δὲ σημήνῃ ὁ σαλπιγκτὴς καὶ δέῃ συμπλέκεσθαι καὶ εἰς χεῖρας ἰέναι καὶ ἡ ἵππος ἡ τῶν πολεμίων ἐπελαύνηται καὶ τὰ ἅρματα οἱ Γαλάται ἀνοίξαντες τὴν φάλαγγα καὶ διαστήσαντες ἐπαφῶσι, τότε ἀνὰ τέτταρας μὲν τῶν ἐλεφάντων ἀπαντᾶν ἐφ' ἑκάτερα τοῖς ἱππεῦσι, τοὺς ὀκτὼ δὲ ἀντεπαφεῖναι τοῖς ἁρματηλάταις καὶ συνωριασταῖς· Εἰ γὰρ τοῦτο γένοιτο, φοβηθήσονται αὐτῶν, ἔφη, οἱ ἵπποι καὶ ἐς τοὺς Γαλάτας αὖθις ἐμπεσοῦνται φεύγοντες. Καὶ οὕτως ἐγένετο.

10. Οὐ γὰρ πρότερον ἰδόντες ἐλέφαντα οὔτε αὐτοὶ Γαλάται οὔτε οἱ ἵπποι αὐτῶν οὕτω πρὸς τὸ παράδοξον τῆς ὄψεως ἐταράχθησαν, ὥστε πόρρω ἔτι τῶν θηρίων ὄντων ἐπεὶ μόνον τετριγότων ἤκουσαν καὶ τοὺς ὀδόντας

puerilitер admodum ad leonis catulum respiciunt, mammæ interea quisque suæ arcte inhærentes et quam proxime matrem assistentes.

7. Hæc itaque quum ostenderet Zeuxis, ipse quidem putabat futurum ut artis admiratione percelleret spectatores. At illi statim quidem exclamarunt : quid enim facerent aliud, ad pulcherrimum spectaculum admissi? laudabant vero maxime omnes eadem, propter quæ me nuper isti : inventionis novitatem, argumentum picturæ recens et superioribus ignotum. Itaque intelligens Zeuxis occupari illos argumento novo, et ab arte contemplanda abduci, ut obiter modo exquisitam rerum curam considerent, Age, inquit ad suum discipulum, Miccio, involve jam tabulam; vos sublatam domum referte : isti enim lutum artis nostræ laudant : eorum autem, propter quæ debebat laudari, si bene et ex arte posita sunt, non multam habent rationem; sed exquisitæ circa opus ipsum artis laudem intercipit argumenti novitas.

8. Zeuxis igitur ita, justo ille forte iracundius. Antiocho autem, Soteri cognominato, simile quiddam usu venisse dicitur in pugna adversus Gallogræcos. Si vultis, hoc quoque, ut factum sit, enarrabo. Quum sciret enim hos viros fortes esse, et numero plurimos esse videret, et phalangem valide densam, et in fronte quidem tegentes primam aciem loricatos ære, introrsus vero et in versum stantes in acie vicenos quaternos scutatos, cornua firmare utrimque viginti millium equitatum; e media acie prorupturos currus falcatos octoginta, et bigarum præter hos alterum tantum : hæc, inquam, videns, male sane de rebus suis speravit, qui invicta ista sibi putaret. Ipse enim, brevi tempore comparato illo exercitu, non magnifice neque pro dignitate belli veniebat, paucos oppido ducens, et in his peltastas plerosque et levis armaturæ homines : velites autem ultra dimidiam exercitus partem erant. Itaque jam videbatur illi pacisci, et honestam quandam belli dissolvendi rationem reperire.

9. Verum Rhodius Theodotas, vir fortis et ordinandæ aciei peritus, quum adesset, non passus est animum abjicere : erant enim etiam sexdecim Antiocho elephanti. Hos jussit Theodotas tum quidem, quantum ejus fieri posset, occultos habere, ne manifesti essent, ultra exercitum eminentes : ubi vero classicum cecinisset, et jam concurrendum esset atque veniendum ad manus, invehereturque jam hostium equitatus, currusque suos Gallogræci aperta phalange et discedentes emitterent : tum quaternos elephantes singulis utrimque equitum alis occurrere, octo autem reliquos contra immitti curruum et bigarum agitatoribus. Hoc enim si fiet, terrebuntur, dicebat, illorum equi, et retro in ipsos Gallogræcos fuga irruent. Idque ita factum.

10. Quum enim nunquam elephantem neque ipsi Gallogræci neque equi illorum vidissent, adeo ad inopinatum spectaculum perturbati sunt, ut quum longe adhuc abessent belluæ, audito solo illorum barritu, et dentibus conspectis,

εἶδον ἀποστίλβοντας ἐπισημότερον ὡς ἂν ἐκ μέλανος τοῦ παντὸς σώματος καὶ τὰς προνομαίας ὡς ἐς ἁρπαγὴν ὑπεραιωρουμένας, πρὶν ἢ τὸ τόξευμα ἐξικνεῖσθαι, ἐκκλίναντες σὺν οὐδενὶ κόσμῳ ἔφευγον, οἱ μὲν πεζοὶ περιπειρόμενοι ὑπ' ἀλλήλων τοῖς δορατίοις καὶ συμπατούμενοι ὑπὸ τῶν ἱππέων, ὡς εἶχον, ἐμπεσόντων ἐπ' αὐτούς, τὰ ἅρματα δὲ, ἀναστρέψαντα καὶ ταῦτα ἔμπαλιν εἰς τοὺς οἰκείους, οὐκ ἀναιμωτὶ διεφέρετο ἐν αὐτοῖς, ἀλλὰ τὸ τοῦ Ὁμήρου, « δίφροι δ' ἀνεκυμβαλίαζον· » οἱ ἵπποι δ' ἐπείπερ ἅπαξ τῆς ἐς τὸ εὐθὺ ὁδοῦ ἀπετρέποντο οὐκ ἀνασχόμενοι τῶν ἐλεφάντων, τοὺς ἐπιβάτας ἀποβαλόντες « κεἰν' ὄχεα κροτάλιζον », τέμνοντες νὴ Δία καὶ διαιροῦντες τοῖς δρεπάνοις εἴ τινας τῶν φίλων καταλάβοιεν· πολλοὶ δ' ὡς ἐν ταράχῳ τοσούτῳ κατελαμβάνοντο. Εἵποντο δὲ καὶ οἱ ἐλέφαντες συμπατοῦντες καὶ συναναρριπτοῦντες ἐς ὕψος ταῖς προνομαίαις καὶ συναρπάζοντες καὶ τοῖς ὀδοῦσι περιπείροντες, καὶ τέλος οὗτοι κατὰ κράτος παραδιδόασι τῷ Ἀντιόχῳ τὴν νίκην.

11. Οἱ Γαλάται δὲ οἱ μὲν ἐτεθνήκεσαν, πολλοῦ τοῦ φόνου γενομένου, οἱ δὲ ζῶντες ἐλαμβάνοντο, πλὴν πάνυ ὀλίγοι ὁπόσοι ἔφθασαν ἐς τὰ ὄρη ἀναφυγόντες, οἱ Μακεδόνες δὲ ὅσοι σὺν Ἀντιόχῳ ἦσαν, ἐπαιώνιζον καὶ προσιόντες ἄλλος ἀλλαχόθεν ἀνέδουν τὸν βασιλέα καλλίνικον ἀναβοῶντες· ὁ δὲ καὶ δακρύσας, ὥς φασιν, Αἰσχυνώμεθα, ἔφη, ὦ στρατιῶται, οἷς γε ἡ σωτηρία ἐν ἐκκαίδεκα τούτοις θηρίοις ἐγένετο· ὡς εἰ μὴ τὸ καινὸν τοῦ θεάματος ἐξέπληξε τοὺς πολεμίους, τί ἂν ἡμεῖς ἦμεν πρὸς αὐτούς; Ἔπειτα τῷ τροπαίῳ κελεύει ἄλλο μὲν μηδὲν, ἐλέφαντα δὲ μόνον ἐγκολάψαι.

12. Ὥρα τοίνυν με σκοπεῖν μὴ καὶ τοὐμὸν ὅμοιον ᾖ τῷ Ἀντιόχῳ καὶ τὰ μὲν ἄλλα οὐκ ἄξια μάχης, ἐλέφαντες δέ τινες καὶ ξένα μορμολυκεῖα πρὸς τοὺς ὁρῶντας καὶ θαυματοποιία ἄλλως· ἐκεῖνα γοῦν ἐπαινοῦσι πάντες. Οἷς δ' ἐγὼ ἐπεποίθειν, οὐ πάνυ ταῦτα ἐν λόγῳ παρ' αὐτοῖς ἐστιν, ἀλλ' ὅτι μὲν θήλεια Ἱπποκένταυρος γεγραμμένη, τοῦτο μόνον ἐκπλήττονται καὶ ὥσπερ ἐστὶ, καινὸν καὶ τεράστιον δοκεῖ αὐτοῖς. Τὰ δ' ἄλλα μάτην ἄρα τῷ Ζεύξιδι πεποίηται. Ἀλλ' οὐ μάτην· γραφικοὶ γὰρ ὑμεῖς καὶ μετὰ τέχνης ἕκαστα ὁρᾶτε. Εἴη μόνον ἄξια τοῦ θεάτρου δεικνύειν.

tanto insignitius, ut e nigro usquequaque corpore, fulgentibus, et rostris tanquam ad rapinam sublatis, ante teli jactum inclinati sine more modoque fugerent : ubi pedites quidem confixi mutuo suorum jaculis, et ab equitibus conculcati, qui toto impetu suo in illos ruerent; currus autem, conversi et ipsi retro in suos, non sine sanguine inter ipsos differebantur, sed ut est apud Homerum,

dederunt sonitumque ruinamque :

equi vero semel recta regione viarum excussi, quum ferre elephantos non possent, dejectis aurigis, currus cum strepitu vacuos raptant, secantes, per Jovem, et lacerantes falcibus si quos amicorum comprehendissent; multi vero, ut in tanto tumultu, comprehendebantur. Insequebantur vero elephanti etiam, qui conculcarent, et rostris in altum jactarent corpora, et corriperent, et confoderent dentibus : et tandem hi plenissimam tradunt Antiocho victoriam.

11. Gallograeci autem partim in prælio ceciderunt, magna cæde facta, partim vivi capti sunt, præter paucos oppido, qui fuga montes occupavere. Pæanem autem cecinere qui cum Antiocho erant Macedones, et alius aliunde accedentes coronarunt regem cum clamore, egregium victorem illum prædicantes. At ille, non sine lacrimis, ut narrant, Pudeat nos, inquit, milites, quorum salus in sexdecim his belluis posita fuerit : etenim nisi perculisset hostes hujus spectaculi novitas, quid nos ad illos futuri eramus? Deinde in tropæo jussit aliud nihil quam solum elephantem insculpi.

12. Jam mihi videndum est ne mea res similis sit Antiochi prælio, et cetera non apta quæ in aciem procedant, præter elephantos quosdam et peregrina spectantibus terriculamenta, et vanas præstigias : hæc enim laudant omnes. At quibus ego confisus fueram, horum nulla apud illos habetur ratio : verum ad id solum obstupescunt, pictam hic esse Centaurum feminam, idque, ut est, novum ac portentosum illis videtur. Reliqua igitur frustra elaborata Zeuxidi. At minime frustra : vos enim pictoriæ rationis periti, et cum arte inspicitis omnia. Utinam modo digna sint theatro quæ ostendantur.

XXIII.

ΑΡΜΟΝΙΔΗΣ.

1. Ἁρμονίδης ὁ αὐλητὴς ἤρετό ποτε Τιμόθεον διδάσκαλον αὐτοῦ ὄντα, Εἰπέ μοι, ἔφη, ὦ Τιμόθεε, πῶς ἂν ἔνδοξος γενοίμην ἐπὶ τῇ τέχνῃ; καὶ τί ποιοῦντα εἰσονταί με οἱ Ἕλληνες ἅπαντες; Τὰ μὲν γὰρ ἄλλα εὖ ποιῶν ἐδιδάξω με ἤδη, ἁρμόσασθαι τὸν αὐλὸν ἐς τὸ ἀκριβὲς καὶ ἐμπνεῖν ἐς τὴν γλωττίδα λεπτόν τι καὶ ἐμμελὲς καὶ ὑποβάλλειν τοὺς δακτύλους εὐαφῶς ὑπὸ πυκνῇ τῇ ἄρσει καὶ θέσει καὶ βαίνειν ἐν ῥυθμῷ καὶ σύμφωνα εἶ-

XXIII.

HARMONIDES.

1. Harmonides tibicen interrogavit olim magistrum suum Timotheum : Dic mihi, inquit, Timothee, quomodo celebris in arte fieri possum? et quo facto meo me Græci omnes cognoscent? Reliqua enim, agnosco beneficium tuum! docuisti me jam, accurate tibiam temperare, et inflare in ligulam tenue quiddam ac modulatum, et admovere commode digitos sublatione crebra ac positione, et incedere ad numeros, et ut cantus consentiat choro, et modi uniuscu-

ναι τὰ μέλη πρὸς τὸν χορὸν καὶ τῆς ἁρμονίας ἑκάστης διαφυλάττειν τὸ ἴδιον, τῆς Φρυγίου τὸ ἔνθεον, τῆς Λυδίου τὸ Βακχικὸν, τῆς Δωρίου τὸ σεμνὸν, τῆς Ἰωνικῆς τὸ γλαφυρόν. Ταῦτα μὲν οὖν πάντα ἐκμεμάθηκα παρὰ σοῦ· τὰ μέγιστα δὲ καὶ ὧν ἕνεκα ἐπεθύμησα τῆς αὐλητικῆς, οὐχ ὁρῶ πῶς ἂν ἀπ' αὐτῆς μοι προσγένοιτο, ἡ δόξα ἡ παρὰ τῶν πολλῶν καὶ τὸ ἐπίσημον εἶναι ἐν πλήθεσι καὶ δείκνυσθαι τῷ δακτύλῳ, καὶ ἥν που φανῶ, εὐθὺς ἐπιστρέφεσθαι πάντας εἰς ἐμὲ καὶ λέγειν τοὔνομα, οὗτος ἐκεῖνος Ἁρμονίδης ἐστὶν ὁ ἄριστος αὐλητής, ὥσπερ ὅτε καὶ σὺ, ὦ Τιμόθεε, τὸ πρῶτον ἐλθὼν οἴκοθεν ἐκ Βοιωτίας ὑπηύλησας τῇ Πανδιονίδι καὶ ἐνίκησας ἐν τῷ Αἴαντι τῷ ἐμμανεῖ, τοῦ ὁμωνύμου σοι ποιήσαντος τὸ μέλος, οὐδεὶς ἦν ὃς ἠγνόει τοὔνομα, Τιμόθεον ἐκ Θηβῶν· ἀλλ' ἔνθα ἂν καὶ νῦν φανῇς, συνθέουσιν ἐπὶ σὲ πάντες ὥσπερ ἐπὶ τὴν γλαῦκα τὰ ὄρνεα. Ταῦτ' ἐστὶ δι' ἅπερ ηὐξάμην αὐλητὴς γενέσθαι καὶ ὑπὲρ ὧν πεπόνηκα τὸν πόνον τὸν πολύν· ἐπεὶ τό γε αὐλεῖν αὐτὸ ἄνευ τοῦ ἔνδοξος εἶναι δι' αὐτὸ οὐκ ἂν δεξαίμην ἀγνώστῳ μοι προσγενόμενον, οὐδ' εἰ Μαρσύας ἢ Ὄλυμπος γενήσεσθαι μέλλοιμι λανθάνων· οὐδὲν γὰρ ὄφελος ἀπορρήτου, φασὶ, καὶ ἀφανοῦς τῆς μουσικῆς. Ἀλλὰ σὺ, ἔφη, καὶ ταῦτα παίδευσόν με, ὅπως μοι χρηστέον κἀμαυτῷ καὶ τῇ τέχνῃ, καί σοι διττὴν εἴσομαι τὴν χάριν, καὶ ἐπὶ τῇ αὐλήσει καὶ, τὸ μέγιστον, ἐπὶ τῇ δόξῃ αὐτῆς.

2. Ἀποκρίνεται οὖν αὐτῷ ὁ Τιμόθεος, Ἀλλ' ὦ Ἁρμονίδη, ἐρᾷς μέν, ἔφη, εὖ ἴσθι, οὐ μικροῦ πράγματος, ἐπαίνου καὶ δόξης καὶ τοῦ ἐπίσημος εἶναι καὶ γιγνώσκεσθαι πρὸς τῶν πολλῶν, τοῦτο δὲ εἰ μὲν οὕτωσί πως ἐς τὰ πλήθη παριὼν ἐπιδεικνύμενος ἐθέλοις πορίζεσθαι, μακρὸν ἂν γένοιτο, καὶ οὐδὲ οὕτως ἅπαντες εἴσονταί σε· ποῦ γὰρ ἂν εὑρεθείη ἢ θέατρον ἢ στάδιον οὕτω μέγα, ἐν ᾧ πᾶσιν αὐλήσεις τοῖς Ἕλλησιν; Ὡς δὲ ποιήσας γνωσθήσῃ αὐτοῖς καὶ ἐπὶ τὸ πέρας ἀφίξῃ τῆς εὐχῆς, ἐγὼ καὶ τοῦθ' ὑποθήσομαί σοι· σὺ γὰρ αὔλει μὲν καὶ πρὸς τὰ θέατρα ἐνίοτε, ἀτὰρ ὀλίγον μελέτω σοι τῶν πολλῶν. Ἡ δ' ἐπίτομος καὶ ῥᾷστα ἐπὶ τὴν δόξαν ἄγουσα ἥδε ἐστίν· εἰ γὰρ ἐπιλεξάμενος τῶν ἐν τῇ Ἑλλάδι τοὺς ἀρίστους καὶ ὀλίγους αὐτῶν ὅσοι κορυφαῖοι καὶ ἀναμφιλόγως θαυμαστοὶ καὶ ἐπ' ἀμφότερα πιστοὶ, εἰ τούτοις, φημὶ, ἐπιδείξαιο τὰ αὐλήματα καὶ οὗτοι ἐπαινέσονταί σε, ἅπασιν Ἕλλησι νόμιζε ἤδη γεγενῆσθαι γνώριμος ἐν οὕτω βραχεῖ. Καὶ τὸ πρᾶγμα ὅρα πῶς συντίθημι· εἰ γὰρ οὓς ἅπαντες ἴσασι καὶ οὓς θαυμάζουσιν, οὗτοι δὲ εἴσονταί σε αὐλητὴν εὐδόκιμον ὄντα, τί σοι δεῖ τῶν πολλῶν, οἵ γε πάντως ἀκολουθήσουσι τοῖς ἄμεινον κρῖναι δυναμένοις; ὁ γάρ τοι πολὺς οὗτος λεὼς, αὐτοὶ μὲν ἀγνοοῦσι τὰ βελτίω, βάναυσοι ὄντες οἱ πολλοὶ αὐτῶν, ὅντινα δ' ἂν οἱ προὔχοντες ἐπαινέσωσι, πιστεύουσι μὴ ἂν ἀλόγως ἐπαινεθῆναι τοῦτον· ὥστε ἐπαινέσουσι καὶ αὐτοί. Καὶ γὰρ οὖν καὶ ἐν τοῖς ἀγῶσιν οἱ μὲν πολλοὶ θεαταὶ ἴσασι κροτῆσαί ποτε καὶ συρίσαι, κρίνουσι δὲ ἑπτὰ ἢ πέντε ἢ ὅσοι δή. Ταῦτα ὁ

jusque proprietatem servare, Phrygii illum quasi divinum afflatum, Lydii Bacchicum furorem, honestam gravitatem Dorii, et Ionii denique venustatem. Hæc igitur didici abs te omnia : maxima vero, et propter quæ concupivi artem canendi tibiis, nondum video quomodo ab illa mihi contingant, gloria apud populum, et ut conspicuus sim in multitudine hominum, et monstrer digito, et ut, sicubi apparearn, statim convertantur ad me omnes, et nomen meum dicant, Hic est ille Harmonides, tibicen optimus! quemadmodum quum tu etiam, Timothee, primum domo e Bœotia adveniens succinuisti Pandionidi, vicistique in Ajace furioso, modulos faciente tuo illo cognomine; nemo erat qui ignoraret nomen, Timotheum Thebanum : sed ubicumque nunc etiam conspiciendum te præbes, concurrunt ad te omnes, ut ad noctuam aves. Hæc sunt propter quas tibicen fieri optavi, et pro quibus laborem illum multum suscepi : ipsam quandoquidem canendi facultatem, a celebritate nominis separatam, non receperim, si inglorio mihi et ignoto contingat, non si vel Marsyas aut Olympus in illa obscuritate futurus sim; occultæ enim, aiunt, nullus est respectus musicæ. Verum tu (inquit) et hæc doce me, quomodo et me ipso et arte utendum sit : et duplicem tibi habebo gratiam, et de canendi facultate, et, quod maximum, gloriæ etiam quæ ejus nomine mihi continget.

2. Respondet igitur illi Timotheus : Tu vero, inquit, Harmonide, amare te noris rem non parvam, laudem et gloriam, et ut insignis fias, et cognoscaris a plurimis, at hoc si sic ad multitudinem prodiens tuique audiendi copiam faciens præstare tibi velis, longum fuerit, et ne sic quidem omnes te noverint : ubi enim aut theatrum inveniatur, aut circus ita magnus, in quo tibia canas Græcis omnibus? Quo vero facto innotescas illis et ad finem voti tui pervenias, id ipsum quoque ego tibi subjiciam. Cane tu quidem etiam theatris nonnunquam; sed parum cura vulgus. Compendiaria vero et facillime ducens ad gloriam via ista est : si elegeris Græcorum optimos, et pancos illorum qui capita sunt et extra controversiam admirabiles, et quibus fides in utramque partem habeatur : his, inquam, si ostenderis cantus tuos, atque hi te laudaverint, Græcis omnibus brevi adeo tempore innotuisse te putato. Vide rem quomodo demonstrem. Si enim quos omnes norunt, et quos admirantur, hi norint te probatum tibicinem esse; quid vulgo tibi opus est, qui omnino sequetur hos qui melius judicare possunt? Ista enim multitudo, ipsi quidem ignorant meliora, sellularii majorem partem opifices : quem vero principes laudaverint, illum non sine ratione laudari credunt : itaque laudabunt ipsi quoque. Etenim in certaminibus quoque multitudo quidem spectatores sunt eatenus, ut plaudant aliquando vel sibilent : judicant vero aut septem aut quinque, aut quotcumque tandem. Illa quidem Harmonides

μὲν Ἁρμονίδης οὐκ ἔφθη ποιῆσαι· μεταξὺ γὰρ αὐλῶν, φασὶν, ὅτε τὸ πρῶτον ἠγωνίζετο, φιλοτιμότερον ἐμφυσῶν ἐναπέπνευσε τῷ αὐλῷ καὶ ἀστεφάνωτος ἐν τῇ σκηνῇ ἀπέθανε τὸ αὐτὸ καὶ πρῶτον καὶ ὕστατον αὐλήσας ἐν τοῖς Διονυσίοις.

3. Ὁ μέντοι τοῦ Τιμοθέου λόγος οὐκ αὐληταῖς οὐδὲ Ἁρμονίδῃ μόνον εἰρῆσθαί μοι δοκεῖ, ἀλλὰ πᾶσιν ὅσοι δόξης ὀρέγονται δημόσιόν τι ἐπιδεικνύμενοι, τοῦ παρὰ τῶν πολλῶν ἐπαίνου δεόμενοι. Ἔγωγ' οὖν ὁπότε καὶ αὐτὸς ἐνενόουν τὰ ὅμοια περὶ τῶν ἐμαυτοῦ καὶ ἐζήτουν ὅπως ἂν τάχιστα γνωσθείην πᾶσι, τῷ Τιμοθέου λόγῳ ἑπόμενος ἐσκοπούμην ὅστις ὁ ἄριστος εἴη τῶν ἐν τῇ πόλει καὶ ὅτῳ πιστεύσουσιν οἱ ἄλλοι καὶ ὃς ἀντὶ πάντων ἀρκέσειεν ἄν. Οὕτω δὲ ἆρα σὺ ἔμελλες ἡμῖν φαίνεσθαι τῷ δικαίῳ λόγῳ, ὅ τι περ τὸ κεφάλαιον ἀρετῆς ἁπάσης, ὁ γνώμων, φασὶ, καὶ ὁ ὀρθὸς κανὼν τῶν τοιούτων. Εἰ δέ σοι δείξαιμι ταμὰ καὶ σὺ ἐπαινέσειας αὐτά — εἴη γὰρ οὕτω φανήσεσθαι — καὶ δὴ ἐπὶ πέρας ἥκειν με τῆς ἐλπίδος ἐν μιᾷ ψήφῳ τὰς ἁπάσας λαβόντα. Ἢ τίνα γὰρ ἂν πρὸ σοῦ ἑλόμενος οὐχὶ παραπαίειν ἂν εἰκότως νομισθείην; ὥστε λόγῳ μὲν ἑφ' ἑνὸς ἀνδρὸς ἀναρρίψομεν τὸν κύβον, τὸ δ' ἀληθὲς ὥσπερ ἂν εἰ τοὺς ἁπανταχόθεν ἀνθρώπους συγκαλέσας εἰς κοινὸν θέατρον ἐπιδεικνυοίμην τοὺς λόγους· ὅῆλον γὰρ ὡς καθ' ἕνα τε καὶ συνάμα πάντων συνειλεγμένων μόνος αὐτὸς ἀμείνων ἂν ἦσθα. Οἱ μέν γε τῶν Λακεδαιμονίων βασιλεῖς, τῶν ἄλλων ἑκάστου μίαν ψῆφον φερόντων, ἐκεῖνοι μόνοι ἑκάτερος αὐτῶν δύο ἔφερον, σὺ δὲ καὶ τὰς τῶν ἐφόρων καὶ τὰς τῶν γερόντων προσέτι, καὶ ὅλως ἁπάντων ὁ πολυψηφότατος ἐν παιδείᾳ σύ γε, καὶ μάλιστα ὅσῳ τὴν λευκὴν ἀεὶ καὶ σώζουσαν φέρεις, ὃ καὶ θαρρεῖν με ἐν τῷ παρόντι ποιεῖ διά γε τὸ μέγεθος τοῦ τολμήματος καὶ πάνυ δικαίως ἂν φοβηθέντα. Κἀκεῖνο δὲ νὴ Δία προσέτι καὶ αὐτὸ θαρρεῖν ποιεῖ, τὸ μὴ παντάπασιν ἀλλότρια ταμὰ εἶναί σοι, ὃς πόλεώς γε ἐκείνης εἶμι, ἣν πολλάκις εὖ ἐποίησας, τὸ μὲν πρῶτον ἰδίᾳ, τὸ δὲ δεύτερον κοινῇ μετὰ παντὸς τοῦ ἔθνους· ὥστε ἴσως ἔστιν ὅπου καὶ νῦν ἐμοὶ ἐς τὸ χεῖρον ῥέπωσιν αἱ ψῆφοι ἐν τῷ λόγῳ καὶ ἐλάττους ὦσιν αἱ ἀμείνους, σὺ δὲ τὴν τῆς Ἀθηνᾶς προστιθεὶς ἀναπλήρου τὸ ἐνδέον παρὰ σεαυτοῦ καὶ τὸ ἐπανόρθωμα οἰκεῖόν σοι δοκείτω.

4. Καὶ γὰρ οὐδὲ ἐκεῖνό μοι ἱκανὸν, εἰ πολλοὶ ἐθαύμασαν πρότερον, εἰ ἔνδοξος ἤδη ἐγὼ, εἰ ἐπαινοῦνται πρὸς τῶν ἀκουσάντων οἱ λόγοι. Πάντα ἐκεῖνα ὑπηνέμια ὀνείρατα, φασὶ, καὶ ἐπαίνων σκιαί· τὸ δ' ἀληθὲς ἐν τῷ παρόντι δειχθήσεται. Οὗτος ἀκριβὴς ὅρος τῶν ἐμῶν, οὐδὲν ἀμφίδοξον ἔτι οὐδ' ὡς ἄν τις ἐνδοιάσειεν, ἀλλ' ἢ ἄριστον κατὰ παιδείαν δεήσει νομίζεσθαι, σοί γε δόξαν ἢ πάντων — εὐφημεῖν δὲ χρὴ πρὸς οὕτω μέγαν ἀγῶνα χωροῦντα. Δόξαιμεν γὰρ, ὦ θεοὶ, λόγου ἄξιοι καὶ βεβαιώσαιτε ἡμῖν τὸν παρὰ τῶν ἄλλων ἔπαινον, ὡς τὸ λοιπὸν θαρροῦντας ἐς τοὺς πολλοὺς παρεῖναι· πᾶν γὰρ ἤδη στάδιον ἧττον φοβερὸν τῷ Ὀλύμπια τὰ μεγάλα νενικηκότι.

perficere non potuit : inter canendum enim, narrant, quum primum in certamen descenderet, contentius præ honoris cupiditate dum inflat, in ipsam quasi tibiam exspiravit, et sine coronæ honore in scena mortuus est, eundem et primum et ultimum cantum exhibens in Dionysiis.

3. Verum Timothei illa oratio non tibicinibus neque Harmonidi solum dicta mihi videtur, sed omnibus illis qui gloriam affectant publica aliqua commissione, populari laude opus habentes. Ego igitur, quum et ipse cogitarem de mea ratione similiter, et quomodo celerrime possem innotescere omnibus, quærerem : Timothei sermonem secutus, dispiciebam quis in quaque urbe esset præstantissimus, cui fidem reliqui essent habituri, quique unus esset instar omnium. Sic igitur tu nobis videri debebas jure meritoque, virtutis omnis quod caput est, norma, aiunt, et recta talium regula. Si vero tibi mea ostendissem, tuque ea laudasses (pono enim ita tibi visum iri), scilicet ad finem me spei venisse, in uno qui suffragio ferrem universa. Aut quis est, quem tibi si præferam, non merito insanire videar? Igitur verbo quidem in uno homine jaciemus aleam; re autem vera idem est, quasi omnibus undecumque hominibus in theatrum publicum convocatis vim dicendi ostenderem. Apertum enim est te et singulis, et collectis in universum omnibus, fuisse unum præstantiorem. Lacedæmoniorum reges, calculos reliquis singulos habentibus, soli habebant binos : tu vero et ephororum, et senum insuper calculos, et omnino omnium in doctrina amplissimum suffragandi jus habes, ea maxima de causa, quod candidum semper et salutarem fers calculum : quæ res etiam mihi in præsenti facit fiduciam, qui propter rei quam conor magnitudinem merito perterrear. Ad hæc illud etiam profecto animum mihi addit, quod non plane aliena tibi sunt mea, qui tum ex ea urbe sim, quam sæpe tu beneficiis ornasti, primo quidem privatim ipsam, iterum vero publice cum gente universa. Itaque si forte nunc etiam in sequiorem partem inclinent, dum loquor, calculi, paucioresque sint meliores, tu adjecto Minervæ, de te quæ deficiunt exple : ac domesticum tibi et familiare videatur prava hic etiam corrigere.

4. Etenim neque illud mihi satis est, si multi ante admirati sunt, si nobilis jam ego, si laudantur ab his qui audierunt orationes : omnia illa somnia, quod aiunt, vento concepta et irrita, laudum umbræ : verum autem jam nunc apparebit. Hic accuratus meorum finis : nihil in utramque partem amplius accipietur, aut ita ut dubitare quis possit; sed oportebit aut optimum circa doctrinam me putari, si quidem tibi ita videatur, aut omnium . . . . sed bene ominari fas est ad tantum certamen euntem. Videamur enim, o dii, digni hodie quorum ratio habeatur! et firmate nobis laudem tributam ab aliis, ut reliquo tempore cum fiducia in multitudinem procedere possimus : omne enim stadium jam minus formidabile ei, magna qui Olympia vicerit.

XXIV.

ΣΚΥΘΗΣ Η ΠΡΟΞΕΝΟΣ.

1. Οὐ πρῶτος Ἀνάχαρσις ἀφίκετο ἐκ Σκυθίας Ἀθήναζε παιδείας ἐπιθυμίᾳ τῆς Ἑλληνικῆς, ἀλλὰ καὶ Τόξαρις πρὸ αὐτοῦ, σοφὸς μὲν καὶ φιλόκαλος ἀνὴρ καὶ ἐπιτηδευμάτων φιλομαθὴς τῶν ἀρίστων, οἶκοι δὲ οὐ τοῦ βασιλείου γένους ὢν οὐδὲ τῶν πιλοφορικῶν, ἀλλὰ Σκυθῶν τῶν πολλῶν καὶ δημοτικῶν, οἷοί εἰσι παρ' αὐτοῖς οἱ ὀκτάποδες καλούμενοι, τοῦτο δέ ἐστι, δύο βοῶν δεσπότην εἶναι καὶ ἁμάξης μιᾶς. Οὗτος ὁ Τόξαρις οὐδ' ἀπῆλθεν ἔτι ὀπίσω ἐς Σκύθας, ἀλλ' Ἀθήνησιν ἀπέθανε, καὶ μετ' οὐ πολὺ καὶ ἥρως ἔδοξε καὶ ἐντέμνουσιν αὐτῷ Ξένῳ Ἰατρῷ οἱ Ἀθηναῖοι· τοῦτο γὰρ τοὔνομα ἥρως γενόμενος ἐπεκτήσατο. Τὴν δ' αἰτίαν τῆς ἐπωνυμίας καὶ ἀνθ' ὅτου ἐς τοὺς ἥρωας κατελέγη καὶ τῶν Ἀσκληπιαδῶν εἷς ἔδοξεν, οὐ χεῖρον ἴσως διηγήσασθαι, ὡς μάθητε οὐ Σκύθαις μόνον ἐπιχώριον ὂν ἀπαθανατίζειν καὶ πέμπειν παρὰ τὸν Ζάμολξιν, ἀλλὰ καὶ Ἀθηναίοις ἐξεῖναι θεοποιεῖν τοὺς Σκύθας ἐπὶ τῆς Ἑλλάδος.

2. Κατὰ τὸν λοιμὸν τὸν μέγαν ἔδοξεν ἡ Ἀρχιτέλους γυνὴ, Ἀρεοπαγίτου ἀνδρὸς, ἐπιστάντα οἱ τὸν Σκύθην κελεῦσαι εἰπεῖν Ἀθηναίοις ὅτι παύσονται τῷ λοιμῷ ἐχόμενοι, ἢν τοὺς στενωποὺς οἴνῳ πολλῷ ῥάνωσι. Τοῦτο συχνάκις γενόμενον — οὐ γὰρ ἠμέλησαν οἱ Ἀθηναῖοι ἀκούσαντες — ἔπαυσε μηκέτι λοιμώττειν αὐτοὺς, εἴτε ἀτμούς τινας πονηροὺς ὁ οἶνος σβέσας τῇ ὀδμῇ, εἴτε ἄλλο τι πλέον εἰδὼς ὁ ἥρως ὁ Τόξαρις, ἅτε ἰατρικὸς ὤν, συνεβούλευσεν. Ὁ δ' οὖν μισθὸς τῆς ἰάσεως ἔτι καὶ νῦν ἀποδίδοται αὐτῷ λευκὸς ἵππος καταθυόμενος ἐπὶ τῷ μνήματι, ὅθεν ἔδειξεν ἡ Δειμαινέτη προελθόντα αὐτὸν ἐντεῖλασθαι ἐκεῖνα τὰ περὶ τοῦ οἴνου· καὶ εὑρέθη ἐκεῖθι ὁ Τόξαρις τεθαμμένος τῇ τε ἐπιγραφῇ γνωσθεὶς, εἰ καὶ μὴ πᾶσα ἐφαίνετο ἔτι, καὶ μάλιστα, ὅτι ἐπὶ τῇ στήλῃ Σκύθης ἀνὴρ ἐγκεκόλαπτο, τῇ λαιᾷ μὲν τόξον ἔχων ἐντεταμένον, τῇ δεξιᾷ δὲ βιβλίον, ὡς ἐδόκει. Ἔτι καὶ νῦν ἴδοις ἂν αὐτοῦ ὑπὲρ ἥμισυ καὶ τὸ τόξον ὅλον καὶ τὸ βιβλίον· τὰ δ' ἄνω τῆς στήλης καὶ τὸ πρόσωπον ὁ χρόνος ἤδη ἐλυμήνατό που. Ἔστι δὲ οὐ πολὺ ἀπὸ τοῦ Διπύλου, ἐν ἀριστερᾷ εἰς Ἀκαδήμειαν ἀπιόντων, οὐ μέγα τὸ χῶμα καὶ ἡ στήλη χαμαί· πλὴν ἀλλ' ἔστεπταί γε ἀεὶ, καί φασι πυρεταίνοντάς τινας ἤδη πεπαῦσθαι ἀπ' αὐτοῦ, καὶ μὰ τὸν Δί' οὐδὲν ἄπιστον, ὃς ὅλην ποτὲ ἴασατο τὴν πόλιν.

3. Ἀλλὰ γὰρ οὗπερ ἕνεκα ἐμνήσθην αὐτοῦ, ἔζη μὲν ἔτι ὁ Τόξαρις, ὁ Ἀνάχαρσις δὲ ἄρτι καταπεπλευκὼς ἀνῄει ἐκ Πειραιῶς, οἷα δὴ ξένος καὶ βάρβαρος οὐ μετρίως τεταραγμένος ἔτι τὴν γνώμην, πάντα ἀγνοῶν, ψοφοδεὴς πρὸς τὰ πολλὰ, οὐκ ἔχων ὅ τι χρήσαιτο ἑαυτῷ· καὶ γὰρ συνίει καταγελώμενος ὑπὸ τῶν ὁρώντων ἐπὶ τῇ σκευῇ, καὶ ὁμόγλωττον οὐδένα εὕρισκε, καὶ ὅλως μετέμελεν αὐτῷ ἤδη τῆς ὁδοῦ, καὶ ἐδέδοκτο ἰδόντα μόνον τὰς Ἀθήνας ἐπὶ πόδα εὐθὺς ὀπίσω χωρεῖν καὶ

XXIV.

SCYTHA, SEU CONCILIATOR HOSPITII.

1. Non primus e Scythia Athenas venit Anacharsis Græcæ disciplinæ cupidus, sed Toxaris etiam ante ipsum, sapiens quidem et pulchrarum rerum amans optimorumque institutorum studiosus, domi vero non regii generis, neque pileatorum, sed Scytharum de multis unus et plebeiorum, quales apud illos sunt qui Octipedes vocantur, hoc autem significat boum duorum dominum esse et unius plaustri. Hic Toxaris neque rursus ad Scythas rediit, sed Athenis mortuus est; neque ita multo post pro heroe est habitus, sacrificantque illi ut Hospiti Medico Athenienses : hoc enim nomen, quum heros fieret, accepit. Causam vero cognominis, et cur in heroas sit relatus, et pro Æsculapii posterorum uno habitus, enarrare haud abs re forte fuerit, ut discatis, non Scythis modo patrium esse immortales credere homines et ablegare ad Zamolxin; sed Atheniensibus etiam licere deos facere in ipsa Græcia Scythas.

2. In magna illa pestilentia visa sibi per quietem est videre Architelis Areopagitæ uxor astantem sibi Scytham, qui juberet dicere Atheniensibus, a pestilentia ipsos vexari desituros, si vicos urbis vino multo conspergant. Hoc sæpius factum (neque enim neglexerunt qui audierant Athenienses) finem pestilentiæ apud illos imposuit, seu vapores quosdam malos per odorem delente vino, sive aliud quid amplius sciens Toxaris heros, quippe medicinæ peritus, consuluit. Merces igitur curationis hodieque illi persolvitur, equus albus in ipsius monumento immolatus, illo ipso loco, unde ostendit Dimænete progressum ipsum illa de vino præcepisse : et inventus ibi est sepultus Toxaris, tum inscriptione agnitus, etsi ea non tota jam apparebat, et maxime, quod in columella insculptus erat vir Scytha, sinistra arcum intentum tenens, dextra vero, ut videbatur, librum. Adhuc etiam videas ultra dimidiam ejus partem, arcum autem integrum atque librum : superiora vero columellæ et ipsam faciem tempus jam abolevit. Est autem non multum a Dipylo, ad sinistram in Academiam euntium, tumulus non magnus, et humi jacens columella. Verumtamen coronata semper est, et aiunt febri laborantes quosdam illius ope esse liberatos : neque profecto incredibile, qui totam olim urbem sanaverit.

3. Verum enim vero, cujus rei causa mentionem illius injeci, superstes erat Toxaris, quum Anacharsis, navigatione modo finita, a Piræeo ascendit, tanquam peregrinus et barbarus non mediocriter adhuc turbatus animo, ignarus omnium, meticulosus ad plurima, de se quid faceret nescius : sentiebat etenim derideri se ob habitum et arma; et linguæ suæ peritum inveniebat neminem : et in universum viæ ipsum jam pœnitentia subibat, decretumque ipsi erat, visis modo Athenis, retro legere vestigia,

πλοίῳ ἐπιβάντα πλεῖν αὖθις ἐπὶ Βοσπόρου, ὅθεν οὐ πολλὴ ἔμελλεν αὐτῷ ὁδὸς ἔσεσθαι οἴκαδε ἐς Σκύθας. Οὕτως ἔχοντι τῷ Ἀναχάρσιδι ἐντυγχάνει δαίμων τις ἀγαθὸς ὡς ἀληθῶς ὁ Τόξαρις ἤδη ἐν τῷ Κεραμεικῷ· καὶ τὸ μὲν πρῶτον ἡ στολὴ αὐτὸν ἐπεσπάσατο πατρῴως οὖσα, εἶτα μέντοι οὐ χαλεπῶς ἔμελλε καὶ αὐτὸν γνώσεσθαι τὸν Ἀνάχαρσιν ἅτε γένους τοῦ δοκιμωτάτου ὄντα καὶ ἐν τοῖς πρώτοις Σκυθῶν. Ὁ Ἀνάχαρσις δὲ πόθεν ἂν ἐκεῖνον ἔγνω ὁμοεθνῆ ὄντα, Ἑλληνιστὶ ἐσταλμένον, ὑπεξυρημένον τὸ γένειον, ἄζωστον, ἀσίδηρον, ἤδη στωμύλον, αὐτῶν τῶν Ἀττικῶν ἕνα τῶν αὐτοχθόνων; οὕτω μετεπεποίητο ὑπὸ τοῦ χρόνου.

4. Ἀλλὰ Τόξαρις Σκυθιστὶ προσειπὼν αὐτὸν, Οὐ σὺ, ἔφη, Ἀνάχαρσις ὢν τυγχάνεις ὁ Δαυκέτου; Ἐδάκρυσεν ὑφ' ἡδονῆς ὁ Ἀνάχαρσις, ὅτι καὶ ὁμόφωνον εὑρήκει τινὰ, καὶ τοῦτον εἰδότα ὅστις ἦν ἐν Σκύθαις, καὶ ἤρετο, Σὺ δὲ πόθεν οἶσθα ἡμᾶς, ὦ ξένε; Καὶ αὐτὸς, ἔφη, ἐκεῖθέν εἰμι παρ' ὑμῶν, Τόξαρις τοὔνομα, οὐ τῶν ἐπιφανῶν, ὥστε καὶ ἐγνῶσθαι ἄν σοι κατ' αὐτό. Μῶν, ἔφη, σὺ ὁ Τόξαρις εἶ, περὶ οὗ ἐγὼ ἤκουσα ὥς τις Τόξαρις ἔρωτι τῆς Ἑλλάδος ἀπολιπὼν καὶ γυναῖκα ἐν Σκυθίᾳ καὶ παιδία νεογνὰ οἴχοιτο ἐς Ἀθήνας καὶ νῦν διατρίβοι ἐκεῖθι τιμώμενος ὑπὸ τῶν ἀρίστων; Ἐγὼ, ἔφη, ἐκεῖνός εἰμι, εἴ τις κἀμοῦ λόγος ἔτι παρ' ὑμῖν. Οὐκοῦν, ἦ δ' ὃς ὁ Ἀνάχαρσις, μαθητήν σου ἴσθι με γεγενημένον καὶ ζηλωτὴν τοῦ ἔρωτος ὃν ἠράσθης, ἰδεῖν τὴν Ἑλλάδα, καὶ κατά γε τὴν ἐμπορίαν ταύτην ἀποδημήσας ἥκω σοι μυρία παθὼν ἐν τοῖς διὰ μέσου ἔθνεσι, καὶ εἴ γε μὴ σοὶ ἐνέτυχον, ἔγνωστο ἤδη πρὶν ἥλιον δῦναι, ὀπίσω αὖθις ἐπὶ ναῦν κατιέναι· οὕτως ἐτεταράγμην ξένα καὶ ἄγνωστα πάντα ὁρῶν. Ἀλλὰ πρὸς Ἀκινάκου καὶ Ζαμόλξιδος, τῶν πατρῴων ἡμῖν θεῶν, σύ με, ὦ Τόξαρι, παραλαβὼν ξενάγησον καὶ δεῖξον τὰ κάλλιστα τῶν Ἀθήνησιν, εἶτα καὶ τὰ ἐν τῇ ἄλλῃ Ἑλλάδι, νόμων τε τοὺς ἀρίστους καὶ ἀνδρῶν τοὺς βελτίστους καὶ ἤθη καὶ πανηγύρεις καὶ βίον αὐτῶν καὶ πολιτείαν, δι' ἅπερ σύ τε κἀγὼ μετὰ σὲ τοσαύτην ὁδὸν ἥκομεν, καὶ μὴ περιίδῃς ἀθέατον αὐτῶν ἀναστρέψοντα.

5. Τοῦτο μὲν, ἔφη ὁ Τόξαρις, ἥκιστα ἐρωτικὸν εἴρηκας, ἐπὶ τὰς θύρας αὐτὰς ἐλθόντα οἴχεσθαι ἀπιόντα. Πλὴν ἀλλὰ θάρρει· οὐ γὰρ ἄν, ὡς φῂς, ἀπέλθοις οὐδ' ἂν ἀφείη σε ῥᾳδίως ἡ πόλις· οὐχ οὕτως ὀλίγα τὰ θέλγητρα ἔχει πρὸς τοὺς ξένους, ἀλλὰ μάλα ἐπιλήψεταί σου, ὡς μήτε γυναικὸς ἔτι μήτε παίδων, εἴ σοι ἤδη εἰσὶ, μεμνῆσθαι. Ὡς δ' ἂν τάχιστα πᾶσαν ἴδοις τὴν πόλιν τῶν Ἀθηνῶν, μᾶλλον δὲ τὴν Ἑλλάδα ὅλην καὶ τὰ Ἑλλήνων καλὰ, ἐγὼ ὑποθήσομαί σοι. Ἔστι σοφὸς ἀνὴρ ἐνταῦθα, ἐπιχώριος μὲν, ἀποδημήσας δὲ μάλα πολλὰ ἐς τε Ἀσίαν καὶ ἐς Αἴγυπτον καὶ τοῖς ἀρίστοις τῶν ἀνθρώπων συγγενόμενος, τὰ ἄλλα οὐ τῶν πλουσίων, ἀλλὰ καὶ κομιδῇ πένης· ὄψει γέροντα οὕτω δημοτικῶς ἐσταλμένον. Πλὴν διά γε τὴν σοφίαν καὶ τὴν ἄλλην ἀρετὴν πάνυ τιμῶσιν αὐτὸν, ὥστε καὶ νομοθέτῃ χρῶνται πρὸς τὴν πολιτείαν καὶ ἀξιοῦσι κατὰ τὰ ἐκείνου προσ-

conscensoque navigio navigare rursus in Bosporum, unde via sibi non longa domum ad Scythas suos futura esset. Ita affecto Anacharsidi obviam in ipso Ceramico fit bonus aliquis revera genius, Toxaris. Ac primo quidem habitus illum advertebat, patrius qui esset : deinde non difficulter ipsum quoque nosciturus erat Anacharsin, quippe generis nobilissimi virum et Scytharum e principibus. Anacharsis autem unde illum agnosceret popularem suum esse, Græce vestitum, rasum genas, non cinctum, sine ferro, jam affabilem, indigenarum istorum jam unum Atticorum? adeo ab ipso jam tempore immutatus fuerat.

4. Sed Scythice ipsum allocutus Toxaris, Non tu, inquit, Anacharsis es Dauceti filius? Lacrimari præ gaudio Anacharsis, quod et linguæ suæ peritum invenisset aliquem, eumque gnarum quis ipse esset inter Scythas; atque rogare, Tu vero, hospes, unde nosti nos? Et ipse, inquit, inde sum, e vobis; Toxaris mihi nomen, non e nobilibus, ut eo tibi notus sim. Ad quæ ille : Numquid ille tu Toxaris es, de quo audivi ego, Toxarin quendam Græciæ amore, uxore relicta in Scythia et parvis pueris, Athenas abiisse, et nunc ibi vivere et in honore esse apud optimos quosque? Ille ipse, inquit, ego sum, si quis de me adhuc sermo apud vos est. Tum, Noris ergo, inquit Anacharsis, discipulum me tuum factum esse, et æmulum amoris, quo flagrabas, videndæ Græciæ. Hujus igitur negotii studio profectus venio tibi sexcenta perpessus mala apud interjectas gentes : ac nisi in te incidissem, decretum jam erat, ante solis occasum retro rursus descendere ad navim, adeo perturbatus eram quum peregrina et ignota mihi viderem omnia. Sed per ego te Acinacen et Zamolxin, patria numina, obsecro, tu me, Toxari, assumtum tanquam peregrinum circumducito, et ea, quæ Athenis pulcherrima sunt, ostendito, tum et quæ reliqua in Græcia, legum optimas, virorum præstantissimos, mores, festa, vivendi rationem et administrandæ reipublicæ, propter quæ et tu, et post te ego, tantum itineris fecimus; neque patere me his non visis domum redire.

5. Illud quidem, inquit Toxaris, minime pro amatore dicebas, te ad ipsas quum januas venisses, abitum parasse. Verum bono es animo. Neque enim, ut aiebas, abieris, neque te ita facile urbs hæc dimiserit : non ita pauca habet quibus hospites afficiat delinimenta : sed valide te complectetur, adeo ut neque uxoris jam, neque liberorum, si qui tibi jam sint, memoriam sis servaturus. Quomodo vero celerrime omnem videas Athenarum urbem, aut Græciam potius totam et bona Græcorum ac pulchra, ego tibi subjiciam. Est hic vir sapiens, indigena ille quidem, sed multum per Asiam et Ægyptum peregrinatus, et versatus cum hominibus præstantissimis, ceterum non divitum unus, sed oppido pauper; videbis senem ita plebeium in morem vestitum. Sed propter sapientiam virtutemque reliquam maximo illum in honore habent, adeo ut legislatore etiam illo ad constituendam civitatem utantur, et secundum illius præ-

τάγματα βιοῦν. Εἰ τοῦτον φίλον κτήσαιο καὶ μάθοις οἷος ἀνήρ ἐστι, πᾶσαν νόμιζε τὴν Ἑλλάδα ἐν αὐτῷ ἔχειν καὶ τὸ κεφάλαιον ἤδη ἂν εἰδέναι τῶν τῇδε ἀγαθῶν· ὡς οὐκ ἔστιν ὅ τι ἂν μεῖζόν σοι καλὸν χαρίσασθαι δυναίμην ἢ συστήσας ἐκείνῳ.

6. Μὴ τοίνυν μέλλωμεν, ἔφη, ὦ Τόξαρι, ὁ Ἀνάχαρσις, ἀλλά με λαβὼν ἄγε παρ' αὐτόν. Ἀτὰρ ἐκεῖνο δέδια, μὴ δυσπρόσοδος καὶ ἐν παρέργῳ θῆταί σου τὴν ἔντευξιν τὴν ὑπὲρ ἡμῶν. Εὐφήμει, ἦ δ' ὅς, ἐκείνῳ τὰ μέγιστα χαριεῖσθαί μοι δοκῶ ἀφορμὴν παρασχὼν τῆς ἐς ξένον ἄνδρα εὐποιίας. Ἕπου μόνον· εἴσῃ γὰρ ὅση πρὸς τὸν Ξένιον ἡ αἰδὼς καὶ ἡ ἄλλη ἐπιείκεια καὶ χρηστότης. Μᾶλλον δὲ κατὰ δαίμονα οὗτος αὐτὸς ἡμῖν πρόσεισιν, ὁ ἐπὶ συννοίας, ὁ λαλῶν ἑαυτῷ· καὶ ἅμα προσειπὼν τὸν Σόλωνα, Τοῦτό σοι, ἔφη, δῶρον μέγιστον ἥκω ἄγων, ξένον ἄνδρα φιλίας δεόμενον.

7. Σκύθης δέ ἐστι τῶν παρ' ἡμῖν εὐπατριδῶν, καὶ ὅμως τἀκεῖ πάντα ἀφεὶς ἥκει συνεσόμενος ὑμῖν καὶ τὰ κάλλιστα ὀψόμενος τῆς Ἑλλάδος, κἀγὼ ἐπίτομόν τινα ταύτην ἐξεῦρον αὐτῷ, ὅπως ῥᾷστα καὶ αὐτὸς μάθοι πάντα καὶ γνώριμος γένοιτο τοῖς ἀρίστοις· τοῦτο δ' ἦν σοὶ προσαγαγεῖν αὐτόν. Εἰ τοίνυν ἐγὼ Σόλωνα οἶδα, οὕτω ποιήσεις καὶ προξενήσεις αὐτοῦ καὶ πολίτην γνήσιον ἀποφανεῖς τῆς Ἑλλάδος. Καὶ ὅπερ σοι ἔφην μικρὸν ἔμπροσθεν, ὦ Ἀνάχαρσι, πάντα ἑόρακας ἤδη Σόλωνα ἰδών, τοῦτο αἱ Ἀθῆναι, τοῦτο ἡ Ἑλλάς· οὐκέτι ξένος σὺ, πάντες σε ἴσασι, πάντες σε φιλοῦσι. Τηλικοῦτόν ἐστι τὸ κατὰ τὸν πρεσβύτην τοῦτον. Ἁπάντων ἐπιλήσῃ τῶν ἐν Σκυθίᾳ συνὼν αὐτῷ· ἔχεις τῆς ἀποδημίας τὰ ἆθλα, τοῦ ἔρωτος τὸ τέλος· οὗτός σοι ὁ Ἑλληνικὸς κανών, τοῦτο δεῖγμα τῆς φιλοσοφίας τῆς Ἀττικῆς. Οὕτω τοίνυν γίγνωσκε ὡς εὐδαιμονέστατος ὢν, ὃς συνέσῃ Σόλωνι καὶ φίλῳ χρήσῃ αὐτῷ.

8. Μακρὸν ἂν εἴη διηγήσασθαι, ὅπως μὲν ἥσθη ὁ Σόλων τῷ δώρῳ, οἷα δὲ εἶπεν, ὡς δὲ τὸ λοιπὸν συνῆσαν, ὁ μὲν παιδεύων καὶ διδάσκων τὰ κάλλιστα, ὁ Σόλων, καὶ φίλον ἅπασι ποιῶν τὸν Ἀνάχαρσιν καὶ προσάγων τοῖς Ἑλλήνων καλοῖς καὶ πάντα τρόπον ἐπιμελούμενος, ὅπως ἥδιστα διατρίψῃ ἐν τῇ Ἑλλάδι· ὁ δὲ τεθηπὼς τὴν σοφίαν αὐτοῦ καὶ μηδὲ τὸν ἕτερον πόδα ἑκὼν εἶναι ἀπολειπόμενος. Ὡς γοῦν ὑπέσχετο αὐτῷ ὁ Τόξαρις, ἐξ ἑνὸς ἀνδρὸς τοῦ Σόλωνος ἅπαντα ἔγνω ἐν ἀκαρεῖ καὶ πᾶσιν ἦν γνώριμος καὶ ἐτιμᾶτο δι' ἐκεῖνον· οὐ γὰρ μικρὸν ἦν Σόλων ἐπαινῶν, ἀλλ' οἱ ἄνθρωποι καὶ τοῦτο ὡς νομοθέτῃ ἐπείθοντο καὶ ἐφίλουν οὓς ἐκεῖνος δοκιμάζοι καὶ ἐπίστευον ἀρίστους ἄνδρας εἶναι. Τὰ τελευταῖα καὶ ἐμυήθη μόνος βαρβάρων Ἀνάχαρσις, δημοποίητος γενόμενος, εἰ χρὴ Θεοξένῳ πιστεύειν καὶ τοῦτο ἱστοροῦντι περὶ αὐτοῦ· καὶ οὐκ ἂν οὐδὲ ἀνέστρεψεν, οἶμαι, ἐς Σκύθας, εἰ μὴ Σόλων ἀπέθανε.

9. Βούλεσθε οὖν ἤδη ἐπαγάγω τῷ μύθῳ τὸ τέλος, ὡς μὴ ἀκέφαλος περινοστοίη; Ὥρα γοῦν εἰδέναι οὗτινός μοι ἕνεκα ὁ Ἀνάχαρσις ἐκ Σκυθίας καὶ Τόξαρις τὰ νῦν ἐς Μακεδονίαν ἥκετον ἔτι καὶ Σόλωνα γέροντα ἄνδρα

cepta vivere velint. Hunc si amicum tibi conciliaveris, et quantus vir sit didiceris, totam te in illo Græciam habere putato, et summam jam nosse bonorum quæ hic sunt. Itaque non est quod majus tibi donare bonum possim, quam illi si te commendem.

6. Ne igitur cunctemur, Toxari, inquit Anacharsis, sed prehensum me ad ipsum deduc. Verum illud timeo, ne difficiles accessus habeat, tuamque pro me deprecationem non magni faciat. Bona verba! inquit alter, quin maxime illi gratificaturus videor submistranda beneficentiæ in hospitem occasione. Sequere modo; scies enim quantus sit illius erga peregrinorum præsidem Jovem pudor, et reliqua æquitas et benignitas. Quin divinitus ille ipse ad nos accedit, cogitabundus ille, ille secum ipse loquens : et simul Solonem allocutus, Huc tibi, inquit, donum maximum adduco, peregrinum hominem indigentem amicitiæ.

7. Scytha autem est ex generosis apud nos, et tamen relictis quæ ibi sunt omnibus, huc venit, ut vobiscum versetur, ut ea quæ pulcherrima sunt in Græcia videat; ego autem compendiariam hanc illi viam reperi, ut facillime et ipse discat omnia, et innotescat præstantissimis; hæc vero in eo inerat, ut ad te illum deducerem. Si igitur Solonem ego novi, ita facies, et tanquam publico illum hospitio accipies, et germanum Græciæ civem efficies. Et quod tibi paullo ante dicebam, Anacharsi, omnia vidisti, viso Solone : hic Athenæ, hic Græcia : non tu jam hospes es; norunt te omnes, omnes te amant. Tantum est in hoc sene! Omnium quæ sunt in Scythia oblivionem capies, cum hoc si fueris. Habes præmia peregrinationis tuæ, finem tui amoris : hæc tibi norma Græcanica, hoc Atticæ philosophiæ specimen. Ita igitur judica, te esse felicissimum, qui cum Solone futurus sis, et amico illo sis usurus.

8. Longum fuerit jam commemorare, quam delectatus sit munere Solon, et quæ dixerit, et quomodo ab eo inde tempore una vixerint, quum alter quidem, Solon, institueret et doceret pulcherrima quæque, et amicum omnibus conciliaret Anacharsin, et bonis eum Græcorum admoveret, omni ratione curans ut quam suavissime in Græcia ætatem ageret : alter vero, Anacharsis, sapientiam hujus admiraretur, nec latum pedem ab illo sua voluntate discederet. Ut enim promiserat illi Toxaris, ex uno viro Solone brevissimo tempore cognoscebat omnia, et innotescebat omnibus, et in honore erat propter illum : neque enim parvum quiddam erat laudans Solon; sed homines hac etiam in re illi tanquam legislatori obsequebantur, amabantque quos ille probaret, et optimos esse viros credebant. Denique ad mysteria etiam admissus est Anacharsis, solus barbarorum, civitatis ante jure donatus, si fides habenda est Theoxeno, hoc etiam de illo narranti. Et ne rediturus quidem erat, puto, in Scythiam, nisi Solon esset mortuus.

9. Vultin' igitur jam inducam etiam finem et coronidem fabulæ, ne sine capite oberret? Jam enim sciendum est cujus mihi rei causa Anacharsis e Scythia Toxarisque nunc in Macedoniam venerint, adducentes insuper Solonem, se-

ἐπαγομένῳ Ἀθήνηθεν. Φημὶ δὴ ὅμοιόν τι καὶ αὐτὸς παθεῖν τῷ Ἀναχάρσιδι, καὶ πρὸς Χαρίτων μὴ νεμεσήσητέ μοι τῆς εἰκόνος, εἰ βασιλικῷ ἀνδρὶ ἐμαυτὸν εἴκασα· βάρβαρος μὲν γὰρ κἀκεῖνος καὶ οὐδέν τι φαίης ἂν τοὺς Σύρους ἡμᾶς φαυλοτέρους εἶναι τῶν Σκυθῶν. Ἀτὰρ οὐδὲ κατὰ τὸ βασιλικὸν εἰσποιῶ τἀμὰ ἐς τὴν ὁμοιότητα, κατ' ἐκεῖνα δέ· ὅτε γὰρ πρῶτον ἐπεδήμησα ὑμῶν τῇ πόλει, ἐξεπλάγην μὲν εὐθὺς ἰδὼν τὸ μέγεθος καὶ τὸ κάλλος καὶ τῶν ἐμπολιτευομένων τὸ πλῆθος καὶ τὴν ἄλλην δύναμιν καὶ λαμπρότητα πᾶσαν· ὥστε ἐπὶ πολὺ ἐτεθήπειν πρὸς ταῦτα καὶ οὐκ ἐξήρκουν τῷ θαύματι, οἷόν τι καὶ ὁ νησιώτης ἐκεῖνος νεανίσκος ἐπεπόνθει πρὸς τὴν τοῦ Μενελάου οἰκίαν. Καὶ ἔμελλον οὕτω διατεθήσεσθαι τὴν γνώμην ἰδὼν πόλιν ἀκμάζουσαν ἀκμῇ τοσαύτῃ καὶ κατὰ τὸν ποιητὴν ἐκεῖνον

ἀνθοῦσαν ἀγαθοῖς πᾶσιν οἷς θάλλει πόλις.

10. Οὕτω δὴ ἔχων ἐσκοπούμην ἤδη περὶ τῶν πρακτέων, καὶ τὸ μὲν δεῖξαι τῶν λόγων ὑμῖν πάλαι ἐδέδοκτο — τίσι γὰρ ἂν ἄλλοις ἔδειξα σιωπῇ παροδεύσας τηλικαύτην πόλιν; ἐζήτουν γάρ, οὐδὲ ἀποκρύψομαι τἀληθές, οἵτινες οἱ προὔχοντες εἶεν καὶ οἷς ἄν τις προσελθὼν καὶ ἐπιγραψάμενος προστάτας συναγωνιστὰς χρῷτο πρὸς τὰ ὅλα. Ἐνταῦθά μοι οὐχ εἷς, ὥσπερ τῷ Ἀναχάρσιδι, καὶ οὗτος βάρβαρος, ὁ Τόξαρις, ἀλλὰ πολλοί, μᾶλλον δὲ πάντες τὰ αὐτὰ μόνον οὐκ αὐταῖς συλλαβαῖς ἔλεγον· ὦ ξένε, πολλοὶ μὲν καὶ ἄλλοι χρηστοὶ καὶ δεξιοὶ ἀνὰ τὴν πόλιν, καὶ οὐκ ἂν ἀλλαχόθι τοσούτους εὕροις ἄνδρας ἀγαθοὺς, δύο δὲ μάλιστά ἐστον ἡμῖν ἄνδρε ἄριστω, γένει μὲν καὶ ἀξιώματι πολὺ προὔχοντες ἁπάντων, παιδείᾳ δὲ καὶ λόγων δυνάμει τῇ Ἀττικῇ δεκάδι παραβάλλοις ἄν· ἡ δὲ παρὰ τοῦ δήμου εὔνοια πάνυ ἐρωτικὴ πρὸς αὐτοὺς, καὶ τουτὶ γίγνεται, ὅ τι ἂν οὗτοι ἐθέλωσιν· ἐθέλουσι γὰρ ὅ τι ἂν ἄριστον ᾖ τῇ πόλει. Τὴν μὲν γὰρ χρηστότητα καὶ τὴν πρὸς τοὺς ξένους φιλανθρωπίαν καὶ τὸ ἐν μεγέθει τοσούτῳ ἀνεπίφθονον καὶ τὸ μετ' εὐνοίας αἰδέσιμον καὶ τὸ πρᾷον καὶ τὸ εὐπρόσοδον αὐτὸς ἂν ἄλλοις διηγήσαιο πειραθεὶς μικρὸν ὕστερον.

11. Καὶ ὡς μᾶλλον θαυμάσῃς, μιᾶς καὶ τῆς αὐτῆς οἰκίας ἐστὸν, υἱὸς καὶ πατὴρ, ὁ μὲν, εἴ τινα Σόλωνα ἢ Περικλέα ἢ Ἀριστείδην ἐπινοεῖς, ὁ δὲ υἱὸς καὶ ὀφθεὶς μὲν αὐτίκα ἐπάξεταί σε, οὕτω μέγας ἐστὶ καὶ καλὸς ἀρρενωπήν τινα τὴν εὐμορφίαν· εἰ δὲ καὶ φθέγξαιτο μόνον, οἰχήσεταί σε ἀπὸ τῶν ὤτων ἀναδησάμενος, τοσαύτην Ἀφροδίτην ἐπὶ τῇ γλώττῃ ὁ νεανίσκος ἔχει. Ἡ γέ τοι πόλις ἅπασα κεχηνότες αὐτοῦ ἀκούουσιν, ὁπόταν δημηγορήσων παρέλθῃ, ὁποῖόν φασι τοὺς τότε Ἀθηναίους πρὸς τὸν τοῦ Κλεινίου πεπονθέναι, παρ' ὅσον τοῖς μὲν οὐκ εἰς μακρὰν μετεμέλησε τοῦ ἔρωτος, ὃν ἠράσθησαν τοῦ Ἀλκιβιάδου, τοῦτον δὲ ἡ πόλις οὐ φιλεῖ μόνον, ἀλλὰ καὶ αἰδεῖσθαι ἤδη ἀξιοῖ, καὶ ὅλως ἓν τοῦτο ἡμῖν δημόσιον ἀγαθόν ἐστι καὶ μέγα ὄφελος ἅπασιν, ἀνὴρ οὗτος. Εἰ δὴ αὐτός τε καὶ ὁ πατὴρ αὐτοῦ δέξαιντό σε καὶ φίλον ποιήσαιντο, πᾶσαν ἔχεις τὴν

nem virum, Athenis. Aio nimirum simile mihi quiddam Anacharsidi usu venisse : et, per ego vos Gratiarum numen rogo, nolite irasci mihi ob istam imaginem, si regii generis viro me assimilavi. Barbarus enim et ille; neque Syros nos Scythis ulla in re deteriores temere dixeris. Ego vero non quantum ad regiam nobilitatem, similitudinem illam affecto, sed quantum ad illa priora. Quum enim primum peregrinus vestram in urbem veni, statim quidem perculsus sum conspecta magnitudine, et pulchritudine, et civium numero, et reliqua omni facultate ac splendore. Itaque diu ad ista stupebam, nec par eram admirationi, quale quid illi de insula adolescenti accidit ad Menelai domum. Et debebam ita animo affici, qui viderem urbem in eo culmine constitutam, et secundum poetam, omnibus

bonis florentem, civitas quis possiet.

10. Ita nempe habens, quid agendum esset, jam considerabam. Et facultatis quidem dicendi specimen vobis præbere decretum olim fuerat : quibus enim præberem aliis, si silentio talem urbem præterirem? Quærebam enim (neque verum celabo) qui essent principes, et quibus quis applicans se et patronis sibi ascitis, deinde auxiliatoribus uti ad universa posset. Hic mihi non unus aliquis, ut Anacharsidi, isque barbarus, Toxaris, sed multi, quin omnes eadem tantum non iisdem syllabis dixere : Multi quidem, hospes, et alii boni dextrique in urbe viri, neque alias tot bonos viros invenias : verum duo maxime sunt nobis viri optimi, genere quidem et dignitate multum superiores omnibus, doctrina autem et eloquentia Atticæ illos decadi comparaveris : præterea populari gratia ita florent, ut plane amentur : fitque quicquid hi volunt; volunt enim quicquid optimum est urbi. Nam benignitatem ipsorum et in hospites humanitatem, et quod in tanta magnitudine nullum invidiæ locum relinquunt, et quod in illa se benevolentia venerabiles tamen præstant, et quam sint placidi, quam faciles accessus habeant; tute aliis enarrare poteris, periculo paullo post facto.

11. Utque magis mireris, ex una eademque domo sunt, filius et pater : hic quidem, si Solonem aliquem aut Periclem aut Aristidem cogitas, talis : filius vero, ubi primum videris, statim te amicum sibi adjunget, ita procerus est et virili quadam formositate pulcher : deinde si locutus modo fuerit, ilicet auribus te devincto abibit, tantam in lingua venerem habet juvenis. Urbs quidem universa hiantes eum audiunt quoties in concionem prodierit oraturus, id quod aiunt Atheniensibus, qui tum erant, in Cliniæ filio accidisse : nisi quod illos quidem non ita multo post amoris illius, quo prosecuti Alcibiadem fuerant, pœnituit; hunc vero non amat modo civitas, sed reverentia jam dignatur : denique unum hoc publicum nostrum bonum est, et maxima omnibus utilitas, hic vir! Si igitur et ipse et ipsius pater recipiant te et amicum sibi faciant, civitatem habes universam : et hoc solum opus est, ut manu significationem

πόλιν, καὶ ἐπισεῖσαι χρὴ τὴν γεῖρα, τοῦτο μόνον, καὶ οὐκέτ' ἐνδοιάσιμα τὰ σά. Ταῦτα νὴ τὸν Δί' ἅπαντες ἔλεγον, εἰ χρὴ καὶ ὅρκον ἐπάγειν τῷ λόγῳ, καί μοι ἤδη πειρωμένῳ τὸ πολλοστὸν τῶν προσόντων εἰρηκέναι ἔδοξαν. « Οὐχ ἕδρας τοίνυν οὐδ' ἀμβολᾶς ἔργον, » ὡς ὁ Κεῖός φησιν, ἀλλὰ χρὴ πάντα μὲν κάλων κινεῖν, πάντα δὲ πράττειν καὶ λέγειν, ὡς φίλοι ἡμῖν τοιοῦτοι γένοιντο· ἦν γὰρ τοῦθ' ὑπάρξῃ, εὔδια πάντα καὶ πλοῦς οὔριος καὶ λειοκύμων ἡ θάλαττα καὶ ὁ λιμὴν πλησίον.

—

XXV.

ΔΕΙ ΙΣΤΟΡΙΑΝ ΣΥΓΓΡΑΦΕΙΝ.

1. Ἀβδηρίταις φασὶ Λυσιμάχου ἤδη βασιλεύοντος ἐμπεσεῖν τι νόσημα, ὦ καλὲ Φίλων, τοιοῦτο· πυρέττειν μὲν γὰρ τὰ πρῶτα πανδημεὶ ἅπαντας ἀπὸ τῆς πρώτης εὐθὺς ἐρρωμένως καὶ λιπαρεῖ τῷ πυρετῷ, περὶ δὲ τὴν ἑβδόμην τοῖς μὲν αἷμα πολὺ ἐκ ῥινῶν ῥυὲν, τοῖς δ' ἱδρὼς ἐπιγενόμενος, πολὺς καὶ οὗτος, ἔλυσε τὸν πυρετόν. Ἐς γελοῖον δέ τι πάθος περίστα τὰς γνώμας αὐτῶν· ἅπαντες γὰρ ἐς τραγῳδίαν παρεκινοῦντο καὶ ἰαμβεῖα ἐφθέγγοντο καὶ μέγα ἐβόων, μάλιστα δὲ τὴν Εὐριπίδου Ἀνδρομέδαν ἐμονῴδουν καὶ τὴν τοῦ Περσέως ῥῆσιν ἐν μέρει διεξῄεσαν, καὶ μεστὴ ἦν ἡ πόλις ὠχρῶν ἁπάντων καὶ λεπτῶν τῶν ἑβδομαίων ἐκείνων τραγῳδῶν,

Σὺ δ' ὦ θεῶν τύραννε κἀνθρώπων Ἔρως,

καὶ τὰ ἄλλα μεγάλῃ τῇ φωνῇ ἀναβοώντων καὶ τοῦτο ἐπὶ πολὺ, ἄχρι δὴ χειμὼν καὶ κρύος δὲ μέγα γενόμενον ἔπαυσε ληροῦντας αὐτούς. Αἰτίαν δέ μοι δοκεῖ τοῦ τοιούτου παρασχεῖν Ἀρχέλαος ὁ τραγῳδὸς, εὐδοκιμῶν τότε, μεσοῦντος τοῦ θέρους ἐν πολλῷ τῷ φλογμῷ τραγῳδήσας αὐτοῖς τὴν Ἀνδρομέδαν, ὡς πυρέξαι τε ἀπὸ τοῦ θεάτρου τοὺς πολλοὺς καὶ ἀναστάντας ὕστερον ἐς τὴν τραγῳδίαν παρολισθάνειν, ἐπὶ πολὺ ἐμφιλοχωρούσης τῆς Ἀνδρομέδας τῇ μνήμῃ αὐτῶν καὶ τοῦ Περσέως ἔτι σὺν τῇ Μεδούσῃ τὴν ἑκάστου γνώμην περιπετομένου.

2. Ὡς οὖν ἓν, φασὶν, ἑνὶ παραβαλεῖν, τὸ Ἀβδηριτικὸν ἐκεῖνο πάθος καὶ νῦν τοὺς πολλοὺς τῶν πεπαιδευμένων περιελήλυθεν, οὐχ ὥστε τραγῳδεῖν — ἔλαττον γὰρ ἂν τοῦτο παρέπαιον ἀλλοτρίοις ἰαμβείοις, οὐ φαύλοις κατεσχημένοι — ἀλλ' ἀφ' οὗ δὴ τὰ ἐν ποσὶ ταῦτα κεκίνηται, ὁ πόλεμος ὁ πρὸς τοὺς βαρβάρους καὶ τὸ ἐν Ἀρμενίᾳ τραῦμα καὶ αἱ συνεχεῖς νῖκαι, οὐδεὶς ὅστις οὐχ ἱστορίαν συγγράφει, μᾶλλον δὲ Θουκυδίδαι καὶ Ἡρόδοτοι καὶ Ξενοφῶντες ἡμῖν ἅπαντες, καὶ ὡς ἔοικεν, ἀληθὲς ἄρ' ἦν ἐκεῖνο τὸ, « Πόλεμος ἁπάντων πατὴρ, » εἴ γε καὶ συγγραφέας τοσούτους ἀνέφυσεν ὑπὸ μιᾷ τῇ ὁρμῇ.

3. Ταῦτα τοίνυν, ὦ φιλότης, ὁρῶντα καὶ ἀκούοντά με τὸ τοῦ Σινωπέως ἐκεῖνο εἰσῆλθεν· ὁπότε γὰρ ὁ Φί-

voluntatis edant, neque amplius de tuis fortunis dubitare licebit. Hæc, ita me Jupiter (si jusjurandum adjicere orationi fas est), dixerunt universi : et mihi jam experienti, vix aliquam de multis partem eorum, quæ insunt, dixisse videbantur. Non igitur desidendi aut differendi, ut Ceus poeta ait, jam tempus est, sed funem omnem movere oportet, facereque et dicere omnia, hi ut amici nobis fiant. Hoc enim si contigerit, serena omnia, et secunda navigatio, et molli fluctu leniter motum mare, et portus in proximo.

—

XXV.

QUOMODO HISTORIA CONSCRIBENDA SIT.

1. Abderitas dicitur Lysimacho jam regnante morbus invasisse, mi jucundissime Philo, talis : primum enim febri correptam esse universam civitatem, eaque statim ab initio vehementissima et continua : circa diem vero septimum aliis sanguis copiosus naribus fluens, aliis sudor supervenions largus et ipse, febrim solvit. At illa febris in ridiculam quandam affectionem mentes illorum conjecit : omnes ad tragœdiam velut furore correpti ferebantur, et iambica recitabant clamantes valide, maxime vero Euripideæ Andromedæ cantica modulate pronunciabant, et illam Persei orationem per vices declamabant. Plena igitur urbs erat pallida multitudine et extenuata, septiduanis inquam illis tragœdis,

Tuque, o deorum atque hominum sæve rex, Amor,

et reliqua voce magna proclamantibus, idque diutine, donec scilicet hiems et gelu magnum factum delirantes eos sisteret. Causam vero mihi videtur ejus rei præbuisse Archelaus, tragœdus ea ætate favore hominum florens, qui media æstate per multum æstum, Andromedam illis egerat, adeo ut ab ipso theatro multi febricitarent, et ubi convaluissent, deinde in tragœdiam delaberentur, utpote quorum memoriæ diutine insideret Andromeda, et Perseus cum sua Medusa singulorum mentes adhuc circumvolitaret.

2. Si igitur unum, quod aiunt, alteri comparare fas est, Abderiticus ille morbus nunc quoque eruditorum multos occupavit, non illos quidem uti tragœdias agant (levius enim sic delirarent, si iambis alienis nec malis capti tenerentur), sed ex quo præsens hic motus exstitit, bellum, inquam, contra barbaros, et vulnus in Armenia acceptum, et victoriæ perpetuæ; nemo est quin conscribat historiam, potius vero Thucydides nobis, et Herodoti, et Xenophontes sunt omnes : proinde, ut videtur, verum erat illud, bellum omnium esse patrem, si etiam tot numero historicos hoc uno impetu genuit.

3. Hæc gitur, amice, videntem me et audientem Sinopensis illud subiit. Quum enim jam appropinquare cum

λιππος ἐλέγετο ἤδη ἐπελαύνειν, οἱ Κορίνθιοι πάντες ἐταράττοντο καὶ ἐν ἔργῳ ἦσαν, ὁ μὲν ὅπλα ἐπισκευάζων, ὁ δὲ λίθους παραφέρων, ὁ δὲ ὑποικοδομῶν τοῦ τείχους, ὁ δὲ ἔπαλξιν ὑποστηρίζων, ὁ δὲ ἄλλος ἄλλο τι τῶν χρησίμων ὑπουργῶν. Ὁ δὴ Διογένης ὁρῶν ταῦτα, ἐπεὶ μηδὲν εἶχεν ὅ τι καὶ πράττοι — οὐδεὶς γὰρ αὐτῷ ἐς οὐδὲν ἐχρῆτο — διαζωσάμενος τὸ τριβώνιον σπουδῇ μάλα καὶ αὐτὸς ἐκύλιε τὸν πίθον, ἐν ᾧ ἐτύγχανεν οἰκῶν, ἄνω καὶ κάτω τοῦ Κρανείου· καί τινος τῶν συνήθων ἐρομένου, Τί ταῦτα ποιεῖς, ὦ Διόγενες; Κυλίω, ἔφη, κἀγὼ τὸν πίθον, ὡς μὴ μόνος ἀργεῖν δοκοίην ἐν τοσούτοις ἐργαζομένοις.

4. Καὐτὸς οὖν, ὦ Φίλων, ὡς μὴ μόνος ἄφωνος εἴην ἐν οὕτω πολυφώνῳ τῷ καιρῷ μηδ' ὥσπερ κωμικὸν δορυφόρημα κεχηνὼς σιωπῇ παραφεροίμην, καλῶς ἔχειν ὑπέλαβον, ὡς δυνατόν μοι κυλῖσαι τὸν πίθον, οὐχ ὡς ἱστορίαν συγγράφειν οὐδὲ πράξεις αὐτὰς διεξιέναι· οὐχ οὕτω μεγαλότολμος ἐγὼ, μηδὲ τοῦτο δείσῃς περὶ ἐμοῦ· οἶδα γὰρ ἡλίκος ὁ κίνδυνος, εἰ κατὰ τῶν πετρῶν κυλίοι τις, καὶ μάλιστα οἷον τοὐμὸν τοῦτο πιθάκνιον οὐδὲ πάνυ καρτερῶς κεκεραμευμένον· δεήσει γὰρ αὐτίκα μάλα πρὸς μικρόν τι λιθίδιον προσπταίσαντα συλλέγειν τὰ ὄστρακα. Τί οὖν ἔγνωσταί μοι καὶ πῶς ἀσφαλῶς μεθέξω τοῦ πολέμου, αὐτὸς ἔξω βέλους ἑστὼς, ἐγώ σοι φράσω. « Τούτου μὲν καπνοῦ καὶ κύματος » καὶ φροντίδων, ὅσαι τῷ συγγραφεῖ ἔνεισιν, ἀνέξω ἐμαυτὸν εὖ ποιῶν, παραίνεσιν δέ τινα μικρὰν καὶ ὑποθήκας ταύτας ὀλίγας ὑποθήσομαι τοῖς συγγράφουσιν, ὡς κοινωνήσαιμι αὐτοῖς τῆς οἰκοδομίας, εἰ καὶ μὴ τῆς ἐπιγραφῆς, ἄκρῳ γε τῷ δακτύλῳ τοῦ πηλοῦ προσαψάμενος.

5. Καίτοι οὐδὲ παραινέσεως οἱ πολλοὶ δεῖν οἴονται σφίσιν ἐπὶ τὸ πρᾶγμα, οὐ μᾶλλον ἢ τέχνης τινὸς ἐπὶ τὸ βαδίζειν ἢ βλέπειν ἢ ἐσθίειν, ἀλλὰ πάνυ ῥᾷστον καὶ πρόχειρον καὶ ἅπαντος εἶναι ἱστορίαν συγγράψαι, ἤν τις ἑρμηνεῦσαι τὸ ἐπελθὸν δύνηται· τὸ δὲ οἷσθά που καὶ αὐτὸς, ὦ ἑταῖρε, ὡς οὐ τῶν εὐμεταχειρίστων οὐδὲ ῥᾳθύμως συντεθῆναι δυναμένων τοῦτ' ἐστὶν, ἀλλ', εἴ τι ἐν λόγοις καὶ ἄλλο, πολλῆς τῆς φροντίδος δεόμενον, ἤν τις, ὡς ὁ Θουκυδίδης φησὶν, ἐς ἀεὶ κτῆμα συντιθῇ. Οἶδα μὲν οὖν οὐ πάνυ πολλοὺς αὐτῶν ἐπιστρέψων, ἐνίοις δὲ καὶ πάνυ ἐπαχθὴς δόξων, καὶ μάλιστα ὁπόσοις ἀποτετέλεσται ἤδη καὶ ἐν τῷ κοινῷ δέδεικται ἡ ἱστορία. Εἰ δὲ καὶ ἐπῄνηται ὑπὸ τῶν τότε ἀκροασαμένων, μανία ἥ γε ἐλπὶς ὡς οἱ τοιοῦτοι μεταποιήσουσιν ἢ μετεγγράψουσί τι τῶν ἅπαξ κεκυρωμένων καὶ ὥσπερ ἐς τὰς βασιλείους αὐλὰς ἀποκειμένων. Ὅμως δὲ οὐ χεῖρον καὶ πρὸς αὐτοὺς ἐκείνους εἰρῆσθαι, ἵν', εἴ ποτε πόλεμος ἄλλος συσταίη, ἢ Κελτοῖς πρὸς Γέτας ἢ Ἰνδοῖς πρὸς Βακτρίους — οὐ γὰρ πρὸς ἡμᾶς γε τολμήσειεν ἄν τις, ἁπάντων ἤδη κεχειρωμένων — ἔχωσιν ἄμεινον συντιθέναι τὸν κανόνα τοῦτον προσάγοντες, ἥνπερ γε δόξῃ αὐτοῖς ὀρθὸς εἶναι· εἰ δὲ μὴ, αὐτοὶ μὲν καὶ τότε τῷ αὐτῷ πήχει ὥσπερ καὶ νῦν μετρούντων τὸ

exercitu nunciaretur Philippus, Corinthii omnes perturbari et operi faciendo incumbere; arma reficere alius, alius afferre lapides, alius murorum partem substruere, propugnaculum fulcire alius, denique alius aliud eorum, quæ usui essent, subministrare. Diogenes vero videns ista, quum quid potissimum ageret non haberet, (nemo enim quisquam illo ad ullam rem utebatur), succincto palliolo suo, studiose admodum et ipse dolium, in quo tum degebat, volvere sursum deorsum in Craneo : et familiarium interrogante aliquo, Quorsum hæc facis, Diogenes? respondit, Volvo et ipse dolium, ne otiosus esse solus inter tot occupatos videar.

4. Itaque ipse ego quoque, Philon, ne mutus solus essem in vocali adeo tempore, neu comici satellitii instar hiante ore per silentium transirem, decere arbitratus sum, pro virili me quoque dolium volvere, non ut historiam scriberem, neque ut ipsa enarrem facta; non ita audax ego, neque ab ea re tu metueris saluti meæ : novi enim quantum sit periculum, si per saxa volvat aliquis præsertim quale meum est doliolum, ne sat firmo quidem opere figlino constructum : cogar enim, si vel ad parvum lapillum offendam, ilico colligere testas. Quid igitur decretum mihi sit, et quomodo tutus in partem belli sim venturus, extra teli jactum constitutus ipse, tibi enarrabo. « Illo me fumo ac fluctu » et sollicitudinibus quæ historiarum scriptorem premunt, abstinebo sapiens; admonitionem vero parvam quandam, et pauca hæc præcepta subjiciam scribentibus, ut meæ quoque partes sint in ædificando, licet in inscriptione nulla mei mentio sit, qui extremo tantum digito lutum attigerim.

5. Quanquam neque admonitione plerique opus sibi esse putant ad hoc negotium, non magis quam arte quadam ad incedendum, aut videndum, aut edendum : sed facillimum omnino et promtum et uniuscujusque esse, scribere historiam, modo quis eloqui, quæ in mentem veniunt, possit. Hoc vero nosti forte ipse quoque, sodalis, quam non sit ex facillimis, neque ex iis quæ negligenter componi possint, sed hoc esse, si quid est in dicendi arte aliud, quod multa cura indigeat; si quis, ut ait Thucydides, possessionem in perpetuum condere velit. Novi equidem fore ut non admodum multos advertam inhibeamve; quibusdam etiam ut importunus plane videar, illis præsertim quibus jam perfecta est et ostensa in publico historia. Si vero etiam laudata sit ab iis qui tum recitantem audierint, insania fuerit vel sperare retractaturos aliquid ejusmodi homines aut aliter scripturos eorum quæ semel firmata auctoritatibus et quasi in aulis regiis reposita sint. Veruntamen non pessimum fuerit etiam ad illos ipsos dicta hæc esse, ut, si quando bellum conflatur aliud, aut Celtarum adversus Getas, aut contra Bactrianos Indorum (neque enim contra nos quisquam ausit tale quid, perdomitis jam omnibus), habeant quomodo componere melius possint, applicanda hac norma, si quidem recta iis videatur esse : sin minus, ipsi quidem tum eadem ulna, qua nunc etiam,

πρᾶγμα· ὁ ἰατρὸς δὲ οὐ πάνυ ἀνιάσεται, ἢν πάντες Ἀβδηρῖται ἑκόντες Ἀνδρομέδαν τραγῳδῶσι.

6. Διττοῦ δὲ ὄντος τοῦ τῆς συμβουλῆς ἔργου, τὰ μὲν γὰρ αἱρεῖσθαι, τὰ δὲ φεύγειν διδάσκει, φέρε πρῶτα εἴπωμεν ἅτινα φευκτέον τῷ ἱστορίαν συγγράφοντι καὶ ὧν μάλιστα καθαρευτέον, ἔπειτα οἷς χρώμενος οὐκ ἂν ἁμάρτοι τῆς ὀρθῆς καὶ ἐπ' εὐθὺ ἀγούσης, ἀρχήν τε οἵαν αὐτῷ ἀρκτέον καὶ τάξιν ἥντινα τοῖς ἔργοις ἐφαρμοστέον καὶ μέτρον ἑκάστου καὶ ἃ σωπητέον καὶ οἷς ἐνδιατριπτέον καὶ ὅσα παραδραμεῖν ἄμεινον καὶ ὅπως ἑρμηνεῦσαι αὐτὰ καὶ συναρμόσαι. Ταῦτα μὲν καὶ τὰ τοιαῦτα ὕστερον· νῦν δὲ τὰς κακίας ἤδη εἴπωμεν, ὁπόσαι τοῖς φαύλως συγγράφουσι παρακολουθοῦσιν. Ἁ μὲν οὖν κοινὰ πάντων λόγων ἐστὶν ἁμαρτήματα ἔν τε φωνῇ καὶ ἁρμονίᾳ καὶ διανοίᾳ καὶ τῇ ἄλλῃ ἀτεχνίᾳ, μακρόν τε ἂν εἴη ἐπελθεῖν καὶ τῆς παρούσης ὑποθέσεως οὐκ ἴδιον· [κοινὰ γάρ, ὡς ἔφην, ἁπάντων λόγων ἐστὶν ἁμαρτήματα ἔν τε φωνῇ καὶ ἁρμονίᾳ].

7. Ἁ δ' ἐν ἱστορίᾳ διαμαρτάνουσι, τὰ τοιαῦτα ἂν εὕροις ἐπιτηρῶν, οἷα κἀμοὶ πολλάκις ἀκροωμένῳ ἔδοξε, καὶ μάλιστα ἢν ἅπασιν αὐτοῖς ἀναπετάσῃς τὰ ὦτα. Οὐκ ἄκαιρον δὲ μεταξὺ καὶ ἀπομνημονεῦσαι ἕνια παραδείγματος ἕνεκα τῶν ἤδη οὕτω συγγεγραμμένων, καὶ πρῶτόν γε ἐκεῖνο, ἡλίκον ἁμαρτάνουσιν, ἐπισκοπήσωμεν· ἀμελήσαντες γὰρ οἱ πολλοὶ αὐτῶν τοῦ ἱστορεῖν τὰ γεγενημένα τοῖς ἐπαίνοις ἀρχόντων καὶ στρατηγῶν ἐνδιατρίβουσι, τοὺς μὲν οἰκείους εἰς ὕψος ἐπαίροντες, τοὺς πολεμίους δὲ πέρα τοῦ μετρίου καταρρίπτοντες, ἀγνοοῦντες ὡς οὐ στενῷ τῷ ἰσθμῷ διώρισται καὶ διατετείχισται ἡ ἱστορία πρὸς τὸ ἐγκώμιον, ἀλλά τι μέγα τεῖχος ἐν μέσῳ ἐστὶν αὐτῶν καὶ τὸ τῶν μουσικῶν δὴ τοῦτο, δὶς διὰ πασῶν ἐστι πρὸς ἄλληλα, εἴ γε τῷ μὲν ἐγκωμιάζοντι μόνου ἑνὸς μέλει, ὁπωσοῦν ἐπαινέσαι καὶ εὐφρᾶναι τὸν ἐπαινούμενον, καὶ εἰ ψευσαμένῳ ὑπάρχει τυχεῖν τοῦ τέλους, ὀλίγον ἂν φροντίσειεν· ἡ δὲ οὐκ ἄν τι ψεῦδος ἐμπεσὸν ἡ ἱστορία, οὐδ' ἀκαριαῖον ἀνάσχοιτο, οὐ μᾶλλον ἢ τὴν ἀρτηρίαν ἰατρῶν παῖδές φασι τὴν τραχεῖαν παραδέξασθαι ἄν τι ἐς αὐτὴν καταποθέν.

8. Ἔτι ἀγνοεῖν ἐοίκασιν οἱ τοιοῦτοι ὡς ποιητικῆς μὲν καὶ ποιημάτων ἄλλαι ὑποσχέσεις καὶ κανόνες ἴδιοι, ἱστορίας δὲ ἄλλοι· ἐκεῖ μὲν γὰρ ἀκρατὴς ἡ ἐλευθερία καὶ νόμος εἷς, τὸ δόξαν τῷ ποιητῇ· ἔνθεος γὰρ καὶ κάτοχος ἐκ Μουσῶν, κἂν ἵππων ὑποπτέρων ἅρμα ζεύξασθαι ἐθέλῃ, κἂν ἐφ' ὕδατος ἄλλους ἢ ἐπ' ἀνθερίκων ἄκρων θευσομένους ἀναβιβάσηται, φθόνος οὐδεὶς, οὐδὲ ὁπόταν ὁ Ζεὺς αὐτῶν ἀπὸ μιᾶς σειρᾶς ἀναπάσας αἰωρῇ ὁμοῦ γῆν καὶ θάλατταν, δεδίασι μὴ ἀπορραγείσης ἐκείνης συντριβῇ τὰ πάντα κατενεχθέντα· ἀλλὰ κἂν Ἀγαμέμνονα ἐπαινέσαι θέλωσιν, οὐδεὶς ὁ κωλύσων Διὶ μὲν αὐτὸν ὅμοιον εἶναι τὴν κεφαλὴν καὶ τὰ ὄμματα, τὸ στέρνον δὲ τῷ ἀδελφῷ αὐτοῦ τῷ Ποσειδῶνι, τὴν δὲ ζώνην τῷ Ἄρει, καὶ ὅλως σύνθετον ἐκ πάντων θεῶν γενέσθαι δεῖ τὸν Ἀτρέως καὶ Ἀερόπης· οὐ γὰρ ἱκανὸς ὁ

rem metiantur : medicus vero non valde angetur, si Abderitæ omnes sua voluntate agant Andromedam.

6. Quum autem duplex consilii officium sit, quod alia eligere docet, fugere vero alia : age primum dicamus, quæ fugienda sint scribenti historiam, et a quibus maxime sibi cavere debeat ; deinde quibus rebus usus non aberret a vera via, quæque recto itinere ducat ; quo initio illi sit incipiendum, quis ordo sit accommodandus rebus, quæ uniuscujusque mensura, quæ prætereunda silentio, quibus immoraudum sit, quæ melius breviter percurrere, denique quomodo verbis explicanda omnia et inter se sint connectenda. Atque hæc quidem et similia his, deinde : jam nunc vero vitia dicamus, quæ malos scriptores comitantur. Quæ quidem igitur omni dictionis generi communia insunt peccata, in elocutione, in compositione, in sententia, in reliquis contra artis præcepta positis, longum fuerit persequi, et hujus argumenti minime proprium est. [Communia enim, quod modo dixi, omnis orationis vitia sunt in lingua et compositione.]

7. Quæ vero in historia peccant, ea, si observare velis, talia invenias, qualia mihi etiam, sæpe audienti recitantes, videbantur, et maxime si omnibus illis patulas aures præbueris. Neque vero intempestivum, interea etiam speciminis causa quædam commemorare eorum, quæ jam ita scripta sunt. Et primum quidem illud quantum sit eorum peccatum inspiciamus, quod omittit vulgus illorum docere quæ facta sint, et in laudibus principum atque ducum immorantur, suos quidem tollentes in summum, hostes vero ultra modum deprimentes : ignari quam non angusto intervallo disterminata et separata sit ab encomio historia; sed magnum hisce quasi murum esse interpositum; et ut musicorum voce utamur, octavæ duplicis intervallo illa a se invicem distare : siquidem encomium scribenti illa sola cura est, quomodocumque laudare, et exhilarare eum, qui laudatur, et, si per mendacia finem illum consequi detur, parum curaverit; historia vero mendacium, quod forte inciderit, nullum ac ne minimum quidem ferat, non magis quam asperam arteriam recipere quicquam in illam glutitione delatum narrant medicorum filii.

8. Ignorare porro tales videntur, poeticæ artis et carminum aliam esse professionem et regulas proprias : alias vero historiæ. Illic enim immoderata libertas, et lex una, quicquid placuerit poetæ : quum enim divino afflatu plenus et a Musis obsessus sit, etiamsi alatos currui equos velit jungere, et si alios super aquas, aut per summas aristas decursuros constituat, invidia nulla est : neque, quum illorum Jupiter una catena in altum trahat terram et mare teneatque suspensa, metuunt ne rupta illa conterantur delapsa illa omnia : verum etiam si laudare Agamemnonem velint, nemo est qui intercedat, Jovi quidem illum similem caput et oculos, pectus fratri illius Neptuno, cincturam Marti, atque in universum compositum e diis omnibus fieri oportet Atrei et Aeropes filium : neque enim par Ju-

Ζεὺς οὐδ' ὁ Ποσειδῶν οὐδ' ὁ Ἄρης μόνος ἕκαστος ἀναπλήρωσαι τὸ κάλλος αὐτοῦ. Ἡ ἱστορία δὲ ἤν τινα κολακείαν τοιαύτην προσλάβῃ, τί ἄλλο ἢ πεζή τις ποιητικὴ γίγνεται, τῆς μεγαλοφωνίας μὲν ἐκείνης ἐστερημένη, τὴν λοιπὴν δὲ τερατείαν γυμνὴν τῶν μέτρων καὶ δι' αὐτὸ ἐπισημοτέραν ἐκφαίνουσα; Μέγα τοίνυν, μᾶλλον δὲ ὑπέρμεγα τοῦτο κακὸν, εἰ μὴ εἰδείη τις χωρίζειν τὰ ἱστορίας καὶ τὰ ποιητικῆς, ἀλλ' ἐπεισάγοι τῇ ἱστορίᾳ τὰ τῆς ἑτέρας κομμώματα, τὸν μῦθον καὶ τὸ ἐγκώμιον καὶ τὰς ἐν τούτοις ὑπερβολὰς, ὥσπερ ἂν εἴ τις ἀθλητὴν τῶν καρτερῶν τούτων καὶ κομιδῇ πρινίνων ἁλουργίσι περιβάλοι καὶ τῷ ἄλλῳ κόσμῳ τῷ ἑταιρικῷ καὶ φυκίον ἐντρίβοι καὶ ψιμύθιον τῷ προσώπῳ, Ἡρακλεις, ὡς καταγέλαστον ἂν αὐτὸν ἀπεργάσαιτο αἰσχύνας τῷ κόσμῳ ἐκείνῳ.

9. Καὶ οὐ τοῦτό φημι, ὡς οὐχὶ καὶ ἐπαινετέον ἐν ἱστορίᾳ ἐνίοτε· ἀλλ' ἐν καιρῷ τῷ προσήκοντι ἐπαινετέον καὶ μέτρον ἐπακτέον τῷ πράγματι, τὸ μὴ ἐπαχθὲς τοῖς ὕστερον ἀναγνωσομένοις αὐτὰ, καὶ ὅλως πρὸς τὰ ἔπειτα κανονιστέον τὰ τοιαῦτα, ἅπερ μικρὸν ὕστερον ἐπιδείξομεν. Οἱ δὲ οἴονται καλῶς διαιρεῖν ἐς δύο τὴν ἱστορίαν, εἰς τὸ τερπνὸν καὶ χρήσιμον, καὶ διὰ τοῦτο εἰσποιοῦσι καὶ τὸ ἐγκώμιον εἰς αὐτὴν ὡς τερπνὸν καὶ εὐφραῖνον τοὺς ἐντυγχάνοντας, ὁρᾷς ὅσον τἀληθοῦς ἡμαρτήκασι; πρῶτον μὲν κιβδήλῳ τῇ διαιρέσει χρώμενοι· ἓν γὰρ ἔργον ἱστορίας καὶ τέλος, τὸ χρήσιμον, ὅπερ ἐκ τοῦ ἀληθοῦς μόνου συνάγεται. Τὸ τερπνὸν δὲ ἄμεινον μὲν εἰ καὶ αὐτὸ παρακολουθήσειεν, ὥσπερ καὶ κάλλος ἀθλητῇ, εἰ δὲ μὴ, οὐδὲν κωλύσει ἀφ' Ἡρακλέους γενέσθαι καὶ Νικόστρατον Ἰσιδότου, γενναδαν ὄντα καὶ τῶν ἀνταγωνιστῶν ἑκατέρων ἀλκιμώτερον, εἰ αὐτὸς μὲν αἴσχιστος ὀφθῆναι εἴη τὴν ὄψιν, Ἀλκαῖος δὲ ὁ καλὸς ὁ Μιλήσιος ἀνταγωνίζοιτο αὐτῷ, καὶ ἐρώμενος, ὥς φασι, τοῦ Νικοστράτου ὤν. Καὶ τοίνυν ἡ ἱστορία, εἰ μὲν ἄλλως τὸ τερπνὸν παρεμπορεύσαιτο, πολλοὺς ἂν τοὺς ἐραστὰς ἐπισπάσαιτο, ἄχρι δ' ἂν καὶ μόνον ἔχῃ τὸ ἴδιον ἐντελὲς, λέγω δὲ τὴν τῆς ἀληθείας δήλωσιν, ὀλίγον τοῦ κάλλους φροντιεῖ.

10. Ἔτι κἀκεῖνο εἰπεῖν ἄξιον, ὅτι οὐδὲ τερπνὸν ἐν αὐτῇ τὸ κομιδῇ μυθῶδες καὶ τὸ τῶν ἐπαίνων μάλιστα πρόσαντες παρ' ἑκάτερον τοῖς ἀκούουσιν, ἢν μὴ τὸν συρφετὸν καὶ τὸν πολὺν ὄχλον ἐπινοῇς, ἀλλὰ τοὺς δικαστικῶς καὶ νὴ Δία συκοφαντικῶς προσέτι γε ἀκροασομένους, οὓς οὐκ ἄν τι λάθοι παραδραμὸν, ὀξύτερον μὲν τοῦ Ἄργου ὁρῶντας καὶ πανταχόθεν τοῦ σώματος, ἀργυραμοιβικῶς δὲ τῶν λεγομένων ἕκαστα ἐξετάζοντας, ὡς τὰ μὲν παρακεκομμένα εὐθὺς ἀπορρίπτειν, παραδέχεσθαι δὲ τὰ δόκιμα καὶ ἔννομα καὶ ἀκριβῆ τὸν τύπον, πρὸς οὓς ἀποβλέποντα χρὴ συγγράφειν, τῶν δὲ ἄλλων ὀλίγον φροντίζειν, κἂν διαρραγῶσιν ἐπαινοῦντες. Ἦν δὲ ἀμελήσας ἐκείνων ἡδύνῃς πέρα τοῦ μετρίου τὴν ἱστορίαν μύθοις καὶ ἐπαίνοις καὶ τῇ ἄλλῃ θωπείᾳ, τάχιστ' ἂν ὁμοίαν αὐτὴν ἐξεργάσαιο τῷ ἐν Λυδίᾳ Ἡρακλεῖ· ὁρακέναι γάρ σέ που εἰκὸς γεγραμμένον, τῇ Ὀμφάλῃ δουλεύοντα, πάνυ ἀλλόκοτον σκευὴν ἐσκευασμένον,

piter, neque Neptunus, neque Mars, qui singuli per se pulchritudinem illius expleant. Historia vero, si quam id genus adulationem asciscat, quid aliud quam pedestris quædam poetica fiet, magnifico quidem illo dicendi genere privata, sed præstigias reliquas, nudatas numeris, et ob id ipsum magis conspicuas, ob oculos ponens? Magnum igitur, quin plus quam magnum illud vitium, si quis separare quæ historiæ sunt, et poeticæ, nesciat, sed historiæ fucum alterius artis inducat, fabulam puta et encomium, et quæ sunt in utroque exaggerationes: velut si quis athletam de robustorum horum numero unum, et plane ilicis instar durorum, purpureis vestibus induat reliquoque cultu meretricio, et fucum affricet cerussamque faciei: quam, Hercules! ridendum illum reddiderit, deturpatum cultu isto!

9. Neque hoc dico, quasi non et laudandum sit nonnunquam in historia: sed tempore opportuno laudandum, et modus huic negotio adhibendus, in quantum ea laus non molesta sit sequentis ævi lectoribus, et omnino ad posteritatis regulam dirigenda sunt talia, ut paullo post demonstrabimus. Qui vero putant bene se historiam in duas partes dividere, in suave et utile, ob eamque rem etiam encomium in eam inferunt, ut jucundum quiddam et lectores exhilarans, viden' quantum aberrarint a vero? primo quidem divisione quod utuntur fallaci; unum enim opus historiæ et finis, utilitas, quæ ex vero solo colligitur. Jucunditas vero melius quidem est si et ipsa consequatur, ut athletam pulchritudo: sin minus, nihil prohibebit quominus ab Hercule numeretur Nicostratus Isidoti, generosus vir et utrisque collactatoribus suis fortior, licet ipse sit aspectu fœdissimus, Alcæus autem Milesius, pulcher ille, cum ipso certet, amasius adeo, ut aiunt, Nicostrati. Historia igitur, si quidem jucunditatem corollarii cujusdam instar adjiciat utilitati, multos amatores alliciet: verum ea quamdiu proprium modo negotium omnibus numeris absolvat, declarationem veritatis dico, pulchritudinem parum curabit.

10. Illud adhuc dicere e re fuerit, ne jucundum quidem esse in historia quod sit plane fabulosum; et laudes maxime molestas in utramque partem esse audientibus, si non fæcem populi et plebis multitudinem cogites, sed hos, qui judicum more, quin hercle calumniatorum insuper audituri sunt; quos nihil fugiat præterlapsum, acutius videntes Argo et ex omni parte corporis; tum trapezitica ratione singula quæ dicuntur examinantes, ut adulterina abjiciant protinus, proba autem et legitima et accurate expressa recipiant: ad quos videlicet inter scribendum oportet respicere, parum autem curare reliquos, si vel disrumpantur laudando. Sin, his neglectis, condiveris ultra modum historiam fabulis et laudibus et lenocinio reliquo, cito eam similem reddideris illi in Lydia Herculi: verisimile est enim alicubi eum te vidisse pictum, Omphalæ servientem, habitu exornatum

ἐκείνην μὲν τὸν λέοντα αὐτοῦ περιβεβλημένην καὶ τὸ ξύλον ἐν τῇ χειρὶ ἔχουσαν, ὡς Ἡρακλέα δῆθεν οὖσαν, αὐτὸν δὲ ἐν κροκωτῷ καὶ πορφυρίδι ἔρια ξαίνοντα καὶ παιόμενον ὑπὸ τῆς Ὀμφάλης τῷ σανδαλίῳ· καὶ τὸ θέαμα αἴσχιστον, ἀφεστῶσα ἡ ἐσθὴς τοῦ σώματος καὶ μὴ προσιζάνουσα καὶ τοῦ θεοῦ τὸ ἀνδρῶδες ἀσχημόνως καταθηλυνόμενον.

11. Καὶ οἱ μὲν πολλοὶ ἴσως καὶ ταῦτά σου ἐπαινέσονται, οἱ ὀλίγοι δ' ἐκεῖνοι, ὧν σὺ καταφρονεῖς, μάλα ἡδὺ καὶ ἐς κόρον γελάσονται, ὁρῶντες τὸ ἀσύμφυλον καὶ ἀνάρμοστον καὶ δυσκόλλητον τοῦ πράγματος. Ἑκάστου γὰρ ὃ τι ἴδιόν τι καλόν ἐστιν· εἰ δὲ τοῦτο ἐναλλάξειας, ἀκαλλὲς τὸ αὐτὸ παρὰ τὴν χρῆσιν γίγνεται. Ἐῶ λέγειν ὅτι οἱ ἔπαινοι ἐνὶ μὲν ἴσως τερπνοί, τῷ ἐπαινουμένῳ, τοῖς δ' ἄλλοις ἐπαχθεῖς, καὶ μάλιστα ἢν ὑπερφυεῖς τὰς ὑπερβολὰς ἔχωσιν, οἵους αὐτοὺς οἱ πολλοὶ ἀπεργάζονται, τὴν εὔνοιαν τὴν παρὰ τῶν ἐπαινουμένων θηρώμενοι καὶ ἐνδιατρίβοντες ἄχρι τοῦ πᾶσι προφανῆ τὴν κολακείαν ἐξεργάσασθαι· οὐδὲ γὰρ κατὰ τέχνην αὐτὸ δρᾶν ἴσασιν οὐδ' ἐπισκιάζουσι τὴν θωπείαν, ἀλλ' ἐμπεσόντες ἅθρόα πάντα καὶ ἀπίθανα καὶ γυμνὰ διεξίασιν.

12. Ὥστ' οὐδὲ τυγχάνουσιν οὗ μάλιστα ἐφίενται· οἱ γὰρ ἐπαινούμενοι πρὸς αὐτῶν μισοῦσι μᾶλλον καὶ ἀποστρέφονται ὡς κόλακας, εὖ ποιοῦντες, καὶ μάλιστα ἢν ἀνδρώδεις τὰς γνώμας ὦσιν· ὥσπερ Ἀριστόβουλος μονομαχίαν γράψας Ἀλεξάνδρου καὶ Πώρου, καὶ ἀναγνόντος αὐτῷ τοῦτο μάλιστα τὸ χωρίον τῆς γραφῆς — ᾤετο γὰρ χαριεῖσθαι τὰ μέγιστα τῷ βασιλεῖ ἐπιψευδόμενος ἀριστείας τινὰς αὐτῷ καὶ ἀναπλάττων ἔργα μείζω τῆς ἀληθείας — λαβὼν ἐκεῖνος τὸ βιβλίον — πλέοντες δὲ ἐτύγχανον ἐν τῷ ποταμῷ τῷ Ὑδάσπῃ — ἔρριψεν ἐπὶ κεφαλὴν ἐς τὸ ὕδωρ ἐπειπών, καὶ σὲ δὲ οὕτως ἐχρῆν, ὦ Ἀριστόβουλε, τοιαῦτα ὑπὲρ ἐμοῦ μονομαχοῦντα καὶ ἐλέφαντας ἐνὶ ἀκοντίῳ φονεύοντα. Καὶ ἔμελλέ γε οὕτως ἀγανακτήσειν ὁ Ἀλέξανδρος, ὅς γε οὐδὲ τὴν τοῦ ἀρχιτέκτονος τόλμαν ἠνέσχετο, ὑποσχομένου τὸν Ἄθω εἰκόνα ποιήσειν αὐτοῦ καὶ μετακοσμήσειν τὸ ὄρος εἰς ὁμοιότητα τοῦ βασιλέως, ἀλλὰ κόλακα εὐθὺς ἐπιγνοὺς τὸν ἄνθρωπον οὐκέτ' οὐδ' ἐς τὰ ἄλλα ὁμοίως ἐχρῆτο.

13. Ποῦ τοίνυν τὸ τερπνὸν ἐν τούτοις, ἐκτὸς εἰ μή τις κωμῳδῇ ἀνόητος εἴη, ὡς χαίρειν τὰ τοιαῦτα ἐπαινούμενος, ὧν παρὰ πόδας οἱ ἔλεγχοι; ὥσπερ οἱ ἄμορφοι τῶν ἀνθρώπων, καὶ μάλιστά γε τὰ γύναια τοῖς γραφεῦσι παρακελευόμενα ὡς καλλίστας αὐτὰς γράφειν· οἴονται γὰρ ἄμεινον ἕξειν τὴν ὄψιν, ἢν ὁ γραφεὺς αὐταῖς ἐρύθημά τε πλεῖον ἐπανθίσῃ καὶ τὸ λευκὸν ἐγκαταμίξῃ πολὺ τῷ φαρμάκῳ. Τοιοῦτοι τῶν συγγραφόντων οἱ πολλοί εἰσι τὸ τήμερον καὶ τὸ ἴδιον καὶ τὸ χρειῶδες, ὅ τι ἂν ἐκ τῆς ἱστορίας ἐλπίσωσι, θεραπεύοντες, οὓς μισεῖσθαι καλῶς εἶχεν, ἐς μὲν τὸ παρὸν κόλακας προδήλους καὶ ἀτέχνους ὄντας· ἐς τοὐπιὸν δὲ ὕποπτον ταῖς ὑπερβολαῖς τὴν ὅλην πραγματείαν ἀποφαίνοντας. Εἰ δέ τις πάντως τὸ τερπνὸν ἡγεῖται καplane alieno; illam quidem ipsius leonina indutam, clavamque manu tenentem, nempe quasi Hercules sit; ipsum vero in crocota et palla purpurea carpentem lanas, et sandalio ab Omphale percussum: in quo turpissimum illud est spectaculum, recedens a corpore vestis nec satis applicat, et quicquid in deo virile est, indecore effeminatum.

11. Ac vulgus quidem haec ipsa fortasse tua laudaverit: at illi pauci, quos tu contemnis, suaviter sane et ad satietatem ridebunt, videntes rem absurdam, incongruam et combinari nesciam. Etenim sua cuique rei propria quædam est pulchritudo: quam si tu immutaveris, deforme idem per ipsum hunc usum reddideris. Mitto dicere, laudes istas uni quidem fortasse jucundas esse, illi qui laudatur, ceteris vero graves, præsertim si immodicas exaggerationes habeant, quales illas vulgus scribentium facit, dum aucupantur eorum quos laudant benevolentiam, et in iis eo usque morantur, donec manifestam omnibus adulationem effecerint. Neque enim cum arte hoc facere norunt neque obumbrant adulationem: sed facto impetu, conferta omnia et incredibilia et nuda persequuntur.

12. Quo fit ut ne assequantur quidem quod maxime concupiscunt. Qui enim ab ipsis laudantur, odio magis illos habent et tanquam adulatores aversantur, recte illi quidem, maxime si virili sunt ingenio. Quemadmodum, quum solitariam Alexandri cum Poro pugnam scripsisset Aristobulus, et illum maxime libri sui locum ei recitaret (putabat enim maximam se a rege gratiam initurum, quod mentiendo fortia quædam facta illi astrueret et gesta fingeret vero majora), arreptum ille librum (commodum autem in Hydaspe fluvio navigabant) præcipitem in aquam abjecit, addens, Te quoque sic oportebat, Aristobule, qui tales pro me pugnas singulares inieris, et uno jaculo elephantos interficias. Et consentaneum erat ita indignari Alexandrum, qui neque architecti conatum tulisset, polliciti se Athonem statuam ipsius facturum et in regis simulacrum transformaturum esse montem: sed adulatorem statim hominem intelligens, non amplius illo neque ad alia similiter ut antea usus est.

13. Ubi igitur in hisce jucunditas illa, nisi si quis plane sit stupidus, ut se in talibus laudari gaudeat, quorum e vestigio ostendi vanitas possit? ut homines deformes, et præsertim mulierculæ, quæ pictoribus injungunt, se ut quam pulcherrimas pingant: putant enim speciosiore se futuras facie, si plus floridi ruboris pictor asperserit et album multum pigmento admiscuerit. Tale est vulgus historicorum, qui præsenti tempori et suæ rei et utilitati, quam sperant ex historia, serviant: quos bonum erat odisse, in præsentia quidem adulatores manifestos et artis rudes, in futurum autem suis exaggerationibus suspectum reddentes totum illud historiæ scribendæ studium. Si quis vero putat

ταμεμίχθαι δεῖν τῇ ἱστορίᾳ πάσῃ, **** ἀλλὰ ἃ σὺν ἀληθείᾳ τερπνά ἐστιν ἐν τοῖς ἄλλοις κάλλεσι τοῦ λόγου, ὧν ἀμελήσαντες οἱ πολλοὶ τὰ μηδὲν προσήκοντα ἐπεισκυκλοῦσιν.

14. Ἐγὼ δ' οὖν καὶ διηγήσομαι ὁπόσα μέμνημαι ἐναγχος ἐν Ἰωνίᾳ συγγραφέων τινῶν, καὶ νὴ Δία ἐν Ἀχαΐᾳ πρώην ἀκούσας τὸν αὐτὸν τοῦτον πόλεμον διηγουμένων· καὶ πρὸς Χαρίτων μηδεὶς ἀπιστήσῃ τοῖς λεχθησομένοις· ὅτι γὰρ ἀληθῆ ἐστι κἂν ἐπωμοσάμην, εἰ ἀστεῖον ἦν ὅρκον ἐντιθέναι συγγράμματι. Εἷς μέν τις αὐτῶν ἀπὸ Μουσῶν εὐθὺς ἤρξατο παρακαλῶν τὰς θεὰς συνεφάψασθαι τοῦ συγγράμματος. Ὁρᾷς ὡς ἐμμελὴς ἡ ἀρχὴ καὶ περὶ πόδα τῇ ἱστορίᾳ καὶ τῷ τοιούτῳ εἴδει τῶν λόγων πρέπουσα; Εἶτα μικρὸν ὑποβὰς Ἀχιλλεῖ μὲν τὸν ἡμέτερον ἄρχοντα εἵκαζε, Θερσίτῃ δὲ τὸν τῶν Περσῶν βασιλέα, οὐκ εἰδὼς ὅτι ὁ Ἀχιλλεὺς ἀμείνων ἦν αὐτῷ, εἰ Ἕκτορα μᾶλλον ἢ Θερσίτην καθῄρει, καὶ εἰ πρόσθεν μὲν ἔφευγεν ἐσθλός τις,

ἐδίωκε δέ μιν μέγ' ἀμείνων.

Εἶτ' ἐπῆγεν ὑπὲρ αὐτοῦ τι ἐγκώμιον, καὶ ὡς ἄξιος εἴη συγγράψαι τὰς πράξεις οὕτω λαμπρὰς οὔσας. Ἤδη δὲ κατιὼν ἐπῄνει καὶ τὴν πατρίδα τὴν Μίλητον, προστιθεὶς ὡς ἄμεινον ποιοῖ τοῦτο τοῦ Ὁμήρου μηδὲν μνησθέντος τῆς πατρίδος. Εἶτ' ἐπὶ τέλει τοῦ προοιμίου ὑπισχνεῖτο διαρρήδην καὶ σαφῶς, ἐπὶ μεῖζον μὲν ἀρεῖν τὰ ἡμέτερα, τοὺς βαρβάρους δὲ καταπολεμήσειν καὶ αὐτὸς, ὡς ἂν δύνηται· καὶ ἤρξατό γε τῆς ἱστορίας οὕτως, αἰτια ἅμα τῆς τοῦ πολέμου ἀρχῆς διεξιών· « Ὁ γὰρ μιαρώτατος καὶ κάκιστα ἀπολούμενος Οὐολόγεσος ἤρξατο πολεμεῖν δι' αἰτίαν τοιάνδε. »

15. Οὗτος μὲν τοιαῦτα. Ἕτερος δὲ Θουκυδίδου ζηλωτὴς ἄκρος, οἷος εὖ μάλα τῷ ἀρχετύπῳ εἰκασμένος, καὶ τὴν ἀρχὴν ὡς ἐκεῖνος σὺν τῷ ἑαυτοῦ ὀνόματι ἤρξατο, χαριεστάτην ἀρχῶν ἁπασῶν καὶ θύμου τοῦ Ἀττικοῦ ἀποπνέουσαν. Ὅρα γάρ· « Κρεπέρηιος Καλπουρνιανὸς Πομπηϊοπολίτης ξυνέγραψε τὸν πόλεμον τῶν Παρθυαίων καὶ Ῥωμαίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἀρξάμενος εὐθὺς ξυνισταμένου. » Ὥστε μετά γε τοιαύτην ἀρχὴν τί ἄν σοι τὰ λοιπὰ λέγοιμι, ὁποῖα ἐν Ἀρμενίᾳ ἐδημηγόρησε τὸν Κερκυραῖον αὐτὸν ῥήτορα παραστησάμενος, ἢ οἷον Νισιβηνοῖς λοιμὸν τοῖς μὴ τὰ Ῥωμαίων αἱρουμένοις ἐπήγαγε παρὰ Θουκυδίδου χρησάμενος ὅλον ἀρὸν πλὴν μόνου τοῦ Πελασγικοῦ καὶ τῶν τειχῶν τῶν μακρῶν, ἐν οἷς οἱ τότε λοιμώξαντες ᾠκησαν; τὰ δ' ἄλλα καὶ ἀπὸ Αἰθιοπίας ἤρξατο, ὥστε καὶ ἐς Αἴγυπτον κατέβη καὶ ἐς τὴν βασιλέως γῆν τὴν πολλὴν, καὶ ἐν ἐκείνῃ γε ἔμεινεν εὖ ποιῶν. Ἐγὼ γοῦν θάπτοντα ἔτι αὐτὸν καταλιπὼν τοὺς ἀθλίους Ἀθηναίους ἐν Νισίβι ἀπῆλθον ἀκριβῶς εἰδὼς καὶ ὅσα ἀπελθόντος ἐρεῖν ἔμελλε. Καὶ γὰρ αὖ καὶ τοῦτο ἐπιεικῶς πολὺ νῦν ἐστι, τὸ οἴεσθαι τοῦτ' εἶναι τοῖς Θουκυδίδου ἐοικότα λέγειν, εἰ ὀλίγον ἐντρέψας τὰ αὐτοῦ ἐκείνου λέγοι τις, [μικρὰ κἀκεῖνα, ὅπως καὶ αὐτὸς ἂν φαίης, οὐ δι' αὐτὴν ἴδια]. Κἀκεῖνο

omnino jucundum admistum esse debere historiæ, **** sed quæ cum veritate jucunda sunt in aliis orationis ornamentis, quibus neglectis vulgares illi ea, quæ nihil ad rem faciunt, inculcant.

14. Jamque equidem narrabo quæ memini nuperrime in Ionia ex historicis quibusdam, et mehercle in Achaia quoque, non ita pridem audire, idem hoc bellum narratione persequentibus. Et per ego vos Gratias obsecro, nemo his quæ dicentur fidem deneget: vera enim esse dejerare etiam possim, si urbanum esset jusjurandum scripto interponere. Unus quidem illorum aliquis a Musis statim initium fecit, precatus deas, ut manum scriptioni secum admoveant. Viden' quam conv.innum principium, et apte conveniens historiæ, quodque tale orationis genus deceret? Tum paullum progressus Achilli quidem nostrum principem comparabat, Thersitæ autem regem Persarum, ignarus tanto sibi præstantiorem futurum fuisse Achillem, si Hector empotius quam Thersiten interemisset, et si ante quidem fugisset fortis aliquis, hunc autem « egisset multum præstantior alter. » Deinde subjunxit de se ipso encomium quoddam, quamque dignus sit scriptor claris adeo rebus gestis. Jam vero progressus Miletum laudabat patriam suam, subjiciens, melius hac in re facere se quam Homerum, qui mentionem patriæ nusquam injecerit. Deinde in fine procemii pollicebatur disertis verbis et clare, se elaturum in majus res nostras, barbaros autem, quantum in se esset, bello et ipsum oppressurum: atque incipiebat hoc modo historiam, simul causas belli incepti persequens: « Impurissimus enim ille et pessimis exemplis periturus Vologesus, bellare cœpit propter causam ejusmodi.

15. Hic quidem talia. Alius vero, Thucydidis æmulus absolutissimus scilicet et quam maxime ad archetypi sui similitudinem compositus, initium itidem ut ille a suo nomine fecit, elegantissimum omnium exordium, et quod thymum Atticum redoleat. Ecce enim: « Crepereius Calpurnianus Pompeiopolitanus descripsit bellum Parthorum et Romanorum, ut inter se pugnarunt; initio facto ab eo tempore, quo conflatum est. » Ut post tale exordium, quid reliqua tibi dicam, quales in Armenia conciones habuerit, in medium producto ipso Corcyræorum oratore? aut qualem Nisibenis, qui Romanas partes non essent secuti, pestilentiam immiserit, sumtam mutuo confertim totam a Thucydide, excepto solo Pelasgico et longis mœnibus, in quibus habitarant tum pestilentia correpti? Ceterum et ipsa inceperat ab Æthiopia, ita ut deinde in Ægyptum descenderet, et in regis terras plurimas, et bonum factum, quod in illis mansit. Equidem sepelientem illum in Nisibi miseros Athenienses relinquens discessi, quum accurate nossem quæ etiam post meum discessum dicturus erat. Nam rursus hoc etiam valde frequens nunc est, uti putent hoc esse Thucydideis similia dicere, si quis paucis immutatis ipsa illius verba proferat, [minuta et illa, ut ipse quoque dixeris, non . . . propria]. Illud parum aberat quin omit-

ὀλίγου δεῖν παρέλιπον· ὁ γὰρ αὐτὸς οὗτος συγγραφεὺς πολλὰ καὶ τῶν ὅπλων καὶ τῶν μηχανημάτων, ὡς Ῥωμαῖοι αὐτὰ ὀνομάζουσιν, οὕτως ἀνέγραψε, καὶ τάφρον ὡς ἐκεῖνοι καὶ γέφυραν καὶ τὰ τοιαῦτα. Καί μοι ἐννόησον ἡλίκον τὸ ἀξίωμα τῆς ἱστορίας καὶ ὡς Θουκυδίδῃ πρέπον, μεταξὺ τῶν Ἀττικῶν ὀνομάτων τὰ Ἰταλιωτικὰ ταῦτα ἐγκεῖσθαι, ὥσπερ τὴν πορφύραν ἐπικοσμοῦντα καὶ ἐμπρέποντα καὶ πάντως συνάδοντα.

16. Ἄλλος δέ τις αὐτῶν ὑπόμνημα τῶν γεγονότων γυμνὸν συναγαγὼν ἐν γραφῇ κομιδῇ πεζὸν καὶ χαμαιπετές, οἷον καὶ στρατιώτης ἄν τις τὰ καθ' ἡμέραν ἀπογραφόμενος συνέθηκεν ἢ τέκτων ἢ κάπηλός τις συμπερινοστῶν τῇ στρατιᾷ. Ἦλθ' ἀλλὰ μετριώτερός γε ὁ ἰδιώτης οὗτος ἦν, αὐτὸς μὲν αὐτίκα δῆλος ὢν οἷος ἦν, ἄλλῳ δέ τινι χαρίεντι καὶ δυνησομένῳ ἱστορίαν μεταχειρίσασθαι προπεπονηκώς. Τοῦτο μόνον ᾐτιασάμην αὐτοῦ, ὅτι οὕτως ἐπέγραψε τὰ βιβλία τραγικώτερον ἢ κατὰ τὴν τῶν συγγραμμάτων τύχην· « Καλλιμόρφου ἰατροῦ τῆς τῶν κοντοφόρων ἕκτης ἱστοριῶν Παρθικῶν » καὶ ὑπεγέγραπτο ἑκάστῃ ὁ ἀριθμός· καὶ νὴ Δία καὶ τὸ προοίμιον ὑπέρψυχρον ἐποίησεν οὕτως συναγαγών· οἰκεῖον εἶναι ἰατρῷ ἱστορίαν συγγράφειν, εἴ γε ὁ Ἀσκληπιὸς μὲν Ἀπόλλωνος υἱός, Ἀπόλλων δὲ Μουσηγέτης καὶ πάσης παιδείας ἄρχων· καὶ ὅτι ἀρξάμενος ἐν τῇ Ἰάδι γράφειν οὐκ οἶδα ὅ τι δόξαν αὐτίκα μάλα ἐπὶ τὴν κοινὴν μετῆλθεν, ἰητρείην μὲν λέγων καὶ πείρην καὶ ὁκόσα καὶ νοῦσοι, τὰ δ' ἄλλα ὁμοδίαιτα τοῖς πολλοῖς καὶ τὰ πλεῖστα οἷα ἐκ τριόδου.

17. Εἰ δέ με δεῖ καὶ σοφοῦ ἀνδρὸς μνησθῆναι, τὸ μὲν ὄνομα ἐν ἀφανεῖ κείσθω, τὴν γνώμην δὲ ἐρῶ καὶ τὰ πρώην ἐν Κορίνθῳ συγγράμματα, κρείττω πάσης ἐλπίδος· ἐν ἀρχῇ μὲν γὰρ εὐθὺς ἐν τῇ πρώτῃ τοῦ προοιμίου περιόδῳ συνηρώτησε τοὺς ἀναγιγνώσκοντας λόγον πάνσοφον δεῖξαι σπεύδων, ὡς μόνῳ ἂν τῷ σοφῷ πρέποι ἱστορίαν συγγράφειν. Εἶτα μετὰ μικρὸν ἄλλος συλλογισμός, εἶτα ἄλλος· καὶ ὅλως ἐν ἅπαντι σχήματι συνηρώτητο αὐτῷ τὸ προοίμιον. Τὸ τῆς κολακείας ἐς κόρον, καὶ τὰ ἐγκώμια φορτικὰ καὶ κομιδῇ βωμολοχικά, οὐκ ἀσυλλόγιστα μέντοι, ἀλλὰ συνηρωτημένα κἀκεῖνα. Καὶ μὴν κἀκεῖνο φορτικὸν ἔδοξέ μοι καὶ ἥκιστα σοφῷ ἀνδρὶ καὶ πώγωνι πολιῷ καὶ βαθεῖ πρέπον, τὸ ἐν τῷ προοιμίῳ εἰπεῖν ὡς ἐξαίρετον τοῦτο ἕξει ὁ ἡμέτερος ἄρχων, οὗ γε τὰς πράξεις καὶ φιλόσοφοι ἤδη συγγράφειν ἀξιοῦσι· τὸ γὰρ τοιοῦτον, εἴπερ ἄρα, ἡμῖν ἔδει καταλιπεῖν λογίζεσθαι ἢ αὐτὸν εἰπεῖν.

18. Καὶ μὴν οὐδ' ἐκείνου ὅσιον ἀμνημονῆσαι, ὃς τοιάνδε ἀρχὴν ἦρξατο· « Ἔρχομαι ἐρέων περὶ Ῥωμαίων καὶ Περσέων, » καὶ μικρὸν ὕστερον· « ἔδεε γὰρ Πέρσῃσι γενέσθαι κακῶς, » καὶ πάλιν· « ἦν Ὀσρόης, τὸν οἱ Ἕλληνες Ὀξυρόην ὀνομέουσι, » καὶ ἄλλα πολλὰ τοιαῦτα. Ὁρᾷς; ὅμοιος αὐτὸς ἐκείνῳ, παρ' ὅσον ὁ μὲν Θουκυδίδῃ, οὗτος δὲ Ἡροδότῳ εὖ μάλα ἐῴκει.

19. Ἄλλος τις ἀοίδιμος ἐπὶ λόγων δυνάμει Θουκυδίδῃ καὶ αὐτὸς ὅμοιος ἢ ὀλίγῳ ἀμείνων αὐτοῦ, πάσας

terem : idem enim hic scriptor multa etiam armorum et machinarum genera, ut Romani illa nominant, ita in scriptum retulit, fossam ut illi, et pontem, et similia latine dicens, non græce. Et cogita mihi, quæ sit historiæ illius dignitas, et quam deceat Thucydidem, inter Attica nomina Italica ista interposita esse, quæ prætextæ instar purpuræ ornatum addant ac decus, omninoque cum illis consentiant.

16. Alius vero quidam ex illo numero commentarium eorum quæ gesta fuerant nudum scripto congessit, pedestrem valde et humilem, qualem etiam miles, quæ fiunt quotidie literis mandans, composuisset, faberve aut caupo aliquis circummigrans cum exercitu. Verum enim vero tolerabilior sane hic indoctus erat, ipse quidem statim qualis esset manifestus, sed qui alii venusto homini et tractandæ historiæ perito laborem præcepisset. Illud solum in eo reprehendi, quod ita inscripserat libros suos, tumidius quam consentaneum esset libelli conditioni : « Callimorphi, medici sextæ contatorum, historiarum Parthicarum » et subscriptus erat uniuscujusque libri numerus. Etiam, me Jupiter, procœmium supra modum insulsum fecit, hac ratione concludens : familiare esse medico scribere historiam, siquidem Æsculapius ipse sit Apollinis filius, Apollo autem musageta et eruditionis omnis princeps. Postremo etiam illud reprehendi, quod, quum incepisset Ionica consuetudine scribere, nescio quo consilio ad communem subito transiit, primum ἰητρείην dicens et πείρην, et ὁκόσα, et νοῦσοι, reliqua vero, qualia in usu multitudinis sunt et pleraque quasi e trivio petita.

17. Si vero me oportet sapientis etiam viri mentionem facere, nomen quidem illius in obscuro jaceat; dicam vere consilium et libros nuper Corinthi editos, exspectatione omni præstantiores. In principio enim, statim prima procœmii periodo, interrogatione aggressus est lectores suos, studuitque sapientissimam rationem ostendere, solum nempe sapientem decere historiam scribere. Deinde, paucis interjectis, syllogismus alius; deinde alius : et in universum per quæstiones syllogisticas in omni figura compositum ipsi fuerat procœmium. Adulationis hic fuit ad satietatem, laudes importunæ et plane scurriles; neque illæ tamen extra syllogismum, sed ad argumentandi per interrogata leges compositæ et ipsæ. Verum illud quoque putidum mihi videbatur, et minime virum philosophum et barbam canam prolixamque decens, quod in procœmio dixit, illud eximium habiturum nostrum principem, cujus actiones etiam philosophi scribere jam dignentur. Tale quid enim, si modo omnino veri quid subest, nobis existimandum relinquere potius oportebat, quam ipsum dicere.

18. Neque vero fas fuerit mentionem prætermittere illius, qui hoc cœpit exordio : « Venio dicturus de Romanis et Persis; » et paullo post, « Debebat enim Persis male evenire; » et rursus, « Erat Osroes, quem Græci Oxyrhoen vocitant, » et alia id genus multa. Viden'? similis hic illi alteri, nisi quod iste quidem Thucydidem, hic vero Herodotum quam maxime referebat.

19. Alius quidam dicendi facultate nobilis, Thucydidi similis ipse quoque, aut paullum illo melior, urbes omnes,

πόλεις καὶ πάντα ὄρη καὶ πεδία καὶ ποταμοὺς ἑρμηνεύσας πρὸς τὸ σαφέστατον καὶ ἰσχυρότατον, ὡς ᾤετο· τὸ δὲ ἐς ἐχθρῶν κεφαλὰς ὁ ἀλεξίκακος τρέψειε· τοσαύτη ψυχρότης ἐνῆν ὑπὲρ τὴν Κασπίαν χιόνα καὶ τὸν κρύσταλλον τὸν Κελτικόν. Ἡ γοῦν ἀσπὶς ἡ τοῦ αὐτοκράτορος ὅλῳ βιβλίῳ μόγις ἐξηρμηνεύθη αὐτῷ, καὶ Γοργὼν ἐπὶ τοῦ ὀμφαλοῦ καὶ οἱ ὀφθαλμοὶ αὐτῆς ἐκ κυανοῦ καὶ λευκοῦ καὶ μέλανος καὶ ζώνη ἰριοειδὴς καὶ δράκοντες ἑλικηδὸν καὶ βοστρυχηδόν. Ἡ μὲν γὰρ Οὐολογέσου ἀναξυρὶς ἢ ὁ χαλινὸς τοῦ ἵππου, Ἡράκλεις, ὅσαι μυριάδες ἐπῶν ἕκαστον τούτων, καὶ οἷα ἦν ἡ Ὀσρόου κόμη, διανέοντος τὸν Τίγρητα, καὶ ἐς οἷον ἄντρον κατέφυγε, κιττοῦ καὶ μυρρίνης καὶ δάφνης ἐς ταὐτὸ συμπεφυκότων καὶ σύσκιον ἀκριβῶς ποιούντων αὐτό. Σκόπει ὡς ἀναγκαῖα τῇ ἱστορίᾳ ταῦτα, ὧν ἄνευ οὐκ ἂν ᾔδειμέν τι τῶν ἐκεῖ πραχθέντων.

20. Ὑπὸ γὰρ ἀσθενείας τῆς ἐν τοῖς χρησίμοις ἢ ἀγνοίας τῶν λεκτέων ἐπὶ τὰς τοιαύτας τῶν χωρίων καὶ ἄντρων ἐκφράσεις τρέπονται, καὶ ὁπόταν ἐς πολλὰ καὶ μεγάλα πράγματα ἐμπέσωσιν, ἐοίκασιν οἰκέτῃ νεοπλούτῳ, ἄρτι κληρονομήσαντι τοῦ δεσπότου, ὃς οὔτε τὴν ἐσθῆτα οἶδεν ὡς χρὴ περιβαλέσθαι οὔτε δειπνῆσαι κατὰ νόμον, ἀλλ' ἐμπηδήσας, πολλάκις ὀρνίθων καὶ συείων καὶ λαγῴων προκειμένων, ὑπερεμπίπλαται ἔντους τινὸς ἢ ταρίχους, ἔστ' ἂν διαρραγῇ ἐσθίων. Οὗτος δ' οὖν, ὃν προεῖπον, καὶ τραύματα συνέγραψε πάνυ ἀπίθανα καὶ θανάτους ἀλλοκότους, ὡς εἰς δάκτυλον τοῦ ποδὸς τὸν μέγαν τρωθείς τις αὐτίκα ἐτελεύτησε, καὶ ὡς ἐμβοήσαντος μόνον Πρίσκου τοῦ στρατηγοῦ ἑπτὰ καὶ εἴκοσι τῶν πολεμίων ἐξέθανον. Ἔτι δὲ καὶ ἐν τῷ τῶν νεκρῶν ἀριθμῷ, τοῦτο μὲν καὶ παρὰ τὰ γεγραμμένα ἐν ταῖς τῶν ἀρχόντων ἐπιστολαῖς ἐψεύσατο· ἐπὶ γὰρ Εὐρώπῳ τῶν μὲν πολεμίων ἀποθανεῖν μυριάδας ἑπτὰ καὶ τριάκοντα καὶ ἓξ πρὸς τοῖς διακοσίοις, Ῥωμαίων δὲ μόνους δύο, καὶ τραυματίας γενέσθαι ἐννέα. Ταῦτα οὐκ οἶδα εἴ τις ἂν εὖ φρονῶν ἀνάσχοιτο.

21. Καὶ μὴν κἀκεῖνο λεκτέον, οὐ μικρὸν ὄν· ὑπὸ γὰρ τοῦ κομιδῇ Ἀττικὸς εἶναι καὶ ἀποκεκαθάρθαι τὴν φωνὴν ἐς τὸ ἀκριβέστατον ἠξίωσεν οὗτος καὶ τὰ ὀνόματα μεταποιῆσαι τὰ Ῥωμαίων καὶ μετεγγράψαι ἐς τὸ Ἑλληνικόν, ὡς Κρόνιον μὲν Σατουρνῖνον λέγειν, Φρόντιν δὲ τὸν Φρόντωνα, Τιτάνιον δὲ τὸν Τιτιανὸν καὶ ἄλλα πολλῷ γελοιότερα. Ἔτι δ αὐτὸς οὗτος περὶ τῆς Σευηριανοῦ τελευτῆς ἔγραψεν ὡς οἱ μὲν ἄλλοι ἅπαντες ἐξηπάτηνται οἰόμενοι ξίφει τεθνάναι αὐτὸν, ἀποθάνοι δὲ ὁ ἀνὴρ σιτίων ἀποσχόμενος· τοῦτον γὰρ αὐτῷ ἀλυπότατον δόξαι τὸν θάνατον· οὐκ εἰδὼς ὅτι τὸ μὲν πάθος ἐκεῖνο πᾶν τριῶν οἶμαι ἡμερῶν ἐγένετο, ἀπόσιτοι δὲ καὶ ἐς ἑβδόμην διαρκοῦσιν οἱ πολλοί, ἐκτὸς εἰ μὴ τοῦθ' ὑπολάβοι τις, ὡς Ὀσρόης τις εἱστήκει περιμένων, ἔστ' ἂν Σευηριανὸς λιμῷ ἁπόληται, καὶ διὰ τοῦτο οὐκ ἐπῆγε διὰ τῆς ἑβδόμης.

22. Τοὺς δὲ καὶ ποιητικοῖς ὀνόμασιν, ὦ καλὲ Φίλων, ἐν ἱστορίᾳ χρωμένους ποῦ ἄν τις θείη; τοὺς λέγοντας,

et omnes montes, et campos et fluvios disertissime descripsit et gravissime, ut putabat: id vero in hostium capita Averruncus convertat! tantum frigus inerat supra Caspias nives et glaciem Celticam. Clypeus igitur imperatoris toto vix libro ab illo descriptus est, et Gorgo in umbone, et oculi illius ex cæruleo et albo ac nigro, et balteus colore iridis, et dracones flexi in capreolos et in cincinnos plexi. Vologesi quidem braccæ, aut frenum equi, Hercules! quot millia versuum singula horum occupant! et qualis cæsaries Osrois fuerit, quum Tigrin ille transnataret; et in quale antrum confugerit, quod hedera et myrtus et laurus in unum complexæ densissime umbrosum facerent. Vide quam ista sint necessaria historiæ, et quam sine istis nihil intellexissemus eorum quæ ibi gesta sunt!

20. Præ imbecillitate enim in utilibus recte versandi, aut ignorantia dicendorum, ad tales regionum et antrorum descriptiones se convertunt; et quum in multas magnasque res incidunt, similes sunt servo divitiarum insueto, creta nuper demum domini sui hæreditate, qui neque vestis novit quemadmodum injicienda sit, neque ex more cibum capere; sed irruens sæpe, quum tamen alites et suillæ et leporinæ carnes appositæ sint, in pulmentum aliquod aut salsamentum, usque eo oppletur, donec rumpatur edendo. Ille igitur, quem modo dicebam, etiam vulnera conscripsit omnino incredibilia, et mortes absurdas, velut hanc, aliquem in pollice pedis vulneratum statim exspirasse; et ut, inclamante solum Prisco duce, septem et viginti hostium animi deliquium passi sint. Præterea autem in cæsorum numero, etiam ultra scripta in principum epistolis mentitus est. Ad Europum enim hostium quidem cecidisse trecenties et septuagies mille ducentos sex, Romanorum vero solos duos, saucios autem factos novem. Hæc nescio an sanæ mentis quisquam tolerare possit.

21. Verum illud quoque dicendum, quod non pusillum est. Præ nimio Atticismi studio et accuratissimæ circa linguam puritatis, voluit ille etiam Romanorum nomina Attica facere et transferre in Græcas formas, adeo ut pro Saturnino Κρόνιον diceret, Φρόντιν autem Frontonem, Titianum porro Τιτάνιον, et reliqua multo etiam magis ridicula. Ad hæc idem hic de Severiani obitu scripsit, deceptos esse reliquos omnes, qui ferro illum mortuum putent; perisse autem virum inedia; hoc enim mollissimum mortis genus illi visum: ignorans, totam illam calamitatem trium, puto, dierum fuisse; qui vero cibo abstinent, etiam ad septimum diem durare plerosque; nisi quis hoc putet, stetisse Osroen exspectantem dum fame periret Severianus, et ob id ipsum per septem dies signa non intulisse.

22. Eos vero quo quis loco ponat, jucundissime Philo, qui poeticis in historia verbis utuntur? dicentes, « Strido-

« ἐλέλιξε μὲν ἡ μηχανή, τὸ τεῖχος δὲ πεσὸν μεγάλως ἐδούπησε, » καὶ πάλιν ἐν ἑτέρῳ μέρει τῆς καλῆς ἱστορίας· « Ἔδεσσα μὲν δὴ οὕτω τοῖς ὅπλοις περιεσμαραγεῖτο καὶ ὄτοβος ἦν καὶ κόναβος ἅπαντα ἐκεῖνα, » καὶ « ὁ στρατηγὸς ἐμεριμνίζεν ᾧ τρόπῳ μάλιστα προσαγάγοι πρὸς τὸ τεῖχος. » Εἶτα μεταξὺ οὕτως εὐτελῆ ὀνόματα καὶ δημοτικὰ καὶ πτωχικὰ πολλὰ παρενεβέβυστο, τὸ « ἐπέστειλεν ὁ στρατοπεδάρχης τῷ κυρίῳ, » καὶ « οἱ στρατιῶται ἠγόραζον τὰ ἐγχρήζοντα, » καὶ « ἤδη λελουμένοι περὶ αὐτοὺς ἐγίγνοντο, » καὶ τὰ τοιαῦτα· ὥστε τὸ πρᾶγμα ἐοικὸς εἶναι τραγῳδῷ τὸν ἕτερον μὲν πόδα ἐπ' ἐμβάτου ὑψηλοῦ βεβηκότι, θατέρῳ δὲ σάνδαλον ὑποδεδεμένῳ.

23. Καὶ μὴν καὶ ἄλλους ἴδοις ἂν τὰ μὲν προοίμια λαμπρὰ καὶ τραγικὰ καὶ εἰς ὑπερβολὴν μακρὰ συγγράφοντας, ὡς ἐλπίσαι θαυμαστὰ ἡλίκα τὰ μετὰ ταῦτα πάντως ἀκούσεσθαι, τὸ σῶμα δὲ αὐτὸ τῆς ἱστορίας μικρόν τι καὶ ἀγεννὲς ἐπαγαγόντας, ὡς καὶ τοῦτο ἐοικέναι παιδίῳ, εἴ που Ἔρωτα εἶδες παίζοντα, προσωπεῖον Ἡρακλέους πάμμεγα ἢ Τιτᾶνος περικείμενον· εὐθὺς γοῦν οἱ ἀκούσαντες ἐπιφθέγγονται αὐτοῖς τὸ, Ὠδινεν ὄρος. Χρὴ δὲ οἶμαι μὴ οὕτως, ἀλλ' ὅμοια τὰ πάντα καὶ ὁμόχροα εἶναι καὶ συνᾴδον τῇ κεφαλῇ τὸ ἄλλο σῶμα, ὡς μὴ χρυσοῦν μὲν τὸ κράνος εἶη, θώραξ δὲ πάνυ γελοῖος ἐκ ῥακῶν ποθεν ἢ ἐκ δερμάτων σαπρῶν συγκεκαττυμένος καὶ ἡ ἀσπὶς οἰσύινη καὶ χοιρίνη περὶ ταῖς κνήμαις. Ἴδοις γὰρ ἂν ἀφθόνους τοιούτους συγγραφέας, τοῦ Ῥοδίου κολοσσοῦ τὴν κεφαλὴν ναννώδει σώματι ἐπιτιθέντας· ἄλλους αὖ ἔμπαλιν ἀκέφαλα τὰ σώματα εἰσάγοντας, ἀπροοιμίαστα καὶ εὐθὺς ἐπὶ τῶν πραγμάτων, οἳ καὶ προσεταιρίζονται τὸν Ξενοφῶντα οὕτως ἀρξάμενον· « Δαρείου καὶ Παρυσάτιδος παῖδες γίγνονται δύο », καὶ ἄλλους τῶν παλαιῶν, οὐκ εἰδότες ὡς δυνάμει τινὰ προοίμιά ἐστι λεληθότα τοὺς πολλούς, ὡς ἐν ἄλλοις δείξομεν.

24. Καίτοι ταῦτα πάντα φορητὰ ἔτι, ὅσα ἢ ἑρμηνείας ἢ τῆς ἄλλης διατάξεως ἁμαρτήματά ἐστι, τὸ δὲ καὶ περὶ τοὺς τόπους αὐτοὺς ψεύδεσθαι, οὐ παρασάγγας μόνον, ἀλλὰ καὶ σταθμοὺς ὅλους, τίνι τῶν καλῶν ἔοικεν; Εἷς γοῦν οὕτω ῥᾳθύμως συνήγαγε τὰ πράγματα, οὔτε Σύρῳ τινὶ ἐντυχὼν οὔτε τὸ λεγόμενον δὴ τοῦτο τῶν ἐπὶ κουρείων τὰ τοιαῦτα μυθολογούντων ἀκούσας, ὥστε περὶ Εὐρώπου λέγων οὕτως ἔφη· « Ἡ δὲ Εὔρωπος κεῖται μὲν ἐν τῇ Μεσοποταμίᾳ σταθμοὺς δύο τοῦ Εὐφράτου ἀπέχουσα, ἀπῴκισαν δὲ αὐτὴν Ἐδεσσαῖοι ». Καὶ οὐδὲ τοῦτο ἀπέχρησεν αὐτῷ, ἀλλὰ καὶ τὴν ἐμὴν πατρίδα τὰ Σαμόσατα ὁ αὐτὸς ἐν τῷ αὐτῷ βιβλίῳ ἁράμενος ὁ γενναῖος αὐτῇ ἀκροπόλει καὶ τείχεσι μετέθηκεν εἰς τὴν Μεσοποταμίαν, ὡς περωρίσθαι αὐτὴν ὑπ' ἀμφοτέρων τῶν ποταμῶν, ἑκατέρωθεν ἐν χρῷ παραμειβομένων καὶ μονονουχὶ τοῦ τείχους ψαυόντων. Τὸ δὲ καὶ γελοῖον, εἴ σοι νῦν, ὦ Φίλων, ἀπολογοίμην, ὡς οὐ Παρθυαίων οὐδὲ Μεσοποταμίτης σοι ἐγὼ, οἵ με φέρων ὁ θαυμαστὸς συγγραφεὺς ἀπῴκισε.

rem dedit machina, procumbensque murus tonuit vehementer; » et rursus in alia parte bellæ historiæ : » Jam igitur Edessa armorum sonitu circumstrepebatur, erantque stridor fremorque illa omnia, » et « Dux versat sub pectore curas, qua maxime ratione ad muros accedat. » Deinde inter hæc inculcata erant vilia hujusmodi nomina, et plebeia et mendicorum propria multa, velut, « tribunus militum per literas nunciavit nostro domino, » et, « Milites mercabantur illa quibus indigebant, « et, « Jam loti ad illos se convertebant, » et similia : ut similis ea res esset tragœdo, qui altero quidem pede alto cothurno nitatur, alterum autem sandalio devinctum gerat.

23. Ac videas etiam alios, procemia quidem splendida et tragica et ad excessum usque longa scribentes, ut speres te mira quanta post istæc omnino auditurum : at ipsum corpus historiæ pusillum quoddam et ignavum subjungentes, ut hoc etiam simile videatur puerulo, si qua Cupidinem vidisti sic ludentem, persona Herculis maxima aut Titanis caput occultantem. Statim igitur qui audiere, illud subjiciunt : Parturiunt montes. At, opinor, non ita esse oportet, sed æquabilia omnia et ejusdem velut coloris, consentiensque capiti corpus reliquum, ne galea quidem sit aurea, lorica vero prorsus ridicula, ex pannis alicunde aut coriis putridis consuta, et vimineus clypeus, porcina autem circa tibias. Videas enim satis multos id genus scriptores, Rhodii Colossi caput imponentes nani corpusculo; alios contra ea, trunca suo capite corpora inducentes, sine exordio statim res ipsas aggressos : qui etiam suarum partium esse volunt Xenophontem, qui ita cœperit : « Darii et Parysatidis filii sunt duo; » et alios antiquorum. Ignorant nempe, esse quædam quæ vim procemiorum habeant, licet vulgi intellectum fugiant, ut monstrabimus alias.

24. Verumtamen hæc omnia adhuc tolerabilia, quæcumque aut elocutionis, aut dispositionis reliquæ sunt peccata : mentiri vero circa ipsa loca, non parasangis modo, sed integris mansionibus, cui rerum bonarum simile est? Unus quippe eorum adeo supine res congessit, qui neque cum Syro unquam locutus videtur, neque, quod est in proverbio, in tonstrinis talia fabulantes audisse, ut de Europo verba faciens ita dicat : « Europus vero sita est in Mesopotamia, mansiones duas ab Euphrate remota : condiderunt autem illam Edesseni. » Neque satis hoc illi fuit, verum etiam Samosata, patriam meam, ipse ille vir fortis eodem in libro sublatam sua cum arce et munitionibus transtulit in Mesopotamiam, adeo ut includatur inter ambo amnes, quam proxime utrimque præterlabentes et tantum non ipsa alluentes mœnia. Ridiculum autem fuerit, si nunc causam apud te, mi Philo, dicam, non ex Parthis me esse, neque Mesopotamenum hominem, ad quos me correptum historicus admirabilis detulit.

25. Νὴ Δία κἀκεῖνο κομιδῇ πιθανὸν περὶ τοῦ Σευηριανοῦ ὁ αὐτὸς οὗτος εἶπεν ἐπομοσάμενος, ἢ μὴν ἀκοῦσαί τινος τῶν ἐξ αὐτοῦ τοῦ ἔργου διαφυγόντων· οὔτε γὰρ ξίφει ἐθελῆσαι αὐτὸν ἀποθανεῖν οὔτε φαρμάκου πιεῖν οὔτε βρόχου ἅψασθαι, ἀλλά τινα θάνατον ἐπινοῆσαι τραγικὸν καὶ τῇ τόλμῃ ξενίζοντα· τυχεῖν μὲν γὰρ αὐτὸν ἔχοντα παμμεγέθη ἐκπώματα ὑάλινα τῆς καλλίστης ὑάλου· ἐπεὶ δὲ πάντως ἀποθανεῖν ἔγνωστο, κατάξαντα τὸν μέγιστον τῶν σκύφων ἑνὶ τῶν θραυσμάτων χρήσασθαι εἰς τὴν σφαγὴν ἐντεμόντα τῇ ὑάλῳ τὸν λαιμόν. Οὕτως οὐ ξιφίδιον, οὐ λογχάριον εὗρεν, ὡς ἀνδρεῖός γε αὐτῷ καὶ ἡρωϊκὸς ὁ θάνατος γένοιτο.

26. Εἶτ' ἐπειδὴ Θουκυδίδης ἐπιτάφιόν τινα εἶπε τοῖς πρώτοις τοῦ πολέμου ἐκείνου νεκροῖς, καὶ αὐτὸς ἠγήσατο χρῆναι ἐπειπεῖν τῷ Σευηριανῷ· ἅπασι γὰρ αὐτοῖς πρὸς τὸν οὐδὲν αἴτιον τῶν ἐν Ἀρμενίᾳ κακῶν, τὸν Θουκυδίδην, ἡ ἅμιλλα. Θάψας οὖν τὸν Σευηριανὸν μεγαλοπρεπῶς ἀναβιβάζεται ἐπὶ τὸν τάφον Ἀφράνιόν τινα Σίλωνα ἑκατόνταρχον, ἀνταγωνιστὴν Περικλέους, ὃς τοιαῦτα καὶ τοσαῦτα ἐπερρητόρευσεν αὐτῷ ὥστε με νὴ τὰς Χάριτας πολλὰ πάνυ δακρῦσαι ὑπὸ τοῦ γέλωτος, καὶ μάλιστα ὁπότε ὁ ῥήτωρ ὁ Ἀφράνιος ἐπὶ τέλει τοῦ λόγου δακρύων ἅμα σὺν οἰμωγῇ περιπαθεῖ ἐμέμνητο τῶν πολυτελῶν ἐκείνων δείπνων καὶ προπόσεων, εἶτα ἐπέθηκεν Αἰάντειόν τινα τὴν κορωνίδα· σπασάμενος γὰρ τὸ ξίφος, εὐγενῶς πάνυ καὶ ὡς Ἀφράνιον εἰκὸς ἦν, πάντων δρώντων ἀπέσφαξεν ἑαυτὸν ἐπὶ τῷ τάφῳ, οὐκ ἀνάξιος ὢν μὰ τὸν Ἐνυάλιον πρὸ πολλοῦ ἀποθανεῖν, εἰ τοιαῦτα ἐρρητόρευε. Καὶ τοῦτο ἔφη ἰδόντας τοὺς παρόντας ἅπαντας θαυμάσαι καὶ ὑπερεπαινέσαι τὸν Ἀφράνιον. Ἐγὼ δὲ καὶ τὰ ἄλλα μὲν αὐτοῦ κατεγίγνωσκον, μονονουχὶ ζωμῶν καὶ λοπάδων μεμνημένου καὶ ἐπιδακρύοντος τῇ τῶν πλακούντων μνήμῃ, τοῦτο δὲ μάλιστα ἠτιασάμην, ὅτι μὴ τὸν συγγραφέα καὶ διδάσκαλον τοῦ δράματος προαποσφάξας ἀπέθανε.

27. Πολλοὺς δὲ καὶ ἄλλους ὁμοίους τούτοις ἔχων σοι, ὦ ἑταῖρε, καταριθμήσασθαι, ὀλίγων ὅμως ἐπιμνησθείς, ἐπὶ τὴν ἑτέραν ὑπόσχεσιν ἤδη μετελεύσομαι, τὴν συμβουλὴν ὅπως ἂν ἄμεινον συγγράφοις· εἰσὶ γάρ τινες, οἳ τὰ μεγάλα μὲν τῶν πεπραγμένων καὶ ἀξιομνημόνευτα παραλείπουσιν ἢ παραθέουσιν, ὑπὸ δὲ ἰδιωτείας καὶ ἀπειροκαλίας καὶ ἀγνοίας τῶν λεκτέων ἢ σιωπητέων τὰ μικρότατα πάνυ λιπαρῶς καὶ φιλοπόνως ἑρμηνεύουσιν ἐμβραδύνοντες, ὥσπερ ἂν εἴ τις τοῦ Διὸς τοῦ ἐν Ὀλυμπίᾳ τὸ μὲν ὅλον κάλλος τοσοῦτον καὶ τοιοῦτον ὂν μὴ βλέποι μηδὲ ἐπαινοίη μηδὲ τοῖς οὐκ εἰδόσιν ἐξηγοῖτο, τοῦ ὑποποδίου δὲ τό τε εὐθυεργὲς καὶ τὸ εὔξεστον θαυμάζοι καὶ τῆς κρηπῖδος τὸ εὔρυθμον, καὶ ταῦτα πάνυ μετὰ πολλῆς φροντίδος διεξιών.

28. Ἐγὼ γοῦν ἤκουσά τινος τὴν μὲν ἐπ' Εὐρώπῳ μάχην ἐν οὐδ' ὅλοις ἑπτὰ ἔπεσι παραδραμόντος, εἴκοσι δὲ μέτρα ἢ ἔτι πλείω ὕδατος ἀναλωκότος ἐς ψυχρὰν καὶ οὐδὲν ἡμῖν προσήκουσαν διήγησιν, ὡς Μαῦρός τις ἱππεὺς Μαυσάκας τοὔνομα ὑπὸ δίψους πλανώμενος ἀνὰ τὰ ὄρη

25. Illud etiam, mehercule usquequaque probabile de Severiano idem ille, interposito jurejurando, dixit, se profecto audisse quendam eorum, qui ex ipsa clade aufugissent. Neque enim ferro illum voluisse mori, neque venenum bibere, neque laqueo se innectere, sed tragicam mortem aliquam excogitasse, et ipso consilio novam. Habuisse illum forte pocula miræ magnitudinis vitrea de vitro pulcherrimo : quum autem mori omnino decretum esset, confregisse scyphorum maximum et fragmentorum uno usum ad cædem, inciso vitri ope gutture. Adeo pugionem aut lanceolam non invenit, ut certe virilis illi et heroica mors contingeret?

26. Deinde quoniam Thucydides funebrem quandam orationem dixit primis illo in bello mortuis, ipse quoque existimavit dicendum esse talem Severiano : omnibus enim illis cum Thucydide, penes quem tamen nulla causa est illorum in Armenia malorum, est æmulatio. Postquam ergo sepeliit Severianum magnifice, ad sepulcrum statuit Afranium Silonem quendam, centurionem, Periclis æmulum, qui talia ac tanta de illo declamavit, ut, ita me Gratiæ! multum sane lacrimarum risus mihi excusserit, et maxime quum orator Afranius in peroratione, lacrimans cum ejulatione maximi affectus indice, mentionem fecit sumtuosarum illarum cœnarum atque propinationum : deinde sumtam ab Ajacis fabula coronidem imponit; stricto enim ense generose sane, et ut æquum erat Afranium, in conspectu omnium ad sepulcrum se interemit, non indignus, ita me Mars amet, qui multo ante moreretur, si quidem declamavit talia. Et hoc, ait, quum viderent præsentes, omnes admiratos esse, et supra modum laudasse Afranium. Ego vero tum reliqua illius damnabam, qui tantum non jusculorum et patinarum meminisset, illacrimareturque mentioni placentarum; hoc vero nomine maxime illum incusabam, quod non interfecto antea scriptore, qui hanc fabulam docuit, tum demum mortuus est.

27. Ceterum multos etiam alios similes hisce quum enumerare tibi, sodalis, possim; tamen paucorum facta mentione, ad alterum promissum meum jam transibo, ad consilium, quomodo quis scribat historiam melius. Sunt enim qui magna negotia et digna memoratu prætermittant aut transcurrant; præ inscitia vero et pulchri imperitia atque dicendorum tacendorumve ignoratione, minima quæque copiose admodum studioseque enarrent, diuque in iis immorentur : velut si quis Olympii Jovis totam quidem pulchritudinem tantam tamque multiplicem non videat, neque laudet, neque his qui non viderunt enarret, scabellum vero, quod ita ad normam exactum et politum sit, admiretur, et crepidinis proportionem; eaque plurima cum cura persequatur.

28. Ego igitur audivi quendam, qui pugnam quidem ad Europum vix septem versibus neque iis integris percurreret, viginti autem vel amplius mensuras aquæ (in clepsydra) impenderet in frigidam et nihil ad nos pertinentem narrationem, ut Maurus aliquis eques, Mausacas nomine, præ siti

καταλάβοι Σύρους τινὰς τῶν ἀγροίκων, ἄριστον παρατιθεμένους, καὶ ὅτι τὰ μὲν πρῶτα ἐκεῖνοι φοβηθεῖεν αὐτὸν, εἶτα μέντοι μαθόντες ὡς τῶν φίλων εἴη κατεδέξαντο καὶ εἱστίασαν· καὶ γάρ τινα τυχεῖν αὐτῶν ἀποδεδημηκότα καὶ αὐτὸν ἐς τὴν τῶν Μαύρων, ἀδελφοῦ αὐτῷ ἐν τῇ γῇ στρατευομένου. Μῦθοι τὸ μετὰ τοῦτο μακροὶ καὶ διηγήσεις, ὡς θηράσειεν αὐτὸς ἐν τῇ Μαυρουσίᾳ καὶ ὡς ἴδοι τοὺς ἐλέφαντας πολλοὺς ἐν τῷ αὐτῷ συννεμομένους καὶ ὡς ὑπὸ λέοντος ὀλίγου δεῖν καταβρωθείη, καὶ ἡλίκους ἰχθῦς ἐπρίατο ἐν Καισαρείᾳ· καὶ ὁ θαυμαστὸς συγγραφεὺς ἀφεὶς τὰς ἐν Εὐρώπῃ γιγνομένας σφαγὰς τοσαύτας καὶ ἐπελάσεις καὶ σπονδὰς ἀναγκαίας καὶ φυλακὰς καὶ ἀντιφυλακὰς ἄχρι βαθείας ἑσπέρας ἐφειστήκει ὁρῶν Μαλχίωνα τὸν Σύρον ἐν Καισαρείᾳ σκάρους παμμεγέθεις ἀξίους ὠνούμενον· εἰ δὲ μὴ νὺξ κατέλαβε, τάχ' ἂν καὶ συνεδείπνει μετ' αὐτοῦ ἤδη τῶν σκάρων ἐσκευασμένων. Ἅπερ εἰ μὴ ἐνεγέγραπτο ἐπιμελῶς τῇ ἱστορίᾳ, μεγάλα ἂν ἡμεῖς ἠγνοηκότες ἦμεν, καὶ ἡ ζημία Ῥωμαίοις ἀφόρητος, εἰ Μαυσάκας ὁ Μαῦρος διψῶν μὴ εὗρε πιεῖν, ἀλλ' ἄδειπνος ἐπανῆλθεν ἐπὶ τὸ στρατόπεδον. Καίτοι πόσα ἄλλα μακρῷ ἀναγκαιότερα ἐκὼν ἐγὼ νῦν παρίημι; ὡς καὶ αὐλητρὶς ἦκεν ἐκ τῆς πλησίον κώμης αὐτοῖς καὶ ὡς δῶρα ἀλλήλοις ἀντέδοσαν, ὁ Μαῦρος μὲν τῷ Μαλχίωνι λόγχην, ὁ δὲ τῷ Μαυσάκᾳ πόρπην, καὶ ἄλλα πολλὰ τοιαῦτα τῆς ἐπ' Εὐρώπῃ μάχης αὐτὰ δὴ τὰ κεφάλαια. Τοιγάρτοι εἰκότως ἄν τις εἴποι τοὺς τοιούτους τὸ μὲν ῥόδον αὐτὸ μὴ βλέπειν, τὰς ἀκάνθας δὲ αὐτοῦ τὰς παρὰ τὴν ῥίζαν ἀκριβῶς ἐπισκοπεῖν.

28. Ἄλλος, ὦ Φίλων, μάλα καὶ οὗτος γελοῖος, οὐδὲ τὸν ἕτερον πόδα ἐκ Κορίνθου πώποτε προβεβηκὼς οὐδ' ἄχρι Κεγχρεῶν ἀποδημήσας, οὔτι γε Συρίαν ἢ Ἀρμενίαν ἰδών, ὧδε ἤρξατο — μέμνημαι γάρ — « Ὦτα ὀφθαλμῶν ἀπιστότερα· γράφω τοίνυν ἃ εἶδον, οὐχ ἃ ἤκουσα. » Καὶ οὕτως ἀκριβῶς ἅπαντα ἑοράκει, ὥστε τοὺς δράκοντας ἔφη τῶν Παρθυαίων — σημεῖον δὲ πλήθους τοῦτο αὐτοῖς· χιλίους γὰρ οἶμαι ὁ δράκων ἄγει — ζῶντας δράκοντας παμμεγέθεις εἶναι γεννωμένους ἐν τῇ Περσίδι μικρὸν ὑπὲρ τὴν Ἰβηρίαν, τούτους δὲ τέως μὲν ἐπὶ κοντῶν μεγάλων ἐκδεδεμένους ὑψηλοὺς αἰωρεῖσθαι καὶ πόρρωθεν ἐπελαυνόντων δέος ἐμποιεῖν, ἐν αὐτῷ δὲ τῷ ἔργῳ ἐπειδὰν ὁμοῦ ἴωσι, λύσαντες αὐτοὺς ἐπαφιᾶσι τοῖς πολεμίοις· ἀμέλει πολλοὺς τῶν ἡμετέρων οὕτω καταποθῆναι καὶ ἄλλους, περισπειραθέντων αὐτοῖς, ἀποπνιγῆναι καὶ συγκλασθῆναι· ταῦτα δὲ ἐφεστὼς ὁρᾶν αὐτὸς, ἐν ἀσφαλεῖ μέντοι ἀπὸ δένδρου ὑψηλοῦ ποιούμενος τὴν σκοπήν. Καὶ εὖ γε ἐποίησε μὴ ὁμόσε χωρήσας τοῖς θηρίοις, ἐπεὶ οὐκ ἂν ἡμεῖς οὕτω θαυμαστὸν συγγραφέα νῦν εἴχομεν καὶ ἀπὸ χειρὸς αὐτὸν μεγάλα καὶ λαμπρὰ ἐν τῷ πολέμῳ τούτῳ ἐργασάμενον· καὶ γὰρ ἐκινδύνευσε πολλὰ καὶ ἐτρώθη περὶ Σοῦραν, ἀπὸ τοῦ Κρανείου δῆλον ὅτι βαδίζων ἐπὶ τὴν Λέρναν. Καὶ ταῦτα Κορινθίων ἀκουόντων ἀνεγίγνωσκε τῶν ἀκριβῶς εἰδότων, ὅτι μηδὲ κατὰ τοίχου γεγραμμένον πόλεμον ἑοράκει.

per montes oberrans, Syros quosdam rusticos deprehenderit, qui prandium sibi apponebant, atque ut initio illi pertinuerint eum, deinde autem, cognito amicum esse, acceperint prandio : etenim forte quendam illorum et ipsum in Maurorum terra peregrinatum esse, quod suus frater in ea regione militaret. Hinc fabulæ longæ, et narrationes, quomodo ipse in Mauritania venatus esset, et ut vidisset elephantas multos una pascentes, et ut parum abfuerit quin a leone devoratus esset, et quam magnos Cæsareæ pisces emerit. Et historicus admirabilis, omissis tantis cædibus, quæ circa Europum interea fiebant et invasionibus, et induciis necessariis, et præsidiis ab utraque parte disponendis, ad seram usque vesperam Malchioni Syro, Cæsareæ scaros ingentes vili pretio ementi, spectator astitit : nisi vero nox oppressisset, forte etiam cœnaturus cum illo erat, scaris jam paratis. Quæ nisi cum cura scripta essent in historia, magna vero nos ignorassemus, et jactura Romanis intoleranda fuisset, si Mausacas Maurus sitiens, quod biberet, non invenisset, sed incœnatus in castra rediisset. Quamvis quot etiam alia longe magis necessaria sciens ego nunc prætermitto? tibicina etiam ut illis ex proximo pago venerit, et uti dona alter alteri dederint, Maurus quidem Malchioni lanceam, at hic fibulam Mausacæ, multaque alia ex hoc genere, ipsa nempe prælii ad Europum capita. Merito ergo dicat aliquis, tales homines rosam quidem ipsam non videre, spinas vero illius radici proximas accurate considerare.

29. Alius, mi Philo, valde ipse etiam ridiculus, qui neque alterum Corintho pedem protulisset unquam, neque Cenchreas usque discessisset, nedum Syriam vidisset aut Armeniam; ita, memini enim, exorsus est : « Aures minus fideles oculis : scribo igitur quæ vidi, non quæ audivi. » Atqui tam accurate viderat omnia, uti diceret, dracones Parthorum (est vero hoc illis numeri signum : mille enim, puto, milites draco ducit) vivos esse serpentes ingenti magnitudine, qui nascantur in Perside paullo supra Iberiam : et eos initio quidem in contis magnis revinctos celsosque ferri, atque e longinquo dum invadant, terrorem injicere : in ipsa autem pugna, inquit, quum concurritur, solutos illos hostibus immittunt : itaque multos nostrorum ita devoratos, et alios quum spiris illos suis complexi essent dracones, suffocatos elisosque. Hæc vero ex propinquo se vidisse ipsum, in tuto tamen loco de altissima arbore speculantem. Et bene sane fecit, quod non ex propinquo congressus est illis belluis; alioqui enim tam admirabili nunc scriptore nobis carendum esset, qui manu etiam sua magnifica quædam et clarissima facinora hoc bello edidit : multa etenim pericula subiit, et vulneratus est circa Suram, dum videlicet a Cranio ad Lernam ambulaverit. Atque ista Corinthiis audientibus recitavit, qui accurate scirent illum ne pictum quidem in pariete bellum vidisse.

Ἀλλ' οὐδὲ ὅπλα ἐκεῖνός γε ᾔδει οὐδὲ μηχανήματα οἷά ἐστιν οὐδὲ τάξεων ἢ καταλοχισμῶν ὀνόματα· πάνυ γοῦν ἔμελεν αὐτῷ πλαγίαν μὲν τὴν φάλαγγα, ἐπὶ κέρως δὲ λέγειν τὸ ἐπὶ μετώπου ἄγειν.

30 Εἷς δέ τις βέλτιστος ἅπαντα ἐξ ἀρχῆς ἐς τέλος τὰ πεπραγμένα, ὅσα ἐν Ἀρμενίᾳ, ὅσα ἐν Συρίᾳ, ὅσα ἐν Μεσοποταμίᾳ, τὰ ἐπὶ τῷ Τίγρητι, τὰ ἐν Μηδίᾳ, πεντακοσίοις οὐδ' ὅλοις ἔπεσι περιλαβὼν συνέτριψε καὶ τοῦτο ποιήσας ἱστορίαν συγγεγραφέναι φησί. Τὴν μέντοι ἐπιγραφὴν ὀλίγου δεῖν μακροτέραν τοῦ βιβλίου ἐπέγραψεν, « Ἀντιοχιανοῦ τοῦ Ἀπόλλωνος ἱερονίκου » — δόλιχον γάρ που οἶμαι ἐν παισὶ νενίκηκε — « τῶν ἐν Ἀρμενίᾳ καὶ Μεσοποταμίᾳ καὶ ἐν Μηδίᾳ νῦν Ῥωμαίοις πραχθέντων ἀφήγησις ».

31. Ἤδη δ' ἐγώ τινος καὶ τὰ μέλλοντα συγγεγραφότος ἤκουσα, καὶ τὴν λῆψιν τὴν Οὐολογέσου καὶ τὴν Ὀσρόου σφαγὴν, ὡς παραβληθήσεται τῷ λέοντι, καὶ ἐπὶ πᾶσι τὸν τριπόθητον ἡμῖν θρίαμβον. Οὕτω μαντικῶς ἅμα ἔχων ἔσπευδεν ἤδη πρὸς τὸ τέλος τῆς γραφῆς. Ἀλλὰ καὶ πόλιν ἤδη ἐν τῇ Μεσοποταμίᾳ ᾤκισε μεγέθει τε μεγίστην καὶ κάλλει καλλίστην· ἔτι μέντοι ἐπισκοπεῖ καὶ διαβουλεύεται εἴτε Νίκαιαν αὐτὴν ἀπὸ τῆς νίκης χρὴ ὀνομάζεσθαι εἴτε Ὁμόνοιαν εἴτε Εἰρηνίαν. Καὶ τοῦτο μὲν ἔτι ἄκριτον καὶ ἀνώνυμος ἡμῖν ἡ καλὴ πόλις ἐκείνη, λήρου πολλοῦ καὶ κορύζης συγγραφικῆς γέμουσα· τὰ δ' ἐν Ἰνδοῖς πραχθησόμενα ὑπέσχετο ἤδη γράψειν καὶ τὸν περίπλουν τῆς ἔξω θαλάττης, καὶ οὐχ ὑπόσχεσις ταῦτα μόνον, ἀλλὰ καὶ τὸ προοίμιον τῆς Ἰνδικῆς ἤδη συντέτακται, καὶ τὸ τρίτον τάγμα καὶ οἱ Κελτοὶ καὶ Μαύρων μοῖρα ὀλίγη σὺν Κασσίῳ πάντες οὗτοι ἐπεραιώθησαν τὸν Ἰνδὸν ποταμόν· ὅ τι δὲ καὶ πράξουσιν ἢ πῶς δέξονται τὴν τῶν ἐλεφάντων ἐπέλασιν, οὐκ εἰς μακρὰν ἡμῖν ὁ θαυμαστὸς συγγραφεὺς ἀπὸ Μουζίριδος ἢ ἀπ' Ὀξυδρακῶν ἐπιστελεῖ.

32. Τοιαῦτα πολλὰ ὑπὸ ἀπαιδευσίας ληροῦσι, τὰ μὲν ἀξιόρατα οὔτε ὁρῶντες οὔτ', εἰ βλέποιεν, κατ' ἀξίαν εἰπεῖν δυνάμενοι, ἐπινοοῦντες δὲ καὶ ἀναπλάττοντες, ὅ τι κεν ἐπ' ἀκαιρίμαν γλῶσσαν, φασὶν, ἔλθῃ, καὶ ἐπὶ τῷ ἀριθμῷ τῶν βιβλίων ἔτι σεμνυνόμενοι, καὶ μάλιστα ἐπὶ ταῖς ἐπιγραφαῖς· καὶ γὰρ αὖ καὶ αὖται παγγέλοιοι· τοῦ δεῖνος Παρθικῶν νικῶν τοσάδε· καὶ αὖ· Παρθίδος πρῶτον, δεύτερον, ὡς Ἀτθίδος δῆλον ὅτι. Ἄλλος ἀστειότερον παρὰ πολύ —ἀνέγνων γάρ — Δημητρίου Σαγαλασσέως Παρθονικικά· οὐδ' ὡς ἐν γέλωτι ποιήσασθαι καὶ ἐπισκῶψαι τὰς ἱστορίας οὕτω καλὰς οὔσας, ἀλλὰ τοῦ χρησίμου ἕνεκα· ὡς ὅστις ἂν ταῦτα καὶ τὰ τοιαῦτα φεύγῃ, πολὺ μέρος ἤδη ἐς τὸ ὀρθῶς συγγράφειν οὗτος προείληφε, μᾶλλον δὲ ὀλίγων ἔτι προσδεῖται, εἴ γε ἀληθὲς ἐκεῖνό φησιν ἡ διαλεκτικὴ, ὡς τῶν ἀμέσων ἡ θατέρου ἄρσις τὸ ἕτερον πάντως ἀντεισάγει·

33. Καὶ δὴ τὸ χωρίον σοι, φαίη τις ἂν, ἀκριβῶς ἀνακεκάθαρται καὶ αἵ τε ἄκανθαι, ὁπόσαι ἦσαν, καὶ βάτοι ἐκκεκομμέναι εἰσὶ, τὰ δὲ τῶν ἄλλων ἐρείπια ἤδη ἐκπεφόρηται, καὶ εἴ τι τραχὺ, ἤδη καὶ τοῦτο λεῖόν

Sed neque arma ille novit, neque machinas, quales sint; neque acierum aut ordinum struendorum nomina: qui multum scilicet curavit, ecquam transversam diceret quæ directa esset acies, vel in cornu ducere appellaret quod dici in frontem oportebat.

30. Unus autem aliquis præstantissimus res ab initio inde ad finem usque gestas omnes, quæcumque in Armenia, quæ in Syria, quæ in Mesopotamia, quæ ad Tigrim, quæ in Media acta sunt, quingentis non integris versibus amplexus comminuit: idque ubi fecit, historiam se ait scripsisse. Titulum tamen, parum abest quin majorem libro, inscripsit ejusmodi: « Antiochiani, in sacro Apollinis certamine victoris (cursu, credo, aliquando puer vicerat), eorum quæ in Armenia et Mesopotamia et Media a Romanis modo gesta sunt enarratio. »

31. Jam vero audivi etiam qui futurarum rerum historiam scripserit, et captivitatem Vologesi, et Osrois cædem, quomodo ut leoni objicietur, et super omnia desideratissimum nobis triumphum. Sic vaticinantis simul furore instinctus ad finem jam scriptionis properavit. Verum etiam urbem jam in Mesopotamia condidit, magnitudine maximam et pulchritudine pulcherrimam; illud vero adhuc considerat et consulit, utrum Victoriam illam appellare fas sit, an Concordiam, an Paciferam. Et istud quidem nondum decretum est et adhuc sine nomine nobis urbs illa pulcherrima, deliriis multis atque muco historico oppleta: ea vero quæ apud Indos aliquando gerentur, jam scripturum se recepit, externique maris circuitum. Neque ista intra promissionem subsistunt, sed procemium Indicæ jam compositum est: ac tertia legio, et Galli, et Maurorum manus exigua duce Cassio, omnes jam Indum flumen trajecerunt: quid vero facturi sint, aut elephantorum quomodo sint impetum excepturi, ea non ita multo post nobis admirabilis scriptor Muziride aut ab Oxydracis perscribet.

32. Talia multa præ inscitia delirant, qui digna visu neque vident, neque si viderint explicare pro dignitate queant, excogitent vero et confingant quicquid in buccas illas importunas, aiunt, venerit: præterea in numero quoque librorum gravitatem quandam affectant, maxime ipsis in inscriptionibus: nam rursus hæ quoque perquam ridiculæ. Alicujus Parthicarum victoriarum tot libri: et rursus, Parthidis primus, secundus, nempe ut Atthidis. Alius multo etiam urbanius (legi enim), Demetrii Sagalassensis Parthonicica. Neque vero eo ista commemoro, ut ridiculo habeam et ludibrio traducam historias tam bellas, verum utilitatis causa: quandoquidem qui hæc et horum similia fugerit, ille jam multum ad rectam historiæ scribendæ rationem profecit, vel potius paucis adhuc indiget, si quidem vere illud dialectica præcipit, eorum, inter quæ nihil est medium, alterius sublationem necessario contra inducere alterum.

33. Et sane area tibi, dicat aliquis, accurate purgata est, atque spinæ, quotquot erant, et vepres excisi sunt; rudera reliquorum jam elata, et si quid asperum fuerat, jam planum est. Itaque jam tu aliquid ædifica et ipse, ut

ἐστιν. Ὥστε οἰκοδόμει τι ἤδη καὶ αὐτὸς, ὡς δείξῃς οὐκ ἀνατρέψαι μόνον τὸ τῶν ἄλλων γεννάδας ὤν, ἀλλά τι καὶ αὐτὸς ἐπινοῆσαι δεξιὸν καὶ ὃ οὐδεὶς ἂν, ἀλλ' οὐδ' ὁ Μῶμος μωμήσασθαι δύναιτο.

34. Φημὶ τοίνυν τὸν ἄριστα ἱστορίαν συγγράφοντα δύο μὲν ταῦτα κορυφαιότατα οἴκοθεν ἔχοντα ἥκειν, σύνεσίν τε πολιτικὴν καὶ δύναμιν ἑρμηνευτικὴν, τὴν μὲν ἀδίδακτόν τι τῆς φύσεως δῶρον, ἡ δύναμις δὲ πολλῇ τῇ ἀσκήσει καὶ συνεχεῖ τῷ πόνῳ καὶ ζήλῳ τῶν ἀρχαίων προσγεγενημένη ἔστω. Ταῦτα μὲν οὖν ἄτεχνα καὶ οὐδὲν ἐμοῦ συμβούλου δεόμενα· οὐ γὰρ συνετοὺς καὶ ὀξεῖς ἀποφαίνειν τοὺς μὴ παρὰ τῆς φύσεως τοιούτους φησὶ τοῦτο ἡμῖν τὸ βιβλίον· ἐπεὶ πολλοῦ ἂν, μᾶλλον δὲ τοῦ παντὸς ἦν ἄξιον, εἰ μεταπλάσαι καὶ μετακοσμῆσαι τὰ τηλικαῦτα ἠδύνατο ἢ ἐκ μολύβδου χρυσὸν ἀποφῆναι ἢ ἄργυρον ἐκ κατττιτέρου ἢ ἀπὸ Κόνωνος Τίτορμον ἢ ἀπὸ Λεωτροφίδου Μίλωνα ἐξεργάσασθαι.

35. Ἀλλὰ ποῦ τὸ τῆς τέχνης καὶ τὸ τῆς συμβουλῆς χρήσιμον; οὐκ ἐς ποίησιν τῶν προσόντων, ἀλλ' ἐς χρῆσιν αὐτῶν τὴν προσήκουσαν· οἷόν τι ἀμέλει καὶ Ἴκκος καὶ Ἡρόδικος καὶ Θέων καὶ εἴ τις ἄλλος γυμναστὴς, οὐχ ὑπόσχοιντο ἄν σοί που τὸν Περδίκκαν παραλαβόντες [εἰ δὴ οὗτός ἐστιν ὁ τῆς μητρυιᾶς ἐρασθεὶς καὶ διὰ ταῦτα κατεσκληκὼς, ἀλλὰ μὴ Ἀντίοχος ὁ τοῦ Σελεύκου Στρατονίκης ἐκείνης] ἀποφαίνειν Ὀλυμπιονίκην καὶ Θεαγένει τῷ Θασίῳ ἢ Πολυδάμαντι τῷ Σκοτουσσαίῳ ἀντίπαλον, ἀλλὰ τὴν δοθεῖσαν ὑπόθεσιν εὐφυᾶ πρὸς ὑποδοχὴν τῆς γυμναστικῆς παρὰ πολὺ ἀμείνω ἀποφαίνειν μετὰ τῆς τέχνης. Ὥστε ἀπέστω καὶ ἡμῶν τὸ ἐπίφθονον τοῦτο τῆς ὑποσχέσεως, εἰ τέχνην φαμὲν ἐφ' οὕτω μεγάλῳ καὶ χαλεπῷ τῷ πράγματι εὑρηκέναι· οὐ γὰρ ὀντινοῦν παραλαβόντες ἀποφαίνειν συγγραφέα φαμὲν, ἀλλὰ τῷ φύσει συνετῷ καὶ ἄριστα πρὸς λόγους ἠσκημένῳ ὑποδείξειν ὁδούς τινας ὀρθὰς, εἰ δὴ τοιαῦται φαίνονται, αἷς χρώμενος θᾶττον ἂν καὶ εὐμαρέστερον τελέσειεν ἄχρι πρὸς τὸν σκοπόν.

36. Καίτοι οὐ γὰρ ἂν φαίης ἀπροσδεῆ τὸν συνετὸν εἶναι τῆς τέχνης καὶ διδασκαλίας ὧν ἀγνοεῖ· ἐπεὶ κἂν ἐκιθάριζε μὴ μαθὼν καὶ ηὔλει καὶ πάντα ἂν ἠπίστατο. Νῦν δὲ μὴ μαθὼν οὐκ ἄν τι αὐτῶν χειρουργήσειεν, ὑποδείξαντος δέ τινος ῥᾷστά τε ἂν μάθοι καὶ εὖ μεταχειρίσαιτο ἐφ' αὑτοῦ.

37. Καὶ τοίνυν καὶ ἡμῖν τοιοῦτός τις ὁ μαθητὴς νῦν παραδεδόσθω, συνεῖναί τε καὶ εἰπεῖν οὐκ ἀγεννὴς, ἀλλ' ὀξὺ δεδορκὼς, οἷος καὶ πράγμασι χρήσασθαι ἂν, εἰ ἐπιτραπείη, καὶ γνώμην στρατιωτικὴν, ἀλλὰ μετὰ τῆς πολιτικῆς καὶ ἐμπειρίαν στρατηγικὴν ἔχειν καὶ νὴ Δία καὶ ἐν στρατοπέδῳ γεγονώς ποτε καὶ γυμναζομένους ἢ τattομένους στρατιώτας ἑρακὼς καὶ ὅπλα εἰδὼς καὶ μηχανήματα ἕνια καὶ τί ἐπὶ κέρους καὶ τί ἐπὶ μετώπου, πῶς οἱ λόχοι, πῶς οἱ ἱππεῖς καὶ πόθεν καὶ τί ἐξελαύνειν ἢ περιελαύνειν, καὶ ὅλως, οὐ τῶν κατοικιδίων τις οὐδ' οἷος πιστεύειν μόνον τοῖς ἀπαγγέλλουσι.

38. Μάλιστα δὲ καὶ πρὸ τῶν πάντων ἐλεύθερος

non diruendis tantum aliorum operibus virum te fortem ostendas, sed idoneum aliquid etiam per te ipsum excogitare, quodque nemo, ne ipse quidem Momus possit reprehendere.

34. Aio igitur eum qui optime scripturus sit historiam, duo quidem ista maxime capitalia domo ad eam rem afferre debere, prudentiam civilem et vim eloquendi; alteram quidem ingenii munus, doceri nescium : eloquendi vero vis multa exercitatione, et perpetuo labore, et antiquorum æmulatione accesserit oportet. Hæc quidem igitur artis et disciplinæ expertia, neque meo indigentia consilio : non enim prudentes atque acutos reddere eos qui a natura tales non sunt, hic noster libellus promittit : alioquin magni, quin quantivis esset pretii, si refingere et retractare talia posset, aut ex plumbo aurum facere, vel argentum de stanno, aut ex Conone Titormum, aut ex Leotrophide Milonem efficere.

35. Sed ubi artis et consilii usus est? Non ad creanda quæ adesse debent, sed ad usum illorum convenientem. Sicut nempe etiam Iccus et Herodicus, et Theon, et si quis alius exercitor, non promiserint tibi assumtum hunc Perdiccam [si modo hic est ille, qui novercæ suæ amore quum correptus esset, ob id ipsum contabuit; non Antiochus Seleuci filius, Stratonicam illam deperiens] Olympiæ victorem reddere, et qui cum Thasio Theagene, aut Polydamante Scotussæo comparari possit : verum hoc promiserint, se datam sibi materiem aptam natam recipiendæ illi exercitationum rationi meliorem multo ope artis suæ reddituros. Itaque absit a nobis etiam pollicitationis illius invidia, si artem nos dicamus rei ita magnæ atque difficili consequendæ reperisse : neque enim hoc dicimus, nos quemcunque de medio arreptum reddituros historicum; sed ei qui natura prudens et optime ad dicendum exercitatus fuerit, ostensuros vias quasdam rectas, si quidem tales eæ videbuntur, quas si institerit, celerius faciliusque ad scopum pervenire possit.

36. Neque enim hoc dixeris, qui prudens sit, eum nihil indigere arte ac disciplina eorum quæ ignorat : alioqui citharam etiam nemine docente pulsaret, et inflaret tibias, ac nosset omnia. Jam vero sine disciplina nihil horum tractaverit : verum si quis illi commonstret, et discet facillime, et bene deinde suo ipse Marte tractabit.

37. Itaque nobis etiam talis nunc tradatur discipulus, non ignavus ad intelligendum neque ad dicendum; sed acutum cernens, qui etiam negotia publica tractare, si præficiatur, possit, militaremque animum, sed cum civili, etiam bellici ducis experientiam habere : et qui mehercle in castris aliquando versatus fuerit, militesque viderit dum exerceantur instruunturve, armaque et machinas quasdam norit, quidque sit in cornu, quid in frontem, quomodo ordines, quomodo equites, et unde, et quid sit obequitare, aut circumequitare : verbo, detur nobis non aliquis qui domi desideat, quique credat solum narrantibus.

38. Maxime vero et ante omnia liber sit animo, neu

ἔστω τὴν γνώμην καὶ μήτε φοβείσθω μηδένα μήτε ἐλπιζέτω μηδέν, ἐπεὶ ὅμοιος ἔσται τοῖς φαύλοις δικασταῖς πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν ἐπὶ μισθῷ δικάζουσιν. Ἀλλὰ μὴ μελέτω αὐτῷ μήτε Φίλιππος ἐκκεκομμένος τὸν ὀφθαλμὸν ὑπὸ Ἀστέρος τοῦ Ἀμφιπολίτου τοῦ τοξότου ἐν Ὀλύνθῳ, ἀλλὰ τοιοῦτος οἷος ἦν δειχθήσεται· μήτ' εἰ Ἀλέξανδρος ἀνιάσεται ἐπὶ τῇ Κλείτου σφαγῇ ὠμῶς ἐν τῷ συμποσίῳ γενομένῃ, εἰ σαφῶς ἀναγράφοιτο· οὐδὲ Κλέων αὐτὸν φοβήσει μέγα ἐν τῇ ἐκκλησίᾳ δυνάμενος καὶ κατέχων τὸ βῆμα, ὡς μὴ εἰπεῖν ὅτι ὀλέθριος καὶ μανικὸς ἄνθρωπος οὗτος ἦν· οὐδὲ ἡ σύμπασα πόλις τῶν Ἀθηναίων, ἢν τὰ ἐν Σικελίᾳ κακὰ ἱστορῇ καὶ τὴν Δημοσθένους λῆψιν καὶ τὴν Νικίου τελευτὴν καὶ ὡς ἐδίψων καὶ οἷον τὸ ὕδωρ ἔπινον καὶ ὡς ἐφονεύοντο πίνοντες οἱ πολλοί. Ἡγήσεται γὰρ — ὅπερ δικαιότατον — ὑπ' οὐδενὸς τῶν νοῦν ἐχόντων αὐτὸς ἕξειν τὴν αἰτίαν, ἢν τὰ δυστυχῶς ἢ ἀνοήτως γεγενημένα ὡς ἐπράχθη διηγῆται· οὐ γὰρ ποιητὴς αὐτῶν, ἀλλὰ μηνυτὴς ἦν. Ὥστε κἂν καταναυμαχῶνται τότε, οὐκ ἐκεῖνος ὁ καταδύων ἐστί, κἂν φεύγωσιν, οὐκ ἐκεῖνος ὁ διώκων, ἐκτὸς εἰ μὴ, εὖ ἔχασθαι δέον, παρέλειπεν· ἐπεί τοί γε εἰ σιωπήσας αὐτὰ ἢ πρὸς τοὐναντίον εἰπὼν ἐπανορθώσασθαι ἐδύνατο, ῥᾷστον ἦν ἑνὶ καλάμῳ λεπτῷ τὸν Θουκυδίδην ἀνατρέψαι μὲν τὸ ἐν ταῖς Ἐπιπολαῖς παρατείχισμα, καταδῦσαι δὲ τὴν Ἑρμοκράτους τριήρη καὶ τὸν κατάρατον Γύλιππον διαπεῖραι μεταξὺ ἀποτειχίζοντα καὶ ἀποταφρεύοντα τὰς ὁδοὺς, καὶ τέλος Συρακοσίους μὲν ἐς τὰς λιθοτομίας ἐμβαλεῖν, τοὺς δ' Ἀθηναίους περιπλεῖν Σικελίαν καὶ Ἰταλίαν μετὰ τῶν πρώτων τοῦ Ἀλκιβιάδου ἐλπίδων. Ἀλλ', οἶμαι, τὰ μὲν πραχθέντα οὐδὲ Κλωθὼ ἂν ἔτι ἀνακλώσειεν οὐδὲ Ἄτροπος μετατρέψειε.

39. Τοῦ δὴ συγγραφέως ἔργον ἦν, ὡς ἐπράχθη, εἰπεῖν. Τοῦτο δ' οὐκ ἂν δύναιτο, ἄχρι ἂν ἡ φοβῆται Ἀρτοξέρξην ἰατρὸς αὐτοῦ ὤν, ἢ ἐλπίζῃ κάνδυν πορφυροῦν καὶ στρεπτὸν χρυσοῦν καὶ ἵππον τῶν Νισαίων λήψεσθαι μισθὸν τῶν ἐν τῇ γραφῇ ἐπαίνων. Ἀλλ' οὐ Ξενοφῶν αὐτὸ ποιήσει, δίκαιος συγγραφεὺς, οὐδὲ Θουκυδίδης. Ἀλλὰ κἂν ἰδίᾳ μισῇ τινας, πολὺ ἀναγκαιότερον ἡγήσεται τὸ κοινὸν καὶ τὴν ἀλήθειαν περὶ πλείονος ποιήσεται τῆς ἔχθρας, κἂν φιλῇ, ὅμως οὐκ ἀφέξεται ἁμαρτάνοντος· ἓν γὰρ, ὡς ἔφην, τοῦτο ἴδιον ἱστορίας, καὶ μόνῃ θυτέον τῇ ἀληθείᾳ, εἴ τις ἱστορίαν γράψων ἔοι, τῶν δ' ἄλλων ἁπάντων ἀμελητέον αὐτῷ, καὶ ὅλως πῆχυς εἷς καὶ μέτρον ἀκριβὲς, ἀποβλέπειν μὴ εἰς τοὺς νῦν ἀκούοντας, ἀλλ' εἰς τοὺς μετὰ ταῦτα συνεσομένους τοῖς συγγράμμασιν.

40. Εἰ δὲ τὸ παραυτίκα τις θεραπεύοι, τῆς τῶν κολακευόντων μερίδος εἰκότως ἂν νομισθείη, οὓς πάλαι ἡ ἱστορία καὶ ἐξ ἀρχῆς εὐθὺς ἀπέστραπτο, οὐ μεῖον ἢ κομμωτικὴν ἡ γυμναστική. Ἀλεξάνδρου γοῦν καὶ τοῦτο ἀπομνημονεύουσιν, ὅς, Ἡδέως ἄν, ἔφη, πρὸς ὀλίγον ἀνεβίουν, ὦ Ὀνησίκριτε, ἀποθανὼν, ὡς μάθοιμι ὅπως ταῦτα οἱ ἄνθρωποι τότε ἀναγιγνώσκουσιν. Εἰ δὲ νῦν metuat quenquam, neve quicquam speret : alioqui malis judicibus similis erit, ad gratiam aut inimicitias mercede jus dicentibus. Sed neque curæ ipsi sit aut Philippus oculo privatus ab Astere Amphipolitano sagittario ad Olynthum; verum qualis erat, talis ostendetur : neque an Alexander ægre laturus sit Cliti cædem crudeliter in convivio factam, si dilucide scribatur; neque Cleon illum terrebit, multum in concione valens et regnans in suggestu, quominus dicat perniciosum furiosumque fuisse hominem : neque universa Atheniensium civitas, si Siculas clades enarret, et Demosthenis captivitatem, et mortem Niciæ, et ut sitierint, et qualem aquam biberint, et ut inter bibendum cæsi sint multi. Existimabit enim, quod res est a nemine sano vitio sibi datum iri, si, quæ infeliciter aut parum prudenter facta sunt, ea quemadmodum contigere enarret. Neque enim ipse auctor illorum est, sed index. Itaque quum navali prælio vincuntur, non ille est qui submergit; et, si fugiant, non ille qui tergis instat : nisi forte, quum votis opus esset, ea prætermiserit. Quandoquidem si tacendo illa, aut in contrarium narrando corrigere potuisset; facillimum erat Thucydidi, tenui uno calamo evertere munitionem Epipolis impositam, et Hermocratis triremem submergere, et exsecrabilem illum confodere Gylippum, dum munitionibus vias et fossis intercludit; et tandem Syracusanos quidem in lapicidinas conjicere, Atheniensibus vero hoc præstare, ut Siciliam atque Italiam secundum primas spes Alcibiadis navigatione complecterentur. Verum quæ facta sunt, ea, puto, neque Clotho retro glomerare potest, neque retractare Atropos.

39. Historici autem unum est opus, ut gesta sint singula, ita dicere. Hoc vero facere non poterit, quam diu Artaxerxen metuet, cujus sit medicus, aut purpureamf se candyn sperabit, et torquem auream, et equum Nisæum accepturum, mercedem suarum in historia laudum. Verum Xenophon hoc non fecerit, justus scriptor, neque Thucydides. Sed licet privatim quosdam oderit, multo sibi magis necessariam judicabit rem publicam, et veritâtem pluris faciet quam inimicitias : et, si quem amet, tamen non parcet peccanti. Unum enim, ut dixi, hoc historiæ proprium est, et soli litandum veritati, si quis ad scribendam historiam accedat; reliquorum vero omnium cura abjicienda ipsi. Atque in universum, norma una et mensura exacta hæc est, respicere non ad eos qui nunc audiunt, sed ad hos qui postero ævo cum scriptis nostris sint versaturi.

40. Si quis vero quod præsens est modo captet suis studiis, adulatorum merito gregi ascribetur, quos dudum historia ab initio inde non minus quam exercitatrix ars comtricem illam mangonum aversata est. Alexandri quidem illam quoque memorabilem vocem referunt, qui, Lubens, inquit, Onesicrite, vel ad parvum temporis spatium post mortem meam reviviscerem, audiendi causa, quomodo ista lecturi

αὐτὰ ἐπαινεῦσι καὶ ἀσπάζονται, μὴ θαυμάσῃς· οἴονται γὰρ οὐ μικρῷ τινι τῷ δελέατι τούτῳ ἀνασπάσειν ἕκαστος τὴν παρ' ἡμῶν εὔνοιαν. Ὁμήρῳ γοῦν, καίτοι πρὸς τὸ μυθῶδες τὰ πλεῖστα συγγεγραφότι ὑπὲρ τοῦ Ἀχιλλέως, ἤδη καὶ πιστεύειν τινὲς ὑπάγονται, μόνον τοῦτο εἰς ἀπόδειξιν τῆς ἀληθείας μέγα τεκμήριον τιθέμενοι, ὅτι μὴ περὶ ζῶντος ἔγραφεν· οὐ γὰρ εὑρίσκουσιν οὗτινος ἕνεκα ἐψεύδετ' ἄν.

41. Τοιοῦτος οὖν μοι ὁ συγγραφεὺς ἔστω, ἄφοβος, ἀδέκαστος, ἐλεύθερος, παρρησίας καὶ ἀληθείας φίλος, ὡς ὁ κωμικός φησι, τὰ σῦκα σῦκα, τὴν σκάφην δὲ σκάφην ὀνομάσων, οὐ μίσει οὐδὲ φιλίᾳ τι νέμων οὐδὲ φειδόμενος ἢ ἐλεῶν ἢ αἰσχυνόμενος ἢ δυσωπούμενος, ἴσος δικαστής, εὔνους ἅπασιν ἄχρι τοῦ μὴ θατέρῳ ἀπονείμαι πλεῖον τοῦ δέοντος, ξένος ἐν τοῖς βιβλίοις καὶ ἄπολις, αὐτόνομος, ἀβασίλευτος, οὐ τί τῷδε ἢ τῷδε δόξει λογιζόμενος, ἀλλὰ τί πέπρακται λέγων.

42. Ὁ δ' οὖν Θουκυδίδης εὖ μάλα τοῦτ' ἐνομοθέτησε καὶ διέκρινεν ἀρετὴν καὶ κακίαν συγγραφικὴν, ὁρῶν μάλιστα θαυμαζόμενον τὸν Ἡρόδοτον, ἄχρι τοῦ καὶ Μούσας κληθῆναι αὐτοῦ τὰ βιβλία· κτῆμα γάρ φησι μᾶλλον ἐς ἀεὶ συγγράφειν ἢπερ ἐς τὸ παρὸν ἀγώνισμα, καὶ μὴ τὸ μυθῶδες ἀσπάζεσθαι, ἀλλὰ τὴν ἀλήθειαν τῶν γεγενημένων ἀπολείπειν τοῖς ὕστερον. Καὶ ἐπάγει τὸ χρήσιμον καὶ ὃ τέλος ἄν τις εὖ φρονῶν ὑπόθοιτο ἱστορίας, ὡς εἴ ποτε καὶ αὖθις τὰ ὅμοια καταλάβοι, ἔχοιεν, φησί, πρὸς τὰ προγεγραμμένα ἀποβλέποντες εὖ χρῆσθαι τοῖς ἐν ποσί.

43. Καὶ τὴν μὲν γνώμην τοιαύτην ἔχων ὁ συγγραφεὺς ἡκέτω μοι, τὴν δὲ φωνὴν καὶ τὴν τῆς ἑρμηνείας ἰσχὺν, τὴν μὲν σφοδρὰν ἐκείνην καὶ κάρχαρον καὶ συνεχῆ ταῖς περιόδοις καὶ ἐγκύλιν ταῖς ἐπιχειρήσεσι καὶ τὴν ἄλλην τῆς ῥητορείας δεινότητα μὴ κομιδῇ τεθηγμένος ἀρχέσθω τῆς γραφῆς, ἀλλ' εἰρηνικώτερον διακείμενος. Καὶ ὁ μὲν νοῦς σύστοιχος ἔστω καὶ πυκνὸς, ἡ λέξις δὲ σαφὴς καὶ πολιτικὴ, οἷα ἐπισημότατα ὀηλοῦν τὸ ὑποκείμενον.

44. Ὡς γὰρ τῇ γνώμῃ τοῦ συγγραφέως σκοποὺς ὑπεθέμεθα παρρησίαν καὶ ἀλήθειαν, οὕτω δὲ καὶ τῇ φωνῇ αὐτοῦ εἷς σκοπὸς ὁ πρῶτος, σαφῶς δηλῶσαι καὶ φανότατα ἐμφανίσαι τὸ πρᾶγμα, μήτε ἀπορρήτοις καὶ ἔξω πάτου ὀνόμασι μήτε τοῖς ἀγοραίοις τούτοις καὶ καπηλικοῖς, ἀλλ' ὡς μὲν τοὺς πολλοὺς συνεῖναι, τοὺς δὲ πεπαιδευμένους ἐπαινέσαι. Καὶ μὴν καὶ σχήμασι κεκοσμήσθω ἀνεπαχθέσι καὶ τὸ ἀνεπιτήδευτον μάλιστα ἔχουσιν· ἐπεὶ τοῖς κατηρτυμένους τῶν ζωμῶν ἐοικότας ἀποφαίνει τοὺς λόγους.

45. Καὶ ἡ μὲν γνώμη κοινωνείτω καὶ προσαπτέσθω τι καὶ ποιητικῆς, παρ' ὅσον μεγαληγόρος καὶ διηρμένη καὶ ἐκείνη, καὶ μάλισθ' ὁπόταν παρατάξεσι καὶ μάχαις καὶ ναυμαχίαις συμπλέκηται· δεήσει γὰρ τότε ποιητικοῦ τινος ἀνέμου ἐπουριάσοντος τὰ ἀκάτια καὶ συνδιοίσοντος ὑψηλὴν καὶ ἐπ' ἄκρων τῶν κυμάτων τὴν ναῦν. Ἡ λέξις δὲ ὅμως ἐπὶ γῆς βεβηκέτω, τῷ μὲν κάλλει καὶ

sint qui tum erunt homines. Nunc vero ea si laudant et amplectuntur, mirari noli : putant enim ea se non parva quadam esca piscaturos esse nostram quisque benevolentiam. Homero sane, licet fabulose pleraque scripserit in Achillis laudem, jam ad credendum quidam inducuntur, solum illud ad veritatis demonstrationem magnum documentum ponentes, quod non de vivo scripsit : neque enim cujus rei causa mentiretur inveniunt.

41. Talis igitur mihi historicus esto, metus expers, incorruptus, ingenuus, libertatis et veritatis amicus, qui, Comici verbo, ficum vocet ficum, scapham dicat scapham : non odio, neque amicitiæ tribuens quicquam, non parcens, non misericordia, aut pudore vel verecundia tactus, judex æquus, benevolus omnibus eatenus, ne quid alteri justo plus tribuat, peregrinus in libris suis, nullius civitatis, suis ipse legibus vivens, regem agnoscens nullum, non quid hic vel ille existimaturus sit reputans, sed dicens quod est factum.

42. Præclare igitur hanc legem tulit Thucydides, virtutemque et vitium historici distinxit, quum maxima in admiratione videret esse Herodotum, adeo ut Musarum etiam nominibus libri illius vocarentur. Possessionem enim potius in perpetuum scribere se ait, quam commissionem quæ in præsens tantum placeat : neque fabulosa se amplecti, sed veram factorum expositionem posteritati se relinquere : subjungitque utilitatem, quemque finem, si quis recte sapiat, constituat historiæ : ut si quando rursus similia ingruant, habeant, inquit, respicientes ad ea quæ olim scripta sunt, quomodo recte utantur præsentibus.

43. Ac talem quidem habens animum historicus mihi detur : quantum vero ad dictionem et eloquendi facultatem attinet, vehementi quidem illa atque aspera, et periodis continua, et argumentis contorta, ceteraque vi oratoria non admodum exacutus, sed placide magis animo affectus, ad scribendum accedat. Ac sententia quidem sit concinna et crebra; dictio autem dilucida et civilis, quæ quam clarissime explicet materiam.

44. Quemadmodum enim animo scriptoris metas posuimus dicendi libertatem et veritatem : ita et linguæ illius seu dictioni scopus unus primus, dilucide explicare et clarissime rem declarare, neque obscuris et remotis ab usu nominibus, neque hisce de media turba et de caupona sumtis, sed talibus quæ vulgus intelligere, eruditi laudare possint. Verum figuris quoque ornata sit non importunis, et quæ minime videantur quæsitæ : alioquin offis per nimia condimenta corruptis similem orationem efficit.

45. Ac mens quidem historici participet aliquid asciscatque sibi poetices, quatenus magna et ipsam eloqui et erigere se oporteat, præsertim quando aciebus, et pugnis et navalibus prœliis implicatur : opus enim tum erit poetico quodam spiritu, qui secundo flatu vela impleat, celsamque per summos fluctus navim perferat. Dictio autem nihilominus humi incedat, quæ simul cum pulchritudine

τῷ μεγέθει τῶν λεγομένων συνεπαιρομένη καὶ ὡς ἔνι μάλιστα ὁμοιουμένη, ξενίζουσα δὲ μηδ' ὑπὲρ τὸν καιρὸν ἐνθουσιῶσα· κίνδυνος γὰρ αὐτῇ τότε μέγιστος παρακινῆσαι καὶ κατενεχθῆναι ἐς τὸν τῆς ποιητικῆς κορύβαντα, ὥστε μάλιστα πειστέον τηνικαῦτα τῷ χαλινῷ καὶ σωφρονητέον, εἰδότας ὡς ἱπποτυφία τις καὶ ἐν λόγοις πάθος οὐ μικρὸν γίγνεται. Ἄμεινον οὖν ἐφ' ἵππου ὀχουμένῃ τότε τῇ γνώμῃ τὴν ἑρμηνείαν πεζῇ συμπαραθεῖν, ἐχομένην τοῦ ἐφιππίου, ὡς μὴ ἀπολείποιτο τῆς φορᾶς.

46. Καὶ μὴν καὶ συνθήκῃ τῶν ὀνομάτων εὐκράτῳ καὶ μέσῃ χρηστέον, οὔτε ἄγαν ἀφιστάντα καὶ ἀπαρτῶντα — τραχὺ γάρ — οὔτε ῥυθμῷ παρ' ὀλίγον, ὡς οἱ πολλοί, συνάπτοντα· τὸ μὲν γὰρ ἐπαίτιον, τὸ δὲ ἀηδὲς τοῖς ἀκούουσι.

47. Τὰ δὲ πράγματα αὐτὰ οὐχ ὡς ἔτυχε συνακτέον, ἀλλὰ φιλοπόνως καὶ ταλαιπώρως πολλάκις περὶ τῶν αὐτῶν ἀνακρίνοντα, καὶ μάλιστα μὲν παρόντα καὶ ἐφορῶντα, εἰ δὲ μή, τοῖς ἀδεκαστότερον ἐξηγουμένοις προσέχοντα καὶ οὓς εἰκάσειεν ἄν τις ἥκιστα πρὸς χάριν ἢ ἀπέχθειαν ἀφαιρήσειν ἢ προσθήσειν τοῖς γεγονόσι. Κἀνταῦθα ἤδη καὶ στοχαστικός τις καὶ συνθετικὸς τοῦ πιθανωτέρου ἔστω.

48. Καὶ ἐπειδὰν ἀθροίσῃ ἅπαντα ἢ τὰ πλεῖστα, πρῶτα μὲν ὑπόμνημά τι συνυφαινέτω αὐτῶν καὶ σῶμα ποιείτω ἀκαλλὲς ἔτι καὶ ἀδιάρθρωτον· εἶτα ἐπιθεὶς τὴν τάξιν ἐπαγέτω τὸ κάλλος καὶ χρωννύτω τῇ λέξει καὶ σχηματιζέτω καὶ ῥυθμιζέτω.

49. Καὶ ὅλως ἐοικέτω τότε τῷ τοῦ Ὁμήρου Διὶ ἄρτι μὲν τὴν τῶν ἱπποπόλων Θρῃκῶν γῆν ὁρῶντι, ἄρτι δὲ τὴν Μυσῶν· κατὰ ταῦτα καὶ αὐτὸς ἄρτι μὲν ἴδια δράτω καὶ δηλούτω ἡμῖν οἷα ἐφαίνετο αὐτῷ ἀφ' ὑψηλοῦ ὁρῶντι, ἄρτι δὲ τὰ Περσῶν, εἶτ' ἀμφότερα, εἰ μάχοιντο. Καὶ ἐν αὐτῇ δὲ τῇ παρατάξει μὴ πρὸς ἓν μέρος δράτω μηδὲ ἐς ἕνα ἱππέα ἢ πεζόν, εἰ μὴ Βρασίδας τις εἴη προπηδῶν ἢ Δημοσθένης ἀνακόπτων τὴν ἐπίβασιν, ἀλλ' ἐς τοὺς στρατηγοὺς μὲν τὰ πρῶτα, καὶ εἴ τι παρεκελεύσαντο, κἀκεῖνο ἀκηκούσθω, καὶ ὅπως καὶ ᾗτινι γνώμῃ καὶ ἐπινοίᾳ ἔταξαν. Ἐπειδὰν δὲ ἀναμιχθῶσι, κοινὴ ἔστω ἡ θέα, καὶ ζυγοστατείτω τότε ὥσπερ ἐν τρυτάνῃ τὰ γιγνόμενα καὶ συνδιωκέτω καὶ συμφευγέτω.

50. Καὶ πᾶσι τούτοις μέτρον ἐπέστω, μὴ ἐς κόρον μηδὲ ἀπειροκάλως μηδὲ νεαρῶς, ἀλλὰ ῥᾳδίως ἀπολυέσθω· καὶ στήσας ἐνταῦθά που ταῦτα ἐπ' ἐκεῖνα μεταβαινέτω, ἢν κατεπείγῃ· εἶτα ἐπανίτω λυθεὶς, ὁπόταν ἐκεῖνα καλῇ· καὶ πρὸς πάντα σπευδέτω καὶ ὡς δυνατὸν ὁμοχρονείτω καὶ μεταπετέσθω ἀπ' Ἀρμενίας μὲν εἰς Μηδίαν, ἐκεῖθεν δὲ ῥοιζήματι ἑνὶ εἰς Ἰβηρίαν, εἶτα εἰς Ἰταλίαν, ὡς μηδενὸς καιροῦ ἀπολείποιτο.

51. Μάλιστα δὲ κατόπτρῳ ἐοικυῖαν παρασχέσθω τὴν γνώμην ἀθόλῳ καὶ στιλπνῷ καὶ ἀκριβεῖ τὸ κέντρον, καὶ ὁποίας ἂν δέξηται τὰς μορφὰς τῶν ἔργων, τοιαῦτα καὶ δεικνύτω αὐτὰ, διάστροφον δὲ ἢ παράχρουν ἢ ἑτερόσχημον μηδέν· οὐ γὰρ ὥσπερ τοῖς ῥήτορσι γράφουσιν, ἀλλὰ τὰ μὲν λεχθησόμενα ἔστι καὶ εἰρήσεται· πέπρακται γὰρ

dicendorum et magnitudine attollatur, et quantum ejus licet, illis exæquetur; interim in peregrinitatem non exeat, neque ultra quam opportunum est, spiritu efferatur. Tum enim maximum periculum est, ne insaniat præcepsque in poeticum furorem incidat. Itaque tum inprimis obtemperandum est habenis, et sobrietati studendum, cogitantibus magnum etiam in oratione vitium esse nimium et fastuosum equitandi studium. Optimum igitur tum fuerit, uti mentem velut equo vectam pedestri cursu comitetur elocutio, prehenso ephippio, ne ab impetu equi destituatur.

46. Verum compositione etiam verborum temperata et media utendum, ut ea neque nimis distrahas et dimoveas (asperum enim), nec rhythmo pæne, ut plerique, concludas: quorum hoc quidem vitiosum est, illud vero insuave audientibus.

47. Res autem ipsas non temere conquirere debet, sed cum labore et rerumnabili quadam diligentia, instituto sæpius de iisdem judicio, maxime quidem, præsens ipse et inspiciens; sin vero minus, fidem illis habens qui narrant ceteris incorruptius, et quos conjiciat aliquis minime ad gratiam vel odii causa subtrahere quicquam rebus gestis vel adjicere. Et hinc jam ad conjecturam acutus sit, et qui argumentis elicere quid sit probabilius queat.

48. Et quum collegerit omnia aut pleraque, primo quidem commentarium quendam illorum contexat, et corpus faciat informe adhuc et artubus suis nondum distinctum: tum ordine adjecto pulchritudinem inducat, et dictionis colorem addat, et figurarum numerorumque ornamentis orationem instruat.

49. Et omnino tum Homerico illi Jovi similis sit, nunc quidem equestrium Thracum inspicienti terram, nunc vero Mysorum: eadem enim ratione ipse quoque jam res Romanorum seorsum inspiciat, et, quales sibi visæ sint ex alto contemplanti, enarret, jam vero Persarum: tum utrasque, si pugnent; et in ipsa adeo acie non ad unam partem respiciat, neque ad unum equitem vel peditem, nisi forte Brasidas aliquis prosiliat, aut Demosthenes escensum prohibeat; sed ad duces quidem primum; et, si quid illi imperent, illud quoque audiat, et quomodo et qua mente et consilio aciem instruxerint. Postquam vero ad manus ventum, commune sit spectaculum, et quasi trutina tum suspendat quæcumque geruntur: et persequentes comitetur, et fugientes.

50. Et modus adsit hisce omnibus, ne ad satietatem, neu ultra quam res poscat neu juveniliter narret; sed cum facilitate se quadam expediat: et certo quodam loco de his cessans, ad illa, si urgeant, transeat; tum redeat exsolutus, ubi ista vocaverint; ac properet ad omnia, et quantum potest, eodem cum ipsis temporibus vestigio procedat, transvoletque ab Armenia quidem in Mediam, inde vero stridentibus velut alis in Iberiam, inde in Italiam, ut nullum non tempus consequatur.

51. Maxime vero speculo similem præbeat animum, nihil turbido, splendido, centri exacti; qualesque acceperit operum species, tales etiam illas ostendat; distortum vero, aut adulterati coloris, aut figuræ diversæ, nihil. Neque enim ut eloquentiæ magistris scribunt historici: sed dicenda præsto sunt, et dicentur omnino; jam enim facta sunt;

ἤδη· δεῖ δὲ τάξαι καὶ εἰπεῖν αὐτά. Ὥστε οὐ τί εἴπωσι ζητητέον αὐτοῖς, ἀλλ' ὅπως εἴπωσιν. Ὅλως δὲ νομιστέον τὸν ἱστορίαν συγγράφοντα Φειδίᾳ χρῆναι ἢ Πραξιτέλει ἐοικέναι ἢ Ἀλκαμένει ἢ τῷ ἄλλῳ ἐκείνων. Οὐδὲ γὰρ οὐδ' ἐκεῖνοι χρυσὸν ἢ ἄργυρον ἢ ἐλέφαντα ἢ τὴν ἄλλην ὕλην ἐποίουν, ἀλλ' ἡ μὲν ὑπῆρχε καὶ προϋπεβέβλητο, Ἠλείων ἢ Ἀθηναίων ἢ Ἀργείων πεπορισμένων, οἱ δὲ ἔπλαττον μόνον καὶ ἔπριον τὸν ἐλέφαντα καὶ ἔξεον καὶ ἐκόλλων καὶ ἐρρύθμιζον καὶ ἐπήνθιζον τῷ χρυσῷ, καὶ τοῦτο ἦν ἡ τέχνη αὐτοῖς, ἐς δέον οἰκονομήσασθαι τὴν ὕλην. Τοιοῦτο δή τι καὶ τὸ τοῦ συγγραφέως ἔργον, εἰς καλὸν διαθέσθαι τὰ πεπραγμένα καὶ εἰς δύναμιν ἐναργέστατα ἐπιδεῖξαι αὐτά. Καὶ ὅταν τις ἀκροώμενος οἴηται μετὰ ταῦτα ὁρᾶν τὰ λεγόμενα καὶ μετὰ τοῦτο ἐπαινῇ, τότε δὴ τότε ἀπηκρίβωται καὶ τὸν οἰκεῖον ἔπαινον ἀπείληφε τὸ ἔργον τῷ τῆς ἱστορίας Φειδίᾳ.

52. Πάντων δὲ ἤδη παρεσκευασμένων, καὶ ἀπροοιμίαστον μέν ποτε ποιήσεται τὴν ἀρχήν, ὁπόταν μὴ πάνυ κατεπείγῃ τὸ πρᾶγμα προδιοικήσασθαί τι ἐν τῷ προοιμίῳ· δυνάμει δὲ καὶ τότε προοιμίῳ χρήσεται τῷ ἀποσαφοῦντι περὶ τῶν λεκτέων.

53. Ὁπόταν δὲ καὶ προιμιάζηται, ἀπὸ δυοῖν μόνον ἄρξεται, οὐχ ὥσπερ οἱ ῥήτορες ἀπὸ τριῶν, ἀλλὰ τὸ τῆς εὐνοίας παρεὶς προσοχὴν καὶ εὐμάθειαν εὑπορήσει τοῖς ἀκούουσι. Προσέξουσι μὲν γὰρ αὐτῷ, ἢν δείξῃ ὡς περὶ μεγάλων ἢ ἀναγκαίων ἢ οἰκείων ἢ χρησίμων ἐρεῖ· εὐμαθῆ δὲ καὶ σαφῆ τὰ ὕστερον ποιήσει, τὰς αἰτίας προεκτιθέμενος καὶ περιορίζων τὰ κεφάλαια τῶν γεγενημένων.

54. Τοιούτοις προοιμίοις οἱ ἄριστοι τῶν συγγραφέων ἐχρήσαντο, Ἡρόδοτος μὲν, ὡς μὴ τὰ γενόμενα ἐξίτηλα τῷ χρόνῳ γένηται, μεγάλα καὶ θαυμαστὰ ὄντα, καὶ ταῦτα νίκας Ἑλληνικὰς δηλοῦντα καὶ ἥττας βαρβαρικάς· Θουκυδίδης δὲ, μέγαν τε καὶ αὐτὸς ἐλπίσας ἔσεσθαι καὶ ἀξιολογώτατον καὶ μείζω τῶν προγεγενημένων ἐκεῖνον τὸν πόλεμον· καὶ γὰρ παθήματα ἐν αὐτῷ μεγάλα ξυνέβη γενέσθαι.

55. Μετὰ δὲ τὸ προοίμιον, ἀνάλογον τοῖς πράγμασιν ἢ μηκυνόμενον ἢ βραχυνόμενον, εὐαφὴς καὶ εὐάγωγος ἔστω ἡ ἐπὶ τὴν διήγησιν μετάβασις· ἅπαν γὰρ ἀτεχνῶς τὸ λοιπὸν σῶμα τῆς ἱστορίας διήγησις μακρά ἐστιν· ὥστε ταῖς τῆς διηγήσεως ἀρεταῖς κατακεκοσμήσθω, λείως τε καὶ ὁμαλῶς προϊοῦσα καὶ αὐτὴ ὁμοίως, ὥστε μὴ προὔχειν μηδὲ κοιλαίνεσθαι· ἔπειτα τὸ σαφὲς ἐπανθείτω, τῇ τε λέξει, ὡς ἔφην, μεμηχανημένον καὶ τῇ συμπεριπλοκῇ τῶν πραγμάτων. Ἀπόλυτα γὰρ καὶ ἐντελῆ πάντα ποιήσει, καὶ τὸ πρῶτον ἐξεργασάμενος ἐπάξει τὸ δεύτερον ἐχόμενον αὐτοῦ καὶ ἁλύσεως τρόπον συνηρμοσμένον, ὡς μὴ διακεκόφθαι μηδὲ διηγήσεις πολλὰς εἶναι ἀλλήλαις παρακειμένας, ἀλλ' ἀεὶ τὸ πρῶτον τῷ δευτέρῳ μὴ γειτνιᾶν μόνον, ἀλλὰ καὶ κοινωνεῖν καὶ ἀνακεκρᾶσθαι κατὰ τὰ ἄκρα.

56. Τάχος ἐπὶ πᾶσι χρήσιμον, καὶ μάλιστα εἰ μὴ ἀπορία τῶν λεκτέων εἴη· καὶ τοῦτο πορίζεσθαι χρὴ μὴ τοσοῦτον ἀπὸ τῶν ὀνομάτων ἢ ῥημάτων, ὅσον ἀπὸ τῶν

oportet autem ordinare illa atque eloqui. Itaque non quid dicant, quærendum eis est, sed quomodo dicant. In universum vero putandum est, historiæ scriptorem Phidiæ aut Praxiteli similem esse debere, aut Alcameni, aut cuidam alii ex eo numero. Neque enim illi aurum, aut argentum, aut ebur, aut ceteram materiam faciebant ipsi; verum illo quidem aderat et subjecta illis erat, Eleis, aut Atheniensibus, aut Argivis suppeditantibus: at ipsi formabant tantum et secabant ebur, poliebantque, et conglutinabant, et concinnabant, et auri velut florem inducebant: eaque ipsa illorum ars erat, materiam, prout opus erat, disponere. Tale igitur etiam opus historici, cum ornatu disponere res gestas, et quam potest lucidissime eas demonstrare. Et ubi, qui audit, postea putat se videre ea quæ dicuntur, ac deinde laudat, tunc sane tunc elaboratum accurate et propriam sibi laudem consecutum est opus historico nostro Phidiæ.

52. Omnibus autem jam paratis, et sine procœmio nonnunquam incipiet, quum res ipsa non valde postulabit præstrui quicquam in procœmio; quanquam tum quoque eo exordio utetur, quod vim habeat procœmii ad lucem iis quæ dicentur afferendam.

53. Quum vero utetur procœmio, a duobus tantum exordietur, non ut oratores a tribus, sed omisso illo quod ad benevolentiam pertinet, attentionem ac docilitatem in auditoribus parabit. Attendent illi, si ostenderit se de magnis, aut necessariis, aut domesticis, aut utilibus dicturum: perspicua vero ea quæ sequuntur et dilucida reddet, causas si primum exponat rerumque gestarum capita finibus suis describat.

54. Talibus procœmiis optimi historicorum usi sunt: Herodotus quidem, Ne res gestæ ipso tempore evanescant, magnæ quum sint atque admirabiles, eæque Græcas victorias indicent, et clades barbarorum; Thucydides autem, magnum et ipse futurum ratus et memoria dignissimum et majus prioribus illud bellum; etenim calamitates magnas in illo contigisse.

55. Post procœmium vero, pro rerum ipsarum portione aut productum aut correptum, concinnus porro et facilis sit transitus ad narrationem. Nam omne prorsus reliquum corpus historiæ narratio longa est. Itaque virtutibus narrationis ornata sit, mollique et æquabili vestigio pariter et ipsa procedat, ut neque emineat quicquam, neve hiet. Deinde perspicuitas efflorescat, quæ et in dictione efficitur, ut dixi, et rerum inter gestarum comprehensione. Nempe expedita omnia et consummata faciet, et primo perfecto secundum illi cohærens inducet et catenæ instar coagmentatum, ut nusquam membratim dissecentur, neque multæ sint narrationes altera alteri adjectæ, sed semper prius posteriori non vicinum modo sit, sed continuum et extremis suis permistum.

56. Brevitas utilis in omnibus, et maxime si non sit dicendorum penuria: eaque paranda non tantum a nominibus aut verbis, quantum ab ipsis rebus: hoc autem dico, si

πραγμάτων· λέγω δὲ, εἰ παραθέοις μὲν τὰ μικρὰ καὶ ἧττον ἀναγκαῖα, λέγοις δὲ ἱκανῶς τὰ μεγάλα· μᾶλλον δὲ καὶ παραλειπτέον πολλά. Οὐδὲ γὰρ ἦν ἑστιᾷς τοὺς φίλους καὶ πάντα ᾖ παρεσκευασμένα, διὰ τοῦτο ἐν μέσοις τοῖς πέμμασι καὶ τοῖς ὀρνέοις καὶ λοπάσι τοσαύταις καὶ συσὶν ἀγρίοις καὶ λαγωοῖς καὶ ὑπογαστρίοις, καὶ σαπέρδην ἐνθήσεις καὶ ἔτνος, ὅτι κἀκεῖνο παρεσκεύαστο, ἀμελήσεις δὲ τῶν εὐτελεστέρων.

57. Μάλιστα δὲ σωφρονητέον ἐν ταῖς τῶν ὀρῶν ἢ τειχῶν ἢ ποταμῶν ἑρμηνείαις, ὡς μὴ δύναμιν λόγων ἀπειροκάλως παρεπιδείκνυσθαι δοκοίης καὶ τὸ σαυτοῦ ὁρᾶν παρεὶς τὴν ἱστορίαν· ἀλλ' ὀλίγον προσαψάμενος, τοῦ χρησίμου καὶ σαφοῦς ἕνεκα, μεταβήσῃ ἐκφυγὼν τὸν ἰξὸν τὸν ἐν τῷ πράγματι καὶ τὴν τοιαύτην ἅπασαν λιχνείαν, οἷον ὁρᾷς τι καὶ Ὅμηρος ὁ μεγαλόφρων ποιεῖ· καίτοι ποιητὴς ὢν παραθεῖ τὸν Τάνταλον καὶ τὸν Ἰξίονα καὶ τὸν Τιτυὸν καὶ τοὺς ἄλλους. Εἰ δὲ Παρθένιος ἢ Εὐφορίων ἢ Καλλίμαχος ἔλεγε, πόσοις ἂν οἴει ἔπεσι τὸ ὕδωρ ἄχρι πρὸς τὸ χεῖλος τοῦ Ταντάλου ἤγαγεν; εἶτα πόσοις ἂν Ἰξίονα ἐκύλισε; Μᾶλλον δὲ ὁ Θουκυδίδης αὐτὸς ὀλίγα τῷ τοιούτῳ εἴδει τοῦ λόγου χρησάμενος σκέψαι ὅπως εὐθὺς ἀφίσταται ἢ μηχάνημα ἑρμηνεύσας ἢ πολιορκίας σχῆμα δηλώσας, ἀναγκαῖον καὶ χρειῶδες ὄν, ἢ Ἐπιπολῶν σχῆμα ἢ Συρακοσίων λιμένα· ὅταν μὲν γὰρ τὸν λοιμὸν διηγῇται καὶ μακρὸς εἶναι δοκῇ, σὺ τὰ πράγματα ἐννόησον· εἴσῃ γὰρ οὕτω τὸ τάχος καὶ ὡς φεύγοντος ὅμως ἐπιλαμβάνεται αὐτοῦ τὰ γεγενημένα πολλὰ ὄντα.

58. Ἦν δέ ποτε καὶ λόγους ἐροῦντά τινα δεήσῃ εἰσάγειν, μάλιστα μὲν ἐοικότα τῷ προσώπῳ καὶ τῷ πράγματι οἰκεῖα λεγέσθω, ἔπειτα ὡς σαφέστατα καὶ ταῦτα. Πλὴν ἐφεῖταί σοι τότε καὶ ῥητορεῦσαι καὶ ἐπιδεῖξαι τὴν τῶν λόγων δεινότητα.

59. Ἔπαινοι μὲν γὰρ ἢ ψόγοι πάνυ πεφεισμένοι καὶ περιεσκεμμένοι καὶ ἀσυκοφάντητοι καὶ μετὰ ἀποδείξεων καὶ ταχεῖς καὶ μὴ ἄκαιροι, ἐπεὶ ἔξω τοῦ δικαστηρίου ἐκεῖνοί εἰσι, καὶ τὴν αὐτὴν Θεοπόμπῳ αἰτίαν ἕξεις φιλαπεχθημόνως κατηγοροῦντι τῶν πλείστων καὶ διατριβὴν ποιουμένῳ τὸ πρᾶγμα, ὡς κατηγορεῖν μᾶλλον ἢ ἱστορεῖν τὰ πεπραγμένα.

60. Καὶ μὴν καὶ μῦθος εἴ τις παρεμπέσοι, λεκτέος μὲν, οὐ μὴν πιστωτέος πάντως, ἀλλ' ἐν μέσῳ θετέος τοῖς ὅπως ἂν ἐθέλωσιν εἰκάσουσι περὶ αὐτοῦ· σὺ δ' ἀκίνδυνος καὶ πρὸς οὐδέτερον ἐπιρρεπέστερος.

61. Τὸ δ' ὅλον ἐκείνου μοι μέμνησο — πολλάκις γὰρ τοῦτο ἐρῶ — καὶ μὴ πρὸς τὸ παρὸν μόνον ὁρῶν γράφε, ὡς οἱ νῦν ἐπαινέσονταί σε καὶ τιμήσουσιν, ἀλλὰ τοῦ σύμπαντος αἰῶνος ἐστοχασμένος πρὸς τοὺς ἔπειτα μᾶλλον σύγγραφε καὶ παρ' ἐκείνων ἀπαίτει τὸν μισθὸν τῆς γραφῆς, ὡς λέγηται καὶ περὶ σοῦ· « ἐκεῖνος μέντοι ἐλεύθερος ἀνὴρ ἦν καὶ παρρησίας μεστὸς, οὐδὲν οὔτε κολακευτικὸν οὔτε δουλοπρεπὲς, ἀλλ' ἀληθεια ἐπὶ πᾶσι. » Τοῦτ', εἰ σωφρονοίη τις, ὑπὲρ πάσας τὰς νῦν ἐλπίδας θεῖτο ἂν, οὕτως ὀλιγοχρονίους οὔσας.

percurras parva et minus necessaria, sufficienter autem dicas de magnis. Quin multa etiam omittenda sunt. Neque enim si quando convivio accipis amicos, paratis omnibus, propterea inter medias placentas, et aviculas, et tot patinas, et apros, et lepores, et sumina, saperdam quoque appones et pultem, quoniam hæc etiam parata sunt : verum negliges viliora.

57. Maxime vero sobrie versandum est in montium, aut mœnium, aut fluminum descriptionibus, ne imperite ac putide vim dicendi ostentare videaris et omissa historia tuum negotium agere : sed ubi leviter utilitatis perspicuitatisque causa attigeris, transito, viscumque veluti illius rei illasque omnes delicias effugito. Quale quiddam ipse, vides, magnanimus Homerus facit : quantumvis poeta sit, transcurrit Tantalum, et Ixionem, et Tityum, et reliquos. Si vero Parthenius, aut Euphorion, aut Callimachus dixisset, quot, putas, versibus aquam ad labra usque Tantali perduxisset? deinde quot aliis circumegisset Ixionem? Quid? ipse Thucydides, parce hac orationis forma usus, vide quam celeriter desistat, ubi vel machinationem aliquam declaravit, aut obsidionis formam explicavit, necessariam quidem et utilem, aut Epipolarum situm, aut Syracusiorum portum. Quum enim pestilentiam describit et longus ibi esse videtur, at tu res ipsas cogita : sic enim celeritatem ejus cognosces, et ut fugientem velut tamen facta, multa quidem illa, retineant ac reprehendant.

58. Si quando vero etiam verba facientem aliquem inducere oportebit, maxime quidem personæ convenientia et propria negotio dicantur, deinde quam dilucidissime hæc quoque : quanquam tum etiam permissum tibi est rhetorem agere et vim dicendi ostentare.

59. Laudes enim aut vituperationes omnino moderatæ, et circumspectæ, et a calumnia remotæ sunto, et cum demonstratione conjunctæ, et breves, neque intempestivæ, quandoquidem extra tribunal sunt : alioquin idem quod Theopompus crimen sustinebis, qui inimicitiarum quodam studio plerosque accuset, in eoque negotio diu moretur, ut accuset potius quam quæ facta sunt enarret.

60. Si etiam fabula ex transverso incidat, dicenda quidem, non tamen omnino asseveranda, sed relinquenda in medio, ut prout quisque voluerit, probabiliter de ea decernat : tu vero tutus, ac in neutram partem propensior.

61. In universum autem illud mihi memento (sæpius idem dicam), neu ad præsens modo spectans scribito, ut qui nunc sunt homines te laudent et honoribus afficiant, sed ad omnis ævi suffragia quasi collineans, his potius scribe qui post erunt, et ab illis scriptionis mercedem repete, ut de te etiam dicatur : Ille vero ingenuus vir fuit et dicendi libertate plenus : nihil neque adulatorium, neque servile; sed veritas in omnibus. Hoc, si quis sapiat, super omnes hujus vitæ spes, quæ parvi adeo temporis sunt, posuerit.

62. Ὁρᾷς τὸν Κνίδιον ἐκεῖνον ἀρχιτέκτονα, οἷον ἐποίησεν; οἰκοδομήσας γὰρ τὸν ἐπὶ τῇ Φάρῳ πύργον, μέγιστον καὶ κάλλιστον ἔργων ἁπάντων, ὡς πυρσεύοιτο ἀπ' αὐτοῦ τοῖς ναυτιλλομένοις ἐπὶ πολὺ τῆς θαλάττης καὶ μὴ καταφέροιντο εἰς τὴν Παραιτονίαν, παγχάλεπον, ὥς φασιν, οὖσαν καὶ ἄφυκτον, εἴ τις ἐμπέσοι εἰς τὰ ἕρματα· οἰκοδομήσας οὖν τὸ ἔργον ἔνδοθεν μὲν κατὰ τῶν λίθων τὸ αὐτοῦ ὄνομα ἔγραψεν, ἐπιχρίσας δὲ τιτάνῳ καὶ ἐπικαλύψας ἐπέγραψε τοὔνομα τοῦ τότε βασιλεύοντος, εἰδὼς, ὅπερ καὶ ἐγένετο, πάνυ ὀλίγου χρόνου συνεκπεσούμενα μὲν τῷ χρίσματι τὰ γράμματα, ἐκφανησόμενον δὲ, « Σώστρατος Δεξιφάνους Κνίδιος θεοῖς σωτῆρσιν ὑπὲρ τῶν πλωϊζομένων. » Οὔτως οὐδ' ἐκεῖνος ἐς τὸν τότε καιρὸν οὐδὲ τὸν αὑτοῦ βίον τὸν ὀλίγον ἐώρα, ἀλλ' εἰς τὸν νῦν καὶ τὸν ἀεί, ἄχρι ἂν ἑστήκῃ ὁ πύργος καὶ μένῃ αὐτοῦ ἡ τέχνη.

63. Χρὴ τοίνυν καὶ τὴν ἱστορίαν οὕτω γράφεσθαι σὺν τῷ ἀληθεῖ μᾶλλον πρὸς τὴν μέλλουσαν ἐλπίδα ἢπερ σὺν κολακείᾳ πρὸς τὸ ἡδὺ τοῖς νῦν ἐπαινουμένοις. Οὗτός σοι κανὼν καὶ στάθμη ἱστορίας δικαίας. Καὶ εἰ μὲν σταθμήσονταί τινες αὐτῇ, εὖ ἂν ἔχοι καὶ εἰς δέον ἡμῖν γέγραπται, εἰ δὲ μή, κεκύλιστσι ὁ πίθος ἐν Κρανείῳ.

62. Videsne tu Cnidium illum architectum, quale quid fecerit? Qui quum ædificasset illam in Pharo turrim, maximum omnium operum pulcherrimumque, ut inde signum igne accenso tolleretur navigantibus longe in mari, ne in Parætoniam deferrentur, difficillimam, ut aiunt, et unde effugere non possit si quis inciderit in scopulosa illa loca : opere igitur exædificato, intus quidem in ipsis saxis sunm nomen inscripsit; inducta vero calce quum texisset, ipsi tectorio inscripsit nomen regis qui tum erat; ut qui sciret, quod etiam contigit, parvo admodum interjecto tempore futurum, ut cum tectorio exciderent literæ, in conspectum vero prodiret « Sostratus Dexiphanis Cnidius, diis servatoribus pro salute navigantium. » Ita neque ille ad tempus quod tum erat, neque ad suam vitam, brevem illam oppido, respexit, sed in hoc quod nunc est quodque futurum omni ævo, quamdiu turris stet, ipsiusque maneat artificium.

63. Oportet igitur historiam quoque eo modo scribi, cum veri studio potius ad spem futuram, quam cum adulatione ad delectationem iis, qui nunc laudantur parandam. Illa tibi regula et norma justæ historiæ. Qua si qui in exigenda scribendi ratione usi fuerint, bene habebit, et cum fructu nobis erit scriptum : sin minus, at dolium volutum est in Craneo.

XXVI.

ΑΛΗΘΟΥΣ ΙΣΤΟΡΙΑΣ ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

1. Ὥσπερ τοῖς ἀθλητικοῖς καὶ περὶ τὴν τῶν σωμάτων ἐπιμέλειαν ἠσκημένοις οὐ τῆς εὐεξίας μόνον οὐδὲ τῶν γυμνασίων φροντίς ἐστιν, ἀλλὰ καὶ τῆς κατὰ καιρὸν γιγνομένης ἀνέσεως — μέρος γοῦν τῆς ἀσκήσεως τὸ μέγιστον αὐτὴν ὑπολαμβάνουσιν — οὕτω δὴ καὶ τοῖς περὶ τοὺς λόγους ἐσπουδακόσιν ἡγοῦμαι προσήκειν μετὰ τὴν πολλὴν τῶν σπουδαιοτέρων ἀνάγνωσιν ἀνιέναι τε τὴν διάνοιαν καὶ πρὸς τὸν ἔπειτα κάματον ἀκμαιοτέραν παρασκευάζειν.

2. Γένοιτο δ' ἂν ἐμμελὴς ἡ ἀνάπαυσις αὐτοῖς, εἰ τοῖς τοιούτοις τῶν ἀναγνωσμάτων ὁμιλοῖεν, ἃ μὴ μόνον ἐκ τοῦ ἀστείου τε καὶ χαρίεντος ψιλὴν παρέξει τὴν ψυχαγωγίαν, ἀλλά τινα καὶ θεωρίαν οὐκ ἄμουσον ἐπιδείξεται, οἷόν τι καὶ περὶ τῶνδε τῶν συγγραμμάτων φρονήσειν ὑπολαμβάνω· οὐ γὰρ μόνον τὸ ξένον τῆς ὑποθέσεως οὐδὲ τὸ χάριεν τῆς προαιρέσεως ἐπαγωγὸν ἔσται αὐτοῖς οὐδ' ὅτι ψεύσματα ποικίλα πιθανῶς τε καὶ ἐναλήθως ἐξενηνόχαμεν, ἀλλ' ὅτι καὶ τῶν ἱστορουμένων ἕκαστον οὐκ ἀκωμῳδήτως πρός τινας ἡνίκται τῶν παλαιῶν ποιητῶν τε καὶ συγγραφέων καὶ φιλοσόφων πολλὰ τεράστια καὶ μυθώδη συγγεγραφότων, οὓς καὶ ὀνομαστὶ ἂν ἔγραφον, εἰ μὴ καὶ αὐτῷ σοι ἐκ τῆς ἀναγνώσεως φανεῖσθαι ἔμελλον.

3. Κτησίας ὁ Κτησιόχου ὁ Κνίδιος συνέγραψε περὶ τῆς Ἰνδῶν χώρας καὶ τῶν παρ' αὐτοῖς ἃ μήτε αὐτὸς εἶδε μήτε ἄλλου εἰπόντος ἤκουσεν. Ἔγραψε δὲ καὶ

XXVI.

VERÆ HISTORIÆ LIBER PRIMUS.

1. Quemadmodum athletis et his qui circa corporis curam exercentur, non habitus modo boni et exercitationum cura est, sed opportunæ etiam remissionis, quippe quam partem exercitationis vel maximam arbitrentur : ita etiam his qui studium in literis posuerunt, convenire arbitror ut post multam severiorum rerum lectionem remittant cogitationem, et ad futuros labores alacriorem reddant.

2. Conveniens autem illis requies contingat, si in iis legendis versentur, quæ non nudam modo ex urbanitate et venustate delectationem præbeant, sed cognitionem etiam non ineruditam suppeditent, quale quid etiam de hisce libellis ut sentiant lectores, futurum existimo. Neque enim sola argumenti peregrinitas, neque quod in ipso consilio venustum est, ipsos alliciet, neque quod mendacia varia probabili et verisimili oratione protulimus, sed etiam quod eorum quæ narrantur unumquodque non sine comica quadam dicacitate respectum occultum habet ad quosdam veterum poetarum, et historicorum et philosophorum, qui portentosa multa et fabulosa conscripserunt, quos nominatim scripsissem, nisi futurum esset ut tibi ipsi inter legendum appareant.

3. Scripsit Ctesias Ctesiochi filius Cnidius de Indorum regione et his quæ ibi sunt, quæ nec vidit ipse, neque alio dicente audivit. Scripsit etiam Iambulus de rebus

Ἰάμβουλος περὶ τῶν ἐν τῇ μεγάλῃ θαλάττῃ πολλὰ παράδοξα, γνώριμον μὲν ἅπασι τὸ ψεῦδος πλασάμενος, οὐκ ἀτερπῆ δὲ ὅμως συνθεὶς τὴν ὑπόθεσιν. Πολλοὶ δὲ καὶ ἄλλοι τὰ αὐτὰ τούτοις προελόμενοι συνέγραψαν ὡς δή τινας ἑαυτῶν πλάνας τε καὶ ἀποδημίας θηρίων τε μεγέθη ἱστοροῦντες καὶ ἀνθρώπων ὠμότητας καὶ βίων καινότητας· ἀρχηγὸς δὲ αὐτοῖς καὶ διδάσκαλος τῆς τοιαύτης βωμολοχίας ὁ τοῦ Ὁμήρου Ὀδυσσεὺς, τοῖς περὶ τὸν Ἀλκίνουν διηγούμενος ἀνέμων τε δουλείαν καὶ μονοφθάλμους καὶ ὠμοφάγους καὶ ἀγρίους τινὰς ἀνθρώπους, ἔτι δὲ πολυκέφαλα ζῶα καὶ τὰς ὑπὸ φαρμάκων τῶν ἑταίρων μεταβολάς, οἷα πολλὰ ἐκεῖνος ὡς πρὸς ἰδιώτας ἀνθρώπους ἐτερατεύσατο τοὺς Φαίακας.

4. Τούτοις οὖν ἐντυχὼν ἅπασι τοῦ ψεύσασθαι μὲν οὐ σφόδρα τοὺς ἄνδρας ἐμεμψάμην ὁρῶν ἤδη σύνηθες ὂν τοῦτο καὶ τοῖς φιλοσοφεῖν ὑπισχνουμένοις· ἐκεῖνο δ' αὐτῶν ἐθαύμαζον, εἰ ἐνόμισαν λήσειν οὐκ ἀληθῆ συγγράφοντες. Διόπερ καὶ αὐτὸς ὑπὸ κενοδοξίας ἀπολιπεῖν τι σπουδάσας τοῖς μεθ' ἡμᾶς, ἵνα μὴ μόνος ἄμοιρος ὦ τῆς ἐν τῷ μυθολογεῖν ἐλευθερίας, ἐπεὶ μηδὲν ἀληθὲς ἱστορεῖν εἶχον — οὐδὲν γὰρ ἐπεπόνθειν ἀξιόλογον — ἐπὶ τὸ ψεῦδος ἐτραπόμην πολὺ τῶν ἄλλων εὐγνωμονέστερον· κἂν ἓν γὰρ δὴ τοῦτο ἀληθεύσω λέγων, ὅτι ψεύσομαι. Οὕτω δ' ἄν μοι δοκῶ καὶ τὴν παρὰ τῶν ἄλλων κατηγορίαν ἐκφυγεῖν αὐτὸς ὁμολογῶν μηδὲν ἀληθὲς λέγειν. Γράφω τοίνυν περὶ ὧν μήτε εἶδον μήτε ἔπαθον μήτε παρ' ἄλλων ἐπυθόμην, ἔτι δὲ μήτε ὅλως ὄντων μήτε τὴν ἀρχὴν γενέσθαι δυναμένων. Διὸ δεῖ τοὺς ἐντυγχάνοντας μηδαμῶς πιστεύειν αὐτοῖς.

5. Ὁρμηθεὶς γάρ ποτε ἀπὸ Ἡρακλείων στηλῶν καὶ ἀφεὶς ἐς τὸν ἑσπέριον ὠκεανὸν οὐρίῳ ἀνέμῳ τὸν πλοῦν ἐποιούμην. Αἰτία δέ μοι τῆς ἀποδημίας καὶ ὑπόθεσις ἡ τῆς διανοίας περιεργία καὶ πραγμάτων καινῶν ἐπιθυμία καὶ τὸ βούλεσθαι μαθεῖν τί τὸ τέλος ἐστὶ τοῦ ὠκεανοῦ καὶ τίνες οἱ πέραν κατοικοῦντες ἄνθρωποι. Γούτου γε μέντοι ἕνεκα πάμπολλα μὲν σιτία ἐνεβαλόμην, ἱκανὸν δὲ καὶ ὕδωρ ἐνεθέμην, πεντήκοντα δὲ τῶν ἡλικιωτῶν προσεποιησάμην τὴν αὐτὴν ἐμοὶ γνώμην ἔχοντας, ἔτι δὲ καὶ ὅπλων πολύ τι πλῆθος παρεσκευασάμην καὶ κυβερνήτην τὸν ἄριστον μισθῷ μεγάλῳ πείσας παρέλαβον καὶ τὴν ναῦν — ἄκατος δὲ ἦν — ὡς πρὸς μέγαν καὶ βίαιον πλοῦν ἐκρατυνάμην.

6. Ἡμέραν μὲν οὖν καὶ νύκτα οὐρίῳ πλέοντες ἔτι τῆς γῆς ὑποφαινομένης οὐ σφόδρα βιαίως ἀνηγόμεθα, τῇ ἐπιούσῃ δὲ ἅμα ἡλίῳ ἀνατέλλοντι ὅ τε ἄνεμος ἐπεδίδου καὶ τὸ κῦμα ηὐξάνετο καὶ ζόφος ἐπεγίγνετο καὶ οὐκέτ' οὐδὲ στεῖλαι τὴν ὀθόνην δυνατὸν ἦν. Ἐπιτρέψαντες οὖν τῷ πνεύματι καὶ παραδόντες ἑαυτοὺς ἐχειμαζόμεθα ἡμέρας ἐννέα καὶ ἑβδομήκοντα, τῇ ὀγδοηκοστῇ δὲ ἄφνω ἐκλάμψαντος ἡλίου καθορῶμεν οὐ πόρρω νῆσον ὑψηλὴν καὶ δασεῖαν, οὐ τραχεῖ περιηχουμένην τῷ κύματι· καὶ γὰρ ἤδη τὸ πολὺ τῆς ζάλης κατεπέπαυτο. Προσσχόντες οὖν καὶ ἀποβάντες ὡς ἂν ἐκ μακρᾶς ταλαιπωρίας πολὺν μὲν ἐπὶ τῆς γῆς χρόνον ἐκεί-

4. In hos igitur quum incidissem omnes, mendaciorum quidem causa non valde reprehendi homines illos, qui viderem jam solemne hoc esse his etiam, qui philosophiam promitterent: at illud in iis miratus sum, si putarunt fieri posse ut lateat se non vera scripsisse. Quare et ego, quum gloriolæ quodam studio impulsus ipse quoque relinquere aliquid vellem posteris, ne solus expers essem illius fingendi libertatis, quando veri nihil narrare poteram, cui nihil dignum dictu usu venerit, ad mendacium conversus sum multo aliorum mendaciis rationabilius: quandoquidem vel unum hoc certe verum dixero, Mentiar. Ita autem mihi videor etiam criminationem aliorum effugere, qui ipse veri nihil me dicere fatear. Scribo igitur de quibus neque vidi neque expertus sum, neque audivi ex aliis; ad hæc, quæ neque sunt, neque fieri omnino possunt. Nullo modo igitur fidem illis adhibere par est qui lectores mihi contigerint.

5. Jam solvens aliquando de Columnis Herculis et in occidentalem Oceanum delatus, secundo vento navigabam. Causa mihi peregrinationis et institutum erat mentis quædam inanis sedulitas, novarumque rerum cupido, et quod discere vellem quis finis esset Oceani, quique in diverso illius litore habitarent homines. Hujus igitur rei gratia magnam ciborum copiam et aquæ quod satis esset imposueram; porro æqualium quinquaginta mihi adjunxeram, qui consilium idem haberent: ad hæc armorum magnam vim paraveram, gubernatoremque optimum magna mercede inductum asciveram; ac navim (erat autem acatium), ut ad magnam violentamque navigationem, firmaveram.

6. Igitur diem quidem unum ac noctem secundo vento navigantes, adhuc apparente aliquantum tellure, non admodum violenter provecti sumus: at postridie ejus diei cum sole oriente et ventus increbuit, et fluctus auctus est, et caligo ingruit, nec fieri poterat ut vel velum contraheremus. Vento igitur quum concessissemus nosque tradidissemus, tempestate undeoctoginta dies jactati sumus: octogesimo vero quum subito sol illucesceret, videmus non procul insulam eminentem atque silvestrem, quam fluctus non asper circumsonabat, quoniam major tempestatis pars resederat. Appulsi igitur et egressi, ut a longa ærumna, longo quidem tempore humi jacuimus: sed surgentes tamen, delegimus

μοθα, διαναστάντες δὲ ὅμως ἀπεκρίναμεν ἡμῶν αὐτῶν τριάκοντα μὲν φύλακας τῆς νεὼς παραμένειν, εἴκοσι δὲ σὺν ἐμοὶ ἀνελθεῖν ἐπὶ κατασκοπῇ τῶν ἐν τῇ νήσῳ.

7. Προελθόντες δὲ ὅσον σταδίους τρεῖς ἀπὸ τῆς θαλάττης δι' ὕλης ὁρῶμέν τινα στήλην χαλκοῦ πεποιημένην, Ἑλληνικοῖς γράμμασι καταγεγραμμένην, ἀμυδροῖς δὲ καὶ ἐκτετριμμένοις, λέγουσαν « ἄχρι τούτων Ἡρακλῆς καὶ Διόνυσος ἀφίκοντο. » Ἦν δὲ καὶ ἴχνη δύο πλησίον ἐπὶ πέτρας, τὸ μὲν πλεθριαῖον, τὸ δὲ ἔλαττον· ἐμοὶ δοκεῖν, τὸ μὲν τοῦ Διονύσου τὸ μικρότερον, θάτερον δὲ Ἡρακλέους. Προσκυνήσαντες δ' οὖν προήειμεν· οὔπω δὲ πολὺ παρήειμεν καὶ ἐφιστάμεθα ποταμῷ οἴνου ῥέοντι ὁμοιότατον μάλιστα οἷόσπερ ὁ Χῖός ἐστιν. Ἄφθονον δὲ ἦν τὸ ῥεῦμα καὶ πολύ, ὥστε ἐνιαχοῦ καὶ ναυσίπορον εἶναι δύνασθαι. Ἐπήει οὖν ἡμῖν πολὺ μᾶλλον πιστεύειν τῷ ἐπὶ τῆς στήλης ἐπιγράμματι ὁρῶσι τὰ σημεῖα τῆς Διονύσου ἐπιδημίας. Δόξαν δέ μοι καὶ ὅθεν ἄρχεται ὁ ποταμὸς καταμαθεῖν, ἀνήειν παρὰ τὸ ῥεῦμα, καὶ πηγὴν μὲν οὐδεμίαν εὗρον αὐτοῦ, πολλὰς δὲ καὶ μεγάλας ἀμπέλους, πλήρεις βοτρύων, παρὰ δὲ τὴν ῥίζαν ἑκάστης ἀπέρρει σταγὼν οἴνου διαυγοῦς, ἀφ' ὧν ἐγίγνετο ὁ ποταμός. Ἦν δὲ καὶ ἰχθῦς ἐν αὐτῷ πολλοὺς ἰδεῖν, οἴνῳ μάλιστα καὶ τὴν χρόαν καὶ τὴν γεῦσιν προσεοικότας· ἡμεῖς γοῦν ἀγρεύσαντες αὐτῶν τινας καὶ ἐμφαγόντες ἐμεθύσθημεν· ἀμέλει καὶ ἀνατεμόντες αὐτοὺς εὑρίσκομεν τρυγὸς μεστούς. Ὕστερον μέντοι ἐπινοήσαντες τοὺς ἄλλους ἰχθῦς, τοὺς ἀπὸ ὕδατος, παραμιγνύντες ἐκεράννυμεν τὸ σφοδρὸν τῆς οἰνοφαγίας.

8. Τότε δὲ τὸν ποταμὸν διαπεράσαντες, ᾗ διαβατὸς ἦν, εὕρομεν ἀμπέλων χρῆμα τεράστιον· τὸ μὲν γὰρ ἀπὸ τῆς γῆς, ὁ στέλεχος αὐτὸς εὐερνὴς καὶ παχύς, τὸ δὲ ἄνω γυναῖκες ἦσαν, ὅσον ἐκ τῶν λαγόνων ἅπαντα ἔχουσαι τέλεια. Τοιαύτην παρ' ἡμῖν τὴν Δάφνην γράφουσιν ἄρτι τοῦ Ἀπόλλωνος καταλαμβάνοντος ἀποδενδρουμένην. Ἀπὸ δὲ τῶν δακτύλων ἄκρων ἐξεφύοντο αὐταῖς οἱ κλάδοι καὶ μεστοὶ ἦσαν βοτρύων. Καὶ μὴν καὶ τὰς κεφαλὰς ἑκόμων ἕλιξί τε καὶ φύλλοις καὶ βότρυσι. Προσελθόντας δὲ ἡμᾶς ἠσπάζοντό τε καὶ ἐδέξιοῦντο, αἱ μὲν Λύδιον, αἱ δὲ Ἰνδικήν, αἱ πλεῖσται δὲ τὴν Ἑλλάδα φωνὴν προΐέμεναι. Καὶ ἐφίλουν δὲ ἡμᾶς τοῖς στόμασιν· ὁ δὲ φιληθεὶς αὐτίκα ἐμέθυε καὶ παράφορος ἦν. Δρέπεσθαι μέντοι οὐ παρεῖχον τοῦ καρποῦ, ἀλλ' ἤλγουν καὶ ἐβόων ἀποσπωμένου. Αἱ δὲ καὶ μίγνυσθαι ἡμῖν ἐπεθύμουν· καὶ δύο τινὲς τῶν ἑταίρων πλησιάσαντες αὐταῖς οὐκέτ' ἀπελύοντο, ἀλλ' ἐκ τῶν αἰδοίων ἐδέδεντο· συνεφύοντο γὰρ καὶ συνερριζοῦντο, καὶ ἤδη αὐτοῖς κλάδοι ἐπεφύκεσαν οἱ δάκτυλοι καὶ ταῖς ἕλιξι περιπλεκόμενοι ὅσον οὐδέπω καὶ αὐτοὶ καρποφορήσειν ἔμελλον.

9. Καταλιπόντες δὲ αὐτοὺς ἐπὶ ναῦν ἐφεύγομεν καὶ τοῖς ἀπολειφθεῖσι διηγούμεθα ἐλθόντες τά τε ἄλλα καὶ τῶν ἑταίρων τὴν ἀμπελομιξίαν. Καὶ δὴ λαβόντες ἀμφορέας τινὰς καὶ ὑδρευσάμενοί τε ἅμα καὶ ἐκ τοῦ ποταμοῦ οἰνισάμενοι καὶ αὐτοῦ πλησίον ἐπὶ τῆς ἠόνος

e nobis ipsis triginta, qui custodes navis manerent; viginti autem, qui mecum interiora peterent ad res insulæ explorandas.

7. Progressi vero per silvam stadia circiter a mari tria, videmus columnam ex ære factam, Græcis inscriptam literis, obscuris autem et exesis, in hanc sententiam : Huc usque Hercules et Bacchus pervenere. Erant autem vestigia quoque duo prope in petra, alterum jugeri magnitudine, alterum vero minus : ut mihi videbatur, Bacchi minus illud, alterum vero Herculis. Adoratis igitur diis, progredimur. Nondum autem multum progressi eramus, quum astamus amni vino, non aqua, fluenti, et Chii maxime speciem referenti. Flumen erat copiosum et multum, ut quibusdam locis etiam posset navigari. Subiit ergo multo magis credere inscriptioni columnæ, quum signa præsentiæ Bacchi videremus. Quum autem mihi placeret discere unde oriretur fluvius, adverso itinere juxta profluentem perrexi. Ac fontem quidem illius nullum reperi, sed multas et magnas vites, uvarum plenas : ad radicem vero uniuscujusque guttatim profluebat vinum liquidum, unde colligebatur amnis. Erat autem pisces quoque in eo videre multos, vino maxime et colore et gustu similes. Nos certe captos eorum aliquot quum devorassemus, inebriati sumus : quin et resectos invenimus fæce plenos. Deinde vero illud commenti sumus, ut alteris de aqua piscibus admistis temperaremus quod in vinco cibo nimium erat.

8. Tum trajecto flumine, ubi vadosum est, prodigiosum vitium genus invenimus. Quod enim terræ continens est, truncus ipse viridis et crassus : superius autem mulieres erant, ab ilibus inde membra omnia perfecta habentes. Talem apud nos Daphnen pingunt, Apolline jamjam comprehendente in arborem abeuntem. Summis autem digitis enascebantur illis palmites, qui pleni erant uvarum. Verum capita etiam pro coma claviculas habebant, et folia et uvas. Ceterum accedentes nos salutabant et prensabant, vocem partim Lydiam, partim Indicam, Græcam vero pleræque emittentes. Atque osculabantur nos labris : et quem osculo contigissent, is inebriatus statim incerto vestigio oberrabat. Vindemiare tamen de fructu suo non præbebant, sed præ dolore exclamabant eo detracto. Quædam etiam misceri nobis cupiebant; ac duo quidam sociorum congressi illis, dissolvi non amplius potuere, devincti genitalibus : coalescebant nempe illis, et ipsis radicibus permiscebantur; jamque palmites ipsis qui modo digiti fuerant, et claviculis implexi, tantum non jam fructum et ipsi laturi videbantur.

9. Nos autem relictis illis ad navim fugere, et his qui remanserant, advenientes narrare tum reliqua, tum illam sociorum complexionem et commistionem cum vitibus. Tum sumtis aliquot amphoris aquati quum essemus simul et vinum petiissemus de fluvio, et vicino loco in littore

αὐλισάμενοι ἕωθεν ἀνήχθημεν οὐ σφόδρα βιαίῳ πνεύματι· περὶ μεσημβρίαν δὲ οὐκέτι τῆς νήσου φαινομένης ἄφνω τυφὼν ἐπιγενόμενος καὶ περιδινήσας τὴν ναῦν καὶ μετεωρίσας ὅσον ἐπὶ σταδίους τρισχιλίους οὐκέτι καθῆκεν εἰς τὸ πέλαγος, ἀλλ' ἄνω μετέωρον ἐξαπηρτημένην ἄνεμος ἐμπεσὼν τοῖς ἱστίοις ἔφερε κολπώσας τὴν ὀθόνην.

10. Ἑπτὰ δὲ ἡμέρας καὶ τὰς ἴσας νύκτας ἀεροδρομήσαντες ὀγδόῃ καθορῶμεν γῆν τινα μεγάλην ἐν τῷ ἀέρι καθάπερ νῆσον, λαμπρὰν καὶ σφαιροειδῆ καὶ φωτὶ μεγάλῳ καταλαμπομένην· προσενεχθέντες δὲ αὐτῇ καὶ ὁρμισάμενοι ἀπέβημεν, ἐπισκοποῦντες δὲ τὴν χώραν εὑρίσκομεν οἰκουμένην τε καὶ γεωργουμένην. Ἡμέρας μὲν οὖν οὐδὲν αὐτόθεν καθεωρῶμεν, νυκτὸς δὲ ἐπιγενομένης ἐφαίνοντο ἡμῖν καὶ ἄλλαι πολλαὶ νῆσοι πλησίον, αἱ μὲν μείζους, αἱ δὲ μικρότεραι, πυρὶ τὴν χρόαν προσεοικυῖαι, καὶ ἄλλη δέ τις γῆ κάτω καὶ πόλεις ἐν αὐτῇ καὶ ποταμοὺς ἔχουσα καὶ πελάγη καὶ ὕλας καὶ ὄρη. Ταύτην οὖν τὴν καθ' ἡμᾶς οἰκουμένην εἰκάζομεν.

11. Δόξαν δὲ ἡμῖν καὶ ἔτι πορρωτέρω προελθεῖν, ξυνελήφθημεν τοῖς Ἱππογύποις παρ' αὐτοῖς καλουμένοις ἀπαντήσαντες. Οἱ δὲ Ἱππόγυποι οὗτοί εἰσιν ἄνδρες ἐπὶ γυπῶν μεγάλων ὀχούμενοι καὶ καθάπερ ἵπποις τοῖς ὀρνέοις χρώμενοι· μεγάλοι γὰρ οἱ γῦπες καὶ ὡς ἐπίπαν τρικέφαλοι. Μάθοι δ' ἄν τις τὸ μέγεθος αὐτῶν ἐντεῦθεν· νεὼς γὰρ μεγάλης φορτίδος ἱστοῦ ἕκαστον τῶν πτερῶν μακρότερον καὶ παχύτερον φέρουσι. Τούτοις οὖν τοῖς Ἱππογύποις προστέτακται περιπετομένοις τὴν γῆν, εἴ τις εὑρεθείη ξένος, ἀνάγειν ὡς τὸν βασιλέα· καὶ δὴ καὶ ἡμᾶς ξυλλαβόντες ἀνάγουσιν ὡς αὐτόν. Ὁ δὲ θεασάμενος καὶ ἀπὸ τῆς θέας καὶ τῆς στολῆς εἰκάσας, Ἕλληνες ἄρα, ἔφη, ὑμεῖς, ὦ ξένοι; Συμφησάντων δὲ ἡμῶν, Πῶς οὖν ἀφίκεσθε, ἔφη, τοσοῦτον ἀέρα διελθόντες; Καὶ ἡμεῖς τὸ πᾶν αὐτῷ διηγούμεθα· καὶ ὃς ἀρξάμενος τὸ καθ' ἑαυτὸν ἡμῖν διεξῆει, ὡς καὶ αὐτὸς ἄνθρωπος ὢν τοὔνομα Ἐνδυμίων ἀπὸ τῆς ἡμετέρας γῆς καθεύδων ἀναρπασθείη ποτὲ καὶ ἀφικόμενος βασιλεύσειε τῆς χώρας· εἶναι δὲ τὴν γῆν ἐκείνην ἔλεγε τὴν ἡμῖν κάτω φαινομένην Σελήνην. Ἀλλὰ θαρρεῖν τε παρεκελεύετο καὶ μηδένα κίνδυνον ὑφορᾶσθαι· πάντα γὰρ ἡμῖν παρέσεσθαι ὧν δεόμεθα.

12. Ἢν δὲ καὶ κατορθώσω, ἔφη, τὸν πόλεμον, ὃν ἐκφέρω νῦν πρὸς τοὺς τὸν ἥλιον κατοικοῦντας, ἁπάντων εὐδαιμονέστατα παρ' ἐμοὶ καταβιώσεσθε. Καὶ ἡμεῖς ἠρόμεθα τίνες τε εἶεν οἱ πολέμιοι καὶ τὴν αἰτίαν τῆς διαφορᾶς· Ὁ δὲ Φαέθων, φησίν, ὁ τῶν ἐν τῷ ἡλίῳ κατοικούντων βασιλεύς — οἰκεῖται γὰρ δὴ κἀκεῖνος ὥσπερ καὶ ἡ Σελήνη — πολὺν ἤδη πρὸς ἡμᾶς πολεμεῖ χρόνον. Ἤρξατο δὲ ἐξ αἰτίας τοιαύτης· τῶν ἐν τῇ ἀρχῇ τῇ ἐμῇ ποτε τοὺς ἀπορωτάτους συναγαγὼν ἐβουλήθην ἀποικίαν ἐς τὸν Ἑωσφόρον στεῖλαι, ὄντα ἔρημον καὶ ὑπὸ μηδενὸς κατοικούμενον· ὁ τοίνυν Φαέθων φθονήσας ἐκώλυε τὴν ἀποικίαν κατὰ μέσον τὸν πόρον ἀπαντήσας ἐπὶ τῶν Ἱππομυρμήκων. Τότε μὲν οὖν

pernoctassemus; mane vento non nimis vehementi solvimus. Circa meridiem, quum jam disparuisset insula, subito ingruens turbo circumactam vertigine navim in altum sustulit, nec per tria fere millia stadiorum demisit in mare, sed supra in acre suspensam ventus in vela irruens, eaque sinuans, ferebat.

10. Septem dies et noctes totidem per aera vecti, octavo terram quandam conspicimus magnam in aere, insulæ instar, splendidam, globosam, et multa luce illustratam. Delati ad illam et appulsi escendimus, exploratoque regione habitari eam colique invenimus. Atque interdiu quidem nihil inde videbamus : superveniente vero nocte aliæ in conspectum nobis veniebant in propinquo insulæ multæ, majores, minores, colore igneo : alia autem quædam terra infra nos, et urbes in se et flumina habens, et maria, et silvas, et montes. Hanc igitur nostram esse tellurem conjiciebamus.

11. Quum vero placuisset nobis ultra progredi, comprehensi sumus ab his, qui Hippogypi (*Equivultures*) apud illos vocantur, in quos incideramus. Sunt autem Hippogypi viri magnis vulturibus vehentes, iisque avibus utentes velut equis : magni enim sunt illi vultures, et utplurimum tricipites. Discat autem magnitudinem eorum inde aliquis, quod pennam unamquamque onerariæ magnæ navis malo majorem crassioremque ferunt. His igitur Hippogypis injunctum est, uti circumvolantes terram, si quis peregrinus inveniatur, deducant ad regem. Itaque nos quoque comprehensos ad eum deducunt. Ille vero, conspectis nobis, conjectura ex habitu ducta, Græci ergo, inquit, vos estis, hospites? Fatentibus nobis, Quomodo igitur, inquit, huc venitis tanto superato aere? Et nos, quicquid erat, illi narramus. Atque ille exorsus suas nobis res enarrat, ut ipse quoque, homo qui esset, Endymion nomine, de nostra terra inter ipsum somnum sursum quondam abreptus esset, et huc delatus regioni imperitet. Esse autem terram illam dicebat eam, quæ infra nobis luna videatur. Sed bono nos animo esse jussit, et periculum suspicari nullum : præsto quippe nobis futura, quibus opus esset, omnia.

12. Si vero, inquit, bellum etiam prospere confecero, quod jam Solis incolis infero, felicissimam apud me vitam vivetis. Interrogantibus nobis, quinam hostes essent, et quæ dissidiorum causa, Ille Phaethon, inquit, rex eorum qui Solem incolunt (habitatur enim ille quoque non minus quam Luna), diu jam bellum adversus nos gerit. Cœpit autem ex causa tali. Collectis aliquando tenuissimis imperii mei, coloniam mittere in Luciferum statui, desertum et inhabitatum a nemine. At Phaethon præ invidia prohibuit coloniam, in media se via objiciens nobis in Hippomyrmecibus (*Equiformicis*). Igitur tum quidem superati

νικηθέντες — οὐ γὰρ ἦμεν ἀντίπαλοι τῇ παρασκευῇ — ἀνεχωρήσαμεν· νῦν δὲ βούλομαι αὖθις ἐξενεγκεῖν τὸν πόλεμον καὶ ἀποστεῖλαι τὴν ἀποικίαν. Ἢν οὖν ἐθέλητε, κοινωνήσατέ μοι τοῦ στόλου, γῦπας δὲ ὑμῖν ἐγὼ παρέξω τῶν βασιλικῶν ἕνα ἑκάστῳ καὶ τὴν ἄλλην ὅπλισιν· αὔριον δὲ ποιησόμεθα τὴν ἔξοδον. Οὕτως, ἔφην ἐγώ, γιγνέσθω, ἐπειδή σοι δοκεῖ.

13. Τότε μὲν οὖν παρ' αὐτῷ ἑστιαθέντες ἐμείναμεν, ἕωθεν δὲ διαναστάντες ἐταττόμεθα· καὶ γὰρ οἱ σκοποὶ ἐσήμαινον πλησίον εἶναι τοὺς πολεμίους. Τὸ μὲν οὖν πλῆθος τῆς στρατιᾶς δέκα μυριάδες ἐγένοντο ἄνευ τῶν σκευοφόρων καὶ τῶν μηχανοποιῶν καὶ τῶν πεζῶν καὶ τῶν ξένων συμμάχων· τούτων δὲ ὀκτακισμύριοι μὲν ἦσαν οἱ Ἱππόγυποι, δισμύριοι δὲ οἱ ἐπὶ τῶν λαχανοπτέρων. Ὄρνεον δὲ καὶ τοῦτό ἐστι μέγιστον, ἀντὶ τῶν πτερῶν λαχάνοις πάντῃ λάσιον, τὰ δὲ ὠκύπτερα ἔχει θριδακίνης φύλλοις μάλιστα προσεοικότα. Ἐπὶ δὲ τούτοις οἱ Κεγχροβόλοι ἐτετάχατο καὶ οἱ Σκοροδομάχοι. Ἦλθον δὲ αὐτῷ καὶ ἀπὸ τῆς ἄρκτου σύμμαχοι, τρισμύριοι μὲν Ψυλλοτοξόται, πενταχισμύριοι δὲ Ἀνεμοδρόμοι· τούτων δ' οἱ μὲν Ψυλλοτοξόται ἐπὶ ψυλλῶν μεγάλων ἱππάζονται, ὅθεν καὶ τὴν προσηγορίαν ἔχουσι· μέγεθος δὲ τῶν ψυλλῶν ὅσον ὀώδεκα ἐλέφαντες· οἱ δὲ Ἀνεμοδρόμοι πεζοί μέν εἰσι, φέρονται δὲ ἐν τῷ ἀέρι ἄνευ πτερῶν· ὁ δὲ τρόπος τῆς φορᾶς τοιόσδε· χιτῶνας ποδήρεις ὑποζωσάμενοι κολπώσαντες αὐτοὺς τῷ ἀνέμῳ καθάπερ ἱστία, φέρονται ὥσπερ τὰ σκάφη. Τὰ πολλὰ δ' οἱ τοιοῦτοι ἐν ταῖς μάχαις πελτασταί εἰσιν. Ἐλέγοντο δὲ καὶ ἀπὸ τῶν ὑπὲρ τὴν Καππαδοκίαν ἀστέρων ἥξειν Στρουθοβάλανοι μὲν ἑπτακισμύριοι, Ἱππογέρανοι δὲ πεντακισχίλιοι. Τούτους ἐγὼ οὐκ ἐθεασάμην· οὐ γὰρ ἀφίκοντο. Διόπερ οὐδὲ γράψαι τὰς φύσεις αὐτῶν ἐτόλμησα· τεράστια γὰρ καὶ ἄπιστα περὶ αὐτῶν ἐλέγετο.

14. Αὕτη μὲν ἡ τοῦ Ἐνδυμίωνος δύναμις ἦν. Σκευὴ δὲ πάντων ἡ αὐτή· κράνη μὲν ἀπὸ τῶν κυάμων· μεγάλοι γὰρ παρ' αὐτοῖς οἱ κύαμοι καὶ καρτεροί· θώρακες δὲ φολιδωτοὶ πάντες θέρμινοι· τὰ γὰρ λέπη τῶν θέρμων συρράπτοντες ποιοῦνται θώρακας· ἄρρηκτον δ' ἐκεῖ γίγνεται τοῦ θέρμου τὸ λέπος ὥσπερ κέρας· ὰσπίδες δὲ καὶ ξίφη οἷα τὰ Ἑλληνικά.

15. Ἐπειδὴ δὲ καιρὸς ἦν, ἐτάξαντο ὧδε· τὸ μὲν δεξιὸν κέρας εἶχον οἱ Ἱππόγυποι καὶ ὁ βασιλεὺς τοὺς ἀρίστους περὶ αὐτὸν ἔχων· καὶ ἡμεῖς ἐν τούτοις ἦμεν· τὸ δ' εὐώνυμον οἱ Λαχανόπτεροι· τὸ δὲ μέσον οἱ σύμμαχοι ὡς ἕκαστοι. Τὸ δὲ πεζὸν ἦσαν μὲν ἀμφὶ τὰς ἑξακισχιλίας μυριάδας· ἐτάχθησαν δὲ οὕτως· ἀράχναι παρ' αὐτοῖς πολλοὶ καὶ μεγάλοι γίγνονται πολὺ τῶν Κυκλάδων νήσων ἕκαστος μείζων· τούτοις προσέταξε διυφῆναι τὸν μεταξὺ τῆς Σελήνης καὶ τοῦ Ἑωσφόρου ἀέρα· ὡς δὲ τάχιστα ἐξειργάσαντο καὶ πεδίον ἐποίησαν, ἐπὶ τούτου παρέταξε τὸ πεζόν· ἡγεῖτο δὲ αὐτῶν Νυκτερίων ὁ Εὐδιάνακτος τρίτος αὐτός.

16. Τῶν δὲ πολεμίων τὸ μὲν εὐώνυμον εἶχον οἱ Ἱπ-

discessimus; neque enim apparatu pares eramus : jam vero denuo inferre bellum volo, et coloniam deducere. Quodsi ergo volueritis, in partem expeditionis meæ venite. Vultures autem vobis ego præbebo de regiis singulos, et armaturam reliquam. Ceterum crastino die egrediemur. Ita fiat, inquam ego, quandoquidem tibi sic videtur.

13. Ac tum quidem in convivio ipsius mansimus. Postridie vero ejus diei mane surgentes, in aciem processimus, quum prope esse hostem significarent speculatores. Numerus exercitus fuere centum millia, præter calones, et machinarios, et pedites, et auxilia peregrina; erant autem octuaginta millia Hippogyporum, et viginti millia qui Lachanopteris (*oleripennibus*) vehuntur. Est illa quoque avis maxima, pro pennis undique hirsuta oleribus, alas habens lactucæ foliis maxime similes. Juxta hos collocati in acie erant Cenchroboli (*jaculatores milii*) et Scorodomachi (*alliis pugnantes*). Venerant etiam de septentrione auxiliares, trigesies mille Psyllotoxotæ (*pulicisagittarii*), et quinquagies mille Anemodromi (*venticursores*). Horum autem isti magnis in pulicibus equitant, unde etiam nomen habent; magnitudo singulorum pulicum, quanta duodecim elephantorum : Anemodromi autem pedites illi quidem, sed in aere feruntur sine alis. Ratio cursus ejus hujusmodi est : togas talares substringunt, easque vento velorum instar sinuandas quum permisere, navigiorum more feruntur. Plerumque hi in præliis peltastæ sunt. Dicebantur vero etiam de stellis Cappadociæ imminentibus venturi Struthobalanorum (*passeriglandium*) septuaginta millia, Hippogeranorumque (*equigruum*) millia quinque. Hos ego non vidi; neque enim venerunt. Ideo neque naturas illorum ausus sum scribere : prodigiosa enim et incredibilia de illis dicebantur.

14. Atque hæ Endymionis copiæ. Ceterum arma omnium eadem : galeæ de fabis, magnæ enim apud illos fabæ ac robustæ; loricæ squamatæ omnes de lupinis; lupinorum nempe pelliculis consutis loricas sibi faciunt : impenetrabilis vero ibi nascitur lupini pellicula, cornu instar : clypei et gladii Græcis similes.

15. Quum vero opportunum jam esset, aciem formabant ejusmodi : dextrum cornu Hippogypi tenebant, et ipse rex, qui circa se habebat quosque fortissimos; in his nos quoque eramus : sinistrum Lachanopteri : mediam aciem auxiliares, suum sibi agmen quique implentes. Peditum numerus erat ad sexagies mille millia, quorum acies hoc modo instructa est : aranei apud eos multi magnique nascuntur, Cycladum insularum singulis singulæ multo majores : his obtexere imperavit interjectum Lunam inter et Phosphorum aera : ac quum primum hoc perfecissent et campum ita parassent, in eo instruxit pedites, quos ducebat Nycterion Eudianactis (*Nocturnus Sereni regis*) filius, cum duobus aliis.

16. At hostium sinistrum cornu tenebant Hippomyrme-

πομύρμηκες καὶ ἐν αὐτοῖς ὁ Φαέθων· θηρία δέ ἐστι μέγιστα, ὑπόπτερα, τοῖς παρ' ἡμῖν μύρμηξι προσεοικότα πλὴν τοῦ μεγέθους· ὁ γὰρ μέγιστος αὐτῶν καὶ δίπλεθρος ἦν. Ἐμάχοντο δὲ οὐ μόνον οἱ ἐπ' αὐτῶν, ἀλλὰ καὶ αὐτοὶ μάλιστα τοῖς κέρασιν· ἐλέγοντο δὲ οὗτοι εἶναι ἀμφὶ τὰς πέντε μυριάδας. Ἐπὶ δὲ τοῦ δεξιοῦ αὐτῶν ἐτάχθησαν οἱ Ἀεροκώνωπες, ὄντες καὶ οὗτοι ἀμφὶ τὰς πέντε μυριάδας, πάντες τοξόται κώνωψι μεγάλοις ἐποχούμενοι· μετὰ δὲ τούτους οἱ Ἀεροκόρδακες, ψιλοί τε ὄντες καὶ πεζοί, πλὴν μάχιμοί γε καὶ οὗτοι· πόρρωθεν γὰρ ἐσφενδόνων ῥαφανῖδας ὑπερμεγέθεις, καὶ ὁ βληθεὶς οὐδ' ἐπ' ὀλίγον ἀντέχειν ἠδύνατο, ἀπέθνησκε δὲ, δυσωδίας τινὸς αὐτίκα τῷ τραύματι ἐγγινομένης· ἐλέγοντο δὲ χρίειν τὰ βέλη μαλάχης ἰῷ· ἐχόμενοι δὲ αὐτῶν ἐτάχθησαν οἱ Καυλομύκητες, ὁπλῖται ὄντες καὶ ἀγχέμαχοι τὸ πλῆθος μύριοι· ἐκλήθησαν δὲ Καυλομύκητες, ὅτι ἀσπίσι μὲν μυκητίναις ἐχρῶντο, δόρασι δὲ καυλίνοις τοῖς ἀπὸ τῶν ἀσπαράγων. Πλησίον δὲ αὐτῶν οἱ Κυνοβάλανοι ἔστησαν, οὓς ἔπεμψαν αὐτῷ οἱ τὸν Σείριον κατοικοῦντες, πεντακισχίλιοι καὶ οὗτοι, ἄνδρες κυνοπρόσωποι ἐπὶ βαλάνων πτερωτῶν μαχόμενοι. Ἐλέγοντο δὲ κἀκείνων ὑστερίζειν τῶν συμμάχων οὓς τε ἀπὸ τοῦ Γαλαξίου μετεπέμπετο σφενδονήτας καὶ οἱ Νεφελοκένταυροι. Ἀλλ' ἐκεῖνοι μὲν τῆς μάχης ἤδη κεκριμένης ἀφίκοντο, ὡς μήποτε ὤφελον· οἱ σφενδονῆται δὲ οὐδὲ ὅλως παρεγένοντο, διόπερ φασὶν αὐτοῖς ὕστερον ὀργισθέντα τὸν Φαέθοντα πυρπολῆσαι τὴν χώραν. Τοιαύτη μὲν καὶ ὁ Φαέθων ἐπῆλθε παρασκευῇ.

17. Συμμίξαντες δὲ ἐπειδὴ τὰ σημεῖα ἤρθη καὶ ὠγκήσαντο ἑκατέρων οἱ ὄνοι — τούτοις γὰρ ἀντὶ σαλπιγκτῶν χρῶνται — ἐμάχοντο. Καὶ τὸ μὲν εὐώνυμον τῶν Ἡλιωτῶν αὐτίκα ἔφυγεν, οὐδ' εἰς χεῖρας δεξάμενοι τοὺς Ἱππογύπους, καὶ ἡμεῖς εἰπόμεθα κτείνοντες· τὸ δεξιὸν δὲ αὐτῶν ἐκράτει τοῦ ἐπὶ τῷ ἡμετέρῳ εὐωνύμου, καὶ ἐπεξῆλθον οἱ Ἀεροκώνωπες διώκοντες ἄχρι πρὸς τοὺς πεζούς. Ἐνταῦθα δὲ κἀκείνων ἐπιβοηθούντων ἔφυγον ἐγκλίναντες, καὶ μάλιστα ἐπεὶ ἤσθοντο τοὺς ἐπὶ τῷ εὐωνύμῳ σφῶν νενικημένους. Τῆς δὲ τροπῆς λαμπρᾶς γεγενημένης πολλοὶ μὲν ζῶντες ἡλίσκοντο, πολλοὶ δὲ καὶ ἀνῃροῦντο, καὶ τὸ αἷμα ἔρρει πολὺ μὲν ἐπὶ τῶν νεφῶν, ὥστε αὐτὰ βάπτεσθαι καὶ ἐρυθρὰ φαίνεσθαι, οἷα παρ' ἡμῖν δυομένου τοῦ ἡλίου φαίνεται, πολὺ δὲ καὶ εἰς τὴν γῆν κατέσταζεν, ὥστε με εἰκάζειν, μὴ ἄρα τοιούτου τινὸς καὶ πάλαι ἄνω γενομένου Ὅμηρος ὑπέλαβεν αἵματι ὗσαι τὸν Δία ἐπὶ τῷ τοῦ Σαρπηδόνος θανάτῳ.

18. Ἀναστρέψαντες δὲ ἀπὸ τῆς διώξεως δύο τρόπαια ἐστήσαμεν, τὸ μὲν ἐπὶ τῶν ἀραχνίων τῆς πεζομαχίας, τὸ δὲ τῆς ἀερομαχίας ἐπὶ τῶν νεφῶν. Ἄρτι δὲ τούτων γιγνομένων ἠγγέλλοντο ὑπὸ τῶν σκοπῶν οἱ Νεφελοκένταυροι προσελαύνοντες, οὓς ἔδει πρὸ τῆς μάχης ἐλθεῖν τῷ Φαέθοντι. Καὶ δὴ ἐφαίνοντο προσιόντες, θέαμα παραδοξότατον, ἐξ ἵππων πτερωτῶν καὶ ἀνθρώπων συγκείμενοι· μέγεθος δὲ τῶν μὲν ἀνθρώπων

ces, atque in illis Phaethon : animalia autem illa sunt maxima, volucria, formicis nostris similia, a magnitudine si discesseris : maximum enim illorum vel duorum jugerum erat. Pugnabant autem non sessores modo, sed et ipsa, maxime cornibus : dicebanturque hi esse quinquaginta circiter millia. In dextro cornu collocati erant Aeroconopes (*aeroculices*), quinquagies mille circiter et ipsi, sagittarii omnes magnis culicibus inequitantes. Post hos vero Aerocordaces, levis armaturæ pedites, sed pugnaces ipsi quoque : e longinquo enim fundis jaculabantur raphanos supra modum magnos, quibus percussus ne paullum quidem durare poterat, sed moriebatur fœdo statim odore superveniente vulneri : dicebantur autem ungere tela veneno malvæ. Continuo post illos stare jussi Caulomycetes (*Caulifungi*), gravis armaturæ milites cominus pugnantes, decies mille numero, appellationem inde nacti, quod scutis quidem e fungis, hastis autem uterentur e caulibus asparagorum. Prope hos collocati Cynobalani (*Caniglandarii*), quos submiserant qui habitant Sirium, quinquies mille, caninis capitibus viri, in alatis glandibus pugnantes. Dicebantur autem de illorum quoque auxiliis quidam abesse, tum quos de Lactea via arcessiverat funditores, tum Nephelocentauri (*Nubicentauri*). Verum illi pugna jam diremta advenerunt, et utinam nunquam venissent! funditores autem plane non venerunt; propterea aiunt iratum deinde illis Phaethontem illorum regionem igni vastasse. Hoc quidem apparatu Phaethon inibat prælium.

17. Quum vero commissa esset pugna, sublatis signis ruditique ab asinis utrimque edito (his enim utuntur loco tubicinum), certabant. Ac sinistrum Heliotarum cornu statim fugere, quum nec ad manus admisisset Hippogypos, et nos insequi cædibus : dextrum vero illorum cornu sinistram nostram aciem superavit, impetuque facto persecuti Aeroconopes ad pedites usque pervenerunt. Hic vero et illis subsidio venientibus, inclinata acie fugerunt, et maxime quum sentirent suos in sinistro cornu victos. Quum effuse jam fugerent, multi quidem vivi capti sunt, multi vero etiam interfecti, copiosusque tum per nubes sanguis fluxit, ut tingerentur illo et rubicundæ viderentur, quales apud nos occidente sole apparent; tum multus stillavit in terram, adeo quidem ut conjicerem ego, numquid forte tale quid olim apud superos factum quum esset, Homerus putaverit sanguine pluisse Jovem ob mortem Sarpedonis.

18. A persequendis hostibus reversi tropæa duo statuimus, alterum de pedestri prælio, in aranearum tela; alterum vero pugnæ in aere commissæ, in nubibus. Commodum ista gerebantur, quum nunciantur a speculatoribus adventare Nephelocentauri, quos ante pugnam venire Phaethonti oportebat. Et sane apparebat quum accederent admirabile inprimis spectaculum, ex alatis equis et hominibus compositi : magnitudo autem, hominum, quanta est Colossi

δσον τοῦ Ῥοδίων κολοσσοῦ ἐξ ἡμισείας ἐς τὸ ἄνω, τῶν δ' ἵππων ὅσον νεὼς μεγάλης φορτίδος. Τὸ μέντοι πλῆθος αὐτῶν οὐκ ἀνέγραψα, μή τῳ καὶ ἄπιστον δόξῃ, τοσοῦτον ἦν. Ἡγεῖτο δὲ αὐτῶν ὁ ἐκ τοῦ Ζωδιακοῦ τοξότης. Ἐπεὶ δὲ ᾔσθοντο τοὺς φίλους νενικημένους, ἐπὶ μὲν τὸν Φαέθοντα ἔπεμπον ἀγγελίαν αὖθις ἐπιέναι, αὐτοὶ δὲ διαταξάμενοι τεταραγμένοις ἐπιπίπτουσι τοῖς Σεληνίταις, ἀτάκτοις περὶ τὴν δίωξιν καὶ τὰ λάφυρα διεσκεδασμένοις· καὶ πάντας μὲν τρέπουσιν, αὐτὸν δὲ τὸν βασιλέα καταδιώκουσι πρὸς τὴν πόλιν καὶ τὰ πλεῖστα τῶν ὀρνέων αὐτοῦ κτείνουσιν· ἀνέσπασαν δὲ καὶ τὰ τρόπαια καὶ κατέδραμον ἅπαν τὸ ὑπὸ τῶν ἀραχνῶν πεδίον ὑφασμένον, ἐμὲ δὲ καὶ δύο τινὰς τῶν ἑταίρων ἔζωγρησαν. Ἤδη δὲ παρῆν καὶ ὁ Φαέθων καὶ αὖθις ἄλλα τρόπαια ὑπ' ἐκείνων ἵστατο. Ἡμεῖς μὲν οὖν ἀπηγόμεθα ἐς τὸν Ἥλιον αὐθημερὸν τῷ χεῖρε ὀπίσω δεθέντες ἀραχνίου ἀποκόμματι.

19. Οἱ δὲ πολιορκεῖν μὲν οὐκ ἔγνωσαν τὴν πόλιν, ἀναστρέψαντες δὲ τὸ μεταξὺ τοῦ ἄέρος ἀπετείχιζον, ὥστε μηκέτι τὰς αὐγὰς ἀπὸ τοῦ Ἡλίου πρὸς τὴν Σελήνην διήκειν. Τὸ δὲ τεῖχος ἦν διπλοῦν, νεφελωτόν· ὥστε σαφὴς ἔκλειψις τῆς Σελήνης ἐγεγόνει καὶ νυκτὶ διηνεκεῖ πᾶσα κατείχετο. Πιεζόμενος δὲ τούτοις ὁ Ἐνδυμίων πέμψας ἱκέτευε καθαιρεῖν τὸ οἰκοδόμημα καὶ μὴ σφᾶς περιορᾶν ἐν σκότῳ βιοτεύοντας, ὑπισχνεῖτο δὲ καὶ φόρους τελέσειν καὶ σύμμαχος ἔσεσθαι καὶ μηκέτι πολεμήσειν, καὶ ὁμήρους ἐπὶ τούτοις δοῦναι ἤθελεν. Οἱ δὲ περὶ τὸν Φαέθοντα γενομένης δὶς ἐκκλησίας τῇ προτεραίᾳ μὲν οὐδὲν παρέλυσαν τῆς ὀργῆς, τῇ ὑστεραίᾳ δὲ μετέγνωσαν, καὶ ἐγένετο ἡ εἰρήνη ἐπὶ τούτοις.

20. « Κατὰ τάδε συνθήκας ἐποιήσαντο οἱ Ἡλιῶται καὶ οἱ σύμμαχοι πρὸς Σεληνίτας καὶ τοὺς συμμάχους, ἐπὶ τῷ καταλῦσαι μὲν τοὺς Ἡλιώτας τὸ διατείχισμα καὶ μηκέτι ἐς τὴν Σελήνην ἐσβάλλειν, ἀποδοῦναι δὲ καὶ τοὺς αἰχμαλώτους ῥητοῦ ἕκαστον χρήματος, τοὺς δὲ Σεληνίτας ἀφεῖναι μὲν αὐτονόμους τούς γε ἄλλους ἀστέρας, ὅπλα δὲ μὴ ἐπιφέρειν τοῖς Ἡλιώταις, συμμαχεῖν δὲ τῇ ἀλλήλων, ἤν τις ἐπίῃ· φόρον δὲ ὑποτελεῖν ἑκάστου ἔτους τὸν βασιλέα τῶν Σεληνιτῶν τῷ βασιλεῖ τῶν Ἡλιωτῶν δρόσου ἀμφορέας μυρίους, καὶ ὁμήρους δὲ σφῶν αὐτῶν δοῦναι μυρίους, τὴν δὲ ἀποικίαν τὴν ἐς τὸν Ἑωσφόρον κοινὴν ποιεῖσθαι καὶ μετέχειν τῶν ἄλλων τὸν βουλόμενον· ἐγγράψαι δὲ τὰς συνθήκας στήλῃ ἠλεκτρίνῃ καὶ ἀναστῆσαι ἐν μέσῳ τῷ ἀέρι ἐπὶ τοῖς μεθορίοις. Ὤμοσαν δὲ Ἡλιωτῶν μὲν Πυρωνίδης καὶ Θερίτης καὶ Φλόγιος, Σεληνιτῶν δὲ Νύκτωρ καὶ Μήνιος καὶ Πολυλαμπής. »

21. Τοιαύτη μὲν ἡ εἰρήνη ἐγένετο· εὐθὺς δὲ τὸ τεῖχος καθῃρεῖτο καὶ ἡμᾶς τοὺς αἰχμαλώτους ἀπέδοσαν. Ἐπεὶ δὲ ἀφικόμεθα ἐς τὴν Σελήνην, ὑπηντίαζον ἡμᾶς καὶ ἠσπάζοντο μετὰ δακρύων οἵ τε ἑταῖροι καὶ ὁ Ἐνδυμίων αὐτός. Καὶ ὁ μὲν ἠξίου μεῖναί τε παρ' αὐτῷ καὶ κοινωνεῖν τῆς ἀποικίας ὑπισχνούμενος δώσειν πρὸς γά-

Rhodiorum dimidia pars superior; equorum, quanta magnæ navis onerariæ. Numerum eorum non scripsi, ne cui incredibilis videretur : adeo ingens erat. Dux illorum erat ille de Zodiaco Sagittarius. Quum vero victos amicos suos esse sensissent, Phaethontem misso nuncio in prælium revocarunt : ipsi vero instructa acie in Selenitas irruunt perturbatos, palantes, et in persequendis hostibus prædaque legenda dispersos. In fugam vertunt omnes, ipsum regem ad urbem usque persequuntur, plerasque volucrium ipsius interficiunt : deinde tropæa revulsere, totumque campum ab araneis textum percurrerunt : me vero et sociorum duos vivos cepere. Jamque Phaethon aderat, et rursus alia ab illis tropæa statuebantur. Nos quidem igitur eodem adhuc die ad Solem abducebamur, manibus ad terga revinctis filo de araneæ tela abscisso.

19. Atque oppugnare quidem urbem non statuerunt, reversi autem quod interjectum est aeris muro interposito absciderunt, ut splendor a sole non jam pervenire ad Lunam posset. Murus ille duplex erat, nubibus constans : hinc aperta Lunæ eclipsis efficiebatur, ut perpetua nocte universa premeretur. His quum urgeretur malis Endymion, legatione missa supplicavit ut demolirentur illam munitionem, nec rejicerent se degentes in tenebris : promisitque tributa pendere, ac mittere auxilia, neque amplius rebellare; obsidesque harum rerum causa obtulit. Phaethon autem cum suis, concilio bis habito, priori quidem irarum nihil remisere, sed posteriore sententiam mutarunt. Convenit igitur pax his legibus :

20. « In has conditiones fœdus fecere Heliotæ ipsorumque socii cum Selenitis ac sociis illorum, ut Heliotæ demoliantur munitionem interpositam, neque amplius irruptionem in Lunam faciant, reddantque captivos pretio quo de singulis convenerit : Selenitæ autem uti liberas et sui juris esse patiantur stellas reliquas; neque bellum inferant Heliotis, sed auxilia potius mittant invicem, si quis illos invadat; tributumque pendat quotannis Heliotarum regi rex Selenitarum, roris amphoras decies mille, ejusque rei obsides det ex suis decies mille; coloniam autem in Luciferum communiter mittant, et in partem ejus veniat aliorum etiam quisquis voluerit; inscribantque fœdus hoc columnæ ex electro, eamque statuant in medio aere, ipsis in confiniis. Jurarunt in hoc fœdus Heliotarum Pyronides (*Igneus*) et Therites (*Æstivus*) et Phlogius (*Flammeus*) : Selenitarum vero Nyctor (*Nocturnus*) et Menius (*Menstruus*) et Polylampes (*Multilucius*). »

21. Hæc talis igitur pax facta est. Statimque munitio dejiciebatur, nosque captivos reddidere. Quum autem rediissemus in Lunam, occurrerunt nobis et cum lacrimis complexi sunt tum socii, tum ipse Endymion. Et hic quidem rogabat, maneremus apud se, et coloniæ nos ascribi pateremur, pollicitus se nuptui daturum mihi puerum

μον τὸν ἑαυτοῦ παῖδα· γυναῖκες γὰρ οὐκ εἰσὶ παρ' αὐτοῖς. Ἐγὼ δὲ οὐδαμῶς ἐπειθόμην, ἀλλ' ἠξίουν ἀποπεμφθῆναι κάτω ἐς τὴν θάλατταν. Ὡς δὲ ἔγνω ἀδύνατον ὂν πείθειν, ἀποπέμπει ἡμᾶς ἑστιάσας ἑπτὰ ἡμέρας.

22. Ἃ δ' ἐν τῷ μεταξὺ διατρίβων ἐν τῇ Σελήνῃ κατενόησα καινὰ καὶ παράδοξα, ταῦτα βούλομαι εἰπεῖν. Πρῶτα μὲν τὸ μὴ ἐκ γυναικῶν γεννᾶσθαι αὐτοὺς, ἀλλ' ἀπὸ τῶν ἀρρένων· γάμοις γὰρ τοῖς ἄρρεσι χρῶνται καὶ οὐδὲ ὄνομα γυναικὸς ὅλως ἴσασι. Μέχρι μὲν οὖν πέντε καὶ εἴκοσιν ἐτῶν γαμεῖται ἕκαστος, ἀπὸ δὲ τούτων γαμεῖ αὐτός· κύουσι δὲ οὐκ ἐν τῇ νηδύϊ, ἀλλ' ἐν ταῖς γαστροκνημίαις· ἐπειδὰν γὰρ συλλάβῃ τὸ ἔμβρυον, παχύνεται ἡ κνήμη, καὶ χρόνῳ ὕστερον ἀνατεμόντες ἐξάγουσι νεκρὰ, ἐκθέντες δὲ αὐτὰ πρὸς τὸν ἄνεμον κεχηνότα ζωποιοῦσι. Δοκεῖ δέ μοι καὶ ἐς τοὺς Ἕλληνας ἐκεῖθεν ἥκειν τῆς γαστροκνημίας τοὔνομα, ὅτι παρ' ἐκείνοις ἀντὶ γαστρὸς κυοφορεῖ. Μεῖζον δὲ τούτου ἄλλο διηγήσομαι. Γένος ἐστὶ παρ' αὐτοῖς ἀνθρώπων οἱ καλούμενοι Δενδρῖται, γίγνεται δὲ τὸν τρόπον τοῦτον· ὄρχιν ἀνθρώπου τὸν δεξιὸν ἀποτεμόντες ἐν γῇ φυτεύουσιν, ἐκ δ' αὐτοῦ δένδρον ἀναφύεται μέγιστον, σάρκινον, οἷον φαλλός· ἔχει δὲ καὶ κλάδους καὶ φύλλα· ὁ δὲ καρπός ἐστι βάλανοι πηχυαῖαι τὸ μέγεθος. Ἐπειδὰν οὖν πεπανθῶσι, τρυγήσαντες αὐτὰς ἐκκολάπτουσιν τοὺς ἀνθρώπους. Αἰδοῖα μέντοι πρόσθετα ἔχουσιν οἱ μὲν ἐλεφάντινα, οἱ δὲ πένητες αὐτῶν ξύλινα, καὶ διὰ τούτων ὀχεύουσι καὶ πλησιάζουσι τοῖς γαμέταις τοῖς ἑαυτῶν.

23. Ἐπειδὰν δὲ γηράσῃ ὁ ἄνθρωπος, οὐκ ἀποθνήσκει, ἀλλ' ὥσπερ καπνὸς διαλυόμενος ἀὴρ γίγνεται. Τροφὴ δὲ πᾶσιν ἡ αὐτή· ἐπειδὰν γὰρ πῦρ ἀνακαύσωσι, βατράχους ὀπτῶσιν ἐπὶ τῶν ἀνθράκων· πολλοὶ δὲ παρ' αὐτοῖς εἰσιν ἐν τῷ ἀέρι πετόμενοι· ὀπτωμένων δὲ περικαθεζόμενοι ὥσπερ ὀπὶ περὶ τράπεζαν λάπτουσι τὸν ἀναθυμιώμενον καπνὸν καὶ εὐωχοῦνται. Σίτῳ μὲν δὴ τρέφονται τοιούτῳ· ποτὸν δὲ αὐτοῖς ἐστιν ἀὴρ ἀποθλιβόμενος ἐς κύλικα καὶ ὑγρὸν ἀνιεὶς ὥσπερ δρόσον. Οὐ μὴν ἀπουροῦσί γε καὶ ἀφοδεύουσιν, ἀλλ' οὐδὲ τέτρηνται ἧπερ ἡμεῖς· ἀλλ' οὐδὲ τὴν συνουσίαν οἱ παῖδες ἐν ταῖς ἕδραις παρέχουσιν, ἀλλ' ἐν ταῖς ἰγνύσιν ὑπὲρ τὴν γαστροκνημίαν· ἐκεῖ γάρ εἰσι τετρημένοι. Καλὸς δὲ νομίζεται παρ' αὐτοῖς ἢν πού τις φαλακρὸς καὶ ἄκομος ᾖ, τοὺς δὲ κομήτας καὶ μυσάττονται. Ἐπὶ δὲ τῶν κομητῶν ἀστέρων τοὐναντίον τοὺς κομήτας νομίζουσι καλούς· ἐπεδήμουν γάρ τινες, οἳ καὶ περὶ ἐκείνων διηγοῦντο. Καὶ μὴν καὶ γένεια φύουσι μικρὸν ὑπὲρ τὰ γόνατα. Καὶ ὄνυχας ἐν τοῖς ποσὶν οὐκ ἔχουσιν, ἀλλὰ πάντες εἰσὶ μονοδάκτυλοι. Ὑπὲρ δὲ τὰς πυγὰς ἑκάστῳ αὐτῶν κράμβη ἐκπέφυκε μακρὰ ὥσπερ οὐρὰ, θάλλουσα ἐς ἀεὶ καὶ ὑπτίου ἀναπίπτοντος οὐ κατακλωμένη.

24. Ἀπομύττονται δὲ μέλι δριμύτατον· κἀπειδὰν ἢ πονῶσιν ἢ γυμνάζωνται, γάλακτι πᾶν τὸ σῶμα ἱδροῦσιν, ὥστε καὶ τυροὺς ἀπ' αὐτοῦ πήγνυσθαι, ὀλίγον τοῦ μέλιτος ἐπιστάξαντες· ἔλαιον δὲ ποιοῦνται ἀπὸ τῶν χρομμύων πάνυ λιπαρόν τε καὶ εὐῶδες ὥσπερ μύρον.

suum : mulieres enim apud illos non sunt. At ego nullo modo persuaderi mihi passus sum, sed demitti in mare petii. Quum vero videret persuaderi mihi non posse, post septem nos dierum epulas dimittit.

22. Quæ autem toto hoc quo in Luna commoratus sum tempore nova atque admiranda animadverterim, ea dicere jam volo. Primum quidem illud, non nasci eos ex mulieribus, sed ex viris : masculis enim nuptiis utuntur, mulierisque plane nomen ignorant. Ad quinque igitur et viginti annos nubit eorum unusquisque, ab eo inde tempore alium ipse ducit. Fœtum autem gerunt non in utero, sed in suris : quum enim conceptus est embryo, crassescit sura : atque aliquanto post per sectionem educunt mortuos, expositisque hianti ore ad ventum vitam conciliant. Videtur autem mihi ad Græcos istinc descendisse suræ nomen, quam « suræ ventrem » appellant, quod ea apud illos pro ventre gravida est. Sed hoc majus etiam aliud enarrabo. Genus est apud illos hominum Dendritæ (*Arborei*), quod hunc in modum nascitur : testiculum hominis dextrum resectum in terra deponunt : ex illo deinde arbor enascitur maxima, carnea, phalli instar; habet vero etiam ramos et folia : fructus autem sunt glandes magnitudine cubitales. Has, ubi maturuere, decerpunt hominesque inde extundunt. Pudenda habent asciticia, eburnea alii, lignea vero pauperes, iisque coeunt suosque nuptos subigunt.

23. Quum consenuit homo, non moritur, sed fumi instar in aerem dissolvitur. Cibus omnibus unus est : accenso enim igne ranas in prunis assant : sunt autem apud ipsos multæ volantes in aere. Assidentes vero circa focum in quo assantur quasi circa mensam, surgentem inde nidorem ore captant, atque ita epulantur. Ac cibo quidem nutriuntur ejusmodi : potus vero illis est expressus aer in calicem, ubi liquidum quiddam roris instar dimittit. Veruntamen neque urinam emittunt, neque alterius rei causa secedunt : quin neque iisdem quibus nos locis perforati sunt. Sed neque sedem præbent pueri ad coeundum amatoribus, verum supra suram poplites : ibi enim perforati sunt. Pulcher autem apud illos habetur, si quis calvus et sine comis sit : comatos vero etiam abominantur. Contra ea in Cometis (*stellis comatis*) comatos pro pulchris habent : peregrini enim inde quidam aderant, qui de illis etiam narrarent. Barbas tamen habent paullum supra genua. Ungues in pedibus non habent, sed unum modo omnes ibi digitum. Supra podicem brassica unicuique enata est magna, caudæ instar, virens semper, quæ nec frangitur, si quis supinus cadat.

24. Emungunt mel acerrimum; et quum aut laborant aut exercentur, lacte totum corpus diffluunt, adeo ut caseos etiam inde, exiguo instillato melle, efficiant. Oleum sibi parant de cepis pingue admodum et unguenti instar fra-

Ἀμπέλους δὲ πολλὰς ἔχουσιν ὑδροφόρους· αἱ γὰρ ῥᾶγες τῶν βοτρύων εἰσὶν ὥσπερ χάλαζα, καί μοι δοκεῖν, ἐπειδὰν ἐμπεσὼν ἄνεμος διασείσῃ τὰς ἀμπέλους ἐκείνας, τότε πρὸς ἡμᾶς καταπίπτει ἡ χάλαζα διαρραγέντων τῶν βοτρύων. Τῇ μέντοι γαστρὶ ὅσα πήρᾳ χρῶνται τιθέντες ἐν αὐτῇ ὅσων δέονται· ἀνοικτὴ γὰρ αὐτοῖς αὕτη καὶ πάλιν κλειστή ἐστιν· ἕντερον δὲ οὐδὲ ἦπαρ ἐν αὐτῇ φαίνεται ἢ τοῦτο μόνον, ὅτι δασεῖα πᾶσα ἔντοσθεν καὶ λάσιός ἐστιν, ὥστε καὶ τὰ νεογνὰ, ἐπειδὰν ῥιγῶσιν, ἐς ταύτην ὑποδύεται.

25. Ἐσθὴς δὲ τοῖς μὲν πλουσίοις ὑαλίνη μαλθακὴ, τοῖς πένησι δὲ χαλκῆ ὑφαντή· πολύχαλκα γὰρ τὰ ἐκεῖ χωρία καὶ ἐργάζονται τὸν χαλκὸν ὕδατι ὑποβρέξαντες ὥσπερ τὰ ἔρια. Περὶ μέντοι τῶν ὀφθαλμῶν, οἵους ἔχουσιν, ὀκνῶ μὲν εἰπεῖν, μή τίς με νομίσῃ ψεύδεσθαι διὰ τὸ ἄπιστον τοῦ λόγου. Ὅμως δὲ καὶ τοῦτο ἐρῶ· τοὺς ὀφθαλμοὺς περιαιρετοὺς ἔχουσι, καὶ ὁ βουλόμενος ἐξελὼν τοὺς αὑτοῦ φυλάττει ἔστ' ἂν δεηθῇ ἰδεῖν· οὕτω δ' ἐνθέμενος ὁρᾷ· καὶ πολλοὶ τοὺς σφετέρους ἀπολέσαντες παρ' ἄλλων χρησάμενοι ὁρῶσιν. Εἰσὶ δ' οἱ καὶ πολλοὺς ἀποθέτους ἔχουσιν, οἱ πλούσιοι. Τὰ ὦτα δὲ πλατάνων φύλλα ἐστὶν αὐτοῖς πλήν γε τοῖς ἀπὸ τῶν βαλάνων· ἐκεῖνοι γὰρ μόνοι ξύλινα ἔχουσι.

26. Καὶ μὴν καὶ ἄλλο θαῦμα ἐν τοῖς βασιλείοις ἐθεασάμην· κάτοπτρον μέγιστον κεῖται ὑπὲρ φρέατος οὐ πάνυ βαθέος. Ἂν μὲν οὖν ἐς τὸ φρέαρ καταβῇ τις, ἀκούει πάντων τῶν παρ' ἡμῖν ἐν τῇ γῇ λεγομένων, ἐὰν δὲ ἐς τὸ κάτοπτρον ἀποβλέψῃ, πάσας μὲν πόλεις, πάντα δὲ ἔθνη ὁρᾷ ὥσπερ ἐφεστὼς ἑκάστοις· τότε καὶ τοὺς οἰκείους ἐγὼ ἐθεασάμην καὶ πᾶσαν τὴν πατρίδα, εἰ δὲ κἀκεῖνοι ἐμὲ ἑώρων, οὐκ ἔχω τὸ ἀσφαλὲς εἰπεῖν. Ὅστις δὲ ταῦτα μὴ πιστεύει οὕτως ἔχειν, ἂν ποτε καὶ αὐτὸς ἐκεῖσε ἀφίκηται, εἴσεται ὡς ἀληθῆ λέγω.

27. Τότε δ' οὖν ἀσπασάμενοι τὸν βασιλέα καὶ τοὺς ἀμφ' αὐτὸν ἐμβάντες ἀνήχθημεν· ἐμοὶ δὲ καὶ δῶρα ἔδωκεν ὁ Ἐνδυμίων, δύο μὲν τῶν ὑαλίνων χιτώνων, πέντε δὲ χαλκοῦς, καὶ πανοπλίαν θερμίνην, ἃ πάντα ἐν τῷ κήτει κατέλιπον. Συνέπεμψε δὲ ἡμῖν καὶ Ἱππογύπους χιλίους παραπέμψοντας ἄχρι σταδίων πεντακοσίων.

28. Ἐν δὲ τῷ παράπλῳ πολλὰς μὲν καὶ ἄλλας χώρας παρημείψαμεν, προσέσχομεν δὲ καὶ τῷ Ἑωσφόρῳ ἄρτι συνοικιζομένῳ καὶ ἀποβάντες ὑδρευσάμεθα. Ἐμβάντες δὲ εἰς τὸν Ζωδιακὸν ἐν ἀριστερᾷ παρήειμεν τὸν Ἥλιον ἐν χρῷ τὴν γῆν παραπλέοντες· οὐ γὰρ ἀπέβημεν καίτοι πολλὰ τῶν ἑταίρων ἐπιθυμούντων, ἀλλ' ὁ ἄνεμος οὐκ ἀφῆκεν. Ἐθεώμεθα μέντοι τὴν χώραν εὐθαλῆ τε καὶ πίονα καὶ εὔυδρον καὶ πολλῶν ἀγαθῶν μεστήν. Ἰδόντες δὲ ἡμᾶς οἱ Νεφελοκένταυροι, μισθοφοροῦντες παρὰ τῷ Φαέθοντι, ἐπέπτησαν ἐπὶ τὴν ναῦν καὶ μαθόντες ἐνσπόνδους ἀνεχώρησαν.

29. Ἤδη δὲ καὶ οἱ Ἱππόγυποι ἀπεληλύθεσαν· πλεύσαντες δὲ τὴν ἐπιοῦσαν νύκτα καὶ ἡμέραν περὶ ἑσπέραν ἀφικόμεθα ἐς τὴν Λυχνόπολιν καλουμένην ἤδη τὸν κάτω πλοῦν διώκοντες. Ἡ δὲ πόλις αὕτη κεῖται μεgrans. Vites habent multas aquæ feraces, acinis uvarum grandini similibus : et, ut mihi videtur, quum ventus ingruens illas vites commovet, tum ruptis uvis decidit apud nos grando. Ventre utuntur pro pera, in qua reponant quibus opus est : aperiri enim ille potest et rursus claudi. Intestinum autem in eo nullum neque jecur apparet, nisi hoc solum, quod hirsutus intus et villosus est totus, adeo ut etiam recens nati, quum frigent, in eum irrepant.

25. Vestis divitibus ex vitro mollis ; pauperibus textilis ex ære : æris enim feraces illæ regiones, tractantque illud, affusa paucula aqua, tanquam lanam. Verum de oculis, quales habeant, an dicam hæreo, ne quis mentiri me putet : adeo a fide abhorret oratio. Tamen hoc etiam dicam. Habent igitur oculos exemtiles, et qui vult exemtos suos servat, dum opus sit videre aliquid : inde imposito sibi oculo videt : ac multi quum suos perdidere, commodato acceptis aliorum oculis cernunt. Sunt autem divites, qui repositos servent multos. Aures ipsis sunt folia platanorum, præterquam iis quos e glandibus nasci diximus : ligneas enim hi soli habent.

26. Vidi etiam aliud in regia miraculum : speculum impositum est maximum puteo non adeo profundo. Si quis igitur descendat in puteum, audit quæ in terra nostra dicuntur omnia : si vero in speculum inspiciat, urbes omnes atque gentes non minus videt, quam si astaret singulis. Tum familiares ego quoque vidi, universamque patriam : utrum vero illi me quoque viderint, non habeo certum dicere. Quisquis vero non credit ita rem habere, si quando et ipse eo delatus fuerit, vera a me dici intelliget.

27. Tum igitur salutato rege et ipsius amicis, conscensa navi solvimus. Dedit mihi etiam dona Endymion, duas quidem togas vitreas, æneas autem quinque, et de lupinis armaturam integram, quæ in ceto reliqui omnia. Misit etiam nobiscum Hippogypos mille, qui ad quingenta nos stadia deducerent.

28. Inter navigandum multas alias prætervecti sumus terras : appulimus etiam Lucifero colonis nuper aucto, egressique aquatum sumus. Invecti deinde in Zodiacum, sinistrum Solem præterivimus, proxime terram illam prætervigantes : neque enim escendimus, multum licet cupientibus sociis ; sed non sinebat ventus. Vidimus tamen regionem virentem, pinguem, irriguam, et bonis multis plenam. Sed quum viderent nos Nephelocentauri, qui mercede apud Phaethontem militant, involarunt in navim, cognitoque, fœdere nos comprehendi, recesserunt.

29. Jamque Hippogypi etiam discesserant. Navigaveramus noctem proximam et diem, quum versus vesperam, cursum deorsum persequuti, delati sumus in eam quæ Lychnopolis vocatur. Jacet hæc urbs inter aerem qui Pleiades ambit,

ταξὺ τοῦ Πλειάδων καὶ τοῦ Ὑάδων ἀέρος, ταπεινοτέρα μέντοι πολὺ τοῦ Ζωδιακοῦ. Ἀποβάντες δὲ ἄνθρωπον μὲν οὐδένα εὕρομεν, λύχνους δὲ πολλοὺς περιθέοντας καὶ ἐν τῇ ἀγορᾷ καὶ περὶ τὸν λιμένα διατρίβοντας, τοὺς μὲν μικροὺς καὶ ὥσπερ εἰπεῖν πέντας, ὀλίγους δὲ τῶν μεγάλων καὶ δυνατῶν πάνυ λαμπροὺς καὶ περιφανεῖς. Οἰκήσεις δ' αὐτοῖς καὶ λυχνεῶνες ἰδίᾳ ἑκάστῳ πεποίηντο, καὶ αὐτοὶ ὀνόματα εἶχον, ὥσπερ οἱ ἄνθρωποι, καὶ φωνὴν προϊεμένων ἠκούομεν, καὶ οὐδὲν ἡμᾶς ἠδίκουν, ἀλλὰ καὶ ἐπὶ ξενίᾳ ἐκάλουν· ἡμεῖς δὲ ὅμως ἐφοβούμεθα, καὶ οὔτε δειπνῆσαι οὔτε ὑπνῶσαί τις ἡμῶν ἐτόλμησεν. Ἀρχεῖα δ' αὐτοῖς ἐν μέσῃ τῇ πόλει πεποίηται, ἔνθα ὁ ἄρχων αὐτῶν δι' ὅλης νυκτὸς κάθηται ὀνομαστὶ καλῶν ἕκαστον· ὃς δ' ἂν μὴ ὑπακούσῃ, καταδικάζεται ἀποθανεῖν ὡς λιπὼν τὴν τάξιν· ὁ δὲ θάνατός ἐστι σβεσθῆναι. Παρεστῶτες δὲ καὶ ἡμεῖς ἐωρῶμεν τὰ γιγνόμενα καὶ ἠκούομεν ἅμα τῶν λύχνων ἀπολογουμένων καὶ τὰς αἰτίας λεγόντων δι' ἃς ἐβράδυνον. Ἔνθα καὶ τὸν ἡμέτερον λύχνον ἐγνώρισα καὶ προσειπὼν αὐτὸν περὶ τῶν κατ' οἶκον ἐπυνθανόμην ὅπως ἔχοιεν· ὁ δέ μοι ἅπαντα ἐκεῖνα διηγήσατο. Τὴν μὲν οὖν νύκτα ἐκείνην αὐτοῦ ἐμείναμεν, τῇ δὲ ἐπιούσῃ ἄραντες ἐπλέομεν ἤδη πλησίον τῶν νεφῶν· ἔνθα δὴ καὶ τὴν Νεφελοκοκκυγίαν πόλιν ἰδόντες ἐθαυμάσαμεν, οὐ μέντοι ἐπέβημεν αὐτῆς· οὐ γὰρ εἶα τὸ πνεῦμα. Βασιλεύειν μέντοι αὐτῶν ἐλέγετο Κόρωνος ὁ Κοττυφίωνος. Καὶ ἐγὼ ἐμνήσθην Ἀριστοφάνους τοῦ ποιητοῦ, ἀνδρὸς σοφοῦ καὶ ἀληθοῦς καὶ μάτην ἐφ' οἷς ἔγραψεν ἀπιστουμένου. Τρίτῃ δ' ἀπὸ ταύτης ἡμέρᾳ καὶ τὸν ὠκεανὸν ἤδη σαφῶς ἐωρῶμεν, γῆν δὲ οὐδαμοῦ, πλήν γε τῶν ἐν τῷ ἀέρι· καὶ αὐταὶ δὲ πυρώδεις ἤδη καὶ ὑπεραυγεῖς ἐφαντάζοντο. Τῇ τετάρτῃ δὲ περὶ μεσημβρίαν μαλακῶς ἐνδιδόντος τοῦ πνεύματος καὶ συνιζάνοντος ἐπὶ τὴν θάλατταν κατετέθημεν.

30. Ὡς δὲ τοῦ ὕδατος ἐψαύσαμεν, θαυμάσιον ὡς ὑπερηδόμεθα καὶ ὑπερεχαίρομεν καὶ πᾶσαν εὐφροσύνην ἐκ τῶν παρόντων ἐποιούμεθα καὶ ἀποβάντες ἐνηχόμεθα· καὶ γὰρ ἔτυχε γαλήνη οὖσα καὶ εὐσταθοῦν τὸ πέλαγος. Ἔοικε δὲ ἀρχὴ κακῶν μειζόνων γίγνεσθαι πολλάκις ἡ πρὸς τὸ βέλτιον μεταβολή· καὶ γὰρ ἡμεῖς δύο μόνας ἡμέρας ἐν εὐδίᾳ πλεύσαντες τῆς τρίτης ὑποφαινούσης πρὸς ἀνίσχοντα τὸν ἥλιον ἄφνω ὁρῶμεν θηρία καὶ κήτη πολλὰ μὲν καὶ ἄλλα, ἓν δὲ μέγιστον ἁπάντων ὅσον σταδίων χιλίων καὶ πεντακοσίων τὸ μέγεθος· ἐπῄει δὲ κεχηνὸς καὶ πρὸ πολλοῦ ταράττον τὴν θάλατταν ἀφρῷ τε περικλυζόμενον καὶ τοὺς ὀδόντας ἐκφαῖνον πολὺ τῶν παρ' ἡμῖν φαλλῶν ὑψηλοτέρους, ὀξεῖς δὲ πάντας ὥσπερ σκόλοπας καὶ λευκοὺς ὥσπερ ἐλεφαντίνους. Ἡμεῖς μὲν οὖν τὸ ὕστατον ἀλλήλους προσειπόντες καὶ περιβαλόντες ἐμένομεν· τὸ δὲ ἤδη παρῆν καὶ ἀναρροφῆσαν ἡμᾶς αὐτῇ νηῒ κατέπιεν. Οὐ μέντοι ἔφθη συναράξαι τοῖς ὀδοῦσιν, ἀλλὰ διὰ τῶν ἀραιωμάτων ἡ ναῦς ἐς τὸ ἔσω διεξέπεσεν.

31. Ἐπεὶ δὲ ἔνδον ἦμεν, τὸ μὲν πρῶτον σκότος ἦν καὶ οὐδὲν ἐωρῶμεν, ὕστερον δὲ αὐτοῦ ἀναχανόντος εἶδο-

et qui Hyades, multo tamen humilior Zodiaco. Escensionem facta, hominem vidimus nemiuem; lychnos vero multos circumcurrentes, et in foro et circa portum versantes, parvos alios et, ut ita loquar, pauperes, paucos vero de magnorum et potentium numero, claros omnino atque illustres. Habitationes illis et lucernaria suum unicuique facta erant : ac nomina habebant velut homines. Audivimus etiam vocem emittere; neque ulla nos affecerunt injuria, sed ad hospitium nos invitarunt. Nos vero nihilo secius timere, neque cibum capere neque somnum quisquam nostrûm audere. Principis aula in media urbe exstructa est. Hic princeps illorum tota nocte sedet, nominatim unumquemque vocans : qui non obedierit, morte damnatur, ut stationis suæ desertor. Mors autem est exstingui. Astantes nos etiam simul videbamus quæ fiebant et audiebamus causas reorum lychnorum, quas tarditatis suæ dicerent. Hic nostrum etiam lychnum agnovi, eumque allocutus, quomodo domi se res haberent, interrogavi : isque enarravit mihi illa omnia. Noctem igitur illam ibi mansimus; sed postridie solventes prope nubes navigavimus : ibi etiam Nephelococcygiam (*nubicuculiam*) urbem conspectam admirati sumus : nec tamen in illam egressi sumus, vento non permittente. Ceterum regnare apud illos dicebatur Coronus Cottyphionis F. (*cornix Merulæ F*). Ac recordatus sum Aristophanis poetæ, viri sapientis ac veracis, cujus scriptis fidem frustra denegant. Tertio inde die Oceanum satis jam clare videbamus : terra vero nusquam, præter eas quæ in aere pendent, atque ipsæ quoque jam igneæ et supra modum fulgentes nobis videbantur. Quarto die circa meridiem, molliter cedente vento subsidenteque, in mare depositi sumus.

30. Quum vero tangeremus jam aquam, mirum quam supra modum delectati et gavisi sumus : lætitiæque omni pro re præsenti indulgebamus, et in mare nos abjicientes natabamus : forte enim serenitas erat, et tranquillum mare. Videtur vero malorum sæpe majorum initium esse mutatio in melius. Etenim nos solos duos dies in sereno mari quum navigassemus, illucescente tertio, ad orientem solem subito videmus belluas ac cetos, multos quidem etiam alios, unum vero omnium maximum, mille et quingentorum stadiorum magnitudine : contra nos autem veniebat hians et longe ante se mare perturbans, spuma undique alludente, dentes exserens, multum phallis apud nos excelsiores, palorum instar omnes acutos, et eboris in modum candidos. Nos igitur ultimum allocuti et complexi nos invicem, exspectare : at ille jam adest, et resorbens ipsa nos cum navi haurit. Neque tamen dentibus nos statim comminuit, sed per interstitia eorum navis in interiora illapsa est.

31. Quum vero intus jam essemus, primo tenebræ erant, neque videbamus quicquam. Postea illo hiante, videmus

μεν κύτος μέγα καὶ πάντη πλατὺ καὶ ὑψηλὸν, ἱκανὸν μυριάνδρῳ πόλει ἐνοικεῖν. Ἔκειντο δ' ἐν μέσῳ καὶ μικροὶ ἰχθύες καὶ ἄλλα πολλὰ θηρία συγκεκομμένα καὶ πλοίων ἱστία καὶ ἄγκυραι καὶ ἀνθρώπων ὀστέα καὶ φορτία, κατὰ μέσον δὲ καὶ γῆ καὶ λόφοι ἦσαν, ἐμοὶ δοκεῖν, ἐκ τῆς ἰλύος ἣν κατέπιε συνιζάνουσα. Ὕλη γοῦν ἐπ' αὐτῆς καὶ δένδρα παντοῖα ἐπεφύκει καὶ λάχανα ἐβεβλαστήκει καὶ ἐώκει πάντα ἐξειργασμένοις. Περίμετρον δὲ τῆς γῆς στάδιοι διακόσιοι καὶ τετταράκοντα. Ἦν δὲ ἰδεῖν καὶ ὄρνεα τὰ θαλάττια, λάρους καὶ ἀλκυόνας, ἐπὶ τῶν δένδρων νεοττεύοντα.

32. Τότε μὲν οὖν ἐπὶ πολὺ ἐδακρύομεν, ὕστερον δὲ ἀναστήσαντες τοὺς ἑταίρους τὴν μὲν ναῦν ὑπεστηρίξαμεν, αὐτοὶ δὲ τὰ πυρεῖα συντρίψαντες καὶ ἀνακαύσαντες δεῖπνον ἐκ τῶν παρόντων ἐποιούμεθα· παρέκειτο δὲ ἄφθονα καὶ παντοδαπὰ κρέα τῶν ἰχθύων καὶ ὕδωρ ἔτι τὸ ἐκ τοῦ Ἑωσφόρου εἴχομεν. Τῇ ἐπιούσῃ δὲ διαναστάντες, εἴ ποτε ἀναχάνοι τὸ κῆτος, ἐωρῶμεν ἄλλοτε μὲν γῆν, ἄλλοτε δὲ ὄρη, ἄλλοτε δὲ μόνον τὸν οὐρανὸν, πολλάκις δὲ καὶ νήσους· καὶ γὰρ ἠσθανόμεθα φερομένου αὐτοῦ ὀξέως πρὸς τὸ ἕν μέρος τῆς θαλάττης. Ἐπεὶ δὲ ἤδη ἐθάδες τῇ διατριβῇ ἐγενόμεθα, λαβὼν ἑπτὰ τῶν ἑταίρων ἐβάδιζον ἐς τὴν ὕλην περισκοπήσασθαι τὰ πάντα βουλόμενος. Οὔπω δὲ δλους πέντε διελθὼν σταδίους εὗρον ἱερὸν Ποσειδῶνος, ὡς ἐδήλου ἡ ἐπιγραφὴ, καὶ μετ' οὐ πολὺ καὶ τάφους πολλοὺς καὶ στήλας ἐπ' αὐτῶν πλησίον τε πηγὴν ὕδατος διαυγοῦς, ἔτι δὲ καὶ κυνὸς ὑλακὴν ἠκούομεν καὶ καπνὸς ἐφαίνετο πόρρωθεν καί τινα καὶ ἔπαυλιν εἰκάζομεν.

33. Σπουδῇ οὖν βαδίζοντες ἐφιστάμεθα πρεσβύτῃ καὶ νεανίσκῳ μάλα προθύμως πρασιάν τινα ἐργαζομένοις καὶ ὕδωρ ἀπὸ τῆς πηγῆς ἐπ' αὐτὴν διοχετεύουσιν· ἡσθέντες οὖν ἅμα καὶ φοβηθέντες ἔστημεν· κἀκεῖνοι δὲ ταὐτὸν ἡμῖν ὡς τὸ εἰκὸς παθόντες ἄναυδοι παρεστήκεσαν· χρόνῳ δὲ ὁ πρεσβύτης ἔφη, Τίνες ἄρα ὑμεῖς ἐστε, ὦ ξένοι; πότερον, ἔφη, τῶν ἐναλίων δαιμόνων ἢ ἄνθρωποι δυστυχεῖς ἡμῖν παραπλήσιοι; καὶ γὰρ ἡμεῖς ἄνθρωποι ὄντες καὶ ἐν γῇ τραφέντες νῦν θαλάττιοι γεγόναμεν καὶ συννηχόμεθα τῷ περιέχοντι τούτῳ θηρίῳ, οὐδ' ἃ πάσχομεν ἀκριβῶς εἰδότες· τεθνάναι μὲν γὰρ εἰκάζομεν, ζῆν δὲ πιστεύομεν. Πρὸς ταῦτα κἀγὼ εἶπον· Καὶ ἡμεῖς σοι ἄνθρωποι νεήλυδες, ὦ πάτερ, αὐτῷ σκάφει πρῴην καταποθέντες. Προήλθομεν δὲ νῦν βουλόμενοι μαθεῖν τὰ ἐν τῇ ὕλῃ ὡς ἔχει· πολλὴ γάρ τις καὶ λάσιος ἐφαίνετο. Δαίμων δέ τις, ὡς ἔοικεν, ἡμᾶς ἦγαγε σέ τε ὀψομένους καὶ εἰσομένους ὅτι μὴ μόνοι ἐν τῷδε καθειργμεθα τῷ θηρίῳ· ἀλλὰ φράσον γε ἡμῖν τὴν σαυτοῦ τύχην, ὅστις τε ὢν καὶ ὅπως δεῦρο εἰσῆλθες. Ὁ δὲ οὐ πρότερον ἔφη ἐρεῖν οὐδὲ πεύσεσθαι παρ' ἡμῶν πρὶν ξενίων τῶν παρόντων μεταδοῦναι, καὶ λαβὼν ἡμᾶς ἦγεν ἐπὶ τὴν οἰκίαν — ἐπεποίητο δὲ αὐτάρκη καὶ στιβάδας ἐνῳκοδόμητο καὶ τἄλλα ἐξήρτιστο — παραθεὶς δὲ ἡμῖν λάχανά τε καὶ ἀκρόδρυα καὶ ἰχθῦς, ἔτι δὲ καὶ οἶνον ἐγχέας, ἐπειδὴ

magnum specum, et latum undique et altum, satis capacem, ut decies mille hominum in eo urbs habitaretur. Projecti in medio et pisces minores, et animalia multa alia concisa, et navigiorum vela atque ancoræ, et hominum ossa et sarcinæ. In medio et terra et colles erant, ut mihi videbatur, de limo quem glutiebat considentes. Igitur silva in illis et omnigenæ arbores enatæ erant, et olera germinaverant, cultisque omnia apparebant similia. Ambitus terræ illius stadia ducenta quadraginta. Videre autem erat aves quoque marinas, laros et halcyones, quæ pullos in arboribus educerent.

32. Tunc quidem igitur abunde ploravimus. Deinde vero, excitatis sociis, navem firmavimus, atque igne silicibus excusso, cœnam de his, quæ ad manum essent, paravimus: jacebant autem copiosæ et omnis generis carnes piscium; aquam vero de Lucifero adhuc habebamus. Postridie quum surrexissemus, quoties hiaret cetus, videbamus alias quidem terram, alias montes, alias cœlum solum, sæpe etiam insulas; sensimusque adeo ferri illum celeriter in omnes maris partes. Quum jam hujus commorationis consuetudinem quandam contraxissemus, assumtis septem sociis, in silvam ingressus sum, perspecturus omnia. Quinque nondum integra stadia progressus, Neptuni templum inveni, ut indicabat inscriptio: neque multo post sepulcra etiam multa, et in iis columellas, atque in proximo fontem aquæ pellucidæ. Ad hæc canis latratum audivimus, et fumus apparuit e longinquo: unde habitationem etiam conjicere quandam potuimus.

33. Diligenter igitur progressi, seniori cuidam et juveni astitimus, studiose exercentibus hortum olitorium, atque de fonte aquam in eum derivantibus. Delectati simul et territi constitimus: et illi quoque eadem qua nos ratione, ut facile est ad existimandum, affecti, voce interclusa stabant. Post moram aliquam senex, Qui vos igitur estis, inquit, hospites? utrum marini quidam dæmones, an homines infelices, nobis similes? Etenim nos quoque homines nati et in terra nutriti marini jam facti sumus, et cum bellua hac, quæ nos continet, natamus, nec accurate, quid de nobis fiat, scientes: mortuos enim nos esse conjiciebamus, vivere tamen credimus. Ad hæc ego, Et nos sane, inquam, homines novi advenæ sumus, pater, ipsa cum navi nudiustertius hausti. Modo vero progressi sumus, exploraturi hujus silvæ interiora: multa enim et folis densa videbatur. Duxit autem nos genius aliquis, te ut videremus, disceremusque non solos nos in hac includi bellua. Sed enarra tuam nobis fortunam, qui sis, et qua ratione huc intraveris. Ille vero negavit se prius vel dicturum nobis, vel a nobis quicquam quæsiturum, quam hospitali nos munere, prout copia jam esset, impertiisset: assumtosque nos in domum deduxit, quam sibi fecerat usibus satis commodam, et lectos in ea struxerat, paraveratque reliqua. Hic quum apposuisset nobis olera et arboreos fructus, ei pisces, vinumque etiam ministrasset, satiatos interrogavit quid

ἱκανῶς ἐκορέσθημεν, ἐπυνθάνετο ἃ ἐπεπόνθειμεν· κἀγὼ πάντα ἐξῆς διηγησάμην, τόν τε χειμῶνα καὶ τὰ ἐν τῇ νήσῳ καὶ τὸν ἐν τῷ ἀέρι πλοῦν, καὶ τὸν πόλεμον, καὶ τἆλλα μέχρι τῆς ἐς τὸ κῆτος καταδύσεως.

34. Ὁ δ' ὑπερθαυμάσας καὶ αὐτὸς ἐν μέρει τὰ καθ' ἑαυτὸν διεξῄει λέγων, Τὸ μὲν γένος εἰμί, ὦ ξένοι, Κύπριος, ὁρμηθεὶς δὲ κατ' ἐμπορίαν ἀπὸ τῆς πατρίδος μετὰ παιδὸς, ὃν ὁρᾶτε, καὶ ἄλλων πολλῶν οἰκετῶν ἔπλεον εἰς Ἰταλίαν ποικίλον φόρτον κομίζων ἐπὶ νεὼς μεγάλης, ἣν ἐπὶ στόματι τοῦ κήτους διαλελυμένην ἴσως ἑοράκατε. Μέχρι μὲν οὖν Σικελίας εὐτυχῶς διεπλεύσαμεν· ἐκεῖθεν δὲ ἁρπασθέντες ἀνέμῳ σφοδρῷ τριταῖοι ἐς τὸν ὠκεανὸν ἀπηνέχθημεν, ἔνθα τῷ κήτει περιτυχόντες καὶ αὐτανδροι καταποθέντες δύο ἡμεῖς μόνοι τῶν ἄλλων ἀποθανόντων ἐσώθημεν. Θάψαντες δὲ τοὺς ἑταίρους καὶ ναὸν τῷ Ποσειδῶνι δειμάμενοι τουτονὶ τὸν βίον ζῶμεν, λάχανα μὲν κηπεύοντες, ἰχθῦς δὲ σιτούμενοι καὶ ἀκρόδρυα. Πολλὴ δὲ, ὡς ὁρᾶτε, ἡ ὕλη, καὶ μὴν καὶ ἀμπέλους ἔχει πολλὰς, ἀφ' ὧν ἥδιστος οἶνος γίγνεται· καὶ τὴν πηγὴν δὲ ἴσως εἴδετε καλλίστου καὶ ψυχροτάτου ὕδατος. Εὐνὴν δὲ ἀπὸ τῶν φύλλων ποιούμεθα καὶ πῦρ ἄφθονον κάομεν καὶ ὄρνεα ἐς θηρεύομεν τὰ εἰσπετόμενα καὶ ζῶντας ἰχθῦς ἀγρεύομεν ἐξιόντες ἐπὶ τὰ βραγχία τοῦ θηρίου, ἔνθα καὶ λουόμεθα, ὁπόταν ἐπιθυμήσωμεν. Καὶ μὴν καὶ λίμνη οὐ πόρρω ἐστὶν ἁλμυρὰ σταδίων εἴκοσι τὸ περίμετρον ἰχθῦς ἔχουσα παντοδαπούς, ἐν ᾗ καὶ νηχόμεθα καὶ πλέομεν ἐπὶ σκάφους μικροῦ, ὃ ἐγὼ ἐναυπηγησάμην. Ἔτη δὲ ἡμῖν ἐστι τῆς καταπόσεως ταῦτα ἑπτὰ καὶ εἴκοσι.

34. Ille vero admiratus supra modum, vicissim ipse suas res enarravit, sic exorsus: Genere, hospites, sum Cyprius. Mercaturæ causa patria egressus cum filio, quem videtis, et aliis multis servis, in Italiam navigavi, onera varia magna navi vehens, quam in ore ceti solutam forte vidistis. Atque ad Siciliam usque feliciter navigavimus. Inde vero valido vento abrepti, tertio die in Oceanum delati sumus. Hic incidentes in cetum et viri cum nave glutiti, duo nos, mortuis reliquis, soli servati sumus. Sepultis vero sociis, atque æde Neptuno ædificata, hanc vitam vivimus, olera in horto colentes, in reliquo cibo piscibus utentes et arborum fructibus. Silva autem, ut videtis, prolixa, vites etiam habet multas, de quibus vinum fit suavissimum. Et fontem forte vidistis pulcherrimæ aquæ et frigidissimæ. Cubilia facimus de foliis, et igne utimur copioso, et aves aucupio capimus involantes, et vivos piscamur pisces, exeuntes in branchia belluæ: ibi etiam quando volumus lavamus. Ac lacus quoque non porro est salsus, viginti stadiorum ambitu, pisces alens omnigenos, in quo natamus etiam, et in parva scapha navigamus, quam ego fabricatus sum. Anni nobis processerunt, ex quo hausti sumus, septem hi et viginti.

35. Καὶ τὰ μὲν ἄλλα ἴσως φέρειν ἐδυνάμεθα, οἱ δὲ γείτονες ἡμῶν καὶ πάροικοι σφόδρα χαλεποὶ καὶ βαρεῖς εἰσιν, ἄμικτοί τε ὄντες καὶ ἄγριοι. Ἦ γὰρ, ἔφην ἐγὼ, καὶ ἄλλοι τινές εἰσιν ἐν τῷ κήτει; Πολλοὶ μὲν, ἔφη, καὶ ξένοι καὶ τὰς μορφὰς ἀλλόκοτοι· τὰ μὲν γὰρ ἑσπέρια καὶ οὐραῖα τῆς ὕλης Ταριχᾶνες οἰκοῦσιν, ἔθνος ἐγχελυωπὸν καὶ καραβοπρόσωπον, μάχιμον καὶ θρασὺ καὶ ὠμοφάγον· τὰ δὲ τῆς ἑτέρας πλευρᾶς κατὰ τὸν δεξιὸν τοῖχον Τριτωνομένδητες, τὰ μὲν ἄνω ἀνθρώποις ἐοικότες, τὰ δὲ κάτω τοῖς γαλεώταις, ἧττον μέντοι ἀδικοί εἰσι τῶν ἄλλων· τὰ λαιὰ δὲ Καρκινόχειρες καὶ Θυννοκέφαλοι συμμαχίαν τε καὶ φιλίαν πρὸς ἑαυτοὺς πεποιημένοι· τὴν δὲ μεσόγαιαν νέμονται Παγουρίδαι καὶ Ψηττόποδες, γένος μάχιμον καὶ δρομικώτατον· τὰ ἑῷα δὲ πρὸς αὐτῷ τῷ στόματι τὰ μὲν πολλὰ ἔρημά ἐστι προσκλυζόμενα τῇ θαλάττῃ. Ὅμως δὲ ἐγὼ ταῦτα ἔχω φόρον τοῖς Ψηττόποσιν ὑποτελῶν ἑκάστου ἔτους ὀστρεια πεντακόσια.

35. Ac reliqua ferre forte poteramus: at vicini nostri et qui juxta habitant, difficiles admodum et graves sunt, insociabiles atque feri. Ecquid enim, inquam, alii quoque nonnulli sunt in cete? Multi vero, inquit, iique inhospitales, et figura horribili. Occidentales enim partes silvæ et versus caudam sitas, Tarichanes (*salsamentarii*) habitant, gens anguillinis oculis et vultu cancrino, pugnax, audax, crudivora. Alterum vero latus, ad parietem dextrum, Tritonomendetes tenent, superiori parte hominibus similes, inferiori autem mustelis: minus tamen hi injusti sunt reliquis. Sinistra vero Carcinochires (*cancrimani*), et Thynnocephali (*thunnicipites*) qui belli societatem atque amicitiam inter se fecere. Mediterranea habitant Paguridæ et Psettopodes (*rhombipedes*), bellicosum genus et cursu valens maxime. Orientales vero et vicinæ ori partes desertæ sunt majorem partem, quod mari alluuntur. Tamen hæc ego habeo Psettopodibus vectigal pendens quingenta quotannis ostrea.

36. Τοιαύτη μὲν ἡ χώρα ἐστίν· ὑμᾶς δὲ χρὴ ὁρᾶν ὅπως δυνησόμεθα τοσούτοις ἔθνεσι μάχεσθαι καὶ ὅπως βιοτεύσομεν. Πόσοι δὲ, ἔφην ἐγὼ, πάντες οὗτοί εἰσι; Πλείους, ἔφη, τῶν χιλίων. Ὅπλα δὲ τίνα ἐστὶν αὐτοῖς; Οὐδὲν, ἔφη, πλὴν τὰ ὀστᾶ τῶν ἰχθύων. Οὐκοῦν, ἔφην ἐγὼ, ἄριστ' ἂν ἔχοι διὰ μά-

36. Ac talis quidem est regio. Videndum vero vobis est quomodo possimus tot contra gentes pugnare, et victum quomodo quæramus. Quot vero, inquam, hi omnes sunt? amplius mille, inquit. Quæ sunt illis arma? Nulla, inquit, præter spinas piscium. Igitur optimum, inquam,

χης ἐλθεῖν αὐτοὶς ἅτε ἀνόπλοις οὖσιν ὡπλισμένους· εἰ γὰρ κρατήσομεν αὐτῶν, ἀδεῶς τὸ λοιπὸν οἰκήσομεν. Ἔδοξε ταῦτα, καὶ ἀπελθόντες ἐπὶ ναῦν παρεσκευαζόμεθα. Αἰτία δὲ τοῦ πολέμου ἐμελλεν ἔσεσθαι τοῦ φόρου ἡ οὐκ ἀπόδοσις, ἤδη τῆς προθεσμίας ἐνεστώσης. Καὶ δὴ οἱ μὲν ἔπεμπον ἀπαιτοῦντες τὸν δασμόν· ὁ δὲ ὑπεροπτικῶς ἀποκρινάμενος ἀπεδίωξε τοὺς ἀγγέλους. Πρῶτοι οὖν οἱ Ψηττόποδες καὶ οἱ Παγουρίδαι χαλεπαίνοντες τῷ Σκινθάρῳ — τοῦτο γὰρ ἐκαλεῖτο — μετὰ πολλοῦ θορύβου ἐπῆεσαν.

37. Ἡμεῖς δὲ τὴν ἔφοδον ὑποπτεύοντες ἐξοπλισάμενοι ἀνεμένομεν, λόχον τινὰ προτάξαντες ἀνδρῶν πέντε καὶ εἴκοσιν· προείρητο δὲ τοῖς ἐν τῇ ἐνέδρᾳ, ἐπειδὰν ἴδωσι παρεληλυθότας τοὺς πολεμίους, ἐπανίστασθαι· καὶ οὕτως ἐποίησαν. Ἐπαναστάντες γὰρ κατόπισθεν ἔκοπτον αὐτούς, καὶ ἡμεῖς δὲ καὶ αὐτοὶ πέντε καὶ εἴκοσι τὸν ἀριθμὸν ὄντες — καὶ γὰρ ὁ Σκίνθαρος καὶ ὁ παῖς αὐτοῦ συνεστρατεύοντο — ὑπηντιάζομεν καὶ συμμίξαντες θυμῷ καὶ ῥώμῃ διεκινδυνεύομεν. Τέλος δὲ τροπὴν αὐτῶν ποιησάμενοι κατεδιώξαμεν ἄχρι πρὸς τοὺς φωλεούς. Ἀπέθανον δὲ τῶν μὲν πολεμίων ἑβδομήκοντα καὶ ἑκατόν, ἡμῶν δὲ εἷς ὁ κυβερνήτης τρίγλης πλευρᾷ διαπαρεὶς τὸ μετάφρενον.

38. Ἐκείνην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν νύκτα ἐπηυλισάμεθα τῇ μάχῃ καὶ τρόπαιον ἐστήσαμεν ῥάχιν ξηρὰν δελφῖνος ἀναπήξαντες. Τῇ ὑστεραίᾳ δὲ καὶ οἱ ἄλλοι αἰσθόμενοι παρῆσαν, τὸ μὲν δεξιὸν κέρας ἔχοντες οἱ Ταριχᾶνες — ἡγεῖτο δὲ αὐτῶν Πήλαμος — τὸ δ' εὐώνυμον οἱ Θυννοκέφαλοι, τὸ μέσον δὲ οἱ Καρκινόχειρες· οἱ γὰρ Τριτωνομένδητες τὴν ἡσυχίαν ἦγον οὐδετέροις συμμαχεῖν προαιρούμενοι. Ἡμεῖς δὲ προαπαντήσαντες αὐτοῖς παρὰ τὸ Ποσειδώνιον συνεμίξαμεν πολλῇ βοῇ χρώμενοι· ἀντήχει δὲ τὸ κύτος ὥσπερ τὰ σπήλαια. Τρεψάμενοι δ' αὐτοὺς ἅτε γυμνῆτας ὄντας καὶ καταδιώξαντες ἐς τὴν ὕλην τὸ λοιπὸν ἐπεκρατοῦμεν τῆς γῆς.

39. Καὶ μετ' οὐ πολὺ κήρυκας ἀποστείλαντες νεκρούς τε ἀνῃροῦντο καὶ περὶ φιλίας διελέγοντο· ἡμῖν δὲ οὐκ ἐδόκει σπένδεσθαι, ἀλλὰ τῇ ὑστεραίᾳ χωρήσαντες ἐπ' αὐτοὺς πάντας ἅρδην ἐξεκόψαμεν πλὴν τῶν Τριτωνομενδήτων. Οὗτοι δὲ ὡς εἶδον τὰ γιγνόμενα, διαδράντες ἐκ τῶν βραγχίων ἁρῆκαν αὐτοὺς ἐς τὴν θάλατταν. Ἡμεῖς δὲ τὴν χώραν ἐπελθόντες ἔρημον ἤδη οὖσαν τῶν πολεμίων τὸ λοιπὸν ἀδεῶς κατῳκοῦμεν τὰ πολλὰ γυμνασίοις τε καὶ κυνηγεσίοις χρώμενοι καὶ ἀμπελουργοῦντες καὶ τὸν καρπὸν συγκομιζόμενοι τὸν ἐκ τῶν δένδρων, καὶ ὅλως ἐῴκειμεν τοῖς ἐν δεσμωτηρίῳ μεγάλῳ καὶ ἀφύκτῳ τρυφῶσι καὶ λελυμένοις. Ἐνιαυτὸν μὲν οὖν καὶ μῆνας ὀκτὼ τοῦτον διήγομεν τὸν τρόπον.

40. Τῷ δ' ἐνάτῳ μηνὶ πέμπτῃ ἱσταμένου περὶ τὴν δευτέραν τοῦ στόματος ἄνοιξιν — ἅπαξ γὰρ δὴ τοῦτο κατὰ τὴν ὥραν ἑκάστην ἐποίει τὸ κῆτος, ὥστε ἡμᾶς πρὸς τὰς ἀνοίξεις τεκμαίρεσθαι τὰς ὥρας — περὶ οὖν

fuerit pugna cum illis congredi, inermibus nempe, nos qui arma habemus. Nam si vicerimus illos, sine metu deinde vivemus. Sic placuit : digressique ad navem, nos paravimus. Causa belli futuri erat, vectigal ne in posterum solveretur, cujus jam dies præstituta instaret. Atque illi quidem misere tributum poscentes : iste vero superbo cum responso nuncios repulit. Primum ergo Psettopodes et Paguridæ irati, Scintharum (hoc enim nomen viro) magno tumultu invaserunt.

37. Nos vero suspicati invasionem, armati et instructi exspectabamus, agmine *præmisso virorum quinque et viginti*, quibus præceptum erat, ex insidiis, quum prætergressos viderent hostes, insurgerent. Et sic fecere. : insurgentes enim a tergo illos ceciderunt. Nos vero quinque et viginti numero et ipsi, quum Scintharus ipsiusque filius una pugnarent, occurrimus, animoseque et fortiter confligentes non sine periculo pugnavimus. Tandem vero in fugam versos persecuti sumus ad foveas usque ipsorum. Ceciderunt hostium quidem centum et septuaginta : de nostris vero unus gubernator, costa triglæ trajectus a tergo.

38. Illo igitur die ac nocte in pugnæ *loco mansimus*, tropæumque statuimus, spina dorsi arida delphini erecta. Postridie vero et reliqui, cognita re, adsunt; dextrum cornu tenentes Tarichanes duce Pelamo, sinistrum vero Thynnocephali, medium Carcinochires. Tritonomendetes enim quiescebant, neutris auxiliari volentes. Nos vero occurrentes illis circa Neptuni ædem, ad manus venimus, clamore utentes multo : resonabat autem speluncarum instar alvus ceti. Illos autem in fugam versos, utpote levis armaturæ, persecuti in silvam, denique campum obtinuimus.

39. Neque multo post caduceatoribus missis et mortuos tollere volebant et de amicitia agebant. Sed nobis non placuit fœdus : quin postridie ejus diei contra illos profecti confertim omnes delevimus, præter Tritonomendetas. Hi vero quid fieret animadverso, cursu petitis branchiis in mare inde desilierunt. Nos vero tota lustrata regione, quæ jam vacua esset hostibus, reliquo tempore metus expertes habitabamus, exercitationibus multum utentes et venatu, vineasque colentes, et fructum comportantes ex arboribus; et in universum similes videbamur hominibus in magno quodam carcere, unde fuga non est, delicate viventibus ac solutis. Annum igitur et menses octo ad hunc modum vixeramus.

40. Sed noni mensis die quinto, circa secundam oris apertionem : semel enim in singulas horas hoc faciebat cetus, *ut* illis hiatibus signare horas possemus : circa se-

τὴν δευτέραν, ὥσπερ ἔφην, ἀνοιξιν, ἄφνω βοή τε πολλὴ καὶ θόρυβος ἠκούετο καὶ ὥσπερ κελεύσματα καὶ εἰρεσίαι· ταραχθέντες οὖν ἀνειρπύσαμεν ἐπ' αὐτὸ τὸ στόμα τοῦ θηρίου καὶ στάντες ἐνδοτέρω τῶν ὀδόντων καθεωρῶμεν ἁπάντων ὧν ἐγὼ εἶδον θεαμάτων παραδοξότατον, ἄνδρας μεγάλους ὅσον ἡμισταδισίους τὰς ἡλικίας ἐπὶ νήσων μεγάλων προσπλέοντας ὥσπερ τριηρῶν. Οἶδα μὲν οὖν ἀπίστοις ἐοικότα ἱστορήσων, λέξω δὲ ὅμως.

Νῆσοι ἦσαν ἐπιμήκεις μέν, οὐ πάνυ δὲ ὑψηλαί, ὅσον ἑκατὸν σταδίων ἑκάστη τὸ περίμετρον· ἐπὶ δ' αὐτῶν ἔπλεον τῶν ἀνδρῶν ἐκείνων ἀμφὶ τοὺς εἴκοσι καὶ ἑκατόν· τούτων δὲ οἱ μὲν παρ' ἑκάτερα τῆς νήσου καθήμενοι ἐφεξῆς ἐκωπηλάτουν κυπαρίττοις μεγάλαις αὐτοκλάδοις καὶ αὐτοκόμοις ὥσπερεὶ ἐρετμοῖς, κατόπιν δὲ ἐπὶ τῆς πρύμνης, ὡς ἐδόκει, κυβερνήτης ἐπὶ λόφου ὑψηλοῦ εἱστήκει χάλκεον ἔχων πηδάλιον πενταστάδιαῖον τὸ μῆκος· ἐπὶ δὲ τῆς πρώρας ὅσον τετταράκοντα ὡπλισμένοι αὐτῶν ἐμάχοντο πάντα ἐοικότες ἀνθρώποις πλὴν τῆς κόμης· αὕτη δὲ πῦρ ἦν καὶ ἐκάετο, ὥστε οὐδὲ κορύθων ἐδέοντο. Ἀντὶ δὲ ἱστίων ὁ ἄνεμος ἐμπίπτων τῇ ὕλῃ πολλῇ οὔσῃ ἐν ἑκάστῃ ἐκόλπου τε αὐτὴν καὶ ἔφερε τὴν νῆσον ᾗ ἐθέλοι ὁ κυβερνήτης· κελευστὴς δ' ἐφειστήκει αὐτοῖς καὶ πρὸς τὴν εἰρεσίαν ὀξέως ἐκινοῦντο ὥσπερ τὰ μακρὰ τῶν πλοίων.

41. Τὸ μὲν οὖν πρῶτον δύο ἢ τρεῖς ἐωρῶμεν, ὕστερον δ' ἐφάνησαν ὅσον ἑξακόσιοι, καὶ διαστάντες ἐπολέμουν καὶ ἐναυμάχουν. Πολλαὶ μὲν οὖν ἀντίπρῳροι συνηράσσοντο ἀλλήλαις, πολλαὶ δὲ καὶ ἐμβληθεῖσαι κατεδύοντο, αἱ δὲ συμπλεκόμεναι καρτερῶς διηγωνίζοντο καὶ οὐ ῥᾳδίως ἀπελύοντο· οἱ γὰρ ἐπὶ τῆς πρώρας παρατεταγμένοι πᾶσαν ἐπεδείκνυντο προθυμίαν ἐπιβαίνοντες καὶ ἀναιροῦντες· ἐζώγρει δὲ οὐδείς. Ἀντὶ δὲ χειρῶν σιδηρῶν πολύποδας μεγάλους ἐκδεδεμένους ἀλλήλοις ἀπερρίπτουν, οἱ δὲ περιπλεκόμενοι τῇ ὕλῃ κατεῖχον αὐτὴν τὴν νῆσον. Ἔβαλλον μέντοι καὶ ἐτίτρωσκον ὀστρείοις τε ἁμαξοπληθέσι καὶ σπόγγοις πληθριαίοις.

42. Ἡγεῖτο δὲ τῶν μὲν Αἰολοκένταυρος, τῶν δὲ Θαλασσοπότης· καὶ μάχη αὐτοῖς ἐγεγένητο, ὡς ἐδόκει, λείας ἕνεκα· ἐλέγετο γὰρ ὁ Θαλασσοπότης πολλὰς ἀγέλας δελφίνων τοῦ Αἰολοκενταύρου ἐληλακέναι, ὡς ἦν ἀκούειν ἐπικαλούντων ἀλλήλοις καὶ τὰ ὀνόματα τῶν βασιλέων ἐπιβοωμένων. Τέλος δὲ νικῶσιν οἱ τοῦ Αἰολοκενταύρου καὶ νήσους τῶν πολεμίων καταδύουσιν ἀμφὶ τὰς πεντήκοντα καὶ ἑκατὸν καὶ ἄλλας τρεῖς λαμβάνουσιν αὐτοῖς ἀνδράσιν, αἱ δὲ λοιπαὶ πρύμναν χρουσάμεναι ἔφευγον. Οἱ δὲ μέχρι τινὸς διώξαντες, ἐπειδὴ ἑσπέρα ἦν, τραπόμενοι πρὸς τὰ ναυάγια τῶν πλείστων ἐπεκράτησαν καὶ τὰ ἑαυτῶν ἀνείλοντο· καὶ γὰρ ἐκείνων κατέδυσαν νῆσοι οὐκ ἐλάττους τῶν ὀγδοήκοντα. Ἔστησαν δὲ καὶ τρόπαιον τῆς νησομαχίας ἐπὶ τῇ κεφαλῇ τοῦ κήτους μίαν τῶν πολεμίων νήσων ἀνασταυρώσαντες. Ἐκείνην μὲν οὖν τὴν νύκτα περὶ τὸ θηρίον ηὐλίσαντο ἐξάψαντες αὐτοῦ τὰ ἀπόγεια καὶ ἐπ' ἀγκυρῶν

cundum ergo, ut dicebam, hiatum multus subito clamor tumultusque exaudiebatur et quasi remigantium exhortationes et remorum actorum sonitus. Perturbati ergo erepsimus in ipsum os bestiæ, stantesque intra dentes spectabamus spectaculorum omnium, quæ vidi ego, maxime admirabile, homines magnos quantum est dimidium stadium proceritate, magnis in insulis tanquam triremibus adnavigantes. Novi quidem me incredibilibus similia referre, dicam tamen.

Insulæ erant longæ illæ quidem, sed non magnopere altæ, stadiorum circiter centum ambitu quæque. In his navigabant virorum illorum ad centum viginti. Horum porro alii ad utrumque insulæ latus deinceps assidentes ut remos trahebant cupressos magnas ipsis cum ramis atque foliis : in posteriori vero parte, in puppi, ut videbatur, gubernator excelso in colle stabat, æneum tractans gubernaculum stadii longitudine. In prora autem eorum quadraginta circiter armati pugnabant, similes usquequaque hominibus præterquam comis, pro his enim ignis erat, isque ardens : quare galeis opus non habebant. Pro velis vero irruens in silvam, quæ multa in unaquaque erat, ventus sinuabat illam, impellebatque quo vellet gubernator insulam. Hortator autem illis stabat, atque insulæ, velut naves longæ, ad remigium celeriter movebantur.

41. Ac primo duas aut tres videbamus, deinde apparuere vel sexcentæ, quæ intervallo capto prælium committerent navale. Multæ igitur adversis proris concurrebant sibi, multæ a conflictu vehementi submergebantur : aliæ sibi implicitæ pugnabant fortiter, nec facile exsolvebantur ; nam qui constituti erant in prora, alacritatem ostendebant maximam, transilientes in naves alienas et cædem ibi edentes ; captivum vero duxit nemo. Pro ferreis manibus polypodas magnos, revinctos sibi invicem, injiciebant, qui silvam complexi retinerent insulam. Jactabant vero ostrea quæ singula plaustrum implerent, et jugeri magnitudine spongias, iisque vulnerabant.

42. Dux erat alterius classis Æolocentaurus, alterius Thalassopotes (*maris potor*) : pugna inter illos exorta erat, ut videbatur, de præda. Dicebatur enim Thalassopotes greges multos delphinorum Æolocentauri abegisse, quantum audire dabatur quum inclamarent sibi invicem, et regum nomina appellarent. Tandem vincunt Æolocentauri mulites, atque insulas hostium demergunt centum circiter et quinquaginta, tres alias cum ipsis viris capiunt : reliquæ remis inhibentes fugiunt. Hi vero aliquo usque eos persecuti, sub vesperam conversi ad naufragia, pleraque in suam potestatem redegerunt, et receperunt sua : nam ipsorum quoque insulæ non minus octoginta submersæ fuerant. Statuerunt vero tropæum pugnæ insularis, una insularum hostilium in capite ceti suspensa palo. Illam igitur noctem circa belluam, revinctis ab ea retinaculis et jactis

πλησίον ὁρμισάμενοι· καὶ γὰρ ἀγκύραις ἐχρῶντο μεγάλαις, ὑαλίναις, καρτεραῖς. Τῇ ὑστεραίᾳ δὲ θύσαντες ἐπὶ τοῦ κήτους καὶ τοὺς οἰκείους θάψαντες ἐπ' αὐτοῦ ἀπέπλεον ἡδόμενοι καὶ ὥσπερ παιᾶνας ᾄδοντες. Ταῦτα μὲν τὰ κατὰ τὴν νησομαχίαν γενόμενα.

circa ancoris, transegere : nam ancoris quoque utebantur magnis, vitreis, validis. Postridie vero re sacra in ceto peracta, sepultisque in eo suis, solverunt læti, et velut pæanas canentes. Ista sunt circa insularem pugnam gesta.

XXVII.

ΑΛΗΘΟΥΣ ΙΣΤΟΡΙΑΣ ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

1. Τὸ δ' ἀπὸ τούτου μηκέτι φέρων ἐγὼ τὴν ἐν τῷ κήτει δίαιταν ἀχθόμενός τε τῇ μονῇ μηχανήν τινα ἐζήτουν δι' ἧς ἂν ἐξελθεῖν γένοιτο· καὶ τὸ μὲν πρῶτον ἔδοξεν ἡμῖν διορύξασι κατὰ τὸν δεξιὸν τοῖχον ἀποδρᾶναι, καὶ ἀρξάμενοι διεκόπτομεν· ἐπειδὴ δὲ προελθόντες ὅσον πέντε σταδίους οὐδὲν ἠνύομεν, τοῦ μὲν ὀρύγματος ἐπαυσάμεθα, τὴν δὲ ὕλην καῦσαι διέγνωμεν· οὕτω γὰρ ἂν τὸ κῆτος ἀποθανεῖν· εἰ δὲ τοῦτο γένοιτο, ῥᾳδία ἐμελλεν ἡμῖν ἔσεσθαι ἡ ἔξοδος. Ἀρξάμενοι οὖν ἀπὸ τῶν οὐραίων ἐκάομεν, καὶ ἡμέρας μὲν ἑπτὰ καὶ ἴσας νύκτας ἀναισθήτως εἶχε τοῦ καύματος, ὀγδόῃ δὲ καὶ ἐνάτῃ συνίεμεν αὐτοῦ νοσοῦντος· ἀργότερον γοῦν ἀνέχασκε, καὶ εἴ ποτε ἀναχάνοι, ταχὺ συνέμυε. Δεκάτῃ δὲ καὶ ἑνδεκάτῃ τέλεον ἀπονενέκρωτο καὶ δυσῶδες ἦν· τῇ δωδεκάτῃ δὲ μόλις ἐνενοήσαμεν, ὡς, εἰ μή τις χανόντος αὐτοῦ ὑποστηρίξειε τοὺς γομφίους, ὥστε μηκέτι συγκλεῖσαι, κινδυνεύσομεν κατακλεισθέντες ἐν νεκρῷ αὐτῷ ἀπολέσθαι· οὕτω δὴ μεγάλαις δοκοῖς τὸ στόμα διερείσαντες τὴν ναῦν ἐπεσκευάζομεν ὕδωρ τε ὡς ἔνι πλεῖστον ἐμβαλλόμενοι καὶ τὰ ἄλλα ἐπιτήδεια· κυβερνᾶν δ' ἔμελλεν ὁ Σκίνθαρος. Τῇ δ' ἐπιούσῃ τὸ μὲν ἤδη ἐτεθνήκει.

2. Ἡμεῖς δ' ἀνελκύσαντες τὸ πλοῖον καὶ διὰ τῶν ἀραιωμάτων διαγαγόντες καὶ ἐκ τῶν ὀδόντων ἐξάψαντες ἠρέμα καθήκαμεν ἐς τὴν θάλατταν· ἐπαναβάντες δ' ἐπὶ τὰ νῶτα καὶ θύσαντες τῷ Ποσειδῶνι αὐτοῦ παρὰ τὸ τρόπαιον ἡμέρας τε τρεῖς ἐπαυλισάμενοι — νηνεμία γὰρ ἦν — τῇ τετάρτῃ ἀπεπλεύσαμεν. Ἔνθα δὴ πολλοῖς τῶν ἐκ τῆς ναυμαχίας νεκροῖς ἀπηντῶμεν καὶ προσωκέλλομεν, καὶ τὰ σώματα καταμετροῦντες ἐθαυμάζομεν. Καὶ ἡμέρας μέν τινας ἐπλέομεν εὐκράτῳ ἀέρι χρώμενοι, ἔπειτα βορέου σφοδροῦ πνεύσαντος μέγα κρύος ἐγένετο καὶ ὑπ' αὐτοῦ πᾶν ἐπάγη τὸ πέλαγος οὐκ ἐπιπολῆς μόνον, ἀλλὰ καὶ ἐς βάθος ὅσον ἐπὶ τετρακοσίας ὀργυιάς, ὥστε καὶ ἀποβάντας διαθεῖν ἐπὶ τοῦ κρυστάλλου. Ἐπιμένοντος δὲ τοῦ πνεύματος φέρειν οὐ δυνάμενοι τοιόνδε τι ἐπενοήσαμεν — ὁ δὲ τὴν γνώμην ἀποφηνάμενος ἦν Σκίνθαρος — σκάψαντες γὰρ ἐν τῷ ὕδατι σπήλαιον μέγιστον ἐν τούτῳ ἐμείναμεν ἡμέρας τριάκοντα, πῦρ ἀνακάοντες καὶ σιτούμενοι τοὺς ἰχθῦς· εὑρίσκομεν δ' αὐτοὺς ἀνορύττοντες. Ἐπειδὴ δὲ ἤδη ἐπέλιπε τὰ ἐπιτήδεια, προελθόντες καὶ τὴν ναῦν πεπηγυῖαν ἀνασπάσαντες καὶ πετάσαντες τὴν ὀθόνην

XXVII.

VERÆ HISTORIÆ LIBER SECUNDUS.

1. Ab hoc inde tempore quum non amplius ferrem illam in ceto vitam, et commoratione illa gravarer, exeundi aliquam rationem machinabar. Ac primo quidem placuit dextro pariete perfosso aufugere, jamque excidere illud cœperamus. Quum vero ad quinque stadia progressi nihil efficeremus, fodiendi consilio abjecto, incendere silvam statuimus : ita quippe morituram belluam; quo facto facilis nobis futurus exitus erat. A caudinis igitur partibus initio facto eam incendimus : ac septem dies totidemque noctes non sensit ardorem; octavo autem nonoque ægrotare eum intelleximus : hiabat enim tardius, et si hiaret, statim os claudebat. Decimo undecimoque plane jam ad mortem spectabat, atque olebat male. Duodecimo vix tandem animadvertimus, nisi quis illo hiante suffulciret maxillares, quominus claudere illos posset, periculum esse ne inclusi in cadavere una periremus. Itaque ore illius magnis trabibus discuneato, navem paravimus, et aqua quamplurima imposita, et necessariis reliquis : gubernaturus autem erat Scintharus. Proxima luce cetus quidem jam erat mortuus.

2. Nos vero extractum navigium, et per dentium interstitia traductum, suspensumque e dentibus placide in mare demisimus. Tum tergo ceti conscenso sacraque re Neptuno facta, ibidem prope tropæum commorati triduo, quod malacia esset, quarto solvimus. Hic in multos de navali illo prælio mortuos incidimus, offendimusque, ac dimensi corpora cum admiratione sumus. Ac dies quidem aliquot navigavimus aere temperato usi : deinde borea flante vehementi, frigus magnum est ortum et totum inde mare congelatum non in superficie modo, sed in fundum etiam ad quattuor circiter stadia; ita ut egressi per glaciem discurreremus. Durante autem vento, quum ferre non possemus, tale quid excogitavimus, consilii auctore Scintharo : effosso intra aquam specu maximo, triginta in hoc dies mansimus, accenso igne, in cibum utentes piscibus, quos inter fodiendum inveniebamus. Deficientibus vero jam necessariis, progressi navem gelu firmatam revulsimus, passoque velo, trahebа-

ἐσυρόμεθα ὥσπερ πλέοντες λείως καὶ προσηνῶς ἐπὶ τοῦ πάγου διολισθάνοντες. Ἡμέρᾳ δὲ πέμπτῃ ἀλέα τε ἦδη ἦν καὶ ὁ πάγος ἐλύετο καὶ ὕδωρ πάντα αὖθις ἐγίγνετο.

3. Πλεύσαντες οὖν ὅσον τριακοσίους σταδίους νήσῳ μικρᾷ καὶ ἐρήμῃ προσηνέχθημεν, ἀφ' ἧς ὕδωρ λαβόντες — ἐπελελοίπει γὰρ ἤδη — καὶ δύο ταύρους ἀγρίους κατατοξεύσαντες ἀπεπλεύσαμεν. Οἱ δὲ ταῦροι οὗτοι τὰ κέρατα οὐκ ἐπὶ τῆς κεφαλῆς εἶχον, ἀλλ' ὑπὸ τοῖς ὀφθαλμοῖς, ὥσπερ ὁ Μῶμος ἠξίου. Μετ' οὐ πολὺ δὲ εἰς πέλαγος ἐνεβαίνομεν, οὐχ ὕδατος, ἀλλὰ γάλακτος· καὶ νῆσος ἐν αὐτῷ ἐφαίνετο λευκὴ πλήρης ἀμπέλων. Ἦν δὲ ἡ νῆσος τυρὸς μέγιστος, πάνυ συμπεπηγώς, ὡς ὕστερον ἐμφαγόντες ἐμάθομεν, πέντε καὶ εἴκοσι σταδίων τὸ περίμετρον· αἱ δ' ἄμπελοι βοτρύων πλήρεις, οὐ μέντοι οἶνον, ἀλλὰ γάλα ἐξ αὐτῶν ἀποθλίβοντες ἐπίνομεν. Ἱερὸν δ' ἐν μέσῃ τῇ νήσῳ ἀνῳκοδόμητο Γαλατείας τῆς Νηρηΐδος, ὡς ἐδήλου τὸ ἐπίγραμμα. Ὅσον δ' οὖν χρόνον ἐκεῖ ἐμείναμεν, ὄψον μὲν ἡ γῆ καὶ σιτίον ὑπῆρχε, ποτὸν δὲ τὸ γάλα τὸ ἐκ τῶν βοτρύων. Βασιλεύειν δὲ τῶν χωρίων τούτων ἐλέγετο Τυρὼ ἡ Σαλμωνέως, μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγὴν ταύτην παρὰ τοῦ Ποσειδῶνος λαβοῦσα τὴν τιμήν.

4. Μείναντες δ' ἡμέρας ἐν τῇ νήσῳ πέντε τῇ ἕκτῃ ἐξωρμήσαμεν, αὔρας μέν τινος παραπεμπούσης, λειοκύμονος δὲ οὔσης τῆς θαλάττης· τῇ ὀγδόῃ δὲ ἡμέρᾳ πλέοντες οὐκέτι διὰ τοῦ γάλακτος, ἀλλ' ἤδη ἐν ἁλμυρῷ καὶ κυανῷ ὕδατι, καθορῶμεν ἀνθρώπους πολλοὺς ἐπὶ τοῦ πελάγους διαθέοντας, ἅπαντα ἡμῖν προσεοικότας καὶ τὰ σώματα καὶ τὰ μεγέθη, πλὴν τῶν ποδῶν μόνων· ταῦτα γὰρ φέλλινα εἶχον· ἀφ' οὗ δὴ οἶμαι καὶ ἐκαλοῦντο Φελλόποδες. Ἐθαυμάζομεν οὖν ἰδόντες οὐ βαπτιζομένους, ἀλλ' ὑπερέχοντας τῶν κυμάτων καὶ ἀδεῶς ὁδοιποροῦντας. Οἱ δὲ καὶ προσῄεσαν καὶ ἠσπάζοντο ἡμᾶς Ἑλληνικῇ φωνῇ ἐλεγόν τε εἰς Φελλὼ τὴν αὐτῶν πατρίδα ἐπείγεσθαι· μέχρι μὲν οὖν τινος συνωδοιπόρουν ἡμῖν παραθέοντες, εἶτα ἀποτραπόμενοι τῆς ὁδοῦ ἐβάδιζον εὔπλοιαν ἡμῖν ἐπευξάμενοι. Μετ' ὀλίγον δὲ πολλαὶ νῆσοι ἐφαίνοντο, πλησίον μὲν ἐξ ἀριστερῶν ἡ Φελλώ, εἰς ἣν ἐκεῖνοι ἔσπευδον, πόλις ἐπὶ μεγάλου καὶ στρογγύλου φελλοῦ κατοικουμένη· πόρρωθεν δὲ καὶ μᾶλλον ἐν δεξιᾷ πέντε μέγισται καὶ ὑψηλόταται, καὶ πῦρ πολὺ ἀπ' αὐτῶν ἀνεκάετο.

5. Κατὰ δὲ τὴν πρῷραν μία πλατεῖα καὶ ταπεινή, σταδίους ἀπέχουσα οὐκ ἐλάττους πεντακοσίων. Ἤδη δὲ πλησίον τε ἦμεν καὶ θαυμαστή τις αὔρα περιέπνευσεν ἡμᾶς, ἡδεῖα καὶ εὐώδης, οἵαν φησὶν ὁ συγγραφεὺς Ἡρόδοτος ἀπάζειν τῆς εὐδαίμονος Ἀραβίας. Οἷον γὰρ ἀπὸ ῥόδων καὶ ναρκίσσων καὶ ὑακίνθων καὶ κρίνων καὶ ἴων, ἔτι δὲ μυρρίνης καὶ δάφνης καὶ ἀμπελάνθης, τοιοῦτον ἡμῖν τὸ ἡδὺ προσέβαλλεν. Ἡσθέντες δὲ τῇ ὀσμῇ καὶ χρηστὰ ἐκ μακρῶν πόνων ἐλπίσαντες κατ' ὀλίγον ἤδη πλησίον τῆς νήσου ἐγιγνόμεθα. Ἔνθα δὴ καὶ καθεωρῶμεν λιμένας τε πολλοὺς περὶ πᾶσαν ἀκλύστους καὶ μεγάλους, ποταμούς τε διαυγεῖς ἐξιόντας ῥέυμα

mur quasi navigantes in lævi motuque blando labentes per glaciem. Quinto inde die æstus jam flt, solvitur glacies, in aquam redeunt omnia.

3. Trecenta ferme stadia navigaveramus, quum delati sumus ad insulam parvam ac desertam. Hinc aqua hausta (jam enim defecerat), confectisque sagittarum ope silvestribus duobus bubus, rursum navigavimus. Hi vero tauri non in capite habebant cornua, sed, quod Momus volebat, sub oculis. Non ita multo post in pelagus intrabamus, non aquæ illud, sed lactis. Insula in eo conspiciebatur alba, plena vitibus. Erat autem hæc insula caseus maximus, plane compactus, uti postea edendo experti sumus, stadiorum quinque et viginti circuitu : vites porro uvis plenæ; verum non vinum inde, sed lac expressum bibebamus. Ædes in media insula exstructa erat Galateæ (*Lacteæ*) Nereidis, quod significabat inscriptio. Quamdiu igitur ibi mansimus, cibum pariter atque obsonia terra nobis præbuit, potum vero lac de uvis. Regnare his regionibus dicebatur Tyro (*Casea*) Salmonei filia, hunc honorem, postquam hinc discessit, ab Neptuno nacta.

4. Morati in hac insula dies quinque, sexto solvimus, aura quidem nos quadam prosequente, non nisi lævibus tamen fluctibus moto mari. Octavo die, non jam lacteo navigantes, sed salso mari et cæruleo, videmus homines multos per mare discurrentes, omni ex parte nobis similes, corporibus et statura, pedibus solum exceptis; hos enim habent ex subere, a quo nempe etiam appellantur puto Phellopodes (*suberipedes*). Mirabamur igitur quum videremus illos non mergi, sed eminentes super fluctus, ac sine metu viam facientes. Atque adeunt nos etiam nonnulli et Græca lingua salutant, dicuntque in suam se patriam Phello (*Suberiam*) contendere. Et aliquousque juxta currentes nobiscum iter faciebant : deinde ab nostra via deflectentes abibant felicem nobis navigationem precati. Post paullo insulæ apparent multæ : in proximo ad sinistram Phello, in quam illi festinabant, urbs in magno et rotundo subere ædificata : at e longinquo et dextrorsum magis quinque maximæ atque altissimæ, a quibus ignis ardens surgebat multus.

5. Versus proram lata una et humilis, stadiis distans non minus quingentis. Jam vero prope eramus, et aura quædam circa nos spirabat admirabilis, suavis, et odora, qualem Herodotus historicus spirare ait a felici Arabia. Quale enim a rosa, et narcisso, et hyacintho, et liliis, et violis, myrto præterea et lauro, atque vitis flore, tam suave quiddam ad nares nobis accidit. Delectati odore et optima quæque post longos labores dum speramus, brevissimo jam intervallo absumus ab insula. Hic et portus videmus multos circumcirca, tutos a fluctibus et spatiosos, fluminaque pel-

ἐς τὴν θάλατταν· ἔτι δὲ λειμῶνας καὶ ὕλας καὶ ὄρνεα μουσικά, τὰ μὲν ἐπὶ τῶν ἡόνων ᾄδοντα, πολλὰ δὲ καὶ ἐπὶ τῶν κλάδων· ἀήρ τε κοῦφος καὶ εὔπνους περιεχέχυτο τὴν χώραν· καὶ αὖραι δέ τινες ἡδεῖαι διαπνέουσαι ῥᾳστα τὴν ὕλην διεσάλευον, ὥστε καὶ ἀπὸ τῶν κλάδων κινουμένων τερπνὰ καὶ συνεχῆ μέλη ἀπεσυρίζετο ἐοικότα τοῖς ἐπ' ἐρημίας αὐλήμασι τῶν πλαγίων αὐλῶν. Καὶ μὴν καὶ βοὴ σύμμικτος ἠκούετο ἄθρους, οὐ θορυβώδης, ἀλλ' οἷα γένοιτ' ἂν ἐν συμποσίῳ, τῶν μὲν αὐλούντων, τῶν δὲ ἐπαινούντων, ἐνίων δὲ κροτούντων πρὸς αὐλὸν ἢ κιθάραν.

6. Τούτοις ἅπασι κηλούμενοι κατήχθημεν, ὁρμίσαντες δὲ τὴν ναῦν ἀπεβαίνομεν τὸν Σκίνθαρον ἐν αὐτῇ καὶ δύο τῶν ἑταίρων ἀπολιπόντες. Προϊόντες δὲ διὰ λειμῶνος εὐανθοῦς ἐντυγχάνομεν τοῖς φρουροῖς καὶ περιπόλοις, οἱ δὲ δήσαντες ἡμᾶς ῥοδίνοις στεφάνοις — οὗτος γὰρ μέγιστος παρ' αὐτοῖς δεσμός ἐστιν — ἀνῆγον ὡς τὸν ἄρχοντα, παρ' ὧν δὴ καθ' ὁδὸν ἠκούσαμεν ὡς ἡ μὲν νῆσος εἴη τῶν Μακάρων προσαγορευομένη, ἀρχὸς δὲ ὁ Κρὴς Ῥαδάμανθυς. Καὶ δὴ ἀναχθέντες ὡς αὐτὸν ἐν τάξει τῶν δικαζομένων ἕστημεν τέταρτοι.

7. Ἦν δὲ ἡ μὲν πρώτη δίκη περὶ Αἴαντος τοῦ Τελαμῶνος, εἴτε χρὴ αὐτὸν συνεῖναι τοῖς ἥρωσιν εἴτε καὶ μή· κατηγορεῖτο δὲ αὐτοῦ ὅτι μεμήνοι καὶ ἑαυτὸν ἀπεκτόνοι. Τέλος δὲ πολλῶν ῥηθέντων ἔγνω ὁ Ῥαδάμανθυς, νῦν μὲν αὐτὸν πιόμενον τοῦ ἑλλεβόρου παραδοθῆναι Ἱπποκράτει τῷ Κῴῳ ἰατρῷ, ὕστερον δὲ σωφρονήσαντα μετέχειν τοῦ συμποσίου.

8. Δευτέρα δὲ ἦν κρίσις ἐρωτικὴ, Θησέως καὶ Μενελάου περὶ τῆς Ἑλένης διαγωνιζομένων, ποτέρῳ χρὴ αὐτὴν συνοικεῖν. Καὶ ὁ Ῥαδάμανθυς ἐδίκασε Μενελάῳ συνεῖναι αὐτὴν ἅτε καὶ τοσαῦτα πονήσαντι καὶ κινδυνεύσαντι τοῦ γάμου ἕνεκα· καὶ γὰρ αὖ τῷ Θησεῖ καὶ ἄλλας εἶναι γυναῖκας τήν τε Ἀμαζόνα καὶ τὰς τοῦ Μίνωος θυγατέρας.

9. Τρίτη δ' ἐδικάσθη περὶ προεδρίας Ἀλεξάνδρῳ τε τῷ Φιλίππου καὶ Ἀννίβᾳ τῷ Καρχηδονίῳ, καὶ ἔδοξε προέχειν ὁ Ἀλέξανδρος, καὶ θρόνος αὐτῷ ἐτέθη παρὰ Κῦρον τὸν Πέρσην τὸν πρότερον.

10. Τέταρτοι δ' ἡμεῖς προσήχθημεν· καὶ ὁ μὲν ἤρετο τί παθόντες ἔτι ζῶντες ἱεροῦ χωρίου ἐπιβαίημεν· ἡμεῖς δὲ πάντα ἐξῆς διηγησάμεθα. Οὗτος δὴ μεταστησάμενος ἡμᾶς ἐπὶ πολὺν χρόνον ἐσκέπτετο καὶ τοῖς συνέδροις ἐκοινοῦτο περὶ ἡμῶν. Συνήδρευον δὲ ἄλλοι τε πολλοὶ καὶ Ἀριστείδης ὁ δίκαιος ὁ Ἀθηναῖος. Ὡς δ' ἔδοξεν αὐτῷ, ἀπεφήνατο τῆς μὲν φιλοπραγμοσύνης καὶ τῆς ἀποδημίας, ἐπειδὰν ἀποθάνωμεν, δοῦναι τὰς εὐθύνας, τὸ δὲ νῦν ῥητὸν χρόνον μείναντας ἐν τῇ νήσῳ καὶ συνδιαιτηθέντας τοῖς ἥρωσιν ἀπελθεῖν. Ἔταξε δὲ καὶ τὴν προθεσμίαν τῆς ἐπιδημίας μὴ πλέον μηνῶν ἑπτά.

11. Τοὐντεῦθεν ἡμῖν αὐτομάτων τῶν στεφάνων περιρρυέντων ἐλελύμεθα καὶ εἰς τὴν πόλιν ἠγόμεθα καὶ εἰς τὸ τῶν Μακάρων συμπόσιον. Αὕτη μὲν οὖν ἡ πό-

lucida placide exeuntia in mare : ad hæc prata, et silvæ, et canoras aves, tum in litoribus modulantes, tum multas in ramis. Aer porro levis et molliter spirans circumfusus regioni erat, atque auræ quædam suaves leni flatu silvam motabant. Itaque et a ramis motis jucunda perpetuaque cantica sibilabant, similia cantibus qui ab obliquis fistulis in loco deserto redduntur. Sed clamor etiam mistus exaudiebatur, non ille tumultuosus, sed qualis oriatur in convivio, inflantibus aliis tibias, aliis laudantibus, plaudentibus ad tibiam citharamve aliis.

6. Hisce omnibus dum demulcemur appulimus, firmataque in portu navi, escendimus, relictis in ea Scintharo cum duobus sociis. Progressi per pratum floridum, in præsidiarios custodes incidimus, qui roseis nos coronis vinctos (durissimum hoc apud illos vinculum est) ad principem abduxere; a quibus in via audivimus hanc esse Beatorum quæ vocatur insulam, et imperitare in ea Rhadamanthum Cretensem. Jam deducti ad illum, quarti stetimus in serie eorum qui judicandi erant.

7. Primum judicium erat de Telamonio Ajace, utrum par sit eum versari cum heroibus an non. Accusabatur autem hoc nomine, quod furiosus fuisset atque ipse manus sibi intulisset. Tandem quum multa utrimque dicta essent, pronunciavit Rhadamanthus, jam quidem helleboro poto traderetur Hippocrati Coo medico, in posterum ubi resipuisset, convivio adhiberetur.

8. Alterum erat amatorium judicium, Theseo et Menelao de Helena contendentibus, cum utro ea habitare deberet. Judicavitque Rhadamanthus illam esse cum Menelao, qui nuptiarum illius causa tot labores, pericula tot subiisset : etenim Theseo alias quoque esse mulieres, Amazonem illam, et Minois filias.

9. Tertia causa judicata est de loco antiquiore inter Alexandrum Philippi et Hannibalem Carthaginiensem, et primas visum est deberi Alexandro, ac sella ei posita est juxta Cyrum majorem Persam.

10. Quarti nos admoti sumus. Atque ille quidem interrogavit, qua re impulsi vivi adhuc sacram regionem ingressi essemus : nos vero omnia deinceps enarravimus. Iste autem nobis secedere aliquantum jussis, diu considerabat, suisque cum assessoribus communicat de nobis. Aderant enim illi in consilio tum alii plures, tum Aristides justus Atheniensis. Quum vero visum ipsi esset, pronunciavit curiositatis quidem et profectionis pœnas nos, ubi mortui fuissemus, daturos : jam vero dicto tempore in insula morati, et convictu heroum usi, abiremus. Constituit autem etiam diem commorationis, ne plus septem mensibus maneremus.

11. Hinc sua nobis sponte defluentibus coronis liberati in urbem introducti sumus et ad Beatorum convivium. Hæc urbs tota aurea : mœnia circumposita smaragdina : portæ

λις πᾶσα χρυσῆ, τὸ δὲ τεῖχος περίκειται σμαράγδινον· πύλαι δέ εἰσιν ἑπτά, πᾶσαι μονόξυλοι κινναμώμινοι· τὸ μέντοι ἔδαφος τῆς πόλεως καὶ ἡ ἐντὸς τοῦ τείχους γῆ ἐλεφαντίνη· ναοὶ δὲ πάντων θεῶν βηρύλλου λίθου ᾠκοδομημένοι, καὶ βωμοὶ ἐν αὐτοῖς μέγιστοι μονόλιθοι ἀμεθύστινοι, ἐφ' ὧν ποιοῦσι τὰς ἑκατόμβας. Περὶ δὲ τὴν πόλιν ῥεῖ ποταμὸς μύρου τοῦ καλλίστου τὸ πλάτος πήχεων ἑκατὸν βασιλικῶν, βάθος δὲ πεντήκοντα, ὥστε νεῖν εὐμαρῶς. Λουτρὰ δέ ἐστιν ἐν αὐτοῖς οἶκοι μεγάλοι ὑάλινοι, τῷ κινναμώμῳ ἐγκαόμενοι· ἀντὶ μέντοι ὕδατος ἐν ταῖς πυέλοις δρόσος θερμὴ ἐστιν.

12. Ἐσθῆτι δὲ χρῶνται ἀραχνίοις λεπτοῖς, πορφυροῖς. Αὐτοὶ δὲ σώματα μὲν οὐκ ἔχουσιν, ἀλλ' ἀναφεῖς καὶ ἄσαρκοί εἰσι, μορφὴν δὲ καὶ ἰδέαν μόνην ἐμφαίνουσι, καὶ ἀσώματοι ὄντες ὅμως συνεστᾶσι καὶ κινοῦνται καὶ φρονοῦσι καὶ φωνὴν ἀφιᾶσι, καὶ ὅλως ἔοικε γυμνή τις ἡ ψυχὴ αὐτῶν περιπολεῖν τὴν τοῦ σώματος ὁμοιότητα περικειμένη· εἰ γοῦν μὴ ἅψαιτό τις, οὐκ ἂν ἐλέγξειε μὴ εἶναι σῶμα τὸ ὁρώμενον· εἰσὶ γὰρ ὥσπερ σκιαὶ ὀρθαὶ, οὐ μέλαιναι. Γηράσκει δὲ οὐδείς, ἀλλ' ἐφ' ᾗς ἂν ἡλικίας ἔλθῃ παραμένει. Οὐ μὴν οὐδὲ νὺξ παρ' αὐτοῖς γίγνεται, οὐδὲ ἡμέρα πάνυ λαμπρά· καθάπερ γὰρ τὸ λυκαυγὲς ἤδη πρὸς ἕω μηδέπω ἀνατείλαντος ἡλίου, τοιοῦτο φῶς ἐπέχει τὴν γῆν. Καὶ μέντοι καὶ ὥραν μίαν ἴσασι τοῦ ἔτους· ἀεὶ γὰρ παρ' αὐτοῖς ἔαρ ἐστὶ καὶ εἷς ἄνεμος πνεῖ ὁ ζέφυρος.

13. Ἡ δὲ χώρα πᾶσι μὲν ἄνθεσι, πᾶσι δὲ φυτοῖς ἡμέροις τε καὶ σκιεροῖς τέθηλεν· αἱ μὲν γὰρ ἄμπελοι δωδεκάφοροί εἰσι καὶ κατὰ μῆνα ἕκαστον καρποφοροῦσι· τὰς δὲ ῥοιὰς καὶ τὰς μηλέας καὶ τὴν ἄλλην ὀπώραν ἔλεγον μὲν εἶναι τρισκαιδεκάφορον· ἑνὸς γὰρ μηνὸς τοῦ παρ' αὐτοῖς Μινώου δὶς καρποφορεῖ. Ἀντὶ δὲ πυροῦ οἱ στάχυες ἄρτον ἕτοιμον ἐπ' ἄκρων φύουσιν ὥσπερ μύκητας. Πηγαὶ δὲ περὶ τὴν πόλιν ὕδατος μὲν πέντε καὶ ἑξήκοντα καὶ τριακόσιαι, μέλιτος δὲ ἄλλαι τοσαῦται, μύρου δὲ πεντακόσιαι, μικρότεραι μέντοι αὗται· καὶ ποταμοὶ γάλακτος ἑπτὰ καὶ οἴνου ὀκτώ.

14. Τὸ δὲ συμπόσιον ἔξω τῆς πόλεως πεποίηται ἐν τῷ Ἠλυσίῳ καλουμένῳ πεδίῳ· λειμὼν δέ ἐστι κάλλιστος καὶ περὶ αὐτὸν ὕλη παντοία, πυκνὴ, ἐπισκιάζουσα τοὺς κατακειμένους, καὶ στρωμνὴ μὲν ἐκ τῶν ἀνθέων ὑποβέβληται. Διακονοῦνται δὲ καὶ διαφέρουσιν ἕκαστα οἱ ἄνεμοι πλήν γε τοῦ οἰνοχοεῖν· τούτου γὰρ οὐ δέονται, περὶ δὲ τὸ συμπόσιον ὑάλινά ἐστι μεγάλα δένδρα τῆς διαυγεστάτης ὑάλου, καὶ καρπός ἐστι τῶν δένδρων τούτων ποτήρια παντοῖα καὶ τὰς κατασκευὰς καὶ τὰ μεγέθη. Ἐπειδὰν οὖν παρίῃ τις ἐς τὸ συμπόσιον, τρυγήσας ἓν ἢ καὶ δύο τῶν ἐκπωμάτων παρατίθεται, τὰ δὲ αὐτίκα οἴνου πλήρη γίγνεται. Οὕτω μὲν πίνουσιν. Ἀντὶ δὲ τῶν στεφάνων αἱ ἀηδόνες καὶ τὰ ἄλλα μουσικὰ ὄρνεα ἐκ τῶν πλησίον λειμώνων τοῖς στόμασιν ἀνθολονοῦντα κατανίφει αὐτοὺς μετ' ᾠδῆς ὑπερπετόμενα. Καὶ μὴν καὶ μυρίζονται ὧδε· νεφέλαι πυκναὶ ἀναπάσασαι μύρον ἐκ τῶν πηγῶν καὶ τοῦ ποταμοῦ καὶ ἐπι-

septem ex uno singulæ trunco elaboratæ cinnamominæ: solum urbis, quodque intra muros terræ est, eburneum: templa omnium deorum e beryllo gemma ædificata, et altaria in iis maxima, ex una gemma amethystina, in quibus hecatombas faciunt. Circum urbem fluit amnis unguenti pulcherrimi, cujus latitudo centum cubitorum regiorum; profunditas autem quinquaginta, ut nates in eo facile. Balnea sunt illis ædes magnæ, vitreæ, cinnamomo vaporatæ: verum pro aqua in soliis est ros calidus.

12. Ad vestitum utuntur aranearum telis tenuibus, purpureis. Corpora quidem ipsi non habent, sed tactum effugiunt, carnis expertes, et figuram solam atque speciem ostendunt, ac licet corpora non habeant, tamen stant, moventur, sapiunt, vocem emittunt. Et omnino videtur nuda quodammodo anima illorum obversari, similitudinem quandam induta corporis. Nisi enim tetigerit aliquis, haud convincatur corpus non esse id quod videt: sunt enim quasi umbræ erectæ, non nigræ. Senescit vero nemo, sed qua ætate huc venerit, in ea manet. Verum neque nox apud illos est, neque dies plane clara: sed quale est mane diluculum, sole nondum exorto, talis lux terram illam obtinet. Unam etiam modo anni tempestatem norunt: semper enim apud illos ver est, et unus flat ventus, Zephyrus.

13. Regio floribus omnibus, plantisque tum mansuetis tum umbrosis viret. Vites quidem duodecies feraces, mensibus singulis fructum ferunt. Punicas vero arbores, et malos, et reliquas frugiferas dicebant etiam ter et decies ferre, bis nempe uno mense, qui Minous apud illos est. Pro tritico spicæ panes jam paratos in summo producunt, velut fungos. Fontes circa urbem aquæ quinque et sexaginta supra trecentos, mellis totidem alii, unguenti autem quingenti, hi tamen minores; fluvii lactis septem, et octo vini.

14. Cœnatio extra urbem structa est, in eo qui vocatur campus Elysius. Est autem pratum pulcherrimum, et circa illud silva varia, densa, accumbentibus umbram faciens: stragula de floribus vestis subjecta est. Ministrant omnia et huc illuc ferunt venti, præterquam quod vinum non infundunt: hoc enim nihil opus est, sed sunt arbores circa cœnationem vitreæ, magnæ, de vitro pellucidissimo: et sunt fructus harum arborum pocula varia et figuris et magnitudine. Quum igitur advenit aliquis in cœnationem, decerptum unum alterumve poculorum sibi apponit; at illa statim vini plena fiunt: et sic bibunt. Pro coronis vero luscinie et aves aliæ canoræ ex vicinis pratis flores rostris lectos instar nivis in eos spargunt, cum cantu supervolantes. Unguentis quoque perfunduntur, hunc in modum: densæ nubes bibunt e fontibus ac fluvio unguentum, deinde im-

στᾶσαι ὑπὲρ τὸ συμπόσιον ἠρέμα τῶν ἀνέμων ὑποθλιβόντων ὄυσι λεπτὸν ὥσπερ δρόσον.

15. Ἐπὶ δὲ τῷ δείπνῳ μουσικῇ τε καὶ ᾠδαῖς σχολάζουσιν· ᾄδεται δὲ αὐτοῖς τὰ τοῦ Ὁμήρου ἔπη μάλιστα· καὶ αὐτὸς γὰρ πάρεστι καὶ συνευωχεῖται αὐτοῖς ὑπὲρ τὸν Ὀδυσσέα κατακείμενος. Οἱ μὲν οὖν χοροὶ ἐκ παίδων εἰσὶ καὶ παρθένων· ἐξάρχουσι δὲ καὶ συνᾴδουσιν Εὔνομός τε ὁ Λοκρὸς καὶ Ἀρίων ὁ Λέσβιος καὶ Ἀνακρέων καὶ Στησίχορος· καὶ γὰρ τοῦτον παρ' αὐτοῖς ἐθεασάμην, ἤδη τῆς Ἑλένης αὐτῷ διηλλαγμένης. Ἐπειδὰν δὲ οὗτοι παύσωνται ᾄδοντες, δεύτερος χορὸς παρέρχεται ἐκ κύκνων καὶ χελιδόνων καὶ ἀηδόνων. Ἐπειδὰν δὲ καὶ οὗτοι ᾄσωσι, τότε ἤδη ἡ πᾶσα ὕλη ἐπαυλεῖ τῶν ἀνέμων καταρχόντων.

16. Μέγιστον δὲ δὴ πρὸς εὐφροσύνην ἐκεῖνο ἔχουσι· πηγαί εἰσι δύο παρὰ τὸ συμπόσιον, ἡ μὲν γέλωτος, ἡ δὲ ἡδονῆς· ἐκ τούτων ἑκατέρας πάντες ἐν ἀρχῇ τῆς εὐωχίας πίνουσι καὶ τὸ λοιπὸν ἡδόμενοι καὶ γελῶντες διάγουσι.

17. Βούλομαι δὲ εἰπεῖν καὶ τῶν ἐπισήμων οὕστινας παρ' αὐτοῖς ἐθεασάμην· πάντας μὲν τοὺς ἡμιθέους καὶ τοὺς ἐπὶ Ἴλιον στρατεύσαντας πλήν γε τοῦ Λοκροῦ Αἴαντος· ἐκεῖνον δὲ μόνον ἔφασκον ἐν τῷ τῶν ἀσεβῶν χώρῳ κολάζεσθαι. Βαρβάρων δὲ Κύρους τε ἀμφοτέρους καὶ τὸν Σκύθην Ἀνάχαρσιν καὶ τὸν Θρᾷκα Ζάμολξιν καὶ Νουμᾶν τὸν Ἰταλιώτην, καὶ μὴν καὶ Λυκοῦργον τὸν Λακεδαιμόνιον καὶ Φωκίωνα καὶ Τέλλον τοὺς Ἀθηναίους, καὶ τοὺς σοφοὺς ἄνευ Περιάνδρου. Εἶδον δὲ καὶ Σωκράτην τὸν Σωφρονίσκου ἀδολεσχοῦντα μετὰ Νέστορος καὶ Παλαμήδους· περὶ δὲ αὐτὸν ἦσαν Ὑάκινθός τε ὁ Λακεδαιμόνιος καὶ ὁ Θεσπιεὺς Νάρκισσος καὶ Ὕλας καὶ ἄλλοι πολλοὶ καὶ καλοί. Καί μοι ἐδόκει ἐρᾶν τοῦ Ὑακίνθου· τὰ πολλὰ γοῦν ἐκεῖνον διήλεγχεν. Ἐλέγετο δὲ χαλεπαίνειν αὐτῷ ὁ Ῥαδάμανθυς καὶ ἠπειληκέναι πολλάκις ἐκβαλεῖν αὐτὸν ἐκ τῆς νήσου, ἢν φλυαρῇ καὶ μὴ ἐθέλῃ ἀφεὶς τὴν εἰρωνείαν εὐωχεῖσθαι. Πλάτων δὲ μόνος οὐ παρῆν, ἀλλ' ἐλέγετο καὶ αὐτὸς ἐν τῇ ἀναπλασθείσῃ ὑπ' αὐτοῦ πόλει οἰκεῖν χρώμενος τῇ πολιτείᾳ καὶ τοῖς νόμοις οἷς συνέγραψεν.

18. Οἱ μέντοι ἀμφ' Ἀρίστιππόν τε καὶ Ἐπίκουρον τὰ πρῶτα παρ' αὐτοῖς ἐφέροντο ἡδεῖς τε ὄντες καὶ κεχαρισμένοι καὶ συμποτικώτατοι. Παρῆν δὲ καὶ Αἴσωπος ὁ Φρύξ· τούτῳ δὲ ὅσα καὶ γελωτοποιῷ χρῶνται. Διογένης μέν γε ὁ Σινωπεὺς τοσοῦτον μετέβαλε τοῦ τρόπου ὥστε γῆμαι μὲν Λαΐδα τὴν ἑταίραν, ὀρχεῖσθαι δὲ πολλάκις ὑπὸ μέθης ἀνιστάμενον καὶ παροινεῖν. Τῶν δὲ Στωϊκῶν οὐδεὶς παρῆν· ἔτι γὰρ ἐλέγοντο ἀναβαίνειν τὸν τῆς ἀρετῆς ὄρθιον λόφον. Ἠκούομεν δὲ καὶ περὶ Χρυσίππου ὅτι οὐ πρότερον αὐτῷ ἐπιβῆναι τῆς νήσου θέμις, πρὶν τὸ τέταρτον ἑαυτὸν ἐλλεβορίσῃ. Τοὺς δὲ Ἀκαδημαϊκοὺς ἔλεγον ἐθέλειν μὲν ἐλθεῖν, ἐπέχειν δ' ἔτι καὶ διασκέπτεσθαι· μηδὲ γὰρ αὐτὸ τοῦτό πω καταλαμβάνειν, εἰ καὶ νῆσός τις τοιαύτη ἐστίν. Ἄλλως τε καὶ τὴν ἐπὶ τοῦ Ῥαδαμάνθυος, οἶμαι, κρίσιν ἐδεδοί-

minentes cœnationi, placide urgentibus ventis, tanquam tenuem rorem pluunt.

15. In cœna musicæ vacant et cantibus. Canuntur ipsis Homeri maxime carmina : et adest ipse quoque et cum illis epulatur, accumbens supra Ulixem. Chori puerorum sunt et virginum : ducunt eum concinuntque Eunomus Locrus, et Lesbius Arion, et Anacreon, et Stesichorus : etenim hunc quoque apud illos vidi, jam reconciliata illi Helena. Hi vero quum canere desierunt, alter chorus procedit cycnorum, hirundinum ac lusciniarum : et ubi hi quoque cecinerunt, tum sane silva tota fistulis quasi succinit, ventis cantum præeuntibus.

16. Maximum vero illud ad hilaritatem adjumentum habent, quod fontes sunt duo circa cœnationem, risus alter, alter voluptatis; ex quorum alterutro in ipso convivii principio bibunt, et quod superest jucunde et cum risu agunt.

17. Dicere etiam volo, nobilium hominum quos apud illos viderim. Semideos quidem omnes, et qui ad Ilium pugnarunt, præter Locrum Ajacem : illum solum dicebant in loco impiorum dare pœnas. Barbarorum vero Cyrum utrumque, et Scytham Anacharsin, et Zamolxin Thracem, et Numam Italum : ac præter hos Lycurgum Lacedæmonium, et Phocionem ac Tellum Athenienses, et Sapientes, Periandro excepto. Vidi etiam Socratem Sophronisci filium sermones cædentem cum Nestore et Palamede : et circa illum erant Hyacinthus Lacedæmonius, et Thespiensis Narcissus, et Hylas, et multi alii pulchri. Ac videbatur mihi amare Hyacinthum : nam plerumque illum redarguebat. Dicebatur autem iratus illi Rhadamanthus, et sæpe minatus esse, de insula se illum ejecturum, si nugas agere pergeret, et nollet dissimulatione omissa convivari. Plato solus non aderat, sed dicebatur ipse quoque civitatem habitare a se confictam, eaque forma reipublicæ et eis quas conscripsisset, legibus uti.

18. Aristippus quidem et Epicurus primas illic ferebant, suaves homines, et gratiosi, et convivæ commodi. Aderat etiam Æsopus Phryx, quo ut scurra ridiculario utuntur. Verum Sinopensis Diogenes ita mutavit mores suos, ut Laida duxerit meretricem, ebriusque sæpe ad saltandum consurgat et vinolentas nugas agat. Stoicorum aderat nemo : dicebantur enim adhuc ascendere arduum illum virtutis collem. Audiebamus etiam de Chrysippo, non prius illi fas esse insulam ingredi, quam helleboro quartum usus esset. Academicos vero dicebant velle quidem venire, sed sustinere se adhuc et considerare : neque enim hoc ipsum illos percipere, an insula talis sit. Alioquin etiam Rhadamanthi, puto, judicium metuunt, ut qui instrumentum judi-

κεσαν, ἅτε καὶ τὸ κριτήριον αὐτοὶ ἀνῃρηκότες. Πολλοὺς δὲ αὐτῶν ἔφασκον ὁρμηθέντας ἀκολουθεῖν τοῖς ἁρπαζομένοις, ὑπὸ νωθείας δ' ἀπολείπεσθαι μὴ καταλαμβάνοντας καὶ ἀναστρέφειν ἐκ μέσης τῆς ὁδοῦ.

19. Οὗτοι μὲν οὖν ἦσαν οἱ ἀξιολογώτατοι τῶν παρόντων. Τιμῶσι δὲ μάλιστα τὸν Ἀχιλλέα καὶ μετὰ τοῦτον Θησέα. Περὶ δὲ συνουσίας καὶ ἀφροδισίων οὕτω φρονοῦσι· μίσγονται μὲν ἀναφανδὸν πάντων ὁρώντων καὶ γυναιξὶ καὶ ἄρρεσι, καὶ οὐδαμῶς τοῦτο αἰσχρὸν αὐτοῖς δοκεῖ· μόνος δὲ Σωκράτης διώμνυτο ἢ μὴν καθαρῶς πλησιάζειν τοῖς νέοις· καὶ μέντοι πάντες αὐτοῦ ἐπιορκεῖν κατεγίγνωσκον· πολλάκις γοῦν ὁ μὲν Ὑάκινθος ἢ ὁ Νάρκισσος ὡμολόγουν, ἐκεῖνος δὲ ἠρνεῖτο. Αἱ δὲ γυναῖκές εἰσι πᾶσι κοιναὶ καὶ οὐδεὶς φθονεῖ τῷ πλησίον, ἀλλ' εἰσὶ περὶ τοῦτο μάλιστα Πλατωνικώτατοι· καὶ οἱ παῖδες δὲ παρέχουσι τοῖς βουλομένοις οὐδὲν ἀντιλέγοντες.

20. Οὔπω δὲ δύο ἢ τρεῖς ἡμέραι διεληλύθεσαν, καὶ προσελθὼν ἐγὼ Ὁμήρῳ τῷ ποιητῇ, σχολῆς οὔσης ἀμφοῖν, τά τε ἄλλα ἐπυνθανόμην καὶ ὅθεν εἴη, λέγων τοῦτο μάλιστα παρ' ἡμῖν εἰσέτι νῦν ζητεῖσθαι. Ὁ δὲ οὐδ' αὐτὸς μὲν ἀγνοεῖν ἔφασκεν, ὡς οἱ μὲν Χῖον, οἱ δὲ Σμυρναῖον, πολλοὶ δὲ καὶ Κολοφώνιον αὐτὸν νομίζουσιν. Εἶναι μέντοι γε ἔλεγε Βαβυλώνιος, καὶ παρά γε τοῖς πλείστοις οὐχ Ὅμηρος, ἀλλὰ Τιγράνης καλεῖσθαι· ὕστερον δὲ ὁμηρεύσας παρὰ τοῖς Ἕλλησιν ἀλλάξαι τὴν προσηγορίαν. Ἔτι δὲ καὶ περὶ τῶν ἀθετουμένων στίχων ἐπηρώτων, εἰ ὑπ' ἐκείνου εἰσὶν ἐγγεγραμμένοι. Καὶ ὃς ἔφασκε πάντας αὐτοῦ εἶναι. Κατεγίγνωσκον οὖν τῶν ἀμφὶ τὸν Ζηνόδοτον καὶ Ἀρίσταρχον γραμματικῶν πολλὴν τὴν ψυχρολογίαν. Ἐπεὶ δὲ ταῦτα ἱκανῶς ἀπεκρίνατο, πάλιν αὐτὸν ἠρώτων τί δή ποτε ἀπὸ τῆς μήνιδος τὴν ἀρχὴν ἐποιήσατο· καὶ ὃς εἶπεν οὕτως ἐπελθεῖν αὐτῷ μηδὲν ἐπιτηδεύσαντι. Καὶ μὴν κἀκεῖνο ἐπεθύμουν εἰδέναι εἰ προτέραν ἔγραψε τὴν Ὀδύσσειαν τῆς Ἰλιάδος, ὡς οἱ πολλοί φασιν· ὁ δὲ ἠρνεῖτο. Ὅτι μὲν γὰρ οὐδὲ τυφλὸς ἦν, ὃ καὶ αὐτὸ περὶ αὐτοῦ λέγουσιν, αὐτίκα ἠπιστάμην· ἑώρα γάρ, ὥστε οὐδὲ πυνθάνεσθαι ἐδεόμην. Πολλάκις δὲ καὶ ἄλλοτε τοῦτο ἐποίουν, εἴ ποτε αὐτὸν σχολὴν ἄγοντα ἑώρων· προσιὼν γάρ τι ἐπυνθανόμην αὐτοῦ, καὶ ὃς προθύμως πάλιν ἀπεκρίνατο, καὶ μάλιστα μετὰ τὴν δίκην, ἐπειδὴ ἐκράτησεν· ἦν γάρ τις γραφὴ κατ' αὐτοῦ ἐπενηνεγμένη ὕβρεως ὑπὸ Θερσίτου ἐφ' οἷς αὐτὸν ἐν τῇ ποιήσει ἔσκωψε, καὶ ἐνίκησεν Ὅμηρος Ὀδυσσέως συναγορεύοντος.

21. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους ἀφίκετο καὶ Πυθαγόρας ὁ Σάμιος ἑπτάκις ἀλλαγεὶς καὶ ἐν τοσούτοις ζῴοις βιοτεύσας καὶ ἐκτελέσας τῆς ψυχῆς τὰς περιόδους. Ἦν δὲ χρυσοῦς ὅλον τὸ δεξιὸν ἡμίτομον. Καὶ ἐκρίθη μὲν συμπολιτεύσασθαι αὐτοῖς, ἐνεδοιάζετο δὲ ἔτι πότερον Πυθαγόραν ἢ Εὔφορβον χρὴ αὐτὸν ὀνομάζειν. Ὁ μέντοι Ἐμπεδοκλῆς ἦλθε μὲν καὶ οὗτος, περίεφθος καὶ τὸ σῶμα ὅλον ὠπτημένος· οὐ μὴν παρεδέχθη καίτοι πολλὰ ἱκετεύων.

candi sustulerint. Multos vero illorum narrabant impetu capto sequi eos qui veniant in insulam, sed ignavia quadam deficere antequam assequantur, et de media via reverti.

19. Hi quidem igitur eorum qui aderant maxime commemorabiles. Præcipuo autem in honore habent Achillem, et post hunc, Theseum. De coitu et rebus venereis ita sentiunt : miscent corpora publice, et in conspectu omnium, cum mulieribus pariter et cum maribus, et nequaquam turpe hoc illis videtur. Solus Socrates dejerabat se caste accedere ad juvenes : sed omnes pejerare illum judicabant : sæpe enim Hyacinthus quidem aut Narcissus fatebantur, at ipse negabat. Mulieres vero communes omnibus, neque invidet quisquam viro alteri, sed hac in re maxime sunt Platonici. Præbent etiam pueri volentibus, nihil repugnantes.

20. Duo nondum aut tres dies præterierant, et accedens ad Homerum poetam, quum ambobus esset otium, tum reliqua ex eo quæsivi, tum unde esset; dicens illud maxime apud nos in hunc diem disputari. Ille autem scire et ipse se aiebat, hos Chium, Smyrnæum alios, multos Colophonium ipsum putare : se vero, dicebat, Babylonium esse, et apud cives non Homerum vocari, sed Tigranem : postea tamen, quum obses (*Homeros*) apud Græcos esset, nomen mutasse. Ad hæc de versibus illius rejectis interrogabam num scripti ab ipso essent. Atque ille suos esse omnes confirmavit. Damnabam itaque Zenodoti et Aristarchi grammaticorum frigidas disputationes. Ad hæc quum satis respondisset, rursus interrogavi, cur tandem ab ira initium carminis fecisset. Et ille ita sibi temere in mentem venisse ait, sine consilio. Etiam illud scire volebam, prioremne scripsisset Odysseam Iliade, ut multi referunt. Negabat. Cæcum enim non fuisse, quod ipsum quoque de illo narrant, statim sciebam : utebatur enim oculis; quare nec interrogatione opus habebam. Sæpe etiam alias hoc faciebam, si quando otiosum illum viderem, ut accedens ipsum interrogarem aliquid : atque ipse promte ad omnia respondebat, inprimis post judicium, quum superior discessisset. Erat enim dica illi scripta injuriæ a Thersite de iis quæ contumeliose in ipsum lusisset in carmine : vicitque Homerus, causam illius una agente Ulixe.

21. Iisdem temporibus Pythagoras etiam Samius advenit, septies mutatus, vita in totidem acta animalibus, perfectisque tot animæ circuitibus. Erat vero dextro toto latere aureus. Et judicatum quidem est, ut versaretur cum Beatis; hoc vero adhuc dubitabatur, utrum Pythagoram vocare an Euphorbum oporteret. Venit Empedocles quoque circum ustulatus, et toto assatus corpore : neque tamen, quantumvis multis verbis supplicaret, receptus est.

22. Προϊόντος δὲ τοῦ χρόνου ἐνέστη ὁ ἀγὼν τὰ παρ' αὐτοῖς Θανατούσια. Ἠγωνοθέτει δὲ Ἀχιλλεὺς τὸ πέμπτον καὶ Θησεὺς τὸ ἕβδομον. Τὰ μὲν οὖν ἄλλα μακρὸν ἂν εἴη λέγειν· τὰ δὲ κεφάλαια τῶν πραχθέντων διηγήσομαι. Πάλην μὲν ἐνίκησε Κᾶρος ὁ ἀφ' Ἡρακλέους Ὀδυσσέα περὶ τοῦ στεφάνου καταγωνισάμενος· πυγμὴ δὲ ἴση ἐγένετο Ἄρειόν τε τοῦ Αἰγυπτίου, ὃς ἐν Κορίνθῳ τέθαπται, καὶ Ἐπειοῦ ἀλλήλοις συνελθόντων. Παγκρατίου δ' ἆθλα οὐ τίθεται παρ' αὐτοῖς. Τὸν μέντοι δρόμον οὐκέτι μέμνημαι ὅστις ἐνίκησε. Ποιητῶν δὲ τῇ μὲν ἀληθείᾳ παρὰ πολὺ ἐκράτει Ὅμηρος, ἐνίκησε δὲ ὅμως Ἡσίοδος. Τὰ δὲ ἆθλα ἦν ἅπασι στέφανος πλακεὶς ἐκ πτερῶν ταωνείων.

22. Procedente tempore certamen instabat, quæ Thanatusia (*Mortualia*) apud illos vocantur. Præsidebant Achilles quintum, Theseus septimum. Reliqua longum fuerit dicere : summa capita rerum enarrabo. Lucta vicit Carus Heraclides, dejecto in certamine de hac corona Ulysse. Pugilatus æqua laus fuit Arei Ægyptii, qui Corinthi sepultus est, et Epei, inter se congressorum. Pancratii præmia apud illos non proponuntur. Cursu autem quis vicerit, non amplius recordor. Inter poetas re quidem vera multum Homerus præstabat, vincebat tamen Hesiodus. Præmia omnibus plexa e pavoninis pennis corona.

23. Ἄρτι δὲ τοῦ ἀγῶνος συντετελεσμένου ἠγγέλλοντο οἱ ἐν τῷ χώρῳ τῶν ἀσεβῶν κολαζόμενοι ἀπορρήξαντες τὰ δεσμὰ καὶ τῆς φρουρᾶς ἐπικρατήσαντες ἐλαύνειν ἐπὶ τὴν νῆσον· ἡγεῖσθαι δὲ αὐτῶν Φάλαρίν τε τὸν Ἀκραγαντῖνον καὶ Βούσιριν τὸν Αἰγύπτιον καὶ Διομήδην τὸν Θρᾷκα καὶ τοὺς περὶ Σκείρωνα καὶ Πιτυοκάμπτην. Ὡς δὲ ταῦτ' ἤκουσεν ὁ Ῥαδάμανθυς, ἐκτάττει τοὺς ἥρωας ἐπὶ τῆς ἠόνος· ἡγεῖτο δὲ Θησεύς τε καὶ Ἀχιλλεὺς καὶ Αἴας ὁ Τελαμώνιος ἤδη σωφρονῶν· καὶ συμμίξαντες ἐμάχοντο καὶ ἐνίκησαν οἱ ἥρωες Ἀχιλλέως τὰ πλεῖστα κατορθώσαντος. Ἠρίστευσε δὲ καὶ Σωκράτης ἐπὶ τῷ δεξιῷ ταχθεὶς πολὺ μᾶλλον ἢ ὅτε ζῶν ἐπὶ Δηλίῳ ἐμάχετο. Προσιόντων γὰρ τῶν πολεμίων οὐκ ἔφυγε καὶ τὸ πρόσωπον ἄτρεπτος ἦν· ἐφ' οἷς καὶ ὕστερον ἐξηρέθη αὐτῷ ἀριστεῖον, καλός τε καὶ μέγιστος παράδεισος ἐν τῷ προαστείῳ, ἔνθα καὶ συγκαλῶν τοὺς ἑταίρους διελέγετο Νεκρακαδήμειαν τὸν τόπον προσαγορεύσας.

23. Jam consummato autem certamine nunciantur ii, qui in loco impiorum puniuntur, ruptis vinculis superataque custodia, pergere ad insulam, ducibus Phalari Agrigentino, et Ægyptio Busiride, et Diomede Thrace, Scirone item atque Pityocampte. His auditis Rhadamanthus heroas eductos instruit in litore : duces erant Theseus et Achilles, et, qui jam resipuerat, Ajax Telamonius. Ac commisso prælio pugnabant : vicerunt heroes, egregia præsertim Achillis opera. Socrates etiam in dextro cornu collocatus hic fortiter rem gessit, multoque melius quam quum vivus ad Delium pugnaret. Accedentibus enim hostibus non fugit, neque usquam avertit faciem. Eapropter deinde virtutis ipsi præmium eximium decretum est, hortus in suburbio pulcher simul et maximus, ubi postea convocatis sodalibus disputabat, et Mortuorum Academiæ loco nomen dedit.

24. Συλλαβόντες οὖν τοὺς νενικημένους καὶ δήσαντες αὖθις ἀπέπεμψαν ἔτι μᾶλλον κολασθησομένους. Ἔγραψε δὲ καὶ ταύτην τὴν μάχην Ὅμηρος καὶ ἀπιόντι μοι ἔδωκε τὰ βιβλία κομίζειν τοῖς παρ' ἡμῖν ἀνθρώποις· ἀλλ' ὕστερον καὶ ταῦτα μετὰ τῶν ἄλλων ἀπωλέσαμεν. Ἦν δὲ ἡ ἀρχὴ τοῦ ποιήματος αὕτη,

Νῦν δέ μοι ἔννεπε, Μοῦσα, μάχην νεκύων ἡρώων.

Τότε δ' οὖν κυάμους ἐψήσαντες, ὥσπερ παρ' αὐτοῖς νόμος ἐπειδὰν τὸν πόλεμον κατορθώσωσιν, εἱστιῶντο τὰ ἐπινίκια καὶ ἑορτὴν μεγάλην ἦγον· μόνος δὲ ταύτης οὐ μετεῖχε Πυθαγόρας, ἀλλ' ἄσιτος πόρρω ἐκαθέζετο μυσαττόμενος τὴν κυαμοφαγίαν.

24. Victos itaque comprehensos vinctosque iterum remiserunt, magis jam puniendos. Scripsit hanc quoque pugnam Homerus, ac discedenti mihi dedit libros nostratibus hominibus afferendos : verum postea hos non minus quam alia perdidimus. Initium poematis hoc fuerat :

Nunc refer heroum pugnas, dea, defunctorum.

Tum fabis coctis, qui apud illos mos est, quando bellum feliciter administrarunt, epulas victoriæ causa instituebant, celebritatemque agebant maximam. Solus in partem illius non venit Pythagoras, sed cibo abstinens procul sedit, abominatus istum fabarum esum.

25. Ἤδη δὲ μηνῶν ἓξ διεληλυθότων περὶ μεσοῦντα τὸν ἕβδομον νεώτερα συνίστατο πράγματα· ὁ Κινύρας ὁ τοῦ Σκινθάρου παῖς μέγας τε ὢν καὶ καλὸς ἦρα ἐπὶ πολὺν χρόνον ἤδη τῆς Ἑλένης, καὶ αὕτη δὲ οὐκ ἀφανὴς ἦν ἐπιμανῶς ἀγαπῶσα τὸν νεανίσκον· πολλάκις γοῦν καὶ διένευον ἀλλήλοις ἐν τῷ συμποσίῳ καὶ προὔπινον καὶ μόνοι ἐξανιστάμενοι ἐπλανῶντο περὶ τὴν ὕλην. Καὶ δή ποτε ὑπὸ τοῦ ἔρωτος καὶ τῆς ἀμηχανίας ἐβουλεύσατο ὁ Κινύρας ἁρπάσας τὴν Ἑλένην φυγεῖν. Ἐδόκει δὲ κἀκείνῃ ταῦτα, οἴχεσθαι ἀπιόντας ἔς τινα τῶν ἐπικειμένων νήσων, ἤτοι ἐς τὴν Φελλὼ ἢ ἐς τὴν Τυρόεσσαν. Συνωμότας δὲ

25. Jam sex menses peracti fuerant, quum circa medium septimum novæ res conflarentur. Cinyras Scinthari filius, magnus et pulcher qui esset, diu jam amabat Helenam, et ab ipsa juvenem apparebat vehementer amari : sæpe enim et innuebant sibi invicem in convivio, et propinabant, et soli surgentes oberrabant per silvam. Atque adeo præ amore et consilii alius inopia Cinyras fugere decreverat rapta Helena. Placebat autem mulieri quoque hoc consilium, ut quidem aufugerent in quandam adjacentium insularum, sive in Phello, sive in Tyroessam. Conjuratos autem dudum

πάλαι προσειλήφεσαν τρεῖς τῶν ἑταίρων τῶν ἐμῶν τοὺς θρασυτάτους. Τῷ μέντοι πατρὶ ταῦτα οὐκ ἐμήνυσεν· ἠπίστατο γὰρ ὑπ' αὐτοῦ κωλυθησόμενος. Ὡς δ' ἐδόκει αὐτοῖς, ἐτέλουν τὴν ἐπιβουλήν. Καὶ ἐπειδὴ νὺξ ἐγένετο — ἐγὼ μὲν οὐ παρήμην· ἐτύγχανον γὰρ ἐν τῷ συμποσίῳ κοιμώμενος — οἱ δὲ λαθόντες τοὺς ἄλλους ἀναλαβόντες τὴν Ἑλένην ὑπὸ σπουδῆς ἀνήχθησαν.

26. Περὶ δὲ τὸ μεσονύκτιον ἀνεγρόμενος ὁ Μενέλεως ἐπεὶ ἔμαθε τὴν εὐνὴν κενὴν τῆς γυναικὸς, βοήν τε ἵστη καὶ τὸν ἀδελφὸν παραλαβὼν ἦει πρὸς τὸν βασιλέα τὸν Ῥαδάμανθυν. Ἡμέρας δ' ὑποφαινούσης ἔλεγον οἱ σκοποὶ καθορᾶν τὴν ναῦν πολὺ ἀπέχουσαν· οὕτω δὴ ἐμβιβάσας ὁ Ῥαδάμανθυς πεντήκοντα τῶν ἡρώων εἰς ναῦν μονόξυλον ἀσφοδελίνην παρήγγειλε διώκειν· οἱ δὲ ὑπὸ προθυμίας ἐλαύνοντες περὶ μεσημβρίαν καταλαμβάνουσιν αὐτοὺς ἄρτι ἐς τὸν γαλακτώδη ὠκεανὸν ἐμβαίνοντας πλησίον τῆς Τυροέσσης· παρὰ τοσοῦτον ἦλθον διαδρᾶναι· καὶ ἀναδησάμενοι τὴν ναῦν ἅλυσει ῥοδίνῃ κατέπλεον. Ἡ μὲν οὖν Ἑλένη ἐδάκρυέ τε καὶ ἠσχύνετο καὶ ἐνεκαλύπτετο, τοὺς δ' ἀμφὶ τὸν Κινύραν ἀναχρίνας πρότερον ὁ Ῥαδάμανθυς, εἴ τινες καὶ ἄλλοι αὐτοῖς συνίσασιν, ὡς οὐδένα εἶπον, ἐκ τῶν αἰδοίων δήσας ἀπέπεμψεν ἐς τὸν τῶν ἀσεβῶν χῶρον μαλάχῃ πρότερον μαστιγωθέντας.

27. Ἐψηφίσαντο δὲ καὶ ἡμᾶς ἐμπροθέσμους ἐκπέμπειν ἐκ τῆς νήσου τὴν ἐπιοῦσαν ἡμέραν μόνην ἐπιμείναντας. Ἐνταῦθα δὴ ἐγὼ ἐποτνιώμην τε καὶ ἐδάκρυον οἷα ἐμελλον ἀγαθὰ καταλιπὼν αὖθις πλανηθήσεσθαι. Αὐτοὶ μέντοι παρεμυθοῦντο λέγοντες οὐ πολλῶν ἐτῶν ἀφίξεσθαι πάλιν ὡς αὐτοὺς, καί μοι ἤδη θρόνον τε καὶ κλισίαν ἐς τοὐπιὸν ἐπεδείκνυσαν πλησίον τῶν ἀρίστων. Ἐγὼ δὲ προσελθὼν τῷ Ῥαδαμάνθυι πολλὰ ἱκέτευον εἰπεῖν τὰ μέλλοντα καὶ ὑποδεῖξαί μοι τὸν πλοῦν. Ὁ δὲ ἔφασκεν ἀφίξεσθαι μέν με ἐς τὴν πατρίδα πολλὰ πρότερον πλανηθέντα καὶ κινδυνεύσαντα, τὸν δὲ χρόνον οὐκέτι τῆς ἐπανόδου προσθεῖναι ἠθέλησεν, ἀλλὰ δὴ καὶ δεικνὺς τὰς πλησίον νήσους — ἐφαίνοντο δὲ πέντε τὸν ἀριθμὸν, ἄλλη δὲ ἕκτη πόρρωθεν — ταύτας μὲν εἶναι ἔφασκε τὰς τῶν ἀσεβῶν, τὰς πλησίον, Ἀφ' ὧν, ἔφη, ἤδη τὸ πολὺ πῦρ ὁρᾷς καόμενον, ἕκτη δὲ ἐκείνη τῶν ὀνείρων ἡ πόλις· μετὰ ταύτην δὲ ἡ τῆς Καλυψοῦς νῆσος, ἀλλ' οὐδέπω σοι φαίνεται. Ἐπειδὰν δὲ ταύτας παραπλεύσῃς, τότε δὴ ἀφίξῃ ἐς τὴν μεγάλην ἤπειρον τὴν ἐναντίαν τῇ ὑφ' ὑμῶν κατοικουμένῃ· ἐνταῦθα δὴ πολλὰ παθὼν καὶ ποικίλα ἔθνη διελθὼν καὶ ἀνθρώποις ἀμίκτοις ἐπιδημήσας χρόνῳ ποτὲ ἥξεις εἰς τὴν ἑτέραν ἤπειρον. Τοσαῦτα εἶπε.

28. Καὶ ἀνασπάσας ἀπὸ τῆς γῆς μαλάχης ῥίζαν ὥρεξέ μοι, ταύτῃ κελεύσας ἐν τοῖς μεγίστοις κινδύνοις προσεύχεσθαι· παρήνεσε δὲ καὶ εἴ ποτε ἀφικοίμην ἐς τήνδε τὴν γῆν, μήτε πῦρ μαχαίρᾳ σκαλεύειν μήτε θέρμους ἐσθίειν μήτε παιδὶ ὑπὲρ τὰ ὀκτωκαίδεκα ἔτη πλησιάζειν· τούτων γὰρ ἂν μεμνημένον ἐλπίδας ἔχειν τῆς εἰς τὴν νῆσον ἀφίξεως. Τότε μὲν οὖν τὰ περὶ τὸν

assumserant tres sociorum meorum audacissimos. Patri tamen hæc non indicaverat, qui nosset ab ipso prohibitum iri. Quum vero visum esset, cogitata perfecerunt. Itaque oborta nocte, me non præsente (forte enim in cœnatione obdormiveram), illi clam reliquos, assumta Helena, festinanter avecti sunt.

26. Circa mediam vero noctem evigilans Menelaus, quum vacuum uxore torum sensisset, clamorem sustulit, assumtoque fratre ad regiam Rhadamanthi perrexit. Die exorto, videre se navim dicebant speculatores, quæ multum jam abesset. Itaque impositos heroum quinquaginta in navim uno ex ligno cavatam, asphodelinam, jussit fugitivos persequi. Hi studiose navigantes circa medium illos diem assequuntur, jam intrantes in lacteum oceanum prope Tyroessam; tantillum aberat quin aufugissent! revinctaque navi catena rosacea, in portum redeunt. Helena igitur lacrimari, pudorem præ se ferre, caput obvolvere. Cinyram vero cum sociis quum interrogasset ante Rhadamanthus, si qui alii quoque illorum essent conscii, negantes, in impiorum locum relegavit, pudendis revinctos, et malva verberatos antea.

27. Decreverunt autem etiam nos intra diem statutum insula emittere, solo die proximo manendi facultate concessa. Ibi ego quidem valde queri et lacrimari, quibus relictis bonis iterum oberraturus essem. Ipsi tamen consolari me ac dicere, post annos non ita multos fore ut ad se redeam, jamque mihi sellam et accubitum in posterum assignandum ostendebant, propter optimos. Ego vero ad Rhadamanthum adiens suppliciter petii, ut futura mihi diceret, et navigationem præmonstraret. Respondit venturum quidem me post errores multos atque pericula in patriam: tempus autem reditus non jam volebat adjicere; sed ostensis insulis propinquis (apparebant autem numero quinque, et sexta alia e longinquo), has quidem proximas dicebat esse impiorum, E quibus, inquit, ignem multum vides ardentem: sexta vero illa somniorum civitas; post illam Calypsus insula, sed nondum eam vides. Has vero quum præternavigaveris, tum pervenies in magnam continentem, habitatæ a vobis oppositam. Ibi vero multa passus, gentibus peragratis variis, inter homines versatus insociabiles, tandem aliquando in continentem alteram pervenies. Hæc dixit.

28. Inde extractam e terra malvæ radicem mihi porrexit, jubens me in maximis periculis hanc invocare; præcepitque, si quando in hanc terram venissem, ut neque gladio ignem foderem, neque lupinos ederem, neque puero duodeviginti annis majore fruerer: horum enim si essem memor, spem me habere reditus in hanc insulam. Tum igitur ad navi-

πλοῦν παρεσκευαζόμην, καὶ ἐπεὶ καιρὸς ἦν, συνειστιώμην αὐτοῖς. Τῇ δ' ἐπιούσῃ προσελθὼν πρὸς Ὅμηρον τὸν ποιητὴν ἐδεήθην αὐτοῦ ποιῆσαί μοι δίστιχον ἐπίγραμμα· καὶ ἐπειδὴ ἐποίησε, στήλην βηρύλλου λίθου ἀναστήσας ἐπέγραψα πρὸς τῷ λιμένι. Τὸ δὲ ἐπίγραμμα ἦν τοιόνδε·

Λουκιανὸς τάδε πάντα φίλος μακάρεσσι θεοῖσιν
εἰδέ τε καὶ πάλιν ἦλθεν ἐὴν ἐς πατρίδα γαῖαν.

29. Μείνας δὲ κἀκείνην τὴν ἡμέραν τῆς ἐπιούσης ἀνηγόμην τῶν ἡρώων παραπεμπόντων. Ἔνθα μοι καὶ Ὀδυσσεὺς προσελθὼν λάθρᾳ τῆς Πηνελόπης δίδωσιν ἐπιστολὴν εἰς Ὠγυγίαν τὴν νῆσον Καλυψοῖ κομίζειν. Συνέπεμψε δέ μοι ὁ Ῥαδάμανθυς τὸν πορθμέα Ναύπλιον, ἵν' εἰ καταχθείημεν ἐς τὰς νήσους, μηδεὶς ἡμᾶς συλλάβῃ ἅτε κατ' ἄλλην ἐμποριαν καταπλέοντας. Ἐπεὶ δὲ τὸν εὐώδη ἀέρα προϊόντες παρεληλύθειμεν, αὐτίκα ἡμᾶς ὀσμή τε δεινὴ διεδέχετο οἷον ἀσφάλτου καὶ θείου καὶ πίττης ἅμα καομένων, καὶ κνῖσα δὲ πονηρὰ καὶ ἀφόρητος ὥσπερ ἀπ' ἀνθρώπων ὀπτωμένων, καὶ ὁ ἀὴρ ζοφερὸς καὶ ὁμιχλώδης, καὶ κατέσταζεν ἐξ αὐτοῦ δρόσος πιττίνη· ἠκούομεν δὲ καὶ μαστίγων ψόφον καὶ οἰμωγὴν ἀνθρώπων πολλῶν.

30. Ταῖς μὲν οὖν ἄλλαις οὐ προσέσχομεν, ᾗ δὲ ἐπέβημεν, τοιάδε ἦν· κύκλῳ μὲν πᾶσα κρημνώδης καὶ ἀποξυρος, πέτραις καὶ τραχῶσι κατεσκληκυῖα, δένδρον δ' οὐδὲν οὐδὲ ὕδωρ ἐνῆν· ἀνερπύσαντες δὲ ὅμως κατὰ τοὺς κρημνοὺς προῄειμεν διά τινος ἀκανθώδους καὶ σκολόπων μεστῆς ἀτραποῦ, πολλὴν ἀμορφίαν τῆς χώρας ἐχούσης. Ἐλθόντες δὲ ἐπὶ τὴν εἱρκτὴν καὶ τὸ κολαστήριον πρῶτα μὲν τὴν φύσιν τοῦ τόπου ἐθαυμάζομεν· τὸ μὲν γὰρ ἔδαφος αὐτὸ μαχαίραις καὶ σκόλοψι πάντῃ ἐξηνθήκει, κύκλῳ δὲ ποταμοὶ περιέρρεον, ὁ μὲν βορβόρου, ὁ δὲ δεύτερος αἵματος, ὁ δὲ ἔνδον πυρὸς, πάνυ μέγας οὗτος καὶ ἀπέρατος, καὶ ἔρρει ὥσπερ ὕδωρ καὶ ἐκυματοῦτο ὥσπερ θάλαττα, καὶ ἰχθῦς δὲ εἶχε πολλοὺς, τοὺς μὲν δαλοῖς προσεοικότας, τοὺς δὲ μικροὺς ἄνθραξι πεπυρωμένοις, ἐκάλουν δὲ αὐτοὺς λυχνίσκους.

31. Εἴσοδος δὲ μία στενὴ διὰ πάντων ἦν, καὶ πυλωρὸς ἐφειστήκει Τίμων ὁ Ἀθηναῖος. Παρελθόντες δὲ ὅμως τοῦ Ναυπλίου καθηγουμένου ἐωρῶμεν κολαζομένους πολλοὺς μὲν βασιλέας, πολλοὺς δὲ καὶ ἰδιώτας, ὧν ἐνίους καὶ ἐγνωρίζομεν· εἴδομεν δὲ καὶ τὸν Κινύραν καπνῷ ὑποτυφόμενον ἐκ τῶν αἰδοίων ἀπηρτημένον. Προσετίθεσαν δὲ οἱ περιηγηταὶ καὶ τοὺς ἑκάστων βίους καὶ τὰς αἰτίας ἐφ' αἷς κολάζονται· καὶ μεγίστας ἁπασῶν τιμωρίας ὑπέμενον οἱ ψευσάμενοί τι παρὰ τὸν βίον καὶ οἱ μὴ τἀληθῆ συγγεγραφότες, ἐν οἷς καὶ Κτησίας ὁ Κνίδιος ἦν καὶ Ἡρόδοτος καὶ ἄλλοι πολλοί. Τούτους οὖν ὁρῶν ἐγὼ χρηστὰς εἶχον εἰς τοὐπιὸν ἐλπίδας· οὐδὲν γὰρ ἐμαυτῷ ψεῦδος εἰπόντι συνηπιστάμην.

32. Ταχέως δ' οὖν ἀναστρέψας ἐπὶ τὴν ναῦν — οὐδὲ γὰρ ἠδυνάμην φέρειν τὴν ὄψιν — ἀσπασάμενος τὸν Ναύπλιον ἀπέπλευσα· καὶ μετ' ὀλίγον ἐφαίνετο

gationem necessaria parabam, et quum tempus erat, cum illis epulabar. Postridie ejus diei accedens ad Homerum poetam rogavi, ut duorum mihi versiculorum inscriptionem faceret; et quum fecisset, columellæ de beryllo gemma erectæ ad ipsum portum, inscripsi. Erat autem epigramma ejusmodi:

Lucianus divis carus felicibus istæc
omnia contultus, patriam in terram remeavit.

29. Moratus hunc quoque diem, proximo solvi, deducentibus heroibus. Hic accedens etiam Ulixes clam Penelopen dat mihi epistolam in Ogygiam insulam ferendam Calypsoni. Miserat mihi comitem Rhadamanthus portitorem Nauplium, ut, si deferremur in insulas istas, nemo nos comprehenderet, qui alius negotii causa navigaremus. Quum vero bene olentem illum aerem profecti exissemus, statim cum teter odor nos excepit, tanquam asphalti et sulfuris picisque una ardentium, tum nidor malus atque intolerabilis, velut ab ustulatis hominibus: aerque obscurus erat et caliginosus, et a quo stillaret ros quidam piceus: audiebamusque et flagellorum sonitum et ploratus hominum multorum.

30. Ad reliquas non accessimus: in quam vero escendimus, ea erat ejusmodi. Tota in circuitu præceps et abrupta, saxis et asperis locis rigida: neque arbor ulla, neque aqua inest. Enixi tamen rependo per præcipitia, progredimur per tramitem quendam spinis et aculeis obsitum, regione teterrimum aspectum præbente. Ad carcerem delati ac suppliciorum locum, primo admirabamur regionis ingenium. Solum enim ipsum gladiis et aculeis undique efflorueerat, in circuitu amnes tres fluebant; cœni unus, alter sanguinis, intimus autem ignis, ingens hic et insuperabilis: fluebat is instar aquæ, fluctus ut mare agebat, piscesque habebat multos, torribus quosdam similes, minores vero prunis: lychniscos eos appellabant.

31. Ingressus unus erat per omnia, isque angustus, cui janitor astitit Timon Atheniensis. Ingressi tamen duce Nauplio, videbamus puniri reges quidem multos, multos vero etiam privatos; quorum quosdam etiam agnovimus. Videbamus etiam Cinyram pudendis suspensum fumigari. Adjiciebant monstratores nostri vitas singulorum, et causas propter quas punirentur: maximas omnium pœnas sustinebant qui in vita mentiti essent aliquid, et qui vera non scripsissent, in quibus Ctesias etiam Cnidius erat, et Herodotus, et multi alii. Hos quum viderem, optimam de futuro spem concepi, qui nullius mihi mendacii essem conscius.

32. Celeriter igitur ad navim reversus (neque enim ferre spectaculum poteram), salutato Nauplio solvi. Neque

πλησίον ἡ τῶν ὀνείρων νῆσος, ἀμυδρὰ καὶ ἀσαφὴς ἰδεῖν· εἶχε δὲ καὶ αὐτή τι τοῖς ὀνείροις παραπλήσιον· ὑπεχώρει γὰρ προσιόντων ἡμῶν καὶ ὑπέφευγε καὶ πορρωτέρω ὑπέβαινε. Καταλαβόντες δέ ποτε αὐτὴν καὶ ἐσπλεύσαντες ἐς τὸν Ὕπνον λιμένα προσαγορευόμενον πλησίον τῶν πυλῶν τῶν ἐλεφαντίνων, ᾗ τὸ τοῦ Ἀλεκτρυόνος ἱερόν ἐστι, περὶ δείλην ὀψίαν ἀπεβαίνομεν, παρελθόντες δ' ἐς τὴν πόλιν πολλοὺς ὀνείρους καὶ ποικίλους ἑωρῶμεν. Πρῶτον δὲ βούλομαι περὶ τῆς πόλεως εἰπεῖν, ἐπεὶ μηδὲ ἄλλῳ τινὶ γέγραπται περὶ αὐτῆς, ὃς δὲ καὶ μόνος ἐπεμνήσθη Ὁμηρος, οὐ πάνυ ἀκριβῶς συνέγραψε.

33. Κύκλῳ μὲν περὶ πᾶσαν αὐτὴν ὕλη ἀνέστηκε, τὰ δένδρα δ' ἐστὶ μήκωνες ὑψηλαὶ καὶ μανδραγόραι καὶ ἐπ' αὐτῶν πολύ τι πλῆθος νυκτερίδων· τοῦτο γὰρ μόνον ἐν τῇ νήσῳ γίγνεται ὄρνεον. Ποταμὸς δὲ παρρεῖ πλησίον ὁ ὑπ' αὐτῶν καλούμενος Νυκτιπόρος, καὶ πηγαὶ δύο παρὰ τὰς πύλας· ὀνόματα καὶ ταύταις, τῇ μὲν Νήγρετος, τῇ δὲ Πανν υχία. Ὁ περίβολος δὲ τῆς πόλεως ὑψηλός τε καὶ ποικίλος, Ἰριδι τὴν χρόαν ὁμοιότατος. Πύλαι μέντοι ἔπεισιν οὐ δύο, καθάπερ Ὁμηρος εἴρηκεν, ἀλλὰ τέτταρες, δύο μὲν πρὸς τὸ τῆς Βλακείας πεδίον ἀποβλέπουσαι, ἡ μὲν σιδηρᾶ, ἡ δὲ ἐκ κεράμου πεποιημένη, καθ' ἃς ἐλέγοντο ἀποδημεῖν αὐτῶν οἵ τε φοβεροὶ καὶ φονικοὶ καὶ ἀπηνεῖς, δύο δὲ πρὸς τὸν λιμένα καὶ τὴν θάλατταν, ἡ μὲν κερατίνη, καθ' ἣν ἡμεῖς παρήλθομεν, ἡ δὲ ἐλεφαντίνη. Εἰσιόντι δὲ ἐς τὴν πόλιν ἐν δεξιᾷ μέν ἐστι τὸ Νυκτῷον· σέβουσι γὰρ θεῶν ταύτην μάλιστα καὶ τὸν Ἀλεκτρυόνα· ἐκείνῳ δὲ πλησίον τοῦ λιμένος τὸ ἱερὸν πεποίηται. Ἐν ἀριστερᾷ δὲ τὰ τοῦ Ὕπνου βασίλεια. Οὗτος γὰρ δὴ ἄρχει παρ' αὐτοῖς σατράπας δύο καὶ ὑπάρχους πεποιημένος, Ταραξίωνά τε τὸν Ματαιογένους καὶ Πλουτοκλέα τὸν Φαντασίωνος. Ἐν μέσῃ δὲ τῇ ἀγορᾷ πηγή τίς ἐστιν, ἣν καλοῦσι Καρεῶτιν· καὶ πλησίον ναοὶ δύο, Ἀπάτης καὶ Ἀληθείας· ἔνθα καὶ τὸ ἄδυτόν ἐστιν αὐτοῖς καὶ τὸ μαντεῖον, οὗ προειστήκει προφητεύων Ἀντιφῶν ὁ τῶν ὀνείρων ὑποκριτής, ταύτης παρὰ τοῦ Ὕπνου λαχὼν τῆς τιμῆς.

34. Αὐτῶν μέντοι τῶν ὀνείρων οὔτε φύσις οὔτε ἰδέα ἡ αὐτή. Ἀλλ' οἱ μὲν μακροί τε ἦσαν καὶ μαλακοὶ καὶ καλοὶ καὶ εὐειδεῖς, οἱ δὲ σκληροὶ καὶ μικροὶ καὶ ἄμορφοι, καὶ οἱ μὲν χρύσεοι, ὡς ἐδόκουν, οἱ δὲ ταπεινοί τε καὶ εὐτελεῖς. Ἦσαν δ' ἐν αὐτοῖς καὶ πτερωτοί τινες καὶ τερατώδεις, καὶ ἄλλοι καθάπερ ἐς πομπὴν διεσκευασμένοι, οἱ μὲν ἐς βασιλέας, οἱ δ' ἐς θεούς, οἱ δ' εἰς ἄλλα τοιαῦτα κεκοσμημένοι. Πολλοὺς δὲ αὐτῶν καὶ ἐγνωρίσαμεν πάλαι παρ' ἡμῖν ἐπρακότες, οἳ δὴ καὶ προσῄεσαν καὶ ἠσπάζοντο ὡς ἂν καὶ συνήθεις ὑπάρχοντες, καὶ παραλαβόντες ἡμᾶς καὶ κατακοιμίσαντες πάνυ λαμπρῶς καὶ δεξιῶς ἐξένιζον, τήν τε ἄλλην ὑποδοχὴν μεγαλοπρεπῆ κατασκευάσαντες καὶ ὑπισχνούμενοι βασιλέας τε ποιήσειν καὶ σατράπας. Ἔνιοι δὲ καὶ ἀπῆγον ἡμᾶς ἐς τὰς πατρίδας καὶ τοὺς οἰκείους ἐπεδείκνυον καὶ αὐθημερὸν ἐπανῆγον.

ita multo post Somniorum ex propinquo insula apparebat, obscura, et vix distinguenda visu. Accidebat quiddam et ipsi insulæ, somniis simile : recedebat enim accedentibus nobis, et subterfugiebat, subducebatque se longius. Tandem vero quum illam teneremus, invecti in portum qui Hypnus (*Somnus*) dicitur, prope portas eburneas, ubi Alectryonis (*Galli gallinacei*) sacrum est, sero crepusculo escendimus, progressique in urbem somnia multa variaque vidimus. Primo autem de urbe dicam, quum nemo quicquam de ea scripserit; qui autem solus mentionem illius fecit, Homerus, non satis scripserit accurate.

33. In ambitu totius insulæ stat silva : arbores in ea sunt procera papavera, et mandragoræ, atque in illis magna vis vespertilionum : nam sola hæc in insula avis nascitur. Fluvius ex propinquo alluit, Nyctiporus (*Noctivagus*) ab illis dictus : et fontes duo circa portas : nomina his quoque, Negretos (*Inexperrectus*) et Pannychia (*Pernox*). Vallum urbis altum atque diversi coloris, Iridi simillimum. Portæ ejus sunt non duæ, ut Homerus dixit, sed quattuor : quorum duæ Stuporis campum respiciunt, ferrea altera, altera figlina, per quas abire dicebantur somnia terribilia, cruenta, crudelia : duæ versus portum et mare, cornea altera, qua nos transivimus, altera autem eburnea. Ingredientibus in urbem ad dextram est Noctis templum; hanc enim deorum maxime colunt, et Alectryonem : illi vero prope portum ædes collocata est. Ad sinistram est Somni regia. Hic scilicet apud illos imperat, fecitque sibi satrapas et imperii sui vicarios duo, Taraxionem Mataeogenis (*Terriculum Vanipari*) et Phantasionis Plutoclem (*Divitiglorium Imaginarii*) filios. In medio fons est, quem Careotin (*Gravisomnem*) appellant, et templa prope duo, Deceptionis ac Veritatis. Ibi adytum quoque illis est et oraculum, cujus antistes erat propheta Antiphon, ille somniorum conjector, hunc a Somno honorem nactus.

34. Ipsorum autem somniorum neque natura eadem, neque species : sed alia procera erant, et mollia, et formosa, et bona specie; alia vero dura, et parva, et informia; et alia quidem aurea, ut videbantur, humilia alia viliaque. Erant in illis et alata quædam et prodigiosæ figuræ, alia tanquam ad pompam exornata, in reges inquam, in deos, in alia ejusmodi ornata. Quædam agnoscebamus olim domi nostræ visa : quæ quidem et adibant nos, et salutabant, tanquam familiaria; prehensosque nos et sopitos, splendide admodum et dextre accipiebant, tum reliquo paratu magnifico, tum quod reges nos satrapasque se factura pollicebantur. Quædam nos etiam in patriam quemque suam abducebant, et familiares nobis nostros ostendebant, eodemque die reducebant.

35. Ἡμέρας μὲν οὖν τριάκοντα καὶ ἴσας νύκτας παρ' αὐτοῖς ἐμείναμεν καθεύδοντες καὶ εὐωχούμενοι. Ἔπειτα ἄφνω βροντῆς μεγάλης καταρραγείσης ἀνεγρόμενοι καὶ ἀναθορόντες ἀνήχθημεν ἐπισιτισάμενοι. Τριταῖοι δ' ἐκεῖθεν τῇ Ὠγυγίᾳ νήσῳ προσσχόντες ἐπιβαίνομεν. Πρότερον δ' ἐγὼ λύσας τὴν ἐπιστολὴν ἀνεγίγνωσκον τὰ γεγραμμένα. Ἦν δὲ τοιάδε· « Ὀδυσσεὺς Καλυψοῖ χαίρειν. Ἴσθι με, ὡς τὰ πρῶτα ἐξέπλευσα παρὰ σοῦ τὴν σχεδίαν κατασκευασάμενος, ναυαγίᾳ χρησάμενον μόλις ὑπὸ Λευκοθέας διασωθῆναι εἰς τὴν τῶν Φαιάκων χώραν, ὑφ' ὧν ἐς τὴν οἰκείαν ἀποπεμφθεὶς κατέλαβον πολλοὺς τῆς γυναικὸς μνηστῆρας ἐν τοῖς ἡμετέροις τρυφῶντας· ἀποκτείνας δ' ἅπαντας ὑπὸ Τηλεγόνου ὕστερον τοῦ ἐκ Κίρκης μοι γενομένου ἀνῃρέθην, καὶ νῦν εἰμι ἐν τῇ Μακάρων νήσῳ πάνυ μετανοῶν ἐπὶ τῷ καταλιπεῖν τὴν παρὰ σοὶ δίαιταν καὶ τὴν ὑπὸ σοῦ προτεινομένην ἀθανασίαν. Ἦν οὖν καιροῦ λάβωμαι, ἀποδρὰς ἀφίξομαι πρὸς σέ. » Ταῦτα μὲν ἐδήλου ἡ ἐπιστολή, καὶ περὶ ἡμῶν, ὅπως ξενισθῶμεν.

36. Ἐγὼ δὲ προελθὼν ὀλίγον ἀπὸ τῆς θαλάττης εὗρον τὸ σπήλαιον τοιοῦτον οἷον Ὅμηρος εἶπε, καὶ αὐτὴν ταλασιουργοῦσαν. Ὡς δὲ τὴν ἐπιστολὴν ἔλαβε καὶ ἐπελέξατο, πρῶτα μὲν ἐπὶ πολὺ ἐδάκρυεν, ἔπειτα δὲ παρεκάλει ἡμᾶς ἐπὶ ξενίᾳ καὶ εἱστίᾳ λαμπρῶς καὶ περὶ τοῦ Ὀδυσσέως ἐπυνθάνετο καὶ περὶ τῆς Πηνελόπης, ὁποία τε εἴη τὴν ὄψιν καὶ εἰ σωφρονοίη, καθάπερ Ὀδυσσεὺς πάλαι περὶ αὐτῆς ἐκόμπαζε· καὶ ἡμεῖς τοιαῦτα ἀπεχρινάμεθα, ἐξ ὧν εἰκάζομεν εὐφρανεῖσθαι αὐτήν.

37. Τότε μὲν οὖν ἀπελθόντες ἐπὶ τὴν ναῦν πλησίον ἐπὶ τῆς ἠόνος ἐκοιμήθημεν, ἕωθεν δὲ ἀνηγόμεθα σφοδρότερον κατιόντος τοῦ πνεύματος· καὶ δὴ χειμασθέντες ἡμέρας δύο τῇ τρίτῃ περιπίπτομεν τοῖς Κολοκυνθοπειραταῖς. Ἄνθρωποι δέ εἰσιν οὗτοι ἄγριοι ἐκ τῶν πλησίον νήσων λῃστεύοντες τοὺς παραπλέοντας. Τὰ πλοῖα δ' ἔχουσι μεγάλα κολοκύνθινα τὸ μῆκος πήχεων ἑξήκοντα· ἐπειδὰν γὰρ ξηράνωσι τὴν κολόκυνθαν, κοιλάναντες αὐτὴν καὶ ἐξελόντες τὴν ἐντεριώνην ἐμπλέουσιν, ἱστοῖς μὲν χρώμενοι καλαμίνοις, ἀντὶ δὲ τῆς ὀθόνης τῷ φύλλῳ τῆς κολοκύνθης. Προσβαλόντες οὖν ἡμῖν ἀπὸ δύο πληρωμάτων ἐμάχοντο καὶ πολλοὺς κατετραυμάτιζον βάλλοντες τῷ σπέρματι τῶν κολοκυνθῶν. Ἀγχωμάλως δ' ἐπὶ πολὺ ναυμαχοῦντες περὶ μεσημβρίαν εἴδομεν κατόπιν τῶν Κολοκυνθοπειρατῶν προσπλέοντας τοὺς Καρυοναύτας. Πολέμιοι δ' ἦσαν ἀλλήλοις, ὡς ἔδειξαν· ἐπεὶ γὰρ ἐκεῖνοι ᾔσθοντο αὐτοὺς ἐπιόντας, ἡμῶν μὲν ὠλιγώρησαν, τραπόμενοι δ' ἐπ' ἐκείνους ἐναυμάχουν.

38. Ἡμεῖς δ' ἐν τοσούτῳ ἐπάραντες τὴν ὀθόνην ἐφεύγομεν ἀπολιπόντες αὐτοὺς μαχομένους. Καὶ δῆλοι ἦσαν κρατήσοντες οἱ Καρυοναῦται ἅτε καὶ πλείους — πέντε γὰρ εἶχον πληρώματα — καὶ ἀπὸ ἰσχυροτέρων νεῶν μαχόμενοι· τὰ γὰρ πλοῖα ἦν αὐτοῖς κελύφη, καρύων ἡμίτομα, κεκενωμένα, μέγεθος δ' ἑκάστου

35. Dies igitur triginta noctesque totidem apud illa mansimus, dormientes et cœnantes. Deinde vero, tonitru subito erumpente maximo excitati et exsilientes, cibariis navi impositis, solvimus. Tertio inde die ad Ogygiam insulam appulsi escendimus. Prius autem ego soluta epistola, quæ scripta in ea fuerant, legi. Erant ejusmodi : ULIXES CALYPSONI s. Noveris me, quum primum abs te navicula constructa avectus essem, facto naufragio, vix servatum a Leucothea in Phæacum regionem; a quibus domum dimissus, procos uxoris multos deprehendi, luxuriose nostris rebus fruentes : interfectis vero omnibus, deinde a Telegono, qui ex Circe mihi natus fuerat, interemtus sum, et nunc in Beatorum versor insula. Valde autem me pœnitet reliquisse illam apud te commorationem, promissamque a te immortalitatem. Si igitur opportunitatem nactus fuero, fugam capessam, atque ad te veniam. » Hæc significabat epistola, prætereaque de nobis aliquid, ut hospitaliter tractaremur.

36. Ego vero aliquantum progressus a mari, speluncam inveni talem, qualem Homerus dixerat, ipsamque intentam lanificio. Quum vero sumtam epistolam perlegisset, primo quidem multum lacrimarum fudit; deinde in hospitium nos invitavit, accepitque splendide, ac de Ulysse interrogavit, et de Penelope, qualis esset facie, et adeone casta esset, prout Ulixes olim de illa sit gloriatus. Nos respondimus ea, quibus delectari illam conjiceremus.

37. Tum reversi in navim prope litus dormivimus : mane vero, vehementiori ingruente vento, solvimus. Biduo inde tempestatibus jactati, die tertio in Colocynthopiratas incidimus. Hi sunt homines feri, de propinquis insulis latrocinia exercentes contra hos qui prætervavigant. Naves habent magnas de colocynthide, longitudine cubitorum sexaginta. Quum enim siccatæ sunt cucurbitæ et excavatæ, demtis medullis, in iis navigant, malis utentes arundineis, pro velo autem foliis colocynthidis. Hi igitur impetu in nos facto, duarum navium sociis pugnant, multosque vulnerant, jaculantes cucurbitarum seminibus. Quum diu æquo Marte pugnassemus, circa meridiem videmus a tergo Colocynthopiratarum adnavigantes Caryonautas (*Nucinautas*). Erant autem, ut demonstrarunt, inimici invicem : nam illi quum adventare hos sentirent, omissis nobis, conversi ad ipsos pugnarunt de navibus.

38. Nos interim velo sublato fugimus, pugnantesque eos reliquimus. Et apparebat victores futuros Caryonautas, ut plures (plenas enim sociis quinque naves habebant), pugnabantque de robustioribus navigiis. Nempe naves ipsis erant de putaminibus, dimidiatæ nuces et excavatæ : magnitudo uniuscujusque nucis dimidiæ in longum passus

ἡμιτόμου ἐς μῆκος ὀργυιαὶ πεντεκαίδεκα. Ἐπεὶ δ' ἀπεκρύψαμεν αὐτοὺς, ἰώμεθά τε τοὺς τραυματίας καὶ τὸ λοιπὸν ἐν τοῖς ὅπλοις ἦμεν ὡς ἐπίπαν ἀεί τινας ἐπιβουλὰς προσδεχόμενοι· οὐ μάτην.

39. Οὔπω γοῦν ἐδεδύκει ὁ ἥλιος, καὶ ἀπό τινος ἐρήμου νήσου προσήλαυνον ἡμῖν ὅσον εἴκοσιν ἄνδρες ἐπὶ δελφίνων μεγάλων ὀχούμενοι, λῃσταὶ καὶ οὗτοι· καὶ οἱ δελφῖνες αὐτοὺς ἔφερον ἀσφαλῶς, καὶ ἀναπηδῶντες ἐχρεμέτιζον ὥσπερ ἵπποι. Ἐπεὶ δὲ πλησίον ἦσαν, διαστάντες οἱ μὲν ἔνθεν, οἱ δὲ ἔνθεν ἔβαλλον ἡμᾶς σηπίαις ξηραῖς καὶ ὀφθαλμοῖς καρκίνων. Τοξευόντων δὲ καὶ ἡμῶν καὶ ἀκοντιζόντων οὐκέτι ὑπέμειναν, ἀλλὰ τρωθέντες οἱ πολλοὶ αὐτῶν πρὸς τὴν νῆσον κατέφυγον.

40. Περὶ δὲ τὸ μεσονύκτιον γαλήνης οὔσης ἐλάθομεν προσοκείλαντες ἀλκυόνος καλιᾷ παμμεγέθει· σταδίων γοῦν ἦν αὕτη ἑξήκοντα τὸ περίμετρον· ἐπέπλει δὲ ἡ ἀλκυὼν τὰ ᾠὰ θάλπουσα οὐ πολὺ μείων τῆς καλιᾶς. Καὶ δὴ ἀναπταμένη μικροῦ μὲν κατέδυσε τὴν ναῦν τῷ ἀνέμῳ τῶν πτερῶν· ᾤχετο δ' οὖν φεύγουσα γοεράν τινα φωνὴν προϊεμένη. Ἐσβάντες δὲ ἡμεῖς ἡμέρας ἤδη ὑποφαινούσης ἐθεώμεθα τὴν καλιὰν σχεδίᾳ μεγάλῃ προσεοικυῖαν ἐκ δένδρων μεγάλων συμπεφορημένην· ἐπῆν δὲ καὶ ᾠὰ πεντακόσια, ἕκαστον αὐτῶν Χίου πίθου περιπληθέστερον. Ἤδη μέντοι καὶ οἱ νεοττοὶ ἔνδοθεν ἐφαίνοντο καὶ ἔκρωζον. Ἑλέκεσιν οὖν διακόψαντες ἓν τῶν ᾠῶν νεοττὸν ἄπτερον ἐξεκολάψαμεν εἴκοσι γυπῶν ἁδρότερον.

41. Ἐπεὶ δὲ πλέοντες ἀπείχομεν τῆς καλιᾶς ὅσον σταδίους διακοσίους, τέρατα ἡμῖν μεγάλα καὶ θαυμαστὰ ἐπεσήμανεν· ὅ τε γὰρ ἐν τῇ πρύμνῃ χηνίσκος ἄφνω ἐπτερύξατο καὶ ἀνεβόησε, καὶ ὁ κυβερνήτης ὁ Σκίνθαρος φαλακρὸς ἤδη ὢν ἀνεκόμησε, καὶ τὸ πάντων δὴ παραδοξότατον, ὁ γὰρ ἱστὸς τῆς νεὼς ἐξεβλάστησε καὶ κλάδους ἀνέφυσε καὶ ἐπὶ τῷ ἄκρῳ ἐκαρποφόρησεν, ὁ δὲ καρπὸς ἦν σῦκα καὶ σταφυλὴ μέλαινα, οὔπω πέπειρος. Ταῦτα ἰδόντες ὡς τὸ εἰκὸς ἐταράχθημεν καὶ ηὐχόμεθα τοῖς θεοῖς ἀποτρέψαι τὸ ἀλλόκοτον τοῦ φαντάσματος.

42. Οὔπω δὲ πεντακοσίους σταδίους διελθόντες εἴδομεν ὕλην μεγίστην καὶ λάσιον πιτύων καὶ κυπαρίττων. Καὶ ἡμεῖς μὲν εἰκάσαμεν ἤπειρον εἶναι· τὸ δὲ ἦν πέλαγος ἄβυσσον ἀρρίζοις δένδροις καταπεφυτευμένον· εἱστήκει δὲ τὰ δένδρα ὅμως ἀκίνητα, ὀρθὰ καθάπερ ἐπιπλέοντα. Πλησιάσαντες γοῦν καὶ τὸ πᾶν κατανοήσαντες ἐν ἀπόρῳ εἰχόμεθα τί χρὴ δρᾶν· οὔτε γὰρ διὰ τῶν δένδρων πλεῖν δυνατὸν ἦν — πυκνὰ γὰρ καὶ προσεχῆ ὑπῆρχεν — οὔτ' ἀναστρέφειν ἐδόκει ῥᾴδιον. Ἐγὼ δ' ἀνελθὼν ἐπὶ τὸ μέγιστον δένδρον ἀπεσκόπουν τὰ ἐπέκεινα ὅπως ἔχοι, καὶ ἑώρων ἐπὶ σταδίους μὲν πεντήκοντα ἢ ὀλίγῳ πλείους τὴν ὕλην οὖσαν, ἔπειτα δὲ αὖθις ἕτερον ὠκεανὸν ἐκδεχόμενον. Καὶ δὴ ἐδόκει ἡμῖν ἀναθεμένους τὴν ναῦν ἐπὶ τὴν κόμην τῶν δένδρων — πυκνὴ δὲ ἦν — ὑπερβιβάσαι, εἰ δυναίμεθα, ἐς τὴν θάλατταν τὴν ἑτέραν· καὶ οὕτως ἐποιοῦμεν. Ἐκδήσαντες γὰρ αὐτὴν

quindecim. E conspectu horum quum venissemus, curabamus saucios, atque ab eo tempore in armis plerumque eramus, semper aliquas suspicati insidias. Neque frustra.

39. Nondum enim sol occiderat, quum a deserta quadam insula versus nos perrexere viri circiter viginti, delphinis magnis vecti. Latrones hi quoque : delphini autem eos tuto ferebant, exsultantesque equorum instar hinniebant. Quum vero prope essent, ex intervallo hinc illinc consistentes, jaculati in nos sunt sepias siccatas et oculos cancrorum. Nobis vero sagittas et jacula mittentibus, non durarunt, sed vulnerati plerique eorum confugerunt ad insulam.

40. Circa mediam noctem, tranquillo mari, imprudentes offendimus ad halcyonis nidum maximum; stadiorum circiter sexaginta erat illi ambitus : vehebatur autem in eo halcyon ova incubans, non multo minor nido suo. Atque illa evolans parum aberat quin mergeret navim nostram vento alarum : aufugiebat autem lugubrem vocem edens. Descendimus nos quum jam illucesceret, nidumque inspeximus, magnæ rati similem, constructæ ex arboribus magnis : inerant vero ova quingenta, Chio dolio unumquodque capacius. Jam quidem pulli intus apparebant et crocitabant. Securibus igitur ovo uno rescisso, pullum implumem extudimus, vulturibus viginti ampliorem.

41. Quum vero navigando discessissemus a nido ad ducenta stadia, portenta nobis magna et mirifica evenere. Nam cheniscus (*anserculus*) in prora subito concussis alis clamorem edidit, et gubernatori Scintharo calvo redire cœperunt comæ; quodque omnium jam admirabilissimum, malus navis germinavit, et emisit ramos, et in summo fructus tulit. Fructus erat ficus, et uva magna, nondum matura. Hæc videntes perturbati sumus, ut facile est ad existimandum, et deos rogavimus, ut averterent, si quid mali visum hoc portenderet.

42. Nondum quingenta stadia provecti eramus, quum silvam vidimus maximam et densam, pinuum et cupressorum. Ac nos quidem putabamus continentem eam esse : at illud pelagus erat profundum, arboribus radice carentibus consitum : stabant arbores nihilominus immotæ, quasi rectæ innatantes. Appropinquantes igitur, universa re considerata, in dubio eramus quid agendum esset : neque enim navigari per arbores poterat, quæ densæ essent et continuæ : neque reverti facile videbatur. Ego vero, conscensa arbore maxima, prospexi quomodo ulteriora se haberent, ac vidi ad stadia quinquaginta aut paullo plura esse silvam : tum mare rursus excipere aliud. Itaque placuit navim in comas arborum (densæ enim erant) impositam traducere, si possemus, in mare alterum. Idque fecimus. Revinctam enim

καλῳ μεγάλῳ καὶ ἀνελθόντες ἐπὶ τὰ δένδρα μόλις ἀνιμησάμεθα, καὶ θέντες ἐπὶ τῶν κλάδων, πετάσαντες τὰ ἱστία καθάπερ ἐν θαλάττῃ ἐπλέομεν τοῦ ἀνέμου προωθοῦντος ἐπισυρόμενοι· ἔνθα δὴ καὶ τὸ Ἀντιμάχου τοῦ ποιητοῦ ἔπος ἐπεισῆλθε· φησὶ γάρ που κἀκεῖνος·

Τοῖσιν δ' ὑλήεντα διὰ πλόον ἐρχομένοισι.

43. Διασάμενοι δ' ὅμως τὴν ὕλην ἀφικόμεθα ἐς τὸ ὕδωρ, καὶ πάλιν ὁμοίως καταθέντες τὴν ναῦν ἐπλέομεν διὰ καθαροῦ καὶ διαυγοῦς ὕδατος, ἄχρι δὴ ἐπέστημεν χάσματι μεγάλῳ ἐκ τοῦ ὕδατος διεστῶτος γεγενημένῳ, καθάπερ ἐν τῇ γῇ πολλάκις ὁρῶμεν ὑπὸ σεισμῶν γιγνόμενα διαχωρίσματα. Ἡ μὲν οὖν ναῦς καθελόντων ἡμῶν τὰ ἱστία οὐ ῥᾳδίως ἔστη παρ' ὀλίγον ἐλθοῦσα κατενεχθῆναι. Ὑπερκύψαντες δὲ ἡμεῖς ἐωρῶμεν βάθος ὅσον σταδίων χιλίων μᾶλα φοβερὸν καὶ παράδοξον· εἱστήκει γὰρ τὸ ὕδωρ ὥσπερ μεμερισμένον· περιβλέποντες δὲ ὁρῶμεν κατὰ δεξιὰ οὐ πάνυ πόρρωθεν γέφυραν ἐπεζευγμένην ὕδατος συνάπτοντος τὰ πελάγη κατὰ τὴν ἐπιφάνειαν, ἐκ τῆς ἑτέρας θαλάττης ἐς τὴν ἑτέραν διαρρέοντος. Προσελάσαντες οὖν ταῖς κώπαις κατ' ἐκεῖνο παρεδράμομεν καὶ μετὰ πολλῆς ἀγωνίας ἐπεράσαμεν οὔποτε προσδοκήσαντες.

44. Ἐντεῦθεν ἡμᾶς ὑπεδέχετο πέλαγός τε προσηνὲς καὶ νῆσος οὐ μεγάλη, εὐπρόσιτος, συνοικουμένη· ἐνέμοντο δὲ αὐτὴν ἄγριοι ἄνθρωποι, Βουκέφαλοι, κέρατα ἔχοντες, οἷον παρ' ἡμῖν τὸν Μινώταυρον ἀναπλάττουσιν. Ἀποβάντες δὲ προῄειμεν ὑδρευσόμενοι καὶ σιτία ληψόμενοι, εἴ ποθεν δυνηθείημεν· οὐκέτι γὰρ εἴχομεν. Καὶ ὕδωρ μὲν αὐτοῦ πλησίον εὕρομεν, ἄλλο δὲ οὐδὲν ἐφαίνετο, πλὴν μυκηθμὸς πολὺς οὐ πόρρωθεν ἠκούετο. Δόξαντες οὖν ἀγέλην εἶναι βοῶν, κατ' ὀλίγον προχωροῦντες ἐπέστημεν τοῖς ἀνθρώποις. Οἱ δὲ ἰδόντες ἡμᾶς ἐδίωκον, καὶ τρεῖς μὲν τῶν ἑταίρων λαμβάνουσιν, οἱ δὲ λοιποὶ πρὸς τὴν θάλατταν κατεφεύγομεν. Εἶτα μέντοι πάντες ὁπλισάμενοι — οὐ γὰρ ἐδόκει ἡμῖν ἀτιμωρήτους περιιδεῖν τοὺς φίλους — ἐμπίπτομεν τοῖς Βουκεφάλοις τὰ κρέα τῶν ἀνῃρημένων διαιρουμένοις· βοήσαντες δὲ πάντες ἐδιώκομεν, καὶ κτείνομέν τε ὅσον πεντήκοντα καὶ ζῶντας αὐτῶν δύο λαμβάνομεν, καὶ αὖθις ὀπίσω ἀνεστρέψαμεν τοὺς αἰχμαλώτους ἔχοντες. Σιτίον μέντοι οὐδὲν εὕρομεν. Οἱ μὲν οὖν ἄλλοι παρῄνουν ἀποσφάττειν τοὺς εἰλημμένους, ἐγὼ δὲ οὐκ ἐδοκίμαζον, ἀλλὰ δήσας ἐφύλαττον αὐτούς, ἄχρι δὴ ἀφίκοντο παρὰ τῶν Βουκεφάλων πρέσβεις αἰτοῦντες ἐπὶ λύτροις τοὺς συνειλημμένους· συνίεμεν γὰρ αὐτῶν διανευόντων καὶ γοερόν τι μυκωμένων ὥσπερ ἱκετευόντων. Τὰ λύτρα δ' ἦν τυροὶ πολλοὶ καὶ ἰχθῦς ξηροὶ καὶ κρόμμυα καὶ ῥλαφοι τέτταρες, τρεῖς ἑκάστη πόδας ἔχουσα, δύο μὲν τοὺς ὀπισθεν, οἱ δὲ πρόσω εἰς ἕνα συνεπεφύκεισαν. Ἐπὶ τούτοις ἀποδόντες τοὺς συνειλημμένους καὶ μίαν ἡμέραν ἐπιμείναντες ἀνήχθημεν.

45. Ἤδη δὲ ἰχθύες τε ἡμῖν ἐφαίνοντο καὶ ὄρνεα παρεπέτετο καὶ ἄλλ' ὁπόσα γῆς πλησίον οὔσης σημεῖα,

magno fune, arboribus conscensis, magno labore eo pertraximus, ramisque eam superimposuimus, ubi velis passis velut in mari navigavimus, vento impellente promoti. Hic mihi Antimachi poetæ versus in mentem venit, qui ait alicubi:

Per silvestre illis navi venientibus æquor.

43. Superata tamen silva, ad aquam pervenimus, ubi similiter demissa iterum navi per puram pellucidamque aquam navigavimus, donec ad hiatum consisteremus magnum ex aqua discedente ortum, ut in terra sæpe videmus a motu illius factas discessiones. Navis quidem nostra, vela nobis contrahentibus, non facile stetit, quum parum abesset quin deferretur. Nos vero capitibus porrectis despicientes, profundum videbamus vel mille stadiorum, terribile admodum atque incredibile: stabat enim aqua velut divisa. Sed circumspicientes ad dextram videmus e longinquo pontem injunctum ex aqua, quæ jungeret utriusque pelagi summas oras, et ex uno mari in alterum transflueret. Huc igitur agitantes navim remis cursum flexímus, multoque labore trajecimus, quod nunquam speraveramus.

44. Hinc excepit nos mare placidum et insula non magna, accessu facilis, habitata. Habebant illam homines feri, Bucephali (*Tauricipites*), cornua habentes, qualem apud nos fingunt Minotaurum. Quum escendissemus, aquatum perreximus, etiam ciborum aliquid inde, si possemus, ablaturi; non enim amplius habebamus. Et aquam quidem ibi in proximo inveniebamus, aliud vero nihil apparebat, præterquam quod mugitus multus non ex longinquo audiebatur. Quum igitur boum gregem essé putaremus, paullum pergressi, stamus apud homines. At illi conspectos nos persequuntur, ac tres quidem sociorum nostrorum comprehendunt; reliqui vero ad mare confugimus. Deinde universi armis captis (neque enim placebat inultos negligere amicos) irruimus in Bucephalos carnes interfectorum dividentes, atque in terrorem conjectos universos persequimur, eorumque circiter quinquaginta interficimus, duosque capimus vivos. Sic revertimus cum captivis: cibi vero nihil inveneramus. Reliqui igitur hortabantur ut captos interficeremus; ego vero hoc non probavi, sed vinctos asservabam, dum venirent a Bucephalis legati, qui pretio comprehensos repeterent: intelligebamus quippe illos innuentes ac lugubre quiddam, suppliciter rogantium instar, mugientes. Pretium vero redemtionis erant casei multi, et sicci pisces, et cepæ, et cervi quattuor, trium singuli pedum, quum binos quidem posteriores haberent, priores autem in unum coalitos. Pro his quum reddidissemus captivos, et diem unum essemus morati, solvimus.

45. Jamque pisces in conspectum venire, et circumvolare aves, aliaque, quotquot sunt terræ propinquæ signa,

προϋφαίνετο. Μετ' ὀλίγον δὲ καὶ ἄνδρας εἴδομεν καινῷ τρόπῳ ναυτιλίας χρωμένους· αὐτοὶ γὰρ καὶ ναῦται καὶ νῆες ἦσαν. Λέξω δὲ τοῦ πλοῦ τὸν τρόπον· ὕπτιοι κείμενοι ἐπὶ τοῦ ὕδατος ὀρθώσαντες τὰ αἰδοῖα — μεγάλα δὲ φέρουσιν — ἐξ αὐτῶν ὀθόνην πετάσαντες καὶ ταῖς χερσὶ τοὺς ποδεῶνας κατέχοντες ἐμπίπτοντος τοῦ ἀνέμου ἔπλεον. Ἄλλοι δὲ μετὰ τούτους ἐπὶ φελλῶν καθήμενοι· ζεύξαντες δύο δελφῖνας ἤλαυνόν τε καὶ ἡνιόχουν· οἱ δὲ προϊόντες ἐπεφέροντο τοὺς φελλούς. Οὗτοι ἡμᾶς οὔτε ἠδίκουν οὔτε ἔφευγον, ἀλλ' ἤλαυνον ἀδεῶς τε καὶ εἰρηνικῶς τὸ εἶδος τοῦ ἡμετέρου πλοίου θαυμάζοντες καὶ πάντοθεν περισκοποῦντες.

46. Ἑσπέρας δὲ ἤδη προσήχθημεν νήσῳ οὐ μεγάλῃ· κατῴκητο δὲ αὕτη ὑπὸ γυναικῶν, ὡς ἐνομίζομεν, Ἑλλάδα φωνὴν προϊεμένων· προσήεσαν γὰρ καὶ ἐδεξιοῦντο καὶ ἡσπάζοντο, πάνυ ἑταιρικῶς κεκοσμημέναι καὶ καλαὶ πᾶσαι καὶ νεάνιδες, ποδήρεις τοὺς χιτῶνας ἐπισυρόμεναι. Ἡ μὲν οὖν νῆσος ἐκαλεῖτο Καββαλοῦσα, ἡ δὲ πόλις Ὑδραμαρδία. Λαβοῦσαι δ' οὖν ἡμᾶς αἱ γυναῖκες ἑκάστη πρὸς ἑαυτὴν ἀπῆγε καὶ ξένον ἐποιεῖτο. Ἐγὼ δὲ μικρὸν ὑποστὰς — οὐ γὰρ χρηστὰ ἐμαντευόμην — ἀκριβέστερόν τε περιβλέπων ὁρῶ πολλῶν ἀνθρώπων ὀστᾶ καὶ κρανία κείμενα· καὶ τὸ μὲν βοὴν ἱστάναι καὶ τοὺς ἑταίρους συγκαλεῖν καὶ ἐς τὰ ὅπλα χωρεῖν οὐκ ἐδοκίμαζον. Προχειρισάμενος δὲ τὴν μαλάχην πολλὰ ἠὐχόμην αὐτῇ διαφυγεῖν ἐκ τῶν παρόντων κακῶν. Μετ' ὀλίγον δὲ τῆς ξένης διακονουμένης εἶδον τὰ σκέλη οὐ γυναικὸς, ἀλλ' ὄνου ὁπλάς· καὶ δὴ σπασάμενος τὸ ξίφος συλλαμβάνω τε ταύτην καὶ δήσας περὶ τῶν ὅλων ἀνέκρινον. Ἡ δὲ, ἄκουσα μὲν, εἶπε δὲ ὅμως, αὐτὰς μὲν εἶναι θαλαττίους γυναῖκας Ὀνοσκελέας προσαγορευομένας, τροφὴν δὲ ποιεῖσθαι τοὺς ἐπιδημοῦντας ξένους. Ἐπειδὰν γὰρ, ἔφη, μεθύσωμεν αὐτοὺς, συνευνηθεῖσαι κοιμωμένοις ἐπιχειροῦμεν. Ἀκούσας δὲ ταῦτα ἐκείνην μὲν αὐτοῦ κατέλιπον δεδεμένην, αὐτὸς δὲ ἀνελθὼν ἐπὶ τὸ στέγος ἐβόων τε καὶ τοὺς ἑταίρους συνεκάλουν. Ἐπεὶ δὲ συνῆλθον, τὰ πάντα ἐμήνυον αὐτοῖς καὶ τά τε ὀστᾶ ἐδείκνυον καὶ ἦγον ἔσω πρὸς τὴν δεδεμένην· ἡ δὲ αὐτίκα ὕδωρ ἐγένετο καὶ ἀφανὴς ἦν. Ὅμως δὲ τὸ ξίφος ἐς τὸ ὕδωρ καθῆκα πειρώμενος· τὸ δὲ αἷμα ἐγένετο.

47. Ταχέως οὖν ἐπὶ ναῦν κατελθόντες ἀπεπλεύσαμεν· καὶ ἐπεὶ ἡμέρα ὑπηύγαζε τὴν ἤπειρον ἀποβλεπόμενοι εἰκάζομεν εἶναι τὴν ἀντιπέραν τῇ ὑφ' ἡμῶν οἰκουμένῃ κειμένην. Προσκυνήσαντες δ' οὖν καὶ προσευξάμενοι περὶ τῶν μελλόντων ἐσκοποῦμεν, καὶ τοῖς μὲν ἐδόκει ἐπιβᾶσι μόνον αὖθις ὀπίσω ἀναστρέφειν, τοῖς δὲ τὸ μὲν πλοῖον αὐτοῦ καταλιπεῖν, ἀνελθόντας δὲ ἐς τὴν μεσόγαιαν πειραθῆναι τῶν ἐνοικούντων. Ἐν ὅσῳ δὲ ταῦτα ἐλογιζόμεθα, χειμὼν σφοδρὸς ἐπιπεσὼν καὶ προσαράξας τὸ σκάφος τῷ αἰγιαλῷ διέλυσεν. Ἡμεῖς δὲ μόλις ἐξενηξάμεθα τὰ ὅπλα ἕκαστος καὶ εἴ τι ἄλλο οἷός τε ἦν ἁρπασάμενοι.

Ταῦτα μὲν οὖν τὰ μέχρι τῆς ἑτέρας γῆς συνενεχθέντα μοι ἐν τῇ θαλάττῃ καὶ παρὰ τὸν πλοῦν ἐν ταῖς νήσοις

apparere. Paullo post videmus viros novo navigandi genere utentes : iidem enim et nautæ erant et naves. Dicam vero navigationis rationem. Supini in aqua jacentes pudenda erigunt; habent autem luculenta : ex his porro velum pandentes, manibusque tenentes funes veli inferiores, vento implente navigabant. Alii post hos insidentes suberibus, duos delphinos junctos agebant regebantque habenis, qui progressi traherent post se subera. Hi neque injuria nos afficiebant, neque fugiebant, sed sine metu et pacate juxta nos vehebantur, speciem navigii nostri admirantes et perspicientes undique.

46. Vespera jam ingruebat, quum appulimus ad insulam non magnam. Habitabatur ea a mulieribus, ut putabamus, Græce loquentibus : accedentes enim nos prensabant et complectebantur, ornatæ more plane meretricio, formosæ omnes et juvenculæ, talaria vestimenta trahentes. Insula vocabatur Cabbalusa (*Dejiciens*); urbs autem Hydramardia. Assumtos igitur nos mulieres suam quæque domum deducere, sunmque sibi facere hospitem. Ego autem cunctatus paullum, cui nihil boni præsagiret animus, et circumspiciens accuratius, video multorum hominum ossa jacere et crania. Et clamorem quidem tollere, et convocare socios, atque ad arma ire, non placuit. Malvam autem depromtam multis verbis obsecravi, ut effugere liceret ex malis præsentibus. Nec ita multo post ministrante hospita, video illius non mulieris crura, sed ungulas asini. Hic stricto ense illam comprehendo, vinctamque de rebus omnibus interrogabam. Illa invita quidem, sed dixit tamen, se marinas esse mulieres, et Onosceleas (*Asinicruras*) vocari : cibum sibi parare ex advenientibus hospitibus : Postquam enim, inquit, eos inebriavimus, in lectum ascitæ sopitos invadimus. His auditis, illam quidem vinctam ibi relinquo : conscenso autem tecto, clamore convoco socios : congregatis indico omnia, ossa ostendo, intra eos deduco ad vinctam. At illa statim in aquam diffluens, conspectum nostrum effugit. Tamen experimenti causa in ipsam aquam demisi gladium : hic aqua in sanguinem abiit.

47. Celeriter itaque ad navem digressi solvimus. Quum illucesceret, continente conspecta, conjecimus eam esse, quæ exadversum nostro orbi (trans Oceanum) jacet. Adoratione hic votisque peractis, quid deinde facto opus esset, deliberabamus. Atque aliis videbatur, post brevem descensum ut iterum nos retro redeamus; aliis autem, relicta ibi nave pergere versus mediterranea atque tentare inhabitantes. Dum ista disputamus, tempestas valida ingruens, et litori allidens navigium, illud dissolvit. Nos vix, arma quisque sua, et si quid forte aliud quis posset, eripientes, enatamus.

Hæc sunt quæ usque ad adventum in alteram illam tellurem contigere mihi in mari, et per navigationem, in in-

καὶ ἐν τῷ ἀέρι καὶ μετ' αὐτὰ ἐν τῷ κήτει καὶ ἐπειδὴ ἐξήλθομεν, παρά τε τοῖς ἥρωσι καὶ τοῖς ὀνείροις καὶ τὰ τελευταῖα παρὰ τοῖς Βουκεφάλοις καὶ ταῖς Ὀνοσκελέαις· τὰ δ' ἐπὶ τῆς γῆς ἐν τοῖς ἑξῆς βιβλίοις διηγήσομαι.

XXVIII.

ΤΥΡΑΝΝΟΚΤΟΝΟΣ.

Ἀνῆλθέ τις εἰς τὴν ἀκρόπολιν ὡς ἀποκτενῶν τὸν τύραννον· αὐτὸν μὲν οὐχ εὗρε, τὸν δὲ υἱὸν αὐτοῦ ἀποκτείνας κατέλιπε τὸ ξίφος ἐν τῷ σώματι. Ἐλθὼν ὁ τύραννος καὶ τὸν υἱὸν ἰδὼν ἤδη νεκρὸν τῷ αὐτῷ ξίφει ἑαυτὸν ἀπέκτεινεν. Αἰτεῖ ὁ ἀνελθὼν καὶ τὸν τοῦ τυράννου υἱὸν ἀνελὼν γέρας ὡς τυραννοκτόνος.

1. Δύο τυράννους ἀποκτείνας, ὦ ἄνδρες δικασταί, μιᾶς ἡμέρας, τὸν μὲν ἤδη παρηβηκότα, τὸν δὲ ἀκμάζοντα καὶ πρὸς διαδοχὴν τῶν ἀδικημάτων ἑτοιμότερον, ἦκω μίαν ὅμως ἐπ' ἀμφοτέροις αἰτήσων δωρεὰν μόνος τῶν πώποτε τυραννοκτόνων πληγῇ μιᾷ δύο πονηροὺς ἀποσκευασάμενος καὶ φονεύσας τὸν μὲν παῖδα τῷ ξίφει, τὸν πατέρα δὲ τῇ πρὸς τὸν υἱὸν φιλοστοργίᾳ. Ὁ μὲν οὖν τύραννος ἀνθ' ὧν ἐποίησεν ἱκανὴν ἡμῖν δέδωκε τιμωρίαν, ζῶν μὲν τὸν υἱὸν ἐπιδὼν προανῃρημένον παρὰ τὴν τελευτὴν, τελευταῖον δὲ ἠναγκασμένος, τὸ παραδοξότατον, αὐτὸς αὑτοῦ γενέσθαι τυραννοκτόνος· ὁ παῖς δὲ ὁ ἐκείνου τέθνηκε μὲν ὑπ' ἐμοῦ, ὑπηρέτησε δέ μοι καὶ ἀποθανὼν πρὸς ἄλλον φόνον, ζῶν μὲν συναδικῶν τῷ πατρὶ, μετὰ θάνατον δὲ πατροκτονήσας, ὡς ἐδύνατο.

2. Τὴν μὲν οὖν τυραννίδα ὁ παύσας εἰμὶ ἐγὼ καὶ τὸ ξίφος, ὃ πάντα εἴργασται, ἐμὸν, τὴν δὲ τάξιν ἐνήλλαξα τῶν φόνων καὶ τὸν τρόπον ἐκαινοτόμησα τῆς τῶν πονηρῶν τελευτῆς, τὸν μὲν ἰσχυρότερον καὶ ἀμύνασθαι δυνάμενον αὐτὸς ἀνελὼν, τὸν γέροντα δὲ μόνῳ παραχωρήσας τῷ ξίφει.

3. Ἐγὼ μὲν οὖν καὶ περιττότερόν τι ἐπὶ τούτοις ὤμην γενήσεσθαί μοι παρ' ὑμῶν καὶ δωρεὰς λήψεσθαι ἰσαρίθμους τοῖς ἀνῃρημένοις, ὡς ἂν οὐ τῶν παρόντων ἀπαλλάξας ὑμᾶς μόνον, ἀλλὰ καὶ τῆς τῶν μελλόντων κακῶν ἐλπίδος, καὶ τὴν ἐλευθερίαν βέβαιον παρασχὼν, οὐδενὸς παραλελειμμένου κληρονόμου τῶν ἀδικημάτων· μεταξὺ δὲ κινδυνεύω τοσαῦτα κατορθώσας ἀγέραστος ἀπελθεῖν παρ' ὑμῶν καὶ μόνος στέρεσθαι τῆς παρὰ τῶν νόμων ἀμοιβῆς, οὓς διεφύλαξα. Ὁ μὲν οὖν ἀντιλέγων οὐτοσὶ δοκεῖ μοι οὐ κηδόμενος, ὥς φησι, τῶν κοινῶν τοῦτο ποιεῖν, ἀλλ' ἐπὶ τοῖς τετελευτηκόσι λελυπημένος καὶ ἀμυνόμενος τὸν ἐκείνοις τοῦ θανάτου αἴτιον γεγενημένον.

4. Ὑμεῖς δὲ ἀνάσχεσθέ μου, ὦ ἄνδρες δικασταὶ, πρὸς ὀλίγον τὰ ἐν τῇ τυραννίδι καίπερ εἰδόσιν ὑμῖν ἀκριβῶς διηγουμένου· καὶ γὰρ τὸ μέγεθος οὕτω μάθοιτ' ἂν τῆς εὐεργεσίας τῆς ἐμῆς, καὶ αὐτοὶ μᾶλλον εὐφρανεῖσθε λογιζόμενοι ὧν ἀπηλλάγητε. Οὐ γὰρ ὥσπερ ἄλλοις τισὶν ἤδη συνέβη πολλάκις, ἁπλῆν καὶ ἡμεῖς τυραννίδα

sulis, et in aëre, et post hæc in ceto, et quum inde exiissemus, tum apud heroas, tum inter somnia, denique extrema illa apud Bucephalos ot Onosceleas : quæ vero in illa altera tellure gesta sint, ea proximis libris persequar.

XXVIII.

TYRANNICIDA.

Ascendit aliquis in arcem, tyrannum interfecturus. Et ipsum quidem non invenit : sed in filii ipsius a se occisi corpore reliquit gladium. Superveniens tyrannus, conspecto filio jam mortuo, eodem se gladio ipse interemit. Petit ille qui ascenderat, et filium tyranni interfecerat, præmium ut tyrannicida.

1. Qui duos eodem die tyrannos interfeci, judices, alterum vigoris annos jam egressum, florentem alterum ætate, et ad injuriarum successionem paratiorem, veni, unum tamen duorum causa petiturus præmium, unus ego omnium qui unquam fuere tyrannicidarum, ictu uno malos amolitus duos, qui interfecerim gladio filium, patrem vero naturali erga filium pietate. Ac tyrannus quidem dignas factis suis pœnas nobis dedit, qui vivus adhuc, circa finem vitæ, filium suum ante se interemtum conspexerit, tandemque, quod maxime admirabile est, suus ipse fieri tyrannicida coactus sit : filius autem illius mea quidem manu periit, sed mortuus tamen alterius mihi cædis fuit minister : qui vivus quidem injuriarum patris socius, post mortem vero suam parentis interfector, quatenus licuit, fuerit.

2. Tyrannidi ergo finem imposui ego, et gladius perfector omnium meus est : ordinem vero cædium immutavi et rationem interitus sceleratorum excogitavi novam : robustiorem et eum qui propugnare posset, ipse confeci; senem soli permisi gladio.

3. Ergo pro hisce factis ego etiam cumulatius quiddam a vobis mihi datum iri putabam, ac totidem me præmia accepturum, quot interfecti essent, quippe qui non præsentibus modo vos liberaverim, sed imminentium etiam spe malorum, libertatemque firmam præstiterim, nullo relicto injuriarum herede. Interim in periculum venio, ne post rem præclare adeo gestam discedam a vobis sine præmio, solusque legum, quas ab oppressione servavi, compensatione caream. Ac videtur meus iste adversarius non publicæ rei cura, ut præ se fert, hoc facere, sed quod dolet interfectis, et ulcisci cupit eum, qui causa illis mortis fuit.

4. Vos autem, judices, ferte me quæso paullulum, dum vobis, accurate licet scientibus, ea quæ sunt in tyrannide enarro : sic enim et magnitudinem beneficii mei cognoscetis, et ipsi magis gaudebitis, cogitantes quibus malis sitis liberati. Neque enim, ut aliis sæpe jam contigit, simplicem nos quoque tyrannidem et servitutem unam sustinuimus,

καὶ μίαν δουλείαν ὑπεμείναμεν, οὐδὲ ἑνὸς ὑπηνέγκαμεν ἐπιθυμίαν δεσπότου, ἀλλὰ μόνοι τῶν πώποτε τὰ ὅμοια δυστυχησάντων δύο ἀνθ' ἑνὸς τυράννους εἴχομεν καὶ πρὸς διττὰ οἱ δυστυχεῖς ἀδικήματα διηρούμεθα. Μετριώτερος δὲ ὁ πρεσβύτης ἦν παρὰ πολὺ καὶ πρὸς τὰς ὀργὰς ἠπιώτερος καὶ πρὸς τὰς κολάσεις βραδύτερος καὶ πρὸς τὰς ἐπιθυμίας ἀμβλύτερος, ὡς ἂν ἤδη τῆς ἡλικίας τὸ μὲν σφοδρότερον τῆς ὁρμῆς ἐπεχούσης, τὰς δὲ τῶν ἡδονῶν ὀρέξεις χαλιναγωγούσης. Καὶ πρός γε τὴν ἀρχὴν τῶν ἀδικημάτων ὑπὸ τοῦ παιδὸς ἄκων προῆχθαι ἐλέγετο, οὐ πάνυ τυραννικὸς αὐτὸς ὤν, ἀλλ' εἴκων ἐκείνῳ· φιλότεκνος γὰρ ἐς ὑπερβολὴν ἐγένετο, ὡς ἔδειξε, καὶ πάντα ὁ παῖς ἦν αὐτῷ καὶ ἐκείνῳ ἐπείθετο καὶ ἠδίκει ὅσα κελεύοι καὶ ἐκόλαζεν οὓς προστάττοι καὶ πάντα ὑπηρέτει, καὶ ὅλως ἐτυραννεῖτο ὑπ' αὐτοῦ καὶ δορυφόρος τῶν τοῦ παιδὸς ἐπιθυμιῶν ἦν.

5. Ὁ νεανίας δὲ τῆς μὲν τιμῆς παρεχώρει καθ' ἡλικίαν ἐκείνῳ καὶ μόνου ἐξίστατο τοῦ τῆς ἀρχῆς ὀνόματος, τὸ δ' ἔργον τῆς τυραννίδος καὶ τὸ κεφάλαιον αὐτὸς ἦν, καὶ τὸ μὲν πιστὸν καὶ ἀσφαλὲς ἀπ' αὐτοῦ παρεῖχε τῇ δυναστείᾳ, τὴν δ' ἀπόλαυσιν μόνος ἐκαρποῦτο τῶν ἀδικημάτων. Ἐκεῖνος ἦν ὁ τοὺς δορυφόρους συνέχων, ὁ τὴν φρουρὰν κρατύνων, ὁ τοὺς τυραννουμένους φοβῶν, ὁ τοὺς ἐπιβουλεύοντας ἐκκόπτων, ἐκεῖνος ὁ τοὺς ἐφήβους ἀνασπῶν, ὁ ἐνυβρίζων τοῖς γάμοις· ἐκείνῳ αἱ παρθένοι ἀνήγοντο, καὶ εἴ τινες σφαγαὶ καὶ εἴ τινες φυγαὶ καὶ χρημάτων ἁφαιρέσεις καὶ βάσανοι καὶ ὕβρεις, πάντα ταῦτα τολμήματα ἦν νεανικά. Ὁ γέρων δ' ἐκείνῳ ἠκολούθει καὶ συνηδίκει καὶ ἐπῄνει μόνον τὰ τοῦ παιδὸς ἀδικήματα, καὶ τὸ πρᾶγμα ἡμῖν ἀφόρητον καθειστήκει· ὅταν γὰρ αἱ τῆς γνώμης ἐπιθυμίαι τὴν ἐκ τῆς ἀρχῆς ἐξουσίαν προσλάβωσιν, οὐδένα ὅρον ποιοῦνται τῶν ἀδικημάτων.

6. Μάλιστα δὲ ἐκεῖνο ἐλύπει, τὸ εἰδέναι μακρὰν, μᾶλλον δὲ ἀΐδιον τὴν δουλείαν ἐσομένην καὶ ἐκ διαδοχῆς παραδοθησομένην τὴν πόλιν ἄλλοτε ἄλλῳ δεσπότῃ καὶ πονηρῶν κληρονόμημα γενησόμενον τὸν δῆμον· ὡς τοῖς γε ἄλλοις οὐ μικρά τις ἐλπὶς αὕτη, τὸ λογίζεσθαι καὶ πρὸς αὐτοὺς λέγειν, « ἀλλ' ἤδη παύσεται, ἀλλ' ἤδη τεθνήξεται καὶ μετ' ὀλίγον ἐλεύθεροι γενησόμεθα· » ἐπ' ἐκείνων δὲ οὐδὲν τοιοῦτον ἠλπίζετο, ἀλλ' ἑωρῶμεν ἤδη ἕτοιμον τὸν τῆς ἀρχῆς διάδοχον. Τοιγαροῦν οὐδ' ἐπιχειρεῖν τις ἐτόλμα τῶν γεννικῶν καὶ τὰ αὐτὰ ἐμοὶ προαιρουμένων, ἀλλ' ἀπέγνωστο παντάπασιν ἡ ἐλευθερία καὶ ἄμαχος ἡ τυραννὶς ἐδόκει πρὸς τοσούτους ἐσομένης τῆς ἐπιχειρήσεως.

7. Ἀλλ' οὐκ ἐμὲ ταῦτ' ἐφόβησεν οὐδὲ τὸ δυσχερὲς τῆς πράξεως λογισάμενος ἀπώκνησα οὐδὲ πρὸς τὸν κίνδυνον ἀπεδειλίασα, μόνος δὲ, μόνος πρὸς οὕτως ἰσχυρὰν καὶ πολλὴν τυραννίδα, μᾶλλον δὲ οὐ μόνος, ἀλλὰ μετὰ τοῦ ξίφους ἀνῄειν τοῦ συμμεμαχημένου καὶ τὸ μέρος συντετυραννοκτονηκότος, πρὸ ὀφθαλμῶν μὲν τὴν τελευτὴν ἔχων, ἀλλαξόμενος δὲ ὅμως τὴν κοινὴν ἐλευθερίαν τῆς σφαγῆς τῆς ἐμῆς. Ἐντυχὼν δὲ τῇ πρώτῃ

neque unius cupiditatem domini toleravimus, sed soli omnium qui unquam in simili calamitate vixere, duos pro uno habebamus tyrannos et inter duplices injurias miseri distrahebamur. Moderatior autem multo erat senex, placidiorque ad iras, et ad supplicia tardior, hebetiorque ad cupiditates, quum jam ætas vehementiores impetus cohiberet, et voluptatum frenaret appetitiones. Quin ad initia injuriarum a filio præter voluntatem dicebatur impulsus, qui non valde tyrannico ipse ingenio esset, sed illi concederet, vir supra modum amans liberorum, quod facto suo comprobavit. Omnia ipsi filius, illi obsequi; quicquid ille imperaret, injuste agere; quos juberet ille, supplicio afficere; omnia illi ministrare: denique sub illius erat tyrannide et satelles cupiditatum filii.

5. At juvenis ætatis respectu honore isti cedebat soloque imperii nomine abstinebat: res tamen ipsa tyrannidis et caput erat ipse: tam, ut fida esset et secura potentia, a se præstabat, quam fructum injuriarum percipiebat solus. Ille erat qui satellites contineret, qui firmaret præsidia, qui subjectos tyrannidi terreret, qui insidiantes excideret, qui adolescentes exstirparet, qui contumelia nuptias afficeret: ad hunc deducebantur virgines; et si quæ cædes, si qua exilia, et bonorum ereptiones, et tormenta, et contumeliæ, omnia hæc ausa erant juvenilia. Senex interim illi obsequi, injuriæ socius esse, laudare modo filii sui injusta facinora. Ita res eo adducta est ut jam tolerare amplius non possemus: quando enim cupiditates animi ab imperio nanciscuntur insuper potentiam, modum nullum injuriarum faciunt.

6. Maxime vero illud nos angebat, quod sciremus longam, potius vero æternam, futuram servitutem, et successione quadam traditum iri urbem alii post alium domino, malorumque hominum hereditatem fore populum. Nam ceteris quidem non parva hæc spes est, quum sic ducunt rationem et apud animum suum dicunt: « Veruntamen jam desinet, veruntamen jam morietur, et paullo post liberi nos erimus: » in illis vero tale nihil sperabatur, sed paratum jam videbamus imperii successorem. Igitur nec manum admovere operi quisquam ausus est generosorum alioquin hominum, qui eadem quæ ego cogitabant: sed spes omnis libertatis erat abjecta, invicta videbatur tyrannis, quum adversus ita multos conandum esset.

7. Me vero ista non terruerunt, neque difficultate operis perpensa conatum abjeci, neque ad periculi conspectum metu resilii: sed solus, solus inquam ad validam adeo et multiplicem tyrannidem; quin non solus, sed gladio meo comitatus escendi, qui auxilio mihi fuit et pro sua parte tyrannum una interfecit, mortem præ oculis quum haberem, cæde tamen mea communem libertatem redemturus. Quum autem in primum præsidium incidissem, nec sine difficul-

φρουρᾷ καὶ τρεψάμενος οὐ ῥᾳδίως τοὺς δορυφόρους καὶ τὸν ἐντυγχάνοντα κτείνων καὶ τὸ ἀνθιστάμενον πᾶν διαφθείρων ἐπὶ τὸ κεφάλαιον αὐτὸ τῶν ἔργων ἦμεν, ἐπὶ τὴν μόνην τῆς τυραννίδος ἰσχύν, ἐπὶ τὴν ὑπόθεσιν τῶν ἡμετέρων συμφορῶν· καὶ ἐπιστὰς τῷ τῆς ἀκροπόλεως φρουρίῳ καὶ ἰδὼν γεννικῶς ἀμυνόμενον καὶ ἀνθιστάμενον πολλοῖς τραύμασιν ὅμως ἀπέκτεινα.

8. Καὶ ἡ μὲν τυραννὶς ἤδη καθῄρητο καὶ πέρας εἶχέ μοι τὸ τόλμημα, καὶ τὸ ἀπ' ἐκείνου πάντες ἦμεν ἐλεύθεροι, ἐλείπετο δ' ὁ γέρων ἔτι μόνος, ἄνοπλος, ἀποβεβληκὼς τοὺς φύλακας, ἀπολωλεκὼς τὸν μέγαν ἐκεῖνον ἑαυτοῦ δορυφόρον, ἔρημος, οὐδὲ γενναίας ἔτι χειρὸς ἄξιος. Ἐνταῦθα τοίνυν πρὸς ἐμαυτὸν, ὦ ἄνδρες δικασταὶ, τὰ τοιαῦτα ἐλογιζόμην· πάντ' ἔχει μοι καλῶς, πάντα πέπρακται, πάντα κατώρθωται. Τίνα ἂν ὁ περίλοιπος κολασθείη τρόπον; ἐμοῦ μὲν γὰρ ἀνάξιός ἐστι καὶ τῆς ἐμῆς δεξιᾶς, καὶ μάλιστα ἐπ' ἔργῳ λαμπρῷ καὶ νεανικῷ καὶ γενναίῳ ἀνῃρημένος, καταισχύνων κἀκείνην τὴν σφαγήν· ἄξιον δέ τινα δεῖ ζητῆσαι δήμιον, ἀλλὰ μετὰ τὴν συμφοράν, μηδὲ τὴν αὐτὴν κερδαίνειν. Ἰδέτω, κολασθήτω, παρακείμενον ἐχέτω τὸ ξίφος· τούτῳ τὰ λοιπὰ ἐντέλλομαι. Ταῦτα βουλευσάμενος αὐτὸς μὲν ἐκποδὼν ἀπηλλαττόμην, τὸ δὲ, ὅπερ ἐγὼ προὐμαντευσάμην, διεπράξατο καὶ ἐτυραννοκτόνησε καὶ τέλος ἐπέθηκε τῷ ἐμῷ δράματι.

9. Πάρειμι οὖν κομίζων ὑμῖν τὴν δημοκρατίαν καὶ θαρρεῖν ἤδη προκηρύττων ἅπασι καὶ τὴν ἐλευθερίαν εὐαγγελιζόμενος. Ἤδη οὖν ἀπολαύετε τῶν ἔργων τῶν ἐμῶν. Κενὴ μὲν, ὡς ὁρᾶτε, πονηρῶν ἡ ἀκρόπολις, ἐπιτάττει δὲ οὐδεὶς, ἀλλὰ καὶ τιμᾶν ἔξεστι καὶ δικάζειν καὶ ἀντιλέγειν κατὰ τοὺς νόμους, καὶ ταῦτα πάντα γεγένηται δι' ἐμὲ ὑμῖν καὶ διὰ τὴν τόλμαν τὴν ἐμὴν, κἀκ τοῦ ἑνὸς ἐκείνου φόνου, μεθ' ὃν οὐκέτι ζῆν πατὴρ ἐδύνατο. Ἀξιῶ δ' οὖν ἐπὶ τούτοις τὴν ὀφειλομένην δοθῆναί μοι παρ' ὑμῶν δωρεὰν, οὐ φιλοκερδὴς οὐδὲ μικρολόγος τις ὢν οὐδ' ἐπὶ μισθῷ τὴν πατρίδα εὐεργετεῖν προῃρημένος, ἀλλὰ βεβαιωθῆναί μοι βουλόμενος τὰ κατορθώματα τῇ δωρεᾷ καὶ μὴ διαβληθῆναι μηδ' ἄδοξον γενέσθαι τὴν ἐπιχείρησιν τὴν ἐμὴν ὡς ἀτελῆ καὶ γέρως ἀναξίαν κεκριμένην.

10. Οὑτοσὶ δὲ ἀντιλέγει καὶ φησὶν οὐκ εὔλογον ποιεῖν με τιμᾶσθαι θέλοντα καὶ δωρεὰν λαμβάνειν· οὐ γὰρ εἶναι τυραννοκτόνον οὐδὲ πεπρᾶχθαί μοί τι κατὰ τὸν νόμον, ἀλλ' ἐνδεῖν τι τῷ ἔργῳ τῷ ἐμῷ πρὸς ἀπαίτησιν τῆς δωρεᾶς. Πυνθάνομαι τοίνυν αὐτοῦ, τί λοιπὸν ἀπαιτεῖς παρ' ἡμῶν; οὐκ ἐβουλήθην; οὐκ ἀνῆλθον; οὐκ ἐφόνευσα; οὐκ ἠλευθέρωσα; μή τις ἐπιτάττει; μή τις κελεύει; μή τις ἀπειλεῖ δεσπότης; μή τίς με τῶν κακούργων διέφυγεν; οὐκ ἂν εἴποις. Ἀλλὰ πάντα εἰρήνης μεστὰ καὶ πάντες οἱ νόμοι καὶ ἐλευθερία σαφὴς καὶ δημοκρατία βέβαιος καὶ γάμοι ἀνύβριστοι καὶ παῖδες ἀδεεῖς καὶ παρθένοι ἀσφαλεῖς καὶ ἑορτάζουσα τὴν κοινὴν εὐτυχίαν ἡ πόλις. Τίς οὖν ὁ τούτων ἁπάντων αἴτιος; τίς ὁ ἐκεῖνα μὲν παύσας, τὰ δὲ παρεσχημένος;

tate in fugam vertissem satellites, interfecto si quis occurreret, et quicquid obstaret trucidato, ad ipsum caput operum ivi, ad solum robur tyrannidis, ad calamitatum nostrarum argumentum. Imminens igitur huic arcis ipsius præsidio, videns illum fortiter pro se propugnantem et resistentem multis vulneribus, interfeci tamen.

8. Atque ipsa quidem tyrannis jam destructa erat et finem suum habuit meus mihi conatus : ab eo inde tempore omnes eramus liberi; supererat senex solus, inermis, amissis custodibus, amisso magno illo suo satellite, desertus, forti manu jam non amplius dignus. Hic igitur talia, judices, apud me agitabam : Bene jam habent mihi omnia : perfecta sunt omnia : feliciter ut oportebat omnia acta sunt. Quemadmodum vindicabitur ille relictus? me quidem et hac dextra indignus est, maxime si post facinus ita clarum et juvenile et generosum interficiatur, et illam quoque cædem dehonestet. Quærendus est autem dignus illo carnifex : neque post calamitatem æquum est, eandem istum lucrifacere. Videat : puniatur : adjacentem habeat gladium : huic mando reliqua. Hoc inito consilio, ipse e vestigio discessi : at ille, quod ego divinaveram, perfecit, occidit tyrannum, finem meæ actioni imposuit.

9. Adsum igitur, portans vobis populi imperium, et bono animo esse jubens universos, et lætum de libertate nuncium afferens. Jam ergo fructum percipite meorum operum : vacua, ut videtis, malis hominibus arx est : imperat nemo; sed honores dare licet, et in jus ire et contra dicere secundum leges. Atque hæc omnia mea vobis opera contigerunt, perque meam audaciam, et ex una illa cæde, post quam vivere pater non amplius potuit. Peto igitur pro his debitum dari mihi a vobis præmium, non lucri cupidus aut sordidus, qui mercede inductus bene de patria mereri voluerim; sed quod firmari mihi volo præmio isto rem bene gestam, nec detrahi de illa, aut ingloriam reddi susceptam a me actionem, velut imperfectam indignamque judicatam præmio.

10. At iste contra dicit, et præter rationem facere me ait, qui honorari postulem et accipere præmium : neque enim esse me tyrannicidam, neque peractum a me quicquam secundum legem; sed deesse aliquid operi meo ad id, ut postulare præmium possim. Interrogo igitur illum, Quid reliquum a me poscis? non volui? non escendi? non interfeci? non liberavi? numquis imperat? numquis jubet? numquis dominus minatur? numquis me maleficorum effugit? Non sane dixeris. Sed pace omnia plena, et leges valent omnes, et libertas liquida, et firmum populi imperium, et matrimonia contumeliis non obnoxia, et liberi metus expertes, et virgines securæ, et communis felicitatis causa festos dies agit civitas. Quis igitur auctor horum omnium? quis est qui istis omnibus finem imposuit, hæc præstitit? Si

Εἰ γάρ τίς ἐστι πρὸ ἐμοῦ τιμᾶσθαι δίκαιος, παραχωρῶ τοῦ γέρως, ἐξίσταμαι τῆς δωρεᾶς· εἰ δὲ μόνος ἐγὼ πάντα διεπραξάμην τολμῶν, κινδυνεύων, ἀνιῶν, ἀναιρῶν, κολάζων, δι' ἀλλήλων τιμωρούμενος, τί μου διαβάλλεις τὰ κατορθώματα; τί δαὶ ἀχάριστον πρός με τὸν δῆμον ποιεῖς εἶναι;

11. Οὐ γὰρ αὐτὸν ἐφόνευσας τὸν τύραννον· ὁ δὲ νόμος τυραννοκτόνῳ δίδωσι τὴν δωρεάν. Διαφέρει δὲ, εἰπέ μοι, τί ἢ αὐτὸν ἀνελεῖν ἢ τοῦ θανάτου παρασχεῖν τὴν αἰτίαν; Ἐγὼ μὲν γὰρ οὐδὲν οἶμαι· ἀλλὰ τοῦτο μόνον ὁ νομοθέτης εἶδε, τὴν ἐλευθερίαν, τὴν δημοκρατίαν, τὴν τῶν δεινῶν ἀπαλλαγήν. Τοῦτ' ἐτίμησε, τοῦτ' ἄξιον ἀμοιβῆς ὑπέλαβεν, ὅπερ οὐκ ἂν εἴποις μὴ δι' ἐμὲ γεγενῆσθαι. Εἰ γὰρ ἐφόνευσα δι' ὃν ἐκεῖνος ζῆν οὐκ ἐδύνατο, αὐτὸς εἴργασμαι τὴν σφαγήν. Ἐμὸς ὁ φόνος, ἡ χεὶρ ἐκείνου. Μὴ τοίνυν ἀκριβολογοῦ ἔτι περὶ τοῦ τρόπου τῆς τελευτῆς μηδ' ἐξέταζε ὅπως ἀπέθανεν, ἀλλ' εἰ μηκέτ' ἐστὶν, εἰ δι' ἐμὲ τὸ μηκέτ' εἶναι ἔχει· ἐπεὶ κἀκεῖνο προσεξετάσειν μοι δοκεῖς καὶ συκοφαντήσειν τοὺς εὐεργέτας, εἴ τις μὴ ξίφει, ἀλλὰ λίθῳ ἢ ξύλῳ ἢ ἄλλῳ τῳ τρόπῳ ἀπέκτεινε. Τί δαὶ, εἰ λιμῷ ἐξεπολιόρκησα τὸν τύραννον τὴν ἀνάγκην τῆς τελευτῆς παρέχων, ἀπῄτεις ἂν καὶ τότε παρ' ἐμοῦ αὐτόχειρα τὴν σφαγὴν, ἢ ἐνδεῖν ἔλεγές μοί τι πρὸς τὸν νόμον, καὶ ταῦτα, χαλεπώτερον τοῦ κακούργου πεφονευμένου; Ἓν μόνον ἐξέταζε, τοῦτο ἀπαίτει, τοῦτο πολυπραγμόνει, τίς τῶν πονηρῶν λείπεται, ἢ τίς ἐλπὶς τοῦ φόβου ἢ τί ὑπόμνημα τῶν συμφορῶν; εἰ δὲ καθαρὰ πάντα καὶ εἰρηνικὰ, συκοφαντοῦντός ἐστι τῷ τρόπῳ τῶν πεπραγμένων χρώμενον ἀποστερεῖν ἐθέλειν τὴν ἐπὶ τοῖς πεπονημένοις δωρεάν.

12. Ἐγὼ καὶ τοῦτο μέμνημαι διηγορευμένον ἐν τοῖς νόμοις, ἐκτὸς εἰ μὴ διὰ τὴν πολλὴν δουλείαν ἐπιλέλησμαι τῶν ἐν αὐτοῖς εἰρημένων, αἰτίας θανάτου εἶναι διττὰς, εἴ τις αὐτὸς ἀπέκτεινεν ἢ εἴ τις μὴ αὐτὸς μὲν ἀπέκτεινε μηδὲ τῇ χειρὶ ἔδρασε τὸ ἔργον, ἠνάγκασε δὲ καὶ παρέσχεν ἀφορμὴν τοῦ φόνου, τὰ ἴσα καὶ τοῦτον ἀξιοῖ ὁ νόμος αὐτὸν ἀντικολάζεσθαι, μάλα δικαίως· καὶ γὰρ ἠβούλετο τοῦ πεπραγμένου ἴσον γίγνεσθαι τὸ τῆς αἰτίας· καὶ περιττὴ λοιπὸν ἡ ἐξέτασις τοῦ τρόπου τῆς σφαγῆς. Εἶτα τὸν μὲν οὕτως ἀποκτείναντα κολάζειν ὡς ἀνδροφόνον δικαιοῖς καὶ οὐδαμῶς ἀφεῖσθαι θέλεις, τὸν δὲ κατὰ τὸν αὐτὸν τούτῳ τρόπον εὖ πεποιηκότα τὴν πόλιν οὐ τῶν ὁμοίων ἀξιώσεις τοῖς εὐεργέταις;

13. Οὐδὲ γὰρ ἐκεῖνο ἂν ἔχοις λέγειν, ὡς ἐγὼ μὲν ἁπλῶς αὐτὸ ἔπραξα, ἠκολούθησε δέ τι τέλος ἄλλως χρηστὸν ἐμοῦ μὴ θελήσαντος. Τί γὰρ ἔτι ἐδεδίειν τοῦ ἰσχυροτέρου πεφονευμένου; τί δὲ κατέλιπον τὸ ξίφος ἐν τῇ σφαγῇ, εἰ μὴ πάντως τὸ ἐσόμενον αὐτὸ προεμαντευόμην; ἐκτὸς εἰ μὴ τοῦτο φῂς, ὡς οὐ τύραννος τεθνεὼς ἦν οὐδὲ ταύτην εἶχε τὴν προσηγορίαν, οὐδὲ δωρεὰς ἐπ' αὐτῷ πολλὰς, εἰ ἀποθάνοι, ἠδέως ἂν ὑμεῖς ἐδώκατε. Ἀλλ' οὐκ ἂν εἴποις. Εἶτα τοῦ τυράννου πεφονευμένου τῷ τὴν αἰτίαν παρασχόντι τῆς σφαγῆς οὐκ ἀποδώσεις

quis enim est præ me dignus honore, cedo illi præmio, renuncio muneri : sin solus ego perfeci omnia, audendo, periculum subeundo, ascendendo, interficiendo, puniendo, alterum alterius opera ulciscendo, quid calumniaris res præclare a me gestas? quid populum, ut ingratus adversum me sit, inducis?

11. Non enim, inquit, tyrannum ipsum interemisti : at lex tyrannicidæ decernit præmium. At quidnam, dic mihi, interest, utrum quis ipsum interfecerit, an causam illi mortis præbuerit? Equidem nihil puto, sed hoc solum legislator spectavit, libertatem, potestatem populi, liberationem ab injuriis. Hoc honoravit, hoc dignum judicavit præmio, quod sane mea opera factum minime negaveris. Si enim eum interfeci, propter quem interfectum iste vivere jam non potuit, cædem ipse patravi. Cædes mea est, illius manus. Noli igitur tenuiter porro disputare de genere mortis, neve exquire quomodo perierit, sed utrum esse desierit, utrum a me illud habeat, quod desierit! Alioquin mihi illud etiam quæsiturus videris, et calumniaturus bene meritos, si quis non ferro, sed lapide, aut fuste, aut alio modo interfecerit. Quid vero si fame expugnassem tyrannum, objecta illi necessitate moriendi, numquid tum etiam a me reposceres cædem manu mea factam, aut decesse aliquid mihi diceres ad legem? idque, quum difficiliori mortis genere interfectus sit maleficus? Quin tu unum solum exquire; illud reposce, circa illud curiosus esto : quis impiorum relictus sit, aut quæ metus suspicio, aut quod calamitatum monumentum; si vero pura omnia et pacata, calumniatoris est, modo et ratione facinoris ad hoc uti velle, ut intercipias præmium laboribus propositum.

12. Quin ego hoc etiam diserte dictum in legibus memini, nisi si per longam servitutem eorum quæ ibi dicuntur oblitus sum, causas mortis esse duplices : si quis ipse interfecit; aut si ipse quidem non interfecit neque manu perpetravit opus, coegit autem et causam cædis præbuit; æqualiter hunc etiam ipsum lex censet vicissim debere puniri : juste sane; voluit enim ipsi facto parem esse culpam : et supervacuum deinde jam est quærere de modo cædis. Tum tu eum, qui ita interfecit, punire ut homicidam justum arbitraris, et nullo modo vis dimitti; eum vero, qui eadem plane qua hic ratione beneficio urbem affecit, non iisdem, quibus alios bene meritos, præmiis dignum censes?

13. Neque enim illud possis dicere, me simpliciter illud ac temere fecisse, consecutum autem aliunde finem bonum præter meam voluntatem. Quid enim amplius metuebam, interfecto qui erat fortior? quid vero gladium in jugulo reliqui, nisi omnino quod futurum erat divinavi? nisi si forte hoc dicis, tyrannum non fuisse qui periit, neque illam habuisse appellationem, neque vos de ipso, si moreretur, præmia multa libenter fuisse daturos. At non dixeris. Tum tu cæso tyranno, ei qui causam illi cædis præbuit, præmium

τὴν δωρεάν; Ὦ τῆς πολυπραγμοσύνης. Μέλει δέ σοι, πῶς ἀπέθανεν, ἀπολαύοντι τῆς ἐλευθερίας, ἢ τὸν τὴν δημοκρατίαν ἀποδεδωκότα περιττότερόν τι προσαπαιτεῖς; καίτοι ὅ γε νόμος, ὡς φῄς, τὸ κεφάλαιον ἐξετάζει τῶν πεπραγμένων, τὰ διὰ μέσου δὲ πάντα ἐᾷ καὶ οὐκέτι πολυπραγμονεῖ. Τί γάρ; οὐχὶ καὶ ἐξελάσας τις τύραννον ἤδη τιμὴν ἔλαβε τυραννοκτόνου; καὶ μάλα δικαίως· ἐλευθερίαν γὰρ κἀκεῖνος ἀντὶ δουλείας παρέσχηται. Τὸ δ' ὑπ' ἐμοῦ γεγενημένον οὐ φυγὴ οὐδὲ δευτέρας ἐπαναστάσεως ἐλπὶς, ἀλλὰ παντελὴς καθαίρεσις καὶ πανωλεθρία παντὸς τοῦ γένους καὶ ῥιζόθεν τὸ δεινὸν ἅπαν ἐκκεκομμένον.

14. Καί μοι πρὸς θεῶν ἤδη ἀπ' ἀρχῆς ἐς τέλος, εἴ δοκεῖ, πάντα ἐξετάσατε, εἴ τι τῶν πρὸς τὸν νόμον παραλέλειπται καὶ εἰ ἐνδεῖ τι τῶν προσεῖναι ὀφειλόντων τυραννοκτόνῳ. Πρῶτα μὲν δὴ γνώμην προϋπάρχειν χρὴ καὶ γενναίαν καὶ φιλόπολιν καὶ πρὸ τῶν κοινῶν κινδυνεύειν ἐθέλουσαν καὶ τῷ οἰκείῳ θανάτῳ τὴν τῶν πολλῶν σωτηρίαν ὠνησομένην. Ἆρ' οὖν πρὸς τοῦτο ἐνεδέησα, ἐμαλακίσθην, ἢ προϊδόμενός τινα τῶν διὰ μέσου κινδύνων ἀπώκνησα; οὐκ ἂν εἴποις. Μένε τοίνυν ἐπὶ τούτου ἔτι μόνου καὶ νόμιζε τοῦ θελῆσαι μόνον καὶ τοῦ βουλεύσασθαι ταῦτα, εἰ καὶ μὴ χρηστὸν ἀποβεβήκει, ἔκ γε τῆς γνώμης αὐτῆς καταστάντα με γέρας ἀξιοῦν ὡς εὐεργέτην λαμβάνειν. Ἐμοῦ μὲν οὐ δυνηθέντος, ἄλλου δὲ μετ' ἐμὲ τετυραννοκτονηκότος, ἄλογον, εἰπέ μοι, ἢ ἀγνῶμον ἦν παρασχεῖν; καὶ μάλιστα εἰ ἔλεγον, Ἄνδρες, ἐβουλόμην, ἠθέλησα, ἐπεχείρησα, ἐπειράθην, τῆς γνώμης μόνης ἄξιός εἰμι τιμᾶσθαι, τί ἂν ἀπεκρίνω τότε;

15. Νῦν δὲ οὐ τοῦτό φημι, ἀλλὰ καὶ ἀνῆλθον καὶ ἐκινδύνευσα καὶ μυρία πρὸ τῆς τοῦ νεανίσκου σφαγῆς ἐπόνησα· μὴ γὰρ οὕτω ῥᾴστον μηδ' εὐχερὲς ὑπολάβητε εἶναι τὸ πρᾶγμα, φρουρὰν ὑπερβῆναι καὶ δορυφόρων κρατῆσαι καὶ τρέψασθαι τοσούτους μόνον, ἀλλὰ σχεδὸν τὸ μέγιστον ἐν τῇ τυραννοκτονίᾳ καὶ τὸ κεφάλαιον τῶν ἔργων τοῦτό ἐστιν. Οὐ γὰρ δὴ αὐτός γε ὁ τύραννος μέγα καὶ δυσάλωτον καὶ δυσκατέργαστόν ἐστιν, ἀλλὰ τὰ φρουροῦντα καὶ συνέχοντα τὴν τυραννίδα, ἃ τις ἂν νικήσῃ, πάντα οὗτος κατώρθωσε, καὶ τὸ λοιπὸν ὀλίγον. Τὸ δὴ ἄχρι τῶν τυράννων προελθεῖν οὐκ ἂν ὑπῆρξέ μοι, μὴ οὐχὶ τῶν περὶ αὐτοὺς φυλάκων καὶ δορυφόρων ἁπάντων κεκρατηκότι κἀκείνους ἅπαντας προνενικηκότι. Οὐδὲν ἔτι προστίθημι, ἀλλ' ἐπὶ τούτων αὖθις μένω· φυλακῆς ἐκράτησα, δορυφόρους ἐνίκησα, τὸν τύραννον ἀφύλακτον, ἄνοπλον, γυμνὸν ἀπέδωκα. Τιμῆς ἄξιος ἐπὶ τούτοις εἶναί σοι δοκῶ, ἢ ἔτι ἀπαιτεῖς παρ' ἐμοῦ τὸν φόνον;

16. Ἀλλ' εἰ καὶ φόνον ζητεῖς, οὐδὲ τοῦτο ἐνδεῖ, οὐδ' ἀναίμακτός εἰμι, ἀλλ' εἰργασμαι μεγάλην καὶ γενναίαν σφαγὴν νεανίσκου ἀκμάζοντος καὶ πᾶσι φοβεροῦ, δι' ὃν ἀνεπιβούλευτος κἀκεῖνος ἦν, ᾧ μόνῳ ἐθάρρει, ὃς ἀντὶ πολλῶν ἤρκει δορυφόρων. Ἆρ' οὖν οὐκ ἄξιος, ὦ οὗτος, δωρεᾶς, ἀλλ' ἄτιμος ἐπὶ τηλικούτοις γένωμαι; Τί

non reddes? Vah curiositatem! Curas autem quomodo mortuus sit, quum libertate fruaris? an ab eo qui populo restituit imperium, amplius quid postulas? Quanquam lex quidem, ut ais, caput factorum exquirit; quæ vero in medio sunt, relinquit omnia neque amplius curiose rimatur. Quid enim? nonne etiam qui expulit tyrannum, jam præmium tyrannicidæ accepit? Et juste quidem : libertatem enim et ipse pro servitute præstitit. At meum factum non exilium est, non novæ metus iuvasionis, sed perfecta undique destructio et plenus universi generis interitus, radicitusque malum omne exstirpatum.

14. Et jam mihi, obsecro, ab initio inde usque ad finem, exquirite, si videtur, omnia, si quid eorum, quæ ad legem implendam pertinent, prætermissum sit, et si quid desit eorum, quæ inesse in tyrannicida debent. Primo igitur animum ante adesse oportet generosum, et amantem civitatis, et pro publica re periclitari volentem, et sua morte salutem multitudinis emturum. Numquid igitur ad hoc defeci, emollitus sum, aut præviso aliquo eorum quæ intervenire solent periculorum, conatum abjeci? Non dixeris. Mane vero in hoc jam solo, et puta me voluntatis solius et consilii hujus, etsi utile patriæ non evenerit, de animo tamen ipso et hæc agendi voluntate, hic consistentem, postulare præmium, ut bene meritum, accipere. Si igitur non potuissem, alius autem post me interfecisset tyrannum, absurdum, dic mihi, aut irrationabile erat præstari mihi præmium? inprimis si dixissem, Viri, volui, decrevi, suscepi, feci periculum; ob voluntatem solam præmio dignus sum : quid tum mihi respondeas?

15. Jam vero non hoc dico, sed etiam ascendi, periclitatus sum, et sexcenta ante cædem juvenis sustinui : nolite enim putare facillimum adeo et proclive esse negotium, præsidia superare, satellites vincere, tot homines in fugam conjicere unum : sed maximum fere in tyrannicidio, et caput operum hoc est. Neque enim sane tyrannus ipse magnum quiddam est, captuque et confectu adeo difficile; sed ea quæ custodiunt continentque tyrannidem : quæ si quis vicit, omnia ille præclare confecit; parvum quiddam est quod restat. Accedere autem ad tyrannos mihi non contigisset, nisi superatis devictisque prius, quos circa se habebant, custodibus, satellitibusque universis. Nihil jam adjicio; sed in hoc rursus maneo. Præsidium superavi, vici satellites; tyrannum custodibus exui, inermem, nudum reddidi. Num propter hæc honore dignus tibi videor? an insuper cædem a me poscis?

16. Verum si cædem quoque poscis, neque hæc deest : neque incruentus sum, sed cædem feci magnam et fortem, juvenis in ipso vigore constituti et omnibus formidabilis, propter quem iste quoque superior erat insidiis, in quo solo habebat fiduciam, qui pro multis sufficiebat satellitibus. Numquid igitur, mi homo, non dignus præmio, sed inho-

γὰρ, εἰ δορυφόρον ἕνα, τί δ' εἰ ὑπηρέτην τινὰ τοῦ τυράννου ἀπέκτεινα, τί δ' εἰ οἰκέτην τίμιον, οὐ μέγα ἂν ἔδοξε καὶ τοῦτο, ἀνελθόντα ἐν μέσῃ τῇ ἀκροπόλει, ἐν μέσοις τοῖς ὅπλοις φόνον τινὸς ἐργάσασθαι τῶν τοῦ τυράννου φίλων; νῦν δὲ καὶ τὸν πεφονευμένον αὐτὸν ἰδέ. Υἱὸς ἦν τυράννου, μᾶλλον δὲ τύραννος χαλεπώτερος καὶ δεσπότης ἀπαραίτητος καὶ κολαστὴς ὠμότερος καὶ ὑβριστὴς βιαιότερος, τὸ δὲ μέγιστον, κληρονόμος τῶν ὅλων καὶ διάδοχος καὶ ἐπὶ πολὺ παρατεῖναι τὰ τῆς ἡμετέρας συμφορᾶς δυνάμενος.

17. Βούλει τοῦτο μόνον πεπρᾶχθαί μοι, ζῆν δ' ἔτι τὸν τύραννον διαπεφευγότα; γέρας δὴ ἐπὶ τούτοις αἰτῶ· τί φατέ; οὐ δώσετε; οὐχὶ κἀκεῖνον ὑφεωρᾶσθε; οὐ δεσπότης; οὐ βαρύς; οὐκ ἀφόρητος ἦν; Νῦν δὲ καὶ τὸ κεφάλαιον αὐτὸ ἐννοήσατε· ὃ γὰρ οὗτος ἀπαιτεῖ παρ' ἐμοῦ, τοῦτο, ὡς ἐνῆν, ἄριστα διεπραξάμην καὶ τὸν τύραννον ἀπέκτεινα ἑτέρῳ φόνῳ, οὐχ ἁπλῶς οὐδὲ πληγῇ μιᾷ, ὅπερ εὐκταιότατον ἦν αὐτῷ ἐπὶ τηλικούτοις ἀδικήμασιν, ἀλλὰ λύπῃ προβασανίσας πολλῇ καὶ ἐν ὀφθαλμοῖς δείξας τὰ φίλτατα οἰκτρῶς προκείμενα, υἱὸν ἐν ἡλικίᾳ, εἰ καὶ πονηρὸν, ἀλλ' οὖν καὶ ἀκμάζοντα καὶ ὁμοιον τῷ πατρὶ, αἵματος καὶ λύθρου ἐμπεπλησμένον. Ταῦτ' ἔστι πατέρων τὰ τραύματα, ταῦτα ζίφη δικαίων τυραννοκτόνων, οὗτος θάνατος ἄξιος ὠμῶν τυράννων, αὕτη τιμωρία πρέπουσα τοσούτοις ἀδικήμασι· τὸ δ' εὐθὺς ἀποθανεῖν, τὸ δ' ἀγνοῆσαι, τὸ δὲ μηδὲν τοιοῦτο θέαμα ἰδεῖν, οὐδὲν ἔχει τυραννικῆς κολάσεως ἄξιον.

18. Οὐ γὰρ ἠγνόουν, ὦ οὗτος, οὐκ ἠγνόουν, οὐδὲ τῶν ἄλλων οὐδείς, ὅσην ἐκεῖνος εὔνοιαν πρὸς τὸν υἱὸν εἶχε καὶ ὡς οὐκ ἂν ἠξίωσεν ἐπιβιῶναι οὐδ' ὀλίγον αὐτῷ χρόνον· πάντες μὲν γὰρ πατέρες ἴσως πρὸς τοὺς παῖδας τοιοῦτοι. Ὁ δὲ καὶ περιττότερόν τι τῶν ἄλλων εἶχεν, εἰκότως, ὁρῶν μόνον ἐκεῖνον κηδεμόνα καὶ φύλακα τῆς τυραννίδος καὶ μόνον προκινδυνεύοντα τοῦ πατρὸς καὶ τὴν ἀσφάλειαν τῇ ἀρχῇ παρεχόμενον. Ὥστε εἰ καὶ μὴ διὰ τὴν εὔνοιαν, ἀλλὰ διὰ τὴν ἀπόγνωσιν εὐθὺς ἠπιστάμην τεθνηξόμενον αὐτὸν καὶ λογιούμενον ὡς οὐδὲν ἔτι τοῦ ζῆν ὄφελος τῆς ἐκ τοῦ παιδὸς ἀσφαλείας καθῃρημένης. Ἅπαντα τοίνυν αὐτῷ ἀθρόα περιέστησα, τὴν φύσιν, τὴν λύπην, τὴν ἀπόγνωσιν, τὸν φόβον, τὰς ἐπὶ τῶν μελλόντων ἐλπίδας χρόνων, [ἐπ' αὐτὸν ἐχρησάμην τοῖς συμμάχοις] καὶ πρὸς τὴν τελευταίαν ἐκείνην σκέψιν κατηνάγκασα. Ἀπέθανεν ὑμῖν ἄτεκνος, λελυπημένος, ὀδυρόμενος, δακρύων, πεπενθηκὼς πένθος ὀλιγοχρόνιον μὲν, ἀλλ' ἱκανὸν πατρὶ, καὶ τὸ δεινότατον, αὐτὸς ὑφ' αὑτοῦ, ὅσπερ θανάτων οἰκτιστος καὶ πολλῷ χαλεπώτερος ἢ εἰ ὑπ' ἄλλου γίγνοιτο.

19. Ποῦ μοι τὸ ξίφος; μή τις ἄλλος τοῦτο γνωρίζει; μή τινος ἄλλου ὅπλον τοῦτο ἦν; τίς αὐτὸ ἐς τὴν ἀκρόπολιν ἀνεκόμισε; πρὸ τοῦ τυράννου τίς ἐχρήσατο; τίς αὐτὸ ἐπ' ἐκεῖνον ἀπέστειλεν; Ὦ ξίφος κοινωνὸν καὶ διάδοχον τῶν ἐμῶν κατορθωμάτων, μετὰ τοσούτους κινδύνους, μετὰ τοσούτους φόνους ἀμελούμεθα καὶ ἀνάξιοι δοκοῦμεν δωρεᾶς. Εἰ γὰρ ὑπὲρ μόνου τούτου τὴν

noratus post tot ac tanta ero? Quid enim si satellitem unum, quid si ministrum tyranni quendam interfecissem? quid vero si servum illi carum? nonne magnum esset visum hoc quoque, ascendere aliquem, et in media arce, inter media arma cædem facere alicujus amicorum tyranni? Jam vero interfectum vide ipsum. Filius erat tyranni : potius vero tyrannus asperior, et implacabilis dominus, et suppliciorum exactor crudelior, et in facienda injuria violentior : quod vero maximum, heres universorum et successor, quique multum extendere calamitates nostras posset.

17. Vis hoc solum a me perfectum, vivere autem et effugisse tyrannum? Præmium equidem et ob hæc peto. Quid dicitis? non dabitis? nonne illum quoque suspectum habebatis? non dominus? non gravis? non intolerabilis erat? Jam vero caput ipsum rei cogitate. Quod enim iste a me poscit, hoc ipsum quam poteram pulcherrime perfeci, et altera tyrannum cæde interemi, non simpliciter, nec una plaga, quod optabile illi quammaxime fuerat in tot tantisque maleficiis : sed postquam illum dolore multo ante excruciavi, et ante oculos ei ostendi, quod carissimum habebat, misere projectum, filium adultum, etsi malum, at in ipso constitutum vigore et patri similem, sanguine et tabo oppletum. Hæc sunt patrum vulnera, hi gladii justorum tyrannicidarum, hæc mors digna crudelibus tyrannis, hoc conveniens tot injuriis supplicium. At statim mori, cognitione privari, nullum tale spectaculum videre, nihil habet tyranni vindicta dignum.

18. Neque enim ignorabam, mi homo, non ignorabam, neque aliorum quisquam, quantam ille adversus filium benevolentiam haberet, et quam nollet vel pauxillo ei tempore superstes esse : nam omnes quidem patres ita forte affecti erga filios. At hic etiam amplius quiddam præter ceteros habuit, merito, videns solum illum tutorem et custodem tyrannidis, solum pericula pro patre subeuntem, solum securitatem præstantem imperio. Itaque sciebam, etsi minus propter benevolentiam, at certe propter desperationem mox illum periturum esse, quum ita rationes subducturus esset, nihil sibi prodesse vitam sublata quam a filio habuisset securitate. Omnia igitur illi confertim objeci, naturam, dolorem, desperationem, terrorem, futuri metum temporis, [his contra illum auxiliis usus sum] et ad ultimam illam deliberationem eum adegi. Interiit vobis orbus, tristitia et dolore dejectus, plorans, luctum lugens brevem illum quidem, sed patri conficiendo qui sufficeret; et quod gravissimum est, interiit sua ipsius manu, quæ miserrima omnium mors est, multumque, quam si ab alio inferretur, difficilior.

19. Ubi est gladius meus? num eum agnoscit alius? numquid alterius cujusquam telum illud fuit? quis illum in arcem extulit? ante tyrannum quis eo usus est? quis eum isti immisit? O gladie particeps et successor præclare a me factorum, post tot pericula, post tot cædes negligimur, et indigni videmur præmio! Si enim pro hoc solo honorem a

τιμὴν ἤτουν παρ' ὑμῶν, εἰ γὰρ ἔλεγον, Ἄνδρες, ἀποθανεῖν ἐθελήσαντι τῷ τυράννῳ καὶ ἀνόπλῳ ἐπὶ τοῦ καιροῦ κατειλημμένῳ ξίφος τοῦτο ἐμὸν ὑπηρέτησε καὶ πρὸς τὸ τέλος τῆς ἐλευθερίας συνήργησεν, οὐκ ἂν τιμῆς τε καὶ δωρεᾶς ἄξιον ἐνομίσατε δεσπότην οὕτω δημοτικοῦ κτήματος; οὐκ ἂν ἠμείψασθε; οὐκ ἂν ἐν τοῖς εὐεργέταις ἀνεγράψατε; οὐκ ἂν τὸ ξίφος ἐν τοῖς ἱεροῖς ἀνεθήκατε; οὐκ ἂν μετὰ τῶν θεῶν κἀκεῖνο προσεκυνήσατε;

20. Νῦν μοι ἐννοήσατε οἷα πεποιηκέναι εἰκὸς τὸν τύραννον, οἷα δὲ εἰρηκέναι πρὸ τῆς τελευτῆς· ἐπεὶ γὰρ ὑπ' ἐμοῦ φονευόμενος καὶ τιτρωσκόμενος πολλοῖς τραύμασιν ἐς τὰ φανερὰ τοῦ σώματος, ὡς ἂν μάλιστα λυπήσειν ἔμελλον τὸν γεγεννηκότα, ὡς ἂν ἐκ τῆς πρώτης θέας διασπαράξειν, ὁ μὲν ἀνεβόησεν οἰκτρὸν ἐπιβοώμενος τὸν γεγεννηκότα, οὐ βοηθὸν οὐδὲ σύμμαχον — ἤδει γὰρ πρεσβύτην ὄντα καὶ ἀσθενῆ —, ἀλλὰ θεατὴν τῶν οἰκείων κακῶν· ἐγὼ γὰρ ἀπηλλαττόμην ποιητὴς μὲν τῆς ὅλης τραγῳδίας γεγενημένος, καταλιπὼν δὲ τῷ ὑποκριτῇ τὸν νεκρὸν καὶ τὴν σκηνὴν καὶ τὸ ξίφος καὶ τὰ λοιπὰ τοῦ δράματος· ἐπιστὰς δ' ἐκεῖνος καὶ ἰδὼν υἱὸν ὃν εἶχε μόνον ὀλίγον ἐμπνέοντα, ἡμαγμένον, ἐμπεπλησμένον τοῦ φόνου καὶ τὰ τραύματα συνεχῆ καὶ πολλὰ καὶ καίρια, ἀνεβόησε τοῦτο, Τέκνον, ἀνηρήμεθα, πεφονεύμεθα, τετυραννοκτονήμεθα, ποῦ ὁ σφαγεύς; τίνι με τηρεῖ; τίνι με φυλάττει διὰ σοῦ, τέκνον, προανῃρημένον; ἢ μή τι ὡς γέροντος ὑπερφρονεῖ, καὶ τῇ βραδυτῆτι, κολάζειν δέον, καὶ παρατείνει μοι τὸν φόνον καὶ μακροτέραν μοι τὴν σφαγὴν ποιεῖ;

21. Καὶ ταῦτα λέγων ἐζήτει τὸ ξίφος· αὐτὸς γὰρ ἄνοπλος ἦν διὰ τὸ πάντα τῷ παιδὶ θαρρεῖν. Ἀλλ' οὐδὲ τοῦτο ἐνεδέησε, πάλαι δὲ ἦν ὑπ' ἐμοῦ καὶ τοῦτο προπαρεσκευασμένον καὶ πρὸς τὸ μέλλον τόλμημα καταλελειμμένον. Ἀποσπάσας δὴ τῆς σφαγῆς καὶ τοῦ τραύματος ἑλκὼν τὸ ξίφος φησί, Πρὸ μικροῦ μέν με ἀπέκτεινας, νῦν δὲ ἀνάπαυσον, ξίφος, πατρὶ πενθοῦντι παραμύθιον ἐλθὲ καὶ πρεσβυτικῇ χειρὶ δυστυχούσῃ συναγώνισαι, ἀπόσφαξον, τυραννοκτόνησον καὶ τοῦ πενθεῖν ἀπάλλαξον. Εἴθε πρῶτός σοι ἐνέτυχον, εἴθε τὴν τάξιν προὔλαβον τοῦ φόνου. Ἀπέθανον ἄν, ἀλλ' ἢ ὡς τύραννος μόνον, ἀλλ' ἔτι νομίζων ἕξειν ἔκδικον· νῦν δ' ὡς ἄτεκνος, νῦν δ' ὡς οὐδὲ φονέως εὐπορῶν. Καὶ ταῦθ' ἅμα λέγων ἐπῆγε τὴν σφαγὴν τρέμων, οὐ δυνάμενος, ἐπιθυμῶν μὲν, ἀσθενῶν δὲ πρὸς τὴν ὑπηρεσίαν τοῦ τολμήματος.

22. Πόσαι κολάσεις ταῦτα; πόσα τραύματα; πόσοι θάνατοι; πόσαι τυραννοκτονίαι; πόσαι δωρεαί; Καὶ τέλος ἑοράκατε πάντες τὸν μὲν νεανίαν προκείμενον, οὐδὲ μικρὸν οὐδ' εὐκαταγώνιστον ἔργον, τὸν πρεσβύτην δὲ αὐτῷ περικεχυμένον καὶ τὸ αἷμα ἀμφοῖν ἀνακεκραμένον, τὴν ἐλευθέριον ἐκείνην καὶ ἐπινίκιον σπονδὴν καὶ τὰ ἔργα τοῦ ξίφους τοῦ ἐμοῦ, αὐτὸ δὲ τὸ ξίφος ἐν μέσῳ ἀμφοτέρων ἐπιδεικνύμενον, ὡς οὐκ ἀνάξιον γεγένηται τοῦ δεσπότου, καὶ μαρτυρούμενον ὅτι μοι πιστῶς διηκονήσατο. Τοῦτο ὑπ' ἐμοῦ γενόμενον μικρότερον ἦν· νῦν

vobis peterem, si enim dicerem, Viri, tyranno mori volenti, quum inermem eo temporis articulo se deprehenderet, gladius hic meus ministravit, et ad finem libertatis restituendæ adjutor fuit; nonne honore simul et præmio dignum judicassetis dominum rei ita popularis? nonne remuneraremini? non in bene meritis illum scriberetis? non ipsum ensem in templi donariis reponeretis? non cum diis etiam illum adoraretis?

20. Jam mihi animum advertite quid tyrannum fecisse probabile sit, et quid dixisse ante obitum. Quum enim filius, dum trucidaretur a me et vulneraretur multis vulneribus in apertas partes corporis inflictis (ut nempe maximum dolorem patri essem objecturus, ut primo illum spectaculo laceraturus), ipse quidem miserabile quiddam exclamaret, parentem advocans, non adjutorem neque auxiliarium (norat enim senem esse et imbecillum), sed spectatorem malorum domesticorum: ego nempe abieram, auctor quidem totius tragœdiæ, sed reliqueram huic actori mortuum, scenam, gladium, et reliqua fabulæ peragenda: superveniens autem ille quum conspexisset filium, quem solum habebat, vix spirantem, cruentatum, oppletum cæde, vulneraque ejus continua et multa et letalia, hæc exclamavit: Fili, periimus, trucidati sumus, pro tyrannis cæsi sumus: ubi est interfector? cui rei me servat? cui me custodit, per te, fili, jam ante cæsum? aut numquid ut senem contemnit; et ipsa tarditate, quum punire oporteret, extendit mortem meam, et longiorem mihi cædem efficit?

21. Et hæc dicens quærebat ensem, inermis ipse, quum filio in omnibus confideret. Sed ne hic quidem illi defuit; dudum autem erat a me ille præparatus, et ad facinus futurum relictus. Extractum igitur de cæde et vulnere eductum gladium ita alloquitur: Paullo ante tu me interfecisti, nunc vero recrea, gladie; veni lugenti patri solatium, et infelicem manum senilem adjuva: macta, tyrannum interfice, luctu libera. Utinam prior in te incidissem! utinam ordinem cædis præcepissem! mortuus essem, sed solum ut tyrannus, sed putans habiturum me vindicem: nunc vero ut orbus morior, nunc ut is cui ne interfectoris quidem sit copia. Dum hæc dicit, intulit cædem, tremens, perficere non valens, cupiens quidem, sed viribus ad ministerium ausi defectus.

22. Quot hæ sunt pœnæ? quot vulnera? quot mortes? quot tyrannicidia? quot præmia? Denique vidistis omnes juvenem quidem jacentem in conspectu, hostiam neque parvam, neque dejectu ita facilem; senem autem illi circumfusum; permistum utriusque sanguinem, libationem Liberatori Jovi sacram pro victoria; et gladii mei opera, ipsumque adeo gladium in medio utriusque ostentantem se, quam non indignus fuerit domino, testantemque fideliter se mihi ministrasse. Hoc universum mea manu factum, minus

δὲ λαμπρότερόν ἐστι τῇ καινότητι. Καὶ ὁ μὲν καθελὼν τὴν τυραννίδα πᾶσαν εἰμὶ ἐγώ· μεμέρισται δ' ἐς πολλοὺς τὸ ἔργον ὥσπερ ἐν δράματι· καὶ τὰ μὲν πρῶτα ἐγὼ ὑπεκρινάμην, τὰ δεύτερα δὲ ὁ παῖς, τὰ τρίτα δὲ ὁ τύραννος αὐτὸς, τὸ ξίφος δὲ πᾶσιν ὑπηρέτησεν.

futurum erat: jam vero ipsa novitate illustrius est. Ac destructor quidem totius tyrannidis ego sum: opus autem ipsum in plures descriptum est, ut in fabula: primarum partium actor ego, secundarum filius, tertiarum ipse tyrannus, gladius ministravit universis.

XXIX.

ΑΠΟΚΗΡΥΤΤΟΜΕΝΟΣ.

Ἀποκηρυχθείς τις ἰατρικὴν ἐξέμαθε. Μανέντα τὸν πατέρα καὶ ὑπὸ τῶν ἄλλων ἰατρῶν ἀπεγνωσμένον ἰασάμενος φαρμάκου δόσει ἀνελήφθη αὖθις ἐς τὸ γένος. Μετὰ ταῦτα μεμηνυῖαν τὴν μητρυιὰν ἰάσασθαι κελευόμενος καὶ λέγων μὴ δύνασθαι ἀποκηρύττεται.

1. Οὐ καινὰ μὲν ταῦτα, ὦ ἄνδρες δικασταὶ, οὐδὲ παράδοξα τὰ ὑπὸ τοῦ πατρὸς ἐν τῷ παρόντι γιγνόμενα, οὐδὲ νῦν πρῶτον τὰ τοιαῦτα ὀργίζεται, ἀλλὰ πρόχειρος οὗτος ὁ νόμος αὐτῷ καὶ συνήθως ἐπὶ τοῦτ' ἀφικνεῖται τὸ δικαστήριον. Ἐκεῖνο δὲ καινότερον νῦν δυστυχῶ, ὅτι ἔγκλημα μὲν ἴδιον οὐκ ἔχω, κινδυνεύω δὲ τιμωρίαν ὑποσχεῖν ὑπὲρ τῆς τέχνης, εἰ μὴ πάντα δύναται πείθεσθαι τούτῳ κελεύοντι· οὗ τί γένοιτ' ἂν ἀτοπώτερον, θεραπεύειν ἐκ προστάγματος, οὐκέθ' ὡς ἡ τέχνη δύναται, ἀλλ' ὡς ὁ πατὴρ βούλεται; Ἐβουλόμην μὲν οὖν τὴν ἰατρικὴν καὶ τοιοῦτόν τι ἔχειν φάρμακον, ὃ μὴ μόνον τοὺς μεμηνότας, ἀλλὰ καὶ τοὺς ἀδίκως ὀργιζομένους παύειν ἐδύνατο, ἵνα καὶ τοῦτο τοῦ πατρὸς τὸ νόσημα ἰασαίμην. Νυνὶ δὲ τὰ μὲν τῆς μανίας αὐτῷ τέλεον πέπαυται, τὰ δὲ τῆς ὀργῆς μᾶλλον ἐπιτείνεται· καὶ τὸ δεινότατον, τοῖς μὲν ἄλλοις ἅπασι σωφρονεῖ, κατ' ἐμοῦ δὲ τοῦ θεραπεύσαντος μόνου μαίνεται. Τὸν μὲν οὖν μισθὸν τῆς θεραπείας ὁρᾶτε οἷον ἀπολαμβάνω, ἀποκηρυττόμενος ὑπ' αὐτοῦ πάλιν καὶ τοῦ γένους ἀλλοτριούμενος δεύτερον, ὥσπερ διὰ τοῦτ' ἀναληφθεὶς πρὸς ὀλίγον, ἵν' ἀτιμότερος γένωμαι πολλάκις ἐκπεσὼν τῆς οἰκίας.

2. Ἐγὼ δὲ ἐν μὲν τοῖς δυνατοῖς οὐδὲν κελευσθῆναι περιμένω· πρώην γοῦν ἄκλητος ἦκον ἐπὶ τὴν βοήθειαν. Ὅταν δέ τι ᾖ τελέως ἀπεγνωσμένον, οὐδ' ἐπιχειρεῖν βούλομαι. Ἐπὶ δὲ τῆς γυναικὸς ταύτης εἰκότως καὶ ἀτολμότερός εἰμι· λογίζομαι γὰρ οἷα πάθοιμ' ἂν ὑπὸ τοῦ πατρὸς ἀποτυχὼν, ὃς οὐδ' ἀρξάμενος τῆς θεραπείας ἀποκηρύττομαι. Ἄχθομαι μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, ἐπὶ τῇ μητρυιᾷ χαλεπῶς ἐχούσῃ — χρηστὴ γὰρ ἦν — καὶ ἐπὶ τῷ πατρὶ δι' ἐκείνην ἀνιωμένῳ, τὸ δὲ μέγιστον, ἐπ' ἐμαυτῷ ἀπειθεῖν δοκοῦντι καὶ ἃ προστάττομαι ὑπουργεῖν οὐ δυναμένῳ καὶ δι' ὑπερβολὴν τῆς νόσου καὶ ἀσθένειαν τῆς τέχνης. Πλὴν οὐ δίκαιον οἶμαι ἀποκηρύττεσθαι τὸν ἃ μὴ δύναται ποιεῖν μηδὲ τὴν ἀρχὴν ὑπισχνούμενον.

3. Δι' ἃς μὲν οὖν αἰτίας καὶ πρότερον ἀπεκήρυξέ με, ῥᾴδιον συνιδεῖν ἐκ τῶν παρόντων. Ἐγὼ δὲ καὶ

XXIX.

ABDICATUS.

Abdicatus aliquis medicinam didicit. Patrem furiosum et ab aliis relictum medicis quum medicamento dato sanasset, receptus est iterum in familiam. Post hæc novercam furiosam sanare jussus, quum diceret se non posse, denuo abdicatur.

1. Non nova hæc, judices, aut præter spem eveniunt, quæ præsenti tempore a patre meo fiunt, neque nunc primum talibus modis irascitur, sed in promtu illi ista lex, et consueto more ad hoc venit tribunal. Illa autem nova mea nunc est infelicitas, quod *proprium quidem crimen non* habeo, sed artis subire pœnam periclitor, si ea non potest per omnia istius imperiis obsequi. Quo quid fieri potest absurdius? curare pro imperio, non jam quantum ars valet, sed ut vult pater. Vellem igitur medicina tale quoque medicamentum haberet, quod non furiosos solum, verum etiam injuste irascentes posset liberare, quo patris etiam *hunc morbum sanarem*. Jam vero *illi mentis furiæ* plane conquieverunt; iracundia vero magis intenditur; et, quod gravissimum est, aliis sapit omnibus, contra me vero, qui sanavi, furit. Quam igitur curationis mercedem accipiam, videtis, qui denuo ab illo abdicor, familia iterum excludor, quasi ea ipsa causa ad breve tempus receptus, ut tanto fiam inhonestior, domo ejectus sæpius.

2. Ego vero in his quæ possum, imperia non exspecto: quare nuper invocatus veni ad auxiliandum. Ubi vero aliquid est plane desperatum, neque admovere manum volo. In hac muliere autem merito minus etiam audeo; reputo enim quæ a patre mihi impendeant, si excidam, qui nondum cœpta curatione abdicor. Quare graviter equidem fero, judices, novercæ morbum (bona enim erat), et patris ob eam rem tristitiam; maxime vero, quod ipse obsequium *recusare videor*, quum quæ *imperantur ministrare*, tum ob morbi magnitudinem, tum propter imbecillitatem artis, non possim. Verum enim vero justum non arbitror abdicari eum, qui, quæ facere non potest, ea omnino non promittat.

3. Propter quas ergo causas prius me abdicaverit, facile ex præsentibus perspicitur. Ego vero ad illas quidem,

πρὸς ἐκείνας μὲν, ὡς οἶομαι, ἱκανῶς τῷ μετὰ ταῦτα βίῳ ἀπελογησάμην, καὶ ταυτὶ δὲ ἃ νῦν ἐγκαλεῖ, ὡς ἂν οἷός τε ὦ, ἀπολύσομαι μικρὰ ὑμῖν διηγησάμενος τῶν ἐμῶν· ὁ γὰρ δυσάγωγος καὶ δυσπειθὴς ἐγὼ, ὁ καταισχύνων τὸν πατέρα καὶ ἀνάξια πράττων τοῦ γένους τότε μὲν αὐτῷ τὰ πολλὰ ἐκεῖνα βοῶντι καὶ διατεινομένῳ ὀλίγα χρῆναι ἀντιλέγειν ᾠόμην. Ἀπελθὼν δὲ τῆς οἰκίας ἐνόμιζόν μοι δικαστήριον ἔσεσθαι μέγα καὶ ψῆφον ἀληθῆ τὸν μετὰ ταῦτα βίον καὶ τὸ φαίνεσθαι πάμπολυ τῶν τοῦ πατρὸς ἐγκλημάτων ἐκείνων ἀφεστηκότα καὶ περὶ τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων ἐσπουδακότα καὶ τοῖς ἀρίστοις συνόντα. Προεωρώμην δὲ καὶ τοιοῦτόν τι καὶ ὑπώπτευον ἤδη ὡς οὐ σφόδρα καθεστηκότος πατρὸς ἀδίκως ὀργίζεσθαι καὶ ἐγκλήματα ψευδῆ καθ' υἱοῦ συντιθέναι· καὶ ἦσάν τινες οἱ μανίας ἀρχὴν ταῦτα εἶναι νομίζοντες καὶ ἀπειλὴν καὶ ἀκροβολισμὸν οὐκ εἰς μακρὰν ἐπιπεσουμένου τοῦ κακοῦ, μῖσος ἄλογον καὶ νόμον ἀπηνῆ καὶ βλασφημίας προχείρους καὶ δικαστήριον σκυθρωπὸν καὶ βοὴν καὶ ὀργὴν καὶ ὅλως χολῆς μεστὰ πάντα. Διὸ δὴ τάχα μοι καὶ ἰατρικῆς δεήσειν ποτὲ προσεδόκων.

4. Ἀποδημήσας οὖν καὶ τοῖς εὐδοκιμωτάτοις τῶν ἐπὶ τῆς ἀλλοδαπῆς ἰατρῶν συγγενόμενος καὶ πόνῳ πολλῷ καὶ προθυμίᾳ λιπαρεῖ χρησάμενος ἐξέμαθον τὴν τέχνην. Ἐπανελθὼν δὲ καταλαμβάνω τὸν πατέρα σαφῶς ἤδη μεμηνότα καὶ ὑπὸ τῶν ἐπιχωρίων ἰατρῶν ἀπεγνωσμένον οὐκ ἐς βάθος ὁρώντων οὐδ' ἀκριβῶς φυλοκρινούντων τὰς νόσους. Πλὴν ὅπερ γε εἰκὸς ἦν ποιεῖν χρηστὸν υἱὸν, οὔτε ἐμνησικάκησα τῆς ἀποκηρύξεως οὔτε μετάπεμπτος γενέσθαι περιέμεινα· οὐδὲ γὰρ εἶχόν τι αὐτῷ ἴδιον ἐγκαλεῖν, ἀλλὰ πάντα ἐκεῖνα ἦν ἀλλότρια τὰ ἁμαρτήματα καὶ ὥσπερ ἔφην ἤδη, τῆς νόσου. Παρελθὼν οὖν ἄκλητος οὐκ εὐθὺς ἰασάμην· οὐ γὰρ οὕτως ποιεῖν ἔθος ἐστὶν ἡμῖν οὐδὲ ταῦτα ἡ τέχνη παραινεῖ, ἀλλὰ πάντων πρῶτον τοῦτο διδασκόμεθα συνορᾶν εἴτε ἰάσιμόν ἐστι τὸ νόσημα εἴτ' ἀνήκεστον καὶ ὑπερβεβηκὸς τοὺς ὅρους τῆς τέχνης· καὶ τηνικαῦτα, ἢν μὲν εὐμεταχείριστον ᾖ, ἐπιχειροῦμεν καὶ πᾶσαν σπουδὴν εἰσφερόμεθα σῶσαι τὸν νοσοῦντα· ἢν δὲ κεκρατηκὸς ἤδη καὶ νενικηκὸς τὸ πάθος ἴδωμεν, οὐδὲ τὴν ἀρχὴν προσαπτόμεθα, νόμον τινὰ παλαιὸν τῶν προπατόρων τῆς τέχνης ἰατρῶν φυλάττοντες, οἳ φασι μὴ δεῖν ἐπιχειρεῖν τοῖς κεκρατημένοις. Ἰδὼν οὖν τὸν πατέρα ἔτι ἐντὸς τῆς ἐλπίδος καὶ τὸ πάθος οὐχ ὑπὲρ τὴν τέχνην, ἐπὶ πολὺ τηρήσας καὶ ἀκριβῶς ἐξετάσας ἕκαστα ἐπεχείρουν ἤδη καὶ τὸ φάρμακον τεθαρρηκότως ἐνέχεον, καίτοι πολλοὶ τῶν παρόντων ὑπώπτευον τὴν δόσιν καὶ τὴν ἴασιν διέβαλλον καὶ πρὸς κατηγορίας παρεσκευάζοντο.

5. Παρῆν δὲ καὶ ἡ μητρυιὰ φοβουμένη καὶ ἀπιστοῦσα, οὐ τῷ μισεῖν ἐμὲ, ἀλλὰ τῷ δεδιέναι καὶ ἀκριβῶς εἰδέναι πονήρως ἐκεῖνον διακείμενον· ἠπίστατο γὰρ μόνη τὰ πάντα συνοῦσα καὶ ὁμοδίαιτος τῇ νόσῳ. Πλὴν ἀλλ' ἔγωγε οὐδὲν ἀποδειλιάσας — ἠπιστάμην γὰρ οὐ ψευσόμενά με τὰ σημεῖα οὐδὲ προδώσουσαν

ut puto, satis respondi ipsa vita quæ insecuta est : atque ea, quæ nunc dat crimini, quantum potero, diluam, paucula de meis rebus ubi vobis enarravero. Ego enim ille intractabilis, et refractarius, pudore ille patrem afficiens et indigna genere nostro perpetrans, tum quidem, multum illa et contenta voce clamanti, pauca reponenda putabam. Egressus autem domo judicium mihi magnum et suffragium verum fore sperabam vitam post ea agendam, si appareret pluri mum me a patris illis criminibus abesse, qui et in honestissimis studiis elaborarem, et cum viris versari optimis. Prævidebam vero etiam tale quiddam, et suspicabar jam tum, patrem, ut qui mentis esset non valde sanæ, injuste irasci et falsa contra filium crimina componere. Et erant qui furoris initium ista putarent, et minas et quædam quasi præludia mali non multo post ingruentis, odium irrationale, agendi legem asperam, convicia in promtu, triste judicium, et clamorem, et iram, et omnino bile plena omnia. Propter hæc sane opus mihi forte aliquando et medica arte futurum, exspectabam.

4. Peregrinatus ergo et probatissimorum apud exteros medicorum consuetudine, tum labore multo et studio indefesso usus, artem perdidici. Redux patrem invenio aperte jam furentem, et a patriis medicis depositum, qui scilicet intima non perviderent, neque accurate satis morbos discernerent. Verum, quod consentaneum erat ut faceret filius bonus, ego neque abdicationis memoriam admisi, neque dum arcesserer exspectavi. Neque enim proprium quicquam ipsius, quod accusarem, habebam; sed aliena illa peccata erant omnia atque, ut modo dicebam, morbi. Accedens igitur invocatus, non statim curavi; neque enim mos est nobis ita facere, neque ars hæc præcipit, sed hoc docemur primum omnium considerare, sanabilisne sit morbus, an incurabilis et fines artis egressus: ac tum, si tractabilis est, manum admovemus, et diligentiam afferimus omnem ad servandum ægrotum : sin videamus jam superasse morbum ac vicisse, omnino non aggredimur, servantes legem antiquam progenitorum artis medicæ, qui negant manum admovendam his qui superati jam sint. Videns igitur patrem intra spem ac malum artis fines non egressum, diu observatis et accurate exploratis omnibus, manum jam admovebam et audacter infundebam medicamentum, multis licet præsentium suspectam dationem habentibus, calumniantibusque curationem, et ad accusandum se parantibus.

5. Aderat etiam noverca metuens ac diffidens, non quod odio me haberet, sed quod metueret, et male illum habere accurate sciret : noverat enim sola omnia, quæ semper una et in convictu quasi morbi fuisset. Verum enim vero nihil ego deterreri me passus, qui scirem non futurum ut signa me fallerent aut ars me proderet, curationem justo

τὴν τέχνην — ἐπῆγον τὴν ἴασιν ἐν καιρῷ τῆς ἐπιχειρήσεως, καίτοι κἀμοί τινες τῶν φίλων συνεβούλευον μὴ θρασύνεσθαι, μὴ καὶ διαβολήν τινα μείζω ἐνέγκῃ μοι τὸ ἀποτυχεῖν ὡς ἀμυνομένῳ τὸν πατέρα φαρμάκῳ καὶ μνησικακήσαντι ὧν ἐπεπόνθειν ὑπ' αὐτοῦ. Καὶ τὸ κεφάλαιον, σῶος μὲν οὗτος εὐθὺς ἦν καὶ ἐσωφρόνει πάλιν καὶ πάντα διεγίγνωσκεν· οἱ παρόντες δὲ ἐθαύμαζον καὶ ἡ μητρυιὰ δὲ ἐπῄνει καὶ φανερὰ πᾶσιν ἦν χαίρουσα κἀμοὶ εὐδοκιμοῦντι κἀκείνῳ σωφρονοῦντι. Οὗτος δ' οὖν — μαρτυρεῖν γὰρ αὐτῷ ἔγω — μήτε μελλήσας μήτε σύμβουλόν τινα περὶ τούτων προσλαβών, ἐπειδὴ τὸ πᾶν ἤκουσε τῶν παρόντων, ἔλυε μὲν τὴν ἀποκήρυξιν, υἱὸν δὲ ἐξ ὑπαρχῆς ἐποιεῖτό με σωτῆρα καὶ εὐεργέτην ἀποκαλῶν, καὶ ἀκριβῆ πεῖραν εἰληφέναι ὁμολογῶν καὶ περὶ τῶν ἔμπροσθεν ἐκείνων ἀπολογούμενος. Τοῦτο γενόμενον ηὔφρανε μὲν πολλούς, ὅσοι παρῆσαν χρηστοί, ἐλύπει δ' ἐκείνους, ὅσοις ἀποκήρυξις [υἱοῦ] ἡδίων ἀναλήψεως. Εἶδον γοῦν τότε οὐ πάντας ὁμοίως ἡδομένους τῷ πράγματι, ἀλλ' εὐθύς τινος καὶ χρόαν τρεπομένην καὶ βλέμμα τεταραγμένον καὶ πρόσωπον ὠργισμένον, οἷον ἐκ φθόνου καὶ μίσους γίγνεται. Ἡμεῖς μὲν οὖν, ὡς τὸ εἰκός, ἐν εὐφροσύναις καὶ θυμηδίαις ἦμεν ἀλλήλους ἀπειληφότες.

6. Ἡ μητρυιὰ δὲ μετὰ μικρὸν εὐθὺς νοσεῖν ἤρξατο, νόσον, ὦ ἄνδρες δικασταί, χαλεπὴν καὶ παράλογον· ἀρχόμενον γὰρ εὐθὺς τὸ δεινὸν παρεφύλαξα· οὐ γὰρ ἁπλοῦν οὐδ' ἐπιπόλαιον τῆς μανίας τὸ εἶδος, ἀλλά τι παλαιὸν ὑποικουροῦν ἐν τῇ ψυχῇ κακὸν ἀπέρρηξε καὶ ἐς τοὐμφανὲς ἐξενίκησε. Πολλὰ μὲν οὖν καὶ ἄλλα ἡμῖν ἐστι σημεῖα τῶν ἀνιάτως μεμηνότων, ἓν δὲ ἐκεῖνο καινὸν ἐπὶ τῆς γυναικὸς ταύτης παρεφύλαξα· πρὸς μὲν γὰρ τοὺς ἄλλους ἡμερωτέρα καὶ πραεῖά ἐστι καὶ παρόντων εἰρήνην ἄγει ἡ νόσος, ἂν δέ τινα ἰατρὸν ἴδῃ καὶ τοῦτ' ἀκούσῃ μόνον, κατ' ἐκείνου μάλιστα παροξύνεται, ὅπερ καὶ αὐτὸ τοῦ πονήρως καὶ ἀνηκέστως ἔχειν ἐστὶ τεκμήριον. Ταῦτα ὁρῶν ἐγὼ μὲν ἠνιώμην καὶ τὴν γυναῖκα ὤκτειρον ἀξίαν οὖσαν καὶ παρὰ τὸ προσῆκον δυστυχοῦσαν.

7. Ὁ πατὴρ δὲ ὑπὸ ἰδιωτείας — οὐ γὰρ οἶδεν οὔτε τὴν ἀρχὴν τοῦ κατέχοντος κακοῦ οὔτε τὴν αἰτίαν οὔτε τὸ μέτρον τοῦ πάθους — ἐκέλευεν ἰᾶσθαι καὶ τὸ ὅμοιον ἐγχέαι φάρμακον· ᾤετο γὰρ ἓν εἶναι μανίας εἶδος καὶ μίαν τὴν νόσον καὶ τὸ ἀρρώστημα ταὐτὸν καὶ παραπλησίαν τὴν θεραπείαν ἐνδεχόμενον. Ἐπεὶ δὲ, ὅπερ ἀληθέστατον, ἀδύνατον εἶναί φημι σώζεσθαι τὴν γυναῖκα καὶ ἡττῆσθαι ὑπὸ τῆς νόσου ὁμολογῶ, ἀγανακτεῖ καὶ ὀργίζεται καί φησιν ἑκόντα καθυφίεσθαι καὶ προδιδόναι τὴν ἄνθρωπον, ἐγκαλῶν ἐμοὶ τὴν ἀσθένειαν τῆς τέχνης. Καὶ πάσχει μὲν σύνηθες τοῖς λυπουμένοις· ὀργίζονται γοῦν ἅπαντες τοῖς μετὰ παρρησίας τἀληθῆ λέγουσι. Πλὴν ἔγωγε ὡς ἂν οἷός τε ὦ, δικαιολογήσομαι πρὸς αὐτὸν καὶ ὑπὲρ ἐμαυτοῦ καὶ τῆς τέχνης.

8. Καὶ πρῶτόν γε ἀπὸ τοῦ νόμου ἄρξομαι, καθ' ὃν οὗτός με ἀποκηρῦξαι βούλεται, ἵν' εἰδῇ οὐκέθ' ὁμοίαν

tempore adhibebam, licet consulentibus mihi quoque amicis quibusdam, ne confidentius agerem, quo ne frustratus eventus calumniam mihi quandam induceret majorem, ut qui ulcisci vellem patrem medicamento, et memoriam servarem eorum quæ ab illo passus essem mala. In summa, salvus ille mox esse, resipiscere, dignoscere omnia : præsentes mirari, laudare noverca, et palam gaudere, quod bene audirem ego, quod ille resipuisset. Hic igitur (testari hoc ipsi possum) neque cunctatus neque adhibito de his ullo consiliario, quum audisset ab his qui adfuerant omnia, solvit abdicationem, filium me sibi de novo assumsit, servatorem et bene meritum appellans, fassus experimentum se jam certum habere, excusans illa superiora. Id factum exhilaravit quidem multos, qui aderant viri boni; contristavit autem quibus abdicatio filii jucundior receptione fuerat. Videbam certe tunc non æqualiter omnes hac re delectari, sed statim cujusdam et versum colorem, et conturbatum visum, et vultum iratum, quale quid ex invidia et odio solet fieri. Nos igitur, ut facile est ad existimandum, in jucunditate et animi oblectatione esse, qui recepissemus alter alterum.

6. Noverca autem paullo post statim ægrotare cœpit, morbum, judices, difficilem et irrationabilem : incipiens enim statim malum observavi. Nam non simplex erat aut levis modo furoris species, sed antiquum aliquod desidens in anima malum ruptis quasi vinculis evicit in lucem. Sunt quidem alia quoque signa nobis multa sine spe sanationis furentium : unum autem illud novum hac in muliere observavi. Etenim ad reliquos mitior est et mansueta, præsentibus iis, inducias agit morbus : at si quem medicum videat, et hoc solum nomen audiat, in illum maxime exacerbatur : quod quidem ipsum, quam male illa habeat et insanabiliter, est indicium. Hæc videns ægre ferebam equidem, et miserabar feminam, quod merebatur, præter fas infortunatam.

7. At pater præ imperitia, qui neque principium mali, quod eam tenet, neque causam, neque modum ægritudinis novit, curare illam jussit, atque idem infundere ei medicamentum : putavit enim unum esse furoris genus, morbum unum, infirmitatem eandem, quæ similem curationem reciperet. Quum vero, quod verissimum est, nego fieri posse ut servetur mulier, quum superari eam a morbo fateor; indignatur, irascitur, me ultro ait subtrahere me, et mulierem prodere; ob artis imbecillitatem me accusat. Atque usu illi venit quod solet dolentibus : irascuntur enim omnes his qui libere vera illis dicunt. Verum ego, quantum ejus potuero, causam apud illum dicam, et pro me, et pro arte.

8. Ac primum a lege incipiam, ex qua abdicare me vult, ut sciat non jam similem esse ipsi ut prius potestatem.

οὖσαν αὐτῷ νῦν τε καὶ πρότερον τὴν ἐξουσίαν. Οὐ γὰρ ἅπασιν, ὦ πάτερ, ὁ νομοθέτης οὐδὲ πάντας υἱέας οὐδὲ ὁσάκις ἂν ἐθέλωσιν ἀποκηρύττειν συγκεχώρηκεν οὐδ' ἐπὶ πάσαις αἰτίαις, ἀλλ' ὥσπερ τοῖς πατράσι τὰ τηλικαῦτα ὀργίζεσθαι ἐφῆκεν, οὕτω καὶ τῶν παίδων προὐνόησεν, ὡς μὴ ἀδίκως αὐτὸ πάσχωσι· καὶ διὰ τοῦτο οὐκ ἐλευθέραν ἐφῆκε γίγνεσθαι οὐδ' ἄκριτον τὴν τιμωρίαν, ἀλλ' ἐς δικαστήριον ἐκάλεσε καὶ δοκιμαστὰς ἐκάθισε τοὺς μήτε πρὸς ὀργὴν μήτε πρὸς διαβολὴν τὸ δίκαιον κρινοῦντας· ᾔδει γὰρ πολλοῖς πολλάκις ἀλόγους αἰτίας ὀργῆς παρισταμένας, καὶ τὸν μὲν ψευδεῖ τινι διαβολῇ πειθόμενον, τὸν δὲ οἰκέτῃ πιστεύοντα ἢ γυναίῳ ἐχθρῷ. Οὔκουν ἠγεῖτο ἀδίκαστον γίγνεσθαι τὸ πρᾶγμα οὐδ' ἐξ ἐρήμης τοὺς παῖδας εὐθὺς ἁλίσκεσθαι, ἀλλὰ καὶ ὕδωρ ἐγχεῖται καὶ λόγος ἀποδίδοται καὶ ἀνεξέταστον οὐδὲν καταλείπεται.

9. Ἐπεὶ τοίνυν ἔξεστι, καὶ τοῦ μὲν ἐγκαλεῖν μόνου ὁ πατὴρ κύριος, τοῦ κρῖναι δὲ, εἰ εὔλογα αἰτιᾶται, ὑμεῖς οἱ δικάζοντες, αὐτὸ μὲν ἅ μοι ἐπιφέρει καὶ ἐφ' ᾧ νῦν ἀγανακτεῖ, μηδέπω σκοπεῖτε, πρότερον δ' ἐκεῖνο ἐξετάσατε, εἰ ἔτι δοτέον ἀποκηρύττειν αὐτῷ ἅπαξ ἀποκηρύξαντι καὶ χρησαμένῳ τῇ παρὰ τοῦ νόμου ἐξουσίᾳ καὶ ἀποπληρώσαντι τὴν πατρικὴν ταύτην δυναστείαν, εἶτ' αὖθις ἀναλαβόντι καὶ λύσαντι τὴν ἀποκήρυξιν. Ἐγὼ μὲν γὰρ ἀδικώτατον εἶναί φημι τὸ τοιοῦτον, ἀπεράντους γίγνεσθαι τῶν παίδων τὰς τιμωρίας καὶ πολλὰς τὰς καταδίκας καὶ τὸν φόβον ἀΐδιον καὶ τὸν νόμον ἄρτι μὲν συνοργίζεσθαι, μετὰ μικρὸν δὲ λύεσθαι καὶ πάλιν ὁμοίως ἰσχυρὸν εἶναι, καὶ ὅλως ἄνω καὶ κάτω στρέφεσθαι τὰ δίκαια πρὸς τὸ ἐπὶ καιροῦ δοκοῦν πατράσιν. Ἀλλὰ τὸ μὲν πρῶτον ἄξιον ἐφιέναι καὶ ἀγανακτοῦντι συναγανακτεῖν καὶ κύριον τῆς τιμωρίας ποιεῖν τὸν γεγεννηκότα, ἢν δ' ἅπαξ ἀναλώσῃ τὴν ἐξουσίαν καὶ καταχρήσηται τῷ νόμῳ καὶ ἐμπλησθῇ τῆς ὀργῆς, εἶτα μετὰ ταῦτα ἀναλάβῃ χρηστὸν εἶναι μεταπεισθείς, ἐπὶ τούτων ἀνάγκη μένειν καὶ μηκέτι μεταπηδᾶν μηδὲ μεταβουλεύεσθαι μηδὲ μεταποιεῖν τὴν κρίσιν· τοῦ μὲν γὰρ τὸν γεννηθέντα πονηρὸν ἢ χρηστὸν ἀποβήσεσθαι οὐδὲν, οἶμαι, γνώρισμα ἦν, καὶ διὰ τοῦτο τοὺς ἀναξίους τοῦ γένους παραιτεῖσθαι συγκεχώρηται τοῖς ὅτε ἠγνόουν ἀναθρεψαμένοις.

10. Ὅταν δὲ μὴ κατ' ἀνάγκην, ἀλλ' ἐπ' ἐξουσίας αὐτός τις ἀφ' ἑαυτοῦ καὶ δοκιμάσας ἀναλάβῃ, τίς ἔτι μηχανὴ μεταβάλλεσθαι, ἢ τίς ἔτι χρῆσις ὑπόλοιπος τοῦ νόμου; Φαίη γὰρ ἂν πρὸς σὲ ὁ νομοθέτης, Εἰ πονηρὸς οὗτος ἦν καὶ τοῦ ἀποκηρυχθῆναι ἄξιος, τί παθὼν ἀνεκάλεις; τί δ' αὖθις ἐπανῆγες ἐς τὴν οἰκίαν; τί δ' ἔλυες τὸν νόμον; ἐλεύθερος γὰρ ἦσθα καὶ τοῦ μὴ ποιεῖν ταῦτα κύριος. Οὐ γὰρ δὴ ἐντρυφᾶν σοι δοτέον τοῖς νόμοις οὐδὲ πρὸς τὰς σὰς μεταβολὰς συνάγεσθαι τὰ δικαστήρια οὐδὲ ἄρτι μὲν λύεσθαι, ἄρτι δὲ κυρίους εἶναι τοὺς νόμους, καὶ τοὺς δικαστὰς καθῆσθαι μάρτυρας, μᾶλλον δὲ ὑπηρέτας τῶν σοὶ δοκούντων ὁτὲ μὲν κολάζοντας, ὁτὲ δὲ διαλλάττοντας, ὁπόταν σοι δοκῇ. Ἅπαξ γεγέννη-

Non enim, pater, omnibus, neque omnes filios, neque quotics voluerint, abdicare legislator concessit, neque omnibus de causis : sed quemadmodum patribus sic irasci permisit, ita etiam filiis, ne injuste hoc patiantur, prospexit. Ac propterea non liberam esse permisit nec sine judicio pœnam, sed ad tribunal eos vocavit, et æstimatores sedere jussit, neque ad iram, neque ad calumniam quid justum sit examinaturos. Norat enim multis sæpe irrationabiles iræ causas inesse, et alium mendaci cuidam calumniæ fidem habere, alium servo credere, aut mulierculæ inimicæ. Quare voluit non sine judicio hoc negotium transigi, neque inauditos filios statim damnari, sed aqua illis quoque infunditur et causæ dictio datur, et nihil non examinatum relinquitur.

9. Quandoquidem igitur licet, et accusationem solam in potestate habet pater, judicium vero, an cum ratione accuset, vestrum est, judices : ipsum quidem quod mihi objicit, et de quo nunc indignatur, nondum considerate : prius vero illud exquirite, sitne concedendum iterum illi abdicare, qui semel jam abdicaverit et potestate legis sit usus, illudque patrium imperium expleverit, deinde vero rursus receperit abdicationemque resciderit. Equidem injustissimum esse tale quid aio, infinitas sic fieri filiorum pœnas, et condemnationes multas, et metum perpetuum, et legem nunc quidem adjuvare iras, paullo post autem solvi, et rursus æque valere, atque omnino sursum deorsum jura verti, prout quoque tempore videatur patribus. Sed primo quidem æquum est permittere aliquid et in partem indignationis venire et puniendi potestatem tribuere ei qui genuit : quum vero semel consumserit potestatem, quum lege abusus fuerit, quum satiatus ira, deinde post hæc receperit, bonum esse contra priorem sententiam persuasus : in his jam necessario manendum, nec transiliendum amplius, neque mutandum consilium, neque judicium retractandum. Utrum enim filius malus, an bonus futurus esset, signo, opinor, nullo poterat dignosci : ac propterea indignos familia reprobare concessum est iis, qui tum quum ignorarent, aluere.

10. Ubi vero non necessitate quadam, sed libera potestate et suopte judicio aliquis filium probavit et recepit; quinam modus superest mutandi sententiam, aut qui legis usus ei est relictus? Dixerit enim ad te legislator : Si malus hic fuit et abdicari dignus, quid tibi in mentem venit ut revocares? quid rursus reduxisti in domum? quid legem rescidisti? liber enim eras, integrum tibi erat hoc non facere. Neque enim concedendum tibi est ut ad animi tui libidinem utaris legibus, neque ut ad tuas inconstantias circumagas judicia; neque ut nunc abrogentur, nunc valeant leges; et judices sedeant testes, vel ministri potius eorum quæ tibi placent, modo punientes, modo reconciliantes, prout tibi visum

κας, ἅπαξ ἀνατέτροφας, ἅπαξ καὶ τὸ ἀποκηρύττειν ἀντὶ τούτων ἔχεις, καὶ τότε, ἢν δικαίως αὐτὸ ποιεῖν δοκῇς· τὸ δ' ἄπαυστον τοῦτο καὶ ἀίδιον καὶ πολὺ καὶ ῥᾴδιον μεῖζον ἤδη τῆς πατρικῆς ἐστιν ἐξουσίας.

11. Μὴ δὴ, πρὸς Διὸς, ὦ ἄνδρες δικασταὶ, συγχωρήσητε αὐτῷ ἑκούσιον τὴν ἀνάληψιν πεποιημένῳ καὶ λύσαντι τὴν γνῶσιν τοῦ πάλαι δικαστηρίου καὶ ἀκυρώσαντι τὴν ὀργὴν αὖθις τὴν αὐτὴν τιμωρίαν ἀνακαλεῖν καὶ ἐπὶ τὴν ἐξουσίαν τὴν πατρικὴν ἀνατρέχειν, ἧς ἔξωρος ἤδη καὶ ἔωλος ἡ προθεσμία, καὶ μόνῳ τούτῳ ἄκυρος καὶ προδεδαπανημένη· ὁρᾶτε γάρ που καὶ ἐν τοῖς ἄλλοις δικαστηρίοις ὡς ἀπὸ μὲν τῶν κλήρῳ λαχόντων δικαστῶν, ἤν τις ἄδικον οἴηται γεγενῆσθαι τὴν κρίσιν, δίδωσιν ὁ νόμος εἰς ἕτερον ἐφεῖναι δικαστήριον· ἢν δέ τινες ἑκόντες αὐτοὶ συνθῶνται δικασταὶς καὶ προελόμενοι ἐπιτρέψωσι διαιτᾶν, οὐκέτι. Οἷς γὰρ ἐξῆν μηδὲ τὴν ἀρχὴν ἐμμένειν, εἰ τούτους τις αὐθαίρετος εἵλετο, στέργειν ἐστὶ δίκαιος τοῖς ἐγνωσμένοις. Οὕτω δὴ καὶ σὺ, ὃν ἐξῆν μηκέτ' ἀναλαμβάνειν, εἴ σοι ἀνάξιος ἐδόκει τοῦ γένους, τοῦτον εἰ χρηστὸν ἡγησάμενος εἶναι πάλιν ἀνείληφας, οὐκέτ' ἀποκηρύττειν ἔξεις· ὅτι γὰρ οὐκ ἄξιος αὖθις παθεῖν ταῦτα, ὑπ' αὐτοῦ σοῦ μεμαρτύρηται καὶ χρηστὸς ἤδη ἀνωμολόγηται. Ἀμετανόητον οὖν τὴν ἀνάληψιν καὶ τὴν διαλλαγὴν βέβαιον εἶναι προσήκει μετὰ κρίσιν οὕτω πολλὴν καὶ δύο δικαστήρια, ἓν μὲν τὸ πρῶτον, ἐφ' οὗ παρῃτήσω, δεύτερον δὲ τὸ σὸν, ὅτε μετεβουλεύσω καὶ ἀνάδαστον ἐποίησας· τὰ πρότερον ἐγνωσμένα λύσας βεβαιοῖς τὰ μετ' ἐκεῖνα βεβουλευμένα. Μένε τοίνυν ἐπὶ τῶν τελευταίων καὶ φύλαττε τὴν σαυτοῦ κρίσιν, πατέρα σε εἶναι δεῖ· τοῦτο γὰρ ἔδοξέ σοι, τοῦτ' ἐδοκίμασας, τοῦτ' ἐκύρωσας.

12. Ἐγὼ μὲν οὐδ' εἰ μὴ φύσει παῖς ἦν, θέμενος δὲ ἀποκηρύττειν ἤθελες, ἐξεῖναί σοι ἂν ᾠόμην· ὃ γὰρ τὴν ἀρχὴν μὴ ποιεῖν δυνατὸν ἦν, τοῦτ' ἄδικον λύειν ἅπαξ γενόμενον. Τὸν δὲ καὶ φύσει καὶ αὖθις προαιρέσει καὶ γνώμῃ εἰσπεποιημένον, πῶς εὔλογον αὖθις ἀπωθεῖσθαι καὶ πολλάκις τῆς μιᾶς οἰκειότητος ἀποστερεῖν; Εἰ δ' οἰκέτης ὢν ἐτύγχανον, καὶ τὸ μὲν πρῶτον πονηρὸν οἰόμενος ἐπέδησας, μεταπεισθεὶς δὲ ὡς οὐδὲν ἠδίκουν, ἐλεύθερον ἀφῆκας εἶναι, ἆρ' ἂν σοι πρὸς καιρὸν ὀργισθέντι αὖθις ἐξῆν ἐς τὴν ὁμοίαν δουλείαν ἐπανάγειν; οὐδαμῶς. Τὰ γὰρ τοιαῦτα βέβαια καὶ διὰ παντὸς κύρια ὑπάρχειν οἱ νόμοι ἀξιοῦσιν. Ὑπὲρ μὲν οὖν τοῦ μηκέτι ἐξεῖναι τούτῳ ἀποκηρύττειν ὃν ἅπαξ ἀποκηρύξας ἐκὼν ἀνέλαβεν, ἔτι πολλὰ εἰπεῖν ἔχων ὅμως παύσομαι.

13. Σκέψασθε δὲ ἤδη ὅντινα ὄντα με καὶ ἀποκηρύξει· καὶ οὐ δή που τοῦτό φημι, ὡς τότε μὲν ἰδιώτην, νῦν δ' ἰατρόν· οὐδὲν γὰρ ἂν πρὸς τοῦτο ἡ τέχνη συναγωνίσαιτο· οὐδ' ὅτι τότε μὲν νέον, νῦν δὲ ἤδη καὶ προβεβηκότα καὶ τὸ πιστὸν τοῦ μηδὲν ἀδικῆσαι ἂν παρὰ τῆς ἡλικίας ἔχοντα· μικρὸν γὰρ ἴσως καὶ τοῦτο. Ἀλλὰ τότε μὲν, εἰ καὶ μηδὲν ἠδικημένος, ὡς ἂν ἔγωγε φαίην, ἀλλ' οὐδ' εὖ πεπονθὼς παρῃτεῖτο τῆς οἰκίας, νῦν δὲ σωτῆρα ἴναγχος καὶ εὐεργέτην γεγενημένον, οὗ τί γένοιτ' ἂν

fuerit. Semel genuisti, aluisti semel, semel etiam abdicandi pro his potestatem habes, idque tum, si juste illud videaris facere: illud autem indesinenter facere et perpetuo, et sæpe, et temere, majus jam est patria potestate.

11. Nolite sane, obsecro, judices, concedere illi, postquam sponte receptionem fecit et superioris judicii cognitionem reddidit irritam et iram suam retractavit, ut eandem rursus pœnam revocet et ad patriam potestatem recurrat, cujus jam tempus illi præteriit et olim dies elapsus est, quæque illo solo actu vim suam amisit et consumta est. Nam videtis fere in ceteris etiam judiciis, ut a judicibus sortitione lectis, si quis injustum factum putet judicium, permittat lex ad aliud provocare et abire tribunal: sin aliqui ultro sibi judices statuerint et delectis a se permiserint arbitrium, non jam hoc concedat. Quibus enim initio licebat non stare, hos si quis sua sponte legerit, justum est eorum illum cognitione contentum esse. Ita sane tu etiam, quem licebat non iterum recipere, si indignus genere tibi videbatur; hunc si, bonum arbitratus esse, denuo recepisti, non jam poteris abdicare. Non enim dignum esse qui ista denuo a te patiatur, tu ipse testatus et bonum jam esse confessus es. Quare receptionem pœnitentiæ non jam subjectam, sed ratam conciliationem esse convenit post multum adeo judicium et duo tribunalia, unum prius illud, quo me ejecisti, alterum tuum ipsius, quum mutato consilio irritum prius illud fecisti. Quum priora decreta rescindis, firmas quæ post ea deliberasti. Mane ergo in ultimis ac tuere judicium tuum: patrem te esse oportet; ita enim ipsi tibi placuit, hoc probasti, hoc sanxisti.

12. Ego ne tum quidem, si non natura essem filius, sed adoptatum me abdicare velles, licere tibi hoc putarem. Quod enim initio non facere licebat, illud, ubi semel factum, dissolvere iniquum est. Illum autem qui natura, deinde rursus voluntate et sententia tua in domum ascitus est, quomodo rationabile est rursus expellere et uno familiæ jure privare sæpius? Si vero servus fuissem, tuque primo, malum me putans, vinxisses, ac deinde mutata persuasione arbitratus nihil me injustum egisse, liberum dimisisses; numquid tibi aliquando irato liceret in similem me servitutem retrahere? Minime: hæc talia enim firma et perpetuo rata esse leges jubent. De eo igitur, quod non liceat isti abdicare quem semel a se abdicatum sponte receperit, licet multa adhuc quæ dicam supersint, tamen desinam.

13. Videte autem nunc, qualem me hominem abdicatum eat. Et nondum hoc dico, tum imperitum, jam vero medicum; nihil enim ad hanc rem ars juverit: neque, tum juvenem, nunc autem jam provectum, qui ab ipsa jam ætate argumentum habeam, injuriam me non temere facere: parvum enim fortasse hoc etiam fuerit. Verum illo tempore, licet injuria nulla læsus, ut equidem dixerim, tamen nec auctus beneficio, domo me exclusit: jam vero servatorem recens et bene de se meritum, quo quid fieri possit ingra-

ἀχαριστότερον, σωθέντα δι' ἐμὲ καὶ τηλικοῦτον κίνδυνον διαπεφευγότα τοῖς τοιούτοις εὐθὺς ἀμείβεσθαι τῆς θεραπείας ἐκείνης οὐδένα λόγον ἔχοντα, ἀλλ' οὕτωσὶ ῥᾳδίως ἐπιλελῆσθαι καὶ ἐπὶ τὴν ἐρημίαν ἐλαύνειν τὸν ἐφησθέντ' ἂν δικαίως ἐφ' οἷς ἀδίκως ἐξεβέβλητο, μὴ μόνον οὐ μνησικακήσαντα, ἀλλὰ καὶ σώσαντα καὶ σωφρονεῖν παρασκευάσαντα;

14. Οὐ γὰρ σμικρὸν, ὦ ἄνδρες δικασταὶ, οὐδὲ τὸ τυχὸν εὖ πεποιηκὼς αὐτὸν ὅμως τῶν τοιούτων νῦν ἀξιοῦμαι. Ἀλλ' εἰ καὶ οὗτος ἀγνοεῖ τὰ τότε, πάντες ὑμεῖς ἴστε οἷα ποιοῦντα αὐτὸν καὶ πάσχοντα καὶ ὅπως διακείμενον ἐγὼ παραλαβὼν, τῶν μὲν ἄλλων ἰατρῶν ἀπεγνωκότων, τῶν δ' οἰκείων φευγόντων καὶ μηδὲ πλησίον προσιέναι τολμώντων, τοιοῦτον ἀπέφηνα, ὡς καὶ κατηγορεῖν δύνασθαι καὶ περὶ τῶν νόμων διαλέγεσθαι. Μᾶλλον δὲ ὅρᾷς, ὦ πάτερ, τὸ παράδειγμα· τοιοῦτον ὄντα σε παρ' ὀλίγον οἷα νῦν ἡ γυνή ἐστι, πρὸς τὴν ἀρχαίαν φρόνησιν ἐπανήγαγον. Οὐ δὴ δίκαιον, τοιαύτην μοι γενέσθαι τὴν ἀμοιβὴν ἀντ' ἐκείνων οὐδὲ κατ' ἐμοῦ σε μόνου σωφρονεῖν, ὅτι γὰρ μὴ μικρὰ ὑπ' ἐμοῦ εὐηργέτησαι καὶ ἀπ' αὐτῶν ὧν ἐγκαλεῖς δῆλόν ἐστιν· ὃν γὰρ ὡς ἐν ἐσχάτοις οὖσαν τὴν γυναῖκα καὶ παμπονήρως ἔχουσαν οὐκ ἰώμενον μισεῖς, πῶς οὐ πολὺ μᾶλλον, ὅτι σε τῶν ὁμοίων ἀπήλλαξα, ὑπεραγαπᾷς καὶ χάριν ὁμολογεῖς τῶν οὕτω δεινῶν ἀπηλλαγμένος; Σὺ δὲ, ὅπερ ἀγνωμονέστατον, σωφρονήσας εὐθὺς εἰς δικαστήριον ἄγεις καὶ σεσωσμένος κολάζεις καὶ ἐπὶ τὸ ἀρχαῖον ἐκεῖνο μῖσος ἀνατρέχεις καὶ τὸν αὐτὸν ἀναγιγνώσκεις νόμον. Καλὸν γοῦν τὸν μισθὸν ἀποδίδως τῇ τέχνῃ καὶ ἀξίας ἀμοιβὰς τῶν φαρμάκων ἐπὶ τὸν ἰατρὸν ὑγιαίνων μόνον.

15. Ὑμεῖς δὲ, ὦ ἄνδρες δικασταὶ, τὸν εὐεργέτην τούτῳ κολάζειν ἐπιτρέψετε καὶ τὸν σώσαντα ἐξελαύνειν καὶ τὸν σωφρονίσαντα μισεῖν καὶ τὸν ἀναστήσαντα τιμωρεῖσθαι; οὐκ, ἦν γε τὰ δίκαια ποιῆτε. Καὶ γὰρ εἰ τὰ μέγιστα νῦν ἁμαρτάνων ἐτύγχανον, ἦν μοί τις οὐ μικρὰ προοφειλομένη χάρις, εἰς ἣν ἀποβλέποντα τοῦτον καὶ ἧς μεμνημένον καλῶς εἶχε τῶν μὲν παρόντων καταφρονεῖν, δι' ἐκεῖνα δὲ πρόχειρον τὴν συγγνώμην ἔχειν, καὶ μάλιστα εἰ τηλικαύτη τις ἡ εὐεργεσία τυγχάνοι, ὡς πάντα ὑπερπαίειν τὰ μετὰ ταῦτα. Ὅπερ οἶμαι κἀμοὶ πρὸς τοῦτον ὑπάρχειν, ὃν ἔσωσα, καὶ ὃς τοῦ βίου παντὸς χρεώστης ἔστι μοι, καὶ ᾧ τὸ εἶναι καὶ τὸ σωφρονεῖν καὶ τὸ συνιέναι παρέσχημαι, καὶ μάλιστα ὅτε οἱ ἄλλοι πάντες ἤδη ἀπεγνώκεσαν καὶ ἥττους εἶναι ὡμολόγουν τῆς νόσου.

16. Τοῦτο γὰρ μεῖζω οἶμαι ποιεῖν τὴν ἐμὴν εὐεργεσίαν, ὃς οὔτε υἱὸς ὢν τότε οὔτε ἀναγκαίαν τῆς θεραπείας ἔχων αἰτίαν, ἀλλ' ἐλεύθερος καθεστὼς καὶ ἀλλότριος, τῆς φυσικῆς αἰτίας ἀφειμένος, ὅμως οὐ περιεῖδον, ἀλλ' ἐθελοντὴς, ἄκλητος, αὐτεπάγγελτος ἦκον, ἐβοήθησα, προσελιπάρησα, ἰασάμην, ἀνέστησα καὶ τὸν πατέρα ἐμαυτῷ διεφύλαξα καὶ ὑπὲρ τῆς ἀποκηρύξεως ἀπελογησάμην καὶ τῇ εὐνοίᾳ τὴν ὀργὴν ἔπαυσα καὶ τὸν νόμον ἔλυσα τῇ φιλοστοργίᾳ καὶ μεγάλης εὐεργεσίας τὴν εἰς τὸ

tius? servatum mea opera, tali superato periculo, talem statim mercedem persolvere, nulla curationis illius ratione habita; sed ita facile oblivisci et in solitudinem abigere eum, qui quum jure lætari potuisset malis pro injusta ejectione, non solum memoriam injuriæ abjecit, verum salutem etiam præstitit et sanitatem.

14. Neque enim parvum est, judices, neque quotidianum beneficium, quo affeci illum, qui talibus nunc pœnis me dignum censet. Sed etsi forte iste ignorat quæ tum acta sunt; at vos nostis omnes, qualia agentem illum et patientem, et quomodo affectum, ego illum receperim, desperantibus reliquis medicis, familiaribus autem fugientibus, ac ne prope quidem accedere ausis, ac talem reddiderim, qui etiam accusare possit et de legibus disputare. Potius hoc dicam: vides, pater, tui status specimen: talis propemodum quum esses, qualis nunc mater est, ad pristinam te mentem revocavi. Non igitur justum est eam mihi pro illis mercedem tribui, teque contra me solum sapere. Minime enim parvum tibi beneficium a me tributum esse, ex ipsa tua accusatione manifestum est. Quem enim odio jam habes, qui non sanem uxorem tuam cum extremis conflictantem malis et pessime omnino habentem, cur non multo potius vehementer amas, quod similibus te liberavi, et gratiam habes tantis malis solutus? Tu vero, quod ingratissimum, recepta mente statim trahis ad tribunal, et servatus punis, et ad antiquum illud odium recurris, et legem eandem recitas. Præclaram igitur arti mercedem exsolvis, et digna medicamentorum præmia, qui contra solum medicum sapias.

15. Vos autem, judices, huic permittetis punire bene de se meritum, servatorem expellere, sanæ mentis restitutorem odisse, afficere supplicio qui jacentem erexit? Minime, si quidem juste agatis. Etenim si maxima nunc peccata commisissem, erat quæ ante deberetur mihi gratia non parva, ad quam iste respiciens, cujus recordatus jure meritoque præsentia contemneret, in promtu propter ista haberet veniam: maxime vero, si tale tantumque sit beneficium, ut longe ea, quæ post facta sunt, superet. Quod quidem apud istum mihi ita se habere arbitror, quem servaverim, qui vitam mihi ipsam debeat, cui quod est, quod sapit, quod intelligit, ego præstiterim, idque eo maxime tempore, quum reliqui omnes spem abjecissent seque impares morbo fassi essent.

16. Illa enim re augeri beneficium meum existimo, quod neque filius eo tempore, neque necessariam habens curationis causam, sed in libertate constitutus, alienus, naturali necessitudine solutus, tamen non neglexi patrem; sed sponte, invocatus, meo ipsius instinctu veni, opem tuli, assiduus fui, sanavi, excitavi, patrem servavi mihi, causam de abdicatione dixi, iram illius mea benevolentia sedavi, legem dissolvi pietate, magnoque beneficio reditum in familiam redemi, atque ancipiti adeo

γένος ἐπάνοδον ἐπριάμην καὶ ἐν οὕτως ἐπισφαλεῖ καιρῷ τὴν πρὸς τὸν πατέρα πίστιν ἐπεδειξάμην καὶ μετὰ τῆς τέχνης ἐμαυτὸν εἰσεποίησα καὶ γνήσιος υἱὸς ἐν τοῖς δεινοῖς ἀνεφάνην. Πόσα γὰρ οἴεσθε παθεῖν με, πόσα καμεῖν παρόντα, ὑπηρετοῦντα, καιροφυλακοῦντα, νῦν μὲν εἴκοντα τῇ τοῦ πάθους ἀκμῇ, νῦν δὲ τὴν τέχνην ἐπάγοντα πρὸς ὀλίγον ἐνδιδόντος τοῦ κακοῦ; ἔστι δὲ τῶν ὄντων ἁπάντων τούτων ἐν τῇ ἰατρικῇ τὸ ἐπισφαλέστατον, τοὺς τοιούτους ἰᾶσθαι καὶ πλησιάζειν οὕτω διακειμένοις· ἐς γὰρ τοὺς πλησίον πολλάκις ἀφιᾶσι τὴν λύτταν ἐπιζέσαντος τοῦ πάθους. Καὶ ὅμως πρὸς οὐδὲν τούτων ἀπώκνησα οὐδ' ἀπεδειλίασα, συνὼν δὲ καὶ πάντα τρόπον ἀντεξεταζόμενος τῇ νόσῳ τὸ τελευταῖον ἐκράτησα τῷ φαρμάκῳ.

17. Μὴ γὰρ τοῦτ' ἀκούσας εὐθὺς ὑπολάβοι τις, ποῖος δὲ ἢ πόσος ὁ κάματος ἐγχέαι φάρμακον; πολλὰ γὰρ πρὸ τούτου γενέσθαι δεῖ καὶ προοδοποιῆσαι τῇ πόσει καὶ προπαρασκευάσαι ῥᾴδιον εἰς ἅπασιν τὸ σῶμα καὶ τῆς ἁπάσης ἕξεως φροντίσαι κενοῦντα καὶ ἰσχναίνοντα καὶ οἷς χρὴ τρέφοντα καὶ κινοῦντα εἰς ὅσον χρήσιμον καὶ ὕπνους ἐπινοοῦντα καὶ ἠρεμίας μηχανώμενον, ᾧπερ οἱ μὲν ἄλλο τι νοσοῦντες ῥᾳδίως πεισθεῖεν ἄν, οἱ μεμηνότες δὲ διὰ τὴν ἐλευθερίαν τοῦ νοῦ δυσάγωγοι καὶ δυσηνιόχητοι καὶ τῷ ἰατρῷ ἐπισφαλεῖς καὶ τῇ θεραπείᾳ δυσκατα-γώνιστοι. Ὅταν γοῦν πολλάκις ποιήσωμεν ἤδη πλησίον γενέσθαι τοῦ τέλους καὶ ἐλπίσωμεν, ἐμπεσόν τι μικρὸν ἁμάρτημα, ἐπακμάσαντος τοῦ πάθους ἅπαντα ῥᾳδίως ἐκεῖνα ἀνέτρεψε καὶ ἀνεπόδισε τὴν θεραπείαν καὶ τὴν τέχνην διέσφηλε.

18. Τὸν οὖν ταῦτα πάντα ὑπομεμενηκότα καὶ οὕτω χαλεπῷ νοσήματι προσπαλαίσαντα καὶ πάθος ἁπάντων παθῶν τὸ δυσαλωτότατον νενικηκότα ἔτι τούτῳ ἀποκηρύττειν ἐπιτρέψετε, καὶ τοὺς νόμους ὡς βούλεται ἑρμηνεύειν κατ' εὐεργέτου συγχωρήσετε καὶ τῇ φύσει πολεμεῖν αὐτὸν ἐάσετε; Ἐγὼ τῇ φύσει πειθόμενος, ὦ ἄνδρες δικασταί, σώζω καὶ διαφυλάττω τὸν πατέρα ἐμαυτῷ, κἂν ἀδικῇ· οὑτοσὶ δὲ τὸν εὐηργετηκότα παῖδα τοῖς νόμοις, ὥς φησιν, ἀκολουθῶν διαφθείρει καὶ τοῦ γένους ἀποστερεῖ. Μισόπαις οὗτος, ἐγὼ φιλοπάτωρ γίγνομαι· ἐγὼ τὴν φύσιν ἀσπάζομαι, οὗτος τὰ τῆς φύσεως παρορᾷ καὶ καθυβρίζει. Ὦ πατρὸς μισοῦντος ἀδίκως· ὦ παιδὸς φιλοῦντος ἀδικώτερον. Ἐγκαλῶ γὰρ ἐμαυτῷ, τοῦ πατρὸς ἀναγκάζοντος ὅτι μισούμενος οὐ δέον φιλῶ καὶ φιλῶ πλέον ἢ προσῆκε. Καίτοι γε ἡ φύσις τοῖς πατράσι τοὺς παῖδας μᾶλλον ἢ τοῖς παισὶ τοὺς πατέρας ἐπιτάττει φιλεῖν. Ἀλλ' οὗτος ἑκὼν καὶ τοὺς νόμους παρορᾷ, οἳ τοὺς οὐδὲν ἠδικηκότας παῖδας τῷ γένει φυλάττουσι, καὶ τὴν φύσιν, ἣ τοὺς γεννήσαντας ἕλκει πρὸς πόθον τῶν γεγεννημένων πολύν, οὐχ ὅπως μείζους ἀρχὰς εὐνοίας ἔχων πρὸς ἐμὲ μείζονα τὰ δίκαιά μοι τῆς εὐνοίας εἰσφέρει καὶ ἐπιδίδωσιν, ἢ τό γε ἔλαττον ἐμὲ μιμεῖται καὶ ζηλοῖ τοῦ φίλτρου· ἀλλ', οἶμοι τῆς συμφορᾶς, προσέτι καὶ μισεῖ φιλοῦντα καὶ ἀγαπῶντα ἐλαύνει καὶ εὐεργετοῦντα ἀδικεῖ καὶ ἀσπαζόμενον ἀποκηρύττει καὶ τοὺς

tempore ostendi meam in parentem fidem, et una cum arte me ipsum quasi adoptavi, germanumque me filium in magno discrimine exhibui. Quæ enim subiisse me putatis? quantum laborasse præsentem, ministrantem, tempora observantem omnia, quum nunc viribus summis morbi concederem, nunc remittenti aliquantum malo artem opponerem? Est autem omnium in medicina hoc periculosissimum, curare tales, et ad ita constitutos accedere: sæpe enim in proximos quosque rabiem, effervescente morbo, emittunt. Ego tamen ad nihil horum vel operam remisi, vel despondi animum: sed congrediens et omni modo contra morbum decertans, medicamento tandem illum expugnavi.

17. Noli enim, si quis ista audis, statim putare, Qualis aut quantus labor est infundere medicamentum? Multa enim ante hoc fieri oportet, et viam munire potioni; et parare habile ad curationem corpus, et habitus totius habere rationem, evacuando, extenuando, iis quibus oportet nutriendo, et movendo quantum utile est, et somno parando, et machinanda quiete, ad quæ morbo laborantes alio facile inducantur, furiosi autem propter mentis licentiam duci regique difficiles sunt, periculosi medico et curationi vix superabiles. Quum enim sæpe effecimus ut prope finem simus, quum speramus: incidens parvulum quoddam peccatum, ingravescente denuo morbo, omnia illa facile evertit, retro egit curationem, artem dejecit.

18. Eum igitur, qui illa omnia sustinuit, qui cum gravi adeo ægritudine conflictatus est, qui morbum morborum omnium superatu difficillimum vicit, isti adhuc abdicare permittetis, et pro sua libidine interpretari leges contra optime de se meritum patiemini, et contra ipsam pugnare naturam sinetis? Ego naturæ obsecutus, judices, servo et custodio mihi patrem, etiam si injuriam ipse mihi faciat: at hic filium a quo beneficium accepit, legibus, ut ait, obtemperans, perdit et genere privat. Liberorum osor hic est, amans ego patris; ego amplector naturam, hic naturæ vim despicit et jus ejus contumeliose conculcat. Vah patrem injuste odio habentem! vah filium amantem etiam injustius! Me enim ipsum accuso, patre ita cogente, qui exosus præter officium amem, et magis amem quam convenit: quanquam patribus magis injungat amare liberos, quam hisce patres. Sed iste ultro et leges despicit, quæ liberos nullius injuriæ reos servant generi, et naturam, quæ parentes ad vehementem eorum qui nati sunt amorem trahit; tantum abest ut, quum majores habeat benevolentiæ erga me causas, majora etiam justæ benevolentiæ officia mihi tribuat addatque; aut certe me imitetur, et amoris mei se præbeat æmulum: sed, heu calamitatem! insuper etiam odit amantem, et diligentem exigit, et bene merentem afficit injuria, et amplectentem abdicat, et leges

φιλόπαιδας νόμους ὡς μισόπαιδας κατ' ἐμοῦ μεταχειρίζεται. Ὦ μάχης, ἣν εἰσάγεις, πάτερ, τοῖς νόμοις κατὰ τῆς φύσεως.

19. Οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν ὡς θέλεις· κακῶς ἑρμηνεύεις, ὦ πάτερ, καλῶς κειμένους τοὺς νόμους. Οὐ πολεμεῖ φύσις καὶ νόμος ἐν ταῖς εὐνοίαις, ἀλλ' ἀκολουθοῦσιν ἐνταῦθα ἀλλήλοις καὶ συναγωνίζονται τῇ λύσει τῶν ἀδικημάτων. Ὑβρίζεις τὸν εὐεργέτην, ἀδικεῖς τὴν φύσιν. Τί καὶ τοὺς νόμους συναδικεῖς τῇ φύσει; οὓς καλοὺς καὶ δικαίους καὶ φιλόπαιδας εἶναι θέλοντας οὐ συγχωρεῖς, καθ' ἑνὸς παιδὸς ὡς κατὰ πολλῶν κινῶν πολλάκις καὶ ἡσυχάζειν οὐκ ἐῶν ἐν ταῖς τιμωρίαις τοὺς ἐν ταῖς τῶν παίδων πρὸς τοὺς πατέρας εὐνοίαις ἡσυχάζειν ἐθέλοντας, καίτοι γε ἐπὶ τοῖς μηδὲν ἡμαρτηκόσι μηδὲ κειμένους. Καὶ μὴν οἵ γε νόμοι καὶ ἀχαριστίας δικάζεσθαι διδόασι κατὰ τῶν τοὺς εὐεργέτας μὴ ἀντ' εὖ ποιούντων. Ὁ δὲ πρὸς τῷ μὴ ἀμείβεσθαι καὶ ἐπ' αὐτοῖς οἷς εὖ πέπονθε κολάζειν ἀξιῶν, σκέψασθε εἴ τινα ὑπερβολὴν ἀδικίας ἀπολέλοιπεν. Ὡς μὲν οὖν οὔτε ἀποκηρύττειν ἔτι τούτῳ ἔξεστιν ἅπαξ ἤδη τὴν πατρικὴν ἐξουσίαν ἀποπληρώσαντι καὶ χρησαμένῳ τοῖς νόμοις οὔτε ἄλλως δίκαιον, εὐεργέτην εἰς τὰ τηλικαῦτα γεγενημένον ἀπωθεῖσθαι καὶ τῆς οἰκίας παραιτεῖσθαι, ἱκανῶς, οἶμαι, δέδεικται.

20. Ἤδη δὲ καὶ ἐπ' αὐτὴν τὴν αἰτίαν ἔλθωμεν τῆς ἀποκηρύξεως καὶ τὸ ἔγκλημα ἐξετάσωμεν ὁποῖόν ἐστιν. Ἀνάγκη δὲ αὖθις ἐπὶ τὴν γνώμην ἀναδραμεῖν τοῦ νομοθέτου. Ἵνα γάρ σοι τοῦτο πρὸς ὀλίγον δῶμεν, τὸ ἐξεῖναί σοι ὁσάκις ἂν ἐθέλῃς ἀποκηρύττειν, καὶ κατά γε τοῦ εὐεργέτου προσέτι τὴν ἐξουσίαν ταύτην συγχωρήσωμεν, οὐχ ἁπλῶς, οἶμαι, οὐδ' ἐπὶ πάσαις αἰτίαις ἀποκηρύξεις. Οὐδὲ τοῦθ' ὁ νομοθέτης φησὶν, ὅ τι ἂν τύχῃ ὁ πατὴρ αἰτιασάμενος, ἀποκηρυττέτω, καὶ ἀπόχρη θελῆσαι μόνον καὶ μέμψασθαι· τί γὰρ ἂν ἔδει δικαστηρίου; ἀλλ' ὑμῖν ποιεῖ τοῦτο, ὦ ἄνδρες δικασταὶ, σκοπεῖν εἴτε ἐπὶ μεγάλοις καὶ δικαίοις ὁ πατὴρ ὀργίζεται εἴτε καὶ μή. Οὐκοῦν τοῦτο ἤδη ἐξετάσατε. Ἄρξομαι δὲ ἀπὸ τῶν μετὰ τὴν μανίαν εὐθύς.

21. Τὰ μὲν δὴ πρῶτα τῆς σωφροσύνης τοῦ πατρὸς λύσις ἦν τῆς ἀποκηρύξεως, καὶ σωτὴρ καὶ εὐεργέτης καὶ πάντα ἦν ἐγώ. Καὶ οὐδὲν, οἶμαι, τούτοις ἔγκλημα προσεῖναι ἐδύνατο. Τὰ μετὰ ταῦτα δὲ τί τῶν πάντων αἰτιᾷ; τίνα θεραπείαν, τίνα ἐπιμέλειαν υἱοῦ παρῆκα; πότε ἀπόκοιτος ἐγενόμην; τίνας πότους ἀκαίρους, τίνας κώμους ἐγκαλεῖς; τίς ἀσωτία, τίς πορνοβοσκὸς ὕβρισται; τίς ἡτιάσατο; οὐδὲ εἷς. Καὶ μὴν ταῦτ' ἐστὶν ἐφ' οἷς μάλιστα ὁ νόμος ἀποκηρύττειν ἐφίησιν. Ἀλλὰ νοσεῖν ἤρξατο ἡ μητρυιά. Τί οὖν; ἐμοὶ ταῦτ' ἐγκαλεῖς καὶ νόσου δίκην ἀπαιτεῖς; οὐ, φησίν.

22. Ἀλλὰ τί; θεραπεύειν προσταττόμενος οὐκ ἐθέλεις, καὶ διὰ τοῦτ' ἄξιος ἂν εἴης ἀποκηρύξεως ἀπειθῶν τῷ πατρί. Ἐγὼ δὲ τὸ μὲν οἷα προστάττοντι αὐτῷ ὑπακούειν οὐ δυνάμενος ἀπειθεῖν δοκῶ πρὸς ὀλίγον ὑπερθήσομαι· πρότερον δ' ἁπλῶς ἐκεῖνό φημι, ὡς οὐ

liberis faventes, tanquam infensas liberis in me torquet. Vah pugnam, qua committis, pater, leges et naturam!

19. Non sunt, non sunt ista ut tu vis. Male interpretaris, pater, leges bene constitutas. Non pugnant natura et lex circa benevolentiam; sequuntur hac in re se invicem, et mutuo se dissolvendis injuriis adjuvant. Contumeliose tractas bene de te meritum: in naturam injurius es. Quid etiam leges una cum natura injuria complecteris? quas, bonæ, justæ, liberorum amantes esse quum velint, tales esse non concedis, quum eas contra unum filium, tanquam adversus plures, sæpius moveas, et quiescere non patiaris a pœnis eas, quæ in liberorum adversus patres benevolentia quiescere cupiunt, ne propositæ quidem iis qui nihil peccarunt. Et sane ingrati etiam animi judicium dant leges contra eos, qui bene de se meritis gratiam non retulere. Ille vero, qui, præterquam quod vicem non reddit, insuper propter ipsa quibus affectus est beneficia punire cupit, considerate si quem injuriæ excessum reliquerit. Quæ quum ita sint, neque integrum amplius isti esse abdicare, qui semel jam patriam potestatem expleverit et usus sit legibus; neque alioquin justum esse, bene in tantis rebus meritum rejici, et expelli domo, satis, puto, demonstratum est.

20. Jam vero ad ipsam quoque causam veniamus abdicationis, et crimen ipsum, quale sit, examinemus. Opus est vero rursus ad sententiam legislatoris recurrere. Ut enim tibi hoc ad parvum tempus demus, licere abdicare quoties velis, et contra bene meritum insuper hanc tibi potestatem concedamus: non tamen simpliciter, puto, neque omnibus de causis abdicabis. Neque hoc ait legislator, Quicquid accusaverit pater, abdicato, et sufficit velle tantum et insimulare (quid enim opus fuisset judicio?) sed vos, judices, jubet considerare, magnisne et justis de causis irascatur pater, an minus. Igitur hoc jam exquirite. Incipiam autem ab his quæ furorem statim consecuta sunt.

21. Primum quidem quod sanitate restituta egit pater, hoc fuit, quod abdicationem rescidit; tum servator, bene meritus, et omnia eram ego. Neque ullum in his crimen, puto, esse potuit. Eorum autem, quæ secuta sunt, omnium quid incusas? quem cultum, quam curam filii prætermisi? quando abnoctavi? quas compotationes intempestivas, quas comessationes accusas? quæ luxuria mea est? quis leno pulsatus? quis accusavit me? nemo unus. Atqui hæc sunt propter quæ maxime abdicare lex permittit. Sed ægrotare cœpit noverca. Quid igitur? me hoc nomine accusas? et morbi rationem a me repetis? Non, inquit.

22. Quid ergo? Quod curare eam jussus non vis: et propter hoc dignus fieris abdicatione, parere qui recuses patri. Ego vero, qualia præcipienti patri, quum obsequi non possim, obedientiam negare videar, disputare paullum differam: prius vero simpliciter illud dico, Neque isti lex

πάντα προστάττειν οὔτε τούτῳ δίδωσιν ὁ νόμος οὔτ' ἐμοὶ τὸ πείθεσθαι πᾶσι πάντως ἀναγκαῖον. Ἐν δ' οὖν τοῖς τῶν προσταγμάτων τὰ μὲν ἀνεύθυνά ἐστι, τὰ δ' ὀργῆς καὶ τιμωρίας ἄξια· ἐὰν νοσῇς αὐτὸς, ἐγὼ δὲ ἀμελῶ· ἐὰν τῶν κατ' οἶκον ἐπιμελεῖσθαι κελεύῃς, ἐγὼ δὲ ὀλιγωρῶ· ἐὰν τὰ κατ' ἀγρὸν ἐπισκοπεῖν προστάττῃς, ἐγὼ δὲ ὀκνῶ. Πάντα ταῦτα καὶ τὰ τούτοις ὅμοια εὐλόγους ἔχει τὰς προφάσεις καὶ τὰς μέμψεις πατρικάς· τὰ δ' ἄλλα ἐφ' ἡμῖν ἐστι τοῖς παισὶν, ὄντα τῶν τεχνῶν καὶ τῆς τούτων χρήσεως, καὶ μάλιστα, εἰ μηδὲν ὁ πατὴρ αὐτὸς ἀδικοῖτο. Ἐπεί τοι ἂν τῷ γραφεῖ πατὴρ προστάττῃ, ταῦτα μὲν, τέκνον, γράφε, ταυτὶ δὲ μὴ, καὶ τῷ μουσικῷ, τήνδε μὲν τὴν ἁρμονίαν κροῦε, ταύτην δὲ μὴ, καὶ τῷ χαλκεύοντι, τοιαῦτα μὲν χάλκευε, τοιαῦτα δὲ μὴ, ἆρ' ἄν τις ἀνάσχοιτο ἀποκηρύττοντα, ὅτι μὴ κατὰ τὰ ἐκείνῳ δοκοῦντα ὁ παῖς χρῆται τῇ τέχνῃ; οὐδὲ εἷς, οἶμαι.

23. Τὸ δὲ τῆς ἰατρικῆς ὅσῳ σεμνότερόν ἐστι καὶ τῷ βίῳ χρησιμώτερον, τοσούτῳ καὶ ἐλευθεριώτερον εἶναι προσήκει τοῖς χρωμένοις, καί τινα προνομίαν ἔχειν τὴν τέχνην δίκαιον τῇ ἐξουσίᾳ τῆς χρήσεως, ἀναγκάζεσθαι δὲ μηδὲν μηδὲ προστάττεσθαι πρᾶγμα ἱερὸν καὶ θεῶν παίδευμα καὶ ἀνθρώπων σοφῶν ἐπιτήδευμα, μηδ' ὑπὸ δουλείαν γενέσθαι νόμου μηδ' ὑπὸ φόβον καὶ τιμωρίαν δικαστηρίου, μηδ' ὑπὸ ψῆφον καὶ πατρὸς ἀπειλὴν καὶ ὀργὴν ἰδιωτικήν. Ὥστε καὶ εἰ τοῦτό σοι σαφῶς οὕτωσὶ καὶ διαρρήδην ἔλεγον, Οὐ βούλομαι οὐδὲ θεραπεύω δυνάμενος, ἀλλ' ἐμαυτῷ μόνῳ τὴν τέχνην οἶδα καὶ τῷ πατρὶ, τοῖς δ' ἄλλοις ἅπασιν ἰδιώτης εἶναι βούλομαι· τίς τύραννος οὕτω βίαιος, ὡς ἀναγκάσαι ἂν καὶ ἄκοντα χρῆσθαι τῇ τέχνῃ; Τὰ γὰρ τοιαῦτα ἱκετείαις καὶ δεήσεσιν, οὐ νόμοις καὶ ὀργαῖς καὶ δικαστηρίοις ὑπάγειν, οἶμαι, προσήκει· πείθεσθαι τὸν ἰατρὸν χρὴ, οὐ κελεύεσθαι, βούλεσθαι, οὐ φοβεῖσθαι, ἐπὶ τὴν θεραπείαν οὐκ ἄγεσθαι, ἑκόντα δὲ ἐρχόμενον ἥδεσθαι. Πατρικῆς δ' ἀνάγκης ἄμοιρος ἡ ἀτελὴς τέχνη, ὅπου γε τοῖς ἰατροῖς καὶ δημοσίᾳ αἱ πόλεις τιμὰς καὶ προεδρίας καὶ ἀτελείας καὶ προνομίας διδόασι.

24. Ταῦτα μὲν οὖν ἁπλῶς ἂν εἶχον εἰπεῖν ὑπὲρ τῆς τέχνης, εἰ καὶ σοῦ διδαξαμένου με καὶ πολλὰ ἐπιμεληθέντος καὶ ἀναλώσαντος, ὡς μάθοιμι, πρὸς μίαν ὅμως θεραπείαν ταύτην, δυνατὴν οὖσαν, ἀντέλεγον. Νυνὶ δὲ κἀκεῖνο ἐννόησον, ὡς παντάπασιν ἀγνῶμον ποιεῖς οὐκ ἐῶν με χρῆσθαι μετ' ἐλευθερίας ἐμῷ κτήματι. Ταύτην ἐγὼ τὴν τέχνην οὐχ υἱὸς ὢν σὸς ἐξέμαθον οὐδὲ τῷ σῷ νόμῳ ὑποκείμενος, καὶ ὅμως αὐτὴν μεμάθηκά σοι — καὶ πρῶτος αὐτῆς ἀπολέλαυκας — οὐδὲν παρὰ σοῦ πρὸς τὸ μαθεῖν ἔχων. Τίνα διδάσκαλον ἐμισθώσω; τίνα φαρμάκων παρασκευήν; οὐδ' ἡντιναοῦν· ἀλλὰ πενόμενος ἐγὼ καὶ τῶν ἀναγκαίων ἀπορούμενος καὶ ὑπὸ τῶν διδασκάλων ἐλεούμενος ἐπαιδευόμην. Καί μοι τοιαῦτα παρὰ τοῦ πατρὸς ἦν πρὸς τὸ μαθεῖν ἐφόδια, λύπη καὶ ἐρημία καὶ ἀπορία καὶ μῖσος οἰκείων καὶ ἀποστροφὴ συγγενῶν. Ἀντὶ τούτων

permittit injungere omnia, neque parere omnibus omnino mihi necessarium. In his ergo quæ imperantur a patre, alia quidem alieno arbitrio non sunt obnoxia, alia vero ira atque supplicio, si violentur, digna : si ægrotes ipse, ego vero negligam; si rem familiarem curare jubeas, ego vilipendam; si rem rusticam inspicere injungas, ego pigrer. Omnia hæc, et quæ sunt in eodem genere, rationabiles habent causas et reprehensiones patrias : sed altera illa in nostra, liberorum, potestate sunt, quæ nimirum ad artes earumque usum pertinent, inprimis si ipse pater nulla inde lædatur injuria. Quandoquidem si pictori pater injungat, Ista quidem, fili, pinge, illa non : et musico, Hanc pulsa harmoniam, illam non; et fabro, Talia fabricare, talia non : num quis ferat abdicare volentem, quod filius non prout ipsi placet, arte utatur? Nemo unus, arbitror.

23. Medicina vero quo honestior est et vitæ utilior, tanto liberior esse debet utentibus; et prærogativam aliquam habere hanc artem justum est in ipsa utendi potestate; cogi autem nihil, neque imperari rem sanctam, traditam a diis, sapientium virorum studium et opus; nec servituti legum subjici, neque metui et pœnæ judicii neque suffragio, et minis patris, et iræ hominum imperitorum. Itaque etiamsi hoc ita aperte tibi ac diserte dixissem, Nolo, neque curo, licet possim, sed mihi soli artem novi, atque patri, reliquis omnibus indoctus esse volo : qui tyrannus ita violentus, qui cogere audeat et invitum arte sua uti aliquem velit? Hæc enim talia supplicationibus et precibus, non legibus et iris et judiciis subjicere, puto, convenit. Persuasione vinci medicum oportet, non imperio; velle, non terreri; ad curationem non compelli, sed sponte venientem gaudere. Necessitatis autem a patre impositæ expers esse debet ars alioquin immunis, quandoquidem medicis publice etiam civitates honores et sedem antiquiorem et immunitates et prærogativas tribuunt.

24. Hæc igitur haberem quæ simpliciter pro arte dicerem, etiam si tute docendum me curasses, et providisses multum et in doctrinam meam impendisses, ego tamen in una hac curatione, eaque meæ potestatis, repugnarem. Jam vero illud etiam cogita, quam præter omnem rationem facias, quum meo me peculio libere uti non pateris. Hanc ego artem, quum tuus non essem filius, edidici, quum tuæ legi subjectus non essem : et tamen tibi eam didici; ac primus fructum illius percepisti, quum nihil a te ad discendum præsidii haberem. Quem magistrum conduxisti? quem medicamentorum apparatum emisti? Non ullum : sed pauper ego et necessariis rebus destitutus, per misericordiam a magistris erudiebar. Atque talia mihi erant a patre ad discendum viatica, tristitia, solitudo, inopia, odium familiarium, aversatio cognatorum. Pro his igitur uti arte mea postulas?

τοίνυν χρῆσθαί μου τῇ τέχνῃ ἀξιοῖς καὶ δεσπότης εἶναι θέλεις τῶν ὅτ' οὐκ ἦσθα δεσπότης πεπορισμένων; Ἀγάπα, εἴ τί σε καὶ πρότερον ἐκὼν οὐ προοφείλων εὖ ἐποίησα, μηδεμίαν μηδὲ τότε χάριν ἀπαιτεῖσθαι δυνάμενος.

25. Οὐ δὴ δεῖ τὴν εὐποιΐαν τὴν ἐμὴν ἀνάγκην ἐς τὸ λοιπόν μοι γενέσθαι οὐδὲ τὸ ἑκόντα εὐεργετῆσαι ἀφορμὴν τοῦ ἄκοντα κελεύεσθαι καταστῆναι οὐδ' ἔθος ὑπάρξαι τοῦτο, τὸ ἅπαξ τινὰ ἰασάμενον πάντας ἐς ἀεὶ θεραπεύειν ὁπόσους ἂν ὁ θεραπευθεὶς θέλῃ· ἐπεὶ δεσπότας ἂν οὕτω καθ' ἡμῶν εἴημεν τοὺς θεραπευομένους κεχειροτονηκότες καὶ μισθὸν τὸ δουλεύειν αὐτοῖς καὶ τὸ πάντα κελεύουσιν ὑπηρετεῖν προσδεδωκότες, οὗ τί γένοιτ' ἂν ἀδικώτερον; Διότι σε νοσήσαντα χαλεπῶς οὕτως ἀνέστησα, διὰ τοῦτο νομίζεις ἐξεῖναί σοι καταχρῆσθαί μου τῇ τέχνῃ;

26. Ταῦτα μὲν οὖν εἶχον ἂν λέγειν, εἰ καὶ δυνατά μοι οὗτος προσέταττεν, ἐγὼ δὲ μὴ πάντως ἅπασι μηδὲ πρὸς ἀνάγκην ὑπήκουον. Νῦν δὲ ἤδη σκέψασθε καὶ οἷά ἐστιν αὐτοῦ τὰ ἐπιτάγματα· ἐπεὶ γὰρ ἐμὲ ἰάσω, φησί, μεμηνότα, μέμηνε δὲ καὶ ἡ γυνὴ καὶ τὰ ὅμοια πάσχει — τοῦτο γὰρ οἴεται — καὶ ὑπὸ τῶν ἄλλων ὁμοίως ἀπέγνωσται, δύνασαι δὲ σὺ πάντα ὡς ἔδειξας, ἰῶ καὶ ταύτην καὶ ἀπάλλαττε ἤδη τῆς νόσου. Τοῦτο δὲ οὑτωσὶ μὲν ἁπλῶς ἀκοῦσαι πάνυ εὔλογον ἂν δόξειε, καὶ μάλιστα ἰδιώτῃ καὶ ἀπείρῳ ἰατρικῆς· εἰ δέ μου ἀκούσαιτε ὑπὲρ τῆς τέχνης δικαιολογουμένου, μάθοιτ' ἂν ὡς οὔτε πάντα ἡμῖν δυνατά ἐστιν οὔθ' αἱ τῶν νοσημάτων φύσεις παραπλήσιοι οὔτ' ἴασις ἡ αὐτὴ οὔτε φάρμακα τὰ αὐτὰ ἐπὶ πάντων ἰσχυρὰ, καὶ τότ' ἔσται δῆλον ὡς πάμπολυ τοῦ μὴ βούλεσθαί τι τὸ μὴ δύνασθαι διαφέρει. Ἀνάσχεσθε δέ μου τὰ περὶ τούτων φιλοσοφοῦντος, καὶ μὴ ἀπείρόκαλον μηδ' ἐξαγώνιον μηδ' ἀλλότριον ἢ ἄκαιρον ἡγήσησθε τὸν περὶ τούτων λόγον.

27. Πρῶτα μὲν δὴ σωμάτων φύσεις καὶ κράσεις οὐχ αἱ αὐταὶ, κἂν ὅτι μάλιστα ἐκ τῶν ὁμοίων συνεστάναι ὁμολογῶνται, ἀλλὰ τὰ μὲν τῶνδε, τὰ δὲ τῶνδε μᾶλλον ἢ ἔλαττον μετέχει. Καὶ λέγω τοῦτο ἔτι περὶ τῶν ἀνδρείων, ὡς οὐδὲ ταῦτα πᾶσιν ἴσα ἢ ὅμοια οὔτε τῇ κράσει οὔτε τῇ συστάσει, διάφορα γὰρ δὴ καὶ μεγέθει καὶ εἴδει ἀνάγκη καὶ τὰ νοσήματα ἐγγίγνεσθαι αὐτοῖς, καὶ τὰ μὲν εὐίατα εἶναι καὶ πρὸς τὴν θεραπείαν ἀναπεπταμένα, τὰ δὲ τέλεον ἀπεγνωσμένα καὶ ῥᾳδίως ἁλισκόμενα καὶ κατὰ κράτος ὑπὸ τῶν νοσημάτων λαμβανόμενα. Τὸ τοίνυν οἴεσθαι πάντα πυρετὸν ἢ πᾶσαν φθόην ἢ περιπνευμονίαν ἢ μανίαν μίαν καὶ τὴν αὐτὴν οὖσαν τῷ γένει ὁμοίαν ἐπὶ παντὸς εἶναι σώματος, οὐ σωφρονούντων οὐδὲ λελογισμένων οὐδὲ τὰ τοιαῦτα ἐξητακότων ἐστὶν ἀνθρώπων, ἀλλὰ τὸ αὐτὸ ἐν μὲν τῷδε ῥᾴδιον ἰᾶσθαι, ἐν δὲ τῷδε οὐκέτι. Ὥσπερ οἶμαι καὶ πυρὸν ἦν τὸν αὐτὸν ἐς διαφόρους χώρας ἐμβάλῃς, ἄλλως μὲν ἐν τῇ πεδινῇ καὶ βαθείᾳ καὶ ποτιζομένῃ καὶ εὐηλίῳ καὶ εὐηνέμῳ καὶ ἐξειργασμένῃ ἀναφύσεται, εὐθαλὴς οἶμαι καὶ εὔτροφος καὶ πολύχους καρπὸς, ἄλ-

et dominus esse eorum quæ suppeditata mihi sunt, quum dominus tu non esses? Satis habeto, si quid tibi prius ultro, quum nihil deberem, benefeci, quum nullam, nedum hujusce tanti muneris, gratiam possem reposci.

25. Non sane debet beneficentia mihi mea necessitas reliquo tempore fieri, neque, quod volens bene merui, causa constitui cur invito imperari possit; neque illa consuetudo exsistere, ut qui semel aliquem sanaverit, omnes in perpetuum curet, quotquot is qui curatus est voluerit. Alioquin dominos ea ratione in nos constituerimus quos curamus, et mercedem præterea ipsis dederimus, serviendo illis et quicquid imperent ministrando: quo quid fieri possit injustius? Quoniam te morbo correptum tanto cum labore suscitavi, propter hoc licere tibi putas abuti arte mea?

26. Hæc haberem dicere, etiam si ea mihi iste imperaret quæ possem, ego vero nec omnibus omnino, neque ut necessitate coactus, parerem. Nunc vero jam considerate etiam qualia sint istius imperia. Quum enim me sanaveris, inquit, furiosum; furiosa autem sit etiam uxor eodemque modo affecta (sic enim arbitratur), et ab aliis similiter deposita; possis autem tu omnia, id quod ostendisti: sana hanc etiam, et morbo jam libera. Hoc autem si ita simpliciter audias, rationabile omnino videatur, indocto præsertim et medicinæ imperito: si vero me audieritis causam pro arte dicentem, intelligetis neque omnia esse in nostra potestate, neque naturas morborum esse similes, neque curationem eandem neque eadem medicamenta valida ad omnia: atque tunc apparebit quam immaniter distent, non velle aliquid, et non posse. Sed ferte me de hisce rebus philosophantem, neu ineptam, aut evagantem extra causam, aut alienam, aut intempestivam earum rerum disputationem putate.

27. Ac primum quidem naturæ corporum ac temperamenta non sunt eadem, licet maxime similibus ea constare elementis in confesso sit; sed illorum alia aliorum majorem minoremve partem habent. Et loquor adhuc de solis virorum corporibus, ut ne hæc quidem paria omnibus aut similia sint, neque temperatura, neque consistentia; diversos proinde et magnitudine et specie morbos in illis exsistere necesse est; et alia quidem sanatu esse facilia et curationi opportuna, alia autem plane desperata, quæ et capiantur facile, et vi a morbis superentur. Putare igitur febrim omnem, aut tabem, aut pulmonum morbum, aut furorem, unum eundemque esse in omni corpore et genere similem, non est hominum prudentium, qui rationes harum rerum subduxerint et exquisiverint: verum idem morbus in hoc sanatu facilis est, in alio non item. Quemadmodum, puto, triticum si idem in diversos agros spargas, aliter in campestri, et profundo, et irriguo, et aprico, et bonis ventis opposito, et culto, enascetur; lætum puto, et pingue, et

νως δὲ ἐν ὄρει καὶ ὑπολίθῳ γηδίῳ, ἄλλως δὲ ἐν δυσηλίῳ, ἄλλως δὲ ἐν ὑπωρείᾳ, καὶ ὅλως διαφόρως καθ' ἑκάστους τόπους· οὕτω δὲ καὶ τὰ νοσήματα παρὰ τοὺς ὑποδεξαμένους τόπους ἢ εὔφορα καὶ εὔτροφα ἢ ἐλάττω γίγνεται. Τοῦτο τοίνυν ὑπερβὰς ὁ πατὴρ καὶ ὅλον ἀνεξέταστον καταλιπὼν ἀξιοῖ πᾶσαν μανίαν τὴν ἐν ἅπαντι σώματι ὁμοίαν εἶναι καὶ τὴν θεραπείαν ἴσην.

28. Πρὸς δὲ τούτοις τοιούτοις οὖσιν ὅτι τὰ γυναικεῖα σώματα πάμπολυ τῶν ἀνδρείων διαφέρει πρός τε νόσου διαφορὰν καὶ πρὸς θεραπείας ἐλπίδα ἢ ἀπόγνωσιν ῥᾴδιον καταμαθεῖν· τὰ μὲν γὰρ τῶν ἀνδρῶν εὐπαγῆ καὶ εὔτονα πόνοις καὶ κινήσεσι καὶ ὑπαιθρίῳ διαίτῃ γεγυμνασμένα, τὰ δὲ ἔκλυτα καὶ ἀσυμπαγῆ, ἐσκιατροφημένα καὶ λευκὰ αἵματος ἐνδείᾳ καὶ θερμοῦ ἀπορίᾳ καὶ ὑγροῦ ἐπιρροίᾳ· εὐαλωτότερα τοίνυν τῶν ἀνδρείων καὶ ταῖς νόσοις ἐκκείμενα καὶ τὴν ἴασιν οὐ περιμένοντα καὶ μάλιστα πρὸς μανίας εὐχερέστερα· ἅτε γὰρ πολὺ μὲν τὸ ὀργίλον καὶ κοῦφον καὶ ὀξυκίνητον ἔχουσαι, ὀλίγην δὲ τὴν τοῦ σώματος αὐτοῦ δύναμιν, ῥᾳδίως ἐς τὸ πάθος τοῦτο κατολισθάνουσιν.

29. Οὐ δίκαιον τοίνυν παρὰ τῶν ἰατρῶν τὴν ὁμοίαν ἐπ' ἀμφοῖν θεραπείαν ἀπαιτεῖν, εἰδότας ὡς πολὺ τοὺν μέσῳ, βίῳ παντὶ καὶ πράξεσιν ὅλαις καὶ πᾶσιν ἐπιτηδεύμασιν ἐξ ἀρχῆς εὐθὺς κεχωρισμένων. Ὅταν τοίνυν λέγῃς ὅτι μέμηνε, προστίθει καὶ ὅτι γυνὴ οὖσα μέμηνε, καὶ μὴ σύγχει ταῦτα πάντα τῷ τῆς μανίας ὑπάγων ὀνόματι ἑνὶ καὶ τῷ αὐτῷ δοκοῦντι, ἀλλὰ χωρίσας, ὥσπερ ἐστὶ καὶ ἐν τῇ φύσει, τὸ δυνατὸν ἐφ' ἑκάστου σκόπει· καὶ γὰρ ἡμεῖς, ὅπερ ἐν ἀρχῇ τῶν λόγων εἰπὼν μέμνημαι, τοῦτο πρῶτον ἐπισκοποῦμεν, φύσιν σώματος τοῦ νοσοῦντος καὶ κρᾶσιν, καὶ τίνος πλείονος μετέχει, καὶ εἰ θερμότερον ἢ ψυχρότερον, καὶ ἀκμάζον ἢ παρηβηκὸς, καὶ μέγα ἢ μικρὸν, καὶ πιμελὲς ἢ ὀλιγόσαρκον, καὶ πάντα τὰ τοιαῦτα. Καὶ ὅλως ἄν τις αὐτὰ προεξετάσῃ, πάνυ ἀξιόπιστος ἂν εἴη ἀπογιγνώσκων τι ἢ ὑπισχνούμενος.

30. Ἐπεὶ καὶ τῆς μανίας αὐτῆς μυρία εἴδη ἐστὶ καὶ παμπόλλας ἔχει τὰς αἰτίας καὶ οὐδὲ τὰς προσηγορίας αὐτὰς ὁμοίας· οὐ γὰρ ταὐτὸν παρανοεῖν καὶ παραπαίειν καὶ λυττᾶν καὶ μεμηνέναι, ἀλλὰ ταῦτα πάντα τοῦ μᾶλλον ἢ ἧττον ἔχεσθαι τῇ νόσῳ ὀνόματά ἐστιν· αἰτίαί τε τοῖς μὲν ἀνδράσιν ἄλλαι, ταῖς δὲ γυναιξὶν ἕτεραι, καὶ τῶν ἀνδρῶν αὐτῶν τοῖς μὲν νέοις ἄλλαι, τοῖς δὲ γεγηρακόσι διάφοροι, οἷον νέοις μὲν πλῆθος ὡς τὸ πολὺ, γέρουσι δὲ καὶ διαβολὴ ἄκαιρος καὶ ὀργὴ ἄλογος πολλάκις κατ' οἰκείων ἐμπεσοῦσα τὸ μὲν πρῶτον διετάραξεν, εἶτα κατ' ὀλίγον ἐς μανίαν περιέτρεψε· γυναικῶν δὲ πολλὰ καθικνεῖται καὶ ῥᾳδίως ἐς τὴν νόσον ἐπάγεται, μάλιστα δὲ μῖσος κατά τινος πολὺ ἢ φθόνος ἐπ' ἐχθρῷ εὐτυχοῦντι ἢ λύπη τις ἢ ὀργὴ· κατ' ὀλίγον ταῦτα ὑποτυφόμενα καὶ μακρῷ χρόνῳ ἐντρεφόμενα μανίαν ἀποτελεῖ.

31. Τοιαῦτά σοι, ὦ πάτερ, καὶ ἡ γυνὴ πέπονθε καὶ ἴσως τι λελύπηκεν αὐτὴν ἔναγχος· οὐδένα γὰρ ἐκείνη

fructus inde multiplex : aliter autem in monte, et lapidoso tenuique solo; aliter in eo quod solem non habet, aliter ad montis radices, et in universum pro locorum diversitate diversimode. Sic vero etiam morbi, pro locis qui eos suscipiunt, aut facile augescunt ac nutriuntur, aut minuuntur. Hoc igitur præteriens pater atque universum inexploratum relinquens, postulat furorem omnem, in quocumque sit corpore, similem esse, et parem ejus curationem.

28. Præter hæc vero, quæ sunt ejusmodi, illud etiam facile est ad intelligendum, corpora muliebria plurimum a virilibus distare, tum ad morbi differentiam, tum ad spem vel desperationem curationis. Virorum quippe corpora solida, nervosa, laboribus et motionibus et subdiali victu exercitata : altera vero soluta, mollia, in umbra nutrita, alba sanguinis et caloris defectu et humoris affluentia; magis proinde, quam sunt virilia, obnoxia et exposita morbis, et curationem non sustinentia, et ad furores præsertim magis inclinata. Quum enim multum iracundiæ habeant et levitatis, et valde sint irritabiles, corporis autem parum robusti, facile in hunc morbum labuntur.

29. Injustum ergo fuerit a medicis similem utrorumque curationem poscere, quum sciamus quam multum intersit inter eos qui vita tota et omnibus actionibus et studiis omnibus statim a principio sint separati. Quum ergo dicis eam furere, hoc adde, mulierem furere : neu confunde ista omnia sub furoris nomen cogens, quod unum idemque videtur; sed separa, ut etiam est in natura, ac tum quid in unoquoque fieri possit, considera. Nos etenim, quod initio orationis hujus me dicere memini, primum videmus naturam corporis et temperamentum; et cujus qualitatis plus habeat, et utrum calidius an frigidius, maturæ ætatis an jam inclinatæ, magnum an parvum, pingue an extenuatum, et omnia in eo genere. Et sane si quis ista ante exploraverit, fide omnino dignus fuerit, sive spem superesse neget, sive promittat aliquid.

30. Quandoquidem etiam furoris ipsius sexcentæ sunt species, isque plurimas habet causas, ne appellationibus quidem similes : neque enim idem est desipere, delirare, rabiosum esse, furere; sed hæc omnia vel asperioris vel mitioris morbi nomina sunt. Tum causæ in viris aliæ, aliæ in mulieribus : ipsorumque virorum aliæ in juvenibus, diversæ in senibus; verbi causa, in juvenibus redundantia plerumque; in senibus vero et calumnia intempestiva, et irrationabilis ira, contra familiares sæpe ingruens, primo perturbare solet animum, deinde paullatim in furorem vertere. Mulieres autem multa infestant et facile in hunc morbum conjiciunt, maxime vero odium contra aliquem vehemens, aut invidia adversus inimicum felicem, aut dolor aliquis aut ira : hæc paullatim sub cineribus quasi gliscentia, et alita longo tempore, furorem efficiunt.

31. Talia, pater, uxori quoque tuæ evenerunt, et forte nuper aliquid illam dolore affecit : neminem enim illa ode-

ἐμίσει, πλὴν ἔχεταί γε καὶ οὐκ ἂν ἐκ τῶν παρόντων ὑπ' ἰατροῦ θεραπευθῆναι δύναιτο· ὡς εἴ γε ἄλλος τις ὑπόσχοιτο, εἴ τις ἀπαλλάξειε, μίσει τότε ὡς ἀδικοῦντα ἐμέ. Καὶ μὴν κἀκεῖνο, ὦ πάτερ, οὐκ ἂν ὀκνήσαιμι εἰπεῖν, ὅτι εἰ καὶ μὴ τελέως οὕτως ἀπέγνωστο, ἀλλά τις ἔτι σωτηρίας ἐλπὶς ὑπεφαίνετο, οὐκ ἂν οὐδὲ οὕτω ῥᾳδίως προσηψάμην οὐδ' αὖ προχείρως φάρμακον ἐγχέαι ἐτόλμησα δεδιὼς τὴν τύχην καὶ τὴν παρὰ τῶν πολλῶν δυσφημίαν. Ὁρᾷς ὡς οἴονται πάντες εἶναί τι μῖσος πρὸς τοὺς προγόνους πάσαις μητρυιαῖς, κἂν ὦσι χρησταὶ, καί τινα κοινὴν μανίαν ταύτην γυναικείαν αὐτὰς μεμηνέναι; Τάχ' ἂν οὖν τις ὑπώπτευσεν, ἄλλως χωρήσαντος τοῦ κακοῦ καὶ τῶν φαρμάκων οὐ δυνηθέντων, κακοήθη καὶ δολερὰν τὴν θεραπείαν γεγονέναι.

32. Καὶ τὰ μὲν τῆς γυναικὸς, ὦ πάτερ, οὕτως ἔχει, καὶ πάνυ σοι τετηρηκὼς λέγω· οὔ ποτε ῥᾷον ἕξει, κἂν μυριάκις πίῃ τοῦ φαρμάκου· διὰ τοῦτ' ἐπιχειρεῖν οὐκ ἄξιον, εἰ μὴ πρὸς μόνον τὸ ἀποτυχεῖν με κατεπείγεις καὶ κακοδοξίᾳ περιβαλεῖν θέλεις. Ἔασον ὑπὸ τῶν ὁμοτέχνων φθονεῖσθαι. Ἐὰν δέ με ἀποκηρύξῃς πάλιν, ἐγὼ μὲν καίτοι πάντων ἔρημος γενόμενος οὐδὲν κατὰ σοῦ δεινὸν εὔξομαι. Τί δ' ἂν, ὅπερ μὴ γένοιτο, αὖθις ἡ νόσος ἐπανέλθῃ; — φιλεῖ γάρ πως τὰ τοιαῦτα ἐρεθιζόμενα παλινδρομεῖν — τί με πρᾶξαι δεήσει; θεραπεύσω μὲν εὖ ἴσθι καὶ τότε καὶ οὔ ποτε λείψω τὴν τάξιν, ἣν τοὺς παῖδας ἔταξεν ἡ φύσις, οὐδὲ τοῦ γένους τὸ ἐπ' ἐμαυτῷ ἐπιλήσομαι. Εἶτ' ἂν σωφρονήσῃς, αὖθις ἀναλαμβάνειν πώποτε πιστεῦσαί με δεῖ; Ὁρᾷς; ἤδη καὶ ταῦτα ποιῶν ἐπισπᾷ τὴν νόσον καὶ ὑπομιμνήσκεις τὸ πάθος. Χθὲς καὶ πρῴην ἐκ τηλικούτων κακῶν ἀνασῴλας διατείνῃ καὶ βοᾷς καὶ τὸ μέγιστον, ὀργίζῃ καὶ πρὸς μῖσος τρέπῃ καὶ τοὺς νόμους ἀνακαλεῖς. Οἴμοι, πάτερ, ταῦτ' ἦν σου καὶ τῆς πάλαι μανίας τὰ προοίμια.

rat : veruntamen tenetur, neque, ut nunc sunt res, medici opera potest sanari. Quare si quis alius susceperit, si quis liberaverit eam, tum odio me, tanquam injuriæ auctorem, persequere. Quin illud quoque, pater, non pigebit dixisse : etiam si non ita plane desperata res esset, sed aliqua adhuc salutis spes affulgeret, ne sic quidem ita facile attingerem, nec promte medicamentum auderem infundere, fortunam, veritus et imminentem a multis infamiam. Vides ut omnes arbitrentur esse quoddam in privignos odium novercis omnibus, quantumvis bonæ sint, et communem quemdam muliebrem furorem omnes furere? Facile igitur aliquis, si secus malum eveniat, nec potentia satis sint medicamenta, suspicetur malignam et subdolam curationem fuisse.

32. Ita se habent, pater, res uxoris tuæ; et post acriter institutam observationem tibi dico : nunquam illa habebit mollius, si decies millies de medicina biberit; propterea conari non est operæ pretium, nisi me ad hoc solum urges, uti excidam conatu, et infamiam vis mihi contrahere. Patere ut invideant mihi artis æmuli. Si vero denuo me abdicaveris, nihil equidem, licet desertus ab omnibus, malum tibi imprecabor. Quid si vero, quod abominor, redeat morbus? solent enim quodammodo talia, si irritentur, recurrere : quid tum mihi faciendum erit? Curabo quidem tunc etiam, bene noveris, et stationem, in qua collocavit natura liberos, nunquam deseram, neque unquam generis mei obliviscar. Deinde ubi resipueris, an rursus aliquando te recepturum me credendum est? Viden'? jam dum ista facis, arcessis morbum, et malum quasi admones. Heri et nudiustertius e tantis malis recreatus contendis, et clamas, et, quod maximum, irasceris, et ad odium verteris, et leges iterum advocas. Hei mihi! pater, talia erant etiam superioris furoris tui exordia!

XXX.

ΦΑΛΑΡΙΣ ΠΡΩΤΟΣ.

1. Ἔπεμψεν ἡμᾶς, ὦ Δελφοὶ, ὁ ἡμέτερος δυνάστης Φάλαρις ἄξοντας τῷ θεῷ τὸν ταῦρον τοῦτον καὶ ὑμῖν διαλεξομένους τὰ εἰκότα ὑπέρ τε αὐτοῦ ἐκείνου καὶ τοῦ ἀναθήματος. Ὧν μὲν οὖν ἕνεκα ἥκομεν, ταῦτά ἐστιν· ἃ δέ γε πρὸς ὑμᾶς ἐπέστειλεν, ταῦτα· Ἐγὼ, φησὶν, ὦ Δελφοὶ, καὶ παρὰ πᾶσι μὲν τοῖς Ἕλλησι τοιοῦτος ὑπολαμβάνεσθαι ὁποῖός εἰμι, ἀλλὰ μὴ ὁποῖον ἡ παρὰ τῶν μισούντων καὶ φθονούντων φήμη ταῖς τῶν ἀγνοούντων ἀκοαῖς παραδέδωκεν, ἀντὶ τῶν πάντων ἀλλαξαίμην ἂν, μάλιστα δὲ παρ' ὑμῖν, ὅσῳ ἱεροί τέ ἐστε καὶ πάρεδροι τοῦ Πυθίου καὶ μόνον οὐ σύνοικοι καὶ ὁμωρόφιοι τοῦ θεοῦ. Ἡγοῦμαι γὰρ, εἰ ὑμῖν ἀπολογησαίμην καὶ πείσαιμι μάτην ὠμὸς ὑπειλῆφθαι, καὶ τοῖς ἄλλοις ἅπασι δι' ὑμῶν ἀπολελογημένος ἔσεσθαι. Καλῶ δὲ ὧν ἐρῶ τὸν θεὸν αὐτὸν μάρτυρα, ὃν οὐκ ἔνι δή που παραλογί-

XXX.

PHALARIS PRIOR.

1. Misit nos, Delphi, dynasta noster Phalaris, qui ferremus deo taurum hunc, et apud vos, quæ opportuna viderentur, de ipso pariter ac de munere dissereremus. Cujus igitur rei gratia venimus, hæc est : quæ autem vobis nunciari jussit, ista : Equidem, inquit, Delphi, quum apud omnes Græcos talis haberi qualis sum, non qualem orta ab inimicis et invidis fama ignorantium auribus tradidit, rebus omnibus redemerim, tum inprimis apud vos, quoniam et sacrosancti estis, et accolæ Pythii, et tantum non contubernales sub eodem tecto dei. Arbitror enim, si probare vobis causam possim, et persuadere, temere crudelem me putari, etiam reliquis omnibus per vos me fore purgatum. Advoco autem eorum quæ dicam testem ipsum deum, qui non potest nimirum arguto sermone falli, vel mendaci ora-

σασθαι καὶ ψεύδεῖ λόγῳ παραγαγεῖν· ἀνθρώπους μὲν γὰρ ἴσως ἐξαπατῆσαι ῥᾴδιον, θεὸν δὲ, καὶ μάλιστα τοιοῦτον, διαλαθεῖν ἀδύνατον.

2. Ἐγὼ γὰρ οὐ τῶν ἀφανῶν ἐν Ἀκράγαντι ὢν, ἀλλ' εἰ καί τις ἄλλος εὖ γεγονὼς καὶ τραφεὶς ἐλευθερίως καὶ παιδείᾳ προσεσχηκὼς, ἀεὶ διετέλουν τῇ μὲν πόλει δημοτικὸν ἐμαυτὸν παρέχων, τοῖς δὲ συμπολιτευομένοις ἐπιεικῆ καὶ μέτριον, βίαιον δὲ ἢ σκαιὸν ἢ ὑβριστικὸν ἢ αὐθέκαστον οὐδεὶς οὐδὲν ἐπεκάλει μου τῷ προτέρῳ ἐκείνῳ βίῳ. Ἐπειδὴ δὲ ἑώρων τοὺς τἀναντία μοι πολιτευομένους ἐπιβουλεύοντας καὶ ἐξ ἅπαντος τρόπου ἀνελεῖν με ζητοῦντας — διῄρητο δὲ ἡμῶν τότε ἡ πόλις — μίαν ταύτην ἀποφυγὴν καὶ ἀσφάλειαν εὕρισκον, τὴν αὐτὴν ἅμα καὶ τῇ πόλει σωτηρίαν, εἰ ἐπιθέμενος τῇ ἀρχῇ ἐκείνους μὲν ἀναστείλαιμι καὶ παύσαιμι ἐπιβουλεύοντας, τὴν πόλιν δὲ σωφρονεῖν καταναγκάσαιμι· καὶ ἦσαν γὰρ οὐκ ὀλίγοι ταῦτ' ἐπαινοῦντες, ἄνδρες μέτριοι καὶ φιλοπόλιδες, οἳ καὶ τὴν γνώμην ἤδεσαν τὴν ἐμὴν καὶ τῆς ἐπιχειρήσεως τὴν ἀνάγκην. Τούτοις συναγωνισταῖς χρησάμενος ῥᾳδίως ἐκράτησα τῆς ἐπιχειρήσεως.

3. Τοὐντεῦθεν οἱ μὲν οὐκέτι ἐτάραττον, ἀλλ' ὑπήκουον, ἐγὼ δὲ ἦρχον, ἡ πόλις δὲ ἀστασίαστος ἦν. Σφαγὰς δὲ ἢ ἐλάσεις ἢ δημεύσεις οὐδὲ κατὰ τῶν ἐπιβεβουλευκότων εἰργαζόμην, καίτοι ἀναγκαῖον τὰ τοιαῦτα τολμᾶν ἐν ἀρχῇ τῆς δυναστείας μάλιστα· φιλανθρωπίᾳ γὰρ καὶ πραότητι καὶ τῷ ἡμέρῳ κἄξ ἰσοτιμίας θαυμασίως ἐγὼ ἤλπιζον ἐς τὸ πείθεσθαι προσάξεσθαι τούτους. Εὐθὺς γοῦν τοῖς μὲν ἐχθροῖς ἐσπείσμην καὶ διηλλάγμην, καὶ συμβούλοις καὶ συνεστίοις ἐχρώμην τοῖς πλείστοις αὐτῶν. Τὴν δὲ πόλιν αὐτὴν ὁρῶν ὀλιγωρίᾳ τῶν προεστώτων διεφθαρμένην, τῶν πολλῶν κλεπτόντων, μᾶλλον δὲ ἁρπαζόντων τὰ κοινὰ, ὑδάτων τε ἐπιρροίαις ἀνεκτησάμην καὶ οἰκοδομημάτων ἀναστάσεσιν ἐκόσμησα καὶ τείχῶν περιβολῇ ἐκράτυνα καὶ τὰς τροσόδους, ὅσαι ἦσαν κοιναὶ, τῇ τῶν ἐφεστώτων ἐπιμελείᾳ ῥᾳδίως ἐπηύξησα καὶ τῆς νεολαίας ἐπεμελούμην καὶ τῶν γερόντων προύνόουν καὶ τὸν δῆμον ἐν θέαις καὶ διανομαῖς καὶ πανηγύρεσι καὶ δημοθοινίαις διῆγον, ὕβρεις δὲ παρθένων ἢ ἐφήβων διαφθοραὶ ἢ γυναικῶν ἁπαγωγαὶ ἢ δορυφόρων ἐπιπέμψεις ἢ δεσποτική τις ἀπειλὴ ἀποτρόπαιά μοι καὶ ἀκοῦσαι ἦν.

4. Ἤδη δὲ καὶ περὶ τοῦ ἀφεῖναι τὴν ἀρχὴν καὶ καταθέσθαι τὴν δυναστείαν ἐσκοπούμην, ὅπως μόνον ἀσφαλῶς παύσαιτο ἄν τις ἐννοῶν, ἐπεὶ τό γε ἄρχειν αὐτὸ καὶ πάντα πράττειν ἐπαχθὲς ἤδη καὶ σὺν φθόνῳ καματηρὸν ἐδόκει μοι εἶναι· τὸ δ' ὅπως μηκέτι τοιαύτης τινὸς θεραπείας δεήσεται ἡ πόλις, τοῦτ' ἐζήτουν ἔτι. Κἀγὼ μὲν ὁ ἀρχαῖος περὶ ταῦτα εἶχον, οἱ δὲ ἤδη τε συνίσταντο ἐπ' ἐμὲ καὶ περὶ τοῦ τρόπου τῆς ἐπιβουλῆς καὶ ἀποστάσεως ἐσκοποῦντο καὶ συνωμοσίας συνεκρότουν καὶ ὅπλα ἤθροιζον καὶ χρήματα ἐπορίζοντο καὶ τοὺς ἀστυγείτονας ἐπεκαλοῦντο καὶ εἰς τὴν Ἑλλάδα παρὰ Λακεδαιμονίους καὶ Ἀθηναίους ἐπρεσβεύοντο·

tione circumveniri : homines enim fallere facile fortasse fuerit, deum autem, præsertim hunc, ut quis lateat, fieri non potest.

2. Ego enim non ignobilium Agrigenti unus, sed si quis alius bene natus, et educatus liberaliter, studiisque doctrinæ qui animum applicuerim, semper popularem me in civitate præstiti, iisque, qui mecum in republica versarentur, æquum et moderatum : vim autem a me factam, aut sinisteritatem, aut superbam contumeliam, aut nimiam pertinaciam ad suum omnia arbitrium referentem, nemo unquam in priori illa vita mea accusavit. Quum vero viderem adversarios in rebus publicis agendis meos insidias mihi struere et omni modo necem meam quærere (dissidiis autem tum nostra vexabatur civitas), solum illud perfugium et securitatem inveni, eandemque simul salutem civitatis, si vindicato mihi imperio, tum illos compescerem et reprimerem insidiatores, tum civitatem sana sequi consilia cogerem. Erant etenim non pauci qui ista laudarent, viri moderati et civitatis amantes, qui et consilium scirent meum et conatus illius necessitatem. Hisce adjutoribus usus, facile cogita perfeci.

3. Ab eo inde tempore nihil illi amplius turbare, sed obsequi; imperium vero ego tenere, civitas ipsa seditionibus esse libera. Cædes autem aut exilia, aut publicationes bonorum, ne contra eos quidem, qui insidiati mihi fuerant, exercebam, quanquam necessarium est talia audere, in principio potestatis maxime. Humanitate enim, et mansuetudine, et miti atque civili ratione eos tractandi, mirifice sperabam ad obsequium illos me redacturum. Quare celeriter induciis et pace facta conciliatus sum hostibus, et consilio atque convictu plerorumque utebar. Urbem porro ipsam videns magistratuum negligentia perditam, quum vulgo homines furtis, vel rapinis potius, rem publicam vastarent, hinc aquæductibus recreavi, hinc ædificiis excitatis ornavi, hinc mœnibus circumpositis munivi, publicosque reditus eorum, quos præfeci, cura auxi facile, et juventutis curam suscepi, et prospiciebam senibus, et populum spectaculis, congiariis, diebus festis et epulis publicis detinebam : virginum vero contumeliæ, aut corruptiones adolescentum, aut conjuges perductæ, aut immissi satellites, aut heriles minæ, res erant auditu etiam mihi abominabiles.

4. Jamque de dimittendo imperio, de potestate deponenda cogitabam, illud solum deliberans, quomodo secure hoc facere quis posset; quum ipsum imperare et agere omnia jam molestum mihi et cum invidia laboriosum videretur : hoc adhuc quærebam, quomodo eo adduci res posset, ut tali quadam curatione non amplius indigeret civitas. Atque ego, antiquæ nimium simplicitatis homo, hæc agitabam : at illi jam contra me consurgere, ac de insidiarum defectionisque ratione dispicere, et comparare conjuratos, et arma congerere, et conferre pecunias, et vicinos advocare, et in Græciam ad Spartanos Atheniensesque legatos

ἃ μὲν γὰρ περὶ ἐμοῦ αὐτοῦ, εἰ ληφθείην, ἐδέδοκτο ἤδη αὐτοῖς καὶ ὅπως με αὐτοχειρίᾳ διασπάσασθαι ἠπείλουν καὶ ἃς κολάσεις ἐπενόουν, δημοσίᾳ στρεβλούμενοι ἐξεῖπον. Τοῦ μὲν δὴ μηδὲν παθεῖν τοιοῦτον οἱ θεοὶ αἴτιοι φωράσαντες τὴν ἐπιβουλὴν, καὶ μάλιστά γε ὁ Πύθιος ὀνείρατά τε προδείξας καὶ τοὺς μηνύσοντας ἕκαστα ἐπιπέμπων.

5. Ἐγὼ δὲ ἐνταῦθα ἤδη ὑμᾶς, ὦ Δελφοὶ, ἐπὶ τοῦ αὐτοῦ δέους νῦν τῷ λογισμῷ γενομένους ἀξιῶ περὶ τῶν τότε πρακτέων μοι συμβουλεῦσαι, ὅτε ἀφύλακτος ὀλίγου δεῖν ληφθεὶς ἐζήτουν τινὰ σωτηρίαν περὶ τῶν παρόντων. Πρὸς ὀλίγον οὖν τῇ γνώμῃ ἐς Ἀκράγαντα παρ' ἐμὲ ἀποδημήσαντες καὶ ἰδόντες τὰς παρασκευὰς αὐτῶν καὶ τὰς ἀπειλὰς ἀκούσαντες εἴπατε τί δεῖ ποιεῖν; φιλανθρωπίᾳ χρῆσθαι πρὸς αὐτοὺς ἔτι καὶ φείδεσθαι καὶ ἀνέχεσθαι ὅσον αὐτίκα μελλήσοντα πείσεσθαι τὰ ὕστατα; μᾶλλον δὲ γυμνὴν ἤδη ὑπέχειν τὴν σφαγὴν καὶ τὰ φίλτατα ἐν ὀφθαλμοῖς ὁρᾶν ἀπολλύμενα, ἢ τὰ μὲν τοιαῦτα πάνυ ἠλιθίου τινὸς εἶναι, γενναῖα δὲ καὶ ἀνδρώδη διανοηθέντα καὶ χολὴν ἔμφρονος καὶ ἠδικημένου ἀναλαβόντα μετελθεῖν ἐκείνους, ἐμαυτῷ δ' ἐκ τῶν ἐνόντων τὴν ἐς τὸ ἐπιὸν ἀσφάλειαν παρασχεῖν; ταῦτ' οἶδ' ὅτι συνεβουλεύσατε ἄν.

6. Τί οὖν ἐγὼ μετὰ τοῦτο ἐποίησα; μεταστειλάμενος τοὺς αἰτίους καὶ λόγου μεταδοὺς αὐτοῖς καὶ τοὺς ἐλέγχους παραγαγὼν καὶ σαφῶς ἐξελέγξας ἕκαστα, ἐπεὶ μηδ' αὐτοὶ ἔτι ἔξαρνοι ἦσαν, ἠμυνόμην ἀγανακτῶν τὸ πλέον οὐχ ὅτι ἐπεβεβουλεύμην, ἀλλ' ὅτι μὴ εἰάθην ὑπ' αὐτῶν ἐν ἐκείνῃ τῇ προαιρέσει μεῖναι, ἣν ἐξ ἀρχῆς ἐνεστησάμην. Καὶ τὸ ἀπ' ἐκείνου φυλάττων μὲν ἐμαυτὸν διατελῶ, ἐκείνων δὲ τοὺς ἀεὶ ἐπιβουλεύοντάς μοι κολάζων. Εἶθ' οἱ ἄνθρωποι ἐμὲ τῆς ὠμότητος αἰτιῶνται οὐκέτι λογιζόμενοι παρὰ ποτέρου ἡμῶν ἦν ἡ πρώτη τούτων ἀρχὴ, συνελόντες δὲ τὰν μέσῳ καὶ ἐφ' οἷς ἐκολάζοντο τὰς τιμωρίας αὐτὰς ἠτιῶντο καὶ τὰς δοκούσας ἐν αὐταῖς ὠμότητας, ὅμοιον ὡς εἴ τις παρ' ὑμῖν ἱερόσυλόν τινα ἰδὼν ἀπὸ τῆς πέτρας ῥιπτόμενον ἃ μὲν ἐτόλμησε μὴ λογίζοιτο, ὡς νύκτωρ ἐς τὸ ἱερὸν παρῆλθε καὶ κατέσπασε τὰ ἀναθήματα καὶ τοῦ ξοάνου ἥψατο, κατηγορίᾳ δὲ ὑμῶν πολλὴν τὴν ἀγριότητα, ὅτι Ἕλληνές τε καὶ ἱεροὶ εἶναι λέγοντες ὑπεμείνατε ἄνθρωπον Ἕλληνα πλησίον τοῦ ἱεροῦ — καὶ γὰρ οὐ πάνυ πόρρω τῆς πόλεως εἶναι λέγεται ἡ πέτρα — κολάσει τοιαύτῃ περιβαλεῖν. Ἀλλ', οἶμαι, αὐτοί τε καταγελάσεσθε, ἢν ταῦτα λέγῃ τις καθ' ὑμῶν, καὶ οἱ ἄλλοι πάντες ἐπαινέσονται ὑμῶν τὴν κατὰ τῶν ἀσεβούντων ὠμότητα.

7. Τὸ δ' ὅλον οἱ δῆμοι οὐκ ἐξετάζοντες ὁποῖός τις ὁ τοῖς πράγμασιν ἐφεστώς ἐστιν, εἴτε δίκαιος εἴτ' ἄδικος, ἁπλῶς αὐτὸ τὸ τῆς τυραννίδος ὄνομα μισοῦσι καὶ τὸν τύραννον, κἂν Αἰακὸς ἢ Μίνως ἢ Ῥαδάμανθυς ᾖ, ὁμοίως ἐξ ἅπαντος ἀνελεῖν σπεύδουσι, τοὺς μὲν πονηροὺς αὐτῶν πρὸ ὀφθαλμῶν τιθέμενοι, τοὺς δὲ χρηστοὺς τῇ κοινωνίᾳ τῆς προσηγορίας τῷ ὁμοίῳ μίσει

mittere : nam quæ de me ipso, si caperer, jam decreta ipsis essent, et ut suis me manibus discerpere minarentur, quasque pœnas excogitarent, in publica tormentorum quæstione fassi sunt. Quod quidem nihil tale passus sum, dii causa fuerunt deprehendentes insidias, et inprimis quidem Pythius, qui somnia mihi ante ostenderet et indices omnium ad me mitteret.

5. Jam hic ego vos, Delphi, rogo ut in eodem metu animis et cogitatione constituti, ipsi consulatis quid mihi tum faciendum fuerit, quum tantum non per imprudentiam meam captus, salutis aliquam in re præsenti viam quærerem. Parumper igitur animis Agrigentum ad me peregrinati, conspectis illorum apparatibus, minis illorum auditis, dicite mihi quid agendum sit? utrum humanitate porro in illos uti me vultis, et parcere, et tolerare, jam statim ultima ab illis subiturum? aut potius nudum jam jugulum præbere, et præ oculis interire videre quæ mihi sunt carissima? an ista quidem plane stupidi hominis esse censetis, meque fortiter viriliterque cogitantem, ac bile viri prudentis atque injuria læsi assumta, illos ulcisci, mihique pro præsenti facultate futuri temporis securitatem præstare? Hæc, novi ego, mihi consuleretis.

6. Quid igitur post ea feci? Arcessitos noxios, et causæ dicendæ copia illis facta, prolatis argumentis, plane de singulis convictos, quandoquidem nec ipsi amplius negabant, ultus sum, ægerrime ferens, non quod factæ mihi essent insidiæ, sed quod mihi per illos integrum non esset in illa ratione permanere, quam initio institueram. Atque ab eo inde tempore ita vivo, ut me custodiam, illorum vero ex numero eos, quos deprehendo mihi insidiantes, puniam. Deinde crudelitatis me accusant homines, non cogitantes illud, ab utro nostrûm prima horum origo sit. Nimirum omissis iis quæ erant in medio, et propter quæ puniebantur, pœnas accusabant ipsas, et quæ viderentur in illis exerceri crudelitates : perinde ac si quis apud vos sacrilegum de rupe videns præcipitari, quæ ille designarit, non cogitet, ut noctu in templum intraverit ac donaria detraxerit signumque ipsum contrectarit; sed multam vestram feritatem accuset, qui Græcos vos et sanctos homines quum dicatis, sustinueritis tamen Græcum hominem prope templum (etenim non procul ab urbe dicitur esse rupes illa) tali supplicio afficere. Sed ipsi, puto, ridebitis, si quis talia contra vos dicat, et reliqui omnes laudabunt vestram in impios crudelitatem.

7. In universum populi, non explorato qualis sit qui rebus præest, justusne an injustus, ipsum simpliciter nomen tyrannidis odio habent; et tyrannum, etsi Æacus, aut Minos, aut Rhadamanthus fuerit, similiter universe student tollere, dum malos eorum ob oculos sibi ponunt, bonos autem, ob communionem nominis, odio simili complectuntur.

συμπεριλαμβάνοντες. Ἔγωγ' οὖν ἀκούω καὶ παρ' ὑμῖν τοῖς Ἕλλησι πολλοὺς γενέσθαι τυράννους σοφοὺς ὑπὸ φαύλῳ ὀνόματι δοκοῦντι χρηστὸν καὶ ἥμερον ἦθος ἐπιδεδειγμένους, ὧν ἐνίων καὶ λόγους εἶναι βραχεῖς ἐν τῷ ἱερῷ ὑμῶν ἀποκειμένους, ἀγάλματα καὶ ἀναθήματα τῷ Πυθίῳ.

8. Ὁρᾶτε δὲ καὶ τοὺς νομοθέτας τῷ κολαστικῷ εἴδει τὸ πλέον νέμοντας, ὡς τῶν γε ἄλλων οὐδὲν ὄφελος, εἰ μὴ ὁ φόβος προσείη καὶ ἐλπὶς τῆς κολάσεως. Ἡμῖν δὲ τοῦτο πολλῷ ἀναγκαιότερον τοῖς τυράννοις, ὅσῳ πρὸς ἀνάγκην ἐξηγούμεθα καὶ μισοῦσί τε ἅμα καὶ ἐπιβουλεύουσιν ἀνθρώποις σύνεσμεν, ὅπου μηδὲ τῶν μορμολυκείων ὄφελός τι ἡμῖν γίγνεται, ἀλλὰ τῷ περὶ τῆς Ὕδρας μύθῳ τὸ πρᾶγμα ἔοικεν· ὅσῳ γὰρ ἂν ἐκκόπτωμεν, τοσῷδε πλείους ἡμῖν ἀναφύονται τοῦ κολάζειν ἀφορμαί. Φέρειν δ' ἀνάγκη καὶ τὸ ἀναφυόμενον ἐκκόπτειν ἀεὶ καὶ ἐπικάειν νὴ Δία κατὰ τὸν Ἰόλεων, εἰ μέλλοιμεν ἐπικρατήσειν· τὸν γὰρ ἅπαξ εἰς τὰ τοιαῦτα ἐμπεσεῖν ἠναγκασμένον ὅμοιον χρὴ τῇ ὑποθέσει καὶ αὐτὸν εἶναι, ἢ φειδόμενον τῶν πλησίον ἀπολωλέναι. Ὅλως δὲ, τίνα οἴεσθε οὕτως ἄγριον ἢ ἀνήμερον ἄνθρωπον εἶναι ὡς ἥδεσθαι μαστιγοῦντα καὶ οἰμωγῶν ἀκούοντα καὶ σφαττομένους ὁρῶντα, εἰ μὴ ἔχοι τινὰ μεγάλην τοῦ κολάζειν αἰτίαν; Ποσάκις γοῦν ἐδάκρυσα μαστιγουμένων ἄλλων, ποσάκις δὲ θρηνεῖν καὶ δδύρεσθαι τὴν ἐμαυτοῦ τύχην ἀναγκάζομαι μείζω κόλασιν αὐτὸς καὶ χρονιωτέραν ὑπομένων; ἀνδρὶ γὰρ φύσει μὲν ἀγαθῷ, διὰ δ' ἀνάγκην πικρῷ πολὺ τοῦ κολάζεσθαι τὸ κολάζειν χαλεπώτερον.

9. Εἰ δὲ δεῖ μετὰ παρρησίας εἰπεῖν, ἐγὼ μέν, εἰ αἵρεσίς μοι προτεθείη, πότερα βούλομαι κολάζειν τινὰς ἀδίκως ἢ αὐτὸς ἀποθανεῖν, εὖ ἴστε ὡς οὐδὲν μελλήσας ἑλοίμην ἂν τεθνάναι μᾶλλον ἢ μηδὲν ἀδικοῦντας κολάζειν. Εἰ δέ τις φαίη, Βούλει, ὦ Φάλαρι, τεθνάναι αὐτὸς ἀδίκως ἢ δικαίως κολάζειν τοὺς ἐπιβούλους; τοῦτο βουλοίμην ἄν· αὖθις γὰρ ὑμᾶς, ὦ Δελφοί, συμβούλους καλῶ πότερον ἄμεινον ἀδίκως ἀποθανεῖν ἢ ἀδίκως σώζειν τὸν ἐπιβεβουλευκότα; οὐδεὶς οὕτως, οἶμαι, ἀνόητός ἐστιν ὃς οὐκ ἂν προτιμήσειε ζῆν μᾶλλον ἢ σώζων τοὺς ἐχθροὺς ἀπολωλέναι. Καίτοι πόσους ἐγὼ καὶ τῶν ἐπιχειρησάντων μοι καὶ φανερῶς ἐληλεγμένων ὅμως ἔσωσα; οἷον Ἄκανθον τουτονὶ καὶ Τιμοκράτην καὶ Λεωγόραν τὸν ἀδελφὸν αὐτοῦ, παλαιᾶς συνηθείας τῆς πρὸς αὐτοὺς μνημονεύσας.

10. Ὅταν δὲ βουληθῆτε τοὐμὸν εἰδέναι, τοὺς εἰσφοιτῶντας εἰς Ἀκράγαντα ξένους ἐρωτήσατε ὁποῖός ἐγὼ περὶ αὐτούς εἰμι καὶ εἰ φιλανθρώπως προσφέρομαι τοῖς καταίρουσιν, ὅς γε καὶ σκοποὺς ἐπὶ τῶν λιμένων ἔχω καὶ πευθῆνας, καὶ τίνες καὶ ὅθεν καταπεπλεύκασιν, ὡς κατ' ἀξίαν τιμῶν ἀποπέμποιμι αὐτούς. Ἔνιοι δὲ καὶ ἐξεπίτηδες φοιτῶσι παρ' ἐμὲ, οἱ σοφώτατοι τῶν Ἑλλήνων, καὶ οὐ φεύγουσι τὴν συνουσίαν τὴν ἐμὴν, ὥσπερ ἀμέλει καὶ πρώην ὁ σοφὸς Πυθαγόρας ἦκεν ὡς ἡμᾶς, ἄλλα μὲν ὑπὲρ ἐμοῦ ἀκηκοώς· ἐπεὶ δ' ἐπειράθη,

Equidem audio apud vos etiam Græcos multos tyrannos fuisse sapientes, sub malæ existimationis nomine mansuetum et placidum ostendentes ingenium; et quorundam adeo ex illo numero brevia dicta in vestro templo reposita, quasi ornamenta et donaria Pythio.

8. Videtis legislatores etiam pœnali sanctioni plurimum tribuere, quasi reliquorum nullus sit usus, nisi metus adsit et exspectatio pœnæ. Nobis vero tyrannis multo magis illud necessarium est, in quantum invitis imperamus, et cum hominibus versamur qui odio nos habent et insidiis appetunt, ubi larvatis terriculamentis nihil proficimus, sed Hydræ fabulam res refert: quo plures enim exciderimus, tanto plures subnascuntur puniendi occasiones. Auferre autem oportet quod subnascitur, et excidere semper, et urere hercle Iolai instar, vincere si velimus. Eum enim qui semel in hanc vitam incidere coactus est, oportet aut similem esse argumento quod agendum suscepit, aut, dum aliis parcit, perire ipsum. Quem vero omnino putatis hominem ferum adeo et immitem esse, qui delectetur flagellandis aliis, et ploratu illorum audiendo, et spectandis cædibus, nisi magnam aliquam habeat puniendi causam? Quoties ego, dum flagellis alii cæderentur, illacrimavi! quoties deplorare lamentarique meam fortunam cogor, majorem ipse et longiorem pœnam sustinens! Viro enim natura bono, sed quem acerbum esse cogat necessitas, punire multo quam puniri difficilius est.

9. Si vero libere dicendum est, equidem, optione proposita, utrum malim injuste quosdam punire, quam ipse mori; scitote me nulla cunctatione interposita mortem potius electurum, quam, qui nihil injuste egerint, punire. Si quis vero dicat, Utrum vis, Phalari, ipse injuste mori, an juste punire insidiatores? hoc sane posterius maluerim. Denuo enim vos, Delphi, in consilium mihi advoco, meliusne sit injuste mori, an injuste servare insidiatorem. Nemo ita, puto, stupidus est, quin vivere potius præferat, quam inimicis servandis ipse perire. Quanquam quot ego eorum etiam, qui insidias mihi struxerant, manifeste licet convictos, tamen servavi! velut Acanthum hunc et Timocratem, et Leogoram illius fratrem, memoria antiquæ cum illis consuetudinis vigente.

10. Si vero meam vitæ rationem nosse volueritis, peregrinos Agrigentum venientes interrogate, qualem me illis præbeam et an humane tractem qui eo deferuntur: qui in portibus speculatores habeam et exploraturos qui et unde navibus venerint? ut pro dignitate cujusque honoratos dimittam. Quidam vero etiam dedita opera ad me ventitant, Græcorum sapientissimi, nec consuetudinem meam refugiunt: ut nempe etiam nuper sapiens Pythagoras ad nos venit, qui quum alia de me audisset, experimento facto discess-

ἀπῆλθεν ἐπαινῶν με τῆς δικαιοσύνης καὶ ἐλεῶν τῆς ἀναγκαίας ὠμότητος. Εἶτα οἴεσθε τὸν πρὸς τοὺς ὀθνείους φιλάνθρωπον οὕτως ἀδίκως τοῖς οἰκείοις προσφέρεσθαι, εἰ μή τι διαφερόντως ἠδίκητο;

11. Ταῦτα μὲν οὖν ὑπὲρ ἐμαυτοῦ ἀπολελόγημαι ὑμῖν, ἀληθῆ καὶ δίκαια καὶ ἐπαίνου μᾶλλον, ὡς ἐμαυτὸν πείθω, ἢ μίσους ἄξια. Ὑπὲρ δὲ τοῦ ἀναθήματος καιρὸς ὑμᾶς ἀκοῦσαι ὅθεν καὶ ὅπως τὸν ταῦρον τοῦτον ἐκτησάμην οὐκ ἐκδοὺς αὐτὸς τῷ ἀνδριαντοποιῷ. Μὴ γὰρ οὕτω μανείην, ὡς τοιούτων ἐπιθυμῆσαι κτημάτων. Ἀλλὰ Περίλαος ἦν τις ἡμεδαπὸς, χαλκεὺς μὲν ἀγαθὸς, πονηρὸς δὲ ἄνθρωπος. Οὗτος πάμπολυ τῆς ἐμῆς γνώμης διημαρτηκὼς ᾠετο χαριεῖσθαί μοι, εἰ καινήν τινα κόλασιν ἐπινοήσειεν, ὡς ἐξ ἅπαντος κολάζειν ἐπιθυμοῦντι. Καὶ δὴ κατασκευάσας τὸν βοῦν ἦκέ μοι κομίζων κάλλιστον ἰδεῖν καὶ πρὸς τὸ ἀκριβέστατον εἰκασμένον· κινήσεως γὰρ αὐτῷ καὶ μυκηθμοῦ ἔδει μόνον πρὸς τὸ καὶ ἔμψυχον εἶναι δοκεῖν. Ἰδὼν δὲ ἀνέκραγον εὐθὺς, ἄξιον τὸ κτῆμα τοῦ Πυθίου, πεμπτέος ὁ ταῦρος τῷ θεῷ. Ὁ δὲ Περίλαος παρεστὼς, Τί δ' εἰ μάθοις, ἔφη, τὴν σοφίαν τὴν ἐν αὐτῷ καὶ τὴν χρείαν ἣν παρέχεται; καὶ ἀνοίξας ἅμα τὸν ταῦρον κατὰ τὰ νῶτα, Ἤν τινα, ἔφη, κολάζειν ἐθέλῃς, ἐμβιβάσας ἐς τὸ μηχάνημα τοῦτο καὶ κατακλείσας προστιθέναι μὲν τοὺς αὐλοὺς τούσδε πρὸς τοὺς μυξωτῆρας τοῦ βοὸς, πῦρ δ' ὑποκάειν κελεύειν, καὶ ὁ μὲν οἰμώξεται καὶ βοήσεται ἀλήκτοις ταῖς ὀδύναις ἐχόμενος, ἡ βοὴ δὲ διὰ τῶν αὐλῶν μέλη σοι ἀποτελέσει οἷα λιγυρώτατα καὶ ἐπαυλήσει θρηνώδες καὶ μυκήσεται γοερώτατον, ὡς τὸν μὲν κολάζεσθαι, σὲ δὲ τέρπεσθαι μεταξὺ καταυλούμενον.

12. Ἐγὼ δὲ ὡς τοῦτ' ἤκουσα, ἐμυσάχθην τὴν κακομηχανίαν τοῦ ἀνδρὸς καὶ τὴν ἐπίνοιαν ἐμίσησα τοῦ κατασκευάσματος καὶ οἰκείαν αὐτῷ τιμωρίαν ἐπέθηκα· καὶ, Ἄγε δὴ, ἔφην, ὦ Περίλαε, εἰ μὴ κενὴ ἄλλως ὑπόσχεσις ταῦτά ἐστι, δεῖξον ἡμῖν αὐτὸς εἰσελθὼν τὴν ἀλήθειαν τῆς τέχνης καὶ μίμησαι τοὺς βοῶντας, ἵν' εἰδῶμεν εἰ καὶ ἃ φῂς μέλη διὰ τῶν αὐλῶν φθέγγεται. Πείθεται μὲν ταῦτα ὁ Περίλαος, ἐγὼ δὲ, ἐπεὶ ἔνδον ἦν, κατακλείσας αὐτὸν πῦρ ὑφάπτειν ἐκέλευον, Ἀπολάμβανε, εἰπὼν, τὸν ἄξιον μισθὸν τῆς θαυμαστῆς σου τέχνης, ἵν' ὁ διδάσκαλος τῆς μουσικῆς αὐτὸς πρῶτος αὐλῇς. Καὶ ὁ μὲν δίκαια ἔπασχεν ἀπολαύων τῆς αὐτοῦ εὐμηχανίας· ἐγὼ δὲ ἔτι ἔμπνουν καὶ ζῶντα τὸν ἄνδρα ἐξαιρεθῆναι κελεύσας, ὡς μὴ μιάνειε τὸ ἔργον ἐναποθανὼν, ἐκεῖνον μὲν ἄταφον κατὰ κρημνῶν βίπτειν ἐκέλευσα, καθήρας δὲ τὸν βοῦν ἀπέπεμψα ὑμῖν ἀνατεθησόμενον τῷ θεῷ καὶ ἐπιγράψαι γε ἐπ' αὐτῷ ἐκέλευσα τὴν πᾶσαν διήγησιν, τοῦ ἀνατιθέντος ἐμοῦ τοὔνομα, τὸν τεχνίτην τὸν Περίλαον, τὴν ἐπίνοιαν τὴν ἐκείνου, τὴν δικαιοσύνην τὴν ἐμὴν, τὴν πρέπουσαν τιμωρίαν, τὰ τοῦ σοφοῦ χαλκέως μέλη, τὴν πρώτην πεῖραν τῆς μουσικῆς.

13. Ὑμεῖς δὲ, ὦ Δελφοὶ, δίκαια ποιήσετε θύσαντες μὲν ὑπὲρ ἐμοῦ μετὰ τῶν πρέσβεων, ἀναθέντες δὲ τὸν

sit meam laudans justitiam, et necessitate extortæ misertus crudelitatis. Deinde num putatis hominem in peregrinos adeo humanum, injuste tractaturum suos, nisi insigni affectum injuria?

11. Atque hæc quidem pro me dixi, vera, justa, laude potius, ut mihi persuadeo, quam odio digna. Jam de donario vos audire tempus est, unde et quomodo dominus hujus tauri factus sim, quem ipse non locaverim statuario. Absit enim a me ille furor, ut tale quid possidere cupiam. Sed fuit Perilaus aliquis nostras, faber bonus, sed homo idem pessimus. Hic multum a conjectando animo meo aberrans, gratum se mihi facturum rebatur, tanquam universe pœnis gaudenti, si novam quandam pœnam excogitasset. Fabrefactum igitur bovem mihi attulit, pulcherrima specie, et ad exactissimam similitudinem elaboratum : solo enim motu et mugitu deficiebatur, quominus animatus esse videretur. Ad primum autem conspectum statim exclamavi, Dignum opus quod habeat Pythius : mittendus hic taurus deo. Astans autem Perilaus, Quid si, inquit, noris artem in illo reconditam, et quem usum præbeat? et, simul aperiens in tergo bovem, Si quem punire, inquit, volueris, imposito illo in hanc machinam, eaque clausa, applicari has tibias jube naribus bovis, et succendi ignem. Sic iste ejulabit et clamabit, dolore infinito cruciatus; clamor autem iste per tibias modulos tibi efficiet canoros maxime, et tlirenis aptos sonos accinet, ac lugubre plane mugiet : adeo ut dum ille puniatur, tibiæ tu sonis interim demulceare.

12. Ego vero his auditis, pessimum artificium hominis abominatus, et exosus ingenium hujus machinæ, propriam illi pœnam imposui : et, Age sane, inquam, Perilae, nisi vana temere illa sunt promissa, ostende nobis ingressus ipse veritatem artis tuæ, et imitare clamantes, ut sciamus utrum, quos prædicas modulos, ii per tibias sonent. Obsequitur Perilaus : at ego, quum intus esset, concluso homine, ignem succendi jussi, Habe tibi, dicens, dignam mercedem admirabilis illius artis tuæ, ut magister illius musices primus ipse canas. Atque ille digna factis suis passus est, fructum percipiens ingeniosæ machinationis. Ceterum ego viventem adhuc et spirantem hominem eximi jussi, ne intra moriendo opus pollueret, et insepultum per præceps abjici : expiatum vero bovem vobis misi dedicandum deo, eique inscribi totam narrationem jussi, meum dedicantis nomen, artificem Perilaum, ipsius commentum, meam justitiam, pœnam decentem, sapientis fabri modulos, primum musices experimentum.

13. Vos vero, Delphi, quod justum est feceritis, si pro me cum legatis sacrificaritis, dedicaveritisque taurum in

ταῦρον ἐν καλῷ τοῦ ἱεροῦ, ὡς πάντες εἰδεῖεν οἷος ἐγὼ πρὸς τοὺς πονηρούς εἰμι καὶ ὅπως ἀμύνομαι τὰς περιττὰς ἐς κακίαν ἐπιθυμίας αὐτῶν. Ἱκανὸν γοῦν καὶ τοῦτο μόνον δηλῶσαί μου τὸν τρόπον, Περίλαος κολασθεὶς καὶ ὁ ταῦρος ἀνατεθεὶς καὶ μηκέτι φυλαχθεὶς πρὸς ἄλλων κολαζομένων αὐλήματα μηδὲ μελῳδήσας ἄλλο ἔτι πλὴν μόνα τὰ τοῦ τεχνίτου μυκήματα, καὶ ὅτι ἐν μόνῳ αὐτῷ καὶ πεῖραν ἔλαβον τῆς τέχνης καὶ κατέπαυσα τὴν ἄμουσον ἐκείνην καὶ ἀπάνθρωπον ᾠδήν. Καὶ τὰ μὲν παρόντα ταῦτα παρ' ἐμοῦ τῷ θεῷ· ἀναθήσω δὲ καὶ ἄλλα πολλάκις, ἐπειδάν μοι παράσχῃ μηκέτι δεῖσθαι κολάσεων.

14. Ταῦτα μέν, ὦ Δελφοί, τὰ παρὰ τοῦ Φαλάριδος, ἀληθῆ πάντα καὶ οἷα ἐπράχθη ἕκαστα, καὶ δίκαιοι ἂν εἴημεν πιστεύεσθαι ὑφ' ὑμῶν μαρτυροῦντες, ὡς ἂν καὶ εἰδότες καὶ μηδεμίαν αἰτίαν τοῦ ψεύδεσθαι νῦν ἔχοντες. Εἰ δὲ δεῖ καὶ δεηθῆναι ὑπὲρ ἀνδρὸς μάτην πονηροῦ δοκοῦντος καὶ ἄκοντος κολάζειν ἠναγκασμένου, ἱκετεύομεν ὑμᾶς ἡμεῖς οἱ Ἀκραγαντῖνοι Ἕλληνές τε ὄντες καὶ τὸ ἀρχαῖον Δωριεῖς, προσέσθαι τὸν ἄνδρα φίλον εἶναι ἐθέλοντα καὶ πολλὰ καὶ δημοσίᾳ καὶ ἰδίᾳ ἕκαστον ὑμῶν εὖ ποιῆσαι ὡρμημένον. Λάβετε οὖν αὐτοὶ τὸν ταῦρον καὶ ἀνάθετε καὶ εὔξασθε ὑπέρ τε τῆς Ἀκράγαντος καὶ ὑπὲρ τοῦ Φαλάριδος, καὶ μήτε ἡμᾶς ἀπράκτους ἀποπέμψητε μήτ' ἐκεῖνον ὑβρίσητε μήτε τὸν θεὸν ἀποστερήσητε καλλίστου τε ἅμα καὶ δικαιοτάτου ἀναθήματος.

honesto sacri loco, ut sciant omnes qualis ego in malos sim, et quomodo ulciscar nimias illorum ad mala cupiditates. Sufficit enim vel hoc solum ad declarandum ingenium meum, Perilaus punitus, dedicatus taurus, neque servatus amplius ad aliorum puniendorum cantus, nulladum alia melodia edita, præter solos artificis mugitus: et quod in illo solo et experimentum cepi artis, et finem imposui cantui illi a Musis et humanitate abhorrenti. Et in præsens ista quidem a me deo oblata sunto: dedicabo autem sæpe etiam alia, si hoc mihi præstiterit, ut pœnis non amplius indigeam.

14. Hæc, Delphi, quæ a Phalaride dicere jussi sumus, vera omnia, et qualia gesta sunt singula: ac digni videmur esse, quibus fides habeatur a vobis, quum perhibeamus testimonium, tanquam qui et sciamus et nullam nunc mentiendi causam habeamus. Si vero etiam preces interponendæ sunt pro viro, qui sine causa perhibetur malus, quique præter voluntatem suam punire coactus est, supplicamus vobis nos Agrigentini, qui Græci sumus et antiqua origine Dorienses, ut admittatis virum, amicum vobis esse cupientem, et multa in vos publice, et privatim in singulos vestrûm bona conferre paratum. Accipite ergo ipsi taurum, et dedicate, et pro Agrigento ipsoque Phalaride vota facite: et nec infecta re nos dimiseritis, neque illum affeceritis contumelia, nec deum pulcherrimo justissimoque donario privaveritis.

XXXI.

ΦΑΛΑΡΙΣ ΔΕΥΤΕΡΟΣ.

1. Οὔτε Ἀκραγαντίνων, ὦ ἄνδρες Δελφοί, πρόξενος ὢν οὔτε ἰδιόξενος αὐτοῦ Φαλάριδος οὔτ' ἄλλην ἔχων πρὸς αὐτὸν ἢ εὐνοίας ἰδίαν αἰτίαν ἢ μελλούσης φιλίας ἐλπίδα, τῶν δὲ πρέσβεων ἀκούσας τῶν ἥκόντων παρ' αὐτοῦ ἐπιεικῆ καὶ μέτρια διεξιόντων, καὶ τὸ εὐσεβὲς ἅμα καὶ τὸ κοινῇ συμφέρον καὶ μάλιστα τὸ Δελφοῖς πρέπον προορώμενος ἀνέστην παραινέσων ὑμῖν μήτε ὑβρίζειν ἄνδρα δυνάστην εὐσεβοῦντα μήτ' ἀνάθημα ἤδη τῷ θεῷ καθωμολογημένον ἀπαλλοτριοῦν, καὶ ταῦτα τριῶν τῶν μεγίστων ὑπόμνημα εἰς ἀεὶ γενησόμενον, τέχνης καλλίστης καὶ ἐπινοίας κακίστης καὶ δικαίας κολάσεως.

2. Ἐγὼ μὲν οὖν καὶ τὸ ἐνδοιάσαι ὑμᾶς ὅλως περὶ τούτου καὶ ἡμῖν προθεῖναι τὴν διάσκεψιν, εἰ χρὴ δέχεσθαι τὸ ἀνάθημα ἢ ὀπίσω αὖθις ἀποπέμπειν, ἀνόσιον ἤδη εἶναι νομίζω, μᾶλλον δὲ οὐδ' ὑπερβολὴν ἀσεβείας ἀπολελοιπέναι· οὐδὲν γὰρ ἀλλ' ἢ ἱεροσυλία τὸ πρᾶγμά ἐστι μακρῷ τῶν ἄλλων χαλεπωτέρα, ὅσῳ τοῦ τὰ ἤδη ἀνατεθέντα συλᾶν τὸ μηδὲ τὴν ἀρχὴν τοῖς ἀνατιθέναι βουλομένοις ἐπιτρέπειν ἀσεβέστερον.

3. Δέομαι δὲ ὑμῶν Δελφὸς καὶ αὐτὸς ὢν καὶ τὸ ἴσον μετέχων τῆς τε δημοσίας εὐκλείας, εἰ φυλάττοιτο, καὶ

XXXI.

PHALARIS ALTER.

1. Neque cura mihi Agrigentinorum hospitum publice data, Delphi, neque privatum cum Phalaride hospitium intercedit, neque aliam habeo aut peculiarem benevolentiæ erga illum causam, aut futuræ spem amicitiæ: verum auditis legatis ab eo venientibus, æqua et moderata disserentibus, atque id quod simul et pium et publice utile est et Delphos maxime decet, spectans, surrexi adhortaturus vos, ut neque contumelia afficiatis virum potentem, religiosum, neque donarium jam nuncupatum deo abalienetis, quod trium maximarum rerum in omne ævum monumentum futurum est artis præstantissimæ, commenti pessimi, et justi supplicii.

2. Equidem ipsum hoc, dubitare vos omnino hac de re, ipsum hoc, quod eam proposuere nobis magistratus disputationem, sitne recipiendum donarium, an retro rursus remittendum, irreligiosum esse arbitror, vel potius, nullum impietati gradum ultra quem ascendat reliquisse. Nihil enim nisi sacrilegium hoc [illegible] iis quib[illegible]que gravius, quanto [illegible]re dedicata, ne p

τῆς ἐναντίας δόξης, εἰ ἐκ τῶν παρόντων προσγένοιτο, μήτ' ἀποκλείειν τὸ ἱερὸν τοῖς εὐσεβοῦσι μήτε τὴν πόλιν πρὸς ἅπαντας ἀνθρώπους διαβάλλειν ὡς τὰ πεμπόμενα τῷ θεῷ συκοφαντοῦσαν καὶ ψήφῳ καὶ δικαστηρίῳ δοκιμάζουσαν τοὺς ἀνατιθέντας· οὐδεὶς γὰρ ἔτι ἀναθεῖναι τολμήσειεν ἂν εἰδὼς οὐ προσησόμενον τὸν θεὸν ὅ τι ἂν μὴ πρότερον τοῖς Δελφοῖς δοκῇ.

4. Ὁ μὲν οὖν Πύθιος τὴν δικαίαν ἤδη περὶ τοῦ ἀναθήματος ψῆφον ἤνεγκεν· εἰ γοῦν ἐμίσει τὸν Φάλαριν ἢ τὸ δῶρον αὐτοῦ ἐμυσάττετο, ῥᾴδιον ἦν ἐν τῷ Ἰονίῳ μέσῳ καταδῦσαι αὐτὸ μετὰ τῆς ἀγούσης ὁλκάδος, ὁ δὲ πολὺ τοὐναντίον ἐν εὐδίᾳ τε διαπεραιωθῆναι, ὥς φασι, παρέσχεν αὐτοῖς καὶ σῶς ἐς τὴν Κίρραν κατᾶραι.

5. Ἃ καὶ δῆλον ὅτι προσίεται τὴν τοῦ μονάρχου εὐσέβειαν. Χρὴ δὲ καὶ ὑμᾶς τὰ αὐτὰ ἐκείνῳ ψηφισαμένους προσθεῖναι καὶ τὸν ταῦρον τουτονὶ τῷ ἄλλῳ κόσμῳ τοῦ ἱεροῦ· ἐπεὶ πάντων ἂν εἴη τοῦτ' ἀτοπώτατον, πέμψαντά τινα μεγαλοπρεπῆ οὕτω δῶρον θεῷ τὴν καταδικάζουσαν ἐκ τοῦ ἱεροῦ ψῆφον λαβεῖν καὶ μισθὸν κομίσασθαι τῆς εὐσεβείας τὸ κεκρίσθαι μηδὲ τοῦ ἀνατιθέναι ἄξιος.

6. Ὁ μὲν οὖν τἀναντία μοι ἐγνωκὼς, καθάπερ ἐκ τοῦ Ἀκράγαντος ἄρτι καταπεπλευκὼς, σφαγάς τινας καὶ βίας καὶ ἁρπαγὰς καὶ ἀπαγωγὰς ἐτραγῴδει τοῦ τυράννου μόνον οὐκ αὐτόπτης γεγενῆσθαι λέγων, ὃν ἴσμεν οὐδ' ἄχρι τοῦ πλοίου ἀποδεδημηκότα. Χρὴ δὲ τὰ μὲν τοιαῦτα μηδὲ τοῖς πεπονθέναι φάσκουσι πάνυ πιστεύειν διηγουμένοις — ἄδηλον γὰρ εἰ ἀληθῆ λέγουσιν — οὐχ ὅπως αὐτοὺς ἃ μὴ ἐπιστάμεθα κατηγορεῖν.

7. Εἰ δ' οὖν τι καὶ πέπρακται τοιοῦτον ἐν Σικελίᾳ, τοῦτ' οὐ Δελφοῖς ἀναγκαῖον πολυπραγμονεῖν, εἰ μὴ ἀντὶ ἱερέων ἤδη δικασταὶ εἶναι ἀξιοῦμεν καὶ, δέον θύειν καὶ τἆλλα θεραπεύειν τὸν θεὸν καὶ συνανατιθέναι εἴ πέμψειέ τις, σκοποῦντες καθήμεθα εἴ τινες τῶν ὑπὲρ τὸν Ἰόνιον δικαίως ἢ ἀδίκως τυραννοῦνται.

8. Καὶ τὰ μὲν τῶν ἄλλων ἐχέτω ὅπῃ βούλεται· ἡμῖν δὲ ἀναγκαῖον, οἶμαι, τὰ ἡμέτερα αὐτῶν εἰδέναι, ὅπως τε πάλαι διέκειτο καὶ ὅπως νῦν ἔχει καὶ τί ποιοῦσι λῷον ἔσται. Ὅτι μὲν δὴ ἐν κρημνοῖς τε οἰκοῦμεν αὐτοὶ καὶ πέτρας γεωργοῦμεν, οὐχ Ὅμηρον χρὴ περιμένειν δηλώσοντα ἡμῖν, ἀλλ' ὁρᾶν πάρεστι ταῦτα· καὶ ὅσον ἐπὶ τῇ γῇ, βαθεῖ λιμῷ ἀεὶ συνῆμεν ἄν. Τὸ δ' ἱερὸν καὶ ὁ Πύθιος καὶ τὸ χρηστήριον καὶ οἱ θύοντες καὶ οἱ εὐσεβοῦντες ταῦτα Δελφῶν τὰ πεδία, ταῦτα ἡ πρόσοδος, ἐντεῦθεν ἡ εὐπορία, ἐντεῦθ[illegible] τροφαί — χρὴ γὰρ τἀληθῆ πρός γε ἡμᾶς αὐ[illegible] καὶ τὸ λεγόμενον ὑπὸ τῶν ποιητῶν, ἀσ[illegible]ροτα φύεται τὰ πάντα ὑπὸ γεωργῷ[illegible] τὰ παρὰ τοῖς Ἕλλησιν ἀγαθὰ [illegible] εἴ τι ἐν Φρυ[illegible]ροί- νι[illegible]λε- [illegible]μεῖς [illegible]νοῦ-

trariæ opinionis, si qua ex præsenti negotio contrahatur, ne claudatis sacrum religiosis, neu civitati nostræ infamiam apud omnes homines concilietis, quasi ea quæ mittuntur deo calumnietur, et calculo judicioque exploret qui aliquid donant. Nemo enim amplius donare quicquam temere audebit, si sciat non admissurum esse deum, quod non prius Delphis admittendum videatur.

4. Ac Pythius quidem justum jam de donario suffragium tulit: qui si odisset Phalarin, aut munus illius abominaretur, facile illi erat medio in Ionio illud cum ipsa navi, quæ vehebat, demergere. Verum ille contra per serenitatem uti trajicerent, ut aiunt, ipsis tribuit, et salvi ad Cirrham uti appellerent.

5. Qua re etiam manifestum est admitti ab eo monarchæ pietatem. Oportet autem vos quoque eadem decernere, et adjicere hunc taurum reliquis templi ornamentis. Omnium enim absurdissimum fuerit, magnifici adeo muneris deo missi auctorem damnans ex templo suffragium referre, et mercedem hanc pietatis suæ habere, ut ne dignus quidem sit habitus qui aliquid donet.

6. Ille quidem, qui contraria mihi decrevit, quasi qui Agrigento modo huc appulerit, cædes quasdam, et vim factam, et rapinas, et abductiones tyranni tragica oratione retulit, tantum non visa a se narrari dicens; quem tamen neque ad navem usque peregrinatum esse novimus. Oportet autem talia ne his quidem, qui se passos esse dicunt, omnino credere narrantibus; quum, utrum vera dicant, incertum sit: nedum ut ipsi, quæ non certo scimus, accusemus.

7. Utrum igitur tale quicquam in Sicilia factum sit, hoc Delphis necesse non est studiose quærere; nisi pro sacerdotibus jam judices esse postulamus, et quum mactare nos oporteat et reliquum dei cultum peragere, et una ponere donaria si quis mittat, sedemus disceptaturi, si qui trans Ionium mare juste aut injuste reguntur.

8. Aliorum quidem res quomodocumque lubuerit se habeant: nobis vero necessarium arbitror nostra ipsorum scire, tam ut olim constituta fuerint, quam uti nunc se habeant, et quid facientibus melius futurum sit. Ac nos in præcipitiis habitare et saxa arare, non Homerus nobis exspectandus est qui nos doceat; sed videre ista licet: et quantum ad terram nostram, summa semper cum fame essemus. Sed templum, et Pythius, et oraculum, et mactantes, et religiosi, hi Delphorum agri, hi reditus, hinc bona copia, hinc alimenta (oportet enim vera, inter nos quidem certe, dicere), et quod a poetis dicitur, sine semine nostro, sine aratro proveniunt omnia. agrum nostrum celente deo, qui non ea solum, quæ apud reliquos Græcos nascuntur bona nobis præbet; sed si quid apud Phrygas, Lydos, Persas, Assyrios, aut Phœnices, aut Rhodios, ipsos Hyperboreos nascitur, Delphos omnia perveniunt. secundo post deum loco nos colimur ab omnibus.

μεν· ταῦτα τὸ ἀρχαῖον, ταῦτα τὸ μέχρι νῦν, καὶ μὴ παυσαίμεθά γε οὕτω βιοῦντες.

9. Μέμνηται δὲ οὐδεὶς πώποτε ψῆφον ὑπὲρ ἀναθήματος παρ' ἡμῖν ἀναδοθεῖσαν οὐδὲ κωλυθέντα τινὰ θύειν ἢ ἀνατιθέναι. Καὶ διὰ τοῦτ', οἶμαι, καὶ αὐτὸ εἰς ὑπερβολὴν ηὔξηται τὸ ἱερὸν καὶ ὑπερπλουτεῖ ἐν τοῖς ἀναθήμασι. Δεῖ τοίνυν μηδ' ἐν τῷ παρόντι καινοτομεῖν μηδὲν μηδὲ παρὰ τὰ πάτρια νόμον καθιστάναι, φυλοκρινεῖν τὰ ἀναθήματα καὶ γενεαλογεῖν τὰ πεμπόμενα, ὅθεν καὶ ἀφ' ὅτου καὶ ὁποῖα, δεξαμένους δὲ ἀπραγμόνως ἀνατιθέναι ὑπηρετοῦντας ἀμφοῖν, καὶ τῷ θεῷ καὶ τοῖς εὐσεβέσι.

10. Δοκεῖτε δέ μοι, ὦ ἄνδρες Δελφοί, ἄριστα βουλεύεσθαι περὶ τῶν παρόντων, εἰ λογίσαισθε πρῶτον ὑπὲρ ὅσων καὶ ἡλίκων ἐστὶν ἡ σκέψις, πρῶτον μὲν ὑπὲρ τοῦ θεοῦ καὶ τοῦ ἱεροῦ καὶ θυσιῶν καὶ ἀναθημάτων καὶ ἐθῶν ἀρχαίων καὶ θεσμῶν παλαιῶν καὶ δόξης τοῦ μαντείου, ἔπειτα ὑπὲρ τῆς πόλεως ὅλης καὶ τῶν συμφερόντων τῷ τε κοινῷ ἡμῶν καὶ ἰδίᾳ ἑκάστῳ Δελφῶν, ἐπὶ πᾶσι δὲ τῆς παρὰ πᾶσιν ἀνθρώποις εὐκλείας ἢ κακοδοξίας· τούτων γὰρ οὐκ οἶδα εἴ τι μεῖζον, εἰ σωφρονεῖτε, ἢ ἀναγκαιότερον ἡγήσαισθε ἄν.

11. Περὶ μὲν οὖν ὧν βουλευόμεθα, ταῦτά ἐστιν, οὐ Φάλαρις τύραννος εἷς οὐδὲ ταῦρος οὗτος οὐδὲ χαλκὸς μόνον, ἀλλὰ πάντες βασιλεῖς καὶ πάντες δυνάσται, ὅσοι νῦν χρῶνται τῷ ἱερῷ, καὶ χρυσὸς καὶ ἄργυρος καὶ ὅσα ἄλλα τίμια πολλὰ πολλάκις ἀνατεθησόμενα τῷ θεῷ· πρῶτον μὲν γὰρ τὸ κατὰ τὸν θεὸν ἐξετασθῆναι ἄξιον.

12. Τίνος οὖν ἕνεκα μὴ ὡς ἀεὶ μηδὲ ὡς πάλαι τὰ περὶ τῶν ἀναθημάτων ποιήσομεν; ἢ τί μεμφόμενοι τοῖς παλαιοῖς ἔθεσι καινοτομήσομεν; καὶ ὃ μηδὲ πώποτε, ἀφ' οὗ τὴν πόλιν οἰκοῦμεν καὶ ὁ Πύθιος χρᾷ καὶ ὁ τρίπους φθέγγεται καὶ ἡ ἱέρεια ἐμπνεῖται, γεγένηται παρ' ἡμῖν, νῦν καταστησόμεθα, κρίνεσθαι καὶ ἐξετάζεσθαι τοὺς ἀνατιθέντας; Καὶ μὴν ἐξ ἐκείνου μὲν τοῦ παλαιοῦ ἔθους, τοῦ ἀνέδην καὶ πᾶσιν ἐξεῖναι, ὁρᾶτε ὅσων ἀγαθῶν ἐμπέπλησται τὸ ἱερὸν, ἁπάντων ἀνατιθέντων καὶ ὑπὲρ τὴν ὑπάρχουσαν δύναμιν ἐνίων δωρουμένων τὸν θεόν.

13. Εἰ δ' ὑμᾶς αὐτοὺς δοκιμαστὰς καὶ ἐξεταστὰς ἐπιστήσετε τοῖς ἀναθήμασιν, ὀχνῶ μὴ ἀπορήσωμεν τῶν δοκιμασθησομένων, ἔτι οὐδενὸς ὑπομένοντος ὑπόδικον αὐτὸν καθιστάναι, καὶ ἀναλίσκοντα καὶ καταδαπανῶντα παρ' αὐτοῦ, κρίνεσθαι καὶ ὑπὲρ τῶν ὅλων κινδυνεύειν. Ἢ τίνι βιωτὸν, εἰ κριθήσεται τοῦ ἀνατιθέναι ἀνάξιος; damus, et beati sumus. Hæc antiqua ratio, hæc adhuc obtinet, et utinam ita vivere non desinamus!

9. Recordatur autem nemo unquam suffragium de donario apud nos latum, nec prohibitum quenquam, quominus sacrificaret vel dedicaret aliquid. Ac propter hoc ipsum, puto, supra modum auctum est sacrum, et abundat donariis. Quare nec in præsenti novandum quicquam, neque præter patrium morem lex constituenda, ut scrupulose judicentur donaria, et eorum quæ mittuntur origo inquiratur, unde, a quo, et qualia sint: sed accepta sine operosa quæstione dedicare, ambobus ministrantes, tum deo, tum religiosis.

10. Videmini autem mihi, Delphi, sic demum optime de præsentibus judicaturi, si primum consideraveritis, de quot quantisque rebus sit quæstio. Primo quidem de deo, templo, victimis, donariis, moribus antiquis, legibus vetustis, gloria oraculi: deinde de tota civitate et his quæ cum reipublicæ nostræ, tum privatim unicuique Delphorum conducant: super omnia vero de bona aut mala apud omnes homines fama. Hisce enim si quid majus, magisve necessarium, modo sanum adhibeatis judicium, existimetis, non novi.

11. Hæc ergo sunt de quibus deliberamus, non Phalaris unus tyrannus, neque taurus iste, neque æs tantum; sed reges omnes et omnes dynastæ, qui sacro hodie utuntur, et aurum, et argentum, et quæcumque alia pretiosa dedicabuntur in posterum deo. Primo quidem, quod ad deum pertinet, exploratu dignum.

12. Qua igitur de causa non ut semper neque ut olim ea quæ ad donaria referuntur, faciemus? aut quid reprehendentes in vetusto more novabimus, et quod nunquam a nobis, ex quo urbem habitamus, et Pythius respondet, et tripus loquitur, et sacerdos inspiratur, factum est, nunc constituemus, ut judicentur et explorentur qui aliquid dedicant? Atqui ex antiquo illo more, quo promiscue et omnibus hoc licet, videtis quot quantisque bonis templum impletum sit, dedicantibus omnibus, et supra vires suas quibusdam deo donantibus.

13. Si vero vos cognitores quæsitoresque donariis constitueritis, metuo ne non habeamus amplius quæ explorentur; quum futurum sit ut nemo sustineat judicio se submittere, et sumtibus atque impensis e sua re familiari factis insuper examinari, et periclitari adeo de capite. Quis enim vivendum sibi putet, si indignus, qui donet aliquid, judicetur?

XXXII.

ΑΛΕΞΑΝΔΡΟΣ Η ΨΕΥΔΟΜΑΝΤΙΣ.

1. Σὺ μέν ἴσως, ὦ φίλτατε Κέλσε, μικρόν τι τοῦτο καὶ φαῦλον οἴει τὸ πρόσταγμα, προστάττειν τὸν Ἀλεξάνδρου σοι τοῦ Ἀβωνοτειχίτου τοῦ γόητος βίον καὶ ἐπινοίας αὐτοῦ καὶ τολμήματα καὶ μαγγανείας ἐς βιβλίον

XXXII.

ALEXANDER, SEU PSEUDOMANTIS.

1. Parvum tu forsitan, Celse carissime, et leve aliquid abs te mandatum esse existimas, quod jussisti Alexandri me tibi Abonotichitæ impostoris vitam et commenta et ausus et præstigias in librum relatas mittere: at illud, si

ἐγγράψαντα πέμψαι· τὸ δὲ, εἴ τις ἐθέλοι πρὸς τὸ ἀκριβὲς ἕκαστον ἐπεξιέναι, οὐ μεῖόν ἐστιν ἢ τὰς Ἀλεξάνδρου τοῦ Φιλίππου πράξεις ἀναγράψαι· τοσοῦτος ἐν κακίᾳ οὗτος, ὅσος εἰς ἀρετὴν ἐκεῖνος. Ὅμως δὲ εἰ μετὰ συγγνώμης ἀναγνώσεσθαι μέλλοις καὶ τὰ ἐνδέοντα τοῖς ἱστορουμένοις προσλογιεῖσθαι, ὑποστήσομαί σοι τὸν ἅθλον καὶ τὴν Αὐγέου βουστασίαν, εἰ καὶ μὴ πᾶσαν, ἀλλ' ἐς δύναμίν γε τὴν ἐμαυτοῦ ἀνακαθήρασθαι πειράσομαι, ὀλίγους ὅσους τῶν κοφίνων ἐκφορήσας, ὡς ἀπ' ἐκείνων τεκμαίροιο πόση πᾶσα καὶ ὡς ἀμύθητος ἦν ἡ κόπρος, ἣν τρισχίλιοι βόες ἐν πολλοῖς ἔτεσι ποιῆσαι ἐδύναντο.

2. Αἰδοῦμαι μὲν οὖν ὑπὲρ ἀμφοῖν, ὑπέρ τε σοῦ καὶ ὑπὲρ ἐμαυτοῦ· σοῦ μέν, ἀξιοῦντος μνήμῃ καὶ γραφῇ παραδοθῆναι ἄνδρα τρισκατάρατον, ἐμαυτοῦ δὲ, σπουδὴν ποιουμένου ἐπὶ τοιαύτῃ ἱστορίᾳ καὶ πράξεσιν ἀνθρώπου, ὃν οὐκ ἀναγιγνώσκεσθαι πρὸς τῶν πεπαιδευμένων ἦν ἄξιον, ἀλλ' ἐν πανδήμῳ τινὶ μεγίστῳ θεάτρῳ ὁρᾶσθαι ὑπὸ πιθήκων ἢ ἀλωπέκων σπαραττόμενον. Ἀλλ' ἤν τις ἡμῖν ταύτην ἐπιφέρῃ τὴν αἰτίαν, ἔξομεν καὶ αὐτοὶ ἐς παράδειγμά τι τοιοῦτον ἀνενεγκεῖν· καὶ Ἀρριανὸς γὰρ ὁ τοῦ Ἐπικτήτου μαθητὴς, ἀνὴρ Ῥωμαίων ἐν τοῖς πρώτοις καὶ παιδείᾳ παρ' ὅλον τὸν βίον συγγενόμενος, ὁμοιόν τι παθὼν ἀπολογήσαιτ' ἂν καὶ ὑπὲρ ἡμῶν· Τιλλιβόρου γοῦν τοῦ λῃστοῦ κἀκεῖνος βίον ἀναγράψαι ἠξίωσεν· ἡμεῖς δὲ πολὺ ὠμοτέρου λῃστοῦ μνήμην ποιησόμεθα, ὅσῳ μὴ ἐν ὕλαις καὶ ἐν ὄρεσιν, ἀλλ' ἐν πόλεσιν οὗτος ἐλῃστευεν οὐ Μυσίαν μόνην οὐδὲ τὴν Ἴδην κατατρέχων οὐδὲ ὀλίγα τῆς Ἀσίας μέρη τὰ ἐρημότερα λεηλατῶν, ἀλλὰ πᾶσαν ὡς εἰπεῖν τὴν Ῥωμαίων ἀρχὴν ἐμπλήσας τῆς λῃστείας τῆς αὐτοῦ.

3. Πρότερον δέ σοι αὐτὸν ὑπογράψω τῷ λόγῳ πρὸς τὸ ὁμοιότατον εἰκάσας τὴν μορφὴν, ὅς ἂν δύνωμαι, καίτοι μὴ πάνυ γραφικός τις ὤν· τὸ γὰρ δὴ σῶμα, ἵνα σοι καὶ τοῦτο δείξω, μέγας τε ἦν καὶ καλὸς ἰδεῖν καὶ θεοπρεπὴς ὡς ἀληθῶς, λευκὸς τὴν χρόαν, τὸ γένειον οὐ πάνυ λάσιος, κόμην τὴν μὲν ἰδίαν, τὴν δὲ καὶ πρόσθετον ἐπικείμενος εὖ μάλα εἰκασμένην καὶ τοὺς πολλοὺς ὅτι ἦν ἀλλοτρία λεληθυῖαν· ὀφθαλμοὶ πολὺ τὸ γοργὸν καὶ ἔνθεον διεμφαίνοντες, φώνημα ἡδιστόν τε ἅμα καὶ λαμπρότατον· καὶ ὅλως οὐδαμόθεν μωμητὸς ἦν ταῦτά γε.

4. Τοιόσδε μὲν τὴν μορφήν· ἡ ψυχὴ δὲ καὶ ἡ γνώμη, ἀλεξίκακε Ἡράκλεις καὶ Ζεῦ ἀποτρόπαιε καὶ Διόσκουροι σωτῆρες, πολεμίοις καὶ ἐχθροῖς ἐντυχεῖν γένοιτο καὶ μὴ συγγενέσθαι τοιούτῳ τινί· συνέσει μὲν γὰρ καὶ ἀγχινοίᾳ καὶ δριμύτητι πάμπολυ τῶν ἄλλων διέφερε, καὶ τό τε περίεργον καὶ εὐμαθὲς καὶ μνημονικὸν καὶ πρὸς τὰ μαθήματα εὐφυὲς, πάντα ταῦτα εἰς ὑπερβολὴν ἕκαστα ὑπῆρχεν αὐτῷ· ἐχρῆτο δὲ αὐτοῖς ἐς τὸ χείριστον· καὶ ὄργανα ταῦτα γενναῖα ὑποβεβλημένα ἔχων αὐτίκα μάλα τῶν ἐπὶ κακίᾳ διαβοήτων ἀκρότατος ἀπετελέσθη ὑπὲρ τοὺς Κέρκωπας, ὑπὲρ τὸν Εὐρύβατον ἢ Φρυνώνδαν ἢ Ἀριστόδημον ἢ Σώστρατον. Αὐτὸς μὲν γὰρ τῷ γαμβρῷ Ῥουτιλλιανῷ ποτε γράφων καὶ τὰ με-

quis accurate velit singula persequi, non minus est, quam Alexandri Philippi filii res gestas scripto mandare: quantus enim ille ad virtutem, tantus hic ad malitiam. Verumtamen si cum venia lecturus es, et, quæ deerunt narrationi, adjecturus de tuo, laborem tibi illum sustinebo, et Augiæ stabulum, etsi non universum, certe pro viribus meis repurgare studebo, paucos aliquot cophinos egerens, ut ex illis judicare possis, quantum omne et quam inenarrabile fuerit stercus, quod ter mille boves multorum annorum spatio facere potuerunt.

2. Ac verecundia quadam afficior amborum nomine, tuo pariter ac meo: tuo, qui petas memoriæ et scriptis commendari hominem omnibus modis exsecrabilem; meo, qui studium in tali historia ponam et actionibus hominis, quem non legi conveniebat ab eruditis hominibus, sed in maximo theatro totisque populis confluentibus frequentissimo spectari a similis lacerandum aut vulpibus. Verum si quis hoc nos crimine accuset, habebimus et ipsi exemplum ad quod illum ablegemus. Nam Arrianus quoque, Epicteti discipulus, vir inter primos Romanorum, et tota vita in doctrinæ studiis versatus, cui simile quid usu venit, causam pro nobis dixerit: Tillibori enim latronis vitam scribere ipse quoque dignatus est. Nos autem crudelioris longe latronis monumentum faciemus, quatenus non in silvis et montibus, sed in urbibus hic latrocinatus est, qui non Mysiam solam neque Idam incursarit, neque paucas Asiæ partes desertiores sit deprædatus; sed universum, fere dixerim, Romanorum imperium latrocinio suo oppleverit.

3. Prius vero ipsum tibi oratione describam, formamque illius quam simillime potero, non multum licet pingendi arte valeam, delineabo. Corpore enim, ut hoc etiam tibi ostendam, et magnus erat, et honesta specie, et quæ deo dignum aliquid revera præ se ferret: colore candidus, mento non nimis hirsuto, comatus tum sua coma, tum ascita, præclare illa assimilata, ut plerosque, alienam esse, fugeret: oculi perquam vivaci lumine, et deo plenum ostendentes: vox suavissima simul et splendidissima: et paucis ut absolvam, nulla parte, quantum ad hæc, reprehensionem habebat.

4. Talis quidem erat forma. Animus autem et mens hominis, averruncator Hercules, et Jupiter depulsor, et servatores Jovis liberi! in hostes nostros et inimicos potius incidamus, quam versemur cum tali! Nam intelligentia, et sollertia, et acumine plurimum alios omnes antecellebat; tum curiositas et docilitas, ac memoria et ingenium disciplinæ capax, omnia hæc et ad excessum usque singula ipsi aderant: verum utebatur illis pessime: et quum instrumenta ista virtutis in potestate haberet, mox famosissimæ malitiæ hominum summus ipse factus est, supra Cercopas, supra Eurybatum, aut Phrynondam, aut Aristodemum, aut Sostratum. Ipse enim suo genero Rutiliano aliquando scri-

τριώτατα ὑπὲρ αὐτοῦ λέγων Πυθαγόρᾳ ὅμοιος εἶναι ἠξίου. Ἀλλ' Ὅλεως μὲν ὁ Πυθαγόρας εἴη, σοφὸς ἀνὴρ καὶ τὴν γνώμην θεσπέσιος. Εἰ δὲ κατὰ τοῦτον ἐγεγένητο, παῖς ἂν εὖ οἶδ' ὅτι πρὸς αὐτὸν εἶναι ἔδοξε. Καὶ πρὸς Χαρίτων μή με νομίσῃς ἐφ' ὕβρει ταῦτα τοῦ Πυθαγόρου λέγειν ἢ συνάπτειν πειρώμενον αὐτοὺς πρὸς ὁμοιότητα τῶν πράξεων. Ἀλλ' εἴ τις τὰ χείριστα καὶ βλασφημότατα τῶν ἐπὶ διαβολῇ περὶ τοῦ Πυθαγόρου λεγομένων, οἷς ἐγωγε οὐκ ἂν πεισθείην ὡς ἀληθέσιν οὖσιν, ὅμως συναγάγοι ἐς τὸ αὐτό, πολλοστὸν ἂν μέρος ἅπαντα ἐκεῖνα γένοιτο τῆς Ἀλεξάνδρου δεινότητος. Ὅλως γὰρ ἐπινόησόν μοι καὶ τῷ λογισμῷ διατύπωσον ποικιλωτάτην τινὰ ψυχῆς κρᾶσιν ἐκ ψεύδους καὶ δόλων καὶ ἐπιορκιῶν καὶ κακοτεχνιῶν συγκειμένην, ῥᾳδίαν, τολμηρὰν, παράβολον, φιλόπονον ἐξεργάσασθαι τὰ νοηθέντα, καὶ πιθανὴν καὶ ἀξιόπιστον καὶ ὑποκριτικὴν τοῦ βελτίονος καὶ τῷ ἐναντιωτάτῳ τῆς βουλήσεως ἐοικυῖαν. Οὐδεὶς γοῦν τὸ πρῶτον ἐντυχὼν οὐκ ἀπῆλθε δόξαν λαβὼν ὑπὲρ αὐτοῦ ὡς εἴη πάντων ἀνθρώπων χρηστότατος καὶ ἐπιεικέστατος καὶ προσέτι ἁπλοϊκώτατός τε καὶ ἀφελέστατος. Ἐπὶ πᾶσι δὲ τούτοις τὸ μεγαλουργὸν προσῆν καὶ τὸ μηδὲν μικρὸν ἐπινοεῖν, ἀλλ' ἀεὶ τοῖς μεγίστοις ἐπέχειν τὸν νοῦν.

5. Μειράκιον μὲν οὖν ἔτι ὢν πάνυ ὡραῖον, ὡς ἐνῆν ἀπὸ τῆς καλάμης τεκμαίρεσθαι καὶ ἀκούειν τῶν διηγουμένων, ἀνέδην ἐπόρνευε καὶ συνῆν ἐπὶ μισθῷ τοῖς βουλομένοις. Ἐν δὲ τοῖς ἄλλοις λαμβάνει τις αὐτὸν ἐραστὴς γόης τῶν μαγείας καὶ ἐπῳδὰς θεσπεσίους ὑπισχνουμένων καὶ χάριτας ἐπὶ τοῖς ἐρωτικοῖς καὶ ἐπαγωγὰς τοῖς ἐχθροῖς καὶ θησαυρῶν ἀναπομπὰς καὶ κλήρων διαδοχάς. Οὗτος ἰδὼν εὐφυᾶ παῖδα καὶ πρὸς ὑπηρεσίαν τῶν ἑαυτοῦ πράξεων ἑτοιμότατον, οὐ μεῖον ἐρῶντα τῆς κακίας τῆς αὐτοῦ ἢ αὐτὸς τῆς ὥρας τῆς ἐκείνου, ἐξεπαίδευσέ τε αὐτὸν καὶ διετέλει ὑπουργῷ καὶ ὑπηρέτῃ καὶ διακόνῳ χρώμενος. Ὁ δ' αὐτὸς ἐκεῖνος δημοσίᾳ μὲν ἰατρὸς ὢν ἦν, ἠπίστατο δὲ κατὰ τὴν Θῶνος τοῦ Αἰγυπτίου γυναῖκα

φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά·

ὧν ἁπάντων κληρονόμος καὶ διάδοχος οὗτος ἐγένετο. Ἦν δὲ ὁ διδάσκαλος ἐκεῖνος καὶ ἐραστὴς τὸ γένος Τυανεὺς τῶν Ἀπολλωνίῳ τῷ Τυανεῖ συγγενομένων καὶ τὴν πᾶσαν αὐτοῦ τραγῳδίαν εἰδότων. Ὁρᾷς ἐξ οἵας σοι διατριβῆς ἄνθρωπον λέγω.

6. Ἤδη δὲ πώγωνος ὁ Ἀλέξανδρος πιμπλάμενος καὶ τοῦ Τυανέως ἐκείνου ἀποθανόντος ἐν ἀπορίᾳ καθεστὼς, ἀπηνθηκυίας ἅμα τῆς ὥρας, ἀφ' ἧς τρέφεσθαι ἐδύνατο, οὐκέτι μικρὸν οὐδὲν ἐπενόει, ἀλλὰ κοινωνήσας Βυζαντίῳ τινὶ χρονογράφῳ τῶν καθιέντων ἐς τοὺς ἀγῶνας, πολὺ καταρατοτέρῳ τὴν φύσιν — Κοκκωνᾶς δὲ οἶμαι ἐπεκαλεῖτο — περιήεσαν γοητεύοντες καὶ μαγγανεύοντες καὶ τοὺς παχεῖς τῶν ἀνθρώπων — οὕτως γὰρ αὐτοὶ τῇ πατρίῳ τῶν μάγων φωνῇ τοὺς πολλοὺς ὀνομάζουσιν — ἀποκείροντες. Ἐν δὴ τούτοις καὶ Μακέτιν

bens, et modestissime de se loquens, Pythagoræ similis esse prædicabat. Sed propitius sit Pythagoras, sapiens vir et divina mente præditus. Si vero hujus ætate vixisset, puer, bene novi, ad illum visus esset. Et per Gratiarum numen, noli putare me contumeliæ in Pythagoram causa ista dicere, aut quo componere illos audeam, quantum ad actionum similitudinem. Verum si quis pessima quæque et contumeliosissima, quæ per calumniam dicuntur de Pythagora, quibus ego fidem ut veris nunquam adhibuero, tamen in unum conducat omnia; vix minima pars ea fuerit ejus quæ in Alexandro fuit malæ calliditatis. Omnino enim cogita mihi et animo effinge variam vehementer animæ temperaturam, ex mendacio, dolis, perjuriis, malis artibus compositam, agilem, audacem, periculis se objicientem, laboriosam in perficiendis cogitatis, probabilem, quæ fidem facile inveniat, quæ optima simulet, et maxime his, quæ vult revera, adversari videatur. Nemo igitur, qui primo illum convenisset, non sic ab eo discessit, ut putaret omnium illum hominum optimum et æquissimum, ad hæc simplicissimum et ab omni fuco alienum. Super ea vero omnia inerat quædam in viro magnificentia, et quod nihil unquam cogitaret parvum, sed rebus semper maximis mentem applicaret.

5. Quum igitur adolescens adhuc esset, formosus admodum, quod licebat e stipula quasi et reliquiis formæ colligere, et audire a narrantibus', effuse impudicus, pretio copiam sui faciebat cupientibus. Inter alios ducit illum amator aliquis, præstigiator ex eorum genere, qui magicas artes et divinas incantationes pollicentur, et philtra venerea, et deorum evocationes in inimicos, et thesauros eruendos, et hereditates. Hic videns ingeniosum puerum, et ad suarum actionum ministeria paratissimum, non minus suæ cupidum malitiæ, quam ipse florem illius ætatis deperierat: instituit illum, et adjutore, ministro, atque famulo perpetuo usus est. Ceterum ipse ille, publica quidem professione medicus, sciebat non minus quam Thonis illius Ægyptii uxor,

pharmaca multa remista bona, ast eadem mala multa;

quorum iste omnium heres et successor factus est. Fuerat autem magister ille et amator Tyaneus genere, ex familiaribus Apollonii Tyanei et iis qui omnem illius tragœdiam nossent. Vides ex qua tibi schola hominem narrem.

6. Jam barbatus Alexander, mortuoque illo Tyanensi in paupertate constitutus, quum jam defloruisset ætatula, qua ali poterat, nihil jam parvum cogitabat; sed societate inita cum Byzantio quodam annalium scriptore ex eo genere, qui in certamina descendunt, multum etiam exsecrabilioris ingenii homine (Cocconas, puto, vocabatur), circumibant præstigiis et incantationibus utentes, et pingues hominum (sic ipsi patrio magorum nomine vulgus appellabant) detondentes. In hisce vero etiam e Macedonia mulierem

γυναῖκα πλουσίαν, ἔξωρον μὲν, ἐράσμιον δὲ ἔτι εἶναι βουλομένην, ἐξευρόντες ἐπεσιτίσαντό τε τὰ ἀρκοῦντα παρ' αὐτῆς καὶ ἠκολούθησαν ἐκ τῆς Βιθυνίας ἐς τὴν Μακεδονίαν. Πελλαία δὲ ἦν ἐκείνη, πάλαι μὲν εὐδαίμονος χωρίου κατὰ τοὺς τῶν Μακεδόνων βασιλέας, νῦν δὲ ταπεινοὺς καὶ ὀλιγίστους οἰκήτορας ἔχοντος.

7. Ἐνταῦθα ἰδόντες δράκοντας παμμεγέθεις, ἡμέρους πάνυ καὶ τιθασοὺς, ὡς καὶ ὑπὸ γυναικῶν τρέφεσθαι καὶ παιδίοις συγκαθεύδειν καὶ πατουμένους ἀνέχεσθαι καὶ θλιβομένους μὴ ἀγανακτεῖν καὶ γάλα πίνειν ἀπὸ θηλῆς κατὰ ταὐτὰ τοῖς βρέφεσι — πολλοὶ δὲ γίγνονται παρ' αὐτοῖς τοιοῦτοι, ὅθεν καὶ τὸν περὶ τῆς Ὀλυμπιάδος μῦθον διαφοιτῆσαι πάλαι εἰκὸς, ὁπότε ἐκύει τὸν Ἀλέξανδρον, δράκοντος οἶμαι συγκαθεύδοντος αὐτῇ τοιούτου — ὠνοῦνται τῶν ἑρπετῶν ἓν τὸ κάλλιστον ὀλίγων ὀβολῶν.

8. Καὶ κατὰ τὸν Θουκυδίδην ἄρχεται ὁ πόλεμος ἐνθένδε ἤδη. Ὡς γὰρ ἂν δύο κάκιστοι καὶ μεγαλότολμοι καὶ πρὸς τὸ κακουργεῖν προχειρότατοι ἐς τὸ αὐτὸ συνελθόντες ῥᾳδίως κατενόησαν τὸν τῶν ἀνθρώπων βίον ὑπὸ δυοῖν τούτοιν μεγίστοιν τυραννούμενον, ἐλπίδος καὶ φόβου, καὶ ὅτι ὁ τούτων ἑκατέρῳ ἐς δέον χρήσασθαι δυνάμενος τάχιστα πλουτήσειεν ἄν· ἀμφοτέροις γὰρ, τῷ τε δεδιότι καὶ τῷ ἐλπίζοντι, ἑώρων τὴν πρόγνωσιν ἀναγκαιοτάτην τε καὶ ποθεινοτάτην οὖσαν, καὶ Δελφοὺς οὕτω πάλαι πλουτῆσαι καὶ ἀοιδίμους γενέσθαι καὶ Δῆλον καὶ Κλάρον καὶ Βραγχίδας, τῶν ἀνθρώπων ἀεὶ δι' οὓς προεῖπον τυράννους, τὴν ἐλπίδα καὶ τὸν φόβον, φοιτώντων ἐς τὰ ἱερὰ καὶ προμαθεῖν τὰ μέλλοντα δεομένων καὶ δι' αὐτὸ ἑκατόμβας θυόντων καὶ χρυσᾶς πλίνθους ἀνατιθέντων. Ταῦτα πρὸς ἀλλήλους στρέφοντες καὶ κυκῶντες μαντεῖον συστήσασθαι καὶ χρηστήριον ἐβουλεύοντο· εἰ γὰρ τοῦτο προχωρήσειεν αὐτοῖς, αὐτίκα πλούσιοί τε καὶ εὐδαίμονες ἔσεσθαι ἤλπιζον, ὅπερ ἐπὶ μεῖζον ἡ κατὰ τὴν πρώτην προσδοκίαν ἀπήντησεν αὐτοῖς καὶ κρεῖττον διεφάνη τῆν ἐλπίδος.

9. Τοὐντεῦθεν τὴν σκέψιν ἐποιοῦντο, πρῶτον μὲν περὶ τοῦ χωρίου, δεύτερον δὲ ἥτις ἡ ἀρχὴ καὶ ὁ τρόπος ἂν γένοιτο τῆς ἐπιχειρήσεως. Ὁ μὲν οὖν Κοκκωνᾶς τὴν Χαλκηδόνα ἐδοκίμαζεν ἐπιτήδειον εἶναι, ὡς ἐμπόρων χωρίον τῇ τε Θράκῃ καὶ τῇ Βιθυνίᾳ πρόσοικον, οὐχ ἑκὰς οὐδὲ τῆς Ἀσίας καὶ Γαλατίας καὶ τῶν ὑπερκειμένων ἐθνῶν ἁπάντων· ὁ δὲ Ἀλέξανδρος ἐμπαλιν τὰ οἴκοι προὔκρινε λέγων ὅπερ ἀληθὲς ἦν, πρὸς τὴν τῶν τοιούτων ἀρχὴν καὶ ἐπιχείρησιν ἀνθρώπων δεῖν παχέων καὶ ἠλιθίων τῶν ὑποδεξομένων, οἵους τοὺς Παφλαγόνας εἶναι ἔφασκεν ὑπεροικοῦντας τὸ τοῦ Ἀβώνου τεῖχος, δεισιδαίμονας τοὺς πολλοὺς καὶ πλουσίους, καὶ μόνον εἰ φανείη τις αὐλητὴν ἢ τυμπανιστὴν ἢ κυμβάλοις κροτοῦντα ἐπαγόμενος, κοσκίνῳ τὸ τοῦ λόγου μαντευόμενος, αὐτίκα μάλα πάντας κεχηνότας πρὸς αὐτὸν καὶ ὥσπερ τινὰ τῶν ἐπουρανίων προσβλέποντας.

10. Ὀλίγης δὲ περὶ τοῦτο στάσεως αὐτοῖς γενομένης τέλος ἐνίκησεν ὁ Ἀλέξανδρος, καὶ ἀφικόμενοι ἐς

divitem, effœtam illam quidem, sed quæ amabilis etiamnum esse vellet, quum invenissent, annonæ quantum opus esset ab illa nacti, e Bithynia illam in Macedoniam secuti sunt. Ex Pella autem ea fuit, beato quondam oppido Macedonum regum temporibus, jam vero perpaucos eosque humiles cives habente.

7. Hic visis draconibus ingenti specie, mansuetis plane et cicuribus, qui etiam alerentur a mulieribus, et jacerent cum pueris, et calcari se paterentur, atque urgeri non ægre ferrent, et infantum instar lac e mamma sugerent (multi autem tales apud illos nascuntur, unde etiam illam de Olympiade fabulam olim exiisse probabile est, quum Alexandrum utero ferret, tali, puto, angue cum illa cubante), emunt horum serpentium unum pulcherrimum paucis obolis.

8. Et hinc, ut sit Thucydides, jam belli principia. Tanquam enim pessimi duo mortales et audacissimi et ad maleficium promtissimi, societatem coeuntes, facile intelligebant, a duobus hisce maximis quasi tyrannis vitam regi, spe et metu, eumque, qui alterutro horum, prout opus sit, uti queat, ad divitias celeriter perventurum. In utroque *enim horum, quando vel metueretur vel sperare*tur, videbant futuri scientiam et maxime necessariam et inprimis desiderabilem esse : eaque ipsa ratione Delphos olim divites factos esse atque celebres, et Delum, et Clarum, et Branchidas, hominibus semper propter eos quos dixi tyrannos, spem ac metum, ad templa euntibus, et prædiscere futura cupientibus, ac propter ipsum hecatombas sacrificantibus, et aureos lateres dedicantibus. Hæc inter se versantes ac miscentes, de oraculo constituendo deliberabant. Hoc enim si sibi processisset, statim se divites ac beatos sperabant futuros; quæ quidem res magis illis, quam pro prima exspectatione, successit, et spe melior apparuit.

9. Hinc dispiciebant primum de loco, deinde quod principium, quæ ratio esset incepti. Cocconas quidem Chalcedonem judicabat aptam, quod commercia multa haberet, atque Thraciæ pariter ac Bithyniæ esset contermina, nec procul distaret Asia, nec Gallogræci, gentesque quæ superjacent omnes. Vicissim Alexander suam patriam præferre, dicens quod verum erat, ad talium rerum initia et conatum opus esse hominibus *pinguibus* et *stupidis qui recepturi* sint, quales esse Paphlagonas dicebat, eos qui supra Aboni castrum habitarent, superstitiosos plerosque et divites; quibus si quis modo se ostendat tibicinem, aut tympanistam, aut strepentem cymbalis secum ducens, qui cribro, ut in proverbio est, vaticinetur, statim omnes hianti ore et tanquam cœlestium quendam, illum aspiciant.

10. Hac de re quum aliquamdiu dissedissent, vincit tandem Alexander : ac delati Chalcedonem (nam utile tamen

τὴν Χαλκηδόνα — χρήσιμον γάρ τι ὅμως ἡ πόλις αὐτοῖς ἔχειν ἔδοξε — τοῦ Ἀπόλλωνος ἐν τῷ ἱερῷ, ὅπερ ἀρχαιότατόν ἐστι τοῖς Χαλκηδονίοις, κατορύττουσι δέλτους χαλκᾶς, λεγούσας ὡς αὐτίκα μάλα ὁ Ἀσκληπιὸς σὺν τῷ πατρὶ Ἀπόλλωνι μέτεισιν ἐς τὸν Πόντον καὶ καθέξει τὸ τοῦ Ἀβώνου τεῖχος. Αὗται αἱ δέλτοι ἐξεπίτηδες εὑρεθεῖσαι διαφοιτῆσαι ῥᾳδίως τοῦτον τὸν λόγον ἐς πᾶσαν τὴν Βιθυνίαν καὶ τὸν Πόντον ἐποίησαν, καὶ πολὺ πρὸ τῶν ἄλλων ἐς τὸ τοῦ Ἀβώνου τεῖχος· ἐκεῖνοι γοῦν καὶ νεὼν αὐτίκα ἐψηφίσαντο ἐγεῖραι καὶ τοὺς θεμελίους ἤδη ἔσκαπτον. Κἀνταῦθα ὁ μὲν Κοκκωνᾶς ἐν Χαλκηδόνι καταλείπεται, διττούς τινας καὶ ἀμφιβόλους καὶ λοξοὺς χρησμοὺς συγγράφων. Καὶ μετ' ὀλίγον ἐτελεύτησε τὸν βίον ὑπὸ ἐχίδνης οἶμαι δηχθείς.

11. Προεισπέμπεται δὲ ὁ Ἀλέξανδρος κομῶν ἤδη καὶ πλοκάμους καθειμένος καὶ μεσόλευκον χιτῶνα πορφυροῦν ἐνδεδυκὼς καὶ ἱμάτιον ὑπὲρ αὐτοῦ λευκὸν ἀναβεβλημένος ἅρπην ἔχων κατὰ τὸν Περσέα, ἀφ' οὗ ἑαυτὸν ἐγενεαλόγει μητρόθεν, καὶ οἱ ὄλεθροι ἐκεῖνοι Παφλαγόνες εἰδότες αὐτοῦ ἄμφω τοὺς γονέας ἀφανεῖς καὶ ταπεινοὺς ἐπίστευον τῷ χρησμῷ λέγοντι

> Περσείδης γενεὴν Φοίβῳ φίλος οὗτος ὁρᾶται,
> δῖος Ἀλέξανδρος, Ποδαλειρίου αἷμα λελογχώς.

Οὕτως ἄρα ὁ Ποδαλείριος μάχλος καὶ γυναικομανὴς τὴν φύσιν, ὡς ἀπὸ Τρίκκης ἄχρι Παφλαγονίας στύεσθαι ἐπὶ τὴν Ἀλεξάνδρου μητέρα. Εὕρητο δὲ χρησμὸς ἤδη ὡς Σιβύλλης προμαντευσαμένης·

> Εὐξείνου Πόντοιο παρ' ἠόσιν ἄγχι Σινώπης
> ἔσται τις κατὰ Τύρσιν ὑπ' Αὐσονίοισι προφήτης,
> ἐκ πρώτης δεικνὺς μονάδος τρισσῶν δεκάδων τε
> πένθ' ἑτέρας μονάδας καὶ εἰκοσάδα τρισάριθμον,
> ἀνδρὸς ἀλεξητῆρος ὁμωνυμίην τετράκυκλον.

12. Ἐσβαλὼν οὖν ὁ Ἀλέξανδρος μετὰ τοιαύτης τραγῳδίας διὰ πολλοῦ ἐς τὴν πατρίδα περίβλεπτός τε καὶ λαμπρὸς ἦν, μεμηνέναι προσποιούμενος καὶ ἀφροῦ ἐνίοτε ὑποπιμπλάμενος τὸ στόμα· ῥᾳδίως δὲ τοῦτο ὑπῆρχεν αὐτῷ, στρουθίου τῆς βαφικῆς βοτάνης τὴν ῥίζαν διαμασησαμένῳ· τοῖς δὲ θεῖόν τι καὶ φοβερὸν ἐδόκει καὶ ὁ ἀφρός. Ἐπεποίητο δὲ αὐτοῖς πάλαι καὶ κατεσκεύαστο κεφαλὴ δράκοντος ὀθονίνη ἀνθρωπόμορφόν τι ἐπιφαίνουσα, κατάγραφος, πάνυ εἰκασμένη, ὑπὸ θριξὶν ἱππείαις ἀνοίγουσά τε καὶ αὖθις ἐπικλείουσα τὸ στόμα, καὶ γλῶττα οἷα δράκοντος διττὴ μέλαινα προέκυπτεν, ὑπὸ τριχῶν καὶ αὐτὴ ἑλκομένη. Καὶ ὁ Πελλαῖος δὲ δράκων προϋπῆρχε καὶ οἴκοι ἐτρέφετο, κατὰ καιρὸν ἐπιφανησόμενος αὐτοῖς καὶ συντραγῳδήσων, μᾶλλον δὲ πρωταγωνιστὴς ἐσόμενος.

13. Ἤδη δὲ ἄρχεσθαι δέον, μηχανᾶται τοιόνδε τι· νύκτωρ γὰρ ἐλθὼν ἐπὶ τοὺς θεμελίους τοῦ νεὼ τοὺς ἄρτι ὀρυττομένους — συνειστήκει δὲ ἐν αὐτοῖς ὕδωρ ἢ αὐτόθεν ποθὲν συλλειβόμενον ἢ ἐξ οὐρανοῦ πεσόν — ἐνταῦθα κατατίθεται χήνειον ᾠὸν προκεκενωμένον, ἔνδον φυλάττον ἑρπετόν τι ἀρτιγέννητον, καὶ βυθίσας τοῦτο ἐν μυχῷ τοῦ πηλοῦ ὀπίσω αὖθις ἀπηλλάττετο.

aliquid urbs ea habere illis visa est) in templo Apollinis, quod antiquissimum est Chalcedonensibus, tabulas defodiunt æneas, in quibus scriptum esset, propediem Æsculapium cum patre suo Apolline in Pontum adventurum esse, et Aboni castrum inhabitaturum. Hæ tabulæ dedita opera inventæ facile hunc sermonem per universam Bithyniam atque Pontum distulere, et multum ante alias urbes, ad Aboni castrum. Illi igitur et templum statim excitare decreverunt, et fundamentis fossam jam fodiebant. Interim Cocconas quidem Chalcedone relinquitur, ambigua quædam et duplicia atque perplexa oracula scribens: necque ita multo post diem supremum obiit, morsus, opinor, a vipera.

11. Præmittitur autem Alexander jam comatus, demissisque cincinnis, tunicam indutus purpuream ex albo virgatam, et pallium superinjectum gerens candidum, falcem gestans instar Persei, a quo maternum genus deducebat. Et perditi illi Paphlagones, qui scirent illius parentes humiles ambos atque ignobiles, oraculo credidere dicenti,

> Persides genus hic, Phœbo carusque, videtur,
> divus Alexander, Podalirii sanguine cretus.

Adeo igitur Podalirius libidinosus et natura ad furorem usque mulierum cupidus, ut a Tricca inde usque in Paphlagoniam in Alexandri matrem arrexerit. Inventum autem jam erat oraculum quasi Sibyllæ prædicentis:

> Littora ad Euxini Ponti vicina Sinopæ,
> ad Turres erit Ausonio sub rege propheta,
> post primam ostendens monadem, ternas decadasque,
> quinque alias monadas, viginti et ter numerata:
> nomen Alexteris habens ex orbe quaterno.

12. Irruens igitur cum hac histrionia Alexander post longum tempus in patriam suam, conspicuus erat et splendidus, furere interdum se simulans, et spuma os oppletum habens, quod facile illi contingebat, struthii, tinctoriæ herbæ, radicem mandenti: at illis divinum quiddam et terribile spuma illa videbatur. Factum autem illis et præparatum olim erat caput draconis linteum, humanæ formæ affine quiddam habens, pictum, accurate assimilatum, per setas equinas aperiens os et iterum claudens; et lingua qualis serpentum, bisulca, nigra, prominebat, setis et ipsa mobilis. Pellæus autem ille draco ipsis jam ante fuerat, et domi alebatur, suo tempore apparaturus illis et adjuturus tragœdiam, vel primarum potius partium ipse actor futurus.

13. Quum jam faciendum esset initium, tale quid machinatur. Accedens noctu ad fundamenta templi recens effossa, in quibus aqua constiterat, vel ibidem undecumque collecta, vel cœlestis, deponit ibidem anserinum ovum ante excavatum, in quo inclusus serpens recens natus. Hoc in recessu quodam luti defixo, domum redit. Postridie vero

Ἐωθεν δὲ γυμνὸς ἐς τὴν ἀγορὰν προπηδήσας, διάζωμα δὲ περὶ τὸ αἰδοῖον ἔχων κατάχρυσον, καὶ τοῦτο καὶ τὴν ἅρπην ἐκείνην φέρων, σείων ἅμα τὴν κόμην ἀνετον ὥσπερ οἱ τῇ μητρὶ ἀγείροντές τε καὶ ἐνθεαζόμενοι, ἐδημηγόρει ἐπὶ βωμόν τινα ὑψηλὸν ἀναβὰς καὶ τὴν πόλιν ἐμακάριζεν αὐτίκα μάλα δεξομένην ἐναργῆ τὸν θεόν. Οἱ παρόντες δὲ — ξυνδεδραμήκει γὰρ σχεδὸν ἅπασα ἡ πόλις ἅμα γυναιξὶ καὶ γέρουσι καὶ παιδίοις — ἐτεθήπεσαν καὶ ηὔχοντο καὶ προσεκύνουν. Ὁ δὲ φωνάς τινας ἀσήμους φθεγγόμενος, οἷαι γένοιντ' ἂν Ἑβραίων ἢ Φοινίκων, ἐξέπληττε τοὺς ἀνθρώπους οὐκ εἰδότας ὅ τι καὶ λέγοι, πλὴν τοῦτο μόνον, ὅτι πᾶσιν ἐγκατεμίγνυ τὸν Ἀπόλλω καὶ τὸν Ἀσκληπιόν.

14. Εἶτ' ἔθει δρόμῳ ἐπὶ τὸν ἐσόμενον νεών· καὶ ἐπὶ τὸ ὄρυγμα ἐλθὼν καὶ τὴν προῳκοδομημένην τοῦ χρηστηρίου πηγὴν, ἐμβὰς ἐς τὸ ὕδωρ ὕμνους τε ᾖδεν Ἀσκληπιοῦ καὶ Ἀπόλλωνος μεγάλῃ τῇ φωνῇ καὶ ἐκάλει τὸν θεὸν ἥκειν τύχῃ τῇ ἀγαθῇ ἐς τὴν πόλιν. Εἶτα φιάλην αἰτήσας, ἀναδόντος τινὸς, ῥᾳδίως ὑποβαλὼν ἀνιμᾶται μετὰ τοῦ ὕδατος καὶ τοῦ πηλοῦ τὸ ᾠὸν ἐκεῖνο, ἐν ᾧ ὁ θεὸς αὐτῷ κατεκέκλειστο, κηρῷ λευκῷ καὶ ψιμυθίῳ τὴν ἁρμογὴν τοῦ στόματος ξυγκεκολλημένον· καὶ λαβὼν αὐτὸ ἐς τὰς χεῖρας ἔχειν ἔφασκεν ἤδη τὸν Ἀσκληπιόν. Οἱ δὲ ἀτενὲς ἀπέβλεπον ὅ τι καὶ γίγνοιτο, πολὺ πρότερον θαυμάσαντες τὸ ᾠὸν ἐν τῷ ὕδατι εὑρημένον. Ἐπεὶ δὲ καὶ κατάξας αὐτὸ ἐς κοίλην τὴν χεῖρα ὑπεδέξατο τὸ τοῦ ἑρπετοῦ ἐκείνου ἔμβρυον καὶ οἱ παρόντες εἶδον κινούμενον καὶ περὶ τοῖς δακτύλοις εἱλούμενον, ἀνέκραγον εὐθὺς καὶ ἠσπάζοντο τὸν θεὸν καὶ τὴν πόλιν ἐμακάριζον καὶ χανδὸν ἕκαστος ἐνεπίμπλαντο τῶν εὐχῶν, θησαυροὺς καὶ πλούτους καὶ ὑγίειαν καὶ τὰ ἄλλα ἀγαθὰ αἰτῶν παρ' αὐτοῦ. Ὁ δὲ δρομαῖος αὖθις ἐπὶ τὴν οἰκίαν ἦετο φέρων ἅμα καὶ τὸν ἀρτιγέννητον Ἀσκληπιὸν ὡς τεχθέντα, ὅτε ἄλλοι ἅπαξ τίκτονται ἀνθρωποι, οὐκ ἐκ Κορωνίδος μὰ Δί' οὐδέ γε κορώνης, ἀλλ' ἐκ χηνὸς γεγεννημένον. Ὁ δὲ λεὼς ἅπας ἠκολούθει, πάντες ἔνθεοι καὶ μεμηνότες ὑπὸ τῶν ἐλπίδων.

15. Ἡμέρας μὲν οὖν οἱκοι ἔμεινεν ἐλπίζων ὅπερ ἦν, ὑπὸ τῆς φήμης αὐτίκα μάλα παμπόλλους τῶν Παφλαγόνων συνδραμεῖσθαι. Ἐπεὶ δὲ ὑπερεπέπληστο ἀνθρώπων ἡ πόλις, ἁπάντων τοὺς ἐγκεφάλους καὶ τὰς καρδίας προεξηρημένων οὐδὲν ἐοικότων σιτοφάγοις ἀνδράσιν, ἀλλὰ μόνῃ τῇ μορφῇ μὴ οὐχὶ πρόβατα εἶναι διαφερόντων, ἐν οἰκίσκῳ τινὶ ἐπὶ κλίνης καθεζόμενος μάλα θεοπρεπῶς ἐσταλμένος ἐλάμβανεν ἐς τὸν κόλπον τὸν Ἑλλαῖον ἐκεῖνον Ἀσκληπιὸν, μέγιστόν τε καὶ κάλλιστον, ὡς ἔφην, ὄντα, καὶ ὅλον τῷ αὐτοῦ τραχήλῳ περιειλήσας καὶ τὴν οὐρὰν ἔξω ἀφείς — πολὺς δὲ ἦν, ὡς καὶ ἐν τῷ προκολπίῳ προκεχύσθαι αὐτοῦ καὶ χαμαὶ τὸ μέρος ἐπισύρεσθαι — μόνην τὴν κεφαλὴν ὑπὸ μάλης ἔχων καὶ ἀποκρύπτων, ἀνεχομένου πάντα ἐκείνου, προὔφαινε τὴν ὀθονίνην κεφαλὴν κατὰ θάτερον τοῦ πώγωνος, ὡς δῆθεν ἐκείνου τοῦ φαινομένου πάντως οὖσαν.

mane nudus in forum prosiliens, segestri circa pudenda vinctus aureo, hoc et illam falcem gestans, solutam simul comam quatiens, ut qui matri deorum stipem colligunt fanatici, concionabatur conscenso altari quodam excelso et beatam urbem prædicabat, quæ præsentem jam statim deum susceptura esset. Qui præsentes erant (concurrerat autem tota fere civitas cum mulieribus, senibus, pueris) stupere, precari, adorare. At ille vocibus quibusdam prolatis obscuris, quales fuerint forte Hebræorum aut Phœnicum, percellebat homines, quid sibi vellet nescientes, præter illud solum, quod omnibus immiscebat Apollinem et Æsculapium.

14. Tum curriculo petit futurum templum, delatusque ad fossam structamque ante oraculi scaturiginem, in aquam ingressus, hymnosque magna voce canebat Æsculapii et Apollinis, deumque faustis auspiciis in urbem ut veniret invocabat. Tum phialam poscit, quam quum dedisset aliquis, facile subjicit, hauritque cum aqua et luto ovum illud, in quo deum ipse incluserat, commissuris aperturæ cera alba et cerussa conglutinatis. Hoc in manus sumto, habere se jam proclamat Æsculapium. At illi defixis oculis videre quid tandem fieret, qui multum ante jam admirati essent ovum in aqua inventum. Quum vero fracto illo in cavam manum susciperet fœtum serpentis illius, viderentque præsentes moveri illum et circa digitos volvi, exclamant statim, et deum salutant et beatam civitatem prædicant, et magno hiatu omnes plenisque faucibus precantur, thesauros, divitias, sanitatem, bona reliqua ab eo sibi quisque expetunt. At ille curriculo rursus domum repetit, ferens secum etiam recens natum Æsculapium, bis natum, quum alii semel tantum nascantur homines, non ex Coronide, medius fidius, aut ex cornice, sed ex ansere procreatum. Populus autem universus sequitur, fanatico omnes instinctu pleni et præ spe furentes.

15. Dies igitur aliquot domi manet, sperans futurum quod res erat, ut a fama illa plurimi mox Paphlagones concurrerent. Quum autem supra modum plena hominibus urbs esset, quibus jam ante cerebra pariter et corda exemta essent, ac nulla cum hominibus frumento vesci solitis similitudo, sed qui sola forma ab ovibus distinguerentur, in quadam ædicula in lecto assidens, vestitu, qui plane deum deceret, longo indutus, sinu suscipit Pellæum illum Æsculapium, maximum, ut dixi, pulcherrimumque : ac totum suæ cervici circumponens, cauda extra vestem relicta (adeo autem magnus erat draco, ut et in gremio ipsius provolutus jaceret, et humi pars ipsius traheretur), caput solum sub ala habens et abscondens, sustinente illo omnia, linteum illud caput ab altera parte barbæ protendit, quasi nimirum illius draconis, qui videndum se præbebat, omnino esset.

κας, ἅπαξ ἀνατέτροφας, ἅπαξ καὶ τὸ ἀποκηρύττειν ἀντὶ τούτων ἔχεις, καὶ τότε, ἢν δικαίως αὐτὸ ποιεῖν δοκῇς· τὸ δ' ἄπαυστον τοῦτο καὶ ἀίδιον καὶ πολὺ καὶ ῥᾴδιον μεῖζον ἤδη τῆς πατρικῆς ἐστιν ἐξουσίας.

11. Μὴ δὴ, πρὸς Διός, ὦ ἄνδρες δικασταὶ, συγχωρήσητε αὐτῷ ἑκούσιον τὴν ἀνάληψιν πεποιημένῳ καὶ λύσαντι τὴν γνῶσιν τοῦ πάλαι δικαστηρίου καὶ ἀκυρώσαντι τὴν ὀργὴν αὖθις τὴν αὐτὴν τιμωρίαν ἀναλαβεῖν καὶ ἐπὶ τὴν ἐξουσίαν τὴν πατρικὴν ἀνατρέχειν, ἧς ἔξωρος ἤδη καὶ ἔωλος ἡ προθεσμία, καὶ μόνῳ τούτῳ ἄκυρος καὶ προδεδαπανημένη· ὁρᾶτε γάρ που καὶ ἐν τοῖς ἄλλοις δικαστηρίοις ὡς ἀπὸ μὲν τῶν κλήρῳ λαχόντων δικαστῶν, ἤν τις ἄδικον οἴηται γεγενῆσθαι τὴν κρίσιν, δίδωσιν ὁ νόμος εἰς ἕτερον ἐφεῖναι δικαστήριον· ἢν δέ τινες ἑκόντες αὐτοὶ συνθῶνται δικαστὰς καὶ προελόμενοι ἐπιτρέψωσι διαιτᾶν, οὐκέτι. Οἷς γὰρ ἐξῆν μηδὲ τὴν ἀρχὴν ἐμμένειν, εἰ τούτους τις αὐθαίρετος εἵλετο, στέργειν ἐστὶ δίκαιος τοῖς ἐγνωσμένοις. Οὕτω δὴ καὶ σὺ, ὃν ἐξῆν μηκέτ' ἀναλαμβάνειν, εἴ σοι ἀνάξιος ἐδόκει τοῦ γένους, τοῦτον εἰ χρηστὸν ἡγησάμενος εἶναι πάλιν ἀνείληφας, οὐκέτ' ἀποκηρύττειν ἔξεις· ὅτι γὰρ οὐκ ἄξιος αὖθις παθεῖν ταῦτα, ὑπ' αὐτοῦ σοῦ μεμαρτύρηται καὶ χρηστὸς ἤδη ἀνωμολόγηται. Ἀμετανόητον οὖν τὴν ἀνάληψιν καὶ τὴν διαλλαγὴν βέβαιον εἶναι προσήκει μετὰ κρίσιν οὕτω πολλὴν καὶ δύο δικαστήρια, ἓν μὲν τὸ πρῶτον, ἐφ' οὗ παρῃτήσω, δεύτερον δὲ τὸ σὸν, ὅτε μετεβουλεύσω καὶ ἀνάδαστον ἐποίησας· τὰ πρότερον ἐγνωσμένα λύσας βεβαιοῖς τὰ μετ' ἐκεῖνα βεβουλευμένα. Μένε τοίνυν ἐπὶ τῶν τελευταίων καὶ φύλαττε τὴν σαυτοῦ κρίσιν, πατέρα σε εἶναι δεῖ· τοῦτο γὰρ ἔδοξέ σοι, τοῦτ' ἐδοκίμασας, τοῦτ' ἐκύρωσας.

12. Ἐγὼ μὲν οὐδ' εἰ μὴ φύσει παῖς ἦν, θέμενος δὲ ἀποκηρύττειν ἤθελες, ἐξεῖναί σοι ᾠόμην· ὃ γὰρ τὴν ἀρχὴν μὴ ποιεῖν δυνατὸν ἦν, τοῦτ' ἄδικον λύειν ἅπαξ γενόμενον. Τὸν δὲ καὶ φύσει καὶ αὖθις προαιρέσει καὶ γνώμῃ εἰσπεποιημένον, πῶς εὔλογον αὖθις ἀπωθεῖσθαι καὶ πολλάκις τῆς μιᾶς οἰκειότητος ἀποστερεῖν; Εἰ δ' οἰκέτης ὢν ἐτύγχανον, καὶ τὸ μὲν πρῶτον πονηρὸν οἰόμενος ἐπέδησας, μεταπεισθεὶς δὲ ὡς οὐδὲν ἠδίκουν, ἐλεύθερον ἀφῆκας εἶναι, ἆρ' ἄν σοι πρὸς καιρὸν ὀργισθέντι αὖθις ἐξῆν ἐς τὴν ὁμοίαν δουλείαν ἐπανάγειν; οὐδαμῶς. Τὰ γὰρ τοιαῦτα βέβαια καὶ διὰ παντὸς κύρια ὑπάρχειν οἱ νόμοι ἀξιοῦσιν. Ὑπὲρ μὲν οὖν τοῦ μηκέτι ἐξεῖναι τούτῳ ἀποκηρύττειν ὃν ἅπαξ ἀποκηρύξας ἐκὼν ἀνέλαβεν, ἔτι πολλὰ εἰπεῖν ἔχων ὅμως παύσομαι.

13. Σκέψασθε δὲ ἤδη ὅντινα ὄντα με καὶ ἀποκηρύξει· καὶ οὐ δή που τοῦτό φημι, ὡς τότε μὲν ἰδιώτην, νῦν δ' ἰατρόν· οὐδὲν γὰρ ἂν πρὸς τοῦτο ἡ τέχνη συναγωνίσαιτο· οὐδ' ὅτι τότε μὲν νέον, νῦν δὲ ἤδη καὶ προβεβηκότα καὶ τὸ πιστὸν τοῦ μηδὲν ἀδικῆσαι ἂν παρὰ τῆς ἡλικίας ἔχοντα· μικρὸν γὰρ ἴσως καὶ τοῦτο. Ἀλλὰ τότε μὲν, εἰ καὶ μηδὲν ἠδικημένος, ὡς ἂν ἔγωγε φαίην, ἀλλ' οὐδ' εὖ πεπονθὼς παρῃτεῖτο τῆς οἰκίας, νῦν δὲ σωτῆρα ἔναγχος καὶ εὐεργέτην γεγενημένον, οὗ τί γένοιτ' ἂν

fuerit. Semel genuisti, aluisti semel, semel etiam abdicandi pro his potestatem habes, idque tum, si juste illud videaris facere: illud autem indesinenter facere et perpetuo, et sæpe, et temere, majus jam est patria potestate.

11. Nolite sane, obsecro, judices, concedere illi, postquam sponte receptionem fecit et superioris judicii cognitionem reddidit irritam et iram suam retractavit, ut eandem rursus pœnam revocet et ad patriam potestatem recurrat, cujus jam tempus illi præteriit et olim dies elapsus est, quæque illo solo actu vim suam amisit et consumta est. Nam videtis fere in ceteris etiam judiciis, ut a judicibus sortitione lectis, si quis injustum factum putet judicium, permittat lex ad aliud provocare et abire tribunal: sin aliqui ultro sibi judices statuerint et delectis a se permiserint arbitrium, non jam hoc concedat. Quibus enim initio licebat non stare, hos si quis sua sponte legerit, justum est eorum illum cognitione contentum esse. Ita sane tu etiam, quem licebat non iterum recipere, si indignus genere tibi videbatur; hunc si, bonum arbitratus esse, denuo recepisti, non jam poteris abdicare. Non enim dignum esse qui ista denuo a te patiatur, tu ipse testatus et bonum jam esse confessus es. Quare receptionem pœnitentiæ non jam subjectam, sed ratam conciliationem esse convenit post multum adeo judicium et duo tribunalia, unum prius illud, quo me ejecisti, alterum tuum ipsius, quum mutato consilio irritum prius illud fecisti. Quum priora decreta rescindis, firmas quæ post ea deliberasti. Mane ergo in ultimis ac tuere judicium tuum: patrem te esse oportet; ita enim ipsi tibi placuit, hoc probasti, hoc sanxisti.

12. Ego ne tum quidem, si non natura essem filius, sed adoptatum me abdicare velles, licere tibi hoc putarem. Quod enim initio non facere licebat, illud, ubi semel factum, dissolvere iniquum est. Illum autem qui natura, deinde rursus voluntate et sententia tua in domum ascitus est, quomodo rationabile est rursus expellere et uno familiæ jure privare sæpius? Si vero servus fuissem, tuque primo, malum me putans, vinxisses, ac deinde mutata persuasione arbitratus nihil me injustum egisse, liberum dimisisses; numquid tibi aliquando irato liceret in similem me servitutem retrahere? Minime: hæc talia enim firma et perpetuo rata esse leges jubent. De eo igitur, quod non liceat isti abdicare quem semel a se abdicatum sponte receperit, licet multa adhuc quæ dicam supersint, tamen desinam.

13. Videte autem nunc, qualem me hominem abdicatum eat. Et nondum hoc dico, tum imperitum, jam vero medicum; nihil enim ad hanc rem ars juverit: neque, tum juvenem, nunc autem jam provectum, qui ab ipsa jam ætate argumentum habeam, injuriam me non temere facere: parvum enim fortasse hoc etiam fuerit. Verum illo tempore, licet injuria nulla læsus, ut equidem dixerim, tamen nec auctus beneficio, domo me exclusit: jam vero servatorem recens et bene de se meritum, quo quid fieri possit ingra-

ἀχαριστότερον, σωθέντα δι' ἐμὲ καὶ τηλικοῦτον κίνδυνον διαπεφευγότα τοῖς τοιούτοις εὐθὺς ἀμείβεσθαι τῆς θεραπείας ἐκείνης οὐδένα λόγον ἔχοντα, ἀλλ' οὕτωσὶ ῥᾳδίως ἐπιλελῆσθαι καὶ ἐπὶ τὴν ἐρημίαν ἐλαύνειν τὸν ἐφησθέντ' ἂν δικαίως ἐφ' οἷς ἀδίκως ἐξεβέβλητο, μὴ μόνον οὐ μνησικακήσαντα, ἀλλὰ καὶ σώσαντα καὶ σωφρονεῖν παρασκευάσαντα;

14. Οὐ γὰρ σμικρὸν, ὦ ἄνδρες δικασταὶ, οὐδὲ τὸ τυχὸν εὖ πεποιηκὼς αὐτὸν ὅμως τῶν τοιούτων νῦν ἀξιοῦμαι. Ἀλλ' εἰ καὶ οὗτος ἀγνοεῖ τὰ τότε, πάντες ὑμεῖς ἴστε οἷα ποιοῦντα αὐτὸν καὶ πάσχοντα καὶ ὅπως διακείμενον ἐγὼ παραλαβὼν, τῶν μὲν ἄλλων ἰατρῶν ἀπεγνωκότων, τῶν δ' οἰκείων φευγόντων καὶ μηδὲ πλησίον προσιέναι τολμώντων, τοιοῦτον ἀπέφηνα, ὡς καὶ κατηγορεῖν δύνασθαι καὶ περὶ τῶν νόμων διαλέγεσθαι. Μᾶλλον δὲ ὅρᾷς, ὦ πάτερ, τὸ παράδειγμα· τοιοῦτον ὄντα σε παρ' ὀλίγον οἷα νῦν ἡ γυνή ἐστι, πρὸς τὴν ἀρχαίαν φρόνησιν ἐπανήγαγον. Οὐ δὴ δίκαιον, τοιαύτην μοι γενέσθαι τὴν ἀμοιβὴν ἀντ' ἐκείνων οὐδὲ κατ' ἐμοῦ σε μόνου σωφρονεῖν ὅτι γὰρ μὴ μικρὰ ὑπ' ἐμοῦ εὐηργέτησαι καὶ ἀπ' αὐτῶν ὧν ἐγκαλεῖς δῆλόν ἐστιν· ὃν γὰρ ὡς ἐν ἐσχάτοις οὖσαν τὴν γυναῖκα καὶ παμπονήρως ἔχουσαν οὐκ ἰώμενον μισεῖς, πῶς οὐ πολὺ μᾶλλον, ὅτι σε τῶν ὁμοίων ἀπήλλαξα, ὑπεραγαπᾷς καὶ χάριν ὁμολογεῖς τῶν οὕτω δεινῶν ἀπηλλαγμένος; Σὺ δὲ, ὅπερ ἀγνωμονέστατον, σωφρονήσας εὐθὺς εἰς δικαστήριον ἄγεις καὶ σεσωσμένος κολάζεις καὶ ἐπὶ τὸ ἀρχαῖον ἐκεῖνο μῖσος ἀνατρέχεις καὶ τὸν αὐτὸν ἀναγιγνώσκεις νόμον. Καλὸν γοῦν τὸν μισθὸν ἀποδίδως τῇ τέχνῃ καὶ ἀξίας ἀμοιβὰς τῶν φαρμάκων ἐπὶ τὸν ἰατρὸν ὑγιαίνων μόνον.

15. Ὑμεῖς δὲ, ὦ ἄνδρες δικασταὶ, τὸν εὐεργέτην τούτῳ κολάζειν ἐπιτρέψετε καὶ τὸν σώσαντα ἐξελαύνειν καὶ τὸν σωφρονίσαντα μισεῖν καὶ τὸν ἀναστήσαντα τιμωρεῖσθαι; οὐκ, ἦν γε τὰ δίκαια ποιῆτε. Καὶ γὰρ εἰ τὰ μέγιστα νῦν ἁμαρτάνων ἐτύγχανον, ἦν μοί τις οὐ μικρὰ προοφειλομένη χάρις, εἰς ἣν ἀποβλέποντα τοῦτον καὶ ἧς μεμνημένον καλῶς εἶχε τῶν μὲν παρόντων καταφρονεῖν, δι' ἐκεῖνα δὲ πρόχειρον τὴν συγγνώμην ἔχειν, καὶ μάλιστα εἰ τηλικαύτη τις ἡ εὐεργεσία τυγχάνοι, ὡς πάντα ὑπερπαίειν τὰ μετὰ ταῦτα. Ὅπερ οἶμαι κἀμοὶ πρὸς τοῦτον ὑπάρχειν, ὃν ἔσωσα, καὶ ὃς τοῦ βίου παντὸς χρεώστης ἔστι μοι, καὶ ᾧ τὸ εἶναι καὶ τὸ σωφρονεῖν καὶ τὸ συνιέναι παρέσχημαι, καὶ μάλιστα ὅτε οἱ ἄλλοι πάντες ἤδη ἀπεγνώκεσαν καὶ ἥττους εἶναι ὡμολόγουν τῆς νόσου.

16. Τοῦτο γὰρ μεῖζω οἶμαι ποιεῖν τὴν ἐμὴν εὐεργεσίαν, ὃς οὔτε υἱὸς ὢν τότε οὔτε ἀναγκαίαν τῆς θεραπείας ἔχων αἰτίαν, ἀλλ' ἐλεύθερος καθεστὼς καὶ ἀλλότριος, τῆς φυσικῆς αἰτίας ἀφειμένος, ὅμως οὐ περιεῖδον, ἀλλ' ἐθελοντὴς, ἄκλητος, αὐτεπάγγελτος ἦκον, ἐβοήθησα, προσελιπάρησα, ἰασάμην, ἀνέστησα καὶ τὸν πατέρα ἐμαυτῷ διεφύλαξα καὶ ὑπὲρ τῆς ἀποκηρύξεως ἀπελογησάμην καὶ τῇ εὐνοίᾳ τὴν ὀργὴν ἔπαυσα καὶ τὸν νόμον ἔλυσα τῇ φιλοστοργίᾳ καὶ μεγάλης εὐεργεσίας τὴν εἰς τὸ

tius? servatum mea opera, tali superato periculo, talem statim mercedem persolvere, nulla curationis illius ratione habita; sed ita facile oblivisci et in solitudinem abigere eum, qui quum jure lætari potuisset malis pro injusta ejectione, non solum memoriam injuriæ abjecit, verum salutem etiam præstitit et sanitatem.

14. Neque enim parvum est, judices, neque quotidianum beneficium, quo affeci illum, qui talibus nunc pœnis me dignum censet. Sed etsi forte iste ignorat quæ tum acta sunt; at vos nostis omnes, qualia agentem illum et patientem, et quomodo affectum, ego illum receperim, desperantibus reliquis medicis, familiaribus autem fugientibus, ac ne prope quidem accedere ausis, ac talem reddiderim, qui etiam accusare possit et de legibus disputare. Potius hoc dicam: vides, pater, tui status specimen: talis propemodum quum esses, qualis nunc mater est, ad pristinam te mentem revocavi. Non igitur justum est eam mihi pro illis mercedem tribui, teque contra me solum sapere. Minime enim parvum tibi beneficium a me tributum esse, ex ipsa tua accusatione manifestum est. Quem enim odio jam habes, qui non sanem uxorem tuam cum extremis conflictantem malis et pessime omnino habentem, cur non multo potius vehementer amas, quod similibus te liberavi, et gratiam habes tantis malis solutus? Tu vero, quod ingratissimum, recepta mente statim trahis ad tribunal, et servatus punis, et ad antiquum illud odium recurris, et legem eandem recitas. Præclaram igitur arti mercedem exsolvis, et digna medicamentorum præmia, qui contra solum medicum sapias.

15. Vos autem, judices, huic permittetis punire bene de se meritum, servatorem expellere, sanæ mentis restitutorem odisse, afficere supplicio qui jacentem erexit? Minime, si quidem juste agatis. Etenim si maxima nunc peccata commisissem, erat quæ ante deberetur mihi gratia non parva, ad quam iste respiciens, cujus recordatus jure meritoque præsentia contemneret, in promtu propter ista haberet veniam: maxime vero, si tale tantumque sit beneficium, ut longe ea, quæ post facta sunt, superet. Quod quidem apud istum mihi ita se habere arbitror, quem servaverim, qui vitam mihi ipsam debeat, cui quod est, quod sapit, quod intelligit, ego præstiterim, idque eo maxime tempore, quum reliqui omnes spem abjecissent seque impares morbo fassi essent.

16. Illa enim re augeri beneficium meum existimo, quod neque filius eo tempore, neque necessariam habens curationis causam, sed in libertate constitutus, alienus, naturali necessitudine solutus, tamen non neglexi patrem; sed sponte, invocatus, meo ipsius instinctu veni, opem tuli, assiduus fui, sanavi, excitavi, patrem servavi mihi, causam de abdicatione dixi, iram illius mea benevolentia sedavi, legem dissolvi pietate, magnoque beneficio reditum in familiam redemi, atque ancipiti adeo

γένος ἐπάνοδον ἐποιάμην καὶ ἐν οὕτως ἐπισφαλεῖ καιρῷ τὴν πρὸς τὸν πατέρα πίστιν ἐπεδειξάμην καὶ μετὰ τῆς τέχνης ἐμαυτὸν εἰσεποίησα καὶ γνήσιος υἱὸς ἐν τοῖς δεινοῖς ἀνεφάνην. Πόσα γὰρ οἴεσθε παθεῖν με, πόσα καμεῖν παρόντα, ὑπηρετοῦντα, καιροφυλακοῦντα, νῦν μὲν εἴκοντα τῇ τοῦ πάθους ἀκμῇ, νῦν δὲ τὴν τέχνην ἐπάγοντα πρὸς ὀλίγον ἐνδιδόντος τοῦ κακοῦ; ἔστι δὲ τῶν ὄντων ἁπάντων τούτων ἐν τῇ ἰατρικῇ τὸ ἐπισφαλέστατον, τοὺς τοιούτους ἰᾶσθαι καὶ πλησιάζειν οὕτω διακειμένοις· ἐς γὰρ τοὺς πλησίον πολλάκις ἀφιᾶσι τὴν λύτταν ἐπιζέσαντος τοῦ πάθους. Καὶ ὅμως πρὸς οὐδὲν τούτων ἀπώκνησα οὐδ' ἀπεδειλίασα, συνὼν δὲ καὶ πάντα τρόπον ἀντεξεταζόμενος τῇ νόσῳ τὸ τελευταῖον ἐκράτησα τῷ φαρμάκῳ.

17. Μὴ γὰρ τοῦτ' ἀκούσας εὐθὺς ὑπολάβοι τις, ποῖος δὲ ἢ πόσος ὁ κάματος ἐγχέαι φάρμακον; πολλὰ γὰρ πρὸ τούτου γενέσθαι δεῖ καὶ προοδοποιῆσαι τῇ πόσει καὶ προπαρασκευάσαι ῥᾴδιον εἰς ἴασιν τὸ σῶμα καὶ τῆς ἁπάσης ἕξεως φροντίσαι κενοῦντα καὶ ἰσχναίνοντα καὶ οἷς χρὴ τρέφοντα καὶ κινοῦντα εἰς ὅσον χρήσιμον καὶ ὕπνους ἐπινοοῦντα καὶ ἠρεμίας μηχανώμενον, ᾧπερ οἱ μὲν ἄλλο τι νοσοῦντες ῥᾳδίως πεισθεῖεν ἄν, οἱ μεμηνότες δὲ διὰ τὴν ἐλευθερίαν τοῦ νοῦ δυσάγωγοι καὶ δυσηνιόχητοι καὶ τῷ ἰατρῷ ἐπισφαλεῖς καὶ τῇ θεραπείᾳ δυσκαταγώνιστοι. Ὅταν γοῦν πολλάκις ποιήσωμεν ἤδη πλησίον γενέσθαι τοῦ τέλους καὶ ἐλπίσωμεν, ἐμπεσόν τι μικρὸν ἁμάρτημα, ἐπακμάσαντος τοῦ πάθους ἅπαντα ῥᾳδίως ἐκεῖνα ἀνέτρεψε καὶ ἀνεπόδισε τὴν θεραπείαν καὶ τὴν τέχνην διέσφηλε.

18. Τὸν οὖν ταῦτα πάντα ὑπομεμενηκότα καὶ οὕτω χαλεπῷ νοσήματι προσπαλαίσαντα καὶ πάθος ἁπάντων παθῶν τὸ δυσαλωτότατον νενικηκότα ἔτι τούτῳ ἀποκηρύττειν ἐπιτρέψετε, καὶ τοὺς νόμους ὡς βούλεται ἑρμηνεύειν κατ' εὐεργέτου συγχωρήσετε καὶ τῇ φύσει πολεμεῖν αὐτὸν ἐάσετε; Ἐγὼ τῇ φύσει πειθόμενος, ὦ ἄνδρες δικασταί, σώζω καὶ διαφυλάττω τὸν πατέρα ἐμαυτῷ, κἂν ἀδικῇ· οὗτοσὶ δὲ τὸν εὐηργετηκότα παῖδα τοῖς νόμοις, ὡς φησιν, ἀκολουθῶν διαφθείρει καὶ τοῦ γένους ἀποστερεῖ. Μισόπαις οὗτος, ἐγὼ φιλοπάτωρ γίγνομαι· ἐγὼ τὴν φύσιν ἀσπάζομαι, οὗτος τὰ τῆς φύσεως παρορᾷ καὶ καθυβρίζει. Ὦ πατρὸς μισοῦντος ἀδίκως· ὦ παιδὸς φιλοῦντος ἀδικώτερον. Ἐγκαλῶ γὰρ ἐμαυτῷ, τοῦ πατρὸς ἀναγκάζοντος ὅτι μισούμενος οὐ δέον φιλῶ καὶ φιλῶ πλέον ἢ προσῆκε. Καίτοι γε ἡ φύσις τοῖς πατράσι τοὺς παῖδας μᾶλλον ἢ τοῖς παισὶ τοὺς πατέρας ἐπιτάττει φιλεῖν. Ἀλλ' οὗτος ἑκὼν καὶ τοὺς νόμους παρορᾷ, οἳ τοὺς οὐδὲν ἠδικηκότας παῖδας τῷ γένει φυλάττουσι, καὶ τὴν φύσιν, ἣ τοὺς γεννήσαντας ἕλκει πρὸς πόθον τῶν γεγεννημένων πολύν, οὐχ ὅπως μείζους ἀρχὰς εὐνοίας ἔχων πρὸς ἐμὲ μείζονα τὰ δίκαιά μοι τῆς εὐνοίας εἰσφέρει καὶ ἐπιδίδωσιν, ἢ τό γε ἔλαττον ἐμὲ μιμεῖται καὶ ζηλοῖ τοῦ φίλτρου· ἀλλ', οἶμοι τῆς συμφορᾶς, προσέτι καὶ μισεῖ φιλοῦντα καὶ ἀγαπῶντα ἐλαύνει καὶ εὐεργετοῦντα ἀδικεῖ καὶ ἀσπαζόμενον ἀποκηρύττει καὶ τοὺς

tempore ostendi meam in parentem fidem, et una cum arte me ipsum quasi adoptavi, germanumque me filium in magno discrimine exhibui. Quæ enim subiisse me putatis? quantum laborasse præsentem, ministrantem, tempora observantem omnia, quum nunc viribus summis morbi concederem, nunc remittenti aliquantum malo artem opponerem? Est autem omnium in medicina hoc periculosissimum, curare tales, et ad ita constitutos accedere: sæpe enim in proximos quosque rabiem, effervescente morbo, emittunt. Ego tamen ad nihil horum vel operam remisi, vel despondi animum: sed congrediens et omni modo contra morbum decertans, medicamento tandem illum expugnavi.

17. Noli enim, si quis ista audis, statim putare, Qualis aut quantus labor est infundere medicamentum? Multa enim ante hoc fieri oportet, et viam munire potioni; et parare habile ad curationem corpus, et habitus totius habere rationem, evacuando, extenuando, iis quibus oportet nutriendo, et movendo quantum utile est, et somno parando, et machinanda quiete, ad quæ morbo laborantes alio facile inducantur, furiosi autem propter mentis licentiam duci regique difficiles sunt, periculosi medico et curationi vix superabiles. Quum enim sæpe effecimus ut prope finem simus, quum speramus: incidens parvulum quoddam peccatum, ingravescente denuo morbo, omnia illa facile evertit, retro egit curationem, artem dejecit.

18. Eum igitur, qui illa omnia sustinuit, qui cum gravi adeo ægritudine conflictatus est, qui morbum morborum omnium superatu difficillimum vicit, isti adhuc abdicare permittetis, et pro sua libidine interpretari leges contra optime de se meritum patiemini, et contra ipsam pugnare naturam sinetis? Ego naturæ obsecutus, judices, servo et custodio mihi patrem, etiam si injuriam ipse mihi faciat: at hic filium a quo beneficium accepit, legibus, ut ait, obtemperans, perdit et genere privat. Liberorum osor hic est, amans ego patris; ego amplector naturam, hic naturæ vim despicit et jus ejus contumeliose conculcat. Vah patrem injuste odio habentem! vah filium amantem etiam injustius! Me enim ipsum accuso, patre ita cogente, qui exosus præter officium amem, et magis amem quam convenit: quanquam patribus magis injungat amare liberos, quam hisce patres. Sed iste ultro et leges despicit, quæ liberos nullius injuriæ reos servant generi, et naturam, quæ parentes ad vehementem eorum qui nati sunt amorem trahit; tantum abest ut, quum majores habeat benevolentiæ erga me causas, majora etiam justæ benevolentiæ officia mihi tribuat addatque; aut certe me imitetur, et amoris mei se præbeat æmulum: sed, heu calamitatem! insuper etiam odit amantem, et diligentem exigit, et bene merentem afficit injuria, et amplectentem abdicat, et leges

φιλόπαιδας νόμους ὡς μισόπαιδας κατ' ἐμοῦ μεταχειρίζεται. Ὢ μάχης, ἣν εἰσάγεις, πάτερ, τοῖς νόμοις κατὰ τῆς φύσεως.

19. Οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν ὡς θέλεις· κακῶς ἑρμηνεύεις, ὦ πάτερ, καλῶς κειμένους τοὺς νόμους. Οὐ πολεμεῖ φύσις καὶ νόμος ἐν ταῖς εὐνοίαις, ἀλλ' ἀκολουθοῦσιν ἐνταῦθα ἀλλήλοις καὶ συναγωνίζονται τῇ λύσει τῶν ἀδικημάτων. Ὑβρίζεις τὸν εὐεργέτην, ἀδικεῖς τὴν φύσιν. Τί καὶ τοὺς νόμους συναδικεῖς τῇ φύσει; οὓς καλοὺς καὶ δικαίους καὶ φιλόπαιδας εἶναι θέλοντας οὐ συγχωρεῖς, καθ' ἑνὸς παιδὸς ὡς κατὰ πολλῶν κινῶν πολλάκις καὶ ἡσυχάζειν οὐκ ἐῶν ἐν ταῖς τιμωρίαις τοὺς ἐν ταῖς τῶν παίδων πρὸς τοὺς πατέρας εὐνοίαις ἡσυχάζειν ἐθέλοντας, καίτοι γε ἐπὶ τοῖς μηδὲν ἡμαρτηκόσι μηδὲ κειμένους. Καὶ μὴν οἵ γε νόμοι καὶ ἀχαριστίας δικάζεσθαι διδάσκουσι κατὰ τῶν τοὺς εὐεργέτας μὴ ἀντ' εὖ ποιούντων. Ὁ δὲ πρὸς τῷ μὴ ἀμείβεσθαι καὶ ἐπ' αὐτοῖς οἷς εὖ πέπονθε κολάζειν ἀξιῶν, σκέψασθε εἴ τινα ὑπερβολὴν ἀδικίας ἀπολέλοιπεν. Ὡς μὲν οὖν οὔτε ἀποκηρύττειν ἔτι τούτῳ ἔξεστιν ἅπαξ ἤδη τὴν πατρικὴν ἐξουσίαν ἀποπληρώσαντι καὶ χρησαμένῳ τοῖς νόμοις οὔτε ἄλλως δίκαιον, εὐεργέτην εἰς τὰ τηλικαῦτα γεγενημένον ἀπωθεῖσθαι καὶ τῆς οἰκίας παραιτεῖσθαι, ἱκανῶς, οἶμαι, δέδεικται.

20. Ἤδη δὲ καὶ ἐπ' αὐτὴν τὴν αἰτίαν ἔλθωμεν τῆς ἀποκηρύξεως καὶ τὸ ἔγκλημα ἐξετάσωμεν ὁποῖόν ἐστιν. Ἀνάγκη δὲ αὖθις ἐπὶ τὴν γνώμην ἀναδραμεῖν τοῦ νομοθέτου. Ἵνα γάρ σοι τοῦτο πρὸς ὀλίγον δῶμεν, τὸ ἐξεῖναι ὁσάκις ἂν ἐθέλῃς ἀποκηρύττειν, καὶ κατά γε τοῦ εὐεργέτου προσέτι τὴν ἐξουσίαν ταύτην συγχωρήσωμεν, οὐχ ἁπλῶς, οἶμαι, οὐδ' ἐπὶ πάσαις αἰτίαις ἀποκηρύξεις. Οὐδὲ τοῦθ' ὁ νομοθέτης φησίν, ὅ τι ἂν τύχῃ ὁ πατὴρ αἰτιασάμενος, ἀποκηρυττέτω, καὶ ἀπόχρη θελῆσαι μόνον καὶ μέμψασθαι· τί γὰρ ἂν ἔδει δικαστηρίου; ἀλλ' ὑμῖν ποιεῖ τοῦτο, ὦ ἄνδρες δικασταί, σκοπεῖν εἴτε ἐπὶ μεγάλοις καὶ δικαίοις ὁ πατὴρ ὀργίζεται εἴτε καὶ μή. Οὐκοῦν τοῦτο ἤδη ἐξετάσατε. Ἄρξομαι δὲ ἀπὸ τῶν μετὰ τὴν μανίαν εὐθύς.

21. Τὰ μὲν δὴ πρῶτα τῆς σωφροσύνης τοῦ πατρὸς λύσις ἦν τῆς ἀποκηρύξεως, καὶ σωτὴρ καὶ εὐεργέτης καὶ πάντα ἦν ἐγώ. Καὶ οὐδὲν, οἶμαι, τούτοις ἔγκλημα προσεῖναι ἐδύνατο. Τὰ μετὰ ταῦτα δὲ τί τῶν πάντων αἰτιᾷ; τίνα θεραπείαν, τίνα ἐπιμέλειαν υἱοῦ παρῆκα; πότε ἀπόκοιτος ἐγενόμην; τίνας πότους ἀκαίρους, τίνας κώμους ἐγκαλεῖς; τίς ἀσωτία, τίς πορνοβοσκὸς ὕβρισται; τίς ἠτιάσατο; οὐδὲ εἷς. Καὶ μὴν ταῦτ' ἐστὶν ἐφ' οἷς μάλιστα ὁ νόμος ἀποκηρύττειν ἐφίησιν. Ἀλλὰ νοσεῖν ἤρξατο ἡ μητρυιά. Τί οὖν; ἐμοὶ ταῦτ' ἐγκαλεῖς καὶ νόσου δίκην ἀπαιτεῖς; οὐ, φησίν.

22. Ἀλλὰ τί; θεραπεύειν προσταττόμενος οὐκ ἐθέλεις, καὶ διὰ τοῦτ' ἄξιος ἂν εἴης ἀποκηρύξεως ἀπειθῶν τῷ πατρί. Ἐγὼ δὲ τὸ μὲν οἷα προστάττοντι αὐτῷ ὑπακούειν οὐ δυνάμενος ἀπειθεῖν δοκῶ πρὸς ὀλίγον ὑπερθήσομαι· πρότερον δ' ἁπλῶς ἐκεῖνό φημι, ὡς οὐ

liberis faventes, tanquam infensas liberis in me torquet. Vah pugnam, qua committis, pater, leges et naturam!

19. Non sunt, non sunt ista ut tu vis. Male interpretaris, pater, leges bene constitutas. Non pugnant natura et lex circa benevolentiam; sequuntur hac in re se invicem, et mutuo se dissolvendis injuriis adjuvant. Contumeliose tractas bene de te meritum: in naturam injurius es. Quid etiam leges una cum natura injuria complecteris? quas, bonæ, justæ, liberorum amantes esse quum velint, tales esse non concedis, quum eas contra unum filium, tanquam adversus plures, sæpius moveas, et quiescere non patiaris a pœnis eas, quæ in liberorum adversus patres benevolentia quiescere cupiunt, ne propositæ quidem iis qui nihil peccarunt. Et sane ingrati etiam animi judicium dant leges contra eos, qui bene de se meritis gratiam non retulere. Ille vero, qui, præterquam quod vicem non reddit, insuper propter ipsa quibus affectus est beneficia punire cupit, considerate si quem injuriæ excessum reliquerit. Quæ quum ita sint, neque integrum amplius isti esse abdicare, qui semel jam patriam potestatem expleverit et usus sit legibus; neque alioquin justum esse, bene in tantis rebus meritum rejici, et expelli domo, satis, puto, demonstratum est.

20. Jam vero ad ipsam quoque causam veniamus abdicationis, et crimen ipsum, quale sit, examinemus. Opus est vero rursus ad sententiam legislatoris recurrere. Ut enim tibi hoc ad parvum tempus demus, licere abdicare quoties velis, et contra bene meritum insuper hanc tibi potestatem concedamus: non tamen simpliciter, puto, neque omnibus de causis abdicabis. Neque hoc ait legislator, Quicquid accusaverit pater, abdicato, et sufficit velle tantum et insimulare (quid enim opus fuisset judicio?) sed vos, judices, jubet considerare, magnisne et justis de causis irascatur pater, an minus. Igitur hoc jam exquirite. Incipiam autem ab his quæ furorem statim consecuta sunt.

21. Primum quidem quod sanitate restituta egit pater, hoc fuit, quod abdicationem rescidit; tum servator, bene meritus, et omnia eram ego. Neque ullum in his crimen, puto, esse potuit. Eorum autem, quæ secuta sunt, omnium quid incusas? quem cultum, quam curam filii prætermisi? quando abnoctavi? quas compotationes intempestivas, quas comessationes accusas? quæ luxuria mea est? quis leno pulsatus? quis accusavit me? nemo unus. Atqui hæc sunt propter quæ maxime abdicare lex permittit. Sed ægrotare cœpit noverca. Quid igitur? me hoc nomine accusas? et morbi rationem a me repetis? Non, inquit.

22. Quid ergo? Quod curare eam jussus non vis: et propter hoc dignus fueris abdicatione, parere qui recuses patri. Ego vero, qualia præcipienti patri, quum obsequi non possim, obedientiam negare videar, disputare paullum differam: prius vero simpliciter illud dico, Neque isti lex

πάντα προστάττειν οὔτε τούτῳ δίδωσιν ὁ νόμος οὔτ' ἐμοὶ τὸ πείθεσθαι πᾶσι πάντως ἀναγκαῖον. Ἐν δ' οὖν τοῖς τῶν προσταγμάτων τὰ μὲν ἀνεύθυνά ἐστι, τὰ δ' ὀργῆς καὶ τιμωρίας ἄξια· ἐὰν νοσῇς αὐτὸς, ἐγὼ δὲ ἀμελῶ· ἐὰν τῶν κατ' οἶκον ἐπιμελεῖσθαι κελεύῃς, ἐγὼ δὲ ὀλιγωρῶ· ἐὰν τὰ κατ' ἀγρὸν ἐπισκοπεῖν προστάττῃς, ἐγὼ δὲ ὀκνῶ. Πάντα ταῦτα καὶ τὰ τούτοις ὅμοια εὐλόγους ἔχει τὰς προφάσεις καὶ τὰς μέμψεις πατρικάς· τὰ δ' ἄλλα ἐφ' ἡμῖν ἐστι τοῖς παισὶν, ὄντα τῶν τεχνῶν καὶ τῆς τούτων χρήσεως, καὶ μάλιστα, εἰ μηδὲν ὁ πατὴρ αὐτὸς ἀδικοῖτο. Ἐπεί τοι ἂν τῷ γραφεῖ πατὴρ προστάττῃ, ταῦτα μὲν, τέκνον, γράφε, ταυτὶ δὲ μὴ, καὶ τῷ μουσικῷ, τήνδε μὲν τὴν ἁρμονίαν κροῦε, ταύτην δὲ μὴ, καὶ τῷ χαλκεύοντι, τοιαῦτα μὲν χάλκευε, τοιαῦτα δὲ μὴ, ἆρ' ἄν τις ἀνάσχοιτο ἀποκηρύττοντα, ὅτι μὴ κατὰ τὰ ἐκείνῳ δοκοῦντα ὁ παῖς χρῆται τῇ τέχνῃ; οὐδὲ εἷς, οἶμαι.

23. Τὸ δὲ τῆς ἰατρικῆς ὅσῳ σεμνότερόν ἐστι καὶ τῷ βίῳ χρησιμώτερον, τοσούτῳ καὶ ἐλευθερώτερον εἶναι προσήκει τοῖς χρωμένοις, καί τινα προνομίαν ἔχειν τὴν τέχνην δίκαιον τῇ ἐξουσίᾳ τῆς χρήσεως, ἀναγκάζεσθαι δὲ μηδὲν μηδὲ προστάττεσθαι πρᾶγμα ἱερὸν καὶ θεῶν παίδευμα καὶ ἀνθρώπων σοφῶν ἐπιτήδευμα, μηδ' ὑπὸ δουλείαν γενέσθαι νόμου μηδ' ὑπὸ φόβον καὶ τιμωρίαν δικαστηρίου, μηδ' ὑπὸ ψῆφον καὶ πατρὸς ἀπειλὴν καὶ ὀργὴν ἰδιωτικήν. Ὥστε καὶ εἰ τοῦτό σοι σαφῶς οὕτωσὶ καὶ διαρρήδην ἔλεγον, Οὐ βούλομαι οὐδὲ θεραπεύω δυνάμενος, ἀλλ' ἐμαυτῷ μόνῳ τὴν τέχνην οἶδα καὶ τῷ πατρὶ, τοῖς δ' ἄλλοις ἅπασιν ἰδιώτης εἶναι βούλομαι· τίς τύραννος οὕτω βίαιος, ὡς ἀναγκάσαι ἂν καὶ ἄκοντα χρῆσθαι τῇ τέχνῃ; Τὰ γὰρ τοιαῦτα ἱκετείαις καὶ δεήσεσιν, οὐ νόμοις καὶ ὀργαῖς καὶ δικαστηρίοις ὑπάγειν, οἶμαι, προσήκει· πείθεσθαι τὸν ἰατρὸν χρὴ, οὐ κελεύεσθαι, βούλεσθαι, οὐ φοβεῖσθαι, ἐπὶ τὴν θεραπείαν οὐκ ἄγεσθαι, ἑκόντα δὲ ἐρχόμενον ἥδεσθαι. Ἰατρικῆς δ' ἀνάγκης ἄμοιρος ἡ ἀτελὴς τέχνη, ὅπου γε τοῖς ἰατροῖς καὶ δημοσίᾳ αἱ πόλεις τιμὰς καὶ προεδρίας καὶ ἀτελείας καὶ προνομίας διδόασι.

24. Ταῦτα μὲν οὖν ἁπλῶς ἂν εἶχον εἰπεῖν ὑπὲρ τῆς τέχνης, εἰ καὶ σοῦ διδαξαμένου με καὶ πολλὰ ἐπιμεληθέντος καὶ ἀναλώσαντος, ὡς μάθοιμι, πρὸς μίαν ὅμως θεραπείαν ταύτην, δυνατὴν οὖσαν, ἀντέλεγον. Νυνὶ δὲ κἀκεῖνο ἐννόησον, ὡς παντάπασιν ἀγνῶμον ποιεῖς οὐκ ἐῶν με χρῆσθαι μετ' ἐλευθερίας ἐμῷ κτήματι. Ταύτην ἐγὼ τὴν τέχνην οὐχ υἱὸς ὢν σὸς ἐξέμαθον οὐδὲ τῷ σῷ νόμῳ ὑποκείμενος, καὶ ὅμως αὐτὴν μεμάθηκά σοι — καὶ πρῶτος αὐτῆς ἀπολέλαυκας — οὐδὲν παρὰ σοῦ πρὸς τὸ μαθεῖν ἔχων. Τίνα διδάσκαλον ἐμισθώσω; τίνα φαρμάκων παρασκευήν; οὐδ' ἠντιναοῦν· ἀλλὰ πενόμενος ἐγὼ καὶ τῶν ἀναγκαίων ἀπορούμενος καὶ ὑπὸ τῶν διδασκάλων ἐλεούμενος ἐπαιδευόμην. Καί μοι τοιαῦτα παρὰ τοῦ πατρὸς ἦν πρὸς τὸ μαθεῖν ἐφόδια, λύπη καὶ ἐρημία καὶ ἀπορία καὶ μῖσος οἰκείων καὶ ἀποστροφὴ συγγενῶν. Ἀντὶ τούτων

permittit injungere omnia, neque parere omnibus omnino mihi necessarium. In his ergo quæ imperantur a patre, alia quidem alieno arbitrio non sunt obnoxia, alia vero ira atque supplicio, si violentur, digna : si ægrotes ipse, ego vero negligam; si rem familiarem curare jubeas, ego vilipendam; si rem rusticam inspicere injungas, ego pigrer. Omnia hæc, et quæ sunt in eodem genere, rationabiles habent causas et reprehensiones patrias : sed altera illa in nostra, liberorum, potestate sunt, quæ nimirum ad artes earumque usum pertinent, inprimis si ipse pater nulla inde lædatur injuria. Quandoquidem si pictori pater injungat, Ista quidem, fili, pinge, illa non : et musico, Hanc pulsa harmoniam, illam non; et fabro, Talia fabricare, talia non : num quis ferat abdicare volentem, quod filius non prout ipsi placet, arte utatur? Nemo unus, arbitror.

23. Medicina vero quo honestior est et vitæ utilior, tanto liberior esse debet utentibus; et prærogativam aliquam habere hanc artem justum est in ipsa utendi potestate; cogi autem nihil, neque imperari rem sanctam, traditam a diis, sapientium virorum studium et opus; nec servituti legum subjici, neque metui et pœnæ judicii neque suffragio, et minis patris, et iræ hominum imperitorum. Itaque etiamsi hoc ita aperte tibi ac diserte dixissem, Nolo, neque curo, licet possim, sed mihi soli artem novi, atque patri, reliquis omnibus indoctus esse volo : qui tyrannus ita violentus, qui cogere audeat et invitum arte sua uti aliquem velit? Hæc enim talia supplicationibus et precibus, non legibus et iris et judiciis subjicere, puto, convenit. Persuasione vinci medicum oportet, non imperio; velle, non terreri; ad curationem non compelli, sed sponte venientem gaudere. Necessitatis autem a patre impositæ expers esse debet ars alioquin immunis, quandoquidem medicis publice etiam civitates honores et sedem antiquiorem et immunitates et prærogativas tribuunt.

24. Hæc igitur haberem quæ simpliciter pro arte dicerem, etiam si tute docendum me curasses, et providisses multum et in doctrinam meam impendisses, ego tamen in una hac curatione, eaque meæ potestatis, repugnarem. Jam vero illud etiam cogita, quam præter omnem rationem facias, quum meo me peculio libere uti non pateris. Hanc ego artem, quum tuus non essem filius, edidici, quum tuæ legi subjectus non essem : et tamen tibi eam didici; ac primus fructum illius percepisti, quum nihil a te ad discendum præsidii haberem. Quem magistrum conduxisti? quem medicamentorum apparatum emisti? Non ullum : sed pauper ego et necessariis rebus destitutus, per misericordiam a magistris erudiebar. Atque talia mihi erant a patre ad discendum viatica, tristitia, solitudo, inopia, odium familiarium, aversatio cognatorum. Pro his igitur uti arte mea postulas?

τοίνυν χρῆσθαί μου τῇ τέχνῃ ἀξιοῖς καὶ δεσπότης εἶναι θέλεις τῶν ὅτ' οὐκ ἦσθα δεσπότης πεπορισμένων; Ἀγάπα, εἴ τί σε καὶ πρότερον ἐκὼν οὐ προοφείλων εὖ ἐποίησα, μηδεμίαν μηδὲ τότε χάριν ἀπαιτεῖσθαι δυνάμενος.

25. Οὐ δὴ δεῖ τὴν εὐποιίαν τὴν ἐμὴν ἀνάγκην ἐς τὸ λοιπόν μοι γενέσθαι οὐδὲ τὸ ἑκόντα εὐεργετῆσαι ἀφορμὴν τοῦ ἄκοντα κελεύεσθαι καταστῆναι οὐδ' ἔθος ὑπάρξαι τοῦτο, τὸ ἅπαξ τινὰ ἰασάμενον πάντας ἐς ἀεὶ θεραπεύειν ὁπόσους ἂν ὁ θεραπευθεὶς θέλῃ· ἐπεὶ δεσπότας ἂν οὕτω καθ' ἡμῶν εἴημεν τοὺς θεραπευομένους κεχειροτονηκότες καὶ μισθὸν τὸ δουλεύειν αὐτοῖς καὶ τὸ πάντα κελεύουσιν ὑπηρετεῖν προσδεδωκότες, οὗ τί γένοιτ' ἂν ἀδικώτερον; Διότι σε νοσήσαντα χαλεπῶς οὕτως ἀνέστησα, διὰ τοῦτο νομίζεις ἐξεῖναί σοι καταχρῆσθαί μου τῇ τέχνῃ;

26. Ταῦτα μὲν οὖν εἶχον ἂν λέγειν, εἰ καὶ δυνατά μοι οὗτος προσέταττεν, ἐγὼ δὲ μὴ πάντως ἅπασι μηδὲ πρὸς ἀνάγκην ὑπήκουον. Νῦν δὲ ἤδη σκέψασθε καὶ οἷά ἐστιν αὐτοῦ τὰ ἐπιτάγματα· ἐπεὶ γὰρ ἐμὲ ἰάσω, φησί, μεμηνότα, μέμηνε δὲ καὶ ἡ γυνὴ καὶ τὰ ὅμοια πάσχει — τοῦτο γὰρ οἴεται — καὶ ὑπὸ τῶν ἄλλων ὁμοίως ἀπέγνωσται, δύνασαι δὲ σὺ πάντα ὡς ἔδειξας, ἰῶ καὶ ταύτην καὶ ἀπάλλαττε ἤδη τῆς νόσου. Τοῦτο δὲ οὑτωσὶ μὲν ἁπλῶς ἀκοῦσαι πάνυ εὔλογον ἂν δόξειε, καὶ μάλιστα ἰδιώτῃ καὶ ἀπείρῳ ἰατρικῆς· εἰ δέ μου ἀκούσαιτε ὑπὲρ τῆς τέχνης δικαιολογουμένου, μάθοιτ' ἂν ὡς οὔτε πάντα ἡμῖν δυνατά ἐστιν οὔθ' αἱ τῶν νοσημάτων φύσεις παραπλήσιοι οὔτ' ἴασις ἡ αὐτὴ οὔτε φάρμακα τὰ αὐτὰ ἐπὶ πάντων ἰσχυρὰ, καὶ τότ' ἔσται δῆλον ὡς πάμπολυ τοῦ μὴ βούλεσθαί τι τὸ μὴ δύνασθαι διαφέρει. Ἀνάσχεσθε δέ μου τὰ περὶ τούτων φιλοσοφοῦντος, καὶ μὴ ἀπείρόκαλον μηδ' ἐξαγώνιον μηδ' ἀλλότριον ἢ ἄκαιρον ἡγήσησθε τὸν περὶ τούτων λόγον.

27. Πρῶτα μὲν δὴ σωμάτων φύσεις καὶ κράσεις οὐχ αἱ αὐταὶ, κἂν ὅτι μάλιστα ἐκ τῶν ὁμοίων συνεστάναι ὁμολογῶνται, ἀλλὰ τὰ μὲν τῶνδε, τὰ δὲ τῶνδε μᾶλλον ἢ ἔλαττον μετέχει. Καὶ λέγω τοῦτο ἔτι περὶ τῶν ἀνδρείων, ὡς οὐδὲ ταῦτα πᾶσιν ἴσα ἢ ὅμοια οὔτε τῇ κράσει οὔτε τῇ συστάσει, διάφορα γὰρ δὴ καὶ μεγέθει καὶ εἴδει ἀνάγκη καὶ τὰ νοσήματα ἐγγίγνεσθαι αὐτοῖς, καὶ τὰ μὲν εὐίατα εἶναι καὶ πρὸς τὴν θεραπείαν ἀναπεπταμένα, τὰ δὲ τέλεον ἀπεγνωσμένα καὶ ῥᾳδίως ἁλισκόμενα καὶ κατὰ κράτος ὑπὸ τῶν νοσημάτων λαμβανόμενα. Τὸ τοίνυν οἴεσθαι πάντα πυρετὸν ἢ πᾶσαν φθόην ἢ περιπνευμονίαν ἢ μανίαν μίαν καὶ τὴν αὐτὴν οὖσαν τῷ γένει ὁμοίαν ἐπὶ παντὸς εἶναι σώματος, οὐ σωφρονούντων οὐδὲ λελογισμένων οὐδὲ τὰ τοιαῦτα ἐξητακότων ἐστὶν ἀνθρώπων, ἀλλὰ τὸ αὐτὸ ἐν μὲν τῷδε ῥᾴδιον ἰᾶσθαι, ἐν δὲ τῷδε οὐκέτι. Ὥσπερ οἶμαι καὶ πυρὸν ἓν τὸν αὐτὸν ἐς διαφόρους χώρας ἐμβάλῃς, ἄλλως μὲν ἐν τῇ πεδινῇ καὶ βαθείᾳ καὶ ποτιζομένῃ καὶ εὐηλίῳ καὶ εὐηνέμῳ καὶ ἐξειργασμένῃ ἀναφύσεται, εὐθαλὴς οἶμαι καὶ εὔτροφος καὶ πολύχους καρπὸς, ἄλ-

et dominus esse eorum quæ suppeditata mihi sunt, quum dominus tu non esses? Satis habeto, si quid tibi prius ultro, quum nihil deberem, beneficeri, quum nullam, nedum hujusce tanti muneris, gratiam possem reposci.

25. Non sane debet beneficentia mihi mea necessitas reliquo tempore fieri, neque, quod volens bene merui, causa constitui cur invito imperari possit; neque illa consuetudo exsistere, ut qui semel aliquem sanaverit, omnes in perpetuum curet, quotquot is qui curatus est voluerit. Alioquin dominos ea ratione in nos constituerimus quos curamus, et mercedem præterea ipsis dederimus, serviendo illis et quicquid imperent ministrando: quo quid fieri possit injustius? Quoniam te morbo correptum tanto cum labore suscitavi, propter hoc licere tibi putas abuti arte mea?

26. Hæc haberem dicere, etiam si ea mihi iste imperaret quæ possem, ego vero nec omnibus omnino, neque ut necessitate coactus, parerem. Nunc vero jam considerate etiam qualia sint istius imperia. Quum enim me sanaveris, inquit, furiosum; furiosa autem sit etiam uxor eodemque modo affecta (sic enim arbitratur), et ab aliis similiter deposita; possis autem tu omnia, id quod ostendisti: sana hanc etiam, et morbo jam libera. Hoc autem si ita simpliciter audias, rationabile omnino videatur, indocto præsertim et medicinæ imperito: si vero me audieritis causam pro arte dicentem, intelligetis neque omnia esse in nostra potestate, neque naturas morborum esse similes, neque curationem eandem neque eadem medicamenta valida ad omnia: atque tunc apparebit quam immaniter distent, non velle aliquid, et non posse. Sed ferte me de hisce rebus philosophantem, neu ineptam, aut evagantem extra causam, aut alienam, aut intempestivam earum rerum disputationem putate.

27. Ac primum quidem naturæ corporum ac temperamenta non sunt eadem, licet maxime similibus ea constare elementis in cônfesso sit; sed illorum alia aliorum majorem minoremve partem habent. Et loquor adhuc de solis virorum corporibus, ut ne hæc quidem paria omnibus aut similia sint, neque temperatura, neque consistentia; diversos proinde et magnitudine et specie morbos in illis exsistere necesse est; et alia quidem sanatu esse facilia et curationi opportuna, alia autem plane desperata, quæ et capiantur facile, et vi a morbis superentur. Putare igitur febrim omnem, aut tabem, aut pulmonum morbum, aut furorem, unum eundemque esse in omni corpore et genere similem, non est hominum prudentium, qui rationes harum rerum subduxerint et exquisiverint: verum idem morbus in hoc sanatu facilis est, in alio non item. Quemadmodum, puto, triticum si idem in diversos agros spargas, aliter in campestri, et profundo, et irriguo, et aprico, et bonis ventis opposito, et culto, enascetur; lætum puto, et pingue, et

νους δὲ ἐν ὄρει καὶ ὑπολίθῳ γηδίῳ, ἄλλως δὲ ἐν δυσηλίῳ, ἄλλως δὲ ἐν ὑπωρείᾳ, καὶ ὅλως διαφόρως καθ' ἑκάστους τόπους· οὕτω δὲ καὶ τὰ νοσήματα παρὰ τοὺς ὑποδεξαμένους τόπους ἢ εὔφορα καὶ εὔτροφα ἢ ἐλάττω γίγνεται. Τοῦτο τοίνυν ὑπερβὰς ὁ πατὴρ καὶ ὅλον ἀνεξέταστον καταλιπὼν ἀξιοῖ πᾶσαν μανίαν τὴν ἐν ἅπαντι σώματι ὁμοίαν εἶναι καὶ τὴν θεραπείαν ἴσην.

28. Πρὸς δὲ τούτοις τοιούτοις οὖσιν ὅτι τὰ γυναικεῖα σώματα πάμπολυ τῶν ἀνδρείων διαφέρει πρός τε νόσου διαφορὰν καὶ πρὸς θεραπείας ἐλπίδα ἢ ἀπόγνωσιν ῥᾴδιον καταμαθεῖν· τὰ μὲν γὰρ τῶν ἀνδρῶν εὐπαγῆ καὶ εὔτονα πόνοις καὶ κινήσεσι καὶ ὑπαιθρίῳ διαίτῃ γεγυμνασμένα, τὰ δὲ ἔκλυτα καὶ ἀσυμπαγῆ, ἐσκιατροφημένα καὶ λευκὰ αἵματος ἐνδείᾳ καὶ θερμοῦ ἀπορίᾳ καὶ ὑγροῦ ἐπιρροίᾳ· εὐαλωτότερα τοίνυν τῶν ἀνδρείων καὶ ταῖς νόσοις ἐκκείμενα καὶ τὴν ἴασιν οὐ περιμένοντα καὶ μάλιστα πρὸς μανίας εὐχερέστερα· ἅτε γὰρ πολὺ μὲν τὸ ὀργίλον καὶ κοῦφον καὶ ὀξυκίνητον ἔχουσαι, ὀλίγην δὲ τὴν τοῦ σώματος αὐτοῦ δύναμιν, ῥᾳδίως ἐς τὸ πάθος τοῦτο κατολισθάνουσιν.

29. Οὐ δίκαιον τοίνυν παρὰ τῶν ἰατρῶν τὴν ὁμοίαν ἐπ' ἀμφοῖν θεραπείαν ἀπαιτεῖν, εἰδότας ὡς πολὺ τοῦν μέσῳ, βίῳ παντὶ καὶ πράξεσιν ὅλαις καὶ πᾶσιν ἐπιτηδεύμασιν ἐξ ἀρχῆς εὐθὺς κεχωρισμένων. Ὅταν τοίνυν λέγῃς ὅτι μέμηνε, προστίθει καὶ ὅτι γυνὴ οὖσα μέμηνε, καὶ μὴ σύγχει ταῦτα πάντα τῷ τῆς μανίας ὑπάγων ὀνόματι ἑνὶ καὶ τῷ αὐτῷ δοκοῦντι, ἀλλὰ χωρίσας, ὥσπερ ἐστὶ καὶ ἐν τῇ φύσει, τὸ δυνατὸν ἑφ' ἑκάστου σκόπει· καὶ γὰρ ἡμεῖς, ὅπερ ἐν ἀρχῇ τῶν λόγων εἰπὼν μέμνημαι, τοῦτο πρῶτον ἐπισκοποῦμεν, φύσιν σώματος τοῦ νοσοῦντος καὶ κρᾶσιν, καὶ τίνος πλείονος μετέχει, καὶ εἰ θερμότερον ἢ ψυχρότερον, καὶ ἀκμάζον ἢ παρηβηκὸς, καὶ μέγα ἢ μικρὸν, καὶ πιμελὲς ἢ ὀλιγόσαρκον, καὶ πάντα τὰ τοιαῦτα. Καὶ ὅλως ἄν τις αὐτὰ προεξετάσῃ, πάνυ ἀξιόπιστος ἂν εἴη ἀπογιγνώσκων τι ἢ ὑπισχνούμενος.

30. Ἐπεὶ καὶ τῆς μανίας αὐτῆς μυρία εἴδη ἐστὶ καὶ παμπόλλας ἔχει τὰς αἰτίας καὶ οὐδὲ τὰς προσηγορίας αὐτὰς ὁμοίας· οὐ γὰρ ταὐτὸν παρανοεῖν καὶ παραπαίειν καὶ λυττᾶν καὶ μεμηνέναι, ἀλλὰ ταῦτα πάντα τοῦ μᾶλλον ἢ ἧττον ἔχεσθαι τῇ νόσῳ ὀνόματά ἐστιν· αἰτίαι τε τοῖς μὲν ἀνδράσιν ἄλλαι, ταῖς δὲ γυναιξὶν ἕτεραι, καὶ τῶν ἀνδρῶν αὐτῶν τοῖς μὲν νέοις ἄλλαι, τοῖς δὲ γεγηρακόσι διάφοροι, οἷον νέοις μὲν πλῆθος ὡς τὸ πολὺ, γέροντας δὲ καὶ διαβολὴ ἄκαιρος καὶ ὀργὴ ἄλογος πολλάκις κατ' οἰκείων ἐμπεσοῦσα τὸ μὲν πρῶτον διετάραξεν, εἶτα κατ' ὀλίγον ἐς μανίαν περιέτρεψε· γυναικῶν δὲ πολλὰ καθικνεῖται καὶ ῥᾳδίως ἐς τὴν νόσον ἐπάγεται, μάλιστα δὲ μῖσος κατά τινος πολὺ ἢ φθόνος ἐπ' ἐχθρῷ εὐτυχοῦντι ἢ λύπη τις ἢ ὀργή· κατ' ὀλίγον ταῦτα ὑποτυφόμενα καὶ μακρῷ χρόνῳ ἐντρεφόμενα μανίαν ἀποτελεῖ.

31. Τοιαῦτά σοι, ὦ πάτερ, καὶ ἡ γυνὴ πέπονθε καὶ ἴσως τι λελύπηκεν αὐτὴν ἔναγχος· οὐδένα γὰρ ἐκείνη

fructus inde multiplex : aliter autem in monte, et lapidoso tenuique solo; aliter in eo quod solem non habet, aliter ad montis radices, et in universum pro locorum diversitate diversimode. Sic vero etiam morbi, pro locis qui eos susc ipiunt, aut facile augescunt ac nutriuntur, aut minuuntur. Hoc igitur præteriens pater atque universum inexploratum relinquens, postulat furorem omnem, in quocumque sit corpore, similem esse, et parem ejus curationem.

28. Præter hæc vero, quæ sunt ejusmodi, illud etiam facile est ad intelligendum, corpora muliebria plurimum a virilibus distare, tum ad morbi differentiam, tum ad spem vel desperationem curationis. Virorum quippe corpora solida, nervosa, laboribus et motionibus et subdiali victu exercitata : altera vero soluta, mollia, in umbra nutrita, alba sanguinis et caloris defectu et humoris affluentia; magis proinde, quam sunt virilia, obnoxia et exposita morbis, et curationem non sustinentia, et ad furores præsertim magis inclinata. Quum enim multum iracundiæ habeant et levitatis, et valde sint irritabiles, corporis autem parum robusti, facile in hunc morbum labuntur.

29. Injustum ergo fuerit a medicis similem utrorumque curationem poscere, quum sciamus quam multum intersit inter eos qui vita tota et omnibus actionibus et studiis omnibus statim a principio sint separati. Quum ergo dicis eam furere, hoc adde, mulierem furere : neu confunde ista omnia sub furoris nomen cogens, quod unum idemque videtur; sed separa, ut etiam est in natura, ac tum quid in unoquoque fieri possit, considera. Nos etenim, quod initio orationis hujus me dicere memini, primum videmus naturam corporis et temperamentum; et cujus qualitatis plus habeat, et utrum calidius an frigidius, maturæ ætatis an jam inclinatæ, magnum an parvum, pingue an extenuatum, et omnia in eo genere. Et sane si quis ista ante exploraverit, fide omnino dignus fuerit, sive spem superesse neget, sive promittat aliquid.

30. Quandoquidem etiam furoris ipsius sexcentæ sunt species, isque plurimas habet causas, ne appellationibus quidem similes : neque enim idem est desipere, delirare, rabiosum esse, furere; sed hæc omnia vel asperioris vel mitioris morbi nomina sunt. Tum causæ in viris aliæ, aliæ in mulieribus : ipsorumque virorum aliæ in juvenibus, diversæ in senibus; verbi causa, in juvenibus redundantia plerumque; in senibus vero et calumnia intempestiva, et irrationabilis ira, contra familiares sæpe ingruens, primo perturbare solet animum, deinde paullatim in furorem vertere. Mulieres autem multa infestant et facile in hunc morbum conjiciunt, maxime vero odium contra aliquem vehemens, aut invidia adversus inimicum felicem, aut dolor aliquis aut ira : hæc paullatim sub cineribus quasi gliscentia, et alita longo tempore, furorem efficiunt.

31. Talia, pater, uxori quoque tuæ evenerunt, et forte nuper aliquid illam dolore affecit : neminem enim illa ode-

ἐμίσει, πλὴν ἔχεταί γε καὶ οὐκ ἂν ἐκ τῶν παρόντων ὑπ' ἰατροῦ θεραπευθῆναι δύναιτο· ὡς εἴ γε ἄλλος τις ὑπόσχοιτο, εἴ τις ἀπαλλάξειε, μίσει τότε ὡς ἀδικοῦντα ἐμέ. Καὶ μὴν κἀκεῖνο, ὦ πάτερ, οὐκ ἂν ὀκνήσαιμι εἰπεῖν, ὅτι εἰ καὶ μὴ τελέως οὕτως ἀπέγνωστο, ἀλλά τις ἔτι σωτηρίας ἐλπὶς ὑπεφαίνετο, οὐκ ἂν οὐδὲ οὕτω ῥᾳδίως προσηψάμην οὐδ' αὖ προχείρως φάρμακον ἐγχέαι ἐτόλμησα δεδιὼς τὴν τύχην καὶ τὴν παρὰ τῶν πολλῶν δυσφημίαν. Ὁρᾷς ὡς οἴονται πάντες εἶναί τι μῖσος πρὸς τοὺς προγόνους πάσαις μητρυιαῖς, κἂν ὦσι χρησταὶ, καί τινα κοινὴν μανίαν ταύτην γυναικείαν αὐτὰς μεμηνέναι; Τάχ' ἂν οὖν τις ὑπώπτευσεν, ἄλλως χωρήσαντος τοῦ κακοῦ καὶ τῶν φαρμάκων οὐ δυνηθέντων, κακοήθη καὶ δολερὰν τὴν θεραπείαν γεγονέναι.

32. Καὶ τὰ μὲν τῆς γυναικὸς, ὦ πάτερ, οὕτως ἔχει, καὶ πάνυ σοι τετηρηκὼς λέγω· οὔ ποτε ῥᾷον ἕξει, κἂν μυριάκις πίῃ τοῦ φαρμάκου· διὰ τοῦτ' ἐπιχειρεῖν οὐκ ἄξιον, εἰ μὴ πρὸς μόνον τὸ ἀποτυχεῖν με κατεπείγεις καὶ κακοδοξίᾳ περιβαλεῖν θέλεις. Ἔασον ὑπὸ τῶν ὁμοτέχνων φθονεῖσθαι. Ἐὰν δέ με ἀποκηρύξῃς πάλιν, ἐγὼ μὲν καίτοι πάντων ἔρημος γενόμενος οὐδὲν κατὰ σοῦ δεινὸν εὔξομαι. Τί δ' ἂν, ὅπερ μὴ γένοιτο, αὖθις ἡ νόσος ἐπανέλθῃ; — φιλεῖ γάρ πως τὰ τοιαῦτα ἐρεθιζόμενα παλινδρομεῖν — τί με πρᾶξαι δεήσει; θεραπεύσω μὲν εὖ ἴσθι καὶ τότε καὶ οὔ ποτε λείψω τὴν τάξιν, ἣν τοὺς παῖδας ἔταξεν ἡ φύσις, οὐδὲ τοῦ γένους τὸ ἐπ' ἐμαυτῷ ἐπιλήσομαι. Εἶτ' ἂν σωφρονήσῃς, αὖθις ἀναλαμβάνειν πώποτε πιστεῦσαί με δεῖ; Ὁρᾷς; ἤδη καὶ ταῦτα ποιῶν ἐπισπᾷ τὴν νόσον καὶ ὑπομιμνήσκεις τὸ πάθος. Χθὲς καὶ πρώην ἐκ τηλικούτων κακῶν ἀνασφήλας διατείνῃ καὶ βοᾷς καὶ τὸ μέγιστον, ὀργίζῃ καὶ πρὸς μῖσος τρέπῃ καὶ τοὺς νόμους ἀνακαλεῖς. Οἴμοι, πάτερ, ταῦτ' ἦν σου καὶ τῆς πάλαι μανίας τὰ προοίμια.

rat : veruntamen tenetur, neque, ut nunc sunt res, medici opera potest sanari. Quare si quis alius susceperit, si quis liberaverit eam, tum odio me, tanquam injuriæ auctorem, persequere. Quin illud quoque, pater, non pigebit dixisse : etiam si non ita plane desperata res esset, sed aliqua adhuc salutis spes affulgeret, ne sic quidem ita facile attingerem, nec promte medicamentum auderem infundere, fortunam, veritus et imminentem a multis infamiam. Vides ut omnes arbitrentur esse quoddam in privignos odium novercis omnibus, quantumvis bonæ sint, et communem quemdam muliebrem furorem omnes furere? Facile igitur aliquis, si secus malum eveniat, nec potentia satis sint medicamenta, suspicetur malignam et subdolam curationem fuisse.

32. Ita se habent, pater, res uxoris tuæ; et post acriter institutam observationem tibi dico : nunquam illa habebit mollius, si decies millies de medicina biberit; propterea conari non est operæ pretium, nisi me ad hoc solum urges, uti excidam conatu, et infamiam vis mihi contrahere. Patere ut invideant mihi artis æmuli. Si vero denuo me abdicaveris, nihil equidem, licet desertus ab omnibus, malum tibi imprecabor. Quid si vero, quod abominor, redeat morbus? solent enim quodammodo talia, si irritentur, recurrere : quid tum mihi faciendum erit? Curabo quidem tunc etiam, bene noveris, et stationem, in qua collocavit natura liberos, nunquam deseram, neque unquam generis mei obliviscar. Deinde ubi resipueris, an rursus aliquando te recepturum me credendum est? Viden'? jam dum ista facis, arcessis morbum, et malum quasi admones. Heri et nudiustertius e tantis malis recreatus contendis, et clamas, et, quod maximum, irasceris, et ad odium verteris, et leges iterum advocas. Hei mihi! pater, talia erant etiam superioris furoris tui exordia!

XXX.

ΦΑΛΑΡΙΣ ΠΡΩΤΟΣ.

1. Ἔπεμψεν ἡμᾶς, ὦ Δελφοὶ, ὁ ἡμέτερος δυνάστης Φάλαρις ἄξοντας τῷ θεῷ τὸν ταῦρον τοῦτον καὶ ὑμῖν διαλεξομένους τὰ εἰκότα ὑπέρ τε αὐτοῦ ἐκείνου καὶ τοῦ ἀναθήματος. Ὧν μὲν οὖν ἕνεκα ἥκομεν, ταῦτά ἐστιν· ἃ δέ γε πρὸς ὑμᾶς ἐπέστειλεν, ταῦτα· Ἐγὼ, φησὶν, ὦ Δελφοὶ, καὶ παρὰ πᾶσι μὲν τοῖς Ἕλλησι τοιοῦτος ὑπολαμβάνεσθαι ὁποῖός εἰμι, ἀλλὰ μὴ ὁποῖον ἡ παρὰ τῶν μισούντων καὶ φθονούντων φήμη ταῖς τῶν ἀγνοούντων ἀκοαῖς παραδέδωκεν, ἀντὶ τῶν πάντων ἀλλαξαίμην ἄν, μάλιστα δὲ παρ' ὑμῖν, ὅσῳ ἱεροί τέ ἐστε καὶ πάρεδροι τοῦ Πυθίου καὶ μόνον οὐ σύνοικοι καὶ ὁμωρόφιοι τοῦ θεοῦ. Ἡγοῦμαι γὰρ, εἰ ὑμῖν ἀπολογησαίμην καὶ πείσαιμι μάτην ὡμὸς ὑπειλῆφθαι, καὶ τοῖς ἄλλοις ἅπασι δι' ὑμῶν ἀπολελογημένος ἔσεσθαι. Καλῶ δὲ ὧν ἐρῶ τὸν θεὸν αὐτὸν μάρτυρα, ὃν οὐκ ἔνι δή που παραλογί-

XXX.

PHALARIS PRIOR.

1. Misit nos, Delphi, dynasta noster Phalaris, qui ferremus deo taurum hunc, et apud vos, quæ opportuna viderentur, de ipso pariter ac de munere dissereremus. Cujus igitur rei gratia venimus, hæc est : quæ autem vobis nunciari jussit, ista : Equidem, inquit, Delphi, quum apud omnes Græcos talis haberi qualis sum, non qualem orta ab inimicis et invidis fama ignorantium auribus tradidit, rebus omnibus redemerim, tum inprimis apud vos, quoniam et sacrosancti estis, et accolæ Pythii, et tantum non contubernales sub eodem tecto dei. Arbitror enim, si probare vobis causam possim, et persuadere, temere crudelem me putari, etiam reliquis omnibus per vos me fore purgatum. Advoco autem eorum quæ dicam testem ipsum deum, qui non potest nimirum arguto sermone falli, vel mendaci ora-

σασθαι καὶ ψεύδεῖ λόγῳ παραγαγεῖν· ἀνθρώπους μὲν γὰρ ἴσως ἐξαπατῆσαι ῥᾴδιον, θεὸν δὲ, καὶ μάλιστα τοιοῦτον, διαλαθεῖν ἀδύνατον.

2. Ἐγὼ γὰρ οὐ τῶν ἀφανῶν ἐν Ἀκράγαντι ὢν, ἀλλ' εἰ καί τις ἄλλος εὖ γεγονὼς καὶ τραφεὶς ἐλευθερίως καὶ παιδείᾳ προσεσχηκὼς, ἀεὶ διετέλουν τῇ μὲν πόλει δημοτικὸν ἐμαυτὸν παρέχων, τοῖς δὲ συμπολιτευομένοις ἐπιεικῆ καὶ μέτριον, βίαιον δὲ ἢ σκαιὸν ἢ ὑβριστικὸν ἢ αὐθέκαστον οὐδεὶς οὐδὲν ἐπεκάλει μου τῷ προτέρῳ ἐκείνῳ βίῳ. Ἐπειδὴ δὲ ἑώρων τοὺς τἀναντία μοι πολιτευομένους ἐπιβουλεύοντας καὶ ἐξ ἅπαντος τρόπου ἀνελεῖν με ζητοῦντας — διῄρητο δὲ ἡμῶν τότε ἡ πόλις — μίαν ταύτην ἀποφυγὴν καὶ ἀσφάλειαν εὕρισκον, τὴν αὐτὴν ἅμα καὶ τῇ πόλει σωτηρίαν, εἰ ἐπιθέμενος τῇ ἀρχῇ ἐκείνους μὲν ἀναστείλαιμι καὶ παύσαιμι ἐπιβουλεύοντας, τὴν πόλιν δὲ σωφρονεῖν καταναγκάσαιμι· καὶ ἦσαν γὰρ οὐκ ὀλίγοι ταῦτ' ἐπαινοῦντες, ἄνδρες μέτριοι καὶ φιλοπόλιδες, οἳ καὶ τὴν γνώμην ἤδεσαν τὴν ἐμὴν καὶ τῆς ἐπιχειρήσεως τὴν ἀνάγκην. Τούτοις συναγωνισταῖς χρησάμενος ῥᾳδίως ἐκράτησα τῆς ἐπιχειρήσεως.

3. Τοὐντεῦθεν οἱ μὲν οὐκέτι ἐτάραττον, ἀλλ' ὑπήκουον, ἐγὼ δὲ ἦρχον, ἡ πόλις δὲ ἀστασίαστος ἦν. Σφαγὰς δὲ ἢ ἐλάσεις ἢ δημεύσεις οὐδὲ κατὰ τῶν ἐπιβεβουλευκότων εἰργαζόμην, καίτοι ἀναγκαῖον τὰ τοιαῦτα τολμᾶν ἐν ἀρχῇ τῆς δυναστείας μάλιστα· φιλανθρωπίᾳ γὰρ καὶ πραότητι καὶ τῷ ἡμέρῳ κάξ ἰσοτιμίας θαυμασίως ἐγὼ ἤλπιζον ἐς τὸ πείθεσθαι προσάξεσθαι τούτους. Εὐθὺς γοῦν τοῖς μὲν ἐχθροῖς ἐσπείσμην καὶ διηλλάγμην, καὶ συμβούλοις καὶ συνεστίοις ἐχρώμην τοῖς πλείστοις αὐτῶν. Τὴν δὲ πόλιν αὐτὴν ὁρῶν ὀλιγωρίᾳ τῶν προεστώτων διεφθαρμένην, τῶν πολλῶν κλεπτόντων, μᾶλλον δὲ ἁρπαζόντων τὰ κοινὰ, ὑδάτων τε ἐπιρροίαις ἀνεκτησάμην καὶ οἰκοδομημάτων ἀναστάσεσιν ἐκόσμησα καὶ τειχῶν περιβολῇ ἐκράτυνα καὶ τὰς προσόδους, ὅσαι ἦσαν κοιναὶ, τῇ τῶν ἐφεστώτων ἐπιμελείᾳ ῥᾳδίως ἐπηύξησα καὶ τῆς νεολαίας ἐπεμελούμην καὶ τῶν γερόντων προὐνόουν καὶ τὸν δῆμον ἐν θέαις καὶ διανομαῖς καὶ πανηγύρεσι καὶ δημοθοινίαις διῆγον, ὕβρεις δὲ παρθένων ἢ ἐφήβων διαφθοραὶ ἢ γυναικῶν ἀπαγωγαὶ ἢ δορυφόρων ἐπιπέμψεις ἢ δεσποτική τις ἀπειλὴ ἀποτρόπαιά μοι καὶ ἀκοῦσαι ἦν.

4. Ἤδη δὲ καὶ περὶ τοῦ ἀφεῖναι τὴν ἀρχὴν καὶ καταθέσθαι τὴν δυναστείαν ἐσκοπούμην, ὅπως μόνον ἀσφαλῶς παύσαιτο ἄν τις ἐννοῶν, ἐπεὶ τό γε ἄρχειν αὐτὸ καὶ πάντα πράττειν ἐπαχθὲς ἤδη καὶ σὺν φθόνῳ καματηρὸν ἐδόκει μοι εἶναι· τὸ δ' ὅπως μηκέτι τοιαύτης τινὸς θεραπείας δεήσεται ἡ πόλις, τοῦτ' ἐζήτουν ἔτι. Κἀγὼ μὲν ὁ ἀρχαῖος περὶ ταῦτα εἶχον, οἱ δὲ ἤδη τε συνίσταντο ἐπ' ἐμὲ καὶ περὶ τοῦ τρόπου τῆς ἐπιβουλῆς καὶ ἀποστάσεως ἐσκοποῦντο καὶ συνωμοσίας συνεκρότουν καὶ ὅπλα ἠθροιζον καὶ χρήματα ἐπορίζοντο καὶ τοὺς ἀστυγείτονας ἐπεκαλοῦντο καὶ εἰς τὴν Ἑλλάδα παρὰ Λακεδαιμονίους καὶ Ἀθηναίους ἐπρεσβεύοντο·

tione circumveniri : homines enim fallere facile fortasse fuerit, deum autem, præsertim hunc, ut quis lateat, fieri non potest.

2. Ego enim non ignobilium Agrigenti unus, sed si quis alius bene natus, et educatus liberaliter, studiisque doctrinæ qui animum applicuerim, semper popularem me in civitate præstiti, iisque, qui mecum in republica versarentur, æquum et moderatum : vim autem a me factam, aut sinisteritatem, aut superbam contumeliam, aut nimiam pertinaciam ad suum omnia arbitrium referentem, nemo unquam in priori illa vita mea accusavit. Quum vero viderem adversarios in rebus publicis agendis meos insidias mihi struere et omni modo necem meam quærere (dissidiis autem tum nostra vexabatur civitas), solum illud perfugium et securitatem inveni, eandemque simul salutem civitatis, si vindicato mihi imperio, tum illos compescerem et reprimerem insidiatores, tum civitatem sana sequi consilia cogerem. Erant etenim non pauci qui ista laudarent, viri moderati et civitatis amantes, qui et consilium scirent meum et conatus illius necessitatem. Hisce adjutoribus usus, facile cogita perfeci.

3. Ab eo inde tempore nihil illi amplius turbare, sed obsequi; imperium vero ego tenere, civitas ipsa seditionibus esse libera. Cædes autem aut exilia, aut publicationes bonorum, ne contra eos quidem, qui insidiati mihi fuerant, exercebam, quanquam necessarium est talia audere, in principio potestatis maxime. Humanitate enim, et mansuetudine, et miti atque civili ratione eos tractandi, mirifice sperabam ad obsequium illos me redacturum. Quare celeriter induciis et pace facta conciliatus sum hostibus, et consilio atque convictu plerorumque utebar. Urbem porro ipsam videns magistratuum negligentia perditam, quum vulgo homines furtis, vel rapinis potius, rem publicam vastarent, hinc aquæductibus recreavi, hinc ædificiis excitatis ornavi, hinc mœnibus circumpositis munivi, publicosque reditus eorum, quos præfeci, cura auxi facile, et juventutis curam suscepi, et prospiciebam senibus, et populum spectaculis, congiariis, diebus festis et epulis publicis delinebam : virginum vero contumeliæ, aut corruptiones adolescentum, aut conjuges perductæ, aut immissi satellites, aut heriles minæ, res erant auditu etiam mihi abominabiles.

4. Jamque de dimittendo imperio, de potestate deponenda cogitabam, illud solum deliberans, quomodo secure hoc facere quis posset; quum ipsum imperare et agere omnia jam molestum mihi et cum invidia laboriosum videretur : hoc adhuc quærebam, quomodo eo adduci res posset, ut tali quadam curatione non amplius indigeret civitas. Atque ego, antiquæ nimium simplicitatis homo, hæc agitabam : at illi jam contra me consurgere, ac de insidiarum defectionisque ratione dispicere, et comparare conjuratos, et arma congerere, et conferre pecunias, et vicinos advocare, et in Græciam ad Spartanos Atheniensesque legatos

ἃ μὲν γὰρ περὶ ἐμοῦ αὐτοῦ, εἰ ληφθείην, ἐδέδοκτο ἤδη αὐτοῖς καὶ ὅπως με αὐτοχειρίᾳ διασπάσασθαι ἠπείλουν καὶ ἃς κολάσεις ἐπενόουν, δημοσίᾳ στρεβλούμενοι ἐξεῖπον. Τοῦ μὲν δὴ μηδὲν παθεῖν τοιοῦτον οἱ θεοὶ αἴτιοι φωράσαντες τὴν ἐπιβουλὴν, καὶ μάλιστά γε ὁ Πύθιος ὀνείρατά τε προδείξας καὶ τοὺς μηνύσοντας ἕκαστα ἐπιπέμπων.

5. Ἐγὼ δὲ ἐνταῦθα ἤδη ὑμᾶς, ὦ Δελφοὶ, ἐπὶ τοῦ αὐτοῦ δέους νῦν τῷ λογισμῷ γενομένους ἀξιῶ περὶ τῶν τότε πρακτέων μοι συμβουλεῦσαι, ὅτε ἀφύλακτος ὀλίγου δεῖν ληφθεὶς ἐζήτουν τινὰ σωτηρίαν περὶ τῶν παρόντων. Πρὸς ὀλίγον οὖν τῇ γνώμῃ ἐς Ἀκράγαντα παρ' ἐμὲ ἀποδημήσαντες καὶ ἰδόντες τὰς παρασκευὰς αὐτῶν καὶ τὰς ἀπειλὰς ἀκούσαντες εἴπατε τί δεῖ ποιεῖν; φιλανθρωπίᾳ χρῆσθαι πρὸς αὐτοὺς ἔτι καὶ φείδεσθαι καὶ ἀνέχεσθαι ὅσον αὐτίκα μελλήσοντα πείσεσθαι τὰ ὕστατα; μᾶλλον δὲ γυμνὴν ἤδη ὑπέχειν τὴν σφαγὴν καὶ τὰ φίλτατα ἐν ὀφθαλμοῖς ὁρᾶν ἀπολλύμενα, ἢ τὰ μὲν τοιαῦτα πάνυ ἠλιθίου τινὸς εἶναι, γενναῖα δὲ καὶ ἀνδρώδη διανοηθέντα καὶ χολὴν ἔμφρονος καὶ ἠδικημένου ἀναλαβόντα μετελθεῖν ἐκείνους, ἐμαυτῷ δ' ἐκ τῶν ἰόντων τὴν ἐς τὸ ἐπιὸν ἀσφάλειαν παρασχεῖν; ταῦτ' οἶδ' ὅτι συνεβουλεύσατε ἄν.

6. Τί οὖν ἐγὼ μετὰ τοῦτο ἐποίησα; μεταστειλάμενος τοὺς αἰτίους καὶ λόγου μεταδοὺς αὐτοῖς καὶ τοὺς ἐλέγχους παραγαγὼν καὶ σαφῶς ἐξελέγξας ἕκαστα, ἐκεῖ μηδ' αὐτοὶ ἔτι ἔχαρνοι ἦσαν, ἠμυνόμην ἀγανακτῶν τὸ πλέον οὐχ ὅτι ἐπεβεβουλεύμην, ἀλλ' ὅτι μὴ εἰάθην ὑπ' αὐτῶν ἐν ἐκείνῃ τῇ προαιρέσει μεῖναι, ἣν ἐξ ἀρχῆς ἐνεστησάμην. Καὶ τὸ ἀπ' ἐκείνου φυλάττων μὲν ἐμαυτὸν διατελῶ, ἐκείνων δὲ τοὺς ἀεὶ ἐπιβουλεύοντάς μοι κολάζων. Εἶθ' οἱ ἄνθρωποι ἐμὲ τῆς ὠμότητος αἰτιῶνται οὐκέτι λογιζόμενοι παρὰ ποτέρου ἡμῶν ἦν ἡ πρώτη τούτων ἀρχὴ, συνελόντες δὲ τὰν μέσῳ καὶ ἐφ' οἷς ἐκολάζοντο τὰς τιμωρίας αὐτὰς ἠτιῶντο καὶ τὰς δοκούσας ἐν αὐταῖς ὠμότητας, ὅμοιον ὡς εἴ τις παρ' ὑμῖν ἱερόσυλόν τινα ἰδὼν ἀπὸ τῆς πέτρας ῥιπτόμενον ἃ μὲν ἐτόλμησε μὴ λογίζοιτο, ὡς νύκτωρ ἐς τὸ ἱερὸν παρῆλθε καὶ κατέσπασε τὰ ἀναθήματα καὶ τοῦ ξοάνου ἥψατο, κατηγοροίη δὲ ὑμῶν πολλὴν τὴν ἀγριότητα, ὅτι Ἕλληνές τε καὶ ἱεροὶ εἶναι λέγοντες ὑπεμείνατε ἄνθρωπον Ἕλληνα πλησίον τοῦ ἱεροῦ — καὶ γὰρ οὐ πάνυ πόρρω τῆς πόλεως εἶναι λέγεται ἡ πέτρα — κολάσει τοιαύτῃ περιβαλεῖν. Ἀλλ', οἶμαι, αὐτοί τε καταγελάσεσθε, ἢν ταῦτα λέγῃ τις καθ' ὑμῶν, καὶ οἱ ἄλλοι πάντες ἐπαινέσονται ὑμῶν τὴν κατὰ τῶν ἀσεβούντων ὠμότητα.

7. Τὸ δ' ὅλον οἱ δῆμοι οὐκ ἐξετάζοντες ὁποῖός τις ὁ τοῖς πράγμασιν ἐφεστώς ἐστιν, εἴτε δίκαιος εἴτ' ἄδικος, ἁπλῶς αὐτὸ τὸ τῆς τυραννίδος ὄνομα μισοῦσι καὶ τὸν τύραννον, κἂν Αἰακὸς ἢ Μίνως ἢ Ῥαδάμανθυς ᾖ, ὁμοίως ἐξ ἅπαντος ἀνελεῖν σπεύδουσι, τοὺς μὲν πονηροὺς αὐτῶν πρὸ ὀφθαλμῶν τιθέμενοι, τοὺς δὲ χρηστοὺς τῇ κοινωνίᾳ τῆς προσηγορίας τῷ ὁμοίῳ μίσει

mittere : nam quæ de me ipso, si caperer, jam decreta ipsis essent, et ut suis me manibus discerpere minarentur, quasque pœnas excogitarent, in publica tormentorum quæstione fassi sunt. Quod quidem nihil tale passus sum, dii causa fuerunt deprehendentes insidias, et inprimis quidem Pythius, qui somnia mihi ante ostenderet et indices omnium ad me mitteret.

5. Jam hic ego vos, Delphi, rogo ut in eodem metu animis et cogitatione constituti, ipsi consulatis quid mihi tum faciendum fuerit, quum tantum non per imprudentiam meam captus, salutis aliquam in re præsenti viam quærerem. Parumper igitur animis Agrigentum ad me peregrinati, conspectis illorum apparatibus, minis illorum auditis, dicite mihi quid agendum sit? utrum humanitate porro in illos uti me vultis, et parcere, et tolerare, jam statim ultima ab illis subiturum? aut potius nudum jam jugulum præbere, et præ oculis interire videre quæ mihi sunt carissima? an ista quidem plane stupidi hominis esse censetis, meque fortiter viriliterque cogitantem, ac bile viri prudentis atque injuria læsi assumta, illos ulcisci, mihique pro præsenti facultate futuri temporis securitatem præstare? Hæc, novi ego, mihi consuleretis.

6. Quid igitur post ea feci? Arcessitos noxios, et causæ dicendæ copia illis facta, prolatis argumentis, plane de singulis convictos, quandoquidem nec ipsi amplius negabant, ultus sum, ægerrime ferens, non quod factæ mihi essent insidiæ, sed quod mihi per illos integrum non esset in illa ratione permanere, quam initio institueram. Atque ab eo inde tempore ita vivo, ut me custodiam, illorum vero ex numero eos, quos deprehendo mihi insidiantes, puniam. Deinde crudelitatis me accusant homines, non cogitantes illud, ab utro nostrûm prima horum origo sit. Nimirum omissis iis quæ erant in medio, et propter quæ puniebantur, pœnas accusabant ipsas, et quæ viderentur in illis exerceri crudelitates : perinde ac si quis apud vos sacrilegum de rupe videns præcipitari, quæ ille designarit, non cogitet, ut noctu in templum intraverit ac donaria detraxerit signumque ipsum contrectarit; sed multam vestram feritatem accuset, qui Græcos vos et sanctos homines quum dicatis, sustinueritis tamen Græcum hominem prope templum (etenim non procul ab urbe dicitur esse rupes illa) tali supplicio afficere. Sed ipsi, puto, ridebitis, si quis talia contra vos dicat, et reliqui omnes laudabunt vestram in impios crudelitatem.

7. In universum populi, non explorato qualis sit qui rebus præest, justusne an injustus, ipsum simpliciter nomen tyrannidis odio habent; et tyrannum, etsi Æacus, aut Minos, aut Rhadamanthus fuerit, similiter universe student tollere, dum malos eorum ob oculos sibi ponunt, bonos autem, ob communionem nominis, odio simili complectuntur.

συμπεριλαμβάνοντες. Ἔγωγ' οὖν ἀκούω καὶ παρ' ὑμῖν τοῖς Ἕλλησι πολλοὺς γενέσθαι τυράννους σοφοὺς ὑπὸ φαύλῳ ὀνόματι δοκοῦντι χρηστὸν καὶ ἥμερον ἦθος ἐπιδεδειγμένους, ὧν ἐνίων καὶ λόγους εἶναι βραχεῖς ἐν τῷ ἱερῷ ὑμῶν ἀποκειμένους, ἀγάλματα καὶ ἀναθήματα τῷ Πυθίῳ.

Equidem audio apud vos etiam Græcos multos tyrannos fuisse sapientes, sub malæ existimationis nomine mansuetum et placidum ostendentes ingenium; et quorundam adeo ex illo numero brevia dicta in vestro templo reposita, quasi ornamenta et donaria Pythio.

8. Ὁρᾶτε δὲ καὶ τοὺς νομοθέτας τῷ κολαστικῷ εἶδει τὸ πλέον νέμοντας, ὡς τῶν γε ἄλλων οὐδὲν ὄφελος, εἰ μὴ ὁ φόβος προσείη καὶ ἐλπὶς τῆς κολάσεως. Ἡμῖν δὲ τοῦτο πολλῷ ἀναγκαιότερον τοῖς τυράννοις, ὅσῳ πρὸς ἀνάγκην ἐξηγούμεθα καὶ μισοῦσί τε ἅμα καὶ ἐπιβουλεύουσιν ἀνθρώποις σύνεσμεν, ὅπου μηδὲ τῶν μορμολυκείων ὄφελός τι ἡμῖν γίγνεται, ἀλλὰ τῷ περὶ τῆς Ὕδρας μύθῳ τὸ πρᾶγμα ἔοικεν· ὅσῳ γὰρ ἂν ἐκκόπτωμεν, τοσῷδε πλείους ἡμῖν ἀναφύονται τοῦ κολάζειν ἀφορμαί. Φέρειν δ' ἀνάγκη καὶ τὸ ἀναφυόμενον ἐκκόπτειν ἀεὶ καὶ ἐπικάειν νὴ Δία κατὰ τὸν Ἰόλεων, εἰ μέλλοιμεν ἐπικρατήσειν· τὸν γὰρ ἅπαξ εἰς τὰ τοιαῦτα ἐμπεσεῖν ἠναγκασμένον ὅμοιον χρὴ τῇ ὑποθέσει καὶ αὐτὸν εἶναι, ἢ φειδόμενον τῶν πλησίον ἀπολωλέναι. Ὅλως δὲ, τίνα οἴεσθε οὕτως ἄγριον ἢ ἀνήμερον ἄνθρωπον εἶναι ὡς ἥδεσθαι μαστιγοῦντα καὶ οἰμωγῶν ἀκούοντα καὶ σφαττομένους ὁρῶντα, εἰ μὴ ἔχοι τινὰ μεγάλην τοῦ κολάζειν αἰτίαν; Ποσάκις γοῦν ἐδάκρυσα μαστιγουμένων ἄλλων, ποσάκις δὲ θρηνεῖν καὶ ὀδύρεσθαι τὴν ἐμαυτοῦ τύχην ἀναγκάζομαι μείζω κόλασιν αὐτὸς καὶ χρονιωτέραν ὑπομένων; ἀνδρὶ γὰρ φύσει μὲν ἀγαθῷ, διὰ δ' ἀνάγκην πικρῷ πολὺ τοῦ κολάζεσθαι τὸ κολάζειν χαλεπώτερον.

8. Videtis legislatores etiam pœnali sanctioni plurimum tribuere, quasi reliquorum nullus sit usus, nisi metus adsit et exspectatio pœnæ. Nobis vero tyrannis multo magis illud necessarium est, in quantum invitis imperamus, et cum hominibus versamur qui odio nos habent et insidiis appetunt, ubi larvatis terriculamentis nihil proficimus, sed Hydræ fabulam res refert: quo plures enim exciderimus, tanto plures subnascuntur puniendi occasiones. Auferre autem oportet quod subnascitur, et excidere semper, et urere hercle Iolai instar, vincere si velimus. Eum enim qui semel in hanc vitam incidere coactus est, oportet aut similem esse argumento quod agendum suscepit, aut, dum aliis parcit, perire ipsum. Quem vero omnino putatis hominem ferum adeo et immitem esse, qui delectetur flagellandis aliis, et ploratu illorum audiendo, et spectandis cædibus, nisi magnam aliquam habeat puniendi causam? Quoties ego, dum flagellis alii cæderentur, illacrimavi! quoties deplorare lamentarique meam fortunam cogor, majorem ipse et longiorem pœnam sustinens! Viro enim natura bono, sed quem acerbum esse cogat necessitas, punire multo quam puniri difficilius est.

9. Εἰ δὲ δεῖ μετὰ παρρησίας εἰπεῖν, ἐγὼ μέν, εἰ αἵρεσίς μοι προτεθείη, πότερα βούλομαι κολάζειν τινὰς ἀδίκως ἢ αὐτὸς ἀποθανεῖν, εὖ ἴστε ὡς οὐδὲν μελλήσας ἑλοίμην ἂν τεθνάναι μᾶλλον ἢ μηδὲν ἀδικοῦντας κολάζειν. Εἰ δέ τις φαίη, Βούλει, ὦ Φάλαρι, τεθνάναι αὐτὸς ἀδίκως ἢ δικαίως κολάζειν τοὺς ἐπιβούλους; τοῦτο βουλοίμην ἂν· αὖθις γὰρ ὑμᾶς, ὦ Δελφοὶ, συμβούλους καλῶ πότερον ἄμεινον ἀδίκως ἀποθανεῖν ἢ ἀδίκως σώζειν τὸν ἐπιβεβουλευκότα; οὐδεὶς οὕτως, οἶμαι, ἀνόητός ἐστιν ὃς οὐκ ἂν προτιμήσειε ζῆν μᾶλλον ἢ σώζων τοὺς ἐχθροὺς ἀπολωλέναι. Καίτοι πόσους ἐγὼ καὶ τῶν ἐπιχειρησάντων μοι καὶ φανερῶς ἐληλεγμένων ὅμως ἔσωσα; οἷον Ἄκανθον τουτονὶ καὶ Τιμοκράτην καὶ Λεωγόραν τὸν ἀδελφὸν αὐτοῦ, παλαιᾶς συνηθείας τῆς πρὸς αὐτοὺς μνημονεύσας.

9. Si vero libere dicendum est, equidem, optione proposita, utrum malim injuste quosdam punire, quam ipse mori; scitote me nulla cunctatione interposita mortem potius electurum, quam, qui nihil injuste egerint, punire. Si quis vero dicat, Utrum vis, Phalari, ipse injuste mori, an juste punire insidiatores? hoc sane posterius maluerim. Denuo enim vos, Delphi, in consilium mihi advoco, meliusne sit injuste mori, an injuste servare insidiatorem. Nemo ita, puto, stupidus est, quin vivere potius præferat, quam inimicis servandis ipse perire. Quanquam quot ego eorum etiam, qui insidias mihi struxerant, manifeste licet convictos, tamen servavi! velut Acanthum hunc et Timocratem, et Leogoram illius fratrem, memoria antiquæ cum illis consuetudinis vigente.

10. Ὅταν δὲ βουληθῆτε τοὐμὸν εἰδέναι, τοὺς εἰσφοιτῶντας εἰς Ἀκράγαντα ξένους ἐρωτήσατε ὁποῖός ἐγὼ περὶ αὐτούς εἰμι καὶ εἰ φιλανθρώπως προσφέρομαι τοῖς καταίρουσιν, ὅς γε καὶ σκοποὺς ἐπὶ τῶν λιμένων ἔχω καὶ πευθῆνας, καὶ τίνες καὶ ὅθεν καταπεπλεύκασιν, ὡς κατ' ἀξίαν τιμῶν ἀποπέμποιμι αὐτούς. Ἔνιοι δὲ καὶ ἐξεπίτηδες φοιτῶσι παρ' ἐμὲ, οἱ σοφώτατοι τῶν Ἑλλήνων, καὶ οὐ φεύγουσι τὴν συνουσίαν τὴν ἐμὴν, ὥσπερ ἀμέλει καὶ πρώην ὁ σοφὸς Πυθαγόρας ἦκεν ὡς ἡμᾶς, ἄλλα μὲν ὑπὲρ ἐμοῦ ἀκηκοώς· ἐπεὶ δ' ἐπειράθη,

10. Si vero meam vitæ rationem nosse volueritis, peregrinos Agrigentum venientes interrogate, qualem me illis præbeam et an humane tractem qui eo deferuntur: qui in portibus speculatores habeam et exploraturos qui et unde navibus venerint? ut pro dignitate cujusque honoratos dimittam. Quidam vero etiam dedita opera ad me ventitant, Græcorum sapientissimi, nec consuetudinem meam refugiunt: ut nempe etiam nuper sapiens Pythagoras ad nos venit, qui quum alia de me audisset, experimento facto disce-

ἀπῆλθεν ἐπαινῶν με τῆς δικαιοσύνης καὶ ἐλεῶν τῆς ἀναγκαίας ὠμότητος. Εἶτα οἴεσθε τὸν πρὸς τοὺς ὀθνείους φιλάνθρωπον οὕτως ἀδίκως τοῖς οἰκείοις προσφέρεσθαι, εἰ μή τι διαφερόντως ἠδίκητο;

11. Ταῦτα μὲν οὖν ὑπὲρ ἐμαυτοῦ ἀπολελόγημαι ὑμῖν, ἀληθῆ καὶ δίκαια καὶ ἐπαίνου μᾶλλον, ὡς ἐμαυτὸν πείθω, ἢ μίσους ἄξια. Ὑπὲρ δὲ τοῦ ἀναθήματος καιρὸς ὑμᾶς ἀκοῦσαι ὅθεν καὶ ὅπως τὸν ταῦρον τοῦτον ἐκτησάμην οὐκ ἐκδοὺς αὐτὸς τῷ ἀνδριαντοποιῷ. Μὴ γὰρ οὕτω μανείην, ὡς τοιούτων ἐπιθυμῆσαι κτημάτων. Ἀλλὰ Περίλαος ἦν τις ἡμεδαπὸς, χαλκεὺς μὲν ἀγαθὸς, πονηρὸς δὲ ἄνθρωπος. Οὗτος πάμπολυ τῆς ἐμῆς γνώμης διημαρτηκὼς ᾤετο χαριεῖσθαί μοι, εἰ καινήν τινα κόλασιν ἐπινοήσειεν, ὡς ἐξ ἅπαντος κολάζειν ἐπιθυμοῦντι. Καὶ δὴ κατασκευάσας τὸν βοῦν ἦκέ μοι κομίζων κάλλιστον ἰδεῖν καὶ πρὸς τὸ ἀκριβέστατον εἰκασμένον· κινήσεως γὰρ αὐτῷ καὶ μυκηθμοῦ ἔδει μόνον πρὸς τὸ καὶ ἔμψυχον εἶναι δοκεῖν. Ἰδὼν δὲ ἀνέκραγον εὐθὺς, ἄξιον τὸ κτῆμα τοῦ Πυθίου, πεμπτέος ὁ ταῦρος τῷ θεῷ. Ὁ δὲ Περίλαος παρεστὼς, Τί δ' εἰ μάθοις, ἔφη, τὴν σοφίαν τὴν ἐν αὐτῷ καὶ τὴν χρείαν ἣν παρέχεται; καὶ ἀνοίξας ἅμα τὸν ταῦρον κατὰ τὰ νῶτα, Ἤν τινα, ἔφη, κολάζειν ἐθέλῃς, ἐμβιβάσας ἐς τὸ μηχάνημα τοῦτο καὶ κατακλείσας προστιθέναι μὲν τοὺς αὐλοὺς τούσδε πρὸς τοὺς μυξωτῆρας τοῦ βοὸς, πῦρ δ' ὑποκάειν κελεύειν, καὶ ὁ μὲν οἰμώξεται καὶ βοήσεται ἀληκτοις ταῖς ὀδύναις ἐχόμενος, ἡ βοὴ δὲ διὰ τῶν αὐλῶν μέλη σοι ἀποτελέσει οἷα λιγυρώτατα καὶ ἐπαυλήσει θρηνῳδες καὶ μυκήσεται γοερώτατον, ὡς τὸν μὲν κολάζεσθαι, σὲ δὲ τέρπεσθαι μεταξὺ καταυλούμενον.

12. Ἐγὼ δὲ ὡς τοῦτ' ἤκουσα, ἐμυσάχθην τὴν κακομηχανίαν τοῦ ἀνδρὸς καὶ τὴν ἐπίνοιαν ἐμίσησα τοῦ κατασκευάσματος καὶ οἰκείαν αὐτῷ τιμωρίαν ἐπέθηκα· καὶ, Ἄγε δὴ, ἔφην, ὦ Περίλαε, εἰ μὴ κενὴ ἄλλως ὑπόσχεσις ταῦτά ἐστι, δεῖξον ἡμῖν αὐτὸς εἰσελθὼν τὴν ἀλήθειαν τῆς τέχνης καὶ μίμησαι τοὺς βοῶντας, ἵν' εἰδῶμεν εἰ καὶ ἃ φῂς μέλη διὰ τῶν αὐλῶν φθέγγεται. Πείθεται μὲν ταῦτα ὁ Περίλαος, ἐγὼ δὲ, ἐπεὶ ἔνδον ἦν, κατακλείσας αὐτὸν πῦρ ὑφάπτειν ἐκέλευον, Ἀπολάμβανε, εἰπὼν, τὸν ἄξιον μισθὸν τῆς θαυμαστῆς σου τέχνης, ἵν' ὁ διδάσκαλος τῆς μουσικῆς αὐτὸς πρῶτος αὐλῇς. Καὶ ὁ μὲν δίκαια ἔπασχεν ἀπολαύων τῆς αὐτοῦ εὐμηχανίας· ἐγὼ δὲ ἔτι ἔμπνουν καὶ ζῶντα τὸν ἄνδρα ἐξαιρεθῆναι κελεύσας, ὡς μὴ μιάνειε τὸ ἔργον ἐναποθανὼν, ἐκεῖνον μὲν ἄταφον κατὰ κρημνῶν ῥίπτειν ἐκέλευσα, καθήρας δὲ τὸν βοῦν ἀπέπεμψα ὑμῖν ἀνατεθησόμενον τῷ θεῷ καὶ ἐπιγράψαι γε ἐπ' αὐτῷ ἐκέλευσα τὴν πᾶσαν διήγησιν, τοῦ ἀνατιθέντος ἐμοῦ τοὔνομα, τὸν τεχνίτην τὸν Περίλαον, τὴν ἐπίνοιαν τὴν ἐκείνου, τὴν δικαιοσύνην τὴν ἐμὴν, τὴν πρέπουσαν τιμωρίαν, τὰ τοῦ σοφοῦ χαλκέως μέλη, τὴν πρώτην πεῖραν τῆς μουσικῆς.

13. Ὑμεῖς δὲ, ὦ Δελφοὶ, δίκαια ποιήσετε θύσαντες μὲν ὑπὲρ ἐμοῦ μετὰ τῶν πρέσβεων, ἀναθέντες δὲ τὸν

sit meam laudans justitiam, et necessitate extortæ misertus crudelitatis. Deinde num putatis hominem in peregrinos adeo humanum, injuste tractaturum suos, nisi insigni affectum injuria?

11. Atque hæc quidem pro me dixi, vera, justa, laude potius, ut mihi persuadeo, quam odio digna. Jam de donario vos audire tempus est, unde et quomodo dominus hujus tauri factus sim, quem ipse non locaverim statuario. Absit enim a me ille furor, ut tale quid possidere cupiam. Sed fuit Perilaus aliquis nostras, faber bonus, sed homo idem pessimus. Hic multum a conjectando animo meo aberrans, gratum se mihi facturum rebatur, tanquam universe pœnis gaudenti, si novam quandam pœnam excogitasset. Fabrefactum igitur bovem mihi attulit, pulcherrima specie, et ad exactissimam similitudinem elaboratum : solo enim motu et mugitu deficiebatur, quominus animatus esse videretur. Ad primum autem conspectum statim exclamavi, Dignum opus quod habeat Pythius : mittendus hic taurus deo. Astans autem Perilaus, Quid si, inquit, noris artem in illo reconditam, et quem usum præbeat? et, simul aperiens in tergo bovem, Si quem punire, inquit, volueris, imposito illo in hanc machinam, eaque clausa, applicari has tibias jube naribus bovis, et succendi ignem. Sic iste ejulabit et clamabit, dolore infinito cruciatus; clamor autem iste per tibias modulos tibi efficiet canoros maxime, et threnis aptos sonos accinet, ac lugubre plane mugiet : adeo ut dum ille puniatur, tibiæ tu sonis interim demulceare.

12. Ego vero his auditis, pessimum artificium hominis abominatus, et exosus ingenium hujus machinæ, propriam illi pœnam imposui : et, Age sane, inquam, Perilae, nisi vana temere illa sunt promissa, ostende nobis ingressus ipse veritatem artis tuæ, et imitare clamantes, ut sciamus utrum, quos prædicas modulos, ii per tibias sonent. Obsequitur Perilaus : at ego, quum intus esset, concluso homine, ignem succendi jussi, Habe tibi, dicens, dignam mercedem admirabilis illius artis tuæ, ut magister illius musices primus ipse canas. Atque ille digna factis suis passus est, fructum percipiens ingeniosæ machinationis. Ceterum ego viventem adhuc et spirantem hominem eximi jussi, ne intra moriendo opus polluueret, et insepultum per præceps abjici : expiatum vero bovem vobis misi dedicandum deo, eique inscribi totam narrationem jussi, meum dedicantis nomen, artificem Perilaum, ipsius commentum, meam justitiam, pœnam decentem, sapientis fabri modulos, primum musices experimentum.

13. Vos vero, Delphi, quod justum est feceritis, si pro me cum legatis sacrificaritis, dedicaveritisque taurum in

ταῦρον ἐν καλῷ τοῦ ἱεροῦ, ὡς πάντες εἰδεῖεν οἷος ἐγὼ πρὸς τοὺς πονηρούς εἰμι καὶ ὅπως ἀμύνομαι τὰς περιττὰς ἐς κακίαν ἐπιθυμίας αὐτῶν. Ἱκανὸν γοῦν καὶ τοῦτο μόνον δηλῶσαί μου τὸν τρόπον, Περίλαος κολασθεὶς καὶ ὁ ταῦρος ἀνατεθεὶς καὶ μηκέτι φυλαχθεὶς πρὸς ἄλλων κολαζομένων αὐλήματα μηδὲ μελῳδήσας ἄλλο ἔτι πλὴν μόνα τὰ τοῦ τεχνίτου μυκήματα, καὶ ὅτι ἐν μόνῳ αὐτῷ καὶ πεῖραν ἔλαβον τῆς τέχνης καὶ κατέπαυσα τὴν ἄμουσον ἐκείνην καὶ ἀπάνθρωπον ᾠδήν. Καὶ τὰ μὲν παρόντα ταῦτα παρ' ἐμοῦ τῷ θεῷ· ἀναθήσω δὲ καὶ ἄλλα πολλάκις, ἐπειδάν μοι παράσχῃ μηκέτι δεῖσθαι κολάσεων.

14. Ταῦτα μέν, ὦ Δελφοί, τὰ παρὰ τοῦ Φαλάριδος, ἀληθῆ πάντα καὶ οἷα ἐπράχθη ἕκαστα, καὶ δίκαιοι ἂν εἴημεν πιστεύεσθαι ὑφ' ὑμῶν μαρτυροῦντες, ὡς ἂν καὶ εἰδότες καὶ μηδεμίαν αἰτίαν τοῦ ψεύδεσθαι νῦν ἔχοντες. Εἰ δὲ δεῖ καὶ δεηθῆναι ὑπὲρ ἀνδρὸς μάτην πονηροῦ δοκοῦντος καὶ ἄκοντος κολάζειν ἠναγκασμένου, ἱκετεύομεν ὑμᾶς ἡμεῖς οἱ Ἀκραγαντῖνοι Ἕλληνές τε ὄντες καὶ τὸ ἀρχαῖον Δωριεῖς, προσέσθαι τὸν ἄνδρα φίλον εἶναι ἐθέλοντα καὶ πολλὰ καὶ δημοσίᾳ καὶ ἰδίᾳ ἕκαστον ὑμῶν εὖ ποιῆσαι ὡρμημένον. Λάβετε οὖν αὐτοὶ τὸν ταῦρον καὶ ἀνάθετε καὶ εὔξασθε ὑπέρ τε τῆς Ἀκράγαντος καὶ ὑπὲρ τοῦ Φαλάριδος, καὶ μήτε ἡμᾶς ἀπράκτους ἀποπέμψητε μήτ' ἐκεῖνον ὑβρίσητε μήτε τὸν θεὸν ἀποστερήσητε καλλίστου τε ἅμα καὶ δικαιοτάτου ἀναθήματος.

honesto sacri loco, ut sciant omnes qualis ego in malos sim, et quomodo ulciscar nimias illorum ad mala cupiditates. Sufficit enim vel hoc solum ad declarandum ingenium meum, Perilaus punitus, dedicatus taurus, neque servatus amplius ad aliorum puniendorum cantus, nulladum alia melodia edita, præter solos artificis mugitus: et quod in illo solo et experimentum cepi artis, et finem imposui cantui illi a Musis et humanitate abhorrenti. Et in præsens ista quidem a me deo oblata sunto: dedicabo autem sæpe etiam alia, si hoc mihi præstiterit, ut pœnis non amplius indigeam.

14. Hæc, Delphi, quæ a Phalaride dicere jussi sumus, vera omnia, et qualia gesta sunt singula: ac digni videmur esse, quibus fides habeatur a vobis, quum perhibeamus testimonium, tanquam qui et sciamus et nullam nunc mentiendi causam habeamus. Si vero etiam preces interponendæ sunt pro viro, qui sine causa perhibetur malus, quique præter voluntatem suam punire coactus est, supplicamus vobis nos Agrigentini, qui Græci sumus et antiqua origine Dorienses, ut admittatis virum, amicum vobis esse cupientem, et multa in vos publice, et privatim in singulos vestrûm bona conferre paratum. Accipite ergo ipsi taurum, et dedicate, et pro Agrigento ipsoque Phalaride vota facite: et nec infecta re nos dimiseritis, neque illum affeceritis contumelia, nec deum pulcherrimo justissimoque donario privaveritis.

XXXI.

ΦΑΛΑΡΙΣ ΔΕΥΤΕΡΟΣ.

1. Οὔτε Ἀκραγαντίνων, ὦ ἄνδρες Δελφοί, πρόξενος ὢν οὔτε ἰδιόξενος αὐτοῦ Φαλάριδος οὔτ' ἄλλην ἔχων πρὸς αὐτὸν ἢ εὐνοίας ἰδίαν αἰτίαν ἢ μελλούσης φιλίας ἐλπίδα, τῶν δὲ πρέσβεων ἀκούσας τῶν ἥκόντων παρ' αὐτοῦ ἐπιεικῆ καὶ μέτρια διεξιόντων, καὶ τὸ εὐσεβὲς ἅμα καὶ τὸ κοινῇ συμφέρον καὶ μάλιστα τὸ Δελφοῖς πρέπον προορώμενος ἀνέστην παραινέσων ὑμῖν μήτε ὑβρίζειν ἄνδρα δυνάστην εὐσεβοῦντα μήτ' ἀνάθημα ἤδη τῷ θεῷ καθωμολογημένον ἀπαλλοτριοῦν, καὶ ταῦτα τριῶν τῶν μεγίστων ὑπόμνημα εἰς ἀεὶ γενησόμενον, τέχνης καλλίστης καὶ ἐπινοίας κακίστης καὶ δικαίας κολάσεως.

2. Ἐγὼ μὲν οὖν καὶ τὸ ἐνδοιάσαι ὑμᾶς ὅλως περὶ τούτου καὶ ἡμῖν προθεῖναι τὴν διάσκεψιν, εἰ χρὴ δέχεσθαι τὸ ἀνάθημα ἢ ὀπίσω αὖθις ἀποπέμπειν, ἀνόσιον ἤδη εἶναι νομίζω, μᾶλλον δὲ οὐδ' ὑπερβολὴν ἀσεβείας ἀπολελοιπέναι· οὐδὲν γὰρ ἀλλ' ἢ ἱεροσυλία τὸ πρᾶγμά ἐστι μακρῷ τῶν ἄλλων χαλεπωτέρα, ὅσῳ τοῦ τὰ ἤδη ἀνατεθέντα συλᾶν τὸ μηδὲ τὴν ἀρχὴν τοῖς ἀνατιθέναι βουλομένοις ἐπιτρέπειν ἀσεβέστερον.

3. Δέομαι δὲ ὑμῶν Δελφὸς καὶ αὐτὸς ὢν καὶ τὸ ἴσον μετέχων τῆς τε δημοσίας εὐκλείας, εἰ φυλάττοιτο, καὶ

XXXI.

PHALARIS ALTER.

1. Neque cura mihi Agrigentinorum hospitum publice data, Delphi, neque privatum cum Phalaride hospitium intercedit, neque aliam habeo aut peculiarem benevolentiæ erga illum causam, aut futuræ spem amicitiæ: verum auditis legatis ab eo venientibus, æqua et moderata disserentibus, atque id quod simul et pium et publice utile est et Delphos maxime decet, spectans, surrexi adhortaturus vos, ut neque contumelia afficiatis virum potentem, religiosum, neque donarium jam nuncupatum deo abalienetis, quod trium maximarum rerum in omne ævum monumentum futurum est artis præstantissimæ, commenti pessimi, et justi supplicii.

2. Equidem ipsum hoc, dubitare vos omnino hac de re, ipsum hoc, quod eam proposuere nobis magistratus disputationem, sitne recipiendum donarium, an retro rursus remittendum, irreligiosum esse arbitror, vel potius, nullum impietati gradum ultra quem ascendat reliquisse. Nihil enim nisi sacrilegium hoc est, longe aliis quibuscumque gravius, quanto nimirum major est impietas, quam spoliare dedicata, ne permittere quidem dedicare volentibus.

3. Rogo autem vos, Delphus ipse quoque, et in partem veniens tum publicæ bonæ famæ, si ea servetur, tum com-

τῆς ἐναντίας δόξης, εἰ ἐκ τῶν παρόντων προσγένοιτο, μήτ' ἀποκλείειν τὸ ἱερὸν τοῖς εὐσεβοῦσι μήτε τὴν πόλιν πρὸς ἅπαντας ἀνθρώπους διαβάλλειν ὡς τὰ πεμπόμενα τῷ θεῷ συκοφαντοῦσαν καὶ ψήφῳ καὶ δικαστηρίῳ δοκιμάζουσαν τοὺς ἀνατιθέντας· οὐδεὶς γὰρ ἔτι ἀναθεῖναι τολμήσειεν ἂν εἰδὼς οὐ προσησόμενον τὸν θεὸν ὅ τι ἂν μὴ πρότερον τοῖς Δελφοῖς δοκῇ.

4. Ὁ μὲν οὖν Πύθιος τὴν δικαίαν ἤδη περὶ τοῦ ἀναθήματος ψῆφον ἤνεγκεν· εἰ γοῦν ἐμίσει τὸν Φάλαριν ἢ τὸ δῶρον αὐτοῦ ἐμυσάττετο, ῥᾴδιον ἦν ἐν τῷ Ἰονίῳ μέσῳ καταδῦσαι αὐτὸ μετὰ τῆς ἀγούσης ὁλκάδος, ὁ δὲ πολὺ τοὐναντίον ἐν εὐδίᾳ τε διαπεραιωθῆναι, ὥς φασι, παρέσχεν αὐτοῖς καὶ σῶς ἐς τὴν Κίρραν κατᾶραι.

5. Ὦ καὶ δῆλον ὅτι προσίεται τὴν τοῦ μονάρχου εὐσέβειαν. Χρὴ δὲ καὶ ὑμᾶς τὰ αὐτὰ ἐκείνῳ ψηφισαμένους προσθεῖναι καὶ τὸν ταῦρον τουτονὶ τῷ ἄλλῳ κόσμῳ τοῦ ἱεροῦ· ἐπεὶ πάντων ἂν εἴη τοῦτ' ἀτοπώτατον, πέμψαντά τινα μεγαλοπρεπὲς οὕτω δῶρον θεῷ τὴν καταδικάζουσαν ἐκ τοῦ ἱεροῦ ψῆφον λαβεῖν καὶ μισθὸν κομίσασθαι τῆς εὐσεβείας τὸ κεκρίσθαι μηδὲ τοῦ ἀνατιθέναι ἄξιος.

6. Ὁ μὲν οὖν τἀναντία μοι ἐγνωκὼς, καθάπερ ἐκ τοῦ Ἀκράγαντος ἄρτι καταπεπλευκὼς, σφαγάς τινας καὶ βίας καὶ ἁρπαγὰς καὶ ἀπαγωγὰς ἐτραγῴδει τοῦ τυράννου μόνον οὐκ αὐτόπτης γεγενῆσθαι λέγων, ὃν ἴσμεν οὐδ' ἄχρι τοῦ πλοίου ἀποδεδημηκότα. Χρὴ δὲ τὰ μὲν τοιαῦτα μηδὲ τοῖς πεπονθέναι φάσκουσι πάνυ πιστεύειν διηγουμένοις — ἄδηλον γὰρ εἰ ἀληθῆ λέγουσιν — οὐχ ὅπως αὐτοὺς ἃ μὴ ἐπιστάμεθα κατηγορεῖν.

7. Εἰ δ' οὖν τι καὶ πέπρακται τοιοῦτον ἐν Σικελίᾳ, τοῦτ' οὐ Δελφοῖς ἀναγκαῖον πόλυπραγμονεῖν, εἰ μὴ ἀντὶ ἱερέων ἤδη δικασταὶ εἶναι ἀξιοῦμεν καὶ, δέον θύειν καὶ τἆλλα θεραπεύειν τὸν θεὸν καὶ συναναπιθέναι εἰ πέμψειέ τις, σκοποῦντες καθήμεθα εἴ τινες τῶν ὑπὲρ τὸν Ἰόνιον δικαίως ἢ ἀδίκως τυραννοῦνται.

8. Καὶ τὰ μὲν τῶν ἄλλων ἐχέτω ὅπῃ βούλεται· ἡμῖν δὲ ἀναγκαῖον, οἶμαι, τὰ ἡμέτερα αὐτῶν εἰδέναι, ὅπως τε πάλαι διέκειτο καὶ ὅπως νῦν ἔχει καὶ τί ποιοῦσι λῷον ἔσται. Ὅτι μὲν δὴ ἐν κρημνοῖς τε οἰκοῦμεν αὐτοὶ καὶ πέτρας γεωργοῦμεν, οὐχ Ὅμηρον χρὴ περιμένειν δηλώσοντα ἡμῖν, ἀλλ' ὁρᾶν πάρεστι ταῦτα· καὶ ὅσον ἐπὶ τῇ γῇ, βαθεῖ λιμῷ ἀεὶ συνῆμεν ἄν. Τὸ δ' ἱερὸν καὶ ὁ Πύθιος καὶ τὸ χρηστήριον καὶ οἱ θύοντες καὶ οἱ εὐσεβοῦντες ταῦτα Δελφῶν τὰ πεδία, ταῦτα ἡ πρόσοδος, ἐντεῦθεν ἡ εὐπορία, ἐντεῦθεν αἱ τροφαί — χρὴ γὰρ τἀληθῆ πρός γε ἡμᾶς αὐτοὺς λέγειν — καὶ τὸ λεγόμενον ὑπὸ τῶν ποιητῶν, ἄσπαρτα ἡμῖν καὶ ἀνήροτα φύεται τὰ πάντα ὑπὸ γεωργῷ τῷ θεῷ, ὃς οὐ μόνον τὰ παρὰ τοῖς Ἕλλησιν ἀγαθὰ γιγνόμενα παρέχει, ἀλλ' εἴ τι ἐν Φρυξὶν ἢ Λυδοῖς ἢ Πέρσαις ἢ Ἀσσυρίοις ἢ Φοίνιξιν ἢ Ἰταλιώταις ἢ Ὑπερβορέοις αὐτοῖς πάντα ἐς Δελφοὺς ἀφικνεῖται. Καὶ τὰ δεύτερα μετὰ τὸν θεὸν ἡμεῖς τιμώμεθα ὑπ' ἀπάντων καὶ εὐπορούμεν καὶ εὐδαιμονοῦμεν.

trariæ opinionis, si qua ex præsenti negotio contrahatur, ne claudatis sacrum religiosis, neu civitati nostræ infamiam apud omnes homines concilietis, quasi ea quæ mittuntur deo calumnietur, et calculo judicioque exploret qui aliquid donant. Nemo enim amplius donare quicquam temere audebit, si sciat non admissurum esse deum, quod non prius Delphis admittendum videatur.

4. Ac Pythius quidem justum jam de donario suffragium tulit: qui si odisset Phalarin, aut munus illius abominaretur, facile illi erat medio in Ionio illud cum ipsa navi, quæ vehebat, demergere. Verum ille contra per serenitatem uti trajicerent, ut aiunt, ipsis tribuit, et salvi ad Cirrham uti appellerent.

5. Qua re etiam manifestum est admitti ab eo monarchæ pietatem. Oportet autem vos quoque eadem decernere, et adjicere hunc taurum reliquis templi ornamentis. Omnium enim absurdissimum fuerit, magnifici adeo muneris deo missi auctorem damnans ex templo suffragium referre, et mercedem hanc pietatis suæ habere, ut ne dignus quidem sit habitus qui aliquid donet.

6. Ille quidem, qui contraria mihi decrevit, quasi qui Agrigento modo huc appulerit, cædes quasdam, et vim factam, et rapinas, et abductiones tyranni tragica oratione retulit, tantum non visa a se narrari dicens; quem tamen neque ad navem usque peregrinatum esse novimus. Oportet autem talia ne his quidem, qui se passos esse dicunt, omnino credere narrantibus; quum, utrum vera dicant, incertum sit: nedum ut ipsi, quæ non certo scimus, accusemus.

7. Utrum igitur tale quicquam in Sicilia factum sit, hoc Delphis necesse non est studiose quærere; nisi pro sacerdotibus jam judices esse postulamus, et quum mactare nos oporteat et reliquum dei cultum peragere, et una ponere donaria si quis mittat, sedemus disceptaturi, si qui trans Ionium mare juste aut injuste reguntur.

8. Aliorum quidem res quomodocumque lubuerit se habeant: nobis vero necessarium arbitror nostra ipsorum scire, tam ut olim constituta fuerint, quam uti nunc se habeant, et quid facientibus melius futurum sit. Ac nos in præcipitiis habitare et saxa arare, non Homerus nobis exspectandus est qui nos doceat; sed videre ista licet: et quantum ad terram nostram, summa semper cum fame essemus. Sed templum, et Pythius, et oraculum, et mactantes, et religiosi, hi Delphorum agri, hi reditus, hinc bona copia, hinc alimenta (oportet enim vera, inter nos quidem certe, dicere), et quod a poetis dicitur, sine semine nostro, sine aratro proveniunt omnia, agrum nostrum colente deo, qui non ea solum, quæ apud reliquos Græcos nascuntur bona nobis præbet; sed si quid apud Phrygas, Lydos, Persas, Assyrios, aut Phœnices, aut Italos, aut ipsos Hyperboreos nascitur, Delphos omnia perveniunt. Et secundo post deum loco nos colimur ab omnibus, et abun-

μεν· ταῦτα τὸ ἀρχαῖον, ταῦτα τὸ μέχρι νῦν, καὶ μὴ παυσαίμεθά γε οὕτω βιοῦντες.

9. Μέμνηται δὲ οὐδεὶς πώποτε ψῆφον ὑπὲρ ἀναθήματος παρ' ἡμῖν ἀναδοθεῖσαν οὐδὲ κωλυθέντα τινὰ θύειν ἢ ἀνατιθέναι. Καὶ διὰ τοῦτ', οἶμαι, καὶ αὐτὸ εἰς ὑπερβολὴν ηὔξηται τὸ ἱερὸν καὶ ὑπερπλουτεῖ ἐν τοῖς ἀναθήμασι. Δεῖ τοίνυν μηδ' ἐν τῷ παρόντι καινοτομεῖν μηδὲν μηδὲ παρὰ τὰ πάτρια νόμον καθιστάναι, φυλοκρινεῖν τὰ ἀναθήματα καὶ γενεαλογεῖν τὰ πεμπόμενα, ὅθεν καὶ ἀφ' ὅτου καὶ ὁποῖα, δεξαμένους δὲ ἀπραγμόνως ἀνατιθέναι ὑπηρετοῦντας ἀμφοῖν, καὶ τῷ θεῷ καὶ τοῖς εὐσεβέσι.

10. Δοκεῖτε δέ μοι, ὦ ἄνδρες Δελφοί, ἄριστα βουλεύεσθαι περὶ τῶν παρόντων, εἰ λογίσαισθε πρῶτον ὑπὲρ ὅσων καὶ ἡλίκων ἐστὶν ἡ σκέψις, πρῶτον μὲν ὑπὲρ τοῦ θεοῦ καὶ τοῦ ἱεροῦ καὶ θυσιῶν καὶ ἀναθημάτων καὶ ἐθῶν ἀρχαίων καὶ θεσμῶν παλαιῶν καὶ δόξης τοῦ μαντείου, ἔπειτα ὑπὲρ τῆς πόλεως ὅλης καὶ τῶν συμφερόντων τῷ τε κοινῷ ἡμῶν καὶ ἰδίᾳ ἑκάστῳ Δελφῶν, ἐπὶ πᾶσι δὲ τῆς παρὰ πᾶσιν ἀνθρώποις εὐκλείας ἢ κακοδοξίας· τούτων γὰρ οὐκ οἶδα εἴ τι μεῖζον, εἰ σωφρονεῖτε, ἢ ἀναγκαιότερον ἡγήσαισθε ἄν.

11. Περὶ μὲν οὖν ὧν βουλευόμεθα, ταῦτά ἐστιν, οὐ Φάλαρις τύραννος εἷς οὐδὲ ταῦρος οὗτος οὐδὲ χαλκὸς μόνον, ἀλλὰ πάντες βασιλεῖς καὶ πάντες δυνάσται, ὅσοι νῦν χρῶνται τῷ ἱερῷ, καὶ χρυσὸς καὶ ἄργυρος καὶ ὅσα ἄλλα τίμια πολλὰ πολλάκις ἀνατεθησόμενα τῷ θεῷ· πρῶτον μὲν γὰρ τὸ κατὰ τὸν θεὸν ἐξετασθῆναι ἄξιον.

12. Τίνος οὖν ἕνεκα μὴ ὡς ἀεὶ μηδὲ ὡς πάλαι τὰ περὶ τῶν ἀναθημάτων ποιήσομεν; ἢ τί μεμφόμενοι τοῖς παλαιοῖς ἔθεσι καινοτομήσομεν; καὶ ὃ μηδὲ πώποτε, ἀφ' οὗ τὴν πόλιν οἰκοῦμεν καὶ ὁ Πύθιος χρᾷ καὶ ὁ τρίπους φθέγγεται καὶ ἡ ἱέρεια ἐμπνεῖται, γεγένηται παρ' ἡμῖν, νῦν καταστησόμεθα, κρίνεσθαι καὶ ἐξετάζεσθαι τοὺς ἀνατιθέντας; Καὶ μὴν ἐξ ἐκείνου μὲν τοῦ παλαιοῦ ἔθους, τοῦ ἀνέδην καὶ πᾶσιν ἐξεῖναι, ὁρᾶτε ὅσων ἀγαθῶν ἐμπέπλησται τὸ ἱερὸν, ἁπάντων ἀνατιθέντων καὶ ὑπὲρ τὴν ὑπάρχουσαν δύναμιν ἐνίων δωρουμένων τὸν θεόν.

13. Εἰ δ' ὑμᾶς αὐτοὺς δοκιμαστὰς καὶ ἐξεταστὰς ἐπιστήσετε τοῖς ἀναθήμασιν, ὀκνῶ μὴ ἀπορήσωμεν τῶν δοκιμασθησομένων, ἔτι οὐδενὸς ὑπομένοντος ὑπόδικον αὑτὸν καθιστάναι, καὶ ἀναλίσκοντα καὶ καταδαπανῶντα παρ' αὐτοῦ, κρίνεσθαι καὶ ὑπὲρ τῶν ὅλων κινδυνεύειν. Ἢ τίνι βιωτὸν, εἰ κριθήσεται τοῦ ἀνατιθέναι ἀνάξιος;

damus, et beati sumus. Hæc antiqua ratio, hæc adhuc obtinet, et utinam ita vivere non desinamus!

9. Recordatur autem nemo unquam suffragium de donario apud nos latum, nec prohibitum quenquam, quominus sacrificaret vel dedicaret aliquid. Ac propter hoc ipsum, puto, supra modum auctum est sacrum, et abundat donariis. Quare nec *in præsenti novandum quicquam*, neque præter patrium morem lex constituenda, ut scrupulose judicentur donaria, et eorum quæ mittuntur origo inquiratur, unde, a quo, et qualia sint: sed accepta sine operosa quæstione dedicare, ambobus ministrantes, tum deo, tum religiosis.

10. Videmini autem mihi, Delphi, sic demum optime de præsentibus judicaturi, si primum consideraveritis, de quot quantisque rebus sit quæstio. Primo quidem de deo, templo, victimis, donariis, moribus antiquis, legibus vetustis, gloria oraculi: deinde de tota civitate et his quæ cum reipublicæ nostræ, tum privatim unicuique Delphorum conducant: super omnia vero de bona aut mala apud omnes homines fama. Hisce enim si quid majus, magisve necessarium, modo sanum adhibeatis judicium, existimetis, non novi.

11. Hæc ergo sunt de quibus deliberamus, non Phalaris unus tyrannus, neque taurus iste, neque æs tantum; sed reges omnes et omnes dynastæ, qui sacro hodie utuntur, et aurum, et argentum, et quæcumque alia pretiosa dedicabuntur in posterum deo. Primo quidem, quod ad deum pertinet, exploratu dignum.

12. Qua igitur de causa non ut semper neque ut olim ea quæ ad donaria referuntur, faciemus? aut quid reprehendentes in vetusto more novabimus, et quod nunquam a nobis, ex quo urbem habitamus, et Pythius respondet, et tripus loquitur, et sacerdos inspiratur, factum est, nunc constituemus, ut judicentur et explorentur qui aliquid dedicant? Atqui ex antiquo illo more, quo promiscue et omnibus hoc licet, videtis quot quantisque bonis templum impletum sit, dedicantibus omnibus, et supra vires suas quibusdam deo donantibus.

13. Si vero vos cognitores quæsitoresque donariis constitueritis, metuo ne non habeamus amplius quæ explorentur; quum futurum sit ut nemo sustineat judicio se submittere, et sumtibus atque impensis e sua re familiari factis insuper examinari, et periclitari adeo de capite. Quis enim vivendum sibi putet, si indignus, qui donet aliquid, judicetur?

XXXII.

ΑΛΕΞΑΝΔΡΟΣ Η ΨΕΥΔΟΜΑΝΤΙΣ.

1. Σὺ μὲν ἴσως, ὦ φίλτατε Κέλσε, μικρόν τι τοῦτο καὶ φαῦλον οἴει τὸ πρόσταγμα, προστάττειν τὸν Ἀλεξάνδρου σοι τοῦ Ἀβωνοτειχίτου τοῦ γόητος βίον καὶ ἐπινοίας αὐτοῦ καὶ τολμήματα καὶ μαγγανείας ἐς βιβλίον

XXXII.

ALEXANDER, SEU PSEUDOMANTIS.

1. Parvum tu forsitan, Celse carissime, et leve aliquid abs te mandatum esse existimas, quod jussisti Alexandri me tibi Abonotichitæ impostoris vitam et commenta et ausus et præstigias in librum relatas mittere: at illud, si

ἐγγράψαντα πέμψαι· τὸ δέ, εἴ τις ἐθέλοι πρὸς τὸ ἀκριβὲς ἕκαστον ἐπεξιέναι, οὐ μεῖόν ἐστιν ἢ τὰς Ἀλεξάνδρου τοῦ Φιλίππου πράξεις ἀναγράψαι· τοσοῦτος ἐν κακίᾳ οὗτος, ὅσος εἰς ἀρετὴν ἐκεῖνος. Ὅμως δὲ εἰ μετὰ συγγνώμης ἀναγνώσεσθαι μέλλοις καὶ τὰ ἐνδέοντα τοῖς ἱστορουμένοις προσλογιεῖσθαι, ὑποστήσομαί σοι τὸν ἅθλον καὶ τὴν Αὐγέου βουστασίαν, εἰ καὶ μὴ πᾶσαν, ἀλλ' ἐς δύναμίν γε τὴν ἐμαυτοῦ ἀνακαθήρασθαι πειράσομαι, ὀλίγους ὅσους τῶν κοφίνων ἐκφορήσας, ὡς ἀπ' ἐκείνων τεκμαίροιο πόση πᾶσα καὶ ὡς ἀμύθητος ἦν ἡ κόπρος, ἣν τρισχίλιοι βόες ἐν πολλοῖς ἔτεσι ποιῆσαι ἐδύναντο.

2. Αἰδοῦμαι μὲν οὖν ὑπὲρ ἀμφοῖν, ὑπέρ τε σοῦ καὶ ὑπὲρ ἐμαυτοῦ· σοῦ μέν, ἀξιοῦντος μνήμῃ καὶ γραφῇ παραδοθῆναι ἄνδρα τρισκατάρατον, ἐμαυτοῦ δέ, σπουδὴν ποιουμένου ἐπὶ τοιαύτῃ ἱστορίᾳ καὶ πράξεσιν ἀνθρώπου, ὃν οὐκ ἀναγιγνώσκεσθαι πρὸς τῶν πεπαιδευμένων ἦν ἄξιον, ἀλλ' ἐν πανδήμῳ τινὶ μεγίστῳ θεάτρῳ ὁρᾶσθαι ὑπὸ πιθήκων ἢ ἀλωπέκων σπαραττόμενον. Ἀλλ' ἤν τις ἡμῖν ταύτην ἐπιφέρῃ τὴν αἰτίαν, ἔξομεν καὶ αὐτοὶ ἐς παράδειγμά τι τοιοῦτον ἀνενεγκεῖν· καὶ Ἀρριανὸς γὰρ ὁ τοῦ Ἐπικτήτου μαθητής, ἀνὴρ Ῥωμαίων ἐν τοῖς πρώτοις καὶ παιδείᾳ παρ' ὅλον τὸν βίον συγγενόμενος, ὁμοιόν τι παθὼν ἀπολογήσαιτ' ἂν καὶ ὑπὲρ ἡμῶν· Τιλλιβόρου γοῦν τοῦ λῃστοῦ κἀκεῖνος βίον ἀναγράψαι ἠξίωσεν· ἡμεῖς δὲ πολὺ ὠμοτέρου λῃστοῦ μνήμην ποιησόμεθα, ὅσῳ μὴ ἐν ὕλαις καὶ ἐν ὄρεσιν, ἀλλ' ἐν πόλεσιν οὗτος ἐλῃστευεν οὐ Μυσίαν μόνην οὐδὲ τὴν Ἴδην κατατρέχων οὐδὲ ὀλίγα τῆς Ἀσίας μέρη τὰ ἐρημότερα λεηλατῶν, ἀλλὰ πᾶσαν ὡς εἰπεῖν τὴν Ῥωμαίων ἀρχὴν ἐμπλήσας τῆς λῃστείας τῆς αὐτοῦ.

3. Πρότερον δέ σοι αὐτὸν ὑπογράψω τῷ λόγῳ πρὸς τὸ ὁμοιότατον εἰκάσας τὴν μορφήν, ὡς ἂν δύνωμαι, καίτοι μὴ πάνυ γραφικός τις ὤν· τὸ γὰρ δὴ σῶμα, ἵνα σοι καὶ τοῦτο δείξω, μέγας τε ἦν καὶ καλὸς ἰδεῖν καὶ θεοπρεπὴς ὡς ἀληθῶς, λευκὸς τὴν χρόαν, τὸ γένειον οὐ πάνυ λάσιος, κόμην τὴν μὲν ἰδίαν, τὴν δὲ καὶ πρόσθετον ἐπικείμενος εὖ μάλα εἰκασμένην καὶ τοὺς πολλοὺς ὅτι ἦν ἀλλοτρία λεληθυῖαν· ὀφθαλμοὶ πολὺ τὸ γοργὸν καὶ ἔνθεον διεμφαίνοντες, φώνημα ἡδιστόν τε ἅμα καὶ λαμπρότατον· καὶ ὅλως οὐδαμόθεν μωμητὸς ἦν ταῦτά γε.

4. Τοιόσδε μὲν τὴν μορφήν· ἡ ψυχὴ δὲ καὶ ἡ γνώμη, ἀλεξίκακε Ἡράκλεις καὶ Ζεῦ ἀποτρόπαιε καὶ Διόσκουροι σωτῆρες, πολεμίοις καὶ ἐχθροῖς ἐντυχεῖν γένοιτο καὶ μὴ συγγενέσθαι τοιούτῳ τινί· συνέσει μὲν γὰρ καὶ ἀγχινοίᾳ καὶ δριμύτητι πάμπολυ τῶν ἄλλων διέφερε, καὶ τό τε περίεργον καὶ εὐμαθὲς καὶ μνημονικὸν καὶ πρὸς τὰ μαθήματα εὐφυὲς, πάντα ταῦτα εἰς ὑπερβολὴν ἕκαστα ὑπῆρχεν αὐτῷ· ἐχρῆτο δὲ αὐτοῖς ἐς τὸ χείριστον· καὶ ὄργανα ταῦτα γενναῖα ὑποβεβλημένα ἔχων αὐτίκα μάλα τῶν ἐπὶ κακίᾳ διαβοήτων ἀκρότατος ἀπετελέσθη ὑπὲρ τοὺς Κέρκωπας, ὑπὲρ τὸν Εὐρύβατον ἢ Φρυνώνδαν ἢ Ἀριστόδημον ἢ Σώστρατον. Αὐτὸς μὲν γὰρ τῷ γαμβρῷ Ῥουτιλλιανῷ ποτε γράφων καὶ τὰ μεquis accurate velit singula persequi, non minus est, quam Alexandri Philippi filii res gestas scripto mandare: quantus enim ille ad virtutem, tantus hic ad malitiam. Verumtamen si cum venia lecturus es, et, quæ deerunt narrationi, adjecturus de tuo, laborem tibi illum sustinebo, et Augiæ stabulum, etsi non universum, certe pro viribus meis repurgare studebo, paucos aliquot cophinos egerens, ut ex illis judicare possis, quantum omne et quam inenarrabile fuerit stercus, quod ter mille boves multorum annorum spatio facere potuerunt.

2. Ac verecundia quadam afficior amborum nomine, tuo pariter ac meo: tuo, qui petas memoriæ et scriptis commendari hominem omnibus modis exsecrabilem; meo, qui studium in tali historia ponam et actionibus hominis, quem non legi conveniebat ab eruditis hominibus, sed in maximo theatro totisque populis confluentibus frequentissimo spectari a similis lacerandum aut vulpibus. Verum si quis hoc nos crimine accuset, habebimus et ipsi exemplum ad quod illum ablegemus. Nam Arrianus quoque, Epicteti discipulus, vir inter primos Romanorum, et tota vita in doctrinæ studiis versatus, cui simile quid usu venit, causam pro nobis dixerit: Tillibori enim latronis vitam scribere ipse quoque dignatus est. Nos autem crudelioris longe latronis monumentum faciemus, quatenus non in silvis et montibus, sed in urbibus hic latrocinatus est, qui non Mysiam solam neque Idam incursarit, neque paucas Asiæ partes desertiores sit deprædatus; sed universum, fere dixerim, Romanorum imperium latrocinio suo oppleverit.

3. Prius vero ipsum tibi oratione describam, formamque illius quam simillime potero, non multum licet pingendi arte valeam, delineabo. Corpore enim, ut hoc etiam tibi ostendam, et magnus erat, et honesta specie, et quæ deo dignum aliquid revera præ se ferret: colore candidus, mento non nimis hirsuto, comatus tum sua coma, tum ascita, præclare illa assimilata, ut plerosque, alienam esse, fugeret: oculi perquam vivaci lumine, et deo plenum ostendentes: vox suavissima simul et splendidissima: et paucis ut absolvam, nulla parte, quantum ad hæc, reprehensionem habebat.

4. Talis quidem erat forma. Animus autem et mens hominis, averruncator Hercules, et Jupiter depulsor, et servatores Jovis liberi! in hostes nostros et *inimicos* potius incidamus, quam versemur cum tali! Nam intelligentia, et sollertia, et acumine plurimum alios omnes antecellebat; tum curiositas et docilitas, ac memoria et ingenium disciplinæ capax, omnia hæc et ad excessum usque singula ipsi aderant: verum utebatur illis pessime: et quum instrumenta ista virtutis in potestate haberet, mox famosissimæ malitiæ hominum summus ipse factus est, supra Cercopas, supra Eurybatum, aut Phrynondam, aut Aristodemum, aut Sostratum. Ipse enim suo genero Rutiliano aliquando scri-

τριώτατα ὑπὲρ αὐτοῦ λέγων Πυθαγόρᾳ ὅμοιος εἶναι ἠξίου. Ἀλλ' ὅλεως μὲν ὁ Πυθαγόρας εἴη, σοφὸς ἀνὴρ καὶ τὴν γνώμην θεσπέσιος. Εἰ δὲ κατὰ τοῦτον ἐγεγένητο, παῖς ἂν εὖ οἶδ' ὅτι πρὸς αὐτὸν εἶναι ἔδοξε. Καὶ πρὸς Χαρίτων μή με νομίσῃς ἐφ' ὕβρει ταῦτα τοῦ Πυθαγόρου λέγειν ἢ συνάπτειν πειρώμενον αὐτοὺς πρὸς ὁμοιότητα τῶν πράξεων. Ἀλλ' εἴ τις τὰ χείριστα καὶ βλασφημότατα τῶν ἐπὶ διαβολῇ περὶ τοῦ Πυθαγόρου λεγομένων, οἷς ἐγωγε οὐκ ἂν πεισθείην ὡς ἀληθέσιν οὖσιν, ὅμως συναγάγοι ἐς τὸ αὐτό, πολλοστὸν ἂν μέρος ἅπαντα ἐκεῖνα γένοιτο τῆς Ἀλεξάνδρου δεινότητος. Ὅλως γὰρ ἐπινόησόν μοι καὶ τῷ λογισμῷ διατύπωσον ποικιλωτάτην τινὰ ψυχῆς κρᾶσιν ἐκ ψεύδους καὶ δόλων καὶ ἐπιορκιῶν καὶ κακοτεχνιῶν συγκειμένην, ῥᾳδίαν, τολμηράν, παράβολον, φιλόπονον ἐξεργάσασθαι τὰ νοηθέντα, καὶ πιθανὴν καὶ ἀξιόπιστον καὶ ὑποκριτικὴν τοῦ βελτίονος καὶ τῷ ἐναντιωτάτῳ τῆς βουλήσεως ἐοικυῖαν. Οὐδεὶς γοῦν τὸ πρῶτον ἐντυχὼν οὐκ ἀπῆλθε δόξαν λαβὼν ὑπὲρ αὐτοῦ ὡς εἴη πάντων ἀνθρώπων χρηστότατος καὶ ἐπιεικέστατος καὶ προσέτι ἁπλοϊκώτατός τε καὶ ἀφελέστατος. Ἐπὶ πᾶσι δὲ τούτοις τὸ μεγαλουργὸν προσῆν καὶ τὸ μηδὲν μικρὸν ἐπινοεῖν, ἀλλ' ἀεὶ τοῖς μεγίστοις ἐπέχειν τὸν νοῦν.

5. Μειράκιον μὲν οὖν ἔτι ὢν πάνυ ὡραῖον, ὡς ἐνῆν ἀπὸ τῆς καλάμης τεκμαίρεσθαι καὶ ἀκούειν τῶν διηγουμένων, ἀνέδην ἐπόρνευε καὶ συνῆν ἐπὶ μισθῷ τοῖς βουλομένοις. Ἐν δὲ τοῖς ἄλλοις λαμβάνει τις αὐτὸν ἐραστὴς γόης τῶν μαγείας καὶ ἐπῳδὰς θεσπεσίους ὑπισχνουμένων καὶ χάριτας ἐπὶ τοῖς ἐρωτικοῖς καὶ ἐπαγωγὰς τοῖς ἐχθροῖς καὶ θησαυρῶν ἀναπομπὰς καὶ κλήρων διαδοχάς. Οὗτος ἰδὼν εὐφυᾶ παῖδα καὶ πρὸς ὑπηρεσίαν τῶν ἑαυτοῦ πράξεων ἑτοιμότατον, οὐ μεῖον ἐρῶντα τῆς κακίας τῆς αὐτοῦ ἢ αὐτὸς τῆς ὥρας τῆς ἐκείνου, ἐξεπαίδευσέ τε αὐτὸν καὶ διετέλει ὑπουργῷ καὶ ὑπηρέτῃ καὶ διακόνῳ χρώμενος. Ὁ δ' αὐτὸς ἐκεῖνος δημοσίᾳ μὲν ἰατρὸς ὤν, ἦθεν ἦν, ἠπίστατο δὲ κατὰ τὴν Θῶνος τοῦ Αἰγυπτίου γυναῖκα

φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά·

ὧν ἁπάντων κληρονόμος καὶ διάδοχος οὗτος ἐγένετο. Ἦν δὲ ὁ διδάσκαλος ἐκεῖνος καὶ ἐραστὴς τὸ γένος Τυανεὺς τῶν Ἀπολλωνίῳ τῷ Τυανεῖ συγγενομένων καὶ τὴν πᾶσαν αὐτοῦ τραγῳδίαν εἰδότων. Ὁρᾷς ἐξ οἵας σοι διατριβῆς ἄνθρωπον λέγω.

6. Ἤδη δὲ πώγωνος ὁ Ἀλέξανδρος πιμπλάμενος καὶ τοῦ Τυανέως ἐκείνου ἀποθανόντος ἐν ἀπορίᾳ καθεστὼς, ἀπηνθηκυίας ἅμα τῆς ὥρας, ἀφ' ἧς τρέφεσθαι ἐδύνατο, οὐκέτι μικρὸν οὐδὲν ἐπενόει, ἀλλὰ κοινωνήσας Βυζαντίῳ τινὶ χρονογράφῳ τῶν καθιέντων ἐς τοὺς ἀγῶνας, πολὺ καταρατοτέρῳ τὴν φύσιν — Κοκκωνᾶς δὲ οἶμαι ἐπεκαλεῖτο — περιῆσαν γοητεύοντες καὶ μαγγανεύοντες καὶ τοὺς παχεῖς τῶν ἀνθρώπων — οὕτως γὰρ αὐτοὶ τῇ πατρίῳ τῶν μάγων φωνῇ τοὺς πολλοὺς ὀνομάζουσιν — ἀποκείροντες. Ἐν δὴ τούτοις καὶ Μακέτιν

bens, et modestissime de se loquens, Pythagoræ similis esse prædicabat. Sed propitius sit Pythagoras, sapiens vir et divina mente præditus. Si vero hujus ætate vixisset, puer, bene novi, ad illum visus esset. Et per Gratiarum numen, noli putare me contumeliæ in Pythagoram causa ista dicere, aut quo componere illos audeam, quantum ad actionum similitudinem. Verum si quis pessima quæque et contumeliosissima, quæ per calumniam dicuntur de Pythagora, quibus ego fidem ut veris nunquam adhibuero, tamen in unum conducat omnia; vix minima pars ea fuerit ejus quæ in Alexandro fuit malæ calliditatis. Omnino enim cogita mihi et animo effinge variam vehementer animæ temperaturam, ex mendacio, dolis, perjuriis, malis artibus compositam, agilem, audacem, periculis se objicientem, laboriosam in perficiendis cogitatis, probabilem, quæ fidem facile inveniat, quæ optima simulet, et maxime his, quæ vult revera, adversari videatur. Nemo igitur, qui primo illum convenisset, non sic ab eo discessit, ut putaret omnium illum hominum optimum et æquissimum, ad hæc simplicissimum et ab omni fuco alienum. Super ea vero omnia inerat quædam in viro magnificentia, et quod nihil unquam cogitaret parvum, sed rebus semper maximis mentem applicaret.

5. Quum igitur adolescens adhuc esset, formosus admodum, quod licebat e stipula quasi et reliquiis formæ colligere, et audire a narrantibus', effuse impudicus, pretio copiam sui faciebat cupientibus. Inter alios ducit illum amator aliquis, præstigiator ex eorum genere, qui magicas artes et divinas incantationes pollicentur, et philtra veneres, et deorum evocationes in inimicos, et thesauros eruendos, et hereditates. Hic videns ingeniosum puerum, et ad suarum actionum ministeria paratissimum, non minus suæ cupidum malitiæ, quam ipse florem illius ætatis deperierat: instituit illum, et adjutore, ministro, atque famulo perpetuo usus est. Ceterum ipse ille, publica quidem professione medicus, sciebat non minus quam Thonis illius Ægyptii uxor,

pharmaca multa remista bona, ast eadem mala multa;

quorum iste omnium heres et successor factus est. Fuerat autem magister ille et amator Tyaneus genere, ex familiaribus Apollonii Tyanei et iis qui omnem illius tragœdiam nossent. Vides ex qua tibi schola hominem narrem.

6. Jam barbatus Alexander, mortuoque illo Tyanensi in paupertate constitutus, quum jam defloruisset ætatula, qua ali poterat, nihil jam parvum cogitabat; sed societate inita cum Byzantio quodam annalium scriptore ex eo genere, qui in certamina descendunt, multum etiam exsecrabilioris ingenii homine (Cocconas, puto, vocabatur), circumibant præstigiis et incantationibus utentes, et pingues hominum (sic ipsi patrio magorum nomine vulgus appellabant) detondentes. In hisce vero etiam e Macedonia mulierem

γυναῖκα πλουσίαν, ἔξωρον μὲν, ἐράσμιον δὲ ἔτι εἶναι βουλομένην, ἐξευρόντες ἐπεσιτίσαντό τε τὰ ἀρκοῦντα παρ' αὐτῆς καὶ ἠκολούθησαν ἐκ τῆς Βιθυνίας ἐς τὴν Μακεδονίαν. Πελλαία δὲ ἦν ἐκείνη, πάλαι μὲν εὐδαίμονος χωρίου κατὰ τοὺς τῶν Μακεδόνων βασιλέας, νῦν δὲ ταπεινοὺς καὶ ὀλιγίστους οἰκήτορας ἔχοντος.

7. Ἐνταῦθα ἰδόντες δράκοντας παμμεγέθεις, ἡμέρους πάνυ καὶ τιθασοὺς, ὡς καὶ ὑπὸ γυναικῶν τρέφεσθαι καὶ παιδίοις συγκαθεύδειν καὶ πατουμένους ἀνέχεσθαι καὶ θλιβομένους μὴ ἀγαναχτεῖν καὶ γάλα πίνειν ἀπὸ θηλῆς κατὰ ταὐτὰ τοῖς βρέφεσι — πολλοὶ δὲ γίγνονται παρ' αὐτοῖς τοιοῦτοι, ὅθεν καὶ τὸν περὶ τῆς Ὀλυμπιάδος μῦθον διαφοιτῆσαι πάλαι εἰκὸς, ὁπότε ἐκύει τὸν Ἀλέξανδρον, δράκοντος οἶμαι συγκαθεύδοντος αὐτῇ τοιούτου — ὠνοῦνται τῶν ἑρπετῶν ἓν τὸ κάλλιστον ὀλίγων ὀβολῶν.

8. Καὶ κατὰ τὸν Θουκυδίδην ἄρχεται ὁ πόλεμος ἐνθένδε ἤδη. Ὡς γὰρ ἂν δύο κάκιστοι καὶ μεγαλότολμοι καὶ πρὸς τὸ κακουργεῖν προχειρότατοι ἐς τὸ αὐτὸ συνελθόντες ῥᾳδίως κατενόησαν τὸν τῶν ἀνθρώπων βίον ὑπὸ δυοῖν τούτοιν μεγίστοιν τυραννούμενον, ἐλπίδος καὶ φόβου, καὶ ὅτι ὁ τούτων ἑκατέρῳ ἐς δέον χρήσασθαι δυνάμενος τάχιστα πλουτήσειεν ἄν· ἀμφοτέροις γὰρ, τῷ τε δεδιότι καὶ τῷ ἐλπίζοντι, ἑώρων τὴν πρόγνωσιν ἀναγκαιοτάτην τε καὶ ποθεινοτάτην οὖσαν, καὶ Δελφοὺς οὕτω πάλαι πλουτῆσαι καὶ ἀοιδίμους γενέσθαι καὶ Δῆλον καὶ Κλάρον καὶ Βραγχίδας, τῶν ἀνθρώπων ἀεὶ δι' οὓς προεῖπον τυράννους, τὴν ἐλπίδα καὶ τὸν φόβον, φοιτώντων ἐς τὰ ἱερὰ καὶ προμαθεῖν τὰ μέλλοντα δεομένων καὶ δι' αὐτὸ ἑκατόμβας θυόντων καὶ χρυσᾶς πλίνθους ἀνατιθέντων. Ταῦτα πρὸς ἀλλήλους στρέφοντες καὶ κυκῶντες μαντεῖον συστήσασθαι καὶ χρηστήριον ἐβουλεύοντο· εἰ γὰρ τοῦτο προχωρήσειεν αὐτοῖς, αὐτίκα πλούσιοί τε καὶ εὐδαίμονες ἔσεσθαι ἤλπιζον, ὅπερ ἐπὶ μεῖζον ἢ κατὰ τὴν πρώτην προσδοκίαν ἀπήντησεν αὐτοῖς καὶ κρεῖττον διεφάνη τῆν ἐλπίδος.

9. Τοὐντεῦθεν τὴν σκέψιν ἐποιοῦντο, πρῶτον μὲν περὶ τοῦ χωρίου, δεύτερον δὲ ἥτις ἡ ἀρχὴ καὶ ὁ τρόπος ἂν γένοιτο τῆς ἐπιχειρήσεως. Ὁ μὲν οὖν Κοκκωνᾶς τὴν Χαλκηδόνα ἐδοκίμαζεν ἐπιτήδειον εἶναι, ὡς ἐμπόρων χωρίον τῇ τε Θρᾴκῃ καὶ τῇ Βιθυνίᾳ πρόσοικον, οὐχ ἑκὰς οὐδὲ τῆς Ἀσίας καὶ Γαλατίας καὶ τῶν ὑπερκειμένων ἐθνῶν ἁπάντων· ὁ δὲ Ἀλέξανδρος ἔμπαλιν τὰ οἴκοι προὔκρινε λέγων ὅπερ ἀληθὲς ἦν, πρὸς τὴν τῶν τοιούτων ἀρχὴν καὶ ἐπιχείρησιν ἀνθρώπων δεῖν παχέων καὶ ἠλιθίων τῶν ὑποδεξομένων, οἵους τοὺς Παφλαγόνας εἶναι ἔφασκεν ὑπεροικοῦντας τὸ τοῦ Ἀβώνου τεῖχος, δεισιδαίμονας τοὺς πολλοὺς καὶ πλουσίους, καὶ μόνον εἰ φανείη τις αὐλητὴν ἢ τυμπανιστὴν ἢ κυμβάλοις κροτοῦντα ἐπαγόμενος, κοσκίνῳ τὸ τοῦ λόγου μαντευόμενος, αὐτίκα μάλα πάντας κεχηνότας πρὸς αὐτὸν καὶ ὥσπερ τινὰ τῶν ἐπουρανίων προσβλέποντας.

10. Ὀλίγης δὲ περὶ τοῦτο στάσεως αὐτοῖς γενομένης τέλος ἐνίκησεν ὁ Ἀλέξανδρος, καὶ ἀφικόμενοι ἐς

divitem, effœtam illam quidem, sed quæ amabilis etiamnum esse vellet, quum invenissent, annonæ quantum opus esset ab illa nacti, e Bithynia illam in Macedoniam secuti sunt. Ex Pella autem ea fuit, beato quondam oppido Macedonum regum temporibus, jam vero perpaucos eosque humiles cives habente.

7. Hic visis draconibus ingenti specie, mansuetis plane et cicuribus, qui etiam alerentur a mulieribus, et jacerent cum pueris, et calcari se paterentur, atque urgeri non ægre ferrent, et infantum instar lac e mamma sugerent (multi autem tales apud illos nascuntur, unde etiam illam de Olympiade fabulam olim exiisse probabile est, quum Alexandrum utero ferret, tali, puto, angue cum illa cubante), emunt horum serpentium unum pulcherrimum paucis obolis.

8. Et hinc, ut ait Thucydides, jam belli principia. Tanquam enim pessimi duo mortales et audacissimi et ad maleficium promtissimi, societatem coeuntes, facile intelligebant, a duobus hisce maximis quasi tyrannis vitam regi, spe et metu, eumque, qui alterutro horum, prout opus sit, uti queat, ad divitias celeriter perventurum. In utroque enim horum, quando vel metueretur vel sperare tur, videbant futuri scientiam et maxime necessariam et inprimis desiderabilem esse : eaque ipsa ratione Delphos olim divites factos esse atque celebres, et Delum, et Clarum, et Branchidas, hominibus semper propter eos quos dixi tyrannos, spem ac metum, ad templa euntibus, et prædiscere futura cupientibus, ac propter ipsum hecatombas sacrificantibus, et aureos lateres dedicantibus. Hæc inter se versantes ac miscentes, de oraculo constituendo deliberabant. Hoc enim si sibi processisset, statim se divites ac beatos sperabant futuros; quæ quidem res magis illis, quam pro prima exspectatione, successit, et spe melior apparuit.

9. Hinc dispiciebant primum de loco, deinde quod principium, quæ ratio esset incepti. Cocconas quidem Chalcedonem judicabat aptam, quod commercia multa haberet, atque Thraciæ pariter ac Bithyniæ esset contermina, nec procul distaret Asia, nec Gallogræci, gentesque quæ superjacent omnes. Vicissim Alexander suam patriam præferre, dicens quod verum erat, ad talium rerum initia et conatum *opus esse hominibus pinguibus et stupidis qui recepturi* sint, quales esse Paphlagonas dicebat, eos qui supra Aboni castrum habitarent, superstitiosos plerosque et divites; quibus si quis modo se ostendat tibicinem, aut tympanistam, aut strepentem cymbalis secum ducens, qui cribro, ut in proverbio est, vaticinetur, statim omnes hianti ore et tanquam cœlestium quendam, illum aspiciant.

10. Hac de re quum aliquamdiu dissedissent, vincit tandem Alexander : ac delati Chalcedonem (nam utile tamen

τὴν Χαλκηδόνα — χρήσιμον γάρ τι ὅμως ἡ πόλις αὐτοῖς ἔχειν ἔδοξε — τοῦ Ἀπόλλωνος ἐν τῷ ἱερῷ, ὅπερ ἀρχαιότατόν ἐστι τοῖς Χαλκηδονίοις, κατορύττουσι δέλτους χαλκᾶς, λεγούσας ὡς αὐτίκα μάλα ὁ Ἀσκληπιὸς σὺν τῷ πατρὶ Ἀπόλλωνι μέτεισιν ἐς τὸν Πόντον καὶ καθέξει τὸ τοῦ Ἀβώνου τεῖχος. Αὗται αἱ δέλτοι ἐξεπίτηδες εὑρεθεῖσαι διαφοιτῆσαι ῥᾳδίως τοῦτον τὸν λόγον ἐς πᾶσαν τὴν Βιθυνίαν καὶ τὸν Πόντον ἐποίησαν, καὶ πολὺ πρὸ τῶν ἄλλων ἐς τὸ τοῦ Ἀβώνου τεῖχος· ἐκεῖνοι γοῦν καὶ νεὼν αὐτίκα ἐψηφίσαντο ἐγεῖραι καὶ τοὺς θεμελίους ἤδη ἔσκαπτον. Κάνταῦθα ὁ μὲν Κοκκωνᾶς ἐν Χαλκηδόνι καταλείπεται, διττούς τινας καὶ ἀμφιβόλους καὶ λοξοὺς χρησμοὺς συγγράφων. Καὶ μετ' ὀλίγον ἐτελεύτησε τὸν βίον ὑπὸ ἐχίδνης οἶμαι δηχθείς.

11. Προεισπέμπεται δὲ ὁ Ἀλέξανδρος κομῶν ἤδη καὶ πλοκάμους καθειμένος καὶ μεσόλευκον χιτῶνα πορφυροῦν ἐνδεδυκὼς καὶ ἱμάτιον ὑπὲρ αὐτοῦ λευκὸν ἀναβεβλημένος ἅρπην ἔχων κατὰ τὸν Περσέα, ἀφ' οὗ ἑαυτὸν ἐγενεαλόγει μητρόθεν, καὶ οἱ ὄλεθροι ἐκεῖνοι Παφλαγόνες εἰδότες αὐτοῦ ἄμφω τοὺς γονέας ἀφανεῖς καὶ ταπεινοὺς ἐπίστευον τῷ χρησμῷ λέγοντι

> Περσείδης γενεὴν Φοίβῳ φίλος οὗτος ὁρᾶται,
> δῖος Ἀλέξανδρος, Ποδαλειρίου αἷμα λελογχώς.

Οὕτως ἄρα ὁ Ποδαλείριος μάχλος καὶ γυναικομανὴς τὴν φύσιν, ὡς ἀπὸ Τρίκκης ἄχρι Παφλαγονίας στύεσθαι ἐπὶ τὴν Ἀλεξάνδρου μητέρα. Εὕρητο δὲ χρησμὸς ἤδη ὡς Σιβύλλης προμαντευσαμένης·

> Εὐξείνου Πόντοιο παρ' ἠόσιν ἄγχι Σινώπης
> ἔσται τις κατὰ Τύρσιν ὑπ' Αὐσονίοισι προφήτης,
> ἐκ πρώτης δεικνὺς μονάδος τρισσῶν δεκάδων τε
> πένθ' ἑτέρας μονάδας καὶ εἰκοσάδα τρισάριθμον,
> ἀνδρὸς ἀλεξητῆρος ὁμωνυμίην τετράκυκλον.

12. Ἐσβαλὼν οὖν ὁ Ἀλέξανδρος μετὰ τοιαύτης τραγῳδίας διὰ πολλοῦ ἐς τὴν πατρίδα περίβλεπτός τε καὶ λαμπρὸς ἦν, μεμηνέναι προσποιούμενος καὶ ἀφροῦ ἐνίοτε ὑποπιμπλάμενος τὸ στόμα· ῥᾳδίως δὲ τοῦτο ὑπῆρχεν αὐτῷ, στρουθίου τῆς βαφικῆς βοτάνης τὴν ῥίζαν διαμασησαμένῳ· τοῖς δὲ θεῖόν τι καὶ φοβερὸν ἐδόκει καὶ ὁ ἀφρός. Ἐπεποίητο δὲ αὐτοῖς πάλαι καὶ κατεσκεύαστο κεφαλὴ δράκοντος ὀθονίνη ἀνθρωπόμορφόν τι ἐπιφαίνουσα, κατάγραφος, πάνυ εἰκασμένη, ὑπὸ θριξὶν ἱππείαις ἀνοίγουσά τε καὶ αὖθις ἐπικλείουσα τὸ στόμα, καὶ γλῶττα οἵα δράκοντος διττὴ μέλαινα προέκυπτεν, ὑπὸ τριχῶν καὶ αὐτὴ ἑλκομένη. Καὶ ὁ Πελλαῖος δὲ δράκων προϋπῆρχε καὶ οἴκοι ἐτρέφετο, κατὰ καιρὸν ἐπιφανησόμενος αὐτοῖς καὶ συντραγῳδήσων, μᾶλλον δὲ πρωταγωνιστὴς ἐσόμενος.

13. Ἤδη δὲ ἄρχεσθαι δέον, μηχανᾶται τοιόνδε τι· νύκτωρ γὰρ ἐλθὼν ἐπὶ τοὺς θεμελίους τοῦ νεὼ τοὺς ἄρτι ὀρυττομένους — συνειστήκει δὲ ἐν αὐτοῖς ὕδωρ ἢ αὐτόθεν ποθὲν συλλειβόμενον ἢ ἐξ οὐρανοῦ πεσόν — ἐνταῦθα κατατίθεται χήνειον ᾠὸν προκεχενωμένον, ἔνδον φυλάττον ἑρπετόν τι ἀρτιγέννητον, καὶ βυθίσας τοῦτο ἐν μυχῷ τοῦ πηλοῦ ὀπίσω αὖθις ἀπηλλάττετο.

aliquid urbs ea habere illis visa est) in templo Apollinis, quod antiquissimum est Chalcedonensibus, tabulas defodiunt æneas, in quibus scriptum esset, propediem Æsculapium cum patre suo Apolline in Pontum adventurum esse, et Aboni castrum inhabitaturum. Hæ tabulæ dedita opera inventæ facile hunc sermonem per universam Bithyniam atque Pontum distulere, et multum ante alias urbes, ad Aboni castrum. Illi igitur et templum statim excitare decreverunt, et fundamentis fossam jam fodiebant. Interim Cocconas quidem Chalcedone relinquitur, ambigua quædam et duplicia atque perplexa oracula scribens : necque ita multo post diem supremum obiit, morsus, opinor, a vipera.

11. Præmittitur autem Alexander jam comatus, demissisque cincinnis, tunicam indutus purpuream ex albo virgatam, et pallium superinjectum gerens candidum, falcem gestans instar Persei, a quo maternum genus deducebat. Et perditi illi Paphlagones, qui scirent illius parentes humiles ambos atque ignobiles, oraculo credidere dicenti,

> Persides genus hic, Phœbo carusque, videtur,
> divus Alexander, Podalirii sanguine cretus.

Adeo igitur Podalirius libidinosus et natura ad furorem usque mulierum cupidus, ut a Tricca inde usque in Paphlagoniam in Alexandri matrem arrexerit. Inventum autem jam erat oraculum quasi Sibyllæ prædicentis :

> Littora ad Euxini Ponti vicina Sinopæ,
> ad Turres erit Ausonio sub rege propheta,
> post primam ostendens monadem, ternas decadasque,
> quinque alias monadas, viginti et ter numerata :
> nomen Alexeteris habens ex orbe quaterno.

12. Irruens igitur cum hac histrionia Alexander post longum tempus in patriam suam, conspicuus erat et splendidus, furere interdum se simulans, et spuma os oppletum habens, quod facile illi contingebat, struthii, tinctoriæ herbæ, radicem mandenti : at illis divinum quiddam et terribile spuma illa videbatur. Factum autem illis et præparatum olim erat caput draconis linteum, humanæ formæ affine quiddam habens, pictum, accurate assimilatum, per setas equinas aperiens os et iterum claudens; et lingua qualis serpentum, bisulca, nigra, prominebat, setis et ipsa mobilis. Pellæus autem ille draco ipsis jam ante fuerat, et domi alebatur, suo tempore appariturus illis et adjuturus tragœdiam, vel primarum potius partium ipse actor futurus.

13. Quum jam faciendum esset initium, tale quid machinatur. Accedens noctu ad fundamenta templi recens effossa, in quibus aqua constiterat, vel ibidem undecumque collecta, vel cœlestis, deponit ibidem anserinum ovum ante excavatum, in quo inclusus serpens recens natus. Hoc in recessu quodam luti defixo, domum redit. Postridie vero

Ἔωθεν δὲ γυμνὸς ἐς τὴν ἀγορὰν προπηδήσας, διάζωμα δὲ περὶ τὸ αἰδοῖον ἔχων κατάχρυσον, καὶ τοῦτο καὶ τὴν ἅρπην ἐκείνην φέρων, σείων ἅμα τὴν κόμην ἄνετον ὥσπερ οἱ τῇ μητρὶ ἀγείροντές τε καὶ ἐνθεαζόμενοι, ἐδημηγόρει ἐπὶ βωμόν τινα ὑψηλὸν ἀναβὰς καὶ τὴν πόλιν ἐμακάριζεν αὐτίκα μάλα δεξομένην ἐναργῆ τὸν θεόν. Οἱ παρόντες δὲ — ξυνδεδραμήκει γὰρ σχεδὸν ἅπασα ἡ πόλις ἅμα γυναιξὶ καὶ γέρουσι καὶ παιδίοις — ἐτεθήπεσαν καὶ ηὔχοντο καὶ προσεκύνουν. Ὁ δὲ ῥωνάς τινας ἀσήμους φθεγγόμενος, οἷαι γένοιντ' ἂν Ἑβραίων ἢ Φοινίκων, ἐξέπληττε τοὺς ἀνθρώπους οὐκ εἰδότας ὅ τι καὶ λέγοι, πλὴν τοῦτο μόνον, ὅτι πᾶσιν ἐγκατεμίγνυ τὸν Ἀπόλλω καὶ τὸν Ἀσκληπιόν.

14. Εἶτ' ἔθει δρόμῳ ἐπὶ τὸν ἐσόμενον νεών· καὶ ἐπὶ τὸ ὄρυγμα ἐλθὼν καὶ τὴν προῳκοδομημένην τοῦ χρηστηρίου πηγὴν, ἐμβὰς ἐς τὸ ὕδωρ ὕμνους τε ᾖδεν Ἀσκληπιοῦ καὶ Ἀπόλλωνος μεγάλῃ τῇ φωνῇ καὶ ἐκάλει τὸν θεὸν ἥκειν τύχῃ τῇ ἀγαθῇ ἐς τὴν πόλιν. Εἶτα φιάλην αἰτήσας, ἀναδόντος τινὸς, ῥᾳδίως ὑποβαλὼν ἀνιμᾶται μετὰ τοῦ ὕδατος καὶ τοῦ πηλοῦ τὸ ᾠὸν ἐκεῖνο, ἐν ᾧ ὁ θεὸς αὐτῷ κατεκέκλειστο, κηρῷ λευκῷ καὶ ψιμυθίῳ τὴν ἁρμογὴν τοῦ στόματος ξυγκεκολλημένον· καὶ λαβὼν αὐτὸ ἐς τὰς χεῖρας ἔχειν ἔφασκεν ἤδη τὸν Ἀσκληπιόν. Οἱ δὲ ἀτενὲς ἀπέβλεπον ὅ τι καὶ γίγνοιτο, πολὺ πρότερον θαυμάσαντες τὸ ᾠὸν ἐν τῷ ὕδατι εὑρημένον. Ἐπεὶ δὲ καὶ καταξας αὐτὸ ἐς κοίλην τὴν χεῖρα ὑπεδέξατο τὸ τοῦ ἑρπετοῦ ἐκείνου ἔμβρυον καὶ οἱ παρόντες εἶδον κινούμενον καὶ περὶ τοῖς δακτύλοις εἱλούμενον, ἀνέκραγον εὐθὺς καὶ ἠσπάζοντο τὸν θεὸν καὶ τὴν πόλιν ἐμακάριζον καὶ χανδὸν ἕκαστος ἐνεπίμπλαντο τῶν εὐχῶν, θησαυροὺς καὶ πλούτους καὶ ὑγίειαν καὶ τὰ ἄλλα ἀγαθὰ αἰτῶν παρ' αὐτοῦ. Ὁ δὲ δρομαῖος αὖθις ἐπὶ τὴν οἰκίαν ἵετο φέρων ἅμα καὶ τὸν ἀρτιγέννητον Ἀσκληπιὸν ὃς τεχθέντα, ὅτε ἄλλοι ἅπαξ τίκτονται ἄνθρωποι, οὐκ ἐκ Κορωνίδος μὰ Δί' οὐδέ γε κορώνης, ἀλλ' ἐκ χηνὸς γεγεννημένον. Ὁ δὲ λεὼς ἅπας ἠκολούθει, πάντες ἔνθεοι καὶ μεμηνότες ὑπὸ τῶν ἐλπίδων.

15. Ἡμέρας μὲν οὖν οἶκοι ἔμεινεν ἐλπίζων ὅπερ ἦν, ὑπὸ τῆς φήμης αὐτίκα μάλα παμπόλλους τῶν Παφλαγόνων συνδραμεῖσθαι. Ἐπεὶ δὲ ὑπερεπέπληστο ἀνθρώπων ἡ πόλις, ἁπάντων τοὺς ἐγκεφάλους καὶ τὰς καρδίας προεξῃρημένων οὐδὲν ἐοικότων σιτοφάγοις ἀνδράσιν, ἀλλὰ μόνῃ τῇ μορφῇ μὴ οὐχὶ πρόβατα εἶναι διαφερόντων, ἐν οἰκίσκῳ τινὶ ἐπὶ κλίνης καθεζόμενος μάλα θεοπρεπῶς ἐσταλμένος ἐλάμβανεν ἐς τὸν κόλπον τὸν Ἑλλαῖον ἐκεῖνον Ἀσκληπιὸν, μέγιστόν τε καὶ κάλλιστον, ὡς ἔφην, ὄντα, καὶ ὅλον τῷ αὐτοῦ τραχήλῳ περιειλήσας καὶ τὴν οὐρὰν ἔξω ἀφείς — πολὺς δὲ ἦν, ὡς καὶ ἐν τῷ προκολπίῳ προκεχύσθαι αὐτοῦ καὶ χαμαὶ τὸ μέρος ἐπισύρεσθαι — μόνην τὴν κεφαλὴν ὑπὸ μάλης ἔχων καὶ ἀποκρύπτων, ἀνεχομένου πάντα ἐκείνου, προὔφαινε τὴν ὀθονίνην κεφαλὴν κατὰ θάτερον τοῦ πώγωνος, ὡς δῆθεν ἐκείνου τοῦ φαινομένου πάντως οὖσαν.

mane nudus in forum prosiliens, segestri circa pudenda vinctus aureo, hoc et illam falcem gestans, solutam simul comam quatiens, ut qui matri deorum stipem colligunt fanatici, concionabatur conscenso altari quodam excelso et beatam urbem prædicabat, quæ præsentem jam statim deum susceptura esset. Qui præsentes erant (concurrerat autem tota fere civitas cum mulieribus, senibus, pueris) stupere, precari, adorare. At ille vocibus quibusdam prolatis obscuris, quales fuerint forte Hebræorum aut Phœnicum, percellebat homines, quid sibi vellet nescientes, præter illud solum, quod omnibus immiscebat Apollinem et Æsculapium.

14. Tum curriculo petit futurum templum, delatusque ad fossam structamque ante oraculi scaturiginem, in aquam ingressus, hymnosque magna voce canebat Æsculapii et Apollinis, deumque faustis auspiciis in urbem ut veniret invocabat. Tum phialam poscit, quam quum dedisset aliquis, facile subjicit, hauritque cum aqua et luto ovum illud, in quo deum ipse incluserat, commissuris aperturæ cera alba et cerussa conglutinatis. Hoc in manus sumto, habere se jam proclamat Æsculapium. At illi defixis oculis videre quid tandem fieret, qui multum ante jam admirati essent ovum in aqua inventum. Quum vero fracto illo in cavam manum susciperet fœtum serpentis illius, viderentque præsentes moveri illum et circa digitos volvi, exclamant statim, et deum salutant et beatam civitatem prædicant, et magno hiatu omnes plenisque faucibus precantur, thesauros, divitias, sanitatem, bona reliqua ab eo sibi quisque expetunt. At ille curriculo rursus domum repetit, ferens secum etiam recens natum Æsculapium, bis natum, quum alii semel tantum nascantur homines, non ex Coronide, medius fidius, aut ex cornice, sed ex ansere procreatum. Populus autem universus sequitur, fanatico omnes instinctu pleni et præ spe furentes.

15. Dies igitur aliquot domi manet, sperans futurum quod res erat, ut a fama illa plurimi mox Paphlagones concurrerent. Quum autem supra modum plena hominibus urbs esset, quibus jam ante cerebra pariter et corda exemta essent, ac nulla cum hominibus frumento vesci solitis similitudo, sed qui sola forma ab ovibus distinguerentur, in quadam ædicula in lecto assidens, vestitu, qui plane deum deceret, longo indutus, sinu suscipit Pellæum illum Æsculapium, maximum, ut dixi, pulcherrimumque : ac totum suæ cervici circumponens, cauda extra vestem relicta (adeo autem magnus erat draco, ut et in gremio ipsius provolutus jaceret, et humi pars ipsius traheretur), caput solum sub ala habens et abscondens, sustinente illo omnia, linteum illud caput ab altera parte barbæ protendit, quasi nimirum illius draconis, qui videndum se præbebat, omnino esset.

16. Εἶτά μοι ἐπινόησον οἰκίσκον οὐ πάνυ φαιδρὸν οὐδὲ ἐς κόρον τοῦ φωτὸς δεχόμενον καὶ πλῆθος ἀνθρώπων συγκλύδων τεταραγμένων καὶ προεκπεπληγμένων καὶ ταῖς ἐλπίσιν ἐπαιωρουμένων, οἷς ἐσελθοῦσι τεράστιον ὡς εἰκὸς τὸ πρᾶγμα ἐφαίνετο, ἐκ τοῦ τέως μικροῦ ἑρπετοῦ ἐντὸς ὀλίγων ἡμερῶν τοσοῦτον δράκοντα πεφηνέναι, ἀνθρωπόμορφον καὶ ταῦτα καὶ τιθασόν. Ἠπείγοντο δὲ αὐτίκα πρὸς τὴν ἔξοδον, καὶ πρὶν ἀκριβῶς ἰδεῖν, ἐξηλαύνοντο ὑπὸ τῶν ἀεὶ ἐπεισιόντων. Ἐτετρύπητο δὲ κατὰ τὸ ἀντίθυρον ἄλλη ἔξοδος, οἷόν τι καὶ τοὺς Μακεδόνας ἐν Βαβυλῶνι ποιῆσαι ἐπ' Ἀλεξάνδρῳ νοσοῦντι λόγος, ὅτε ὁ μὲν ἤδη πονήρως εἶχεν, οἱ δὲ περιστάντες τὰ βασίλεια ἐπόθουν ἰδεῖν αὐτὸν καὶ προσειπεῖν τὸ ὕστατον. Τὴν δὲ ἐπίδειξιν ταύτην οὐχ ἅπαξ ὁ μιαρὸς, ἀλλὰ πολλάκις ποιῆσαί λέγεται, καὶ μάλιστα εἴ τινες τῶν πλουσίων ἀφίκοιντο νεαλέστεροι.

17. Ἐνταῦθα, ὦ φίλε Κέλσε, εἰ δεῖ τἀληθῆ λέγειν, συγγνώμην χρὴ ἀπονέμειν τοῖς Παφλαγόσι καὶ Ποντικοῖς ἐκείνοις, παχέσι καὶ ἀπαιδεύτοις ἀνθρώποις, εἰ ἐξηπατήθησαν ἁπτόμενοι τοῦ δράκοντος — καὶ γὰρ τοῦτο παρεῖχε τοῖς βουλομένοις ὁ Ἀλέξανδρος — ὁρῶντες ἐν ἀμυδρῷ τῷ φωτὶ τὴν κεφαλὴν δῆθεν αὐτοῦ ἀνοίγουσάν τε καὶ συγκλείουσαν τὸ στόμα, ὥστε πάνυ τὸ μηχάνημα ἐδεῖτο Δημοκρίτου τινὸς ἢ καὶ αὐτοῦ Ἐπικούρου ἢ Μητροδώρου ἤ τινος ἄλλου ἀδαμαντίνην πρὸς ταῦτα καὶ τὰ τοιαῦτα τὴν γνώμην ἔχοντος, ὡς ἀπιστῆσαι καὶ ὅπερ ἦν εἰκάσαι, καὶ εἰ μὴ εὑρεῖν τὸν τρόπον ἐδύνατο, ἐκεῖνο γοῦν προπεπεισμένου, ὅτι λέληθεν αὐτὸν ὁ τρόπος τῆς μαγγανείας, τὸ δ' οὖν πᾶν ψεῦδός ἐστι καὶ γενέσθαι ἀδύνατον.

18. Κατ' ὀλίγον οὖν καὶ ἡ Βιθυνία καὶ ἡ Γαλατία καὶ ἡ Θρᾴκη συνέρρει, ἑκάστου τῶν ἀπαγγελλόντων ὡς τὸ εἰκὸς λέγοντος ὡς καὶ γεννώμενον ἴδοι τὸν θεὸν καὶ ὕστερον ἄψαιτο μετ' ὀλίγον παμμεγέθους αὐτοῦ γεγενημένου καὶ τὸ πρόσωπον ἀνθρώπῳ ἐοικότος. Γραφαί τε ἐπὶ τούτῳ καὶ εἰκόνες καὶ ξόανα, τὰ μὲν ἐκ χαλκοῦ, τὰ δὲ ἐξ ἀργύρου εἰκασμένα, καὶ ὄνομά γε τῷ θεῷ ἐπιτεθέν· Γλύκων γὰρ ἐκαλεῖτο ἔκ τινος ἐμμέτρου καὶ θείου προστάγματος· ἀνεφώνησε γὰρ ὁ Ἀλέξανδρος

Εἰμὶ Γλύκων, τρίτον αἷμα Διός, φάος ἀνθρώποισι.

19. Καὶ ἐπειδὴ καιρὸς ἦν, οὗπερ ἕνεκα τὰ πάντα ἐμεμηχάνητο, καὶ χρᾶν τοῖς δεομένοις καὶ θεσπίζειν παρ' Ἀμφιλόχου τοῦ ἐν Κιλικίᾳ τὸ ἐνδόσιμον λαβών — καὶ γὰρ ἐκεῖνος μετὰ τὴν τοῦ πατρὸς τελευτὴν τοῦ Ἀμφιάρεω καὶ τὸν ἐν Θήβαις ἀφανισμὸν αὐτοῦ ἐκπεσὼν τῆς οἰκίας ἐς τὴν Κιλικίαν ἀφικόμενος οὐ πονήρως ἀπῄλλαξε προθεσπίζων καὶ αὐτὸς τοῖς Κίλιξι τὰ μέλλοντα καὶ δύ' ὀβολοὺς ἐφ' ἑκάστῳ χρησμῷ λαμβάνων — ἐκεῖθεν οὖν τὸ ἐνδόσιμον λαβὼν ὁ Ἀλέξανδρος προλέγει πᾶσι τοῖς ἀφικομένοις ὡς μαντεύσεται ὁ θεὸς ῥητήν τινα ἡμέραν. Ἐκέλευσε δὲ ἕκαστον, οὗ δέοιτ'

16. Tum cogita mihi ædiculam non omnino illustrem, neque quantum satis est lucis capientem, et multitudinem hominum confluentium, perturbatorum, et jam ante admiratione perculsorum, et ad spes sublatorum, quibus ad primum ingressum portentosa, nec immerito, res videbatur, ex parvo tum serpente intra paucos dies draconem tantum prodiisse, eumque humana forma capitis et mansuetum. Urgebantur autem statim ad exitum, et antequam accurate vidissent, exigebantur ab his qui novi semper accederent. Perforatus autem fuerat e regione januæ exitus alius, quale quid Macedonas Babylone fecisse, ægrotante Alexandro, sermo est, quum ille male jam haberet, isti vero regiam circumstantes videre illum desiderarent, et ultimum alloqui. Ceterum hanc ostensionem non semel impurus homo, sed sæpe fecisse dicitur, præsertim si qui ex divitibus advenissent adhuc integri.

17. Hic, mi Celse, si verum dicendum est, ignoscere par est Paphlagonibus illis et Ponticis, pingui ingenio et ineruditis hominibus, si contacto ipsi dracone (nam hoc quoque volentibus dabat Alexander) decepti sunt, quum viderent in tenui luce caput scilicet ipsius, aperiens pariter os et claudens : adeo ut plane indigeret machinatio illa Democrito quodam, aut ipso Epicuro, aut Metrodoro, aut alio quodam, invictam ad hæc et talia mentem habente, qui diffideret, et quod res esset conjiceret, et si ipsum invenire modum non posset, at illud certe jam ante persuasum haberet, licet ipsum ratio præstigiarum fugiat, totum tamen hoc mendacium esse, ac fieri non posse.

18. Paullatim igitur et Bithynia, et Gallogræcia, et Thracia confluxit, unoquoque renunciantium, ut credere par est, dicente, et nascentem a se visum deum, et postea contactum, quum ingens brevi tempore interjecto factus esset et vultum haberet humano similem. Super hæc picturæ, et imagines, et simulacra, ex ære partim, partim ex argento assimilata, et nomen deo impositum : Glycon enim appellabatur, ex divino jussu carmine concluso. Exclamarat enim Alexander :

Tertius ecce, Glycon, sanguis Jovis, atque hominum lux.

19. Et quum tempus esset ejus rei, propter quam instituta fuerant omnia, nimirum oracula edendi rogantibus ac vaticinandi, præcentorem quasi secutus Amphilochum, qui in Cilicia colitur (etenim ille quoque post Amphiarai patris mortem, quum ad Thebas ille periisset, ejectus domo et in Ciliciam delatus, non male rem gessit, prædicens et ipse futura Cilicibus, et duos pro unoquoque oraculo obolos accipiens) : ab hoc igitur quasi cantus initio accepto, Alexander advenientibus omnibus denuntiat, oracula redditurum deum præstituto quodam die. Jubet autem unumquemque,

ἂν καὶ ὁ μάλιστα μαθεῖν ἐθέλοι, ἐς βιβλίον ἐγγράψαντα καταρράψαι τε καὶ κατασημήνασθαι κηρῷ ἢ πηλῷ ἢ ἄλλῳ τοιούτῳ· αὐτὸς δὲ λαβὼν τὰ βιβλία καὶ ἐς τὸ ἄδυτον κατελθών — ἤδη γὰρ ὁ νεὼς ἐγήγερτο καὶ ἡ σκηνὴ παρεσκεύαστο — καλέσειν ἔμελλε κατὰ τάξιν τοὺς δεδωκότας ὑπὸ κήρυκι καὶ θεολόγῳ, καὶ παρὰ τοῦ θεοῦ ἀκούων ἕκαστα τὸ μὲν βιβλίον ἀποδώσειν σεσημασμένον ὡς εἶχε, τὴν δὲ πρὸς αὐτὸ ἀπόκρισιν ὑπογεγραμμένην, πρὸς ἕπος ἀμειβομένου τοῦ θεοῦ περὶ ὅτου τις ἔροιτο.

20. Ἦν δὲ τὸ μηχάνημα τοῦτο ἀνδρὶ μὲν οἷῳ σοί, εἰ δὲ μὴ φορτικὸν εἰπεῖν, καὶ οἷῳ ἐμοί, πρόδηλον καὶ γνῶμαι ῥᾴδιον, τοῖς δὲ ἰδιώταις καὶ κορύζης μεστοῖς τὴν ῥῖνα τεράστιον καὶ πάνυ ἀπίστῳ ὅμοιον. Ἐπινοήσας γὰρ ποικίλας τῶν σφραγίδων τὰς λύσεις ἀνεγίγνωσκέ τε τὰς ἐρωτήσεις ἑκάστας καὶ τὰ δοκοῦντα πρὸς αὐτὰς ἀπεκρίνετο, εἶτα κατειλήσας αὖθις καὶ σημηνάμενος ἀπεδίδου μετὰ πολλοῦ θαύματος τοῖς λαμβάνουσι. Καὶ πολὺ ἦν παρ' αὐτοῖς τὸ, Πόθεν γὰρ οὗτος ἠπίστατο ἃ ἐγὼ πάνυ ἀσφαλῶς σημηνάμενος αὐτῷ ἔδωκα ὑπὸ σφραγῖσι δυσμιμήτοις, εἰ μὴ θεός τις ὡς ἀληθῶς ὁ πάντα γιγνώσκων ἦν;

21. Τίνες οὖν αἱ ἐπίνοιαι, ἴσως ἐρήσῃ με. Ἄκουε τοίνυν, ὡς ἔχοις ἐλέγχειν τὰ τοιαῦτα. Ἡ πρώτη μὲν ἐκείνη, ὦ φίλτατε Κέλσε· βελόνην πυρώσας τὸ ὑπὸ τὴν σφραγῖδα μέρος τοῦ κηροῦ διατήκων ἐξῄρει καὶ μετὰ τὴν ἀνάγνωσιν τῇ βελόνῃ αὖθις ἐπιχλιάνας τὸν κηρὸν, τόν τε κάτω ὑπὸ τῷ λίνῳ καὶ τὸν αὐτὴν τὴν σφραγῖδα ἔχοντα, ῥᾳδίως συνεκόλλα. Ἕτερος δὲ τρόπος ὁ διὰ τοῦ λεγομένου κολλυρίου· σκευαστὸν δὲ τοῦτό ἐστιν ἐκ πίττης Βρυττίας καὶ ἀσφάλτου καὶ λίθου τοῦ διαφανοῦς τετριμμένου καὶ κηροῦ καὶ μαστίχης· ἐκ γὰρ τούτων ἁπάντων ἀναπλάσας τὸ κολλύριον καὶ θερμήνας πυρὶ σιάλῳ τὴν σφραγῖδα προχρίσας ἐπετίθει καὶ ἀπέματτε τὸν τύπον. Εἶτα αὐτίκα ξηροῦ ἐκείνου γενομένου, λύσας ῥᾳδίως καὶ διαναγνοὺς ἐπιθεὶς τὸν κηρὸν ἀπετύπου ὥσπερ ἐκ λίθου τὴν αὐτὴν σφραγῖδα εὖ μάλα τῷ ἀρχετύπῳ ἐοικυῖαν. Τρίτον ἄλλο πρὸς τούτοις ἄκουσον· τιτάνου γὰρ ἐς κόλλαν ἐμβαλὼν, ᾗ κολλῶσι τὰ βιβλία, καὶ κηρὸν ἐκ τούτου ποιήσας ἔτι ὑγρὸν ὄντα ἐπετίθει τῇ σφραγῖδι καὶ ἀφελών — αὐτίκα δὲ ξηρὸν γίγνεται καὶ κέρατος, μᾶλλον δὲ σιδήρου παγιώτερον — τούτῳ δὴ ἐχρῆτο πρὸς τὸν τύπον. Ἔστι δὲ καὶ ἄλλα πολλὰ πρὸς τοῦτο ἐπινενοημένα, ὧν οὐκ ἀναγκαῖον μεμνῆσθαι ἁπάντων, ὡς μὴ ἀπειρόκαλοι εἶναι δοκοίημεν, καὶ μάλιστα σοῦ ἐν οἷς κατὰ μάγων συνέγραψας, καλλίστοις τε ἅμα καὶ ὠφελιμωτάτοις συγγράμμασι καὶ δυναμένοις σωφρονίζειν τοὺς ἐντυγχάνοντας, ἱκανὰ παραθεμένου καὶ πολλῷ τούτων πλείονα.

22. Ἔχρα οὖν καὶ ἐθέσπιζε, πολλῇ τῇ συνέσει ἐνταῦθα χρώμενος καὶ τὸ εἰκαστικὸν τῇ ἐπινοίᾳ προσάπτων, τοῖς μὲν λοξὰ καὶ ἀμφίβολα πρὸς τὰς ἐρωτήσεις ἀποκρινόμενος, τοῖς δὲ καὶ πάνυ ἀσαφῆ· χρησμῳδικὸν γὰρ ἐδόκει αὐτῷ καὶ τοῦτο· τοὺς δὲ ἀπέτρεπεν ἢ προῦ-

quod sibi opus sit et quod maxime velit discere, in libellum inscribere, eumque trajectum filo obsignare cera, aut creta, aut id genus re alia. Ipse autem in adytum ubi descenderat (jam enim ædificatum erat templum, et parata scena), ordine vocaturus eo erat per præconem et adhibito theologo, illos qui dedissent, et, auditis quasi a deo omnibus, libellum cuique suum, ut signatus fuit, redditurus, responsumque illius subscriptum, ad verbum respondente deo de quocumque aliquis interrogasset.

20. Erat vero machinatio ista, viro quidem qualis tu, et, si non est indecens dictu, etiam qualis ego sum, manifesta et cognitu facilis; imperitis autem et obesæ ac plenæ pituita naris hominibus prodigiosa, et prorsus incredibili similis. Excogitatis enim diversis solvendi sigilla generibus, legebat interrogationes singulas, et quæ viderentur ad eas respondebat, tum involutas iterum et obsignatas reddebat multa cum admiratione accipientibus : et frequens inter illos hæc erat oratio, Unde enim iste sciret quæ firmiter admodum obsignata ipsi dedi sub sigillis imitatu difficillimis, nisi revera deus esset cognoscens omnia?

21. Quæ sunt igitur, forte me interrogabis, illa commenta? Audi ergo, ut habeas qui convincas talia. Primum, Celse carissime, illud est : acu ignita partem ceræ, quæ infra signum est, ubi liquefecerat, signum ipsum detrahebat, lectoque libello, acus ope liquefactam iterum ceram, tum quæ infra sub lino est, tum eam quæ sigillum ipsum continet, facile conglutinabat. Altera est ratio per illud quod vocatur collyrium : paratur hoc e pice Bruttia, et asphalto, et speculari lapide trito, ceraque et mastiche. Fictum ex his omnibus collyrium, et igni calefactum, in signum, saliva prius madefactum, imponebat, et typum exprimebat : deinde collyrio celeriter siccato, solutas facile tabellas perlegebat; tum cera imposita idem sigillum optime conveniens archetypo tanquam gemma iterum exprimebat. Tertiam aliam præter has rationem audi : calcem glutini, quo libros glutinant, injectam, et in massam ceræ similem redactam, mollem adhuc sigillo imponebat : ablata deinde (nam siccatur statim, et cornu, quin ferro fit solidior) ad exprimendum utebatur. Sunt vero alia etiam multa ad hoc ipsum excogitata, quorum mentionem facere omnium nihil opus est, ne inepti esse videamur; præsertim quum tu in libris, quos contra magos scripsisti, pulcherrimis pariter atque utilissimis, quique prudentes reddere lectores possunt, satis multa proposueris, et multo his nostris plura.

22. Oracula ergo fundebat, et responsa dabat divina, multa hic prudentia usus, et probabilitatem adjungens commentis suis, qui perplexa quibusdam et ambigua responderet ad interrogationes, aliis vero plane obscura : etenim hoc etiam ad oracula pertinere ipsi videbatur : alios autem vel

τρεπεν, ὡς ἂν ἄμεινον ἔδοξεν αὐτῷ εἰκάζοντι, τοῖς δὲ θεραπείας προὔλεγε καὶ διαίτας, εἰδὼς, ὅπερ ἐν ἀρχῇ ἔφην, πολλὰ καὶ χρήσιμα φάρμακα· μάλιστα δὲ ἡδοκίμουν παρ' αὐτῷ αἱ κυτμίδες, ἀκόπου τι ὄνομα πεπλασμένον, ἐκ λίπους αἰγείου συντεθειμένου. Τὰς μέντοι ἐλπίδας καὶ προκοπὰς καὶ κλήρων διαδοχὰς εἰσαῦθις ἀεὶ ἀνεβάλλετο, προστιθεὶς ὅτι ἔσται πάντα, ὁπόταν ἐθελήσω ἐγὼ καὶ Ἀλέξανδρος ὁ προφήτης μου δεηθῇ καὶ εὔξηται ὑπὲρ ὑμῶν.

23. Ἐτέτακτο δὲ καὶ μισθὸς ἐφ' ἑκάστῳ χρησμῷ δραχμὴ καὶ δύ' ὀβολώ. Μὴ μικρὸν δὲ οἰηθῇς, ὦ ἑταῖρε, μηδὲ ὀλίγον γεγενῆσθαι τὸν πόρον τοῦτον, ἀλλ' εἰς ἑπτὰ ἢ ὀκτὼ μυριάδας ἑκάστου ἔτους ἤθροιζεν, ἀνὰ δέκα καὶ πεντεκαίδεκα χρησμοὺς τῶν ἀνθρώπων ὑπὸ ἀπληστίας ἀναδιδόντων. Λαμβάνων δὲ οὐκ αὐτὸς ἐχρῆτο μόνος οὐδ' ἐς πλοῦτον ἀπεθησαύριζεν, ἀλλὰ πολλοὺς ἤδη περὶ αὑτὸν ἔχων συνεργοὺς καὶ ὑπηρέτας καὶ πευθῆνας καὶ χρησμοποιοὺς καὶ χρησμοφύλακας καὶ ὑπογραφέας καὶ ἐπισφραγιστὰς καὶ ἐξηγητὰς ἅπασιν ἔνεμεν ἑκάστῳ τὸ κατ' ἀξίαν.

24. Ἤδη δέ τινας καὶ ἐπὶ τὴν ἀλλοδαπὴν ἐξέπεμπε, φήμας ἐμποιήσοντας τοῖς ἔθνεσιν ὑπὲρ τοῦ μαντείου καὶ διηγησομένους ὡς προείποι καὶ ἀνεύροι δραπέτας καὶ κλέπτας καὶ λῃστὰς ἐξελέγξειε καὶ θησαυροὺς ἀνορύξαι παράσχοι καὶ νοσοῦντας ἰάσαιτο, ἐνίους δὲ καὶ ἤδη ἀποθανόντας ἀναστήσειε. Δρόμος οὖν καὶ ὠθισμὸς ἁπανταχόθεν ἐγίγνετο καὶ θυσίαι καὶ ἀναθήματα, καὶ διπλάσια τῷ προφήτῃ καὶ μαθητῇ τοῦ θεοῦ. Καὶ γὰρ αὖ καὶ οὗτος ἐξέπεσεν ὁ χρησμός·

Τιέμεναι κέλομαι τὸν ἐμὸν θεράποντ' ὑποφήτην·
οὐ γάρ μοι κτεάνων μέλεται ἄγαν, ἀλλ' ὑποφήτου.

25. Ἐπειδὴ δὲ πολλοὶ τῶν νοῦν ἐχόντων ὥσπερ ἐκ μέθης βαθείας ἀνανήφοντες συνίσταντο ἐπ' αὐτὸν καὶ μάλιστα οἱ Ἐπικούρου ἑταῖροι, πολλοὶ δὲ ἦσαν, καὶ ἐν ταῖς πόλεσιν ἐπεφώρατο ῥῆμα ἤδη πᾶσα ἡ μαγγανεία καὶ συσκευὴ τοῦ δράματος, ἐκφέρει φόβητρόν τι ἐπ' αὐτοὺς, λέγων ἀθέων ἐμπεπλῆσθαι καὶ Χριστιανῶν τὸν Πόντον, οἳ περὶ αὐτοῦ τολμῶσι τὰ κάκιστα βλασφημεῖν, οὓς ἐκέλευε λίθοις ἐλαύνειν, εἴ γε ἐθέλουσιν ἵλεων ἔχειν τὸν θεόν. Περὶ δὲ Ἐπικούρου καὶ τοιοῦτόν τινα χρησμὸν ἀπεφθέγξατο· ἐρομένου γάρ τινος τί πράττει ἐν Ἅιδου ὁ Ἐπίκουρος;

Μολυβδίνας (ἔφη) ἔχων πέδας ἐν βορβόρῳ κάθηται.

Εἶτα θαυμάζεις εἰ ἐπὶ μέγα ἦρθη χρηστήριον, ὁρῶν τὰς ἐρωτήσεις τῶν προσιόντων συνετὰς καὶ πεπαιδευμένας; Ὅλως δὲ ἄσπονδος καὶ ἀκήρυκτος αὐτῷ ὁ πόλεμος πρὸς Ἐπίκουρον ἦν· καὶ μάλα εἰκότως. Τίνι γὰρ ἄλλῳ δικαιότερον προσεπολέμει γόης ἄνθρωπος καὶ τερατείᾳ φίλος, ἀληθείᾳ δὲ ἔχθιστος, ἢ Ἐπικούρῳ ἀνδρὶ τὴν φύσιν τῶν πραγμάτων καθεορακότι καὶ μόνῳ τὴν ἐν αὐτοῖς ἀλήθειαν εἰδότι; οἱ μὲν γὰρ ἀμφὶ τὸν Πλάτωνα καὶ Χρύσιππον καὶ Πυθαγόραν φίλοι καὶ εἰρήνη βαθεῖα πρὸς ἐκείνους ἦν· ὁ δὲ ἄτεγκτος Ἐπίκουρος — dehortabatur, vel impellebat, prout melius esse coujiceret, aliis curationes præcipiebat et victus rationem, qui, quod primum dicebam, multa etiam utilia medicamenta sciret. Maxime vero probabantur illi cytmides, fictum nomen unguenti ad lassitudinem et dolorem, ex caprino adipe confecti. Spes vero et bonorum incrementa et hereditatum successiones in futurum semper rejiciebat, adjiciens, Fient omnia, si voluero ego, sique Alexander propheta meus rogaverit, et vota pro vobis fecerit.

23. Constituta autem erat etiam merces unicuique responso, drachma cum duobus obolis. Ne parvum putes, amice, aut minutum fuisse hunc reditum; ad septuaginta vel octuaginta millia quotannis congerebat, dena et quindena responsa hominibus præ inexplebili cupiditate sibi reddi petentibus. Quæ autem acceperat, iis non solus utebatur, neque in thesauros reponebat: sed quum multos jam circa se haberet administros, et operarios, et exploratores, et scriptores oraculorum pariter ac custodes, et exceptores, et obsignatores, et conjectores, illis omnibus suam cuique partem pro dignitate tribuebat.

24. Jam vero in peregrinas etiam regiones quosdam emittebat qui famam apud gentes excitarent de oraculo, ac narrarent ut prædicat, et inveniat fugitivos, ac fures et latrones convincat, et effodiendos thesauros præbeat, sanetque ægrotos, ut aliquot jam mortuos resuscitaverit. Concursus igitur et urgentium se undique turba orta est: hinc sacrificia et donaria vel duplicia prophetæ ac discipulo dei. Nam hæc etiam sors exierat:

Vatem ornare meum jubeo vos atque ministrum:
divitias nec enim curo, sed curo ministrum.

25. Quum multi jam prudentes viri, quasi ex profunda ebrietate resipiscentes, contra ipsum consisterent, inprimis Epicuri sodales (erant autem multi), et in urbibus deprehensæ paullatim essent omnes illius præstigiæ, ac totus fabulæ apparatus, terriculamentum quoddam contra illos expedit, dicens Atheis plenum esse et Christianis Pontum, qui audeant pessima de se maledicta spargere, quos lapidibus jussit abigi, si propitium habere vellent deum. De Epicuro reddidit etiam oraculum tale. Interrogante quodam, Quid agit apud inferos Epicurus? respondit:

Desidet in cœno plumbeis coercitus catenis.

Deinde miraris, si ad magnam gloriam elatum est oraculum, quum videas interrogationes accedentium prudentes adeo atque eruditas? Universim implacabile ipsi et ne caduceatorem quidem admittens bellum erat contra Epicurum. Nec profecto injuria. Contra quem enim justius pugnaret homo præstigiator et portentosarum fraudum amans, veritatis autem inimicissimus, quam contra Epicurum, hominem qui naturam rerum perspexisset, solusque verum in illis vidisset? Nam Platonici, Stoici, Pythagorei amici erant, profunda cum illis pax: sed Epicurus ille molliri nescius (sic enim

οὕτω γὰρ αὐτὸν ὠνόμαζεν — ἔχθιστος δικαίως, πάντα ταῦτα ἐν γέλωτι καὶ παιδιᾷ τιθέμενος. Διὸ καὶ τὴν Ἀμαστριν ἐμίσει μάλιστα τῶν Ποντικῶν πόλεων, ὅτι ἠπίστατο τοὺς περὶ Λέπιδον καὶ ἄλλους ὁμοίους αὐτοῖς πολλοὺς ὄντας ἐν τῇ πόλει· οὐδὲ ἐχρησμῴδησε πώποτε Ἀμαστριανῷ ἀνδρί· ὁπότε δὲ καὶ ἐτόλμησεν ἀδελφῷ συγκλητικοῦ χρησμῳδῆσαι, καταγέλαστος ἀπῆλλαξεν οὐχ εὑρὼν οὔτ' αὐτὸς πλάσασθαι χρησμὸν δεξιὸν οὔτε τὸν ποιῆσαι πρὸς καιρὸν αὐτῷ δυνησόμενον· μεμφομένῳ γὰρ αὐτῷ στομάχου ὀδύνην προστάξαι βουλόμενος ὕειον πόδα μετὰ μαλάχης ἐσκευασμένον ἐσθίειν οὕτως ἔφη·

Μάλβακα χοιρείων ἱερῇ κυμίνευε σιπύδνῳ.

26. Πολλάκις μὲν οὖν, ὡς προεῖπον, ἔδειξε τὸν δράκοντα τοῖς δεομένοις, οὐχ ὅλον, ἀλλὰ τὴν οὐρὰν μάλιστα καὶ τὸ ἄλλο σῶμα προβεβληκὼς, τὴν κεφαλὴν δὲ ὑπὸ κόλπου ἀθέατον φυλάττων. Ἐθελήσας δὲ καὶ μειζόνως ἐκπλῆξαι τὸ πλῆθος ὑπέσχετο καὶ λαλοῦντα παρέξειν τὸν θεὸν, αὐτὸν ἄνευ ὑποφήτου χρησμῳδοῦντα. Εἶτα οὐ χαλεπῶς γεράνων ἀρτηρίας συνάψας καὶ διὰ τῆς κεφαλῆς ἐκείνης τῆς μεμηχανημένης πρὸς ὁμοιότατα διείρας, ἄλλου τινὸς ἔξωθεν ἐμβοῶντος, ἀπεκρίνετο πρὸς τὰς ἐρωτήσεις, τῆς φωνῆς διὰ τοῦ ὀθονίου ἐκείνου Ἀσκληπιοῦ προσπιπτούσης. Ἐκαλοῦντο δὲ οἱ χρησμοὶ οὗτοι αὐτόφωνοι, καὶ οὐ πᾶσιν ἐδίδοντο οὐδὲ ἀνέδην, ἀλλὰ τοῖς εὐπαρύφοις καὶ πλουσίοις καὶ μεγαλοδώροις.

27. Ὁ γοῦν Σευηριανῷ δοθεὶς ὑπὲρ τῆς ἐς Ἀρμενίαν εἰσόδου τῶν αὐτοφώνων καὶ αὐτὸς ἦν· προτρέπων γὰρ αὐτὸν ἐπὶ τὴν εἰσβολὴν οὕτως ἔφη·

Πάρθους Ἀρμενίους τε θοῷ ὑπὸ δουρὶ δαμάσσας
νοστήσεις Ῥώμην καὶ Θύμβριδος ἁγλαὸν ὕδωρ
στέμμα φέρων κροτάφοισι μεμιγμένον ἀκτίνεσσιν.

Εἶτ' ἐπειδὴ πεισθεὶς ὁ ἠλίθιος ἐκεῖνος Κελτὸς εἰσέβαλε καὶ ἀπῆλλαξεν αὐτῇ στρατιᾷ ὑπὸ τοῦ Ὀθρυάδου κατακοπεὶς, τοῦτον μὲν τὸν χρησμὸν ἐξαιρεῖ ἐκ τῶν ὑπομνημάτων, ἐντίθησι δὲ ἄλλον ἀντ' αὐτοῦ·

Μὴ σύ γ' ἐπ' Ἀρμενίους ἐλάαν στρατὸν, οὐ γὰρ ἄμεινον,
μή σοι θηλυχίτων τις ἀνὴρ τόξου ἄπο λυγρὸν
πότμον ἐπιπροΐεὶς παύσῃ βιότοιο φάους τε.

28. Καὶ γὰρ αὖ καὶ τοῦτο σοφώτατον ἐπενόησε, τοὺς μεταχρονίους χρησμοὺς ἐπὶ θεραπείᾳ τῶν κακῶς προτεθεσπισμένων καὶ ἀποτετευγμένων· πολλάκις γὰρ τοῖς μὲν νοσοῦσι πρὸ τῆς τελευτῆς ὑγίειαν ἐπηγγέλλετο, ἀποθανόντων δὲ χρησμὸς ἄλλος ἕτοιμος ἦν παλινῳδῶν·

Μηκέτι δίζησθαι νούσοιο λυγρῆς ἐπαρωγήν·
πότμος γὰρ προφανὴς οὐδ' ἐκφυγέειν δυνατόν σοι.

29. Εἰδὼς δὲ τοὺς ἐν Κλάρῳ καὶ Διδύμοις καὶ Μαλλῷ καὶ αὐτοὺς εὐδοκιμοῦντας ἐπὶ τῇ ὁμοίᾳ μαντικῇ ταύτῃ φίλους αὐτοὺς ἐποιεῖτο, πολλοὺς τῶν προσιόντων πέμπων ἐπ' αὐτοὺς λέγων·

ipsum appellabat) *inimicissimus merito, qui omnia ista pro risu et ludibrio sibi haberet. Propterea etiam Amastrin* oderat maxime urbium Ponticarum, quod sciebat Lepidum et alios illi similes multos in ea urbe esse : neque unquam Amastriano cuiquam oraculum reddidit. Quum vero ausus etiam esset fratri senatorii viri respondere, ridicule discessit, quum neque ipse posset responsum fingere callidum, neque inveniret qui in tempore illud facere sibi posset. Querenti enim illi ventriculi dolores, quum comedendum imperare vellet suillum pedem cum malva paratum, sic dixit :

Malvaca porcinæ sacrato vase cumina.

26. Sæpe quidem, ut dixi antea, ostendit draconem rogantibus, non totum, sed caudam maxime et reliquum corpus protendens, caput autem in sinu, ubi videri non posset, occultans. Quum vero magis percellere multitudinem vellet, promisit se loquentem etiam deum illis præstiturum, oracula reddentem sine vatis excipientis ministerio. Commissis deinde non difficulter gruum asperis arteriis et per caput illud ad similitudinem humani fabricatum transmissis, alio quodam extra inclamante, ad interrogata respondit, voce per linteum illum Æsculapium accidente. Vocabantur oracula ista vocalia, nec reddebantur omnibus nec promiscue, sed vestitis magnifice, et locupletibus, et magna munera offerentibus.

27. Itaque illud Severiano datum de suo in Armeniam introitu e vocalium numero *ipsum quoque* fuit. Adhortans *enim illum* ad impressionem faciendam, sic dixerat :

Parthisque Armeniisque hasta celeri superatis,
urbem ad Romanam Tiberisque fluenta redibis,
permixta radiis lauro tua tempora vinctus.

Deinde quum persuadere sibi passus stolidus ille Gallus irruptionem fecisset, sed male ei (nam cum exercitu suo ab Othryade concisus est) expeditio cessisset : hoc oraculum exemit e commentariis, posuitque pro eo aliud :

Ducere in Armenios noli : nec enim bene cedet :
ne tibi femineo vir amictu triste per arcum
immittens fatum perimat cum lumine vitam.

28. Nam illud quoque callidum fuit viri commentum, oracula post eventum facta, quibus emendarentur ea quæ male prædicta aberraverant. Sæpe enim ægrotantibus ante mortem sanitatem promiserat : mortuis autem illis oraculum præsto aliud fuit, quo prius retractaretur :

Auxilium tristi modo desine quærere morbo;
nam fatum apparet, tibi nec vitare licebit.

29. Ceterum quod sciret Clarios, ac Didymæos et Mallenses celebrari et ipsos simili vaticinandi arte, eos sibi conciliabat amicos, multis eorum qui ad se venirent ea ablegandis, dicens :

Ἐς Κλάρον ἴεσο νῦν, τοὐμοῦ πατρὸς ὡς ὅπ' ἀκούσῃς·

καὶ πάλιν·

Βραγχιδέων ἀδύτοισι πελάζεο καὶ κλύε χρησμῶν·

καὶ αὖθις·

Ἐς Μαλλὸν χώρει θεσπίσματά τ' Ἀμφιλόχοιο.

30. Ταῦτα μὲν ἐντὸς τῶν ὅρων μέχρι τῆς Ἰωνίας καὶ Κιλικίας καὶ Παφλαγονίας καὶ Γαλατίας. Ὡς δὲ καὶ εἰς τὴν Ἰταλίαν διεφοίτησε τοῦ μαντείου τὸ κλέος καὶ εἰς τὴν Ῥωμαίων πόλιν ἐνέπεσεν, οὐδεὶς ὅστις οὐκ ἄλλος πρὸ ἄλλου ἠπείγετο, οἱ μὲν αὐτοὶ ἰόντες, οἱ δὲ πέμποντες, καὶ μάλιστα οἱ δυνατώτατοι καὶ μέγιστον ἀξίωμα ἐν τῇ πόλει ἔχοντες, ὧν πρῶτος καὶ κορυφαιότατος ἐγένετο Ῥουτιλλιανὸς, ἀνὴρ τὰ μὲν ἄλλα καλὸς καὶ ἀγαθὸς καὶ ἐν πολλαῖς τάξεσι Ῥωμαϊκαῖς ἐξητασμένος, τὰ δὲ περὶ τοὺς θεοὺς πάνυ νοσῶν καὶ ἀλλόκοτα περὶ αὐτῶν πεπιστευκὼς καὶ εἰ μόνον ἀληλιμμένον που λίθον ἢ ἐστεφανωμένον θεάσαιτο, προσπίπτων εὐθὺς καὶ προσκυνῶν καὶ ἐπὶ πολὺ παρεστὼς καὶ εὐχόμενος καὶ τἀγαθὰ παρ' αὐτοῦ αἰτῶν. Οὗτος τοίνυν ἀκούσας τὰ περὶ τοῦ χρηστηρίου μικροῦ μὲν ἐδέησεν ἀφεὶς τὴν ἐγκειρισμένην τάξιν εἰς τὸ τοῦ Ἀβώνου τεῖχος ἀναπτῆναι. Ἔπεμπε δ' οὖν ἄλλους ἐπ' ἄλλοις· οἱ δὲ πεμπόμενοι ἰδιῶταί τινες οἰκέται ῥᾳδίως ἐξαπατηθέντες ἐπανῆσαν τὰ μὲν ἰδόντες, τὰ δὲ ὡς ἰδόντες καὶ ὡς ἀκούσαντες διηγούμενοι καὶ προσεπιμετροῦντες ἔτι πλείω τούτων, ὡς ἐντιμότεροι εἶεν παρὰ τῷ δεσπότῃ. Ἐξέκαον οὖν τὸν ἄθλιον γέροντα καὶ εἰς μανίαν ἐρρωμένην ἐνέβαλλον.

31. Ὁ δὲ ὡς ἂν τοῖς πλείστοις καὶ δυνατωτάτοις φίλος ὢν περιῄει τὰ μὲν διηγούμενος ὡς ἀκούσειε παρὰ τῶν πεμφθέντων, τὰ δὲ καὶ αὐτοῦ προστιθείς. Ἐνέπλησε δ' οὖν τὴν πόλιν καὶ διεσάλευσεν οὗτος καὶ τῶν ἐν τῇ αὐλῇ τοὺς πλείστους διεθορύβησεν, οἳ αὐτίκα καὶ αὐτοὶ ἠπείγοντο ἀκοῦσαί τι τῶν καθ' αὐτούς. Ὁ δὲ τοὺς ἀφικνουμένους πάνυ φιλοφρόνως ὑποδεχόμενος ξενίοις τε καὶ ταῖς ἄλλαις δωρεαῖς πολυτελέσιν εὔνους ἐργαζόμενος αὐτῷ ἀπέπεμπεν οὐκ ἀπαγγελοῦντας μόνον τὰς ἐρωτήσεις, ἀλλὰ καὶ ὑμνήσοντας τὸν θεὸν καὶ τεράστια ὑπὲρ τοῦ μαντείου καὶ αὐτοῦ ψευσομένους.

32. Ἀλλὰ καὶ μηχανᾶταί ὁ τρισκατάρατος οὐκ ἄσοφον οὐδὲ τοῦ προστυχόντος λῃστοῦ ἄξιον· λύων γὰρ τὰ πεπεμμένα βιβλία καὶ ἀναγιγνώσκων, εἴ τι εὕροι ἐπισφαλὲς καὶ παρακεκινδυνευμένον ἐν ταῖς ἐρωτήσεσι, κατεῖχεν αὐτὸς καὶ οὐκ ἀπέπεμπεν, ὡς ὑποχειρίους καὶ μονονουχὶ δούλους διὰ τὸ δέος ἔχοι τοὺς πεπομφότας, μεμνημένους οἷα ἦν ἃ ἤροντο. Συνίης δὲ οἵας εἰκὸς τοὺς πλουσίους καὶ μέγα δυναμένους τὰς πύστεις πυνθάνεσθαι. Ἐλάμβανεν οὖν πολλὰ παρ' ἐκείνων εἰδότων, ὅτι ἐντὸς αὐτοὺς ἔχοι τῶν ἀρκύων.

33. Βούλομαι δέ σοι καὶ τῶν Ῥουτιλλιανῷ δοθέντων χρησμῶν ἑνίους εἰπεῖν· πυνθανομένῳ γὰρ αὐτῷ ὑπὲρ τοῦ παιδὸς ἐκ προτέρας γυναικὸς, παιδείας ὥραν ἔχον-

Jam Claron ito, mei vocem patris auditurus:

et rursus:

Branchidarum adytis accede, oracula et audi:

et iterum:

Ad Mallum Amphilochique auditum oracula vade.

30. Hæc quidem intra terminos Asiæ, usque ad Ioniam, et Ciliciam, et Paphlagoniam, et Gallograeciam. Quum vero in Italiam usque percrebuisset oraculi fama, et in Romanorum urbem incidisset; nemo fuit quin alius præ alio festinaret; alii quidem proficiscentes ipsi; alii vero mittentes alios: et inprimis potentissimi, maximaque dignitate in civitate præditi. Primus horum et caput ipsum Rutilianus fuit, vir cetera bonus et honestus et in multis dignitatibus Romanis versatus, sed circa deos religioso quodam morbo laborans et absurdas de iis persuasiones habens, qui si qua unctum modo lapidem aut coronatum videret, accideret statim adorandi causa, multumque astans et vota faceret, et bona ab illo peteret. Hic igitur de oraculo quum audisset, parum aberat quin mandato sibi munere relicto, ad Aboni castrum advolaret: misit certe alios super alios. Missi vero qui essent, imperiti quidam servi, facile decepti post reditum alia a se visa, alia tanquam visa et audita narrant, et plura his corollariorum instar adjiciunt, ut gratiosiores nempe essent apud dominum. Accendunt ergo misellum senem, et in robustam illum insaniam conjiciunt.

31. At ille qui amicus esset plerisque et potentissimis, circumire et narrare partim quidem ut audierat ex his quos miserat, partim etiam de suo adjecta. Implet igitur urbem et commovet hic vir, et de aula plerosque sollicitat, qui statim ipsi quoque festinant de suis rebus aliquid audituri. At noster blande qui exciperet venientes, hospitalibusque et aliis magni pretii muneribus suos faceret, dimittebat illos, qui non renuntiarent modo interrogata, sed deum etiam celebrarent, et prodigiosa de oraculo seque ipso mentirentur.

32. Ac machinatur quiddam homo exsecrabilis non insipiens et latrone minime vulgari dignum: solvens enim libellos sibi missos et legens, si quid inveniret præceps et periculosum in interrogationibus, retinuit ipse nec remisit, ut obnoxios et tantum non servos sibi retineret isto metu eos, qui miserant, memores nimirum, qualia fuissent de quibus interrogassent. Probe autem intelligis quas interrogationes proponi a divitibus et potentibus probabile sit. Ab his ergo multa accepit, qui scirent se intra illius retia conclusos.

33. Volo autem tibi oraculorum Rutiliano datorum quædam dicere. Interroganti de filio suo e priori uxore suscepto,

τος, ὄντινα προστήσεται τὸν διδάσκαλον τῶν μαθημάτων αὐτοῦ, ἔφη·

Πυθαγόρην πολέμων τε διάκτορον ἐσθλὸν ἀοιδόν.

Εἶτα μετ' ὀλίγας ἡμέρας τοῦ παιδὸς ἀποθανόντος ὁ μὲν ἠπόρει καὶ οὐδὲν εἶχε λέγειν πρὸς τοὺς αἰτιωμένους, παρὰ πόδας οὕτως ἐληλεγμένου τοῦ χρησμοῦ, ὁ δὲ Ῥουτιλλιανὸς αὐτὸς φθάσας ὁ βέλτιστος ἀπελογεῖτο ὑπὲρ τοῦ μαντείου λέγων, τοῦτο αὐτὸ προδεδηλωκέναι τὸν θεὸν καὶ δι' αὐτὸ ζῶντα μὲν κελεῦσαι μηδένα διδάσκαλον ἑλέσθαι αὐτῷ, Πυθαγόραν δὲ καὶ Ὅμηρον πάλαι τεθνεῶτας, οἷς εἰκὸς τὸ μειράκιον ἐν Ἅιδου νῦν συνεῖναι. Τί τοίνυν μέμφεσθαι ἄξιον Ἀλεξάνδρῳ, εἰ τοιούτοις ἀνθρωπίσκοις ἐνδιατρίβειν ἠξίου;

34. Αὖθις δὲ πυνθανομένῳ αὐτῷ τὴν τίνος ψυχὴν αὐτὸς διεδέξατο, ἔφη·

Πρῶτον Πηλείδης ἐγένου, μετὰ ταῦτα Μένανδρος,
εἶθ' ὃς νῦν φαίνῃ, μετὰ δ' ἔσσεαι ἠλιὰς ἀκτίς,
ζήσεις δ' ὀγδώκοντ' ἐπὶ τοῖς ἑκατὸν λυκάβαντας.

Ὁ δ' ἑβδομηκοντούτης ἀπέθανε μελαγχολήσας οὐ περιμείνας τὴν τοῦ θεοῦ ὑπόσχεσιν.

35. Καὶ οὗτος ὁ χρησμὸς τῶν αὐτοφώνων ἦν. Ἐρομένῳ δὲ αὐτῷ ποτε καὶ περὶ γάμου ῥητῶς ἔφη·

Γῆμον Ἀλεξάνδρου τε Σεληναίης τε θύγατρα.

Ἀκεδεδώκει δὲ πάλαι λόγον ὡς τῆς θυγατρὸς, ἣν εἶχεν, ἐκ Σελήνης αὐτῷ γενομένης· τὴν γὰρ Σελήνην ἔρωτι ἁλῶναι αὐτοῦ καθεύδοντός ποτε ἰδοῦσαν, ὅπερ αὐτῇ ἔθος, κοιμωμένων ἐρᾶν τῶν καλῶν. Ὁ δ' οὐδὲν μελλήσας ὁ συνετώτατος Ῥουτιλλιανὸς ἔπεμπεν εὐθὺς ἐπὶ τὴν κόρην καὶ τοὺς γάμους ξυνετέλει ἑξηκοντούτης νυμφίος καὶ συνῆν, τὴν πενθερὰν Σελήνην ἑκατόμβαις ὅλαις ἱλασκόμενος καὶ τῶν ἐπουρανίων εἷς καὶ αὐτὸς οἰόμενος γεγονέναι.

36. Ὁ δ' ὡς ἅπαξ τῶν ἐν Ἰταλίᾳ πραγμάτων ἐλάβετο, μείζω ἀεὶ προσεπενόει καὶ πάντοσε τῆς Ῥωμαίων ἀρχῆς ἔπεμπε χρησμολόγους ταῖς πόλεσι προλέγων, λοιμοὺς καὶ πυρκαϊὰς φυλάττεσθαι καὶ σεισμοὺς, καὶ ἀσφαλῶς βοηθήσειν, ὡς μὴ γένοιτό τι τούτων, αὐτὸς ὑπισχνεῖτο αὐτοῖς. Ἕνα δέ τινα χρησμὸν, αὐτόφωνον καὶ αὐτὸν, εἰς ἅπαντα τὰ ἔθνη ἐν τῷ λοιμῷ διεπέμψατο· ἦν δὲ τὸ ἔπος ἕν·

Φοῖβος ἀκερσεκόμης λοιμοῦ νεφέλην ἀπερύκει.

Καὶ τοῦτο ἦν ἰδεῖν τὸ ἔπος πανταχοῦ ἐπὶ τῶν πυλώνων γεγραμμένον ὡς τοῦ λοιμοῦ ἀλεξιφάρμακον. Τὸ δ' ἐς τοὐναντίον τοῖς πλείστοις προὐχώρει· κατὰ γάρ τινα τύχην αὗται μάλιστα αἱ οἰκίαι ἐκενώθησαν, αἷς τὸ ἔπος ἐπεγέγραπτο. Καὶ μή με νομίσῃς τοῦτο λέγειν, ὅτι διὰ τὸ ἔπος ἀπώλλυντο· ἀλλὰ τύχῃ τινὶ οὕτως ἐγένετο. Τάχα δὲ καὶ οἱ πολλοὶ θαρροῦντες τῷ στίχῳ ἠμέλουν καὶ ῥᾳθυμότερον διῃτῶντο οὐδὲν τῷ χρησμῷ πρὸς τὴν νόσον συντελοῦντες, ὡς ἂν ἔχοντες προμαχομένας αὐτῶν τὰς συλλαβὰς καὶ τὸν ἀκερσεκόμην Φοῖβον ἀποτοξεύοντα τὸν λοιμόν.

qui jam ad ætatem institutionis capacem pervenisset, quem discendi magistrum ei præficeret, respondit :

Pythagoram, egregieque canentem prælia vatem.

Puero deinde paucis post diebus mortuo, ipse quidem æstuare, nec habere quod accusantibus responderet, oraculo ita rebus præsentibus refutato. At ipse bonus vir Rutilianus ultro suscepta oraculi defensione dixit, hoc ipsum indicatum a deo, ac propterea non vivum illi præceptorem capi jussisse, sed Pythagoram atque Homerum vita olim functos, quibuscum versari nunc puerum apud inferos probabile sit. Quid vero reprehendendus est Alexander, si tales inter homunciones versari voluit?

34. Rursus interroganti, cujus ipse animam nactus esset? ait :

Pelides primum fueras, post ista Menander,
tum, qui nunc vivis, radius post omnia Solis,
quum supra centum octoginta exegeris annos.

At ille septuagenarius diem suum obiit, morbo atrabiliario, non exspectata promissione dei.

35. Etiam hoc erat vocalium unum oraculorum. Interroganti quondam de nuptiis diserte dixit :

Ducito Alexandro natam Lunaque puellam.

Nempe olim rumorem sparserat, filiam, quam habebat, ex Luna sibi natam esse. Lunam enim amore ipsius captam, quum dormientem vidisset : mos scilicet illius, dormientes formosos amare. Prudentissimus autem ille Rutilianus nihil cunctatus, statim misit ad arcessendam puellam, nuptias celebravit sexagenarius sponsus, et cum illa cubuit, placata prius socru Luna totis hecatombis, putansque se quoque jam cœlestium unum esse factum.

36. At ille quum semel res Italicas attigisset, majora semper adinveniebat, et per omnes Romani imperii partes mittebat oraculorum nuncios, prædicens civitatibus, pestilentias et incendia ut caverent, et terræ motus : pollicebaturque illis, ne quid tale fieret, valide se adjuturum. Unum aliquod oraculum, vocale ipsum quoque, ad omnes gentes pestilentiæ tempore misit : erat autem versiculus unus :

Intonsus nubem pestis depellit Apollo.

Eratque videre hunc versum ubique inscriptum vestibulis, tanquam depellendæ luis remedium. Hoc vero contra plerisque evenit : forte enim fortuna quadam illæ maxime domus exhaustæ sunt, quibus inscriptus fuerat versiculus. Et ne putes me hoc dicere, per ipsum illos versiculum periisse : quin forte quadam ita factum est. Forte etiam vulgo homines fiducia versiculi negligentius agebant, omissa victus cura, nihil adjuvantes oraculum contra vim morbi, qui haberent propugnaturas pro se illas syllabas, et intonsum Phœbum telis abacturum pestilentiam.

37. Πευθῆνας μέντοι ἐν αὐτῇ Ῥώμῃ κατεστήσατο πανυ πολλοὺς τῶν συνωμοτῶν, οἳ τὰς ἑκάστου γνώμας διήγγελλον αὐτῷ καὶ τὰς ἐρωτήσεις προεμήνυον καὶ ὧν μάλιστα ἐφίενται, ὡς ἕτοιμον αὐτὸν πρὸς τὰς ἀποκρίσεις καὶ πρὶν ἥκειν τοὺς πεμπομένους καταλαμβάνεσθαι.

37. Verum etiam exploratores in ipsa Roma multos sane constituerat conjuratorum, qui sententias uniuscujusque sibi nunciarent, et ante indicarent interrogationes, quæque maxime cuperent, ut paratum ad responsiones jam ante adventum suum missi invenirent.

38. Καὶ πρὸς μὲν τοὺς ἐν τῇ Ἰταλίᾳ ταῦτα καὶ τὰ τοιαῦτα προσεμηχανᾶτο· τελετήν τε γάρ τινα συνίσταται καὶ δᾳδουχίας καὶ ἱεροφαντίας, τριῶν ἑξῆς ἀεὶ τελουμένων ἡμερῶν· καὶ ἐν μὲν τῇ πρώτῃ πρόρρησις ἦν ὥσπερ Ἀθήνησι τοιαύτη· Εἴ τις ἄθεος ἢ Χριστιανὸς ἢ Ἐπικούρειος ἥκει κατάσκοπος τῶν ὀργίων, φευγέτω, οἱ δὲ πιστεύοντες τῷ θεῷ τελείσθωσαν τύχῃ τῇ ἀγαθῇ. Εἶτ' εὐθὺς ἐν ἀρχῇ ἐξέλασις ἐγίγνετο· καὶ ὁ μὲν ἡγεῖτο λέγων « ἔξω Χριστιανούς, » τὸ δὲ πλῆθος ἅπαν ἐπεφθέγγετο « ἔξω Ἐπικουρείους. » Εἶτα Λητοῦς ἐγίγνετο λοχεία καὶ Ἀπόλλωνος γοναὶ καὶ Κορωνίδος γάμος καὶ Ἀσκληπιὸς ἐτίκτετο· ἐν δὲ τῇ δευτέρᾳ Γλύκωνος ἐπιφάνεια καὶ γέννησις τοῦ θεοῦ.

38. Atque homines Italicos his et similibus machinis aggrediebatur. Mysteria etiam quædam instituit, et facum gestationes, et sacrorum cærimoniaś, tribus deinceps diebus festos ritus peragendos curans. Ac primo die edicebatur, ut Athenis, in hanc formulam : Si quis atheus, aut Christianus, aut Epicureus venerit, orgiorum speculator, fugito : qui autem deo credunt, initiantor bonis auspiciis! Deinde statim a principio fiebat exactio. Atque ipse initio dicebat, Foras Christianos ! multitudo universa subjiciebat, Foras Epicureos! Tum Latonæ agebatur puerperium, et Apollinis partus, et Coronidis nuptiæ, et nascebatur Æsculapius : altero autem die Glyconis adventus et nativitas dei.

39. Τρίτῃ δὲ ἡμέρᾳ Ποδαλειρίου ἦν καὶ τῆς μητρὸς Ἀλεξάνδρου γάμος· Δαδὶς δὲ ἐκαλεῖτο καὶ δᾷδες δὲ ἑκάοντο. Καὶ τελευταῖον Σελήνης καὶ Ἀλεξάνδρου ἔρως καὶ τικτομένη τοῦ Ῥουτιλλιανοῦ ἡ γυνή. Ἐδᾳδούχει δὲ καὶ ἱεροφάντει ὁ Ἐνδυμίων Ἀλέξανδρος. Καὶ ὁ μὲν καθεύδων δῆθεν κατέκειτο ἐν τῷ μέσῳ, κατῄει δὲ ἐπ' αὐτὸν ἀπὸ τῆς ὀροφῆς ὡς ἐξ οὐρανοῦ ἀντὶ τῆς Σελήνης Ῥουτιλλία τις ὡραιοτάτη τῶν Καίσαρος οἰκονόμων τινὸς γυνή, ἐρῶσα ὡς ἀληθῶς τοῦ Ἀλεξάνδρου καὶ ἀντερωμένη ὑπ' αὐτοῦ, καὶ ἐν ὀφθαλμοῖς τοῦ ὀλεθρίου ἐκείνου ἀνδρὸς φιλήματά τε ἐγίγνετο ἐν τῷ μέσῳ καὶ περιπλοκαί· εἰ δὲ μὴ πολλαὶ ἦσαν αἱ δᾷδες, τάχα ἄν τι καὶ τῶν ὑπὸ κόλπου ἐπράττετο. Μετὰ μικρὸν δὲ πάλιν ἐσῄει ἱεροφαντικῶς ἐσκευασμένος ἐν πολλῇ τῇ σιωπῇ, καὶ αὐτὸς μὲν ἔλεγε μεγάλῃ τῇ φωνῇ, Ἰὴ Γλύκων· ἐπεφθέγγοντο δὲ αὐτῷ ἑπακολουθοῦντες Εὐμολπίδαι δῆθεν καὶ Κήρυκές τινες Παφλαγόνες καρβατίνας ὑποδεδεμένοι, πολλὴν τὴν σκοροδάλμην ἐρυγγάνοντες, Ἰὴ Ἀλέξανδρε.

39. Tertio, Podalirii erant et matris Alexandri nuptiæ : Dadis (*facularia*) autem illa dies vocabatur, et faces accendebantur. Tandem agebatur Lunæ et Alexandri amores, nascensque uxor Rutiliani. Facem porro gestabat, et præibat cærimonias Endymion Alexander. Atque ipse quidem dormiens scilicet jacebat in medio, descendebat autem ad eum ex tecto tanquam e cœlo pro Luna Rutilia quædam formosissima, dispensatorum Cæsaris cujusdam uxor, vere illa amans Alexandrum, et amata vicissim ab illo, atque in oculis miseri illius viri osculaque intercedebant in medio et complexus; si vero non adfuissent faces multæ, forte etiam quiddam eorum quæ sub veste fieri solent, patratum esset. Parvo autem interjecto temporis spatio rursus intrabat, ut antistitem cærimoniarum decet exornatus, multo cum silentio : deinde ipse quidem magna voce dicebat, Ie Glycon! succlamabant autem comites, Eumolpidæ nimirum et Ceryces quidam e Paphlagonia, carbatinis calceati, acrem allii odorem ructantes multum, Ie Alexander!

40. Πολλάκις δ' ἐπὶ ταῖς δᾳδουχίαις καὶ τοῖς μυστικοῖς σκιρτήμασι γυμνωθεὶς ὁ μηρὸς αὐτοῦ ἐξεπίτηδες χρυσοῦς ἐξεφάνη, δέρματος ὡς τὸ εἰκὸς ἐπιχρύσου περιτεθέντος καὶ πρὸς τὴν αὐγὴν τῶν λαμπάδων ἀποστίλβοντος. Ὥστε καὶ γενομένης ποτὲ ζητήσεως δύο τισὶ τῶν μωροσόφων ὑπὲρ αὐτοῦ, εἴτε Πυθαγόρου τὴν ψυχὴν ἔχοι διὰ τὸν χρυσοῦν μηρὸν εἴτε ἄλλην ὁμοίαν αὐτῷ, καὶ τὴν ζήτησιν ταύτην αὐτῷ Ἀλεξάνδρῳ ἐπανενεγκόντων, ὁ βασιλεὺς Γλύκων χρησμῷ ἔλυσε τὴν ἀπορίαν·

> Πυθαγόρου ψυχὴ ποτὲ μὲν φθίνει, ἄλλοτε δ' αὖξει·
> ἡ δὲ προφητείη δίης φρενός ἐστιν ἀπορρώξ.
> Καί μιν ἔπεμψε πατὴρ ἀγαθῶν ἀνδρῶν ἐπαρωγόν·
> καὶ πάλιν ἐς Διὸς εἶσι Διὸς βληθεῖσα κεραυνῷ.

40. Sæpe autem in illa facum gestatione et mysticis saltionibus nudatum ipsius de industria femur apparuit aureum, circumposita, ut probabile est, pelle inaurata, et ad lucernarum splendorem refulgente. Itaque exorta aliquando disputatione de illo inter duos stultitiæ illius consultos, utrum Pythagoræ animam haberet propter aureum illud femur, an aliam illius similem; eamque quæstionem ad ipsum Alexandrum referentibus, Glycon rex oraculo dubitationem illam dissolvit :

> Pythagoræ vicibus mens alma peritque reditque :
> vatis at est animus Joviali e mente propago :
> missus adest jussu patris auxiliator honestis,
> et redit ad patrem Joviali fulmine tactus.

41. Προλέγων δὲ πᾶσιν ἀπέχεσθαι παιδίου συνουσίας, ὡς ἀσεβὲς ὄν, αὐτὸς τοιόνδε τι ὁ γεννάδας ἐτεχνάσατο·

41. Quum pueri concubitu omnibus interdiceret, tanquam re impia, ipse tale quid vir ingeniosus commentus est. Ci-

ταῖς γὰρ πόλεσι ταῖς Ποντικαῖς καὶ ταῖς Παφλαγονικαῖς ἐπήγγελλε θεηκόλους πέμπειν ἐς τριετίαν ὑμνήσοντας παρ' αὐτῷ τὸν θεόν· καὶ ἔδει δοκιμασθέντας καὶ προκριθέντας τοὺς εὐγενεστάτους καὶ ὡραιοτάτους καὶ κάλλει διαφέροντας πεμφθῆναι, οὓς ἐγκλεισάμενος ὥσπερ ἀργυρωνήτοις ἐχρήσατο καὶ συγκαθεύδων καὶ πάντα τρόπον ἐμπαροινῶν. Καὶ νόμον δὲ ἐπεποίητο, ὑπὲρ τὰ ὀκτωκαίδεκα ἔτη μηδένα τῷ αὐτοῦ στόματι δεξιοῦσθαι μηδὲ φιλήματι ἀσπάζεσθαι, ἀλλὰ τοῖς ἄλλοις προτείνων τὴν χεῖρα κύσαι μόνους τοὺς ὡραίους κατεφίλει, καὶ ἐκάλουντο οὗτοι οἱ ἐντὸς τοῦ φιλήματος.

42. Τοιαῦτα ἐντρυφῶν τοῖς ἀνοήτοις διετέλει γυναῖκάς τε ἀνέδην διαφθείρων καὶ παισὶ συνών. Καὶ ἦν μέγα καὶ εὐκτὸν ἑκάστῳ, εἴ τινος γυναικὶ προσβλέψειεν· εἰ δὲ καὶ φιλήματος ἀξιώσειεν, ἀθρόαν τὴν ἀγαθὴν τύχην ᾤετο ἕκαστος ἐς τὴν οἰκίαν αὐτῷ ἐσρυήσεσθαι· πολλαὶ δὲ καὶ ηὔχουν τετοκέναι παρ' αὐτοῦ, καὶ οἱ ἄνδρες ἐπεμαρτύρουν ὅτι ἀληθῆ λέγουσιν.

43. Ἐθέλω δέ σοι καὶ διάλογον διηγήσασθαι τοῦ Γλύκωνος καὶ σακέρδωτός τινος, Τιανοῦ ἀνθρώπου, ὁποίου τινὸς τὴν σύνεσιν, εἴσῃ ἀπὸ τῶν ἐρωτήσεων. Ἀνέγνων δὲ αὐτὸν χρυσοῖς γράμμασι γεγραμμένον ἐν Τίῳ ἐν τῇ τοῦ σακέρδωτος οἰκίᾳ. Εἰπὲ γάρ μοι, ἔφη, ὦ δέσποτα Γλύκων, τίς εἶ; Ἐγώ, ἦ δ' ὅς, Ἀσκληπιὸς νέος. Ἄλλος παρ' ἐκεῖνον τὸν πρότερον, πῶς λέγεις; Οὐ θέμις ἀκοῦσαί σε τοῦτό γε. Πόσα δὲ ἡμῖν ἔτη παραμενεῖς χρησμῳδῶν; Τρίτον πρὸς τοῖς χιλίοις. Εἶτα ποῖ μεταστήσῃ; Ἐς Βάκτρα καὶ τὴν ἑκεῖ γῆν· δεῖ γὰρ ἀπολαῦσαι καὶ τοὺς βαρβάρους τῆς ἐπιδημίας τῆς ἐμῆς. Τὰ δ' ἄλλα χρηστήρια, τὸ ἐν Διδύμοις καὶ τὸ ἐν Κλάρῳ καὶ τὸ ἐν Δελφοῖς ἔτι σου τὸν προπάτορα ἔχει τὸν Ἀπόλλω, ἢ ψευδεῖς εἰσιν οἱ νῦν ἐκπίπτοντες ἐκεῖ χρησμοί; Μηδὲ τοῦτο ἐθελήσῃς εἰδέναι· οὐ γὰρ θέμις. Ἐγὼ δὲ τίς ἔσομαι μετὰ τὸν νῦν βίον; Κάμηλος, εἶτα ἵππος, εἶτα ἀνὴρ σοφὸς καὶ προφήτης οὐ μείων Ἀλεξάνδρου. Τοιαῦτα μὲν ὁ Γλύκων τῷ σακέρδωτι διελέχθη. Ἐπὶ τέλει δὲ χρησμὸν ἔμμετρον ἐφθέγξατο εἰδὼς αὐτὸν Λεπίδῳ ἑταῖρον ὄντα·

Μὴ πείθου Λεπίδῳ, ἐπεί οἱ λυγρὸς οἶτος ὀπηδεῖ.

Πάνυ γὰρ ἐδεδίει τὸν Ἐπίκουρον, ὡς προεῖπον, ὥς τινα ἀντίτεχνον καὶ ἀντισοφιστὴν τῆς μαγγανείας αὐτοῦ.

44. Ἕνα γοῦν τινα τῶν Ἐπικουρείων τολμήσαντα καὶ διελέγξειν αὐτὸν ἐπὶ πολλῶν τῶν παρόντων ἐς κίνδυνον οὐ μικρὸν κατέστησεν· ὁ μὲν γὰρ προσελθὼν ἔλεγε μεγάλῃ τῇ φωνῇ, Σὺ μέντοι, ὦ Ἀλέξανδρε, τὸν δεῖνα Παφλαγόνα προσαγαγεῖν οἰκέτας αὐτοῦ τῷ ἡγουμένῳ τῆς Γαλατίας τὴν ἐπὶ θανάτῳ ἀνέπεισας ὡς ἀπεκτονότας τὸν υἱὸν αὐτοῦ ἐν Ἀλεξανδρείᾳ παιδευόμενον, ὁ δὲ νεανίσκος καὶ ζῇ καὶ ἐπανελήλυθε ζῶν μετὰ τὴν τῶν οἰκετῶν ἀπώλειαν θηρίοις ὑπὸ σοῦ παραδοθέντων. Τοιοῦτο δέ τι ἐγεγένητο· ἀναπλεύσας ὁ νεανίσκος εἰς Αἴγυπτον, ἄχρι τοῦ Κλύσματος πλοίου ἀναγομένου ἐπείσθη καὶ αὐτὸς εἰς Ἰνδίαν πλεῦσαι, κἀπειδήπερ ἐβράδυνεν, οἱ

vitatibus Ponticis atque Paphlagonicis injunxit u divini cultus ministros sibi in triennium mitterent, qui laudes dei apud se canerent: oportebatque probatos ac prælatos ceteris generosissimos quosque et florentissimos ætate et formosissimos mitti: quibus inclusis tanquam emtis pecunia sua utebatur, dormiens cum illis et omni genere intemperantis contumeliæ in illos utens. Insuper legem tulerat, ne quis duodeviginti annis major inter salutandum complectendumque ipsum oscularetur; verum aliis manum ad osculum quum offerret, solos ætate florentes osculabatur: dicebanturque hi intra osculum esse.

42. Hunc ad modum stupidis hominibus ad delicias suas illudebat, corrumpendis promiscue mulieribus, et pueris constuprandis. Et magnum erat unicuique atque optabile, si cujus uxorem aspiceret: si vero osculo etiam dignaretur, confertim ut bona fortuna in domum suam influeret, futurum unusquisque putabat. Multæ vero etiam se peperisse ex eo gloriabantur, et vera illas dicere, mariti illis testabantur.

43. Volo tibi etiam colloquium referre Glyconis et sacerdotis cujusdam, hominis Tianensis, qui quam prudens fuerit, ex interrogationibus discere poteris. Legi autem illud colloquium, aureis literis scriptum in Tio urbe in domo sacerdotis. Nempe, Dic mihi, inquit, domine Glycon, quis es? Ego, inquit ille, Æsculapius junior. Diversusne ab illo priore? quomodo ais? Non fas est te hoc audire. Quot vero annos manebis apud nos et dabis responsa? Tres supra mille annos. Deinde quo te conferes? Bactra, et ad vicinam regionem: oportet enim barbaros etiam frui mea inter homines peregrinatione. Oracula vero reliqua, Didymæum, Clarium, Delphicum, habentne adhuc progenitorem tuum Apollinem reddentem sibi oracula? an mendacia sunt, quæ nunc ibi exeunt, oracula? Neque hoc scire postules; neque enim fas est. Ego vero quis ero post hanc vitam? Camelus, post equus, post vir sapiens, et propheta non minor Alexandro. Hæc cum sacerdote Glycon locutus est. In fine autem oraculum versu conclusum pronunciavit, quum Lepido sodalem esse sciret:

Ne Lepido credas: tristis manet exitus illum.

Vehementer enim, ut ante dixi, metuebat Epicurum, tanquam hominem arte sua et sapientia præstigias ipsius oppugnantem.

44. Unum igitur quendam Epicureorum audentem etiam multis præsentibus ipsum confutare, in periculum non parvum adduxit. Ille enim accedens ait magna voce, At tu, Alexander, Paphlagoni illi, quem scis, persuasisti, ut apud præsidem Gallograeciæ postularet servos suos ultimi supplicii, tanquam qui filium suum Alexandriæ doctrinæ causa versantem interfecissent. Vivit autem adolescens, et salvus rediit post servorum interitum, bestiis a te objectorum. Factum vero ejusmodi quid fuerat. Adolescens, qui adverso flumine navigarat in Ægyptum ad Clysma usque, solvente commodum navi persuaderi sibi passus est, ut et ipse navigaret in Indiam; quumque cunctaretur,

δυστυχεῖς ἐκεῖνοι οἰκέται αὐτοῦ οἰηθέντες ἢ ἐν τῷ Νείλῳ πλέοντα διεφθάρθαι τὸν νεανίσκον ἢ καὶ ὑπὸ λῃστῶν — πολλοὶ γὰρ ἦσαν τότε — ἀνῃρῆσθαι ἐπανῆλθον ἀπαγγέλλοντες αὐτοῦ τον ἀφανισμόν. Εἶτα ὁ χρησμὸς καὶ ἡ καταδίκη, μεθ' ἣν ἐπέστη ὁ νεανίσκος διηγούμενος τὴν ἀποδημίαν. Ὁ μὲν ταῦτα ἔλεγεν.

45. Ὁ δὲ Ἀλέξανδρος ἀγανακτήσας ἐπὶ τῷ ἐλέγχῳ καὶ μὴ φέρων τοῦ ὀνείδους τὴν ἀλήθειαν ἐκέλευε τοὺς παρόντας λίθοις βάλλειν αὐτὸν ἢ καὶ αὐτοὺς ἐναγεῖς ἔσεσθαι καὶ Ἐπικουρείους κληθήσεσθαι. Τῶν δὲ βάλλειν ἀρξαμένων Δημόστρατός τις ἐπιδημῶν τοῦ Πόντου πρῶτος περιχυθεὶς ἐρρύσατο τοῦ θανάτου τὸν ἄνθρωπον μικροῦ δεῖν καταλευσθέντα, πάνυ δικαίως· τί γὰρ ἔδει μόνον φρονεῖν ἐν τοσούτοις μεμηνόσι καὶ παραπολαῦσαι τῆς Παφλαγόνων μωρίας; καὶ τὰ μὲν κατ' ἐκεῖνον τοιαῦτα.

46. Εἰ δέ τινων προσκαλουμένων κατὰ τάξιν τῶν χρησμῶν —πρὸ μιᾶς δὲ τοῦτο τοῦ θεσπίσειν ἐγίγνετο — καὶ ἐρομένου τοῦ κήρυκος εἰ θεσπίζει, τῷ δὲ ἀνεῖπεν ἔνδοθεν « ἐς κόρακας, » οὐκέτι τὸν τοιοῦτον οὔτε στέγη τις ἐδέχετο οὔτε πυρὸς ἢ ὕδατος ἐκοινώνει, ἀλλ' ἔδει γῆν πρὸ γῆς ἐλαύνεσθαι ὡς ἀσεβῆ καὶ ἄθεον καὶ Ἐπικούρειον, ἥπερ ἦν ἡ μεγίστη λοιδορία.

47. Ἓν γοῦν καὶ γελοιότατον ἐποίησεν ὁ Ἀλέξανδρος· εὑρὼν γὰρ τὰς Ἐπικούρου κυρίας δόξας, τὸ κάλλιστον, ὡς οἶσθα, τῶν βιβλίων καὶ κεφαλαιώδη περιέχον τῆς τἀνδρὸς σοφίας τὰ δόγματα, κομίσας ἐς τὴν ἀγορὰν μέσην ἔκαυσεν ἐπὶ ξύλων συκίνων ὡς ὄῆθεν αὐτὸν καταφλέγων, καὶ τὴν σποδὸν ἐς τὴν θάλατταν ἐξέβαλεν ἔτι καὶ χρησμὸν ἐπιφθεγξάμενος·

Πυρπολέειν κέλομαι δόξας ἀλαοῖο γέροντος·

οὐδ' εἰδὼς ὁ κατάρατος ὅσων ἀγαθῶν τὸ βιβλίον ἐκεῖνο τοῖς ἐντυγχάνουσιν αἴτιον γίγνεται καὶ ὅσην αὐτοῖς εἰρήνην καὶ ἀταραξίαν καὶ ἐλευθερίαν ἐνεργάζεται, δεισμάτων μὲν καὶ φασμάτων καὶ τεράτων ἀπαλλάττον καὶ ἐλπίδων ματαίων καὶ περιττῶν ἐπιθυμιῶν, νοῦν δὲ καὶ ἀλήθειαν ἐντιθὲν καὶ καθαῖρον ὡς ἀληθῶς τὰς γνώμας οὐχ ὑπὸ δαδὶ καὶ σκίλλῃ καὶ ταῖς τοιαύταις φλυαρίαις, ἀλλὰ λόγῳ ὀρθῷ καὶ ἀληθείᾳ καὶ παρρησίᾳ.

48. Ἓν δὲ τοῖς ἄλλοις ἔν τι καὶ μέγιστον τόλμημα τοῦ μιαροῦ ἀνδρὸς ἄκουσον· ἔχων γὰρ οὐ μικρὰν ἐπὶ τὰ βασίλεια καὶ τὴν αὐλὴν τὸν Ῥουτιλλιανὸν εὐδοκιμοῦντα πάροδον, διαπέμπεται χρησμὸν τοῦ ἐν Γερμανίᾳ πολέμου ἀκμάζοντος, ὅτε ὁ θεὸς Μάρκος ἤδη τοῖς Μαρκομάνοις καὶ Κουάδοις συνεπλέκετο. Ἠξίου δὲ ὁ χρησμὸς δύο λέοντας ἐμβληθῆναι ζῶντας ἐς τὸν Ἴστρον μετὰ πολλῶν ἀρωμάτων καὶ θυσιῶν μεγαλοπρεπῶν. Ἄμεινον δὲ αὐτὸν εἰπεῖν τὸν χρησμόν·

Ἐς δίνας Ἴστροιο διιπετέος ποταμοῖο
ἐσβαλέειν κέλομαι δοιοὺς Κυβέλης θεράποντας,
θῆρας ὀρειτρεφέας, καὶ ὅσα τρέφει Ἰνδικὸς ἀὴρ
ἄνθεα καὶ βοτάνας εὐώδεας· αὐτίκα δ' ἔσται
νίκη καὶ μέγα κῦδος ἀμ' εἰρήνῃ ἐρατεινῇ.

infelices illi servi ipsius, rati aut in Nili navigatione periisse adolescentulum, aut a latronibus, qui multi tum erant, de medio sublatum, redierunt, amissum illum nunciantes. Tum secutum est oraculum, et condemnatio; post quam subito affuit juvenis, suam peregrinationem enarrans. Hæc ille dixit.

45. Alexander vero ægerrime ferens se redargui, veræque reprehensionis impatiens, jussit, qui præsentes erant, lapidibus illum petere, alioquin ipsos quoque devoti capitis futuros et Epicureos vocatum iri. Qui quum jam lapidare inciperent, Demostratus aliquis ex Ponti proceribus, ibi commorans, circumfusus homini, morti illum eripuit, quum parum abesset quin obrueretur lapidibus : merito ille quidem : quid enim oportebat solum sapere inter tot insanientes, et præter necessitatem frui Paphlagonum stultitia? Et hæc de illo ejusmodi erant.

46. Si vero citatis, qui afferebantur, ex ordine libellis (fiebat autem hoc pridie quam responderet), atque interrogante præcone, an responderet? intus diceret : Ad corvos! hunc talem neque tecto amplius recipiebat, neque ignem ei neque aquam impertiebat quisquam; sed cogebatur e terra una vagari ad aliam, tanquam impius homo, et atheus, et Epicureus, quod quidem maximum erat convicium.

47. Unum ergo maxime ridiculum fecit Alexander. Quum invenisset Sententias principes Epicuri, pulcherrimum, quod nosti, illius librorum et qui placita sapientiæ hujus viri summatim omnia contineat, in medium forum prolatas ficulneis lignis cremavit, quasi ipsum videlicet exureret, et in mare abjecit cineres, oraculo etiam adjecto :

Edico decreta senis comburere cæci.

Ignorabat nempe homo exsecrabilis, quantorum bonorum liber ille legentibus causa fiat, quantam in illis pacem, tranquillitatem, libertatem efficiat, qui a timoribus, et spectris, et prodigiis non minus, quam a spe vana et non necessariis cupiditatibus eos liberet; intelligentiam et veritatem inserat, et vere mentes purget, non tæda aut squilla et nugis similibus, sed recta ratione, et veritate et libertate.

48. Inter reliqua vero unum quoddam et audacissimum facinus impuri hominis audi. Quum aditus faciles haberet ad regiam atque aulam per Rutilianum gratia florentem, mittit ad illum oraculum vigente bello Germanico, quum divus Marcus Marcomanis et Quadis esset implicitus. Postulabat autem illud oraculum leones duos conjici vivos in Istrum multis cum aromatis et sacrificiis magnificis. Sed melius est ipsum ponere oraculum :

Istri vorticibus, lapsis divinitus undis,
præcipitare duos Cybeles, edico, ministros
montibus eductos : et, quos alit Indicus aer
flores, atque herbas fragrantes : evenietque
cum decore ingenti victoria, paxque benigna.

Γενομένων δὲ τούτων, ὡς προσέταξε, τοὺς μὲν λέοντας διανηξαμένους ἐς τὴν πολεμίαν οἱ βάρβαροι ξύλοις κατειργάσαντο ὥς τινας κύνας ἢ λύκους ξενικούς· αὐτίκα δὲ τὸ μέγιστον τραῦμα τοῖς ἡμετέροις ἐγένετο δισμυρίων που σχεδὸν ἀθρόων ἀπολομένων. Εἶτα ἐπηκολούθησε τὰ περὶ Ἀκυληίαν γενόμενα καὶ ἡ παρὰ μικρὸν τῆς πόλεως ἐκείνης ἅλωσις. Ὁ δὲ πρὸς τὸ ἀπροσδόκητος τὴν Δελφικὴν ἐκείνην ἀπολογίαν καὶ τὸν τοῦ Κροίσου χρησμὸν ψυχρῶς παρῆγε, νίκην μὲν γὰρ προειπεῖν τὸν θεὸν, μὴ μέντοι δηλῶσαι, Ῥωμαίων ἢ τῶν πολεμίων.

49. Ἤδη δὲ πολλῶν ἐπὶ πολλοῖς ἐπεσρεόντων καὶ τῆς πόλεως αὐτῶν θλιβομένης ὑπὸ τοῦ πλήθους τῶν ἐπὶ τὸ χρηστήριον ἀφικνουμένων καὶ τὰ ἐπιτήδεια διαρκῆ μὴ ἐχούσης, ἐπινοεῖ τοὺς νυκτερινοὺς καλουμένους χρησμούς· λαμβάνων γὰρ τὰ βιβλία ἐπεκοιμᾶτο ὡς ἔφασκεν αὐτοῖς καὶ ὡς ὄναρ παρὰ τοῦ θεοῦ ἀκούων ἀπεκρίνετο, οὐ μέντοι σαφεῖς τοὺς πολλοὺς, ἀλλ' ἀμφιβόλους καὶ τεταραγμένους καὶ μάλιστα εἴ ποτε θεάσαιτο περιεργότερον τὸ βιβλίον κατεσφραγισμένον. Οὐ γὰρ παρακινδυνεύων τὸ ἐπελθὸν ἄλλως ὑπέγραφε χρησμοῖς πρέπον καὶ τὸ τοιοῦτον οἰόμενος, καὶ ἦσάν τινες ἐξηγηταὶ ἐπὶ τούτῳ καθήμενοι καὶ μισθοὺς οὐκ ὀλίγους ἐκλέγοντες παρὰ τῶν τοὺς τοιούτους χρησμοὺς ἀπολαμβανόντων ἐπὶ τῇ ἐξηγήσει καὶ διαλύσει αὐτῶν. Καὶ τοῦτο αὐτῶν τὸ ἔργον ὑπόμισθον ἦν· ἐτέλουν γὰρ οἱ ἐξηγηταὶ τῷ Ἀλεξάνδρῳ τάλαντον Ἀττικὸν ἑκάτερος.

50. Ἐνίοτε δὲ μήτε ἐρομένου τινὸς μήτε πεμφθέντος, ἀλλ' οὐδὲ ὅλως ὄντος ἐχρησμῴδει πρὸς ἔκπληξιν τῶν ἀνοήτων, οἷον καὶ τοῦτο·

> Δίζεαι ὅστις σὴν ἄλοχον μάλα πάγχυ λεληθὼς
> Καλλιγένειαν ὑπὲρ λεχέων σαλαγεῖ κατὰ δῶμα;
> δοῦλος Πρωτογένης, τῷ δὴ σύ γε πάντα πέποιθας.
> Ὤπτιες γὰρ ἐκεῖνον, ὁ δ' αὖθις σὴν παράκοιτιν,
> ἀντίδοσιν ταύτην ὕβρεως ἰδίας ἀποτίνων.
> Ἀλλ' ἐπὶ σοὶ δὴ φάρμακ' ἀπ' αὐτῶν λυγρὰ τέτυκται,
> ὡς μήτ' εἰσαίοις μήτ' εἰσοράοις ἃ ποιοῦσιν.
> Εὑρήσεις δὲ κάτω ὑπὸ σῷ λέχει ἀγχόθι τοίχου
> πρὸς κεφαλῆς· καὶ σὴ θεράπαινα σύνοιδε Καλυψώ.

Τίς οὐκ ἂν Δημόκριτος διεταράχθη ἀκούσας ὀνόματα καὶ τόπους ἀκριβῶς, εἶτα μετ' ὀλίγον κατέπτυσεν ἂν συνεὶς τὴν ἐπίνοιαν αὐτῶν;

51. Ἀλλὰ καὶ βαρβάροις πολλάκις ἔχρησεν, εἴ τις τῇ πατρίῳ ἔροιτο φωνῇ Συριστὶ ἢ Κελτιστὶ, οὐ ῥᾳδίως ἐξευρίσκων τινὰς ἐπιδημοῦντας ὁμοεθνεῖς τοῖς δεδωκόσι. Διὰ τοῦτο καὶ πολὺς ὁ ἐν μέσῳ χρόνος ἦν τῆς τε δόσεως τῶν βιβλίων καὶ τῆς χρησμῳδίας, ὡς ἐν τοσούτῳ κατὰ σχολὴν λύοιντό τε οἱ χρησμοὶ ἀσφαλῶς καὶ εὑρίσκοιντο οἱ ἑρμηνεῦσαι δυνάμενοι ἕκαστα, οἷος καὶ ὁ τῷ Σκύθῃ δοθεὶς χρησμὸς ἦν·

> Μόρφι ἐβάργουλις εἰς σκιὴν χνέγχικραγκ λείψει φάος.

52. Ἄλλως πάλιν οὔτε παρόντι οὔτε ὅλως τινὶ ὄντι ἔφη ἄνευ μέτρου, ἀναστρέφειν ὀπίσω· ὁ γὰρ πέμψας σε τέθνηκεν ὑπὸ τοῦ γείτονος Διοκλέους τήμερον, λῃστῶν

Factis autem hisce uti jusserat, leones quum in hosticum enatassent, lignis confecere barbari, uti canes quosdam, aut lupos peregrinos: statimque maximum vulnus nostri accepere, vicies mille fere uno loco amissis. Deinde consecuta sunt ea, quæ ad Aquileiam contigere, urbsque illa pæne capta. At ille ad eventum excusandum, Delphicam illam defensionem et Crœsi oraculum frigide protulit, victoriam nempe prædixisse deum, neque tamen declarasse, Romanorumne ea esset an hostium.

49. Jam vero confluentibus multis, ipsaque urbe pressa a multitudine venientium ad oraculum, nec satis rerum necessariarum habente, oracula excogitat quæ nocturna vocaret. Sumtis enim libris, incubabat, prout dicebat, et quasi per quietem audita a deo respondebat oracula, non tamen aperta pleraque, sed ambigua et perturbata, inprimis si quando videret curiosius obsignatum libellum. Quibus, minime periclitans, quicquid in mentem veniret, subscribebat temere, oraculis illud quoque convenire ratus. Et erant constituti ad hoc ipsum interpretes, qui mercedes non tenues quærebant, interpretationis et explicationis causa, ab his, quibus talia oracula reddita fuerant. Hoc quoque illorum opus tributarium erat: pendebant enim interpretes Alexandro talentum unusquisque Atticum.

50. Interdum vero, licet neque interrogaret quisquam, neque missus esset, quin neque omnino esset (ad quem pertineret oraculum), oracula fundebat ad stuporem hominum insipientium: quale est hoc quoque:

> Scire cupis quisnam uxorem tibi Calligeniam,
> in stratis furtim subigat tecto sub herili?
> Servus Protogenes, is, cui tute omnia credis.
> Is tibi quod dederat, dat ei rursus tua conjux:
> vindictam is repetit factis pro turpibus istam.
> Tristia jamque tibi per utrumque venena parata,
> ut neque quæ faciunt videas, nec ea audiat auris.
> Ad murum invenies hæc et supposta cubili
> ad caput: est horum tua conscia serva Calypso.

Quis non Democritus confundatur auditis nominibus accurate et locis, ac deinde paullo post non despuat intellectum illorum consilium?

51. Verum respondit sæpe etiam barbaris, si quis patria lingua interrogaret, Syriace aut Celtice, cum difficultate aliqua inveniens commorantes in urbe ejusdem gentis, cujus essent, qui darent libellos. Propterea et multum temporis intercedebat inter datos libellos, et ipsa oracula, ut interea per otium solverentur libelli secure, invenirenturque qui interpretari possent singula. Quale etiam fuit oraculum Scythæ datum:

> Morphi ebargulis in umbram Chnenchicranc linquet lucem.

52. Rursus neque præsenti, neque omnino viventi cuiquam dixit extra versum, Retro abi: qui enim te misit, interfectus est a Diocle vicino hodie, accedentibus latroni-

ἐπαχθέντων Μάγνου καὶ Κέλερος καὶ Βουβάλου, οἳ καὶ ἤδη δέδενται ληφθέντες.

53. Ὀλίγους δὲ καὶ τῶν ἐμοὶ δοθέντων ἄκουσον· ἐρομένου γάρ μου εἰ φαλακρός ἐστιν Ἀλέξανδρος, καὶ κατασημηναμένου περιέργως καὶ προφανῶς ὑπογράφεται χρησμὸς νυκτερήσιος,

Σαβαρδαλάχου μάλαχ Ἄττις ἄλλος ἦν.

Καὶ πάλιν ἐμοῦ ἐρομένου ἐν δύο βιβλίοις διαφόροις τὴν αὐτὴν ἐρώτησιν, πόθεν ἦν Ὅμηρος ὁ ποιητής, ἐπ' ἄλλου καὶ ἄλλου ὀνόματος, κῷ ἑτέρῳ μὲν ὑπέγραψεν ἐξαπατηθεὶς ὑπὸ τοῦ ἐμοῦ νεανίσκου — ἐρωτηθεὶς γὰρ ἐφ' ὅ τι ἦκε, Θεραπείαν, ἔφη, αἰτήσων πρὸς ὀδύνην πλευροῦ —

Κυτμίδα χρίεσθαι κέλομαι δροσίην τε κέλητος·

τῷ δ' ἑτέρῳ, ἐπεὶ καὶ τοῦτ' ἠκηκόει ὡς ἐρομένου τοῦ πέμψαντος, εἰ δέοι πλεῦσαι ἐπ' Ἰταλίαν εἴτε πεζοπορῆσαι λῷον, ἀπεκρίνατο οὐδὲν πρὸς τὸν Ὅμηρον·

Μὴ σύ γε πλωέμεναι, πεζὴν δὲ κατ' οἶμον ὄδευε.

54. Πολλὰ γὰρ τοιαῦτα καὶ αὐτὸς ἐπεμηχανησάμην αὐτῷ, οἷον καὶ ἐκεῖνο· μίαν ἐρώτησιν ἐρωτήσας ἐπέγραψα τῷ βιβλίῳ κατὰ τὸ ἔθος· τοῦ δεῖνος χρησμοὶ ὀκτώ, ψευσάμενός τι ὄνομα, καὶ τὰς ὀκτὼ δραχμὰς καὶ τὸ γιγνόμενον ἔτι πρὸς ταύταις πέμψας· ὁ δὲ πιστεύσας τῇ ἀποπομπῇ τοῦ μισθοῦ καὶ τῇ ἐπιγραφῇ τοῦ βιβλίου πρὸς μίαν ἐρώτησιν — ἦν δὲ αὕτη· πότε ἁλώσεται μαγγανεύων Ἀλέξανδρος; — ὀκτώ μοι χρησμοὺς ἔπεμψεν οὔτε γῆς φασιν οὔτε οὐρανοῦ ἁπτομένους, ἀνοήτους δὲ καὶ δυσνοήτους ἅπαντας. Ἅπερ ὕστερον αἰσθόμενος καὶ ὅτι τὸν Ῥουτιλλιανὸν ἀπέτρεπον ἐγὼ καὶ τοῦ γάμου καὶ τοῦ προσκεῖσθαι ταῖς τοῦ χρηστηρίου ἐλπίσιν, ἐμίσει, ὡς τὸ εἰκός, καὶ ἔχθιστον ἡγεῖτο. Καί ποτε περὶ ἐμοῦ ἐρομένῳ τῷ Ῥουτιλλιανῷ ἔφη·

Νυκτιπλάνοις ὀάροις χαίρει κοίταις τε δυσάγνοις.

55. Καὶ ὅλως ἔχθιστος ἦν ἐγώ. Κἀπειδὴ ἐσελθόντα με ἐς τὴν πόλιν ᾔσθετο καὶ ἔμαθεν ὡς ἐκεῖνος εἴην ὁ Λουκιανὸς — ἐπηγόμην δὲ καὶ στρατιώτας δύο, λογχοφόρον καὶ κοντοφόρον, παρὰ τοῦ ἡγουμένου τῆς Καππαδοκίας, φίλου ὄντος, λαβών, ὥς με παραπέμψειαν ἄχρι πρὸς τὴν θάλατταν — αὐτίκα μεταστέλλεται δεξιῶς πάνυ καὶ μετὰ πολλῆς φιλοφροσύνης. Ἐλθὼν δ' ἐγὼ πολλοὺς καταλαμβάνω περὶ αὐτόν· συνεπηγόμην δὲ καὶ τοὺς στρατιώτας τύχῃ τινὶ ἀγαθῇ. Καὶ ὁ μὲν προὔτεινέ μοι κύσαι τὴν δεξιάν, ὥσπερ εἰώθει τοῖς πολλοῖς, ἐγὼ δὲ προσφὺς ὡς φιλήσων δήγματι χρηστῷ πάνυ μικροῦ δεῖν χωλὴν αὐτῷ τὴν χεῖρα ἐποίησα. Οἱ μὲν οὖν παρόντες ἄγχειν με καὶ παίειν ἐπειρῶντο ὡς ἱερόσυλον, καὶ πρότερον ἔτι ἀγανακτήσαντες ὅτι Ἀλέξανδρον αὐτὸν, ἀλλὰ μὴ προφήτην προσεῖπον· ὁ δὲ πάνυ γεννικῶς καρτερήσας κατέπαυέ τε αὐτοὺς καὶ ὑπισχνεῖτο τιθασόν με ῥᾳδίως ἀποφανεῖν καὶ δείξειν τὴν Γλύκωνος ἀρετὴν, ὅτι καὶ τοὺς πάνυ τραχυνομένους φίλους ἀπεργάζεται· καὶ μεταστησάμενος ἅπαντας

bus Magno et Celere et Bubalo, qui etiam capti jam sunt et vincti.

53. Pauca etiam eorum quæ mihi reddita sunt audi. Quum interrogassem, an calvus sit Alexander, et curiose obsignassem et coram omnibus, subscribitur nocturnum oraculum :

Sabardalachu malach Attis alius est.

Rursus quum duobus libellis interrogassem diversis, et sub nominibus diversis, interrogationem eandem, cujas Homerus poeta fuisset, alteri subscripsit, deceptus a meo puero, qui quærenti, cujus rei causa veniret? responderat, Petitum curationem ad dolorem lateris : scripsit :

Ungi cytmide præcipio spumaque caballi.

Alteri autem, quum et hoc audisset, interrogare eum qui mitteret, utrum navigare melius esset in Italiam, an pedestre iter facere, respondit nihil ad Homerum :

Navibus ire cave, pedibus sed iter peragendum.

54. Multa enim in eo genere et ipse illi machinatus sum, ut hoc quoque. Unam modo quæstionem quum rogarem, inscripsi libro ex consuetudine : Illius (ponebam fictum nomen) consultationes octo, et drachmas octo, quodque insuper efficitur, misi. At ille mercedi missæ credens et inscriptioni libelli, ad unam quæstionem (erat autem hæc : Quando deprehendetur ut præstigiator Alexander?) octo mihi responsa misit, quæ neque terram, aiunt, neque cœlum tangerent, sed sensu carentia et difficilia intellectu universa. Quæ postea quum sensisset, et illud quoque, dehortatum me esse Rutilianum a nuptiis, et ne nimis intentus esset spei ab oraculo ostensæ, oderat me, ut facile est ad existimandum, et inimicissimum sibi putabat : interrogantique aliquando de me Rutiliano respondebat :

Noctivago gaudet coitu incestoque cubili.

55. Et in summa infensissimum merito me sibi habuit. Quumque sensisset in urbem me ingressum, et didicisset me illum esse Lucianum (adduxeram autem mecum milites duos, hastatum et contarium, quos a præside Cappadociæ, qui amicus mihi erat, acceperam ad mare usque me deducturos), statim invitari me jubet dextre sane et cum multa humanitatis significatione. Adveniens ego multos cum illo deprehendo, adduxeram autem mecum, bona fortuna mea, milites. Et ille protendit mihi osculandam manum, ut solebat vulgo : at ego applicito ore tanquam ad osculum, præclaro morsu tantum non claudam feci viro manum. Præsentes ergo angere me et pulsare tentabant, pro sacrilego, jam prius irati quod Alexandri ipsum nomine, non prophetæ salutaveram. Ille vero generosa illud patientia sustinens, et ipsos sedavit, promisitque se mansuetum facile me redditurum, et vim Glyconis ostensurum, qui vel maxime asperòs ad amicitiam adduceret. Tum arbitris re-

ἐδικαιολογεῖτο πρός με λέγων πάνυ εἰδέναι καὶ τὰ ὑπ' ἐμοῦ Ῥουτιλλιανῷ συμβουλευόμενα, καὶ Τί παθὼν τάδε με εἰργάσω δυνάμενος ὑπ' ἐμοῦ ἐπὶ μέγα προαχθῆναι παρ' αὐτῷ; Κἀγὼ ἅσμενος ἤδη ἐδεχόμην τὴν φιλοφροσύνην ταύτην ὁρῶν οἱ κινδύνου καθειστήκειν, καὶ μετ' ὀλίγον προῆλθον φίλος γεγενημένος. Καὶ τοῦτο οὐ μικρὸν θαῦμα τοῖς ὁρῶσιν ἔδοξεν, οὕτω μου ῥᾳδία γενομένη μεταβολή.

56. Εἶτα δή μου ἐκπλεῖν προαιρουμένου ξένια καὶ δῶρα πολλὰ πέμψας — μόνος δὲ σὺν τῷ Ξενοφῶντι ἔτυγον ἐπιδημῶν, τὸν πατέρα καὶ τοὺς ἐμοὺς εἰς Ἀμαστριν προὐκπεπομφώς — ὑπισχνεῖται καὶ πλοῖον αὐτὸς παρέξειν καὶ ἐρέτας τοὺς ἀπάξοντας· κἀγὼ μὲν ᾠμην ἁπλοῦν τι τοῦτο εἶναι καὶ δεξιόν. Ἐπεὶ δὲ κατὰ μέσον τὸν πόρον ἐγενόμην, δακρύοντα ὁρῶν τὸν κυβερνήτην καὶ τοῖς ναύταις τι ἀντιλέγοντα οὐκ ἀγαθὰς εἶχον περὶ τῶν μελλόντων τὰς ἐλπίδας. Ἦν δὲ αὐτοῖς ἐπεσταλμένον ὑπὸ τοῦ Ἀλεξάνδρου ἀραμένους ῥῖψαι ἡμᾶς ἐς τὴν θάλατταν· ὅπερ εἰ ἐγεγένητο, ῥᾳδίως ἂν αὐτῷ διεπεπολέμητο τὰ πρὸς ἐμέ. Ἀλλὰ δακρύων ἐκεῖνος ἔπεισε καὶ τοὺς συνναύτας μηδὲν ἡμᾶς δεινὸν ἢ κακὸν ἐργάσασθαι, καὶ πρὸς ἐμὲ ἔφη, Ἔτη ἑξήκοντα, ὡς ὁρᾷς, ἀνεπίληπτον βίον καὶ ὅσιον προβεβιωκὼς οὐκ ἂν βουλοίμην ἐν τούτῳ τῆς ἡλικίας καὶ γυναῖκα καὶ τέκνα ἔχων μιᾶναι φόνῳ τὰς χεῖρας, δηλῶν ἐφ' ὅπερ ἡμᾶς ἀνειλήφει καὶ τὰ ὑπὸ τοῦ Ἀλεξάνδρου προστεταγμένα.

57. Καταθέμενος δὲ ἡμᾶς ἐν Αἰγιαλοῖς, ὧν καὶ ὁ καλὸς Ὅμηρος μέμνηται, ὀπίσω ἀπήλαυνεν. Ἔνθα ἐγὼ παραπλέοντας εὑρὼν Βοσποριανούς τινας πρέσβεις παρ' Εὐπάτορος τοῦ βασιλέως ἐς τὴν Βιθυνίαν ἀπιόντας ἐπὶ κομιδῇ τῆς ἐπετείου συντάξεως καὶ διηγησάμενος αὐτοῖς τὸν περιστάντα ἡμᾶς κίνδυνον καὶ δεξιῶν αὐτῶν τυχὼν ἀναληφθεὶς ἐς τὸ πλοῖον διασώζομαι ἐς τὴν Ἀμαστριν παρὰ τοσοῦτον ἐλθὼν ἀποθανεῖν. Τοὐντεῦθεν καὶ αὐτὸς ἐπεκορυσσόμην αὐτῷ καὶ πάντα κάλων ἐκίνουν ἀμύνασθαι βουλόμενος, καὶ πρὸ τῆς ἐπιβουλῆς ἤδη μισῶν αὐτὸν, καὶ ἔχθιστον ἡγούμενος διὰ τὴν τοῦ τρόπου μιαρίαν, καὶ πρὸς τὴν κατηγορίαν ὡρμώμην πολλοὺς συναγωνιστὰς ἔχων καὶ μάλιστα τοὺς ἀπὸ Τιμοκράτους τοῦ Ἡρακλεώτου φιλοσόφου· ἀλλ' ὁ τότε ἡγούμενος τῆς Βιθυνίας καὶ τοῦ Πόντου αὐτὸς ἐπέσχε μονονουχὶ ἱκετεύων καὶ ἀντιβολῶν παύσασθαι· διὰ γὰρ τὴν πρὸς Ῥουτιλλιανὸν εὔνοιαν μὴ ἂν δύνασθαι, καὶ εἰ φανερῶς λάβοι ἀδικοῦντα, κολάσαι αὐτόν. Οὕτω μὲν ἀνεκόπην τῆς ὁρμῆς καὶ ἐπαυσάμην οὐκ ἐν δέοντι θρασυνόμενος ἐφ' οὕτω δικαστοῦ διακειμένου.

58. Ἐκεῖνο δὲ πῶς οὐ μέγα ἐν τοῖς ἄλλοις τὸ τόλμημα τοῦ Ἀλεξάνδρου, τὸ αἰτῆσαι παρὰ τοῦ αὐτοκράτορος μετονομασθῆναι τὸ Ἀβώνου τεῖχος καὶ Ἰωνόπολιν κληθῆναι καὶ νόμισμα κτανὸν κόψαι ἐγκεχαραγμένον τῇ μὲν τοῦ Γλύκωνος, κατὰ θάτερα δὲ Ἀλεξάνδρου στέμματά τε τοῦ πάππου Ἀσκληπιοῦ καὶ τὴν ἅρπην ἐκείνην τοῦ πατρομήτορος Περσέως ἔχοντος;

motis, mecum expostulabat, dicens omnino sibi notum esse quid Rutiliano auctor fuerim : et, Qua de causa, inquit, hæc mihi fecisti, quum possis a me in magnum gradum apud ipsum provehi? Hic ego lubens jam illam humanitatem accepi, videns quo in periculo constitissem; ac paullo post prodii factus illi amicus. Idque miraculum videbatur non parvum videntibus, tam facilis circa me mutatio facta.

56. Postea quum inde navigare vellem, xeniis muneribusque multis missis (solus autem cum Xenophonte iter faciebam, patrem et meos Amastrim præmiseram), promittit etiam navim se præbiturum et remiges qui me abducerent. Atque ego simpliciter illum et dextre facere ista putabam. Quum vero medio in trajectu essem, flentem videns gubernatorem et nautis aliqua in re contradicentem, non multum boni de his quæ futura essent sperabam. Erat autem illis ab Alexandro præceptum, uti arreptos nos in mare præcipitarent : quod si factum esset, facile contra me debellatum erat. Sed ille lacrimis suis reliquis etiam nautis persuasit, ne quid durum aut malum in nos consulerent; atque ad me, Sexaginta annos, inquit, ut vides, irreprehensam et sanctam vitam quum vixerim, nolim hac ætate, qui conjugem habeam et liberos, cæde maculare manus : indicans quo nos consilio recepisset, et quæ sibi essent mandata ab Alexandro.

57. Quum autem exposuisset nos Ægialis, quorum etiam pulcher Homerus meminit, retro navigavit. Ibi ego præternavigantes quum invenissem Bosporanos quosdam legatos, ab Eupatore rege abeuntes in Bithyniam, ut annuum tributum afferrent, atque enarrassem illis impendens nobis periculum, benevolosque illos nactus et receptus in navem, Amastrim salvus pervenio, quum in propinquum adeo mortis discrimen adductus fuissem. Hinc et ipse in illum concitatus, omnem funem, aiunt, movebam, ulcisci hominem cupiens, quem et ante insidias jam odissem, et infensissimum propter morum impuritatem haberem : jamque accusationem meditabar, subscriptores habens multos, præsertim philosophos e schola Timocratis Heracleotæ. Sed qui tum Bithyniam et Pontum regebat, impediit ipse, tantum non supplicans obsecransque uti quiescerem : se enim propter amicitiam Rutiliani non posse, manifestis in criminibus licet deprehensum, supplicio afficere. Itaque ab impetu repulsus acquievi, intempestive audax sub judice sic affecto futurus.

58. Illa vero nonne magna in reliquis audacia Alexandri, quod petiit ab Imperatore, nomen mutari Aboni castro, eamque urbem Ionopolin vocari; et novum nummum percuti, insculptam habentem hinc Glyconis imaginem, ab altera vero parte Alexandri, coronam avi sui gerentis, Æsculapii, et falcem illam materni progenitoris sui Persei?

59. Προειπὼν δὲ διὰ χρησμοῦ περὶ ἑαυτοῦ ὅτι ζῆσαι εἵμαρται αὐτῷ ἔτη πεντήκοντα καὶ ἑκατὸν, εἶτα κεραυνῷ βληθέντα ἀποθανεῖν, οἰκτίστῳ τέλει οὐδὲ ἑβδομήκοντα ἔτη γεγονὼς ἀπέθανεν ὡς Ποδαλειρίου υἱὸς διασαπεὶς τὸν πόδα μέχρι τοῦ βουβῶνος καὶ σκωλήκων ζέσας, ὅτε-περ καὶ ἐφάνη φαλακρὸς ὢν παρέχων τοῖς ἰατροῖς ἐπι-βρέχειν αὐτοῦ τὴν κεφαλὴν διὰ τὴν ὀδύνην, ὃ οὐκ ἂν ποιῆσαι ἐδύναντο μὴ οὐχὶ τῆς φενάκης ἀφῃρημένης.

60. Τοιοῦτο τέλος τῆς Ἀλεξάνδρου τραγῳδίας καὶ αὕτη τοῦ παντὸς δράματος ἡ καταστροφὴ ἐγένετο, ὡς εἰκάζειν προνοίας τινὸς τὸ τοιοῦτον, εἰ καὶ κατὰ τύχην συνέβη. Ἔδει δὲ καὶ τὸν ἐπιτάφιον αὐτοῦ ἄξιον γενέ-σθαι τοῦ βίου καὶ ἀγῶνά τινα συστήσασθαι ὑπὲρ τοῦ χρηστηρίου, τῶν συνωμοτῶν ἐκείνων καὶ γοήτων, ὅσοι κορυφαῖοι ἦσαν, ἀνελθόντων ἐπὶ διαιτητὴν τὸν Ῥουτιλ-λιανὸν, τίνα χρὴ προκριθῆναι αὐτῶν καὶ διαδέξασθαι τὸ μαντεῖον καὶ στεφανωθῆναι τῷ ἱεροφαντικῷ καὶ προφη-τικῷ στέμματι. Ἦν δὲ ἐν αὐτοῖς καὶ Παῖτος ἰατρὸς τὴν τέχνην, πολιώδης ὢν, οὔτε ἰατρῷ πρέποντα οὔτε πολιῷ ἀνδρὶ ταῦτα ποιῶν. Ἀλλ' ὁ ἀγωνοθέτης Ῥου-τιλλιανὸς ἀστεφανώτους αὐτοὺς ἀπέπεμψεν αὐτῷ τὴν προφητείαν φυλάττων μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγήν.

61. Ταῦτα, ὦ φιλότης, ὀλίγα ἐκ πολλῶν δείγματος ἕνεκα γράψαι ἠξίωσα καὶ σοὶ μὲν χαριζόμενος ἀνδρὶ ἑταίρῳ καὶ φίλῳ καὶ ὃν ἐγὼ πάντων μάλιστα θαυμάσας ἔχω ἐπί τε σοφίᾳ καὶ τῷ πρὸς ἀλήθειαν ἔρωτι καὶ τρό-που πραότητι καὶ ἐπιεικείᾳ καὶ γαλήνῃ βίου καὶ δεξιό-τητι πρὸς τοὺς συνόντας, τὸ πλέον δὲ, ὅπερ καὶ σοὶ ἥδιον, Ἐπικούρῳ τιμωρῶν, ἀνδρὶ ὡς ἀληθῶς ἱερῷ καὶ θεσπε-σίῳ τὴν φύσιν καὶ μόνῳ μετ' ἀληθείας τὰ καλὰ ἐγνω-κότι καὶ παραδεδωκότι καὶ ἐλευθερωτῇ τῶν ὁμιλησάν-των αὐτῷ γενομένῳ. Οἶμαι δὲ ὅτι καὶ τοῖς ἐντυχοῦσι χρήσιμόν τι ἔχειν δόξει ἡ γραφὴ τὰ μὲν διεξελέγχουσα, τὰ δ' ἐν ταῖς τῶν εὖ φρονούντων γνώμαις βεβαιοῦσα.

59. Quum vero prædixisset reddito de se oraculo, vitam sibi fato attributam annorum quinquaginta et centum, deinde fulminis ictu se moriturum : miserrimo fine, annos nondum septuaginta natus, periit, ut filius Podalirii, putrefacto ad inguen usque pede, et scatens vermibus : quo tempore etiam calvus esse deprehensus est, dum præbet propter dolorem medicis caput perfundendum, quod nisi ablato ficticio capillamento facere non poterant.

60. Ille finis tragœdiæ Alexandri, hæc totius fabulæ exitus fuit, ut conjicere quis possit, a quadam hoc providentia fuisse, etsi forte tantum fortuna evenit. Oportebat autem etiam parentari ei prout ista vita dignùm erat, et certamen institui pro oraculo obtinendo, quum conjuratorum præstigiatorumque principes ad Rutilianum arbitrum venirent, quis ipsorum prælatus reliquis suscipere deberet oraculum, coronarique sacerdotali illa et prophetica corona. Erat inter illos etiam Pætus arte medicus, jam fere canus, qui neque medicum quod deceret, neque canum hominem, hac in re egit. Sed præses hujus certaminis Rutilianus illos non coronatos remisit, prophetæ munus illi, postquam hinc decesserat, adhuc servans.

61. Hæc, amice, pauca de multis scribere speciminis causa volui, tibi quidem gratificans, sodali et amico, quemque ego omnium maxime admiror, cum propter sapientiam et veritatis amorem et mores mansuetos, tum propter æquitatem et vitæ tranquillitatem, dexteritatemque in convictu : magis vero (id quod tibi etiam jucundius) Epicuri ulciscendi causa, viri vere sancti, et divino ingenio, quique solus cum veritate quæ pulchra sunt cognoverit tradideritque, liberatorque auditorum suorum factus sit. Puto vero aliis etiam qui inciderint, utile quiddam continere visum iri hanc scriptionem, quæ alia quidem refellat, alia vero in recte sentientium animis confirmet.

XXXIII.

ΠΕΡΙ ΟΡΧΗΣΕΩΣ.

1. ΛΥΚΙΝΟΣ. Ἐπεὶ τοίνυν, ὦ Κράτων, δεινήν τινα ταύτην κατηγορίαν ἐκ πολλοῦ, οἶμαι, παρεσκευα-σμένος κατηγόρηκας ὀρχήσεώς τε καὶ αὐτῆς ὀρχηστικῆς καὶ προσέτι ἡμῶν γε τῶν χαιρόντων τῇ τοιαύτῃ θέᾳ ὡς ἐπὶ φαύλῳ καὶ γυναικείῳ πράγματι μεγάλην σπουδὴν ποιουμένων, ἄκουσον ὅσον τοῦ ὀρθοῦ διημάρτηκας καὶ ὡς λέληθας σεαυτὸν τοῦ μεγίστου τῶν ἐν τῷ βίῳ ἀγαθῶν κατηγορῶν. Καὶ συγγνώμη σοι, εἰ ἐξ ἀρχῆς βίῳ αὐ-χμηρῷ συζῶν καὶ μόνον τὸ σκληρὸν ἀγαθὸν ἡγούμενος ὑπ' ἀπειρίας αὐτῶν κατηγορίας ἄξια εἶναι νενόμικας.

2. ΚΡΑΤ. Ἀνὴρ δέ τις ὢν, ὦ λῷστε, καὶ ταῦτα παι-δείᾳ σύντροφος καὶ φιλοσοφίᾳ τὰ μέτρια ὡμιληκὼς, ἀφέ-μενος, ὦ Λυκῖνε, τοῦ περὶ τὰ βελτίω σπουδάζειν καὶ τοῖς παλαιοῖς συνεῖναι, κάθηται καταυλούμενος, θηλυ-

59. Quum vero prædixisset reddito de se oraculo, vitam sibi fato attributam annorum quinquaginta et centum, deinde fulminis ictu se moriturum : miserrimo fine, annos nondum septuaginta natus, periit, ut filius Podalirii, putrefacto ad inguen usque pede, et scatens vermibus : quo tempore etiam calvus esse deprehensus est, dum præbet propter dolorem medicis caput perfundendum, quod nisi ablato ficticio capillamento facere non poterant.

60. Ille finis tragœdiæ Alexandri, hæc totius fabulæ exitus fuit, ut conjicere quis possit, a quadam hoc providentia fuisse, etsi forte tantum fortuna evenit. Oportebat autem etiam parentari ei prout ista vita dignùm erat, et certamen institui pro oraculo obtinendo, quum conjuratorum præstigiatorumque principes ad Rutilianum arbitrum venirent, quis ipsorum prælatus reliquis suscipere deberet oraculum, coronarique sacerdotali illa et prophetica corona. Erat inter illos etiam Pætus arte medicus, jam fere canus, qui neque medicum quod deceret, neque canum hominem, hac in re egit. Sed præses hujus certaminis Rutilianus illos non coronatos remisit, prophetæ munus illi, postquam hinc decesserat, adhuc servans.

61. Hæc, amice, pauca de multis scribere speciminis causa volui, tibi quidem gratificans, sodali et amico, quemque ego omnium maxime admiror, cum propter sapientiam et veritatis amorem et mores mansuetos, tum propter æquitatem et vitæ tranquillitatem, dexteritatemque in convictu : magis vero (id quod tibi etiam jucundius) Epicuri ulciscendi causa, viri vere sancti, et divino ingenio, quique solus cum veritate quæ pulchra sunt cognoverit tradideritque, liberatorque auditorum suorum factus sit. Puto vero aliis etiam qui inciderint, utile quiddam continere visum iri hanc scriptionem, quæ alia quidem refellat, alia vero in recte sentientium animis confirmet.

XXXIII.

DE SALTATIONE.

1. LYCINUS. Quandoquidem ergo, Crato, gravem hanc accusationem, olim, puto, ad eam paratus, protulisti saltationum et ipsius saltandi artis, et nostri insuper, qui tali spectaculo gaudemus, ut qui in vili et muliebri negotio magnum studium adhibeamus : audi jam quantum a recta via aberres, et quam imprudens bonorum in vita maximum accuses. Et ignoscendum tibi, si ab initio inde tristi vitæ generi assuetus, et, quod durum est, solum bonum esse judicans, præ ignorantia earum rerum, dignas accusatione putasti.

2. CRATO. Homo qui vir sit, o bone, isque eruditioni immeritus, et cum philosophia versatus mediocriter, relicto, Lycine, optimarum rerum studio, et antiquorum consuetudine, sedensne tibiis mulcendum se præbet, effeminatum

δρίαν ἄνθρωπον ὁρῶν ἐσθῆσι μαλακαῖς καὶ ἁσμασιν ἀσχολάστοις ἐναβρυνόμενον καὶ μιμούμενον ἐρωτικὰ γύναια, τῶν πάλαι τὰς μαχλοτάτας, Φαίδρας καὶ Παρθενόπας καὶ Ῥοδόπας τινάς, καὶ ταῦτα πάντα ὑπὸ κρούμασι καὶ τερετίσμασι καὶ ποδῶν κτύπῳ καταγέλαστα ὡς ἀληθῶς πράγματα καὶ ἥκιστα ἐλευθέρῳ ἀνδρὶ καὶ οἵῳ σοὶ πρέποντα; Ὥστε ἔγωγε πυθόμενος ὡς ἐπὶ τοιαύτῃ θέᾳ σχολάζεις οὐκ ἠδέσθην μόνον ὑπὲρ σοῦ, ἀλλὰ καὶ ἠνιάθην, εἰ Πλάτωνος καὶ Χρυσίππου καὶ Ἀριστοτέλους ἐκλαθόμενος κάθησαι τὸ ὅμοιον πεπονθὼς τοῖς τὰ ὦτὰ πτερῷ κνωμένοις, καὶ ταῦτα μυρίων ἄλλων ὄντων ἀκουσμάτων καὶ θεαμάτων σπουδαίων, εἴ τούτων τις δέοιτο τῶν κυκλικῶν αὐλητῶν καὶ τῶν κιθάρᾳ τὰ ἔννομα πρασᾳδόντων, καὶ μάλιστα τῆς σεμνῆς τραγῳδίας καὶ τῆς φαιδροτάτης κωμῳδίας, ἅπερ καὶ ἐναγώνια εἶναι ἠξίωται.

3. Ὁλλῆς οὖν, ὦ γενναῖε, τῆς ἀπολογίας σοι δεήσει πρὸς τοὺς πεπαιδευμένους, εἰ βούλει μὴ παντάπασιν ἐκκεκρίσθαι καὶ τῆς τῶν σπουδαίων ἀγέλης ἐξεληλάσθαι. Καίτοι τό γε ἄμεινον ἐκεῖνό ἐστιν, οἶμαι, ἀρνήσει τὸ πᾶν ἰάσασθαι καὶ μηδὲ τὴν ἀρχὴν ὁμολογεῖν τι τοιοῦτον παρανενομῆσθαί σοι. Πρὸς ὃ οὖν τοὐπιὸν ὅρα ὅπως μὴ λάθῃς ἡμῖν ἐξ ἀνδρὸς τοῦ πάλαι Λυδή τις ἢ Βάκχη γενόμενος, ὅπερ οὐ σὸν ἂν ἔγκλημα εἴη μόνον, ἀλλὰ καὶ ἡμῶν, εἰ μή σε κατὰ τὸν Ὀδυσσέα τοῦ λωτοῦ ἀποσπάσαντες ἐπὶ τὰς συνήθεις διατριβὰς ἐπανάξομεν, πρὶν λάθῃς τελέως ὑπὸ τῶν ἐν τῷ θεάτρῳ Σειρήνων κατεσχημένος. Καίτοι ἐκεῖναι μὲν τοῖς ὠσὶ μόνοις ἐπεβούλευον, καὶ διὰ τοῦτο κηροῦ ἐδέησε πρὸς τὸν παράπλουν αὐτῶν· σὺ δὲ καὶ δι' ὀφθαλμῶν ἔοικας ὅλος δεδουλῶσθαι.

4. ΛΥΚ. Παπαῖ, ὦ Κράτων, ὡς χάρχαρόν τινα ἕλυσας ἐφ' ἡμᾶς τὸν σαυτοῦ κύνα. Ἠλήν τό γε παράδειγμα τὴν τῶν Λωτοφάγων καὶ Σειρήνων εἰκόνα πάνυ ἀνομοιοτάτην μοι δοκεῖς εἰρηκέναι ὧν πέπονθα, παρ' ὅσον τοῖς μὲν τοῦ λωτοῦ γευσαμένοις καὶ τῶν Σειρήνων ἀκούσασιν ὄλεθρος ἦν τῆς τε ἐδωδῆς καὶ τῆς ἀκροάσεως τοὐπιτίμιον, ἐμοὶ δὲ πρὸς τῷ τὴν ἡδονὴν παρὰ πολὺ ἡδίω πεφηνέναι καὶ τὸ τέλος ἀγαθὸν ἀποβέβηκεν· οὐ γὰρ εἰς λήθην τῶν οἴκοι οὐδ' εἰς ἀγνωσίαν τῶν κατ' ἐμαυτὸν περιίσταμαι, ἀλλ' εἰ χρὴ μηδὲν ὀκνήσαντα εἰπεῖν, μακρῷ πινυτώτερος καὶ τῶν ἐν τῷ βίῳ διορατικώτερος ἐκ τοῦ θεάτρου σοι ἐπανελήλυθα. Μᾶλλον δὲ τὸ τοῦ Ὁμήρου αὐτὸ εἰπεῖν καλὸν, ὅτι ὁ τοῦτο ἰδὼν τὸ θέαμα

τερψάμενος νεῖται καὶ πλείονα εἰδώς.

ΚΡΑΤ. Ἡράκλεις, ὦ Λυκῖνε, οἷα πέπονθας, ὃς οὐδὲ αἰσχύνῃ ἐπ' αὐτοῖς, ἀλλὰ καὶ σεμνυνομένῳ ἔοικας. Τὸ γοῦν δεινότατον τοῦτό ἐστιν, ὅτι μηδὲ ἰάσεώς τινα ἡμῖν ὑποφαίνεις ἐλπίδα ἐπαινεῖν τολμῶν τὰ οὕτως αἰσχρὰ καὶ κατάπτυστα.

5. ΛΥΚ. Εἰπέ μοι, ὦ Κράτων, ταυτὶ δὲ καὶ περὶ ὀρχήσεως καὶ τῶν ἐν τῷ θεάτρῳ γινομένων, ἰδὼν πολλάκις, αὐτὸς ἐπιτιμᾷς, ἢ ἀπείρατος ὢν τοῦ θεάματος ὅμως αἰσχρὸν αὐτὸ καὶ κατάπτυστον, ὡς φῂς, νομίζεις;

spectans hominem, molli vestitu et lascivis canticis delicatum, et amatorias imitantem mulierculas, omnium ex antiquitate libidinosissimas, Phædras, et Parthenopas, et Rhodopas quasdam? et hæc omnia ad pulsationes, et frequentamenta, et pedum scabellorum strepitus? res vere ridiculæ, et minime virum liberalem et tui similem decentes. Itaque ipse ego quum audirem tali te spectaculo vacare, non erubui modo vicem tuam, sed moleste quoque tuli, si Platonis et Chrysippi et Aristotelis oblitus sedeas iis similis, qui pinnula aures titillant: idque quum sexcentæ sint honestæ aurium et oculorum voluptates, si quis illos in circulis tibicines desideret, et qui ad citharam legitimos modos accinunt; illa præsertim gravis tragœdia, et comœdia hilarissima, quæ etiam certaminum publicorum materia esse meruerunt.

3. Quare longa tibi, o generose, defensione opus erit apud eruditos, si velis non omnino ejici, et ex honestis viris expelli. Quanquam illud, puto, optimum erit, negatione totum hoc sanare, neque fateri omnino tale quidpiam abs te peccatum esse. In futurum tamen vide ne inscientibus nobis ex viro qui olim fueras, Lyda quædam aut Baccha evaseris: quod quidem non tuum modo crimen fuerit, sed etiam nostrum, nisi te Ulixis instar a loto abstractum ad consueta studia prius reduxerimus, quam non sentiens ab illis in theatro Sirenibus plane occuperis. Quanquam illæ solis insidiabantur auribus, propter quod cera opus erat, ut quis eas præternavigaret: at tu etiam per oculos omnino in servitutem videris redactus.

4. LYC. Vah, Crato, quam asperum in nos laxasti canem tuum! Verumtamen exemplum illud, illam Lotophagorum et Sirenum imaginem, usquequaque dissimilem eorum protulisse mihi videris, quæ mihi accidunt: in quantum iis qui lotum gustaverant quique audierant Sirenas, interitus tanquam præmium esus illius auditionisve propositum erat; mihi vero, præterquam quod voluptas multo suavior visa est, etiam finis evadit bonus. Neque enim in oblivionem rerum domesticarum neque ignorantiam mei ipsius incidi; sed si absque hæsitatione dicendum est, multum prudentior et perspicacior ad negotia vitæ ex theatro redii. Quin plane Homeri illud dicere fas est, Qui vidit illud spectaculum,

lætusque lares et doctior ille revisit.

CRAT. Hercules, Lycine, quid tibi est, quem adeo non pudeat harum rerum, ut tibi etiam placere iis videare! Gravissimum enim hoc est, quod neque curationis ullam nobis spem ostendis, qui laudare audeas turpia adeo ac despuenda.

5. LYC. Dic mihi, Crato, istane de saltatione atque his quæ in theatro fiunt, reprehendis sæpe abs te visa; an spectaculum nunquam a te usurpatum tamen turpe et despuendum, ut ais, arbitrare? Si enim vidisti, nobis tu exæ-

Εἰ μὲν γὰρ εἶδες, ἐξ ἴσου ἡμῖν καὶ σὺ γεγένησαι· εἰ δὲ μή, ὅρα μὴ ἄλογος ἡ ἐπιτίμησις εἶναί σου δόξῃ καὶ θρασεῖα κατηγοροῦντος ὧν ἀγνοεῖς.

ΚΡΑΤ. Ἔτι γὰρ τοῦτό μοι λοιπὸν ἦν, ἐν βαθεῖ τούτῳ τῷ πώγωνι καὶ πολιᾷ τῇ κόμῃ καθῆσθαι μέσον ἐν τοῖς γυναίοις καὶ τοῖς μεμηνόσιν ἐκείνοις θεαταῖς κροτοῦντά τε προσέτι καὶ ἐπαίνους ἀπρεπεστάτους ἐπιβοῶντα ὀλέθρῳ τινὶ ἀνθρώπῳ ἐς οὐδὲν δέον κατακλωμένῳ.

ΛΥΚ. Συγγνωστά σου ταῦτα, ὦ Κράτων. Εἰ δέ μοι πεισθείης ποτὲ καὶ ὅσον πείρας ἕνεκα παράσχοις σεαυτὸν ἀναπετάσας τοὺς ὀφθαλμούς, εὖ οἶδα ὡς οὐκ ἀνάσχοιο ἂν μὴ οὐχὶ πρὸ τῶν ἄλλων θέαν ἐν ἐπιτηδείῳ καταλαμβάνων, ὅθεν καὶ ὄψει ἀκριβῶς καὶ ἀκούσῃ ἅπαντα.

ΚΡΑΤ. Μὴ ὥρασιν ἄρα ἰκοίμην, εἴ τι τοιοῦτον ἀνασχοίμην ποτέ, ἔστ' ἂν δασύς τε εἴην τὰ σκέλη καὶ τὸ γένειον ἀπαράτιλτος· ὡς νῦν γε καὶ σὲ ἤδη ἐλεῶ τελέως ἡμῖν ἐκβεβακχευμένον.

6. ΛΥΚ. Βούλει οὖν ἀφέμενος, ὦ ἑταῖρε, τῶν βλασφημιῶν τούτων ἀκοῦσαί μού τι περὶ ὀρχήσεως λέγοντος καὶ τῶν ἐν αὐτῇ καλῶν, καὶ ὡς οὐ τερπνὴ μόνον, ἀλλὰ καὶ ὠφέλιμός ἐστι τοῖς θεωμένοις, καὶ ὅσα παιδεύει καὶ ὅσα διδάσκει καὶ ὡς ῥυθμίζει τῶν ὁρώντων τὰς ψυχὰς καλλίστοις θεάμασιν ἐγγυμνάζουσα καὶ ἀρίστοις ἀκούσμασιν ἐνδιατρίβουσα καὶ κοινόν τι ψυχῆς καὶ σώματος κάλλος ἐπιδεικνυμένη; τὸ γὰρ μετὰ μουσικῆς καὶ ῥυθμοῦ ταῦτα πάντα ποιεῖν, οὐ ψόγος ἂν αὐτῆς, ἀλλ' ἔπαινος μᾶλλον εἴη.

ΚΡΑΤ. Ἐμοὶ μὲν οὐ πάνυ σχολὴ μεμηνότος ἀνθρώπου ἀκροᾶσθαι τὴν νόσον τὴν αὑτοῦ ἐπαινοῦντος· σὺ δέ, εἰ βούλει λῆρόν τινα κατασκεδάσαι μου, ἕτοιμος φιλικὴν ταύτην λειτουργίαν ὑποστῆναι καὶ παρασχεῖν τὰ ὦτα, καὶ ἄνευ κηροῦ παρακούειν τῶν φαύλων δυνάμενος. Ὥστε ἤδη σιωπήσομαί σοι, καὶ λέγε ὁπόσα ἐθέλεις ὡς μηδὲ ἀκούοντός τινος.

7. ΛΥΚ. Εὖ γε, ὦ Κράτων, καὶ τούτου ἐδεόμην μάλιστα· εἴσῃ γὰρ κατ' ὀλίγον εἰ λῆρος εἶναί σοι δόξει τὰ λεχθησόμενα. Καὶ πρῶτόν γε ἐκεῖνο πάνυ ἠγνοηκέναι μοι δοκεῖς, ὡς οὐ νεώτερον τὸ τῆς ὀρχήσεως ἐπιτήδευμα τοῦτό ἐστιν οὐδὲ χθὲς καὶ πρῴην ἀρξάμενον, οἷον κατὰ τοὺς προπάτορος ἡμῶν ἢ τοὺς ἐκείνων, ἀλλ' οἵ γε τἀληθέστατα ὀρχήσεως πέρι γενεαλογοῦντες ἅμα τῇ πρώτῃ γενέσει τῶν ὅλων φαῖεν ἂν σοι καὶ ὄρχησιν ἀναφῦναι τῷ ἀρχαίῳ ἐκείνῳ Ἔρωτι συναναφανεῖσαν· ἡ γοῦν χορεία τῶν ἀστέρων καὶ ἡ πρὸς τοὺς ἀπλανεῖς τῶν πλανήτων συμπλοκὴ καὶ εὔρυθμος αὐτῶν κοινωνία καὶ εὔτακτος ἁρμονία τῆς πρωτογόνου ὀρχήσεως δείγματά ἐστι. Κατ' ὀλίγον δὲ αὐξανομένη καὶ τῆς πρὸς τὸ βέλτιον ἀεὶ προσθήκης τυγχάνουσα νῦν ἔοικεν ἐς τὸ ἀκρότατον ἀποτετελέσθαι καὶ γεγενῆσθαι ποικίλον τι καὶ παναρμόνιον καὶ πολύμουσον ἀγαθόν.

8. Πρῶτον δέ φασι Ῥέαν ἡσθεῖσαν τῇ τέχνῃ ἐν Φρυγίᾳ μὲν τοὺς Κορύβαντας, ἐν Κρήτῃ δὲ τοὺς Κου-

quatus es : sin minus, vide ne irrationabilis reprehensio tua esse videatur et audax, qui qua nescis, ea tamen accuses.

CRAT. Nempe illud adhuc mihi supererat, cum prolixa hac barba et cano capillo sedere medium inter mulierculas, et spectatores furiosis similes, plaudentem insuper, et laudes indecentissimas inclamantem perdito alicui homini præter decorum se frangenti.

LYC. Ignoscendum in his tibi, Crato. Si vero mihi obsecutus aliquando, vel experimenti causa te des ad spectandum, et oculos aperias : bene novi te nihil intermissurum, quo ante alios spectaculum idoneo loco occupes, unde et videas accurate omnia et audias.

CRAT. Male vero peream, si quid tale unquam sustineam, quamdiu quidem hirsuta crura habuero, et mentum non vulsum : itaque tui me jam miseret, plane bacchico furore correpti.

6. LYC. Vis igitur, amice, omissis maledictis hisce, audire me de saltatione aliquid dicentem, et quæ in illa pulchra insint, et quam non ad delectationem modo pertineat, sed utilis etiam sit spectantibus, et quot ad res instituat, et quæ doceat, quamque in ordinem redigat et concinnet spectantium animos, dum pulcherrimis illos in spectaculis exercet, et optimarum rerum audita detinet, et communem quandam animi atque corporis pulchritudinem ostendit? quod enim cum musica et rhythmo facit hæc omnia, ea non reprehensio illius, sed laus fuerit potius.

CRAT. Mihi quidem non omnino otium est ad furiosum hominem audiendum, qui morbum laudet suum : interea tu si vis nugis me tuis perfundere, paratus sum hoc tibi amici ministerium subire, et præbere aures, qui sine cera etiam tanquam non auditas transmittere res nauci possim. Itaque jam silentium tibi præbebo, et dic quicquid volueris, quasi nemo plane audiret.

7. LYC. Bene sane, Crato, hoc maxime petebam. Scies enim paullo post, num nugæ tibi, quæ dicturus sum, videantur. Ac primo quidem illud omnino videris mihi ignorare, quam non recens sit hoc saltandi studium, neque heri aut nudiustertius cœperit, verbi causa progenitorum nostrorum ætate, eorumve qui horum fuere majores; sed qui veracissime saltationis origines enarrant, illi cum primo omnium ortu natam tibi dixerint, quippe quæ cum antiquo illo Amore simul in conspectum prodierit. Etenim illa astrorum chorea, planetarum illa ad inerrantes conjunctio, et concinna illorum communio, et ordinatus ille concentus, primigeniæ illius saltationis documenta sunt. Quum autem paullatim creverit et accessionem subinde in melius nacta sit, jam ad summum videtur perfecta, et evasisse varium quoddam, et consentiens undique, et Musarum plurium bonum.

8. Primum autem dicunt Rheam, delectatam arte, in Phrygia Corybantes, Curetes autem in Creta, saltare jus-

ρῆτας ὀρχεῖσθαι κελεῦσαι, καὶ οὐ τὰ μέτρια ὤνατο τῆς τέχνης αὐτῶν, οἵ γε περιορχούμενοι διεσώσαντο αὐτῇ τὸν Δία, ὥστε καὶ σῶστρα εἰκότως ἂν ὁ Ζεὺς ὀφείλειν ὁμολογοίη αὐτοῖς ἐκφυγὼν διὰ τὴν ἐκείνων ὄρχησιν τοὺς πατρῴους ὀδόντας. Ἐνόπλιος δὲ αὐτῶν ἡ ὄρχησις ἦν, τὰ ξίφη μεταξὺ κροτούντων πρὸς τὰς ἀσπίδας καὶ πηδώντων ἔνθεόν τι καὶ πολεμικόν. Μετὰ δὲ Κρητῶν οἱ κράτιστοι ἐνεργῶς ἐπιτηδεύσαντες αὐτὸ ἄριστοι ὀρχησταὶ ἐγένοντο, οὐχ οἱ ἰδιῶται μόνον, ἀλλὰ καὶ οἱ βασιλικώτεροι καὶ πρωτεύειν ἀξιοῦντες. Ὁ γοῦν Ὅμηρος τὸν Μηριόνην οὐκ αἰσχῦναι βουλόμενος, ἀλλὰ κοσμῆσαι, ὀρχηστὴν προσεῖπε, καὶ οὕτως ἄρα πᾶσιν ἐπίσημος ἦν καὶ γνώριμος ἐπὶ τῇ ὀρχηστικῇ, ὥστε οὐχ οἱ Ἕλληνες μόνον ταῦτα ἠπίσταντο περὶ αὐτοῦ, ἀλλὰ καὶ οἱ Τρῶες αὐτοὶ καίτοι πολέμιοι ὄντες· ἑώρων γὰρ, οἶμαι, καὶ τὴν ἐν τῷ πολεμεῖν αὐτοῦ κουφότητα καὶ εὐρυθμίαν, ἣν ἐξ ὀρχήσεως ἐκέκτητο. Φησὶ δέ πως ὧδε τὰ ἔπη·

> Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα
> ἔγχος ἐμὸν κατέπαυσε.

Καὶ ὅμως οὐ κατέπαυσεν αὐτόν· ἅτε γὰρ ἠσκημένος ἐν τῇ ὀρχηστικῇ ῥᾳδίως, οἶμαι, διεδίδρασκε τὰς ἐπ' αὐτὸν ἀφέσεις τῶν ἀκοντίων.

9. Πολλοὺς δὲ καὶ ἄλλους τῶν ἡρώων εἰπεῖν ἔχων τοῖς αὐτοῖς ἐγγεγυμνασμένους καὶ τέχνην τὸ πρᾶγμα πεποιημένους ἱκανὸν ἡγοῦμαι τὸν Νεοπτόλεμον, Ἀχιλλέως μὲν παῖδα ὄντα, πάνυ δὲ διαπρέψαντα ἐν τῇ ὀρχηστικῇ καὶ εἶδος τὸ κάλλιστον αὐτῇ προστεθεικότα, Πυρρίχιον ἀπ' αὐτοῦ κεκλημένον· καὶ ὁ Ἀχιλλεὺς ταῦτα ὑπὲρ τοῦ παιδὸς πυνθανόμενος μᾶλλον ἔχαιρεν, οἶμαι, ἢ ἐπὶ τῷ κάλλει καὶ τῇ ἄλλῃ ἀλκῇ αὐτοῦ. Τοιγαροῦν τὴν Ἴλιον τέως ἀνάλωτον οὖσαν ἡ ἐκείνου ὀρχηστικὴ καθεῖλε καὶ εἰς ἔδαφος κατέρριψε.

10. Λακεδαιμόνιοι μὲν ἄριστοι Ἑλλήνων εἶναι δοκοῦντες παρὰ Πολυδεύκους καὶ Κάστορος καρυατίζειν μαθόντες — ὀρχήσεως δὲ καὶ τοῦτο εἶδος ἐν Καρύαις τῆς Λακωνικῆς διδασκόμενον — ἅπαντα μετὰ Μουσῶν ποιοῦσιν ἄχρι τοῦ πολεμεῖν πρὸς αὐλὸν καὶ ῥυθμὸν καὶ εὔτακτον ἔμβασιν τοῦ ποδός· καὶ τὸ πρῶτον σύνθημα Λακεδαιμονίοις πρὸς τὴν μάχην ὁ αὐλὸς ἐνδίδωσι. Τοιγαροῦν καὶ ἐκράτουν ἁπάντων μουσικῆς αὐτοῖς καὶ εὐρυθμίας ἡγουμένης. Ἴδοις δ' ἂν νῦν ἔτι καὶ τοὺς ἐφήβους αὐτῶν οὐ μεῖον ὀρχεῖσθαι ἢ ὁπλομαχεῖν μανθάνοντας· ὅταν γὰρ ἀκροχειρισάμενοι καὶ παίσαντες καὶ παισθέντες ἐν τῷ μέρει παύσωνται, εἰς ὄρχησιν αὐτοῖς ἡ ἀγωνία τελευτᾷ. Καὶ αὐλητὴς μὲν ἐν τῷ μέσῳ κάθηται ἐπαυλῶν καὶ κτυπῶν τῷ ποδὶ, οἱ δὲ κατὰ στοῖχον ἀλλήλοις ἑπόμενοι σχήματα παντοῖα ἐπιδείκνυνται πρὸς ῥυθμὸν ἐμβαίνοντες, ἄρτι μὲν πολεμικὰ, μετ' ὀλίγον δὲ χορευτικὰ, ἃ Διονύσῳ καὶ Ἀφροδίτῃ φίλια.

11. Τοιγαροῦν καὶ τὸ ᾆσμα, ὃ μεταξὺ ὀρχούμενοι ᾄδουσιν, Ἀφροδίτης ἐπίκλησίς ἐστι καὶ Ἐρώτων, ὡς

sisse, nec mediocrem retulit artis illorum fructum : illi enim circum saltando Jovem illi servarunt, ut credibile sit etiam Jovem fateri se salutis suæ illis præmia debere, qui saltationis illorum beneficio dentes patris sui effugerit. Armata autem fuit illorum saltatio, qui interim gladios incuterent clypeis, et tanquam divinitus immisso furore bellico insultarent. Postea vero Cretensium fortissimi quique, operoso studio hoc agentes, saltatores optimi facti sunt, neque de plebe modo homines et privati, sed etiam regibus proximi, et qui ad primatum aspirarent. Homerus enim Merionen non contumeliosa nota afficere volens, sed ornare, saltatorem appellavit. Et ita sane insignis erat et notus omnibus hac arte, ut non Græci solum hæc de illo scirent, sed Trojani quoque, licet hostes : videbant enim, puto, etiam ipsius agilitatem in pugna, et concinnam mobilitatem, quam saltatione sibi paraverat. Ita autem fere versus dicunt :

> Merione, quanquam saltator maximus audis,
> ista tamen forsan mea te confecerit hasta.

Et tamen non confecit illum : exercitatus quippe saltandi arte, facile, puto, effugiebat emissa in ipsum jacula.

9. Multos autem alios etiam heroum dicere quum possim iisdem in rebus exercitatos, qui illam tanquam artem habuere, sufficere puto Neoptolemum, Achillis filium, saltandi arte præstantissimum, qui genus pulcherrimum adjecit Pyrrhichiam ab ipsius nomine (Pyrrho) dictam : et Achilles audiens ista de filio, magis, arbitror, eis gaudebat, quam pulchritudine et virtute illius reliqua. Namque Ilium, invictam ad eum diem urbem, illius saltatoria destruxit et solo æquavit.

10. Lacedæmonii quidem, qui fortissimi Græcorum esse feruntur, a Polluce et Castore Caryaticam edocti (saltationis id genus est, quod Caryis, Laconicæ pago, discitur), cum Musis omnia faciunt, adeo ut etiam ad tibiam et rhythmum pugnent, et ad ordinatum pedis ingressum ; et primum signum pugnæ Lacedæmoniis canit tibia. Igitur etiam vincebant omnes, musica ipsis duce et motuum concinnitate : videasque etiam nunc illorum adolescentes non minus saltare, quam pugnare armis discentes. Quum enim manibus jam consertis percussere et percussi sunt, ac tum per vices quiescunt, in saltationem illis certamen exit. Ac sedet in medio tibicen canens et pede solum percutiens : illi vero, ut in versus divisi sunt, se invicem sequentes habitus ostendunt omnis generis, incedentes ad numeros, jam quidem bellicos, paullo post autem saltatorios, Baccho et Veneri gratos.

11. Quare etiam canticum, quod inter saltandum canunt, Veneris invitatio est et Cupidinum, ut saltent secum et

συγκωμάζοιεν αὐτοῖς καὶ συνορχοῖντο. Καὶ θάτερον δὲ τῶν ᾀσμάτων — δύο γὰρ ᾄδεται — καὶ διδασκαλίαν ἔχει ὡς χρὴ ὀρχεῖσθαι· Πόρρω γάρ, φασίν, ὦ παῖδες, πόδα μετάβατε καὶ κωμάξατε βέλτιον, τουτέστιν ἄμειvον ὀρχήσασθε. Ὅμοια δὲ καὶ οἱ τὸν ὅρμον καλούμενον ὀρχούμενοι ποιοῦσιν.

12. Ὁ δὲ ὅρμος ὄρχησίς ἐστι κοινὴ ἐφήβων τε καὶ παρθένων, παρ' ἕνα χορευόντων καὶ ὡς ἀληθῶς ὅρμῳ ἐοικότων· καὶ ἡγεῖται μὲν ὁ ἔφηβος τὰ νεανικὰ ὀρχούμενος καὶ ὅσοις ὕστερον ἐν πολέμῳ χρήσεται, ἡ παρθένος δὲ ἕπεται κοσμίως τὸ θῆλυ χορεύειν διδάσκουσα, ὡς εἶναι τὸν ὅρμον ἐκ σωφροσύνης καὶ ἀνδρείας πλεκόμενον. Καὶ αἱ γυμνοπαιδίαι δὲ αὐτοῖς ὁμοίως ὄρχησίς ἐστιν.

13. Ἃ δὲ Ὅμηρος ὑπὲρ Ἀριάδνης ἐν τῇ ἀσπίδι πεποίηκε καὶ τοῦ χοροῦ ὃν αὐτῇ Δαίδαλος ἤσκησεν, ὡς ἀνεγνωκότι σοι παρίημι, καὶ τοὺς ὀρχηστὰς δὲ τοὺς δύο, οὓς ἐκεῖ ὁ ποιητὴς κυβιστητῆρας καλεῖ, ἡγουμένους τοῦ χοροῦ, καὶ πάλιν, ἃ ἐν τῇ αὐτῇ ἀσπίδι λέγει· « Κοῦροι δ' ὀρχηστῆρες ἐΐνεον, » ὥς τι κάλλιστον τοῦτο τοῦ Ἡφαίστου ἐμποιήσαντος τῇ ἀσπίδι. Τοὺς μὲν γὰρ Φαίακας καὶ πάνυ εἰκὸς ἦν ὀρχήσει χαίρειν ἁβρούς τε ὄντας καὶ ἐν πάσῃ εὐδαιμονίᾳ διατρίβοντας. Ὁ γοῦν Ὅμηρος τοῦτο αὐτῶν μάλιστα θαυμάζοντα πεποίηκε τὸν Ὀδυσσέα καὶ τὰς μαρμαρυγὰς τῶν ποδῶν θεώμενον.

14. Ἐν μέν γε Θεσσαλίᾳ τοσοῦτον ἐπέδωκε τῆς ὀρχηστικῆς ἡ ἄσκησις, ὥστε τοὺς προστάτας καὶ προαγωνιστὰς αὐτῶν προορχηστῆρας ἐκάλουν· καὶ δηλοῦσι τοῦτο αἱ τῶν ἀνδριάντων ἐπιγραφαί, οὓς τοῖς ἀριστεύσασιν ἀνέστασαν· Προὔκρινε γάρ, φησί, προορχηστῆρα ἁ πόλις. Καὶ αὖθις, Εἰλατίωνι τὰν εἰκόνα ὁ δᾶμος εὖ ὀρχησαμένῳ τὰν μάχαν.

15. Ἐῶ λέγειν ὅτι τελετὴν οὐδὲ μίαν ἀρχαίαν ἔστιν εὑρεῖν ἄνευ ὀρχήσεως, Ὀρφέως δηλαδὴ καὶ Μουσαίου, τῶν τότε ἀρίστων ὀρχηστῶν, καταστησαμένων αὐτάς, ὡς τι κάλλιστον καὶ τοῦτο νομοθετησάντων σὺν ῥυθμῷ καὶ ὀρχήσει μυεῖσθαι. Ὅτι δ' οὕτως ἔχει, τὰ μὲν ὄργια σιωπᾶν ἄξιον τῶν ἀμυήτων ἕνεκα, ἐκεῖνο δὲ πάντες ἀκούουσιν, ὅτι τοὺς ἐξαγορεύοντας τὰ μυστήρια ἐξορχεῖσθαι λέγουσιν οἱ πολλοί.

16. Ἐν Δήλῳ δέ γε οὐδὲ αἱ θυσίαι ἄνευ ὀρχήσεως, ἀλλὰ σὺν ταύτῃ καὶ μετὰ μουσικῆς ἐγίγνοντο. Παίδων χοροὶ συνελθόντες ὑπ' αὐλῷ καὶ κιθάρᾳ οἱ μὲν ἐχόρευον, ὑπωρχοῦντο δὲ οἱ ἄριστοι προκριθέντες ἐξ αὐτῶν. Τὰ γοῦν τοῖς χοροῖς γραφόμενα τούτοις ᾄσματα ὑπορχήματα ἐκαλεῖτο καὶ ἐμπέπληστο τῶν τοιούτων ἡ λύρα.

17. Καὶ τί σοι τοὺς Ἕλληνας λέγω, ὅπου καὶ Ἰνδοὶ ἐπειδὰν ἕωθεν ἀναστάντες προσεύχωνται τὸν Ἥλιον, οὐχ ὥσπερ ἡμεῖς τὴν χεῖρα κύσαντες ἡγούμεθα ἐντελῆ ἡμῶν εἶναι τὴν εὐχήν, ἀλλ' ἐκεῖνοι πρὸς τὴν ἀναταλὴν στάντες ὀρχήσει τὸν Ἥλιον ἀσπάζονται σχηματίζοντες ἑαυτοὺς σιωπῇ καὶ μιμούμενοι τὴν χορείαν τοῦ θεοῦ· καὶ τοῦτό ἐστιν Ἰνδῶν καὶ εὐχὴ καὶ χοροὶ καὶ

tripudient. Alterum vero canticorum (duo enim canuntur) etiam institutionem continet, quomodo sit saltandum. Porro enim, aiunt, o pueri, promovete pedem, et saltate melius. Similia vero faciunt illi quoque, qui Hormum saltant.

12. Est autem Hormus saltatio communis adolescentium atque virginum, alterna serie choreas agentium, monilique, qui Hormus est, revera similium. Ac ducit choream juvenis, juveniles gressus saltans et quibus deinde in bello usurus est : sequitur virgo decenter saltare suum sexum docens, ut adeo sit istud quasi monile ex modestia et fortitudine plexum. Gymnopædiæ similiter saltatio apud eos est.

13. Quæ autem Homerus de Ariadne in clypeo Achillis describendo fecit carmina, et de choro quem illi exercuit Dædalus, apud te, qui legeris, prætermitto, et saltatores duos, quos tibi poeta « in caput saltantes » appellat, chori duces : et quæ rursus ait in eodem clypeo, « Saltantes juvenes convertebantur in orbem, » velut pulcherrimum hoc quiddam in clypeo Vulcanus elaboravisset. Phæaces quidem maxime consentaneum erat saltatione gaudere, delicatos homines et in felicitate omni vitam agentes. Itaque Homerus hoc maxime in illis miratum induxit Ulixen, et spectantem pedes motu trepidante micantes.

14. In Thessalia tantum aucta fuerat saltatoriæ exercitatio, ut suos duces et propugnatores Præsules dicerent : indicantque illud statuarum inscriptiones, quas viris fortibus ob rem bene gestam posuere, Elegit enim, ait una, præsulem civitas : et rursus, Ilationi statuam dedit populus bene saltata pugna.

15. Omitto dicere quod initia antiqua invenire nulla est sine saltatione, quum nempe Orpheus et Musæus, qui optimi erant illa ætate saltatores, ea constituerint, tanquam pulcherrimum quiddam illud quoque in legibus ponentes ut cum rhythmo et saltatione homines initiarentur. Rem ita se habere, ipsa quidem orgia tacere oportet, propter non initiatos : at illud omnes audiunt, eos qui enunciant mysteria, « extra seu foras saltare » vulgo dici.

16. In Delo autem neque sacrificia sine saltatione peragebantur, sed cum hac et cum musica fiebant. Nempe puerorum chori convenientes ad tibiam ac citharam partim quidem agebant choreas, partim vero cantum et modos præibant præstantissimi ex eorum numero delecti. Carmina igitur scripta his choris vocabantur Hyporchemata, qualium plena est poesis lyrica.

17. Et quid Græcos tibi commemoro, quum etiam Indi, postquam mane surrexerunt, adorent Solem, non ut nos, qui ubi manum sumus osculati, perfectam putamus a nobis esse adorationem : sed stantes illi in orientem conversi saltatione Solem salutant, silentio conformantes se et dei hujus saltationem imitantes. Et hæc est Indorum adoratio,

θυσία. Διὸ καὶ τούτοις ἱλεοῦνται τὸν θεὸν δὶς καὶ ἀρχομένης καὶ δυομένης τῆς ἡμέρας.

18. Αἰθίοπες δέ γε καὶ πολεμοῦντες σὺν ὀρχήσει αὐτὸ δρῶσι, καὶ οὐκ ἂν ἀφείη τὸ βέλος Αἰθίοψ ἀνὴρ ἀφελὼν τῆς κεφαλῆς — ταύτῃ γὰρ ἀντὶ φαρέτρας χρῶνται περιδέοντες αὐτῇ ἀκτινηδὸν τὰ βέλη — εἰ μὴ πρότερον ὀρχήσαιτο καὶ τῷ σχήματι ἀπειλήσειε καὶ προεκφοβήσειε τῇ ὀρχήσει τὸν πολέμιον.

19. Ἄξιον δὲ, ἐπεὶ τὴν Ἰνδικὴν καὶ τὴν Αἰθιοπίαν διεξεληλύθαμεν, καὶ ἐς τὴν γείτονα αὐτῶν Αἴγυπτον καταβῆναι τῷ λόγῳ· δοκεῖ γάρ μοι ὁ παλαιὸς μῦθος καὶ Πρωτέα τὸν Αἰγύπτιον οὐκ ἄλλο τι ἢ ὀρχηστήν τινα γενέσθαι λέγειν, μιμητικὸν ἄνθρωπον καὶ πρὸς πάντα σχηματίζεσθαι καὶ μεταβάλλεσθαι δυνάμενον, ὡς καὶ ὕδατος ὑγρότητα μιμεῖσθαι καὶ πυρὸς ὀξύτητα ἐν τῇ τῆς κινήσεως σφοδρότητι καὶ λέοντος ἀγριότητα καὶ παρδάλεως θυμὸν καὶ δένδρου δόνημα, καὶ ὅλως ὅ τι καὶ θελήσειεν. Ὁ δὲ μῦθος παραλαβὼν πρὸς τὸ παραδοξότερον τὴν φύσιν αὐτοῦ διηγήσατο, ὡς γιγνομένου ταῦτα ἅπερ ἐμιμεῖτο· ὅπερ δὴ καὶ τοῖς νῦν ὀρχουμένοις πρόσεστιν. Ἴδοις δ' ἂν οὖν αὐτοὺς πρὸς τὸν αὐτὸν καιρὸν ὠκέως διαλλαττομένους καὶ αὐτὸν μιμουμένους τὸν Πρωτέα. Εἰκάζειν δὲ χρὴ καὶ τὴν Ἔμπουσαν τὴν ἐς μυρίας μορφὰς μεταβαλλομένην τοιαύτην τινὰ ἄνθρωπον ὑπὸ τοῦ μύθου παραδεδόσθαι.

20. Ἐπὶ τούτοις δίκαιον μηδὲ τῆς Ῥωμαίων ὀρχήσεως ἀμνημονεῖν, ἣν οἱ εὐγενέστατοι αὐτῶν τῷ πολεμικωτάτῳ τῶν θεῶν Ἄρει οἱ Σάλιοι καλούμενοι — ἱερωσύνης δὲ τοῦτο ὄνομα — ὀρχοῦνται σεμνοτάτην τε ἅμα καὶ ἱερωτάτην.

21. Βιθυνὸς δὲ μῦθος, καὶ οὗτος οὐ πάνυ τῶν Ἰταλιωτικῶν ἀλλότριος, τὸν Πρίαπον δαίμονα πολεμιστὴν, τῶν Τιτάνων οἶμαι ἕνα ἢ τῶν Ἰδαίων Δακτύλων τοῦτο ἔργον πεποιημένων τὰ ἐνόπλια παιδεύειν, παραλαβόντα παρὰ τῆς Ἥρας τὸν Ἄρη, παῖδα μὲν ἔτι, σκληρὸν δὲ καὶ πέρα τοῦ μετρίου ἀνδρικὸν, μὴ πρότερον ὁπλομαχεῖν διδάξαι, πρὶν τέλειον ὀρχηστὴν ἀπειργάσατο· καὶ ἐπὶ τούτῳ καὶ μισθὸς αὐτῷ παρὰ τῆς Ἥρας ἐγένετο, δεκάτην ἀεὶ τῶν ἐκ πολέμου περιγιγνομένων τῷ Ἄρει παρ' αὐτοῦ λαμβάνειν.

22. Τὰ μὲν γὰρ Διονυσιακὰ καὶ Βακχικὰ οἶμαί σε μὴ περιμένειν ἐμοῦ ἀκοῦσαι, ὅτι ὀρχησις ἐκεῖνα πάντα ἦν· τριῶν γοῦν οὐσῶν τῶν γενικωτάτων ὀρχήσεων, κόρδακος καὶ σικινίδος καὶ ἐμμελείας, οἱ Διονύσου θεράποντες οἱ σάτυροι ταύτας ἐφευρόντες ἀφ' αὑτῶν ἑκάστην ὠνόμασαν. Καὶ ταύτῃ τῇ τέχνῃ χρώμενος ὁ Διόνυσος Τυρρηνοὺς καὶ Ἰνδοὺς καὶ Λυδοὺς ἐχειρώσατο καὶ φῦλον οὕτω μάχιμον τοῖς αὐτοῖς θιάσοις κατωρχήσατο.

23. Ὥστε, ὦ θαυμάσιε, ὅρα μὴ ἀνόσιον ᾖ κατηγορεῖν ἐπιτηδεύματος θείου τε ἅμα καὶ μυστικοῦ καὶ τοσούτοις θεοῖς ἐσπουδασμένου καὶ ἐπὶ τιμῇ αὐτῶν ὁρωμένου καὶ τοσαύτην τέρψιν ἅμα καὶ παιδιὰν ὠφέλιμον παρεχομένου. Θαυμάζω δέ σου κἀκεῖνο, εἰδὼς Ὁμήρου

et chori et sacrificium : quare etiam his rebus bis placant deum, tum incipiente die, tum occidente.

18. Æthiopes autem, etiam dum præliantur, cum saltatione hoc faciunt: neque emiserit sagittam vir Æthiops capite ablatam (hoc enim utuntur pro pharetra, radiorum instar sagittas ei circumponentes), nisi saltaverit prius et habitu suo minatus sit, et saltatione hostem ante terruerit.

19. Operæ pretium autem est, quum Indiam et Æthiopiam peragravérimus, etiam in vicinam illis Ægyptum oratione descendere. Videtur enim mihi antiqua fabula Proteum quoque Ægyptium nihil aliud quam saltatorem quendam fuisse dicere, virum imitandi facultate magna præditum, qui ad figuras se componere omnes et mutare in omnia posset, adeo ut aquæ fluxam mobilitatem imitaretur et celeritatem ignis motus vehementia, et leonis feritatem, et pardalis iracundiam, et agitationem arboris, et quicquid denique vellet. Sed fabula ea parte rem assumens, qua erat admirabilior, naturam ejus ita narrabat, quasi fieret illa omnia quæ imitabatur : quod his etiam, qui nunc saltant, inest. Videas enim illos eodem tempore celeriter immutari, ipsumque æmulari Proteum. Conjicere licet, Empusam etiam illam in sexcentas species verti solitam, ex eo genere mulierem a fabula esse traditam.

20. Præter hæc neque Romanorum saltatio oblivione prætermittenda est, quam generosissimi illorum viri, Salii dicti (quæ sacerdotii appellatio est), deorum bellicosissimo, Marti, obeunt, gravissimam sanctissimamque.

21. Bithyna autem fabula est, et ista ab Italicis non multum abhorrens, qua aiunt Priapum, bellatorem genium, Titanum, puto, unum aut Dactylorum Idæorum, disciplinam vibrandi arma professorum, acceptum a Junone Martem, puerum illum quidem adhuc, sed durum et supra modum virilem, non prius armis pugnare docuisse, quam saltatorem perfectum reddidisset. Hac de re etiam merces illi a Junone attributa, ut decimam semper eorum, quæ de bello ad Martem pervenirent, ab eo acciperet.

22. Dionysiaca enim et Bacchica non puto te exspectare ut ex me audias saltationem fuisse illa omnia. Quum enim tria summa genera essent saltationis, Cordax, Sicinnis et Emmelia; ministri Dionysi Satyri has inventas a se nominarunt singulas. Et hac arte usus Dionysus Tyrrhenos et Indos et Lydos domuit, et gentem adeo pugnacem iisdem thiasis inducendis subegit.

23. Quæ quum ita sint, vir admirabilis, vide ne impium sit accusare studium divinum simul et mysticum, et a tot diis cultum, et quod illorum honori exerceatur, et tantam delectationem simul et utilem lusum præbet. Miror vero illam etiam rationem tuam, quum amatorem te Homeri atque

καὶ Ἡσιόδου μάλιστα ἐραστὴν ὄντα σε — αὖθις γὰρ ἐπὶ τοὺς ποιητὰς ἐπάνειμι — πῶς ἀντιφθέγξεσθαι ἐκείνοις τολμᾷς πρὸ τῶν πάντων ὀρχησιν ἐπαινοῦσιν· ὁ μὲν γὰρ Ὅμηρος τὰ ἥδιστα καὶ κάλλιστα καταλέγων, ὕπνον καὶ φιλότητα καὶ μολπὴν καὶ ὀρχησιν, ταύτην μόνην ἀμύμονα ὠνόμασε, προσμαρτυρήσας νὴ Δία καὶ τὸ ἡδὺ τῇ μολπῇ, ἅπερ ἀμφότερα τῇ ὀρχηστικῇ πρόσεστι, καὶ ᾠδὴ γλυκερὰ καὶ ὀρχηθμὸς ἀμύμων, ὃν σὺ νῦν μωμᾶσθαι ἐπινοεῖς. Καὶ πάλιν ἐν ἑτέρῳ μέρει τῆς ποιήσεως·

Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήια ἔργα,
ἄλλῳ δ' ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδήν.

Ἱμερόεσσα γὰρ ὡς ἀληθῶς ἡ μετ' ὀρχήσεως ᾠδὴ καὶ δῶρον θεῶν τοῦτο κάλλιστον. Καὶ ἔοικεν εἰς δύο διῃρηκὼς ὁ Ὅμηρος τὰ πάντα πράγματα, πόλεμον καὶ εἰρήνην, τοῖς τοῦ πολέμου μόνα ταῦτα ὡς κάλλιστα ἀντιτεθεικέναι.

24. Ὁ δὲ Ἡσίοδος οὐ παρ' ἄλλου ἀκούσας, ἀλλ' ἰδὼν αὐτὸς ἕωθεν εὐθὺς ὀρχουμένας τὰς Μούσας ἐν ἀρχῇ τῶν ἐπῶν τοῦτο περὶ αὐτῶν τὸ μέγιστον ἐγκώμιον διηγεῖται, ὅτι « περὶ κρήνην ἰοειδέα πόσσ' ἁπαλοῖσιν ὀρχεῦνται » τοῦ πατρὸς τὸν βωμὸν περιχορεύουσαι. Ἀλλὰ σὺ μέν, ὦ γενναῖε, μονονουχὶ θεομαχῶν ὑβρίζεις εἰς τὴν ὀρχηστικήν.

25. Ὁ Σωκράτης δὲ σοφώτατος ἀνήρ — εἴ γε πιστευτέον τοῦτο περὶ αὐτοῦ λέγοντι τῷ Πυθίῳ — οὐ μόνον ἐπῄνει τὴν ὀρχηστικήν, ἀλλὰ καὶ ἐκμαθεῖν αὐτὴν ἠξίου μέγιστον ἀπονέμων εὐρυθμίᾳ καὶ εὐμουσίᾳ καὶ κινήσει ἐμμελεῖ καὶ εὐσχημοσύνῃ τοῦ κινουμένου, καὶ οὐκ ᾐδεῖτο γέρων ἀνὴρ ἓν τῶν σπουδαιοτάτων μαθημάτων καὶ τοῦτο ἡγούμενος εἶναι· καὶ ἐμελλέ γε ἐκεῖνος περὶ ὀρχηστικὴν οὐ μετρίως σπουδάσεσθαι, ὅς γε καὶ τὰ μικρὰ οὐκ ὤκνει μανθάνειν, ἀλλὰ καὶ εἰς τὰ διδασκαλεῖα τῶν αὐλητρίδων ἐφοίτα καὶ παρ' ἑταίρας γυναικὸς οὐκ ἀπηξίου σπουδαῖόν τι ἀκούειν τῆς Ἀσπασίας. Καίτοι ἐκεῖνος ἄρτι ἀρχομένην ἑώρα τότε τὴν τέχνην καὶ οὐδέπω εἰς τοσοῦτον κάλλος διηρθρωμένην. Εἰ δὲ τοὺς νῦν ἐπὶ μέγιστον αὐτὴν προαγαγόντας ἐθεᾶτο, εὖ οἶδα, πάντων ἂν ἐκεῖνός γε ἀφέμενος μόνῳ τῷ θεάματι τούτῳ τὸν νοῦν ἂν προσεῖχε καὶ τοὺς παῖδας οὐκ ἂν ἄλλο τι πρὸ αὐτοῦ ἐδιδάξατο.

26. Δοκεῖς δέ μοι, ὅταν κωμῳδίαν καὶ τραγῳδίαν ἐπαινῇς, ἐπιλελῆσθαι ὅτι καὶ ἐν ἑκατέρᾳ ἐκείνων ὀρχήσεως ἴδιόν τι εἶδός ἐστιν, οἷον τραγικῇ μὲν ἡ ἐμμέλεια, κωμῳδικῇ δὲ ὁ κόρδαξ, ἐνίοτε δὲ καὶ τρίτης σικιννίδος προσλαμβανομένης. Ἔπειτ δὲ καὶ ἐν ἀρχῇ προετίμησας τῆς ὀρχήσεως τὴν τραγῳδίαν καὶ κωμῳδίαν καὶ αὐλητὰς κυκλίους καὶ κιθαρῳδίαν ἐναγώνια ταῦτα καὶ διὰ τοῦτο σεμνὰ προσειπών, φέρε νῦν ἀντεξετάσωμεν τῇ ὀρχήσει ἕκαστον αὐτῶν. Καίτοι τὸν μὲν αὐλὸν, εἰ δοκεῖ, καὶ τὴν κιθάραν παρῶμεν· μέρη γὰρ τῆς τοῦ ὀρχηστοῦ ὑπηρεσίας καὶ ταῦτα.

27. Τὴν τραγῳδίαν δέ γε ἀπὸ τοῦ σχήματος πρῶτον καταμάθωμεν οἵα ἐστὶν, ὡς εἰδεχθὲς ἅμα καὶ φοβε-

Hesiodi inprimis norim (rursus enim ad poetas redeo), quomodo contradicere illis audeas, saltationem ante omnia laudantibus. Etenim Homerus suavissima et pulcherrima dum enarrat, somnum et amorem et cantum et saltationem, solam hanc nominavit « reprehensionis expertem, » qui hercle etiam suavitatem suo testimonio cantui tribuat; quorum utrumque sane saltatoriæ adest, cum cantus dulcis, tum saltatio reprehensionis expers, quam tu tamen nunc reprehendere audes. Et rursus in alia parte suæ poeseos :

Istum namque deus concinnat bellipotentem,
hunc alium choreæque et cantus amabilis ornat.

Amabilis enim revera cum chorea, et donum deorum hoc pulcherrimum. Et videtur in classes duas divisisse Homerus res omnes agendas, bellum et pacem, ac bellicis rebus sola hæc tanquam pulcherrima opposuisse.

24. Hesiodus vero, qui non audisset ab alio, sed ipse vidisset mane statim saltantes Musas, in principio carminis hanc maximam earum laudem enarrat, quod

Cæruleum circa fontem tenero pede saltant,
et patris circum ductant altare choreas.

At tu, generose, tantum non deos oppugnans contumeliose cum saltatoria agis.

25. At Socrates, vir sapientissimus, si quidem fides habenda dicenti hoc de ipso Pythio, non laudabat modo saltatoriam, sed discere etiam illam operæ pretium putabat, qui plurimum tribueret concinnitati, et musicæ venustati, et numerosis motibus, et decenti inter movendum habitui; nec pudebat virum senem, hanc quoque disciplinam ex iis esse putare, quæ summo cum studio sint tractandæ. Nec mediocriter ille circa saltatoriam elaboraturus erat, qui parva etiam impigre disceret, quin tibicinarum scholas frequentaret, et a muliere meretrice, Aspasia, grave quiddam audire non dedignaretur. Quanquam ille nascentem modo videbat artem, et nondum ad tantam pulchritudinem quasi articulis omnibus perfectam. Si vero eos vidisset, qui nunc ad summum eam fastigium evexerunt, omnibus ille, bene novi, relictis, soli huic spectaculo advertisset animum, neque aliud quicquam pueros doceri jussisset prius.

26. Videris autem, quum comœdiam laudas et tragœdiam, oblitus esse, etiam in unaquaque illarum suum quoddam saltationis genus inesse, nempe tragicæ poesi eam quæ Emmelia vocatur, comicæ autem Cordacem : interdum vero tertium quoque, assumta Sicinnide. Quum vero in principio etiam prætuleris saltationi tragœdiam et comœdiam, et illos in circulis tibicines, et citharœdorum artem, quæ certaminis materiem præbent et ob id ipsum honesta et gravia abs te appellata sunt : age jam componamus unum quodque eorum cum saltatione. Quanquam tibiam citharamque, si videtur, prætermittamus : partes enim istæ quoque ministerii saltatoris.

27. Tragœdiam vero primum ab habitu suo, qualis sit, contemplemur : quam odiosum simul et terribile specta-

ρὸν θέαμα εἰς μῆκος ἄρρυθμον ἠσκημένος ἄνθρωπος, ἐμβάταις ὑψηλοῖς ἐποχούμενος, πρόσωπον ὑπὲρ κεφαλῆς ἀνατεινόμενον ἐπικείμενος καὶ στόμα κεχηνὸς πάμμεγα ὡς καταπιόμενος τοὺς θεατάς, ἐῶ λέγειν προστερνίδια καὶ προγαστρίδια, προσθετὴν καὶ ἐπιτεχνητὴν παχύτητα προσποιούμενος, ὡς μὴ τοῦ μήκους ἡ ἀρρυθμία ἐν λεπτῷ μᾶλλον ἐλέγχοιτο· εἶτ' ἔνδοθεν αὐτὸς κεκραγὼς, ἑαυτὸν ἀνακλῶν καὶ κατακλῶν, ἐνίοτε καὶ περιάδων τὰ ἰαμβεῖα, καὶ τὸ δὴ αἴσχιστον μελῳδῶν τὰς συμφορὰς καὶ μόνης τῆς φωνῆς ὑπεύθυνον παρέχων ἑαυτόν· τὰ γὰρ ἄλλα τοῖς ποιηταῖς ἐμέλησε πρὸ πολλοῦ ποτε γενομένοις· καὶ μέχρι μὲν Ἀνδρομάχη τις ἡ Ἑκάβη ἐστὶ, φορητὸς ἡ ᾠδὴ, ὅταν δὲ Ἡρακλῆς αὐτὸς εἰσελθὼν μονῳδῇ ἐπιλαθόμενος αὑτοῦ καὶ μήτε τὴν λεοντῆν αἰδεσθεὶς μήτε τὸ ῥόπαλον ὃ περίκειται, σολοικίαν εὖ φρονῶν εἰκότως φαίη ἄν τις τὸ πρᾶγμα.

28. Καὶ γὰρ αὖ, ὅπερ ἐνεκάλεις τῇ ὀρχηστικῇ, τὸ ἄνδρας ὄντας γυναῖκας μιμεῖσθαι, κοινὸν τοῦτο καὶ τῆς τραγῳδίας καὶ τῆς κωμῳδίας ἔγκλημα ἂν εἴη· πλείους γοῦν ἐν αὐταῖς τῶν ἀνδρῶν αἱ γυναῖκες.

29. Ἡ κωμῳδία δὲ καὶ τῶν προσώπων αὐτῶν τὸ καταγέλαστον μέρος τοῦ τερπνοῦ αὐτῇ νενόμικεν, οἷα Δάων καὶ Τιβίων καὶ μαγείρων πρόσωπα. Τὸ δὲ τοῦ ὀρχηστοῦ σχῆμα ὡς μὲν κόσμιον καὶ εὐπρεπὲς οὐκ ἐμὲ χρὴ λέγειν· δῆλα γὰρ τοῖς μὴ τυφλοῖς ταῦτα. Τὸ δὲ πρόσωπον αὐτὸ ὡς κάλλιστον καὶ τῷ ὑποκειμένῳ δράματι ἐοικὸς, οὐ κεχηνὸς δὲ ὡς ἐκεῖνα ἀλλὰ συμμεμυκός· ἔχει γὰρ πολλοὺς τοὺς ὑπὲρ αὐτοῦ βοῶντας.

30. Πάλαι μὲν γὰρ οἱ αὐτοὶ καὶ ᾖδον καὶ ὠρχοῦντο· εἶτ' ἐπειδὴ κινουμένων τὸ ᾆσμα τὴν ᾠδὴν ἐπετάραττεν, ἄμεινον ἔδοξεν ἄλλους αὐτοῖς ὑπᾴδειν.

31. Αἱ δὲ ὑποθέσεις κοιναὶ ἀμφοτέροις, καὶ οὐδέν τι διακεκριμέναι τῶν τραγικῶν αἱ ὀρχηστικαὶ, πλὴν ὅτι ποικιλώτεραι αὗται καὶ πολυμαθέστεραι καὶ μυρίας μεταβολὰς ἔχουσαι.

32. Εἰ δὲ μὴ ἐναγώνιος ἡ ὄρχησις, ἐκείνην εἶναί φημι αἰτίαν, τὸ δόξαι τοῖς ἀγωνοθέταις μεῖζον καὶ σεμνότερον τὸ πρᾶγμα ἢ ὥστε εἰς ἐξέτασιν καλεῖσθαι. Ἐῶ λέγειν ὅτι πόλις ἐν Ἰταλίᾳ τοῦ Χαλκιδικοῦ γένους ἡ ἀρίστη καὶ τοῦτο ὥσπερ τι κόσμημα τῷ παρ' αὐτοῖς ἀγῶνι προστέθεικεν.

33. Ἐθέλω δέ σοι ἐνταῦθα ἤδη ἀπολογήσασθαι ὑπὲρ τῶν παραλελειμμένων τῷ λόγῳ παμπόλλων ὄντων, ὡς μὴ δόξαν ἀγνοίας ἢ ἀμαθίας παράσχωμαι· οὐ γάρ με λέληθεν ὅτι πολλοὶ πρὸ ἡμῶν περὶ ὀρχήσεως συγγεγραφότες τὴν πλείστην διατριβὴν τῆς γραφῆς ἐποιήσαντο πάντα τῆς ὀρχήσεως τὰ εἴδη ἐπεξιόντες καὶ ὀνόματα αὐτῶν καταλέγοντες καὶ οἷα ἑκάστη καὶ ὑφ' ὅτου εὑρέθη, πολυμαθείας ταύτην ἐπίδειξιν ἡγούμενοι παρέξειν. Ἐγὼ δὲ μάλιστα μὲν τὴν περὶ ταῦτα φιλοτιμίαν ἀπειρόκαλόν τε καὶ ὀψιμαθῆ καὶ ἐμαυτῷ ἄκαιρον οἶμαι εἶναι καὶ διὰ τοῦτο παρίημι.

34. Ἔπειτα δὲ κἀκεῖνό σε ἀξιῶ ἐννοεῖν καὶ μεμνῆσθαι, ὅτι μοι νῦν οὐ πᾶσαν ὄρχησιν πρόκειται γενεαλο-

culum in longitudinem inconcinnam excultus homo, cothurnis invectus altis, personam impositam gerens, quæ ultra caput emineat, et os latissime hians, quasi devoraturus esset spectatores : omitto dicere antepectoralia et anteventralia, asciticiam et artificialem crassitiem assumens, ne longitudinis inconcinnitas in tenui corpore magis deprehendatur : deinde intra personam ipse clamans, nunc sublata, nunc demissa voce et fracta, nonnunquam etiam cantu invertens iambicos versus, et, quod turpissimum est, ad modos præscriptos cantans calamitates, et solius se vocis auctorem præstans : reliqua enim poetæ qui olim fuere curarunt. Et quamdiu Andromache quædam aut Hecuba est quæ agitur, tolerabilis cantus : quum vero ingressus in scenam ipse Hercules solus canit, oblitus sui, nec leoninam reveritus, neque clavam quam gestat, solœcismum eam rem prudens quisque merito vocaverit.

28. Rursus enim, quod reprehendebas saltatoriam, quod viri nati imitentur mulieres, illud commune tragœdiæ pariter et comœdiæ crimen fuerit : plures enim viris in utraque mulieres.

29. Comœdia vero in ipsis quoque personis eam partem delectationis, quæ ridiculo constat, ad se pertinere putavit, quales sunt Davorum et Tibiorum et coquorum personæ. Contra saltatoris habitus quam ornatus et decorus sit, non opus est uti dicam : manifesta enim sunt ista his qui cæci non sunt. Persona autem ipsa ut pulcherrima est, et subjectæ actioni apta! non hians ut istæ, sed clauso ore : nam multos habet pro se clamantes.

30. Etenim olim iidem canebant saltabantque : deinde quum moventium se spiritus difficilius commeans turbaret cantum, commodius visum est alios illis succinere.

31. Ceterum argumenta utrisque communia, neque differunt a tragicis saltatoria, nisi quod hæc majorem varietatem habent, et plus doctrinæ, et mille mutationes.

32. Si vero certaminum publicorum materia non est saltatio, ejus rei hanc aio esse causam, quod præsidibus certaminum major res videtur atque honestior, quam quæ ad tale examen vocetur. Omitto dicere illud, quod urbs Italiæ, Chalcidici generis præstantissima, etiam hoc quasi ornamentum quoddam certaminibus, quæ apud se aguntur, adjecit.

33. Volo autem hic tibi jam causam dicere pro his, quæ in oratione mea, et plurima quidem, prætermisi, ne ignorantiæ aut inscitiæ opinionem præbeam. Neque enim fugit me, multos ante nos de saltatione qui scriberent, majorem scriptionum suarum partem in eo consumsisse, ut omnes saltationis species percurrerent, et nomina illarum recenserent, et quæ esset unaquæque, et a quo inventa esset, rati se multiplicis doctrinæ demonstrationem hanc exhibituros. Ego vero inprimis ambitiosum circa talia studium ineptum et hominis seri studiorum, et mihi intempestivum esse arbitror, ac propterea omitto.

34. Deinde vero illud etiam te cogitare et meminisse jubeo, mihi jam non propositum hoc esse, ut uniuscujusque sal-

γεῖν, οὐδὲ τοῦτον τὸν σκοπὸν ὑπεστησάμην τῷ λόγῳ ὀρχήσεων ὀνόματα καταριθμήσασθαι πλὴν ὅσων ἐν ἀρχῇ ὀλίγων ἐπεμνήσθην τὰς γενικωτέρας αὐτῶν προχειρισάμενος· ἀλλὰ τό γε ἐν τῷ παρόντι μοι κεφάλαιον τοῦ λόγου τοῦτό ἐστι τὴν νῦν ὄρχησιν καθεστῶσαν ἐπαινέσαι καὶ δεῖξαι ὅσα ἐν αὐτῇ τερπνὰ καὶ χρήσιμα περιλαβοῦσα ἔχει, οὐ πάλαι ἀρξαμένη ἐς τοσοῦτον κάλλος ἐπιδιδόναι, ἀλλὰ κατὰ τὸν Σεβαστὸν μάλιστα· αἱ μὲν γὰρ πρῶταί ἐκεῖναι ὥσπερ τινὲς ῥίζαι καὶ θεμέλιοι τῆς ὀρχήσεως ἦσαν, τὸ δὲ ἄνθος αὐτῆς καὶ τὸν τελεώτατον καρπὸν, ὅπερ νῦν μάλιστα ἐς τὸ ἀκρότατον ἀποτετέλεσται, τοῦτο νῦν ὁ ἡμέτερος λόγος διεξέρχεται παρεὶς τὸ θερμαϋστρίζειν καὶ γέρανον ὀρχεῖσθαι καὶ τἆλλα ὡς μηδὲν τῇ νῦν ταύτῃ ἔτι προσήκοντα· οὐδὲ γὰρ ἐκεῖνο τὸ Φρύγιον τῆς ὀρχήσεως εἶδος τὸ παροίνιον καὶ συμποτικὸν μετὰ μέθης γιγνόμενον, ἀγροίκων πολλάκις πρὸς αὔλημα γυναικεῖον ὀρχουμένων σφοδρὰ καὶ καματηρὰ πηδήματα καὶ νῦν ἔτι ταῖς ἀγροικίαις ἐπιπολάζοντα, ὑπ' ἀγνοίας παρέλιπον, ἀλλ' ὅτι μηδὲν ταῦτα τῇ νῦν ὀρχήσει κοινωνεῖ. Καὶ γὰρ ὁ Πλάτων ἐν τοῖς Νόμοις τὰ μέν τινα εἴδη ἐπαινεῖ ταύτης, τὰ δὲ πάνυ ἀπαξιοῖ διαιρῶν αὐτὰ ἔς τε τὸ τερπνὸν καὶ τὸ χρήσιμον καὶ ἀπελαύνων αὐτῶν τὰ ἀσχημονέστερα, προτιμῶν δὲ καὶ θαυμάζων θάτερα.

35. Καὶ περὶ μὲν αὐτῆς ὀρχήσεως τοσαῦτα· τὸ γὰρ πάντα ἐπεξιόντα μηκύνειν τὸν λόγον ἀπειρόκαλον. Ἃ δὲ τὸν ὀρχηστὴν αὐτὸν ἔχειν χρὴ καὶ ὅπως δεῖ ἠσκῆσθαι καὶ ἃ μεμαθηκέναι καὶ οἷς κρατύνειν τὸ ἔργον, ἤδη σοι δίειμι, ὡς μάθῃς οὐ τῶν ῥᾳδίων καὶ τῶν εὐμεταχειρίστων οὖσαν τὴν τέχνην, ἀλλὰ πάσης παιδεύσεως ἐς τὸ ἀκρότατον ἀφικνουμένην, οὐ μουσικῆς μόνον, ἀλλὰ καὶ ῥυθμικῆς καὶ μετρικῆς καὶ τῆς σῆς φιλοσοφίας μάλιστα, τῆς τε φυσικῆς καὶ τῆς ἠθικῆς· τὴν γὰρ διαλεκτικὴν αὐτῆς περιεργίαν ἄκαιρον αὐτῇ νενόμικεν. Οὐ μὴν οὐδὲ ῥητορικῆς ἀφέστηκεν, ἀλλὰ καὶ ταύτης μετέχει, καθ' ὅσον ἤθους τε καὶ πάθους ἐπιδεικτική ἐστιν, ὧν καὶ οἱ ῥήτορες γλίχονται. Οὐκ ἀπήλλακται δὲ καὶ γραφικῆς καὶ πλαστικῆς, ἀλλὰ καὶ τὴν ἐν ταύταις εὐρυθμίαν μάλιστα μιμουμένη φαίνεται, ὡς μηδὲν ἀμείνω μήτε Φειδίαν αὐτῆς μήτε Ἀπελλῆν εἶναι δοκεῖν.

36. Πρὸ πάντων δὲ Μνημοσύνην καὶ τὴν θυγατέρα αὐτῆς Πολύμνιαν ἵλεων ἔχειν αὐτῇ πρόκειται καὶ μεμνῆσθαι πειρᾶται ἁπάντων· κατὰ γάρ τοι τὸν Ὁμηρικὸν Κάλχαντα τὸν ὀρχηστὴν εἰδέναι χρὴ « τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα, » ὡς μηδὲν αὐτὸν διαλαθεῖν, ἀλλ' εἶναι πρόχειρον τὴν μνήμην αὐτῶν. Καὶ τὸ μὲν κεφάλαιον τῆς ὑποθέσεως, μιμητική τίς ἐστιν ἐπιστήμη καὶ δεικτικὴ καὶ τῶν ἐννοηθέντων ἐξαγορευτικὴ καὶ τῶν ἀφανῶν σαφηνιστική, καὶ ὅπερ ὁ Θουκυδίδης περὶ τοῦ Περικλέους ἔφη ἐπαινῶν τὸν ἄνδρα, τοῦτο καὶ τὸ τοῦ ὀρχηστοῦ ἀκρότατον ἐγκώμιον ἂν εἴη, γνῶναί τε τὰ δέοντα καὶ ἑρμηνεῦσαι αὐτά· ἑρμηνείαν δὲ νῦν τὴν σαφήνειαν τῶν σχημάτων λέγω.

tationis origines persequar, neque hunc libro huic scopum a me constitutum, enumerare saltationum nomina, præter pauca illa, quorum ab initio mentionem feci, quum summa earum genera proferrem. Sed summa mihi præsentis libri hæc est, laudare saltationem ut nunc constituta est, atque ostendere quantum illa delectationis et utilitatis complexa habeat, quum non olim inceperit tanta pulchritudinis incrementa habere, sed Augusto maxime imperante. Nam primæ illæ quasi radices quædam et fundamenta erant saltationis: sed florem ejus, et perfectissimum fructum, qui nunc maxime ad summum perfectionis fastigium pervenit, hæc nunc oratio nostra persequitur, omisso quid sit Thermaystrida vel gruem saltare, et reliqua, quæ nihil jam ad hodiernam pertineant. Neque enim illud Phrygium saltationis genus, vinolentum istud et in conviviis inter ebrios exerceri solitum, rusticorum sæpe ad tibicinæ cantum saltantium saltus vehementes et laboriosos, qui nunc adhuc inter rusticos frequentantur, per ignorantiam quandam prætermisi; verum quod hæc talia nihil cum hodierna saltatione commune habent. Etenim Plato in Legibus quædam hujus genera laudat, quædam vero plane rejicit, dividens illa ipsa secundum delectationem et utilitatem, et ab iis removens indecora, præferens autem et admiratione prosequens altera.

35. Ac de saltatione ipsa tantum: omnibus enim persequendis producere orationem, ineptum fuerit. Quæ vero saltatorem ipsum habere oporteat, quomodo exercitatus esse debeat, et quæ didicisse et quibus rebus confirmare opus suum, jam tibi enarro, uti discas non inter faciles et leves tractatu esse hanc artem, sed ad summum omnis doctrinæ fastigium pertinere, non musicæ modo, sed rhythmicæ etiam, et geometricæ, et philosophiæ illius tuæ maxime, tum naturalis tum moralis: nam disputatricem illius subtilitatem intempestivam sibi putavit. Verum neque ab oratoria removit se, sed hujus quoque partem sibi vindicavit, in quantum mores atque affectus declaret, quam rem etiam oratores studiose sectantur. Neque vero abhorret a pictura et plastice, sed harum quoque artium concinnitatem inprimis imitari deprehenditur, ut nihilo melior neque Phidias neque Apelles illa esse videatur.

36. Ante omnia vero Mnemosynen ejusque Polymniam filiam propitiam habere illi propositum est, ac meminisse tentat omnium. More enim Homerici illius Calchantis scire oportet saltatorem » quæ sunt et quæ fient omnia, quæque fuere, » ut nihil ipsum fugiat, sed promta sit illorum memoria. Et quantum ad capitale argumentum et propositum artis, scientia est imitandi, ostendendique et cogitata proferendi, et obscura declarandi: et quod Thucydides in laude Periclis dixit, illa summa etiam saltatoris laus fuerit, intelligere quid oporteat, et explicare ea: explicationem autem nunc dico claram uniuscujusque habitus expressionem.

37. Ἡ δὲ πᾶσα τῷ ἔργῳ χορηγία ἡ παλαιὰ ἱστορία ἐστὶν, ὡς προεῖπον, καὶ ἡ πρόχειρος αὐτῆς μνήμη τε καὶ μετ' εὐπρεπείας ἐπίδειξις· ἀπὸ γὰρ χάους εὐθὺς καὶ τῆς πρώτης τοῦ κόσμου γενέσεως ἀρξάμενον χρὴ αὐτὸν ἅπαντα εἰδέναι ἄχρι τῶν κατὰ τὴν Κλεοπάτραν τὴν Αἰγυπτίαν. Τούτῳ γὰρ τῷ διαστήματι περιωρίσθω ἡμῖν ἡ τοῦ ὀρχηστοῦ πολυμάθεια καὶ τὰ διὰ μέσου μάλιστα ἴστω, Οὐρανοῦ τομὴν, Ἀφροδίτης γονὰς, Τιτάνων μάχην, Διὸς γέννησιν, Ῥέας ἀπάτην, λίθου ὑποβολὴν, Κρόνου δεσμὰ, τὸν τῶν τριῶν ἀδελφῶν κλῆρον.

37. Apparatus omnis hujus operis antiqua historia est, ut prædixi, et promta illius tum memoria, tum decora repræsentatio. Oportet enim illum, captis ab ipso statim Chao et prima mundi origine initiis, scire omnia, ad Cleopatram usque Ægyptiam. Hoc enim intervallo definiatur nobis saltatoris multiplex scientia, eaque præsertim sciat quæ interjecta sunt, Cœli castrationem, natales Veneris, Titanum pugnam, Jovis nativitatem, fraudem Rheæ, subjectum lapidem, Saturni vincula, fratrum trium sortem.

38. Εἶτα ἑξῆς Γιγάντων ἐπανάστασιν, πυρὸς κλοπὴν, ἀνθρώπων πλάσιν, Προμηθέως κόλασιν, Ἔρωτος ἰσχὺν ἀμφοτέρου, καὶ μετὰ ταῦτα Δήλου πλάνην καὶ Λητοῦς ὠδῖνας καὶ Πύθωνος ἀναίρεσιν καὶ Τιτυοῦ ἐπιβουλὴν καὶ τὸ μέσον τῆς γῆς εὑρισκόμενον πτῆσει τῶν ἀετῶν.

38. Tum deinceps Gigantum seditionem, ignem furto subductum, homines formatos, Promethei pœnam, vim utriusque Amoris : et post ista Deli insulæ errores, et Latonæ partum, et Pythonem sublatum, Tityi insidias, mediumque telluris locum volatu aquilarum deprehensum.

39. Δευκαλίωνα ἐπὶ τούτοις καὶ τὴν μεγάλην ἐπ' ἐκείνου τοῦ βίου ναυαγίαν καὶ λάρνακα μίαν λείψανον τοῦ ἀνθρωπείου γένους φυλάττουσαν καὶ ἐκ λίθων ἀνθρώπους πάλιν, εἶτα Ἰάκχου σπαραγμὸν καὶ Ἥρας δόλον καὶ Σεμέλης κατάφλεξιν καὶ Διονύσου ἀμφοτέρας τὰς γονὰς καὶ ὅσα περὶ Ἀθηνᾶς καὶ ὅσα περὶ Ἡφαίστου καὶ Ἐριχθονίου καὶ τὴν ἔριν τὴν περὶ τῆς Ἀττικῆς καὶ Ἁλιρρόθιον καὶ τὴν πρώτην ἐν Ἀρείῳ πάγῳ κρίσιν, καὶ ὅλως τὴν Ἀττικὴν πᾶσαν μυθολογίαν.

39. Deucalionem super hæc, et magnum hoc vivente sæculi naufragium, et arcam unam reliquias humani generis servantem, et enatos rursus ex lapidibus homines : tum Iacchum laceratum, et Junonis dolum, et combustam Semelen, et utramque Dionysi nativitatem, et quæcumque traduntur de Minerva, de Vulcano et Erichthonio, et contentionem de Attica, et (interfectum a Marte) Halirrhothium, et primum (de ea re) in Areopago judicium, et Atticam in universum mythologiam omnem.

40. Ἐξαιρέτως δὲ τὴν Δήμητρος πλάνην καὶ Κόρης εὕρεσιν καὶ Κελεοῦ ξενίαν καὶ Τριπτολέμου γεωργίαν καὶ Ἰκαρίου ἀμπελουργίαν καὶ τὴν Ἠριγόνης συμφορὰν, καὶ ὅσα περὶ Βορέου καὶ ὅσα περὶ Ὠρειθυίας καὶ Θησέως καὶ Αἰγέως· ἔτι δὲ τὴν Μηδείας ὑποδοχὴν καὶ αὖθις ἐς Πέρσας φυγὴν καὶ τὰς Ἐρεχθέως θυγατέρας καὶ τὰς Πανδίονος, ἅ τε ἐν Θρᾴκῃ ἔπαθον καὶ ἔπραξαν· εἶτα ὁ Ἀκάμας καὶ ἡ Φυλλὶς καὶ ἡ προτέρα δὲ τῆς Ἑλένης ἁρπαγὴ καὶ ἡ στρατεία τῶν Διοσκούρων ἐπὶ τὴν πόλιν καὶ τὸ Ἱππολύτου πάθος καὶ Ἡρακλειδῶν κάθοδος· Ἀττικὰ γὰρ καὶ ταῦτα εἰκότως ἂν νομίζοιτο. Ταῦτα μὲν τὰ Ἀθηναίων ὀλίγα πάνυ δείγματος ἕνεκα ἐκ πολλῶν τῶν παραλελειμμένων διῆλθον.

40. Præter cetera vero errorem Cereris, inventamque Proserpinam, et Celei hospitium, et agriculturam Triptolemi, et vineam ab Icario cultam, et calamitatem Erigones, et quæcumque de Borea, et de Orithyia, et Theseo, et Ægeo narrantur. Ad hæc receptionem Medeæ, et rursus fugam ad Persas, et Erechthei filias, et Pandionis, quæ in Thracia vel passæ sunt vel fecerunt. Postea tenendi sunt Acamas et Phyllis, et prior Helenæ raptus, et Dioscurorum contra urbem expeditio, et quæ acciderunt Hippolyto, et Heraclidarum reditus : Attica enim ista quoque videri possunt merito. Atque ista quidem Atheniensium, pauca sane, speciminis causa de multis omissis retuli.

41. Ἔξῆς δὲ Μέγαρα καὶ Νῖσος καὶ Σκύλλα καὶ πορφυροῦς πλόκαμος καὶ Μίνωος πόρος καὶ περὶ τὴν εὐεργέτιν ἀχαριστία· οἷς ἑξῆς ὁ Κιθαιρὼν καὶ τὰ Θηβαίων καὶ Λαβδακιδῶν πάθη καὶ Κάδμου ἐπιδημία καὶ βοὸς ὄκλασις καὶ ὄφεως ὀδόντες καὶ Σπαρτῶν ἀνάδοσις καὶ αὖθις τοῦ Κάδμου εἰς δράκοντα μεταβολὴ καὶ πρὸς λύραν τείχισις καὶ μανία τοῦ τειχοποιοῦ καὶ τῆς γυναικὸς αὐτοῦ τῆς Νιόβης ἡ μεγαλαυχία καὶ ἡ ἐπὶ τῷ πένθει σιγὴ καὶ τὰ Πενθέως καὶ Ἀκτέωνος καὶ τὰ Οἰδίποδος καὶ Ἡρακλῆς σὺν τοῖς ἄθλοις αὐτοῦ ἅπασι καὶ ἡ τῶν παίδων σφαγή.

41. Deinde occurrunt Megara, et Nisus, et Scylla et cincinnus purpureus, et profectio Minois, ingratusque adversus bene de se meritam animus : post quæ sequuntur Citharon, et Thebanorum Labdacidarumque res tragicæ, et Cadmi adventus, et bos procumbens, et dentes serpentis, et Spartorum exortus, ac rursus Cadmi in serpentem mutatio, et ædificatio Amphionis ad lyram, et furor structoris et uxoris illius Niobes magniloquentia, et in luctu silentium, et Penthei, et Actæonis, et Œdipi res, et Herculeis suis cum laboribus omnibus, et liberorum illius cædes.

42. Εἶθ' ἡ Κόρινθος πλέα καὶ αὕτη μύθων, τὴν Γλαύκην καὶ τὸν Κρέοντα ἔχουσα, καὶ τὸν πρὸ αὐτῶν Βελλεροφόντην καὶ τὴν Σθενέβοιαν καὶ Ἡλίου μάχην καὶ Ποσειδῶνος, καὶ μετὰ ταῦτα τὴν Ἀθάμαντος μα-

42. Tum Corinthus plena et ipsa fabularum, quæ Glaucen habeat et Creontem, et ante hos Bellerophontem et Sthenoboeam et Solis atque Neptuni pugnam : ac post hæc

νίαν καὶ τῶν Νεφέλης παίδων ἐπὶ τοῦ κριοῦ τὴν διαέριον φυγήν, Ἰνοῦς καὶ Μελικέρτου ὑποδοχήν.

43. Ἐπὶ τούτοις τὰ Πελοπιδῶν καὶ Μυκῆναι καὶ τὰ ἐν αὐταῖς καὶ πρὸ αὐτῶν, Ἴναχος καὶ Ἰὼ καὶ ὁ φρουρὸς αὐτῆς Ἄργος καὶ Ἀτρεὺς καὶ Θυέστης καὶ Ἀερόπη, καὶ τὸ χρυσοῦν ἀρνίον καὶ Πελοπείας γάμος καὶ Ἀγαμέμνονος σφαγὴ καὶ Κλυταιμνήστρας τιμωρία· καὶ ἔτι πρὸ τούτων ἡ τῶν ἑπτὰ λοχαγῶν στρατεία καὶ ἡ τῶν φυγάδων γαμβρῶν τοῦ Ἀδράστου ὑποδοχὴ καὶ ὁ ἐπ' αὐτοῖς χρησμὸς καὶ ἡ τῶν πεσόντων ἀταφία καὶ Ἀντιγόνης διὰ ταῦτα καὶ Μενοικέως ἀπώλεια.

44. Καὶ τὰ ἐν Νεμέᾳ δὲ ἡ Ὑψιπύλη καὶ Ἀρχέμορος, ἀναγκαιότατα τῇ ὀρχηστῇ μνημονεύματα. Καὶ πρὸ αὐτῶν εἴσεται τὴν Δανάης παρθένευσιν καὶ Περσέως γέννησιν καὶ τὸν ἐπὶ τὰς Γοργόνας ἆθλον αὐτῷ προηρημένον, ᾧ οἰκεία καὶ ἡ Αἰθιοπικὴ διήγησις, Κασσιέπεια καὶ Ἀνδρομέδα καὶ Κηφεύς, οὓς καὶ ἄστροις ἐγκατέλεξεν ἡ τῶν μετὰ ταῦτα πίστις. Κἀκεῖνα δὲ τὰ ἀρχαῖα τὰ Αἰγύπτου καὶ Δαναοῦ εἴσεται καὶ τὴν ἐπιθαλάμιον ἐπιβουλήν.

45. Οὐκ ὀλίγα δὲ καὶ ἡ Λακεδαίμων τοιαῦτα παρέχεται, τὸν Ὑάκινθον καὶ τὸν τοῦ Ἀπόλλωνος ἀντεραστὴν Ζέφυρον καὶ τὴν ὑπὸ τῷ δίσκῳ τοῦ μειρακίου σφαγὴν καὶ τὸ ἐκ τοῦ αἵματος ἄνθος καὶ τὴν ἐν αὐτῷ αἰάζουσαν ἐπιγραφήν, καὶ τὴν Τυνδάρεω ἀνάστασιν καὶ τὴν Διὸς ἐπὶ τούτῳ κατ' Ἀσκληπιοῦ ὀργήν· ἔτι δὲ καὶ τὸν Πάριδος ξενισμὸν καὶ τὴν Ἑλένης ἁρπαγὴν μετὰ τὴν ἐπὶ τῷ μήλῳ κρίσιν.

46. Νομιστέον γὰρ τῇ Σπαρτιατικῇ ἱστορίᾳ καὶ τὴν Ἰλιακὴν συνῆφθαι, πολλὴν οὖσαν καὶ πολυπρόσωπον· καθ' ἕκαστον γοῦν τῶν ἐκεῖ πεσόντων ὁρᾶμα τῇ σκηνῇ πρόκειται· καὶ μεμνῆσθαι δεῖ τούτων ἀεί, μάλιστα ἀπὸ τῆς ἁρπαγῆς εὐθὺς ἄχρι τῶν ἐν τοῖς νόστοις γεγενημένων καὶ τῆς Αἰνείου πλάνης καὶ Διδοῦς ἔρωτος, ὧν οὐκ ἀλλότρια καὶ τὰ περὶ τὸν Ὀρέστην ὁράματα καὶ τὰ ἐν Σκυθίᾳ τῷ ἥρωϊ τετολμημένα. Οὐκ ἀπῳδὰ δὲ καὶ τὰ πρὸ τούτων, ἀλλὰ τοῖς Ἰλιακοῖς συγγενῆ, Ἀχιλλέως ἐν Σκύρῳ παρθένευσις καὶ Ὀδυσσέως μανία καὶ Φιλοκτήτου ἐρημία, καὶ ὅλως ἡ πᾶσα Ὀδύσσειος πλάνη καὶ Κίρκη καὶ Τηλέγονος καὶ ἡ Αἰόλου τῶν ἀνέμων δυναστεία καὶ τὰ ἄλλα μέχρι τῆς τῶν μνηστήρων τιμωρίας· καὶ πρὸ τούτων ἡ κατὰ Παλαμήδους ἐπιβουλὴ καὶ ἡ Ναυπλίου ὀργὴ καὶ ἡ Αἴαντος μανία καὶ ἡ θατέρου ἐν ταῖς πέτραις ἀπώλεια.

47. Ἔχει πολλὰς καὶ ἡ Ἦλις ἀφορμὰς τοῖς ὀρχεῖσθαι πειρωμένοις, τὸν Οἰνόμαον, τὸν Μυρτίλον, τὸν Κρόνον, τὸν Δία, τοὺς πρώτους τῶν Ὀλυμπίων ἀγωνιστάς.

48. Πολλὴ δὲ καὶ ἡ κατ' Ἀρκαδίαν μυθολογία, Δάφνης φυγή, Καλλιστοῦς θηρίωσις, Κενταύρων παροινία καὶ Πανὸς γοναί, Ἀλφειοῦ ἔρως καὶ Ὕφαλος ἀποδημία.

49. Ἀλλὰ κἂν εἰς τὴν Κρήτην ἀφίκῃ τῷ λόγῳ, πάμπολλα κἀκεῖθεν ἡ ὄρχησις ἐρανίζεται τὴν Εὐρώ-

Athamantis furorem, et liberorum Nepheles aeriam in ariete fugam, Ino et Melicertam mari exceptos.

43. Post hæc Pelopidarum res et Mycenæ, tum quæ ibi ante hos quoque gesta sunt: Inachus, atque Io, ipsiusque Argus custos, et Atreus, ac Thyestes, et Aerope, et aureum vellus, et Pelopeæ nuptiæ, et cædes Agamemnonis, et pœna Clytæmnestræ: et ante hæc etiam septem ducum ad Thebas expeditio, receptioque generorum Adrasti exulum, oraculumque de illis, et insepulti qui ibi ceciderant, et Antigones propter ista Menœceique interitus.

44. Et quæ in Nemea acciderunt, Hypsipyle et Archemorus, res saltatori memoratu maxime necessariæ. Et ante ista sciet custoditam Danaes virginitatem, et natum ex ea Perseum, propositumque illi contra Gorgonas certamen; cui domestica etiam illa Æthiopica narratio, Cassiepea, et Andromeda, et Cepheus, quos astris etiam annumeravit fides posterior. Illa quoque antiqua sciet de Ægypto et Danao, et illas in nuptiali toro insidias.

45. Non pauca vero etiam Lacedæmon talia præbet: Hyacinthum, et rivalem Apollinis Zephyrum, et cædem pueri a disco, et florem ex sanguine, inscriptionemque in illo lugubrem; et excitatum ab inferis Tyndarum, Jovemque propterea iratum Æsculapio: porro hospitium Paridis, et Helenæ raptum, post judicium de pomo.

46. Putandum enim Spartanæ historiæ Iliacam quoque connexam esse, quæ multa est et multarum personarum: de unoquoque enim eorum, qui ibi ceciderunt, actus aliquis scenæ propositus est; et meminisse horum oportet semper, maxime statim inde a rapina usque ad ea quæ in reditu cujusque facta sunt, et errorum Æneæ et Didus amorum, a quibus non alieni actus circa Oresten, et quæ in Scythia heros ille ausus est. Neque abhorrent ab hisce illa etiam ante gesta, sed cognata sunt rebus Iliacis, Achillis in Scyro pro virgine commoratio, furor simulatus Ulixis, Philoctetes destitutus, et tota in universum Ulixea peregrinatio, et Circe, et Telegonus, et Æoli in ventos potestas, et reliqua ad pœnam usque procorum: et ante hæc structæ Palamedi insidiæ, et Nauplii ira, et furor Ajacis, et alterius Ajacis in scopulis interitus.

47. Habet multas occasiones Elis quoque saltare conantibus, Œnomaum, Myrtilum, Saturnum, Jovem, primos Olympiorum certatores.

48. Multa quoque circa Arcadiam fabularum materies, Daphnes fuga, Callistus in feram mutatio, Centaurorum ebrii furores, Panis nativitas, amor Alphei et iter sub mari.

49. Verum etiam in Cretam si mente adveneris, plurima inde quoque sibi saltatio colligit, Europen, Pasi-

πην, τὴν Πασιφάην, τοὺς Ταύρους ἀμφοτέρους, τὸν Λαβύρινθον, τὴν Ἀριάδνην, τὴν Φαίδραν, τὸν Ἀνδρόγεων, τὸν Δαίδαλον, τὸν Ἴκαρον, τὸν Γλαῦκον, τὴν Πολυΐδου μαντικὴν, τὸν Τάλω, τὸν χαλκοῦν τῆς Κρήτης περίπολον.

50. Κἂν εἰς Αἰτωλίαν μετέλθῃς, κἀκεῖ πολλὰ ἡ ὄρχησις καταλαμβάνει, τὴν Ἀλθαίαν, τὸν Μελέαγρον, τὴν Ἀταλάντην, τὸν δαλὸν, καὶ ποταμοῦ καὶ Ἡρακλέους πάλην καὶ Σειρήνων γένεσιν καὶ Ἐχινάδων ἀνάδοσιν καὶ μετὰ τὴν μανίαν Ἀλκμέωνος οἴκησιν· εἶτα Νέσσον καὶ Δηϊανείρας ζηλοτυπίαν, ἐφ' ᾗ τὴν ἐν Οἴτῃ πυράν.

51. Ἔχει καὶ Θρᾴκη πολλὰ τῷ ὀρχησομένῳ ἀναγκαῖα, τὸν Ὀρφέα, τὸν ἐκείνου σπαραγμὸν καὶ τὴν λάλον αὐτοῦ κεφαλὴν τὴν ἐπιπλέουσαν τῇ λύρᾳ, καὶ τὸν Αἷμον καὶ τὴν Ῥοδόπην καὶ τὴν Λυκούργου κόλασιν.

52. Καὶ Θεσσαλία δὲ ἔτι πλείω παρέχεται, τὸν Πελίαν, τὸν Ἰάσονα, τὴν Ἄλκηστιν, τὸν τῶν πεντήκοντα νέων στόλον, τὴν Ἀργὼ, τὴν λάλον αὐτῆς τρόπιν.

53. Τὰ ἐν Λήμνῳ, τὸν Αἰήτην, τὸν Μηδείας ὄνειρον τὸν Ἀψύρτου σπαραγμὸν καὶ τὰ ἐν τῷ παράπλῳ γενόμενα, καὶ μετὰ ταῦτα τὸν Πρωτεσίλαον καὶ τὴν Λαοδάμειαν.

54. Κἂν εἰς τὴν Ἀσίαν πάλιν διαβῇς, πολλὰ κἀκεῖ δράματα· ἡ γὰρ Σάμος εὐθὺς καὶ τὸ Πολυκράτους πάθος καὶ τῆς θυγατρὸς αὐτοῦ μέχρι Περσῶν πλάνη, καὶ τὰ ἔτι ἀρχαιότερα, ἡ τοῦ Ταντάλου φλυαρία καὶ ἡ παρ' αὐτῷ θεῶν ἑστίασις καὶ ἡ Πέλοπος κρεουργία καὶ ὁ ἐλεφάντινος ὦμος αὐτοῦ.

55. Καὶ ἐν Ἰταλίᾳ δὲ ὁ Ἠριδανὸς καὶ Φαέθων καὶ αἴγειροι ἀδελφαὶ θρηνοῦσαι καὶ ἤλεκτρον δακρύουσαι.

56. Εἴσεται δὲ ὁ τοιοῦτος καὶ τὰς Ἑσπερίδας καὶ τὸν φρουρὸν τῆς χρυσῆς ὀπώρας δράκοντα καὶ τὸν Ἄτλαντος μόχθον καὶ τὸν Γηρυόνην καὶ τὴν ἐξ Ἐρυθείας ἔλασιν τῶν βοῶν.

57. Οὐκ ἀγνοήσει δὲ καὶ τὰς μυθικὰς μεταμορφώσεις ἁπάσας, ὅσαι εἰς δένδρα ἢ θηρία ἢ ὄρνεα ἠλλάγησαν καὶ ὅσαι ἐκ γυναικῶν ἄνδρες ἐγένοντο, τὸν Καινέα λέγω καὶ τὸν Τειρεσίαν καὶ τοὺς τοιούτους.

58. Καὶ ἐν Φοινίκῃ δὲ Μύρραν καὶ τὸ Ἀσσύριον ἐκεῖνο πένθος μεριζόμενον, καὶ ταῦτα εἴσεται, καὶ τὰ νεώτερα δὲ ὅσα μετὰ τὴν Μακεδόνων ἀρχὴν ἐτολμήθη ὑπό τε Ἀντιπάτρου καὶ παρὰ Σελεύκου ἐπὶ τῷ Στρατονίκης ἔρωτι.

59. Τὰ γὰρ Αἰγυπτίων μυστικώτερα ὄντα εἴσεται μὲν, συμβολικώτερον δὲ ἐπιδείξεται, τὸν Ἔπαφον λέγω καὶ τὸν Ὄσιριν καὶ τὰς τῶν θεῶν εἰς τὰ ζῷα μεταβολάς· πρὸ πάντων δὲ τὰ περὶ τοὺς ἔρωτας αὐτῶν καὶ αὐτοῦ τοῦ Διὸς καὶ εἰς ὅσα ἑαυτὸν μετεσκεύασεν.

60. Εἴσεται δὲ καὶ τὴν ἐν Ἅιδου ἅπασαν τραγῳδίαν καὶ τὰς κολάσεις καὶ τὰς ἐφ' ἑκάστῃ αἰτίας καὶ τὴν Πειρίθου καὶ Θησέως ἄχρι τοῦ Ἅιδου ἑταιρείαν.

61. Συνελόντι δὲ εἰπεῖν, οὐδὲν τῶν ὑπὸ τοῦ Ὁμήρου καὶ Ἡσιόδου καὶ τῶν ἀρίστων ποιητῶν καὶ μάλιστα

phaen, et utriusque Tauros, Labyrinthum, Ariadnen, Phædram, Androgeon, Dædalum, Icarum, Glaucum, Polyidi vaticinandi artem, Talum illum æneum per Cretam erronem.

50. Et in Ætoliam si transieris, etiam ibi multa invenit saltatio : Althæam, Meleagrum, Atalantam, fatalem illum torrem, Herculis cum fluvio luctam, Sirenum natales, et emergentes Echinadas, ab Alcmæone furore discusso habitatas : tum Nessum et Deianiræ zelotypiam, ex eaque Herculis in Œta rogum.

51. Habet etiam Thrace multa saltaturo necessaria : Orpheum, ejus laniationem, caput illius loquax lyræ innatans; et Hæmum, et Rhodopen, et Lycurgi supplicium.

52. Ac Thessalia multo etiam plura exhibet, Peliam, Iasonem, Alcestin, quinquaginta juvenum expeditionem, Argo, loquacem illius carinam.

53. Ea quæ in Lemno acta sunt, Æeten, Medeæ somnium, laceratum Absyrtum, et gesta in præternavigando : et post ista Protesilaum et Laodamiam.

54. Et si in Asiam rursus transeas, multæ ibi etiam actiones : statim enim occurrit Samus et Polycratis calamitas, filiæque ipsius ad Persas usque error : et antiquiora adhuc, lingua Tantali incontinens, deorum apud illum epulæ, mactatus Pelops, redditusque illi humerus eburneus.

55. In Italia vero Eridanus, et Phaethon, et sorores illius populi plorantes electri lacrimas.

56. Norit talis etiam Hesperidas, et custodem aurei autumni draconem, et Atlantis laborem, et Geryonem, et boves ex Erythea abactos.

57. Neque ignorabit fabulosas formarum immutationes, sed sciet omnes illas quæ in arbores, aut bestias, aut aves mutatæ sunt, et quæ ex mulieribus in viros abierint, Cæneum dico et Tiresiam, et similes.

58. In Phœnice Myrrham, et Assyrium illum luctum alternum. Hæc, inquam, norit : insuper vero etiam recentiora, quæcumque post magnum illud Macedonum imperium constitutum suscepta sunt ab Antipatro et a Seleuco præ amore Stratonices.

59. Ægyptiorum illa occultiora sciet quidem, sed symbolice magis demonstrabit : Epaphum dico, et Osirin, et mutatos in animalia deos : ante omnia vero amores illorum, ipsiusque adeo Jovis, et in quos se habitus mutaverit.

60. Sciet etiam totam illam apud inferos tragœdiam, supplicia, et singulorum causas, et Pirithoi atque Thesei ad inferos usque amicitiam.

61. Ut breviter comprehendam, nihil eorum quæ ab Homero et Hesiodo et optimis poetis, et maxime tragicis,

τῆς τραγῳδίας λεγομένων ἀγνοήσει. Ταῦτα πάνυ ὀλίγα ἐκ πολλῶν, μᾶλλον δὲ ἀπείρων τὸ πλῆθος ἐξελὼν τὰ κεφαλαιωδέστερα κατέλεξα, τὰ ἄλλα τοῖς τε ποιηταῖς ἀφεὶς ᾄδειν καὶ τοῖς ὀρχησταῖς αὐτοῖς δεικνύναι καὶ σοὶ προσεξευρίσκειν καθ' ὁμοιότητα τῶν προειρημένων, ἅπερ ἅπαντα πρόχειρα καὶ πρὸς τὸν καιρὸν ἕκαστον τῷ ὀρχηστῇ προπεπορισμένα καὶ προτεταμιευμένα κεῖσθαι ἀναγκαῖον.

62. Ἐπεὶ δὲ μιμητικός ἐστι καὶ κινήμασι τὰ ᾀδόμενα δείξειν ὑπισχνεῖται, ἀναγκαῖον αὐτῷ ὅπερ καὶ τοῖς ῥήτορσι, σαφήνειαν ἀσκεῖν, ὡς ἕκαστον τῶν δεικνυμένων ὑπ' αὐτοῦ δηλοῦσθαι μηδενὸς ἐξηγητοῦ δεόμενον, ἀλλ' ὅπερ ἔφη ὁ Πυθικὸς χρησμὸς, δεῖ τὸν θεώμενον ὄρχησιν καὶ κωφοῦ συνιέναι καὶ μὴ λαλέοντος (τοῦ ὀρχηστοῦ) ἀκούειν.

63. Ὅ δὴ καὶ Δημήτριον τὸν Κυνικὸν παθεῖν λέγουσιν· ἐπεὶ γὰρ καὶ αὐτὸς ὅμοιά σοι κατηγόρει τῆς ὀρχηστικῆς, λέγων τοῦ αὐλοῦ καὶ τῶν συρίγγων καὶ τῶν κτύπων πάρεργόν τι τὸν ὀρχηστὴν εἶναι, μηδὲν αὐτὸν πρὸς τὸ δρᾶμα συντελοῦντα, κινούμενον δὲ ἄλογον ἄλλως κίνησιν καὶ μάταιον, οὐδενὸς αὐτῇ νοῦ προσόντος, τῶν δ' ἀνθρώπων τοῖς περὶ τὸ πρᾶγμα γοητευομένων, ἐσθῆτι Σηρικῇ καὶ προσωπείῳ εὐπρεπεῖ, αὐλῷ τε καὶ τερετίσμασι καὶ τῇ τῶν ᾀδόντων εὐφωνίᾳ, οἷς κοσμεῖσθαι μηδὲν ὂν τὸ τοῦ ὀρχηστοῦ πρᾶγμα· ὁ τότε κατὰ τὸν Νέρωνα εὐδοκιμῶν ὀρχηστὴς οὐκ ἀσύνετος, ὥς φασιν, ἀλλ' εἰ καί τις ἄλλος ἔν τε ἱστορίας μνήμῃ καὶ κινήσεως κάλλει διενεγκὼν ἐδεήθη τοῦ Δημητρίου εὐγνωμονεστάτην, οἶμαι, τὴν δέησιν, ἰδεῖν ὀρχούμενον, ἔπειτα κατηγορεῖν αὐτοῦ, καὶ ὑπέσχετό γε ἄνευ αὐλοῦ καὶ ᾀσμάτων ἐπιδείξασθαι αὐτῷ· καὶ οὕτως ἐποίησεν· ἡσυχίαν γὰρ τοῖς τε κτυποῦσι καὶ τοῖς αὐλοῦσι καὶ αὐτῷ παραγγείλας τῷ χορῷ αὐτὸς ἐφ' ἑαυτοῦ ὠρχήσατο τὴν Ἀφροδίτης καὶ Ἄρεως μοιχείαν, Ἥλιον μηνύοντα καὶ Ἥφαιστον ἐπιβουλεύοντα καὶ τοῖς δεσμοῖς ἀμφοτέρους, τήν τε Ἀφροδίτην καὶ τὸν Ἄρη, σαγηνεύοντα καὶ τοὺς ἐφεστῶτας θεοὺς ἕκαστον αὐτῶν, καὶ αἰδουμένην μὲν τὴν Ἀφροδίτην, ὑποδεδοικότα δὲ καὶ ἱκετεύοντα τὸν Ἄρη καὶ ὅσα τῇ ἱστορίᾳ ταύτῃ πρόσεστιν, ὥστε τὸν Δημήτριον ὑπερησθέντα τοῖς γιγνομένοις τοῦτον ἔπαινον ἀποδοῦναι τὸν μέγιστον τῷ ὀρχηστῇ· ἀνέκραγε γὰρ καὶ μεγάλῃ τῇ φωνῇ ἀνεφθέγξατο, Ἀκούω, ἄνθρωπε, ἃ ποιεῖς, οὐχ ὁρῶ μόνον, ἀλλά μοι δοκεῖς ταῖς χερσὶν αὐταῖς λαλεῖν.

64. Ἐπεὶ δὲ κατὰ τὸν Νέρωνά ἐσμεν τῷ λόγῳ, βούλομαι καὶ βαρβάρου ἀνδρὸς τὸ ἐπὶ τοῦ αὐτοῦ ὀρχηστοῦ γενόμενον εἰπεῖν, ὅπερ μέγιστος ἔπαινος ὀρχηστικῆς γένοιτ' ἄν· τῶν γὰρ ἐκ τοῦ Πόντου βαρβάρων βασιλικός τις ἄνθρωπος κατά τι χρέος ἥκων ὡς τὸν Νέρωνα ἐθεᾶτο μετὰ τῶν ἄλλων τὸν ὀρχηστὴν ἐκεῖνον οὕτω σαφῶς ὀρχούμενον, ὡς καίτοι μὴ ἐπακούοντα τῶν ᾀδομένων — ἡμιέλλην γάρ τις ὢν ἐτύγχανε — συνεῖναι ἁπάντων. Καὶ δὴ ἀπιὼν ἤδη ἐς τὴν οἰκείαν, τοῦ Νέρωνος δεξιουμένου καὶ ὅ τι βούλοιτο αἰτεῖν κελεύοντος καὶ δώσειν ὑπισχνουμένου, Τὸν ὀρχηστὴν, ἔφη, δοὺς

dicuntur, ignorabit. Hæc pauca sane de multis, vel potius multitudine infinitis, decerpta enumeravi præcipua, reliqua tum poetis canenda relinquens, tum ipsis ostendenda saltatoribus, tibique ad similitudinem prædictorum invenienda, quæ omnia in promtu, et ad unamquamque occasionem jam ante præparata, et in penu quasi reposita esse saltatori necesse est.

62. Quandoquidem vero imitator est, et motibus se ostensurum ea quæ canuntur promittit, opus est illi, quemadmodum et oratoribus, exercere diluciditatem, ut unumquodque eorum, quæ ostenduntur ab illo, declaretur, neque interprete opus habeat: sed quod dixit oraculum Pythicum, oportet a spectatore saltationis et mutum intelligi, et audiri nihil loquentem saltatorem.

63. Quod etiam Cynico Demetrio accidisse aiunt. Quum enim et ipse similibus argumentis, quibus tu, usus accusaret saltatoriam, dicens tibiæ et fistularum et percussionum accessionem esse saltatorem, qui nihil ipse ad actionem conferat, sed moveatur temere, motu quodam irrationabili atque vano, quippe cui intellectus nullus insit, fascinatis interim hominibus per ea quæ adjuncta rei sunt, vestem Sericam, et personam decentem, et tibiam atque cantillationes, bonasque canentium voces, quibus exornari diceret opus saltatoris, quod per se nihil esset: saltator qui tum floreret, Neronis temporibus, non imprudens, ut aiunt, sed si quis alius et historiæ memoria et motus decentia præstans, petiit a Demetrio rem æquissimam, puto, ut saltantem se videret, deinde accusaret: promisitque, se absque tibia et canticis copiam sui facturum. Idque fecit. Imperato enim scabello pulsantibus et inflantibus tibias, choroque ipsi, silentio, ipse per se saltavit Martis atque Veneris adulterium, Solem indicantem, insidiantem Vulcanum, et vincula ambobus, Veneri ac Marti, injicientem, astantiumque deorum unumquemque: et Venerem quidem pudore suffusam, aliquantum metuentem vero et supplicantem Martem, et quæcumque insunt in hac historia; adeo ut supra modum his quæ fierent delectatus Demetrius, hanc saltatori laudem maximam tribueret: exclamavit enim et maxima voce: Audio, inquit, homo, quæ facis, non solum video: sed ipsis mihi manibus loqui videris.

64. Quando vero circa Neronem nostra versatur oratio, volo etiam, quid barbaro homini in eodem saltatore acciderit, commemorare, quæ quidem maxima saltatoriæ artis laus fuerit. Regii generis homo de barbaris ad Pontum, qui negotii cujusdam sui causa ad Neronem venerat, spectabat cum aliis saltatorem illum saltantem ita dilucide, ut, licet ea quæ cantabantur non assequeretur (semi-Græcus enim erat), omnia tamen intelligeret. Itaque quum reditum jam pararet in patriam, Nerone illum complectente, et quicquid vellet, jubente petere, atque dare pollicente, Bea-

τὰ μέγιστα εὐφρανεῖς. Τοῦ δὲ Νέρωνος ἐρομένου, Τί ἂν σοι χρήσιμος γένοιτο ἐκεῖ; Προσοίκους, ἔφη, βαρβάρους ἔχω, οὐχ ὁμογλώττους, καὶ ἑρμηνέων οὐ ῥᾴδιον εὐπορεῖν πρὸς αὐτούς· ἢν οὖν τινος δέωμαι, διανεύων οὗτος ἕκαστά μοι ἑρμηνεύσει. Τοσοῦτον ἄρα καθίκετο αὐτοῦ ἡ μίμησις τῆς ὀρχήσεως, ἐπίσημός τε καὶ σαφὴς φανεῖσα.

65. Ἡ δὲ πλείστη διατριβὴ καὶ ὁ σκοπὸς τῆς ὀρχηστικῆς ἡ ὑπόκρισίς ἐστιν, ὡς ἔφην, κατὰ τὰ αὐτὰ καὶ τοῖς ῥήτορσιν ἐπιτηδευομένη, καὶ μάλιστα τοῖς τὰς καλουμένας ταύτας μελέτας διεξιοῦσιν· σύνοιδε γὰρ καὶ ἐν ἐκείνοις μᾶλλον ἐπαινουμένη τῷ ἐοικέναι τοῖς ὑποκειμένοις προσώποις καὶ μὴ ἀπῳδὰ εἶναι τὰ λεγόμενα τῶν εἰσαγομένων ἀριστέων ἢ τυραννοκτόνων ἢ πενήτων ἢ γεωργῶν, ἀλλ' ἐν ἑκάστῳ τούτων τὸ ἴδιον καὶ τὸ ἐξαίρετον δείκνυσθαι.

66. Ἐθέλω γοῦν σοι ἄλλου βαρβάρου ῥῆσιν ἐπὶ τούτοις εἰπεῖν· ἰδὼν γὰρ πέντε πρόσωπα τῷ ὀρχηστῇ παρεσκευασμένα — τοσούτων γὰρ μερῶν τὸ δρᾶμα ἦν — ἐζήτει ἕνα ὁρῶν τὸν ὀρχηστήν, τίνες οἱ ὀρχησόμενοι καὶ ὑποκρινούμενοι τὰ λοιπὰ προσωπεῖα εἶεν· ἐπεὶ δὲ ἔμαθεν ὅτι ὁ αὐτὸς ὑποκρινεῖται καὶ ὑπορχήσεται τὰ πάντα, Ἐλελήθεις, ὦ βέλιστε, ἔφη, σῶμα μὲν τοῦτο ἕν, πολλὰς δὲ τὰς ψυχὰς ἔχων.

67. Ταῦτα μὲν ὁ βάρβαρος. Οὐκ ἀπεικότως δὲ καὶ οἱ Ἰταλιῶται τὸν ὀρχηστὴν παντόμιμον καλοῦσιν, ἀπὸ τοῦ δρωμένου σχεδόν· καλὴ γὰρ ἡ ποιητικὴ παραίνεσις ἐκείνη τὸ, « ὦ παῖ, ποντίου θηρὸς πετραίου νόον ἴσχων πάσαις πολίεσσιν ὁμίλει, » καὶ τῷ ὀρχηστῇ ἀναγκαία· καὶ δεῖ προσφύντα τοῖς πράγμασι συνοικειοῦν ἑαυτὸν ἑκάστῳ τῶν δρωμένων. Τὸ δὲ ὅλον ἦθη καὶ πάθη δείξειν καὶ ὑποκρινεῖσθαι ἡ ὄρχησις ἐπαγγέλλεται νῦν μὲν ἐρῶντα, νῦν δὲ ὀργιζόμενόν τινα εἰσάγουσα, καὶ ἄλλον μεμηνότα καὶ ἄλλον λελυπημένον, καὶ ἅπαντα ταῦτα μεμετρημένως· τὸ γοῦν παραδοξότατον, τῆς αὐτῆς ἡμέρας ἄρτι μὲν Ἀθάμας μεμηνώς, ἄρτι δὲ Ἰνὼ φοβουμένη δείκνυται, καὶ ἄλλοτε Ἀτρεὺς ὁ αὐτὸς, καὶ μετὰ μικρὸν Θυέστης, εἶτα Αἴγισθος ἢ Ἀερόπη· καὶ ταῦτα πάντα εἷς ἄνθρωπός ἐστι.

68. Τὰ μὲν οὖν ἄλλα θεάματα καὶ ἀκούσματα ἑνὸς ἑκάστου ἔργου τὴν ἐπίδειξιν ἔχει· ἡ γὰρ αὐλός ἐστιν ἢ κιθάρα ἢ διὰ φωνῆς μελῳδία ἢ τραγικὴ δραματουργία ἢ κωμικὴ γελωτοποιία· ὁ δὲ ὀρχηστὴς τὰ πάντα ἔχει ξυλλαβών, καὶ ἔνεστι ποικίλην καὶ παμμιγῆ τὴν παρασκευὴν αὐτοῦ ἰδεῖν, αὐλὸν, σύριγγα, ποδῶν κτύπον, κυμβάλου ψόφον, ὑποκριτοῦ εὐφωνίαν, ᾀδόντων ὁμοφωνίαν.

69. Ἔτι δὲ τὰ μὲν ἄλλα θατέρου τῶν ἐν τῷ ἀνθρώπῳ ἔργα ἐστὶ, τὰ μὲν ψυχῆς, τὰ δὲ σώματος· ἐν δὲ τῇ ὀρχήσει ἀμφότερα συμμέμικται. Καὶ γὰρ διανοίας ἐπίδειξιν τὰ γιγνόμενα ἔχει καὶ σωματικῆς ἀσκήσεως ἐνέργειαν, τὸ δὲ μέγιστον ἡ σοφία τῶν δρωμένων καὶ μηδὲν ἔξω λόγου. Λεσβῶναξ γοῦν ὁ Μυτιληναῖος, ἀνὴρ καλὸς καὶ ἀγαθὸς, χειροσόφους τοὺς

veris, inquit, si saltatorem illum mihi dederis. Interrogante autem Nerone, Quinam tibi utilis ibi esse possit? Accolas, inquit, habeo barbaros linguæ diversæ, et difficile est interpretes ad illos nancisci: si quid igitur opus habuero, hic nutibus suis omnia mihi explicabit. Adeo in animum illius descenderat imitatio saltationis, insignis et dilucida illi visa.

65. Ceterum maxima occupatio et finis saltatoriæ artis est actionis assimilatio, uti dixi, cui eodem modo etiam rhetores dant operam, et illi maxime, qui eas quas declamationes vocamus, persequuntur. Scit enim illa in istis quoque magis se laudari, si congrue agat personas subjectas, eaque quæ dicuntur non abhorreant ab his qui introduc untur viris fortibus, aut tyrannicidis, aut pauperibus, aut agricolis; sed in unoquoque horum, quod proprium est, quod eximium, demonstretur.

66. Volo autem tibi etiam alius barbari de hisce rebus dictum ferre. Videns enim quinque personas saltatori paratas (tot nempe partium erat actio), et unum modo videns saltatorem, interrogavit quinam saltaturi et acturi reliquas personas essent: quum vero audisset, eundem acturum et saltatione expressurum omnes, Nesciebam, inquit, vir optime, te corpus quidem hoc unum, animas autem multas habere.

67. Hæc barbarus ille. Non absurde autem Itali saltatorem appellant Pantomimum, quasi dicas, imitatorem omnium, ab eo quod fit fere. Pulchra enim illa quoque poetica adhortatio: « Fili, belluæ in saxis marinæ (polypi) modo adhærens urbes populosque frequenta, » et saltatori necessaria; nam oportet rebus adhærescentem familiarem se et quasi domesticum unicuique eorum, quæ aguntur, reddere. Atque in universum mores atque affectus se demonstraturam atque actione expressuram saltatio pollicetur, nunc amantem, nunc irascentem aliquem inducens, et furentem alium, affectum alium tristitia, et sua unumquodque mensura. Quod enim inprimis admirabile est, eodem die jam quidem Athamas furens, jam perterrita Ino ostenditur: et alias idem est Atreus, ac paullo post Thyestes, tum Ægisthus, aut Aerope, et omnia hæc unus homo est.

68. Igitur spectacula quidem reliqua et acroamata unius cujusdam operis specimen edunt; aut enim tibia est aut cithara, aut vocis cantus, aut tragica actionis repræsentatio, aut comica risus affectatio: saltator autem omnia complexus habet, et licet varium illius et mixtum ex omnibus apparatum videre, tibiam, fistulam, pedum percussionem, cymbali strepitum, actoris vocalitatem, canentium concentum.

69. Porro reliqua alterius utrius partis in homine opera sunt, partim animæ, partim corporis: at in saltatione commixta sunt utraque. Nam et intellectus demonstrationem habent quæ ibi fiunt, et corporalis exercitationis efficaciam: maximum autem est sapientia in his quæ aguntur, et nihil extra rationem. Lesbonax igitur Mytilenæus, vir honestus

ὀρχηστὰς ἀπεκάλει καὶ ἦει ἐπὶ τὴν θέαν αὐτῶν ὡς βελτίων ἀναστρέψων ἀπὸ τοῦ θεάτρου. Τιμοκράτης δὲ ὁ διδάσκαλος αὐτοῦ ἰδών ποτε ἅπαξ, οὐκ ἐξεπίτηδες ἐπιστὰς, ὀρχηστὴν τὰ αὑτοῦ ποιοῦντα, Οἵου με, ἔφη, θεάματος ἡ πρὸς φιλοσοφίαν αἰδὼς ἀπεστέρηκεν.

70. Εἰ δ' ἔστιν ἀληθῆ ἃ περὶ ψυχῆς ὁ Πλάτων λέγει, τὰ τρία μέρη αὐτῆς καλῶς ὁ ὀρχηστὴς δείκνυσι, τὸ θυμικὸν, ὅταν ὀργιζόμενον ἐπιδεικνύηται, τὸ ἐπιθυμητικὸν, ὅταν ἐρῶντας ὑποκρίνηται, τὸ λογιστικὸν, ὅταν ἕκαστα τῶν παθῶν χαλιναγωγῇ· τοῦτο μέν γε ἐν ἅπαντι μέρει τῆς ὀρχήσεως καθάπερ ἡ ἁφὴ ἐν ταῖς αἰσθήσεσι κατέσπαρται. Κάλλους δὲ προνοῶν καὶ τῆς ἐν τοῖς ὀρχήμασιν εὐμορφίας, τί ἄλλο ἢ τὸ τοῦ Ἀριστοτέλους ἐπαληθεύει, τὸ κάλλος ἐπαινοῦντος καὶ μέρος τρίτον ἡγουμένου τἀγαθοῦ καὶ τοῦτο εἶναι; ἤκουσα δέ τινος καὶ περιττότερόν τι νεανιευομένου ὑπὲρ τῆς τῶν ὀρχηστικῶν προσωπείων σιωπῆς, ὅτι καὶ αὕτη Πυθαγορικόν τι δόγμα αἰνίττεται.

71. Ἔτι δὲ τῶν ἄλλων ἐπιτηδευμάτων τῶν μὲν τὸ τερπνὸν, τῶν δὲ τὸ χρήσιμον ὑπισχουμένων, μόνη ἡ ὄρχησις ἄμφω ἔχει· καὶ πολύ γε τὸ χρήσιμον ὠφελιμώτερον, ὅσῳ μετὰ τοῦ τερπνοῦ γίγνεται. Πόσῳ γὰρ τοῦτο ἥδιον ὁρᾶν ἢ πυκτεύοντας νεανίσκους καὶ αἵματι ῥεομένους καὶ παλαίοντας ἄλλους ἐν κόνει, οὓς ἡ ὄρχησις πολλάκις ἀσφαλέστερον ἅμα καὶ εὐμορφότερον καὶ τερπνότερον ἐπιδείκνυται. Τὴν μὲν οὖν γε σύντονον κίνησιν τῆς ὀρχηστικῆς καὶ στροφὰς αὐτῆς καὶ περιαγωγὰς καὶ πηδήματα καὶ ὑπτιασμοὺς τοῖς μὲν ἄλλοις τερπνὰ εἶναι συμβέβηκεν ὁρῶσι, τοῖς δὲ ἐνεργοῦσιν αὐτοῖς ὑγιεινότατα· γυμνασίων γὰρ τὸ κάλλιστόν τε ἅμα καὶ εὐρυθμότατον τοῦτο φαίην ἂν ἔγωγε εἶναι, μαλάττον μὲν τὸ σῶμα καὶ κάμπτον καὶ κουφίζον καὶ εὐχερὲς εἶναι πρὸς μεταβολὴν διδάσκον ἰσχύν τε οὐ μικρὰν περιποιοῦν τοῖς σώμασι.

72. Πῶς οὖν οὐ παναρμόνιόν τι χρῆμα ἡ ὄρχησις, θήγουσα μὲν τὴν ψυχὴν, ἀσκοῦσα δὲ καὶ τὸ σῶμα, τέρπουσα δὲ τοὺς ὁρῶντας, διδάσκουσα δὲ πολλὰ τῶν πάλαι ὑπ' αὐλοῖς καὶ κυμβάλοις καὶ μελῶν εὐρυθμίᾳ καὶ κηλήσει διά τε ὀφθαλμῶν καὶ ἀκοῆς; εἶτ' οὖν φωνῆς εὐμοιρίαν ζητεῖς, ποῦ ἂν ἀλλαχόθι εὕροις, ἢ ποῖον πολυφωνότερον ἀκουσμα ἢ ἐμμελέστερον; εἴτε αὐλοῦ καὶ σύριγγος τὸ λιγυρώτερον, ἄλις καὶ τούτων ἐν ὀρχήσει ἀπολαῦσαί σοι πάρεστιν. Ἐῶ λέγειν ὡς ἀμείνων τὸ ἦθος ὁμιλῶν τῇ τοιαύτῃ θέᾳ γενήσῃ, ὅταν ὁρᾷς τὸ θέατρον μισοῦν μὲν τὰ κακῶς γιγνόμενα, ἐπιδακρῦον δὲ τοῖς ἀδικουμένοις, καὶ ὅλως τὰ ἤθη τῶν ὁρώντων παιδαγωγοῦν.

73. Ὃ δέ ἐστι μάλιστα ἐπὶ τῶν ὀρχηστῶν ἐπαινέσαι, τοῦτο ἤδη ἐρῶ· τὸ γὰρ ἰσχύν τε ἅμα καὶ ὑγρότητα τῶν μελῶν ἐπιτηδεύειν ὁμοίως παράδοξον εἶναί μοι δοκεῖ ὡς εἴ τις ἐν τῷ αὐτῷ καὶ Ἡρακλέους τὸ καρτερὸν καὶ Ἀφροδίτης τὸ ἁβρὸν δεικνύοι.

74. Ἐθέλω δὲ ἤδη καὶ ὑποδεῖξαί σοι τῷ λόγῳ ὁποῖον χρὴ εἶναι τὸν ἄριστον ὀρχηστὴν ἔν τε ψυχῇ καὶ σώματι. Καίτοι τῆς μὲν ψυχῆς προεῖπον τὰ πλεῖστα·

et bonus, « manu sapientes » vocabat saltatores, atque ad spectacula eorum stabat, tanquam melior e theatro reversurus. Timocrates autem illius magister, quum vidisset semel, non dedita opera astans, edentem opus suum saltatorem, Quali, dixit, spectaculo philosophiæ me verecundia privavit!

70. Si vera sunt quæ de anima dicit Plato, tres partes illius pulchre saltator ostendit: iram, quum irati personam gerit; cupiditatem, quum amantes agit; rationem, quum passionem unamquamque frenis quasi moderatur: quod quidem in unaquaque saltatione, quemadmodum in sensibus tactus, disseminatum est. Pulchritudini vero dum prospicit et bonæ in saltationibus speciei, quid aliud quam verum esse Aristotelis illud demonstrat, laudantis pulchritudinem, et tertiam hanc quoque boni partem esse dicentis? Audivi etiam qui juvenilius lasciviret de personarum saltatoriarum silentio, dicens, etiam hoc Pythagoricum quoddam dogma innui.

71. Præterea quum studia alia partim quidem jucunditatem, partim vero utilitatem promittant, sola utrumque habet saltatio: ac tanto plus prodest ipsius utilitas, quatenus cum jucunditate affertur. Quanto enim hoc videre jucundius, quam pugnis contendentes juvenes, et sanguine fluentes, luctantesque alios in pulvere, quos saltatio sæpe tutius simul et formosius repræsentat et jucundius. Contentior ergo ille motus saltatoriæ, et conversiones ipsius, et circumductiones, et saltus, et resupinati flexus corporis, ceteris jucunda visu accidunt; ipsis vero efficientibus saluberrima. Exercitationum quippe omnium pulcherrimam simul hanc et maxime concinnam esse equidem dixerim, quæ subigat corpus, et flectat, et levius reddat, et ad omnem mutationem expeditum esse doceat, roburque non parvum conciliet corporibus.

72. Quidni ergo res undique conveniens saltatio, animum acuens, exercens corpus, oblectans videntes, multaque antiqua docens, inter tibias, et cymbala, et canticorum concinnitatem oculos auresque demulcens? Si igitur vocis perfectionem quæris, ubi alias invenias? aut quem audias vocum plurium modulatioremque concentum? sive tibiæ fistulæque argutiores sonos, satis etiam his frui in saltatione tibi datur. Omitto dicere, te meliorem etiam quod ad mores futurum, tali in spectaculo si verseris, quum videas theatrum odisse quæ male fiunt, illacrimare autem his qui opprimuntur injuria, et in universum mores spectantium regere.

73. Quod autem maxime in saltatoribus laudandum est illud jam dicam. Quod robori simul et mobilitati membrorum studere hic licet, æque admirabile mihi videtur, ac si quis eodem momento Herculis robur, et delicatos Veneris motus ostendat.

74. Volo jam illud quoque oratione tibi declarare, qualem esse optimum saltatorem anima pariter et corpore oporteat. Quanquam animæ pleraque jam dixi: nam et memoria

μνημονικόν τε γὰρ καὶ εὐφυᾶ καὶ ξυνετὸν καὶ ὀξὺν ἐπινοῆσαι καὶ καιροῦ μάλιστα ἐστοχάσθαι φημὶ δεῖν αὐτὸν, ἔτι δὲ καὶ κριτικόν τε ποιημάτων καὶ ᾀσμάτων καὶ μελῶν τῶν ἀρίστων διαγνωστικὸν καὶ τῶν κακῶς πεποιημένων ἐλεγκτικόν.

75. Τὸ δὲ σῶμα κατὰ τὸν Πολυκλείτου κανόνα ἤδη ἐπιδείξειν μοι δοκῶ· μήτε γὰρ ὑψηλὸς ἄγαν ἔστω καὶ πέρα τοῦ μετρίου ἐπιμήκης μήτε ταπεινὸς καὶ νανώδης τὴν φύσιν, ἀλλ' ἔμμετρος ἀκριβῶς, οὔτε πολύσαρκος — ἀπίθανον γὰρ — οὔτε λεπτὸς ἐς ὑπερβολήν — σκελετῶδες τοῦτο καὶ νεκρικόν —.

76. Ἐθέλω γοῦν σοι καὶ δήμου τινὸς οὐ φαύλου τὰ τοιαῦτα ἐπισημαίνεσθαι βοὰς εἰπεῖν· οἱ γὰρ Ἀντιοχεῖς εὐφυεστάτη πόλις καὶ ὄρχησιν μάλιστα πρεσβεύουσα οὕτως ἐπιτηρεῖ τῶν λεγομένων καὶ τῶν γιγνομένων ἕκαστα, ὡς μηδένα μηδὲν αὐτῶν διαλανθάνειν. Μικροῦ μὲν γὰρ ὀρχηστοῦ εἰσελθόντος καὶ τὸν Ἕκτορα ὀρχουμένου μιᾷ φωνῇ πάντες ἀνεβόησαν, Σὺ Ἀστυάναξ, Ἕκτωρ δὲ ποῦ; Ἄλλοτε δέ ποτε μηχίστου τινὸς ὑπὲρ τὸ μέτριον ὀρχεῖσθαι τὸν Καπανέα ἐπιχειροῦντος καὶ προσβάλλειν τοῖς Θηβαίων τείχεσιν, Ὑπέρβηθι, ἔφησαν, τὸ τεῖχος, οὐδέν σοι δεῖ κλίμακος. Καὶ ἐπὶ τοῦ παχέος δὲ καὶ πιμελοῦς ὀρχηστοῦ πηδᾶν μεγάλα πειρωμένου, Δόμεθα, ἔφησαν, πεφεῖσθαι τῆς θυμέλης. Τὸ δὲ ἐναντίον τῷ πάνυ λεπτῷ ἐπεβόησαν, Καλῶς ἔχε, ὡς νοσοῦντι. Τούτων οὐ τοῦ γελοίου ἕνεκα ἐπεμνήσθην, ἀλλ' ὡς ἴδῃς ὅτι καὶ δῆμοι ὅλοι μεγάλην σπουδὴν ἐποιήσαντο ἐπὶ τῇ ὀρχηστικῇ, ὡς καὶ ῥυθμίζειν τὰ καλὰ καὶ τὰ αἰσχρὰ αὐτῆς δύνασθαι.

77. Εὐκίνητος δὲ τὸ μετὰ τοῦτο πάντως ἔστω καὶ τὸ σῶμα λελυμένος τε ἅμα καὶ συμπεπηγὼς, ὡς λυγίζεσθαί τε ὅπῃ καιρὸς καὶ συνεστάναι καρτερῶς, εἰ τούτου δέοι.

78. Ὅτι δὲ οὐκ ἀπήλλακται ὄρχησις καὶ τῆς ἐναγωνίου χειρονομίας, ἀλλὰ μετέχει καὶ τῶν Ἑρμοῦ καὶ Πολυδεύκους καὶ Ἡρακλέους ἐν ἀθλήσει καλῶν, ἴδοις ἂν ἑκάστῃ τῶν μιμήσεων ἐπισχών. Ἡροδότῳ μὲν οὖν τὰ δι' ὀμμάτων φαινόμενα πιστότερα εἶναι τῶν ὤτων δοκεῖ· ὀρχήσει δὲ καὶ τὰ ὤτων καὶ ὀφθαλμῶν πρόσεστιν.

79. Οὕτω δὲ θέλγει ὄρχησις ὥστε ἂν ἐρῶν τις εἰς τὸ θέατρον παρέλθῃ, ἐσωφρονίσθη ἰδὼν ὅσα ἔρωτος κακὰ τέλη· καὶ λύπῃ ἐχόμενος ἐξέρχεται τοῦ θεάτρου φαιδρότερος ὥσπερ τι φάρμακον ληθεδανὸν καὶ κατὰ τὸν ποιητὴν νηπενθές τε καὶ ἄχολον πιών. Σημεῖον δὲ τῆς πρὸς τὰ γιγνόμενα οἰκειότητος καὶ τοῦ γνωρίζειν ἕκαστον τῶν ὁρώντων τὰ δεικνύμενα τὸ δακρύειν πολλάκις τοὺς θεατὰς, ὁπόταν τι οἰκτρὸν καὶ ἐλεεινὸν φαίνηται. Ἡ μέν γε Βακχικὴ ὄρχησις ἐν Ἰωνίᾳ μάλιστα καὶ ἐν Πόντῳ σπουδαζομένη, καίτοι σατυρικὴ οὖσα, οὕτω κεχείρωται τοὺς ἀνθρώπους τοὺς ἐκεῖ, ὥστε κατὰ τὸν τεταγμένον ἕκαστοι καιρὸν ἁπάντων ἐπιλαθόμενοι τῶν ἄλλων κάθηνται δι' ἡμέρας τιτᾶνας καὶ κορύβαντας καὶ σατύρους καὶ βουκόλους ὁρῶντες· καὶ ὀρχοῦνται

praestare, et ingeniosum esse, et prudentem, et acutum in cogitando, et opportunitatibus recte uti oportere illum aio; ad hæc judicare posse de poematibus, et cantica atque modulos optimos dignoscere, et male factos redarguere.

75. Quantum vero ad corpus, ad Polycleti regulam illum jam demonstraturus mihi videor. Neque enim procerus sit nimium et ultra modum longus, neque humili statura et nano similis; sed justæ exactæque mensuræ; neque carnosus (nam sic extra probabilitatem moveretur), neque ad excessum usque tenuis: sceleton ita referret aut mortuum.

76. Volo tibi etiam populi cujusdam, non mali ad talia notanda, clamores narrare. Antiochenses enim, ingeniosissima civitas, et maxime saltationem in honore habens, ita quæ dicuntur et fiunt singula observat, ut neminem illorum quicquam effugiat. Parvo enim ingresso saltatore et saltante Hectorem, una voce exclamarunt omnes, Hic Astyanax, Hector autem ubi? Alio vero tempore quum ultra modum longissimus aliquis saltare Capaneum inciperet, et invadere Thebanorum mœnia, Transcende murum, dicebant; scala nihil opus habes. Ac de crasso pinguique saltatore magnos tentante saltus, Rogamus, aiunt, ut parcas thymelæ. Contra vehementer attenuato succlamarunt velut ægrotanti, Bene habeas! Horum non ridiculi causa mentionem feci, sed ut videas, populos quoque integros magnum in saltatoria arte studium posuisse, ut etiam quæ deceant illam, quæ dedeceant, quasi ad normam possent exigere.

77. Mobilis deinde omnino sit saltator, et corpore soluto pariter et compacto, ut et inflecti opportune, et firmiter consistere, ubi opus est, possit.

78. Non abhorrere autem saltationem nec ab illa usitata in sacris certaminibus manuum gesticulatione, sed partem habere eorum quæ in Mercurii pariter et Pollucis et Herculis certaminibus pulchra sunt, videas, si unicuique harum imitationum attendere animum volueris. Herodoto quidem ea quæ per oculos ad sensum perveniunt, fideliora esse auribus videntur: at saltationi aurium pariter et oculorum perceptiones adsunt.

79. Ita vero saltatio mulcet, ut si quis amans in theatrum veniat, resipiscat visis multis adeo malis amoris finibus: Et tristitia aliquis affectus exit theatro hilarior, quasi epoto oblivionis quodam poculo, aut secundum poetam, « luctus bilisque medela. » Quam vero familiaria sint naturæ nostræ quæ fiunt in saltatione, et quam agnoscat spectantium unusquisque quæ demonstrantur, illud signum est, quod lacrimantur sæpe spectatores, quum triste aliquid et miserabile apparet. Bacchica quidem saltatio, cui in Ionia præsertim et in Ponto seria datur opera, satyrica licet sit, ita tamen qui ibi sunt homines subegit, ut stato tempore universi, reliquorum omnium obliti, totos dies sedeant, ac Titanas et Corybantes, Satyrosque, et pastores spectent:

γε ταῦτα οἱ εὐγενέστατοι καὶ πρωτεύοντες ἐν ἑκάστῃ τῶν πόλεων οὐχ ὅπως αἰδούμενοι, ἀλλὰ καὶ μέγα φρονοῦντες ἐπὶ τῷ πράγματι μᾶλλον ἢπερ ἐπ' εὐγενείαις καὶ λειτουργίαις καὶ ἀξιώμασι προγονικοῖς.

80. Ἐπεὶ δὲ τὰς ἀρετὰς ἔφην τὰς ὀρχηστικὰς, ἄκουε καὶ τὰς κακίας αὐτῶν. Τὰς μὲν οὖν ἐν σώματι ἤδη ἔδειξα, τὰς δὲ τῆς διανοίας οὕτως ἐπιτηρεῖν οἶμαι δύναιο ἄν· πολλοὶ γὰρ αὐτῶν ὑπ' ἀμαθίας — ἀμήχανον γὰρ ἅπαντας εἶναι σοφούς — καὶ σολοικίας δεινὰς ἐν τῇ ὀρχήσει ἐπιδείκνυνται, οἱ μὲν ἄλογα κινούμενοι καὶ μηδὲν, ὥς φασι, πρὸς τὴν χορδήν· ἕτερα μὲν γὰρ ὁ ποὺς, ἕτερα δ' ὁ ῥυθμὸς λέγει. Οἱ δὲ εὔρυθμα μὲν, τὰ πράγματα δὲ μετάχρονα ἢ πρόχρονα, οἷον ἐγώ ποτε ἰδὼν μέμνημαι· τὰς γὰρ Διὸς γονὰς ὀρχούμενός τις καὶ τὴν τοῦ Κρόνου τεκνοφαγίαν παρωρχεῖτο καὶ τὰς Θυέστου συμφορὰς τῷ ὁμοίῳ παρηγμένος. Καὶ ἄλλος τὴν Σεμέλην ὑποκρινόμενος βαλλομένην τῷ κεραυνῷ τὴν Γλαύκην αὐτῇ εἵκαζε μεταγενεστέραν οὖσαν. Ἀλλ' οὐκ ἀπό γε τῶν τοιούτων ὀρχηστῶν ὀρχήσεως αὐτῆς, οἶμαι, καταγνωστέον οὐδὲ τὸ ἔργον αὐτὸ μισητέον, ἀλλὰ τοὺς μὲν, ὥσπερ εἰσὶν, ἀμαθεῖς νομιστέον, ἐπαινετέον δὲ τοὺς ἐννόμως καὶ κατὰ ῥυθμὸν τῆς τέχνης ἱκανῶς ἕκαστα δρῶντας.

81. Ὅλως δὲ τὸν ὀρχηστὴν δεῖ πανταχόθεν ἀπηκριβῶσθαι, ὡς εἶναι τὸ πᾶν εὔρυθμον, εὔμορφον, σύμμετρον, αὐτὸ αὑτῷ ἐοικὸς, ἀσυκοφάντητον, ἀνεπίληπτον, μηδαμῶς ἐλλιπὲς, ἐκ τῶν ἀρίστων κεκραμένον, τὰς ἐνθυμήσεις ὀξὺν, τὴν παιδείαν βαθὺν, τὰς ἐννοίας ἀνθρώπινον μάλιστα. Ὁ γοῦν ἔπαινος αὐτῷ τότ' ἂν γίγνοιτο ἐντελὴς παρὰ τῶν θεατῶν, ὅταν ἕκαστος τῶν ὁρώντων γνωρίζῃ τὰ αὑτοῦ, μᾶλλον δὲ ὥσπερ ἐν κατόπτρῳ τῷ ὀρχηστῇ ἑαυτὸν βλέπῃ καὶ ἃ πάσχειν αὐτὸς καὶ ἃ ποιεῖν εἴωθε· τότε γὰρ οὐδὲ κατέχειν ἑαυτοὺς οἱ ἄνθρωποι ὑφ' ἡδονῆς δύνανται, ἀλλ' ἀθρόοι πρὸς τὸν ἔπαινον ἐκχέονται τὰς τῆς ἑαυτοῦ ψυχῆς ἕκαστος εἰκόνας ὁρῶντες καὶ αὐτοὺς γνωρίζοντες· ἀτεχνῶς γὰρ τὸ Δελφικὸν ἐκεῖνο τὸ Γνῶθι σαυτὸν ἐκ τῆς θέας ἐκείνης αὐτοῖς περιγίγνεται· καὶ ἀπέρχονται ἀπὸ τοῦ θεάτρου ἃ τε χρὴ αἱρεῖσθαι καὶ ἃ φεύγειν μεμαθηκότες καὶ ἃ πρότερον ἠγνόουν διδαχθέντες.

82. Γίγνεται δὲ ὥσπερ ἐν λόγοις, οὕτω δὲ καὶ ἐν ὀρχήσει ἡ πρὸς τῶν πολλῶν λεγομένη κακοζηλία ὑπερβαινόντων τὸ μέτρον τῆς μιμήσεως καὶ πέρα τοῦ δέοντος ἐπιτεινόντων καὶ εἰ μέγα τι δεῖξαι δέοι, ὑπερμέγεθες ἐπιδεικνυμένων, καὶ εἰ ἁπαλὸν, καθ' ὑπερβολὴν θηλυνομένων, καὶ τὰ ἀνδρώδη ἄχρι τοῦ ἀγρίου καὶ θηριώδους προαγόντων.

83. Οἷον ἐγώ ποτε μέμνημαι ἰδὼν ποιοῦντα ὀρχηστὴν εὐδοκιμοῦντα πρότερον, συνετὸν μὲν τὰ ἄλλα καὶ θαυμάζεσθαι ὡς ἀληθῶς ἄξιον, οὐκ οἶδα δὲ ἥτινι τύχῃ εἰς ἀσχήμονα ὑπόκρισιν δι' ὑπερβολὴν μιμήσεως ἐξοχείλαντα· ὀρχούμενος γὰρ τὸν Αἴαντα μετὰ τὴν ἧτταν εὐθὺς μαινόμενον εἰς τοσοῦτον ὑπερεξέπεσεν, ὥστε οὐχ ὑποκρίνασθαι μανίαν, ἀλλὰ μαίνεσθαι αὐτὸς εἰκότως

saltantque ista etiam generosissimi et principes unusquisque civitatis, quos tantum abest ut pudeat ejus rei, ut potius sibi valde in ea placeant, magis quidem, quam in nobilitate, aut muneribus publicis, aut dignitatibus majorum.

80. Quandoquidem vero virtutes dixi saltatorias, audi nunc etiam vitia. Ac corporis quidem quæ sint, jam ostendi: mentis vero vitia sic, puto, observare possis. Multi enim illorum præ inscitia (neque vero fieri potest, ut omnes sint sapientes) etiam graves solœcismos in saltatione committunt: alii quidem irrationabiliter moventes se, et nihil, aiunt, ad chordam: alia enim pes illorum, alia rhythmus indicat. Alii numerose quidem illi, sed res ipsæ aut post tempus justum aut ante fiunt. Quale quid ego quondam videre me memini. Jovis enim natales saltans aliquis et Saturni in liberis suis vorandis crudelitatem, aberrabat saltatione in Thyestæ mala, similitudine abductus. Et alius Semelen agens dum feritur fulmine, Glaucen illi assimilavit tempore posteriorem. Sed non puto tales propter saltatores ipsam damnandam esse saltationem, neque odio ipsum opus esse prosequendum, sed illos quidem pro imperitis, quales sunt, habendos, laudandos vero qui legitime et concinno artis ordine, quantum satis est, omnia faciunt.

81. In universum autem oportet undique perfectum exactumque esse saltatorem, ut omnia sint concinna, formosa, mensuris sibi respondentibus, omnia sibi similia, calumnia et reprehensione superiora, deficiant nusquam, temperata sint ex optimis: saltatorem ipsum acutum in cogitando, profunda eruditione, humanissimo præsertim animo. Nam tum demique laus ipsi perfecta a spectatoribus contigerit, quum spectantium unusquisque sua agnoscet, vel potius tanquam in speculo, sic in saltatore se ipsum videbit, quæque sentire ipse, et quæ soleat facere. Tunc enim ne continere quidem se possunt præ gaudio homines, sed confertim in laudes effunduntur, suæ quisque animæ videntes imaginem, agnoscentes se ipsos. Plane enim Delphicum illud Nosce te ipsum ex hoc illis spectaculo paratur: abeuntque e theatro, quæ eligenda sint, quæ fugienda, moniti, edoctique quæ ante ignoraverant.

82. Exsistit autem quemadmodum in oratione, sic in saltatione etiam ea quæ Cacozelia vulgo dicitur, eorum qui egrediuntur modum imitationis, et ultra quam par est contendunt, et si quid magnum ostendendum sit, immensum ostendunt; et si molle, ad excessum usque sese effeminant; eaque quæ virilia sunt, ad agrestem usque feritatem producunt.

83. Quale quid ego quondam memini facientem videre saltatorem, qui ante hæc florebat laudibus, prudentem illum quidem de cetero, et admiratione vere dignum, sed qui nescio quo fato in indecentem actionem per excessum imitationis incidisset. Saltans enim Ajacem quum inferior discessisset, illico furentem, adeo modum omnem egressus est, ut non ageret jam furentem, sed furere ipse facile alicui vi-

ἄν τινι ἔδοξεν· ἑνὸς γὰρ τῶν τῷ σιδηρῷ ὑποδήματι κτυπούντων τὴν ἐσθῆτα κατέρρηξεν, ἑνὸς δὲ τῶν ὑπαυλούντων τὸν αὐλὸν ἁρπάσας τοῦ Ὀδυσσέως πλησίον ἑστῶτος καὶ ἐπὶ τῇ νίκῃ μέγα φρονοῦντος διεῖλε τὴν κεφαλὴν κατενεγκών, καὶ εἴ γε μὴ ὁ πῖλος ἀντέσχε καὶ τὸ πολὺ τῆς πληγῆς ἀπεδέξατο, ἀπωλώλει ἂν ὁ κακοδαίμων Ὀδυσσεὺς ὀρχηστῇ παραπαίοντι περιπεσών. Ἀλλὰ τό γε θέατρον ἅπαν συνεμεμήνει τῷ Αἴαντι καὶ ἐπήδων καὶ ἐβόων καὶ τὰς ἐσθῆτας ἀνερρίπτουν, οἱ μὲν συρφετώδεις καὶ αὐτὸ τοῦτο ἰδιῶται τοῦ μὲν εὐσχήμονος οὐκ ἐστοχασμένοι οὐδὲ τὸ χεῖρον ἢ τὸ κρεῖττον ὁρῶντες, ἄκραν δὲ μίμησιν τοῦ πάθους τὰ τοιαῦτα οἰόμενοι εἶναι· οἱ ἀστειότεροι δὲ συνιέντες μὲν καὶ αἰδούμενοι ἐπὶ τοῖς γιγνομένοις, οὐκ ἐλέγχοντες δὲ σιωπῇ τὸ πρᾶγμα, τοῖς δὲ ἐπαίνοις καὶ αὐτοὶ τὴν ἄνοιαν τῆς ὀρχήσεως ἐπικαλύπτοντες, καὶ ἀκριβῶς ὁρῶντες ὅτι οὐκ Αἴαντος, ἀλλ' ὀρχηστοῦ μανίας τὰ γιγνόμενα ἦν. Οὐ γὰρ ἀρκεσθεὶς τούτοις ὁ γενναῖος ἄλλο μακρῷ τούτου γελοιότερον ἔπραξε· καταβὰς γὰρ εἰς τὸ μέσον ἐν τῇ βουλῇ δύο ὑπατικῶν μέσος ἐκαθέζετο πάνυ δεδιότων μὴ καὶ αὐτῶν τινα ὥσπερ κριὸν μαστιγώσῃ λαβών· καὶ τὸ πρᾶγμα οἱ μὲν ἐθαύμαζον, οἱ δὲ ἐγέλων, οἱ δὲ ὑπώπτευον μὴ ἄρα ἐκ τῆς ἄγαν μιμήσεως εἰς τὴν τοῦ πάθους ἀλήθειαν ὑπηνέχθη.

84. Καὶ αὐτὸν μέντοι, φασὶν, ἀνανήψαντα οὕτω μετανοῆσαι ἐφ' οἷς ἐποίησεν, ὥστε καὶ νοσῆσαι ὑπὸ λύπης ὡς ἀληθῶς ἐπὶ μανίᾳ κατεγνωσμένον· καὶ ἐδήλωσέ γε τοῦτο σαφῶς αὐτός. Αἰτούντων γὰρ αὖθις τῶν συστασιωτῶν αὐτὸν τὸν Αἴαντα ὀρχήσασθαι αὐτοῖς, παραστησάμενος τὸν ὑποκριτὴν ἔφη πρὸς τὸ θέατρον· Ἱκανόν ἐστιν ἅπαξ μανῆναι. Μάλιστα δὲ αὐτὸν ἠνίασεν ὁ ἀνταγωνιστὴς καὶ ἀντίτεχνος· τοῦ γὰρ ὁμοίου Αἴαντος αὐτῷ γραφέντος οὕτω κοσμίως καὶ σωφρόνως τὴν μανίαν ὑπεκρίνατο, ὡς ἐπαινεθῆναι μείνας ἐντὸς τῶν τῆς ὀρχήσεως ὅρων καὶ μὴ παροινήσας εἰς τὴν ὑπόκρισιν.

85. Ταῦτά σοι, ὦ φιλότης, ὀλίγα ἐκ παμπόλλων παρέδειξα ὀρχήσεως ἔργα καὶ ἐπιτηδεύματα, ὡς μὴ πάνυ ἄχθοιό μοι ἐρωτικῶς θεωμένῳ αὐτά. Εἰ δὲ βουληθείης κοινωνῆσαί μοι τῆς θέας, εὖ οἶδα ἐγὼ πάνυ ἁλωσόμενόν σε καὶ ὀρχηστομανήσοντά γε προσέτι. Ὥστε οὐδὲν δεήσομαι τὸ τῆς Κίρκης ἐκεῖνο πρὸς σὲ εἰπεῖν τὸ

Θαῦμά μ' ἔχει ὡς οὔτι πιὼν τάδε φάρμακ' ἐθέλχθης.

Θελχθήσῃ γὰρ καὶ μὰ Δί' οὐκ ὄνου κεφαλὴν ἢ συὸς καρδίαν ἕξεις, ἀλλ' ὁ μὲν νόος σοι ἐμπεδώτερος ἔσται, σὺ δὲ ὑφ' ἡδονῆς οὐδὲ ὀλίγον τοῦ κυκεῶνος ἄλλῳ μεταδώσεις πιεῖν· ὅπερ γὰρ ὁ Ὅμηρος περὶ τῆς Ἑρμοῦ ῥάβδου τῆς χρυσῆς λέγει, ὅτι καὶ « ἀνδρῶν ὄμματα θέλγει δι' αὐτῆς »

ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει,

τοῦτο ἀτεχνῶς ὄρχησις ποιεῖ καὶ τὰ ὄμματα θέλγουσα

deretur. Unius enim eorum qui ferrea solea humum feriebant, vestem laceravit, modos autem tibia accinentium uni ereptam tibiam, Ulixis prope astantis et de victoria se efferentis capiti ita impegit, ut divideret, et nisi obstitisset pileus majoremque plagæ partem excepisset, perierat nobis infelix ille Ulixes, qui in insanientem saltatorem incidisset. Verum totum adeo theatrum cum Ajace isto furebat; exsultabant, clamabant, abjiciebant vestes. Nempe de plebe homines, et plane idiotæ, decorum ipsum non assecuti, pejus aut melius quid esset, non videbant, sed talia perfectissimam perturbationis illius esse imitationem putabant: urbaniores autem, licet intelligerent, et puderet eos illorum quæ fierent, silentio tamen non arguebant factum, sed laudibus ipsi quoque tegebant saltatoris amentiam, etsi distincte videbant non Ajacis furores, sed saltatoris esse quæ fierent. Neque enim satis habebat vir fortis ista fecisse, sed aliud multo magis ridiculum hisce designabat: descendens enim in medium, in senatus sedilibus medius inter Consulares duos assidebat, valde metuentes ne de ipsis etiam aliquem velut arietem arreptum flagellaret: eamque rem alii quidem admirari, ridere alii, alii suspicari, numquid ex nimio imitandi studio in verum furorem esset delatus.

84. Ipsum quidem aiunt, quum resipuisset, adeo pœnituisse factorum suorum, ut etiam in morbum ex ægritudine incideret, seque veri ipse furoris damnaret. Et satis aperte hoc declaravit ipse. Quum enim rursus Ajacem ut sibi saltaret, factionis illius homines peterent, actorem alium commendans dixit ad theatrum: Satis est semel insaniisse. Maxima vero illum molestia affecit adversarius in certamine et artis æmulus: quum enim similis illi scriptus esset Ajax, adeo decenter, modeste adeo simulavit furorem, ut laudaretur, quod mansisset intra terminos saltationis, neque ebrioso quasi furore actionem violasset.

85. Hæc tibi, amice, pauca de plurimis proposui saltationis opera atque studia, ne prorsus ægre feras me cupide illa spectare. Si vero in partem venire spectaculi mecum volueris, bene novi te plane captum iri, et insuper ad furorem usque amaturum saltationem. Itaque non opus habebo Circes illud apud te dicere,

Miror demulctum te non esse hocce veneno.

Demulceberis enim, et medius fidius non asini caput, aut suis cor habebis; sed stabilior tibi mens erit, tuque præ voluptate non pauxillum de potione ista alii quoque bibendum imperties. Quod enim de aurea Mercurii virga Homerus dicit,

— Virorum hæc dulci lumina somno
mulcet quum lubuit, somnos dispellit eadem:

hoc planissime facit saltatio, tum demulcens oculos, tum

καὶ ἐγρηγορέναι ποιοῦσα καὶ ἐπεγείρουσα τὴν διάνοιαν πρὸς ἕκαστα τῶν δρωμένων.

ΚΡΑΤ. Καὶ μὴν ἤδη ἐγὼ, ὦ Λυκῖνε, πείθομαί τέ σοι καὶ ἀναπεπταμένα ἔχω καὶ τὰ ὦτα καὶ τὰ ὄμματα. Καὶ μέμνησό γε, ὦ φιλότης, ἐπειδὰν εἰς τὸ θέατρον ἴῃς, κἀμοὶ παρὰ σεαυτῷ θέαν καταλαμβάνειν, ὡς μὴ μόνος ἐκεῖθεν σοφώτερος ἡμῖν ἐπανίῃς.

XXXIV.

ΛΕΞΙΦΑΝΗΣ.

1. ΛΥΚΙΝΟΣ. Λεξιφάνης ὁ καλὸς μετὰ βιβλίου;

ΛΕΞ. Νὴ Δί', ὦ Λυκῖνε, γράμμα ἐστὶ τητινόν τι τῶν ἐμῶν κομιδῇ νεοχμόν.

ΛΥΚ. Ἤδη γάρ τι καὶ περὶ αὐχμῶν ἡμῖν γράφεις;

ΛΕΞ. Οὐ δῆτα, οὐδὲ αὐχμὸν εἶπον, ἀλλὰ ὦρα σοι τὸ ἀρτιγραφὲς οὕτω καλεῖν. Σὺ δὲ κυψελόδυστα ἔοικας ἔχειν τὰ ὦτα.

ΛΥΚ. Σύγγνωθι, ὦ ἑταῖρε· πολὺ γὰρ τοῦ αὐχμοῦ τὸ νεοχμὸν μετέχει. Ἀλλ' εἰπέ μοι, τίς ὁ νοῦς τῷ συγγράμματι;

ΛΕΞ. Ἀντισυμποσιάζω τῷ Ἀρίστωνος ἐν αὐτῷ.

ΛΥΚ. Πολλοὶ μὲν οἱ Ἀρίστωνες· σὺ δὲ ὅσον ἀπὸ τοῦ συμποσίου τὸν Πλάτωνά μοι ἔδοξας λέγειν.

ΛΕΞ. Ὀρθῶς ἀνέγνως· τὸ δὲ λεγόμενον ὡς ἄλλῳ παντὶ ἀνόητον ἂν ἦν.

ΛΥΚ. Οὐκοῦν ὀλίγα μοι αὐτοῦ ἀνάγνωθι τοῦ βιβλίου, ὅπως μὴ παντάπασιν ἀπολειποίμην τῆς ἑστιάσεως· νέκταρος γάρ τινος ἔοικας οἰνοχοήσειν ἡμῖν ἀπ' αὐτοῦ.

ΛΕΞ. Τὸν μὲν εἴρωνα πεδοῖ κατάβαλε· σὺ δὲ εὔπορα ποιήσας τὰ ὦτα ἤδη ἄκουε. Ἀπέστω δὲ ἡ ἐπιβύστρα ἡ Κυψελίς.

ΛΥΚ. Λέγε θαρρῶν, ὡς ἔμοιγε οὔτε Κύψελός τις οὔτε Περίανδρος ἐν τοῖς ὠσὶ κάθηται.

ΛΕΞ. Σκόπει δὴ μεταξὺ, ὅπως διαπεραίνομαι, ὦ Λυκῖνε, τὸν λόγον, εἰ εὐαρχός τέ ἐστι καὶ πολλὴν τὴν εὐλογίαν ἐπιδεικνύμενος καὶ εὔλεξις, ἔτι δὲ εὐώνυμος.

ΛΥΚ. Ἔοικε τοιοῦτος εἶναι σός γε ὤν. Ἀλλ' ἄρξαι ποτέ.

2. ΛΕΞ. « Εἶτα δειπνήσομεν, ἦ δ' ὃς ὁ Καλλικλῆς, εἶτα τὸ δειλινὸν περιδινησόμεθα ἐν Λυκείῳ, νῦν δὲ ἤδη καιρός ἐστι χρίεσθαι τὸ ἡλιοκαὲς καὶ πρὸς τὴν εἴλην θέρεσθαι καὶ λουσαμένους ἀρτοσιτεῖν· καὶ ἤδη γε ἀπιτητέα. Σὺ δὲ, ὦ παῖ, στλεγγίδα μοι καὶ βύρσαν καὶ φωσώνια καὶ ῥύμματα ναυστολεῖν ἐς τὸ βαλανεῖον καὶ τοὐπίλουτρον κομίζειν· ἔχεις δὲ χαμᾶζε παρὰ τὴν ἐγγυθήκην δύ' ὀβολώ. Σὺ δὲ τί καὶ πράξεις, ὦ Λεξίφανες, ἦξεις ἢ ἐλινύσεις ἔτι αὐτόθι; Κἀγὼ, ἦν δ' ἐγὼ, τρίπαλαι λουτῶ· οὐκ εὐπόρως τε γὰρ ἔχω καὶ τὰ ἀμφὶ τὴν τράμιν μαλακίζομαι ἐπ' ἀστράβης ὀχηθείς. Ὁ γὰρ

vigilare illos faciens, et mentem ad singula quae fiunt excitans.

CRAT. Quin jam nunc ego, Lycine, in sententiam tuam traductus sum, apertosque et hiantes habeo cum auribus oculos. Ac memineris, amice, quum in theatrum ieris, etiam mihi juxta te occupare spectandi locum, ut ne solus inde sapientior nobis revertaris.

XXXIV.

LEXIPHANES.

1. LYCINUS. Lexiphanes ille pulcher cum libro?

LEX. Per Jovem, Lycine, scriptum est hornum quoddam de meis, plane musteum.

LYC. Nempe de musto aliquid nobis scribis?

LEX. Minime equidem; neque mustum nominavi: sed memineris musteum vocare quod modo scriptum est. At tu sordidudine (*Gr.* Cypseli) obturatas habere aures mihi videris.

LYC. Ignosce mihi, sodalis: multum enim de musto habet musteum. Sed dic mihi, quod scripti consilium est?

LEX. Convivio instruendo æmulor ibi filium Aristonis.

LYC. Multi sunt Aristones: tu vero, quantum e convivii mentione suspicor, dicere mihi Platonem videris.

LEX. Recte agnovisti: sed quam istud dictum ignorabile fuit cuivis alii!

LYC. Ergo mihi pauca lege de libro, ne omnino convivio illo excludar: videris enim nectar nobis de illo ministraturus.

LEX. Illum quidem cum irrisione simulatorem animum solo allide: tu vero commeabiles fac aures, et jam audi. Absit vero obturatrix illa Cypselis [*aurium sordes*].

LYC. Quin tu audacter dicito: neque enim Cypselus, neque (filius illius) Periander in auribus mihi residet.

LEX. Considera autem interea quomodo peragam, Lycine, sermonem, num bene principiatus sit, multamque beneloquentiam ostendens, et bonis verbis constans, bonisque insuper nominibus.

LYC. Sine dubio est talis, tuus quum sit. Sed incipe tandem.

2. LEX. « Tum cœnabimus, inquit Callicles: tum ad vesperam gyros faciemus in Lyceo. Nunc autem tempus est ungi in sole, et ad calorem illius apricari, et quum laverimus, panem gustare. Et jam abeundum. Tu vero, puer, strigilem mihi, et pellem, et mappas, et sapones, classe advehito in balneum, et ablutionis mercedem ferto: habes autem humi prope incitegam obolos duo. Tu vero quid ages, Lexiphanes, veniesne, an hic adhuc nectes moras? Quin ego etiam, inquam, ter olim est quod lavaturio: nec enim satis bene habeo, et circa perinæum infirmus sum, clitellaria mula vectus. Agaso enim nimis urgebat, quan-

ἀστραβηλάτης ἐπέσπερχε καίτοι ἀσκωλιάζων αὐτός. Ἀλλὰ καὶ ἐν αὐτῷ οὐκ ἀκμὴς ἦν τῷ ἀγρῷ· κατέλαβον γὰρ τοὺς ἐργάτας λιγυρίζοντας τὴν θερινὴν ᾠδήν, τοὺς δὲ τάφον τῷ ἐμῷ πατρὶ κατασκευάζοντας. Συντυμβωρυχήσας οὖν αὐτοῖς καὶ τοῖς ἀναχοῦσι τὰ ἄνδηρα καὶ αὐτὸς ὀλίγα συγχειροπονήσας ἐκείνους μὲν διαφῆκα τοῦ τε κρύους ἕνεκα καὶ ὅτι καύματα ἦν· οἶσθα δὲ ὡς ἐν κρύει σφοδρῷ γίγνεται τὰ καύματα. Ἐγὼ δὲ περιελθὼν τὰ ἀρώματα σκόροδά τε εὗρον ἐν αὐτοῖς πεφυκότα καὶ γηπαττάλους τινὰς ἀνορύξας καὶ τῶν σκανδίκων καὶ βρακάνων λαχανευσάμενος, ἔτι δὲ κάχρυς πριάμενος — οὔπω δὲ οἱ λειμῶνες ἀνθοσμίαι ἦσαν, ὡς αὐτοποδητὶ βαδίζειν — ἀνατεθεὶς ἐπὶ τὴν ἀστράβην ἐδάρην τὸν ὄρρον· καὶ νῦν βαδίζω τε ὀδυνηρῶς καὶ ἰδίῳ θαμὰ καὶ μαλκιῶ τὸ σῶμα καὶ δέομαι διανεῦσαι ἐν τῷ ὕδατι ἐπὶ πλεῖστον· χαίρω δὲ μετὰ κάματον ἀπολούμενος.

3. Ἀποθρέξομαι οὖν καὶ αὐτὸς πρὸς τὸν παῖδα, ὃν εἰκὸς ἢ παρὰ τῇ λεκιθοπώλιδι ἢ παρὰ τῷ γρυμεοπώλῃ με περιμένειν· καίτοι προηγόρευτο αὐτῷ ἐπὶ τὰ γέλγη ἅπαντᾶν. Ἀλλ' εἰς καιρὸν οὑτοσὶ αὐτὸς ἐμπολήσας γε, ὡς ὁρῶ, πυριάτην τέ τινα καὶ ἐγκρυφίας καὶ γήτεια καὶ φύσκας καὶ οἶδον τουτονὶ καὶ λωγάνιον καὶ τοῦ βοὸς τὸ πολύπτυχον ἔγκατον καὶ φώκτας. Εὖ γε, ὦ Ἀττικίων, ὅτι μοι ἄβατον ἐποίησας τὸ πολὺ τῆς ὁδοῦ. Ἐγὼ δὲ, ἦ δ' ὅς, ἕλλος, ὦ δέσποτα, γεγένημαι σὲ περιορῶν. Σὺ δὲ ποῦ χθὲς ἐδείπνεις; μῶν παρὰ Ὀνομακρίτῳ; Οὐ, μὰ Δί', ἦν δ' ἐγὼ, ἀλλ' ἀγρόνδε ᾠχόμην ψύττα κατατείνας· οἶσθα δὲ ὡς φίλαγρός εἰμι. Ὑμεῖς δὲ ἴσως ᾠεσθέ με λαταγεῖν κοττάβους. Ἀλλ' εἰσιὼν ταῦτά τε καὶ τὰ ἄλλα ἡδύνειν καὶ τὴν κάρδοπον αμῆν, ὡς θριδακίνας μάττωτε ἡμῖν.

4. Ἐγὼ δὲ ξηραλοιφήσω ἀπελθών. Καὶ ἡμεῖς, ἦ δ' ὅς ὁ Φιλῖνος, ἐγώ τε καὶ Ὀνόμαρχος καὶ Ἑλλάνικος οὑτοσὶ ἑψόμεθα· καὶ γὰρ ὁ γνώμων σκιάζει μέσην τὴν πόλιν, καὶ δέος μὴ ἐν λουτρίῳ ἀπολουσώμεθα κατόπιν τῶν Καριμάντων μετὰ τοῦ σύρφακος βύζην ὠστιζόμενοι. Καὶ ὁ Ἑλλάνικος ἔφη, Ἐγὼ δὲ καὶ δυσωπῶ· καὶ γὰρ τὰ κόρα μοι ἐπιτεθόλωσθον καὶ σκαρδαμυκτῶ θαμὰ καὶ ἀρτίδακρύς εἰμι καὶ τὰ ὄμματά μοι φαρμακᾷ καὶ δέομαι Ἀσκληπιάδου τινὸς ὀφθαλμοσόφου, ὃς ταράξας καὶ ἐγχέας μοι φάρμακον ἀπερυθριᾶσαί τε ποιήσει τοὺς ὀφθαλμοὺς καὶ μηκέτι λημαλέους εἶναι μηδὲ διερὸν βλέπειν.

5. Τοιαῦτα ἄττα διεξιόντες ἅπαντες οἱ παρόντες ἀπήειμεν· κἀπειδήπερ ἥκομεν εἰς τὸ γυμνάσιον ἀπησθημένοι ἤδη, ὁ μέν τις ἀκροχειρισμῷ, ὁ δὲ τραχηλισμῷ καὶ ὀρθοπάλῃ ἐχρῆτο, ὁ δὲ λίπα χρισάμενος ἑλυγίζετο, ὁ δὲ ἀντέβαλλε τῷ κωρύκῳ, ὁ δὲ μολυβδαίνας χερμαδίους ἀράγδην ἔχων ἐχειροβόλει. Εἶτα συντριβέντες καὶ ἀλλήλους κατανωτισάμενοι καὶ ἐμπαίξαντες τῷ γυμνασίῳ ἐγὼ μὲν καὶ Φιλῖνος ἐν τῇ θερμῇ πυέλῳ καταιονηθέντες ἐξήειμεν· οἱ λοιποὶ δὲ τὸ ψυχροβαφὲς κάρα δελφινίσαντες παρένεον ὑποβρύχιοι θαυμασίως. Ἀναστρέψαντες

quam ipse uno pede velut in utres saltans. Sed neque in ipso rure fatigationis expers eram : deprehendebam enim operas æstivam cantionem minurientes, partim vero sepulcrum parantes meo patri. Quum ergo effodissem cum illis sepulcrum, et his, qui areolas aggerant, et ipse manibus laborem paullum adjuvissem, illos quidem dereliqui, cum frigoris causa, tum quod essent uredines : nosti autem in frigore vehementi uredines exsistere. Ego autem obiens vervacta, alliaque inveni ibi nata, et effossis quibusdam terræ paxillis, et scandicibus, et bracanis pro olere lectis, emtisque insuper cachrybus, (nondum autem odorifera erant prata, ut meis ipse pedibus ambulare mallem), in mulam iterum impositus excoriatus sum podicem : et nunc incedo cum dolore et sudo frequenter, et langueo corpore, atque opus habeo pernatare in aqua plurimum; gaudeo autem fessus ablui.

3. Decurram igitur ipse quoque ad puerum, quem crédibile est aut apud pisorum farinæ venditricem, aut venditorem perarum me præstolari : quanquam prædictum ipsi fuerat ut occurreret ad veteramenta. Sed opportune hic ipse adest, mercatus, ut video, clibanarium panem unum et alios subcinericios, et cepas, et pantices, et hoc superarmale, et paleare, et illud multorum foliorum bovis intestinum, et phoctas. Euge Atticio, compendi mihi fecisti majorem viæ partem. Ego vero, inquit ille, strabus, here, factus sum, te dum circumspicio. Tu vero ubi cœnabas heri? num apud Onomacritum? Non per Jovem, inquam, verum rus abieram, citissime tendens : nosti autem quam sim amans ruris. Vos autem forte putabatis me sonare cottabos. Sed intro abi, hæcque et alia condito, et expurga mactram, ut lactucinas subigatis nobis.

4. Ego vero ad siccam unctionem discedam. Ac nos, inquit Philinus, ego nempe, et Onomarchus et Hellanicus hic, sequemur. Etenim gnomon mediam jam aream inumbrat, et metus est ne in turbido aliorum sordibus balneo abluamur, post Carimantes, cum fece plebis confertim trudendi. Et Hellanicus, Ego vero, inquit, etiam ægre video; etenim utraque mihi pupilla turbida est, ac frequenter conniveo, et facilis lacrimarum sum, et medicamenturiunt mihi oculi, atque Asclepiade quodam oculorum sapiente indigeo, qui confuso et infuso mihi medicamento faciat ut ruborem ponant oculi, neque amplius lipposi sint, neque humidum videant.

5. Talia quædam disputantes præsentes omnes, abiimus. Et quum venissemus in gymnasium, exvestiti jam, unus quidem exercitatione extremarum manuum, alius supinandi et luctæ erectæ utebatur : alius vero pingui unctus inflectebat se : alius objiciebat se coryco : alius autem plumbeas manum implentes cum fragore manibus jactabat. Deinde contriti frictione quum tergis nos invicem portassemus, atque illusissemus gymnasio, ego quidem et Philinus in labro calido perfusi exiimus : at reliqui caput frigida perfusum delphinorum instar immergentes, admirabiliter subaqua pernatabant. Reversi autem rursus alio alius, alia

δὲ αὖθις ἄλλος ἄλλοσε ἄλλα ἐδρῶμεν. Ἐγὼ μὲν ὑποδησάμενος ἐξυόμην τὴν κεφαλὴν τῇ ὀδοντωτῇ ξύστρᾳ· καὶ γὰρ οὐ κηπίον, ἀλλὰ σκάφιον ἐκεκάρμην ὡς ἂν οὐ πρὸ πολλοῦ τὸν κόννον καὶ τὴν κορυφαίαν ἀποκεκομηκώς· ἄλλος ἐθερμοτράγει, ὁ δὲ ἤμει τὸν νῆστιν, ὁ δὲ ἀραιὰς ποιῶν τὰς ῥαφανίδας ἐμυστιλᾶτο τοῦ ἰχθυηροῦ ζωμοῦ, ἄλλος ἤσθιε φαυλίας, ὁ δὲ ἐρρόφει τῶν κριθῶν.

6. Κἀπειδὴ καιρὸς ἦν, ἐπ' ἀγκῶνος ἐδειπνοῦμεν· ἔκειντο δὲ καὶ ὀκλαδίαι καὶ ἀσκάνται. Τὸ μὲν δὴ δεῖπνόν ἦν ἀπὸ συμφορῶν. Παρεσκεύαστο δὲ πολλὰ καὶ ποικίλα, διχαλὰ ὕεια καὶ σχελίδες καὶ ἠτριαία καὶ τοκάδος ὑὸς τὸ ἐμβρυοδόχον ἕντερον καὶ λοβὸς ἐκ ταγήνου καὶ μυττωτὸς καὶ ἀβυρτάκη καὶ τοιαῦταί τινες καρυκεῖαι καὶ θρυμματίδες καὶ θρῖα καὶ μελιτοῦτται· τῶν δὲ ὑποβρυχίων τὰ σελάχια πολλὰ καὶ ὅσα ὀστρακόρινα τὸ δέρμα καὶ τεμάχη ποντικὰ τῶν ἐκ σαργάνης καὶ κωπαΐδες καὶ ὄρνις σύντροφος καὶ ἀλεκτρυὼν ἤδη ἀπῳδὸς καὶ ἰχθὺς ἦν παράσιτος· καὶ οἶν δὲ ὅλον ἰπνοκαῇ εἴχομεν καὶ βοὸς λειπογνώμονος κωλῆν. Ἄρτοι μέντοι ἦσαν σιφαῖοι, οὐ φαῦλοι, καὶ ἄλλοι νουμήνιοι, ὑπερήμεροι τῆς ἑορτῆς, καὶ λάχανα τά τε ὑπόγεια καὶ τὰ ὑπερῳῆ· οἶνος δὲ ἦν οὐ γέρων, ἀλλὰ τῶν ἀπὸ βύρσης, ἤδη μὲν ἀγλευκής, ἄπεπτος δὲ ἔτι.

7. Ποτήρια δὲ ἔκειτο παντοῖα ἐπὶ τῆς δελφινίδος τραπέζης, ὁ κρυψιμέτωπος καὶ τρυύλης μεντορουργὴς εὐλαβῆ ἔχων τὴν κέρκον καὶ βομβυλιὸς καὶ δειροκύπελλον καὶ γηγενῆ πολλὰ οἷα Θηρικλῆς ὤπτα, εὐρυχαῦή τε καὶ ἄλλα εὔστομα, τὰ μὲν Φωκαῆθεν, τὰ δὲ Κνιδόθεν, πάντα μέντοι ἀνεμοφόρητα καὶ ὁμενόστρακα. Κυμβία δὲ ἦν καὶ φιαλίδες καὶ ποτήρια γραμματικά, ὥστε μεστὸν ἦν τὸ κυλικεῖον.

8. Ὁ μέντοι ἰπνολέβης ὑπερπαφλάζων ἐς κεφαλὴν ἡμῖν ἐπέτρεπε τοὺς ἄνθρακας. Ἐπίνομεν δὲ ἀμυστὶ καὶ ἤδη ἀκροθώρακες ἦμεν· εἶτ' ἐχριόμεθα βακχάριδι καὶ εἰσεκύκλησέ τις ἡμῖν τὴν ποδοκτύπην καὶ τριγωνίστριαν· μετὰ δὲ ὁ μέν τις ἐπὶ τὴν κατήλιφα ἀναρριχησάμενος ἐπιφόρημα ἐζήτει, ὁ δὲ ληκίνδα ἔπαιζεν, ἄλλος ἐρρικνοῦτο σὺν γέλωτι τὴν ὀσφῦν.

9. Καὶ ἐν ταὐτῷ λελουμένοι εἰσεκώμασαν ἡμῖν αὐτεπάγγελτοι Μεγαλώνυμός τε ὁ δικοδίφης καὶ Χαιρέας ὁ χρυσοτέκτων ὁ κατὰ νώτου ποικίλος καὶ ὁ ὠτοκάταξις Εὔδημος. Κἀγὼ ἠρόμην αὐτοὺς, τί παθόντες ὀψὲ ἥκοιεν. Ὁ μὲν οὖν Χαιρέας, Ἐγὼ, ἦ δ' ὅς, λῆρόν τινα ἐκρότουν καὶ ἐλλόβια καὶ πέδας τῇ θυγατρὶ τῇ ἐμῇ καὶ διὰ τοῦτο ὑμῖν ἐπιδεῖπνιος ἀφῖγμαι. Ἐγὼ δὲ, ἦ δ' ὅς ὁ Μεγαλώνυμος, περὶ ἄλλα εἶχον· ἦν μὲν γὰρ ἄδικος ἡ ἡμέρα, ὡς ἴστε, καὶ ἄλογος· ὡς ἂν οὖν ἐχεγλωττίας οὔσης οὔτε ῥησιμετρεῖν εἶχον οὔτε ἡμερολεγδὸν ὡς ὑδρονομεῖσθαι· πυθόμενος δὲ ὅτι ὁ στρατηγὸς ὀπτός ἐστι, λαβὼν ἄχρηστα ἱμάτια εὐήτρια καὶ ἀφόρητα ὑποδήματα ἐξέρρησα ἐμαυτόν.

10. Εἶτ' εὐθὺς ἐντυγχάνω δαδούχῳ τε καὶ ἱεροφάντῃ καὶ τοῖς ἄλλοις ἀρρητοποιοῖς Δεινίαν σύρουσιν ἄγδην

alii faciebamus. Ego quidem subligatus, radebam caput radula ex dente facta: quippe non in simiam, sed in scaphium tonsus eram, qui non ita pridem barbam et verticem decomaverim: alius lupinos rodebat: alius vomebat jejunum: alius excavatis tenuiter raphanis hauriebat jus pisculentum: edebat alius phaulias: sorbebat alius de hordeis.

6. Ac deinceps quum tempus esset, cubito nixi cœnabamus: positæ autem erant sellæ plicatiles et grabatuli. Ac cœna quidem ipsa erat de collationibus. Parata autem erant multa et varia, bifida suilla, laterum pulpæ, sumen, et porcæ fœtæ intestinum embryonem recipiens, et lobus ex sartagine, et alliatum, et abyrtace, similesque quædam condituræ, et thrymmatides, et involuta foliis, et mellita: et e subaquaneis cartilaginosa multa, et quæ corium habent testaceum, et salsamenta Pontica de sporta, et Copaicæ (anguillæ), et gallina domestica, et gallus qui jam canere desiit, et piscis convictor. Ovem autem etiam habuimus totam in furno assatam, atque bovis sine dente pullino pedem anteriorem. Verum panes erant siliginei, non mali, et alii de novilunio, qui sero ad festum venerant, et olera tum quæ sub terra, tum quæ supra illam crescunt. Vinum autem erat non senex, sed de corio, non illud quidem adhuc mustum, sed nondum tamen percoctum.

7. Pocula posita erant omnis generis in Delphica mensa, fronticelum illud, et mortarium, Mentoris opus, caudam habens capiendo commodam, et bombylius, et cervicatum poculum, et terrigena multa, qualia assabat Thericles, late hiantia, et alia ori commoda, e Phocæa quædam, alia e Cnido, omnia quidem, quæ ventus auferret et testam membranæ habentia [*levia et tenuia*]. Cymbia autem erant, et phialæ minutæ, et literata pocula: itaque plenum erat pocularium.

8. Sed lebes camini supra modum ebulliens in caput nobis evertit carbones. Bibebamus autem amystida: et jam bene poti eramus, quum ungeremur baccharide: atque intro volvit nobis aliquis pedisonam (*saltatricem*) et trigonistriam (*psaltriam.*) Postea alius quidem in cantherium enisus, insultum parabat: alius ludebat crepitu: alius crispabat cum risu lumbum.

9. Eodem tempore loti comissatum non vocati ad nos venere Megalonymus ille causarum subactor, et Chæreas aurifaber ille tergo varius, et ille confractor aurium Eudemus. Et ego interrogavi illos, qua causa sero adeo venirent. Ac Chæreas quidem: Ego, inquit, segmentum quoddam concinnabam, et inaures, et compedes filiæ meæ, ac propterea post cœnam vobis adsum. Ego vero, inquit Megalonymus, aliud agebam: erat enim, ut scitis, sine judicio, sine oratione dies; quum igitur linguistitium esset, neque admetiri verba habebam, neque dies computando ut aquæ demensum acciperem. Cognito autem visibilem esse prætorem, sumtis vestibus inusitatis boni staminis, calceis autem ingestis (*novis*), extuli me ipsum.

10. Deinde statim incido in facigerum et hierophantam et reliquos infanda (*mysteria*) facientes, qui Diniam actim

ἐπὶ τὴν ἀρχὴν, ἔγκλημα ἐπάγοντας, ὅτι ὠνόμαζεν αὐτοὺς, καὶ ταῦτα εὖ εἰδὼς ὅτι ἐξ οὗπερ ὡσιώθησαν, ἀνώνυμοί τέ εἰσι καὶ οὐκέτι ὀνομαστοὶ ὡς ἂν ἱερώνυμοι ἤδη γεγενημένοι. Ἐκάλει δ' οὖν με τοὔνομα. Οὐκ οἶδα, ἦν δ' ἐγὼ, ὃν λέγεις τὸν Δεινίαν. Ἔστιν, ἦ δ' ὅς, ἐν τοῖς σκιραφείοις ἐγκαψιπήδαλος ἄνθρωπος τῶν αὐτοληκύθων καὶ τῶν αὐτοκαβδάλων, ἀεὶ κουριῶν, ἐνδρομίδας ὑποδούμενος ἢ βαυκίδας, ἀμφιμάσχαλον ἔχων. Τί οὖν, ἦν δ' ἐγὼ, ἔδωκεν ἀμηγέπη δίκην ἡ λὰξ πατήσας ᾤχετο; Καὶ μὴν ἐκεῖνός γε, ἦ δ' ὅς, ὁ τέως σαυλούμενος ἤδη ἔμπεδός ἐστιν· ὁ γὰρ στρατηγὸς καίτοι ἀτιμαγελοῦντι καρπόδεσμά τε αὐτῷ περιθεὶς καὶ περιδέραιον ἐν ποδοκάκαις καὶ ποδοστράβαις ἐποίησεν εἶναι. Ὥστε ἐν δεσμοῖς ὢν ὑπέβδυλλέ τε ὁ κακοδαίμων ὑπὸ τοῦ δέους καὶ πορδαλέος ἦν καὶ χρήματα ἀντίψυχα διδόναι ἤθελεν.

11. Ἐμὲ δὲ, ἦ δ' ὅς ὁ Εὔδημος, ὑπὸ τὸ ἀκροκνεφὲς μετεστείλατο Δαμασίας ὁ πάλαι μὲν ἀθλητὴς καὶ πολυνίκης, νῦν δὲ ἤδη ὑπὸ γήρως ἔξαθλος ὤν. Οἶσθα τὸν χαλκοῦν τὸν ἑστῶτα ἐν τῇ ἀγορᾷ. Καὶ τὰ μὲν πέττων τὰ δὲ εὖων διετέλεσεν. Ἐξοικιεῖν γὰρ ἔμελλε τήμερον εἰς ἀνδρὸς τὴν θυγατέρα καὶ ἤδη ἐκάλλυνεν αὐτήν. Εἶτα μερμέριόν τι κακὸν ἐμπεσὸν διέκοψε τὴν ἑορτήν· ὁ γὰρ υἱὸς αὐτοῦ ὁ Δίων, οὐκ οἶδ' ἐφ' ὅτῳ λυπηθεὶς, μᾶλλον δὲ θεοεχθρίᾳ σχεθεὶς ἀπῆγξεν ἑαυτὸν, καὶ εὖ ἴστε, ἀπωλώλει ἄν, εἰ μὴ ἐγὼ ἐπιστὰς ἀπηγχόνισά τε αὐτὸν καὶ παρέλυσα τῆς ἐμβροχῆς, ἐπὶ πολύ τε ὀκλὰξ παρακαθήμενος, ἐπινύττων τὸν ἄνθρωπον, βαυκαλῶν καὶ διακωδωνίζων, μή πη ἔτι συνεχὴς εἴη τὴν φάρυγγα. Τὸ δὲ μάλιστα ὀνῆσαν ἐκεῖνο ἦν, ὅτι ἀμφοτέραις κατασχὼν αὐτοῦ τὰ ἄκρα διεπίεσα.

12. Μῶν ἐκεῖνον, ἦν δ' ἐγὼ, φῂς Δίωνα τὸν καταπύγονα καὶ λακκοσχέαν, τὸν μύρτωνα καὶ σχινοτρώκταν νεανίσκον, ἀναφλῶντα καὶ βλιμάζοντα, ἦν τινα πεώδη καὶ πόσθωνα αἴσθηται; Βινητιῶν ἐκεῖνός γε καὶ λαικαλέος. Ἀλλά τοί γε τὴν θεὸν, ἦ δ' ὅς ὁ Εὔδημος, θαυμάσας — Ἄρτεμις γάρ ἐστιν αὐτοῖς ἐν μέσῃ τῇ αὐλῇ Σκοπάδειον ἔργον — ταύτῃ προσπεσόντες δ' τε Δαμασίας καὶ ἡ γυνὴ αὐτοῦ πρεσβῦτις ἤδη καὶ τὴν κεφαλὴν πολιὰς ἀκριβῶς ἱκέτευον ἐλεῆσαι σφᾶς· ἡ δὲ αὐτίκα ἐπένευσε, καὶ σῶς ἦν, καὶ νῦν Θεόδωρον, μᾶλλον δὲ περιφανῶς Ἀρτεμίδωρον ἔχουσι τὸν νεανίσκον. Ἀνέθεσαν οὖν αὐτῇ τά τε ἄλλα καὶ βέλη καὶ τόξα, ὅτι χαίρει τούτοις· τοξότις γὰρ καὶ ἑκηβόλος καὶ τηλέμαχος ἡ Ἄρτεμις.

13. Πίνωμεν οὖν, ἦ δ' ὅς ὁ Μεγαλώνυμος, καὶ γὰρ καὶ λάγυνον τουτονὶ παρηβηκότος ἥκω ὑμῖν κομίζων καὶ τροφαλίδας τυροῦ καὶ ἐλάας χαμαιπετεῖς — φυλάττω δ' αὐτὰς ὑπὸ σφραγῖσι θριπηδέστοις — καὶ ἄλλας ἐλάας νευστὰς καὶ πήλινα ταυτὶ ποτήρια, ὀξυόστρακα, εὐπυνδάκωτα, ὡς ἐξ αὐτῶν πίνοιμεν, καὶ πλακοῦντα ἐξ ἐντέρων κρωβυλώδη τὴν πλοκήν. Σὺ δ', ὦ παῖ, πλέον μοι τοῦ ὕδατος ἔγχει, ὡς μὴ καρηβαρεῖν ἀρξαίμην κἄτά in jus traherent, crimen objicientes hoc, quod illos nominasset, idque quum bene sciret, a quo tempore consecrati essent, anonymos esse nec jam nominabiles (suo nomine), ut qui sacro jam nomine gaudeant. Vocabat igitur me nomine. At ego, Non novi, inquam, quem dicas Diniam. Est, inquit, in foris aleatoriis homo ob offam saltator, ex illo genere qui lecythum ipsi sibi portant, qui farinam ipsi sibi subigunt, semper horrido capillitio, endromides aut baucides soleas gerens, habens tunicam utrimque manuleatam. Quid ergo, inquam, dedítne pœnas aliquo modo, an jactatis calcibus abiit? Quin ille, inquit, qui adhuc delicatule spatiabatur, jam immotus est. Prætor enim ei licet segregare se vellet, et manicis circumdatis et collari, in cippis et nervo illum esse fecit. Quare vinctus infelix suppedebat præ metu, et crepitabundus erat, et opes pretium animæ dare volebat.

11. Me autem, Eudemus inquit, sub summum crepusculum arcessivit Damasias, athleta olim et multorum victor, nunc vero jam præ senectute expers certaminum. Nosti æneum illum in foro stantem. Et partim quidem coquendo, partim assando occupatus erat. Elocare enim destinabat hodie viro filiam, et jam illam comebat. Deinde sollicitum quoddam malum incidens festum diem turbavit. Filius enim illius Dio, nescio qua re dolens, vel potius deorum odio implicitus, ipse se suspendit. Et, scitote, perierat, nisi superveniens ego ablaqueassem illum, et solvissem a nexu, multumque geniculatim assidens, fodiens hominem, titillans, explorans undique, ne qua adhuc continens (*compressus*) esset gulâ. Quod autem maxime profuit, illud erat, quod ambabus illius extrema tenens compressi.

12. Numquid illum, inquam ego, Dionem ais, cinædum, laxo et pendente scroto, illum effeminatum, et lentiscum rodentem adolescentem, illum masturbantem et lascive contrectantem, si quem bene vasatum et improbe mutoniatum senserit? Ille vero semper inituriens et scortator. Atqui deam, inquit Eudemus, adorans (Diana enim illis est in media aula, Scopadeum opus), huic igitur supplicantes, Damasias et uxor illius, senex jam et cana caput accurate, obsecrabant ut sui misereretur: at illa statim innuit, et salvus erat; et nunc Theodorum (*Deodatum*), aut magis aperte Artemidorum (*Dianidatum*) habent adolescentulum. Dedicarunt igitur illi tum alia, tum tela et sagittas, quod his gaudet: sagittaria enim et procul-jaculans et eminus-pugnans est Diana.

13. Bibamus igitur, inquit Megalonymus. Etenim lagenam hancce effœti vini vobis veni afferens, et casei recentis massas, et olivas caducas (servo autem illas sub sigillis vermium opera præclare erosis) et alias olivas natatiles (*colymbades*), et lutea ista pocula, acutitestacea, bono fundo, ut ex illis bibamus; et placentam ex intestinis cincinnato plexu formatam. At tu, puer, plus mihi aquæ infunde, ne gravari caput incipiam, deinde tibi puerulcum (*pædagogum*)

σοι τὸν παιδοβοσκὸν καλῶ ἐπὶ σέ· ἴστε γὰρ ὡς ὀδυνῶμαι καὶ διέμπιλον ἔχω τὴν κεφαλήν.

14. Μετὰ δὲ τὸν ποτὸν συνυθλήσομεν οἷα καὶ ἄττα εἰώθαμεν· οὐ γὰρ ἄκαιρον δήπουθεν ἐνοινοφλύειν. Ἐπαινῶ τοῦτο, ἦν δ' ἐγώ, καὶ γὰρ ὅτιπερ ὄφελός ἐσμεν τῆς ἀττικίσεως ἄκρον. Εὖ λέγεις, ἦ δ' ὅς ὁ Καλλικλῆς· τὸ γὰρ ἐρεσχηλεῖν ἀλλήλους συχνάκις λάλης θηγάνη γίγνεται. Ἐγὼ δὲ, ἦδ' ὅς ὁ Εὔδημος, — κρύος γάρ ἐστιν — ἥδιον ἂν εὐζωροτέρῳ ὑποπυκνάζοιμι· καὶ γὰρ χειμοθνὴς εἰμι, καὶ χλιανθεὶς ἥδιον ἀκούοιμι τῶν χειροσόφων τούτων τοῦ τε αὐλητοῦ καὶ τῆς βαρβιτῳδοῦ.

15. Τί ταῦτα ἔφησθα, ὦ Εὔδημε; ἦν δ' ἐγώ· ἀλογίαν ἡμῖν ἐπιτάττεις ὡς ἀστόμοις οὖσι καὶ ἀπεγλωττισμένοις; ἐμοὶ δὲ ἡ γλῶττά τε ἤδη λογᾷ καὶ δὴ ἀνηγόμην γε ὡς ἀρχαιολογήσων ὑμῖν καὶ κατανίψων ἀπὸ γλώττης ἅπαντας. Ἀλλὰ σὺ τὸ ὅμοιον εἰργάσω με ὥσπερ εἴ τις ὁλκάδα τριάρμενον ἐν οὐρίῳ πλέουσαν, ἐμπεπνευματωμένου τοῦ ἀκατίου, εὐφοροῦσάν τε καὶ ἀκροκυματοῦσαν, ἕκτοράς τινας ἀμφιστόμους καὶ ἰσχάδας σιδηρᾶς ἀφεὶς καὶ ναυσιπέδας ἀναχαιτίζοι τοῦ δρόμου τὸ ῥόθιον φθόνῳ τῆς εὐηνεμίας. Οὐκοῦν, ἦ δ' ὅς, σὺ μέν, εἰ βούλει, πλεῖ καὶ νεῖ καὶ θεῖ κατὰ τοῦ κλύδωνος, ἐγὼ δὲ ἀπόγειος πίνων ἅμα ὥσπερ ὁ τοῦ Ὁμήρου Ζεὺς ἢ ἀπὸ φαλάκρων ἢ ἀπὸ τῆς ἀκρουρανίας ὄψομαι διαφερόμενόν σέ τε καὶ τὴν ναῦν πρύμνηθεν ἀπὸ τοῦ ἀνέμου κατουρουμένην. »

16. ΛΥΚ. Ἅλις, ὦ Λεξίφανες, καὶ ποτοῦ καὶ ἀναγνώσεως. Ἐγὼ γοῦν ἤδη μεθύω σοι καὶ ναυτιῶ καὶ ἢν μὴ τάχιστα ἐξεμέσω πάντα ταῦτα ὁπόσα διεξελήλυθας, εὖ ἴσθι, κορυβαντιάσειν μοι δοκῶ περιομβούμενος ὑφ' ὧν κατεσκέδασάς μου ὀνομάτων. Καίτοι τὸ μὲν πρῶτον γελᾶν ἐπῆει μοι ἐπ' αὐτοῖς, ἐπειδὴ δὲ πολλὰ καὶ πάντα ὅμοια ἦν, ἠλέουν σε τῆς κακοδαιμονίας· ὁρῶν εἰς λαβύρινθον ἄφυκτον ἐμπεπτωκότα καὶ νοσοῦντα νόσον τὴν μεγίστην, μᾶλλον δὲ μελαγχολῶντα.

17. Ζητῶ οὖν πρὸς ἐμαυτὸν ὁπόθεν τὰ τοσαῦτα κακὰ συνελέξω καὶ ἐν ὁπόσῳ χρόνῳ καὶ ὅπου κατακλείσας εἶχες τοσοῦτον ἐσμὸν ἀτόπων καὶ διαστρόφων ὀνομάτων, ὧν τὰ μὲν αὐτὸς ἐποίησας, τὰ δὲ κατορωρυγμένα ποθὲν ἀνασπῶν κατὰ τὸ ἰαμβεῖον

Ὅλοιο θνητῶν ἐκλέγων τὰς συμφοράς·

τοσοῦτον βόρβορον συνερανίσας κατήντλησάς μου μηδέν σε δεινὸν εἰργασμένου. Δοκεῖς δέ μοι μήτε φίλον τινὰ ἢ οἰκεῖον ἢ εὔνουν ἔχειν μήτε ἀνδρὶ ἐλευθέρῳ πώποτε καὶ παρρησίαν ἄγοντι ἐντετυχηκέναι, ὃς τάληθὲς εἰπὼν ἔπαυσεν ἄν σε ὑδέρῳ μὲν ἐχόμενον καὶ ὑπὸ τοῦ πάθους διαρραγῆναι κινδυνεύοντα, σαυτῷ δὲ εὖσαρκον εἶναι δοκοῦντα καὶ εὐρωστίαν οἰόμενον τὴν συμφορὰν καὶ ὑπὸ μὲν τῶν ἀνοήτων ἐπαινούμενον ἀγνοούντων ἃ πάσχεις, ὑπὸ δὲ τῶν πεπαιδευμένων εἰκότως ἐλεούμενον.

18. Ἀλλ' εἰς καλὸν γὰρ τουτονὶ Σώπολιν ὁρῶ τὸν ἰατρὸν προσιόντα, φέρε τούτῳ ἐγχειρίσαντές σε καὶ

contra te advocem : scitis enim quam crucier, et quam compactum (et minime pervium vaporibus) caput habeam.

14. Post potum autem connugabimur, qualia et quæ solemus : neque enim intempestivum sane in vino garrire. Laudo hoc, inquam : etenim flos ipse et medulla sumus Atticissationis. Bene dicis, inquit Callicles : sæpe enim invicem se petere dictis coticula fit loquelæ. Ego vero, inquit Eudemus, frigus enim est, lubentius meraciora pocula suffrequentarem : etenim frigore enectus sum ; et calefactus lubentius audirem manusapientes illos, et tibicinem, et barbiticinem.

15. Quid hæc, inquam, Eudeme? indictionem (*silentium*) nobis injungis, quasi ore carentibus, et elinguatis? Mihi vero et lingua jam sermocinaturit, et jam provehebar, ut qui antiquo apud vos sermone usurus essem, et velut nive vos de lingua mea conspuiturus omnes. At tu simile quid fecisti, ac si quis trium velorum onerariam navem, secundo navigantem, inflatis velis scaphæ, felici cursu summos fluctus lambentem, dimissis quibusdam tenacibus ancipitibus, et habenis ferreis, et compedibus navium, comis retrahat impetuosum illud cursus, invidia venti ferentis. Igitur, inquit ille, tu quidem, si volueris, naviga et nata et curre per fluctum : ego vero e terra, bibens interim, ut Homericus ille Jupiter, aut de glabris (*montis specula*) aut de cœli arce, videbo te differri, ac navim de puppi a vento secundo flatu impelli. »

16. LYC. Satis, Lexiphanes, convivii et lectionis : ego enim jam ebrius tibi sum et nauseo, ac nisi celeriter evomuero hæc omnia quæ recitasti, Corybanticum, scito, morbum nacturus mihi videor, circumsonantibus, quibus perfudisti me, verbis. Quanquam primum ridere illa subibat : quum vero multa essent, et similia inter se omnia, miseratus sum infelicitatem tuam, qui viderem in labyrinthum te incidisse e quo fuga nulla sit, et morbo laborare maximo, vel atra potius bili esse percitum.

17. Quæro igitur apud me ipse, unde tot mala collegeris, et quanto tempore atque ubi tantum examen absurdorum distortorumque nominum concluseris, quorum partem quidem ipse fecisti, partim vero sepulta alicunde eruisti, ut ex iambico illo tibi dici possit,

Male pereas mala eligens mortalium!

tantum cœni collectum in me effudisti, qui nulla te injuria læserim. Videris autem mihi neque amicum quenquam, aut familiarem, aut benevolum habere, neque in virum liberum unquam et libere loquendi audacia utentem incidisse, qui vera dicendo liberaret te aquoso tumore correptum, et, ne a morbo illo rumparis, periclitantem, dum te corpus fecisse putas, et firmam valitudinem esse quæ calamitas est, et ab insanis quidem laudaris, morbum tuum ignorantibus, eruditis autem misericordiam moves merito.

18. Verum enim vero, accedentem enim video opportune hunc Sopolin medicum, huic te commendemus, age,

διαλεχθέντες ὑπὲρ τῆς νόσου ἴασίν τινά σοι εὑρώμεθα· συνετὸς γὰρ ἀνὴρ καὶ πολλοὺς ἤδη παραλαβὼν ὥσπερ σὲ ἡμιμανεῖς καὶ κορυζῶντας ἀπήλλαξεν ἐγχέας φάρμακον. Χαῖρε, Σώπολι, καὶ τουτονὶ Λεξιφάνην παραλαβὼν ἑταῖρον, ὡς οἶσθα, ἡμῖν ὄντα, λήρῳ δὲ νῦν καὶ ξένῃ περὶ τὴν φωνὴν νόσῳ ξυνόντα καὶ κινδυνεύοντα ἤδη τελέως ἀπολωλέναι σῶσον ἑνί γέ τῳ τρόπῳ.

19. ΛΕΞ. Μὴ ἐμέ, Σώπολι, ἀλλὰ τουτονὶ Λυκῖνον, ὃς περιφανῶς μακκοᾷ καὶ ἄνδρας πεφρενωμένους ὀλισθογνωμονεῖν οἴεται καὶ κατὰ τὸν Μνησάρχου τὸν Σάμιον, σωπὴν καὶ γλωτταργίαν ἡμῖν ἐπιβάλλει. Ἀλλὰ μὰ τὴν ἀναίσχυντον Ἀθηνᾶν καὶ τὸν μέγαν θηριομάχον Ἡρακλέα οὐδ' ὅσον τοῦ γρῦ καὶ τοῦ φνεῖ φροντιοῦμεν αὐτοῦ· ὀττεύομαι γοῦν μηδὲ ὅλως ἐντυγχάνειν αὐτῷ. Ἔοικα δὲ καὶ ῥιναυλήσειν τοιαῦτα ἐπιτιμῶντος ἀκούων. Καὶ ἤδη γε ἅπειμι παρὰ τὸν ἑταῖριον Κλεινίαν, ὅτι πυνθάνομαι χρόνου ἤδη ἀκάθαρτον εἶναι αὐτῷ τὴν γυναῖκα καὶ ταύτῃ νοσεῖν, ὅτι μὴ ῥεῖ. Ὥστε οὐκέτι οὐδ' ἀναβαίνει αὐτὴν, ἀλλ' ἄβατος καὶ ἀνήροτός ἐστι.

20. ΣΩΠΟΛΙΣ. Τί δὲ νοσεῖ, ὦ Λυκῖνε, Λεξιφάνης;

ΛΥΚ. Αὐτὰ ταῦτα, ὦ Σώπολι. Οὐκ ἀκούεις ἃ φθέγγεται; κσὶ ἡμᾶς τοὺς νῦν προσομιλοῦντας καταλιπὼν πρὸ χιλίων ἐτῶν ἡμῖν διαλέγεται διαστρέφων τὴν γλῶτταν καὶ ταυτὶ τὰ ἀλλόκοτα συντιθεὶς καὶ σπουδὴν ποιούμενος ἐπ' αὐτοῖς, ὡς δή τι μέγα ὄν, εἴ τις ξενίζοι καὶ τὸ καθεστηκὸς νόμισμα τῆς φωνῆς παρακόπτοι.

ΣΩΠ. Μὰ Δί' οὐ μικράν τινα λέγεις τὴν νόσον, ὦ Λυκῖνε. Βοηθητέα γοῦν τῷ ἀνδρὶ πάσῃ μηχανῇ καὶ — κατὰ θεὸν γὰρ τῶν χολωτῶν τινι φάρμακον τουτὶ κερασάμενος ἀπῄειν, ὡς πιὼν ἐμέσειε — φέρε πρῶτος αὐτὸς πῖθι, ὦ Λεξίφανες, ὡς ὑγιὴς ἡμῖν καὶ καθαρὸς γένοιο τῆς τοιαύτης τῶν λόγων ἀτοπίας κενωθείς. Ἀλλὰ πείσθητί μοι καὶ πῖθι καὶ ῥᾴων ἔσῃ.

ΛΕΞ. Οὐκ οἶδ' ὃ καὶ δράσετέ με, ὦ Σώπολι, σύ τε καὶ Λυκῖνος, πιπίσκοντες τουτουὶ τοῦ φαρμάκου. Δέδοικα γοῦν μὴ πτῶμα γένοιτό μοι τοῦτο τῶν λόγων τὸ πῶμα.

ΛΥΚ. Πῖθι καὶ μὴ μέλλε, ὡς ἀνθρώπινα ἤδη φρονοίης καὶ λέγοις.

ΛΕΞ. Ἰδοὺ πείθομαι καὶ πίομαι. Φεῦ, τί τοῦτο; πολὺς ὁ βορβορυγμός. Ἐγγαστρίμυθόν τινα ἔοικα πεπωκέναι.

21. ΣΩΠ. Ἀρξαι δὴ ἐμεῖν. Βαβαί. Πρῶτον τουτὶ τὸ μῶν, εἶτα μετ' αὐτὸ ἐξελήλυθε τὸ κᾆτα, εἶτα ἐπ' αὐτοῖς τὸ ἤ δ' ὅς καὶ ἀμηγέπη καὶ λῶστε καὶ δήπουθεν καὶ συνεχὲς τὸ ἄττα. Βίασαι δ' ὅμως, κάθες εἰς τὴν φάρυγγα τοὺς δακτύλους. Οὐδέπω τὸ ἵκταρ ἐμήμεκας οὐδὲ τὸ σκορδινᾶσθαι οὐδὲ τὸ τευτάζεσθαι οὐδὲ τὸ σκύλλεσθαι. Πολλὰ ἔτι ὑποδέδυκε καὶ μεστή σοι αὐτῶν ἡ γαστήρ. Ἀμεινον δὲ, εἰ καὶ κάτω διαχωρήσειεν ἕνια· ἡ γοῦν σιληπορδία μέγαν τὸν ψόφον ἐργάσεται συνεκπεσοῦσα μετὰ τοῦ πνεύματος. Ἀλλ' ἤδη μὲν καθαρὸς οὗτοσὶ πλὴν εἴ τι μεμένηκεν ὑπόλοιπον ἐν τοῖς κάτω ἐντέροις. Σὺ δὲ τὸ μετὰ τοῦτο παραλαβὼν ἐπίσκεψαι μὴ καὶ τοῦτο ἐνῇ τῶν λόγων τὸ πῶμα.

et sermone de morbo instituto curationem tibi aliquam inveniamus. Prudens enim vir est, qui jam multos tui similes furori proximos, et pituita laborantes, medicamento infuso liberavit. Salve, Sopoli, et assumtum hunc Lexiphanem, sodalem, ut nosti, nostrum, verum in delirio jam et peregrino circa linguam morbo versantem, et ne jam plane perierit periclitantem, serva quacumque demum ratione.

19. LEX. Non me, Sopoli, sed huncce Lycinum, qui manifeste maccus est, et homines cordatos labi sententia arbitratur, et ut Samius ille Mnesarchi filius, silentium nobis et linguotium imponit. Sed per impudentem (*quam nemo pudore afficiet*) Minervam, et magnum monstripugnacem Herculem, neque gry neque phni illum curabimus, quare abominor etiam omnino in illum incidere. Videor mihi etiam naso sibilaturus, quum tot ipsius reprehensiones audiam. Et jam quidem abeo ad sodalicium meum Cliniam, quod audio tempore jam satis longo impuram (*non menstruatam*) illi esse mulierem, eaque ægrotare, quod non fluit. Itaque non amplius inscendit illam, sed invia et inarata est.

20. SOPOLIS. Quid vero ægrotat, Lycine, Lexiphanes?

LYC. Ipsum hoc, Sopoli. Non audis quæ loquatur? et nobis, qui nunc cum ipso versamur, relictis, ante mille annos recepto sermone nobiscum loquitur, linguam pervertens, et absurda illa componens, studiumque in illis collocans, quasi magnum quiddam esset, si quis ut peregrinum se instituat, et constantem linguæ monetam adulteret.

SOP. Non parvum profecto morbum narras, Lycine. Succurrendum igitur omni ope viro: ac divina quadam sorte atribilario cuidam hanc potionem temperaveram, jamque ibam ad illum, ut ea pota vomeret: age igitur prius ipse bibe, Lexiphanes, uti sanus nobis et purus fias, egesta tali sermonum absurditate. Quin obsequere mihi et bibe, habebisque mollius.

LEX. Nescio quid acturi mecum sitis, Sopoli, tuque Lycine, potantes me hoc medicamenti poculo. Metuo enim ne loculum mihi verborum paret hoc poculum.

LYC. Bibe, ne cunctare, ut humanum jam sapias et loquare.

LEX. En obsequor, et bibo. Væ, quid hoc est? multus intestinorum tumultus. Videor mihi profunda ventris movens dæmonium glutiisse.

21. SOP. Incipe ergo vomere. Vah, primum hoc μῶν, deinde post illud exiit κᾆτα. Tum post illa, ἤ δ' ὅς et ἀμηγέπη, et λῶστε, et δήπουθεν, et frequens illud ἄττα. Attamen vim tibi adhibe, demitte in gulam digitos. Nondum enim ἵκταρ illud evomuisti, neque σκορδινᾶσθαι, neque τευτάζεσθαι, neque σκύλλεσθαι. Multa adhuc subiere, plenusque tibi illis venter. Melius fuerit, si deorsum etiam quædam decedant. Atque illa σιληπορδία magnum crepitum edet cum spiritu una elabens. En jam purus hic est, nisi si quid mansit reliquum in inferioribus intestinis. Verum tu postea

θὼν αὐτὸν, ὦ Λυκῖνε, μεταπαίδευε καὶ δίδασκε ἃ χρὴ λέγειν.

22. ΑΥΚ. Οὕτω ποιήσομεν, ὦ Σώπολι, ἐπειδήπερ ἡμῖν προωδοποίηται τὰ παρὰ σοῦ· καὶ πρὸς σὲ τὸ λοιπὸν, ὦ Λεξίφανες, ἡ συμβουλή. Εἴπερ ἄρ' ἐθέλεις ὡς ἀληθῶς ἐπαινεῖσθαι ἐπὶ λόγοις κἀν τοῖς πλήθεσιν εὐδοκιμεῖν τὰ μὲν τοιαῦτα πάντα φεῦγε καὶ ἀποτρέπου, ἀρξάμενος δὲ ἀπὸ τῶν ἀρίστων ποιητῶν καὶ ὑπὸ διδασκάλοις αὐτοὺς ἀναγνοὺς μέτιθι ἐπὶ τοὺς ῥήτορας καὶ τῇ ἐκείνων φωνῇ συντραφεὶς ἐπὶ τὰ Θουκυδίδου καὶ Πλάτωνος ἐν καιρῷ μέτιθι πολλὰ καὶ τῇ καλῇ κωμῳδίᾳ καὶ τῇ σεμνῇ τραγῳδίᾳ ἐγγεγυμνασμένος· παρὰ γὰρ τούτων ἅπαντα τὰ κάλλιστα ἀπανθισάμενος ἔσῃ τις ἐν λόγοις· ὡς νῦν γε ἐληλήθεις σαυτὸν τοῖς ὑπὸ τῶν κοροπλάθων εἰς τὴν ἀγορὰν πλαττομένοις ἐοικὼς, κεχρωσμένος μὲν τῇ μίλτῳ καὶ τῷ κυανῷ, τὸ δ' ἔνδοθεν πήλινός τε καὶ εὔθρυπτος ὤν.

23. Ἐὰν ταῦτα ποιῇς πρὸς ὀλίγον τὸν ἐπὶ τῇ ἀπαιδευσίᾳ ἔλεγχον ὑπομείνας καὶ μὴ αἰδεσθεὶς μεταμανθάνων, θαρρῶν ὁμιλήσεις τοῖς πλήθεσι καὶ οὐ καταγελασθήσῃ ὥσπερ νῦν οὐδὲ διὰ στόματος ἐπὶ τῷ χείρονι τοῖς ἀρίστοις ἔσῃ, Ἕλληνα καὶ Ἀττικὸν ἀποκαλούντων σε τὸν μηδὲ βαρβάρων ἐν τοῖς σαφεστάτοις ἀριθμεῖσθαι ἄξιον. Πρὸ πάντων δὲ ἐκεῖνο μέμνησό μοι, μὴ μιμεῖσθαι τῶν ὀλίγον πρὸ ἡμῶν γενομένων σοφιστῶν τὰ φαυλότατα μηδὲ περιεσθίειν ἐκεῖνα ὥσπερ νῦν, ἀλλὰ τὰ μὲν τοιαῦτα καταπατεῖν, ζηλοῦν δὲ τὰ ἀρχαῖα τῶν παραδειγμάτων. Μηδέ σε θελγέτωσαν αἱ ἀνεμῶναι τῶν λόγων, ἀλλὰ κατὰ τὸν τῶν ἀθλητῶν νόμον ἡ στερρά σοι τροφὴ συνήθης ἔστω, μάλιστα δὲ χάρισι καὶ σαφηνείᾳ θῦε, ὧν πάμπολυ λίαν νῦν ἀπολέλειψο.

24. Καὶ ὁ τῦφος δὲ καὶ ἡ μεγαλαυχία καὶ ἡ κακοήθεια καὶ τὸ βρενθύεσθαι καὶ λαρυγγίζειν ἀπέστω καὶ τὸ διασιλλαίνειν τὰ τῶν ἄλλων καὶ οἴεσθαι ὅτι πρῶτος ἔσῃ αὐτὸς, ἢν τὰ πάντων συκοφαντῇς. Καὶ μὴν κἀκεῖνο οὐ μικρὸν, μᾶλλον δὲ τὸ μέγιστον ἁμαρτάνεις, ὅτι οὐ πρότερον τὰς διανοίας τῶν λέξεων προπαρεσκευασμένος ἔπειτα κατακοσμεῖς τοῖς ῥήμασι καὶ τοῖς ὀνόμασιν, ἀλλὰ ἤν που ῥῆμα ἔκφυλον εὕρῃς ἢ αὐτὸς πλασάμενος οἰηθῇς εἶναι καλὸν, τούτῳ ζητεῖς διάνοιαν ἐφαρμόσαι καὶ ζημίαν ἡγῇ, ἂν μὴ παραβύσῃς αὐτό που, κἂν τῷ λεγομένῳ μηδ' ἀναγκαῖον ᾖ, οἷον πρώην τὸν θυμάλωπα οὐδὲ εἰδὼς ὅ τι σημαίνει, ἀπέρριψας οὐδὲν ἐοικότα τῷ ὑποκειμένῳ. Καὶ οἱ μὲν ἰδιῶται πάντες ἐτεθήπεσαν ὑπὸ τοῦ ξένου πληγέντες τὰ ὦτα· οἱ πεπαιδευμένοι δὲ ἐπ' ἀμφοτέροις, καὶ σοὶ καὶ τοῖς ἐπαινοῦσιν, ἐγέλων.

25. Τὸ δὲ πάντων καταγελαστότατον ἐκεῖνό ἐστιν, ὅτι ὑπεράττικος εἶναι ἀξιῶν καὶ τὴν φωνὴν εἰς τὸ ἀρχαιότατον ἀπηκριβωμένος τοιαῦτα ἔνια, μᾶλλον δὲ τὰ πλεῖστα ἐγκαταμιγνύεις τοῖς λόγοις, ἃ μηδὲ παῖς ἄρτι μανθάνων ἀγνοήσειεν ἄν· οἷον ἐκεῖνα πῶς οἴει κατὰ γῆς δῦναι ἡδέως ἐγὼ ἀκούων σου ἐπιδεικνυμένου, ὅτε χιτώνιον μὲν καὶ τὸν ἀνδρεῖον ᾠὸν λέγεσθαι, δουλάρια

assumtum, Lycine, aliter institue et doce quæ sint dicenda.

22. LYC. Sic faciemus, Sopoli, quandoquidem via nobis a te munita est: atque ad te de cetero, Lexiphanes, pertinet admonitio. Si volueris vere laudari ab oratione, et in multitudine celebrari, talia quidem omnia fuge et aversare: facto autem initio a poetarum optimis, quum magistrorum opera eos cognoveris, ad oratores transi, eorumque linguæ innutritus, ad Thucydidis et Platonis libros tempestive transi, multum in pulchra etiam comœdia et tragœdia gravi exercitatus. Ab his enim si pulcherrima quæque florum instar decerpseris, eris aliquid in eloquentiæ studio, qui nunc imprudens similis fuisti his quæ a figulis ad vendendum finguntur, rubrica quidem ac cæruleo pictus, quum intra luteus sis et fragilis.

23. Hæc si feceris, et pauxillo tempore inscitiæ reprehensionem sustinueris, neque discere de novo te pudeat: cum fiducia multitudinem alloqueris, neque deridebere ut nunc, neque in deteriorem partem in ore eris præstantissimorum, Græcum te Atticumque per contemtum vocantium, qui neque in barbarorum disertissimis numerari dignus sis. Ante omnia vero hoc mihi memento, ne imiteris sophistarum qui paullo ante nos fuere pessima, neque circumrodas illa, uti nunc facis; verum talia conculces, exemplaria autem antiqua æmuleris. Neque demulceant te verborum inodori et caduci flores; sed ex lege athletarum, solidus tibi cibus consuetus sit: maxime vero Gratiis et Perspicuitati litato, a quibus longissime jam relictus eras.

24. Tumor vero et jactantia, et mala consuetudo, et gravitatis illa ac sonoræ dictionis affectatio absit, et insectatio aliorum, et ne putes primum te fore ipsum, si omnium scripta calumnieris. Etenim illud quoque non parvum, sed potius maximum peccas, quod non prius, quam verba, sententias tibi comparas, deinde verbis exornandas nominibusque; sed si qua verbum extra suam tribum quasi oberrans inveneris, aut ipse confictum a te pulchrum putaveris, huic studes aptare sententiam, et damnum judicas, si illud non aliquorsum infercias, etiamsi ei, quod dicitur, plane necessarium non sit, ut nuper θυμάλωπα illud, quum neque quid significaret scires, projecisti, nihil argumento conveniens. Atque imperiti quidem omnes obstupuerunt, quum aures illorum feriret peregrinitas: sed eruditi utrosque, et te et laudatores illos, risere.

25. Maxime autem ridiculum illud est, quod, quum super omnes esse Atticos postules, et ad antiquissimam rationem linguam expolisse, tamen talia quædam, potius vero plurima immisces orationi, quæ neque puer modo discens ignorare possit: ut illa, quid putas? terram mihi hiscere optabam, quum audirem te, specimen eloquentiæ edentem, χιτώνιον etiam virorum dici putare, δουλάρια autem etiam

δὲ καὶ τοὺς ἄρρενας τῶν ἀκολούθων ἀπεκάλεις, ἃ τίς οὐκ οἶδεν, ὅτι χιτώνιον μὲν γυναικὸς ἐσθῆς, δουλάρια δὲ θήλεα καλοῦσι; καὶ ἄλλα πολὺ τούτων προφανέστερα, οἷον τὸ ἵπτατο καὶ τὸ ἀπαντώμενος καὶ τὸ καθεσθεὶς οὐδὲ μετοικικὰ τῆς Ἀθηναίων φωνῆς. Ἡμεῖς δὲ οὐδὲ ποιητὰς ἐπαινοῦμεν τοὺς κατάγλωττα γράφοντας ποιήματα. Τὰ δὲ σά, ὡς πεζὰ μέτροις παραβάλλειν, καθάπερ ὁ Δωσιάδα βωμὸς ἂν εἴη καὶ ἡ τοῦ Αυκόφρονος Ἀλεξάνδρα, καὶ εἴ τις ἔτι τούτων τὴν φωνὴν κακοδαιμονέστερος. Ἂν ταῦτα ζηλώσῃς καὶ μεταμάθῃς, ἄριστα βεβουλευμένος ὑπὲρ σεαυτοῦ ἔσῃ· ἢν δὲ λάθῃς αὖθις εἰς τὴν λιχνείαν κατολισθών, ἐμοὶ μὲν ἀποπεπλήρωται ἡ παραίνεσις, σὺ δὲ σεαυτὸν αἰτιάσῃ ἄν γε καὶ ξυνῇς χείρων γενόμενος.

XXXV.

ΕΥΝΟΥΧΟΣ.

1. ΠΑΜΦΙΛΟΣ. Πόθεν, ὦ Λυκῖνε, ἢ τί γελῶν ἡμῖν ἀφῖξαι; ἀεὶ μὲν γὰρ φαιδρὸς ὢν τυγχάνεις· τουτὶ δὲ πλέον τοῦ συνήθους εἶναί μοι δοκεῖ, ἐφ' ὅτῳ μηδὲ κατέχειν δυνατὸς εἶ τὸν γέλωτα.

ΛΥΚΙΝΟΣ. Ἐξ ἀγορᾶς μὲν ἥκω σοι, ὦ Πάμφιλε· τοῦ γέλωτος δὲ αὐτίκα κοινωνόν ποιήσομαί σε, ἢν ἀκούσῃς οἵᾳ δίκῃ δικαζομένῃ παρεγενόμην, φιλοσόφων πρὸς ἀλλήλους ἐριζόντων.

ΠΑΜΦ. Καὶ τοῦτο μὲν ὡς ἀληθῶς γελοῖον λέγεις τὸ φιλοσοφοῦντας δικάζεσθαι πρὸς ἀλλήλους, δέον, εἰ καί τι μέγα εἴη, κατ' εἰρήνην ἐν σφίσι διαλύεσθαι τὰ ἐγκλήματα.

2. ΛΥΚ. Πόθεν, ὦ μακάριε, κατ' εἰρήνην ἐκεῖνοι, οἵ γε ξυμπεσόντες ὅλας ἁμάξας βλασφημιῶν κατεσκέδασαν ἀλλήλων κεκραγότες καὶ ὑπερδιατεινόμενοι;

ΠΑΜΦ. Ἦ που, ὦ Λυκῖνε, περὶ τῶν λόγων διεφέροντο τὰ συνήθη ταῦτα ἑτερόδοξοι τυγχάνοντες;

ΛΥΚ. Οὐδαμῶς, ἀλλ' ἑτεροῖόν τι τοῦτο ἦν· ὁμόδοξοι γὰρ ἄμφω καὶ ἀπὸ τῶν αὐτῶν λόγων. Δίκη δὲ ὅμως συνειστήκει καὶ δικασταὶ ψηφοφοροῦντες ἦσαν οἱ ἄριστοι καὶ πρεσβύτατοι καὶ σοφώτατοι τῶν ἐν τῇ πόλει καὶ ἐφ' ὧν ἄν τις ᾐδέσθη παρὰ μέλος τι φθεγξάμενος, οὐχ ὅπως ἐς τοσαύτην ἀναισχυντίαν τραπόμενος.

ΠΑΜΦ. Οὐκοῦν λέγοις ἂν ἤδη τὸ κεφάλαιον τῆς δίκης, ὡς καὶ αὐτὸς εἰδείην ὅ τι σοὶ τὸ κεκινηκὸς εἴη τὸν τοσοῦτον γέλωτα.

3. ΛΥΚ. Συντέτακται μέν, ὦ Πάμφιλε, ὡς οἶσθα, ἐκ βασιλέως μισθοφορά τις οὐ φαύλη κατὰ γένη τοῖς φιλοσόφοις, Στωϊκοῖς λέγω καὶ Πλατωνικοῖς καὶ Ἐπικουρείοις, ἔτι δὲ καὶ τοῖς ἐκ τοῦ περιπάτου, τὰ ἴσα τούτοις ἅπασιν. Ἔδει δὲ ἀποθανόντος αὐτῶν τινος ἄλλον ἀντικαθίστασθαι δοκιμασθέντα ψήφῳ τῶν ἀρίστων. Καὶ τὰ ἆθλα οὐ βοείη τις ἦν κατὰ τὸν ποιητὴν οὐδὲ ἱερήϊον, ἀλλὰ μύριαι κατὰ τὸν ἐνιαυτὸν, ἐφ' ὅτῳ συνεῖναι τοῖς νέοις.

mares pedissequos appellares : quæ quis nescit χιτώνιον mulierum esse vestimentum, δουλάρια autem servas modo illos vocare? et alia multo his apertiora, quale est ἵπτατο, et ἀπαντώμενος et καθεσθείς, quæ ne aliunde quidem delata domicilium unquam in Attico sermone acceperunt. Nos vero non magis laudamus poetas, insolitis oppleta vocibus poemata scribentes. Tua vero, ut pedestria metris comparem, sicut Dosiadæ Ara fuerint, aut Alexandra Lycophronis, et si quis adhuc est linguæ quam isti infelicioris. Hæc si studiose dediscas, optime tutemet tibi consulueris : sin imprudens iterum in delicias illas fallente velut vestigio labaris, admonitione ego defunctus sum, tu vero te accusabis, si quidem intelliges aliquando factum te deteriorem.

XXXV.

EUNUCHUS.

1. PAMPHILUS. Unde nobis, Lycine, aut quid ridens advenis? nam semper quidem hilaris esse soles ; hoc autem solito plus mihi videtur, in quo ne vales quidem continere risum.

LYCINUS. E foro tibi adsum, Pamphile : risus autem statim faciam te participem, si audieris, quali causæ disceptandæ interfuerim, contendentibus inter se philosophis.

PAMPH. Illud ipsum quidem vere ridiculum narras, philosophos jure inter se experiri, qui debeant, si quid etiam sit magnum, pacate inter se crimina dissolvere.

2. LYC. Unde illi, sodalis, pacate? qui commissi inter se plaustra conviciorum tota in se congesserunt invicem, clamantes et ultra modum contendentes?

PAMPH. Numquid de literis disceptabant solennia illa, quum diversæ essent sententiæ atque sectæ?

LYC. Minime : sed aliusmodi quiddam hoc erat : ejusdem enim ambo sententiæ, et disciplinæ ejusdem. Et tamen judicium constitutum est, et suffragia ferebant judices optimates et ætate maxime provecti et sapientissimi civitatis, ii denique apud quos merito pudeat aliquem, extra numerum quicquam dicere, nedum ut eo impudentiæ progrediatur.

PAMPH. Quin tu igitur dicis jam caput causæ, ut et ipse sciam, quid tantum tibi risum moverit.

3. LYC. Constituta sunt, quod nosti, Pamphile, ab imperatore salaria non contemnenda generatim philosophis, Stoicis dico, et Platonicis, et Epicureis, insuper etiam Peripateticis, æqualia his omnibus. Oportebat autem in mortui alicujus locum surrogari alium, probatum suffragiis optimatum. Præmium certaminis non bubula pellis erat, secundum poetam, neque victima, sed decies millenæ quotannis drachmæ, ut juvenes doceret.

ΠΑΜΦ. Οἶδα ταῦτα· καί τινά φασιν αὐτῶν ἔναγχος ἀποθανεῖν, τῶν Περιπατητικῶν οἶμαι τὸν ἕτερον.

ΛΥΚ. Αὕτη, ὦ Πάμφιλε, ἡ Ἑλένη, ὑπὲρ ἧς ἐμονομάχουν πρὸς ἀλλήλους. Καὶ ἄχρι γε τούτου γελοῖον οὐδὲν ἦν ἐκείνοις ἢ τὸ φιλοσόφους εἶναι φάσκοντας καὶ χρημάτων καταφρονεῖν, ἔπειτα ὑπὲρ τούτων ὡς ὑπὲρ πατρίδος κινδυνευούσης καὶ ἱερῶν πατρῴων καὶ τάφων προγονικῶν ἀγωνίζεσθαι.

ΠΑΜΦ. Καὶ μὴν καὶ τὸ δόγμα τοῦτό γέ ἐστι τοῖς Περιπατητικοῖς, τὸ μὴ σφόδρα καταφρονεῖν χρημάτων, ἀλλὰ τρίτον τι ἀγαθὸν καὶ τοῦτο οἴεσθαι.

ΛΥΚ. Ὀρθῶς λέγεις. Φασὶ γὰρ οὖν ταῦτα, καὶ κατὰ τὰ πάτρια ἐγίγνετο αὐτοῖς ὁ πόλεμος.

4. Τὰ μετὰ ταῦτα δὲ ἤδη ἄκουε. Πολλοὶ μὲν γὰρ καὶ ἄλλοι τὸν ἐπιτάφιον τοῦ ἀποθανόντος ἐκείνου ἠγωνίζοντο· δύο δὲ μάλιστα ἦσαν οἱ ἀμφήριστοι αὐτῶν, Διοκλῆς τε ὁ πρεσβύτης — οἶσθα δν λέγω, τὸν ἐριστικόν — καὶ Βαγώας ὁ εὐνοῦχος εἶναι δοκῶν. Τὰ μὲν οὖν τῶν λόγων προηγώνιστο αὐτοῖς καὶ τὴν ἐμπειρίαν ἑκάτερος τῶν δογμάτων ἐπεδέδεικτο καὶ ὅτι τοῦ Ἀριστοτέλους καὶ τῶν ἐκείνῳ δοκούντων εἴχετο· καὶ μὰ τὸν Δί' οὐδέτερος αὐτῶν ἀμείνων ἦν.

5. Τὸ δ' οὖν τέλος δίκης ἐς τοῦτο περιέστη· ἀφέμενος γὰρ ὁ Διοκλῆς τοῦ δεικνύναι τὰ αὑτοῦ μετέβαινεν ἐπὶ τὸν Βαγώαν καὶ διελέγχειν ἐπειρᾶτο μάλιστα τὸν βίον αὐτοῦ· κατὰ ταὐτὰ δὲ καὶ ὁ Βαγώας ἀντεξήταζε τὸν ἐκείνου βίον.

ΠΑΜΦ. Εἰκότως, ὦ Λυκῖνε· καὶ τὰ πλείω γε τοῦ λόγου περὶ τούτου μᾶλλον ἐχρῆν εἶναι αὐτοῖς· ὡς ἔγωγε, εἰ δικάζων ἐτύγχανον, ἐπὶ τῷ τοιούτῳ τὸ πλεῖον διατρῖψαι ἂν μοι δοκῶ τὸν ἄμεινον βιοῦντα μᾶλλον ἢ τὸν ἐν τοῖς λόγοις αὐτοῖς προχειρότερον ζητῶν καὶ οἰκειότερον τῇ νίκῃ νομίζων.

6. ΛΥΚ. Εὖ λέγεις καὶμὲ ὁμόψηφον ἐν τούτῳ ἔχεις. Ἐπεὶ δὲ ἅλις μὲν εἶχον βλασφημιῶν, ἅλις δὲ ἐλέγχων, τὸ τελευταῖον ἤδη ὁ Διοκλῆς ἔφη, μηδὲ τὴν ἀρχὴν θεμιτὸν εἶναι τῷ Βαγώᾳ μεταποιεῖσθαι φιλοσοφίας καὶ τῶν ἐπ' αὐτῇ ἀριστείων εὐνούχῳ γε ὄντι, ἀλλὰ τοὺς τοιούτους οὐχ ὅπως τούτων ἀποκεκλεῖσθαι ἠξίου, ἀλλὰ καὶ ἱερῶν αὐτῶν καὶ περιῤῥαντηρίων καὶ τῶν κοινῶν ἁπάντων συλλόγων, δυσοιώνιστόν τι ἀποφαίνων καὶ δυσάντητον θέαμα, εἴ τις ἔωθεν ἐξιὼν ἐκ τῆς οἰκίας ἴδοι τοιοῦτόν τινα. Καὶ πολὺς ἦν ὁ περὶ τούτου λόγος, οὔτε ἄνδρα οὔτε γυναῖκα εἶναι τὸν εὐνοῦχον λέγοντος, ἀλλά τι σύνθετον καὶ μικτὸν καὶ τερατῶδες ἔξω τῆς ἀνθρωπείας φύσεως.

ΠΑΜΦ. Καινόν γε τὸ ἔγκλημα φῂς, ὦ Λυκῖνε, καὶ ἤδη γελᾶν καὶ αὐτὸς, ὦ ἑταῖρε, προάγομαι τῆς παραδόξου ταύτης κατηγορίας ἀκούων. Τί δ' οὖν ἕτερος; ἆρα τὴν ἡσυχίαν ἦγαγεν, ἤ τι πρὸς ταῦτα καὶ αὐτὸς ἀντειπεῖν ἐτόλμησε;

7. ΛΥΚ. Τὰ μὲν πρῶτα ὑπ' αἰδοῦς καὶ δειλίας — οἰκεῖον γὰρ αὐτοῖς τὸ τοιοῦτον — ἐπὶ πολὺ ἐσώπα καὶ ἠρυθρία καὶ ἰδίων φανερὸς ἦν, τέλος δὲ λεπτόν τι καὶ

PAMPH. Novi ista, et aiunt quendam illorum nuper mortuum, Peripateticorum puto alterum.

LYC. Hæc, Pamphile, Helena illa erat, pro qua depugnabant inter se invicem. Et hactenus quidem ridiculum illis erat nihil aliud, quam quod qui philosophos se dicerent esse et pecunias contemnere, deinde pro his tanquam pro patria periclitante et sacris patriis et sepulcris majorum suorum decertarent.

PAMPH. Quin etiam hoc dogma est Peripateticis, non nimis contemnere divitias, sed tertium quoddam bonum illud quoque putare.

LYC. Recte dicis. Aiunt scilicet ista, atque ex patria disciplina bellum ab iis gestum est.

4. Quæ autem post consecuta sunt, jam audi. Multi enim alii quoque in funebribus defuncti ludis pugnabant: duo autem maxime erant quorum anceps esset certamen, Diocles senex (nosti quem dico; contentiosum illum) et Bagoas, qui putatur eunuchus. Ac doctrinæ certamen jam ante certatum illis fuerat, peritiamque dogmatum uterque demonstraverat, seque Aristoteli ejusque sententiis addictum esse. Et sane neuter illorum erat melior.

5. Finis ergo causæ huc evasit: Diocles omisso ostendere sua merita, ad Bagoam transiit, et vitam maxime illius reprehendere tentavit: et eadem ratione etiam Bagoas contra in illius vitam inquisivit.

PAMPH. Merito illud quidem, Lycine: ac major pars orationis versari illis circa hoc potius debebat. Nam equidem si judex essem, in tali re præcipue immoraturus mihi videor, quæramque potius, uter melius vixerit, quam qui promtior sit oratione, eumque magis affinem victoriæ judicem.

6. LYC. Bene dicis, meque ea in re suffragantem tibi habes. Quum vero satis haberent conviciorum et criminum satis, denique jam negavit Diocles omnino fas esse Bagoæ tractare philosophiam et præmia illius affectare, qui eunuchus sit: tales vero non modo his rebus excludendos affirmavit, sed sacris ipsis, et lustralibus vasis, et communibus universis cœtibus; inauspicatum esse pronuncians et abominabile spectaculum, si quis mane domo egressus talem quendam viderit. Et fuit illi multus hac de re sermo, quum neque virum neque feminam esse eunuchum diceret, sed compositum quiddam, et mixtum et prodigiosum, et a natura humana abhorrens.

PAMPH. Novum crimen narras, Lycine, jamque ipse ad risum, sodalis, adducor, inexspectatam accusationem audiens. Quid igitur alter? numquid tum quievit, an ipse quoque contra hæc dicere quicquam ausus est?

7. LYC. Primo quidem præ pudore ac metu, quod familiare his est, diu tacebat, erubescebat et manifeste sudabat: tandem vero tenue quiddam sonans ac muliebre, inique

γυναικεῖον ἐμφθεγξάμενος οὐ δίκαια ποιεῖν ἔφη τὸν Διοκλέα φιλοσοφίας ἀποκλείοντα εὐνοῦχον ὄντα, ἧς καὶ γυναιξὶ μετεῖναι· καὶ παρήγοντο Ἀσπασία καὶ Διοτίμα καὶ Θαργηλία συνηγορήσουσαι αὐτῷ, καί τις Ἀκαδημαϊκὸς εὐνοῦχος ἐκ Κελτῶν ὀλίγον πρὸ ἡμῶν εὐδοκιμήσας ἐν τοῖς Ἕλλησιν. Ὁ Διοκλῆς δὲ κἀκεῖνον αὐτὸν, εἰ περιῆν καὶ τῶν ὁμοίων μετεποιεῖτο, εἶρξεν ἂν οὐ καταπλαγεὶς αὐτοῦ τὴν παρὰ τοῖς πολλοῖς δόξαν· καί τινας καὶ αὐτὸς ἀπεμνημόνευε λόγους καὶ πρὸς ἐκεῖνον ὑπό τε Στωϊκῶν καὶ Κυνικῶν μάλιστα εἰρημένους πρὸς τὸ γελοιότερον ἐπὶ τῷ ἀτελεῖ τοῦ σώματος.

8. Ἐν τούτοις ἦν τοῖς δικασταῖς ἡ διατριβή· καὶ τὸ κεφάλαιον ἤδη τοῦ σκέμματος τοῦτο ἐτύγχανεν ὄν, εἰ δοκιμαστέος εὐνοῦχος ἐπὶ φιλοσοφίαν παρελθὼν καὶ νέων προστασίαν ἐγχειρισθῆναι ἀξιῶν· τοῦ μὲν καὶ σχῆμα καὶ σώματος εὐμοιρίαν προσεῖναι φιλοσόφῳ δεῖν λέγοντος, καὶ τὸ μέγιστον, πώγωνα βαθὺν ἔχειν αὐτὸν καὶ τοῖς προσιοῦσι καὶ μανθάνειν βουλομένοις ἀξιόπιστον καὶ πρέποντα ταῖς μυρίαις, ἃς χρὴ παρὰ βασιλέως ἀποφέρεσθαι, τὸ δὲ τοῦ εὐνούχου καὶ τῶν βακκήλων χεῖρον εἶναι· τοὺς μὲν γὰρ κἂν πεπειρᾶσθαί ποτε ἀνδρείας, τοῦτον δὲ ἐξ ἀρχῆς εὐθὺς ἀποκεκόφθαι καὶ ἀμφίβολόν τι ζῷον εἶναι κατὰ ταὐτὰ ταῖς κορώναις, αἳ μήτε περιστεραῖς μήτε κόραξιν ἐναριθμοῖντο ἄν.

9. Τοῦ δὲ οὐ σωματικὴν λέγοντος εἶναι τὴν κρίσιν, ἀλλ' ἀλκὴν ψυχῆς καὶ τῆς γνώμης ἐξέτασιν δεῖν γίγνεσθαι καὶ τῆς τῶν δογμάτων ἐπιστήμης, εἶθ' ὁ Ἀριστοτέλης ἐκαλεῖτο μάρτυς τοῦ λόγου εἰς ὑπερβολὴν θαυμάσας Ἑρμείαν τὸν εὐνοῦχον τὸν ἐκ τοῦ Ἀταρνέως τύραννον ἄχρι τοῦ καὶ θύειν αὐτῷ κατὰ ταὐτὰ τοῖς θεοῖς. Καί τι καὶ ἐτόλμα προστιθέναι ὁ Βαγώας τοιοῦτον, ὡς πολὺ ἐπιτηδειότερος εὐνοῦχος τοῖς νέοις διδάσκαλος οὐδὲ διαβολήν τινα πρὸς αὐτοὺς ἐνδέξασθαι δυνάμενος οὐδὲ τὸ τοῦ Σωκράτους ἐκεῖνο ἔγκλημα παθεῖν ἂν ὡς διαφθείρων τὰ μειράκια. Ἐπεὶ δὲ καὶ εἰς τὸ ἀγένειον μάλιστα ἐσκώφθη, χαριέντως τοῦτο, ὡς γοῦν ᾤετο, προσέρριψεν· Εἰ γὰρ ἀπὸ πώγωνος, ἔφη, βαθέος κρίνεσθαι δέοι τοὺς φιλοσοφοῦντας, τὸν τράγον ἂν δικαιότερον προκριθῆναι πάντων.

10. Ἐν τούτῳ τρίτος ἄλλος παρεστώς — τὸ δὲ ὄνομα ἐν ἀφανεῖ κείσθω — Καὶ μήν, ἔφη, ὦ ἄνδρες δικασταί, οὑτοσὶ ὁ τὰς γνάθους λεῖος καὶ τὸ φώνημα γυναικεῖος καὶ τἄλλα εὐνούχῳ ἐοικὼς εἰ ἀποδύσαιτο, πάνυ ἀνδρεῖος ὑμῖν φανεῖται· εἰ δὲ μὴ ψεύδονται οἱ περὶ αὐτοῦ λέγοντες, καὶ μοιχὸς ἑάλω ποτέ, ὡς ὁ ἄξων φησὶν, ἄρθρα ἐν ἄρθροις ἔχων· ἀλλὰ τότε μὲν ἐς τὸν εὐνοῦχον ἀναφυγὼν καὶ τοῦτο χρησφύγετον εὑρόμενος ἀφείθη, ἀπιστησάντων τῇ κατηγορίᾳ τῶν τότε δικαστῶν ἀπό γε τῆς φανερᾶς ὄψεως· νῦν δὲ κἂν παλινῳδῆσαί μοι δοκεῖ τοῦ προκειμένου μισθοῦ ἕνεκα.

11. Τούτων δὴ λεγομένων παρὰ πάντων μὲν γέλως ἐγίγνετο, ὡς τὸ εἰκός. Βαγώας δὲ μᾶλλον ἐταράττετο καὶ παντοῖος ἦν ἐς μυρία τραπόμενος χρώματα καὶ ψυχρῷ τῷ ἱδρῶτι ῥεόμενος, καὶ οὔτε συγκατατίθεσθαι facere dixit Dioclem, qui philosophia arceat eum qui sit eunuchus, quam mulieres etiam vindicare sibi possint; adducebanturque Aspasia, ac Diotima, et Thargelia, quæ causam ipsius juvarent; atque aliquis Academicus e Gallia eunuchus, qui paullo ante nostram ætatem inter Græcos floruerit. At Diocles illum ipsum quoque, si superstes esset aspirassetque ad similia, his exclusisset nihil commotus ipsius apud vulgus fama: et quædam ipse memorabat dicta, in illum a Stoicis quoque, et Cynicis maxime, ridicule conjecta de corporis illo vitio.

8. In his occupabantur judices, et caput causæ jam in eo vertebatur, probandusne esset eunuchus philosophiam profiteri et adolescentium præfecturam sibi demandari postulans: altero dicente, habitum et integritatem partium omnium corporis inesse philosopho debere, præsertim, prolixam eum barbam habere, quæ fidem ei apud accedentes et discere volentes auctoritatemque præstet, dignam denique decem millibus, quæ ab imperatore acciperet: at eunuchi conditionem, exsectorum etiam statu esse deteriorem. Hos enim tamen aliquando expertos esse virilitatem; hunc autem ab initio statim abscissum, et ambiguum quoddam animal esse, cornicum instar, quæ neque in columbis neque in corvis numerari possint.

9. Altero autem contendente, non corporis hoc esse judicium, sed robur animi spectari, et examen mentis oportere fieri atque scientiæ dogmatum: tum Aristoteles citabatur testis ejus orationis, qui supra modum admiratus sit Hermeam eunuchum, Aternensem tyrannum, usque eo, ut etiam illi eodem modo quo diis rem sacram faceret. Quin etiam illud adjicere ausus est Bagoas, multo aptiorem esse adolescentibus eunuchum magistrum, in quo neque hærere aliqua illorum respectu calumnia possit, neque Socratis illud crimen locum habere, quasi corrumperet adolescentulos. Quumque in mentum imberbe inprimis jacta quædam essent, lepide hoc, ut sibi quidem videbatur, inter alia objecit: si enim, inquit, a barba prolixa judicari philosophos oporteat, caprum justius præferri omnibus.

10. Inter hæc tertius alius superveniens, cujus nomen in obscuro relinquatur, Verumtamen, inquit, judices, iste lævibus genis, muliebri voce, et reliqua eunucho similis, si exuatur, virilis valde vobis videbitur: si vero non mentiuntur qui de isto narrant, etiam mœchus aliquando deprehensus est, membra, quod ait tabula Solonis, in membris habens. Sed tum quidem ad eunuchum se recipiens, invento illo perfugio, absolutus est, fidem crimini, qui tum judicabant, negantibus, ex specie manifesta: jam vero etiam retractaturus mihi videtur propositæ mercedis causa.

11. His vero dictis, omnium quidem risus, ut facile est ad existimandum, ortus est. Bagoas vero magis etiam perturbabatur, et omnia tentabat, in mille colores versus, frigidoque sudore diffluens: qui neque honestum putaret

τῷ τῆς μοιχείας ἐγκλήματι καλῶς ἔχειν ᾤετο οὔτε ἀχρεῖον αὐτῷ τὴν κατηγορίαν ταύτην ἐς τὸν παρόντα ἀγῶνα ἡγεῖτο εἶναι.

ΠΑΜΦ. Γελοῖα, ὦ Λυκῖνε, ὡς ἀληθῶς ταῦτα καὶ ἔοικεν οὐ τὴν τυχοῦσαν ὑμῖν διατριβὴν παρεσχῆσθαι. Τὸ δ' οὖν τέλος τί ἐγένετο καὶ πῶς ἔγνωσαν ὑπὲρ αὐτῶν οἱ δικασταί;

12. ΛΥΚ. Οὐχ ὁμόψηφοι πάντες ἦσαν, ἀλλ' οἱ μὲν ἠξίουν ἀποδύσαντας αὐτὸν ὥσπερ τοὺς ἀργυρωνήτους ἐπισκοπεῖν, εἰ δύναιτο φιλοσοφεῖν τά γε πρὸς τῶν ὄρχεων· οἱ δὲ ἔτι γελοιότερον μεταστειλαμένους τινὰς τῶν ἐξ οἰκήματος γυναικῶν κελεύειν αὐτὸν συνεῖναι καὶ ὀπυίειν, καί τινα τῶν δικαστῶν τὸν πρεσβύτατόν τε καὶ πιστότατον ἐφεστῶτα ὁρᾶν, εἰ φιλοσοφεῖ. Μετὰ δὲ ἐπεὶ πάντας ὁ γέλως κατεῖχε καὶ οὐδεὶς ὅστις οὐ τὴν γαστέρα ἤλγει βραττόμενος ὑπ' αὐτοῦ, ἔγνωσαν ἀναπόμπιμον ἐς τὴν Ἰταλίαν ἐκπέμψαι τὴν δίκην.

13. Καὶ νῦν ἄτερος μὲν πρὸς τὴν τῶν λόγων ἐπίδειξιν, ὡς φασι, γυμνάζεται καὶ παρασκευάζεται καὶ κατηγορίαν συγκροτεῖ καὶ τὸ τῆς μοιχείας ἔγκλημα ὑποκινεῖ ἐναντιώτατον αὐτῷ, καὶ οὗτος κατὰ τοὺς φαύλους τῶν ῥητόρων τοῦτο ποιῶν καὶ εἰς τοὺς ἄνδρας τὸν ἀντίδικον ἐκ τοῦ ἐγκλήματος καταλέγων· τῷ Βαγώᾳ δὲ ἕτερα, ὥς φασι, μέλει καὶ ἀνδρίζεται τὰ πολλὰ καὶ διὰ χειρὸς ἔχει τὸ πρᾶγμα καὶ τέλος κρατήσειν ἐλπίζει, ἢν ἐπιδείξῃ ὡς οὐδὲν χείρων ἐστὶ τῶν ἵππους ἀναβαινόντων ὄνων. Αὕτη γάρ, ὦ ἑταῖρε, φιλοσοφίας ἀρίστη κρίσις ἔοικεν εἶναι καὶ ἀπόδειξις ἀναντίλεκτος. Ὥστε καὶ τὸν υἱὸν — ἔτι δέ μοι κομιδῇ νέος ἐστίν — εὐξαίμην ἂν οὐ τὴν γνώμην οὐδὲ τὴν γλῶτταν ἀλλὰ τὸ αἰδοῖον ἕτοιμον ἐς φιλοσοφίαν ἔχειν.

adulterii crimen non refutando confiteri neque vero inutile sibi crimen ad præsens certamen judicaret.

PAMPH. Ridicula profecto ista, quæque non vulgarem vobis oblectationem videantur præbuisse. Sed quid tandem factum est, et quomodo judices de illis decreverunt?

12. LYC. Non in eadem omnes erant sententia, sed alii postulabant illum exutum instar mancipiorum inspici, possetne, quantum quidem ad testiculos, philosophari : alii, magis etiam ridicule, arcessitis quibusdam de lupanari mulierculis, juberi illum congredi et inire, et judicum aliquem, ætate maximum et fide dignissimum, assistere ac, num philosophetur, spectare. Postea vero, quum risus occupasset omnes et nemo esset cui non concussa dolerent ilia, decreverunt rejicere et remittere causam in Italiam.

13. Et nunc alter quidem ad eruditionis ostentationem, ut aiunt, exercet se et comparat, et accusationem componit, et adulterii crimen movet, maxime sibi contrarium; isque more malorum causidicorum hoc agit, et inter viros adversarium suum hoc ipso crimine recenset : Bagoam autem alia, aiunt, cura tenet, et pro viro se gerit frequenter et præ manu rem habet, et denique superaturum se sperat, si ostendat nihilo se asinis qui equas ineunt esse deteriorem. Illud enim, sodalis, optimum videtur philosophiæ specimen esse, hæc demonstratio cui contradici nihil possit. Itaque filium etiam (est autem mihi admodum juvenis) optaverim non mentem neque linguam, sed verecundam partem philosophiæ aptam habere.

XXXVI.

* ΠΕΡΙ ΤΗΣ ΑΣΤΡΟΛΟΓΙΗΣ.

1. Ἀμφί τε οὐρανοῦ ἀμφί τε ἀστέρων ἡ γραφὴ, οὐκ αὐτέων ἀστέρων οὐδ' αὐτέου πέρι οὐρανοῦ, ἀλλὰ μαντηίης καὶ ἀληθηίης, ἣ δὴ ἐκ τουτέων ἐς ἀνθρώπων βίον ἔρχεται. Ὅ δέ μοι λόγος οὐχ ὑποθημοσύνην ἔχει οὐδὲ διδασκαλίην ἐπαγγέλλεται, ὅκως ταύτην τὴν μαντοσύνην διενεκτέον, ἀλλὰ μέμφομαι ὁκόσοι σοφοὶ ἐόντες τὰ μὲν ἄλλα ἐπασκέουσι καὶ πᾶσι τοῖς ἑωυτέων ἀπηγέονται, μούνην δ' ἀστρολογίην οὔτε τιμέουσιν οὔτε ἐπασκέουσι.

2. Καὶ ἡ μὲν σοφίη παλαιὴ οὐδὲ νέων ἐς ἡμέας ἀπίκετο, ἀλλ', ἔστιν ἔργον ἀρχαίων βασιλέων θεοφιλέων. Οἱ δὲ νῦν ἀμαθίη καὶ ῥαθυμίη καὶ προσέτι μισοπονίη ἐκείνοισί τε ἀντίξοα φρονέουσι καὶ εὖτ' ἂν ἀνδράσιν ἐπικυρέωσι ψεύδεα μαντευομένοισι, ἄστρων τε κατηγορέουσι καὶ αὐτὴν ἀστρολογίην μισέουσι, οὐδέ μιν οὔτε ὑγιεα οὔτε ἀληθέα νομίζουσιν, ἀλλὰ λόγον ψευδέα καὶ ἀνεμώλιον, οὐ δικαίως, ἐμοὶ δοκέει, φρονέοντες· οὔτε

XXXVI.

* DE ASTROLOGIA.

1. De cœlo deque stellis hæc scriptio est; non ipsis de astris neque ipso de cœlo, sed de divinatione ac veritate, quæ ab hisce ad hominum vitam pervenit. Neque vero præcepta libellus meus habet, nec disciplinam promittit, quomodo excellere hac divinatione quis possit, sed reprehendo, quotquot docti quum sint, alia quidem exercent et suis omnibus enarrant, solam autem astrologiam neque honorant neque exercent.

2. Ac sapientia quidem hujus rei est antiqua, neque recens demum ad nos venit, sed est opus antiquorum regum diis carorum. Verum qui nunc sunt, inscitia et socordia atque insuper laboris odio, tum contraria illis sentiunt, tum si quando in homines incidunt falsa divinantes, et sidera accusant, et ipsam oderunt astrologiam, eamque neque sanam neque veram arbitrantur, sed disciplinam mendacem et ventosam, inique, ut mihi videtur, sentientes. Neque

γὰρ τέκτονος ἀϊδρίη τεκτοσύνης αὐτῆς ἀδικίη οὔτε αὐλητέω ἀμουσίη μουσικῆς ἀσοφίη, ἀλλ' οἱ μὲν ἀμαθέες τῶν τεχνέων, ἑκάστη δ' ἐν ἑωυτῇ σοφή.

3. Πρῶτον μὲν ὦν Αἰθίοπες τόνδε τὸν λόγον ἀνθρώποισι κατεστήσαντο. Αἰτίη δὲ αὐτέοισι τὰ μὲν ἡ σοφίη τοῦ ἔθνεος — καὶ γὰρ τἄλλα τῶν ἄλλων σοφώτεροι Αἰθίοπες — τὰ δὲ καὶ τῆς οἰκήσιος ἡ εὐμοιρίη· αἰεὶ γὰρ σφέας εὐδίη καὶ γαληναίη περικέαται· οὐδὲ τῶν τοῦ ἔτεος τροπέων ἀνέχονται, ἀλλ' ἐν μιῇ ὥρῃ οἰκέουσιν. Ἰδόντες ὦν πρῶτα τὴν σεληναίην οὐκ ἐς πάμπαν ὁμοίην φαινομένην, ἀλλὰ πολυειδέα τε γιγνομένην καὶ ἐν ἄλλοτε ἄλλῃ μορφῇ τρεπομένην, ἐδόκεε αὐτέοισι τὸ χρῆμα θωύματος καὶ ἀπορίης ἄξιον. Ἔνθεν δὲ ζητέοντες εὗρον τουτέων τὴν αἰτίην, ὅτι οὐκ ἴδιον τῇ σεληναίῃ τὸ φέγγος, ἀλλά οἱ παρ' ἠελίου ἔρχεται.

4. Εὗρον δὲ καὶ τῶν ἄλλων ἀστέρων τὴν φορὴν, τοὺς δὴ πλάνητας ἡμεῖς καλέομεν — μοῦνοι γὰρ τῶν ἄλλων ἀστέρων κινέονται — φύσιν τε αὐτῶν καὶ δυναστείην καὶ ἔργα, τὰ ἕκαστος ἐπιτελέουσι. Ἐν δὲ καὶ οὐνόματα αὐτέοισιν ἐπέθεσαν, οὐκ οὐνόματα, ὅκως ἐδόκεον, ἀλλὰ σημήια.

5. Ταῦτα μὲν ὦν Αἰθίοπες ἐν τῷ οὐρανῷ ἐπέβλεψαν. Μετὰ δὲ γείτοσιν οὖσι Αἰγυπτίοισι ἀτελέα τὸν λόγον παρέδοσαν, Αἰγύπτιοι δὲ παρὰ σφέων ἐκδεξάμενοι ἡμιεργέα τὴν μαντικὴν ἐπὶ μέζον ἤγειραν μέτρα τε τῆς ἑκάστου κινήσιος ἐσημήναντο καὶ ἐτέων ἀριθμὸν καὶ μηνέων καὶ ὡρέων διετάξαντο. Καὶ μηνέων μὲν σφίσι μέτρον ἡ σεληναίη καὶ ἡ ταύτης ἀναστροφὴ ἐγένετο, ἔτεος δὲ ἠέλιος καὶ ἡ τοῦ ἠελίου περίφορος.

6. Οἱ δὲ καὶ ἄλλα ἐμήσαντο πολλῷ μέζω τουτέων· ἐκ γὰρ δὴ τοῦ παντὸς ἠέρος καὶ ἀστέρων τῶν ἄλλων ἀπλανέων τε καὶ εὐσταθέων καὶ οὐδαμὰ κινεομένων δυώδεκα μοίρας ἐτάμοντο ἐν τοῖσι κινεομένοισι, καὶ οἰκεῖα ζώια ἐόντα ἕκαστον αὐτῶν ἐς ἄλλην μορφὴν μεμιμέαται τὰ μὲν ἐνάλια, τὰ δὲ ἀνθρώπων, τὰ δὲ θηρῶν, τὰ δὲ πτηνῶν, τὰ δὲ κτηνέων.

7. Ἀπ' ὅτευ δὴ καὶ ἱερὰ τὰ Αἰγύπτια πολυειδέα ποιέεται· οὐ γὰρ πάντες Αἰγύπτιοι ἐκ τῶν δυώδεκα μοιρέων πασέων ἐμαντεύοντο, ἄλλοι δὲ ἀλλοίῃσι μοίρῃσι ἐχρέοντο· καὶ κριὸν μὲν σέβουσι ὁκόσοι ἐς κριὸν ἀπέβλεπον, ἰχθύας δὲ οὐ σιτέονται ὁκόσοι ἰχθύας ἐπεσημήναντο, οὐδὲ τράγον κτείνουσι ὅσοι αἰγόκερων ἤδεσαν, καὶ οἱ ἄλλοι τἄλλα ὡς ἕκαστοι ἱλάσκονται. Ναὶ μὴν καὶ ταῦρον ἐς τιμὴν τοῦ ἠερίου ταύρου σεβίζονται, καὶ ὁ Ἆπις αὐτέοις χρῆμα ἱρώτατον τὴν χώρην ἐπινέμεται καί οἱ ἐκεῖ μαντήιον ἀνατιθέασι σημήιον τῆς ἐκείνου τοῦ ταύρου μαντικῆς.

8. Οὐ μετὰ πολλὸν δὲ καὶ Λίβυες ἐπέβησαν τοῦ λόγου· καὶ γὰρ τὸ Λιβύων μαντήιον τὸ Ἀμμωνος, καὶ τοῦτο ἐς τὸν ἠέρα καὶ ἐς τὴν τουτέου σοφίην εὕρητο, παρ' ὅσον τὸν Ἄμμωνα καὶ οὗτοι κριοπρόσωπον ποιέονται.

9. Ἔγνωσαν δὲ τουτέων ἕκαστα καὶ Βαβυλώνιοι,

enim fabri inscitia, fabrilis ipsius artis mala indoles; neque imperitia tibicinis, musicæ ipsius est inertia: sed isti quidem artium imperiti, unaquæque autem ars in se sapiens est.

3. Primi ergo Æthiopes hanc rationem hominibus constituerunt. Causa illis partim sapientia gentis (nam reliquis etiam in rebus sapientiores ceteris Æthiopes), partim etiam habitandi sors commoda. Semper enim illos serenitas et tranquillitas circumdat; neque anni vices patiuntur, sed in una eademque tempestate habitant. Quum igitur cernerent lunam non eandem semper apparere, sed plures accipere species et in aliam alias formam verti, visa est illis res admiratione et dubitatione digna. Inde igitur quærendi invenerunt causam harum rerum, quod non sua lunæ lux, verum a sole illi venit.

4. Invenerunt vero aliorum quoque siderum motum, quos quidem planetas nos vocamus (soli enim reliquorum siderum moventur), naturamque illorum et potestatem, et opera quæ singuli efficiunt. Imposuerunt autem illis quoque nomina: non nuda nomina, ut videbantur, sed signa ipsarum naturarum.

5. Hæc igitur Æthiopes in cœlo conspexerunt. Post vicinis suis Ægyptiis imperfectam artem tradiderunt: Ægyptii vero, quam accepere ab illis ex parte modo altera absolutam divinandi rationem, in majus extulerunt, mensuras motus uniuscujusque signarunt, et annorum numerum et mensium atque horarum ordinarunt. Et mensium quidem illis modus luna ejusque conversio fuit, anni autem sol atque solis circuitus.

6. At ipsi alia quoque his multo majora machinati sunt. Ex omni enim aere, et stellis reliquis inerrantibus atque fixis et haudquaquam moventibus se, duodecim partes resecuerunt illis alteris quæ moverentur, et propria his animalia: quæ singula in aliam unumquodque formam expressere, marina alia, alia vero hominum, alia bestiarum, volucrium alia, alia jumentorum.

7. Unde etiam sacra apud Ægyptios multorum generum fiunt. Nec enim omnes Ægyptii ex duodecim partibus iisdem omnibus divinabant; sed aliis alii partibus diversisque utebantur. Atque arietem quidem colunt quotquot respiciebant Arietem; pisces non edunt qui Pisces nomine illo signaverant; neque caprum mactant quicumque noverant Capricornum: atque alii alia, ut cuique visum est, placant. Sane etiam taurum in honorem cœlestis Tauri colunt, atque Apis illis, ut res sanctissima, regionem incolit; cui oraculum etiam constituerunt ibi, signum divinationis illius cœlestis Tauri.

8. Non ita multo post Libyes etiam hanc rationem amplexi sunt. Nam Libyum etiam oraculum Ammonis ipsum quoque ad cœlum ejusque sapientiam relatum est, quatenus Ammonem hi etiam arietis vultu sibi faciunt.

9. Agnoverunt autem horum singula etiam Babylonii:

οὗτοι μὲν, λέγουσι, καὶ πρὸ τῶν ἄλλων, ἐμοὶ δὲ δοκέει, πολλὸν ὕστερον ἐς τουτέους ὁ λόγος ἀπίκετο.

10. Ἕλληνες δὲ οὔτε παρ' Αἰθιόπων οὔτε παρ' Αἰγυπτίων ἀστρολογίης πέρι οὐδὲν ἤκουσαν, ἀλλὰ σφίσιν Ὀρφεὺς ὁ Οἰάγρου καὶ Καλλιόπης πρῶτος τάδε ἀπηγήσατο, οὐ μάλα ἐμφανέως, οὐδὲ ἐς φάος τὸν λόγον προήνεγκε, ἀλλ' ἐς γοητείην καὶ ἱρολογίην, οἵη διανοίη ἐκείνου· πηξάμενος γὰρ λύρην ὀργιά τε ἐποιέετο καὶ τὰ ἱρὰ ἤειδε· ἡ δὲ λύρη ἑπτάμιτος ἐοῦσα τὴν τῶν κινεομένων ἀστέρων ἁρμονίην συνεβάλλετο. Ταῦτα Ὀρφεὺς διζήμενος καὶ ταῦτα ἀνακινέων πάντα ἔθελγε καὶ πάντων ἐκράτεε· οὐ γὰρ ἐκείνην τὴν λύρην ἔβλεπε οὐδέ οἱ ἄλλης ἔμελε μουσουργίης, ἀλλ' αὕτη Ὀρφέος ἡ μεγάλη λύρη. Ἕλληνές τε τάδε τιμέοντες μοίρην αὐτέῃ ἐν οὐρανῷ ἀπέκριναν καὶ ἀστέρες πολλοὶ καλέονται λύρη Ὀρφέος. Ἢν δέ κοτε Ὀρφέα ἴδῃς ἢ λίθοισι ἢ χροιῇ μεμιμημένον, ἐν μέσῳ ἕζεται ἴκελος ἀείδοντι μετὰ χερσὶ ἔχων τὴν λύρην· ἀμφὶ δέ μιν ζώια μυρία ἕστηκε, ἐν οἷς καὶ ἄνθρωπος καὶ ταῦρος καὶ λέων καὶ τῶν ἄλλων ἕκαστον. Εὖτ' ἂν ἐκεῖνα ἴδῃς, μέμνησό μοι τουτέων, κοίη ἐκείνου ἀοιδὴ, κοίη δὲ καὶ ἡ λύρη, κοῖος δὲ καὶ ταῦρος ἢ ὁκοῖος λέων Ὀρφέος ἐπαίουσι. Εἰ δὲ τὰ λέγω αἴτια γνοίης, σὺ δὲ καὶ ἐν τῷ οὐρανῷ δέρκεο ἕκαστον τουτέων.

11. Λέγουσι δὲ Τειρεσίην ἄνδρα Βοιώτιον, τοῦ δὴ κλέος μαντοσύνης περὶ πολλὸν ἀείρεται, τοῦτον τὸν Τειρεσίην ἐν Ἕλλησιν εἰπεῖν, ὅτι τῶν πλανεομένων ἀστέρων οἱ μὲν θήλεες, οἱ δὲ ἄρρενες ἐόντες οὐκ ἴσα ἐκτελέουσι· τῷ καί μιν διφυέα γενέσθαι καὶ ἀμφίβιον Τειρεσίην μυθολογέουσιν ἄλλοτε μὲν θῆλυν ἄλλοτε δὲ ἄρρενα.

12. Ἀτρέος δὲ καὶ Θυέστεω περὶ τῇ πατρωίῃ βασιληίῃ φιλονεικεόντων ἤδη τοῖσι Ἕλλησι ἀναφανδὸν ἀστρολογίης τε καὶ σοφίης τῆς οὐρανίης μάλιστ' ἔμελε, καὶ τὸ ξυνὸν τῶν Ἀργείων ἄρχειν ἔγνωσαν ἑωυτῶν ὅστις τοῦ ἑτέρου σοφίην προφερέστερος. Ἔνθα δὴ Θυέστης μὲν τὸν κριὸν σφίσι τὸν ἐν τῷ οὐρανῷ σημηνάμενος ὑπέδειξεν, ἀπ' ὅτευ δὴ ἄρνα χρύσεον Θυέστῃ γενέσθαι μυθολογέουσι. Ἀτρεὺς δὲ τοῦ ἡελίου πέρι καὶ τῶν ἀνατολέων αὐτέου λόγον ἐποιήσατο, ὅτι οὐκ ἐς ὁμοίην φορὴν ἡέλιός τε καὶ ὁ κόσμος κινέονται, ἀλλ' ἐς ἀντίξοον ἀλλήλοισι ἀντιδρομέουσι, καὶ αἱ νῦν δύσιες δοκέουσαι, τοῦ κόσμου δύσιες ἐοῦσαι, τοῦ ἡελίου ἀνατολαί εἰσι. Τάδε εἰπόντα βασιλέα μιν Ἀργεῖοι ἐποιήσαντο, καὶ μέγα κλέος ἐπὶ σοφίῃ αὐτέου ἐγένετο.

13. Ἐγὼ δὲ καὶ περὶ Βελλεροφόντεω τοιάδε φρονέω· πτηνὸν μέν οἱ γενέσθαι ὡς ἵππον, οὐ μάλα πείθομαι, δοκέω δέ μιν ταύτην τὴν σοφίην μετέποντα ὑψηλά τε φρονέοντα, καὶ ἄστροισι ὁμιλέοντα ἐς οὐρανὸν οὐχὶ τῷ ἵππῳ ἀναβῆναι, ἀλλὰ τῇ διανοίῃ.

14. Ἴσα δέ μοι καὶ ἐς Φρίξον τὸν Ἀθάμαντος εἰρήσθω, τὸν δὴ κριῷ χρυσέῳ δι' αἰθέρος ἐλάσαι μυθέονται. Ναὶ μέντοι καὶ Δαίδαλον τὸν Ἀθηναῖον ξείνη μὲν ἡ ἱστορίη, δοκέω γε μὴν οὐκ ἔξω ἀστρολογίης,

hi quidem aiunt, etiam ante alios; mihi vero videtur multo post ad ipsos hæc ratio pervenisse.

10. Græci autem neque ab Æthiopibus neque ab Ægyptiis de astrologia quicquam audiere: sed ipsis Orpheus, Œagri et Calliopes filius, primus hæc enarravit: non ille manifeste valde, neque in lucem totam rationem protulit, sed ad incantationem et sacramenta utebatur, qualis erat mens illius. Lyra enim constructa faciebat orgia et sacra canebat: lyra autem septem chordarum quæ esset, errantium stellarum harmoniam symbolo quodam signabat. Hæc inquirens Orpheus, et hæc movens, mulcebat omnia, et omnia vincebat: neque enim illam, quam fecerat sibi, lyram spectabat, neque alia illi cordi erat ars musica; sed hæc erat magna lyra Orphei. Honorantes vero ista Græci, partem in cœlo illi decreverunt, et stellæ plures Lyra vocantur Orphei. Si vero videris aliquando Orpheum vel lapidibus vel colore assimilatum, in medio sedet canenti similis, in manibus habens lyram: circa ipsum autem animalia stant sexcenta, in quibus homo etiam, et taurus, et leo, eorumque singuli. Ea vero quum videris, horum mihi memento, qualis ille sit cantus, qualis lyra, qualis etiam taurus, et qualis leo Orpheum audiant. Si vero quas dico causas noveris, tum tu etiam in cœlo unumquodque videas.

11. Aiunt vero Tiresiam, virum Bœotium, cujus divinandi gloria multum elata est, hunc igitur Tiresiam inter Græcos dixisse ferunt, errantium siderum alia quæ sint feminina, alia vero quæ masculina, non eadem efficere: unde etiam illum duplicis naturæ fuisse atque vitæ Tiresiam fabulantur, alias feminam, alias vero marem.

12. Atreo autem et Thyeste de regno paterno contendentibus, jam Græci aperte astrologiam et cœlestem sapientiam vehementer sectabantur: et commune Argivorum regnare eum apud se decreverunt, qui altero quantum ad hanc sapientiam esset præstantior. Tunc Thyestes quidem arietem illis, qui in cœlo est, designatum monstravit: a quo auream ovem Thyesti fuisse fabulantur. Atreus vero de sole et ortibus illius sermonem habuit, non versus eandem plagam solem atque mundum moveri, sed contrarium sibi invicem cursum tenere: et qui nunc occasus solis videntur, quum sit mundi, solis esse ortum. Hæc illum dicentem regem suum Argivi fecerunt, magnaque fuit sapientiæ illius gloria.

13. Ego vero etiam de Bellerophonte eadem sentio. Alatum quidem equum illi fuisse, persuaderi mihi non patior; puto autem illum sapientiæ hujus studiosum sublimia cogitasse, et versatum cum astris, in cœlum non equi opera ascendisse, sed animo.

14. Eadem mihi etiam in Athamantis filium Phrixum dicta sunto, quem ariete aureo per æthera vectum fabulantur. Quin etiam in Dædalum Atheniensem: peregrina quidem et mira historia; sed puto illum non fuisse ab astro-

ἀλλά οἱ αὐτὸς μάλιστα ἐχρήσατο καὶ παιδὶ τῷ ἑωυτοῦ κατηγήσατο.

15. Ἴκαρος δὲ νεότητι καὶ ἀτασθαλίῃ χρεόμενος καὶ οὐκ ἐπικτὰ διζήμενος, ἀλλ' ἐς πόλον ἀερθεὶς τῷ νῷ ἐξέπεσε τῆς ἀληθηίης καὶ παντὸς ἀπεσφάλη τοῦ λόγου καὶ ἐς πέλαγος κατηνέχθη ἀβύσσων πρηγμάτων, τὸν Ἕλληνες ἄλλως μυθολογέουσι καὶ κόλπον ἐπ' αὐτῷ ἐν τῇδε τῇ θαλάσσῃ Ἰκάριον εἰκῇ καλέουσι.

16. Τάχα δὲ καὶ Πασιφάη παρὰ Δαιδάλου ἀκούσασα ταύρου τε πέρι τοῦ ἐν τοῖς ἄστροισι φαινομένου καὶ αὐτέης ἀστρολογίης εἰς ἔρωτα τοῦ λόγου ἀπίκετο, ὅθεν νομίζουσι ὅτι Δαίδαλός μιν τῷ ταύρῳ ἐνύμφευσε.

17. Εἰσὶ δὲ οἳ καὶ κατὰ μέρεα τὴν ἐπιστήμην διελόντες ἕκαστοι αὐτῶν ἄλλα ἐπενοήσαντο, οἱ μὲν τὰ ἐς τὴν σεληναίην, οἱ δὲ τὰ ἐς Δία, οἱ δὲ τὰ ἐς ἠέλιον συναγείραντες δρόμου τε αὐτέων πέρι καὶ κινήσιος καὶ δυνάμιος.

18. Καὶ Ἐνδυμίων μὲν τὰ ἐς τὴν σεληναίην διετάξατο.

19. Φαέθων δὲ τοῦ ἡελίου δρόμον ἐτεκμήρατο, οὐ μέν γε ἀτρεκέως, ἀλλ' ἀτελέα τὸν λόγον ἀπολιπὼν ἀπέθανε. Οἱ δὲ τάδε ἀγνοέοντες Ἡελίου παῖδα Φαέθοντα δοκέουσι καὶ μῦθον ἐπ' αὐτέῳ οὐδαμὰ πιστὸν διηγέονται· ἐλθόντα γάρ μιν παρὰ τὸν Ἥλιον τὸν πατέρα αἰτέειν τὸ τοῦ φωτὸς ἅρμα ἡνιοχεύειν, τὸν δὲ δοῦναί τέ οἱ καὶ ὑποθέσθαι τῆς ἱππασίης τὸν νόμον. Ὁ δὲ Φαέθων ἐπειδὴ ἀνέβη τὸ ἅρμα, ἠλικίῃ καὶ ἀπειρίῃ ἄλλοτε μὲν πρόσγειος ἡνιόχευε, ἄλλοτε δὲ πολλὸν τῆς γῆς ἀπαωρούμενος· τοὺς δὲ ἀνθρώπους κρύος τε καὶ θάλπος οὐκ ἀνασχετὸν διέφθειρε. Ἐπὶ τοῖσι δὴ τὸν Δία ἀγανακτέοντα βαλεῖν πρηστῆρι Φαέθοντα μεγάλῳ. Πεσόντα δέ μιν αἱ ἀδελφαὶ περιστᾶσαι πένθος μέγα ἐποίεον, ἔστε μετέβαλλον τὰ εἴδεα, καὶ νῦν εἰσι αἴγειροι καὶ τὸ ἤλεκτρον ἐπ' αὐτέῳ δάκρυον σταλάουσι. Οὐχ οὕτω ταῦτα ἐγένετο οὐδὲ ὅσιον αὐτοῖσι πείθεσθαι, οὐδὲ Ἥλιος παῖδα ἐποιήσατο, οὐδὲ ὁ παῖς αὐτέῳ ἀπέθανε.

20. Λέγουσι δὲ καὶ ἄλλα Ἕλληνες πολλὰ ῥυθώδεα, τοῖσι ἐγὼ οὐ μάλα τι πείθομαι. Κῶς γὰρ δὴ ὅσιον πιστεῦσαι παῖδα Αἰνείην τῆς Ἀφροδίτης γενέσθαι καὶ Διὸς Μίνω καὶ Ἄρεος Ἀσκάλαφον καὶ Αὐτόλυκον Ἑρμέω; ἀλλ' οὗτοι ἕκαστος αὐτέων θεοφιλέες ἐγένοντο καὶ σφίσι γενομένοισι τῷ μὲν ἡ Ἀφροδίτη, τῷ δὲ ὁ Ζεὺς, τῷ δὲ ὁ Ἄρης ἐπέβλεψαν· ὁκόσῳ γὰρ δὴ ἀνθρώποισι ἐν τῇ γενεῇ ταύτῃ οἰκοδεσποτέουσι, οὗτοι ὅκως τοκέες ἑωυτοῖσι πάντα ἴκελα ἐκτελέουσι καὶ χρόην καὶ μορφὴν καὶ ἔργα καὶ διανοίην, καὶ βασιλεὺς μὲν ὁ Μίνως Διὸς ἡγεομένου, καλὸς δὲ Αἰνείης Ἀφροδίτης βουλήσει ἐγένετο, κλέπτης δὲ Αὐτόλυκος, ἡ δέ οἱ κλεπτικὴ ἐξ Ἑρμέω ἀπίκετο.

21. Οὐ μὲν ὦν οὐδὲ τὸν Κρόνον ὁ Ζεὺς ἔδησε οὐδὲ ἐς Τάρταρον ἔρριψε οὐδὲ τὰ ἄλλα ἐμήσατο ὁκόσα ἄνθρωποι νομίζουσι, ἀλλὰ φέρεται γὰρ ὁ Κρόνος τὴν ἔξω φορὴν πολλὸν ἀπ' ἡμέων καί οἱ νωθρή τε ἡ κίνησις καὶ οὐ ῥηιδίη τοῖσι ἀνθρώποισι ὁρέεσθαι. Διὸ δή μιν

logia alienum : verum ea tum ipse maxime est usus, tum filium eam suum docuit.

15. Icarus autem, juventute et temeritate usus et inconcessa quærens, sed animo in polum ipsum sublatus, vere excidit et ab tota ratione aberravit, et in mare decidit negotiorum fundo ac fine carentium : de quo temere fabulam narrant Græci ; et ab illo sinum in hoc mari frustra vocant Icarium.

16. Fortasse etiam Pasiphae, quæ audisset ex Dædalo de Tauro sidere in astris lucente et ipsa astrologia, in amorem doctrinæ devenit : unde putant eam a Dædalo conciliatam tauro esse.

17. Sunt vero etiam qui, divisa in partes disciplina, alia singuli excogitarunt, alii quæ ad lunam pertinent, alii quæ ad Jovem, alii quæ ad solem, colligentes, deque cursu illorum, motu et potestate.

18. Atque Endymion quidem quæ ad lunam pertinent ordinavit.

19. Phaethon autem solis cursum designavit, non sane exploratis omnibus, sed imperfectam artem relinquens mortuus est. Qui autem ista ignorant, Solis filium Phaethontem putant, et fabulam de eo nulla parte credibilem narrant : venisse nempe ad Solem patrem, ab eoque petiisse ut lucis currum regere sibi liceret ; illum vero dedisse, et legem aurigationis subjecisse. At Phaethon conscenso curru præ juventute et imperitia alias quidem terræ nimis vicinus aurigatur, alias nimium a terra sublatus, unde homines frigus calorque intolerabilis perdidit. Inter hæc Jovem indignatum fulmine magno Phaethontem feriisse. Cadentem circumstantes sorores luctus habuere magnos, donec formas mutarent : et nunc sunt populi, lacrimamque super eo electrum stillant. Non ita gesta hæc sunt, nec fas est fidem iis adjungere : neque filium Sol genuit, neque filius ipsi mortuus est.

20. Dicunt autem alia quoque multa fabulosa Græci, quibus ego non multum fidei tribuo. Quomodo enim fas sit credere filium Æneam fuisse Veneris, et Jovis Minoem, et Martis Ascalaphum, et Autolycum Mercurii? At singuli horum cari Deo fuere, nascentesque hunc Venus, hunc Jupiter, hunc Mars respexerunt. Quicumque enim hominibus in hac genitura domum ut domini regunt, illi tanquam parentes similia sibi omnia efficiunt, et colorem, et formam, et opera, et animum : ac rex quidem Minos Jove ducente, pulcher autem Æneas Veneris voluntate fuit ; fur autem Autolycus, furandique illi ars a Mercurio venit.

21. Jam vero neque Saturnum Jupiter vinxit, neque in Tartarum detrusit, neque reliqua machinatus est quæ putant homines : sed enim fertur Saturnus per orbem extimum procul a nobis, estque illi languidus motus, neque observatu facilis hominibus. Propterea nempe stare illum

ἑστάναι λέγουσι ὅκως πεπεδημένον· τὸ δὲ βάθος τὸ πολλὸν τοῦ ἠέρος Τάρταρος καλέεται.

22. Μάλιστα δ' ἔκ τε Ὁμήρου τοῦ ποιητέω καὶ τῶν Ἡσιόδου ἐπέων μάθοι ἄν τις τὰ πάλαι τοῖς ἀστρολογέουσι ὁμοφωνέοντα. Εὖτ' ἂν δὲ τὴν σειρὴν τοῦ Διὸς ἀπηγέηται καὶ τοῦ Ἡελίου τὰς βόας, τὰ δὴ ἐγὼ ἥματα εἶναι συμβάλλομαι, καὶ τὰς πόλιας τὰς ἐν τῇ ἀσπίδι Ἥφαιστος ἐποιήσατο καὶ τὸν χορὸν καὶ τὴν ἀλωήν. Τὰ μὲν γὰρ ὁκόσα ἐς τὴν Ἀφροδίτην αὐτέῳ καὶ τοῦ Ἄρεος τὴν μοιχείην λέλεκται, καὶ τὰ ἐμφανέα οὐκ ἄλλοθεν ἢ ἐκ τῆσδε τῆς σοφίης πεποιημένα· ἡ γὰρ δὴ ὢν Ἀφροδίτης καὶ τοῦ Ἄρεος ὁμοδρομίη τὴν Ὁμήρου ἀοιδὴν ἀπεργάζεται· ἐν ἄλλοισι δὲ ἔπεσι τὰ ἔργα ἑκάστου αὐτέων διωρίσατο τῇ Ἀφροδίτῃ μὲν εἰπών,

Ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο·

τὰ δὲ τοῦ πολέμου,

Ταῦτα δ' Ἄρηι θοῷ καὶ Ἀθήνῃ πάντα μελήσει.

23. Ἅπερ οἱ παλαιοὶ ἰδόντες μάλιστα μαντηίῃσι ἐχρέοντο καὶ οὐ πάρεργον αὐτέην ἐποιέοντο, ἀλλ' οὔτε πόλιας ᾤκιζον οὔτε τείχεα περιεβάλλοντο οὔτε φόνους ἐργάζοντο οὔτε γυναῖκας ἐγάμεον, πρὶν δὴ παρὰ μάντεων ἀκοῦσαι ἕκαστα· καὶ γὰρ δὴ τὰ μαντήια αὐτέοισι οὐκ ἔξω ἀστρολογίης ἦν, ἀλλὰ παρὰ μὲν Δελφοῖσι παρθένος ἔχει τὴν προφητείην σύμβολον τῆς παρθένου τῆς οὐρανίης, καὶ δράκων ὑπὸ τῷ τρίποδι φθέγγεται, ὅτι καὶ ἐν τοῖσι ἄστροισι δράκων φαίνεται, καὶ ἐν Διδύμοισι δὲ μαντήιον τοῦ Ἀπόλλωνος, ἐμοὶ δοκέει, καὶ τοῦτο ἐκ τῶν ἠερίων Διδύμων ὀνομάζεται.

24. Οὕτω δὲ αὐτέοισι χρῆμα ἱρότατον ἡ μαντοσύνη ἐδόκεε, ὥστε δὴ Ὀδυσσεὺς ἐπειδὴ ἔκαμε πλανεόμενος, ἐθελήσας ἀτρεκὲς ἀκοῦσαι περὶ τῶν ἑωυτοῦ πρηγμάτων ἐς τὸν Ἀΐδην ἀπίκετο, οὐκ «ὄφρα ἴδῃ νέκυας καὶ ἀτερπέα χῶρον», ἀλλ' εἰς λόγους ἐλθεῖν Τειρεσίῃ ἐπιθυμέων. Καὶ ἐπειδὴ ἐς τὸν χῶρον ἦλθε, ἔνθα οἱ Κίρκη ἐσήμηνε καὶ ἔσκαψε τὸν βόθρον καὶ τὰ μῆλα ἔσφαξε, πολλῶν νεκύων παρεόντων, ἐν τοῖσι καὶ τῆς μητρὸς τῆς ἑωυτοῦ, τοῦ αἵματος πιεῖν ἐθελόντων οὐ πρότερον ἀπῆκεν οὐδενὶ οὐδὲ αὐτέῃ τῇ μητρὶ, πρὶν Τειρεσίην γεύσασθαι καὶ ἐξαναγκάσαι εἰπεῖν οἱ τὸ μαντήιον· καὶ ἀνέσχετο διψῶσαν ὀρέων τῆς μητρὸς τὴν σκιήν.

25. Λακεδαιμονίοισι δὲ Λυκοῦργος τὴν πολιτηίην πᾶσαν ἐκ τοῦ οὐρανοῦ διετάξατο καὶ νόμους σφίσι ἐποιήσατο μηδαμὰ μηδὲ ἐς πόλεμον προχωρέειν πρὶν τὴν σεληναίην πλήρεα γενέσθαι· οὐ γὰρ ἴσην ἐνόμιζε εἶναι τὴν δυναστείην αὐξανομένης τῆς σεληναίης καὶ ἀφανιζομένης, πάντα δὲ ὑπ' αὐτέῃ διοικέεσθαι.

26. Ἀλλὰ μοῦνοι Ἀρκάδες ταῦτα οὐκ ἐδέξαντο οὐδὲ ἐτίμησαν ἀστρολογίην, ἀνοίῃ δὲ καὶ ἀσοφίῃ λέγουσι καὶ τῆς σεληναίης ἔμμεναι προγενέστεροι.

27. Οἱ μὲν ὦν πρὸ ἡμέων οὕτω κάρτα ἦσαν φιλομάντιες, οἱ δὲ νῦν οἱ μὲν αὐτέων ἀδύνατα εἶναι λέγουσι ἀνθρώποισι τέλος εὕρασθαι μαντικῆς — οὐ γὰρ εἶναί

aiunt tanquam vinctum compedibus ingens autem cœli profunditas Tartarus vocatur.

22. Maxime vero ex Homeri poetæ et Hesiodi versibus discat aliquis, de quibus olim inter astrologos convenerit. Quando vero catenam Jovis refert, et boves Solis, hos ego utique dies esse conjicio; et urbes, quas in clypeo Achillis fecit Vulcanus, et chorum, et vineam, similiter ad astrologiam pertinere. Nam illa omnia, quæ in Venerem ab illo et in Martis adulterium dicta sunt, et quæ ut palam gesta, non aliunde, quam ex hac sapientia ficta sunt: conjunctus nempe cursus Veneris et Martis Homeri cantum efficit, et absolvit. In aliis vero versibus opera uniuscujusque illorum definivit, quum Veneri dicit:

Dulcia nempe tibi sunto connubia curæ:

de bellicis autem:

Mars celer ista quidem Pallasque armata parabunt.

23. Quæ quum viderent veteres, maxime utebantur divinationibus, neque obiter illam tractabant: sed neque urbes condebant, neque ducebant mœnia, nec prælia committebant, neque uxores ducebant ante, quam a vatibus audissent *singula*. Etenim neque oracula illis expertia astrologiæ erant: verum Delphis quidem virgo vaticinandi munus habet, cœlestis Virginis symbolum: et draco sub tripode vocem emittit, quoniam inter sidera quoque lucet Draco. Quod autem Didymis est Apollinis oraculum, ut mihi videtur, ipsum quoque a cœlestibus Didymis (*Geminis*) appellatur.

24. Adeo res sanctissima illis visa divinatio est, ut Ulysses, quum in errore illo suo laboraret, verum audire cupiens de rebus suis, ad inferos descenderet, non « Cerneret ut functos vita, illætabile regnum, » sed in colloquium Tiresiæ venire qui desideraret. Et quum venisset in locum quem designaverat ipsi Circe, et fossam fodisset, mactassetque oves; mortuis multis præsentibus, interque illos matre ipsius, ac bibere de sanguine volentibus, non prius permisit cuiquam, nec ipsi matri adeo, quam Tiresias gustasset, eumque ipse coegisset edere *sibi oraculum*; sustinuitque sitientem matris umbram videre.

25. Lacedæmoniis autem Lycurgus rem omnem publicam ex cœli rationibus constituit, et leges illis posuit, ne usquam in bellum ante progrederentur, quam plena luna esset. Neque enim æqualem putabat esse potentiam augescentis lunæ et decrescentis, omniaque ab illa administrari.

26. Sed soli ista Arcades non recepere, neque in honore habuerunt astrologiam; sed amentia quadam et insipientia dicunt ipsa se luna esse antiquiores.

27. Majores igitur nostri valde adeo divinationis erant studiosi: sed qui nunc sunt, partim illi quidem fieri posse negant ut inveniant homines finem certumque fundamen-

μιν οὔτε πιστὴν οὔτε ἀληθέα, οὐδὲ τὸν Ἄρεα ἢ τὸν Δία ἐν τῷ οὐρανῷ ἡμέων ἕνεκα κινέεσθαι, ἀλλὰ τῶν μὲν ἀνθρωπηίων πρηγμάτων οὐδεμίην ὥρην ἐκεῖνοι ποιέονται οὐδ' ἔστιν αὐτέοισι πρὸς τάδε κοινωνίη, κατὰ σφέας δὲ χρείη τῆς περιφορῆς ἀναστρέφονται.

28. Ἄλλοι δὲ ἀστρολογίην ἀψευδέα μέν, ἀνωφελέα δ' εἶναι λέγουσι· οὐ γὰρ ὑπὸ μαντοσύνῃ ἀλλάσσεσθαι ὁκόσα τῇσι μοίρῃσι δοκέοντα ἐπέρχεται.

29. Ἐγὼ δὲ πρὸς τάδε ἄμφω ἐκεῖνα ἔχω εἰπεῖν, ὅτι οἱ μὲν ἀστέρες ἐν τῷ οὐρανῷ τὴν σφετέρην εἱλέονται, πάρεργον δὲ σφίσι τῆς κινήσιος τῶν κατ' ἡμέας ἕκαστον ἐπιγίγνεται. Ἢ ἐθέλεις ἵππου μὲν θέοντος καὶ ὀρνίθων καὶ ἀνδρῶν κινεομένων λίθους ἀνασαλεύεσθαι καὶ κάρφεα δονέεσθαι ὑπὸ τῶν ἀνέμων τοῦ δρόμου, ὑπὸ δὲ τῆ δίνῃ τῶν ἀστέρων μηδὲν ἄλλο γίγνεσθαι; Καὶ ἐκ μὲν ὀλίγου πυρὸς ἀπορροίη ἐς ἡμέας ἔρχεται, καὶ τὸ πῦρ οὐ δι' ἡμέας καίει τι οὐδέ οἱ μέλει τοῦ ἡμετέρου θάλπεος, ἀστέρων δὲ οὐδεμίην ἀπορροίην δεχόμεθα; Καὶ μέντοι τῇ ἀστρολογίῃ τὰ μὲν φαῦλα ἐσθλὰ ποιῆσαι ἀδύνατά ἐστιν οὐδὲ ἀλλάξαι τι τῶν ἀπορρεόντων πρηγμάτων, ἀλλὰ τοὺς χρεομένους τάδε ὠφελέει, τὰ μὲν ἐσθλὰ εἰδότας ἀπιζόμενα πολλὸν ἀπόπροσθεν εὐφρανέει, τὰ δὲ φαῦλα εὐμαρέως δέχονται· οὐ γάρ σφισιν ἀγνοέουσι ἐπέρχεται, ἀλλ' ἐν μελέτῃ καὶ προσδοκίῃ ῥηίδια καὶ πρηέα ἡγέεται. Τάδε ἀστρολογίης πέρι ἐγὼν ὑπολαμβάνω.

XXXVII.

ΔΗΜΩΝΑΚΤΟΣ ΒΙΟΣ.

1. Ἐμελλεν ἄρα μηδὲ ὁ καθ' ἡμᾶς βίος τὸ παντάπασιν ἄμοιρος ἔσεσθαι ἀνδρῶν λόγου καὶ μνήμης ἀξίων, ἀλλὰ καὶ σώματος ἀρετὴν ὑπερφυᾶ καὶ γνώμην ἄκρως φιλόσοφον ἐκφαίνειν· λέγω δὲ εἰς τε τὸν Βοιώτιον Σώστρατον ἀναφέρων, ὃν Ἡρακλέα οἱ Ἕλληνες ἐκάλουν καὶ ὤοντο εἶναι, καὶ μάλιστα εἰς Δημώνακτα τὸν φιλόσοφον, οὓς καὶ εἶδον αὐτὸς καὶ ἰδὼν ἐθαύμασα, θατέρῳ δὲ τῷ Δημώνακτι καὶ ἐπὶ μήκιστον συνεγενόμην. Περὶ μὲν οὖν Σωστράτου ἐν ἄλλῳ βιβλίῳ γέγραπταί μοι καὶ δεδήλωται μέγεθός τε αὐτοῦ καὶ ἰσχύος ὑπερβολὴ καὶ ἡ ὑπαιθρος ἐν τῷ Παρνασσῷ δίαιτα καὶ ἡ ἐπὶ πόας εὐνὴ καὶ τροφαὶ ὄρειοι καὶ ἔργα οὐκ ἀπῳδὰ τοῦ ὀνόματος καὶ ὅσα ἢ λῃστὰς αἴρων ἔπραξεν ἢ ὁδοποιῶν τὰ ἄβατα ἢ γεφυρῶν τὰ δύσπορα.

2. Περὶ δὲ Δημώνακτος ἤδη δίκαιον λέγειν ἀμφοῖν ἕνεκα, ὡς ἐκεῖνός τε διὰ μνήμης εἴη τοῖς ἀρίστοις τό γε κατ' ἐμὲ καὶ οἱ γενναιότατοι τῶν νέων καὶ πρὸς φιλοσοφίαν ὁρῶντες ἔχοιεν μὴ πρὸς τὰ ἀρχαῖα μόνα τῶν παραδειγμάτων σφᾶς αὐτοὺς ῥυθμίζειν, ἀλλὰ κἀκ τοῦ ἡμετέρου βίου κανόνα προτίθεσθαι καὶ ζηλοῦν ἐκεῖνον ἄριστον ὧν οἶδα ἐγὼ φιλοσόφων γενόμενον.

3. Ἦν δὲ τὸ μὲν γένος Κύπριος, οὐ τῶν ἀφανῶν ὅσα

tum divinationis : neque enim fidam illam esse, neque veram; neque Martem aut Jovem in cœlo nostra causa moveri; sed humanarum rerum curam illos plane nullam habere, neque communionem adeo ipsis cum hisce rebus nostris ullam intercedere; verum suæ rei causa atque quod necessarius sit ille ipsis circuitus, converti.

28. Alii vero astrologiam mendacii quidem, sed eandem utilitatis quoque expertem aiunt : neque enim per divinationis usum immutari quæ fatorum decreto eveniant.

29. Ego autem ad hæc ambo illa habeo dicere : stellas quidem in cœlo suam sibi viam volvi, sed obiter, præter suum illum motum, nostri quoque singulorum rationem accedere. Aut vis tu equo quidem currente, aut avibus hominibusve se moventibus exsilire lapides, et festucas agitari a vento quem effecit cursus; a stellarum autem vertigine aliud nihil fieri? Et ex parvulo quidem igni aliquid ad nos defluit, et tamen ignis non propter nos urit quicquam, neque ille nos ut calefiamus curat : stellarum autem influxum non recipimus? Et sane astrologiæ quæ mala sunt in melius mutare non licet, neque mutare quicquam rerum quæ ex principiis fluunt; sed qui ea utuntur, illis prodest eatenus : bona eventura præmonitos multo ante exhilarant, mala autem facilius accipiunt : neque enim imprudentes opprimunt, sed exercitatione et exspectatione facilia leniaque ducuntur. Hæc de astrologia equidem statuo.

XXXVII.

DEMONACTIS VITA.

1. Ergo ne nostrum quidem sæculum omnino erat futurum expers hominum sermone et commemoratione dignorum; sed tum corporis ingens robur prolaturum, tum animum summo opere philosophum : dico autem hoc ad Bœotium Sostratum respiciens, quem Herculem vocabant Græci et putabant esse; et maxime ad Demonactem philosophum : quos et vidi ipse, et visos admiratus sum; altero vero, Demonacte, diutissime etiam sum usus. Ac de Sostrato quidem alio in libro a me scriptum est, et tum magnitudo illius ostensa, tum fides prope excedens robur hominis, et subdivalis in Parnasso mora, et cubile in gramine, et montanus victus, et opera a nomine Herculis non abhorrentia, quæque aut tollendis latronibus perfecerit, aut viis per invia muniendis, aut quum pontibus junxit loca trajectu difficilia.

2. De Demonacte autem jam dicere fas fuerit duarum rerum causa, ut et ille in memoria versetur, quantum fieri opera mea potest, præstantissimorum hominum, et juvenum generosissimi, qui ad philosophiam appulere animum, non antiqua tantum exemplaria habeant ad quæ se ipsos componant, sed etiam e nostro sæculo illum sibi tanquam canonem proponant atque æmulentur, optimum, quos ego novi, philosophorum.

3. Fuit autem genere Cyprius, non obscurorum unus,

εἰς ἀξίωμα πολιτικὸν καὶ κτῆσιν. Οὐ μὴν ἀλλὰ καὶ πάντων τούτων ὑπεράνω γενόμενος καὶ ἀξιώσας ἑαυτὸν τῶν καλλίστων πρὸς φιλοσοφίαν ὥρμησεν οὐκ Ἀγαθοβούλου μὰ Δί' οὐδὲ Δημητρίου πρὸ αὐτοῦ οὐδὲ Ἐπικτήτου ἐπεγειράντων, ἀλλὰ πᾶσι μὲν συνεγένετο τούτοις καὶ ἔτι Τιμοκράτει τῷ Ἡρακλεώτῃ σοφῷ ἀνδρὶ φωνήν τε καὶ γνώμην μάλιστα κεκοσμημένῳ· ἀλλ' ὅ γε Δημῶναξ οὐχ ὑπὸ τούτων τινὸς, ὡς ἔφην, παρακληθεὶς, ἀλλ' οἰκείας πρὸς τὰ καλὰ ὁρμῆς καὶ ἐμφύτου πρὸς φιλοσοφίαν ἔρωτος ἐκ παίδων εὐθὺς κεκινημένος ὑπερεῖδε μὲν τῶν ἀνθρωπείων ἀγαθῶν ἁπάντων, ὅλον δὲ παραδοὺς ἑαυτὸν ἐλευθερίᾳ καὶ παρρησίᾳ διετέλεσεν αὐτός τε ὀρθῷ καὶ ὑγιεῖ καὶ ἀνεπιλήπτῳ βίῳ χρώμενος καὶ τοῖς ὁρῶσι καὶ ἀκούουσι παράδειγμα παρέχων τὴν ἑαυτοῦ γνώμην καὶ τὴν ἐν τῷ φιλοσοφεῖν ἀλήθειαν.

4. Οὐ μὴν ἀνίπτοις γε ποσὶ, τὸ τοῦ λόγου, πρὸς ταῦτα ᾔξεν, ἀλλὰ καὶ ποιητικῆς σύντροφος ἐγένετο καὶ τῶν πλείστων ἐμέμνητο καὶ λέγειν ἤσκητο καὶ τὰς ἐν φιλοσοφίᾳ προαιρέσεις οὐκ ἐπ' ὀλίγον οὐδὲ κατὰ τὴν παροιμίαν ἄκρῳ τῷ δακτύλῳ ἁψάμενος ἠπίστατο, καὶ τὸ σῶμα δὲ ἐγεγύμναστο καὶ πρὸς καρτερίαν διεπεπόνητο, καὶ τὸ ὅλον ἐμεμελήκει αὐτῷ μηδενὸς ἄλλου προσδεᾶ εἶναι· ὥστε ἐπεὶ καὶ ἔμαθεν οὐκέτι ἑαυτῷ διαρκῶν, ἐκὼν ἀπῆλθε τοῦ βίου πολὺν ὑπὲρ αὐτοῦ λόγον τοῖς ἀρίστοις τῶν Ἑλλήνων καταλιπών.

5. Φιλοσοφίας δὲ εἶδος οὐχ ἓν ἀποτεμόμενος, ἀλλὰ πολλὰ ἐς ταὐτὸ καταμίξας οὐ πάνυ τι ἐξέφαινε τίνι αὐτῶν ἔχαιρεν· ἐῴκει δὲ τῷ Σωκράτει μᾶλλον ᾠκειῶσθαι, εἰ καὶ τῷ σχήματι καὶ τῇ τοῦ βίου ῥᾳστώνῃ τὸν Σινωπέα ζηλοῦν ἔδοξεν, οὐ παραχαράττων τὰ εἰς τὴν δίαιταν, ὡς θαυμάζοιτο καὶ ἀποβλέποιτο ὑπὸ τῶν ἐντυγχανόντων, ἀλλ' ὁμοδίαιτος ἅπασιν ὢν καὶ πεζὸς καὶ οὐδ' ἐπ' ὀλίγον τύφῳ κάτοχος συνῆν καὶ ξυνεπολιτεύετο·

6. τὴν μὲν τοῦ Σωκράτους εἰρωνείαν οὐ προσιέμενος, χάριτος δὲ Ἀττικῆς μεστὰς ἀποφαίνων τὰς συνουσίας, ὡς τοὺς προσομιλήσαντας ἀπιέναι μήτε καταφρονήσαντας ὡς ἀγεννοῦς μήτε τὸ σκυθρωπὸν τῶν ἐπιτιμήσεων ἀποφεύγοντας, παντοίους δὲ ὑπ' εὐφροσύνης γενομένους καὶ κοσμιωτέρους παρὰ πολὺ καὶ φαιδροτέρους καὶ πρὸς τὸ μέλλον εὐέλπιδας.

7. Οὐδεπώποτε γοῦν ὤφθη κεκραγὼς ἢ ὑπερδιατεινόμενος ἢ ἀγανακτῶν οὐδ' εἰ ἐπιτιμᾶν τῳ δέοι, ἀλλὰ τῶν μὲν ἁμαρτημάτων καθήπτετο, τοῖς δὲ ἁμαρτάνουσι συνεγίγνωσκε, καὶ τὸ παράδειγμα παρὰ τῶν ἰατρῶν ἠξίου λαμβάνειν τὰ μὲν νοσήματα ἰωμένων, ὀργῇ δὲ πρὸς τοὺς νοσοῦντας οὐ χρωμένων· ἡγεῖτο γὰρ ἀνθρώπου μὲν εἶναι τὸ ἁμαρτάνειν, θεοῦ δὲ ἢ ἀνδρὸς ἰσοθέου τὰ πταισθέντα ἐπανορθοῦν.

8. Τοιούτῳ δὴ βίῳ χρώμενος εἰς ἑαυτὸν μὲν οὐδενὸς ἐδεῖτο, φίλοις δὲ συνέπραττε τὰ εἰκότα, καὶ τοὺς μὲν εὐτυχεῖν δοκοῦντας αὐτῶν ὑπεμίμνησκεν ὡς ἐπ' ὀλιγοχρονίοις τοῖς δοκοῦσιν ἀγαθοῖς ἐπαιρομένους, τοὺς δὲ ἢ πενίαν ὀδυρομένους ἢ φυγὴν δυσχεραίνοντας ἢ γῆρας ἢ νόσον αἰτιωμένους σὺν γέλωτι παρεμυθεῖτο, οὐχ ὁρῶντας

neque quantum ad dignitatem in republica, nec divitiarum nomine. Verum enim vero superior hisce omnibus, atque ad ea quæ pulcherrima sunt, aspirans, animum ad philosophiam appulit, non Agathobulo profecto, neque ante ipsum Demetrio, neque Epicteto excitantibus; quibus omnibus quidem utebatur, et insuper Timocrate Heracleota, sapienti viro, et linguæ pariter atque animi ornatissimi: sed non ab ullo horum incitatus, uti dixi, Demonax, verum a domestico ad honesta impetu et insito philosophiæ amore a puero inde statim commotus, humana bona omnia despiciebat, totumque se libertati et fiduciæ quum tradidisset, ita vivebat semper, tum ipse recta, sobria atque experte reprehensionis vita utens, tum præbens videntibus audientibusque exemplar, suam prudentiam, suamque in philosophando veritatem.

4. Nec tamen illotis, quod aiunt, pedibus in hæc irruit: sed poetis innutritus erat, ac plerosque tenebat memoria, exercitatusque erat dicendo; tum sectas philosophorum non pauxillum, neque extremo, secundum proverbium, digito attigerat, verum sciebat: corpus vero exercuerat et ad patientiam laborum subegerat. In universum cura illi, ne cujuscumque alterius rei indigeret: adeo ut, quum intelligeret se non amplius sibi sufficere, de vita sponte abierit, relicto Græcorum optimis quibusque multo de se sermone.

5. Philosophiæ autem non unam aliquam speciem sibi resecuit, sed multis in unum commistis, non satis declaravit, qua illarum præter ceteras gauderet. Videbatur tamen Socratis maxime ad familiam se applicuisse, licet habitu et illa victus facilitate æmulari Sinopensem videretur: neque tamen ea quæ ad victum pertinent in deterius mutabat, ut admirarentur ipsum et oculos in ipso defigerent vulgo homines: sed eodem quo ceteri victus cultusque genere utens, communis, ne pauxillum quidem tumidus, versabatur privatim et publice cum omnibus:

6. Socratis quidem illam dissimulationem non admittens, sed plenam Attica quadam gratia consuetudinem præ se ferens. Itaque sic ab eo discedebant qui cum illo fuerant, ut neque contemnerent tanquam ignavum, neque asperitatem reprehensionum ejus refugerent: sed præ voluptate animi nihil non facerent et decentiores multum, et hilariores, et spei in futurum melioris essent.

7. Nunquam enim visus est clamare, aut supra modum contendere, aut indignari, neque si quis reprehendendus esset: sed peccata quum perstringeret, ignoscebat peccantibus, volebatque exemplum nos capere a medicis, sanantibus quidem morbos, ira autem in ægrotos non utentibus: putabat enim, hominis quidem esse peccare, dei autem aut æqualis deo viri, peccata corrigere.

8. Hanc vitam quum viveret, pro se ille quidem nullius rei indigebat, sed amicos in iis, quæ e re esse judicaret, adjuvabat: et si qui illorum felices sibi viderentur, submonebat quam brevibus, quæ nunc viderentur, bonis efferrentur: qui vero aut paupertatem deplorarent, aut exilium ægre ferrent, aut senectutem, vel morbum accusarent,

ὅτι μετὰ μικρὸν αὐτοῖς παύσεται μὲν τὰ ἀνιῶντα, λήθη δέ τις ἀγαθῶν καὶ κακῶν καὶ ἐλευθερία μακρὰ πάντας ἐν ὀλίγῳ καταλήψεται.

9. Ἔμελε δὲ αὐτῷ καὶ ἀδελφοὺς στασιάζοντας διαλλάττειν καὶ γυναιξὶ πρὸς τοὺς γεγαμηκότας εἰρήνην πρυτανεύειν· καί που καὶ δήμοις ταραττομένοις ἐμμελῶς διελέχθη καὶ τοὺς πλείστους αὐτῶν ἔπεισεν ὑπουργεῖν τῇ πατρίδι τὰ μέτρια. Τοιοῦτός τις ἦν ὁ τρόπος τῆς φιλοσοφίας αὐτοῦ, πρᾶος καὶ ἥμερος καὶ φαιδρός.

10. Μόνον αὐτὸν ἠνία φίλου νόσος ἢ θάνατος, ὡς ἂν καὶ τὸ μέγιστον τῶν ἐν ἀνθρώποις ἀγαθῶν τὴν φιλίαν ἡγούμενον· καὶ διὰ τοῦτο φίλος μὲν ἦν ἅπασι καὶ οὐκ ἔστιν ὅντινα οὐκ οἰκεῖον ἐνόμιζεν, ἄνθρωπόν γε ὄντα. Πλέον δὲ ἢ ἔλαττον ἔχαιρε συνὼν ἐνίοις αὐτῶν, μόνοις ἐξιστάμενος ὁπόσοι ἂν ἐδόκουν αὐτῷ ὑπὲρ τὴν τῆς θεραπείας ἐλπίδα διαμαρτάνειν. Καὶ πάντα ταῦτα μετὰ Χαρίτων καὶ Ἀφροδίτης αὐτῆς ἔπραττέ τε καὶ ἔλεγεν, ὡς ἀεί, τὸ κωμικὸν ἐκεῖνο, τὴν πειθὼ τοῖς χείλεσιν αὐτοῦ ἐπικαθῆσθαι.

11. Τοιγαροῦν καὶ Ἀθηναίων ὅ τε σύμπας δῆμος καὶ οἱ ἐν τέλει ὑπερφυῶς ἐθαύμαζον αὐτὸν καὶ διετέλουν ὥς τινα τῶν κρειττόνων προσβλέποντες. Καίτοι ἐν ἀρχῇ προσέκρουε τοῖς πολλοῖς αὐτῶν καὶ μῖσος οὐ μεῖον τοῦ Σωκράτους παρὰ τοῖς πλήθεσιν ἐκτήσατο ἐπί τε τῇ παρρησίᾳ καὶ ἐλευθερίᾳ, καί τινες ἐπ' αὐτὸν συνέστησαν Ἄνυτοι καὶ Μέλητοι τὰ αὐτὰ κατηγοροῦντες ἅπερ κἀκείνου οἱ τότε, ὅτι οὔτε θύων ὤφθη πώποτε οὔτε ἐμυήθη μόνος ἁπάντων ταῖς Ἐλευσινίαις· πρὸς ἅπερ ἀνδρείως μάλα στεφανωσάμενος καὶ καθαρὸν ἱμάτιον ἀναλαβὼν καὶ παρελθὼν εἰς τὴν ἐκκλησίαν τὰ μὲν ἐμμελῶς, τὰ δὲ καὶ τραχύτερον ἢ κατὰ τὴν ἑαυτοῦ προαίρεσιν ἀπελογήσατο· πρὸς μὲν γὰρ τὸ μὴ τεθυκέναι πώποτε τῇ Ἀθηνᾷ, Μὴ θαυμάσητε, ἔφη, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μὴ πρότερον αὐτῇ ἔθυσα, οὐδὲ γὰρ δεῖσθαι αὐτὴν τῶν παρ' ἐμοῦ θυσιῶν ὑπελάμβανον. Πρὸς δὲ θάτερον, τὸ τῶν μυστηρίων, ταύτην ἔφη ἔχειν αἰτίαν τοῦ μὴ κοινωνῆσαι σφίσι τῆς τελετῆς, ὅτι, ἂν τε φαῦλα ᾖ τὰ μυστήρια, οὐ σιωπήσεται πρὸς τοὺς μηδέπω μεμυημένους, ἀλλ' ἀποτρέψει αὐτοὺς τῶν ὀργίων, ἄν τε καλὰ, πᾶσιν αὐτὰ ἐξαγορεῦσειν ὑπὸ φιλανθρωπίας· ὥστε τοὺς Ἀθηναίους ἤδη λίθους ἐπ' αὐτὸν ἐν ταῖν χεροῖν ἔχοντας πράους αὐτῷ καὶ ἵλεως γενέσθαι αὐτίκα καὶ τὸ ἀπ' ἐκείνου ἀρξαμένους τιμᾶν καὶ αἰδεῖσθαι καὶ τὰ τελευταῖα θαυμάζειν, καίτοι εὐθὺς ἐν ἀρχῇ τῶν πρὸς αὐτοὺς λόγων τραχυτέρῳ ἐχρήσατο τῷ προοιμίῳ· Ἄνδρες γὰρ, ἔφη, Ἀθηναῖοι, ἐμὲ μὲν ὁρῶντες ἐστεφανωμένον ὑμεῖς ἤδη κἀμὲ καταθύσατε, τὸ γὰρ πρότερον οὐκ ἐκαλλιερήσατε.

12. Βούλομαι δὲ ἕνια παραθέσθαι τῶν εὐστόχως τε ἅμα καὶ ἀστείως ὑπ' αὐτοῦ λελεγμένων, ἄρξασθαι δὲ ἀπὸ Φαβωρίνου καλὸν καὶ ὧν πρὸς ἐκεῖνον εἶπεν. Ἐπεὶ γὰρ ὁ Φαβωρῖνος ἀκούσας τινὸς ὡς ἐν γέλωτι ποιοῖτο τὰς ὁμιλίας αὐτοῦ καὶ μάλιστα τῶν ἐν αὐταῖς μελῶν τὸ ἐπικεκλασμένον σφόδρα ὡς ἀγεννὲς καὶ γυναικεῖον καὶ φιλοσοφίᾳ ἥκιστα πρέπον, προσελθὼν

consolabatur cum risu, ut qui non viderent, post pusillum temporis cessatura quæ ipsos contristarent, oblivionem vero quandam bonorum pariter ac malorum, ac libertatem longam brevi omnes occupaturam.

9. Curæ hoc quoque sibi habebat, ut dissidentes inter se fratres in concordiam redigeret, mulieribusque pacem cum maritis conciliaret. Est etiam ubi in populo turbis agitato concinne verba fecit, persuaderetque majori parti, ut patriæ rebus consulerent modeste. Talis erat ratio illius philosophiæ, mitis, mansueta, hilaris.

10. Unum molestia ipsum afficiebat, morbus aut mors amici, ut qui maximum inter homines bonum amicitiam judicaret. Ac propter hæc amicus erat omnibus, nec est quem ipse non domesticum et familiarem putaret, in quantum homo esset. Ceterum magis minusve quorundam inter illos consuetudine delectabatur, a solis illis se removens, quicumque ultra spem emendationis peccare ipsi viderentur. Atque hæc cum Gratiis et ipsa Venere faciebatque et dicebat, ut semper, quod est in comœdia, Suada labiis illius insideret.

11. Itaque Atheniensium tum universus populus, tum principes supra modum illum admirabantur, et ut ad deum aliquem semper ad ipsum respiciebant. Quanquam initio plerisque illorum offensus erat, odiumque non minus quam Socrates apud multitudinem contraxerat loquendi illa fiducia atque libertate : jamque consurrexerant contra illum Anyti quidam et Meliti, accusantes eadem quæ illi quondam, quod neque sacrificans unquam visus esset, neque initiatus esset solus omnium Eleusiniis. Ad quæ quidem ille viliriter sane, coronatus et pura veste indutus quum in concionem prodiisset, partim concinne, partim vero asperius quam pro suo instituto causam dixit. Ad illud enim crimen, quod non unquam rem sacram Minervæ fecisset : Nolite, inquit, mirari, Athenienses, si non prius ei sacrum feci; neque enim indigere meis illam victimis putabam. Ad alterum vero illud de mysteriis, hanc sibi causam esse dicebat, cur non veniret in communionem initiorum, quod, si mala sint mysteria, taciturus non esset apud non initiatos, sed dehortaturus illos ab orgiis; sin bona, indicaturum præ humanitate omnibus. Igitur Athenienses, qui jam lapides contra ipsum haberent in manibus, mites ei et propitii statim sunt facti, et inde initio facto honorarunt virum, reveriti sunt, ac denique admirati : quanquam in principio statim suæ ad illos orationis asperiori paullum usus esset proœmio. Nam, Athenienses, inquit, quum coronatum me (victimæ instar) videatis, vos jam me quoque mactate; priore enim hostia non litastis.

12. Volo jam subjicere quædam acute pariter et urbane ab illo dictorum. Decet autem a Phavorino, et his quæ ad illum dixit, incipere. Quum enim audisset e quodam Phavorinus, deridiculo ab illo haberi ipsius cum familiaribus sermones, maxime versiculos illis immistos, quod fracti nimis, ignavi, muliebres, philosophiam minime decentes

ἠρώτα τὸν Δημώνακτα τίς ὢν χλευάζοι τὰ αὐτοῦ· Ἄνθρωπος, ἔφη, οὐκ εὐαπάτητα ἔχων τὰ ὦτα. Ἐγκειμένου δὲ τοῦ σοφιστοῦ καὶ ἐρωτῶντος, τίνα δὲ καὶ ἐφόδια ἔχων, ὦ Δημῶναξ, ἐκ παιδιᾶς εἰς φιλοσοφίαν ἥκεις; Ὄρχεις, ἔφη.

13. Ἄλλοτε δέ ποτε ὁ αὐτὸς προσελθὼν ἠρώτα τὸν Δημώνακτα τίνα αἵρεσιν ἀσπάζεται μᾶλλον ἐν φιλοσοφίᾳ· ὁ δὲ, Τίς γάρ σοι εἶπεν ὅτι φιλοσοφῶ; Καὶ ἀπιὼν ἤδη παρ' αὐτῷ μάλα ἡδὺ ἐγέλασε· τοῦ δὲ ἐρωτήσαντος ἐφ' ὅτῳ γελᾷ; ἐκεῖνος ἔφη, Γελοῖόν μοι εἶναι ἔδοξεν, εἰ σὺ ἀπὸ τοῦ πώγωνὸς ἀξιοῖς κρίνεσθαι τοὺς φιλοσοφοῦντας αὐτὸς πώγωνα οὐκ ἔχων.

14. Τοῦ δὲ Σιδωνίου ποτὲ σοφιστοῦ Ἀθήνησιν εὐδοκιμοῦντος καὶ λέγοντος ὑπὲρ αὐτοῦ ἔπαινόν τινα τοιοῦτον, ὅτι πάσης φιλοσοφίας πεπείραται — οὐ χεῖρον δὲ αὐτὰ εἰπεῖν ἃ ἔλεγεν· Ἐὰν Ἀριστοτέλης με καλῇ ἐπὶ τὸ Λύκειον, ἕψομαι· ἂν Πλάτων ἐπὶ τὴν Ἀκαδήμειαν, ἀφίξομαι· ἂν Ζήνων, ἐπὶ τῇ Ποικίλῃ διατρίψω· ἂν Πυθαγόρας καλῇ, σιωπήσομαι. Ἀναστὰς οὖν ἐκ μέσων τῶν ἀκροωμένων, Οὗτος, ἔφη προσειπὼν τὸ ὄνομα, καλεῖ σε Πυθαγόρας.

15. Πύθωνος δέ τινος τῶν ἐν Μακεδονίᾳ εὐπαρύφων νεανίσκου ὡραίου ἐρεσχηλοῦντος αὐτὸν καὶ προτείνοντος ἐρώτημά τι σοφιστικὸν καὶ κελεύοντος εἰπεῖν τοῦ συλλογισμοῦ τὴν λύσιν, Ἕν, ἔφη, οἶδα, τέκνον, ὅτι περαίνῃ. Ἀγανακτήσαντος δὲ ἐκείνου ἐπὶ τῷ τῆς ἀμφιβολίας σκώμματι καὶ συναπειλήσαντος, Αὐτίκα σοι μάλα τὸν ἄνδρα δείξω, ὁ δὲ σὺν γέλωτι ἠρώτησε, Καὶ γὰρ ἄνδρα ἔχεις;

16. Ἐπεὶ δέ τις ἀθλητὴς καταγελασθεὶς ὑπ' αὐτοῦ, ὅτι ἐσθῆτα ὤφθη ἀνθινὴν ἀμπεχόμενος Ὀλυμπιονίκης ὢν, ἐπάταξεν αὐτὸν εἰς τὴν κεφαλὴν λίθῳ καὶ αἷμα ἐρρύη, οἱ μὲν παρόντες ἠγανάκτουν ὡς αὐτὸς ἕκαστος τετυπτημένος καὶ ἐβόων ἐπὶ τὸν ἀνθύπατον ἰέναι, ὁ δὲ Δημῶναξ, Μηδαμῶς, ἔφη, ὦ ἄνδρες, πρὸς τὸν ἀνθύπατον, ἀλλ' ἐπὶ τὸν ἰατρόν.

17. Ἐπεὶ δέ ποτε καὶ χρυσοῦν δακτύλιον ὁδῷ βαδίζων εὗρε, γραμμάτιον ἐν ἀγορᾷ προθεὶς ἠξίου τὸν ἀπολέσαντα, ὅστις εἴη τοῦ δακτυλίου δεσπότης, ἥκειν καὶ εἰπόντα ὅλκὴν αὐτοῦ καὶ λίθον καὶ τύπον ἀπολαμβάνειν· ἦκεν οὖν τις μειρακίσκος ὡραῖος αὐτὸς ἀπολωλεκέναι λέγων. Ἐπεὶ δὲ οὐδὲν ὑγιὲς ἔλεγεν, Ἄπιθι, ἔφη, ὦ παῖ, καὶ τὸν σεαυτοῦ δακτύλιον φύλαττε, τοῦτον γὰρ οὐκ ἀπολώλεκας.

18. Τῶν δὲ ἀπὸ τῆς Ῥωμαίων βουλῆς τις Ἀθήνησιν υἱὸν αὐτῷ δείξας πάνυ ὡραῖον, θηλυδρίαν δὲ καὶ διακεκλασμένον, Προσαγορεύει σε, ἔφη, ὁ ἐμὸς υἱὸς οὑτοσί· καὶ ὁ Δημῶναξ, Καλὸς, ἔφη, καὶ σοῦ ἄξιος καὶ τῇ μητρὶ ὅμοιος.

19. Τὸν δὲ Κυνικὸν ἐν ἄρκτου δέρματι φιλοσοφοῦντα οὐχ Ὀνωράτον, ὥσπερ ὠνομάζετο, ἀλλ' Ἀρκεσίλαον καλεῖν ἠξίου.

20. Ἐρωτήσαντος δέ τινος τίς αὐτῷ ὅρος εὐδαιμονίας εἶναι δοκεῖ, Μόνον εὐδαίμονα, ἔφη, τὸν ἐλεύθερον·

essent : accessit ad Demonactem rogavitque quis esset qui sua derideret : is, Homo, inquit, aures habens decepta non nimium faciles. Instante vero sophista atque interrogante, Quo vero viatico instructus, Demonax, a puero ad philosophiam accessisti? Testiculis, inquit.

13. Alio quodam tempore idem accedens interrogat Demonactem, quam maxime sectam in philosophia amplecteretur : at ille, Quis vero tibi, inquit, dixit me philosophari? Et jam discedens apud se suaviter sane risit : illo vero interrogante quid rideret, Ridiculum mihi, inquit, esse videbatur, te a barba judicari velle philosophos, barbam quum non habeas ipse.

14. Sidonio aliquando sophista Athenis florente aç de se laudem commemorante ejusmodi, se philosophiam universam explorasse — sed nihil impedit verba ipsa referre : Si Aristoteles me vocet in Lyceum, sequar : si Plato in Academiam, veniam : si Zeno, in Pœcile commorabor : si Pythagoras vocet, silebo. Surgens igitur Demonax ex mediis auditoribus, Heus tu, inquit nomine illum appellans, vocat te Pythagoras.

15. Pythonis cujusdam purpuratorum Macedoniæ filio pulchro, irritante illum nugis et sophisticam interrogationem proponente, ejusque syllogismi solutionem dicere illum jubente, Unum, inquit, puer, novi, te περαίνεσθαι [*quod est et* concludere ex sumtis quibusdam *et* subigi]. Ægre autem ferente illo lusum ex ambiguo, et una minitante, Statim tibi virum monstrabo! cum risu interrogavit, Virum nempe habes?

16. Quum vero athleta quidam derisus ab illo, quod in florida veste, Olympionices licet, visus esset, caput illius lapide percussisset, et sanguis effluxeret : præsentes quidem indignari, quasi unusquisque ipsorum pulsatus esset, clamareque, ad proconsulem eundum esse : at Demonax, Nequaquam, inquit, viri, ad proconsulem; sed ad medicum.

17. Invenerat aliquando aureum annulum incedens per viam, tabellaque in foro proposita postulabat, ut qui perdidisset, dominus annuli, veniret, dictoque pondere illius et gemma, et imagine, eum reciperet. Venit adolescentulus formosus, se perdidisse dicens. Quum vero sani nihil diceret, Abi, puer, inquit, et tuum ipsius anulum serva : hunc quidem non perdidisti!

18. De Romano senatu aliquis Athenis filium ipsi suum ostendens formosum valde, sed effeminatum fractumque, Salutat te, inquit, filius hic meus. Et Demonax, Pulcher, inquit, et te dignus, et matris similis.

19. Cynicum illum in ursi pelle philosophantem, non Honoratum, quod illi nomen erat, sed Arcesilaum vocari volebat.

20. Interrogante quodam quis ipsi finis felicitatis videretur, Solum felicem, ait, liberum : illo vero dicente,

ἐκείνου δὲ φήσαντος πολλοὺς ἐλευθέρους εἶναι, Ἀλλ' ἐκεῖνον, εἶπε, νομίζω τὸν μήτε ἐλπίζοντά τι μήτε δεδιότα· ὁ δὲ, Καὶ πῶς ἂν, ἔφη, τοῦτό τις δύναιτο; ἅπαντες γὰρ ὡς τὸ πολὺ τούτοις δεδουλώμεθα, Καὶ μὴν εἰ κατανοήσεις, εἶπε, τὰ τῶν ἀνθρώπων πράγματα, εὕροις ἂν αὐτὰ οὔτ' ἐλπίδος οὔτε φόβου ἄξια, παυσομένων πάντως καὶ τῶν ἀνιαρῶν καὶ τῶν ἡδέων.

21. Περεγρίνου δὲ τοῦ Πρωτέως ἐπιτιμῶντος αὐτῷ, ὅτι ἐγέλα τὰ πολλὰ καὶ τοῖς ἀνθρώποις προσέπαιζε, καὶ λέγοντος, Δημῶναξ, οὐ κυνᾷς, ἀπεκρίνατο, Περεγρῖνε, οὐκ ἀνθρωπίζεις.

22. Καὶ μὴν καὶ φυσικόν τινα περὶ τῶν ἀντιπόδων διαλεγόμενον ἀναστήσας καὶ ἐπὶ φρέαρ ἀγαγὼν καὶ δείξας αὐτῷ τὴν ἐν τῷ ὕδατι σκιὰν ἤρετο, Τοιούτους ἄρα τοὺς ἀντίποδας εἶναι λέγεις;

23. Ἀλλὰ καὶ μάγου τινὸς εἶναι λέγοντος καὶ ἐπῳδὰς ἔχειν ἰσχυρὰς, ὡς ὑπ' αὐτῶν ἅπαντας ἀναπείθειν καὶ παρέχειν αὐτῷ ὁπόσα βούλεται, Μὴ θαύμαζε, ἔφη· καὶ γὰρ αὐτὸς ὁμότεχνός εἰμί σοι, καὶ εἰ βούλει, ἕπου πρὸς τὴν ἀρτόπωλιν καὶ ὄψει με διὰ μιᾶς ἐπῳδῆς καὶ μικροῦ του φαρμάκου πείθοντα αὐτὴν δοῦναί μοι τῶν ἄρτων, αἰνιττόμενος τὸ νόμισμα ὡς τὰ ἴσα τῇ ἐπῳδῇ δυνάμενον.

24. Ἐπεὶ δὲ Ἡρῴδης ὁ πάνυ ἐπένθει τὸν Πολυδεύκην πρὸ ὥρας ἀποθανόντα καὶ ἠξίου ὄχημα ζεύγνυσθαι αὐτῷ καὶ ἵππους παρίστασθαι ὡς ἀναβησομένῳ καὶ δεῖπνον παρασκευάζεσθαι, προσελθὼν, Παρὰ Πολυδεύκους, ἔφη, κομίζω σοί τινα ἐπιστολήν. Ἡσθέντος δὲ ἐκείνου καὶ οἰηθέντος ὅτι κατὰ τὸ κοινὸν καὶ αὐτὸς συντρέχει τοῖς ἄλλοις τῷ πάθει αὐτοῦ, καὶ εἰπόντος, Τί οὖν, ὦ Δημῶναξ, Πολυδεύκης ἀξιοῖ; Αἰτιᾶταί σε, ἔφη, ὅτι μὴ ἤδη πρὸς αὐτὸν ἅπει.

25. Ὁ δ' αὐτὸς υἱὸν πενθοῦντι καὶ ἐν σκότῳ ἑαυτὸν καθείρξαντι προσελθὼν ἔλεγε μάγος τε εἶναι καὶ δύνασθαι ἀναγαγεῖν τοῦ παιδὸς τὸ εἴδωλον, εἰ μόνον αὐτῷ τρεῖς τινας ἀνθρώπους ὀνομάσειε μηδένα πώποτε πεπενθηκότας· ἐπὶ πολὺ δὲ ἐκείνου ἐνδοιάσαντος καὶ ἀποροῦντος — οὐ γὰρ εἶχέ τινα, οἶμαι, εἰπεῖν τοιοῦτον — Εἶτ', ἔφη, ὦ γελοῖε, μόνος ἀφόρητα πάσχειν νομίζεις μηδένα ὁρῶν πένθους ἄμοιρον;

26. Καὶ μὴν κἀκείνων καταγελᾶν ἠξίου τῶν ἐν ταῖς ὁμιλίαις πάνυ ἀρχαίοις καὶ ξένοις ὀνόμασι χρωμένων· ἑνὶ γοῦν ἐρωτηθέντι ὑπ' αὐτοῦ λόγον τινὰ καὶ ὑπεραττικῶς ἀποκριθέντι, Ἐγὼ μέν σε, ἔφη, ὦ ἑταῖρε, νῦν ἠρώτησα, σὺ δέ μοι ὡς ἐπ' Ἀγαμέμνονος ἀποκρίνῃ.

27. Εἰπόντος δέ τινος τῶν ἑταίρων, Ἀπίωμεν, Δημῶναξ, εἰς τὸ Ἀσκληπιεῖον καὶ προσευξώμεθα ὑπὲρ τοῦ υἱοῦ, Πάνυ, ἔφη, κωφὸν ἡγῇ τὸν Ἀσκληπιὸν, εἰ μὴ δύναται κἀντεῦθεν ἡμῶν εὐχομένων ἀκούειν.

28. Ἰδών δέ ποτε δύο τινὰς φιλοσόφους κομιδῇ ἀπαιδεύτως ἐν ζητήσει ἐρίζοντας καὶ τὸν μὲν ἄτοπα ἐρωτῶντα, τὸν δὲ οὐδὲν πρὸς λόγον ἀποκρινόμενον, Οὐ δοκεῖ ὑμῖν, ἔφη, ὦ φίλοι, ὁ μὲν ἕτερος τούτων τράγον ἀμέλγειν, ὁ δὲ αὐτῷ κόσκινον ὑποτιθέναι;

multos liberos esse : At ego, inquit, illum puto, qui neque speret quicquam, neque metuat. Ille, Et quomodo, inquit, quis illud possit? omnes enim utplurimum hisce rebus servimus. Quin si perspicies, respondit, res hominum, deprehendes illas neque spe neque metu dignas, quum desitura sint omnino molesta pariter et jucunda.

21. Peregrino illo Proteo increpante ipsum, quod multum rideret atque alluderet hominibus, ac dicente, Demonax non agis canem (*Cynicum*), respondit, Peregrine, non agis hominem!

22. Physicum adeo quendam, de antipodibus disputantem, excitavit, et ad puteum deducto ostendit in aqua umbram, interrogans : Tales igitur ais esse antipodas?

23. Etiam quum aliquis magum se esse diceret et carmina habere potentissima, quibus persuadere posset omnibus, ut præberent sibi quæcumque vellet : Noli admirari, inquit; nam et ego artis tuæ sum : et, si vis, sequere ad panum venditricem, et videbis uno me carmine et pauxillo quodam veneno inducere illam ut panem mihi det : nummum indicans, cujus eadem quæ carminis vis esset.

24. Quum Herodes ille celeberrimus Pollucem suum lugeret ante pubertatem defunctum, juberetque currum illi jungi, et equos astare tanquam conscensuro, et cœnam parari, accedens, A Polluce, inquit, affero tibi epistolam. Delectato autem illo, atque putante, pro communi reliquorum ratione, et ipsum suo subservire morbo, dicenteque : Quid ergo, Demonax, Pollux mandat? Accusat te, inquit, quod non jam ad ipsum abeas.

25. Idem lugenti filium, et in tenebris se concludenti accedens dixit magum se esse, et posse ipsi evocare filii umbram, modo sibi tres quosdam homines nominaret, qui neminem unquam luxerint. Multum autem illo dubitante et hærente (neque enim habebat, opinor, quem talem nominaret), Tum tu, inquit, ridicule, solum te intolerabilia pati arbitraris, quum tamen expertem luctus videas neminem?

26. Etiam illos risu solebat excipere, qui in congressibus uterentur antiquatis omnino peregrinisque vocabulis. Uni ergo interrogato a se aliquid, et supra modum Attice respondenti, Equidem te jam nunc, inquit, interrogavi : at tu mihi tanquam sub Agamemnone respondes.

27. Dicente sodalium quodam, Abeamus, Demonax, in Æsculapii, et oremus pro filio, Utique, inquit, surdum judicas Æsculapium, si non potest hinc etiam orantes audire.

28. Videns aliquando duos quosdam philosophos omnino indocte in disputatione contendere, et alterum quidem absurda interrogare, alterum nihil quod ad rem faceret respondere, Nonne videtur vobis, inquit, amici, alter horum mulgere hircum, alter cribrum ei supponere

29. Ἀγαθοκλέους δὲ τοῦ Περιπατητικοῦ μέγα φρονοῦντος ὅτι μόνος αὐτός ἐστι καὶ πρῶτος τῶν διαλεκτικῶν, ἔφη, Καὶ μὴν, ὦ Ἀγαθόκλεις, εἰ μὲν πρῶτος, οὐ μόνος, εἰ δὲ μόνος, οὐ πρῶτος.

30. Κεθήγου δὲ τοῦ ὑπατικοῦ, ὁπότε διὰ τῆς Ἑλλάδος εἰς τὴν Ἀσίαν ἀπήει πρεσβεύσων τῷ πατρὶ, πολλὰ καταγέλαστα καὶ λέγοντος καὶ ποιοῦντος, ἐπειδὴ τῶν ἑταίρων τις ὁρῶν ταῦτα ἔλεγεν αὐτὸν μέγα κάθαρμα εἶναι, Μὰ τὸν Δί', ἔφη ὁ Δημῶναξ, οὐδὲν μέγα.

31. Καὶ Ἀπολλώνιον δέ ποτε τὸν φιλόσοφον ἰδὼν μετὰ πολλῶν τῶν μαθητῶν ἐξελαύνοντα — ἦδη δὲ ἀπήει μετάπεμπτος ὡς ἐπὶ παιδείᾳ τῷ βασιλεῖ συνεσόμενος — Προσέρχεται, ἔφη, ὁ Ἀπολλώνιος καὶ οἱ Ἀργοναῦται αὐτοῦ.

32. Ἄλλου δέ ποτε ἐρομένου εἰ ἀθάνατος αὐτῷ ἡ ψυχὴ δοκεῖ εἶναι, Ἀθάνατος, ἔφη, ἀλλ' ὡς πάντα.

33. Περὶ μέντοι Ἡρώδου ἔλεγεν ἀληθεύειν τὸν Πλάτωνα φάμενον οὐ μίαν ἡμᾶς ψυχὴν ἔχειν· οὐ γὰρ εἶναι τῆς αὐτῆς ψυχῆς Ῥηγίλλαν καὶ Πολυδεύκην ὡς ζῶντας ἑστιᾶν καὶ τὰ τοιαῦτα μελετᾶν.

34. Ἐτόλμησε δέ ποτε καὶ Ἀθηναίους ἐρωτῆσαι δημοσίᾳ τῆς προρρήσεως ἀκούσας, διὰ τίνα αἰτίαν ἀποκλείουσι τοὺς βαρβάρους καὶ ταῦτα τοῦ τὴν τελετὴν αὐτοῖς καταστησαμένου Εὐμόλπου βαρβάρου καὶ Θρᾳκὸς ὄντος.

35. Ἐπεὶ δέ ποτε πλεῖν μέλλοντι αὐτῷ διὰ χειμῶνος ἔφη τις τῶν φίλων, Οὐ δέδοικας μὴ ἀνατραπέντος τοῦ σκάφους ὑπὸ ἰχθύων καταβρωθῇς; Κᾆτ' οὐκ ἀγνώμων ἂν εἴην, ἔφη, ἀνὴρ ὑπὸ ἰχθύων καταδασθῆναι τοσούτους αὐτὸς ἰχθῦς καταφαγών;

36. Ῥήτορι δέ τινι κάκιστα μελετήσαντι συνεβούλευεν ἀσκεῖν καὶ γυμνάζεσθαι· τοῦ δὲ εἰπόντος, Ἀεὶ ἐπ' ἐμαυτοῦ λέγω, Εἰκότως τοίνυν, ἔφη, τοιαῦτα λέγεις μωρῷ ἀκροατῇ χρώμενος.

37. Καὶ μάντιν δέ ποτε ἰδὼν δημοσίᾳ ἐπὶ μισθῷ μαντευόμενον, Οὐχ ὁρῶ, ἔφη, ἐφ' ὅτῳ τὸν μισθὸν ἀπαιτεῖς· εἰ μὲν γὰρ ὡς ἀλλάξαι τι δυνάμενος τῶν ἐπικεκλωσμένων, ὀλίγον αἰτεῖς ὁπόσον ἂν αἰτῇς, εἰ δὲ ὡς δέδοκται τῷ θεῷ πάντα ἔσται, τί σου δύναται ἡ μαντική;

38. Πρεσβύτου δέ τινος Ῥωμαίου εὐσωματοῦντος καὶ τὴν ἐνόπλιον αὐτῷ μάχην πρὸς πάτταλον ἐπιδειξαμένου καὶ ἐρομένου, Πῶς σοι, Δημῶναξ, μεμαχῆσθαι ἔδοξα; Καλῶς, ἔφη, ἂν ξύλινον τὸν ἀνταγωνιστὴν ἔχῃς.

39. Καὶ μὴν καὶ πρὸς τὰς ἀπόρους τῶν ἐρωτήσεων πάνυ εὐστόχως παρεσκεύαστο· ἐρομένου γάρ τινος ἐπὶ χλευασμῷ, εἰ χιλίας μνᾶς ξύλων καύσαιμι, ὦ Δημῶναξ, πόσαι μναῖ ἂν καπνοῦ γένοιντο; Στῆσον, ἔφη, τὴν σποδὸν, καὶ τὸ λοιπὸν πᾶν καπνός ἐστι.

40. Πολυβίου δέ τινος, κομιδῇ ἀπαιδεύτου ἀνθρώπου καὶ σολοίκου, εἰπόντος, Ὁ βασιλεύς με τῇ Ῥωμαίων πολιτείᾳ τετίμηκεν· Εἴθε σε, ἔφη, Ἕλληνα μᾶλλον ἢ Ῥωμαῖον πεποίηκεν.

41. Ἰδὼν δέ τινα τῶν εὐπαρύφων ἐπὶ τῷ πλάτει

29. Agathocle Peripatetico gloriante, solum se et primum esse dialecticorum, Quin tu, inquit, Agathocles, si quidem primus, non solus: si vero solus; non primus.

30. Cethego consulari, quum per Græciam in Asiam pergeret legatus patri futurus, ridicula multa et dicente et faciente; atque sodalium ipsius uno, qui ista videret, dicente; magnum eum purgamentum esse: Medius fidius, inquit Demonax, magnum nihil.

31. Apollonium aliquando philosophum quum videret multis cum discipulis exeuntem (ibat autem arcessitus, ut institutionis causa cum imperatore esset), Accedit, inquit, Apollonius cum suis Argonautis.

32. Interrogante alio utrum immortalis illi videatur anima, Immortalis, inquit, sed ut omnia.

33. De Herode dicebat, verum dicere Platonem, non unam nos animam habere: neque enim ejusdem esse animæ, Regillam et Pollucem (mortuos) ut viventes convivio excipere, et talia declamare.

34. Ausus est aliquando etiam Athenienses publice interrogare, audita solemni denuntiatione, propter quam causam excludant sacris barbaros, idque, quum constituerit illis initia Eumolpus, barbarus e Thracia.

35. Quum navigaturo per hiemem diceret amicorum aliquis, Non metuis ne everso navigio devoreris a piscibus? Tum non ingratus fuerim, inquit, si gravarer consumi a piscibus, qui ipse multos adeo pisces sim epulatus?

36. Rhetori cuidam pessime declamanti consulebat exercere se et meditari: hoc autem dicente, Semper apud me dico; Non igitur mirum est, inquit, talia te dicere, qui stultum adeo auditorem adhibeas.

37. Divinatorem videns publice accepta mercede divinantem, Non video, inquit, pro qua re mercedem repetas: si enim, ut qui mutare aliquid possis de fatis, parum nimis exigis, quantumcumque exigas; sin vero ut decretum deo est, sic erunt omnia, tua quid prodest divinatio?

38. Sene quodam Romano, corporis bene curati, armatam ipsi pugnam ad palum ostendente, atque interrogante, Quomodo tibi, Demonax, pugnasse videor? Præclare, inquit, ligneum si hostem habueris.

39. Etiam ad difficiles quæstiones acute admodum paratus erat. Per ludibrium enim interrogante quodam, Si mille minas lignorum cremavero, Demonax, quot ibi minæ fumi fuerint? Appende, inquit, cineres; reliquum omne fumus est.

40. Polybio cuidam indocto plane homini et vitiose loquenti, quum diceret: Imperator Romana me civitate honoravit: Utinam, inquit, Græcum te potius quam Romanum fecisset!

41. Quum prætextatum aliquem vidisset latitudine clavi

τῆς πορφύρας μέγα φρονοῦντα, κύψας αὐτοῦ πρὸς τὸ οὖς καὶ τῆς ἐσθῆτος λαβόμενος καὶ δείξας, Τοῦτο μέντοι, ἔφη, πρὸ σοῦ πρόβατον ἐφόρει καὶ ἦν πρόβατον.

42. Ἐπεὶ μέντοι λουόμενος ὤκνησεν ἐς τὸ ὕδωρ ζέον ἐμβῆναι, καὶ ἠτιάσατό τις ὡς ἀποδειλιάσαντα, Εἰπέ μοι, ἔφη, ὑπὲρ πατρίδος αὐτὸ πείσεσθαι ἔμελλον;

43. Ἐρομένου δέ τινος, Ὁποῖα νομίζεις τὰ ἐν Ἅιδου; Περίμεινον, ἔφη, κἀκεῖθέν σοι ἐπιστελῶ.

44. Ἀδμήτῳ δέ τινι ποιητῇ φαύλῳ λέγοντι γεγραφέναι μονόστιχον ἐπίγραμμα, ὅπερ ἐν ταῖς διαθήκαις κελεῦσαι ἐπιγραφῆναι αὐτοῦ τῇ στήλῃ — οὐ χεῖρον δὲ καὶ αὐτὸ εἰπεῖν,

Γαῖα λάβ' Ἀδμήτου ἔλυτρον, βῆ δ' εἰς θεὸν αὐτός —

γελάσας εἶπεν, Οὕτω καλόν ἐστιν, ὦ Ἄδμητε, τὸ ἐπίγραμμα ὥστε ἐβουλόμην αὐτὸ ἤδη ἐπιγεγράφθαι.

45. Ἰδών δέ τις ἐπὶ τῶν σκελῶν αὐτοῦ οἷα τοῖς γέρουσιν ἐπιεικῶς γίγνεται, ἤρετο, Τί τοῦτο, ὦ Δημῶναξ; ὁ δὲ μειδιάσας, Χάρων με ἔδακεν, ἔφη.

46. Καὶ μέντοι καὶ Λακεδαιμόνιόν τινα ἰδὼν τὸν αὑτοῦ οἰκέτην μαστιγοῦντα, Παῦσαι, ἔφη, δμότιμον σαυτοῦ τὸν δοῦλον ἀποφαίνων.

47. Δανάης δέ τινος πρὸς τὸν ἀδελφὸν δίκην ἐχούσης, Κρίθητι, ἔφη, οὐ γὰρ εἶ Δανάη ἡ Ἀκρισίου θυγάτηρ.

48. Μάλιστα δὲ ἐπολέμει τοῖς οὐ πρὸς ἀλήθειαν, ἀλλὰ πρὸς ἐπίδειξιν φιλοσοφοῦσιν. Ἕνα γοῦν ἰδὼν Κυνικὸν τρίβωνα μὲν καὶ πήραν ἔχοντα, ἀντὶ δὲ τῆς βακτηρίας ὕπερον, κεκραγότα καὶ λέγοντα ὅτι Ἀντισθένους καὶ Κράτητος καὶ Διογένους ἐστὶ ζηλωτής, Μὴ ψεύδου, ἔφη, σὺ γὰρ Ὑπερίδου μαθητὴς ὢν τυγχάνεις.

49. Ἐπεὶ μέντοι πολλοὺς τῶν ἀθλητῶν ἑώρα κακομαχοῦντας καὶ παρὰ τὸν νόμον τὸν ἐναγώνιον ἀντὶ τοῦ παγκρατιάζειν δάκνοντας, Οὐκ ἀπεικότως, ἔφη, τοὺς νῦν ἀθλητὰς οἱ παρομαρτοῦντες λέοντας καλοῦσιν.

50. Ἀστεῖον δὲ κἀκεῖνο αὐτοῦ καὶ δηκτικὸν ἅμα τὸ πρὸς τὸν ἀνθύπατον εἰρημένον· ἦν μὲν γὰρ τῶν πιττουμένων τὰ σκέλη καὶ τὸ σῶμα ὅλον, Κυνικοῦ δέ τινος ἐπὶ λίθον ἀναβάντος καὶ αὐτὸ τοῦτο κατηγοροῦντος αὐτοῦ καὶ εἰς κιναιδίαν διαβάλλοντος, ἀγανακτήσας καὶ κατασπασθῆναι τὸν Κυνικὸν κελεύσας ἔμελλεν ἢ ξύλοις συντρίψειν ἢ καὶ φυγῇ ζημιώσειν· ἀλλ' ὅ γε Δημῶναξ παρατυχὼν παρῃτεῖτο συγγνώμην ἔχειν αὐτῷ κατά τινα πάτριον τοῖς Κυνικοῖς παρρησίαν θρασυνομένῳ. Εἰπόντος δὲ τοῦ ἀνθυπάτου, Νῦν μέν σοι ἀφίημι αὐτόν, ἂν δὲ ὕστερον τοιοῦτόν τι τολμήσῃ, τί παθεῖν ἄξιός ἐστι; καὶ ὁ Δημῶναξ, Δρωπακισθῆναι τότε αὐτὸν κέλευσον.

51. Ἄλλῳ δέ τινι στρατοπέδων ἅμα καὶ ἔθνους τοῦ μεγίστου τὴν ἀρχὴν ἐμπιστευθέντι ἐκ βασιλέως ἐρομένῳ πῶς ἄριστα ἄρξει, Ἀόργητος, ἔφη, καὶ ὀλίγα μὲν λαλῶν, πολλὰ δὲ ἀκούων.

52. Ἐρομένῳ δέ τινι εἰ καὶ αὐτὸς πλακοῦντας ἐσθίοι, Οἴει οὖν, ἔφη, τοῖς μωροῖς τὰς μελίττας τιθέναι τὰ κηρία;

superbientem, ad aurem illius inclinatus, et prehensa veste ostensaque, Hanc quidem, inquit, ante te ovis gestabat, et erat ovis.

42. In balneo quum ingredi in ferventem aquam cunctaretur, et ut timidum aliquis accusaret, Dic mihi, inquit, an pro patria hoc subituras eram?

43. Interrogante quodam, Quid putas agi apud inferos? Exspecta, inquit, inde tibi rescribam.

44. Admeto cuidam, malo poetæ, quum diceret scriptum a se epigramma unius versus, quod testamento jussisset suæ columellæ sepulcri inscribi: sed quid prohibet ipsum ponere,

Terra cape Admeti utriculum, deus exiit ipse!

ridens dixit: Adeo pulchrum est, o Admete, epigramma, ut velim illud jam inscriptum esse.

45. Videns aliquis in cruribus illius, qualia fere solent accidere senibus, rogarat: Ecquid hoc, Demonax? Ille subridens, Charon, inquit, me momordit.

46. Lacedæmonium quendam quum vidisset flagellis cædere servum, Desine, inquit, parem tibi honore reddere servum tuum.

47. Danae quædam litem contra fratrem quum haberet, In jus ambula, inquit, neque enim illa es Danae Acrisii (*injudicati*) filia.

48. Maxime autem impugnabat qui non vere, sed ostentationis causa philosopharentur. Unum enim videns Cynicum pallium quidem habentem ac peram, pro clava autem pistillum, valde clamantem, dicentemque se Antisthenis et Cratetis et Diogenis æmulum, Noli mentiri, inquit; tu enim Hyperidis (*pistillarii*) discipulus es.

49. Quum multos athletarum videret male pugnantes et contra legem certaminis loco pancratii mordentes, Haud injuria, inquit, hodiernos athletas sui sectatores leones appellant.

50. Lepidum sane illud quoque ipsius et mordax simul ad proconsulem dictum. Erat enim ille ex eo numero, qui crura ac totum corpus vellerent. Cynico autem quodam ascendente in lapidem, atque id ipsum accusante, mollitiemque illius traducente, indignatus, detrahique jubens Cynicum, aut fustibus contundere aut multare exilio parabat. Forte autem superveniens Demonax deprecatus est, veniam ut illi daret, qui patria quadam Cynicis libertate hoc ausus esset. Dicente vero proconsule: Jam quidem illum tibi dimitto, sed si in posterum tale quid ausus fuerit, quid pati dignus est? Demonax, Tum dropace illum velli jube, inquit.

51. Alii cuidam, cui legionum et provinciæ maximæ imperium commissum fuerat ab imperatore, interroganti quomodo optime imperaret, respondit: Si non irascaris et loquaris pauca, multa vero audias.

52. Interrogante quodam, num et ipse placentas ederet, Putasne igitur, inquit, stultis favos strui ab apibus?

53. Πρὸς δὲ τῇ Ποικίλῃ ἀνδριάντα ἰδὼν τὴν χεῖρα ἀπακεκομμένον, ὀψὲ ἔφη Ἀθηναίους εἰκόνι χαλκῇ τετιμηκέναι τὸν Κυναίγειρον.

54. Καὶ μὴν καὶ Ῥουφῖνον τὸν Κύπριον — λέγω δὲ τὸν χωλὸν τὸν ἐκ τοῦ περιπάτου — ἰδὼν ἐπὶ πολὺ τοῖς περιπάτοις ἐνδιατρίβοντα, Οὐδέν ἐστιν, ἔφη, ἀναισχυντότερον χωλοῦ Περιπατητικοῦ.

55. Ἐπεὶ δέ ποτε ὁ Ἐπίκτητος ἐπιτιμῶν ἅμα συνεβούλευεν αὐτῷ ἀγαγέσθαι γυναῖκα καὶ παιδοποιήσασθαι, πρέπειν γὰρ καὶ τοῦτο φιλοσόφῳ ἀνδρὶ ἕτερον ἀνθ' αὑτοῦ καταλιπεῖν τῇ φύσει, ἐλεγχτικώτατα πρὸς αὐτὸν ἀπεκρίνατο, Οὐκοῦν, ὦ Ἐπίκτητε, δός μοι μίαν τῶν σαυτοῦ θυγατέρων.

56. Καὶ μὴν καὶ τὸ πρὸς Ἑρμῖνον τὸν Ἀριστοτελικὸν ἄξιον ἀπομνημονεῦσαι· εἰδὼς γὰρ αὐτὸν παγκάκιστον μὲν ὄντα καὶ μυρία κακὰ ἐργαζόμενον, τὸν Ἀριστοτέλην δὲ διὰ στόματος καὶ αὐτοῦ τὰς δέκα κατηγορίας ἔχοντα, Ἑρμῖνε, ἔφη, ἀληθῶς ἄξιος εἶ δέκα κατηγοριῶν.

57. Ἀθηναίων δὲ σκεπτομένων κατὰ ζῆλον τὸν πρὸς Κορινθίους καταστήσασθαι θέαν μονομάχων προελθὼν εἰς αὐτοὺς, Μὴ πρότερον, ἔφη, ταῦτα, ὦ Ἀθηναῖοι, ψηφίσησθε, ἂν μὴ τοῦ Ἐλέου τὸν βωμὸν καθέλητε.

58. Ἐπεὶ δὲ εἰς Ὀλυμπίαν ποτὲ ἐλθόντι αὐτῷ Ἠλεῖοι εἰκόνα χαλκῆν ἐψηφίσαντο, Μηδαμῶς τοῦτο, ἔφη, ὦ ἄνδρες Ἠλεῖοι, μὴ δόξητε ὀνειδίζειν τοῖς προγόνοις ὑμῶν, ὅτι μήτε Σωκράτους μήτε Διογένους εἰκόνα ἀνατεθείκασιν.

59. Ἤκουσα δὲ αὐτοῦ ποτε καὶ πρὸς τὸν τῶν νόμων ἔμπειρον ταῦτα λέγοντος, ὅτι κινδυνεύουσιν ἄχρηστοι εἶναι οἱ νόμοι, ἄν τε πονηροῖς ἄν τε ἀγαθοῖς γράφωνται· οἱ μὲν γὰρ οὐ δέονται νόμων, οἱ δὲ ὑπὸ νόμων οὐδὲν βελτίους γίγνονται.

60. Τῶν δὲ Ὁμήρου στίχων ἕνα ἥδε μάλιστα,

Κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς.

61. Ἐπῄνει δὲ καὶ τὸν Θερσίτην ὡς Κυνικόν τινα δημηγόρον.

62. Ἐρωτηθεὶς δέ ποτε τίς αὐτῷ ἀρέσκοι τῶν φιλοσόφων, ἔφη, Πάντες μὲν θαυμαστοί, ἐγὼ δὲ Σωκράτην μὲν σέβω, θαυμάζω δὲ Διογένην καὶ φιλῶ Ἀρίστιππον.

63. Ἐβίου δὲ ἔτη ὀλίγου δέοντα τῶν ἑκατὸν ἄνοσος, ἄλυπος, οὐδένα ἐνοχλήσας τι ἢ αἰτήσας, φίλοις χρήσιμος, ἐχθρὸν οὐδένα οὐδεπώποτε ἐσχηκώς· καὶ τοσοῦτον ἔρωτα ἔσχον πρὸς αὐτὸν Ἀθηναῖοί τε αὐτοὶ καὶ ἅπασα ἡ Ἑλλὰς ὥστε παριόντι ὑπεξανίστασθαι μὲν τοὺς ἄρχοντας, σιωπὴν δὲ γίγνεσθαι παρὰ πάντων. Τὸ τελευταῖον δὲ ἤδη ὑπέργηρως ὢν ἄκλητος εἰς ἣν τύχοι παριὼν οἰκίαν ἐδείπνει καὶ ἐκάθευδε, τῶν ἐνοικούντων θεοῦ τινα ἐπιφάνειαν ἡγουμένων τὸ πρᾶγμα καί τινα ἀγαθὸν δαίμονα εἰσεληλυθέναι αὐτοῖς εἰς τὴν οἰκίαν. Παριόντα δὲ αἱ ἀρτοπώλιδες ἀνθεῖλκον πρὸς αὑτὰς ἑκάστη ἀξιοῦσα παρ' αὐτῆς λαμβάνειν τῶν ἄρτων, καὶ

53. Ad Pœcilen quum vidisset statuam manu truncatam, sero tandem ait statua ænea honoratum ab Atheniensibus Cynægirum.

54. Rufinum Cyprium, dico autem illum claudum, illum de Peripato, videns multum in illis ambulationibus versantem, Nihil est, inquit, claudo Peripatetico impudentius.

55. Quum quondam Epictetus non sine reprehensione consuleret illi uxorem ducere, et procreare liberos; decere enim hoc quoque virum philosophum, ut alium pro se relinquat progeneratum ex se; sic respondit, ut planissime illum refutaret, Da mihi igitur, Epictete, unam filiarum tuarum.

56. Etiam illud quod ad Aristotelicum Herminum dixit, commemorabile est. Quem quum sciret pessimum esse hominem et infinita patrantem mala, Aristotelem autem et decem illius categorias (*prædicamenta*) in ore habentem; Vere, ait, Hermine, dignus es decem categoriis (*accusationibus*.)

57. Atheniensibus æmulatione quadam Corinthiorum de gladiatorum constituendo spectaculo deliberantibus, progressus inter illos, Ne prius, inquit, o Athenienses, de his in suffragium ite, quam Misericordiæ aram sustuleritis.

58. Quum Olympiam venienti Elei æneam statuam decernerent, Nequaquam, inquit, o viri Elei, hoc facite, ne exprobrare videamini majoribus vestris, qui neque Socrati statuam, neque Diogeni posuerint.

59. Audivi illum quondam ad jurisperitum ista dicere: inutiles fere leges esse, sive bonis scribantur, sive malis; alteros enim non indigere legibus, alteros nihilo a legibus fieri meliores.

60. Homeri versum unum maxime cantillabat:

Mors simul ignavum rapit, et qui multa patravit.

61. Thersiten laudabat ut Cynicum quendam concionatorem.

62. Interrogatus, quis philosophorum maxime ipsi probaretur? Omnes quidem, ait, admirabiles: ego vero Socratem veneror, miror Diogenem, amo Aristippum.

63. Vixit annos non multos intra centum, sine morbo, sine dolore, nemini molestus quum fuisset, a nemine quicquam quum petiisset: utilis amicis, qui inimicum nunquam quenquam habuisset. Tanto illum amore prosecuti sunt cum ipsi Athenienses, tum universa Græcia, ut prodeunti in publicum assurgerent principes, silentium autem ab omnibus illi præstaretur. Denique quum ad ultimam senectutem jam pervenisset, invocatus quamcumque luberet domum ingressus, cœnebat ibi pernoctabatque, quam rem dei alicujus adventum existimabant incolæ, bonum aliquem genium domum ad se introiisse putantes. Prætereuntem panum venditrices certatim ad se trahere, postulans unaquæque a se

τοῦτο εὐτυχίαν ἑαυτῆς ἡ δεδωκυῖα ᾤετο. Καὶ μὴν καὶ οἱ παῖδες ὁπώρας προσέφερον αὐτῷ πατέρα ὀνομάζοντες.

64. Στάσεως δέ ποτε Ἀθήνησι γενομένης εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν καὶ φανερὸς μόνον σιωπᾶν ἐποίησεν αὐτούς· ὁ δὲ ἰδὼν ἤδη μετεγνωκότας οὐδὲν εἰπὼν καὶ αὐτὸς ἀπηλλάγη.

65. Ὅτε δὲ συνῆκεν οὐκέθ' οἷός τε ὢν αὐτῷ ἐπικουρεῖν, εἰπὼν πρὸς τοὺς παρόντας τὸν ἐναγώνιον τῶν κηρύκων πόδα,

> Λήγει μὲν ἀγὼν τῶν καλλίστων
> ἄθλων ταμίας, καιρὸς δὲ καλεῖ
> μηκέτι μέλλειν·

καὶ πάντων ἀποσχόμενος ἀπῆλθε τοῦ βίου φαιδρὸς καὶ οἷος ἀεὶ τοῖς ἐντυγχάνουσιν ἐφαίνετο.

66. Ὀλίγον δὲ πρὸ τῆς τελευτῆς ἐρομένου τινός, Περὶ ταφῆς τί κελεύεις; Μὴ πολυπραγμονεῖτε, ἔφη· ἡ γὰρ ὀδμή με θάψει. Φαμένου δὲ ἐκείνου, Τί οὖν; οὐκ αἰσχρὸν ὄρνεοις καὶ κυσὶ βορὰ προτεθῆναι τηλικούτου ἀνδρὸς σῶμα; Καὶ μὴν οὐδὲν ἄτοπον, ἔφη, τοῦτο, εἰ μέλλω καὶ ἀποθανὼν ζῴοις τισὶ χρήσιμος ἔσεσθαι.

67. Οἱ μέντοι Ἀθηναῖοι καὶ ἔθαψαν αὐτὸν δημοσίᾳ μεγαλοπρεπῶς καὶ ἐπὶ πολὺ ἐπένθησαν καὶ τὸν θᾶκον τὸν λίθινον, ἐφ' οὗ εἰώθει ὁπότε κάμνοι ἀναπαύεσθαι, προσεκύνουν καὶ ἐστεφάνουν ἐς τιμὴν τοῦ ἀνδρὸς ἡγούμενοι ἱερὸν εἶναι καὶ τὸν λίθον ἐφ' οὗ ἐκαθέζετο. Ἐπὶ μὲν γὰρ τὴν ἐκφορὰν οὐκ ἔστιν ὅστις οὐκ ἀπήντησε, καὶ μάλιστα τῶν φιλοσόφων· οὗτοι μέντοι ὑποδύντες ἐκόμιζον αὐτὸν ἄχρι πρὸς τὸν τάφον.

Ταῦτα ὀλίγα πάνυ ἐκ πολλῶν ἀπεμνημόνευσα, καὶ ἔστιν ἀπὸ τούτων τοῖς ἀναγιγνώσκουσι λογίζεσθαι ὁποῖος ἐκεῖνος ἀνὴρ ἐγένετο.

panem uti caperet, eoque se feliciorem, quæ dederat, judicare. Quin pueri fructus illi offerre, et appellare patrem.

64. Seditione aliquando Athenis exorta, in concionem prodiit, ipsaque præsentia sua silentium procuravit. At quum videret jam illos resipuisse, verbo nullo prolato iterum discessit.

65. Quum vero intelligeret se non amplius præstare sibi opem posse, dixit ad præsentes præconum illud in certaminum ludis carmen :

> Finit ludus, pulchram tribuens
> meritis laurum, tempusque vocat
> prohibetque moras :

atque abstinens omnibus, vita discessit hilaris, et qualis semper his, qui illum vidissent, apparuit.

66. Paullo ante mortem interrogante aliquo, De sepultura quid jubes? Nolite laborare, inquit, odor me sepeliet. Dicente autem illo : Quid? nonne turpe avibus canibusque cibum jacere talis viri corpus? Quin, ait, nihil absurdi hoc, si mortuus etiam animalibus quibusdam futurus sim utilis.

67. Verum Athenienses et publico illum funere magnifico extulere, et luxerunt diu, et lapideam sedem, in qua acquiescere fessus solebat, adorabant, coronabantque honoris viro habendi causa, rati sacrum etiam esse, in quo sederat, lapidem. Ad funus quidem nemo fuit quin procederet, philosophorum præsertim : hi quidem subeuntes feretro ad sepulcrum illum portarunt.

Hæc pauca sane de multis commemoravi. Et est de his existimandi copia lectoribus, qualis ille vir fuerit.

XXXVIII.

* ΕΡΩΤΕΣ.

1. ΛΥΚΙΝΟΣ. Ἐρωτικῆς παιδιᾶς, ἑταῖρέ μοι Θεόμνηστε, ἐξ ἑωθινοῦ πεπλήρωκας ἡμῶν τὰ κεκμηκότα πρὸς τὰς συνεχεῖς σπουδὰς ὦτα, καί μοι σφόδρα διψῶντι τοιαύτης ἀνέσεως εὔκαιρος ἡ τῶν ἱλαρῶν σου λόγων ἐρρύη χάρις· ἀσθενὴς γὰρ ἡ ψυχὴ διηνεκοῦς σπουδῆς ἀνέχεσθαι, ποθοῦσι δ' οἱ φιλότιμοι πόνοι μικρὰ τῶν ἐπαχθῶν φροντίδων χαλασθέντες εἰς ἡδονὰς ἀνίεσθαι. Πάνυ δή με ὑπὸ τὸν ὄρθρον ἡ τῶν ἀκολάστων σου διηγημάτων αἰμύλη καὶ γλυκεῖα πειθὼ κατηύφρανεν, ὥστ' ὀλίγου δεῖν Ἀριστείδης ἐνόμιζον εἶναι τοῖς Μιλησιακοῖς λόγοις ὑπερκηλούμενος, ἄχθομαί τε νὴ τοὺς σοὺς ἔρωτας, οἷς πλατὺς εὑρέθης σκοπός, ὅτι πέπαυσαι διηγούμενος· καί σε πρὸς αὐτῆς ἀντιβολοῦμεν Ἀφροδίτης, εἰ περιττά με λέγειν ἔοικας, εἴ τις ἄρρην ἢ καὶ νὴ Δία θῆλυς ἐφεῖταί σοι πόθος, ἠρέμα τῇ μνήμῃ

XXXVIII.

* AMORES.

1. LYCINUS. Amatorio lusu, Theomneste sodalis, a mane inde implevisti mihi fatigatas ad perpetua seria aures; mihique vehementer ejusmodi remissionem sitienti, opportuna admodum fluxit hilarium sermonum tuorum venustas. Infirmior enim est animus, quam qui perpetuam contentionem ferre possit; desiderantque ambitiosi labores, gravibus parumper curis laxati, in voluptates remitti. Me sane hoc matutino petulantium sermonum tuorum loquacitas dulcisque suada oblectavit, ut parum abesset quin Aristides mihi viderer, Milesiis sermonibus supra modum oblectatus : atque fero moleste, per tibi tuos amores juro, quibus latus adeo scopus inventus es, quod narrare desiisti : ac per ipsam te Venerem obsecro (si forte vana me dicere putas) sive masculus aliquis, sive femineus hercle tibi amor immissus est, ut placide illum memoriæ ope huc evoces. Nam

ἐκκαλέσασθαι. Καὶ γὰρ ἄλλως ἑορταστικὴν ἄγομεν ἡμέραν Ἡράκλεια θύοντες· οὐκ ἀγνοεῖς δὲ δή που τὸν θεὸν ὡς ὀξὺς ἦν πρὸς Ἀφροδίτην· ἥδιστα οὖν δοκεῖ μοι τῶν λόγων τὰς θυσίας προσήσεσθαι.

2. ΘΕΟΜΝΗΣΤΟΣ. Θᾶττον ἄν μοι, ὦ Λυκῖνε, θαλάττης κύματα καὶ πυκνὰς ἀπ' οὐρανοῦ νιφάδας ἀριθμήσειας ἢ τοὺς ἐμοὺς Ἔρωτας. Ἐγὼ γοῦν ἅπασαν αὐτῶν κενὴν ἀπολελεῖφθαι φαρέτραν νομίζω, κἂν ἐπ' ἄλλον τινὰ πτῆναι θελήσωσιν, ἄνοπλος αὐτῶν ἡ δεξιὰ γελασθήσεται· σχεδὸν γὰρ ἐκ τῆς ἀντίπαιδος ἡλικίας εἰς τοὺς ἐφήβους κριθεὶς ἄλλαις ἀπ' ἄλλων ἐπιθυμίαις βουκολοῦμαι· διάδοχοι ἔρωτες ἀλλήλων καὶ πρὶν ἢ λῆξαι τοὺς προτέρους, ἄρχονται δεύτεροι, κάρηνα Λερναῖα τῆς παλιμφυοῦς Ὕδρας πολυπλοκώτερα μηδ' Ἰόλεων βοηθὸν ἔχειν δυνάμενα· πυρὶ γὰρ οὐ σβέννυται πῦρ. Οὕτω τις ὑγρὸς τοῖς ὄμμασιν ἐνοικεῖ μύωψ, ὃς ἅπαν κάλλος εἰς αὑτὸν ἁρπάζων ἐπ' οὐδενὶ κόρῳ παύεται· καὶ συνεχὲς ἀπορεῖν ἐπέρχεταί μοι, τίς οὗτος Ἀφροδίτης ὁ χόλος· οὐ γὰρ Ἡλιάδης ἐγώ τις οὐδὲ Λημνιάδων ἔρις οὐδὲ Ἱππολύτειον ἀγροικίαν ὠφρυωμένος, ὡς ἐρεθίσαι τῆς θεοῦ τὴν ἄπαυστον ταύτην ὀργήν.

3. ΛΥΚ. Πέπαυσο τῆς ἐπιπλάστου καὶ δυσχεροῦς ταύτης ὑποκρίσεως, Θεόμνηστε. Ἄχθῃ γάρ, ὅτι τούτῳ τῷ βίῳ ἡ τύχη προσεκλήρωσέ σε, καὶ χαλεπὸν εἶναι νομίζεις, εἰ γυναιξὶν ὡραίαις καὶ μετὰ παίδων τὸ καλὸν ἀνθούντων ὁμιλεῖς; ἀλλά σοι καὶ καθαρσίων τάχα δεήσει πρὸς τὸ δυσχερὲς οὕτω νόσημα· δεινὸν γὰρ τὸ πάθος. Ἀλλ' οὐχὶ τοῦτον τὸν πολὺν ἐχχέας λῆρον εὐδαίμονα σαυτὸν εἶναι νομιεῖς, ὅτι σοι ὁ θεὸς οὐκ αὐχμηρὰν γεωργίαν ἐπέκλωσεν οὐδ' ἐμπορικὰς ἅλας καὶ στρατιώτην ἐν ὅπλοις βίον, ἀλλὰ λιπαραὶ παλαῖστραι μέλουσί σοι καὶ φαιδρὰ μὲν ἐσθὴς μέχρι ποδῶν τὴν παρυφὴν καθειμένη, διακριδὸν δ' ἠσκημένης κόμης ἐπιμέλεια; τῶν γε μὴν ἐρωτικῶν ἱμέρων καὶ αὐτὸ τὸ βασανίζον εὐφραίνει καὶ γλυκὺς ὀδοὺς ὁ τοῦ πόθου δάκνει· πειράσας μὲν γὰρ ἐλπίζεις, τυχὼν δ' ἀπολέλαυκας· ἴση δὲ ἡδονὴ τὸ παρεῖναι καὶ τὸ μέλλον. Ἔναγχος γοῦν διηγουμένου σου τὸν πολὺν, ὡς καὶ παρ' Ἡσιόδῳ, κατάλογον ὧν ἀρχῆθεν ἠράσθης, ἱλαραὶ μὲν τῶν ὀμμάτων αἱ βολαὶ τακερῶς ἀνυγραίνοντο, τὴν φωνὴν δ' ἴσην τῇ Λυκάμβου θυγατρὶ λεπτὸν ἀφηδύνων ἀπ' αὐτοῦ τοῦ σχήματος εὐθὺς δῆλος ἦς οὐκ ἐκείνων μόνων, ἀλλὰ καὶ τῆς ἐπ' αὐτοῖς μνήμης ἐρῶν. Ἀλλ' εἴ τί σοι τοῦ κατὰ τὴν Ἀφροδίτην περίπλου λείψανον ἀφεῖται, μηδὲν ἀποκρύψῃ, τῷ δὲ Ἡρακλεῖ τὴν θυσίαν ἐντελῆ παράσχου.

4. ΘΕΟΜΝ. Βουφάγος μὲν ὁ δαίμων, ὦ Λυκῖνε, καὶ ταῖς ἀκάπνοις, ὥς φασι, τῶν θυσιῶν ἥκιστα τερπόμενος. Ἐπεὶ δ' αὐτοῦ τὴν ἐτήσιον ἑορτὴν λόγῳ γεραίρομεν, αἱ μὲν ἐμαὶ διηγήσεις ἐξ ἑωθινοῦ παρατεθεῖσαι κόρον ἔχουσιν, ἡ δὲ σὴ Μοῦσα τῆς συνήθους μεθαρμοσαμένη σπουδῆς ἱλαρῶς τῷ θεῷ συνδιημερευσάτω, καί μοι γενοῦ δικαστὴς ἴσος, ἐπεὶ μηδ' εἰς ἕτερόν σε τοῦ πάθους ῥέποντα ὁρῶ, ποτέρους ἀμείνονας ἡγῇ, τοὺς φιλόπαιδας ἢ τοὺς γυναίοις ἀσμενίζοντας; ἐγὼ

alioquin festum agimus diem, sacrificantes Herculi : non autem ignoras, opinor, deum hunc, quam acer fuerit in Venerem : lubentissime igitur videtur mihi sermonum talium victimas admissurus.

2. THEOMNESTUS. Citius mihi, Lycine, fluctus maris densosque nivis floccos numeraveris, quam meos Amores. Equidem omnem illorum inanem relictam pharetram arbitror, et si involare in alium quenquam voluerint, inermis illorum dextra ridebitur. Nam ab eo fere inde tempore quo e puerili ætate ad pubertati proximos transii, ab aliis cupiditatibus post alias delinior. Succedunt sibi invicem amores, et ante adeo quam priores desinant, incipiunt alteri, Lernæa capita, renascentis illius Hydræ capitibus magis multiplicia, nec Iolaum adjutorem admittentia : neque enim igni ignis exstinguitur. Vegetum adeo oculis meis œstrum insidet, quod pulchritudinem omnem ad se rapiens satietate nulla quiescit. Ac sæpe in mentem mihi venit dubitare, quæ sit tanta Veneris ira. Neque enim de Solis progenie sum, neque Lemniarum offensionis reus, neque Hippolytea rusticitate superciliosus, ut irritaverim implicabilem hanc deæ iram.

3. LYC. Desine fictam hanc et molestam simulationem, Theomneste. Gravaris enim hanc te vitam a Fortuna sortitum, ac durum esse putas inter mulieres formosas et pueros pulchre florentes versari? Forte etiam piaculis tibi quibusdam opus erit ad difficilem adeo morbum : gravis enim ægrimonia. Quin tu effusis multis id genus nugis beatum te esse putato, quod non squalidam tibi agriculturam fato deus attribuit, neque mercatorum errores, militaremve in armis vitam : sed nitidæ tibi palæstræ curæ sunt, ac læta vestis ad pedes usque purpuram demittens; comæque cura in discrimen pexæ. Ceterum amatoriorum desideriorum ipsa etiam tormenta exhilarant, dulcisque dens cupiditatis mordet. Post experimenta enim speras; frueris jam potitus : æqua voluptas est præsens ac futurum. Nuper enim quum recitares longum, qualis est apud Hesiodum, catalogum amorum ab initio inde tuorum, hilares oculorum conjectus molliter fluctuabant : vocem vero, qualis Lycambæ filiæ fuit, blande suaviterque extenuans, ipso illo habitu statim declarabas, te non ipsos modo, sed eorum quoque amare memoriam. Sed si quæ tibi de illa Venerea circumnavigatione sunt reliquiæ repositæ, ne quid occulta, verum perfectam Herculi victimam præsta.

4. THEOMN. Ille quidem deus, Lycine, solidos boves vorat, et victimis sine fumo, ut aiunt, minime delectatur. Quandoquidem autem annuum illius diem festum sermone honoramus, meæ narrationes a matutino inde extentæ satietatem habent : tua vero Musa a consueto studio ad aliud quasi cantus genus concinnata, hilariter cum deo hunc diem transigat : fiasque mihi æquus arbiter, quum in neutrum te morbum proclivem videam, quos meliores putes, puerorumne amatores, an eos qui ferantur in mulierculas? Ego

μὲν γὰρ ὁ πληγεὶς ἑκατέρῳ καθάπερ ἀκριβὴς τρυτάνη τῆς ἐπ' ἀμφότερα πλάστιγξιν ἰσορρόπως ταλαντεύομαι, σὺ δ' ἐκτὸς ὢν ἀδεκάστῳ κριτῇ τῷ λογισμῷ τὸ βέλτιον κρῖνον. Πάντα δὴ περιελὼν ἀκκισμὸν, ὦ φιλότης, ἣν πεπίστευκέ σοι ψῆφον ἡ περὶ τῶν ἐμῶν ἐρώτων κρίσις, ἤδη φέρε.

5. ΛΥΚ. Παιδιᾶς, ὦ Θεόμνηστε, καὶ γέλωτος ἡγῇ τὴν διήγησιν; ἡ δ' ἐπαγγέλλεταί τι καὶ σπουδαῖον. Ἐγὼ γοῦν ἐξ ὑπογύου τῆς ἐπιχειρήσεως ἡψάμην, εἰδὼς ὅτι λίαν, ἀλλ' οὐ παλαιᾶς, ἐξ ὅτου δυοῖν ἀνδροῖν ἀκηκοὼς περὶ τούτοιν συντόνως ἀμιλλωμένοιν ἔτι τὴν μνήμην ἔναυλον ἔχω. Διῃρητο δ' αὐτῶν ἅμα τοῖς λόγοις τὰ πάθη οὐχ ὥσπερ σὺ κατ' εὐκολίαν ψυχῆς ἄϋπνος ὢν διττοὺς ἄρυσαι μισθοὺς,

τὸν μὲν βουκολέων, τὸν ἀργυφα μῆλα νομεύων,

ἀλλ' ὁ μὲν ὑπερφυῶς παιδικοῖς ἥδετο τὴν θήλειαν Ἀφροδίτην βάραθρον ἡγούμενος, ὁ δ' ἀγνεύων ἔρωτος ἄρρενος ἐς γυναῖκας ἐπτόητο. Δυοῖν οὖν μαχομένοιν παθοῖν ἀγωνοθετήσας ἅμιλλαν οὐδ' ἂν εἰπεῖν δυναίμην ὡς ὑπερηνεφράνθην· καί μοι τὰ τῶν λόγων ἴχνη ταῖς ἀκοαῖς ἐνεσφράγισται σχεδὸν ὡς ἀρτίως εἰρημένα. Πᾶσαν οὖν ὑποτιμήσεως ἀφορμὴν ἐκποδὼν ἀποθέμενος ἃ παρ' ἀμφοῖν ἤκουσα λεγόντοιν κατ' ἀκριβὲς ἐπέξειμί σοι.

ΘΕΟΜΝ. Καὶ μὴν ἔγωγε ἐπαναστὰς ἔνθεν ἀπαντικρὺ καθεδοῦμαί σου,

δέγμενος Αἰακίδην ὁπότε λήξειεν ἀείδων.

Σὺ δ' ἡμῖν τὰ πάλαι κλέα ἐρωτικῆς διαφορᾶς μελῳδίᾳ πέραινε.

6. ΛΥΚ. Ἐπ' Ἰταλίαν μοι πλεῖν διανοουμένῳ ταχυναυτοῦν σκάφος ηὐτρέπιστο τούτων τῶν δικρότων, οἷς μάλιστα χρῆσθαι Λιβυρνοὶ δοκοῦσιν ἔθνος Ἰονίῳ κόλπῳ παρῳκισμένον. Ὡς δ' ἐνῆν, πάντας ἐπιχωρίους θεοὺς προσκυνήσας καὶ Δία ξένιον ἵλεω συνεφάψασθαι τῆς ἀποδήμου στρατείας ἐπικαλεσάμενος ἀπ' ἄστεος ὁρικῷ ζεύγει κατῄειν ἐπὶ θάλατταν· εἶτα τοὺς παραπέμποντάς με δεξιωσάμενος — ἠκολούθει δὲ παιδείας λιπαρὴς ὄχλος, οἳ συνεχὲς ἡμῖν ἐντυγχάνοντες ἀνιαρῶς διεζεύγνυντο — τῆς πρύμνης ἐπιβὰς ἐγγὺς ἐμαυτὸν ἵδρυσα τοῦ κυβερνήτου. Καὶ ῥοθίῳ τῷ τῶν ἐλατήρων μετὰ μικρὸν ἀπὸ τῆς γῆς ἀναχθέντες, ἐπειδὴ μάλα καὶ κατόπιν ἡμᾶς ἐποίμαινον αὖραι, τὸν ἱστὸν ἐκ τῶν μεσοκοίλων ἄραντες καρχησίῳ τὸ κέρας προσεστείλαμεν· εἶτ' ἀθρόας κατὰ τῶν κάλων τὰς ὀθόνας ἐκχέαντες ἠρέμα πιμπλαμένου τοῦ λίνου κατ' οὐδὲν οἶμαι βέλους ἐλάττονι ῥοίζῳ διιπτάμεθα βαρὺ τοῦ κύματος ὑποβρυχωμένου περὶ τὴν σχίζουσαν αὐτὸ πρῷραν.

7. Ἀλλ' ἅ γε μὴν ἐν τῷ μεταξὺ παράπλῳ σπουδῆς ἢ παιδιᾶς ἐχόμενα συνηνέχθη, καιρὸς οὐ πάνυ μηκύνειν. Ὡς δὲ τῆς Κιλικίας τὴν ἕφαλον ἀμείψαντες εἰχόμεθα τοῦ Παμφυλίου κόλπου, Χελιδονέας ὑπερθέοντες οὐκ ἀμοχθὶ τοὺς εὐτυχεῖς τῆς παλαιᾶς Ἑλλάδος ὅρους, ἑκάστῃ τῶν Λυκιακῶν πόλεων ἐπεξενούμεθα μύθοις τὰ

enim utroque amore percussus, ut exacta trutina utrisque lancibus, momentis libror æqualibus : tu vero, qui extra causam sis, incorrupto judice, ratiocinatione, quod melius est eliges. Omissis igitur deliciis omnibus, sodalis, quem tibi calculum judicium meis de amoribus permisit, eum jam ferto.

5. LYC. Ludine tu, Theomneste, et risus esse putas eam tractationem? at ea serium etiam quiddam pollicetur. Ego enim nuper manum operi admovi, ac scio, valde id quidem *serium*, sed minime *ludi*, ex quo duo viros audivi de hisce rebus quanta potest contentione certantes, cujus memoria aures adhuc personare videntur. Divisi erant illorum cum sententiis etiam affectus, neque uti tu, prout animo commodum est, pervigil mercedem capis duplicem,

Hanc armenta regens, pecora illam candida pascens :

sed alter supra modum puerorum oblectabatur amoribus, barathrum judicans Venerem muliebrem; alter purus ab amore masculo, furebat in feminas. Quum igitur arbiter essem certaminis inter pugnantes duos affectus, dicere non possum quam incredibiliter sim delectatus. Atque sermonum mihi illorum vestigia velut sigillo quodam impressa sunt auribus, quasi modo dicta essent. Quare deposita statim omni reprehensionis tuæ occasione, quæ ex utroque dicente audivi, accurate tibi enarrabo.

THEOMN. At ego paullum hinc discedens e regione tibi considebo,

Æacidi intentus, dum cesset fundere carmen.

Tu vero jam nobis antiquam gloriam amatoriæ illius concertationis modulate perage.

6. LYC. Versus Italiam navigare mihi cogitanti navigium velox paratum erat, de biremium illo genere, quibus maxime uti perhibentur Liburni, ad Ionium sinum gens habitans. Quantum vero licebat, patrios deos omnes quum adorassem, et Jove hospitali invocato, ut volens propitius peregrinam militiam una capesseret, mulis junctis ab urbe ad mare descendi. Tum complexus eos qui me deduxerant (sequebatur autem assidua eruditionis turba, qui perpetuo nobiscum versati cum molestia jam disjungebantur), et puppi conscensa, prope gubernatorem assedi. Atque remorum impetu brevi tempore de terra in altum evecti, quum valide etiam a tergo nos auræ pastorum instar agerent, malum ex media navi ereximus et carchesio adduximus antennam : deinde collecta per rudentes vela quum effudissemus, impleto sensim linteo, impetu, qui nihil, puto, telo concederet, per mare volavimus, fluctu graviter circa findentem ipsum proram remugiente.

7. Verum quæ inter illum cursum vel seria vel ludicra acciderunt, ea non nimis producenda sunt. Quum vero maritimam Ciliciæ partem prætervecti Pamphylium sinum attigissemus, superatis non sine labore Chelidoneis, felicibus illis antiquæ Græciæ terminis, ad singulas Lyciæ urbes deverti mus, sermonibus plerumque nos oblectantes; nullæ

πολλὰ χαίροντες· οὐδὲν γὰρ ἐν αὐταῖς σαφὲς εὐδαιμονίας ὁρᾶται λείψανον· ἄχρι τῆς Ἡλιάδος ἀψάμενοι Ῥόδου τὸ συνεχὲς τοῦ μεταξὺ πλοῦ διαναπαῦσαι πρὸς ὀλίγον ἐκρίναμεν.

8. Οἱ μὲν οὖν ἐρέται τὸ σκάφος ἕλκον ἐς γῆν ἀνασπάσαντες ἐγγὺς ἐσκήνωσαν, ἐγὼ δ' ηὐτρεπισμένου μοι ξενῶνος ἀπαντικρὺ τοῦ Διονυσίου κατὰ σχολὴν ἐβάδιζον ὑπερφυοῦς ἀπολαύσεως ἐμπιπλάμενος· ἔστι γὰρ ὄντως ἡ πόλις Ἡλίου πρέπον ἔχουσα τῷ θεῷ τὸ κάλλος. Ἐκπεριὼν δὲ τὰς ἐν τῷ Διονυσίῳ στοὰς ἑκάστην γραφὴν κατώπτευον ἅμα τῷ τέρποντι τῆς ὄψεως ἡρωϊκοὺς μύθους ἀνανεούμενος· εὐθὺ γάρ μοι δύο ἢ καὶ τρεῖς προσερρύησαν ὀλίγου διαφόρου πᾶσαν ἱστορίαν ἀφηγούμενοι· τὰ δὲ πολλὰ καὶ αὐτὸς εἰκασίᾳ προὐλάμβανον.

9. Ἤδη δὲ τῆς θέας ἅλις ἔχοντι καὶ διανοουμένῳ μοι βαδίζειν οἰκαδε τὸ ἥδιστον ἐπὶ ξένης ἀπήντησέ μοι κέρδος, ἄνδρες ἐκ παλαιοῦ χρόνου συνήθεις, οὓς οὐδ' αὐτὸς ἀγνοεῖν μοι δοκεῖς πολλάκις ἡμῖν ἰδὼν ἐπιφοιτῶντας ἐνταῦθα, τὸν ἐκ Κορίνθου Χαρικλέα νεανίαν οὐκ ἄμορφον, ἔχοντά τι καὶ κομμωτικῆς ἀσκήσεως ἅτε οἶμαι γυναίοις ἐνωραϊζόμενον· ἅμα δ' αὐτῷ καὶ Καλλικρατίδαν τὸν Ἀθηναῖον τὸν τρόπον ἁπλοϊκόν· προηγουμένως γὰρ πολιτικῶν λόγων προΐστατο καὶ ταυτησὶ τῆς ἀγοραίου ῥητορικῆς. Ἦν δὲ καὶ τῷ σώματι γυμναστικὸς, οὐ δι' ἄλλο τί μοι δοκεῖν τὰς παλαίστρας ἀγαπῶν ἢ διὰ τοὺς παιδικοὺς ἔρωτας· ὅλος γὰρ εἰς τοῦτο ἐπτόητο· τῷ δὲ πρὸς τὸ θῆλυ μίσει πολλὰ καὶ Προμηθεῖ κατηρᾶτο. Πόρρωθεν οὖν ἰδὼν ἑκάτερός με γήθους καὶ χαρᾶς πλέοι προσέδραμον· εἶθ' ὁποῖα φιλεῖ, δεξιωσάμενοι πρὸς αὐτὸν ἐλθεῖν ἑκάτερος ἠξίουν με. Κἀγὼ φιλονεικοῦντας ὁρῶν περαιτέρω, Τὸ μὲν τήμερον, εἶπον, ὦ Καλλικρατίδα καὶ Χαρίκλεις, ἄμφω καλῶς ἔχον ἐστὶν ὑμᾶς παρ' ἐμὲ φοιτᾶν, ἵνα μὴ πλείω τὴν ἔριν ἐγείρητε· ταῖς δὲ ἐφεξῆς ἡμέραις — τρεῖς γὰρ ἐνταῦθα ἢ τέτταρας διέγνωκα μένειν — ἀμοιβαίως ἀνθεστιάσετέ με, κλήρῳ διακριθεὶς ὁ πρότερος.

10. Δοκεῖ ταῦτα. Κἀκείνην μὲν τὴν ἡμέραν εἱστιάρχουν ἐγὼ, τῇ δ' ἐπιούσῃ Καλλικρατίδας, εἶτα μετ' αὐτὸν ὁ Χαρικλῆς. Ἐώρων δὴ καὶ παρὰ τὴν ἑστίασιν ἐναργῆ τῆς ἑκατέρου διαθέσεως τεκμήρια· ὁ μὲν γὰρ Ἀθηναῖος εὐμόρφοις παισὶν ἐξήσκητο, καὶ πᾶς οἰκέτης αὐτῷ σχεδὸν ἀγένειος ἦν μέχρι τοῦ πρῶτον ὑπογραφέντος αὐτοῖς χνοῦ παραμένοντες, ἐπειδὰν δὲ ἰούλοις αἱ παρειαὶ πυκασθῶσιν, οἰκονόμοι καὶ τῶν Ἀθήνησι χωρίων κηδεμόνες ἀπεστέλλοντο. Χαρικλεῖ γε μὴν πολὺς ὀρχηστρίδων καὶ μουσουργῶν χορὸς εἵπετο καὶ πᾶν τὸ δωμάτιον ὡς ἐν Θεσμοφορίοις γυναικῶν μεστὸν ἦν ἀνδρὸς οὐδ' ἀκαρῆ παρόντος, εἰ μή τί που νήπιον ἢ γέρων ὑπερῆλιξ ὀψοποιὸς ὀφθείη, τοῦ χρόνου ζηλοτυπίας ὑποψίαν οὐκ ἔχοντος. Ἦν μὲν οὖν, ὡς ἔφην, καὶ ταῦθ' ἱκανὰ τῆς ἀμφοτέρων γνώμης δείγματα. Πολλάκις γε μὴν ἀψιμαχίαι τινὲς ἐπ' ὀλίγον αὐτοῖς ἐκινήθησαν, οὐχ ὡς πέρας ἔχειν τι τὴν ζήτησιν. Ἀλλ' ἐπεὶ καιρὸς ἦν ἀνάγεσθαι, σύμπλους ἐθελήσαντας αὐτοὺς ἐπηγόenim evidentes in illis fortunarum spectantur reliquiæ; donec sacram Soli Rhodum attigimus, ubi perpetuam quæ adhuc fuerat navigationem intermittere aliquantum decrevimus.

8. Remiges igitur subducto e mari in terram navigio, tentoria in proximo habuerunt: ego vero, quum hospitium mihi e regione ædis Bacchi paratum esset, otiose incedebam, incredibili voluptate largiter fruens. Est enim vere Solis urbs, dignam deo pulchritudinem habens. Circumiens autem undique porticus templi, picturam unamquamque contemplabar, cum visus oblectatione heroicas simul instaurans fabulas: statim enim duo aut tres etiam ad me confluebant, qui parva mercedula omnem mihi historiam enarrarent; pleraque autem et ipse conjectura præcipiebam.

9. Jam satiatus eram spectaculo et domum ire cogitabam, quum quod jucundissimum est in peregrina regione lucrum mihi obtigit, viri a longo inde tempore familiares, quos nec tibi incognitos esse arbitror, qui sæpe hic ad me ventitantes videris, Corinthium Chariclem minime juvenem deformem, habentem aliquid illius exercitationis quæ formæ studet, ut qui mulierculis, puto, pulcher videri gestiat; et una cum illo Callicratidam Atheniensem, moribus simplicem: nam ducem veluti se atque antistitem civilium orationum et forensis illius dicendi facultatis præbebat. Sequebatur vero etiam corporis exercitationes, non aliam ob causam amans, ut mihi videbatur, palæstræ, quam ob puerorum amores, quorum studio plane erat attonitus: odio autem feminei sexus etiam Prometheo sæpe maledicebat. Uterque igitur e longinquo me quum conspexissent, gaudio et lætitia pleni accurrunt: tum, ut assolet, complexi, ad se uterque venire me postulant. Et ego ultra modum ambitiose petentes quum viderem, Hodie, inquam, Callicratida et Charicles, vos ambo ad me venire optimum fuerit, ne in majus tollatis hanc rixam; proximis vero diebus (tres enim hic aut quattuor decrevi manere) vicissim mihi cœnam præbebitis, uter autem prior, sorte decernetur.

10. Placent ista. Itaque illo die convivator ego, postridie Callicratidas, et post ipsum Charicles. Animadverti autem etiam in convivio manifesta animi utriusque indicia. Nam Atheniensis formosis pueris erat instructus, et unusquisque servus illi prope imberbis, qui nempe, dum prima illos lanugo obumbraret, apud ipsum manerent; quum primum vero prima barba densarentur genæ, dispensatores et villici agrorum in Attica dimitterentur. Verum Chariclem multus saltatricularum et musicarum chorus sequebatur, totaque domus, velut in Thesmophoriis, plena erat mulierum, viro plane nullo præsente, nisi forte alicubi infans, aut vetulus coquus conspiceretur, illius nempe ætatis, in quam zelotypa suspicio non caderet. Erant igitur ista quoque, uti dixi, satis aperta sententiæ utriusque specimina. Sæpe autem ad parvum tempus velitationes quædam inter illos commotæ sunt, non tamen ut exitum haberet disputatio. Verum quum discedendi tempus esset, navigationis illos socios, quod sic

μην· διενοοῦντο γὰρ εἰς τὴν Ἰταλίαν ἀπαίρειν ὁμοίως ἐμοί.

11. Καὶ δόξαν ἡμῖν Κνίδῳ προσορμίσαι κατὰ θέαν καὶ τὸ Ἀφροδίτης ἰδεῖν ποθήσαντες ἱερόν — ὑμνεῖται δὲ τούτου τὸ τῆς Πραξιτέλους εὐχερείας ὄντως ἐπαφρόδιτον — ἠρέμα τῇ γῇ προσηνέχθημεν αὐτῆς οἶμαι τῆς θεοῦ λιπαρᾷ γαλήνῃ πομποστολούσης τὸ σκάφος. Τοῖς μὲν οὖν ἄλλοις ἔμελον αἱ συνήθεις παρασκευαὶ, ἐγὼ δὲ τὸ ἐρωτικὸν ζεῦγος ἑκατέρωθεν ἐξαψάμενος κύκλῳ περιήειν τὴν Κνίδον οὐκ ἀγελαστὶ τῆς κεραμευτικῆς ἀκολασίας μετέχων ὡς ἐν Ἀφροδίτης πόλει. Στοὰς δὲ Σωστράτου καὶ τἆλλα ὅσα τέρπειν ἡμᾶς ἐδύνατο, πρῶτον ἐκπεριελθόντες ἐπὶ τὸν νεὼν τῆς Ἀφροδίτης βαδίζομεν, νὼ μὲν, ἐγώ τε καὶ Χαρικλῆς, πάνυ προθύμως, Καλλικρατίδας δ' ὡς ἐπὶ θέαν θήλειαν ἄκων, ἥδιον ἂν οἶμαι τῆς Ἀφροδίτης τῆς Κνιδίας τὸν ἐν Θεσπιαῖς ἀντικαταλλαξάμενος Ἔρωτα.

12. Καί πως εὐθὺς ἡμῖν ἀπ' αὐτοῦ τοῦ τεμένους Ἀφροδίσιοι προσέπνευσαν αὖραι· τὸ γὰρ αἴθριον οὐκ εἰς ἔδαφος ἄγονον μάλιστα λίθων πλαξὶ λείαις ἐστρωμένον, ἀλλ' ὡς ἐν Ἀφροδίτης ἅπαν ἦν γόνιμον ἡμέρων καρπῶν, ἃ ταῖς κόμαις εὐθαλέσιν ἄχρι πόρρω βρύοντα τὸν πέριξ ἀέρα συνωρόφουν. Περιττόν γε μὴν ἡ πυκνόκαρπος ἐτεθήλει μυρρίνη παρὰ τὴν δέσποιναν αὐτῆς δαψιλὴς πεφυκυῖα τῶν τε λοιπῶν δένδρων ἕκαστον, ὅσα κάλλους μετεῖληχεν· οὐδ' αὐτὰ γέροντος ἤδη χρόνου πολιὰ καθαύκινεν, ἀλλ' ὑπ' ἀκμῆς σφριγῶντα νέοις κλωσὶν ἦν ὥρια. Τούτοις δ' ἀνεμέμικτο καὶ τὰ καρπῶν μὲν ἄλλως ἄγονα, τὴν δ' εὐμορφίαν ἔχοντα καρπὸν, κυπαρίττων γε καὶ πλατανίστων αἰθέριαι μήκη καὶ σὺν αὐταῖς αὐτόμολος Ἀφροδίτης ἡ τῆς θεοῦ πάλαι φυγὰς Δάφνη. Παντί γε μὴν δένδρῳ περιπλέγδην ὁ φίλερως προσείρπυζε κιττός. Ἀμφιλαφεῖς ἄμπελοι πυκνοῖς κατήρτηντο βότρυσιν· τερπνοτέρα γὰρ Ἀφροδίτη μετὰ Διονύσου καὶ τὸ παρ' ἀμφοῖν ἡδὺ σύγκρατον, εἰ δ' ἀποζευχθεῖεν ἀλλήλων, ἧττον εὐφραίνουσιν. Ἦν δ' ὑπὸ ταῖς ἄγαν παλινσκίοις ὕλαις ἴλαραι κλισίαι τοῖς ἐνεστιᾶσθαι θέλουσιν, εἰς ἃ τῶν μὲν ἀστικῶν σπανίως ἐπεφοίτων τινές, ἀθρόος δ' ὁ πολιτικὸς ὄχλος ἐπανηγύριζεν ὄντως ἀφροδισιάζοντες.

13. Ἐπεὶ δ' ἱκανῶς τοῖς φυτοῖς ἐτέρφθημεν, εἴσω τοῦ νεὼ παρήειμεν. Ἡ μὲν οὖν θεὸς ἐν μέσῳ καθίδρυται — Παρίας δὲ λίθου δαίδαλμα κάλλιστον — ὑπερήφανον καὶ σεσηρότι γέλωτι μικρὸν ὑπομειδιῶσα. Πᾶν δὲ τὸ κάλλος αὐτῆς ἀκάλυπτον οὐδεμιᾶς ἐσθῆτος ἀμπεχούσης γεγύμνωται, πλὴν ὅσα τῇ ἑτέρᾳ χειρὶ τὴν αἰδῶ λεληθότως ἐπικρύπτειν. Τοσοῦτό γε μὴν ἡ δημιουργὸς ἴσχυσε τέχνη, ὥστε τὴν ἀντίτυπον οὕτω καὶ καρτερὰν τοῦ λίθου φύσιν ἑκάστοις μέλεσιν ἐπιπρέπειν. Ὁ γοῦν Χαρικλῆς ἐμμανές τι καὶ παράφορον ἀναβοήσας, Εὐτυχέστατος, εἶπε, θεῶν ὁ διὰ ταύτην δεθεὶς Ἄρης, καὶ ἅμα προσδραμὼν λιπαρέσι τοῖς χείλεσιν ἐφ' ὅσον ἦν δυνατὸν ἐκτείνων τὸν αὐχένα κατεφίλει· σιγῇ δ' ἐφεστὼς ὁ Καλλικρατίδας κατὰ νοῦν ἀπεθαύ-

vellent, assumsi : cogitabant enim non minus quam ego proficisci in Italiam.

11. Et quum placuisset ad Cnidum appellere spectaculi causa, et templum Veneris videre cuperemus (celebratur autem in illo Praxiteleæ artis opus revera venustum), paullatim ad terram delati sumus, ipsa, puto, dea splendida serenitate navigium nostrum deducente. Reliquis in apparatu consueto occupatis, ego amatorium illud par utrimque suspensum ducens brachiis, in orbem Cnidum circuibam, non sine risu figulinæ lasciviæ, tanquam in Veneris urbe, particeps. Quum autem Sostrati porticus, et quæ oblectare nos poterant reliqua, primum obiissemus, ad Veneris templum progredimur, nos quidem, ego inquam et Charicles, lubentissimo animo; Callicratidas autem, tanquam ad muliebre spectaculum, invitus; qui jucundius, puto, pro Cnidia Venere eum qui Thespiis est Cupidinem permutaturus fuerat.

12. Et ab ipso statim consepto Venereæ velut auræ nobis aspirabant. Subdivalis enim area non in sterile solum politis lapidum tabulis strata; sed tanquam in Veneris sacro totum erat mansuetorum fructuum fertile, quum arbores viridantibus comis in longinquum usque exuberantes, circumjectum aerem quasi tecto concluderent. Præter ceteras vero illa denso fructu myrtus suam apud heram vigebat, uberrime enata, reliquarumque arborum unaquæque quotquot pulchritudinem sortitæ sunt. Neque illas longæ ætatis canities reddiderat marcidas, sed sub ipso maturitatis fastigio novis luxuriantes ramis tempestivæ erant. His immixtæ erant steriles alioquin, sed pulchritudinem pro fructu habentes, cupressorum platanorumque proceritates aeriæ, et cum illis transfuga jam Veneris, olim fugitiva ejus deæ, Daphne (*laurus*). Verum ad unamquamque arborem ambitiose amatoria illa hedera adrepserat. Densis vitibus crebræ pendebant uvæ : jucundior quippe cum Baccho Venus, miscerique se, quod utrimque suave est, patitur; at sejuncti a se invicem minus oblectant. Erant, qua densior umbrosiorque silva, hilares cœnationes iis institutæ, qui convivia ibi agitare vellent, in quas urbanorum hominum raro quidam ventitabant; frequens autem popularium turba festos ibi dies, re quidem vera Veneri operantes, obibant.

13. His plantis satis oblectati, intus in ipsum templum ingressi sumus. Dea igitur in medio collocata est, e Pario marmore, pulcherrimum artificium, superbum atque ad derisum diducto ore renidens. Omnis autem illius pulchritudo nihil tecta, vestitu nullo circumposito, nudata est, nisi quod altera manu pubem furtim occultat. Tantum quidem ars statuaria hic valuit, ut dura adeo et rigida lapidis natura membris omnibus decora videatur. Charicles igitur, quasi furibundum quiddam alienata mente exclamans, Beatissimus, inquit, deorum vinctus propter hanc Mars! et occurrens simul appressis labiis, propensa quantum poterat cervice, illam deosculatur. At silentio astans Callicratidas intra animum admirabatur. Est autem utrimque

μαζεν. Ἔστι δ' ἀμφίθυρος ὁ νεὼς τοῖς θέλουσι κα: κατὰ νώτου τὴν θεὸν ἰδεῖν ἀκριβῶς, ἵνα μηδὲν αὐτῆς ἀθαύμαστον ᾖ. Δι' εὐμαρείας οὖν ἐστὶ τῇ ἑτέρᾳ πύλῃ παρελθοῦσι τὴν ὄπισθεν εὐμορφίαν διαθρῆσαι.

14. Δόξαν οὖν ὅλην τὴν θεὸν ἰδεῖν, εἰς τὸ κατόπιν τοῦ σηκοῦ περιήλθομεν. Εἶτ' ἀνοιγείσης τῆς θύρας ὑπὸ τοῦ κλειδοφύλακος ἐμπεπιστευμένου γυναίου θάμβος αἰφνίδιον ἡμᾶς εἶχε τοῦ κάλλους. Ὁ γοῦν Ἀθηναῖος ἡσυχῇ πρὸ μικροῦ βλέπων ἐπεὶ τὰ παιδικὰ μέρη τῆς θεοῦ κατώπτευσεν, ἀθρόως πολὺ τοῦ Χαρικλέους ἐμμανέστερον ἀνεβόησεν, Ἡράκλεις, ὅση μὲν τῶν μεταφρένων εὐρυθμία, πῶς δ' ἀμφιλαφεῖς αἱ λαγόνες, ἀγκάλισμα χειροπληθές· ὡς δ' εὐπερίγραφοι τῶν γλουτῶν αἱ σάρκες ἐπικυρτοῦνται μήτ' ἄγαν ἐλλιπεῖς αὐτοῖς ὀστέοις προσεσταλμέναι μήτε εἰς ὑπέρογκον ἐκκεχυμέναι πιότητα. Τῶν δὲ τοῖς ἰσχίοις ἐνεσφραγισμένων ἐξ ἑκατέρων τύπων οὐκ ἂν εἴποι τις ὡς ἡδὺς ὁ γέλως· μηροῦ τε καὶ κνήμης ἐπ' εὐθὺ τεταμένης ἄχρι ποδὸς ἠκριβωμένοι ῥυθμοί. Τοιοῦτος ἄρα Γανυμήδης ἐν οὐρανῷ Διὶ τὸ νέκταρ ἥδιον ἐγχεῖ· παρὰ μὲν γὰρ Ἥβης οὐκ ἂν ἐγὼ διακονουμένης ποτὸν ἐδεξάμην. Ἐνθεαστικῶς ταῦτα τοῦ Καλλικρατίδου βοῶντος ὁ Χαρικλῆς ὑπὸ τοῦ σφόδρα θάμβους ὀλίγου δεῖν ἐπεπήγει τακερόν τι καὶ ῥέον ἐν τοῖς ὄμμασι πάθος ἀνυγραίνων.

15. Ἐπεὶ δὲ τοῦ θαυμάζειν ὁ κόρος ἡμᾶς ἀπήλλαξεν, ἐπὶ θατέρου μηροῦ σπίλον εἴδομεν ὥσπερ ἐν ἐσθῆτι κηλῖδα· ἦλεγχε δ' αὐτοῦ τὴν ἀμορφίαν ἡ περὶ τἆλλα τῆς λίθου λαμπρότης. Ἐγὼ μὲν οὖν πιθανῇ τἀληθὲς εἰκασίᾳ τοπάζων φύσιν ᾠμην τοῦ λίθου τὸ βλεπόμενον εἶναι· πάθος γὰρ οὐδὲ τούτων ἔστιν ἔξω, πολλὰ δὲ τοῖς κατ' ἄκρον εἶναι δυναμένοις καλοῖς ἡ τύχη παρεμποδίζει. Μέλαιναν οὖν ἐσπιλῶσθαι φυσικήν τινα κηλῖδα νομίζων καὶ κατὰ τοῦτο τοῦ Πραξιτέλους ἐθαύμαζον, ὅτι τοῦ λίθου τὸ δύσμορφον ἐν τοῖς ἧττον ἐλέγχεσθαι δυναμένοις μέρεσιν ἀπέκρυψεν. Ἡ δὲ παρεστῶσα πλησίον ἡμῶν ζάκορος ἀπίστου λόγου καινὴν παρέδωκεν ἱστορίαν· ἔφη γὰρ οὐκ ἀσήμου γένους νεανίαν — ἡ δὲ πρᾶξις ἀνώνυμον αὐτὸν ἐσίγησε — πολλάκις ἐπιφοιτῶντα τῷ τεμένει σὺν δειλαίῳ δαίμονι ἐρασθῆναι τῆς θεοῦ καὶ πανήμερον αὐτὸν ἐνδιατρίβοντα τῷ ναῷ κατ' ἀρχὰς ἔχειν δεισιδαίμονος ἁγιστείας δόκησιν· ἔκ τε γὰρ τῆς ἑωθινῆς κοίτης πολὺ προλαμβάνων τὸν ὄρθρον ἐπεφοίτα καὶ μετὰ δύσιν ἄκων ἐβάδιζεν οἴκαδε τὴν θ' ὅλην ἡμέραν ἀπαντικρὺ τῆς θεοῦ καθεζόμενος ὀρθὰς ἐπ' αὐτὴν διηνεκῶς τὰς τῶν ὀμμάτων βολὰς ἀπήρειδεν. Ἄσημοι δ' αὐτῷ ψιθυρισμοὶ καὶ κλεπτομένης λαλιᾶς ἐρωτικαὶ διεπεραίνοντο μέμψεις.

16. Ἐπειδὴ δὲ καὶ μικρὰ τοῦ πάθους ἑαυτὸν ἀποβουκολῆσαι θελήσειε, προσειπὼν, τῇ δὲ τραπέζῃ τέτταρας ἀστραγάλους Λιβυκῆς δορκὸς ἀπαριθμήσας διεπέττευε τὴν ἐλπίδα, καὶ βαλὼν μὲν ἐπίσκοπα, μάλιστα δ' εἴ ποτε τὴν θεὸν αὐτὴν εὐβολήσειε, μηδενὸς ἀστραγάλου πεσόντος ἴσῳ σχήματι, προσεκύνει τῆς ἐπιθυμίας τεύξεσθαι νομίζων· εἰ δ', ὁποῖα φιλεῖ, φαύλως κατὰ

aperta illa ædes, si qui volunt etiam a tergo accurate contemplari deam, ut nulla ejus pars admirationi non exponatur. Facile ergo est per alteram januam accedentibus eam etiam, quæ a tergo est, pulchritudinem perspicere.

14. Quum ergo placuisset totam videre deam, ad posticum templi transivimus. Tum aperta janua per mulierculam, cui clavium credita custodia erat, subitus nos stupor ad tantam pulchritudinem corripuit. Atheniensis igitur, qui otiose paullo ante spectasset, ut pueriles deæ partes conspexit, repente furiosius etiam quam Charicles exclamavit : Hercules! quanta dorsi concinnitas, quam plena utrimque latera, amplexus implens manus! quam venuste circumscriptæ clunium carnes sinuantur, neque deficientes nimium et ipsis astrictæ ossibus, neque in nimiæ molis pinguedinem effusæ! Lacunarum autem, coxis ipsis utrimque impressarum, nemo dixerit quam suavis sit risus, femorisque et tibiæ recta linea ad pedem usque protensæ quam exacta proportio. Talis igitur Ganymedes in cœlo Jovi nectar ob id ipsum suavius infundit : nam ab Hebe equidem ministrante potum non accepissem. Fanatico more ista clamante Callicratida, præ nimio stupore Charicles tantum non diriguerat, molli quadam tabe se diffluere natantibus oculis confessus.

15. Quum vero ipsa satietas videndi admirationem abstersisset, labem in altero femore vidimus, ut in veste maculam, cujus deformitatem reliquus saxi candor argueret. Atque ego quidem probabili conjectura verum colligens, lapidis ingenium esse, quod videbamus, putabam. Neque enim hæc talia quoque morbi et vitii omnis expertia sunt, multumque his, quæ summo gradu pulchra esse poterant, fortuna obstat. Nigrum ergo naturalem quendam nævum aspersum ratus, in hoc etiam admirabar Praxitelem, qui deforme illud in lapide iis in partibus, quæ minus deprehendi possent, abscondisset. Verum astans prope nos æditima incredibilem dictu novamque nobis historiam tradidit. Narrabat enim, genere non ignobili juvenem (nomen ejus ut reticeretur, ipsa fecit actio), qui sæpe in templum hoc ventitaret, in amorem deæ malis auspiciis incidisse, qui quum totos dies in templo transigeret, initio superstitiosæ venerationis opinionem sustinuisse : ex ipso enim cubili mane, occupata multum aurora, ventitabat, et post occasum denique invitus domum redibat, totumque diem ex adverso deæ residens, rectos in eam perpetuo oculorum conjectus defigebat. Obscuri autem susurri et furtivi sermonis amatoriæ querelæ ab ipso peragebantur.

16. Si quando vero fallere parumper amorem suum vellet, allocutus ante deam, atque quatuor talis de dama Africana in mensam numeratis, jactu spem suam experiebatur : et si ex sententia jactasset, maxime si quando ipsam deam (Venerem) jecisset, nullo talo eadem facie cadente, adorabat, suæ se cupiditatis compotem futurum putans; sin, ut fieri solet, male jactasset in mensam, talique sinistro

τῆς τραπέζης ῥίψειεν, οἱ δ' ἐπὶ τὸ δυσφημότερον ἀνασταῖεν, ὅλῃ Κνίδῳ καταρώμενος ὡς ἐπ' ἀνηκέστῳ συμφορᾷ κατήφει καὶ δι' ὀλίγου συναρπάσας ἑτέρῳ βόλῳ τὴν πρὶν ἀστοχίαν ἐθεράπευεν. Ἤδη δὲ πλέον αὐτῷ τοῦ πάθους ἐρεθιζομένου τοῖχος ἅπας ἐχαράσσετο καὶ πᾶς μαλακοῦ δένδρου φλοιὸς Ἀφροδίτην καλὴν ἐκήρυσσεν· ἐτιμᾶτο δ' ἐξ ἴσου Διὶ Πραξιτέλης καὶ πᾶν ὅ τι κειμήλιον εὐπρεπὲς οἴκοι φυλάττοιτο, τοῦτ' ἦν ἀνάθημα τῆς θεοῦ. Πέρας αἱ σφοδραὶ τῶν ἐν αὐτῷ πόθων ἐπιτάσεις ἀπενοήθησαν, εὑρέθη δὲ τόλμα τῆς ἐπιθυμίας μαστροπός· ἤδη γὰρ ἐπὶ δύσιν ἡλίου κλίνοντος ἠρέμα λαθὼν τοὺς παρόντας ὄπισθε τῆς θύρας παρεισερρύη καὶ στὰς ἀφανὴς ἐνδοτάτω σχεδὸν οὐδ' ἀναπνέων ἠτρέμει, συνήθως δὲ τῶν ζακόρων ἔξωθεν τὴν θύραν ἐφελκυσαμένων ἔνδον ὁ καινὸς Ἀγχίσης καθεῖρκτο. Καὶ τί γὰρ ἀρρήτου νυκτὸς ἐγὼ τόλμαν ἢ ἄλλος ἐπ' ἀκριβὲς ὑμῖν διηγοῦμαι; τῶν ἐρωτικῶν περιπλοκῶν ἴχνη ταῦτα μεθ' ἡμέραν ὤφθη καὶ τὸν σπίλον εἶχεν ἡ θεὸς ὧν ἔπαθεν ἔλεγχον. Αὐτόν γε μὴν τὸν νεανίαν, ὡς ὁ δημώδης ἱστορεῖ λόγος, ἢ κατὰ πετρῶν φασιν ἢ κατὰ πελαγίου κύματος ἐνεχθέντα παντελῶς ἀφανῆ γενέσθαι.

17. Ταῦτα τῆς ζακόρου διηγουμένης μεταξὺ τοῦ λόγου διαβοήσας εἶπεν ὁ Χαρικλῆς, Οὐκοῦν τὸ θῆλυ, κἂν λίθινον ᾖ, φιλεῖται. Τί δ', εἴ τις ἔμψυχον εἶδε τοιοῦτο κάλλος; ἆρ' οὐκ ἂν ἡ μία νὺξ τῶν τοῦ Διὸς σκήπτρων ἐτιμᾶτο; Μειδιάσας δὲ ὁ Καλλικρατίδας, Οὐδέπω, φησίν, ἴσμεν, ὦ Χαρίκλεις, εἰ πολλῶν ἀκουσόμεθα τοιούτων διηγημάτων, ὅταν ἐν Θεσπιαῖς γενώμεθα. Καὶ νῦν δὲ τῆς ὑπὸ σοῦ ζηλουμένης Ἀφροδίτης ἐναργές ἐστι τοῦτο δεῖγμα. Πῶς; ἐρομένου τοῦ Χαρικλέους, ἄγαν πιθανῶς μοι ἔδοξε λέγειν ὁ Καλλικρατίδας· ἔφη γὰρ ὡς ὁ ἐρασθεὶς νεανίας παννύχου σχολῆς λαβόμενος, ὥσθ' ὅλην τοῦ πάθους ἔχειν ἐξουσίαν κορεσθῆναι, παιδικῶς τῷ λίθῳ προσωμίλησε βουληθεὶς οἷδ' ὅτι μηδ' ἐν τῷ θήλει πρόσθεν εἶναι τὸ θῆλυ. Πολλῶν οὖν ἀκρίτων ἀφυλακτουμένων λόγων τὸν συμμιγῆ καταπαύσας ἐγὼ θόρυβον, Ἄνδρες, εἶπον, ἑταῖροι, τῆς κατὰ κόσμον ἔχεσθε ζητήσεως, ὡς εὐπρεπής ἐστι νόμος παιδείας. Ἀπαλλαγέντες οὖν τῆς ἀτάκτου καὶ πέρας οὐδὲν ἐχούσης φιλονεικίας ἐν μέρει ὑπὲρ τῆς αὐτὸς ἑαυτοῦ δόξης ἑκάτερος ἀποτείνασθε· καὶ γὰρ οὐδέπω καιρὸς ἐπὶ ναῦν ἀπιέναι· τῇ δὲ σχολῇ καταχρηστέον εἰς ἱλαρίαν καὶ μετὰ τέρψεως ὠφελῆσαι δυναμένην σπουδήν. Ὑπεκστάντες οὖν τοῦ νεώ — πολὺς γὰρ ὁ κατ' εὐσέβειαν ἐπιφοιτῶν ὄχλος — εἰς ἕν τι τῶν συμποσίων ἀποκλίνωμεν, ὅπως δι' ἠρεμίας ἀκούειν τε καὶ λέγειν ἅττ' ἂν ᾖ βουλομένοις ἐξῇ. Μέμνησθε δὲ ὡς ὁ τήμερον ἡττηθεὶς οὐκέτ' αὖθις ἡμῖν περὶ τῶν ἴσων διοχλήσει.

18. Καλῶς ἔδοξα ταῦτα λέγειν καὶ συγκαταινεσάντων ἐξήειμεν, ἐγὼ μὲν ἡδόμενος οὐδεμιᾶς με πιεζούσης φροντίδος, οἱ δ' ἐπὶ συννοίας μεγάλην ἐν ἑαυτοῖς σκέψιν ἄνω καὶ κάτω κυκλοῦντες ὡς περὶ τῆς προπομπίας ἀγωνιούμενοι Πλαταιάσιν. Ἅμα δ' ἥκομεν εἴς τι

omine starent, toti maledicens Cnido, tanquam in immedicabili calamitate, tristitia deprimebatur; interjecto tamen parvo tempore correptis denuo talis, novo jactu priorem infelicitatem emendabat. Jam vero magis irritato morbo, paries insculpi omnis, unusquisque arbusculæ mollis cortex pulchram Venerem prædicare, æquo ac Jupiter in honore esse Praxiteles; si quid domi pretiosum et decens repositum custodiret, donarium offerri deæ. Tandem vehemens desideriorum illius contentio excedit in amentiam; ac præsto est, quæ cupiditati lenocinetur, audacia. Jam enim ad occasum inclinato sole, sensim, clam præsentibus, post januam correpsit, et stans occultus in penitissimo angulo, vix respirans se continuit. Æditimis autem pro more extrorsum ad se januam trahentibus, intus Anchises novus includitur. Et, quid enim infandæ noctis facinus aut ego aut alius accurate vobis enarret? amplexationum amatoriarum vestigia istæc interdiu conspecta sunt, et maculam habet dea eorum quæ passa est indicium. Ipsum quidem adolescentem, ut popularis fert sermo, aut per petras, aiunt, aut in pelagios fluctus præcipitem, omnino e conspectu hominum abiisse.

17. Hæc narrante æditima, clamore sermonem illius interpellans Charicles, Ergo, ait, femina, si vel e lapide sit, amatur! Quid vero, si quis animatam ejusmodi pulchritudinem videat? nonne una illius nox Jovis sceptris æstimetur? Subridens autem Callicratidas, Nondum, inquit, Charicles, novimus, an multas id genus narrationes audituri simus, quum erimus Thespiis. Et nunc jam ejus, quam tu tanto opere admiraris, Veneris manifestum est hoc documentum. Qui istuc? interrogante Charicle, probabili admodum sermone uti mihi visus est Callicratidas, quum diceret, amatorem illum juvenem, totius noctis otiosam usuram nactum, adeo ut integram exsatiandæ cupiditatis facultatem haberet, puerilem in modum saxo se applicuisse, qui vellet scilicet ne feminam quidem anteriori parte esse feminam. Multis igitur indiscretis sermonibus elatratis, quum promiscuum ego tumultum sedassem, Viri, inquam, sodales, modestum servate disputandi ordinem, ut venusta lex est eruditionis. Relicta ergo perturbata illa et exitum habente nullum rixa, per vices pro sua uterque sententia contendite. Etenim tempus nondum adest eundi ad navim; otio autem abutendum ad hilaritatem et ad ejusmodi, quod cum delectatione prodesse etiam queat, studium. Egressi itaque templo (quando quidem multa turba religionis causa affluebat), in cœnationum unam devertamus, ut otiose audire et dicere, quæcumque libuerit, liceat. Mementote autem, qui hodie victus fuerit, eum non amplius de iisdem rebus molestum nobis futurum.

18. Recte ista dicere visus sum, et comprobantibus illis, egressi sumus, lætus ego, quem cura nulla angeret: at isti cogitabundi, qui magnam intra se commentationem sursum deorsum volverent, quasi de pompæ ducatu Platæis decertaturi. Quum autem delati essemus ad tecta undique et

συνηρεφὲς καὶ παλίνσκιον ὥρᾳ θέρους ἀναπαυστήριον, Ἡδύς, εἰπών, ὁ τόπος, ἐγὼ, καὶ γὰρ οἱ κατὰ κορυφὴν λιγυρὸν ὑπηχοῦσι τέττιγες, ἐν μέσῳ πάνυ δικαστικῶς καθεζόμην αὐτὴν ἐπὶ ταῖς ὀφρύσι τὴν Ἡλιαίαν ἔχων. Προθεὶς δ' ἀμφοτέροις κλῆρον ὑπὲρ τοῦ τίνα χρὴ πρῶτον εἰπεῖν, ἐπειδὴ Χαρικλῆς ἐλελόγχει πρότερον, εὐθὺς ἐνάρχεσθαι τοῦ λόγου διεκελευσάμην.

19. Ὁ δὲ τῇ δεξιᾷ τὸ πρόσωπον ἀνατρίψας ἡσυχῇ καὶ μικρὸν ἐπισχὼν ἄρχεται τῇδέ πη· Σὲ, δέσποινα, τῶν ὑπὲρ σοῦ λόγων, Ἀφροδίτη, σὲ βοηθὸν αἱ ἐμαὶ δεήσεις καλοῦσιν· ἅπαντι μὲν γὰρ ἔργῳ κἂν βραχὺ τῆς ἰδίας πειθοῦς ἐπιστάξῃς, τελειότατόν ἐστιν, οἱ δ' ἐρωτικοὶ λόγοι περιττῶς σοῦ δέονται· σὺ γὰρ αὐτῶν γνησιωτάτη μήτηρ. Ἴθι δὴ γυναιξὶ συνήγορος ἡ θήλεια, χάρισαι δὲ καὶ τοῖς ἀνδράσι μένειν ἄρρεσιν, ὡς ἐγεννήθησαν. Ἔγωγ' οὖν εὐθὺς ἐν ἀρχῇ τοῦ λόγου τὴν προμήτορα καὶ πάσης γενέσεως πρωτόρριζον ὧν ἀξιῶ μάρτυρα ἐπικαλοῦμαι, λέγω δὲ τὴν ἱερὰν τῶν ὅλων φύσιν, ἣ τὰ πρῶτα πηξαμένη στοιχεῖα τοῦ κόσμου γῆν ἀέρα πῦρ ὕδωρ τῇ πρὸς ἄλληλα τούτων ἐπικράσει πᾶν ἐζωογόνησεν ἔμψυχον. Ἐπισταμένη δ' ὅτι θνητῆς ἐσμὲν ὕλης ὀημιούργημα καὶ βραχὺς χρόνος ὁ τοῦ ζῆν ἑκάστῳ καθείμαρται, τὴν ἑτέρου φθορὰν ἄλλου γένεσιν ἐμηχανήσατο καὶ τῷ θνήσκοντι τὸ τικτόμενον ἀντεμέτρησεν, ἵνα ταῖς παρ' ἀλλήλων διαδοχαῖς εἰς τὸν ἀεὶ χρόνον ζῶμεν. Ἐπεὶ δ' ἦν ἄπορον ἐξ ἑνός τι γεννᾶσθαι, διπλῆν ἐν ἑκάστῳ φύσιν ἐμηχανήσατο· τοῖς μὲν γὰρ ἄρρεσιν ἰδίας καταβολὰς σπερμάτων χαρισαμένη, τὸ θῆλυ δ' ὥσπερ γονῆς τι δοχεῖον ἀποφήνασα, κοινὸν ἀμφοτέρῳ γένει πόθον ἐγκερασαμένη συνέζευξεν ἀλλήλοις, θεσμὸν ἀνάγκης ὅσιον καταγράψασα μένειν ἐπὶ τῆς οἰκείας φύσεως ἑκάτερον, καὶ μήτε τὸ θῆλυ παρὰ φύσιν ἀρρενοῦσθαι μήτε τἄρρεν ἀπρεπῶς μαλακίζεσθαι. Διὰ τοῦθ' αἱ σὺν γυναιξὶν ἀνδρῶν ὁμιλίαι μέχρι δεῦρο τὸν ἀνθρώπινον βίον ἀθανάτοις διαδοχαῖς φυλάττουσιν· οὐδεὶς δ' ἀνὴρ ἀπ' ἀνδρὸς αὐχεῖ γενέσθαι. Δυοῖν δ' ὀνομάτοιν σεβασμίοιν πᾶσαι τιμαὶ μένουσιν ἐξ ἴσου πατρὶ μητέρα προσκυνούντων.

20. Κατ' ἀρχὰς μὲν οὖν ἔθ' ἡρωϊκὰ φρονῶν ὁ βίος καὶ τὴν γείτονα θεῶν σέβων ἀρετὴν οἷς ἐνομοθέτησεν ἡ φύσις ἐπειθάρχει, καὶ καθ' ἡλικίας μέτρα γυναιξὶ ζευγνύμενοι γενναῖων πατέρες ἐγίγνοντο τέκνων· κατὰ μικρὸν δ' ὁ χρόνος ἀπ' ἐκείνου τοῦ μεγέθους ἐς τὰ τῆς ἡδονῆς καταβαίνων βάραθρα ξένας ὁδοὺς καὶ παρηλλαγμένας ἀπολαύσεων ἔτεμνεν. Εἶθ' ἡ πάντα τολμῶσα τρυφὴ τὴν φύσιν αὐτὴν παρενόμησε· καὶ τίς ἄρα πρῶτος ὀφθαλμοῖς τὸ ἄρρεν εἶδεν ὡς θῆλυ, δυοῖν θάτερον ἢ τυραννικῶς βιασάμενος ἢ πείσας πανούργως; συνῆλθε δ' εἰς μίαν κοίτην μία φύσις· αὐτοὺς δ' ἐν ἀλλήλοις δρῶντες οὔθ' ἃ δρῶσιν οὔθ' ἃ πάσχουσιν, ᾐδοῦντο, κατὰ πετρῶν δὲ, φασὶν, ἀγόνων σπείραντες ὀλίγης ἡδονῆς ἀντικατηλλάξαντο μεγάλην ἀδοξίαν.

21. Τούτοις γε μὴν εἰς τοσοῦτον τυραννικῆς βίας ἡ τόλμα προέκοψεν, ὡς μέχρι σιδήρῳ τὴν φύσιν ἱεροσυ-

umbrosa ipso æstatis tempore sedilia, Suavis locus, dicens ego, etenim in cacumine jucundum quiddam cicadæ strepunt; in medio, plane judicis in morem, consedi ipsam in superciliis meis Heliæam præferens. Quum vero sortem ambobus de eo, uter prior diceret, proposuissem, et Clericles priorem locum sortitus esset, eum statim ingredi orationem jussi.

19. At ille dextra mulcens faciem, aliquantum cunctatus sic fere exorsus est: Te, domina, causæ pro te, Venus, dicendæ adjutricem preces meæ advocant. Cuicumque enim operi vel parvum quiddam tuæ suadelæ asperseris, illico perfectissimum est: amatorii autem sermones præcipue te indigent; tu enim germanissima illorum mater. Veni sane advocata mulieribus, quæ es ipsa femina: etiam viris largire, ut mares manere velint, prout nati sunt. Equidem in principio statim orationis primam matrem, primam generationis omnis radicem, eorum quæ vera esse censeo testem advoco, sanctam illam dico universorum naturam, quæ prima cogens et concilians mundi elementa, terram, aera, ignem, aquam, horum ad se invicem commistione animata omnia ad vitam generavit. Quod vero sciret mortalis nos materiæ opificium esse et breve vivendi tempus fato unicuique assignatum, ut unius interitus generatio alterius esset machinata est, et pro his quæ morientur ea quæ nascuntur admensa est, ut mutuis successionibus perpetuo tempore vivamus. Quum autem fieri non posset, ex uno uti quicquam nasceretur, duplicem in unoquoque genere naturam machinata est, maribus suas seminum conjectiones largita, feminam autem velut receptaculum genituræ constituens. Quum igitur commune utrique generi desiderium admiscuisset, ea sibi invicem copulavit, sacra necessitatis lege præscripta, ut in sua unumquodque natura maneat, et neque muliebre genus præter naturam affectet virilia, neque indecenter virile mollescat. Itaque virorum cum mulieribus consuetudo ad hunc diem immortalibus humanam vitam successionibus custodit: neque enim quisquam vir ex viro se natum gloriatur: duobusque nominibus venerabilibus honores omnes tribuuntur, hominibus ex æquo patri matrem etiam adorantibus.

20. Initio igitur, quum heroicis adhuc sententiis viverent homines, et vicinam deorum virtutem colerent, legibus a natura constitutis obtemperabant, et pro ætatis modo conjuncti mulieribus, generosorum patres liberorum facti sunt. Paullatim vero vita ab illa magnitudine ad voluptatis barathra se demittens, novas quasdam vias et immutatas fruendi secuerunt. Deinde luxuria nihil non audens ipsius naturæ legem violavit. Et quis inde primus ita marem oculis ut feminam intuitus est, alterutrum horum, aut tyrannico eum more violans, aut callidis persuasionibus inducens? intravit cubile unum unus sexus: quumque se alterum in altero viderent, neque quæ facerent, neque quæ paterentur, erubescebant, atque per sterilia, quod aiunt, saxa seminantes, pro parva voluptate magnam permutabant infamiam.

21. His quidem eo usque violentiæ tyrannicæ processit audacia, ut ferro etiam sacrilego naturam violarent: nam

λῆσαι· τῶν δ' ἀρρένων τὸ ἄρρεν ἐκκενώσαντες εὗρον ἡδονῆς παρέλκοντα μέτρα. Οἱ δ' ἄθλιοι καὶ δυστυχεῖς ἵν' ἐπὶ πλέον ὦσι παῖδες, οὐδὲ ἔτι μένουσιν ἄνδρες, ἀμφίβολον αἴνιγμα διπλῆς φύσεως, οὔτ' εἰς ὃ γεγέννηνται φυλαχθέντες οὔτ' ἔχοντες ἐφ' ὃ μετέβησαν· τὸ δ' ἐν νεότητι παραμεῖναν ἄνθος εἰς γῆρας αὐτοὺς μαραίνει πρόωρον. Ἅμα γὰρ ἐν παισὶν ἀριθμοῦνται, καὶ γεγηράκασιν οὐδὲν ἀνδρῶν μεταίχμιον ἔχοντες. Οὕτως ἡ μιαρὰ καὶ παντὸς κακοῦ διδάσκαλος τρυφὴ ἄλλην ἀπ' ἄλλης ἡδονὰς ἀναισχύντους ἐπινοοῦσα μέχρι τῆς οὐδὲ ῥηθῆναι δυναμένης εὐπρεπῶς νόσου κατώλισθεν, ἵνα μηδὲν ἀγνοῇ μέρος ἀσελγείας.

22. Εἰ δ' ἐφ' ὧν ἡ πρόνοια θεσμῶν ἔταξεν ἡμᾶς, ἕκαστος ἕδρυτο, ταῖς μετὰ γυναικῶν ἂν ὁμιλίαις ἠρκούμεθα καὶ παντὸς ὀνείδους ὁ βίος ἐκαθάρευεν. Ἀμέλει παρὰ τοῖς οὐδὲν ἐκ πονηρᾶς διαθέσεως παραχαράξαι δυναμένοις ζῴοις ἄχραντος ἡ τῆς φύσεως νομοθεσία φυλάττεται· λέοντες οὐκ ἐπιμαίνονται λέουσιν, ἀλλ' ἡ κατὰ καιρὸν Ἀφροδίτη πρὸς τὸ θῆλυ τὴν ὄρεξιν αὐτῶν ἐκκαλεῖται· ταῦρος ἀγελάρχης βουσὶν ἐπιθόρνυται, καὶ κριὸς ὅλην τὴν ποίμνην ἄρρενος πληροῖ σπέρματος. Τί δέ; οὐ συῶν μὲν εὐνὰς μεταδιώκουσι κάπροι; λυκαίναις δ' ἐπιμίγνυνται λύκοι; καθόλου δ' εἰπεῖν, οὔθ' οἱ ἀέρια ροιζοῦντες ὄρνεις οὔθ' ὅσα τὴν ὑγρὰν καθ' ὕδατος εἵληχε λῆξιν, ἀλλ' οὐδ' ἐπὶ γῆς τι ζῷον ἄρρενος ὁμιλίας ἐπωρέχθη, μένει δὲ ἀκίνητα τῆς προνοίας τὰ δόγματα. Ὑμεῖς δ', ὦ μάτην ἐπὶ τῷ φρονεῖν εὐλογούμενοι, θηρίον ὡς ἀληθῶς φαῦλον, ἄνθρωποι, τίνι καινῇ νόσῳ παρανομήσαντες ἐπὶ τὴν κατ' ἀλλήλων ὕβριν ἠρέθισθε; τίνα τῆς ψυχῆς τυφλὴν ἀναισθησίαν καταχέαντες ἀμφοῖν ἠστοχήκατε φεύγοντες ἃ διώκειν ἔδει καὶ διώκοντες ἀφ' ὧν ἔδει φεύγειν; καὶ καθ' ἕνα τοιαῦτα ζηλοῦν πάντων ἑλομένων οὐδὲ εἷς ἔσται.

23. Ἀλλὰ γὰρ ἐνταῦθα τοῖς Σωκρατικοῖς ὁ θαυμαστὸς ἀναφύεται λόγος, ὑφ' οὗ παιδικαὶ μὲν ἀκοαὶ τελείων ἐνδεεῖς λογισμῶν φενακίζονται· τὸ δ' ἤδη κατὰ φρόνησιν ἐς ἄκρον ἔχον οὐκ ἂν ὑπαχθῆναι δύναιτο· ψυχῆς γὰρ ἔρωτα πλάττονται καὶ τὸ τοῦ σώματος εὔμορφον αἰδούμενοι φιλεῖν ἀρετῆς καλοῦσιν αὐτοὺς ἐραστάς. Ἐφ' οἷς μοι πολλάκις καχάζειν ἐπέρχεται. Τί γὰρ παθόντες, ὦ σεμνοὶ φιλόσοφοι, τὸ μὲν ἤδη μακρῷ χρόνῳ δεδωκὸς ἑαυτοῦ πεῖραν ὁποῖόν ἐστιν, ᾧ πολιὰ προσήκουσα καὶ γῆρας ἀρετὴν μαρτυρεῖ, δι' ὀλιγωρίας παραπέμπετε, πᾶς δὲ ὁ σοφὸς ἔρως ἐπὶ τὸ νέον ἐπτόηται, μηδέπω τῶν λογισμῶν ἐν αὐτῷ, πρὸς ἃ τραπήσονται, κρίσιν ἐχόντων; ἢ νόμος ἐστὶ, πᾶσαν μὲν ἀμορφίαν πονηρίας εἶναι κατάκριτον, εὐθὺς δ' ὡς ἀγαθὸν ἐπαινεῖσθαι τὸν καλόν; Ἀλλά τοι κατὰ τὸν μέγαν ἀληθείας προφήτην Ὅμηρον

εἶδός τις ἀκιδνότερος πέλει ἀνὴρ,
ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει, οἱ δέ τ' ἐς αὐτὸν
τερπόμενοι λεύσσουσιν, ὁ δ' ἀσφαλέως ἀγορεύει
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν·
ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὣς εἰσορόωσιν.

Καὶ πάλιν εἶπέ που λέγων·

marium exhausta virilitate, cumulum quendam voluptatis inveniebant. At miseri illi atque infelices, ut diutius sint pueri, non jam manent viri, ambiguum ænigma sexus duplicis, qui neque in quem nati sunt servaverint, neque habeant ad quem transiere: flos autem ille, qui in juventute aliquantum manserat, in senectutem uti præmaturam flaccescant, efficit. Simul enim in pueris censentur, et consenuere, nullum virorum intervallum habentes. Adeo impura illa et mali omnis magistra luxuria voluptates impudentes aliam ex alia excogitans, ad eum usque morbum qui neque nominari honeste potest, lubrico vestigio prolapsa est, ut nullam libidinis partem ignoraret.

22. Si vero in qua nos lege constituit providentia, unusquisque permaneret, mulierum consuetudine contenti essemus, et criminis omnis vita esset pura. Nempe apud animalia, quæ vitiare nihil prava affectione animi possunt, non polluta naturæ lex servatur. Non furunt leones in sui sexus leones, sed tempestiva Venus ad feminam libidinem illorum excitat. Dux armenti taurus in vaccas salit, et aries universum gregem masculo implet semine. Quid vero? non suum cubilia persequuntur apri? non lupas lupi inscendunt? Universim dicamus, neque qui aerias regiones perstrepunt volucres, nec quæcumque humidam per aquas sortem sortita sunt; sed neque in terra ullum animal masculam illam consuetudinem appetiit, verum immota manent decreta providentiæ. Vos vero, o frustra sapientiæ nomine bene audientes, mala profecto bestia, homines, quo novo morbo contra leges in mutuam contumeliam irritati estis? quo cæco mentibus stupore offuso utrimque aberrastis, fugientes quæ consectari oportebat, et a quibus fugiendum erat, ea consectantes? Ac si singulatim omnes eandem sibi rationem sequendam eligant, ne unus quidem superstes fuerit.

23. Verum enim vero hic Socraticis præclara illa, si diis placet, nascitur oratio, qua pueriles aures, plena ratiocinandi facultate nondum munitæ, decipiuntur: sed quisquis ad maturitatem quandam mentis pervenerit, supplantari non jam possit. Animi enim quendam amorem fingunt, et quum pudeat illos corporis amare formam, virtutis se amatores vocant. Qua in re cachinnari sæpe me subit. Quid enim vobis in mentem venit, venerabiles philosophi, quod eam ætatem, quæ longo jam tempore sui experimentum dedit, cui canities convenit et senectus virtutis testimonium perhibet, contemtam transmittitis? sed sapiens omnis amor in teneram ætatem attonito impetu fertur, in qua judicari nondum potest, quorsum se conversura sit sententia? an lex est, deformitatem omnem pravitatis esse damnatam, continuo tanquam bonum laudari, quicquid pulchrum est? Verum enim vero secundum magnum veritatis interpretem Homerum

Alius pulchro minus enitet ore;
at formam eloquio deus ornat, eumque tuentur
læti omnes: suavi intrepidus commixta pudore
dum fatur, medioque in cœtu præstat honore;
perque urbem aspiciunt gradientem numinis instar.

Et rursus dicit alicubi,

Οὐκ ἄρα σοί γ' ἐπὶ εἶδεϊ καὶ φρένες ἦσαν.

Ἀμέλει τοῦ καλοῦ Νιρέως ὁ σοφὸς Ὀδυσσεὺς πλέον ἐπαινεῖται.

24. Πῶς οὖν φρονήσεως μὲν ἢ δικαιοσύνης τῶν τε λοιπῶν ἀρετῶν, αἷ τελείοις ἀνδράσι σύγκληρον εἰλήχασι τάξιν, οὐδεὶς ἔρως ἐντρέχει, τὸ δ' ἐν παισὶ κάλλος ὀξυτάτας ὁρμὰς παθῶν ἐγείρει; πάνυ γοῦν ἐρᾶν ἔδει Φαίδρου διὰ Λυσίαν, ὦ Πλάτων, ὃν προὔδωκεν. Ἢ τὴν ἀρετὴν φιλεῖν Ἀλκιβιάδου εἰκὸς ἦν, διότι ἠκρωτηρίαζε τὰ θεῶν ἀγάλματα καὶ τὴν ἐν Ἐλευσῖνι τελετὴν αἱ παρὰ πότον ἐξορχοῦνται φωναί; τίς ἐραστὴς ὁμολογεῖ γενέσθαι προδιδομένων Ἀθηνῶν καὶ Δεκελείας ἐπιτειχιζομένης καὶ βίου τυραννίδα βλέποντος; Ἀλλ' ἄχρι μὲν οὐδέπω κατὰ τὸν ἱερὸν Πλάτωνα πώγωνος ἐπίμπλατο, πᾶσιν ἐπέραστος ἦν· μεταβὰς δ' ἀπὸ τοῦ παιδὸς εἰς τὸν ἄνδρα, καθ' ἣν ἡλικίαν ἡ τέως ἀτελὴς φρόνησις ὁλόκληρον εἶχε τὸν λογισμόν, ὑπὸ πάντων ἐμισεῖτο. Τί δή; πάθεσιν αἰσχροῖς ὀνομάτων ἐπιγράφοντες αἰδῶ ψυχῆς ἀρετὴν λέγουσι τὴν τοῦ σώματος εὐπρέπειαν οἱ φιλόνεοι μᾶλλον ἢ φιλόσοφοι. Καὶ ταῦτα μὲν ἡμῖν ὑπὲρ τοῦ μὴ δοκεῖν ἐπισήμων ἀνδρῶν φιλαπεχθημόνως μνημονεύειν ἐπὶ τοσοῦτον εἰρήσθω.

25. Μικρὰ δ' ἀπὸ τῆς ἄγαν σπουδῆς ἐπὶ τὴν ὑμετέραν, ὦ Καλλικρατίδα, καταβὰς ἡδονὴν ἐπιδείξω παιδικῆς χρήσεως πολὺ τὴν γυναικείαν ἀμείνω. Καὶ τό γε πρῶτον ἐγὼ πᾶσαν ἀπόλαυσιν ἡγοῦμαι τερπνοτέραν εἶναι τὴν χρονιωτέραν· ὀξεῖα γὰρ ἡδονὴ παραπτᾶσα φθάνει πρὶν ἢ γνωσθῆναι πεπαυμένη, τὸ δ' εὐφραῖνον ἐν τῷ παρέλκοντι κρεῖττον. Ὡς εἴθε γε καὶ βίου μακρὰς προθεσμίας ἡ μικρολόγος ἡμῖν ἐπέκλωσε Μοῖρα καὶ τὸ πᾶν ἦν διηνεκὴς ὑγίεια μηδεμιᾶς λύπης τὴν διάνοιαν ἐκνεμομένης· ἑορτὴν γὰρ ἂν καὶ πανήγυριν τὸν ὅλον χρόνον ἤγομεν. Ἀλλ' ἐπεὶ τῶν μειζόνων ἀγαθῶν ὁ βάσκανος δαίμων ἐνεμέσησεν, ἔν γε τοῖς παροῦσιν ἥδιστα τὰ παρέλκοντα. Γυνὴ μὲν οὖν ἀπὸ παρθένου μέχρι ἡλικίας μέσης, πρὶν ἢ τελέως τὴν ἐσχάτην ῥυτίδα τοῦ γήρως ἐπιδραμεῖν, εὐάγκαλον ἀνδράσιν ὁμίλημα, κἂν παρέλθῃ τὰ τῆς ὥρας, ὅμως « ἡ ἐμπειρία ἔχει τι λέξαι τῶν νέων σοφώτερον. »

26. Εἰ δ' εἴκοσιν ἐτῶν ἀποπειρώῃ παῖδά τις, αὐτὸς ἐμοιγε δοκεῖ πασχητιᾶν ἀμφίβολον Ἀφροδίτην μεταδιώκων· σκληροὶ γὰρ οἱ τῶν μελῶν ἀπανδρωθέντες ὄγκοι καὶ τραχὺ μὲν ἀντὶ τοῦ πάλαι μαλακοῦ πυκασθὲν ἰούλοις τὸ γένειον, οἱ δ' εὐφυεῖς μηροὶ θριξὶν ὡσπερεὶ ῥυπῶντες. Ἃ δ' ἐστὶ τούτων ἀφανέστερα, τοῖς πεπειρακόσιν ὑμῖν εἰδέναι παρίημι. Γυναικὶ δὲ ἀεὶ πάσῃ ἡ τοῦ χρώματος ἐπιστίλβει χάρις, καὶ δαψιλεῖς μὲν ἀπὸ τῶν βοστρύχων τῆς κεφαλῆς ἕλικες ὑακίνθοις τὸ καλὸν ἀνθοῦσιν ὅμοια πορφύροντες οἱ μὲν ἐπινώτιοι κέχυνται μεταφρένων κόσμος, οἱ δὲ παρ' ὦτα καὶ κροτάφους πολὺ τῶν ἐν λειμῶνι οὐλότεροι σελίνων. Τὸ δ' ἄλλο σῶμα μηδ' ἀκαρῆ τριχὸς αὐταῖς ὑποφυομένης ἠλέκτρου, φασὶν, ἢ Σιδωνίας ὑέλου διαφεγγέστερον ἀπαστράπτει.

At tibi formoso sub corpore non habitat mens.

Videlicet pulchro Nireo sapiens Ulixes magis laudatur.

24. Quomodo igitur prudentiæ quidem aut justitiæ, reliquarumque virtutum, quæ forte quadam maturæ ætatis viris adjunctæ sunt, amor non convenit; sed ea quæ in pueris est pulchritudo vehementissimos perturbationum impetus excitat? Omnino enim amare oportebat Phædrum propter Lysiam, o Plato, quem prodidit : aut virtutem amare Alcibiadis conveniebat, propterea quod deorum statuas truncavit, et quod Eleusinia mysteria voces inter comissationem fusæ propalarunt? quis amatorem se profitetur proditarum Athenarum, Deceleæ ab hostibus munitæ, denique vitæ ad tyrannidem spectantis? Sed quandiu nondum, ut divinus Plato ait, barba erat oppletus, amabilis erat omnibus : quum vero e puero transiisset in virum, qua ætate adhuc imperfecta prudentia plenam assecuta rationem erat, odio erat omnibus. Quid ergo? turpibus animi affectionibus nomina verecunda tribuentes, virtutem appellant corporis decorem, adolescentiæ magis amatores, quam sapientiæ. Et hæc quidem, ne insignium virorum infesto animo videamur meminisse, huc usque dicta sunto.

25. Paullum vero a nimio illo studio ad vestram illam, Callicratida, voluptatem descendens, ostendam consuetudine puerorum præstantiorem longe esse muliebrem. Ac primum quidem voluptatis quemcumque fructum eo delectabiliorem arbitror, quo sit longior : prætervolans enim celeris voluptas prius quam cognoscatur desinit : quicquid autem oblectat, eo ipso quod protrahitur melius est. Itaque optabile erat, ut etiam vitæ longiorem diem sordida nobis Parca destinavisset, atque universum illud spatium nobis esset perpetua sanitas, dolore nullo mentem depascente : festum enim diem et celebritatem totum illud tempus transigeremus. Sed quandoquidem majora nobis bona invida fortuna negavit, in præsentibus certe suavissima sunt quæ longissime durant. Mulier igitur a virginitate inde ad mediam usque ætatem, antequam omnino extrema senectutis ruga incurset, res est amplexu et consuetudine viri dignissima ; et licet illa formæ maturitas præterierit; tamen « experientia illius habet quod dicat sapientius adolescentulis. »

26. At si quis viginti annorum adolescentulum aggrediatur, ipse pathicus esse mihi videatur, qui ambiguam adeo sectetur Venerem. Dura etenim membrorum in his qui viri facti sunt robora, et asperum pro molli quondam mentum, quod prima barba densavit, et femora illa bene nata pilis velut sordescunt. Quæ hisce magis latent, vos, qui experti estis, scire cedo. In muliere autem semper omni coloris relucet gratia, et densæ de cincinnis capitis spiræ, hyacinthorum instar pulchre florentium ferrugineæ, partim per tergum fusæ sunt, scapularum decus, partim cirra aures ac tempora, pratensibus apiis multo lætiores. Reliquum vero corpus, ne minimo quidem illis succrescente pilo, electro, quod aiunt, vel Sidonio vitro refulget lucidius.

27. Τί δ' οὐχὶ τῶν ἡδονῶν καὶ τὰς ἀντιπαθεῖς μεταδιωκτέον, ἐπειδὰν ἐξ ἴσου τοῖς διατιθεῖσιν οἱ πάσχοντες εὐφραίνωνται; σχεδὸν γὰρ οὐ κατὰ ταὐτὰ τοῖς ἀλόγοις ζώοις τὰς μονήρεις διατριβὰς ἀσμενίζομεν, ἀλλά πως φιλεταίρῳ κοινωνίᾳ συζυγέντες ἡδίω τά τε ἀγαθὰ σὺν ἀλλήλοις ἡγούμεθα καὶ τὰ δυσχερῆ κουφότερα μετ' ἀλλήλων. Ὅθεν εὑρέθη τράπεζα κοινή· καὶ φιλίας μεσίτιν τράπεζαν παραθέμενοι γαστρὶ τὴν ὀφειλομένην ἀπομετροῦμεν ἀπόλαυσιν, οὐ μόνοι τὸν Θάσιον, εἰ τύχοι, πίνοντες οἶνον οὐδὲ καθ' αὑτοὺς τῶν πολυτελῶν πιμπλάμενοι σιτίων, ἀλλὰ δοκεῖ τερπνὸν ἑκάστῳ τὸ μετ' ἄλλου, καὶ τὰς ἡδονὰς κοινωσάμενοι μᾶλλον εὐφραινόμεθα. Αἱ μὲν οὖν γυναικεῖαι σύνοδοι τῆς ἀπολαύσεως ἀντίδοσιν ὁμοίαν ἔχουσιν· ἀλλήλους γὰρ ἐξ ἴσου διαθέντες ἡδέως ἀπηλλάγησαν, εἴ γε μὴ δικαστῇ Τειρεσίᾳ προσεκτέον, ὅτι ἡ θήλεια τέρψις ὅλῃ μοίρᾳ πλεονεκτεῖ τὴν ἄρρενα. Καλὸν δ' οἶμαι, μὴ φιλαύτως ἀπολαῦσαι θελήσαντας, ὅπως ἰδίᾳ τι χρηστὸν ἀποίσονται, σκοπεῖν ὅλην παρά του λαμβάνοντας ἡδονὴν, ἀλλ' ἐκεῖνο μερισαμένους οὗ τυγχάνουσιν ἀντιπαρασχεῖν ὅμοια. Τοῦτο δ' οὐκ ἂν ἐπὶ παίδων εἴποι τις, οὐχ οὕτω μέμηνεν, ἀλλ' ὁ μὲν διαθείς, ᾗ νομίζει ποτὲ ταῦτα, τὴν ἡδονὴν ἐξαίρετον λαβὼν ἀπέρχεται, τῷ δὲ ὑβρισμένῳ κατ' ἀρχὰς μὲν ὀδύναι καὶ δάκρυα, μικρὸν δὲ ὑπὸ χρόνου τῆς ἀλγηδόνος χαλασάσης πλέον, ὥς φασιν, οὐδὲν ἂν ὀχλήσειας, ἡδονὴ δ' οὐδ' ἡτισοῦν. Εἰ δὲ δεῖ τι καὶ περιεργότερον εἰπεῖν — δεῖ δὲ ἐν Ἀφροδίτης τεμένει — γυναικὶ μὲν, ὦ Καλλικρατίδα, καὶ παιδικώτερον χρώμενον ἔξεστιν εὐφρανθῆναι διπλασίας ἀπολαύσεως ὁδοὺς ἀνοίξαντα, τὸ δὲ ἄρρεν οὐδενὶ τρόπῳ χαρίζεται θήλειαν ἀπόλαυσιν.

28. Ὥστ' εἰ ἡ μὲν καὶ ὑμῖν ἀρέσκειν δύναται, πρὸς ἀλλήλους ἡμεῖς ἀποτειχισώμεθα, εἰ δὲ τοῖς ἄρρεσιν εὐπρεπεῖς αἱ μετὰ ἀρρένων ὁμιλίαι, πρὸς τὸ λοιπὸν ἐράτωσαν ἀλλήλων καὶ γυναῖκες. Ἄγε νῦν, ὦ νεώτερε χρόνε καὶ τῶν ξένων ἡδονῶν νομοθέτα, καινὰς ὁδοὺς ἄρρενος τρυφῆς ἐπινοήσας χάρισαι τὴν ἴσην ἐξουσίαν καὶ γυναιξὶν, ἀλλήλαις ὁμιλείτωσαν ὡς ἄνδρες· ἀσελγῶν δὲ ὀργάνων ὑποζυγωσάμεναι τέχνασμα, ἀσπόρων τεράστιον αἴνιγμα, κοιμάσθωσαν γυνὴ μετὰ γυναικὸς ὡς ἀνήρ· τὸ δὲ εἰς ἀκοὴν σπανίως ἦκον ὄνομα — αἰσχύνομαι καὶ λέγειν — τῆς τριβακῆς ἀσελγείας ἀνέδην πομπευέτω· πᾶσα δ' ἡμῶν ἡ γυναικωνῖτις ἔστω Φιλαινὶς ἀνδρογύνους ἔρωτας ἀσχημονοῦσα. Καὶ πόσῳ κρεῖττον εἰς ἄρρενα τρυφὴν βιάζεσθαι γυναῖκα ἢ τὸ γενναῖον ἀνδρῶν εἰς γυναῖκα θηλύνεσθαι;

29. Τοιαῦτα συντόνως μεταξὺ παθαινόμενος ὁ Χαρικλῆς ἐπαύσατο δεινόν τι καὶ θηριῶδες ἐν τοῖς ὄμμασιν ὑποβλέπων. Ἐφκει δέ μοι καὶ καθαρσίῳ χρῆσθαι πρὸς τοὺς παιδικοὺς ἔρωτας. Ἐγὼ δὲ ἡσυχῇ μειδιάσας καὶ πρὸς τὸν Ἀθηναῖον ἠρέμα τῷ ὀφθαλμῷ παραβαλὼν, Παιδιᾶς, ἔφην, καὶ γέλωτος, ὦ Καλλικρατίδα, δικαστὴς καθεδεῖσθαι προσδοκήσας οὐκ οἶδ' ὅπως ὑπὸ τῆς Χαρικλέους δεινότητος ἐπὶ σπουδαιότερον ἦγμαι·

27. Quidni vero in voluptatum genere eas præsertim persequamur, quæ sunt mutuæ, ubi æqualiter qui inferunt amorem et qui excipiunt oblectantur? Fere enim non eo modo, quo animalia rationis expertia, solitariam vitam amamus; sed sociali quadam communione conjuncti, tum suaviora putamus bona quæ communiter habemus, tum mala leviora, quæ ferimus communiter. Unde mensa communis inventa est, et pararium amicitiæ mensam apponentes, debitam ventri voluptatem admetimur, non soli Thasium, ut hoc utar, vinum bibentes, neque privatim singuli pretiosis nos cibis implentes: sed jucundum unicuique videtur quo fruitur cum alio, et communicatis voluptatibus magis delectamur. Congressus autem cum mulieribus mutuum quendam et parem utrimque voluptatis fructum habent: quum enim æqualiter se invicem afficiant, delectati ambo abeunt, nisi forte Tiresias judex audiendus est, feminæ voluptatem altero tanto majorem esse virili pronuncians. Honestum autem puto, homines non præ sui amore nimio, frui quum volunt, hoc spectare, ut ipsi pro se bonum quiddam auferant, totam ex aliquo voluptatem capientes ipsi; sed ut partientes illud; quod consequuntur, vicissim præbeant similia. Hoc autem in pueris ita se habere non dixerit quisquam: non ita insanierit; verum amator quidem, prout de his existimat, eximia voluptate percepta abit; at passo contumeliam ab initio quidem dolores et lacrimæ; remittentibus autem paullum ipso tempore doloribus, nihil amplius, ut aiunt, molestus fueris, voluptas autem nec tantilla. Si quid vero curiosius dicendum (decet autem in luco Veneris), muliere quidem, Callieratida, etiam puerilem in morem utenti oblectari licet, duplici fructus via aperta; sed femineum fructum nullo modo mas præbere potest.

28. Itaque si hæc vobis etiam, puerorum amatoribus, placere potest, a nobis invicem, quasi interjecto pariete, discedamus: si vero decet viros cum viris consuetudo, in posterum etiam ament se invicem mulieres. Age jam, novum sæculum, peregrinarum voluptatum legislator, quum novas virilis libidinis vias excogitaveris, æquam potestatem feminis etiam indulge: secum invicem, ut viri, coeant; lascivorumque instrumentorum commenta substringentes, portentosum sterilium ænigma, cum muliere mulier, ut vir cum viro cubent: illudque ad aures raro perveniens nomen (pudet etiam dicere) tribadicæ obscœnitatis, effuse triumphet: gynæceum omne nostrum esto Philænis, seminares amores contra decus usurpans. Et quanto melius, feminam in luxuriem irrumpere masculam, quam, quod in viris generosum est, in mulierem effeminari?

29. Talia contentius et affectu sensim augescente quam dixisset Charicles, conticuit, vehemens quiddam et ferinum oculis cernens. Videbatur autem mihi etiam piamentis quibusdam contra masculos amores uti. Ego vero placide subridens, conversis leniter in Atheniensem oculis, Ludi, inquam, et risus, Callicratida, me sedere ratus arbitrum, nescio quomodo a Chariclis vehementia ad seriam curam

σχεδὸν γὰρ ὡς ἐν Ἀρείῳ πάγῳ περὶ φόνου καὶ πυρκαϊᾶς, ἢ νὴ Δία φαρμάκων ἀγωνιζόμενος ὑπερφυῶς ἐπαθήνατο. Καιρὸς οὖν ὁ νῦν, εἴ ποτε καὶ πρότερον, ἐπαιτεῖ σε τὰς Ἀθήνας, Περικλέους δὲ πειθὼ καὶ τῶν δέκα ῥητόρων τὰς Μακεδόσιν ἀνθωπλισμένας γλώσσας ἐν ἑνὶ τῷ σῷ λόγῳ διατρῖψαι μιᾶς τῶν ἐν Πυκνὶ δημηγοριῶν ἀναμνησθέντι.

30. Μικρὸν οὖν ἐπισχὼν ὁ Καλλικρατίδας — ἐῴκει δὲ ἀπὸ τοῦ προσώπου μοι τεκμαιρομένῳ καὶ λίαν ἀγωνίας μεστὸς εἶναι — λόγων ἀμοιβαίων ἐνάρχεται· Εἰ γυναιξὶν ἐκκλησία καὶ δικαστήρια καὶ πολιτικῶν πραγμάτων ἦν μετουσία, στρατηγὸς ἂν ἡ προστάτης ἐχειροτόνησο καί σε χαλκῶν ἀνδριάντων ἐν ταῖς ἀγοραῖς, ὦ Χαρίκλεις, ἐτίμων. Σχεδὸν γὰρ οὐδὲ αὐταὶ περὶ αὑτῶν, ὁπόσαι προὔχειν κατὰ σοφίαν ἐδόκουν, εἴ τις αὐταῖς τὴν τοῦ λέγειν ἐξουσίαν ἐφῆκεν, οὕτω μετὰ σπουδῆς ἂν εἶπον, οὐχ ἡ Σπαρτιάταις ἀνθωπλισμένη Τελέσιλλα, δι' ἣν ἐν Ἄργει θεὸς ἀριθμεῖται γυναικῶν Ἄρης· οὐχὶ τὸ μελιχρὸν αὔχημα Λεσβίων Σαπφὼ καὶ ἡ τῆς Πυθαγορείου σοφίας θυγάτηρ Θεανώ· τάχα δ' οὐδὲ Περικλῆς οὕτως ἂν Ἀσπασίᾳ συνηγόρησεν. Ἀλλ' ἐπειδήπερ εὐπρεπὲς ἄρρενας ὑπὲρ θηλειῶν λέγειν, εἴπωμεν καὶ ἄνδρες ὑπὲρ ἀνδρῶν. Σὺ δὲ ἵλεως, Ἀφροδίτη, γενοῦ· καὶ γὰρ ἡμεῖς τὸν σὸν Ἔρωτα τιμῶμεν.

31. Ἐγὼ μὲν οὖν ἐνόμιζον ἄχρι παιδιᾶς ἱλαρὰν τὴν ἔριν ἡμῶν προκόψαι, ἐπεὶ δὲ οἱ παρὰ τούτου λόγοι καὶ φιλοσοφεῖν ὑπὲρ γυναικῶν ἐπενοήθησαν, ἀσμένως τὴν ἀφορμὴν ἥρπαξα· μόνος γὰρ ὁ ἄρρην ἔρως κοινὸν ἀρετῆς καὶ ἡδονῆς ἐστιν ἔργον. Εὐξαίμην γὰρ ἄν, εἴπερ ἦν ἐν δυνατῷ, τὴν ἐπήκοόν ποτε τῶν Σωκρατικῶν λόγων πλατάνιστον, Ἀκαδημείας καὶ Λυκείου δένδρον εὐτυχέστερον, ἐγγὺς ἡμῶν ἑστάναι πεφυκυῖαν, ἔνθ' ἡ Φαίδρου προσανάκλισις ἦν, ὥσπερ ὁ ἱερὸς εἶπεν ἀνὴρ πλείστων ἀψάμενος χαρίτων· αὐτὴ τάχα ἂν ὥσπερ ἡ ἐν Δωδώνῃ φηγὸς ἐκ τῶν ὀροδάμνων ἱερὰν ἀπορρήξασα φωνὴν τοὺς παιδικοὺς εὐφήμησεν ἔρωτας ἔτι τοῦ καλοῦ μεμνημένη Φαίδρου. Πλὴν ἐπεὶ τοῦτ' ἀμήχανον,

ἦ γὰρ πολλὰ μεταξὺ
οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα,

ξένοι τε ἐπ' ἀλλοτρίας γῆς ἀπειλήμμεθα καὶ πλεονέκτημα Χαρικλέους ἐστὶν ἡ Κνίδος, ὅμως τἀληθὲς οὐ προδώσομεν εἴξαντες ὄκνῳ.

32. Μόνον ἡμῖν σὺ, δαῖμον οὐράνιε, καιρίως παράστηθι φιλίας εὐγνώμων, ἱεροφάντα μυστηρίων Ἔρως, οὐ κακὸν νήπιον ὁποῖον ζωγράφων παίζουσι χεῖρες, ἀλλ' ὃν ἡ πρωτοσπόρος ἐγέννησεν ἀρχὴ τέλειον εὐθὺ τεχθέντα· σὺ γὰρ ἐξ ἀφανοῦς καὶ κεχυμένης ἀμορφίας τὸ πᾶν ἐμόρφωσας. Ὥσπερ οὖν ὅλου κόσμου τάφον τινὰ κοινὸν ἀφελὼν τὸ περικείμενον χάος ἐκεῖνο μὲν ἐς ἐσχάτους ταρτάρου μυχοὺς ἐφυγάδευσας, ἔνθα ὡς ἀληθῶς

σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδός,

traductus sum. Fere enim ut in Areopago de cæde, aut incendiario crimine, aut veneficio medius fidius decertans, ultra modum commotus est. Nunc igitur, si usquam alias, res abs te reposcit Athenas tuas, et ut Periclea suada et oratorum decem armatæ adversus Macedoniam linguæ, in una hac tua versentur oratione, quæ jam concionum in Pnyce unius sit memor.

30. Parum igitur quum sustinuisset se Callicratidas (videbatur autem, quantum mihi ex vultu licebat colligere, vehementer plenus et ipse certaminis esse), orationem contrariam exorsus est: Si mulieribus concio et tribunalia et civilium rerum esset communio, imperator tu quidem aut prætor deligereris, et æneis te per fora statuis, Charicles, honorarent. Vix enim ipsæ de se, quotquot illarum præstare sapientia ferebantur, si quis illis dicendi potestatem permisisset, tanto studio dixissent: non illa armata contra Spartanos Telesilla, propter quam Argis in feminarum numinibus Mars memoratur; non mellita Lesbiorum gloria Sappho, et filia sapientiæ Pythagoreæ Theano. Ac forte ne Pericles quidem ita Aspasiæ causam egit. Verum enim vero quandoquidem virum dicere pro feminis decet, pro viris etiam dicamus viri. At tu propitia, Venus, esto: nam tuum nos quoque Amorem colimus.

31. Equidem putabam intra ludum hilarem contentionem nostram processisse: quando vero istius oratio philosophari etiam pro mulieribus instituit, lubens eam occasionem arripui: solus enim amor masculus commune virtutis atque voluptatis opus est. Optaverim enim, si quidem fieri posset, arbitram aliquando Socraticorum sermonum platanum, Academia pariter et Lyceo arborem feliciorem, prope nos stare enatam, ubi acclinabat se Phædrus, ut sanctus vir dixit, qui plures ceteris omnibus Gratias assecutus est. Ipsa forte, velut illa Dodonæ fagus, sacram erumpens de ramis vocem, pueriles amores formosi Phædri adhuc recordata probaverit. Verum quum fieri hoc nullo modo possit,

(multa etenim nimis intercedunt,
montes umbrosi, resonanti murmure pontus,)

peregrinique in aliena terra intercepti simus, et prærogativa Chariclis sit Cnidus: tamen verum non prodemus concedentes ignaviæ.

32. Modo tu nobis, cœlestis geni, opportune ades, amicitiæ cognitor, arcanorum revelator Amor, non infans vilis, qualem pictorum ludunt manus, sed quem seminandi princeps origo genuit ab ipsa statim nativitate perfectum: tu enim ex obscura et profusa informitate universum hoc formasti. Igitur velut commune quoddam universi mundi sepulcrum auferens, circumfusum illi chaos, hoc quidem in ultimos tartari recessus fugasti, ubi vere

Sunt portæ ex ferro, sunt duri liminis æra,

ὅπως ὑπ' ἀρρήκτου δεθὲν φρουρᾶς τῆς ἐμπαλιν ὁδοῦ εἴργηται· λαμπρῷ δὲ φωτὶ τὴν ἀμαυρὰν νύκτα πετάσας παντὸς ἀψύχου τε καὶ ψυχὴν ἔχοντος ἐγένου δημιουργός· ἐξαίρετον δὲ ἐγκεράσας ὁμόνοιαν ἀνθρώποις τὰ σεμνὰ φιλίας πάθη συνῆψας, ἵν' ἐξ ἀκάκου καὶ ἁπαλῆς ἔτι ψυχῆς ἡ εὔνοια συνεκτρεφομένη πρὸς τὸ τέλειον ἀνδρῶται.

33. Γάμοι μὲν γὰρ διαδοχῆς ἀναγκαίας εὑρηνται φάρμακα, μόνος δὲ ὁ ἄρρην ἔρως φιλοσόφου καλόν ἐστι ψυχῆς ἐπίταγμα. Πᾶσι δὲ τοῖς ἐκ τοῦ περιόντος εἰς εὐπρέπειαν ἠσκημένοις ἕπεται τιμὴ πλείων ἢ ὅσα τῆς παραυτὰ χρείας ἐπιδεῖται, καὶ πάντη τοῦ ἀναγκαίου τὸ καλὸν κρεῖττον. Ἄχρι μὲν οὖν ὁ βίος ἀμαθὴς ἦν οὐδέπω τῆς καθ' ἡμέραν πείρας πρὸς τὸ βέλτιον εὐσχολῶν, ἀγαπητῶς ἐπ' αὐτὰ τὰ ἀναγκαῖα συνεστέλλετο, τῆς δὲ ἀγαθῆς διαίτης ἐπείγων ὁ χρόνος οὐ παρέσχεν εὕρεσιν. Ἐπειδὴ δὲ αἱ μὲν ἐσπευσμέναι χρεῖαι πέρας εἶχον, οἱ δὲ τῶν ἐπιγιγνομένων ἀεὶ λογισμοὶ τῆς ἀνάγκης ἀφεθέντες ηὐκαίρουν ἐπινοεῖν τι τῶν κρειττόνων, ἐκ τούτου κατ' ὀλίγον ἐπιστῆμαι συνηύξοντο. Τοῦτο δ' ἡμῖν ἀπὸ τῶν ἐντελεστέρων τεχνῶν ἔνεστιν εἰκάζειν. Αὐτίκα πρῶτοί τινες ἄνθρωποι γενόμενοι τοῦ καθ' ἡμέραν λιμοῦ φάρμακον ἐζήτουν, εἶθ' ἁλισκόμενοι τῇ πρὸς τὸ παρὸν ἐνδείᾳ, τῆς ἀπορίας οὐκ ἐώσης ἕλέσθαι τὸ βέλτιον, τὴν εἰκαίαν πόαν ἐσιτοῦντο καὶ μαλθακὰς ῥίζας ὀρύττοντες καὶ τὰ πλεῖστα δρυὸς καρπὸν ἐσθίοντες. Ἀλλ' ἡ μὲν ἀλόγοις ζῴοις μετὰ χρόνον ἐρρίφη, σπόρον δὲ πυροῦ καὶ κριθῆς εἶδον αἱ γεωργῶν ἐπιμέλειαι εὑροῦσαι κατ' ἔτος ἐκνεάζοντα. Καὶ οὐδὲ μανεὶς ἂν εἴποι τις ὅτι δρῦς στάχυος ἀμείνων.

34. Τί δ'; οὐκ ἐν ἀρχῇ μὲν εὐθὺς τοῦ βίου σκέπης δεηθέντες ἄνθρωποι νάκη, θηρία δείραντες, ἠμφιέσαντο; καὶ σπήλυγγας ὀρῶν κρύους καταδύσεις ἐπενόησαν ἢ παλαιῶν ῥιζῶν ἢ φυτῶν αὖα κοιλώματα; τὴν δὲ ἀπὸ τούτων μίμησιν ἐπὶ τὸ κρεῖττον ἀεὶ μετάγοντες ὕφηναν μὲν ἑαυτοῖς χλανίδας, οἴκους δὲ ᾠκίσαντο, καὶ λεληθότως αἱ περὶ ταῦτα τέχναι τὸν χρόνον λαβοῦσαι διδάσκαλον ἀντὶ μὲν λιτῆς ὑφῆς τὸ κάλλιον ἐποίκιλαν, ἀντὶ δὲ εὐτελῶν δωματίων ὑψηλὰ τέρεμνα καὶ λίθων πολυτέλειαν ἐμηχανήσαντο καὶ γυμνὴν τοίχων ἀμορφίαν εὐανθέσι βαφαῖς χρωμάτων κατέγραψαν. Πλὴν ἑκάστη γε τούτων τῶν τεχνῶν καὶ ἐπιστημῶν ἄφωνος οὖσα καὶ βαθεῖαν ἐπιτεθειμένη λήθην ὡς ἀπὸ μακρᾶς δύσεως κατὰ μικρὸν εἰς τὰς ἰδίας ἀνέτειλεν ἀκτῖνας· ἕκαστος γὰρ εὑρών τι παρεδίδου τῷ μετ' αὐτόν· εἶθ' ἡ διαδοχὴ τῶν λαμβανόντων οἷς ἔμαθεν ἤδη προστιθεῖσα, τὸ ἐνδέον ἐπλήρωσε.

35. Μὴ δή τις ἔρωτας ἀρρένων ἀπαιτείτω παρὰ τοῦ παλαιοῦ χρόνου· γυναιξὶ γὰρ ὁμιλεῖν ἀναγκαῖον ἦν, ἵνα μὴ τελέως ἄσπερμον ἡμῶν φθαρῇ τὸ γένος. Αἱ δὲ ποικίλαι σοφίαι καὶ τῆς φιλοκάλου ταύτης ἀρετῆς ἐπιθυμίαι μόλις ὑπὸ τοῦ μηδὲν ἐῶντος ἀνίχνευτον αἰῶνος εἰς τοὐμφανὲς ἐμελλον ἥξειν, ἵνα τῇ θείᾳ φιλοσοφίᾳ καὶ τὸ παιδεραστεῖν συνακμάσῃ. Μὴ δῆτα, Χαοίκλεις, δ μὴ uti perrumpenda nunquam custodia vinctum a reditu arceatur; ac splendida luce obscuram noctem explicans, inanimatorum omnium animatorumque factus es opifex: eximia autem hominibus concordia affundenda honestas amicitiæ affectiones conjunxisti, ut ex innocenti et molli adhuc anima simul enutrita benevolentia ad virilem maturitatem perveniat.

33. Nuptiæ enim, ut necessariæ successionis remedia, inventæ sunt: solus amor masculus honestum philosophæ mentis imperium est. Quæcumque autem præter necessitatem decoris causa exercentur, ea major consequitur honor, quam quibus usus quædam præsentis indigentia adjecta est: et omnino pulchra necessariis sunt præstantiora. Donec ergo imperiti erant homines, necdum satis otii ad quotidiana meliorum experimenta haberent, contenti præsentibus intra ipsa se necessaria continebant; urgensque tempus bonæ vivendi rationis inveniendæ opportunitatem non præbebat. Postquam vero urgentes illæ indigentiæ finem habuere, posterorumque ingenia, necessitate soluta otii satis nacta sunt melioribus inveniendis; ex ea re paullatim scientia multiplex enata est. Hoc nobis de perfectioribus artibus licet conjicere. Vix nati erant primi quidam homines, quum quotidianæ famis remedium quærebant: tum deprehensi a præsente inopia, quum indigentia, quod melius esset, eligendi facultatem non concederet, fortuita herba vescebantur, et molles radices effodientes, et quercus plerumque fructum edentes. Sed hæc quidem post tempus aliquod mutis animantibus abjecta sunt: tritici vero sementem atque hordei videbant agricolarum curæ, ab ipsis inventam, quotannis instaurari. Neque adeo insaniat quisquam, qui spica meliorem dicat quercum.

34. Quid vero? nonne in principio statim vitæ indigentes tegumento homines excoriatorum pellibus animalium induebantur? et montium speluncas perfugia frigoris excogitabant, aut antiquarum radicum arborumque siccas cavernas? Verum cœptam ab his imitationem transferentes semper in melius, texuere sibi læenas, domus ædificarunt, et sensim artes istarum rerum, tempus magistrum nactæ, pro simplici textura pulchrius quiddam variegarunt; pro vilibus casis, sublimia tecta et marmorum magnificentiam machinati sunt, et nudam parietum informitatem floridis colorum tincturis pinxere. Verum unaquæque harum artium ac scientiarum, muta olim et profunda oblivione mersa, velut post longum occasum paullatim in suos radios exorta est. Unusquisque enim, si quid invenisset, suo successori tradidit: tum ipsa accipientium series, addendo iis quæ didicisset, quod deficiebat explevit.

35. Ne igitur a vetusto tempore masculos amores quisquam postulet: cum mulieribus enim congredi necesse erat, ne plane seminis expers genus nostrum interiret. Varia autem eruditio, et virtutis hujus, pulchri amore accensæ, cupiditates vix ab ipso, quod nihil impervestigatum relinquit, ævo in lucem venturæ erant, ut cum divina philosophia puerorum etiam amor adolesceret. Quare noli, Charicles,

πρότερον εὕρητο, τοῦτο ἐπινοηθὲν αὖθις ὡς φαῦλον εὐθύνε, μηδ' ὅτι τῶν παιδικῶν ἐρώτων αἱ γυναικεῖαι σύνοδοι πρεσβυτέρους ἐπιγράφονται χρόνους, ἐλάττου θάτερον· ἀλλὰ τὰ μὲν παλαιὰ τῶν ἐπιτηδευμάτων ἀναγκαῖα νομίζωμεν, ἃ δὲ αὖθις ἐνευσχολήσας τοῖς λογισμοῖς ὁ βίος ἐπεξεῦρεν, ὡς ἐκείνων ἀμείνω τιμητέον.

36. Ἐμοὶ μὲν γὰρ ὀλίγου καὶ γελᾶν ἔναγχος ἐπῆει, Χαρικλέους ἄλογα ζῷα καὶ τὴν Σκυθῶν ἐρημίαν ἐπαινοῦντος· ὀλίγου δὲ ὑπὸ τῆς ἄγαν φιλονεικίας καὶ μετενόει γενόμενος Ἕλλην. Οὐδὲ γὰρ ὡς ἐναντία φθεγγόμενος οἷς ἐπεχείρει λέγειν, ὑπεσταλμένῳ τῷ τῆς φωνῆς τόνῳ τὸ ῥηθὲν ἔκλεπτεν, ἀλλ' ἐπηρμένῃ φωνῇ λαρυγγίζων, Οὐκ ἐρῶσι, φησὶν, ἀλλήλων λέοντες οὐδ' ἄρκτοι καὶ σύες, ἀλλ' αὐτῶν ἡ πρὸς τὸ θῆλυ μόνον ὁρμὴ κρατεῖ. Καὶ τί θαυμαστόν; ἃ γὰρ ἐκ λογισμοῦ δικαίως ἄν τις ἕλοιτο, ταῦτα τοῖς μὴ δυναμένοις λογίζεσθαι δι' ἀφροσύνην οὐκ ἔνεστιν ἔχειν. Ἐπεί τοι Προμηθεὺς ἢ θεῶν τις ἄλλος εἰ νοῦν ἑκάστῳ συνέζευξεν ἀνθρώπινον, οὐκ ἂν ἐρημία καὶ βίος ὄρειος αὐτοὺς ἐποίμαινεν οὐδὲ ἀλλήλους τροφὴν εἶχον, ἐξ ἴσου δὲ ἡμῖν ἱερὰ δειμάμενοι καὶ μέσην ἑστίαν τῶν ἰδίων ἕκαστος οἰκῶν ὑπὸ τοῖς κοινοῖς ἐπολιτεύοντο νόμοις. Τί δὴ παράδοξον, εἰ ζῷα τῆς φύσεως κατάκριτα μηδὲν ὧν λογισμοὶ παρέχονται, παρὰ τῆς προνοίας λαβεῖν ηὐτυχηκότα προσαφήρηται μετὰ τῶν ἄλλων καὶ τὰς ἄρρενας ἐπιθυμίας; οὐκ ἐρῶσι λέοντες, οὐδὲ γὰρ φιλοσοφοῦσιν· οὐκ ἐρῶσιν ἄρκτοι, τὸ γὰρ ἐκ φιλίας καλὸν οὐκ ἴσασιν. Ἀνθρώποις δ' ἡ μετ' ἐπιστήμης φρόνησις ἐκ τοῦ πολλάκις πειρᾶσαι τὸ κάλλιστον ἑλομένη βεβαιοτάτους ἐρώτων ἐνόμισε τοὺς ἄρρενας.

37. Μὴ τοίνυν, ὦ Χαρίκλεις, ἀκολάστου βίου συμφορήσας ἑταιρικὰ διηγήματα γυμνῷ τῷ λόγῳ τῆς σεμνότητος ἡμῶν καταπόμπευε, μηδὲ τὸν οὐράνιον Ἔρωτα τῷ νηπίῳ συναρίθμει, λογίζου δὲ ὀψὲ μὲν ἡλικίας τὰ τοιαῦτα μεταμανθάνων, ὅμως δ' οὖν λογίζου νῦν γε, ἐπειδήπερ οὐ πρότερον, ὅτι διπλοῦς θεὸς ὁ Ἔρως, οὐ κατα μίαν ὁδὸν φοιτῶν οὐδὲ ἑνὶ πνεύματι τὰς ἡμετέρας ψυχὰς ἐρεθίζων, ἀλλ' ὁ μὲν, ὡς ἂν, οἶμαι, κομιδῇ νήπια φρονῶν, οὐδενὸς αὐτοῦ τὴν διάνοιαν ἡνιοχεῖν δυναμένου λογισμοῦ, πολὺς ἐν ταῖς τῶν ἀφρόνων ψυχαῖς ἀθροίζεται, μάλιστα δὲ αὐτῷ γυναικεῖοι πόθοι μέλουσιν· οὗτός ἐστιν ὁ τῆς ἐφημέρου ταύτης ὕβρεως ἑταῖρος ἀκρίτῳ φορᾷ πρὸς τὸ βουλόμενον ἄγων. Ἕτερος δὲ Ἔρως Ὠγυγίων πατὴρ χρόνων, αεμνὸν ὀφθῆναι καὶ πάντοθεν ἱεροπρεπὲς θέαμα, σωφρονούντων ταμίας παθῶν ἥπια ταῖς ἑκάστου διανοίαις ἐμπνεῖ, καὶ λαχόντες ἵλεω τοῦδε τοῦ δαίμονος ἡδονὴν ἀρετῇ μεμιγμένην ἀσπαζόμεθα· δισσὰ γὰρ ὄντως κατὰ τὸν τραγικὸν πνεύματα πνεῖ ὁ Ἔρως, ἑνὸς δὲ ὀνόματος οὐχ ὅμοια τὰ πάθη κεκοινώνηκε· καὶ γὰρ Αἰδὼς ὠφελείας ὁμοῦ καὶ βλάβης ἀμφίβολός ἐστι δαίμων·

Αἰδὼς ἦτ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν.
Οὐ μὴν οὐδ' Ἐρίδων γένος ἔστιν ἕν, ἀλλ' ἐπὶ γαῖαν

quod prius inventum non erat, postquam excogitatum est rursus tanquam pravum sub censuram vocare; neque ideo, quod puerorum amoribus muliebres congressus antiquiora tempora inscripta habent, alteri generi detrahe. Sed vetera quidem studia necessaria putemus; quæ autem rursus vita, excogitandi otium nacta, adinvenit, ea tanquam meliora illis honorare oportet.

36. Equidem paullo ante vix a risu mihi temperabam, Charicle muta animalia et Scytharum laudante solitudinem: parum aberat quin præ nimia contentione, quod Græcus esset, ipsum puniteret. Neque enim, ut qui contraria proposito diceret, submissa voce ipsa dicta sua quasi suffurabatur; sed sublata voce, dilatato gutture clamans, Non amant, inquit, se invicem leones mares, neque ursi, neque apri; sed ipsos solus in feminas impetus superat. Et quid mirum? quæ enim ratione ductus merito elegerit aliquis, ea his, quæ rationes non possunt subducere, propter suum stuporem habere non licet. Nam si Prometheus, aut deorum quis alius, mentem unicuique humanam adjunxisset, non solitudo sane et silvestris victus ea pasceret, neque in cibo se invicem haberent; sed æque ac nos templis ædificatis, et medium suarum quisque ædium larem colens, communibus legibus in civitate viverent. Quid mirum autem, si animalia, ab ipsa natura damnata, quibus nihil eorum, quæ ratio suppeditat, accipere a providentia contigerit, inter alias res masculis etiam cupiditatibus privata sunt? Non amant leones; non enim philosophantur: non amant ursi; quantum enim oriatur ex amicitia bonum, nesciunt. Sed inter homines prudentia scientiæ conjuncta, frequentibus intellecta experimentis optima eligens, firmissimos amores decrevit masculos.

37. Noli igitur, Charicles, meretriciis vitæ libidinosæ collatis narrationibus, nudo sermone pudori nostro et gravitati insultare, nec cœlestem Amorem cum illo infante numerare: sed cogita, sero tu quidem ætatis ista demum aliter discens, verumtamen cogita nunc certe, quando non prius, duplicem Deum esse Amorem, non eadem utrumque via venientem, nec spiritu eodem animos nostros incitantem: sed alter, pueriliter omnino, ut arbitror, animatus, cujus nulla gubernare mentem prudentia possit, multus in imprudentium animis colligitur: maxime autem illi muliebria desideria cordi sunt. Hic est illius diem modo durantis contumeliæ sodalis, indiscreto impetu agens in id quod appetitur. At alter Amor Ogygiorum pater temporum, honestum visu et sacrum undique spectaculum, sanarum promus affectionum, mite quiddam uniuscujusque mentibus inspirat: hunc deum propitium nacti mixtam virtute voluptatem amplectimur. Duplices enim revera spiritus Amor spirat, ut est apud Tragicum, idemque nomen habent affectiones minime similes. : nam Pudor quoque utilitatis simul et noxæ ambiguus deus est, Pudor, inquam:,

Et multum prodesse et lædere idoneus idem.
Neu crede Irarum genus unum, sed duo terris

εἰσὶ δύω, τὴν μέν κεν ἐπαινήσειε νοήσας,
ἡ δ' ἐπιμωμητή· διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν.

Οὐδὲν οὖν παράδοξον, εἰ πάθος ἀρετῇ κοινὴν προσηγορίαν ἔχειν ἔτυχεν, ὥστε ἔρωτα καλεῖσθαι καὶ τὴν ἀκόλαστον ἡδονὴν καὶ τὴν σωφρονοῦσαν εὔνοιαν.

38. Γάμους οὖν, φησὶ, τὸ μηδὲν οἴει, καὶ τὸ θῆλυ τοῦ βίου φυγαδεύεις, ἵνα πῶς μείνωμεν ἄνθρωποι; Ζηλωτὸν μὲν ἦν κατὰ τὸν σοφώτατον Εὐριπίδην, εἰ δίχα τῆς πρὸς γυναῖκας συνόδου φοιτῶντες ἐπὶ ἱερὰ καὶ ναοὺς ἀργύρου καὶ χρυσοῦ τέκνα ὑπὲρ τῆς διαδοχῆς ἐωνούμεθα· ἀνάγκη γὰρ βαρὺν κατ' αὐχένων ζυγὸν ἡμῖν ἐπιθεῖσα τοῖς κελευομένοις πειθαρχεῖν βιάζεται. Τὸ μὲν οὖν καλὸν αἱρώμεθα τοῖς λογισμοῖς, εἰκέτω δὲ τῇ ἀνάγκῃ τὸ χρειῶδες. Ἄχρι τέκνων γυναῖκες ἀριθμὸς ἔστωσαν, ἐν δὲ τοῖς ἄλλοις ἄπαγε, μή μοι γένοιτο. Τίς γὰρ ἂν εὖ φρονῶν ἀνέχεσθαι δύναιτο ἐξ ἑωθινοῦ γυναικὸς ὡραϊσμένης ἐπικτήτοις σοφίσμασιν; ἧς ὁ μὲν ἀληθῶς χαρακτὴρ ἄμορφος, ἀλλότριοι δὲ κόσμοι τὸ τῆς φύσεως ἀπρεπὲς βουκολοῦσιν.

39. Εἰ γοῦν ἀπὸ τῆς νυκτέρου κοίτης πρὸς ὄρθρον ἴδοι τις ἀνισταμένας γυναῖκας, αἰσχίω νομιεῖ θηρίων τῶν πρωΐας ὥρας ὀνομασθῆναι δυσκληδονίστων· θθεν ἀκριβῶς οἶκοι καθείργουσιν αὐτὰς οὐδενὶ τῶν ἀρρένων βλεπομένας· γρᾶες δὲ καὶ θεραπαινίδων ὁ σύμμορφος ὄχλος ἐν κύκλῳ παρεστᾶσι ποικίλοις φαρμάκοις καταφαρμακεύουσαι τὰ δυστυχῆ πρόσωπα· οὐ γὰρ ὕδατος ἀκράτῳ νάματι τὸν ὑπνηλὸν ἀπονιψάμεναι κάρον εὐθὺς ἅπτονται σπουδῆς ἐχομένου τινὸς πράγματος, ἀλλ' αἱ πολλαὶ τῶν διαπασμάτων συνθέσεις τὸν ἀηδῆ τοῦ προσώπου χρῶτα φαιδρύνουσιν, ὡς δὲ ἐπὶ δημοτελοῦς πομπῆς ἄλλο τι ἄλλη τῶν ὑπηρετουσῶν ἐγχειρίσταται, λεκανίδας ἀργυρᾶς καὶ προχόους ἔσοπτρά τε καὶ καθάπερ ἐν φαρμακοπώλου πυξίδων ὄχλον, ἀγγεῖα μεστὰ πολλῆς κακοδαιμονίας, ἐν οἷς ὀδόντων σμηκτικαὶ δυνάμεις ἢ βλέφαρα μελαίνουσα τέχνη θησαυρίζεται.

40. Τὸ δὲ πλεῖστον ἀναλίσκει μέρος ἡ πλοκὴ τῶν τριχῶν· αἱ μὲν γὰρ φαρμάκοις ἐρυθαίνειν δυναμένοις πρὸς ἡλίου μεσημβρίαν τοὺς πλοκάμους ἴσα ταῖς τῶν ἐρίων χροιαῖς ξανθῷ μεταβάπτουσιν ἄνθει τὴν ἰδίαν κατακρίνουσαι φύσιν· ὁπόσαις δὲ ἀρκεῖν ἡ μέλαινα χαίτη νομίζεται, τὸν τῶν γεγαμηκότων πλοῦτον εἰς ταύτην ἀναλίσκουσιν δλην Ἀραβίαν σχεδὸν ἐκ τῶν τριχῶν ἀποπνέουσαι, σιδηρᾶ τε ὄργανα πυρὸς ἀμβλείᾳ φλογὶ χλιανθέντα βίᾳ τὴν ἑλίκων οὐλότητα διαπλέκει, καὶ περίεργοι μὲν αἱ μέχρι τῶν ὀφρύων ἐφειλκυσμέναι κόμαι βραχὺ τῷ μετώπῳ τὸ μεταίχμιον ἀφιᾶσι, σοβαρῶς δὲ ἄχρι τῶν μεταφρένων οἱ ὄπισθεν ἐπισαλεύονται πλόκαμοι.

41. Καὶ μετὰ τοῦτο ἀνθοβαφῆ πέδιλα τῆς σαρκὸς ἐνδοτέρω τοὺς πόδας ἐπισφίγγοντα καὶ λεπτοϋφὴς ἐς πρόφασιν ἐσθὴς ὑπὲρ τοῦ δοκεῖν μὴ γεγυμνῶσθαι. Πάντα δὲ τὰ ἐντὸς αὐτῆς γνωριμώτερα τοῦ προσώπου χωρὶς τῶν ἀμόρφως προπεπτωκότων μαζῶν, οὓς ἀεὶ περιφέρουσι δεσμώτας. Τί δεῖ τὰ τούτων πλουσιώτερα κακὰ διεξιέναι; λίθους Ἐρυθραίους κατὰ τῶν

insedere : unum, qui novit, laudibus ornet;
alteri inest labes : in partes pectora scindunt.

Neque igitur mirum est, si affectio communem virtuti appellationem forte accepit, ut amor vocaretur et voluptas libidinosa, et sapiens benevolentia.

38. Nuptias igitur, ait, nihili putas, et muliebre genus exulare e vita jubes? tum quomodo duremus homines? Optabile sane erat, de Euripidis doctissimi viri sententia, ut absque congressu cum mulieribus, in templa et ædes sacras venientes, argento et auro liberos successionis causa emeremus. Necessitas enim grave cervicibus nostris jugum imponens imperiis parere nos cogit. Quod igitur pulchrum est ratione eligamus, cedat autem necessitati utilitas. Liberorum tenus numerus sunto mulieres : in reliquis vero, apage, ne mihi sit mulier. Quis enim bene sanus perferre possit mulierem, a mane inde ascitis artificiis formam interpolantem? cujus innata figura turpis est, alieni vero ornatus, quod natura indecens est, lenociniis quibusdam demulcent.

39. Si enim a nocturno cubili mane surgentes aliquis videat mulieres, turpiora censebit animalia illis quæ matutina hora nominare male auspicatum est [*similis*]. Unde diligenter domi se concludunt et virorum nulli conspiciuntur : aniculæ vero et simili specie ancillarum grex circulo astant, variis medicamentis infelices vultus inficientes. Non enim puro aquæ liquore soporem ex somno abluunt, statim ad serium aliquod opus accessuræ; sed multæ fucorum compositiones insuavem faciei colorem lætiorem reddunt, ac tanquam in publica pompa, aliud alii ministrarum commendatum est, pelves argenteæ, et gutturnia, speculaque, et velut apud pharmacopolam turba pyxidum, vasa multa infelicitate repleta, in quibus aut dentium detersoriæ facultates, aut nigrorem inducens superciliis ars reposita est.

40. Majorem autem partem temporis et operarum consumit cura capillorum. Aliæ enim medicamentis rutilare valentibus ad solem meridianum cincinnos, instar lanarum infectionis, flavo *tingunt flore*, propriam naturam [*nativum colorem*] damnantes : quibus autem sufficere nigra coma solet, illæ maritorum divitias in hanc impendunt, totam fere de capillis Arabiam spirantes; et instrumenta ferrea, obtuso ignis ardore calefacta, vi quadam crispos cincinnos implicant, et minuta industria ad supercilia usque deductæ comæ breve fronti interstitium relinquunt, jactabunde autem ad tergum scapulas usque posteriores comæ anuli fluctuant.

41. Et post hæc florei coloris sandalia intra ipsam carnem pedes astringentia, et tennissimo textu dicis causa vestitus, quo ne nudæ esse videantur. Omnia autem intra hanc vestem facilius agnoscuntur quam facies, exceptis, quæ deformiter alioquin prociderent, uberibus, quæ in vinculis semper circumferunt. Quid opus est ditiora harum mala enarrare? Erythræos lapillos ex auriculis suspensos,

λοβῶν πολυτάλαντον ἠρτημένους βρῖθος ἢ τοὺς περὶ καρποῖς καὶ βραχίοσι δράκοντας, ὡς ὤφελον ὄντως ἀντὶ χρυσίου δράκοντες εἶναι· καὶ στεφάνη μὲν ἐν κύκλῳ τὴν κεφαλὴν περιθεῖ λίθοις Ἰνδικαῖς διάστερος, πολυτελεῖς δὲ τῶν αὐχένων ὅρμοι καθεῖνται, καὶ ἄχρι τῶν ποδῶν ἐσχάτων καταβέβηκεν ὁ ἄθλιος χρυσὸς ἅπαν, εἴ τι τοῦ σφυροῦ γυμνοῦται, περισφίγγων. Ἄξιον δ' ἦν σιδήρῳ τὰ περίσφυρα σκέλη πεπεδῆσθαι. Κἀπειδὰν αὐτῶν ὅλον τὸ σῶμα νόθης εὐμορφίας ἐξαπατῶντι κάλλει διαμαγευθῇ, τὰς ἀναισχύντους παρειὰς ἐρυθαίνουσιν ἐπιχρίστοις φύκεσιν, ἵνα τὴν ὑπέρλευκον αὐτῶν καὶ πίονα χροιὰν τὸ πορφυροῦν ἄνθος ἐπιφοινίξῃ.

42. Τίς οὖν ὁ μετὰ τὴν τοσαύτην παρασκευὴν βίος; εὐθὺς ἀπὸ τῆς οἰκίας ἔξοδοι, καὶ πᾶς θεὸς ἐπιτρίβων τοὺς γεγαμηκότας, ὧν ἐνίων οἱ κακοδαίμονες ἄνδρες οὐδὲ αὐτὰ ἴσασι τὰ ὀνόματα, Κωλιάδας, εἰ τύχοι, καὶ Γενετυλλίδας ἢ τὴν Φρυγίαν δαίμονα καὶ τὸν δυσέρωτα κῶμον ἐπὶ τῷ ποιμένι. Τελεταὶ δὲ ἀπόρρητοι καὶ χωρὶς ἀνδρῶν ὕποπτα μυστήρια καὶ — τί γὰρ δεῖ περιπλέκειν; — διαφθορὰ ψυχῆς. Ἐπειδὰν δὲ τούτων ἀπαλλαγῶσιν, οἶκοι εὐθὺς τὰ μακρὰ λουτρὰ, καὶ πολυτελὴς μὲν νὴ Δία τράπεζα, πολὺς δὲ ὁ μετὰ τῶν ἀνδρῶν ἀκκισμός. Ἐπειδὰν γὰρ ὑπέρπλεω γένωνται ταῖς παρ' αὐταῖς γαστριμαργίαις, οὐκέτ' οὐδὲ τῷ φάρυγγος αὐταῖς παραδέχεσθαι δυναμένου τι σιτίον, ἄκροις δακτύλοις ἐπιγράφουσαι τῶν παρακειμένων ἕκαστον ἀπογεύονται νύκτας ἐπὶ τούτοις διηγούμεναι καὶ τοὺς ἑτερόχρωτας ὕπνους καὶ θηλύτητος εὐνὴν γέμουσαν, ἀφ' ἧς ἀναστὰς ἕκαστος εὐθὺς λουτροῦ χρεῖός ἐστιν.

43. Ταυτὶ μὲν οὖν εὐσταθοῦς βίου τεκμήρια· τῶν δὲ πικροτέρων εἴ τις ἐθελήσειε τὸ ἀληθὲς κατὰ μέρος ἐξετάζειν, ὄντως καταράσεται Προμηθεῖ τὴν Μενάνδρειον ἐκείνην ἀπορρήξας φωνήν·

> Εἶτ' οὐ δικαίως προσπεπατταλευμένον
> γράφουσι τὸν Προμηθέα πρὸς ταῖς πέτραις;
> καὶ γίγνετ' αὐτῷ λαμπάς, ἄλλο δ' οὐδὲ ἓν
> ἀγαθόν. Ὅ μισεῖν οἶμ' ἅπαντας τοὺς θεούς,
> γυναῖκας ἔπλασεν, ὦ πολυτίμητοι θεοί,
> ἔθνος μιαρόν. Γαμεῖ τις ἀνθρώπων, γαμεῖ;
> λάθριοι τὸ λοιπὸν γὰρ ἐπιθυμίαι κακαί,
> γαμηλίῳ λέχει τε μοιχὸς ἐντρυφῶν
> καὶ φαρμακεῖαι καὶ νόσων χαλεπωτάτη
> φθόνος, μεθ' οὗ ζῇ πάντα τὸν βίον γυνή.

Τίς ταῦτα τὰ ἀγαθὰ διώκει; τίνι βίος ὁ δυστυχὴς οὗτος θυμήρης;

44. Ἄξιον τοίνυν ἀντιθεῖναι τοῖς θήλεσι κακοῖς τὴν ἄρρενα τῶν παίδων ἀγωγήν. Ὄρθριος ἀναστὰς ἐκ τῆς ἀζύγου κοίτης τὸν ἐπὶ τῶν ὀμμάτων ἔτι λοιπὸν ὕπνον ἀπονιψάμενος ὕδατι λιτῷ καὶ τὴν ἱερὰν χλαμύδα ταῖς ἐπωμίοις περόναις συρράψας ἀπὸ τῆς πατρῴας ἑστίας ἐξέρχεται κάτω κεκυφὼς καὶ μηδένα τῶν ἀπαντώντων ἐξ ἐναντίου προσβλέπων· ἀκόλουθοι δὲ καὶ παιδαγωγοὶ χορὸς αὐτῷ κόσμιος ἕπονται τὰ σεμνὰ τῆς ἀρετῆς ἐν χερσὶν ὄργανα κρατοῦντες, οὐ πριστοῦ κτενὸς ἐντομὰς

pondus multorum talentorum; aut illos circa manus et brachia dracones, qui utinam veri pro auro dracones essent: et corona in orbem caput ambit, Indicis stellata gemmis, sumtuosaque cervice monilia demittuntur, et ad ultimos pedes miserum descendit aurum, quicquid circa talum nudatur constringens. Dignum erat autem ferro potius crura in talorum regione compediri. Quumque totum illarum corpus spuriæ formositatis pulchritudine deceptrice velut incantatum fuerit, impudentes genas inunctis fucis rubefaciunt, ut candidissimum illarum et pinguem colorem florens purpura suo rubore aspergat.

42. Quæ igitur post tantum apparatum vita est! Statim exitur domo, et nullus ipsis deus est quin idem perdat maritos: sunt etiam ex iis numinibus quorum ne ipsa quidem nomina sciant infelices illi mariti, ut puta Coliadas, et Genetyllidas, aut Phrygiam deam, aut infeliciter amantis ad pastorem comissationem. Accedunt sacra arcana, et suspecta sine viris mysteria, et (quid enim opus est hæc involvere?) animi corruptela. Quum vero ab his rediere, domi statim longa lavacra, ac sumtuosa hercle mensa, multæque apud viros suos deliciæ. Quum enim ultra modum oppletæ sunt penes se liguritionibus, nec jam ipsa capere gula cibi aliquantillum potest, summis digitis velut conscribillantes appositorum singula degustant, noctes inter hæc enarrantes, et diversi coloris somnos, et cubile muliebri plenum mollitie, e quo quicumque surgit, balneo statim indiget.

43. Hæc igitur sunt vitæ bene sibi constantis indicia. Eorum vero, quæ acerbiora sunt, si quis singulatim velit verum exquirere, ille profecto Promethea exsecrabitur in Menandri illam vocem erumpens,

> Et nonne merito pinxerunt Promethea
> pendere fixum Caucasi de rupibus?
> cui dedicatur fax, aliud nihil boni.
> Sed, quod deos odisse cunctos autumo,
> formavit idem feminam, ó dei boni!
> genus scelestum! Ducit aliquis conjugem,
> ducit? libido nempe clancularia,
> et nuptiali mœchus illudit toro:
> venena dehinc, insidiæ, invidia, pessimus
> morborum, toto femina ævo quem fovet.

Quis hæc bona persequitur? cui hæc infelix vita cordi est?

44. Æquum igitur opponere muliebribus istis malis virilem puerorum vivendi rationem. Mane surgens de cælibe lecto, reliquum adhuc in oculis somnum simplici aqua postquam abluit, sacra chlamyde humeralibus connexa fibulis, paterna domo egreditur dejecto vultu, ac neminem eorum, qui ex adverso veniunt, contuens. Pedissequi autem illum et pædagogi, decens caterva, sequitur, honesta illa virtutis instrumenta manibus tenentes, non secti serra pectinis incisuras mulcere comam aptas, neque specula,

κομην καταψήχειν δυναμένας οὐδὲ ἔσοπτρα τῶν ἀντιμόρφων χαρακτήρων ἀγράφους εἰκόνας, ἀλλ' ἢ πολύπτυχοι δέλτοι κατόπιν ἀκολουθοῦσιν ἢ παλαιῶν ἔργων ἀρετὰς φυλάττουσαι βίβλοι, κἂν εἰς μουσικοῦ δέῃ φοιτᾶν, εὐμελὴς λύρα.

45. Πᾶσι δὲ τοῖς φιλοσόφοις ψυχῆς μαθήμασι λιπαρῶς ἐναθλήσας, ἐπειδὰν ἡ διάνοια τῶν ἐγκυκλίων ἀγαθῶν κορεσθῇ, τὸ σῶμα ταῖς ἐλευθερίοις ἀσκήσεσιν ἐκπονεῖ· Θετταλοὶ γὰρ ἵπποι μέλουσιν αὐτῷ· καὶ βραχὺ τὴν νεότητα πωλοδαμνήσας ἐν εἰρήνῃ μελετᾷ τὰ πολεμικὰ ἄκοντας ἀφιεὶς καὶ βέλη δι' εὐστόχου δεξιᾶς ἀποπάλλων. Εἶθ' αἱ λιπαραὶ παλαῖστραι, καὶ πρὸς ἡλίου μεσημβρινὸν θάλπος ἐγκονίεται τὸ σῶμα πυκνούμενον, οἵ τε τῶν ἐναγωνίων πόνων ἀποσταλάζοντες ἱδρῶτες, μεθ' οὓς λουτρὰ σύντομα καὶ τράπεζα τῇ μετὰ μικρὸν ἐπινήφουσα πράξει· πάλιν γὰρ αὐτῷ διδάσκαλοι καὶ παλαιῶν ἔργων αἰνιττόμεναι καὶ ἐπιμελούμεναι μνῆμαι, τίς ἀνδρεῖος ἥρως ἢ τίς ἐπὶ φρονήσει μαρτυρούμενος ἢ οἷοι δικαιοσύνην καὶ σωφροσύνην ἠσπάσαντο. Τοιαύταις ἀρεταῖς ἁπαλὴν ἔτι τὴν ψυχὴν ἐπάρδων, ὅταν ἑσπέρα τὴν πρᾶξιν ὁρίσῃ, τῇ γαστρὸς ἀνάγκῃ τὸν ὀφειλόμενον δασμὸν ἐπιμετρήσας ἡδίους ὕπνους καθεύδει τοῖς μεθ' ἡμέραν καμάτοις ἐπηρεμῶν ἐπίφθονον.

46. Τίς οὐκ ἂν ἐραστὴς ἐφήβου γένοιτο τοιούτου; τίνι δ' οὕτω τυφλαὶ μὲν αἱ τῶν ὀμμάτων βολαί, πηροὶ δὲ οἱ τῆς διανοίας λογισμοί; πῶς δ' οὐκ ἂν ἀγαπήσαι τὸν ἐν παλαίστραις μὲν Ἑρμῆν, Ἀπόλλωνα δὲ ἐν λύραις, ἱππαστὴν δὲ ὡς Κάστορα, θείας δὲ ἀρετὰς διὰ θνητοῦ διώκοντα σώματος; Ἀλλ' ἐμοὶ μέν, δαίμονες οὐράνιοι, βίος εἴη διηνεκὴς οὗτος, ἀπαντικρὺ τοῦ φίλου καθέζεσθαι καὶ πλησίον ἡδὺ λαλοῦντος ἀκούειν, ἐξιόντι δὲ αὐτῷ συνεξιέναι καὶ παντὸς ἔργου κοινωνίαν ἔχειν. Εὔξαιτο μὲν οὖν ἐρῶν τις δι' ἀπταίστου καὶ ἀκλινοῦς βίου τὸν στεργόμενον ἀλύπως εἰς γῆρας ὁδεῦσαι μηδεμιᾶς τύχης πειράσαντα βάσκανον ἐπήρειαν. Εἰ δὲ καὶ, οἷος ἀνθρωπίνης φύσεως νόμος, νόσος ἐπιψαύσειεν αὐτοῦ, κάμνοντι συννοσήσω καὶ διὰ χειμερίου θαλάττης ἀναγομένῳ συμπλεύσομαι· κἂν τυραννικὴ βία δεσμὰ περιάψῃ, τὸν ἴσον ἐμαυτῷ περιθήσω σίδηρον· ἐχθροὺς ἅπας ὁ μισῶν ἐκεῖνον ἐμὸς ἔσται, καὶ φιλήσω τοὺς πρὸς αὐτὸν εὐνοϊκῶς ἔχοντας· εἰ δὲ λῃστὰς ἢ πολεμίους θεασαίμην ἐπ' αὐτὸν ὁρμῶντας, ὁπλισαίμην καὶ παρὰ δύναμιν· κἂν ἀποθάνῃ, ζῆν οὐκ ἀνέξομαι· τελευταίας δὲ ἐντολὰς τοῖς μετ' ἐκεῖνον ὑπ' ἐμοῦ στεργομένοις ἐπιθήσομαι κοινὸν ἀμφοτέροις ἐπιχῶσαι τάφον, ὀστέοις δὲ ἀναμίξαντας ὀστέα μηδὲ τὴν κωφὴν κόνιν ἀπ' ἀλλήλων διακρῖναι.

47. Ταῦτα δ' οὐ πρῶτοι χαράξουσιν οἱ ἐμοὶ πρὸς τοὺς ἀξίους ἔρωτες, ἀλλ' ἡ θεοῖς γείτων ἡρωϊκὴ φρόνησις ἐνομοθέτησεν, ἐν οἷς ὁ φιλίας ἔρως ἄχρι θανάτου συνεξέπνευσεν. Φωκὶς ἐκ νηπίων ἔτι χρόνων Ὀρέστην Πυλάδῃ συνῆψεν· θεὸν δὲ τῶν πρὸς ἀλλήλους παθῶν μεσίτην λαβόντες ὡς ἐφ' ἑνὸς σκάφους τοῦ βίου συνέπλευσαν· ἀμφότεροι Κλυταιμνήστραν ἀνήρουν ὡς

objectarum formarum non pictas imagines; sed vel multiplices tabellæ a tergo sequuntur, aut antiquorum operum virtutes servantia volumina; et, si ad musicæ magistrum eundum sit, canora lyra.

45. Peractis diligenter omnibus in philosophica doctrina mentis exercitiis, quum eruditi illius circuli bonis saturatus est animus, liberalibus exercitamentis corpus perficit. Thessali enim equi curæ illi sunt; et quum paullum juventutem ipse suam equulei instar agitavit et subegit, bellicam rem in pace meditatur, emittens jacula, et tela certa manu vibrans. Tum palæstræ unctæ, et ad meridianum solis calorem densandum corpus in pulvere volutatur, stillantesque de certaminum labore sudores: post quos breves balneæ, et sobrietatem instanti paullo post operi servans mensa. Rursus enim adsunt illi magistri, veterumque operum commentarii, tectius significantes aut data opera exponentes quis fortis heros, aut quis prudentiæ testimonio ornatus, aut qui justitiam, quique temperantiam amplexi sint. Talibus virtutibus quum tenerum adhuc animum velut irrigavit, vespera finem operibus imponente, ubi debitum ventris necessitati tributum admensus est, suaviores dormit somnos, qui diurnos post labores invidenda voluptate quiescat.

46. Talis adolescentis quis non amator fiat? cujusnam adeo cæci oculorum conjectus, ita stupidæ mentis cogitationes? quomodo non amet aliquis Mercurium in palæstra, in lyra Apollinem, equitem instar Castoris, divinasque in mortali corpore virtutes persequentem? Verum mihi quidem, o cœlestes dii, vita perpetua sit hæc, ex adverso amici sedere, et ex proximo suave loquentem audire, exeuntem deducere, et omnium rerum cum illo communionem habere! Atque amator quidem aliquis optaverit, per inoffensam et nihil vacillantem vitam sine ullo dolore ad senectutem pervenire amasium suum, invidam fortunæ nullius noxam expertum. Si vero, quæ humanæ naturæ lex est, morbus illum attigerit, ægrotabo cum laborante, et per tempestuosum mare navigantem comitabor: et, si tyrannica vis vincula ei injiciat, æquale mihi ferrum circumponam. Inimicus, quicumque illum oderit, meus erit, et amabo qui benevolentia illum complectentur. Si vero latrones aut hostes videam in illum irruentes, ultra vires etiam arma sumam: et, si moriatur, vivere non sustinuero: ultimaque mandata iis, qui post illum cari mihi erunt, dedero communem utrique tumulum uti aggerent, ossibusque ossa permiscentes ne pulverem quidem mutum discernant.

47. Hæc vero non primi sancient amores adversus dignos mei, sed vicinus diis heroum sensus hanc legem tulit, in quibus ille amicitiæ amor ad mortem usque progressus una exspiravit. A puerilibus inde annis Oresti Pyladen Phocis copulavit, qui, deo mutui affectus arbitro assumto, tanquam in uno vitæ navigio vecti sunt: ambo Clytæmnestram, tanquam ambo essent Agamemnonis filii, interfecere; ab am-

Ἀγαμέμνονος παῖδες, ὑπ' ἀμφοῖν Αἴγισθος ἐφονεύετο· τὰς Ὀρέστην ἐλαυνούσας Ποινὰς Πυλάδης ἐνόσει μᾶλλον, κρινομένῳ συνηγωνίζετο. Τὴν δὲ ἐρωτικὴν φιλίαν οὐδὲ τοῖς τῆς Ἑλλάδος ὅροις ἐμέτρησαν, ἀλλ' ἐπὶ τοὺς ἐσχάτους Σκυθῶν τέρμονας ἔπλευσαν ὁ μὲν νοσῶν, ὁ δὲ θεραπεύων. Τῆς γοῦν Ταυρικῆς γῆς ἐπιβαίνοντας εὐθὺς ἡ μητροκτόνος αὐτοὺς Ἐρινὺς ἐξενοδόχησε, καὶ τῶν βαρβάρων ἐν κύκλῳ περιεστώτων ὁ μὲν ὑπὸ τῆς συνήθους μανίας πεσὼν ἔκειτο, Πυλάδης δὲ

ἀφρόν τ' ἀπέψα σώματός τ' ἐτημέλει
πέπλου τε προὐκάλυπτεν εὐπήκτους ὑφάς,

οὐκ ἐραστοῦ μόνον, ἀλλὰ καὶ πατρὸς ἐνδεικνύμενος ἦθος. Ἡνίκα γοῦν ἐκρίθη θατέρου μένοντος ἐπὶ τῷ φονευθῆναι τὸν ἕτερον ἐς Μυκήνας ἀπιέναι κομιοῦντα γράμματα, μένειν ὑπὲρ ἀλλήλων ἀμφότεροι θέλουσιν ἑκάτερος ἐν θατέρῳ ζῶντι ζῆν ἑαυτὸν ἡγούμενος. Ἀπωθεῖται δὲ τὰς ἐπιστολὰς Ὀρέστης ὡς Πυλάδου λαβεῖν ἀξιωτέρου, μόνον οὐκ ἐραστὴς ἀντ' ἐρωμένου γενόμενος·

Τὸ γὰρ σφαγῆναι τόνδ' ἐμοὶ βάρος μέγα·
ὁ ναυστολῶν γάρ εἰμ' ἐγὼ τὰς συμφοράς.

Καὶ μετ' ὀλίγον φησὶ,

Τῷδε μὲν δέλτον δίδου·
πέμψω γὰρ Ἄργος, ὥστε σοι καλῶς ἔχειν·
ἡμᾶς δ' ὁ χρήζων κτεινέτω.

48. Καὶ γὰρ οὕτως ἔχει τὸ πᾶν· ὅταν γὰρ ἐκ παίδων ὁ σπουδαῖος ἔρως ἐντραφεὶς ἐπὶ τὴν ἤδη λογίζεσθαι δυναμένην ἡλικίαν ἀνδρωθῇ, τὸ πάλαι φιληθὲν ἀμοιβαίους ἔρωτας ἀνταποδίδωσι, καὶ δυσχερὲς αἰσθέσθαι ποτέρου πότερος ἐραστής ἐστιν, ὥσπερ ἀπ' ἐσόπτρου τῆς τοῦ φιλήσαντος εὐνοίας ἐπὶ τὸν ἐρώμενον ὁμοίου πεσόντος εἰδώλου. Τί δὴ οὖν τοῦ καθ' ἡμᾶς βίου ξένην αὐτὸ τρυφὴν ὀνειδίζεις θείοις νόμοις ὁρισθὲν ἐκ διαδοχῆς ἐφ' ἡμᾶς καταβεβηκός; Ἀσμένως δὲ αὐτὸ δεξάμενοι μεθ' ἁγνῆς διανοίας νεωκοροῦμεν· ὄλβιος γὰρ ὡς ἀληθῶς κατὰ τὴν τῶν σοφῶν ἀπόφασιν,

ᾧ παῖδές τε νέοι καὶ μώνυχες ἵπποι,
γηράσκει δ' ὁ γέρων κεῖνος ἐλαφρότατα,
κοῦροι τὸν φιλέουσιν.

Αἵ γε μὴν Σωκρατικαὶ διδασκαλίαι καὶ τὸ λαμπρὸν ἐκεῖνο τῆς ἀρετῆς δικαστήριον τοῖς Δελφικοῖς τρίποσιν ἐτιμήθη· χρησμὸν γὰρ ἀληθείας ὁ Πύθιος ἐθέσπισεν,

Ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος,

ὃς ἅμα τοῖς ἄλλοις μαθήμασιν, ἐξ ὧν τὸν βίον ὤνησε, καὶ τὸ παιδεραστεῖν ὡς μάλιστα ὠφελοῦν προσήκατο.

49. Δεῖ δὲ τῶν νέων ἐρᾶν ὡς Ἀλκιβιάδου Σωκράτης, ὃς ὑπὸ μιᾷ χλανίδι πατρὸς ὕπνους ἐκοιμήθη. Καὶ ἔγωγε τὸ Καλλιμάχειον ἐπὶ τέλει τῶν λόγων ἥδιστα προσθείην ἂν ἅπασι κήρυγμα·

Αἴθε γὰρ, ὦ κούροισιν ἐπ' ὄμματα λίχνα φέροντες,
Ἐρχίος ὡς ὑμῖν ὥρισε παιδοφιλεῖν,
ὣδε νέων ἐράοιτε, πόλιν κ' εὔανδρον ἔχοιτε.

Ταῦτ' εἰδότες, ὦ νεανίαι, σωφρόνως παισὶν ἀγαθοῖς

bobus Ægisthus occisus est; Furiis Oresten agitantibus magis laborabat Pylades; judicio cum illo periclitatus est. Amatoriam illam amicitiam nec Græciæ finibus mensi sunt, sed ad extremos Scytharum terminos navigarunt, ægrotans alter, alter eum curans. In Tauricam enim tellurem egressos occisæ matris ultrix Furia hospitio statim excepit, circumstantibusque barbaris, alter a consueto furore prolapsus jacebat; Pylades vero

spumam auferebat, corporis curam gerens,
jacentem textu pepli firmo protegens,

non amatoris modo, sed patris etiam animum ostendens. Quum enim judicatum esset, manente altero ut occideretur, Mycenas abire alterum, qui literas eo ferret, manere uterque pro altero volunt, rati uterque se vivere in vivente altero. Repellit autem epistolas Orestes, tanquam digniore qui eas acciperet Pylade, factus tantum non amator pro amasio:

Istum perire, mihi nimis grave est onus;
nam mea malorum sarcinam navi veho.

et paullo post ait:

Isti da literas;
hic ibit Argos, hic tuum negotium
curabit: nos necato qui cupit.

48. Sic enim universum se habet. Nempe quum innutritus a pueris inde honestus amor ad ætatem ratiocinandi jam capacem corroboratus est, ille qui amatus adhuc fuit mutuos amores rependit, difficile ut sit ad animadvertendum, utrius uter amator sit, tanquam a speculo, sic a benevolentia amantis simili ad amatum simulacro reflexo. Quid igitur, velut peregrinam vitæ nostræ luxuriam, exprobras quod divinis legibus definitum successione quadam ad nos delatum est? Quin lubenter illud acceptum pura mente, tanquam rem sacram, servamus. Felix enim vere de sapientium virorum sententia,

cui juvenescit equus, puerique ministrant,
nam fert ætatem molliter ille senex,
qui pueris carus.

Ac Socraticam quidem disciplinam et splendidum illud virtutis tribunal Delphici tripodes honorarunt; veritati enim oraculum fudit Pythius,

Excellit omnes mente Socrates viros,

qui cum reliqua disciplina, qua vitam juvit, etiam puerorum amorem, tanquam rem maxime utilem, adsciverat.

49. Oportet autem amare juvenes, ut Alcibiadem Socrates, qui sub eadem læna cum illo patris somnum dormivit. Atque ego Callimacheum illud in fine orationis lubens posuerim, præconium ad omnes:

Vos o qui pueros oculo patrante voratis,
Erchius ut teneros jussit amare mares,
sic pueros petitote; virisque implebitis urbem.

Hæc quum sciatis, juvenes, modeste ad bonos pueros acce-

πρόσιτε μηδὲ ὀλίγης τέρψεως ἕνεκα τὴν μακρὰν ἐχχέοντες εὔνοιαν ἄχρι τῆς ἀκμῆς πλαστὰ τὰ τοῦ φιλεῖν πάθη προβάλλεσθε, τὸν δ' οὐράνιον Ἔρωτα προσκυνοῦντες εἰς γῆρας ἀπὸ παίδων βέβαια τηρεῖτε τὰ πάθη· τοῖς γὰρ οὕτω φιλοῦσιν ἥδιστος μὲν ὁ τοῦ ζῆν χρόνος οὐδεμιᾶς ἀπρεποῦς συνειδήσεως παροικούσης, ἀοίδιμοι δὲ μετὰ θάνατον εἰς πάντας ἐκφοιτῶσι κληδόνες. Εἰ δὲ δεῖ φιλοσόφων παισὶ πιστεύειν, αἰθὴρ μετὰ γῆν ἐκδέχεται τοὺς ταῦτα ζηλοῦντας· εἰς δὲ ἀμείνονα βίον ἀποθανόντες ἔχουσι τῆς ἀρετῆς γέρας τὸ ἄφθαρτον.

50. Τοιαῦτα τοῦ Καλλικρατίδου σφόδρα νεανικῶς σεμνολογησαμένου, Χαρικλέα μὲν ἐκ δευτέρου λέγειν πειρώμενον ἐπέσχον· ὥρα γὰρ ἦν ἐπὶ ναῦν κατιέναι. Δεομένων δ' ὅ τι φρονοίην ἀποφήνασθαι, δι' ὀλίγου τοὺς ἑκατέρου λόγους ἀριθμησάμενος, Οὐκ ἐξ ὑπογύου, φημὶ, καὶ παρημελημένως ὑμῖν, ὦ ἑταῖροι, τὰ τῶν λόγων ἔοικεν ἀπεσχεδιάσθαι, διηνεκοῦς δὲ καὶ νὴ Δί' ἐρρωμένης φροντίδος ἐναργῆ ταῦτ' ἐστὶν ἴχνη· σχεδὸν γὰρ οὐδέν ἐστιν ὅ τι τῶν λεκτέων εἰπεῖν ἑτέρῳ δύνασθαι παρήκατε· καὶ πολλὴ μὲν ἡ τῶν πραγμάτων ἐμπειρία, πλείων δ' ἡ τῶν λόγων δεινότης, ὥστ' ἔγωγε ἂν εὐξαίμην, εἴπερ ἦν ἐν δυνατῷ, γενέσθαι Θηραμένης ἐκεῖνος ὁ Κόθορνος, ἵν' ἄμφω νενικηκότες ἐξ ἴσου βαδίζοιτε. Πλὴν ἐπειδήπερ ἀνήσειν οὐκ ἐοίκατε καὶ αὐτὸς ἐν τῷ μεταξὺ πλῷ περὶ τῶν αὐτῶν οὐ κέκριμαι διοχλεῖσθαι, τὸ μάλιστα παραστὰν εἶναί μοι δίκαιον ἀποφανοῦμαι.

51. Γάμοι μὲν ἀνθρώποις βιωφελὲς πρᾶγμα καὶ μακάριον, ὁπόταν εὐτυχῶνται, παιδικοὺς δ' ἔρωτας, ὅσοι φιλίας ἀγνὰ δίκαια προμνῶνται, μόνης φιλοσοφίας ἔργον ἡγοῦμαι. Διὸ δὴ γαμητέον μὲν ἅπασι, παιδερασταῖν δὲ ἐφείσθω μόνοις τοῖς σοφοῖς· ἥκιστα γὰρ ἐν γυναιξὶν ὁλόκληρος ἀρετὴ φύεται. Καὶ σὺ δ', ὦ Χαρίκλεις, μηδὲν ἀχθεσθῇς, εἰ ταῖς Ἀθήναις ἡ Κόρινθος εἶξει.

52. Κἀγὼ μὲν ὑπ' αἰδοῦς συντόμῳ λόγῳ τὴν κρίσιν ἐπισπεύσας ἐξανέστην· ἑώρων γὰρ ὑπερκατηφῆ τὸν Χαρικλέα παρὰ μικρὸν ὡς θανάτου κατάκριτον. Ὁ δ' Ἀθηναῖος ἱλαρῷ τῷ προσώπῳ φαιδρὸς ἀναπηδήσας προῄει σφόδρα σοβαρῶς· εἴκασεν ἄν τις αὐτὸν ἐν Σαλαμῖνι Πέρσας κατανεναυμαχηκέναι. Καὶ τοῦτό γε τῆς κρίσεως ἀπωνάμην, λαμπρότερον ἡμᾶς ἑστιάσαντος αὐτοῦ τἀπινίκια· καὶ γὰρ ἦν ἄλλως τὸν βίον μεγαλοφρονέστερος. Ἡσυχῇ δὲ καὶ τὸν Χαρικλέα παρηγορησάμην ἐπὶ τῇ δεινότητι τῶν λόγων συνεχὲς ὑπερθαυμάζων, ὅτι δυσχερεστέρῳ μέρει δυνατῶς συνηγόρησεν.

53. Ἀλλ' ἡ μὲν ἐν Κνίδῳ διατριβὴ καὶ τὰ παρὰ τῇ θεῷ λαληθέντα σπουδὴν ἱλαρὰν ἅμα καὶ παιδιὰν εὔμουσον ἐσχηκότα τῇδέ πῃ διεκρίθη. Σὺ δὲ, ὦ Θεόμνηστε, ὁ τὴν ἕωλον ἡμῶν ἐκκαλεσάμενος μνήμην, εἰ δικαστὴς τότ' ἦσθα, πῶς ἂν ἀπεφήνω;

ΘΕΟΜΝ. Μελητίδην ἢ Κόριβον οἴει με πρὸς θεῶν, ἵνα τοῖς ὑπὸ σοῦ δικαίως κριθεῖσιν ἐναντίαν φέρω ψῆφον; ὃς ὑπ' ἄκρας ἡδονῆς τῶν λεγομένων ἐν Κνίδῳ διατρίβειν ᾠόμην ὀλίγου τὸ βραχὺ τοῦτο δωμάτιον αὐ-

dite, neu parvæ voluptatis causa longam benevolentiam effundentes, usque ad maturam ætatem fictos amoris affectus obtentui libidinis habete : sed, cœlesti illo invocato Amore, in senectutem a pueris inde stabiles servate affectus. Qui enim ita amant, illis suavissimum vivendi tempus, turpi nulla conscientia in animo habitante; nobilis autem post mortem ad omnes fama exit. Si vero fides habenda philosophorum filiis, æther post terram excipit qui his rebus studuerunt; atque, ad vitam meliorem mortui, præmium virtutis habent immortalitatem.

50. Ista Callicratidas juvenili ardore et gravi oratione quum protulisset, Chariclem, dicere volentem denuo, repressi : quod tempus erat descendendi ad navim. Rogantibus autem ut quid sentirem pronunciare vellem, perpensa paullum utriusque oratione, « Non ex tempore, inquam, et negligenter, sodales, orationem uterque suam videmini deproperasse; sed perpetuæ et robustæ profecto cogitationis aperta hæc sunt vestigia : vix enim quicquam est eorum, quæ dici hic debent, quod dicendum alteri reliqueritis; ac quum multa rerum peritia eminuit, tum major etiam vis verborum. Itaque optaverim, Theramenes, si fieri posset, ille Cothurnus esse, ut victores ambo æquo pede incederetis. Verum enim vero quandoquidem remissuri non videmini, et ipse inter navigandum de iisdem rebus flagitari non decrevi; id quod maxime in præsens mihi justum esse videtur, pronunciabo.

51. Nuptiæ quidem res vitæ hominum utilissima, et beata, quoties felices sunt : masculos autem amores, quoties casta amicitiæ jura illi conciliant, solius opus philosophiæ arbitror. Propterea nuptiæ contrahendæ omnibus; pueros autem amare solis concedatur philosophis; minime enim perfecta in mulieribus virtus exsistit. Tu vero, Charicles, non gravabere, si Athenis Corinthus cesserit. »

52. Atque ego præ pudore concisa oratione festinanter judicium quum expediissem, surrexi : videbam enim demisso supra modum vultu Chariclem, quasi tantum non capitis damnatus esset. Atheniensis vero hilari gestu lætus exsultans, jactabundo valde incessu progrediebatur; putares navali ad Salamina prælio Persas ab illo superatos. Atque hunc certe judicii mei fructum habui, quod splendidius nos tanquam triumphali cœna excepit : erat enim alioquin etiam in victu magnificentior. Submissa autem voce Chariclem etiam subinde consolabar, vi dicendi illius commemorata, perpetuo vehementer admirari me dicens, quam potenter difficiliores partes tuitus fuisset.

53. Sed illa in Cnido commoratio et habiti in deæ sacro sermones, qui lætum simul studium et eruditum lusum habuerant, hoc fere modo compositi sunt. At tu, Theomneste, qui antiquam illam nobis memoriam evocasti, si tum judex fuisses, quid pronunciaturus eras?

THEOMN. Adeone Meletiden aut Coræbum medius fidius me arbitraris, ut juste a te judicatis contrariam feram sententiam? qui præ summa jucunditate eorum quæ dicebantur, in Cnido versari mihi viderer, ut parum abesset quin

τὸν ἡγούμενος εἶναι τὸν νεὼν ἐκεῖνον. Ὅμως δ' οὖν — οὐδὲν γὰρ ἁπρεπὲς ἐν ἑορτῇ λέγεσθαι, πᾶς δὲ γέλως, κἂν περίεργος ᾖ, πανηγυρίζειν δοκεῖ — τοὺς ἄγαν ὑπὸ τοῦ παιδεραστεῖν κατωφρυωμένους λόγους ἐθαύμαζον μὲν ἐπὶ τῇ σεμνότητι, πλὴν οὐ πάνυ θυμῆρες ᾠόμην, ἐφήδῳ παιδὶ συνδιημερεύοντα Τανταλείους δίκας ὑποφέρειν, καὶ τοῖς ὄμμασι τοῦ κάλλους μονονουχὶ προσκλύζοντος, ἔξον ἁρύσασθαι, διψῆν ὑπομένειν· οὐ γὰρ ἀπόχρη τὸ θεωρεῖν ἐρώμενον οὐδ' ἀπαντικρὺ καθημένου καὶ λαλοῦντος ἀκούειν, ἀλλ' ὥσπερ ἡδονῆς κλίμακα συμπηξάμενος ἔρως πρῶτον ἔχει βαθμὸν ὄψεως, ἵνα ἴδῃ, κἂν θεάσηται, ποθεῖ προσάγων ἐφάψασθαι· δι' ἄκρων γοῦν δακτύλων κἂν μόνον θίγῃ, τὰ τῆς ἀπολαύσεως εἰς ἅπαν διαθεῖ τὸ σῶμα. Τυχὼν δ' εὐμαρῶς τούτου τρίτην πεῖραν ἐπάγει φιλήματος, οὐκ εὐθὺς περίεργον, ἀλλ' ἠρέμα χείλη προσεγγίσας χείλεσιν, ἃ πρὶν ἡ ψαῦσαι τελείως, ἀπέστη, μηδὲν ὑπονοίας ἴχνος καταλιπών· εἶτα πρὸς τὸ παρεῖκον ἁρμοζόμενος ἀεὶ λιπαρεστέροις μὲν ἀσπάσμασιν ἐντέτηκεν, ἔσθ' ὅτε καὶ διαστέλλων ἡσυχῇ τὸ στόμα, τῶν δὲ χειρῶν οὐδεμίαν παρίησιν ἀργήν· αἱ γὰρ φανεραὶ μετὰ τῶν ἐσθήτων περιπλοκαὶ τὴν ἡδονὴν συνάπτουσιν, ἡ λάθριος ὑγρῶς ἡ δεξιὰ κατὰ κόλπου δῦσα μαστοὺς βραχὺ τὴν φύσιν ὑπεροιδῶντας πιέζει, καὶ σφριγώσης γαστρὸς ἀμφιλαφὲς τοῖς δακτύλοις ἐπιδράττεται ὁμαλῶς, μετὰ τοῦτο καὶ πρωτόχνουν ἄνθος ἥβης. Καὶ

τί τάρρητ' ἀναμετρήσασθαί με δεῖ;

τοσαύτης τυχὼν ἐξουσίας ὁ ἔρως θερμοτέρου τινὸς ἅπτεται πράγματος· εἶτ' ἀπὸ μηρῶν προοιμιασάμενος κατὰ τὸν κωμικὸν αὐτὸ ἐπάταξεν.

54. Ἐμοὶ μὲν οὕτω παιδεραστεῖν γένοιτο· μετεωρολέσχαι δὲ καὶ ὅσοι τὴν φιλοσοφίας ὀφρὺν ὑπὲρ αὐτοὺς τοὺς κροτάφους ὑπερήρκασι, σεμνῶν ὀνομάτων κομψεύμασι τοὺς ἀμαθεῖς ποιμαινέτωσαν· ἐρωτικὸς γὰρ ἦν, εἴπερ τις, καὶ ὁ Σωκράτης, καὶ ὑπὸ μίαν Ἀλκιβιάδης αὐτῷ χλανίδα κλιθεὶς οὐκ ἀπλῆξ ἀνέστη. Καὶ μὴ θαυμάσῃς· οὐδὲ γὰρ ὁ Πάτροκλος ὑπ' Ἀχιλλέως ἠγαπᾶτο μέχρι τοῦ καταντικρὺ καθέζεσθαι

δέγμενος Αἰακίδην, ὁπότε λήξειεν ἀείδων,

ἀλλ' ἦν καὶ τῆς ἐκείνων φιλίας μεσῖτις ἡδονή· στένων γοῦν Ἀχιλλεὺς τὸν Πατρόκλου θάνατον ἀταμιεύτῳ πάθει πρὸς τὴν ἀλήθειαν ἀπερράγη,

Μηρῶν τε τῶν σῶν εὐσεβὴς ὁμιλία.

Τούς γε μὴν ὀνομαζομένους παρ' Ἕλλησι κωμαστὰς οὐδὲν ἄλλ' ἢ δήλους ἐραστὰς νομίζω. Τάχα φήσει τις αἰσχρὰ ταῦτ' εἶναι λέγεσθαι, πλὴν ἀληθῆ γε νὴ τὴν Κνιδίαν Ἀφροδίτην.

ΛΥΚ. Οὐκ ἀνέξομαί σου, φίλε Θεόμνηστε, ἄλλην ἀρχὴν καταβαλλομένου τρίτων λόγων, ἧς ἀκούειν ἐν ἑορτῇ μόνον εἰκός ἐστι, τἄλλα δὲ τῶν ἐμῶν ὤτων πόρρω ἀποικιεῖν. Ἀφέμενοι δὲ τοῦ παρέλκειν πλείω χρόνον εἰς ἀγορὰν ἐξίωμεν· ἤδη γὰρ εἰκός ἐστιν ὑφάπτεσθαι τῷ

parvulam hanc domunculam ipsum illud esse templum putarem. Verumtamen (nihil enim non decens est hoc die festo dicere, quum risus omnis, etiamsi forte nimius, ad celebrationem pertinere videatur) orationem illam in puerorum amore, nimio quasi supercilio elatam, gravitatis causa admirabar equidem : verum illud parum videbatur ad animi voluptatem pertinere, aliquem totos dies versantem cum puero pubertati propinquo, Tantaleas pœnas sustinere, quumque pulchritudo tantum non alluat oculos, quum hauriendi sit copia, tolerare tamen sitim. Neque enim satis est videre quem ames, neque ex adverso sedentem et loquentem audire, sed velut scalas quasdam voluptatis fabricans amor primum habet gradum visus, uti spectet : et ubi contemplatus est, cupit admoto corpore attingere : si enim vel summis tantum digitis attigerit, totum corpus fructus ille percurrit. Hoc ubi facile consecutus est, tertio tentat osculum, non statim curiosum illud, sed placide labia admovens labiis, quæ prius etiam quam plane se contigerint, desistant, nullo suspicionis relicto vestigio. Deinde concedenti se quoque tempore accommodans, longioribus amplexibus quasi illiquescit, interdum etiam placide os diducens, nullamque manum otiosam esse patitur : nam manifestæ illæ in vestimentis complexiones voluptatem conglutinant, aut latenter lubrico lapsu dextra sinum subiens, mamillas premit paullum ultra naturam tumentes, et duriusculi ventris rotunditatem digitis molliter percurrit, post hæc etiam primæ lanuginis in pube florem. Et quid me oportet arcana illa remetiri? tantam nactus opportunitatem amor, calidius quoddam opus occipit : deinde a feminibus exorsus, ut ait Comicus, rem ipsam percussit.

54. Mihi quidem hoc modo amare pueros contingat. Sublimes autem isti nugatores et quotquot philosophiæ supercilium ultra ipsa tempora sustulere, honestorum verborum phaleris imperitos pascant : nam amator erat, si quisquam, Socrates, et sub eadem cum illo læna jacens Alcibiades non sine plaga surrexit. Neu mireris : neque enim Patroclus ab Achille eatenus tantum amabatur, ut e regione sederet,

Æacidi intentus, dum cesset fundere carmen :

sed erat ipsorum etiam amicitiæ pararia voluptas : nam gemens Patrocli mortem Achilles, affectu parum custodito in verum erupit,

Femorum tuorum sanctior consuetio.

Hos equidem, qui apud Græcos Comissatores vocantur, nihil aliud quam professos amatores arbitror. Dixerit forte aliquis, turpia hæc esse dicta : at vera quidem sunt, per Cnidiam Venerem.

LYC. Non feram te, care Theomneste, aliud tertiæ orationis quasi fundamentum jacientem, cujus initium festo tantum die audire fas est, reliqua vero procul ab auribus meis ablegare. Omissa autem longiore in iis quæ nihil ad rem faciunt mora, in forum prodeamus. Jam enim con-

θεῷ τὴν πυράν. Ἔστι δ' οὐκ ἀτερπὴς ἡ θέα τῶν ἐν Οἴτῃ παθῶν ὑπομιμνήσκουσα τοὺς παρόντας.

XXXIX.

ΕΙΚΟΝΕΣ.

1. ΛΥΚΙΝΟΣ. Ἀλλ' ἦ τοιοῦτόν τι ἄρα ἔπασχον οἱ τὴν Γοργὼ ἰδόντες οἷον ἐγὼ ἔναγχος ἔπαθον, ὦ Πολύστρατε, παγκάλην τινὰ γυναῖκα ἰδών· αὐτὸ γὰρ τὸ τοῦ μύθου ἐκεῖνο μικροῦ δέω λίθος ἐξ ἀνθρώπου σοι γεγονέναι πεπηγὼς ὑπὸ τοῦ θαύματος.

ΠΟΛΥΣΤΡΑΤΟΣ. Ἡράκλεις, ὑπερφυές τι τὸ θέαμα φῂς καὶ δεινῶς βίαιον, εἴ γε καὶ Λυκῖνον ἐξέπληξε γυνή τις οὖσα· σὺ γὰρ ὑπὸ μὲν τῶν μειρακίων καὶ πάνυ ῥᾳδίως αὐτὸ πάσχεις, ὥστε θᾶττον ἄν τις ὅλον τὸν Σίπυλον μετακινήσειεν ἢ σὲ τῶν καλῶν ἀπάγοι μὴ οὐχὶ παρεστάναι αὐτοῖς κεχηνότα καὶ ἐπιδακρύοντά γε πολλάκις ὥσπερ ἐκείνην αὐτὴν τὴν τοῦ Ταντάλου. Ἀτὰρ εἰπέ μοι, τίς ἡ λιθοποιὸς αὕτη Μέδουσα ἡμῖν ἐστι καὶ πόθεν, ὡς καὶ ἡμεῖς ἴδοιμεν· οὐ γὰρ ἄν, οἶμαι, φθονήσαις ἡμῖν τῆς θέας οὐδὲ ζηλοτυπήσαις, εἰ μέλλοιμεν πλησίον που καὶ αὐτοὶ παραπεπηγέναι σοι ἰδόντες.

ΛΥΚ. Καὶ μὴν εὖ εἰδέναι χρή σε, ὡς κἂν ἐκ περιωπῆς μόνον ἀπίδῃς ἐς αὐτὴν, ἀχανῆ σε καὶ τῶν ἀνδριάντων ἀκινητότερον ἀποφανεῖ. Καίτοι τοῦτο μὲν ἴσως εἰρηνικώτερόν ἐστι καὶ τὸ τραῦμα ἧττον καίριον, εἰ αὐτὸς ἴδοις· εἰ δὲ κἀκείνη προσβλέψειέ σε, τίς ἔσται μηχανὴ ἀποστῆναι αὐτῆς; ἀπάξει γάρ σε ἀναδησαμένη ἔνθα ἂν ἐθέλῃ, ὅπερ καὶ ἡ λίθος ἡ Ἡρακλεία δρᾷ τὸν σίδηρον.

2. ΠΟΛ. Παύου, ὦ Λυκῖνε, τεράστιόν τι κάλλος ἀναπλάττων, ἀλλ' εἰπὲ, τίς ἡ γυνή ἐστιν;

ΛΥΚ. Οἶει γάρ με ὑπερβαλέσθαι τῷ λόγῳ, ὃς δέοιά μή σοι ἰδόντι ἀσθενής τις ἐπαινέσαι δόξω, παρὰ τοσοῦτον ἀμείνων φανεῖται. Πλὴν ἀλλὰ ἥτις μὲν, οὐκ ἂν εἰπεῖν ἔχοιμι, θεραπεία δὲ πολλὴ καὶ ἡ ἄλλη περὶ αὐτὴν παρασκευὴ λαμπρὰ καὶ εὐνούχων τι πλῆθος καὶ ἄβραι πάνυ πολλαὶ, καὶ ὅλως μεῖζόν γε ἢ κατ' ἰδιωτικὴν τύχην ἐδόκει τὸ πρᾶγμα εἶναι.

ΠΟΛ. Οὐδὲ τοὔνομα ἐπύθου σύ γε ἥτις καλοῖτο;

ΛΥΚ. Οὐδαμῶς, ἢ τοῦτο μόνον, τῆς Ἰωνίας ἐστί· τῶν θεατῶν γάρ τις ἐπαινέσαι δόξω, ἐπεὶ παρῆλθε, Τοιαῦτα μέντοι, ἔφη, τὰ Σμυρναϊκὰ κάλλη· καὶ θαυμαστὸν οὐδὲν, εἰ ἡ καλλίστη τῶν Ἰωνικῶν πόλεων τὴν καλλίστην γυναῖκα ἤνεγκεν. Ἐδόκει δέ μοι καὶ αὐτὸς Σμυρναῖος εἶναι ὁ λέγων, οὕτως ἐσεμνύνετο ἐπ' αὐτῇ.

3. ΠΟΛ. Οὐκοῦν ἐπεὶ λίθου τοῦτό γε ὡς ἀληθῶς ἐποίησας οὔτε παρακολουθήσας οὔτε τὸν Σμυρναῖον ἐκεῖνον ἐρόμενος ὅστις ἦν, κἂν τὸ εἶδος ὡς οἷόν τε ὑπόδειξον τῷ λόγῳ· τάχα γὰρ ἄν οὕτω γνωρίσαιμι.

ΛΥΚ. Ὁρᾷς ἡλίκον τοῦτο ἤτησας; οὐ κατὰ λόγων

venit rogum deo accendi : neque est injucundum spectaculum, eorum quæ in Œta deo evenere, præsentes admonens.

XXXIX.

IMAGINES.

1. LYCINUS. Tale igitur aliquid usu veniebat his qui Gorgonem vidissent, quale usu nuper mihi venit, Polystrate, pulcherrimam quandam feminam videnti : parum enim abest quin, ut habet fabula, lapis tibi ex homine sim factus, ac præ admiratione dirignerim.

POLYSTRATUS. Insolitum hercle spectaculum ais et valde violentum, si quidem Lycinum etiam mulier aliqua perculit. Nam ab adolescentulis tu quidem, idque facile admodum sic afficeris, ut facilius aliquis totum Sipylum loco moveat, quam te abducat a pulchris, quominus astes illis hians, et sæpe illacrimans etiam, ut illa ipsa Tantali filia. Verum dic mihi, quæ nobis est illa Medusa saxifica, et unde? ut nos quoque eam videamus. Neque enim, puto, invidebis nobis spectaculum, neque zelotypia accenderis, si ex propinquo nos etiam velimus juxta te in illo obrigescere.

LYC. Quin certo scias, illa te, si vel ab alta eam specula aspexeris, attonitum, et magis quam statuæ sunt, immotum redditura est. Quanquam hoc quidem forte pacatius fuerit, et minus letale vulnus, ipse si videas : si vero ipsa quoque te aspiciat, qua ratione ab illa abscedes? revinctum enim te quorsum voluerit abducet, quod Heracleus lapis (*magnes*) facit in ferro.

2. POL. Desine, Lycine, portentosam pulchritudinem effingere; sed dic mihi quæ sit mulier.

LYC. Putas enim me dicendo modum excedere, qui metuam ne tibi, quum videris, imbecillis in laudando videar : tanto illa apparebit præstantior. Verum quæ sit, non habeo dicere. Ministerium vero multum, et reliquus circa illam apparatus splendidus, et eunuchorum multitudo, et ancillæ sane multæ, atque in universum major, quam pro fortuna privata, res videbatur esse.

POL. Neque nomen audiebas tu quidem, quomodo vocaretur?

LYC. Nequaquam, nisi hoc solum, ex Ionia est. Spectatorum enim aliquis, vicinum respiciens, quum transiret : Tales quidem Smyrnenses, inquit, sunt formæ; nec mirum si pulcherrima Ionicarum urbium mulierem pulcherrimam protulit. Videbatur autem mihi Smyrnæus ipse quoque esse qui dicebat, adeo illa gloriabatur.

3. POL. Quandoquidem igitur hoc vere pro lapide fecisti, qui neque secutus sis neque interrogaveris Smyrnæum illum, quænam esset; certe formam illius, quantum ejus fieri potest, sermone ostende : forte enim sic eam agnovero.

LYC. Vides quantum sit quod petiisti? non est facultatis

δύναμιν, καὶ μάλιστά γε τῶν ἐμῶν, ἐμφανίσαι θαυμασίαν οὕτως εἰκόνα, πρὸς ἣν μόλις ἂν ἡ Ἀπελλῆς ἢ Ζεῦξις ἢ Παρράσιος ἱκανοὶ ἔδοξαν, ἢ εἴ τις Φειδίας ἢ Ἀλκαμένης. Ἐγὼ δὲ λυμανοῦμαι τὸ ἀρχέτυπον ἀσθενείᾳ τῆς τέχνης.

ΠΟΛ. Ὅμως, ὦ Λυκῖνε, ποία τις ἦν τὴν ὄψιν; οὐ γὰρ ἐπισφαλὲς τὸ τόλμημα, εἰ φίλῳ ἀνδρὶ ἐπιδείξαις τὴν εἰκόνα ὅπως ἂν τῆς γραμμῆς ἔχῃ.

ΛΥΚ. Καὶ μὴν ἀσφαλέστερον αὐτὸς ποιήσειν μοι δοκῶ τῶν παλαιῶν τινας ἐκείνων τεχνιτῶν παρακαλέσας ἐπὶ τὸ ἔργον, ὡς ἀναπλάσειάν μοι τὴν γυναῖκα.

ΠΟΛ. Πῶς τοῦτο φῄς; ἢ πῶς ἂν ἀφίκοιντό σοι πρὸ τοσούτων ἐτῶν ἀποθανόντες;

ΛΥΣ. Ῥᾳδίως, ἥνπερ σὺ μὴ ἀκνήσῃς ἀποκρίνασθαί τί μοι.

ΠΟΛ. Ἐρώτα μόνον.

4. ΛΥΚ. Ἐπεδήμησάς ποτε, ὦ Πολύστρατε, τῇ Κνιδίων;

ΠΟΛ. Καὶ μάλα.

ΛΥΚ. Οὐκοῦν καὶ τὴν Ἀφροδίτην εἶδες πάντως αὐτῶν;

ΠΟΛ. Νὴ Δία, τῶν Πραξιτέλους ποιημάτων τὸ κάλλιστον.

ΛΥΚ. Ἀλλὰ καὶ τὸν μῦθον ἤκουσας, ὃν λέγουσιν οἱ ἐπιχώριοι περὶ αὐτῆς, ὡς ἐρασθείη τις τοῦ ἀγάλματος καὶ λαθὼν ὑπολειφθεὶς ἐν ἱερῷ συγγένοιτο, ὡς δυνατὸν ἀγάλματι. Τοῦτο μέντοι ἄλλως ἱστορείσθω. Σὺ δὲ — ταύτην γὰρ, ὡς φῄς, εἶδες — ἴθι μοι καὶ τόδε ἀπόκριναι, εἰ καὶ τὴν ἐν κήποις Ἀθήνησι τὴν Ἀλκαμένους ἑόρακας;

ΠΟΛ. Ἦ πάντων γ' ἂν, ὦ Λυκῖνε, ὁ ῥᾳθυμότατος ἦν, εἰ τὸ κάλλιστον τῶν Ἀλκαμένους πλασμάτων παρεῖδον.

ΛΥΚ. Ἐκεῖνο μέν γε, ὦ Πολύστρατε, οὐκ ἐξερήσομαί σε, εἰ πολλάκις ἐς τὴν ἀκρόπολιν ἀνελθὼν καὶ τὴν Καλάμιδος Σωσάνδραν τεθέασαι.

ΠΟΛ. Εἶδον κἀκείνην πολλάκις.

ΛΥΚ. Ἀλλὰ καὶ ταῦτα μὲν ἱκανῶς. Τῶν δὲ Φειδίου ἔργων τί μάλιστα ἐπῄνεσας;

ΠΟΛ. Τί δ' ἄλλο ἢ τὴν Λημνίαν, ἣ καὶ ἐπιγράψαι τοὔνομα ὁ Φειδίας ἠξίωσε; καὶ νὴ Δία τὴν Ἀμαζόνα τὴν ἐπερειδομένην τῷ δορατίῳ.

5. ΛΥΚ. Τὰ κάλλιστα, ὦ ἑταῖρε, ὥστε οὐκέτ' ἄλλων τεχνιτῶν δεήσει. Φέρε δὴ ἐξ ἁπασῶν ἤδη τούτων ὡς οἷόν τε συναρμόσας μίαν σοι εἰκόνα ἐπιδείξω τὸ ἐξαίρετον παρ' ἑκάστης ἔχουσαν.

ΠΟΛ. Καὶ τίνα ἂν τρόπον τοῦτο γένοιτο;

ΛΥΚ. Οὐ χαλεπὸν, ὦ Πολύστρατε, εἰ τὸ ἀπὸ τοῦδε παραδόντες τὰς εἰκόνας τῷ λόγῳ ἐπιτρέψαιμεν αὐτῷ μετακοσμεῖν καὶ συντιθέναι καὶ ἁρμόζειν ὡς ἂν εὐρυθμότατα δύναιτο φυλάττων ἅμα τὸ συμμιγὲς ἐκεῖνο καὶ ποικίλον.

ΠΟΛ. Εὖ λέγεις· καὶ δὴ παραλαβὼν δεικνύτω· ἐθέλω γὰρ εἰδέναι ὅ τι καὶ χρήσεται αὐταῖς ἢ ὅπως ἐκ

dicendi, meæ præsertim, declarare admirabilem adeo imaginem, cui vix Apelles, aut Zeuxis, aut Parrhasius, apti videantur, aut si quis Phidias vel Alcamenes. Ego vero corrupero exemplum artis imbecillitate.

POL. Tamen, Lycine, qualis erat specie? neque enim periculosus ille conatus, si amico homini ostendas imaginem, quomodo delineatio ejus se habeat.

LYC. Quin tutius mihi facturus videor, si veterum illorum artificum quosdam ad opus advocem, uti mulierem mihi effingant.

POL. Quomodo hoc intelligis? aut quomodo veniant tibi tot ante annos mortui?

LYC. Facile, si quidem tu non graveris aliquid mihi respondere.

POL. *Interroga modo.*

4. LYC. Peregrinatusne aliquando es, Polystrate, in urbe Cnidiorum?

POL. Sane.

LYC. Igitur omnino etiam Venerem illorum vidisti?

POL. Ego vero, ita me Jupiter, operum Praxitelis pulcherrimum.

LYC. Sed fabulam etiam audisti, quam narrant de ea cives, amore aliquem captum statuæ clam, quum relictus esset in templo, coiisse cum ea, quoad ejus fieri potuerit cum statua. Atque illud quidem alias tibi referatur : jam vero (hanc enim, ut ais, vidisti) age mihi iliud quoque responde, an illam etiam in hortis apud Athenas, Alcamenis Venerem, vidisti?

POL. Equidem omnium, Lycine, essem negligentissimus, si pulcherrimum Alcamenis signorum prætervidissem.

LYC. Illud quidem, Polystrate, non exquiram ex te, ao sæpe escensa arce Calamidis Sosandram contemplatus fueris.

POL. Vidi et illam sæpe.

LYC. Sed satis ista. Inter Phidiæ vero opera quod maxime laudasti?

POL. Quod vero aliud, quam Lemniam (Minervam), cui nomen etiam inscribere suum Phidias voluit? et hercle Amazonem quoque innixam hastæ.

5. LYC. Pulcherrima hæc, sodalis. Itaque aliis artificibus opus non habebis. Age jam ex omnibus hisce, ut potest, coagmentatam tibi unam imaginem ostendam, id quod in singulis eximium est habentem.

POL. Et quomodo illud fieri possit?

LYC. Non difficile est, Polystrate, si jam dicendi facultati tradamus illas imagines, permittamusque illi aliter eas ornare, et componere et concinnare quam commodissime possit, servata simul commiscendi proportione et varietate.

POL. Recte dicis. Sumat sane atque ostendat : volo enim scire, quomodo illis usura sit, aut quomodo ex tot diver-

τοσούτων μίαν τινὰ συνθεὶς οὐκ ἀπάδουσαν ἀπεργάσεται.

6. ΛΥΚ. Καὶ μὴν ἤδη σοι ὁρᾶν παρέχει γιγνομένην τὴν εἰκόνα ὧδε συναρμόζων, τῆς ἐκ Κνίδου ἡκούσης μόνον τὴν κεφαλὴν λαβών· οὐδὲν γὰρ τοῦ ἄλλου σώματος γυμνοῦ ὄντος δεήσεται· τὰ μὲν ἀμφὶ τὴν κόμην καὶ μέτωπον ὀφρύων τε τὸ εὔγραμμον ἐάσει ἔχειν ὥσπερ ὁ Πραξιτέλης ἐποίησε, καὶ τῶν ὀφθαλμῶν δὲ τὸ ὑγρὸν ἅμα τῷ φαιδρῷ καὶ κεχαρισμένῳ καὶ τοῦτο διαφυλάξει κατὰ τὸ Πραξιτέλει δοκοῦν· τὰ μῆλα δὲ καὶ ὅσα τῆς ὄψεως ἀντωπὰ παρ' Ἀλκαμένους καὶ τῆς ἐν κήποις λήψεται, καὶ προσέτι χειρῶν ἄκρα καὶ καρπῶν τὸ εὐρυθμον καὶ δακτύλων τὸ εὐάγωγον ἐς λεπτὸν ἀπολῆγον παρὰ τῆς ἐν κήποις καὶ ταῦτα· τὴν δὲ τοῦ παντὸς προσώπου περιγραφὴν καὶ παρειῶν τὸ ἁπαλὸν καὶ ῥῖνα σύμμετρον ἡ Λημνία παρέξει καὶ Φειδίας· ἔτι καὶ στόματος ἁρμογὴν ὁ αὐτὸς καὶ τὸν αὐχένα, παρὰ τῆς Ἀμαζόνος λαβών· ἡ Σωσάνδρα δὲ καὶ ὁ Κάλαμις αἰδοῖ κοσμήσουσιν αὐτὴν, καὶ τὸ μειδίαμα σεμνὸν καὶ λεληθὸς ὥσπερ τὸ ἐκείνης ἔσται· καὶ τὸ εὐσταλὲς δὲ καὶ κόσμιον τῆς ἀναβολῆς παρὰ τῆς Σωσάνδρας, πλὴν ὅτι ἀκατακάλυπτος αὕτη ἔσται τὴν κεφαλήν. Τῆς ἡλικίας δὲ τὸ μέτρον, ἡλίκον ἂν γένοιτο, κατὰ τὴν ἐν Κνίδῳ ἐκείνην μάλιστα· καὶ γὰρ καὶ τοῦτο κατὰ τὸν Πραξιτέλην μεμετρήσθω. Τί σοι, ὦ Πολύστρατε, δοκεῖ; καλὴ γενήσεσθαι ἡ εἰκών; καὶ μάλιστα, ἐπειδὰν ἐς τὸ ἀκριβέστατον ἀποτελεσθῇ.

7. ΠΟΛ. Ἔτι γὰρ, ὦ πάντων γενναιότατε, καταλέλοιπάς τι κάλλος ἔξω τοῦ ἀγάλματος οὕτω πάντα ἐς τὸ αὐτὸ συμπεφορηκώς;

ΛΥΚ. Τί τοῦτο;

ΠΟΛ. Οὐ τὸ μικρότατον, ὦ φιλότης, εἰ μή σοι δόξει ὀλίγα πρὸς εὐμορφίαν συντελεῖν χρόα καὶ τὸ ἑκάστῳ πρέπον· ὡς μέλανα μὲν εἶναι ἀκριβῶς ὁπόσα μέλανα, λευκὰ δὲ ὅσα τοιαῦτα χρὴ, καὶ τὸ ἐρύθημα ἐπανθεῖν καὶ τὰ τοιαῦτα· κινδυνεύει τοῦ μεγίστου ἔτι ἡμῖν προσδεῖν.

ΛΥΚ. Πόθεν οὖν καὶ ταῦτα πορισαίμεθ' ἄν; ἢ παρακαλέσαιμεν δηλαδὴ τοὺς γραφέας, καὶ μάλιστα ὁπόσοι αὐτῶν ἄριστοι ἐγένοντο κεράσασθαι τὰ χρώματα καὶ εὔκαιρον ποιεῖσθαι τὴν ἐπιβολὴν αὐτῶν; Καὶ δὴ παρακεκλήσθω Πολύγνωτος καὶ Εὐφράνωρ ἐκεῖνος καὶ Ἀπελλῆς καὶ Ἀετίων· οὗτοι δὲ διελόμενοι τὸ ἔργον ὁ μὲν Εὐφράνωρ χρωσάτω τὴν κόμην οἵαν τῆς Ἥρας ἔγραψεν, ὁ Πολύγνωτος δὲ ὀφρύων τὸ ἐπιπρεπὲς καὶ παρειῶν τὸ ἐνερευθὲς οἷαν τὴν Κασάνδραν ἐν τῇ λέσχῃ ἐποίησε τοῖς Δελφοῖς, καὶ ἐσθῆτα δὲ οὗτος ποιησάτω ἐς τὸ λεπτότατον ἐξειργασμένην, ὡς συνεστάλθαι μὲν ὅσα χρὴ, διηνεμῶσθαι δὲ τὰ πολλά· τὸ δὲ ἄλλο σῶμα ὁ Ἀπελλῆς δειξάτω κατὰ τὴν Πακάτην μάλιστα, μὴ ἄγαν λευκὸν, ἀλλὰ ἔναιμον ἁπλῶς· τὰ χείλη δὲ οἷα Ῥωξάνης ὁ Ἀετίων ποιησάτω.

8. Μᾶλλον δὲ τὸν ἄριστον τῶν γραφέων Ὅμηρον παρόντος Εὐφράνορος καὶ Ἀπελλοῦ δεδέγμεθα· οἷον γάρ

sis componens unam aliquam, non absurdam effectura sit.

6. LYC. Atque jam tibi videndam præbet, dum exsistit, imaginem, hunc in modum componens: de illa, quæ Cnido venit, solum caput sumet; reliquo enim corpore, quum nudum sit, nihil opus habebit: et comam quidem, ac frontem, et supercilia quasi ad amussim facta sinet eam habere ut fecit Praxiteles: etiam oculorum mobilem hilaremque gratiam, prout Praxiteli visum est, servabit et ipsam: malas autem, et quæ in adverso vultu eminent, ab Alcamene et illa in hortis Venere assumet, et insuper manus extremas, et volarum proportionem, et molles digitos, in tenuitatem exeuntes, hæc inquam et ipsa ab Hortensi: totius vero vultus circumscriptionem, et genas teneras, et nasi proportionem, Lemnia præbebit et Phidias: etiam oris commissuram idem, et cervicem, sumtas ab Amazone: Sosandra vero et Calamis verecundia ornabunt illam; et risus honestus ac latens sicut illius erit, itemque compositus et decens amictus a Sosandra, nisi quod hæc nuda caput erit. Staturæ autem atque incrementi mensura quænam fuerit? secundum Cnidiam illam maxime: nam hoc etiam secundum Praxitelem metiamur. Quid tibi, Polystrate, videtur? pulchrane futura imago? et maxime, quandoquidem accuratissima ratione est absoluta.

7. POL. Scilicet adhuc reliquisti, omnium generosissime, pulchritudinis aliquid extra imaginem, qui sic omnia in illam unam contulisti?

LYC. Quale hoc?

POL. Non minimum vero, amice, nisi videntur pauca tibi ad formæ decus conferre color et cujusque rei condecentia, ut exacte nigra sint quæ sunt nigra, alba autem quæ oportet esse talia, et ruborem ubi decet efflorescere, et quæ sunt ejus generis: videtur adhuc deesse nobis quod est picturæ maximum.

LYC. Unde igitur et hæc parabimus? an advocemus scilicet pictores, et maxime quotquot illorum præstantissimi fuerunt temperandis coloribus, et tempestive allinendis? Nempe advocetur Polygnotus, et Euphranor ille, et Apelles, et Aetion. Atque hi divisis operis, Euphranor comæ colorem det, qualem Junonis pinxit; Polygnotus vero superciliorum decorem et ruborem suffusum genis, qualem Casandram in conciliabulo Delphis fecit: vestem vero etiam hic faciat, subtilissime elaboratam, ut astricta sint quæ debent, fluctuent autem pleraque. Reliquum corpus Apelles ostendat, Pacatæ præsertim exemplo, ne nimis candidum sit, sed in quo sanguinem inesse appareat: labia vero qualia Roxanes faciat Aetion.

8. Quin optimum pictorum Homerum, Euphranore præsente et Apelle, assumsimus. Qualem enim ille Menelai

τι τοῖς Μενελάου μηροῖς τὸ χρῶμα ἐκεῖνος ἐπέβαλεν ἐλέφαντι εἰκάσας ἠρέμα πεφοινιγμένῳ, τοιόνδε ἔστω τὸ πᾶν· ὁ δ' αὐτὸς οὗτος καὶ τοὺς ὀφθαλμοὺς γραψάτω βοῶπίν τινα ποιήσας αὐτήν. Συνεπιλήψεται δὲ τοῦ ἔργου αὐτῷ καὶ ὁ Θηβαῖος ποιητὴς, ὡς ἰοδλέφαρον ἐξεργάσασθαι· καὶ φιλομειδῆ δὲ Ὅμηρος ποιήσει καὶ λευκώλενον καὶ ῥοδοδάκτυλον, καὶ ὅλως τῇ χρυσῇ Ἀφροδίτῃ εἰκάσει πολὺ δικαιότερον ἢ τὴν τοῦ Βρισέως.

9. Ταῦτα μὲν οὖν πλαστῶν καὶ γραφέων καὶ ποιητῶν παῖδες ἐργάσονται. Ὃ δὲ πᾶσιν ἐπανθεῖ τούτοις, ἡ Χάρις, μᾶλλον δὲ πᾶσαι ἅμα ὁπόσαι Χάριτες καὶ ὁπόσοι Ἔρωτες περιχορεύοντες, τίς ἂν μιμήσασθαι δύναιτο;

ΠΟΛ. Θεσπέσιόν τι χρῆμα, ὦ Λυκῖνε, φῆς καὶ ὄιπετὲς ὡς ἀληθῶς οἷόν τι τῶν ἐξ οὐρανοῦ γένοιτ' ἄν. Τί δὲ πράττουσαν εἶδες αὐτήν;

ΛΥΚ. Βιβλίον ἐν ταῖν χεροῖν εἶχεν ἐς δύο συνειλημένον, καὶ ἐῴκει τὸ μέν τι ἀναγιγνώσκεσθαι αὐτοῦ, τὸ δὲ ἤδη ἀνεγνωκέναι. Μεταξὺ δὲ προϊοῦσα διελέγετο τῶν παρομαρτούντων τινὶ οὐκ οἶδα ὅ τι· οὐ γὰρ ἐς ἐπήκοον ἐφθέγγετο. Πλὴν μειδιάσασά γε, ὦ Πολύστρατε, ὀδόντας ἐξέφηνε πῶς ἂν εἴποιμί σοι ὅπως μὲν λευκοὺς, ὅπως δὲ συμμέτρους καὶ πρὸς ἀλλήλους συνηρμοσμένους; εἴ που κάλλιστον ὅρμον εἶδες ἐκ τῶν στιλπνοτάτων καὶ ἰσομεγεθῶν μαργαριτῶν, οὕτως ἐπὶ στίχου ἐπεφύκεσαν· ἐκοσμοῦντο δὲ μάλιστα τῷ τῶν χειλῶν ἐρυθήματι. Ὑπεφαίνοντο γοῦν, αὐτὸ δὴ τὸ τοῦ Ὁμήρου, ἐλέφαντι τῷ πριστῷ ὅμοιοι, οὐχ οἱ μὲν πλατύτεροι αὐτῶν, οἱ δὲ προέχοντες ἢ διεστηκότες οἷοι ταῖς πλείσταις, ἀλλά τις πάντων ἰσοτιμία καὶ ὁμόχροια καὶ μέγεθος ἓν καὶ προσεχεῖς ὁμοίως, καὶ ὅλως μέγα τι θαῦμα καὶ θέαμα πᾶσαν τὴν ἀνθρωπίνην εὐμορφίαν ὑπερπεπαικός.

10. ΠΟΛ. Ἔχ' ἀτρέμας. Συνίημι γὰρ ἤδη πάνυ σαφῶς ἥντινα καὶ λέγεις τὴν γυναῖκα τούτοις τε αὐτοῖς γνωρίσας καὶ τῇ πατρίδι. Καὶ εὐνούχους δέ τινας ἕπεσθαι αὐτῇ ἔφης.

ΛΥΚ. Νὴ Δία, καὶ στρατιώτας τινάς.

ΠΟΛ. Τὴν βασιλεῖ συνοῦσαν, ὦ μακάριε, τὴν ἀοίδιμον ταύτην λέγεις.

ΛΥΚ. Τί δέ ἐστιν αὐτῇ τοὔνομα;

ΠΟΛ. Πάνυ καὶ τοῦτο γλαφυρὸν, ὦ Λυκῖνε, καὶ ἐπέραστον· δμώνυμος γάρ ἐστι τῇ τοῦ Ἀβραδάτα ἐκείνῃ τῇ καλῇ. Οἶσθα πολλάκις ἀκούσας Ξενοφῶντος ἐπαινοῦντός τινα σώφρονα καὶ καλὴν γυναῖκα.

ΛΥΚ. Νὴ Δία, καὶ ὥσπερ γε ὁρῶν αὐτὴν οὕτω διατέθειμαι, ὁπόταν κατ' ἐκεῖνό που ἀναγιγνώσκων γένωμαι, καὶ μονονουχὶ καὶ ἀκούω λεγούσης αὐτῆς ἃ πεποίηται λέγουσα, καὶ ὡς ὥπλιζε τὸν ἄνδρα καὶ οἵα ἦν παραπέμπουσα αὐτὸν ἐπὶ τὴν μάχην.

11. ΠΟΛ. Ἀλλ', ὦ ἄριστε, σὺ μὲν ὥσπερ τινὰ ἀστραπὴν παραδραμοῦσαν ἅπαξ εἶδες αὐτὴν καὶ ἔοικας τὰ πρόχειρα ταῦτα, λέγω δὲ τὸ σῶμα καὶ τὴν μορφήν, ἐπαινεῖν· τῶν δὲ τῆς ψυχῆς ἀγαθῶν ἀθέατος εἶ καὶ

femoribus colorem induxit, ebori ea comparans leniter inducto purpura, tale sit universum. Idem vero oculos etiam pingat, et amplis quidem reddat conspicuam. Adjuvabit illi opus etiam Thebanus poeta, qui violae nigrae colore supercilium elaboret. Etiam risus amantem faciet Homerus, et candidis lacertis, et roseis digitis, et aureae Veneri similem faciet justius multo quam Brisei filiam.

9. Atque ista quidem statuariorum et pictorum poetarumque filii efficient : quod autem in hisce omnibus floris instar enitet, Gratia, quin omnes simul, quotquot sunt Gratiae, et quotquot sunt Amores, qui choreas circa illa ducunt, imitari quis possit?

POL. Divinum quiddam dicis, Lycine, et a Jove revera demissum, quale quid eorum fuerit, quae nascuntur cœlitus. Sed quid facientem vidisti?

LYC. Librum tenebat manibus, bifariam convolutum, videbaturque alteram quidem partem illius legere, alteram vero jam legisse. Dum progrediebatur, dicebat alicui comitantium nescio quid : neque enim ita ut exaudiri posset loquebatur. Verum subridens, Polystrate, dentes ostendebat, quomodo dicam tibi? quam albos, quam æquabiles et sibi invicem commissos! Si quando pulcherrimum monile vidisti, de splendidissimis et æqualibus margaritis; ita ad seriem nati erant. Ornabantur autem maxime rubore labiorum. Inter illa enim nitebant sectili quod est apud Homerum ebori plane similes, non hi quidem illorum latiores, alii vero eminentes, aut distantes, quales plerisque : sed quædam omnium æqualitas, et color idem, et una magnitudo, et æque juncti : in universum autem magnum quoddam miraculum spectaculumque, humanam omnem pulchritudinem excedens.

10. POL. Quiesce. Jam enim apertissime intelligo quam mulierem dicas, his ipsis illud colligens, et patria. Dixisti autem etiam eunuchos aliquot eam secutos.

LUC. Sane quidem; etiam milites quosdam.

POL. Eam quæ cum imperatore est, beatissime, dicis, illam nobilem.

LYC. Quod vero est illi nomen?

POL. Valde ipsum quoque venustum, Lycine, et amabile : est enim cognominis pulchrae illi Abradatae uxori. Nosti, crebro qui audieris, Xenophontem laudare modestam quandam et pulchram mulierem.

LYC. Ita sane est, et quasi viderem illam, ita animatus sum, quoties ad illum locum legendo pervenio : ac tantum non audio dicentem quæ dixisse fingitur, et ut armaverit virum, et qualis fuerit in pugnam illum deducens.

11. POL. Verum tu quidem, vir optime, fulguris instar illam prætercurrentem semel vidisti, et videris ea quæ in promtu sunt, corpus et formam dico, laudare : animae vero ejus bonorum nihil vidisti, nec nosti quam longe sit

οἶσθα ὅσον τὸ κάλλος ἐκεῖνό ἐστιν αὐτῆς μακρῷ τινι ἄμεινον καὶ θεοειδέστερον τοῦ σώματος. Ἐγὼ δὲ, συνήθης γάρ εἰμι, καὶ λόγων ἐκοινώνησα πολλάκις δμοεθνὴς ὤν. Καὶ γάρ, ὡς οἶσθα καὶ αὐτὸς, τὸ ἥμερον καὶ φιλάνθρωπον καὶ μεγαλόφρον καὶ σωφροσύνην καὶ παιδείαν πρὸ τοῦ κάλλους ἐπαινῶ· ἄξια γὰρ προκεκρίσθαι ταῦτα τοῦ σώματος· ἐπεὶ ἄλογον ἂν εἴη καὶ γελοῖον, ὥσπερ εἴ τις τὴν ἐσθῆτα πρὸ τοῦ σώματος θαυμάζοι. Τὸ δ' ἐντελὲς, οἶμαι, κάλλος τοῦτό ἐστιν, ὁπόταν ἐς τὸ αὐτὸ συνδράμῃ ψυχῆς ἀρετὴ καὶ εὐμορφία σώματος. Ἀμέλει πολλὰς ἄν σοι δείξαιμι μορφῆς μὲν εὖ ἠκούσας, τὰ δ' ἄλλα αἰσχυνούσας τὸ κάλλος, ὡς καὶ μόνον φθεγξαμένων ἀπανθεῖν αὐτὸ καὶ ἀπομαραίνεσθαι ἀσχημονοῦν τε καὶ ἐλεγχόμενον παρ' ἀξίαν συνὸν πονηρᾷ τινι δεσποίνῃ τῇ ψυχῇ. Καὶ αἵ γε τοιαῦται δμοιαί μοι δοκοῦσι τοῖς Αἰγυπτίοις ἱεροῖς· κἀκεῖ γὰρ αὐτὸς μὲν ὁ νεὼς κάλλιστός τε καὶ μέγιστος, λίθοις τοῖς πολυτελέσιν ἠσκημένος καὶ χρυσῷ καὶ γραφαῖς διηνθισμένος, ἔνδον δὲ ἢν ζητῇς τὸν θεὸν, ἢ πίθηκός ἐστιν ἢ ἶβις ἢ τράγος ἢ αἴλουρος. Τοιαύτας πολλὰς ἰδεῖν ἔνεστιν. Οὐ τοίνυν ἀπόχρη τὸ κάλλος, εἰ μὴ κεκόσμηται τοῖς δικαίοις κοσμήμασι, λέγω δὴ οὐκ ἐσθῆτι ἁλουργεῖ καὶ δρμοις, ἀλλ' οἷς προεῖπον ἐκείνοις, ἀρετῇ καὶ σωφροσύνῃ καὶ ἐπιεικείᾳ καὶ φιλανθρωπίᾳ καὶ τοῖς ἄλλοις, ὁπόσα ταύτης ὅρος ἐστίν.

12. ΛΥΚ. Οὐκοῦν, ὦ Πολύστρατε, μῦθον ἀντὶ μύθου ἄμειψαι αὐτῷ τῷ μέτρῳ, φασὶν, ἢ καὶ λῷον, δύνασαι γὰρ, καί τινα εἰκόνα γραψάμενος τῆς ψυχῆς ἐπίδειξον, ὡς μὴ ἐξ ἡμισείας θαυμάζοιμι αὐτήν.

ΠΟΛ. Οὐ μικρὸν, ὦ ἑταῖρε, τὸ ἀγώνισμα προστάττεις· οὐ γὰρ δμοιον τὸ πᾶσι προφανὲς ἐπαινέσαι καὶ τὰ ἄδηλα ἐμφανίσαι τῷ λόγῳ. Καί μοι δοκῶ συνεργῶν καὶ αὐτὸς δεήσεσθαι πρὸς τὴν εἰκόνα, οὐ πλαστῶν οὐδὲ γραφέων μόνον, ἀλλὰ καὶ φιλοσόφων, ὡς πρὸς τοὺς ἐκείνων κανόνας ἀπευθῦναι τὸ ἄγαλμα καὶ δεῖξαι κατὰ τὴν ἀρχαίαν πλαστικὴν κατεσκευασμένον.

13. Καὶ δὴ πεποιήσθω. Αὐδήεσσα μὲν τὸ πρῶτον καὶ λίγεια, καὶ τὸ, γλυκίων μέλιτος ἀπὸ τῆς γλώσσης περὶ αὐτῆς μᾶλλον ἢ περὶ τοῦ Πυλίου γέροντος ἐκείνου ὁ Ὅμηρος ἂν εἰρήκει. Πᾶς δὲ ὁ τόνος τοῦ φθέγματος οἷος ἁπαλώτατος, οὔτε βαρὺς ὡς εἰς τὸ ἀνδρεῖον ἡρμόσθαι οὔτε πάγυ λεπτὸς ὡς θηλύτατός τε εἶναι καὶ κομιδῇ ἔκλυτος, ἀλλ' οἷος γένοιτ' ἂν παιδὶ μήπω ἡβάσκοντι, ἡδὺς καὶ προσηνὴς καὶ πρᾴως παραδυόμενος ἐς τὴν ἀκοὴν, ὡς καὶ παυσαμένης ἔναυλον εἶναι τὴν βοὴν καί τι λείψανον ἐνδιατρίβειν καὶ περιβομβεῖν τὰ ὦτα καθάπερ ἠχώ τινα παρατείνουσαν τὴν ἀκρόασιν καὶ ἴχνη τῶν λόγων μελιχρὰ ἄττα καὶ πειθοῦς μεστὰ ἐπὶ τῆς ψυχῆς ἀπολιμπάνουσαν. Ὁπόταν δὲ καὶ τὸ καλὸν ἐκεῖνο ᾄδῃ, καὶ μάλιστα πρὸς τὴν κιθάραν, τότε δὴ τότε ὥρα μὲν σιωπᾶν ταῖς τ' ἀλκυόσι καὶ τέττιξι καὶ τοῖς κύκνοις· ἄμουσα γὰρ ὡς πρὸς ἐκείνην ἅπαντα· κἂν τὴν Πανδίονος εἴπῃς, ἰδιῶτις κἀκείνη καὶ ἄτεχνος, εἰ καὶ πολυηχέα τὴν φωνὴν ἀφίησιν.

ista illius pulchritudo corporis pulchritudine præstantior ac divinior. Ego vero, familiaris enim sum, et sæpe cum ea, popularis quippe, locutus. Etenim, ut ipse etiam nosti, mansuetudinem, et humanitatem, et magnanimitatem, et temperantiam, et eruditionem, ante pulchritudinem laudo: digna enim ista quæ præferantur corpori; alioquin irrationale fuerit et ridiculum, velut si quis vestimentum præ corpore admiretur. Perfecta autem, opinor, pulchritudo illa est, quum in eodem homine conveniunt et animi virtus et forma corporis. Videlicet multas tibi ostenderim, quarum forma quidem bene habet, ceterum vero turpitudine speciem afficientes, adeo ut vel loqui exorsis deflorescat ea et emoriatur, ipso indecenti gestu convicta quod præter dignitatem cum mala quadam domina (animam dico) vivat. Et sane videntur mihi tales similes esse sacris Ægyptiis: nam ibi quoque ipsum templum pulcherrimum est et maximum, lapidibusque pretiosis exornatum, auro et picturis distinctum: intus vero deum si quæras, aut simius est, aut ibis, aut hircus, aut feles. Tales, inquam, multas videre licet. Non ergo sufficit pulchritudo, nisi exornata sit justis ornamentis, dico autem non vestitu purpureo et monilibus, sed illis quæ prædixi, virtute, et modestia, et æquitate, et humanitate, et reliquis, quæ in hac perfectissima cernuntur.

12. LYC. Itaque, Polystrate, sermonem sermone compensa, ipsa mensura, aiunt, vel melius etiam, potes enim; et quandam animæ imaginem depictam ostende, ut ne ex dimidia modo parte illam admirer.

POL. Non parvam, sodalis, materiem certaminis injungis. Neque enim simile est id laudare quod in omnium oculos incurrit, et ea quæ videri non possunt sermone declarare. Et videor mihi adjutoribus ipse etiam opus habere ad hanc imaginem, non statuariis solis, neque pictoribus, sed philosophis etiam, ut ad illorum regulas exigere possim signum, et ostendere antiqua illud arte perfectum.

13. Quin jam fiat! Eloquens primum et arguta: atque illud, « Dulcior a lingua favis, » de ipsa potius quam de Pylio illo sene Homerus dixisset. Omnis autem tonus vocis ut qui mollissimus, neque gravis, qui ad virile ingenium conveniat, neque tenuis omnino, qui et nimis muliebris sit et omnino fractus, sed qualis fuerit pueri nondum pubescentis, suavis, et blandus, et placide in aurem se insinuans, adeo ut etiam quum desierit, intus adhuc resonent verba, et reliquiæ quædam intus maneant, circumsonetque aures velut echo quædam, producens auditum, et vestigia verborum mellita quædam atque persuasionis plena in animo relinquens. Quum vero etiam pulchrum illud canit, et maxime ad citharam, tum enimvero tacere propter ea decet halcyonas, et cicadas, et cycnos: imperita enim cantus, ad illam si comparentur, istæc omnia: et si Pandionis filiam nomines, ignara etiam illa et rudis, et si multipliciter sonoram vocem emittat.

14. Ὀρφεὺς δὲ καὶ Ἀμφίων, οἵπερ ἐπαγωγότατοι ἐγένοντο τῶν ἀκροατῶν, ὡς καὶ τὰ ἄψυχα ἐπικαλέσασθαι πρὸς τὸ μέλος, αὐτοὶ ἂν, οἶμαι, εἴ γε ἤκουσαν, καταλιπόντες ἂν τὰς κιθάρας παρεστήκεσαν σωπῇ ἀκροώμενοι· τὸ γὰρ τῆς τε ἁρμονίας τὸ ἀκριβέστατον διαφυλάττειν, ὡς μὴ παραβαίνειν τι τοῦ ῥυθμοῦ, ἀλλ' εὐκαίρῳ τῇ ἄρσει καὶ θέσει διαμεμετρῆσθαι τὸ ᾆσμα καὶ συνῳδὸν εἶναι τὴν κιθάραν καὶ ὁμοχρονεῖν τῇ γλώττῃ τὸ πλῆκτρον, καὶ τὸ εὐαφὲς τῶν δακτύλων καὶ τὸ εὐκαμπὲς τῶν μελῶν, πόθεν ἂν ταῦτα ὑπῆρχε τῷ Θρᾳκὶ ἐκείνῳ καὶ τῷ ἀνὰ τὸν Κιθαιρῶνα μεταξὺ βουκολοῦντι καὶ κιθαρίζειν μελετῶντι; ὥστε ἤν ποτε, ὦ Λυκῖνε, καὶ ᾀδούσης ἀκούσῃς αὐτῆς, οὐκέτι τὸ τῶν Γοργόνων ἐκεῖνο ἔσῃ μόνον πεπονθὼς, λίθος ἐξ ἀνθρώπου γενόμενος, ἀλλὰ καὶ τὸ τῶν Σειρήνων εἴσῃ ὁποῖόν τι ἦν· παρεστήξῃ γὰρ εὖ οἶδα κεκηλημένος, πατρίδος καὶ οἰκείων ἐπιλαθόμενος. Καὶ ἢν κηρῷ ἐπιφράξῃ τὰ ὦτα, καὶ διὰ τοῦ κηροῦ διαδύσεταί σοι τὸ μέλος· τοιοῦτόν τι ἄκουσμά ἐστι, Τερψιχόρης τινὸς ἢ Μελπομένης ἢ Καλλιόπης αὐτῆς παίδευμα, μυρία τὰ θέλγητρα καὶ παντοῖα ἐν ἑαυτῷ ἔχον. Ἑνί τε λόγῳ συνελὼν φαίην ἄν, τοιαύτης μοι τῆς ᾠδῆς ἀκούειν νόμιζε, οἵαν εἰκὸς εἶναι τὴν διὰ τοιούτων χειλῶν, δι' ἐκείνων δὲ τῶν ὀδόντων ἐξιοῦσαν. Ἑόρακας δὲ καὶ αὐτὸς ἦν φημι, ὥστε καὶ ἀκηκοέναι νόμιζε.

15. Τὸ μὲν γὰρ ἀκριβὲς τοῦτο τῆς φωνῆς καὶ καθαρῶς Ἰωνικὸν καὶ ὅτι ὁμιλῆσαι στωμύλη καὶ πολὺ τῶν Ἀττικῶν χαρίτων ἔχουσα οὐδὲ θαυμάζειν ἄξιον· πάτριον γὰρ αὐτῇ καὶ προγονικὸν, οὐδὲ ἄλλως ἐχρῆν μετέχουσαν τῶν Ἀθηναίων κατὰ τὴν ἀποικίαν. Οὐδὲ γὰρ οὐδ' ἐκεῖνο θαυμάσαιμ' ἂν, εἰ καὶ ποιήσει χαίρει καὶ τὰ πολλὰ ταύτῃ ὁμιλεῖ τοῦ Ὁμήρου πολῖτις οὖσα. Μία μὲν δή σοι, ὦ Λυκῖνε, καλλιφωνίας αὕτη καὶ ᾠδῆς εἰκὼν, ὡς ἄν τις ἐπὶ τὸ ἔλαττον εἰκάσειε. Σκόπει δὲ δὴ καὶ τὰς ἄλλας· οὐ γὰρ μίαν ὥσπερ σὺ ἐκ πολλῶν συνθεὶς ἐπιδεῖξαι διέγνωκα — ἧττον γὰρ δὴ τοῦτο καὶ γραφικῶς συντελεσθὲν, κάλλη τοσαῦτα καὶ πολυειδές τι ἐκ πολλῶν ἀποτελεῖν αὐτὸ αὑτῷ ἀνθαμιλλώμενον — ἀλλ' αἱ πᾶσαι τῆς ψυχῆς ἀρεταὶ καθ' ἑκάστην εἰκὼν μία γεγράψεται πρὸς τὸ ἀρχέτυπον μεμιμημένη.

ΛΥΚ. Ἑορτὴν, ὦ Πολύστρατε, καὶ πανδαισίαν ἐπαγγέλλεις. Ἔοικας γοῦν λῷον ὡς ἀληθῶς ἀποδώσειν μοι τὸ μέτρον. Ἐπιμέτρει δ' οὖν· ὡς οὐκ ἔστιν ὅ τι ἂν ἄλλο ποιήσας μᾶλλον χαρίσαιό μοι.

16. ΠΟΛ. Οὐκοῦν ἐπειδὴ πάντων καλῶν παιδείαν ἡγεῖσθαι ἀνάγκη, καὶ μάλιστα τούτων ὁπόσα μελετητὰ, φέρε καὶ ταύτην ἤδη συστησώμεθα, ποικίλην μέντοι καὶ πολύμορφον, ὡς μηδὲ κατὰ τοῦτο ἀπολιποίμεθα τῆς σῆς πλαστικῆς. Καὶ δὴ γεγράφθω πάντα συλλήβδην τὰ ἐκ τοῦ Ἑλικῶνος ἀγαθὰ ἔχουσα οὐχ ὥσπερ ἡ Κλειὼ καὶ ἡ Πολύμνια καὶ ἡ Καλλιόπη καὶ αἱ ἄλλαι ἕν τι ἑκάστη ἐπισταμένη, ἀλλὰ τὰ πασῶν καὶ προσέτι τὰ Ἑρμοῦ καὶ Ἀπόλλωνος· ὁπόσα γὰρ ἡ ποιηταὶ μέτροις διακοσμήσαντες ἢ ῥήτορες δεινότητι κρατύναντες ἐξε-

14. Orpheus autem et Amphion, qui vel maxime demulcendis auditoribus valebant, ut inanimata etiam ad suum cantum allicerent, ipsi, puto, si audirent, relictis citharis astarent silentio auscultantes. Servare etenim exquisitissima ratione harmoniam, ne quid rhythmum egrediatur, sed sublatione tempestiva ac positione dimensum habere cantum, et consonare citharam, et eadem tempora linguam plectrumque custodire, et faciles digitorum tactus, et molles membrorum flexus, unde hæc contigissent isti Thraci, et illi alteri per Cithæronem inter boum curam meditanti citharam? Itaque si quando, Lycine, etiam canentem illam audieris, non jam illud solum, quod a Gorgonibus solet, tibi usu veniet, ut lapis fias ex homine; sed etiam quid fuerit illud quod de Sirenibus narratur, intelliges. Astabis enim, bene novi, delinitus, patriæ oblitus et familiarium. Et licet cera obturaveris aures, etiam per ceram penetrabit tibi cantus: talis auditio est, Terpsichoræ cujusdam, aut Melpomenes, aut ipsius Calliopes e disciplina, sexcentas omnis generis complexa illecebras. Uno verbo comprehendens dixerim, eum mihi cantum audire te puta, qualem esse convenit qui per labra talia, per illos dentes egrediatur. Vidisti autem ipse quam dico: itaque puta te etiam audisse.

15. Accuratus enim ille sermo, et Ionica puritas, et quod arguta in consuetudine loquendi, et multum Gratiarum Atticarum habet, id neque admiratione dignum, quum patrium hoc illi sit, et ab ipsis tractum majoribus: neque aliter eam oportebat, quæ ipso coloniæ jure Atticæ civitatis sit particeps. Nam ne illud quidem admiratus fuerim, si poesi etiam gaudet, et multum in ea versatur, quæ Homeri civis sit. Nimirum hæc una tibi, Lycine, pulchri sermonis illius et cantus imago, prout possit ipsam aliquis in deterius effingere. Sed vide etiam reliquas: neque enim unam, uti tu, e multis compositam ostendere decrevi (minus enim hoc fuerit, etiam propria pictoris arte si perficiatur, tot pulchri species et multiforme quiddam ex pluribus elaborare, quod secum ipsum tamen pugnet); sed omnes animæ virtutes imagine sibi sua pingentur singulæ, ad ipsum animale exemplum imitando expressa.

LYC. Diem festum, Polystrate, et publicum epulum promittis. Videris revera meliorem mihi mensuram redditurus. Admetire ergo: neque enim est in quo majorem a me gratiam inire possis.

16. POL. Quandoquidem igitur pulchrarum rerum omnium principem esse eruditionem necesse est, earum præsertim quæ meditatione constant; age hanc quoque jam constituamus, variam quidem et multiformem, ut neque hac parte tua illa fingendi arte inferiores simus. Pingatur ergo ita, ut universim omnia de Helicone bona habeat, non tanquam Clio, aut Polymnia, aut Calliope, aut reliquæ, unum quiddam unaquæque sciens, sed quæ sunt omnium; et insuper Mercurii atque Apollinis munera. Quæcumque enim vel poetæ versibus ornata oratores eloquentiæ poten-

νηνόχασιν ἢ συγγραφεῖς ἱστορήκασιν ἢ φιλόσοφοι παρηνέκασι, πᾶσι τούτοις ἡ εἰκὼν κεκοσμήσθω, οὐκ ἄχρι τοῦ ἐπικεχρῶσθαι μόνον, ἀλλ' ἐς βάθος δευσοποιοῖς τισι φαρμάκοις ἐς κόρον καταβαφεῖσα. Καὶ συγγνώμη, εἰ μηδὲν ἀρχέτυπον ἐπιδείξαι ταύτης δυναίμην τῆς γραφῆς· οὐ γὰρ ἔσθ' ὅ τι τοιοῦτον ἐν τοῖς πάλαι παιδείας πέρι μνημονεύεται. Πλὴν ἀλλὰ, εἴ γε δοκεῖ, ἀνακείσθω καὶ αὕτη· οὐ μεμπτὴ γάρ, ὡς ἐμοὶ φαίνεται.

ΛΥΚ. Καλλίστη μὲν οὖν, ὦ Πολύστρατε, καὶ πάσαις ταῖς γραμμαῖς ἀπηκριβωμένη.

17. ΠΟΛ. Μετὰ δὲ ταύτην ἡ τῆς σοφίας καὶ συνέσεως εἰκὼν γραπτέα. Δεήσει δὲ ἡμῖν ἐνταῦθα πολλῶν τῶν παραδειγμάτων, ἀρχαίων τῶν πλείστων, ἑνὸς μὲν καὶ αὐτοῦ Ἰωνικοῦ· γραφεῖς δὲ καὶ δημιουργοὶ αὐτοῦ Αἰσχίνης Σωκράτους ἑταῖρος καὶ αὐτὸς Σωκράτης, μιμητὰ τατοι τεχνιτῶν ἁπάντων, ὅσῳ καὶ μετ' ἔρωτος ἔγραφον. Τὴν δὲ ἐκ τῆς Μιλήτου ἐκείνην Ἀσπασίαν, ἣ καὶ ὁ Ὀλύμπιος θαυμασιώτατος καὶ αὐτὸς συνῆν, οὐ φαῦλον συνέσεως παράδειγμα προθέμενοι, ὁπόσον ἐμπειρίας πραγμάτων καὶ ὀξύτητος ἐς τὰ πολιτικὰ καὶ ἀγχινοίας καὶ ὀριμύτητος ἐκείνη προσῆν, τοῦτο πᾶν ἐπὶ τὴν ἡμετέραν εἰκόνα μεταγάγωμεν ἀκριβεῖ τῇ στάθμῃ· πλὴν ὅσον ἐκείνη μὲν ἐν μικρῷ πινακίῳ ἐγέγραπτο, αὕτη δὲ κολοσσιαία τὸ μέγεθος ἔσται.

ΛΥΚ. Πῶς τοῦτο φής;

ΠΟΛ. Ὅτι, ὦ Λυκῖνε, οὐκ ἰσομεγέθεις εἶναί φημι τὰς εἰκόνας ὁμοίας οὔσας· οὐ γὰρ ἴσον οὐδὲ ἐγγὺς Ἀθηναίων ἡ τότε πολιτεία καὶ ἡ παροῦσα τῶν Ῥωμαίων δύναμις. Ὥστε εἰ καὶ τῇ ὁμοιότητι ἡ αὐτὴ, ἀλλὰ τῷ μεγέθει γε ἀμείνων αὕτη ὡς ἂν ἐπὶ πλατυτάτου πίνακος καταγεγραμμένη.

18. Δεύτερον δὲ καὶ τρίτον παράδειγμα Θεανώ τε ἐκείνη καὶ ἡ Λεσβία μελοποιὸς καὶ Διοτίμα ἐπὶ ταύτας, ἡ μὲν τὸ μεγαλόνουν ἡ Θεανὼ συμβαλλομένη εἰς τὴν γραφὴν, ἡ Σαπφὼ δὲ τὸ γλαφυρὸν τῆς προαιρέσεως· τῇ Διοτίμᾳ δὲ οὐχ ἃ Σωκράτης ἐπῄνεσεν αὐτὴν, ἐοικυῖα ἔσται μόνον, ἀλλὰ καὶ τὴν ἄλλην σύνεσίν τε καὶ συμβουλίαν. Τοιαύτη σοι καὶ αὕτη, Λυκῖνε, ἀνακείσθω ἡ εἰκών.

19. ΛΥΚ. Νὴ Δί', ὦ Πολύστρατε, θαυμάσιος οὖσα. Σὺ δὲ ἄλλας γράφε.

ΠΟΛ. Τὰς τῆς χρηστότητος, ὦ ἑταῖρε, καὶ φιλανθρωπίας, ἡ τὸ ἥμερον ἐμφανιεῖ τοῦ τρόπου καὶ πρὸς τοὺς δεομένους προσηνές. Εἰκάσθω οὖν αὐτὴ Θεανοῖ τε ἐκείνῃ τῇ Ἀντήνορος καὶ Ἀρήτῃ καὶ τῇ θυγατρὶ αὐτῆς τῇ Ναυσικάᾳ, καὶ εἴ τις ἄλλη ἐν μεγέθει πραγμάτων ἐσωφρόνησε πρὸς τὴν τύχην.

20. Ἑξῆς δὲ μετὰ ταύτην ἡ τῆς σωφροσύνης γεγράφθω καὶ τῆς πρὸς τὸν συνόντα εὐνοίας, ὡς κατὰ τὴν τοῦ Ἰκαρίου μάλιστα εἶναι τὴν σαόφρονα καὶ τὴν περίφρονα ὑπὸ τοῦ Ὁμήρου γεγραμμένην — τοιαύτην γὰρ τὴν τῆς Πηνελόπης εἰκόνα ἐκεῖνος ἔγραψεν — ἣ καὶ νὴ Δία κατὰ τὴν ὁμώνυμον αὐτῆς τὴν τοῦ Ἀβραδάτα, ἧς μικρὸν ἔμπροσθεν ἐμνημονεύσαμεν.

tia assecuti protulere, aut retulerunt historici, aut philosophi admonuerunt, omnibus illis exornata imago esto, non ut colorem tantum traxerit, sed ut alte descendentibus medicamentis ad saturitatem sit imbuta. Atque ignoscendum mihi, si exemplum vivum ostendere hujus picturæ non potero: neque enim tale inter antiquos, quantum ad doctrinam, memoratur. Verum, si videtur, ponatur hæc etiam imago: neque enim, puto, est reprehendenda.

LYC. Pulcherrima quidem, Polystrate, et lineis omnibus absoluta.

17. POL. Post hæc vero sapientiæ et prudentiæ pingenda imago est. Opus autem nobis hic erit exemplis pluribus, antiquis plerisque, uno quidem et ipso Ionico; pictores autem et opifices illius Æschines Socratis sodalis, et ipse Socrates, imitandi inter artifices omnes peritissimi, in quantum etiam cum amore pingebant. Nempe illam ex Mileto Aspasiam, quicum Olympius ille, admiratione ipse quoque dignissimus, vivebat, non malum prudentiæ exemplum proponamus, et quantum in illa rerum peritiæ, et acuminis circa civilia negotia, et celeritatis in cogitando, et acrimoniæ fuit, illud omne in nostram imaginem accurata regula transferamus: nisi quatenus illa quidem in parva quasi tabella picta erat, hæc autem colossea magnitudine erit.

LYC. Quorsum illud dicis?

POL. Quod nego, Lycine, æquali magnitudine esse imagines, similes quum sint. Neque enim par est, ac ne prope quidem, Atheniensium quæ tum erat respublica, præsenti Romanorum potentiæ. Itaque licet, quantum ad similitudinem, eadem sit, tamen magnitudine hæc præstantior, tanquam in tabula latiore depicta.

18. Alterum vero ac tertium exemplum, Theano illa, et Lesbia poetria, et super illas Diotima. Ac Theano quidem magnitudinem sensuum conferat ad picturam; Sappho autem vitæ elegantiam; Diotimæ vero non iis solum, propter quæ Socrates illam laudavit, similis erit, sed reliqua etiam prudentia et consilio. Talis tibi hæc etiam imago, Lycine, proposita sit.

19. LYC. Admirabilis profecto, mi Polystrate. Tu vero alias jam pinge.

POL. Benignitatis quidem, amice, et humanitatis, quæ mansuetum ingenium declarabit, et propitium adversus indigentes animum. Similis ergo ipsa reddatur Theanoni illi Antenoris uxori, tum Aretæ et ejus filiæ Nausicaæ, et si qua alia in magnis rebus moderate fortunam habuit.

20. Deinceps vero post hanc ipsius modestiæ pingatur et ad virum benevolentiæ imago, ita ut Icarii filiæ maxime similis sit, modestæ illi et prudenti ab Homero depictæ (talem enim Penelopes imaginem ille pinxit), aut etiam, medius fidius, illi cognomini hujus, Abradatæ conjugi, cujus paullo ante mentionem fecimus.

ΛΥΚ. Παγκάλην καὶ ταύτην, ὦ Πολύστρατε, ἀπειργάσω, καὶ σχεδὸν ἤδη τέλος σοι ἔχουσιν αἱ εἰκόνες· ἅπασαν γὰρ ἐπελήλυθας τὴν ψυχὴν κατὰ μέρη ἐπαινῶν.

21. ΠΟΛ. Οὐχ ἅπασαν· ἔτι γὰρ τὰ μέγιστα τῶν ἐπαίνων περιλείπεται. Λέγω δὲ τὸ ἐν τηλικούτῳ ὄγκῳ γενομένην αὐτὴν μήτε τῦφον ἐπὶ τῇ εὐπραξίᾳ περιβαλέσθαι μήτε ὑπὲρ τὸ ἀνθρώπινον μέτρον ἐπαρθῆναι πιστεύσασαν τῇ τύχῃ, φυλάττειν δὲ ἐπὶ τοῦ ἰσοπέδου ἑαυτὴν μηδὲν ἀπειρόκαλον ἢ φορτικὸν φρονοῦσαν καὶ τοῖς προσιοῦσι δημοτικῶς τε καὶ ἐκ τοῦ ὁμοίου προσφέρεσθαι καὶ δεξιώσεις καὶ φιλοφροσύνας φιλοφρονεῖσθαι τοσούτῳ ἡδίους τοῖς προσομιλοῦσιν, ὅσῳ καὶ παρὰ μείζονος ὅμως γιγνόμεναι οὐδὲν τραγικὸν ἐμφαίνουσιν· ὡς ὁπόσοι τῷ μέγα δύνασθαι μὴ πρὸς ὑπεροψίαν, ἀλλὰ πρὸς εὐποιΐαν ἐχρήσαντο, οὗτοι καὶ ἄξιοι μάλιστα τῶν παρὰ τῆς τύχης δοθέντων ἀγαθῶν ὤφθησαν. Καὶ μόνοι ἂν οὗτοι δικαίως τὸ ἐπίφθονον διαφύγοιεν· οὐδεὶς γὰρ ἂν φθονήσειε τῷ ὑπερέχοντι, ἢν μετριάζοντα ἐπὶ τοῖς εὐτυχήμασιν αὐτὸν ὁρᾷ καὶ μὴ κατὰ τὴν τοῦ Ὁμήρου Ἄτην ἐκείνην ἐπ' ἀνδρῶν κράατα βεβηκότα καὶ τὸ ὑποδεέστερον πατοῦντα. Ὅπερ οἱ ταπεινοὶ τὰς γνώμας πάσχουσιν ἀπειροκαλίᾳ τῆς ψυχῆς· ἐπειδὰν γὰρ αὐτοὺς ἡ τύχη μηδὲν τοιοῦτον ἐλπίσαντας ἄφνω ἀναβιβάσῃ ἐς πτηνόν τι καὶ μετάρσιον ὄχημα, οὐ μένουσιν ἐπὶ τῶν ὑπαρχόντων οὐδ' ἀφορῶσι κάτω, ἀλλ' ἀεὶ πρὸς τὸ ἄνωτες βιάζονται. Τοιγαροῦν ὥσπερ οἱ Ἴκαροι ταχέντος αὐτοῖς τάχιστα τοῦ κηροῦ καὶ τῶν πτερῶν περιρρυέντων γέλωτα ὀφλισκάνουσιν ἐπὶ κεφαλὴν εἰς πελάγη καὶ κλύδωνα ἐμπίπτοντες. Ὅσοι δὲ κατὰ τὸν Δαίδαλον ἐχρήσαντο τοῖς πτεροῖς καὶ μὴ πάνυ ἐπήρθησαν, εἰδότες ὅτι ἐκ κηροῦ ἦν αὐτοῖς πεποιημένα, ἐταμιεύσαντο δὲ πρὸς τὸ ἀνθρώπινον τὴν φορὰν καὶ ἠγάπησαν ὑψηλότεροι μόνον τῶν κυμάτων ἐνεχθέντες, ὥστε μέντοι νοτίζεσθαι αὐτοῖς ἀεὶ τὰ πτερὰ καὶ μὴ παρέχειν αὐτὰ μόνῳ τῷ ἡλίῳ, οὗτοι δὲ ἀσφαλῶς τε ἅμα καὶ σωφρόνως διέπτησαν· ὅπερ καὶ ταύτην ἄν τις μάλιστα ἐπαινέσειε. Τοιγαροῦν καὶ ἄξιον παρὰ πάντων ἀπολαμβάνει τὸν καρπὸν εὐχομένων ταῦτά τε αὐτῇ παραμεῖναι τὰ πτερὰ καὶ ἔτι πλείω ἐπιρρεῖν τἀγαθά.

22. ΛΥΚ. Καὶ οὕτως, ὦ Πολύστρατε, γιγνέσθω· ἀξία γὰρ οὐ τὸ σῶμα μόνον ὥσπερ ἡ Ἑλένη καλὴ οὖσα, καλλίω δὲ καὶ ἐρασμιωτέραν ὑπ' αὐτῷ τὴν ψυχὴν σκέπουσα. Ἔπρεπε δὲ καὶ βασιλεῖ τῷ μεγάλῳ χρηστῷ καὶ ἡμέρῳ ὄντι καὶ τοῦτο μετὰ τῶν ἄλλων ἀγαθῶν, ὁπόσα ἐστὶν αὐτῷ, εὐδαιμονῆσαι, ὡς ἐπ' αὐτοῦ καὶ φῦναι γυναῖκα τοιαύτην καὶ συνοῦσαν αὐτῷ ποθεῖν αὐτόν· οὐ γὰρ μικρὸν τοῦτο εὐδαιμόνημα γυνὴ, περὶ ἧς ἄν τις εὐλόγως τὸ Ὁμηρικὸν ἐκεῖνο εἴποι, χρυσείῃ μὲν αὐτὴν Ἀφροδίτῃ ἐρίζειν τὸ κάλλος, ἔργα δὲ Ἀθηναίῃ αὐτῇ ἰσοφαρίζειν. Γυναικῶν γὰρ συνόλως οὐκ ἄν τις παραβληθείη αὐτῇ « οὐ δέμας οὐδὲ φυὴν, » φησὶν Ὅμηρος, « οὔτ' ἂρ φρένας οὔτε τι ἔργα. »

LYC. Pulchram undique hanc etiam fecisti, Polystrate. Et prope jam finem tibi habent imagines; totum enim animum persecutus es, per partes illam laudando.

21. POL. Non omnem : adhuc enim maxima laudum supersunt. Illud dico, quod in tanto fastigio constituta, neque felicitate illa inflatur, neque supra humanam mensuram effertur fortunæ fiducia, sed in eodem se plano continet, nihil ineptum aut insolens sapit, et adeuntes civiliter atque æqualiter tractat, et in prensationibus salutationibusque præstat humanitatem his, qui cum ipsa versantur, eo jucundiorem, quo major est a qua illæ proficiscuntur, nihil tamen fastus tragici præ se ferentes. Adeo qui magnis opibus non ad superbiam utuntur, sed ad beneficentiam, iidem etiam maxime digni bonis a fortuna datis videntur. Ac soli isti invidiam effugerint merito : neque enim temere quisquam eminenti invideat, si moderate illum uti videat felicitate, neque ad instar Homericæ illius Ates per capita hominum ingredi, et conculcare quicquid est imbecillius : quale quid humilis animi hominibus usu venit, ob indolem pulchri omnis expertem : nam quum fortuna illos, nihil tale sperantes, subito in alatum et sublimem currum sustulit, non manent in statu, nec deorsum respiciunt, sed ardua semper urgent. Itaque, alteri tanquam Icari, liquefacta iis subito cera de fluentibusque alis, risum debent, præcipites in mare et fluctus delapsi. Qui vero Dædali exemplo alis suis usi, nec nimium se extulere, memores de cera esse factas; sed humanitus dispensarunt volatum, et satis habuere tantum supra fluctus ferri, ut tamen semper aspergine madescerent alæ, nec uni eas soli præberent : hi vero secure simul et prudenter transvolaverunt. Quod quidem in hac vel maxime laudet aliquis. Quare etiam dignum ab omnibus fructum capit, optantibus et has perpetuo illi alas manere, et plura subinde affluere bona.

22. LYC. Atque ita fiat, Polystrate. Digna enim; quippe quæ non corpore modo, ut Helena ista, pulchra sit, sed pulchriorem et amabiliorem sub illo mentem tegat. Decebat vero etiam, magnum imperatorem, bonus adeo et placidus qui sit, hoc etiam cum aliis, quæ sunt ipsi, bonis beatum esse, ut sub illius imperio et nasceretur talis femina, et juncta illi ipsum amaret. Neque enim parvum felicitatis argumentum mulier, de qua cum ratione aliquis Homericum illud dicat : cum aurea illam Venere de forma contendere, opera autem illam æquiparare Minervæ. Mulierum enim in universum nulla ei comparetur, « non membra, » ut Homerus ait, « aut instar, non mentem aut denique facta. »

23. ΠΟΛ. Ἀληθῆ φῄς, ὦ Λυκῖνε· ὥστε εἰ δοκεῖ, ἀναμίξαντες ἤδη τὰς εἰκόνας, ἥν τε σὺ ἀνέπλασας τὴν τοῦ σώματος καὶ ἃς ἐγὼ τῆς ψυχῆς ἐγραψάμην, μίαν ἐξ ἁπασῶν συνθέντες ἐς βιβλίον καταθέμενοι παρέχωμεν ἅπασι θαυμάζειν τοῖς τε νῦν οὖσι καὶ τοῖς ἐν ὑστέρῳ ἐσομένοις· μονιμωτέρα γοῦν τῶν Ἀπελλοῦ καὶ Παρρασίου καὶ Πολυγνώτου γένοιτ' ἂν, καὶ αὐτὴ ἐκείνη παρὰ πολὺ τῶν τοιούτων κεχωρισμένη, ὅσῳ μὴ ξύλου καὶ κηροῦ καὶ χρωμάτων πεποίηται, ἀλλὰ ταῖς παρὰ Μουσῶν ἐπιπνοίαις εἴκασται, ἥπερ ἀκριβεστάτη εἰκὼν γένοιτ' ἂν σώματος κάλλος καὶ ψυχῆς ἀρετὴν ἅμα ἐμφανίζουσα.

23. POL. Vera dicis, Lycine. Quare, si videtur, permistis jam imaginibus, tum ea quam tu finxisti corporis, tum quas ego pinxi animæ, unam ex omnibus compositam in libello proponamus, admirandamque exhibeamus et his qui nunc sunt, et qui erunt in posterum. Durabilior enim Apellis et Parrhasii et Polygnoti tabulis fuerit, quum ipsa quoque multum a talibus differat, quatenus non e ligno et cera et pigmentis facta est, sed Musarum vario affectu efficta, quæ quidem accuratissima imago fuerit, corporis pulchritudinem atque virtutem animæ simul ostendens.

XL.

ΥΠΕΡ ΤΩΝ ΕΙΚΟΝΩΝ.

1. ΠΟΛΥΣΤΡΑΤΟΣ. Ἐγώ σοι, ὦ Λυκῖνε, φησὶν ἡ γυνή, τὰ μὲν ἄλλα πολλὴν ἐνεῖδον τὴν εὔνοιαν πρὸς ἐμὲ καὶ τιμὴν ἐκ τοῦ συγγράμματος· οὐ γὰρ ἂν οὕτως ὑπερεπῄνει τις, εἰ μὴ καὶ μετ' εὐνοίας συνέγραφε· τὸ δὲ ἐμὸν ὡς ἂν εἰδῇς, τοιόνδε ἐστίν· οὐδὲ ἄλλως μὲν χαίρω τοῖς κολακικοῖς τὸν τρόπον, ἀλλά μοι δοκοῦσιν οἱ τοιοῦτοι γόητες εἶναι καὶ ἥκιστα ἐλεύθεροι τὴν φύσιν, ἐν δὲ τοῖς ἐπαίνοις μάλιστα, ὅταν τις ἐπαινῇ με φορτικὰς καὶ ὑπερμέτρους ποιούμενος τὰς ὑπερβολὰς, ἐρυθριῶ τε καὶ ὀλίγου δεῖν ἐπιφράττομαι τὰ ὦτα καὶ τὸ πρᾶγμα χλεύῃ μᾶλλον ἢ ἐπαίνῳ ἐοικέναι μοι δοκεῖ.

1. POLYSTRATUS. Equidem, Lycine, sic ait mulier, cetera quidem magnam perspexi tuam in me benevolentiam ex scripto tuo et honoris significationem : neque enim adeo supra modum quisquam laudasset, nisi scriberet cum benevolentia : me vero ipsam ut noris, talis sum. Neque alias gaudeo his qui adulatorios mores habent, sed videntur mihi tales impostores esse et ingenio minime liberali : maxime vero in laudibus, si quis me laudet vehementer nimis et ultra modum excedens vera, erubesco et tantum non obturo aures : eaque res irrisioni potius quam laudi similis mihi videtur.

2. Μέχρι γὰρ τοῦδε οἱ ἔπαινοι ἀνεκτοί εἰσιν ἐς ὅσον ἂν ὁ ἐπαινούμενος γνωρίζῃ ἕκαστον τῶν λεγομένων προσὸν ἑαυτῷ· τὸ δὲ ὑπὲρ τοῦτο ἀλλότριον ἤδη καὶ κολακείᾳ σαφής. Καίτοι πολλοὺς οἶδα, ἔφη, χαίροντας, εἴ τις αὐτοὺς ἐπαινῶν καὶ ἃ μὴ ἔχουσι προσάπτοι τῷ λόγῳ, οἷον εἰ γέροντας ὄντας εὐδαιμονίζοι τῆς ἀκμῆς ἢ ἀμόρφοις οὖσι τὸ Νιρέως κάλλος ἢ τὸ Φάωνος περιθείη· οἴονται γὰρ ὑπὸ τῶν ἐπαίνων ἀλλαγήσεσθαι σφίσι καὶ τὰς μορφὰς καὶ αὐτοὶ ἀνηβήσειν αὖθις ὥσπερ ὁ Πελίας ᾤετο.

2. In tantum enim tolerabiles sunt laudes, quatenus agnoscit qui laudatur, inesse sibi quæ dicuntur singula : quod autem ultra est, jam alienum est et manisfesta assentatio. Quanquam multos, inquit, gaudere novi, si quis in eorum laudibus ea etiam, quæ non habent, orationi adjungat; verbi causa, si senes ob ipsum maturæ ætatis robur beatos prædicet, aut deformibus Nirei pulchritudinem aut Phaonis circumponat : putant enim a laudibus formas quoque sibi mutatum iri, et futurum ut juvenescant denuo, veluti sperabat Pelias.

3. Τὸ δὲ οὐχ οὕτως ἔχει· πολλοῦ γὰρ ἂν ὁ ἔπαινος ἦν τίμιος, εἴ τι καὶ ἔργον αὐτοῦ ἀπολαῦσαι δυνατὸν ἦν ἐκ τῆς τοιαύτης ὑπερβολῆς. Νῦν δὲ ὅμοιόν μοι δοκοῦσιν, ἔφη, πάσχειν, ὥσπερ ἂν εἴ τινι ἀμόρφῳ προσωπεῖον εὔμορφον ἐπιθείη τις φέρων, ὁ δὲ μέγα ἐπὶ τῷ κάλλει φρονοίη, καὶ ταῦτα περιαιρετῷ ὄντι καὶ ὑπὸ τοῦ τυχόντος συντριβῆναι δυναμένῳ, ὅτε καὶ γελοιότερος ἂν γένοιτο αὐτοπρόσωπος φανείς, οἷος ὢν ὑφ' οἱῳ κέκρυπτο· ἢ καὶ νὴ Δί' εἴ τις ὑποδησάμενος κοθόρνους μικρὸς αὐτὸς ὢν ἐρίζοι περὶ μεγέθους τοῖς ἀπὸ ἰσοπέδου ὅλῳ πήχει ὑπερέχουσιν. Ἐμέμνητο γὰρ καὶ τοιούτου τινός.

3. At hoc non ita se habet. Quantivis enim pretii esset prædicatio, si rem ipsam quoque et substantiam illius percipere ex tali excessu liceret. Jam vero idem usu illis, inquit, venire mihi videtur, ac si deformi homini personam formosam aliquis imponat, isque pulchritudine illa superbiat, quum tamen auferri ea facile et ab unoquoque conteri possit, quo facto magis etiam fiat ridiculus, quum sua ipsius facie conspiciendus, et qualis sit, et qua sub re conditus latuerit, appareat : aut etiam, ita me Jupiter, si quis parvus cothurnis subligatis de magnitudine contendat cum hisce qui tota ulna ab æquo solo super ipsum emineant. Nam facti etiam talis meminerat.

4. Ἔφη γυναῖκά τινα τῶν ἐπιφανῶν τὰ μὲν ἄλλα καλὴν καὶ κόσμιον, μικρὰν δὲ καὶ πολὺ τοῦ συμμέ-

4. Dicebat mulierem quandam nobilem, pulchram de cetero et decentem, sed parvam eandem et multum a ju-

τρου ἀποδέουσαν, ἐπαινεῖσθαι πρός τινος ποιητοῦ ἐν ᾄσματι τά τε ἄλλα καὶ ὅτι καλή τε καὶ μεγάλη ἦν· αἰγείρῳ δ' αὐτῆς εἴκαζεν ἐκεῖνος τὸ εὔμηκές τε καὶ ὄρθιον. Τὴν μὲν δὴ γάνυσθαι τῷ ἐπαίνῳ καθάπερ αὐξανομένην πρὸς τὸ μέλος καὶ τὴν χεῖρα ἐπισείειν, τὸν ποιητὴν δὲ πολλάκις τὸ αὐτὸ ᾄδειν ὁρῶντα ὡς ἥδοιτο ἐπαινουμένη, ἄχρι δὴ τῶν παρόντων τινὰ προσκύψαντα πρὸς τὸ οὖς εἰπεῖν αὐτῷ, Πέπαυσο, ὦ οὗτος, μὴ ἀναστῆναι ποιήσῃς τὴν γυναῖκα.

5. Παραπλήσιον δὲ καὶ μακρῷ τούτου γελοιότερον Στρατονίκην ποιῆσαι τὴν Σελεύκου γυναῖκα· τοῖς γὰρ ποιηταῖς ἀγῶνα προθεῖναι αὐτὴν περὶ ταλάντου, ὅστις ἂν ἄμεινον ἐπαινέσαι αὐτῆς τὴν κόμην, καίτοι φαλακρὰ ἐτύγχανεν οὖσα καὶ οὐδὲ ὅσας ὀλίγας τὰς ἑαυτῆς τρίχας ἔχουσα. Καὶ ὅμως οὕτω διακειμένη τὴν κεφαλήν, ἁπάντων εἰδότων ὅτι ἐκ νόσου μακρᾶς τὸ τοιοῦτον ἐπεπόνθει, ἤκουε τῶν καταράτων ποιητῶν ὑακινθίνας τὰς τρίχας αὐτῆς λεγόντων καὶ οὔλους τινὰς πλοκάμους ἀναπλεκόντων καὶ σελίνοις τοὺς μηδὲ ὅλως ὄντας εἰκαζόντων.

6. Ἁπάντων οὖν τῶν τοιούτων κατεγέλα τῶν παρεχόντων αὑτοὺς τοῖς κόλαξι, καὶ προσετίθει δὲ ὅτι μὴ ἐν ἐπαίνοις μόνον, ἀλλὰ καὶ ἐν γραφαῖς τὰ ὅμοια πολλοὶ κολακεύεσθαί τε καὶ ἐξαπατᾶσθαι θέλουσι. Χαίρουσι γοῦν, ἔφη, τῶν γραφέων ἐκείνοις μάλιστα οἳ ἂν πρὸς τὸ εὐμορφότερον αὐτοὺς εἰκάσωσιν· εἶναι δέ τινας οἳ καὶ προστάττουσι τοῖς τεχνίταις ἢ ἀφελεῖν τι τῆς ῥινὸς ἢ μελάντερα γράψασθαι τὰ ὄμματα ἢ ὅ τι ἂν ἄλλο ἐπιθυμήσωσιν αὐτοῖς προσεῖναι, εἶτα λανθάνειν αὐτοὺς ἀλλοτρίας εἰκόνας στεφανοῦντας καὶ οὐδὲν αὐτοῖς ἐοικυίας.

7. Ταῦτα δὲ καὶ τὰ τοιαῦτα ἔλεγε τὰ μὲν ἄλλα ἐπαινοῦσα τοῦ συγγράμματος, ἓν δὲ τοῦτο οὐ φέρουσα, ὅτι ταῖς θεαῖς αὐτὴν Ἥρᾳ καὶ Ἀφροδίτῃ εἴκασας· ὑπὲρ ἐμὲ γάρ, φησί, μᾶλλον δὲ ὑπὲρ ἅπασαν τὴν ἀνθρωπίνην φύσιν τὰ τοιαῦτα. Ἐγὼ δέ σε οὐδ' ἐκεῖνα ᾐξίουν, ταῖς ἡρωίναις παραθεωρεῖν με Πηνελόπῃ καὶ Ἀρήτῃ καὶ Θεανοῖ, οὐχ ὅπως θεῶν ταῖς ἀρίσταις· καὶ γὰρ αὖ καὶ τόδε, Πάνυ, ἔφη, τὰ πρὸς τοὺς θεοὺς δεισιδαιμόνως καὶ ψοφοδεῶς ἔχω. Δέδια τοίνυν μὴ κατὰ τὴν Κασσιέπειαν εἶναι δόξω τὸν τοιοῦτον ἔπαινον προσιεμένη· καίτοι Νηρηΐσιν ἐκείνη ἀντεζητάζετο, Ἥραν δὲ καὶ Ἀφροδίτην ἐσέβεν.

8. Ὥστε, ὦ Λυκῖνε, μεταγράψαι σε τὰ τοιαῦτα ἐκέλευσεν, ἡ αὐτὴ μὲν μαρτύρασθαι τὰς θεὰς ὡς ἀκούσης αὐτῆς γέγραφας, σὲ δὲ εἰδέναι ὅτι ἀνιάσει αὐτὴν τὸ βιβλίον οὕτω περινοστοῦν, ὥσπερ νῦν σοι διάκειται, οὐ μάλα εὐσεβῶς οὐδὲ ὁσίως τὰ πρὸς τοὺς θεούς. Ἐδόκει τε ἀσέβημα ἑαυτῆς καὶ πλημμέλημα τοῦτο δόξειν, εἰ ὑπομένοι τῇ ἐν Κνίδῳ καὶ τῇ ἐν κήποις ὁμοία λέγεσθαι· καί σε ὑπεμίμνησκε τῶν τελευταίων ἐν τῷ βιβλίῳ περὶ αὐτῆς εἰρημένων, ὅτι μετρίαν καὶ ἄτυφον ἔφης αὐτὴν οὐκ ἀνατεινομένην ὑπὲρ τὸ ἀνθρώπινον μέτρον, ἀλλὰ πρόσγειον τὴν πτῆσιν ποιουμένην, ὁ δὲ ταῦτα εἰπὼν

sta statura deficientem, laudatam a poeta in carmine, quum propter cetera, tum etiam quod pulchra et magna esset, qui populo arbori compararet proceram illius erectamque staturam. Atque illam quidem gestire ad laudem, quasi ad carminis mensuram cresceret, et manum movere; poetam vero sæpe idem canere, videntem nimirum quantum laudibus delectaretur; donec tandem præsentium aliquis ad aurem illius inclinatus diceret, Desine quæso, ne facias ut surgat etiam mulier.

5. Simile huic, et multo magis hoc ridiculum Stratonicen fecisse, uxorem Seleuci. Poetis enim illam certamen proposuisse de talento, quis melius laudaret ipsius comam, licet calva esset, ac ne paucissimos quidem suos capillos haberet. Et tamen quum sic affectum caput haberet, scirentque omnes a longo hoc illi morbo accidisse; audiebat exsecrabiles poetas, quum hyacinthinos illius crines dicerent, et plexus quosdam inflecterent cincinnorum, et apiis eos, qui neque essent omnino, compararent.

6. Hos itaque deridebat omnes, qui præberent se adulatoribus; adjungebatque, non in laudationibus solum, verum etiam in picturis similiter, demulceri multos decipique velle. Gaudent enim, inquit, inter pictores illis maxime, qui pulchriore illos specie exprimunt: esse autem qui injungant etiam artificibus, aut auferre quid a naso, aut nigriores pingere oculos, aut si quid aliud adesse sibi cupiant: deinde imprudentes coronare signa aliena et nihil sibi similia.

7. Hæc vero ac talia dicebat mulier, reliqua laudans in libro, unum autem hoc non ferens, quod deabus illam Junoni et Veneri comparasti. Supra me enim, inquit, quia humanam supra omnem naturam sunt talia. Ego vero ne illud quidem volebam, ut cum heroinis me contenderes, Penelope et Arete et Theanone, nedum ut cum dearum præstantissimis. Etenim istud quoque dixit, Religiose admodum et meticulose adversum deos animo affecta sum. Metuo igitur ne Cassiepeæ fatum simile sustinere videar, laudem ejusmodi si admisero. Et tamen Nereidibus modo se conferebat illa, Junonem autem et Venerem colebat.

8. Talia itaque, Lycine, rescribere te et immutare jussit, alioquin ipsam se deas testari, contra suam voluntatem te scripsisse, quum scias molestum ipsi fore libellum ita oberrantem, uti nunc compositus est, neque pietate erga deos neque religione conservata. Putabat autem impie a se factum et suam culpam visum iri, si Cnidiæ, aut illi quæ in Hortis colitur, Veneri similem se dici patiatur: admonebatque te eorum quæ in fine libri de ipsa a te dicta sunt, quum modestam et a fastu alienam laudasti, quæ ultra humanam se mensuram non extenderet, sed volatum faceret terræ vicinum: quum tu statim post hæc ipsa dicta, supra cœlum

ὑπὲρ αὐτὸν τὸν οὐρανὸν ἀναβιβάζει τὴν γυναῖκα, ὡς καὶ θεαῖς αὐτὴν ἀπεικάζειν.

9. Ἠξίου δέ σε μηδὲ ἀξυνετωτέραν αὐτὴν ἡγεῖσθαι τοῦ Ἀλεξάνδρου, ὃς τοῦ ἀρχιτέκτονος ὑπισχνουμένου τὸν Ἄθω ὅλον μετασχηματιεῖν καὶ μορφώσειν πρὸς αὐτὸν, ὡς τὸ ὄρος ἅπαν εἰκόνα γενέσθαι τοῦ βασιλέως, ἔχοντα δύο πόλεις ἐν ταῖν χεροῖν, οὐ προσήκατο τὴν τερατείαν τῆς ὑποσχέσεως, ἀλλ' ὑπὲρ αὐτὸν ἡγησάμενος τὸ τόλμημα ἔπαυσε τὸν ἄνθρωπον οὐ πιθανῶς κολοσσοὺς ἀναπλάττοντα καὶ τὸν Ἄθω κατὰ χώραν ἐᾶν ἐκέλευσε μηδὲ κατασμικρύνειν ὄρος οὕτω μέγα πρὸς μικροῦ σώματος ὁμοιότητα. Ἐπῄνει δὲ τὸν Ἀλέξανδρον τῆς μεγαλοψυχίας καὶ ἀνδριάντα μείζω τοῦτον τοῦ Ἄθω ἔλεγεν αὐτοῦ ἀνεστάναι ἐν ταῖς τῶν ἀεὶ μεμνησομένων διανοίαις· οὐ γὰρ μικρᾶς εἶναι γνώμης ὑπεριδεῖν οὕτω παραδόξου τιμῆς.

10. Καὶ ἑαυτὴν οὖν τὸ μὲν πλάσμα σου ἐπαινεῖν καὶ τὴν ἐπίνοιαν τῶν εἰκόνων, μὴ γνωρίζειν δὲ τὴν ὁμοιότητα· μὴ γὰρ εἶναι τῶν τηλικούτων ἀξίαν, μηδὲ ἐγγὺς, ὅτι μηδὲ ἄλλην τινά, γυναῖκά γε οὖσαν· ὥστε ἀφίησί σοι ταύτην τὴν τιμὴν καὶ προσκυνεῖ σου τὰ ἀρχέτυπα παραδείγματα. Σὺ δὲ τὰ ἀνθρώπινα ταῦτα ἐπαίνει αὐτὴν, μηδὲ ὑπὲρ τὸν πόδα ἔστω τὸ ὑπόδημα, μὴ καὶ ἐπιστομίσῃ με, φησὶν, ἐμπεριπατοῦσαν αὐτῷ. Κἀκεῖνο δὲ εἰπεῖν σοι ἐνετείλατο.

11. Ἀκούω, ἔφη, πολλῶν λεγόντων — εἰ δὲ ἀληθὲς, ὑμεῖς οἱ ἄνδρες ἴστε — μηδ' Ὀλυμπίασιν ἐξεῖναι τοῖς νικῶσι μείζους τῶν σωμάτων ἀνεστάναι τοὺς ἀνδριάντας, ἀλλὰ ἐπιμελεῖσθαι τοὺς Ἑλλανοδίκας ὅπως μηδὲ εἷς ὑπερβάλληται τὴν ἀλήθειαν, καὶ τὴν ἐξέτασιν τῶν ἀνδριάντων ἀκριβεστέραν γίγνεσθαι τῆς τῶν ἀθλητῶν ἐγκρίσεως. Ὥστε ὅρα, ἔφη, μὴ αἰτίαν λάβωμεν ψεύδεσθαι ἐν τῷ μέτρῳ, κἂτα ἡμῶν ἀνατρέψωσιν οἱ Ἑλλανοδίκαι τὴν εἰκόνα.

12. Ταῦτα μὲν ἔλεγεν ἐκείνη. Σὺ δὲ σκόπει, ὦ Λυκῖνε, ὅπως μετακοσμήσεις τὸ βιβλίον καὶ ἀφαιρήσεις τὰ τοιαῦτα, μηδὲ σφαλῇς πρὸς τὸ θεῖον· ὡς ἐκείνῃ πάνυ γε αὐτὰ ἐδυσχέραινε καὶ ὑπέφριττε μεταξὺ ἀναγιγνωσκομένων καὶ παρητεῖτο τὰς θεὰς ἵλεως εἶναι αὐτῇ, καὶ συγγνώμη, εἰ γυναικεῖόν τι ἔπαθε. Καίτοι εἰ χρὴ τἀληθὲς εἰπεῖν, καὶ αὐτῷ ἐμοὶ τοιοῦτόν τι εἶναι ἔδοξε· τὸ μὲν γὰρ πρῶτον ἀκούων οὐδὲν πλημμέλημα ἐνεώρων τοῖς γεγραμμένοις, ἐπεὶ δὲ ἐκείνη ἐπεσημήνατο, καὶ αὐτὸς ἄρχομαι τὰ ὅμοια γιγνώσκειν περὶ αὐτῶν, καὶ παραπλήσιόν τι ἔπαθον οἷς ἐπὶ τῶν ὁρωμένων πάσχομεν· ἢν μὲν πάνυ ἐγγύθεν σκοπῶμέν τι καὶ ὑπὸ τῶν ὀφθαλμῶν αὐτῶν, οὐδὲν ἀκριβὲς διαγιγνώσκομεν, ἢν δὲ ἀποστάντες ἐκ τοῦ συμμέτρου διαστήματος ἴδωμεν, ἅπαντα σαφῶς καταφαίνεται τὰ εὖ καὶ τὰ μὴ οὕτως ἔχοντα.

13. Τὸ δὴ ἄνθρωπον οὖσαν Ἀφροδίτῃ καὶ Ἥρᾳ εἰκάσαι τί ἄλλο ἢ ἀντικρὺς ἐστιν εὐτελίζειν τὰς θεάς; ἐν γὰρ τοῖς τοιούτοις οὐχ οὕτω τὸ μικρὸν μεῖζον γίγνεται τῇ παραθέσει, ὡς τὸ μεῖζον ἀποσμικρύνεται πρὸς τὸ

ipsum mulierem extollas, ut ipsis etiam deabus eam dicas similem.

9. Petebat porro ex te, ne Alexandro imprudentiorem se putares, qui, pollicente architecto se toto Atho montis habitu immutato formaturum eum ad ipsius exemplum, ut universus mons statua fieret regis, duas in manibus urbes tenens, non admisit portentosum promissum, sed supra se arbitratus audacem conatum, quiescere hominem jussit, colossos parum probabiliter effingentem, et ut suo loco relinqueret Athon imperavit, nec montem ita magnum ad parvi corporis similitudinem attenuaret. Laudabat vero illam Alexandri magnanimitatem, eamque majorem ipso Atho statuam sibi posuisse aiebat in eorum, qui semper illius recordaturi essent, mentibus. Neque enim parvi animi esse, incredibiliter magnum adeo honorem despicere.

10. Se quoque ipsam igitur commentum illud tuum laudare, et excogitatas imagines; similitudinem autem non agnoscere: neque enim illis se, ac ne propemodum quidem, dignam, quin neque aliam ullam, quæ quidem sit mulier. Itaque remittit tibi hunc honorem, adoratque primigenia illa tua exempla. Tu vero hoc nostro humano more illam lauda, neu pede major esto calceus, Ne supplantet me, inquit, in illo incedentem. Etiam illud dicere me tibi præcepit.

11. Audio, inquit, multis dicentibus (utrum verum sit, vos viri nostis), ne Olympiæ quidem licere victoribus majores corporibus ponere statuas, sed curari ab Hellanodicis, ne quis verum excedat, et accuratius statuarum examen institui, quam ipsorum receptionis athletarum. Ergo vide, inquit, ne culpam contrahamus mendacii circa mensuram, ac nostram deinde imaginem Hellanodicæ dejiciant.

12. Hæc illa. Tu vero vide, Lycine, ut retractes librum, et talia auferas, neve in numen pecces: quum illa ægre admodum ea tulerit, et coborruerit dum legerentur, et deas, ut propitiæ sibi essent, deprecata fuerit: et ignoscendum illi, si quid muliebre ei accidisset. Ac profecto, si verum fatendum est, mihi quoque ipsi talis esse res videbatur. Nam primo quidem audiens recitantem, peccatum nullum in scriptis animadverti: at postquam illa suam significavit sententiam, ipse quoque affinia iis sentire incipio. Atque simile quid mihi usu venit iis quæ in rebus illis observamus, quas oculis cernimus: si enim plane ex proximo, et sub ipsis oculis videmus aliquid, nihil accurate discernimus; si vero recedentes aliquantulum ex proportionis distantia spectamus, dilucide omnia apparent, quæque recte, quæque non ita habent.

13. Nimirum homo quæ sit, eam Veneri et Junoni similem pronunciare, quid aliud est, quam aperte detrahere deabus? In talibus enim non tam quod parvum est majus fit illa compositione, quam minuitur majus, dum ad hu-

ταπεινότερον κατασπώμενον· οἷον εἴ τινες ἅμα βαδίζοιεν, ὁ μὲν μέγιστος, ὁ δὲ πάνυ τῇ ἡλικίᾳ χαμαίζηλος, εἶτα δεήσειεν ἀπισῶσαι αὐτοὺς, ὡς μὴ ὑπερέχειν θατέρου τὸν ἕτερον, οὐ τοῦ βραχυτέρου ὑπεραναπεινομένου τοῦτο γένοιτ' ἂν, κἂν ὅτι μάλιστα ἀκροποδητὶ ἐπεγείρῃ ἑαυτόν· ἀλλ' εἰ μέλλουσιν ὁμήλικες φανεῖσθαι, ὁ μείζων ἐκεῖνος ἐπικύψει καὶ ταπεινότερον ἀποφανεῖ ἑαυτόν. Ὡσαύτως δὲ καὶ ἐν ταῖς τοιαύταις εἰκόσιν οὐχ οὕτως ἄνθρωπος μείζων γίγνεται, ἤν τις αὐτὸν θεῷ ἀπεικάζῃ, ὡς τὸ θεῖον ἀνάγκη ἐλαττοῦσθαι πρὸς τὸ ἐνδέον ἐπικλώμενον· καὶ γὰρ εἰ μὲν ὑπὸ ἀπορίας τῶν ἐπιγείων ἐπὶ τὰ οὐράνια ἐκτείνοι τις τὸν λόγον, ἧττονα ἂν ὁ τοιοῦτος αἰτίαν ἔχοι ὑπὸ ἀσεβείας αὐτὸ δρᾶν· σὺ δὲ τοσαῦτα ἔχων κάλλη γυναικῶν Ἀφροδίτῃ καὶ Ἥρᾳ εἰκάσαι αὐτὴν ἐτόλμησας οὐδὲν δέον.

14. Ὥστε τὸ ἄγαν τοῦτο καὶ ἐπίφθονον ἀφαίρει, ὦ Λυκῖνε· οὐ γὰρ πρὸς τοῦ σοῦ τρόπου τὸ τοιοῦτον, ὃς οὐδὲ ἄλλως ῥᾴδιος πρὸς τοὺς ἐπαίνους καὶ πρόχειρος ὢν ἐτύγχανες· ἀλλὰ νῦν οὐκ οἶδ' ὅπως ἀθρόαν πεποίησαι τὴν μεταβολὴν ἐπιδαψιλευόμενος καὶ ἐκ τοῦ τέως φειδομένου ἄσωτος ἐν τοῖς ἐπαίνοις ἀναπέφηνας. Ἀλλὰ μηδὲ ἐκεῖνον αἰσχυνθῇς, εἰ μεταρρυθμιεῖς τὸν λόγον ἤδη διαδεδομένον· ἐπεὶ καὶ Φειδίαν φασὶν οὕτω ποιῆσαι, ὁπότε ἐξειργάσατο τοῖς Ἠλείοις τὸν Δία· στάντα γὰρ αὐτὸν κατόπιν τῶν θυρῶν, ὁπότε τὸ πρῶτον ἀναπετάσας ἐπεδείκνυε τὸ ἔργον, ἐπακούειν τῶν αἰτιωμένων τι ἢ ἐπαινούντων· ἠτιᾶτο δὲ ὁ μὲν τὴν ῥῖνα ὡς παχεῖαν, ὁ δὲ ὡς ἐπιμηκέστερον τὸ πρόσωπον, ὁ δὲ ἄλλος ἄλλο τι. Εἶτ' ἐπειδὴ ἀπηλλάγησαν οἱ θεαταὶ, αὖθις τὸν Φειδίαν ἐγκλεισάμενον ἑαυτὸν ἐπανορθοῦν καὶ ῥυθμίζειν τὸ ἄγαλμα πρὸς τὸ τοῖς πλείστοις δοκοῦν· οὐ γὰρ ἡγεῖτο μικρὰν εἶναι συμβουλὴν δήμου τοσούτου, ἀλλ' ἀεὶ ἀναγκαῖον ὑπάρχειν τοὺς πολλοὺς περιττότερον ὁρᾶν τοῦ ἑνὸς, κἂν Φειδίας ᾖ. Ταῦτά σοι παρ' ἐκείνης κομίζω καὶ αὐτὸς παραινῶ ἑταῖρός τε καὶ εὔνους ὤν.

16. ΛΥΚΙΝΟΣ. Πολύστρατε, οἷος ὢν ῥήτωρ ἐλελήθεις με· ῥᾳστώνην γοῦν οὕτω μακρὰν καὶ κατηγορίαν τοσαύτην ἐξενήνοχας κατὰ τοῦ συγγράμματος, ὥστε μηδὲ ἐλπίδα μοι ἀπολογίας ἔτι καταλείπεσθαι. Πλὴν ἀλλὰ ἐκεῖνό γε οὐ δικαστικὸν ἐποιήσατε, καὶ μάλιστα σὺ ἐρήμην καταδιαιτήσας τοῦ βιβλίου μὴ παρόντος αὐτῷ τοῦ συνηγόρου. Ῥᾷστον δὲ, οἶμαι, τοῦτό ἐστι κατὰ τὴν παροιμίαν, μόνον θέοντα κρατεῖν. Ὥστε οὐδὲν θαυμαστὸν, εἰ καὶ ἡμεῖς ἑάλωμεν οὔτε ὕδατος ἡμῖν ἐγχυθέντος οὔτε ἀπολογίας ἀποδοθείσης. Μᾶλλον δὲ τοῦτο πάντων ἀτοπώτατον, οἱ αὐτοὶ κατήγοροι καὶ δικασταὶ ἦτε. Πότερα δ' οὖν ἐθέλεις, ἀγαπήσας τοῖς ἐγνωσμένοις ἡσυχίαν ἄγω ἢ κατὰ τὸν Ἰμεραῖον ποιητὴν παλινῳδίαν τινὰ συγγράφω, ἢ δώσετέ μοι ἐφέσιμον ἀγωνίσασθαι τὴν δίκην;

ΠΟΛ. Νὴ Δί', ἥνπερ ἔχῃς τι δίκαιον εἰπεῖν· οὐ γὰρ ἐν ἀντιδίκοις, ὡς σὺ φῂς, ἀλλ' ἐν φίλοις ποιήσῃ τὴν ἀπολογίαν. Ἐγὼ δὲ καὶ συνεξετάζεσθαί σοι ἕτοιμος ἐπὶ τῆς δίκης.

milius deprimitur. Velut, si qui una cant, unus quidem admodum procerus, at alter statura valde humili; deinde oporteat æquare illos, ne alter supra alterum emineat: non minore supra modum extendente se hoc fiat, si vel maxime in summos se digitos erigat; sed si debent æqualis staturæ videri, major ille inclinabit se scilicet, et se ostendet humiliorem. Similiter in hujusmodi comparationibus non tam homo fit excelsior, deo si eum assimiles, quam divina natura minuitur necessario, ad imperfectum illud depressa. Ac si præ inopia terrestrium ad cœlestia sermonem extendat aliquis, minorem ille culpam sustinuerit, quasi præ impietate hoc faciat: tu vero, tot quum habeas muliernm formas, Veneri illam et Junoni similem dicere ausus es sine ulla necessitate.

14. Itaque quod nimium est et invidiosum aufer, Lycine: neque enim tuorum tale quid morum est, qui neque alias facilis ad laudes et promtus esse soleas, sed nunc nescio quomodo subitam mutationem feceris plane jam luxurians, atque ex parco ad illum diem prodigus in laudando exstiteris. Verum neque illud te pudeat, si retractes librum jam in vulgus editum: quandoquidem etiam Phidiam sic fecisse aiunt, quum Jovem Eleis elaborasset. Stantem enim post valvas ædiculæ, quum primum illis remotis opus ostenderet, auscultasse reprehendentes aliquid, aut laudantes: reprehendebat autem alius quidem nasum, ut nimis crassum, alius faciem ut longiorem, alius aliud quid. Deinde quum discessissent, rursus Phidiam inclusum emendasse et correxisse signum de plurium sententia. Neque enim putabat parvum esse consilium tanti populi, sed necesse semper esse, ut multi plus videant uno, si vel sit Phidias. Hæc tibi ab illa affero, et ipse hortor sodalis tuus atque amicus.

15. LYCINUS. Quantum te oratorem, Polystrate, ignoravi! Orationem quidem adeo longam, et tantam contra scriptum meum accusationem protulisti, ut ne spes quidem mihi defensionis ulla relicta sit. Verum enim vero hoc non pro forma et consuetudine judiciorum fecistis, tu maxime, quod indicta causa judicium dedisti contra libellum, non præsente ipsius advocato. Facillimum autem, puto, hoc est ex proverbio, vincere quum solus curras. Itaque nihil mirum, si et nos causa cecidimus, neque aqua nobis infusa, neque concessa causæ dicendæ facultate. Potius autem, quod quidem omnium minime conveniebat, accusatores iidem fuistis et judices. Utrum igitur vis, contentus decretis vestris quiescam, an Himeræi poetæ exemplo palinodiam scribam; an vero provocandi mihi copiam dabitis?

POL. Per Jovem, si quidem habueris quod de jure dicas. Neque enim inter adversarios, ut tu vocas, sed inter amicos causam dices. Ego vero etiam idem tecum judicium subire paratus sum.

16. ΛΥΚ. Ἀλλ' ἐκεῖνο ἀνιαρὸν, ὦ Πολύστρατε, ὅτι μὴ ἐκείνης παρούσης ποιήσομαι τοὺς λόγους· μακρῷ γὰρ ἂν οὕτως ἄμεινον ἦν. Νῦν δὲ ἀνάγκη ἀπ' ἐντολῆς ἀπολογήσασθαι. Ἀλλ' εἴ μοι τοιοῦτος ἀγγελιαφόρος γένοιο πρὸς αὐτὴν οἷος παρ' ἐκείνης πρός με γεγένησαι, τολμήσω ἀναρρῖψαι τὸν κύβον.

ΠΟΛ. Θάρρει, ὦ Λυκῖνε, τούτου γε ἕνεκα, ὡς οὐ φαῦλόν με ὑποκριτὴν ἕξων τῆς ἀπολογίας, πειρώμενος διὰ βραχέων εἰπεῖν, ὡς ἂν μᾶλλον μνημονεύσαιμι.

ΛΥΚ. Καὶ μὴν πάνυ μὲν ἔδει μοι μακρῶν τῶν λόγων πρὸς οὕτω σφοδρὰν τὴν κατηγορίαν. Ὅμως δὲ σοῦ ἕνεκα ἐπιτεμοῦμαι τὴν ἀπολογίαν. Καὶ παρ' ἐμοῦ τοίνυν τάδε αὐτῇ ἀπάγγελλε.

ΠΟΛ. Μηδαμῶς, ὦ Λυκῖνε, ἀλλ' ὥσπερ αὐτῆς ἐκείνης παρούσης λέγε τὸν λόγον, εἶτ' ἐγὼ μιμήσομαί σε πρὸς αὐτήν.

ΛΥΚ. Οὐκοῦν ἐπειδήπερ οὕτω σοι δοκεῖ, ὦ Πολύστρατε, ἡ μὲν πάρεστι καὶ προείρηκε δηλαδὴ ἐκεῖνα ὁπόσα σὺ παρ' αὐτῆς ἀπήγγειλας, ἡμᾶς δὲ χρὴ τῶν δευτέρων λόγων ἐνάρχεσθαι. Καίτοι — οὐ γὰρ ὀκνήσω πρὸς σὲ εἰπεῖν ὃ πέπονθα — οὐκ οἶδ' ὅπως φοβερώτερόν μοι τὸ πρᾶγμα πεποίηκας, καὶ ὡς ὁρᾷς ἰδρῶ τε ἤδη καὶ δέδοικα καὶ μονονουχὶ καὶ ὁρᾶν αὐτὴν οἶομαι καὶ τὸ πρᾶγμα πολλήν μοι τὴν ταραχὴν ἐμπεποίηκεν. Ἀρξομαι δ' ὅμως· οὐ γὰρ οἷόν τε ἀναδῦναι ἤδη παρούσης.

ΠΟΛ. Καὶ νὴ Δία πολλὴν τὴν εὐμένειαν ἐπιφαίνει τῷ προσώπῳ· φαιδρὰ γὰρ ὡς ὁρᾷς καὶ προσηνής· ὥστε θαρρῶν λέγε τὸν λόγον.

17. ΛΥΚ. Ἐγώ σε, ὦ γυναικῶν ἀρίστη, μεγάλα, ὡς φῂς, καὶ πέρα τοῦ μέτρου ἐπαινέσας οὐχ ὁρῶ ὅ τι τηλικοῦτον ἐπῆνεσα, ἥλικον αὐτὴ σὺ τοῦτο ἐγκώμιον ὑπὲρ σεαυτῆς ἐξενήνοχας τὴν πρὸς τὸ θεῖον τιμὴν ἐν μεγάλῳ τιθεμένη· σχεδὸν γὰρ ἁπάντων τοῦτο μεῖζον ὧν εἴρηκα περὶ σοῦ, καὶ συγγνώμη, εἰ μὴ καὶ ταύτην σοι προσέγραψα τὴν εἰκόνα ὑπ' ἀγνοίας με διαλαθοῦσαν· οὐ γὰρ ἂν ἄλλην πρὸ αὐτῆς ἐγραψάμην. Ὥστε ταύτῃ γε οὐχ ὅπως ὑπερβάλλεσθαι τοὺς ἐπαίνους, ἀλλὰ πολὺ καταδεέστερόν μοι δοκῶ τῆς ἀξίας εἰρηκέναι. Σκόπει γοῦν ἡλίκον τοῦτο παρέλιπον, ὡς παμμέγεθες εἰς ἐπίδειξιν τρόπου χρηστοῦ καὶ γνώμης ὀρθῆς· ὡς ὅσοι τὸ θεῖον μὴ ἐν παρέργῳ σέβουσιν, οὗτοι καὶ τὰ πρὸς ἀνθρώπους. ἄριστοι ἂν εἶεν. Ὥστε εἰ πάντως μετακοσμῆσαι δέοι τὸν λόγον καὶ τὸ ἄγαλμα ἐπανορθώσασθαι, ἀφελεῖν μὲν οὐκ ἄν τι τολμήσαιμι αὐτοῦ, προσθήσω δὲ καὶ τοῦτο ὥς τινα κεφαλὴν τοῦ παντὸς ἔργου καὶ κορυφήν. Ἐπ' ἐκείνῳ μέντοι καὶ πάνυ πολλήν σοι εἰδέναι τὴν χάριν ὁμολογῶ· ἐμοῦ γὰρ ἐπαινέσαντος τοῦ σοῦ τρόπου τὸ μέτριον καὶ ὅτι μηδὲν ὑπερπετὲς μηδὲ τύφου μεστὸν ἐνεποίησέ σοι ὁ παρὼν ὄγκος τῶν πραγμάτων, σὺ τὰ τοιαῦτα αἰτιασαμένη τοῦ λόγου ἐπιστώσω τοῦ ἐπαίνου τὴν ἀλήθειαν· τὸ γὰρ μὴ προσαρμόζειν τὰ τοιαῦτα τῶν ἐγκωμίων, ἀλλ' αἰδεῖσθαι ἐπ' αὐτοῖς καὶ μείζω ἢ κατὰ σὲ εἶναι λέγειν, μετρίας καὶ δημοτικῆς τινος διανοίας δεῖγμά ἐστι. Πλὴν ἀλλὰ ἐς ὅσονπερ ἂν πρὸς τὸ ἐπαι-

16. LYC. At illud molestum, Polystrate, quod non illa præsente habebo orationem : longe enim sic esset melius. Jam vero necesse est per mandatum causam dicere. Verum si talis mihi ad illam internuncius fueris, qualis ab illa ad me fuisti, jacere aleam audebo.

POL. Bono animo esto, quantum ad hoc, Lycine; nec enim malum me defensionis tuæ apud illam actorem habebis, si breviter dicere studeas, quo facilius memoria complectar.

LYC. Atqui longissima mihi oratione opus erat, adversus vehementem adeo accusationem. Verumtamen tua causa in compendium mittam defensionem. A me igitur ista illi renuncia.

POL. Nequaquam, Lycine : sed tanquam illa præsente habe orationem : tum ego apud illam te imitabor.

LYC. Igitur, quando ita tibi videtur, Polystrate, ipsa jam adest, et prior dixit nimirum quæcumque tu ab ipsa mihi renunciasti : nos autem oportet altero jam loco dicere incipere. Quanquam (neque enim dicere apud te piget, quid mihi acciderit) terribilius mihi nescio qua ratione hoc negotium reddidisti : atque, ut vides, sudo jam, et pertimui, ac tantum non videre etiam ipsam mihi videor, multamque mihi perturbationem hæc res objecit. Verumtamen incipiam; nam subducere me, ipsa jam præsente, non est integrum.

POL. Ac multam, ita me Jupiter, benevolentiam ipso vultu præ se fert : hilaris enim, ut vides, et propitia est. Itaque fidenter orationem habe.

17. LYC. Ego te, mulierum præstantissima, quum vehementer, ut ais, et ultra modum laudaverim, non video qua in re laudaverim tantum, quantum ipsa de te præconium illud protulisti, quod magni adeo facis honorem numinis. Prope enim illis quæ de te dixi omnibus illud majus est : et venia mihi debetur, si non hanc quoque tibi imaginem depinxi, quæ propter ignorantiam me fugerit : neque enim aliam ante illam pinxissem. Itaque hac quidem parte adeo non excessisse modum in laudando mihi videor, ut potius multo tenuius quam pro dignitate dixerim. Considera igitur quantum hoc sit quod prætermisi, quam immensum ad boni moris et recti animi demonstrationem; quatenus, quicumque divinum numen non obiter colunt, iidem etiam adversus homines optimi fuerint. Itaque si omnino retractare orationem oporteat et simulacrum corrigere, auferre quidem de illo nihil ausim, sed illud tanquam caput totius operis atque verticem adjecerim. Verum eo nomine gratiam tibi me, et magnam quidem, habere fateor. Quum enim illam animi tui moderationem laudaverim, et quod nihil in te superbum, nihil tumidum præsens rerum amplitudo produxit; tu tales ob causas libellum accusans, veritatis fidem laudationi fecisti. Etenim non referre ad se talia præconia, sed pudore propter ea confundi, et majora quam quæ tibi conveniant dicere, id ipsum vero moderati et civilis animi specimen est. Verum quanto magis

νεῖσθαι αὐτὸ οὕτω διακειμένη τυγχάνῃς, τοσοῦτον ἀξιωτέραν ὑπερεπαινεῖσθαι ἀποφαίνεις σεαυτήν. Καὶ σχεδὸν ἐς τὸν τοῦ Διογένους λόγον περιελήλυθέ σοι τὸ πρᾶγμα, ὃς ἐρομένου τινὸς, ὅπως ἄν τις ἔνδοξος γένοιτο, Εἰ δόξης, ἔφη, καταφρονήσειε· φαίην γὰρ ἂν καὶ αὐτὸς, εἴ τις ἔροιτό με, Τίνες εἰσὶ μάλιστα ἐπαίνου ἄξιοι; Ὁπόσοι ἐπαινεῖσθαι μὴ θέλουσιν.

18. Ἀλλὰ ταῦτα μὲν ἴσως ἐξαγώνια καὶ πόρρω τοῦ πράγματος. Ὑπὲρ δὲ οὗ χρὴ ἀπολογήσασθαι, τοῦτό ἐστιν, ὅτι τῇ ἐν Κνίδῳ καὶ τῇ ἐν κήποις καὶ Ἥρᾳ καὶ Ἀθηνᾷ τὴν μορφὴν ἀναπλάττων εἴκασα· ταῦτά σοι ἔκμετρα ἔδοξε καὶ ὑπὲρ τὸν πόδα. Περὶ αὐτῶν δὴ τούτων ἐρῶ. Καίτοι παλαιὸς οὗτος ὁ λόγος, ἀνευθύνους εἶναι καὶ ποιητὰς καὶ γραφέας, τοὺς δὲ ἐπαινοῦντας καὶ μᾶλλον, οἶμαι, εἰ καὶ χαμαὶ καὶ βάδην ὥσπερ ἡμεῖς, ἀλλὰ μὴ ἐπὶ μέτρων φέροιντο. Ἐλεύθερον γάρ τι ὁ ἔπαινος οὐδ' ἔστιν αὐτοῦ μέτρον εἰς μέγεθος ἢ βραχύτητα νενομοθετημένον, ἀλλὰ τοῦτο μόνον ἐξ ἅπαντος δρᾷ, ὅπως ὑπερθαυμάσεται καὶ ζηλωτὸν ἀποφανεῖ τὸν ἐπαινούμενον. Οὐ μὴν ταύτην ἐγὼ βαδιοῦμαι, μὴ καὶ σοὶ δόξω ὑπ' ἀπορίας αὐτὸ ὁρᾶν.

19. Ἐκεῖνο δέ σοί φημι, τοιαύτας ἡμῖν τὰς ἀφορμὰς τῶν ἐπαινετικῶν τούτων λόγων εἶναι, ὡς χρὴ τὸν ἐπαινοῦντα καὶ εἰκόσι καὶ ὁμοιώσεσι προσχρῆσθαι, καὶ σχεδὸν ἐν τούτῳ τὸ μέγιστόν ἐστιν εὖ εἰκάσαι· τὸ δὲ εὖ ὧδε μάλιστ' ἂν κρίνοιτο, οὐκ ἦν τις τοῖς ὁμοίοις παραβάλλῃ οὐδ' ἦν πρὸς τὸ ὑποδεέστερον ποιῆται τὴν παράθεσιν, ἀλλ' ἦν πρὸς τὸ ὑπερέχον ὡς οἷόν τε προσβιβάζῃ τὸ ἐπαινούμενον. Οἷον εἴ τις κύνα ἐπαινῶν εἴποι ἀλώπεκος εἶναι μείζω αὐτὸν ἢ αἰλούρου, ἆρά σοι δοκεῖ ὁ τοιοῦτος ἐπαινεῖν εἰδέναι; Οὐκ ἂν εἴποις. Οὐ μὴν οὐδ' εἰ λύκῳ φαίη ἴσον αὐτὸν ὑπάρχειν, οὐδὲ οὕτω μεγαλωστὶ ἐπῄνεσεν. Ἀλλὰ ποῦ τὸ ἴδιον τοῦ ἐπαίνου ἀποτελεῖται; ἢν ὁ κύων τῷ λέοντι ἐοικέναι λέγηται καὶ μέγεθος καὶ ἀλκήν. Ὡς ὁ τὸν Ὡρίωνος κύνα ἐπαινῶν ἔφη ποιητὴς λεοντοδάμαν αὐτόν· οὗτος γὰρ δὴ κυνὸς ἐντελὴς ἔπαινος. Καὶ πάλιν εἴ τις Μίλωνα τὸν ἐκ Κρότωνος ἢ Γλαῦκον τὸν ἐκ Καρύστου ἢ Πολυδάμαντα ἐπαινέσαι θέλων ἔπειτα λέγοι ἰσχυρότερον ἕκαστον αὐτῶν γυναικὸς γενέσθαι, οὐκ ἂν οἶει γελασθῆναι αὐτὸν ἐπὶ τῇ ἀνοίᾳ τοῦ ἐπαίνου; ὅπου γε καὶ εἰ ἑνὸς ἀνδρὸς ἔλεγεν ἀμείνω εἶναι αὐτὸν, οὐδὲ τοῦτο ἀπέχρησεν ἂν εἰς ἔπαινον. Ἀλλὰ πῶς ἐπῄνεσε ποιητὴς εὐδόκιμος τὸν Γλαῦκον, οὐδὲ Πολυδεύκεος βίαν φήσας ἀνατείνασθαι ἂν αὐτῷ ἐναντίας τὰς χεῖρας οὐδὲ σιδάρεον Ἀλκμήνας τέκος; Ὁρᾷς ὁποίοις αὐτὸν θεοῖς εἴκασε; μᾶλλον δὲ καὶ αὐτῶν ἐκείνων ἀμείνω ἀπέφηνε. Καὶ οὔτε αὐτὸς ὁ Γλαῦκος ἠγανάκτησε τοῖς ἐφόροις τῶν ἀθλητῶν θεοῖς ἀντεπαινούμενος οὔτε ἐκεῖνοι ἠμύναντο ἢ τὸν Γλαῦκον ἢ τὸν ποιητὴν ὡς ἀσεβοῦντα περὶ τὸν ἔπαινον, ἀλλὰ εὐδοκίμουν ἄμφω καὶ ἐτιμῶντο ὑπὸ τῶν Ἑλλήνων, ὁ μὲν ἐπὶ τῇ ἀλκῇ, ὁ δὲ ποιητὴς ἐπί τε τοῖς ἄλλοις καὶ ἐπ' αὐτῷ τούτῳ μάλιστα τῷ ἄσματι. Μὴ δὴ θαυμάσῃς, εἰ καὶ αὐτὸς εἰκάσαι βουλόμενος, ὅπερ ἦν τῷ ἐπαινοῦντι ἀναγκαῖον, ad ipsas laudes sic affecta animo es, tanto te demonstras summis laudibus digniorem. Ac pæne ad illud Diogenis dictum tibi res devenit, qui interroganti quodam, quomodo gloriam quis posset consequi, Si gloriam, inquit, contemserit. Nam ipse quoque, si quis ex me quærat, Qui sunt maxima laude digni? dixerim, Qui laudari minime volunt.

18. Sed ista forte extra quæstionem sunt, et a causa sejuncta. Pro quo autem nunc jam causa dicenda, illud est, quod Cnidiæ Veneri, et quæ in Hortis colitur, et Junoni, et Minervæ similem dixi, quum formam tuam effingerem : hæc modum tibi pedemque excedere visa sunt : de his igitur ipsis dicam. Quanquam antiquum illud dictum est, ad causam dicendam non vocari poetas et pictores : verum qui laudant, etiam minus, puto, etsi humi et pedestri, ut nos, oratione, sed non per metra ferantur. Liberum enim quiddam laus est, nec est modus illius ad magnitudinem aut brevitatem lege constitutus; sed hoc solum omni modo videt, ut in summa admiratione ponat et æmulatione dignum ostendat eum qui laudatur. Verum hac non incedam equidem, ne consilii inopia hoc facere tibi etiam videar.

19. At illud dico, tales esse nobis in laudum scriptione locos et formas, ut is qui laudat, imaginibus etiam similitudinibusque utatur : et est fere in hoc laudandi opere illud maximum, bene comparare. Porro illud bene sic maxime judicetur, non si quis paribus aliquid comparet, neque si ad vilius quid collationem instituat; verum si quis ad aliquid excellentius, quantum ejus fieri potest, illud quod laudatur admoveat. Velut si quis in laude canis dicat, illum vulpe majorem esse, aut fele, numquid talis videtur tibi laudare scire? Non sane dixeris. Sed neque si lupo dicat parem illum esse, neque sic magno opere laudaverit. Sed ubi id quod propriuin est laudis efficitur? si canis leoni par dicatur et magnitudine et robore. Ut Orionis canem laudans poeta « leonum domitorem » vocavit : hæc enim sane perfecta canis laus est. Et rursus si quis Milonem Crotoniaten, aut Glaucum ex Carysto, aut Polydamantem laudare volens, deinde dicat, fortiorem unumquemque illorum fuisse muliere, non derisum illum iri putas ob laudis vecordiam? quum etiam si uno illum viro superiorem esse diceret, neque hoc satis esset ad laudem. Sed quomodo laudavit Glaucum nobilis poeta, neque Pollucis vim, dicens, protensuram adversarias illi manus, neque ferreum Alcmenæ natum! Viden' qualibus illum diis comparaverit? imo potius illis ipsis præstantiorem ostendit. Ac neque Glaucus indignatus est, se præsidibus athletarum diis oppositum laudari; neque illi vel Glaucum vel poetam ulti sunt, tanquam impie se in laude illa gerentem; sed in gloria et honore ambo apud Græcos fuere, alter roboris causa; poeta vero quum propter alia, tum propter hoc ipsum maxime carmen. Noli ergo admirari, si et ipse, comparatione uti quum vellem, quod erat

ὑψηλοτέρῳ ἐχρησάμην τῷ παραδείγματι, τοῦτο ὑποβαλόντος τοῦ λόγου.

20. Ἐπεὶ δὲ καὶ κολακείας ἐπεμνήσθης, ὅτι μὲν καὶ σὺ μισεῖς τοὺς κολακικούς, ἐπαινῶ μέν σε, καὶ οὐκ ἐχρῆν ἄλλως. Ἐθέλω δέ σοι διακρῖναι καὶ διορίσαι τό τε τοῦ ἐπαινοῦντος ἔργον καὶ τὴν τοῦ κόλακος ὑπερβολήν. Ὁ μὲν οὖν κόλαξ ἅτε τῆς χρείας ἕνεκα τῆς ἑαυτοῦ ἐπαινῶν, ἀληθείας δὲ ὀλίγην ποιούμενος τὴν πρόνοιαν, ἅπαντα ὑπερεπαινεῖν οἴεται δεῖν, ἐπιψευδόμενος καὶ προστιθεὶς παρ' αὑτοῦ τὰ πλείω, ὡς μὴ ἂν ὀκνῆσαι καὶ τὸν Θερσίτην εὐμορφότερον ἀποφῆναι τοῦ Ἀχιλλέως καὶ τὸν Νέστορα φάναι τῶν ἐπὶ Ἴλιον στρατευσάντων τὸν νεώτατον εἶναι· διομόσαιτο δ' ἂν καὶ τὸν Κροίσου παῖδα ὀξυηκοώτερον εἶναι τοῦ Μελάμποδος καὶ τὸν Φινέα ὀξύτερον δεδορκέναι τοῦ Λυγκέως, ἤνπερ μόνον κερδᾶναί τι ἐλπίσῃ ἐπὶ τῷ ψεύσματι. Ὁ δέ γε αὐτὸ τοῦτο ἐπαινῶν οὐχ ὅπως οὐδ' ἂν ψεύσαιτό τι ἢ προσθείη τῶν μηδὲ ὅλως προσόντων, τὰ δ' ὑπάρχοντα αὐτῷ φύσει ἀγαθὰ κἂν μὴ πάνυ μεγάλα ᾖ, παραλαβὼν ἐπηύξησε καὶ μείζω ἀπέφηνε· καὶ τολμήσειεν ἂν εἰπεῖν, ἵππον ἐπαινέσαι θέλων φύσει κοῦφον ὧν ἴσμεν ζώων καὶ δρομικόν, ὅτι

Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέεν οὐδὲ κατέκλα.

καὶ πάλιν οὐκ ἂν ὀκνήσειε φάναι « ἀελλοπόδων δρόμον ἵππων. » Καὶ ἢν οἰκίαν ἐπαινῇ καλὴν καὶ ἄριστα κατεσκευασμένην, εἴποι ἂν,

Ζηνός που ταήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή.

Ὁ δὲ κόλαξ τοῦτο τὸ ἔπος κἂν περὶ τῆς συβώτου καλύβης εἴποι, εἰ μόνον τι παρὰ τοῦ συβώτου λαβεῖν ἐλπίσειεν· ὅπου Κύναιθος ὁ Δημητρίου τοῦ Πολιορκητοῦ κόλαξ ἁπάντων αὐτῷ τῶν πρὸς τὴν κολακείαν καταναλωμένων ἐπήνει ὑπὸ βηχὸς ἐνοχλούμενον τὸν Δημήτριον, ὅτι ἐμμελῶς ἐχρέμπτετο.

21. Οὐ μόνον δὲ τοῦτο ἑκατέρου αὐτῶν γνώρισμά ἐστι, τὸ τοὺς μὲν κόλακας οὐκ ὀκνεῖν καὶ ψεύδεσθαι τοῦ χαρίσασθαι ἕνεκα τοῖς ἐπαινουμένοις, ἐξαίρειν δὲ τοὺς ἐπαινοῦντας τὰ ὑπάρχοντα πειρᾶσθαι· ἀλλὰ κἀκείνῳ οὐ σμικρῷ διαλλάττουσιν, ὅτι οἱ μὲν κόλακες, ἐφ' ὅσον οἷόν τε αὐτοῖς, χρῶνται ταῖς ὑπερβολαῖς, οἱ ἐπαινοῦντες δὲ καὶ ἐν αὐταῖς ταύταις σωφρονοῦσι καὶ ἐντὸς τῶν ὅρων μένουσι. Ταῦτά σοι ἀπὸ πολλῶν ὀλίγα κολακείας καὶ ἐπαίνου ἀληθοῦς δείγματα, ὡς μὴ πάντας ὑποπτεύῃς τοὺς ἐπαινοῦντας, ἀλλὰ διακρίνῃς καὶ παραμετρῇς τῷ οἰκείῳ μέτρῳ ἑκάτερον.

22. Φέρ' οὖν, εἰ δοκεῖ, πρόσαγε τοῖς ὑπ' ἐμοῦ εἰρημένοις τοὺς κανόνας ἀμφοτέρους, ὡς μάθῃς εἴτε τούτῳ εἴτ' ἐκείνῳ ἐοίκασιν· ἐγὼ γὰρ εἰ μέν τινα ἄμορφον οὖσαν ἔφην τῷ ἐν Κνίδῳ ἀγάλματι ὁμοίαν, γόης ἂν καὶ τοῦ Κυναίθου κολακικώτερος ὄντως νομιζοίμην· εἰ δὲ τοιαύτην ὑπάρχουσαν οἵαν πάντες ἴσασιν, οὐ πάνυ ἐκ πολλοῦ διαστήματος ἦν τὸ τόλμημα.

23. Τάχ' ἂν οὖν φαίης, μᾶλλον δὲ ἤδη εἴρηκας, ἐπαινεῖν μέν σοι ἐς τὸ κάλλος ἐφείσθω· ἀνεπίφθονον

laudaturo necessarium, exemplo usus sum altiore, ratione hoc ipsa subjiciente.

20. Quandoquidem autem adulationis mentionem fecisti; quod odio habes adulatores, laudo te equidem, neque aliter oportebat. Volo autem tibi jam discernere ac finire tum laudantis opus, tum adulatoris excessum. Adulator igitur, quippe qui suæ ipsius utilitatis causa laudet, veritatis autem parvam admodum curam habeat, supra modum laudanda censet omnia, mentiens plurima ac de suo addens, ut neque Thersiten Achille pulchriorem pronunciare pigretur, et Nestorem dicat eorum, qui ad Ilium pugnarunt, maxime juvenem fuisse : juraverit autem etiam Crœsi filium audire acutius Melampode, et Phineum acutius cernere Lynceo; modo lucrifacere aliquid mendacio suo speret. At alter, qui id ipsum usque facit, ut laudet, non ille quidem is est qui mentiatur quicquam vel addat eorum, quæ plane non adsunt; sed quæ natura illi bona insunt, etiamsi non nimis magna fuerint, ea sumit, auget et facit majora. Et ausit ille dicere, quum equum laudare vult, levem inter ea quæ novimus animalia et ad cursum aptum,

Per summas currat nec eas confringat aristas :

et rursus non dubitet dicere « procellipedum cursum equorum. « Et si domum laudet pulchram et optime ædificatam, dicat :

Talis nimirum Jovis intus regia Olympi.

At adulator hunc versum etiam de subulci tugurio dicat, si modo accipere aliquid a subulco speret : quum Cynæthus Poliorcetæ Demetrii adulator, omnibus adulandi rationibus, sibi consumtis, laudaverit vexatum a tussi Demetrium, quod modulate screaret.

21. Non solum autem hic utriusque generis character est, quod adulatores non dubitant etiam mentiri in gratiam eorum quos laudant; laudatores autem extollere student quæ adsunt : verum etiam illa re non parva distant, quod adulatores quantum possunt utuntur hyperbolis, laudatores autem in his ipsis quoque sobrii sunt et intra terminos se continent. Hæc tibi pauca de multis sunto adulationis ac veræ laudis specimina, ne omnes omnino laudantes suspectos habeas, sed ut discernas et sua utrumque mensura metiaris.

22. Age igitur, si videtur, admove his, quæ dicta a me sunt, regulam utramque, ut videas, huicne an illi conveniant. Etenim si deformem quandam statuæ Cnidiæ dixissem similem, impostor sane, et Cynæthо ipso magis adulator vere haberer : si vero talem, qualem omnes norunt, non sane magni ille ausus intervalli fuerit.

23. At forte jam dixeris, quin jam dixisti, laudare quidem pulchritudinis nomine tibi permissum esto : verum

μέντοι ποιήσασθαι τὸν ἔπαινον ἐχρῆν, ἀλλὰ μὴ θεαῖς ἀπεικάζειν ἄνθρωπον οὖσαν. Ἐγὼ δὲ — ἤδη γάρ με προάξεται ταληθὲς εἰπεῖν — οὐ θεαῖς σε, ὦ βελτίστη, εἰκασα, τεχνιτῶν δ' ἀγαθῶν δημιουργήμασι λίθου καὶ χαλκοῦ ἢ ἐλέφαντος πεποιημένοις. Τὰ δὲ ὑπ' ἀνθρώπων γεγενημένα οὐκ ἀσεβὲς οἶμαι ἀνθρώποις εἰκάζειν· ἐκτὸς εἰ μὴ σὺ τοῦτο εἶναι τὴν Ἀθηνᾶν ὑπείληφας τὸ ὑπὸ Φειδίου πεπλασμένον ἢ τοῦτο τὴν οὐρανίαν Ἀφροδίτην, ὃ ἐποίησε Πραξιτέλης ἐν Κνίδῳ οὐ πάνυ πολλῶν ἐτῶν. Ἀλλ' ὅρα μὴ ἄσεμνον ᾖ τὰ τοιαῦτα περὶ θεῶν δοξάζειν, ὧν τάς γε ἀληθεῖς εἰκόνας ἀνεφίκτους εἶναι ἀνθρωπίνῃ μιμήσει ἔγωγε ὑπολαμβάνω.

24. Εἰ δὲ καὶ ὅτι μάλιστά σε αὐταῖς ἐκείναις εἰκασα, οὐκ ἐμὸν τοῦτο οὐδὲ ἐγὼ πρῶτος ταύτην ἐτεμόμην τὴν ὁδόν, ἀλλὰ πολλοὶ καὶ ἀγαθοὶ ποιηταί, καὶ μάλιστα ὁ πολίτης ὁ σὸς Ὅμηρος, ὃν καὶ νῦν ἀναβιβάσομαι συναγορεύσοντά μοι, ἢ οὐδεμία μηχανὴ μὴ οὐχὶ καὶ αὐτὸν σὺν ἐμοὶ ἁλῶναι. Ἐρήσομαι τοίνυν αὐτὸν, μᾶλλον δὲ σὲ ὑπὲρ αὐτοῦ — καὶ γὰρ διαμνημονεύεις εὖ ποιοῦσα τὰ χαριέστατα τῶν ἐρραψῳδημένων αὐτῷ — τί σοι ἐκεῖνος δοκεῖ, ὁπόταν περὶ τῆς αἰχμαλώτου λέγῃ τῆς Βρισηΐδος, ὅτι χρυσῇ Ἀφροδίτῃ ἰκέλη ἐπένθει τὸν Πάτροκλον· εἶτα μετὰ μικρὸν, ὡς οὐχ ἱκανὸν εἰ μόνῃ τῇ Ἀφροδίτῃ ἐοικυῖα ἔσται,

Εἶπε δ' ἄρα — φησί — κλαίουσα γυνὴ εἰκυῖα θεῇσιν.

Ὁπόταν οὖν τὰ τοιαῦτα λέγῃ, μισεῖς κἀκεῖνον, καὶ ἀπορρίπτεις τὸ βιβλίον, ἢ δίδως αὐτῷ ἐλευθεριάζειν ἐν τῷ ἐπαίνῳ; ἀλλὰ κἂν σὺ μὴ δῷς, ὅ γε τοσοῦτος αἰὼν δέδωκεν, οὐδ' ἔστιν ὅστις αὐτὸν ἐπὶ τούτῳ ᾐτιάσατο, οὐδὲ ὁ μαστίξαι τολμήσας αὐτοῦ τὴν εἰκόνα οὐδ' ὁ τὰ νόθα ἐπισημηνάμενος τῶν ἐπῶν ἐν τῇ παραγραφῇ τῶν ὀβελῶν. Εἶτα ἐκείνῳ μὲν ἐφεθήσεται βάρβαρον γυναῖκα, καὶ ταῦτα κλάουσαν, τῇ χρυσῇ Ἀφροδίτῃ εἰκάσαι, ἐγὼ δὲ, ἵνα μὴ τὸ κάλλος εἴπω, διότι μὴ ἀνέχῃ ἀκούουσα, οὐκ ἂν παραβάλλοιμι θεῶν εἰκόσι γυναῖκα φαιδρὰν καὶ μειδιῶσαν τὰ πολλὰ, ὅπερ θεοῖς ὅμοιον ἄνθρωποι ἔχουσιν;

25. Ἐπὶ μέν γε τοῦ Ἀγαμέμνονος ὅρα ὅσην αὐτὸς φειδὼ ἐποιήσατο τῶν θεῶν καὶ ὡς ἐταμιεύσατο τὰς εἰκόνας ἐς τὸ σύμμετρον, ὡς ὄμματα μέν φησι καὶ κεφαλὴν ἴκελον αὐτὸν εἶναι τῷ Διΐ, τῷ Ἄρεϊ δὲ τὴν ζώνην, στέρνον δὲ τῷ Ποσειδῶνι, διαιρῶν τὸν ἄνθρωπον κατὰ μέλη πρὸς τοσούτων θεῶν εἰκόνας· καὶ αὖ πάλιν βροτολοιγῷ Ἄρεϊ φησιν ὅμοιον εἶναι καὶ ἄλλον ἄλλῳ, θοεισθῆ τὸν Φρύγα τὸν Πριάμου, καὶ θοείκελον πολλάκις τὸν Πηλέως. Ἀλλὰ ἐπάνειμι αὖθις ἐπὶ τὰ γυναικεῖα τῶν παραδειγμάτων· ἀκούεις γὰρ δή που αὐτοῦ λέγοντος,

Ἀρτέμιδι ἴκελη ἠὲ χρυσέῃ Ἀφροδίτῃ,

καὶ

Οἵη δ' Ἄρτεμις εἶσι κατ' οὔρεος.

26. Οὐ μόνον δὲ τοὺς ἀνθρώπους αὐτοὺς θεοῖς ἀπειν-

invidiæ non obnoxiam oportebat laudationem facere, nec similem deabus dicere hominem. Verum ego (jam enim ipsum me verum ad se dicendum invitabit) non profecto deabus, o præstantissima, similem dixi te, sed bonorum artificum operibus, e lapide, et ære, vel ebore fabrefactis. Quæ autem facta sunt ab hominibus, ea similia hominibus dicere, non puto impium : nisi forte hoc tu Minervam existimas, quod est effictum a Phidia, aut illud cœlestem Venerem, quod in Cnido fecit Praxiteles annis post nos ita multis. Sed vide ne non satis grave sit talia de diis sentire, quorum veras imagines supra humanam imitationem esse positas, equidem arbitror.

24. Si vero vel maxime illis ipsis deabus similem te dixissem, non meum istuc esset, neque primus ego istam viam secuissem; sed fecerunt hoc multi ac boni poetæ, et maxime civis ille tuus Homerus, quem nunc etiam excitabo advocatum mihi, aut fieri non potest quin ipse mecum damnetur. Interrogabo igitur illum, potius vero te pro illo (meministi enim, in quo bene facis, venustissima quævis illius carminum), quid de illo tibi videtur, quum de captiva dicit Briseide, aureæ eam Veneri similem luxisse mortem Patrocli : tum paullo post, quasi non satis foret si soli similis Veneri sit,

Sic fatur (inquit) lacrimans par sanctis femina divis.

Quum igitur dicit talia, odistine ipsum quoque, et abjicis librum, an das illi, ut libertate in laudando utatur? Verum etsi tu non dederis, tantum certe ævum illi dedit, nec est qui hoc illum nomine accusaverit, ne iste quidem qui flagellis cædere statuam ipsius ausus est, neque qui obelis ascribendis supposititios illius versus notavit. Deinde huic quidem licebit, barbaram mulierem, eamque plorantem, aureæ Veneri dicere similem : ego vero, ne de pulchritudine dicam, quoniam de hac audire non sustines, non comparem statuis dearum mulierem læti vultus et plerumque subridentem, quod deorum simile habent homines?

25. Verum in Agamemnone vide quam diis ipse pepercerit, et quam illorum imagines proportione quadam dispensarit, qui oculis quidem et capite similem eum dicat Jovi, quod ad balteum autem, Marti, ac pectus Neptuno, in sua hominem membra dividens pro totidem deorum imaginibus. Ac rursus homicidæ Marti similem ait esse, et alium alii, dei specie Phrygem Priami, dei similem sæpe natum Pelei. Sed redeo rursus ad exempla muliebria. Audis enim sane illum dicentem,

Dianæ similis, vel quæ Venus aurea fertur,

et

Qualis Diana in montibus errat.

26. Non solum autem ipsos homines diis facit similes,

κάζει, ἀλλὰ καὶ τὴν Εὐφόρβου κόμην ταῖς Χάρισιν ἀπείκασε, καὶ ταῦτα αἵματι δεδευμένην. Καὶ ὅλως τοσαῦτά ἐστι τὰ τοιαῦτα, ὡς μηδὲν εἶναι μέρος τῆς ποιήσεως, ὃ μὴ ταῖς θείαις εἰκόσι διακεκόσμηται. Ὥστε ἢ κἀκεῖνα ἐξαληλίφθω, ἢ καὶ ἡμῖν τὰ ὅμοια τολμᾶν ἐφείσθω. Οὕτω δὲ τὸ κατὰ τὰς εἰκόνας καὶ τὰς ὁμοιώσεις ἀνεύθυνόν ἐστιν, ὥστε Ὅμηρος καὶ τὰς θεὰς αὐτὰς οὐκ ὤκνησεν ἀπὸ τῶν ἐλαττόνων ἐπαινέσαι· τοὺς γοῦν τῆς Ἥρας ὀφθαλμοὺς τοῖς τῶν βοῶν εἴκασεν· ἕτερος δέ τις ἰοβλέφαρον τὴν Ἀφροδίτην εἶπε. Τὴν μὲν γὰρ ῥοδοδάκτυλον τίς ἀγνοεῖ τῶν κἂν ἐπ' ἐλάχιστον τῇ Ὁμήρου ποιήσει ὡμιληκότων;

27. Καίτοι τὰ μὲν τῆς μορφῆς ἔτι μετριώτερα, εἴ τις θεῷ ἐοικέναι λέγεται· ἀλλὰ τὰς προσηγορίας αὐτὰς πόσοι ἐμιμήσαντο τὰς τῶν θεῶν Διονύσιοι καὶ Ἡφαιστίωνες καὶ Ζήνωνες καὶ Ποσειδώνιοι καὶ Ἑρμαῖοι προσαγορευόμενοι; Λητὼ δὲ γυνή τις ἐγένετο Εὐαγόρου τοῦ Κυπρίων βασιλέως, καὶ ὅμως οὐκ ἠγανάκτησεν ἡ θεὸς δυναμένη λίθον αὐτὴν ὥσπερ τὴν Νιόβην ἀπεργάσασθαι. Ἐῶ γὰρ τοὺς Αἰγυπτίους, οἵπερ καὶ δεισιδαιμονέστατοί εἰσι πάντων, ὅμως τοῖς θείοις ὀνόμασιν ἐς κόρον ἐπιχρωμένους· σχεδὸν γοῦν τὰ πλεῖστα αὐτοῖς ἐξ οὐρανοῦ ἐστιν.

28. Ὥστε οὐ πρός γε σοῦ τὸ τοιοῦτον, ψοφοδεῶς διακεῖσθαι πρὸς τὸν ἔπαινον· εἰ γάρ τι ἐν τῷ συγγράμματι πεπλημμέληται ἐς τὸ θεῖον, σὺ μὲν ἀνεύθυνος αὐτοῦ, ἐκτὸς εἰ μή τινα νομίζεις ἀκροάσεως εὐθύνην εἶναι, ἐμὲ δὲ ἀμυνοῦνται οἱ θεοί, ἐπειδὰν πρὸ ἐμοῦ τὸν Ὅμηρον καὶ τοὺς ἄλλους ποιητὰς ἀμύνωνται. Ἀλλ' οὐδέπω οὐδὲ τὸν ἄριστον τῶν φιλοσόφων ἠμύναντο εἰκόνα θεοῦ τὸν ἄνθρωπον εἰπόντα εἶναι. Πολλὰ ἔτι ἔχων πρὸς σὲ εἰπεῖν Πολυστράτου ἕνεκα τούτου παύσομαι, ἵνα καὶ ἀπομνημονεῦσαι δυνηθῇ τὰ εἰρημένα.

29. ΠΟΛ. Οὐκ οἶδα εἴ μοι τοῦτο δυνατὸν ἔτι, ὦ Λυκῖνε· μακρὰ γὰρ εἴρηταί σοι ταῦτα καὶ ὑπὲρ τὸ ὕδωρ τὸ ἐγκεχυμένον. Πειράσομαι δὲ ὅμως ἐπιμνησθῆναι αὐτῶν. Καὶ ὡς ὁρᾷς, ἤδη ἀποσοβῶ παρ' αὐτὴν ἐπιβυσάμενος τὰ ὦτα, ὡς μή τι παρεμπεσὸν ἄλλο συγχέῃ τὴν τάξιν αὐτῶν, εἶτά μοι συρίττεσθαι συμβῇ πρὸς τῶν θεατῶν.

ΛΥΚ. Αὐτῷ σοι μελήσει, ὦ Πολύστρατε, ὅπως ἄριστα ὑποκρίνῃ. Ἐγὼ δὲ ἐπείπερ ἅπαξ σοι τὸ δρᾶμα παραδέδωκα, νῦν μὲν ἐκποδὼν ἀποστήσομαι· ὁπόταν δὲ τὰς ψήφους ἀνακηρύττωσι τῶν κριτῶν, τότε ἤδη καὶ αὐτὸς παρέσομαι ὀψόμενος ὁποῖόν τι τὸ τέλος τοῦ ἀγῶνος ἔσται.

sed Euphorbi etiam comam Gratiis similem dixit, eamque infectam sanguine. Atque in universum tanta sunt in hoc genere, ut nulla poeseos pars sit, quin divinis imaginibus exornata cernatur. Itaque aut illa etiam deleantur, aut nobis quoque audere similia concessum esto. Adeo autem illa imaginum et similitudinum ratio a censura libera est, ut Homerus deas ipsas non dubitaverit laudare a deterioribus: Junonis enim oculos comparavit bubulis : alius autem aliquis superciliis violaceis Venerem dixit : roseis enim digitis insignem quis eorum ignorat, qui vel pauxillum in Homeri poematibus sunt versati?

27. Quanquam quæ ad formam pertinent adhuc moderatiora sunt iis, si quis deo similis esse dicatur : verum ipsas appellationes deorum quot jam sunt imitati, Dionysii, et Hephæstiones, et Zenones, et Posidonii et Hermæi cognominati? Latona autem mulier quædam fuit Evagoræ Cypriorum regis : et tamen non indignata est dea, quum posset illam, Niobes instar, lapidem facere. Omitto enim Ægyptios, qui quidem omnium sunt superstitiosissimi, tamen divinis nominibus ad satietatem abutentes : fere enim pleraque apud illos de cœlo sunt.

28. Itaque tuum non est, meticulose adeo affectam esse ad laudes. Si quid enim in illo scripto adversus numen peccatum sit, tu quidem minime es rea illius; nisi quam putas etiam auditionis pœnam esse : me vero tum dii punient, quum ante me Homerum et alios poetas ulti fuerint. At illi nondum nec optimum philosophorum ulti sunt, qui dei imaginem esse dixit hominem. Multa adhuc ad te dicenda quum habeam, Polystrati hujus causa desinam, ut meminisse possit dictorum.

29. POL. Nescio si adhuc possim hoc, Lycine : longa enim a te habita est oratio, atque adeo ultra infusam tibi aquam. Studebo tamen illorum meminisse : et ut vides jam ad illam abire festino, obturatis auribus, ut ne quid incidens aliud ordinem illorum confundat, ac deinde accidat mihi, ut exsibiler a spectatoribus.

LYC. Ipsi tibi curæ erit, Polystrate, ut optime agas. Ego vero quandoquidem semel agendam tibi tradidi fabulam, nunc quidem statim discedam : quum vero sententias renunciabunt judicum, tum jam ipse quoque adero, visurus qualisnam certaminis exitus futurus sit.

XLI.

ΤΟΞΑΡΙΣ Η ΦΙΛΙΑ.

1. ΜΝΗΣΙΠΠΟΣ. Τί φῂς, ὦ Τόξαρι; θύετε Ὀρέστῃ καὶ Πυλάδῃ ὑμεῖς οἱ Σκύθαι καὶ θεοὺς εἶναι πεπιστεύκατε αὐτούς;

XLI.

TOXARIS SEU AMICITIA.

MNESIPPUS. Ain' tu, Toxari? sacra facitis Oresti ac Pyladi vos Scythæ, et deos esse illos creditis?

ΤΟΞΑΡΙΣ. Θύομεν, ὦ Μνήσιππε, θύομεν, οὐ μὴν θεούς γε οἰόμενοι εἶναι, ἀλλὰ ἄνδρας ἀγαθούς.

ΜΝΗΣ. Νόμος δὲ ὑμῖν καὶ ἀνδράσιν ἀγαθοῖς ἀποθανοῦσι θύειν, ὥσπερ θεοῖς;

ΤΟΞ. Οὐ μόνον, ἀλλὰ καὶ ἑορταῖς καὶ πανηγύρεσι τιμῶμεν αὐτούς.

ΜΝΗΣ. Τί θηρώμενοι παρ' αὐτῶν; οὐ γὰρ δὴ ἐπ' εὐμενείᾳ θύετε αὐτοῖς, νεκροῖς γε οὖσιν.

ΤΟΞ. Οὐ χεῖρον μὲν ἴσως, εἰ καὶ οἱ νεκροὶ ἡμῖν εὐμενεῖς εἶεν· οὐ μὴν ἀλλὰ καὶ πρὸς τοὺς ζῶντας ἄμεινον οἰόμεθα πράξειν μεμνημένοι τῶν ἀρίστων, καὶ τιμῶμεν ἀποθανόντας· ἡγούμεθα γὰρ οὕτως ἂν ἡμῖν πολλοὺς ὁμοίους αὐτοῖς ἐθελῆσαι γενέσθαι.

2. ΜΝΗΣ. Ἀλλὰ ταῦτα μὲν ὀρθῶς γιγνώσκετε. Ὀρέστην δὲ καὶ Πυλάδην τίνος μάλιστα θαυμάσαντες ἰσοθέους ἐποιήσασθε, καὶ ταῦτα ἐπήλυδας ὑμῖν ὄντας, καὶ τὸ μέγιστον πολεμίους; οἵ γε, ἐπεὶ σφᾶς ναυαγίᾳ περιπεσόντας οἱ τότε Σκύθαι συλλαβόντες ἀπήγαγον ὡς τῇ Ἀρτέμιδι καταθύσοντες, ἐπιθέμενοι τοῖς δεσμοφύλαξι καὶ τῆς φρουρᾶς ἐπικρατήσαντες τόν τε βασιλέα κτείνουσι καὶ τὴν ἱέρειαν παραλαβόντες, ἀλλὰ καὶ τὴν Ἄρτεμιν αὐτὴν ἀποσυλήσαντες ᾤχοντο ἀποπλέοντες, καταγελάσαντες τοῦ κοινοῦ τῶν Σκυθῶν. Ὥστε εἰ διὰ ταῦτα τιμᾶτε τοὺς ἄνδρας, οὐκ ἂν φθάνοιτε πολλοὺς ὁμοίους αὐτοῖς ἐξεργασάμενοι. Καὶ τοὐντεῦθεν αὐτοὶ ἤδη πρὸς τὰ παλαιὰ σκοπεῖτε, εἰ καλῶς ἔχει ὑμῖν πολλοὺς εἰς τὴν Σκυθίαν Ὀρέστας καὶ Πυλάδας καταίρειν. Ἐμοὶ μὲν γὰρ δοκεῖτε τάχιστα ἂν οὕτως ἀσεβεῖς αὐτοὶ καὶ ἄθεοι γενέσθαι τῶν περιλοίπων θεῶν τὸν αὐτὸν τρόπον ὑμῖν ἐκ τῆς χώρας ἀποξενωθέντων· εἶτ', οἶμαι, ἀντὶ τῶν θεῶν ἁπάντων τοὺς ἐπ' ἐξαγωγῇ αὐτῶν ἥκοντας ἄνδρας ἐκθειάσετε καὶ ἱεροσύλοις ὑμῶν θύσετε ὡς θεοῖς.

3. Εἰ γὰρ μὴ ἀντὶ τούτων Ὀρέστην καὶ Πυλάδην τιμᾶτε, ἀλλ' εἰπέ, τί ἄλλο, ὦ Τόξαρι, ἀγαθὸν ὑμᾶς εἰργάσαντο, ἀνθ' ὅτου, πάλαι οὐ θεοὺς εἶναι δικαιώσαντες αὐτούς, νῦν τὸ ἔμπαλιν θύσαντες αὐτοῖς θεοὺς νενομίκατε καὶ ἱερείοις ὀλίγου δεῖν τότε γενομένοις ἱερεῖα νῦν προσάγετε; γελοῖα γὰρ ἂν ταῦτα δόξειε καὶ ὑπεναντία τοῖς πάλαι.

ΤΟΞ. Καὶ ταῦτα μέν, ὦ Μνήσιππε, γενναῖα τῶν ἀνδρῶν ἐκείνων, ἃ κατέλεξας. Τὸ γὰρ δύο ὄντας οὕτω μέγα τόλμημα τολμῆσαι καὶ τοσοῦτον ἀπὸ τῆς αὑτῶν ἀπάραντας ἐκπλεῦσαι εἰς τὸν Πόντον ἀπείρατον ἔτι τοῖς Ἕλλησιν ὄντα πλὴν μόνων τῶν ἐπὶ τῆς Ἀργοῦς ἐς τὴν Κολχίδα στρατευσάντων, μὴ καταπλαγέντας μήτε τοὺς μύθους τοὺς ἐπ' αὐτῷ μήτε τὴν προσηγορίαν καταδείσαντας, ὅτι ἄξενος ἐκαλεῖτο, οἷα, οἶμαι, ἀγρίων ἐθνῶν περιοικούντων, καὶ ἐπειδὴ ἑάλωσαν, οὕτως ἀνδρείως χρήσασθαι τῷ πράγματι καὶ μὴ ἀγαπῆσαι εἰ διαφεύγονται μόνον, ἀλλὰ τιμωρησαμένους τὸν βασιλέα τῆς ὕβρεως καὶ τὴν Ἄρτεμιν ἀναλαβόντας ἀποπλεῦσαι, πῶς ταῦτα οὐ θαυμαστὰ καὶ θείας τινὸς τιμῆς ἄξια παρὰ πάντων ὁπόσοι ἀρετὴν ἐπαινοῦσιν; Ἆρ' οὐ ταῦτα

TOX. Sacra facimus, Mnesippe, sacra facimus : verum non quo deos arbitremur esse, sed viros bonos.

MNES. Lex autem apud vos viris etiam bonis post mortem sacrificare tanquam diis?

TOX. Non hoc modo, sed diebus festis etiam celebritatibusque illos honoramus.

MNES. Quid inde venantes? neque enim sane, ut propitii vobis sint, sacrificatis illis, utpote mortuis.

TOX. Fortasse neque istuc male, si mortui etiam sint nobis propitii : veruntamen viventibus quoque melius nos arbitramur facturos, si memoriam virorum præstantissimorum usurpemus, et honore prosequimur mortuos : putamus enim sic futurum ut plures nobis illorum similes velint fieri.

2. MNES. Recte ista quidem statuitis. Sed quo inprimis nomine admirati Oresten ac Pyladen honore diis æquastis, idque, apud vos advenæ quum essent, et quod maximum, hostes? qui quidem, quum illos naufragio ejectos, qui tum erant Scythæ, comprehensos abduxissent, immolandos Dianæ, insidiati carceris custodibus superatoque præsidio, et regem interfecerint, et ascita sibi sacerdote, quin ipsa derepta Diana, navigio, derisa Scytharum civitate, evaserint. Itaque propter ista si honoratis illos viros, non effugeritis quin multos illis reddatis similes. Atque hinc ipsi jam ad antiqua respicite, an bonum vobis sit multos in Scythiam Orestes et Pyladas appellere. Etenim mihi quidem videmini quam celerrime hac ratione impii ipsi et sine diis futuri, si reliqui dii eodem modo e vestra vobis regione in peregrinam abducantur. Nempe deinde puto, pro diis universis viros qui eorum educendorum causa venerint, consecrabitis, et sacrilegi qui apud vos fuerint, iis tanquam diis sacra facietis.

3. Quodsi enim non harum rerum causa Oresten ac Pyladen honoratis; dic tandem, quod aliud, Toxari, beneficium vobis præstitere, cujus nomine illos, quum olim deos non haberetis, jam contra ea sacrificando deos judicastis, atque his qui parum aberat quin fierent tum victimæ, victimas nunc offertis? ridicula enim istæc videri possunt, et rebus olim gestis contraria.

TOX. Etiam ista, Mnesippe, generosa sunt illorum virorum facta, quæ enarrasti. Quod enim, duo quum essent, magnum adeo facinus ausi, longam adeo a sua patria navigationem ingressi, expeditionem in Pontum suscepere, intentatum adhuc Græcis, præter illos qui Argo vecti bellum Colchidi intulerant; nec perhorrescentes portentosas de illo fabulas, neque appellationem timentes, quum Inhospitalis vocaretur, feris nimirum, ut interpretor, populis circum eum habitantibus; quod capti quum essent, viriliter adeo in ea re se gesserunt, nec satis habuere si incolumes ipsi evaderent, verum vindicata regis injuria et ablata Diana inde solverunt : quomodo hæc non admiranda, non divino quodam apud omnes, qui virtutem laudant, honore digna?

ἡμεῖς Ὀρέστῃ καὶ Πυλάδῃ ἐνιδόντες ἥρωσιν αὐτοῖς χρώμεθα.

4. ΜΝΗΣ. Λέγοις ἂν ἤδη ὅ τι τὸ σεμνὸν καὶ θεῖον ἄλλο ἐξειργάσαντο. Ἐπεὶ ὅσον ἐπὶ τῷ πλῷ καὶ τῇ ἀποδημίᾳ πολλοὺς ἄν σοι θειοτέρους ἐκείνων ἀποδείξαιμι τοὺς ἐμπόρους, καὶ μάλιστα τοὺς Φοίνικας αὐτούς, οὐκ ἐς τὸν Πόντον οὐδὲ ἄχρι τῆς Μαιώτιδος καὶ τοῦ Βοσπόρου μόνον ἐσπλέοντας, ἀλλὰ πανταχοῦ τῆς Ἑλληνικῆς καὶ βαρβαρικῆς θαλάττης ναυτιλλομένους· ἅπασαν γὰρ οὗτοι ἀκτὴν καὶ πάντα αἰγιαλὸν, ὡς εἰπεῖν, διερευνησάμενοι καθ' ἕκαστον ἔτος ὀψὲ τοῦ μετοπώρου εἰς τὴν αὑτῶν ἐπανίασιν. Οὓς κατὰ τὸν αὐτὸν λόγον θεοὺς νόμιζε, καὶ ταῦτα καπήλους καὶ ταριχοπώλας, εἰ τύχοι, τοὺς πολλοὺς αὐτῶν ὄντας.

5. ΤΟΞ. Ἄκουε δὴ, ὦ θαυμάσιε, καὶ σκόπει καθ' ὅσον ἡμεῖς οἱ βάρβαροι εὐγνωμονέστερον ὑμῶν περὶ τῶν ἀγαθῶν ἀνδρῶν κρίνομεν, εἴ γε ἐν Ἄργει μὲν καὶ Μυκήναις οὐδὲ τάφον ἔνδοξόν ἐστιν ἰδεῖν Ὀρέστου ἢ Πυλάδου, παρ' ἡμῖν δὲ καὶ νεὼς ἀποδέδεικται αὐτοῖς ἅμα ἀμφοτέροις, ὥσπερ εἰκὸς ἦν, ἑταίροις γε οὖσι, καὶ θυσίαι προσάγονται καὶ ἡ ἄλλη τιμὴ ἅπασα· κωλύει τε οὐδὲν, ὅτι ξένοι ἦσαν, ἀλλὰ μὴ Σκύθαι, ἀγαθοὺς κεκρίσθαι· οὐ γὰρ ἐξετάζομεν ὅθεν οἱ καλοὶ καὶ ἀγαθοί εἰσιν, οὐδὲ φθονοῦμεν, εἰ μὴ φίλοι ὄντες ἀγαθὰ εἰργάσαντο, ἐπαινοῦντες δὲ ἃ ἔπραξαν, οἰκείους αὐτοὺς ἀπὸ τῶν ἔργων ποιούμεθα. Ὃ δὲ δὴ μάλιστα καταπλαγέντες τῶν ἀνδρῶν ἐκείνων ἐπαινοῦμεν, τοῦτό ἐστιν, ὅτι ἡμῖν ἔδοξαν φίλοι οὗτοι δὴ ἄριστοι ἁπάντων γεγενῆσθαι καὶ τοῖς ἄλλοις νομοθέται καταστῆναι ὡς χρὴ τοῖς φίλοις ἁπάσης τῆς τύχης κοινωνεῖν καὶ ὑπὸ Σκυθῶν τῶν ἀρίστων θεραπεύεσθαι.

6. Καὶ ἅ γε μετ' ἀλλήλων ἢ ὑπὲρ ἀλλήλων ἔπαθον, ἀναγράψαντες οἱ πρόγονοι ἡμῶν ἐπὶ στήλης χαλκῆς ἀνέθεσαν εἰς τὸ Ὀρέστειον καὶ νόμον ἐποιήσαντο, πρῶτον τοῦτο μάθημα καὶ παίδευμα τοῖς παισὶ τοῖς σφετέροις εἶναι τὴν στήλην ταύτην καὶ τὰ ἐπ' αὐτῆς γεγραμμένα διαμνημονεῦσαι. Θᾶττον γοῦν τοὔνομα ἕκαστος ἂν αὐτῶν ἐπιλάθοιτο τοῦ πατρὸς ἢ τὰς Ὀρέστου καὶ Πυλάδου πράξεις ἀγνοήσειεν· ἀλλὰ καὶ ἐν τῷ περιβόλῳ τοῦ νεὼ τὰ αὐτὰ ὁπόσα ἡ στήλη δηλοῖ, γραφαῖς ὑπὸ τῶν παλαιῶν εἰκασμένα δείκνυται, πλέων Ὀρέστης ἅμα τῷ φίλῳ, εἶτα ἐν τοῖς κρημνοῖς διαφθαρείσης αὐτῷ τῆς νεὼς συνειλημμένος καὶ πρὸς τὴν θυσίαν παρεσκευασμένος καὶ ἡ Ἰφιγένεια ἤδη κατάρχεται αὐτῶν· καταντικρὺ δὲ ἐπὶ τοῦ ἑτέρου τοίχου ἤδη ἐκδεδυκὼς τὰ δεσμὰ γέγραπται καὶ φονεύων τὸν Θόαντα καὶ πολλοὺς ἄλλους τῶν Σκυθῶν, καὶ τέλος ἀποπλέοντες, ἔχοντες τὴν Ἰφιγένειαν καὶ τὴν θεόν· οἱ Σκύθαι δὲ ἄλλως ἐπιλαμβάνονται τοῦ σκάφους ἤδη πλέοντος ἐκκρεμαννύμενοι τῶν πηδαλίων καὶ ἐπαναβαίνειν πειρώμενοι, εἶτ' οὐδὲν ἀνύσαντες οἱ μὲν αὐτῶν τραυματίαι, οἱ δὲ καὶ δέει τούτου ἀπονήχονται πρὸς τὴν γῆν. Ἔνθα δὴ καὶ μάλιστα ἴδοι τις ἂν ὁπόσην ὑπὲρ ἀλλήλων εὔνοιαν ἐπεδείκνυντο, ἐν τῇ πρὸς τοὺς Σκύθας συμπλοκῇ. Πεποίηκε γὰρ ὁ

Verum non ista nos in Oreste et Pylade spectantes pro heroibus illos tractamus.

4. MNES. Dic ergo jam quid præclarum et divinum aliud perfecerint. Quantum enim ad navigationem profectionemque, multos ego tibi diviniores illis mercatores ostenderim, et eos maxime qui sunt Phœnices, non in Pontum modo, neque ad Mæotida usque et Bosporum navigantes, sed ubique et Græcum mare percurrentes et barbarum : omne enim isti litus et oram omnem, ut ita loquar, perscrutati, singulis annis sero auctumni dŏmum suam revertuntur. Hos tu eadem ratione deos puta, idque, quum caupones fere et salsamentarii sint eorum plerique.

5. TOX. Quin audi, mire vir, et vide quantum barbari nos æquius de bonis viris quam vos judicemus : quandoquidem Argis et Mycenis ne sepulcrum quidem nobile videre est Orestæ aut Pyladæ; apud nos autem et templum illis exhibitum est simul ambobus, ut conveniebat sodalibus, et sacrificia offeruntur, et alius omnis honos habetur. Neque quicquam obstat quod peregrini, non Scythæ fuerunt, quominus boni viri judicati sint : non hoc enim inquirimus, cujates sint honesti bonique viri, neque invidemus si amici non fuerunt, qui honesta perpetrarunt : imo vero laudando ea quæ gessere, nostrates, quantum ad res gestas, facimus. Quod autem maxime attoniti in viris illis laudamus, hoc est, quod nobis visi sunt amici hi optimi omnium fuisse, et velut legislatores aliis constituti, quomodo oporteat in societatem omnis fortunæ cum amicis venire, et sic ab optimis quibusque Scytharum coli.

6. Et, quæ secum invicem aut pro se subierunt, ea relata in literas majores nostri in ærea columna dedicarunt in Oresteo, lata lege, primam disciplinam et institutionem pueris suis esse hanc columnam, et quæ scripta in illa sunt, uti memoria comprehendant. Itaque facilius sui patris nomen unusquisque illorum obliviscatur, quam Orestæ atque Pyladæ facta ignoret. Sed in consepto etiam templi eadem, quæ columna indicat, picturis expressa ab antiquis, ostenduntur : navigans Orestes simul cum amico; deinde inter rupes fracta illorum navi comprehensus, et ad sacrificium paratus; et Iphigenia jam illos immolat : e regione vero in altero muro jam exutus vinculis depictus est, Thoantem interficiens et Scytharum multos alios; ac denique ut solvunt, Iphigeniam habentes ac deam; Scythæ autem frustra manus injiciunt navi jam eunti, suspensi e gubernaculis, ac tentantes inscendere; tum ut nihil proficiunt, partim jam vulnerati, partim ejus rei metu, terram natatu repetunt. Hic vero vel maxime videat aliquis quantam sibi invicem benevolentiam exhibuerint in conflictu cum Scythis. Fecit

γραφεὺς ἑκάτερον ἀμελοῦντα μὲν τῶν καθ' ἑαυτὸν πολεμίων, ἀμυνόμενον δὲ τοὺς ἐπιφερομένους θατέρῳ καὶ πρὸ ἐκείνου ἀπαντᾶν πειρώμενον τοῖς τοξεύμασι καὶ παρ' οὐδὲν τιθέμενον, εἰ ἀποθανεῖται σώσας τὸν φίλον, καὶ τὴν ἐπ' ἐκεῖνον φερομένην πληγὴν προαρπάσας τῷ ἑαυτοῦ σώματι.

7. Τὴν δὴ τοσαύτην εὔνοιαν αὐτῶν καὶ τὴν ἐν τοῖς δεινοῖς κοινωνίαν καὶ τὸ πιστὸν καὶ φιλέταιρον καὶ τὸ ἀληθὲς καὶ βέβαιον τοῦ πρὸς ἀλλήλους ἔρωτος οὐκ ἀνθρώπινα ταῦτα ᾠήθημεν εἶναι, ἀλλά τινος γνώμης βελτίονος ἢ κατὰ τοὺς πολλοὺς τούτους ἀνθρώπους, οἳ μέχρι μὲν κατ' οὖρον ὁ πλοῦς εἴη, τοῖς φίλοις ἀγανακτοῦσιν εἰ μὴ ἐπ' ἴσης κοινωνήσουσι τῶν ἡδέων, εἰ δέ τι καὶ μικρὸν ἀντιπνεύσῃ αὐτοῖς, οἴχονται μόνους τοῖς κινδύνοις ἀπολιπόντες. Καὶ γὰρ οὖν καὶ τόδε ὅπως εἰδῇς, οὐδὲν Σκύθαι φιλίας μεῖζον οἴονται εἶναι, οὐδὲ ἔστιν ἐφ' ὅτῳ ἄν τις Σκύθης μᾶλλον σεμνύναιτο ἢ ἐπὶ τῷ συμπονῆσαι φίλῳ ἀνδρὶ καὶ κοινωνῆσαι τῶν δεινῶν, ὥσπερ οὐδὲν ὄνειδος μεῖζον παρ' ἡμῖν τοῦ προδότην φιλίας γεγενῆσθαι δοκεῖν. Διὰ ταῦτα Ὀρέστην καὶ Πυλάδην τιμῶμεν, ἀρίστους γενομένους τὰ Σκυθῶν ἀγαθὰ καὶ ἐν φιλίᾳ διενεγκόντας, ὃ πρῶτον ἡμεῖς ἁπάντων θαυμάζομεν, καὶ τοὔνομα ἐπὶ τούτοις αὐτῶν ἐθέμεθα, Κοράκους καλεῖσθαι, τοῦτο δέ ἐστιν ἐν τῇ ἡμετέρᾳ φωνῇ ὥσπερ ἂν εἴ τις λέγοι, φίλιοι δαίμονες.

8. ΜΝΗΣ. Ὦ Τόξαρι, οὐ μόνον ἄρα τοξεύειν ἀγαθοὶ ἦσαν Σκύθαι καὶ τὰ πολεμικὰ τῶν ἄλλων ἀμείνους, ἀλλὰ καὶ ῥῆσιν εἰπεῖν ἁπάντων πιθανώτατοι. Ἐμοὶ γοῦν τέως ἄλλως γιγνώσκοντι ἤδη καὶ αὐτῷ δίκαια ποιεῖν δοκεῖτε οὕτως Ὀρέστην καὶ Πυλάδην ἐκθειάσαντες. Ἐλελήθεις δέ με, ὦ γενναῖε, καὶ γραφεὺς ἀγαθὸς ὤν. Πάνυ γοῦν ἐναργῶς ἐπέδειξας ἡμῖν τὰς ἐν τῷ Ὀρεστείῳ εἰκόνας καὶ τὴν μάχην τῶν ἀνδρῶν καὶ τὰ ὑπὲρ ἀλλήλων τραύματα. Πλὴν ἀλλ' οὐκ ᾠήθην ἄν ποτε οὕτω περισπούδαστον εἶναι φιλίαν ἐν Σκύθαις· ἅτε γὰρ ἀξένους καὶ ἀγρίους ὄντας αὐτοὺς ἔχθρᾳ μὲν ἀεὶ συνεῖναι καὶ ὀργῇ καὶ θυμῷ, φιλίαν δὲ μηδὲ πρὸς τοὺς οἰκειοτάτους ἐπαναιρεῖσθαι, τεκμαιρόμενος ταῖς τε ἄλλοις ἃ περὶ αὐτῶν ἀκούομεν, καὶ ὅτι κατεσθίουσι τοὺς πατέρας ἀποθανόντας.

9. ΤΟΞ. Εἰ μὲν καὶ τὰ ἄλλα ἡμεῖς τῶν Ἑλλήνων καὶ δικαιότεροι τὰ πρὸς τοὺς γονέας καὶ ὁσιώτεροι ἐσμὲν, οὐκ ἂν ἐν τῷ παρόντι φιλοτιμηθείην πρὸς σέ· ὅτι δὲ οἱ φίλοι Σκύθαι πολὺ πιστότεροι τῶν Ἑλλήνων φίλων εἰσὶ καὶ ὅτι πλείων φιλίας λόγος παρ' ἡμῖν ἢ παρ' ὑμῖν, ῥᾴδιον ἐπιδεῖξαι· καὶ πρὸς θεῶν τῶν Ἑλλήνων μὴ πρὸς ἀχθηδόνα μου ἀκούσῃς, ἢν εἴπω τι ὧν κατανενόηκα πολὺν ἤδη χρόνον ὑμῖν συγγιγνόμενος. Ὑμεῖς γάρ μοι δοκεῖτε τοὺς μὲν περὶ φιλίας λόγους ἄμεινον ἄλλων ἂν εἰπεῖν δύνασθαι, τάργα δὲ αὐτῆς οὐ μόνον οὐ κατ' ἀξίαν τῶν λόγων ἐκμελετᾶν, ἀλλ' ἀπόχρη ὑμῖν ἐπαινέσαι τε αὐτὴν καὶ δεῖξαι ἡλίκον ἀγαθόν ἐστιν· ἐν δὲ ταῖς χρείαις προδόντες τοὺς λόγους δραπετεύετε οὐκ οἶδ' ὅπως ἐκ μέσων τῶν

enim pictor utrumque negligentem sibi oppositos hostes, depellentem autem qui irruunt in alterum, et pro illo occurrere tentantem telis, et nihili curantem si ipse moriatur, modo servet amicum, et intentatam illi plagam suo corpore velut præripiat.

7. Hanc nempe tantam illorum benevolentiam, et malorum communionem, et fidem, et socialitatem, et veritatem firmitatemque amoris mutui; hæc, inquam, non humana esse putavimus, sed præstantioris cujusdam animi, quam est in plerisque his hominibus, qui, dum secundus est cursus, indignantur amicis si non in æquam jucundorum partem veniant; si vero vel paullum quiddam illis reflaverit, ilicet abeunt, solos periculis reliquentes. Etenim ut hoc etiam scias, nihil Scythæ amicitia majus esse existimant; neque est in quo Scytha magis sibi placeat, quam si cum amico laborare illi contingat, et in societatem adversorum illius venire : quemadmodum majus nullum apud nos probrum, quam si quis prodidisse amicitiam videatur. Propter hæc Oresten honoramus et Pyladen, qui præstiterint Scytharum bonis, et in amicitia eminuerint, quod primum omnium admiramur : atque nomen etiam propterea illis posuimus, ut Coracos appellaremus; id autem est nostra lingua, ut si quis « præsides amicitiæ genios » dicat.

8. MNES. Igitur non sagittis modo, Toxari, boni fuerunt Scythæ, et rebus bellicis præstantiores aliis, verum etiam in dicendo maxime omnium probabiles. Mihi quidem, aliter ad hunc diem sentienti, jam et ipsi recte facere videmini, quum divinis adeo honoribus Oresten Pyladenque afficitis. Sed nesciebam, vir optime, te pictorem etiam bonum esse. Lucidissime enim nobis, quæ sunt in Oresteo, imagines ostendisti, et pugnam virorum, et quæ pro se invicem excepere vulnera. Verum hoc nunquam putaram, ita studiose coli inter Scythas amicitiam, quippe ut inhospitales et agrestes in inimicitiis semper versari illos arbitrabar, et ira, et excandescentia; amicitiam vero neque inter conjunctissimos suscipi; colligens ista tum e reliquis quæ de iis audimus, tum inde, quod parentes mortuos in cibo habent.

9. TOX. Utrum in reliquis etiam nos et justiores adversum parentes Græcis et religiosiores simus, de eo in præsenti tecum non contenderim : amicos vero Scythas multo Græcis amicis fideliores esse, et majorem amicitiæ rationem inter nos haberi quam apud vos, demonstratu facile est. Et, per ego te Græcorum deos oro, ne moleste me audias, si quid eorum dixero, quæ, postquam diu inter vos versor, observavi. Vos enim mihi videmini verba quidem de amicitia melius aliis posse facere; at opera illius non tantum non pro dignitate illorum verborum meditari atque exercere, sed sufficit vobis laudasse illam, et quantum sit bonum ostendisse; quum autem opus ea est, proditores orationis vestræ, nescio quomodo mediis ex operibus trans-

ἔργων. Καὶ ὁπόταν ὑμῖν οἱ τραγῳδοὶ τὰς τοιαύτας φιλίας ἐπὶ τὴν σκηνὴν ἀναβιβάσαντες δεικνύωσιν, ἐπαινεῖτε καὶ ἐπικροτεῖτε καὶ κινδυνεύουσιν αὐτοῖς ὑπὲρ ἀλλήλων οἱ πολλοὶ καὶ ἐπιδακρύετε, αὐτοὶ δὲ οὐδὲν ἄξιον ἐπαίνου ὑπὲρ τῶν φίλων παρέχεσθαι τολμᾶτε, ἀλλ' ἤν του φίλος δεηθεὶς τύχῃ, αὐτίκα μάλα ὥσπερ τὰ ὀνείρατα οἴχονται ὑμῖν ἐκποδὼν ἀποπτάμεναι αἱ πολλαὶ ἐκεῖναι τραγῳδίαι, τοῖς κενοῖς τούτοις καὶ κωφοῖς προσωπείοις ἐοικότας ὑμᾶς ἀπολιποῦσαι, ἃ διηρμένα τὸ στόμα καὶ παμμέγεθες κεχηνότα οὐδὲ τὸ σμικρότατον φθέγγεται· ἡμεῖς δὲ ἔμπαλιν· ὅσῳ γὰρ δὴ λειπόμεθα ἐν τοῖς περὶ φιλίας λόγοις, τοσούτῳ ἐν τοῖς ἔργοις αὐτῆς πλεονεκτοῦμεν.

fugitis. Et quando vobis tragœdi tales amicitias in scenam productas ostendunt, laudatis et plauditis, illisque pro se invicem periclitantibus plerique etiam illacrimamini : ipsi vero nihil laude dignum præstare pro amicis audetis; sed si qua re indigeat forte amicus, subito, velut insomnia, aufugiunt vobis avolantque e vestigio multæ illæ tragœdiæ, inanibusque his et mutis personis similes vos destituunt, quæ diducto rictu et immane quantum hiantes ne minimum quidem sonum edunt. Nos contra ea, quantumcumque disputationibus de amicitia habendis inferiores sumus, tantum in operibus quæ illa imperat præstamus.

10. Εἰ γ' οὖν δοκεῖ, οὕτω νῦν ποιῶμεν, τοὺς μὲν παλαιοὺς φίλους ἀτρεμεῖν ἐάσωμεν, εἴ τινας ἢ ἡμεῖς ἢ ὑμεῖς τῶν πάλαι καταριθμεῖν ἔχομεν — ἐπεὶ κατά γε τοῦτο πλεονεκτοῖτε ἂν πολλοὺς καὶ ἀξιοπίστους μάρτυρας τοὺς ποιητὰς παρεχόμενοι, τὴν Ἀχιλλέως καὶ Πατρόκλου φιλίαν καὶ τὴν Θησέως καὶ Πειρίθου καὶ τῶν ἄλλων ἑταιρείαν ἐν καλλίστοις ἔπεσι καὶ μέτροις ῥαψῳδοῦντας — ὀλίγους δέ τινας προχειρισάμενοι τῶν καθ' ἡμᾶς αὐτοὺς καὶ τὰ ἔργα αὐτῶν διηγησάμενοι, ἐγὼ μὲν τὰ Σκυθικά, σὺ δὲ τὰ Ἑλληνικά, καὶ ὁπότερος ἂν ἐν τούτοις κρατῇ καὶ ἀμείνους παράσχηται τοὺς φίλους, αὐτός τε νενικηκὼς ἔσται καὶ τὴν αὐτοῦ ἀνακηρύξει κάλλιστον ἀγῶνα καὶ σεμνότατον ἀγωνισάμενος· ὡς ἔγωγε πολὺ ἥδιον ἄν μοι δοκῶ μονομαχῶν ἡττηθεὶς ἀποτμηθῆναι τὴν δεξιάν, ὅπερ τῆς Σκυθικῆς ἐπιτίμιόν ἐστιν, ἢ χείρων ἄλλου κατὰ φιλίαν κεκρίσθαι, καὶ ταῦτα Ἕλληνος Σκύθης αὐτὸς ὤν.

10. Quare, si videtur, ita nunc agamus. Antiquos amicos patiamur quiescere, si quos aut nos, aut vos de prisco ævo annumerare possimus : nam hac quidem parte vos viceritis, multos eosque dignos fide testes dantes poetas, qui Achillis et Patrocli amicitiam, et Thesei atque Pirithoi, reliquorumque sodalitium pulcherrimis versibus et numeris canant : sed paucos quosdam de his, qui nostro ipsorum tempore vixerunt, promamus, quorum enarremus facta, ego quidem Scythica, tu autem Græca : et in his uter vicerit et meliores produxerit amicos, ille victor erit, suamque præconio victoriam ornabit, pulcherrimo et honestissimo peracto certamine. Nam multo equidem libentius mihi videor solitaria pugna superatus dextram præcidendam præbere, quæ Scythicæ gentis pœna est, quam deterior alio in amicitia judicari, idque Græco, quum ipse sim Scytha.

11. ΜΝΗΣ. Ἔστι μέν, ὦ Τόξαρι, οὐ φαῦλον τὸ ἔργον ἀνδρὶ οἵῳ σοὶ πολεμιστῇ μονομαχῆσαι πάνυ εὐστόχους καὶ τεθηγμένους παρεσκευασμένῳ τοὺς λόγους. Οὐ μὴν ἀγεννῶς γε οὕτω καταπροδοὺς ἐν βραχεῖ τὸ Ἑλληνικὸν ἅπαν ὑποχωρήσομαί σοι· καὶ γὰρ ἂν εἴη πάνδεινον, ὑπὸ δυοῖν μὲν ἐκείνοιν ἡττηθῆναι τοσούτους τῶν Σκυθῶν, ὁπόσους οἵ τε μῦθοι δηλοῦσι καὶ αἱ ὑμέτεραι παλαιαὶ γραφαί, ἃς μικρῷ πρόσθεν εὖ μάλα ἐξετραγῴδησας· Ἕλληνας δὲ πάντας, τοσαῦτα ἔθνη καὶ τοσαύτας πόλεις ἐρήμην ὑπὸ σοῦ ἁλῶναι. Εἰ γὰρ τοῦτο γένοιτο, οὐ τὴν δεξιὰν ὥσπερ ὑμεῖς, ἀλλὰ τὴν γλῶτταν ἀποτμηθῆναι καλόν. Πότερον δὲ ὡρίσθαι χρὴ τὸν ἀριθμὸν ἡμῖν τῶν φιλικῶν τούτων πράξεων, ἢ ὁπόσῳ ἄν τις πλείους ἔχῃ λέγειν, τοσούτῳ εὐπορώτερος δόξειεν ἂν πρὸς τὴν νίκην;

11. MNES. Est quidem, Toxari, opus minime contemtibile, cum viro, qualis tu, bellatore pugnam solitariam inire, qui tam apta ad scopum et acuta argumenta habeas. Verumtamen non ignave adeo proditam cito Græciam omnem tibi concessero : indignissimum etenim fuerit, a duobus illis tantum Scytharum esse superatum, quantos et fabulæ indicant, et antiquæ vestræ picturæ, quas paullo ante præclare velut in tragica scena enarrasti : Græcos vero universos, tot gentes et tot urbes, deserta causa a te superari. Hoc enim si fiat, non dextram, ut vobis, sed linguam mihi abscidi justum fuerit. Utrum vero finiri nobis oportet numerum amicarum ejusmodi actionum; an quo plures quis proferendas habuerit, tanto ad victoriam videbitur instructior?

ΤΟΞ. Οὐδαμῶς, ἀλλ' ὡρίσθω μὴ ἐν τῷ πλήθει αὐτῶν τὸ κράτος, ἀλλ' εἰ ἀμείνους καὶ τομώτεραι φαίνοιντο αἱ σαὶ τῶν ἐμῶν ἴσαι τὸν ἀριθμὸν οὖσαι, καιριώτερα δῆλον ὅτι ἐργάσονταί μοι τραύματα καὶ θᾶττον ἐνδώσω πρὸς τὰς πληγάς.

TOX. Nequaquam : sed definitum esto non in multitudine earum robur, sed si præstantiores et quasi penetrabiliores tuæ videantur amicitiæ meis, æquales ceteroqui numero utræque, graviora nempe facient mihi vulnera, eoque celerius plagis concedam.

ΜΝΗΣ. Εὖ λέγεις, καὶ ὡρίσθωσαν ὁπόσαι ἱκαναί. Πέντε ἔμοιγε δοκοῦσιν ἑκατέρῳ.

MNES. Recte dicis : et finiantur quot satis sint. Quinque mihi quidem unicuique videntur sufficere.

ΤΟΞ. Καμοὶ δοκεῖ, πρότερος δὲ λέγε, ἀλλ' ἐπομοσάμενος ἢ μὴν ἀληθῆ ἐρεῖν· ἄλλως γὰρ πλάττειν τὰ

TOX. Et mihi videtur. Dic tu prior, sed jurato prius, te vera dicturum : alioquin enim fingere talia non admodum

τοιαῦτα οὐ πάνυ χαλεπὸν καὶ ὁ ἔλεγχος ἀφανής. Εἰ δὲ ὀμόσειας, οὐχ ὅσιον ἀπιστεῖν.

ΜΝΗΣ. Ὀμούμεθα, εἴ τι καὶ ὅρκου δεῖν νομίζεις. Τίς δέ σοι τῶν ἡμετέρων θεῶν.... ἆρ' ἱκανὸς ὁ Φίλιος;

ΤΟΞ. Καὶ μάλα· ἐγὼ δὲ τὸν ἐπιχώριον ὀμοῦμαί σοι ἐν τῷ ἐμαυτοῦ λόγῳ.

12. ΜΝΗΣ. Ἴστω τοίνυν ὁ Ζεὺς ὁ φίλιος, ἢ μὴν ὁπόσα ἂν λέγω πρὸς σὲ ἢ αὐτὸς εἰδὼς ἢ παρ' ἄλλων, ὁπόσον οἷόν τε ἦν, δι' ἀκριβείας ἐκπυνθανόμενος ἐρεῖν, μηδὲν παρ' ἐμαυτοῦ ἐπιτραγῳδῶν. Καὶ πρώτην γέ σοι τὴν Ἀγαθοκλέους καὶ Δεινίου φιλίαν διηγήσομαι ἀοίδιμον ἐν τοῖς Ἴωσι γενομένην· Ἀγαθοκλῆς γὰρ οὗτος ὁ Σάμιος οὐ πρὸ πολλοῦ ἐγένετο, ἄριστος μὲν πρὸς φιλίαν, ὡς ἔδειξε, τἆλλα δὲ οὐδὲν Σαμίων τῶν πολλῶν ἀμείνων οὔτε ἐς τὸ γένος οὔτε ἐς τὴν ἄλλην περιουσίαν· Δεινίᾳ δὲ τῷ Λύσωνος Ἐφεσίῳ φίλος ἐκ παίδων ἦν· ὁ δὲ Δεινίας ἐπλούτει ἄρα εἰς ὑπερβολήν· καὶ ὥσπερ εἰκὸς νεόπλουτον ὄντα, πολλοὺς καὶ ἄλλους εἶχε περὶ ἑαυτὸν ἱκανοὺς μὲν συμπιεῖν καὶ πρὸς ἡδονὴν συνεῖναι, φιλίας δὲ πλεῖστον ὅσον ἀποδέοντας. Τέως μὲν οὖν ἐν τούτοις καὶ ὁ Ἀγαθοκλῆς ἐξητάζετο καὶ συνῆν καὶ συνέπινεν αὐτοῖς οὐ πάνυ χαίρων τῇ τοιαύτῃ διατριβῇ, καὶ ὁ Δεινίας οὐδὲν αὐτὸν ἐντιμότερον εἶχε τῶν κολάκων· τελευταῖον δὲ καὶ προσέκρουε τὰ πολλὰ ἐπιτιμῶν, καὶ φορτικὸς ἐδόκει ὑπομιμνήσκων ἀεὶ τῶν προγόνων καὶ φυλάττειν παραγγέλλων ἃ μετὰ πολλῶν καμάτων ὁ πατὴρ αὐτῷ κτησάμενος κατέλιπεν· ὥστε διὰ ταῦτα οὐδὲ ἐπὶ τοὺς κώμους ἐπῆγεν ἔτι αὐτὸν, ἀλλὰ μόνος μετ' ἐκείνων ἐκώμαζε λανθάνειν πειρώμενος τὸν Ἀγαθοκλέα.

13. Καὶ δή ποτε ὑπὸ τῶν κολάκων ἐκείνων ὁ ἄθλιος ἀναπείθεται ὡς ἐρᾷη αὐτοῦ Χαρίκλεια Δημώνακτος γυνὴ ἀνδρὸς ἐπιφανοῦς καὶ πρώτου Ἐφεσίων τὰ πολιτικά· καὶ γραμμάτιά τε εἰσεφοίτα αὐτῷ παρὰ τῆς γυναικὸς καὶ στέφανοι ἡμιμάραντοι καὶ μῆλά τινα ἀποδεδηγμένα καὶ ἄλλα ὁπόσα αἱ μαστροποὶ τοῖς νέοις ἐπιμηχανῶνται, κατὰ μικρὸν αὐτοῖς ἐπιτεχνώμεναι τοὺς ἐρῶντας καὶ ἀναφλέγουσαι τὸ πρῶτον ἐρᾶσθαι νομίζοντας· ἐπαγωγότατον γὰρ τοῦτό γε, καὶ μάλιστα τοῖς καλοῖς εἶναι οἰομένοις, ἄχρι ἂν λάθωσιν εἰς τὰ δίκτυα ἐμπεσόντες. Ἡ Χαρίκλεια δὲ ἦν ἀστεῖον μέν τι γύναιον, ἑταιρικὸν δὲ ἐκτόπως καὶ τοῦ προστυχόντος ἀεὶ, καὶ εἰ πάνυ ἐπ' ὀλίγῳ ἐθελήσειέ τις καὶ εἰ προσίδοι τις μόνον, εὐθὺς ἐπένευε καὶ δέος οὐδὲν ἦν μή τι ἀντείποι Χαρίκλεια. Δεινὴ δὲ καὶ τἆλλα τεχνῖτις παρ' ἥντινα βούλει τῶν ἑταιρῶν ἐπισπάσασθαι ἐραστὴν καὶ ἀμφίβολον ἔτι ὄντα ὅλον ὑποποιήσασθαι καὶ ἐνεχόμενον ἤδη ἐπιτεῖναι καὶ προσεκκαῦσαι ἄρτι μὲν ὀργῇ, ἄρτι δὲ κολακείᾳ καὶ μετὰ μικρὸν ὑπεροψίᾳ καὶ τῷ πρὸς ἕτερον ἀποκλίνειν δοκεῖν, καὶ ὅλη συνεκεκρότητο ἀπανταχόθεν ἡ γυνὴ καὶ πολλὰ μηχανήματα παρεσκεύαστο κατὰ τῶν ἐραστῶν.

14. Ταύτην οὖν τότε οἱ Δεινίου κόλακες παραλαμβάνουσιν ἐπὶ τὸ μειράκιον καὶ τὰ πολλὰ ὑπεκωμῴδουν συνωθοῦντες αὐτὸν εἰς τὸν ἔρωτα τῆς Χαρικλείας. Ἡ

difficile, et convincendi obscura ratio. Si vero juraveris, fidem negare irreligiosum fuerit.

MNES. Juremus, si quid opus esse jurato arbitraris. Quis vero tibi deorum nostrorum.... num idoneus est Philius?

TOX. Sane. Ego autem per patrium tibi in mea oratione jurabo.

12. MNES. Audiat igitur Jupiter Philius, me, quæcumque ad te dixero, aut quæ ipse sciam dicturum, aut quæ ab aliis quanta fieri potuit cura exquisiverim, neque quicquam de meo tragicæ fabulositatis additurum. Ac primum tibi Agathoclis et Diniæ amicitiam enarrabo, decantatam inter Iones. Nempe Agathocles hic Samius non diu est quum vixit, ad amicitiam quidem, ut ostendit, præstantissimus, ceterum vulgo Samiorum nihil melior, neque genere, neque copiis ceteris : Diniæ autem Lysonis filio, Ephesio, amicus a pueris fuerat. Ac dives erat Dinias ultra fidem, et, quod facile credas de homine divitias nuper demum nacto, multos quoque alios circa se habebat, ad compotandum quidem idoneos et voluptatem eo convictu parandam, ab amicitia autem tantum, quantum est maximum, remotos. Igitur adhuc quidem in hisce numerari etiam Agathocles, et una esse, et una potare, quanquam non valde illa consuetudine gauderet; Dinias etiam nihilo majore illum in pretio habere, quam adulatores. Tandem etiam offensus est, quod crebro illum reprehenderet, et importunus visus, qui majorum illum admoneret suorum, et servare juberet quæ multo labore parta pater ipsi reliquisset. Itaque propter ista neque ad comissationes amplius illum adhibebat, sed solus cum istis potare, subducere se Agathocli studens.

13. Jamque ab adulatoribus istis persuaderi sibi miser ille patitur, amore ipsius accensam Charicleam Demonactis uxorem, clarissimi viri, et in civitate Ephesiorum primi : et ventitant illi a muliere codicilli, et coronæ semimarcidulæ, et mala quædam demorsa, et alia quæ machinantur contra adolescentulos lenæ, dum paullatim suis artificiis amores illis instruunt, et accendunt ultro amari se putantes : maxime enim hoc ad illiciendum valet, apud eos præsertim qui pulchri sibi videntur, dum imprudentes in retia incidant. Erat autem Chariclea muliercula haud illepida, sed meretricii supra modum ingenii, quæ ejus semper esset, in quem forte incideret, etiam si parvo admodum amare quis vellet : et si quis aspiceret modo, innuebat statim, neque unquam metus ne Chariclea repugnaret. Erat etiam alioquin mira artifex, supra quamvis meretricem, alliciendi amatorem, et ambiguus qui adhuc esset, subjugandi totum, et qui jam teneretur intendendi et magis accendendi nunc ira, nunc adulatione, et paullo post fastidio, et simulata ad alium inclinatione : ac tota undique ad hæc composita erat mulier, multasque paraverat in amatores machinas.

14. Hanc ergo tum asciscunt Diniæ adulatores contra adolescentem, et fere ut secundarum actores subserviunt, in Charicleæ illum amorem impellentes. Illa vero,

δὲ πολλοὺς ἤδη νέους ἐκτραχηλίσασα καὶ μυρίους ἔρωτας ὑποκριναμένη καὶ οἴκους πολυταλάντους ἀνατρέψασα, ποικίλον τι καὶ πολυγύμναστον κακὸν, παραλαβοῦσα εἰς τὰς χεῖρας ἁπλοϊκὸν καὶ ἄπειρον τῶν τοιούτων μηχανημάτων νεανίσκον οὐκ ἀνῆκεν ἐκ τῶν ὀνύχων, ἀλλὰ περιέχουσα πανταχόθεν καὶ διαπείρασα, ὅτε ἤδη παντάπασιν ἐκράτει, αὐτή τε ἀπώλετο ὑπὸ τῆς ἄγρας καὶ τῷ κακοδαίμονι Δεινίᾳ μυρίων κακῶν αἰτία ἐγένετο. Τὸ μὲν γὰρ πρῶτον εὐθὺς ἐκεῖνα ἐπ' αὐτὸν καθίει τὰ γραμμάτια, καὶ συνεχῶς πεμπομένη τὴν ἄβραν, ὡς ἐδάκρυσε καὶ ἐπηγρύπνησε καὶ τέλος ὡς ἀπάγζει ἑαυτὴν ἡ ἀθλία ὑπὸ τοῦ ἔρωτος, ἕως δὴ ὁ μακάριος ἐπείσθη καλὸς εἶναι καὶ ταῖς Ἐφεσίων γυναιξὶ περιπόθητος.

15. Καί που συνηνέχθη πολλὰ ἱκετευθείς. Καὶ τὸ ἐντεῦθεν ἤδη ῥᾷον, ὡς τὸ εἰκὸς, ἀλώσεσθαι ἔμελλεν ὑπὸ γυναικὸς καλῆς καὶ πρὸς ἡδονήν τε ὁμιλῆσαι ἐπισταμένης καὶ ἐν καιρῷ δακρῦσαι καὶ μεταξὺ τῶν λόγων ἐλεεινῶς ὑποστενάξαι καὶ ἀπιόντος ἤδη λαβέσθαι καὶ εἰσελθόντι προσδραμεῖν καὶ καλλωπίζεσθαι, ὡς ἂν μάλιστα ἀρέσειε, καί που καὶ ᾄσαι καὶ κιθαρίσαι· οἷς ἅπασι κατὰ τοῦ Δεινίου ἐκέχρητο. Καὶ ἐπεὶ ἤσθετο πονηρῶς ἔχοντα καὶ διάβροχον ἤδη τῷ ἔρωτι καὶ τακερὸν γεγενημένον, ἄλλο ἐπὶ τούτοις ἐπενόει καὶ τὸν ἄθλιον ἀπώλλυεν· κύειν τε γὰρ ἐξ αὐτοῦ σκήπτεται — ἱκανὸν δὲ καὶ τοῦτο βλᾶκα ἐραστὴν προσεκπυρῶσαι — καὶ οὐκέτι ἐφοίτα πρὸς αὐτὸν φυλάττεσθαι ὑπὸ τἀνδρὸς λέγουσα πεπυσμένου τὸν ἔρωτα· ὁ δ' οὐκέτι οἷός τε ἦν φέρειν τὸ πρᾶγμα, οὐδὲ ἠνείχετο μὴ ὁρῶν αὐτὴν, ἀλλὰ ἐδάκρυε καὶ τοὺς κόλακας εἰσέπεμπε καὶ τοὔνομα τῆς Χαρικλείας ἐπεβοᾶτο καὶ τὴν εἰκόνα περιβαλὼν αὐτῆς — ἐπεποίητο δὲ λίθου λευκοῦ — ἐκώκυε καὶ τέλος καταβαλὼν ἑαυτὸν εἰς τοὔδαφος ἐκυλίνδετο καὶ λύττα ἦν ἀκριβὴς τὸ πρᾶγμα· τὰ μὲν γὰρ δῶρα οὐ κατὰ μῆλα καὶ στεφάνους ἀντεδίδοτο αὐτῇ, ἀλλὰ συνοικίαι ὅλαι καὶ ἀγροὶ καὶ θεράπαιναι καὶ ἐσθῆτες εὐανθεῖς καὶ χρυσὸν ὁπόσον ἐθελήσειε. Καὶ τί γάρ; ἐν βραχεῖ ὁ Λύσωνος οἶκος ὀνομαστότατος τῶν ἐν Ἰωνίᾳ γενόμενος ἐξήντλητο ἤδη καὶ ἐξεκενέωτο.

16. Εἶτα ὡς ἤδη αὖος ἦν, ἀπολιποῦσα αὐτὸν ἄλλον τινὰ Κρῆτα νεανίσκον τῶν ὑποχρύσων ἐθήρα καὶ μετέβαινεν ἐπ' ἐκεῖνον καὶ ἦρα ἤδη αὐτοῦ κἀκεῖνος ἐπίστευεν. Ἀμελούμενος οὖν ὁ Δεινίας οὐχ ὑπὸ τῆς Χαρικλείας μόνον, ἀλλὰ καὶ ὑπὸ τῶν κολάκων — κἀκεῖνοι γὰρ ἐπὶ τὸν Κρῆτα ἤδη τὸν ἐρώμενον μετεληλύθεσαν — ἔρχεται παρὰ τὸν Ἀγαθοκλέα καὶ πάλαι εἰδότα ὡς ἔχει πονηρῶς τὰ πράγματα αὐτῷ. Καὶ αἰδούμενος τὸ πρῶτον ὅμως διηγεῖτο πάντα, τὸν ἔρωτα, τὴν ἀπορίαν, τὴν ὑπεροψίαν τῆς γυναικὸς, τὸν ἀντεραστὴν τὸν Κρῆτα, καὶ τέλος ὡς οὐ βιώσεται μὴ οὐχὶ συνὼν τῇ Χαρικλείᾳ. Ὁ δὲ ἄκαιρον εἶναι νομίσας ἐν τούτῳ ἀπομνημονεύειν τῷ Δεινίᾳ, διότι οὐ προσίετο μόνον τῶν φίλων αὐτὸν, ἀλλὰ τοὺς κόλακας αὐτοῦ προετίμα τότε, ἦν μόνον εἶχε πατρῴαν οἰκίαν ἐν Σάμῳ ἀπεμπολήσας ἦκεν αὐτῷ τὴν τιμὴν κομίζων τρία τάλαντα. Λαβὼν δὲ ὁ Δεινίας οὐκ ἀφανὴς εὐθὺς ἦν τῇ

multos jam adolescentes supplantaverat, et mille amores simulaverat, et domus opulèntissimas everterat, multiplex quoddam et subactum longa exercitatione infortunium; hæc igitur nacta intra manus suas simplicem et imperitum talium artificiorum juvenem, non dimisit ex unguibus, sed complexa undique et configens, quum jam ex omni parte illum teneret, et ipsa a sua præda periit, et misero Diniæ mille malorum causa fuit. Nam primo statim illos demittit in eum hami instar codicillos, et continue legat ancillam suam, ut lacrimetur, et pervigilet, tandem ut suspensura se sit præ amore misera, significaturam : donec persuasum est beatulo, pulchrum esse et Ephesiorum uxoribus expetitum.

15. Ac tandem multis precibus exoratus cum ea congreditur. Et hinc jam facile, ut apparet, fuit illum expugnari a pulchra muliere, quæ sciret ad voluptatem attemperare suos sermones, et plorare opportune, et inter sermones miserabiliter ingemiscere, et abeuntem jam complecti, et ingredienti occurrere, et eum ornatum adhibere quo maxime placeret, et interdum canere etiam ac citharam pulsare : quibus illa omnibus adversus Diniam usa est. Et quum sentiret jam illum laborare, et madefactum amore mersumque esse, hinc aliud excogitat, quo perderet miserum, nempe uterum se etiam ex illo gerere : valet autem hoc etiam ad stolidum amatorem magis accendendum : neque amplius ad illum ventitat, custodiri se a viro dicens, qui audierit de amore. At ille rem non ferre, neque pati posse, quod non videret illam, sed lacrimari, et intro mittere adulatores, et nomen Charicleæ inclamare, ejusque statuam (de candido marmore facta erat) amplectens ejulare, tandem humi se abjiciens volvitur, resque in confessum furorem exit. Dona enim non pro portione malorum et corollarum illi reddebantur, sed ædes totæ, et agri, et servæ, et vestes floridæ, et auri quantum vellet. Et quid multa? brevi tempore Lysonis domus nobilissima per Ioniam quæ fuerat, exhausta jam et vacuefacta erat.

16. Deinde quum jam siccus ille et aridus esset, eo relicto, alium quendam Cretensem juvenem, de auratis illis, venata, ad illum transiit; et illum jam amabat, et ille amari se credebat. Dinias igitur, neglectus jam non a Chariclea solum, sed etiam ab adulatoribus (nam hi quoque jam ad Cretensem illum amasium transierant), venit ad Agathoclem, qui jam diu sciret quam malo loco res ipsius essent. Ac primum non sine pudore, enarrat tamen omnia, amorem, indigentiam, superbiam mulieris, rivalem Cretensem, et denique se vivere non posse, nisi esset cum Chariclea. At ille intempestivum ratus eo tempore exprobrare Diniæ, quod solum se amicorum non admisisset, sed adulatores prætulisset tum sibi : vendita, quam solam habebat Sami, domo paterna, venit pretium illi ferens tria talenta. His acceptis

Χαρικλείᾳ καλός ποθεν ἄρτι γεγενημένος· καὶ αὖθις ἡ ἄβρα καὶ τὰ γραμμάτια καὶ μέμψις, ὅτι μὴ πολλοῦ χρόνου ἀφίκετο, καὶ οἱ κόλακες συνέθεον ἐπικαλαμησόμενοι ὁρῶντες ἐδώδιμον ἔτι ὄντα τὸν Δεινίαν.

17. Ὡς δὲ ὑπέσχετο ἥξειν παρ' αὐτὴν καὶ ἦκε περὶ πρῶτον ὕπνον καὶ ἔνδον ἦν, ὁ Δημῶναξ ὁ τῆς Χαρικλείας ἀνὴρ εἴτε ἄλλως αἰσθόμενος εἴτε καὶ ἀπὸ συνθήματος τῆς γυναικός — ἄμφω γὰρ λέγεται — ἐπαναστὰς ὥσπερ ἐκ λόχου τήν τε αὔλειον ἀποκλείειν ἐκέλευε καὶ συλλαμβάνειν τὸν Δεινίαν, πῦρ καὶ μάστιγας ἀπειλῶν καὶ ξίφος ὡς ἐπὶ μοιχὸν σπασάμενος. Ὁ δὲ συνιδὼν οὗ κακῶν ἦν, μοχλόν τινα πλησίον κείμενον ἁρπάσας αὐτόν τε ἀποκτείνει τὸν Δημώνακτα πατάξας εἰς τὸν κρόταφον καὶ τὴν Χαρίκλειαν, οὐ μιᾷ πληγῇ ταύτην, ἀλλὰ καὶ τῷ μοχλῷ πολλάκις καὶ τῷ ξίφει τοῦ Δημώνακτος ὕστερον. Οἱ δ' οἰκέται τέως μὲν ἑστήκεσαν ἄφωνοι τῷ παραδόξῳ τοῦ πράγματος ἐκπεπληγμένοι, εἶτα πειρώμενοι συλλαμβάνειν, ὡς καὶ αὐτοῖς ἐπῄει μετὰ τοῦ ξίφους, ἐκεῖνοι μὲν ἔφευγον, ὁ Δεινίας δὲ ὑπεξέρχεται τηλικοῦτον ἔργον εἰργασμένος· καὶ τὸ μέχρι τῆς ἕω παρὰ τῷ Ἀγαθοκλεῖ διέτριβεν, ἀναλογιζόμενοι τὰ πεπραγμένα καὶ περὶ τῶν μελλόντων ὅ τι ἀποβήσεται σκοποῦντες· ἕωθεν δὲ οἱ στρατηγοὶ παρῆσαν — ἤδη γὰρ τὸ πρᾶγμα διεβεβόητο — καὶ συλλαβόντες τὸν Δεινίαν, οὐδ' αὐτὸν ἔξαρνον ὄντα μὴ οὐχὶ πεφονευκέναι, ἀπάγουσι παρὰ τὸν ἁρμοστήν, ὃς ἦρμοζε τὴν Ἀσίαν τότε· ὁ δὲ βασιλεῖ τῷ μεγάλῳ ἀναπέμπει αὐτόν· καὶ μετ' οὐ πολὺ κατεπέμφθη ὁ Δεινίας εἰς Γύαραν νῆσον τῶν Κυκλάδων ἐν ταύτῃ φεύγειν εἰς ἀεὶ τεταγμένος ὑπὸ βασιλέως.

18. Ὁ δὲ Ἀγαθοκλῆς καὶ τἆλλα μὲν συνῆν καὶ συναπῆρεν εἰς τὴν Ἰταλίαν καὶ συνεισῆλθεν εἰς τὸ δικαστήριον μόνος τῶν φίλων καὶ πρὸς οὐδὲν ἐνεδέησεν. Ἐπεὶ δὲ ἤδη ἔφευγεν ὁ Δεινίας, οὐδὲ τότε ἀπελείφθη τοῦ ἑταίρου, καταδικάσας δὲ αὐτὸς αὑτοῦ διέτριβεν ἐν Γυάρῳ καὶ συνέφευγεν αὐτῷ, καὶ ἐπειδὴ παντάπασιν ἠπόρουν τῶν ἀναγκαίων, παραδοὺς ἑαυτὸν τοῖς πορφυρεῦσι συγκατεδύετο καὶ τὸ γιγνόμενον ἐκ τούτου ἀποφέρων ἔτρεφε τὸν Δεινίαν καὶ νοσήσαντά τε ἐπὶ μήκιστον ἐθεράπευσε καὶ ἀποθανόντος οὐκέτι ἐπανελθεῖν εἰς τὴν ἑαυτοῦ ἠθέλησεν, ἀλλ' αὐτοῦ ἐν τῇ νήσῳ ἔμεινεν αἰσχυνόμενος καὶ τεθνεῶτα ἀπολιπεῖν τὸν φίλον. Τοῦτό σοι ἔργον φίλου Ἕλληνος οὐ πρὸ πολλοῦ γενόμενον· ἔτη γὰρ οὐκ οἶδα εἰ πέντε ἤδη διελήλυθεν, ἀφ' οὗ Ἀγαθοκλῆς ἐν Γυάρῳ ἀπέθανε.

ΤΟΞ. Καὶ εἴθε γε, ὦ Μνήσιππε, ἀνώμοτος ὢν ταῦτα ἔλεγες, ἵνα καὶ ἀπιστεῖν ἂν ἐδυνάμην αὐτοῖς· οὕτω Σκυθικόν τινα φίλον τὸν Ἀγαθοκλέα τοῦτον διηγήσω. Πλὴν οὖν δέδια μή τινα καὶ ἄλλον ὅμοιον εἴπῃς αὐτῷ.

19. ΜΝΗΣ. Ἄκουε τοίνυν καὶ ἄλλον, ὦ Τόξαρι, Εὐθύδικον τὸν Χαλκιδέα. Διηγεῖτο δέ μοι περὶ αὐτοῦ Σιμύλος ὁ ναύκληρος ὁ Μεγαρικὸς ἐπομοσάμενος ἢ μὴν αὐτὸς ἑορακέναι τὸ ἔργον· πλεῖν μὲν γὰρ ἔφη ἐξ

Dinias jam non obscurus esse Charicleæ pulcher quodam modo factus denuo : et rursus ancilla, et codicilli, et reprehensio, quod diu non venisset : adulatores etiam concurrere, facturi spicilegium quum viderent esse adhuc Diniam talem, quem comederent.

17. Quum autem venturum se ad illam condixisset, et venisset circa primam quietem, et intus esset, Demonax, Charicleæ maritus, sive forte fortuna illud senserit, sive re cum uxore composita (utrumque enim dicitur), consurgens velut ex insidiis claudi jubet januam aulæ, et comprehendi Diniam, ignem minans ac flagella, strictoque velut in adulterum gladio. At ille videns quantis in malis esset, correpto vecti quodam prope jacente, tum ipsum Demonactem percusso tempore interficit, tum Charicleam, nec una hanc plaga, verum et vecti sæpius, et deinde Demonactis gladio. Servi autem, qui muti adhuc astiterant inopinata re perculsi, jam comprehendere illum tentantes, quum ipsos quoque gladio invaderet, se subducebant, et Dinias, tanto patrato facinore, clanculum exit, inde ad auroram usque moratur apud Agathoclem, ubi perpendunt acta, et de futuris, quem res exitum habitura esset, considerant. Mane vero adsunt magistratus, re jam rumoribus dilata, et comprehensum Diniam, qui nec ipse cædem a se factam negaret, ad Præsidem, qui tum regebat Asiam, abducunt. At ille mittit ad Imperatorem : neque ita multo post relegatur Dinias in Gyarum insulam, unam Cycladum, exulare in ea perpetuo jussus ab Imperatore.

18. Agathocles autem quum alias illum comitatus est, tum navigavit cum illo in Italiam, et in judicium venit amicorum solus, et nulla in re illi defuit. Et quum jam exularet Dinias, ne tum quidem a sodali destitutus est, qui velut ipse se damnans, in Gyaro moraretur, exulans cum illo; et quum omnino rebus necessariis deficerentur, locata purpurariis opera, cum his urinabat, mercedulaque inde accepta alebat Diniam. Ægrotantem quoque diutissime curavit; ac ne mortuo quidem illo redire in patriam voluit, sed ibidem in insula mansit, qui mortuum etiam amicum relinquere pudori sibi duceret. Hoc tibi factum amici Græci non ita dia est ex quo contigit : anni enim nescio an quinque abierint, a quo Gyaris mortuus est Agathocles.

TOX. Utinam vero injuratus, Mnesippe, ista narrasses, ut etiam fidem negare illis possem : adeo Scythicum quendam amicum Agathoclem istum narrasti. Verum enim metuo ne quem alium dicas illi similem.

19. MNES. Audi ergo alium etiam, Toxari, Euthydicum Chalcidensem. Narravit autem mihi de illo Simylus nauclerus Megarensis jurans, se rem vidisse ipsum. Navigasse

Ἰταλίας Ἀθήναζε περὶ δύσιν Πλειάδος συλλογιμαίους τινὰς ἀνθρώπους κομίζων, ἐν δὲ τούτοις εἶναι καὶ τὸν Εὐθύδικον καὶ μετ' αὐτοῦ Δάμωνα, Χαλκιδέα καὶ τοῦτον, ἑταῖρον αὐτοῦ· ἡλικιώτας δὲ εἶναι, τὸν μὲν Εὐθύδικον ἐρρωμένον καὶ καρτερὸν, τὸν δὲ Δάμωνα ὕπωχρον καὶ ἀσθενικὸν, ἄρτι ἐκ νόσου μακρᾶς, ὡς ἐδόκει, ἀνιστάμενον. Ἄχρι μὲν οὖν Σικελίας εὐτυχῶς διαπλεῦσαι ἔφη ὁ Σιμύλος σφᾶς· ἐπεὶ δὲ τὸν πορθμὸν διαπεράσαντες ἐν αὐτῷ ἤδη τῷ Ἰονίῳ ἔπλεον, χειμῶνα μέγιστον ἐπιπεσεῖν αὐτοῖς. Καὶ τὰ μὲν πολλὰ τί ἂν τις λέγοι, τρικυμίας τινὰς καὶ στροβίλους καὶ χαλάζας καὶ ἄλλα δσα χειμῶνος κακά; ἐπεὶ δὲ ἤδη σφᾶς κατὰ τὴν Ζάκυνθον εἶναι ἀπὸ ψιλῆς τῆς κεραίας πλέοντας, ἔτι καὶ σπείρας τινὰς ἐπισυρομένους, ὡς τὸ ῥόθιον ἐπιδέχεσθαι τῆς ὁρμῆς, περὶ μέσας νύκτας οἷον ἐν τοσούτῳ σάλῳ ναυτιάσαντα τὸν Δάμωνα ἐμεῖν ἐγκεχυφότα εἰς τὴν θάλατταν· εἶτα, οἶμαι, τῆς νεὼς βιαιότερον ἐς ὃ ἐκεκύφει μέρος ἐπικλιθείσης καὶ τοῦ κύματος συναπώσαντος, ἐκπεσεῖν αὐτὸν ἐπὶ κεφαλὴν ἐς τὸ πέλαγος, οὐδὲ γυμνὸν τὸν ἄθλιον, ὡς ἂν καὶ ῥᾷον δύνασθαι νεῖν· εὐθὺς οὖν βοᾶν πνιγόμενον καὶ μόγις ἑαυτὸν ὑπερέχοντα τοῦ κλύδωνος.

20. Τὸν δὲ Εὐθύδικον, ὡς ἤκουσε — τυχεῖν δὲ γυμνὸν ἐν τῇ εὐνῇ ὄντα — ῥῖψαι ἑαυτὸν εἰς τὴν θάλατταν καὶ καταλαβόντα τὸν Δάμωνα ἤδη ἀπαγορεύοντα — φαίνεσθαι γὰρ ἐπὶ πολὺ ταῦτα τῆς σελήνης καταλαμπούσης — συμπαρανήχεσθαι καὶ συγκουφίζειν· σφᾶς δὲ ἐπιθυμεῖν μὲν αὐτοῖς βοηθεῖν καὶ ἐλεεῖν τὴν συμφορὰν τῶν ἀνδρῶν, μὴ δύνασθαι δὲ μεγάλῳ τῷ πνεύματι ἐλαυνομένους· πλὴν ἐκεῖνά γε ποιῆσαι, φελλούς τε γὰρ πολλοὺς ἀφεῖναι αὐτοῖς καὶ τῶν κοντῶν τινας, ὡς ἐπὶ τούτων ἀπονήξαιντο, εἴ τινι αὐτῶν περιτύχοιεν, καὶ τέλος καὶ τὴν ἀποβάθραν αὐτὴν οὐ μικρὰν οὖσαν. Ἐννόησον τοίνυν πρὸς θεῶν, ἥντινα ἄν τις ἄλλην ἐπίδειξιν ἐπιδείξαιτο εὐνοίας βεβαιοτέραν πρὸς ἄνδρα φίλον ἐν νυκτὶ ἐκπεσόντα ἐς πέλαγος οὕτως ἠγριωμένον ἢ κοινωνήσας τοῦ θανάτου; καί μοι ἐπ' ὀφθαλμῶν λαβὲ τὴν ἐπανάστασιν τῶν κυμάτων, τὸν ἦχον τοῦ ὕδατος ἐπικλωμένου, τὸν ἀφρὸν περιζέοντα, τὴν νύκτα, τὴν ἀπόγνωσιν, εἶτα ἀποπνιγόμενον ἐκεῖνον καὶ μόγις ἀνακύπτοντα καὶ τὰς χεῖρας ὀρέγοντα τῷ ἑταίρῳ, τὸν δὲ ἐπιπηδῶντα εὐθὺς καὶ συννέοντα καὶ δεδιότα μὴ προαπόληται αὐτοῦ ὁ Δάμων· οὕτω γὰρ ἂν μάθοις ὡς οὐκ ἀγεννῆ σοι καὶ τοῦτον φίλον τὸ Εὐθύδικον διηγησάμην.

21. ΤΟΞ. Πότερον δὲ ἀπώλοντο, ὦ Μνήσιππε, οἱ ἄνδρες, ἤ τις αὐτοῖς ἐκ παραλόγου σωτηρία ἐγένετο; ὡς ἐγωγε οὐ μετρίως δέδοικα ὑπὲρ αὐτῶν.

ΜΝΗΣ. Θάρρει, ὦ Τόξαρι, ἐσώθησαν καὶ ἔτι καὶ νῦν εἰσιν Ἀθήνησιν ἄμφω φιλοσοφοῦντες. Ὁ μὲν γὰρ Σιμύλος ταῦτα μόνα εἶχε λέγειν, ἃ ποτε εἶδε τῆς νυκτὸς, τὸν μὲν ἐκπίπτοντα, τὸν δὲ ἐπιπηδῶντα καὶ νηχομένους, ἐς δσον ἐν νυκτὶ καθορᾶν ἐδύνατο. Τὰ δὲ ἀπὸ τούτου οἱ ἀμφὶ τὸν Εὐθύδικον αὐτοὶ διηγοῦνται·

nimirum se dixit ex Italia Athenas versus circa Vergiliarum occasum, cum vectoribus hinc inde collectis : in hisce autem fuisse Euthydicum, et cum illo Damonem, Chalcidensem hunc quoque, illius sodalem : fuisse autem æquales, ceterum Euthydicum valentem ac robustum, Damonem vero subpallidum et imbecillum, qui e longo morbo videretur modo convaluisse. Atque ad Siciliam usque feliciter ipsos navigasse, retulit mihi Simylus : superato autem freto, in ipso jam Ionio navigantes, tempestate oppressos maxima. Quid autem attinet dicere multa illa, fluctus decumanos, et turbines, et grandines, et reliqua tempestatis mala? quum jam prope Zacynthum essent, nuda navigantes antenna et spiras quasdam ad impetum undæ excipiendum trahentes, media circiter nocte, nauseantem, ut in tanta agitatione, Damonem vomuisse proclinato versus mare corpore. Tum navi, puto, violentius in eam partem in quam incubuerat inclinata, et fluctu simul depellente, præcipitem excidisse in pelagus, ne nudum quidem miserum, ut natare posset facilius. Statim igitur clamasse ut qui jam suffocetur, et vix se supra fluctus teneat.

20. Euthydicum vero, quum audisset (fuisse autem forte in cubili nudum), abjecisse se in mare, et comprehenso Damoni, jam victo ac despondenti animum (videri potuisse autem pleraque fulgente luna), adnatasse, eumque sublevasse. Illos autem cupiisse quidem opem ferre, et miseratos casum hominum, sed non potuisse, a magno vento actos : at illa certe fecisse, suberis frusta multa illis projecisse et contos aliquot, ut illorum ope enatarent, si quid illorum nanciscerentur, et ipsum denique navis pontem non parvum. Cogita jam, per deos, quod quis aliud specimen ostendat firmius benevolentiæ adversus amicum, delapsum noctu in mare adeo efferatum, quam si in mortis ipsius societatem veniat? Et intuere mihi animo fluctus insurgentes, sonitum se frangentis aquæ, circum ferventem spumam, noctem, desperationem : deinde illum jam in eo ut suffocetur, et vix capite eminentem, tendentemque manus amico; hunc vero desilientem statim, et natantem una, ac metuentem ne ante se Damon pereat : sic enim discas minime ignavum me tibi hunc etiam amicum narrasse, Euthydicum.

21. TOX. Utrum vero interierunt, Mnesippe, illi viri, an aliqua illis ex insperato salus contigit? nam haud mediocriter equidem illis metuo.

MNES. Bono esto animo, Toxari : servati sunt, et nunc adhuc sunt Athenis, ambo philosophiæ dantes operam. Simylus enim hæc sola habuit dicere, quæ quondam illa nocte viderat, excidere alterum, alterum saltu istum sequi, natare ambos, quantum videre noctu poterat : reliqua ipse

τὸ μὲν γὰρ πρῶτον φελλοῖς τισι περιπεσόντας ἀνέχειν ἐπὶ τούτων ἑαυτοὺς καὶ ἀπονήχεσθαι πονήρως, ὕστερον δὲ τὴν ἀποβάθραν ἰδόντας ἤδη πρὸς ἕω προσνήξασθαί τε αὐτῇ καὶ τὸ λοιπὸν ἐπιβάντας εὐμαρῶς προσενεχθῆναι τῇ Ζακύνθῳ.

22. Μετὰ δὲ τούτους οὐ φαύλους ὄντας, ὡς ἔγωγ' ἂν εἴποιμι, ἄκουσον ἤδη τρίτον ἄλλον οὐδέν τι χείρονα αὐτῶν. Εὐδαμίδας Κορίνθιος Ἀρεταίῳ τῷ Κορινθίῳ καὶ Χαριξένῳ τῷ Σικυωνίῳ φίλοις ἐκέχρητο εὐπόροις οὖσι πενέστατος αὐτὸς ὤν· ἐπεὶ δὲ ἀπέθνησκε, διαθήκας ἀπέλιπε τοῖς μὲν ἄλλοις ἴσως γελοίας, σοὶ δὲ οὐκ οἶδα εἰ τοιαῦται δόξουσιν ἀνδρὶ ἀγαθῷ καὶ φιλίαν τιμῶντι καὶ περὶ τῶν ἐν αὐτῇ πρωτείων ἀμιλλωμένῳ· ἐγέγραπτο γὰρ ἐν αὐταῖς, Ἀπολείπω Ἀρεταίῳ μὲν τὴν μητέρα μου τρέφειν καὶ γηροκομεῖν, Χαριξένῳ δὲ τὴν θυγατέρα μου ἐκδοῦναι μετὰ προικὸς, ὁπόσην ἂν πλείστην ἐπιδοῦναι παρ' αὐτοῦ δύνηται — ἦν δὲ αὐτῷ καὶ μήτηρ πρεσβῦτις καὶ θυγάτριον ὡραῖον ἤδη γάμου — ἦν δέ τι ἄτερος αὐτῶν ἐν τοσούτῳ πάθῃ, καὶ τὴν ἐκείνου μερίδα, φησὶν, ἐχέτω ὁ ἕτερος. Τούτων ἀναγνωσθεισῶν τῶν διαθηκῶν οἱ τὴν πενίαν μὲν εἰδότες τοῦ Εὐδαμίδα, τὴν φιλίαν δὲ, ἣ πρὸς τοὺς ἄνδρας ἦν αὐτῷ, ἀγνοοῦντες ἐν παιδιᾷ τὸ πρᾶγμα ἐποιοῦντο καὶ οὐδεὶς οὐ γελῶν ἀπηλλάττετο, οἷον Ἀρεταῖος καὶ Χαρίξενος οἱ εὐδαίμονες κλῆρον διαδέξονται, λέγοντες, εἴπερ ἀποτίσουσιν Εὐδαμίδᾳ καὶ ζῶντες αὐτοὶ κληρονομήσονται ὑπὸ τοῦ νεκροῦ.

23. Οἱ κληρονόμοι δὲ, οἷς ταῦτα κατελέλειπτο, ὡς ἤκουσαν, ἦκον εὐθὺς διαιτῶντες τὰ ἐκ τῶν διαθηκῶν. Ὁ μὲν οὖν Χαρίξενος πέντε μόνας ἡμέρας ἐπιβιοὺς ἀπέθανεν, ὁ δὲ Ἀρεταῖος ἄριστος κληρονόμων γενόμενος τήν τε αὐτοῦ καὶ τὴν ἐκείνου μερίδα παραλαβὼν τρέφει τε τοῦ Εὐδαμίδα τὴν μητέρα καὶ τὴν θυγατέρα οὐ πρὸ πολλοῦ ἐκδέδωκεν, ἀπὸ ταλάντων πέντε ὧν εἶχε, δύο μὲν τῇ ἑαυτοῦ θυγατρὶ, δύο δὲ τῇ τοῦ φίλου ἐπιδοὺς, καὶ τὸν γάμον γε αὐταῖν ἐπὶ μιᾶς ἡμέρας ἠξίωσε γενέσθαι. Τί σοι δοκεῖ, ὦ Τόξαρι, ὁ Ἀρεταῖος οὗτος; ἆρα φαῦλον παράδειγμα φιλίας παρεσχῆσθαι τοιαῦτα κληρονομήσας καὶ μὴ προδοὺς τὰς διαθήκας τοῦ φίλου; ἢ τίθεμεν καὶ τοῦτον ἐν ταῖς τελείαις ψήφοις μίαν τῶν πέντε εἶναι;

ΤΟΞ. Καὶ οὗτος μὲν καλός· ἐγὼ δὲ τὸν Εὐδαμίδαν πολὺ μᾶλλον ἐθαύμασα τοῦ θάρσους ὃ εἶχεν ἐπὶ τοῖς φίλοις. Ἐδήλου γὰρ ὡς καὶ αὐτὸς ἂν τὰ ὅμοια ἔπραξεν ἐπ' αὐτοῖς, εἰ καὶ μὴ ἐν διαθήκαις ταῦτα ἐνεγέγραπτο, ἀλλὰ πρὸ τῶν ἄλλων ἦκεν ἂν ἄγραφος κληρονόμος τῶν τοιούτων.

24. ΜΝΗΣ. Εὖ λέγεις. Τέταρτον δέ σοι διηγήσομαι, Ζηνόθεμιν τὸν Χαρμόλεω Μασσαλίηθεν· ἐδείχθη δέ μοι ἐν Ἰταλίᾳ πρεσβεύοντι ὑπὲρ τῆς πατρίδος καλὸς ἀνὴρ καὶ μέγας καὶ πλούσιος, ὡς ἐδόκει· παρεκάθητο δὲ αὐτῷ γυνὴ ἐπὶ ζεύγους ὁδοιποροῦντι τά τε ἄλλα εἰδεχθὴς καὶ ξηρὰ τὸ ἥμισυ τὸ δεξιὸν καὶ τὸν ὀφθαλμὸν ἐκκεκομμένη, παλλώβητόν τι καὶ ἀπρόσιτον μορμολυ-

narrat Euthydicus: primo quidem quum in suberis quædam frusta incidissent, illis se sustinuisse, et ægre natasse; postridie autem jam ponte navis conspecto, versus lucis exortum, ad illum adnatasse, eoque conscenso, quantum supererat spatii, facile ad Zacynthum appulisse.

22. Post hos autem non malos, ut ego dixerim, audi jam tertium alium, nihil illis deteriorem. Eudamidas Corinthius Aretæo Corinthio et Charixeno Sicyonio amicis usus fuerat, copiosis hominibus, pauperrimus ipse. Moriens autem testamentum reliquit, aliis forte ridiculum; tibi vero nescio an tale sit visurum, viro bono et magni amicitiam æstimanti, et de primo illius præmio certanti. Scriptum autem in illo erat, Relinquo Aretæo alendam matrem meam curandamque illius senectutem; Charixeno autem filiam meam collocandam dote, quam maximam dare e re sua familiari poterit (erat illi mater anus, et puella nuptiis jam matura): si vero alterutri illorum aliquid humanitus interea accidat, etiam illius partem, inquit, habeat alter. His apertis tabulis, qui paupertatem scirent Eudamidæ, amicitiam autem, quam cum illis viris habuerat, ignorarent, pro ludo rem habere, et nemo non ridens abire, Quantam, dicentes, Aretæus et Charixenus, beati illi, hereditatem accipient, si quidem solvent Eudamidæ, et viventes ipsi heredem habebunt mortuum!

23. At heredes, quibus relicta ista fuerant, quum audissent, veniunt statim et hereditatem ex tabulis cernunt. Ac Charixenus quidem quinque solis diebus superstes moritur: Aretæus autem, optimus heredum, tum illius, tum sua parte ascita, et matrem alit Eudamidæ, et filiam nuper elocavit, de quinque, quæ habebat, talentis duo quidem filiæ suæ, duo autem amici filiæ in dotem tribuens, nuptiis utriusque in eundem diem collatis. Quid tibi videtur, Toxari, Aretæus hic? parvumne se exemplum amicitiæ præstitisse, tanta hereditate adita, non prodito amici testamento? an ponimus hunc quoque in perfectis calculis, ut de quinque unus sit?

TOX. Etiam hic honestus: at ego Eudamidam multo magis admiratus sum fiduciæ causa, quam de amicis habuit. Ostendit enim se quoque eadem pro illis fuisse facturum, etiamsi non scripta essent ista in tabulis, sed ante alios nec scriptum talium heredem venturum fuisse.

24. MNES. Recte dicis. Sed quartum tibi narrabo Zenothemin Charmolei filium, Massiliensem. Ostensus est autem mihi in Italia, quum legatione pro patria fungerer, vir pulcher et magnus et dives, ut videbatur: assidebat autem illi mulier jumentis junctis iter facienti, tum alias deformis, tum dimidia parte, dextra, arida, et excusso oculo fœda, contumeliosissime habitum a fortuna et cui

κεῖον. Εἶτα ἐπεὶ ἐθαύμασα εἰ καλὸς οὕτω καὶ ὡραῖος ὢν ἀνέχεται παροχουμένην τοιαύτην αὐτῷ γυναῖκα, ὁ δείξας αὐτὸν διηγεῖτό μοι τὴν ἀνάγκην τοῦ γάμου ἀκριβῶς εἰδὼς ἕκαστα· Μασσαλιώτης δὲ καὶ αὐτὸς ἦν. Μενεκράτει γάρ, ἔφη, τῷ πατρὶ τῆς δυσμόρφου ταύτης φίλος ἦν ὁ Ζηνόθεμις πλουτοῦντι καὶ τιμωμένῳ ὁμότιμος ὤν. Χρόνῳ δὲ ὁ Μενεκράτης ἀφῃρέθη τὴν οὐσίαν ἐκ καταδίκης, ὅτεπερ καὶ ἄτιμος ἐγένετο ὑπὸ τῶν ἑξακοσίων ὡς ἀποφηνάμενος γνώμην παράνομον. Οὕτω δὲ οἱ Μασσαλιῶται κολάζομεν, ἔφη, εἴ τις παράνομα γράψειεν. Ἐλυπεῖτο οὖν ὁ Μενεκράτης καὶ ἐπὶ τῇ καταδίκῃ καὶ ἐπεὶ ἐκ πλουσίου πένης καὶ ἐξ ἐνδόξου ἄδοξος ἐν ὀλίγῳ ἐγένετο· μάλιστα δὲ αὐτὸν ἡνία θυγάτηρ αὕτη ἐπίγαμος ἤδη ὀκτωκαιδεκαέτις οὖσα, ἣν οὐδὲ μετὰ πάσης τῆς οὐσίας τοῦ πατρὸς, ἣν πρὸ τῆς καταδίκης ἐκέκτητο, ἠξίωσεν ἄν τις τῶν γε ἀγενῶν καὶ πενήτων ῥᾳδίως παραλαβεῖν οὕτω κακοδαίμονα οὖσαν τὴν ὄψιν. Ἐλέγετο δὲ καὶ καταπίπτειν πρὸς τὴν σελήνην αὐξανομένην.

25. Ὡς δὲ ταῦτα πρὸς τὸν Ζηνόθεμιν ἀπωδύρετο, Θάρρει, ἔφη, ὦ Μενέκρατες, οὔτε γὰρ ἀπορήσεις τῶν ἀναγκαίων καὶ ἡ θυγάτηρ σου ἄξιον τοῦ γένους εὑρήσει νυμφίον τινά· καὶ ταῦτα ἅμα διεξιὼν λαβόμενος αὐτὸν τῆς δεξιᾶς ἦγεν εἰς τὴν οἰκίαν καὶ τήν τε οὐσίαν πολλὴν οὖσαν ἐνείματο πρὸς αὐτὸν καὶ δεῖπνον παρασκευασθῆναι κελεύσας εἱστία τοὺς φίλους καὶ τὸν Μενεκράτην, ὡς δή τινα τῶν ἑταίρων πεπεικὼς ὑποστῆναι τῆς κόρης τὸν γάμον. Ἐπεὶ δὲ ἐδεδείπνητο αὐτοῖς καὶ ἔσπεισαν τοῖς θεοῖς, ἐνταῦθα δὴ μεστὴν αὐτῷ τὴν φιάλην προτείνας, Δέδεξο, εἶπεν, ὦ Μενέκρατες, παρὰ τοῦ γαμβροῦ τὴν φιλοτησίαν· ἄξομαι γὰρ ἐγὼ τήμερον τὴν σὴν θυγατέρα Κυδιμάχην· τὴν προῖκα δὲ πάλαι εἴληφα, τάλαντα πέντε καὶ εἴκοσι. Τοῦ δὲ, Ἄπαγε, λέγοντος, μὴ σύ γε, ὦ Ζηνόθεμι, μὴ οὕτω μανείην, ὡς περιιδεῖν σε νέον καὶ καλὸν ὄντα κόρῃ αἰσχρᾷ καὶ λελωβημένῃ συγκαταζευγνύμενον· ὁ δὲ, ταῦτα διεξιόντος, ἁράμενος τὴν νύμφην ἀπῄει ἐς τὸν θάλαμον καὶ μετ' ὀλίγον προῆλθε διακορήσας αὐτήν· καὶ τὸ ἀπ' ἐκείνου σύνεστιν ὑπεραγαπῶν καὶ πάντη ὡς ὁρᾷς περιαγόμενος αὐτήν.

26. Καὶ οὐχ ὅπως αἰσχύνεται τῷ γάμῳ, ἀλλὰ καὶ σεμνυνομένῳ ἔοικεν, ἐπιδεικνύμενος ὡς καταφρονεῖ μὲν τῶν ἐν τῷ σώματι καλῶν ἢ αἰσχρῶν καὶ πλούτου καὶ δόξης, ἀφορᾷ δὲ ἐς τὸν φίλον καὶ τὸν Μενεκράτην· οὐδὲ οἴεται χείρω πρὸς φιλίαν ὑπὸ τῆς ψήφου τῶν ἑξακοσίων γεγονέναι. Πλὴν ἤδη γε τούτων οὕτως αὐτὸν ἠμείψατο καὶ ἡ τύχη· παιδίον γὰρ πάγκαλον ἐκ τῆς αἰσχίστης αὐτῷ ταύτης ἐγένετο. Καὶ πρώην γε ἐπεὶ ἀράμενος αὐτὸ εἰσεκόμισεν ὁ πατὴρ εἰς τὸ βουλευτήριον θαλλῷ ἐστεμμένον καὶ μέλανα ἀμπεχόμενον, ὡς ἐλεεινότερον φανείη ὑπὲρ τοῦ πάππου, τὸ μὲν βρέφος ἀνεγέλασε πρὸς τοὺς βουλευτὰς καὶ συνεχρότει τῷ χεῖρε, ἡ βουλὴ δὲ ἐπικλασθεῖσα πρὸς αὐτὸ ἀφίησι τῷ Μενεκράτει τὴν καταδίκην, καὶ ἤδη ἐπίτιμός ἐστι τηλικούτῳ συνηappropinquare nolles terriculamentum. Deinde quum admirarer quod pulcher iste et formosus sustineret vehi secum talem mulierem, ille qui virum mihi ostenderat (nam accurate noverat omnia, Massiliensis et ipse), necessitatem illarum nuptiarum mihi enarravit. Menecrati nimirum, ait, patri deformis istius mulieris, amicus erat Zenothemis, diviti et honorato, ejusdem ipse quoque fastigii. Procedente vero tempore Menecrates judicio facultatibus suis privatus est, quo tempore etiam honos illi a sexcentis senatoribus ademtus, ut qui sententiam contra leges tulisset; ita autem, inquit, Massilienses punimus, si quis contra leges aliquid promulget. Tristis ergo Menecrates tum propter damnationem, tum quod ex divite pauper, et ex nobili ignobilis parvo adeo intervallo factus esset; maxime vero cruciabatur ob filiam hanc, nubilem jam et duodeviginti annorum, quam ne cum omni quidem patris substantia, quam ante damnationem habuerat, voluisset aliquis vel ignobilium et pauperum facile, cum infelici illa forma, ducere. Dicebatur autem etiam concidere ad lunæ incrementa.

25. Hæc quum deploraret apud Zenothemin, ille, Bono, inquit, animo esto, Menecrates; neque enim necessaria tibi deerunt et filia tua dignum suo genere sponsum inveniet: ac cum his dictis dextra illius prehensa domum secum suam illum deducit; suasque opes, quæ magnæ erant, cum illo dividit, et cœna parari jussa amicos excipit convivio, ipsumque Menecratem, velut amicorum alicui persuasisset puellæ adire nuptias. Quum vero cœnati essent, et diis libassent; hic plenam illi phialam propinans, Accipe, inquit, Menecrates, a genero poculum amicitiæ! ducam enim ego hodie tuam filiam Cydimachen; dotem accepi olim, talenta quinque et viginti. Illo vero dicente, Apage, noli hoc facere, Zenothemi! ne ita ego insaniam, ut videre te possim, juvenem et pulchrum, puellæ turpi et male affectæ junctum. At ille, hæc dicente patre, ablata sponsa in thalamum abit, et inde prodit paullo post virginitate illius interfecta: et ab illo inde tempore cum illa vivit vehementer illam amans, et ubique, uti vides, illam secum circumducens.

26. Et tantum abest ut hujus eum matrimonii poeniteat, ut glorianti eo videatur similis, ostendens contemni a se vel pulchra vel turpia corporis, et divitias, et splendorem; respici vero amicum et Menecratem, quem non putet deteriorem ad amicitiam suffragiis sexcentorum factum. Verumtamen pro his hoc jam ipsi præmium fortuna retulit: puer enim illi pulcherrimus ex turpissima hac natus est. Et nuper, quum suis illum manibus intulisset in senatum pater, ramo olivæ redimitum et pulla veste indutum, ut miserabilior videretur pro avo deprecans, arrisit senatoribus puer, et plausum manibus dedit: fractus autem eo spectaculo senatus, damnationem remisit Menecrati; et jam honoribus restitutus est, advocato tali apud sena-

γόρῳ χρησάμενος πρὸς τὸ συνέδριον. Τοιαῦτα ὁ Μασσαλιώτης ἔλεγε τὸν Ζηνόθεμιν εἰργάσθαι ὑπὲρ τοῦ φίλου, ὡς ὁρᾷς, οὐ μικρὰ οὐδὲ ὑπὸ πολλῶν ἂν Σκυθῶν γενόμενα, οἵ γε κἂν τὰς παλλακὰς ἀκριβῶς τὰς καλλίστας ἐκλέγεσθαι λέγονται.

27. Λοιπὸς ἡμῖν ὁ πέμπτος· καί μοι δοκῶ οὐκ ἄλλον ἐρεῖν Δημητρίου τοῦ Σουνιέως ἐπιλαθόμενος· συνεκπλεύσας γὰρ ἐς τὴν Αἴγυπτον ὁ Δημήτριος Ἀντιφίλῳ τῷ Ἀλωπεκῆθεν ἑταίρῳ ἐκ παίδων ὄντι καὶ συνεφήβῳ συνῆν καὶ συνεπαιδεύετο αὐτὸς μὲν τὴν ἄσκησιν τὴν Κυνικὴν ἀσκούμενος ὑπὸ τῷ Ῥοδίῳ ἐκείνῳ σοφιστῇ, ὁ δὲ Ἀντίφιλος ἰατρικὴν ἄρα ἐμελέτα. Καὶ δή ποτε ὁ μὲν Δημήτριος ἔτυχεν ἐς τὴν Αἴγυπτον ἀποδημῶν κατὰ θέαν τῶν πυραμίδων καὶ τοῦ Μέμνονος· ἤκουε γὰρ ταύτας ὑψηλὰς οὔσας μὴ παρέχεσθαι σκιὰν, τὸν δὲ Μέμνονα βοᾶν πρὸς ἀνατέλλοντα τὸν ἥλιον· τούτων ἐπιθυμήσας Δημήτριος, θέας μὲν τῶν πυραμίδων, ἀκροάσεως δὲ τοῦ Μέμνονος, ἀνεπεπλεύκει κατὰ τὸν Νεῖλον ἕκτον ἤδη μῆνα ὀκνήσαντα πρὸς τὴν ὁδὸν καὶ τὸ θάλπος ἀπολιπὼν τὸν Ἀντίφιλον.

28. Ὁ δὲ ἐν τοσούτῳ συμφορᾷ ἐχρήσατο μάλα γενναίου τινὸς φίλου δεομένῃ· οἰκέτης γὰρ αὐτοῦ Σύρος καὶ τοὔνομα καὶ τὴν πατρίδα, ἱεροσύλοις τισὶ κοινωνήσας συνεισῆλθέ τε αὐτοῖς ἐς τὸ Ἀνουβίδειον καὶ ἀποσυλήσαντες τὸν θεὸν χρυσᾶς τε φιάλας δύο καὶ κηρύκιον, χρυσοῦν καὶ τοῦτο, καὶ κυνοκεφάλους ἀργυροῦς καὶ ἄλλα τοιαῦτα κατέθεντο πάντα παρὰ τῷ Σύρῳ· εἶτ' ἐμπεσόντες — ἐάλωσαν γάρ τι ἀπεμπολῶντες — ἅπαντα εὐθὺς ἔλεγον στρεβλούμενοι ἐπὶ τοῦ τροχοῦ καὶ ἀγόμενοι ἦκον ἐπὶ τὴν οἰκίαν τοῦ Ἀντιφίλου καὶ τὰ φώρια ἐξέφερον ὑπὸ κλίνῃ τινὶ ἐν σκοτεινῷ κείμενα. Ὅ τε οὖν Σύρος ἐδέδετο εὐθὺς καὶ ὁ δεσπότης αὐτοῦ Ἀντίφιλος, οὗτος μὲν καὶ μεταξὺ ἀκροώμενος τοῦ διδασκάλου ἀνασπασθείς· ἐβοήθει δὲ οὐδείς, ἀλλὰ καὶ οἱ τέως ἑταῖροι ἀπεστρέφοντο ὡς τὸ Ἀνουβίδειον σεσυληκότα καὶ ἀσέβημα αὐτῶν ἡγοῦντο εἶναι, εἰ συνέπιόν ποτε ἢ συνειστιάθησαν αὐτῷ. Καὶ οἱ λοιποὶ δὲ τῶν οἰκετῶν, δύο ὄντες, ἅπαντα ἐκ τῆς οἰκίας συσκευασάμενοι ᾤχοντο φεύγοντες.

29. Ἐδέδετο οὖν ὁ ἄθλιος Ἀντίφιλος πολὺν ἤδη χρόνον ἁπάντων ὅσοι ἦσαν κακοῦργοι ἐν τῷ δεσμωτηρίῳ, μιαρώτατος εἶναι δοκῶν· καὶ ὁ ἐπὶ τῶν δεσμῶν Αἰγύπτιος, δεισιδαίμων ἄνθρωπος, ᾤετο χαριεῖσθαι καὶ τιμωρήσειν τῷ θεῷ βαρὺς τῷ Ἀντιφίλῳ ἐφεστώς. Εἰ δ' ἀπολογοῖτό ποτε λέγων ὡς οὐδὲν τοιοῦτον εἴργασται, ἀναίσχυντος ἐδόκει καὶ πολὺ πλέον ἐπὶ τούτῳ ἐμισεῖτο. Ὑπενόσει τοιγαροῦν ἤδη καὶ πονήρως εἶχεν οἷον εἰκὸς χαμαὶ καθεύδοντα καὶ τῆς νυκτὸς οὐδὲ ἀποτείνειν τὰ σκέλη δυνάμενον ἐν τῷ ξύλῳ κατακεκλεισμένα· τῆς μὲν γὰρ ἡμέρας ὁ κλοιὸς ἤρκει καὶ ἡ ἑτέρα χεὶρ πεπεδημένη, εἰς δὲ τὴν νύκτα ἔδει ὅλον καταδεδέσθαι. Καὶ μὴν καὶ τοῦ οἰκήματος ἡ δυσοσμία καὶ τὸ πνῖγος ἐν ταὐτῷ πολλῶν δεδεμένων καὶ στενοχωρουμένων καὶ μόλις ἀναπνεόντων καὶ τοῦ σιδήρου ὁ ψόtum usus. Talia Massiliensis dixit acta a Zenothemi in amici gratiam, non parva, ut vides, neque a Scythis multis exspectanda, qui quidem pellices adeo pulcherrimas cum cura dicantur eligere.

27. Superest nobis quintus : et videor mihi non alium dicturus Suniensi Demetrio prætermisso. Quum navigasset enim in Ægyptum Demetrius cum Antiphilo Alopeciensi, suo a pueris inde sodali et æquali, una vivebat atque instituebatur, Cynicas ipse sectatus exercitationes, sub sophista illo Rhodio; Antiphilus autem medicinam meditabatur. Aliquando Demetrius peregrinatur per Ægyptum pyramidas visurus et Memnonem : audiebat enim illas, quantumvis altas, umbram non præbere; Memnonem autem ad orientem solem exclamare. Horum ergo cupidus, nempe videndarum pyramidum ac Memnonis audiendi, adverso Nilo sextum jam mensem navigaverat, relicto Antiphilo, quem via et æstus deterruerant.

28. Atque hic interim in calamitatem incidit, quæ maxime gĕneroso amico indigeret. Servus enim illius Syrus nomine et patria, societate cum sacrilegis quibusdam inita, ingressus cum illis est templum Anubidis. Hi spoliato deo, phialas ex auro duas, et caduceum, aureum ipsum quoque, et canino capite simios argenteos, aliaque id genus, deposuerunt apud Syrum omnia. Deinde incidentes in vincula (deprehensi enim fuerant vendentes aliquid) omnia statim rota quum torquerentur, fassi sunt, ductique in hospitium Antiphili venerunt, protuleruntque res furtivas sub lectulo quodam in obscuro jacentes. Syrus ergo vinctus statim est, et herus illius Antiphilus; hic quidem, dum magistrum audit, abstractus, auxiliante nemine, sodalibus qui adhuc fuerant eum, velut qui Anubidis ædem sacrilegio violasset, aversantibus, impiatosque se putantibus, si quando cum ipso compotationem aut cœnam obiissent. Ceteri autem servi duo, convasatis quæ in domo erant omnibus, aufugere.

29. Vinctus igitur miser Antiphilus jam satis diu, et pro impurissimo omnium, quotquot malefici in carcere erant, habitus fuerat : et carceris custos Ægyptius, superstitiosus homo, putabat gratum facere se deo et illius ulcisci injurias, si gravis instaret Antiphilo. Si vero quando causam diceret, se nihil tale fecisse, impudens videbatur, majoriqúe eam ipsam ob causam erat in odio. Jam igitur ægrotabat aliquantum, et male habebat, ut probabile erat qui jaceret humi, et ne noctu quidem extendendorum pedum facultatem haberet, inclusorum nempe nervo : interdiu enim numella sufficiebat, et manus altera compedita ; noctu autem vinciri totum oportebat. Verum etiam fœdus odor carceris, et æstus, multis in eodem loco vinctis et anguste confertis, vixque respirantibus, et ferri stridor, et parum

φος καὶ ὕπνος ὀλίγος ταῦτα πάντα χαλεπὰ ἦν καὶ ἀφόρητα οἷς ἀνδρὶ ἐκείνων ἀήθει καὶ ἀμελετήτῳ πρὸς οὕτω σκληρὰν τὴν δίαιταν.

30. Ἀπαγορεύοντος δὲ αὐτοῦ καὶ μηδὲ σῖτον αἱρεῖσθαι θέλοντος ἀφικνεῖταί ποτε καὶ ὁ Δημήτριος οὐδὲν εἰδὼς τῶν ἤδη γεγενημένων. Καὶ ἐπειδὴ ἔμαθεν, ὡς εἶχεν εὐθὺς ἐπὶ τὸ δεσμωτήριον δρομαῖος ἐλθὼν τότε μὲν οὐκ εἰσεδέχθη, ἑσπέρα γὰρ ἦν, καὶ ὁ δεσμοφύλαξ πάλαι κεκλεικὼς τὴν θύραν ἐκάθευδε φρουρεῖν τοῖς οἰκέταις παρακελευσάμενος· ἔωθεν δὲ εἰσέρχεται πολλὰ ἱκετεύσας καὶ παρελθὼν ἐπὶ πολὺ μὲν ἐζήτει τὸν Ἀντίφιλον ἄδηλον ὑπὸ τῶν κακῶν γεγενημένον καὶ περιὼν ἀνεσκοπεῖτο καθ' ἕκαστον τῶν δεδεμένων, ὥσπερ εἰώθασιν οἱ τοὺς οἰκείους νεκροὺς, ἤδη ἐώλων ὄντων, ἀναζητοῦντες ἐν ταῖς παραταξεσι. Καὶ εἴ γε μὴ τοὔνομα ἐβόησεν, Ἀντίφιλον Δεινομένους, κἂν ἐπὶ πολὺ ἠγνόησεν ἂν ὅστις ἦν, τοσοῦτον ἤλλακτο ὑπὸ τῶν δεινῶν. Ὡς δὲ τὴν φωνὴν αἰσθόμενος ἀνεβόησε καὶ προσιόντος διαστείλας τὴν κόμην καὶ ἀπαγαγὼν τοῦ προσώπου αὐχμηρὰν καὶ συμπεπιλημένην ἔδειξεν αὐτὸν ὅστις ἦν, ἀμφω μὲν αὐτίκα πίπτουσιν ἰλιγγιάσαντες ἐπὶ τῇ ἀπροσδοκήτῳ θέᾳ. Χρόνῳ δὲ ἀναλαβὼν αὑτόν τε καὶ τὸν Ἀντίφιλον ὁ Δημήτριος καὶ σαφῶς ἕκαστα ὡς εἶχεν ἐκπυθόμενος παρ' αὐτοῦ θαρρεῖν τε παρακελεύεται καὶ διελὼν τὸ τριβώνιον τὸ μὲν ἥμισυ αὐτὸς ἀναβάλλεται, τὸ λοιπὸν δὲ ἐκείνῳ δίδωσιν ἃ εἶχε πιναρὰ καὶ ἐκτετρυχωμένα ῥάκη περισπάσας.

31. Καὶ τὸ ἀπὸ τούτου πάντα τρόπον συνῆν ἐπιμελούμενος αὐτοῦ καὶ θεραπεύων· παραδοὺς γὰρ ἑαυτὸν τοῖς ἐν τῷ λιμένι ἐμπόροις ἕωθεν εἰς μέσην ἡμέραν οὐκ ὀλίγον ἀπέφερεν ἀχθοφορῶν. Εἶτ' ἐπανελθὼν ἂν ἐκ τοῦ ἔργου, μέρος μὲν τοῦ μισθοῦ τῷ δεσμοφύλακι καταβαλὼν τιθασὸν αὑτῷ καὶ εἰρηνικὸν ἀπειργάζετο αὐτὸν, τὸ λοιπὸν δὲ εἰς τὴν τοῦ φίλου θεραπείαν ἱκανῶς αὐτῷ διήρκει. Καὶ τὰς μὲν ἡμέρας παρῆν τῷ Ἀντιφίλῳ παραμυθούμενος, ἐπεὶ δὲ νὺξ καταλάβοι, ὀλίγον πρὸ τῆς θύρας τοῦ δεσμωτηρίου στιβάδιόν τι ποιησάμενος καὶ φύλλα ὑποβαλλόμενος ἀνεπαύετο. Χρόνον μὲν οὖν τινα οὕτω διῆγον, εἰσιὼν μὲν ὁ Δημήτριος ἀκωλύτως, ῥᾷον δὲ φέρων τὴν συμφορὰν ὁ Ἀντίφιλος.

32. Ὑστερον δὲ ἀποθανόντος ἐν τῷ δεσμωτηρίῳ λῃστοῦ τινος ὑπὸ φαρμάκων, ὡς ἐδόκει, φυλακή τε ἀκριβὴς ἐγένετο καὶ οὐκέτι παρῆει εἰς τὸ οἴκημα οὐδὲ εἷς τῶν δεομένων. Ἐφ' οἷς ἀπορῶν καὶ ἀνιώμενος, οὐκ ἔχων ἄλλως παρεῖναι τῷ ἑταίρῳ, προσαγγέλλει ἑαυτὸν ἐλθὼν πρὸς τὸν ἅρμοστὴν, ὡς εἴη κεκοινωνηκὼς τῆς ἐπὶ τὸν Ἄνουβιν ἐπιβουλῆς. Ὡς δὲ τοῦτο εἶπεν, ἀπήγετο εὐθὺς εἰς τὸ δεσμωτήριον, καὶ ἀχθεὶς παρὰ τὸν Ἀντίφιλον — τοῦτο γοῦν μόλις πολλὰ ἱκετεύσας τὸν δεσμοφύλακα ἐξειργάσατο παρ' αὐτοῦ πλησίον τῷ Ἀντιφίλῳ καὶ ὑπὸ τῷ αὐτῷ κλοιῷ δεδέσθαι — ἔνθα δὴ καὶ μάλιστα ἔδειξε τὴν εὔνοιαν ἣν εἶχε πρὸς αὐτὸν, ἀμελῶν μὲν τῶν καθ' ἑαυτὸν δεινῶν· καίτοι ἐνόσησε καὶ

somni; hæc omnia difficilia erant atque intolerabilia, utpote insueto talium viro et ad durum adeo victum non exercitato.

30. Jam despondebat animum, jam nec cibum capere volebat, quum tandem redit etiam Demetrius, nihil eorum sciens quæ accidissent. Ubi vero rescivit, ut erat curriculo statim veniens ad carcerem, tum quidem non est admissus: erat enim vespera, et carceris custos clausa diu janua quiescebat, custodia servis tradita. Mane autem, quum multum supplicasset, intro mittitur: atque ingressus diu requirit Antiphilum, qui jam præ malis nosci vix poterat, et circumiens singulos vinctorum inspicit, ut solent qui suos mortuos, jam corruptos, requirunt in præliis. Et nisi nomen exclamasset, Antiphilum Dinomenis filium, diutius etiam, quis esset, ignoraturus erat; adeo malis illis fuerat immutatus. Quum vero voce agnita exclamaret, et illi accedenti, dimota atque abducta a vultu coma squalida condensataque, se quis esset ostenderet; ambo statim, vertigine ab inexspectato spectaculo correpti, concidunt. Spatio autem temporis recipiens se pariter atque Antiphilum recreans Demetrius, distincte singula uti se haberent ab eo quum sciscitando comperisset, bono illum animo esse jubet, et diviso palliolo dimidia ipse parte amicitur, alteram dat illi, detractis sordidis detritisque, quos habuerat, pannis.

31. Atque ab eo inde tempore, quocumque modo poterat, cum illo erat, curam illi et ministerium suum accommodans. Locata enim mercatoribus in portu opera sua, a mane inde ad meridiem, non parvam pro gestandis oneribus mercedem referebat. Tum ut rediit ab opere, parte mercedis custodi soluta, mansuetum sibi illum ac placatum reddebat, reliquum autem ad amicum curandum sufficiebat. Atque interdiu erat cum Antiphilo solandi ejus causa; nocte autem ingruente non procul a janua carceris in lectulo, quem substratis sibi foliis fecerat, quiescebat. Aliquanto igitur tempore hunc in modum vixere, intrans nullo prohibente Demetrius, Antiphilus autem lenius ita ferens calamitatem.

32. Postea quum latro aliquis in carcere mortuus esset a veneno, ut putabatur, et custodia accurate fieri, nec admitti quisquam eorum qui cuperent in carcerem. Qua de re inops consilii et ægre ferens, quum alia conditione adesse non posset amico, Præfectum adiens ipse se defert, ac si socius fuisset insidiarum contra Anubin. His autem dictis abducitur statim in carcerem, et ductus ad Antiphilum, hoc enim ægre multum supplicans a carceris custode impetraverat, ut prope Antiphilum et numellis iisdem includeretur, hic ergo vel maxime benevolentiam declaravit, qua illum complecteretur: qui sua mala negligeret, quamvis ipse

αὐτός· ἐπιμελούμενος δὲ ὅπως ἐκεῖνος μάλιστα καθευδήσει καὶ ἧττον ἀνιάσεται· ὥστε ῥᾷον ἔφερον μετ' ἀλλήλων κακοπαθοῦντες.

33. Χρόνῳ δὲ καὶ τοιόνδε τι προσπεσὸν ἔπαυσεν ἐπὶ πλέον αὐτοὺς δυστυχοῦντας· εἷς γὰρ τῶν δεδεμένων οὐκ οἶδ' ὅθεν ῥίνης εὐπορήσας καὶ συνωμότας πολλοὺς τῶν δεσμωτῶν προσλαβὼν ἀποπρίει τε τὴν ἅλυσιν, ᾗ ἐδέδεντο ἑξῆς, τῶν κλοιῶν εἰς αὐτὴν διειρομένων, καὶ ἀπολύει ἅπαντας· οἱ δὲ ἀποκτείναντες εὐμαρῶς ὀλίγους ὄντας τοὺς φύλακας ἐκπηδῶσιν ἀθρόοι. Ἐκεῖνοι μὲν οὖν τὸ παραυτίκα ἔνθα ἐδύναντο ἕκαστος διασπαρέντες ὕστερον συνελήφθησαν οἱ πολλοί· ὁ Δημήτριος δὲ καὶ ὁ Ἀντίφιλος κατὰ χώραν ἔμειναν, καὶ τοῦ Σύρου λαβόμενοι ἤδη ἀπιόντος. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, μαθὼν ὁ τὴν Αἴγυπτον ἐπιτετραμμένος τὸ συμβεβηκὸς ἐπ' ἐκείνους μὲν ἔπεμψε τοὺς διωξομένους, μεταστειλάμενος δὲ τοὺς ἀμφὶ τὸν Δημήτριον ἀπέλυσε τῶν δεσμῶν ἐπαινέσας ὅτι μόνοι οὐκ ἀπέδρασαν· ἀλλ' οὐκ ἐκεῖνοί γε ἠγάπησαν οὕτως ἀφιέμενοι, ἐβόα δὲ ὁ Δημήτριος καὶ δεινὰ ἐποίει, ἀδικεῖσθαι σφᾶς οὐ σμικρὰ, εἰ δόξουσι κακοῦργοι ὄντες ἐλέῳ ἢ ἐπαίνῳ τοῦ μὴ ἀποδρᾶναι ἀφεῖσθαι· καὶ τέλος ἠνάγκασαν τὸν δικαστὴν ἀκριβῶς τὸ πρᾶγμα ἐξετάσαι. Ὁ δὲ ἐπεὶ ἔμαθεν οὐδὲν ἀδικοῦντας, ἐπαινέσας αὐτοὺς, τὸν Δημήτριον δὲ καὶ πάνυ θαυμάσας ἀφῆσι παραμυθησάμενος ἐπὶ τῇ κολάσει ἣν ἠνέσχοντο ἀδίκως δεθέντες, καὶ ἑκάτερον δωρησάμενος παρ' αὐτοῦ δραχμαῖς μὲν μυρίαις τὸν Ἀντίφιλον, δὶς τοσαύταις δὲ τὸν Δημήτριον.

34. Ὁ μὲν οὖν Ἀντίφιλος ἔτι καὶ νῦν ἐν Αἰγύπτῳ ἐστὶν, ὁ δὲ Δημήτριος καὶ τὰς αὐτοῦ δισμυρίας ἐκείνῳ καταλιπὼν ᾤχετο ἀπιὼν εἰς τὴν Ἰνδικὴν παρὰ τοὺς Βραχμᾶνας, τοσοῦτον εἰπὼν πρὸς τὸν Ἀντίφιλον, ὡς συγγνωστὸς ἂν εἰκότως νομίζοιτο ἤδη ἀπολιπὼν αὐτόν· οὔτε γὰρ αὐτὸς δεῖσθαι τῶν χρημάτων, ἔστ' ἂν αὐτὸς ᾖ, ὅπερ ἐστὶν, ἀρκεῖσθαι ὀλίγοις δυνάμενος, οὔτε ἐκείνῳ ἔτι δεῖν φίλου εὐμαρῶν τῶν πραγμάτων αὐτῷ γεγενημένων. Τοιοῦτοι, ὦ Τόξαρι, οἱ Ἕλληνες φίλοι. Εἰ δὲ μὴ προδιεβεβλήκεις ἡμᾶς ὡς ἐπὶ ῥήμασι μέγα φρονοῦντας, καὶ αὐτοὺς ἄν σοι τοὺς λόγους διεξῆλθον πολλοὺς καὶ ἀγαθοὺς ὄντας, οὓς ὁ Δημήτριος εἶπεν ἐν τῷ δικαστηρίῳ, ὑπὲρ αὐτοῦ μὲν οὐδὲν ἀπολογούμενος, ὑπὲρ τοῦ Ἀντιφίλου δὲ, καὶ δακρύων προσέτι καὶ ἱκετεύων καὶ τὸ πᾶν ἐφ' ἑαυτὸν ἀναδεχόμενος, ἄχρι μαστιγούμενος ὁ Σύρος ἀμφοτέρους ἀφῆσιν αὐτούς.

35. Ἐγὼ μὲν οὖν τούτους ὀλίγους ἀπὸ πλειόνων, οὓς πρώτους ἡ μνήμη ὑπέβαλε, διηγησάμην σοι ἀγαθοὺς καὶ βεβαίους φίλους. Καὶ τὸ λοιπὸν ἤδη καταβὰς ἀπὸ τοῦ λόγου σοὶ τὴν ῥήτραν παραδίδωμι· σὺ δὲ ὅπως μὴ χείρους ἐρεῖς τοὺς Σκύθας, ἀλλὰ πολλῷ τούτων ἀμείνους, αὐτῷ σοὶ μελήσει, εἴ τι καὶ τῆς δεξιᾶς περφρόντικας, ὡς μὴ ἀποτμηθείης αὐτήν. Ἀλλὰ χρὴ ἄνδρα ἀγαθὸν εἶναι· ἐπεὶ καὶ γελοῖα ἂν πάθοις Ὀρέστην μὲν καὶ Πυλάδην πάνυ σοφιστικῶς ἐπαινέσας, ὑπὲρ δὲ τῆς Σκυθίας φαῦλος ῥήτωρ φαινόμενος.

quoque ægrotans, curaretque ut ille potissimum et quiesceret et minus affligeretur. Itaque lenius ferebant mala jam communia.

33. Aliquamdiu post vero ejusmodi quiddam incidens, ulteriori illorum infelicitati finem imposuit. Vinctorum enim unus limæ copiam nescio unde nactus, assumtis in conjurationem compeditorum pluribus, dissecat catenam qua deinceps vincti erant, insertis in illam numellis, et solvit omnes. At illi interfectis facile paucis custodibus, cuncti erumpunt. Atque isti in præsens dispersi quo quisque poterat, plerique postea comprehensi sunt. Demetrius vero atque Antiphilus suo loco manserant, et Syrum quoque prehenderant jam abeuntem. Luce orta, quum audisset Præfectus Ægypti quid factum esset, ad illos quidem persequendos mittit; arcessitum autem cum amico Demetrium vinculis liberavit, collaudatos quod soli non aufugissent. Verum illi non satis habebant se ita dimitti; sed proclamat Demetrius, et acerbe conqueritur, injuriam sibi fieri non parvam, si videantur, tanquam malefici, vel misericordia dimissi, vel ut præmium fugæ non tentatæ haberent: et coegerunt denique judicem, ut accurate causam exquireret. Ille vero, cognito nihil mali ab iis admissum, collaudans eos, Demetrium etiam vehementer admiratus, dimittit, consolans de pœna quam injuste vincti subierant, et muneribus e sua re familiari afficiens utrumque, Antiphilum decies mille drachmis, altero tanto autem Demetrium.

34. Atque Antiphilus nunc adhuc in Ægypto est: Demetrius vero, etiam suis vicies mille illi relictis, in Indiam profectus est ad Brachmanas, sic allocutus Antiphilum, sibi veniam merito dandam videri, qui jam illum relinqueret: neque enim se indigere opibus, quoad idem esset, hoc est talis qui paucis contentus posset vivere; neque illi opus esse amico, cujus jam res in facili essent. Tales, Toxari, sunt amici Græci. Nisi vero jam ante nos accusasses, ut qui verbis gloriari soleamus; ipsos quoque sermones tibi referrem, multos illos et bonos, quos Demetrius habuit in judicio, pro se ille quidem causæ nihil dicens, verum pro Antiphilo, lacrimans insuper et supplicans, et in se recipiens omnia, donec flagellis tortus Syrus ambos absolvit.

35. Ego quidem igitur paucos hosce de multis, quos primos subjecit memoria, tibi enarravi bonos firmosque amicos. Quod superest jam decedens, oratione finita, agendi partes tibi trado. Tu vero ut ne deteriores dicas Scythas, sed multum his meliores, tibi ipsi curæ erit, si quidem dextram curas ne tibi præcidatur. Sed oportet te virum fortem esse: alioquin ridiculus fueris qui, Oreste et Pylade plane sophistarum arte abs te laudatis, pro Scythia tua malus orator videare.

ΤΟΞ. Εὖ γε, ὦ Μνήσιππε, ὅτι καὶ παροτρύνεις με πρὸς τὸν λόγον, ὥσπερ οὐ πάνυ σοι μέλον, εἰ ἀποτμηθείης τὴν γλῶτταν κρατηθεὶς ἐν τοῖς λόγοις. Πλὴν ἄρξομαί γε ἤδη μηδὲν ὥσπερ σὺ καλλιλογησάμενος· οὐ γὰρ Σκυθικὸν τοῦτο, καὶ μάλιστα ἐπειδὰν τὰ ἔργα ὑπερφθέγγηται τοὺς λόγους. Προσδοκήσῃς δὲ μηδὲν τοιοῦτο παρ' ἡμῶν, οἷα σὺ διεξελήλυθας ἐπαινῶν, εἴ τις ἄπροικον ἔγημεν αἰσχρὰν γυναῖκα ἢ εἴ τις ἀργύριον ἐπέδωκε γαμουμένῃ φίλου ἀνδρὸς θυγατρὶ δύο τάλαντα, ἢ καὶ νὴ Δί' εἴ τις παρέσχεν ἑαυτὸν δεδησόμενον ἐπὶ προδήλῳ τῷ μικρὸν ὕστερον λυθήσεσθαι· πάνυ γὰρ εὐτελῆ ταῦτα καὶ μεγαλουργὸν ἐν αὐτοῖς ἢ ἀνδρεῖον ἔνι οὐδέν.

36. Ἐγὼ δέ σοι διηγήσομαι φόνους πολλοὺς καὶ πολέμους καὶ θανάτους ὑπὲρ τῶν φίλων, ἵν' εἰδῇς ὡς παιδιὰ τὰ ὑμέτερά ἐστι παρὰ τὰ Σκυθικὰ ἐξετάζεσθαι. Καίτοι οὐδὲ ἀλόγως αὐτὸ πεπόνθατε, ἀλλὰ εἰκότως τὰ μικρὰ ταῦτα ἐπαινεῖτε· οὐδὲ γὰρ οὐδέ εἰσιν ὑμῖν ἀφορμαὶ ὑπερμεγέθεις πρὸς ἐπίδειξιν φιλίας ἐν εἰρήνῃ βαθείᾳ βιοῦσιν, ὥσπερ οὐδ' ἐν γαλήνῃ μάθοις, εἰ ἀγαθὸς ὁ κυβερνήτης ἐστί· χειμῶνος γὰρ δεήσει σοι πρὸς τὴν διάγνωσιν. Παρ' ἡμῖν δὲ συνεχεῖς οἱ πόλεμοι, καὶ ἢ ἐπελαύνομεν ἄλλοις ἢ ὑποχωροῦμεν ἐπιόντας ἢ συμπεσόντες ὑπὲρ νομῆς ἢ λείας μαχόμεθα, ἔνθα μάλιστα δεῖ φίλων ἀγαθῶν· καὶ διὰ τοῦτο ὡς βεβαιότατα συντιθέμεθα τὰς φιλίας, μόνον τοῦτο ὅπλον ἄμαχον καὶ δυσπολέμητον εἶναι νομίζοντες.

37. Πρότερον δέ σοι εἰπεῖν βούλομαι ὃν τρόπον ποιούμεθα τοὺς φίλους, οὐκ ἐκ τῶν πότων, ὥσπερ ὑμεῖς, οὐδ' εἰ συνέφηβός τις ἢ γείτων ἦν, ἀλλ' ἐπειδάν τινα ἴδωμεν ἀγαθὸν ἄνδρα καὶ μεγάλα ἐργάσασθαι δυνάμενον, ἐπὶ τοῦτον ἅπαντες σπεύδομεν, καὶ ὅπερ ὑμεῖς ἐν τοῖς γάμοις, τοῦτο ἡμεῖς ἐπὶ τῶν φίλων ποιεῖν ἀξιοῦμεν, ἐπὶ πολὺ μνηστευόμενοι καὶ πάντα ὁμοῦ πράττοντες, ὡς μὴ διαμαρτάνοιμεν τῆς φιλίας μηδὲ ἀπόβλητοι δόξωμεν εἶναι. Κἀπειδὰν προκριθείς τις ἤδη φίλος ᾖ, συνθῆκαι τὸ ἀπὸ τούτου καὶ ὅρκος ὁ μέγιστος, ἢ μὴν καὶ βιώσεσθαι μετ' ἀλλήλων καὶ ἀποθανεῖσθαι, ἢν δέῃ, ὑπὲρ τοῦ ἑτέρου τὸν ἕτερον· καὶ οὕτω ποιοῦμεν. Ἀφ' οὗ γὰρ ἂν ἐντεμόντες ἅπαξ τοὺς δακτύλους ἐνσταλάξωμεν τὸ αἷμα εἰς κύλικα καὶ τὰ ξίφη ἄκρα βάψαντες ἅμα ἀμφότεροι ἐπισχόμενοι πίωμεν, οὐκ ἔστιν ὅ τι τὸ μετὰ τοῦτο ἡμᾶς διαλύσειεν ἄν. Ἐφεῖται δὲ τὸ μέγιστον ἄχρι τριῶν ἐς τὰς συνθήκας εἰσιέναι· ὡς ὅστις ἂν πολύφιλος ᾖ, ὅμοιος ἡμῖν δοκεῖ ταῖς κοιναῖς ταύταις καὶ μοιχευομέναις γυναιξί· καὶ οἰόμεθα οὐκέθ' ὁμοίως ἰσχυρὰν αὐτοῦ τὴν φιλίαν εἶναι πρὸς πολλὰς εὐνοίας διαιρεθεῖσαν.

38. Ἄρξομαι δὲ ἀπὸ τῶν Δανδάμιδος πρώην γενομένων· ὁ γὰρ Δάνδαμις ἐν τῇ πρὸς Σαυρομάτας συμπλοκῇ, ἁπαχθέντος αἰχμαλώτου Ἀμιζώκου τοῦ φίλου αὐτοῦ — μᾶλλον δὲ πρότερον ὀμοῦμαί σοι τὸν ὅρκον τὸν ἡμέτερον, ἐπεὶ καὶ τοῦτο ἐν ἀρχῇ διωμολογησάμην· οὐ μὰ γὰρ τὸν ἄνεμον καὶ τὸν ἀκινάκην οὐδὲν πρὸς σέ,

TOX. Bene facis, Mnesippe, quod etiam incitas me ad orationem, quasi non vehementer labores, ne præcidatur tibi lingua, si victus oratione fueris. Verum jam statim incipiam, nihil studens, uti tu, verborum elegantiæ: neque enim Scythicum istuc, præsertim ubi res ipsæ magis quam verba loquuntur. Exspectes autem nihil tale a nobis, qualia tu retulisti, quum laudares, si quis indotatam deformemque uxorem duxit, aut si quis pecuniam dedit nubenti filiæ amici, duo talenta, et, per Jovem, si quis vinciendum se præbuit, quum manifestum esset, paullo post solutum iri. Valde enim ista vilia, et magnificum in illis aut virile adeo nihil quicquam inest.

36. Ego vero tibi enarrabo cædes multas, et bella, et mortes pro amicis susceptas, ut scias ludum esse vestra, cum Scythicis si comparentur. Quanquam non præter rationem illud vobis accidit, sed conveniens est illa parva a vobis laudari: neque enim sunt vobis occasiones ingentes ostendendæ amicitiæ, in alta pace viventibus: ut nec per serenum discas, bonusne sit gubernator; tempestate enim ad faciendum illud tibi judicium opus est. Apud nos autem bella perpetua, qui aut invadamus alios, aut excipiamus qui nos aggrediuntur, aut subita concursione pro pascuis aut præda pugnemus. Hic maxime amicis bonis opus est; et hanc ob rem quam firmissime coimus amicitias, solum hoc telum invictum et vix superabile esse rati.

37. Prius autem dicere tibi volo, qua ratione faciamus amicos; non de comissationibus, uti vos, neque si quis æquævus adolescens, aut vicinus sit; sed si quem videamus virum fortem et magnis rebus gerendis aptum, ad hunc festinamus omnes, et quod vos in nuptiis, hoc nos in amicis conciliandis facere operæ pretium censemus, multum procantes, et omnia simul agentes, ne excidamus hac amicitia, neu rejiculi esse videamur. Et si quis prælatus aliis et jam amicus est, fœdus deinde et jusjurandum maximum, « victurum simul, et moriturum, si opus sit, unum pro altero. » Et sic facimus. A quo enim tempore incisis semel digitis instillaverimus sanguinem in calicem, et intinctis gladiorum mucronibus, simul ambo admoto ore biberimus; nihil est quod post ea nos dissolvat. Ac permissum est ternos summum tale fœdus inire: nam quisquis multos habet amicos, ille similis nobis videtur vulgaribus istis et adulteris mulieribus: putamusque non amplius æque firmam illius amicitiam esse, per multas benevolentias divisam.

38. Incipiam vero ab Dandamidis rebus, quæ nuper demum contigere. Dandamis nimirum in prælio cum Sauromatis abducto in captivitatem Amizoce amico suo — quin prius jurabo tibi nostrum jusjurandum, quandoquidem hoc etiam initio mihi tecum convenit: Non ego, ita me Ventus

ὦ Μνήσιππε, ψεῦδος ἐρῶ περὶ τῶν φίλων τῶν Σκυθικῶν.

ΜΝΗΣ. Ἐγὼ μὲν οὐ πάνυ σου ὀμνύοντος ἐδεόμην· σὺ δὲ ὅμως εἶ ποιῶν οὐδένα τῶν θεῶν ἐπωμόσω.

ΤΟΞ. Τί σὺ λέγεις; οὔ σοι δοκοῦσιν ὁ ἄνεμος καὶ ὁ ἀκινάκης θεοὶ εἶναι; οὕτως ἄρα ἠγνόησας ὅτι ἀνθρώποις μεῖζον οὐδέν ἐστι ζωῆς τε καὶ θανάτου; ὁπόταν τοίνυν τὸν ἄνεμον καὶ τὸν ἀκινάκην ὀμνύωμεν, ταῦτα ὀμνύομεν ὡς τὸν μὲν ἄνεμον ζωῆς αἴτιον ὄντα, τὸν ἀκινάκην δὲ ὅτι ἀποθνήσκειν ποιεῖ.

ΜΝΗΣ. Καὶ μὴν εἰ διά γε τοῦτο, καὶ ἄλλους ἂν ἔχοιτε πολλοὺς θεοὺς οἷος ὁ ἀκινάκης ἐστί, τὸν οἰστὸν καὶ τὴν λόγχην καὶ κώνειον δὲ καὶ βρόχον καὶ τὰ τοιαῦτα· ποικίλος γὰρ οὗτος ὁ θεὸς ὁ θάνατος καὶ ἀπείρους τὰς ἐφ' ἑαυτὸν παρέχεται ἀγούσας ὁδούς.

ΤΟΞ. Ὁρᾷς τοῦτο ὡς ἐριστικὸν ποιεῖς καὶ δικανικὸν ὑποκρούων μεταξὺ καὶ διαφθείρων μου τὸν λόγον; ἐγὼ δὲ ἡσυχίαν ἦγον σοῦ λέγοντος.

ΜΝΕΣ. Ἀλλ' οὐκ αὖθίς γε, ὦ Τόξαρι, ποιήσω τοῦτο, πάνυ γὰρ ὀρθῶς ἐπετίμησας· ὥστε θαρρῶν τό γε ἐπὶ τούτῳ λέγε, ὡς μηδὲ παρόντος ἐμοῦ τοῖς λόγοις, οὕτω σιωπήσομαί σοι.

39. ΤΟΞ. Τετάρτη μὲν ἦν ἡμέρα τῆς φιλίας Δανδάμιδι καὶ Ἀμιζώκῃ, ἀφ' οὗ τὸ ἀλλήλων αἷμα συνεπεπώκεσαν· ἦκον δὲ ἡμῖν ἐπὶ τὴν χώραν Σαυρομάται μυρίοις μὲν ἱππεῦσιν, οἱ πεζοὶ δὲ τρὶς τοσοῦτοι ἐπελη-λυθέναι ἐλέγοντο. Οἷα δὲ οὐ προϊδομένοις τὴν ἔφοδον αὐτῶν ἐπεισπεσόντες ἅπαντας μὲν τρέπουσι, πολλοὺς δὲ τῶν μαχίμων κτείνουσι, τοὺς δὲ καὶ ζῶντας ἀπάγουσι, πλὴν εἴ τις ἔφθη διανηξάμενος εἰς τὸ πέραν τοῦ ποταμοῦ, ἔνθα ἡμῖν τὸ ἥμισυ τοῦ στρατοπέδου καὶ μέρος τῶν ἁμαξῶν ἦν· οὕτω γὰρ ἐσκηνώσαμεν τότε, οὐκ οἶδα ὅ τι δόξαν τοῖς ἀρχιπλάνοις ἡμῶν, ἐπ' ἀμφοτέρας τὰς ὄχθας τοῦ Τανάϊδος. Εὐθὺς οὖν ἥ τε λεία περιηλαύνετο καὶ τὰ αἰχμάλωτα συνείχετο καὶ τὰς σκηνὰς διήρπαζον καὶ τὰς ἁμάξας κατελαμβάνοντο, αὐτάνδρους τὰς πλείστας ἁλισκομένας, καὶ ἐν ὀφθαλμοῖς ἡμῶν ὑβρίζοντες τὰς παλλακίδας καὶ τὰς γυναῖκας· ἡμεῖς δὲ ἠνιώμεθα τῷ πράγματι.

40. Ὁ δὲ Ἀμιζώκης ἀγόμενος — ἐαλώκει γάρ — ἐβόα τὸν φίλον ὀνομαστὶ κακῶς δεδεμένος καὶ ὑπεμίμνησκε τοῦ αἵματος καὶ τῆς κύλικος. Ὧν ἀκούσας ὁ Δάνδαμις οὐδὲν ἔτι μελλήσας ἁπάντων ὁρώντων διανήχεται εἰς τοὺς πολεμίους· καὶ οἱ μὲν Σαυρομάται διηρμένοι τοὺς ἄκοντας ὥρμησαν ἐπ' αὐτὸν ὡς κατακεντήσοντες, ὁ δὲ ἐβόα τὸ Ζίριν· τοῦτο δὲ ἦν τις εἴπῃ, οὐκέτι φονεύεται ὑπ' αὐτῶν, ἀλλὰ δέχονται αὐτὸν ὡς ἐπὶ λύτροις ἥκοντα. Καὶ δὴ ἀναχθεὶς πρὸς τὸν ἄρχοντα αὐτῶν ἀπῄτει τὸν φίλον, ὁ δὲ λύτρα ἤτει· μὴ γὰρ προήσεσθαι, εἰ μὴ μεγάλα ὑπὲρ αὐτοῦ λάβοι. Ὁ Δάνδαμις δὲ, Ἃ μὲν εἶχον, φησὶν, ἅπαντα διήρπασται ὑφ' ὑμῶν, εἰ δέ τι δύναμαι γυμνὸς ὑποτελέσαι, ἕτοιμος ὑποστῆναι ὑμῖν, καὶ πρόσταττε ὅ τι ἂν θέλῃς· εἰ βούλει δὲ, ἐμὲ ἀντὶ τούτου λαβὼν κατάχρησαι πρὸς ὅ τι σοι φίλον. Ὁ δὲ Σαυρο-

et Acinaces, mendacium apud te, Mnesippe, dicam de amicis Scythicis.

MNES. Equidem non valde opus habebam tuo jurejurando : interim bene est quod per deum nullum jurasti.

TOX. Quid ais? non videntur tibi dii esse Ventus et Acinaces? adeo ignorasti, nihil majus esse vita et morte hominibus? Quum ergo Ventum juramus et Acinacem, eatenus juramus, quatenus vitæ causæ ventus (*aer*) est, acinaces vero mortem efficit.

MNES. Verum si propter ista, etiam alios multos habueritis deos qualis est Acinaces, Sagittam, et Hastam, Cicutam adeo, et Laqueum, ac talia : varius enim deus ille Mors est, et infinitas præbet, quæ ducant ad se, vias.

TOX. Vides quam contentiose illud agas et instar rabulæ, interpellans et pervertens orationem meam? At ego dum tu dicebas, quietus eram.

MNES. At non iterum certe, Toxari, hoc faciam : omnino enim recte me increpuisti. Itaque audacter quæ sequuntur dicito : quasi nec intersim tuo sermoni, ita silentium tibi præstabo.

39. TOX. Quartus dies processerat amicitiæ Dandamidi et Amizocæ, ex quo sanguinem alter alterius una biberant : quum regionem nostram invadunt Sauromatæ decem millibus equitum ; pedestrium vero copiarum tertium tantum contra nos venisse dicebatur. Quoniam autem nos imprudentes hujus invasionis oppresserant, vertunt in fugam omnes, multosque armatorum interficiunt, alios autem abducunt vivos, præterquam si quis satis celeriter in alteram ripam fluminis transnataret, ubi nobis dimidius exercitus et pars plaustrorum erat : sic enim tum castra posueramus, nescio quo consilio ducum nostrorum, ad utramque ripam Tanais. Statim ergo præda abduci, captiva corpora comprehendi, diripi tabernacula, plaustra capi cum ipsis pleraque vectoribus : et in oculis nostris contumeliam inferebant pellicibus nostris atque uxoribus : quæ res pessime nos habuit.

40. Amizoces autem quum duceretur (captus enim erat), nominatim inclamat amicum, duriter vinctus, et calicis admonet sanguinisque. Quibus Dandamis auditis, nihil amplius cunctatus, omnium in conspectu ad hostes transnatat. Ac Sauromatæ telis sublatis impetum in illum faciunt, ut confossuri : at ille Zirin clamat ; hoc vero si quis dicat, non jam illum interficiunt, sed tanquam redimendi causa advenientem recipiunt. Itaque abductus ad ducem illorum, amicum repetit : hic pretium postulat, negatque se dimissurum, nisi magnum pro illo accipiat. Dandamis, Quæ habebam, inquit, ea omnia a vobis direpta sunt : si quid vero nudus possum solvere, subire vobis paratus sum : et impera quicquid volueris. Si vero volueris, pro hoc me tibi habe, et, quomodocumque tibi collibuerit, abutere. At Sauromata, Non oportet, inquit, te retineri totum,

μάτης, Οὐδέν, ἔφη, δεῖ ὅλον κατέχεσθαί σε καὶ ταῦτα Ζίριν ἥκοντα, σὺ δὲ ὧν ἔχεις μέρος καταβαλὼν ἄγου τὸν φίλον. Ἤρετο ὁ Δάνδαμις ὅ τι καὶ βούλεται λαβεῖν. Ὁ δὲ τοὺς ὀφθαλμοὺς ἤτησεν. Ὁ δὲ αὐτίκα παρέσχεν ἐκκόπτειν αὐτούς· κἀπειδὴ ἐξεκέκοπτο καὶ ἤδη τὰ λύτρα εἶχον οἱ Σαυρομάται, παραλαβὼν τὸν Ἀμιζώκην ἐπανῆει ἐπερειδόμενος αὐτῷ, καὶ ἅμα διανηξάμενοι ἀπεσώθησαν πρὸς ἡμᾶς.

41. Τοῦτο γενόμενον παρεμυθήσατο ἅπαντας Σκύθας καὶ οὐκέτι ἡττᾶσθαι ἐνόμιζον ὁρῶντες ὅτι τὸ μέγιστον ἡμῖν τῶν ἀγαθῶν οὐκ ἀπήγαγον οἱ πολέμιοι, ἀλλ' ὅτι ἦν παρ' ἡμῖν ἡ ἀγαθὴ γνώμη καὶ ἡ πρὸς τοὺς φίλους πίστις. Καὶ τοὺς Σαυρομάτας δὲ τὸ αὐτὸ οὐ μετρίως ἐφόβησε λογιζομένους πρὸς οἵους ἄνδρας ἐκ παρασκευῆς μαχοῦνται, εἰ καὶ ἐν τῷ ἀπροσδοκήτῳ τότε ὑπερέσχον· ὥστε νυκτὸς ἐπιγενομένης ἀπολιπόντες τὰ πλεῖστα τῶν βοσκημάτων καὶ τὰς ἁμάξας ἐμπρήσαντες ᾤχοντο φεύγοντες. Ὁ μέντοι Ἀμιζώκης οὐκέτι ἠνέσχετο βλέπειν αὐτὸς ἐπὶ τυφλῷ τῷ Δανδάμιδι, ἀλλὰ τυφλώσας καὶ αὐτὸς ἑαυτὸν ἀμφότεροι κάθηνται ὑπὸ τοῦ κοινοῦ τῶν Σκυθῶν δημοσίᾳ μετὰ πάσης τιμῆς τρεφόμενοι.

42. Τί τοιοῦτον, ὦ Μνήσιππε, ὑμεῖς ἔχοιτε ἂν εἰπεῖν, εἰ καὶ ἄλλους σοι δέκα δοίη τις ἐπὶ τοῖς πέντε καταριθμήσασθαι ἀνωμότους, εἰ βούλει, ὡς καὶ πολλὰ ἐπιψεύδοιο αὐτοῖς; Καίτοι ἐγὼ μέν σοι γυμνὸν τὸ ἔργον διηγησάμην· εἰ δὲ σύ τινα τοιοῦτον ἔλεγες, εὖ οἶδα, ὁπόσα ἂν κομψὰ ἐγκατέμιξας τῷ λόγῳ, οἷα ἱκέτευεν ὁ Δάνδαμις καὶ ὡς ἐτυφλοῦτο καὶ ἃ εἶπε καὶ ὡς ἐπάνῃκε καὶ ὡς ὑπεδέξαντο αὐτὸν ἐπευφημοῦντες οἱ Σκύθαι καὶ ἄλλα ὁποῖα ὑμεῖς μηχανᾶσθαι εἰώθατε πρὸς τὴν ἀκρόασιν.

43. Ἄκουέ δ' οὖν καὶ ἄλλον ἰσότιμον, Βελίτταν Ἀμιζώκου τούτου ἀνεψιόν· ὃς ἐπεὶ κατασπασθέντα ἐκ τοῦ ἵππου ὑπὸ λέοντος εἶδε Βάσθην τὸν φίλον — ἅμα δὲ ἔτυχον θηρῶντες — καὶ ἤδη ὁ λέων περιπλακεὶς αὐτῷ ἐνεπεφύκει τῷ λαιμῷ καὶ τοῖς ὄνυξιν ἐσπάραττε, καταπηδήσας καὶ αὐτὸς ἐπιπίπτει κατόπιν τῷ θηρίῳ καὶ περιέσπα, πρὸς ἑαυτὸν παροξύνων καὶ μετάγων καὶ διὰ τῶν ὀδόντων μεταξὺ διείρων τοὺς δακτύλους καὶ τὸν Βάσθην, ὡς οἷόν τε ἦν, ὑπεξελεῖν πειρώμενος τοῦ δήγματος· ἄχρι δὴ ὁ λέων ἀφεὶς ἐκεῖνον ἠμιθνῆτα ἤδη ἐπὶ τὸν Βελίτταν ἀπεστράφη καὶ συμπλακεὶς ἀπέκτεινε κἀκεῖνον· ὁ δὲ ἀποθνήσκων τὸ γοῦν τοσοῦτον ἔφθη παταξας τῷ ἀκινάκῃ τὸν λέοντα εἰς τὸ στέρνον, ὥστε ἅμα πάντες ἀπέθανον, καὶ ἡμεῖς ἐθάψαμεν αὐτοὺς δύο τάφους ἀναχώσαντες πλησίον, ἕνα μὲν τῶν φίλων, ἕνα δὲ καταντικρὺ τοῦ λέοντος.

44. Τρίτην δέ σοι διηγήσομαι, ὦ Μνήσιππε, τὴν Μακέντου φιλίαν καὶ Λογχάτου καὶ Ἀρσακόμα. Ὁ γὰρ Ἀρσακόμας οὗτος ἠράσθη Μαζαίας τῆς Λευκάνορος τοῦ βασιλεύσαντος ἐν Βοσπόρῳ, ὁπότε ἐπρέσβευεν ὑπὲρ τοῦ δασμοῦ, ὃν οἱ Βοσπορανοὶ ἀεὶ φέροντες ἡμῖν τότε ἤδη τρίτον ιᾱνα ὑπερήμεροι ἐγεγένηντο. Ἐν τῷ δείπνῳ οὖν ἰδὼν τὴν Μαζαίαν μεγάλην καὶ καλὴν παρθένον

idque quum Zirin veneris: quin tu parte eorum quæ habes data amicum abducas licet. Rogat Dandamis quid tandem vellet accipere. Hic oculos petit. At ille statim effodiendos præbet, quumque effossi essent, et jam pretium haberent Sauromatæ, assumto Amizoce redit illo innixus; et simul transnatantes salvi ad nos veniunt.

41. Hoc factum Scythas omnes erexit, neque jam se victos putarunt, quum viderent maximum bonorum nostrorum non ablatum esse ab hostibus, manente apud nos honesto animo et erga amicos fide. Verum etiam Sauromatas non mediocriter eadem res perterruit, cogitantes contra quos viros in acie pugnaturi essent, etsi imprudentes tum superaverant. Itaque proxima nocte, relictis plerisque pecudum, incensisque plaustris, fuga abierunt. Verum Amizoces ferre non poterat videre se, cæco Dandamide; sed ipse quoque se excæcavit: jamque sedent ambo, atque a communi Scytharum publice cum multo honore aluntur.

42. Quid tale, Mnesippe, vos dicere possitis, et si quis alios tibi decem supra illos quinque enumerare permittat, jurijurando non subjectos, ut etiam mendacio augere multa possis? At ego tibi rem nudam exposui: si vero tu talem quendam diceres, bene novi quantas venustates admisturus esses narrationi, quibus verbis supplicaverit Dandamis, et quomodo excæcatus fuerit, et quæ tum dixerit, et ut redierit, et ut cum plausu illum Scythæ receperint, et alia quæ vos machinari auribus soletis.

43. Audi jam et aliunn æquo honore dignum, Belittam, Amizocæ hujus consobrinum: qui quum equo detractum a leone Basthen amicum videret (una autem erant in venatu), et jam leo complexus hominem fauces illius invasisset, et laceraret eum unguibus: desiliens ipse quoque a tergo irruit in bestiam, eamque detrahit, in se dum irritat et traducit, inferens intra dentes illius suos digitos, et Basthen, quantum fieri poterat, eripere morsui tentans: donec leo, relicto illo jam semanimi, versus in Belittam, eumque complexus, ipsum quoque interemit. Atque ille jam moriens ante tamen sic acinace leonem in pectore percussit, ut simul omnes morerentur. Inde nos sepelivimus illos, duobus prope se invicem tumulis aggestis, uno amicorum, altero autem exadverso leonis.

44. Tertiam tibi enarrabo, Mnesippe, Macentæ amicitiam et Lonchatæ et Arsacomæ. Arsacomas hic amore incensus fuerat Mazææ Leucanoris filiæ Bosporanorum reguli, quum legatus ad eum esset tributi causa, quod semper nobis solventes Bosporani, illo tempore tertium jam mensem ultra diem dictum debuerant. In cœna igitur quum vidisset Mazæam, magnam et pulchram virginem, amare illam,

ἥρα καὶ πονήρως εἶχε. Τὰ μὲν οὖν περὶ τῶν φόρων διεπέπρακτο ἤδη καὶ ἐχρημάτιζεν αὐτῷ ὁ βασιλεὺς καὶ εἱστία ἤδη αὐτὸν ἀποπέμπων. Ἔθος δέ ἐστιν ἐν Βοσπόρῳ, τοὺς μνηστῆρας ἐπὶ τῷ δείπνῳ αἰτεῖν τὰς κόρας καὶ λέγειν, οἵτινες ὄντες ἀξιοῦσι καταδεχθῆναι ἐπὶ τὸν γάμον. Καὶ δὴ καὶ τότε ἔτυχον ἐν τῷ δείπνῳ πολλοὶ μνηστῆρες παρόντες, βασιλεῖς καὶ βασιλέων παῖδες, καὶ Τιγραπάτης ἦν ὁ Λαζῶν δυνάστης καὶ Ἀδύρμαχος ὁ Μαχλυηνῆς ἄρχων καὶ ἄλλοι πολλοί. Δεῖ δὲ τῶν μνηστήρων ἕκαστον προαγγείλαντα ἑαυτὸν, διότι μνηστευσόμενος ἥκει, δειπνεῖν ἐν τοῖς ἄλλοις κατακείμενον ἐφ' ἡσυχίας· ἐπὰν δὲ παύσωνται δειπνοῦντες, αἰτήσαντα φιάλην ἐπισπεῖσαι κατὰ τῆς τραπέζης καὶ μνηστεύεσθαι τὴν παῖδα πολλὰ ἐπαινοῦντα ἑαυτὸν, ὡς τις ἢ γένους ἢ πλούτου ἢ δυνάμεως ἔχει.

45. Πολλῶν οὖν κατὰ τόνδε τὸν νόμον σπεισάντων καὶ αἰτησάντων καὶ βασιλείας καὶ πλούτους καταριθμησαμένων τελευταῖος ὁ Ἀρσακόμας αἰτήσας τὴν φιάλην οὐκ ἔσπεισεν — οὐ γὰρ ἔθος ἡμῖν ἐκχεῖν τὸν οἶνον, ἀλλὰ ὕβρις εἶναι δοκεῖ τοῦτο εἰς τὸν θεόν — πιὼν δὲ ἀμυστὶ, Δός μοι εἶπεν, ὦ βασιλεῦ, τὴν θυγατέρα σου Μαζαίαν γυναῖκα ἔχειν πολὺ ἐπιτηδειοτέρῳ τούτων ὄντι ὁπόσα γε ἐπὶ τῷ πλούτῳ καὶ τοῖς κτήμασι. Τοῦ δὲ Λευκάνορος θαυμάσαντος — ἠπίστατο γὰρ πένητα τὸν Ἀρσακόμαν καὶ Σκυθῶν τῶν πολλῶν — καὶ ἐρομένου, Πόσα δὲ βοσκήματα ἢ πόσας ἁμάξας ἔχεις, ὦ Ἀρσακόμα; ταῦτα γὰρ ὑμεῖς πλουτεῖτε· Ἀλλ' οὐχ ἁμάξας, ἔφη, ἔχω οὐδὲ ἀγέλας, ἀλλ' εἰσί μοι δύο φίλοι καλοὶ καὶ ἀγαθοὶ οἷοι οὐκ ἄλλῳ Σκυθῶν. Τότε μὲν οὖν ἐγελάσθη ἐπὶ τούτοις καὶ παρώφθη καὶ μεθύειν ἔδοξεν. Ἕωθεν δὲ προκριθεὶς τῶν ἄλλων Ἀδύρμαχος ἔμελλεν ἀπάξειν τὴν νύμφην ἐς τὴν Μαιῶτιν παρὰ τοὺς Μάχλυας.

46. Ὁ δὲ Ἀρσακόμας ἐπανελθὼν οἴκαδε μηνύει τοῖς φίλοις ὡς ἀτιμασθείη ὑπὸ τοῦ βασιλέως καὶ γελασθείη ἐν τῷ συμποσίῳ πένης εἶναι δόξας. Καίτοι, ἔφη, ἐγὼ διηγησάμην αὐτῷ τὸν πλοῦτον, ὁπόσος ἐστί μοι, ὑμᾶς, ὦ Λογχάτα καὶ Μακέντα, καὶ τὴν εὔνοιαν τὴν ὑμετέραν πολὺ ἀμείνω καὶ βεβαιοτέραν τῆς Βοσπορανῶν δυνάμεως. Ἀλλ' ἐμοῦ ταῦτα διεξιόντος ἡμᾶς μὲν ἐγλεύαζε καὶ κατεφρόνει, Ἀδυρμάχῳ δὲ τῷ Μάχλυϊ παρέδωκεν ἀπάγειν τὴν νύμφην, ὅτι χρυσᾶς τε φιάλας ἐλέγετο ἔχειν δέκα καὶ ἁμάξας τετρακλίνους ὀγδοήκοντα καὶ πρόβατα καὶ βοῦς πολλούς. Οὕτως ἄρα προετίμησεν ἀνδρῶν ἀγαθῶν βοσκήματα πολλὰ καὶ ἐκπώματα περίεργα καὶ ἁμάξας βαρείας. Ἐγὼ δὲ, ὦ φίλοι, δι' ἀμφότερα ἀνιῶμαι, καὶ γὰρ ἐρῶ τῆς Μαζαίας καὶ ἡ ὕβρις ἐν τοσούτοις ἀνθρώποις οὐ μετρίως μου καθίκετο, οἶμαι δὲ καὶ ὑμᾶς ἐπ' ἴσης ἠδικῆσθαι· τὸ γὰρ τρίτον μετῆν ἑκάστῳ ὑμῶν τῆς ἀτιμίας, εἴ γε οὕτω βιοῦμεν ὡς ἀφ' οὗ συνελήλυθαμεν εἰς ἄνθρωπος ὄντες, καὶ τὰ αὐτὰ ἀνιώμενοι καὶ τὰ αὐτὰ χαίροντες. Οὐ μόνον, ἐπεῖπεν ὁ Λογχάτης, ἀλλὰ ἕκαστος ἡμῶν ὅλος ὕβρισται, ὁπότε τὰ τοιαῦτα ἔπαθες.

et inde animo æger esse cœpit. Ac de tributo negotium perfectum jam erat : jam respondebat illi rex, jam discessus causa convivio illum excipiebat. Moris est autem in Bosporo, ut proci in cœna petant puellas, dicantque, qui sint, qui recipi in affinitatem postulent. Jam forte accidit ut tum plures in ea cœna proci adessent, reges et regum filii, et Tigrapates in his erat, Lazorum regulus, et Adyrmachus Machlyenes princeps, et alii multi. Oportet vero procorum unumquemque, quum se indicavit, nimirum nuptiarum se causa venisse, cœnare cum aliis et quiete accumbere : finitis vero epulis poculum poscere, libare in mensam, et procum se puellæ profiteri, multum de se gloriari, quam generosus, quam dives, quam potens sit.

45. Multi igitur pro illo more quum libassent et petiissent puellam, et regna sua atque divitias enumerassent, ultimus poculo petito Arsacomas, non ille quidem libavit (neque enim solemus effundere vinum, quæ contumelia potius esse in deum videtur), sed epota haustu uno phiala, Da mihi, rex, inquit, filiam tuam Mazæam, ut uxorem habeam, multo hisce magis idoneo quantum ad divitias et possessiones. Admirante autem Leucanore, qui sciret pauperem esse Arsacoman et de vulgo Scytharum, atque interrogante, Quot autem armenta, aut quot plaustra habes, Arsacoma? hæ enim vestræ divitiæ : At ego, inquit, neque plaustra habeo, neque greges; sed sunt mihi amici duo honesti bonique viri, quales Scytharum alii nemini. Tunc igitur derisus propter ista est, et contemtus, et pro ebrio habitus. Altero autem mane prælatus ceteris Adyrmachus abducturus erat sponsam in Mæotidem ad Machlyes.

46. Arsacomas vero reversus domum indicat amicis, quam contemtim habitus esset a rege, quam derisus in convivio, eo quod pauper visus esset : Atqui ego, inquit, narravi illi meas divitias, quantæ sint, vos nempe, Lonchata et Macenta, et benevolentiam vestram, præstantiorem longe et firmiorem Bosporanorum opibus. Hæc vero quum dicerem, nos ille quidem derisui et contemtui habebat, atque Machlyi Adyrmacho abducendam tradidit sponsam, quod aureas se phialas habere decem diceret, et plaustra quaternorum lectorum octoginta, et oves bovesque multas. Sic ergo prætulit viris bonis pecudes multas et pocula vanæ pretiositatis et plaustra gravia. At ego, amici, duplici de causa angor : et enim amo Mazæam, et contumelia in tot hominum conspectu illata mihi profunde in animum descendit : arbitror autem vos quoque non minori injuria affectos; tertia enim contumeliæ pars ad vestrûm unumquemque pervenit; si quidem ita vivimus, ut, a quo tempore coiimus, unus homo simus, doleamus iisdem rebus, lætemur iisdem. Non hoc solum, subjungit Lonchates, verum unusquisque nostrûm totus injuria affectus est, quum ista tibi evenerunt.

47. Πῶς οὖν, ὁ Μακέντης ἔφη, χρησόμεθα τοῖς παροῦσι; Διελώμεθα, ἔφη ὁ Λογχάτης, τὸ ἔργον· καὶ ἐγὼ μὲν ὑπισχνοῦμαι Ἀρσακόμᾳ τὴν κεφαλὴν κομιεῖν τοῦ Λευκάνορος, σὲ δὲ χρὴ τὴν νύμφην ἐπανάγειν αὐτῷ. Οὕτω γιγνέσθω, ἔφη. Σὺ δέ, ὦ Ἀρσακόμα, ἐν τοσούτῳ — εἰκὸς γὰρ καὶ στρατιᾶς καὶ πολέμου τὸ μετὰ τοῦτο δεήσειν ἡμᾶς — αὐτοῦ περιμένων συνάγειρε καὶ παρασκεύαζε ὅπλα καὶ ἵππους καὶ τὴν ἄλλην δύναμιν ὡς πλείστην. Ῥᾷστα δ' ἂν πολλοὺς προσαγάγοις αὐτός τε ἀγαθὸς ὢν καὶ ἡμῖν οὐκ ὀλίγων ὄντων οἰκείων, μάλιστα δὲ εἰ καθέζοιο ἐπὶ τῆς βύρσης τοῦ βοός. Ἔδοξε ταῦτα, καὶ ὁ μὲν ἐχώρει ὡς εἶχεν εὐθὺς ἐπὶ τοῦ Βοσπόρου ὁ Λογχάτης, ὁ Μακέντης δὲ ἐπὶ τοὺς Μάχλυας, ἱππότης ἑκάτερος, ὁ δὲ Ἀρσακόμας οἴκοι μένων τοῖς τε ἡλικιώταις διελέγετο καὶ ὥπλιζε δύναμιν παρὰ τῶν οἰκείων, τέλος δὲ καὶ ἐπὶ τῆς βύρσης ἐκαθέζετο.

48. Τὸ δὲ ἔθος ἡμῖν τὸ περὶ τὴν βύρσαν οὕτως ἔχει· ἐπειδὰν ἀδικηθείς τις πρὸς ἑτέρου ἀμύνασθαι βουλόμενος ἴδῃ καθ' ἑαυτὸν οὐκ ἀξιόμαχος ὤν, βοῦν ἱερεύσας τὰ μὲν κρέα κατακόψας ἥψησεν, αὐτὸς δὲ ἐκπετάσας χαμαὶ τὴν βύρσαν κάθηται ἐπ' αὐτῆς εἰς τοὐπίσω παραγαγὼν τὼ χεῖρε ὥσπερ οἱ ἐκ τῶν ἀγκώνων δεδεμένοι. Καὶ τοῦτό ἐστιν ἡμῖν ἡ μεγίστη ἱκετηρία. Παρακειμένων δὲ τῶν κρεῶν τοῦ βοὸς προσιόντες οἱ οἰκεῖοι καὶ τῶν ἄλλων ὁ βουλόμενος μοῖραν ἕκαστος λαβὼν ἐπιβὰς τῇ βύρσῃ τὸν δεξιὸν πόδα ὑπισχνεῖται κατὰ δύναμιν, ὁ μὲν πέντε ἱππέας παρέξειν ἀσίτους καὶ ἀμίσθους, ὁ δὲ δέκα, ὁ δὲ πλείους, ὁ δὲ ὁπλίτας ἢ πεζοὺς ὁπόσους ἂν δύνηται, ὁ δὲ μόνον ἑαυτὸν ὁ πενέστατος. Ἀθροίζεται οὖν ἐπὶ τῆς βύρσης πολὺ πλῆθος ἐνίοτε καὶ τὸ τοιοῦτον σύνταγμα βεβαιότατόν τέ ἐστι συμμεῖναι καὶ ἀπρόσμαχον τοῖς ἐχθροῖς ἅτε καὶ ἔνορκον ὄν· τὸ γὰρ ἐπιβῆναι τῆς βύρσης ὅρκος ἐστίν. Ὁ μὲν οὖν Ἀρσακόμας ἐν τούτοις ἦν. Καὶ ἠθροίσθησαν αὐτῷ ἱππεῖς μὲν ἀμφὶ τοὺς πεντακισχιλίους, ὁπλῖται δὲ καὶ πεζοὶ συναμφότεροι δισμύριοι.

49. Ὁ δὲ Λογχάτης ἀγνοούμενος παρελθὼν ἐς τὸν Βόσπορον προσέρχεται τῷ βασιλεῖ διοικουμένῳ τι τῆς ἀρχῆς καὶ φησὶν ἥκειν μὲν ἀπὸ τοῦ κοινοῦ τῶν Σκυθῶν, ἰδίᾳ δὲ αὐτῷ μεγάλα πράγματα κομίζων. Τοῦ δὲ λέγειν κελεύσαντος, Οἱ μὲν Σκύθαι, φησί, τὰ κοινὰ ταῦτα καὶ τὰ καθ' ἡμέραν ἀξιοῦσι, μὴ ὑπερβαίνειν τοὺς νομέας ὑμῶν ἐς τὸ πεδίον, ἀλλὰ μέχρι τοῦ τραχῶνος νέμειν· τοὺς δὲ λῃστὰς οὓς αἰτιᾶσθε ὡς κατατρέχοντας ὑμῶν τὴν χώραν, οὐ φασὶν ἀπὸ κοινῆς γνώμης ἐκπέμπεσθαι, ἀλλ' ἰδίᾳ ἕκαστον ἐπὶ τῷ κέρδει κλωπεύειν· εἰ δέ τις ἁλίσκοιτο, αὐτὸν σὲ κύριον εἶναι κολάζειν· ταῦτα μὲν ἐκεῖνοι ἐπεστάλκασιν.

50. Ἐγὼ δὲ μηνύω σοι μεγάλην ἔφοδον ἐσομένην ἐφ' ὑμᾶς ὑπ' Ἀρσακόμα τοῦ Μαριάντα, ὃς ἐπρέσβευε πρώην παρὰ σὲ καί, οἶμαι, διότι αἰτήσας τὴν θυγατέρα οὐκ ἔτυχε παρὰ σοῦ, ἀγανακτεῖ καὶ ἐπὶ τῆς βύρσης ἑβδόμην ἤδη ἡμέραν κάθηται καὶ συνῆκται στρατὸς οὐκ ὀλίγος αὐτῷ. Ἤκουσα, ἔφη ὁ Λευκάνωρ, καὶ

47. Quomodo igitur, Macentes inquit, in præsens consulemus? Dividamus, ait Lonchates, opus: et, ego quidem polliceor Arsacomæ caput me allaturum Leucanoris: te autem oportet sponsam illi adducere. Sic fiat, inquit ille. Tu vero, Arsacoma, interea, quum credibile sit exercitu post hæc et bello nobis opus futurum, hic manens, coge et para arma et equos et reliquas copias quam amplissimas. Facillime autem plurimos tibi conciliaveris, quum et ipse sis vir bonus, et nos non paucos habeamus familiares: maxime vero si bubulam pellem insederis. Placuerunt ista. Atque e vestigio, ut erat, in Bosporum pergit Lonchates, Macentes vero ad Machlyes, in equo uterque. At Arsacomas domi manens agit cum æqualibus, et familiarium copias armat: tandem etiam pellem insidet.

48. Ceterum illa apud nos de pelle consuetudo ita se habet: si quis injuria læsus ab alio, et ulcisci volens, videat se per se imparem bello esse, sacrificati bovis carnes concisas coquit. Ipse vero stratam humi pellem insidet, manibus post tergum rejectis, ut qui in ipso bracchii flexu revincti sunt. Et hæc est sanctissima apud nos supplicandi ratio. Appositarum vero carnium bovis, accedentes familiares, et ceterorum quisquis vult, parte unusquisque sumta, inscendens dextro pede pellem, pollicetur pro viribus, hic quidem quinque equites se præbiturum quibus neque cibaria ille neque stipendia debeat, alius decem, alius plures, alius gravem armaturam aut pedites quotcumque possit; alius, pauperrimus nempe, se ipsum. Cogitur ergo in illa pelle magna interdum multitudo; ac talis exercitus quum firmissimus est ad una manendi constantiam, tum invictus hostibus, juratus quippe; nam pellem inscendere sacramentum est. In his ergo occupatus erat Arsacomas. Collecti autem ad ipsum sunt equites ad quinquies mille, gravis armaturæ et peditum in summa viginti millia.

49. Interim Lonchates ignotus in Bosporum adit regem pro imperio agentem aliquid, et venire se a communi Scytharum ait, privatim autem res illi magnas ferre. Dicere autem jussus, Scythæ, inquit, communia illa et quotidiana postulant, ne vestri pastores in suos campos transgrediantur, sed intra montes maneant: latrones autem illos, a quibus percursari vestram regionem querimini, negant publico consilio mitti, sed privatim sui unumquemque lucri causa latrocinari: si quis autem illorum deprehendatur, penes te esse illum punire. Hæc quidem illi nunciare me jusserunt.

50. At ego indico tibi, magnam impressionem in vos ab Arsacoma Mariantæ filio factum iri, qui legatione non ita pridem apud vos functus est, et indigne fert, puto, quod expetitam sibi a te filiam tuam non impetravit, et jam septimum diem pellem insidet, collectumque habet exercitum non parvum. Audiveram, inquit Leucanor, ipse quoque

αὐτὺς ἀϋροϊζεσθαι δύναμιν ἀπὸ βύρσης, ὅτι δ' ἐφ' ἡμᾶς συνίσταται καὶ ὅτι Ἀρσακόμας ὁ ἐλαύνων ἐστὶν, ἠγνόουν. Ἀλλ' ἐπὶ σὲ, ἔφη ὁ Λογχάτης, ἡ παρασκευή· ἐμοὶ δὲ ἐχθρὸς ὁ Ἀρσακόμας ἐστὶ, καὶ ἄχθεται διότι προτιμῶμαι αὐτοῦ ὑπὸ τῶν γεραιτέρων καὶ ἀμείνων τὰ πάντα δοκῶ εἶναι· εἰ δέ μοι ὑπόσχοιο τὴν ἑτέραν σου θυγατέρα Βαρκέτιν, οὐδὲ τὰ ἄλλα ἀναξίῳ ὑμῶν ὄντι, οὐκ εἰς μακρὰν σοι ἥξω τὴν κεφαλὴν αὐτοῦ κομίζων. Ὑπισχνοῦμαι, ἔφη ὁ βασιλεὺς, μάλα περιδεὴς γενόμενος· ἔγνω γὰρ τὴν αἰτίαν τῆς ὀργῆς τῆς Ἀρσακόμα τὴν ἐπὶ τῷ γάμῳ καὶ ἄλλως ὑπέπτησσεν ἀεὶ τοὺς Σκύθας. Ὁ δὲ Λογχάτης, Ὄμοσον, εἶπεν, ἢ μὴν φυλάξειν τὰς συνθήκας, μηδὲ ἀπαρνήσεσθαι. Τότε ἤδη τούτων γενομένων καὶ ἐπεὶ ἀνατείνας εἰς τὸν οὐρανὸν ἤθελεν ὀμνύειν, Μὴ σύ γε ἐνταῦθα, εἶπε, μὴ καί τις ὑπίδηται τῶν ὀρώντων ἐφ' ὅτῳ ὁρκωμοτοῦμεν, ἀλλ' εἰς τὸ ἱερὸν τοῦ Ἄρεος τουτὶ εἰσελθόντες, ἐπικλεισάμενοι τὰς θύρας ὀμνύωμεν, ἀκουσάτω δὲ μηδείς· εἰ γάρ τι τούτων πύθοιτο Ἀρσακόμας, δέδια μὴ προθύσηταί με τοῦ πολέμου χεῖρα οὐ μικρὰν ἤδη περιβεβλημένος. Εἰσίωμεν, ἔφη ὁ βασιλεὺς, ὑμεῖς δὲ ἀπόστητε ὅτι πορρωτάτω· μηδεὶς δὲ παρέστω ἐς τὸν νεὼν, ὄντινα μὴ ἐγὼ καλέσω. Ἐπεὶ δὲ οἱ μὲν εἰσῆλθον, οἱ δορυφόροι δὲ ἀπέστησαν, σπασάμενος τὸν ἀκινάκην ἐπισχὼν τῇ ἑτέρᾳ τὸ στόμα, ὡς μὴ βοήσειε, παίει παρὰ τὸν μαστὸν, εἶτα ἀποτεμὼν τὴν κεφαλὴν ὑπὸ τῇ χλαμύδι ἔχων ἐξῄει, μεταξὺ διαλεγόμενος ὄπισθεν αὐτῷ καὶ διὰ ταχέων ἥξειν λέγων, ὡς δὴ ἐπί τι πεμφθεὶς ὑπ' ἐκείνου. Καὶ οὕτως ἐπὶ τὸν τόπον ἀφικόμενος, ἔνθα καταδεδεμένον καταλελοίπει τὸν ἵππον, ἀναβὰς ἀφιππάσατο εἰς τὴν Σκυθίαν. Δίωξις δὲ οὐκ ἐγένετο αὐτοῦ, ἐπὶ πολὺ ἀγνοησάντων τὸ γεγονὸς τῶν Βοσπορανῶν, καὶ ὅτε ἔγνωσαν, ὑπὲρ τῆς βασιλείας στασιαζόντων.

51. Ταῦτα μὲν ὁ Λογχάτης ἔπραξε καὶ τὴν ὑπόσχεσιν ἀπεπλήρωσε τῷ Ἀρσακόμᾳ παραδοὺς τὴν κεφαλὴν τοῦ Λευκάνορος. Ὁ Μακέντης δὲ καθ' ὁδὸν ἀκούσας τὰ ἐν Βοσπόρῳ γενόμενα ἦκεν ἐς τοὺς Μάχλυας καὶ πρῶτος ἀγγείλας αὐτοῖς τὸν φόνον τοῦ βασιλέως, Ἡ πόλις δὲ, ἔφη, ὦ Ἀδύρμαχε, σὲ γαμβρὸν ὄντα ἐπὶ τὴν βασιλείαν καλεῖ· ὥστε σὺ μὲν προελάσας παραλάμβανε τὴν ἀρχὴν, τεταραγμένοις τοῖς πράγμασιν ἐπιφανείς· ἡ κόρη δέ σοι κατόπιν ἐπὶ τῶν ἁμαξῶν ἑπέσθω· ῥᾷον γὰρ οὕτω προσάξεις Βοσπορανῶν τοὺς πολλοὺς ἰδόντας τὴν Λευκάνορος θυγατέρα. Ἐγὼ δὲ Ἀλανός τέ εἰμι καὶ τῇ παιδὶ ταύτῃ συγγενὴς μητρόθεν· παρ' ἡμῶν γὰρ οὖσαν τὴν Μάστειραν ἠγάγετο ὁ Λευκάνωρ· καὶ νῦν σοι ἥκω παρὰ τῶν τῆς Μαστείρας ἀδελφῶν τῶν ἐν Ἀλανίᾳ παρακελευομένων ὅτι τάχιστα ἐλαύνειν ἐπὶ τὸν Βόσπορον καὶ μὴ περιιδεῖν ὡς Εὐβίοτον περιελθοῦσαν τὴν ἀρχὴν, ὃς ἀδελφὸς ὢν νόθος Λευκάνορος Σκύθαις μὲν ἀεὶ φίλος ἐστὶν, Ἀλανοῖς δὲ ἀπέχθεται. Ταῦτα δὲ ἔλεγεν ὁ Μακέντης ὁμόσκευος καὶ ὁμόγλωττος τοῖς Ἀλανοῖς ὤν· κοινὰ γὰρ ταῦτα Ἀλανοῖς καὶ Σκύθαις, πλὴν ὅτι οὐ πάνυ κομῶσιν οἱ Ἀλανοὶ ὥσπερ οἱ Σκύθαι.

colligi de pelle copias; contra nos vero coire et Arsacoman ducem esse, ignorabam. Enimvero contra te, Lonchates ait, apparatus ille. Meus vero Arsacomas inimicus est, et indignatur me sibi præferri ab honoratioribus, et omnibus rebus haberi præstantiorem. Quodsi mihi promiseris alteram filiam tuam Barcetin, qui nec ceteroquin indignus vobis gener sum, non ita multo post veniam caput tibi illius afferens. Promitto, ait rex, valde perterritus, qui causam irarum Arsacomæ, de nuptiis, sciret, et alioquin semper formidaret Scythas. Lonchates vero, Jura, inquit, servaturum te pacta, neque negaturum. Hic, dum ista jam fierent, et ille extensa in cœlum manu jam esset juraturus, Ne hic tu, inquit, ne quis forte videntium suspicetur qua de re juremus: sed in hoc Martis templum ingressi, clausis post nos januis juremus, audiente nemine: si quid enim horum audiat Arsacomas, metuo ne ante bellum me cædat, qui manum non parvam jam circa se habeat. Intremus, rex ait: vos vero longissime recedite, neu in templo adsit quisquam, quem ego non vocavero. Quum vero ipsi quidem intrassent, recessissent autem satellites, stricto acinace, altera manu os ne clamaret occludens, ferit ipsum ad mammam, tum caput abscissum tegens chlamyde exit, inter exeundum velut loquens cum illo, et statim se rediturum dicens, ac si ad aliquid missus ab illo esset. Et sic delatus ad illum locum, ubi revinctum equum reliquerat, eo conscenso Scythiam curriculo repetit. Ac persecutus illum nemo est, quid actum esset diu ignorantibus Bosporanis, ac tum, ubi rescissent, factiose de regno decertantibus.

51. Atque ista quidem Lonchates fecit, implevitque Arsacomæ promissum tradendo Leucanoris capite. Macentes autem, audito in ipsa via quid in Bosporo gestum esset, pervenit ad Machlyes, et annuncians primus mortem regis, Civitas, inquit, te, Adyrmache, generum regis ad regnum vocat. Itaque tu quidem præcepto itinere regnum occupa, in turbatis rebus præsens subito: puella vero post te in plaustris sequatur; facilius enim sic Bosporanorum tibi vulgus conciliaveris, Leucanoris filiam si viderint. Ego vero Alanus sum, et virginis illius a matre cognatus: etenim nostri generis Mastiram duxit Leucanor: et jam a Mastiræ tibi fratribus venio, qui sunt in Alania, hortantibus te ut quam celerrime venias in Bosporum, neu patiare transferri imperium in Eubiotum, qui frater nothus Leucanoris, Scythis semper amicus, infestus autem est Alanis. Hæc Macentes dixit, veste et lingua Alanorum similis: communia enim ista Alanis et Scythis, nisi quod non omnino Scytharum instar comati sunt Alani. Verum Macentes in hoc

Ἀλλὰ ὁ Μακέντης καὶ τοῦτο εἶχαστο αὐτοῖς καὶ ἀποκεχάρκει τῆς κόμης ὁπόσον εἰκὸς ἦν ἔλαττον κομᾶν τὸν Ἀλανὸν τοῦ Σκύθου· ὥστε ἐπιστεύετο διὰ ταῦτα Μαστείρας καὶ Μαζαίας συγγενὴς εἶναι.

52. Καὶ νῦν, ἔφη, ὦ Ἀδύρμαχε, ἑλαύνειν ἕτοιμος ἅμα σοι ἐπὶ τὸν Βόσπορον, ἢν ἐθέλῃς, μένειν τε, εἰ δέοι, καὶ τὴν παῖδα ἄγειν. Τοῦτο, ἔφη, καὶ μᾶλλον, ὁ Ἀδύρμαχος, ἐθελήσαιμ' ἄν, ἀφ' αἵματος ὄντα σε Μαζαίαν ἄγειν. Ἦν μὲν γὰρ ἅμα ἡμῖν ἴῃς ἐπὶ τὸν Βόσπορον, ἱππεῖ ἑνὶ πλείους ἂν γενοίμεθα· εἰ δέ μοι τὴν γυναῖκα ἄγοις, ἀντὶ πολλῶν ἂν γένοιο. Ταῦτα ἐγίγνετο· καὶ ὁ μὲν ἀπήλαυνε παραδοὺς τῷ Μακέντῃ ἄγειν τὴν Μαζαίαν παρθένον ἔτι οὖσαν. Ὁ δὲ ἡμέρας μὲν ἐπὶ τῆς ἁμάξης ἦγεν αὐτὴν, ἐπεὶ δὲ νὺξ κατέλαβεν, ἀναθέμενος ἐπὶ τὸν ἵππον — ἐτεθεραπεύκει δὲ ἕνα σφίσιν ἄλλον ἱππέα ἕπεσθαι — ἀναπηδήσας καὶ αὐτὸς οὐκέτι παρὰ τὴν Μαιῶτιν ἤλαυνεν, ἀλλ' ἀποτραπόμενος εἰς τὴν μεσόγειαν ἐν δεξιᾷ λαβὼν τὰ Μιτραίων ὄρη, διαναπαύων μεταξὺ τὴν παῖδα, τριταῖος ἐτέλεσεν ἐκ Μαχλύων ἐς Σκύθας. Καὶ ὁ μὲν ἵππος αὐτῷ, ἐπειδὴ ἐπαύσατο τοῦ δρόμου, μικρὸν ἐπιστὰς ἀποθνήσκει.

53. Ὁ δὲ Μακέντης ἐγχειρίσας τὴν Μαζαίαν τῷ Ἀρσακόμᾳ, Δέδεξο, εἶπε, καὶ παρ' ἐμοῦ τὴν ὑπόσχεσιν. Τοῦ δὲ πρὸς τὸ ἀνέλπιστον τοῦ θεάματος καταπλαγέντος καὶ χάριν ὁμολογοῦντος, Παῦε, ἔφη ὁ Μακέντης, ἄλλον με ποιῶν σεαυτοῦ· τὸ γὰρ χάριν ἐμοὶ ὁμολογεῖν ἐφ' οἷς ἔπραξα τοιόνδε ἐστὶν ὥσπερ ἂν εἰ ἡ ἀριστερά μου χάριν εἰδείη τῇ δεξιᾷ, διότι τρωθεῖσάν ποτε αὐτὴν ἐθεράπευσε καὶ φιλοφρόνως ἐπεμελήθη καμνούσης. Γελοῖα τοίνυν καὶ ἡμεῖς ἂν ποιοῖμεν, εἰ πάλαι ἀναμιχθέντες καὶ ὡς οἷόν τε ἦν εἰς ἕνα συνελθόντες ἔτι μέγα νομίζοιμεν εἶναι, εἰ τὸ μέρος ἡμῶν ἔπραξέ τι χρηστὸν ὑπὲρ ὅλου τοῦ σώματος· ὑπὲρ ἑαυτοῦ γὰρ ἔπραττε μέρος ὂν τοῦ ὅλου εὖ πάσχοντος. Οὕτω μὲν ὁ Μακέντης ἔφη τῷ Ἀρσακόμᾳ χάριν ὁμολογήσαντι.

54. Ὁ δὲ Ἀδύρμαχος ὡς ἤκουσε τὴν ἐπιβουλὴν, εἰς μὲν τὸν Βόσπορον οὐκέτι ἦλθεν — ἤδη γὰρ Εὐβίοτος ἦρχεν ἐπικληθεὶς ἐκ Σαυροματῶν, παρ' οἷς διέτριβεν — εἰς δὲ τὴν αὐτοῦ ἐπανελθὼν καὶ στρατιὰν πολλὴν συναγαγὼν διὰ τῆς ὀρεινῆς εἰσέβαλεν ἐς τὴν Σκυθίαν· καὶ ὁ Εὐβίοτος οὐ μετὰ πολὺ καὶ οὗτος εἰσέπεσεν ἄγων πανδημεὶ μὲν τοὺς Ἕλληνας, Ἀλανοὺς δὲ καὶ Σαυρομάτας ἐπικλήτους ἑκατέρους δισμυρίους· ἀναμίξαντες δὲ τὰ στρατεύματα ὁ Εὐβίοτος καὶ ὁ Ἀδύρμαχος, ἐννέα μυριάδες ἅπαντες ἐγένοντο καὶ τούτων τὸ τρίτον ἱπποτοξόται. Ἡμεῖς δὲ — καὶ γὰρ αὐτὸς μετέσχον τῆς ἐξόδου αὐτοῖς ἐπιδοὺς ἐν τῇ βύρσῃ τότε ἱππέας αὐτοτελεῖς ἑκατόν — οὐ πολλῷ ἔλαττον τῶν τρισμυρίων σὺν τοῖς ἱππεῦσιν ἀθροισθέντες ὑπεμένομεν τὴν ἔφοδον· ἐστρατήγει δὲ ὁ Ἀρσακόμας. Καὶ ἐπειδὴ προσιόντας εἴδομεν αὐτοὺς, ἀντεπήγομεν προεπαφέντες τὸ ἱππικόν. Γενομένης δὲ ἐπὶ πολὺ μάχης καρτερᾶς ἐνεδίδου ἤδη τὰ ἡμέτερα καὶ παρερρήγνυτο ἡ φάλαγξ, καὶ τέλος εἰς δύο διεκόπη τὸ Σκυθικὸν ἅπαν, καὶ τὸ μὲν ὑπέφευγεν οὐ

etiam similem se iis reddiderat, quod detonderat de coma quantum conveniebat minus Scytha comatum esse Alanum. Propter ista ergo fides illi habita, putatusque Mastiræ ac Mazææ cognatus esse.

52. Et jam, inquit, Adyrmache, paratus sum vel ire tecum in Bosporum, si volueris, vel manere, si opus sit, et ducere virginem. Hoc vero, et magis quidem velim, ait Adyrmachus, te, consanguineus qui sis, puellam ducere. Si enim simul eas nobiscum in Bosporum, equite uno plures fuerimus: si vero uxorem mihi adducas, multorum instar mihi fueris. Hæc facta sunt. Atque ille quidem discessit, tradita Macentæ, quam deduceret, Mazæa adhuc virgine. At ille eo quidem die in plaustro ipsam duxit: quum vero nox ingruisset, ea *in suum equum imposita* (paraverat autem alium unum equitem, qui se sequeretur), quum ipse quoque insiluisset, non jam juxta Mæotin pergebat, sed versus mediterranea deflectens, ubi dextros haberet Mitræorum montes, recreata interposita quiete puella, tertio die iter ex Machlyum regione ad Scythas peregit. Atque equus illi, quum finito cursu paullum stetisset, moritur.

53. Macentes vero in manum tradens Mazæam Arsacomæ, Habe tibi, inquit, a me etiam promissum. Illo autem ad insperatum adeo conspectum perculso, et gratias agente, Desine, inquit Macentes, alium me a te facere: quod enim gratias mihi eorum nomine, quæ feci, agis, id ejusmodi est, ac si gratiam habeat sinistra mea dextræ, quod vulneratam aliquando illam sanaverit et benigne curaverit laborantem. Proin ridicule nos quoque egerimus, si olim permisti et quoad ejus fieri poterat in unum coaliti, adhuc magnum esse putemus, si qua pars nostri utile quicquam pro toto corpore fecerit: pro se enim fecit, quum pars sit totius corporis, cui bene factum est. Sic tum Macentes locutus est cum agente sibi gratias Arsacoma.

54. Adyrmachus vero, auditis insidiis, in Bosporum non jam perrexit (jam enim imperabat advocatus ex Sauromatis, apud quos vixerat, Eubiotus), sed reversus in patriam ingenti comparato exercitu, irruptionem per montana fecit in Scythiam. Et Eubiotus non ita multo post ipse quoque irruit, adducens omnes quidem sui imperii Græcos, Alanos autem et Sauromatas auxiliares cujusque generis vicies millenos. Conjunctis autem copiis Eubiotus atque Adyrmachus nonaginta millia ambo conficiebant: quorum tertia pars jaculabatur ex equis. Nos vero (nam ipse quoque expeditionis pars fui, qui dederim illis in pelle tum equites suis sumtibus viventes centum), triginta millibus non multo pauciores, computatis quidem equitibus, impetum eorum Arsacoma duce excepimus: et quum admoventes videremus, contra illos equitatu prius emisso duximus. Quum diu fortiter pugnatum esset, jam cedere nostri, jam perrumpi phalanx, et tandem in duas partes scindi Scytharum exercitus: atque altera pars quidem se subducere,

πάνυ σαφῶς ἡττημένον, ἀλλ' ἀναχώρησις ἐδόκει ἡ φυγή· οὐδὲ γὰρ οἱ Ἀλανοὶ ἐτόλμων ἐπὶ πολὺ διώκειν· τὸ δὲ ἥμισυ, ὅπερ καὶ ἔλαττον, περισχόντες οἱ Ἀλανοὶ καὶ Μάχλυες ἔκοπτον πανταχόθεν ἀφθόνως ἀφιέντες τῶν οἰστῶν καὶ ἀκοντίων, ὥστε πάνυ ἐπονοῦντο ἡμῶν οἱ περιεσχημένοι, καὶ ἤδη προΐεντο οἱ πολλοὶ τὰ ὅπλα.

55. Ἐν τούτοις δὲ καὶ ὁ Λογχάτης καὶ ὁ Μακέντης ἔτυχον ὄντες καὶ ἐτέτρωντο ἤδη προκινδυνεύοντες, ὁ μὲν στυρακίῳ εἰς τὸν μηρὸν ὁ Λογχάτης, ὁ Μακέντης δὲ πελέκει εἰς τὴν κεφαλὴν καὶ κοντῷ εἰς τὸν ὦμον· ὅπερ αἰσθόμενος ὁ Ἀρσακόμας, ἐν ἡμῖν τοῖς ἄλλοις ὤν, δεινὸν ἡγησάμενος, εἰ ἅπεισι καταλιπὼν τοὺς φίλους, προσβαλὼν τοὺς μύωπας τῷ ἵππῳ ἐμβοήσας ἦλαυνε διὰ τῶν πολεμίων κοπίδα διηρμένος, ὥστε τοὺς Μάχλυας μηδὲ ὑποστῆναι τὸ ῥᾴθιον τοῦ θυμοῦ, ἀλλὰ διαιρεθέντες ἔδωκαν αὐτῷ διεξελθεῖν. Ὁ δὲ ἀνακτησάμενος τοὺς φίλους καὶ τοὺς ἄλλους ἅπαντας παρακαλέσας ὥρμησεν ἐπὶ τὸν Ἀδύρμαχον καὶ πατάξας τῇ κοπίδι παρὰ τὸν αὐχένα μέχρι τῆς ζώνης διέτεμε. Πεσόντος δὲ ἐκείνου διελύθη τὸ Μαχλυϊκὸν ἅπαν καὶ τὸ Ἀλανικὸν οὐ μετὰ πολὺ καὶ οἱ Ἕλληνες ἐπὶ τούτοις· ὥστε ἐκρατοῦμεν ἐξ ὑπαρχῆς ἡμεῖς καὶ ἐπεξήλθομεν ἂν ἐπὶ πολὺ κτείνοντες, εἰ μὴ νὺξ τὸ ἔργον ἀφεῖλετο. Εἰς δὲ τὴν ἐπιοῦσαν ἱκέται παρὰ τῶν πολεμίων ἥκοντες ἐδέοντο φιλίαν ποιεῖσθαι, Βοσπορανοὶ μὲν ὑποτελέσειν διπλάσιον τὸν δασμὸν ὑπισχνούμενοι, Μάχλυες δὲ δμήρους δώσειν ἔφασαν, οἱ Ἀλανοὶ δὲ ἀντὶ τῆς ἐφόδου ἐκείνης Σινδιανοὺς ἡμῖν χειρώσασθαι ὑπέστησαν ἐκ πολλοῦ διεστῶτας. Ἐπὶ τούτοις ἐπείσθημεν, δόξαν πολὺ πρότερον Ἀρσακόμᾳ καὶ Λογχάτῃ· καὶ ἐγένετο εἰρήνη ἐκείνων πρυτανευόντων ἕκαστα.

Τοιαῦτα, ὦ Μνήσιππε, τολμῶσι ποιεῖν Σκύθαι ὑπὲρ τῶν φίλων.

56. ΜΝΗΣ. Πάνυ τραγικά, ὦ Τόξαρι, καὶ μύθοις ὅμοια. Καὶ ἵλεως μὲν ὁ ἀκινάκης καὶ ὁ ἄνεμος εἶεν, οὓς ὤμοσας· εἰ γοῦν τις ἀπιστοίη αὐτοῖς, οὐ πάνυ μεμπτὸς εἶναι δόξειεν ἄν.

ΤΟΞ. Ἀλλ' ὅρα, ὦ γενναῖε, μὴ φθόνος ὑμῶν ἡ ἀπιστία ᾖ· πλὴν οὐκ ἐμὲ ἀποτρέψεις ἀπιστῶν καὶ ἄλλα τοιαῦτα εἰπεῖν ἃ οἶδα ὑπὸ Σκυθῶν γενόμενα.

ΜΝΗΣ. Μὴ μακρὰ μόνον, ὦ ἄριστε, μηδὲ οὕτως ἀφέτοις χρώμενος τοῖς λόγοις· ὡς νῦν γε ἄνω καὶ κάτω τὴν Σκυθίαν καὶ τὴν Μαχλυανὴν διαθέων καὶ εἰς τὸν Βόσπορον ἀπιών, εἶτ' ἐπανιὼν πάνυ μου κατεχρήσω τῇ σιωπῇ.

ΤΟΞ. Πειστέον καὶ ταῦτά σοι νομοθετοῦντι καὶ διὰ βραχέων λεκτέον, μὴ καὶ κάμῃς ἡμῖν τῇ ἀκοῇ συμπερινοστῶν.

57. Μᾶλλον δ' ἄκουσον, ἐμοὶ αὐτῷ οἷα φίλος, Σισίννης τοὔνομα, ὑπηρέτησεν· ὅτε γὰρ Ἀθήναζε ἀπῄειν οἴκοθεν ἐπιθυμίᾳ παιδείας τῆς Ἑλληνικῆς, κατέπλευσα ἐς Ἄμαστριν τὴν Ποντικήν· ἐν προσβολῇ δέ ἐστι τοῖς ἀπὸ Σκυθίας πλέουσιν οὐ πολὺ τῆς Καράμβεως ἀπέχουσα ἡ πόλις· εἵπετο δὲ ὁ Σισίννης ἑταῖρος ἐκ παιδὸς non illa quidem aperte victa, sed recessus illa fuga videbatur, quum neque Alani multum persequi illos auderent : alteram vero partem, eandemque minorem, circumventam Alani et Machlyes cædebant undique, magna sagittarum jaculorumque vi immissa : valde itaque laborare nostri qui ita conclusi tenerentur, jamque multi arma projicere.

55. Forte fortuna in his erant Lonchates atque Macentes, jamque vulnerati, quum primi se periculis obtulissent, hastilis cuspide ima Lonchates in femore, Macentes autem securi caput et hasta humerum. Quo comperto Arsacomas, qui inter nos reliquos versaretur, indignumque ratus si relictis amicis abiret, admotis equo calcaribus et sublato clamore, per hostes intentato gladio incurvo equitat, ut vel impetum illius animosum Machlyes non sustinerent, sed divisi facultatem illi transeundi darent. At ille recuperatis amicis, hortatus ut accurrerent ceteros omnes, irruit in Adyrmachum, eumque impacto ad cervicem gladio ad zonam usque dividit. Illo vero cadente, quicquid erat Machlyum, neque ita multo post Alani quoque diffugiunt, et post hos etiam Græci. Sic de novo nos superiores, persecuturi illos amplius et cæsuri eramus, nisi nox opus intercepisset. Postridie supplices ab hostibus veniunt amicitiam secum fieri petentes, Bosporani duplum pendere tributum polliciti, Machlyes dare obsides parati; Alani vero pro ista invasione Sindianos, a longo inde tempore a nobis dissidentes, in potestatem nostram se redacturos recipiebant. His conditionibus persuaderi nobis passi sumus, quum primo omnium ita visum esset Arsacomæ et Lonchati, et ipsis tractantibus universum negotium, pax facta est.

Talia, Mnesippe, audent facere pro amicis Scythæ.

56. MNES. Omnino tragica, Toxari, et fabulis similia. Atque ignoscat mihi Acinaces ac Ventus per quos jurasti : si quis enim fidem iis neget, non valde videatur reprehendendus.

TOX. Quin vide, generose, ne invidia sit illa vestra credendi cunctatio. Verumtamen non deterrueris me neganda fide, quominus alia quoque de hoc genere dicam, quæ facta a Scythis novi.

MNES. Modo ne longe nimis, vir optime, nec ita solutis usus sermonibus, ut modo sursum deorsum Scythiam Machlyanenque percurrens, et abiens in Bosporum rediensque deinde, meo omnino silentio abusus es.

TOX. Obsequendum hac quoque in re est tibi legislatori, ac dicendum breviter, ne fatigeris, si auribus oberrare nobiscum cogare.

57. Potius audi, quæ mihi ipsi amicus, Sisinnes nomine, præstiterit. Quum enim Athenas domo proficiscerer Græcæ disciplinæ cupiditate, in Ponticam Amastrin navigavi : opportune autem objecta est e Scythia navigantibus hæc urbs, Carambi non multum distans. Sequebatur me Sisinnes, meus a puero inde sodalis. Nos ergo deversorio

ὄν. Ἡμεῖς μὲν οὖν καταγωγήν τινα ἐπὶ τῷ λιμένι σκεψάμενοι καὶ τοῦ πλοίου εἰς αὐτὴν μετασκευασάμενοι ἠγοράζομεν, οὐδὲν πονηρὸν ὑφορώμενοι· ἐν τοσούτῳ δὲ κλῶπές τινες ἀναστάσαντες τὸ κλεῖστρον ἐκφέρουσιν ἅπαντα, ὡς μηδὲ τὰ εἰς ἐκείνην τὴν ἡμέραν διαρκέσοντα καταλιπεῖν. Ἐπανελθόντες οὖν οἰκαδε καὶ τὸ γεγονὸς μαθόντες δικάζεσθαι μὲν τοῖς γείτοσι πολλοῖς οὖσιν ἢ τῷ ξένῳ οὐκ ἐδοκιμάζομεν, δεδιότες μὴ συκοφάνται δόξωμεν τοῖς πολλοῖς λέγοντες, ὡς ὀφείλετο ἡμῶν τις δαρεικοὺς τετρακοσίους καὶ ἐσθῆτα πολλὴν καὶ δάπιδάς τινας καὶ τἆλλα ὁπόσα εἴχομεν.

58. Ἐσκοπούμεθα δὲ περὶ τῶν παρόντων ὅ τι πράξομεν, ἄποροι παντάπασιν ἐν τῇ ἀλλοδαπῇ γενόμενοι· κἀμοὶ μὲν ἐδόκει ὡς εἶχον αὐτοῦ παραβύσαντα ἐς τὴν πλευρὰν τὸν ἀκινάκην ἀπελθεῖν τοῦ βίου πρὶν ἀγεννές τι ὑποστῆναι λιμῷ ἢ δίψει πιεσθέντα, ὁ δὲ Σισίννης παρεμυθεῖτο καὶ ἱκέτευε μηδὲν τοιοῦτον ποιεῖν· αὐτὸς γὰρ ἐπινοήσειν ὅθεν ἔξομεν ἱκανῶς τὰς τροφάς. Καὶ τότε μὲν ξύλα ἐκ τοῦ λιμένος παρεκόμισε καὶ ἦκεν ἡμῖν ἀπὸ τοῦ μισθοῦ ἐπισιτισάμενος. Ἕωθεν δὲ περιιὼν κατὰ τὴν ἀγορὰν εἶδε πομπήν τινα, ὡς ἔφη, γενναίων καὶ καλῶν νεανίσκων· μονομαχεῖν δὲ οὗτοι ἐπὶ μισθῷ ἀνδρολογηθέντες εἰς τρίτην ἡμέραν διαγωνιεῖσθαι ἔμελλον. Καὶ δὴ τὸ πᾶν ὡς εἶχεν ἀμφ' αὐτοὺς πυθόμενος, ἐλθὼν ὡς ἐμέ, Μηκέτι, ὦ Τόξαρι, ἔφη, πένητα σεαυτὸν λέγε, εἰς γὰρ τρίτην ἡμέραν πλούσιόν σε ἀποφανῶ.

59. Ταῦτα εἶπε, καὶ πονηρῶς τὸ μεταξὺ ἀποζήσαντες, ἐνστάσης ἤδη τῆς θέας ἐθεώμεθα καὶ αὐτοί· παραλαβὼν γάρ με ὡς ἐπὶ τερπνόν τι καὶ παράδοξον θέαμα τῶν Ἑλληνικῶν ἄγει εἰς τὸ θέατρον· καὶ καθίσαντες ἐωρῶμεν τὸ μὲν πρῶτον θηρία κατακοντιζόμενα καὶ ὑπὸ κυνῶν διωκόμενα καὶ ἐπ' ἀνθρώπους δεδεμένους ἀφιέμενα κακούργους τινὰς, ὡς εἰκάζομεν. Ἐπεὶ δὲ εἰσῆλθον οἱ μονομάχοι καί τινα παραγαγὼν ὁ κῆρυξ εὐμεγέθη νεανίσκον εἶπεν, ὅστις ἂν ἐθέλῃ τούτῳ μονομαχῆσαι, ἥκειν εἰς τὸ μέσον δραχμὰς ληψόμενον μυρίας μισθὸν τῆς μάχης, ἐνταῦθα ἐξανίσταται ὁ Σισίννης καὶ καταπηδήσας ὑπέστη μαχεῖσθαι καὶ τὰ ὅπλα ᾔτει, καὶ τὸν μισθὸν λαβὼν τὰς μυρίας ἐμοὶ φέρων ἐνεχείρισε, καὶ, Εἰ μὲν κρατήσαιμι, ὦ Τόξαρι, εἶπεν, ἅμα ἀπιμεν ἔχοντες τὰ ἀρκοῦντα, ἢν δὲ πέσω, θάψας με ὑποχώρει ὀπίσω ἐς Σκύθας.

60. Ἐγὼ μὲν ἐπὶ τούτοις ἐκώκυον. Ὁ δὲ λαβὼν τὰ ὅπλα τὰ μὲν ἄλλα περιεδήσατο, τὸ κράνος δὲ οὐκ ἐπέθηκεν, ἀλλ' ἀπὸ γυμνῆς τῆς κεφαλῆς καταστὰς ἐμάχετο· καὶ τὸ μὲν πρῶτον τιτρώσκεται αὐτὸς καμπύλῳ τῷ ξίφει ὑποτμηθεὶς τὴν ἰγνύαν, ὥστε αἷμα ἔρρει πολύ· ἐγὼ δὲ προετεθνήκειν ἤδη τῷ δέει· θρασύτερον δὲ ἐπιφερόμενον τηρήσας τὸν ἀντίπαλον παίει εἰς τὸ στέρνον καὶ διήλασεν, ὥστε αὐτίκα ἐπεπτώκει πρὸ τοῖν ποδοῖν αὐτοῦ· ὁ δὲ κάμνων καὶ αὐτὸς ἀπὸ τοῦ τραύματος ἐπεκάθιζε τῷ νεκρῷ, καὶ μικροῦ δεῖν ἀφῆκεν αὐτὸν ἡ ψυχή· ἀλλ' ἐγὼ προσδραμὼν ἀνέστησα καὶ παρεμυθη-

ad portum quæsito, sarcinulisque de navi in illud translatis, nihil mali suspicati, in forum prodimus. Interea vero fures quidam claustris detractis omnia efferunt, ut nec tantum relinquerent, quantum in illum nobis diem sufficeret. Domum ergo reversis, intellecto quid factum esset, in jus vocare vicinos, qui multi essent, aut hospitem, non placuit, veritis ne sycophantæ plerisque videremur, si diceremus abstulisse nobis aliquem Daricos quadringentos, et vestem multam, et stragula quædam, et quæ habueramus reliqua.

58. Deliberabamus autem de præsenti conditione nostra, quid ageremus, inopes omnium rerum in regione peregrina facti. Ac mihi quidem videbatur, ut habebam, e vestigio adacto in latus acinace de vita abire prius, quam humile quicquam fame aut siti subigente admitterem : at Sisinnes consolans me supplicabat, ne quid tale facerem : se quippe excogitaturum aliquid dicebat, unde quantum ad victum satis esset haberemus. Ac tum quidem ligna de portu bajulavit, venitque comparatis de mercede cibis. Altero vero mane in foro circumiens videt pompam, ut dicebat, fortium et honesta specie juvenum : hi autem pecunia auctorati gladiatores, in tertium diem depugnaturi erant. Jamque omnia de illis uti se haberent percontatus, venit ad me, et, Ne amplius, inquit, pauperem te, Toxari, dicito : tertio enim abhinc die divitem te reddam.

59. Hæc dixit. Atque ægre interjecto tempore vitam tolerantes, instante jam spectaculo, spectamus ipsi quoque : nam me etiam assumtum velut ad jucundum quoddam novumque spectaculum ex Græcorum genere, ducit in theatrum. Jamque spectamus assidentes, primo bestias jaculis confici, et exagitari canibus, et in vinctos quosdam homines, maleficos, ut conjiciebamus, immitti. Ingressis autem gladiatoribus, quum procerum quendam juvenem producens præco ediceret, qui cum hoc pugnare vellet, progrederetur in medium, pugnæ pretium accepturus drachmas decies mille : hic surgit Sisinnes, ac quum desililisset, pugnaturum se recipit, arma poscit, et mercedem acceptam, decies mille drachmas, ad me fert, in manus mihi tradit : ac, Si quidem, inquit, vicero, Toxari, simul abibimus, habituri quod satis est; sin vero cecidero, me sepulto ad Scythas revertere.

60. Ad hæc plorabam equidem. Verum ille armis captis, reliqua induit, galeam vero non imposuit, sed nudo capite consistens pugnabat. Ac primo quidem vulneratur ipse, curvato ense succisus poplitem, sanguis ut copiosus profluereț; ego præ metu pæne ante mortuus eram. At ille observans inferentem se audacius adversarium, percussum illius pectus transadigit, ut statim ante pedes illius concideret : ille autem fessus et ipse vulnere, insidebat mortuo : et parum aberat, quin ipsum quoque anima relinqueret. At accurrens ego excitavi eum et consolatus sum : et quum jam pro vi-

σάμην. Ἐπεὶ δὲ ἀφεῖτο ἤδη νενικηκὼς, ἀράμενος αὐτὸν ἐκόμισα εἰς τὴν οἰκίαν· καὶ ἐπὶ πολὺ θεραπευθεὶς ἐπέζησε μὲν καὶ ἔστι μέχρι νῦν ἐν Σκύθαις γήμας τὴν ἐμὴν ἀδελφὴν, χωλὸς δέ ἐστιν ὅμως ἀπὸ τοῦ τραύματος. Τοῦτο, ὦ Μνήσιππε, οὐκ ἐν Μάχλυσιν οὐδὲ ἐν Ἀλανίᾳ ἐγένετο, ὡς ἀμάρτυρον εἶναι καὶ ἀπιστεῖσθαι, ἀλλὰ πολλοὶ πάρεισιν Ἀμαστριανῶν μεμνημένοι τῆς μάχης τοῦ Σισίννου.

61. Πέμπτον ἔτι σοι τὸ Ἀβαύχα ἔργον διηγησάμενος παύσομαι. Ἦκέ ποτε οὗτος ὁ Ἀβαύχας εἰς τὴν Βορυσθενιτῶν πόλιν ἐπαγόμενος καὶ γυναῖκα, ἧς ἥρα μάλιστα, καὶ παιδία δύο· τὸ μὲν ἐπιμαστίδιον ἄρρεν, τὸ δὲ ἕτερον κόρη ἑπτέτις ἦν· συναπεδήμει δὲ καὶ ἑταῖρος αὐτοῦ Γυνδάνης, οὗτος μὲν καὶ νοσῶν ἀπὸ τραύματος, ὃ ἐτέτρωτο κατὰ τὴν ὁδὸν ὑπὸ λῃστῶν ἐπιπεσόντων σφίσι· διαμαχόμενος γὰρ πρὸς αὐτοὺς ἐλαύνεται εἰς τὸν μηρὸν, ὥστε οὐδὲ ἑστάναι ἐδύνατο ὑπὸ τῆς ὀδύνης. Νύκτωρ δὲ καθευδόντων — ἔτυχον δὲ ἐν ὑπερῴῳ τινὶ οἰκοῦντες — πυρκαϊὰ μεγάλη ἐξανίσταται καὶ πάντα περιεκλείετο καὶ περιεῖχεν ἡ φλὸξ ἁπανταχόθεν τὴν οἰκίαν· ἐνταῦθα δὴ ἀνεγρόμενος ὁ Ἀβαύχας καταλιπὼν τὰ παιδία κλαυθμυριζόμενα καὶ τὴν γυναῖκα ἐκκρεμαμένην ἀποσεισάμενος καὶ σώζειν αὐτὴν παρακελευσάμενος, ἀράμενος τὸν ἑταῖρον κατῆλθε καὶ ἔφθη διεκπαίσας καθ' ὃ μηδέπω τελέως ἀπεκέκαυτο ὑπὸ τοῦ πυρός· ἡ γυνὴ δὲ φέρουσα τὸ βρέφος εἵπετο ἀκολουθεῖν κελεύσασα καὶ τὴν κόρην, ἡ δὲ ἡμίφλεκτος ἀφεῖσα τὸ παιδίον ἐκ τῆς ἀγκάλης μόλις διεπήδησε τὴν φλόγα καὶ ἡ παῖς σὺν αὐτῇ, παρὰ μικρὸν ἐλθοῦσα κἀκείνη ἀποθανεῖν. Καὶ ἐπειδή ὠνείδισέ τις ὕστερον τὸν Ἀβαύχαν, διότι προδοὺς τὰ τέκνα καὶ τὴν γυναῖκα ὁ δὲ Γυνδάνην ἐξεκόμισεν, Ἀλλὰ παῖδας μὲν, ἔφη, καὶ αὖθις ποιήσασθαί μοι ῥᾴδιον καὶ ἄδηλον εἰ ἀγαθοὶ ἔσονται οὗτοι, φίλον δὲ οὐκ ἂν εὕροιμι ἄλλον ἐν πολλῷ χρόνῳ τοιοῦτον οἷος Γυνδάνης ἐστὶ πεῖράν μοι πολλὴν τῆς εὐνοίας παρεσχημένος.

62. Εἴρηκα, ὦ Μνήσιππε, ἀπὸ πολλῶν πέντε τούτους προχειρισάμενος. Ἤδη δὲ καιρὸς ἂν εἴη κεκρίσθαι ὁπότερον ἡμῶν ἢ τὴν γλῶτταν ἢ τὴν δεξιὰν ἀποτετμῆσθαι δέοι. Τίς οὖν ὁ δικάσων ἐστίν;

ΜΝΗΣ. Οὐδὲ εἷς· οὐ γὰρ ἐκαθίσαμέν τινα δικαστὴν τοῦ λόγου. Ἀλλ' οἶσθα ὃ δράσομεν; ἐπειδὴ νῦν ἄσκοπα τετοξεύκαμεν, αὖθις ἑλόμενοι διαιτητὴν ἄλλους ἐπ' ἐκείνῳ εἴπωμεν φίλους, εἶτα ὃς ἂν ἥττων γένηται, ἀποτετμήσεται τότε ἢ ἐγὼ τὴν γλῶτταν ἢ σὺ τὴν δεξιάν. Ἢ τοῦτο μὲν ἄγροικον, ἐπεὶ δὲ καὶ σὺ φιλίαν ἐπαινεῖν ἔδοξας, ἐγὼ δὲ οὐδὲν ἄλλο ἡγοῦμαι ἀνθρώποις εἶναι τούτου κτῆμα ἄμεινον ἢ κάλλιον, τί οὐχὶ καὶ ἡμεῖς συνθέμενοι πρὸς ἡμᾶς αὐτοὺς φίλοι τε αὐτόθεν εἶναι καὶ εἰσαεὶ ἔσεσθαι ἀγαπῶμεν ἄμφω νικήσαντες, τὰ μέγιστα ἆθλα προσλαβόντες, ἀντὶ μιᾶς γλώττης καὶ μιᾶς δεξιᾶς δύο ἑκάτερος ἐπικτησάμενοι καὶ προσέτι γε καὶ ὀφθαλμοὺς τέτταρας καὶ πόδας τέτταρας καὶ ὅλως διπλᾶ πάντα; τοιοῦτόν τι γάρ ἐστι συνελθόντες

ctore dimitteretur, sublatum illum portavi domum. Hic diu curatus, vixit ille quidem, et est nunc adhuc in Scythis, ducta sorore mea, claudus tamen ex vulnere. Hoc, Mnesippe, non inter Machlyes neque in Alania factum est, ut testibus careat et fides illi queat negari; sed multi adsunt Amastrianorum, qui meminerunt pugnæ Sisinnis.

61. Quintum tibi adhuc Abauchæ facinus quum narravero, desinam. Venit quondam hic Abauchas in Borysthenitarum urbem, habens secum uxorem, quam maxime amaret, et liberos duos; alter lactens adhuc puer erat, altera autem septem annorum puella. Socius peregrinationis amicus illius Gyndanes, hic quidem æger etiam a vulnere, quo percussus erat in via a latronibus impetum in ipsos facientibus: dum enim contra hos repugnat, feritur illi femur, ut ne insistere quidem præ dolore posset. Noctu autem dormientibus illis (forte fortuna enim in suprema contignatione deversabantur) incendium oritur magnum; clausa erant circum omnia, circumdederat domum undique flamma. Hic ergo excitatus Abauchas, relictis liberis plorantibus, quum demovisset inhærentem sibi uxorem, ipsamque saluti suæ consulere jussisset, sublato in humeros amico, descendit. Et evasit erumpens ea parte, qua nondum plane igne invalescente arcebatur. Mulier autem infantem gerens sequuta est, sequi se jussa puella: atque ipsa semiustulata infantem ex ulnis passa decidere, vix flammam transiliit, et post illam puella, in præsentissimum ipsa quoque mortis periculum adducta. Et quum postea objiceret aliquis Abauchæ, quod proditis liberis atque uxore exportasset Gyndanem, Verum, inquit, liberos denuo quærere mihi facile est, atque incertum, bonine hi futuri sint; amicum autem non temere invenero alium, talem quidem, qualis est Gyndanes, qui multa mihi benevolentiæ experimenta præstiterit.

62. Dixi, Mnesippe, de magno numero quinque istis depromtis. Jam tempus fuerit judicari, utri nostrûm vel lingua vel dextra amputanda sit. Quis igitur judicabit?

MNES. Nemo: neque enim arbitrum quenquam disputationis constituimus. Sed scin' quid faciamus? quandoquidem nunc temere neque ad scopum jaculati sumus, rursus electo arbitro alios sub illo amicos enarremus: tum qui victus fuerit, mutilabitur, aut lingua ego, aut tu dextra. An potius nimis hoc agreste fuerit? quando autem et tu amicitiam laudare visus es, et ego nullam homini hac possessione aut meliorem puto aut honestiorem: quidni potius etiam nos, pacto inter nos fœdere, amici esse e vestigio et in perpetuum manere satis habemus, victores ambo, maximis ambo potiti præmiis, pro lingua una et una dextra nacti uterque geminas, et insuper oculos quattuor, et pedes quattuor, et in universum gemina omnia? tale quid enim sunt coeuntes duo aut tres amici, qualem Geryonen

δύο ἢ τρεῖς φίλοι, ὁποῖον τὸν Γηρυόνην οἱ γραφεῖς ἐνδείκνυνται, ἄνθρωπον ἑξάχειρα καὶ τρικέφαλον· ἐμοὶ γὰρ δοκεῖ τρεῖς ἐκεῖνοι ἦσαν ἅμα πράττοντες πάντα, ὥσπερ ἐστὶ δίκαιον φίλους γε ὄντας.

63. ΤΟΞ. Εὖ λέγεις· καὶ οὕτω ποιῶμεν.

ΜΝΗΣ. Ἀλλὰ μήτε αἵματος, ὦ Τόξαρι, μήτε ἀκινάκου δεώμεθα τὴν φιλίαν ἡμῖν βεβαιώσοντος· ὁ γὰρ λόγος ὁ παρὼν καὶ τὸ τῶν ὁμοίων ὀρέγεσθαι πολὺ πιστότερα τῆς κύλικος ἐκείνης ἣν πίνετε, ἐπεὶ τά γε τοιαῦτα οὐκ ἀνάγκης, ἀλλὰ γνώμης δεῖσθαί μοι δοκεῖ.

ΤΟΞ. Ἐπαινῶ ταῦτα, καὶ ἤδη ὦμεν φίλοι καὶ ξένοι, ἐμοὶ μὲν σὺ ἐνταῦθα ἐπὶ τῆς Ἑλλάδος, ἐγὼ δὲ σοὶ εἴ ποτε ἐς τὴν Σκυθίαν ἀφίκοιο.

ΜΝΗΣ. Καὶ μὴν εὖ ἴσθι, οὐκ ἂν ὀκνήσαιμι καὶ ἔτι πορρωτέρω ἐλθεῖν, εἰ μέλλω τοιούτοις φίλοις ἐντεύξεσθαι οἷος σὺ, ὦ Τόξαρι, διεφάνης ἡμῖν ἀπὸ τῶν λόγων.

ostendunt pictores, hominem sex manuum et tricipitem. Tres enim, videtur, mihi fuere, simul agentes omnia, ut par erat nimirum, quum essent amici.

63. TOX. Bene sane dicis : et sic agamus.

MNES. Sed neque sanguinem, Toxari, neque acinacen requiramus ad sanciendam amicitiam nostram : præsens enim disputatio, et earundem rerum studium, multum sunt calice illo quem bibitis firmiora : quandoquidem non tam necessitate talia , sed proposito indigere mihi videntur.

TOX. Laudo ista equidem : et jam simus amici et hospites, mihi quidem tu hic in Græcia, ego autem tibi, si in Scythiam aliquando veneris.

MNES. At noris me non pigraturum longius etiam iter ingredi, si tales inventurus sim amicos, qualem te, Toxari, de sermonibus tuis cognitum habemus.

XLII.

* ΛΟΥΚΙΟΣ Η ΟΝΟΣ.

1. Ἀπῄειν ποτὲ ἐς Θετταλίαν· ἦν δέ μοι πατρικόν τι συμβόλαιον ἐκεῖ πρὸς ἄνθρωπον ἐπιχώριον· ἵππος δέ με κατῆγε καὶ τὰ σκεύη καὶ θεράπων ἠκολούθει εἷς. Ἐπορευόμην οὖν τὴν προκειμένην ὁδόν· καί πως ἔτυχον καὶ ἄλλοι ἀπιόντες ἐς Ὕπατα πόλιν τῆς Θετταλίας, ἐκεῖθεν ὄντες· καὶ ἅλῶν ἐκοινωνοῦμεν, καὶ οὕτως ἐκείνην τὴν ἀργαλέαν ὁδὸν ἀνύσαντες πλησίον ἤδη τῆς πόλεως ἦμεν, κἀγὼ ἠρόμην τοὺς Θετταλοὺς, εἴπερ ἐπίστανται ἄνδρα οἰκοῦντα ἐς τὰ Ὕπατα, Ἵππαρχον τοὔνομα. Γράμματα δὲ αὐτῷ ἐκόμιζον οἴκοθεν, ὥστε οἰκῆσαι παρ' αὐτῷ. Οἱ δὲ εἰδέναι τὸν Ἵππαρχον τοῦτον ἔλεγον καὶ ὅπη τῆς πόλεως οἰκεῖ καὶ ὅτι ἀργύριον ἱκανὸν ἔχει καὶ ὅτι μίαν θεράπαιναν τρέφει καὶ τὴν αὐτοῦ γαμετὴν μόνας· ἔστι γὰρ φιλαργυρώτατος δεινῶς. Ἐπεὶ δὲ πλησίον τῆς πόλεως ἐγεγόνειμεν, κῆπός τις ἔνδον ἦν καὶ οἰκίδιον ἀνεκτὸν, ἔνθα ὁ Ἵππαρχος ᾤκει.

2. Οἱ μὲν οὖν ἀσπασάμενοί με ᾤχοντο, ἐγὼ δὲ κόπτω προσελθὼν τὴν θύραν, καὶ μόλις μὲν καὶ βραδέως, ὑπήκουσε δ' οὖν ἡ γυνή, εἶτα καὶ προῆλθεν. Ἐγὼ μὲν ἠρόμην εἰ ἔνδον εἴη ὁ Ἵππαρχος· Ἔνδον, ἔφη· σὺ δὲ τίς ἢ τί βουλόμενος πυνθάνῃ; Γράμματα ἥκω κομίζων αὐτῷ παρὰ Δεκριανοῦ τοῦ Πατρέως σοφιστοῦ. Μεῖνόν με, ἔφη, αὐτοῦ, καὶ τὴν θύραν συγκλείσασα ᾤχετο εἴσω πάλιν· καί ποτε ἐξελθοῦσα κελεύει ἡμᾶς εἰσελθεῖν. Κἀγὼ δὲ παρελθὼν εἴσω ἀσπάζομαι αὐτὸν καὶ τὰ γράμματα ἐπέδωκα. Ἔτυχε δὲ ἐν ἀρχῇ δείπνου ὢν καὶ κατέκειτο ἐπὶ κλινιδίου στενοῦ, γυνὴ δὲ αὐτοῦ καθῆστο πλησίον, καὶ τράπεζα μηδὲν ἔχουσα παρέκειτο. Ὁ δὲ ἐπειδὴ τοῖς γράμμασιν ἐνέτυχεν, Ἀλλ' ὁ μὲν φίλτατος ἐμοὶ, ἔφη, καὶ τῶν Ἑλλήνων

XLII.

* LUCIUS SIVE ASINUS.

1. In Thessaliam aliquando proficiscebar : erat autem mihi quoddam ibi paternum negotium cum ejus regionis homine. Equus unus me et sarcinulas devehebat, servorum sequebatur unus. Sic via proposita pergebam : ac forte quadam alii etiam ibant Hypata, unde erant, Thessaliæ urbem; quorum convictu utebar. Sicque superata illa via difficili, prope jam urbem eramus. Hic ego interrogo Thessalos, nossentne virum Hypatis habitantem, Hipparchum nomine. Epistolam autem illi ferebam domo, uti apud illum deversarer. Illi notum sibi Hipparchum illum dicunt, et quo loco urbis habitet, et argenti ipsum habere satis, et tamen unam modo ancillam alere, suamque uxorem : esse enim supra modum avarissimum. Quum vero prope urbem essemus, hortus intra eam erat, et domuncula tolerabilis, ubi habitabat Hipparchus.

2. Atque illi vale dicto abeunt; ego vero accedens pulso januam. Ac vix quidem et tarde, sed exaudivit tamen mulier, ac deinde etiam progressa est. Rogo, intusne esset Hipparchus : illa ait, esse; Tu vero, inquit, quis es? aut qua de causa quæris? Literas, inquam, illi affero a Decriano Patrensi sophista. Expecta, inquit, me hic; clausaque janua intro rursus abit. Et tandem reversa introire nos jubet. Ingressus ego saluto hominem, et reddo literas. Forte autem cœnare inceperat, in angusto accumbens lectulo; mulier prope ibidem assidebat, et apposita erat mensa vacua. Ipse inspectis literis, Enimvero, inquit, carissimus mihi et præstantissimus Græcorum Decrianus bene facit, quum

ἐξοχώτατος Δεχριανὸς εὖ ποιεῖ καὶ θαρρῶν πέμπει παρ' ἐμὲ τοὺς ἑταίρους τοὺς ἑαυτοῦ· τὸ δὲ οἰκίδιον τὸ ἐμὸν ὁρᾷς, ὦ Λούκιε, ὡς ἔστι μικρὸν μέν, ἀλλὰ εὔγνωμον τὸν οἰκοῦντα ἐνεγκεῖν· ποιήσεις δὲ αὐτὸ σὺ μεγάλην οἰκίαν ἀνεξικάκως οἰκήσας. Καὶ καλεῖ τὴν παιδίσκην, Ὦ Παλαίστρα, δὸς τῷ ἑταίρῳ κοιτῶνα καὶ κατάθες λαβοῦσα εἴ τι κομίζει σκεῦος, εἶτα πέμπε αὐτὸν εἰς βαλανεῖον· οὐχὶ γὰρ μετρίαν ἐλήλυθεν ὁδόν.

3. Ταῦτα εἰπόντος τὸ παιδισκάριον ἡ Παλαίστρα ἄγει με καὶ δείκνυσί μοι κάλλιστον οἰκημάτιον· καὶ, Σὺ μέν, ἔφη, ἐπὶ ταύτης τῆς κλίνης κοιμήσῃ, τῷ δὲ παιδί σου σκιμπόδιον αὐτοῦ παραθήσω καὶ προσκεφάλαιον ἐπιθήσω. Ταῦτα εἰπούσης ἡμεῖς ἀπήειμεν λουσόμενοι δόντες αὐτῇ κριθιδίων τιμὴν εἰς τὸν ἵππον· ἡ δὲ πάντα ἔφερε λαβοῦσα εἴσω καὶ κατέθηκεν. Ἡμεῖς δὲ λουσάμενοι ἀναστρέψαντες εἴσω εὐθὺς παρήλθομεν, καὶ ὁ Ἵππαρχός με δεξιωσάμενος ἐκέλευε συνανακλίνεσθαι μετ' αὐτοῦ. Τὸ δὲ δεῖπνον οὐ σφόδρα λιτόν· ὁ δὲ οἶνος ἡδὺς καὶ παλαιὸς ἦν. Ἐπεὶ δὲ ἐδεδειπνήκειμεν, πότος ἦν καὶ λόγος οἷος ἐπὶ δείπνου ξένου, καὶ οὕτω τὴν ἑσπέραν ἐκείνην πότῳ δόντες ἐκοιμήθημεν. Τῇ δ' ὑστεραίᾳ ὁ Ἵππαρχος ἤρετό με τίς μὲν ἔσται ἡ νῦν μοι ὁδὸς καὶ εἰ πάσαις ταῖς ἡμέραις αὐτοῦ προσμενῶ. Ἄπειμι μέν, ἔφην, ἐς Λάρισσαν, ἔοικα δὲ ἐνταῦθα διατρίψειν τριῶν ἢ πέντε ἡμερῶν.

4. Ἀλλὰ τοῦτο μὲν ἦν σκῆψις· ἐπεθύμουν δὲ σφόδρα μείνας ἐνταῦθα ἐξευρεῖν τινα τῶν μαγεύειν ἐπισταμένων γυναικῶν καὶ θεάσασθαί τι παράδοξον, ἢ πετόμενον ἄνθρωπον ἢ λιθούμενον. Καὶ τῷ ἔρωτι τῆς θέας ταύτης δοὺς ἐμαυτὸν περιῄειν τὴν πόλιν, ἀπορῶν μὲν τῆς ἀρχῆς τοῦ ζητήματος, ὅμως δὲ περιῄειν· κἀν τούτῳ γυναῖκα ὁρῶ προσιοῦσαν ἔτι νέαν, εὐπορουμένην, ὅσον ἦν ἐκ τῆς ὁδοῦ συμβαλεῖν· ἱμάτια γὰρ ἀνθινὰ καὶ παῖδες συχνοὶ καὶ χρυσίον περιττόν. Ὡς δὲ πλησιαίτερον γίγνομαι, προσαγορεύει με ἡ γυνὴ, καὶ ἀμείβομαι αὐτῇ ὁμοίως, καὶ φησὶν, Ἐγὼ Ἄβροιά εἰμι, εἴ τινα τῆς σῆς μητρὸς φίλην ἀκούεις καὶ ὑμᾶς δὲ τοὺς ἐξ ἐκείνης γενομένους φιλῶ ὥσπερ οὓς ἔτεκον αὐτή· τί οὖν οὐχὶ παρ' ἐμοὶ καταλύεις, ὦ τέκνον; Ἀλλά σοι μέν, ἔφην, πολλὴ χάρις, αἰδοῦμαι δὲ οὐδὲν ἀνδρὶ φίλῳ ἐγκαλῶν ἔπειτα φεύγων τὴν ἐκείνου οἰκίαν· ἀλλὰ τῇ γνώμῃ, ὦ φιλτάτη, κατάγομαι παρὰ σοί. Ποῖ δὲ, ἔφη, καὶ κατάγῃ; Παρὰ Ἱππάρχῳ. Τῷ φιλαργύρῳ; ἔφη. Μηδαμῶς, εἶπον, ὦ μῆτερ, τοῦτο εἴπῃς· λαμπρὸς γὰρ καὶ πολυτελὴς γέγονεν εἰς ἐμὲ, ὥστε καὶ ἐγκαλέσαι ἄν τις τῇ τρυφῇ. Ἡ δὲ μειδιάσασα καί με τῆς χειρὸς λαβομένη ἄγει ἀπωτέρω καὶ λέγει πρὸς ἐμὲ, Φυλάττου μοι, ἔφη, τὴν Ἱππάρχου γυναῖκα πάσῃ μηχανῇ· μάγος γάρ ἐστι δεινὴ καὶ μάχλος καὶ πᾶσι τοῖς νέοις ἐπιβάλλει τὸν ὀφθαλμόν· καὶ εἰ μή τις ὑπήκουσεν αὐτῇ, τοῦτον τῇ τέχνῃ ἀμύνεται, καὶ πολλοὺς μετεμόρφωσεν εἰς ζῷα, τοὺς δὲ τέλεον ἀπώλεσε· σὺ δὲ καὶ νέος εἶ, τέκνον, καὶ καλὸς, ὥστε εὐθὺς ἀρέσαι γυναικὶ, καὶ ξένος, πρᾶγμα εὐκαταφρόνητον.

fidenter suos ad me mittit sodales. Vides autem domunculam meam, Luci, quam sit parva illa quidem, sed satis ad ferendum deversorem benigna: feceris autem tu domum magnam, si patienter deverseris. Et vocata ancilla, Palæstra, inquit, trade meo sodali cubiculum, et sumtam ibi depone, si quam habet, sarcinulam: tum in balineum illum deduc; venit enim viam non modicam.

3. Hæc ubi dixerat, ancillula Palæstra ducit me, et pulcherrimum mihi ostendit cubiculum, ac, Tu quidem, ait, hoc in lecto dormies; tuo autem puero grabatulum hic apponam, imposito etiam cervicali. Ista quum dixisset, nos lotum abiimus, dato ipsi hordei pretio pro equo. Illa vero omnia intus allata deposuit. Nos loti, quum redissemus, statim intramus. Hic Hipparchus me complexus jubet secum accumbere. Cœna non nimis tenuis, vinum suave erat et antiquum. Post cœnam compotatio et sermones, ut m cœna hospitali. Et sic ubi vesperam illam dederamus compotationi, cubitum ivimus. Postridie interrogat Hipparchus, quorsum porro irem, et, an toto tempore ibi mansurus essem. Abibo, inquam, Larissam; puto autem hic me mansurum tres aut quinque dies.

4. Verum illa quidem simulatio erat: vehementer autem optabam illic manens invenire aliquam mulierum magicæ artis peritarum, et videre miraculum quoddam, aut volantem hominem, aut in lapidem mutatum. Hujus me spectaculi amori quum dedissem, circumibam per urbem, unde initium quærendi facerem laborans: circumibam tamen. Inter hæc mulierem video accedere, juvenem adhuc, beatam, quantum ex illo per urbem incessu licebat colligere: vestes enim illi floridæ, pueri crebri, aurum multum. Quum vero accessissem propius, salutat me mulier, ego illam vicissim. Tum, Ego, inquit, Abrœa sum, si quam matris tuæ amicam sic vocari audis; et vos ex illa natos non minus amo, quam quos ipsa peperi: quid igitur non apud me deversaris, fili? Ego, Benigne, inquam: sed vereor, quum nihil habeam quod accusem amicum, illius domo fugere: verum animo quidem, carissima, apud te deversor. Ubi vero, inquit, deversaris? Apud Hipparchum. Avarum illum? inquit. Minime vero, inquam, mater, hoc dixeris: splendidus enim et sumtuosus in me quidem fuit; adeo quidem, ut luxum illius accusare aliquis facilius possit. At illa subridens, et manu me prehensum seducens, Cave mihi, inquit, omni ope Hipparchi uxorem: maga enim est pessima, et lasciva, quæ ad juvenes omnes oculum adjiciat; et si quis illi non obsequatur, illum arte sua ulciscitur, et multos mutavit in animalia; alios autem funditus perdidit. Tu vero et adolescens es, fili, et pulcher, ut statim placiturus sis mulieri, præterea hospes, res quam nemo curet magno opere.

5. Ἐγὼ δὲ πυθόμενος ὅτι τὸ πάλαι μοι ζητούμενον οἴκοι παρ' ἐμοὶ κάθηται, προσεῖχον αὐτῇ οὐδὲν ἔτι. Ὡς δέ ποτε ἀφείθην, ἀπῄειν οἴκαδε λαλῶν πρὸς ἐμαυτὸν ἐν τῇ ὁδῷ, ἄγε δὴ σὺ ὁ φάσκων ἐπιθυμεῖν ταύτης τῆς παραδόξου θέας, ἔγειρέ μοι σεαυτὸν καὶ τέχνην εὕρισκε σοφὴν, ᾗ τεύξῃ τούτων ὧν ἐρᾷς, καὶ ἐπὶ τὴν θεράπαιναν τὴν Παλαίστραν ἤδη ἀποδύου — τῆς γὰρ γυναικὸς τοῦ ξένου καὶ φίλου πόρρω ἵστασο — κἀπὶ ταύτης κυλιόμενος καὶ γυμναζόμενος καὶ ταύτῃ συμπλεκόμενος εὖ ἴσθι ὡς ῥᾳδίως γνώσῃ· δοῦλοι γὰρ τὰ δεσποτῶν ἐπίστανται καὶ καλὰ καὶ αἰσχρά. Καὶ ταῦτα λέγων πρὸς ἐμαυτὸν εἰσῄειν οἴκαδε. Τὸν μὲν οὖν Ἵππαρχον οὐ κατέλαβον ἐν τῇ οἰκίᾳ οὐδὲ τὴν ἐκείνου γυναῖκα, ἡ δὲ Παλαίστρα τῇ ἑστίᾳ παρήδρευε δεῖπνον ἡμῖν εὐτρεπίζουσα.

6. Κἀγὼ εὐθὺς ἔνθεν ἐλών, Ὡς εὐρύθμως, ἔφην, ὦ καλὴ Παλαίστρα, τὴν πυγὴν τῇ χύτρᾳ ὁμοῦ συμπεριφέρεις καὶ κινεῖς. Ἡ δὲ ὀσφὺς ἡμῖν ὑγρῶς ἐπικινεῖται. Μακάριος ὅστις ἐνταῦθα ἐνεδάφατο. Ἡ δὲ — σφόδρα γὰρ ἦν ἰταμὸν καὶ χαρίτων μεστὸν τὸ κοράσιον — Φεύγοις ἂν, εἶπεν, ὦ νεανίσκε, εἴ γε νοῦν ἔχοις καὶ ζῆν ἐθέλοις, ὡς πολλοῦ πυρὸς καὶ κνίσης μεστά· ἦν γὰρ αὐτοῦ μόνον ἅψῃ, τραῦμα ἔχων πυρίκαυτον αὐτοῦ μοι παρεδρεύσεις, θεραπεύσει δέ σε οὐδεὶς ἀλλ' οὐδὲ θεὸς ἰατρὸς, ἀλλ' ἡ κατακαύσασά σε μόνη ἐγὼ, καὶ τὸ παραδοξότατον, ἐγὼ μέν σε ποιήσω πλέον ποθεῖν, καὶ τῆς ἀπὸ τῆς θεραπείας ὀδύνης ἀρδόμενος ἀεὶ ἀνθέξῃ καὶ οὐδὲ λίθοις βαλλόμενος τὴν γλυκεῖαν ὀδύνην φεύξῃ. Τί γελᾷς; ἀκριβῶς βλέπεις ἀνθρωπομάγειρον· οὐ γὰρ μόνα ταῦτα φαῦλα ἑδώδιμα σκευάζω, ἀλλ' ἤδη τὸ μέγα τοῦτο καὶ καλὸν, τὸν ἄνθρωπον, οἶδα ἔγωγε καὶ σφάττειν καὶ δέρειν καὶ κατακόπτειν, ἥδιστα δὲ τῶν σπλάγχνων αὐτῶν καὶ τῆς καρδίας ἅπτομαι. Τοῦτο μὲν ὀρθῶς, ἔφην, λέγεις· καὶ γὰρ ἐμὲ πόρρωθεν καὶ μηδὲ ἐγγὺς ὄντα οὐ κατακαύματι μὰ Δί', ἀλλὰ ὅλῳ ἐμπρησμῷ ἐπέθηκας, καὶ διὰ τῶν ὀμμάτων τῶν ἐμῶν τὸ σὸν μὴ φαινόμενον πῦρ κάτω ἐς τὰ σπλάγχνα ταμὰ βίψασα φρύγεις, καὶ ταῦτα οὐδὲν ἀδικοῦντα· ὥστε πρὸς θεῶν ἴασαί με ταύταις αἷς λέγεις αὐτὴ ταῖς πικραῖς καὶ ἡδείαις θεραπείαις, καί με ἤδη ἀπεσφαγμένον λαβοῦσα δεῖρε, ὅπως αὐτὴ θέλεις. Ἡ δὲ μέγα καὶ ἥδιστον ἐκ τούτου ἀνακαχάσασα ἐμὴ τὸ λοιπὸν ἦν, καὶ συνέκειτο ἡμῖν, ὅπως, ἐπειδὰν κατακοιμίσῃ τοὺς δεσπότας, ἔλθῃ εἴσω παρ' ἐμὲ καὶ καθευδήσῃ.

7. Κἀπειδὴ ἀφίκετό ποτε ὁ Ἵππαρχος, λουσάμενοι ἐδειπνοῦμεν καὶ πότος ἦν συχνὸς ἡμῶν ὁμιλούντων· εἶτα τοῦ ὕπνου καταψευσάμενος ἀνίσταμαι καὶ ἔργῳ ἀπῄειν ἔνθα ᾤκουν. Πάντα δὲ τὰ ἔνδον εὖ παρεσκεύαστο· τῷ μὲν παιδὶ ἔξω ὑπέστρωτο, τράπεζα δὲ τῇ κλίνῃ παρειστήκει ποτήριον ἔχουσα· καὶ οἶνος αὐτοῦ παρέκειτο καὶ ὕδωρ ἕτοιμον καὶ ψυχρὸν καὶ θερμόν. Πᾶσα δὲ ἦν αὕτη τῆς Παλαίστρας παρασκευή. Τῶν δὲ στρωμάτων ῥόδα πολλὰ κατεπέπαστο, τὰ μὲν οὕτω γυμνὰ καθ' ἑαυτὰ, τὰ δὲ λελυμένα, τὰ δὲ στεφάνοις συμπεπλεγμένα.

5. At ego audito, domi mihi sedere quod dudum quærebam, nihil amplius ad eam attendi. Dimissus tandem domum dum abeo, hæc apud me in via agito : age sane tu qui cupidum te esse ais admirabilis hujus spectaculi, te mihi excita, et sapiens quoddam inventum comminiscere, quo ea, quorum amore ardes, consequaris : atque in ancillam Palæstram jam accingere (ab uxore enim hospitis et amici longe te remove), atque in hac te volutans atque exercens, hujus in amplexibus, noris facile discere te posse : servi enim dominorum et honesta sciunt et turpia. Hæc mecum agitans domum intro : atque Hipparchum domi non invenio, neque illius uxorem, Palæstra autem circa focum versabatur, parans nobis cœnam.

6. Atque ego statim inde initium sermonis faciens, Quam concinne, inquam, pulchra Palæstra, cum ollula ista nates una circumtorques et flectis! Lumbi autem nobis lubrica titillatione moventur. Felix cui hic intingere contigerit! At illa, ut erat dicacula et venustatum plena puella, Quin *tu ista fugis, inquit, adolescens, si mentem habes et cupis* vivere, ut multo igni et fumo plena. Si enim vel semel attigeris istuc, vulnus ex adustione nactus hic mihi desidebis, neque alius quisquam te, ne deus quidem ille medicus, sanaverit; sed sola ego quæ adussero : et quod maxime admirabile, augebo etiam desiderium tuum, *tuque dolorem* ex curatione semel perfusus usque sectaberis; neque, si quis te lapidibus abigat, dulcem illum dolorem fugies. Quid rides? veram vides hominum coquam. Neque enim sola illa vilia edulia paro, sed etiam magnum illud et pulchrum, hominem, novi ego et jugulare et glubere et concidere; lubentissime autem ipsa viscera, et cor adeo aggredior. Recte sane, inquam, istuc dicis : nam me quidem e longinquo, qui ne prope quidem accesserim, non adussisti per Jovem, sed in totum conjecisti incendium, et per oculos meos tuo illo non apparente igniculo, intus in ipsa mea viscera conjecto, me torres, idque quum nulla te injuria affecerim. Itaque, per deos, sana me amaris illis, quas modo dicebas ipsa, et suavibus curationibus; meque jam jugulatum cape et glube tuo arbitrio. Illa vero in magnum suavissimumque cachinnum effusa, de cetero mea fuit : convenitque inter nos, ut, quum cubitum redditis heris ministrasset, intus ad me veniret et mecum cubaret.

7. Venit tandem Hipparchus; loti cœnamus; crebrescunt inter sermones pocula : deinde somnum fingens surgo, recta abeo ubi commorabar. Omnia hic pulchre parata erant : puero stratum extra januam erat, mensula cum poculo astabat lecto; vinum ibidem appositum, et aqua parata, frigida pariter et calida : omnis ille Palæstræ apparatus erat. Stragula vestis rosis sparsa plurimis, aliis quidem, ut per se sunt, nudis, aliis concerptis, aliis denique in

Κἀγὼ τὸ συμπόσιον εὑρὼν ἕτοιμον ἔμενον τὸν συμπότην.

8. Ἡ δὲ ἐπειδὴ κατέκλινε τὴν δέσποιναν, σπουδῇ παρ' ἐμὲ ἦκε, καὶ ἦν εὐφροσύνη τὸν οἶνον ἡμῶν καὶ τὰ φιλήματα προπινόντων ἀλλήλοις. Ὡς δὲ τῷ ποτῷ παρεσκευάσαμεν ἑαυτοὺς εὖ πρὸς τὴν νύκτα, λέγει πρός με ἡ Παλαίστρα· Τοῦτο μὲν δὴ πάντως δεῖ σε μνημονεύειν, ὦ νεανίσκε, ὅτι εἰς Παλαίστραν ἐμπέπτωκας, καὶ χρή σε νῦν ἐπιδείξαι εἰ γέγονας ἐν τοῖς ἐφήβοις γοργὸς καὶ παλαίσματα πολλὰ ἐμαθές ποτε. Ἀλλ' οὐκ ἂν ἴδοις φεύγοντά με τὸν ἔλεγχον τοῦτον· ὥστε ἀπόδυσαι, καὶ ἤδη παλαίωμεν. Ἡ δὲ, Οὕτως, ἔφη, ὡς ἐγὼ θέλω, παράσχου μοι τὴν ἐπίδειξιν· ἐγὼ μὲν νόμῳ διδασκάλου καὶ ἐπιστάτου τὰ ὀνόματα τῶν παλαισμάτων ὧν ἐθέλω εὑροῦσα ἐρῶ, σὺ δὲ ἕτοιμος γίγνου ἐς τὸ ὑπακούειν καὶ ποιεῖν πᾶν τὸ κελευόμενον. Ἀλλ' ἐπίταττε, ἔφην, καὶ σκόπει ὅπως εὐχερῶς καὶ ὑγρῶς τὰ παλαίσματα καὶ εὐτόνως ἔσται.

9. Ἡ δὲ ἀποδυσαμένη τὴν ἐσθῆτα καὶ στᾶσα ὅλη γυμνὴ ἔνθεν ἤρξατο ἐπιτάττειν, Ὦ μειράκιον, ἔκδυσαι καὶ ἀλειψάμενος ἔνθεν ἐκ τοῦ μύρου συμπλέκου τῷ ἀνταγωνιστῇ· δύο μηρῶν σπάσας κλῖνον ὑπτίαν, ἔπειτα ἀνώτερος ὑποβάλλων διὰ μηρῶν καὶ διαστείλας αἰώρει καὶ τεῖνε ἄνω τὰ σκέλη, καὶ χαλάσας καὶ στήσας, κολλῶ αὐτῷ καὶ παρεισελθὼν βάλε καὶ πρώσας νύττε ἤδη παντὸς ἔως πονέσῃ, καὶ ἡ ὀσφὺς ἰσχυέτω, εἶτα ἐξελκύσας κατὰ πλάτος διὰ βουβῶνος δῆξον, καὶ πάλιν συνώθει εἰς τὸν τοῖχον, εἶτα τύπτε· ἐπειδὰν δὲ χάλασμα ἴδῃς, τότ' ἤδη ἐπιβὰς ἅμμα κατ' ἰξύος δήσας σύνεχε, καὶ πειρῶ μὴ σπεύδειν, ἀλλ' ὀλίγον διακαρτερήσας σύντρεχε. Ἤδη ἀπολέλυσαι.

10. Κἀγὼ ἐπειδὴ ῥᾳδίως πάντα ὑπήκουσα καὶ εἰς τέλος ἡμῖν ἔληξε τὰ παλαίσματα, λέγω πρὸς τὴν Παλαίστραν ἅμα ἐπιγελάσας, Ὦ διδάσκαλε, ὁρᾷς μὲν ὅπως εὐχερῶς καὶ εὐηκόως πεπάλαισταί μοι, σκόπει δὲ, μὴ οὐκ ἐν κόσμῳ τὰ παλαίσματα ὑποβάλλῃς· ἄλλα γὰρ ἐξ ἄλλων ἐπιτάττεις. Ἡ δὲ ἐπὶ κόρρης πλήξασά με, Ὡς φλύαρον, ἔφη, παρέλαβον τὸν μαθητήν. Σκόπει οὖν μὴ πληγὰς ἔτι πλείους λάβῃς ἄλλα καὶ οὐ τὰ ἐπιταττόμενα παλαίων. Καὶ ταῦτα εἰποῦσα ἐπανίσταται καὶ θεραπεύσασα ἑαυτὴν, Νῦν, ἔφη, δείξεις, εἴπερ νέος εἶ καὶ εὔτονος παλαιστὴς καὶ εἰ ἐπίστασαι παλαίειν καὶ ποιεῖν τὰ ἀπὸ γονατίου. Καὶ πεσοῦσα ἐπὶ τοῦ λέχους ἐς γόνυ, Ἄγε δὴ σὺ ὁ παλαιστὴς, ἔχεις τὰ μέσα, ὥστε τινάξας ὀξεῖαν ἐπίπρωσον καὶ βάθυνον. Ψιλὸν ὁρᾷς αὐτοῦ παρακείμενον, τούτῳ χρῆσαι· πρῶτον δὲ κατὰ λόγον, ὡς ἅμμα σφίγγε, εἶτα ἀνακλάσας ἔμβαλλε καὶ σύνεχε καὶ μὴ δίδου διάστημα. Ἐὰν δὲ χαλᾶται, θᾶττον ἐπάρας ἀνώτερον μετάθες καὶ κρούσας κῦψον καὶ σκόπει ὅπως μὴ ἀνασπάσῃς θᾶττον ἢ κελευσθῇς, ἀλλὰ δὴ κυρτώσας πολὺ αὐτὸν ὤφελκε, καὶ ὑποβαλὼν κάτω αὖθις τὴν παρεμβολὴν σύνεχε καὶ κινοῦ, εἶτα ἄφες αὐτόν· πέπτωκε γὰρ καὶ λέλυται καὶ ὕδωρ ὅλος ἔστι σοι ὁ ἀνταγωνιστής. Ἐγὼ δὲ ἤδη μέγα ἀνακορύλλας plexis. Et ego, qui paratam sic compotationem invenissem, compotorem jam meum exspectabam.

8. Atque illa quum cubitum eunti ministrasset heræ, statim ad me venit : delectamurque vinum et oscula propinantes invicem. Quum autem potu nos ad noctem armassemus, ait ad me Palæstra : Hoc quidem omnino meminisse te oportet, adolescens, te in Palæstram incidisse : ostendendum tibi jam est, fuerisne acer inter ephebos, et luctæ genera multa didiceris. Tu vero, inquam, non videbis me refugere examen harum rerum : itaque exue te, jam luctemur. Illa, Sic, inquit, ut ego jubeo, probationem mihi exhibe. Ego quidem more magistri et præsidis, nomina numerorum, quos volo, inveniam atque dicam : tu vero paratus esto ad obediendum, et imperata omnia faciendum. Quin tu impera, inquam, et vide quam dextre, quam mobiliter, quam contente fiant omnia.

9. Ipsa ergo exutis vestimentis, nuda tota astans imperare hinc incepit, Adolescentule, exue te, et ubi de isto te unguento unxeris, adversarium complectere. Femur stringens utrumque supinam reclina : tum superior ipse subjiciens te inter femora, eaque distinens, tolle et sursum tende crura : tum demittens atque insistens, illi inhære; ac subiens feri, et usque urgens fode jam undique donec defatigeris : robusti sint etiam lumbi : tum extractum telum secundum latitudinem per ipsum inguen adige : et rursus ad parietem impelle; deinde percute. Ubi vero laxum quid videris, tunc jam inscendens, et circa lumbos constringens, contine, et tenta non festinare; sed paullum ubi te continueris, tum concurre. Jam dimissus es.

10. Atque ego quum facile in omnibus obsecutus essem, et denique finiti nobis essent numeri; ridens simul dico Palæstræ, vides, magister, quam dextre et obsequiose mihi pugnatum sit. Vide vero, ne præter decus numeros subjicias : alia enim post alia injungis. Illa vero alapam mihi infligens, Quam nugacem, inquit, recepi tironem. Vide ergo ne plures etiam plagas accipias, si alios, neque eos, qui injuncti tibi erunt, numeros lucteris. Hisque dictis surgit, et curato corpore, Jam, inquit, ostendes utrum juvenis sis et nervosus luctator, luctarine scias, et geniculatum opus edere. Atque in lecto concidens in genu, Age sane, ait, luctator, habes media : quatiens ergo acutam, protrude intro et fode profunde. Nudum vides hic expositumque jacere, hoc utere : primo autem, ut ratio postulat, velut nodum stringe; deinde plicatum impelle et contine, et cave concedas intervallum. Si vero laxetur, celerius instans transfer altius, et impelle, irrue, et cave ne celerius imperato retrahas : sed multum incurvans illum, femora subtrahe; ac infra rursus irruptionem subjiciens contine, teque move : deinde illum dimitte; decidit enim et solutus est, et aqua totus est tuus adversarius. Ego

γελῶν, Ἐθέλω, ἔφην, καὶ αὐτὸς, ὦ διδάσκαλε, παλαίσματα ὀλίγ' ἄττα ἐπιτάξαι, σὺ δὲ ὑπάκουσον ἐπαναστᾶσα καὶ κάθισον, εἶτα δοῦσα κατὰ χειρὸς παράψα τὸ λοιπὸν καὶ καταμάθετου, καί με πρὸς τοῦ Ἡρακλέους περιλαβοῦσα ἤδη κοίμισον.

11. Ἐν τοιαύταις ἡδοναῖς καὶ παιδιαῖς παλαισμάτων ἀγωνιζόμενοι νυκτερινοὺς ἀγῶνας ἐστεφανούμεθα, καὶ ἦν πολλὴ μὲν ἐν τούτῳ τρυφή· ὥστε τῆς εἰς τὴν Λάρισσαν ὁδοῦ παντάπασιν ἐπιλελήσμην. Καί ποτε ἐπὶ νοῦν μοι ἦλθε τὸ μαθεῖν ὧν ἕνεκα ἤθλουν, καὶ φημὶ πρὸς αὐτὴν, Ὦ φιλτάτη, δεῖξόν μοι μαγγανεύουσαν ἢ μεταμορφουμένην τὴν δέσποιναν· πάλαι γὰρ τῆς παραδόξου ταύτης θέας ἐπιθυμῶ. Μᾶλλον δ' εἴ τι σὺ οἶδας, αὐτὴ μαγγάνευσον, ὥστε φανῆναί μοι ἄλλην ἐξ ἄλλης ὄψιν. Οἶμαι δὲ καὶ σὲ οὐκ ἀπείρως τῆσδε τῆς τέχνης ἔχειν· τοῦτο δὲ οὐ παρ' ἑτέρου μαθὼν, ἀλλὰ παρὰ τῆς ἐμαυτοῦ ψυχῆς λαβὼν οἶδα, ἐπεί με τὸν πάλαι ἀδαμάντινον, ὡς ἔλεγον αἱ γυναῖκες, ἐς μηδεμίαν γυναῖκα τὰ ὄμματα ταῦτα ἐρωτικῶς ποτε ἐκτείναντα συλλαβοῦσα τῇ τέχνῃ ταύτῃ αἰχμάλωτον ἔχεις ἐρωτικῷ πολέμῳ ψυχαγωγοῦσα. Ἡ δὲ Παλαίστρα, Παῦσαι, φησὶ, προσπαίζων. Τίς γὰρ ᾠδὴ δύναται μαγεῦσαι τὸν ἔρωτα, ὄντα τῆς τέχνης κύριον; Ἐγὼ δὲ, ὦ φίλτατε, τούτων μὲν οἶδα οὐδὲν μὰ τὴν κεφαλὴν τὴν σὴν καὶ τήνδε τὴν μακαρίαν εὐνήν· οὐδὲ γὰρ γράμματα ἔμαθον, καὶ ἡ δέσποινα βάσκανος οὖσα τυγχάνει εἰς τὴν αὐτῆς τέχνην· εἰ δέ μοι καιρὸς ἐπιτρέψει, πειράσομαι παρασχεῖν σοι τὸ ἰδεῖν μεταμορφουμένην τὴν κεκτημένην. Καὶ τότε μὲν ἐπὶ τούτοις ἐκοιμήθημεν.

12. Ἡμέραις δὲ ὕστερον οὐ πολλαῖς ἀγγέλλει πρός με ἡ Παλαίστρα ὡς ἡ δέσποινα αὐτῆς μέλλοι ὄρνις γενομένη πέτεσθαι πρὸς τὸν ἐρώμενον. Κἀγὼ, Νῦν, ἔφην, ὁ καιρὸς, ὦ Παλαίστρα, τῆς εἰς ἐμὲ χάριτος, ἣ νῦν ἔχεις τὸν σαυτῆς ἱκέτην ἀναπαῦσαι πολυχρονίου ἐπιθυμίας. Θάρρει, ἔφη. Κἀπειδὴ ἑσπέρα ἦν, ἄγει με λαβοῦσα πρὸς τὴν θύραν τοῦ δωματίου, ἔνθα ἐκεῖνοι ἐκάθευδον, καὶ κελεύει με προσάγειν ὀπῇ τινι τῆς θύρας λεπτῇ καὶ σκοπεῖν τὰ γιγνόμενα ἔνδον. Ὁρῶ οὖν τὴν μὲν γυναῖκα ἀποδυομένην. Εἶτα γυμνὴ τῷ λύχνῳ προσελθοῦσα καὶ χόνδρους δύο λαβοῦσα τὸν μὲν λιβανωτὸν τῷ πυρὶ τοῦ λύχνου ἐπέθηκε καὶ στᾶσα πολλὰ τοῦ λύχνου κατελάλησεν· εἶτα κιβώτιον ἀρρὸν ἀνοίξασα, πάνυ πολλὰς ἔχον πυξίδας ἐν αὐτῷ, ἔνθεν ἀναιρεῖται καὶ προφέρει μίαν· ἡ δὲ εἶχεν ἐμβεβλημένον ὅ τι μὲν οὐκ οἶδα, τῆς δὲ ὄψεως αὐτῆς ἕνεκα ἔλαιον αὐτὸ ἐδόκουν εἶναι. Ἐκ τούτου λαβοῦσα χρίεται ὅλη, ἀπὸ τῶν ὀνύχων ἀρξαμένη τῶν κάτω, καὶ ἄφνω πτερὰ ἐκφύεται αὐτῇ, καὶ ἡ ῥὶν κερατίνη καὶ γρυπὴ ἐγένετο, καὶ τἆλλα δὲ ὅσα ὀρνίθων κτήματα καὶ σύμβολα πάντα εἶχε· καὶ ἦν ἄλλο οὐδὲν ἢ κόραξ νυκτερινός. Ἐπεὶ δὲ εἶδεν ἑαυτὴν ἐπτερωμένην, κρώξασα δεινὸν καὶ οἷον ἐκεῖνο οἱ κόρακες, ἀναστᾶσα ᾤχετο πετομένη ἔξω διὰ τῆς θυρίδος.

13. Ἐγὼ δὲ ὄναρ ἐκεῖνο οἰόμενος ὁρᾶν τοῖς δακτύλοις τῶν ἐμαυτοῦ βλεφάρων ἥπτόμην, οὐ πιστεύων τοῖς

vero, clarum jam videns, Volo, inquam, ipse quoque, magister, numeros paucos quosdam imperare : tu vero obedi, surge, et assideinde in manum præbens, tracta ceterum, et subige, et me, per Herculem, complexa, jam sopi.

11. Ejusmodi libidinibus et ludicris colluctationibus nocturna certantes certamina, coronabamus nos invicem : ac tam profusa erat hac in re voluptas, ut itineris Larissam suscepti omnino obliviscerer. Ac tandem in mentem mihi venit illud etiam discere, cujus rei causa luctabar : et dico ad illam, Ostende mihi, carissima, præstigias facientem aut transformantem se heram tuam : olim enim cupidus sum admirabilis hujus spectaculi. Potius vero si quid tu nosti, ipsa fac præstigias, ut appareat mihi alia ex alia species. Puto enim te nec imperitam hujus artis esse : idque non ab alio auditum, sed a meo acceptum animo scio : quandoquidem me adamantinum illum quondam : uti mulieres dicebant, quique in nullam unquam mulierem oculos hosce amatorie intenderim, comprehensum illa arte tua captivum tibi habes, amatorio illo bello anima tibi ipsa devinctum. At Palæstra, Desine, inquit, jocari. Quod enim carmen conciliare amorem possit, artis ipsius dominum? Ego vero, dulcissime, horum nihil quicquam novi, caput tuum juro et felicem hunc nostrum lectulum : neque enim literas didici, et invida hera est quantum ad illam suam artem. Si vero tempus tulerit, studebo an præbere tibi possim videndam, dum transformatur, dominam. Ac tum quidem inter hæc obdormivimus.

12. Diebus vero non multis post defert ad me Palæstra, velle dominam suam sumta avis specie volare ad amasium. Et ego, Nunc, inquam, tempus est, Palæstra, tui in me beneficii, quo nunc potes tui supplicis longam cupiditatem sedare. Bono, inquit, animo esto. Et, quum vespera erat, prehensum ducit me ad januam cubiculi, ubi illi quiescebant, jubetque applicare oculos rimæ in janua tenui, et quæ fierent speculari. Video igitur exuere se mulierem. Tum nuda ad lucernam accedens, sumtà turis grana duo in ignem lucernæ imposuit, stansque multa ad lucernam loquebatur. Tum grandiuscula cistella aperta, quæ pyxides plurimas haberet, aufert inde promitque unam, quæ haberet infusum aliquid, quid fuerit non novi, quantum ad speciem ipsam quidem, oleum esse putabam. De hoc igitur su mens tota se inungit, ab unguibus incipiens inferioribus, et subito pennæ illi enascuntur, et nasus corneus fit atque aduncus : verum et reliqua, quæcumque avium propria et signa sunt, habet omnia; neque quicquam est aliud, quam corvus nocturnus. Quum autem pennatam se videret, terribile quiddam crocitans et quale corvi, tollens se per fenestram evolat.

13. Ego vero, qui somnium illud me videre putarem, palpebras ipse meas contingebam digitis, qui oculis ipse meis

ἐμαυτοῦ ὀφθαλμοῖς οὔθ' ὅτι βλέπουσιν οὔθ' ὅτι ἐγρηγόρασιν. Ὡς δὲ μόλις καὶ βραδέως ἐπείσθην ὅτι μὴ καθεύδω, ἐδεόμην τότε τῆς Παλαίστρας πτερῶσαι κἀμὲ καὶ χρίσασαν ἐξ ἐκείνου τοῦ φαρμάκου ἔᾶσαι πέτεσθαί με· ἠβουλόμην γὰρ πείρᾳ μαθεῖν εἰ μεταμορφωθεὶς ἐκ τοῦ ἀνθρώπου καὶ τὴν ψυχὴν ὄρνις ἔσομαι. Ἡ δὲ τὸ δωμάτιον ὑπανοίξασα κομίζει τὴν πυξίδα. Ἐγὼ δὲ σπεύδων ἤδη ἀποδύσας χρίω ὅλον ἐμαυτὸν, καὶ ὄρνις μὲν οὐ γίγνομαι ὁ δυστυχής, ἀλλά μοι οὐρὰ ὄπισθεν ἐξῆλθε, καὶ οἱ δάκτυλοι πάντες ὤχοντο οὐκ οἶδ' ὅποι· ὄνυχας δὲ τοὺς πάντας τέτταρας εἶχον, καὶ τούτους οὐδὲν ἄλλο ἢ ὁπλάς, καί μοι αἱ χεῖρες καὶ οἱ πόδες κτήνους πόδες ἐγένοντο, καὶ τὰ ὦτα δὲ μακρὰ καὶ τὸ πρόσωπον μέγα. Ἐπεὶ δὲ κύκλῳ περιεσκόπουν, ἐμαυτὸν ἑώρων ὄνον, φωνὴν δὲ ἀνθρώπου ἐς τὸ μέμψασθαι τὴν Παλαίστραν οὐκέτι εἶχον. Τὸ δὲ χεῖλος ἐκτείνας κάτω καὶ αὐτῷ δὴ τῷ σχήματι ὡς ὄνος ὑποβλέπων ἠτιώμην αὐτὴν, ὅση δύναμις, ὄνος ἀντὶ ὄρνιθος γενόμενος.

14. Ἡ δὲ ἀμφοτέραις ταῖς χερσὶ τυψαμένη τὸ πρόσωπον, Τάλαινα, εἶπεν, ἐγὼ, μέγα εἴργασμαι κακόν· σπεύσασα γὰρ ἥμαρτον ἐν τῇ ὁμοιότητι τῶν πυξίδων καὶ ἄλλην ἔλαβον οὐχὶ τὴν τὰ πτερὰ φύουσαν. Ἀλλὰ θάρρει μοι, ὦ φίλτατε· ῥᾴστη γὰρ ἡ τούτου θεραπεία· ῥόδα γὰρ μόνα εἰ φάγοις ἀποδύσῃ μὲν αὐτίκα τὸ κτῆνος, τὸν δὲ ἐραστήν μοι τὸν ἐμὸν αὖθις ἀποδώσεις. Ἀλλά μοι, ὦ φίλτατε, τὴν μίαν νύκτα ταύτην ὑπόμεινον ἐν τῷ ὄνῳ, ὄρθρου δὲ δραμοῦσα οἴσω σοι ῥόδα καὶ φαγὼν ἰαθήσῃ. Ταῦτα εἶπε καταψηλαφήσασά μου τὰ ὦτα καὶ τὸ λοιπὸν δέρμα.

15. Ἐγὼ δὲ τὰ μὲν ἄλλα ὄνος ἦμην, τὰς δὲ φρένας καὶ τὸν νοῦν ἄνθρωπος ἐκεῖνος ὁ Λούκιος, δίχα τῆς φωνῆς. Πολλὰ οὖν κατ' ἐμαυτὸν μεμψάμενος τὴν Παλαίστραν ἐπὶ τῇ ἁμαρτίᾳ δακὼν τὸ χεῖλος ἀπῄειν ἔνθα ἠπιστάμην ἑστῶτα τὸν ἐμαυτοῦ ἵππον καὶ ἄλλον ἀληθινὸν ὄνον τὸν Ἱππάρχου. Οἱ δὲ αἰσθόμενοί με εἴσω παριόντα, δείσαντες μὴ τοῦ χόρτου κοινωνὸς αὐτοῖς ἐπεισέρχομαι, τὰ ὦτα κατακλίναντες ἕτοιμοι ἦσαν τοῖς ποσὶν ἀμύνειν τῇ γαστρί· κἀγὼ συνεὶς πορρωτέρω ποι τῆς φάτνης ἀποχωρήσας ἑστὼς ἐγέλων, ὁ δέ μοι γέλως ὀγκηθμὸς ἦν. Ταῦτα δ' ἄρ' ἐνενόουν πρὸς ἐμαυτόν· ὦ τῆς ἀκαίρου ταύτης περιεργίας· τί δὲ, εἰ λύκος παρεισέλθοι ἢ ἄλλο τι θηρίον; κινδυνεύσαι μοι μηδὲν κακὸν πεποιηκότι διαφθαρῆναι. Ταῦτα ἐννοῶν ἠγνόουν ὁ δυστυχὴς τὸ μέλλον κακόν.

16. Ἐπεὶ γὰρ ἦν ἤδη νὺξ βαθεῖα καὶ σιωπὴ πολλὴ καὶ ὕπνος ὁ γλυκὺς, ψοφεῖ μὲν ἔξωθεν ὁ τοῖχος ὡς διορυττόμενος, καὶ διωρύττετό γε, καὶ ὀπὴ ἤδη ἐγεγόνει ἄνθρωπον δέξασθαι δυναμένη, καὶ εὐθὺς ἄνθρωπος ταύτῃ παρῄει καὶ ἄλλος ὁμοίως, καὶ πολλοὶ ἔνδον ἦσαν καὶ πάντες εἶχον ξίφη. Εἶτα καταδήσαντες ἔνδον ἐν τοῖς δωματίοις τὸν Ἵππαρχον καὶ τὴν Παλαίστραν καὶ τὸν ἐμὸν οἰκέτην ἀδεῶς ἤδη τὴν οἰκίαν ἐκένουν τά τε χρήματα καὶ τὰ ἱμάτια καὶ τὰ σκεύη κομίζοντες ἔξω. Ὡς δὲ οὐδὲν ἄλλο ἔνδον κατελείπετο, λαβόντες ἐμέ τε καὶ

non crederem, vel videre eos vel vigilare. Quum autem vix tandem ac tarde mihi persuasissem me non dormire, rogabam tum Palæstram ut pennas etiam mihi adderet, et ex illo unguento unctum volare me sineret. Volebam enim experimento discere utrum transformatus ex homine, deinde etiam quantum ad animam avis essem futurus. Atque illa aperto clam cubiculo affert pyxidem. Et ego urgens opus, exutus totum me ungo, et avis quidem miser non fio, sed cauda mihi de postico exit, et digiti omnes nescio quo abeunt; ungues autem universos non nisi quattuor habebam, eosque nihil aliud quam ungulas; manusque mihi ac pedes jumenti pedes fiebant; et aures longuæ, et facies magna. Circumcirca autem me aspiciens, asinum me esse video, ac vocem hominis ad conquerendum cum Palæstra non amplius habebam. Interim labio deorsum protenso, et ipso denique habitu asinino, obliquum respiciens, cum illa, quantum poteram, expostulabam, quod asinus pro volucri factus essem.

14. At illa ambabus manibus faciem suam percutiens, Misera ego, inquit, magnum feci malum; præ festinatione enim in pyxidum similitudine peccavi, et aliam arripui, non eam quæ pennas producit. Sed bono es animo, dulcissime: facillima enim horum medicina. Si enim rosas modo comederis, exues e vestigio jumentum, amatoremque mihi meum reddes. Sed tu mihi, carissime, unicam modo hanc noctem perdura in asino, summo mane curriculo tibi rosas afferam, quibus comesis sanabere. Hæc dum dicit, aures mihi et reliquam cutem demulcet.

15. At ego quantum ad reliqua eram asinus, mentem vero atque animum homo, ille Lucius, voce excepta. Multum igitur intra me Palæstram accusans illius peccati causa, labra mordens illuc abeo, ubi stare equum meum noveram, et alium verum asinum Hipparchi. Hi sentientes me intrare, ac metuentes ne de fœno illorum partem ablaturus advenissem, demissis auribus parati erant pedibus ventrem ulcisci. Quo ego animadverso, longius a præsepi recessi ac stans ridebam: ruditus vero erat risus meus. Hæc igitur apud me cogitabam, Vah intempestivam curiositatem! Quid vero si lupus huc intraret aut alia bestia? in periculum venio, qui mali nihil fecerim, pereundi. Hæc ita cogitans ignorabam infelix instans malum.

16. Quum enim nox profunda jam esset et multum silentium et somnus dulcis, strepitum dat extra murus, velut perfoderetur, et perfodiebatur etiam, jamque lacuna facta erat, quæ capere hominem posset: statimque homo ea intrat, et alius similiter. Jam multi intus erant, gladiis armati omnes. Tum vinctis intra in cubiculis Hipparcho et Palæstra et meo servo, sine metu jam domum totam deprædantur, pecuniasque et vestes et supellectilem exportant. Quum vero nihil aliud reliquum intus esset, ducentes me et alterum asinum et equum, ditellis ornant; tum,

τὸν ἄλλον ὄνον καὶ τὸν ἵππον ἐπέσαξαν, ἔπειτα ὅσα ἐβάστασαν, ἐπικατέδησαν ἡμῖν. Καὶ οὕτω μέγα ἄχθος φέροντας ἡμᾶς ξύλοις παίοντες ἤλαυνον εἰς τὸ ὄρος ἀτρίπτῳ ὁδῷ φεύγειν πειρώμενοι. Τὰ μὲν οὖν ἄλλα κτήνη οὐκ ἔχω εἰπεῖν ὅ τι ἔπασχεν, ἐγὼ δὲ ἀνυπόδητος ἀσυνήθης ἀπιὼν πέτραις ὀξείαις ἐπιβαίνων, τοσαῦτα σκεύη φέρων ἀπωλλύμην. Καὶ πολλάκις προσέπταιον, καὶ οὐκ ἦν ἔξον καταπεσεῖν, καὶ εὐθὺς ἄλλος ὄπισθεν κατὰ τῶν μηρῶν ἔπαιε ξύλῳ. Ἐπεὶ δὲ πολλάκις, ὦ Καῖσαρ, ἀναβοῆσαι ἐπεθύμουν, οὐδὲν ἄλλο ἢ ὠγκώμην, καὶ τὸ μὲν ὦ μέγιστον καὶ εὐφωνότατον ἐβόων, τὸ δὲ Καῖσαρ οὐκ ἐπηκολούθει. Ἀλλὰ μὴν καὶ δι' αὐτὸ τοῦτο ἐτυπτόμην ὡς προδιδοὺς αὐτοὺς τῷ ὀγκηθμῷ. Μαθὼν οὖν ὅτι ἄλλως ἐβόων, ἔγνων σιγῇ προϊέναι καὶ κερδαίνειν τὸ μὴ παίεσθαι.

17. Ἐπὶ τούτῳ ἡμέρα τε ἤδη ἦν, καὶ ἡμεῖς ὄρη πολλὰ ἀναβεβήκειμεν, καὶ στόματα δὲ ἡμῶν δεσμῷ ἐπείχετο, ὡς μὴ περιβοσκόμενοι τὴν ὁδὸν ἐς τὸ ἄριστον ἀναλίσκοιμεν· ὥστε ἐς τὴν τότε καὶ ἔμεινα ὄνος. Ἐπεὶ δὲ ἦν αὐτὸ τὸ μέσον τῆς ἡμέρας, καταλύομεν εἴς τινα ἔπαυλιν συνήθων ἐκείνοις ἀνθρώπων, ὅσον ἦν ἐκ τῶν γιγνομένων σκοπεῖν· καὶ γὰρ φιλήμασιν ἠσπάζοντο ἀλλήλους καὶ καταλύειν ἐκέλευον αὐτοὺς οἱ ἐν τῇ ἐπαύλει καὶ παρέθηκαν ἄριστον καὶ τοῖς κτήνεσιν ἡμῖν παρέβαλον κριθία. Καὶ οἱ μὲν ἠρίστων, ἐγὼ δὲ ἐπείνων μὲν κακῶς· ἀλλ' ἐπειδὴ οὕπω τότε κριθὰς ὠμὰς ἠριστήκειν, ἐσκοπούμην ὅ τι καὶ καταφάγοιμι. Ὁρῶ δὲ κῆπον αὐτοῦ ἀπίσω τῆς αὐλῆς· καὶ εἶχε λάχανα πολλὰ καὶ καλὰ καὶ ῥόδα ὑπὲρ αὐτῶν ἐφαίνετο· κἀγὼ λαθὼν πάντας τοὺς ἔνδον ἀσχολουμένους περὶ τὸ ἄριστον ἔρχομαι ἐπὶ τὸν κῆπον, τοῦτο μὲν ὠμῶν λαχάνων ἐμπλησθησόμενος, τοῦτο δὲ τῶν ῥόδων ἕνεκα· ἐλογιζόμην γὰρ ὅτι ὄψεται φαγὼν τῶν ἀνθέων πάλιν ἄνθρωπος ἔσομαι. Εἶτα ἐμβὰς εἰς τὸν κῆπον θριδάκων μὲν καὶ ῥαφανίδων καὶ σελίνων, ὅσα ὠμὰ ἐσθίει ἄνθρωπος, ἐνεπλήσθην· τὰ δὲ ῥόδα ἐκεῖνα οὐκ ἦν ῥόδα ἀληθινά, τὰ δ' ἦν ἐκ τῆς ἀγρίας δάφνης φυόμενα· ῥοδοδάφνην αὐτὰ καλοῦσιν οἱ ἄνθρωποι, κακὸν ἄριστον ὄνῳ τοῦτο παντὶ καὶ ἵππῳ· φασὶ γὰρ τὸν φαγόντα ἀποθνήσκειν αὐτίκα.

18. Ἐν τούτῳ ὁ κηπουρὸς αἰσθόμενος καὶ ξύλον ἁρπάσας, εἰσελθὼν εἰς τὸν κῆπον καὶ τὸν πολέμιον ἰδὼν καὶ τῶν λαχάνων τὸν ὄλεθρον, ὥσπερ τις δυνάστης μισοπόνηρος κλέπτην λαβὼν οὕτω με συνέκοψε τῷ ξύλῳ, μήτε πλευρῶν φεισάμενος μήτε μηρῶν, καὶ μὴν καὶ τὰ ὦτά μου κατέκλασε καὶ τὸ πρόσωπόν μου συνέτριψεν. Ἐγὼ δὲ οὐκέτ' ἀνεχόμενος ἀπολακτίσας ἀμφοτέροις καὶ καταβαλὼν ὕπτιον ἐπὶ τῶν λαχάνων ἔφευγον ἄνω ἐς τὸ ὄρος. Ὁ δὲ ἐπειδὴ εἶδε δρόμῳ ἀπιόντα, ἀνέκραγε λῦσαι τοὺς κύνας ἐπ' ἐμοί· οἱ δὲ κύνες πολλοί τε ἦσαν καὶ μεγάλοι καὶ ἄρκτοις μάχεσθαι ἱκανοί. Ἔγνων ὅτι δὴ διασπάσονταί με οὗτοι λαβόντες, καὶ ὀλίγον ἐκπεριελθὼν ἔκρινα τοῦτο δὴ τὸ τοῦ λόγου, « παλινδρομῆσαι μᾶλλον ἢ κακῶς δραμεῖν. » Ὀπίσω οὖν ἀπῄειν καὶ εἴσειμι αὖθις εἰς τὴν ἔπαυλιν. Οἱ δὲ τοὺς μὲν κύνας

quæ exportaverant, imposita nobis deligant. Et ita nos, magnum ferentes onus, fustibus tunsos agunt, qui in montem via minus trita fugere tentarent. Quid reliqua jumenta sint passa, non habeo dicere : ego vero non soleatus insuetusque incedens, per acutas rupes ingrediens, tot gerens sarcinas, peribam. Et sæpe offendebam, ac ne licebat quidem cadere, quum statim alius a tergo femora fusti subinde percuteret. Quumque sæpe, o Cæsar! proclamare cuperem, nihil aliud quam rudebam, quum O quidem maximum et vocalissimum exiret, Cæsar autem non sequeretur. Verum hoc ipso quoque nomine pulsabar, qui ruditu illos proderem. Sentiens ergo me frustra clamare, decrevi silentio pergere, et compendifacere plagas.

17. Inter hæc jam dies erat, et nos montes multos superaveramus; ora autem nostra capistro erant revincta, ne circumpascentes viam consumeremus in prandio : itaque perrexi tunc et mansi asinus. Medio ipso die devertimus in stabulum quoddam familiarium illis hominum, quantum ex his, quæ fiebant, licebat videre. Etenim osculo se invicem salutabant, et devertere illos apud se jubebant stabulari : apponunt etiam prandium, nobis autem jumentis objiciunt hordea. Ac reliqui prandent, ego vero misere esurio : et quum nunquam hordea cruda pransus essem, circumspiciebam quod comederem. Video autem hortum ibi post aulam, qui olera multa haberet et bona : rosæ etiam super ista videbantur. Hic ego nemini animadversus eorum omnium qui intus erant, qui nempe occupati essent in prandio, venio ad hortum partim impleturus ventrem crudis oleribus, partim rosarum causa. Putabam quippe me comesis floribus hominem iterum futurum. Tum ingressus hortum, lactucis quidem, et raphanis, et apiis, quæ cruda homo comedit, me implevi : verum rosæ illæ veræ rosæ non erant; sed erant e lauro agresti enatæ rosæ : rosam lauream vocant homines : malum hoc prandium asino unicuique et equo; aiunt enim eum qui comederit statim mori.

18. Inter hæc sentiens olitor, arreptoque fusti hortum ingressus, vidensque hostem et perniciem olerum, non aliter quam severus in maleficos aliquis dynasta captum furem, fuste me concidit, neque costis parcens neque femoribus : quin et aures mihi confregit, et contrivit faciem. Ego autem non ultra patiens, calcibus rejectis supinum prosterno in olera, atque versus montem aufugio. Ille quum videret me cursu abire, clamavit ut immitterentur in me canes. Erant vero canes multi et magni, etiam cum ursis pugnare idonei. Intellexi igitur illos me, si capiant, discerpturos esse : paullum itaque circumiens decrevi quod est in proverbio « retro currere potius, quam male currere. » Retro eo igitur, et stabulum iterum ingredior. Illi canibus, qui cursu

δρόμῳ ἐπιφερομένους ἐδέξαντο καὶ κατέδησαν, ἐμὲ δὲ παίοντες οὐ πρότερον ἀφῆκαν πρὶν ἢ ὑπὸ τῆς ὀδύνης πάντα τὰ λάχανα κάτωθεν ἐξεμέσαι.

19. Καὶ μὴν ὅτε ὁδοιπορεῖν ὥρα ἦν, τὰ βαρύτατα τῶν κλεμμάτων καὶ τὰ πλεῖστα ἐμοὶ ἐπέθηκαν· κἀκεῖθεν τότε οὕτως ἐξελαύνομεν. Ἐπεὶ δὲ ἀπηγόρευον ἤδη παιόμενός τε καὶ τῷ φορτίῳ ἀχθόμενος καὶ τὰς ὁπλὰς ἐκ τῆς ὁδοῦ ἐκτετριμμένος, ἔγνων αὐτοῦ καταπεσεῖν καὶ μηδ' ἂν ἀποσφάττωσί με ταῖς πληγαῖς, ἀναστῆναί ποτε, τοῦτο ἐλπίσας μέγα μοι ὄφελος ἔσεσθαι ἐκ τοῦ βουλεύματος· ᾠήθην γὰρ ὅτι πάντως ἡττώμενοι τὰ μὲν ἐμὰ σκεύη διανεμοῦσι τῷ τε ἵππῳ καὶ τῷ ἡμιόνῳ, ἐμὲ δὲ αὐτοῦ ἐάσουσι κεῖσθαι τοῖς λύκοις. Ἀλλά τις δαίμων βάσκανος συνεὶς τῶν ἐμῶν βουλευμάτων ἐς τοὐναντίον περιήνεγκεν· ὁ γὰρ ἕτερος ὄνος ἴσως ἐμοὶ τὰ αὐτὰ νοήσας πίπτει ἐν τῇ ὁδῷ. Οἱ δὲ τὰ μὲν πρῶτα ξύλῳ παίοντες ἀναστῆναι τὸν ἄθλιον ἐκέλευον, ὡς δὲ οὐδὲν ὑπήκουε ταῖς πληγαῖς, λαβόντες αὐτὸν οἱ μὲν τῶν ὤτων, οἱ δὲ τῆς οὐρᾶς ἀνεγείρειν ἐπειρῶντο· ὡς δὲ οὐδὲν ἤνυον, ἔκειτο δὲ ὥσπερ λίθος ἐν τῇ ὁδῷ ἀπηγορευκὼς, λογισάμενοι ἐν ἀλλήλοις ὅτι δὴ μάτην πονοῦσι καὶ τὸν χρόνον τῆς φυγῆς ἀναλίσκουσιν, ὄνῳ νεκρῷ παρεδρεύοντες, τὰ μὲν σκεύη πάντα ὅσα ἐκόμιζεν ἐκεῖνος, διανέμουσιν ἐμοί τε καὶ τῷ ἵππῳ, τὸν δὲ ἄθλιον κοινωνὸν καὶ τῆς αἰχμαλωσίας καὶ τῆς ἀχθοφορίας λαβόντες τῷ ξίφει ὑποτέμνουσιν ἐκ τῶν σκελῶν καὶ σπαίροντα ἔτι ὠθοῦσιν ἐς τὸν κρημνόν. Ὁ δὲ ἀπῄει κάτω τὸν θάνατον ὀρχούμενος.

20. Ἐγὼ δὲ ὁρῶν ἐν τῷ συνοδοιπόρῳ τῶν ἐμῶν βουλευμάτων τὸ τέλος, ἔγνων φέρειν εὐγενῶς τὰ ἐν ποσὶ καὶ προθύμως περιπατεῖν, ἐλπίδας ἔχων πάντως ποτὲ ἐμπεσεῖσθαι εἰς τὰ ῥόδα κἀκ τούτων εἰς ἐμαυτὸν ἀνασωθήσεσθαι· καὶ τῶν λῃστῶν δὲ ἤκουον ὡς οὐκ εἴη ἔτι πολὺ τῆς ὁδοῦ λοιπὸν, καὶ ὅτι καταμενοῦσιν ἔνθα καταλύσουσιν· ὥστε ταῦτα πάντα δρόμῳ ἐκομίζομεν, καὶ πρὸ τῆς ἑσπέρας ἤλθομεν εἰς τὰ οἰκεῖα. Γραῦς δὲ γυνὴ ἔνδον καθῆστο, καὶ πῦρ πολὺ ἐκάετο. Οἱ δὲ πάντα ἐκεῖνα ἅπερ ἐτυγχάνομεν ἡμεῖς κομίζοντες, εἴσω κατέθηκαν. Εἶτα ἤροντο τὴν γραῦν, Διὰ τί οὕτω καθέζῃ καὶ οὐ παρασκευάζεις ἄριστον; Ἀλλὰ πάντα, εἶπεν ἡ γραῦς, εὐτρεπῆ ὑμῖν, ἄρτοι πολλοὶ, οἴνου παλαιοῦ πίθοι, καὶ τὰ κρέα δὲ ὑμῖν τὰ ἄγρια σκευάσασα ἔχω. Οἱ δὲ τὴν γραῦν ἐπαινέσαντες, ἀποδυσάμενοι ἠλείφοντο πρὸς τὸ πῦρ καὶ λέβητος ἔνδον ὕδωρ θερμὸν ἔχοντος ἀρυσάμενοι ἔνθεν καταχεάμενοι αὐτοσχεδίῳ τῷ λουτρῷ ἐχρήσαντο.

21. Εἶτα ὀλίγῳ ὕστερον ἦκον νεανίσκοι πολλοὶ κομίζοντες πλεῖστα ὅσα χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἱμάτια καὶ κόσμον γυναικεῖον καὶ ἀνδρεῖον πολύν. Ἐκοινώνουν δὲ οὗτοι ἀλλήλοις· καὶ ἐπειδὴ ταῦτα ἔνδον κατέθεντο, ὁμοίως ἐλούσαντο καὶ οὗτοι. Λοιπὸν μετὰ τοῦτο ἦν ἄριστον δαψιλὲς καὶ λόγος πολὺς ἐν τῷ συμποσίῳ τῶν ἀνδροφόνων. Ἡ δὲ γραῦς ἐμοὶ καὶ τῷ ἵππῳ κριθὰς παρέθηκεν· ἀλλ' ἐκεῖνος μὲν σπουδῇ τὰς κριθὰς κατέπινε

in me ferebantur, receptis alligatisque, me pulsare prius non desierunt, quam præ dolore olera omnia per inferiorem gutturem evomerem.

19. Verum itineris ingrediendi tempus quum esset, gravissimas quasque rerum furtivarum et plurimas mihi imposuere : atque ita illinc tum proficiscebamur. Quum vero jam despondissem animum pulsatus et gravatus onere, detritis insuper a via ungulis, procumbere ibi decreveram, neque unquam, si vel interficerent me plagis, surgere; hoc sperans, magnam ad me utilitatem rediturum ex eo consilio. Putabam enim ipsos plane victos mea pervicacia, sarcinas meas divisuros inter equum et mulum, me autem ibi jacentem relicturos prædam lupis. Sed invidum quoddam numen, mea consilia intelligens, vertit ea in contrarium : alter enim asinus, eadem forte quæ ego cogitans, decumbit in via. Illi primo fustium ictibus surgere jubebant miserum : at nihil obedientem plagis, prehensum alii auribus, cauda alii, excitare tentabant. Quum nihil proficerent, jaceretque lapidis instar in via, sine ulla resurgendi spe, subductis inter se rationibus, nequicquam se laborare et fugæ tempus perdere asino mortuo assidentes, sarcinas quas ille gestarat omnes inter me et equum dividunt, miserum vero captivitatis pariter et gestandorum onerum consortem prehendentes, succisis ferro cruribus, palpitantem adhuc per præceps impellunt. Atque ille mortem saltans descendit.

20. Ego vero animadvertens in socio itineris consiliorum meorum exitum, decrevi fortiter ferre præsentia, et strenue incedere, qui spem haberem futurum ut omnino aliquando in rosas inciderem, atque inde me salutemque reciperem. Audiebam vero etiam ex latronibus, non multum superesse viæ, et finem itineris in proxima mansione. Itaque omnia ista curriculo gestantes ante vesperam domum pervenimus. Mulier anus intus desederat; ignis ardebat multus : illi, quæ portaveramus, intus deponunt omnia. Tum interrogant anum, Quid ita sedes, et cœnam non paras? Illa, Quin parata vobis sunt, inquit, omnia, panes multi, vini veteris dolia, et carnes vobis ferinas paratas habeo. Illi collaudata anu, exutis vestibus ad ignem se ungebant, et quum ahenum calidam haberet, hausta inde aqua perfusi, extemporali isto sunt usi balneo.

21. Deinde paullo post juvenes veniunt multi, supellectilem afferentes plurimam, auream, argenteam, vestimenta, mundum muliebrem, et virilem ornatum multum. Hi in commune conferunt; rebusque intus depositis, lavant ipsi quoque. Ceterum post hæc cœna fuit copiosa, et sermo multus in homicidarum convivio. Anus mihi et equo hordea apposuit : at ille festinabat devorare hordea, metuens, ut

δεδιὼς, οἷα εἰκὸς, ἐμὲ τὸν συνάριστον. Ἐγὼ δὲ ἐπειδὴ ἴδοιμι τὴν γραῦν ἐξιοῦσαν τῶν ἔνδον ἄρτον ἤσθιον. Τῇ δὲ ὑστεραίᾳ καταλιπόντες τῇ γραίᾳ νεανίσκον ἕνα οἱ λοιποὶ πάντες ἔξω ἐπὶ τὸ ἔργον ἀπῄεσαν. Ἐγὼ δὲ ἕστενον ἐμαυτὸν καὶ τὴν ἀκριβῆ φρουράν· τῆς μὲν γὰρ γραὸς καταφρονῆσαι ἦν μοι καὶ φυγεῖν ἐκ τῶν ἐκείνης ὀμμάτων δυνατὸν, ὁ δὲ νεανίσκος μέγας τε ἦν καὶ φοβερὸν ἔβλεπε, καὶ τὸ ξίφος ἀεὶ ἔφερε καὶ τὴν θύραν ἀεὶ ἐπῆγε.

22. Τρισὶ δὲ ὕστερον ἡμέραις μεσούσης σχεδὸν τῆς νυκτὸς ἀναστρέφουσιν οἱ λῃσταὶ, χρυσίον μὲν οὐδὲ ἀργύριον οὐδὲ ἄλλο οὐδὲν κομίζοντες, μόνην δὲ παρθένον ὡραίαν, σφόδρα καλὴν, κλάουσαν καὶ κατεσπαραγμένην τὴν ἐσθῆτα καὶ τὴν κόμην· καὶ καταθέμενοι αὐτὴν ἔνδον ἐπὶ τῶν στιβάδων θαρρεῖν ἐκέλευον καὶ τὴν γραῦν ἐκέλευον ἀεὶ ἔνδον μένειν καὶ τὴν παῖδα ἐν φρουρᾷ ἔχειν. Ἡ δὲ παῖς οὔτε ἐμφαγεῖν τι ἤθελεν οὔτε πιεῖν, ἀλλὰ πάντα ἔκλαε καὶ τὴν κόμην τὴν αὑτῆς ἐσπάραττεν· ὥστε καὶ αὐτὸς πλησίον ἑστὼς παρὰ τῇ φάτνῃ συνέκλαον ἐκείνῃ τῇ καλῇ παρθένῳ. Ἐν δὲ τούτῳ οἱ λῃσταὶ ἔξω ἐν τῷ προδόμῳ ἐδείπνουν. Πρὸς ἡμέραν δὲ τῶν σκοπῶν τις τῶν τὰς ὁδοὺς φρουρεῖν εἰληχότων ἔρχεται ἀγγέλλων ὅτι ξένος ταύτῃ παρειέναι μέλλοι καὶ πολὺν πλοῦτον κομίζοι. Οἱ δὲ οὕτως ὡς εἶχον ἀναστάντες καὶ ὁπλισάμενοι κἀμὲ καὶ τὸν ἵππον ἐπισάξαντες ἤλαυνον. Ἐγὼ δὲ ὁ δυστυχὴς ἐπιστάμενος ἐπὶ μάχην καὶ πόλεμον ἐξελαύνεσθαι ὀκνηρῶς προῄειν, ἔνθεν ἐπαιόμην τῷ ξύλῳ ἐπειγομένων αὐτῶν. Ἐπεὶ δὲ ἤκομεν ἐς τὴν ὁδὸν ἔνθα ὁ ξένος παρελάσειν ἔμελλε, συμπεσόντες οἱ λῃσταὶ τοῖς ὀχήμασιν αὐτόν τε καὶ τοὺς ἐκείνου θεράποντας ἀπέκτειναν, καὶ ὅσα ἦν τιμιώτατα ἐξελόντες τῷ ἵππῳ κἀμοὶ ἐπέθηκαν, τὰ δὲ ἕτερα τῶν σκευῶν αὐτοῦ ἐν τῇ ὕλῃ ἔκρυψαν. Ἔπειτα ἤλαυνον ἡμᾶς οὕτως ὀπίσω, κἀγὼ ἐπειγόμενος καὶ τῷ ξύλῳ τυπτόμενος κρούω τὴν ὁπλὴν περὶ πέτραν ὀξεῖαν καί μοι ἀπὸ τῆς πληγῆς γίγνεται τραῦμα ἀλγεινόν· καὶ χωλεύων ἔνθεν τὸ λοιπὸν τῆς ὁδοῦ ἐβάδιζον. Οἱ δὲ πρὸς ἀλλήλους ἔλεγον, Τί γὰρ ἡμῖν ὄκνει τρέφειν τὸν ὄνον τοῦτον πάντα καταπίπτοντα; ῥίψωμεν αὐτὸν ἀπὸ τοῦ κρημνοῦ οἰωνὸν οὐκ ἀγαθόν. Ναὶ, φησὶ, ῥίψωμεν αὐτὸν καθαρισμὸν τοῦ στρατοῦ ἐσόμενον. Καὶ οἱ μὲν συνετάττοντο ἐπ' ἐμέ· ἐγὼ δὲ ἀκούων ταῦτα τῷ τραύματι λοιπὸν ὡς ἀλλοτρίῳ ἐπέβαινον· ὁ γὰρ τοῦ θανάτου με φόβος ἀναίσθητον τῆς ὀδύνης ἔθηκεν.

23. Ἐπεὶ δὲ ἤλθομεν εἴσω ἔνθα κατελύομεν, τὰ μὲν σκεύη τῶν ἡμετέρων ὤμων ἀφελόντες εὖ κατέθηκαν, αὐτοὶ δὲ ἀναπεσόντες ἐδείπνουν. Καὶ ἐπειδὴ νὺξ ἦν, ἀπῄεσαν ὡς τὰ λοιπὰ τῶν σκευῶν ἀνασῶσαι. Τὸν δὲ ἄθλιον τοῦτον ὄνον, ἔφη τις αὐτῶν, τί ἐπάγομεν ἄχρηστον ἐκ τῆς ὁπλῆς; τῶν δὲ σκευῶν ἃ μὲν ἡμεῖς οἰσομεν, ἃ δὲ ὁ ἵππος. Καὶ ἀπῄεσαν τὸν ἵππον ἄγοντες. Νὺξ δὲ ἦν λαμπροτάτη ἐκ τῆς σελήνης. Κἀγὼ τότε πρὸς ἐμαυτὸν εἶπον, Ἄθλιε, τί μένεις ἔτι ἐνταῦθα; γῦπές σε καὶ γυπῶν τέκνα δειπνήσουσιν. Οὐκ ἀκούεις οἷα περὶ

par erat, me compransorem. At ego, quoties videbam exisse anum, de panibus, qui intus erant, edebam. Postridie relicta anu et uno juvene, ad opus reliqui omnes exierunt. Equidem mihi et accuratæ custodiæ ingemiscebam : nam vetulam quidem poteram contemnere et illius fugere ex oculis; at juvenis magnus erat et terribile quiddam cernebat, et gladium gestabat semper, et adducebat semper januam.

22. Tribus post diebus, circa mediam fere noctem, redeunt latrones, auri quidem aut argenti nihil, neque aliud quicquam afferentes, sed solam virginem nubilem, vehementer pulchram, plorantem lacerata veste et comis passis. Hanc intus in stratis depositam bono animo esse jubent, et anum jubent manere intus puellæ custodiendæ causa. Sed puella nec cibum capere volebat nec bibere, sed nihil nisi plorabat et suam ipsa comam vellebat; adeo ut ipse quoque, prope astans ad præsepe, cum pulchra illa virgine plorarem simul. Inter hæc latrones extra cœnabant in atrio. Sub lucem speculatorum aliquis eorum, quibus vias explorare obvenerat, venit nuncians peregrinum aliquem hac transiturum, qui multas secum ferret divitias. Hi ut erant consurgere, armare se, me autem et equum ornare clitellis, exire. Hic infelix ego, qui ad pugnam et bellum me scirem agi, cunctanter progredior : itaque fusti, festinantibus illis, pulsabar. Quum autem ad viam venissemus, ubi transiturus erat peregrinus, irruentes in vehicula latrones, ipsum ipsiusque servos interficiunt, et pretiosissima quæque ablata equo et mihi imponunt, reliquas sarcinas ibi in silva abscondunt. Deinde sic retro nos agunt, et ego quum urgerer et vapularem fusti, acuto saxo impingo ungulam, et oritur mihi ab illa plaga vulnus dolorificum, ut claudicans quod reliquum erat viæ incederem. At illi inter se, Quid enim nobis videtur, inquiunt, nutrire asinum istum ubique concidentem? præcipitemus illum de rupe, male ominatam bestiam. Ita sane, inquit alius, dejiciamus illum piacularem futurum nostri exercitus. Atque illi in me jam coibant : verum ego auditis hisce, quod reliquum erat, vulnus tanquam alienum calcabam, mortis metu sensum mihi doloris adimente.

23. Quum vero intrassemus in deversorium nostrum, sarcinas de nostris demtas humeris bene collocant, ipsique cœnatum accumbunt. Nocte vero oborta ad reliquas sarcinas servandas abeunt. Miserum vero hunc asinum, infit illorum unus, quid adducimus, ex ungula inutilem? sarcinarum alias nos portabimus, alias equus. Itaque cum equo abeunt. Erat autem nox a luna clarissima. Hic ego intra me, Miselle, inquam, quid ultra hic manes? vultures te et vulturum filii cœnabunt. Non audis, quæ de te deli-

σοῦ ἐβουλεύσαντο; Θέλεις τῷ κρημνῷ περιπεσεῖν; Νὺξ μὲν αὕτη καὶ σελήνη πολλή· οἱ δὲ οἴχονται ἀπιόντες· φυγῇ σῶζε σαυτὸν ἀπὸ δεσποτῶν ἀνδροφόνων. Ταῦτα πρὸς ἐμαυτὸν ἐννοούμενος ὁρῶ ὅτι οὐδὲ προσεδεδέμην οὐδενί, ἀλλά με ὁ σύριον ἐν ταῖς ὁδοῖς ἱμᾶς παρεκρέματο. Τοῦτό με καὶ παρώξυνεν ὡς μάλιστα ἐς τὴν φυγήν, καὶ δρόμῳ ἐξιὼν ἀπῄειν. Ἡ δὲ γραῦς ἐπεὶ εἶδεν ἀποδιδράσκειν ἕτοιμον, λαμβάνεταί μου ἐκ τῆς οὐρᾶς καὶ εἶχετο. Ἐγὼ δὲ ἄξιον κρημνοῦ καὶ θανάτων ἄλλων εἰπὼν εἶναι τὸ ὑπὸ γραίας ἁλῶναι ἔσυρον αὐτήν, ἡ δὲ μάλ' ἀνέκραγεν ἔνδοθεν τὴν παρθένον τὴν αἰχμάλωτον· ἡ δὲ προσελθοῦσα καὶ ἰδοῦσα γραῦν δίκην κέρκου ἐξ ὄνου ἠμμένην τολμᾷ τόλμημα γενναῖον καὶ ἄξιον ἀπονενοημένου νεανίσκου· ἀναπηδᾷ γὰρ εἰς ἐμέ, καὶ ἐπικαθίσασά μοι ἤλαυνε· κἀγὼ τῷ τε ἔρωτι τῆς φυγῆς καὶ τῇ τῆς κόρης σπουδῇ ἔφυγον ἵππου δρόμῳ· ἡ δὲ γραῦς ὀπίσω ἀπελέλειπτο. Ἡ δὲ παρθένος τοῖς μὲν θεοῖς ηὔχετο σῶσαι αὐτὴν τῇ φυγῇ· πρὸς δὲ ἐμέ, Ἵν' ἐμέ, ἔφη, κομίσῃς πρὸς τὸν πατέρα, ὦ καλὲ σὺ, ἐλεύθερον μέν σε παντὸς ἔργου ἀφήσω, κριθῶν δὲ μέδιμνος ἔσται σοι ἐφ' ἑκάστης ἡμέρας τὸ ἄριστον. Ἐγὼ δὲ καὶ τοὺς φονεῖς τοὺς ἐμαυτοῦ φευξόμενος καὶ πολλὴν ἐπικουρίαν καὶ θεραπείαν ἐκ τῆς ἀνασωθείσης ἐμοὶ κόρης ἐλπίζων ἔθεον τοῦ τραύματος ἀμελήσας.

24. Ἐπεὶ δὲ ἥκομεν ἔνθα ἐσχίζετο τριπλῆ ὁδός, οἱ πολέμιοι ἡμᾶς καταλαμβάνουσιν ἀναστρέφοντες καὶ πόρρωθεν εὐθὺς πρὸς τὴν σελήνην ἔγνωσαν τοὺς δυστυχεῖς αἰχμαλώτους καὶ προσδραμόντες λαμβάνονταί μου καὶ λέγουσιν, Ὦ καλὴ κἀγαθὴ σὺ παρθένε, ποῖ βαδίζεις ἀωρίᾳ ταλαίπωρε; οὐδὲ τὰ δαιμόνια δέδοικας; ἀλλὰ δεῦρο ἴθι πρὸς ἡμᾶς, ἡμεῖς σε τοῖς οἰκείοις ἀποδώσομεν, σαρδώνιον γελῶντες ἔλεγον, κἀμὲ ἀποστρέψαντες εἷλκον ὀπίσω. Κἀγὼ περὶ τοῦ ποδὸς καὶ τοῦ τραύματος ἀναμνησθεὶς ἐχώλευον· οἱ δέ, Νῦν, ἔφασαν, χωλὸς ὅτε ἀποδιδράσκων ἑάλωκας; ἀλλ' ὅτε φεύγειν ἐδόκει σοι, ὑγιαίνων ἵππου ὠκύτερος καὶ πετεινὸς ἦσθα. Τοῖς δὲ λόγοις τούτοις τὸ ξύλον εἵπετο, καὶ ἤδη ἕλκος τῷ μηρῷ εἶχον νουθετούμενος. Ἐπεὶ δὲ εἴσω πάλιν ἀνεστρέψαμεν, τὴν μὲν γραῦν εὕρομεν ἐκ τῆς πέτρας κρεμαμένην ἐν καλωδίῳ· δείσασα γὰρ, οἷον εἰκὸς, τοὺς δεσπότας ἐπὶ τῇ τῆς παρθένου φυγῇ κρημνᾷ ἑαυτὴν σφίγξασα ἐκ τοῦ τραχήλου. Οἱ δὲ τὴν γραῦν θαυμάσαντες τῆς εὐγνωμοσύνης τὴν μὲν ἀπολύσαντες ἐς τὸν κρημνὸν κάτω ἀφῆκαν ὡς ἦν ἐν τῷ δεσμῷ, τὴν δὲ παρθένον ἔνδον κατέδησαν, εἶτα ἐδείπνουν, καὶ πότος ἦν μακρός.

25. Κἀν τούτῳ ἤδη περὶ τῆς κόρης διελέγοντο πρὸς ἀλλήλους· Τί ποιοῦμεν, ἔφη τις αὐτῶν, τὴν δραπέτιν; Τί δὲ ἄλλο, εἶπεν ἕτερος, ἢ τῇ γραῒ ταύτῃ κάτω ἐπιρρίψωμεν αὐτὴν, ἀφελομένην μὲν ἡμᾶς χρήματα πολλὰ ὅσον ἐπ' αὐτῇ, καὶ προδοῦσαν ἡμῖν ὅλον τὸ ἐργαστήριον; εὖ ἴστε γὰρ, ὦ φίλοι, ὅτι αὕτη εἰ τῶν οἴκοι ἐδράξατο, οὐδὲ εἷς ἂν ἡμῶν ζῶν ὑπελείπετο· πάντες γὰρ ἂν ἑάλωμεν, τῶν ἐχθρῶν ἐκ παρασκευῆς ἡμῖν ἐπιπεσόντων. Ὥστε ἀμυνώμεθα μὲν τὴν πολεμίαν· ἀλλὰ μὴ

berarunt? visne tu in præcipitium incidere? Jam nox est, est luna clara : illi vero abierunt; fuga te eripe dominis homicidis. Hæc apud me cogitans video me neque alligatum esse usquam, sed juxta pendere quo trahebar alias lorum. Etiam hoc me ad fugam maxime incitabat : itaque curriculo egressus abibam. At anus quum fugere paratum videret, a cauda se mea, quam prehenderat, suspendit. Ego præcipitio et aliis mortibus dignum putans ab anu capi, illam trahere : illa vehementer inclamavit puellam intus captivam. At illa accedens vidensque anum caudæ instar ex asino aptam, generosum facinus audet et dignum desperato juvene : insilit enim in me, insidensque agit. Et ego tum fugæ amore, tum puellæ studio, equi cursu fugio, anu post nos relicta. Virgo diis quidem supplicabat, ut illa se fuga servarent : ad me vero, Si me, inquit, o mi pulcher ad patrem pertuleris, liberum te omni opere dimittam : hordeorum vero medimnus erit tibi in singulos dies prandium. » Ego vero et meos ipsius interfectores fugiens, et multum adjumenti atque cultus ex servata a me puella sperans, curro oblitus vulneris.

24. Quum autem eo veniremus ubi findebatur via in trivium, deprehendunt nos hostes redeuntes, et e longinquo statim ad lunam miseros captivos agnoscunt : et accurrentes, prehendunt me dicuntque : « Quorsum, honesta et bona virgo, intempesta nocte abis misella? nec spectra metuis? verum huc veni ad nos, qui tuis te reddemus, » cum Sardonio risu dicebant : meque conversum trahebant retro. Atque ego pedis et vulneris recordatus claudicabam : illi vero, Nunc, aiunt, claudus es, quum in fuga es captus? sed quum fugere tibi collibuit, sanus, ocior equo, et volucris eras. Hæc verba excipiebat fustis; jamque ulcus in femore habebam ab istis admonitionibus. Domum iterum reversi, anum invenimus quæ resticula se e rupe suspenderat : metuens nempe, ut verisimile est, dominos ob fugam virginis, innexo cervici laqueo se ex alto suspenderit. Illi autem probitatem animi in anu admirati, resolutam una cum resti in altum præcipitarunt; virgine autem intus vincta, postea cœnant; et longa erat compotatio.

25. Atque interea de puella inter se disputant. Quid facimus, ait illorum unus, fugitiva? Quid vero aliud, inquit alius, quam vetulæ illam superinjiciamus? quæ multas nobis, quantum quidem in ipsa fuit, opes abstulerit, totamque nostram officinam prodiderit. Bene enim noritis, amici, illa si domesticos suos assecuta fuisset, futurum fuisse, ut vivus nostrûm nemo relinqueretur : capti enim essemus omnes, ex præparato irruentibus in nos hostibus. Itaque ulciscamur nos quidem inimicam; sed ne ita facile moriatur

οὕτω ῥᾳδίως ἀποθνησκέτω πεσοῦσα ἐπὶ τοῦ λίθου, θάνατον δὲ αὐτῇ τὸν ἀλγεινότατον καὶ μακρότατον ἐξεύρωμεν καὶ ὅστις αὐτὴν χρόνῳ καὶ βασάνῳ φυλάξας ὕστερον ἀπολεῖ. Εἶτα ἐζήτουν θάνατον, καί τις εἶπεν, Οἶδα ὅτι ἐπαινέσεσθε τὸ ἀρχιτεκτόνημα. Τὸν ὄνον δεῖ ἀπολέσθαι ὀκνηρὸν ὄντα, νῦν δὲ καὶ χωλὸν εἶναι ψευδόμενον, καὶ μὴν καὶ τῆς φυγῆς τῆς παρθένου γενόμενον ὑπηρέτην καὶ διάκονον· τοῦτον οὖν ἔωθεν ἀποσφάξαντες ἀνατέμωμεν ἐκ τῆς γαστρὸς καὶ τὰ μὲν ἔγκατα πάντα ἔξω βάλωμεν, τὴν δὲ ἀγαθὴν ταύτην παρθένον τῷ ὄνῳ ἐγκατοικίσωμεν, τὴν μὲν κεφαλὴν ἔξω τοῦ ὄνου πρόχειρον, ὡς ἂν μὴ εὐθὺς ἀποπνιγείη, τὸ δὲ ἄλλο σῶμα πᾶν ἔνδον κρυπτόμενον, ὡς ἂν αὐτὴν κατακειμένην εὖ μάλα συρράψαντες ῥίψωμεν ἔξω ἄμφω ταῦτα τοῖς γυψὶ, καινῶς τοῦτο ἐσκευασμένον ἄριστον. Σκοπεῖτε δὲ, ὦ φίλοι, τῆς βασάνου τὸ δεινὸν, πρῶτον μὲν τὸ νεκρῷ ὄνῳ συνοικεῖν, εἶτα τὸ θέρους ὥρᾳ θερμοτάτῳ ἡλίῳ ἐν κτήνει καθέψεσθαι καὶ λιμῷ ἀεὶ κτείνοντι ἀποθνήσκειν καὶ μηδὲ ἑαυτὴν ἀποπνῖξαι ἔχειν· τὰ μὲν γὰρ ἄλλ' ὅσα πείσεται σηπομένου τοῦ ὄνου τῇ τε ὀδμῇ καὶ τοῖς σκώληξι πεφυρμένη ἐῶ λέγειν. Τέλος δὲ οἱ γῦπες διὰ τοῦ ὄνου παρεισιόντες εἴσω καὶ ταύτην ὡς ἐκεῖνον ἴσως καὶ ζῶσαν ἔτι διασπάσονται.

26. Πάντες ἀνεβόησαν ὡς ἐπὶ ἀγαθῷ μεγάλῳ τῷ τερατώδει τούτῳ εὑρήματι. Ἐγὼ δὲ ἀνέστενον ἐμαυτὸν ὡς ἂν ἀποσφαγησόμενος καὶ μηδὲ νεκρὸς εὐτυχὴς κεισόμενος, ἀλλὰ παρθένον ἀθλίαν ἐπιδεξόμενος καὶ θήκη οὐδὲν ἀδικούσης κόρης ἐσόμενος. Ὄρθρος δὲ ἦν ἔτι καὶ ἐξαίφνης ἐφίσταται πλῆθος στρατιωτῶν ἐπὶ τοὺς μιαροὺς τούτους ἀφιγμένον, καὶ εὐθέως πάντας ἐδέσμουν καὶ ἐπὶ τὸν τῆς χώρας ἡγεμόνα ἀπῆγον. Ἔτυχε δὲ καὶ ὁ τὴν κόρην μεμνηστευμένος σὺν αὐτοῖς ἐλθών· αὐτὸς γὰρ ἦν ὁ καὶ τὸ καταγώγιον τῶν λῃστῶν μηνύσας. Παραλαβὼν οὖν τὴν παρθένον καὶ καθίσας ἐπ' ἐμὲ οὕτως ἦγεν οἴκαδε. Οἱ δὲ κωμῆται ὡς εἶδον ἡμᾶς ἔτι πόρρωθεν, ἔγνωσαν εὐτυχοῦντας, εὐαγγέλιον αὐτοῖς ἐμοῦ προσγκησαμένου, καὶ προσδραμόντες ἠσπάζοντο καὶ ἦγον εἴσω.

27. Ἡ δὲ παρθένος πολὺν λόγον εἶχεν ἐμοῦ δίκαιον ποιοῦσα τοῦ συναιχμαλώτου συναποδράντος καὶ τὸν κοινὸν αὐτῇ ἐκεῖνον θάνατον συγκινδυνεύσαντος. Καὶ μοι παρὰ τῆς κεκτημένης ἄριστον παρέκειτο μέδιμνος κριθῶν καὶ χόρτος ὅσος καὶ καμήλῳ ἱκανός. Ἐγὼ δὲ τότε μάλιστα κατηρώμην τὴν Παλαίστραν ὡς ὄνον με καὶ οὐ κύνα τῇ τέχνῃ μεταθεῖσαν· ἑώρων γὰρ τοὺς κύνας εἰς· τοὐπτανεῖον παρεισιόντας καὶ λαφύσσοντας πολλὰ καὶ ὅσα ἐν γάμοις πλουσίων νυμφίων. Ἡμέραις δὲ ὕστερον μετὰ τὸν γάμον οὐ πολλαῖς ἐπειδὴ χάριν μοι ἡ δέσποινα ἔφη ἔχειν παρὰ τῷ πατρὶ καὶ ἀμείψασθαί με ἀμοιβῇ τῇ δικαίᾳ θέλειν, ὁ πατὴρ ἐκέλευσεν ἐλεύθερον ἀφιέναι ὑπαίθριον καὶ σὺν ταῖς ἀγελαίαις ἵπποις νέμεσθαι· καὶ γὰρ ὡς ἐλεύθερος, ἔφη, ζήσεται ἓν ἡδονῇ καὶ ταῖς ἵπποις ἐπιβήσεται. Καὶ αὕτη δικαιοτάτη ἀμοιβὴ ἐδόκει τότε, εἰ ἦν τὰ πράγματα ἐν

incidens in saxum : verum mortem illi et acerbissimam excogitemus et longissimam, quæque illam tempori et cruciatui servatam tum demum interimat. Deinde quærebant mortis genus : et aliquis ait, Novi vos laudaturos esse commentum. Asinum perdere oportet, ignavum, jam vero et claudicationem mentitum, et fugæ virginis adjutorem ac ministrum : hunc igitur cras mane mactatum exenterabimus, ejectisque intestinis omnibus bonam hanc virginem collocabimus in asino, capite extra asinum uti promineat, ne mox suffocetur; reliquo autem corpore toto intus occultetur. Sic ergo dispositam ubi probe consuerimus, extra utrumque vulturibus projiciamus, paratum nova ratione prandium. Videte autem, amici, cruciatus illius acerbitatem : primo quidem in mortuo habitare asino, deinde æstatis tempore sole fervidissimo in ipso jumento coqui, et enecante semper fame mori, neque necis consciscendæ facultatem habere : reliqua enim quæ patietur, tum putrescentis odore asini, et scatens vermibus, mitto dicere. Tandem vero vultures eo penetrantes per asinum, ipsam ut illum, ac forte viventem adhuc lacerabunt.

26. Clamoribus excipiunt omnes, ut ingens quoddam bonum, portentosum illud commentum. Ego vero mihi ipsi ingemiscebam, tanquam jugulandus, et qui neque post mortem jacendi molliter facultatem habiturus essem, sed infelicem suscepturus virginem, et capulus puellæ innocentis futurus. Jam illucescebat, quum instat subito militum manus, impuris hisce immissa, qui in vincula statim omnes conjecerunt, ad præsidem regionis illius abducendos. Venerat autem cum illis etiam puellæ sponsus : ipse nimirum erat qui receptaculum hoc latronum indicaverat. Assumtam ergo virginem et mihi impositam sic domum deduxit. Vicani autem quum e longinquo nos viderent, jam bene nobis successisse agnoverunt, ruditu me meo bonum illis nuncium ferente. Accurrentes igitur salutant, et intrò deducunt.

27. Virgo multam merito rationem mei habuit, qui, captivitatis illi socius, fugam cum ea tentarim atque in communi mortis periculo sim versatus. Ac mihi ab domina prandium apponebatur medimnus hordei, et fœni quantum camelo satis esset. At ego tunc maxime Palæstram exsecrabar, quæ me in asinum, non in canem arte sua transfigurasset. Videbam enim canes furtim ingressos in culinam multa ligurientes quæ solent in nuptiis sponsorum divitum. Paucis post nuptias diebus, quum gratiam mihi hera minor habere diceret apud patrem, et justam mihi vicem velle persolvere, jussit pater liberum me dimitti sub divo et cum gregalibus equabus pascere : Sic enim, inquit, tanquam liber jucunde vivet, et equas inscendet. Et hæc justissima tum gratiæ relatio videbatur, si res asino judice

ὄνῳ δικαστῇ. Καλέσας οὖν τῶν ἱπποφορβῶν τινα τούτῳ με παραδίδωσιν, ἐγὼ δὲ ἔχαιρον ὡς οὐκέτι ἀχθοφορήσων. Ἐπεὶ δὲ ἤκομεν ἐς τὸν ἀγρόν, ταῖς ἵπποις με ὁ νομεὺς συνέμιξε καὶ ἦγεν ἡμᾶς τὴν ἀγέλην εἰς νομόν.

28. Ἔχρῆν δὲ ἄρα κάνταῦθα ὥσπερ Κανδαύλῃ κάμοὶ γενέσθαι· ὁ γὰρ ἐπιστάτης τῶν ἵππων τῇ αὐτοῦ γυναικὶ Μεγαπόλῃ ἔνδον με κατέλιπεν· ἡ δὲ τῇ μύλῃ με ὑπεζεύγνυεν, ὥστε ἀλεῖν αὐτῇ καὶ πυροὺς καὶ κριθὰς ὑλάς. Καὶ τοῦτο μὲν ἦν μέτριον κακὸν εὐχαρίστῳ ὄνῳ ἀλεῖν τοῖς ἑαυτοῦ ἐπιστάταις· ἡ δὲ βελτίστη καὶ παρὰ τῶν ἄλλων τῶν ἐν ἐκείνοις τοῖς ἀγροῖς — πολλοὶ δὲ πάνυ ἦσαν — ἄλευρα τὸν μισθὸν αἰτοῦσα ἐξεμίσθου τὸν ἐμὸν ἄθλιον τράχηλον, κοὶ τὰς μὲν κριθὰς τοὐμὸν ἄριστον φρύγουσα κἀμοὶ ὥστε ἀλεῖν ἐπιβάλλουσα, μάζας ὅλας ποιοῦσα κατέπινεν· ἐμοὶ δὲ πίτυρα τὸ ἄριστον ἦν. Εἰ δέ ποτε καὶ συνελάσειέ με ταῖς ἵπποις ὁ νομεύς, παιόμενός τε καὶ δακνόμενος ὑπὸ τῶν ἀρρένων ἀπωλλύμην· ἀεὶ γάρ με μοιχὸν ὑποπτεύοντες εἶναι τῶν ἵππων τῶν αὐτῶν γυναικῶν ἐδίωκον ἀμφοτέροις εἰς ἐμὲ ὑπολακτίζοντες, ὥστε φέρειν οὐκ ἠδυνάμην ζηλοτυπίαν ἱππικήν. Λεπτὸς οὖν καὶ ἄμορφος ἐν οὐ πολλῷ χρόνῳ ἐγενόμην, οὔτε ἔνδον εὐφραινόμενος πρὸς τῇ μύλῃ οὔτε ὑπαίθριος νεμόμενος, ὑπὸ τῶν συννόμων πολεμούμενος.

29. Καὶ μὴν καὶ τὰ πολλὰ εἰς τὸ ὄρος ἄνω ἐπεμπόμην καὶ ξύλα τοῖς ὤμοις ἐκόμιζον. Τοῦτο δὲ ἦν τὸ κεφάλαιον τῶν ἐμῶν κακῶν· πρῶτον μὲν ὑψηλὸν ὄρος ἀναβαίνειν ἔδει, ὁρθὴν δεινῶς ὁδὸν, εἶτα καὶ ἀνυποδήτοιν ὄρει ἐν λιθίνῳ. Καί μοι συνεξέπεμπον ὀνηλάτην, παιδάριον ἀκάθαρτον. Τοῦτό με καινῶς ἑκάστοτε ἀπώλλυε· πρῶτον μὲν ἔπαιέ με καὶ τρέχοντα λίαν οὐ ξύλῳ ἁπλῷ, ἀλλὰ τῷ ὄζους πυκνοὺς ἔχοντι καὶ ὀζεῖς, καὶ ἀεὶ ἔπαιεν ἐς τὸ αὐτὸ τοῦ μηροῦ, ὥστε ἀνέῳκτό μοι κατ' ἐκεῖνο ὁ μηρὸς τῇ ῥάβδῳ· ὁ δὲ ἀεὶ τὸ τραῦμα ἔπαιεν. Εἶτά μοι ἐπετίθει φορτίον ὅσον χαλεπὸν εἶναι καὶ ἐλέφαντι ἐνεγκεῖν· καὶ ἄνωθεν ἡ κατάβασις ὀξεῖα ἦν· ὁ δὲ καὶ ἐνταῦθα ἔπαιεν. Εἰ δέ μοι περιπῖπτον ἴδοι τὸ φορτίον καὶ εἰς τὸ ἕτερον ἐπικλῖνον, δέον τῶν ξύλων ἀφαιρεῖν καὶ τῷ κουφοτέρῳ προσβάλλειν καὶ τὸ ἴσον ποιεῖν, τοῦτο μὲν οὐδέποτε εἰργάσατο, λίθους δὲ μεγάλους ἐκ τοῦ ὄρους ἀναιρούμενος εἰς τὸ κουφότερον καὶ ἄνω νεῦον τοῦ φορτίου προσετίθει· καὶ κατῄειν ἄθλιος τοῖς ξύλοις ὁμοῦ καὶ λίθους ἀχρείους περιφέρων. Καὶ ποταμὸς ἦν ἀέναος ἐν τῇ ὁδῷ· ὁ δὲ τῶν ὑποδημάτων φειδόμενος ὀπίσω τῶν ξύλων ἐπ' ἐμοὶ καθίζων ἐπέρα τὸν ποταμόν.

30. Εἰ δέ ποτε οἷα κάμνων καὶ ἀχθοφορῶν καταπέσοιμι, τότε δὴ τότε τὸ δεινὸν ἀφόρητον ἦν· οὗ γὰρ ἦν καταβάντος τὴν χεῖρά μοι ἐπιδοῦναι κἀμὲ χαμόθεν ἐπεγείρειν καὶ τοῦ φορτίου ἀφελεῖν, εἴ ποτε καὶ δέοι, ὁ δὲ οὔτε κατῆλθεν οὔτε χεῖρά μοι ἐπέδωκεν, ἀλλ' ἄνωθεν ἀπὸ τῆς κεφαλῆς καὶ τῶν ὤτων ἀρξάμενος συνέκοπτέ με τῷ ξύλῳ, ἕως ἐπεγείρωσί με αἱ πληγαί. Καὶ μὴν καὶ ἄλλο κακὸν εἰς ἐμὲ ἀφόρητον ἔπαιζε· συνενεγκών

acta esset. Advocato ergo pastorum uni me commendat, me gaudente, qui non amplius onera gestaturus essem. Quum vero rus venissemus, equabus me admiscuit pastor, et nos, gregem, pastum agebat.

28. Fatale autem erat eadem mihi quæ Candauli usu venire. Magister enim equariæ, suæ uxori Megapolæ domi me reliquit: hæc vero molæ me subjugum dabat, ut sibi triticum hordeumque frictum molerem. Atque illud mediocre quidem incommodum erat asino non ingrato, molere suis magistris: at optima mulier etiam ab aliis per illos agros (erant autem sane quam multi) farinas mercedis loco poscens, miseras cervices meas elocabat. Atque hordea in meum prandium sibi data, fricta et ipsa mihi molenda infudit, factasque inde placentas devoravit: at mihi furfures erant prandium. Si quando vero etiam cum equabus me exigeret pastor, percussus morsusque a maribus equis peribam. Semper enim me adulterum suspicati equarum, suarum uxorum, persequebantur, utrasque in me calces jactantes, adeo ut impar essem ferendæ equinæ illi zelotypiæ. Emaciatus ergo et strigosus non ita multo tempore fiebam, qui neque intus lætarer ad molam, neque sub divo pascens, oppugnatus quippe a pastionis sociis.

29. *Verum etiam frequenter sursum in montem mittebar*, et ligna gerebam humeris. Illud vero caput malorum meorum fuit: primo quidem altus mons ascendendus erat, ardua vehementer via, insuper non calceatus eram in monte scrupeo. Et una mecum emittebant mulionem, impurum puerum, qui novo modo me semper perderet: primo percutiebat me valde licet currentem, non simplici fuste, sed crebris acutisque nodis inæquali, eandemque semper femoris partem percutiebat, adeo ut aperiretur mihi a baculo eo loco femur: at ille ipsum perpetuo vulnus ferire. Deinde imponebat mihi onus elephanti etiam portatu difficile. Eratque descensus de summo arduus; at ille hic etiam pulsabat. Si quando labare mihi videret onus et in alteram partem inclinare, quum deberet de lignis ablatum aliquid leviori parti adjicere et ita peræquare, hoc ille nunquam fecit; sed lapides magnos de monte sublatos in leviorem et sursum nutantem oneris partem addebat: descendebam ergo miser, cum lignis lapides simul inutiles circumferens. Erat porro rivus in via perennis: ille vero, parcens calceamentis, post ligna mihi insidens rivum trajiciebat.

30. Si quando vero præ lassitudine et onere decumberem; tum vero intolerabile erat malum. Cujus enim erat ut descendens manum mihi injiceret, meque de terra excitaret, et onere, sicubi opus esset, levaret; ille neque descendebat, neque manum præbebat unquam, sed initio a capite et auribus facto, fusti me concidebat, dum suscitarent me plagæ. At ludebat etiam aliud in me malum intolerabile. Comportatum spinarum acutissimarum fascem et

ἀκανθῶν ὀξυτάτων φορτίον καὶ τοῦτο δεσμῷ περισφίγξας ἀπεκρήμνα ὄπισθεν ἐκ τῆς οὐρᾶς, αἱ δὲ οἷον εἰκὸς ἀπιόντος τὴν ὁδὸν ἀποκρεμάμεναι προσέπιπτόν μοι καὶ πάντα μοι τὰ ὄπισθεν νύττουσαι ἐτίτρωσκον· καὶ ἦν μοι τὸ ἀμύνειν ἀδύνατον, τῶν τιτρωσκόντων ἀεί μοι ἑπομένων κἀμοῦ ἠρτημένων. Εἰ μὲν γὰρ ἀτρέμα προΐοιμι φυλαττόμενος τῶν ἀκανθῶν τὴν προσβολήν, ὑπὸ τῶν ξύλων ἀπωλλύμην, εἰ δὲ φεύγοιμι τὸ ξύλον, τότ' ἤδη τὸ δεινὸν ὄπισθεν ὀξὺ προσέπιπτε. Καὶ ὅλως ἔργον ἦν τῷ ὀνηλάτῃ τῷ ἐμῷ ἀποκτενεῖν με.

31. Ἐπεὶ δέ ποτε ἅπαξ κακὰ πάσχων πολλὰ οὐκέτι φέρων πρὸς αὐτὸν λὰξ ἐκίνησα, εἶχεν ἀεὶ τοῦτο τὸ λὰξ ἐν μνήμῃ. Καί ποτε κελεύεται στυππεῖον ἐξ ἑτέρου χωρίου εἰς ἕτερον χωρίον μετενεγκεῖν· κομίσας οὖν με καὶ τὸ στυππεῖον τὸ πολὺ συνενεγκὼν κατέδησεν ἐπ' ἐμὲ καὶ δεσμῷ ἀργαλέῳ εὖ μάλα προσέδησέ με τῷ φορτίῳ κακὸν ἐμοὶ μέγα τυρεύων. Ἐπεὶ δὲ προϊέναι λοιπὸν ἔδει, ἐκ τῆς ἑστίας κλέψας δαλὸν ἔτι θερμὸν, ἐπειδὴ πόρρω τῆς αὐλῆς ἐγενόμεθα, τὸν δαλὸν ἐνέκρυψεν εἰς τὸ στυππεῖον. Τὸ δὲ — τί γὰρ ἄλλο ἐδύνατο; — εὐθὺς ἀνάπτεται, καὶ λοιπὸν οὐδὲν ἔφερον ἄλλο ἢ πῦρ ἄπλετον. Μαθὼν οὖν ὡς αὐτίκα ὀπτήσομαι, ἐν τῇ ὁδῷ τέλματι βαθεῖ ἐντυχὼν ῥίπτω ἐμαυτὸν τοῦ τέλματος ἐς τὸ ὑγρότατον· εἶτα ἑκύλιον ἐνταῦθα τὸ στυππεῖον καὶ δινῶν καὶ στρέφων ἐμαυτὸν τῷ πηλῷ κατέσβεσα τὸ θερμὸν ἐκεῖνο καὶ πικρὸν ἐμοὶ φορτίον, καὶ οὕτω λοιπὸν ἀκινδυνότερον ἐβάδιζον τῆς ὁδοῦ τὸ ἐπίλοιπον. Οὐδὲ γὰρ ἔτι με ἀνάψαι τῷ παιδὶ δυνατὸν ἦν τοῦ στυππείου πηλῷ ὑγρῷ πεφυρμένου. Καὶ τοῦτό γε ὁ τολμηρὸς παῖς ἐλθὼν ἐμοῦ κατεψεύσατο, εἰπὼν ὡς παρὼν ἐκὼν ἑαυτὸν ἐνσείσαιμι τῇ ἑστίᾳ. Καὶ τότε μὲν ἐκ τοῦ στυππείου μηδὲ ἐλπίζων ὑπεξῆλθον.

32. Ἄλλ' ἕτερον ὁ ἀκάθαρτος παῖς ἐξεῦρεν ἐπ' ἐμὲ μακρῷ κάκιον· κομίσας γάρ με ἐς τὸ ὄρος καί μοι φορτίον ἄδρὸν ἐπιθεὶς ἐκ τῶν ξύλων, τοῦτο μὲν πιπράσκει γεωργῷ πλησίον οἰκοῦντι, ἐμὲ δὲ γυμνὸν καὶ ἄξυλον κομίσας οἴκαδε καταψεύδεταί μου πρὸς τὸν αὐτοῦ δεσπότην ἔργον ἀνόσιον· Τοῦτον, δέσποτα, τὸν ὄνον οὐκ οἶδ' ὅ τι βόσκομεν δεινῶς ἀργὸν ὄντα καὶ βραδύν. Ἀλλὰ μὴν νῦν ἐπιτηδεύει καὶ ἄλλο ἔργον· ἐπὰν γυναῖκα ἢ παρθένον καλὴν καὶ ὡραίαν ἴδῃ ἢ παῖδα, ἀπολακτίσας ἕπεται δρόμῳ ἐπ' αὐτούς, ὡς εἴ τις ἐρᾷ ἄνθρωπος ἄρρην ἐπὶ ἐρωμένῃ γυναικὶ κινούμενος, καὶ δάκνει ἐν φιλήματος σχήματι καὶ πληγιάζειν βιάζεται, ἐκ δὲ τούτου σοι δίκας καὶ πράγματα παρέξει, πάντων ὑβριζομένων, πάντων ἀνατρεπομένων. Καὶ γὰρ νῦν ξύλα κομίζων γυναῖκα εἰς ἀγρὸν ἀπιοῦσαν ἰδὼν τὰ μὲν ξύλα πάντα χαμαὶ ἐσκόρπισεν ἀποσεισάμενος, τὴν δὲ γυναῖκα ἐς τὴν ὁδὸν ἀνατρέψας γαμεῖν ἐβούλετο, ἕως ἄλλος ἄλλοθεν ἐκδραμόντες ἠμύναμεν τῇ γυναικὶ ἐς τὸ μὴ διασπασθῆναι ὑπὸ τοῦ καλοῦ τούτου ἐραστοῦ.

33. Ὁ δὲ ταῦτα πυθόμενος, Ἀλλ' εἰ μήτε βαδίζειν, ἔφη, ἐθέλει μήτε φορτηγεῖν καὶ ἔρωτας ἀνθρωπίνους ἐρᾷ ἐπὶ γυναῖκας καὶ παῖδας οἰστρούμενος, ἀποσφάξατε

vinculo constrictum, a tergo et cauda mihi suspendebat. illæ ergo, ut facile est ad cogitandum, pergente me viam, dependentes impingebant atque assiduo punctu posteriora mihi omnia vulnerabant. Nec defendere me ullo modo poteram, instantibus mihi semper quæ vulnerarent, et a me ipso suspensis. Etenim si sensim progrederer appulsum spinarum cavens, peribam a fustibus : si vero fustim fugerem, tum jam malum illud a tergo acutissimum ingruebat. Et omnino id operam dabat agaso meus, me ut interficeret.

31. Quum autem semel aliquando mala perpessus multa, præ impatientia calcem contra illum movissem, semper illam calcem in memoria habuit. Ac jussus aliquando stuppam ex uno agro in alterum transferre, adducit me, stuppamque illam multam collatam mihi imponit, validoque me fune sarcinæ probe alligat, fraudem mihi ea re machinatus maximam. Quum vero jam pergendum esset, de foco furatus torrem adhuc ardentem, ubi procul ab aula recesseramus, eum torrem in stuppa abscondit : illa vero (qui enim posset aliter?) subito ignem concipit : ilicet, nihil fero aliud quam ignem immensum. Videns ego statim me in via iri assatum, observata forte lacuna palustri, in liquidissimam illius me partem abjicio : volvensque ibi stuppam, meque ipsum adeo circumagens et vertens, luto exstinguo ardentem et acerbam mihi sarcinam : sicque reliquum viæ minori cum periculo absolvo. Neque enim poterat jam puer iterum accendere stuppam liquido luto subactam. At hoc certe audax puer, quum delatus esset quo tendebat, me calumniatus est, me prætereuntem ultro infricuisse me foco. Interea tum e stuppa præter spem evaseram.

32. Sed aliud impurus ille puer contra me longe pejus excogitat. In montem me deducit, gravi lignorum sarcina oneratum : eaque ligna rustico vendit habitanti in vicinia; me vero nudum sine lignis domum deductum apud dominum suum nefandi facinoris per calumniam reum facit : Istum, here, inquit, asinum nescio cur alamus, supra modum piger qui sit ac tardus. Verum nunc aliud quoque sibi opus curæ habet : ubi mulierem, aut virginem pulchram ac formosam videt, aut puerum; jactatis calcibus cursu eos insequitur, eademque fere ratione, atque amator homo in amata sibi muliere, commovetur; et osculi in morem morsicat, et vi in complexum ruit. Ex ea autem re lites tibi et negotia facesset, quum insultet omnibus, evertat omnes. Etenim modo ligna gestans, conspecta muliere rus abeunte, humi dispersit excussa ligna omnia, cum muliere vero in viam eversa nuptias facere voluit, donec accurrentes aliunde alius, auxilio fuimus mulieri, ne a præclaro istoc amatore laceraretur.

33. Ille vero his auditis, Si vero, inquit, neque incedere vult, neque gestare onera, et humanos amores amat, in mulieres puerosque insaniens, illum jugulate, atque inte-

αὐτὸν, καὶ τὰ μὲν ἔγκατα τοῖς κυσὶ δότε, τὰ δὲ κρέα τοῖς ἐργάταις φυλάξατε· καὶ ἢν ἔρηται πῶς οὗτος ἀπέθανε, λύκου τοῦτο καταψεύσασθε. Ὁ μὲν οὖν ἀκάθαρτος παῖς ὁ ἐμὸς ὀνηλάτης ἔχαιρε καί με αὐτίκα ἤθελεν ἀποσφάττειν. Ἀλλ' ἔτυχε γάρ τις παρὼν τότε τῶν γειτόνων γεωργῶν· οὗτος ἐρρύσατό με ἐκ τοῦ θανάτου δεινὰ ἐπ' ἐμοὶ βουλευσάμενος. Μηδαμῶς, ἔφη, ἀποσφάξῃς ὄνον καὶ ἀλεῖν καὶ ἀχθοφορεῖν δυνάμενον· καὶ οὐ μέγα. Ἐπειδὴ γὰρ εἰς ἀνθρώπους ἔρωτι καὶ οἴστρῳ φέρεται, λαβὼν αὐτὸν ἔκτεμε· τῆς γὰρ ἐπαφροδίτου ταύτης ὁρμῆς ἀφαιρεθεὶς ἥμερός τε εὐθὺς καὶ πίων ἔσται καὶ οἴσει φορτίον μέγα οὐδὲν ἀχθόμενος. Εἰ δὲ αὐτὸς ἀπείρως ἔχεις ταύτης τῆς ἰατρείας, ἀφίξομαι δεῦρο μεταξὺ τριῶν ἢ τεττάρων ἡμερῶν καί σοι τοῦτον σωφρονέστερον προβατίου παρέξω τῇ τομῇ. Οἱ μὲν οὖν ἔνδον ἅπαντες ἐπῄνουν τὸν σύμβουλον, ὡς εὖ λέγοι, ἐγὼ δὲ ἤδη ἐδάκρυον ὡς ἀπολέσων αὐτίκα τὸν ἐν τῷ ὄνῳ ἄνδρα καὶ ζῆν οὐκέτι ἐθέλειν ἔφην, εἰ γενοίμην εὐνοῦχος· ὥστε καὶ ὅλως ἀποσιτῆσαι τοῦ λοιποῦ ἐγνώκειν ἢ βῖψαι ἐμαυτὸν ἐκ τοῦ ὄρους, ἵνθα ἐκπεσὼν θανάτῳ οἰκτίστῳ ὁλόκληρος ἔτι καὶ ἀκέραιος νεκρὸς τεθνήξομαι.

34. Ἐπεὶ δὲ ἦν νὺξ βαθεῖα, ἄγγελός τις ἀπὸ τῆς κώμης ἦκεν εἰς τὸν ἀγρὸν καὶ τὴν ἔπαυλιν, ταύτην λέγων τὴν νεόνυμφον κόρην τὴν ὑπὸ τοῖς λῃσταῖς γενομένην καὶ τὸν ταύτης νυμφίον, περὶ δείλην ὀψίαν ἀμφοτέρους αὐτοὺς ἐν τῷ αἰγιαλῷ περιπατοῦντας, ἐπιπολάσασαν ἄφνω τὴν θάλατταν ἁρπάσαι αὐτοὺς καὶ ἀφανεῖς ποιῆσαι, καὶ τέλος αὐτοῖς τοῦτο τῆς συμφορᾶς καὶ θανάτου γενέσθαι. Οἱ δὲ οἷα δὴ κεκενωμένης τῆς οἰκίας νέων δεσποτῶν ἔγνωσαν μηκέτι μένειν ἐν τῇ δουλείᾳ, ἀλλὰ πάντα διαρπάσαντες τὰ ἔνδον φυγῇ ἐσώζοντο. Ὁ δὲ νομεὺς τῶν ἵππων κἀμὲ παραλαβὼν καὶ πάνθ' ὅσα δυνατὸς ἦν συλλαβὼν ἐπικατέδησέ μοι καὶ ταῖς ἵπποις ****. Ἐγὼ δὲ ἠχθόμην μὲν φέρων φορτίον ὄνου ἀληθινοῦ, ἀλλ' οὖν ἄσμενος τὸ ἐμπόδιον τοῦτο τῆς ἐμῆς ἐδεξάμην ἐκτομῆς. Καὶ τὴν νύκτα ὅλην ἐλθόντες ὁδὸν ἀργαλέαν καὶ τριῶν ἄλλων ἡμερῶν τὴν ὁδὸν ἀνύσαντες ἐρχόμεθα ἐς πόλιν τῆς Μακεδονίας Βέρροιαν μεγάλην καὶ πολυάνθρωπον.

35. Ἐνταῦθα ἔγνωσαν οἱ ἀγοντες ἡμᾶς ἱδρῦσαι καὶ ἑαυτούς. Καὶ τότε δὴ πρᾶσις ἦν ἡμῶν τῶν κτηνῶν καὶ κῆρυξ εὔφωνος ἐν ἀγορᾷ μέσῃ ἑστὼς ἐκήρυττεν. Οἱ δὲ προσιόντες ἰδεῖν ἤθελον τὰ στόματα ἡμῶν ἀνοίγοντες καὶ τὴν ἡλικίαν ἐν τοῖς ὀδοῦσιν ἑκάστου ἔβλεπον, καὶ τοὺς μὲν ὠνήσαντο ἄλλος ἄλλον, ἐμὲ δὲ ὕστατον ἀπολελειμμένον ὁ κῆρυξ ἐκέλευεν αὖθις ἐπανάγειν ἐς οἶκον. Ὁρᾷς, ἔφη, οὗτος μόνος οὐχ εὕρηκε κύριον. Ἡ δὲ πολλὰ πολλάκις δινουμένη καὶ μεταπίπτουσα Νέμεσις ἤγαγε κἀμοὶ τὸν δεσπότην, οἷον οὐκ ἂν εὐξαίμην· κίναιδος γὰρ καὶ γέρων ἦν τούτων εἷς τῶν τὴν θεὸν τὴν Συρίαν εἰς τὰς κώμας καὶ τοὺς ἀγροὺς περιφερόντων καὶ τὴν θεὸν ἐπαιτεῖν ἀναγκαζόντων. Τούτῳ πιπράσκομαι πολλῆς πάνυ τιμῆς, τριάκοντα δραχμῶν· καὶ στένων ἤδη τῷ δεσπότῃ εἱπόμην ἄγοντι.

36. Ἐπεὶ δὲ ἥκομεν ἔνθα ᾤκει Φίληβος — τοῦτο

stina projicite canibus, carnes autem servate operis : ac si interrogabitur quomodo iste perierit, a lupo factum mentimini. Impurus ergo puer, meus mulio, gaudere, ac statim me velle jugulare. Sed forte fortuna interveniens de vicinia rusticorum aliquis, illa me morte eripuit, dirum quidem contra me consilium subjiciens. Nequaquam, inquit, interfeceris asinum, et molere valentem et gestare onera : nec magnum opus. Quando enim in homines amore atque œstro fertur, comprehensum exseca : etenim venereo isto impetu sublato, mansuetus statim et pinguis erit, et magnum sine labore onus gestabit. Si vero ipse hujus curationis imperitus es, intra tertium quartumve diem huc veniam, et istum tibi ovicula mitiorem illa sectione præstabo. Itaque familiares omnes laudare consiliarium, bene illum dicere asseverantes. Ego vero jam plorare, qui mox perditurus essem latentem in asino virum, et negare me vivere velle, si eunuchus fierem : adeo ut omnino cibo abstinere in posterum decernerem, aut de monte me præcipitare, unde delapsus miserrima quidem morte, integrum tamen adhuc et intemeratum cadaver, morerer.

34. Intempesta jam nocte nuncius de vico aliquis rus venit et in villam, dicens puellam illam recens nuptam, illam quæ in latronum potestate fuerat, ipsiusque sponsum, sero diei ambos et solos in litore ambulantes, accedente subito maris fluctu abreptos, non amplius comparere, eumque finem illis calamitatis ac mortis accidisse. Hic illi, velut orbata junioribus heris domo, decernunt non amplius manere in servitute, sed direptis quæ intus erant omnibus, fuga sibi consulunt. Equarum autem pastor, et me assumto et convasatis quæ poterat omnibus, ea mihi et equabus imponit. * * * Ego gravabar quidem ferens veri onus asini : interim lubens impedimentum illud meæ castrationis excepi. Ac per totam illam noctem difficili itinere quum perrexissemus, et trium aliorum dierum superata via, venimus in urbem Macedoniæ, Berrhœan, magnam et incolis frequentem.

35. Ibi statuunt qui nos egerant, et ipsi se collocare. Tum igitur nostrûm, jumentorum, instituta est auctio : et vocalis præco, in medio stans foro, proclamat. Accedentes autem emtores inspicere nos volebant, apertisque nostris oribus, annos de dentibus uniuscujusque spectabant. Et partim quidem, aliud alius emerunt : me autem relictum jubet domum rursus reduci præco, Vides, inquiens, hic solus dominum non repperit. Verum illa, multum sæpe vertigine quasi quadam circumacta et huc illuc labans ultrix Providentia adduxit mihi quoque, qualem minime optarem, herum. Cinædus enim et senex erat, ex eo genere unus, qui Syriam deam per vicos agrosque circumferunt, et mendicatum ire deam cogunt. Huic vendor magno sane pretio, drachmis triginta. Jamque ingemiscens ducentem sequor dominum.

36. Quum autem venissemus in diversorium Philebi

γὰρ εἶχεν ὄνομα ὁ ὠνησάμενός με — μέγα εὐθὺς πρὸ τῆς θύρας ἀνέκραγεν, Ὦ κοράσια, δοῦλον ὑμῖν ἐώνημαι καλὸν καὶ ἁδρὸν καὶ Καππαδόκην τὸ γένος. Ἦσαν δὲ τὰ κοράσια ταῦτα ὄχλος κιναίδων συνεργῶν τοῦ Φιλήβου, καὶ πάντες πρὸς τὴν βοὴν ἀνεκρότησαν· ᾠοντο γὰρ ἀληθῶς ἄνθρωπον εἶναι τὸν ἐωνημένον. Ὡς δὲ εἶδον ὄνον ὄντα τὸν δοῦλον, ἤδη ταῦτα ἐς τὸν Φίληβον ἔσκωπτον, Τοῦτον οὐ δοῦλον, ἀλλὰ νυμφίον σαυτῇ πόθεν ἄγεις λαθοῦσα; ὄναιο δὲ τούτων τῶν καλῶν γάμων καὶ τέκοις ταχέως ἡμῖν πώλους τοιούτους. Καὶ οἱ μὲν ἐγέλων.

37. Τῇ δὲ ὑστεραίᾳ συνετάττοντο ἐπ' ἔργον, ὥσπερ αὐτοὶ ἔλεγον, καὶ τὴν θεὸν ἐνσκευασάμενοι ἐμοὶ ἐπέθηκαν. Εἶτα ἐκ τῆς πόλεως ἐξηλαύνομεν καὶ τὴν χώραν περιήειμεν. Ἐπειδὴ δ' εἰς κώμην τινὰ εἰσέλθοιμεν, ἐγὼ μὲν ὁ θεοφόρητος ἱστάμην, ὁ δὲ αὐλητὴς ἐφύσα ὅμιλος ἔνθεον, οἱ δὲ τὰς μίτρας ἀπορρίψαντες τὴν κεφαλὴν κάτωθεν ἐκ τοῦ αὐχένος ἑλίσσοντες τοῖς ξίφεσιν ἐτέμνοντο τοὺς πήχεις καὶ τὴν γλῶτταν τῶν ὀδόντων ὑπερβάλλων ἕκαστος ἔτεμνε καὶ ταύτην, ὥστε ἐν ἀκαρεῖ πάντα πεπλῆσθαι μαλακοῦ αἵματος. Ἐγὼ δὲ ταῦτα ὁρῶν τὰ πρῶτα ἔτρεμον ἑστὼς, μή ποτε χρεία τῇ θεῷ καὶ ὀνείου αἵματος γένοιτο. Ἐπειδὴ δὲ κατακόψειαν οὕτως ἑαυτοὺς, ἐκ τῶν περιεστηκότων θεατῶν συνέλεγον ὀβολοὺς καὶ δραχμάς· ἄλλος ἰσχάδας καὶ τυροὺς καὶ οἶνου κάδον ἐπέδωκε καὶ πυροῦ μέδιμνον καὶ κριθῶν τῷ ὄνῳ. Οἱ δὲ ἐκ τούτων ἐτρέφοντο καὶ τὴν ἐπ' ἐμοὶ κομιζομένην θεὸν ἐθεράπευον.

38. Καί ποτε εἰς κώμην τινὰ αὐτῶν εἰσβαλόντων ἡμῶν νεανίσκον τῶν κωμητῶν μέγαν ἀγρεύσαντες εἰσάγουσιν εἴσω ἔνθα καταλύοντες ἔτυχον· ἔπειτα ἔπασχον ἐκ τοῦ κωμήτου ὅσα συνήθη καὶ φίλια τοιούτοις ἀνοσίοις κιναίδοις ἦν. Ἐγὼ δὲ ὑπεραλγήσας ἐπὶ τῇ ἐμαυτοῦ μεταβολῇ, Καὶ μέχρι νῦν ἀνέχομαι κακῶν, ἀναβοῆσαι, ὦ Ζεῦ σχέτλιε, ἠθέλησα, ἀλλ' ἡ μὲν φωνὴ οὐκ ἀνέβη μοι ἡ ἐμὴ, ἀλλ' ἡ τοῦ ὄνου ἐκ τοῦ φάρυγγος, καὶ μέγα ὠγκησάμην. Τῶν δὲ κωμητῶν τινες ἔτυχον τότε ὄνον ἀπολωλεκότες, καὶ τὸν ἀπολωλότα ζητοῦντες ἀκούσαντές μου μέγα ἀνσβοήσαντος παρέρχονται εἴσω οὐδενὶ οὐδὲν εἰπόντες ὡς ἐμοῦ τοῦ ἐκείνων ὄντος, καὶ καταλαμβάνουσι τοὺς κιναίδους ἄρρητα ἔνδον ἐργαζομένους· καὶ γέλως ἐκ τῶν ἐπεισελθόντων πολὺς γίγνεται. Ἔξω ἐκδραμόντες ὅλῃ τῇ κώμῃ τῷ λόγῳ διέδωκαν τῶν ἱερέων τὴν ἀσέλγειαν. Οἱ δὲ αἰδούμενοι δεινῶς ταῦτα ἐλεγχθέντα τῆς ἐπιούσης νυκτὸς εὐθὺς ἔνθεν ἐξήλασαν, καὶ ἐπειδὴ ἐγένοντο ἐν τῇ ἐρήμῳ τῆς ὁδοῦ ἐχαλέπαινον καὶ ὠργίζοντο ἐμοὶ τῷ μηνύσαντι τὰ ἐκείνων μυστήρια. Καὶ τοῦτο μὲν ἀνεκτὸν τὸ δεινὸν ἦν, κακῶς τῷ λόγῳ ἀκούειν, ἀλλὰ τὰ μετὰ τοῦτο οὐκέτ' ἀνεκτά· τὴν γὰρ θεὸν ἀφελόντες μου καὶ χαμαὶ καταθέμενοι καὶ τὰ στρώματά μου πάντα περισπάσαντες γυμνὸν ἤδη προσδέουσί με δένδρῳ μεγάλῳ, εἶτα ἐκείνῃ τῇ ἐκ τῶν ἀστραγάλων μάστιγι παίοντες ὀλίγου ἐδέησαν ἀποκτεῖναι, κελεύοντές με τοῦ λοιποῦ ἄφωνον εἶναι θεοφόρητον. Καὶ μὴν καὶ ἀποσφάξαι μετὰ τὰς μάστιγας ἐβουλεύ-

(hoc enim nomen habebat qui me emerat), magna statim ante januam voce exclamat, Emi vobis, puellæ, servum pulchrum, et compactum, et gente Cappadocem. At illæ puellæ erant turba cinædorum, Philebi sodalium, qui omnes ad illum clamorem plausum tollunt, rati revera hominem esse quod emtum esset. Quum autem viderent asinum esse illum servum, jam ista in Philebum cavillantur, Hunc non servum, o nostra, sed sponsum tibi unde quæso acceptum adducis? feliciter vero tibi eveniant præclaræ hæ nuptiæ, pariasque nobis propediem tales pullos. Sic tum ridebant.

37. Postridie ad opus, ut ipsi dicebant, suum se accingebant; ornatamque deam mihi imposuerunt. Tum urbe egressi per agros circumibamus. Quoties vero ad vicum aliquem accesseramus, ego deæ gerulus insistebam; ac tibicinum turba fanaticum quiddam inflante, illi, mitris abjectis, caput sursum ex cervice intorquentes, gladiis sibi lacertos vulnerant, et exsertam ultra dentes linguam quisque et ipsam incidunt: adeo ut brevissimo temporis spatio molli sanguine plena essent omnia. Ego vero ista quum viderem, primum astans tremere, ne forte deæ asinino etiam sanguine opus esset. Ubi vero ita se conciderant, de circumstantibus spectatoribus stipem, obolos ac drachmas colligunt. Alius ficus, et caseos, et vini cadum insuper dedit, et tritici medimnum et hordei asino. Ex his illi alebantur, gestatamque humeris meis deam colebant.

38. Atque in vicum aliquando illorum delatis nobis, captum de vicanis magnum juvenem intro deducunt, ubi deversabantur: deinde patiuntur a rustico quæ consueta atque cara nefandis istis cinædis erant. Ego vero supra modum dolens mea illa transformatione, Ergo ad hunc usque diem malum sustineo, exclamare, o crudelis Jupiter! volebam: sed vox quidem mea mihi non ascendit e gutture, sed asini; magnum nempe rudebam. Verum agrestes quidam, qui forte asinum perdiderant, requirentes amissum, audito me validum clamante, intro ingrediuntur, nemine præmonito, tanquam ego illorum essem; deprehenduntque cinædos infanda intus patrantes. Itaque risus multus ab his qui ingressi fuerant oritur: hinc extra discurrentes per totum vicum, sermonibus differunt sacerdotum libidinem. Hi, quos vehementer puderet ea in apertum esse prolata, proxima nocte statim inde discesserunt: quumque in deserto viæ essent, indigne ferebant et irascebantur mihi, qui mysteria illorum enunciassem. Atque illud quidem tolerabile malum erat, maledicta illorum audire; sed quæ sequebantur, non jam tolerabilia: dea enim ablata a me et humi deposita, detractisque omnibus meis stragulis, nudum jam magnæ arbori alligant: tum illo de talis flagello cæsum parum aberat quin interficerent, monentes ut mutus in posterum essem deæ gerulus. Quin de jugulando me etiam post verbera deliberabant, qui tanta illos

σαντο ὡς ἐς ὕδριν αὐτοὺς βαλόντα πολλὴν καὶ τῆς κώμης οὐκ ἐργασαμένους ἐκβαλόντα· ἀλλ' ὥστε με μὴ ἀποκτεῖναι, δεινῶς αὐτοὺς ἡ θεὸς ἐδυσώπησε χαμαὶ καθημένη καὶ οὐκ ἔχουσα ὅπως ὁδεύοι.

39. Ἐντεῦθεν οὖν μετὰ τὰς μάστιγας λαβὼν τὴν δέσποιναν ἐβάδιζον καὶ πρὸς ἑσπέραν ἤδη καταλύομεν εἰς ἀγρὸν πλουτοῦντος ἀνθρώπου· καὶ ἦν οὗτος ἔνδον καὶ τὴν θεὸν μάλα ἄσμενος τῇ οἰκίᾳ ὑπεδέξατο καὶ θυσίας αὐτῇ προσήγαγεν. Ἐνθάδε οἶδα μέγαν κίνδυνον αὐτὸς ὑποστάς· τῶν φίλων γάρ τις τῷ δεσπότῃ τῶν ἀγρῶν ἔπεμψε δῶρον ὄνου ἀγρίου μηρόν· τοῦτον ὁ μάγειρος σκευάσαι λαβὼν ῥᾳθυμίᾳ ἀπώλεσε, κυνῶν πολλῶν λαθραίως εἴσω παρελθόντων· ὃς δεδιὼς πληγὰς πολλὰς καὶ βάσανον ἐκ τῆς ἀπωλείας τοῦ μηροῦ ἔγνω κρεμάσαι ἑαυτὸν ἐκ τοῦ τραχήλου. Ἡ δὲ γυνὴ ἡ τούτου, κακὸν ἐξαίσιον ἐμὸν, Ἀλλὰ μήτε ἀπόθνησκε, εἶπεν, ὦ φίλτατε, μήτε ἀθυμίᾳ τοιαύτῃ δῷς σεαυτόν· πειθόμενος γάρ μοι πράξεις εὖ πάντα. Τῶν κιναίδων τὸν ὄνον λαβὼν ἔξω εἰς ἔρημον χωρίον κἄπειτα σφάξας αὐτὸν τὸ μέρος μὲν ἐκεῖνο τὸν μηρὸν ἀποτεμὼν κόμιζε δεῦρο καὶ κατασκευάσας τῷ δεσπότῃ ἀπόδος καὶ τὸ ἄλλο τοῦ ὄνου κάτω που ἐς κρημνὸν ἄφες· δόξει γὰρ ἀποδρὰς οἰχεσθαί ποι καὶ εἶναι ἀφανής. Ὁρᾷς δὲ ὡς ἔστιν εὔσαρκος καὶ τοῦ ἀγρίου ἐκείνου πάντα ἀμείνων; Ὁ δὲ μάγειρος τῆς γυναικὸς ἐπαινέσας τὸ βούλευμα, Ἄριστα, ἔφη, σοι, ὦ γύναι, ταῦτα, καὶ τούτῳ μόνῳ τῷ ἔργῳ τὰς μάστιγας φυγεῖν ἔχω, καὶ τοῦτό μοι ἤδη πεπράξεται. Ὁ μὲν οὖν ἀνόσιος οὗτος οὑμὸς μάγειρος ἐμοῦ πλησίον ἑστὼς τῇ γυναικὶ ταῦτα συνεβουλεύετο.

40. Ἐγὼ δὲ τὸ μέλλον ἤδη προορώμενος κράτιστον ἔγνων τὸ σώζειν ἐμαυτὸν ἐκ τῆς κοπίδος καὶ ῥήξας τὸν ἱμάντα ᾧ διηγόμην καὶ ἀνασκιρτήσας ἔμαι δρόμῳ εἴσω ἔνθα ἐδείπνουν οἱ κίναιδοι σὺν τῷ δεσπότῃ τῶν ἀγρῶν. Ἐνταῦθα εἰσδραμὼν ἀνατρέπω πάντα τῷ σκιρτήματι καὶ λυχνίαν καὶ τραπέζας· κἀγὼ μὲν ὤμην κομψόν τι τοῦτο πρὸς σωτηρίαν ἐμὴν εὑρηκέναι, καὶ τὸν δεσπότην τῶν ἀγρῶν κελεύειν εὐθέως ὡς ἀγέρωχον ὄνον ἐμὲ κατακλεισθέντα ποι φυλάττεσθαι ἀσφαλῶς· ἀλλά με τοῦτο τὸ κομψὸν εἰς ἔσχατον ἤνεγκε κίνδυνον. Λυττᾶν δόξαντές με ξίφη πολλὰ ἤδη καὶ λόγχας ἐπ' ἐμὲ ἐσπάσαντο καὶ ξύλα μακρά· καὶ εἶχον οὕτως ὥστε ἀποκτενεῖν με. Ἐγὼ δὲ ὁρῶν τοῦ δεινοῦ τὸ μέγεθος δρόμῳ εἴσω παρέρχομαι ἔνθα οἱ ἐμοὶ δεσπόται κοιμηθήσεσθαι ἔμελλον. Οἱ δὲ θεασάμενοι τοῦτο συγκλείουσι τὰς θύρας εὖ μάλα ἔξωθεν.

41. Ἐπειδὴ δὲ ἤδη ὄρθρος ἦν, ἀράμενος τὴν θεὸν αὖθις ἀπῄειν ἅμα τοῖς ἀγύρταις καὶ ἀφικόμεθα εἰς κώμην ἄλλην μεγάλην καὶ πολυάνθρωπον, ἐν ᾗ καὶ καινότερόν τι ἐτερατεύσαντο, τὴν θεὸν μὴ μεῖναι ἐν ἀνθρώπου οἰκίᾳ, τῆς δὲ παρ' ἐκείνοις μάλιστα τιμωμένης ἐπιχωρίου δαίμονος τὸν ναὸν οἰκῆσαι. Οἱ δὲ καὶ μάλα ἄσμενοι τὴν ξένην θεὸν ὑπεδέξαντο τῇ σφῶν αὐτῶν θεῷ συνοικίσαντες, ἡμῖν δὲ οἰκίαν ἀπέδειξαν ἀνθρώπων πενήτων. Ἐνταῦθα συχνὰς ἡμέρας οἱ δεσπόται διατρί-

mersissem contumelia, et antequam meruissent aliquid, vico excussissem : sed quominus me occiderent, deæ verecundia movebantur, jacentis humi nec habentis quomodo iter faceret.

39. Hinc ergo post flagella, recepta domina, pergo. Versus vesperam devertimus in prædio hominis divitis. Domi hic erat commodum, lubensque deam domi recipiebat, offerebatque illi sacrificia. Hic memini magnum me subire periculum. Miserat domino prædii donum amicorum aliquis, femur silvestris asini : hoc coquus, acceptum ut pararet negligentia perdidit, canibus multis clam ingressis. Hic plagarum multarum metu atque cruciatus ob perditum femur, suspendere se decernit. Verum uxor illius, inauspicatum mihi malum, Tu vero, carissime, inquit, mori noli, ne desperationi tali te tradideris : mihi enim obsecutus bene omnia feceris. Cinædorum illum asinum educ in locum remotum, ibique mactati partem illam, femur abscissum huc affer, apparatumque redde domino, reliqua asini per præceps aliquorsum abjice : videbitur enim aufugisse aliquo, et sic discessisse ex oculis. Viden' quam est carnosus, et agresti illo omnibus modis melior ? Coquus, laudato mulieris consilio, Optime, inquit, ista, uxor : et hoc solo opere flagella mihi licebit effugere : et hoc jam statim perfectum dabitur a me. Hæc nefarius ille meus coquus prope me astans, cum uxore deliberabat.

40. At ego quid futurum esset prospiciens, optimum ratus a cultro me eripere, rupto quo ducebar loro et exsultans, curriculo irrumpo ubi cœnabant cum domino agrorum cinædi. Hic intro currens everto insultu meo omnia, candelabrum et mensas. Ac videbar mihi equidem scitum quiddam ad salutem meam invenisse, ac jussurum ruris dominum statim me tanquam elatum ferocia asinum includi uspiam diligenterque asservari. Sed illud ipsum me scitum in extremum periculi adduxit. Rabiosum me rati, multos jam gladios in me hastasque strinxerant et longos fustes, atque ut statim interfecturi me se comparaverant. Ego autem perspecta periculi magnitudine, cursu me intro in eum locum proripio, ubi pernoctaturi erant mei domini. Quo illi animadverso, probe januas extra occludunt.

41. Post lucis exortum sublata iterum dea cum agyrtis abeo, pervenimusque in vicum alium magnum et hominibus frequentem, in quo novum præstigiarum genus pararunt, non manere deam in hominis ædibus, sed in templo deæ illius loci, quæ maxime ab illis colebatur, deversari velle. Illi ac lubentes quidem peregrinam deam recipiunt, dicentes in suæ ipsorum deæ hospitium deductam : nobis vero domum pauperculorum hominum assignant. Hic dies aliquam multos commorati domini mei abire in vicinam urbem quum

ψαντες ἀπιέναι ἤθελον εἰς τὴν πλησίον πόλιν καὶ τὴν θεὸν ἀπήτουν τοὺς ἐπιχωρίους, καὶ αὐτοὶ ἐς τὸ τέμενος παρελθόντες ἐκόμιζον αὐτὴν, καὶ θέντες ἐπ' ἐμοὶ ἤλαυνον ἔξω. Ἐτυχον δὲ οἱ δυσσεβεῖς εἰς τὸ τέμενος ἐκεῖνο παρελθόντες ἀνάθημα φιάλην χρυσῆν κλέψαντες, ἣν ὑπὸ τῇ θεῷ ἔφερον· οἱ δὲ κωμῆται αἰσθόμενοι τοῦτο εὐθὺς ἐδίωκον, εἶτα ὡς πλησίον ἐγένοντο, καταπηδήσαντες ἀπὸ τῶν ἵππων εἶχοντο αὐτῶν ἐν τῇ ὁδῷ καὶ δυσσεβεῖς καὶ ἱεροσύλους ἐκάλουν καὶ ἀπήτουν τὸ κλαπὲν ἀνάθημα, καὶ ἐρευνῶντες πάντα εὗρον αὐτὸ ἐν τῷ κόλπῳ τῆς θεοῦ. Δήσαντες οὖν τοὺς γυνίας ἦγον ὀπίσω καὶ τοὺς μὲν εἰς τὴν εἱρκτὴν ἐμβάλλουσι, τὴν δὲ θεὸν τὴν ἐπ' ἐμοὶ κομιζομένην ἁράμενοι ναῷ ἄλλῳ ἔδωκαν, τὸ δὲ χρυσίον τῇ πολίτιδι θεῷ πάλιν ἀπέδωκαν.

42. Τῇ δὲ ὑστεραίᾳ τά τε σκεύη κἀμὲ πιπράσκειν ἔγνωσαν, καὶ ἀπέδοντό με ξένῳ ἀνθρώπῳ τὴν πλησίον κώμην οἰκοῦντι, τέχνην ἔχοντι ἄρτους πέττειν· οὗτός με παραλαβὼν καὶ πυρῶν μεδίμνους δέκα ὠνησάμενος, ἐπιθείς μοι τὸν πυρὸν οἴκαδε ἤλαυνεν ὡς ἑαυτὸν ὁδὸν ἀργαλέαν· ὡς δὲ ἤκομεν, εἰσάγει με εἰς τὸν μυλῶνα, καὶ ὁρῶ πολὺ πλῆθος ἔνδον δμοδούλων κτηνῶν, καὶ μύλαι πολλαὶ ἦσαν, καὶ πᾶσαι τούτοις ἐστρέφοντο, καὶ πάντα ἐκεῖνα μεστὰ ἦν ἀλεύρων. Καὶ τότε μέν με οἷα ξένον δοῦλον καὶ φορτίον βαρύτατον ἀράμενον καὶ ὁδὸν ἀργαλέαν ἀφιγμένον ἀναπαύεσθαι ἔνδον ἀφῆκαν, τῇ δὲ ὑστεραίᾳ ὀθόνῃ τὰ ὄμματά μου σκεπάσαντες ὑποζευγνύουσί με τῇ κώπῃ τῆς μύλης· εἶτα ἤλαυνον. Ἐγὼ δὲ ἠπιστάμην ὅπως χρὴ ἀλεῖν πολλάκις παθὼν, προσεποιούμην δὲ ἀγνοεῖν· ἀλλὰ μάτην ἤλπισα. Λαβόντες γὰρ πολλοὶ τῶν ἔνδον βακτηρίας περίστανταί με καὶ μὴ προσδοκήσαντα, ὡς οὐχ ὁρῶντα, παίουσιν ἀθρόᾳ τῇ χειρὶ, ὥστε με ὑπὸ τῆς πληγῆς ὥσπερ στρόμβον ἐξαπίνης στρέφεσθαι· καὶ πείρᾳ ἔμαθον ὅτι χρὴ τὸν δοῦλον ἐς τὸ τὰ δέοντα ποιεῖν, μὴ περιμένειν τὴν χεῖρα τοῦ δεσπότου.

43. Λεπτὸς οὖν πάνυ γίγνομαι καὶ ἀσθενὴς τῷ σώματι, ὥστε ἔγνω με ὁ δεσπότης πωλῆσαι, καὶ ἀποδίδοταί με ἀνθρώπῳ κηπουρῷ τὴν τέχνην· οὗτος γὰρ εἶχε κῆπον λαβὼν γεωργεῖν. Καὶ τοῦτο εἴχομεν ἔργον· ὁ δὲ δεσπότης ἔωθεν ἐπιθείς μοι τὰ λάχανα ἐκόμιζεν εἰς τὴν ἀγορὰν, καὶ παραδοὺς τοῖς ταῦτα πιπράσκουσιν ἦγέ με πάλιν εἰς τὸν κῆπον. Εἶτα ἐκεῖνος μὲν καὶ ἔσκαπτε καὶ ἐφύτευε καὶ τὸ ὕδωρ τῷ φυτῷ ἐπῆγεν, ἐγὼ δὲ ἐν τούτῳ εἱστήκειν ἀργός. Ἦν δέ μοι δεινῶς ἀλγεινὸς ὁ τότε βίος· πρῶτον μὲν ἐπεὶ χειμὼν ἤδη ἦν κἀκεῖνος οὐδὲ αὐτῷ στρῶμα εἶχεν ἀγοράσαι οὐχ ὅπως ἐμοὶ, καὶ ἀνυπόδητος πηλὸν ὑγρὸν καὶ πάγον σκληρὸν καὶ ὀξὺν ἐπάτουν, καὶ φαγεῖν τοῦτο μόνον ἀμφοτέροις ἦν θρίδακας πικρὰς καὶ σκληράς.

44. Καί ποτε ἐξιόντων ἡμῶν ἐς τὸν κῆπον ἐντυγχάνει ἀνὴρ γενναῖος στρατιώτου στολὴν ἠμφιεσμένος, καὶ τὰ μὲν πρῶτα λαλεῖ πρὸς ἡμᾶς τῇ Ἰταλῶν φωνῇ καὶ ἤρετο τὸν κηπουρὸν ὅποι ἀπάγοι τὸν ὄνον ἐμέ· ὁ δὲ, οἶμαι, τῆς φωνῆς ἀνόητος ὢν οὐδὲν ἀπεκρίνατο· ὁ δὲ

vellent, deam repetunt ab incolis, atque ipsi in sacrum ingressi inde eam exportant, mihique impositam educunt. Verum impii in sacrum illud ingressi donarium, phialam auream furati fuerant, quam sub deæ vestibus ferebant. Sed animadversa re, vicani statim persequebantur : deinde, quum prope essent, desilientes ab equis illos in via prehendebant, impios vocabant sacrilegosque, sublatum furto donarium reposcebant, idque excussis omnibus in sinu deæ invenerunt. Vinctos ergo effeminatos hosce reducunt, atque ipsos quidem conjiciunt in vincula; deam autem, quam meo gestabam tergo, sublatam in aliud templum dedere; aurum denique suæ civitatis Deæ restituerunt.

42. Postridie cum supellectili illorum me quoque statuerunt vendere : et vendidere hospiti de proximo vico homini, cujus ars erat panes coquere. Hic me assumtum, impositis decem, quos emerat, tritici medimnis, domum deduxit suam, via quidem aspera. Quum advenissemus, deducit me in pistrinum. Et video ibi magnam intus conservorum jumentorum multitudinem; et molæ ibi multæ erant, quæ omnes ab his circumagebantur, plenaque farinis omnia. Et tum quidem me ut servum peregre advenientem, quique gravissimum onus gestassem, viamque difficilem confecissem, requiescere intus passi sunt. At postridie ejus diei, prætenso oculis meis velo, temoni me molæ subjugant; tum agitabant. Ac bene equidem noram quomodo molendum esset, qui sæpe subiissem : ignorare tamen me simulabam. Verum frustra fuit spes mea. Correptis enim baculis domesticorum multi me circumstant, meque necopinantem, qui nihil viderem, conferta manu pulsant, adeo ut a plagis trochi instar subito circumagerer. Itaque experimento tum didici, non oportere servum ad hoc, ut officium faciat, manum exspectare heri.

43. Emaciatus ergo et imbecillo corpore quum fierem, statuit dominus me vendere, venditque homini olitori, qui hortum colendum conduxerat. Hic illud habebamus negotii : dominus autem mane imposita mihi olera deportabat in forum, eaque quum vendentibus tradidisset, retro me in hortum agebat. Deinde illo et fodiente et plantante et plantas irrigante, vacuus ego astabam. Erat autem vehementer molesta quam tum vitam agebam : primo quidem quod hiems jam esset, et ille neque unde stragula sibi emeret haberet, nedum ut mihi, et quod sine soleis lutum humidum et glaciem duram atque acutam calcarem; cibi vero hoc solum utrique esset, lactucæ amaræ ac duræ.

44. Aliquando exeuntibus nobis in hortum, adest vir fortis, militari veste indutus, ac primum Italorum nos lingua alloquitur, interrogans olitorem, quo me asinum abduceret? Hic, linguæ, puto, ignarus, nihil respondet. Ille

ὀργιζόμενος, ὡς ὑπερορώμενος, παίει τῇ μάστιγι τὸν κηπουρὸν, κἀκεῖνος συμπλέκεται αὐτῷ καὶ ἐκ τῶν ποδῶν εἰς τὴν ὁδὸν ὑποσπάσας ἐκτείνει, καὶ κείμενον ἔπαιεν οὕτω καὶ χειρὶ καὶ ποδὶ καὶ λίθῳ τῷ ἐκ τῆς ὁδοῦ· ὁ δὲ τὰ πρῶτα καὶ ἀντεμάχετο καὶ ἠπείλει, εἰ ἀνασταίη, ἀποκτενεῖν τῇ μαχαίρᾳ· ὁ δὲ ὥσπερ ὑπ' αὐτοῦ ἐκείνου διδαχθεὶς, τὸ ἀκινδυνότατον, σπᾷ τὴν μάχαιραν αὐτοῦ καὶ ῥιπτεῖ πόρρω, εἶτα αὖθις ἔπαιέ κείμενον. Ὁ δὲ τὸ κακὸν ὁρῶν ἤδη ἀφόρητον ψεύδεται ὡς τεθνηκὼς ἐν ταῖς πληγαῖς· ὁ δὲ δείσας ἐπὶ τούτῳ τὸν μὲν αὐτοῦ ὡς εἶχε κείμενον ἀπολείπει, τὴν δὲ μάχαιραν βαστάσας ἐπ' ἐμοὶ ἤλαυνεν ἐς τὴν πόλιν.

45. Ὡς δὲ ἤλθομεν, τὸν μὲν κῆπον αὐτοῦ συνεργῷ τινι ἐπέδωκε γεωργεῖν, αὐτὸς δὲ τὸν κίνδυνον τὸν ἐκ τῆς ὁδοῦ δεδιὼς κρύπτεται ἅμα ἐμοὶ πρός τινος τῶν ἐν ἄστει συνήθων. Τῇ δ' ὑστεραίᾳ, δόξαν αὐτοῖς, οὕτω ποιοῦσι· τὸν μὲν ἐμὸν δεσπότην κιβωτῷ ἐνέκρυψαν, ἐμὲ δὲ ἀράμενοι ἐκ τῶν ποδῶν κομίζουσιν ἄνω τῇ κλίμακι ἐς ὑπερῷον κἀκεῖ με ἄνω συγκλείουσιν. Ὁ δὲ στρατιώτης ἐκ τῆς ὁδοῦ τότε μόλις ἐξαναστὰς, ὡς ἔφασαν, καρηβαρῶν ταῖς πληγαῖς ἦκεν εἰς τὴν πόλιν καὶ τοῖς στρατιώταις τοῖς σὺν αὐτῷ ἐντυχὼν λέγει τὴν ἀπόνοιαν τοῦ κηπουροῦ· οἱ δὲ σὺν αὐτῷ ἐλθόντες μανθάνουσιν ἔνθα ἦμεν κεχρυμμένοι, καὶ παραλαμβάνουσι τοὺς τῆς πόλεως ἄρχοντας. Οἱ δὲ εἴσω τινὰ πέμπουσι τῶν ὑπηρετῶν καὶ τοὺς ἔνδον ἅπαντας προελθεῖν ἔξω κελεύουσιν· ὡς δὲ προῆλθον, ὁ κηπουρὸς οὐδαμοῦ ἐφαίνετο. Οἱ μὲν οὖν στρατιῶται ἔνδον ἔφασαν εἶναι τὸν κηπουρὸν κἀμὲ τὸν ἐκείνου ὄνον· οἱ δὲ οὐδὲν ἄλλο ὑπολελεῖφθαι ἔλεγον οὔτε ἄνθρωπον οὔτε ὄνον. Θορύβου δὲ ἐν τῷ στενωπῷ καὶ πολλῆς βοῆς ἐκ τούτων γενομένης ὁ ἀγέρωχος καὶ πάντα περίεργος ἐγὼ βουλόμενος μαθεῖν τίνες εἶεν οἱ βοῶντες, διακύπτω ἄνωθεν κάτω διὰ τῆς θυρίδος. Οἱ δέ με ἰδόντες εὐθὺς ἀνέκραγον· οἱ δὲ ἑαλώκεσαν ψευδῆ λέγοντες· καὶ οἱ ἄρχοντες εἴσω παρελθόντες καὶ πάντα ἀνερευνῶντες εὑρίσκουσι τὸν ἐμὸν δεσπότην τῇ κιβωτῷ ἐγκείμενον καὶ λαβόντες τὸν μὲν εἰς τὸ δεσμωτήριον ἔπεμψαν λόγον τῶν τετολμημένων ὑφέξοντα, ἐμὲ δὲ κάτω βαστάσαντες τοῖς στρατιώταις παρέδοσαν. Πάντες δὲ ἄσβεστον ἐγέλων ἐπὶ τῷ μηνύσαντι ἐκ τῶν ὑπερῴων καὶ προδόντι τὸν ἑαυτοῦ δεσπότην· κἀκ τότε ἐξ ἐμοῦ πρώτου ἦλθεν εἰς ἀνθρώπους ὁ λόγος οὗτος, Ἐξ ὄνου παρακύψεως.

46. Τῇ δ' ὑστεραίᾳ τί μὲν ἔπαθεν ὁ κηπουρὸς ὁ ἐμὸς δεσπότης οὐκ οἶδα, ὁ δὲ στρατιώτης πωλήσειν με ἔγνω, καὶ πιπράσκει με πέντε καὶ εἴκοσιν Ἀττικῶν· ὁ δὲ ὠνησάμενος θεράπων ἦν ἀνδρὸς σφόδρα πλουσίου πόλεως τῶν ἐν Μακεδονίᾳ τῆς μεγίστης Θεσσαλονίκης. Οὗτος τέχνην εἶχε ταύτην, τὰ ὄψα τῷ δεσπότῃ ἐσκεύαζε, καὶ εἶχεν ἀδελφὸν σύνδουλον ἄρτους πέττειν καὶ μελίπηκτα κιρνᾶν ἐπιστάμενον. Οὗτοι οἱ ἀδελφοὶ σύσκηνοί τε ἀεὶ ἦσαν ἀλλήλοις καὶ κατέλυον ἐν ταὐτῷ καὶ τὰ σκεύη τῶν τεχνῶν εἶχον ἀναμεμιγμένα, καὶ μετὰ ταῦτα κἀμὲ ἵστασαν ἔνθα κατέλυον. Καὶ οὗτοι μετὰ τὸ δεῖ-

vero irascitur, velut qui contemtui haberetur, et flagello pulsat olitorem. Hic complexus hominem, supplantatum in via extendit, atque ita jacentem manu, pede, lapide de via concidebat. Ille primo et contra pugnare, et, si surrexisset, gladio se hunc interfecturum, minari: hic vero, tanquam ab illo ipso edoctus, quod erat tutissimum, abstractum ei gladium longe abjicit, tum denuo jacentem feriebat. Ille intolerabile jam malum videns, plagis se mortuum fingit. At hic ea re perterritus, istum ibi ut erat jacentem relinquit; gladio autem sumto mihi insidens in urbem pergit.

45. Quo quum venissemus, hortum suum cuidam suo socio colendum dedit: ipse vero metu imminentis ex facinore in via periculi, se mecum apud quemdam in urbe familiarium occultat. Postero die, consilio habito, ita faciunt, meum dominum arca abscondunt, me autem pedibus suspensum per scalas sursum portant in supernum quoddam cubiculum, ibique supra includunt. At miles, ægre de via quum surrexisset, ut dicebant, capite a plagis adhuc gravato in urbem venit, et commilitonibus suis collocutus, narrat olitoris audaciam. Illi, ipsum comitati, ubi occultati essemus explorant, ac magistratus urbis adhibent. Illi lictorum quendam intro mittunt, ac prodire qui intus essent omnes jubent: his prodeuntibus, nusquam comparet olitor. Milites ergo intus esse aiunt olitorem, meque ipsius asinum: at illi nihil relictum ibi aliud confirmant, neque hominem, neque asinum. Tumultu vero in angusto vico clamoreque inde exorto multo, ille ego feroculus et omnium curiosus, scire volens qui essent illi clamantes, desuper ad inferiora per fenestellam despicio. At isti me conspecto statim exclamare: alteri in mendacio deprehendi. Ingressi magistratus et perscrutati omnia, inveniunt dominum meum jacentem in arca; prehensumque mittunt in carcerem, ut causam audaciæ suæ diceret, me autem deportatum dedunt militibus. Ceterum risus compesci non potuit super illo de tectis indice, et sui domini proditore. Atque ex eo inde tempore a me primum in hominum ora venit proverbium, De prospectu asini.

46. Postridie olitore meo domino quid factum sit ignoro, me vero vendere miles statuit, venditque quinque et viginti drachmis Atticis. Qui me emerat famulus erat viri ditissimi, ex urbe per Macedoniam maxima, Thessalonice. Hic artem habebat istam: pulmentaria parabat domino; habebatque conservum fratrem, panes coquere et mellita concinnare edulia doctum. Hi fratres contubernio semper eodem utebantur, deversabantur in eodem, et permista sibi invicem artium instrumenta habebant. Deinde mihi etiam suo in deversorio stabulum tribuunt. Hi post cœnam heri re-

πνον τοῦ δεσπότου πολλὰ λείψανα ἄμφω εἴσω ἐκόμιζον ὁ μὲν κρεῶν καὶ ἰχθύων, ὁ δὲ ἄρτων καὶ πλακούντων. Οἱ δὲ κατακλείσαντες ἔνδον ἐμὲ μετὰ τούτων καὶ φυλακὴν ἐμοὶ γλυκυτάτην περιστήσαντες ἀπῄεσαν ὥστε ἀπολούσασθαι· κἀγὼ τοῖς παρακειμένοις κριθιδίοις μακρὰ χαίρειν λέγων ταῖς τέχναις καὶ τοῖς κέρδεσι τῶν δεσποτῶν ἐδίδουν ἐμαυτὸν, καὶ διὰ μακροῦ πάνυ ἐγεμιζόμην ἀνθρωπείου τροφῆς. Οἱ δὲ ἀναστρέψαντες εἴσω τὰ μὲν πρῶτα οὐδὲν ᾐσθάνοντο τῆς ὀψοφαγίας τῆς ἐμῆς ἐκ τοῦ πλήθους τῶν παρακειμένων, κἀμοῦ ἔτι ἐν φόβῳ καὶ φειδοῖ κλέπτοντος τὸ ἄριστον. Ἐπεὶ δὲ καὶ τέλεον ἤμην αὐτῶν καταγνοὺς ἄγνοιαν, τὰς καλλίστας τῶν μερίδων καὶ ἄλλα πολλὰ κατέτρωγον. Καὶ ἐπειδὴ ἤσθοντο ἤδη τῆς ζημίας, τὰ μὲν πρῶτα ἄμφω ὕποπτον ἐς ἀλλήλους ἔβλεπον καὶ κλέπτην ὁ ἕτερος τὸν ἕτερον καὶ ἅρπαγα τῶν κοινῶν καὶ ἀναίσχυντον ἔλεγον, καὶ ἦσαν ἀκριβεῖς λοιπὸν ἄμφω καὶ τῶν μερίδων ἀριθμὸς ἐγίγνετο.

47. Ἐγὼ δὲ τὸν βίον εἶχον ἐν ἡδονῇ καὶ τρυφῇ, καὶ τὸ σῶμά μου ἐκ τῆς συνήθους τροφῆς πάλιν καλὸν ἐγεγόνει καὶ τὸ δέρμα ἐπανθούσῃ τῇ τριχὶ ἀπέστιλβεν. Οἱ δὲ γενναιότατοι μέγαν τέ με καὶ πίονα ὁρῶντες καὶ τὰ κριθίδια μὴ δαπανώμενα, ἀλλ' ἐν ταὐτῷ μέτρῳ ὄντα, εἰς ὑπόνοιαν ἔρχονται τῶν τολμημάτων τῶν ἐμῶν, καὶ προελθόντες ὡς εἰς τὸ βαλανεῖον ἀπιόντες, ἔπειτα τὰς θύρας συγκλείσαντες, προσβαλόντες ὀπῇ τινι τὰ ὄμματα τῆς θύρας ἐσκοποῦντο τἄνδον. Κἀγὼ τότε μηδὲν τοῦ δόλου εἰδὼς ἡρίστων προσελθών. Οἱ δὲ τὰ μὲν πρῶτα ἐγέλων ὁρῶντες ἄριστον ἄπιστον· εἶτα δὲ τοὺς ὁμοδούλους ἐκάλουν ἐπὶ τὴν ἐμὴν θέαν, καὶ γέλως πολὺς ἦν, ὥστε καὶ ὁ δεσπότης αὐτῶν ἤκουσε τοῦ γέλωτος, θορύβου ὄντος ἔξωθεν, καὶ ἤρετό τινα ἐφ' ᾧ τοσοῦτον οἱ ἔξω γελῶσιν. Ἐπεὶ δὲ ἤκουσεν, ἐξανίσταται τοῦ συμποσίου καὶ διακύψας εἴσω ὁρᾷ με συὸς ἀγρίου μερίδα καταπίνοντα, καὶ μέγα ἐν γέλωτι ἀναβοήσας εἰστρέχει εἴσω. Κἀγὼ σφόδρα ἠχθόμην ἐπὶ τοῦ δεσπότου κλέπτης ἅμα καὶ λίχνος ἁλωκώς. Ὁ δὲ πολὺν εἶχεν ἐπ' ἐμοὶ γέλωτα, καὶ τὰ μὲν πρῶτα κελεύει με εἴσω ἄγεσθαι εἰς τὸ ἐκείνου συμπόσιον, ἔπειτα τράπεζάν μοι παραθεῖναι εἶπε καὶ εἶναι ἐπ' αὐτῇ πολλὰ τῶν ὅσα μὴ δυνατὸν ἄλλῳ ὄνῳ καταφαγεῖν, κρέα λοπάδας ζωμοὺς ἰχθῦς, τοῦτο μὲν ἐν γάρῳ καὶ ἐλαίῳ κατακειμένους, τοῦτο δὲ νάπυϊ ἐπικεχυμένους. Κἀγὼ τὴν τύχην ὁρῶν ἤδη ἁπαλόν μοι προσμειδιῶσαν καὶ μαθὼν ὅτι με τοῦτο μόνον τὸ παίγνιον ἀνασώσει, καίτοι ἤδη ἐμπεπλησμένος ὅμως ἡρίστων τῇ τραπέζῃ παραστάς. Τὸ δὲ συμπόσιον ἐκλονεῖτο τῷ γέλωτι. Καί τις εἶπε, Καὶ πίεται οἶνον οὗτος ὁ ὄνος, ἤν τις αὐτῷ ἐγκερασάμενος ἐπιδῷ· καὶ ὁ δεσπότης ἐκέλευσε κἀγὼ τὸ προσενεχθὲν ἔπιον.

48. Ὁ δὲ οἷον εἰκὸς ὁρῶν με κτῆμα παράδοξον τὴν μὲν τιμὴν τὴν ἐμὴν κελεύει τῶν διοικητῶν τινι καταβαλεῖν τῷ ἐμὲ ὠνησαμένῳ καὶ ἄλλο τοσοῦτον, ἐμὲ δὲ παρέδωκεν ἀπελευθέρῳ τῶν αὐτοῦ τινι νεανίσκῳ καὶ εἶπε κατηχεῖν ὅσα ποιῶν μάλιστα ψυχαγωγεῖν αὐτὸν

liquias ambo multas eo conferunt, carnium alter et piscium, alter panum et placentarum. Ipsi deinde me cum his intus incluso, dulcissimaque mihi mandata custodia, lavatum abeunt. Et ego, appositis mihi hordeolis longum vale dicens, artibus me et lucris dominorum trado; ac longo post intervallo humano me cibo probe saburro. Illi domum reversi primo nihil de mea ligurritione sentire, præ multitudine eorum quæ erant apposita, et quod adhuc cum metu et parsimonia quadam furarer prandium. Quum vero jam omnino certum mihi esset de illorum ignoratione, pulcherrimas quasque partes et alia multa devorabam. Deinde ubi damnum senserant, principio de se invicem suspicari aliquid, ac furem alter alterum, et communium raptorem, et impudentem dicere, ac sollicitam uterque de cetero curam ac dinumerationem partium adhibere.

47. Ego interim voluptuariam agere vitam ac delicatam: ut corpus meum de consueto cibo speciosum rursus fieret, et corium efflorescente pilo niteret. Illi autem boni viri, obesum me et pinguem quum viderent, nec consumi tamen hordea, sed eandem servare mensuram, in suspicionem audaciæ meæ adducuntur. Itaque progressi tanquam in balneum abirent, occlusa deinde janua, et oculis rimæ cuidam januæ admotis, quid intus fieret speculantur. Ego tum doli ignarus, commodum ad prandendum accesseram. Illi vero primo ridebant, incredibile videntes prandium; deinde conservos ad spectandum me advocabant, et risus multus erat, adeo ut dominus etiam illum audiret, tantus extra erat tumultus, rogaretque aliquem, qua de causa qui extra essent sic riderent. Re vero audita, surgit de convivio et introspiciens videt me apri partem devorare; sublatoque cachinno, intro currit. Mihi vehementer molestum erat coram domino furem simul et ligurritorem deprehendi. At ille multum diuque de me ridebat, ac primo in suam me cœnationem jubet introduci, tum mensam mihi apponi, et esse in illa eorum multa quæ alius edere asinus non potest, carnes, ostrea, jurulenta, pisces, partim in garo et oleo positos, partim perfusos sinapi. Ego fortunam videns jam blandum mihi ridentem, animadverso, hoc solum mihi ludicrum saluti futurum, licet jam impletus cibis, tamen prandebam astans mensæ. Resonabat interea risu convivium. Ac dicebat aliquis, Bibet etiam vinum hic asinus, si quis illi temperatum præbeat. Jubet dominus, et ego oblatum bibo.

48. Ille, ut facile est ad credendum, quum singulare et insolitum me animal videret, pretium meum solvere jubet procuratorum aliquem ei qui me emerat, et alterum tantum: me autem liberto cuidam suo adolescenti tradidit, et docere jussit, quibus faciendis maxime illum possem oblectare.

δυναίμην. Τῷ δέ γε ῥᾴδια ἦν πάντα· ὑπήκουον γὰρ εὐθὺς εἰς ἅπαντα διδασκόμενος. Καὶ πρῶτον μὲν κατακλίνεσθαί με ἐπὶ κλίνης ὥσπερ ἄνθρωπον ἐπ' ἀγκῶνος ἐποίησεν, εἶτα καὶ προσπαλαίειν αὐτῷ, καὶ μὴν καὶ ὀρχεῖσθαι ἐπὶ τοὺς δύο ἐπανιστάμενον ὀρθὸν καὶ κατανεύειν καὶ ἀνανεύειν πρὸς τὰς φωνάς, καὶ πάνθ' ὅσα ἐδυνάμην μὲν καὶ δίχα τοῦ μανθάνειν, ποιεῖν· καὶ τὸ πρᾶγμα περιβόητον ἦν, ὄνος ὁ τοῦ δεσπότου, οἰνοπότης, παλαίων, ὄνος ὀρχούμενος. Τὸ δὲ μέγιστον, ὅτι πρὸς τὰς φωνὰς ἀνένευον ἐν καιρῷ καὶ κατένευον· καὶ πιεῖν δὲ ὁπότε θελήσαιμι, ᾔτουν τοῖς ὀφθαλμοῖς τὸν οἰνοχόον κινήσας. Καὶ οἱ μὲν ἐθαύμαζον τὸ πρᾶγμα ὡς παράδοξον ἀγνοοῦντες ἄνθρωπον ἐν τῷ ὄνῳ κείμενον· ἐγὼ δὲ τρυφὴν ἐποιούμην τὴν ἐκείνων ἄγνοιαν. Καὶ μὴν καὶ βαδίζειν ἐμάνθανον καὶ κομίζειν τὸν δεσπότην ἐπὶ νώτου καὶ τρέχειν δρόμον ἁλυπότατον καὶ τῷ ἀναβάτῃ ἀναίσθητον. Καὶ σκευή μοι ἦν πολυτελής, καὶ στρώματα πορφυρᾶ ἐπιβάλλομαι, καὶ χαλινοὺς εἰσεδεχόμην ἀργύρῳ καὶ χρυσῷ πεποικιλμένους, καὶ κώδωνες ἐξήπτοντό μου μέλος μουσικώτατον ἐκφωνοῦντες.

49. Ὁ δὲ Μενεκλῆς ὁ δεσπότης ἡμῶν, ὥσπερ ἔφην, ἐκ τῆς Θεσσαλονίκης δεῦρο ἐληλύθει ἐπ' αἰτίᾳ τοιαύτῃ· ὑπέσχετο τῇ πατρίδι θέαν παρέξειν ἀνδρῶν ὅπλοις πρὸς ἀλλήλους μονομαχεῖν εἰδότων· καὶ οἱ μὲν ἄνδρες τῆς ἤδη μάχης ἦσαν ἐν παρασκευῇ, καὶ ἀῖκτο ἡ πορεία. Ἐξελαύνομεν ἕωθεν, κἀγὼ τὸν δεσπότην ἔφερον εἴ ποτε χωρίον εἴη τῆς ὁδοῦ τραχὺ καὶ τοῖς ὀχήμασιν ἐπιβαίνειν χαλεπόν. Ὡς δὲ κατέβημεν ἐπὶ Θεσσαλονίκην, οὐκ ἦν ὅστις ἐπὶ θέαν οὐκ ἠπείγετο καὶ τὴν ὄψιν τὴν ἐμήν· ἡ γὰρ ἐμὴ δόξα προεληλύθει ἐκ μακροῦ καὶ τὸ πολυπρόσωπον καὶ τὸ ἀνθρώπινον τῶν ἐμῶν ὀρχημάτων καὶ παλαισμάτων. Ἀλλ' ὁ μὲν δεσπότης τοῖς ἐνδοξοτάτοις τῶν αὐτοῦ πολιτῶν παρὰ τὸν πότον ἐδείκνυέ με καὶ τὰ παράδοξα ἐκεῖνα τὰ ἐν ἐμοὶ παίγνια ἐν τῷ δείπνῳ παρετίθει.

50. Ὁ δὲ ἐμὸς ἐπιστάτης πρόσοδον εὗρεν ἐξ ἐμοῦ πολλῶν πάνυ δραχμῶν· κατακλείσας γάρ με ἔνδον εἶχεν ἑστῶτα, καὶ τοῖς βουλομένοις ἰδεῖν ἐμὲ καὶ ταμὰ παράδοξα ἔργα μισθοῦ τὴν θύραν ἤνοιγεν. Οἱ δ' εἰσεκόμιζον ἄλλος ἄλλο τι τῶν ἐδωδίμων, μάλιστα τὸ ἐχθρὸν εἶναι ὄνου γαστρὶ δοκοῦν· ἐγὼ δὲ ἥσθιον. Ὥστε ὀλίγων ἡμερῶν τῷ δεσπότῃ καὶ τοῖς ἐν τῇ πόλει συναριστῶν μέγας τε καὶ πίων δεινῶς ἤδη ἐγεγόνειν. Καί ποτε γυνὴ ξένη οὐ μέτρια κεκτημένη, τὴν ὄψιν ἱκανή, παρελθοῦσα ἔσω ἰδεῖν ἐμὲ ἀριστῶντα εἰς ἐρωτά μου θερμὸν ἐμπίπτει, τοῦτο μὲν τὸ κάλλος ἰδοῦσα τοῦ ὄνου, τοῦτο δὲ τῷ παραδόξῳ τῶν ἐμῶν ἐπιτηδευμάτων εἰς ἐπιθυμίαν συνουσίας προελθοῦσα· καὶ διαλέγεται πρὸς τὸν ἐπιστάτην τὸν ἐμὸν καὶ μισθὸν αὐτῷ ἀδρὸν ὑπέσχετο, εἰ συγχωρήσειεν αὐτῇ σὺν ἐμοὶ τὴν νύκτα ἀναπαύσασθαι· κἀκεῖνος οὐδὲν φροντίσας, εἴτε ἀνύσει τι ἐκείνη ἐξ ἐμοῦ εἴτε καὶ μή, λαμβάνει τὸν μισθόν.

51. Κἀπειδὴ ἑσπέρα τε ἦν ἤδη κἀκ τοῦ συμποσίου ἀφῆκεν ἡμᾶς ὁ δεσπότης, ἀναστρέφομεν ἔνθα ἐκαθεύδο-

Facilia huic fuere omnia : nam statim ego obediebam, docilis ad omnia. Ac primum accumbere me in lecto ut hominem, cubitu nixum, instituit : deinde etiam luctari secum, quin etiam saltare in duos pedes erectum, et annuere et renuere ad voces, et quæcumque potuissem etiam sine disciplina facere. Celebratur ergo res fama, Asinus domini, potor vini, luctator, saltator asinus. Maximum vero illud, quod ad voces annuebam opportune, et renuebam : et si quando bibere vellem, poscebam, per oculos moto pincerna. Atque illi quidem rem mirabantur ut plane inusitatam, quum nescirent hominem inclusum in asino : ego vero ad delicias meas utebar illorum ignorantia. Verum etiam badizare discebam, et tergo portare dominum, et cursum currere minime molestum et quem vix sentiret eques. Etiam paratus mihi erat sumtuosus, et stragula mihi purpurea injiciebantur, et frena recipiebam argento atque auro distincta, et tintinnabula mihi argutissimum concentum edentia appendebantur.

49. Venerat autem Menecles noster herus, ut dixi, Thessalonice in hanc urbem, tali causa : promiserat patriæ gladiatorum spectaculum; et viri quidem jam ad pugnam exercebantur, et instabat profectio. Mane igitur eximus, et ego dominum porto sicubi regio esset in via aspera et ad vehendum curru difficilis. Quum vero Thessalonicen pervenissemus, non erat quisquam qui ad spectaculum non festinaret et ad me videndum. Nam fama de me e longinquo præcucurrerat, quam multas agere personas possem, quam humanum in morem saltare atque luctari. At dominus nobilissimis suorum civium in vino me ostendebat, et mirandos illos in me lusus producebat in cœna.

50. Meus vero magister reditum de me multarum plane drachmarum repererat. Intus enim conclusum me et stabulantem habebat, et me atque admiranda illa opera mea videre volentibus mercede intercedente aperiebat januam. Hi inferebant alius aliud quid cibi, maxime quod inimicum asini alvo videretur : ego vero devorabam. Itaque intra paucos dies, cum hero meo et civibus aliis quum prandere, magnus et vehementer pinguis jam evaseram. Aliquando peregrina mulier non mediocriter dives, specie satis honesta, ingressa ut me prandentem videret, in amorem mei incidit fervidum, partim specie asini capta, partim inusitatis meis artibus ad concubitus mei cupiditatem progressa. Agit ergo meo cum magistro, et mercedem illi luculentam pollicetur, si noctem unam mecum quiescendi copiam sibi fecisset. Ille parum sollicitus, sive illa aliquid a me impetraret, sive minus, mercedem capit.

51. Vespera jam erat et de convivio nos dimiserat dominus, quum eo, ubi dormiebamus, redimus, et mulierem inve-

μεν, καὶ τὴν γυναῖκα εὕρομεν πάλαι ἀφιγμένην ἐπὶ τὴν ἐμὴν εὐνήν. Κεκόμιστο δὲ αὐτῇ προσκεφάλαια μαλακὰ καὶ στρώματα εἴσω κατέθεντο καὶ χαμεύνιον ἡμῖν εὐτρεπὲς ἦν. Εἶτα οἱ μὲν τῆς γυναικὸς θεράποντες αὐτοῦ που πλησίον πρὸ τοῦ δωματίου ἑκάθευδον, ἡ δὲ λύχνον ἔνδον ἔκαε μέγαν τῷ πυρὶ λαμπόμενον· ἔπειτα ἀποδυσαμένη παρέστη τῷ λύχνῳ γυμνὴ ὅλη καὶ μύρον ἔκ τινος ἀλαβάστρου προχεαμένη τούτῳ ἀλείφεται, κἀμὲ δὲ μυρίζει ἔνθεν, μάλιστα τὴν ῥῖνά μου μύρων ἐνέπλησεν, εἶτά με καὶ ἐφίλησε καὶ οἷα πρὸς αὐτῆς ἐρώμενον καὶ ἄνθρωπον διελέγετο καί με ἐκ τῆς φορβειᾶς ἐπιλαβομένη ἐπὶ τὸ χαμεύνιον εἵλκε· κἀγὼ οὐδέν τι τοῦ παρακαλέσαντος εἰς τοῦτο δεόμενος καὶ οἴνῳ δὲ παλαιῷ πολλῷ ὑποβεβρεγμένος καὶ τῷ χρωτὶ τοῦ μύρου ᾠστρημένος καὶ τὴν παιδίσκην δὲ ὁρῶν πάντα καλὴν κλίνομαι, καὶ σφόδρα ἠπόρουν ὅπως ἀναβήσομαι τὴν ἄνθρωπον· καὶ γὰρ ἐξ ὅτου ἐγεγόνειν ὄνος, συνουσίας ἀλλ' οὐδὲ τῆς ὄνοις συνήθους ἔτυχον ἁψάμενος, οὐδὲ γυναικὶ ἐχρησάμην ὄνῳ· καὶ μὴν καὶ τοῦτό μ' εἰς δέος οὐχὶ μέτριον ἦγε, μὴ οὐ χωρήσασα ἡ γυνὴ διασπασθῇ, κἀγὼ ὥσπερ ἀνδροφόνος καλὴν δώσω δίκην. Ἠγνόουν δὲ οὐκ εἰς δέον δεδιώς· ἡ γὰρ γυνὴ πολλοῖς τοῖς φιλήμασι, καὶ τούτοις ἐρωτικοῖς, προκαλουμένη ὡς εἶδεν οὐ κατέχοντα, ὥσπερ ἀνδρὶ παρακειμένη περιβάλλεταί με καὶ ἅρασα εἴσω ὅλον παρεδέξατο. Κἀγὼ μὲν ὁ δειλὸς ἐδεδοίκειν ἔτι καὶ ὀπίσω ἀπῆγον ἐμαυτὸν ἀτρέμα, ἡ δὲ τῆς τε ὀσφύος τῆς ἐμῆς εἴχετο, ὥστε μὴ ὑποχωρεῖν, καὶ αὐτὴ εἵπετο τὸ φεῦγον. Ἐπεὶ δὲ ἀκριβῶς ἐπείσθην ἔτι μοι καὶ προσδεῖν πρὸς τὴν τῆς γυναικὸς ἡδονήν τε καὶ τέρψιν, ἀδεῶς λοιπὸν ὑπηρέτουν ἐννοούμενος ὡς οὐδὲν εἴην κακίων τοῦ τῆς Πασιφάης μοιχοῦ. Ἡ δὲ γυνὴ οὕτως ἦν ἄρα ἐς τὰ ἀφροδίσια ἑτοίμη καὶ τῆς ἀπὸ τῆς συνουσίας ἡδονῆς ἀκόρεστος, ὥστε ὅλην τὴν νύκτα ἐν ἐμοὶ ἐδαπάνησεν.

52. Ἅμα δὲ τῇ ἡμέρᾳ ἡ μὲν ἀναστᾶσα ἀπῄει συνθεμένη πρὸς τὸν ἐπιστάτην τὸν ἐμὸν οἴσειν ἐπὶ τοῖς αὐτοῖς τὸν μισθὸν τὸν αὐτὸν τῆς νυκτός. Ὁ δὲ ἅμα μὲν πλουσιώτερος ἐκ τῶν ἐμῶν γενόμενος καὶ τῷ δεσπότῃ καινότερον ἐν ἐμοὶ ἐπιδειξόμενος συγκαταχλείει με τῇ γυναικί· ἡ δὲ κατεχρήσατό μοι δεινῶς. Καί ποτε ἐλθὼν ὁ ἐπιστάτης ἀπαγγέλλει τῷ δεσπότῃ τὸ ἔργον, ὡς ἦν αὐτὸς διδάξας, καὶ ἐμοῦ μὴ εἰδότος ἄγει αὐτὸν ἑσπέρας ἤδη ἔνθα ἐκαθεύδομεν, καὶ διά τινος ὀπῆς τῆς θύρας δείκνυσί με ἔνδον τῇ μείρακι συνευναζόμενον. Ὁ δὲ ἡσθεὶς τῇ θέᾳ καὶ δημοσίᾳ με ταῦτα ποιοῦντα δεῖξαι ἐπεθύμησε, καὶ κελεύει πρὸς μηδένα ἔξω τοῦτο εἰπεῖν, Ἵνα, ἔφη, ἐν τῇ ἡμέρᾳ τῆς θέας παραγάγωμεν τοῦτον εἰς τὸ θέατρον σύν τινι τῶν καταδεδικασμένων γυναικῶν, κἂν πάντων ὀφθαλμοῖς ἐπὶ τὴν γυναῖκα ἀναβήσεται. Καί τινα τῶν γυναικῶν, ἥτις κατεκέκριτο θηρίοις ἀποθανεῖν, ἄγουσιν ἔνδον παρ' ἐμὲ καὶ προσιέναι τε ἐκέλευον καὶ ψαύειν ἐμοῦ.

53. Εἶτα τὸ τελευταῖον τῆς ἡμέρας ἐκείνης ἐνστάσης ἐν ᾗ τὰς φιλοτιμίας ἦγεν ὁ ἐμὸς δεσπότης, εἰσάγειν

nimus, quæ diu jam meum ad cubile venerat. Apportata autem illi fuerant cervicalia mollia et stragulæ vestes intus depositæ, ut humi cubile nobis esset paratum. Tum mulieris servi in propinquo ante cellam cubitum eunt; illa vero lucernam intus accendit magnam igne lucentem. Deinde exutis vestibus lucernæ astat nuda integra, fusoque de alabastro unguento se-ungit, hinc me quoque; inprimis vero nares mihi unguentis implet: tum osculis me invadit, tanquam cum amasio suo et homine colloquitur, et me capistro prehensum trahit in stratum. Ego vero alio quodam hortatore ad hoc nihil indigens, et vino antiquo multo madidus, et unguenti odore stimulatus, et puellam videns pulchram undique, acclinor. Sed vehementer in eo anxius eram, quomodo mulierem inscenderem. Ex quo enim tempore asinus fueram, venerem ne asinis quidem consuetam attigeram, neque asina femina eram usus. Verum hoc quoque metum mihi non mediocrem incutiebat, ne mulier non capiens me, laceraretur et ego deinde ut homicida egregie pœnas darem. Ignorabam scilicet, me sine causa metuere. At mulier multis osculis iisque amatoriis me alliciens, quum videret me non jam continere, tanquam ad virum se applicans me amplectitur et surrigens intra se totum recepit. Et ego meticulosus adhuc verebar, et sensim me subducebam: at illa lumbis inhærebat meis, ut subtrahere me non possem, et ipsa, quod fugere videbatur, insequitur. Quum vero satis accurate edoctus essem adhuc deesse mihi aliquid ad voluptatem et delectationem mulieris, sine metu quod supererat subserviebam, cogitans non deteriorem me esse Pasiphaes adultero. Mulier autem adeo erat parata ad venerem, adeo insatiabilis ejus quæ ex coitu petitur voluptatis, ut totam in me noctem contriverit.

52. Cum luce autem surgens discessit, pacta meo cum magistro iisdem de rebus idem noctis pretium. Hic simul ditior mea opera factus, et ostensurus in me novum quiddam domino, cum muliere me concludit, quæ gnaviter me abusa est. Aliquando magister domino rem denunciat, quasi ipse docuisset, ac me inscio deducit illum jam vesperi in eum locum ubi concumbebamus, et per rimam januæ ostendit me intus cum puella coeuntem. Ille delectatus spectaculo, etiam publice me ostendere facientem ista cupiebat. Jubet igitur nemini hoc enunciari, Ut, inquit, ipso spectaculi die producamus hunc in theatrum cum damnatarum mulierum aliqua; ibique in omnium oculis mulierem inscendet. Jamque mulierum aliquam, quæ damnata erat ad bestias, intus ad me deducunt, accedere ad me jubent et me mulcere.

53. Denique instante jam die illa, qua munus editurus erat meus dominus, statuunt introducere me in theatrum.

ἔγνωσάν με εἰς τὸ θέατρον. Καὶ εἰσῆειν οὕτω· κλίνη ἦν μεγάλη, ἀπὸ χελώνης Ἰνδικῆς πεποιημένη, χρυσῷ ἐσφηκωμένη, ἐπὶ ταύτῃ με ἀνακλίνουσι κἀκεῖ μοι τὴν γυναῖκα παρακατέκλιναν. Εἶτα οὕτως ἡμᾶς ἐπέθηκαν ἐπί τινος μηχανήματος καὶ εἴσω εἰς τὸ θέατρον παρενέγκαντες κατέθηκαν ἐν τῷ μέσῳ, καὶ οἱ ἄνθρωποι μέγα ἀνεβόησαν καὶ κρότος πάσης χειρὸς ἐξήλατο ἐπ' ἐμοί, καὶ τράπεζα ἡμῖν παρέκειτο καὶ πολλὰ ἐσκευασμένα ἐπ' αὐτῇ ἔκειτο ὅσα τρυφῶντες ἄνθρωποι ἐν δείπνῳ ἔχουσι. Καὶ παῖδες ἡμῖν παρειστήκεισαν οἰνοχόοι καλοὶ τὸν οἶνον ἡμῖν χρυσίῳ διακονούμενοι. Ὁ μὲν οὖν ἐμὸς ἐπιστάτης ἐστὼς ὄπισθεν ἐκέλευέ με ἀριστᾶν· ἐγὼ δὲ ἅμα μὲν ἡδούμην ἐν τῷ θεάτρῳ κατακείμενος, ἅμα δὲ ἐδεδίειν μή που ἄρκτος ἢ λέων ἀναπηδήσεται.

54. Ἐν τούτῳ δέ τινος ἄνθη φέροντος παροδεύοντος ἐν τοῖς ἄλλοις ἄνθεσιν ὁρῶ καὶ ῥόδων χλωρῶν φύλλα, καὶ μηδὲν ἔτι ὀκνῶν ἀναπηδήσας τοῦ λέχους ἐκπίπτω· καὶ οἱ μὲν ὤοντό με ἀνίστασθαι ὀρχησόμενον· ἐγὼ δὲ ἓν ἐξ ἑνὸς ἐπιτρέχων καὶ ἀπανθιζόμενος ἀπ' αὐτῶν τῶν ἀνθέων τὰ ῥόδα κατέπινον. Τῶν δὲ ἔτι θαυμαζόντων ἐπ' ἐμοὶ ἀποπίπτει ἐξ ἐμοῦ ἐκείνη ἡ τοῦ κτήνους ὄψις καὶ ἀπόλλυται, καὶ ἀφανὴς ἐκεῖνος ὁ πάλαι ὄνος, ὁ δὲ Λούκιος αὐτὸς ἔνδον μοι γυμνὸς εἱστήκει. Τῇ δὲ παραδόξῳ ταύτῃ καὶ μηδέποτε ἐλπισθείσῃ θέᾳ πάντες ἐκπεπληγμένοι δεινὸν ἐπεθορύβησαν καὶ τὸ θέατρον εἰς δύο γνώμας ἐσχίζετο· οἱ μὲν γὰρ ὥσπερ φάρμακα δεινὰ ἐπιστάμενον καὶ κακόν τι πολύμορφον ἠξίουν εὐθὺς ἔνδον πυρί με ἀποθανεῖν, οἱ δὲ περιμεῖναι καὶ τοὺς ἀπ' ἐμοῦ λόγους ἔλεγον δεῖν καὶ πρότερον διαγνῶναι, εἶθ' οὕτως δικάσαι περὶ τούτων. Κἀγὼ δραμὼν πρὸς τὸν ἄρχοντα τῆς ἐπαρχίας — ἔτυχε δὲ τῇ θέᾳ ταύτῃ παρών — ἔλεγον κάτωθεν ὅτι γυνή με Θετταλὴ γυναικὸς Θετταλῆς δούλη χρίσματι μεμαγευμένῳ ἐπαλείψασα ὄνον ποιήσειε, καὶ ἱκέτευον αὐτὸν λαβόντα ἔχειν με ἐν φρουρᾷ ἔστ' ἂν αὐτὸν πείσαιμι, ὡς οὐ καταψεύδομαι οὕτω γεγονός.

55. Καὶ ὁ ἄρχων, Λέγε, φησίν, ἡμῖν ὄνομα τὸ σὸν καὶ γονέων τῶν σῶν καὶ συγγενῶν, εἴ τινας φῂς ἔχειν τῷ γένει προσήκοντας, καὶ πόλιν. Κἀγώ, Πατὴρ μέν, ἔφην, * * * * * ἔστι μοι Λούκιος, τῷ δὲ ἀδελφῷ τῷ ἐμῷ Γάϊος· ἄμφω δὲ τὰ λοιπὰ δύο ὀνόματα κοινὰ ἔχομεν. Κἀγὼ μὲν ἱστοριῶν καὶ ἄλλων εἰμὶ συγγραφεύς, ὁ δὲ ποιητὴς ἐλεγείων ἐστὶ καὶ μάντις ἀγαθός· πατρὶς δὲ ἡμῖν Πάτραι τῆς Ἀχαΐας. Ὁ δὲ δικαστὴς ἐπεὶ ταῦτα ἤκουσε, Φιλτάτων ἐμοί, ἔφη, λίαν ἀνδρῶν υἱὸς εἶ καὶ ξένων οἰκία τέ με ὑποδεξαμένων καὶ δώροις τιμησάντων, καὶ ἐπίσταμαι ὅτι οὐδὲν ψεύδῃ παῖς ἐκείνων ὤν· καὶ τοῦ δίφρου ἀναπηδήσας περιβάλλει τε καὶ πολλὰ ἐφίλει, καί με οἴκαδε ἦγεν ὡς ἑαυτόν. Ἐν τούτῳ δὲ καὶ ὁ ἐμὸς ἀδελφὸς ἀφίκετο ἀργύριον καὶ ἄλλα μοι πολλὰ κομίζων, κἀν τούτῳ με ὁ ἄρχων δημοσίᾳ πάντων ἀκουόντων ἀπολύει. Καὶ ἐλθόντες ἐπὶ θάλατταν ναῦν ἐσκεψάμεθα καὶ τὴν ἀποσκευὴν ἐνεθέμεθα.

56. Ἐγὼ δὲ κράτιστον εἶναι ἔγνων ἐλθεῖν παὰ τὴν

Et intravi hoc modo : lectus erat magnus, de testudine Indica factus, clavis aureis distinctus; in hoc me deponunt et juxta me mulierem jubent accumbere. Tum ut eramus nos in machinam quandam impositos, et ita in theatrum delatos, deposuerunt in medio. Magnos in cavea tollunt clamores, plausus omnium manibus mihi datur : ac mensa nobis erat apposita, et multa in ea parata, quæ in cœnis adhibere delicati homines solent. Pueri quoque nobis astabant pincernæ pulchri, vinum nobis in auro ministrantes. Magister meus a tergo stans prandere me jubebat : at ego partim pudore afficiebar in theatro ita jacens, partim metuebam ne aliunde ursus aut leo exsiliret.

54. Inter hæc prætereunte quodam qui flores ferret, reliquos inter flores video etiam rosarum recentium folia : et nihil jam cunctatus, exsiliens de lecto me proripio. Atque illi putabant me consurgere ad saltandum : ego vero unum ex altero percurrens maribus florem, carptas inde rosas devorabam. His adhuc in admiratione mei defixis, decidit a me illa jumenti species et perit, disparuitque ex oculis asinus ille antiquus, astitit autem nudus mihi internus ille Lucius. Inopinato hoc insperatoque prorsus spectaculo perculsi omnes, tumultum dedere horribilem, scissumque in duas sententias est theatrum : alteri quidem ut malorum veneficiorum peritum, et versipelle portentum, postulabant statim hic intus igne me mori; alteri exspectandam dicebant meam orationem, et prius cognoscendum, deinde sic de his ferendam sententiam. Ego vero accurrens ad præsidem provinciæ, qui forte spectaculo huic aderat, ab inferiori loco dico Thessalam mulierem, Thessalæ mulieris ancillam, magico unctum unguento, fecisse asinum : et supplico eum, ut in suam me custodiam recipiat, detineatque donec probare illi possem me de illo facto non mentiri.

55. Et præses, Dic nobis, inquit, nomen tuum et parentum tuorum et cognatorum, si quos habere te ais genere tibi conjunctos, et urbem. Et ego, Pater, inquam, * * * * * (*prænomen*) mihi est Lucius, fratri autem meo Caius; ambo reliqua duo nomina communia habemus. Ego historiarum et aliorum librorum scriptor sum; ille est elegorum poeta et vates bonus : patria nobis Patræ, urbs Achaiæ. Audiens ista præses, Carissimorum longe mihi hominum, inquit, filius es atque hospitum, qui et domo me exceperunt, et honorarunt donis; et nihil te quicquam mentiri novi, horum qui sis filius: exsiliensque de sella amplectitur me et multum osculatur, domumque ad se me deduxit. Interea vero frater quoque meus advenerat, pecuniam mihi et alia multa afferens; simul etiam præses me publice, audientibus omnibus, absolvit. Tum ad mare quum descendissemus, navim circumspeximus, sarcinasque in eam imposuimus.

56. Ceterum consultum putavi accedere ad mulierem,

γυναῖκα τὴν ἐρασθεῖσάν μου τοῦ ὄνου, καλλίων αὐτῆ φανεῖσθαι λέγων νῦν ἐν ἀνθρώπῳ ὤν. Ἡ δὲ ἀσμένη τέ μ' εἰσεδέξατο τῷ παραδόξῳ, οἶμαι, τοῦ πράγματος ἐπιτερπομένη, καὶ δειπνεῖν σὺν αὐτῆ καὶ καθεύδειν ἱκέτευε· κἀγὼ ἐπειθόμην νεμέσεως ἄξιον εἶναι νομίζων τὸν ὄνον τὸν ἀγαπηθέντα νῦν γενόμενον ἄνθρωπον ὑπερτρυφᾶν καὶ τὴν ἐρασθεῖσαν ὑπεροράν· καὶ δειπνῶ σὺν αὐτῆ καὶ πολὺ ἐκ τοῦ μύρου ἀλείφομαι καὶ στεφανοῦμαι τῷ φιλτάτῳ ἐς ἀνθρώπους με ἀνασώσαντι ῥόδῳ. Ἐπεὶ δὲ ἦν νὺξ βαθεῖα ἤδη καὶ καθεύδειν ἔδει, κἀγὼ ὀ ἐπανίσταμαι καὶ ὡσπερεὶ μέγα τι ἀγαθὸν ποιῶν ἀποδύομαι καὶ ἵσταμαι γυμνὸς ὡς δῆθεν ἔτι μᾶλλον ἀρέσων ἐκ τῆς πρὸς τὸν ὄνον συγκρίσεως. Ἡ δὲ ἐπειδὴ εἶδέ με πάντα ἀνθρώπινα ἔχοντα, προσπτύσασά μοι, Οὐ φθερεῖ ἀπ' ἐμοῦ, ἔφη, καὶ τῆς ἐμῆς οἰκίας καὶ μακρὰν ἀπελθὼν κοιμήσῃ; Ἐμοῦ δ' ἐρομένου, Τί γὰρ καὶ ἡμάρτηταί μοι τοσοῦτο; Ἐγὼ, ἔφη, μὰ Δί' οὐχὶ σοῦ, ἀλλὰ τοῦ ὄνου τοῦ σοῦ ἐρῶσα τότε ἐκείνῳ καὶ οὐχὶ σοὶ συνεκάθευδον, καὶ ᾤμην σε καὶ νῦν κἂν ἐκεῖνό γε μόνον τὸ μέγα τοῦ ὄνου σύμβολον διασώζειν καὶ σύρειν· σὺ δέ μοι ἐλήλυθας ἐξ ἐκείνου τοῦ καλοῦ καὶ χρησίμου ζῴου ἐς πίθηκον μεταμορφωθείς. Καὶ καλεῖ εὐθὺς ἤδη τοὺς οἰκέτας καὶ κελεύει με τῶν νώτων μετέωρον κομισθῆναι ἔξω τῆς οἰκίας, καὶ ἐξωσθεὶς πρὸ τοῦ δωματίου ἔξω γυμνὸς καλῶς ἐστεφανωμένος καὶ μεμυρισμένος τὴν γῆν γυμνὴν περιλαβὼν ταύτῃ συνεκάθευδον. Ἅμα δὲ τῷ ὄρθρῳ γυμνὸς ὢν ἔθεον ἐπὶ ναῦν καὶ λέγω πρὸς τὸν ἀδελφὸν τὴν ἐμαυτοῦ ἐν γέλωτι συμφοράν. Ἔπειτα ἐκ τῆς πόλεως δεξιοῦ πνεύσαντος ἀνέμου πλέομεν ἔνθεν, καὶ ὀλίγαις ἡμέραις ἔρχομαι εἰς τὴν ἐμὴν πατρίδα. Ἐνταῦθα θεοῖς σωτῆρσιν ἔθυον καὶ ἀναθήματα ἀνέθηκα, μὰ Δί' οὐκ ἐκ κυνὸς πρωκτοῦ, τὸ δὴ τοῦ λόγου, ἀλλ' ἐξ ὄνου περιεργίας διὰ μακροῦ πάνυ, καὶ οὕτω δὲ μόλις, οἰκαδε ἀνασωθείς.

XLIII.

ΖΕΥΣ ΕΛΕΓΧΟΜΕΝΟΣ.

1. **ΚΥΝΙΣΚΟΣ.** Ἐγὼ δὲ, ὦ Ζεῦ, τὰ μὲν τοιαῦτα οὐκ ἐνοχλήσω σε πλοῦτον καὶ χρυσίον καὶ βασιλείας αἰτῶν, ἅπερ εὐκταιότατα τοῖς ἄλλοις, καὶ σοὶ οὐ πάνυ ῥάδια παρασχεῖν· ὁρῶ γοῦν σε τὰ πολλὰ παρακούοντα εὐχομένων αὐτῶν. Ἕν δὲ, καὶ τοῦτο ῥᾷστον, ἐβουλόμην παρὰ σοῦ μοι γενέσθαι.

ΖΕΥΣ. Τί τοῦτό ἐστιν, ὦ Κυνίσκε; οὐ γὰρ ἀτυχήσεις καὶ μάλιστα μετρίων, ὡς φῂς, δεόμενος.

ΚΥΝ. Ἀπόκριναί μοι πρός τινα οὐ χαλεπὴν ἐρώτησιν.

ΖΕΥΣ. Μικρά γε ὡς ἀληθῶς ἡ εὐχὴ καὶ πρόχειρος· ὥστε ἐρώτα ὁπόσα ἂν ἐθέλῃς.

ΚΥΝ. Ἰδοὺ ταῦτα, ὦ Ζεῦ· ἀνέγνως γὰρ δῆλον ὅτι καὶ σὺ τὰ Ὁμήρου καὶ Ἡσιόδου ποιήματα· εἰπὲ οὖν

quæ meo asini amore correpta fuerat, cogitans pulchriorem me nunc illi, postquam homini redditus essem, visum iri. Illa lubens me excepit miraculo rei delectata, arbitror, ac cœnare secum et cubare ut vellem rogavit. Obsequor ego, indignum ratus si is qui in asino amatus esset, nunc homo factus fastidire vellet et amatricem suam despicere. Itaque cœno cum illa, et unguento multum ungor, et coronam sumo de carissima rosa, quæ hominibus me restituerat. Quum jam profunda nox esset et somni tempus, surgo equidem et tanquam magnum quiddam bonum facturus, exuo me ac nudus asto, magis nimirum ex comparatione cum asino placiturus. At illa, quum videt omnia me humana habere, despuens in me, Non tu, inquit, in malam rem a me meaque domo facesses, et longe hinc quocumque abiens dormibis? Me vero interrogante, Quod enim tantum peccatum commisi? At ego, inquit, non tui, sed asini tum tui amore ardens, cum illo, non tecum cubavi: putabamque te nunc etiam illud certe solum magnum asini insigne servatum adhuc trahere: jam vero tu mihi venis ex pulchro illo et utili animali mutatus in simiolum. Et advocatis jam statim servis imperat, ut me tergis sublimem domo exportent. Itaque exclusus, ante domum sub divo, nudus, pulcher, coronatus et unctus, terram nudam complexus, cum hac dormio. Cum prima vero luce nudus ad navim curro, ridensque fratri quid mihi accidisset narro. Deinde vento de urbe secundo flante, inde solvimus; paucisque diebus in meam venimus patriam. Hic servatoribus diis sacrificabam, et posui donaria, qui, non profecto e canis podice, quod aiunt, verum ex asino, in quem curiositas me immiserat, post longum tempus, et vix tamen ita, salvus tandem redissem.

XLIII.

JUPITER CONFUTATUS.

1. CYNISCUS. Ego vero tibi, Jupiter, propter ista non ero molestus, divitiis, aut auro, aut regno petendo; quæ vulgo maxime optabilia videntur, tibi autem ad præbendum non omnino facilia: video certe preces te illorum plerumque quasi non auditas transmittere. At unum, idque facillimum, a te mihi voleham contingere.

JUPITER. Quid illud est, Cynisce? neque enim repulsam feres, præsertim si mediocria, ut ais, petas.

CYN. Responde mihi ergo ad aliquam interrogationem non difficilem.

JUP. Parvum revera votum et expeditum. Igitur interroga quantumcumque volueris.

CYN. En ista rogabo, Jupiter: legisti nimirum ipse quoque Homeri et Hesiodi poemata: dic mihi ergo, utrum

μοι, εἰ ἀληθῆ ἐστι τὰ περὶ τῆς Εἱμαρμένης καὶ τῶν Μοιρῶν ἃ ἐκεῖνοι ἐρραψῳδήκασιν, ἄφυκτα εἶναι ὁπόσα ἂν αὖται ἐπινήσωσι γεινομένῳ ἑκάστῳ.

ΖΕΥΣ. Καὶ πάνυ ἀληθῆ ταῦτα· οὐδὲν γάρ ἐστιν ὅ τι μὴ αἱ Μοῖραι διατάττουσιν, ἀλλὰ πάντα ὁπόσα γίγνεται, ὑπὸ τῷ τούτων ἀτράκτῳ στρεφόμενα εὐθὺς ἐξ ἀρχῆς ἕκαστον ἐπικεκλωσμένην ἔχει τὴν ἀπόβασιν, καὶ οὐ θέμις ἄλλως γενέσθαι.

2. ΚΥΝ. Οὐκοῦν ὁπόταν ὁ αὐτὸς Ὅμηρος ἐν ἑτέρῳ μέρει τῆς ποιήσεως λέγῃ,

μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος εἰσαφίκηαι,

καὶ τὰ τοιαῦτα, ληρεῖν δηλαδὴ φήσομεν τότε αὐτόν;

ΖΕΥΣ. Καὶ μάλα· οὐδὲν γὰρ ἂν οὕτω γένοιτο ἔξω τοῦ νόμου τῶν Μοιρῶν, οὐδὲ ὑπὲρ τὸ λίνον. Οἱ ποιηταὶ δὲ ὁπόσα μὲν ἂν ἐκ τῶν Μουσῶν κατεχόμενοι ᾄδωσιν, ἀληθῆ ταῦτά ἐστιν· ὁπόταν δὲ ἀφῶσιν αὐτοὺς αἱ θεαὶ καθ' αὑτοὺς ποιῶσι, τότε δὴ καὶ σφάλλονται καὶ ὑπεναντία τοῖς πρότερον διεξίασι· καὶ ξυγγνώμη, εἰ ἄνθρωποι ὄντες ἀγνοοῦσι τἀληθὲς ἀπελθόντος ἐκείνου, ὃ τέως παρὸν ἐρραψῴδει δι' αὐτῶν.

ΚΥΝ. Ἀλλὰ τοῦτο μὲν οὕτω φήσομεν. Ἔτι δὲ κἀκεῖνό μοι ἀπόκριναι· οὐ τρεῖς αἱ Μοῖραί εἰσι, Κλωθὼ καὶ Λάχεσις καὶ Ἄτροπος;

ΖΕΥΣ. Πάνυ μὲν οὖν.

3. ΚΥΝ. Ἡ Εἱμαρμένη τοίνυν καὶ ἡ Τύχη — πολυθρύλητοι γὰρ πάνυ καὶ αὐταί — τίνες ποτ' εἰσὶ καὶ τί δύναται αὐτῶν ἑκατέρα; πότερον τὰ ἴσα ταῖς Μοίραις ἤ τι καὶ ὑπὲρ ἐκείνας; ἀκούω γοῦν ἁπάντων λεγόντων, καὶ μηδὲν εἶναι Τύχης καὶ Εἱμαρμένης δυνατώτερον.

ΖΕΥΣ. Οὐ θέμις ἅπαντά σε εἰδέναι, ὦ Κυνίσκε. Τίνος δ' οὖν ἕνεκα ἠρώτησάς ποτε τὸ περὶ τῶν Μοιρῶν;

4. ΚΥΝ. Ἦν πρότερόν μοι, ὦ Ζεῦ, κἀκεῖνο εἰπῆς, εἰ καὶ ὑμῶν αὗται ἄρχουσι καὶ ἀνάγκη ὑμῖν ἠρτῆσθαι ἀπὸ τοῦ λίνου αὐτῶν.

ΖΕΥΣ. Ἀνάγκη, ὦ Κυνίσκε. Τί δ' οὖν ἐμειδίασας;

ΚΥΝ. Ἀνεμνήσθην ἐκείνων τῶν Ὁμήρου ἐπῶν, ἃ πεποίησαι αὐτῷ ἐν τῇ ἐκκλησίᾳ τῶν θεῶν δημηγορῶν, ὁπότε ἠπείλεις αὐτοῖς ὡς ἀπὸ σειρᾶς τινος χρυσῆς ἀναρτησόμενος τὰ πάντα· ἔφησθα γὰρ αὐτὸς μὲν τὴν σειρὰν καθήσειν ἐξ οὐρανοῦ, τοὺς θεοὺς δὲ ἅμα πάντας, εἰ βούλοιντο, ἐκκρεμαμένους κατασπᾶν βιάσεσθαι, οὐ μὴν κατασπάσειν γε, σὲ δὲ, ὁπόταν ἐθελήσῃς, ῥᾳδίως ἅπαντας

αὐτῇ κεν γαίῃ ἐρύσαι αὐτῇ τε θαλάσσῃ.

Τότε μὲν δὴ θαυμάσιος ἐδόκεις μοι τὴν βίαν καὶ ὑπέφριττον μεταξὺ ἀκούων τῶν ἐπῶν· νῦν δὲ αὐτόν σε ἥδη ὁρῶ μετὰ τῆς σειρᾶς καὶ τῶν ἀπειλῶν ἀπὸ λεπτοῦ νήματος, ὡς φῂς, κρεμάμενον. Δοκεῖ γοῦν μοι δικαιότερον ἂν ἡ Κλωθὼ μεγαλαυχήσασθαι, ὡς καὶ σὲ αὐτὸν ἀνασπαστὸν αἰωροῦσα ἐκ τοῦ ἀτράκτου καθάπερ οἱ ἁλιεῖς ἐκ τοῦ καλάμου τὰ ὀψάρια.

vera sint quæ de Fato et de Parcis illi cecinerunt, evitari non posse quæcumque illæ nascenti unicuique neverint.

JUP. Omnino vera hæc : neque enim quicquam est quod non Parcæ ordiuent : sed quæcumque fiunt, illorum versata fuso, inde ab initio statim decretum habent exitum, nec fas est aliter fieri.

2. CYN. Ergo quum idem ille Homerus in alia poematis parte ait,

Ne supra fatum subeas Plutonia templa.

et hisce similia, toties nempe delirare illum dicemus?

JUP. Sane. Sic enim nihil quicquam fit, præter legem, inquam, Parcarum neque præter illud filum. Nempe quæ Musarum afflatu canunt poetæ, ea vera sunt : quum vero deserti a deabus, pro se faciunt versus, tunc nimirum falluntur, et contraria prioribus illis narrant. Atque ignoscendum ipsis est, si, homines quum sint, verum ignorant, discedente illo quod, quam diu præsens erat, per ipsos fundebat carmina.

CYN. Hoc ergo sic dicemus. Jam vero illud quoque mihi responde : nonne tres sunt Parcæ, Clotho, Lachesis, et Atropos?

JUP. Recte.

3. CYN. Fatum ergo et Fortuna (multum trita enim ista quoque nomina) quæ sunt, aut quid possunt singulæ? utrum æqualem Parcis potestatem habent, an aliquid etiam supra illas valent? audio certe dicere universos, nihil esse Fortuna et Fato potentius.

JUP. Fas haud est, Cynisce, scire te omnia. Cujus vero tandem rei causa interrogasti de Parcis?

4. CYN. Si prius illud mihi dixeris, Jupiter, vobisne etiam illæ imperent, cogaminique vos ab illorum filo pendere.

JUP. Cogimur, Cynisce. Quid vero risisti?

CYN. Recordabar illorum Homeri versuum, quos ab eo induceris in concione deorum pronuncians, ubi minabaris illis te aurea quadam catena omnia suspensurum. Dicebas enim illam te catenam cœlo demissurum, deos vero omnes, si velint, simul ab illa suspensos vi te detrahere conaturos, minime vero esse detracturos; at te, si velis, facile universos

ipsa cum terra tracturum, ipsoque profundo.

Tunc quidem igitur admirabili mihi quadam vi videbare præditus, subhorrescebamque versus istos quum audirem : modo vero ipsum te jam video una cum catena illa et minis a tenui filo, ut ais, suspensum. Videtur ergo mihi justius gloriari posse Clotho, ut quæ ipsum te quoque pendulum de colo sua libret, ut piscatores de arundine pisciculos.

5. ΖΕΥΣ. Οὐκ οἶδ' ὅ τι σοι βούλεται ταυτὶ τὰ ἐρωτήματα.

ΚΥΝ. Ἐκεῖνο, ὦ Ζεῦ· καὶ πρὸς τῶν Μοιρῶν καὶ τῆς Εἱμαρμένης μὴ τραχέως μηδὲ πρὸς ὀργὴν ἀκούσῃς μου τἀληθῆ μετὰ παρρησίας λέγοντος. Εἰ γὰρ οὕτως ἔχει ταῦτα καὶ πάντων αἱ Μοῖραι κρατοῦσι καὶ οὐδὲν ἂν ὑπ' οὐδενὸς ἀλλαγείη τῶν ἅπαξ δοξάντων αὐταῖς, τίνος ἕνεκα ὑμῖν οἱ ἄνθρωποι θύομεν καὶ ἑκατόμβας προσάγομεν εὐχόμενοι γενέσθαι ἡμῖν παρ' ὑμῶν τἀγαθά; οὐχ ὁρῶ γὰρ ὅ τι ἂν ἀπολαύσαιμεν τῆς ἐπιμελείας ταύτης, εἰ μήτε τῶν φαύλων ἀποτροπὰς εὑρέσθαι δυνατὸν ἡμῖν ἐκ τῶν εὐχῶν μήτε ἀγαθοῦ τινος θεοσδότου ἐπιτυχεῖν.

6. ΖΕΥΣ. Οἶδα ὅθεν σοι τὰ κομψὰ ταῦτα ἐρωτήματά ἐστι, παρὰ τῶν καταράτων σοφιστῶν, οἳ μηδὲ προνοεῖν ἡμᾶς τῶν ἀνθρώπων φασίν· ἐκεῖνοι γοῦν τὰ τοιαῦτα ἐρωτῶσιν ὑπ' ἀσεβείας, ἀποτρέποντες καὶ τοὺς ἄλλους θύειν καὶ ε�ύχεσθαι ὡς εἰκαῖον ὄν· ἡμᾶς γὰρ οὔτ' ἐπιμελεῖσθαι τῶν πραττομένων παρ' ὑμῖν οὔθ' ὅλως τι δύνασθαι πρὸς τὰ ἐν τῇ γῇ πράγματα. Πλὴν οὐ χαιρήσουσί γε τὰ τοιαῦτα διεξιόντες.

ΚΥΝ. Οὐ μὰ τὸν τῆς Κλωθοῦς ἄτρακτον, ὦ Ζεῦ, οὐχ ὑπ' ἐκείνων ἀναπεισθεὶς ταῦτά σε ἠρώτησα, ὁ δὲ λόγος αὐτὸς οὐκ οἶδ' ὅπως ἡμῖν προῶν ἐς τοῦτο ἀπέβη, περιττὰς εἶναι τὰς θυσίας. Αὖθις δ', εἰ δοκεῖ, διὰ βραχέων ἐρήσομαί σε, σὺ δὲ μὴ ὀκνήσῃς ἀποκρίνασθαι, καὶ ὅπως ἀσφαλέστερον ἀποκρίνῃ.

ΖΕΥΣ. Ἐρώτα, εἴ σοι σχολὴ τὰ τοιαῦτα ληρεῖν.

7. ΚΥΝ. Πάντα φὴς ἐκ τῶν Μοιρῶν γίγνεσθαι;

ΖΕΥΣ. Φημὶ γάρ.

ΚΥΝ. Ὑμῖν δὲ δυνατὸν ἀλλάττειν ταῦτα καὶ ἀνακλώθειν;

ΖΕΥΣ. Οὐδαμῶς.

ΚΥΝ. Βούλει οὖν ἐπαγάγω καὶ τὸ μετὰ τοῦτο, ἢ δῆλον, κἂν μὴ εἴπω αὐτό;

ΖΕΥΣ. Δῆλον μέν. Οἱ δέ γε θύοντες οὐ τῆς χρείας ἕνεκα θύουσιν ἀντίδοσίν τινα ποιούμενοι καὶ ὥσπερ ὠνούμενοι τἀγαθὰ παρ' ἡμῶν, ἀλλὰ τιμῶντες ἄλλως τὸ βέλτιον.

ΚΥΝ. Ἱκανὸν τοῦτο, εἰ καὶ σὺ φὴς ἐπὶ μηδενὶ χρησίμῳ γίγνεσθαι τὰς θυσίας, εὐγνωμοσύνῃ δέ τινι τῶν ἀνθρώπων τιμώντων τὸ βέλτιον. Καίτοι εἴ τις τῶν σοφιστῶν ἐκείνων παρῆν, ἤρετ' ἄν σε καθ' ὅ τι βελτίους φὴς τοὺς θεοὺς, καὶ ταῦτα δμοδούλους τῶν ἀνθρώπων ὄντας καὶ ὑπὸ ταῖς αὐταῖς δεσποίναις ταῖς Μοίραις τατ-τομένους. Οὐ γὰρ ἀποχρήσει αὐτοῖς τὸ ἀθανάτους εἶναι, ὡς δι' αὐτὸ ἀμείνους δοκεῖν· ἐπεὶ τοῦτό γε μακρῷ χεῖρόν ἐστιν, εἴ γε τοὺς μὲν κἂν ὁ θάνατος ἐς ἐλευθερίαν ἀφείλετο, ὑμῖν δὲ ἐς ἄπειρον ἐκπίπτει τὸ πρᾶγμα καὶ ἀΐδιος ἡ δουλεία γίγνεται ὑπὸ μακρῷ τῷ λίνῳ στρεφομένη.

8. ΖΕΥΣ. Ἀλλ', ὦ Κυνίσκε, τὸ ἀΐδιον τοῦτο καὶ ἄπειρον εὐδαιμον ἡμῖν ἐστι καὶ ἐν ἅπασιν ἀγαθοῖς ἡμεῖς βιοῦμεν.

5. JUP. Nescio quid hæ sibi tuæ quæstiones velint.

CYN. Illud, Jupiter; et per ego te Parcas et Fatum obsecro, ne aspere neve iracunde audias me, quæ vera sunt, cum fiducia dicentem. Si enim ita se habent illa, et omnia in Parcarum potestate sunt, neque quicquam eorum, quæ semel illis placuere, a quoquam porro mutari potest: cujusnam rei gratia vobis sacrificamus homines, et hecatombas admovemus, precantes ut nobis contingant a vobis bona? Neque enim video, quid boni ad nos ab illo cultu redeat, si neque malorum depulsiones invenire nobis licet precibus, neque bonum quidquam divino munere nancisci.

6. JUP. Novi unde habeas argutas illas interrogationes; a sophistis illis sacerrimis, qui etiam providere nos hominibus negant. Illi enim præ impietate talia quærunt, et alios quoque, ne sacrificare velint aut precari, dehortantur, tanquam frustra sit: nos enim neque curam gerere eorum quæ apud vos agantur, neque omnino posse quicquam ad res terrestres. Verum non impune se auferent ejusmodi disputationes.

CYN. Non profecto, per illum Clothus fusum, Jupiter, non ab illis inductus ista te interrogavi: sed ipse noster sermo non habeo dicere quomodo progressus huc nobis evaserit, supervacanea esse sacrificia. Iterum autem, si videtur, paucis te rogabo: tu vero respondere ne graveris, et fac ut respondeas firmius.

JUP. Roga, si satis tibi otii est ad sic delirandum.

7. CYN. Omnia ais a Parcis fieri?

JUP. Nempe.

CYN. In vestra autem potestate est mutare ista et retractare?

JUP. Nequaquam.

CYN. Vis igitur inducam quod sequitur; an manifestum id est, etiam si non dixero?

JUP. Manifestum id quidem. Verumtamen qui sacrificant, non tam indigentiæ causa sacrificant, remunerationem quandam facientes et quasi ementes a nobis bona, quam alioquin honore præstantiorem naturam afficiunt.

CYN. Satis etiam hoc est, si tu quoque dicis, nullius utilitatis causa fieri sacrificia, sed benignitate quadam hominum, honore præstantiorem naturam afficientium. Quanquam si quis sophistarum illorum adesset, fortasse te interrogaret, quanam re præstare dicas deos, idque quum hominum sint conservi, iisdem dominabus Parcis subjecti. Neque enim, quod immortales sunt, hoc iis suffecerit, ut ideo meliores videantur: quandoquidem multo hoc est deterius; ubi illos, si nihil aliud, at certe mors in libertatem asserit; vobis autem in infinitum res exit, et æterna servitus oritur, quæ longo illo filo torqueatur.

8. JUP. Verum, Cynisce, ipsa illa æternitas et infinitas nobis est beatitate plena, atque in bonis omnibus vivimus.

ΚΥΝ. Οὐχ ἅπαντες, ὦ Ζεῦ, ἀλλὰ διώρισται καὶ παρ' ὑμῖν τὸ πρᾶγμα καὶ πολλὴ ταραχὴ ἔνεστι· σὺ μὲν γὰρ εὐδαίμων, βασιλεὺς γὰρ εἶ καὶ δύνασαι ἀνασπᾶν τὴν γῆν καὶ τὴν θάλατταν ὥσπερ ἰμονιὰν καθείς· ὁ Ἥφαιστος δὲ χωλός ἐστι καὶ βάναυσός τις καὶ πυρίτης τὴν τέχνην· ὁ Προμηθεὺς δὲ καὶ ἀνεσκολοπίσθη ποτέ. Τὸν γὰρ πατέρα σου τί ἂν λέγοιμι πεδήτην ἔτι ἐν τῷ Ταρτάρῳ ὄντα; Καὶ ἐρᾶν δὲ ὑμᾶς φασι καὶ τιτρώσκεσθαι καὶ δουλεύειν ἐνίοτε παρὰ τοῖς ἀνθρώποις, ὥσπερ ἀμέλει καὶ τὸν σὸν ἀδελφὸν παρὰ τῷ Λαομέδοντι καὶ παρὰ τῷ Ἀδμήτῳ τὸν Ἀπόλλω. Ταῦτα δέ μοι οὐ πάνυ εὐδαίμονα δοκεῖ, ἀλλ' ἐοίκασιν ὑμῶν οἱ μέν τινες εὐτυχεῖς τε καὶ εὔμοιροι εἶναι, οἱ δ' ἔμπαλιν· ἐῶ γὰρ λέγειν, ὅτι καὶ ληστεύεσθε ὥσπερ ἡμεῖς καὶ περισυλᾶσθε ὑπὸ τῶν ἱεροσύλων καὶ ἐκ πλουσιωτάτων πενέστατοι ἐν ἀκαρεῖ γίγνεσθε· πολλοὶ δὲ καὶ κατεχωνεύθησαν ἤδη χρυσοῖ ἢ ἀργυροῖ ὄντες, οἷς τοῦτο εἵμαρτο δηλαδή.

9. ΖΕΥΣ. Ὁρᾷς; ταῦτ' ἤδη ὑβριστικά, ὦ Κυνίσκε, φῄς· καί σοί ποτε μεταμελήσει αὐτῶν.

ΚΥΝ. Φείδου, ὦ Ζεῦ, τῶν ἀπειλῶν εἰδὼς οὐδέν με πεισόμενον ὅ τι μὴ καὶ τῇ Μοίρᾳ πρὸ σοῦ ἔδοξεν· ἐπεὶ οὐδ' αὐτοὺς ἐκείνους ὁρῶ τοὺς ἱεροσύλους κολαζομένους ἅπαντας, ἀλλ' οἵ γε πλεῖστοι διαφεύγουσιν ὑμᾶς· οὐ γὰρ εἵμαρτο, οἶμαι, ἁλῶναι αὐτούς.

ΖΕΥΣ. Οὐκ ἔλεγον, ὡς ἄρ' ἐκείνων τις εἶ τῶν ἀναιρούντων τὴν πρόνοιαν τῷ λόγῳ;

ΚΥΝ. Πάνυ, ὦ Ζεῦ, δέδιας αὐτούς, οὐκ οἶδα ὅτου ἕνεκα· πάντα γοῦν ὁπόσα ἂν εἴπω, ὑποπτεύεις ἐκείνων παιδεύματα εἶναι.

10. Ἐγὼ δὲ — παρὰ τίνος γὰρ ἂν ἄλλου τἀληθὲς ἢ παρὰ σοῦ μάθοιμι; — ἡδέως δ' ἂν καὶ τοῦτο ἐροίμην σε, τίς ἡ Πρόνοια ὑμῖν αὕτη ἐστί, Μοῖρά τις ἢ καὶ ὑπὲρ ταύτην θεὸς ὥσπερ ἄρχουσα καὶ αὐτῶν ἐκείνων;

ΖΕΥΣ. Ἤδη σοι καὶ πρότερον ἔφην οὐ θεμιτὸν εἶναι πάντα σε εἰδέναι. Σὺ δ' ἕν τι ἐν ἀρχῇ ἐρωτήσειν φήσας οὐ παύῃ τοσαῦτα πρός με λεπτολογούμενος· καὶ ὁρῶ ὅτι σοι τὸ κεφάλαιόν ἐστι τοῦ λόγου, ἐπιδεῖξαι οὐδενὸς ἡμᾶς προνοοῦντας τῶν ἀνθρωπίνων.

ΚΥΝ. Οὐκ ἐμὸν τοῦτο, ἀλλὰ σὺ μικρὸν ἔμπροσθεν ἔφησθα τὰς Μοίρας εἶναι τὰς ἅπαντα ἐπιτελούσας, ἐκτὸς εἰ μὴ μεταμέλει σοι ἐκείνων καὶ μετατίθεσαι αὖθις τὰ εἰρημένα καὶ ἀμφισβητεῖτε τῆς ἐπιμελείας παρωσάμενοι τὴν Εἱμαρμένην.

11. ΖΕΥΣ. Οὐδαμῶς, ἀλλ' ἡ Μοῖρα δι' ἡμῶν ἕκαστα ἐπιτελεῖ.

ΚΥΝ. Μανθάνω· ὑπηρέται καὶ διάκονοί τινες τῶν Μοιρῶν εἶναί φατε. Πλὴν ἀλλὰ καὶ οὕτως ἐκεῖναι ἂν εἶεν αἱ προνοοῦσαι, ὑμεῖς δὲ ὥσπερ σκεύη τινὰ καὶ ἐργαλεῖά ἐστε αὐτῶν.

ΖΕΥΣ. Πῶς λέγεις;

ΚΥΝ. Ὥσπερ, οἶμαι, καὶ τὸ σκέπαρνον τῷ τέκτονι καὶ τὸ τρύπανον συνεργεῖ μέν τι πρὸς τὴν τέχνην, οὐδεὶς δ' ἂν εἴποι ὡς ταῦτα ὁ τεχνίτης ἐστίν, οὐδ' ἡ ναῦς ἔργον τοῦ σκεπάρνου ἢ τοῦ τρυπάνου, ἀλλὰ τοῦ ναυπηγοῦ·

CYN. Non omnes, Jupiter, sed diversa etiam apud vos ratio est, et multa inest confusio. Nam tu quidem beatus, qui rex sis, et possis terram cum mari attrahere velut puteali fune demisso : at Vulcanus claudus est, sellularius opifex et fuliginosus; Prometheus etiam in alto affixus quondam. De patre enim tuo quid dicam, qui sit compeditus adhuc in Tartaro? Aiunt autem vos amare etiam, et vulnerari, et servitutem servire interdum apud homines, ut nempe fratrem tuum Laomedonti, et Admeto Apollinem. Ista quidem non valde mihi videntur beata : sed verisimile hinc est quosdam vestrûm fortunatos et felices esse; alios autem contra. Omitto dicere quod etiam in latrones inciditis sicut nos, et spoliamini a sacrilegis, et ex ditissimis pauperrimi temporis momento fitis : multi adeo jam conflati sunt, aurei quum essent vel argentei; quibus nempe id ipsum fato decretum fuerat.

9. JUP. Viden'? ista jam, Cynisce, contumeliosa sunt quæ dicis : atque erit forte quum te illorum pœnituerit.

CYN. Parce minis, Jupiter, quum scias nihil mihi eventurum quod non Parcæ ante te visum fuerit : quandoquidem nec ipsos illos video sacrilegos puniri omnes; sed plerique vos effugiunt : neque enim, puto, capi illos in fatis est.

JUP. Nonne prædixi illorum te de grege esse, qui tollunt disputando providentiam?

CYN. Vehementer illos, Jupiter, metuis, nescio qua de causa : quæcumque enim ego dico, illorum putas e disciplina esse.

10. Ego vero (a quonam enim alio verum quam a te discam?) libenter illud quoque te interrogaverim, quænam illa vobis sit Providentia, Parcarumne una, an etiam major illis dea, et illis ipsis tanquam imperans?

JUP. Jam ante tibi dixi equidem, non fas esse scire te omnia. At tu qui principio unum quiddam te interrogaturum dixeras, non desinis minutas mihi nugas ejusmodi oblaterare : et video caput tibi disputationis hoc esse, ut ostendas nullam nos rerum humanarum curam agere.

CYN. Non meum hoc est; sed tu paullo ante dicebas, Parcas esse quæ perficiant omnia : nisi forte pœnitet te illorum, et dicta illa tua retractas, disceptantibus vobis de cura rerum et Fatum ab ea repellentibus.

11. JUP. Nequaquam : sed per nos Fatum omnia perpetrat.

CYN. Percipio : ministros et famulos quosdam Parcarum vos esse dicitis. Verumtamen sic quoque illæ fuerint quæ provident; vos autem velut vasa quædam illarum et instrumenta estis.

JUP. Quid ais?

CYN. Puto quemadmodum securis fabro et terebra conferunt illa quidem aliquid ad artem, nemo vero hæc esse dixerit artificem; neque navis opus est securis aut terebræ, sed naupegi : eadem ratione, quod architectatur hanc na-

ἀνάλογον τοίνυν ἡ μὲν ναυπηγουμένη ἕκαστα ἡ Εἱμαρμένη ἐστὶν, ὑμεῖς δὲ ἄρα τρύπανα καὶ σκέπαρνά ἐστε τῶν Μοιρῶν· καὶ, ὡς ἔοικεν, οἱ ἄνθρωποι δέον τῇ Εἱμαρμένῃ θύειν καὶ παρ' ἐκείνης αἰτεῖν τἀγαθὰ, οἱ δ' ἐφ' ὑμᾶς ἴασι προσόδοις καὶ θυσίαις γεραίροντες· οἱ δ' οὐδὲ τὴν Εἱμαρμένην τιμῶντες ἂν ἐς δέον αὐτὸ ἔπραττον· οὐ γὰρ οἶμαι δυνατὸν εἶναι οὐδὲ αὐταῖς ἔτι ταῖς Μοίραις ἀλλάξαι τι καὶ μετατρέψαι τῶν ἐξ ἀρχῆς δοξάντων περὶ ἑκάστου· ἡ γοῦν Ἄτροπος οὐκ ἀνάσχοιτ' ἂν, εἴ τις ἐς τὸ ἐναντίον στρέψειε τὸν ἄτρακτον ἀναλύων τῆς Κλωθοῦς τὸ ἔργον.

12. ΖΕΥΣ. Σὺ δ' ἤδη, ὦ Κυνίσκε, οὐδὲ τὰς Μοίρας τιμᾶσθαι πρὸς τῶν ἀνθρώπων ἀξιοῖς; ἀλλ' ἔοικας ἅπαντα συγχεῖν προαιρεῖσθαι. Ἡμεῖς δὲ εἰ καὶ μηδενὸς ἄλλου ἕνεκα, τοῦ γε μαντεύεσθαι καὶ προμηνύειν ἕκαστα τῶν ὑπὸ τῆς Μοίρας κεκυρωμένων δικαίως τιμώμεθ' ἄν.

ΚΥΝ. Τὸ μὲν ὅλον, ἄχρηστον, ὦ Ζεῦ, προειδέναι τὰ μέλλοντα οἷς γε τὸ φυλάξασθαι αὐτὰ πάντως ἀδύνατον· ἐκτὸς εἰ μὴ τοῦτο φῂς, ὡς ὁ προμαθὼν ὅτι ὑπὸ αἰχμῆς σιδηρᾶς τεθνήξεται δύναιτ' ἂν ἐκφυγεῖν τὸν θάνατον ἐγκλεισάμενος ἑαυτόν· ἀλλ' ἀδύνατον· ἐξάξει γὰρ αὐτὸν ἡ Μοῖρα κυνηγετήσοντα καὶ παραδώσει τῇ αἰχμῇ· καὶ ὁ Ἄδραστος ἐπὶ τὸν σῦν ἀφεὶς τὴν λόγχην ἐκείνου μὲν ἁμαρτήσεται, φονεύσει δὲ τὸν τοῦ Κροίσου παῖδα, ὡς ἂν ἀπ' ἰσχυρᾶς ἐντολῆς τῶν Μοιρῶν φερομένου τοῦ ἀκοντίου ἐπὶ τὸν νεανίσκον.

13. Τὸ μὲν γὰρ τοῦ Λαΐου καὶ γελοῖον, τὸ,

> Μὴ σπεῖρε τέκνων ἄλοχα δαιμόνων βίᾳ·
> εἰ γὰρ τεκνώσεις (φησὶ) παῖδ', ἀποκτενεῖ σ' ὁ φύς·

περιττὴ γάρ, οἶμαι, ἡ παραίνεσις πρὸς τὰ πάντως οὕτω γενησόμενα. Τοιγάρτοι μετὰ τὸν χρησμὸν καὶ ἔσπειρε καὶ ὁ φὺς ἀπέκτεινεν. Ὥστε οὐχ ὁρῶ ἀνθ' ὅτου ἀπαιτεῖτε τὸν μισθὸν ἐπὶ τῇ μαντικῇ.

14. Ἐῶ γὰρ λέγειν, ὡς καὶ ἀμφίδοξα καὶ ἐπαμφοτερίζοντα τοῖς πολλοῖς χρᾶν εἰώθατε οὐ πάνυ ἀποσαφοῦντες εἰ ὁ τὸν Ἅλυν διαβὰς τὴν αὑτοῦ ἀρχὴν καταλύσει ἢ τὴν τοῦ Κύρου· ἄμφω γὰρ δύναται ὁ χρησμός.

ΖΕΥΣ. Ἦν τις, ὦ Κυνίσκε, τῷ Ἀπόλλωνι ὀργῆς αἰτία κατὰ τοῦ Κροίσου, διότι ἐπείρα ἐκεῖνος αὐτὸν ἅρνεια κρέα καὶ χελώνην ἐς τὸ αὐτὸ ἕψων.

ΚΥΝ. Ἐχρῆν μὲν μηδὲ ὀργίζεσθαι θεὸν ὄντα· πλὴν ἀλλὰ καὶ τὸ ἐξαπατηθῆναι τῷ Λυδῷ ὑπὸ τοῦ χρησμοῦ ἐπέπρωτο, οἶμαι, καὶ ἄλλως τὸ μὴ σαφῶς ἀκοῦσαι τὰ μέλλοντα ἡ Εἱμαρμένη ἐπέκλωσεν. Ὥστε καὶ ἡ μαντικὴ ὑμῶν ἐκείνης ἔργον ἐστίν.

15. ΖΕΥΣ. Ἡμῖν δὲ οὐδὲν ἀπολείπεις, ἀλλὰ μάτην θεοί ἐσμεν οὔτε πρόνοιάν τινα ἐσφερόμενοι ἐς τὰ πράγματα οὔτε τῶν θυσιῶν ἄξιοι καθάπερ τρύπανα ὡς ἀληθῶς καὶ σκέπαρνα; Καί μοι δοκεῖς εἰκότως μου καταφρονεῖν, ὅτι κεραυνὸν, ὡς ὁρᾷς, διηγκυλωμένος ἀνέχομαί σε τοσαῦτα καθ' ἡμῶν διεξιόντα.

ΚΥΝ. Βάλλε, ὦ Ζεῦ, εἴ μοι καὶ κεραυνῷ πληγῆναι ναῦν, Fatum est; vos autem nimirum secures Parcarum estis ac terebræ. Et, ut apparet, homines, quum Fato sacra facienda essent et ab illo petenda bona, illi vero ad vos eunt, salutationibusque vos et sacrificiis colunt: sed neque si Fatum colerent, recte illi hoc facerent; neque enim, puto, ipsis etiam Parcis integrum est mutare et aliorsum convertere quicquam eorum, quæ ab initio inde de unaquaque re decreta sunt: non patiatur certe Atropos (*Immutabilis*), si quis in contrarium torquere velit fusum et Clothonis opus resolvere.

12. JUP. Tu jam, Cynisce, ne Parcas quidem coli ab hominibus æquum censes? imo hoc agere videris, uti confundas omnia. At nos, si vel nulla alia, ea certe causa honoremur merito, quod vaticinamur, et quæ rata sunt apud Parcam singula prædicimus.

CYN. In universum quidem inutile est, Jupiter, præscire futura illis, quibus negatum plane sit illa cavere: nisi forte hoc dicas, illum qui didicerit a mucrone ferri se morituram, effugere mortem includendo se posse. Sed fieri non potest: educet enim illum Fatum, ut venetur, et mucroni tradet; et Adrastus, emissa in aprum hasta, ab illo aberrabit, interficiet autem Crœsi filium, quum velut a validiori Parcarum imperio feratur hasta in juvenem.

13. Quin illud de Laio etiam ridiculum est,

> Ne sparge sulcum liberûm, vetant dei:
> nam si crearis (ait), te necabit filius.

Supervacanea enim, puto, admonitio in his quæ omnino ita futura sunt. Igitur post oraculum et seminavit et, qui natus est, ipsum interfecit. Itaque non video quo nomine mercedem vestrorum vaticiniorum repetatis.

14. Mitto enim dicere quam obliqua, quam ambigua respondere vulgo soleatis, non satis declarantes, suumne ille, qui Halyn transierit, an Cyri imperium eversurus sit: nam utrumque significat oraculum.

JUP. Erat quædam, Cynisce, Apollini iræ causa contra Crœsum, quod illum tentaverat coquendis una agninis et testudinis carnibus.

CYN. Oportebat quidem, si deus est, minime irasci: sed nimirum fatale, puto, fuerat Lydo, ab oraculo ut deciperetur: et alioqui Fatum illud neverat, ne dilucide futura intelligeret. Itaque vestra etiam illa divinatio istius est opus.

15. JUP. Nobis autem nihil relinquis, sed frustra dii sumus, neque providentiam adhibemus rebus, neque digni sumus victimis, ut terebræ nimirum aut secures? Et merito videris me contemnere, quod fulmine, ut vides, jam ad jactum parato astans fero te ista contra nos disputantem.

CYN. Feri, Jupiter, si mihi fatale est fulmine percuti:

ναι εἵμαρται, καὶ σὲ οὐδὲν αἰτιάσομαι τῆς πληγῆς, ἀλλὰ τὴν Κλωθὼ τὴν διὰ σοῦ τιτρώσκουσαν· οὐδὲ γὰρ τὸν κεραυνὸν αὐτὸν φαίην ἄν μοι αἴτιον γενέσθαι τοῦ τραύματος. Πλὴν ἐκεῖνό γε ὑμᾶς ἐρήσομαι καὶ σὲ καὶ τὴν Εἱμαρμένην· σὺ δέ μοι καὶ ὑπὲρ ἐκείνης ἀπόκριναι· ἀνέμνησας γάρ με ἀπειλήσας.

16. Τί δήποτε τοὺς ἱεροσύλους καὶ ληστὰς ἀφέντες καὶ τοσούτους ὑβριστὰς καὶ βιαίους καὶ ἐπιόρκους δρῦν τινα πολλάκις κεραυνοῦτε ἢ λίθον ἢ νεὼς ἱστὸν οὐδὲν ἀδικούσης, ἐνίοτε δὲ χρηστόν τινα καὶ ὅσιον ὁδοιπόρον; τί σιωπᾷς, ὦ Ζεῦ; ἢ οὐδὲ τοῦτο θέμις εἰδέναι με;

ΖΕΥΣ. Οὐ γάρ, ὦ Κυνίσκε. Σὺ δὲ πολυπράγμων τις εἶ καὶ οὐκ οἶδ' ὅθεν ταῦτα ἥκεις μοι συμπεφορηκώς.

ΚΥΝ. Οὐκοῦν μηδὲ ἐκεῖνο ὑμᾶς ἔρωμαι, σέ τε καὶ τὴν Πρόνοιαν καὶ τὴν Εἱμαρμένην, τί δήποτε Φωκίων μὲν ὁ χρηστὸς ἐν τοσαύτῃ πενίᾳ καὶ σπάνει τῶν ἀναγκαίων ἀπέθανε καὶ Ἀριστείδης πρὸ αὐτοῦ, Καλλίας δὲ καὶ Ἀλκιβιάδης, ἀκόλαστα μειράκια, ὑπερεπλούτουν καὶ Μειδίας ὁ ὑβριστὴς καὶ Χάροψ ὁ Αἰγινήτης, κίναιδος ἄνθρωπος, τὴν μητέρα λιμῷ ἀπεκτονώς, καὶ πάλιν Σωκράτης μὲν παρεδόθη τοῖς ἕνδεκα, Μέλητος δὲ οὐ παρεδόθη, καὶ Σαρδανάπαλλος μὲν ἐβασίλευε θῆλυς ὤν, Περσῶν δὲ τοσοῦτοι καλοὶ κἀγαθοὶ ἄνδρες ἀνεσκολοπίζοντο πρὸς αὐτοῦ, διότι μὴ ἠρέσκοντο τοῖς γιγνομένοις;

17. Ἵνα ὑμῖν μὴ τὰ νῦν λέγω καθ' ἕκαστον ἐπεξιών, τοὺς μὲν πονηροὺς εὐδαιμονοῦντας καὶ τοὺς πλεονέκτας, ἀγομένους δὲ καὶ φερομένους τοὺς χρηστοὺς ἐν πενίᾳ καὶ νόσοις καὶ μυρίοις κακοῖς πιεζομένους.

ΖΕΥΣ. Οὐ γὰρ οἶσθα, ὦ Κυνίσκε, ἡλίκας μετὰ τὸν βίον οἱ πονηροὶ τὰς κολάσεις ὑπομένουσιν, ἢ ἐν ὅσῃ οἱ χρηστοὶ εὐδαιμονίᾳ διατρίβουσιν;

ΚΥΝ. Ἅδην μοι λέγεις καὶ Τιτυοὺς καὶ Ταντάλους. Ἐγὼ δέ, εἰ μέν τι καὶ τοιοῦτόν ἐστιν, εἴσομαι τὸ σαφὲς ἐπειδὰν ἀποθάνω· τὸ δὲ νῦν ἔχον ἐβουλόμην τὸν ὁποσονοῦν χρόνον τοῦτον εὐδαιμόνως διαβιοὺς ὑπὸ ἑκκαίδεκα γυπῶν κείρεσθαι τὸ ἦπαρ ἀποθανών, ἀλλὰ μὴ ἐνταῦθα διψήσας ὥσπερ ὁ Τάνταλος ἐν μακάρων νήσοις πίνειν μετὰ τῶν ἡρώων ἐν τῷ Ἠλυσίῳ λειμῶνι κατακείμενος.

18. ΖΕΥΣ. Τί φής; ἀπιστεῖς εἶναί τινας κολάσεις καὶ τιμὰς καὶ δικαστήριον, ἔνθα δὴ ἐξετάζεται ὁ ἑκάστου βίος;

ΚΥΝ. Ἀκούω τινὰ Μίνωα Κρῆτα δικάζειν τὰ τοιαῦτα· καί μοι ἀπόκριναί τι καὶ ὑπὲρ ἐκείνου· σὸς γὰρ υἱὸς εἶναι λέγεται.

ΖΕΥΣ. Τί δ' αὐτὸν ἐρωτᾷς, ὦ Κυνίσκε;

ΚΥΝ. Τίνας κολάζει μάλιστα;

ΖΕΥΣ. Τοὺς πονηροὺς δηλαδή, οἷον ἀνδροφόνους καὶ ἱεροσύλους.

ΚΥΝ. Τίνας δὲ παρὰ τοὺς ἥρωας ἀποπέμπει;

ΖΕΥΣ. Τοὺς ἀγαθούς τε καὶ ὁσίους καὶ κατ' ἀρετὴν βεβιωκότας.

nec te plagæ illius nomine accusabo, sed vulnerantem per te Clotho: scilicet ne ipsum quidem fulmen causam mihi vulneris fuisse dicam. Verum illud certe vos rogaverim, te pariter ac Fatum; tu autem mihi et pro illo responde; admonuisti enim me minis tuis.

16. Qui tandem, omissis sacrilegis et latronibus, totque contumeliosis violentis, et perjuris hominibus, quercum sæpe quandam fulminatis, aut lapidem, aut navis malum, quæ nihil mali fecerit; interdum etiam bonum quendam et sanctum viatorem? Quid taces, Jupiter? numquid hoc etiam me scire nefas est?

JUP. Enimvero nefas. At tu curiosulus es, et istis omnibus nescio unde corrasis huc mihi venis.

CYN. Igitur neque illud vos interrogaverim, teque et Providentiam et Fatum, qui tandem Phocion ille vir bonus in tanta paupertate et necessariorum penuria mortuus sit, atque ante ipsum Aristides; Callias autem et Alcibiades, corrupti adolescentuli, abundarint divitiis, et insolens ille Midias, et Charops Æginetes, cinædus, quique suam matrem fame interemit; et rursus Socrates undecimviris capitalibus traditus sit, Melitus autem traditus non sit; et Sardanapalus, effeminatus homo, regnaverit, Persarum vero tot præclari et boni viri in palum ab illo acti sint, quod præsens rerum status illis displiceret?

17. Ne vobis præsentia dicam percurrens singula, malos homines atque avaros, eosdem esse felices; agi autem et ferri bonos viros, paupertate et morbis et malis sexcentis oppressos.

JUP. Numne ignoras, Cynisce, quanta post hanc vitam supplicia mali sustineant, aut quanta in felicitate versentur boni?

CYN. Inferos mihi narras, et Tityos, et Tantalos. Equidem, sitne tale quicquam, dilucide sciam quum ero mortuus: ut autem nunc res sunt, optem; ea lege hoc quantulumcunque est temporis feliciter transigere, ut mortui jecur a sedecim vulturibus tondeatur; sed nolim ea conditione Tantali instar hic sitire, ut in Beatorum insulis, in Elysio prato accumbens cum heroibus bibam.

18. JUP. Quid ais? non credis esse pœnas quasdam et præmia, et judicium, ubi vita uniuscujusque examinetur?

CYN. Audio a Minoe quodam Cretensi judicari talia. Et responde mihi etiam aliquid de illo; tuus enim esse filius dicitur.

JUP. Quid vero de illo interrogas, Cynisce?

CYN. Quosnam punit maxime?

JUP. Malos nempe, velut homicidas et sacrilegos.

CYN. Quos autem dimittit ad heroas?

JUP. Bonos ac sanctos, et qui cum virtute vixerunt.

ΚΥΝ. Τίνος ἕνεκα, ὦ Ζεῦ;

ΖΕΥΣ. Διότι οἱ μὲν τιμῆς, οἱ δὲ κολάσεως ἄξιοι.

ΚΥΝ. Εἰ δέ τις ἀκούσιόν τι δεινὸν ἐργάσαιτο, κολάζεσθαι καὶ τοῦτον δικαιοῖ;

ΖΕΥΣ. Οὐδαμῶς.

ΚΥΝ. Οὐδ' ἄρα εἴ τις ἄκων τι ἀγαθὸν ἔδρασεν, οὐδὲ τοῦτον τιμᾶν ἀξιώσειεν ἄν;

ΖΕΥΣ. Οὐ γὰρ οὖν.

ΚΥΝ. Οὐδένα τοίνυν, ὦ Ζεῦ, οὔτε τιμᾶν οὔτε κολάζειν αὐτῷ προσήκει.

ΖΕΥΣ. Πῶς οὐδένα;

ΚΥΝ. Ὅτι οὐδὲν ἑκόντες οἱ ἄνθρωποι ποιοῦμεν, ἀλλά τινι ἀνάγκῃ ἀφύκτῳ κεκελευσμένοι, εἴ γε ἀληθῆ ἐκεῖνά ἐστι τὰ ἔμπροσθεν ὡμολογημένα, ὡς ἡ Μοῖρα πάντων αἰτία· καὶ ἦν φονεύῃ τις, ἐκείνη ἐστὶν ἡ φονεύουσα, καὶ ἢν ἱεροσυλῇ, προστεταγμένον αὐτῷ δρᾷ. Ὥστε εἴ γε τὰ δίκαια ὁ Μίνως δικάζειν μέλλοι, τὴν Εἱμαρμένην ἀντὶ τοῦ Σισύφου κολάσεται καὶ τὴν Μοῖραν ἀντὶ τοῦ Ταντάλου· τί γὰρ ἐκεῖνοι ἠδίκησαν πεισθέντες τοῖς ἐπιτάγμασιν;

19. ΖΕΥΣ. Οὐκέτ' οὐδ' ἀποκρίνεσθαί σοι ἄξιον τοιαῦτα ἐρωτῶντι· θρασὺς γὰρ εἶ καὶ σοφιστής. Καί σε ἄπειμι ἤδη καταλιπών.

ΚΥΝ. Ἐδεόμην μὲν ἔτι κἂν τοῦτο ἐρέσθαι σε, ποῦ αἱ Μοῖραι διατρίβουσιν ἢ πῶς ἐφικνοῦνται τῇ ἐπιμελείᾳ τῶν τοσούτων ἐς τὸ λεπτότατον, καὶ ταῦτα τρεῖς οὖσαι; ἐπίπονον γάρ τινα καὶ οὐκ εὐμοιρόν μοι δοκοῦσι βιοῦν τὸν βίον τοσαῦτα ἔχουσαι πράγματα καὶ, ὡς ἔοικεν, οὐ πάνυ οὐδὲ αὗται ὑπὸ χρηστῇ Εἱμαρμένῃ ἐγεννήθησαν. Ἐγὼ γοῦν, εἴ μοι αἵρεσις δοθείη, οὐκ ἂν ἀλλαξαίμην πρὸς αὐτὰς τὸν ἐμαυτοῦ βίον, ἀλλὰ ἑλοίμην ἂν ἔτι πενέστερος διαβιῶναι ἢπερ καθῆσθαι κλώθων ἄτρακτον τοσούτων πραγμάτων μεστὸν, ἐπιτηρῶν ἕκαστα. Εἰ δὲ μὴ ῥᾴδιόν σοι ἀποκρίνασθαι πρὸς αὐτὰ, ὦ Ζεῦ, καὶ τούτοις ἀγαπήσομεν οἷς ἀπεκρίνω· ἱκανὰ γὰρ ἐμφανίσαι τὸν περὶ τῆς Εἱμαρμένης καὶ Προνοίας λόγον· τὰ λοιπὰ δ' ἴσως οὐχ εἱμαρτα ἀκοῦσαί μοι.

CYN. Cur hoc, Jupiter?

JUP. Quod alteri præmio, pœna autem alteri digni sunt.

CYN. Si quis vero involuntarium malum fecerit, puniri-ne hunc etiam æquum putat?

JUP. Nequaquam.

CYN. Nec igitur, si quis præter voluntatem boni quicquam fecerit, præmio afficiendum talem arbitratur?

JUP. Nempe.

CYN. Itaque neminem, Jupiter, neque præmio afficere, neque pœna illi convenit.

JUP. Quomodo neminem?

CYN. Quia nihil voluntate nostra facimus homines, sed inevitabilis cujusdam necessitatis imperio adacti, si quidem verum est, de quo ante inter nos convenit, Parcam esse causam omnium : et si quis cædem faciat, illa est quæ fecit; et si sacrilegium committat, imperata facit. Igitur si quidem juste judicare Minos voluerit, Fatum puniet pro Sisypho, et Parcam pro Tantalo : quid enim injuste fecerunt illi, obsecuti imperiis?

19. JUP. Nec responsione jam porro dignus es, qui talia interroges : audax enim es et sophista. Itaque jam relicto te discedo.

CYN. Operæ mihi erat etiam illud adhuc te rogare, ubi versentur Parcæ, et quomodo pares esse curationi tot tantarumque rerum ad minutias usque possint; idque quum tres modo sint : laboriosam enim quandam nec nimis beatam mihi vitam videntur agere, quæ tot sustineant negotia; et ut videtur, Fato ipsæ non valde propitio natæ sunt. Equidem, si detur mihi optio, non permutaverim meam cum illis vitam, sed vel pauperior etiam vivere præoptaverim, quam sedere fusum torquens tot rerum plenum, et intentus omnibus. Si vero tibi facile non est, Jupiter, respondere ad hæc, etiam illis, quæ respondisti, contenti erimus, ut quæ sufficiant ad explicandam illam de Fato et Providentia disputationem : reliqua audire fortasse fatale mihi non fuit.

XLIV.

ΖΕΥΣ ΤΡΑΓΩΔΟΣ.

1. ΕΡΜΗΣ. Ὦ Ζεῦ, τί σύννους κατὰ μόνας σαυτῷ λαλεῖς, ὠχρὸς, περιπατῶν, φιλοσόφου τὸ χρῶμ' ἔχων; ἐμοὶ προσανάβου, λαβέ με σύμβουλον πόνων, μὴ καταφρονήσῃς οἰκέτου φλυαρίας.

ΑΘΗΝΗ. Ναὶ πάτερ ἡμέτερε, Κρονίδη, ὕπατε κρειόντων, γουνοῦμαί σε θεὰ γλαυκῶπις, τριτογένεια, ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἰδόμεν ἦδη, τίς μῆτις ὀάκνει σε κατὰ φρένα καὶ κατὰ θυμὸν, ἢ τί βαρὺ στενάχεις ὠχρός τέ σου εἶλε παρειάς;

ΖΕΥΣ. Οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος, οὐδὲ πάθος οὐδὲ ξυμφορὰ τραγῳδικὴ, ἥς οὐκ ἂν ἄραιτ' ἄχθος ἡ θεῶν φύσις.

ΑΘΗΝΗ. Ἄπολλον, οἵοις φροιμίοις ἄρχει λόγου.

1. MERCURIUS. Pater, quid loquere tristis ita solus tibi, pallidus, inambulans, colore philosophi? ad me referto, me sume ægritudinis socium tuæ, ne sperne nugas servoli.

MINERVA. Eia pater noster, Saturnie, maxime regum, supplex te veneror Tritonia, cæsia Pallas, eloquere, o, neu mente preme, ut cognoscere detur, quod tibi consilium rodat præcordia mentemque : aut grave quid gemis? aut pallor cur occupat ora?

JUPITER. Non est oratio ulla tam dictu gravis, non est ærumna, aut calamitas tragœdica, cujus deûm natura onus non sentiat.

MIN. Apollo! quali exorsus es proœmio?

ΖΕΥΣ. Ὦ παγκάκιστα χθόνια γῆς παιδεύματα,
σύ τ', ὦ Προμηθεῦ, οἷά μ' εἰργασαι κακά.
ΑΘΗΝΗ. Τί δ' ἐστί; πρὸς χορὸν γὰρ οἰκείων ἐρεῖς.
ΖΕΥΣ. Ὦ μεγαλοσμαράγου στεροπᾶς βοίζημα, τί ῥέξεις;

ΗΡΑ. Κοίμισον ὀργὰν, εἰ μὴ κωμῳδίαν, ὦ Ζεῦ, δυνάμεθα ὑποκρίνεσθαι μηδὲ ῥαψῳδεῖν ὥσπερ οὗτοι μηδὲ τὸν Εὐριπίδην ὅλον καταπεπώκαμεν, ὥστε σοι ὑποδραματουργεῖν.

2. Ἀγνοεῖν ἡμᾶς νομίζεις τὴν αἰτίαν τῆς λύπης ἥτις ἐστί σοι;

ΖΕΥΣ. Οὐκ οἶσθ', ἐπεί τοι κἂν ἐκώκυες μέγα.

ΗΡΑ. Οἶδα τὸ κεφάλαιον αὐτὸ ὧν πάσχεις ὅτι ἐρωτικόν ἐστιν· οὐ μὴν κωκύω γε ὑπὸ ἔθους ἤδη πολλάκις ὑβρισθεῖσα ὑπὸ σοῦ τὰ τοιαῦτα. Εἰκὸς γοῦν ἤτοι Δανάην τινὰ ἢ Σεμέλην ἢ Εὐρώπην αὖθις εὑρόντα σε ἀνιᾶσθαι ὑπὸ τοῦ ἔρωτος, εἶτα βουλεύεσθαι ταῦρον ἢ σάτυρον ἢ χρυσὸν γενόμενον ῥυῆναι διὰ τοῦ ὀρόφου εἰς τὸν κόλπον τῆς ἀγαπωμένης· τὰ σημεῖα γὰρ ταῦτα, οἱ στεναγμοὶ καὶ τὰ δάκρυα καὶ τὸ ὠχρὸν εἶναι, οὐκ ἄλλου του ἢ ἐρῶντός ἐστιν.

ΖΕΥΣ. Ὦ μακαρία, ἥτις ἐν ἔρωτι καὶ ταῖς τοιαύταις παιδιαῖς οἴει τὰ πράγματα ἡμῖν εἶναι.

ΗΡΑ. Ἀλλὰ τί ἄλλο, εἰ μὴ τοῦτο, ἀνιᾷ σε Δία ὄντα;

3. ΖΕΥΣ. Ἐν ἐσχάτοις, ὦ Ἥρα, τὰ θεῶν πράγματα, καὶ τοῦτο δὴ τὸ τοῦ λόγου, ἐπὶ ξυροῦ νῦν ἕστηκεν, εἴτε χρὴ τιμᾶσθαι ἡμᾶς ἔτι καὶ τὰ γέρα ἔχειν τὰν τῇ γῇ εἴτε καὶ ἠμελῆσθαι παντάπασι καὶ τὸ μηδὲν εἶναι δοκεῖν.

ΗΡΑ. Μῶν ἢ γίγαντάς τινας αὖθις ἡ γῆ ἔφυσεν, ἢ οἱ Τιτᾶνες διαρρήξαντες τὰ δεσμὰ καὶ τῆς φρουρᾶς ἐπικρατήσαντες αὖθις ἡμῖν ἐναντία αἴρονται τὰ ὅπλα;

ΖΕΥΣ. Θάρσει, τὰ νέρθεν ἀσφαλῶς ἔχει θεοῖς.

ΗΡΑ. Τί οὖν ἄλλο δεινὸν ἂν γένοιτο; οὐχ ὁρῶ γάρ, ὅτε μὴ τὰ τοιαῦτα παραλυπεῖ, ἐφ' ὅτῳ Πῶλος ἢ Ἀριστόδημος ἀντὶ Διὸς ἡμῖν ἀναπέφηνας.

4. ΖΕΥΣ. Τιμοκλῆς, ὦ Ἥρα, ὁ Στωϊκὸς καὶ Δᾶμις ὁ Ἐπικούρειος χθὲς, οὐκ οἶδ' ὅθεν σφίσιν ἀρξαμένου τοῦ λόγου, προνοίας πέρι διελεγέσθην παρόντων μάλα συχνῶν καὶ δοκίμων ἀνθρώπων, ὅπερ μάλιστα ἡνίασέ με· καὶ ὁ μὲν Δᾶμις οὔτ' εἶναι θεοὺς ἔφασκεν οὔθ' ὅλως τὰ γιγνόμενα ἐπισκοπεῖν ἢ διατάττειν, ὁ Τιμοκλῆς δὲ ὁ βέλτιστος ἐπειρᾶτο συναγωνίζεσθαι ἡμῖν· εἶτα ὄχλου πολλοῦ ἐπιρρυέντος οὐδὲν πέρας ἐγένετο τῆς ξυνουσίας· διελύθησαν γὰρ ἐσαῦθις ἐπισκέψεσθαι τὰ λοιπὰ συνθέμενοι, καὶ νῦν μετέωροι πάντες εἰσὶ πρὸς τὴν ἀκρόασιν, ὁπότερος κρατήσει καὶ ἀληθέστερα δόξει λέγειν. Ὁρᾶτε τὸν κίνδυνον, ὡς ἐν στενῷ παντάπασι τὰ ἡμέτερα, ἐν ἑνὶ ἀνδρὶ κινδυνευόμενα; καὶ δυοῖν θάτερον ἢ παρεωρᾶσθαι ἀνάγκη ὀνόματα εἶναι μόνον δόξαντας ἢ τιμᾶσθαι ὡς πρὸ τοῦ, ἢν ὁ Τιμοκλῆς ὑπέρσχῃ λέγων.

JUP. O pessimæ artes, tartareum in terra scelus,
tuque, o Prometheu, quis me affecisti malis!
MIN. Quid est? choro tu loquere enim domestico.
JUP. Magnicrepi o tonitru stridor, jam tempus agendi est.

JUNO. Compesce impetum, Jupiter, si non comœdias agere aut poemata recitare sicut isti possumus, neque Euripidem totum devoravimus, ut subservire fabulæ tuæ queamus.

2. Ignorare nos putas causam tui doloris quæ sit?

JUP. Non nosti: cuncta nam misceres fletibus.

JUN. Novi caput eorum quæ te perturbant: amatorium quiddam est: nec tamen ploro, consuetudine quadam, quum sæpe jam talibus in rebus contumelia me læseris. Credibile nimirum est, Danaen quandam, aut Semelen, aut Europen te reperisse denuo, cujus amore crucieris; deinde consilia te agitare, taurusne velis an satyrus fieri, an aurum et per tegulas influere in sinum amasiæ: signa quippe ista, gemitus, lacrimæ, pallor, non alius hominis quam amantis sunt.

JUP. O beata, quæ in amore et ejusmodi lusibus res nostras versari existimes.

JUN. Verum quid aliud nisi hoc te angit, qui sis Jupiter?

3. JUP. In ultimis, Juno, periculis versantur res deorum, et in novacula, quod est in proverbio, consistit, oporteatne nos coli adhuc et honores habere in terra, an negligi prorsus et plane nihil esse videri.

JUN. Numquid gigantes quosdam Terra rursus genuit; an Titanes ruptis vinculis custodibusque superatis rursus inimica nobis arma capiunt?

JUP. Quiesce: tuta sunt divina ab inferis.

JUN. Quid igitur aliud terribile possit accidere? neque enim video, nisi talia te dolore afficiant, ob quam rem Polus nobis aut Aristodemus pro Jove prodieris.

4. JUP. Timocles, Juno, Stoicus, et Epicureus Damis heri, nescio unde orto illis sermone, de providentia disputarunt, præsentibus quamplurimis et probatis hominibus, quod quidem vel maxime molestum mihi fuit. Ac Damis quidem nec esse deos dixit, neque omnino ea quæ fiunt inspicere aut ordinare; optimus autem vir Timocles causam agere studebat nostram: tum ubi populus confluxerat multus, exitum non habuit colloquium: discesserunt enim, condicto reliqua postridie se consideraturos. Et jam suspensi omnes sunt exspectatione audiendi, uter superior sit futurus et veriora dicere visurus. Videtin' periculum, quam in angusto sint omnino res nostræ, et in homine uno periclitentur? atque alterutrum horum necesse est, aut despici nos et nomina tantum videri, aut honorari, ut olim, si dicendo Timocles superaverit.

5. ΗΡΑ. Δεινὰ ταῦτα ὡς ἀληθῶς, καὶ οὐ μάτην, ὦ Ζεῦ, ἐπετραγῴδεις αὐτοῖς.

ΖΕΥΣ. Σὺ δ' ὥρου Δανάης τινὸς ἢ Ἀντιόπης εἶναί μοι λόγον ἐν ταράχῳ τοσούτῳ. Τί δ' οὖν, ὦ Ἑρμῆ καὶ Ἥρα καὶ Ἀθηνᾶ, πράττοιμεν ἄν; ξυνευρίσκετε γὰρ καὶ αὐτοὶ τὸ μέρος.

ΕΡΜ. Ἐγὼ μὲν ἐπὶ τὸ κοινόν φημι δεῖν τὴν σκέψιν ἐπενεγκεῖν ἐκκλησίαν συναγαγόντα.

ΗΡΑ. Καὶμοὶ ταῦτα ξυνδοκεῖ ἅπερ καὶ τούτῳ.

ΑΘΗΝ. Ἀλλ' ἐμοὶ μὲν τἀναντία δοκεῖ, ὦ πάτερ, μὴ ξυνταράττειν τὸν οὐρανὸν μηδὲ δῆλον εἶναι θορυβούμενον τῷ πράγματι, πράττειν δὲ ἰδίᾳ ταῦτα, ἐξ ὧν κρατήσει μὲν ὁ Τιμακλῆς λέγων, ὁ Δᾶμις δὲ καταγελασθεὶς ἀπειτιν ἐκ τῆς συνουσίας.

ΕΡΜ. Ἀλλ' οὔτε ἀγνοηθήσεται ταῦτα, ὦ Ζεῦ, ἐν φανερῷ γενομένης τῆς ἔριδος τοῖς φιλοσόφοις, καὶ σὺ δόξεις τυραννικὸς εἶναι μὴ κοινούμενος περὶ τῶν οὕτω μεγάλων καὶ κοινῶν ἅπασιν.

6. ΖΕΥΣ. Οὐκοῦν ἤδη κήρυττε καὶ παρέστωσαν ἅπαντες· ὀρθῶς γὰρ λέγεις.

ΕΡΜ. Ἴδοὺ δὴ ἐς ἐκκλησίαν ξυνέλθετε οἱ θεοί· μὴ μέλλετε, ξυνέλθετε πάντες, ἥκετε, περὶ μεγάλων ἐκκλησιάσομεν.

ΖΕΥΣ. Οὕτω ψιλὰ, ὦ Ἑρμῆ, καὶ ἁπλοϊκὰ καὶ πεζὰ κηρύττεις, καὶ ταῦτα ἐπὶ τοῖς μεγίστοις ξυγκαλῶν;

ΕΡΜ. Ἀλλὰ πῶς γὰρ, ὦ Ζεῦ, ἀξιοῖς;

ΖΕΥΣ. Ὅπως ἀξιῶ; ἀποσεμνῦναί φημι δεῖν τὸ κήρυγμα μέτροις τισὶ καὶ μεγαλοφωνίᾳ ποιητικῇ, ὡς μᾶλλον συνέλθοιεν.

ΕΡΜ. Ναί. Ἀλλ' ἐποποιῶν, ὦ Ζεῦ, καὶ ῥαψῳδῶν τὰ τοιαῦτα, ἐγὼ δὲ ἥκιστα ποιητικός εἰμι· ὥστε διαφθερῶ τὸ κήρυγμα ἢ ὑπέρμετρα ἢ ἐνδεᾶ ξυνείρων, καὶ γέλως ἔσται παρ' αὐτοῖς ἐπὶ τῇ ἀμουσίᾳ τῶν ἐπῶν· ὁρῶ γοῦν καὶ τὸν Ἀπόλλω γελώμενον ἐπ' ἐνίοις τῶν χρησμῶν, καίτοι ἐπικρυπτούσης τὰ πολλὰ τῆς μαντικῆς, ὡς μὴ πάνυ σχολὴν ἄγειν τοὺς ἀκούοντας ἐξετάζειν τὰ μέτρα.

ΖΕΥΣ. Οὐκοῦν, ὦ Ἑρμῆ, τῶν Ὁμήρου ἐπῶν ἐγκαταμίγνυε τὰ πολλὰ τῷ κηρύγματι, ὡς ἐκεῖνος ἡμᾶς ξυνεκάλει· μεμνῆσθαι δέ σε εἰκός.

ΕΡΜ. Οὐ πάνυ μὲν οὕτω σαφῶς καὶ προχείρως· πειράσομαι δὲ ὅμως.

> Μήτε τις οὖν θήλεια θεὸς .. μήτε τις ἄρσην,
> μηδ' αὐτῶν ποταμῶν μενέτω νόσφ' Ὠκεανοῖο
> μηδέ τε νυμφάων, αἳ τ' ἐς Διὸς ἔλθετε πάντες
> εἰς ἀγορὴν, ὅσσοι τε κλυτὰς δαίνυσθ' ἑκατόμβας,
> ὅσσοι τ' οὐ μέσατοι ἢ ὕστατοι ἢ μάλα πάγχυ
> νώνυμνοι βωμοῖσι παρὰ κνίσῃσι κάθησθε.

7. ΖΕΥΣ. Εὖ γε, ὦ Ἑρμῆ, ἄριστα κεκήρυκταί σοι, καὶ ξυνθέουσι γὰρ ἤδη· ὥστε παραλαμβάνων κάθιζε αὐτοὺς κατὰ τὴν ἀξίαν ἕκαστον, ὡς ἂν ὕλης ἢ τέχνης ἔχῃ, ἐν προεδρίᾳ μὲν τοὺς χρυσοῦς, εἶτα ἐπὶ τούτοις τοὺς ἀργυροῦς, εἶτα ἑξῆς ὁπόσοι ἐλεφάντινοι, εἶτα τοὺς χαλκοῦς ἢ λιθίνους, καὶ ἐν αὐτοῖς τούτοις οἱ

5. JUN. Cravissima sane, Jupiter, sunt quæ narras; nec frustra in illis agebas tragœdias.

JUP. Tu vero putabas Danaes cujusdam aut Antiopæ rationem me habere in tanta rerum perturbatione. Quid ergo, Mercuri, et Juno, et Minerva, faciamus? reperite et vos nobiscum pro sua quisque parte aliquid.

MERC. Equidem ad commune deorum puto considerationem hujus rei referendam, convocata concione.

JUN. Etiam mihi eadem quæ huic probantur.

MIN. Sed alia omnia mihi videntur, pater, nimirum non perturbare cœlum, nec manifestum fieri te moveri hoc negotio; sed privatim ea agenda per quæ vincat dicendo Timocles, derisus autem Damis de disputatione discedat.

MERC. Verum neque ignorabuntur ista, Jupiter, quum contentio philosophorum in publico sit futura: ac tu tyrannidem exercere videberis, si non communices de magnis adeo rebus, quæque communes sint omnium.

6. JUP. Ergo jam præconium fac, et adsunto omnes: recte etenim dicis.

MERC. Heus in concionem convenite dii: ne cunctamini, convenite omnes: venite; de magnis rebus concionem habebimus.

JUP. Ita nude, Mercuri, et simpliciter et pedestri oratione præconium facis, idque quum de maximis rebus deos convocas?

MERC. Quomodo igitur jubes, Jupiter?

JUP. Quomodo jubeam? gravitatem conciliandam aio præconio versibus quibusdam et magniloquentia poetica, ut magis conveniant.

MERC. Esto. Sed versificatorum ista, Jupiter, et carmina ad virgam recitantium: ego vero minime aptus sum ad poeticam: itaque corrupero præconium, vel excedentes mensuram versus, vel deficientes consarcinans: et risus orietur ab illis propter imperitiam carminum. Video enim ipsum quoque Apollinem ridere de oraculis quibusdam, quanquam pleraque hic tegat vaticinii obscuritas, ut qui audiunt non multum habeant otii ad versus examinandos.

JUP. Ergo, Mercuri, de Homeri carminibus pleraque admisce præconio, ut ille nos convocabat: meminisse autem te credibile est.

MERC. Non quidem omnino plane et expedite: periculum tamen faciam.

> Ne qua igitur mulier dea .. neve vir ullus,
> neu quis de fluviis ipsis patris Oceani absit,
> neu quæ nympharum, verum ad Jovis omnis adesto
> concilium, quotquot celebres editis hecatombas:
> qui medii, qui postremi, qui nomine nullo,
> ora supinati nidore sedetis ad aras.

7. JUP. Euge Mercuri: optime functus es præconio. Etenim jam concurrunt. Itaque exceptis sedilia præbe pro dignitate cuique, prout vel quantum ad materiam se habent vel quantum ad artem: primo quidem loco aureis, tum post illos argenteis, deinde juxta hos, qui sunt eburnei, tum æreis aut lapideis: et in his, qui Phidiæ sunt, aut

Φειδίου ἢ Ἀλκαμένους ἢ Μύρωνος ἢ Εὐφράνορος ἢ τῶν ὁμοίων τεχνιτῶν προτετιμήσθων, οἱ συρφετώδεις δὲ οὗτοι καὶ ἄτεχνοι πόρρω που ξυνωσθέντες σιωπῇ ἀναπληρούντων μόνον τὴν ἐκκλησίαν.

ΕΡΜ. Ἔσται ταῦτα καὶ καθεδοῦνται ὡς προσήκει. Ἀλλ' ἐκεῖνο οὐ χεῖρον εἰδέναι, ἤν τις αὐτῶν χρυσοῦς μὲν ᾖ καὶ πολυτάλαντος τὴν ὀλκήν, οὐκ ἀκριβὴς δὲ τὴν ἐργασίαν, ἀλλὰ κομιδῇ ἰδιωτικὸς καὶ ἀσύμμετρος, πρὸ τῶν χαλκῶν τῶν Μύρωνος καὶ Πολυκλείτου καὶ τῶν Φειδίου καὶ Ἀλκαμένους τῶν λιθίνων καθεδεῖται ἢ προτιμοτέραν χρὴ νομίζειν τὴν τέχνην;

ΖΕΥΣ. Ἐχρῆν μὲν οὕτως, ἀλλ' ὁ χρυσὸς ὅμως προτιμητέος.

ΕΡΜ. Μανθάνω ὅτι πλουτίνδην κελεύεις, ἀλλὰ μὴ ἀριστίνδην καθίζειν καὶ ἀπὸ τιμημάτων. Ἥκετ' οὖν εἰς τὴν προεδρίαν οἱ χρυσοῦ ὑμεῖς.

8. Ἐοίκασιν, ὦ Ζεῦ, οἱ βαρβαρικοὶ προεδρεύσειν μόνοι· ὡς τούς γε Ἕλληνας ὁρᾷς ὁποῖοί εἰσι, χαρίεντες μὲν καὶ εὐπρόσωποι καὶ κατὰ τέχνην ἐσχηματισμένοι, λίθινοι δὲ ἢ χαλκοῖ ὅμως ἅπαντες ἢ οἵ γε πολυτελέστατοι αὐτῶν ἐλεφάντινοι ὀλίγον ὅσον τοῦ χρυσοῦ ἀποστίλβοντες, ὡς ἐπικεχρῶσθαι καὶ ἐπηλυγάσθαι μόνον, τὰ δὲ ἔνδον ὑπόξυλοι καὶ οὗτοι, μυῶν ἀγέλας ὅλας ἐμπολιτευομένας σκέπουσι· ἡ Βενδὶς δὲ αὕτη καὶ ὁ Ἄνουβις ἐκεινοσὶ καὶ παρ' αὐτὸν ὁ Ἄττις καὶ ὁ Μίθρης καὶ ὁ Μὴν ὅλοι ὁλόχρυσοι καὶ βαρεῖς καὶ πολυτίμητοι ὡς ἀληθῶς.

9. ΠΟΣ. Καὶ τοῦτο, ὦ Ἑρμῆ, δίκαιον, τὸν κυνοπρόσωπον τοῦτον προκαθίζειν μου τὸν Αἰγύπτιον καὶ ταῦτα Ποσειδῶνος ὄντος;

ΕΡΜ. Ναί. Ἀλλὰ σὲ μέν, ὦ ἐννοσίγαιε, χαλκοῦν ὁ Λύσιππος καὶ πένητα ἐποίησεν, οὐκ ἐχόντων τότε τῶν Κορινθίων χρυσόν· οὗτος δὲ ὅλοις μετάλλοις πλουσιώτερός ἐστιν. Ἀνέχεσθαι οὖν χρὴ παρεωσμένον καὶ μὴ ἀγαναχτεῖν, εἴ τις ῥῖνα τηλικαύτην χρυσῆν ἔχων προτετίμηταί σου.

10. ΑΦΡ. Οὐκοῦν, ὦ Ἑρμῆ, κἀμὲ λαβὼν ἐν τοῖς προέδροις που κάθιζε· χρυσῆ γάρ εἰμι.

ΕΡΜ. Οὐχ ὅσα γε, ὦ Ἀφροδίτη, κἀμὲ ὁρᾶν, ἀλλ' εἰ μὴ πάνυ λημῶ, λίθου τοῦ λευκοῦ Πεντέληθεν, οἶμαι, λιθοτομηθεῖσα, εἶτα δόξαν οὕτω Πραξιτέλει Ἀφροδίτη γενομένη Κνιδίοις παρεδόθης.

ΑΦΡ. Καὶ μὴν ἀξιόπιστόν σοι μάρτυρα τὸν Ὅμηρον παρέξομαι ἄνω καὶ κάτω τῶν ῥαψῳδιῶν χρυσῆν με τὴν Ἀφροδίτην εἶναι λέγοντα.

ΕΡΜ. Καὶ γὰρ τὸν Ἀπόλλω ὁ αὐτὸς πολύχρυσον εἶναι ἔφη καὶ πλούσιον· ἀλλὰ νῦν ὄψει κἀκεῖνον ἐν τοῖς ζευγίταις που καθήμενον, ἀπεστεφανωμένον γε ὑπὸ τῶν λῃστῶν καὶ τοὺς κόλλοπας τῆς κιθάρας περισεσυληκότα. Ὥστε ἀγάπα καὶ σὺ μὴ πάνυ ἐν τῷ θητικῷ ἐκκλησιάζουσα.

11. ΚΟΛΟΣΣΟΣ. Ἐμοὶ δὲ τίς ἂν ἐρίσαι τολμήσειεν Ἡλίῳ τε ὄντι καὶ τηλικούτῳ τὸ μέγεθος; εἰ γοῦν μὴ ὑπερφυᾶ μηδὲ ὑπέρμετρον οἱ Ῥόδιοι κατασκευάσαντες ἔστησαν, οὐκ ἂν ἐδυνάμην ἐπιβὰς ἐπὶ τὸν ἀγκῶνα τὸν ἀριστερὸν ἐπιθεῖναι τὴν χεῖρα τῇ κεφαλῇ, ἀλλ' ἐπιπολάζων ἂν ἐφαινόμην τοῦ κολοσσοῦ. Ἀλλὰ τί ταῦτα; ἐγὼ δὲ ἐπὶ τὸν ἀγκῶνα ἀναβὰς ἐπιθήσω τὴν χεῖρα τῇ κεφαλῇ.

Alcamenis, aut Myronis, aut Euphranoris, aut similium artificum, præferantur; at illi ex fæce, artis omnis expertes, porro in angulum aliquem contrusi silentio, concionis modo explendæ causa, assideant.

MERC. Fient ista : sedebunt ut convenit. Verum illud necessarium est ut sciam, si quis illorum aureus quidem sit et multorum talentorum pondere, sed idem non curiose elaboratus, sed plebeius omnino et parum commensu sibi respondens, hicne ante æneos illos Myronis, Polycleti, Phidiæ, et lapideos Alcamenis assidebit, an putandum, præferri debere artem?

JUP. Sic quidem decebat : sed præferendum tamen est aurum.

MERC. Audio : nempe ex divitiis atque censu jubes, non ex nobilitate et præstantia illos a me collocari. Venite ergo in primas sedes vos aurei.

8. Videntur proinde, Jupiter, prima sedilia occupaturi soli barbarici : Græcos enim quales sint vides : venusti illi quidem, et boni vultus, et ex arte figurati; sed iidem tamen lapidei aut ærei in universum omnes; aut pretiosissimi quidem illorum eburnei, pauxillum quantum auri refulgentis habentes, ut colore illo et splendore inducti tantum sint; intus vero iidem sunt lignei, et totos murium greges ibi rempublicam habentes tegunt. At Bendis illa, et Anubis iste, et juxta illum Attis, et Mithres, et Deus Lunus, ex auro solido toti, et graves et multi revera pretii.

9. NEPT. Et ubi hoc justum est, Mercuri, hunc canino vultu præditum ante me sedere Ægyptium, idque quum ego Neptunus sim?

MERC. Sic est. Verum te, quassator telluris, æreum Lysippus et pauperem fecit, non habentibus eo tempore aurum Corinthiis : at hic totis metallis est ditior. Ferre itaque oportet te submoveri, neque indignari si quis tantum ex auro rostrum habens tibi prælatus est.

10. VEN. Ergo me etiam in primis alicubi colloca subselliis : etenim aurea sum.

MERC. Non quantum ego quoque videre, Venus, possum : sed si non plane lippio, ex candido lapide, Pentelico arbitror, excisa, deinde quum ita Praxiteli videretur, Venus facta et tradita es Cnidiis.

VEN. At ego fide dignum tibi testem Homerum adducam, qui a capite ad calcem me carminum auream esse Venerem dicit.

MERC. Nimirum idem etiam Apollinem multi esse auri dicit ac divitem : sed jam videbis illum quoque sedentem inter jugarios, corona exutum a latronibus, et verticillis lyræ a sacrilegis spoliatum : itaque contenta et tu esto, quod non omnino in capite censis fers suffragium.

11. COLOSSUS. Mecum vero certare quis ausit, qui et Sol sim, et tanta magnitudine? nisi enim portentose magnum et mensuram omnem supergressum exstruere me voluissent

σασθαί με ἠξίωσαν, ἀπὸ τοῦ ἴσου τελέσματος ἑκκαίδεκα χρυσοῦς θεοὺς ἐπεποίηντο ἄν· ὥστε ἀνάλογον πολυτελέστερος ἂν νομιζοίμην. Καὶ πρόσεστιν ἡ τέχνη καὶ τῆς ἐργασίας τὸ ἀκριβὲς ἐν μεγέθει τοσούτῳ.

ΕΡΜ. Τί, ὦ Ζεῦ, χρὴ ποιεῖν; δύσκριτον ἐμοὶ γοῦν καὶ τοῦτο· εἰ μὲν γὰρ ἐς τὴν ὕλην ἀποβλέποιμι, χαλκοῦς ἐστιν, εἰ δὲ λογιζοίμην ἀφ' ὁπόσων ταλάντων κεχάλκευται, ὑπὲρ τοὺς πεντακοσιομεδίμνους ἂν εἴη.

ΖΕΥΣ. Τί γὰρ ἔδει παρεῖναι καὶ τοῦτον ἐλέγξοντα τὴν τῶν ἄλλων σμικρότητα καὶ ἐνοχλήσοντα τῇ καθέδρᾳ; πλὴν ἀλλά, ὦ Ῥοδίων ἄριστε, εἰ καὶ ὅτι μάλιστα προτιμητέος εἶ τῶν χρυσῶν, πῶς ἂν καὶ προεδρεύοις, εἰ μὴ δεήσει ἀναστῆναι ἅπαντας, ὡς μόνος καθέζοιο τὴν Πύκνα ὅλην θατέρᾳ τῶν πυγῶν ἐπιλαβών; ὥστε ἄμεινον ποιήσεις ὀρθοστάδην ἐκκλησιάζων, ἐπικεκυφὼς τῷ συνεδρίῳ.

12. ΕΡΜ. Ἰδοὺ πάλιν ἄλλο δύσλυτον καὶ τοῦτο· χαλκῶ μὲν γὰρ ἀμφοτέρω ἐστὸν καὶ τέχνης τῆς αὐτῆς, Λυσίππου ἑκάτερον τὸ ἔργον, καὶ τὸ μέγιστον, ὁμοτίμω τὰ ἐς γένος, ἅτε δὴ Διὸς παῖδε, ὁ Διόνυσος οὑτοσὶ καὶ Ἡρακλῆς. Πότερος οὖν αὐτῶν προκαθεδεῖται; φιλονεικοῦσι γὰρ, ὡς ὁρᾷς.

ΖΕΥΣ. Διατρίβομεν, ὦ Ἑρμῆ, πάλαι δέον ἐκκλησιάζειν· ὥστε νῦν μὲν ἀναμὶξ καθιζόντων, ἔνθ' ἂν ἕκαστος ἐθέλῃ, ἐσαῦθις δὲ ἀποδοθήσεται περὶ τούτων ἐκκλησία, κἀγὼ εἴσομαι τότε ἥντινα χρὴ ποιήσασθαι τὴν τάξιν ἐπ' αὐτοῖς.

13. ΕΡΜ. Ἀλλ', Ἡράκλεις, ὡς θορυβοῦσι τὰ κοινὰ καὶ τὰ καθ' ἡμέραν ταῦτα βοῶντες, Διανομάς, διανομάς· ποῦ τὸ νέκταρ, ποῦ τὸ νέκταρ; ἡ ἀμβροσία ἐπέλιπεν, ἡ ἀμβροσία ἐπέλιπεν· ποῦ αἱ ἑκατόμβαι, ποῦ αἱ ἑκατόμβαι; κοινὰς τὰς θυσίας.

ΖΕΥΣ. Κατασιώπησον αὐτοὺς, ὦ Ἑρμῆ, ὡς μάθωσιν ὅτου ἕνεκα ξυνελέγησαν τοὺς λήρους τούτους ἀφέντες.

ΕΡΜ. Οὐχ ἅπαντες, ὦ Ζεῦ, τὴν Ἑλλήνων φωνὴν ξυνιᾶσιν· ἐγὼ δὲ οὐ πολύγλωττός εἰμι, ὥστε καὶ Σκύθαις καὶ Πέρσαις καὶ Θραξὶ καὶ Κελτοῖς ξυνετὰ κηρύττειν. Ἄμεινον οὖν, οἶμαι, τῇ χειρὶ σημαίνειν καὶ παρακελεύεσθαι σιωπᾶν.

ΖΕΥΣ. Οὕτω ποίει.

14. ΕΡΜ. Εὖ γε, ἀφωνότεροι γεγένηνταί σοι τῶν σοφιστῶν. Ὥστε ὥρα δημηγορεῖν. Ὁρᾷς; πάλαι πρὸς σὲ ἀποβλέπουσι περιμένοντες ὅ τι καὶ ἐρεῖς.

ΖΕΥΣ. Ἀλλ' ὅ γε πέπονθα, ὦ Ἑρμῆ, οὐκ ἂν ὀκνήσαιμι πρὸς σὲ εἰπεῖν υἱὸν ὄντα. Οἶσθα ὅπως θαρραλέος ἀεὶ καὶ μεγαληγόρος ἐν ταῖς ἐκκλησίαις ἦν.

ΕΡΜ. Οἶδα καὶ ἐδεδίειν γε ἀκούων σου δημηγοροῦντος, καὶ μάλιστα ὁπότε ἀπειλοίης ἀνασπάσειν ἐκ βάθρων τὴν γῆν καὶ τὴν θάλατταν αὐτοῖς θεοῖς τὴν σειρὰν ἐκείνην τὴν χρυσῆν καθείς.

ΖΕΥΣ. Ἀλλὰ νῦν, ὦ τέκνον, οὐκ οἶδα, εἴτε ὑπὸ τοῦ μεγέθους τῶν ἐφεστώτων δεινῶν εἴτε καὶ ὑπὸ τοῦ πλήθους τῶν παρόντων — πολυθεωτάτη γὰρ, ὡς ὁρᾷς,

Rhodii, de æquali impensa sedecim aureos facere deos poterant: hac itaque proportionis regula majoris ego pretii judicer. Accedit ars, et exquisitum in tanta magnitudine artificium.

MERC. Quid agendum, Jupiter? difficile enim mihi judicatu hoc quoque: si enim ad materiam respiciam, æneus est; sin reputem quot talentis sit fabricatus, ultra primum pariter censum et equestrem fuerit.

JUP. Quid enim hunc quoque oportebat adesse, qui reliquorum arguat parvitatem et consessum turbet? Verum heus tu, Rhodiorum optime, si vel maxime præponendus es aureis, quomodo tandem primam occupabis, nisi debeant surgere omnes, uti solus assideas tu, qui totam Pnycem altera clunium occupes? Itaque melius feceris si erectus stes in concione, capite versus consessum inclinato.

12. MERC. En tibi aliud, solutu difficile et ipsum. Ærei enim sunt ambo, et artificii ejusdem, Lysippi opus uterque, et quod maximum, genere æquales, utpote filius uterque Jovis; hic Bacchus, et Hercules. Uter igitur horum priorem sedem occupabit? contendunt enim ut vides.

JUP. Tempus, Mercuri, terimus, quum olim oportuerit concionem habere. Itaque nunc promiscue sedeant, ubi quisque voluerit: in postremum concio de his dabitur atque ego tum sciam, quis ordo in illis sit constituendus.

13. MERC. Sed quantos, Hercules, tumultus cient, communia ista et quotidiana clamantes, Visceriones, visceriones! ubi nectar, ubi nectar? ambrosia defecit, ambrosia defecit! ubi hecatombæ, ubi hecatombæ? communes victimas!

JUP. Silentium illis impera, Mercuri, ut audiant cujus rei causa huc collecti sint, nugis hisce omissis.

MERC. Non omnes, Jupiter, Græce intelligunt: ego autem non ita multarum peritus linguarum sum, ut concionari possim quæ etiam Scythæ, Persæ, Thraces et Celtæ intelligant. Melius igitur, puto, fuerit, manu silentium poscere.

JUP. Sic facito.

14. MERC. Euge! magis muti tibi facti sunt quam sophistæ. Itaque jam concionis habendæ tempus est. Viden'? dudum te aspiciunt, quid dicturus sis exspectantes.

JUP. Sed quid mihi acciderit, Mercuri, non cunctabor tibi dicere, filio meo. Nosti quam audax semper et magniloquus fuerim in concionibus.

MERC. Novi, et metuebam equidem si quando audirem te concionantem præsertim quum minareris, te de fundamentis suis extracturum terram et mare cum diis, demissa illa catena aurea.

JUP. At jam, fili, nescio utrum a magnitudine instantium malorum, an a multitudine præsentium (celeberrima

ἡ ἐκκλησία — διατετάραγμαι τὴν γνώμην καὶ ὑπότρομός εἰμι καὶ ἡ γλῶττά μου πεπεδημένη ἔοικε· τὸ δὲ ἀτοπώτατον ἁπάντων, ἐπιλέλησμαι τὸ προοίμιον τῶν λόγων, ὃ παρεσκευασάμην, ὡς εὐπροσωποτάτη μοι ἡ ἀρχὴ γένοιτο πρὸς αὐτούς.

ΕΡΜ. Ἀπολώλεκας, ὦ Ζεῦ, ἅπαντα· οἱ δὲ ὑποπτεύουσι τὴν σιωπὴν καί τι ὑπέρμεγα κακὸν ἀκούσεσθαι προσδοκῶσιν, ἐφ' ὅτῳ σὺ διαμέλλεις.

ΖΕΥΣ. Βούλει οὖν, ὦ Ἑρμῆ, τὸ Ὁμηρικὸν ἐκεῖνο προοίμιον ἀναρραψῳδήσω πρὸς αὐτούς;

ΕΡΜ. Τὸ ποῖον;

ΖΕΥΣ. Κέκλυτέ μευ πάντες τε θεοὶ πᾶσαί τε θέαιναι.

ΕΡΜ. Ἄπαγε, ἱκανῶς καὶ πρὸς ἡμᾶς πεπαρώνηταί σοι τὰ πρῶτα. Πλὴν εἰ δοκεῖ, τὸ μὲν φορτικὸν τῶν μέτρων ἄφες, σὺ δὲ τῶν Δημοσθένους δημηγοριῶν τῶν κατὰ Φιλίππου ἥντινα ἂν ἐθέλῃς, ξύνειρε ὀλίγα ἐναλλάττων· οὕτω γοῦν οἱ πολλοὶ νῦν ῥητορεύουσιν.

ΖΕΥΣ. Εὖ λέγεις ἐπίτομόν τινα ῥητορείαν καὶ ῥᾳδιουργίαν ταύτην εὔπορον τοῖς ἀπορουμένοις.

15. ΕΡΜ. Ἄρξαι δ' οὖν ποτε.

ΖΕΥΣ. Ἀντὶ πολλῶν ἂν, ὦ ἄνδρες θεοί, χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο ὑμῖν ὅ τι δήποτε ἄρα τοῦτό ἐστιν ἐφ' ὅτῳ νῦν ξυνελέγητε. Ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει, προσήκει προθύμως ἀκροᾶσθαί μου λέγοντος. Ὁ μὲν οὖν παρὼν καιρός, ὦ θεοί, μονονουχὶ λέγει φωνὴν ἀφιεὶς ὅτι τῶν παρόντων ἐρρωμένως ἀντιληπτέον ἡμῖν ἐστιν, ἡμεῖς δὲ πάνυ ὀλιγώρως ἔχειν μοι δοκοῦμεν πρὸς αὐτά. Βούλομαι δὲ ἤδη — καὶ γὰρ ἐπιλείπει με ὁ Δημοσθένης — αὐτὰ ὑμῖν δηλῶσαι σαφῶς, ἐφ' οἷς διαταραχθεὶς ξυνήγαγον τὴν ἐκκλησίαν· χθὲς γάρ, ὡς ἴστε, Μνησιθέου τοῦ ναυκλήρου θύσαντος τὰ σωτήρια ἐπὶ τῇ νηῒ ὀλίγου δεῖν ἀπολομένῃ περὶ τὸν Καφηρέα, εἰστιώμεθα ἐν Πειραιεῖ, ὁπόσους ἡμῶν ὁ Μνησίθεος ἐπὶ τὴν θυσίαν ἐκάλεσεν· εἶτα μετὰ τὰς σπονδὰς ὑμεῖς μὲν ἄλλος ἄλλῃ ἐτράπεσθε, ὡς ἑκάστῳ ἔδοξεν, ἐγὼ δὲ — οὐδέπω γὰρ πάνυ ὀψὲ ἦν — ἀνῆλθον ἐς τὸ ἄστυ, ὡς περιπατήσαιμι τὸ δειλινὸν ἐν Κεραμεικῷ ἐννοῶν ἅμα τοῦ Μνησιθέου τὴν σμικρολογίαν, ὃς ἑκκαίδεκα θεοὺς ἑστιῶν ἀλεκτρυόνα μόνον κατέθυσε, γέροντα κἀκεῖνον ἤδη καὶ κορυζῶντα, καὶ λιβανωτοῦ χόνδρους τέτταρας εὖ μάλα εὐρωτιῶντας, ὡς αὐτίκα ἐπισβεσθῆναι τῷ ἄνθρακι, μηδὲ ὅσον ἄκρα τῇ ῥινὶ ὀσφρέσθαι τοῦ καπνοῦ παρασχόντας, καὶ ταῦτα ἑκατόμβας ὅλας ὑπισχνούμενος ὁπότε ἡ ναῦς ἤδη προσεφέρετο τῷ σκοπέλῳ καὶ ἐντὸς ἦν τῶν ἑρμάτων.

16. Ἐπεὶ δὲ ταῦτα ἐννοῶν γίγνομαι κατὰ τὴν Ποικίλην, ὁρῶ πλῆθος ἀνθρώπων πάμπολυ ξυνεστηκός, ἐνίους μὲν ἔνδον ἐν αὐτῇ τῇ στοᾷ, πολλοὺς δὲ ἐν ὑπαιθρίῳ, καί τινας βοῶντας καὶ διατεινομένους ἐπὶ τῶν θάκων καθημένους. Εἰκάσας οὖν ὅπερ ἦν, φιλοσόφους εἶναι τῶν ἐριστικῶν τούτων, ἐβουλήθην ἐπιστὰς ἀκοῦσαι αὐτῶν ὅ τι καὶ λέγουσι· καὶ — ἔτυχον γὰρ νεφέλην τῶν παχειῶν περιβεβλημένος — σχηματίσας

enim diis, ut vides, concio est), perturbatus sum animo, et aliquantum trepido, et compedita mihi videtur lingua; quod autem omnium est absurdissimum, oblitus sum procœmii totius orationis, quod paraveram, ut speciosissimo apud illos principio uterer.

MERC. Perdidisti, Jupiter, omnia. At illi suspectum habent silentium, et aliquod ingens malum se audituros exspectant, in quo tu cuncteris.

JUP. Vin' ergo, Mercuri, Homericum illud procœmium apud illos rursus cantem?

MERC. Quodnam?

JUP. Auscultate mihi vos omnes, díque deæque!

MERC. Apage : satis etiam nobis importune aggessisti prima illa insana. Verum, si videtur, carminum illam molestiam omitte; sed illarum Demosthenis contra Philippum concionum quamcumque volueris, pauca immutans consarcina. Ita enim plerique jam oratores faciunt.

JUP. Bene me mones de compendiaria quadam dicendi arte et commento hoc laborantibus opportuno.

15. MERC. Sed tandem aliquando incipe.

JUP. Præ multis vos, viri dii, opibus præoptaturos puto, si manifestum vobis fiat, quid tandem illud sit, propter quod jam congregati estis. Quæ quum ita sint, convenit propenso animo me audire dicentem. Præsens igitur tempus, dii, tantum non emissa voce dicit, præsentibus fortiter admovendam esse manum : at nos negligenter admodum affecti ad ea videmur. Volo autem jam (etenim deficit me Demosthenes) illa vobis dilucide exponere, quibus perturbatus concionem hanc convocaverim. Heri enim, ut nostis, Mnesitheo nauclero sacrificium offerente pro servata navi, quæ tantum non circa Capharea perierat, epulabamur in Piræeo, quotquot nostrûm Mnesitheus ad sacrificium vocaverat. Deinde post libationes vos quidem alio alius, ut cuique collibitum erat, discessistis : ego vero (neque enim valde serum erat) in urbem ascendi, inambulaturus vesperi in Ceramico, Mnesithei simul sordidam cogitans parsimoniam, qui sedecim diis vocatis ad epulas, solum gallum mactaverit, eumque vetulum et pituita jam laborantem; tum thuris grana quatuor, bene ea mucida, adeo ut statim exstinguerentur in carbonibus, et ne tantillum quidem fumi, quod extremas ferire posset nares, præbentia : idque quum totas hecatombas promisisset, quo tempore navis jam ferebatur ad scopulum et intra vada erat.

16. Inter has cogitationes quum ad Pœcilen venio, video ibi maximam una stare hominum multitudinem, quosdam intus in ipsa porticu, multos autem sub divo, et clamantes quosdam vocemque contendentes, qui in sedilibus assidebant. Conjiciens ergo quod res erat, philosophos esse de contentiosis illis, volui astans illos audire, quid dicerent : hinc (nubem densam forte indueram) figura illorum et habitu

ἐμαυτὸν εἰς τὸν ἐκείνων τρόπον καὶ τὸν πώγωνα ἐπισπασάμενος εὖ μάλα ἐώκειν φιλοσόφῳ· καὶ δὴ παραγκωνισάμενος τοὺς πολλοὺς εἰσέρχομαι ἀγνοούμενος ὅστις ἦν· εὑρίσκω δὲ τὸν Ἐπικούρειον Δᾶμιν, τὸν ἐπίτριπτον, καὶ Τιμοκλέα τὸν Στωϊκὸν ἀνδρῶν βέλτιστον, ἐκθύμως πάνυ ἐρίζοντας· ὁ γοῦν Τιμοκλῆς καὶ ἵδρου καὶ τὴν φωνὴν ἤδη ἐξεκέκοπτο ὑπὸ τῆς βοῆς, ὁ Δᾶμις δὲ τὸν σαρδώνιον ἐπιμωκεύων ἔτι μᾶλλον παρώξυνε τὸν Τιμοκλέα.

17. Ἦν δὲ ἄρα περὶ ἡμῶν ὁ πᾶς λόγος αὐτοῖς· ὁ μὲν γὰρ κατάρατος Δᾶμις οὔτε προνοεῖν ἡμᾶς ἔφασκε τῶν ἀνθρώπων οὔτ' ἐπισκοπεῖν τὰ γιγνόμενα παρ' αὐτοῖς, οὐδὲν ἄλλο ἢ μηδὲ ὅλως ἡμᾶς εἶναι λέγων· τοῦτο γὰρ αὐτῷ δηλαδὴ ὁ λόγος ἐδύνατο. Καὶ ἦσάν τινες οἳ ἐπῄνουν αὐτόν. Ὁ δ' ἕτερος τὰ ἡμέτερα ὁ Τιμοκλῆς ἐφρόνει καὶ ὑπερεμάχει καὶ ἠγανάκτει καὶ πάντα τρόπον ξυνηγωνίζετο τὴν ἐπιμέλειαν ἡμῶν ἐπαινῶν καὶ διεξιών, ὡς ἐν κόσμῳ τε καὶ τάξει τῇ προσηκούσῃ ἐξηγούμεθα καὶ διατάττομεν ἕκαστα· καὶ εἶχε μέν τινας καὶ αὐτὸς τοὺς ἐπαινοῦντας. Πλὴν ἐκεκμήκει γὰρ ἤδη καὶ πονήρως ἐφώνει καὶ τὸ πλῆθος ἐς τὸν Δᾶμιν ἀπέβλεπε. Συνεὶς δὲ ἐγὼ τὸ κινδυνευόμενον τὴν νύκτα ἐκέλευσα περιχυθεῖσαν τὴν ξυνουσίαν διαλῦσαι. Ἀπῆλθον οὖν ἐς τὴν ὑστεραίαν ξυνθέμενοι ἐς τέλος ἐπεξελεύσεσθαι τὸ σκέμμα, κἀγὼ παρομαρτῶν τοῖς πολλοῖς ἐπῄκουον μεταξὺ ἀπιόντων οἱκαδε παρ' αὐτοὺς ἐπαινούντων τὰ τοῦ Δάμιδος καὶ ἤδη παρὰ πολὺ αἱρουμένων τὰ ἐκείνου. Ἦσαν δὲ καὶ οἱ μὴ ἀξιοῦντες προκατεγνωκέναι τῶν ἐναντίων, ἀλλὰ περιμένειν εἴ τι καὶ ὁ Τιμοκλῆς αὔριον ἐρεῖ.

17. Erat autem tota illorum de nobis disputatio; quum sacerrimus ille Damis providere nos negaret hominibus, aut inspicere adeo quæ apud illos fiant; nihil aliud sibi volens quam nos nec omnino esse : nam eo nimirum illius valebat disputatio. Atque erant qui illum laudarent. At alter, qui a nobis erat, Timocles pugnabat supra vires, et indignabatur, et omni modo pro causa nostra decertabat, quum nostram laudaret providentiam, et enarraret quanto ornatu, quam ordine convenienti regamus omnia atque instituamus. Atque habebat quidem et ipse suos quosdam laudatores; verum enim fessus jam erat, et male clamabat, et multitudo respiciebat ad Damin. Intellecto periculo, noctem ego jussi circumfusam solvere disputationem. Discesserunt igitur, pacti postridie se ad finem deducturos quæstionem : et ego comitans multitudinem sublegi illorum, dum domum eunt, sermones, probantium partes Damidis, et multo jam majori numero ad illas se adjungentium. Erant vero etiam qui prædamnare adversas illi partes nollent, sed exspectare si quid Timocles diceret postridie.

18. Ταῦτ' ἔστιν ἐφ' οἷς ὑμᾶς ξυνεκάλεσα, οὐ μικρὰ, ὦ θεοὶ, εἰ λογιεῖσθε ὡς ἡ πᾶσα μὲν ἡμῖν τιμὴ καὶ πρόσοδος καὶ δόξα οἱ ἄνθρωποί εἰσιν· εἰ δ' οὗτοι πεισθεῖεν ἢ μηδὲ ὅλως ἡμᾶς εἶναι ἢ ὄντας ἀπρονοήτους εἶναι σφῶν αὐτῶν, ἄθυτα καὶ ἀγέραστα καὶ ἀτίμητα ἡμῖν ἔσται τάχ γῆς καὶ μάτην ἐν οὐρανῷ καθεδούμεθα λιμῷ ἐχόμενοι, ἑορτῶν ἐκείνων καὶ πανηγύρεων καὶ ἀγώνων καὶ θυσιῶν καὶ παννυχίδων καὶ πομπῶν στερόμενοι. Ὡς οὖν ὑπὲρ τηλικούτων φημὶ δεῖν ἅπαντας ἐπινοεῖν τι σωτήριον τοῖς παροῦσι καὶ ἀφ' ὅτου κρατήσει μὲν ὁ Τιμοκλῆς καὶ δόξει ἀληθέστερα λέγειν, ὁ Δᾶμις δὲ καταγελασθήσεται πρὸς τῶν ἀκουόντων· ὡς ἔγωγε οὐ πάνυ τῷ Τιμοκλεῖ πέποιθα ὡς κρατήσει καθ' ἑαυτὸν, ἢν μὴ καὶ τὰ παρ' ἡμῶν αὐτῷ προσγένηται. Κήρυττε οὖν, ὦ Ἑρμῆ, τὸ κήρυγμα τὸ ἐκ τοῦ νόμου, ὡς ἀνιστάμενοι συμβουλεύοιεν.

18. Hæc sunt propter quæ vos convocavi, non parva, dii, si consideraveritis, omnem nobis honorem et gloriam et reditum esse homines. His vero si persuadeatur aut omnino deos non esse, aut si sint, ipsorum curam non habere; jam nec victimam, nec munus, nec honorem e terra percipiemus, et frustra desidebimus in cœlo fame vexandi, diebus illis festis et celebritatibus sacrificiis, et pervigiliis et pompis carentes. Tanquam igitur de rebus tanti momenti, aio excogitare omnes debere aliquod salutare consilium rebus præsentibus, cujus ope superior discedat Timocles et veriora videatur dicere; Damis vero ab audientibus derideatur : neque enim valde confido Timocli, futurum ut per se vincat, nisi a nobis ipsi aliquid auxilii accedat. Præconium ergo fac, Mercuri, de more, ut surgant consilii dandi causa.

ΕΡΜ. Ἄκουε, σίγα, μὴ τάραττε· τίς ἀγορεύειν βούλεται τῶν τελείων θεῶν, οἷς ἔξεστι; Τί τοῦτο; οὐδεὶς ἀνίσταται, ἀλλ' ἡσυχάζετε πρὸς τὸ μέχεθος τῶν ἐπηγγελμένων ἐκπεπληγμένοι;

MERC. Audi : tace : ne turba : quis concionari vult deorum justæ ætatis quibus licet? Quid hoc? nemo surgit, sed tacetis magnitudine eorum, quæ denunciata vobis sunt, perculsi?

19. **ΜΩΜΟΣ.** Ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε. Ἐγὼ δὲ, εἴ γέ μοι μετὰ παρρησίας δοθείη λέγειν, πολλὰ ἂν, ὦ Ζεῦ, εἰπεῖν ἔχοιμι.

19. MOMUS. At vestrùm jam quisque lutum fiatis et humor! Ego vero, si mihi loquendi cum fiducia facultas detur, multa, Jupiter, habeo, quæ dicam.

ΖΕΥΣ. Λέγε, ὦ Μῶμε, πάνυ θαρρῶν· δῆλος γὰρ εἶ ἐπὶ τῷ συμφέροντι παρρησιασόμενος.

ΜΩΜ. Οὐκοῦν ἀκούετε, ὦ θεοί, τά γε ἀπὸ καρδίας, φασίν· ἐγὼ γὰρ καὶ πάνυ προσεδόκων ἐς τόδε ἀμηχανίας περιστήσεσθαι τὰ ἡμέτερα καὶ πολλοὺς τοιούτους ἀναφύσεσθαι ἡμῖν σοφιστὰς, παρ' ἡμῶν αὐτῶν τὴν αἰτίαν τῆς τόλμης λαμβάνοντας· καὶ μὰ τὴν Θέμιν οὔτε τῷ Ἐπικούρῳ ὀργίζεσθαι ἄξιον οὔτε τοῖς ὁμιληταῖς αὐτοῦ καὶ διαδόχοις τῶν λόγων, εἰ τοιαῦτα περὶ ἡμῶν ὑπειλήφασιν. Ἧ τί γὰρ αὐτοὺς ἀξιώσειέ τις ἂν φρονεῖν, ὁπόταν ὁρῶσι τοσαύτην ἐν τῷ βίῳ τὴν ταραχὴν, καὶ τοὺς μὲν χρηστοὺς αὐτῶν ἀμελουμένους, ἐν πενίᾳ καὶ νόσοις καὶ δουλείᾳ καταφθειρομένους, παμπονήρους δὲ καὶ μιαροὺς ἀνθρώπους προτιμωμένους καὶ ὑπερπλουτοῦντας καὶ ἐπιτάττοντας τοῖς κρείττοσι, καὶ τοὺς μὲν ἱεροσύλους οὐ κολαζομένους, ἀλλὰ διαλανθάνοντας, ἀνασκολοπιζομένους δὲ καὶ τυμπανιζομένους ἐνίοτε τοὺς οὐδὲν ἀδικοῦντας; Εἰκότως τοίνυν ταῦτα ὁρῶντες οὕτω διαιροῦνται περὶ ἡμῶν ὡς οὐδὲ ὅλως ὄντων,

20. καὶ μάλιστα ὅταν ἀκούσωσι τῶν χρησμῶν λεγόντων ὡς διαβάς τις τὸν Ἅλυν μεγάλην ἀρχὴν καταλύσει, οὐ μέντοι δηλούντων εἴτε τὴν αὐτοῦ εἴτε τὴν τῶν πολεμίων· καὶ πάλιν

Ὦ θείη Σαλαμὶς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν·

καὶ Πέρσαι γὰρ, οἶμαι, καὶ Ἕλληνες τέκνα γυναικῶν ἦσαν. Ὅταν μὲν γὰρ πάλιν τῶν ῥαψῳδῶν ἀκούσωσιν, ὅτι καὶ ἐρῶμεν καὶ τιτρωσκόμεθα καὶ δεσμούμεθα καὶ δουλεύομεν καὶ στασιάζομεν καὶ μυρία ὅσα πράγματα ἔχομεν, καὶ ταῦτα μακάριοι καὶ ἄφθαρτοι ἀξιοῦντες εἶναι, τί ἄλλο ἢ δικαίως καταγελῶσι καὶ ἐν οὐδενὶ τίθενται τὰ ἡμέτερα; Ἡμεῖς δὲ ἀγανακτοῦμεν, εἴ τινες ἄνθρωποι ὄντες οὐ πάνυ ἀνόητοι διελέγχουσι ταῦτα καὶ τὴν πρόνοιαν ἡμῶν παρωθοῦνται, δέον ἀγαπᾶν, εἴ τινες ἡμῖν θύουσιν ἔτι τὰ τοιαῦτα ἐξαμαρτάνουσι.

21. Καί μοι ἐνταῦθα, ὦ Ζεῦ — μόνοι γάρ ἐσμεν καὶ οὐδεὶς ἄνθρωπος πάρεστι τῷ ξυλλόγῳ ἔξω Ἡρακλέους καὶ Διονύσου καὶ Γανυμήδους καὶ Ἀσκληπιοῦ, τῶν παρεγγράπτων τούτων — ἀπόκριναί μοι μετ' ἀληθείας, εἴ ποτέ σοι ἐμέλησεν ἐς τοσοῦτον τῶν ἐν τῇ γῇ ὡς ἐξετάσαι τίνες αὐτῶν οἱ φαῦλοι ἢ οἵτινες οἱ χρηστοί εἰσιν· ἀλλ' οὐκ ἂν εἴποις. Εἰ γοῦν μὴ ὁ Θησεὺς ἐκ Τροιζῆνος ἐς Ἀθήνας ἰὼν ὁδοῦ πάρεργον ἐξέκοψε τοὺς κακούργους, ὅσον ἐπὶ σοὶ καὶ τῇ σῇ προνοίᾳ οὐδὲν ἂν ἐκώλυεν ἐντρυφῶντας ζῆν ταῖς τῶν παροδοιπορούντων σφαγαῖς τὸν Σκείρωνα καὶ τὸν Πιτυοκάμπτην καὶ Κερκυόνα καὶ τοὺς ἄλλους· ἢ εἴ γε μὴ ὁ Εὐρυσθεὺς, ἀνὴρ ἀρχαῖος καὶ προνοητικὸς, ὑπὸ φιλανθρωπίας ἀναπυνθανόμενος τὰ παρ' ἑκάστοις ἐξέπεμπε τουτονὶ τὸν οἰκέτην αὐτοῦ, ἐργατικὸν ἄνθρωπον καὶ πρόθυμον ἐς τοὺς πόνους, ὁ Ζεὺς σὺ ὀλίγον ἐφρόντιζες ἂν τῆς Ὕδρας καὶ τῶν ἐν Στυμφάλῳ ὀρνέων καὶ ἵππων τῶν Θρᾳκικῶν καὶ τῆς Κενταύρων ὕβρεως καὶ παροινίας.

22. Ἀλλ' εἰ χρὴ τἀληθῆ λέγειν, καθήμεθα τοῦτο

JUP. Audacter, Mome, dicito : apertum enim est te utilitatis causa libere locuturum.

MOM. Audite ergo, dii, quæ ex animo, aiunt, proferam. Ego enim et valde quidem exspectabam, ad hoc angustiarum perventuras esse res nostras, multosque id genus exorituros nobis sophistas, a nobis ipsis audaciæ suæ obtentum capientes. Et per Themidem, non irascendum est Epicuro, neque ipsius sodalibus et successoribus sententiarum, si talia de nobis putarunt. Quid enim aliud sentire illos aliquis postulet, quando tantam in vita perturbationem rerum observant; qui boni inter illos sunt, negligi, in paupertate, et morbis, et servitute pereuntes; pessimos contra impurosque homines præferri illis, divites ultra modum, imperantes melioribus; sacrilegos non puniri, sed latere; in crucem vero agi, fustibus cædi interdum eos qui nihil injuste egerunt? Merito igitur, ea quum vident, ita de nobis cogitant, quasi omnino non simus :

20. præsertim si audiant oracula dicere,

Qui superabit Halyn, magnam pervertet opum vim,

nec tamen indicare, suamne, an hostium; et rursus,

O Salamis, perdes muliebri e corpore natos :

et Persæ enim, arbitror, et Græci muliebri e corpore nati erant. Rursus inde carminum sutores quum audiunt, nos et amare, et vulnerari, et vinciri, et servire, et dissidere, et sexcentas molestias habere narrantes, idque quum beati et immortales esse postulemus : quid aliud quam merito nos deridet, et nullam nostri rationem habent? Nos vero indignamur, si qui homines non plane amentes reprehendunt ista et nostram providentiam rejiciunt; quum satis habere debeamus, si quidam adhuc nobis post tot nostra peccata sacrificant.

21. Atque hic mihi, Jupiter (soli enim sumus, neque adest in cœtu hoc hominum quisquam, præter Herculem et Bacchum, Ganymedem et Æsculapium, ascriptitios illos), responde mihi ex vero, an unquam tibi tantum ea quæ in terra aguntur curæ fuerint, ut exquireres qui illorum mali, et qui boni sint : verum non dixeris. Nisi enim Theseus, Trœzene Athenas pergens, obiter in via excidisset maleficos, quantum ad te tuamque providentiam, nihil prohibebat vivere et in viatorum cædibus luxuriari Scironem, et Pityocampten, et Cercyonem, et reliquos : aut nisi Eurystheus, antiquus vir et providens, humanitate ductus, explorato quid apud quosque ageretur, misisset hunc suum famulum, operosum hominem et ad labores promtum, tu, Jupiter, parum curasses Hydram, et illas in Stymphalo volucres, et equos Thracios, et ebriosas Centaurorum contumelias.

22. Sed si verum dicendum est, sedemus in hoc solum

μόνον ἐπιτηροῦντες, εἴ τις θύει καὶ κνισᾷ παρὰ τοὺς βωμούς· τὰ δ' ἄλλα κατὰ ῥοῦν φέρεται ὡς ἂν τύχῃ ἕκαστον παρασυρόμενα. Τοιγαροῦν εἰκότα νῦν πάσχομεν καὶ ἔτι πεισόμεθα, ἐπειδὰν κατ' ὀλίγον οἱ ἄνθρωποι ἀνακύπτοντες εὑρίσκωσιν οὐδὲν ὄφελος αὐτοῖς ὄν, εἰ θύοιεν ἡμῖν καὶ τὰς πομπὰς πέμποιεν. Εἶτ' ἐν βραχεῖ ὄψει καταγελῶντας μὲν τοὺς Ἐπικούρους καὶ Μητροδώρους καὶ Δάμιδας, κρατουμένους δὲ καὶ ἀποφραττομένους ὑπ' αὐτῶν τοὺς ἡμετέρους ξυνηγόρους· ὥστε ὑμέτερον ἂν εἴη παύειν καὶ ἴασθαι ταῦτα, τῶν καὶ ἐς τόδε αὐτὰ προαγαγόντων. Μώμῳ δὲ οὐ μέγας ὁ κίνδυνος, εἰ ἄτιμος ἔσται· οὐδὲ γὰρ πάλαι τῶν τιμωμένων ἦν, ὑμῶν ἔτ' εὐτυχούντων καὶ τὰς θυσίας μόνων ἑστιωμένων.

23. ΖΕΥΣ. Τοῦτον μέν, ὦ θεοί, ληρεῖν ἐάσωμεν ἀεὶ τραχὺν ὄντα καὶ ἐπιτιμητικόν· ἔστι μὲν γάρ, ὡς ὁ θαυμαστὸς Δημοσθένης ἔφη, τὸ μὲν ἐγκαλέσαι καὶ μέμψασθαι καὶ ἐπιτιμῆσαι ῥᾴδιον καὶ τοῦ βουλομένου παντὸς, τὸ δ' ὅπως τὰ παρόντα βελτίω γενήσεται ξυμβουλεῦσαι, τοῦτ' ἔμφρονος ὡς ἀληθῶς ξυμβούλου, ὅπερ οἱ ἄλλοι εὖ οἶδ' ὅτι ποιήσετε καὶ τούτου σιωπῶντος.

24. ΠΟΣ. Ἐγὼ δὲ τὰ μὲν ἄλλα ὑποβρύχιός εἰμι, ὡς ἴστε, καὶ ἐν βυθῷ πολιτεύομαι κατ' ἐμαυτὸν, ἐς ὅσον ἐμοὶ δυνατὸν σώζων τοὺς πλέοντας καὶ παραπέμπων τὰ πλοῖα καὶ τοὺς ἀνέμους καταμαλάττων· ὅμως δ' οὖν — μέλει γάρ μοι καὶ τῶν ἐνταῦθα — φημὶ δεῖν τὸν Δᾶμιν τοῦτον ἐκποδὼν ποιήσασθαι, πρὶν ἐπὶ τὴν ἔριν ἥκειν, ἤτοι κεραυνῷ ἢ τινι ἄλλῃ μηχανῇ, μὴ καὶ ὑπέρσχῃ λέγων — φῆς γάρ, ὦ Ζεῦ, πιθανόν τινα εἶναι αὐτόν — ἅμα γὰρ καὶ δείξομεν αὐτοῖς ὡς μετερχόμεθα τοὺς τὰ τοιαῦτα καθ' ἡμῶν διεξιόντας.

25. ΖΕΥΣ. Παίζεις, ὦ Πόσειδον, ἢ τέλεον ἐπιλέλησαι ὡς οὐδὲν ἐφ' ἡμῖν τῶν τοιούτων ἐστὶν, ἀλλ' αἱ Μοῖραι ἑκάστῳ ἐπικλώθουσι τὸν μὲν κεραυνῷ, τὸν δὲ ξίφει, τὸν δὲ πυρετῷ ἢ φθόῃ ἀποθανεῖν; ἐπεί τοί γε εἰ μοι ἐπ' ἐξουσίας τὸ πρᾶγμα ἦν, εἴασα ἂν, οἶει, τοὺς ἱεροσύλους πρώην ἀπελθεῖν ἀκεραυνώτους ἐκ Πίσης δύο μου τῶν πλοκάμων ἀποκείραντας ἑξ μνᾶς ἑκάτερον ἕλκοντα; ἢ σὺ αὐτὸς περιεῖδες ἂν ἐν Γεραιστῷ τὸν ἁλιέα τὸν ἐξ Ὠρεοῦ ὑφαιρούμενόν σου τὴν τρίαιναν; Ἄλλως τε καὶ δόξομεν ἀγανακτεῖν λελυπημένοι τῷ πράγματι καὶ δεδιέναι τοὺς παρὰ τοῦ Δάμιδος λόγους καὶ διὰ τοῦτο ἀποσκευάζεσθαι τὸν ἄνδρα οὐ περιμείναντες ἀντεξετασθῆναι αὐτὸν τῷ Τιμοκλεῖ· ὥστε τί ἄλλο ἢ ἐξ ἐρήμης οὕτω κρατεῖν δόξομεν;

ΠΟΣ. Καὶ μὴν ἐπίτομόν τινα ταύτην ἔγωγε ᾠμην ἐπινενοηκέναι πρὸς τὴν νίκην.

ΖΕΥΣ. Ἄπαγε, θυννώδες τὸ ἐνθύμημα, ὦ Πόσειδον, καὶ κομιδῇ παχὺ, προαναιρεῖν τὸν ἀνταγωνιστὴν, ὡς ἀποθάνῃ ἀήττητος ἀμφήριστον ἔτι καὶ ἀδιάκριτον καταλιπὼν τὸν λόγον.

ΠΟΣ. Οὐκοῦν ἄμεινόν τι ὑμεῖς ἄλλο ἐπινοεῖτε, εἰ τἀμὰ οὕτως ὑμῖν ἀποτεθύννισται.

26. ΑΠΟΛ. Εἰ καὶ τοῖς νέοις ἔτι καὶ ἀγενείοις ἡμῖν

intenti, si quis sacrificet et nidorem excitet prope altaria : reliqua suo fluxu feruntur, et trahuntur unumquodque ut sors tulerit. Itaque nihil præter spem nobis accidit, et in posterum accidet, quum apertis paullatim oculis homines invenient nihil sibi prodesse, si sacrificent nobis et pompas mittant. Tum paullo post videbis illudentes nobis Epicuros, et Metrodoros, et Damides, victos vero ab illis constrictosque nostros patronos. Vestrum ergo fuerit sedare ac sanare talia, qui nempe ea in hunc statum perduxeritis. Momo quidem non magnum imminet periculum, si honore carebit; neque enim olim inter honoratos fuit, quum vos adhuc felices soli frueremini victimis.

23. JUP. Hunc, dii, delirare patiamur, asperum semper et ad reprehensionem proclivem. Est nimirum, ut admirabilis vir Demosthenes dixit, accusare quidem et reprehendere et increpare facile, et uniuscujusque qui modo voluerit; sed consilium dare quomodo meliora fiant præsentia, illud demum prudentis revera consiliarii est : quod vos reliqui, probe scio, vel tacente isto facietis.

24. NEPT. Ego de cetero submersus sum, ut nostis, et in fundo maris versor pro me, quantum possum, servans navigantes, et navigia deducens, et molliens ventos : interim tamen (nam hæc etiam mihi curæ sunt) aio oportere hunc Damin tollere ante de medio, quam ad contentionem veniat, vel fulmine, vel alia quadam ratione, ne dicendo superet (dicis enim, Jupiter, persuadendi peritum esse hominem) : nam simul ostenderimus illis, quam ulcisci soleamus eos qui talia contra nos disputant.

25. JUP. Ludin', Neptune, an plane oblitus es, nihil talium in nostra potestate esse, sed nere unicuique Parcas, ut alius fulmine, gladio alius, alius febri aut tabe moriatur? Alioqui, si quidem in mea potestate res esset, passusne eram, putas, sacrilegos nuper discedere non fulminatos Olympia, qui duos de meis cirris detonderant, sex minas pendentem unumquemque? aut tune ipse neglecturus eras in Geræsto piscatorem ex Oreo, qui tridentem tibi subduxit? Ceterum etiam videbimur indigne ferre et dolere hoc negotium, et metuere argumenta Damidis, et propter hoc ipsum amoliri hominem, neque exspectare ut cum Timocle comparetur : itaque quid aliud quam indicta ab adversario causa, vincere sic videbimur?

NEPT. At ego compendiariam hanc excogitasse mihi videbar ad victoriam viam.

JUP. Apage, thunnos olet hoc commentum, Neptune, et nimis est pingue, ante interficere adversarium, ut invictus moriatur, disputationem relinquens non dijudicatam et de qua contentioni adhuc locus sit.

NEPT. Ergo melius vos aliud excogitate, si mea adeo ad thunnos a vobis ablegantur.

26. APOLLO. Si juvenibus etiam et adhuc imberbibus

ἐξεῖτο ἐκ τοῦ νόμου δημηγορεῖν, ἴσως ἂν εἶπόν τι ξυμφέρον ἐς τὴν διάσκεψιν.

ΜΩΜ. Ἡ μὲν σκέψις, ὦ Ἄπολλον, οὕτω περὶ μεγάλων, ὥστε μὴ καθ' ἡλικίαν, ἀλλὰ κοινὸν ἅπασι προκεῖσθαι τὸν λόγον· χάριεν γὰρ, εἰ περὶ τῶν ἐσχάτων κινδυνεύοντες περὶ τῆς ἐν τοῖς νόμοις ἐξουσίας σμικρολογοίμεθα. Σὺ δὲ καὶ πάνυ ἤδη ἔννομος εἶ δημηγόρος, πρόπαλαι μὲν ἐξ ἐφήβων γεγονὼς, ἐγγεγραμμένος δὲ ἐς τὸ τῶν δώδεκα ληξιαρχικὸν, καὶ ὀλίγου δεῖν τῆς ἐπὶ Κρόνου βουλῆς ὤν· ὥστε μὴ μειρακιεύου πρὸς ἡμᾶς, ἀλλὰ λέγε θαρρῶν ἤδη τὰ δοκοῦντα μηδὲν αἰδεσθεὶς, ὅτι ἀγένειος ὢν δημηγορήσεις, καὶ ταῦτα βαθυπώγωνα καὶ εὐγένειον οὕτως υἱὸν ἔχων τὸν Ἀσκληπιόν. Ἄλλως τε καὶ πρέπον ἂν εἴη σοι νῦν μάλιστα ἐκφαίνειν τὴν σοφίαν, εἰ μὴ μάτην ἐν τῷ Ἑλικῶνι κάθησαι ταῖς Μούσαις συμφιλοσοφῶν.

ΑΠΟΛ. Ἀλλ' οὐ σὲ, ὦ Μῶμε, χρὴ τὰ τοιαῦτα ἐφιέναι, τὸν Δία δέ· καὶ ἢν οὗτος κελεύσῃ, τάχα ἄν τι οὐκ ἄμουσον εἴποιμι, ἀλλὰ τῆς ἐν τῷ Ἑλικῶνι μελέτης ἄξιον.

ΖΕΥΣ. Λέγε, ὦ τέκνον· ἐφίημι γάρ.

27. ΑΠΟΛ. Ὁ Τιμοκλῆς οὗτος ἔστι μὲν χρηστὸς ἀνὴρ καὶ εὐσεβὴς καὶ τοὺς λόγους πάνυ ἠκρίβωκε τοὺς τῶν Στωϊκῶν· ὥστε καὶ σύνεστιν ἐπὶ σοφίᾳ πολλοῖς τῶν νέων καὶ μισθοὺς οὐκ ὀλίγους ἐπὶ τούτῳ ἐκλέγει, σφόδρα πιθανὸς ὤν, ὁπότε ἰδίᾳ τοῖς μαθηταῖς διαλέγοιτο· ἐν πλήθει δὲ εἰπεῖν ἀτολμότατός ἐστι καὶ τὴν φωνὴν ἰδιώτης καὶ μιξοβάρβαρος, ὥστε γέλωτα ὀφλισκάνειν διὰ τοῦτο ἐν ταῖς συνουσίαις οὐ ξυνείρων, ἀλλὰ βατταρίζων καὶ ταραττόμενος, καὶ μάλιστα ὁπόταν οὕτως ἔχων καὶ καλλιρρημοσύνην ἐπιδείκνυσθαι βούληται. Ξυνεῖναι μὲν γὰρ εἰς ὑπερβολὴν ὀξύς ἐστι καὶ λεπτογνώμων, ὥς φασιν οἱ ἄμεινον τὰ τῶν Στωϊκῶν εἰδότες, λέγων δὲ καὶ ἑρμηνεύων ὑπ' ἀσθενείας διαφθείρει αὐτὰ καὶ συγχεῖ οὐκ ἀποσαφηνίζων ὅ τι βούλεται, ἀλλ' αἰνίγμασιν ἐοικότα προτείνων καὶ πάλιν αὖ πολὺ ἀσαφέστερα πρὸς τὰς ἐρωτήσεις ἀποκρινόμενος· οἱ δὲ οὐ ξυνιέντες καταγελῶσιν αὐτοῦ. Δεῖ δ' οἶμαι σαφῶς λέγειν καὶ τούτου μάλιστα πολλὴν ποιεῖσθαι τὴν πρόνοιαν, ὡς ξυνήσουσιν οἱ ἀκούοντες.

28. ΜΩΜ. Τοῦτο μὲν ὀρθῶς ἔλεξας, ὦ Ἄπολλον, ἐπαινέσας τοὺς σαφῶς λέγοντας, εἰ καὶ μὴ πάνυ ποιεῖς αὐτὸ σὺ ἐν τοῖς χρησμοῖς λοξὸς ὢν καὶ γριφώδης καὶ ἐς τὸ μεταίχμιον ἀσφαλῶς ἀπορρίπτων τὰ πολλὰ, ὡς τοὺς ἀκούοντας ἄλλου δεῖσθαι Πυθίου πρὸς τὴν ἐξήγησιν αὐτῶν. Ἀτὰρ τί τὸ ἐπὶ τούτῳ ξυμβουλεύεις; τίνα ἴασιν ποιήσασθαι τῆς τοῦ Τιμοκλέους ἀδυναμίας ἐν τοῖς λόγοις;

29. ΑΠΟΛ. Ξυνήγορον, ὦ Μῶμε, εἴ πως δυνηθείημεν, αὐτῷ παρασχεῖν ἄλλον τῶν δεινῶν τούτων, ἐροῦντα κατ' ἀξίαν ἅπερ ἂν ἐκεῖνος ἐνθυμηθεὶς ὑποβάλῃ.

ΜΩΜ. Ἀγένειον τοῦτο ὡς ἀληθῶς εἴρηκας, ἔτι παιδαγωγοῦ τινος δεόμενον, ξυνήγορον ἐν ξυνουσίᾳ φιλοσόφων παραστήσασθαι ἑρμηνεύσοντα πρὸς τοὺς παρόντας

nobis permissum lege esset concionari, forte dicerem aliquid utile ad nostram deliberationem.

MOM. Deliberatio, Apollo, adeo de magnis rebus est, ut non secundum ætatem, sed communis omnibus dicendi facultas proposita sit. Lepidum quippe fuerit, si, quum in extremis versemur periculis, de potestate legitima subtiliter et jejune disputemus. Tu vero etiam omnino jam legitimus concionator es, qui ephebis olim excesseris, et in duodecim deorum album relatus, atque tantum non de illo sub Saturno consilio unus sis. Quare noli apud nos adolescentuli pudorem simulare, sed audacter jam quæ tibi videantur dicito, nihil verecundatus, si imberbis concionere, præsertim quum promissa adeo barba et menti probe hirsuti filium habeas Æsculapium. Præterea decet te nunc præsertim tuam proferre sapientiam, nisi frustra in Helicone resides et philosophare cum Musis.

APOL. Atqui tuum non est, Mome, eam facultatem dare, sed Jovis. Hic si jusserit, forte aliquid dixero a Musis non alienum, sed exercitatione quam in Helicone instituimus dignum.

JUP. Dic, fili, permitto enim.

27. APOL. Bonus vir est iste Timocles, et deorum amans, et rationes Stoicorum plane perdidicit. Itaque multis cum juvenibus philosophiæ causa versatur, mercedesque eo nomine non parvas conficit, qui persuadeat egregie, quando privatim disputat cum adolescentibus : in turba autem dicere minime audet, et vocem habet imperiti hominis, ac semibarbarus est, ut risum propter ista debeat in congressibus, qui non connectat verba, sed balbutiat et perturbetur : et maxime quoties cum hoc ingenio etiam venuste dicendi facultatem vult ostendere. Ad intelligendi enim vim acutissimus est, et subtiliter cogitat, ut affirmant qui optime Stoicorum res norunt : quum vero dicit et explicat, præ imbecillitate ea corrumpit et confundit, qui non clare quid sibi velit explanet, sed ænigmatis similia proferat, ac rursus multo etiam obscurius ad interrogata respondeat. Inde qui illum non intelligunt, derident. Oportet autem, puto, dilucide dicere, ejusque rei multam adhibere providentiam, ut intelligant qui audiunt.

28. MOM. Recte tu quidem illud, Apollo, quod laudas dilucide dicentes, etsi minime omnium ipse hoc facis in oraculis, sed obliquus es et perplexus, et qui in medium inter certantes locum tutus ipse pleraque projicias, ut, qui audierunt, alio opus habeant ad ea interpretanda Pythio. Verum quid post illa tu consulis? quam medicinam facere Timoclis in dicendo imbecillitati?

29. APOL. Patronum, Mome, si qua possemus illi adjungere alium de vehementibus illis, qui pro dignitate dicat quæcumque iste excogitata illi subjecerit.

MOM. Vere pro imberbi istuc dixisti et qui pædagogo adhuc indigeat, patronum in philosophorum disputatione astare, explicantem præsentibus quid sentiat Timocles :

ἅπερ ἂν δοκῇ Τιμοκλεῖ, καὶ τὸν μὲν Δᾶμιν αὐτοπρόσωπον καὶ δι' αὐτοῦ λέγειν, τὸν δὲ ὑποκριτὴ προσχρώμενον ἰδίᾳ πρὸς τὸ οὗς ἐκείνῳ ὑποβάλλειν τὰ δοκοῦντα, τὸν ὑποκριτὴν δὲ ῥητορεύειν, οὐδ' αὐτὸν ἴσως ξυνιέντα ὅ τι ἀκούσειε. Ταῦτα πῶς οὐ γέλως ἂν εἴη τῷ πλήθει; Ἀλλὰ τοῦτο μὲν ἄλλως ἐπινοήσομεν.

30. Σὺ δέ, ὦ θαυμάσιε — φῂς γὰρ καὶ μάντις εἶναι καὶ μισθοὺς οὐκ ὀλίγους ἐπὶ τῷ τοιούτῳ ἐξέλεξας ἄχρι καὶ τοῦ πλίνθους χρυσᾶς ποτε εἰληφέναι — τί οὐκ ἐπεδείξω ἡμῖν κατὰ καιρὸν τὴν τέχνην προειπὼν ὁπότερος τῶν σοφιστῶν κρατήσει λέγων; οἶσθα γὰρ δήπου τὸ ἀποβησόμενον μάντις ὤν.

ΑΠΟΛ. Πῶς, ὦ Μῶμε, δυνατὸν ποιεῖν ταῦτα μήτε τρίποδος ἡμῖν παρόντος μήτε θυμιαμάτων ἢ πηγῆς μαντικῆς, οἷα ἡ Κασταλία ἐστίν;

ΜΩΜ. Ὁρᾷς; ἀποδιδράσκεις τὸν ἔλεγχον ἐν στενῷ ἐχόμενος.

ΖΕΥΣ. Ὅμως, ὦ τέκνον, εἰπὲ καὶ μὴ παράσχῃς τῷ συκοφάντῃ τούτῳ προφάσεις διαβάλλειν καὶ χλευάζειν τὰ σὰ ὡς ἐπὶ τρίποδι καὶ ὕδατι καὶ λιβανωτῷ κείμενα, ὡς, εἰ μὴ ἔχοις ταῦτα, στερησόμενόν σε τῆς τέχνης.

ΑΠΟΛ. Ἄμεινον μὲν ἦν, ὦ πάτερ, ἐν Δελφοῖς ἢ ἐν Κολοφῶνι τὰ τοιαῦτα ποιεῖν, ἁπάντων μοι τῶν χρησίμων παρόντων, ὡς ἔθος· ὅμως δὲ καὶ οὕτω γυμνὸς ἐκείνων καὶ ἄσκευος πειράσομαι προειπεῖν ὁποτέρου τὸ κράτος ἔσται· ἀνέξεσθε δὲ, εἰ μὴ ἔμμετρα λέγοιμι.

ΜΩΜ. Λέγε, σαφῆ δὲ μόνον, ὦ Ἄπολλον, καὶ οὐ ξυνηγόρου καὶ αὐτὰ ἡ ἑρμηνέως δεόμενα· καὶ γὰρ οὐκ ἀρνεια κρέα καὶ χελώνη νῦν ἐν Λυδίᾳ ξυνέψεται· ἀλλ' οἶσθα περὶ ὅτου ἡ σκέψις.

ΖΕΥΣ. Τί ποτ' ἐρεῖς, ὦ τέκνον; ὡς τά γε πρὸ τοῦ χρησμοῦ, ταῦτα ἤδη φοβερά· ἡ χρόα τετραμμένη καὶ οἱ ὀφθαλμοὶ περιφερεῖς καὶ κόμη ἀνασοβουμένη καὶ κίνημα κορυβαντῶδες καὶ ὅλως κατόχιμα πάντα καὶ φρικώδη καὶ μυστικά.

31. ΑΠΟΛ. Κέκλυτε μαντιπόλου τόδε θέσφατον Ἀπόλλωνος
ἀμφ' ἔριδος κρυερῆς, τὴν ἀνέρες ἐστήσαντο
ὀξυδόαι μύθοισι κορυσσόμενοι πυκινοῖσι.
Πολλὰ γὰρ ἔνθα καὶ ἔνθα μόθου ἑτεραλκεῖ κλωγμῷ
ταρφέος ἄκρα κόρυμβα καταπλήσσουσιν ἐχέτλης.
Ἀλλ' ὅταν αἰγυπιὸς γαμψώνυχος ἀκρίδα μάρψῃ,
δὴ τότε λοίσθιον ὀμβροφόροι κλάγξουσι κορῶναι.
Νίκη δ' ἡμιόνων, ὁ δ' ὄνος θοὰ τέκνα κορύψει.

ΖΕΥΣ. Τί τοῦτο ἀνεκάχασας, ὦ Μῶμε; καὶ μὴν οὐ γελοῖα τὰ ἐν ποσί· παῦσαι κακόδαιμον, ἀποπνιγήσῃ ὑπὸ τοῦ γέλωτος.

ΜΩΜ. Καὶ πῶς δυνατὸν, ὦ Ζεῦ, ἐφ' οὕτω σαφεῖ καὶ προδήλῳ τῷ χρησμῷ;

ΖΕΥΣ. Οὐκοῦν καὶ ἡμῖν ἤδη ἑρμηνεύοις ἂν αὐτὸν ὅ τι καὶ λέγει.

ΜΩΜ. Πάνυ πρόδηλα, ὥστε οὐδὲν ἡμῖν Θεμιστοκλέους δεήσει· φησὶ γὰρ τὸ λόγιον οὕτωσι διαρρήδην γόητα μὲν εἶναι τοῦτον, ἡμᾶς δὲ ὄνους κανθηλίους νὴ Δία καὶ ἡμιόνους, τοὺς πιστεύοντας αὐτῷ, οὐδ' ὅσον ἀκρίδος τὸν νοῦν ἔχοντας.

ac Damin ex sua persona et pro se loqui, alterum autem histrione uti, et seorsum illi in aurem quæ videantur subjicere, ac histrionem deinde magnifice verba facere, qui forte nec ipse quæ audivit intellexerit. Ista quomodo non risus erunt multitudini? Verum de illo quidem frustra cogitabimus.

30. At tu, præstantissime (dicis enim te vatem esse, et mercedes non parvas eo nomine cepisti, adeo ut lateres etiam aureos aliquando acceperis), quin tu ostendisti nobis in tempore artem, prædicens uter sophistarum dicendo sit superaturus? nosti enim scilicet quid futurum sit, quum divinus sis.

APOL. Quomodo, Mome, fieri potest ut faciam talia, quum neque tripus nobis præsto sit, neque suffimenta, neque fons fatidicus, qualis est Castalius?

MOM. Vides? fugis convinci, in angusto deprehensus.

JUP. Tamen dic, fili, neu præbe calumniatori isti obtentum insimulandi et irridendi tuas divinationes, tanquam in tripode et aqua ac thure positas, ut, si ista non habeas, arte quoque ipsa careas.

APOL. Melius quidem erat, pater, Delphis aut Colophone talia facere, ubi præsto mihi sunt pro more quæ ad rem faciunt omnia : attamen sic etiam, nudus illis et imparatus, tentabo prædicere cujus futura sit victoria : sustinebitis autem, si non satis modulata dixero.

MOM. Dic, verum dilucida modo, Apollo, nec consiliario aut interprete ipsa quoque indigentia : neque enim agninæ carnes et testudo nunc una coquuntur in Lydia : verum scis qua de re deliberetur.

JUP. Quid tandem dices, fili? nam ea quæ præcedunt oraculum, jam hæc sunt terribilia : mutatus color, oculi huc illuc torti, coma cum horrore turbata, motus Corybanticus; et in universum possessi hominis omnia, et horribilia, et mystica.

31. APOL. Percipite, o superi, quæ jam canit augur Apollo
lite super rigida, quam constituere valentes
arguto clamore viri, verbisque petulci.
Multum hinc alternis crocitibus æra et inde,
non sine lucentis stivæ terroribus, implent.
Curvo at ubi vultur comprenderit ungue cicadam,
tum sane imbriferæ cornices ultima clangent.
Victores muli, ast asinus sobolem arietat acrem.

JUP. Quid pleno ita rictu cachinnas, Mome? atqui ridicula non sunt præsentia. Desine, infelix, suffocaberis a risu.

MOM. Et qui possim desinere, Jupiter, super oraculo ita claro ac dilucido?

JUP. Ergo etiam nobis illud explicaveris quid sibi velit.

MOM. Manifestum omnino. Itaque nihil nobis opus erit Themistocle, adeo diserte dicit oraculum hunc præstigiatorem esse, nos vero asinos clitellarios, ita me Jupiter, et mulos, qui credamus illi, et neque tantum mentis quantum cicadam habere.

32. ΗΡΑΚ. Ἐγὼ δέ, ὦ πάτερ, εἰ καὶ μέτοικός εἰμι, οὐκ ὀκνήσω ὅμως τὰ δοκοῦντά μοι εἰπεῖν· ὁπόταν γὰρ ἤδη ξυνελθόντες διαλέγωνται, τηνικαῦτα, ἢν μὲν ὁ Τιμοκλῆς ὑπέρσχῃ, ἐάσομεν προχωρεῖν τὴν ξυνουσίαν ὑπὲρ ἡμῶν, ἢν δέ τι ἕτεροῖον ἀποβαίνῃ, τότε ἤδη τὴν στοὰν αὐτὴν ἔγωγε διασείσας, εἰ δοκεῖ, ἐμβαλῶ τῷ Δάμιδι, ὡς μὴ κατάρατος ὢν ὑβρίζῃ ἐς ἡμᾶς.

ΖΕΥΣ. Ἡράκλεις, ὦ Ἡράκλεις, ἄγροικον τοῦτ' εἴρηκας καὶ δεινῶς Βοιώτιον, ξυναπολέσαι ἑνὶ πονηρῷ τοσούτους καὶ προσέτι τὴν στοὰν αὐτῷ Μαραθῶνι καὶ Μιλτιάδῃ καὶ Κυναιγείρῳ. Καὶ πῶς ἂν τούτων ξυμπεσόντων οἱ ῥήτορες ἔτι ῥητορεύοιεν τὴν μεγίστην εἰς τοὺς λόγους ὑπόθεσιν ἀφῃρημένοι; Ἄλλως τε ζῶντι μέν σοι δυνατὸν ἦν ἴσως ἄν τι καὶ πρᾶξαι τοιοῦτον, ἀφ' οὗ δὲ θεὸς γεγένησαι, μεμάθηκας, οἶμαι, ὡς αἱ Μοῖραι τὰ τοιαῦτα μόναι δύνανται, ἡμεῖς δὲ ἄκυροι αὐτῶν ἐσμεν.

ΗΡΑΚ. Οὐκοῦν καὶ ὁπότε τὸν λέοντα ἢ τὴν ὕδραν ἐφόνευον, αἱ Μοῖραι δι' ἐμοῦ ἐκεῖνα ἔπραττον;

ΖΕΥΣ. Καὶ μάλιστα.

ΗΡΑΚ. Καὶ νῦν ἤν τις ὑβρίζῃ εἰς ἐμὲ ἢ περισυλῶν μου τὸν νεὼν ἢ ἀνατρέπων τὸ ἄγαλμα, ἢν μὴ ταῖς Μοίραις πάλαι δεδογμένον ᾖ, οὐκ ἐπιτρίψω αὐτόν;

ΖΕΥΣ. Οὐδαμῶς.

ΗΡΑΚ. Οὐκοῦν ἄκουσον, ὦ Ζεῦ, μετὰ παρρησίας· ἐγὼ γάρ, ὡς ὁ κωμικὸς ἔφη, ἄγροικός εἰμι τὴν σκάφην σκάφην λέγων· εἰ τοιαῦτά ἐστι τὰ ὑμέτερα, μακρὰ χαίρειν φράσας ταῖς ἐνταῦθα τιμαῖς καὶ κνίσῃ καὶ ἱερείων αἵματι ἐς τὸν ᾍδην ἄπειμι, ὅπου με γυμνὸν τὸ τόξον ἔχοντα κἂν τὰ εἴδωλα φοβήσεται τῶν ὑπ' ἐμοῦ πεφονευμένων θηρίων.

ΖΕΥΣ. Εὖ γε, οἰκοθεν ὁ μάρτυς, φησίν· ἀπέσωσάς γ' ἂν οὖν τῷ Δάμιδι ταῦτα εἰπεῖν ὑποβάλλων.

33. Ἀλλὰ τίς ὁ σπουδῇ προσιὼν οὗτός ἐστιν, ὁ χαλκοῦς, ὁ εὔγραμμος καὶ εὐπερίγραπτος, ὁ ἀρχαῖος τὴν ἀνάδεσιν τῆς κόμης; μᾶλλον δὲ ὁ σὸς, ὦ Ἑρμῆ, ἀδελφός ἐστιν, ὁ ἀγοραῖος, ὁ παρὰ τὴν Ποικίλην· πίττης γοῦν ἀναπέπλησται δσημέραι ἐκματτόμενος ὑπὸ τῶν ἀνδριαντοποιῶν. Τί, ὦ παῖ, δρομαῖος ἡμῖν ἀφῖξαι; ἦ πού τι ἐκ γῆς νεώτερον ἀπαγγέλλεις;

ΕΡΜΑΓΟΡΑΣ. Ὑπέρμεγα, ὦ Ζεῦ, καὶ μυρίας τῆς σπουδῆς δεόμενον.

ΖΕΥΣ. Λέγε ἤδη, εἴ τι καὶ ἄλλο ἡμᾶς ἐπανιστάμενον λέληθεν.

ΕΡΜΑΓ. Ἐτύγχανον μὲν ἄρτι χαλκουργῶν ὕπο
πιττούμενος στέρνον τε καὶ μετάφρενον·
θώραξ δέ μοι γελοῖος ἀμφὶ σώματι
πλασθεὶς παρῃώρητο μιμηλῇ τέχνῃ
σφαγῖδα χαλκοῦ πᾶσαν ἐκτυπούμενος·
ὁρῶ δ' ὄχλον στείχοντα καί τινας δύο
ὠχροὺς κεκράκτας, πυγμάχους σοφισμάτων,
Δᾶμίν τε καὶ...

ΖΕΥΣ. Παῦε, ὦ Ἑρμαγόρα βέλτιστε, ἰαμβίζων· οἶδα γὰρ οὕστινας λέγεις. Ἀλλ' ἐκεῖνό μοι φράσον, εἰ πάλαι ξυγκροτεῖται αὐτοῖς ἡ ἔρις.

32. HERC. Ego vero, pater, quanquam inquilinus modo, tamen non cunctabor quid mihi videatur dicere. Nempe quum jam congressi disputabunt, tum nos, si quidem Timocles superaverit, procedere sinemus institutam pro nobis disputationem : si vero quid secius evenerit, tum jam ego ipsam concussam, si ita videtur, porticum in Damidem injiciam, ne homo exsecrabilis contumeliis porro nos afficiat.

JUP. Hercules, heus Hercules! rusticum illud est quod dixisti, et vehementer Bœoticum, perdere cum uno malo tot homines, et insuper totam porticum cum suo Marathone et Miltiade et Cynægiro. Et quomodo his una pereuntibus in posterum orationem ornabunt rhetores, maximo illo dicendi argumento privati? Præterea vivus quidem quum esses, poteras forsan tale quid efficere : a quo autem tempore deus factus es, didicisti, puto, Parcas solas posse talia, nos autem eorum esse expertes.

HERC. Igitur etiam quum leonem aut hydram interficerem, Parcæ illa per me faciebant?

JUP. Omnino.

HERC. Et jam si quis contumeliosus in me sit. aut templum spoliando meum, aut evertenda statua, nisi Parcis olim ita decretum fuerit, illum non elidam?

JUP. Nequaquam.

HERC. Itaque audi, Jupiter, libere dicentem; ego enim, ut ait Comicus, sum rusticus et scapham voco scapham : si hæc est vestra conditio, longum ego valere jussis vestris istis honoribus, et nidore, et victimarum sanguine, ad inferos descendo, ubi me, nudum si habeam arcum, umbræ certe interfectarum a me belluarum metuent.

JUP. Euge, domesticus, aiunt, testis! compendifecisti enim Damidi ne illa dicat, quum ipse subjicias.

33. Sed quis est ille cum festinatione accedens, ille æneus, ille lineamentis omnibus circumcirca pulchre et ad amussim factus, ille prisco more revinctus comam? quin tuus frater est, Mercuri, forensis ille, juxta Pœcilen : pice enim oppletus est, qui quotidie exprimatur a statuariis. Quid, fili, sic curriculo ad nos venisti? num quid novi nobis de terra affers?

HERMAGORAS. Ingens quiddam, Jupiter, et infinita diligentia dignum.

JUP. Dic jam num quid præterea seditionis nobis imprudentibus sit coortum.

HERM. Statuariis pro more præbebam modo
pice oblinendum pectus atque tergora;
tenax lorica corpori, risum movens,
afficta jam pendebat arte simia,
signum velut totius æris exprimens :
quum video turbam affluere, cingentem duos
clamosos, albos, at pugiles sophismatum,
Daminque et .....

JUP. Desine, optime Hermagora, iambos : novi enim quos dicis. At illud dic mihi, an diu commissa sit illis pugna.

ΕΡΜΑΓ. Οὐδέπω, ἀλλ' ἐν ἀκροβολισμοῖς ἔτι ἦσαν ἀποσφενδονῶντες ἀλλήλοις πόρρωθέν ποθεν λοιδορούμενοι.

ΖΕΥΣ. Τί οὖν ἔτι χρὴ ποιεῖν λοιπὸν, ὦ θεοί, ἢ ἀκροᾶσθαι ἐπικύψαντας αὐτῶν; Ὥστε ἀφαιρείτωσαν αἱ Ὧραι τὸν μοχλὸν ἤδη καὶ ἀπάγουσαι τὰ νέφη ἀναπεταννύτωσαν τὰς πύλας τοῦ οὐρανοῦ.

34. Ἡράκλεις, ὅσον τὸ πλῆθος ἐπὶ τὴν ἀκρόασιν ἀπηντήκασιν. Ὁ δὲ Τιμοκλῆς αὐτὸς οὐ πάνυ μοι ἀρέσκει ὑποτρέμων καὶ ταραττόμενος· ἀπολεῖ ἅπαντα οὗτος τήμερον· ὄῆλος γοῦν ἐστιν ὅτι οὐδ' ἀντάρασθαι τῷ Δάμιδι δυνησόμενος. Ἀλλ' ὅπερ ἡμῖν δυνατώτατον, εὐχώμεθα ὑπὲρ αὐτοῦ

σιγῇ ἐφ' ἡμείων, ἵνα μὴ Δᾶμίς γε πύθηται.

ΤΙΜ. Τί φῄς, ὦ ἱερόσυλε Δᾶμι, θεοὺς μὴ εἶναι μηδὲ προνοεῖν τῶν ἀνθρώπων;

ΔΑΜ. Οὐκ· ἀλλὰ σὺ πρότερον ἀπόκριναί μοι ᾧτινι λόγῳ ἐπείσθης εἶναι αὐτούς.

ΤΙΜ. Οὐ μὲν οὖν, ἀλλὰ σὺ, ὦ μιαρὲ, ἀπόκριναι.

ΔΑΜ. Οὐ μὲν οὖν, ἀλλὰ σύ.

ΖΕΥΣ. Ταυτὶ μὲν παρὰ πολὺ ὁ ἡμέτερος ἄμεινον καὶ εὐφωνότερον τραχύνεται. Εὖ γε, ὦ Τιμόκλεις, ἐπίχει τῶν βλασφημιῶν· ἐν γὰρ τούτῳ σοι τὸ κράτος, ὡς τά γε ἄλλα ἰχθύν σε ἀπρφανεῖ ἐπιστομίζων.

ΤΙΜ. Ἀλλὰ, μὰ τὴν Ἀθηνᾶν, οὐκ ἂν ἀποκριναίμην σοι πρότερος.

ΔΑΜ. Οὐκοῦν ἐρώτα, ὦ Τιμόκλεις· ἐκράτησας γὰρ τοῦτό γε ὁμωμοκώς· ἀλλ' ἄνευ τῶν βλασφημιῶν, εἰ δοκεῖ.

36. ΤΙΜ. Εὖ λέγεις· εἰπὲ οὖν μοι, οὐ δοκοῦσί σοι, ὦ κατάρατε, προνοεῖν οἱ θεοί;

ΔΑΜ. Οὐδαμῶς.

ΤΙΜ. Τί φῄς; ἀπρονόητα οὖν ταῦτα ἅπαντα;

ΔΑΜ. Ναί.

ΤΙΜ. Οὐδ' ὑπό τινι ἄρα θεῷ τάττεται ἡ τῶν ὅλων ἐπιμέλεια;

ΔΑΜ. Οὔ.

ΤΙΜ. Πάντα δὲ εἰκῇ φέρεται ἀλόγῳ τῇ φορᾷ;

ΔΑΜ. Ναί.

ΤΙΜ. Εἶτ' ἄνθρωποι ταῦτα ἀκούοντες ἀνέχεσθε καὶ οὐ καταλεύσετε τὸν ἀλιτήριον;

ΔΑΜ. Τί τοὺς ἀνθρώπους ἐπ' ἐμὲ παροξύνεις, ὦ Τιμόκλεις; ἢ τίς ὢν ἀγαναχτεῖς ὑπὲρ τῶν θεῶν, καὶ ταῦτα ἐκείνων αὐτῶν οὐκ ἀγαναχτούντων; οἵ γε οὐδὲν δεινὸν διατεθείκασί με πάλαι ἀκούοντες, εἴ γε ἀκούουσιν.

ΤΙΜ. Ἀκούουσι γὰρ, ὦ Δᾶμι, ἀκούουσι, καί σε μετίασί ποτε χρόνῳ ὕστερον.

37. ΔΑΜ. Καὶ πότε ἂν ἐκεῖνοι σχολὴν ἀγάγοιεν ἐπ' ἐμὲ, τοσαῦτα, ὡς φῄς, πράγματα ἔχοντες καὶ τὰ ἐν τῷ κόσμῳ ἄπειρα τὸ πλῆθος ὄντα οἰκονομούμενοι; ὥστε οὐδέ σέ πω ἠμύναντο ὧν ἐπιορκεῖς ἀεὶ καὶ τῶν ἄλλων, ἵνα μὴ καὶ αὐτὸς βλασφημεῖν ἀναγκάζωμαι παρὰ τὰ ξυγκείμενα. Καίτοι οὐχ ὁρῶ ἥντινα ἂν ἄλλην ἐπίδει-

HERM. Nondum : sed adhuc erant in velitationibus, ut fundis petentes se invicem, conviciis e longinquo jactatis.

JUP. Quid ergo jam faciendum superest, dii, quam ut prospicientes illos audiamus? Quare jam removeant Horæ obicem, reductisque nubibus portas cœli pandant.

34. Hercules! quanta turba auditum convenit! At iste Timocles non valde mihi placet contremiscens et perturbatus : corrumpet iste hodie omnia : apparet enim illum ne ausurum contra Damidem se attollere. Verum, quod maxime possumus, vota faciamus pro illo,

sed taciti intra nos, ferlant ne Damidis aures.

35. TIM. Quid ais, sacrilege Dami, deos non esse, neque providere hominibus?

DAM. Non : Sed tu prius mihi responde, quo argumento illos esse credideris.

TIM. Non ita : sed tu, impure, responde.

DAM. Non, inquam : sed tu.

JUP. Huc usque multo noster melius et vocalius exasperatur. Euge, Timocles! ingere convicia : in hoc enim tibi robur; quantum ad alia, piscem te obturando ore efficiet.

TIM. Ego vero, ita me Pallas, prior tibi non respondero.

DAM. Ergo, Timocles, interroga : hoc enim certe vicisti jurejurando tuo : sed absque illis maledictis, si videtur.

36. TIM. Bene istuc dicis. Dic igitur mihi, non videntur tibi, homo exsecrabilis, providere dii?

DAM. Nequaquam.

TIM. Quid ais? sine providentia itaque fiunt hæc omnia?

DAM. Sane.

TIM. Neque a quodam igitur deo procuratio universorum ordinatur?

DAM. Non.

TIM. Omnia autem temere feruntur irrationabili impetu?

DAM. Nempe.

TIM. Tum vos, qui ista auditis, patimini, nec lapidibus obruitis impium?

DAM. Quid homines contra me irritas, Timocles? aut quis es, qui deorum vicem irascaris, idque illis ipsis non irascentibus? ut qui nihil in me gravius consuluerint, olim licet audierint, modo audiant.

TIM. Enimvero audiunt, Dami, audiunt, et aliquando te suo olim tempore ulciscentur.

37. DAM. Et quando illi otium ad me puniendum habeant, qui tot, ut ais, negotia sustineant, et res hujus universi, infinitas numero, administrent? Itaque necdum te ulti sunt ob perpetua tua perjuria, et reliqua quæ taceo, ne et ipse maledicere præter pacta cogar. Quanquam nos video, quam illi possint aliam demonstrationem provi-

ξιν τῆς αὐτῶν προνοίας μείζω ἐξενεγκεῖν ἠδύναντο ἢ σὲ κακὸν κακῶς ἐπιτρίψαντες. Ἀλλὰ δῆλοί εἰσιν ἀποδημοῦντες ὑπὲρ τὸν Ὠκεανὸν ἴσως μετ' ἀμύμονας Αἰθιοπῆας· ἔθος γοῦν αὐτοῖς συνεχῶς ἰέναι παρ' αὐτοὺς μετὰ δαῖτα καὶ αὐτεπαγγέλτοις ἐνίοτε.

38. TIM. Τί πρὸς τοσαύτην ἀναισχυντίαν εἴποιμι ἄν, ὦ Δᾶμι;

ΔΑΜ. Ἐκεῖνο, ὦ Τιμόκλεις, ὃ πάλαι ἐγὼ ἐπόθουν ἀκοῦσαί σου, ὅπως ἐπείσθης οἴεσθαι προνοεῖν τοὺς θεούς.

TIM. Ἡ τάξις μὲν πρῶτον τῶν γιγνομένων ἔπεισεν, ὁ ἥλιος ἀεὶ τὴν αὐτὴν ὁδὸν ἰὼν καὶ σελήνη κατὰ ταὐτὰ καὶ ὧραι τρεπόμεναι καὶ φυτὰ φυόμενα καὶ ζῷα γεννώμενα καὶ αὐτὰ ταῦτα οὕτως εὐμηχάνως κατεσκευασμένα ὡς τρέφεσθαι καὶ ἐννοεῖν καὶ κινεῖσθαι καὶ βαδίζειν καὶ τεκταίνεσθαι καὶ σκυτοτομεῖν, καὶ τἆλλα· ταῦτα οὐ προνοίας ἔργα εἶναί σοι δοκεῖ;

ΔΑΜ. Αὐτό που τὸ ζητούμενον, ὦ Τιμόκλεις, ξυναρπάζεις· οὐδέπω γὰρ δῆλον εἰ προνοίᾳ τούτων ἕκαστον ἀποτελεῖται. Ἀλλ' ὅτι μὲν τοιαῦτά ἐστι τὰ γιγνόμενα φαίην ὃν καὶ αὐτός· οὐ μὴν αὐτίκα πεπεῖσθαι ἀνάγκη καὶ ὑπό τινος προμηθείας αὐτὰ γίγνεσθαι· ἔνι γὰρ καὶ ἄλλως ἀρξάμενα νῦν ὁμοίως καὶ κατὰ ταὐτὰ ξυνίστασθαι. Σὺ δὲ τάξιν αὐτῶν ὀνομάζεις τὴν ἀνάγκην. Εἶτα δηλαδὴ ἀγαναχτήσεις, εἴπερ σοι μὴ ἀκολουθοίη τὰ γιγνόμενα μὲν, ὁποῖά ἐστι, καταριθμουμένῳ καὶ ἐπαινοῦντι, καὶ οἰομένῳ δὲ ἀπόδειξιν ταῦτα εἶναι τοῦ καὶ προνοίᾳ διατάττεσθαι αὐτῶν ἕκαστον. Ὥστε κατὰ τὸν κωμικὸν,

Τουτὶ μὲν ὑπομόχθηρον, ἄλλο μοι λέγε.

39. TIM. Ἐγὼ μὲν οὐκ οἶμαι καὶ ἄλλης ἐπὶ τούτοις δεῖν ἀποδείξεως. Ὅμως δ' οὖν ἐρῶ· ἀπόκριναι γάρ μοι. Ὁμηρός σοι δοκεῖ ἄριστος ποιητὴς γενέσθαι;

ΔΑΜ. Καὶ μάλα.

TIM. Οὐκοῦν ἐκείνῳ ἐπείσθην τὴν πρόνοιαν τῶν θεῶν ἐμφανίζοντι.

ΔΑΜ. Ἀλλ', ὦ θαυμάσιε, ποιητὴν μὲν ἀγαθὸν Ὅμηρον γεγενῆσθαι πάντες σοι ξυνομολογήσουσι, μάρτυρα δὲ ἀληθῆ περὶ τῶν τοιούτων οὔτ' ἐκεῖνον οὔτ' ἄλλον ποιητὴν οὐδένα· οὐ γὰρ ἀληθείας μέλει αὐτοῖς, οἶμαι, ἀλλὰ τοῦ κηλεῖν τοὺς ἀκούοντας, καὶ διὰ τοῦτο μέτροις τε κατάδουσι καὶ μύθοις κατηχοῦσι καὶ ὅλως ἅπαντα ὑπὲρ τοῦ τερπνοῦ μηχανῶνται.

40. Ἀτὰρ ἡδέως ἂν καὶ ἀκούσαιμι οἵστισι μάλιστα ἐπείσθης τῶν Ὁμήρου· ἆρα οἷς περὶ τοῦ Διὸς λέγει, ὡς ἐπεβούλευον ξυνδῆσαι αὐτὸν ἡ θυγάτηρ καὶ ὁ ἀδελφὸς καὶ ἡ γυνή; καὶ εἴ γε μὴ τὸν Βριάρεων ἡ Θέτις ἐκάλεσεν ἐλεήσασα τὸ γιγνόμενον, ἐπεπέδητο ἂν ἡμῖν ὁ βέλτιστος Ζεὺς ξυναρπασθείς. Ἀνθ' ὧν καὶ ἀπομνημονεύων τῇ Θέτιδι τὴν χάριν ἐξαπατᾷ τὸν Ἀγαμέμνονα ὄνειρόν τινα ψευδῆ ἐπιπέμψας, ὡς πολλοὶ τῶν Ἀχαιῶν ἀποθάνοιεν. Ὁρᾷς; ἀδύνατον γὰρ ἦν αὐτῷ κεραυνὸν ἐμβαλόντι καταφλέξαι τὸν Ἀγαμέμνονα αὐτὸν ἄνευ τοῦ ἀπατεῶνα εἶναι δοκεῖν. Ἢ ἐκεῖνά σε μάλιστα εἰς τὴν

dentiæ suæ edere, majorem quam malum te mortalem male obterendo. Sed apparet illos peregre abesse trans Oceanum forte apud Æthiopas crimine puros: mos enim istis frequenter ad illos abire cœnatum, interdum etiam quum sponte ipsi condixerunt.

38. TIM. Quid ad tantam impudentiam dicam, Dami?

DAM. Illud, Timocles, quod olim ego audire ex te cupio, quomodo in eam opinionem veneris, uti putes deos providere.

TIM. Ordo primum eorum quæ fiunt mihi persuasit: sol eandem semper viam tenens, et eodem modo luna, et tempestatum vices, et plantarum satus, et generationes animalium, eaque ipsa animalia tanto artificio perfecta, ut nutriri, cogitare, moveri, incedere, fabricare, coriariam facere possint, et quæ sunt alia in eo genere: hæc nonne providentiæ opera tibi esse videntur?

DAM. Ipsum quodammodo, quod in quæstione est, pro argumento arripis, Timocles: nondum enim manifestum, an providentia horum unumquodque perficiatur. Sed talia quidem esse quæ fiunt, ipse quoque dixerim; sed non statim necesse est ut credamus etiam a providentia quadam illa fieri. Potest enim fieri ut a fortuito initio nunc similiter et eodem modo consistant. Tu autem ordinem illorum vocas necessitatem. Deinde nimirum indignaberis, si tibi non obsequantur ea quæ fiunt, qualia sunt, enumeranti et laudanti, simul vero putanti, hanc demonstrationem esse, providentia quadam illorum unumquodque vices suas servare. Igitur, ut est in comœdia,

Hoc subdolum videtur: affer alterum.

36. TIM. Equidem non puto alia opus esse in hisce demonstratione. Attamen interrogabo. Etenim responde mihi. Homerusne videtur tibi optimus poeta fuisse?

DAM. Sane.

TIM. Illi ergo credidi providentiam deorum declaranti.

DAM. Verum enim vero, homo mirabilis, poetam quidem bonum fuisse Homerum omnes tibi largientur, testem autem idoneum talium neque illum neque alium quemcunque poetam. Neque enim veri illis cura est, puto, sed ut auditores demulceant; atque ob id ipsum versibus occinunt, et personant fabulis, et in universum jucunditatis causa machinantur omnia.

40. Verum libenter audierim, quibus maxime Homeri dictis fidem habueris: num illis quæ de Jove dicit, insidias illi fecisse ut ligarent, filiam, et fratrem, et uxorem? et nisi Briareum advocasset Thetis, miserata factum, in compedes forte raptus nobis esset Jupiter optimus. Pro quo etiam beneficio gratiam relaturus Thetidi, decipit Agamemnonem immisso somnio mendaci, quo Achivorum multi perirent. Viden'? non poterat nempe jacto fulmine ipsum comburere Agamemnonem, quo non videretur esse impostor. Aut illa forte ad credendum te pertraxerunt, quum audires

πίστιν ἐπεσπάσατο ἀκούοντα, ὡς Διομήδης μὲν ἔτρωσε τὴν Ἀφροδίτην, εἶτα τὸν Ἄρηνα αὐτὸν Ἀθηνᾶς παρακελεύσει, μετὰ μικρὸν δὲ αὐτοὶ ξυμπεσόντες οἱ θεοὶ ἐμονομάχουν ἀναμὶξ οἱ ἄρρενές τε καὶ αἱ θήλειαι, καὶ Ἀθηνᾶ μὲν Ἄρην καταγωνίζεται, ἅτε καὶ προπεπονηκότα, οἶμαι, ἐκ τοῦ τραύματος, ὃ παρὰ τοῦ Διομήδους εἴληφει,

Ληιοῖ δ' ἀντέστη σῶκος ἰριούνιος Ἑρμῆς;

ἢ τὰ περὶ τῆς Ἀρτέμιδός σοι πιθανὰ ἔδοξεν, ὡς ἐκείνη μεμψίμοιρος οὖσα ἠγανάκτησεν οὐ κληθεῖσα ἐφ' ἑστίασιν ὑπὸ τοῦ Οἰνέως, καὶ διὰ τοῦτο σῦν τινα ὑπερφυᾶ καὶ ἀνυπόστατον τὴν ἀλκὴν ἐπαφῆκεν ἐπὶ τὴν χώραν αὐτοῦ; ἆρ' οὖν τὰ τοιαῦτα λέγων σε Ὅμηρος πέπεικε;

41. ΖΕΥΣ. Βαβαί, ἡλίκον, ὦ θεοί, ἀνεβόησε τὸ πλῆθος, ἐπαινοῦντες τὸν Δᾶμιν· ὁ δ' ἡμέτερος ἀπορουμένῳ ἔοικε· δέδιε γοῦν καὶ ὑποτρέμει καὶ ὄκλος ἐστὶν ἀπορρίψων τὴν ἀσπίδα, καὶ ἤδη περιβλέπει οἷ παρεκδὺς ἀποδράσεται.

ΤΙΜ. Οὐδ' Εὐριπίδης ἄρα σοι δοκεῖ λέγειν τι ὑγιές, ὁπόταν αὐτοὺς ἀναβιβασάμενος τοὺς θεοὺς ἐπὶ τὴν σκηνὴν δεικνύῃ σώζοντας μὲν τοὺς χρηστοὺς τῶν ἡρώων, τοὺς πονηροὺς δὲ καὶ κατὰ σὲ τὴν ἀσέβειαν ἐπιτρίβοντας;

ΔΑΜ. Ἀλλ', ὦ γενναιότατε φιλοσόφων Τιμόκλεις, εἰ τοιαῦτα ποιοῦντες οἱ τραγῳδοποιοὶ πεπείκασί σε, ἀνάγκη δυοῖν θάτερον ἤτοι Πῶλον καὶ Ἀριστόδημον καὶ Σάτυρον ἡγεῖσθαί σε θεοὺς εἶναι τότε ἢ τὰ πρόσωπα τῶν θεῶν αὐτὰ καὶ τοὺς ἐμβάτας καὶ τοὺς ποδήρεις χιτῶνας καὶ χλαμύδας καὶ χειρίδας καὶ προγαστρίδια καὶ σωμάτια καὶ τἆλλα, οἷς ἐκεῖνοι σεμνύνουσι τὴν τραγῳδίαν, ὅπερ γελοιότατον οἶμαι· ἐπεὶ καθ' ἑαυτὸν ὁπόταν ὁ Εὐριπίδης, μηδὲν ἐπειγούσης τῆς χρείας τῶν δραμάτων, τὰ δοκοῦντά οἱ λέγῃ, ἄκουσον αὐτοῦ τότε παρρησιαζομένου,

Ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα
καὶ γῆν περιξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις;
τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν.

Καὶ πάλιν,

Ζεύς, ὅστις ὁ Ζεύς, οὐ γὰρ οἶδα, πλὴν λόγῳ
κλύων·

καὶ τὰ τοιαῦτα.

42. ΤΙΜ. Οὐκοῦν ἅπαντες ἄνθρωποι καὶ τὰ ἔθνη ἐξηπάτηνται θεοὺς νομίζοντες καὶ πανηγυρίζοντες;

ΔΑΜ. Εὖ γε, ὦ Τιμόκλεις, ὅτι με ὑπέμνησας τῶν κατὰ τὰ ἔθνη νομιζομένων, ἀφ' ὧν μάλιστα συνίδοι τις ἂν ὡς οὐδὲν βέβαιον ὁ περὶ θεῶν λόγος ἔχει· πολλοὶ γὰρ οἱ τάραχοι καὶ ἄλλοι ἄλλα νομίζουσι, Σκύθαι μὲν ἀκινάκη θύοντες καὶ Θρᾷκες Ζαμόλξιδι, δραπέτῃ ἀνθρώπῳ ἐκ Σάμου ὡς αὐτοὺς ἥκοντι, Φρύγες δὲ Μηνὶ καὶ Αἰθίοπες Ἡμέρᾳ καὶ Κυλλήνιοι Φάλητι καὶ Ἀσσύριοι περιστερᾷ καὶ Πέρσαι πυρὶ καὶ Αἰγύπτιοι ὕδατι. Καίτοι τοῦτο μὲν ἅπασι κοινὸν τοῖς Αἰγυπτίοις τὸ ὕδωρ,

a Diomede vulneratam Venerem, ac ipsum deinde, Minerva instigante, Martem? paullo post autem, irruentes in se invicem dii prælia miscuere viri pariter ac feminæ, et Minerva quidem Martem dejicit, laborantem quippe ex vulnere, opinor, quod a Diomede acceperat;

Latonam at contra stetit utilium dator Hermes.

Aut istæc de Diana probabilia tibi visa sunt, quum illa ægre fert et indignatur, se non vocatam ab Œneo ad epulas: atque eam ob causam aprum horribili magnitudine et robore, cui resistere nihil posset, in regionem illius immittit? numquid ergo talia dicens Homerus tibi persuasit?

41. JUP. Hem! quanto, o dii, clamore multitudo laudavit Damin! At noster desperare videtur; metuit enim, et intremiscit, et apparet abjecturum esse clypeum: et jam circumspicit qua se subducens queat aufugere.

TIM. Neque Euripides igitur tibi sanum quid videtur dicere, quum deos ipsos in scenam productos ostendit, ut servant bonos inter heroas, malos vero et impietatem qualis tua est obterunt?

DAM. Sed, o generosissime philosophorum Timocles, si, hæc dum agunt, persuasere tibi Tragici; oportet alterutrum horum, aut Polum et Aristodemum et Satyrum putare te deos esse tunc, aut ipsas deorum personas, et cothurnos, et talares togas, et chlamydes, et manicas, et ventralia, et thoraces, et alia quibus illi tragœdiam ornant: quod quidem maxime ridiculum arbitror. Alioqui ubi pro se Euripides, nihil urgente fabularum necessitate, quæ sibi videantur dicit, audias ipsum tunc libere pronunciantem:

Sublime fusum cernis, immensum æthera,
cujus tenetur mollibus complexibus
terra? hoc putato numen, hunc perhibe Jovem.

Et rursus,

O Jupiter, quicumque demum es Jupiter;
nam nescio, hominum modo sermone cognitum;

et similia.

42. TIM. Igitur omnes homines et populi decepti sunt, qui deos esse putent ac celebrent?

DAM. Bene, Timocles, admonuisti me eorum quæ inter gentes moribus legibusque recepta sunt: e quibus nimirum maxime cognoverit aliquis, quam nihil firmum illa, quæ de diis feruntur, habeant. Multa enim confusio, et alii alia sanxerunt: Scythæ sacrificantes acinacæ, et Zamolxidi Thraces, qui fugitivus e Samo ad illos venit, Phryges autem Deo Luno, et Diei Æthiopes, et Cyllenii Phaleti, et Assyrii columbæ, et Persæ igni, et aquæ Ægyptii. Quanquam communis quidem Ægyptiis omnibus deus est

ἰδία δὲ Μεμφίταις μὲν ὁ βοῦς θεὸς, Πηλουσιώταις δὲ κρόμμυον, καὶ ἄλλοις ἶβις ἢ κροκόδειλος καὶ ἄλλοις κυνοκέφαλος ἢ αἴλουρος ἢ πίθηκος· καὶ ἔτι κατὰ κώμας τοῖς μὲν ὁ δεξιὸς ὦμος θεὸς, τοῖς δὲ κατ' ἀντιπέραν οἰκοῦσιν ἄτερος· καὶ ἄλλοις κεφαλῆς ἡμίτομον, καὶ ἄλλοις ποτήριον κεραμεοῦν ἢ τρύβλιον. Ταῦτα πῶς οὐ γέλως ἐστὶν, ὦ καλὲ Τιμόκλεις;

ΜΩΜ. Οὐκ ἔλεγον, ὦ θεοὶ, πάντα ταῦτα ἥξειν εἰς τοὐμφανὲς καὶ ἀκριβῶς ἐξετασθήσεσθαι;

ΖΕΥΣ. Ἔλεγες, ὦ Μῶμε, καὶ ἐπετίμας ὀρθῶς, καὶ ἔγωγε πειράσομαι ἐπανορθώσασθαι αὐτὰ, ἢν τὸν ἐν ποσὶ τοῦτον κίνδυνον διαφύγωμεν.

43. ΤΙΜ. Ἀλλ', ὦ θεοῖς ἐχθρὲ σὺ, τοὺς χρησμοὺς καὶ προαγορεύσεις τῶν ἐσομένων τίνος ἔργον ἂν εἴποις ἢ θεῶν καὶ προνοίας τῆς ἐκείνων;

ΔΑΜ. Σώπησον, ὦ ἄριστε, περὶ τῶν χρησμῶν, ἐπεὶ ἐρήσομαί σε, τίνος αὐτῶν μάλιστα μεμνῆσθαι ἀξιοῖς; ἆρ' ἐκείνου, ὃν τῷ Λυδῷ ὁ Πύθιος ἔχρησεν, ὃς ἀκριβῶς ἀμφήκης ἦν καὶ διπρόσωπος, οἷοί εἰσι τῶν Ἑρμῶν ἔνιοι, διττοὶ καὶ ἀμφοτέρωθεν ὅμοιοι, πρὸς ὁπότερον ἂν αὐτῶν μέρος ἐπιστραφῇς; τί γάρ; μᾶλλον ὁ Κροῖσος διαβὰς τὸν Ἅλυν τὴν αὑτοῦ ἀρχὴν ἢ τὴν Κύρου καταλύσει; καίτοι οὐκ ὀλίγων ταλάντων ὁ Σαρδιανὸς ἐκεῖνος ὄλεθρος τὸ ἀμφιδέξιον τοῦτο ἔπος ἐπρίατο.

ΜΩΜ. Αὐτά που, ὦ θεοὶ, ὁ ἀνὴρ διεξέρχεται λέγων ἃ ἐγὼ ἐδεδίειν μάλιστα. Ποῦ νῦν ὁ καλὸς ἡμῖν κιθαρῳδός; ἀπολόγησαι αὐτῷ κατελθὼν πρὸς ταῦτα.

ΖΕΥΣ. Σὺ ἡμᾶς ἐπισφάττεις, ὦ Μῶμε, οὐκ ἐν καιρῷ νῦν ἐπιτιμῶν.

44. ΤΙΜ. Ὅρα οἷα ποιεῖς, ὦ ἀλιτήριε Δᾶμι, μονονουχὶ τὰ ἕδη αὐτὰ τῶν θεῶν ἀνατρέπεις τῷ λόγῳ καὶ βωμοὺς αὐτῶν.

ΔΑΜ. Οὐ πάντας ἔγωγε τοὺς βωμοὺς, ὦ Τιμόκλεις· τί γὰρ καὶ δεινὸν ἀπ' αὐτῶν γίγνεται, εἰ θυμιαμάτων καὶ εὐωδίας εἰσὶ μεστοί; τοὺς δ' ἐν Ταύροις τῆς Ἀρτέμιδος ἡδέως ἂν ἐπεῖδον ἐκ βάθρων ἐπὶ κεφαλὴν ἀνατρεπομένους, ἐφ' ὧν τοιαῦτα ἡ παρθένος εὐωχουμένη ἔχαιρε.

ΖΕΥΣ. Τουτὶ πόθεν ἡμῖν τὸ ἄμαχον κακὸν ἐπῆλθεν; ὡς δαιμόνων οὐδενὸς ἀνὴρ φείδεται, ἀλλ' ἐξ ἁμάξης παρρησιάζεται καὶ

μάρπτει ἐξείης, ὅς τ' αἴτιος ὅς τε καὶ οὐκί.

ΜΩΜ. Καὶ μὴν ὀλίγους ἂν, ὦ Ζεῦ, τοὺς ἀναιτίους εὕροις ἐν ἡμῖν· καί που τάχα προϊὼν ὁ ἄνθρωπος ἅψεται καὶ τῶν κορυφαίων τινός.

45. ΤΙΜ. Οὐδὲ βροντῶντος ἄρα τοῦ Διὸς ἀκούεις, ὦ θεομάχε Δᾶμι;

ΔΑΜ. Καὶ πῶς οὐ μέλλω βροντῆς ἀκούειν, ὦ Τιμόκλεις; εἰ δ' ὁ Ζεὺς ὁ βροντῶν ἐστι, σὺ ἄμεινον ἂν εἰδείης ἐκεῖθέν ποθεν παρὰ τῶν θεῶν ἀφιγμένος· ἐπεὶ οἵ γε ἐκ Κρήτης ἥκοντες ἄλλα ἡμῖν διηγοῦνται, τάφον τινὰ ἐκεῖθι δείκνυσθαι καὶ στήλην ἐφεστάναι δηλοῦσαν ὡς οὐκέτι βροντήσειεν ἂν ὁ Ζεὺς πάλαι τεθνεώς.

aqua; privatim vero Memphitis deus bos est; Pelusiotis cepe, et aliis ibis, aut crocodilus; aliis cynocephalus, aut feles, aut simia: et insuper per vicos aliis humerus dexter deus est; e regione autem habitantibus, sinister; et aliis caput dimidiatum, et aliis figulinum poculum aut patella. Hæc quomodo non ridicula sunt, o pulcher Timocles?

MOM. Nonne prædicebam, dii, futurum ut proferrentur in lucem hæc omnia, et accurate examinarentur?

JUP. Prædixisti, Mome, et recte nos reprehendisti; ac studebo corrigere ista, modo præsens periculum effugerimus.

43. TIM. Verum tu, diis inimice, oracula et prædictiones futurorum cujus opus dixeris, nisi deorum illorumque providentiæ?

DAM. Tace, vir bone, de oraculis. Nam interrogabo te, cujus illorum maxime velis mentionem fieri? num illius quod Lydo Pythius reddidit, quod exacte ambiguum erat ac vultu duplici, quales sunt Hermarum quidam, duplices et utrimque similes, ad quamcumque illorum te partem convertas? quid enim? utrum magis superato Crœsus Halye suum imperium an Cyri dissolvet? atqui non paucis talentis Sardiana illa pestis ancipitem istum versum emerat.

MOM. Illa ipsa fere, dii, hic vir disputat, quæ ego maxime metueram. Ubi nunc est nobis pulcher ille citharœdus? descende et responde isti pro te ad hæc crimina.

JUP. Enecas tu nos, Mome, importunis illis reprehensionibus tuis.

44. TIM. Vide quid agas, exsecrande Dami: tantum non sedes ipsas deorum disputatione tua evertis, ipsorumque altaria.

DAM. Non omnia equidem altaria, Timocles: quid enim mali ab iis fiat, si suffitus et boni odoris plena sint? sed illa Tauricæ Dianæ libenter sane viderem e fundamentis in caput eversa, in quibus talibus epulis virgo illa gaudebat.

JUP. Unde nobis invictum istud malum ingruit? ut nulli deorum vir parcit! sed tanquam e plaustro confidenter maledicit,

Et lacerat deinceps insontes atque nocentes.

MOM. Verum paucos sane, Jupiter, inveneris inter nos insontes. Et mox forte progressus homo tanget etiam summorum quendam.

45. TIM. Neque tonantem ipsum Jovem audis, hostis deorum Dami?

DAM. Quidni tonitru audiam, Timocles? utrum vero Jupiter sit qui tonat, melius tu noris, qui forte illinc a diis alicunde veneris: quando, qui e Creta veniunt, alia nobis narrant, sepulcrum ibi quoddam ostendi et columellam impositam, quæ declaret non tonaturum amplius Jovem, ut qui jam olim sit mortuus.

ΜΩΜ. Τοῦτ' ἐγὼ πρὸ πολλοῦ ἠπιστάμην ἐροῦντα τὸν ἄνθρωπον. Τί δ' οὖν, ὦ Ζεῦ, ὠχρίακας ἡμῖν καὶ συγκροτεῖς τοὺς ὀδόντας ὑπὸ τοῦ τρόμου; θαρρεῖν χρὴ καὶ τῶν τοιούτων ἀνθρωπίσκων καταφρονεῖν.

ΖΕΥΣ. Τί λέγεις, ὦ Μῶμε; καταφρονεῖν; οὐχ ὁρᾷς ὅσοι ἀκούουσι καὶ ὡς ξυμπεπεισμένοι εἰσὶν ἤδη καθ' ἡμῶν καὶ ἀπάγει αὐτοὺς ἀναδησάμενος τῶν ὤτων ὁ Δᾶμις;

ΜΩΜ. Ἀλλὰ σὺ, ὦ Ζεῦ, ὁπόταν ἐθελήσῃς, σειρὴν χρυσείην καθεὶς ἅπαντας αὐτοὺς

αὐτῇ κεν γαίῃ ἐρύσαις αὐτῇ τε θαλάσσῃ.

46. TIM. Εἰπέ μοι, ὦ κατάρατε, πέπλευκας ἤδη ποτέ;

ΔΑΜ. Καὶ πολλὰ, ὦ Τιμόκλεις.

TIM. Οὔκουν ἔφερε μὲν ὑμᾶς τότε ἄνεμος ἐμπίπτων τῇ ὀθόνῃ καὶ ἐμπιπλὰς τὰ ἀκάτια ἢ οἱ ἐρέττοντες, ἐκυβέρνα δὲ εἷς τις ἑφεστὼς καὶ ἔσωζε τὴν ναῦν;

ΔΑΜ. Καὶ μάλα.

TIM. Εἶτα ἡ ναῦς μὲν οὐκ ἂν ἔπλει μὴ κυβερνωμένη, τὸ δὲ ὅλον τοῦτο ἀκυβέρνητον οἴει καὶ ἀνηγεμόνευτον φέρεσθαι;

ΖΕΥΣ. Εὖ γε, Τιμόκλεις, ταῦτα καὶ ἰσχυρῶς τῷ παραδείγματι.

47. ΔΑΜ. Ἀλλ', ὦ θεοφιλέστατε Τιμόκλεις, τὸν μὲν κυβερνήτην ἐκεῖνον εἶδες ἂν ἀεὶ τὰ ξυμφέροντα ἐπινοοῦντα καὶ πρὸ τοῦ καιροῦ παρασκευαζόμενον καὶ προστάττοντα τοῖς ναύταις, ἀλυσιτελὲς δὲ οὐδὲ ἄλογον οὐδὲν εἶχέ τι ἡ ναῦς, ὃ μὴ χρήσιμον πάντως καὶ ἀναγκαῖον ἦν πρὸς τὴν ναυτιλίαν αὐτοῖς· ὁ δὲ σὸς οὗτος κυβερνήτης, ὃν τῇ μεγάλῃ ταύτῃ νηῒ ἑφεστάναι ἀξιοῖς, καὶ οἱ ξυνναῦται αὐτοῦ οὐδὲν εὐλόγως οὐδὲ κατὰ τὴν ἀξίαν διατάττουσιν, ἀλλ' ὁ μὲν πρότονος, εἰ τύχοι, ἐς τὴν πρύμναν ἀποτέταται, οἱ πόδες δὲ ἐς τὴν πρῷραν ἀμφότεροι· καὶ χρυσαῖ μὲν αἱ ἄγκυραι ἐνίοτε, ὁ χηνίσκος δὲ μολυβδοῦς, καὶ τὰ μὲν ὕφαλα κατάγραφα, τὰ δ' ἔξαλα τῆς νεὼς ἄμορφα.

48. Καὶ αὐτῶν δὲ τῶν ναυτῶν ἴδοις ἂν τὸν μὲν ἀργὸν καὶ ἄτεχνον καὶ ἄτολμον πρὸς τὰ ἔργα διμοιρίτην ἢ τριμοιρίτην, τὸν δὲ κατακολυμβῆσαί τε δεινὸν καὶ ἐπὶ τὴν κεραίαν ἀναπηδῆσαι ῥᾴδιον καὶ εἰδότα τῶν χρησίμων ἕκαστα, μόνον τοῦτον ἀντλεῖν προστεταγμένον· τὰ δ' αὐτὰ καὶ ἐν τοῖς ἐπιβάταις, μαστιγίαν μέν τινα ἐν προεδρίᾳ παρὰ τὸν κυβερνήτην καθήμενον καὶ θεραπευόμενον, καὶ ἄλλον κίναιδον ἢ πατραλοίαν ἢ ἱερόσυλον ὑπερτιμώμενον καὶ τὰ ἄκρα τῆς νεὼς κατειληφότα, χαρίεντας δὲ πολλοὺς ἐν μυχῷ τοῦ σκάφους στενοχωρουμένους καὶ ὑπὸ τῶν πρὸς ἀλήθειαν χειρόνων πατουμένους· ἐννόησον γοῦν ὅπως μὲν Σωκράτης καὶ Ἀριστείδης ἔπλευσε καὶ Φωκίων, οὐδὲ τὰ ἅλφιτα διαρκῆ ἔχοντες οὐδὲ ἀποτεῖναι τοὺς πόδας δυνάμενοι ἐπὶ γυμνῶν τῶν σανίδων παρὰ τὸν ἄντλον, ἐν ὅσοις δὲ ἀγαθοῖς Καλλίας καὶ Μειδίας καὶ Σαρδανάπαλλος ὑπερτρυφῶντες καὶ τῶν ὑφ' αὑτοῖς καταπτύοντες.

49. Τοιαῦτα ἐν τῇ νηΐ σου γίγνεται, ὦ σοφώτατε

MOM. Hoc diu ego sciebam dicturum esse hominem. Quid ergo, Jupiter, expalluisti nobis, et dentes tremore collidis? bono animo oportet esse, et ejusmodi homunciones contemnere.

JUP. Quid ais, Mome? contemnere? non vides quot ipsum audiant, et quam illius persuasionibus contra nos occupati sint? abducatque illos auribus devinctos Damis?

MOM. At tu, quum volueris, Jupiter, catena aurea demissa omnes

Ipsa cum terra huc et cum mare traxeris ad nos.

46. TIM. Dic mihi, exsecrabilis homo, an aliquando navigasti?

DAM. Et sæpe, Timocles.

TIM. Nonne ferebat tum vos ventus in linteum irruens et implens vela, aut etiam remigantes, astabat autem aliquis gubernans et servabat navem?

DAM. Sane.

TIM. Tum navis quidem non navigasset nisi esset gubernata: hoc universum autem sine gubernatore atque duce ferri arbitraris?

JUP. Optime hæc, Timocles, et valide disputas similitudine.

47. DAM. Verum, deorum amantissime Timocles, gubernatorem illum videbas semper cogitare utilia, et ante tempus parare se, et imperare nautis; inutile autem aut irrationabile nihil habebat navis, quod non omnino usui et necessarium ipsis esset ad navigationem. At tuus iste gubernator, quem magnæ præesse navi postulas, et socii illius nautæ, nihil ratione neque pro dignitate constituunt: sed protonus forte funis ad puppim tentus est, pedesque ad proram utrique; et ancoræ interdum aureæ, cheniscus autem plumbeus; et picta quæ mari demerguntur, quæ vero eminent in nave, deformia.

48. Inter ipsos vero nautas videas alium quidem pigrum atque inertem et ad opera suscipienda timidum, dimidiæ esse vel tertiæ parti navis præfectum; alium vero ad natandum strenuum, ad exsiliendum in antennas agilem, et utilium omnium scientem, solum exhaurire sentinam jussum: eandemque inter vectores esse rationem: furciferum quendam primo loco apud gubernatorem assidere et coli; aliumque cinædum, aut parricidam aut sacrilegum, supra reliquos honorari, et summa navis occupare; honestos autem multos in angulo navis confertos, ab iis qui re vera deteriores sunt conculcari. Cogita enim, quomodo Socrates et Aristides navigaverint, et Phocion, qui ne alimentorum quidem satis habuerint, neque extendere pedes nudis in tabulis propter ipsam sentinam potuerint: in quantis contra bonis fuerint Callias, et Midias, et Sardanapalus luxuriantes, eosque qui sub se erant despuentes.

48. Talia tua in navi fiunt, Timocles, vir sapientissime;

Τιμόκλεις· διὰ τοῦτο αἱ ναυαγίαι μυρίαι. Εἰ δέ τις κυβερνήτης ἐφεστὼς ἑώρα καὶ διέταττεν ἕκαστα, πρῶτον μὲν οὐκ ἂν ἠγνόησεν οἵτινες οἱ χρηστοὶ καὶ οἵτινες οἱ φαῦλοι τῶν ἐμπλεόντων, ἔπειτα ἑκάστῳ κατὰ τὴν ἀξίαν τὰ προσήκοντα ἀπένειμεν ἄν, χώραν τε τὴν ἀμείνω τοῖς ἀμείνοσι παρ' αὐτὸν ἄνω, τὴν κάτω δὲ τοῖς χείροσι, καὶ συσσίτους ἔστιν οὓς ἀμείνους καὶ ξυμβούλους ἐποιήσατ' ἄν, καὶ τῶν ναυτῶν ὁ μὲν πρόθυμος ἢ πρῷρας ἐπιμελητὴς ἀπεδέδεικτ' ἂν ἢ τοίχου ἄρχων ἢ πάντως πρὸ τῶν ἄλλων, ὁ δὲ ὀκνηρὸς καὶ ῥᾴθυμος ἐπαίετ' ἂν τῷ καλωδίῳ πεντάκις τῆς ἡμέρας ἐς τὴν κεφαλήν. Ὥστε σοι, ὦ θαυμάσιε, τὸ τῆς νεὼς τοῦτο παράδειγμα κινδυνεύει περιτετράφθαι κακοῦ τοῦ κυβερνήτου τετυχηκός.

50. ΜΩΜ. Ταυτὶ μὲν ἤδη κατὰ ῥοῦν προχωρεῖ τῷ Δάμιδι καὶ πλησίστιος ἐπὶ τὴν νίκην φέρεται.

ΖΕΥΣ. Ὀρθῶς, ὦ Μῶμε, εἰκάζεις. Ὁ δ' οὐδὲν ἰσχυρὸν ὁ Τιμοκλῆς ἐπινοεῖ, ἀλλὰ τὰ κοινὰ ταῦτα καὶ καθ' ἡμέραν ἄλλα ἐπ' ἄλλοις εὐπερίτρεπτα πάντα ἐπαντλεῖ.

51. ΤΙΜ. Οὐκοῦν ἐπεὶ τῆς νεὼς τὸ παράδειγμα οὐ πάνυ σοι ἰσχυρὸν ἔδοξεν εἶναι, ἄκουσον ἤδη τὴν ἱεράν, φασίν, ἄγκυραν καὶ ἣν οὐδεμιᾷ μηχανῇ ἀπορρήξεις.

ΖΕΥΣ. Τί ποτ' ἄρα καὶ ἐρεῖ;

ΤΙΜ. Ἴδε γὰρ εἰ ἀκόλουθα ταῦτα ξυλλογίζομαι, καὶ εἴ πῃ αὐτὰ δυνατόν σοι περιτρέψαι. Εἰ γὰρ εἰσὶ βωμοί, εἰσὶ καὶ θεοί· ἀλλὰ μὴν εἰσὶ βωμοί, εἰσὶν ἄρα καὶ θεοί. Τί πρὸς ταῦτα φῄς;

ΔΑΜ. Ἦν πρότερον γελάσω ἐς κόρον, ἀποκρινοῦμαί σοι.

ΤΙΜ. Ἀλλὰ ἔοικας οὐδὲ παύσεσθαι γελῶν· εἰπὲ δὲ ὅμως ὅπῃ σοι γελοῖον ἔδοξε τὸ εἰρημένον εἶναι.

ΔΑΜ. Ὅτι οὐκ αἰσθάνῃ ἀπὸ λεπτῆς κρόκης ἐξαψάμενός σου τὴν ἄγκυραν, καὶ ταῦτα ἱερὰν οὖσαν· τὸ γὰρ εἶναι θεοὺς τῷ βωμοὺς εἶναι ξυνδήσας ἰσχυρὸν οἴει ποιήσασθαι ἀπ' αὐτῶν τὸν ὅρμον. Ὥστε ἐπεὶ μηδὲν ἄλλο τούτου φῂς ἔχειν εἰπεῖν ἱερώτερον, ἀπίωμεν ἤδη.

52. ΤΙΜ. Ὁμολογεῖς τοίνυν ἡττῆσθαι προαπιών;

ΔΑΜ. Ναί, ὦ Τιμόκλεις. Σὺ γὰρ ὥσπερ οἱ ὑπό τινων βιαζόμενοι ἐπὶ τοὺς βωμοὺς ἡμῖν καταπέφευγας. Ὥστε, νὴ τὴν ἄγκυραν τὴν ἱεράν, ἐθέλω σπείσασθαι ἤδη πρὸς σὲ ἐπ' αὐτῶν γε τῶν βωμῶν, ὡς μηκέτι περὶ τούτων ἐρίζοιμεν.

ΤΙΜ. Εἰρωνεύῃ ταῦτα πρὸς ἐμέ, τυμβωρύχε καὶ μιαρὲ καὶ κατάπτυστε καὶ μαστιγία καὶ κάθαρμα. Οὐ γὰρ ἴσμεν οὗτινος μὲν πατρὸς εἶ, πῶς δὲ ἡ μήτηρ σου ἐπορνεύετο, καὶ ὡς τὸν ἀδελφὸν ἀπέπνιξας καὶ μοιχεύεις καὶ τὰ μειράκια διαφθείρεις, λιχνότατε καὶ ἀναισχυντότατε; Μὴ φεῦγε δ' οὖν, ὡς καὶ πληγὰς παρ' ἐμοῦ λαβὼν ἀπέλθῃς· ἤδη γάρ σε τουτῳὶ τῷ ὀστράκῳ ἀποσφάξω παμμίαρον ὄντα.

53. ΖΕΥΣ. Ὁ μὲν γελῶν, ὦ θεοί, ἀποτρέχει, ὁ δ' ἀκολουθεῖ λοιδορούμενος οὐ φέρων κατατρυφῶντα τὸν

propterea naufragia mille. Si quis vero gubernator astans videret et constitueret singula, primo quidem non ignoraret qui boni, quique mali inter navigantes; deinde unicuique pro dignitate, quæ illi conveniunt, tribueret, locumque meliorem melioribus apud se supra, inferioremque deterioribus; et convictores quosdam ex melioribus consiliariosque faceret; atque inter nautas promtus ille aut proram curare, vel latus, aut omnino præesse aliis juberetur; contra iste piger et omissus, quinquies in diem fune in caput pulsaretur. Itaque hæc tibi navis comparatio, vir optime, ne evertatur periculum est, quippe quæ malum adeo gubernatorem sit nacta.

50. MOM. Hæc secundo sane jam fluxu procedunt Damidi, plenisque ad victoriam velis invehitur.

JUP. Recte conjicis, Mome. At hic Timocles firmum nihil excogitat; verum communia ista et quotidiana, aliud post aliud, quæ tamen facile evertantur omnia, effundit.

51. TIM. Quandoquidem igitur navis tibi comparatio non satis valida visa est, audi jam sacram, aiunt, ancoram, et quam nulla machina abrumpas.

JUP. Quid tandem dicet?

TIM. Videas enim an consequentia colligam ista, et si qua evertere illa possis : si enim sunt altaria, sunt etiam dii : at sunt altaria, sunt ergo etiam dii. Quid ad hæc dicis?

DAM. Quum primum satis risero, tibi respondebo.

TIM. Sed videris non desiturus ridere. Dic vero tamen, qua tibi parte ridiculum visum sit quod dixi.

DAM. Quod non sentis a tenui te filo suspendisse ancoram tuam, eamque sacram. Quum enim illud, esse deos, ad illud alterum alligasti, altaria esse, putas firmum ex his te funem fecisse. Quando igitur negas quicquam te his habere sanctius quod dicas, jam abeamus.

52. TIM. Confiteris ergo te victum, quum prior discedas?

DAM. Recte, Timocles. Tu enim, ut illi quibus vis ab aliis infertur, ad altaria nobis confugisti. Itaque, per ancoram illam sacram, volo jam fœdus tecum ad ipsa illa altaria libatione interposita facere, nos non amplius de hisce rebus tecum velle contendere.

TIM. Cavillaris ista ad me, sepulcrorum effossor, et impure, et despuende, et verbero, et purgamentum. Nonne enim scimus quo sis patre natus, ut meretriciam mater tua vitam egerit, ut etiam fratrem suffocaveris, et adulter sis, et pueros corrumpas, helluo et impudentissime? Noli vero ante fugere quam plagis a me acceptis abeas : jam enim hac te testa jugulabo impuratissimum.

53. JUP. Alter quidem ridens, dii, discedit; alter vero sequitur maledicens, indigne ferens insultare sibi Damin :

Δᾶμιν, καὶ ἔσικεν αὐτὸν πατάξειν τῷ κεράμῳ ἐς τὴν κεφαλήν. Ἡμεῖς δὲ τί ποιοῦμεν ἐπὶ τούτοις;

ΕΡΜ. Ὀρθῶς ἐκεῖνό μοι ὁ κωμικὸς εἰρηκέναι δοκεῖ,

Οὐδὲν πέπονθας δεινόν, ἂν μὴ προσποιῇ.

Τί γὰρ καὶ ὑπέρμεγα κακὸν, εἰ ὀλίγοι ἄνθρωποι ταῦτα πεπεισμένοι ἀπίασι; πολλοὶ γὰρ οἱ τἀναντία γιγνώσκοντες, πλείους Ἑλλήνων, ὁ πολὺς λεὼς καὶ ὁ σύρφαξ βάρβαροί τε ἅπαντες.

ΖΕΥΣ. Ἀλλ', ὦ Ἑρμῆ, τὸ τοῦ Δαρείου πάνυ καλῶς ἔχον ἐστὶν, ὃ εἶπεν ἐπὶ τοῦ Ζωπύρου· ὥστε καὶ αὐτὸς ἐβουλόμην ἂν ἕνα τοιοῦτον ἔχειν οἷον τὸν Δᾶμιν ξύραμαχον ἢ μυρίας μοι Βαβυλῶνας ὑπάρχειν.

et videtur caput illi percussurus tegula. At nos quid facimus post hæc?

MERC. Recte mihi illud dixisse videtur Comicus,

Non passus es, si non fatere, injuriam.

Quod enim ingens malum, si pauci homines persuasum sibi de istis habentes abeunt? multi enim sunt qui contraria sentiant : plures Græcorum, multitudo populi, atque fæx vulgi, omnesque barbari.

JUP. Verum, Mercuri, Darii illud oppido præclarum est, quod dixit de Zopyro. Itaque et ipse malim unum talem habere, qualem Damin, auxiliatorem, quam sexcentas mihi Babylones esse.

XLV.

ΟΝΕΙΡΟΣ Η ΑΛΕΚΤΡΥΩΝ.

1. ΜΙΚΥΛΛΟΣ. Ἀλλὰ σὲ, ὦ κάκιστε ἀλεκτρυών, ὁ Ζεὺς αὐτὸς ἐπιτρίψειε φθονερὸν οὕτω καὶ ὀξύφωνον ὄντα, ὅς με πλουτοῦντα καὶ ἡδίστῳ ὀνείρατι ξυνόντα καὶ θαυμαστὴν εὐδαιμονίαν εὐδαιμονοῦντα διάτορόν τι καὶ γεγωνὸς ἀναβοήσας ἐπήγειρας, ὡς μηδὲ νύκτωρ γοῦν τὴν πολὺ σοῦ μιαρωτέραν πενίαν διαφύγοιμι. Καίτοι εἴ γε χρὴ τεκμαίρεσθαι τῇ τε ἡσυχίᾳ πολλῇ ἔτι οὔσῃ καὶ τῷ κρύει μηδέπω με τὸ ὄρθριον ὥσπερ εἰώθει ἀποπτηγνύντι — γνώμων γὰρ οὗτος ἀψευδέστατός μοι προσελαυνούσης ἡμέρας — οὐδέπω μέσαι νύκτες εἰσὶν, ὁ δὲ ἄϋπνος οὗτος ὥσπερ τὸ χρυσοῦν ἐκεῖνο κώδιον φυλάττων ἀφ' ἑσπέρας εὐθὺς ἤδη κέκραγεν, ἀλλ' οὔτι χαίρων γε· ἀμυνοῦμαι γὰρ ἀμέλει σε, ἢν μόνον ἡμέρα γένηται, συντρίβων τῇ βακτηρίᾳ, νῦν δέ μοι πράγματα παρέξεις μεταπηδῶν ἐν τῷ σκότῳ.

ΑΛΕΚΤΡΥΩΝ. Μίκυλλε δέσποτα, ᾤμην τι χαριεῖσθαί σοι προλαμβάνων τῆς νυκτὸς ὁπόσον ἂν δυναίμην, ὡς ἔχοις ἐπορθρευόμενος ἀνύειν τὰ πολλὰ τῶν ἔργων· ἦν γοῦν πρὶν ἥλιον ἀνίσχειν μίαν κρηπῖδα ἐργάσῃ, πρὸ ὁδοῦ ἔσῃ τοῦτο ἐς τὰ ἄλφιτα πεπονηκώς. Εἰ δέ σοι καθεύδειν ἥδιον, ἐγὼ μὲν ἡσυχάσομαί σοι καὶ πολὺ ἀφωνότερος ἔσομαι τῶν ἰχθύων, σὺ δὲ ὅρα ὅπως μὴ ὄναρ πλουτῶν λιμώττῃς ἀνεγρόμενος.

2. ΜΙΚ. Ὦ Ζεῦ τεράστιε καὶ Ἡράκλεις ἀλεξίκακε, τί τὸ κακὸν τοῦτ' ἐστίν; ἀνθρωπικῶς ἐλάλησεν ἀλεκτρυών.

ΑΛΕΚ. Εἶτά σοι τέρας εἶναι δοκεῖ τὸ τοιοῦτον, εἰ ὁμόφωνος ὑμῖν εἰμι;

ΜΙΚ. Πῶς γὰρ οὐ τέρας; Ἀλλ' ἀποτρέποιτε, ὦ θεοί, τὸ δεινὸν ἀφ' ἡμῶν.

ΑΛΕΚ. Σύ μοι δοκεῖς, ὦ Μίκυλλε, κομιδῇ ἀπαίδευτος εἶναι μηδὲ ἀνεγνωκέναι τὰ Ὁμήρου ποιήματα, ἐν οἷς καὶ ὁ τοῦ Ἀχιλλέως ἵππος ὁ Ξάνθος μακρὰ χαίρειν φράσας τῷ χρεμετίζειν ἔστηκεν ἐν μέσῳ τῷ πολέμῳ διαλεγόμενος ἔπη ὅλα ῥαψῳδῶν, οὐχ ὥσπερ ἐγὼ νῦν ἄνευ τῶν μέτρων, ἀλλὰ καὶ ἐμαντεύετο ἐκεῖνος καὶ

XLV.

SOMNIUM seu GALLUS.

1. MICYLLUS. At te, scelestissime galle, Jupiter ipse obterat, invidum adeo et clamosum animal, qui me divitem et jucundissimo in somnio versantem, et admirabili quadam felicitate beatum, penetrabili illo tuo acutoque clamore excitaveris, ut ne nocte quidem paupertatem, multum vel te impuriorem, effugere liceat. Verumtamen, si quidem ex illo multo adhuc silentio conjiciendum est et ex frigore quod nondum me, ut solet, mane urit (certissimum quippe hoc mihi adventantis diei indicium), media nondum nox est : at hic pervigil, tanquam aureum illud vellus custodiret, a vespera inde statim clamat; sed certe non sic auferet. Ulciscar enim te quum primum illuxerit, et baculo tibi dispergam cerebrum : nunc vero negotium mihi facesseres discurrendo in tenebris.

GALLUS. Micylle here, gratum tibi me putabam facturum, si noctis quantum possem cantu anteverterem, ut posses, ante lucem aggressus, majorem partem operis absolvere : si enim ante solis exortum unam modo crepidam perficias, lucro tibi iste labor ad victum cesserit. Sin dormire tibi jucundius est, equidem tacebo tibi et piscibus ipsis magis ero mutus. At tu vide, ne, dives per quietem, excitatus deinde esurias.

2. MIC. O Jupiter prodigialis, o depulsor malorum Hercules, quid hoc mali est? humana voce gallus locutus est!

GALL. Tum tibi prodigium esse videtur hoc, si eadem qua vos voce utor?

MIC. Qui enim non sit prodigium? Sed averruncate, dii, a nobis malum.

GALL. Videris mihi, Micylle, literarum omnino rudis esse, nec legisse Homeri poemata, in quibus Xanthus Achillis equus, valere longum jusso hinnitu, stetit medio in bello loquens, versus totos consuens, non ut ego nunc extra modulos : verum ille vaticinabatur etiam et divinabat futura, nec tamen inopinatum quid videbatur facere, nec qui

τὰ μέλλοντα προεθέσπιζε, καὶ οὐδέν τι παράδοξον ἐδόκει ποιεῖν, οὐδὲ ὁ ἀκούων ἐπεκαλεῖτο ὥσπερ σὺ τὸν ἀλεξίκακον ἀποτρόπαιον ἡγούμενος τὸ ἄκουσμα. Καίτοι τί ἂν ἐποίησας, εἴ σοι ἡ τῆς Ἀργοῦς τρόπις ἐλάλησεν ἢ Δωδώνη αὐτόφωνος ἐμαντεύσατο, ἢ εἰ βύρσας εἶδες ἐρπούσας καὶ βοῶν κρέα μυκώμενα, ἡμίεφθα, περιπεπαρμένα τοῖς ὀβελοῖς; Ἐγὼ δὲ Ἑρμοῦ πάρεδρος ὢν λαλιστάτου καὶ λογιωτάτου θεῶν ἁπάντων καὶ τἆλλα ὁμοδίαιτος ὑμῖν καὶ σύντροφος οὐ χαλεπῶς ἔμελλον ἐκμαθήσεσθαι τὴν ἀνθρώπων φωνήν. Εἰ δὲ ἐχεμυθήσειν ὑπόσχοιό μοι, οὐκ ἂν ὀκνήσαιμί σοι τὴν ἀληθεστέραν αἰτίαν εἰπεῖν τῆς πρὸς ὑμᾶς ὁμοφωνίας καὶ ὅθεν ὑπάρχει μοι οὕτω λαλεῖν.

3. ΜΙΚ. Ἀλλὰ μὴ ὄνειρος καὶ ταῦτά ἐστιν, ἀλεκτρυὼν οὕτω πρός με διαλεγόμενος; Εἰπὲ δ' οὖν πρὸς τοῦ Ἑρμοῦ, ὦ βέλτιστε, ὅ τι καὶ ἄλλο σοι τῆς φωνῆς αἴτιον. Ὡς δὲ σιωπήσομαι καὶ πρὸς οὐδένα ἐρῶ, τί σε χρὴ δεδιέναι; τίς γὰρ ἂν πιστεύσειέ μοι, εἴ τι διηγοίμην ὡς ἀλεκτρυόνος αὐτὸ εἰπόντος ἀκηκοώς;

ΑΛΕΚ. Ἄκουε τοίνυν. Παραδοξότατόν σοι λόγον εὖ οἶδ' ὅτι λέγω, ὦ Μίκυλλε· οὑτοσὶ γὰρ ὁ νῦν σοι ἀλεκτρυὼν φαινόμενος οὐ πρὸ πολλοῦ ἄνθρωπος ἦν.

ΜΙΚ. Ἤκουσά τι καὶ πάλαι τοιοῦτον ἀμέλει περὶ ὑμῶν ὡς Ἀλεκτρυών τις νεανίσκος φίλος γένοιτο τῷ Ἄρει καὶ ξυμπίνοι τῷ θεῷ καὶ ξυγκωμάζοι καὶ κοινωνοίη τῶν ἐρωτικῶν· ὁπότε γοῦν ἀπίοι παρὰ τὴν Ἀφροδίτην μοιχεύσων ὁ Ἄρης, ἐπάγεσθαι καὶ τὸν Ἀλεκτρυόνα, καὶ ἐπειδήπερ τὸν Ἥλιον μάλιστα ὑφεωρᾶτο, μὴ κατιδὼν ἐξείποι πρὸς τὸν Ἥφαιστον, ἔξω πρὸς ταῖς θύραις ἀπολείπειν ἀεὶ τὸν νεανίσκον μηνύσοντα ὁπότε ἀνίσχοι ὁ Ἥλιος. Εἶτά ποτε κατακοιμηθῆναι μὲν τὸν Ἀλεκτρυόνα καὶ προδοῦναι τὴν φρουρὰν ἄκοντα, τὸν δὲ Ἥλιον λαθόντα ἐπιστῆναι τῇ Ἀφροδίτῃ καὶ τῷ Ἄρει ἀφρόντιδι ἀναπαυομένῳ διὰ τὸ πιστεύειν τὸν Ἀλεκτρυόνα μηνῦσαι ἄν, εἴ τις ἐπίοι· καὶ οὕτω τὸν Ἥφαιστον παρ' Ἡλίου μαθόντα συλλαβεῖν αὐτοὺς περιβαλόντα καὶ σαγηνεύσαντα τοῖς δεσμοῖς, ἃ πάλαι πεποίητο ἐπ' αὐτούς· ἀφεθέντα δὲ τὸν Ἄρη ἀγανακτῆσαι κατὰ τοῦ Ἀλεκτρυόνος καὶ μεταβαλεῖν αὐτὸν ἐς τουτὶ τὸ ὄρνεον αὐτοῖς ὅπλοις, ὡς ἔτι τῆς κόρυθος τὸν λόφον ἔχειν ἐπὶ τῇ κεφαλῇ, καὶ διὰ τοῦτο ὑμᾶς ἀπολογουμένους τῷ Ἄρει, ὅτ' οὐδὲν ὄφελος, ἐπειδὰν αἴσθησθε ἀνελευσόμενον τὸν Ἥλιον, πρὸ πολλοῦ βοᾶν ἐπισημαινομένους τὴν ἀνατολὴν αὐτοῦ.

4. ΑΛΕΚ. Φασὶ μὲν καὶ ταῦτα, ὦ Μίκυλλε, τὸ δ' ἐμὸν ἑτεροῖόν τι γέγονε καὶ πάνυ ἔναγχος ἐς ἀλεκτρυόνα σοι μεταβέβηκα.

ΜΙΚ. Πῶς; ἐθέλω γὰρ τοῦτο μάλιστα εἰδέναι.

ΑΛΕΚ. Ἀκούεις τινὰ Πυθαγόραν Μνησαρχίδην Σάμιον;

ΜΙΚ. Τὸν σοφιστὴν λέγεις, τὸν ἀλαζόνα, ὃς ἐνομοθέτει μήτε κρεῶν γεύεσθαι μήτε κυάμους ἐσθίειν, ἥδιστον ἐμοὶ γοῦν ὄψον ἐκτράπεζον ἀποφαίνων, ἔτι δὲ πείθων τοὺς ἀνθρώπους ἐς πέντε ἔτη μὴ διαλέγεσθαι;

audiebat, invocabat ita, uti tu, depulsorem malorum, abominandum putans quod audiret. Verum quid fecisses, si tibi illa Argus navis carina locuta, aut Dodonæ nemus sua voce vaticinata esset? aut si tergora vidisses repentia, et boum carnes mugientes, semiassas, confixas verubus? Ego vero, Mercurio assiduus comes, loquacissimo et eloquentissimo deorum omnium, ac ceteroquin contubernalis vester atque convictor, non multum laboraturus eram in addiscendo sermone humano. Si vero sanctum mihi silentium promiseris, non pigrabor veriorem tibi causam meæ cum sermone vestro communionis dicere, et unde sic loqui mihi contigerit.

3. MIC. Verum nonne somnium et hoc est, gallus ita mecum loquens? Dic ergo, per Mercurium, optime, quæ etiam alia tibi sit loquelæ causa. Ut vero taceam et ad neminem quicquam dicam, quid est quod metuas? quis enim crederet mihi, si cui narrarem, tanquam qui de gallo ista dicente audierim?

GALL. Audi ergo. Remotum ab omnium opinione esse quod tibi dico, bene novi, Micylle. Hic enim, qui nunc tibi gallus esse apparet, non ita multo ante homo erat.

MIC. Audivi quiddam tale olim sane de vobis, Gallum quendam juvenem amicum fuisse Marti, potasse cum deo et comissatum ivisse, et amoribus illius subserviisse. Quoties enim abiret ad Venerem Mars adulterii causa, adduxisse etiam Gallum: quumque Solem præsertim suspectum haberet, ne rem visam Vulcano enunciaret; extra ad januas reliquisse semper juvenem, indicaturum sibi quando Sol exoriretur. Tum obdormivisse aliquando Gallum, suumque præsidium imprudentem prodidisse, Solem vero non animadversum astitisse Veneri et requiescenti sine cura Marti, qui crederet indicaturum, si quis adveniret, Gallum: atque ita Vulcanum a Sole edoctum, ipsos comprehendisse, injectis vinculis irretitos, quæ olim illis parasset. Dimissum vero Martem, iratum Gallo, illum ipsis cum armis in avem cognominem mutasse, ut galeæ etiamnum cristam haberet in capite. Eam ob causam vos, ut excusetis vos Marti, quum nihil jam prodest, quando sentiatis orientem Solem, canere diu ante, ejusque ortum significare.

4. GALL. Aiunt quidem et ista, Micylle: mea autem ratio alia fuit, qui plane nuper in gallum tibi transierim.

MIC. Quomodo? velim enim hoc maxime scire.

GALL. Nosti Pythagoram quendam Mnesarchi filium, Samium?

MIC. Sophistam illum ais, illum nebulonem, qui legem tulit de carnibus non gustandis, de non edendis fabis, qua lege suavissimum mihi quidem pulmentum a mensis removit, qui præterea persuasit hominibus, ut per quinque annos inter se non colloquerentur?

ΑΛΕΚ. Ἴσθι δῆτα κἀκεῖνο, ὡς πρὸ τοῦ Πυθαγόρου Εὔφορβος γένοιτο.

ΜΙΚ. Γόητά φασι καὶ τερατουργὸν τὸν ἄνθρωπον, ὦ ἀλεκτρυών.

ΑΛΕΚ. Ἐκεῖνος αὐτὸς ἐγώ σοί εἰμι ὁ Πυθαγόρας, ὥστε παῦ', ὦγαθέ, λοιδορούμενός μοι καὶ ταῦτα οὐκ εἰδὼς οἵος τις ἦν τὸν τρόπον.

ΜΙΚ. Τοῦτ' αὖ μακρῷ ἐκείνου τερατωδέστερον, ἀλεκτρυὼν φιλόσοφος. Εἰπὲ δὲ ὅμως, ὦ Μνησάρχου παῖ, ὅπως ἡμῖν ἀντὶ μὲν ἀνθρώπου ὄρνις, ἀντὶ δὲ Σαμίου Ταναγρικὸς ἀναπέφηνας· οὐ πιθανὰ γὰρ ταῦτα οὐδὲ πάνυ πιστεῦσαι ῥᾴδια, ἐπεὶ καὶ δύ' ἤδη μοι τετηρηκέναι δοκῶ πάνυ ἐν σοὶ ἀλλότρια τοῦ Πυθαγόρου.

ΑΛΕΚ. Τὰ ποῖα;

ΜΙΚ. Ἓν μὲν ὅτι λάλος εἶ καὶ κρακτικὸς, ὁ δὲ σιωπᾶν ἐς πέντε ὅλα ἔτη οἶμαι παρῄνει, ἕτερον δὲ καὶ παντελῶς παράνομον· οὐ γὰρ ἔχων ὅ τί σοι παραβάλοιμι, κυάμους χθὲς ἦκον ὡς οἶσθα ἔχων, καὶ σὺ οὐδὲν μελλήσας ἀνέλεξας αὐτούς· ὥστε ἢ ἐψεῦσθαί σοι ἀνάγκη καὶ ἄλλῳ εἶναι ἢ Πυθαγόρᾳ ὄντι παρανενομηκέναι καὶ τὸ ἴσον ἠσεβηκέναι κυάμους φαγόντα ὡς ἂν εἰ τὴν κεφαλὴν τοῦ πατρὸς βεβρώκεις.

6. ΑΛΕΚ. Οὐ γὰρ οἶσθα, ὦ Μίκυλλε, ἥτις αἰτία τούτων οὐδὲ τὰ πρόσφορα ἑκάστῳ βίῳ. Ἐγὼ δὲ τότε μὲν οὐκ ἤσθιον τῶν κυάμων, ἐφιλοσόφουν γάρ· νῦν δὲ φάγοιμ' ἄν, ὀρνιθικὴ γὰρ καὶ οὐκ ἀπόρρητος ἡμῖν ἡ τροφή. Πλὴν ἀλλὰ εἴ σοι φίλον, ἄκουε ὅπως ἐκ Πυθαγόρου τοῦτο νῦν εἰμι καὶ ἐν οἵοις βίοις πρότερον ἐβιότευσα καὶ ἅτινα τῆς μεταβολῆς ἑκάστης ἀπολέλαυκα.

ΜΙΚ. Λέγοις ἄν· ὡς ἔμοιγε ὑπερήδιστον ἂν τὸ ἀκουσμα γένοιτο, ὥστε εἴ τις αἵρεσιν προθείη, πότερα μᾶλλον ἐθέλω σοῦ ἀκούειν τὰ τοιαῦτα διεξιόντος ἢ τὸν πανευδαίμονα ὄνειρον ἐκεῖνον αὖθις ὁρᾶν τὸν μικρὸν ἔμπροσθεν, οὐκ οἶδα ὁπότερον ἂν ἑλοίμην· οὕτως ἀδελφὰ ἡγοῦμαι τὰ σὰ τοῖς ἡδίστοις φανεῖσι καὶ ἐν ἴσῃ ὑμᾶς τιμῇ ἄγω σέ τε καὶ τὸ πολυτίμητον ἐνύπνιον.

ΑΛΕΚ. Ἔτι γὰρ σὺ ἀναπεμπάζῃ τὸν ὄνειρον τίς ποτε ὁ φανείς σοι ἦν καί τινα ἐνδάλματα μάταια διαφυλάττεις, κενὴν καὶ ὡς ὁ ποιητικὸς λόγος ἀμενηνήν τινα εὐδαιμονίαν τῇ μνήμῃ μεταδιώκων;

6. ΜΙΚ. Ἀλλ' οὐδὲ ἐπιλήσομαί ποτε, ὦ ἀλεκτρυών, εὖ ἴσθι τῆς ὄψεως ἐκείνης· οὕτω μοι πολὺ τὸ μέλι ἐν τοῖς ὀφθαλμοῖς ὁ ὄνειρος καταλιπὼν ᾤχετο, ὡς μόγις ἀνοίγειν τὰ βλέφαρα ὑπ' αὐτοῦ ἐς ὕπνον αὖθις κατασπώμενα. Οἷον γοῦν ἐν τοῖς ὠσὶ τὰ πτερὰ ἐργάζεται στρεφόμενα, τοιοῦτον γάργαλον παρεῖχέ μοι τὰ ὁρώμενα.

ΑΛΕΚ. Ἡράκλεις, δεινόν τινα τὸν ἔρωτα φῄς τοῦ ἐνυπνίου, εἴ γε πτηνὸς ὤν, ὥς φασι, καὶ ὄρον ἔχων τῆς πτήσεως τὸν ὕπνον ὑπὲρ τὰ ἐσκαμμένα ἤδη πηδᾷ καὶ ἐνδιατρίβει ἀνεῳγόσι τοῖς ὀφθαλμοῖς μελιχρὸς οὗτος καὶ ἐναργὴς φαινόμενος· ἐθέλω γοῦν ἀκοῦσαι οἷός τίς ἐστιν οὕτω σοι περιπόθητος ὤν.

ΜΙΚ. Ἕτοιμος λέγειν· ἡδὺ γοῦν μοι τὸ μεμνῆσθαι

GALL. Noris ergo illud quoque, eum ante Pythagoram fuisse Euphorbum.

MIC. Impostorem aiunt et præstigiatorem fuisse hominem istum, o galle.

GALL. Ille ipse ego tibi adsum Pythagoras: itaque desine, bone vir, mihi maledicere, idque quum nescias quibus fuerim moribus.

MIC. Hoc jam multum illo portentosius, gallus philosophus! Verum dic tamen, Mnesarchi fili, quomodo nobis pro homine avis, pro Samio autem Tanagræus factus sis: neque enim probabilia sunt ista nec valde creditu facilia, quum præsertim duo jam mihi observasse in te videar plane a Pythagora aliena.

GALL. Quænam?

MIC. Unum, quod loquax es, et clamosus; at ille tacere per quinque, puto, annos solidos hortabatur: alterum autem omnino etiam legibus illius adversum; quum enim non haberem quod tibi objicerem in cibum, fabas heri, quod scis, habens domum veni, et tu nihil cunctatus illas sublegisti. Itaque alterutrum necesse est, aut mentitum te et alium esse, aut, si sis Pythagoras, legem a te violatam et æque factum impie, quum fabas devorasti, quam si caput parentis edisses.

5. GALL. Videlicet non nosti, Micylle, quæ sit horum causa, neque quæ unicuique vitæ conveniant. At ego tum fabas non edebam; philosophabar enim: jam vero licet edam; gallinaceus enim neque interdictus ille nobis cibus est. Sed, si placet, audi quomodo ex Pythagora hoc nunc sim, et in quibus ante vitis vixerim, et quid ex unaquaque mutatione commodi vel incommodi ad me pervenerit.

MIC. Dixeris: nam mihi quidem supra quam dici potest jucundum fuerit audire; adeo ut si quis mihi optionem proponat, utrum malim te audire talia enarrantem, an illud beatum undique somnium, quod paullo ante mihi obtigit, rursus somniare, nesciam utrum præoptem: ita geminos arbitror tuos sermones visis jucundissimis, et in æquali vos honore habeo, te, et pretiosissimum illud somnium.

GALL. Adhucnam retractas illud somnium, quale fuerit quod tibi oblatum est, et vana quædam simulacra illius servas, inanem et, poetico verbo, cassam quandam felicitatem memoria persequens?

6. MIC. Ego vero nunquam, galle, obliviscar, bene noris, illius visi: adeo multo mihi melle in oculis relicto abiit, ut vix aperiam præ illo palpebras in somnum rursus detractas. Quale quid enim conversæ in auribus plumæ efficiunt, talem illa visa præstitere mihi titillationem.

GALL. Mirum, Hercule, mihi narras amorem insomnii; si volucre quum sit et terminum sui volatus somnum habeat, jam transilit lineam, et apertis in oculis commoratur, mellitum adeo, et manifesto conspiciendum se præbens. Volo igitur audire, quale sit, quod adeo tibi sit desiderabile.

MIC. Paratus sum dicere: suave enim est mihi recordari

καὶ διεξιέναι τι περὶ αὐτοῦ. Σὺ δὲ πηνίκα, ὦ Πυθαγόρα, διηγήσῃ τὰ περὶ τῶν μεταβολῶν;

ΑΛΕΚ. Ἐπειδὰν σὺ, ὦ Μίκυλλε, παύσῃ ὀνειρώττων καὶ ἀποψήσῃ ἀπὸ τῶν βλεφάρων τὸ μέλι· τὸ νῦν δὲ πρότερος εἰπέ, ὡς μάθω εἴτε διὰ τῶν ἐλεφαντίνων πυλῶν εἴτε διὰ τῶν κερατίνων σοι ὁ ὄνειρος ἦκε πεμπόμενος.

ΜΙΚ. Οὐδὲ δι' ἑτέρας τούτων, ὦ Πυθαγόρα.

ΑΛΕΚ. Καὶ μὴν Ὅμηρος δύο μόνας ταύτας λέγει.

ΜΙΚ. Ἔα χαίρειν τὸν λῆρον ἐκεῖνον ποιητὴν οὐδὲν εἰδότα ὀνείρων πέρι. Οἱ πένητες ἴσως ὄνειροι διὰ τῶν τοιούτων ἐξίασιν, οἵους ἐκεῖνος ἑώρα οὐδὲ πάνυ σαφῶς τυφλὸς αὐτὸς ὤν, ἐμοὶ δὲ διὰ χρυσῶν τινων πυλῶν ὁ ἥδιστος ἀφίκετο, χρυσοῦς καὶ αὐτὸς, χρυσᾶ πάντα περιβεβλημένος καὶ πολὺ ἐπαγόμενος χρυσίον.

ΑΛΕΚ. Παῦε, ὦ Μίδα βέλτιστε, χρυσολογῶν· ἀτεχνῶς γὰρ ἐκ τῆς ἐκείνου σοι εὐχῆς τὸ ἐνύπνιον καὶ μέταλλα ὅλα χρύσεια κεκοιμῆσθαί μοι δοκεῖς.

7. ΜΙΚ. Πολὺ, ὦ Πυθαγόρα, χρυσίον εἶδον, πολὺ, πῶς οἷει καλὸν, οἷαν τὴν αὐγὴν ἀπαστράπτον; Τί ποτε ὁ Πίνδαρός φησι περὶ αὐτοῦ ἐπαινῶν; ἀνάμνησον γάρ με, εἰ οἶσθα, ὁπότε ὕδωρ ἄριστον εἰπὼν εἶτα τὸ χρυσίον θαυμάζει, εὖ ποιῶν, ἐν ἀρχῇ εὐθὺς τοῦ βιβλίου, κάλλιστόν τι ᾀσμάτων ἁπάντων.

ΑΛΕΚ. Μῶν ἐκεῖνο ζητεῖς,

> ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ
> ἅτε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου.

ΜΙΚ. Νὴ Δία τοῦτ' αὐτό· ὥσπερ γὰρ τοὐμὸν ἐνύπνιον ἰδὼν ὁ Πίνδαρος οὕτως ἐπαινεῖ τὸ χρυσίον. Ὡς δὲ ἤδη μάθῃς οἷόν τι ἦν, ἄκουσον, ὦ σοφώτατε ἀλεκτρυών. Ὅτι μὲν οὐκ οἰκόσιτος ἦν χθὲς, οἶσθα· Εὐκράτης γάρ με ὁ πλούσιος ἐντυχὼν ἐν ἀγορᾷ λουσάμενον ἥκειν ἐκέλευε τὴν ὥραν ἐπὶ τὸ δεῖπνον.

8. ΑΛΕΚ. Οἶδα πάνυ τοῦτο πεινήσας παρ' ὅλην τὴν ἡμέραν, ἄχρι μοι βαθείας ἤδη ἑσπέρας ἦκες ὑποβεβρεγμένος τοὺς πέντε κυάμους ἐκείνους κομίζων οὐ πάνυ δαψιλὲς τὸ δεῖπνον ἀλεκτρυόνι ἀθλητῇ ποτε γενομένῳ καὶ Ὀλύμπια οὐκ ἀφανῶς ἀγωνισαμένῳ.

ΜΙΚ. Ἐπεὶ δὲ δειπνήσας ἐπανῆλθον, ἐκάθευδον εὐθὺς τοὺς κυάμους σοι παραβαλών, εἶτά μοι κατὰ τὸν Ὅμηρον ἀμβροσίην διὰ νύκτα θεῖός τις ὡς ἀληθῶς ὄνειρος ἐπιστὰς ...

ΑΛΕΚ. Τὰ παρὰ τῷ Εὐκράτει πρότερον, ὦ Μίκυλλε, διήγησαι καὶ τὸ δεῖπνον οἷον ἐγένετο καὶ τὰ ἐν τῷ συμποσίῳ ἅπαντα· κωλύει γὰρ οὐδὲν αὖθίς σε δειπνεῖν ὥσπερ ὄνειρόν τινα τοῦ δείπνου ἐκείνου ἀναπλάττοντα καὶ ἀναμηρυκώμενον τῇ μνήμῃ τὰ βεβρωμένα.

9. ΜΙΚ. Ὤμην ἐνοχλήσειν καὶ ταῦτα διηγούμενος· ἐπεὶ δὲ σὺ προθυμῇ, καὶ δὴ λέγω. Οὐ πρότερον, ὦ Πυθαγόρα, παρὰ πλουσίῳ τινὶ δειπνήσας ἐν ἅπαντι τῷ βίῳ τύχῃ τινὶ ἀγαθῇ ἐντυγχάνω χθὲς τῷ Εὐκράτει, καὶ ἐγὼ μὲν προσειπὼν αὐτὸν ὥσπερ εἰώθειν δεσπότην ἀπηλλαττόμην, ὡς μὴ καταισχύνοιμι αὐτὸν

et aliquid de illo narrare. Tu vero, Pythagora, quando de mutationibus tuis expones?

GALL. Quum tu, Micylle, somniare desieris et deterseris mel a palpebris. Jam vero prior dicito, uti audiam utrum per eburneas portas, an per corneas missum tibi advenerit somnium.

MIC. Per neutram harum, Pythagora.

GALL. Verum Homerus solas istas duas refert.

MIC. Valere jube nugatorem illum poetam, somniorum imperitum. Paupercula forte insomnia per illas exeunt, qualia ille, neque ipsa satis dilucide, utpote cæcus homo, videbat. At mihi per aureas quasdam portas venit dulcissimum, aureum et ipsum, et auro vestitum undique, multum quoque secum afferens auri.

GALL. Desine, bone Mida, aurum loqui. Sine dubio enim ex illius voto istud tibi somnium, et tota auri metalla somniasse mihi videris.

7. MIC. Multum, Pythagora, aurum vidi, multum : quam putas pulchrum! quo splendore fulgens! Quid tandem Pindarus in illius laude dicit? in memoriam me repone, si nosti, quum ubi aquam dixit optimam, deinde aurum admiratur, bene ille quidem, in principio statim libri : pulcherrimum est canticorum omnium.

GALL. Num illud quæris,

> Aqua est illa quidem optima : aurum at, ardida flamma
> veluti nocte lucens, super inclyta munera Pluti est.

MIC. Per Jovem, hoc ipsum : velut enim meum si somnium vidisset Pindarus, sic laudat aurum. Ut vero jam scias quale fuerit, audi, galle doctissime. Heri me domi non cœnasse, nosti. Eucrates enim dives in foro me quum vidisset, a balneo venire jussit hora dicta ad cœnam.

8. GALL. Probe equidem novi, qui toto die esurierim, donec mihi sero vespere aliquantum vino madidus domum veniens, quinque illas fabas ferres, cœnam non valde lautam gallo qui athleta quondam fuerit, nec sine fama certaverit Olympia.

MIC. A cœna igitur redux, objectis tibi fabis, cubitum statim concessi. Tum mihi, ut Homerus ait,

> Nocte sub ambrosia, divinum somnium adesse,

ac vere divinum ...

GALL. Illa prius, quæ apud Eucratem acta sunt, Micylle, narra, et cœnam qualis fuerit, et convivii rationem universam. Neque enim quicquam prohibet quominus denuo cœnes, et tanquam somnium quoddam illius cœnæ effingas, et memoria cibos quasi ruminando retractes.

9. MIC. Putabam molestum tibi me futurum, si illa etiam enarrarem : quando autem et tu vis, ecce dico. Nunquam ante illum diem, Pythagora, quum tota vita mea apud divitem cœnassem, bona quadam fortuna heri incido in Eucratem. Atque ego quum illum, ut solebam, salutassem dominum, abibam, ne pudori ipsi essem assectator detrito pal-

ἐν τριβακῷ τῷ τρίβωνι συμπαρομαρτῶν, ὁ δὲ, Μίκυλλε, φησὶ, θυγατρὸς τήμερον ἑστιῶ γενέθλια καὶ παρεκάλεσα τῶν φίλων μάλα πολλούς· ἐπεὶ δέ τινά φασιν αὐτῶν μαλακῶς ἔχοντα οὐχ οἷόν τε εἶναι ξυνδειπνεῖν μεθ' ἡμῶν, σὺ ἀντ' ἐκείνου ἧκε λουσάμενος, ἢν μὴ ὅ γε κληθεὶς αὖθις εἴπῃ ἀφίξεσθαι, ὡς νῦν γε ἀμφίβολός ἐστι. Τοῦτο ἀκούσας ἐγὼ προσκυνήσας ἀπῄειν εὐχόμενος ἅπασι θεοῖς ἠπίαλόν τινα ἢ πλευρῖτιν ἢ ποδάγραν ἐπιπέμψαι τῷ μαλακιζομένῳ ἐκείνῳ, οὗ ἔφεδρος ἐγὼ καὶ ἀντίδειπνος καὶ διάδοχος ἐκεκλήμην· καὶ τὸ ἄχρι τοῦ λουτροῦ αἰῶνα μέγιστον ἐτιθέμην, συνεχὲς ἐπισκοπῶν ὁποσάπουν τὸ στοιχεῖον εἴη καὶ πηνίκα ἤδη λελοῦσθαι δέοι. Καπειδή ποτε ὁ καιρὸς ἀφίκετο, πρὸς τάχος ἐμαυτὸν ἀπορρύψας ἅπειμι κοσμίως μάλα ἐσχηματισμένος, ἀναστρέψας τὸ τριβώνιον ὡς ἐπὶ τοῦ καθαρωτέρου γένοιτο ἡ ἀναβολή.

10. Καταλαμβάνω τε πρὸς ταῖς θύραις ἄλλους τε πολλοὺς καὶ δὴ κἀκεῖνον φοράδην ὑπὸ τεττάρων κεκομισμένον, ᾧ με ὑποδειπνεῖν ἔδει, τὸν νοσεῖν λεγόμενον, καὶ ἐδήλου δὲ πονήρως ἔχων· ὑπέστενε γοῦν καὶ ὑπέβηττε καὶ ἐχρέμπτετο μύχιόν τι καὶ δυσπρόσοδον, ὠχρὸς ὅλος ὢν καὶ διῳδηκὼς ἀμφὶ τὰ ἑξήκοντα ἔτη σχεδόν· ἐλέγετο δὲ φιλόσοφός τις εἶναι τῶν πρὸς τὰ μειράκια φλυαρούντων. Ὁ γοῦν πώγων μάλα τραγικὸς ἦν ἐς ὑπερβολὴν κουριῶν. Καὶ αἰτιωμένου γε Ἀρχιβίου τοῦ ἰατροῦ, διότι οὕτως ἔχων ἀφίκετο, Τὰ καθήκοντα, ἔφη, οὐ χρὴ προδιδόναι καὶ ταῦτα φιλόσοφον ἄνδρα, κἂν μυρίαι νόσοι ἐμποδὼν ἱστῶνται· ἡγήσεται γὰρ Εὐκράτης ὑπερωρᾶσθαι πρὸς ἡμῶν. Οὐ μὲν οὖν, εἶπον ἐγὼ, ἀλλ' ἐπαινέσεταί σε, ἢν οἶκοι παρὰ σαυτῷ μᾶλλον ἀποθανεῖν ἐθέλῃς ἤπερ ἐν τῷ συμποσίῳ συναναχρεμψάμενος τὴν ψυχὴν μετὰ τοῦ φλέγματος. Ἐκεῖνος μὲν οὖν ὑπὸ μεγαλοφροσύνης οὐ προσεποιεῖτο ἀκηκοέναι τοῦ σκώμματος· ἐφίσταται δὲ μετὰ μικρὸν Εὐκράτης λελουμένος καὶ ἰδὼν τὸν Θεσμόπολιν — τοῦτο γὰρ ὁ φιλόσοφος ἐκαλεῖτο — Διδάσκαλε, φησὶν, εὖ μὲν ἐποίησας αὐτὸς ἧκων παρ' ἡμᾶς, οὐ μεῖον δ' ἄν τι ἐγένετο, καὶ ἀπόντι γὰρ ἅπαντα ἐξῆς ἀπέσταλτο ἄν· καὶ ἅμα λέγων ἐσῄει χειραγωγῶν τὸν Θεσμόπολιν ἐπερειδόμενον καὶ τοῖς οἰκέταις.

11. Ἐγὼ μὲν οὖν ἀπιέναι παρεσκευαζόμην, ὁ δὲ ἐπιστραφεὶς καὶ ἐπὶ πολὺ ἐνδοιάσας, ἐπεί με πάνυ σκυθρωπὸν εἶδε, Πάριθι, ἔφη, καὶ σὺ, ὦ Μίκυλλε, καὶ συνδείπνει μεθ' ἡμῶν· τὸν υἱὸν γὰρ ἐγὼ κελεύσω ἐν τῇ γυναικωνίτιδι μετὰ τῆς μητρὸς ἑστιᾶσθαι, ὡς σὺ χώραν ἔχοις. Ἐσῄειν οὖν μάτην λύκος χανὼν παρὰ μικρὸν, αἰσχυνόμενος ὅτι ἐδόκουν ἐξεληλακέναι τοῦ συμποσίου τὸ παιδίον τοῦ Εὐκράτους. Καπειδὴ κατακλίνεσθαι καιρὸς ἦν, πρῶτον μὲν ἁράμενοι ἀνέθεσαν τὸν Θεσμόπολιν οὐκ ἀπραγμόνως μὰ Δία πέντε οἶμαι νεανίσκοι εὐμεγέθεις ὑπαυχένια περιβύσαντες αὐτῷ πάντοθεν, ὡς διαμένοι ἐν τῷ σχήματι καὶ ἐπὶ πολὺ καρτερεῖν δύναιτο. Εἶτα μηδενὸς ἀνεχομένου πλησίον κατακεῖσθαι αὐτοῦ ἐμὲ ὑποκατακλίνουσι φέροντες, ὡς liolo indutus. At ille, Micylle, inquit, natalitias hodie filiæ meæ epulas celebro, et vocavi amicorum plurimos: quando autem aiunt quendam illorum, morbo impeditum, non posse cœnare nobiscum, tu pro illo veni a balneo, nisi ipse qui vocatus est se venturum renunciet: nam adhuc quidem dubius est. His ego auditis, illoque adorato, discessi vota faciens omnibus diis, ut febriculosum horrorem, aut pleuritin, aut podagram illi ægroto immitterent, cui subsessor ego et cœnæ vicarius atque successor vocatus eram. Atque tempus illud usque ad balneum ætatem esse arbitrabar longissimam, sæpissime respiciens quot pedum umbra solarii esset, et quando denique me lotum esse oporteret. Et quum tandem venisset tempus, celeriter detersis mihi sordibus abeo, in decentem maxime habitum compositus, converso palliolo, ut purior pars extra obversa esset.

10. Ac deprehendo ad januam quum alios multos, tum illum quoque, a quattuor hominibus in lectica gestatum, cui ego substitutus conviva esse debebam, illum qui ægrotare dicebatur; et manifestum erat illum male habere; subinde enim ingemiscebat, et tussiebat ex imis recessibus, ita ut prope ipsum accedere metueres, pallidus totus atque tumidus, sexagenarius circiter: dicebatur vero philosophus esse de eo genere, qui garrire solent apud adolescentulos. Barba certe ei plane caprina erat, supra modum tonsorem invitans. Atque accusante illum Archibio medico, quod ita se habens veniret, Officium, inquit, non decet deserere, virum præsertim philosophum, si vel sexcenti morbi obsistant: contemtum enim se a nobis putaret Eucrates. Quin, dicebam ego, laudabit te, si domi apud te potius mori velis, quam in convivio ipsam cum pituita animam extussiens. Ille quidem præ magnitudine animi se audisse dictum dissimulabat. Adest vero paullo post lotus Eucrates ac videns Thesmopolin (hoc enim vocabatur ille philosophus), Bene tu quidem, inquit, fecisti, magister, ad nos quum venisti: sed nihil damni facturus eras, nam absenti etiam omnia deinceps missurus eram: et cum his verbis intrat manus illi præbens servis insuper innixo.

11. Ego igitur abire parabam, quum ipse conversus ac multum dubitans, quando vultu me valde dejecto vidit, Accede, inquit, tu etiam, Micylle, et cœna nobiscum: filium enim jubebo in gynæconitide epulari cum matre, ut locum tu habeas. Intro igitur eo, tantum non frustra hians lupus, erubescens quod convivio expulisse viderer filiolum Eucratis. Et quum accumbendi jam tempus esset, primo sublatum apposuere Thesmopolin non sine labore quinque, puto, juvenes bene magni, cervicalibus illum fulcientes undique, ut in eo situ maneret ac durare aliquamdiu posset. Deinde quod nemo prope illum accumbere sustineret, me eo detrudunt, ut eadem mensa uteremur. Hinc igitur

δμοτράπεζοι εἴημεν. Τοὐντεῦθεν ἐδειπνοῦμεν, ὦ Πυθαγόρα, πολύοψόν τι καὶ ποικίλον δεῖπνον ἐπὶ χρυσοῦ πολλοῦ καὶ ἀργύρου· καὶ ἐκπώματα ἦν χρυσᾶ καὶ διάκονοι ὡραῖοι καὶ μουσουργοὶ καὶ γελωτοποιοὶ μεταξύ, καὶ ὅλως ἡδίστη τις ἦν ἡ διατριβή, πλὴν ἀλλ' ἓν με ἐλύπει, οὐ μετρίως ὁ Θεσμόπολις ἐνοχλῶν καὶ ἀρετήν τινα πρός με διεξιὼν καὶ διδάσκων ὡς αἱ δύο ἀποφάσεις μίαν κατάφασιν ἀποτελοῦσι καὶ ὡς εἰ ἡμέρα ἐστί, νὺξ οὐκ ἔστιν, ἐνίοτε δὲ καὶ κέρατα ἔφασκεν εἶναί μοι. Τοιαῦτα πολλὰ οὐδὲν δεομένῳ προσφιλοσοφῶν συνεῖρε καὶ ὑπετέμνετο τὴν εὐφροσύνην οὐκ ἐῶν ἀκούειν τῶν κιθαριζόντων ἢ ᾀδόντων. Τοιοῦτο μέν σοι, ὦ ἀλεκτρυών, τὸ δεῖπνον.

ΑΛΕΚ. Οὐχ ἥδιστον, ὦ Μίκυλλε, καὶ μάλιστα ἐπεὶ συνεκληρώθης τῷ λήρῳ ἐκείνῳ γέροντι.

12. ΜΙΚ. Ἄκουε δὲ ἤδη καὶ τὸ ἐνύπνιον· ὤμην γὰρ τὸν Εὐκράτην αὐτὸν ἄπαιδα ὄντα οὐκ οἶδ' ὅπως ἀποθνήσκειν, εἶτα προσκαλέσαντά με καὶ διαθήκας θέμενον, ἐν αἷς ὁ κληρονόμος ἦν ἁπάντων ἐγώ, μικρὸν ἐπισχόντα ἀποθανεῖν· ἐμαυτὸν δὲ παρελθόντα ἐς τὴν οὐσίαν τὸ μὲν χρυσίον καὶ τὸ ἀργύριον ἐξαντλεῖν σκάφαις τισὶ μεγάλαις ἀένάον τε καὶ πολὺ ἐπιρρέον, τὰ δ' ἄλλα, τὴν ἐσθῆτα καὶ τραπέζας καὶ ἐκπώματα καὶ διακόνους, πάντα ἐμὰ ὡς τὸ εἰκὸς εἶναι. Εἶτα ἐξήλαυνον ἐπὶ λευκοῦ ζεύγους, ἐξυπτιάζων, περίβλεπτος ἅπασι τοῖς ὁρῶσι καὶ ἐπίφθονος. Καὶ προέθεον πολλοὶ καὶ προΐππευον καὶ εἵποντο πλείους. Ἐγὼ δὲ τὴν ἐσθῆτα τὴν ἐκείνου ἔχων καὶ δακτυλίους βαρεῖς ὅσον ἐκκαίδεκα ἐξημμένος τῶν δακτύλων ἐκέλευον ἑστίασίν τινα λαμπρὰν εὐτρεπισθῆναι ἐς ὑποδοχὴν τῶν φίλων· οἱ δὲ ὡς ἐν ὀνείρῳ εἰκὸς ἤδη παρῆσαν καὶ τὸ δεῖπνον ἄρτι ἐσεκομίζετο καὶ ὁ πότος συνεκροτεῖτο. Ἐν τούτῳ ὄντα με καὶ φιλοτησίας προπίνοντα ἐν χρυσαῖς φιάλαις ἑκάστῳ τῶν παρόντων ἤδη τοῦ πλακοῦντος ἐσκομιζομένου ἀναβοήσας ἀκαίρως συνετάραξας μὲν ἡμῖν τὸ συμπόσιον, ἀνέτρεψας δὲ τὰς τραπέζας, τὸν δὲ πλοῦτον ἐκεῖνον διασκεδάσας ὑπηνέμιον φέρεσθαι παρεσκεύασας. Ἆρά σοι ἀλόγως ἀγανακτῆσαι κατὰ σοῦ δοκῶ; τριέσπερον ἂν ἡδέως ἔτι εἶδον τὸν ὄνειρόν μοι γενόμενον.

13. ΑΛΕΚ. Οὕτω φιλόχρυσος εἶ καὶ φιλόπλουτος, ὦ Μίκυλλε, καὶ μόνον τοῦτο ἐξ ἁπάντων θαυμάζεις καὶ ἡγῇ εὔδαιμον εἶναι πολὺ κεκτῆσθαι χρυσίον;

ΜΙΚ. Οὐκ ἐγὼ μόνος, ὦ Πυθαγόρα, τοῦτο, ἀλλὰ καὶ σὺ αὐτός, ὁπότε Εὔφορβος ἦσθα, χρυσὸν καὶ ἄργυρον τῶν βοστρύχων ἐξημμένος ἦεις πολεμήσων τοῖς Ἀχαιοῖς καὶ ἐν τῷ πολέμῳ, ἵνθα σιδηροφορεῖν μᾶλλον ἢ χρυσοφορεῖν ἄμεινον ἦν· σὺ δὲ καὶ τότε ἠξίους χρυσῷ ἀναδεδεμένος τοὺς πλοκάμους διαγωνίζεσθαι. Καί μοι δοκεῖ ὁ Ὅμηρος διὰ τοῦτο Χαρίτεσσιν ὁμοίας εἰπεῖν σου τὰς κόμας, ὅτι « χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο. » Μακρῷ γὰρ ἀμείνους δηλαδὴ καὶ ἐρασμιώτεραι ἐφαίνοντο συναναπεπλεγμέναι τῷ χρυσίῳ καὶ συναπολάμπουσαι μετ' αὐτοῦ. Καίτοι τὰ μέν σά, ὦ χρυσοκόμη, μέτρια, εἰ Πάνθου υἱὸς ὢν ἐτίμας τὸ χρυσίον· ὁ

cœnavimus, Pythagora, multi cibi cœnam et variam in auro multo atque argento. Et pocula erant aurea, et ministri formosi; et symphoniaci aderant, et ridicularii: atque in universum, suavissime tempus traducebatur; nisi quod unum male me habebat, nempe non mediocriter molestum se præbens Thesmopolis, qui quandam mihi virtutem narraret, doceretque negationibus duabus unam effici affirmationem; et, si dies sit, noctem non esse; nonnunquam adeo cornua dicebat me habere. Talia multa, philosophiam mihi non petenti, impertiens, continuato sermone blaterabat, interpellabatque hilaritatem, qui non pateretur citharam pulsantibus canentibusve attendere. Habes, galle, cœnam.

GALL. Non jucundissimam, Micylle, maxime quum sors te ad delirum illum senem detulerit.

12. MIC. Jam audi etiam somnium. Videbatur mihi ipse Eucrates, orbus nescio quomodo, moribundus advocare me, et testamento condito, quo heres ex asse scriptus eram ego, paullo post mori; me vero adita hereditate aurum quidem et argentum scaphis quibusdam magnis haurire, perpetuo et copiose affluens: reliqua autem, vestem, mensas, pocula, ministros, mea esse nimirum omnia. Tum albis evehebar bigis, supinus, conspiciendus omnibus, qui me viderent, et invidendus. Ac præcurrebant multi, et circa me equitabant, plures autem sequebantur. Ego autem vestem habens illius et anulos graves, circiter sedecim aptos digitis, jubebam convivium quoddam splendidum parari ad excipiendos amicos. Illi vero, ut in somnio solitum est fieri, jam aderant; ac cœna jam inferebatur, jam instaurabatur potatio. In hoc eram, et amicitiæ poculum in aureis phialis propinabam præsentium unicuique, et placenta jam inferebatur, quum tu intempestivo cantu perturbasti nobis convivium, mensas evertisti, divitias illas dissipasti et ut ludibrium ventis volarent effecisti. Numquid sine ratione indignari tibi videor? qui tribus perpetuis noctibus astans mihi somnium illud lubens vidissem.

13. GALL. Adeone amans es auri atque divitiarum, Micylle, et hoc solum ex omnibus admiraris et beatum esse putas, multum possidere aurum?

MIC. Non ego solus, Pythagora, hoc facio, sed tu etiam ipse, quum Euphorbus esses, aurum atque argentum de cincinnis suspensum gerens in pugnam contra Achivos exibas, in bello, inquam, ubi ferrum gestare quam aurum præstabat: tu vero tunc etiam volebas revinctos auro cincinnos habens subire pericula. Et videtur mihi ob id ipsum similes Gratiis vocasse comas tuas Homerus, quod « argento constringebantur et auro. » Longe nimirum præstantiores videbantur et amabiliores, implexæ auro et cum illo collucentes. Atqui tua hæc, auricome, mediocria sunt, si, Panthi qui sis filius, magni faciebas aurum: verum

δὲ πατὴρ ἁπάντων ἀνδρῶν καὶ θεῶν, ὁ Κρόνου καὶ Ῥέας, ὁπότε ἠράσθη τῆς Ἀργολικῆς ἐκείνης μείρακος, οὐκ ἔχων ἐς ὅ τι ἐρασμιώτερον αὐτὸν μεταβάλοι οὐδὲ ὅπως ἂν διαφθείρειε τοῦ Ἀκρισίου τὴν φρουράν — ἀκούεις δήπου ὡς χρυσίον ἐγένετο καὶ ῥυεὶς διὰ τοῦ τέγους συνῆν τῇ ἀγαπωμένῃ. Ὥστε τί ἄν σοι τὸ ἐπὶ τούτῳ ἔτι λέγοιμι, ὅσας μὲν χρείας παρέχεται ὁ χρυσὸς, ὡς δὲ οἷς ἂν παρῇ, καλούς τε αὐτοὺς καὶ σοφοὺς καὶ ἰσχυροὺς ἀπεργάζεται τιμὴν καὶ δόξαν προσάπτων καὶ ἐξ ἀφανῶν καὶ ἀδόξων ἐνίοτε περιβλέπτους καὶ ἀοιδίμους ἐν βραχεῖ τίθησι;

14. Τὸν γείτονα γοῦν μοι τὸν ὁμότεχνον οἶσθα τὸν Σίμωνα, οὐ πρὸ πολλοῦ δειπνήσαντα παρ' ἐμοὶ, ὅτε τὸ ἔτνος ἥψησα τοῖς Κρονίοις δύο τεμάχη τοῦ ἀλλᾶντος ἐμβαλών.

ΑΛΕΚ. Οἶδα τὸν σιμὸν τὸν βραχὺν, ὃς τὸ κεραμεοῦν τρύβλιον ὑφελόμενος ᾤχετο ὑπὸ μάλην ἔχων μετὰ τὸ δεῖπνον, ὃ μόνον ἡμῖν ὑπῆρχεν· εἶδον γὰρ αὐτὸς, ὦ Μίκυλλε.

ΜΙΚ. Οὐκοῦν ἐκεῖνος αὐτὸ κλέψας εἶτα ἐπωμόσατο θεοὺς τοσούτους; Ἀλλὰ τί οὐκ ἐβόας καὶ ἐμήνυες τότε, ὦ ἀλεκτρυών, λῃζομένους ἡμᾶς ὁρῶν;

ΑΛΕΚ. Ἐκόκκυζον, μόνον ὃ τότε δυνατὸν ἦν. Τί δ' οὖν ὁ Σίμων; ᾠήκεις γάρ τι περὶ αὐτοῦ ἐρεῖν.

ΜΙΚ. Ἀνεψιὸς ἦν αὐτῷ πλούσιος ἐς ὑπερβολὴν, Δριμύλος τοὔνομα. Οὗτος ζῶν μὲν οὐδὲ ὀβολὸν ἔδωκε τῷ Σίμωνι· πῶς γὰρ, ὃς οὐδὲ αὐτὸς ἥπτετο τῶν χρημάτων; ἐπεὶ δὲ ἀπέθανε πρώην, ἅπαντα ἐκεῖνα κατὰ τοὺς νόμους Σίμωνός ἐστι, καὶ νῦν ἐκεῖνος ὁ τὰ ῥάκια τὰ πιναρὰ, ὁ τὸ τρύβλιον περιλείχων ἄσμενος ἐξελαύνει ἁλουργῆ καὶ ὑσγινοβαφῆ ἀμπεχόμενος, οἰκέτας καὶ ζεύγη καὶ χρυσᾶ ἐκπώματα καὶ ἐλεφαντόποδας τραπέζας ἔχων, ὑφ' ἁπάντων προσκυνούμενος οὐδὲ προσβλέπων ἔτι ἡμᾶς· ἐναγχος γοῦν ἐγὼ μὲν ἰδὼν προσιόντα, Χαῖρε, ἔφην, ὦ Σίμων· ὁ δὲ ἀγανακτήσας, Εἶπατε, ἔφη, τῷ πτωχῷ τούτῳ μὴ κατασμικρύνειν μου τοὔνομα· οὐ γὰρ Σίμων, ἀλλὰ Σιμωνίδης ὀνομάζομαι. Τὸ δὲ μέγιστον ἤδη καὶ ἐρῶσιν αὐτοῦ αἱ γυναῖκες, ὁ δὲ θρύπτεται πρὸς αὐτὰς καὶ ὑπερορᾷ καὶ τὰς μὲν προσίεται καὶ ἥδιον ἐστιν, αἱ δὲ ἀπειλοῦσιν ἀναρτήσειν ἑαυτὰς ἀμελούμεναι. Ὁρᾷς ὅσων ἀγαθῶν ὁ χρυσὸς αἴτιος, εἴ γε καὶ μεταποιεῖ τοὺς ἀμόρφους καὶ ἐρασμίους ἀπεργάζεται ὥσπερ ὁ ποιητικὸς ἐκεῖνος κεστός. Ἀκούεις δὲ καὶ τῶν ποιητῶν λεγόντων·

Ὦ χρυσὲ, δεξίωρα κάλλιστον,

καὶ,

Χρυσὸς γάρ ἐστιν ὃς βροτῶν ἔχει κράτη.

Ἀλλὰ τί μεταξὺ ἐγέλασας, ὦ ἀλεκτρυών;

15. ΑΛΕΚ. Ὅτι ὑπ' ἀγνοίας, ὦ Μίκυλλε, καὶ σὺ τὰ ὅμοια τοῖς πολλοῖς ἐξηπάτησαι περὶ τῶν πλουσίων· οἱ δὲ εὖ ἴσθι πολὺ ὑμῶν ἀθλιώτερον τὸν βίον βιοῦσι· λέγω δέ σοι καὶ πένης καὶ πλούσιος πολλάκις γενόμενος

ille deûm pater atque hominum, Saturni et Rheæ filius, quando Argolicæ illius puellæ amore captus est, quum nihil haberet amabilius in quod se mutaret, neque Acrisii custodiam quomodo corrumperet — jam audisti videlicet ut aurum factus illapsusque per tegulas cum amasia sit congressus. Quid ergo post illud tibi dicam amplius quot aurum utilitates præstet, quam illos, quibus adsit, et pulchros et sapientes et fortes reddat, honore ipsis conciliato et gloria? quamque ex obscuris ignobilibusque interdum conspicuos brevi reddat ac celebres?

14. Certe vicinum meum, artificii mei hominem, nosti, Simonem, qui non ita diu est quum mecum cœnavit, quum Saturnalibus coquerem ex fractis leguminibus pulticulam, injectis duobus de farcimine frustis.

GALL. Novi, simum illum, brevem, qui fictilem patellam post cœnam furatus, sub ala occultans abiit, illam quæ sola nobis erat: vidi enim ipse, Micylle.

MIC. *Igitur ille eam furatus, tot deinde pejeravit deos?* Sed cur non clamabas et indicabas tum, galle, quum spoliari nos videres?

GALL. Cucurriebam, quod solum tum poteram. Quid ergo Simo? videbaris enim de illo dicturus aliquid.

MIC. Patruelis erat ipsi ultra modum locuples, Drimylus nomine. Hic, quam diu vixit, nec obolum unum dedit Simoni: quomodo enim? qui ne ipse quidem opes suas attingeret: postquam vero nuper mortuus est, illa omnia ex lege sunt Simonis: atque ille modo cum pannis sordidis, ille qui patellam ligurriebat lætus, nunc foras prodit purpuras indutus et hysgina, servos et bigas et aurea pocula et mensas eburneis pedibus habens, adoratur ab omnibus, nos ne respiciens quidem amplius. Nuper enim ego prope me cedentem videns, Salve, dicebam, Simo! at ille indignatus, Dicite, inquit, isti mendico, meum nomen ne deminuat: neque enim Simo vocor, sed Simonides. Maximum vero hoc est, jam eum amant etiam mulieres: at ipse apud illas delicatum se facit, easque despicit; et alias quidem admittit propitius, aliæ vero minantur futurum ut suspendant se, si porro negligantur. Vides quantorum bonorum aurum causa sit, siquidem deformes etiam refingit, et, ut poeticus ille cestus, reddit amabiles. Audis vero et poetas dicentes:

Aurum quo dextra nil prehenset dulcius,

et,

Aurum est quod in res regimen humanas tenet.

Sed quid inter hæc ridebas, galle?

15. GALL. Quod præ ignorantia tu etiam, Micylle, similiter ac reliquum vulgus deceptus es circa divites. At illi, bene noris, multo miseriorem quam vos vitam agunt. Hoc tibi dico, qui et pauper et dives sæpe fuerim,

καὶ παντὸς βίου πεπειραμένος· μετὰ μικρὸν δὲ καὶ αὐτὸς εἴσῃ ἕκαστα.

ΜΙΚ. Νὴ Δία, καιρὸς γοῦν ἤδη καὶ σὲ εἰπεῖν ὅπως ἠλλάγης καὶ ἃ σύνοισθα τῷ βίῳ ἑκάστῳ.

ΑΛΕΚ. Ἄκουε τοσοῦτόν γε προειδὼς μηδένα με σοῦ εὐδαιμονέστερον βιοῦντα ἑορακέναι.

ΜΙΚ. Ἐμοῦ, ὦ ἀλεκτρυών; οὕτω σοὶ γένοιτο· προάγῃ γάρ με λοιδορεῖσθαί σοι. Ἀλλὰ εἰπὲ ἀπὸ τοῦ Εὐφόρβου ἀρξάμενος, ὅπως ἐς Πυθαγόραν μετεβλήθης, εἶτα ἕξῆς ἄχρι τοῦ ἀλεκτρυόνος· εἰκὸς γάρ σε ποικίλα καὶ ἰδεῖν καὶ παθεῖν ἐν πολυειδέσι τοῖς βίοις.

16. ΑΛΕΚ. Ὡς μὲν ἐξ Ἀπόλλωνος τὸ πρῶτον ἡ ψυχή μοι καταπταμένη ἐς τὴν γῆν ἐνέδυ εἰς ἀνθρώπου σῶμα, ἥντινα τὴν καταδίκην ἐκτελοῦσα μακρὸν ἂν εἴη λέγειν, ἄλλως τε οὐδὲ ὅσιον οὔτ' ἐμοὶ εἰπεῖν οὔτε σοὶ ἀκούειν τὰ τοιαῦτα. Ἔπειτ' Εὔφορβος ἐγενόμην....

ΜΙΚ. Ἐγὼ δὲ πρό γε τούτου, ὦ θαυμάσιε, τίς ἦν; τοῦτό μοι πρότερον εἰπέ, εἰ κἀγώ ποτε ἠλλάγην ὥσπερ σύ.

ΑΛΕΚ. Καὶ μάλα.

ΜΙΚ. Τίς οὖν ἦν; εἴ τι ἔχεις εἰπεῖν. Ἐθέλω γὰρ τοῦτο εἰδέναι.

ΑΛΕΚ. Σύ; μύρμηξ Ἰνδικὸς τῶν τὸ χρυσίον ἀνορυττόντων.

ΜΙΚ. Εἶτα ὤκνουν ὁ κακοδαίμων κἂν ὀλίγα τῶν ψηγμάτων ἥκειν ἐς τόνδε τὸν βίον ἐξ ἐκείνου ἐπισιτισάμενος; Ἀλλὰ καὶ τί μετὰ τοῦτο ἔσομαι, εἰπέ· εἰκὸς δὲ εἰδέναι σε. Εἰ γάρ τι ἀγαθὸν εἴη, ἀπάγξομαι ἤδη ἀναστὰς ἀπὸ τοῦ παττάλου, ἐφ' οὗ σὺ ἕστηκας.

ΑΛΕΚ. Οὐκ ἂν μάθοις τοῦτο οὐδεμιᾷ μηχανῇ.

17. Πλὴν ἀλλὰ ἐπείπερ Εὔφορβος ἐγενόμην — ἐπάνειμι γὰρ ἐπ' ἐκεῖνα — ἐμαχόμην ἐπ' Ἰλίῳ καὶ ἀποθανὼν ὑπὸ Μενέλεω χρόνῳ ὕστερον ἐς Πυθαγόραν ἦκον. Τέως δὲ περιέμενον ἀοίκητος ἑστὼς, ἄχρι δὴ ὁ Μνήσαρχος ἐξεργάσαιτό μοι τὸν οἶκον.

ΜΙΚ. Ἄσιτος, ὦ τᾶν, καὶ ἄποτος;

ΑΛΕΚ. Καὶ μάλα· οὐδὲ γὰρ ἐδει τούτων ἢ μόνῳ τῷ σώματι.

ΜΙΚ. Οὐκοῦν τὰ ἐν Ἰλίῳ μοι πρῶτον εἰπέ· τοιαῦτα ἦν οἷά φησιν Ὅμηρος γενέσθαι αὐτά;

ΑΛΕΚ. Πόθεν ἐκεῖνος ἠπίστατο, ὦ Μίκυλλε, ὃς γιγνομένων ἐκείνων κάμηλος ἐν Βάκτροις ἦν; Ἐγὼ δὲ τοσοῦτόν σοί φημι ὑπερφυὲς μηδὲν γενέσθαι τότε μήτε τὸν Αἴαντα οὕτω μέγαν μήτε τὴν Ἑλένην αὐτὴν οὕτω καλὴν· ὡς οἴονται. Εἶδον γὰρ λευκὴν μέν τινα καὶ ἐπιμήκη τὸν τράχηλον, ὡς εἰκάζειν κύκνου θυγατέρα εἶναι, τὰ δὲ ἄλλα πάνυ πρεσβῦτιν ἡλικιῶτιν σχεδὸν τῆς Ἑκάβης, ἥν γε Θησεὺς πρῶτον ἁρπάσας ἐν Ἀφίδναις εἶχε κατὰ τὸν Ἡρακλέα γενόμενος, ὁ δ' Ἡρακλῆς πρότερον εἶλε Τροίαν κατὰ τοὺς πατέρας ἡμῶν τοὺς τότε μάλιστα. Διηγεῖτο γάρ μοι ὁ Πάνθους ταῦτα κομιδῇ μειράκιον ὢν ἑορσκέναι λέγων τὸν Ἡρακλέα.

ΜΙΚ. Τί δαί; ὁ Ἀχιλλεὺς τοιοῦτος ἦν, ἄριστος τὰ πάντα, ἢ μῦθος ἄλλως καὶ ταῦτα;

et vitæ uniuscujusque fecerim experimentum : paullo post autem tu quoque scies singula.

MIC. Sic per Jovem : tempus enim jam est ut tu quoque dicas quomodo fueris mutatus, et quorum de unaquaque vita tibi sit conscius.

GALL. Audi ergo : verum hoc ante noris, neminem mihi visum, te qui viveret beatior.

MIC. Me, galle? Ita tu beatus sis! irritas enim me ut tibi maledicam. Verum dic ab Euphorbo inde facto initio, quomodo mutatus sis in Pythagoram, ac deinceps usque ad gallum : verisimile est enim multa vidisse te ac passum, in diversis adeo vitis.

16. GALL. Quomodo ex Apolline primum anima mea devolans in terram hominis corpus subierit, quam ita pœnam luerit, longum fuerit dicere; et alioqui neque fas est mihi dicere talia, neque tibi audire. Deinde Euphorbus factus sum...

MIC. Ego vero ante hunc me, o mirabilis, quis fueram? hoc mihi prius dicito, utrum ego quoque, sicut tu, fuerim immutatus.

GALL. Ita sane.

MIC. Quis igitur eram? si quid habes dicere. Volo enim hoc scire.

GALL. Tu? formica eras Indica de eo genere, quæ aurum effodiunt.

MIC. Tum pigratus sum ego miser paucarum micarum sumto inde viatico in hanc vitam venire? Verum etiam, quid post ero, mihi dic : verisimile est autem te scire. Si enim bonum quid fuerit, surgam statim et ab ipso illo, in quo tu modo insistis, clavo me suspendam.

GALL. Nullo istud modo resciscas.

17. Verum enim vero quum Euphorbus essem (ad illa enim redeo), pugnavi ad Ilium, interfectusque a Menelao, interjecto aliquo tempore veni in Pythagoram. Interim vero sine domo mansi, usque dum pararet mihi Mnesarchus domicilium.

MIC. Cibine, o noster, expers et potus?

GALL. Nimirum : neque enim indigebat his nisi solum corpus.

MIC. Ergo res Iliacas mihi primum dicito : talesne erant quales gestas esse Homerus ait?

GALL. Unde iste sciret, Micylle, qui, quum fierent ista, camelus esset in Bactris? Ego vero tantum tibi dico, supra naturam tum factum esse nihil, nec fuisse tum neque ita magnum Ajacem, neque Helenam ipsam ita pulchram, ut putant. Vidi enim candidam quidem aliquam, longo collo, ut cycni filiam agnosceres, ceterum valde anum, Hecubæ fere æqualem : quam quidem Theseus primum raptam habuerit Aphidnis, qui cum Hercule vixit; Hercules autem prius Trojam ceperat, patrum qui tum erant nostrorum circiter ætate. Narrabat enim ista mihi Panthus, dicens visum a se, puero admodum, Herculem.

MIC. Quid vero? Achillesne talis fuit, præstantissimus undique, an hæc quoque temere conficta?

ΑΛΕΚ. Ἐκείνῳ μὲν οὐδὲν συνηνέχθην, ὦ Μίκυλλε, οὐδ' ἂν ἔχοιμί σοι ἀκριβῶς οὕτω τὰ παρὰ τοῖς Ἀχαιοῖς λέγειν· πόθεν γὰρ, πολέμιος ὤν; τὸν μέντοι ἑταῖρον αὐτοῦ τὸν Πάτροκλον οὐ χαλεπῶς ἀπέκτεινα διελάσας τῷ δορατίῳ.

MIK. Εἶτά σε ὁ Μενέλεως μακρῷ εὐχερέστερον. Ἀλλὰ ταῦτα μὲν ἱκανῶς, τὰ Πυθαγόρου δὲ ἤδη λέγε.

18. ΑΛΕΚ. Τὸ μὲν ὅλον, ὦ Μίκυλλε, σοφιστὴς ἄνθρωπος ἦν· χρὴ γὰρ, οἶμαι, ταληθὲς λέγειν· ἄλλως δὲ οὐκ ἀπαίδευτος οὐδὲ ἀμελέτητος τῶν καλλίστων μαθημάτων, ἀπεδήμησα δὲ καὶ ἐς Αἴγυπτον, ὡς συγγενοίμην τοῖς προφήταις ἐπὶ σοφίᾳ, καὶ ἐς τὰ ἄδυτα κατελθὼν ἐξέμαθον τὰς βίβλους τὰς Ὥρου καὶ Ἴσιδος καὶ αὖθις ἐς Ἰταλίαν ἐκπλεύσας οὕτω διέθηκα τοὺς κατ' ἐκεῖνα Ἕλληνας, ὥστε θεὸν ἡγόν με.

MIK. Ἤκουσα ταῦτα καὶ ὡς δόξειας ἀναβεβιωκέναι ἀποθανὼν καὶ ὡς χρυσοῦν τὸν μηρὸν ἐπιδείξαιό ποτε αὐτοῖς. Ἐκεῖνο δέ μοι εἰπὲ, τί σοι ἐπῆλθε νόμον ποιήσασθαι μήτε κρεῶν μήτε κυάμων ἐσθίειν;

ΑΛΕΚ. Μὴ ἀνάκρινε τὰ τοιαῦτα, ὦ Μίκυλλε.

MIK. Διὰ τί, ὦ ἀλεκτρυών;

ΑΛΕΚ. Ὅτι αἰσχύνομαι λέγειν πρὸς σὲ τὴν ἀλήθειαν ὑπὲρ αὐτῶν.

MIK. Καὶ μὴν οὐδὲν ἐχρῆν ὀκνεῖν λέγειν πρὸς ἄνδρα σύνοικον καὶ φίλον· δεσπότην γὰρ οὐκ ἂν ἔτ' εἴποιμι.

ΑΛΕΚ. Οὐδὲν ὑγιὲς οὐδὲ σοφὸν ἦν, ἀλλ' ἑώρων ὅτι εἰ μὲν τὰ συνήθη καὶ ταὐτὸν τοῖς πολλοῖς νομίζοιμι, ἥκιστα ἐπισπάσομαι τοὺς ἀνθρώπους ἐς τὸ θαῦμα, ὅσῳ δ' ἂν ξενίζοιμι, τοσούτῳ σεμνότερος ᾠμην αὐτοῖς ἔσεσθαι. Διὰ ταῦτο καινοποιεῖν εἰλόμην ἀπόρρητον ποιησάμενος τὴν αἰτίαν, ὡς εἰκάζοντες ἄλλος ἄλλως ἅπαντες ἐκπλήττωνται καθάπερ ἐπὶ τοῖς ἀσαφέσι τῶν χρησμῶν. Ὁρᾷς; καταγελᾷς μου καὶ σὺ ἐν τῷ μέρει.

MIK. Οὐ τοσοῦτον ὅσον Κροτωνιατῶν καὶ Μεταποντίνων καὶ Ταραντίνων καὶ τῶν ἄλλων ἀφώνων σοι ἑπομένων καὶ προσκυνούντων τὰ ἴχνη ἃ σὺ πατῶν ἀπολιμπάνοις.

19. Ἀποδυσάμενος δὲ τὸν Πυθαγόραν τίνας μετημφιάσω μετ' αὐτόν;

ΑΛΕΚ. Ἀσπασίαν τὴν ἐκ Μιλήτου ἑταίραν.

MIK. Φεῦ τοῦ λόγου, καὶ γυνὴ γὰρ ἐν τοῖς ἄλλοις ὁ Πυθαγόρας ἐγένετο, καὶ ἦν ποτε χρόνος ὅτε καὶ σὺ ᾠοτόκεις, ὦ γενναιότατε ἀλεκτρυόνων, καὶ συνῆσθα Περικλεῖ Ἀσπασία οὖσα καὶ ἐκύεις ἀπ' αὐτοῦ καὶ ἔρι' ἔξαινες καὶ κρόκην κατῆγες καὶ ἐγυναικίζου ἐς τὸ ἑταιρικόν;

ΑΛΕΚ. Πάντα ταῦτα ἐποίουν οὐ μόνος, ἀλλὰ καὶ Τειρεσίας πρὸ ἐμοῦ καὶ ὁ Ἐλάτου παῖς ὁ Καινεὺς, ὥστε ὁπόσα ἂν ἀποσκώψῃς ἐς ἐμὲ καὶ ἐς ἐκείνους ἀποσκώψας ἔσῃ.

MIK. Τί οὖν; πότερος ὁ βίος ἡδίων σοι ἦν, ὅτε ἀνὴρ ἦσθα ἢ ὅτε σε Περικλῆς ὤπυιεν;

GALL. Cum illo nihil mihi negotii fuit, Micylle, neque possim tibi accurate adeo quæ apud Græcos acta sunt dicere : quomodo enim, qui essem hostis? verum ipsius Patroclum amicum non magno negotio hasta trajectum interemi.

MIC. Deinde te multo etiam minori Menelaus. Sed satis de his : jam dic de Pythagora.

18. GALL. In universum, Micylle, sophista fui : oportet enim, puto, verum dicere : alioquin neque illiteratus, nec inexercitatus rerum optimarum disciplina. Peregrinatus sum etiam in Ægyptum, ut de sapientia conferrem cum prophetis, atque admissus in adyta, Hori libros et Isidis edidici; tum rursus navi in Italiam delatus, eo adduxi Græcos illius regionis, uti me pro deo haberent.

MIC. Audivi ista, teque putatum esse revixisse post mortem, et ostendisse iis aliquando femur aureum. Verum illud mihi dic, quid in mentem tibi venit ut legem ferres de carnibus fabisque non edendis?

GALL. Noli perquirere talia, Micylle.

MIC. Quid ita, galle?

GALL. Quia pudet me verum tibi de illis dicere.

MIC. Sed nihil cunctari te oportebat dicere ad virum contubernalem et amicum; dominum enim non amplius dixerim.

GALL. Sanum nihil neque sapiens erat : sed videbam, si consueta et eadem quæ vulgus in legibus ponerem, minime me in admirationem perducturum esse homines; quo magis autem peregrina statuerem, tanto magis gravem me illis putabam futurum. Itaque novare institui, arcanam ejus rei fingens causam, ut conjecturis utentes alii aliis, omnes admiratione percellerentur, ut in obscuris oraculis. Viden'? jam tu quoque me derides pro tua parte.

MIC. Non tantum quantum Crotoniatas et Metapontinos et Tarentinos, et reliquos qui muti te sequebantur, adorabantque quæ tu inambulans relinqueres vestigia.

19. Exuto vero Pythagora, quos post eum induisti?

GALL. Aspasiam, meretricem Milesiam.

MIC. Vah quid ais? mulier etiam inter alia fuit Pythagoras? fuitque tempus aliquando, ubi ova etiam tu pareres, gallorum generosissime, et consuesceres cum Pericle, dum esses Aspasia, et uterum ex eo gestares, et lanas carperes, et deduceres fila, et mulierem meretricem ageres?

GALL. Feci hæc omnia equidem non solus, sed etiam Tiresias ante me, et Elati Cæneus filius : quæcumque igitur in me jeceris ridicula, eadem in illos jeceris.

MIC. Quid ergo? utra tibi vita fuit jucundior, quum vir esses, an quum subigitaret te Pericles?

ΑΛΕΚ. Ὁρᾷς οἷον τοῦτο ἠρώτησας, οὐδὲ τῷ Τειρεσίᾳ συνενεγκοῦσαν τὴν ἀπόκρισιν;

ΜΙΚ. Ἀλλὰ κἂν σὺ μὴ εἴπῃς, ἱκανῶς ὁ Εὐριπίδης διέκρινε τὸ τοιοῦτον, εἰπὼν ὡς τρὶς ἂν ἐθέλοι παρ' ἀσπίδα στῆναι ἢ ἅπαξ τεκεῖν.

ΑΛΕΚ. Καὶ μὴν ἀναμνήσω σε, Μίκυλλε, οὐκ ἐς μακρὰν ὠδίνουσαν· ἔσῃ γὰρ γυνὴ καὶ σὺ ἐν πολλῇ τῇ περιόδῳ πολλάκις.

ΜΙΚ. Οὐκ ἀπάγξῃ, ὦ ἀλεκτρυών, ἅπαντας οἰόμενος Μιλησίους ἢ Σαμίους εἶναι; σὲ γοῦν φασι καὶ Πυθαγόραν ὄντα τὴν ὥραν λαμπρὸν πολλάκις Ἀσπασίαν γενέσθαι τῷ τυράννῳ.

20. Τίς δὲ δὴ μετὰ τὴν Ἀσπασίαν ἀνὴρ ἢ γυνὴ αὖθις ἀνεφάνης;

ΑΛΕΚ. Ὁ κυνίσκος Κράτης.

ΜΙΚ. Ὦ Διοσκόρω τῆς ἀνομοιότητος, ἐξ ἑταίρας φιλόσοφος.

ΑΛΕΚ. Εἶτα βασιλεύς, εἶτα πένης καὶ μετ' ὀλίγον σατράπης, εἶτα ἵππος καὶ κολοιὸς καὶ βάτραχος καὶ ἄλλα μυρία· μακρὸν δ' ἂν γένοιτο καταριθμήσασθαι ἕκαστα· τὰ τελευταῖα δὲ ἀλεκτρυὼν πολλάκις, ἥσθην γὰρ τῷ τοιούτῳ βίῳ, καὶ παρὰ πολλοῖς ἄλλοις δουλεύσας βασιλεῦσι καὶ πένησι καὶ πλουσίοις τὰ τελευταῖα καὶ σοὶ νῦν σύνειμι καταγελῶν ὁσημέραι σοῦ ποτνιωμένου καὶ οἰμώζοντος ἐπὶ τῇ πενίᾳ καὶ τοὺς πλουσίους θαυμάζοντος ὑπ' ἀγνοίας τῶν ἐκείνοις προσόντων κακῶν. Εἰ γοῦν ἤδεις τὰς φροντίδας αὐτῶν ἃς ἔχουσιν, ἐγέλας ἂν ἐπὶ σαυτῷ πρῶτον οἰηθέντι ὑπερευδαίμονα εἶναι τὸν πλοῦτον.

ΜΙΚ. Οὐκοῦν, ὦ Πυθαγόρα, ἥ δ τι μάλιστα χαίρεις καλούμενος, ὡς μὴ ἐπιταράττοιμι τὸν λόγον ἄλλοτε ἄλλον καλῶν....

ΑΛΕΚ. Διοίσει μὲν οὐδὲν ἥν τ' Εὔφορβον ἥν τε Πυθαγόραν ἢ Ἀσπασίαν καλῇς ἢ Κράτητα· πάντα γὰρ ταῦτα ἐγώ εἰμι. Πλὴν τὸ νῦν ὁρώμενον τοῦτο ἀλεκτρυόνα ὀνομάζων ἄμεινον ἂν ποιοῖς ὡς μὴ ἀτιμάζοις εὐτελὲς εἶναι δοκοῦν τὸ ὄρνεον, καὶ ταῦτα τοσαύτας ἐν αὑτῷ ψυχὰς ἔχον.

21. ΜΙΚ. Οὐκοῦν, ὦ ἀλεκτρυών, ἐπειδὴ πάντων σχεδὸν τῶν βίων ἐπειράθης καὶ πάντα ἥσθα, λέγοις ἂν ἤδη σαφῶς ἰδίᾳ μὲν τὰ τῶν πλουσίων ὅπως βιοῦσιν, ἰδίᾳ δὲ τὰ πτωχικά, ὡς μάθω εἰ ἀληθῆ ταῦτα φῂς εὐδαιμονέστερον ἀποφαίνων με τῶν πλουσίων.

ΑΛΕΚ. Ἰδοὺ δή, οὕτως ἐπίσκεψαι, ὦ Μίκυλλε· σοὶ μὲν οὔτε πολέμου πολὺς λόγος, ἢν λέγηται ὡς οἱ πολέμοι προσελαύνουσιν, οὔτε φροντίζεις μὴ τὸν ἀγρὸν τέμωσιν ἐμβαλόντες ἢ τὸν παράδεισον ξυμπατήσωσιν ἢ τὰς ἀμπέλους δηώσωσιν, ἀλλὰ τῆς σάλπιγγος ἀκούων μόνον, εἴπερ ἄρα, περιβλέπεις τὸ κατὰ σεαυτὸν οἵ τραπόμενον χρὴ σωθῆναι καὶ τὸν κίνδυνον διαφυγεῖν· οἱ δ' εὐλαβοῦνται μὲν καὶ ἀμφ' ἑαυτοῖς, ἀνιῶνται δὲ ὁρῶντες ἀπὸ τῶν τειχέων ἀγόμενα καὶ φερόμενα ὅσα εἶχον ἐν ταῖς ἀγροῖς. Καὶ ἢν περ ἐσφέρειν δέῃ, μόνοι καλοῦνται, ἢν τε ἐπεξιέναι, προκινδυνεύουσι στρατηγοῦντες ἢ

GALL. Scin' quid interrogaris, nec Tiresiae profuisse responsionem?

MIC. Sed *etsi tu non dicas, satis Euripides illud diremit*, quum dixit malle se ter in acie stare quam semel parere.

GALL. Quin admonebo te, Micylle, non ita multo post ex partu te laboraturam: eris enim aliquando mulier tu quoque, *et* saepe, *in multiplici illo orbe*.

MIC. Non abibis in malam rem, galle, qui putes omnes Milesios esse aut Samios? nam te aiunt etiam quum Pythagoras esses *et forma splendida*, saepe Aspasiam fuisse tyranno.

20. Quis vero post Aspasiam vir an mulier denuo prodiisti?

GALL. Cyniscus Crates.

MIC. O Jovis pueri! quae dissimilitudo, ex meretrice philosophus!

GALL. Tum rex, deinde pauper, *et paullo post satrapa*, deinde equus, et graculus, et rana, et sexcenta alia: at longum fuerit enumerare singula: denique vero gallus saepe fui (gaudeo enim hac vita), et apud multos alios postquam servivi, reges, pauperes, divites, postremo nunc tecum vivo, deridens quotidie te conquerentem et *deplorantem tuam paupertatem*, et admirantem divites prae ignorantia malorum quae ipsis adsunt. Si enim scires curas illorum, quas habent, ipsum te rideres, qui prius putaveris ex omni parte beatum esse divitem.

MIC. Igitur Pythagora, aut quo maxime nomine gaudes, ne confundam sermonem, alias alium vocans ....

GALL. Nihil quidem interfuerit sive Euphorbum, sive Pythagoram, sive Aspasiam vocaveris, sive Cratetem: omnia enim ego haec sum: verum si, id quod nunc video, gallum nominaveris, melius feceris, ne contumeliosus sis in avem quae vilis esse videtur, quum tamen tot in se animas habeat.

21. MIC. Igitur, galle, quum omnia prope vitae genera sis expertus et omnia fueris, dic mihi jam diserte et separatim tum divitum rationes, quomodo vivant, tum pauperum; uti cognoscam, verene dicas ista, quum beatiorem me divitibus pronuncias.

GALL. Nimirum hoc modo rem considera, Micylle. Tibi nec belli multa cura est, si dicantur hostes invadere; nec sollicitus es ne irruptione facta agrum populentur, aut hortum *magnificum* conculcent, aut exscindant vineam: sed tuba audita tantum, si modo illud quoque, pro te circumspicis, quo te salutis causa convertas et periculum effugias: at illi et sibi timent, et anguntur quum vident de moenibus agi ferrique in agris quaecumque habuerant. Et si tributum pendendum sit, vocantur soli; et si erumpendum, primi subeunt, vel toto ducendo exercitu, vel equitatu,

ἱππαρχοῦντες· σὺ δὲ οἰσυΐνην ἀσπίδα ἔχων, εὐσταλὴς καὶ κοῦφος ἐς σωτηρίαν, ἕτοιμος ἑστιᾶσθαι τὰ ἐπινίκια, ἐπειδὰν θύῃ ὁ στρατηγὸς νενικηκώς.

22. Ἐν εἰρήνῃ τε αὖ σὺ μὲν τοῦ δήμου ὢν ἀναβὰς ἐς ἐκκλησίαν τυραννήσεις τῶν πλουσίων, οἱ δὲ φρίττουσι καὶ ὑποπτήσσουσι καὶ διανομαῖς ἱλάσκονταί σε. Λουτρὰ μὲν γὰρ ὡς ἔχοις καὶ ἀγῶνας καὶ θεάματα καὶ τἆλλα διαρκῆ ἅπαντα, ἐκεῖνοι πονοῦσι, σὺ δὲ ἐξεταστὴς καὶ δοκιμαστὴς πικρὸς ὥσπερ δεσπότης οὐδὲ λόγου μεταδιδοὺς ἐνίοτε, κἂν σοι δοκῇ, κατεχαλάζησας αὐτῶν ἀφθόνους τοὺς λίθους ἢ τὰς οὐσίας αὐτῶν ἐδήμευσας· οὔτε δὲ συκοφάντην δέδιας αὐτὸς οὔτε λῃστὴν μὴ ὑφέληται τὸ χρυσίον ὑπερβὰς τὸ θριγκίον ἢ διορύξας τὸν τοῖχον, οὔτε πράγματα ἔχεις λογιζόμενος ἢ ἀπαιτῶν ἢ τοῖς καταράτοις οἰκονόμοις διαπυκτεύων καὶ πρὸς τοσαύτας φροντίδας διαμεριζόμενος, ἀλλὰ κρηπῖδα συντελέσας ἑπτὰ ὀβολοὺς ἔχων τὸν μισθὸν, ἀπαναστὰς περὶ δείλην ὀψίαν λουσάμενος, ἢν δοκῇ, σαπέρδην τινὰ ἢ μαινίδας ἢ κρομμύων κεφαλίδας ὀλίγας πριάμενος εὐφραίνεις σεαυτὸν ᾄδων τὰ πολλὰ καὶ τῇ βελτίστῃ πενίᾳ προσφιλοσοφῶν.

23. Ὥστε διὰ ταῦτα ὑγιαίνεις τε καὶ ἔρρωσαι τὸ σῶμα καὶ διακαρτερεῖς πρὸς τὸ κρύος· οἱ πόνοι γάρ σε παραθήγοντες οὐκ εὐκαταφρόνητον ἀνταγωνιστὴν ἀποφαίνουσι πρὸς τὰ δοκοῦντα τοῖς ἄλλοις ἄμαχα εἶναι. Ἀμέλει οὐδέν σοι τῶν χαλεπῶν τούτων νοσημάτων πρόσεισιν, ἀλλ' ἤν ποτε κοῦφος πυρετὸς ἐπιλάβηται, πρὸς ὀλίγον ὑπηρετήσας αὐτῷ ἀνεπήδησας εὐθὺς ἀποσεισάμενος τὴν ἄσην, ὁ δὲ φεύγει αὐτίκα φοβηθεὶς ψυχροῦ τε ὁρῶν ἐμφορούμενον καὶ μακρὰ οἰμώζειν λέγοντα ταῖς ἰατρικαῖς περιόδοις, οἱ δὲ ὑπ' ἀκρασίας ἄθλιοι τί τῶν κακῶν οὐκ ἔχουσι, ποδάγρας καὶ φθόας καὶ περιπνευμονίας καὶ ὑδέρους; ταῦτα γὰρ τῶν πολυτελῶν ἐκείνων δεῖπνων ἀπόγονα. Τοιγαροῦν οἱ μὲν αὐτῶν ὥσπερ ὁ Ἴκαρος ἐπὶ πολὺ ἄραντες αὐτοὺς καὶ πλησιάσαντες τῷ ἡλίῳ οὐκ εἰδότες ὅτι κηρῷ ἥρμοστο αὐτοῖς ἡ πτέρωσις, μέγαν ἐνίοτε τὸν πάταγον ἐποίησαν ἐπὶ κεφαλὴν ἐς πέλαγος ἐμπεσόντες· ὅσοι δὲ κατὰ τὸν Δαίδαλον μὴ πάνυ μετέωρα μηδὲ ὑψηλὰ ἐφρόνησαν, ἀλλὰ πρόσγεια, ὡς νοτίζεσθαι ἐνίοτε τῇ ἅλμῃ τὸν κηρὸν, ὡς τὸ πολὺ οὗτοι ἀσφαλῶς διέπτησαν.

ΜΙΚ. Ἐπιεικεῖς τινας καὶ συνετοὺς λέγεις.

ΑΛΕΚ. Τῶν μέντοι γε ἄλλων, ὦ Μίκυλλε, τὰ ναυάγια πάνυ αἰσχρὰ ἴδοις ἄν, ὅταν ὁ Κροῖσος περιτετιλμένος τὰ πτερὰ γέλωτα παρέχῃ Πέρσαις ἀναβαίνων ἐπὶ τὸ πῦρ, ἢ Διονύσιος καταδύσης τῆς τυραννίδος ἐν Κορίνθῳ γραμματιστὴς βλέπηται μετὰ τηλικαύτην ἀρχὴν παιδία συλλαβίζειν διδάσκων.

24. ΜΙΚ. Εἰπέ μοι, ὦ ἀλεκτρυών, σὺ δὲ ὁπότε βασιλεὺς ἦσθα — φῂς γὰρ καὶ βασιλεῦσαί ποτε — ποίου τότ' ἐπειράθης τοῦ βίου ἐκείνου; ἦ που πανευδαίμων ἦσθα τὸ κεφάλαιον ὅ τι πέρ ἐστι τῶν ἀγαθῶν ἁπάντων ἔχων;

pericula : tu vero scutum habens vimineum, expeditus ac levis ad evadendum, paratus ad obeundas epulas, quum post victoriam triumphale imperator sacrificium celebrat.

22. In pace rursus tu quidem, de plebe unus, in concionem ascendens tyrannidem exercebis in divites : at illi horrent et tremunt et placant te largitionibus. Balnea enim ut habeas, et certamina, et spectacula, et reliqua quantum satis est omnia, elaborant illi : tu vero, exactor atque censor acerbus, tanquam dominus ne sermonem quidem interdum illis impertis ; et quum tibi videtur, grandine illos lapidum obruis, aut bona illorum publicas : neque vero calumniatorem ipse metuis, neque latronem, ne aurum tibi, vel lorica domus superata, vel pariete perfosso, surripiat ; neque molestias habes putandi rationes, aut debita repetendi, aut cum scelestis dispensatoribus conflictandi, neque inter tot curas distraheris : sed perfecta crepida septem obolorum mercedem habens, circa seram vesperam cessas, et lotus, si videtur, saperda aliqua emta, aut mænis aliquot, aut paucis ceparum capitibus, ipse te exhilaras, canens sæpe et cum optima illa paupertate philosophians.

23. Itaque his de causis bene vales, et robusto es corpore, et frigoris patiens : labores enim acuunt te, et adversarium non contemnendum sistunt contra ea quæ invicta reliquis videntur. Ac nullus temere de difficilibus istis morbis incidat tibi ; sed si quando levis te febricula invadat, quum paullo tempore ei inservieris, statim depulso fastidio exsilis, atque illa e vestigio fugit metuens, ubi videt te frigidam ad satietatem bibere, et plorare jubere medicos illos circuitus : verum isti per intemperantiam suam miseri quid malorum non habent, podagras, et tabes, et pulmonis inflammationes, et hydropes? hæc enim sumtuosarum illorum cœnarum soboles. Itaque alii illorum Icari instar, quum multum se sustulere et appropinquarunt ad solem, ignari cera sibi compactum esse illud alarum remigium, magnum nonnunquam strepitum præcipites in mare delapsi excitarunt : qui vero Dædali in modum non nimis alta neque sublimia petierunt, sed tenuere vicina terræ, ut marinâ aspergeretur nonnunquam cera, hi plerumque secure transvolarunt.

MIC. Æquos nempe et prudentes viros dicis.

GALL. Verum ceterorum naufragia, Micylle, perquam turpia videas, quum evulsis Crœsus alis ludibrium Persis præbeat suo in rogum ascensu, aut exstincta tyrannide Dionysius Corinthi cernatur docens literas, post tantum imperium syllabas colligere monstrans pueris.

24. MIC. Dic mihi, galle, tu quum rex esses (nam regnasse etiam te dicis), qualem illam expertus es vitam? ecquid ex omni parte beatus fuisti, quum summa quæque bonorum omnium haberes?

ΑΛΕΚ. Μηδὲ ἀναμνήσῃς με, ὦ Μίκυλλε, οὕτω τρισάθλιος ἦν τότε, τοῖς μὲν ἔξω πᾶσιν ὅπερ ἔφησθα πανευδαίμων εἶναι δοκῶν, ἔνδοθεν δὲ μυρίαις ἀνίαις ξυνών.

MIK. Τίσι ταύταις; παράδοξα γὰρ καὶ οὐ πάντη πιστὰ φῄς.

ΑΛΕΚ. Ἦρχον μὲν οὐκ ὀλίγης χώρας, ὦ Μίκυλλε, παμφόρου τινὸς καὶ πλήθει ἀνθρώπων καὶ κάλλει τῶν πόλεων ἐν ταῖς μάλιστα θαυμάζεσθαι ἀξίας ποταμοῖς τε ναυσιπόροις καταρρεομένης καὶ θαλάττῃ εὐόρμῳ χρωμένης, καὶ στρατιὰ ἦν πολλὴ καὶ ἵππος συγκεκροτημένη καὶ δορυφορικὸν οὐκ ὀλίγον καὶ τριήρεις καὶ χρημάτων πλῆθος ἀνάριθμον καὶ χρυσὸς ὁ κοῖλος πάμπολυς καὶ ἡ ἄλλη τῆς ἀρχῆς τραγῳδία πᾶσα ἐς ὑπερβολὴν ἐξωγκωμένη, ὥστε ὁπότε προίοιμι, οἱ μὲν πολλοὶ προσεκύνουν καὶ θεόν τινα ὁρᾶν ᾠοντο καὶ ἄλλοι ἐπ' ἄλλοις ξυνέθεον ὀψόμενοί με, οἱ δὲ καὶ ἐπὶ τὰ τέγη ἀνιόντες ἐν μεγάλῳ ἐτίθεντο ἀκριβῶς ἐορακέναι τὸ ζεῦγος, τὴν ἐφεστρίδα, τὸ διάδημα, τοὺς προπομπεύοντας, τοὺς ἑπομένους. Ἐγὼ δὲ εἰδὼς ὁπόσα με ἠνία καὶ ἔστρεφεν, ἐκείνοις μὲν τῆς ἀγνοίας συνεγίγνωσκον, ἐμαυτὸν δὲ ἠλέουν ὅμοιον ὄντα τοῖς μεγάλοις τούτοις κολοσσοῖς, οἵους ἢ Φειδίας ἢ Μύρων ἢ Πραξιτέλης ἐποίησαν· κἀκείνων γὰρ ἕκαστος ἔκτοσθεν μὲν Ποσειδῶν τις ἢ Ζεύς ἐστι πάγκαλος ἐκ χρυσίου καὶ ἐλέφαντος ξυνειργασμένος κεραυνὸν ἢ ἀστραπὴν ἢ τρίαιναν ἐν τῇ δεξιᾷ, ἢν δὲ ὑποκύψας ἴδῃς τά γ' ἔνδον, ὄψει μοχλούς τινας καὶ γόμφους καὶ ἥλους διαμπὰξ διαπεπερονημένους καὶ κορμοὺς καὶ σφῆνας καὶ πίτταν καὶ πηλὸν καὶ πολλήν τινα τοιαύτην ἀμορφίαν ὑποικουροῦσαν· ἐῶ λέγειν μυῶν πλῆθος ἢ μυγαλῶν ἐμπολιτευόμενον αὐτοῖς ἐνίοτε. Τοιοῦτόν τι καὶ βασιλεία ἐστίν.

25. MIK. Οὐδέπω ἔφησθα τὸν πηλὸν καὶ τοὺς μοχλοὺς καὶ γόμφους οἵτινες τῆς ἀρχῆς οὐδὲ τὴν ἀμορφίαν ἐκείνην τὴν πολλὴν ἥτις ἐστίν· ὡς τό γε ἐξελαύνειν ἀποβλεπόμενον καὶ τοσούτων ἄρχοντα καὶ προσκυνούμενον δαιμονίως ἔοικεν ὄντως τῷ κολοσσιαίῳ παραδείγματι· θεσπέσιον γάρ τι καὶ τοῦτο. Σὺ δὲ τὰ ἔνδον ἤδη τοῦ κολοσσοῦ λέγε.

ΑΛΕΚ. Τί πρῶτον εἴπω σοι, ὦ Μίκυλλε; τοὺς φόβους καὶ τὰ δείματα καὶ ὑποψίας καὶ μῖσος τὸ παρὰ τῶν συνόντων καὶ ἐπιβουλὰς, καὶ διὰ ταῦτα ὕπνον τε ὀλίγον, ἐπιπόλαιον κἀκεῖνον, καὶ ταραχῆς μεστὰ ὀνείρατα καὶ ἐννοίας πολυπλόκους καὶ ἐλπίδας ἀεὶ πονηρὰς, ἢ τὴν ἀσχολίαν καὶ χρηματισμοὺς καὶ δίκας καὶ ἐκστρατείας καὶ προστάγματα καὶ συνθήματα καὶ λογισμούς; ὑφ' ὧν οὐδὲ ὄναρ ἀπολαῦσαί τινος ἡδέος ἐγγίγνεται, ἀλλ' ἀνάγκη ὑπὲρ ἁπάντων μόνον διασκοπεῖσθαι καὶ μυρία ἔχειν πράγματα·

> Οὐδὲ γὰρ Ἀτρείδην Ἀγαμέμνονα
> ὕπνος ἔχε γλυκερὸς πολλὰ φρεσὶν ὁρμαίνοντα,

καὶ ταῦτα ῥεγκόντων Ἀχαιῶν ἁπάντων. Λυπεῖ δὲ τὸν μὲν Λυδὸν ὁ υἱὸς κωφὸς ὤν, τὸν Πέρσην δὲ Κλέαρχος Κύρῳ ξενολογῶν, ἄλλον δὲ Δίων πρὸς οὓς τισι τῶν

GALL. Noli me admonere, Micylle: adeo ter infelix tum eram, qui, quum externis omnibus, quod modo dicebas, beatus undique viderer, innumerabilibus intus conflictarer miseriis.

MIC. Quibusnam illis? mira enim dicis et vix credibilia.

GALL. Imperabam equidem regioni maximæ, Micylle, ac fertilissimæ cuidam, et ob multitudinem hominum urbiumque pulchritudinem admirandæ ut quæ maxime, quæ fluminibus perlueretur navium patientibus, et portuoso uteretur mari: exercitus erat multus, equitatus exercitatissimus, satellitium non parvum, triremes, et pecuniarum vis innumerabilis, auri cælati plurimum, et reliquum imperii choragium ad excessum usque exaggeratum. Itaque si quando procederem, vulgus quidem me adorare, et deum se quendam videre arbitrari, et alii super alios ad me videndum concurrere; alii etiam tectis conscensis, magnum putabant accurate vidisse bigas, trabeam, diadema, præcedentes, sequentes. Ego vero, quot me res angerent ac torquerent mihi conscius, illorum quidem ignoscebam ignorantiæ, me ipsum vero miserabar, qui similis essem magnis illis colossis, quales Phidias, aut Myro, aut Praxiteles fecerunt: illorum enim unusquisque extra aut Neptunus est, aut Jupiter, pulcherrimus undique, ex auro elaboratus et ebore, fulmen aut fulgur aut tridentem tenens dextra; si vero capite inserto speculeris interna, vectes quosdam videbis, et paxillos et clavos per interiora adactos, et stipites, et cuneos, et picem, et lutum, et multam intus habitantem ex eo genere deformitatem: mitto dicere murium multitudinem, aut mustelarum, qui civitatem sibi in illis nonnunquam constituere. Tale quid etiam regnum est.

25. MIC. Nondum dixisti lutum et paxillos et vectes qui sint imperii, nec multam illam, quæ sit, deformitatem: nam illud invehi in publico, conspici, tot hominibus imperare, et numinis instar adorari, revera simile est colosseo exemplo: excellentissimum enim quiddam etiam hoc. Tu vero jam interiora quoque hujus colossi dicito.

GALL. Quid primum tibi dicam, Micylle? metusne, et formidines, et suspiciones, et odium a familiaribus, et insidias; ac propter ista somni parum, idque ipsum non profundum, et plena terroris insomnia, et curas varias, et spes semper malas; an occupationum copiam, et agendi respondendique necessitatem, et judicia, et expeditiones, et imperia, et conventiones, et rationes? a quibus omnibus nec per quietem frui suavitate ulla contingit, sed necesse est pro omnibus dispicere unum, et innumerabiles habere molestias.

> Nam non Atriden Agamemnona
> somnus habet dulcis, volventem pectore multa,

idque stertentibus Achivis omnibus. Dolore autem afficit Lydum mutus filius, Persam Clearchus in Cyri gratiam peregrinum militem legens; alium Dio cum Syracusanorum

Συρακοσίων κοινολογούμενος, καὶ ἄλλον Παρμενίων ἐπαινούμενος καὶ Περδίκκαν Πτολεμαῖος καὶ Πτολεμαῖον Σέλευκος· ἀλλὰ κἀκεῖνα λυπεῖ, ὁ ἐρώμενος πρὸς ἀνάγκην ξυνὼν καὶ παλλακὶς ἄλλῳ χαίρουσα καὶ ἀποστήσεσθαί τινες λεγόμενοι καὶ δύ' ἢ τέτταρες τῶν δορυφόρων πρὸς ἀλλήλους διαψιθυρίζοντες. Τὸ δὲ μέγιστον, ὑφορᾶσθαι δεῖ μάλιστα τοὺς φιλτάτους καὶ ἐκείνων ἀεί τι δεινὸν ἐλπίζειν ἧξειν. Ὁ μὲν γοῦν ὑπὸ τοῦ παιδὸς ἀπέθανεν ἐκ φαρμάκων, ὁ δὲ καὶ αὐτὸς ὑπὸ τοῦ ἐρωμένου, τὸν δὲ ἄλλον ἴσως ὅμοιος τρόπος θανάτου κατέλαβεν.

26. ΜΙΚ. Ἄπαγε, δεινὰ ταῦτα φῂς, ὦ ἀλεκτρυών. Ἐμοὶ γοῦν πολὺ ἀσφαλέστερον σκυτοτομεῖν ἐπικεκυφότα ἢ πίνειν ἀπὸ χρυσῆς φιάλης κωνείῳ ἢ ἀκονίτῳ συναναχραθεῖσαν φιλοτησίαν· ὁ γοῦν κίνδυνος ἐμοὶ μὲν, εἰ παρολίσθοι τὸ σμιλίον καὶ ἁμάρτοι τῆς τομῆς τῆς ἐπ' εὐθὺ, ὀλίγον τι αἱμάξαι τοὺς δακτύλους ἐντεμόντα· οἱ δὲ, ὡς φῂς, θανάσιμα εὐωχοῦνται, καὶ ταῦτα μυρίοις κακοῖς ξυνόντες. Εἶτ' ἐπειδὰν πέσωσιν, ὅμοιοι μάλιστα φαίνονται τοῖς τραγικοῖς ὑποκριταῖς, ὧν πολλοὺς ἰδεῖν ἔστι τέως μὲν Κέκροπας δῆθεν ὄντας ἢ Σισύφους ἢ Τηλέφους, διαδήματα ἔχοντας καὶ ξίφη ἐλεφαντόκωπα καὶ ἐπίσειστον κόμην καὶ χλαμύδα χρυσόπαστον, ἢν δὲ οἷα πολλὰ γίγνεται, κενεμβατήσας τις αὐτῶν ἐν μέσῃ τῇ σκηνῇ καταπέσῃ, γέλωτα δηλαδὴ παρέχει τοῖς θεαταῖς τοῦ προσωπείου μὲν συντριβέντος αὐτῷ διαδήματι, ἠμαγμένης δὲ τῆς ἀληθοῦς κεφαλῆς τοῦ ὑποκριτοῦ καὶ τῶν σκελῶν ἐπὶ πολὺ γυμνουμένων, ὡς τῆς τε ἐσθῆτος τὰ ἔνδοθεν φαίνεσθαι ῥάκια δύστηνα ὄντα καὶ τῶν κοθόρνων τὴν ὑπόδεσιν ἀμορφοτάτην καὶ οὐ κατὰ λόγον τοῦ ποδός. Ὁρᾷς ὅπως με καὶ εἰκάζειν ἐδιδάξω ἤδη, ὦ βέλτιστε ἀλεκτρυών; Ἀλλὰ τυραννὶς μέν τοιοῦτόν τι ὤφθη οὖσα. Ἵππος δὲ ἢ κύων ἢ ἰχθὺς ἢ βάτραχος ὁπότε γένοιο, πῶς ἔφερες ἐκείνην τὴν διατριβήν;

27. ΑΛΕΚ. Μακρὸν τοῦτον ἀνακινεῖς τὸν λόγον καὶ οὐ τοῦ παρόντος καιροῦ· πλὴν τό γε κεφάλαιον, οὐδεὶς ὅστις οὐκ ἀπραγμονέστερος τῶν βίων ἔδοξέ μοι τοῦ ἀνθρωπείου μόναις ταῖς φυσικαῖς ἐπιθυμίαις καὶ χρείαις ξυμμετρηθείσης· τελώνην δὲ ἵππον ἢ συκοφάντην βάτραχον ἢ σοφιστὴν κολοιὸν ἢ ὀψοποιὸν κώνωπα ἢ κίναιδον ἀλεκτρυόνα ἢ ὅσα ὑμεῖς ἐννοεῖτε, οὐκ ἂν ἴδοις ἐν ἐκείνοις.

28. ΜΙΚ. Ἀληθῆ ἴσως ταῦτα, ὦ ἀλεκτρυών. Ἐγὼ δὲ ὃ πέπονθα οὐκ αἰσχύνομαι πρὸς σὲ εἰπεῖν· οὐδέπω δύναμαι ἀπομαθεῖν τὴν ἐπιθυμίαν ἣν ἐκ παίδων εἶχον πλούσιος γενέσθαι, ἀλλά μοι καὶ τοὐνύπνιον ἔτι πρὸ τῶν ὀφθαλμῶν ἕστηκεν ἐπιδεικνύμενον τὸ χρυσίον, καὶ μάλιστα ἐπὶ τῷ καταράτῳ Σίμωνι ἀποπνίγομαι τρυφῶντι ἐν ἀγαθοῖς τοσούτοις.

ΑΛΕΚ. Ἐγώ σε ἰάσομαι, ὦ Μίκυλλε· καὶ ἐπείπερ ἔτι νύξ ἐστιν, ἐξαναστὰς ἕπου μοι· ἀπάξω γάρ σε παρ' αὐτὸν ἐκεῖνον τὸν Σίμωνα καὶ ἐς τὰς τῶν ἄλλων πλουσίων οἰκίας, ὡς ἴδῃς οἷα τὰ παρ' αὐτοῖς ἐστι.

quibusdam caput conferens; alium laudatus Parmenio, et Perdiccam Ptolemæus, et Ptolemæum Seleucus: verum illa quoque dolorem afferunt, si amasius coactus præbeat, et alio gaudeat pellex, et si defecturi dicantur quidam, et duo vel quattuor satellitum inter se susurrent. Quod vero maximum, suspectos habere oportet carissimos maxime, et ab illis semper aliquid venturum mali metuere. Nam ille a filio suo interfectus est veneno, hic et ipse a suo amasio; alterum vero simile forsitan genus mortis oppressit.

26. MIC. Apage, tristia sunt quæ dicis, galle. Mihi ergo multo securius est inclinato corpore scindere coria, quam aurea in phiala bibere temperatum cicuta et aconito amicitiæ poculum: nam mihi quidem periculum erit, si fallat scalprum et a recta incisione aberret, cruentare vulnusculo digitos incidentem: at illi, ut narras, mortiferas epulantur cœnas, dum infinitis versantur in malis. Deinde quum cecidere, simillimi videntur tragicis actoribus, quorum multos videre est aliquamdiu quidem, si diis placet, Cecropas, aut Sisyphos aut Telephos, diademata habentes et gladios eburneis capulis, et comam fluctuantem, et chlamydem auro distinctam: si vero, qualia multa accidunt, fallente inani vestigio illorum aliquis in media scena concidat, risum nempe præbet spectatoribus, fracta cum ipso diademate persona, cruentatoque vero actoris capite, et cruribus magnam partem denudatis, ut jam appareat interiora vestitus esse panniculos miseros, et cothurnorum subligationem deformissimam neque ad rationem pedis. Viden' quomodo jam me similitudine quoque uti docueris, galle optime? Sed tyrannis quidem talis tibi visa est: quoties vero equus, aut canis, aut piscis, aut rana fuisti, illam quomodo tulisti commorationem?

27. GALL. Longum hunc sermonem moves, nec præsentis temporis: verumtamen, quod caput est rei, nulla harum vitarum non magis quam est hominum tranquilla mihi visa est, quippe quæ solis se naturalibus cupiditatibus et necessitatibus metiretur: publicanum vero equum, aut calumniatorem ranam, aut sophistam graculum, aut coquum culicem, aut cinædum gallum, aut reliqua quibus vos studetis, in illis non videas.

28. MIC. Vera hæc forsitan, galle. Ego vero quomodo sim affectus, dicere apud te non erubesco: nullo modo possum dediscere cupiditatem, quam habui a pueris, ditescendi; verum mihi et insomnium adhuc stat ante oculos, aurum ostendens, et maxime de exsecrabili illo Simone angor, qui in tantis bonis delicate vivit.

GALL. Ego te, Micylle, sanabo. Et quando adhuc nox est, surge, sequere me: abducam enim te ad ipsum illum Simonem et in aliorum divitum domos, ut videas qualis sit illorum conditio.

ΜΙΚ. Πῶς τοῦτο κεκλεισμένων τῶν θυρῶν; εἰ μὴ καὶ τοιχωρυχεῖν γε σύ με ἀναγκάσεις.

ΑΛΕΚ. Οὐδαμῶς, ἀλλ' ὁ Ἑρμῆς, οὗπερ ἱερός εἰμι, τοῦτο ἐξαίρετον ἔδωκέ μοι, ἤν τις τὸ οὐραῖον πτερὸν τὸ μήκιστον ὃ δι' ἁπαλότητα ἐπικαμπές ἐστί μοι ....

ΜΙΚ. Δύο δ' ἔστι σοι τοιαῦτα.

ΑΛΕΚ. Τὸ δεξιὸν τοίνυν ὅτῳ ἂν ἐγὼ ἀποσπάσαι παράσχω καὶ ἔχῃ, ἐς ὅσον ἂν βούλωμαι ἀνοίγειν τε ὁ τοιοῦτος πᾶσαν θύραν δύναται καὶ ὁρᾶν ἅπαντα οὐχ ὁρώμενος αὐτός.

ΜΙΚ. Ἐλελήθεις με, ὦ ἀλεκτρυών, καὶ σὺ γόης ὤν. Ἐμοὶ δ' οὖν ἢν τοῦτο ἅπαξ παράσχῃς, ὄψει τὰ Σίμωνος πάντα ἐν βραχεῖ δεῦρο μετενηνεγμένα· μετοίσω γὰρ αὐτὰ παρεσελθών· ὁ δὲ αὖθις περιτρώξεται ἀποτείνων τὰ καττύματα.

ΑΛΕΚ. Οὐ θέμις γενέσθαι τοῦτο· παρήγγειλε γὰρ ὁ Ἑρμῆς, ἤν τινα τοιοῦτον ἐργάζηται ὁ ἔχων τὸ πτερόν, ἀναβοήσαντά με καταφωρᾶσαι αὐτόν.

ΜΙΚ. Ἀπίθανον λέγεις, κλέπτην τὸν Ἑρμῆν αὐτὸν ὄντα τοῖς ἄλλοις φθονεῖν τοῦ τοιούτου. Ἀπίωμεν δ' ὅμως· ἀφέξομαι γὰρ τοῦ χρυσίου, ἢν δύνωμαι.

ΑΛΕΚ. Ἀπότιλον, ὦ Μίκυλλε, πρότερον τὸ πτίλον.... Τί τοῦτο; ἄμφω ἀπέτιλας.

ΜΙΚ. Ἀσφαλέστερον οὕτως, ὦ ἀλεκτρυών, καὶ σοὶ ἧττον ἂν ἄμορφον τὸ πρᾶγμα εἴη, ὡς μὴ χωλεύοις διὰ θάτερον τῆς οὐρᾶς μέρος.

29. ΑΛΕΚ. Εἶεν. Ἐπὶ τὸν Σίμωνα πρῶτον ἄπιμεν ἢ παρ' ἄλλον τινὰ τῶν πλουσίων;

ΜΙΚ. Οὐ μὲν οὖν, ἀλλὰ παρὰ τὸν Σίμωνα, ὃς ἀντὶ δισυλλάβου τετρασύλλαβος ἤδη πλουτήσας εἶναι ἀξιοῖ. Καὶ δὴ πάρεσμεν ἐπὶ τὰς θύρας. Τί οὖν ποιῶ τὸ μετὰ τοῦτο;

ΑΛΕΚ. Ἐπίθες τὸ πτερὸν ἐπὶ τὸ κλεῖθρον.

ΜΙΚ. Ἰδοὺ ἤδη. Ὦ Ἡράκλεις, ἀναπεπέτασται ὥσπερ κλειδὶ ἡ θύρα.

ΑΛΕΚ. Ἡγοῦ ἐς τὸ πρόσθεν. Ὁρᾷς αὐτὸν ἀγρυπνοῦντα καὶ λογιζόμενον;

ΜΙΚ. Ὁρῶ νὴ Δία πρὸς ἀμαυράν τε καὶ διψῶσαν τὴν θρυαλλίδα, καὶ ὠχρὸς δ' ἐστὶν οὐκ οἶδ' ὅθεν, ὦ ἀλεκτρυών, καὶ κατέσκληκεν ὅλος ἐκτετηκὼς, ὑπὸ φροντίδων δηλαδή· οὐ γὰρ νοσεῖν ἄλλως ἐλέγετο.

ΑΛΕΚ. Ἄκουσον ἃ φησιν· εἴσῃ γὰρ ὅθεν οὕτως ἔχει.

ΣΙΜΩΝ. Οὐκοῦν τάλαντα μὲν ἑβδομήκοντα ἐκεῖνα πάνυ ἀσφαλῶς ὑπὸ τῇ κλίνῃ κατορώρυκται καὶ οὐδεὶς ὅλως εἶδε, τὰ δὲ ἑκκαίδεκα εἶδεν, οἶμαι, Σωσύλος ὁ ἱπποκόμος ὑπὸ τῇ φάτνῃ κατακρύπτοντά με· ὅλως γοῦν περὶ τὸν ἵππωνά ἐστιν οὐ πάνυ ἐπιμελὴς ἄλλως οὐδὲ φιλόπονος ὤν. Εἰκὸς δὲ διηρπάσθαι πολλῷ πλείω τούτων, ἢ πόθεν γὰρ ὁ Τίβιος ταρίχους οὕτω μεγάλους ὠψωνηκέναι χθὲς ἐλέγετο ἢ τῇ γυναικὶ ἑλλόβιον ἐωνῆσθαι πέντε δραχμῶν ὅλων; Τάμὰ οὖτοι σπαθῶσι τοῦ κακοδαίμονος. Ἀλλ' οὐδὲ τὰ ἐκπώματα ἐν ἀσφαλεῖ μοι ἀπόκειται τοσαῦτα ὄντα· δέδια γοῦν μή τις ὑπορύξας

MIC. Quomodo hoc clausis januis? nisi forte etiam parietes perfodere me coges.

GALL. Minime : sed Mercurius, cujus ego sacer sum, eximium hoc mihi dedit, si quis longissimam in cauda pennam, quæ propter mollitiem inflectitur ....

MIC. At tibi duæ sunt tales.

GALL. Dextram igitur ego cuicumque præbuero evellendam, et teneat ille, quamdiu voluero, is aperire januam unamquamque potest, et videre, non visus ipse, omnia.

MIC. Nesciebam te quoque, galle, præstigiatorem esse. Verum mihi hoc si semel concesseris, videbis huc translata brevi tempore Simonis omnia : eo enim quum abiero, huc ea transferam; ille vero rursus arrodet, dum producit, soleas.

GALL. Nefas est hoc fieri : præcepit enim mihi Mercurius, si tale quid agat qui habeat pennam, ut cantu meo efficiam ut deprehendatur.

MIC. Non est verisimile quod dicis, furem Mercurium ipsum invidere illud aliis. Sed tamen abeamus; abstinebo enim auro, si potero.

GALL. Evelle prius, Micylle, pennam.... Quid hoc? evellisti ambas.

MIC. Sic tutius est, galle, et tibi minus deforme fuerit, ut ne claudices alterutra caudæ parte.

29. GALL. Esto. Ad Simonemne primo abimus, an ad alium quendam divitum?

MIC. Non sane, sed ad Simonem, qui pro disyllabo quadrisyllabus jam, dives factus, esse postulat. Et sane adsumus ad januam. Quid ergo post hæc agam?

GALL. Admove pennam ad seram.

MIC. En jam feci. O Hercules! aperta est velut clavi janua.

GALL. Præcede porro. Viden' eum vigilantem et subducentem rationes?

MIC. Video, per Jovem, ad obscuriusculam quidem et sitientem lucernam : est autem pallidus, nescio unde, galle; et totus exaruit, tabefactus nimirum a curis : neque enim alias ægrotare dictus est.

GALL. Audi quæ dicit : scies enim unde sic habeat.

SIMO. Ergo talenta quidem septuaginta illa secure omnino sub lecto sunt defossa, et nemo omnino vidit : sed sedecim illa vidit me, puto, Sosylus equiso occultantem sub præsepio; semper enim nunc circa stabulum versatur, qui alias omnino nec diligens nec laboris est amans. Verisimile est autem multo his plura esse direpta : unde enim alias tantum sibi salsamentum obsonasse heri Tibius diceretur, aut inaurem emisse contubernali suæ drachmis quinque integris? Omnino mea infelicis isti per luxum disperdunt. Sed neque tot pocula in tuto mihi sunt reposita : metuo enim ne quis perfosso pariete ea subducat. Multi

τὸν τοῖχον ὑφέληται αὐτά· πολλοὶ φθονοῦσι καὶ ἐπιβουλεύουσί μοι, καὶ μάλιστα ὁ γείτων Μίκυλλος.

ΜΙΚ. Νὴ Δία, σοὶ γὰρ ὅμοιος ἐγὼ καὶ τὰ τρύβλια ὑπὸ μάλης ἄπειμι ἔχων.

ΑΛΕΚ. Σιώπα, ὦ Μίκυλλε, μὴ καταφωράσῃ παρόντας ἡμᾶς.

ΣΙΜ. Ἄριστον γοῦν ἄγρυπνον αὐτὸν διαφυλάττειν ἅπαντα· περίειμι διαναστὰς ἐν κύκλῳ τὴν οἰκίαν. Τίς οὗτος; ὁρῶ σέ γε, ὦ τοιχωρύχε..... Μὰ Δί', ἐπεὶ κίων γε ὢν τυγχάνεις, εὖ ἔχει. Ἀριθμήσω αὖθις ἀνορύξας τὸ χρυσίον, μή τί με πρῴην διέλαθεν. Ἰδοὺ πάλιν ἐψόφηκέ τις ἐπ' ἐμὲ δηλαδή· πολιορκοῦμαι καὶ ἐπιβουλεύομαι πρὸς ἁπάντων. Ποῦ μοι τὸ ξιφίδιον; ἂν λάβω τινά... Θάπτωμεν αὖθις τὸ χρυσίον.

30. ΑΛΕΚ. Τοιαῦτα μέν σοι, ὦ Μίκυλλε, τὰ Σίμωνος. Ἀπίωμεν δὲ καὶ παρ' ἄλλον τινά, ἕως ἔτι ὀλίγον τῆς νυκτὸς λοιπόν ἐστιν.

ΜΙΚ. Ὦ κακόδαιμον, οἷον βιοῖ τὸν βίον. Ἐχθροῖς οὕτω πλουτεῖν γένοιτο. Κατὰ κόρρης δ' οὖν πατάξας αὐτὸν ἀπελθεῖν βούλομαι.

ΣΙΜ. Τίς ἐπάταξέ με; λῃστεύομαι ὁ δυστυχής.

ΜΙΚ. Οἴμωζε καὶ διαγρύπνει καὶ ὅμοιος γίγνου τὸ χρῶμα τῷ χρυσῷ προστετηκὼς αὐτῷ. Ἡμεῖς δὲ παρὰ Γνίφωνα εἰ δοκεῖ τὸν δανειστὴν ἴωμεν· οὐ μακρὰν δὲ καὶ οὗτος οἰκεῖ. Ἀνέῳγε καὶ αὕτη ἡμῖν ἡ θύρα.

31. ΑΛΕΚ. Ὁρᾷς ἐπαγρυπνοῦντα καὶ αὐτὸν ἐπὶ φροντίδων, ἀναλογιζόμενον τοὺς τόκους καὶ τοὺς δακτύλους ἤδη κατεσκληκότα, ὃν δεήσει μετ' ὀλίγον πάντα ταῦτα καταλιπόντα σίλφην ἢ ἐμπίδα ἢ κυνόμυιαν γενέσθαι;

ΜΙΚ. Ὁρῶ κακοδαίμονα καὶ ἀνόητον ἄνθρωπον οὐδὲ νῦν πολὺ τῆς σίλφης ἢ ἐμπίδος ἄμεινον βιοῦντα. Ὡς δὲ καὶ οὗτος ἐκτέτηκεν ὅλος ὑπὸ τῶν λογισμῶν. Ἐπ' ἄλλον ἀπίωμεν.

32. ΑΛΕΚ. Παρὰ τὸν σὸν Εὐκράτην, εἰ δοκεῖ. Καὶ ἰδοὺ γάρ, ἀνέῳγε καὶ αὕτη ἡ θύρα· ὥστε ἐσίωμεν.

ΜΙΚ. Πάντα ταῦτα μικρὸν ἔμπροσθεν ἐμὰ ἦν.

ΑΛΕΚ. Ἔτι γὰρ σὺ ὀνειρώττεις τὸν πλοῦτον; Ὁρᾷς δ' οὖν τὸν Εὐκράτην αὐτὸν μὲν ὑπὸ τοῦ οἰκέτου πρεσβύτην ἄνθρωπον;

ΜΙΚ. Ὁρῶ νὴ Δία καταπυγοσύνην καὶ πασχητιασμόν τινα καὶ ἀσέλγειαν οὐκ ἀνθρωπίνην· τὴν γυναῖκα δὲ ἑτέρωθι ὑπὸ τοῦ μαγείρου μοιχευομένην καὶ αὐτήν.

33. ΑΛΕΚ. Τί οὖν; ἐθέλοις ἂν καὶ τούτων κληρονομεῖν, ὦ Μίκυλλε, καὶ πάντα ἔχειν τὰ Εὐκράτους;

ΜΙΚ. Μηδαμῶς, ὦ ἀλεκτρυών· λιμῷ ἀπολοίμην πρότερον. Χαιρέτω τὸ χρυσίον καὶ τὰ δεῖπνα, δύο ὀβολοὶ ἐμοί γε πλοῦτός ἐστι μᾶλλον ἢ τοιχωρυχεῖσθαι πρὸς τῶν οἰκετῶν.

ΑΛΕΚ. Ἀλλὰ νῦν μὲν ἡμέρα γὰρ ἤδη ἀμφὶ τὸ λυκαυγὲς αὐτὸ, ἀπίωμεν οἴκαδε παρ' ἡμᾶς· τὰ λοιπὰ δὲ ἐς αὖθις ὄψει, ὦ Μίκυλλε.

---

invident mihi et insidiantur, et maxime Micyllus hic vicinus.

MIC. Ita me Jupiter : tui nempe similis ego, et patellas sub ala habens abeo.

GALL. Tace, Micylle, ne adesse nos deprehendat.

SIM. Optimum igitur fuerit ut somno me abstineam et ipse custodiam omnia : surgens circumibo domum. Quis hic? equidem te video, perfossor parietum ... Per Jovem, quandoquidem columna es, bene habet. Numerabo iterum effossum aurum, num quid me forte nuper fugit. En iterum aliquis strepitum dedit, nempe me petens : obsideor et clanculum oppugnor ab omnibus. Ubi mihi pugio? si quem deprehendero .... Sepeliamus rursus aurum.

30. GALL. Talis tibi Simonis conditio, Micylle. Abeamus vero etiam ad alium quendam, dum pauxillum adhuc noctis superest.

MIC. Infelix! qualem vivit vitam! Inimicis ita divitibus esse contingat! Percussa ergo illius mala volo discedere.

SIM. Quis me percussit? a latronibus miser pereo!

MIC. Plora et vigila, et similis quantum ad colorem auro tuo evade, illi intabescens. Nos vero, si videtur, ad Gniphonem eamus danistam : non procul autem hic etiam habitat. Aperta nobis hæc quoque janua.

31. GALL. Vides vigilantem hunc quoque præ curis, computantem usuras, et digitis jam aridis tabe, quem paullo post oportebit, relictis hisce omnibus, blattam aut culicem aut muscam fieri?

MIC. Video miserum et dementem hominem, ne nunc quidem blatta aut culice melius viventem. Quam vero hic quoque totus putandis rationibus contabuit! Ad alium abeamus.

32. GALL. Ad Eucratem tuum, si videtur. Et ecce aperta et hæc est janua. Ingrediamur ergo.

MIC. Istæc omnia paullo ante mea erant.

GALL. Adhucnam divitias tu somnias? Vides igitur Eucraten ipsum a suo servo ... hominem senem?

MIC. Video, ita me Jupiter, pædicationem et morbum pathicum et libidinem non humanam : uxorem vero altero in angulo a coquo adulterio pollui ipsam quoque.

33. GALL. Quid ergo? velisne istorum quoque heres fieri, Micylle, et omnia habere Eucratis?

MIC. Nequaquam, galle : fame prius inteream. Valeant aurum et cœnæ! duo oboli mihi quidem divitiæ sunt potius quam si præda fierem servorum.

GALL. Sed nunc, dies enim jam circa ipsum diluculum est, domum ad nos abeamus : reliqua alio tempore, Micylle, videbis.

XLVI.

ΙΚΑΡΟΜΕΝΙΠΠΟΣ Η ΥΠΕΡΝΕΦΕΛΟΣ.

1. ΜΕΝΙΠΠΟΣ. Οὐκοῦν τρισχίλιοι μὲν ἦσαν ἀπὸ γῆς στάδιοι μέχρι πρὸς τὴν σελήνην, ὁ πρῶτος ἡμῖν σταθμός· τοὐντεῦθεν δὲ ἐπὶ τὸν ἥλιον ἄνω παρασάγγαι που πεντακόσιοι· τὸ δ' ἀπὸ τούτου ἐς αὐτὸν ἤδη τὸν οὐρανὸν καὶ τὴν ἀκρόπολιν τὴν τοῦ Διὸς ἄνοδος καὶ ταῦτα γένοιτ' ἂν εὐζώνῳ ἀετῷ μιᾶς ἡμέρας.

ΕΤΑΙΡΟΣ. Τί ταῦτα πρὸς Χαρίτων, ὦ Μένιππε, ἀστρονομεῖς καὶ ἡσυχῇ πως ἀναμετρεῖς; πάλαι γὰρ ἐπακροῶμαί σου ἀκολουθῶν ἡλίους καὶ σελήνας, ἔτι δὲ τὰ φορτικὰ ταῦτα σταθμούς τινας καὶ παρασάγγας ὑποξενίζοντος.

MEN. Μὴ θαυμάσῃς, ὦ ἑταῖρε, εἰ μετέωρα καὶ διαέρια δοκῶ σοι λέγειν· τὸ κεφάλαιον γὰρ δὴ πρὸς ἐμαυτὸν λογίζομαι τῆς ἐναγχος ἀποδημίας.

ΕΤΑΙΡ. Εἶτα, ὦγαθὲ, καθάπερ οἱ Φοίνικες ἄστροις ἐτεκμαίρου τὴν ὁδόν;

MEN. Οὐ μὰ Δία, ἀλλ' ἐν αὐτοῖς τοῖς ἄστροις ἐποιούμην τὴν ἀποδημίαν.

ΕΤΑΙΡ. Ἡράκλεις, μακρόν τινα τὸν ὄνειρον λέγεις, εἴ γε σαυτὸν ἔλαθες κατακοιμηθεὶς παρασάγγας ὅλους.

2. MEN. Ὄνειρον γάρ, ὦ τᾶν, δοκῶ σοι λέγειν ὃς ἀρτίως ἀφῖγμαι παρὰ τοῦ Διός;

ΕΤΑΙΡ. Πῶς ἔφησθα; Μένιππος ἡμῖν διοπετὴς πάρεστιν ἐξ οὐρανοῦ;

MEN. Καὶ μὴν ἐγώ σοι παρ' αὐτοῦ ἐκείνου τοῦ πάνυ Διὸς ἥκω τήμερον θαυμάσια καὶ ἀκούσας καὶ ἰδών· εἰ δὲ ἀπιστεῖς, καὶ αὐτὸ τοῦτο ὑπερευφραίνομαι τὸ πέρα πίστεως εὐτυχεῖν.

ΕΤΑΙΡ. Καὶ πῶς ἂν ἔγωγε, ὦ θεσπέσιε καὶ Ὀλύμπιε Μένιππε, γεννητὸς αὐτὸς καὶ ἐπίγειος ὢν ἀπιστεῖν δυναίμην ὑπερνεφέλῳ ἀνδρὶ καὶ ἵνα καθ' Ὅμηρον εἴπω τῶν Οὐρανιώνων ἑνί; Ἀλλ' ἐκεῖνά μοι φράσον, εἰ δοκεῖ, τίνα τρόπον ἦρθης ἄνω καὶ ὁπόθεν ἐπορίσω κλίμακα τηλικαύτην τὸ μέγεθος; τὰ μὲν γὰρ ἀμφὶ τὴν ὄψιν οὐ πάνυ ἔοικας ἐκείνῳ τῷ Φρυγὶ, ὥστε καὶ ἡμᾶς εἰκάζειν καὶ σὲ οἰνοχοήσοντά που ἀνάρπαστον γεγονέναι πρὸς τοῦ ἀετοῦ.

MEN. Σὺ μὲν πάλαι σκώπτων δῆλος εἶ, καὶ θαυμαστὸν οὐδὲν εἴ σοι τὸ παράδοξον τοῦ λόγου μύθῳ δοκεῖ προσφερές. Ἀτὰρ οὐδὲν ἐδέησέ μοι πρὸς τὴν ἄνοδον οὔτε τῆς κλίμακος οὔτε παιδικὰ γενέσθαι τοῦ ἀετοῦ· οἰκεῖα γὰρ ἦν μοι τὰ πτερά.

ΕΤΑΙΡ. Τοῦτο μὲν ἤδη καὶ ὑπὲρ αὐτὸν Δαίδαλον ἔφησθα, εἴ γε πρὸς τοῖς ἄλλοις ἐλελήθεις ἡμᾶς ἱέραξ τις ἢ κολοιὸς ἐξ ἀνθρώπου γενόμενος.

MEM. Ὀρθῶς, ὦ ἑταῖρε, καὶ οὐκ ἄπο σκοποῦ εἴκασας· τὸ Δαιδάλειον γὰρ ἐκεῖνο σόφισμα τῶν πτερῶν καὶ αὐτὸς ἐμηχανησάμην.

3. ΕΤΑΙΡ. Εἶτα, ὦ τολμηρότατε πάντων, οὐκ ἐδεδοίκεις μὴ καὶ σύ που τῆς θαλάττης καταπεσὼν Με-

XLVI.

ICAROMENIPPUS sive HYPERNEPHELUS.

1. MENIPPUS. Igitur ter mille hæc erant a terra stadia ad lunam usque, quæ prima nobis mansio : hinc ad solem sursum parasangæ circiter quingenti : hinc vero in ipsum cœlum et arcem Jovis arduam ascensus; et hæc fuerint expedito aquilæ unius diei.

SODALIS. Quid hæc, per Gratias, Menippe, de astris disputas, et immurmurans ea velut dimetiris? olim enim, dum sequor, te audio soles et lunas, insuper vero etiam plebeia istæc nomina, mansiones quasdam et parasangas, peregrina ratione memorare.

MEN. Noli mirari, sodalis, si sublimia atque aeria videor tibi dicere : summam enim apud me nuperæ peregrinationis repeto.

SOD. Tum tu, o bone, sicut Phœnices stellis signabas viam?

MEN. Non, ita me Jupiter; sed ipsis in astris peregrinatus sum.

SOD. Longum hercle somnium narras, si imprudens parasangas totos dormisti.

2. MEN. Somniumne tibi, amice, videor narrare, qui modo de Jove tibi adsum?

SOD. Quid ais? Menippus nobis a Jove demissus e cœlo adest?

MEN. Ego vero ab ipso tibi illo summo Jove advenio hodie, rebus auditis visisque mirabilibus. Si non credis, at ego hoc ipso nomine vehementer delector, quod ultra fidem beatus sum.

SOD. Et quomodo ego, divine atque Olympie Menippe, natus ipse et terrestris qui sim, fidem negare possim viro supra nubes elato, et, ut secundum Homerum dicam, cœlicolarum uni? Sed illud mihi dic, si videtur, qua ratione sursum sublatus sis, et unde copia tibi tantarum scalarum obtigerit? quantum enim ad speciem, non valde similis es illi Phrygi, ut nos inde conjicere possemus te quoque ad pincernæ forte officium in sublime raptum ab aquila.

MEN. Apparet dudum te ridere : nec mirum si remota a vulgi opinionibus narratio fabulæ similis tibi videtur. Sed nihil opus mihi ad ascensum neque scalis fuit, neque ut amasius fierem aquilæ, qui meas mihi alas habuerim.

SOD. Jam supra ipsum Dædalum est hoc quod narras, si quidem præter cetera, nobis non sentientibus, accipiter vel graculus ex homine factus es.

MEN. Recte, sodalis, neque a scopo procul conjecisti : Dædaleum enim illud alarum commentum ipse quoque machinatus sum.

3. SOD. Tum tu, audacissime omnium, non metuebas ne tu quoque, in aliquam maris regionem delapsus, Me-

νίππειόν τι πέλαγος ἡμῖν ὥσπερ τὸ Ἰκάριον ἀποδείξῃς ἐπὶ τῷ σεαυτοῦ ὀνόματι;

MEN. Οὐδαμῶς· ὁ μὲν γὰρ Ἴκαρος ἅτε κηρῷ τὴν πτέρωσιν ἡρμοσμένος, ἐπειδὴ τάχιστα πρὸς τὸν ἥλιον ἐκεῖνος ἐτάκη, πτερορρυήσας εἰκότως κατέπεσεν· ἡμῖν δὲ ἀκήρωτα ἦν τὰ ὠκύπτερα.

ΕΤΑΙΡ. Πῶς λέγεις; ἤδη γὰρ οὐκ οἶδ' ὅπως ἠρέμα με προσάγεις πρὸς τὴν ἀλήθειαν τῆς διηγήσεως.

MEN. Ὧδέ πως· ἀετὸν εὐμεγέθη συλλαβών, ἔτι δὲ γῦπα τῶν καρτερῶν ἀποτεμών αὐταῖς ὠλέναις τὰ πτερὰ .... μᾶλλον δὲ καὶ πᾶσαν ἐξ ἀρχῆς τὴν ἐπίνοιαν, εἰ σοι σχολή, δίειμι.

ΕΤΑΙΡ. Πάνυ μὲν οὖν· ὡς ἐγώ σοι μετέωρός εἰμι ὑπὸ τῶν λόγων καὶ πρὸς τὸ τέλος ἤδη κέχηνα τῆς ἀκροάσεως· μηδὲ πρὸς Φιλίου με περιίδῃς ἄνω που τῆς διηγήσεως ἐκ τῶν ὤτων ἀπηρτημένον.

4. MEN. Ἄκουε τοίνυν· οὐ γὰρ ἀστεῖόν γε τὸ θέαμα κεχηνότα φίλον ἐγκαταλιπεῖν, καὶ ταῦτα ὡς σὺ φῂς ἐκ τῶν ὤτων ἀπηρτημένον. Ἐγὼ γὰρ ἐπειδὴ τάχιστα ἐξετάζων τὰ κατὰ τὸν βίον γελοῖα καὶ ταπεινὰ καὶ ἀβέβαια τὰ ἀνθρώπινα πάντα εὗρισκον, πλούτους λέγω καὶ ἀρχὰς καὶ δυναστείας, καταφρονήσας αὐτῶν καὶ τὴν περὶ ταῦτα σπουδὴν ἀσχολίαν τῶν ἀληθῶς σπουδαίων ὑπολαβών ἀνακύπτειν τε καὶ πρὸς τὸ πᾶν ἀποβλέπειν ἐπειρώμην· καί μοι ἐνταῦθα πολλήν τινα παρεῖχε τὴν ἀπορίαν πρῶτον μὲν αὐτὸς οὗτος ὁ ὑπὸ τῶν σοφῶν καλούμενος κόσμος· οὐ γὰρ εἶχον εὑρεῖν οὔθ' ὅπως ἐγένετο οὔτε τὸν δημιουργὸν οὔτ' ἀρχὴν οὔθ' ὅ τι τὸ τέλος ἐστὶν αὐτοῦ. Ἔπειτα δὲ κατὰ μέρος ἐπισκοπῶν πολὺ μᾶλλον ἀπορεῖν ἠναγκαζόμην· τούς τε γὰρ ἀστέρας ἐώρων ὡς ἔτυχε τοῦ οὐρανοῦ διερριμμένους καὶ τὸν ἥλιον αὐτὸν τί ποτε ἦν ἄρα ἐπόθουν εἰδέναι· μάλιστα δὲ τὰ κατὰ τὴν σελήνην ἄτοπά μοι καὶ παντελῶς παράδοξα κατεφαίνετο, καὶ τὸ πολυειδὲς αὐτῆς τῶν σχημάτων ἀπόρρητόν τινα τὴν αἰτίαν ἔχειν ἐδοκίμαζον. Οὐ μὴν ἀλλὰ καὶ ἀστραπὴ διάξασα καὶ βροντὴ καταρραγεῖσα καὶ ὑετὸς ἢ χιὼν ἢ χάλαζα κατενεχθεῖσα καὶ ταῦτα δυσείκαστα πάντα καὶ ἀτέκμαρτα ἦν.

5. Οὐκοῦν ἐπειδήπερ οὕτω διεκείμην, ἄριστον εἶναι ὑπελάμβανον παρὰ τῶν φιλοσόφων τούτων ταῦτα ἕκαστα ἐκμαθεῖν· ᾤμην γὰρ ἐκείνους γε πᾶσαν ἔχειν ἂν εἰπεῖν τὴν ἀλήθειαν. Οὕτω δὴ τοὺς ἀρίστους ἐπιλεξάμενος αὐτῶν, ὡς ἐνῆν τεκμήρασθαι προσώπου τε σκυθρωπότητι καὶ χρόας ὠχρότητι καὶ γενείου βαθύτητι — μάλα γὰρ ὑψαγόραι τινὲς καὶ οὐρανογνώμονες οἱ ἄνδρες αὐτίκα μοι κατεφάνησαν — τούτοις ἐγχειρίσας ἐμαυτὸν καὶ συχνὸν ἀργύριον τὸ μὲν αὐτόθεν ἤδη καταβαλών, τὸ δὲ εἰσαῦθις ἀποδώσειν ἐπὶ κεφαλαίῳ τῆς σοφίας διομολογησάμενος ἠξίουν μετεωρολέσχης τε διδάσκεσθαι καὶ τὴν τῶν ὅλων διακόσμησιν καταμαθεῖν. Οἱ δὲ τοσοῦτον ἄρα ἐδέησάν με τῆς παλαιᾶς ἐκείνης ἀγνοίας ἀπαλλάξαι, ὥστε καὶ εἰς μείζους ἀπορίας φέροντες ἐνέβαλον ἀρχάς τινας καὶ τέλη καὶ ἀτόμους καὶ κενὰ καὶ ὕλας καὶ ἰδέας καὶ τὰ τοιαῦτα δσημέραι μου

nippeum quoddam pelagus nobis, sicut Icarium, tuo signatum nomine faceres?

MEN. Nequaquam : nam Icarus, cujus pennæ cera aptæ essent, ubi primum ad solem liquefactus erat, defluentibus pennis non potuit non decidere : at nostræ sine cera fuerunt alæ.

SOD. Quid ais? jam enim nescio quomodo sensim me ad veritatem narrationis perducis.

MEN. Sic fere : aquilam cepi bene magnam et vulturem insuper de robustis illis, horum alis cum ipsis humeris abscissis .... sed potius totum ab initio inde consilium, si tibi otium est, persequar.

SOD. Omnino vero : suspensus enim sum exspectatione narrationis tuæ, et fini jam auditionis inhio : neu tu, per ego te amicitiæ præsidem Jovem obsecro, me negligas in alto fere tuæ narrationis auribus quasi suspensum.

4. MEN. Audi ergo : non enim lepidum est spectaculum, hiantem amicum destituere, eumque suspensum, ut tu ais, auribus. Ego enim quum primum examinandis vitæ rationibus ridicula et humilia et infirma humana omnia deprehendissem, divitias dico et imperia et potestates, contemtis illis, ut qui studium circa ista obstare putarem ne rebus vere dignis studio vacare liceret, tollere oculos et ad ipsum hoc universum respicere tentabam. Et hic mihi multam dubitationem objecit primo quidem ipse hic qui a sapientibus mundus vocatur : neque enim invenire poteram quomodo exstitisset, neque opificem, neque principium, neque finem illius, quis esset. Deinde vero per partes quum considerabam, multo magis etiam cogebar dubitare : stellas enim videbam forte fortuna per cœlum sparsas, et solem ipsum, quid tandem esset, cupiebam cognoscere. Præsertim vero lunæ natura mihi singularis et omnino mira videbatur; et multiplicem illius figurarum diversitatem occultam quandam causam habere statuebam. Verum etiam fulgur illud impetu per omnia ruens, et prorumpens tonitru, et pluvia, aut nix, aut grando delabens; hæc quoque omnia vel conjectura vel signis erant mihi impervestigabilia.

5. Ita igitur animo affectus quum essem, optimum factu judicabam hæc de philosophis hisce discere singula : putabam enim illos certe, quicquid verum est, posse dicere. Sic ergo delectis illorum optimis, quantum colligere licebat e vultus tristitia et colore pallido et menti hirsutie (valde enim altiloqui et cœli consulti homines isti statim mihi videbantur) : his ergo me quum commisissem, magna vi pecuniæ partim e vestigio repræsentata, partim in futurum pro summa et fastigio sapientiæ promissa, postulabam doceri quomodo de sublimitate rerum disputandum esset, et ornatum hujus universi ediscere. At illi tantum aberat ut veteri illa me ignorantia liberarent, ut in multo etiam majores me dubitationes conjicerent, principia quædam, et fines, et atomos, et inania, et materias, et formas, et talia quoti-

καταχέοντες. Ὁ δὲ πάντων ἐμοὶ γοῦν ἐδόκει χαλεπώτατον, ὅτι μηδὲν ἄτερος θατέρῳ λέγοντες ἀκόλουθον, ἀλλὰ μαχόμενα πάντα καὶ ὑπεναντία ὅμως πείθεσθαί τέ με ἠξίουν καὶ πρὸς τὸν αὑτοῦ λόγον ἕκαστος ὑπάγειν ἐπειρῶντο.

ΕΤΑΙΡ. Ἄτοπον λέγεις, εἰ σοφοὶ ὄντες οἱ ἄνδρες ἐστασίαζον πρὸς αὑτοὺς περὶ τῶν ὄντων καὶ οὐ τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἐδόξαζον.

6. ΜΕΝ. Καὶ μήν, ὦ ἑταῖρε, γελάσῃ ἀκούσας τήν τε ἀλαζονείαν αὐτῶν καὶ τὴν ἐν τοῖς λόγοις τερατουργίαν, οἵ γε πρῶτα μὲν ἐπὶ γῆς βεβηκότες καὶ μηδὲν τῶν χαμαὶ ἐρχομένων ἡμῶν ὑπερέχοντες, ἀλλ' οὐδὲ ὀξύτερον τοῦ πλησίον δεδορκότες, ἔνιοι δὲ ὑπὸ γήρως ἢ ἀργίας ἀμβλυώττοντες, ὅμως οὐρανοῦ τε πέρατα διορᾶν ἔφασκον καὶ τὸν ἥλιον περιεμέτρουν καὶ τοῖς ὑπὲρ τὴν σελήνην ἐπεβάτευον καὶ ὥσπερ ἐκ τῶν ἀστέρων καταπεσόντες μεγέθη τε αὐτῶν καὶ σχήματα διεξήεσαν, καὶ πολλάκις, εἰ τύχοι, μηδὲ ὁπόσοι στάδιοι Μεγαρόθεν Ἀθήναζέ εἰσιν ἀκριβῶς ἐπιστάμενοι τὸ μεταξὺ τῆς σελήνης καὶ τοῦ ἡλίου χωρίον ὁπόσων εἴη πηχῶν τὸ μέγεθος ἐτόλμων λέγειν, ἀέρος τε ὕψη καὶ θαλάττης βάθη καὶ γῆς περιόδους ἀναμετροῦντες, ἔτι δὲ κύκλους καταγράφοντες καὶ τρίγωνα ἐπὶ τετραγώνοις διασχηματίζοντες καὶ σφαίρας τινὰς ποικίλας τὸν οὐρανὸν δῆθεν αὐτὸν ἐπιμετροῦντες.

7. Ἔπειτα δὲ κἀκεῖνο πῶς οὐκ ἄγνωμον αὐτῶν καὶ παντελῶς τετυφωμένον; τὸ περὶ τῶν οὕτως ἀδήλων λέγοντας μηδὲν ὡς εἰκάζοντας ἀποφαίνεσθαι, ἀλλ' ὑπερδιατείνεσθαί τε καὶ μηδεμίαν τοῖς ἄλλοις ὑπερβολὴν ἀπολιμπάνειν μονονουχὶ διομνυμένους μύδρον μὲν εἶναι τὸν ἥλιον, κατοικεῖσθαι δὲ τὴν σελήνην, ὑδατοποτεῖν δὲ τοὺς ἀστέρας τοῦ ἡλίου καθάπερ ἱμονιᾷ τινι τὴν ἰκμάδα ἐκ τῆς θαλάττης ἀναspῶντος καὶ ἅπασιν αὐτοῖς τὸ ποτὸν ἐξ ἴσου διανέμοντος.

8. Τὴν μὲν γὰρ ἐναντιότητα ὁπόση τῶν λόγων ῥᾴδιον καταμαθεῖν. Καὶ σκόπει πρὸς Διός, εἰ ἐν γειτόνων ἐστὶ τὰ δόγματα καὶ μὴ πάμπολυ διεστηκότα· πρῶτα μὲν γὰρ αὐτοῖς ἡ περὶ τοῦ κόσμου γνώμη διάφορος, εἴ γε τοῖς μὲν ἀγέννητός τε καὶ ἀνώλεθρος εἶναι δοκεῖ· οἱ δὲ καὶ τὸν δημιουργὸν αὐτοῦ καὶ τῆς κατασκευῆς τὸν τρόπον εἰπεῖν ἐτόλμησαν, οὓς καὶ μάλιστα ἐθαύμαζον θεὸν μέν τινα τεχνίτην τῶν ὅλων ἱστάντας, οὐ προστιθέντας δὲ οὔτε ὅθεν ἦκων οὔτε ὅπου ἑστὼς ἕκαστα ἐτεκταίνετο, καίτοι πρό γε τῆς τοῦ παντὸς γενέσεως ἀδύνατον καὶ χρόνον καὶ τόπον ἐννοεῖν.

ΕΤΑΙΡ. Μάλα τινὰς, ὦ Μένιππε, τολμητὰς καὶ θαυματοποιοὺς ἄνδρας λέγεις.

ΜΕΝ. Τί δ', εἰ ἀκούσειας, ὦ θαυμάσιε, περί τε ἰδεῶν καὶ ἀσωμάτων ἃ διεξέρχονται ἢ τοὺς περὶ τοῦ πέρατός τε καὶ ἀπείρου λόγους; καὶ γὰρ αὖ καὶ αὕτη νεανικὴ αὐτοῖς ἡ μάχη, τοῖς μὲν τέλει τὸ πᾶν περιγράφουσι, τοῖς δὲ ἀτελὲς τοῦτο εἶναι ὑπολαμβάνουσιν. Οὐ μὴν ἀλλὰ καὶ παμπόλλους τινὰς εἶναι τοὺς κόσμους ἀπεφαίνοντο καὶ τῶν ὡς περὶ ἑνὸς αὐτῶν διαλεγομένων

die mihi offundentes. Quod autem omnium mihi videbatur difficillimum, illud erat, quod quum nemo illorum quicquam diceret in quo conveniret ipsi cum altero, sed pugnantia omnia et sibi contraria, tamen persuadere mihi postulabant, et ad suam quisque rationem tentabant deducere.

SOD. Mira narras, si viri sapientes de natura rerum inter se dissederunt, neque eadem de iisdem rebus senserunt.

6. MEN. Quin tu ridebis, amice, si audias jactantiam illorum et prodigiosas in disputando præstigias : qui primum constituti in terra, et nihilo nobis, qui humi repimus, eminentiores, sed ne acutius quidem alio quovis cernentes, quidam vero etiam præ senectute vel inertia cæcutientes, tamen et cœli se fines pervidere dicerent, et solis circuitum metirentur, et per ea quæ supra lunam sunt incederent, et, tanquam de stellis delapsi, magnitudines illarum et formas enarrarent, et sæpe, si fors ita ferebat, ne hoc quidem, quot stadia Megaris sint Athenas usque, accurate scientes, interjecta inter lunam et solem regio quot sit ulnarum auderent dicere, aerisque altitudines et profunditates maris et terræ circuitus dimetientes, insuper vero describentes circulos, et triangula super quadratis formantes, et sphæras quasdam varias, cœlum nempe ipsum permetientes.

7. Deinde vero illud etiam in ipsis qui non impudens et omnino inflatum? quod de rebus adeo obscuris quum agant, nihil pro conjectura proferunt, sed ultra modum contendunt, neque ullam ceteris superlationem relinquunt, ac tantum non dejerant, candentem massam esse solem, habitari lunam, aquam bibere stellas, quum sol tanquam puteali quodam fune humorem e mari hauriat, et omnibus illis æqualiter potum dispenset.

8. Quanta quidem sit inter sententias illorum pugna facile est discere. Et vide, per Jovem, utrum vicina sint hæc placita, et non plurimum inter se dissidentia : primo enim illis sententia de mundo diversa est, quandoquidem aliis generationis et interitus expers esse videtur; alii vero opificem illius et modum constructionis dicere ausi sunt, quos vel maxime admiratus sum, qui deum quidem aliquem artificem hujus universi constituerunt, non adjecerunt autem neque unde veniens, neque ubi consistens fabricatus sit omnia; quum tamen ante exortum hujus universi neque tempus neque locus cogitari possit.

SOD. Audaces sane quosdam et præstigiatores homines narras.

MEN. Quid vero, si audias illos, carissime, de ideis et incorporeis quæ disputant, aut illorum de fine et infinito sermones? nam hæc quoque vehemens illis pugna est, aliis fine quodam totum hoc circumscribentibus, aliis autem infinitum id esse putantibus. Verum etiam permultos quosdam esse mundos pronunciabant, et eos, qui tanquam de uno

κατεγίγνωσκον. Ἕτερος δέ τις οὐκ εἰρηνικὸς ἀνὴρ πόλεμον τῶν ὅλων πατέρα εἶναι ἐδόξαζε.

9. Περὶ μὲν γὰρ τῶν θεῶν τί χρὴ καὶ λέγειν; ὅπου τοῖς μὲν ἀριθμός τις ὁ θεὸς ἦν, οἱ δὲ κατὰ κυνῶν καὶ χηνῶν καὶ πλατάνων ἐπώμνυντο. Καὶ οἱ μὲν τοὺς ἄλλους ἅπαντας θεοὺς ἀπελάσαντες ἑνὶ μόνῳ τὴν τῶν ὅλων ἀρχὴν ἀπένεμον, ὥστε ἠρέμα καὶ ἄχθεσθαί με τοσαύτην ἀπορίαν θεῶν ἀκούοντα· οἱ δὲ ἔμπαλιν ἐπιδαψιλευόμενοι πολλούς τε αὐτοὺς ἀπέφαινον καὶ διελόμενοι τὸν μέν τινα πρῶτον θεὸν ἐπεκάλουν, τοῖς δὲ τὰ δεύτερα καὶ τρίτα ἐνέμον τῆς θεότητος· ἔτι δὲ οἱ μὲν ἀσώματόν τι καὶ ἄμορφον ἡγοῦντο εἶναι τὸ θεῖον, οἱ δὲ ὡς περὶ σώματος αὐτοῦ διενοοῦντο. Εἶτα καὶ προνοεῖν τῶν καθ' ἡμᾶς πραγμάτων οὐ πᾶσιν ἐδόκουν οἱ θεοί, ἀλλ' ἦσάν τινες οἱ τῆς συμπάσης ἐπιμελείας αὐτοὺς ἀφιέντες, ὥσπερ ἡμεῖς εἰώθαμεν ἀπολύειν τῶν λειτουργιῶν τοὺς παρηβηκότας· οὐδὲν γὰρ ὅτι μὴ τοῖς κωμικοῖς δορυφορήμασιν ἐοικότας αὐτοὺς εἰσάγουσιν. Ἔνιοι δὲ ταῦτα πάντα ὑπερβάντες οὐδὲ τὴν ἀρχὴν εἶναι θεούς τινας ἐπίστευον, ἀλλ' ἀδέσποτον καὶ ἀνηγεμόνευτον φέρεσθαι τὸν κόσμον ἀπελίμπανον.

10. Τοιγάρτοι ταῦτα ἀκούων ἀπιστεῖν μὲν οὐκ ἐτόλμων ὑφιβρεμέταις τε καὶ ἠὐγενείοις ἀνδράσιν· οὐ μὴν εἶχόν γε ὅπῃ τῶν λόγων τραπόμενος ἀνεπίληπτόν τι αὐτῶν εὕροιμι καὶ ὑπὸ θατέρου μηδαμῆ περιτρεπόμενον. Ὥστε δὴ τὸ Ὁμηρικὸν ἐκεῖνο ἀτεχνῶς ἔπασχον· πολλάκις μὲν γὰρ ἂν ὥρμησα πιστεύειν τινὶ αὐτῶν,

Ἕτερος δέ με θυμὸς ἔρυκεν.

Ἐφ' οἷς ἅπασιν ἀμηχανῶν ἐπὶ γῆς μὲν ἀκούσεσθαί τι περὶ τούτων ἀληθὲς ἀπεγίγνωσκον, μίαν δὲ τῆς συμπάσης ἀπορίας ἀπαλλαγὴν ᾤμην ἔσεσθαι, εἰ αὐτὸς πτερωθείς πως ἀνέλθοιμι ἐς τὸν οὐρανόν. Τούτου δέ μοι παρεῖχε τὴν ἐλπίδα μάλιστα μὲν καὶ ἡ ἐπιθυμία καὶ ὁ λογοποιὸς Αἴσωπος ἀετοῖς καὶ κανθάροις, ἐνίοτε καὶ καμήλοις βάσιμον ἀποφαίνων τὸν οὐρανόν. Αὐτὸν μὲν οὖν πτεροφυῆσαί ποτε οὐδεμιᾷ μηχανῇ δυνατὸν εἶναί μοι κατεφαίνετο· εἰ δὲ γυπὸς ἢ ἀετοῦ περιθείμην πτερά — ταῦτα γὰρ μόνα διαρκέσαι πρὸς μέγεθος ἀνθρωπίνου σώματος — τάχα ἄν μοι τὴν πεῖραν προχωρῆσαι. Καὶ δὴ συλλαβὼν τὰ ὄρνεα θατέρου μὲν τὴν δεξίαν πτέρυγα, τοῦ γυπὸς δὲ τὴν ἑτέραν ἀπέτεμον εὖ μάλα· εἶτα διαδήσας καὶ κατὰ τοὺς ὤμους τελαμῶσι καρτεροῖς ἁρμοσάμενος καὶ πρὸς ἄκροις τοῖς ὠκυπτέροις λαβάς τινας ταῖς χερσὶ παρασκευάσας ἐπειρώμην ἐμαυτοῦ τὸ πρῶτον ἀναπηδῶν καὶ ταῖς χερσὶν ὑπηρετῶν καὶ ὥσπερ οἱ χῆνες ἔτι χαμαιπετῶς ἐπαιρόμενος καὶ ἀκροβατῶν ἅμα μετὰ τῆς πτήσεως· ἐπεὶ δὲ ὑπήκουέ μοι τὸ πρᾶγμα, τολμηρότερον ἤδη τῆς πείρας ἥπτόμην, καὶ ἀνελθὼν ἐπὶ τὴν ἀκρόπολιν ἀφῆκα ἐμαυτὸν κατὰ τοῦ κρημνοῦ φέρων ἐς αὐτὸ τὸ θέατρον.

11. Ὡς δὲ ἀκινδύνως κατεπτόμην, ὑψηλὰ ἤδη καὶ μετέωρα ἐφρόνουν καὶ ἅρας ἀπὸ Πάρνηθος ἢ ἀπὸ Ὑμηττοῦ μέχρι Γερανείας ἐπετόμην, εἶτ' ἐκεῖθεν ἐπὶ τὸν

disputarent, damnabant. Alius vero quidam, vir minime pacificus, bellum patrem universorum esse sentiebat.

9. De diis enim quid opus etiam est dicere? ubi quibusdam numerus erat deus; alii vero per canes, et anseres, et platanos dejerabant. Et alii quidem, reliquis diis omnibus exactis, uni soli rerum omnium imperium tribuebant, adeo ut intra me ægre ferrem, quum tantam audirem deorum inopiam; alii contra liberaliores, et multos pronunciabant et divisis provinciis unum quendam primum deum vocabant, aliis secundas aut tertias divinitatis partes tribuebant. Præterea quidam incorporeum quiddam et forma carens esse dicebant numen; alii de eo tanquam de corpore cogitabant. Tum etiam curam gerere nostrarum rerum non omnibus videbantur dii; sed erant quidam qui omni illos cura solverent, uti nos solemus seniores liberare ministeriis: nulla enim in re non comicis satellitiis similes illos introducunt. Alii, hæc omnia supergressi, ne esse quidem omnino deos credebant, sed sine domino, sine duce ferri mundum patiebantur.

10. Verum enim hæc audiens fidem negare non audebam altifremis et bene barbatis viris; nec tamen habebam ad quam partem disputationum conversus aliquid reprehensione vacuum reperirem et ab altero nusquam eversum. Itaque plane Homericum illud usu mihi venit: nam sæpe quidem impetus me capiebat ut uni illorum crederem,

prohibebat at impetus alter.

Propter quæ omnia non inveniens quomodo in terra auditurus sim de hisce rebus verum, desperabam: unam vero dubitationis liberationem putavi futuram, si ipse volucris quacumque ratione factus in cœlum ascenderem. Hujus autem rei mihi spem præbebat maxime quidem cupiditas, tum vero et fabularum scriptor Æsopus, qui aquilis et scarabæis, quin aliquando camelis viam in cœlum aperuit. Atque ut ipsi mihi nascerentur alæ, id quidem nulla ratione fieri posse apparebat: si vero vulturis aut aquilæ mihi applicarem alas (has enim solas sufficere ad humani corporis magnitudinem), fortasse successurum mihi experimentum. Comprehensis ergo illis avibus, alterius dextram alam, vulturis autem alteram curiose amputavi: tum revinctas quum circa humeros loris validis aptassem, et ubi extremæ pennæ sunt, ansas quasdam parassem manibus; ipse me primum experiebar, exsultans et subserviens manibus, tollens me, anserum instar, de humo paullulum, et cum volatu extremis etiam digitis progrediens. Quum vero obediret mihi negotium, jam audacius tentabam experimenta, atque conscensa arce, inde me per præceps in theatrum ipsum demisi.

11. Quumque sine periculo devolassem, alta jam et sublimia cogitabam, solvensque a Parnethe vel Hymetto, Geraneam usque volabam, atque hinc deinde in summam

Ἀκροκόρινθον ἄνω, εἶτα ὑπὲρ Φολόης καὶ Ἐρυμάνθου μέχρι πρὸς τὸ Ταύγετον. Ἤδη δ' οὖν μοι τοῦ τολμήματος ἐκμεμελετημένου τέλειός τε καὶ ὑψιπέτης γενόμενος οὐκέτι τὰ νεοττῶν ἐφρόνουν, ἀλλ' ἐπὶ τὸν Ὄλυμπον ἀναβὰς καὶ ὡς ἐνῆν μάλιστα κούφως ἐπισιτισάμενος τὸ λοιπὸν ἔτεινον εὐθὺ τοῦ οὐρανοῦ, τὸ μὲν πρῶτον ἰλιγγιῶν ὑπὸ τοῦ βάθους, μετὰ δὲ ἔφερον καὶ τοῦτο εὐμαρῶς. Ἐπεὶ δὲ κατ' αὐτὴν ἤδη τὴν σελήνην ἐγεγόνειν πάμπολυ τῶν νεφῶν ἀποσπάσας, ἠσθόμην κάμνοντος ἐμαυτοῦ, καὶ μάλιστα κατὰ τὴν ἀριστερὰν πτέρυγα τὴν γυπίνην. Προσελάσας οὖν καὶ καθεζόμενος ἐπ' αὐτῆς διανεπαυόμην ἐς τὴν γῆν ἄνωθεν ἀποβλέπων καὶ ὥσπερ ὁ τοῦ Ὁμήρου Ζεὺς ἐκεῖνος ἄρτι μὲν τὴν τῶν ἱπποπόλων Θρηκῶν καθορώμενος, ἄρτι δὲ τὴν Μυσῶν καὶ μετ' ὀλίγον, εἰ δόξειέ μοι, τὴν Ἑλλάδα, τὴν Περσίδα καὶ τὴν Ἰνδικήν. Ἐξ ὧν ἁπάντων ποικίλης τινὸς ἡδονῆς ἐνεπιμπλάμην.

ΕΤΑΙΡ. Οὐκοῦν καὶ ταῦτα λέγοις ἂν, ὦ Μένιππε, ἵνα μηδὲ καθ' ἓν ἀπολειπώμεθα τῆς ἀποδημίας, ἀλλ' εἴ τί σοι καὶ ὁδοῦ πάρεργον ἱστόρηται, καὶ τοῦτο εἰδῶμεν· ὡς ἔγωγε οὐκ ὀλίγα προσδοκῶ ἀκούσεσθαι σχήματός τε πέρι γῆς καὶ τῶν ἐπ' αὐτῆς ἁπάντων, οἷά σοι ἄνωθεν ἐπισκοποῦντι κατεφαίνετο.

MEN. Καὶ ὀρθῶς γε, ὦ ἑταῖρε, εἰκάζεις· διόπερ ὡς οἷόν τε ἀναβὰς ἐπὶ τὴν σελήνην τῷ λόγῳ συναποδήμει τε καὶ συνεπισκόπει τὴν ὅλην τῶν ἐπὶ γῆς διάθεσιν.

12. Καὶ πρῶτόν γέ μοι πάνυ μικρὰν δόκει τινὰ τὴν γῆν ὁρᾶν, πολὺ λέγω τῆς σελήνης βραχυτέραν, ὥστε ἐγὼ ἄφνω κατακύψας ἐπὶ πολὺ ἠπόρουν ποῦ εἴη τὰ τηλικαῦτα ὄρη καὶ ἡ τοσαύτη θάλαττα· καὶ εἴ γε μὴ τὸν Ῥόδιον κολοσσὸν ἐθεασάμην καὶ τὸν ἐπὶ τῇ Φάρῳ πύργον, εὖ ἴσθι, παντελῶς ἄν με ἡ γῆ διέλαθε. Νῦν δὲ ταῦτα ἡψηλὰ ὄντα καὶ ὑπερανεστηκότα καὶ ὁ Ὠκεανὸς ἠρέμα πρὸς τὸν ἥλιον ἀποστίλβων διεσήμαινέ μοι γῆν εἶναι τὸ ὁρώμενον. Ἐπεὶ δὲ ἅπαξ τὴν ὄψιν ἐς τὸ ἀτενὲς ἀπηρεισάμην, ἅπας ὁ τῶν ἀνθρώπων βίος ἤδη μοι κατεφαίνετο, οὐ κατὰ ἔθνη μόνον καὶ πόλεις, ἀλλὰ καὶ αὐτοὶ σαφῶς οἱ πλέοντες, οἱ πολεμοῦντες, οἱ γεωργοῦντες, οἱ δικαζόμενοι, τὰ γύναια, τὰ θηρία, καὶ πάνθ' ἁπλῶς ὁπόσα τρέφει ζείδωρος ἄρουρα.

ΕΤΑΙΡ. Παντελῶς ἀπίθανα φῂς ταῦτα καὶ αὐτοῖς ὑπεναντία· ὃς γὰρ ἀρτίως, ὦ Μένιππε, τὴν γῆν ἐζήτεις ὑπὸ τοῦ μεταξὺ διαστήματος ἐς βραχὺ συνεσταλμένην, καὶ εἴ γε μὴ ὁ κολοσσὸς ἐμήνυσέ σοι, τάχ' ἂν ἄλλο τι ᾠήθης ὁρᾶν, πῶς νῦν καθάπερ Λυγκεύς τις ἄφνω γενόμενος ἅπαντα διαγιγνώσκεις τὰ ἐπὶ γῆς, τοὺς ἀνθρώπους, τὰ θηρία, μικροῦ δεῖν τὰς τῶν ἐμπίδων νεοττιάς;

13. MEN. Εὖ με ὑπέμνησας· ὃ γὰρ μάλιστα ἐχρῆν εἰπεῖν, τοῦτο οὐκ οἶδ' ὅπως παρέλιπον. Ἐπεὶ γὰρ αὐτὴν μὲν ἐγνώρισα τὴν γῆν ἰδών, τὰ δ' ἄλλα οὐχ οἷός τε ἦν καθορᾶν ὑπὸ τοῦ βάθους ἅτε τῆς ὄψεως μηκέτι ἐφικνουμένης, πάνυ μ' ἠνία τὸ χρῆμα καὶ πολλὴν παρεῖχε

Corinthi arcem; deinde supra Pholoen et Erymanthum usque ad Taygetum. Jam igitur satis meditatus audax facinus, quum perfectus essem et altivolans, non amplius quæ pullorum sunt cogitabam, sed conscenso Olympo, viatico assumto quam poterat fieri levissimo, ceterum recta cœlum versus tendebam, primo quidem vertigine mihi ob profunditatem oboriente, deinde autem id ipsum quoque ferebam facile. Quum vero ad ipsam jam lunam delatus essem, multum relictis a tergo nubibus, fatigatum me sentiebam, et maxime ala sinistra, vulturina. Appulsus ergo in ea consedi interquiescens, in terram de superiori loco despiciens, et, ut Homericus ille Jupiter, modo equestrium Thracum terram despectans, modo Mysorum, paullo post autem, si videbatur mihi, Græciam, Persidem, et Indiam: e quibus omnibus varia quadam voluptate perfundebar.

SOD. Igitur illa quoque dixeris, Menippe, ne vel unum quiddam illius nos peregrinationis fugiat; sed si quid etiam obiter tibi observatum sit, illud quoque sciamus: non pauca enim me auditurum exspecto equidem de figura terræ omniumque quæ in illa sunt, qualia tibi de loco superiore intuenti sint visa.

MEN. Recte istuc, amice, conjicis. Itaque, quatenus fieri potest ascendens in lunam, cogitatione mecum peregrinare et universam eorum, quæ in terra sunt, positionem considera.

12. Et primum quidem puta mihi parvam omnino terram te quandam videre, multum dico luna minorem; adeo ut ego sæpe despiciens multum dubitarem ubi essent tanti montes et ingens adeo mare: et nisi Rhodiorum istum colossum vidissem, et illam in Pharo turrim, plane me, bene noris, tellus effugisset. Jam vero illa excelsa et eminentia, et placide refulgens ad solem Oceanus, terram esse quod videretur mihi indicarunt. Quum vero semel visum intentum fixissem, tota jam hominum vita mihi apparuit, non per gentes modo et urbes, sed ipsi distincte, qui navigarent, qui prælia committerent, qui colerent agrum, qui causas agerent, tum mulierculæ, animalia, et simpliciter quæ tellus alma nutrit omnia.

SOD. Omnino improbabilia sunt quæ dicis, et sibi invicem contraria. Qui enim modo terram, Menippe, quærebas ab interjecto spatio in breve contractam, et nisi colossus eam tibi indicasset, forte aliud videre tibi visus esses: quomodo nunc, tanquam Lynceus aliquis factus subito, quæcumque supra tellurem sunt cognoscis, homines, animalia, et parum abest quin culicum pullitiem?

13. MEN. Bene facis quod me admones: quod enim maxime dicendum erat, illud nescio quomodo prætermisi. Quum enim ipsam quidem terram visu agnoscerem, reliqua vero perspicere ob profunditatem non possem, visu jam non amplius pertingente, valde me ea res angebat et mul-

τὴν ἀπορίαν. Κατηφεῖ δὲ ὄντι μοι καὶ ὀλίγου δεῖν δεδακρυμένῳ ἐφίσταται κατόπιν ὁ φυσικὸς Ἐμπεδοκλῆς, ἀνθρακίας τις ἰδεῖν καὶ σποδοῦ πλέως καὶ κατωπτημένος· κἀγὼ μέν, ὡς εἶδον — εἰρήσεται γάρ — ὑπεταράχθην καί τινα σεληναῖον δαίμονα ᾠήθην ὁρᾶν· ὁ δὲ, Θάρρει, φησίν, ὦ Μένιππε,

οὔτις τοι θεός εἰμι, τί μ' ἀθανάτοισιν ἐίσκεις;

ὁ φυσικὸς οὗτός εἰμι Ἐμπεδοκλῆς· ἐπεὶ γὰρ ἐς τοὺς κρατῆρας ἐμαυτὸν φέρων ἐνέβαλον, ὁ καπνός με ἀπὸ τῆς Αἴτνης ἁρπάσας δεῦρ' ἀνήγαγε, καὶ νῦν ἐν τῇ σελήνῃ κατοικῶ ἀεροβατῶν τὰ πολλὰ καὶ σιτοῦμαι δρόσον. Ἥκω τοίνυν σε ἀπολύσων τῆς παρούσης ἀπορίας· ἀνιᾷ γάρ σε, οἶμαι, καὶ στρέφει τὸ μὴ σαφῶς τὰ ἐπὶ γῆς ὁρᾶν. Εὖ γε ἐποίησας, ἦν δ' ἐγὼ, βέλτιστε Ἐμπεδόκλεις, κἀπειδὰν τάχιστα κατάπτωμαι πάλιν ἐς τὴν Ἑλλάδα, μεμνήσομαι σπένδειν τέ σοι ἐπὶ τῆς καπνοδόκης κἀν ταῖς νουμηνίαις πρὸς τὴν σελήνην τρὶς ἐγχανὼν προσεύχεσθαι. Ἀλλὰ μὰ τὸν Ἐνδυμίωνα, ἦ δ' ὅς, οὐχὶ τοῦ μισθοῦ χάριν ἀφῖγμαι, πέπονθα δέ τι τὴν ψυχὴν ἰδών σε λελυπημένον. Ἀτὰρ οἶσθα ὅ τι δράσας ὀξυδερκὴς γενήσῃ;

14. Μὰ Δί', ἦν δ' ἐγὼ, ἦν μὴ σύ μοι τὴν ἀχλύν πως ἀφέλῃς ἀπὸ τῶν ὀμμάτων· νῦν γὰρ δὴ λημᾶν οὐ μετρίως δοκῶ. Καὶ μὴν οὐδέν γε, ἦ δ' ὅς, ἐμοῦ δεήσει· τὸ γὰρ ὀξυδερκὲς αὐτὸς ἤδη γῆθεν ἥκεις ἔχων. Τί οὖν τοῦτό ἐστιν; οὐ γὰρ οἶδ', ἔφην. Οὐκ οἶσθα, ἦ δ' ὅς, ἀετοῦ τὴν πτέρυγα τὴν δεξιὰν περικείμενος; Καὶ μάλα, ἦν δ' ἐγώ· τί δ' οὖν πτέρυγι καὶ ὀφθαλμῷ κοινόν ἐστιν; Ὅτι, ἦ δ' ὅς, παρὰ πολὺ τῶν ἄλλων ζῴων ἀετός ἐστιν ὀξυωπέστατος, ὥστε μόνος ἀντίον δέδορκε τῷ ἡλίῳ, καὶ τοῦτό ἐστιν ὃ βασιλεὺς καὶ γνήσιος ἀετὸς, ἢν ἀσκαρδαμυκτὶ πρὸς τὰς ἀκτῖνας βλέπῃ. Φασὶ ταῦτα, ἦν δ' ἐγὼ, καί μοι ἤδη μεταμέλει, ὅτι δεῦρο ἀνιὼν οὐχὶ τὼ ὀφθαλμὼ τοῦ ἀετοῦ ἐνεθέμην τοὺς ἐμοὺς ἐξελών· ὡς νῦν γε ἡμιτελὴς ἀφῖγμαι καὶ οὐ πάντα βασιλικῶς ἐνεσκευασμένος, ἀλλ' ἔοικα τοῖς νόθοις ἐκείνοις καὶ ἀποκηρύκτοις. Καὶ μὴν πάρα σοι, ἦ δ' ὅς, αὐτίκα μάλα τὸν ἕτερον ὀφθαλμὸν ἔχειν βασιλικόν· ἢν γὰρ ἐθελήσῃς μικρὸν ἀναστὰς ἐπισχὼν τοῦ γυπὸς τὴν πτέρυγα θατέρᾳ μόνῃ πτερύξασθαι, κατὰ λόγον τῆς πτέρυγος τὸν δεξιὸν ὀφθαλμὸν ὀξυδερκὴς ἔσῃ· τὸν γὰρ ἕτερον οὐδεμία μηχανὴ μὴ οὐκ ἀμβλύτερον δεδορκέναι τῆς μερίδος ὄντα τῆς χείρονος. Ἄλις, ἦν δ' ἐγὼ, εἰ καὶ ὁ δεξιὸς μόνος ἀετῶδες βλέποι· οὐδὲν γὰρ ἂν ἧττον γένοιτο, ἐπεὶ καὶ τοὺς τέκτονας πολλάκις ἑορακέναι μοι δοκῶ θατέρῳ τῶν ὀφθαλμῶν ἄμεινον πρὸς τοὺς κανόνας ἀπευθύνοντας τὰ ξύλα. Ταῦτα εἰπὼν ἐποίουν ἅμα τὰ ὑπὸ τοῦ Ἐμπεδοκλέους παρηγγελμένα· ὁ δὲ κατ' ὀλίγον ὑπαπιὼν ἐς καπνὸν ἠρέμα διελύετο.

15. Κἀπειδὴ τάχιστα ἐπτερυξάμην, αὐτίκα με φῶς πάμπολυ περιέλαμψε καὶ τὰ τέως λανθάνοντα πάντα διεφαίνετο· κατακύψας γοῦν ἐς τὴν γῆν ἑώρων σαφῶς τὰς πόλεις, τοὺς ἀνθρώπους, τὰ γιγνόμενα, καὶ οὐ τὰ ἐν ὑπαίθρῳ μόνον, ἀλλὰ καὶ ὁπόσα οἴκοι ἔπραττον οἰόταμ præbebat sollicitudinem. Quum autem demisso essem animo et tantum non lacrimarer, a tergo mihi astat physicus philosophus Empedocles, carbonarius ad speciem et cinere oppletus et assatus : ego vero quum viderem (dicetur enim), aliquantum perturbatus, lunarem quendam me genium videre putabam equidem. At ille, Bono, inquit, animo esto, Menippe;

Non ego sum divus; quid me immortalibus æquas?

physicus ille sum Empedocles. Quum enim in crateras ipse me dejecissem, vapor me de Ætna correptum huc appulit : et jam in luna habito, multum incedens per aera, et rore pascor. Venio igitur exsoluturus te præsenti sollicitudine : angit enim te, puto, et torquet, quod non distincte quæ in terra fiunt vides. Bene sane facis, inquam, optime Empedocles, et quum primum in Græciam iterum devolavero, memor ero ut libem tibi in fumario, et novilunüs ad lunam ter hians te adorem. Verum ita me Endymion, inquit, non huc veni mercedis causa; sed animo commotus sum, quum te tristem viderem. Verum scin' quo facto acutum visum nancisci possis?

14. Non equidem, per Jovem, inquam, nisi tu mihi caliginem quodammodo abstergas ab oculis : nunc enim lippire non mediocriter mihi videor. Quin tu, inquit, nihil mea opera indigebis, qui acumen illud ipse jam de terra allatum habeas. Quid igitur hoc est? neque enim novi, inquam. An nescis, inquit, te dextram aquilæ alam alligatam habere? Ego vero, inquam : quid vero alæ et oculo commune est? Quod, inquit, multum visus acumine reliquis animantibus præstat aquila, adeo ut solus contra solem obtueatur; et ob id ipsum est rex et verus germanusque aquila, si nihil nictans radios intueatur. Aiunt ista, inquam : et jam pœnitet me, quod huc quum ascenderem, non ereptis meis oculis aquilinos eorum loco mihi imposui : qui sic imperfectus nunc venerim, nec regie per omnia instructus; sed similis sum spuriis istis et abdicatis. Quin penes te est, inquit, statim alterum oculum habere regium : si enim volueris, surgens paullum, retenta vulturis ala, alteram solam movere, pro ratione alæ dextro oculo acutum cernes; alter enim oculus fieri non potest quin obtusius cernat, qui deterioris partis sit. Satis fuerit, inquam, si vel solus dexter aquilinum cernat; neque enim quicquam mihi decesserit, quandoquidem fabros etiam vidisse mihi videor alterutro oculorum melius ad regulas ligna dirigere. Cum his verbis simul faciebam quod præceperat Empedocles : ille vero sensim se subducens in fumum paullatim dissolvebatur.

15. Ac vix cœperam movere alam, quum statim ingens me lux circumfulsit, et quæ adhuc latuerant, apparebant omnia. Despiciens igitur in terram, dilucide videbam urbes, homines, ea quæ fiebant, neque illa solum quæ sub divo, sed quæ domi etiam faciebant homines, quum latere

μενοι λανθάνειν, Πτολεμαῖον μὲν συνόντα τῇ ἀδελφῇ, Λυσιμάχῳ δὲ τὸν υἱὸν ἐπιβουλεύοντα, τὸν Σελεύκου δὲ Ἀντίοχον Στρατονίκῃ διανεύοντα λάθρα τῇ μητρυιᾷ, τὸν δὲ Θετταλὸν Ἀλέξανδρον ὑπὸ τῆς γυναικὸς ἀναιρούμενον καὶ Ἀντίγονον μοιχεύοντα τοῦ υἱοῦ τὴν γυναῖκα καὶ Ἀττάλῳ τὸν υἱὸν ἐγχέοντα τὸ φάρμακον, ἑτέρωθι δ' αὖ Ἀρσάκην φονεύοντα τὸ γύναιον καὶ τὸν εὐνοῦχον Ἀρβάκην ἕλκοντα τὸ ξίφος ἐπὶ τὸν Ἀρσάκην, Σπατῖνος δὲ ὁ Μῆδος ἐκ τοῦ συμποσίου πρὸς τῶν δορυφορούντων εἵλκετο ἔξω τοῦ ποδὸς σκύφῳ χρυσῷ τὴν ὀφρῦν κατηλοημένος. Ὅμοια δὲ τούτοις ἐν τῇ Λιβύῃ καὶ παρὰ Σκύθαις καὶ Θραξὶ γιγνόμενα ἐν τοῖς βασιλείοις ἦν ὁρᾶν, μοιχεύοντας, φονεύοντας, ἐπιβουλεύοντας, ἁρπάζοντας, ἐπιορκοῦντας, δεδιότας, ὑπὸ τῶν οἰκειοτάτων προδιδομένους.

16. Καὶ τὰ μὲν τῶν βασιλέων τοιαύτην παρέσχε μοι τὴν διατριβήν, τὰ δὲ τῶν ἰδιωτῶν πολὺ γελοιότερα· καὶ γὰρ αὖ κἀκείνους ἑώρων, Ἑρμόδωρον μὲν τὸν Ἐπικούρειον χιλίων ἕνεκα δραχμῶν ἐπιορκοῦντα, τὸν Στωϊκὸν δὲ Ἀγαθοκλέα περὶ μισθοῦ τῷ μαθητῇ δικαζόμενον, Κλειναν δὲ τὸν ῥήτορα ἐκ τοῦ Ἀσκληπιείου φιάλην ὀφαιρούμενον, τὸν δὲ Κυνικὸν Ἡρόφιλον ἐν τῷ χαμαιτυπείῳ καθεύδοντα. Τί γὰρ ἂν τοὺς ἄλλους λέγοιμι, τοὺς τοιχωρυχοῦντας, τοὺς δικαζομένους, τοὺς δανείζοντας, τοὺς ἀπαιτοῦντας; ὅλως γὰρ ποικίλη καὶ παντοδαπή τις ἦν ἡ θέα.

ΕΤΑΙΡ. Καὶ μὴν καὶ ταῦτα, ὦ Μένιππε, καλῶς εἶχε λέγειν· ἔοικε γὰρ οὐ τὴν τυχοῦσαν τερπωλὴν σοι παρεσχῆσθαι.

ΜΕΝ. Πάντα μὲν ἑξῆς διελθεῖν, ὦ φιλότης, ἀδύνατον, ὅπου γε καὶ ὁρᾶν αὐτὰ ἔργον ἦν· τὰ μέντοι κεφάλαια τῶν πραγμάτων τοιαῦτα ἐφαίνετο οἷά φησιν Ὅμηρος τὰ ἐπὶ τῆς ἀσπίδος· οὗ μὲν γὰρ ἦσαν εἰλαπίναι καὶ γάμοι, ἑτέρωθι δὲ δικαστήρια καὶ ἐκκλησίαι, καθ' ἕτερον δὲ μέρος ἔθυέ τις, ἐν γειτόνων δὲ πενθῶν ἄλλος ἐφαίνετο· καὶ ὅτε μὲν ἐς τὴν Γετικὴν ἀποβλέψαιμι, πολεμοῦντας ἂν ἑώρων τοὺς Γέτας· ὅτε δὲ μεταβαίην ἐπὶ τοὺς Σκύθας, πλανωμένους ἐπὶ τῶν ἁμαξῶν ἦν ἰδεῖν· μικρὸν δὲ ἐπικλίνας τὸν ὀφθαλμὸν ἐπὶ θάτερα τοὺς Αἰγυπτίους γεωργοῦντας ἐπέβλεπον, καὶ ὁ Φοῖνιξ δὲ ἐνεπορεύετο καὶ ὁ Κίλιξ ἐλήστευε καὶ ὁ Λάκων ἐμαστιγοῦτο καὶ ὁ Ἀθηναῖος ἐδικάζετο.

17. Ἁπάντων τούτων ὑπὸ τὸν αὐτὸν γιγνομένων χρόνον ὥρα σοι ἤδη ἐπινοεῖν ὁποῖός τις ὁ κυκεὼν οὗτος ἐφαίνετο. Ὥσπερ ἂν εἴ τις παραστησάμενος πολλοὺς χορευτὰς, μᾶλλον δὲ πολλοὺς χορούς, ἔπειτα προστάξειε τῶν ᾀδόντων ἑκάστῳ τὴν συνῳδίαν ἀφέντα ἴδιον ἆδειν μέλος, φιλοτιμουμένου δὲ ἑκάστου καὶ τὸ ἴδιον περαίνοντος καὶ τὸν πλησίον ὑπερβαλέσθαι τῇ μεγαλοφωνίᾳ προθυμουμένου, ἆρα ἐνθυμῇ πρὸς Διὸς οἷα γένοιτ' ἂν ἡ ᾠδή;

ΕΤΑΙΡ. Παντάπασιν, ὦ Μένιππε, παγγέλοιος καὶ τεταραγμένη.

ΜΕΝ. Καὶ μὴν, ὦ ἑταῖρε, τοιοῦτοι πάντες εἰσὶν

se putarent : Ptolemæum coemtem cum sorore, insidiantem Lysimacho filium, Seleuci Antiochum filium furtim innuentem Stratonicæ novercæ, interfici ab uxore Alexandrum Thessalum, et Antigonum stupro uxorem filii polluentem, et miscentem Attalo venenum filium; et rursus ab altera parte mulierculam quam Arsaces interficeret, et eunuchum Arbacem, dum gladium stringit in Arsacen, Spatinus autem Medus e convivio a satellitibus foras trahebatur pede, scypho aureo contusus circa supercilium. Similia hisce et apud Scythas et Thraces fieri in regiis videre erat, adulteros, homicidas, insidiatores, raptores, perjuros, metuentes, alios qui proderentur a familiarissimis.

16. Ac regum quidem res sic me detinuerunt : privatorum autem multo magis ridiculæ. Nam illos etiam videbam Hermodorum Epicureum propter milie drachmas pejerare Stoicum Agathoclem de mercede litigare cum discipulo; Cliniam rhetorem ex Æsculapii templo phialam subducere; Cynicum Herophilum pernoctare in fornice. Quid enim dicam alios, qui parietes perfoderent, qui causas haberent, qui fœnori darent, qui exigerent? in universum enim varium quoddam et omnigenum erat spectaculum.

SOD. Verum etiam talia bene esset si diceres : videntur enim non vulgarem tibi præbuisse voluptatem.

MEN. Omnia quidem deinceps ut enarrem, carissime, fieri non potest, quum etiam videre ipsa difficile fuerit : verum summa rerum capita talia videbantur, qualia Homerus ait fuisse illa in scuto expressa. Hic enim epulæ erant ac nuptiæ, ab altera parte judicia et conciones; alia parte sacrificabat aliquis, in vicinia autem lugens alius apparebat. Et quoties ad Geticam respicerem, pugnantes videbam Getas; quoties vero transirem ad Scythas, videre erat errantes in plaustris : paullum vero deflexo in partem alteram oculo, colentes agrum Ægyptios spectabam; mercaturam exercebat Phœnix, et Cilix latrocinabatur, flagellis cædebatur Laco, Atheniensis litigabat.

17. Hæc omnia quum eodem tempore fierent, jam potes cogitare quis iste cinnus visus sit. Velut si quis cantatoribus conductis multis, vel choris potius, deinde jubeat canentium unumquemque, relicto concentu, suum sibi carmen canere; studiose autem faciente unoquoque et suum peragente canticum, et superare vocis magnitudine propestantem conante, numquid cogitatione comprehendis, per Jovem, qualis ille cantus futurus sit?

SOD. Omnino quidem, Menippe, ridiculus maxime et confusus.

MEN. Enimvero tales, sodalis, sunt omnes illi in terra

οἱ ἐπὶ γῆς χορευταὶ καὶ τοιαύτης ἀναρμοστίας ὁ τῶν ἀνθρώπων βίος συντέτακται, οὐ μόνον ἀπῳδὰ φθεγγομένων, ἀλλὰ καὶ ἀνομοίων τὰ σχήματα καὶ τἀναντία κινουμένων καὶ ταὐτὸν οὐδὲν ἐπινοούντων, ἄχρι ἂν αὐτῶν ἕκαστον ὁ χορηγὸς ἀπελάσῃ τῆς σκηνῆς οὐκέτι δεῖσθαι λέγων· τοὐντεῦθεν δὲ ὅμοιοι πάντες ἤδη σιωπῶντες, οὐκέτι τὴν συμμιγῆ ἐκείνην καὶ ἄτακτον ᾠδὴν ἀπάδοντες. Ἀλλ' ἐν αὐτῷ γε ποικίλῳ καὶ πολυειδεῖ τῷ θεάτρῳ πάντα μὲν γελοῖα δήπουθεν ἦν τὰ γιγνόμενα·

18. μάλιστα δὲ ἐπ' ἐκείνοις ἐπῄει μοι γελᾶν τοῖς περὶ γῆς ὅρων ἐρίζουσι καὶ τοῖς μέγα φρονοῦσιν ἐπὶ τῷ τὸ Σικυώνιον πεδίον γεωργεῖν ἢ Μαραθῶνος ἔχειν τὰ περὶ τὴν Οἰνόην ἢ Ἀχαρνῆσι πλέθρα κεκτῆσθαι χιλιατῆς γοῦν Ἑλλάδος ὅλης, ὡς τότε μοι ἄνωθεν ἐφαίνετο, δακτύλων οὔσης τὸ μέγεθος τεττάρων κατὰ λόγον, οἶμαι, ἡ Ἀττικὴ πολλοστημόριον ἦν. Ὥστε ἐνενόουν, ἐφ' ὁπόσῳ τοῖς πλουσίοις τούτοις μέγα φρονεῖν κατελείπετο· σχεδὸν γὰρ ὁ πολυπλεθρότατος αὐτῶν μίαν τῶν Ἐπικουρείων ἀτόμων ἐδόκει μοι γεωργεῖν. Ἀποβλέψας δὲ δὴ καὶ ἐς τὴν Πελοπόννησον, εἶτα τὴν Κυνοσουρίαν γῆν ἰδὼν ἀνεμνήσθην περὶ ὅσου χωρίου, κατ' οὐδὲν Αἰγυπτίου φακοῦ πλατυτέρου, τοσοῦτοι ἔπεσον Ἀργείων καὶ Λακεδαιμονίων μιᾶς ἡμέρας. Καὶ μὴν εἴ τινα ἴδοιμι ἐπὶ χρυσῷ μέγα φρονοῦντα, ὅτι δακτυλίους τε εἶχεν ὀκτὼ καὶ φιάλας τέτταρας, πάνυ καὶ ἐπὶ τούτῳ ἂν ἐγέλων· τὸ γὰρ Πάγγαιον ὅλον αὐτοῖς μετάλλοις κεγχριαῖον ἦν τὸ μέγεθος.

19. ΕΤΑΙΡ. Ὦ μακάριε Μένιππε τῆς παραδόξου θέας. Αἱ δὲ δὴ πόλεις πρὸς Διὸς καὶ οἱ ἄνδρες αὐτοὶ πηλίκοι διεφαίνοντο ἄνω;

ΜΕΝ. Οἶμαί σε πολλάκις ἤδη μυρμήκων ἀγορὰν ἑωρακέναι, τοὺς μὲν εἰλουμένους, ἑνίους δὲ ἐξιόντας, ἑτέρους δὲ ἐπανιόντας αὖθις εἰς τὴν πόλιν· καὶ ὁ μέν τις τὴν κόπρον ἐκφέρει, ὁ δὲ ἁρπάσας ποθὲν ἢ κυάμου λέπος ἢ πυροῦ ἡμίτομον θεῖ φέρων. Εἰκὸς δὲ εἶναι παρ' αὐτοῖς κατὰ λόγον τοῦ μυρμήκων βίου καὶ οἰκοδόμους τινὰς καὶ δημαγωγοὺς καὶ πρυτάνεις καὶ μουσικοὺς καὶ φιλοσόφους. Πλὴν αἵ γε πόλεις αὐτοῖς ἀνδράσι ταῖς μυρμηκιαῖς μάλιστα ἐῴκεσαν. Εἰ δέ σοι δοκεῖ μικρὸν τὸ παράδειγμα, τὸ ἀνθρώπους εἰκάσαι τῇ μυρμήκων πολιτείᾳ, τοὺς παλαιοὺς μύθους ἐπίσκεψαι τῶν Θετταλῶν· εὑρήσεις γὰρ τοὺς Μυρμιδόνας, τὸ μαχιμώτατον φῦλον, ἐκ μυρμήκων ἄνδρας γεγονότας. Ἐπειδὴ δ' οὖν πάντα ἱκανῶς ἑώρατο καὶ κατεγεγέλαστό μοι, διασείσας ἐμαυτὸν ἀνεπτόμην

δώματ' ἐς αἰγιόχοιο Διὸς μετὰ δαίμονας ἄλλους.

20. Οὔπω στάδιον ἀνεληλύθειν καὶ ἡ Σελήνη γυναικείαν φωνὴν προϊεμένη, Μένιππε, φησίν, οὕτως ὄναιο, διακόνησαί μοί τι πρὸς τὸν Δία. Λέγοις ἄν, ἦν δ' ἐγώ· βαρὺ γὰρ οὐδέν, ἢν μή τι φέρειν δέῃ. Πρεσβείαν, ἔφη, τινὰ οὐ χαλεπὴν καὶ δέησιν ἀπένεγκαι παρ' ἐμοῦ τῷ Διί· ἀπείρηκα γὰρ ἤδη, Μένιππε, πολλὰ καὶ δεινὰ

cantatores, et ex tali inconcinnitate vita hominum constructa est, non voces modo dissonas edentium, sed figura etiam et habitu dissimilium, contrarioque se motu moventium, et nihil idem cogitantium, donec unumquemque illorum de scena choragus exigat, non amplius illo opus esse dicens. Ab eo inde tempore similes omnes jam tacentes, neque amplius confusum illum et inordinatum cantum invicem turbantes. Verum in ipso hoc vario et multiformi theatro ridicula scilicet erant, quæ fierent, omnia:

18. maxime vero illos ridere subiit, qui de terræ finibus contendunt, et qui magni sibi videntur eo, quod Sicyonium campum exercent, aut Marathonis ea habent quæ sunt vicina Œnoæ, aut Acharnis jugera mille possident: quum enim universa, ut tunc mihi ex alto videbatur, Græcia quattuor digitos lata esset, pro portione, opinor, Attica aliquota de plurimis pars erat. Cogitabam igitur quantillum esset in quo divitibus illis, ut magni sibi viderentur, relinqueretur: fere enim, qui illorum plurima jugera possidet, unam de Epicuri atomis mihi videbatur colere. Despiciens autem in Peloponnesum quoque, ac Cynosuriam deinde terram videns, recordatus sum de quantilla regione, quæ lente Ægyptia latior non videretur, tot Argivorum et Lacedæmoniorum die uno ceciderint. Verum etiam auro sibi placentem si quem viderem, quod anulos haberet octo et phialas quattuor, vehementer hunc quoque ridebam: Pangæus enim totus cum metallis granum milii magnitudine æquabat.

19. SOD. O beate Menippe admirabilis spectaculi nomine! Urbes autem, per ego te Jovem, et ipsi viri quanti superne videbantur?

MEN. Puto jam sæpe te formicarum forum vidisse, discurrentes in orbem alias, alias exeuntes, alias redeuntes rursus in oppidum: atque alia stercus egerit, alia raptum undecumque aut fabæ corticem, aut triticum dimidiatum, cum illo currit. Verisimile est autem esse apud illas, pro portione vitæ formicarum, et architectos quosdam, et populi duces, et senatores, et musicos, et philosophos. Verum ipsa cum suis viris oppida formicetis maxime similia erant. Si vero parva tibi videatur comparatio, conferre homines formicarum civitati, antiquas Thessalorum fabulas considera: invenies enim Myrmidonas, pugnacissimam gentem, homines ex formicis ortos. Quum ergo satis omnia visa mihi pariter ac dorisa essent, concusso corpore evolavi domos

ad Jovis ægisoni post cetera numina divùm.

20. Stadium nondum evolaveram, quum muliebrem Luna vocem emittens, Menippe, inquit, ita tibi bene succedat! ministra mihi apud Jovem aliquid. Dixeris, inquam: nihil enim grave est, nisi forte ferendum aliquid sit. Legationem, inquit, non difficilem, et preces defer a me ad Jovem. Patientiam enim consumsi, Menippe, omnem,

παρὰ τῶν φιλοσόφων ἀκούουσα, οἷς οὐδὲν ἕτερόν ἐστιν ἔργον ἢ τἀμὰ πολυπραγμονεῖν, τίς εἰμι καὶ πηλίκη ἢ καὶ δι' ἥντινα αἰτίαν διχότομος ἢ ἀμφίκυρτος γίγνομαι. Καὶ οἱ μὲν κατοικεῖσθαί μέ φασιν, οἱ δὲ κατόπτρου δίκην ἐπικρέμασθαι τῇ θαλάττῃ, οἱ δὲ ὅ τι ἂν ἕκαστος ἐπινοήσῃ τοῦτό μοι προσάπτουσι. Τὰ τελευταῖα δὲ καὶ τὸ φῶς αὐτὸ κλοπιμαῖόν τε καὶ νόθον εἶναί μοί φασιν ἄνωθεν ἧκον παρὰ τοῦ Ἡλίου, καὶ ὡ παύονται καὶ πρὸς τοῦτόν με ἀδελφὸν ὄντα μου συγκροῦσαι καὶ στασιάσαι προαιρούμενοι· οὐ γὰρ ἱκανὰ ἦν αὐτοῖς ἃ περὶ αὐτοῦ εἰρήκασι τοῦ Ἡλίου λίθον αὐτὸν εἶναι καὶ μύδρον διάπυρον.

21. Καίτοι πόσα ἐγὼ συνεπίσταμαι αὐτοῖς ἃ πράττουσι τῶν νυκτῶν αἰσχρὰ καὶ κατάπτυστα οἱ μεθ' ἡμέραν σκυθρωποὶ καὶ ἀνδρώδεις τὸ βλέμμα καὶ τὸ σχῆμα σεμνοὶ καὶ ὑπὸ τῶν ἰδιωτῶν ἀποβλεπόμενοι; Κἀγὼ μὲν ταῦτα ὁρῶσα ὅμως σιωπῶ· οὐ γὰρ ἡγοῦμαι πρέπειν ἀποκαλύψαι καὶ διαφωτίσαι τὰς νυκτερινὰς ἐκείνας διατριβὰς καὶ τὸν ἐπὶ σκηνῆς ἑκάστου βίον, ἀλλὰ κἄν τινα ἴδω αὐτῶν μοιχεύοντα ἢ κλέπτοντα ἢ ἄλλο τι τολμῶντα νυκτερινώτατον, εὐθὺς ἐπισπασαμένη τὸ νέφος ἐνεκαλυψάμην, ἵνα μὴ δείξω τοῖς πολλοῖς γέροντας ἄνδρας βαθεῖ πώγωνι καὶ ἀρετῇ ἐνασχημονοῦντας. Οἱ δὲ οὐδὲν ἀνιᾶσι διασπαράττοντές με τῷ λόγῳ καὶ πάντα τρόπον ὑβρίζοντες, ὥστε νὴ τὴν Νύκτα πολλάκις ἐβουλευσάμην μετοικῆσαι ὅτι πορρωτάτω, ἵν' αὐτῶν τὴν περίεργον ἀν γλῶτταν διέφυγον. Μέμνησο τοίνυν ταῦτά τε ἀπαγγεῖλαι τῷ Διὶ καὶ προσθεῖναι ὅ' ὅτι μὴ δυνατόν ἐστί μοι κατὰ χώραν μένειν, ἢν μὴ τοὺς φυσικοὺς ἐκείνους ἐπιτρίψῃ καὶ τοὺς διαλεκτικοὺς ἐπιστομίσῃ καὶ τὴν Στοὰν κατασκάψῃ καὶ τὴν Ἀκαδήμειαν καταφλέξῃ καὶ παύσῃ τὰς ἐν τοῖς περιπάτοις διατριβάς· οὕτω γὰρ ἂν εἰρήνην ἄγοιμι ὀσημέραι παρ' αὐτῶν γεωμετρουμένη.

22. Ἔσται ταῦτα, ἦν δ' ἐγὼ, καὶ ἅμα πρὸς τὸ ἄναντες ἔτεινον τὴν ἐπὶ τοῦ οὐρανοῦ,

ἔνθα μὲν οὔτε βοῶν οὔτ' ἀνδρῶν φαίνετο ἔργα·

μετ' ὀλίγον γὰρ καὶ ἡ σελήνη βραχεῖά μοι καθεωρᾶτο καὶ τὴν γῆν ἤδη ἀπέκρυπτε. Λαβὼν δὲ τὸν ἥλιον ἐν δεξιᾷ διὰ τῶν ἀστέρων πετόμενος τριταῖος ἐπλησίασα τῷ οὐρανῷ, καὶ τὸ μὲν πρῶτον ἐδόκει μοι ὡς εἶχον εὐθὺς ἴσω παριέναι· ῥᾳδίως γὰρ ᾤμην διαλαθεῖν ἅτε ἐξ ἡμισείας ὢν ἀετὸς, τὸν δὲ ἀετὸν ἠπιστάμην ἐκ παλαιοῦ συνήθη τῷ Διί· ὕστερον δὲ ἐλογισάμην ὡς τάχιστα καταφωράσουσί με γυπὸς τὴν ἑτέραν πτέρυγα περικείμενον. Ἄριστον οὖν κρίνας τὸ μὴ παρακινδυνεύειν ἔκοπτον προσελθὼν τὴν θύραν. Ὑπακούσας δὲ ὁ Ἑρμῆς καὶ τοὔνομα ἐκπυθόμενος ἀπῄει κατὰ σπουδὴν φράσων τῷ Διὶ, καὶ μετ' ὀλίγον εἰσεκλήθην πάνυ δεδιὼς καὶ τρέμων, καταλαμβάνω τε πάντας ἅμα συγκαθημένους οὐδὲ αὐτοὺς ἀφρόντιδας· ὑπετάραττε γὰρ ἡσυχῇ τὸ παράδοξόν μου τῆς ἐπιδημίας, καὶ ὅσον οὐδέπω πάντας ἀνθρώπους ἀφίξεσθαι προσεδόκων τὸν αὐτὸν τρόπον ἐπτερωμένους.

multa illa et molesta audiendo a philosophis, quibus nullum aliud opus est, quam curiose de me disputare, quæ sim et quanta, vel quam ob causam dimidiata aut gibbosa fiam. Et alii etiam habitari me aiunt; alii, speculi instar impendere mari; alii, quicquid quisque excogitaverit, illud mihi applicant. Denique ipsam quoque lucem furtivam esse mihi et adulterinam aiunt, ut quæ desuper e Sole veniat; nec desinunt etiam cum hoc fratre me meo committere et dissidium inter nos excitare velle: neque enim satis illis erant quæ de ipso Sole dixerant, lapidem illum esse et massam ignitam.

21. Quanquam quot ego illis conscia sum quæ noctibus faciunt turpia et despuenda, severi illi interdiu et viriles obtutu, et habitu graves, et conspiciendi plebeiis! Atque ego videns ista tamen taceo: neque enim decere arbitror revelari atque illuminari illas noctium transigendarum rationes, et istam uniuscujusque in scena vitam: verum si quem illorum video adulterium committentem aut furantem, aut aliud quid patrantem maxime nocturnum, statim nube contracta me involvo, quo ne ostendam multitudini viros senes in barba prolixa et in virtutis professione turpiter se gerentes. At illi nihil remittunt lacerare me sermonibus suis et omnibus contumeliis afficere. Itaque, per Noctem, sæpe cogitavi migrare quam longissime, ubi illorum linguam male sedulam possem effugere. Memento igitur ista renunciare Jovi, et adjicere, non posse me loco meo manere, nisi physicos illos obterat, et os obturet dialecticis, et Porticum evertat, et comburat Academiam, finemque imponat illis in Peripato commorationibus: ita enim forte quietem agam ego, quam quotidie isti dimetiuntur.

22. Fiet istuc, inquiebam, et simul ardua via tendebam cœlum versus,

nulli ubi comparent hominumve boumve labores:

paullo post enim ipsa quoque luna parva mihi videbatur, terramque jam occultabat. A dextris autem relicto sole inter astra volans, tertio die appropinquavi cœlo. Ac primo quidem statueram statim sicut eram ingredi: facile enim futurum putabam uti laterem, qui ex dimidia parte essem aquila; aquilam autem ab antiquo inde familiarem Jovi esse noveram: deinde vero cogitabam, celeriter me deprehensum ab illis iri, qui alteram vulturis alam affixam haberem. Optimum ergo ratus illud periculum non subire, accedens pulso januam. Exaudit Mercurius, et explorato nomine, abit celeriter nunciaturus Jovi. Ac paullo post intro vocatus, metuens sane ac tremens, deprehendo simul assidentes omnes, ne ipsos quidem sollicitudinis expertes: insperata quippe ista mea peregrinatio aliquantum illos commoverat, et exspectabant tantum non jam omnes adventuros esse homines eodem modo alatos.

23. Ὁ δὲ Ζεὺς μάλα φοβερῶς δριμύ τε καὶ τιτανῶδες εἰς ἐμὲ ἀπιδών φησι

Τίς πόθεν εἶς ἀνδρῶν, πόθι τοι πόλις ἠδὲ τοκῆες;

Ἐγὼ δὲ ὡς τοῦτ' ἤκουσα, μικροῦ μὲν ἐξέθανον ὑπὸ τοῦ δέους, εἱστήκειν δὲ ὅμως ἀχανὴς καὶ ὑπὸ τῆς μεγαλοφωνίας ἐμβεβροντημένος. Χρόνῳ δ' ἐμαυτὸν ἀναλαβὼν ἅπαντα διηγούμην σαφῶς ἄνωθεν ἀρξάμενος, ὡς ἐπιθυμήσαιμι τὰ μετέωρα ἐκμαθεῖν, ὡς ἦλθοιμι παρὰ τοὺς φιλοσόφους, ὡς τἀναντία λεγόντων ἀκούσαιμι, ὡς ἀπαγορεύσαιμι διασπώμενος ὑπὸ τῶν λόγων, εἶτα ἐξῆς τὴν ἐπίνοιαν καὶ τὰ πτερὰ καὶ τἆλλα πάντα μέχρι πρὸς τὸν οὐρανόν· ἐπὶ πᾶσι δὲ προσέθηκα τὰ ὑπὸ τῆς Σελήνης ἐπεσταλμένα. Μειδιάσας δ' οὖν ὁ Ζεὺς καὶ μικρὸν ἐπανεὶς τῶν ὀφρύων, Τί ἂν λέγοις, φησὶν, Ὦτου πέρι καὶ Ἐφιάλτου, ὅπου καὶ Μένιππος ἐτόλμησεν ἐς τὸν οὐρανὸν ἀνελθεῖν; Ἀλλὰ νῦν μὲν ἐπὶ ξενίᾳ σε καλοῦμεν, αὔριον δὲ, ἔφη, περὶ ὧν ἥκεις χρηματίσαντες ἀποπέμψομεν. Καὶ ἅμα ἐξαναστὰς ἐβάδιζεν ἐς τὸ ἐπηκοώτατον τοῦ οὐρανοῦ· καιρὸς γὰρ ἦν ἐπὶ τῶν εὐχῶν καθέζεσθαι.

24. Μεταξύ τε προϊὼν ἀνέκρινέ με περὶ τῶν ἐν τῇ γῇ πραγμάτων, τὰ πρῶτα μὲν ἐκεῖνα, πόσου νῦν ὁ πυρός ἐστιν ὤνιος ἐπὶ τῆς Ἑλλάδος, καὶ εἰ σφόδρα ἡμῶν ὁ πέρυσι χειμὼν καθίκετο, καὶ εἰ τὰ λάχανα δεῖται πλείονος ἐπομβρίας· μετὰ δὲ ἠρώτα εἴ τις ἔτι λείπεται τῶν ἀπὸ Φειδίου, καὶ δι' ἣν αἰτίαν ἐλλείποιεν Ἀθηναῖοι τὰ Διάσια τοσούτων ἐτῶν, καὶ εἰ τὸ Ὀλύμπιον αὐτῷ ἐπιτελέσαι διανοοῦνται, καὶ εἰ συνελήφθησαν οἱ τὸν ἐν Δωδώνῃ νεὼν σεσυληκότες. Ἐπεὶ δὲ περὶ τούτων ἀπεκρινάμην, Εἰπέ μοι, Μένιππε, ἔφη, περὶ δὲ ἐμοῦ οἱ ἄνθρωποι τίνα γνώμην ἔχουσι; Τίνα, ἔφην, δέσποτα, ἢ τὴν εὐσεβεστάτην, βασιλέα σε εἶναι πάντων θεῶν; Παίζεις ἔχων, ἔφη· τὸ δὲ φιλόκαινον αὐτῶν ἀκριβῶς οἶδα, κἂν μὴ λέγῃς. Ἦν γάρ ποτε χρόνος, ὅτε καὶ μάντις ἐδόκουν αὐτοῖς καὶ ἰατρὸς καὶ πάντα ὅλως ἦν ἐγὼ,

μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαὶ,
πᾶσαι δ' ἀνθρώπων ἀγοραί·

καὶ ἡ Δωδώνη τότε καὶ ἡ Πῖσα λαμπραὶ καὶ περίβλεπτοι πᾶσιν ἦσαν, ὑπὸ δὲ τοῦ καπνοῦ τῶν θυσιῶν οὐδὲ ἀναβλέπειν μοι δυνατόν· ἐξ οὗ δὲ ἐν Δελφοῖς μὲν Ἀπόλλων τὸ μαντεῖον κατεστήσατο, ἐν Περγάμῳ δὲ τὸ ἰατρεῖον ὁ Ἀσκληπιὸς καὶ τὸ Βενδίδειον ἐγένετο ἐν Θράκῃ καὶ τὸ Ἀνουβίδειον ἐν Αἰγύπτῳ καὶ τὸ Ἀρτεμίσιον ἐν Ἐφέσῳ, ἐπὶ ταῦτα μὲν ἅπαντες θέουσι καὶ πανηγύρεις ἀνάγουσι καὶ ἑκατόμβας παριστᾶσιν, ἐμὲ δὲ ὥσπερ παρηβηκότα ἱκανῶς τετιμηκέναι νομίζουσιν, ἂν διὰ πέντε ὅλων ἐτῶν θύσωσιν ἐν Ὀλυμπίᾳ. Τοιγαροῦν ψυχροτέρους ἄν μου τοὺς βωμοὺς ἴδοις τῶν Πλάτωνος νόμων ἢ τῶν Χρυσίππου συλλογισμῶν.

25. Τοιαῦτ' ἄττα διεξιόντες ἀφικνούμεθα ἐς τὸ χωρίον, ἔνθα ἔδει αὐτὸν καθεζόμενον διακοῦσαι τῶν εὐχῶν. Θυρίδες δὲ ἦσαν ἐξῆς τοῖς στομίοις τῶν φρεάτων ἐοι-

23. Jupiter autem, terribili me acerboque et Titanico vultu intuens,

Dic (inquit), quis es? unde virûm? quæ patria? quique parentes?

Ego vero, his auditis, parum aberat quin mortem præ metu oppeterem : astabam tamen obstupefactus et a majestate vocis attonitus. Tempore autem quum recepissem animum, enarrabam diserte omnia, re ab initio inde repetita, quam cupissem sublimia illa ediscere, ut venerim ad philosophos, ut pugnantia dicentes audiverim, ut sermonibus illorum in multa distractus animum desponderim, tum commentum meum deinceps, et alas, et reliqua ad cœlum usque omnia : post reliqua etiam Lunæ mandata adjeci. Subridens autem Jupiter, et remittens aliquantulum supercilia, Quid dicas, inquit, de Oto et Ephialte, quum Menippus etiam in cœlum ascendere ausus sit? Sed nunc quidem ad hospitalem te cœnam vocamus, cras vero, inquit, operam de negotio tibi tuo dabimus, ac deinde te dimittemus. Cum his dictis surgens ad eum cœli locum pergebat, unde facillime exaudiri possunt omnia : tempus enim erat precum causa audiendarum assidendi.

24. Dum progreditur, rogat me de his quæ in terra agantur ; primo quidem illa, quanti nunc sit in Græcia triticum, et an vehementer nos superiori anno hiems perstrinxerit, et an pluribus imbribus indigeant olera : postea vero interrogabat num quis adhuc reliquus esset de genere Phidiæ, et quam ob causam intermitterent Athenienses tot annis Jovialia, et an Olympium suum templum exædificare cogitent, et comprehensine essent qui Dodonæum templum spoliaverant. De his quum respondissem, Dic mihi, inquit, Menippe, de me quid sentiunt homines? Quid, inquam, domine, aliud quam religiosissimum illud, regem te esse omnium deorum? Ludis tu quidem, inquit : quam novarum rerum studiosi sint, accurate novi, etsi non dicis. Fuit enim quondam tempus, quum et divinus ipsis viderer, et medicus, et ego essem in universum omnia :

compita plena Jovis, fora tum Jovis omnia plena :

ac Dodona et Pisa splendidæ conspicuæque tum erant omnibus, præ fumo autem sacrificiorum nec prospicere poteram. Verum ex quo Delphis quidem Apollo divinandi officinam constituit, Pergami autem sanandi Æsculapius, et Bendideum factum in Thracia, et Anubideum in Ægypto, et Ephesi Dianeum, ad illa currunt omnes, et celebritates agunt, et hecatombas statuunt : mihi vero tanquam decrepito satis habitum honoris putant, si quinque solidis annis interjectis sacrificent mihi Olympiæ. Quare frigidiora mea altaria videas Platonis legibus aut syllogismis Chrysippi.

25. Hæc talia quædam colloquti pervenimus ad locum, ubi assidentem illum preces audire oportebat. Erant autem fenestræ deinceps puteorum orificiis similes, habentes

κυῖαι πώματα ἔχουσαι καὶ παρ' ἑκάστῃ θρόνος ἔκειτο χρυσοῦς. . Καθίσας οὖν ἑαυτὸν ἐπὶ τῆς πρώτης ὁ Ζεὺς καὶ ἀφελὼν τὸ πῶμα παρεῖχε τοῖς εὐχομένοις ἑαυτόν· ἠὔχοντο δὲ πανταχόθεν τῆς γῆς διάφορα καὶ ποικίλα. Συμπαρακύψας γὰρ καὶ αὐτὸς ἐπήκουον ἅμα τῶν εὐχῶν. Ἦσαν δὲ τοιαίδε, Ὦ Ζεῦ, βασιλεῦσαί μοι γένοιτο· ὦ Ζεῦ, τὰ κρόμμυά μοι φῦναι καὶ τὰ σκόροδα· ὦ θεοί, τὸν πατέρα μοι ταχέως ἀποθανεῖν· ὁ δέ τις ἔφη, Εἴθε κληρονομήσαιμι τῆς γυναικὸς, εἴθε λάθοιμι ἐπιβουλεύσας τῷ ἀδελφῷ, γένοιτό μοι νικῆσαι τὴν δίκην, στεφθῆναι τὰ Ὀλύμπια. Τῶν πλεόντων δὲ ὁ μὲν βορέαν ηὔχετο ἐπιπνεῦσαι, ὁ δὲ νότον, ὁ δὲ γεωργὸς ἤτει ὑετὸν, ὁ δὲ κναφεὺς ἥλιον. Ἐπακούων δὲ ὁ Ζεὺς καὶ τὴν εὐχὴν ἑκάστην ἀκριβῶς ἐξετάζων οὐ πάντα ὑπισχνεῖτο,

ἀλλ' ἕτερον μὲν ἔδωκε πατὴρ, ἕτερον δ' ἀνένευσε·

τὰς μὲν γὰρ δικαίας τῶν εὐχῶν προσίετο ἄνω διὰ τοῦ στομίου καὶ ἐπὶ τὰ δεξιὰ κατετίθει φέρων, τὰς δὲ ἀνοσίους ἀπράκτους αὖθις ἀπέπεμπεν ἀποφυσῶν κάτω, ἵνα μηδὲ πλησίον γένοιντο τοῦ οὐρανοῦ. Ἐπὶ μιᾶς δέ τινος εὐχῆς καὶ ἀποροῦντα αὐτὸν ἐθεασάμην· δύο γὰρ ἀνδρῶν τἀναντία εὐχομένων καὶ τὰς ἴσας θυσίας ὑπισχνουμένων οὐκ εἶχεν ὁποτέρῳ μᾶλλον ἐπινεύσειεν αὐτῶν, ὥστε δὴ τὸ Ἀκαδημαϊκὸν ἐκεῖνο ἐπεπόνθει καὶ οὐδέν τι ἀποφήνασθαι δυνατὸς ἦν, ἀλλ' ὥσπερ ὁ Πύρρων ἐπεῖχεν ἔτι καὶ διεσκέπτετο.

26. Ἐπεὶ δὲ ἱκανῶς ἐχρημάτισε ταῖς εὐχαῖς, ἐπὶ τὸν ἑξῆς μεταβὰς θρόνον καὶ τὴν δευτέραν θυρίδα κατακύψας τοῖς ὅρκοις ἐσχόλαζε καὶ τοῖς ὀμνύουσι. Χρηματίσας δὲ καὶ τούτοις καὶ τὸν Ἐπικούρειον Ἑρμόδωρον ἐπιτρίψας μετεκαθέζετο ἐπὶ τὸν ἑξῆς θρόνον κληδόσι καὶ φήμαις καὶ οἰωνοῖς προσέξων. Εἶτ' ἐκεῖθεν ἐπὶ τὴν τῶν θυσιῶν θυρίδα μετῆει, δι' ἧς ὁ καπνὸς ἀνιὼν ἀπήγγελλε τῷ Διὶ τοῦ θύοντος ἑκάστου τοὔνομα. Ἀποστὰς δὲ τούτων προσέταττε τοῖς ἀνέμοις καὶ ταῖς ὥραις ἃ δεῖ ποιεῖν· Τήμερον παρὰ Σκύθαις ὑέτω, παρὰ Λίβυσιν ἀστραπτέτω, παρ' Ἕλλησι νιφέτω, σὺ δὲ ὁ Βορέας πνεῦσον ἐν Λυδίᾳ, σὺ δὲ ὁ Νότος ἡσυχίαν ἄγε, ὁ δὲ Ζέφυρος τὸν Ἀδρίαν διακυμαινέτω, καὶ τῆς χαλάζης ὅσον μέδιμνοι χίλιοι διασκεδασθήτωσαν ὑπὲρ Καππαδοκίας.

27. Ἁπάντων δὲ ἤδη σχεδὸν αὐτῷ διῳκημένων, ἀπῄειμεν ἐς τὸ συμπόσιον· δεῖπνου γὰρ ἤδη καιρὸς ἦν· καί με ὁ Ἑρμῆς παραλαβὼν κατέκλινε παρὰ τὸν Πᾶνα καὶ τοὺς Κορύβαντας καὶ τὸν Ἄττην καὶ τὸν Σαβάζιον, τοὺς μετοίκους τούτους καὶ ἀμφιβόλους θεούς. Καὶ ἄρτον δὲ ἡ Δημήτηρ παρεῖχε καὶ ὁ Διόνυσος οἶνον καὶ ὁ Ἡρακλῆς κρέα καὶ μύρτα ἡ Ἀφροδίτη καὶ ὁ Ποσειδῶν μαινίδας. Ἅμα δὲ καὶ τῆς ἀμβροσίας ἡρέμα καὶ τοῦ νέκταρος παρεγευόμην· ὁ γὰρ βέλτιστος Γανυμήδης ὑπὸ φιλανθρωπίας εἰ θεάσαιτο ἀποβλέποντά ποι τὸν Δία, κοτύλην ἂν ἢ καὶ δύο τοῦ νέκταρος ἐνέχει μοι φέρων. Οἱ δὲ θεοὶ, ὡς Ὁμηρός που λέγει καὶ

opercula; et ad unamquamque sella aurea posita. Ad primam igitur harum assidens Jupiter, remoto operculo precantibus se dabat. Orabant vero undique terrarum diversa et varia. Ego enim ipse quoque capite admoto preces simul audiebam. Erant vero ejusmodi : Jupiter, regnare mihi contingat! Jupiter, cepæ mihi nascantur et allia! O dii, pater mihi mox moriatur! Alius quidam dicebat, Utinam heres sim uxoris! utinam lateam dum struo fratri insidias! contingat mihi causam vincere, coronari Olympia. Navigantium vero unus boream aspirare rogabat, alter vero notum : agricola pluviam petebat, solem fullo. Audiens vero Jupiter, precibus singulis accurate examinatis, non pollicebatur omnia;

Verum propitius pater hoc dedit, abnuit illud.

Justas etenim preces sursum admissas per fenestellam reponebat ad dextra; nefarias autem infectas deorsum flando remittebat, ut ne prope quidem cœlum venirent. In unis vero precibus dubium etiam illum vidi. Duobus enim viris contraria petentibus et hostias pollicentibus æquales, non habebat utri illorum magis annueret : itaque illud Academicum usu ei venit, neque quicquam poterat pronunciare; sed Pyrrhonis instar sustinebat se adhuc et dispiciebat.

26. Quum autem satis operam dedisset precibus, in proximam transiit sellam et ad fenestram alteram, ubi admoto capite juribusjurandis vacabat et jurantibus. His quoque ubi se præbuerat et Hermodorum obtriverat Epicureum, in proximam sellam transiit, ut ominibus et vocibus et auguriis attenderet. Tum inde ad sacrificiorum fenestram transgressus est, per quam ascendens fumus renunciabat Jovi sacrificantis uniuscujusque nomen. His perfunctus, ventis atque tempestatibus quid faciendum esset injunxit : Hodie apud Scythas pluat, apud Libyes fulguret, apud Græcos ningat : tu, Borea, flato per Lydiam; tu, Note, quietus esto; Zephyrus autem fluctibus agat Adriam : et grandinis mille circiter medimni spargantur per Cappadociam.

27. Omnibus fere ab illo peractis, ad convivium abiimus : jam enim cœnæ tempus erat : meque assumtum Mercurius accumbere jussit propter Panem et Corybantas et Attin et Sabazium, inquilinos illos et ancipites deos. Hic panem ministrabat Ceres, et Bacchus vinum, et carnes Hercules, et myrta Venus, et Neptunus mænas. Simul vero etiam ambrosiam et nectar clanculum gustabam : optimus enim Ganymedes, humanitate ductus, si qua dispicientem animadverteret Jovem, cotylam unam aut duas etiam nectaris mihi raptim infundebat. Dii vero, ut alicubi dicit Ho-

αὐτὸς οἶμαι καθάπερ ἐγὼ τἀκεῖ τεθεαμένος, οὔτε σῖτον ἔδουσιν οὔτε πίνουσιν αἴθοπα οἶνον, ἀλλὰ τὴν ἀμβροσίην παρατίθενται καὶ τοῦ νέκταρος μεθύσκονται, μάλιστα δὲ ἥδονται σιτούμενοι τὸν ἐκ τῶν θυσιῶν καπνὸν αὐτῇ κνίσῃ ἀνενηνεγμένον καὶ τὸ αἷμα δὲ τῶν ἱερείων, ὃ τοῖς βωμοῖς οἱ θύοντες περιχέουσιν. Ἐν δὲ τῷ δείπνῳ ὅ τε Ἀπόλλων ἐκιθάρισε καὶ ὁ Σειληνὸς κόρδακα ὠρχήσατο καὶ αἱ Μοῦσαι ἀναστᾶσαι τῆς τε Ἡσιόδου Θεογονίας ἦσαν ἡμῖν καὶ τὴν πρώτην ᾠδὴν τῶν ὕμνων τῶν Πινδάρου. Κἀπειδὴ κόρος ἦν, ἀνεπαυόμεθα ὡς εἶχεν ἕκαστος ἱκανῶς ὑποβεβρεγμένος.

28. Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
εὗδον πανύχιοι, ἐμὲ δ' οὐκ ἔχε νήδυμος ὕπνος·

ἀνελογιζόμην γὰρ πολλὰ μὲν καὶ ἄλλα, μᾶλλον δὲ ἐκεῖνα, πῶς ἐν τοσούτῳ χρόνῳ ὁ Ἀπόλλων οὐ φύει πώγωνα ἢ πῶς γίνεται νὺξ ἐν οὐρανῷ τοῦ ἡλίου παρόντος ἀεὶ καὶ συνευωχουμένου. Τότε μὲν οὖν μικρόν τι κατέδαρθον. Ἕωθεν δὲ διαναστὰς ὁ Ζεὺς προσέταττε κηρύττειν ἐκκλησίαν.

29. Κἀπειδὴ παρῆσαν ἅπαντες, ἄρχεται λέγειν· Τὴν μὲν αἰτίαν τοῦ ξυναγαγεῖν ὑμᾶς ὁ χθιζὸς οὗτος ξένος παρέσχηται· πάλαι δὲ βουλόμενος ὑμῖν κοινώσασθαι περὶ τῶν φιλοσόφων, μάλιστα ὑπὸ τῆς Σελήνης καὶ ὧν ἐκείνη μέμφεται προτραπεὶς ἔγνων μηκέτ' ἐπὶ πλέον παρατεῖναι τὴν διάσκεψιν· γένος γάρ τι ἀνθρώπων ἐστὶν οὐ πρὸ πολλοῦ τῷ βίῳ ἐπιπολάζον ἀργὸν φιλόνεικον κενόδοξον ὀξύχολον ὑπόλιχνον ὑπόμωρον τετυφωμένον ὕβρεως ἀνάπλεων, καὶ ἵνα καθ' Ὅμηρον εἴπω, « ἐτώσιον ἄχθος ἀρούρης. » Οὗτοι τοίνυν εἰς συστήματα διαιρεθέντες καὶ διαφόρους λόγων λαβυρίνθους ἐπινοήσαντες οἱ μὲν Στωϊκοὺς ὠνομάκασιν, οἱ δὲ Ἀκαδημαϊκούς, οἱ δὲ Ἐπικουρείους, οἱ δὲ Περιπατητικοὺς καὶ ἄλλα πολλῷ γελοιότερα τούτων· ἔπειτα δὲ ὄνομα σεμνὸν τὴν ἀρετὴν περιθέμενοι καὶ τὰς ὀφρῦς ἐπάραντες καὶ πώγωνας ἐπισπασάμενοι περιέρχονται ἐπιπλάστῳ σχήματι κατάπτυστα ἤθη περιστέλλοντες, ἐμφερεῖς μάλιστα τοῖς τραγικοῖς ἐκείνοις ὑποκριταῖς, ὧν ἤν ἀφέλῃ τις τὰ προσωπεῖα καὶ τὴν χρυσόπαστον ἐκείνην στολήν, τὸ καταλειπόμενόν ἐστι γελοῖον ἀνθρώπιον ἑπτὰ δραχμῶν ἐς τὸν ἀγῶνα μεμισθωμένον.

30. Τοιοῦτοι δὲ ὄντες ἀνθρώπων μὲν ἁπάντων καταφρονοῦσι, περὶ θεῶν δὲ ἀλλόκοτα διεξέρχονται καὶ συνάγοντες εὐεξαπάτητα μειράκια τήν τε πολυθρύλητον ἀρετὴν τραγῳδοῦσι καὶ τὰς τῶν λόγων ἀπορίας ἐκδιδάσκουσι, καὶ πρὸς μὲν τοὺς μαθητὰς καρτερίαν ἀεὶ καὶ σωφροσύνην ἐπαινοῦσι καὶ πλούτου καὶ ἡδονῆς καταπτύουσι, μόνοι δὲ καὶ καθ' ἑαυτοὺς γενόμενοι τί ἂν λέγοι τις ὅσα μὲν ἐσθίουσιν, ὅσα δὲ ἀφροδισιάζουσιν, ὅπως δὲ περιλείχουσι τῶν ὀβολῶν τὸν ῥύπον; Τὸ δὲ πάντων δεινότατον, ὅτι μηδὲν αὐτοὶ μήτε κοινὸν μήτε ἴδιον ἐπιτελοῦντες, ἀλλ' ἀχρεῖοι καὶ περιττοὶ καθεστῶτες

οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιοι οὔτ' ἐνὶ βουλῇ,

merus, qui et ipse, puto, non minus quam ego ista viderit, nec frumento vescuntur, nec vinum bibunt nigricans, sed apponitur ipsis ambrosia, et nectare inebriantur : maxime autem delectantur pro cibo haurientes ascendentem cum nidore victimarum fumum, et sanginem hostiarum, quem altaribus sacrificantes affundunt. In cœna porro cithara canente Apolline cordacem saltavit Silenus, et Musæ, quum surrexissent, Hesiodi de nativitate deorum carmina et primum hymnorum Pindari nobis canebant. Denique quum satias esset, unusquisque, ut erat, acquievimus, bene madidi.

28. Reliquos pariter mulcet divosque hominesque
tota nocte quies : sed me non attigit alma,

qui cogitarem tum multa alia, tum præ ceteris illa, quomodo in tanto tempore Apollo barbam non gignat, aut quomodo nox fiat in cœlo, præsente semper sole et una epulante. Post hæc paullum obdormiscebam. Mane autem surgens Jupiter præconio vocari concionem jubebat.

29. Et præsentibus omnibus, dicere incipit : Causam vos convocandi hesternus hic noster hospes præbuit. Quum autem jam olim voluerim communicare vobiscum de philosophis, maxime a Luna illiusque querelis incitatus, decrevi non diutius illam deliberationem differre. Est enim genus hominum non ita diu sæculo spumæ instar innatans, pigrum, contentiosum, inanis gloriæ cupidum, iracundum, gulæ obnoxium, stolidum, inflatum, contumeliosum, et ut Homerico verbo utar, « telluris inutile pondus. » Hi ergo in turmas divisi, excogitatis diversis disputationum labyrinthis, alii Stoicos se vocarunt, alii Academicos, Epicureos alii, alii Peripateticos, et aliis nominibus multo etiam magis ridiculis : deinde circumposito sibi augusto virtutis nomine, superciliis sublatis, demissis barbis, circumeunt ficto habitu despuendos mores occultantes, similes maxime tragicis illis actoribus, quibus si personas auferas et amictum illum auro intextum, quod relinquitur ridiculum quiddam est, homuncio septem drachmis ad certamen illud conductus.

30. Tales vero quum sint, homines quidem omnes contemnunt, de diis autem absurda narrant, conductisque adolescentulis ad decipiendum opportunis, tum virtutem illam multis sermonibus tritam tragico clamore prædicant, tum disputationes edocent quæ exitum non habent : et apud discipulos quidem tolerantiam semper et temperantiam laudant, divitiasque et voluptatem despuunt; soli vero et sibi quum sunt relicti, qui dicat aliquis quæ edant, quam venerem exerceant, ut sordes delingant obolorum! Gravissimum vero omnium hoc est, quod nullam ipsi neque communem rem neque suam conferentes in medium, sed inutiles et supervacanei,

non habiles bello, non consultantibus apti,

ὅμως τῶν ἄλλων κατηγοροῦσι καὶ λόγους τινὰς πικροὺς συμφορήσαντες καὶ λοιδορίας τινὰς ἐκμελετηκότες ἐπιτιμῶσι καὶ ὀνειδίζουσι τοῖς πλησίον, καὶ οὗτος αὐτῶν τὰ πρῶτα φέρεσθαι δοκεῖ ὃς ἂν μεγαλοφωνότατός τε ᾖ καὶ ἰταμώτατος καὶ πρὸς τὰς βλασφημίας θρασύτατος.

31. Καίτοι τὸν διατεινόμενον αὐτῶν καὶ βοῶντα καὶ κατηγοροῦντα τῶν ἄλλων ἢν ἔρῃ, σὺ δὲ δὴ τί πράττων τυγχάνεις ἢ τί φῶμεν πρὸς θεῶν σε πρὸς τὸν βίον συντελεῖν; φαίη ἄν, εἰ τὰ δίκαια καὶ ἀληθῆ θέλοι λέγειν, ὅτι πλεῖν μὲν ἢ γεωργεῖν ἢ στρατεύεσθαι ἤ τινα τέχνην μετιέναι περιττὸν εἶναί μοι δοκεῖ, κέκραγα δὲ καὶ αὐχμῶ καὶ ψυχρολουτῶ καὶ ἀνυπόδητος τοῦ χειμῶνος περιέρχομαι καὶ ὥσπερ ὁ Μῶμος τὰ ὑπὸ τῶν ἄλλων γιγνόμενα συκοφαντῶ, καὶ εἴ μέν τις ὠψώνηκε τῶν πλουσίων πολυτελῶς ἢ ἑταίραν ἔχει, τοῦτο πολυπραγμονῶ καὶ ἀγανακτῶ, εἰ δὲ τῶν φίλων τις ἢ ἑταίρων κατάκειται νοσῶν ἐπικουρίας τε καὶ θεραπείας δεόμενος, ἀγνοῶ. Τοιαῦτα μέν ἐστιν ἡμῖν, ὦ θεοί, ταῦτα τὰ θρέμματα.

32. Οἱ δὲ δὴ Ἐπικούρειοι αὐτῶν λεγόμενοι μάλα δὴ καὶ ὑβρισταί εἰσι καὶ οὐ μετρίως ἡμῶν καθάπτονται μήτε ἐπιμελεῖσθαι τῶν ἀνθρωπίνων λέγοντες τοὺς θεοὺς μήτε ὅλως τὰ γιγνόμενα ἐπισκοπεῖν· ὥστε ὥρα ὑμῖν λογίζεσθαι, διότι ἢν ἅπαξ οὗτοι πεῖσαι τὸν βίον δυνηθῶσιν, οὐ μετρίως πεινήσετε. Τίς γὰρ ἂν ἔτι θύσειεν ὑμῖν πλέον οὐδὲν ἕξειν προσδοκῶν; Ἃ μὲν γὰρ ἡ Σελήνη αἰτιᾶται, πάντες ἠκούσατε τοῦ ξένου χθὲς διηγουμένου· πρὸς ταῦτα βουλεύεσθε ἃ καὶ τοῖς ἀνθρώποις γένοιτ' ἂν ὠφελιμώτατα καὶ ἡμῖν ἀσφαλέστατα.

33. Εἰπόντος ταῦτα τοῦ Διὸς ἡ ἐκκλησία διετεθρύλητο, καὶ εὐθὺς ἑβόων ἅπαντες, κεραύνωσον, κατάφλεξον, ἐπίτριψον, ἐς τὸ βάραθρον, ἐς τὸν Τάρταρον ὡς τοὺς Γίγαντας. Ἡσυχίαν δὲ ὁ Ζεὺς αὖθις παραγγείλας, Ἔσται ταῦτα ὡς βούλεσθε, ἔφη, καὶ πάντες ἐπιτρίψονται αὐτῇ διαλεκτικῇ, πλὴν τό γε νῦν εἶναι οὐ θέμις κολασθῆναί τινα· ἱερομηνία γάρ ἐστιν, ὡς ἴστε, μηνῶν τούτων τεττάρων, καὶ ἤδη τὴν ἐκεχειρίαν περιηγγειλάμην. Ἐς νέωτα οὖν ἀρχομένου ἦρος κακοὶ κακῶς ἀπολοῦνται τῷ σμερδαλέῳ κεραυνῷ.

Ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.

34. Περὶ δὲ Μενίππου ταῦτα, ἔφη, μοι δοκεῖ· περιαιρεθέντα αὐτὸν τὰ πτερὰ, ἵνα μὴ καὶ αὖθις ἔλθῃ ποτὲ, ὑπὸ τοῦ Ἑρμοῦ ἐς τὴν γῆν κατενεχθῆναι τήμερον. Καὶ ὁ μὲν ταῦτα εἰπὼν διέλυσε τὸν σύλλογον, ἐμὲ δὲ ὁ Κυλλήνιος τοῦ ὀξυβόου ὠτὸς ἀποκρεμάσας περὶ ἑσπέραν χθὲς κατέθηκε φέρων ἐς τὸν Κεραμεικόν.

Ἅπαντα ἀκήκοας, ἅπαντα, ὦ ἑταῖρε, τὰ ἐξ οὐρανοῦ. Ἄπειμι τοίνυν καὶ τοῖς ἐν τῇ Ποικίλῃ περιπατοῦσι τῶν φιλοσόφων αὐτὰ ταῦτα εὐαγγελιούμενος.

tamen accusant reliquos; et sermonibus quibusdam amaris congestis, maledicta quædam meditati, increpant et reprehendunt alios; atque ille inter ipsos ferre primas videtur, qui et vocalissimus sit, et impudentissimus, et ad maledicta audacissimus.

31. Atqui horum si eum qui contendit et clamat et accusat alios, interroges, Tu vero quid agis? aut quid te dicamus, dic per deos, ad vitam conferre? dicat sane, si justa et vera velit dicere, Navigare quidem, aut agrum colere, aut *militare*, aut *artem quamcumque tractare*, *superfluum mihi* videtur; sed clamo, et squaleo, et frigida lavor, et nudis pedibus per hiemem circumeo, et velut Momus, quæ a ceteris fiunt, ea calumnior: et si quis divitum sumtuose obsonavit, aut meretricem habet, de hoc laboro atque indignor; si vero amicorum aliquis aut sodalium decumbit ægrotus, auxilio et curatione indigens, ignoro. Tales sunt nobis, dii, istæ belluæ.

35. Illi vero eorum, qui Epicurei vocantur, vel maxime contumeliosi sunt, nec mediocriter nos perstringunt, neque curari res humanas dicentes a diis, neque omnino quæ fiant inspici. Itaque tempus est ut rationem harum rerum habeatis: *nam si semel hi persuadere sæculo poterunt*, non mediocriter esurietis. Quis enim adhuc sacra vobis faciat, si hoc nihil sibi profuturum speret? Quæ quidem Luna accusat, omnes heri, narrante hospite, audivistis: ad hæc jam, quæ et hominibus utilissima et securissima nobis sint, consulite.

33. Hæc ubi dixit Jupiter, crebris concio vocibus personuit, quum omnes statim clamarent, Fulmina! combure! obtere! in barathrum! in Tartarum ut Gigantas! Imperato rursus silentio, Jupiter, Erunt ista ut vultis, inquit, et omnes cum ipsa dialectica peribunt: verum, ut nunc est, puniri quenquam nefas; festi enim, ut nostis, dies sunt per menses hosce quattuor, et jam imperavi justitium et inducias. Novo igitur anno, ineunte vere, mali male peribunt *terribili fulmine*.

Hæc ubi dicta, superciliis pater annuit atris.

34. De Menippo autem, ait, hæc mihi placent: amputatis alis, ne qua iterum huc veniat, a Mercurio hodie deferatur in terram. His dictis, concionem dimisit. Me vero Cyllenius dextra aure suspensum heri circa vesperam in Ceramico deposuit.

Omnia audisti, sodalis, illa e cœlo omnia. Abeo jam, ambulantibus in Pœcile philosophis bonum illum nuncium allaturus.

XLVII.

ΔΙΣ ΚΑΤΗΓΟΡΟΥΜΕΝΟΣ Η ΔΙΚΑΣΤΗΡΙΑ.

1. ΖΕΥΣ. Ἀλλ' ἐπιτριβεῖεν ὅσοι τῶν φιλοσόφων παρὰ μόνοις τὴν εὐδαιμονίαν φασὶν εἶναι τοῖς θεοῖς· εἰ γοῦν ᾔδεσαν ὁπόσα τῶν ἀνθρώπων ἕνεκα πάσχομεν, οὐκ ἂν ἡμᾶς τοῦ νέκταρος ἢ τῆς ἀμβροσίας ἐμακάριζον Ὁμήρῳ πιστεύσαντες ἀνδρὶ τυφλῷ καὶ γόητι, μάκαρας ἡμᾶς καλοῦντι καὶ τὰ ἐν οὐρανῷ διηγουμένῳ, ὃς οὐδὲ τὰ ἐν τῇ γῇ καθορᾶν ἐδύνατο. Αὐτίκα γέ τοι ὁ μὲν Ἥλιος οὑτοσὶ ζευξάμενος τὸ ἅρμα πανήμερος τὸν οὐρανὸν περιπολεῖ πῦρ ἐνδεδυκὼς καὶ τῶν ἀκτίνων ἀποστίλβων, οὐδ' ὅσον κνήσασθαι τὸ οὖς, φασὶ, σχολὴν ἄγων· ἢν γάρ τι κἂν ὀλίγον ἐπιρραθυμήσας λάθῃ, ἀφηνιάσαντες οἱ ἵπποι καὶ τῆς ὁδοῦ παρατραπόμενοι κατέφλεξαν τὰ πάντα. Ἡ Σελήνη δὲ ἄγρυπνος καὶ αὐτὴ περίεισι φαίνουσα τοῖς κωμάζουσι καὶ τοῖς ἀωρὶ ἀπὸ τῶν δείπνων ἐπανιοῦσιν. Ὁ Ἀπόλλων τε αὖ πολυπράγμονα τὴν τέχνην ἐπανελόμενος ὀλίγου δεῖν τὰ ὦτα ἐκκεκώφηται πρὸς τῶν ἐνοχλούντων κατὰ χρείαν τῆς μαντικῆς, καὶ ἄρτι μὲν αὐτῷ ἐν Δελφοῖς ἀναγκαῖον εἶναι, μετ' ὀλίγον δὲ ἐς Κολοφῶνα θεῖ, κἀκεῖθεν ἐς Ξάνθον μεταβαίνει καὶ δρομαῖος αὖθις ἐς τὴν Κλάρον, εἶτα ἐς Δῆλον ἢ ἐς Βραγχίδας, καὶ ὅλως ἔνθα ἂν ἡ πρόμαντις πιοῦσα τοῦ ἱεροῦ νάματος καὶ μασησαμένη τῆς δάφνης καὶ τὸν τρίποδα διασεισαμένη κελεύσῃ παρεῖναι, ἄοκνον χρὴ αὐτίκα μάλα παρεστάναι ξυνείροντα τοὺς χρησμοὺς ἢ οἴχεσθαί σε τὴν δόξαν τῆς τέχνης. Ἐῶ λέγειν ὁπόσα ἐπὶ πείρᾳ τῆς μαντικῆς ἐπιτεχνῶνται αὐτῷ ἄρνεια κρέα καὶ χελώνας ἐς τὸ αὐτὸ ἕψοντες· ὥστε εἰ μὴ τὴν ῥῖνα ὀξὺς ἦν, κἂν ἀπῆλθεν αὐτοῦ ὁ Λυδὸς καταγελῶν. Ὁ μὲν γὰρ Ἀσκληπιὸς ὑπὸ τῶν νοσούντων ἐνοχλούμενος ὁρῇ τε δεινὰ θιγγάνει τε ἀηδέων ἐπ' ἀλλοτρίῃσί τε ξυμφορῇσιν ἰδίας καρποῦται λύπας. Τί γὰρ ἂν ἢ τοὺς ἀνέμους φυτουργοῦντας λέγοιμι καὶ παραπέμποντας τὰ πλοῖα καὶ τοῖς λιχμῶσιν ἐπιπνέοντας, ἢ τὸν ὕπνον ἐπὶ πάντας πετόμενον, ἢ τὸν ὄνειρον μετὰ τοῦ ὕπνου διανυκτερεύοντα καὶ ὑποφητεύοντα αὐτῷ; Πάντα γὰρ ταῦτα ὑπὸ φιλανθρωπίας οἱ θεοὶ πονοῦσι πρὸς τὸν ἐπὶ τῆς γῆς βίον ἕκαστοι ξυντελοῦντες.

2. Καίτοι τὰ μὲν τῶν ἄλλων μέτρια· ἐγὼ δὲ αὐτὸς ὁ πάντων βασιλεὺς καὶ πατὴρ ὅσας μὲν ἀηδίας ἀνέχομαι, ὅσα δὲ πράγματα ἔχω πρὸς τοσαύτας φροντίδας διῃρημένος· ᾧ πρῶτα μὲν τὰ τῶν ἄλλων θεῶν ἔργα ἐπισκοπεῖν ἀναγκαῖον, ὁπόσοι τι ἡμῖν ξυνδιαπράττουσι τῆς ἀρχῆς, ὡς μὴ βλακεύωσιν ἐν αὐτοῖς, ἔπειτα δὲ καὶ αὐτῷ μυρία ἅττα πράττειν καὶ σχεδὸν ἀνέφικτα ὑπὸ λεπτότητος· οὐ γὰρ μόνον τὰ κεφάλαια ταῦτα τῆς διοικήσεως, ὑετοὺς καὶ χαλάζας καὶ πνεύματα καὶ ἀστραπὰς αὐτὸς οἰκονομησάμενος καὶ διατάξας πέπαυμαι τῶν ἐπὶ μέρους φροντίδων ἀπηλλαγμένος, ἀλλά με δεῖ καὶ ταῦτα μὲν ποιεῖν, ἀποβλέπειν δὲ κατὰ τὸν αὐτὸν χρόνον ἅπανταχόσε καὶ πάντα ἐπισκοπεῖν ὥσπερ τὸν

XLVII.

BIS ACCUSATUS seu TRIBUNALIA.

1. JUPITER. Dispereant vero quotquot philosophorum apud solos felicitatem esse deos contendunt! nam si scirent quot hominum causa subeamus molestias, non sane nectaris aut ambrosiæ nos nomine beatos prædicarent, Homero fidem habentes, cæco homini atque impostori, beatos vocanti nos et cœlestia enarranti, qui ne illa quidem quæ in terra sunt poterat videre. Jam Sol quidem hicce curru juncto per totum diem cœlum obit, igne indutus et refulgens radiis, ne tantum quidem otii agens, quantum auri scalpendæ, quod aiunt, sufficiat: si enim vel paullum modo de contentione imprudens remittat, excussis frenis equi et via deflectentes ilico comburant omnia. Luna vero pervigil et ipsa circumit, lucens comissantibus et intempesta nocte de cœna redeuntibus. Rursus Apollo, negotiosam artem qui sibi delegerit, parum abest quin obsurdescat ab his qui divinationis indigentes negotium illi facessunt: et jam quidem Delphis esse cogitur, paullo post currit Colophonem, et inde ad Xanthum transit, tum curriculo rursus Clarum, tum in Delum, aut ad Branchidas; et in universum quocumque illum antistita sacro liquore poto et commansa lauro et commoto tripode adesse jubeat, impigrum oportet confestim præsto esse, consuentem oracula, nisi velit perire sibi artis gloriam. Omitto enim dicere quas ipsi artis tentandæ causa insidias struant, dum agninas carnes atque testudines una coquunt; adeo ut, nisi acutas nares haberet, deriso illo abiisset Lydus. Æsculapius quidem, vexatus ab ægrotantibus, videtque aspera, et insuavia tangit, et ex alienis calamitatibus suos legit dolores. Quid vero aut Ventos dicam plantarum culturam adjuvantes, et navigia deducentes, et aspirantes ventilantibus; aut advolantem ad omnes Somnum; aut Somnium cum Somno pernoctans, dum oracula illius effatur? Hæc enim omnia dii præ hominum amore elaborant, et ad vitam in hac terra singuli conferunt.

2. Et tamen reliquorum negotia mediocria: ego vero ipse, rex ille et pater omnium, quot injucunda sustineo, quot negotia habeo, inter tot curas distractus! cui primum quidem ceterorum deorum opera inspicere necesse sit, quotquot imperii nostri aliquam partem nobiscum administrant, ut ne quid negligenter faciant; deinde vero sexcenta alia per me peragenda, quæ vix assequi licet propter tenuitatem. Non enim, quum illa tantum, quæ ad summam administrationis pertinent, pluvias, grandines, ventos et fulgura, dispensavi ipse atque ordinavi, quietus sum et particularibus curis liber: verum oportet me et ista facere et respicere eodem tempore usquequaque, et inspicere omnia; ut

ἐν τῇ Νεμέᾳ βουκόλον, τοὺς κλέπτοντας, τοὺς ἐπιορκοῦντας, τοὺς θύοντας, εἴ τις ἔσπεισε, πόθεν ἡ κνῖσα καὶ ὁ καπνὸς ἀνέρχεται, τίς νοσῶν ἢ πλέων ἐκάλεσε, καὶ τὸ πάντων ἐπιπονώτατον, ὑφ' ἕνα καιρὸν ἔν τε Ὀλυμπίᾳ τῇ ἑκατόμβῃ παρεῖναι καὶ ἐν Βαβυλῶνι τοὺς πολεμοῦντας ἐπισκοπεῖν καὶ ἐν Γέταις χαλαζᾶν καὶ ἐν Αἰθίοψιν εὐωχεῖσθαι. Τὸ δὲ μεμψίμοιρον οὐδὲ οὕτω διαφυγεῖν ῥᾴδιον, ἀλλὰ πολλάκις οἱ μὲν ἄλλοι θεοί τε καὶ ἀνέρες ἱπποχορυσταὶ εὕδουσι παννύχιοι, τὸν Δία δὲ ἐμὲ οὐκ ἔχει νήδυμος ὕπνος. Ἦν γάρ τι καὶ μικρὸν ἐπινυστάξωμεν, ἀληθὴς εὐθὺς ὁ Ἐπίκουρος, ἀπρονοήτους ἡμᾶς ἀποφαίνων τῶν ἐπὶ γῆς πραγμάτων, καὶ ὁ κίνδυνος οὐκ εὐκαταφρόνητος, εἰ ταῦτα οἱ ἄνθρωποι πιστεύσουσιν αὐτῷ, ἀλλ' ἀστεφάνωτοι μὲν ἡμῖν οἱ ναοὶ ἔσονται, ἀκνίσωτοι δὲ αἱ ἀγυιαί, ἄσπονδοι δὲ οἱ κρατῆρες, ψυχροὶ δὲ οἱ βωμοί, καὶ ὅλως ἄθυτα καὶ ἀκαλλιέρητα καὶ ὁ λιμὸς πολύς. Τοιγαροῦν ὥσπερ οἱ κυβερνῆται ὑψηλὸς μόνος ἐπὶ τῆς πρύμνης ἕστηκα τὸ πηδάλιον ἔχων ἐν ταῖν χεροῖν, καὶ οἱ μὲν ἄλλοι ἐπιβάται μεθύοντες εἰ τύχοι ἐγκαθεύδουσιν, ἐγὼ δὲ ἄγρυπνος καὶ ἄσιτος ὑπὲρ ἁπάντων μερμηρίζω κατὰ φρένα καὶ κατὰ θυμὸν μόνῳ τῷ δεσπότης εἶναι δοκεῖν τετιμημένος.

3. Ὥστε ἡδέως ἂν ἐροίμην τοὺς φιλοσόφους, οἳ μόνους τοὺς θεοὺς εὐδαιμονίζουσιν, ὁπότε καὶ σχολάζειν ἡμᾶς τῷ νέκταρι καὶ τῇ ἀμβροσίᾳ νομίζουσι μυρία ὅσα ἔχοντας πράγματα· ἰδού γέ τοι ὑπ' ἀσχολίας τοσαύτας ἑώλους δίκας φυλάττομεν ἀποκειμένας ὑπ' εὐρῶτος ἤδη καὶ ἀραχνίων διεφθαρμένας, καὶ μάλιστα ὁπόσαι τὰς ἐπιστήμας καὶ τέχνας πρὸς ἀνθρώπους τινὰς ξυνέστησαν, πάνυ παλαιὰς ἐνίας αὐτῶν. Οἱ δὲ κεκράγασιν ἁπανταχόθεν καὶ ἀγανακτοῦσι καὶ τὴν δίκην ἐπιβοῶνται κἀμὲ τῆς βραδυτῆτος αἰτιῶνται ἀγνοοῦντες ὡς οὐχ ὀλιγωρίᾳ τὰς κρίσεις ὑπερημέρους ξυνέβη γενέσθαι, ἀλλ' ὑπὸ τῆς εὐδαιμονίας, ἣ ξυνεῖναι ἡμᾶς ὑπολαμβάνουσι· τοῦτο γὰρ τὴν ἀσχολίαν καλοῦσι.

4. ΕΡΜΗΣ. Καὶ αὐτός, ὦ Ζεῦ, πολλὰ τοιαῦτα ἐπὶ τῆς γῆς ἀκούσας δυσχεραινόντων λέγειν πρὸς σὲ οὐκ ἐτόλμων· Ἐπεὶ δὲ σὺ περὶ τούτων τοὺς λόγους ἐνέβαλες, καὶ δὴ λέγω. Πάντες ἀγανακτοῦσι καὶ σχετλιάζουσιν, ὦ πάτερ, καὶ ἐς τὸ φανερὸν μὲν οὐ τολμῶσι λέγειν, ὑποτονθορύζουσι δὲ συγκεκυφότες αἰτιώμενοι τὸν χρόνον, οὓς ἔδει πάλαι τὰ καθ' αὑτοὺς εἰδότας στέργειν ἕκαστον τοῖς δεδικασμένοις.

ΖΕΥΣ. Τί οὖν, ὦ Ἑρμῆ, δοκεῖ; προτίθεμεν αὐτοῖς ἀγορὰν δικῶν, ἢ θέλεις ἐς νέωτα παραγγελοῦμεν;

ΕΡΜ. Οὐ μὲν οὖν, ἀλλὰ ἤδη προθῶμεν.

ΖΕΥΣ. Οὕτω ποίει· σὺ μὲν κήρυττε καταπτάμενος ὅτι ἀγορὰ δικῶν ἔσται κατὰ τάδε, πάντας ὁπόσοι τὰς γραφὰς ἀπενηνόχασιν, ἥκειν τήμερον ἐς Ἄρειον πάγον, ἐκεῖ δὲ τὴν μὲν Δίκην ἀποκληροῦν σφίσι τὰ δικαστήρια κατὰ λόγον τῶν τιμημάτων ἐξ ἁπάντων Ἀθηναίων. Εἰ δέ τις ἄδικον οἰοιτο γεγενῆσθαι τὴν κρίσιν, ἐξεῖναι ἐφέντι ἐπ' ἐμὲ δικάζεσθαι ἐξ ὑπαρχῆς, ὡς εἰ μηδὲ τὸ παράπαν ἐδεδίκαστο. Σὺ δέ, ὦ θύγατερ, καillum in Nemea pastorem, fures, pejerantes, sacrificantes, si quis libavit, unde nidor et fumus ascendat, quis ægrotus aut navigans vocaverit : quodque omnium laboriosissimum est, eodem tempore adesse Olympiæ ad hecatombam, et Babylone ad inspiciendos belligerantes, et grandinem demittere apud Getas, et apud Æthiopas epulari. Sed ne sic quidem effugere querelas facile est : verum sæpe ceteri dique equitesque viri tota carpunt nocte soporem, me vero, Jovem, fugit alma quies. Si qua enim vel paullum conniveamus, ilicet verus est Epicurus, qui pronunciat rebus nos terrestribus nihil providere; nec contemnendum periculum, si homines ista illi credant : verum sine coronis tum erunt nobis ædes, nidor nullus per compita, sine libamentis crateres, frigida altaria : in universum nec mactabitur nec litabitur, et fames erit multa. Quæ quum ita sint, gubernatoris instar excelsus solus sto in puppi, gubernaculum tenens manibus : ac reliqui vectores ebrii forte sunt et dormiunt; at ego pervigil, cibi expers, pro omnibus « intra animum curas et per præcordia verso, » eo solo honoratus, quod dominus esse videor.

3. Itaque libenter interrogaverim philosophos, qui solos deos beatos prædicant, quando demum vacare nos nectari et ambrosiæ putent, qui infinita adeo habeamus negotia. Ecce enim præ otii inopia obsoletos tot causarum libellos servamus repositos, situ jam et aranearum telis corruptos, illos præsertim per quos scientiæ atque artes hominibus quibusdam litem intenderunt, antiquos sane quosdam illorum. At illi clamant undique, et indignantur, et judicium invocant, et in me tarditatis culpam conjiciunt, ignari non negligentia contigisse ut diu adeo differrentur judicia, sed præ illa felicitate, in qua vivere nos arbitrantur : sic enim vocant nostras occupationes.

4. MERCURIUS. Ipse quoque, Jupiter, multa hujusmodi in terra querentes quum audirem, dicere ad te non audebam. Quando vero tute sermonem de his injecisti, dico nimirum. Cuncti graviter ferunt, pater, et conqueruntur, et aperte quidem dicere non audent, submurmurant vero collatis capitibus, moras accusantes : quos oportebat olim, conditione sua cognita, rebus judicatis unumquemque acquiescere.

JUP. Quid ergo, Mercuri, videtur? proponimus illis forum judiciorum? an vis in proximum annum denunciemus?

MERC. Non sane : sed jam proponamus.

JUP. Ita fac : devola, præconio edic forum judiciorum, in hanc formulam : Quicumque detulere causas ut veniant omnes hodie in Areopagum : ibi vero Justitiam sorte assignaturam illis judices pro portione æstimationum ex omnibus Atheniensibus. Si quis vero injustum putet factum esse judicium, licere ipsi, ad me provocanti, judicari de novo, quasi plane judicatum non esset. Tu vero, filia,

θεζομένη παρὰ τὰς σεμνὰς θεὰς ἀποκλήρου τὰς δίκας καὶ ἐπισκόπει τοὺς δικάζοντας.

5. ΔΙΚΗ. Αὖθις ἐς τὴν γῆν; ἵν' ἐξελαυνομένη πρὸς αὐτῶν δραπετεύω πάλιν ἐκ τοῦ βίου τὴν Ἀδικίαν ἐπιγελῶσαν οὐ φέρουσα;

ΖΕΥΣ. Χρηστὰ ἐλπίζειν σε δεῖ· πάντως γὰρ ἤδη πεπείκασιν αὐτοὺς οἱ φιλόσοφοι σὲ τῆς Ἀδικίας προτιμᾶν, καὶ μάλιστα ὁ τοῦ Σωφρονίσκου τὸ δίκαιον ὑπερεπαινέσας καὶ ἀγαθῶν τὸ μέγιστον ἀποφήνας.

ΔΙΚ. Πάνυ γοῦν αὐτὸν ὃν φὴς ἐκεῖνον ὤνησαν οἱ περὶ ἐμοῦ λόγοι, ὃς παραδοθεὶς τοῖς ἕνδεκα καὶ ἐς τὸ δεσμωτήριον ἐμπεσὼν ἔπιεν ἄθλιος τοῦ κωνείου, μηδὲ τὸν ἀλεκτρυόνα τῷ Ἀσκληπιῷ ἀποδεδωκώς· παρὰ τοσοῦτον ὑπερέσχον οἱ κατήγοροι τἀναντία περὶ τῆς Ἀδικίας φιλοσοφοῦντες.

6. ΖΕΥΣ. Ξένα ἔτι τοῖς πολλοῖς τὰ τῆς φιλοσοφίας ἦν τότε, καὶ ὀλίγοι ἦσαν οἱ φιλοσοφοῦντες, ὥστε εἰκότως ἐς τὸν Ἄνυτον καὶ Μέλητον ἔρρεπε τὰ δικαστήρια· τὸ δὲ νῦν εἶναι οὐχ ὁρᾷς ὅσοι τρίβωνες καὶ βακτηρίαι καὶ πῆραι; ἁπανταχοῦ πώγων βαθὺς καὶ βιβλίον ἐν τῇ ἀριστερᾷ, καὶ πάντες ὑπὲρ σοῦ φιλοσοφοῦσι, μεστοὶ δὲ οἱ περίπατοι κατὰ ἴλας καὶ φάλαγγας ἀλλήλοις ἀπαντώντων, καὶ οὐδεὶς ὅστις οὐ τρόφιμος τῆς ἀρετῆς εἶναι δοκεῖν βούλεται· πολλοὶ γοῦν τὰς τέχνας ἀφέντες ἃς εἶχον τέως, ἐπὶ τὴν πήραν ἅξαντες καὶ τὸ τριβώνιον, καὶ τὸ σῶμα πρὸς τὸν ἥλιον ἐς τὸ Αἰθιοπικὸν ἐπιχράναντες αὐτοσχέδιοι φιλόσοφοι ἐκ σκυτοτόμων ἢ τεκτόνων περινοστοῦσι σὲ καὶ τὴν σὴν ἀρετὴν ἐπαινοῦντες. Ὥστε κατὰ τὴν παροιμίαν, θᾶττον ἄν τις ἐν πλοίῳ πεσὼν διαμάρτοι ξύλου ἢ ἔνθα ἂν ἀπίδῃ ὁ ὀφθαλμός, ἀπορήσει φιλοσόφου.

7. ΔΙΚ. Καὶ μὴν οὗτοί με, ὦ Ζεῦ, δεδίττονται πρὸς ἀλλήλους ἐρίζοντες καὶ ἀγνωμονοῦντες ἐν αὐτοῖς οἷς περὶ ἐμοῦ διεξέρχονται. Φασὶ δὲ καὶ τοὺς πλείστους αὐτῶν ἐν μὲν τοῖς λόγοις προσποιεῖσθαί με, ἐπὶ δὲ τῶν πραγμάτων μηδὲ τὸ παράπαν ἐς τὴν οἰκίαν παραδέχεσθαι, ἀλλὰ δήλους εἶναι ἀποκλείοντας, ἢν ἀφίκωμαί ποτε αὐτοῖς ἐπὶ τὰς θύρας· πάλαι γὰρ τὴν Ἀδικίαν προεπεξενῶσθαι αὐτοῖς.

ΖΕΥΣ. Οὐ πάντες, ὦ θύγατερ, μοχθηροί εἰσιν· ἱκανὸν δὲ, κἂν ἑνίοις τισὶ χρηστοῖς ἐντύχῃς. Ἀλλ' ἄπιτε ἤδη, ὡς κἂν ὀλίγαι τήμερον ἐκδικασθῶσιν.

8. ΕΡΜ. Προΐωμεν, ὦ Δίκη, ταύτην εὐθὺ τοῦ Σουνίου μικρὸν ὑπὸ τὸν Ὑμηττὸν ἐπὶ τὰ λαιὰ τῆς Πάρνηθος, ἔνθα αἱ δύο ἐκεῖναι ἄκραι· σὺ γὰρ ἔοικας ἐκλελῆσθαι πάλαι τὴν ὁδόν. Ἀλλὰ τί δακρύεις καὶ σχετλιάζεις; μὴ δέδιθι· οὐκέθ' ὅμοια τὰ ἐν τῷ βίῳ· τεθνᾶσιν ἐκεῖνοι πάντες οἱ Σκείρωνες καὶ Πιτυοκάμπται καὶ Βουσίριδες καὶ Φαλάριδες, οὓς ἐδεδίεις τότε, νυνὶ δὲ Σοφία καὶ Ἀκαδήμεια καὶ Στοὰ κατέχουσι πάντα καὶ πανταχοῦ σε ζητοῦσι καὶ περὶ σοῦ διαλέγονται κεχηνότες εἴ ποθεν ἐς αὐτοὺς καταπτοῖο πάλιν.

ΔΙΚ. Σὺ γοῦν μοι, ὦ Ἑρμῆ, τἀληθὲς ἂν εἴποις μόνος, ἅτε ξυνὼν αὐτοῖς τὰ πολλὰ καὶ ξυνδιατρίβων ἕν

assidens ad Severas Deas, sortire dicas, et judicantibus attende.

5. JUSTITIA. Rursus in terram? ut exacta ab illis denuo fugiam e vita, si ferre deridentem Injustitiam non potero?

JUP. Bona sperare fas est : omnino enim jam persuaserunt illis philosophi, ut Injustitiæ te præferant, Sophronisci præsertim filius, qui summis justum laudibus extulit et bonorum maximum esse ostendit.

JUST. Valde nimirum illi ipsi quem dicis sermones de me habiti profuere, qui undecimviris traditus et conjectus in carcerem, de cicuta bibit infelix, quum nec gallum reddidisset Æsculapio : in tantum superabant accusatores, contraria philosophantes de Injustitia.

6. JUP. Peregina adhuc vulgo ista tempestate erat philosophia, ac pauci erant philosophantes : itaque non mirum erat in Anytum et Melitum inclinare judicia. Ut vero nunc res sunt, non vides quot pallia, et baculi, et peræ? ubique barba prolixa, et in sinistra liber, et pro te philosophantur omnes : plenæ sunt ambulationes turmatim et per phalanges sibi invicem occurrentium, et nemo est quin virtutis videri alumnus velit. Multi enim relictis quæ ad eum diem habuerant opificiis, ad peram ruentes et pallium, corpusque ad solem Æthiopum colore inficientes, extemporales philosophi ex cerdonibus aut fabris circumeunt, te tuamque laudantes virtutem. Itaque, quod est in proverbio, facilius aliquis in navigio cadens lignum non contingat, quam oculus quocumque respiciens non incidat in philosophum.

7. JUST. Quin illi ipsi metum mihi incutiunt, Jupiter, qui contendant inter se, improbi in iis ipsis quæ de me disputant. Aiunt vero etiam plerosque illorum in disputationibus suis quidem me affectare, in rebus autem gerendis vel in domum suam non admittere, sed sine dubio exclusuros, si quando ad fores illorum veniam : dudum enim Injustitiam hospitio ab illis receptam.

JUP. Non omnes, filia, pravi sunt : satis vero fuerit, si vel in paucos aliquot bonos incidas. Verum abite jam, ut vel paucæ hodie causæ judicentur.

8. MERC. Abeamus, Justitia, recta Sunium versus, paullum sub Hymetto ad sinistra Parnethis, ubi duo illa cacumina : videris enim dudum oblita esse viæ. Sed quid lacrimaris et lamentaris? noli metuere; non jam similis est sæculi conditio : mortui sunt illi Scirones, et Pityocamptæ, et Busirides, et Phalarides, quos tum metuebas; jam vero Sapientia, et Academia, et Porticus tenent omnia; et undique te quærunt, et de te disputant, inhiantes sicunde ad illos rursus devoles.

JUST. Tu enimvero, Mercuri, solus verum mihi dixeris, quippe qui frequenter cum illis sis atque verseris in

τε γυμνασίοις καὶ ἐν τῇ ἀγορᾷ — καὶ ἀγοραῖος γὰρ εἶ καὶ ἐν ταῖς ἐκκλησίαις κηρύττεις — ὁποῖοι γεγέννηνται καὶ εἰ δυνατή μοι παρ' αὐτοῖς ἡ μονή.

ΕΡΜ. Νὴ Δί', ἀδικοίην γὰρ ἂν πρὸς ἀδελφήν σε οὖσαν μὴ λέγων· οὐκ ὀλίγα γὰρ πρὸς τῆς φιλοσοφίας ὠφέληνται οἱ πολλοὶ αὐτῶν· καὶ γὰρ εἰ μηδὲν ἄλλο, αἰδοῖ γοῦν τοῦ σχήματος μετριώτερα διαμαρτάνουσι. Πλὴν ἀλλὰ καὶ μοχθηροῖς τισιν ἐντεύξῃ αὐτῶν — χρὴ γάρ, οἶμαι, τἀληθῆ λέγειν — ἐνίοις δὲ ἡμισόφοις καὶ ἡμιφαύλοις· ἔτι γὰρ αὐτοὺς μετέβαπτεν ἡ φιλοσοφία παραλαβοῦσα. Ὁπόσοι μὲν οὖν ἐς κόρον ἔπιον τῆς βαφῆς, χρηστοὶ ἀκριβῶς ἀπετελέσθησαν ἀμιγεῖς ἑτέρων χρωμάτων, καὶ πρός γε τὴν σὴν ὑποδοχὴν οὗτοι ἑτοιμότατοι· ὅσοι δὲ ὑπὸ τοῦ πάλαι ῥύπου μὴ ἐς βάθος παρεδέξαντο ὁπόσον δευσοποιὸν τοῦ φαρμάκου, τῶν μὲν ἄλλων ἀμείνους, ἀτελεῖς δὲ ὅμως καὶ μιξόλευκοι καὶ κατεστιγμένοι καὶ παρδαλωτοὶ τὴν χρόαν. Εἰσὶ δ' οἳ καὶ μόνον ψαύσαντες ἔκτοσθεν τοῦ λέβητος ἄκρῳ τῷ δακτύλῳ καὶ ἐπιχρισάμενοι τῆς ἀσβόλου ἱκανῶς οἴονται καὶ οὗτοι μεταβεβάφθαι. Σοὶ μέντοι δῆλον ὅτι μετὰ τῶν ἀρίστων ἡ διατριβὴ ἔσται.

9. Ἀλλὰ μεταξὺ λόγων ἤδη πλησιάζομεν τῇ Ἀττικῇ· ὥστε τὸ μὲν Σούνιον ἐν δεξιᾷ καταλίπωμεν, ἐς δὲ τὴν ἀκρόπολιν ἀπονεύσωμεν ἤδη. Καὶ ἐπείπερ καταβεβήκαμεν, αὐτὴ μὲν ἐνταῦθά που ἐπὶ τοῦ πάγου κάθησο ἐς τὴν πύκνα ὁρῶσα καὶ περιμένουσα ἔστ' ἂν κηρύξω τὰ παρὰ τοῦ Διός, ἐγὼ δ' ἐς τὴν ἀκρόπολιν ἀναβὰς ῥᾷον οὕτως ἅπαντας ἐκ τοῦ ἐπηκόου προσκαλέσομαι.

ΔΙΚ. Μὴ πρότερον ἀπέλθῃς, ὦ Ἑρμῆ, πρὶν εἰπεῖν ὅστις οὗτος ὁ προσιών ἐστιν, ὁ κερασφόρος, ὁ τὴν σύριγγα, ὁ λάσιος ἐκ τοῖν σκελοῖν.

ΕΡΜ. Τί φής; ἀγνοεῖς τὸν Πᾶνα, τῶν Διονύσου θεραπόντων τὸν βακχικώτατον; Οὗτος ᾤκει μὲν τὸ πρόσθεν ἀνὰ τὸ Παρθένιον, ὑπὸ δὲ τὸν Δάτιδος ἐπίπλουν καὶ τὴν Μαραθώναδε τῶν βαρβάρων ἀπόβασιν ἦκεν ἄκλητος τοῖς Ἀθηναίοις ξύμμαχος, καὶ τὸ ἀπ' ἐκείνου τὸ ὑπὸ τῇ ἀκροπόλει σπήλαιον τοῦτο ἀπολαβόμενος οἰκεῖ μικρὸν ὑπὲρ τοῦ Πελασγικοῦ ἐς τὸ μετοίκιον ξυντελῶν, καὶ νῦν ὡς τὸ εἰκὸς ἰδὼν ἡμᾶς ἐκ γειτόνων προσέρχεται δεξιωσόμενος.

10. ΠΑΝ. Χαίρετε, ὦ Ἑρμῆ καὶ Δίκη.

ΔΙΚ. Καὶ σύ γε, ὦ Πὰν μουσικώτατε καὶ πηδητικώτατε σατύρων ἁπάντων, Ἀθήνησι δὲ καὶ πολεμικώτατε.

ΠΑΝ. Τίς δαὶ ὑμᾶς, ὦ Ἑρμῆ, χρεία δεῦρ' ἤγαγεν;

ΕΡΜ. Αὕτη σοι διηγήσεται τὰ πάντα· ἐγὼ δ' εἶμι ἐπὶ τὴν ἀκρόπολιν καὶ τὸ κήρυγμα.

ΔΙΚ. Ὁ Ζεὺς, ὦ Πάν, κατέπεμψέ με ἀποκληρώσουσαν τὰς δίκας. Σοὶ δὲ πῶς τὰ ἐν Ἀθήναις ἔχει;

ΠΑΝ. Τὸ μὲν ὅλον οὐ κατ' ἀξίαν τιμῶσί με, ἀλλὰ πολὺ καταδεέστερον τῆς ἐλπίδος, καὶ ταῦτα τηλικοῦτον ἀπωσάμενος κυδοιμὸν τὸν ἐκ τῶν βαρβάρων. Ὅμως δὲ δὶς ἢ τρὶς τοῦ ἔτους ἀνιόντες ἐπιλεξάμενοι τράγον

gymnasiis et in foro (nam forensis es et in concionibus præconium facis), quales facti sint, et an fieri possit ut apud illos ego maneam.

MERC. Sane potest : injustus enim sim, si tibi, sorori, non dicam : non parvum enim e philosophia fructum vulgus illorum cepit. Etenim, si nihil aliud, reverentia certe habitus moderatius aliquanto peccant. Verum enim vero etiam in pravos illorum quosdam incides (nam verum, puto, dicendum est); in quosdam vero semisapientes et semipravos : etiamnum enim illos susceptos novo colore inficiebat philosophia. Quotquot igitur ad saturitatem biberunt illius tincturæ, plane boni facti sunt, colore nullo admixto alio : atque ad te recipiendam hi sunt paratissimi. Qui vero præ antiquis sordibus non satis profunde receperunt vim illam medicamenti penetrabilem, hi meliores quidem reliquis, imperfecti tamen, et ex albo varii, et punctis pardalium instar maculosi. Sunt vero qui, ubi extra solummodo summo digito ahenum contigere, fuligine inuncta, satis ipsi quoque mutasse colorem sibi videntur. Apertum vero, futuram tibi consuetudinem esse cum optimis.

9. Sed dum loquimur, jam appropinquamus Atticæ. Itaque relicto a dextris Sunio ad arcem jam deflectamus : et quandoquidem modo descendimus, ipsa quidem hic in colle consideas concionem prospiciens, exspectansque dum mandata a Jove edixero : ego vero conscensa arce sic facilius omnes de loco ad exaudiendum apto advocavero.

JUST. Noli prius abire, Mercuri, quam dixeris quis sit ille ad nos viam affectans, cornutus, cum fistula, hirsutis cruribus.

MERC. Quid ais? Pana ignoras, illum Bacchi famulorum maxime bacchicum? Hic olim quidem ad Parthenium habitabat, sub appulsum vero Datidis et escensionem barbarorum in Marathona non vocatus auxilio venit Atheniensibus, et ab eo inde tempore istam sub arce speluncam nactus, ibi habitat prope Pelasgicum, censeturque inter inquilinos, et nunc, ut probabile est, ex propinquo nos visos salutatum accedit.

10. PAN. Salvete, Mercuri et Justitia.

JUST. Tu quoque salve, Pan canendi et saltandi inter satyros omnes peritissime, Athenis vero etiam pugnacissime!

PAN. Quodnam vos, Mercuri, negotium huc deduxit?

MERC. Hæc tibi narrabit omnia : ego ad arcem eo et præconium.

JUST. Demisit me, Pan, ad sortienda judicia Jupiter. Tibi vero quomodo Athenis vivitur?

PAN. In universum non pro dignitate me colunt, sed multo quam speraveram tenuius, idque quum tantum represserim tumultum ex barbaris. Tamen bis aut ter anno ascendentes, delectum caprum non castratum mihi sacri-

ἐνορχιν θύουσί μοι πολλῆς τῆς κινάβρας ἀπόζοντα, εἶτα εὐωχοῦνται τὰ κρέα, ποιησάμενοί με τῆς εὐφροσύνης μάρτυρα καὶ ψιλῷ τιμήσαντες τῷ κρότῳ· ἀλλ' ἔχει τινά μοι ψυχαγωγίαν ὁ γέλως αὐτῶν καὶ ἡ παιδιά.

11. ΔΙΚ. Τὰ δ' ἄλλα, ὦ Πάν, ἀμείνους πρὸς ἀρετὴν ἐγένοντο ὑπὸ τῶν φιλοσόφων;

ΠΑΝ. Τίνας λέγεις τοὺς φιλοσόφους; ἆρ' ἐκείνους τοὺς κατηφεῖς, τοὺς ξυνάμα πολλοὺς, τοὺς τὸ γένειον ὁμοίους ἐμοί, τοὺς λάλους;

ΔΙΚ. Καὶ μάλα.

ΠΑΝ. Οὐκ οἶδα ὅλως ὅ τι καὶ λέγουσιν οὐδὲ ξυνίημι τὴν σοφίαν αὐτῶν· ὀρειος γὰρ ἐγὼ καὶ τὰ κομψὰ ταῦτα ῥημάτια καὶ ἀστικὰ οὐ μεμάθηκα, ὦ Δίκη· πόθεν γὰρ ἐν Ἀρκαδίᾳ σοφιστὴς ἢ φιλόσοφος; μέχρι τοῦ πλαγίου αὐλοῦ καὶ τῆς σύριγγος ἐγὼ σοφὸς, τὰ δ' ἄλλα αἰπόλος καὶ χορευτὴς καὶ πολεμιστὴς, ἢν δέῃ. Πλὴν ἀλλὰ ἀκούω γε αὐτῶν ἀεὶ κεκραγότων καὶ ἀρετήν τινα καὶ ἰδέας καὶ φύσιν καὶ ἀσώματα διεξιόντων, ἄγνωστα ἐμοὶ καὶ ξένα ὀνόματα. Καὶ τὰ πρῶτα μὲν εἰρηνικῶς ἐνάρχονται τῶν πρὸς ἀλλήλους λόγων, προϊούσης δὲ τῆς ξυνουσίας ἐπιτείνουσι τὸ φθέγμα μέχρι πρὸς τὸ ὄρθιον, ὥστε ὑπερδιατεινομένων καὶ ἅμα λέγειν ἐθελόντων τό τε πρόσωπον ἐρυθριᾷ καὶ ὁ τράχηλος οἰδεῖ καὶ αἱ φλέβες ἐξανίστανται ὥσπερ τῶν αὐλητῶν, ὁπόταν ἐς στενὸν τὸν αὐλὸν ἐμπνεῖν βιάζωνται. Διαταράξαντες γοῦν τοὺς λόγους καὶ τὸ ἐξ ἀρχῆς ἐπισκοπούμενον ξυγχέαντες ἀπέρχονται λοιδορησάμενοι ἀλλήλοις οἱ πολλοὶ τὸν ἱδρῶτα ἐκ τοῦ μετώπου ἀγκύλῳ τῷ δακτύλῳ ἀποξυόμενοι, καὶ οὗτος κρατεῖν ἔδοξεν ὃς ἂν μεγαλοφωνότερος αὐτῶν ᾖ καὶ θρασύτερος καὶ διαλυομένων ἀπέλθῃ ὕστερος. Πλὴν ἀλλ' ὅ γε λεὼς ὁ πολὺς τεθήπασιν αὐτοὺς, καὶ μάλιστα ὁπόσους μηδὲν τῶν ἀναγκαιοτέρων ἀσχολεῖ, καὶ παρεστᾶσι πρὸς τὸ θράσος καὶ τὴν βοὴν κεκηλημένοι. Ἐμοὶ μὲν οὖν ἀλαζόνες τινὲς ἐδόκουν ἀπὸ τούτων καὶ ἠνιώμην ἐπὶ τῇ τοῦ πώγωνος ὁμοιότητι. Εἰ δὲ καὶ δημωφελές τι ἐνῆν τῇ βοῇ αὐτῶν καί τι ἀγαθὸν ἐκ τῶν ῥημάτων ἐκείνων ἀνεφύετο αὐτοῖς, οὐκ ἂν εἰπεῖν ἔχοιμι. Πλὴν ἀλλ' εἴ γε δεῖ μηδὲν ὑποστειλόμενον τἀληθὲς διηγήσασθαι — οἶκῳ γὰρ ἐπὶ σκοπῆς, ὡς ὁρᾷς — πολλοὺς αὐτῶν ἤδη πολλάκις ἐθεασάμην περὶ δεῖλην ὀψίαν....

12. ΔΙΚ. Ἐπίσχες, ὦ Πάν. Οὐχ ὁ Ἑρμῆς σοι κηρύττειν ἔδοξεν;

ΠΑΝ. Πάνυ μὲν οὖν.

ΕΡΜ. Ἀκούετε λεὼ, ἀγορὰν δικῶν ἀγαθῇ τύχῃ καταστησώμεθα τήμερον Ἐλαφηβολιῶνος ἑβδόμῃ ἱσταμένου. Ὁπόσοι γραφὰς ἀπήνεγκαν, ἥκειν ἐς Ἄρειον πάγον, ἔνθα ἡ Δίκη ἀποκληρώσει τὰ δικαστήρια καὶ αὐτὴ παρέσται τοῖς δικάζουσιν, οἱ δικασταὶ ἐξ ἁπάντων Ἀθηναίων, ὁ μισθὸς τριώβολον ἑκάστης δίκης, ἀριθμὸς τῶν δικαστῶν κατὰ λόγον τοῦ ἐγκλήματος. Ὁπόσοι δὲ ἀποθέμενοι γραφὴν, πρὶν ἐσελθεῖν, ἀπέθανον, καὶ τούτους ὁ Αἰακὸς ἀναπεμψάτω. Ἤν δέ τις ἄδικα δε-

ficant, hircosissime olentem; tum carnes epulantur, testem me advocantes lætitiæ, et tenui honorantes plausu: verumtamen affert quandam mihi oblectationem risus illorum et jocus.

11. JUST. Ceterum vero, Pan, an meliores ad virtutem facti sunt a philosophis?

PAN. Quosnam mihi narras philosophos? numquid illos demisso vultu, confertos, illos mento tenus mihi similes, loquaces illos?

JUST. Sane.

PAN. Planissime nescio quid sibi velint, nec sapientiam illorum intelligo: monticola enim ego, et comtula ista dicta atque urbana non didici, Justitia: unde enim in Arcadia sophista aut philosophus? ad obliquam arundinem usque et fistulam ego sapiens; ceterum caprarum pastor, et saltator, et, si opus sit, pugnator. Verum audio tamen illos semper clamantes, et virtutem quandam, et species, et naturam, et expertia corporis proferentes, ignorabilia mihi et peregrina nomina. Ac primo quidem pacifice occipiunt suos inter se sermones; procedente vero disputatione, ad orthium usque modum vocem intendunt: adeo ut a nimia contentione atque simul dicendi studio et vultus rubescat, et intumescat cervix, et venæ surgant magis quam tibicinum, quando in angusta inflanda tibia vim sibi adhibent. Perturbatis igitur invicem sermonibus, et confuso quæstionis statu abeunt plerique conviciantes sibi invicem, sudorem de fronte digito incurvato detergentes: et ille vicisse videtur, qui vocalior est audaciorque et discedentibus abit ultimus. Interim vulgus illos stupet, maxime si quos nihil magis necessarium occupatos tenet, atque astant audacia illorum atque clamoribus defixi ac deliniti. Mihi vero his indiciis vani homines esse videbantur, ægreque ferebam illam barbæ similitudinem. Utrum autem aliquid publice utile insit in illo eorum clamore, et boni quid ex verbis istis exoriatur ipsis, non equidem dixerim. Verum si absque dissimulatione rem ipsam dicere fas est (habito enim hic, ut vides, in specula), multos illorum sæpe jam vidi, sero vespere....

12. JUST. Exspecta, Pan. Nonne Mercurius concionari tibi visus est?

PAN. Nempe.

MERC. Audito, populi. Forum judiciorum, quod felix faustumque sit, agamus hodie, Elaphebolionis ineuntis septimo. Quicumque causas detulerunt, veniant in Areopagum: ibi Justitia sortietur dicas et ipsa aderit judicantibus. Judices ex omnibus Atheniensibus: merces uniuscujusque causæ triobolum: numerus judicum pro portione criminis. Quicumque vero dato libello ante, quam in judicium venirent, mortui sunt, eos quoque remittito Æacus

δικάσθαι οἴηται, ἐφέσιμον ἀγωνιεῖται τὴν δίκην· ἡ δὲ ἔφεσις ἐπὶ τὸν Δία.

ΠΑΝ. Βαβαὶ τοῦ θορύβου, ἠλίκον, ὦ Δίκη, ἀνεβόησαν· ὡς δὲ καὶ σπουδῇ ξυνθέουσιν ἕλκοντες ἀλλήλους πρὸς τὸ ἄναντες εὐθὺ τοῦ Ἀρείου πάγου. Καὶ ὁ Ἑρμῆς δὲ ἤδη πάρεστιν. Ὥστε ὑμεῖς μὲν ἀμφὶ τὰς δίκας ἔχετε καὶ ἀποκληροῦτε καὶ διακρίνετε ὥσπερ ὑμῖν νόμος, ἐγὼ δὲ ἐπὶ τὸ σπήλαιον ἀπελθὼν συρίξομαί τι μέλος τῶν ἐρωτικῶν, ᾧ τὴν Ἠχὼ εἴωθα ἐπικερτομεῖν· ἀκροάσεων δὲ καὶ λόγων τῶν δικανικῶν ἅλις ἔχει μοι ὁσημέραι τῶν ἐν Ἀρείῳ πάγῳ δικαζομένων ἀκούοντι.

13. ΕΡΜ. Ἄγε, ὦ Δίκη, προσκαλῶμεν.

ΔΙΚ. Εὖ λέγεις. Ἀθρόοι γοῦν, ὡς ὁρᾷς, ξυνθέουσι θορυβοῦντες ὥσπερ οἱ σφῆκες περιβομβοῦντες τὴν ἄκραν.

ΑΘΗΝΑΙΟΣ. Εἴληφά σε, ὦ κατάρατε.

ΑΛΛΟΣ. Συκοφαντεῖς.

ΑΛΛ. Δώσεις ποτὲ ἤδη τὴν δίκην.

ΑΛΛ. Ἐξελέγξω σε δεινὰ εἰργασμένον.

ΑΛΛ. Ἐμοὶ πρώτῳ ἀποκλήρωσον.

ΑΛΛ. Ἕπου, μιαρέ, πρὸς τὸ δικαστήριον.

ΑΛΛ. Μὴ ἄγχε με.

ΔΙΚ. Οἶσθα δ δράσομεν, ὦ Ἑρμῆ; τὰς μὲν ἄλλας δίκας ἐς τὴν αὔριον ὑπερβαλώμεθα, τήμερον δὲ κληρῶμεν τὰς τοιαύτας, ὁπόσαι τέχναις ἢ βίοις ἢ ἐπιστήμαις πρὸς ἄνδρας εἰσὶν ἐπηγγελμέναι. Καί μοι ταύτας ἀνάδος τῶν γραφῶν.

ΕΡΜ. Μέθη κατὰ τῆς Ἀκαδημείας ὑπὲρ Πολέμωνος ἀνδραποδισμοῦ.

ΔΙΚ. Ἑπτὰ κλήρωσον.

ΕΡΜ. Ἡ Στοὰ κατὰ τῆς Ἡδονῆς ἀδικίας, ὅτι τὸν ἐραστὴν αὐτῆς Διονύσιον ἀπεβουκόλησε.

ΔΙΚ. Πέντε ἱκανοί.

ΕΡΜ. Περὶ Ἀριστίππου Τρυφὴ πρὸς Ἀρετήν.

ΔΙΚ. Πέντε καὶ τούτοις δικασάτωσαν.

ΕΡΜ. Ἀργυραμοιβικὴ δρασμοῦ Διογένει.

ΔΙΚ. Τρεῖς ἀποκλήρου μόνους.

ΕΡΜ. Γραφικὴ κατὰ Πύρρωνος λειποταξίου.

ΔΙΚ. Ἐννέα κρινάτωσαν.

14. ΕΡΜ. Βούλει καὶ ταύτας ἀποκληρῶμεν, ὦ Δίκη, τὰς δύο, τὰς πρώην ἀπενηνεγμένας κατὰ τοῦ ῥήτορος;

ΔΙΚ. Τὰς παλαιὰς πρότερον διανύσωμεν· αὗται δὲ ἐς ὕστερον δεδικάσονται.

ΕΡΜ. Καὶ μὴν ὅμοιαί γε καὶ αὗται καὶ τὸ ἔγκλημα, εἰ καὶ μὴ παλαιόν, ἀλλὰ παραπλήσιον τοῖς προαποκεκληρωμένοις· ὥστε ἐν τούτοις δικασθῆναι ἄξιον.

ΔΙΚ. Ἔοικας, ὦ Ἑρμῆ, χαριζομένῳ τὴν δέησιν· ἀποκληρῶμεν δὲ ὅμως, εἰ δοκεῖ, πλὴν ἀλλὰ ταύτας μόνας· ἱκαναὶ γὰρ αἱ ἀποκεκληρωμέναι. Δὸς τὰς γραφάς.

ΕΡΜ. Ῥητορικὴ κακώσεως τῷ Σύρῳ· Διάλογος τῷ αὐτῷ ὕβρεως.

Si quis injuste in sua causa judicatum esse putet, provocatione certabit : est autem ad Jovem provocatio.

PAN. Vah tumultus! quantos tollunt, Justitia, clamores! quam studiose vero concurrunt, trahentes alii alios arduo ascensu in collem Martium! Jam autem adest etiam Mercurius. Itaque vos quidem occupaminor in judiciis, et sortiminor, et judicatote, ut vobis legitimum est : ego vero ubi discessero in speluncam, fistula canam cantilenam quandam amatoriam, qua cavillari soleo Echonem; auditionum vero et judicialium orationum satias mihi est, qui quotidie in Areopago litigantes audiam.

13. MERC. Age, Justitia, advocemus.

JUST. Bene mones. Densi enim, ut vides, cum tumultu accedunt, vesparumque instar bombum circa arcem faciunt.

ATHENIENSIS. Teneo te, sceleste.

ALIUS. Calumniator es.

ALIUS. Dabis tandem aliquando pœnas.

ALIUS. Convincam te fecisse horribilia.

ALIUS. Mihi prius sortire.

ALIUS. Sequere in jus, impure.

ALIUS. Noli mihi collum obtorquere.

JUST. Scin' quid agamus, Mercuri? causas alias differamus in crastinum : hodie vero sortiamur illas, quæ ab artibus vel vitæ generibus vel scientiis contra viros delatæ sunt. Et cedo hujus mihi generis libellos.

MERC. Ebrietas contra Academiam pro Polemone, plagii.

JUST. Sortire septem judices.

MERC. Porticus contra Voluptatem, injuriarum, quod suum amatorem Dionysium abduxit.

JUST. Quinque sufficiunt.

MERC. De Aristippo Voluptas contra Virtutem.

JUST. Quinque et his litem judicanto.

MERC. Mensaria fugæ crimen intendit Diogeni.

JUST. Tres solos sortire.

MERC. Pictoria contra Pyrrhonem deserti ordinis.

JUST. Novem judicent.

14. MERC. Visne illas quoque sortiamur, Justitia, duas nuperas, delatas illas contra rhetorem?

JUST. Antiquas prius dirimamus : hæ posterius judicabuntur.

MERC. Verum similes illæ quoque, et crimen, licet novum, tamen finitimum his quæ modo sortiti sumus. Itaque inter hæc judicari æquum est.

JUST. Videris, Mercuri, gratificari velle alicujus preces. Sortiamur tamen, si videtur, verum solas hasce; satis multæ enim sunt illæ quas sumus sortiti. Cedo libellos.

MERC. Rhetorica malæ tractationis dicam scribit Syro; Dialogus eidem, contumeliæ.

ΔΙΚ. Τίς δαὶ οὗτός ἐστιν; οὐ γὰρ ἐγγέγραπται τοὔνομα.

ΕΡΜ. Οὕτως ἀποκλήρου, τῷ ῥήτορι τῷ Σύρῳ· κωλύει γὰρ οὐδὲν καὶ ἄνευ τοῦ ὀνόματος.

ΔΙΚ. Ἰδού, καὶ τὰς ὑπερορίους ἤδη Ἀθήνησιν ἐν Ἀρείῳ πάγῳ ἀποκληρώσομεν, ἃς ὑπὲρ τὸν Εὐφράτην καλῶς εἶχε δεδικάσθαι. Πλὴν ἀλλὰ κλήρου ἕνδεκα τοὺς αὐτοὺς ἑκατέρα τῶν δικῶν.

ΕΡΜ. Εὖ γε, ὦ Δίκη, φείδῃ μὴ πολὺ ἀναλίσκεσθαι τὸ δικαστικόν.

15. ΔΙΚ. Οἱ πρῶτοι καθιζέτωσαν τῇ Ἀκαδημείᾳ καὶ τῇ Μέθῃ· σὺ δὲ τὸ ὕδωρ ἔγχει. Προτέρα δὲ σὺ λέγε ἡ Μέθη. Τί σιγᾷ καὶ διανεύει; Μάθε, ὦ Ἑρμῆ, προσελθών.

ΕΡΜ. Οὐ δύναμαι, φησὶ, τὸν ἀγῶνα εἰπεῖν ὑπὸ τοῦ ἀκράτου τὴν γλῶτταν πεπεδημένη, μὴ καὶ γέλωτα ὄφλω ἐν τῷ δικαστηρίῳ. Μόγις δὲ καὶ ἕστηκεν, ὡς ὁρᾷς.

ΔΙΚ. Οὐκοῦν συνήγορον ἀναβιβασάσθω τῶν δεινῶν τούτων τινά· πολλοὶ γὰρ οἱ κἂν ἐπὶ τριωβόλῳ διαρραγῆναι ἕτοιμοι.

ΕΡΜ. Ἀλλ' οὐδὲ εἷς ἐθελήσει ἕν γε τῷ φανερῷ συναγορεῦσαι Μέθῃ· πλὴν εὐγνώμονά γε ταῦτα ἔοικεν ἀξιοῦν.

ΔΙΚ. Τὰ ποῖα;

ΕΡΜ. Ἡ Ἀκαδήμεια πρὸς ἀμφοτέρους ἀεὶ παρεσκεύασται τοὺς λόγους καὶ τοῦτ' ἀσκεῖ τἀναντία καλῶς δύνασθαι λέγειν. Αὕτη τοίνυν, φησὶν, ὑπὲρ ἐμοῦ πρότερον εἰπάτω, εἶτα ὕστερον ὑπὲρ ἑαυτῆς ἐρεῖ.

ΔΙΚ. Καινὰ μὲν ταῦτα, εἰπὲ δὲ ὅμως, ὦ Ἀκαδήμεια, τὸν λόγον ἑκάτερον, ἐπεί σοι ῥᾴδιον.

16. ΑΚΑΔΗΜΕΙΑ. Ἀκούετε, ὦ ἄνδρες δικασταί, πρότερα τὰ ὑπὲρ τῆς Μέθης· ἐκείνης γὰρ τό γε νῦν ῥέον. Ἠδίκηται δὲ ἡ ἀθλία τὰ μέγιστα ὑπὸ τῆς Ἀκαδημείας ἐμοῦ, ἀνδράποδον ὃ μόνον εἶχεν εὔνουν καὶ πιστὸν αὐτῇ, μηδὲν αἰσχρὸν ὧν πράξειν οἰόμενον, ἀφαιρεθεῖσα τὸν Πολέμωνα ἐκεῖνον, ὃς μεθ' ἡμέραν ἐκώμαζε διὰ τῆς ἀγορᾶς μέσης ψαλτρίας ἔχων καὶ καταδόμενος ἕωθεν ἐς ἑσπέραν, μεθύων ἀεὶ καὶ κραιπαλῶν καὶ τὴν κεφαλὴν τοῖς στεφάνοις διηνθισμένος. Καὶ ταῦτα ὅτι ἐληθῆ, μάρτυρες Ἀθηναῖοι ἅπαντες, οἳ μηδὲ πώποτε νήφοντα Πολέμωνα εἶδον. Ἐπεὶ δὲ ὁ κακοδαίμων ἐπὶ τὰς τῆς Ἀκαδημείας θύρας ἐκώμασεν, ὥσπερ ἐπὶ πάντας εἰώθει, ἀνδραποδισαμένη αὐτὸν καὶ ἀπὸ τῶν χειρῶν τῆς Μέθης ἁρπάσασα μετὰ βίας καὶ πρὸς αὑτὴν ἀπαγαγοῦσα ὑδροποτεῖν τε κατηνάγκασε καὶ νήφειν μετεδίδαξε καὶ τοὺς στεφάνους περιέσπασε καὶ δέον πίνειν κατακείμενον, ῥημάτια σκολιὰ καὶ δύστηνα καί πολλῆς φροντίδος ἀνάμεστα ἐπαίδευσεν· ὥστε ἀντὶ τοῦ τέως ἐπανθοῦντος αὐτῷ ἐρυθήματος ὠχρὸς ὁ ἄθλιος καὶ ῥικνὸς τὸ σῶμα γεγένηται, καὶ τὰς ᾠδὰς ἁπάσας ἀπομαθὼν ἄσιτος ἐνίοτε καὶ διψαλέος ἐς μέσην ἑσπέραν κάθηται ληρῶν ὁποῖα πολλὰ ἡ Ἀκαδήμεια ἐγὼ ληρεῖν διδάσκω. Τὸ δὲ μέγιστον, ὅτι καὶ λοιδορεῖται τῇ

JUST. Quis hic est? neque enim ascriptum est nomen.

MERC. Sic modo sortire, Rhetori Syro; nihil enim impediet etiam sine nomine.

JUST. En jam transmontanas etiam Athenis in Areopago sortiemur dicas; quas trans Euphraten judicatas esse oportebat. Verum sortire undecim, eosdem utrique dicæ.

MERC. Bene tu quidem, Justitia; parca es, ne multum insumatur in mercedem judicum.

15. JUST. Primi sedeant Academiæ et Ebrietati. Tu vero aquam infunde. Prior tu dic, Ebrietas. Quid tacet et nutat? Accede, Mercuri, et audi.

MERC. Non possum, ait, causam meam agere mero compedita lingua, ne ludibrium debeam in judicio. Vix autem stat, ut vides.

JUST. Itaque patronum adhibeat, de acribus illis aliquem: multi enim sunt vel de triobolo dirumpere se parati.

MERC. Sed nemo unus temere volet causam Ebrietatis palam suscipere. Et tamen cum ratione istuc videtur petere.

JUST. Quidnam?

MERC. Academia semper in utramque partem dicere parata est, et hoc ipsum meditatur, contraria bene posse dicere. Hæc ergo, ait, pro me primum dicat, deinde posterius pro se verba faciet.

JUST. Nova quidem ista ratio. Sed dic tamen, Academia, utramque causam, quando tibi facile est

16. ACADEMIA. Audite, judices, primum quæ pro Ebrietate dicentur: illius enim nunc aqua fluit. Maxima vero infelix injuria a me, Academia, affecta est, mancipio, quod solum habebat amicum et fidele sibi, quod nihil eorum quæ ipsa agebat turpe putaret, privata, isto, dico, Polemone: qui interdiu comissabundus vagabatur per forum medium, cum psaltriis, canentibus aures præbens a mane inde ad vesperam, ebrius semper, vino gravis, floreis caput sertis redimitus. Hæc vera esse, testes Athenienses universi, qui non unquam sobrium viderunt Polemonem. Quum autem ad Academiæ portas comissatum venisset infelix, ut ad alios omnes solebat, illa plagio usa, vi ereptum e manibus Ebrietatis ad se deduxit, aquam bibere coegit, sobrium esse de novo instituit, coronas ei detraxit, et quum in lecto bibendum esset, tortuosas illum quasdam voculas miserasque et multæ sollicitudinis plenas edocuit. Itaque pro illo, qui tum in ipso efflorescebat, rubore pallidus miser ille et rugosus corpore factus est; et cantilenarum omnium oblitus, sine cibo nonnunquam et sitiens, ad mediam usque vesperam desidet inter nugas, quas multas ego, Academia, nugari doceo. Maximum vero illud, quod

Μέθη πρὸς ἐμοῦ ἐπαρθεὶς καὶ μυρία κακὰ διεξέρχεται περὶ αὐτῆς. Εἴρηται σχεδὸν τὰ ὑπὲρ Μέθης. Ἤδη καὶ ὑπὲρ ἐμαυτῆς ἐρῶ, καὶ τὸ ἀπὸ τούτου ἐμοὶ ῥευσάτω.

ΔΙΚ. Τί ἄρα πρὸς ταῦτα ἐρεῖ; Πλὴν ἀλλ' ἔγγει τὸ ἴσον ἐν τῷ μέρει.

17. ΑΚΑΔ. Οὕτωσὶ μὲν ἀκοῦσαι πάνυ εὔλογα, ὦ ἄνδρες δικασταὶ, ἡ ξυνήγορος εἴρηκεν ὑπὲρ τῆς Μέθης, εἰ δὲ κἀμοῦ μετ' εὐνοίας ἀκούσαιτε, εἴσεσθε ὡς οὐδὲν αὐτὴν ἠδίκηκα· τὸν γὰρ Πολέμωνα τοῦτον, ὃν φησιν ἑαυτῆς οἰκέτην εἶναι, πεφυκότα οὐ φαύλως οὐδὲ κατὰ τὴν Μέθην, ἀλλ' οἰκεῖον ἐμοὶ καὶ τὴν φύσιν ὅμοιον, προαρπάσασα νέον ἔτι καὶ ἁπαλὸν ὄντα ξυναγωνιζομένης τῆς Ἡδονῆς, ἥπερ αὐτῇ τὰ πολλὰ συνυπουργεῖ, διέφθειρε τὸν ἄθλιον τοῖς κώμοις καὶ ταῖς ἑταίραις παρασχοῦσα ἔκδοτον, ὡς μηδὲ μικρὸν αὐτῷ τῆς αἰδοῦς ὑπολείπεσθαι· καὶ ἃ γε ὑπὲρ ἑαυτῆς λέγεσθαι μικρὸν ἔμπροσθεν ᾤετο, ταῦτα ὑπὲρ ἐμοῦ μᾶλλον εἰρῆσθαι νομίσατε· περιῄει γὰρ ὁ κακοδαίμων ἔωθεν ἐστεφανωμένος κραιπαλῶν διὰ τῆς ἀγορᾶς μέσης, καταυλούμενος, οὐδέποτε νήφων, κωμάζων ἐπὶ πάντας, ὕβρις τῶν προγόνων καὶ τῆς πόλεως ὅλης καὶ γέλως τοῖς ξένοις· ἐπεὶ μέντοι γε παρ' ἐμὲ ἦκεν, ἐγὼ μὲν ἔτυχον, ὥσπερ εἰωθα ποιεῖν, ἀναπεπταμένων τῶν θυρῶν πρὸς τοὺς παρόντας τῶν ἑταίρων λόγους τινὰς περὶ ἀρετῆς καὶ σωφροσύνης διεξιοῦσα· ὁ δὲ μετὰ τοῦ αὐλοῦ καὶ τῶν στεφάνων ἐπιστὰς τὰ μὲν πρῶτα ἐβόα καὶ ξυγχεῖν ἡμῶν ἐπειρᾶτο τὴν ξυνουσίαν ἐπιταράξας τῇ βοῇ· ἐπεὶ δὲ οὐδὲν ἡμεῖς ἐπεφροντίκειμεν αὐτοῦ, κατ' ὀλίγον — οὐ γὰρ τέλεον ἦν διάβροχος τῇ Μέθῃ — ἀνένηφε πρὸς τοὺς λόγους καὶ ἀφαιρεῖται τοὺς στεφάνους καὶ τὴν αὐλητρίδα κατεσιώπα καὶ ἐπὶ τῇ πορφυρίδι ᾐσχύνετο, καὶ ὥσπερ ἐξ ὕπνου βαθέος ἀνεγρόμενος ἑαυτόν τε ἑώρα ὅπως διέκειτο καὶ τοῦ πάλαι βίου κατεγίγνωσκε, καὶ τὸ μὲν ἐρύθημα τὸ ἐκ τῆς Μέθης ἀπῄνθει καὶ ἠφανίζετο, ἠρυθρία δὲ κατ' αἰδῶ τῶν δρωμένων, καὶ τέλος ἀποδρὰς ὥσπερ εἶχεν ηὐτομόλησε παρ' ἐμέ, οὔτ' ἐπικαλεσαμένης οὔτε βιασαμένης, ὡς αὐτή φησιν, ἐμοῦ, ἀλλ' ἐκὼν αὐτὸς ἀμείνω ταῦτα εἶναι ὑπολαμβάνων. Καί μοι ἤδη κάλει αὐτὸν, ὅπως καταμάθητε ὃν τρόπον διάκειται πρὸς ἐμοῦ. Τοῦτον, ὦ ἄνδρες δικασταὶ, παραλαβοῦσα γελοίως ἔχοντα καὶ μήτε φωνὴν ἀφιέναι μήτε ἑστάναι ὑπὸ τοῦ ἀκράτου δυνάμενον ὑπέστρεψα καὶ ἀνένηψα καὶ ἀντὶ ἀνδραπόδου κόσμιον ἄνθρωπον καὶ σώφρονα καὶ πολλοῦ ἄξιον τοῖς Ἕλλησιν ἀπέδειξα· καί μοι αὐτός τε χάριν οἶδεν ἐπὶ τούτοις καὶ οἱ προσήκοντες ὑπὲρ αὐτοῦ. Εἴρηκα· ὑμεῖς δὲ ἤδη σκοπεῖτε πότερα ἡμῶν ἄμεινον ἦν αὐτῷ συνεῖναι.

18. ΕΡΜ. Ἄγε δὴ, μὴ μέλλετε, ψηφοφορήσατε, ἀνάστητε· καὶ ἄλλοις χρὴ δικάζειν.

ΔΙΚ. Πάσαις ἡ Ἀκαδήμεια κρατεῖ πλὴν μιᾶς.

ΕΡΜ. Παράδοξον οὐδὲν, εἶναί τινα καὶ τῇ Μέθῃ τιθέμενον.

19. Καθίσατε οἱ τῇ Στοᾷ πρὸς τὴν Ἡδονὴν λαχόν-

etiam maledicit Ebrietati incitatus a me, et sexcenta de ea mala narrat. Dicta sunt fere quæ pro Ebrietate debebant. Jam etiam pro me agam : et hinc mihi fluat clepsydra.

JUST. Quid tandem ad hæc dicet? Sed æquum vicissim infunde.

17. ACAD. Sic quidem omnino rationabilia auditu, judices, pro Ebrietate dixit patrona : sin vero me etiam benevole audieritis, quam nulla istam injuria affecerim, cognoscetis. Nam Polemonem illum, quem suum ait servum, non male natum, neque pro Ebrietate, sed mihi familiarem et ingenio similem, præripuerat juvenem adhuc et tenerum, adjuvante Voluptate, quæ ipsi frequenter ministrat, corrupitque miserum, comissationibus et meretricibus deditium tradens, ut ne paullum quidem pudoris illi relinqueretur. Atque ea quæ pro se dici paullo ante putabat, pro me potius dicta putatote : circumibat enim infelix ille jam mane diei coronatus, crapula gravis, per medium forum, tibiis aures præbens, neque unquam sobrius, comissatum veniens ad quoscumque, contumelia majorum suorum et totius civitatis, risus hospitibus. Verum ad me quum venisset, equidem, ut facere soleo, apertis januis ad sodalium qui præsentes erant verba forte faciebam de virtute et temperantia. At ille cum tibia et coronis astans primo quidem clamabat, tentabatque nos confundere, turbans clamore nostram disputationem : quum vero nihil illum curaremus, paullatim (neque enim plane ab Ebrietate permaduerat) ad sobrietatem ab illa disputatione rediit, et aufert coronas, et tacere jubebat tibicinam, et purpuræ illum pudebat : et tanquam e profundo somno expergefactus, tum se, quomodo affectus esset, inspiciebat, tum vitam condemnabat superiorem. Hinc ille ab Ebrietate rubor deflorescens evanuit, quum a pudore potius eorum quæ fecerat erubesceret : et tandem, ut erat, ad me venit transfuga, neque vocantem, neque vim adhibentem, ut ista dicit; sed quod ipse sua sponte hæc meliora putaret. Et jam illum mihi voca, ut discatis quomodo erga me sit affectus. Hunc ego, judices, quum accepissem ridicule se habentem, et neque vocem mittere neque stare præ mero valentem, converti, ad sobrietatem reduxi, et pro mancipio virum honestum et sobrium et quantivis pretii Græcis reddidi : et mihi tum ipse gratiam habet harum rerum causa, tum pro ipso necessarii. Dixi. Vos vero jam considerate, cum utra nostrûm esse illi fuerit melius.

18. MERC. Age sane, nolite cunctari, ferte suffragia, surgite : judicare oportet etiam alios.

JUST. Omnibus, una excepta, vincit Academia.

MERC. Mirum non est esse aliquem qui suum Ebrietati etiam calculum adjecerit.

19. Sedete jam quibus sortito obvenit judicare causam

τες περὶ τοῦ ἐραστοῦ δικάζειν· ἐγκέχυται τὸ ὕδωρ. Ἡ κατάγραφος ἡ τὰ ποικίλα σὺ ἤδη λέγε.

20. ΣΤΟΑ. Οὐκ ἀγνοῶ μέν, ὦ ἄνδρες δικασταί, ὡς πρὸς εὐπρόσωπόν μοι τὴν ἀντίδικον ὁ λόγος ἔσται, ἀλλὰ καὶ ὑμῶν τοὺς πολλοὺς ὁρῶ πρὸς μὲν ἐκείνην ἀποβλέποντας καὶ μειδιῶντας πρὸς αὐτήν, ἐμοῦ δὲ καταφρονοῦντας, ὅτι ἐν χρῷ κέκαρμαι καὶ ἀρρενωπὸν βλέπω καὶ σκυθρωπὴ δοκῶ· ὅμως δέ, ἢν ἐθελήσητε ἀκοῦσαί μου λεγούσης, θαρρῶ πολὺ δικαιότερα ταύτης ἐρεῖν. Τοῦτο γάρ τοι καὶ τὸ παρὸν ἔγκλημά ἐστιν, ὅτι οὕτως ἑταιρικῶς ἐσκευασμένη τῷ ἐπαγωγῷ τῆς ὄψεως ἐραστὴν ἐμὸν ἄνδρα τότε σώφρονα τὸν Διονύσιον φενακίσασα πρὸς ἑαυτὴν περιέσπασε, καὶ ἦν γε οἱ πρὸ ὑμῶν δίκην ἐδίκασαν τῇ Ἀκαδημείᾳ καὶ τῇ Μέθῃ, ἀδελφῇ τῆς παρούσης δίκης ἐστίν· ἐξετάζεται γὰρ ἐν τῷ παρόντι πότερα χοίρων δίκην κάτω νενευκότας ἡδομένους χρὴ βιοῦν οὐδὲν σεμνὸν οὐδὲ μεγαλόφρον ἐπινοοῦντας ἢ ἐν δευτέρῳ τοῦ καλῶς ἔχοντος ἡγησαμένους τὸ τερπνὸν ἐλευθέρους ἐλευθέρως φιλοσοφεῖν, μήτε τὸ ἀλγεινὸν ὡς ἄμαχον δεδιότας μήτε τὸ ἡδὺ ἀνδραποδωδῶς πρεσβευομένους καὶ τὴν εὐδαιμονίαν ζητοῦντας ἐν τῷ μέλιτι καὶ ταῖς ἰσχάσι. Τοιαῦτα γὰρ αὕτη δελέατα τοῖς ἀνοήτοις προτείνουσα καὶ μορμολυττομένη τῷ πόνῳ προσάγεται αὐτῶν τοὺς πολλούς, ἐν οἷς καὶ τὸν δείλαιον ἐκεῖνον ἀφηνιάσαι ἡμῶν ἐποίησε νοσοῦντα τηρήσασα· οὐ γὰρ ἂν ὑγιαίνων ποτὲ προσήκατο τοὺς παρὰ ταύτης λόγους. Καίτοι τί ἂν ἔγωγε ἀγανακτοίην κατ' αὐτῆς, ὅπου μηδὲ τῶν θεῶν φείδεται, ἀλλὰ τὴν ἐπιμέλειαν αὐτῶν διαβάλλει; ὥστε εἰ σωφρονεῖτε, καὶ ἀσεβείας ἂν δίκην λάβοιτε παρ' αὐτῆς. Ἤκουον δὲ ἔγωγε ὡς οὐδὲ αὐτὴ παρεσκεύασται ποιήσασθαι τοὺς λόγους, ἀλλὰ τὸν Ἐπίκουρον ἀναβιβάσεται συναγορεύσοντα· οὕτως ἐντρυφᾷ τῷ δικαστηρίῳ· πλὴν ἀλλὰ ἐκεινά γε αὐτὴν ἐρωτᾶτε, οἵους ἂν οἴεται γενέσθαι τὸν Ἡρακλέα καὶ τὸν ὑμέτερον Θησέα, εἰ πεισθέντες τῇ ἡδονῇ ἔφυγον τοὺς πόνους· οὐδὲ γὰρ ἂν ἐκώλυε μεστὴν ἀδικίας εἶναι τὴν γῆν, ἐκείνων μὴ πονησάντων. Ταῦτα εἶπον οὐ πάνυ τοῖς μακροῖς τῶν λόγων χαίρουσα. Εἰ δέ γε ἐθελήσειε κατὰ μικρὸν ἀποκρίνασθαί μοι συνερωτωμένη, τάχιστα ἂν γνωσθείη τὸ μηδὲν οὖσα. Πλὴν ἀλλὰ ὑμεῖς γε τῶν ὅρκων μνημονεύσαντες ψηφίσασθε ἤδη τὰ εὔορκα μὴ πιστεύσαντες Ἐπικούρῳ λέγοντι μηδὲν ἐπισκοπεῖν τῶν παρ' ἡμῖν γιγνομένων τοὺς θεούς.

ΕΡΜ. Μετάστηθι. Ὁ Ἐπίκουρος ὑπὲρ τῆς Ἡδονῆς λέγε.

21. ΕΠΙΚΟΥΡΟΣ. Οὐ μακρὰ, ὦ ἄνδρες δικασταί, πρὸς ὑμᾶς ἐρῶ· δεῖ γὰρ οὐδὲ πολλῶν μοι τῶν λόγων· ἀλλ' εἰ μὲν ἐπῳδαῖς τισιν ἢ φαρμάκοις ὃν φησιν ἑαυτῆς ἐραστὴν ἡ Στοὰ τὸν Διονύσιον κατηνάγκασε ταύτης μὲν ἀπέχεσθαι, πρὸς ἑαυτὴν δὲ ἀποβλέπειν ἡ Ἡδονή, φαρμακὶς ἂν εἰκότως ἔδοξε καὶ ἀδικεῖν ἐκέκριτο ἐπὶ τοὺς ἀλλοτρίους ἐραστὰς μαγγανεύουσα. Εἰ δέ τις ἐλεύθερος, ἐν ἐλευθέρᾳ τῇ πόλει, μὴ ἀπαγορευόντων τῶν νόμων, τὴν παρὰ ταύτης ἀηδίαν μυσαχθεὶς καὶ ἣν φησιν ἐπὶ

Porticus contra Voluptatem de amatore. Infusa jam est aqua. Tu jam, variis coloribus picta (Pœcile), dicito.

20. PORTICUS. Non ignoro equidem, judices, quam speciosam contra adversariam mihi dicendum sit; quin vestrûm etiam plerosque video conjectis in istam oculis ei arridere, me autem despicere, quod in cute sum tonsa, virili vultu, et tristis atque severa videor : tamen, si volueritis audire me dicentem, confido multo me justiora præ ista dicturam. Nimirum hoc ipsum etiam præsens crimen est, quod meretricie ita ornata, illo vultu illice meum amatorem, virum tunc temperantem, Dionysium, deceptum ad se traduxit; quamque ante vos modo causam judicarunt judices inter Academiam atque Ebrietatem, ea præsenti causæ gemina est : dispicitur enim nunc, utrum porcorum instar humum spectantes in voluptate vivere deceat, grave nihil nec magnanimum cogitantes; an post honestatem collocato quod delectat, liberos liberaliter philosophari, neque dolorem ut invictum quiddam metuentes, neque suave quod est mancipiorum more sequentes, quærentesque felicitatem in melle et ficubus. Tales enim escas imprudentibus ista proponens, et laborem velut terriculamentum quoddam ostentans, plerosque ipsorum ad se allicit : in quibus etiam miserum istum, nostras ut habenas excuteret, adduxit, quum observasset ægrotantem : neque enim sanus unquam orationem illius erat admissurus. Verum quid ego isti indigner, quæ ne diis quidem parcat, sed eorum calumnietur providentiam? Itaque si sanum sequi judicium volueritis, impietatis etiam pœnam ab ista sumseritis. Audivi equidem neque ipsam ad dicendum se comparasse, sed Epicurum adducturam esse patronum : adeo tribunalis majestatem per delicias conculcat. Verum illud certe istam interrogate, quales putet futuros fuisse Herculem et vestrum Theseum, si, voluptatis castra secuti, fugissent labores : nihil enim impediebat quominus injustitiæ plena esset terra, illis detrectantibus laborem. Hæc dixi, non vehementer gaudens longis orationibus. Si vero voluerit in brevi altercatione mihi respondere, celerrime, quam nihil sit, intelligatur. Verum vos, jurisjurandi memores, religiose jam ite in suffragia, neu Epicuro credite dicenti nihil inspicere eorum quæ apud nos fiunt deos.

MERC. Transi. Tu, Epicure, pro Voluptate dicito.

21. EPICURUS. Non longa apud vos oratione utar, judices; neque enim multis mihi argumentis opus est : sed si quidem incantationibus quibusdam aut venenis, quem amatorem suum dicit Porticus, Dionysium, adegisset Voluptas, ab ista ut segregatus ad se respiceret; venefica visa merito, jam damnata esset injuriarum, usa nimirum veneficiis in amatores alienos. Si quis vero liber, in civitate libera, legibus non prohibentibus, exosus istius insuavitatem, et quam

κεφαλαίῳ τῶν πόνων τὴν εὐδαιμονίαν παραγίγνεσθαι λῆρον οἰηθεὶς τοὺς μὲν ἀγκύλους ἐκείνους λόγους καὶ λαβυρίνθοις ὁμοίους ἀπέφυγε, πρὸς δὲ τὴν Ἡδονὴν ἄσμενος ἐδραπέτευσεν ὥσπερ δεσμά τινα διακόψας τὰς τῶν λόγων πλεκτάνας, ἀνθρώπινα καὶ οὐ βλακώδη φρονήσας καὶ τὸν μὲν πόνον, ὅπερ ἐστί, πονηρὸν, ἡδεῖαν δὲ τὴν ἡδονὴν οἰηθείς, ἀποκλείειν ἐχρῆν αὐτὸν ὥσπερ ἐκ ναυαγίου λιμένι προσνέοντα καὶ γαλήνης ἐπιθυμοῦντα συνωθοῦντας ἐπὶ κεφαλὴν ἐς τὸν πόνον καὶ ἔκδοτον τὸν ἄθλιον παρέχειν ταῖς ἀπορίαις, καὶ ταῦτα ὥσπερ ἱκέτην ἐπὶ τὸν τοῦ ἐλέου βωμὸν ἐπὶ τὴν ἡδονὴν καταφυγόντα, ἵνα τὴν πολυθρύλητον δηλαδὴ ἀρετὴν ἐπὶ τὸ ὀρθιον ἰδρῶτι πολλῷ ἀνελθὼν ἴδῃ κἄτα δι' ὅλου πονήσας τοῦ βίου εὐδαιμονήσῃ μετὰ τὸν βίον; Καίτοι τίς ἂν κριτὴς δικαιότερος δόξειεν αὐτοῦ ἐκείνου, ὃς τὰ παρὰ τῆς Στοᾶς εἰδὼς, εἰ καί τις ἄλλος, καὶ μόνον τέως τὸ καλὸν ἀγαθὸν οἰόμενος εἶναι, μεταμαθὼν ὡς κακὸν ὁ πόνος ἦν, τὸ βέλτιον ἐξ ἀμφοῖν δοκιμασθὲν εἵλετο; Ἑώρα γὰρ, οἶμαι, τούτους περὶ τοῦ καρτερεῖν καὶ ἀνέχεσθαι τοὺς πόνους πολλὰ διεξιόντας, ἰδίᾳ δὲ τὴν Ἡδονὴν θεραπεύοντας, καὶ μέχρι μὲν τοῦ λόγου νεανιευομένους, οἴκοι δὲ κατὰ τοὺς τῆς Ἡδονῆς νόμους βιοῦντας, αἰσχυνομένους μὲν εἰ φανοῦνται γαλῶντες τοῦ τόνου καὶ προδιδόντες τὸ δόγμα, πεπονθότας δὲ ἀθλίους τὸ τοῦ Ταντάλου, καὶ ἔνθα ἂν λήσειν καὶ ἀσφαλῶς παρανομήσειν ἐλπίσωσι, χανδὸν ἐμπιπλαμένους τοῦ ἡδέος. Εἰ γοῦν τις αὐτοῖς τὸν τοῦ Γύγου δακτύλιον ἔδωκεν, ὡς περιθεμένους μὴ ὁρᾶσθαι, ἢ τὴν τοῦ Ἅϊδος κυνῆν, εὖ οἶδ' ὅτι μακρὰ χαίρειν τοῖς πόνοις φράσαντες ἐπὶ τὴν Ἡδονὴν ὠθοῦντο ἂν καὶ ἐμιμοῦντο ἅπαντες τὸν Διονύσιον, ὃς μέχρι μὲν τῆς νόσου ἤλπιζεν ὠφελήσειν τι αὐτὸν τοὺς περὶ τῆς καρτερίας λόγους· ἐπεὶ δὲ ἤλγησε καὶ ἐνόσησε καὶ ὁ πόνος ἀληθέστερος αὐτοῦ καθίκετο, ἰδὼν τὸ σῶμα τὸ ἑαυτοῦ ἀντιφιλοσοφοῦν τῇ Στοᾷ καὶ τἀναντία δογματίζον, αὐτῷ μᾶλλον ἢ τούτοις ἐπίστευσε καὶ ἔγνω ἄνθρωπος ὢν καὶ ἀνθρώπου σῶμα ἔχων, καὶ διετέλεσεν οὐχ ὡς ἀνδριάντι αὐτῷ χρώμενος εἰδὼς ὅτι, ὃς ἂν ἄλλως λέγῃ καὶ ἡδονῆς κατηγορῇ,

λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.

Εἴρηκα· ὑμεῖς δ' ἐπὶ τούτοις ψηφοφορήσατε.

22. ΣΤΟΑ. Μηδαμῶς, ἀλλ' ὀλίγα μοι συνερωτῆσαι ἐπιτρέψατε.

ΕΠΙΚ. Ἐρώτησον· ἀποκρινοῦμαι γάρ.

ΣΤΟΑ. Κακὸν ἡγῇ τὸν πόνον;

ΕΠΙΚ. Ναί.

ΣΤΟΑ. Τὴν ἡδονὴν δὲ ἀγαθόν;

ΕΠΙΚ. Πάνυ μὲν οὖν.

ΣΤΟΑ. Τί δαί; οἶσθα τί διάφορον καὶ ἀδιάφορον καὶ προηγμένον καὶ ἀποπροηγμένον;

ΕΠΙΚ. Μάλιστα.

ΕΡΜ. Οὐ φασιν, ὦ Στοά, συνιέναι οἱ δικασταὶ τὰ δισύλλαβα ταῦτα ἐρωτήματα· ὥστε ἡσυχίαν ἄγετε. Ψηφοφορήσουσι γάρ.

pro summa laborum venire tandem ait felicitatem, nugas esse ratus; evitatis tortuosis illis argumentationibus et labyrinthorum similibus, ad Voluptatem transfugit lubens, rescissis velut vinculis quibusdam illis argumentorum cirris, hominem sapiens, non stipitem; et laborem, id quod est, malum, suavem autem voluptatem arbitratus: huncne excludere oportebat, tanquam ex naufragio adnatantem ad portum et tranquillitatis cupidum, præcipitem impellere in laborem, et deditium tradere infelicem hominem desperationi, idque quum velut supplex ad misericordiæ aram, sic ad voluptatem confugerit? ut nimirum celebratissimam illam virtutem, per ardua multo sudore enisus, videat, ac deinde tota vita in ærumnis consumta, beatus sit post vitam? Quanquam quis justior judex hoc ipso videri potest, qui eorum quæ a Porticu docentur gnarus si quis alius, et solum quod honestum est idem bonum ad eum diem arbitratus, quum deinde didicisset malum esse laborem, quod ex duobus probaverat melius, illud elegerit? Videbat nempe, arbitror, eos qui de tolerantia et patientia doloris multa disputant, privatim colere Voluptatem, et, dum res in sermonibus esset, gerere se fortiter, domi vero ad Voluptatis leges vivere; atque erubescere quidem si appareat ipsos de contentione remittere et sua prodere decreta, verum Tantali illud supplicium sustinere miseros; et ubi latendi spem habeant et secure leges violandi, pleno se haustu ingurgitare suavibus. Si quis igitur Gygis anulum det istis, quo induti non videantur, aut Orci galeam; bene novi futurum ut longum valere jussis laboribus, ad Voluptatem trudentes alter alterum ferantur, imitati omnes Dionysium: qui ad morbum usque sperabat profuturas sibi aliquid illas de tolerantia disputationes; quum vero doleret atque ægrotaret, veriorque penetraret ad ipsum labor; videns disputare contra Porticum corpus suum, et contrarias sententias ponere, illi potius quam istis credidit, seque hominem esse et hominis habere corpus agnovit, atque perrexit illo non tanquam statua uti, bene gnarus, qui aliter dicat et voluptatem accuset,

Gaudere verbis, mentem habere illic tamen.

Dixi. Vos autem de his ferte suffragia.

22. PORT. Nequaquam: sed pauca interrogare mihi permittite.

EPIC. Interroga; respondebo enim.

PORT. Malum putas laborem?

EPIC. Nempe.

PORT. Voluptatem autem bonum?

EPIC. Omnino equidem.

PORT. Quid igitur? nosti quid sit differens et indifferens, productum et rejectum?

EPIC. Omnino.

MERC. Negant judices intelligere se disyllabas illas interrogatiunculas. Itaque quiescite: ferent enim suffragia.

ΣΤΟΑ. Καὶ μὴν ἐκράτησα ἂν, εἰ συνηρώτησα ἐν τῷ τρίτῳ τῶν ἀναποδείκτων σχήματι.

ΔΙΚ. Τίς ὑπερέσχεν;

ΕΡΜ. Πάσαις ἡ Ἡδονή.

ΣΤΟΑ. Ἐφίημι ἐπὶ τὸν Δία.

ΔΙΚ. Τύχῃ τῇ ἀγαθῇ. Σὺ δὲ ἄλλους κάλει.

23. ΕΡΜ. Περὶ Ἀριστίππου Ἀρετὴ καὶ Τρυφὴ, καὶ Ἀρίστιππος δὲ αὐτὸς παρέστω.

ΑΡΕΤΗ. Προτέραν ἐμὲ χρὴ τὴν Ἀρετὴν λέγειν· ἐμὸς γὰρ ἐστιν Ἀρίστιππος, ὡς δηλοῦσιν οἱ λόγοι καὶ τὰ ἔργα.

ΤΡΥΦΗ. Οὐ μὲν οὖν, ἀλλ' ἐμὲ τὴν Τρυφήν· ἐμὸς γὰρ ὁ ἀνὴρ, ὡς ἔστιν ὁρᾶν ἀπὸ τῶν στεφάνων καὶ τῆς πορφυρίδος καὶ τῶν μύρων.

ΔΙΚ. Μὴ φιλονεικεῖτε· ὑπερκείσεται γὰρ καὶ αὕτη ἡ δίκη ἔστ' ἂν ὁ Ζεὺς δικάσῃ περὶ τοῦ Διονυσίου· παραπλήσιον γάρ τι καὶ τοῦτο ἔοικεν εἶναι. Ὥστε ἐὰν μὲν ἡ Ἡδονὴ κρατήσῃ, καὶ τὸν Ἀρίστιππον ἕξει ἡ Τρυφή· νικώσης δὲ τῆς Στοᾶς, καὶ οὗτος ἔσται τῆς Ἀρετῆς κεκριμένος. Ὥστε ἄλλοι παρέστωσαν. Τὸ δεῖνα μέντοι, μὴ λαμβανέτωσαν οὗτοι τὸ δικαστικόν· ἀδίκαστος γὰρ ἡ δίκη μεμένηκεν αὐτοῖς.

ΕΡΜ. Μάτην οὖν ἀνεληλυθότες ὧσι γέροντες ἄνδρες οὕτω μακρὰν τὴν ἀνάβασιν;

ΔΙΚ. Ἱκανὸν, εἰ τριτημόριον λάβοιεν. Ἄπιτε, μὴ ἀγαναχτεῖτε, αὖθις δικάσετε.

24. ΕΡΜ. Διογένη Σινωπέα παρεῖναι καιρὸς, καὶ σὺ ἡ Ἀργυραμοιβικὴ λέγε.

ΔΙΟΓΕΝΗΣ. Καὶ μὴν ἄν γε μὴ παύσηται ἐνοχλοῦσα, ὦ Δίκη, οὐκέτι δρασμοῦ δικάσεταί μοι, ἀλλὰ πολλῶν καὶ βαθέων τραυμάτων· ἐγὼ γὰρ αὐτίκα μάλα πατάξω τῷ ξύλῳ.

ΔΙΚ. Τί τοῦτο; πέφευγεν ἡ Ἀργυραμοιβικὴ, ὁ δὲ διώκει ἐπηρμένος τὸ βάκτρον. Οὐ μέτριόν τι κακὸν ἡ ἀθλία ἔοικε λήψεσθαι. Τὸν Πύρρωνα κήρυττε.

25. ΕΡΜ. Ἀλλὰ ἡ μὲν Γραφικὴ πάρεστιν, ὦ Δίκη, ὁ Πύρρων δὲ οὐδὲ τὴν ἀρχὴν ἀνελήλυθε, καὶ ἐῴκει τοῦτο πράξειν.

ΔΙΚ. Διὰ τί, ὦ Ἑρμῆ;

ΕΡΜ. Ὅτι οὐδὲν ἡγεῖται κριτήριον ἀληθὲς εἶναι.

ΔΙΚ. Τοιγαροῦν ἐρήμην αὐτοῦ καταδικασάτωσαν. Τὸν λογογράφον ἥδη κάλει τὸν Σύρον· καίτοι πρώην ἀπηνέχθησαν κατ' αὐτοῦ αἱ γραφαὶ, καὶ οὐδὲν ἤπειγεν ἤδη κεκρίσθαι. Πλὴν ἀλλ' ἐπεὶ ἔδοξε, προτέραν ἐσάγαγε τῆς Ῥητορικῆς τὴν δίκην. Βαβαὶ, ὅσοι συνεληλύθασιν ἐπὶ τὴν ἀκρόασιν.

ΕΡΜ. Εἰκότως, ὦ Δίκη· τό τε γὰρ μὴ ἑῶλον εἶναι τὴν κρίσιν, ἀλλὰ καινὴν καὶ ξένην, χθὲς, ὥσπερ ἔφης, ἐπηγγελμένην, καὶ τὸ ἐλπίζειν ἀκούσεσθαι Ῥητορικῆς μὲν καὶ Διαλόγου ἐν τῷ μέρει κατηγορούντων, ἀπολογουμένου δὲ πρὸς ἀμφοτέρους τοῦ Σύρου, τοῦτο πολλοὺς ἐπήγαγε τῷ δικαστηρίῳ. Πλὴν ἀλλὰ ἄρξαι ποτὲ, ὦ Ῥητορικὴ, τῶν λόγων.

26. ΡΗΤΟΡΙΚΗ. Πρῶτον μὲν, ὦ ἄνδρες Ἀθη-

PORT. Verum viceram, si peregissem interrogationes in tertia figura indemonstrabilium.

JUST. Quis superavit?

MERC. Omnibus calculis Voluptas.

PORT. Provoco ad Jovem.

JUST. Quod bene vertat! Tu vero voca alios.

23. MERC. De Aristippo Virtus et Luxuria. Aristippus autem ipse quoque adsit.

VIRTUS. Priorem me oportet dicere, Virtutem : meus enim est Aristippus, ut sermones illius indicant et opera.

LUXURIA. Nequaquam; sed me, Luxuriam : meus enim vir est, ut videre licet e coronis et purpura et unguentis.

JUST. Nolite contendere : differetur enim hæc quoque causa, usquedum Jupiter pronunciet de Dionysio : vicinum enim quiddam etiam hoc esse videtur. Igitur si vicerit Voluptas, etiam Aristippum habebit Luxuria : vincente contra Porticu, etiam hic Virtuti adjudicatus erit. Quare alii jam adsunto. Verum illud, ne capiant hi mercedem : nam non judicata ab illis hæc lis est.

MERC. Nequicquam ergo ascenderint viri senes viam tam longam?

JUST. Satis fuerit si tertiam partem accipiant. Abite : nolite indignari; rursus judicabitis.

24. MERC. Diogenem Sinopensem adesse tempus est. Tu igitur, Mensaria, dic.

DIOGENES. Verum, Justitia, si non desierit mihi molesta esse, non amplius fugæ mihi litem intendet, sed multorum profundorumque vulnerum : ego enim jam statim fuste illam percutiam.

JUST. Quid hoc? fugit Mensaria, ille vero sublato eam baculo persequitur. Non leve malum misera nanciscetur, puto. Pyrrhonem advoca.

25. MERC. Verum Pictoria quidem adest, Justitia : Pyrrho autem ne venit quidem, et sic facturum eum probabile erat.

JUST. Quid ita, Mercuri?

MERC. Quia nullam veram putat esse judicandi normam.

JUST. Itaque desertæ illum litis condemnanto. Librorum scriptorem Syrum jam voca : quanquam nuper demum nomen ipsius delatum est, nec quicquam urgebat eas causas nunc judicari. Verum quando ita visum est, primam agi jube causam Rhetorices. Vah quot convenerunt ad audiendum!

MERC. Neque immerito, Justitia. Quod enim non obsoleta est causa, sed nova et insolens, heri demum, ut dicebas, delata; et quod sperant se audituros Rhetoricen et Dialogum per vices accusantes, causam vero adversus ambos dicentem Syrum : ea res multos allexit ad judicium. Verum incipe tandem orationem, Rhetorice.

26. RHETORICE. Primum quidem, Athenienses, deos

ναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχουσα διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν ἐς τουτονὶ τὸν ἀγῶνα, ἔπειθ' ὅπερ ἐστὶ μάλιστα δίκαιον, τοῦτο παραστῆσαι τοὺς θεοὺς ὑμῖν, τὸν μὲν ἀντίδικον σιωπᾶν κελεύειν, ἐμὲ δὲ, ὡς προῄρημαι καὶ βεβούλημαι, τὴν κατηγορίαν ἐᾶσαι ποιήσασθαι. Οὐχὶ δὲ ταὐτὰ παρίσταταί μοι γιγνώσκειν, ὅταν τε ἐς ἃ πέπονθα ἀποβλέψω καὶ ὅταν ἐς τοὺς λόγους οὓς ἀκούω· τοὺς μὲν γὰρ λόγους ὡς ὁμοιοτάτους τοῖς ἐμοῖς οὓς αὐτὸς ἐρεῖ πρὸς ὑμᾶς, τὰ δὲ πράγματα ἐς τοῦτο προήκοντα ὄψεσθε, ὥστε ὅπως μὴ χεῖρόν τι πείσομαι πρὸς αὐτοῦ σκέψασθαι δέον. Ἀλλὰ γὰρ ἵνα μὴ μακρὰ προοιμιάζωμαι, τοῦ ὕδατος πάλαι εἰκῇ ῥέοντος, ἄρξομαι τῆς κατηγορίας.

27. Ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταὶ, τουτονὶ κομιδῇ μειράκιον ὄντα, βάρβαρον ἔτι τὴν φωνὴν καὶ μονονουχὶ κάνδυν ἐνδεδυκότα ἐς τὸν Ἀσσύριον τρόπον, περὶ τὴν Ἰωνίαν εὑροῦσα πλαζόμενον ἔτι καὶ ὅ τι χρήσαιτο ἑαυτῷ οὐκ εἰδότα παραλαβοῦσα ἐπαίδευσα· καὶ ἐπεὶ ἐδόκει μοι εὐμαθὴς εἶναι καὶ ἀτενὲς ὁρᾶν ἐς ἐμέ — ὑπέπτησσέ τε γὰρ ἔτι τότε καὶ ἐθεράπευε καὶ μόνην ἐθαύμαζεν — ἀπολιποῦσα τοὺς ἄλλους ὁπόσοι ἐμνηστεύοντό με πλούσιοι καὶ καλοὶ καὶ λαμπροὶ τὰ προγονικὰ, τῷ ἀχαρίστῳ τούτῳ ἐμαυτὴν ἐνεγύησα πένητι καὶ ἀφανεῖ καὶ νέῳ προῖκα οὐ μικρὰν ἐπεσενεγκαμένη πολλοὺς καὶ θαυμασίους λόγους· εἶτα ἀγαγοῦσα αὐτὸν ἐς τοὺς φυλέτας τοὺς ἐμοὺς παρενέγραψα καὶ ἀστὸν ἀπέφηνα, ὥστε τοὺς διαμαρτάνοντας τῆς ἐγγύης ἀποπνίγεσθαι. Δόξαν δὲ αὐτῷ περινοστεῖν ἐπιδειξομένῳ τοῦ γάμου τὴν εὐποτμίαν, οὐδὲ τότε ἀπελείφθην, ἀλλὰ πανταχοῦ ἑπομένη, ἄνω καὶ κάτω περιαγομένη καὶ κλεινὸν αὐτὸν καὶ ἀοίδιμον ἐποίουν κατακοσμοῦσα καὶ περιστέλλουσα, καὶ τὰ μὲν ἐπὶ τῆς Ἑλλάδος καὶ τῆς Ἰωνίας μέτρια, ἐς δὲ τὴν Ἰταλίαν ἀποδημῆσαι θελήσαντι αὐτῷ τὸν Ἰόνιον συνδιέπλευσα καὶ τὰ τελευταῖα μέχρι τῆς Κελτικῆς συναπάρασα εὐπορεῖσθαι ἐποίησα. Καὶ μέχρι μὲν πολλοῦ πάντα μοι ἐπείθετο καὶ συνῆν ἀεὶ μηδεμίαν νύκτα ἀπόκοιτος γιγνόμενος παρ' ἡμῶν.

28. Ἐπεὶ δὲ ἱκανῶς ἐπεσιτίσατο καὶ τὰ πρὸς εὐδοξίαν εὖ ἔχειν αὐτῷ ὑπέλαβε, τὰς ὀφρῦς ἐπάρας καὶ μέγα φρονήσας ἐμοῦ μὲν ἠμέλησε, μᾶλλον δὲ τέλεον εἴασεν, αὐτὸς δὲ τὸν γενειήτην ἐκεῖνον, τὸν ἀπὸ τοῦ σχήματος, τὸν Διάλογον, Φιλοσοφίας υἱὸν εἶναι λεγόμενον, ὑπεραγαπήσας μάλα ἐρωτικῶς πρεσβύτερον αὐτοῦ ὄντα, τούτῳ σύνεστι, καὶ οὐκ αἰσχύνεται τὴν μὲν ἐλευθερίαν καὶ τὸ ἄνετον τῶν ἐν ἐμοὶ λόγων συντεμών, ἐς μικρὰ δὲ καὶ κομματικὰ ἐρωτήματα κατακλείσας ἑαυτὸν καὶ ἀντὶ τοῦ λέγειν ὅ τι βούλεται μεγάλῃ τῇ φωνῇ βραχεῖς τινας λόγους ἀναπλέκων καὶ συλλαβίζων, ἀφ' ὧν ἀθρόος μὲν ἔπαινος ἢ κρότος πολὺς οὐκ ἂν ἀπαντήσειεν αὐτῷ, μειδίαμα δὲ παρὰ τῶν ἀκουόντων καὶ τὸ ἐπισεῖσαι τὴν χεῖρα ἐντὸς τῶν ὅρων καὶ μικρὰ ἐπινεῦσαι τῇ κεφαλῇ καὶ ἐπιστενάξαι τοῖς λεγομένοις. Τοιούτων ἠράσθη ὁ γενναῖος ἐμοῦ καταφρονήσας. Φασὶ δὲ αὐτὸν μηδὲ πρὸς

deasque precor universos, ut quanta est semperque fuit mea adversus urbem vestram et vos omnes benevolentia, talis a vobis mihi in præsenti certamine tribuatur : deinde, quod justissimum est, eam vobis mentem dare deos, ut adversarium tacere jubeatis, meque, ut in animum induxi atque deliberavi, accusationem peragere patiamini. Non idem autem mihi sentiendum videtur, quum ad ea quæ acciderunt mihi respicio, et quum ad verba, quæ audio. Verba enim quæ ipse apud vos faciet, quam simillima erunt meis; res autem eo pertinere videbitis, ut omnino, ne quod majus detrimentum ab eo capiam, prospiciendum sit. Verum enim vero, ne longo utar exordio, aqua jam dudum temere fluente, accusationem aggrediar.

27. Ego enim, judices, istum admodum adolescentem, lingua adhuc barbarum, et tantum non candye Assyrio more indutum, circa Ioniam oberrantem adhuc et quid se faceret dubium, assumsi atque institui. Et quum docilis mihi videretur esse et intentis me oculis respicere (tum nempe reverebatur me adhuc, et colebat, et solam admirabatur), relictis ceteris quicumque me petebant, divites, et honesti, et claris majoribus, ingrato me isti desponsavi, pauperi, ignobili, juveni, dotem afferens non parvam, multas admirabilesque orationes : deinde ad tribules illum meos deductum, adventitium hominem tabulis inscripsi, et civem feci : adeo ut qui spe nuptiarum mearum exciderant, angerentur. Quum vero illi visum esset circumire ad divites nuptias ostentandas, ne tum quidem destitui : sed ubicumque illum secuta, sursum deorsum circumduci me passa, celebrem illum et nobilem ornando et componendo reddidi. Mediocria vero sunt quæ per Græciam atque Ioniam feci : sed quum per Italiam peregrinari vellet, Ionium cum eo sinum trajeci, et denique in Celticam usque cum illo solvens, eum locupletavi. Ac diu quidem per omnia mihi obsequebatur, eratque mecum, ut ne semel quidem abnoctaret.

28. Quum vero satis sibi jam viaticatus esse et satis gloriæ habere videretur; sublatis supercilliis et sumta superbja, me quidem neglexit, vel potius plane deseruit : istum vero barbatum, istum habitu noscendum facile, Dialogum, qui Philosophiæ dicitur filius, supra modum et amatoris instar, se licet seniorem, diligere cœpit, cum hoc habet consuetudinem; neque erubescit libertatem, et illud meis in verbis solutum, concidere, atque in parvas, incisorum instar, interrogatiunculas se ipsum concludere; ac pro eo quod dicere debebat, quicquid vellet, magna voce, breves quosdam sermones contexere, et tanquam colligere syllabas : a quibus conferta quidem laus aut plausus multus illi non redierit; sed illud, ut leniter arrideant auditores, aut manum, intra terminos tamen, moveant, aut paullum capite annuant, aut ad ea quæ dicuntur ingemiscant. Ista adamavit generosus ille, me contemta. Aiunt autem illum

τὸν ἐρώμενον τοῦτον εἰρήνην ἄγειν, ἀλλὰ καὶ ἐς ἐκεῖνον ὑβρίζειν.

29. Πῶς οὖν οὐκ ἀχάριστος οὗτος καὶ ἔνοχος τοῖς περὶ τῆς κακώσεως νόμοις, ὃς τὴν μὲν νόμῳ γαμετὴν, παρ' ἧς τοσαῦτα εἴληφε καὶ δι' ἣν ἔνδοξός ἐστιν, οὕτως ἀτίμως ἐπέλιπε, καινῶν δὲ ὠρέχθη πραγμάτων, καὶ ταῦτα νῦν ὁπότε μόνην ἐμὲ θαυμάζουσι καὶ ἐπιγράφονται ἅπαντες προστάτιν ἑαυτῶν; Ἀλλ' ἐγὼ μὲν ἀντέχω τοσούτων μνηστευόντων καὶ κόπτουσιν αὐτοῖς τὴν θύραν καὶ τοὔνομα ἐπιβοωμένοις μεγάλῃ τῇ φωνῇ οὔτε ἀνοίγειν οὔτε ὑπακούειν βούλομαι· ὁρῶ γὰρ αὐτοὺς οὐδὲν πλέον τῆς βοῆς κομίζοντας. Οὗτος δὲ οὐδ' οὕτως ἐπιστρέφεται πρὸς ἐμὲ, ἀλλὰ πρὸς τὸν ἐρώμενον βλέπει, τί, ὦ θεοί, χρηστὸν παρ' αὐτοῦ λήψεσθαι προσδοκῶν, ὃν οἶδε τοῦ τρίβωνος οὐδὲν πλέον ἔχοντα; Εἴρηκα, ὦ ἄνδρες δικασταὶ, ὑμεῖς δὲ, ἢν ἐς τὸν ἐμὸν τρόπον τῶν λόγων ἀπολογεῖσθαι θέλῃ, τοῦτο μὲν μὴ ἐπιτρέπετε — ἀγνώμων γὰρ ἐπ' ἐμὲ τὴν ἐμὴν μάχαιραν ἀκονᾶν — κατὰ δὲ τὸν αὐτοῦ ἐρώμενον τὸν Διάλογον οὕτως ἀπολογείσθω, ἢν δύνηται.

ΕΡΜ. Τοῦτο μὲν ἀπίθανον· οὐ γὰρ οἷόν τε, ὦ Ῥητορικὴ, μόνον αὐτὸν ἀπολογεῖσθαι κατὰ τὸ σχῆμα τοῦ Διαλόγου, ἀλλὰ ῥῆσιν καὶ αὐτὸς εἰπάτω.

30. ΣΥΡΟΣ. Ἐπεὶ καὶ τοῦτο, ὦ ἄνδρες δικασταὶ, ἡ ἀντίδικος ἠγανάκτησεν, εἰ μακρῷ χρήσομαι τῷ λόγῳ καὶ αὐτὸ τὸ δύνασθαι λέγειν παρ' ἐκείνης λαβὼν, πολλὰ μὲν οὐκ ἐρῶ πρὸς ὑμᾶς, τὰ κεφάλαια δὲ αὐτὰ ἐπιλυσάμενος τῶν κατηγορηθέντων ὑμῖν ἀπολείψω σκοπεῖν περὶ ἁπάντων· πάντα γὰρ ὁπόσα διηγήσατο περὶ ἐμοῦ ἀληθῆ ὄντα διηγήσατο· καὶ γὰρ ἐπαίδευσε καὶ συναπεδήμησε καὶ ἐς τοὺς Ἕλληνας ἐνέγραψε, καὶ κατά γε τοῦτο χάριν ἂν εἰδείην τῷ γάμῳ. Δι' ἃς δὲ αἰτίας ἀπολιπὼν αὐτὴν ἐπὶ τουτονὶ τὸν Διάλογον ἐτραπόμην, ἀκούσατε, ὦ ἄνδρες δικασταὶ, καί με μηδὲν τοῦ χρησίμου ἕνεκα ψεύδεσθαι ὑπολάβητε.

31. Ἐγὼ γὰρ ὁρῶν ταύτην οὐκέτι σωφρονοῦσαν οὐδὲ μένουσαν ἐπὶ τοῦ κοσμίου σχήματος, οἷόν ποτε ἐσχηματισμένην αὐτὴν ὁ Παιανιεὺς ἐκεῖνος ἠγάγετο, κοσμουμένην δὲ καὶ τὰς τρίχας εὐθετίζουσαν ἐς τὸ ἑταιρικὸν καὶ φυκίον ἐντριβομένην καὶ τῷ ὀφθαλμῷ ὑπογραφομένην, ὑπώπτευον εὐθὺς καὶ παρεφύλαττον ὅποι τὸν ὀφθαλμὸν φέρει. Καὶ τὰ μὲν ἄλλα ἐῶ· καθ' ἑκάστην δὲ τὴν νύκτα ὁ μὲν στενωπὸς ἡμῶν ἐνεπίμπλατο μεθυόντων ἐραστῶν κωμαζόντων ἐπ' αὐτὴν καὶ κοπτόντων τὴν θύραν, ἐνίων δὲ καὶ ἐσβιάζεσθαι σὺν οὐδενὶ κόσμῳ τολμώντων. Αὐτὴ δὲ ἐγέλα καὶ ἥδετο τοῖς ὁρωμένοις καὶ τὰ πολλὰ ἢ παρέκυπτεν ἀπὸ τοῦ τέγους ᾀδόντων ἀκούουσα τραχείᾳ τῇ φωνῇ ᾠδάς τινας ἑταιρικὰς ἢ καὶ παρανοίγουσα τὰς θύρας ἐμὲ οἰομένη λανθάνειν ἠσέλγαινε καὶ ἐμοιχεύετο πρὸς αὐτῶν· ὅπερ ἐγὼ μὴ φέρων γράψασθαι μὲν αὐτὴν μοιχείας οὐκ ἐδοκίμαζον, ἐν γειτόνων δὲ οἰκοῦντι τῷ Διαλόγῳ προσελθὼν ἠξίουν καταδεχθῆναι ὑπ' αὐτοῦ.

32. Ταῦτά ἐστιν ἃ τὴν Ῥητορικὴν ἐγὼ μεγάλα

neque cum suo isto amasio pacem habere, sed in istum quoque esse contumeliosum.

29. Quidni igitur ingratus sit iste et legibus de mala tractatione teneatur? qui legitimam uxorem, a qua tanta bona acceperit, et per quam sit nobilis, ita ignominiose tamen deseruerit, et novas res appetierit; idque hoc ipso tempore, quum solam me admirantur homines, patronamque suam profitentur. Ego vero tot procis adhuc renitor, et fores pulsantibus nomenque meum magna voce inclamantibus neque aperire volo, neque auscultare: video quippe nihil præter clamorem illos afferre. Iste autem ne sic quidem ad me convertitur, sed ad amasium suum respicit, quid tandem, dii boni, bonum recepturum se ab illo exspectans? quem præter pallium nihil habere videat. Dixi, judices. Vos autem, si mea ratione in causa dicenda uti voluerit, hoc nolite concedere (ingrati enim animi, si meum in me acuat gladium); sed amasii sui modo, Dialogi, sic dicat causam, si potuerit.

MERC. Hoc quidem probabile non est: neque enim fieri potest ut solus ipse causam dicat Dialogi in modum, sed perpetua oratione ipse quoque utatur.

30. SYRUS. Quandoquidem hoc etiam, judices, indigne tulit adversaria, si longa oratione utar, qui ipsam hanc dicendi facultatem ab se habeam; multa quidem apud vos non dicam: capitibus vero ipsis eorum quæ crimini mihi dedit dissolutis, permittam vobis videre de omnibus. Quæcumque nimirum de me narravit, vere narravit omnia. Etenim instituit me, peregrinata est mecum, Græcis me ascripsit, et harum rerum nomine gratias habeo huic illius conjugio. Quas vero ob causas relicta illa ad hunc me Dialogum converterim, audite, judices: neu quicquam utilitatis me meæ causa mentiri cogitaveritis.

31. Ego namque videns istam non amplius temperantem esse, neque in decenti illo habitu permanere, quo usam olim Pæaniensis ille rhetor duxerat; sed ornare se illam et capillos meretricio more disponere, et infucare faciem, et genas pingere; statim suspicabar aliquid, et quo oculum ferret, observabam. Ac reliqua prætermitto: singulis vero noctibus implebatur vicus noster ebriis amatoribus ad illam comissatum euntibus, pulsantibusque fores, quibusdam etiam vi irrumpere sine more modoque audentibus. At illa ridere, et his quæ fierent delectari: ac sæpe aut de tecto despicere, et audire aspera voce canentes amatoria quædam cantica; aut etiam apertis clanculum foribus, me, ut putabat, ignaro, lascivire, et cum illis adulterari: quod ego non ferens, nomen illius de adulterio deferendum non putavi; sed accedens ad habitantem in vicinia Dialogum, recipi ab eo petii.

32. Hæ sunt magnæ illæ, quibus affeci Rhetoricen, in-

ἠδίκηκα. Καίτοι εἰ καὶ μηδὲν αὐτῇ τοιοῦτο ἐπέπρακτο, καλῶς εἶχέ μοι ἀνδρὶ ἤδη τετταράκοντα ἔτη σχεδὸν γεγονότι θορύβων μὲν ἐκείνων καὶ δικῶν ἀπηλλάχθαι καὶ τοὺς ἄνδρας τοὺς δικαστὰς ἀτρεμεῖν ἐᾶν, τυράννων κατηγορίας καὶ ἀριστέων ἐπαίνους ἐκφυγόντα, ἐς δὲ τὴν Ἀκαδήμειαν ἢ ἐς τὸ Λύκειον ἐλθόντα τῷ βελτίστῳ τούτῳ Διαλόγῳ συμπεριπατεῖν ἠρέμα διαλεγομένους, τῶν ἐπαίνων καὶ κρότων οὐ δεομένους. Πολλὰ ἔχων εἰπεῖν ἤδη παύσομαι. Ὑμεῖς δὲ εὔορκον τὴν ψῆφον ἐνέγκατε.

ΔΙΚ. Τίς κρατεῖ;

ΕΡΜ. Πάσαις ὁ Σύρος πλὴν μιᾶς.

ΔΙΚ. Ῥήτωρ τις ἔοικεν εἶναι ὁ τὴν ἐναντίαν θέμενος.

33. Ὁ Διάλογος ἐπὶ τῶν αὐτῶν λέγε. Ὑμεῖς δὲ περιμείνατε διπλάσιον ἀποισόμενοι τὸν μισθὸν ἐπ' ἀμφοτέραις ταῖς δίκαις.

ΔΙΑΛΟΓΟΣ. Ἐγὼ δέ, ὦ ἄνδρες δικασταί, μακροὺς μὲν ἀποτείνειν οὐκ ἂν ἐβουλόμην τοὺς λόγους πρὸς ὑμᾶς, ἀλλὰ κατὰ μικρὸν ὥσπερ εἴωθα. Ὅμως δὲ ὡς νόμος ἐν τοῖς δικαστηρίοις, οὕτω ποιήσομαι τὴν κατηγορίαν ἰδιώτης παντάπασι καὶ ἄτεχνος τῶν τοιούτων ὤν· καί μοι τοῦτο ἔστω πρὸς ὑμᾶς τὸ προοίμιον. Ἃ δὲ ἠδίκημαι καὶ περιὕβρισμαι πρὸς τούτου, ταῦτά ἐστιν, ὅτι με σεμνὸν τέως ὄντα καὶ θεῶν τε πέρι καὶ φύσεως καὶ τῆς τῶν ὅλων περιόδου σκοπούμενον, ὑψηλὸν ἄνω που τῶν νεφῶν ἀεροβατοῦντα, ἔνθα ὁ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων φέρεται, κατασπάσας αὐτὸς ἤδη κατὰ τὴν ἀψῖδα πετόμενον καὶ ἀναβαίνοντα ὑπὲρ τὰ νῶτα τοῦ οὐρανοῦ καὶ τὰ πτερὰ συντρίψας ἰσοδίαιτον τοῖς πολλοῖς ἐποίησε, καὶ τὸ μὲν τραγικὸν ἐκεῖνο καὶ σωφρονικὸν προσωπεῖον ἀφεῖλέ μου, κωμικὸν δὲ καὶ σατυρικὸν ἄλλο ἐπέθηκέ μοι καὶ μικροῦ δεῖν γελοῖον· εἶτά μοι ἐς τὸ αὐτὸ φέρων συγκαθεῖρξε τὸ σκῶμμα καὶ τὸν Ἴαμβον καὶ κυνισμὸν καὶ τὸν Εὔπολιν καὶ τὸν Ἀριστοφάνην, δεινοὺς ἄνδρας ἐπικερτομῆσαι τὰ σεμνὰ καὶ χλευάσαι τὰ ὀρθῶς ἔχοντα, τελευταῖον δὲ καὶ Μένιππόν τινα τῶν παλαιῶν κυνῶν μάλα ὑλακτικὸν ὡς ἔοικεῖ καὶ κάρχαρον ἀνορύξας καὶ τοῦτον ἐπεισήγαγέ μοι φοβερόν τινα ὡς ἀληθῶς κύνα καὶ τὸ δῆγμα λαθραῖον, ὅσῳ καὶ γελῶν ἅμα ἔδακνε. Πῶς οὖν οὐ δεινὰ ὕβρισμαι μηκέτ' ἐπὶ τοῦ οἰκείου σχήματος διαμένων, ἀλλὰ κωμῳδῶν καὶ γελωτοποιῶν καὶ ὑποθέσεις ἀλλοκότους ὑποκρινόμενος αὐτῷ; τὸ γὰρ πάντων ἀτοπώτατον, κρᾶσίν τινα παράδοξον κέκραμαι καὶ οὔτε πεζός εἰμι οὔτ' ἐπὶ τῶν μέτρων βέβηκα, ἀλλὰ ἱπποκενταύρου δίκην σύνθετόν τι καὶ ξένον φάσμα τοῖς ἀκούουσι δοκῶ.

34. ΕΡΜ. Τί οὖν πρὸς ταῦτα ἐρεῖς, ὦ Σύρε;

ΣΥΡ. Ἀπροσδόκητον, ὦ ἄνδρες δικασταί, τὸν ἀγῶνα τοῦτον ἀγωνίζομαι παρ' ὑμῖν· πάντα γοῦν μᾶλλον ἂν ἤλπισα ἢ τὸν Διάλογον τοιαῦτα ἐρεῖν περὶ ἐμοῦ, ὃν παραλαβὼν ἐγὼ σκυθρωπὸν ἔτι τοῖς πολλοῖς δοκοῦντα καὶ ὑπὸ τῶν συνεχῶν ἐρωτήσεων κατεσκληκότα, καὶ διὰ τοῦτο αἰδέσιμον μὲν εἶναι δοκοῦντα, οὐ πάντῃ δὲ

juriæ. Quanquam, si vel nihil ejusmodi ab ea actum esset, decebat me, hominem quadraginta fere annos natum, a tumultibus illis et litibus recedere, et quiescere pati judices; evitatisque tyrannorum accusationibus et laudibus virorum fortium, in Academiam aut Lyceum ingredi, ibique cum optimo hoc Dialogo inambulare, placide disputantes, laudem ac plausum non desiderantes. Multa quum habeam dicere, jam desinam : vos vero religiosum ferte suffragium.

JUST. Quis vincit?

MERC. Omnibus Syrus, præter unum.

JUST. Rhetor videtur esse qui contrarium tulit.

33. Jam tu dic, Dialoge, iisdem judicibus. Vos autem manete, duplicem laturi mercedem de causis ambabus.

DIALOGUS. Ego vero, judices, longam extendere apud vos orationem nolim, sed breviter more meo agere. Tamen, ut in judiciis fert consuetudo, sic accusationem instituam, ignarus licet undique sim talium et rudis. Et hoc mihi sit apud vos exordium. Injuriæ autem et contumeliæ, quibus ab isto sum affectus, hæ fere sunt : quod me gravem ad eum diem, atque de diis, de natura, et universi circuitu disputantem, sublimem, supra nubes incedentem per aera, ubi magnus in cœlo Jupiter volucrem currum agens fertur, detractum inde, quum ad ipsam jam absidem volarem et supra cœli terga pararem escendere, confractis alis, ad vulgi consuetudinem detrusit, et tragica illa decentique persona detracta, aliam comicam satyricamque mihi, ac tantum non ridiculam, imposuit. Deinde in unum collata inclusit mecum jocum mordacem, et iambum, et Cynicam licentiam, et cum Eupolide Aristophanem, homines maxime idoneos ad traducendum quæ sunt severa, ad irridendum quæ recte habent : denique Menippum quendam de antiquis canibus, latrantem valde et asperrimum, ut videtur, effossum ad me introduxit, terribilem vere canem, et occulte mordacem, quatenus ridens etiam mordet. Quidni ergo gravi injuria affectus sim? qui non servem habitum proprium ac domesticum, sed comœdias isti, et ridicularia, et prodigiosa quædam argumenta agere cogar? Quod enim omnium absurdissimum est, mirabili quadam permistione temperatus sum, neque pedestris sum, neque per metra incedo; sed hippocentauri instar, compositum quoddam et peregrinum spectrum audientibus videor.

34. MERC. Quid igitur ad ista, Syre, dices?

SYR. Necopinatum, judices, hoc certamen apud vos subeo : quidvis enim potius de Dialogo sperabam, quam ista de me dicturum : quem ego talem quum accepissem, qui tristis adhuc vulgo videretur, et a perpetuis interrogationibus in ariditatem quandam contractus, eamque ipsam ob causam venerabilis ille quidem, sed non omnino suavis,

ἡδὺν οὐδὲ τοῖς πλήθεσι κεχαρισμένον, πρῶτον μὲν αὐτὸν ἐπὶ γῆς βαίνειν εἴθισα ἐς τὸν ἀνθρώπινον τοῦτον τρόπον, μετὰ δὲ τὸν αὐχμὸν τὸν πολὺν ἀποπλύνας καὶ μειδιᾶν καταναγκάσας ἡδίω τοῖς ὁρῶσι παρεσκεύασα, ἐπὶ πᾶσι δὲ τὴν κωμῳδίαν αὐτῷ παρέζευξα καὶ κατὰ τοῦτο πολλήν οἱ μηχανώμενος τὴν εὔνοιαν παρὰ τῶν ἀκουόντων, οἳ τέως τὰς ἀκάνθας τὰς ἐν αὐτῷ δεδιότες ὥσπερ τὸν ἐχῖνον ἐς τὰς χεῖρας λαβεῖν αὐτὸν ἐφυλάττοντο. Ἀλλ' ἐγὼ οἶδ' ἅπερ μάλιστα λυπεῖ αὐτὸν, ὅτι μὴ τὰ γλίσχρα ἐκεῖνα καὶ λεπτὰ κάθηται πρὸς αὐτὸν σμικρολογούμενος, εἰ ἀθάνατος ἡ ψυχὴ καὶ πόσας κοτύλας ὁ θεὸς, ὁπότε τὸν κόσμον κατεσκευάζετο, τῆς ἀμιγοῦς καὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας ἐνέχεεν ἐς τὸν κρατῆρα ἐν ᾧ τὰ πάντα ἐκεράννυτο, καὶ εἰ ἡ Ῥητορικὴ πολιτικῆς μορίου εἴδωλον, κολακείας τὸ τέταρτον. Χαίρει γὰρ οὐκ οἶδ' ὅπως τὰ τοιαῦτα λεπτολογῶν καθάπερ οἱ τὴν ψώραν ἡδέως κνώμενοι, καὶ τὸ φρόντισμα ἡδὺ αὐτῷ δοκεῖ καὶ μέγα φρονεῖ, ἢν λέγηται ὡς οὐ παντὸς ἀνδρός ἐστι συνιδεῖν ἃ περὶ τῶν ἰδεῶν ὀξυδορκεῖ. Ταῦτα δηλαδὴ καὶ παρ' ἐμοῦ ἀπαιτεῖ καὶ τὰ πτερὰ ἐκεῖνα ζητεῖ καὶ ἄνω βλέπει τὰ πρὸ τοῖν ποδοῖν οὐχ ὁρῶν. Ἐπεὶ τῶν γε ἄλλων ἕνεκα οὐκ ἂν οἶμαι μέμψαιτό μοι, ὡς θοἰμάτιον τοῦτο τὸ Ἑλληνικὸν περισπάσας αὐτοῦ βαρβαρικόν τι μετενέδυσα, καὶ ταῦτα βάρβαρος αὐτὸς εἶναι δοκῶν· ἠδίκουν γὰρ ἂν τὰ τοιαῦτα ἐς αὐτὸν παρανομῶν καὶ τὴν πάτριον ἐσθῆτα λωποδυτῶν. Ἀπολελόγημαι ὡς δυνατὸν ἐμοί· ὑμεῖς δὲ ὁμοίαν τῇ πάλαι τὴν ψῆφον ἐνέγκατε.

35. ΕΡΜ. Βαβαὶ, δέκα ὅλαις κρατεῖς· ὁ γὰρ αὐτὸς ἐκεῖνος ὁ πάλαι οὐδὲ νῦν ὁμόψηφός ἐστι. Ἀμέλει τούτῳ ἔθος ἐστὶ καὶ πᾶσι τὴν τετρυπημένην οὕτω φέρειν, μὴ παύσαιτο φθονῶν τοῖς ἀρίστοις. Ἀλλ' ὑμεῖς μὲν ἄπιτε ἀγαθῇ τύχῃ, αὔριον δὲ τὰς λοιπὰς δικάσομεν.

neque gratiosus multitudini haberetur; primo quidem humi incedere illum hoc humano more consuefecerim; deinde multo illo squalore purgatum, et subridere coactum, jucundiorem reddiderim videntibus: super omnia vero comœdiam illi conjunxi, ea quoque re multam ipsi machinatus ab audientibus benevolentiam, qui ante illum diem spinas quæ in illo sunt veriti, tanquam erinaceum, in manus illum sumere cavebant. Sed novi ego quæ maxime illum male habeant: quod non subtilia ista atque tenuia, assidens, minutim cum illo disputo, utrum immortalis sit anima, et quot sextarios deus, quum mundum faceret, illius incommiscibilis et quæ semper unius modi suique similis est materiæ in illam temperationem, in qua miscebantur omnia, infuderit, et utrum Rhetorice civilitatis particulæ simulacrum sit, quarta pars adulationis. Gaudet enim, nescio quomodo, minutis id genus disputatiunculis, ut illi qui libenter scalpunt scabiem: et illa cura jucunda illi videtur, et vehementer sibi ipse placet, si dicatur non cujusvis esse perspicere quæ ipse acute adeo de ideis cernat. Hæc nimirum a me etiam postulat, et alas illas quærit, ac sursum spectat, non videns interim quæ sunt ante pedes. Nam ceterarum rerum causa nihil puto mihi objiciet, veluti quod hac veste Græca detracta, barbaricam sibi, ipse barbarus quum videar, induissem: injustus enim fuissem, si talia contra leges in ipsum designassem, et patria illum veste spoliassem. Causam dixi, ut potui. Vos vero similem superiori ferte calculum.

35. MERC. Vah, ipsis decem vincis: idem enim ille, qui ante, nunc non est ejusdem sententiæ. Nimirum hujc consuetudo est, pertusum omnibus ferre calculum, ne desinat optimis quibusque invidere. Sed vos quidem discedite nunc feliciter: cras judicabimus reliquas.

XLVIII.

ΠΕΡΙ ΠΑΡΑΣΙΤΟΥ ΗΤΟΙ ΟΤΙ ΤΕΧΝΗ Η ΠΑΡΑΣΙΤΙΚΗ.

1. ΤΥΧΙΑΔΗΣ. Τί ποτε ἄρα, ὦ Σίμων, οἱ μὲν ἄλλοι ἄνθρωποι καὶ ἐλεύθεροι καὶ δοῦλοι τέχνην ἕκαστός τινα ἐπίστανται, δι' ἧς αὐτοῖς τέ εἰσι καὶ ἄλλῳ χρήσιμοι, σὺ δὲ, ὡς ἔοικεν, ἔργον οὐδὲν ἔχεις, δι' οὗ ἄν τι ἢ αὐτὸς ἀπόναιο ἢ ἄλλῳ μεταδοίης;

ΠΑΡΑΣΙΤΟΣ. Πῶς τοῦτο ἐρωτᾷς, ὦ Τυχιάδη, οὐδέπω οἶδα. Πειρῶ δὴ σαφέστερον ἐρωτᾶν.

ΤΥΧ. Ἔστιν ἥντινα τυγχάνεις ἐπιστάμενος τέχνην, εἶον μουσικήν;

ΠΑΡ. Μὰ Δία.

ΤΥΧ. Τί δὲ, ἰατρικήν;

ΠΑΡ. Οὐδὲ ταύτην.

ΤΥΧ. Ἀλλὰ γεωμετρίαν;

XLVIII.

DE PARASITO, SIVE ARTEM ESSE PARASITICAM.

1. TYCHIADES. Quid tandem igitur est, Simo, quod ceteri homines, liberi pariter ac servi, artem unusquisque aliquam norunt, per quam et sibi ipsis sunt et alii utiles; tu vero, ut videtur, opus habes nullum, unde vel ipse juveris, vel alii quicquam impertias?

PARASITUS. Quid sibi hæc tua, Tychiade, interrogatio velit, nondum intelligo. Stude ergo interrogare apertius.

TYCH. Estne ars quam tu forte noris? verbi causa musicam?

PAR. Non, per Jovem.

TYCH. Quid vero, medicinam?

PAR. Neque hanc.

TYCH. Sed geometriam?

ΠΑΡ. Οὐδαμῶς.

ΤΥΧ. Τί δέ, ῥητορικήν; φιλοσοφίας μὲν γὰρ τοσοῦτον ἀπέχεις ὅσον καὶ ἡ κακία.

ΠΑΡ. Ἐγὼ μέν, εἰ οἷόν τε εἴη, καὶ πλεῖον. Ὥστε μὴ δόκει τοῦτο καθάπερ ἀγνοοῦντι ὀνειδίσαι· φημὶ γὰρ κακὸς εἶναι καὶ χείρων ἢ σὺ δοκεῖς.

ΤΥΧ. Ναί. Ἀλλὰ ταύτας μὲν ἴσως τὰς τέχνας οὐκ ἐξέμαθες διὰ μέγεθος αὐτῶν καὶ δυσκολίαν, τῶν δὲ δημοτικῶν τινα, τεκτονικὴν ἢ σκυτοτομικήν; καὶ γὰρ οὐδὲ τἆλλα οὕτως ἔχει σοι, ὡς μὴ καὶ τοιαύτης ἂν δεηθῆναι τέχνης.

ΠΑΡ. Ὀρθῶς λέγεις, ὦ Τυχιάδη· οὐ γὰρ τούτων οὐδεμιᾶς ἐπιστήμων εἰμί.

ΤΥΧ. Τίνος οὖν ἑτέρας;

ΠΑΡ. Τίνος; ὡς ἐγὼ οἶμαι, γενναίας· ἣν εἰ μάθοις, καὶ σὲ ἐπαινέσειν οἶομαι. Ἔργῳ μὲν οὖν κατορθοῦν φημι ἤδη, εἰ δὲ καὶ λόγῳ, οὐκ ἔχω εἰπεῖν.

ΤΥΧ. Τίνα ταύτην;

ΠΑΡ. Οὔπω μοι δοκῶ τοὺς περὶ ταύτην ἐκμεμελετηκέναι λόγους. Ὥστε ὅτι τέχνην μέν τινα ἐπίσταμαι, ὑπάρχει ἤδη σοι γιγνώσκειν καὶ μὴ διὰ τοῦτο χαλεπῶς μοι ἔχειν· ἥντινα δὲ, αὖθις ἀκούσῃ.

ΤΥΧ. Ἀλλ' οὐκ ἀνέξομαι.

ΠΑΡ. Τό γε τῆς τέχνης παράδοξον ἴσως φανεῖται σοι ἀκούσαντι.

ΤΥΧ. Καὶ μὴν διὰ τοῦτο σπουδάζω μαθεῖν.

ΠΑΡ. Εἰσαῦθις, ὦ Τυχιάδη.

ΤΥΧ. Μηδαμῶς, ἀλλ' ἤδη λέγε, εἰ μή περ ἄρα αἰσχύνῃ.

ΠΑΡ. Ἡ παρασιτική.

2. ΤΥΧ. Κἄτα εἰ μὴ μαίνοιτό τις, ὦ Σίμων, τέχνην ταύτην φαίη ἄν;

ΠΑΡ. Ἔγωγε· εἰ δέ σοι μαίνεσθαι δοκῶ, τοῦ μηδεμίαν ἄλλην ἐπίστασθαι τέχνην αἰτίαν εἶναί μοι τὴν μανίαν δόκει καί με τῶν ἐγκλημάτων ἤδη ἀφίει. Φασὶ γὰρ τὴν δαίμονα ταύτην τὰ μὲν ἄλλα χαλεπὴν εἶναι τοῖς ἔχουσι, παραιτεῖσθαι δὲ τῶν ἁμαρτημάτων αὐτοὺς ὥσπερ διδάσκαλον ἢ παιδαγωγὸν τούτων ἀναδεχομένην εἰς αὐτὴν τὰς αἰτίας.

ΤΥΧ. Οὐκοῦν, ὦ Σίμων, ἡ παρασιτικὴ τέχνη ἐστί;

ΠΑΡ. Τέχνη γάρ, κἀγὼ ταύτης δημιουργός.

ΤΥΧ. Καὶ σὺ ἄρα παράσιτος;

ΠΑΡ. Πάνυ ὠνείδισας, ὦ Τυχιάδη.

ΤΥΧ. Ἀλλ' οὐκ ἐρυθριᾷς παράσιτον σαυτὸν ἀποκαλῶν;

ΠΑΡ. Οὐδαμῶς· αἰσχυνοίμην γὰρ ἄν, εἰ μὴ λέγοιμι.

ΤΥΧ. Καὶ νὴ Δί' ὁπόταν σε βουλώμεθα γνωρίζειν τῶν οὐκ ἐπισταμένων τῳ, ἅτε χρῄζοι μαθεῖν, ὁ παράσιτος δῆλον ὅτι φήσομεν;

ΠΑΡ. Πολὺ μᾶλλον λέγοντες τοῦτο ἐμὲ εὐφρανεῖτε ἢ Φειδίαν ἀγαλματοποιόν· χαίρω γὰρ τῇ τέχνῃ οὐδὲν ἧττον ἢ Φειδίας ἔχαιρε τῷ Διΐ.

ΤΥΧ. Καὶ μὴν ἐκεῖνό μοι σκοποῦντι προῶσται γέλως πάμπολυς.

PAR. Nequaquam.

TYCH. Quid igitur? rhetoricen? A philosophia enim tantundem abes, quantum abest pravitas.

PAR. Equidem, si fieri posset, etiam longius vellem. Itaque noli putare te hoc mihi objicere tanquam ignoranti: aio enim malum me esse, et pejorem etiam quam tu putes.

TYCH. Sit ita. Verum has forte artes non didicisti propter magnitudinem ipsarum ac difficultatem: sed popularium unam, fabrilem, aut cerdoniam? neque enim alioquin res tuæ ita habent, ut vel tali arte non indigeas.

PAR. Recte istuc, Tychiade: neque enim harum ullius peritus sum.

TYCH. Cujusnam igitur alius?

PAR. Cujus? præclaræ, ut ego puto; quam si didiceris, te quoque laudaturum arbitror. Re quidem ipsa recte in illa me jam versari aio; an verbis etiam et describendo, non habeo tibi dicere.

TYCH. Quam ergo?

PAR. Nondum videor mihi quæ de ea dicenda sunt satis esse meditatus. Itaque artem me aliquam scire, neque eam ob causam te mihi debere irasci, jam licet cognoscere: quamnam vero, audies alias.

TYCH. Sed non sustinebo moram.

PAR. At novum tibi et mirum forte quiddam videbitur, quum audies, ars ista.

TYCH. Atqui eam ipsam ob causam cupio discere.

PAR. Alias, Tychiade.

TYCH. Nequaquam; sed nunc dicito, nisi tamen pudore impediris.

PAR. Parasitica.

2. TYCH. Tum aliquis, qui non insaniat, hanc, Simo, artem dixerit?

PAR. Ego nimirum. Si vero insanire tibi videar, at tu insaniam illam in causa esse putato, quod aliam nullam artem noverim, et criminibus me jam absolve. Aiunt enim deam illam, Insaniam, gravem ceteroquin esse se habentibus, sed eximere illos criminibus, quorum culpam, magistri aut pædagogi instar, in se recipiat.

TYCH. Igitur, Simo, parasitica ars est?

PAR. Ars quippe: et ego illius artifex.

TYCH. Et tu parasitus ergo?

PAR. Egregie vero maledixisti, Tychiade.

TYCH. Sed non erubescis, quum parasitum te vocas?

PAR. Nequaquam: sed si non ita me vocarem, erubescerem.

TYCH. Et, per Jovem, si designare te velimus eorum alicui, qui te non norunt, isque cupiat nosse; nempe dicemus, Parasitus?

PAR. Multo magis istuc dicentes me lætitia affeceritis, quam Phidiam si vocetis statuarium: non minus enim ego hac arte, quam suo Phidias Jove, gaudeo.

TYCH. Atqui illud mihi consideranti multus erupit risus.

ΠΑΡ. Τὸ ποῖον;

ΤΥΧ. Εἰ καὶ ταῖς ἐπιστολαῖς ἄνωθεν ὥσπερ ἔθος ἐπιγράφοιμεν, Σίμωνι παρασίτῳ.

ΠΑΡ. Καὶ μὴν ἂν ἐμοὶ μᾶλλον χαρίζοιο ἢ Δίωνι ἐπιγράφων φιλοσόφῳ.

3. ΤΥΧ. Ἀλλὰ σὺ μὲν ὅπως χαίρεις καλούμενος, οὐδὲν ἢ μικρόν μοι μέλει· σκοπεῖν δὲ δεῖ καὶ τὴν ἄλλην ἀτοπίαν.

ΠΑΡ. Τίνα μήν;

ΤΥΧ. Εἰ καὶ ταύτην ταῖς ἄλλαις τέχναις ἐγκαταλέξομεν, ὥστε ἐπειδάν πυνθάνηταί τις, ὁποία τις αὕτη τέχνη ἐστί, λέγειν οἷον γραμματικὴ, ἰατρικὴ, παρασιτική.

ΠΑΡ. Ἐγὼ μέν, ὦ Τυχιάδη, πολὺ μᾶλλον ταύτην ἢ τινα ἑτέραν τέχνην φαίην ἄν. Εἰ δέ σοι φίλον ἀκούειν, καὶ ὅπως οἶμαι λέγοιμι ἂν καίπερ οὐ παντάπασιν ὢν, ὡς ἔφθην εἰπὼν, ἐπὶ τούτῳ παρεσκευασμένος.

ΤΥΧ. Οὐδὲν, εἰ καὶ σμικρὰ λέγοις, ἀληθῆ δὲ, διοίσει.

ΠΑΡ. Ἴθι δὴ πρῶτον, εἴ σοι δοκεῖ, περὶ τῆς τέχνης, ἥτις ποτὲ οὖσα τυγχάνει τῷ γένει, σκοπῶμεν· οὕτωσὶ γὰρ ἐπακολουθήσαιμεν ἂν καὶ ταῖς κατ' εἴδος τέχναις, εἴπερ ἄρα ὀρθῶς μετέχοιεν αὐτῆς.

ΤΥΧ. Τί ποτ' οὖν ἐστιν ἡ τέχνη λέγε· πάνυ γὰρ ἐπίστασαι.

ΠΑΡ. Πάνυ μὲν οὖν.

ΤΥΧ. Μὴ τοίνυν ὄκνει λέγειν αὐτὴν, εἴπερ οἶσθα.

4. ΠΑΡ. Τέχνη ἐστὶν, ὡς ἐγὼ διαμνημονεύω σοφοῦ τινος ἀκούσας, σύστημα ἐκ καταλήψεων συγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ.

ΤΥΧ. Ὀρθῶς ἐκείνου γε εἰπόντος οὕτως ἀπεμνημόνευσας.

ΠΑΡ. Εἰ δὲ μετέχει τούτων ἁπάντων ἡ παρασιτικὴ, τί ἂν ἄλλο ἢ καὶ αὐτὴ τέχνη εἴη;

ΤΥΧ. Τέχνη γὰρ, εἴπερ οὕτως ἔχει.

ΠΑΡ. Φέρε δὴ καθ' ἕκαστον τοῖς τῆς τέχνης εἴδεσιν ἐφαρμόζοντες τὴν παρασιτικὴν, εἰ συνάδει, σκοπῶμεν, καὶ ὁ περὶ αὐτῆς λόγος, ἀλλὰ μὴ καθάπερ αἱ πονηραὶ χύτραι διακρουόμεναι μὴ σαθρὸν ἀποφθέγγηται. Δεῖ τοίνυν εἶναι καὶ ταύτην ὥσπερ καὶ πᾶσαν τέχνην σύστημα ἐκ καταλήψεων· πρῶτον μὲν τὸ δοκιμάζειν καὶ διακρίνειν ὅστις ἂν ἐπιτήδειος γένοιτο τρέφειν αὐτὸν, καὶ ὅτῳ παρασιτεῖν ἀρξάμενος οὐκ ἂν μεταγνοίη. Ἡ τὸν μὲν ἀργυρογνώμονα τέχνην τινὰ φήσομεν ἔχειν, εἴπερ ἐπίσταται διαγιγνώσκειν τά τε κίβδηλα τῶν νομισμάτων καὶ τὰ μὴ, τοῦτον δὲ ἄνευ τέχνης διακρίνειν τούς τε κιβδήλους τῶν ἀνθρώπων καὶ τοὺς ἀγαθοὺς, καὶ ταῦτα οὐχ ὥσπερ τῶν νομισμάτων καὶ τῶν ἀνθρώπων φανερῶν εὐθὺς ὄντων; αὐτὰ μέντοι ταῦτα καὶ ὁ σοφὸς Εὐριπίδης καταμέμφεται λέγων·

Ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι.

PAR. Quidnam?

TYCH. Si epistolis etiam in summo, uti mos est, inscribamus, Simoni parasito.

PAR. Atqui gratius hoc modo mihi feceris, quam si Dioni inscribas, philosopho.

3. TYCH. Verum tu quomodo vocari gaudeas, nihil aut parum curo : sed videnda etiam reliqua absurda.

PAR. Quænam vero?

TYCH. Si hanc etiam in reliquarum artium numero ponemus : ut, quum interrogaverit aliquis qualis hæc ars sit, respondeatur (ut dicimus grammatica, ars medica), Parasitica.

PAR. Equidem, Tychiade, multo hanc magis quam ullam aliam artem dixerim. Si vero audire tibi placet, quomodo istud ita putem, dixero, licet non omnino, ut modo dicebam, ad hoc paratus.

TYCH. Nihil interierit etiamsi tenuia dicas, modo vera.

PAR. Age ergo, primum de arte, si tibi videtur, quæ tandem sit genere, videamus. Sic enim assequamur forte etiam artes speciatim, si quidem recte illius participes sint.

TYCH. Quid tandem ergo ars sit, dicas : nam scis videlicet.

PAR. Omnino equidem scio.

TYCH. Noli ergo cunctari eam dicere, siquidem nosti.

4. PAR. Ars, ut memini me ex homine docto audire, est compages perceptionum consentientium et coexercitatarum ad finem vitæ utilem.

TYCH. Recte illius hoc dictum retulisti.

PAR. Si vero omnia hæc conveniant in parasiticam, quid aliud ipsa quoque quam ars sit?

TYCH. Ars enimvero, si quidem res ita se habet.

PAR. Age ergo singulatim artis formis applicantes parasiticam, an conveniat illius etiam ratio, videamus, neque ut vitiosæ quum pulsantur testæ, maligne respondeat. Oportet ergo et hanc, ut unamquamque artem, compagem esse rerum certo perceptarum. Primum quidem est explorare ac discernere quis sit ipsum nutrire idoneus, et cui quum parasitari cœperit, ejus postea non pœniteat ipsum. An numularium potius habere artem quandam dicemus, si dignoscere sciat adulterina numismata ab his quæ non sunt; hunc vero sine arte dignoscere fallaces homines a bonis; idque quum non, velut numi, sic homines etiam aperti statim sint? Verum id ipsum accusat vir sapiens Euripides, quum dicit :

Virum qua pravum possies dignoscere,
innata nulla corpori certa est nota

Ὧ δὴ καὶ μείζων ἡ τοῦ παρασίτου τέχνη, ἥ γε καὶ τὰ οὕτως ἄδηλα καὶ ἀφανῆ μᾶλλον τῆς μαντικῆς γνωρίζει τε καὶ οἶδε.

5. Τὸ δέ γε ἐπίστασθαι λόγους λέγειν ἐπιτηδείους καὶ πράγματα πράττειν δι' ὧν οἰκειώσεται καὶ εὐνούστατον ἑαυτὸν τῷ τρέφοντι ἀποδείξει, ἆρ' οὐ συνέσεως καὶ καταλήψεως ἐρρωμένης εἶναί σοι δοκεῖ;

ΤΥΧ. Καὶ μάλα.

ΠΑΡ. Τὸ δέ γε ἐν ταῖς ἑστιάσεσιν αὐταῖς ὅπως παντὸς ἀπέλθοι πλέον ἔχων καὶ παρευδοκιμῶν τοὺς μὴ τὴν αὐτὴν αὐτῷ κεκτημένους τέχνην, ἄνευ τινὸς λόγου καὶ σοφίας πράττεσθαι οἴει;

ΤΥΧ. Οὐδαμῶς.

ΠΑΡ. Τί δέ, τὸ ἐπίστασθαι τὰς ἀρετὰς καὶ κακίας τῶν σιτίων καὶ τῶν ὄψων πολυπραγμοσύνην ἀτέχνου τινὸς εἶναί σοι δοκεῖ; καὶ ταῦτα τοῦ γενναιοτάτου Πλάτωνος οὕτωσὶ λέγοντος, Τοῦ μέλλοντος ἑστιάσεσθαι μὴ μαγειρικοῦ ὄντος, σκευαζομένης θοίνης ἀκυροτέρα ἡ κρίσις.

6. Ὅτι γε μὴν οὐκ ἐκ καταλήψεως μόνον, ἀλλὰ συγγεγυμνασμένης ἐστὶν ἡ παρασιτικὴ, μάθοις ἂν ἐνθένδε ῥᾳδίως· αἱ μὲν γὰρ τῶν ἄλλων τεχνῶν καταλήψεις καὶ ἡμέρας καὶ νύκτας καὶ μῆνας καὶ ἐνιαυτοὺς πολλάκις ἀσυγγύμναστοι μένουσι, καὶ ὅμως οὐκ ἀπόλλυνται παρὰ τοῖς κεκτημένοις αἱ τέχναι, αἱ δὲ τοῦ παρασίτου καταλήψεις εἰ μὴ καθ' ἡμέραν εἶεν ἐν γυμνασίῳ, ἀπολλύασιν οὐ μόνον, οἶμαι, τὴν τέχνην, ἀλλὰ καὶ αὐτὸν τὸν τεχνίτην.

7. Τό γε μὴν « πρός τι τέλος εὔχρηστον τῷ βίῳ » μὴ καὶ μανίας ᾖ ζητεῖν. Ἐγὼ γὰρ τοῦ φαγεῖν καὶ τοῦ πιεῖν οὐδὲν εὐχρηστότερον εὑρίσκω ἐν τῷ βίῳ ὄν, οὐδὲ ζῆν γε τούτου ἄνευ ἐστί.

ΤΥΧ. Πάνυ μὲν οὖν.

8. ΠΑΡ. Καὶ μὴν οὐδὲ τοιοῦτόν τί ἐστιν ἡ παρασιτικὴ ὁποῖον τὸ κάλλος καὶ ἡ ἰσχὺς, ὥστε τέχνην μὲν μὴ δοκεῖν αὐτὴν, δύναμιν δέ τινα τοιαύτην.

ΤΥΧ. Ἀληθῆ λέγεις.

ΠΑΡ. Ἀλλὰ μέντοι οὐδὲ ἀτεχνία ἐστίν· ἡ γὰρ ἀτεχνία οὐδέποτε οὐδὲν κατορθοῖ τῷ κεκτημένῳ. Φέρε γάρ, εἰ ἐπιτρέψαι τις ἑαυτῷ ναῦν ἐν θαλάττῃ καὶ χειμῶνι μὴ ἐπιστάμενος κυβερνᾶν, σωθείη ἄν;

ΤΥΧ. Οὐ δῆτα οὕτος.

ΠΑΡ. Τί δή ποτε, ἢ τῷ μὴ ἔχειν τέχνην, δι' ἧς δυνήσεται σώζειν ἑαυτόν;

ΤΥΧ. Καὶ μάλα.

ΠΑΡ. Οὐκοῦν καὶ παράσιτος ὑπὸ τῆς παρασιτικῆς, εἴπερ ἦν ἀτεχνία, οὐκ ἂν ἐσώζετο;

ΤΥΧ. Ναί.

ΠΑΡ. Οὐκοῦν τέχνῃ σώζεται, ἀτεχνίᾳ δὲ οὔ;

ΤΥΧ. Πάνυ μὲν οὖν.

ΠΑΡ. Τέχνη ἄρα ἐστὶν ἡ παρασιτική.

ΤΥΧ. Τέχνη, ὡς ἔοικεν.

ΠΑΡ. Καὶ μὴν κυβερνήτας μὲν ἀγαθοὺς καὶ ἡνιόχους τεχνίτας ἐκπεσόντας τῶν δίφρων οἶδα ἐγὼ πολλά-

Unde etiam major est parasiti ars, siquidem ea res obscuras adeo et minime manifestas, magis quam divinatio, intelligit ac novit.

5. Scire vero dicta dicere idonea et ea facere quibus in familiaritatem perveniat et benevolentissimum se alenti ostendat, nonne intelligentiæ et robustæ ad percipiendum facultatis esse tibi videtur?

TYCH. Omnino.

PAR. Ut vero in ipsis cœnis meliori quam quisquam conditione discedat aliquis, et jucundior conviva habeatur illis, qui non eandem quam ipse artem habent, id num sine ratione ac sapientia putas effici?

TYCH. Minime.

PAR. Quid vero? nosse virtutes et vitia ciborum et obsoniorum, curiositatem inertis esse hominis putas? idque quum generosissimus Plato sic dicat : Si is qui epulaturus est, coquinariæ non est peritus, paratæ cœnæ minus firmum judicium.

6. Esse autem non ex perceptione modo, sed etiam ex coexercitata parasiticam, ex his facile discas : nam aliarum perceptiones artium et dies et noctes et menses et annos sæpe sic durant, ut non simul exerceantur; et tamen non pereunt artes apud eos qui ipsas habent : at parasiti perceptiones, si non quotidie sit in sua palæstra, perdunt non solum, puto, artem, sed ipsum etiam artificem.

7. De illo denique, « ad finem vitæ utilem, » verendum ne vel insanum sit quærere. Ego enim nihil in vita utilius invenio quam edere et bibere : ac ne vivere quidem absque illo licet.

TYCH. Sic est sane.

8. PAR. Verum neque ex illo genere est parasitica, qualis forma et robur, ut ars quidem non videatur esse, sed talis quædam facultas.

TYCH. Vera dicis.

PAR. Sed neque inertia est : inertia enim nunquam quicquam recte peragit ei qui illam habet. Age enim, si quis committendam sibi curet in mari ac tempestate navim, gubernandi imperitus, possitne servari?

TYCH. Minime hic quidem.

PAR. Quare tandem, nisi quod non habeat artem qua se servare possit?

TYCH. Sic est.

PAR. Ergo etiam a parasitica non servaretur parasitus, si ea inertia esset?

TYCH. Nempe.

PAR. Ergo arte servatur, inertia autem non?

TYCH. Scilicet.

PAR. Ars igitur est parasitica.

TYCH. Ars, ut apparet.

PAR. Atqui gubernatores quidem bonos, et aurigas artifices sedibus ego novi sæpe excussos, et contusos alios,

χις, καὶ τοὺς μὲν ξυντριβέντας, τοὺς δὲ καὶ πάμπαν διαφθαρέντας, παρασίτου δὲ ναυάγιον οὐδεὶς ἔχει τοιοῦτον εἰπεῖν. Οὐκοῦν εἰ μήτε ἀτεχνία ἐστὶν ἡ παρασιτικὴ μήτε δύναμις, σύστημα δέ τι ἐκ καταλήψεων συγγεγυμνασμένων, τέχνη δῆλον ὅτι διωμολόγηται ἡμῖν τήμερον.

9. ΤΥΧ. Ὅσον ἐκ τούτου εἰκάζω· ἀλλ' ἐκεῖνο σκόπει, ὅπως καὶ ὅρον ἡμῖν τινα γενναῖον ἀποδῷς τῆς παρασιτικῆς.

ΠΑΡ. Ὀρθῶς σύ γε λέγων. Δοκεῖ γὰρ δή μοι οὕτως ἂν μάλιστα ὡρίσθαι· παρασιτική ἐστι τέχνη ποτέων καὶ βρωτέων καὶ τῶν διὰ ταῦτα λεκτέων, τέλος δὲ αὐτῆς τὸ ἡδύ.

ΤΥΧ. Ὑπέρευ γέ μοι δοκεῖς ὁρίσασθαι τὴν σεαυτοῦ τέχνην· ἀλλ' ἐκεῖνο σκόπει, μὴ πρὸς ἐνίους τῶν φιλοσόφων μάχη σοι περὶ τοῦ τέλους ᾖ.

ΠΑΡ. Καὶ μὴν ἀπόχρη γε, εἴπερ ἔσται τὸ αὐτὸ τέλος εὐδαιμονίας καὶ παρασιτικῆς.

10. Φανεῖται δὲ οὕτως· ὁ γὰρ σοφὸς Ὅμηρος τὸν τοῦ παρασίτου βίον θαυμάζων ὡς ἄρα μακάριος καὶ ζηλωτὸς εἴη μόνος,

> Οὐ γὰρ ἔγωγέ τί φημι τέλος χαριέστερον εἶναι,
> ἢ ὅτ' ἂν εὐφροσύνη μὲν ἔχῃ κάτα δῆμον ἅπαντα,
> παρὰ δὲ πλήθωσι τράπεζαι
> σίτου καὶ κρειῶν, μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
> οἰνοχόος φορέῃσι καὶ ἐγχείῃ δεπάεσσι.

Καὶ ὡς οὐχ ἱκανῶς ταῦτα θαυμάζων μᾶλλον τὴν αὐτοῦ γνώμην ποιεῖ φανερωτέραν εὖ λέγων·

> Ταῦτά τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι,

οὐχ ἕτερόν τι ἐξ ὧν φησιν, ἢ τὸ παρασιτεῖν εὐδαιμον νομίζων· καὶ μὴν οὐδὲ τῷ τυχόντι ἀνδρὶ περιτέθεικε τούτους τοὺς λόγους, ἀλλὰ τῷ σοφωτάτῳ τῶν Ἑλλήνων. Καίτοι γε εἴπερ ἐβούλετο Ὀδυσσεὺς τὸ κατὰ τοὺς Στωϊκοὺς ἐπαινεῖν τέλος, ἐδύνατο ταυτὶ λέγειν ὅτε τὸν Φιλοκτήτην ἀνήγαγεν ἐκ τῆς Λήμνου, ὅτε τὸ Ἴλιον ἐξεπόρθησεν, ὅτε τοὺς Ἕλληνας φεύγοντας κατέσχεν, ὅτε εἰς Τροίαν εἰσῆλθεν ἑαυτὸν μαστιγώσας καὶ κακὰ καὶ Στωϊκὰ ῥάκη ἐνδύς· ἀλλὰ τότε οὐκ εἶπε τοῦτο τέλος χαριέστερον. Ἀλλὰ μὴν καὶ ἐν τῷ τῶν Ἐπικουρείων βίῳ γενόμενος αὖθις παρὰ τῇ Καλυψοῖ, ὅτε αὐτῷ ὑπῆρχεν ἐν ἀργίᾳ τε βιοτεύειν καὶ τρυφᾶν καὶ βινεῖν τὴν Ἄτλαντος θυγατέρα καὶ κινεῖν πάσας τὰς λείας κινήσεις, οὐδὲ τότε εἶπε τοῦτο τὸ τέλος χαριέστερον, ἀλλὰ τὸν τῶν παρασίτων βίον. Ἐκαλοῦντο δὲ δαιτυμόνες οἱ παράσιτοι τότε. Πῶς οὖν λέγει; πάλιν γὰρ ἄξιον ἀναμνησθῆναι τῶν ἐπῶν· οὐδὲ γὰρ οἷόν τε ἀκούειν αὐτῶν μὴ πολλάκις λεγομένων· « δαιτυμόνες καθήμενοι ἑξείης· » καὶ,

> Παρὰ δὲ πλήθωσι τράπεζαι
> σίτου καὶ κρειῶν.

11. Ὁ γε μὴν Ἐπίκουρος σφόδρα ἀναισχύντως ὑφελόμενος τὸ τῆς παρασιτικῆς τέλος τῆς κατ' αὐτὸν

alios autem omnino pereuntes; parasiti vero naufragium tale nemo dixerit. Ergo si neque inertia est parasitica, neque facultas, sed corpus quoddam concinnatum e perceptionibus coexercitatis, artem nempe esse inter nos hodie convenit.

9. TYCH. Quantum ex istis colligo. Verum illud vide, ut etiam finitionem nobis solidam reddas parasiticæ.

PAR. Recte tu illud postulas. Videtur enim mihi hoc fere modo rectissime finiri: parasitica est ars esculentorum et poculentorum atque propter ista dicendorum, finis autem ipsius voluptas.

TYCH. Pulcherrime vero definiisse mihi tuam artem videris. Sed illud dispice, ne cum philosophorum quibusdam pugna tibi sit de fine.

PAR. Quin sufficit, modo sit idem finis felicitatis et parasiticæ.

10. Apparebit autem ita: sapiens enim Homerus admirans parasiti vitam, ut quæ beata sit et invidenda sola,

> Non (inquit) finis, mihi crede, exstat jucundior ullus,
> quam si lætitiæ populum tenor occupet omnem,
> si mensa exstructa sit alte
> pane ac carne, merumque cavis crateribus haustum
> circum omnes pincerna ferat, cyathisque ministret.

Et quasi non satis illa esset admiratus, suam ipsius sententiam manifestiorem reddit, bene dicens:

> Nimirum hæc animo pulcherrima judice nostro,

nihil aliud, quantum dicit, beatum putans quam parasitari: ac non vulgari viro illos sermones tribuit, sed sapientissimo Græcorum. Atqui si voluisset Ulysses Stoicum illum finem laudare, poterat ea dicere quum Philocteten reducit e Lemno, quum vastat Ilium, quum fugientes Græcos retinet, quum Trojam ingreditur flagellis a se ipso sectus, malosque et Stoicos indutus pannos: verum eo tempore non dixit hunc « jucundiorem finem. » Quin etiam in Epicureorum vivendi ratione constitutus rursus apud Calypsonem, quum liceret ipsi in otio vivere et luxuriari et subigere Atlantis filiam, et mollibus omnibus moveri motibus, ne tum quidem dixit hunc « finem jucundiorem », sed de parasitorum vita dixit. Vocabantur autem eo tempore parasiti convivæ. Quomodo igitur dicit? rursus enim versus ipsos memorare operæ pretium est: neque enim possunt intelligi, nisi sæpius recitentur; « Convivæque sedent deinceps; » et,

> Mensa exstructa sit alte
> pane et carne.

11. Verum Epicurus valde impudenter suffuratus parasiticæ finem, felicitatis quam ipse statuit finem facit. Hoc

εὐδαιμονίας τέλος αὐτὸ ποιεῖ. Καὶ ὅτι κλοπὴ τὸ πρᾶγμά ἐστι καὶ οὐδὲν Ἐπικούρῳ μέλει τὸ ἡδύ, ἀλλὰ τῷ παρασίτῳ, οὕτω μάθοις ἄν. Ἔγωγε ἡγοῦμαι τὸ ἡδὺ πρῶτον μὲν τὸ τῆς σαρκὸς ἀόχλητον, ἔπειτα τὸ μὴ θορύβου καὶ ταραχῆς τὴν ψυχὴν ἐμπεπλῆσθαι. Τούτων τοίνυν ὁ μὲν παράσιτος ἑκατέρων τυγχάνει, ὁ δὲ Ἐπικούρειος οὐδὲ θατέρου· ὁ γὰρ ζητῶν περὶ σχήματος γῆς καὶ κόσμων ἀπειρίας καὶ μεγέθους ἡλίου καὶ ἀποστημάτων καὶ πρώτων στοιχείων καὶ περὶ θεῶν, εἴτε εἰσὶν εἴτε οὐκ εἰσί, καὶ περὶ αὐτοῦ τοῦ τέλους ἀεὶ πολεμῶν καὶ διαφερόμενος πρός τινας οὐ μόνον ἐν ἀνθρωπίναις, ἀλλὰ καὶ ἐν κοσμικαῖς ἐστιν ἐνοχλήσεσιν. Ὁ δὲ παράσιτος πάντα καλῶς ἔχειν οἰόμενος καὶ πεπιστευκὼς μὴ ἄλλως ταῦτα ἔχειν ἄμεινον ἢ ἔχει, μετὰ πολλῆς ἀδείας καὶ γαλήνης, οὐδενὸς αὐτῷ τοιούτου παρενοχλοῦντος, ἐσθίει καὶ κοιμᾶται ὕπτιος ἀφεικὼς τοὺς πόδας καὶ τὰς χεῖρας ὥσπερ Ὀδυσσεὺς τῆς Σχερίας ἀποπλέων οἴκαδε.

12. Καὶ μὴν οὐχὶ κατὰ ταῦτα μόνον οὐδὲν προσήκει τὸ ἡδὺ τῷ Ἐπικούρῳ, ἀλλὰ καὶ κατ' ἐκεῖνα· ὁ γὰρ Ἐπίκουρος οὗτος, ὅστις ποτέ ἐστιν ὁ σοφὸς, ἤτοι φαγεῖν ἔχει ἢ οὔ· εἰ μὲν οὖν οὐκ ἔχει, οὐχ ὅπως ἡδέως οὐ ζήσεται, ἀλλ' οὐδὲ ζήσεται· εἰ δὲ ἔχει, εἴτε παρ' ἑαυτοῦ εἴτε παρ' ἄλλου· εἰ μὲν οὖν παρ' ἄλλου τὸ φαγεῖν ἔχει, παράσιτός ἐστι καὶ οὐχ ὃς λέγει· εἰ δὲ παρ' ἑαυτοῦ, οὐχ ἡδέως ζήσεται.

ΤΥΧ. Πῶς οὐχ ἡδέως;

ΠΑΡ. Εἰ γὰρ ἔχει τὸ φαγεῖν παρ' ἑαυτοῦ, πολλά τοι, ὦ Τυχιάδη, τῷ τοιούτῳ βίῳ παρακολουθεῖν ἀνάγκη· καὶ ἄθρει πόσα. Δεῖ τὸν μέλλοντα βιώσεσθαι καθ' ἡδονὴν τὰς ἐγγιγνομένας ὀρέξεις ἁπάσας ἀναπληροῦν. Ἤ τί φής;

ΤΥΧ. Κἀμοὶ δοκεῖ.

ΠΑΡ. Οὐκοῦν τῷ μὲν συχνὰ κεκτημένῳ ἴσως τοῦτο παρέχει, τῷ δὲ ὀλίγα καὶ μηδὲν οὐκέτι· ὥστε πένης οὐκ ἂν σοφὸς γένοιτο οὐδὲ ἐφικνοῖτο τοῦ τέλους, λέγω δὴ τοῦ ἡδέος. Ἀλλ' οὐδὲ μὴν πλούσιος, ὁ παρὰ τῆς οὐσίας ἀφθόνως ταῖς ἐπιθυμίαις χορηγῶν, δυνήσεται τοῦδε ἐφικέσθαι. Τί δή ποτε; ὅτι πᾶσα ἀνάγκη τὸν ἀναλίσκοντα τὰ ἑαυτοῦ πολλαῖς περιπίπτειν ἀηδίαις, τοῦτο μὲν τῷ μαγείρῳ κακῶς σκευάσαντι τὸ ὄψον μαχόμενον ἢ εἰ μὴ μάχοιτο φαῦλα παρὰ τοῦτο ἐσθίοντα τὰ ὄψα καὶ τοῦ ἡδέος ὑστεροῦντα, τοῦτο δὲ τῷ οἰκονομοῦντι τὰ κατὰ τὴν οἰκίαν, εἰ μὴ καλῶς οἰκονομοίη, μαχόμενον. Ἤ οὐχ οὕτως;

ΤΥΧ. Νὴ Δία, κἀμοὶ δοκεῖ.

ΠΑΡ. Τῷ μὲν οὖν Ἐπικούρῳ πάντα ξυμβαίνειν εἰκὸς, ὥστε οὐδέποτε τεύξεται τοῦ τέλους· τῷ δὲ παρασίτῳ οὔτε μάγειρός ἐστιν ᾧ χαλεπήναι, οὔτε ἀγρὸς οὔτε οἰκονόμος οὔτε ἀργύρια ὑπὲρ ὧν ἀπολλυμένων ἀχθεσθείη, καὶ πάντα ἔχει, ὥστε καὶ φάγοι καὶ πίοι ἂν μόνος σῦτος, ὑπὸ μηδενὸς, ὧν ἐκείνους ἀνάγκη, ἐνοχλούμενος.

13. Ἀλλ' ὅτι μὲν τέχνη ἐστὶν ἡ παρασιτικὴ, κἀκ

autem esse furtum, neque Epicuro esse voluptatem curæ, sed parasito, sic didiceris. Equidem arbitror, voluptatem primo quidem inesse in corporis a molestia vacuitate; deinde in eo, si tumultus et perturbationis plena non sit anima. Utrumque horum consequitur parasitus; at Epicureus neque alterutrum. Qui enim quærit de figura terræ, de mundis infinitis, de magnitudine solis, de distantiis, de primis elementis, de diis, sintne an non sint, qui de ipso denique bonorum fine semper pugnat et ab aliis dissidet; ille non in humanis modo, sed in mundanis etiam est molestiis. At parasitus, qui bene habere omnia putet, credatque non meliori hæc esse loco posse quam sunt, cum securitate multa et tranquillitate, nulla re tali ipsum interpellante, edit et dormit supinus, pedibus manibusque remissis, ut Ulysses Scheria domum navigans.

12. Quin non hanc solum ob rationem nihil pertinet ad Epicurum voluptas; verum etiam ob ista: Epicurus enim, quicumque demum est ille sapiens, aut habet quod edat, aut non habet: si non habet, tantum abest ut suaviter vivat, ut ne vivat quidem; si vero habet, aut ab se habet, aut ab alio: si ab alio habeat, parasitus est, non, ut ait, philosophus; si vero ab se, non vivet suaviter.

TYCH. Quomodo non suaviter?

PAR. Quia, si cibum ab se habet, multa sane, Tychiade, hanc vitam consequi necesse est. Et vide quot ac quanta. Oportet eum qui suaviter vivere velit, insitas cupiditates omnes explere. Aut quid dicas aliud?

TYCH. Etiam mihi sic videtur.

PAR. Igitur ei qui multa possidet, hoc fortasse suppeditaverit: illi vero qui parum aut nihil, non item. Itaque pauper non fiat sapiens, neque ad finem perveniat, dico autem voluptatem. Imo ne dives quidem, is qui de suis opibus copiose ministrat cupiditatibus, poterit ad illum pervenire. Quid ita? quia necesse est omnino, eum qui sua impendat, in multas incidere injucunditates: cui nunc pugnandum sit cum coquo, si male paravit obsonium, aut, si non pugnet, mala ob hoc obsonia edendum, et voluptate carendum: nunc cum dispensatore rei familiaris, si male dispenset, pugnandum. An non ita est?

TYCH. Per Jovem, mihi quoque sic videtur.

PAR. Ergo Epicuro quidem evenire ista possunt omnia; quo fit ut nunquam consequatur finem: sed parasito neque coquus est cui irascatur, neque ager, neque dispensator, neque pecuniæ, de quibus deperditis gravetur; et habet omnia, ut solus ipse edat ac bibat, earum, quibus isti necessario conflictantur, molestiarum a nulla interpellatus.

13. Verum artem esse parasiticam, tum ex his, tum ex

τούτων καὶ τῶν ἄλλων ἱκανῶς δέδεικται. Λοιπὸν ὅτι καὶ ἀρίστη δεικτέον, καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλὰ πρῶτον μὲν, ὅτι κοινῇ πασῶν διαφέρει τῶν τεχνῶν, εἶτα ὅτι καὶ ἰδίᾳ ἑκάστης. Κοινῇ μὲν οὖν ἁπασῶν οὕτω διαφέρει· πάσης γὰρ τέχνης ἀνάγκη προσάγειν μάθησιν πόνον φόβον πληγὰς, ἅπερ οὐκ ἔστιν ὅστις οὐκ ἂν ἀπεύξαιτο· ταύτην δὲ τὴν τέχνην, ὡς ἔοικε, μόνην ἔξεστι μαθεῖν ἄνευ πόνου. Τίς γὰρ ἀπὸ δείπνου ποτὲ ἀπῆλθε κλάων, ὥσπερ τινὰς ἐκ τῶν διδασκαλείων ὁρῶμεν, τίς δ' ἐπὶ δεῖπνον ἀπιὼν ὤφθη σκυθρωπὸς, ὥσπερ οἱ εἰς διδασκαλεῖα φοιτῶντες; Καὶ μὴν ὁ μὲν παράσιτος ἑκὼν αὐτὸς ἐπὶ δεῖπνον ἔρχεται μάλα ἐπιθυμῶν τῆς τέχνης, οἱ δὲ τὰς ἄλλας τέχνας μανθάνοντες μισοῦσιν αὐτὰς, ὥστε ἔνιοι δι' αὐτὰς ἀποδιδράσκουσι. Τί δὲ, οὐ κἀκεῖνο ἐννοῆσαί σε δεῖ, ὅτι καὶ τοὺς ἐν ἐκείναις ταῖς τέχναις προκόπτοντας οἱ πατέρες καὶ μητέρες τούτοις τιμῶσι μάλιστα, οἷς καθ' ἡμέραν καὶ τὸν παράσιτον; Καλῶς νὴ Δί' ἔγραψεν ὁ παῖς, λέγοντες, δότε αὐτῷ φαγεῖν· Οὐκ ἔγραψεν ὀρθῶς, μὴ δότε. Οὕτω τὸ πρᾶγμα καὶ ἔντιμον καὶ ἐν τιμωρίᾳ μέγα φαίνεται.

14. Καὶ μὴν αἱ ἄλλαι τέχναι τὸ ὕστερον τοῦτο ἔχουσι μετὰ τὸ μαθεῖν καὶ τοὺς καρποὺς ἡδέως ἀπολαμβάνουσι· πολλὴ γὰρ « καὶ ὄρθιος οἶμος ἐς αὐτάς· » ἡ δὲ παρασιτικὴ μόνη τῶν ἄλλων εὐθὺς ἀπολαύει τῆς τέχνης ἐν αὐτῷ τῷ μανθάνειν, καὶ ἅμα τε ἄρχεται καὶ ἐν τῷ τέλει ἐστίν. Καὶ μέντοι τῶν ἄλλων τεχνῶν οὐ τινές, ἀλλὰ πᾶσαι ἐπὶ μόνην τὴν τροφὴν γεγόνασιν, ὁ δὲ παράσιτος εὐθὺς ἔχει τὴν τροφὴν ἅμα τῷ ἄρξασθαι τῆς τέχνης. Ἢ οὐκ ἐννοεῖς ὅτι ὁ μὲν γεωργὸς γεωργεῖ οὐ τοῦ γεωργεῖν ἕνεκα καὶ ὁ τέκτων τεκταίνεται οὐχὶ τοῦ τεκταίνεσθαι ἕνεκα, ὁ δὲ παράσιτος οὐχ ἕτερον μέν τι διώκει, ἀλλὰ τὸ αὐτὸ καὶ ἔργον ἐστὶν αὐτοῦ καὶ οὗ ἕνεκα γίγνεται;

15. Καὶ μὴν ἐκεῖνά γε οὐδείς ἐστιν ὅστις οὐκ ἐπίσταται, ὅτι οἱ μὲν τὰς λοιπὰς τέχνας ἐργαζόμενοι τὸν μὲν ἄλλον χρόνον ταλαιπωροῦσι, μίαν δὲ ἢ δύο μόνας τοῦ μηνὸς ἡμέρας ἱερὰς ἄγουσι, καὶ αἱ πόλεις δὲ τὰς μὲν δι' ἔτους, τὰς δὲ ἐμμήνους ἑορτὰς διατελοῦσι, καὶ εὐφραίνεσθαι λέγονται τότε· ὁ δὲ παράσιτος τοῦ μηνὸς τὰς τριάκονθ' ἡμέρας ἱερὰς ἄγει· πᾶσαι γὰρ αὐτῷ δοκοῦσιν εἶναι τῶν θεῶν.

16. Ἔτι οἱ μὲν βουλόμενοι τὰς ἄλλας τέχνας κατορθοῦν ὀλιγοσιτίαις καὶ ὀλιγοποσίαις χρῶνται καθάπερ οἱ νοσοῦντες, πολυσιτίαις δὲ καὶ πολυποσίαις οὐκ ἔστιν εὐφραινόμενον μανθάνειν.

17. Καὶ αἱ μὲν ἄλλαι τέχναι χωρὶς ὀργάνων οὐδαμῶς τῷ κεκτημένῳ ὑπηρετεῖν δύνανται· οὔτε γὰρ αὐλεῖν ἔνι χωρὶς αὐλῶν οὔτε ψάλλειν ἄνευ λύρας οὔτε ἱππεύειν ἄνευ ἵππου· αὕτη δὲ οὕτως ἐστὶν ἀγαθὴ καὶ οὐ βαρεῖα τῷ τεχνίτῃ, ὥστε ὑπάρχει καὶ μηδὲν ἔχοντι ὅπλον χρῆσθαι αὐτῇ.

18. Καὶ ὡς ἔοικεν ἄλλας τέχνας μανθάνομεν μισθὸν διδόντες, ταύτην δὲ λαμβάνοντες.

19. Ἔτι τῶν μὲν ἄλλων τεχνῶν εἰσι διδάσκαλοί

reliquis satis demonstratum est. Superest ut demonstremus etiam esse optimam; idque non simpliciter, sed primo quidem, communiter artibus omnibus esse præstantiorem; deinde, etiam singulatim unaquaque. Communiter ergo cunctis ita præstat, quod omnis ars necessario adhibet disciplinam, laborem, metum, plagas, quæ nemo est quin abominetur : hanc vero solam, ut videtur, artem discere licet sine labore. Quis enim de cœna unquam discessit plorans, ut quosdam videmus de scholis? quis vero ad cœnam abiens visus est tristis, ut qui scholas frequentant? Quin parasitus sponte sua ipse ad cœnam venit, artis cupidissimus : qui vero artes discunt reliquas, odio eas habent, adeo ut quidam propter eas aufugiant. Quid vero? nonne illud etiam tibi cogitandum est, quod illis in artibus proficientes liberos his maxime rebus patres matresque munerantur, quibus parasitum quotidie? Pulchre per Jovem, inquiunt, scripsit puer; date illi cibum : Non recte scripsit; ne date. Adeo ea res et ad honorem gravis et ad pœnam videtur.

14. Verum ceteræ artes postremum hoc habent post disciplinam, et laboris fructum lubenter recipiunt; multa enim et ardua ad illas via est : parasitica vero sola reliquarum statim ipso disciplinæ tempore sua arte fruitur; et simul, dum incipit, finem etiam suum consequitur. Ac reliquarum artium non quædam modo, sed universæ ad sola alimenta paranda natæ sunt : parasitus autem statim quum incipit artem, alimenta habet. An non cogitas agrum coli ab agricola non agriculturæ causa, et struere fabrum domos non struendi causa : sed parasitus nihil sequitur aliud, verum idem et opus ipsius est, et illud cujus causa suscipitur?

15. Præterea hæc etiam nemo est qui nesciat : reliquis in artibus qui elaborant, per omne tempus ærumnabili labore funguntur præter unum aut duo solos in mense dies quos festos habent; ipsæque civitates alios annuos, alios autem menstruos dies festos obeunt, ac tum exhilarari dicuntur : parasitus vero triginta mensis dies festos agit : omnes enim deorum esse illi videntur.

16. Porro qui in reliquis artibus recte versari volunt, ii pauco cibo et potu pauco utuntur, ægrotorum instar; at copioso cibo potuque multo qui gaudet, is fieri non potest ut discat.

17. Tum reliquæ artes sine instrumentis nullo modo ministrare possunt artifici; neque enim tibiis canere licet sine tibiis, neque psallere sine lyra, neque sine equo equitare : hæc vero ita commoda, ita non gravis artifici, ut etiam nihil armorum habens uti ea possit.

18. Deinde, ut constat, ceteras artes discimus mercede data; hanc accepta.

19. Insuper ceterarum artium quidam sunt magistri; pa-

κεφαλαίῳ τῶν πόνων τὴν εὐδαιμονίαν παραγίγνεσθαι λῆρον οἰηθεὶς τοὺς μὲν ἀγκύλους ἐκείνους λόγους καὶ λαβυρίνθοις ὁμοίους ἀπέφυγε, πρὸς δὲ τὴν Ἡδονὴν ἅσμενος ἑδραπέτευσεν ὥσπερ δεσμά τινα διακόψας τὰς τῶν λόγων πλεκτάνας, ἀνθρώπινα καὶ οὐ βλακώδη φρονήσας καὶ τὸν μὲν πόνον, ὅπερ ἐστί, πονηρὸν, ἡδεῖαν δὲ τὴν ἡδονὴν οἰηθείς, ἀποκλείειν ἐχρῆν αὐτὸν ὥσπερ ἐκ ναυαγίου λιμένι προσνέοντα καὶ γαλήνης ἐπιθυμοῦντα συνωθοῦντας ἐπὶ κεφαλὴν ἐς τὸν πόνον καὶ ἔκδοτον τὸν ἄθλιον παρέχειν ταῖς ἀπορίαις, καὶ ταῦτα ὥσπερ ἱκέτην ἐπὶ τὸν τοῦ ἐλέου βωμὸν ἐπὶ τὴν ἡδονὴν καταφυγόντα, ἵνα τὴν πολυθρύλητον δηλαδὴ ἀρετὴν ἐπὶ τὸ ὄρθιον ἱδρῶτι πολλῷ ἀνελθὼν ἴδῃ κἄτα δι' ὅλου πονήσας τοῦ βίου εὐδαιμονήσῃ μετὰ τὸν βίον; Καίτοι τίς ἂν κριτὴς δικαιότερος δόξειεν αὐτοῦ ἐκείνου, ὃς τὰ παρὰ τῆς Στοᾶς εἰδὼς, εἰ καί τις ἄλλος, καὶ μόνον τέως τὸ καλὸν ἀγαθὸν οἰόμενος εἶναι, μεταμαθὼν ὡς κακὸν ὁ πόνος ἦν, τὸ βέλτιον ἐξ ἀμφοῖν δοκιμασθὲν εἵλετο; Ἑώρα γὰρ, οἶμαι, τούτους περὶ τοῦ καρτερεῖν καὶ ἀνέχεσθαι τοὺς πόνους πολλὰ διεξιόντας, ἰδίᾳ δὲ τὴν Ἡδονὴν θεραπεύοντας, καὶ μέχρι μὲν τοῦ λόγου νεανιευομένους, οἴκοι δὲ κατὰ τοὺς τῆς Ἡδονῆς νόμους βιοῦντας, αἰσχυνομένους μὲν εἰ φανοῦνται γαλῶντες τοῦ τόνου καὶ προδιδόντες τὸ δόγμα, πεπονθότας δὲ ἀθλίους τὸ τοῦ Ταντάλου, καὶ ἔνθα ἂν λήσειν καὶ ἀσφαλῶς παρανομήσειν ἐλπίσωσι, χανδὸν ἐμπιπλαμένους τοῦ ἡδέος. Εἰ γοῦν τις αὐτοῖς τὸν τοῦ Γύγου δακτύλιον ἔδωκεν, ὡς περιθεμένους μὴ ὁρᾶσθαι, ἢ τὴν τοῦ Ἅϊδος κυνῆν, εὖ οἶδ' ὅτι μακρὰ χαίρειν τοῖς πόνοις φράσαντες ἐπὶ τὴν Ἡδονὴν ὠθοῦντο ἂν καὶ ἐμιμοῦντο ἅπαντες τὸν Διονύσιον, ὃς μέχρι μὲν τῆς νόσου ἤλπιζεν ὠφελήσειν τι αὐτὸν τοὺς περὶ τῆς καρτερίας λόγους· ἐπεὶ δὲ ἤλγησε καὶ ἐνόσησε καὶ ὁ πόνος ἀληθέστερος αὐτοῦ καθίκετο, ἰδὼν τὸ σῶμα τὸ ἑαυτοῦ ἀντιφιλοσοφοῦν τῇ Στοᾷ καὶ τἀναντία δογματίζον, αὐτῷ μᾶλλον ἢ τούτοις ἐπίστευσε καὶ ἔγνω ἄνθρωπος ὢν καὶ ἀνθρώπου σῶμα ἔχων, καὶ διετέλεσεν οὐχ ὡς ἀνδριάντι αὐτῷ χρώμενος εἰδὼς ὅτι, ὃς ἂν ἄλλως λέγῃ καὶ ἡδονῆς κατηγορῇ,

λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.

Εἴρηκα· ὑμεῖς δ' ἐπὶ τούτοις ψηφοφορήσατε.

22. ΣΤΟΑ. Μηδαμῶς, ἀλλ' ὀλίγα μοι συνερωτῆσαι ἐπιτρέψατε.

ΕΠΙΚ. Ἐρώτησον· ἀποκρινοῦμαι γάρ.

ΣΤΟΑ. Κακὸν ἡγῇ τὸν πόνον;

ΕΠΙΚ. Ναί.

ΣΤΟΑ. Τὴν ἡδονὴν δὲ ἀγαθόν;

ΕΠΙΚ. Πάνυ μὲν οὖν.

ΣΤΟΑ. Τί δαί; οἶσθα τί διάφορον καὶ ἀδιάφορον καὶ προηγμένον καὶ ἀποπροηγμένον;

ΕΠΙΚ. Μάλιστα.

ΕΡΜ. Οὔ φασιν, ὦ Στοά, συνιέναι οἱ δικασταὶ τὰ δισύλλαβα ταῦτα ἐρωτήματα· ὥστε ἡσυχίαν ἄγετε. Ψηφοφορήσουσι γάρ.

pro summa laborum venire tandem ait felicitatem, nugas esse ratus; evitatis tortuosis illis argumentationibus et labyrinthorum similibus, ad Voluptatem transfugit lubens, rescissis velut vinculis quibusdam illis argumentorum cirris, hominem sapiens, non stipitem; et laborem, id quod est, malum, suavem autem voluptatem arbitratus: huncne excludere oportebat, tanquam ex naufragio adnatantem ad portum et tranquillitatis cupidum, præcipitem impellere in laborem, et deditititum tradere infelicem hominem desperationi, idque quum velut supplex ad misericordiæ aram, sic ad voluptatem confugerit? ut nimirum celebratissimam illam virtutem, per ardua multo sudore enisus, videat, ac deinde tota vita in ærumnis consumta, beatus sit post vitam? Quanquam quis justior judex hoc ipso videri potest, qui eorum quæ a Porticu docentur gnarus si quis alius, et solum quod honestum est idem bonum ad eum diem arbitratus, quum deinde didicisset malum esse laborem, quod ex duobus probaverat melius, illud elegerit? Videbat nempe, arbitror, eos qui de tolerantia et patientia doloris multa disputant, privatim colere Voluptatem, et, dum res in sermonibus esset, gerere se fortiter, domi vero ad Voluptatis leges vivere; atque erubescere quidem si appareat ipsos de contentione remittere et sua prodere decreta, verum Tantali illud supplicium sustinere miseros; et ubi latendi spem habeant et secure leges violandi, pleno se haustu ingurgitare suavibus. Si quis igitur Gygis anulum det istis, quo induti non videantur, aut Orci galeam; bene novi futurum ut longum valere jussis laboribus, ad Voluptatem trudentes alter alterum ferantur, imitati omnes Dionysium: qui ad morbum usque sperabat profuturas sibi aliquid illas de tolerantia disputationes; quum vero doleret atque ægrotaret, veriorque penetraret ad ipsum labor; videns disputare contra Porticum corpus suum, et contrarias sententias ponere, illi potius quam istis credidit, seque hominem esse et hominis habere corpus agnovit, atque perrexit illo non tanquam statua uti, bene gnarus, qui aliter dicat et voluptatem accuset,

Gaudere verbis, mentem habere illic tamen.

Dixi. Vos autem de his ferte suffragia.

22. PORT. Nequaquam: sed pauca interrogare mihi permittite.

EPIC. Interroga; respondebo enim.

PORT. Malum putas laborem?

EPIC. Nempe.

PORT. Voluptatem autem bonum?

EPIC. Omnino equidem.

PORT. Quid igitur? nosti quid sit differens et indifferens, productum et rejectum?

EPIC. Omnino.

MERC. Negant judices intelligere se disyllabas illas interrogatiunculas. Itaque quiescite: ferent enim suffragia.

ΣΤΟΑ. Καὶ μὴν ἐκράτησα ἂν, εἰ συνηρώτησα ἐν τῷ τρίτῳ τῶν ἀναποδείκτων σχήματι.

ΔΙΚ. Τίς ὑπερέσχεν;

ΕΡΜ. Πάσαις ἡ Ἡδονή.

ΣΤΟΑ. Ἐφίημι ἐπὶ τὸν Δία.

ΔΙΚ. Τύχῃ τῇ ἀγαθῇ. Σὺ δὲ ἄλλους κάλει.

23. ΕΡΜ. Περὶ Ἀριστίππου Ἀρετὴ καὶ Τρυφὴ, καὶ Ἀρίστιππος δὲ αὐτὸς παρέστω.

ΑΡΕΤΗ. Προτέραν ἐμὲ χρὴ τὴν Ἀρετὴν λέγειν· ἐμὸς γάρ ἐστιν Ἀρίστιππος, ὡς δηλοῦσιν οἱ λόγοι καὶ τὰ ἔργα.

ΤΡΥΦΗ. Οὐ μὲν οὖν, ἀλλ' ἐμὲ τὴν Τρυφήν· ἐμὸς γὰρ ὁ ἀνὴρ, ὡς ἔστιν ὁρᾶν ἀπὸ τῶν στεφάνων καὶ τῆς πορφυρίδος καὶ τῶν μύρων.

ΔΙΚ. Μὴ φιλονεικεῖτε· ὑπερκείσεται γὰρ καὶ αὕτη ἡ δίκη ἔστ' ἂν ὁ Ζεὺς δικάσῃ περὶ τοῦ Διονυσίου· παραπλήσιον γάρ τι καὶ τοῦτο ἔοικεν εἶναι. Ὥστε ἐὰν μὲν ἡ Ἡδονὴ κρατήσῃ, καὶ τὸν Ἀρίστιππον ἕξει ἡ Τρυφή· νικώσης δὲ τῆς Στοᾶς, καὶ οὗτος ἔσται τῆς Ἀρετῆς κεχριμένος. Ὥστε ἄλλοι παρέστωσαν. Τὸ δεῖνα μέντοι, μὴ λαμβανέτωσαν οὗτοι τὸ δικαστικόν· ἀδίκαστος γὰρ ἡ δίκη μεμένηκεν αὐτοῖς.

ΕΡΜ. Μάτην οὖν ἀνεληλυθότες ὧσι γέροντες ἄνδρες οὕτω μακρὰν τὴν ἀνάβασιν;

ΔΙΚ. Ἱκανὸν, εἰ τριτημόριον λάβοιεν. Ἄπιτε, μὴ ἀγανακτεῖτε, αὖθις δικάσετε.

24. ΕΡΜ. Διογένη Σινωπέα παρεῖναι καιρὸς, καὶ σὺ ἡ Ἀργυραμοιβικὴ λέγε.

ΔΙΟΓΕΝΗΣ. Καὶ μὴν ἄν γε μὴ παύσηται ἐνοχλοῦσα, ὦ Δίκη, οὐκέτι δρασμοῦ δικάσεταί μοι, ἀλλὰ πολλῶν καὶ βαθέων τραυμάτων· ἐγὼ γὰρ αὐτίκα μάλα πατάξω τῷ ξύλῳ.

ΔΙΚ. Τί τοῦτο; πέφευγεν ἡ Ἀργυραμοιβικὴ, ὁ δὲ διώκει ἐπηρμένος τὸ βάκτρον. Οὐ μέτριόν τι κακὸν ἡ ἀθλία ἔοικε λήψεσθαι. Τὸν Πύρρωνα κήρυττε.

25. ΕΡΜ. Ἀλλὰ ἡ μὲν Γραφικὴ πάρεστιν, ὦ Δίκη, ὁ Πύρρων δὲ οὐδὲ τὴν ἀρχὴν ἀνελήλυθε, καὶ ἐῴκει τοῦτο πράξειν.

ΔΙΚ. Διὰ τί, ὦ Ἑρμῆ;

ΕΡΜ. Ὅτι οὐδὲν ἡγεῖται κριτήριον ἀληθὲς εἶναι.

ΔΙΚ. Τοιγαροῦν ἐρήμην αὐτοῦ καταδικασάτωσαν. Τὸν λογογράφον ἤδη κάλει τὸν Σύρον· καίτοι πρώην ἀπηνέχθησαν κατ' αὐτοῦ αἱ γραφαὶ, καὶ οὐδὲν ἤπειγεν ἤδη κεκρίσθαι. Πλὴν ἀλλ' ἐπεὶ ἔδοξε, προτέραν ἐσάγαγε τῆς Ῥητορικῆς τὴν δίκην. Βαβαὶ, ὅσοι συνεληλύθασιν ἐπὶ τὴν ἀκρόασιν.

ΕΡΜ. Εἰκότως, ὦ Δίκη· τό τε γὰρ μὴ ἕωλον εἶναι τὴν κρίσιν, ἀλλὰ καινὴν καὶ ξένην, χθὲς, ὥσπερ ἔφης, ἐπηγγελμένην, καὶ τὸ ἐλπίζειν ἀκούσεσθαι Ῥητορικῆς μὲν καὶ Διαλόγου ἐν τῷ μέρει κατηγορούντων, ἀπολογουμένου δὲ πρὸς ἀμφοτέρους τοῦ Σύρου, τοῦτο πολλοὺς ἐπήγαγε τῷ δικαστηρίῳ. Πλὴν ἀλλὰ ἄρξαι ποτὲ, ὦ Ῥητορικὴ, τῶν λόγων.

26. ΡΗΤΟΡΙΚΗ. Πρῶτον μὲν, ὦ ἄνδρες Ἀθη-

PORT. Verum viceram, si peregissem interrogationes in tertia figura indemonstrabilium.

JUST. Quis superavit?

MERC. Omnibus calculis Voluptas.

PORT. Provoco ad Jovem.

JUST. Quod bene vertat! Tu vero voca alios.

23. MERC. De Aristippo Virtus et Luxuria. Aristippus autem ipse quoque adsit.

VIRTUS. Priorem me oportet dicere, Virtutem: meus enim est Aristippus, ut sermones illius indicant et opera.

LUXURIA. Nequaquam; sed me, Luxuriam: meus enim vir est, ut videre licet e coronis et purpura et unguentis.

JUST. Nolite contendere: differetur enim hæc quoque causa, usquedum Jupiter pronunciet de Dionysio: vicinum enim quiddam etiam hoc esse videtur. Igitur si vicerit Voluptas, etiam Aristippum habebit Luxuria: vincente contra Porticu, etiam hic Virtuti adjudicatus erit. Quare alii jam adsunto. Verum illud, ne capiant hi mercedem: nam non judicata ab illis hæc lis est.

MERC. Nequicquam ergo ascenderint viri senes viam tam longam?

JUST. Satis fuerit si tertiam partem accipiant. Abite: nolite indignari; rursus judicabitis.

24. MERC. Diogenem Sinopensem adesse tempus est. Tu igitur, Mensaria, dic.

DIOGENES. Verum, Justitia, si non desierit mihi molesta esse, non amplius fugæ mihi litem intendet, sed multorum profundorumque vulnerum: ego enim jam statim fuste illam percutiam.

JUST. Quid hoc? fugit Mensaria, ille vero sublato eam baculo persequitur. Non leve malum misera nanciscetur, puto. Pyrrhonem advoca.

25. MERC. Verum Pictoria quidem adest, Justitia: Pyrrho autem ne venit quidem, et sic facturum eum probabile erat.

JUST. Quid ita, Mercuri?

MERC. Quia nullam veram putat esse judicandi normam.

JUST. Itaque desertæ illum litis condemnanto. Librorum scriptorem Syrum jam voca: quanquam nuper demum nomen ipsius delatum est, nec quicquam urgebat eas causas nunc judicari. Verum quando ita visum est, primam agi jube causam Rhetorices. Vah quot convenerunt ad audiendum!

MERC. Neque immerito, Justitia. Quod enim non obsoleta est causa, sed nova et insolens, heri demum, ut dicebas, delata; et quod sperant se audituros Rhetoricen et Dialogum per vices accusantes, causam vero adversus ambos dicentem Syrum: ea res multos allexit ad judicium. Verum incipe tandem orationem, Rhetorice.

26. RHETORICE. Primum quidem, Athenienses, deos

ναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχουσα διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν ἐς τουτονὶ τὸν ἀγῶνα, ἔπειθ' ὅπερ ἐστὶ μάλιστα δίκαιον, τοῦτο παραστῆσαι τοὺς θεοὺς ὑμῖν, τὸν μὲν ἀντίδικον σιωπᾶν κελεύειν, ἐμὲ δὲ, ὡς προῄρημαι καὶ βεβούλημαι, τὴν κατηγορίαν ἐᾶσαι ποιήσασθαι. Οὐχὶ δὲ ταὐτὰ παρίσταταί μοι γιγνώσκειν, ὅταν τε ἐς ἃ πέπονθα ἀποβλέψω καὶ ὅταν ἐς τοὺς λόγους οὓς ἀκούω· τοὺς μὲν γὰρ λόγους ὡς ὁμοιοτάτους τοῖς ἐμοῖς οὓς αὐτὸς ἐρεῖ πρὸς ὑμᾶς, τὰ δὲ πράγματα ἐς τοῦτο προήκοντα ὄψεσθε, ὥστε ὅπως μὴ χεῖρόν τι πείσομαι πρὸς αὐτοῦ σκέψασθαι δέον. Ἀλλὰ γὰρ ἵνα μὴ μακρὰ προοιμιάζωμαι, τοῦ ὕδατος πάλαι εἰκῆ ῥέοντος, ἄρξομαι τῆς κατηγορίας.

27. Ἐγὼ γάρ, ὦ ἄνδρες δικασταὶ, τουτονὶ κομιδῇ μειράκιον ὄντα, βάρβαρον ἔτι τὴν φωνὴν καὶ μονονουχὶ κάνδυν ἐνδεδυκότα ἐς τὸν Ἀσσύριον τρόπον, περὶ τὴν Ἰωνίαν εὑροῦσα πλαζόμενον ἔτι καὶ ὅ τι χρήσαιτο ἑαυτῷ οὐκ εἰδότα παραλαβοῦσα ἐπαίδευσα· καὶ ἐπεὶ ἐδόκει μοι εὐμαθὴς εἶναι καὶ ἀτενὲς ὁρᾶν ἐς ἐμέ — ὑπέπτησσέ τε γὰρ ἔτι τότε καὶ ἐθεράπευε καὶ μόνην ἐθαύμαζεν — ἀπολιποῦσα τοὺς ἄλλους ὁπόσοι ἐμνηστεύοντό με πλούσιοι καὶ καλοὶ καὶ λαμπροὶ τὰ προγονικὰ, τῷ ἀχαρίστῳ τούτῳ ἐμαυτὴν ἐνεγύησα πένητι καὶ ἀφανεῖ καὶ νέῳ προῖκα οὐ μικρὰν ἐπεσενεγκαμένη πολλοὺς καὶ θαυμασίους λόγους· εἶτα ἀγαγοῦσα αὐτὸν ἐς τοὺς φυλέτας τοὺς ἐμοὺς παρενέγραψα καὶ ἀστὸν ἀπέφηνα, ὥστε τοὺς διαμαρτάνοντας τῆς ἐγγύης ἀποπνίγεσθαι. Δόξαν δὲ αὐτῷ περινοστεῖν ἐπιδειξομένῳ τοῦ γάμου τὴν εὐποτμίαν, οὐδὲ τότε ἀπελείφθην, ἀλλὰ πανταχοῦ ἑπομένη, ἄνω καὶ κάτω περιαγομένη καὶ κλεινὸν αὐτὸν καὶ ἀοίδιμον ἐποίουν κατακοσμοῦσα καὶ περιστέλλουσα, καὶ τὰ μὲν ἐπὶ τῆς Ἑλλάδος καὶ τῆς Ἰωνίας μέτρια, ἐς δὲ τὴν Ἰταλίαν ἀποδημῆσαι θελήσαντι αὐτῷ τὸν Ἰόνιον συνδιέπλευσα καὶ τὰ τελευταῖα μέχρι τῆς Κελτικῆς συναπάρασα εὐπορεῖσθαι ἐποίησα. Καὶ μέχρι μὲν πολλοῦ πάντα μοι ἐπείθετο καὶ συνῆν ἀεὶ μηδεμίαν νύκτα ἀπόκοιτος γιγνόμενος παρ' ἡμῶν.

28. Ἐπεὶ δὲ ἱκανῶς ἐπεσιτίσατο καὶ τὰ πρὸς εὐδοξίαν εὖ ἔχειν αὐτῷ ὑπέλαβε, τὰς ὀρρῦς ἐπάρας καὶ μέγα φρονήσας ἐμοῦ μὲν ἠμέλησε, μᾶλλον δὲ τέλεον εἴασεν, αὐτὸς δὲ τὸν γενειήτην ἐκεῖνον, τὸν ἀπὸ τοῦ σχήματος, τὸν Διάλογον, Φιλοσοφίας υἱὸν εἶναι λεγόμενον, ὑπεραγαπήσας μάλα ἐρωτικῶς πρεσβύτερον αὐτοῦ ὄντα, τούτῳ σύνεστι, καὶ οὐκ αἰσχύνεται τὴν μὲν ἐλευθερίαν καὶ τὸ ἄνετον τῶν ἐν ἐμοὶ λόγων συντεμὼν, ἐς μικρὰ δὲ καὶ κομματικὰ ἐρωτήματα καταπλείσας ἑαυτὸν καὶ ἀντὶ τοῦ λέγειν ὅ τι βούλεται μεγάλῃ τῇ φωνῇ βραχεῖς τινας λόγους ἀναπλέκων καὶ συλλαβίζων, ἀφ' ὧν ἀθρόος μὲν ἔπαινος ἢ κρότος πολὺς οὐκ ἂν ἀπαντήσειεν αὐτῷ, μειδίαμα δὲ παρὰ τῶν ἀκουόντων καὶ τὸ ἐπισεῖσαι τὴν χεῖρα ἐντὸς τῶν ὅρων καὶ μικρὰ ἐπινεῦσαι τῇ κεφαλῇ καὶ ἐπιστενάξαι τοῖς λεγομένοις. Τοιούτων ἠράσθη ὁ γενναῖος ἐμοῦ καταφρονήσας. Φασὶ δὲ αὐτὸν μηδὲ πρὸς

deasque precor universos, ut quanta est semperque fuit mea adversus urbem vestram et vos omnes benevolentia, talis a vobis mihi in præsenti certamine tribuatur : deinde, quod justissimum est, eam vobis mentem dare dees, ut adversarium tacere jubeatis, meque, ut in animum induxi atque deliberavi, accusationem peragere patiamini. Non idem autem mihi sentiendum videtur, quum ad ea quæ acciderunt mihi respicio, et quum ad verba, quæ audio. Verba enim quæ ipse apud vos faciet, quam simillima erunt meis; res autem eo pertinere videbitis, ut omnino, ne quod majus detrimentum ab eo capiam, prospiciendum sit. Verum enim vero, ne longo utar exordio, aqua jam dudum temere fluente, accusationem aggrediar.

27. Ego enim, judices, istum admodum adolescentem, lingua adhuc barbarum, et tantum non candye Assyrio more indutum, circa Ioniam oberrantem adhuc et quid se faceret dubium, assumsi atque institui. Et quum docilis mihi videretur esse et intentis me oculis respicere (tum nempe reverebatur me adhuc, et colebat, et solam admirabatur), relictis ceteris quicumque me petebant, divites, et honesti, et claris majoribus, ingrato me isti desponsavi, pauperi, ignobili, juveni, dotem afferens non parvam, multas admirabilesque orationes : deinde ad tribules illum meos deductum, adventitium hominem tabulis inscripsi, et civem feci : adeo ut qui spe nuptiarum mearum exciderant, angerentur. Quum vero illi visum esset circumire ad divites nuptias ostentandas, ne tum quidem destitui : sed ubicumque illum secuta, sursum deorsum circumduci me passa, celebrem illum et nobilem ornando et componendo reddidi. Mediocria vero sunt quæ per Græciam atque Ioniam feci : sed quum per Italiam peregrinari vellet, Ionium cum eo sinum trajeci, et denique in Celticam usque cum illo solvens, eum locupletavi. Ac diu quidem per omnia mihi obsequebatur, eratque mecum, ut ne semel quidem abnoctaret.

28. Quum vero satis sibi jam viaticatus esse et satis gloriæ habere videretur; sublatis superciliis et sumta superbia, me quidem neglexit, vel potius plane deseruit : istum vero barbatum, istum habitu noscendum facile, Dialogum, qui Philosophiæ dicitur filius, supra modum et amatoris instar, se licet seniorem, diligere cœpit, cum hoc habet consuetudinem; neque erubescit libertatem, et illud meis in verbis solutum, concidere, atque in parvas, incisorum instar, interrogatiunculas se ipsum concludere; ac pro eo quod dicere debebat, quicquid vellet, magna voce, breves quosdam sermones contexere, et tanquam colligere syllabas : a quibus conferta quidem laus aut plausus multus illi non redierit; sed illud, ut leniter arrideant auditores, aut manum, intra terminos tamen, moveant, aut paullum capite annuant, aut ad ea quæ dicuntur ingemiscant. Ista adamavit generosus ille, me contemta. Aiunt autem illum

τὸν ἐρώμενον τοῦτον εἰρήνην ἄγειν, ἀλλὰ καὶ ἐς ἐκεῖνον ὑβρίζειν.

29. Πῶς οὖν οὐκ ἀχάριστος οὗτος καὶ ἔνοχος τοῖς περὶ τῆς κακώσεως νόμοις, ὃς τὴν μὲν νόμῳ γαμετὴν, παρ' ἧς τοσαῦτα εἴληφε καὶ δι' ἣν ἔνδοξός ἐστιν, οὕτως ἀτίμως ἀπέλιπε, καινῶν δὲ ὠρέχθη πραγμάτων, καὶ ταῦτα νῦν ὁπότε μόνην ἐμὲ θαυμάζουσι καὶ ἐπιγράφονται ἅπαντες προστάτην ἑαυτῶν; Ἀλλ' ἐγὼ μὲν ἀντέχω τοσούτων μνηστευόντων καὶ κόπτουσιν αὐτοῖς τὴν θύραν καὶ τοὔνομα ἐπιβοωμένοις μεγάλῃ τῇ φωνῇ οὔτε ἀνοίγειν οὔτε ὑπακούειν βούλομαι· ὁρῶ γὰρ αὐτοὺς οὐδὲν πλέον τῆς βοῆς κομίζοντας. Οὗτος δὲ οὐδ' οὕτως ἐπιστρέφεται πρὸς ἐμὲ, ἀλλὰ πρὸς τὸν ἐρώμενον βλέπει, τί, ὦ θεοὶ, χρηστὸν παρ' αὐτοῦ λήψεσθαι προσδοκῶν, ὃν οἶδε τοῦ τρίβωνος οὐδὲν πλέον ἔχοντα; Εἴρηκα, ὦ ἄνδρες δικασταὶ, ὑμεῖς δὲ, ἢν ἐς τὸν ἐμὸν τρόπον τῶν λόγων ἀπολογεῖσθαι θέλῃ, τοῦτο μὲν μὴ ἐπιτρέπετε — ἀγνώμων γὰρ ἐπ' ἐμὲ τὴν ἐμὴν μάχαιραν ἀκονᾶν — κατὰ δὲ τὸν αὐτοῦ ἐρώμενον τὸν Διάλογον οὕτως ἀπολογείσθω, ἢν δύνηται.

ΕΡΜ. Τοῦτο μὲν ἀπίθανον· οὐ γὰρ οἷόν τε, ὦ Ῥητορικὴ, μόνον αὐτὸν ἀπολογεῖσθαι κατὰ τὸ σχῆμα τοῦ Διαλόγου, ἀλλὰ ῥῆσιν καὶ αὐτὸς εἰπάτω.

30. ΣΥΡΟΣ. Ἐπεὶ καὶ τοῦτο, ὦ ἄνδρες δικασταὶ, ἡ ἀντίδικος ἠγανάκτησεν, εἰ μακρῷ χρήσομαι τῷ λόγῳ καὶ αὐτὸ τὸ δύνασθαι λέγειν παρ' ἐκείνης λαβὼν, πολλὰ μὲν οὐκ ἐρῶ πρὸς ὑμᾶς, τὰ κεφάλαια δὲ αὐτὰ ἐπιλυσάμενος τῶν κατηγορηθέντων ὑμῖν ἀπολείψω σκοπεῖν περὶ ἁπάντων· πάντα γὰρ ὁπόσα διηγήσατο περὶ ἐμοῦ ἀληθῆ ὄντα διηγήσατο· καὶ γὰρ ἐπαίδευσε καὶ συναπεδήμησε καὶ ἐς τοὺς Ἕλληνας ἐνέγραψε, καὶ κατά γε τοῦτο χάριν ἂν εἰδείην τῷ γάμῳ. Δι' ἃς δὲ αἰτίας ἀπολιπὼν αὐτὴν ἐπὶ τουτονὶ τὸν Διάλογον ἐτραπόμην, ἀκούσατε, ὦ ἄνδρες δικασταὶ, καί με μηδὲν τοῦ χρησίμου ἕνεκα ψεύδεσθαι ὑπολάβητε.

31. Ἐγὼ γὰρ ὁρῶν ταύτην οὐκέτι σωφρονοῦσαν οὐδὲ μένουσαν ἐπὶ τοῦ κοσμίου σχήματος, οἷόν ποτε ἐσχηματισμένην αὐτὴν ὁ Παιανιεὺς ἐκεῖνος ἠγάγετο, κοσμουμένην δὲ καὶ τὰς τρίχας εὐθετίζουσαν ἐς τὸ ἑταιρικὸν καὶ φυκίον ἐντριβομένην καὶ τῷ ὀφθαλμῷ ὑπογραφομένην, ὑπώπτευον εὐθὺς καὶ παρεφύλαττον ὅποι τὸν ὀφθαλμὸν φέρει. Καὶ τὰ μὲν ἄλλα ἐῶ· καθ' ἑκάστην δὲ τὴν νύκτα ὁ μὲν στενωπὸς ἡμῶν ἐνεπίμπλατο μεθυόντων ἐραστῶν κωμαζόντων ἐπ' αὐτὴν καὶ κοπτόντων τὴν θύραν, ἐνίων δὲ καὶ ἐσβιάζεσθαι σὺν οὐδενὶ κόσμῳ τολμώντων. Αὐτὴ δὲ ἐγέλα καὶ ἥδετο τοῖς δρωμένοις· καὶ τὰ πολλὰ ἡ παρέκυπτεν ἀπὸ τοῦ τέγους ᾀδόντων ἀκούουσα τραχείᾳ τῇ φωνῇ ᾠδάς τινας ἑταιρικὰς ἢ καὶ παρανοίγουσα τὰς θύρας ἐμὲ οἰομένη λανθάνειν ἠσέλγαινε καὶ ἐμοιχεύετο πρὸς αὐτῶν· ὅπερ ἐγὼ μὴ φέρων γράψασθαι μὲν αὐτὴν μοιχείας οὐκ ἐδοκίμαζον, ἐν γειτόνων δὲ οἰκοῦντι τῷ Διαλόγῳ προσελθὼν ἠξίουν καταδεχθῆναι ὑπ' αὐτοῦ.

32. Ταῦτά ἐστιν ἃ τὴν Ῥητορικὴν ἐγὼ μεγάλα

neque cum suo isto amasio pacem habere, sed in istum quoque esse contumeliosum.

29. Quidni igitur ingratus sit iste et legibus de mala tractatione teneatur? qui legitimam uxorem, a qua tanta bona acceperit, et per quam sit nobilis, ita ignominiose tamen deseruerit, et novas res appetierit; idque hoc ipso tempore, quum solam me admirantur homines, patronamque suam profitentur. Ego vero tot procis adhuc renitor, et fores pulsantibus nomenque meum magna voce inclamantibus neque aperire volo, neque auscultare: video quippe nihil præter clamorem illos afferre. Iste autem ne sic quidem ad me convertitur, sed ad amasium suum respicit, quid tandem, dii boni, bonum recepturum se ab illo exspectans? quem præter pallium nihil habere videat. Dixi, judices. Vos autem, si mea ratione in causa dicenda uti voluerit, hoc nolite concedere (ingrati enim animi, si meum in me acuat gladium); sed amasii sui modo, Dialogi, sic dicat causam, si potuerit.

MERC. Hoc quidem probabile non est: neque enim fieri potest ut solus ipse causam dicat Dialogi in modum, sed perpetua oratione ipse quoque utatur.

30. SYRUS. Quandoquidem hoc etiam, judices, indigne tulit adversaria, si longa oratione utar, qui ipsam hanc dicendi facultatem ab se habeam; multa quidem apud vos non dicam: capitibus vero ipsis eorum quæ crimini mihi dedit dissolutis, permittam vobis videre de omnibus. Quæcumque nimirum de me narravit, vere narravit omnia. Etenim instituit me, peregrinata est mecum, Græcis me ascripsit, et harum rerum nomine gratias habeo huic illius conjugio. Quas vero ob causas relicta illa ad hunc me Dialogum converterim, audite, judices: neu quicquam utilitatis me meæ causa mentiri cogitaveritis.

31. Ego namque videns istam non amplius temperantem esse, neque in decenti illo habitu permanere, quo usam olim Pæaniensis ille rhetor duxerat; sed ornare se illam et capillos meretricio more disponere, et infucare faciem, et genas pingere; statim suspicabar aliquid, et quo oculum ferret, observabam. Ac reliqua prætermitto: singulis vero noctibus implebatur vicus noster ebriis amatoribus ad illam comissatum euntibus, pulsantibusque fores, quibusdam etiam vi irrumpere sine more modoque audentibus. At illa ridere, et his quæ fierent delectari: ac sæpe aut de tecto despicere, et audire aspera voce canentes amatoria quædam cantica; aut etiam apertis clanculum foribus, me, ut putabat, ignaro, lascivire, et cum illis adulterari: quod ego non ferens, nomen illius de adulterio deferendum non putavi; sed accedens ad habitantem in vicinia Dialogum, recipi ab eo petii.

32. Hæ sunt magnæ illæ, quibus affeci Rhetoricen, in-

ἠδίκηκα. Καίτοι εἰ καὶ μηδὲν αὐτῇ τοιοῦτο ἐπέπρακτο, καλῶς εἶχέ μοι ἀνδρὶ ἤδη τετταράκοντα ἔτη σχεδὸν γεγονότι θορύβων μὲν ἐκείνων καὶ δικῶν ἀπηλλάχθαι καὶ τοὺς ἄνδρας τοὺς δικαστὰς ἀτρεμεῖν ἐᾶν, τυράννων κατηγορίας καὶ ἀριστέων ἐπαίνους ἐκφυγόντα, ἐς δὲ τὴν Ἀκαδήμειαν ἢ ἐς τὸ Λύκειον ἐλθόντα τῷ βελτίστῳ τούτῳ Διαλόγῳ συμπεριπατεῖν ἡρέμα διαλεγομένους, τῶν ἐπαίνων καὶ κρότων οὐ δεομένους. Πολλὰ ἔχων εἰπεῖν ἤδη παύσομαι. Ὑμεῖς δὲ εὔορκον τὴν ψῆφον ἐνέγκατε.

ΔΙΚ. Τίς κρατεῖ;

ΕΡΜ. Πάσαις ὁ Σύρος πλὴν μιᾶς.

ΔΙΚ. Ῥήτωρ τις ἔοικεν εἶναι ὁ τὴν ἐναντίαν θέμενος.

33. Ὁ Διάλογος ἐπὶ τῶν αὐτῶν λέγε. Ὑμεῖς δὲ περιμείνατε διπλάσιον ἀποισόμενοι τὸν μισθὸν ἐπ' ἀμφοτέραις ταῖς δίκαις.

ΔΙΑΛΟΓΟΣ. Ἐγὼ δέ, ὦ ἄνδρες δικασταί, μακροὺς μὲν ἀποτείνειν οὐκ ἂν ἐβουλόμην τοὺς λόγους πρὸς ὑμᾶς, ἀλλὰ κατὰ μικρὸν ὥσπερ εἴωθα. Ὅμως δὲ ὡς νόμος ἐν τοῖς δικαστηρίοις, οὕτω ποιήσομαι τὴν κατηγορίαν ἰδιώτης παντάπασι καὶ ἄτεχνος τῶν τοιούτων ὤν· καί μοι τοῦτο ἔστω πρὸς ὑμᾶς τὸ προοίμιον. Ἃ δὲ ἠδίκημαι καὶ περιύβρισμαι πρὸς τούτου, ταῦτά ἐστιν, ὅτι με σεμνὸν τέως ὄντα καὶ θεῶν τε πέρι καὶ φύσεως καὶ τῆς τῶν ὅλων περιόδου σκοπούμενον, ὑψηλὸν ἄνω που τῶν νεφῶν ἀεροβατοῦντα, ἔνθα ὁ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων φέρεται, κατασπάσας αὐτὸς ἤδη κατὰ τὴν ἀψῖδα πετόμενον καὶ ἀναβαίνοντα ὑπὲρ τὰ νῶτα τοῦ οὐρανοῦ καὶ τὰ πτερὰ συντρίψας ἰσοδίαιτον τοῖς πολλοῖς ἐποίησε, καὶ τὸ μὲν τραγικὸν ἐκεῖνο καὶ σωφρονικὸν προσωπεῖον ἀφεῖλέ μου, κωμικὸν δὲ καὶ σατυρικὸν ἄλλο ἐπέθηκέ μοι καὶ μικροῦ δεῖν γελοῖον· εἶτά μοι ἐς τὸ αὐτὸ φέρων συγκαθεῖρξε τὸ σκῶμμα καὶ τὸν ἴαμβον καὶ κυνισμὸν καὶ τὸν Εὔπολιν καὶ τὸν Ἀριστοφάνην, δεινοὺς ἄνδρας ἐπικερτομῆσαι τὰ σεμνὰ καὶ χλευάσαι τὰ ὀρθῶς ἔχοντα, τελευταῖον δὲ καὶ Μένιππόν τινα τῶν παλαιῶν κυνῶν μάλα ὑλακτικὸν ὡς ἔοικεῖ καὶ κάρχαρον ἀνορύξας καὶ τοῦτον ἐπεισήγαγέ μοι φοβερόν τινα ὡς ἀληθῶς κύνα καὶ τὸ δῆγμα λαθραῖον, ὅσῳ καὶ γελῶν ἅμα ἔδακνε. Πῶς οὖν οὐ δεινὰ ὕβρισμαι μηκέτ' ἐπὶ τοῦ οἰκείου σχήματος διαμένων, ἀλλὰ κωμῳδῶν καὶ γελωτοποιῶν καὶ ὑποθέσεις ἀλλοκότους ὑποκρινόμενος αὐτῷ; τὸ γὰρ πάντων ἀτοπώτατον, κρᾶσίν τινα παράδοξον κέκραμαι καὶ οὔτε πεζός εἰμι οὔτ' ἐπὶ τῶν μέτρων βέβηκα, ἀλλὰ ἱπποκενταύρου δίκην σύνθετόν τι καὶ ξένον φάσμα τοῖς ἀκούουσι δοκῶ.

34. ΕΡΜ. Τί οὖν πρὸς ταῦτα ἐρεῖς, ὦ Σύρε;

ΣΥΡ. Ἀπροσδόκητον, ὦ ἄνδρες δικασταί, τὸν ἀγῶνα τοῦτον ἀγωνίζομαι παρ' ὑμῖν· πάντα γοῦν μᾶλλον ἂν ἤλπισα ἢ τὸν Διάλογον τοιαῦτα ἐρεῖν περὶ ἐμοῦ, ὃν παραλαβὼν ἐγὼ σκυθρωπὸν ἔτι τοῖς πολλοῖς δοκοῦντα καὶ ὑπὸ τῶν συνεχῶν ἐρωτήσεων κατεσκληκότα, καὶ διὰ τοῦτο αἰδέσιμον μὲν εἶναι δοκοῦντα, οὐ πάντῃ δὲ

juriæ. Quanquam, si vel nihil ejusmodi ab ea actum esset, decebat me, hominem quadraginta fere annos natum, a tumultibus illis et litibus recedere, et quiescere pati judices; evitatisque tyrannorum accusationibus et laudibus virorum fortium, in Academiam aut Lyceum ingredi, ibique cum optimo hoc Dialogo inambulare, placide disputantes, laudem ac plausum non desiderantes. Multa quum habeam dicere, jam desinam : vos vero religiosum ferte suffragium.

JUST. Quis vincit?

MERC. Omnibus Syrus, præter unum.

JUST. Rhetor videtur esse qui contrarium tulit.

33. Jam tu dic, Dialoge, iisdem judicibus. Vos autem manete, duplicem laturi mercedem de causis ambabus.

DIALOGUS. Ego vero, judices, longam extendere apud vos orationem nolim, sed breviter more meo agere. Tamen, ut in judiciis fert consuetudo, sic accusationem instituam, ignarus licet undique sim talium et rudis. Et hoc mihi sit apud vos exordium. Injuriæ autem et contumeliæ, quibus ab isto sum affectus, hæ fere sunt : quod me gravem ad eum diem, atque de diis, de natura, et universi circuitu disputantem, sublimem, supra nubes incedentem per aera, ubi magnus in cœlo Jupiter volucrem currum agens fertur, detractum inde, quum ad ipsam jam absidem volarem et supra cœli terga pararem escendere, confractis alis, ad vulgi consuetudinem detrusit, et tragica illa decentique persona detracta, aliam comicam satyricamque mihi, ac tantum non ridiculam, imposuit. Deinde in unum collata inclusit mecum jocum mordacem, et iambum, et Cynicam licentiam, et cum Eupolide Aristophanem, homines maxime idoneos ad traducendum quæ sunt severa, ad irridendum quæ recte habent : denique Menippum quendam de antiquis canibus, latrantem valde et asperrimum, ut videtur, effossum ad me introduxit, terribilem vere canem, et occulte mordacem, quatenus ridens etiam mordet. Quidni ergo gravi injuria affectus sim? qui non servem habitum proprium ac domesticum, sed comœdias isti, et ridicularia, et prodigiosa quædam argumenta agere cogar? Quod enim omnium absurdissimum est, mirabili quadam permistione temperatus sum, neque pedestris sum, neque per metra incedo; sed hippocentauri instar, compositum quoddam et peregrinum spectrum audientibus videor.

34. MERC. Quid igitur ad ista, Syre, dices?

SYR. Necopinatum, judices, hoc certamen apud vos subeo : quidvis enim potius de Dialogo sperabam, quam ista de me dicturum : quem ego talem quum accepissem, qui tristis adhuc vulgo videretur, et a perpetuis interrogationibus in ariditatem quandam contractus, eamque ipsam ob causam venerabilis ille quidem, sed non omnino suavis,

ἡδὺν οὐδὲ τοῖς πλήθεσι κεχαρισμένον, πρῶτον μὲν αὐτὸν ἐπὶ γῆς βαίνειν εἴθισα ἐς τὸν ἀνθρώπινον τοῦτον τρόπον, μετὰ δὲ τὸν αὐχμὸν τὸν πολὺν ἀποπλύνας καὶ μειδιᾶν καταναγκάσας ἡδίω τοῖς ὁρῶσι παρεσκεύασα, ἐπὶ πᾶσι δὲ τὴν κωμῳδίαν αὐτῷ παρέζευξα καὶ κατὰ τοῦτο πολλὴν οἱ μηχανώμενος τὴν εὔνοιαν παρὰ τῶν ἀκουόντων, οἳ τέως τὰς ἀκάνθας τὰς ἐν αὐτῷ δεδιότες ὥσπερ τὸν ἐχῖνον ἐς τὰς χεῖρας λαβεῖν αὐτὸν ἐφυλάττοντο. Ἀλλ' ἐγὼ οἶδ' ἅπερ μάλιστα λυπεῖ αὐτὸν, ὅτι μὴ τὰ γλίσχρα ἐκεῖνα καὶ λεπτὰ κάθηται πρὸς αὐτὸν σμικρολογούμενος, εἰ ἀθάνατος ἡ ψυχὴ καὶ πόσας κοτύλας ὁ θεὸς, ὁπότε τὸν κόσμον κατεσκευάζετο, τῆς ἀμιγοῦς καὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας ἐνέχεεν ἐς τὸν κρατῆρα ἐν ᾧ τὰ πάντα ἐκεράννυτο, καὶ εἰ ἡ Ῥητορικὴ πολιτικῆς μορίου εἴδωλον, κολακείας τὸ τέταρτον. Χαίρει γὰρ οὐκ οἶδ' ὅπως τὰ τοιαῦτα λεπτολογῶν καθάπερ οἱ τὴν ψώραν ἡδέως κνώμενοι, καὶ τὸ φρόντισμα ἡδὺ αὐτῷ δοκεῖ καὶ μέγα φρονεῖ, ἢν λέγηται ὡς οὐ παντὸς ἀνδρός ἐστι συνιδεῖν ἃ περὶ τῶν ἰδεῶν ὀξυδορκεῖ. Ταῦτα δηλαδὴ καὶ παρ' ἐμοῦ ἀπαιτεῖ καὶ τὰ πτερὰ ἐκεῖνα ζητεῖ καὶ ἄνω βλέπει τὰ πρὸ τοῖν ποδοῖν οὐχ ὁρῶν. Ἐπεὶ τῶν γε ἄλλων ἕνεκα οὐκ ἂν οἶμαι μέμψαιτό μοι, ὡς θοἰμάτιον τοῦτο τὸ Ἑλληνικὸν περισπάσας αὐτῷ βαρβαρικόν τι μετενέδυσα, καὶ ταῦτα βάρβαρος αὐτὸς εἶναι δοκῶν· ἠδίκουν γὰρ ἂν τὰ τοιαῦτα ἐς αὐτὸν παρανομῶν καὶ τὴν πάτριον ἐσθῆτα λωποδυτῶν. Ἀπολελόγημαι ὡς δυνατὸν ἐμοί· ὑμεῖς δὲ ὁμοίαν τῇ πάλαι τὴν ψῆφον ἐνέγκατε.

35. ΕΡΜ. Βαβαί, δέκα ὅλαις κρατεῖς· ὁ γὰρ αὐτὸς ἐκεῖνος ὁ πάλαι οὐδὲ νῦν ὁμόψηφός ἐστι. Ἀμέλει τούτῳ ἔθος ἐστὶ καὶ πᾶσι τὴν τετρυπημένην οὕτω φέρειν, μὴ παύσαιτο φθονῶν τοῖς ἀρίστοις. Ἀλλ' ὑμεῖς μὲν ἅπιτε ἀγαθῇ τύχῃ, αὔριον δὲ τὰς λοιπὰς δικάσομεν.

neque gratiosus multitudini haberetur; primo quidem humi incedere illum hoc humano more consuefecerim; deinde multo illo squalore purgatum, et subridere coactum, jucundiorem reddiderim videntibus: super omnia vero comœdiam illi conjunxi, ea quoque re multam ipsi machinatus ab audientibus benevolentiam, qui ante illum diem spinas quæ in illo sunt veriti, tanquam erinaceum, in manus illum sumere cavebant. Sed novi ego quæ maxime illum male habeant: quod non subtilia ista atque tenuia, assidens, minutim cum illo disputo, utrum immortalis sit anima, et quot sextarios deus, quum mundum faceret, illius incommiscibilis et quæ semper unius modi suique similis est materiæ in illam temperationem, in qua miscebantur omnia, infuderit, et utrum Rhetorice civilitatis particulæ simulacrum sit, quarta pars adulationis. Gaudet enim, nescio quomodo, minutis id genus disputatiunculis, ut illi qui libenter scalpunt scabiem: et illa cura jucunda illi videtur, et vehementer sibi ipse placet, si dicatur non cujusvis esse perspicere quæ ipse acute adeo de ideis cernat. Hæc nimirum a me etiam postulat, et alas illas quærit, ac sursum spectat, non videns interim quæ sunt ante pedes. Nam ceterarum rerum causa nihil puto mihi objiciet, veluti quod hac veste Græca detracta, barbaricam sibi, ipse barbarus quum videar, induissem: injustus enim fuissem, si talia contra leges in ipsum designassem, et patria illum veste spoliassem. Causam dixi, ut potui. Vos vero similem superiori ferte calculum.

35. MERC. Vah, ipsis decem vincis: idem enim ille, qui ante, nunc non est ejusdem sententiæ. Nimirum hujc consuetudo est, pertæsum omnibus ferre calculum, ne desinat optimis quibusque invidere. Sed vos quidem discedite nunc feliciter: cras judicabimus reliquas.

XLVIII.

ΠΕΡΙ ΠΑΡΑΣΙΤΟΥ ΗΤΟΙ ΟΤΙ ΤΕΧΝΗ Η ΠΑΡΑΣΙΤΙΚΗ.

1. ΤΥΧΙΑΔΗΣ. Τί ποτε ἄρα, ὦ Σίμων, οἱ μὲν ἄλλοι ἄνθρωποι καὶ ἐλεύθεροι καὶ δοῦλοι τέχνην ἕκαστός τινα ἐπίστανται, δι' ἧς αὐτοῖς τέ εἰσι καὶ ἄλλῳ χρήσιμοι, σὺ δὲ, ὡς ἔοικεν, ἔργον οὐδὲν ἔχεις, δι' οὗ ἄν τι ἢ αὐτὸς ἀπόναιο ἢ ἄλλῳ μεταδοίης;

ΠΑΡΑΣΙΤΟΣ. Πῶς τοῦτο ἐρωτᾷς, ὦ Τυχιάδη, οὐδέπω οἶδα. Πειρῶ δὴ σαφέστερον ἐρωτᾶν.

ΤΥΧ. Ἔστιν ἥντινα τυγχάνεις ἐπιστάμενος τέχνην, οἷον μουσικήν;

ΠΑΡ. Μὰ Δία.

ΤΥΧ. Τί δὲ, ἰατρικήν;

ΠΑΡ. Οὐδὲ ταύτην.

ΤΥΧ. Ἀλλὰ γεωμετρίαν;

XLVIII.

DE PARASITO, SIVE ARTEM ESSE PARASITICAM.

1. TYCHIADES. Quid tandem igitur est, Simo, quod ceteri homines, liberi pariter ac servi, artem unusquisque aliquam norunt, per quam et sibi ipsis sunt et alii utiles; tu vero, ut videtur, opus habes nullum, unde vel ipse juveris, vel alii quicquam impertias?

PARASITUS. Quid sibi hæc tua, Tychiade, interrogatio velit, nondum intelligo. Stude ergo interrogare apertius.

TYCH. Estne ars quam tu forte noris? verbi causa musicam?

PAR. Non, per Jovem.

TYCH. Quid vero, medicinam?

PAR. Neque hanc.

TYCH. Sed geometriam?

ΠΑΡ. Οὐδαμῶς.

ΤΥΧ. Τί δὲ, ῥητορικήν; φιλοσοφίας μὲν γὰρ τοσοῦτον ἀπέχεις ὅσον καὶ ἡ κακία.

ΠΑΡ. Ἐγὼ μὲν, εἰ οἷόν τε εἴη, καὶ πλεῖον. Ὥστε μὴ δόκει τοῦτο καθάπερ ἀγνοοῦντι ὀνειδίσαι· φημὶ γὰρ κακὸς εἶναι καὶ χείρων ἢ σὺ δοκεῖς.

ΤΥΧ. Ναί. Ἀλλὰ ταύτας μὲν ἴσως τὰς τέχνας οὐκ ἐξέμαθες διὰ μέγεθος αὐτῶν καὶ δυσκολίαν, τῶν δὲ δημοτικῶν τινα, τεκτονικὴν ἢ σκυτοτομικήν; καὶ γὰρ οὐδὲ τἆλλα οὕτως ἔχει σοι, ὡς μὴ καὶ τοιαύτης ἂν δεηθῆναι τέχνης.

ΠΑΡ. Ὀρθῶς λέγεις, ὦ Τυχιάδη· οὐ γὰρ τούτων οὐδεμιᾶς ἐπιστήμων εἰμί.

ΤΥΧ. Τίνος οὖν ἑτέρας;

ΠΑΡ. Τίνος; ὡς ἐγὼ οἶμαι, γενναίας· ἣν εἰ μάθοις, καὶ σὲ ἐπαινέσειν οἶομαι. Ἔργῳ μὲν οὖν κατορθοῦν φημι ἤδη, εἰ δὲ καὶ λόγῳ, οὐκ ἔχω εἰπεῖν.

ΤΥΧ. Τίνα ταύτην;

ΠΑΡ. Οὔπω μοι δοκῶ τοὺς περὶ ταύτην ἐκμεμελετηκέναι λόγους. Ὥστε ὅτι τέχνην μέν τινα ἐπίσταμαι, ὑπάρχει ἤδη σοι γιγνώσκειν καὶ μὴ διὰ τοῦτο χαλεπῶς μοι ἔχειν· ἥντινα δὲ, αὖθις ἀκούσῃ.

ΤΥΧ. Ἀλλ' οὐκ ἀνέξομαι.

ΠΑΡ. Τό γε τῆς τέχνης παράδοξον ἴσως φανεῖται σοι ἀκούσαντι.

ΤΥΧ. Καὶ μὴν διὰ τοῦτο σπουδάζω μαθεῖν.

ΠΑΡ. Εἰσαῦθις, ὦ Τυχιάδη.

ΤΥΧ. Μηδαμῶς, ἀλλ' ἤδη λέγε, εἰ μή περ ἄρα αἰσχύνῃ.

ΠΑΡ. Ἡ παρασιτική.

2. ΤΥΧ. Κἆτα εἰ μή μαίνοιτό τις, ὦ Σίμων, τέχνην ταύτην φαίη ἄν;

ΠΑΡ. Ἔγωγε· εἰ δέ σοι μαίνεσθαι δοκῶ, τοῦ μηδεμίαν ἄλλην ἐπίστασθαι τέχνην αἰτίαν εἶναί μοι τὴν μανίαν δόκει καί με τῶν ἐγκλημάτων ἤδη ἀφίει. Φασὶ γὰρ τὴν δαίμονα ταύτην τὰ μὲν ἄλλα χαλεπὴν εἶναι τοῖς ἔχουσι, παραιτεῖσθαι δὲ τῶν ἁμαρτημάτων αὐτοὺς ὥσπερ διδάσκαλον ἢ παιδαγωγὸν τούτων ἀναδεχομένην εἰς αὐτὴν τὰς αἰτίας.

ΤΥΧ. Οὐκοῦν, ὦ Σίμων, ἡ παρασιτικὴ τέχνη ἐστί;

ΠΑΡ. Τέχνη γάρ, κἀγὼ ταύτης δημιουργός.

ΤΥΧ. Καὶ σὺ ἄρα παράσιτος;

ΠΑΡ. Πάνυ ὠνείδισας, ὦ Τυχιάδη.

ΤΥΧ. Ἀλλ' οὐκ ἐρυθριᾷς παράσιταν σαυτὸν ἀποκαλῶν;

ΠΑΡ. Οὐδαμῶς· αἰσχυνοίμην γὰρ ἄν, εἰ μὴ λέγοιμι.

ΤΥΧ. Καὶ νὴ Δί' ὁπόταν σε βουλώμεθα γνωρίζειν τῶν οὐκ ἐπισταμένων τῳ, ὅτε χρήζοι μαθεῖν, ὁ παράσιτος δῆλον ὅτι φήσομεν;

ΠΑΡ. Πολὺ μᾶλλον λέγοντες τοῦτο ἐμὲ εὐφρανεῖτε ἢ Φειδίαν ἀγαλματοποιόν· χαίρω γὰρ τῇ τέχνῃ οὐδὲν ἧττον ἢ Φειδίας ἔχαιρε τῷ Διί.

ΤΥΧ. Καὶ μὴν ἐκεῖνό μοι σκοποῦντι προῶσταί γέλως πάμπολυς.

PAR. Nequaquam.

TYCH. Quid igitur? rhetoricen? A philosophia enim tantundem abes, quantum abest pravitas.

PAR. Equidem, si fieri posset, etiam longius vellem. Itaque noli putare te hoc mihi objicere tanquam ignoranti: aio enim malum me esse, et pejorem etiam quam tu putes.

TYCH. Sit ita. Verum has forte artes non didicisti propter magnitudinem ipsarum ac difficultatem: sed popularium unam, fabrilem, aut cerdoniam? neque enim alioquin res tuæ ita habent, ut vel tali arte non indigeas.

PAR. Recte istuc, Tychiade: neque enim harum ullius peritus sum.

TYCH. Cujusnam igitur alius?

PAR. Cujus? præclaræ, ut ego puto; quam si didiceris, te quoque laudaturum arbitror. Re quidem ipsa recte in illa me jam versari aio; an verbis etiam et describendo, non habeo tibi dicere.

TYCH. Quam ergo?

PAR. Nondum videor mihi quæ de ea dicenda sunt satis esse meditatus. Itaque artem me aliquam scire, neque eam ob causam te mihi debere irasci, jam licet cognoscere: quamnam vero, audies alias.

TYCH. Sed non sustinebo moram.

PAR. At novum tibi et mirum forte quiddam videbitur, quum audies, ars ista.

TYCH. Atqui eam ipsam ob causam cupio discere.

PAR. Alias, Tychiade.

TYCH. Nequaquam; sed nunc dicito, nisi tamen pudore impediris.

PAR. Parasitica.

2. TYCH. Tum aliquis, qui non insaniat, hanc, Simo, artem dixerit?

PAR. Ego nimirum. Si vero insanire tibi videar, at tu insaniam illam in causa esse putato, quod aliam nullam artem noverim, et criminibus me jam absolve. Aiunt enim deam illam, Insaniam, gravem ceteroquin esse se habentibus, sed eximere illos criminibus, quorum culpam, magistri aut pædagogi instar, in se recipiat.

TYCH. Igitur, Simo, parasitica ars est?

PAR. Ars quippe: et ego illius artifex.

TYCH. Et tu parasitus ergo?

PAR. Egregie vero maledixisti, Tychiade.

TYCH. Sed non erubescis, quum parasitum te vocas?

PAR. Nequaquam: sed si non ita me vocarem, erubescerem.

TYCH. Et, per Jovem, si designare te velimus eorum alicui, qui te non norunt, isque cupiat nosse; nempe dicemus, Parasitus?

PAR. Multo magis istuc dicentes me lætitia affeceritis, quam Phidiam si vocetis statuarium: non minus enim ego hac arte, quam suo Phidias Jove, gaudeo.

TYCH. Atqui illud mihi consideranti multus erupit risus.

ΠΑΡ. Τὸ ποῖον;

ΤΥΧ. Εἰ καὶ ταῖς ἐπιστολαῖς ἄνωθεν ὥσπερ ἔθος ἐπιγράφοιμεν, Σίμωνι παρασίτῳ.

ΠΑΡ. Καὶ μὴν ἂν ἐμοὶ μᾶλλον χαρίζοιο ἢ Δίωνι ἐπιγράφων φιλοσόφῳ.

3. ΤΥΧ. Ἀλλὰ σὺ μὲν ὅπως χαίρεις καλούμενος, οὐδὲν ἢ μικρόν μοι μέλει· σκοπεῖν δὲ δεῖ καὶ τὴν ἄλλην ἀτοπίαν.

ΠΑΡ. Τίνα μήν;

ΤΥΧ. Εἰ καὶ ταύτην ταῖς ἄλλαις τέχναις ἐγκαταλέξομεν, ὥστε ἐπειδὰν πυνθάνηταί τις, ὁποία τις αὕτη τέχνη ἐστὶ, λέγειν οἷον γραμματικὴ, ἰατρικὴ, παρασιτική.

ΠΑΡ. Ἐγὼ μέν, ὦ Τυχιάδη, πολὺ μᾶλλον ταύτην ἢ τινα ἑτέραν τέχνην φαίην ἄν. Εἰ δέ σοι φίλον ἀκούειν, καὶ ὅπως οἶομαι λέγοιμι ἂν καίπερ οὐ παντάπασιν ὢν, ὡς ἔφθην εἰπὼν, ἐπὶ τούτῳ παρεσκευασμένος.

ΤΥΧ. Οὐδὲν, εἰ καὶ σμικρὰ λέγοις, ἀληθῆ δὲ, διοίσει.

ΠΑΡ. Ἴθι δὴ πρῶτον, εἴ σοι δοκεῖ, περὶ τῆς τέχνης, ἥτις ποτὲ οὖσα τυγχάνει τῷ γένει, σκοπῶμεν· οὕτωσι γὰρ ἐπακολουθήσαιμεν ἂν καὶ ταῖς κατ' εἶδος τέχναις, εἴπερ ἄρα ὀρθῶς μετέχοιεν αὐτῆς.

ΤΥΧ. Τί ποτ' οὖν ἐστιν ἡ τέχνη λέγε· πάνυ γὰρ ἐπίστασαι.

ΠΑΡ. Πάνυ μὲν οὖν.

ΤΥΧ. Μὴ τοίνυν ὄκνει λέγειν αὐτὴν, εἴπερ οἶσθα.

4. ΠΑΡ. Τέχνη ἐστὶν, ὡς ἐγὼ διαμνημονεύω σοφοῦ τινος ἀκούσας, σύστημα ἐκ καταλήψεων συγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ.

ΤΥΧ. Ὀρθῶς ἐκείνου γε εἰπόντος οὕτως ἀπεμνημόνευσας.

ΠΑΡ. Εἰ δὲ μετέχει τούτων ἁπάντων ἡ παρασιτικὴ, τί ἂν ἄλλο ἢ καὶ αὐτὴ τέχνη εἴη;

ΤΥΧ. Τέχνη γὰρ, εἴπερ οὕτως ἔχει.

ΠΑΡ. Φέρε δὴ καθ' ἕκαστον τοῖς τῆς τέχνης εἴδεσιν ἐφαρμόζοντες τὴν παρασιτικὴν, εἰ συνάδει, σκοπῶμεν, καὶ ὁ περὶ αὐτῆς λόγος, ἀλλὰ μὴ καθάπερ αἱ πονηραὶ χύτραι διακρουόμεναι μὴ σαθρὸν ἀποφθέγγηται. Δεῖ τοίνυν εἶναι καὶ ταύτην ὥσπερ καὶ πᾶσαν τέχνην σύστημα ἐκ καταλήψεων· πρῶτον μὲν τὸ δοκιμάζειν καὶ διακρίνειν ὅστις ἂν ἐπιτήδειος γένοιτο τρέφειν αὐτὸν, καὶ ὅτῳ παρασιτεῖν ἀρξάμενος οὐκ ἂν μεταγνοίη. Ἡ τὸν μὲν ἀργυρογνώμονα τέχνην τινὰ φήσομεν ἔχειν, εἴπερ ἐπίσταται διαγιγνώσκειν τά τε κίβδηλα τῶν νομισμάτων καὶ τὰ μὴ, τοῦτον δὲ ἄνευ τέχνης διακρίνειν τούς τε κιβδήλους τῶν ἀνθρώπων καὶ τοὺς ἀγαθοὺς, καὶ ταῦτα οὐχ ὥσπερ τῶν νομισμάτων καὶ τῶν ἀνθρώπων φανερῶν εὐθὺς ὄντων; αὐτὰ μέντοι ταῦτα καὶ ὁ σοφὸς Εὐριπίδης καταμέμφεται λέγων·

Ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι.

PAR. Quidnam?

TYCH. Si epistolis etiam in summo, uti mos est, inscribamus, Simoni parasito.

PAR. Atqui gratius hoc modo mihi feceris, quam si Dioni inscribas, philosopho.

3. TYCH. Verum tu quomodo vocari gaudeas, nihil aut parum curo: sed videnda etiam reliqua absurda.

PAR. Quænam vero?

TYCH. Si hanc etiam in reliquarum artium numero ponemus: ut, quum interrogaverit aliquis qualis hæc ars sit, respondeatur (ut dicimus grammatica, ars medica), Parasitica.

PAR. Equidem, Tychiade, multo hanc magis quam ullam aliam artem dixerim. Si vero audire tibi placet, quomodo istud ita putem, dixero, licet non omnino, ut modo dicebam, ad hoc paratus.

TYCH. Nihil intererit etiamsi tenuia dicas, modo vera.

PAR. Age ergo, primum de arte, si tibi videtur, quæ tandem sit genere, videamus. Sic enim assequamur forte etiam artes speciatim, si quidem recte illius participes sint.

TYCH. Quid tandem ergo ars sit, dicas: nam scis videlicet.

PAR. Omnino equidem scio.

TYCH. Noli ergo cunctari eam dicere, siquidem nosti.

4. PAR. Ars, ut memini me ex homine docto audire, est compages perceptionum consentientium et coexercitatarum ad finem vitæ utilem.

TYCH. Recte illius hoc dictum retulisti.

PAR. Si vero omnia hæc conveniant in parasiticam, quid aliud ipsa quoque quam ars sit?

TYCH. Ars enimvero, si quidem res ita se habet.

PAR. Age ergo singulatim artis formis applicantes parasiticam, an conveniat illius etiam ratio, videamus, neque ut vitiosæ quum pulsantur testæ, maligne respondeat. Oportet ergo et hanc, ut unamquamque artem, compagem esse rerum certo perceptarum. Primum quidem est explorare ac discernere quis sit ipsum nutrire idoneus, et cui quum parasitari cœperit, ejus postea non pœniteat ipsum. An numularium potius habere artem quandam dicemus, si dignoscere sciat adulterina numismata ab his quæ non sunt; hunc vero sine arte dignoscere fallaces homines a bonis; idque quum non, velut numi, sic homines etiam aperti statim sint? Verum id ipsum accusat vir sapiens Euripides, quum dicit:

Virum qua pravum possies dignoscere,
innata nulla corpori certa est nota

Ὦ δὴ καὶ μείζων ἡ τοῦ παρασίτου τέχνη, ἥ γε καὶ τὰ οὕτως ἄδηλα καὶ ἀφανῆ μᾶλλον τῆς μαντικῆς γνωρίζει τε καὶ οἶδε.

5. Τὸ δέ γε ἐπίστασθαι λόγους λέγειν ἐπιτηδείους καὶ πράγματα πράττειν δι' ὧν οἰκειώσεται καὶ εὐνούστατον ἑαυτὸν τῷ τρέφοντι ἀποδείξει, ἆρ' οὐ συνέσεως καὶ καταλήψεως ἐρρωμένης εἶναί σοι δοκεῖ;

ΤΥΧ. Καὶ μάλα.

ΠΑΡ. Τὸ δέ γε ἐν ταῖς ἑστιάσεσιν αὐταῖς ὅπως παντὸς ἀπέλθοι πλέον ἔχων καὶ παρευδοκιμῶν τοὺς μὴ τὴν αὐτὴν αὐτῷ κεκτημένους τέχνην, ἄνευ τινὸς λόγου καὶ σοφίας πράττεσθαι οἴει;

ΤΥΧ. Οὐδαμῶς.

ΠΑΡ. Τί δὲ, τὸ ἐπίστασθαι τὰς ἀρετὰς καὶ κακίας τῶν σιτίων καὶ τῶν ὄψων πολυπραγμοσύνην ἀτέχνου τινὸς εἶναί σοι δοκεῖ; καὶ ταῦτα τοῦ γενναιοτάτου Πλάτωνος οὕτωσὶ λέγοντος, Τοῦ μέλλοντος ἑστιάσεσθαι μὴ μαγειρικοῦ ὄντος, σκευαζομένης θοίνης ἀκυροτέρα ἡ κρίσις.

6. Ὅτι γε μὴν οὐκ ἐκ καταλήψεως μόνον, ἀλλὰ συγγεγυμνασμένης ἐστὶν ἡ παρασιτικὴ, μάθοις ἂν ἐνθένδε ῥᾳδίως· αἱ μὲν γὰρ τῶν ἄλλων τεχνῶν καταλήψεις καὶ ἡμέρας καὶ νύκτας καὶ μῆνας καὶ ἐνιαυτοὺς πολλάκις ἀσυγγύμναστοι μένουσι, καὶ ὅμως οὐκ ἀπόλλυνται παρὰ τοῖς κεκτημένοις αἱ τέχναι, αἱ δὲ τοῦ παρασίτου καταλήψεις εἰ μὴ καθ' ἡμέραν εἶεν ἐν γυμνασίῳ, ἀπολλύασιν οὐ μόνον, οἶμαι, τὴν τέχνην, ἀλλὰ καὶ αὐτὸν τὸν τεχνίτην.

7. Τό γε μὴν « πρός τι τέλος εὔχρηστον τῷ βίῳ » μὴ καὶ μανίας ᾖ ζητεῖν. Ἐγὼ γὰρ τοῦ φαγεῖν καὶ τοῦ πιεῖν οὐδὲν εὐχρηστότερον εὑρίσκω ἐν τῷ βίῳ ὄν, οὐδὲ ζῆν γε τούτου ἄνευ ἐστί.

ΤΥΧ. Πάνυ μὲν οὖν.

8. ΠΑΡ. Καὶ μὴν οὐδὲ τοιοῦτόν τί ἐστιν ἡ παρασιτικὴ ὁποῖον τὸ κάλλος καὶ ἡ ἰσχὺς, ὥστε τέχνην μὲν μὴ δοκεῖν αὐτὴν, δύναμιν δέ τινα τοιαύτην.

ΤΥΧ. Ἀληθῆ λέγεις.

ΠΑΡ. Ἀλλὰ μέντοι οὐδὲ ἀτεχνία ἐστίν· ἡ γὰρ ἀτεχνία οὐδέποτε οὐδὲν κατορθοῖ τῷ κεκτημένῳ. Φέρε γὰρ, εἰ ἐπιτρέψαι τις ἑαυτῷ ναῦν ἐν θαλάττῃ καὶ χειμῶνι μὴ ἐπιστάμενος κυβερνᾶν, σωθείη ἄν;

ΤΥΧ. Οὐ δῆτα οὗτος.

ΠΑΡ. Τί δή ποτε, ἢ τῷ μὴ ἔχειν τέχνην, δι' ἧς δυνήσεται σώζειν ἑαυτόν;

ΤΥΧ. Καὶ μάλα.

ΠΑΡ. Οὐκοῦν καὶ παράσιτος ὑπὸ τῆς παρασιτικῆς, εἴπερ ἦν ἀτεχνία, οὐκ ἂν ἐσώζετο;

ΤΥΧ. Ναί.

ΠΑΡ. Οὐκοῦν τέχνῃ σώζεται, ἀτεχνίᾳ δὲ οὔ;

ΤΥΧ. Πάνυ μὲν οὖν.

ΠΑΡ. Τέχνη ἄρα ἐστὶν ἡ παρασιτική.

ΤΥΧ. Τέχνη, ὡς ἔοικεν.

ΠΑΡ. Καὶ μὴν κυβερνήτας μὲν ἀγαθοὺς καὶ ἡνιόχους τεχνίτας ἐκπεσόντας τῶν δίφρων οἶδα ἐγὼ πολλά-

Unde etiam major est parasiti ars, siquidem ea res obscuras adeo et minime manifestas, magis quam divinatio, intelligit ac novit.

5. Scire vero dicta dicere idonea et ea facere quibus in familiaritatem perveniat et benevolentissimum se alenti ostendat, nonne intelligentiæ et robustæ ad percipiendum facultatis esse tibi videtur?

TYCH. Omnino.

PAR. Ut vero in ipsis cœnis meliori quam quisquam conditione discedat aliquis, et jucundior conviva habeatur illis, qui non eandem quam ipse artem habent, id num sine ratione ac sapientia putas effici?

TYCH. Minime.

PAR. Quid vero? nosse virtutes et vitia ciborum et obsoniorum, curiositatem inertis esse hominis putas? idque quum generosissimus Plato sic dicat : Si is qui epulaturus est, coquinariæ non est peritus, paratæ cœnæ minus firmum judicium.

6. Esse autem non ex perceptione modo, sed etiam ex coexercitata parasiticam, ex his facile discas : nam aliarum perceptiones artium et dies et noctes et menses et annos sæpe sic durant, ut non simul exerceantur; et tamen non pereunt artes apud eos qui ipsas habent : at parasiti perceptiones, si non quotidie sit in sua palæstra, perdunt non solum, puto, artem, sed ipsum etiam artificem.

7. De illo denique, « ad finem vitæ utilem, » verendum ne vel insanum sit quærere. Ego enim nihil in vita utilius invenio quam edere et bibere : ac ne vivere quidem absque illo licet.

TYCH. Sic est sane.

8. PAR. Verum neque ex illo genere est parasitica, qualis forma et robur, ut ars quidem non videatur esse, sed talis quædam facultas.

TYCH. Vera dicis.

PAR. Sed neque inertia est : inertia enim nunquam quicquam recte peragit ei qui illam habet. Age enim, si quis committendam sibi curet in mari ac tempestate navim, gubernandi imperitus, possitne servari?

TYCH. Minime hic quidem.

PAR. Quare tandem, nisi quod non habeat artem qua se servare possit?

TYCH. Sic est.

PAR. Ergo etiam a parasitica non servaretur parasitus, si ea inertia esset?

TYCH. Nempe.

PAR. Ergo arte servatur, inertia autem non?

TYCH. Scilicet.

PAR. Ars igitur est parasitica.

TYCH. Ars, ut apparet.

PAR. Atqui gubernatores quidem bonos, et aurigas artifices sedibus ego novi sæpe excussos, et contusos alios,

κις, καὶ τοὺς μὲν ξυντριβέντας, τοὺς δὲ καὶ πάμπαν διαφθαρέντας, παρασίτου δὲ ναυάγιον οὐδεὶς ἔχει τοιοῦτον εἰπεῖν. Οὐκοῦν εἰ μήτε ἀτεχνία ἐστὶν ἡ παρασιτικὴ μήτε δύναμις, σύστημα δέ τι ἐκ καταλήψεων συγγεγυμνασμένων, τέχνη δῆλον ὅτι διωμολόγηται ἡμῖν τήμερον.

9. ΤΥΧ. Ὅσον ἐκ τούτου εἰκάζω· ἀλλ' ἐκεῖνο σκόπει, ὅπως καὶ ὅρον ἡμῖν τινα γενναῖον ἀποδῷς τῆς παρασιτικῆς.

ΠΑΡ. Ὀρθῶς σύ γε λέγων. Δοκεῖ γὰρ δή μοι οὕτως ἂν μάλιστα ὡρίσθαι· παρασιτικὴ ἐστι τέχνη ποτέων καὶ βρωτέων καὶ τῶν διὰ ταῦτα λεκτέων, τέλος δὲ αὐτῆς τὸ ἡδύ.

ΤΥΧ. Ὑπέρευ γέ μοι δοκεῖς ὁρίσασθαι τὴν σεαυτοῦ τέχνην· ἀλλ' ἐκεῖνο σκόπει, μὴ πρὸς ἑνίους τῶν φιλοσόφων μάχη σοι περὶ τοῦ τέλους ᾖ.

ΠΑΡ. Καὶ μὴν ἀπόχρη γε, εἴπερ ἔσται τὸ αὐτὸ τέλος εὐδαιμονίας καὶ παρασιτικῆς.

10. Φανεῖται δὲ οὕτως· ὁ γὰρ σοφὸς Ὅμηρος τὸν τοῦ παρασίτου βίον θαυμάζων ὡς ἄρα μακάριος καὶ ζηλωτὸς εἴη μόνος,

> Οὐ γὰρ ἔγωγέ τί φημι τέλος χαριέστερον εἶναι,
> ἢ ὅτ' ἂν εὐφροσύνη μὲν ἔχῃ κάτα δῆμον ἅπαντα,
> παρὰ δὲ πλήθωσι τράπεζαι
> σίτου καὶ κρειῶν, μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
> οἰνοχόος φορέῃσι καὶ ἐγχείῃ δεπάεσσι.

Καὶ ὡς οὐχ ἱκανῶς ταῦτα θαυμάζων μᾶλλον τὴν αὐτοῦ γνώμην ποιεῖ φανερωτέραν εὖ λέγων·

> Τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι,

οὐχ ἕτερόν τι ἐξ ὧν φησιν, ἢ τὸ παρασιτεῖν εὔδαιμον νομίζων· καὶ μὴν οὐδὲ τῷ τυχόντι ἀνδρὶ περιτέθεικε τούτους τοὺς λόγους, ἀλλὰ τῷ σοφωτάτῳ τῶν Ἑλλήνων. Καίτοι γε εἴπερ ἐβούλετο Ὀδυσσεὺς τὸ κατὰ τοὺς Στωϊκοὺς ἐπαινεῖν τέλος, ἐδύνατο ταυτὶ λέγειν ὅτε τὸν Φιλοκτήτην ἀνήγαγεν ἐκ τῆς Λήμνου, ὅτε τὸ Ἴλιον ἐξεπόρθησεν, ὅτε τοὺς Ἕλληνας φεύγοντας κατέσχεν, ὅτε εἰς Τροίαν εἰσῆλθεν ἑαυτὸν μαστιγώσας καὶ κακὰ καὶ Στωϊκὰ ῥάκη ἐνδύς· ἀλλὰ τότε οὐκ εἶπε τοῦτο τέλος χαριέστερον. Ἀλλὰ μὴν καὶ ἐν τῷ τῶν Ἐπικουρείων βίῳ γενόμενος αὖθις παρὰ τῇ Καλυψοῖ, ὅτε αὐτῷ ὑπῆρχεν ἐν ἁβρίᾳ τε βιοτεύειν καὶ τρυφᾶν καὶ βινεῖν τὴν Ἄτλαντος θυγατέρα καὶ κινεῖν πάσας τὰς λείας κινήσεις, οὐδὲ τότε εἶπε ταῦτο τὸ τέλος χαριέστερον, ἀλλὰ τὸν τῶν παρασίτων βίον. Ἐκαλοῦντο δὲ δαιτυμόνες οἱ παράσιτοι τότε. Πῶς οὖν λέγει; πάλιν γὰρ ἄξιον ἀναμνησθῆναι τῶν ἐπῶν· οὐδὲ γὰρ οἷόν τε ἀκούειν αὐτῶν μὴ πολλάκις λεγομένων· « δαιτυμόνες καθήμενοι ἑξείης· » καὶ,

> Παρὰ δὲ πλήθωσι τράπεζαι
> σίτου καὶ κρειῶν.

11. Ὁ γε μὴν Ἐπίκουρος σφόδρα ἀναισχύντως ὑφελόμενος τὸ τῆς παρασιτικῆς τέλος τῆς κατ' αὐτὸν

alios autem omnino pereuntes; parasiti vero naufragium tale nemo dixerit. Ergo si neque inertia est parasitica, neque facultas, sed corpus quoddam cohcinnatum e perceptionibus coexercitatis, artem nempe esse inter nos hodie convenit.

9. TYCH. Quantum ex istis colligo. Verum illud vide, ut etiam finitionem nobis solidam reddas parasiticæ.

PAR. Recte tu illud postulas. Videtur enim mihi hoc fere modo rectissime finiri: parasitica est ars esculentorum et poculentorum atque propter ista dicendorum, finis autem ipsius voluptas.

TYCH. Pulcherrime vero definiisse mihi tuam artem videris. Sed illud dispice, ne cum philosophorum quibusdam pugna tibi sit de fine.

PAR. Quin sufficit, modo sit idem finis felicitatis et parasiticæ.

10. Apparebit autem ita: sapiens enim Homerus admirans parasiti vitam, ut quæ beata sit et invidenda sola,

> Non (inquit) finis, mihi crede, exstat jucundior ullus,
> quam si lætitiæ populum tenor occupet omnem,
> si mensa exstructa sit alte
> pane ac carne, merumque cavis crateribus haustum
> circum omnes pincerna ferat, cyathisque ministret.

Et quasi non satis illa esset admiratus, suam ipsius sententiam manifestiorem reddit, bene dicens:

> Nimirum hæc animo pulcherrima judice nostro,

nihil aliud, quantum dicit, beatum putans quam parasitari: ac non vulgari viro illos sermones tribuit, sed sapientissimo Græcorum. Atqui si voluisset Ulysses Stoicum illum finem laudare, poterat ea dicere quum Philocteten reducit e Lemno, quum vastat Ilium, quum fugientes Græcos retinet, quum Trojam ingreditur flagellis a se ipso sectus, malosque et Stoicos indutus pannos: verum eo tempore non dixit hunc « jucundiorem finem. » Quin etiam in Epicureorum vivendi ratione constitutus rursus apud Calypsonem, quum liceret ipsi in otio vivere et luxuriari et subigere Atlantis filiam, et mollibus omnibus moveri motibus, ne tum quidem dixit hunc « finem jucundiorem », sed de parasitorum vita dixit. Vocabantur autem eo tempore parasiti convivæ. Quomodo igitur dicit? rursus enim versus ipsos memorare operæ pretium est: neque enim possunt intelligi, nisi sæpius recitentur; « Convivæque sedent deinceps; » et,

> Mensa exstructa sit alte
> pane et carne.

11. Verum Epicurus valde impudenter suffuratus parasiticæ finem, felicitatis quam ipse statuit finem facit. Hoc

εὐδαιμονίας τέλος αὐτὸ ποιεῖ. Καὶ ὅτι κλοπὴ τὸ πρᾶγμά ἐστι καὶ οὐδὲν Ἐπικούρῳ μέλει τὸ ἡδὺ, ἀλλὰ τῷ παρασίτῳ, οὕτω μάθοις ἄν. Ἔγωγε ἡγοῦμαι τὸ ἡδὺ πρῶτον μὲν τὸ τῆς σαρκὸς ἀόχλητον, ἔπειτα τὸ μὴ θορύβου καὶ ταραχῆς τὴν ψυχὴν ἐμπεπλῆσθαι. Τούτων τοίνυν ὁ μὲν παράσιτος ἑκατέρων τυγχάνει, ὁ δὲ Ἐπικούρειος οὐδὲ θατέρου· ὁ γὰρ ζητῶν περὶ σχήματος γῆς καὶ κόσμων ἀπειρίας καὶ μεγέθους ἡλίου καὶ ἀποστημάτων καὶ πρώτων στοιχείων καὶ περὶ θεῶν, εἴτε εἰσὶν εἴτε οὐκ εἰσὶ, καὶ περὶ αὐτοῦ τοῦ τέλους ἀεὶ πολεμῶν καὶ διαφερόμενος πρός τινας οὐ μόνον ἐν ἀνθρωπίναις, ἀλλὰ καὶ ἐν κοσμικαῖς ἐστιν ἐνοχλήσεσιν. Ὁ δὲ παράσιτος πάντα καλῶς ἔχειν οἰόμενος καὶ πεπιστευκὼς μὴ ἄλλως ταῦτα ἔχειν ἄμεινον ἢ ἔχει, μετὰ πολλῆς ἀδείας καὶ γαλήνης, οὐδενὸς αὐτῷ τοιούτου παρενοχλοῦντος, ἐσθίει καὶ κοιμᾶται ὕπτιος ἀφειχὼς τοὺς πόδας καὶ τὰς χεῖρας ὥσπερ Ὀδυσσεὺς τῆς Σχερίας ἀποπλέων οἴκαδε.

12. Καὶ μὴν οὐχὶ κατὰ ταῦτα μόνον οὐδὲν προσήκει τὸ ἡδὺ τῷ Ἐπικούρῳ, ἀλλὰ καὶ κατ' ἐκεῖνα· ὁ γὰρ Ἐπίκουρος οὗτος, ὅστις ποτέ ἐστιν ὁ σοφὸς, ἤτοι φαγεῖν ἔχει ἢ οὔ· εἰ μὲν οὖν οὐκ ἔχει, οὐχ ὅπως ἡδέως οὐ ζήσεται, ἀλλ' οὐδὲ ζήσεται· εἰ δὲ ἔχει, εἴτε παρ' ἑαυτοῦ εἴτε παρ' ἄλλου· εἰ μὲν οὖν παρ' ἄλλου τὸ φαγεῖν ἔχει, παράσιτός ἐστι καὶ οὐχ ὃς λέγει· εἰ δὲ παρ' ἑαυτοῦ, οὐχ ἡδέως ζήσεται.

ΤΥΧ. Πῶς οὐχ ἡδέως;

ΠΑΡ. Εἰ γὰρ ἔχει τὸ φαγεῖν παρ' ἑαυτοῦ, πολλά τοι, ὦ Τυχιάδη, τῷ τοιούτῳ βίῳ παρακολουθεῖν ἀνάγκη· καὶ ἄθρει πόσα. Δεῖ τὸν μέλλοντα βιώσεσθαι καθ' ἡδονὴν τὰς ἐγγιγνομένας ὀρέξεις ἁπάσας ἀναπληροῦν. Ἢ τί φῄς;

ΤΥΧ. Κἀμοὶ δοκεῖ.

ΠΑΡ. Οὐκοῦν τῷ μὲν συχνὰ κεκτημένῳ ἴσως τοῦτο παρέχει, τῷ δὲ ὀλίγα καὶ μηδὲν οὐκέτι· ὥστε πένης οὐκ ἂν σοφὸς γένοιτο οὐδὲ ἐφικνοῖτο τοῦ τέλους, λέγω δὴ τοῦ ἡδέος. Ἀλλ' οὐδὲ μὴν πλούσιος, ὁ παρὰ τῆς οὐσίας ἀφθόνως ταῖς ἐπιθυμίαις χορηγῶν, δυνήσεται τοῦδε ἐφικέσθαι. Τί δή ποτε; ὅτι πᾶσα ἀνάγκη τὸν ἀναλίσκοντα τὰ ἑαυτοῦ πολλαῖς περιπίπτειν ἀηδίαις, τοῦτο μὲν τῷ μαγείρῳ κακῶς σκευάσαντι τὸ ὄψον μαχόμενον ἢ εἰ μὴ μάχοιτο φαῦλα παρὰ τοῦτο ἐσθίοντα τὰ ὄψα καὶ τοῦ ἡδέος ὑστεροῦντα, τοῦτο δὲ τῷ οἰκονομοῦντι τὰ κατὰ τὴν οἰκίαν, εἰ μὴ καλῶς οἰκονομοίη, μαχόμενον. Ἢ οὐχ οὕτως;

ΤΥΧ. Νὴ Δία, κἀμοὶ δοκεῖ.

ΠΑΡ. Τῷ μὲν οὖν Ἐπικούρῳ πάντα ξυμβαίνειν εἰκὸς, ὥστε οὐδέποτε τεύξεται τοῦ τέλους· τῷ δὲ παρασίτῳ οὔτε μάγειρός ἐστιν ᾧ χαλεπήναι, οὔτε ἀγρὸς οὔτε οἰκονόμος οὔτε ἀργύρια ὑπὲρ ὧν ἀπολλυμένων ἀχθεσθείη, καὶ πάντα ἔχει, ὥστε καὶ φάγοι καὶ πίοι ἂν μόνος οὗτος, ὑπὸ μηδενὸς, ὧν ἐκείνους ἀνάγκη, ἐνοχλούμενος.

13. Ἀλλ' ὅτι μὲν τέχνη ἐστὶν ἡ παρασιτικὴ, κἀκ

autem esse furtum, neque Epicuro esse voluptatem curæ, sed parasito, sic didiceris. Equidem arbitror, voluptatem primo quidem inesse in corporis a molestia vacuitate; deinde in eo, si tumultus et perturbationis plena non sit anima. Utrumque horum consequitur parasitus; at Epicureus neque alterutrum. Qui enim quærit de figura terræ, de mundis infinitis, de magnitudine solis, de distantiis, de primis elementis, de diis, sintne an non sint, qui de ipso denique bonorum fine semper pugnat et ab aliis dissidet; ille non in humanis modo, sed in mundanis etiam est molestiis. At parasitus, qui bene habere omnia putet, credatque non meliori hæc esse loco posse quam sunt, cum securitate multa et tranquillitate, nulla re tali ipsum interpellante, edit et dormit supinus, pedibus manibusque remissis, ut Ulysses Scheria domum navigans.

12. Quin non hanc solum ob rationem nihil pertinet ad Epicurum voluptas; verum etiam ob ista: Epicurus enim, quicumque demum est ille sapiens, aut habet quod edat, aut non habet: si non habet, tantum abest ut suaviter vivat, ut ne vivat quidem; si vero habet, aut ab se habet, aut ab alio: si ab alio habeat, parasitus est, non, ut ait, philosophus; si vero ab se, non vivet suaviter.

TYCH. Quomodo non suaviter?

PAR. Quia, si cibum ab se habet, multa sane, Tychiade, hanc vitam consequi necesse est. Et vide quot ac quanta. Oportet eum qui suaviter vivere velit, insitas cupiditates omnes explere. Aut quid dicas aliud?

TYCH. Etiam mihi sic videtur.

PAR. Igitur ei qui multa possidet, hoc fortasse suppeditaverit: illi vero qui parum aut nihil, non item. Itaque pauper non fiat sapiens, neque ad finem perveniat, dico autem voluptatem. Imo ne dives quidem, is qui de suis opibus copiose ministrat cupiditatibus, poterit ad illum pervenire. Quid ita? quia necesse est omnino, eum qui sua impendat, in multas incidere injucunditates: cui nunc pugnandum sit cum coquo, si male paravit obsonium, aut, si non pugnet, mala ob hoc obsonia edendum, et voluptate carendum: nunc cum dispensatore rei familiaris, si male dispenset, pugnandum. An non ita est?

TYCH. Per Jovem, mihi quoque sic videtur.

PAR. Ergo Epicuro quidem evenire ista possunt omnia; quo fit ut nunquam consequatur finem: sed parasito neque coquus est cui irascatur, neque ager, neque dispensator, neque pecuniæ, de quibus deperditis gravetur; et habet omnia, ut solus ipse edat ac bibat, earum, quibus isti necessario conflictantur, molestiarum a nulla interpellatus.

13. Verum artem esse parasiticam, tum ex his, tum ex

τούτων καὶ τῶν ἄλλων ἱκανῶς δέδεικται. Λοιπὸν ὅτι καὶ ἀρίστη δεικτέον, καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλὰ πρῶτον μέν, ὅτι κοινῇ πασῶν διαφέρει τῶν τεχνῶν, εἶτα ὅτι καὶ ἰδίᾳ ἑκάστης. Κοινῇ μὲν οὖν ἁπασῶν οὕτω διαφέρει· πάσης γὰρ τέχνης ἀνάγκη προσάγειν μάθησιν πόνον φόβον πληγὰς, ἅπερ οὐκ ἔστιν ὅστις οὐκ ἂν ἀπεύξαιτο· ταύτην δὲ τὴν τέχνην, ὡς ἔοικε, μόνην ἔξεστι μαθεῖν ἄνευ πόνου. Τίς γὰρ ἀπὸ δείπνου ποτὲ ἀπῆλθε κλάων, ὥσπερ τινὰς ἐκ τῶν διδασκαλείων ὁρῶμεν, τίς δ' ἐπὶ δεῖπνον ἀπιὼν ὤφθη σκυθρωπὸς, ὥσπερ οἱ εἰς διδασκαλεῖα φοιτῶντες; Καὶ μὴν ὁ μὲν παράσιτος ἑκὼν αὐτὸς ἐπὶ δεῖπνον ἔρχεται μάλα ἐπιθυμῶν τῆς τέχνης, οἱ δὲ τὰς ἄλλας τέχνας μανθάνοντες μισοῦσιν αὐτὰς, ὥστε ἔνιοι δι' αὐτὰς ἀποδιδράσκουσι. Τί δὲ, οὐ κἀκεῖνο ἐννοῆσαί σε δεῖ, ὅτι καὶ τοὺς ἐν ἐκείναις ταῖς τέχναις προκόπτοντας οἱ πατέρες καὶ μητέρες τούτοις τιμῶσι μάλιστα, οἷς καθ' ἡμέραν καὶ τὸν παράσιτον; Καλῶς νὴ Δί' ἔγραψεν ὁ παῖς, λέγοντες, δότε αὐτῷ φαγεῖν· Οὐκ ἔγραψεν ὀρθῶς, μὴ δότε. Οὕτω τὸ πρᾶγμα καὶ ἔντιμον καὶ ἐν τιμωρίᾳ μέγα φαίνεται.

14. Καὶ μὴν αἱ ἄλλαι τέχναι τὸ ὕστερον τοῦτο ἔχουσι μετὰ τὸ μαθεῖν καὶ τοὺς καρποὺς ἡδέως ἀπολαμβάνουσι· πολλὴ γὰρ « καὶ ὄρθιος οἶμος ἐς αὐτάς· » ἡ δὲ παρασιτικὴ μόνη τῶν ἄλλων εὐθὺς ἀπολαύει τῆς τέχνης ἐν αὐτῷ τῷ μανθάνειν, καὶ ἅμα τε ἄρχεται καὶ ἐν τῷ τέλει ἐστίν. Καὶ μέντοι τῶν ἄλλων τεχνῶν οὐ τινὲς, ἀλλὰ πᾶσαι ἐπὶ μόνην τὴν τροφὴν γεγόνασιν, ὁ δὲ παράσιτος εὐθὺς ἔχει τὴν τροφὴν ἅμα τῷ ἄρξασθαι τῆς τέχνης. Ἢ οὐκ ἐννοεῖς ὅτι ὁ μὲν γεωργὸς γεωργεῖ οὐ τοῦ γεωργεῖν ἕνεκα καὶ ὁ τέκτων τεκταίνεται οὐχὶ τοῦ τεκταίνεσθαι ἕνεκα, ὁ δὲ παράσιτος οὐχ ἕτερον μέν τι διώκει, ἀλλὰ τὸ αὐτὸ καὶ ἔργον ἐστὶν αὐτοῦ καὶ οὗ ἕνεκα γίγνεται;

15. Καὶ μὴν ἐκεῖνά γε οὐδεὶς ἐστιν ὅστις οὐκ ἐπίσταται, ὅτι οἱ μὲν τὰς λοιπὰς τέχνας ἐργαζόμενοι τὸν μὲν ἄλλον χρόνον ταλαιπωροῦσι, μίαν δὲ ἢ δύο μόνας τοῦ μηνὸς ἡμέρας ἱερὰς ἄγουσι, καὶ αἱ πόλεις δὲ τὰς μὲν δι' ἔτους, τὰς δὲ ἐμμήνους ἑορτὰς διατελοῦσι, καὶ εὐφραίνεσθαι λέγονται τότε· ὁ δὲ παράσιτος τοῦ μηνὸς τὰς τριάκονθ' ἡμέρας ἱερὰς ἄγει· πᾶσαι γὰρ αὐτῷ δοκοῦσιν εἶναι τῶν θεῶν.

16. Ἔτι οἱ μὲν βουλόμενοι τὰς ἄλλας τέχνας κατορθοῦν ὀλιγοσιτίαις καὶ ὀλιγοποσίαις χρῶνται καθάπερ οἱ νοσοῦντες, πολυσιτίαις δὲ καὶ πολυποσίαις οὐκ ἔστιν εὐφραινόμενον μανθάνειν.

17. Καὶ αἱ μὲν ἄλλαι τέχναι χωρὶς ὀργάνων οὐδαμῶς τῷ κεκτημένῳ ὑπηρετεῖν δύνανται· οὔτε γὰρ αὐλεῖν ἔνι χωρὶς αὐλῶν οὔτε ψάλλειν ἄνευ λύρας οὔτε ἱππεύειν ἄνευ ἵππου· αὕτη δὲ οὕτως ἐστὶν ἀγαθὴ καὶ οὐ βαρεῖα τῷ τεχνίτῃ, ὥστε ὑπάρχει καὶ μηδὲν ἔχοντι ὅπλον χρῆσθαι αὐτῇ.

18. Καὶ ὡς ἔοικεν ἄλλας τέχνας μανθάνομεν μισθὸν διδόντες, ταύτην δὲ λαμβάνοντες.

19. Ἔτι τῶν μὲν ἄλλων τεχνῶν εἰσι διδάσκαλοί

reliquis satis demonstratum est. Superest ut demonstremus etiam esse optimam; idque non simpliciter, sed primo quidem, communiter artibus omnibus esse præstantiorem; deinde, etiam singulatim unaquaque. Communiter ergo cunctis ita præstat, quod omnis ars necessario adhibet disciplinam, laborem, metum, plagas, quæ nemo est quin abominetur : hanc vero solam, ut videtur, artem discere licet sine labore. Quis enim de cœna unquam discessit plorans, ut quosdam videmus de scholis? quis vero ad cœnam abiens visus est tristis, ut qui scholas frequentant? Quin parasitus sponte sua ipse ad cœnam venit, artis cupidissimus : qui vero artes discunt reliquas, odio eas habent, adeo ut quidam propter eas aufugiant. Quid vero? nonne illud etiam tibi cogitandum est, quod illis in artibus proficientes liberos his maxime rebus patres matresque munerantur, quibus parasitum quotidie? Pulchre per Jovem, inquiunt, scripsit puer; date illi cibum : Non recte scripsit; ne date. Adeo ea res et ad honorem gravis et ad pœnam videtur.

14. Verum ceteræ artes postremum hoc habent post disciplinam, et laboris fructum lubenter recipiunt; multa enim et ardua ad illas via est : parasitica vero sola reliquarum statim ipso disciplinæ tempore sua arte fruitur; et simul, dum incipit, finem etiam suum consequitur. Ac reliquarum artium non quædam modo, sed universæ ad sola alimenta paranda natæ sunt : parasitus autem statim quum incipit artem, alimenta habet. An non cogitas agrum coli ab agricola non agriculturæ causa, et struere fabrum domos non struendi causa : sed parasitus nihil sequitur aliud, verum idem et opus ipsius est, et illud cujus causa suscipitur?

15. Præterea hæc etiam nemo est qui nesciat : reliquis in artibus qui elaborant, per omne tempus ærumnabili labore funguntur præter unum aut duo solos in mense dies quos festos habent; ipsæque civitates alios annuos, alios autem menstruos dies festos obeunt, ac tum exhilarari dicuntur : parasitus vero triginta mensis dies festos agit : omnes enim deorum esse illi videntur.

16. Porro qui in reliquis artibus recte versari volunt, ii pauco cibo et potu pauco utuntur, ægrotorum instar; at copioso cibo potuque multo qui gaudet, is fieri non potest ut discat.

17. Tum reliquæ artes sine instrumentis nullo modo ministrare possunt artifici; neque enim tibiis canere licet sine tibiis, neque psallere sine lyra, neque sine equo equitare : hæc vero ita commoda, ita non gravis artifici, ut etiam nihil armorum habens uti ea possit.

18. Deinde, ut constat, ceteras artes discimus mercede data; hanc accepta.

19. Insuper ceterarum artium quidam sunt magistri; pa-

τινες, τῆς δὲ παρασιτικῆς οὐδείς, ἀλλ' ὥσπερ ἡ ποιητικὴ κατὰ Σωκράτη καὶ αὕτη θείᾳ τινὶ μοίρᾳ παραγίγνεται.

20. Κἀκεῖνο δὴ σκόπει, ὅτι τὰς μὲν ἄλλας τέχνας ὁδεύοντες ἢ πλέοντες οὐ δυνάμεθα διαπράττεσθαι, ταύτῃ δέ ἐστι χρῆσθαι καὶ ἐν ὁδῷ καὶ πλέοντι.

21. ΤΥΧ. Πάνυ μὲν οὖν.

ΠΑΡ. Καὶ μέντοι, ὦ Τυχιάδη, αἱ μὲν ἄλλαι τέχναι δοκοῦσί μοι ταύτης ἐπιθυμεῖν, αὕτη δὲ οὐδεμιᾶς ἑτέρας.

ΤΥΧ. Τί δέ, οὐχ οἱ τὰ ἀλλότρια λαμβάνοντες ἀδικεῖν σοι δοκοῦσι;

ΠΑΡ. Πῶς γὰρ οὔ;

ΤΥΧ. Πῶς οὖν ὁ παράσιτος τὰ ἀλλότρια λαμβάνων οὐκ ἀδικεῖ μόνος;

ΠΑΡ. Οὐκ ἔχω λέγειν.

22. Καὶ μὴν τῶν ἄλλων τεχνῶν αἱ ἀρχαὶ φαῦλαί τινες καὶ εὐτελεῖς εἰσι, τῆς δὲ παρασιτικῆς ἡ ἀρχὴ πάνυ γενναία τις· τὸ γὰρ θρυλούμενον τοῦτο τῆς φιλίας ὄνομα οὐκ ἂν ἄλλο τι εὕροις ἢ ἀρχὴν παρασιτικῆς.

ΤΥΧ. Πῶς λέγεις;

ΠΑΡ. Ὅτι οὐδεὶς ἐχθρὸν ἢ ἀγνῶτα ἄνθρωπον ἀλλ' οὐδὲ συνήθη μετρίως ἐπὶ δεῖπνον καλεῖ, ἀλλὰ δεῖ πρότερον οἶμαι τοῦτον γενέσθαι φίλον, ἵνα κοινωνήσῃ σπονδῶν καὶ τραπέζης καὶ τῶν τῆς τέχνης ταύτης μυστηρίων. Ἐγὼ γοῦν πολλάκις ἤκουσά τινων λεγόντων, Ποταπὸς δὲ οὗτος ὁ φίλος ὅστις οὔτε βέβρωκεν οὔτε πέπωκε μεθ' ἡμῶν, δῆλον ὅτι τὸν συμπίνοντα καὶ συνεσθίοντα μόνον πιστὸν φίλον ἡγουμένων.

23. Ὅτι γε μὴν ἡ βασιλικωτάτη τῶν τεχνῶν ἔστιν αὕτη, μάθοις ἂν καὶ ἐκ τοῦδε οὐχ ἥκιστα· τὰς μὲν γὰρ λοιπὰς τέχνας οὐ μόνον κακοπαθοῦντες καὶ ἱδροῦντες, ἀλλὰ νὴ Δία καθήμενοι καὶ ἑστῶτες ἐργάζονται ὥσπερ ἀμέλει δοῦλοι τῶν τεχνῶν, ὁ δὲ παράσιτος μεταχειρίζεται τὴν αὐτοῦ τέχνην ὡς βασιλεὺς κατακείμενος.

24. Ἐκεῖνα μὲν γὰρ τί δεῖ λέγειν περὶ τῆς εὐδαιμονίας αὐτοῦ, ὅτι δὴ μόνος κατὰ τὸν σοφὸν Ὅμηρον « οὔτε φυτεύει χερσὶ φυτὸν οὔτε ἀροῖ, ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα » νέμεται;

25. Καὶ μὴν ῥήτορά τε καὶ γεωμέτρην καὶ χαλκέα οὐδὲν κωλύει τὴν ἑαυτοῦ τέχνην ἐργάζεσθαι ἐάν τε πονηρὸς ἐάν τε καὶ μωρὸς ᾖ, παρασιτεῖν δὲ οὐδεὶς δύναται ἢ μωρὸς ὢν ἢ πονηρός.

ΤΥΧ. Παπαῖ, οἷον χρῆμα ἀποφαίνῃ τὴν παρασιτικήν· ὥστε καὶ αὐτὸς ἤδη βούλεσθαι δοκῶ μοι παράσιτος εἶναι ἀντὶ τούτου ὅς εἰμι.

26. ΠΑΡ. Ὡς μὲν τοίνυν κοινῇ πάντων διαφέρει, δεδεῖχθαί μοι δοκῶ. Φέρε δὲ ὡς καὶ κατ' ἰδίαν ἑκάστης διαφέρει, σκοπῶμεν. Τὸ μὲν δὴ ταῖς βαναύσοις τέχναις παραβάλλειν αὐτὴν ἀνόητόν ἐστι, καὶ μᾶλλόν πως καθαιροῦντος τὸ ἀξίωμα τῆς τέχνης. Ὅτι γε μὴν τῶν καλλίστων καὶ μεγίστων τεχνῶν διαφέρει δεικτέον. Ὁμολόγηται δὴ πρὸς πάντων τήν τε ῥητορικὴν καὶ τὴν φιλοσοφίαν, ἃς διὰ γενναιότητα καὶ ἐπιστήμας ἀπο-

rasiticæ autem nullus : sed quemadmodum poetica, auctore Socrate, ita hæc quoque divina quadam sorte contingit.

20. Etiam illud mihi considera, quod reliquas artes, dum iter facimus aut navigamus, non possumus exercere; hac in via etiam et naviganti licet uti.

21. TYCH. Utique.

PAR. Verum etiam, Tychiade, videntur mihi hanc appetere artes reliquæ, hæc aliam nullam.

TYCH. Quid vero? nonne qui aliena sumunt injuste agere tibi videntur?

PAR. Quidni?

TYCH. Quomodo igitur parasitus, sumens aliena, solus injuste non agit?

PAR. Non habeo quod dicam.

22. Verum reliquarum artium contemnenda quædam ac vilia sunt initia; parasiticæ vero origo plane generosa : illud enim tritum amicitiæ nomen non aliud invenies quam parasiticæ initium.

TYCH. Quid ita?

PAR. Quia nemo inimicum aut ignotum hominem, imo neque mediocriter modo familiarem vocat ad cœnam : sed oportet, puto, hunc prius amicum fieri, ut particeps fiat libationum et mensæ, et artis hujus mysteriorum. Equidem sæpe audivi dicentes, Qualis autem hic sit amicus, qui neque comedit neque bibit nobiscum! ut qui putarent videlicet solum qui una bibat atque cibum una capiat, fidelem amicum.

23. Hanc vero maxime regiam esse artium, etiam hinc non minimum intelligas. Reliquas artes enim non cum molestia tantum et sudore exercent, sed, per Jovem, sedentes atque stantes, nempe velut servi artium : at parasitus suam artem tractat accumbens velut rex.

24. Illa enim quid dicere attinet de illius felicitate, quod solus, ut docti Homeri verbis utar, « nec plantat manibus plantam, nec arat; sed sine semine aratroque » depascitur omnia?

25. Ceterum rhetorem et geometram et fabrum nihil prohibet artem exercere suam, etsi malus sit vel adeo stultus : parasitari autem nemo potest, qui vel stultus sit, vel malus.

TYCH. Vah quantam rem ostendis esse parasiticam. Itaque ipse mihi jam videor velle parasitus fieri pro eo qui sum.

26. PAR. Quantum ergo communiter omnibus præstet artibus, ostendisse mihi videor. Age vero etiam, quantum singulatim unaquaque sit præstantior, consideremus. Ac sellulariis quidem artibus illam conferre, insanum fuerit, et potius illius qui destruere dignitatem artis velit. Sed quantum maximis pulcherrimisque præstet artibus, ostendendum. Jam in confesso est apud omnes, rhetoricam et philosophiam, quas propter præstantiam etiam scientias

φαίνονταί τινες, * * * * ἐπειδὰν οὖν καὶ τούτων ἀποδείζω τὴν παρασιτικὴν πολὺ κρατοῦσαν, δῆλον ὅτι τῶν ἄλλων τεχνῶν δόξει προφερεστάτη καθάπερ ἡ Ναυσικάα τῶν θεραπαινίδων.

27. Κοινῇ μὲν οὖν ἀμφοῖν διαφέρει καὶ τῆς ῥητορικῆς καὶ τῆς φιλοσοφίας, πρῶτον κατὰ τὴν ὑπόστασιν· ἡ μὲν γὰρ ὑφέστηκεν, αἱ δὲ οὔ· οὔτε γὰρ τὴν ῥητορικὴν ἕν τι καὶ τὸ αὐτὸ νομίζομεν, ἀλλ' οἱ μὲν τέχνην, οἱ δὲ τοὐναντίον ἀτεχνίαν, ἄλλοι δὲ κακοτεχνίαν, ἄλλοι δὲ ἄλλο τι· ὁμοίως δὲ καὶ τὴν φιλοσοφίαν κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσαν, ἑτέρως μὲν γὰρ Ἐπικούρῳ δοκεῖ τὰ πράγματα ἔχειν, ἑτέρως δὲ τοῖς ἀπὸ τῆς Στοᾶς, ἑτέρως δὲ τοῖς ἀπὸ τῆς Ἀκαδημείας, ἑτέρως δὲ τοῖς ἀπὸ τοῦ Περιπάτου, καὶ ἁπλῶς ἄλλος ἄλλην ἀξιοῖ τὴν φιλοσοφίαν εἶναι· καὶ μέχρι γε νῦν οὔτε οἱ αὐτοὶ γνώμης κρατοῦσιν οὔτε αὐτῶν ἡ τέχνη μία φαίνεται. Ἐξ ὧν δῆλον ὅ τι τεκμαίρεσθαι καταλείπεται. Ἀρχὴν γάρ φημι μηδὲ εἶναι τέχνην ἧς οὐκ ἔστιν ὑπόστασις. Ἐπεὶ τί δή ποτε; ἀριθμητικὴ μὲν μία ἐστὶ καὶ ἡ αὐτὴ καὶ δὶς δύο παρά τε ἡμῖν καὶ παρὰ Πέρσαις τέτταρά ἐστι καὶ συμφωνεῖ ταῦτα καὶ παρὰ Ἕλλησι καὶ βαρβάροις, φιλοσοφίας δὲ πολλὰς καὶ διαφόρους ὁρῶμεν καὶ οὔτε τὰς ἀρχὰς οὔτε τὰ τέλη σύμφωνα πασῶν.

ΤΥΧ. Ἀληθῆ λέγεις· μίαν μὲν γὰρ τὴν φιλοσοφίαν εἶναι λέγουσιν, αὐτοὶ δὲ αὐτὰς ποιοῦσι πολλάς.

28. ΠΑΡ. Καὶ μὴν τὰς μὲν ἄλλας τέχνας, εἰ καί τι κατὰ ταύτας ἀσύμφωνον εἴη, καὶ παρέλθοι τις συγγνώμης ἀξιώσας, ἐπεὶ μέσαι τε δοκοῦσι καὶ αἱ καταλήψεις αὐτῶν οὐκ εἰσὶν ἀμετάπτωτοι, προσδεκτέος ἂν εἴη· φιλοσοφίαν δὲ τίς ἂν [ἀναγκαίαν] ἀνάσχοιτο μὴ μίαν εἶναι καὶ μηδὲ σύμφωνον αὐτὴν ἑαυτῇ μᾶλλον τῶν ὀργάνων; μία μὲν οὖν οὐκ ἔστι φιλοσοφία, ἐπειδὴ ὁρῶ καὶ ἄπειρον οὖσαν· πολλαὶ δὲ οὐ δύνανται εἶναι, ἐπειδήπερ ἡ φιλοσοφία μία.

29. Ὁμοίως δὲ καὶ περὶ τῆς ὑποστάσεως τῆς ῥητορικῆς ταῦτα φαίη τις ἄν· τὸ γὰρ περὶ ἑνὸς προκειμένου ταὐτὰ μὴ λέγειν ἅπαντας, ἀλλὰ μάχην εἶναι φορᾶς ἀντιδόξου, ἀπόδειξις μεγίστη τοῦ μηδὲ τὴν ἀρχὴν εἶναι τοῦτο οὗ μία κατάληψις οὐκ ἔστι· τὸ γὰρ ζητεῖν τὸ, τί μᾶλλον αὐτῶν ἐστι, καὶ τὸ μηδέποτε ὁμολογεῖν μίαν εἶναι, τοῦτο αὐτὴν ἀναιρεῖ τοῦ ζητουμένου τὴν οὐσίαν.

30. Ἡ μέντοι παρασιτικὴ οὐχ οὕτως ἔχει, ἀλλὰ καὶ ἐν Ἕλλησι καὶ βαρβάροις μία ἐστὶ καὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως, καὶ οὐκ ἂν εἴποι τις ἄλλως μὲν τούσδε, ἑτέρως δὲ τούσδε παρασιτεῖν, οὐδέ εἰσιν ὡς ἔοικε παράσιτοί τινες οἷον Στωϊκοὶ ἢ Ἐπικούρειοι δόγματα ἔχοντες διάφορα, ἀλλὰ πᾶσι πρὸς ἅπαντας ὁμολογία τίς ἐστι καὶ συμφωνία τῶν ἔργων καὶ τοῦ τέλους. Ὥστε ἔμοιγε δοκεῖ ἡ παρασιτικὴ κινδυνεύειν κατά γε τοῦτο καὶ σοφία εἶναι.

31. ΤΥΧ. Πάνυ μοι δοκεῖς ταῦτα ἱκανῶς εἰρηκέναι. Ὡς δὲ καὶ τὰ ἄλλα χείρων ἐστὶν ἡ φιλοσοφία τῆς σῆς τέχνης, πῶς ἀποδεικνύεις;

ΠΑΡ. Οὐκοῦν ἀνάγκη πρῶτον εἰπεῖν ὅτι φιλοσο-

quidam dicunt,**** Si igitur his quoque longe potiorem esse parasiticam ostendero, sine dubio nimirum reliquarum quoque artium eminentissima, ut inter famulas Nausicaa, videbitur.

27. Ergo communiter quidem ambabus præstat, et rhetoricæ et philosophiæ, primo ob id ipsum, quod in rerum natura adest : nam de hac constat, de istis non item. Neque enim rhetoricen unum idemque putamus omnes; sed quidam artem, alii contra ea inertiam, alii vero maleficium, alii aliud : similiter philosophiam quoque, quæ eodem se modo atque æqualiter habet : aliter enim se res habere videntur Epicuro, aliter vero Stoicis, aliter Academicis, aliter denique Peripateticis; simpliciterque aliam alius putat esse philosophiam : atque in hunc certe diem neque in eadem sententia iidem manent, neque ars illorum una esse videtur. Ex his nempe apparet quid conjicere reliquatur. Neque enim omnino artem esse dico, quam ne esse quidem certum sit. Nam quid tandem? arithmetica una est et eadem, et bis duo apud nos pariter et apud Persas sunt quattuor, et convenit de his inter Græcos pariter et barbaros : philosophias vero multas ac diversas videmus, et neque principia omnium neque fines consentire.

TYCH. Vera dicis : nam unam quidem esse dicunt philosophiam; ipsi vero illas faciunt multas.

28. PAR. Verum artes reliquas, si quid etiam in iis sit parum consentiens, et hoc prætereat aliquis, venia dignum censens, eo quod mediæ cujusdam ancipitisque videantur naturæ, neque omnis erroris expertes illarum perceptiones, ille sane audiendus fuerit : philosophiam vero quis ferre possit non unam esse, neque magis inter se consonare quam diversi generis instrumenta musica? Jam una quidem non est philosophia; infinitam enim esse video : multæ autem non possunt esse, quandoquidem una est, si est philosophia. (Ergo nulla est.)

29. Similiter de eo, utrum sit rhetorice, hæc eadem aliquis dixerit. Quod enim de uno argumento proposito non eadem dicunt omnes, sed pugna est euntium in diversa sententiarum, ex hoc ipso maxime demonstratur, plane non esse in rerum natura illud cujus una non sit perceptio. Quod enim disputatur, quid eorum potius illud sit, et nunquam in uno aliquo convenitur; illud ipsam tollit ejus, de quo quæritur, substantiam.

30. Verum non ita se habet parasitica : sed inter Græcos pariter ac barbaros una est, et circa eadem eodem modo versatur : neque est ut dicat quisquam, aliter hos, aliter vero illos parasitari; neque sunt, ut videtur, in parasitis quidam velut Stoici aut Epicurei decreta habentes diversa, sed omnibus respectu omnium est consensus aliquis et convenientia actionum pariter ac finis. Itaque, quantum mihi videtur, parasitica fortasse hoc respectu etiam sapientia fuerit.

31. TYCH. Satis omnino de his dixisse mihi videris. Verum quantum ad reliqua etiam deteriorem esse tua arte philosophiam, quomodo demonstras?

PAR. Igitur illud primum dicendum est : philosophiam

φίας μὲν οὐδέποτε ἠράσθη παράσιτος, παρασιτικῆς δὲ πάμπολλοι ἐπιθυμήσαντες μνημονεύονται φιλόσοφοι, καὶ μέχρι νῦν γε ἐρῶσι.

ΤΥΧ. Καὶ τίνας ἂν εἰπεῖν ἔχοις φιλοσόφους παρασιτεῖν σπουδάσαντας;

ΠΑΡ. Οὕστινας μέντοι, ὦ Τυχιάδη; οὓς καὶ σὺ γιγνώσκων ὑποκρίνῃ ἀγνοεῖν κἀμὲ ὡς τινος αὐτοῖς αἰσχύνης ἐντεῦθεν γιγνομένης, οὐχὶ τιμῆς.

ΤΥΧ. Οὐ μὰ τὸν Δία, ὦ Σίμων, ἀλλὰ καὶ σφόδρα ἀπορῶ οὕστινας καὶ εὕρῃς εἰπεῖν.

ΠΑΡ. Ὦ γενναῖε, σύ μοι δοκεῖς ἀνήκοος εἶναι καὶ τῶν ἀναγραψάντων τοὺς ἐκείνων βίους, ἐπεὶ πάντως ἂν καὶ ἐπιγνῶναι οὕστινας λέγω δύναιο.

ΤΥΧ. Καὶ μέντοι νὴ τὸν Ἡρακλέα ποθῶ δὴ ἀκούειν τίνες εἰσίν.

ΠΑΡ. Ἐγώ σοι δείξω καὶ καταλέξω αὐτοὺς ὄντας οὐχὶ τοὺς φαύλους, ἀλλ' ὧν ἐγὼ δοκῶ τοὺς ἀρίστους καὶ οὓς ἥκιστα οἴει.

32. Αἰσχίνης μέντοι ὁ Σωκρατικός, οὗτος ὁ τοὺς μακροὺς καὶ ἀστείους διαλόγους γράψας, ἦκέ ποτε εἰς Σικελίαν κομίζων αὐτούς, εἴ πως δύναιτο δι' αὐτῶν γνωσθῆναι Διονυσίῳ τῷ τυράννῳ, καὶ τὸν Μιλτιάδην ἀναγνοὺς καὶ δόξας ἡδοκιμηκέναι λοιπὸν ἐκάθητο ἐν Σικελίᾳ παρασιτῶν Διονυσίῳ καὶ ταῖς Σωκράτους διατριβαῖς ἐρρῶσθαι φράσας.

33. Τί δὲ, καὶ Ἀρίστιππος ὁ Κυρηναῖος οὐχὶ τῶν δοκίμων φαίνεταί σοι φιλοσόφων;

ΤΥΧ. Καὶ πάνυ.

ΠΑΡ. Καὶ οὗτος μέντοι κατὰ τὸν αὐτὸν χρόνον διέτριβεν ἐν Συρακούσαις παρασιτῶν Διονυσίῳ. Πάντων γοῦν ἀμέλει τῶν παρασίτων αὐτὸς ἠδοκίμει παρ' αὐτῷ· καὶ γὰρ ἦν πλέον τι τῶν ἄλλων εἰς τὴν τέχνην εὐφυὴς, ὥστε τοὺς ὀψοποιοὺς ὁσημέραι ἔπεμπε παρὰ τοῦτον ὁ Διονύσιος ὥς τι παρ' αὐτοῦ μαθησομένους. Οὗτος μέντοι δοκεῖ καὶ κοσμῆσαι τὴν τέχνην ἀξίως.

34. Ὁ δὲ Πλάτων ὑμῶν ὁ γενναιότατος καὶ αὐτὸς μὲν ἦκεν εἰς Σικελίαν ἐπὶ τούτῳ, καὶ ὀλίγας παρασιτήσας ἡμέρας τῷ τυράννῳ τοῦ παρασιτεῖν ὑπὸ ἀφυΐας ἐξέπεσε, καὶ πάλιν Ἀθήναζε ἀφικόμενος καὶ φιλοπονήσας καὶ παρασκευάσας ἑαυτὸν αὖθις δευτέρῳ στόλῳ ἐπέπλευσε τῇ Σικελίᾳ καὶ δειπνήσας πάλιν ὀλίγας ἡμέρας ὑπὸ ἀμαθίας ἐξέπεσε· καὶ αὕτη ἡ συμφορὰ Πλάτωνι περὶ Σικελίαν ὁμοία δοκεῖ γενέσθαι τῇ Νικίου.

ΤΥΧ. Καὶ τίς, ὦ Σίμων, περὶ τούτου λέγει;

35. ΠΑΡ. Πολλοὶ μὲν καὶ ἄλλοι, Ἀριστόξενος δὲ ὁ μουσικὸς, πολλοῦ λόγου ἄξιος. Εὐριπίδης μὲν γὰρ ὅτι Ἀρχελάῳ μέχρι τοῦ θανάτου παρεσίτει καὶ Ἀνάξαρχος Ἀλεξάνδρῳ πάντως ἐπίστασαι.

36. Καὶ Ἀριστοτέλης δὲ τῆς παρασιτικῆς ἤρξατο μόνον ὥσπερ καὶ τῶν ἄλλων τεχνῶν, καὶ αὐτὸς δὲ παράσιτος Νηλέως ἦν.

37. Φιλοσόφους μὲν οὖν, ὥσπερ ἦν, παρασιτεῖν σπουδάσαντας ἔδειξα· παράσιτον δὲ οὐδεὶς ἔχει φράσαι φιλοσοφεῖν ἐθελήσαντα.

nemo unquam parasitus adamavit; parasiticam vero appetiisse multi memorantur philosophi, et in hunc diem appetunt.

TYCH. Et quos dicere possis philosophos parasitandi studiosos?

PAR. Quosnam vero, Tychiade? eos quos tu quum bene noris, ignorare me quoque simulas, velut turpitudo quædam illis inde, non honos accedat.

TYCH. Non, ita me Jupiter, Simo : sed vehementer hæreo nec quos tu inveneris habeo dicere.

PAR. Videris mihi, vir optime, non legisse vel eos qui vitas illorum scripsere : alioquin omnino posses, quos dicam, agnoscere.

TYCH. Verum cupio, mehercules, audire qui sint.

PAR. Ego tibi ostendam et recensebo, eosque non viles, sed eorum, quos ego philosophos arbitror, præstantissimos, et quos tu minime putes.

32. Igitur Æschines quidem Socraticus, ille qui longos illos urbanosque dialogos scripsit, venit quondam, secum illos ferens, in Siciliam, si qua per illos posset Dionysio tyranno innotescere, lectoque Miltiade, quum probatus videretur, reliquo tempore in Sicilia, parasitans Dionysio, desedit, longum valere jussis Socratis disputationibus.

33. Quid vero, Aristippus Cyrenæus non de nobilibus tibi videtur philosophis?

TYCH. De nobilissimis.

PAR. Verum hic etiam eodem tempore versabatur Syracusis parasitans Dionysio. Quin omnium ipse parasitorum princeps apud illum audiebat : erat etenim præter ceteros ingenio ad eam artem apto; adeo ut coquos ad ipsum quotidie mitteret Dionysius, ab eo qui aliquid discerent. Atque hic etiam, prout dignum erat, ornasse artem videtur.

34. At Plato ille vester præstantissimus venit et ipse quidem hoc consilio in Siciliam; quum vero paucis diebus parasitatus tyranno fuisset, illa parasitatione, quod satis ad eam ingenii non haberet, excidit : atque Athenas regressus, ubi multo se labore ad eam rem paraverat, altero cursu denuo navigavit in Siciliam, conatusque paucos dies, propter inscitiam excidit : similisque videtur illa, quæ Platoni in Sicilia evenit, calamitas cladi ad eandem Niciæ.

TYCH. Et quis, Simo, hac de re narrat?

35. PAR. Quum alii multi, tum Aristoxenus musicus, vir maxime commemorabilis. Jam Euripidem Archelao ad mortem usque parasitatum esse, et Anaxarchum Alexandro, omnino nosti.

36. Aristoteles vero inchoavit tantum, ut reliquas artes, ita et parasiticam : erat autem et ipse parasitus Nelei.

37. Ergo philosophos, ut res est, parasiticæ vitæ operam dantes ostendi : parasitum vero nemo dicere potest philosophari qui voluerit.

38. Καὶ μέντοι εἰ ἔστιν εὐδαιμον τὸ μὴ πεινῆν μηδὲ διψῆν μηδὲ ῥιγοῦν, ταῦτα οὐδενὶ ἄλλῳ ὑπάρχει ἢ παρασίτῳ. Ὥστε φιλοσόφους μὲν ἄν τις πολλοὺς καὶ ῥιγοῦντας καὶ πεινῶντας εὕροι, παράσιτον δὲ οὔ· ἢ οὐκ ἂν εἴη παράσιτος, ἀλλὰ δυστυχής τις ἢ πτωχὸς ἄνθρωπος ἢ φιλοσόφῳ ὅμοιος.

39. ΤΥΧ. Ἱκανῶς ταῦτά γε. Ὅτι δὲ κατὰ πολλὰ διαφέρει φιλοσοφίας καὶ ῥητορικῆς ἡ παρασιτικὴ πῶς ἐπιδεικνύεις;

ΠΑΡ. Εἰσὶν, ὦ βέλτιστε, καιροὶ τοῦ τῶν ἀνθρώπων βίου, ὁ μέν τις εἰρήνης, οἶμαι, ὁ δ' αὖ πολέμου· ἐν δὴ τούτοις πᾶσα ἀνάγκη φανερὰς γίγνεσθαι τὰς τέχνας καὶ τοὺς ἔχοντας ταύτας ὁποῖοί τινές εἰσι. Πρότερον δὲ, εἰ δοκεῖ, σκοπώμεθα τὸν τοῦ πολέμου καιρὸν, καὶ τίνες ἂν εἶεν μάλιστα χρησιμώτατοι ἰδίᾳ τε ἕκαστος αὐτῷ καὶ κοινῇ τῇ πόλει.

ΤΥΧ. Οὐ μέτριον ἀγῶνα καταγγέλλεις τῶν ἀνδρῶν· καὶ ἔγωγε πάλαι γελῶ κατ' ἐμαυτὸν ἐννοῶν ποῖος ἂν εἴη συμβαλλόμενος παρασίτῳ φιλόσοφος.

40. ΠΑΡ. Ἵνα τοίνυν μὴ πάνυ θαυμάζῃς μηδὲ τὸ πρᾶγμα δοκῇ σοι χλεύης ἄξιον, φέρε προτυπωσώμεθα παρ' ἡμῖν αὐτοῖς ἠγγέλθαι μὲν αἰφνίδιον εἰς τὴν χώραν ἐμβεβληκέναι πολεμίους, εἶναι δὲ ἀνάγκην ἐπεξιέναι καὶ μὴ περιορᾶν ἔξω δῃουμένην τὴν γῆν, τὸν στρατηγὸν δὲ παραγγέλλειν ἅπαντας εἰς τὸν κατάλογον τοὺς ἐν ἡλικίᾳ, καὶ δὴ χωρεῖν τοὺς ἄλλους, ἐν δὲ δὴ τούτοις φιλοσόφους τινὰς καὶ ῥήτορας καὶ παρασίτους. Πρῶτον τοίνυν ἀποδύσωμεν αὐτούς· ἀνάγκη γὰρ τοὺς μέλλοντας ὁπλίζεσθαι γυμνοῦσθαι πρότερον. Θεῶ δὴ τοὺς ἄνδρας, ὦ γενναῖε, καθ' ἕκαστον καὶ δοκίμαζε τὰ σώματα. Τοὺς μὲν τοίνυν αὐτῶν ὑπὸ ἐνδείας ἴδοις ἂν λεπτοὺς καὶ ὠχροὺς πεφρικότας ὥσπερ ἤδη τραυματίας παρειμένους· ἀγῶνα μὲν γὰρ καὶ μάχην σταδιαίαν καὶ ὠθισμὸν καὶ κόνιν καὶ τραύματα μὴ γελοῖον ᾖ λέγειν δύνασθαι φέρειν ἀνθρώπους ὥσπερ ἐκείνους τινὸς δεομένους ἀναλήψεως.

41. Ἄθρει δὲ πάλιν μεταβὰς τὸν παράσιτον ὁποῖός τις φαίνεται. Ἆρ' οὐχ ὁ μὲν τὸ σῶμα πρῶτον πολὺς καὶ τὸ χρῶμα ἡδὺς, οὐ μέλας δὲ οὐδὲ λευκός — τὸ μὲν γὰρ γυναικὶ, τὸ δὲ δούλῳ προσέοικεν — ἔπειτα θυμοειδὴς, δεινὸν βλέπων ὁποῖον ἡμεῖς, μέγα καὶ ὕφαιμον; οὐ γὰρ καλὸν δεδοικότα καὶ θῆλυν ὀφθαλμὸν εἰς πόλεμον φέρειν. Ἆρ' οὐχ ὁ τοιοῦτος καλὸς μὲν γένοιτ' ἂν καὶ ζῶν ὁπλίτης, καλὸς δὲ καὶ εἰ ἀποθάνοι καλῶς;

42. Ἀλλὰ τί δεῖ ταῦτα εἰκάζειν ἔχοντας αὐτῶν παραδείγματα; ἁπλῶς γὰρ εἰπεῖν, ἐν πολέμῳ τῶν πώποτε ῥητόρων ἢ φιλοσόφων οἱ μὲν οὐδὲ ὅλως ὑπέμειναν ἔξω τοῦ τείχους προελθεῖν, εἰ δέ τις καὶ ἀναγκασθεὶς παρετάξατο, φημὶ τοῦτον λείψαντα τὴν τάξιν ὑποστρέφειν.

ΤΥΧ. Ὡς θαυμάσια πάντα καὶ οὐδὲν ὑπισχνῇ μέτριον. Λέγε δὲ ὅμως.

ΠΑΡ. Τῶν μὲν τοίνυν ῥητόρων Ἰσοκράτης οὐχ ὅπως εἰς πόλεμον ἐξῆλθέ ποτε, ἀλλ' οὐδ' ἐπὶ δικαστήριον ἀνέβη, διὰ δειλίαν, οἶμαι, ὅτι οὐδὲ τὴν φωνὴν διαρ-

38. Jam si beatum est non esurire, neque sitire, neque rigere; hæc nulli adsunt alii nisi parasito. Itaque philosophos quidem aliquis multos et rigentes inveniat et esurientes : parasitum vero non inveniat; aut ille non fuerit parasitus, sed infelix aliquis aut mendicus mortalis, aut philosopho similis.

39. TYCH. Satis ista. Sed multum etiam præstare philosophiæ ac rhetoricæ parasiticam, quomodo monstras?

PAR. Sunt, vir optime, tempora vitæ hominum, alterum pacis, arbitror, alterum rursus belli : in hisce vero necesse omnino est manifestas fieri artes earumque professores, cujusmodi sint. Prius autem, si videtur, consideremus tempus belli, et quales maxime videantur tum privatim sibi, tum rei publicæ utilissimi.

TYCH. Non mediocre certamen virorum denuncias : et dudum intra me rideo equidem, qualis futurus sit collatus parasito philosophus.

40. PAR. Ut igitur non nimis admireris, neu ludibrio tibi digna res videatur, age apud animum ipsi nostrum fingamus, nunciatum esse subito hostes irruptionem in patriam nostram fecisse, necessitatem autem postulare ut contra ipsos erumpamus, neque agros vastari extra patiamur; imperatorem porro ad numeros vocare quicumque militari sunt ætate, et venire sane reliquos, in his vero etiam philosophos quosdam et rhetoras, et parasitos. Primo igitur illos exuamus : oportet enim qui armandi sunt prius nudari. Inspice vero viros, o bone, singulatim, et proba corpora. Partem igitur illorum præ indigentia videbis tenues et pallidos, horridos denique, quasi jam saucios in acie relictos : certamen enim et pugnam statariam, et impressionem, et pulverem, et vulnera vide ne ridiculum fuerit dicere perferre posse homines, quales illi sunt, refectione aliqua indigentes.

41. Vide autem in alteram partem transgressus parasitum, qualis appareat. Nonne iste multum primo corporis habet, et colore est jucundo, neque niger neque albus (quorum alterum mulieri, servo alterum convenit), deinde animosus, vultu, ut nos, minaci, elato et sanguine repleto? non enim honestum est oculum timidum et effeminatum ferre in pugnam. Nonne talis et pulcher fuerit dum vivet miles, et pulcher, si pulchre moriatur?

42. Sed quid opus est conjecturis ista effingere, quum ipsarum rerum habeamus exempla? ut enim simpliciter dicam, in bello, quicumque usquam fuerunt rhetores vel philosophi, vel plane non sunt ausi extra muros procedere; si vero quis etiam coactus in aciem prodiit, hunc aio ordinibus desertis refugisse.

TYCH. Ut mira omnia, et mediocre nihil promittis! Dic tamen.

PAR. E rhetoribus ergo Isocrates tantum abest ut in prælium progressus unquam sit, ut ne in tribunal quidem escenderit, præ timiditate, opinor, quia vel voce destituebatur.

κοῦσαν εἶχε. Τί ἔτι; οὐχὶ Δημάδης μὲν καὶ Αἰσχίνης καὶ Φιλοκράτης ὑπὸ δέους εὐθὺς τῇ καταγγελίᾳ τοῦ Φιλίππου πολέμου τὴν πόλιν προῦδοσαν καὶ σφᾶς αὐτοὺς τῷ Φιλίππῳ καὶ διετέλεσαν Ἀθήνησιν ἀεὶ τὰ ἐκείνου πολιτευόμενοι; ὡς εἴ γε καὶ ἄλλος τις Ἀθηναῖος κατὰ ταὐτὰ ἐπολέμει, κἀκεῖνος ἐν αὐτοῖς ἦν φίλος. Ὁ Ὑπερίδης δὲ καὶ Δημοσθένης καὶ Λυκοῦργος, οἵ γε δοκοῦντες ἀνδρειότεροι κἂν ταῖς ἐκκλησίαις ἀεὶ θορυβοῦντες καὶ λοιδορούμενοι τῷ Φιλίππῳ, τί ποτε ἀπειργάσαντο γενναῖον ἐν τῷ πρὸς αὐτὸν πολέμῳ; καὶ Ὑπερίδης μὲν καὶ Λυκοῦργος οὐδ' ἐξῆλθον, ἀλλ' οὐδὲ ὅλως ἐτόλμησαν μικρὸν ἔξω παρακῦψαι τῶν πυλῶν, ἀλλ' ἐντειχίδιοι ἐκάθηντο παρ' αὐτοῖς ἤδη πολιορκούμενοι γνωμίδια καὶ προβουλευμάτια συντιθέντες. Ὁ δὲ δὴ κορυφαιότατος αὐτῶν, ὁ ταυτὶ λέγων ἐν ταῖς ἐκκλησίαις συνεχῶς « Φίλιππος γὰρ ὁ Μακεδὼν ὄλεθρος, ὅθεν οὐδὲ ἀνδράποδον πρίαιτό τίς ποτε, » τολμήσας προελθεῖν ἐς τὴν Βοιωτίαν πρὶν ἢ συμμῖξαι τὰ στρατόπεδα καὶ συμβαλεῖν ἐς χεῖρας, ῥίψας τὴν ἀσπίδα ἔφυγεν· ἢ οὐδέπω ταῦτα πρότερον διήκουσας οὐδενὸς πάνυ γνώριμα ὄντα οὐχ ὅπως Ἀθηναίοις, ἀλλὰ Θρᾳξὶ καὶ Σκύθαις, ὅθεν ἐκεῖνο τὸ κάθαρμα ἦν;

43. ΤΥΧ. Ἐπίσταμαι ταῦτα· ἀλλ' οὗτοι μὲν ῥήτορες καὶ λόγους λέγειν ἠσκημένοι, ἀρετὴν δὲ οὔ. Τί δὲ περὶ τῶν φιλοσόφων λέγεις; οὐ γὰρ δὴ τούτους ἔχεις ὥσπερ ἐκείνους αἰτιᾶσθαι.

ΠΑΡ. Οὗτοι πάλιν, ὦ Τυχιάδη, οἱ περὶ τῆς ἀνδρείας ὁσημέραι διαλεγόμενοι καὶ κατατρίβοντες τὸ τῆς ἀρετῆς ὄνομα πολλῷ μᾶλλον τῶν ῥητόρων φανοῦνται δειλότεροι καὶ μαλακώτεροι. Σκόπει δὲ οὕτως. Πρῶτον μὲν οὐκ ἔστιν ὅστις εἰπεῖν ἔχοι φιλόσοφον ἐν πολέμῳ τετελευτηκότα· ἦτοι γὰρ οὐδὲ ὅλως ἐστρατεύσαντο, ἢ εἴπερ ἐστρατεύσαντο, πάντες ἔφυγον. Ἀντισθένης μὲν οὖν καὶ Διογένης καὶ Κράτης καὶ Ζήνων καὶ Πλάτων καὶ Αἰσχίνης καὶ Ἀριστοτέλης καὶ πᾶς οὗτος ὁ ὅμιλος οὐδὲ εἶδον παράταξιν· μόνος δὲ τολμήσας ἐξελθεῖν ἐς τὴν ἐν Δηλίῳ μάχην ὁ σοφὸς αὐτῶν Σωκράτης φεύγων ἐκεῖθεν ἀπὸ τῆς Πάρνηθος ἐς τὴν Ταυρέου παλαίστραν κατέφυγε· πολὺ γὰρ αὐτῷ ἀστειότερον ἐδόκει μετὰ τῶν μειρακυλλίων καθεζόμενον ὀαρίζειν καὶ σοφισμάτια προβάλλειν τοῖς ἐντυγχάνουσιν ἢ ἀνδρὶ Σπαρτιάτῃ μάχεσθαι.

ΤΥΧ. Ὦ γενναῖε, ταῦτα μὲν ἤδη καὶ παρ' ἄλλων ἐπυθόμην, οὐ μὰ Δία σκώπτειν αὐτοὺς καὶ ὀνειδίζειν βουλομένων· ὥστε οὐδέν τί μοι δοκεῖς χαριζόμενος τῇ σεαυτοῦ τέχνῃ καταψεύδεσθαι τῶν ἀνδρῶν.

44. Ἀλλ' εἰ δοκεῖ ἤδη, φέρε καὶ σὺ τὸν παράσιτον ὁποῖός τίς ἐστιν ἐν πολέμῳ λέγε, καὶ εἰ ὅλως λέγεται παράσιτός τις γενέσθαι τῶν παλαιῶν;

ΠΑΡ. Καὶ μήν, ὦ φιλότης, οὐδεὶς οὕτως ἀνήκοος Ὁμήρου, οὐδ' ἂν πάμπαν ἰδιώτης τύχῃ, ὃς οὐκ ἐπίσταται παρ' αὐτῷ τοὺς ἀρίστους τῶν ἡρώων παρασίτους ὄντας· ὅ τε γὰρ Νέστωρ ἐκεῖνος, οὗ ἀπὸ τῆς γλώττης ὥσπερ μέλι ὁ λόγος ἀπέρρει, αὐτοῦ τοῦ βασιλέως παρασίτου τὸ εἶναι ἐπεθύμει, καὶ ὁ Ἀχιλλεὺς ὁ τοῦ Πηλέως, ὅτε ἐν Σκύρῳ ἦν παρὰ τῷ Λυκομήδει, ἐπεθύμει τοῦ Ὀδυσσέως παράσιτος εἶναι, καὶ ὁ Ὀδυσσεὺς ὁ τοῦ Λαερτιάδου τοῦ Ἀχιλλέως. Ἀλλὰ τί ταῦτα λέγω; ὁ γὰρ Ἀγαμέμνων ὁ τῶν Ἑλλήνων βασιλεὺς ἐπεθύμει τοῦ Ἀχιλλέως παράσιτος εἶναι, καὶ ὁ Ἀχιλλεὺς ὁ τοῦ Πηλέως τοῦ Ἀγαμέμνονος. Ἀλλὰ τί ταῦτα λέγω; ὁ γὰρ Ἀγαμέμνων ὁ τῶν Ἑλλήνων βασιλεὺς ἐπεθύμει τοῦ Ἀχιλλέως παράσιτος εἶναι, καὶ ὁ Ἀχιλλεὺς ὁ τοῦ Πηλέως τοῦ Ἀγαμέμνονος.

Quid porro? nonne Demades, et Æschines, et Philocrates præ metu, denunciato Philippi bello, statim et patriam et se ipsos Philippo prodiderunt, manseruntque Athenis sic, ut semper rem publicam ad illius voluntatem tractarent? Itaque si quis etiam Atheniensis alius in illis partibus militaret, ipse quoque inter ipsorum erat amicos. At Hyperides, et Demosthenes, et Lycurgus, qui fortiores videbantur, quique in concionibus tumultus semper ciebant maledicebantque Philippo, quod tandem egregium facinus in bello contra ipsum patrarunt? atque Hyperides quidem et Lycurgus non exierunt, quin ne caput quidem exserere ultra portas ausi sunt, sed intra mœnia desidentes, domi suæ jam obsessi, sententiolas quasdam et consultatiunculas componebant. Sed princeps illorum, qui ista perpetuo dictitaret in concionibus, « Philippus enim Macedo, pestis ista, a quo ne servulum quidem emat aliquis unquam, » progredi ausus in Bœotiam, antequam committerentur acies et ventum ad manus esset, abjecto clypeo fugit. An nunquam ista prius a quoquam audisti, quæ sint notissima non dico Atheniensibus, sed Thracibus ac Scythis, unde purgamentum illud fuit?

43. TYCH. Novi ista. Sed hi rhetores erant et verbis faciendis exercitati, ad virtutem non item. Quid vero ais de philosophis? neque enim sane habes quod hos, quemadmodum illos, accuses.

PAR. Hi rursus, Tychiade, de fortitudine disputantes quotidie, et virtutis nomen conterentes, multo etiam magis timidiores oratoribus apparebunt mollioresque. Considera vero ita. Primo non est qui nominare queat philosophum in prælio mortuum : aut enim plane non militarunt, aut, si militarunt, fugerunt omnes. Antisthenes quidem, et Diogenes, et Crates, et Zeno, et Plato, et Æschines, et Aristoteles, et omnis illa turba, ne viderunt quidem aciem : solus vero ausus progredi in pugnam Deliensem sapiens illorum Socrates, inde a Parnethe fugiens in Taureæ se palæstram abdidit : multo enim illi videbatur urbanius sedentem cum adolescentulis amatorias nugas garrire, et argutiolas objicere in quos incideret, quam cum viro Spartano pugnare.

TYCH. Vir optime, ista jam ex aliis quoque audivi, non profecto irridere volentibus illos, aut maledictis incessere. Itaque non videris mihi quicquam tuæ artis in gratiam contra illos mentiri.

44. Sed si videtur, age jam et tu parasitum, in bello qualem se præstet, dicito ; et an omnino antiquorum quisquam parasitus fuisse dicatur?

PAR. Atqui nemo, amice, Homerum eum in modum ignorat, etsi aliarum omnium rerum rudis sit, qui nesciat apud illum præstantissimos heroum parasitos esse : nam et Nestor ille, cujus a lingua mellis instar defluebat oratio, ipsius parasitus regis fuit; et neque Achillem, qui quum

ράσιτος ἦν, καὶ οὔτε τὸν Ἀχιλλέα, ὅσπερ ἐδόκει τε καὶ ἦν τὸ σῶμα γενναιότατος καὶ δικαιότατος, οὔτε τὸν Διομήδην οὔτε τὸν Αἴαντα ὁ Ἀγαμέμνων οὕτως ἐπαινεῖ τε καὶ θαυμάζει ὥσπερ τὸν Νέστορα. Οὐδὲ γὰρ δέκα Αἴαντας εὔχεται γενέσθαι αὐτῷ οὔτε δέκα Ἀχιλλέας· πάλαι δ' ἂν ἑαλωκέναι τὴν Τροίαν, εἰ τοιούτους ὁποῖος ἦν οὗτος ὁ παράσιτος, καίπερ γέρων ὤν, στρατιώτας εἶχε δέκα. Καὶ τὸν Ἰδομενέα τὸν τοῦ Διὸς ἔκγονον παράσιτον Ἀγαμέμνονος ὁμοίως λέγει.

45. ΤΥΧ. Ταῦτα μὲν καὶ αὐτὸς ἐπίσταμαι· οὔπω γε μὴν δοκῶ μοι γιγνώσκειν πῶς δὴ τὼ ἄνδρε τῷ Ἀγαμέμνονι παράσιτοι ἦσαν.

ΠΑΡ. Ἀναμνήσθητι, ὦ γενναῖε, τῶν ἐπῶν ἐκείνων ὥνπερ αὐτὸς ὁ Ἀγαμέμνων πρὸς τὸν Ἰδομενέα λέγει.

ΤΥΧ. Ποίων;

ΠΑΡ. Σὸν δὲ πλεῖον δέπας αἰεὶ
ἑστηχ' ὥσπερ ἐμοὶ πιέειν ὅτε θυμὸς ἀνώγοι.

Ἐνταῦθα γὰρ τὸ αἰεὶ πλεῖον δέπας εἰρηκεν οὐχ ὅτι τὸ ποτήριον διὰ παντὸς πλῆρες εἱστήκει τῷ Ἰδομενεῖ καὶ μαχομένῳ καὶ καθεύδοντι, ἀλλ' ὅτι αὐτῷ δι' ὅλου τοῦ βίου μόνῳ συνδειπνεῖν ὑπῆρχε τῷ βασιλεῖ οὐχ ὥσπερ τοῖς λοιποῖς στρατιώταις πρὸς ἡμέρας τινὰς καλουμένοις. Τὸν μὲν γὰρ Αἴαντα, ἐπεὶ καλῶς ἐμονομάχησε τῷ Ἕκτορι, « εἰς Ἀγαμέμνονα δῖον ἄγον, » φησὶ, κατὰ τιμὴν ἀξιωθέντα ὀψὲ τοῦ παρὰ τῷ βασιλεῖ δείπνου· ὁ δὲ Ἰδομενεὺς καὶ ὁ Νέστωρ δσημέραι συνεδείπνουν τῷ βασιλεῖ, ὡς αὐτός φησι. Νέστωρ δὲ παράσιτός μοι δοκεῖ τῶν βασιλέων μάλιστα τεχνίτης καὶ ἀγαθὸς γενέσθαι· οὐ γὰρ ἐπὶ τοῦ Ἀγαμέμνονος ἄρξασθαι τῆς τέχνης, ἀλλὰ ἄνωθεν ἐπὶ Καινέως καὶ Ἐξαδίου· δοκεῖ δὲ οὐδὲ ἂν παύσασθαι παρασιτῶν, εἰ μὴ ὁ Ἀγαμέμνων ἀπέθανεν.

ΤΥΧ. Οὑτοσὶ μὲν γενναῖος ὁ παράσιτος. Εἰ δὲ καὶ ἄλλους τινὰς οἶσθα, πειρῶ λέγειν.

46. ΠΑΡ. Τί οὖν, ὦ Τυχιάδη, οὐχὶ καὶ Πάτροκλος τοῦ Ἀχιλλέως παράσιτος ἦν, καὶ ταῦτα οὐδενὸς τῶν ἄλλων Ἑλλήνων φαυλότερος οὔτε τὴν ψυχὴν οὔτε τὸ σῶμα νεανίας ὤν; ἐγὼ γὰρ οὐδ' αὐτοῦ μοι δοκῶ τοῦ Ἀχιλλέως τεκμαίρεσθαι τοῖς ἔργοις αὐτοῦ χείρω εἶναι· τόν τε γὰρ Ἕκτορα ῥήξαντα τὰς πύλας καὶ παρὰ ταῖς ναυσὶν εἴσω μαχόμενον οὗτος ἐξέωσε καὶ τὴν Πρωτεσιλάου ναῦν ἤδη καιομένην ἔσβεσε, καίτοι ἐπεβάτευον αὐτῆς οὐχ οἱ φαυλότατοι, ἀλλ' οἱ τοῦ Τελαμῶνος Αἴας τε καὶ Τεῦκρος ὁ μὲν ὁπλίτης ἀγαθὸς, ὁ δὲ τοξότης. Καὶ πολλοὺς μὲν ἀπέκτεινε τῶν βαρβάρων, ἐν δὲ δὴ τούτοις καὶ Σαρπηδόνα τὸν παῖδα τοῦ Διὸς, ὁ παράσιτος τοῦ Ἀχιλλέως. Καὶ ἀπέθανε δὲ οὐχὶ τοῖς ἄλλοις ὁμοίως, ἀλλ' αὐτὸν μὲν Ἕκτορα Ἀχιλλεὺς ἀπέκτεινεν, εἷς ἕνα, καὶ αὐτὸν Ἀχιλλέα Πάρις, τὸν δὲ παράσιτον θεὸς καὶ δύο ἄνθρωποι. Καὶ τελευτῶν δὲ φωνὰς ἀφῆκεν οὐχ οἵας ὁ γενναιότατος Ἕκτωρ καὶ προσπίπτων τὸν Ἀχιλλέα καὶ ἱκετεύων ὅπως ὁ νεκρὸς αὐτοῦ τοῖς οἰκείοις ἀποδοθῇ, ἀλλ' οἵας εἰκὸς ἀφεῖναι παράσιτον. Τίνας; δὴ ταύτας;

videbatur tum erat et corpore præstantissimus et justissimus, neque Diomedem, neque Ajacem Agamemno ita laudatque et admiratur, velut Nestorem. Neque enim Ajaces decem sibi contingere optat, neque decem Achilles : sed olim ait futurum fuisse ut caperetur Troja, si tales, qualis hic parasitus, senex licet, milites decem habuisset. Idomeneum etiam, Jove natum, parasitum similiter dicit Agamemnonis.

45. TYCH. Ista quidem ipse etiam novi; nondum tamen videor mihi intelligere quomodo duo illi viri parasiti Agamemnonis fuerint.

PAR. Recordare, vir optime, versuum illorum quos ipse Agamemno dicit ad Idomeneum.

TYCH. Quorum?

PAR. Tibi pocula semper
plena stetere, velut mihi, si potare luberet.

Hic enim « plena semper pocula » dixit, non quo poculum perpetuo plenum steterit Idomeneo et pugnanti et dormienti; sed quod ipsi per totam vitam liceret soli cœnare cum rege, non ut reliquis militibus, qui certis modo quibusdam diebus vocarentur. Ajacem enim, solitaria contra Hectorem pugna præclare defunctum, « Ad divum, » ait, « Agamemnona ducunt, » honoris causa cœnæ regis sero adhibitum : Idomeneus vero atque Nestor cœnabant cum rege quotidie, ut ipse ait. Nestor vero parasitus mihi videtur regum maxime artifex et bonus fuisse : nec enim corpisse artem in Agamemnone, sed superiori tempore in Cæneo et Exadio : videtur autem nec desiturum fuisse parasitari, nisi obivisset Agamemno.

TYCH. Hic quidem præclarus parasitus. Si vero et alios quosdam nosti, tenta dicere.

46. PAR. Quid ergo, Tychiade, nonne etiam Patroclus parasitus Achillis fuit, isque nec ullo ceterorum Græcorum deterior, neque mente neque corpore, quum esset adhuc juvenis? etenim ne ipso quidem illum Achille deteriorem esse, ex operibus illius intelligere mihi videor. Hectorem enim perruptis portis ad naves intra vallum pugnantem hic extrusit, et navem Protesilai jam ardentem restinxit, licet vectores in ea essent non vilissimi, sed Telamonis filii Ajax et Teucer, miles alter egregius, alter sagittator : ac barbarorum quidem interfecit multos, in his vero etiam Sarpedonem Jovis filium, ipse parasitus Achillis : nec sicut alii mortuus est, quum ipsum Hectorem Achilles interfecerit, solum solus, et ipsum Achillem Paris; parasitum vero deus et homines duo. Moriensque voces edidit, non quales Hector fortissimus, qui genibus etiam Achillis advolutus supplicavit ut corpus suum reddatur suis; sed quales convenit emittere parasitum. Quas enim?

Τοιοῦτοι δ' εἴπερ μοι ἐείκοσιν ἀντεβόλησαν,
πάντες κ' αὐτόθ' ὄλοντο ἐμῷ ὑπὸ δουρὶ δαμέντες.

Viginti tales si me contra arma tulissent,
unusquisque mea domitus jaculisset ab hasta.

47. ΤΥΧ. Ταῦτα μὲν ἱκανῶς. Ὅτι δὲ μὴ φίλος, ἀλλὰ παράσιτος ἦν ὁ Πάτροκλος τοῦ Ἀχιλλέως, πειρῶ λέγειν.

47. TYCH. Sufficiunt ista. At, non amicum Achillis fuisse Patroclum, sed parasitum, illud tenta dicere.

ΠΑΡ. Αὐτὸν, ὦ Τυχιάδη, τὸν Πάτροκλον ὅτι παράσιτος ἦν, λέγοντά σοι παρέξομαι.

ΤΥΧ. Θαυμαστὰ λέγεις.

ΠΑΡ. Ἄκουε τοίνυν αὐτῶν τῶν ἐπῶν·

PAR. Ipsum, Tychiade, Patroclum præbebo tibi dicentem se fuisse parasitum.

TYCH. Mira narras.

PAR. Ipsos ergo audi versus :

Μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ,
ἀλλ' ὁμοῦ, ὡς ἐτράφημεν ἐν ὑμετέροισι δόμοισι.

Ne mea, Achille, tuis procul ossibus ossa reconde,
verum una, ut vestris una sumus ædibus alti.

Καὶ πάλιν ὑποβὰς, καὶ « νῦν με δεξάμενος, » φησὶν, « ὁ Πηλεὺς »

Et rursus paullo post, « Hic me susceptum, » inquit, « Peleus. »

ἔτρεφεν ἐνδυκέως καὶ σὸν θεράποντ' ὀνόμηνε,

et studiose aluit, jussitque tibi esse ministrum,

τουτέστι παράσιτον εἶχεν. Εἰ μὲν τοίνυν φίλον ἐβούλετο τὸν Πάτροκλον λέγειν, οὐκ ἂν αὐτὸν ὠνόμαζε θεράποντα· ἐλεύθερος γὰρ ἦν ὁ Πάτροκλος. Τίνας τοίνυν λέγει τοὺς θεράποντας, εἰ μήτε τοὺς δούλους μήτε τοὺς φίλους; τοὺς παρασίτους δῆλον ὅτι· ἦ καὶ τὸν Μηριόνην τοῦ Ἰδομενέως καὶ αὐτὸν θεράποντα ὀνομάζει, οὕτως, οἶμαι, καλουμένων τότε τῶν παρασίτων. Σκόπει δὲ ὅτι καὶ ἐνταῦθα τὸν μὲν Ἰδομενέα Διὸς ὄντα υἱὸν οὐκ ἀξιοῖ λέγειν « ἀτάλαντον Ἄρηϊ, » Μηριόνην δὲ τὸν παράσιτον αὐτοῦ.

hoc est, parasitum. Si enim amicum voluisset dicere Patroclum, non nominasset ministrum; liber enim erat Patroclus. Quos ergo vocat ministros, si neque servos, neque amicos? nempe parasitos. Qua ratione etiam Merionen Idomenei et ipsum ministrum nominat; quum sic, puto, tum vocarentur parasiti. Vide autem quam hic etiam Idomeneum, Jovis qui filius esset, non dignetur vocare « Marti æquiparandum, » sed Merionen illius parasitum.

48. Τί δέ; οὐχὶ καὶ Ἀριστογείτων δημοτικὸς ὢν καὶ πένης, ὥσπερ Θουκυδίδης φησὶ, παράσιτος ἦν Ἁρμοδίου; τί δέ; οὐχὶ καὶ ἐραστής; ἐπιεικῶς γὰρ οἱ παράσιτοι καὶ ἐρασταὶ τῶν τρεφόντων εἰσίν. Οὗτος τοίνυν πάλιν ὁ παράσιτος τὴν Ἀθηναίων πόλιν τυραννουμένην εἰς ἐλευθερίαν ἀφείλετο, καὶ νῦν ἕστηκε χαλκοῦς ἐν τῇ ἀγορᾷ μετὰ τῶν παιδικῶν. Οὗτοι μὲν δὴ, τοιοῦτοι ὄντες μάλα ἀγαθοὶ, παράσιτοι ἦσαν.

48. Quid vero? nonne et Aristogiton, plebeius homo et pauper, ut ait Thucydides, parasitus erat Harmodii? quid vero? nonne idem etiam amator? æquum est enim ut parasiti iidem etiam sint alentium se amatores. Hic igitur rursus parasitus Athenarum urbem, tyrannide oppressam, vindicavit in libertatem : et nunc stat æneus in foro suo cum amasio. Hi ergo, viri fortissimi quum essent, fuere iidem parasiti.

49. Σὺ δὲ ποῖόν τινα εἰκάζεις ἐν πολέμῳ τὸν παράσιτον; οὐχὶ πρῶτον μὲν ὁ τοιοῦτος ἀριστοποιησάμενος ἔξεισιν ἐπὶ τὴν παράταξιν καθάπερ καὶ ὁ Ὀδυσσεὺς ἀξιοῖ; οὐ γὰρ ἀλλ' ὃν ἐν πολέμῳ μάχεσθαί φησιν ἑστιάσει, εἰ καὶ εὐθὺς ἅμα ἕῳ μάχεσθαι δέοι· καὶ ὃν ἄλλοι στρατιῶται χρόνον ὑπὸ δέους ὁ μέν τις ἀκριβῶς ἁρμόζει τὸ κράνος, ὁ δὲ θωράκιον ἐνδύεται, ὁ δὲ αὐτὸ τὸ δεινὸν ὑποπτεύων τοῦ πολέμου τρέμει, οὗτος δὲ ἐσθίει τότε μάλα φαιδρῷ τῷ προσώπῳ καὶ μετὰ τὴν ἔξοδον εὐθὺς ἐν πρώτοις διαγωνίζεται· ὁ δὲ τρέφων αὐτὸν ὄπισθεν ὑποτέτακται τῷ παρασίτῳ, κἀκεῖνος αὐτὸν ὥσπερ ὁ Αἴας τὸν Τεῦκρον ὑπὸ τῷ σάκει καλύπτει, καὶ τῶν βελῶν ἀφιεμένων γυμνώσας ἑαυτὸν τοῦτον σκέπει· βούλεται γὰρ ἐκεῖνον μᾶλλον σώζειν ἢ ἑαυτόν.

49. Tu vero qualem suspicaris in bello futurum parasitum? nonne primum talis prandium exibit in aciem, sicut etiam Ulysses æquum esse censet? Etenim quem in prælio pugnare jubet, eum sine dubio excipiet epulis, etsi statim a lucis exortu pugnandum sit : quoque tempore milites alii præ metu, alius quidem accurate aptat galeam, thoracem induit alius, alius ipsa belli metuenda suspicans tremit; eo tempore hic noster hilari vultu cibum capit, et post egressionem in primis statim pugnam capessit : sed qui illum alit, altero stat ordine post parasitum; quem ille, ut Teucrum Ajax, suo clypeo occultat, emissisque telis, suo nudato corpore, hunc tegit, quippe qui hunc potius quam se servare cupiat.

50. Εἰ δὲ δὴ καὶ πέσοι παράσιτος ἐν πολέμῳ, οὐκ ἂν ἐπ' αὐτῷ δήπου οὕτε λοχαγὸς οὔτε στρατιώτης αἰσχυνθείη μεγάλῳ τε ὄντι νεκρῷ καὶ ὥσπερ ἐν συμποσίῳ καλῶς κατακειμένῳ. Ὡς ἄξιόν γε φιλοσόφου νεκρὸν ἰδεῖν τούτῳ παρακείμενον, ξηρὸν, ῥυπῶντα, μακρὸν πωγώνιον ἔχοντα, προτεθνηκότα τῆς μάχης, ἀσθενῆ

50. Si vero cadat etiam in prælio parasitus, non sane illius interfecti neque ductorem ordinis, neque militem pudeat, magni nempe corporis, et sicut in convivio pulchre decumbentis. Et operæ sane pretium est juxta jacens videre philosophi cadaver, aridum, squalidum, longam habens barbulam, jam ante pugnam demortuum, imbecillum ho-

ἄνθρωπον. Τίς οὐκ ἂν καταφρονήσειε ταύτης τῆς πόλεως τοὺς ὑπασπιστὰς αὐτῆς οὕτω κακοδαίμονας ὁρῶν; τίς δὲ οὐκ ἂν εἰκάσαι χλωροὺς καὶ κομήτας ὁρῶν ἀνθρωπίσκους κειμένους, τὴν πόλιν ἀπορουμένην συμμάχων τοὺς ἐν τῇ εἱρκτῇ κακούργους ἐπιλῦσαι τῷ πολέμῳ; Τοιοῦτοι μὲν ἐν τῷ πολέμῳ πρὸς ῥήτορας καὶ φιλοσόφους εἰσὶν οἱ παράσιτοι.

51. Ἐν εἰρήνῃ δὲ τοσοῦτόν μοι δοκεῖ διαφέρειν παρασιτικὴ φιλοσοφίας ὅσον αὐτὴ ἡ εἰρήνη πολέμου. Καὶ πρῶτον, εἰ δοκεῖ, σκοπῶμεν τὰ τῆς εἰρήνης χωρία.

ΤΥΧ. Οὔπω ξυνίημι ὅ τι τοῦτό πως βούλεται. Σκοπῶμεν δὲ ὅμως.

ΠΑΡ. Οὔκουν ἀγορὰν καὶ δικαστήρια καὶ παλαίστρας καὶ γυμνάσια καὶ κυνηγέσια καὶ συμπόσια ἔγωγε φαίην ἂν πόλεως χωρία;

ΤΥΧ. Πάνυ μὲν οὖν.

ΠΑΡ. Ὁ τοίνυν παράσιτος εἰς ἀγορὰν μὲν καὶ δικαστήρια οὐ πάρεισιν, ὅτι, οἶμαι, τοῖς συκοφάνταις πάντα τὰ χωρία ταῦτα μᾶλλον προσήκει καὶ ὅτι οὐδὲν μέτριόν ἐστι τῶν ἐν τούτοις γιγνομένων, τὰς δὲ παλαίστρας καὶ τὰ γυμνάσια καὶ τὰ συμπόσια διώκει καὶ κοσμεῖ μόνος οὗτος. Ἐπεὶ τίς ἐν παλαίστρᾳ φιλόσοφος ἢ ῥήτωρ ἀποδὺς ἄξιος συγκριθῆναι παρασίτου τῷ σώματι; ἢ τίς ἐν γυμνασίῳ τούτων ὀφθεὶς οὐκ αἰσχύνη μᾶλλον τοῦ χωρίου ἐστί; Καὶ μὴν ἐν ἐρημίᾳ τούτων οὐδεὶς ἂν ὑποσταίη θηρίον δμόσε ἰὸν, ὁ δὲ παράσιτος αὐτά τε ἐπιόντα μένει καὶ δέχεται ῥᾳδίως μεμελετηκὼς αὐτῶν ἐν τοῖς δείπνοις καταφρονεῖν, καὶ οὔτ' ἔλαφος οὔτε σῦς αὐτὸν ἐκπλήττει πεφρικὼς, ἀλλὰ κἂν ἐπ' αὐτὸν ὁ σῦς τὸν ὀδόντα θήγῃ, καὶ ὁ παράσιτος ἐπὶ τὸν σῦν ἀντιθήγει. Τοὺς μὲν γὰρ λαγὼς διώκει μᾶλλον τῶν κυνῶν. Ἐν δὲ δὴ συμποσίῳ τίς ἂν καὶ ἀμιλλήσαιτο παρασίτῳ ἤτοι παίζοντι ἢ ἐσθίοντι; τίς δ' ἂν μᾶλλον εὐφράναι τοὺς συμπότας; πότερόν ποτε οὗτος ᾄδων καὶ σκώπτων, ἢ ἄνθρωπος μὴ γελῶν, ἐν τριβωνίῳ κείμενος, εἰς τὴν γῆν ὁρῶν, ὥσπερ ἐπὶ πένθος οὐχὶ εἰς συμπόσιον ἥκων; καὶ ἔμοιγε δοκεῖ, ἐν συμποσίῳ φιλόσοφος τοιοῦτόν ἐστιν οἷον ἐν βαλανείῳ κύων.

52. Φέρε δὴ ταῦτα ἀφέντες ἐπ' αὐτὸν ἤδη βαδίζωμεν τὸν βίον τοῦ παρασίτου σκοποῦντες ἅμα καὶ παραβάλλοντες ἐκείνῳ. Πρῶτον τοίνυν ἴδοι τις ἂν τὸν μὲν παράσιτον ἀεὶ δόξης καταφρονοῦντα καὶ οὐδὲν αὐτῷ μέλον ὧν οἱ ἄνθρωποι οἴονται, περὶ ῥήτορας δὲ καὶ φιλόσοφους εὕροι τις ἂν οὐ τινὰς, ἀλλὰ πάντας ὑπὸ τύφου καὶ δόξης τριβέντας, καὶ οὐ δόξης μόνον, ἀλλὰ καὶ ὃ τούτου αἰσχιόν ἐστιν, ὑπ' ἀργυρίου. Καὶ ὁ μὲν παράσιτος οὕτως ἔχει πρὸς ἀργύριον ὡς οὐκ ἂν τις οὐδὲ πρὸς τὰς ἐν τοῖς αἰγιαλοῖς ψηφῖδας ἀμελῶς ἔχοι, καὶ οὐδὲν αὐτῷ δοκεῖ διαφέρειν τὸ χρυσίον τοῦ πυρός· οἵ γε μὴν ῥήτορες, καὶ ὃ δεινότερόν ἐστι, καὶ οἱ φιλοσοφεῖν φάσκοντες πρὸς αὐτὰ οὕτω διάκεινται κακοδαιμόνως, ὥστε τῶν μάλιστα νῦν εὐδοκιμούντων φιλοσόφων — περὶ μὲν γὰρ τῶν ῥητόρων τί δεῖ λέγειν; — ὁ μὲν δικάζων δίκην ὠφλεν ἐπ' αὐτῇ ἑάλω, ὁ δὲ παρὰ βασιλέως ὑπὲρ τοῦ

muncionem. Quis non contemnat eam civitatem, propugnatores illius ita miseros si videat? quis vero non conjiciat, pallidos et comatos homunciones si jacentes videat, civitatem auxiliis egentem maleficos de carcere belli causa solvisse? Tales quidem in bello ad philosophos et oratores comparati sunt parasiti.

51. In pace vero tantum mihi videtur parasitorum ars philosophiæ præstare, quantum ipsa pax bello. Ac primo, si vis, consideremus loca pacis.

TYCH. Nondum intelligo quidnam hoc sibi velit. Videamus tamen.

PAR. Nonne enim forum, et judicia, et palæstras, et gymnasia, et venationes, et cœnationes, loca urbis dixerim?

TYCH. Omnino.

PAR. Igitur parasitus in forum quidem et ad judicia non accedit, quod, puto, sycophantis omnia illa loca magis conveniunt, et quod nihil moderatum fieri in his solet : at palæstras et gymnasia et convivia persequitur et ornat hic solus. Quandoquidem quis in palæstra philosophus aut rhetor exutus cum parasiti corpore conferri meretur? aut quis horum in gymnasio visus, non dedecus potius loci est? Etiam in solitudine nemo horum subsistat occurrentem feram : at parasitus invadentes manet et facile excipit, in cœnis edoctus illas contemnere; et neque cervus illum neque horridus aper percellit, sed etiamsi aper dentem in illum acuat, contra in aprum acuit parasitus. Quin lepores magis ipsis canibus persequitur. In convivio autem parasito quis certare audeat, sive jocanti sive edenti? uter magis exhilarare convivas potuerit? hicne canens et dicteria jaciens, an homo ridens nunquam in palliolo accumbens, dejecto in terram vultu, ut qui ad funus venerit, non ad convivium? Ac mea sententia tale quid in cœna philosophus, quale canis in balneo.

52. Sed age his relictis, ad ipsam jam vitam parasiti veniamus, ita ut istorum simul vitas inspiciamus et comparemus. Primo igitur parasitum gloriæ contemtorem semper videas, neque curæ ipsi esse eorum quicquam quæ homines sentiant : in rhetoribus autem ac philosophis invenias non quosdam, sed omnes a superbia et gloria conteri, et non a gloria solum, sed, quod turpius illo est, a pecunia. Ac parasitus quidem ad pecuniam ita affectus est, ut vix aliquis sparsos per litora calculos negligentius habeat; neque quicquam ipsi videtur inter pecuniam atque ignem interesse : verum rhetores, et, quod indignius est, illi qui philosophari se dicunt, ad illa adeo infeliciter animati sunt, ut ex eorum numero philosophorum, qui maxime jam celebrantur (de rhetoribus enim quid attinet dicere?) alius, dum res judicat, corruptionis in illo judicio damnatus sit; alius pro suo convictu mercedem a rege poscat, nihil erube-

συνεῖναι μισθὸν αἰτεῖ καὶ οὐκ αἰσχύνεται, εἰ πρεσβύτης ἀνὴρ διὰ τοῦτο ἀποδημεῖ καὶ μισθοφορεῖ καθάπερ Ἰνδὸς ἢ Σκύθης αἰχμάλωτος, καὶ οὐδὲ αὐτὸ τὸ ὄνομα αἰσχύνεται, ὃ λαμβάνει.

53. Εὕροις δ' ἂν οὐ μόνον ταῦτα περὶ τούτους ἀλλὰ καὶ ἄλλα πάθη, οἷον λύπας καὶ ὀργὰς καὶ φθόνους καὶ παντοίας ἐπιθυμίας. Ὃ γε μὴν παράσιτος ἔξωθεν τούτων ἐστὶν ἁπάντων· οὔτε γὰρ ὀργίζεται δι' ἀνεξικακίαν καὶ ὅτι οὐκ ἔστιν αὐτῷ ὅτῳ ὀργισθείη· καὶ εἰ ἀγανακτήσειε δέ ποτε, ἡ ὀργὴ αὐτοῦ χαλεπὸν μὲν οὐδὲ σκυθρωπὸν οὐδὲν ἀπεργάζεται, μᾶλλον δὲ γέλωτα καὶ εὐφραίνει τοὺς ξυνόντας. Λυπεῖταί γε μὴν καὶ ἥκιστα πάντων, τοῦτο τῆς τέχνης παρασκευαζούσης αὐτῷ καὶ χαριζομένης, μὴ ἔχειν ὑπὲρ ὅτου λυπηθείη· οὔτε γὰρ χρήματά ἐστιν αὐτῷ οὔτε οἶκος οὔτε οἰκέτης οὔτε γυνὴ οὔτε παῖδες, ὧν διαφθειρομένων πᾶσα ἀνάγκη ἐστὶ λυπεῖσθαι τὸν ἔχοντα αὐτὰ, ἐπιθυμεῖ δὲ οὔτε δόξης οὔτε χρημάτων, ἀλλ' οὐδὲ ὡραίου τινός.

54. ΤΥΧ. Ἀλλ', ὦ Σίμων, εἰκός γε ἐνδείᾳ τροφῆς λυπηθῆναι αὐτόν.

ΠΑΡ. Ἀγνοεῖς, ὦ Τυχιάδη, ὅτι ἐξ ἀρχῆς οὐδὲ παράσιτός ἐστιν οὗτος, ὅστις ἀπορεῖ τροφῆς· οὐδὲ γὰρ ἀνδρεῖος ἀπορίᾳ ἀνδρείας ἐστὶν ἀνδρεῖος, οὐδὲ φρόνιμος ἀπορίᾳ φρενῶν ἐστι φρόνιμος· ἄλλως γὰρ οὐδὲ παράσιτος ἂν εἴη. Πρόκειται δὲ ἡμῖν περὶ παρασίτου ζητεῖν ὄντος, οὐχὶ μὴ ὄντος. Εἰ δὲ ὁ ἀνδρεῖος οὐκ ἄλλως ἢ παρουσίᾳ ἀνδρειότητος καὶ ὁ φρόνιμος παρουσίᾳ φρονήσεως, καὶ ὁ παράσιτος δὲ παρουσίᾳ τοῦ παρασιτεῖν παράσιτος ἔσται· ὡς εἴ γε τοῦτο μὴ ὑπάρχει αὐτῷ, περὶ ἄλλου τινὸς, καὶ οὐχὶ παρασίτου, ζητήσομεν.

ΤΥΧ. Οὐκοῦν οὐδέποτε ἀπορήσει παράσιτος τροφῆς;

ΠΑΡ. Ἔοικεν· ὥστε οὔτ' ἐπὶ τούτῳ οὔτ' ἐπ' ἄλλῳ ἐστὶν ὅτῳ λυπηθείη ἄν.

55. Καὶ μὴν καὶ πάντες ὁμοῦ φιλόσοφοι καὶ ῥήτορες φοβοῦνται μάλιστα· τούς γέ τοι πλείστους αὐτῶν εὕροι τις ἂν μετὰ ξύλου προϊόντας, οὐκ ἂν δή που, εἰ μὴ ἐφοβοῦντο, ὡπλισμένους, καὶ τὰς θύρας δὲ μάλα ἐρρωμένως ἀποκλείοντας, μή τις ἄρα νύκτωρ ἐπιβουλεύσειεν αὐτοῖς δεδιότας· ὁ δὲ τὴν θύραν τοῦ δωματίου προστίθησιν εἰκῇ, καὶ τοῦτο ὡς μὴ ὑπ' ἀνέμου ἀνοιχθείη, γενομένου ψόφου νύκτωρ οὐδέ τι μᾶλλον θορυβεῖται ἢ μὴ γενομένου, καὶ δι' ἐρημίας δὲ ἀπιὼν ἄνευ ξίφους ὁδεύει· φοβεῖται γὰρ οὐδὲν οὐδαμοῦ. Φιλοσόφους δὲ ἤδη ἐγὼ πολλάκις εἶδον, οὐδενὸς ὄντος δεινοῦ, τόξα ἐνεσκευασμένους· ξύλα μὲν γὰρ ἔχουσι καὶ εἰς βαλανεῖον ἀπιόντες καὶ ἐπ' ἄριστον.

56. Παρασίτου μέντοι οὐδεὶς ἔχει κατηγορῆσαι μοιχείαν ἢ βίαν ἢ ἁρπαγὴν ἢ ἄλλο τι ἀδίκημα ἁπλῶς· ἐπεὶ ὅ γε τοιοῦτος οὐκ ἂν εἴη παράσιτος, ἀλλ' ἑαυτὸν ἐκεῖνος ἀδικεῖ. Ὥστ' εἰ μοιχεύσας τύχοι, ἅμα τῷ ἀδικήματι καὶ τοὔνομα μεταλαμβάνει τοῦ ἀδικήματος. Ὥσπερ δὲ ὁ κακὸς οὐ τὸ ἀγαθὸς, ἀλλὰ φαῦλος εἶναι λαμβάνει, οὕτως, οἶμαι, ὁ παράσιτος, ἐάν τι ἀδικῇ, αὐτὸ μὲν τοῦτο ὅπερ ἐστὶν ἀποβάλλει, ἀναλαμβάνει δὲ

scens, si senex jam vir adhuc peregrinatur et mercede, ut Indus aliquis aut Scytha captivus, operam locat; neque ipsum adeo nomen erubescit, quod accipit.

53. Invenias autem non hæc modo circa istos, sed perturbationes etiam alias, tristitias, ut hoc utar, et iras, et invidias, et omnis generis cupiditates. Verum parasitus extra hæc est omnia: neque enim irascitur, ob malorum tolerantiam, et quia nec est cui irascatur; si vero etiam indignetur aliquando, ira illius difficile aut triste nihil quicquam efficit, sed risum potius, exhilarans quibuscum versatur. Tristitia vero minime omnium afficitur, hanc ipsi commoditatem parante arte sua atque largiente, ut non habeat de quo doleat: neque enim opes illi sunt, neque domus, neque servus, neque uxor, neque liberi; quibus pereuntibus omnino tristitia affici qui illa habeat necesse est: ipse autem neque gloriæ cupidus est, neque opum, neque adeo formosi cujusquam.

54. TYCH. Verum, Simo, victus penuria angi illum probabile est.

PAR. Ignoras, Tychiade, illum omnino parasitum non esse, cibo qui indigeat: neque enim fortis, quum abest ab illo fortitudo, fortis est; neque prudens, quum destituitur prudentia, est prudens: alioquin enim ne fuerit quidem parasitus. Propositum vero nobis est quærere de eo qui parasitus est, non de eo qui non est. Si vero fortis non aliter quam præsente fortitudine, et prudens prudentia præsente, etiam parasitus præsente parasitatione parasitus censebitur: adeoque, nisi hoc in illo fuerit, de alio, non jam de parasito, quæremus.

TYCH. Ergo nunquam cibi copiam non habebit parasitus?

PAR. Apparet. Itaque neque hac re, neque alia ulla est ut doleat.

55. Jam philosophi simul omnes et rhetores maxime timent: plerosque certe illorum cum clava prodire vides, non armatos nempe, nisi metuerent; etiam januas firmiter occludere, timentes igitur ne quis noctu sibi insidietur. At hic januam obdit conclavi temere, ob hoc solum, ne aperiatur a vento: strepitus si noctu exoriatur, nihilo movetur magis quam si non ortus esset; et per desertum si proficiscitur, sine gladio iter facit: nihil enim usquam metuit. Philosophos autem sæpe ego vidi telis instructos, quum nihil usquam esset metuendum: clavas enim habent, etiam quum in balneum abeunt et ad prandium.

56. Porro parasitum nemo accuset adulterii, aut de vi, aut raptus, aut cujuscumque simpliciter criminis: nam talis quidem parasitus non fuerit, sed ipse se injuria afficiat. Itaque si forte adulterium committat, simul cum injuria nomen etiam injuriæ recipit. Quemadmodum vero malus non hoc inde habet, ut sit bonus, sed ut improbus: sic, puto, parasitus, si quid sceleris committat, ipsum hoc quod est amittit, id vero, quod commisit, suscipit. Scelera vero

δ ἀδικεῖ. Ἀδικήματα δὲ τοιαῦτα ῥητόρων καὶ φιλοσόφων ἄρθονα οὐ μόνον ἴσμεν αὐτοῖς γεγονότα καθ' ἡμᾶς, ἀλλὰ κἀν τοῖς βιβλίοις ἀπολελειμμένα ὑπομνήματα ἔχομεν ὧν ἠδίκησαν. Ἀπολογία μὲν γὰρ Σωκράτους ἐστὶ καὶ Αἰσχίνου καὶ Ὑπερίδου καὶ Δημοσθένους καὶ τῶν πλείστων σχεδόν τι ῥητόρων καὶ σοφῶν, παρασίτου δὲ οὐκ ἔστιν ἀπολογία οὐδ' ἔχει τις εἰπεῖν δίκην πρὸς παράσιτόν τινι γεγραμμένην.

57. Ἀλλὰ νὴ Δία ὁ μὲν βίος τοῦ παρασίτου κρείττων ἐστὶ τοῦ τῶν ῥητόρων καὶ τῶν φιλοσόφων, ὁ δὲ θάνατος φαυλότερος; πάνυ μὲν οὖν τοὐναντίον παρὰ πολὺ εὐδαιμονέστερος· φιλοσόφους μὲν γὰρ ἴσμεν ἅπαντας ἢ τοὺς πλείστους κακοὺς κακῶς ἀποθανόντας, τοὺς μὲν ἐκ καταδίκης ἑαλωκότας ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι, φαρμάκῳ, τοὺς δὲ καταπρησθέντας τὸ σῶμα ἅπαν, τοὺς δὲ ἀπὸ δυσουρίας φθινήσαντας, τοὺς δὲ φυγόντας, παρασίτου δὲ θάνατον οὐδεὶς ἔχει τοιοῦτον εἰπεῖν, ἀλλὰ τὸν εὐδαιμονέστατον φαγόντος καὶ πιόντος. Εἰ δέ τις καὶ δοκεῖ βιαίῳ τετελευτηκέναι θανάτῳ, ἀπεπτήσας ἀπέθανε.

58. ΤΥΧ. Ταῦτα μὲν ἱκανῶς διημίλληταί σοι τὰ πρὸς τοὺς φιλοσόφους ὑπὲρ τῶν παρασίτων. Λοιπὸν δὲ εἰ καλὸν καὶ λυσιτελές ἐστι τὸ κτῆμα τοῦτο τῷ τρέφοντι, πειρῶ λέγειν· ἐμοὶ μὲν γὰρ δοκοῦσιν ὥσπερ εὐεργετοῦντες καὶ χαριζόμενοι τρέφειν αὐτοὺς οἱ πλούσιοι, καὶ εἶναι τοῦτο αἰσχύνην τῷ τρεφομένῳ.

ΠΑΡ. Ὡς ἠλίθιά γέ σου, ὦ Τυχιάδη, ταῦτα, εἰ μὴ δύνασαι γιγνώσκειν ὅτι πλούσιος ἀνὴρ, εἰ καὶ τὸ Γύγου χρυσίον ἔχει, μόνος ἐσθίων πέννης ἐστὶ καὶ προϊὼν ἄνευ παρασίτου πτωχὸς δοκεῖ, καὶ ὥσπερ στρατιώτης χωρὶς ὅπλων ἀτιμότερος καὶ ἐσθὴς ἄνευ πορφύρας καὶ ἵππος ἄνευ φαλάρων, οὕτω καὶ πλούσιος ἄνευ παρασίτου ταπεινός τις καὶ εὐτελὴς φαίνεται. Καὶ μὴν ὁ μὲν πλούσιος κοσμεῖται ὑπ' αὐτοῦ, τὸν δὲ παράσιτον πλούσιος οὐδέποτε κοσμεῖ.

59. Ἄλλως τε οὐδὲ ὄνειδος αὐτῷ ἐστιν, ὡς σὺ φῂς, τὸ παρασιτεῖν ἐκείνῳ, δῆλον ὅτι ὡς κρείττονι χείρονα, ὅμως γε μὴν τῷ πλουσίῳ τοῦτο λυσιτελές ἐστι τὸ τρέφειν τὸν παράσιτον, ᾧ γε μετὰ τὸ κοσμεῖσθαι ὑπ' αὐτοῦ καὶ ἀσφάλεια πολλὴ ἐκ τῆς τούτου δορυφορίας ὑπάρχει· οὔτε γὰρ μάχῃ ῥᾳδίως ἄν τις ἐπιχειρήσαι τῷ πλουσίῳ τοῦτον ὁρῶν παρεστῶτα, ἀλλ' οὐδ' ἂν ἀποθάνοι φαρμάκῳ οὐδεὶς ἔχων παράσιτον· τίς γὰρ ἂν τολμήσειεν ἐπιβουλεῦσαί τινι τούτου προεσθίοντος καὶ προπίνοντος; ὥστε ὁ πλούσιος οὐχὶ κοσμεῖται μόνον, ἀλλὰ καὶ ἐκ τῶν μεγίστων κινδύνων ὑπὸ τοῦ παρασίτου σώζεται. Οὕτω μὲν ὁ παράσιτος διὰ φιλοστοργίαν πάντα κίνδυνον ὑπομένει, καὶ οὐκ ἂν παραχωρήσειε τῷ πλουσίῳ φαγεῖν μόνον, ἀλλὰ καὶ ἀποθανεῖν αἱρεῖται συμφαγών.

60. ΤΥΧ. Πάντα μοι δοκεῖς, ὦ Σίμων, διεξελθεῖν ὑστερήσας οὐδὲν τῆς σεαυτοῦ τέχνης, οὐχ ὥσπερ αὐτὸς ἔφασκες, ἀμελέτητος ὤν, ἀλλ' ὥσπερ ἄν τις ὑπὸ τῶν μεγίστων γεγυμνασμένος. Λοιπὸν, εἰ μὴ αἰσχρὸν αὐτὸ τὸ ὄνομά ἐστι τῆς παρασιτικῆς, θέλω μαθεῖν.

talia oratorum et philosophorum plurima non nostra modo ætate patrata ab illis novimus, sed relicta etiam in libris monumenta male ab illis factorum habemus. Nam defensio exstat Socratis, et Æschinis, et Hyperidis, et Demosthenis, et plerorumque fere rhetorum ac sapientium : parasiti vero non exstat defensio, neque potest quisquam memorare litem parasito intentatam.

57. Sed per Jovem, si vita quidem parasiti melior est rhetorum et philosophorum vita; an mors fuerit miserior? Quin contra ea multo beatior. Philosophos enim novimus, aut omnes, aut plerosque certe, male malos periisse, alios de sententia judicum, maximorum criminum damnatos, veneno; alios toto corpore combustos; alios ex urinæ difficultate interiisse, alios in exilio : parasiti autem mortem id genus nemo habet dicere, sed beatissimam edentis ac bibentis. Si quis vero etiam violenta morte videatur tiniisse, ille cruditate mortuus est.

58. TYCH. Satis tibi hoc contra philosophos pro parasitis certatum certamen est. Superest ut dicere coneris, an etiam honesta atque utilis alenti sit ista possessio. Nam mihi videntur tanquam beneficiis fruentes et ex liberalitate quadam pasci a divitibus, id ipsum autem pudori esse ei qui sic pascitur.

PAR. Quæ tua hæc est stoliditas, Tychiade, si non potes intelligere, virum divitem, si vel Gygis haberet aurum, solus si cibum capiat, pauperem esse; et si progrediatur in publicum sine parasito, mendicum videri : et quemadmodum miles sine armis eo contemtior, et vestis sine purpura, et sine phaleris equus, sic etiam dives sine parasito humilis quidam homo vilisque videtur. Quin ornatur ab illo dives, parasitum autem dives ornat nunquam.

59. Alioquin nec probrum illi est, ut tu ais, isti parasitari, nempe tanquam præstantiori viliorem; verum diviti potius hoc utile est nutrire parasitum, cui, præterquam quod ab hujus satellitio contingat. Neque enim temere pugna quis invadat divitem, hunc ei astantem videns; sed neque veneno facile moriatur, parasitum qui habeat : quis enim insidiari alicui audeat, hoc cibum potumque prægustante? Itaque dives non ornatur modo, sed maximis etiam ex periculis a parasito liberatur. Adeo parasitus, quicquid est periculi, amore ductus subit, neque hoc concesserit diviti ut edat modo de ipso, verum etiam in convictu illius mori non detrectat.

60. TYCH. Omnia mihi, Simo, videris persecutus, neque ulla in re artem tuam destituisse, non, ut dicebas ipse, imparatus, sed ut exercitatus aliquis in rebus maximis. Superest ut audiam, an non ipsum parasiticæ nomen sit turpe.

ΠΑΡ. Ὅρα δὴ τὴν ἀπόκρισιν, ἐάν σοι ἱκανῶς λέγεσθαι δοκῇ, καὶ πειρῶ πάλιν αὐτὸς ἀποκρίνασθαι πρὸς τὸ ἐρωτώμενον ἢ ἄριστα οἴει. Φέρε γάρ, τὸν σῖτον οἱ παλαιοὶ τί καλοῦσι;

ΤΥΧ. Τροφήν.

ΠΑΡ. Τί δὲ τὸ σιτεῖσθαι, οὐχὶ τὸ ἐσθίειν;

ΤΥΧ. Ναί.

ΠΑΡ. Οὐκοῦν καθωμολόγηται τὸ παρασιτεῖν ὅτι οὐκ ἄλλο ἐστί;

ΤΥΧ. Τοῦτο γάρ, ὦ Σίμων, ἐστὶν ὃ αἰσχρὸν φαίνεται.

61. ΠΑΡ. Φέρε δὴ πάλιν ἀπόκριναί μοι, πότερόν σοι δοκεῖ διαφέρειν καὶ προκειμένων ἀμφοῖν πότερον ἂν αὐτὸς ἕλοιο, ἆρά γε τὸ πλεῖν ἢ τὸ παραπλεῖν;

ΤΥΧ. Τὸ παραπλεῖν ἔγωγε.

ΠΑΡ. Τί δέ, τὸ τρέχειν ἢ τὸ παρατρέχειν;

ΤΥΧ. Τὸ παρατρέχειν.

ΠΑΡ. Τί δέ, τὸ ἱππεύειν ἢ τὸ παριππεύειν;

ΤΥΧ. Τὸ παριππεύειν.

ΠΑΡ. Τί δέ, τὸ ἀκοντίζειν ἢ τὸ παρακοντίζειν;

ΤΥΧ. Τὸ παρακοντίζειν.

ΠΑΡ. Οὐκοῦν ὁμοίως ἂν ἐθέλοις καὶ τοῦ ἐσθίειν μᾶλλον τὸ παρασιτεῖν;

ΤΥΧ. Ὁμολογεῖν ἀνάγκη. Καί σοι λοιπὸν ὥσπερ οἱ παῖδες ἀφίξομαι καὶ ἑῷος καὶ μετ' ἄριστον μαθησόμενος τὴν τέχνην. Σὺ δέ με αὐτὴν δίκαιος διδάσκειν ἀφθόνως, ἐπεὶ καὶ πρῶτος μαθητής σοι γίγνομαι. Φασὶ δὲ καὶ τὰς μητέρας μᾶλλον τὰ πρῶτα φιλεῖν τῶν τέκνων.

PAR. Vide ergo responsionem, an satis tibi videatur dici; et tenta ipse vicissim ad quæsita respondere, quomodo optimum tibi videbitur. Age enim, σῖτον veteres quid vocabant?

TYCH. *Cibum.*

PAR. Quid autem σιτεῖσθαι, nonne *edere?*

TYCH. Sic est.

PAR. Ergo constat parasitari nihil esse aliud?

TYCH. Hoc ipsum enim est quod turpe videtur, Simo.

61. PAR. Age ergo rursus mihi responde: utrum tibi videtur præstare, et utrum propositis duobus elegeris, πλεῖν (*navigare*) an παραπλεῖν (*juxta, i. e. cum alio, navigare*)?

TYCH. Equidem *cum alio navigare.*

PAR. Quid vero, *currere* an *cum alio currere*?

TYCH. *Cum alio currere.*

PAR. Quid vero, *equitare*, an *cum alio equitare*?

TYCH. *Cum alio equitare.*

PAR. Quid autem, *jaculari*, an *cum alio jaculari*?

TYCH. *Cum alio jaculari.*

PAR. Nonne ergo similiter etiam malis *cum alio edere* (*parasitari*) quam *edere* simpliciter?

TYCH. Necesse est tibi assentiri. Atque in posterum ego tibi, ut pueri, mane veniam et post prandium, discendæ hujus artis causa. Æquum autem est ut eam tu me sine invidia doceas, quandoquidem primus ego tibi sum discipulus. Aiunt vero a matribus etiam magis amari primogenitos.

XLIX.

ΑΝΑΧΑΡΣΙΣ Η ΠΕΡΙ ΓΥΜΝΑΣΙΩΝ.

1. ΑΝΑΧΑΡΣΙΣ. Ταῦτα δὲ ὑμῖν, ὦ Σόλων, τίνος ἕνεκα οἱ νέοι ποιοῦσιν; οἱ μὲν αὐτῶν περιπλεκόμενοι ἀλλήλους ὑποσκελίζουσιν, οἱ δὲ ἄγχουσι καὶ λυγίζουσι καὶ ἐν τῷ πηλῷ συναναφύρονται κυλινδούμενοι ὥσπερ σύες. Καίτοι κατ' ἀρχὰς εὐθὺς ἀποδυσάμενοι — ἑώρων γάρ — λίπα τε ἠλείψαντο καὶ κατέψησε μάλα εἰρηνικῶς ἄτερος τὸν ἕτερον ἐν τῷ μέρει, μετὰ δὲ οὐκ οἶδ' ὅ τι παθόντες ὠθοῦσί τε ἀλλήλους συννενευκότες καὶ τὰ μέτωπα συναράττουσιν ὥσπερ οἱ κριοί. Καὶ ἦν ἰδοὺ ἀράμενος ἐκεινοσὶ τὸν ἕτερον ἐκ τοῖν σκελοῖν ἀφῆκεν εἰς τὸ ἔδαφος, εἶτ' ἐπικαταπεσὼν ἀνακύπτειν οὐκ ἐᾷ συνωθῶν κάτω ἐς τὸν πηλόν, τέλος δὲ ἤδη περιπλέξας αὐτῷ τὰ σκέλη κατὰ τὴν γαστέρα τὸν πῆχυν ὑποβαλὼν τῷ λαιμῷ ἄγχει τὸν ἄθλιον, ὁ δὲ παρακροτεῖ ἐς τὸν ὦμον, ἱκετεύων οἶμαι, ὡς μὴ τέλεον ἀποπνιγείη. Καὶ οὐδὲ τοῦ ἐλαίου ἕνεκα φείδονται μὴ μολύνεσθαι, ἀλλ' ἀφανίσαντες τὸ χρῖσμα καὶ τοῦ βορβόρου ἀναπλησθέντες ἐν ἱδρῶτι ἅμα πολλῷ γέλωτα ἐμοὶ γοῦν παρέχουσιν ὥσπερ αἱ ἐγχέλυες ἐκ τῶν χειρῶν διολισθάνοντες.

XLIX.

ANACHARSIS sive DE EXERCITATIONIBUS.

1. ANACHARSIS. Ista vero, Solon, apud vos juvenes cujus rei gratia faciunt? alii complexi se invicem alter alterum supplantant; alii angunt et inflectunt, et in luto volutati se mutuo conspurcant velut sues. Quanquam ab initio quum primum se exuerunt (vidi enim), pingui se ungere solent, et mutuo mulcere alter alterum plane pacate: deinde vero nescio quo instinctu trudunt se invicem pronis capitibus, et frontibus arietum instar concurrunt. Et ubi ecce iste alterum cruribus sublatum prostravit humi, ipse deinde superincumbens tollere se illum non sinit, contruditque deorsum in lutum: tandem vero jam cruribus suis illius ventrem complexus, suoque cubito gutturi illius subjecto suffocat miserum, qui istius interim humerum plaudit, suppliciter eo gestu rogans, puto, ne plane fauces sibi elidantur. Ac ne olei quidem causa parcunt quominus inquinentur, sed deterso unguento, oppleti stercore, sudore insuper multo diffluentes, risum mihi quidem præbent, anguillarum instar alterius alter elabentes manibus.

2. Ἕτεροι δὲ ἐν τῷ αἰθρίῳ τῆς αὐλῆς τὸ αὐτὸ τοῦτο δρῶσιν, οὐκ ἐν πηλῷ οὗτοί γε, ἀλλὰ ψάμμον ταύτην βαθεῖαν ὑποβαλλόμενοι ἐν τῷ ὀρύγματι πάττουσί τε ἀλλήλους καὶ αὐτοὶ ἑκόντες ἐπαμῶνται τὴν κόνιν ἀλεκτρυόνων δίκην, ὡς ἀφυκτότεροι εἶεν ἐν ταῖς συμπλοκαῖς, οἶμαι, τῆς ψάμμου τὸν ὀλισθον ἀφαιρούσης καὶ βεβαιοτέραν ἐν ξηρῷ παρεχούσης τὴν ἀντίληψιν.

3. Οἱ δὲ ὀρθοστάδην κεκονιμένοι καὶ αὐτοὶ παίουσιν ἀλλήλους προσπεσόντες καὶ λακτίζουσιν· οὑτοσὶ γοῦν καὶ τοὺς ὀδόντας ἔοικεν ἀποπτύσειν ὁ κακοδαίμων, οὕτως αἵματος αὐτῷ καὶ ψάμμου ἀναπέπλησται τὸ στόμα, πυξ, ὡς ὁρᾷς, παταχθέντος ἐς τὴν γνάθον. Ἀλλ' οὐδὲ ὁ ἄρχων οὑτοσὶ διίστησιν αὐτοὺς καὶ λύει τὴν μάχην — τεκμαίρομαι γὰρ τῇ πορφυρίδι τῶν ἀρχόντων τινὰ τοῦτον εἶναι — ὁ δὲ καὶ ἐποτρύνει καὶ τὸν πατάξαντα ἐπαινεῖ.

4. Ἄλλοι δὲ ἀλλαχόθι πάντες ἐγκονοῦσι καὶ ἀναπηδῶσιν ὥσπερ θέοντες ἐπὶ τοῦ αὐτοῦ μένοντες καὶ ἐς τὸ ἄνω συναλλόμενοι λακτίζουσι τὸν ἀέρα.

5. Ταῦτα οὖν ἐθέλω εἰδέναι τίνος ἀγαθοῦ ἂν εἴη ποιεῖν· ὡς ἔμοιγε μανίᾳ μᾶλλον ἐοικέναι δοκεῖ τὸ πρᾶγμα, καὶ οὐκ ἔστιν ὅστις ἂν ῥᾳδίως μεταπείσειέ με ὡς οὐ παραπαίουσιν οἱ ταῦτα δρῶντες.

6. ΣΟΛΩΝ. Καὶ εἰκότως, ὦ Ἀνάχαρσι, τοιαῦτά σοι τὰ γιγνόμενα φαίνεται ξένα γε ὄντα καὶ πάμπολυ τῶν Σκυθικῶν ἐθῶν ἀπᾴδοντα, καθάπερ καὶ ὑμῖν πολλὰ εἰκὸς εἶναι μαθήματα καὶ ἐπιτηδεύματα τοῖς Ἕλλησιν ἡμῖν ἀλλόκοτα εἶναι δόξαντα ἄν, εἴ τις ἡμῶν ὥσπερ σὺ νῦν ἐπισταίη αὐτοῖς. Πλὴν ἀλλὰ θάρρει, ὦγαθέ· οὐ γὰρ μανία τὰ γιγνόμενά ἐστιν οὐδ' ἐφ' ὕβρει οὗτοι παίουσιν ἀλλήλους καὶ κυλίουσιν ἐν τῷ πηλῷ ἢ ἐπιπάττουσι τὴν κόνιν, ἀλλ' ἔχει τινὰ χρείαν οὐκ ἀτερπῆ τὸ πρᾶγμα καὶ ἀκμὴν οὐ μικρὰν ἐπάγει τοῖς σώμασιν· ἦν γοῦν ἐνδιατρίψῃς, ὥσπερ οἶμαί σε ποιήσειν, τῇ Ἑλλάδι, οὐκ εἰς μακρὰν εἷς καὶ αὐτὸς ἔσῃ τῶν πεπηλωμένων ἢ κεκονιμένων· οὕτω σοι τὸ πρᾶγμα ἡδύ τε ἅμα καὶ λυσιτελὲς εἶναι δόξει.

ΑΝΑΧ. Ἄπαγε, ὦ Σόλων, ὑμῖν ταῦτα γένοιτο τὰ ὠφέλιμα καὶ τερπνά, ἐμὲ δὲ εἴ τις ὑμῶν τοιοῦτό τι διαθείη, εἴσεται ὡς οὐ μάτην παρεζώσμεθα τὸν ἀκινάκην.

7. Ἀτὰρ εἰπέ μοι, τί ὄνομα ἔθεσθε τοῖς γιγνομένοις, ἢ τί φῶμεν ποιεῖν αὐτούς;

ΣΟΛ. Ὁ μὲν χῶρος αὐτὸς, ὦ Ἀνάχαρσι, γυμνάσιον ὑφ' ἡμῶν ὀνομάζεται καὶ ἔστιν ἱερὸν Ἀπόλλωνος τοῦ Λυκείου· καὶ τὸ ἄγαλμα δὲ αὐτοῦ ὁρᾷς, τὸν ἐπὶ τῇ στήλῃ κεκλιμένον, τῇ ἀριστερᾷ μὲν τὸ τόξον ἔχοντα, ἡ δεξιὰ δὲ ὑπὲρ τῆς κεφαλῆς ἀνακεκλασμένη ὥσπερ ἐκ καμάτου μακροῦ ἀναπαυόμενον δείκνυσι τὸν θεόν.

8. Τῶν γυμνασμάτων δὲ τούτων τὸ μὲν ἐν τῷ πηλῷ ἐκεῖνο πάλη καλεῖται, οἱ δ' ἐν τῇ κόνει παλαίουσι καὶ αὐτοὶ, τὸ δὲ παίειν ἀλλήλους ὀρθοστάδην παγκρατιάζειν λέγομεν. Καὶ ἄλλα δὲ ἡμῖν ἐστι γυμνάσια τοιαῦτα πυγμῆς καὶ δίσκου καὶ τοῦ ὑπεράλλεσθαι, ὧν ἁπάντων

2. Alii in subdivali aulæ idem faciunt, non in luto hi quidem, sed arenam istam profundam substratam habentes in cavea, conspergunt se invicem, et sponte sua pulvere se, gallorum gallinaceorum instar, accumulant, puto, ut minus inter complectendum elabi possint, lubricitatem auferente arena et firmiorem præstante in sicco comprehendendi facultatem.

3. Illi vero recto statu certantes, conspersi, verberibus et ipsi se invicem calcibusque impetunt: hic adeo miser ipsos videtur dentes exsputurus: ita sanguine illi atque arena os oppletum est, pugno, ut vides, mala illi percussa. Sed neque iste præfectus illos separat et pugnam solvit (ex purpura enim de magistratu aliquem hunc esse colligo): quin incitat etiam, et qui percussit, eum laudat.

4. Alii vero alio loco celeriter se movent omnes et exsultant quasi currentes, quum eodem in loco maneant; et jactato in altum corpore calcibus aera petunt.

5. Hæc igitur scire velim cui bono sit facere: nam mihi furori potius similis res videtur, neque est qui facile hoc mihi eripiat, non insanire qui ista faciunt.

6. SOLON. Nec mirum est, Anacharsi, talia tibi, quæ hic fiunt, videri, quum peregrina tibi sint et multum a Scythicis moribus abhorrentia; quemadmodum vicissim vobis multas et disciplinas esse et studia verisimile est, quæ aliena videantur Græcis nobis, si quis nostrûm, ut tu jam hisce, illis astet. Sed bono animo esto, vir optime: non sunt furor quæ fiunt, neque injuriæ causa isti se invicem percutiunt et in luto provolvunt, aut conspergunt pulvere: verum utilitatem ea res habet non injucundam, neque parvum robur corporibus conciliat. Proinde si moraberis, quod facturum te spero, aliquamdiu in Græcia, non ita multo post unus et ipse eris de illis luto aut pulvere oppletis: adeo tibi ea res jucunda pariter atque utilis videbitur.

ANACH. Apage, Solon! vobis eveniant utilia ista atque jucunda: mihi quidem si vestrûm aliquis tale quid faciat, sentiet non frustra nos accinctos acinace.

7. Verum dic mihi, quod nomen posuistis his quæ hic fiunt, aut quid facere istos dicamus?

SOL. Locus ipse, Anacharsi, gymnasium a nobis appellatur, et est illud Apollini Lycio sacrum. Ac vides signum illius, illum ad columellam acclinatum, sinistra habentem arcum; dextra vero supra caput reflexa velut e longo labore requiescentem ostendit deum.

8. Exercitationum autem istarum ea quæ fit in luto, lucta vocatur; isti in pulvere, luctantur ipsi quoque: illud, quod erecto corpore se invicem feriunt, pancratio certare dicimus. Sunt autem nobis alia quoque id genus exercitamenta pugilatus, et disci, et saltus: quorum omnium cer-

ἀγῶνας προτίθεμεν, καὶ ὁ κρατήσας ἄριστος εἶναι δοκεῖ τῶν καθ' αὑτὸν καὶ ἀναιρεῖται τὰ ἆθλα.

9. ΑΝΑΧ. Τὰ δὲ ἆθλα τίνα ὑμῖν ταῦτά ἐστιν;

ΣΟΛ. Ὀλυμπίασι μὲν στέφανος ἐκ κοτίνου, Ἰσθμοῖ δὲ ἐκ πίτυος, ἐν Νεμέᾳ δὲ σελίνων πεπλεγμένος, Πυθοῖ δὲ μῆλα τῶν ἱερῶν τοῦ θεοῦ, παρ' ἡμῖν δὲ τοῖς Παναθηναίοις τὸ ἔλαιον τὸ ἐκ τῆς μορίας. Τί ἐγέλασας, ὦ Ἀνάχαρσι; ἢ διότι μικρά σοι ταῦτα εἶναι δοκεῖ;

ΑΝΑΧ. Οὐκ, ἀλλὰ πάνσεμνα, ὦ Σόλων, κατέλεξας τὰ ἆθλα καὶ ἄξια τοῖς τε διαθεῖσιν αὐτὰ φιλοτιμεῖσθαι ἐπὶ τῇ μεγαλοδωρεᾷ καὶ τοῖς ἀγωνισταῖς αὐτοῖς ὑπερεσπουδακέναι περὶ τὴν ἀναίρεσιν τῶν τηλικούτων, ὥστε μήλων ἕνεκα καὶ σελίνων τοσαῦτα προπονεῖν καὶ κινδυνεύειν ἀγχομένους πρὸς ἀλλήλων καὶ κατακλωμένους, ὡς οὐκ ἐνὸν ἀπραγμόνως εὐπορῆσαι μήλων ὅτῳ ἐπιθυμία ἢ σελίνῳ ἐστεφανῶσθαι ἢ πίτυϊ μήτε πηλῷ καταχριόμενον τὸ πρόσωπον μήτε λακτιζόμενον ἐς τὴν γαστέρα ὑπὸ τῶν ἀνταγωνιστῶν.

10. ΣΟΛ. Ἀλλ', ὦ ἄριστε, οὐκ ἐς ψιλὰ τὰ διδόμενα ἡμεῖς ἀποβλέπομεν. Ταῦτα μὲν γάρ ἐστι σημεῖα τῆς νίκης καὶ γνωρίσματα οἵτινες οἱ κρατήσαντες, ἡ δὲ παρακολουθοῦσα τούτοις δόξα τοῦ παντὸς ἀξία τοῖς νενικηκόσιν, ὑπὲρ ἧς καὶ λακτίζεσθαι καλῶς ἔχει τοῖς θηρωμένοις τὴν εὐκλειαν ἐκ τῶν πόνων· οὐ γὰρ ἀπονητὶ προσγένοιτο ἂν αὕτη, ἀλλὰ χρὴ τὸν ὀρεγόμενον αὐτῆς πολλὰ τὰ δυσχερῆ ἀνασχόμενον ἐν τῇ ἀρχῇ τότ' ἤδη τὸ λυσιτελὲς καὶ ἡδὺ τέλος ἐκ τῶν καμάτων περιμένειν.

ΑΝΑΧ. Τοῦτο φῂς, ὦ Σόλων, τὸ τέλος ἡδὺ καὶ λυσιτελὲς, ὅτι πάντες αὐτοὺς ὄψονται ἐστεφανωμένους καὶ ἐπὶ τῇ νίκῃ ἐπαινέσονται πολὺ πρότερον οἰκτείραντες ἐπὶ ταῖς πληγαῖς, οἱ δὲ εὐδαιμονήσουσιν ἀντὶ τῶν πόνων μῆλα καὶ σέλινα ἔχοντες.

ΣΟΛ. Ἄπειρος εἶ, φημὶ, τῶν ἡμετέρων ἔτι· μετὰ μικρὸν δὲ ἄλλα σοι δόξει περὶ αὐτῶν, ἐπειδὰν ἐς τὰς πανηγύρεις ἀπιὼν ὁρᾷς τοσοῦτον πλῆθος ἀνθρώπων συλλεγόμενον ἐπὶ τὴν θέαν τῶν τοιούτων καὶ θέατρα μυρίανδρα συμπληρούμενα καὶ τοὺς ἀγωνιστὰς ἐπαινουμένους, τὸν δὲ καὶ νικήσαντα αὐτῶν ἰσόθεον νομιζόμενον.

11. ΑΝΑΧ. Αὐτὸ τοῦτο, ὦ Σόλων, καὶ τὸ οἰκτιστόν ἐστιν, εἰ μὴ ἐπ' ὀλίγων ταῦτα πάσχουσιν, ἀλλὰ ἐν τοσούτοις θεαταῖς καὶ μάρτυσι τῆς ὕβρεως, οἳ δηλαδὴ εὐδαιμονίζουσιν αὐτοὺς αἵματι ῥαινομένους ὁρῶντες ἢ ἀγχομένους ὑπὸ τῶν ἀντιπάλων· ταῦτα γὰρ τὰ εὐδαιμονέστατα πρόσεστι τῇ νίκῃ αὐτῶν. Παρ' ἡμῖν δὲ τοῖς Σκύθαις ἤν τις, ὦ Σόλων, ἢ πατάξῃ τινὰ τῶν πολιτῶν ἢ ἀνατρέψῃ προσπεσὼν ἢ θαλάμια περιρρήξῃ, μεγάλας οἱ πρεσβῦται τὰς ζημίας ἐπάγουσι, κἂν ἐπ' ὀλίγων τῶν μαρτύρων τοῦτο πάθῃ τις, οὔτι γε ἐν τηλικούτοις θεάτροις οἷα σὺ διηγῇ τὸ Ἰσθμοῖ καὶ τὸ ἐν Ὀλυμπίᾳ. Οὐ μὴν ἀλλὰ τοὺς μὲν ἀγωνιστὰς οἰκτείρειν μοι ἔπεισιν ὧν πάσχουσι, τῶν δὲ θεατῶν οὓς φῂς ἅπανταχόθεν τοὺς ἀρίστους παραγίγνεσθαι ἐς τὰς πατamina proponimus, et qui vicerit, ille præstantissimus inter æquales suos censetur et reportat præmia.

9. ANACH. Quæ sunt autem illa apud vos præmia?

SOL. Olympiæ corona oleagina; in Isthmo de pinu; Nemeæ de apio plexa; in Pythiis poma de sacris deo; apud nos Panathenaicis, oleum ex Minervæ olea. Quid risisti, Anacharsi? an quod parva tibi videntur ista?

ANACH. Non; sed magnifica, o Solon, enumerasti præmia, et digna in quibus liberalitate certarent qui ea constituerunt, digna pro quibus auferendis supra etiam, quam possunt, contendant athletæ : adeo ut malorum causa et apiorum tantum laboris præcipiant, et periculum incurrant, ne alter ab altero suffocentur et luxentur, quasi non liceret sine molestia copiam malorum, cui volupe sit, consequi, aut coronari apio, vel pinu, etiam ut non linatur luto facies ipsius, neque calcibus venter ab adversariis contundatur.

10. SOL. Sed, vir optime, non ad nuda ista munera nos respicimus. Hæc enim victoriæ signa sunt, et indicant qui vicerint : verum quæ consequitur inde gloria, ea vero quantivis pretii est victoribus; pro hac etiam calcibus peti præclarum videtur his qui bonam ex laboribus famam venantur : neque enim ea sine labore contigerit, sed oportet qui illam appetat multa ab initio subire difficilia, ac tum demum utilem illum jucundumque finem e laboribus exspectare.

ANACH. Hunc nempe ais, Solon, finem jucundum et utilem, quod omnes illos videbunt coronatos, et victoriæ causa laudabunt, qui diu ante miserati illos fuerant propter plagas : hi vero felices erunt, qui pro laboribus poma habeant et apia.

SOL. Imperitus es, inquam, rerum nostrarum adhuc : verum paullo post aliter de iis senties, quum delatus in conventus illos colligi videbis tantam hominum multitudinem talium spectaculorum causa, impleri theatra tot millium capacia, et laudari athletas, et honore diis æquari qui vicerit reliquos.

11. ANACH. Ipsum hoc vero, Solon, miserrimum est, si non paucis arbitris ista subeunt, sed apud tot spectatores ac testes contumeliæ, qui nempe beatos illos prædicant, videntes ut sanguine fluant, aut angantur ab adversariis : hæc enim beatissima sunt in illorum victoria. Apud nos vero Scythas, Solon, si quis aut pulset civium quenquam, aut impetu facto evertat, aut vestes deripiat, magnas illi pœnas nostri seniores infligunt, etiamsi cui paucis testibus hoc eveniat, neque in tantis theatris, quanta tu narras Isthmi atque Olympiæ. Verum enim certatorum quidem misereri subit ob ea quæ patiuntur; spectatores autem, quos ais undique convenire præstantissimos ad istas celebritates,

νηγύρεις, καὶ πάνυ θαυμάζω, εἰ τἀναγκαῖα παρέντες σχολάζουσιν ἐπὶ τοῖς τοιούτοις· οὐδὲ γὰρ ἐκεῖνό πω δύναμαι κατανοῆσαι, ὅτι τοῦτο τερπνὸν αὐτοῖς, ὁρᾶν παιομένους τε καὶ διαπληκτιζομένους ἀνθρώπους καὶ πρὸς τὴν γῆν ἀραττομένους καὶ συντριβομένους ὑπ' ἀλλήλων.

12. ΣΟΛ. Εἰ καιρὸς ἦν, ὦ Ἀνάχαρσι, Ὀλυμπίων ἢ Ἰσθμίων ἢ Παναθηναίων, αὐτὸ ἄν σε τὸ γιγνόμενον ἐδίδαξεν ὡς οὐ μάτην ἐσπουδάκαμεν ἐπὶ τούτοις· οὐ γὰρ οὕτω λέγων ἄν τις προσβιβάσειέ σε τῇ ἡδονῇ τῶν ἐκεῖ δρωμένων, ὡς εἰ καθεζόμενος αὐτὸς ἐν μέσοις τοῖς θεαταῖς βλέποις ἀρετὰς ἀνδρῶν καὶ κάλλη σωμάτων καὶ εὐεξίας θαυμαστὰς καὶ ἐμπειρίας δεινὰς καὶ ἰσχὺν ἄμαχον καὶ τόλμαν καὶ φιλοτιμίαν καὶ γνώμας ἀηττήτους καὶ σπουδὴν ἄληκτον ὑπὲρ τῆς νίκης· εὖ γὰρ δὴ οἶδα ὡς οὐκ ἂν ἐπαύσω ἐπαινῶν καὶ ἐπιβοῶν καὶ ἐπικροτῶν.

13. ΑΝΑΧ. Νὴ Δί', ὦ Σόλων, καὶ ἐπιγελῶν γε προσέτι καὶ ἐπιχλευάζων· ἅπαντα γὰρ ὁπόσα κατηριθμήσω ἐκεῖνα, τὰς ἀρετὰς καὶ τὰς εὐεξίας καὶ τὰ κάλλη καὶ τόλμαν, ὁρῶ οὐδενὸς μεγάλου ἕνεκα παραπολλυμένας ὑμῖν, οὔτε πατρίδος κινδυνευούσης οὔτε χώρας πορθουμένης οὔτε φίλων ἢ οἰκείων πρὸς ὕβριν ἀπαγομένων. Ὥστε τοσούτῳ γελοιότεροι ἂν εἶεν, ἄριστοι μὲν, ὡς φῄς, ὄντες, μάτην δὲ τοσαῦτα πάσχοντες καὶ ταλαιπωρούμενοι καὶ αἰσχύνοντες τὰ κάλλη καὶ τὰ μεγέθη τῇ ψάμμῳ καὶ τοῖς ὑπωπίοις, ὡς μήλου καὶ κοτίνου ἐγκρατεῖς γένοιντο νικήσαντες· ἡδὺ γάρ μοι ἀεὶ μεμνῆσθαι τῶν ἄθλων τοιούτων ὄντων. Ἀτὰρ εἰπέ μοι, πάντες αὐτὰ λαμβάνουσιν οἱ ἀγωνισταί;

ΣΟΛ. Οὐδαμῶς, ἀλλὰ εἷς ἐξ ἁπάντων ὁ κρατήσας αὐτῶν.

ΑΝΑΧ. Εἶτ', ὦ Σόλων, ἐπὶ τῷ ἀδήλῳ καὶ ἀμφιβόλῳ τῆς νίκης τοσοῦτοι πονοῦσι, καὶ ταῦτ' εἰδότες ὅτι ὁ μὲν νικῶν εἷς ἔσται πάντως, οἱ δὲ ἡττώμενοι πάμπολλοι μάτην ἄθλιοι πληγὰς, οἱ δὲ καὶ τραύματα λαβόντες;

14. ΣΟΛ. Ἔοικας, ὦ Ἀνάχαρσι, μηδέπω ἐννενοηκέναι πολιτείας ὀρθῆς πέρι μηδέν· οὐ γὰρ ἂν τὰ κάλλιστα τῶν ἐθῶν ἐν ψόγῳ ἐτίθεσο. Ἦν δέ σοι μελήσῃ ποτὲ εἰδέναι ὅπως ἂν τὰ κάλλιστα οἰκηθείη πόλις καὶ ὅπως ἂν ἄριστοι γένοιντο οἱ πολῖται αὐτῆς, ἐπαινέσῃ τότε καὶ τὰς ἀσκήσεις ταύτας καὶ τὴν φιλοτιμίαν ἣν φιλοτιμούμεθα περὶ αὐτὰς, καὶ εἴσῃ ὅτι πολὺ τὸ χρήσιμον ἔχουσιν ἐγκαταμεμιγμένον τοῖς πόνοις, εἰ καὶ νῦν μάτην σπουδάζεσθαι δοκοῦσι.

ΑΝΑΧ. Καὶ μὴν, ὦ Σόλων, κατ' οὐδὲν ἄλλο ἀπὸ τῆς Σκυθίας ἦκω παρ' ὑμᾶς τοσαύτην μὲν γῆν διοδεύσας, μέγαν δὲ τὸν Εὔξεινον καὶ δυσχείμερον περαιωθεὶς, ἢ ὅπως νόμους τε τοὺς Ἑλλήνων ἐκμάθοιμι καὶ ἔθη παρ' ὑμῖν κατανοήσαιμι καὶ πολιτείαν τὴν ἀρίστην ἐκμελετήσαιμι. Διὸ καὶ σὲ μάλιστα φίλον ἐξ ἁπάντων Ἀθηναίων καὶ ξένον προειλόμην κατὰ κλέος, ἐπείπερ ἤκουον νόμων τέ τινων ξυγγραφέα εἶναί σε καὶ ἐθῶν

hos vero valde miror, si necessariis relictis otium sibi sumunt ad talia. Nondum enim vel illud possum intelligere, quæ sit illis jucunditas videre ferientes se et conflictantes homines, et terræ allisos, et alterum ab altero contritos.

12. SOL. Si tempus esset, Anacharsi, Olympiorum, aut Isthmiorum, aut Panathenæorum, ipsa te res doceret, quam non temere studium in his rebus posuerimus. Neque enim dicendo quisquam ita te admovere quasi possit voluptati eorum quæ ibi fiunt, quam si sedens ipse inter medios spectatores videas virtutes virorum, pulchritudines corporum, et habitus admirabiliter firmos, et acerrimam peritiam, et robur invictum, et audaciam, et honoris cupiditatem, et animos insuperabiles, et studium nunquam deficiens victoriæ : bene equidem novi finem te laudandi et acclamandi et plaudendi non facturum.

13. ANACH. Per Jovem, Solon, et irridendi insuper atque cavillandi : omnia enim illa, quæ modo enumerabas, virtutes, et habitus bonos, et pulchritudines, et audaciam, video nullius magnæ rei causa vobis disperire, quum neque patria sit in periculo, neque regio vastetur, neque amici aut familiares abripiantur ad contumeliam. Itaque tanto fuerint magis ridiculi, si, quum sint, ut ais, præstantissimi, nequicquam tot ac tanta patiantur, et malis conflictentur, ac pulchritudines istas ac magnitudines arena fœdent ac livoribus, ut pomo aut oleæ ramo potiantur victores : suave enim mihi semper meminisse præmiorum istorum, quæ tanta sint scilicet. Sed dic mihi, omnesne ea accipiunt qui decertant?

SOL. Minime, sed unus ex omnibus, qui illos superavit.

ANACH. Tum igitur, Solon, de obscura et ancipiti victoria tot homines laborant, idque quum sciant victorem unum omnino futurum, victos autem plurimos, qui frustra miseri plagas, partim etiam vulnera acceperint?

14. SOL. Videris, Anacharsi, nondum etiam quicquam de recta reipublicæ gerendæ ratione cogitasse : non enim instituta pulcherrima reprehendenda duceres. Si vero tibi curæ fuerit aliquando scire, quomodo pulcherrime condi possit civitas, et qua ratione optimi fiant illius cives, laudabis tunc etiam exercitationes hasce, et honoris studium, quo in illis versamur, et scies multam habere admixtam laboribus utilitatem, etiamsi nunc frustra laborare videantur.

ANACH. Quin ego, Solon, nulla alia causa e Scythia ad vos veni, tantis terræ spatiis superatis, magnum Euxinum ac procellosum transvectus, nisi ut et leges Græcorum ediscam, et qui sint apud vos mores cognoscam, et formam reipublicæ optimam meditando assequar. Qua de causa etiam te maxime amicum ex omnibus Atheniensibus hospitemque delegi ex fama, quandoquidem audieram legum te quarundam scriptorem esse, et morum optimorum invento-

τῶν ἀρίστων εὑρετὴν καὶ ἐπιτηδευμάτων ὠφελίμων εἰσηγητὴν, καὶ ὅλως πολιτείας τινὸς συναρμοστήν. Ὥστε οὐκ ἂν φθάνοις διδάσκων με καὶ μαθητὴν ποιούμενος· ὡς ἔγωγε ἡδέως ἂν ἀσιτός σοι καὶ ἄποτος παρακαθεζόμενος, ἐς ὅσον ἂν αὐτὸς διαρκοίης λέγων, κεχηνὼς ἐπακούοιμι περὶ πολιτείας τε καὶ νόμων διεξιόντος.

15. ΣΟΛ. Τὰ μὲν πάντα οὐ ῥᾴδιον, ὦ ἑταῖρε, διελθεῖν ἐν βραχεῖ, ἀλλὰ κατὰ μέρη ἐπιὼν εἴσῃ ἕκαστα, οἷα μὲν περὶ θεῶν, οἷα δὲ περὶ γονέων ἢ περὶ γάμων ἢ τῶν ἄλλων δοκεῖ ἡμῖν. Ἃ δὲ περὶ τῶν νέων γιγνώσκομεν καὶ ὅπως αὐτοῖς χρώμεθα, ἐπειδὰν πρῶτον ἄρξωνται συνιέναι τε τοῦ βελτίονος καὶ τῷ σώματι ἀνδρίζεσθαι καὶ ὑφίστασθαι τοὺς πόνους, ταῦτα ἤδη σοι διέξειμι, ὡς μάθοις οὗτινος χάριν τὰς ἀσκήσεις ταύτας προτεθείκαμεν αὐτοῖς καὶ διαπονεῖν τὸ σῶμα καταναγκάζομεν, οὐ μόνον ἕνεκα τῶν ἀγώνων, ὅπως τὰ ἆθλα δύναιντο ἀναιρεῖσθαι — ἐπ' ἐκεῖνα μὲν γὰρ ὀλίγοι πάνυ ἐξ ἁπάντων χωροῦσιν — ἀλλὰ μεῖζόν τι ἁπάσῃ τῇ πόλει ἀγαθὸν ἐκ τούτου καὶ αὐτοῖς ἐκείνοις προσκτώμενοι· κοινὸς γάρ τις ἀγὼν ἄλλος ἅπασι τοῖς ἀγαθοῖς πολίταις πρόκειται καὶ στέφανος οὐ πίτυος οὐδὲ κοτίνου ἢ σελίνων, ἀλλ' ὃς ἐν αὐτῷ συλλαβὼν ἔχει τὴν ἀνθρώπων εὐδαιμονίαν, οἷον ἐλευθερίαν λέγω αὐτοῦ τε ἑκάστου ἰδίᾳ καὶ κοινῇ τῆς πατρίδος καὶ πλοῦτον καὶ δόξαν καὶ ἑορτῶν πατρίων ἀπόλαυσιν καὶ οἰκείων σωτηρίαν, καὶ συνόλως τὰ κάλλιστα ὧν ἄν τις εὔξαιτο γενέσθαι οἱ παρὰ τῶν θεῶν· ταῦτα πάντα τῷ στεφάνῳ, ὃν φημι, συναναπέπλεκται καὶ ἐκ τοῦ ἀγῶνος ἐκείνου περιγίγνεται, ἐφ' ὃν αἱ ἀσκήσεις αὗται καὶ οἱ πόνοι ἄγουσιν.

16. ΑΝΑΧ. Εἶτα, ὦ θαυμάσιε Σόλων, τοιαῦτά μοι καὶ τηλικαῦτα ἔχων ἆθλα διεξιέναι μῆλα καὶ σέλινα διηγοῦ καὶ θαλλὸν ἐλαίας ἀγρίας καὶ πίτυν;

ΣΟΛ. Καὶ μήν, ὦ Ἀνάχαρσι, οὐδ' ἐκεῖνά τοι ἔτι δόξει μικρὰ εἶναι, ὁπόταν ἃ λέγω καταμάθῃς· ἀπὸ γάρ τοι τῆς αὐτῆς γνώμης γίγνεται καὶ μέρη πάντα ταῦτά ἐστι μικρὰ τοῦ μείζονος ἐκείνου ἀγῶνος καὶ τοῦ στεφάνου ὃν κατέλεξα τοῦ πανευδαίμονος. Ὁ δὲ λόγος οὐκ οἶδ' ὅπως ὑπερβὰς τὴν τάξιν ἐκείνων προτέρων ἐπεμνήσθη τῶν Ἰσθμοῖ γιγνομένων καὶ Ὀλυμπίασι καὶ ἐν Νεμέᾳ. Πλὴν ἀλλὰ νὼ — σχολὴν γὰρ ἄγομεν καὶ σὺ, ὡς φῄς, προθυμῇ ἀκούειν — ἀναδραμούμεθα ῥᾳδίως πρὸς τὴν ἀρχὴν καὶ τὸν κοινὸν ἀγῶνα, δι' ὃν φημι πάντα ταῦτα ἐπιτηδεύεσθαι.

ΑΝΑΧ. Ἄμεινον, ὦ Σόλων, οὕτως· καθ' ὁδὸν γὰρ ἂν ἡμῖν ὁ λόγος μᾶλλον προχωροίη καὶ τάχ' ἂν ἴσως ἀπὸ τούτων πεισθείην μηδ' ἐκείνων ἔτι καταγελᾶν, εἴ τινα ἴδοιμι σεμνυνόμενον κοτίνῳ ἢ σελίνῳ ἐστεφανωμένον. Ἀλλ' εἰ δοκεῖ, ἐς τὸ σύσκιον ἐκεῖσε ἀπελθόντες καθίσωμεν ἐπὶ τῶν θάκων, ὡς μὴ ἐνοχλοῖεν ἡμῖν οἱ ἐπικεκραγότες τοῖς παλαίουσιν· ἄλλως τε — εἰρήσεται γάρ — οὐδὲ τὸν ἥλιον ἔτι ῥᾳδίως ἀνέχομαι ὀξὺν καὶ φλογώδη ἐμπίπτοντα γυμνῇ τῇ κεφαλῇ· τὸν γὰρ πῖλόν

rem, teque instituta utilia introduxisse, atque in universum rempublicam quandam constituisse. Igitur quamprimum me doce, et discipulum tibi habe: nam ego lubenter vel sine cibo et potu tibi assidens, quousque ipse durare dicendo possis, hiansque audiam te de republica et legibus disputantem.

15. SOL. Universa quidem, amice, breviter enarrare non est facile; sed si per partes obire ea mecum velis, singula intelliges, quæ de diis, quæ de parentibus, quæ de nuptiis reliquisque rebus nobis placeant. Quæ vero de juvenibus decernamus, et quomodo illos tractemus ubi primum intelligere quid sit melius incipiunt, et virile robur accipere et pares esse laboribus: hæc jam tibi enarrabo, uti discas cujus rei gratia hasce illis exercitationes proposuerimus, et labore subigere corpus illos coganus: non propter certamina solum, ut auferre possint præmia (ad illa etenim pauci ex omnibus perveniunt), sed majus quiddam toti civitati ex ea re bonum, atque ipsis adeo, conciliamus. Commune enim quoddam certamen aliud bonis omnibus civibus propositum est, et corona non ex pinu, neque olea, aut apio, sed quæ hominum in se felicitatem complectatur, velut libertatem et privatim uniuscujusque et communiter patriæ, et divitias, et gloriam, et feriarum patriarum fructum, et rei familiaris conservationem, et in universum pulcherrima quæ a diis contingere sibi aliquis optaverit: ea huic coronæ, de qua loquor, implexa sunt omnia, et certamine illo parantur, ad quod exercitationes istæ et labores ducunt.

16. ANACH. Tum tu, Solon, vir admirabilis, talia ac tanta præmia quum recensenda haberes, mala narrabas et apia, et silvestris olivæ ramum, et pinum?

SOL. Verum, Anacharsi, neque illa parva tibi videbuntur, si quæ dico perceperis: eodem enim consilio ista fiunt, et partes ista omnia parvæ sunt majoris illius certaminis et coronæ illius, quam modo enarrabam, undique beatæ. At sermo meus, migrato nescio qua ratione ordine, illorum prius mentionem fecit, quæ in Isthmo fiunt, et Olympiæ, et Nemeæ. Sed nos jam, (otiosi enim sumus, et tu, ut ais, audiendi cupidus) recurremus facile ad principium, ad commune illud certamen, propter quod aio studiose omnia illa agi.

ANACH. Melius ita, Solon, fuerit: sic enim magis ordine nobis sermo processerit; et brevi fortasse hinc didicerim non amplius illos irridere, si quem videam olea sibi placentem, aut coronatum apio. Sed, si videtur, in umbrosum illum locum progressi assideamus in sedilibus, ne turbent nos qui inclamant luctantibus. Alioqui (dicetur enim) neque solem facile fero, qui acutus et fervidus incidit nudo capiti: pileum enim deponere domo exeunti visum est, quo ne

μοι ἀφελεῖν οἴκοθεν ἔδοξεν, ὡς μὴ μόνος ἐν ὑμῖν ξενίζοιμι τῷ σχήματι. Ἡ δὲ ὥρα τοῦ ἔτους ὅτιπερ τὸ πυρωδέστατόν ἐστι, τοῦ ἀστέρος, ὃν ὑμεῖς κύνα φατέ, πάντα καταφλέγοντος καὶ τὸν ἀέρα ξηρὸν καὶ διακαῆ τιθέντος, ὅ τε ἥλιος κατὰ μεσημβρίαν ἤδη ὑπὲρ κεφαλῆς ἐπικείμενος φλογμὸν τοῦτον οὐ φορητὸν ἐπάγει τοῖς σώμασιν. Ὥστε καὶ σοῦ θαυμάζω, ὅπως γηραιὸς ἤδη ἄνθρωπος οὔτε ἰδίεις πρὸς τὸ θάλπος ὥσπερ ἐγὼ οὔτε ὅλως ἐνοχλουμένῳ ἔοικας οὐδὲ περιβλέπεις σύσκιόν τι ἔνθα ὑποδύσῃ, ἀλλὰ δέχῃ τὸν ἥλιον εὐμαρῶς.

ΣΟΛ. Οἱ μάταιοι γὰρ οὗτοι πόνοι, ὦ Ἀνάχαρσι, καὶ αἱ συνεχεῖς ἐν τῷ πηλῷ κυβιστήσεις καὶ αἱ ὑπαίθριοι ἐν τῇ ψάμμῳ ταλαιπωρίαι τοῦτο ἡμῖν τὸ ἀμυντήριον παρέχουσι πρὸς τὰς τοῦ ἡλίου βολάς, καὶ οὐκέτι πίλου δεόμεθα, ὃς τὴν ἀκτῖνα κωλύσει καθικνεῖσθαι τῆς κεφαλῆς. Ἀπίωμεν δ' οὖν.

17. Καὶ ὅπως μὴ καθάπερ νόμοις προσέξεις οἷς ἂν λέγω πρὸς σέ, ὡς ἐξ ἅπαντος πιστεύειν αὐτοῖς, ἀλλ' ἔνθα ἄν σοι μὴ ὀρθῶς τι λέγεσθαι δοκῇ, ἀντιλέγειν εὐθὺς καὶ διευθύνειν τὸν λόγον· δυοῖν γὰρ θατέρου πάντως οὐκ ἂν ἁμάρτοιμεν, ἢ σὲ βεβαίως πεισθῆναι ἐκχέαντα ὁπόσα οἴει ἀντιλεκτέα εἶναι ἢ ἐμὲ ἀναδιδαχθῆναι ὡς οὐκ ὀρθῶς γιγνώσκω περὶ αὐτῶν. Καὶ ἐν τούτῳ πᾶσα ἂν σοι ἡ πόλις ἡ Ἀθηναίων οὐκ ἂν φθάνοι χάριν ὁμολογοῦσα· ὅσα γὰρ ἂν ἐμὲ παιδεύσῃς καὶ μεταπείσῃς πρὸς τὸ βέλτιον, ἐκείνην τὰ μέγιστα ἔσῃ ὠφεληκώς. Οὐδὲν γὰρ ἂν ἀποκρυψαίμην αὐτήν, ἀλλ' εὐθὺς εἰς τὸ μέσον καταθήσω φέρων καὶ καταστὰς ἐν τῇ πυκνὶ ἐρῶ πρὸς ἅπαντας, Ἄνδρες Ἀθηναῖοι, ἐγὼ μὲν ὑμῖν ἔγραψα τοὺς νόμους οἵους ἂν ᾤμην ὠφελιμωτάτους ἔσεσθαι τῇ πόλει, ὁ δὲ ξένος οὑτοσὶ — δείξας σέ, ὦ Ἀνάχαρσι — Σκύθης μέν ἐστι, σοφὸς δὲ ὢν μετεπαίδευσέ με καὶ ἄλλα βελτίω μαθήματα καὶ ἐπιτηδεύματα ἐδιδάξατο· ὥστε εὐεργέτης ὑμῶν ὁ ἀνὴρ ἀναγεγράφθω καὶ χαλκοῦν αὐτὸν ἀναστήσατε παρὰ τοὺς ἐπωνύμους ἢ ἐν πόλει παρὰ τὴν Ἀθηνᾶν. Καὶ εὖ ἴσθι ὡς οὐκ αἰσχυνεῖται ἡ Ἀθηναίων πόλις παρὰ βαρβάρου καὶ ξένου τὰ συμφέροντα ἐκμανθάνοντες.

18. ΑΝΑΧ. Τοῦτο ἐκεῖνο ἦν ἄρα, ὃ ἐγὼ περὶ ὑμῶν ἤκουον τῶν Ἀθηναίων, ὡς εἴητε εἴρωνες ἐν τοῖς λόγοις. Ἐπεὶ πόθεν ἂν ἐγὼ νομὰς καὶ πλάνης ἄνθρωπος, ἐφ' ἁμάξης βεβιωκώς, ἄλλοτε ἄλλην γῆν ἀμείβων, πόλιν δὲ οὔτε οἰκήσας πώποτε οὔτε ἄλλοτε ἢ νῦν ἑορακώς, περὶ πολιτείας διεξίοιμι καὶ διδάσκοιμι αὐτόχθονας ἄνδρας πόλιν ταύτην ἀρχαιοτάτην τοσούτοις ἤδη χρόνοις ἐν εὐνομίᾳ κατῳκηκότας, καὶ μάλιστα σέ, ὦ Σόλων, ᾧ τοῦτο, ὥς φασιν, ἐξ ἀρχῆς καὶ μάθημα ἐγένετο, ἐπίστασθαι ὅπως ἂν ἄριστα πόλις οἰκοῖτο καὶ οἵστισι νόμοις χρωμένη εὐδαιμονήσειε; Πλὴν ἀλλὰ καὶ τοῦτο ὡς νομοθέτῃ πειστέον σοι, καὶ ἀντερῶ, ἤν τί μοι δοκῇ μὴ ὀρθῶς λέγεσθαι, ὡς βεβαιότερον μάθοιμι. Καὶ ἰδοὺ γὰρ ἤδη ἐκφυγόντες τὸν ἥλιον ἐν τῷ συνηρεφεῖ ἐσμεν, καὶ καθέδρα μάλα ἡδεῖα καὶ εὔκαιρος ἐπὶ ψυχροῦ τοῦ λίθου. Λέγε οὖν τὸν λόγον ἐξ ἀρχῆς καθ' ὅ τι τοὺς νέους

solus inter vos peregrino habitu circumeam. Tempus autem illud anni, quæ fervidissima ejus pars est, astro, quod caniculam vocatis, adurente omnia et siccum aridumque aerem reddente; atque sol circa meridiem jam ipsi imminens capiti, æstum hunc intolerabilem corporibus inducit. Itaque te admiror, quomodo senex jam homo neque sudes ad æstum, ut ego, neque omnino incommodi quicquam sentire videaris, neque umbrosum locum circumspicias, quo subeas, sed facile excipias solem.

SOL. Nempe vani isti labores, Anacharsi, et perpetuæ in luto volutationes, et subdivales in arena æruminæ hoc nobis contra solis jacula propugnaculum præbent; nec jam indigemus pileo, qui prohibeat ad caput pervenire radium. Sed abeamus nempe.

17. Et fac non tanquam legibus his attendas, quæ dicturus ad te sum, ut omnino illis fidem habeas; sed ubicumque tibi aliquid non recte dici videbitur, contradicere statim et examinare meum sermonem memineris. Alterutrum enim duorum omnino consequemur, aut tu firmiter ut in hanc traducare sententiam, effusis quæ contra dicenda putabis omnibus, aut ego ut meliora edocear, tanquam qui recte de hisce rebus non sentiam. Atque ea in re tota Atheniensium civitas gratiam se tibi habere sponte profitebitur: quatenus enim me instituveris et ad meliorem traduxeris sententiam, maximo illam beneficio affeceris. Nihil enim illam equidem celavero; sed in medium statim illud conferam, ac stans in concione dicam omnibus, Ego quidem, Athenienses, scripsi vobis leges quales utilissimas fore civitati putabam: at hic hospes (hic te ostendam, Anacharsi), Scytha ille quidem, sed vir sapiens, aliter me instituit, et aliam me meliorem discendi ac vivendi rationem docuit. Itaque tanquam beneficus erga vos scribatur hic vir, et æneum illum statuite juxta heroas tribuum, vel in arce juxta Minervam. Et bene noris, non ducturam sibi pudori Atheniensium civitatem, a barbaro et peregrino discere quæ prosunt.

18. ANACH. Illud nempe erat quod audiebam de vobis Atheniensibus, irrisores cum dissimulatione vos esse in sermonibus. Nam unde ego, pastoricius et vagus homo, qui in plaustro consumsi vitam, nunc hanc nunc aliam terram obiens, qui urbem habitavi nunquam, neque alias præterquam nunc vidi, de civitate disputem, et instruam homines solum in quo primum orti sunt incolentes, qui urbem hanc antiquissimam per tot jam sæcula bonis legibus habuerunt? et te præsertim, Solon, cui hæc, aiunt, ab initio statim disciplina fuerit, scire quomodo optime civitas instituatur, et quibus usa legibus beata esse queat? Verum enim vero illa quoque in re parendum tibi velut legislatori: et contra dicam, si quid minus recte mihi dictum videbitur, ut eo discam firmius. Et ecce jam evitato sole, in opaco sumus, et jucunda hic sedes atque opportuna in saxo frigido. Itaque ab initio inde exorsus rationem edissere, cur assumtos

παραλαβόντες ἐκ παίδων εὐθὺς διαπονεῖτε καὶ ὅπως ὑμῖν ἄριστοι ἄνδρες ἀποβαίνουσιν ἐκ τοῦ πηλοῦ καὶ τῶν ἀσκημάτων τούτων καὶ τί ἡ κόνις καὶ τὰ κυβιστήματα συντελεῖ πρὸς ἀρετὴν αὐτοῖς. Τοῦτο γὰρ δὴ μάλιστα ἐξ ἀρχῆς εὐθὺς ἐπόθουν ἀκοῦσαι· τὰ δ' ἄλλα εἰς ὕστερον διδάξῃ με κατὰ καιρὸν ἕκαστον ἐν τῷ μέρει. Ἐκείνου μέντοι, ὦ Σόλων, μέμνησό μοι παρὰ τὴν δῆσιν, ὅτι πρὸς ἄνδρα βάρβαρον ἐρεῖς, λέγω δέ, ὡς μὴ πεοιπλέκῃς μηδὲ ἀπομηκύνῃς τοὺς λόγους: δέδια γὰρ μὴ ἐπιλανθάνωμαι τῶν πρώτων, εἰ τὰ μετὰ ταῦτα πολλὰ ἐπιρρέοι.

19. ΣΟΛ. Σὺ τοῦτο, ὦ Ἀνάχαρσι, ταμιεύσῃ ἄμεινον, ἔνθα ἄν σοι δοκῇ μὴ πάνυ σαφὴς ὁ λόγος εἶναι ἢ πόρρω ποι ἀποπλανᾶσθαι εἰκῇ ῥέων· ἐρήσῃ γὰρ μεταξὺ ὅ τι ἂν ἐθέλῃς καὶ διακόψεις αὐτοῦ τὸ μῆκος. Ἢν μέντοι μὴ ἐξαγώνια μηδὲ πόρρω τοῦ σκοποῦ τὰ λεγόμενα ᾖ, κωλύσει οὐδέν, οἶμαι, εἰ καὶ μακρὰ λέγοιτο· ἐπεὶ καὶ τῇ βουλῇ τῇ ἐξ Ἀρείου πάγου, ἥπερ τὰς φονικὰς ἡμῖν δίκας δικάζει, πάτριον οὕτω ποιεῖν. Ὁπόταν γὰρ ἀνελθοῦσα εἰς τὸν πάγον συγκαθέζηται φόνου ἢ τραύματος ἐκ προνοίας ἢ πυρκαϊᾶς δικάσοντες, ἀποδίδοται λόγος ἑκατέρῳ τῶν κρινομένων καὶ λέγουσιν ἐν τῷ μέρει ὁ μὲν διώκων ὁ δὲ φεύγων, ἢ αὐτοὶ ἢ ῥήτορας ἀναβιβάζονται τοὺς ἐροῦντας ὑπὲρ αὐτῶν. Οἱ δ' ἐστ' ἂν μὲν περὶ τοῦ πράγματος λέγωσιν, ἀνέχεται ἡ βουλὴ καθ' ἡσυχίαν ἀκούουσα· ἢν δέ τις ἢ φροίμιον εἴπῃ πρὸ τοῦ λόγου, ὡς εὐνουστέρους ἀπεργάσαιτο αὐτούς, ἢ οἶκτον ἢ δείνωσιν ἔξωθεν ἐπάγῃ τῷ πράγματι — οἷα πολλὰ ῥητόρων παῖδες ἐπὶ τοὺς δικαστὰς μηχανῶνται — παρελθὼν ὁ κῆρυξ κατεσώπησεν εὐθὺς οὐκ ἐῶν ληρεῖν πρὸς τὴν βουλὴν καὶ περιπέττειν τὸ πρᾶγμα ἐν τοῖς λόγοις, ὡς γυμνὰ τὰ γεγενημένα οἱ Ἀρεοπαγῖται βλέποιεν. Ὥστε καὶ σὲ, ὦ Ἀνάχαρσι, Ἀρεοπαγίτην ἐν τῷ παρόντι ποιοῦμαι ἔγωγε καὶ κατὰ τὸν τῆς βουλῆς μου νόμον ἄκουε καὶ σιωπᾶν κέλευε, ἢν αἴσθῃ καταρρητορευόμενος· ἄχρι δ' ἂν οἰκεῖα τῷ πράγματι λέγηται, ἐξέστω ἀπομηκύνειν. Οὐδὲ γὰρ ὑφ' ἡλίῳ ἔτι ποιησόμεθα τὴν συνουσίαν, ὡς ἄχθεσθαι εἰ ἀποτείνοιτο ἡ ῥῆσις, ἀλλὰ ἥ τε σκιὰ πυκνὴ καὶ ἡμεῖς σχολὴν ἄγομεν.

ΑΝΑΧ. Εὐγνώμονά σου ταῦτα, ὦ Σόλων, καὶ ἔγωγε ἤδη χάριν οὐ μικρὰν οἶδά σοι καὶ ἐπὶ τούτοις, ὅτι πάρεργον τοῦ λόγου καὶ τὰ ἐν Ἀρείῳ πάγῳ γιγνόμενα ἐδίδαξω με θαυμάσια ὡς ἀληθῶς καὶ ἀγαθῶν βουλευτῶν ἔργα πρὸς ἀλήθειαν οἰσόντων τὴν ψῆφον. Ἐπὶ τούτοις οὖν ἤδη λέγε, καὶ ὁ Ἀρεοπαγίτης ἐγὼ — τοῦτο γὰρ ἔθου με — κατὰ σχῆμα τῆς βουλῆς ἀκούσομαί σου.

20. ΣΟΛ. Οὐκοῦν διὰ βραχέων προακοῦσαι χρή σε ἃ περὶ πόλεως καὶ πολιτῶν ἡμῖν δοκεῖ· πόλιν γὰρ ἡμεῖς οὐ τὰ οἰκοδομήματα ἡγούμεθα εἶναι, οἷον τείχη καὶ ἱερὰ καὶ νεωσοίκους, ἀλλὰ ταῦτα μὲν ὥσπερ σῶμά τι ἑδραῖον καὶ ἀκίνητον ὑπάρχειν ἐς ὑποδοχὴν καὶ ἀσφάλειαν τῶν πολιτευομένων, τὸ δὲ πᾶν κῦρος ἐν τοῖς πολίταις τιθέμεθα· τούτους γὰρ εἶναι τοὺς ἀναπληροῦντας καὶ διατάττοντας καὶ ἐπιτελοῦντας ἕκαστα καὶ φυλάτ-

a pueris inde adolescentulos statim labore subigatis, et quomodo vobis optimi viri evadant a luto et ab exercitationibus hisce, et quid pulvis et volutationes ad virtutem illis conferant. Hoc enim præsertim ab initio statim cupiebam audire : reliqua vero in posterum suo quodque loco et tempore me docebis. Illud vero mihi, Solon, in oratione tua memineris, te acturum esse cum homine barbaro; hoc eo dico, ne implices aut producas sermonem : metuo enim ne priorum obliviscar, si multa postea affluant.

19. SOL. Hoc tute, Anacharsi, dispensabis melius, ubicumque tibi visa fuerit non nimis plana esse oratio, aut longius aliquorsum temere fusa aberrare : interpellabis enim ut volueris, et longitudinem ejus intercides. Si vero non aliena sint a disputatione, neque procul a scopo cadant quæ dicuntur, nihil, puto, prohibebit, si dicantur etiam longiuscula : quandoquidem etiam Areopagitarum consilio, quod cædis apud nos causas judicat, patrio more receptum est sic facere. Quum enim ascendens in collem consedit ad judicandum causas cædis, aut voluntarii vulneris, aut incendii; facultas dicendi datur litigantium utrique, et alternis dicunt tum actor tum reus, aut ipsi per se, aut adductis, qui pro se verba faciant, oratoribus. Hi quam diu de re ipsa dicunt, patitur consilium et audit silentio : si vero quis aut procœmium dicat ante orationem, ut benevolentiores illos reddat; aut miserationem vel indignationem extrinsecus arcessitam inducat causæ (qualia multa ad judices struunt rhetorum filii), progressus in medium præco silentium statim imponit, neque patitur ineptias agere apud judices, aut oblinere quasi et involvere causam verbis, ut nuda quæ facta sunt videant Areopagitæ. Sic etiam te, Anacharsi, Areopagitam in præsens mihi constituo equidem; et ex mei consilii lege audi, et tacere jube, si sentias rhetoricas tibi insidias strui : at quam diu domestica causæ dicentur, producere orationem liceat. Neque enim sub sole jam disputabimus, ut molestum sit si extendatur oratio; verum et umbra densa est, et nos otiosi sumus.

ANACH. Æqua hæc dicis, Solon : et gratiam equidem tibi jam habeo non mediocrem ea quoque causa, quod obiter etiam quæ in Areopago fiunt me docuisti, admiranda sane et bonorum judicum opera, qui ex vero calculum laturi sint. Hac ergo conditione jam dicito : et ego Areopagita (hunc enim tibi me posuisti) ad formam illius consilii te audiam.

20. SOL. Igitur paucis ante reliqua audiendum est tibi, quæ de civitate statuamus ac civibus. Civitatem enim non in ædificationibus inesse judicamus, ut sunt mœnia, et templa, et navalia; sed ista quidem uti corpus quoddam firmum et immobile esse, ad receptionem et securitatem civium; vim vero omnem ponimus in civibus : hos enim esse qui ista impleant, et gubernent, et perficiant omnia, et custo-

τοντας, οἷόν τι ἐν ἡμῖν ἑκάστῳ ἐστὶν ἡ ψυχή. Τοῦτο δὴ τοίνυν κατανοήσαντες ἐπιμελούμεθα μὲν, ὡς ὁρᾷς, καὶ τοῦ σώματος τῆς πόλεως κατακοσμοῦντες αὐτὸ, ὡς κάλλιστον ἡμῖν εἴη, ἔνδοθέν τε οἰκοδομήμασι κατεσκευασμένον καὶ ταῖς ἔκτοσθεν ταύταις περιβολαῖς ἐς τὸ ἀσφαλέστατον πεφραγμένον. Μάλιστα δὲ καὶ ἐξ ἅπαντος τοῦτο προνοοῦμεν, ὅπως οἱ πολῖται ἀγαθοὶ μὲν τὰς ψυχὰς, ἰσχυροὶ δὲ τὰ σώματα γίγνοιντο· τοὺς γὰρ τοιούτους σφίσι τε αὐτοῖς καλῶς χρήσεσθαι ἐν εἰρήνῃ συμπολιτευομένους καὶ ἐκ πολέμου σώσειν τὴν πόλιν καὶ ἐλευθέραν καὶ εὐδαίμονα διαφυλάξειν. Τὴν μὲν δὴ πρώτην ἀνατροφὴν αὐτῶν μητράσι καὶ τιτθαῖς καὶ παιδαγωγοῖς ἐπιτρέπομεν ὑπὸ παιδείαις ἐλευθερίοις ἄγειν τε καὶ τρέφειν αὐτοὺς, ἐπειδὰν δὲ συνετοὶ ἤδη γίγνωνται τῶν καλῶς ἐχόντων καὶ αἰδῶς καὶ ἐρύθημα καὶ φόβος καὶ ἐπιθυμία τῶν ἀρίστων ἀναφύηται αὐτοῖς καὶ αὐτὰ ἤδη τὰ σώματα ἀξιόχρεα δοκῇ πρὸς τοὺς πόνους παγιώτερα γιγνόμενα καὶ πρὸς τὸ ἰσχυρότερον συνιστάμενα, τηνικαῦτα ἤδη παραλαβόντες αὐτοὺς διδάσκομεν ἄλλα μὲν τῆς ψυχῆς μαθήματα καὶ γυμνάσια προτιθέντες, ἄλλως δὲ πρὸς τοὺς πόνους καὶ τὰ σώματα ἐθίζοντες· οὐ γὰρ ἱκανὸν ἡμῖν ἔδοξε τὸ μόνον φῦναι ὡς ἔφυ ἕκαστος ἤτοι κατὰ τὸ σῶμα ἢ κατὰ τὴν ψυχὴν, ἀλλὰ καὶ παιδεύσεως καὶ μαθημάτων ἐπ' αὐτοὺς δεόμεθα, ὑφ' ὧν τά τε εὐφυῶς διακείμενα βελτίω παρὰ πολὺ γίγνοιτο ἂν καὶ τὰ φαύλως ἔχοντα μετακοσμοῖτο πρὸς τὸ βέλτιον· καὶ τὸ παράδειγμα ἡμῖν παρὰ τῶν γεωργῶν, οἳ τὰ φυτὰ μέχρι μὲν πρόσγεια καὶ νήπιά ἐστι, σκέπουσι καὶ περιφράττουσιν, ὡς μὴ βλάπτοιντο ὑπὸ τῶν πνευμάτων, ἐπειδὰν δὲ ἤδη παχύνηται τὸ ἔρνος, τηνικαῦτα περιτέμνουσί τε τὰ περιττὰ καὶ παραδιδόντες αὐτὰ τοῖς ἀνέμοις δονεῖν καὶ διασαλεύειν καρπιμώτερα ἐξεργάζονται.

21. Τὴν μὲν τοίνυν ψυχὴν μουσικῇ τὸ πρῶτον καὶ ἀριθμητικῇ ἀναρριπίζομεν καὶ γράμματα γράψασθαι καὶ τορῶς αὐτὰ ἐπιλέξασθαι διδάσκομεν· προϊοῦσι δὲ ἤδη σοφῶν ἀνδρῶν γνώμας καὶ ἔργα παλαιὰ καὶ λόγους ὠφελίμους ἐν μέτροις κατακοσμήσαντες, ὡς μᾶλλον μνημονεύοιεν, ῥαψῳδοῦμεν αὐτοῖς. Οἱ δὲ καὶ ἀκούοντες ἀριστείας τινὰς καὶ πράξεις ἀοιδίμους ὀρέγονται κατὰ μικρὸν καὶ πρὸς μίμησιν ἐπεγείρονται, ὡς καὶ αὐτοὶ ᾄδοιντο καὶ θαυμάζοιντο ὑπὸ τῶν ὕστερον, οἷα πολλὰ Ἡσίοδός τε ἡμῖν καὶ Ὅμηρος ἐποίησαν. Ἐπειδὰν δὲ πλησιάζωσι πρὸς τὴν πολιτείαν καὶ δέῃ αὐτοὺς ἤδη μεταχειρίζεσθαι τὰ κοινά — καίτοι ἔξω τοῦ ἀγῶνος ἴσως ταῦτα· οὐ γὰρ ὅπως τὰς ψυχὰς αὐτῶν ἀσκοῦμεν, ἐξ ἀρχῆς προὔκειτο εἰπεῖν, ἀλλὰ δι' ὅ τι τοῖς τοιούτοις πόνοις καταγυμνάζειν αὐτοὺς ἀξιοῦμεν. Ὥστε αὐτὸς ἐμαυτῷ σιωπᾶν προστάττω οὐ περιμείνας τὸν κήρυκα οὐδὲ τὸν Ἀρεοπαγίτην σὲ, ὃς ὑπ' αἰδοῦς, οἶμαι, ἀνέχῃ ληροῦντα ἤδη τοσαῦτα ἔξω τοῦ πράγματος.

ΑΝΑΧ. Εἰπέ μοι, ὦ Σόλων, πρὸς δὲ δὴ τοὺς τὰ ἀναγκαιότατα μὴ λέγοντας ἐν Ἀρείῳ πάγῳ, ἀλλὰ ἀποσιωπῶντας, οὐδεὶς τῇ βουλῇ πρόστιμον ἐπινενόηται;

ΣΟΛ. Τί τοῦτο ἤρου με; οὐδέπω γὰρ δῆλον.

diant, quale quid in unoquoque nostrûm est anima. Hoc igitur considerantes, curamus quidem, ut vides, etiam corpus civitatis, ornamusque uti quam pulcherrimum nobis sit, quum intus paratum ædificiis, tum etiam externis illis munimentis ad summam securitatem circumseptum. At maxime et ex omni parte illud providemus, uti cives boni quantum ad animas, et valentes fiant corporibus: tales enim et suæ vitæ modum pulchre habituros re publica in pace gerenda, et in bello servaturos civitatem, liberamque et beatam custodituros. Ac primam quidem illorum educationem matribus et nutricibus et pædagogis permittimus, ut liberali eos disciplina educent atque nutriant: quum vero jam intelligentes fiunt eorum quæ bene se habent, ac pudor, et rubor, et metus, et rerum optimarum cupiditas enascitur in illis, et ipsa jam corpora idonea laboribus videntur, compactiora dum fiunt et in robur majus consistentia; tum jam assumtos docemus, aliis animæ disciplinis atque exercitationibus propositis, et alia ratione corporibus labori assuefaciendis. Neque enim satis nobis videtur, eo modo ingenio esse unumquemque uti natus est, sive quantum ad corpus, sive quod ad animum; verum etiam institutione ad illos indigemus ac disciplina, a quibus quum ea quæ feliciter nata sunt, meliora multo fiant, tum quæ male habent, transformentur in melius. Atque exemplum nobis est ab agricolis, qui plantas, quam diu humiles sunt ac teneræ, tegunt ac sepiunt, ne lædantur a ventis; quum vero jam crassitiem aliquam surculus habet, tum et superflua resecant putatione, et ventis eos quatiendos agitandosque dum permittunt, fertiliores efficiunt.

21. Ac mentem quidem musica primum atque arithmetica quasi flatu agitantes accendimus, et literas pingere et clara voce legere docemus. Progredientibus jam virorum sapientium sententias, et opera antiqua, et sermones utiles, versibus exornata, ut memoria facilius complectantur, præcinimus. Illi vero audientes præclara quædam facinora et actiones celebres, paullatim aspirant et ad imitationem excitantur, ut et ipsi canantur et admirationi sint posteris, qualia multa nobis Hesiodus Homerusque fecerunt. Quum vero ad rem publicam accedunt, et oportet illos jam tractare communia — quanquam extra causam ista forte: neque enim quomodo animos ipsorum exerceamus, ab initio nobis ad dicendum erat propositum; sed cur talibus illos laboribus exercendos putemus. Itaque silentium ipse mihi impero, non exspectato præcone, aut ipso te Areopagita, qui præ pudore, credo, sustines me jam tantum extra causam blaterare.

ANACH. Dic mihi, Solon, in eos qui necessaria non dicunt in Areopago, sed reticent, nullane a consilio pœna excogitata est?

SOL. Quid hoc me interrogasti? nondum enim apparet.

ΑΝΑΧ. Ὅτι τὰ κάλλιστα καὶ ἐμοὶ ἀκοῦσαι ἥδιστα παρεὶς τὰ περὶ τῆς ψυχῆς τὰ ἧττον ἀναγκαῖα λέγειν διανοῇ, γυμνάσια καὶ διαπονήσεις τῶν σωμάτων.

ΣΟΛ. Μέμνημαι γάρ, ὦ γενναῖε, τῶν ἀπ' ἀρχῆς προρρήσεων καὶ ἀποπλανᾶν οὐ βούλομαι τὸν λόγον, μή σου ἐπιταράξῃ τὴν μνήμην ἐπιρρέων. Πλὴν ἀλλὰ καὶ ταῦτα ἐρῶ διὰ βραχέων, ὡς οἷόν τε· τὸ γὰρ ἀκριβὲς τῆς περὶ αὐτῶν διασκέψεως ἑτέρου ἂν εἴη λόγου.

22. Ῥυθμίζομεν οὖν τὰς γνώμας αὐτῶν νόμους τε τοὺς κοινοὺς ἐκδιδάσκοντες, οἳ δημοσίᾳ πᾶσι πρόκεινται ἀναγιγνώσκειν μεγάλοις γράμμασιν ἀναγεγραμμένοι, κελεύοντες ἅ τε χρὴ ποιεῖν καὶ ὧν ἀπέχεσθαι, καὶ ἀγαθῶν ἀνδρῶν συνουσίαις, παρ' ὧν λέγειν τὰ δέοντα ἐκμανθάνουσι καὶ πράττειν τὰ δίκαια καὶ ἐκ τοῦ ἴσου ἀλλήλοις συμπολιτεύεσθαι καὶ μὴ ἐφίεσθαι τῶν αἰσχρῶν καὶ ὀρέγεσθαι τῶν καλῶν, βίαιον δὲ μηδὲν ποιεῖν. Οἱ δὲ ἄνδρες οὗτοι σοφισταὶ καὶ φιλόσοφοι πρὸς ἡμῶν ὀνομάζονται. Καὶ μέντοι καὶ ἐς τὸ θέατρον συνάγοντες αὐτοὺς δημοσίᾳ παιδεύομεν ὑπὸ κωμῳδίαις καὶ τραγῳδίαις ἀρετάς τε ἀνδρῶν παλαιῶν καὶ κακίας θεωμένους, ὡς τῶν μὲν ἀποτρέποιντο, ἐπ' ἐκεῖνα δὲ σπεύδοιεν. Τοῖς δέ γε κωμῳδοῖς καὶ ἀποσκώπτειν καὶ λοιδορεῖσθαι ἐφιεμεν ἐς τοὺς πολίτας οὓς ἂν αἰσχρὰ καὶ ἀνάξια τῆς πόλεως ἐπιτηδεύοντας αἴσθωνται, αὐτῶν τε ἐκείνων χάριν, ἀμείνους γὰρ οὕτω γίγνονται ὀνειδιζόμενοι, καὶ τῶν πολλῶν, ὡς φεύγοιεν τὸν ἐπὶ τοῖς ὁμοίοις ἔλεγχον.

23. ΑΝΑΧ. Εἶδον, ὦ Σόλων, οὓς φῂς τοὺς τραγῳδοὺς καὶ κωμῳδούς, εἴ γε ἐκεῖνοί εἰσιν, ὑποδήματα μὲν βαρέα καὶ ὑψηλὰ ὑποδεδεμένοι, χρυσαῖς δὲ ταινίαις τὴν ἐσθῆτα πεποικιλμένοι, κράνη δὲ ἐπικείμενοι παγγέλοια κεχηνότα παμμέγεθες, αὐτοὶ δὲ ἔνδοθεν μεγάλα τε ἐκεκράγεσαν καὶ διέβαινον οὐκ οἶδ' ὅπως ἀσφαλῶς ἐν τοῖς ὑποδήμασι. Διονύσῳ δὲ οἶμαι τότε ἡ πόλις ἑώρταζεν. Οἱ δὲ κωμῳδοὶ βραχύτεροι μὲν ἐκείνων καὶ πεζοὶ καὶ ἀνθρωπινώτεροι καὶ ἧττον ἐβόων, κράνη δὲ πολὺ γελοιότερα, καὶ τὸ θέατρον γοῦν ἅπαν ἐγέλα ἐπ' αὐτοῖς· ἐκείνων δὲ τῶν ὑψηλῶν σκυθρωποὶ ἅπαντες ἦκουον, οἰκτείροντες, οἶμαι, αὐτοὺς πέδας τηλικαύτας ἐπισυρομένους.

ΣΟΛ. Οὐκ ἐκείνους, ὦγαθέ, ὤκτειρον, ἀλλὰ ποιητὴς ἴσως ἀρχαίαν τινὰ συμφορὰν ἐπεδείκνυτο τοῖς θεαταῖς καὶ ῥήσεις οἰκτρὰς ἐτραγῴδει πρὸς τὸ θέατρον, ὑφ' ὧν ἐς δάκρυα κατεσπῶντο οἱ ἀκούοντες. Εἰκὸς δέ σε καὶ αὐλοῦντας ἑωρακέναι τινὰς τότε καὶ ἄλλους συνᾴδοντας ἐν κύκλῳ συνεστῶτας. Οὐδ' αὐτά, ὦ Ἀνάχαρσι, ἀχρεῖα ᾄσματα καὶ αὐλήματα. Τούτοις δ' οὖν ἅπασι καὶ τοῖς τοιούτοις παραθηγόμενοι τὰς ψυχὰς ἀμείνους ἡμῖν γίγνονται.

24. Τὰ δὲ δὴ σώματα, ὅπερ μάλιστα ἐπόθεις ἀκοῦσαι, ὧδε καταγυμνάζομεν· ἀποδύσαντες αὐτά, ὡς ἔφην, οὐκέτι ἁπαλὰ καὶ τέλεον ἀσυμπαγῆ ὄντα πρῶτον μὲν ἐθίζειν ἀξιοῦμεν πρὸς τὸν ἀέρα συνοικειοῦντες αὐτὰ ταῖς ὥραις ἑκάσταις, ὡς μήτε θάλπος δυσχεραίνειν μήτε πρὸς κρύος ἀπαγορεύειν, ἔπειτα δὲ χριόμεν ἐλαίῳ καὶ

ANACH. Quia prætermissis quæ pulcherrima sunt et mihi ad audiendum jucundissima, iis inquam quæ ad animam spectant, minus necessaria dicere cogitas, gymnasia et laboriosas exercitationes corporum.

SOL. Nempe memor sum, vir optime, eorum quæ in principio dicta sunt, nec volo inde sermonem abducere, ne copiose nimis affluens memoriam tuam turbet. Verumtamen ista quoque dicam breviter, quoad ejus fieri potest: accurata enim earum rerum consideratio alterius disputationis fuerit.

22. Mentes igitur illorum ad concinnitatem quandam formamus, partim communes leges dum illos edocemus, quæ publice omnibus propositæ sunt ad legendum magnis literis descriptæ, tum quæ facienda sint jubentes, tum quibus abstinendum; partim virorum bonorum consuetudine, a quibus et dicere quæ opus est discant, et quæ justa sunt facere, et ex æquo capessere rem publicam, neque concupiscere turpia, et honesta appetere, nihil autem quicquam per vim agere. Illi porro viri sophistæ apud nos et philosophi appellantur. Verum etiam in theatrum conductos publice erudimus in comœdiis et tragœdiis, virtutes dum spectant veterum virorum et vitia: ab his ut avertantur, ad illa vero contendant. Comœdis vero etiam ridicula jacere in cives et male illis dicere permittimus, quos quidem turpia et indigna hac civitate agentes senserint, idque quum illorum ipsorum causa (meliores enim sic fiunt ex reprehensione), tum multitudinis, ut fugiant in similibus argui.

23. ANACH. Vidi, Solon, quos dicis tragœdos et comœdos, si quidem illi sunt: calceos habent graves et altos, vestem tæniis distinctam aureis, galeas impositas gestant omnino ridiculas, immane quantum hiantes; ipsi vero intus magnos ciebant clamores, et nescio quomodo firmiter illis in calceis incedebant. Baccho autem arbitror ferias tum agebat civitas. Comœdi vero breviores illi quidem istis, et pedestres, et humaniores, et minus clamabant; galeæ autem eorum multo magis ridiculæ; ac theatrum universum illos ridebat: excelsos vero illos tristes audiebant universi, miserati illos, puto, qui compedes tantas traherent.

SOL. Non illos miserabantur, hone vir, sed poeta forte antiquam spectatoribus calamitatem ostendebat, et verba miserabilia tragico cantu in theatrum proferebat, a quibus ad lacrimas qui audiebant pertrahebantur. Verisimile est autem te etiam tibiis canentes quosdam tum vidisse, et alios concinentes, consistentes in circulo. Neque ista, Anacharsi, inutilia sunt cantica et moduli tibiarum. His ergo omnibus, et quæ his sunt similia, dum mentes illorum acuuntur, meliores nobis fiunt.

24. Corpora vero, quod audire cupiebas maxime, sic exercemus. Exuta illa, dum, ut dixi, non amplius tenera et minime compacta sunt, primo assuefacere volumus aeri ac singulis tempestatibus familiaria quasi reddere, ut neque vestum ægre ferant, neque frigori non possint pares esse; deinde oleo unginius et subigimus, ut contentionem susti-

καταμαλάττομεν, ὡς εὐτονώτερα γίγνοιτο· ἄτοπον γὰρ, εἰ τὰ μὲν σκύτη νομίζομεν ὑπὸ τῷ ἐλαίῳ μαλαττόμενα δυσραγέστερα καὶ πολλῷ διαρκέστερα γίγνεσθαι νεκρά γε ἤδη ὄντα, τὸ δ' ἔτι ζωῆς μετέχον σῶμα μὴ ἂν ἄμεινον ἡγοίμεθα ὑπὸ τοῦ ἐλαίου διατεθήσεσθαι. Τοὐντεῦθεν ποικίλα τὰ γυμνάσια ἐπινοήσαντες καὶ διδασκάλους ἑκάστων ἐπιστήσαντες τὸν μέν τινα πυκτεύειν, τὸν δὲ παγκρατιάζειν διδάσκομεν, ὡς τούς τε πόνους καρτερεῖν ἐθίζοιντο καὶ ὁμόσε χωρεῖν ταῖς πληγαῖς μηδὲ ἀποτρέπωντο δέει τῶν τραυμάτων. Τοῦτο δὲ ἡμῖν δύο τὰ ὠφελιμώτατα ἐξεργάζεται ἐν αὐτοῖς θυμοειδεῖς τε παρασκευάζον ἐς τοὺς κινδύνους καὶ τῶν σωμάτων ἀφειδεῖν καὶ προσέτι ἐρρῶσθαι καὶ καρτεροὺς εἶναι. Ὅσοι δὲ αὐτῶν κάτω συννευκότες παλαίουσι, καταπίπτειν τε ἀσφαλῶς μανθάνουσι καὶ ἀνίστασθαι εὐμαρῶς καὶ ὠθισμοὺς καὶ περιπλοκὰς καὶ λυγισμοὺς καὶ ἄγχεσθαι δύνασθαι καὶ ἐς ὕψος ἀναβαστάσαι τὸν ἀντίπαλον, οὐκ ἀχρεῖα οὐδὲ οὗτοι ἐκμελετῶντες, ἀλλὰ ἓν μὲν τὸ πρῶτον καὶ μέγιστον ἀναμφιβόλως κτώμενοι· δυσπαθέστερα γὰρ καὶ καρτερώτερα τὰ σώματα γίγνεται αὐτοῖς διαπονούμενα. Ἕτερον δὲ οὐδὲ αὐτὸ μικρόν· ἔμπειροι γὰρ ὀὴ ἐκ τούτου καθίστανται, εἴ ποτε ἀφίκοιντο εἰς χρείαν τῶν μαθημάτων τούτων ἐν ὅπλοις· δῆλον γὰρ ὅτι καὶ πολεμίῳ ἀνδρὶ ὁ τοιοῦτος συμπλακεὶς καταρρίψει τε θᾶττον ὑποσκελίσας καὶ καταπεσὼν εἵσεται ὡς ῥᾷστα ἐξανίστασθαι. Πάντα γὰρ ταῦτα, ὦ Ἀνάχαρσι, ἐπ' ἐκεῖνον τὸν ἀγῶνα ποριζόμεθα τὸν ἐν τοῖς ὅπλοις καὶ ἡγούμεθα πολὺ ἀμείνοσι χρήσασθαι τοῖς οὕτως ἀσκηθεῖσιν, ἐπειδὰν πρότερον αὐτῶν γυμνὰ τὰ σώματα καταμαλάξαντες καὶ διαπονήσαντες ἐρρωμενέστερα καὶ ἀλκιμώτερα ἐξεργασώμεθα καὶ κοῦφα καὶ εὔτονα καὶ τὰ αὐτὰ βαρέα τοῖς ἀνταγωνισταῖς.

25. Ἐννοεῖς γὰρ, οἶμαι, τὸ μετὰ τοῦτο, οἵους εἰκὸς σὺν ὅπλοις ἔσεσθαι τοὺς καὶ γυμνοὺς ἂν φόβον τοῖς δυσμενέσιν ἐμποιήσαντας, οὐ πολυσαρκίαν ἀργὸν καὶ λευκὴν ἢ ἀσαρκίαν μετὰ ὠχρότητος ἐπιδεικνυμένους οἷα γυναικῶν σώματα ὑπὸ σκιᾷ μεμαρασμένα, τρέμοντα ἱδρῶτί τε πολλῷ εὐθὺς ῥεόμενα καὶ ἀσθμαίνοντα ὑπὸ τῷ κράνει, καὶ μάλιστα ἦν καὶ ὁ ἥλιος ὥσπερ νῦν τὸ μεσημβρινὸν ἐπιφλέγῃ. Οἷς τί ἄν τις χρήσαιτο διψῶσι καὶ τὸν κονιορτὸν οὐκ ἀνεχομένοις καὶ εἰ αἷμα ἴδοιεν, εὐθὺς ταραττομένοις καὶ προαποθνήσκουσι πρὶν ἐντὸς βέλους γενέσθαι καὶ εἰς χεῖρας ἐλθεῖν τοῖς πολεμίοις; Οὗτοι δὲ ἡμῖν ὑπέρυθροι ἐς τὸ μελάντερον ὑπὸ τοῦ ἡλίου κεχρωσμένοι καὶ ἀρρενωποὶ, πολὺ τὸ ἔμψυχον καὶ θερμὸν καὶ ἀνδρῶδες ἐπιφαίνοντες, τοσαύτης εὐξίας ἀπολαύοντες, οὔτε ῥικνοὶ καὶ κατεσκληκότες οὔτε περιπληθεῖς ἐς βάρος, ἀλλὰ ἐς τὸ σύμμετρον περιγεγραμμένοι, τὸ μὲν ἀχρεῖον τῶν σαρκῶν καὶ περιττὸν τοῖς ἱδρῶσιν ἐξαναλωκότες, ὃ δὲ ἰσχὺν καὶ τόνον παρεῖχεν, ἀμιγὲς τοῦ φαύλου περιλελειμμένον ἐρρωμένως φυλάττοντες· ὅπερ γὰρ ὀὴ οἱ λιχμῶντες τὸν πυρὸν, τοῦτο ἡμῖν καὶ τὰ γυμνάσια ἐργάζεται ἐν τοῖς σώμασι τὴν μὲν ἄχνην καὶ τοὺς ἀθέρας ἀποφυ-

nere majorem possint. Absurdum enim fuerit, si coria quidem putemus ab oleo mollita rumpi difficilius et diutius durare, quæ tamen mortua jam sint; corpus autem vitæ adhuc particeps melius ab oleo fieri non putemus. Hinc diversis exercendi rationibus excogitatis, et magistris uniuscujusque constitutis, alium pugilatu, pancratio alium certare docemus, ut labores tolerare discant et obviam ire plagis, nec vulnerum metu avertantur. Illud vero duas nobis res utilissimas in illis efficit, dum animosos reddit illos ad pericula et qui corporibus non parcant, et insuper ut robusti fiant ac laborum patientes. Quotquot vero illorum deorsum vergentes luctantur, ii cadere discunt sine periculo, et facile surgere, et impulsiones, et complexus, et inflexiones, et ut angi se pati queant, et in altum tollere adversarium, non inutilia exercentes isti quoque, sed unum quidem primum et maximum sine controversia sibi parantes: minus enim obnoxia malis et patientiora corpora illis, dum ita labore subiguntur, fiunt. Alterum vero nec ipsum parvum est: usu enim inde edocentur, si quando opus sit ista disciplina in armis. Manifestum est enim, futurum ut celerius hostem etiam talis vir complexus supplantatum dejiciat, et ipse si ceciderit, surgere facillime possit. Nempe, Anacharsi, ad illud in armis certamen suppeditare studemus hæc omnia, putamusque multo melioribus nos usuros his qui ita exercitati sint, quum prius nuda illorum corpora subigendo laboribus valentiora et robustiora reddiderimus, et levia, et contentioni apta, et ob id ipsum gravia adversariis.

25. Vides enim, puto, quid sequatur, quales futuros esse armatos probabile sit qui nudi etiam metum hostibus injiciant; qui non pigram carnis albamque molem, neque pallidam maciem præ se ferant, qualia sunt mulierum corpora in umbra marcescentia, trementia, sudore statim multo fluentia, et spiritum difficulter sub galea trahentia, præsertim si etiam sol, ut nunc, circa meridiem æstum intendat: quibus quid faciat aliquis, sitientibus, pulverem non ferentibus, qui ad solum sanguinis conspectum turbentur statim, præmorianturque antequam intra teli jactum et ad manus hostibus venerint? At hi nobis rubicunduli, fuscum a sole colorem qui traxerunt, et virili aspectu juvenes, multum animi et caloris et virtutis ostendentes, boni adeo habitus fructu gaudentes, neque rugosi atque aridi, neque sua sibi mole graves, sed ad justam quasi proportionem circumscripti; qui si quid inutile erat carnium et superfluum, sudoribus absumserint; quod autem vim ac vigorem præstabat, sincerum omnis vitii relictum valide servent. Nam quod ventilantes tritico, hoc nobis exercitationes præstant in cor-

σῶντα, καθαρὸν δὲ τὸν καρπὸν διευκρινοῦντα καὶ προσσωρεύοντα.

26. Καὶ διὰ τοῦτο ὑγιαίνειν τε ἀνάγκη καὶ ἐπὶ μήκιστον διαρκεῖν ἐν τοῖς καμάτοις· ὀψέ τε ἂν ἰδίειν ὁ τοιοῦτος ἄρξαιτο καὶ ὀλιγάκις ἂν ἀσθενῶν φανείη· ὥσπερ εἰ πῦρ τις φέρων ἅμα ἐμβάλοι ἐς πυρὸν αὐτὸν καὶ ἐς τὴν καλάμην αὐτοῦ καὶ ἐς τὴν ἄχνην — αὖθις γὰρ ἐπὶ τὸν λικμῶντα ἐπάνειμι — θᾶττον ἂν, οἶμαι, παρὰ πολὺ ἡ καλάμη ἀναφλεγείη, ὁ δὲ πυρὸς κατ' ὀλίγον οὔτε φλογὸς μεγάλης ἀνισταμένης οὔτε ὑπὸ μιᾷ τῇ ὁρμῇ, ἀλλὰ κατὰ μικρὸν ὑποτυφόμενος χρόνῳ ὕστερον καὶ αὐτὸς ἂν κατακαυθείη. Οὐ τοίνυν οὐδὲ νόσος οὐδὲ κάματος ἐς τοιοῦτο σῶμα ἐμπεσόντα ῥᾳδίως ἐλέγξειεν ἂν οὐδ' ἐπικρατήσειεν εὐμαρῶς· τὰ ἔνδοθεν γὰρ εὖ παρεσκεύασται αὐτῷ καὶ τὰ ἔξω μάλα καρτερῶς πέφρακται πρὸς αὐτά, ὡς μὴ παριέναι ἐς τὸ εἴσω μηδὲ παραδέχεσθαι μήτε ἥλιον αὐτὸν μήτε κρύος ἐπὶ λύμῃ τοῦ σώματος. Πρός τε τὸ ἐνδιδοῦν ἐν τοῖς πόνοις πολὺ τὸ θερμὸν τὸ ἔνδοθεν ἐπιρρέον, ἅτε ἐκ πολλοῦ προπαρεσκευασμένον καὶ ἐς τὴν ἀναγκαίαν χρείαν ἀποκείμενον, ἀναπληροῖ εὐθὺς ἐπάρδον τῇ ἀκμῇ καὶ ἀκαμάτους ἐπὶ πλεῖστον παρέχεται· τὸ γὰρ προπονῆσαι πολλὰ καὶ προκαμεῖν οὐκ ἀνάλωσιν τῆς ἰσχύος, ἀλλ' ἐπίδοσιν ἐργάζεται καὶ ἀναρριπιζομένη πλείων γίγνεται.

27. Καὶ μὴν καὶ δρομικοὺς εἶναι ἀσκοῦμεν αὐτοὺς ἐς μῆκός τε διαρκεῖν ἐθίζοντες καὶ ἐς τὸ ἐν βραχεῖ ὠκύτατον ἐπικουφίζοντες· καὶ ὁ δρόμος οὐ πρὸς τὸ στερρὸν καὶ ἀντίτυπον, ἀλλὰ ἐν ψαμμῳ βαθείᾳ, ἔνθα οὔτε βεβαίως ἀπερεῖσαι τὴν βάσιν οὔτε ἐπιστηρίξαι ῥᾴδιον ὑποσυρομένου πρὸς τὸ ὑπεῖκον τοῦ ποδός. Ἀλλὰ καὶ ὑπεράλλεσθαι τάφρον, εἰ δέοι, ἢ εἴ τι ἄλλο ἐμπόδιον, καὶ πρὸς τοῦτο ἀσκοῦνται ἡμῖν, ἔτι καὶ μολυβδίδας χειροπληθεῖς ἐν ταῖν χεροῖν ἔχοντες. Εἶτα περὶ ἀκοντίου βολῆς ἐς μῆκος ἁμιλλῶνται. Εἶδες δὲ καὶ ἄλλο τι ἐν τῷ γυμνασίῳ χαλκοῦν περιφερὲς ἀσπίδι μικρᾷ ἐοικὸς ὄχανον οὐκ ἔχούσῃ οὐδὲ τελαμῶνας, καὶ ἐπειράθης γε αὐτοῦ κειμένου ἐν τῷ μέσῳ καὶ ἐδόκει σοι βαρὺ καὶ δύσληπτον ὑπὸ λειότητος· ἐκεῖνο τοίνυν ἄνω τε ἀνσρριπτοῦσιν εἰς τὸν ἀέρα καὶ ἐς τὸ πόρρω φιλοτιμούμενοι ὅστις ἐπὶ μήκιστον ἐξέλθοι καὶ τοὺς ἄλλους ὑπερβάλοιτο, καὶ ὁ πόνος οὗτος ὤμους τε αὐτῶν κρατύνει καὶ τόνον τοῖς ἄκροις ἐντίθησιν.

28. Ὁ πηλὸς δὲ καὶ ἡ κόνις, ἅπερ σοι γελοιότερα ἐξ ἀρχῆς ἔδοξεν, ἄκουσον, ὦ θαυμάσιε, ὅτου ἕνεκα ὑποβέβληται. Πρῶτον μέν, ὡς μὴ ἐπὶ τὸ κραταιὸν ἡ πτῶσις αὐτοῖς γίγνοιτο, ἀλλ' ἐπὶ τὸ μαλακὸν ἀσφαλῶς πίπτοιεν· ἔπειτα καὶ τὸν ὁλισθον ἀνάγκη πλείω γίγνεσθαι, ἰδρούντων ἐν τῷ πηλῷ, ὃ σὺ ταῖς ἐγχέλεσιν εἴκαζες, οὐκ ἀχρεῖον οὐδὲ γελοῖον ὄν, ἀλλὰ καὶ τοῦτο ἐς ἰσχὺν καὶ τόνον οὐκ ὀλίγα συντελεῖ, ὁπόταν οὕτως ἐχόντων ἀλλήλων ἀναγκάζωνται ἐγκρατῶς ἀντιλαμβάνεσθαι καὶ συνέχειν διολισθάνοντας· αἱρεσθαί τε ἐν πηλῷ ἱδρωκότα μετ' ἐλαίου, ἐκπεσεῖν καὶ διαρρυῆναι τῶν χειρῶν σπουδάζοντα μὴ μικρὸν εἶναι νόμιζε. Καὶ ταῦτα πάντα,

poribus; glumam nempe atque paleas flatu abigunt, fructum autem purum separant et coacervant.

26. Hinc valere illos necesse est, et quam longissime durare in laboribus: seroque sudare talis incipiat, ac raro infirmus esse deprehendatur: quemadmodum si quis ignem simul injiciat in triticum atque ejus stipulam, atque in paleas (redeo enim ad ventilantem), multo, arbitror, celerius stipula conflagret, triticum vero paullatim, neque flamma surgente magna, neque uno impetu, sed paullatim fumigans, aliquamdiu post et ipsum comburatur. Non igitur neque morbus, neque labor in tale corpus incidens facile illud redarguat, aut superet temere: nam interiora ipsi bene parata sunt, et exteriora valide contra ea munita, ut non admittat intro neque recipiat vel solem ipsum vel frigus ad perniciem corporis. Si quid vero etiam cedit laboribus, copiosum illud calidum intus affluens, tanquam olim paratum et ad necessarios usus repositum, supplet statim, et vigorem recreat, et labori in longissimum tempus invictos præstat. Multi enim præcedentes labores et crebra fatigatio, non consumtionem virium, sed incrementa efficiunt, quibus illæ quasi ventilatæ majores fiunt.

27. Verum etiam ut cursu valeant eos exercemus, quum assuefacientes illos ut in longitudinem sufficiant, tum celerrimam in brevi levitatem iis conciliantes: et cursus instituitur non in solido et resistente solo, sed in arena profunda, ubi neque firmum ponere vestigium neque inniti facile est, subtracto a cedente materia pede. Verum etiam saltu fossam trajicere, si opus sit, aut si quid obstet aliud, ad hoc quoque nobis exercentur, etiam plumbea pondera manum implentia in manibus tenentes. Tum de projiciendis in longum jaculis certant. Vidisti vero etiam aliud quid in gymnasio æneum, rotundum, parvo clypeo simile ansam non habenti neque lora; ac tentasti illud quum jaceret in medio, videbaturque tibi grave, et difficile ob lævitatem comprehensu: illud igitur et sursum jactant in aerem, et in longinquum, certamine quodam, quis longissime projecto superet reliquos. Ac labor iste tum humeros illorum roborat, tum contendendi facultatem conciliat artubus.

28. Lutum vero et pulvis, quæ aliquantum tibi ridicula ab initio videbantur, audi, o noster, cujus rei causa subjecta sint. Primo quidem ne in durum impingant, sed in molle cadant sine periculo: deinde magis omnia lubrica fiant necesse est, quum madescunt in luto, quod tu anguillis comparabas; idque neque inutile est nec ridiculum, sed ipsum quoque ad robur et contentionem non parum confert, quum ita se habentes cogantur fortiter alteri alteros prehendere, et continere elabentes: tollere sane eum qui præter oleum in luto permaduit, elabi et effluere manibus studentem, noli parvum quiddam putare. Atque hæc omnia, ut dicebam

ὥσπερ ἔφην ἔμπροσθεν, ἐς τοὺς πολέμους καὶ χρήσιμα, εἰ δέοι φίλον τρωθέντα ῥαδίως ἀράμενον ὑπεξενεγκεῖν ἢ καὶ πολέμιον συναρπάσαντα ἥκειν μετέωρον κομίζοντα. Καὶ διὰ τοῦτο ἐς ὑπερβολὴν ἀσκοῦμεν τὰ χαλεπώτερα προτιθέντες, ὡς τὰ μικρότερα μακρῷ εὐκολώτερον φέροιεν.

29. Τὴν μέντοι κόνιν ἐπὶ τοὐναντίον χρησίμην οἰόμεθα εἶναι, ὡς μὴ διολισθάνοιεν συμπλεκόμενοι· ἐπειδὰν γὰρ ἐν τῷ πηλῷ ἀσκηθῶσι συνέχειν τὸ διαδιδρᾶσκον ὑπὸ γλισχρότητος, ἐθίζονται καὶ ἐκφεύγειν αὐτοὶ λῃφθέντες ἐκ τῶν χειρῶν, καὶ ταῦτα ἐν ἀφύκτῳ ἐχόμενοι. Καὶ μὴν καὶ τὸν ἱδρῶτα συνέχειν δοκεῖ ἡ κόνις ἀθρόον ἐκχεόμενον ἐπιπαττομένη καὶ ἐπὶ πολὺ διαρκεῖν ποιεῖ τὴν δύναμιν καὶ κώλυμα γίγνεται μὴ βλάπτεσθαι ὑπὸ τῶν ἀνέμων ἀραιοῖς τότε καὶ ἀνεῳγόσι τοῖς σώμασιν ἐμπιπτόντων. Ἄλλως τε καὶ τὸν ῥύπον ἀποσμᾷ καὶ στιλπνότερον ποιεῖ τὸν ἄνδρα. Καὶ ἔγωγε ἡδέως ἂν παραστησάμενος πλησίον τῶν τε λευκῶν τινα ἐκείνων καὶ ὑπὸ σκιᾷ δεδιητημένων καὶ ὃν ἂν ἕλῃ τῶν ἐν τῷ Λυκείῳ γυμναζομένων ἀποπλύνας τὴν κόνιν καὶ τὸν πηλὸν, ἐροίμην ἄν σε ποτέρῳ ἂν ὅμοιος εὔξαιο γενέσθαι· οἶδα γὰρ ὡς αὐτίκα ἕλοιο ἂν ἐκ πρώτης προσόψεως, εἰ καὶ μὴ ἐπὶ τῶν ἔργων πειραθείης ἑκατέρου, συνεστηκὼς καὶ συγκεκροτημένος εἶναι μᾶλλον ἢ θρύπτεσθαι καὶ διαρρεῖν καὶ λευκὸς εἶναι ἀπορίᾳ καὶ φυγῇ εἰς τὰ εἴσω τοῦ αἵματος.

30. Ταῦτ' ἔστιν, ὦ Ἀνάχαρσι, ἃ τοὺς νέους ἡμεῖς ἀσκοῦμεν οἰόμενοι φύλακας ἡμῖν τῆς πόλεως ἀγαθοὺς γενέσθαι καὶ ἐν ἐλευθερίᾳ βιώσεσθαι δι' αὐτοὺς, κρατοῦντες μὲν τῶν δυσμενῶν εἰ ἐπίοιεν, φοβεροὶ δὲ τοῖς περιοίκοις ὄντες, ὡς ὑποπτήσσειν τε καὶ ὑποτελεῖν ἡμῖν τοὺς πλείστους αὐτῶν. Ἐν εἰρήνῃ τε αὖ πολὺ ἀμείνοσιν αὐτοῖς χρώμεθα περὶ μηδὲν τῶν αἰσχρῶν φιλοτιμουμένοις μηδ' ὑπ' ἀργίας ἐς ὕβριν τρεπομένοις, ἀλλὰ περὶ τὰ τοιαῦτα διατρίβουσι καὶ ἀσχόλοις οὖσιν ἐν αὐτοῖς. Καὶ ὅπερ ἔφην τὸ κοινὸν ἀγαθὸν καὶ τὴν ἄκραν πόλεως εὐδαιμονίαν, τοῦτ' ἔστιν, ὁπότε ἔς τε εἰρήνην καὶ ἐς πόλεμον τὰ ἄριστα παρεσκευασμένη φαίνοιτο ἡ νεότης περὶ τὰ κάλλιστα ἡμῖν σπουδάζοντες.

31. ΑΝΑΧ. Οὐκοῦν, ὦ Σόλων, ἢν ποτε ὑμῖν ἐπίωσιν οἱ πολέμιοι, χρισάμενοι τῷ ἐλαίῳ καὶ κονισάμενοι πρόϊτε καὶ αὐτοὶ πὺξ τὰς χεῖρας ἐπ' αὐτοὺς προβεβλημένοι, κἀκεῖνοι δηλαδὴ ὑποπτήσσουσιν ὑμᾶς καὶ φεύγουσι δεδιότες μὴ σφίσι κεχηνόσι πάττητε τὴν ψάμμον ἐς τὸ στόμα ἢ περιπηδήσαντες, ὡς κατὰ νώτου γένησθε, περιπλέξητε αὐτοῖς τὰ σκέλη περὶ τὴν γαστέρα καὶ διάγχητε ὑπὸ τὸ κράνος ὑποβαλόντες τὸν πῆχυν· καὶ νὴ Δί' οἱ μὲν τοξεύσουσι δῆλον ὅτι καὶ ἀκοντιοῦσιν, ὑμῶν δὲ ὥσπερ ἀνδριάντων οὐ καθίζεται τὰ βέλη κεχρωσμένων πρὸς τὸν ἥλιον καὶ πολὺ τὸ αἷμα πεπορισμένων· οὐ γὰρ καλάμη καὶ ἀθέρες ὑμεῖς ἐστε, ὡς τάχιστα ἐνδιδόναι πρὸς τὰς πληγὰς, ἀλλὰ ὀψέ ποτε ἂν καὶ μόλις κατατεμνόμενοι βαθέσι τοῖς τραύμασιν αἷμα ὀλίγον ὑπο-

ante, in bella parantur, et utilia sunt, si oporteat amicum vulneratum facile sublatum acie efferre, aut etiam hostem comprehensum sublimem rapere. Ac propter hoc ultra modum illos exercemus, propositis difficilioribus, uti minora multo ferant facilius.

29. Pulverem autem contra ea ad hoc utilem putamus, ne de complexu elabantur: postquam enim in luto edocti sunt continere *illud quod præ lubricitate facile effugit*, assuefiunt etiam effugere ipsi, comprehensi si fuerint, e manibus, idque etiamsi, unde fugere difficile sit, teneantur. Verum etiam sudorem inspersus pulvis continere videtur, ne densus nimis effluat, et facit uti diutius durent vires, atque impedimento est ne damnum a ventis percipiatur, qui laxatis tum atque apertis corporibus incidunt. Ceterum *sordes etiam detergit, ac nitidiorem reddit hominem*. Atque ego libenter in proxime collocatis quum alborum istorum uno, qui sub umbra vixere, tum quemcumque delegeris ex eo numero, qui in Lyceo exercitati sunt, pulvere absterso et luto, interrogaverim te, utri similis fieri præoptes. Novi enim te statim ex primo aspectu electurum, etiamsi neutrum factis tentaveris, consistentem et compactum esse potius, quam esse delicatum, et diffluere, et album esse defectu et fuga interiora versus sanguinis.

30. Hæc sunt, Anacharsi, ad quæ juvenes nos exercemus, rati custodes nobis civitatis bonos futuros, et fore ut in libertate ipsorum opera vivamus, hostium, si invadant, victores; terribiles autem vicinis, quorum nos metuant plerique et tributa pendant. Pace vero multo illis utimur melioribus, qui de re turpi nulla æmulentur, neque ex otio vertantur in contumeliosam libidinem; sed in talibus rebus agant et otium omne consumant. Et quod dixi commune bonum et summam civitatis felicitatem, hoc significat, quando ad pacem pariter ac bellum optime parata cernitur juventus, in iis quæ pulcherrima sunt nobis elaborantes.

31. ANACH. Igitur, Solon, si quando invadunt vos hostes, uncti olea et pulvere sparsi etiam vos proceditis, pugnosque contra illos expeditis; et ipsi nempe metuunt vos et fugiunt, timentes ne sibi hiantibus in os ingeratis arenam, aut corpore saltu circumacto, quo terga possitis invadere, crura deinde circa ventrem illorum implicetis, angatisque ipsos cubito subjecto sub galeam: et, per Jovem, illi quidem sagittas arcu mittent nimirum, et jaculabuntur; in vos vero, tanquam in statuas, non penetrabunt tela, qui colorem a sole traxeritis, et multo sitis sanguine instructi: neque enim stipula vos estis aut paleæ, qui celeriter cedatis plagis; sed sero tandem aliquando et vix, profundis confossi vulneribus,

δείξαιτε. Τοιαῦτα γὰρ φὴς, εἰ μὴ πάνυ παρήκουσα τοῦ παραδείγματος.

32. Ἢ τὰς πανοπλίας ἐκείνας τότε ἀναλήψεσθε τὰς τῶν κωμῳδῶν τε καὶ τραγῳδῶν, καὶ ἢν προτεθῇ ὑμῖν ἔξοδος, ἐκεῖνα τὰ κράνη περιθήσεσθε τὰ κεχηνότα, ὡς φοβερώτεροι εἶητε τοῖς ἐναντίοις μορμολυττόμενοι αὐτοὺς, καὶ ὑποδήσεσθε τὰ ὑψηλὰ ἐκεῖνα δηλαδή· φεύγουσί τε γὰρ, ἢν δέῃ, κοῦφα καὶ ἢν διώκητε, ἄφυκτα τοῖς πολεμίοις ἔσται, ὑμῶν οὕτω μεγάλα διαβαινόντων ἐπ' αὐτούς. Ἀλλ' ὅρα μὴ ταῦτα μὲν ὑμῖν τὰ κομψὰ λῆρος ᾖ καὶ παιδιὰ ἄλλως καὶ διατριβαὶ ἀργοῦσι καὶ ῥᾳθυμεῖν ἐθέλουσι τοῖς νεανίσκοις. Εἰ δὲ βούλεσθε πάντως ἐλεύθεροι καὶ εὐδαίμονες εἶναι, ἄλλων ὑμῖν γυμνασίων δεήσει καὶ ἀσκήσεως ἀληθινῆς τῆς ἐν τοῖς ὅπλοις, καὶ ἡ ἅμιλλα οὐ πρὸς ἀλλήλους μετὰ παιδιᾶς, ἀλλὰ πρὸς τοὺς δυσμενεῖς ἔσται μετὰ κινδύνων μελετῶσι τὴν ἀρετήν. Ὥστε ἀφέντες τὴν κόνιν καὶ τὸ ἔλαιον διδάσκετε αὐτοὺς τοξεύειν καὶ ἀκοντίζειν μὴ κοῦφα διδόντες τὰ ἀκόντια καὶ οἷα διαφέρεσθαι πρὸς τὸν ἄνεμον, ἀλλ' ἔστω λόγχη βαρεῖα μετὰ συρισμοῦ ἐλιττομένη καὶ λίθος χειροπληθὴς καὶ σάγαρις καὶ γέρρον ἐν τῇ ἀριστερᾷ καὶ θώραξ καὶ κράνος.

33. Ὡς δὲ νῦν ἔχετε, θεῶν τινος εὐμενείᾳ σώζεσθαί μοι δακεῖτε, οἳ μηδέπω ἀπολώλατε ὑπό τινων ὀλίγων ψιλῶν ἐπιπεσόντων. Ἰδού γέ τοι ἢν σπασάμενος τὸ μικρὸν τοῦτο ξιφίδιον τὸ παρὰ τὴν ζώνην μόνος ἐπεισπέσω τοῖς νέοις ὑμῶν ἅπασιν, αὐτοβοεὶ ἂν ἔλοιμι τὸ γυμνάσιον φυγόντων ἐκείνων καὶ οὐδενὸς ἀντιβλέπειν τῷ σιδήρῳ τολμῶντος, ἀλλὰ περὶ τοὺς ἀνδριάντας ἂν περιστάμενοι καὶ περὶ τοὺς κίονας κατακρυπτόμενοι γέλωτα ἄν μοι παράσχοιεν δακρύοντες οἱ πολλοὶ καὶ τρέμοντες. Καὶ τότ' ἂν ἴδοις οὐκέτι ἐρυθριῶντας αὐτοὺς τὰ σώματα οἷοι νῦν εἰσιν, ἀλλὰ ὠχροὶ ἅπαντες αὐτίκα γένοιντ' ἂν ὑπὸ τοῦ δέους μεταβαφέντες. Οὕτως ὑμᾶς ἡ εἰρήνη διατέθεικε βαθεῖα οὖσα, ὡς μὴ ἂν ῥᾳδίως ἀνασχέσθαι λόφον ἕνα κράνους πολεμίου ἰδόντας.

34. ΣΟΛ. Οὐ ταῦτα ἔφασαν, ὦ Ἀνάχαρσι, Θρᾳκῶν τε ὅσοι μετ' Εὐμόλπου ἐφ' ἡμᾶς ἐστράτευσαν καὶ αἱ γυναῖκες ὑμῶν αἱ μετὰ Ἱππολύτης ἐλάσασαι ἐπὶ τὴν πόλιν οὐδὲ ἄλλοι ὅσοι ἡμῶν ἐν ὅπλοις ἐπειράθησαν. Ἡμεῖς γὰρ, ὦ μακάριε, οὐκ ἐπείπερ οὕτω γυμνὰ τὰ σώματα ἐκπονοῦμεν τῶν νέων, διὰ τοῦτο καὶ ἀνόπλα ἐξάγομεν ἐπὶ τοὺς κινδύνους, ἀλλ' ἐπειδὰν καθ' αὑτοὺς ἄριστοι γένωνται, ἀσκοῦνται τὸ μετὰ τοῦτο ξὺν τοῖς ὅπλοις, καὶ πολὺ ἄμεινον χρήσαιντ' ἂν αὐτοῖς οὕτω διακείμενοι.

ΑΝΑΧ. Καὶ ποῦ τοῦτο ὑμῖν ἐστι τὸ γυμνάσιον τὸ ἐν τοῖς ὅπλοις; οὐ γὰρ εἶδον ἔγωγε ἐν τῇ πόλει τοιοῦτον οὐδὲν ἅπασαν αὐτὴν ἐν κύκλῳ περιελθών.

ΣΟΛ. Ἀλλὰ ἴσοις ἂν, ὦ Ἀνάχαρσι, ἐπὶ πλέον ἡμῖν συνδιατρίψας, καὶ ὅπλα ἑκάστῳ μάλα πολλὰ, οἷς χρώμεθα ὁπόταν ἀναγκαῖον ᾖ, καὶ λόφους καὶ φάλαρα καὶ ἵππους καὶ ἱππέας σχεδὸν τὸ τέταρτον τῶν πολιτῶν. Τὸ μέντοι ὁπλοφορεῖν ἀεὶ καὶ ἀκινάκην παρεζῶσθαι

paullum sanguinis subostenderitis. Talia enim dicis, nisi plane aberravi a sensu similitudinis.

32. Aut forte illa tunc arma sumetis comœdorum et tragœdorum, et si eruptio vobis proposita sit, galeas illas imponetis hiantes, ut formidabiliores sitis hostibus, quos sic larvati perterreatis; altosque illos induetis calceos nimirum: leves enim, si ita opus sit, fugientibus, et si ipsi persequamini, eos effugere hostes non poterunt, magnos ita gradus vobis in ipsos facientibus. Verum enim vero vide ne illa, quæ ita lepida vobis videntur, nugæ sint et ludus temere susceptus, et occupatio otiosorum ac remittere animum volentium adolescentulorum. Si vero volueritis liberi omnino ac beati esse, aliis vobis gymnasiis opus erit, et exercitatione vera quæ fit sub armis: ac certamen non inter vos cum ludo, sed contra inimicos vobis instituetur, inter pericula virtutem meditantibus. Itaque relicto pulvere atque oleo, sagittare illos docete et jaculari, neu date levia illis jacula et qualia ventis ferantur, sed esto lancea longa, quæ cum sibilo contorta immittatur, et lapis manum implens, et securis, et in sinistra scutum, et thorax, et galea.

33. Ut vero nunc habetis, deorum cujusdam benevolentia servari mihi videmini, qui nondum ab ingruentibus paucis levis armaturæ militibus perieritis. Certe si stricto isto parvo ad zonam gladiolo solus irruam in juvenes illos vestros omnes, ipso primo clamore capiam gymnasium, fugientibus illis et nemine contra intueri ferrum auso; sed circumstantes statuas, et occultati circa columnas, risum mihi lacrimis plerique suis ac trepidatione præbeant. Ac tunc videas illos non, ut nunc, rubentes corporibus, sed pallidi statim fiant omnes, tincti aliter a timore. In eum vos statum longinqua pax adduxit, ut non facile cristam unam hostilis galeæ videre sustineatis.

34. SOL. Non dicebant ista, Anacharsi, Thracum quotquot cum Eumolpo expeditionem contra nos susceperunt, neque illæ vestræ mulieres, quæ Hippolyta duce urbem nostram invasere, neque alii quicumque periculum nostri fecerunt in armis. Nos enim, beate, non quoniam nuda sic juvenum corpora labore subigimus, propterea etiam inermia educimus in pericula: sed ubi pro se sunt optimi, postea exercentur cum armis; quibus sic parati multo jam utantur melius.

ANACH. Et ubi est illud vobis armatorum gymnasium? ego certe tale nihil in urbe vidi, quam undique totam lustraverim.

SOL. Sed videre poteris, Anacharsi, si diutius apud nos moreris, et arma unicuique nostrûm multa, quibus utimur quoties opus est, et cristas, et phaleras, et equos, et equites quartam fere partem civium. Verum arma gestare semper et cinctum esse acinace superfluum in pace putamus;

περιττὸν ἐν εἰρήνῃ οἰόμεθα εἶναι, καὶ πρόστιμόν γ' ἔστιν ὅστις ἐν ἄστει σιδηροφοροίῃ μηδὲν δέον ἢ ὅπλα ἐξενέγκοι εἰς τὸ δημόσιον. Ὑμεῖς δὲ συγγνωστοὶ ἐν ὅπλοις ἀεὶ βιοῦντες· τό τε γὰρ ἐν ἀφράκτῳ οἰκεῖν ῥᾴδιον ἐς ἐπιβουλὴν, καὶ οἱ πολέμιοι μάλα πολλοὶ, καὶ ἄδηλον ὁπότε τις ἐπιστὰς κοιμώμενον κατασπάσας ἀπὸ τῆς ἁμάξης φονεύσειεν· ἥ τε πρὸς ἀλλήλους ἀπιστία, αὐθαιρέτως καὶ μὴ ἐν νόμῳ ξυμπολιτευομένων, ἀναγκαῖον ἀεὶ τὸν σίδηρον ποιεῖ, ὡς πλησίον εἶναι ἀμυνοῦντα, εἴ τις βιάζοιτο.

35. ΑΝΑΧ. Εἶτα, ὦ Σόλων, σιδηροφορεῖν μὲν οὐδενὸς ἀναγκαίου ἕνεκα περιττὸν ὑμῖν δοκεῖ καὶ τῶν ὅπλων φείδεσθε, ὡς μὴ διὰ χειρὸς ὄντα φθείροιτο, ἀλλὰ φυλάττετε ἀποκείμενα ὡς χρησόμενοι τότε τῆς χρείας ἐπιστάσης· τὰ δὲ σώματα τῶν νέων οὐδενὸς δεινοῦ ἐπείγοντος καταπονεῖτε παίοντες καὶ ὑπὸ τῶν ἱδρώτων καταναλίσκοντες, οὐ ταμιευόμενοι πρὸς τὸ ἀναγκαῖον τὰς ἀλκὰς αὐτῶν, ἀλλ' εἰκῇ ἐν τῷ πηλῷ καὶ τῇ κόνει ἐκχέοντες;

ΣΟΛ. Ἔοικας, ὦ Ἀνάχαρσι, τοιόνδε τι δυνάμεως πέρι ἐννοεῖν, ὡς οἴνῳ ἢ ὕδατι ἢ ἄλλῳ τῶν ὑγρῶν ὁμοίαν αὐτὴν οὖσαν· δέδιας οὖν μὴ ὥσπερ ἐξ ἀγγείου κεραμεοῦ λάθῃ διαρρυεῖσα ἐν τοῖς πόνοις, κἄτα ἡμῖν κενὸν καὶ ξηρὸν ὀχῆται τὸ σῶμα καταλιποῦσα ὑπὸ μηδενὸς ἔνδοθεν ἀναπληρούμενον. Τὸ δὲ οὐχ οὕτως ἔχει σοι, ἀλλ' ὅσῳ τις ἂν αὐτὴν ἐξαντλῇ τοῖς πόνοις, τοσῷδε μᾶλλον ἐπιρρεῖ κατὰ τὸν περὶ τῆς Ὕδρας μῦθον, εἴ τινα ἤκουσας, ὡς ἀντὶ μιᾶς κεφαλῆς τμηθείσης δύ' ἀεὶ ἄλλαι ἀνεφύοντο. Ἢν δὲ ἀγύμναστος ἐξ ἀρχῆς καὶ ἄτονος ᾖ μηδὲ διαρκῆ τὴν ὕλην ἔχῃ ὑποβεβλημένην, τότε ὑπὸ τῶν καμάτων βλάπτοιτο ἂν καὶ καταμαραίνοιτο, οἷόν τι ἐπὶ πυρὸς καὶ λύχνου γίγνεται· ὑπὸ γὰρ τῷ αὐτῷ φυσήματι τὸ μὲν πῦρ ἀνακαύσειας ἂν καὶ μεῖζον ἐν βραχεῖ ποιήσειας παραθήγων τῷ πνεύματι, καὶ τὸ τοῦ λύχνου φῶς ἀποσβέσειας οὐκ ἔχον ἀποχρῶσαν τῆς ὕλης τὴν χορηγίαν, ὡς διαρκῆ εἶναι πρὸς τὸ ἀντιπνέον· οὐ γὰρ ἀπ' ἰσχυρᾶς, οἶμαι, τῆς ῥίζης ἀνεφύετο.

36. ΑΝΑΧ. Ταυτὶ μὲν, ὦ Σόλων, οὐ πάνυ συνίημι· λεπτότερα γὰρ ἢ κατ' ἐμὲ εἴρηκας ἀκριβοῦς τινος φροντίδος καὶ διανοίας ὀξὺ δεδορκυίας δεόμενα· ἐκεῖνο δέ μοι πάντως εἰπὲ, τίνος ἕνεκα οὐχὶ καὶ ἐν τοῖς ἀγῶσι τοῖς Ὀλυμπίασι καὶ Ἰσθμοῖ καὶ Πυθοῖ καὶ τοῖς ἄλλοις, ὁπότε πολλοὶ, ὡς φῄς, συνίασιν ὀψόμενοι τοὺς νέους ἀγωνιουμένους, οὐδέποτε ἐν ὅπλοις ποιεῖσθε τὴν ἅμιλλαν, ἀλλὰ γυμνοὺς ἐς τὸ μέσον παραγαγόντες λακτιζομένους καὶ παιομένους ἐπιδείκνυτε καὶ νικήσασι μῆλα καὶ κότινον δίδοτε; ἄξιον γὰρ εἰδέναι τοῦτό γε, οὕτινος ἕνεκα οὕτω ποιεῖτε.

ΣΟΛ. Ἡγούμεθα γάρ, ὦ Ἀνάχαρσι, τὴν ἐς τὰ γυμνάσια προθυμίαν οὕτως ἂν πλείω ἐγγενέσθαι αὐτοῖς, εἰ τοὺς ἀριστεύοντας ἐν τούτοις ἴδοιεν τιμωμένους καὶ ἀνακηρυττομένους ἐν μέσοις τοῖς Ἕλλησι. Καὶ διὰ τοῦτο ὡς ἐς τοσούτους ἀποδυσόμενοι εὐεξίας τε ἐπιμελοῦνται, ὡς μὴ αἰσχύνοιντο γυμνωθέντες, καὶ ἄξιονικ poena sancita est, si quis in urbe gestet ferrum ubi opus non est, aut arma in publicum efferat. Vobis vero ignoscendum quod in armis semper vivitis: quum enim habitetis sine munimentis, expositi estis insidiis; et hostes vobis bene multi; obscurumque, quando aliquis subito astans detractum de plaustro dormientem interficiat. Etiam mutua inter vos diffidentia, quum suo quisque arbitrio, non lege quadam in communione civili vivatis, necessarium semper ferrum facit, ut prope sit quo defendatis, si quis vim inferat.

35. ANACH. Tum vobis, Solon, ferrum quidem sine necessitate gestare superfluum videtur, et armis parcitis, ne, si in manibus sint, perdantur; sed reposita custoditis, ut, quum opus fuerit, utamini: corpora vero juvenum, nullo urgente incommodo, labore subigitis, feriendo et exhauriendo sudoribus, non reponentes ad necessitatem illorum robora, sed temere in luto atque pulvere effundentes?

SOL. Videris, Anacharsi, tale quid cogitare de viribus, quasi vino aut aquæ aut alii liquorum eæ sint similes: metuis ergo ne velut ex fictili vase furtim inter labores effluant, ac deinde inane nobis et aridum corpus relinquentes abeant, quum nihil sit a quo intus suppleatur. At illud non ita se habet: verum quanto quis magis illas laboribus exhauriat, tanto magis affluunt, secundum illam Hydræ fabulam, si quam audisti, ut pro uno abscisso capite duo semper alia succreverint. Si vero ab initio non exerceantur neque contendantur, nec satis ipsis suppeditetur materiæ, tum demum lædantur a laboribus et consumantur; quale quid in igne et lucerna solet fieri. Eodem enim flatu vel accendas ignem et majorem brevi tempore facias, quippe quem spiritu quasi acuas; vel exstinguas flammam lucernæ, quæ non satis materiæ habeat sibi suppeditatum, ut durare adversus vim flatus possit: neque enim hæc firma, opinor, de radice exsistit.

36. ANACH. Ista quidem, Solon, non plane intelligo: subtiliora enim quam pro meo captu dixisti, accurata quadam cogitatione et mente acutum cernente indigentia: illud vero mihi omnino dicito, cur etiam in Olympicis certaminibus, et in Isthmo, et Pythone, et reliquis, quum multi, ut ais, conveniunt visuri juvenes ibi certaturos, non unquam in armis instituitis pugnare, sed nudos in medium productis, et ut calcibus petantur ac feriantur ostenditis, victoribusque mala datis atque oleam? dignum enim scitu est hoc quidem cur ita facialis.

SOL. Putamus enim, Anacharsi, majorem ita exercitationum amorem in illis oriturum, si eos, qui primas in his tulerint, ita honorari videant et in mediis Græcis celebrari præconio. Ac propterea ut qui apud hos tot numero exuendi sint, et bono habitu esse studeant, ne pudeat ipsos nudari, et dignissimum se reddit unusquisque victoria.

κότατον ἕκαστος αὐτὸν ἀπεργάζεται. Καὶ τὰ ἆθλα, ὥσπερ ἔμπροσθεν εἶπον, οὐ μικρὰ, ὁ ἔπαινος ὁ παρὰ τῶν θεατῶν καὶ τὸ ἐπισημότατον γενέσθαι καὶ δείκνυσθαι τῷ δακτύλῳ ἄριστον εἶναι τῶν καθ' αὑτὸν δοκοῦντα. Τοιγάρτοι πολλοὶ τῶν θεατῶν, οἷς καθ' ἡλικίαν ἔτι ἡ ἄσκησις, ἀπίασιν οὐ μετρίως ἐκ τῶν τοιούτων ἀρετῆς καὶ πόνων ἐρασθέντες· ὡς εἴ γέ τις, ὦ Ἀνάχαρσι, τὸν τῆς εὐκλείας ἔρωτα ἐκβάλοι ἐκ τοῦ βίου, τί ἂν ἔτι ἀγαθὸν ἡμῖν γένοιτο; ἢ τίς ἄν τι λαμπρὸν ἐργάσασθαι ἐπιθυμήσειε; Νῦν δὲ καὶ ἀπὸ τούτων εἰκάζειν παρέχοιεν ἄν σοι ὁποῖοι ἐν πολέμοις ὑπὲρ πατρίδος καὶ παίδων καὶ γυναικῶν καὶ ἱερῶν γένοιντ' ἂν ὅπλα ἔχοντες οἱ κοτίνου πέρι καὶ μήλων γυμνοὶ τοσαύτην προθυμίαν ἐς τὸ νικᾶν εἰσφερόμενοι.

37. Καίτοι τί ἂν πάθοις, εἰ θεάσαιο καὶ ὀρτύγων καὶ ἀλεκτρυόνων ἀγῶνας παρ' ἡμῖν καὶ σπουδὴν ἐπὶ τούτοις οὐ μικράν; ἢ γελάσῃ δῆλον ὅτι, καὶ μάλιστα ἢν μάθῃς ὡς ὑπὸ νόμῳ αὐτὸ δρῶμεν καὶ προστέτακται πᾶσι τοῖς ἐν ἡλικίᾳ παρεῖναι καὶ ὁρᾶν τὰ ὄρνεα διαπυκτεύοντα μέχρι τῆς ἐσχάτης ἀπαγορεύσεως; Ἀλλ' οὐδὲ τοῦτο γελοῖον· ὑποδύεταί γάρ τις ἠρέμα ταῖς ψυχαῖς ὁρμὴ ἐς τοὺς κινδύνους, ὡς μὴ ἀγεννέστεροι καὶ ἀτολμότεροι φαίνοιντο τῶν ἀλεκτρυόνων μηδὲ προαπαγορεύοιεν ὑπὸ τραυμάτων ἢ καμάτων ἤ του ἄλλου δυσχεροῦς. Τὸ δὲ δὴ ἐν ὅπλοις πειρᾶσθαι αὐτῶν καὶ ὁρᾶν τιτρωσκομένους ἄπαγε· θηριῶδες γὰρ καὶ δεινῶς σκαιὸν καὶ προσέτι γε ἀλυσιτελὲς ἀποσφάττειν τοὺς ἀρίστους καὶ οἷς ἄν τις ἄμεινον χρήσαιτο κατὰ τῶν δυσμενῶν.

38. Ἐπεὶ δὲ φῂς, ὦ Ἀνάχαρσι, καὶ τὴν ἄλλην Ἑλλάδα ἐπελεύσεσθαι, μέμνησο ἢν ποτε καὶ ἐς Λακεδαίμονα ἔλθῃς, μὴ καταγελάσαι μηδὲ ἐκείνων μηδὲ οἴεσθαι μάτην πονεῖν αὐτοὺς, ὁπόταν ἢ σφαίρας πέρι ἐν τῷ θεάτρῳ συμπεσόντες παίωσιν ἀλλήλους ἢ ἐς χωρίον ἐσελθόντες ὕδατι περιγεγραμμένον ἐς φάλαγγα διαστάντες τὰ πολεμίων ἀλλήλους ἐργάζωνται γυμνοὶ καὶ αὐτοὶ, ἄχρι ἂν ἐκβάλωσι τοῦ περιγράμματος τὸ ἕτερον σύνταγμα οἱ ἕτεροι, τοὺς κατὰ Λυκοῦργον οἱ καθ' Ἡρακλέα ἢ ἔμπαλιν, συνωθοῦντες ἐς τὸ ὕδωρ· τὸ γὰρ ἀπὸ τούτου εἰρήνη λοιπὸν καὶ οὐδεὶς ἂν ἔτι παίσειε· μάλιστα δὲ ἢν ὀρᾷς μαστιγουμένους αὐτοὺς ἐπὶ τῷ βωμῷ καὶ αἵματι ῥεομένους, πατέρας δὲ καὶ μητέρας παρεστώσας οὐχ ὅπως ἀνιωμένας ἐπὶ τοῖς γιγνομένοις, ἀλλὰ καὶ ἀπειλούσας, εἰ μὴ ἀντέχοιεν πρὸς τὰς πληγὰς, καὶ ἱκετευούσας ἐπὶ μήκιστον διαρκέσαι πρὸς τὸν πόνον καὶ ἐγκαρτερῆσαι τοῖς δεινοῖς. Πολλοὶ γοῦν καὶ ἐναπέθανον τῷ ἀγῶνι μὴ ἀξιώσαντες ἀπαγορεῦσαι ζῶντες ἔτι ἐν ὀφθαλμοῖς τῶν οἰκείων μηδὲ εἶξαι τοῖς σώμασιν, ὧν καὶ τοὺς ἀνδριάντας ὄψει τιμωμένους δημοσίᾳ ὑπὸ τῆς Σπάρτης ἀναστηθέντας. Ὅταν τοίνυν ὁρᾷς κἀκεῖνα, μήτε μαίνεσθαι ὑπολάβῃς αὐτοὺς μήτε εἴπῃς, ὡς οὐδεμιᾶς ἕνεκα αἰτίας ἀναγκαίας ταλαιπωροῦσι μήτε τυράννου βιαζομένου μήτε πολεμίων διατιθέντων· εἶποι γὰρ ἄν σοι καὶ ὑπὲρ ἐκείνων Λυκοῦργος

Præmia vero, ut ante dicebam, non parva; laus a spectatoribus, et quod maxime sit insignis, et digito monstretur, tanquam æqualium suorum præstantissimus. Proinde multi spectatorum, quibus tempestiva adhuc propter ætatem exercitatio, discedunt non mediocri ab hisce virtutis ac laborum amore inflammati. Nam si quis, Anacharsi, bonæ famæ amorem e vita expulerit, quid jam boni nobis contingat? aut quis splendidum quiddam cupiat perficere? Jam vero ex his quoque conjiciendum tibi præbuerint, quales sint in bellis pro patria, et liberis, et uxoribus, et sacris, armati, qui pro olea et malis, nudi, tantam vincendi cupiditatem afferant.

37. Verum quid tibi animi fuerit, si coturnicum et gallorum apud nos pugnas videris et studium ea in re magnum? Ridebis nimirum, præsertim si audias ex lege nos istuc facere, et imperatum esse adultis omnibus adesse et videre aves ad ultimam usque animi defectionem pugnantes. Sed neque hoc ridiculum: subit enim sensim aliquis in animos ad pericula impetus, ne ignaviores videantur et minus audaces gallis, nec prius quam illi deficiant ipsi a vulneribus aut laboribus, aut difficultate quacumque alia. At in armis tentari illos, et videri vulnerari, apage: belluinum enim et plane sinistrum, atque insuper inutile, interficere optimos, quibus melius aliquis utatur adversus inimicos.

38. Quoniam vero dicis, Anacharsi, te reliquam etiam Græciam peragraturum, memento, quando Lacedæmonem veneris, ne derideas illos, neu putes eos frustra laborare, quum aut de pila in theatro certantes impetu facto alteri alteros cædunt; aut ingressi in locum aqua circumdatum, divisique in suam quisque phalangem, hostiliter, nudi et ipsi, se mutuo invadunt, donec circumscripto illo loco alterum agmen alteri ejiciant, Lycurgi puta factionem Herculani, aut contra, detrudentes in aquam; hoc enim facto pax ceterum, neque quisquam alterum percusserit: maxime vero si videas, quum flagris cæduntur ad altare, et sanguine fluunt, patres vero aut matres astantes adeo indigne quæ aguntur non ferunt, ut etiam minentur, si non durent ad plagas, atque illis supplicent ut quam longissime ferant molestiam et mala tolerent. Multi adeo huic certamini immortui sunt, quum nollent se victos fateri, dum vita superesset, in oculis suorum, neque cedere corpore: quorum etiam statuas videbis honorari publice, a Spartanorum republica positas. Proinde etiam ista quum videbis, noli putare illos furere, neu dicito nulla idonea causa illos ærumnas sustinere, neque tyranno cogente, neque hostibus illam necessitatem imponentibus. Dicat enim pro illis etiam Lycurgus illorum legislator multa rationabilia, quid-

ὁ νομοθέτης αὐτῶν πολλὰ τὰ εὔλογα καὶ ἃ συνιδὼν κολάζει αὐτοὺς, οὐκ ἐχθρὸς ὢν οὐδὲ ὑπὸ μίσους αὐτὸ δρῶν οὐδὲ τὴν νεολαίαν τῆς πόλεως εἰκῆ παραναλίσκων, ἀλλὰ καρτερικωτάτους καὶ παντὸς δεινοῦ κρείττονας ἀξιῶν εἶναι τοὺς σώζειν μέλλοντας τὴν πατρίδα. Καίτοι κἂν μὴ ὁ Λυκοῦργος εἴπῃ, ἐννοεῖς, οἶμαι, καὶ αὐτὸς ὡς οὐκ ἄν ποτε ληφθεὶς ὁ τοιοῦτος ἐν πολέμῳ ἀπόρρητόν τι ἐξείποι τῆς Σπάρτης αἰκιζομένων τῶν ἐχθρῶν, ἀλλὰ καταγελῶν αὐτῶν μαστιγοῦτο ἂν ἀμιλλώμενος πρὸς τὸν παίοντα, ὡς πρότερος ἀπαγορεύσειεν.

39. ΑΝΑΧ. Ὁ Λυκοῦργος δὲ καὶ αὐτὸς, ὦ Σόλων, ἐμαστιγοῦτο ἐφ' ἡλικίας, ἢ ἐκπρόθεσμος ὢν ἤδη τοῦ ἀγῶνος ἀσφαλῶς τὰ τοιαῦτα ἐνεανιεύσατο;

ΣΟΛ. Πρεσβύτης ἤδη ὢν ἔγραψε τοὺς νόμους αὐτοῖς Κρήτηθεν ἀφικόμενος· ἀποδεδημήκει δὲ παρὰ τοὺς Κρῆτας, ὅτι ἤκουεν εὐνομωτάτους εἶναι, Μίνωος τοῦ Διὸς νομοθετήσαντος ἐν αὐτοῖς.

ΑΝΑΧ. Τί οὖν, ὦ Σόλων, οὐχὶ καὶ σὺ ἐμιμήσω Λυκοῦργον καὶ μαστιγοῖς τοὺς νέους; καλὰ γὰρ καὶ ταῦτα καὶ ἄξια ὑμῶν ἐστιν.

ΣΟΛ. Ὅτι ἡμῖν ἱκανὰ, ὦ Ἀνάχαρσι, ταῦτα τὰ γυμνάσια οἰκεῖα ὄντα· ζηλοῦν δὲ τὰ ξενικὰ οὐ πάνυ ἀξιοῦμεν.

ΑΝΑΧ. Οὐκ, ἀλλὰ συνίης, οἶμαι, οἷόν τί ἐστι μαστιγοῦσθαι γυμνὸν ἄνω τὰς χεῖρας ἐπαίροντα μηδενὸς ἕνεκα ὠφελίμου ἢ αὐτῷ ἑκάστῳ ἢ κοινῇ τῇ πόλει. Ὡς ἔγωγε ἤν ποτε ἐπιδημήσω τῇ Σπάρτῃ, καθ' ὃν καιρὸν ταῦτα δρῶσι, δοκῶ μοι τάχιστα καταλευσθήσεσθαι δημοσίᾳ πρὸς αὐτῶν, ἐπιγελῶν ἑκάστοις, ὁπόταν δρῶ τυπτομένους καθάπερ κλέπτας ἢ λωποδύτας ἤ τι ἄλλο τοιοῦτον ἐργασαμένους. Ἀτεχνῶς γὰρ ἑλλεβόρου δεῖσθαί μοι δοκεῖ ἡ πόλις αὐτῶν οὕτω καταγέλαστα ὑφ' αὑτῆς πάσχουσα.

40. ΣΟΛ. Μὴ ἐρήμην, ὦ γενναῖε, μηδὲ τῶν ἀνδρῶν ἀπόντων μόνος αὐτὸς λέγων οἷου κρατεῖν· ἔσται γάρ τις ὁ καὶ ὑπὲρ ἐκείνων σοι τὰ εἰκότα ἐν Σπάρτῃ ἀντερῶν. Πλὴν ἀλλ' ἐπείπερ ἐγὼ τὰ ἡμέτερά σοι διεξελήλυθα, σὺ δὲ οὐ πάνυ ἀρεσκομένῳ αὐτοῖς ἔοικας, οὐκ ἄδικα αἰτήσειν ἔοικα παρὰ σοῦ ὡς καὶ αὐτὸς ἐν τῷ μέρει διεξέλθῃς πρός με ὅν τρόπον ὑμεῖς οἱ Σκύθαι διασκεῖτε τοὺς νέους τοὺς παρ' ὑμῖν καὶ οἵστισι γυμνασίοις ἀνατρέφετε καὶ ὅπως ὑμῖν ἄνδρες ἀγαθοὶ γίγνονται.

ΑΝΑΧ. Δικαιότατα μὲν οὖν, ὦ Σόλων, καὶ ἔγωγε διηγήσομαι τὰ Σκυθῶν νόμιμα, οὐ σεμνὰ ἴσως οὐδὲ καθ' ὑμᾶς, οἵ γε οὐδὲ κατὰ κόρρης παταχθῆναι τολμήσαιμεν ἂν μίαν πληγήν· δειλοὶ γάρ ἐσμεν· ἀλλὰ εἰρήσεταί γε ὁποῖα ἂν ᾖ. Ἐς αὔριον μέντοι, εἰ δοκεῖ, ὑπερβαλώμεθα τὴν συνουσίαν, ὡς ἅ τε αὐτὸς ἔφης ἔτι μᾶλλον ἐννοήσαιμι καθ' ἡσυχίαν ἅ τε χρὴ εἰπεῖν συναγάγοιμι τῇ μνήμῃ ἐπελθών. Τὸ δὲ νῦν ἔχον ἀπίωμεν ἐπὶ τούτοις, ἑσπέρα γὰρ ἤδη.

que spectans illos ita castiget, qui non ut hostis, neque odio illud faciat, nec qui sobolem civitatis ita consumere velit temere, sed quod postulet ut patientissimi et malo omni superiores sint qui servaturi sint patriam. Quanquam, etsi non dicat Lycurgus, ipse, puto, intelligis, quam non unquam captus in bello talis arcanum quoddam Spartæ enunciaturus sit, hostibus ipsum torquentibus, sed dentem illos, ita flagellandum se præbiturum, ut certet cum feriente, quo prior ille fatigetur.

39. ANACH. Utrum vero ipse quoque, mi Solon, Lycurgus, juvenis quum esset, pulsabatur, an egressus jam ætatem certaminis illius propriam, secure talia juvenili velut petulantia constituit?

SOL. Senex jam erat quum has illis leges scriberet, e Creta redux: eo autem peregrinatum abierat ad Cretenses, quod optimis illos legibus florere audierat, quarum Minos Jovis filius conditor fuerit.

ANACH. Cur igitur non tu quoque, Solon, imitaris Lycurgum, et flagellas adolescentulos? pulchra enim ista quoque et vobis digna.

SOL. Quod istæ nobis, Anacharsi, sufficiunt exercitationes, domesticæ quæ sint: peregrina autem æmulari non sane dignum nobis putamus.

ANACH. Non hac de causa, verum intelligis, opinor, quid sit flagellis cædi nudum, manibus in altum protensis, nullius bonæ rei causa, quæ vel ad unumquemque singulatim, vel communiter ad civitatem perveniat. Igitur si quando peregriner Spartæ equidem, quo tempore ista faciunt, metuo ne statim publice lapidibus ab iis obruar, ridens ad singula, ubi videro pulsari illos tanquam fures, aut grassatores, aut qui aliud ex eo genere fecerint. Omnino enim helleboro mihi indigere eorum videtur civitas, quæ tam ridicula fieri in se publice patiatur.

40. SOL. Ne puta, o generose, te desertam litem, vel absentibus viris, dum solus dicis, victurum: erit enim Spartæ quoque qui pro istis ea quæ par est tibi respondeat. Verum quandoquidem ego nostra tibi enarravi, tu autem non satis illa probare videris, nihil injusti ego abs te petiturum me arbitror, ut tu etiam vicissim enarres mihi, quo modo vos Scythæ juvenes vestros, quibusque in exercitationibus educetis, et quomodo honesti apud vos viri fiant.

ANACH. Justissime tu quidem istuc, Solon: et enarrabo tibi Scytharum legitima, non ita splendida fortasse, neque vestris similia, qui neque alapam mala unam excipere audeamus, meticulosi homines; sed dicetur tamen, qualia sint. Verum in crastinum, si videtur, differamus disputationem, ut et quæ ipse dixisti magis adhuc silentio perpendam, et quæ dicenda sint, memoria percurrens cogitem. Nunc autem ut res est, his ita dictis abeamus: jam enim est vespera.

L.

ΠΕΡΙ ΠΕΝΘΟΥΣ.

1. Ἄξιόν γε παρατηρεῖν τὰ ὑπὸ τῶν πολλῶν ἐν τοῖς πένθεσι γιγνόμενα καὶ λεγόμενα καὶ τὰ ὑπὸ τῶν παραμυθουμένων δῆθεν αὐτοὺς αὖθις αὖ λεγόμενα, καὶ ὡς ἀφόρητα ἡγοῦνται τὰ συμβαίνοντα σφίσι τε αὐτοῖς οἱ ὀδυρόμενοι καὶ ἐκείνοις οἷς ὀδύρονται, οὐ μὰ τὸν Πλούτωνα καὶ Φερσεφόνην, κατ' οὐδὲν ἐπιστάμενοι σαφῶς οὔτε εἰ πονηρὰ ταῦτα καὶ λύπης ἄξια ἢ τοὐναντίον ἡδέα καὶ βελτίω τοῖς παθοῦσι, νόμῳ δὲ καὶ ξυνηθείᾳ τὴν λύπην ἐπιτρέποντες. Ἐπειδὰν τοίνυν ἀποθάνῃ τις, οὕτω ποιοῦσι — μᾶλλον δὲ πρότερον εἰπεῖν βούλομαι ἅστινας περὶ αὐτοῦ τοῦ θανάτου δόξας ἔχουσιν· οὕτω γὰρ ἔσται φανερὸν, οἵτινος ἕνεκα τὰ περιττὰ ἐκεῖνα ἐπιτηδεύουσιν.

2. Ὁ μὲν δὴ πολὺς ὅμιλος, οὓς ἰδιώτας οἱ σοφοὶ καλοῦσιν, Ὁμήρῳ τε καὶ Ἡσιόδῳ καὶ τοῖς ἄλλοις μυθοποιοῖς περὶ τούτων πειθόμενοι καὶ νόμον θέμενοι τὴν ποίησιν αὐτῶν τόπον τινὰ ὑπὸ τῇ γῇ βαθὺν Ἅιδην ὑπειλήφασι, μέγαν δὲ καὶ πολύχωρον τοῦτον εἶναι καὶ ζοφερὸν καὶ ἀνήλιον οὐκ οἶδ' ὅπως αὐτοῖς φωτίζεσθαι δοκοῦντα πρὸς τὸ καὶ καθορᾶν τῶν ἐνόντων ἕκαστον· βασιλεύειν δὲ τοῦ χάσματος ἀδελφὸν τοῦ Διὸς Πλούτωνα κεκλημένον, ὥς μοι τῶν τὰ τοιαῦτα δεινῶν τις ἔλεγε, διὰ τὸ πλουτεῖν τοῖς νεκροῖς τῇ προσηγορίᾳ τετιμημένον. Τοῦτον δὲ τὸν Πλούτωνα τὴν παρ' αὐτῷ πολιτείαν καὶ τὸν κάτω βίον καταστήσασθαι τοιοῦτον· κεκληρῶσθαι μὲν γὰρ αὐτὸν ἄρχειν τῶν ἀποθανόντων, καταδεξάμενον δὲ αὐτοὺς καὶ παραλαβόντα κατέχειν δεσμοῖς ἀφύκτοις, οὐδενὶ τὸ παράπαν τῆς ἄνω ὁδοῦ ὑφιέμενον πλὴν ἐξ ἅπαντος τοῦ αἰῶνος πάνυ ὀλίγων ἐπὶ μεγίσταις αἰτίαις.

3. Περιρρεῖσθαι δὲ τὴν χώραν αὐτοῦ ποταμοῖς μεγάλοις τε καὶ φοβεροῖς κἀκ μόνων τῶν ὀνομάτων· Κωκυτοὶ γὰρ καὶ Πυριφλεγέθοντες καὶ τὰ τοιαῦτα κέκληνται. Τὸ δὲ μέγιστον, ἡ Ἀχερουσία λίμνη πρόκειται πρώτη δεχομένη τοὺς ἀπαντῶντας, ἣν οὐκ ἔνι διαπλεῦσαι ἢ παρελθεῖν ἄνευ τοῦ πορθμέως· βαθεῖα γὰρ περᾶσαι τοῖς ποσὶ καὶ διανήξασθαι πολλὴ, καὶ ὅλως οὐκ ἂν αὐτὴν διαπταίη οὐδὲ τὰ νεκρὰ τῶν ὀρνέων.

4. Πρὸς δὲ αὐτῇ τῇ καθόδῳ καὶ πύλῃ οὔσῃ ἀδαμαντίνῃ ἀδελφιδοῦς τοῦ βασιλέως Αἰακὸς ἕστηκε τὴν φρουρὰν ἐπιτετραμμένος καὶ παρ' αὐτῷ κύων τρικέφαλος μάλα κάρχαρος, τοὺς μὲν ἐσαφικνουμένους φίλιόν τι καὶ εἰρηνικὸν προσβλέπων, τοὺς δὲ πειρῶντας ἀποδιδράσκειν ὑλακτῶν καὶ τῷ χάσματι δεδιττόμενος.

5. Περαιωθέντας δὲ τὴν λίμνην ἐς τὸ ἔσω λειμὼν ὑποδέχεται μέγας τῷ ἀσφοδέλῳ κατάφυτος καὶ ποτὸν μνήμης πολέμιον· Λήθης γοῦν διὰ τοῦτο ὠνόμασται. Ταῦτα γὰρ ἀμέλει διηγήσαντο τοῖς πάλαι ἐκεῖθεν ἀφιγμένοι Ἄλκηστίς τε καὶ Πρωτεσίλεως οἱ Θετταλοὶ καὶ Θησεὺς ὁ τοῦ Αἰγέως καὶ ὁ τοῦ Ὁμήρου Ὀδυσσεὺς, μάλα σεμνοὶ καὶ ἀξιόπιστοι μάρτυρες, ἐμοὶ δοκεῖν, οὐ πιόντες τῆς πηγῆς· οὐ γὰρ ἂν ἐμέμνηντο αὐτῶν.

L.

DE LUCTU.

1. Operæ pretium sane fuerit observare quæ a vulgo fiunt in luctu ac dicuntur, quæque vicissim ab his qui consolantur scilicet istos, dicuntur; et ut intolerabilia lamentantes putant tum quæ sibi eveniunt ipsis, tum quæ illis quorum vicem dolent: non illi, per Plutonem ac Proserpinam nulla ex parte scientes dilucide, nec, sintne mala ista ac dolore digna, neque an contra ea læta sint ac meliora his quibus eveniunt; sed institutis et consuetudini illum dolorem suum condonantes. Quum igitur mortuus fuerit aliquis, sic faciunt — quin illud prius volo dicere, de morte ipsa quas habeant sententias: sic enim apparebit cujus rei causa in supervacuis illis elaborent.

2. Vulgus igitur promiscuum, quos idiotas appellant docti, Homero, Hesiodo et fabularum auctoribus ceteris fidem de his qui habeant et legem sibi statuant illorum fictionem, locum quendam sub terra profundum esse putant inferos, eumque magnum et spatiosum esse, et tenebricosum ac sole carentem; eundem tamen nescio qua ratione illustrem in tantum, ut quæ in eo sint conspici possint omnia. Imperare autem in magno illo hiatu fratrem Jovis, Plutonem *sive Ditem* nomine, qua quidem appellatione (ut aliquis mihi talium peritissimus retulit) ideo cohonestatus est, quod dives sit mortuis. Hunc porro Ditem suæ civitatis et vitæ illius apud inferos hæc habere instituta: nam sorte ipsi obtigisse mortuorum imperium, quos ille receptos atque assumtos vinculis contineat, quæ effugere nemo possit, neque ulli omnino ad supera redeundi facultatem tribuat, nisi ob maximas causas quibusdam ab omni ævo paucissimis.

3. Circumfluere autem ipsius regionem fluviis magnis et terrorem vel ipso nomine injicientibus; Cocyti enim [*ploratus*] et Pyriphlegethontes [*ignicremi*] et similiter appellantur. Quod vero maximum, Acherusia palus objacet, prima excipiens venientes, quam trajicere non licet nec præterire sine portitore; quum profundior sit quam ut pedibus transiri possit, et latior quam ut natatu trajicias; adeo ut neque volucres mortui eam transvolare possint.

4. Ad ipsum porro descensum et portam, quæ adamantina est, Æacus stat fratre regis genitus, cui custodia illius credita, et prope illum triceps canis, asperrimus, qui advenientes quidem amico vultu et pacato aspiciat, fugere autem si qui conentur, latratu atque rictu terreat.

5. Hunc qui lacum superarunt, eos intus pratum suscipit magnum, consitum asphodelo et potus expugnator memoriæ; Lethes enim [*oblivionis*] potus propter hoc ipsum appellatus est. Hæc nimirum narrarunt antiquis qui inde redierunt, Alcestis atque Protesilaus, Thessali, et Ægei Theseus filius, et Homericus Ulysses, graves et fide digni testes, ut mihi videtur, qui de fonte illo non biberint; neque enim alias memoriam eorum retinuissent.

6. Ὁ μὲν οὖν Πλούτων, ὡς ἐκεῖνοι ἔφασαν, καὶ ἡ Φερσεφόνη δυναστεύουσι καὶ τὴν τῶν ὅλων δεσποτείαν ἔχουσιν· ὑπηρετοῦσι δ' αὐτοῖς καὶ τὴν ἀρχὴν συνδιαπράττουσιν ὄχλος πολὺς Ἐρινύες τε καὶ Ποιναὶ καὶ Φόβοι καὶ ὁ Ἑρμῆς, οὗτος μέν γε οὐκ ἀεὶ συμπαρών.

7. Ὕπαρχοι δὲ καὶ σατράπαι καὶ δικασταὶ κάθηνται δύο, Μίνως τε καὶ Ῥαδάμανθυς οἱ Κρῆτες, ὄντες υἱοὶ τοῦ Διός. Οὗτοι δὲ τοὺς μὲν ἀγαθοὺς τῶν ἀνδρῶν καὶ δικαίους καὶ κατ' ἀρετὴν βεβιωκότας, ἐπειδὰν συναλισθῶσι πολλοί, καθάπερ ἐς ἀποικίαν τινὰ πέμπουσιν ἐς τὸ Ἠλύσιον πεδίον τῷ ἀρίστῳ βίῳ συνεσομένους.

8. Ἂν δέ τινας τῶν πονηρῶν λάβωσι, ταῖς Ἐρινύσι παραδόντες ἐς τὸν τῶν ἀσεβῶν χῶρον ἐσπέμπουσι κατὰ λόγον τῆς ἀδικίας κολασθησομένους. Ἔνθα δὴ τί κακῶν οὐ πάσχουσι στρεβλούμενοί τε καὶ καόμενοι καὶ ὑπὸ γυπῶν ἐσθιόμενοι καὶ τροχῷ συμπεριφερόμενοι καὶ λίθους ἀνακυλίοντες; ὁ μὲν γὰρ Τάνταλος ἐπ' αὐτῇ τῇ λίμνῃ αὖος ἕστηκε κινδυνεύων ὑπὸ τοῦ δίψους ὁ κακοδαίμων ἀποθανεῖν.

9. Οἱ δὲ τοῦ μέσου βίου, πολλοὶ ὄντες οὗτοι, ἐν τῷ λειμῶνι πλανῶνται ἄνευ τῶν σωμάτων σκιαὶ γενόμενοι καὶ ὑπὸ τῇ ἁφῇ καθάπερ καπνὸς ἀφανιζόμενοι. Τρέφονται δὲ ἄρα ταῖς παρ' ἡμῶν χοαῖς καὶ τοῖς καθαγιζομένοις ἐπὶ τῶν τάφων· ὡς εἴ τῳ μὴ εἴη καταλελειμμένος ὑπὲρ γῆς φίλος ἢ συγγενής, ἄσιτος οὗτος νεκρὸς καὶ λιμώττων ἐν αὐτοῖς πολιτεύεται.

10. Ταῦτα οὕτως ἰσχυρῶς περιελήλυθε τοὺς πολλούς, ὥστε ἐπειδάν τις ἀποθάνῃ τῶν οἰκείων, πρῶτα μὲν φέροντες ὀβολὸν ἐς τὸ στόμα κατέθηκαν αὐτῷ, μισθὸν τῷ πορθμεῖ τῆς ναυτιλίας γενησόμενον, οὐ πρότερον ἐξετάσαντες ὁποῖον τὸ νόμισμα νομίζεται καὶ διαχωρεῖ παρὰ τοῖς κάτω, καὶ εἰ δύναται παρ' ἐκείνοις Ἀττικὸς ἢ Μακεδονικὸς ἢ Αἰγιναῖος ὀβολός, οὐδ' ὅτι πολὺ κάλλιον ἦν μὴ ἔχειν τὰ πορθμεῖα καταβαλεῖν· οὕτω γὰρ ἂν οὐ παραδεξαμένου τοῦ πορθμέως ἀναπόμπιμοι πάλιν ἐς τὸν βίον ἀφικνοῦντο.

11. Μετὰ ταῦτα δὲ λούσαντες αὐτοὺς, ὡς οὐχ ἱκανῆς τῆς κάτω λίμνης λουτρὸν εἶναι τοῖς ἐκεῖ, καὶ μύρῳ τῷ καλλίστῳ χρίσαντες τὸ σῶμα πρὸς δυσωδίαν ἤδη βιαζόμενον καὶ στεφανώσαντες τοῖς ὡραίοις ἄνθεσι προτίθενται λαμπρῶς ἀμφιέσαντες, ἵνα μὴ ῥιγῷεν δῆλον ὅτι παρὰ τὴν ὁδὸν μηδὲ γυμνοὶ βλέποιντο τῷ Κερβέρῳ.

12. Οἰμωγαὶ δὲ ἐπὶ τούτοις καὶ κωκυτὸς γυναικῶν καὶ παρὰ πάντων δάκρυα καὶ στέρνα τυπτόμενα καὶ σπαραττομένη κόμη καὶ φοινισσόμεναι παρειαί· καί που καὶ ἐσθὴς καταρρήγνυται καὶ κόνις ἐπὶ τῇ κεφαλῇ πάττεται καὶ οἱ ζῶντες οἰκτρότεροι τοῦ νεκροῦ· οἱ μὲν γὰρ χαμαὶ κυλινδοῦνται πολλάκις καὶ τὰς κεφαλὰς ἀράττουσι πρὸς τὸ ἔδαφος, ὁ δὲ εὐσχήμων καὶ καλὸς καὶ καθ' ὑπερβολὴν ἐστεφανωμένος ὑψηλὸς πρόκειται καὶ μετέωρος ὥσπερ ἐς πομπὴν κεκοσμημένος.

13. Εἶθ' ἡ μήτηρ ἢ καὶ νὴ Δία ὁ πατὴρ ἐκ μέσων τῶν συγγενῶν προελθὼν καὶ περιχυθεὶς αὐτῷ — προκείσθω γάρ τις νέος καὶ καλὸς, ἵνα καὶ ἀκμαιότερον τὸ

6. Dis ergo, ut illi dixerunt, et Proserpina imperant, atque in dominio habent omnia; ministrant vero illis et imperium una exercent turba multa, Furiæ, Pœnæ, Terrores, et Mercurius; hic quidem non semper ibi præsens.

7. Magistratus vero et satrapæ et judices sedent duo, Minos ac Rhadamanthus, Cretenses et filii Jovis. Hi vero bonos quidem viros et justos et qui cum virtute vixere, ubi plures convenerunt, tanquam in coloniam quandam mittunt in campum Elysium, ubi vitam agant beatissimam.

8. Si quos vero malos deprehendant, traditos Furiis in impiorum locum mittunt, pro portione suæ injustitiæ puniendos. Ibi vero quid non malorum patiuntur, torti, ustulati, carpti a vulturibus, in rota circumacti, saxa in arduum volventes? quin Tantalus, ad ipsum stans lacum siccus. siti mori miser metuit.

9. Sed mediæ qui fuere vitæ homines, magnus sane numerus, per pratum oberrant sine corporibus, umbræ facti, quique sub ipso tactu fumi instar evanescant. Nutriuntur autem hi libaminibus nostris et inferiis, quas tumulis illorum mittimus. Itaque si cui non sit relictus supra terram amicus aut cognatus, ille esurit mortuus, et fame cruciatus inter illos vitam agit.

10. Hæc firmiter adeo occuparunt vulgus, ut si quis moriatur familiarium, primo quidem obolum in os illi imponant, mercedem futuram portitori trajectus, non explorato prius quod numi genus lege receptum sit et commeet apud inferos, ac valeatne apud illos Atticus, an Macedonicus, an Æginetícus obolus; neque illud cogitant, multo esse melius si qui pro vectura solvere non possint : sic enim portitore non admittente rejecti in vitam rursus redirent.

11. Postea vero quum abluerunt illos (quasi non sufficeret pro lavacro infernus iste lacus his qui ibi sunt) et unguento optimo unxerunt proclive jam ad fœtorem corpus, et floribus illud tempestivis coronarunt, splendide vestitum proponunt, ne videlicet in via frigeant, vel nudi conspiciantur a Cerbero.

12. Inter hæc ploratus, et fletus mulierum, et lacrimæ ab omnibus, et planctus pectorum, et laceratæ comæ, et genæ cruentatæ : alicubi vestis etiam laceratur, et pulvis inspergitur capiti, et miseriores vivi mortuo. Nam illi quidem humi sæpe volvuntur, et capita allidunt solo : at iste decorus et pulcher et ultra modum coronatus, sublimis proponitur et elatus, ornatus quasi ad pompam.

13. Tum mater vel, per Jovem, ipse pater, de medio cognatorum agmine progressus, eumque complexus (propositum enim fingamus juvenem et pulchrum aliquem, ut ma-

ἐπ' αὐτῷ δρᾶμα ᾖ — φωνὰς ἀλλοκότους καὶ ματαίας ἀφίησι, πρὸς ἃς ὁ νεκρὸς αὐτὸς ἀποκρίναιτ' ἂν, εἰ λάβοι φωνήν· φήσει γὰρ ὁ πατὴρ γοερόν τι φθεγγόμενος καὶ παρατείνων ἕκαστον τῶν ὀνομάτων, Τέκνον ἥδιστον, οἴχῃ μοι καὶ τέθνηκας καὶ πρὸ ὥρας ἀνηρπάσθης μόνον ἐμὲ τὸν ἄθλιον καταλιπών, οὐ γαμήσας, οὐ παιδοποιησάμενος, οὐ στρατευσάμενος, οὐ γεωργήσας, οὐκ εἰς γῆρας ἐλθών· οὐ κωμάσῃ πάλιν οὐδ' ἐρασθήσῃ, τέκνον, οὐδ' ἐν συμποσίοις μετὰ τῶν ἡλικιωτῶν μεθυσθήσῃ.

14. Ταῦτα δὲ καὶ τὰ τοιαῦτα φήσει οἰόμενος τὸν υἱὸν δεῖσθαι μὲν ἔτι τούτων καὶ ἐπιθυμεῖν καὶ μετὰ τὴν τελευτὴν, οὐ δύνασθαι δὲ μετέχειν αὐτῶν. Καίτοι τί ταῦτα φημί; πόσοι γὰρ καὶ ἵππους καὶ παλλακίδας, οἱ δὲ καὶ οἰνοχόους ἐπικατέσφαξαν καὶ ἐσθῆτα καὶ τὸν ἄλλον κόσμον συγκατέφλεξαν ἢ συγκατώρυξαν ὡς χρησομένοις ἐκεῖ καὶ ἀπολαύσουσιν αὐτῶν κάτω;

15. Ὁ δ' οὖν πρεσβύτης ὁ πενθῶν οὑτοσὶ ταῦτα πάντα ὁπόσα εἴρηκα καὶ ἔτι τούτων πλείονα οὔτε τοῦ παιδὸς ἕνεκα τραγῳδεῖν ἔοικεν — οἶδε γὰρ οὐκ ἀκουσόμενον οὐδ' ἂν μεῖζον ἐμβοήσῃ τοῦ Στέντορος — οὔτε μὴν αὑτοῦ· φρονεῖν γὰρ οὕτω καὶ γιγνώσκειν ἱκανὸν ἦν καὶ ἄνευ τῆς βοῆς· οὐδεὶς γὰρ ὁὴ πρὸς ἑαυτὸν δεῖται βοᾶν. Λοιπὸν οὖν ἐστιν αὐτὸν τῶν παρόντων ἕνεκα ταῦτα λῆρεῖν οὗθ' ὅ τι πέπονθεν αὐτῷ ὁ παῖς εἰδότα οὔθ' ὅποι κεχώρηκε, μᾶλλον δὲ οὐδὲ τὸν βίον αὐτὸν ἐξετάσαντα ὁποῖός ἐστιν· οὐ γὰρ ἂν τὴν ἐξ αὐτοῦ μετάστασιν ὥς τι τῶν δεινῶν ἐδυσχέραινεν.

16. Εἶποι δ' ἂν οὖν πρὸς αὐτὸν ὁ παῖς παραιτησάμενος τὸν Αἰακὸν καὶ τὸν Ἀϊδωνέα πρὸς ὀλίγον τοῦ στομίου ὑπερκῦψαι καὶ τὸν πατέρα παῦσαι ματαιάζοντα, Ὦ κακόδαιμον ἄνθρωπε, τί κέκραγας; τί δέ μοι παρέχεις πράγματα; Παῦσαι τιλλόμενος τὴν κόμην καὶ τὸ πρόσωπον ἐξ ἐπιπολῆς ἀμύσσων. Τί μοι λοιδορῇ καὶ ἄθλιον ἀποκαλεῖς καὶ δύσμορον πολύ σου βελτίω καὶ μακαριώτερον γεγενημένον; ἢ τί σοι δεινὸν πάσχειν δοκῶ; ἢ διότι μὴ τοιουτοσὶ γέρων ἐγενόμην οἷος εἶ σὺ, φαλακρὸς μὲν τὴν κεφαλὴν, τὴν δὲ ὄψιν ἐρρυτιδωμένος, κυφὸς καὶ τὰ γόνατα νωθὴς, καὶ ὅλως ὑπὸ τοῦ χρόνου σαθρὸς πολλὰς τριακάδας καὶ Ὀλυμπιάδας ἀναπλήσας, καὶ τὰ τελευταῖα δὴ ταῦτα παραπαίων ἐπὶ τοσούτων μαρτύρων; Ὦ μάταιε, τί σοι χρηστὸν εἶναι δοκεῖ παρὰ τὸν βίον, οὗ μηκέτι μεθέξομεν; ἢ τοὺς πότους ἐρεῖς ὅῆλον ὅτι καὶ τὰ δεῖπνα καὶ ἐσθῆτα καὶ ἀφροδίσια, καὶ δέδιας μὴ τούτων ἐνδεὴς γενόμενος ἀπόλωμαι, ἀγνοεῖς δὲ ὅτι τὸ μὴ διψῆν πολὺ κάλλιον τοῦ πιεῖν καὶ τὸ μὴ πεινῆν τοῦ φαγεῖν καὶ τὸ μὴ ῥιγοῦν τοῦ ἀμπεχόνης εὐπορεῖν;

17. Φέρε τοίνυν, ἐπειδὴ ἔοικας ἀγνοεῖν, διδάξομαί σε θρηνεῖν ἀληθέστερον, καὶ δὴ ἀναλαβὼν ἐξ ὑπαρχῆς βόα, Τέκνον ἄθλιον, οὐκέτι διψήσεις, οὐκέτι πεινήσεις οὐδὲ ῥιγώσεις. Οἴχῃ μοι κακοδαίμων ἐκφυγὼν τὰς νόσους, οὐ πυρετὸν ἔτι δεδιὼς, οὐ πολέμιον, οὐ τύραννον· οὐκ ἔρως σε ἀνιάσει οὐδὲ συνουσία διαστρέψει οὐδὲ

gis in eo actus quasi fabulæ vigeat), voces quasdam absurdas ac vanas edit, ad quas ipse, vocis usum si impetret, respondeat mortuus. Dicet enim pater lugubri voce, productis singulis nominibus, Fili dulcissime, ergo abiisti mihi et mortuus es, et ante maturam ætatem abreptus es, solo me relicto infelici, non uxore ducta, non susceptis liberis; non attigisti militiam, agrum non coluisti, non pervenisti ad senectutem! Non comissaberis iterum, non amabis, fili; non inebriaberis in convivio cum æqualibus!

14. Hæc autem atque his similia dicet, putans filium suum adhuc indigere talibus, et appetere ea etiam post mortem, participem autem eorum non posse fieri. Quanquam quid ista dico? quot enim etiam equos, et pellices, alii vero etiam pocillatores jugularunt in tumulo, vestemque et alium mundum una combusserunt defoderuntve, quasi usuris ibi et fruituris apud inferos?

15. Senex igitur iste lugens, quæ dixi omnia, et his etiam plura, neque filii causa tragica voce proclamasse videtur (novit enim non auditurum, etsi plus quam Stentorea voce inclamet), neque sua ipsius, quum sic sentire et arbitrari etiam sine clamore sufficiat; nemo quippe, ut ad se ipse clamet, opus habet. Relinquitur ergo illum præsentium causa sic delirare, qui neque quid filio acciderit sciat, neque quorsum abierit; quin qui neque vitam illius, qualis fuerit, explorarit; alioquin enim ipsius inde transitum non tanquam malum quiddam graviter ferret.

16. Dicat ergo illi filius, exorato Æaco et Dite, ut paullum prospicere de illo inferorum ostio sibi liceat, et a vanis querelis patrem revocare, Quid clamas, homo infelix? et quid molestias mihi facessis? Desine comas vellere et faciei cutem cruentare. Quid maledicis mihi, et miserum me vocas, et fato malo usum, qui multum te melior factus sim ac beatior? aut quid mali pati tibi videor? illudne quod non talis, qualis tu es, senex factus sum, calvo capite, facie rugosa, incurvus, imbecillis genibus, atque in universum a tempore ipso fractus, post menses multos atque Olympiadas impletas, denique sic tandem delirans sub tot testibus? Stolide, quid boni tibi videtur in vita, cujus non amplius futurus sim particeps? potationes dices nimirum, et cœnas, et vestes, et res venereas; ac metuis ne hisce carens miser sim? non cogitas autem, non sitire multo esse quam bibere melius; et non esurire quam edere; et non rigere quam copiam habere vestium?

17. Age vero, quandoquidem ignorare videris, docebo te lamentari verius. Itaque repetito initio clama, Fili miser, non amplius sities, non esuries amplius, non rigebis. Abiisti mihi infelix, et effugisti morbos, febrim non amplius metuis, non hostem, non tyrannum. Non amor tibi facesset negotium, non coitus te distorquebit, neque ad hoc infercies

σπαθήσεις ἐπὶ τούτῳ δὶς ἢ τρὶς τῆς ἡμέρας, ὦ τῆς συμφορᾶς. Οὐ καταφρονηθήσῃ γέρων γενόμενος οὐδ' ὁλκηρὸς ἔσῃ τοῖς νέοις βλεπόμενος.

18. Ἂν ταῦτα λέγῃς, ὦ πάτερ, οὐκ οἶει πολὺ ἀληθέστερα καὶ γενναιότερα ἐκείνων ἐρεῖν; Ἀλλὰ ὅρα μὴ τόδε σε ἀνιᾷ καὶ διανοῇ τὸν παρ' ἡμῖν ζόφον καὶ τὸ πολὺ σκότος, κἄτα δέδιας μή σοι ἀποπνιγῶ κατακλεισθεὶς ἐν τῷ μνήματι; Χρὴ δὲ πρὸς ταῦτα λογίζεσθαι ὅτι τῶν ὀφθαλμῶν διασπαέντων ἢ καὶ νὴ Δία καέντων μετ' ὀλίγον, εἴ γε καῦσαί με διεγνώκατε, οὔτε σκότος οὔτε φῶς ὁρᾶν δεησόμεθα. Καὶ ταῦτα μὲν ἴσως μέτρια.

19. Τί δέ με ὁ κωκυτὸς ὑμῶν ὀνίνησι καὶ ἡ πρὸς τὸν αὐλὸν αὕτη στερνοτυπία καὶ ἡ τῶν γυναικῶν περὶ τὸν θρῆνον ἀμετρία; τί δὲ ὁ ὑπὲρ τοῦ τάφου λίθος ἐστεφανωμένος; ἢ τί ὑμῖν δύναται τὸν ἄκρατον ἐπιχεῖν; ἢ νομίζετε καταστάζειν αὐτὸν ἐς ἡμῶν καὶ μέχρι τοῦ Ἅδου διίξεσθαι; Τὰ μὲν γὰρ ἐπὶ τῶν καθαγισμῶν καὶ αὐτοὶ ὁρᾶτε, οἶμαι, ὡς τὸ μὲν νοστιμώτατον τῶν παρεσκευασμένων ὁ καπνὸς παραλαβὼν ἄνω ἐς τὸν οὐρανὸν οἴχεται μηδέν τι ἡμᾶς ὀνήσας τοὺς κάτω, τὸ δὲ καταλειπόμενον, ἡ κόνις, ἀχρεῖον, ἐκτὸς εἰ μὴ τὴν σποδὸν ἡμᾶς σιτεῖσθαι πεπιστεύκατε. Οὐχ οὕτως ἄσπορος οὐδὲ ἄκαρπος ἡ τοῦ Πλούτωνος ἀρχὴ οὐδ' ἐπιλέλοιπεν ἡμᾶς ὁ ἀσφόδελος, ἵνα παρ' ὑμῶν τὰ σιτία μεταστελλώμεθα. Ὥστε μοι νὴ τὴν Τισιφόνην πάλαι δὴ ἐφ' οἷς ἐποιεῖτε καὶ ἐλέγετε παμμέγεθες ἐπῆλθε ἀναχάσαι, διεκώλυσε δὲ ἡ ὀθόνη καὶ τὰ ἔρια, οἷς μου τὰς σιαγόνας ἀπεσφίγξατε.

20. Ὡς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε.

Πρὸς Διός, ἐὰν λέγῃ ταῦτα ὁ νεκρὸς ἐπιστραφεὶς ἀνακλίνας αὑτὸν ἐπ' ἀγκῶνος, οὐκ ἂν οἰώμεθα δικαιότατα αὐτὸν εἰπεῖν; Ἀλλ' ὅμως οἱ μάταιοι καὶ βοῶσι καὶ μεταστειλάμενοί τινα θρήνων σοφιστὴν πολλὰς συνειλοχότα παλαιὰς συμφορὰς τούτῳ συναγωνιστῇ καὶ χορηγῷ τῆς ἀνοίας καταχρῶνται, ὁποῖ' ἂν ἐκεῖνος ἐξάρχῃ πρὸς τὸ μέλος ἐπαιάζοντες.

21. Καὶ μέχρι μὲν θρήνων ὁ αὐτὸς ἅπασι νόμος τῆς ἀδελτερίας· τὸ δ' ἀπὸ τούτου διελόμενοι κατὰ ἔθνη τὰς ταφὰς ὁ μὲν Ἕλλην ἔκαυσεν, ὁ δὲ Πέρσης ἔθαψεν, ὁ δὲ Ἰνδὸς ὑάλῳ περιχρίει, ὁ δὲ Σκύθης κατεσθίει, ταριχεύει δὲ ὁ Αἰγύπτιος· οὗτος μέν γε — λέγω δ' ἰδών — ξηράνας τὸν νεκρὸν ξύνδειπνον καὶ ξυμπότην ἐποιήσατο· πολλάκις δὲ καὶ δεομένῳ χρημάτων ἀνδρὶ Αἰγυπτίῳ ἔλυσε τὴν ἀπορίαν ἐνέχυρον ἢ ὁ ἀδελφὸς ἢ ὁ πατὴρ ἐν καιρῷ γενόμενος.

22. Χώματα μὲν γὰρ καὶ πυραμίδες καὶ στῆλαι καὶ ἐπιγράμματα πρὸς ὀλίγον διαρκοῦντα πῶς οὐ περιττὰ καὶ παιδιαῖς προσεοικότα;

23. Καίτοι καὶ ἀγῶνας ἔνιοι διέθεσαν καὶ λόγους ἐπιταφίους εἶπον ἐπὶ τῶν μνημάτων ὥσπερ συναγορεύοντες ἢ μαρτυροῦντες παρὰ τοῖς κάτω δικασταῖς τῷ νεκρῷ.

te bis aut ter in die: o miseriam! Neque senex factus contemneris, neque molestus eris ipso conspectu juvenibus.

18. Hæc si dicas, pater, nonne putas te multo veriora istis et magis ingenua dicturum? Verum vide an non illud te cruciet, et cogites tenebras quæ apud nos sunt, et multam caliginem; deinde illudne metuis, ne tibi suffocer in sepulcro conclusus? Oportet autem cogitare ad illud, putrefactis oculis, aut etiam, per Jovem, combustis paullo post, si quidem cremare me decrevistis, neque tenebras neque lucem videre nobis erit necesse. Atque ista forte quidem tolerabilia.

19. Quid vero me fletus ille vester juvat, et ille ad tibiam planctus pectorum, et mulierum illa immoderata lamentatio? quid vero coronatum in sepulcro saxum? aut quid apud vos valet infundere illi merum? an putatis destillaturum illud ad nos, penetraturumque esse ipsos ad inferos? Quod enim ad inferiarum sacrificia attinet, et ipsi, puto, videtis, suavissima paratorum auferri fumo, qui ad superiora cœlum versus abit nullo prorsus nostro inferorum commodo: quod autem relinquitur, pulverem, inutile esse, nisi forte cineribus vesci nos creditis. Non adeo sterile nobis atque infructuosum Ditis imperium est, neque asphodelus nos deficit, a vobis cibos ut arcessamus. Itaque, sic me Tisiphone, olim propter ea quæ faciebatis dicebatisque clarum cachinnari subiit: at impediit linteum ac lanæ, quibus mihi devinxeratis maxillas.

20. Hæc orantem atris penitus Mors abdidit alis.

At, per ego vos Jovem obsecro, si dicat talia conversus mortuus et nixus cubito, nonne æquissima nobis videatur dicere? Sed tamen stolidi homines et vociferantur, et arcessito quodam lamentationum sophista, qui veteres multas calamitates collegerit, hoc adjutore et præcentore quasi suæ amentiæ utuntur, et qualiacumque ille incepit, suas querelas illius cantui subjiciunt.

21. Et quantum ad lamentationes, eadem omnibus lex ineptiarum: quod vero superest, divisis per gentes sepulturæ modis, Græcus illos cremat, humat Persa, Indus vitro oblinit, Scytha vero edit, muria quadam condit Ægyptius: hic vero (quæ vidi narro) siccatum cadaver convivam adeo suum et compotorem solet facere; sæpe etiam pecuniæ indigenti Ægyptio solvit inopiam pignori oppositus in tempore frater paterve.

22. Aggesti quidem tumuli, et pyramides, et cippi, et inscriptiones parvo tempore durantes, qui non superflua et lusibus similia?

23. Verum etiam ludorum certamina quidam instituunt, et funebres ad monumenta orationes habent, quasi causam defuncti agerent, aut testimonium ei perhiberent apud illos inferorum judices.

24. Ἐπὶ πᾶσι τούτοις τὸ περίδειπνον καὶ πάρεισιν εἰ προσήκοντες καὶ τοὺς γονέας παραμυθοῦνται τοῦ τετελευτηκότος καὶ πείθουσι γεύσασθαι οὐκ ἀηδῶς μὰ Δί' οὐδ' αὐτοὺς ἀναγκαζομένους, ἀλλ' ἤδη ὑπὸ λιμοῦ τριῶν ἐξῆς ἡμερῶν ἀπηυδηκότας. Καὶ, Μέχρι μὲν τίνος, ὦ οὗτος, ὀδυρόμεθα; ἔασον ἀναπαύσασθαι τοὺς τοῦ μακαρίτου δαίμονας· εἰ δὲ καὶ τὸ παράπαν κλάειν διέγνωκας, αὐτοῦ γε τούτου ἕνεκα χρὴ μὴ ἀπόσιτον εἶναι, ἵνα καὶ διαρκέσῃς πρὸς τοῦ πένθους τὸ μέγεθος. Τότε δὴ τότε ῥαψῳδοῦνται πρὸς ἁπάντων δύο τοῦ Ὁμήρου στίχοι·

Καὶ γάρ τ' ἠύκομος Νιόβη ἐμνήσατο σίτου·

καὶ,

Γαστέρι δ' οὔπως ἐστὶ νέκυν πενθῆσαι Ἀχαιούς.

Οἱ δὲ ἅπτονται μέν, αἰσχυνόμενοι δὲ τὰ πρῶτα καὶ δεδιότες εἰ φανοῦνται μετὰ τὴν τελευτὴν τῶν φιλτάτων τοῖς ἀνθρωπίνοις πάθεσιν ἐμμένοντες. Ταῦτα καὶ πολὺ τούτων γελοιότερα εὕροι τις ἂν ἐπιτηρῶν ἐν τοῖς πένθεσι γιγνόμενα διὰ τὸ τοὺς πολλοὺς τὸ μέγιστον τῶν κακῶν τὸν θάνατον οἴεσθαι.

24. Post hæc omnia sunt parentales epulæ : adsunt cognati, et parentes consolantur defuncti, et gustare illos jubent, ut qui non inviti, per Jovem, cogendos se præbeant, sed jam trium defineeps dierum fame macerati ferre diutius non possint. Et, Quo usque tandem, aiunt, lugemus, amice? patere requiescere felicis pueri manes : si vero omnino plorare decrevisti, illius ipsius rei causa oportet cibo non abstinere, ut magnitudini luctus sufficias. Tunc sane, tunc in omnium ore sunt duo Homeri versus :

Pulchricoma haud Niobe tamen est oblita ciborum;

et,

Non jam ventre licet functos lugere Pelasgis.

Illi vero attingunt tandem, cum pudore quidem ab initio, et veriti si videantur post carissimorum mortem humanis tamen passionibus obnoxii. Hæc, et multo his magis ridicula, inveniat aliquis, si observet in luctu fieri, propterea quod vulgus maximum malorum putat mortem.

LI.

ΡΗΤΟΡΩΝ ΔΙΔΑΣΚΑΛΟΣ.

1. Ἐρωτᾷς, ὦ μειράκιον, ὅπως ἂν ῥήτωρ γένοιο καὶ τὸ σεμνότατον τοῦτο καὶ πάντιμον ὄνομα σοφιστὴς αὐτὸς εἶναι δόξαις· ἀβίωτα γὰρ εἶναί σοι φῂς, εἰ μὴ τοιαύτην τινὰ τὴν δύναμιν περιβάλλοιο ἐν τοῖς λόγοις, ὡς ἄμαχον εἶναι καὶ ἀνυπόστατον καὶ θαυμάζεσθαι πρὸς ἁπάντων καὶ ἀποβλέπεσθαι, περισπούδαστον ἄκουσμα τοῖς Ἕλλησι δοκοῦντα, καὶ δὴ τὰς ἐπὶ τοῦτο ἀγούσας ὁδοὺς αἵτινές ποτέ εἰσιν ἐθέλεις ἐκμαθεῖν. Ἀλλ' οὐδεὶς φθόνος, ὦ παῖ, καὶ μάλιστα ὁπότε νέος τις αὐτὸς ὢν ὀρεγόμενος τῶν ἀρίστων οὐκ εἰδὼς ὁπόθεν ἂν ταῦτα ἐκπορίσαιτο, ἱερόν τι χρῆμα τὴν συμβουλὴν οὖσαν καθάπερ καὶ σὺ νῦν αἰτοίη προσελθών. Ὥστε ἄκουε τό γε ἐπ' ἐμοὶ καὶ πάνυ θαρρῶν, ὡς τάχιστα δεινὸς ἀνὴρ ἔσῃ γνῶναί τε τὰ δέοντα καὶ ἑρμηνεῦσαι αὐτά, ἢν τὸ μετὰ τοῦτο ἐθελήσῃς αὐτὸς ἐμμένειν οἷς ἂν ἀκούσῃς παρ' ἡμῶν καὶ φιλοπόνως αὐτὰ μελετᾶν καὶ προθύμως ἀνύειν τὴν ὁδὸν ἕστ' ἂν ἀφίκῃ πρὸς τὸ τέρμα.

2. Τὸ μὲν οὖν θήραμα οὐ μικρὸν οὐδὲ ὀλίγης τῆς σπουδῆς δεόμενον, ἀλλ' ἐρ' ὅτῳ καὶ πονῆσαι πολλὰ καὶ ἀγρυπνῆσαι καὶ πᾶν ὁτιοῦν ὑπομεῖναι ἄξιον· σκόπει γοῦν ὁπόσοι τέως μηδὲν ὄντες ἔνδοξοι καὶ πλούσιοι καὶ νὴ Δί' εὐγενέστατοι ἔδοξαν ἀπὸ τῶν λόγων.

3. Ὅμως δὲ μὴ δέδιθι μηδὲ πρὸς τὸ μέγεθος τῶν ἐλπιζομένων ἀποδυσπετήσῃς μυρίους τινὰς τοὺς πόνους προπονήσειν οἰηθείς· οὐ γάρ σε τραχεῖάν τινα οὐδὲ ὄρειον καὶ ἰόρρωτος μεστὴν ἡμεῖς γε ἄξομεν, ὡς ἐκ μέ-

LI.

RHETORUM PRÆCEPTOR.

1. Quæris, adolescens, quomodo fieri possis rhetor, atque augustissimum illud et in summo honore positum nomen, sophista ipse esse videaris. Nec vitam enim tibi dulcem esse ais, nisi talem quandam in dicendo facultatem assequaris, ut invictus sis, neque quisquam consistere te contra audeat, admirabilis porro apud omnes, et conspicuus, et quem audire Græci vehementer studeant. Vias ergo, quæ ad hoc ducant, quænam tandem sint, studes ediscere. Verum nulla, puer, invidia est, inprimis ubi juvenis aliquis quum sit, optimarum rerum cupidus, ignarus autem unde hæc petat, consilium, quam rem sanctam autumant, rogatum, uti tu modo, veniat. Audi ergo, quantum in mea potestate est, cum fiducia, ut quam celerrime vir acer fias, tum ad cognoscendum quæ opus est, tum ad explicandum, si postea manere in illis, quæ a nobis audies, volueris, et diligenter ea meditari, et studiose viam pergere, donec ad metam perveneris.

2. Atque illud quod venaris non parvum est, neque parvæ curæ indigum, sed in quo multum laborare et vigilare et nihil non sustinere æquum sit. Vide enim quot homines, qui antea nihil essent, nobiles, et divites, et, per Jovem, generosissimi ex dicendi facultate visi sint.

3. Interim tamen noli metuere, neu magnitudo te eorum, quorum spes proponitur, ipsa assequendi difficultate rejiciat, qui pules infinitos nescio quos tibi ante subeundos esse labores. Neque enim asperam quandam te vel arduam

σης αὐτῆς ἀναστρέψαι καμόντα, ἐπεὶ οὐδὲν ἂν διεφέρομεν τῶν ἄλλων, ὅσοι τὴν συνήθη ἐκείνην ἡγοῦνται μακρὰν καὶ ἀνάντη καὶ καματηρὰν καὶ ὡς ἐπὶ τὸ πολὺ ἀπεγνωσμένην. Ἀλλὰ τό γε παρ' ἡμῶν ἐξαίρετόν σοι τῆς συμβουλῆς τοῦτ' ἔστιν, ὅτι ἡδίστην τε ἅμα καὶ ἐπιτομωτάτην καὶ ἱππήλατον καὶ κατάντη σὺν πολλῇ τῇ ὑμηδίᾳ καὶ τρυφῇ διὰ λειμώνων εὐανθῶν καὶ σκιᾶς ἀκριβοῦς σχολῇ καὶ βάδην ἀνιὼν ἀνιδρωτὶ ἐπιστήσῃ τῇ ἄκρᾳ καὶ αἱρήσεις οὐ καμὼν καὶ νὴ Δί' εὐωχήσῃ κατακείμενος, ἐκείνους ὁπόσοι τὴν ἑτέραν ἐτράποντο ἀπὸ τοῦ ὑψηλοῦ ἐπισκοπῶν ἐν τῇ ὑπωρείᾳ τῆς ἀνόδου ἔτι κατὰ δυσβάτων καὶ ὀλισθηρῶν τῶν κρημνῶν μόλις ἀνέρποντας, ἀποκυλιομένους ἐπὶ κεφαλὴν ἐνίοτε καὶ πολλὰ τραύματα λαμβάνοντας περὶ τραχείαις ταῖς πέτραις· σὺ δὲ πρὸ πολλοῦ ἄνω ἐστεφανωμένος εὐδαιμονέστατος ἔσῃ ἅπαντα ἐν βραχεῖ ὅσα ἐστὶν ἀγαθὰ παρὰ τῆς ῥητορικῆς μονονουχὶ καθεύδων λαβών.

4. Ἡ μὲν δὴ ὑπόσχεσις οὕτω μεγάλη· σὺ δὲ πρὸς φιλίου Διὸς μὴ ἀπιστήσῃς, εἰ ῥᾷστά τε ἅμα καὶ ἥδιστά σοι ταῦτα ἐπιδείξειν φαμέν. Τί γάρ; Ἡσίοδος μὲν ὀλίγα φύλλα ἐκ τοῦ Ἑλικῶνος λαβὼν αὐτίκα μάλα ποιητὴς ἐκ ποιμένος κατέστη καὶ ἤδε θεῶν καὶ ἡρώων γένη κάτοχος ἐκ Μουσῶν γενόμενος, ῥήτορα δὲ, ὃ πολὺ ἔνερθεν τῆς ποιητικῆς μεγαληγορίας ἐστὶν, ἀδύνατον καταστῆναι ἐν βραχεῖ, εἴ τις ἐκμάθοι τὴν ταχίστην ὁδόν;

5. Ὡς ἔγωγε καὶ διηγήσασθαί σοι βούλομαι Σιδωνίου τινὸς ἐμπόρου ἐπίνοιαν δι' ἀπιστίαν ἀτελῆ γενομένην καὶ τῷ ἀκούσαντι ἀνόνητον. Ἦρχε μὲν γὰρ ἤδη Περσῶν Ἀλέξανδρος μετὰ τὴν ἐν Ἀρβήλοις μάχην Δαρεῖον καθηρηκώς· ἔδει δὲ πανταχόσε τῆς ἀρχῆς διαθεῖν τοὺς γραμματοφόρους τὰ ἐπιτάγματα τοῦ Ἀλεξάνδρου κομίζοντας. Ἐκ Περσῶν δὲ πολλὴ ἐς Αἴγυπτον ἐγίγνετο ἡ ὁδός· ἐκπεριιέναι γὰρ ἔδει τὰ ὄρη, εἶτα διὰ τῆς Βαβυλωνίας ἐς τὴν Ἀραβίαν ἐλθεῖν, εἶτα ἐρήμην πολλὴν ἐπελάσαντας ἀφικέσθαι ποτὲ μόλις ἐς Αἴγυπτον εἴκοσι μηκίστους ἀνδρὶ εὐζώνῳ σταθμοὺς τούτους διανύσαντας. Ἤχθετο οὖν ὁ Ἀλέξανδρος ἐπὶ τούτῳ, διότι Αἰγυπτίους τι παρακινεῖν ἀκούων οὐκ εἶχε διὰ ταχέων ἐκπέμπειν τοῖς σατράπαις τὰ δοκοῦντά οἱ περὶ αὐτῶν. Τότε δὴ ὁ Σιδώνιος ἔμπορος, Ἐγώ σοι, ἔφη, ὦ βασιλεῦ, ὑπισχνοῦμαι δείξειν ὁδὸν οὐ πολλὴν ἐκ Περσῶν ἐς Αἴγυπτον· εἰ γάρ τις ὑπερβαίη τὰ ὄρη ταῦτα, ὑπερβαίη δ' ἂν τριταῖος, αὐτίκα μάλα ἐν Αἰγύπτῳ ἐστὶν οὗτος. Καὶ εἶχεν οὕτως. Πλὴν δ γε Ἀλέξανδρος οὐκ ἐπίστευσεν, ἀλλὰ γόητα ᾤετο εἶναι τὸν ἔμπορον. Οὕτω τὸ παράδοξον τῆς ὑποσχέσεως ἄπιστον δοκεῖ τοῖς πολλοῖς.

6. Ἀλλὰ μὴ σύ γε πάθῃς τὸ αὐτό· εἶσῃ γὰρ πειρώμενος ὡς οὐδέν σε κωλύσει ἤδη ῥήτορα δοκεῖν μιᾶς ὡδὲ ὅλης ἡμέρας ὑπερπετασθέντα τὸ ὄρος ἐκ Περσῶν ἐς Αἴγυπτον. Ἐθέλω δέ σοι πρῶτον ὥσπερ ὁ Κέβης ἐκεῖνος εἰκόνα γραψάμενος τῷ λόγῳ ἑκατέραν ἐπιδεῖξαι τὴν ὁδόν· δύο γάρ ἐστον, αἱ πρὸς τὴν ῥητορικὴν ἄγετον,

et plenam sudoris viam nos quidem ducemus, qua in media fatigatus retro eas : alioqui nulla parte meliores essemus reliquis, qui consuetæ illius duces sunt, longæ et præruptæ et laboriosæ et ut plurimum desperatæ. At in nostro eximium illud est consilio, quod jucundissima simul et maxime compendiaria, et equitabili ac declivi, multa cum voluptate et oblectatione, per prata florida et umbram solidam, otiose et gradu ascendens, sine sudore stabis in summo, et arcem nullo labore capies, et, ita me Jupiter, epulabere jam accumbens, quum illos, quotquot alteram istam viam secuti sunt, ab alto inspectabis circa imum ascensum adhuc per difficilia et lubrica præcipitia vix repentes sursum, devolutos nonnunquam in caput, et vulnera multa asperis in rupibus accipientes : tu contra ea jam olim supra coronatus, felicissimus eris, qui brevi tempore quæcumque bona sunt a rhetorice tantum non dormiens acceperis.

4. Promissio sane quam magna; sed, per ego te amicitiæ præsidem Jovem rogo, ne fidem nobis deneges, si facillima simul et suavissima hæc tibi nos ostensuros esse dicimus. Quid enim? Hesiodus paucis ex Helicone sumtis foliis poeta statim de pastore factus est, et deorum genera atque heroum, a Musis obsessus, cecinit : rhetoremne, quod multum infra poeticam magniloquentiam est, brevi tempore fieri posse negabimus, si celerrimam quis viam ediscat?

5. Quomodo ego etiam enarrare tibi volo Sidonii cujusdam mercatoris inventum, quod ob negatam illi fidem caruit successu et utilitatem audienti nullam attulit. Imperabat jam Persis Alexander, post devictum prælio ad Arbela Darium : opus erat autem per omnes imperii partes discurrere tabellarios, perferentes Alexandri imperia. Porro multum erat ex Persis in Ægyptum viæ : circumeundi enim montes erant, deinde per Babyloniam pergendum in Arabiam, tum, deserta regione multa superata, pervenire tandem in Ægyptum, viginti maximas expedito viro istas mansiones emensum. Moleste hoc ferebat Alexander, quia, audito moliri aliquid Ægyptios, non poterat satis celeriter mittere ad satrapas, quid de illis sibi placeret. Tum ergo Sidonius mercator, Ego tibi, inquit, rex, promitto me ostensurum viam non longam e Persis in Ægyptum : si quis enim montes istos superet, superaverit vero triduo, ille statim est in Ægypto. Et res ita se habuit. Verum non credidit Alexander, sed impostorem esse mercatorem putavit. Ita quod præter spem promittitur, incredibile videtur vulgo.

6. Tibi vero ne tale quid in mentem veniat : experimento enim scies nihil obstare quin rhetor jam mox videaris, intra unum nec solidum diem transvolato monte ex Persis in Ægyptum. Volo autem tibi prius, ut ille Cebes, imagine verbis depicta utramque viam ostendere : duæ sunt enim quæ ducunt ad Rhetoricen, quam non mediocriter adamasse

ἧς ἐρᾶν οὐ μετρίως μοι δοκεῖς. Καὶ δῆτα ἡ μὲν ἐφ' ὑψηλοῦ καθήσθω πάνυ καλὴ καὶ εὐπρόσωπος, τὸ τῆς Ἀμαλθείας κέρας ἔχουσα ἐν τῇ δεξιᾷ παντοίοις καρποῖς ὑπερβρύον, ἐπὶ θατέρᾳ δέ μοι τὸν πλοῦτον δόκει παρεστῶτα ὁρᾶν χρυσοῦν ὅλον καὶ ἐπέραστον· καὶ ἡ δόξα δὲ καὶ ἡ ἰσχὺς παρέστωσαν καὶ οἱ ἔπαινοι περὶ πᾶσαν αὐτὴν Ἔρωσι μικροῖς ἐοικότες πολλοὶ ἀπανταχόθεν περιπλεκέσθωσαν ἐκπετόμενοι. Ἤδη που τὸν Νεῖλον εἶδες γραφῇ μεμιμημένον, αὐτὸν μὲν κείμενον ἐπὶ κροκοδείλου τινὸς ἢ ἱπποποτάμου οἷοι πολλοὶ ἐν αὐτῷ, μικρὰ δέ τινα παιδία περὶ αὐτὸν παίζοντα — πήχεις δὲ αὐτοὺς οἱ Αἰγύπτιοι καλοῦσι — τοιοῦτοι καὶ περὶ τὴν ῥητορικὴν οἱ ἔπαινοι. Πρόσει δὴ σὺ ὁ ἐραστὴς ἐπιθυμῶν δηλαδὴ ὅτι τάχιστα γενέσθαι ἐπὶ τῆς ἄκρας, ὡς γαμήσειάς τε αὐτὴν ἐλθὼν καὶ πάντα ἐκεῖνα ἔχοις, τὸν πλοῦτον, τὴν δόξαν, τοὺς ἐπαίνους· νόμῳ γὰρ ἅπαντα γίγνεται τοῦ γεγαμηκότος.

7. Εἶτ' ἐπειδὰν πλησιάσῃς τῷ ὄρει, τὸ μὲν πρῶτον ἀπογιγνώσκεις τὴν ἄνοδον, καὶ τὸ πρᾶγμα ὅμοιον εἶναί σοι δοκεῖ ὁποῖον ἡ Ἄορνος ἐφάνη τοῖς Μακεδόσιν ἀπόξυρον αὐτὴν ἀπανταχόθεν ἰδοῦσιν, ἀτεχνῶς οὐδὲ ὀρνέοις ὑπερπτῆναι ῥᾳδίαν, Διονύσου τινὸς ἢ Ἡρακλέους, εἰ μέλλοι καθαιρεθήσεσθαι, δεομένην. Ταῦτά σοι δοκεῖ τὸ πρῶτον· εἶτα μετ' ὀλίγον ὁρᾷς δύο τινὰς ὁδούς, μᾶλλον δὲ ἡ μὲν ἀτραπός ἐστι στενὴ καὶ ἀκανθώδης καὶ τραχεῖα, πολὺ τὸ δίψος ἐμφαίνουσα καὶ ἱδρῶτα. Καὶ ἔφθη γὰρ ἤδη Ἡσίοδος εὖ μάλα ὑποδείξας αὐτὴν, ὥστε οὐδέν ἐμοῦ δεήσει. Ἡ ἑτέρα δὲ πλατεῖα καὶ ἀνθηρὰ καὶ εὔυδρος, τοιαύτη οἵαν μικρῷ πρόσθεν εἶπον, ἵνα μὴ καὶ ταὐτὰ λέγων πολλάκις ἐπέχω σε ἤδη ῥήτορα εἶναι δυνάμενον.

8. Πλὴν τό γε τοσοῦτον προσθήσειν μοι δοκῶ, διότι ἡ μὲν τραχεῖα ἐκείνη καὶ ἀνάντης οὐ πολλὰ ἴχνη τῶν ὁδοιπόρων εἶχεν, εἰ δέ τινα, πάνυ παλαιά· καὶ ἐγωγε κατ' ἐκείνην ἄθλιος ἀνῆλθον τοσαῦτα καμὼν οὐδὲν δέον. Ἡ ἑτέρα δὲ ἅτε ὁμαλὴ οὖσα καὶ ἀγκύλον οὐδὲν ἔχουσα πόρρωθέν μοι ἐφάνη οἵα ἐστὶν οὐχ ὁδεύσαντι αὐτήν· οὐ γὰρ ἐώρων νέος ὢν ἔτι τὸ βέλτιον, ἀλλὰ τὸν ποιητὴν ἐκεῖνον ἀληθεύειν ᾤμην λέγοντα ἐκ τῶν πόνων φύεσθαι τἀγαθά. Τὸ δ' οὐκ εἶχεν οὕτως· ἀπονητὶ γοῦν ὁρῶ μειζόνων τοὺς πολλοὺς ἀξιουμένους εὐμοιρίᾳ τῆς αἱρέσεως τῆς τῶν λόγων καὶ ὁδῶν. Ἐπὶ δ' οὖν τὴν ἀρχὴν ἀφικόμενος εὖ οἶδ' ὅτι ἀπορήσεις, καὶ ἤδη ἀπορεῖς, ὁποτέραν τραπητέον. Ὃ οὖν ποιήσας ἤδη ῥᾷστα ἐπὶ τὸ ἀκρότατον ἀναβήσῃ καὶ εὐδαιμονήσεις καὶ γαμήσεις καὶ θαυμαστὸς πᾶσι δόξεις, ἐγώ σοι φράσω· ἱκανὸν γὰρ τὸ αὐτὸν ἐξαπατηθῆναι καὶ πονῆσαι. Σοὶ δὲ ἄσπορα καὶ ἀνήροτα πάντα φυέσθω καθάπερ ἐπὶ τοῦ Κρόνου.

9. Εὐθὺς οὖν σοι πρόσεισι καρτερός τις ἀνὴρ, ὑπόσκληρος, ἀνδρώδης τὸ βάδισμα, πολὺν τὸν ἥλιον ἐπὶ τῷ σώματι δεικνύων, ἀρρενωπὸς τὸ βλέμμα, ἐγρηγορώς, τῆς τραχείας ὁδοῦ ἐκείνης ἡγεμών, λήρους τινὰς πρὸς σὲ ὁ μάταιος διεξιὼν ἕπεσθαί οἱ παρακελευόμενος, ὑποδεικνὺς τὰ Δημοσθένους ἴχνη καὶ Πλάτωνος καὶ

mihi videris. Nimirum ipsa jam in alto sedeat, pulchra undique et formosa, Amaltheæ cornu dextra gerens, fructibus abundans omnigenis; ad alteram vero manum imaginare astantem Plutum, aureum totum atque amabilem: astent vero etiam Gloria, et Vis, et Plausus circa illam undique, parvis Cupidinibus similes, multi et ab omni parte *se applicent ad illam evolantes*. *Jam Nilum aliquando* vidisti pictura expressum, ipsum quidem jacentem in crocodilo quodam aut hippopotamo, quos habet magno numero, parvos autem ludentes circa illum puerulos (Cubitos illos vocant *Ægyptii*): tales etiam circa Rhetoricam sunt Plausus. Accedes jam tu, amator, cupiens nimirum quam celerrime in summo esse, ut et uxorem ducas ipsam ubi escenderis, et omnia illa habeas, divitias, gloriam, plausus: lege enim fiunt omnia mariti.

7. Deinde quum ad montem accessisti, primo quidem desperas ascensum, et similis tibi res videtur, qualis Aornus visa Macedonibus, quum præruptam undique cernerent, neque avibus adeo ad transvolandum facilem, Baccho quodam aut Hercule, si capienda sit, indigentem. Hæc tibi primum videntur: tum post paullo vides duas quasdam vias; quin altera semita modo est angusta et spinis obsita et aspera, sitim multam ostentans ac sudorem. Et jam occupavit *illam pulchre ostendere Hesiodus*; itaque *nihil* mea opera indigebis. Altera autem lata, florida, irrigua, denique talis qualem paullo ante dicebam, ne eadem dicendo sæpius retineam te, quum jam rhetor esse possis.

8. Verum illud modo adjiciendum puto, asperam illam atque arduam non multa habuisse viatorum vestigia; si vero quædam, ea omnino antiqua. Et ego etiam miser per illam ascendi, tot susceptis sine causa laboribus. Altera vero, utpote æquabilis, anfractum habens nullum, e longinquo mihi qualis sit conspecta est; non qui ipse ea iverim: neque enim, juvenis quum essem, videbam quod esset melius, sed vera dicere poetam illum putabam, ex laboribus nasci bona dicentem. At illud non ita habebat: video enim sine labore plerosque majora consecutos quadam eligendarum rationum viarumque felicitate. Ad initium igitur utriusque viæ delatus, dubitabis, sat scio, et jam dubitas, in utram te vertas. Quid igitur jam faciendo futurum sit ut facillime escendas in summum, et beatus sis, et ducas illam, et admirabilis omnibus videare, ego tibi dicam: satis enim est quod ipse deceptus laboravi. At tibi sine semine et aratro nascantur omnia, ut sub Saturno.

9. Statim ergo accedet ad te robustus vir quidam, subdurus, virili incessu, multum in corpore solem ostendens, masculo vultu, vigilax, asperæ illius dux viæ, nugas quasdam stolidus ille apud te enarrans, uti se sequaris adhortans, monstrans tibi Demosthenis et Platonis et aliorum

ἄλλων τινῶν, μεγάλα μὲν καὶ ὑπὲρ τοὺς νῦν, ἀμαυρὰ δὲ ἤδη καὶ ἀσαφῆ τὰ πολλὰ ὑπὸ τοῦ χρόνου, καὶ φήσει εὐδαίμονά σε ἔσεσθαι καὶ νόμῳ γαμήσειν τὴν ῥητορικήν, εἰ κατὰ τούτων ὁδεύσειας ὥσπερ οἱ ἐπὶ τῶν κάλων βαίνοντες· εἰ δὲ κἂν μικρόν τι παραβαίης ἢ ἔξω πατήσειας ἢ ἐπὶ θάτερα μᾶλλον κλιθείης τῇ ῥοπῇ, ἐκπεσεῖσθαί σε τῆς ὀρθῆς ὁδοῦ καὶ ἀγούσης ἐπὶ τὸν γάμον. Εἶτά σε κελεύσει ζηλοῦν ἐκείνους τοὺς ἀρχαίους ἄνδρας ἴωλα παραδείγματα παρατιθείς τῶν λόγων οὐ ῥᾴδια μιμεῖσθαι, οἷα τὰ τῆς παλαιᾶς ἐργασίας ἐστίν, Ἡγησίου καὶ τῶν ἀμφὶ Κριτίον καὶ Νησιώτην, ἀπεσφιγμένα καὶ νευρώδη καὶ σκληρὰ καὶ ἀκριβῶς ἀποτεταμένα ταῖς γραμμαῖς, πόνον δὲ καὶ ἀγρυπνίαν καὶ ὑδατοποσίαν καὶ τὸ λιπαρὲς ἀναγκαῖα ταῦτα καὶ ἀπαραίτητα φήσει· ἀδύνατον γὰρ εἶναι ἄνευ τούτων διανύσαι τὴν ὁδόν. Ὃ δὲ πάντων ἀνιαρότατον, ὅτι σοι καὶ τὸν χρόνον πάμπολυν ὑπογράψει τῆς ὁδοιπορίας, ἔτη πολλά, οὐ κατὰ ἡμέρας καὶ τριακάδας, ἀλλὰ κατ' Ὀλυμπιάδας ὅλας ἀριθμῶν, ὡς καὶ προαποκαμεῖν ἀκούοντα καὶ ἀπαγορεῦσαι πολλὰ χαίρειν φράσαντα τῇ ἐλπιζομένῃ ἐκείνῃ εὐδαιμονίᾳ· ὁ δὲ ἐπὶ τούτοις οὐδὲ μισθοὺς ὀλίγους ἀπαιτεῖ τῶν τοσούτων κακῶν, ἀλλ' οὐκ ἂν ἡγήσαιτό σοι, εἰ μὴ μεγάλα πρότερον λάβοι.

10. Ὁ μὲν ταῦτα φήσει ἀλαζὼν καὶ ἀρχαῖος ὡς ἀληθῶς καὶ Κρονικὸς ἄνθρωπος νεκροὺς ἐς μίμησιν παλαιοὺς προτιθεὶς καὶ ἀνορύττειν ἀξιῶν λόγους πάλαι κατορωρυγμένους ὥς τι μέγιστον ἀγαθόν, μαχαιροποιοῦ υἱὸν καὶ ἄλλον Ἀτρομήτου τινὸς γραμματιστοῦ ζηλοῦν ἀξιῶν, καὶ ταῦτα ἐν εἰρήνῃ μήτε Φιλίππου ἐπιόντος μήτε Ἀλεξάνδρου ἐπιτάττοντος, ὅπου τὰ ἐκείνων τέως ἐδόκει χρήσιμα, οὐκ εἰδὼς ὁποία νῦν κεκαινοτόμηται ταχεῖα καὶ ἀπράγμων καὶ ἐς τὸ εὐθὺ τῆς ῥητορικῆς ὁδός. Σὺ δὲ μήτε πείθεσθαι μήτε προσέχειν αὐτῷ, μή σε ἐκτραχηλίσῃ που παραλαβὼν ἢ τὸ τελευταῖον προγηρᾶσαι τοῖς πόνοις παρασκευάσῃ. Ἀλλ' εἰ πάντως ἐρᾷς καὶ τάχιστα ἐθέλεις τῇ ῥητορικῇ συνεῖναι ἀκμάζων ἔτι, ὡς καὶ σπουδάζοιο πρὸς αὐτῆς, ἴθι τῷ μὲν δασεῖ τούτῳ καὶ πέρα τοῦ μετρίου ἀνδρικῷ μακρὰ χαίρειν λέγε, ἀναβαίνειν αὐτὸν καὶ ἄλλους ὁπόσους ἂν ἐξαπατᾶν δύνηται ἀνάγειν, καταλιπὼν ἀσθμαίνοντα καὶ ἱδρῶτι πολλῷ συνόντα.

11. Σὺ δὲ πρὸς τὴν ἑτέραν ἐλθὼν εὑρήσεις πολλοὺς μὲν καὶ ἄλλους, ἐν τούτοις δὲ καὶ πάνσοφόν τινα καὶ πάγκαλον ἄνδρα, διασεσαλευμένον τὸ βάδισμα, ἐπικεκλασμένον τὸν αὐχένα, γυναικεῖον τὸ βλέμμα, μελιχρὸν τὸ φώνημα, μύρων ἀποπνέοντα, τῷ δακτύλῳ ἄκρῳ τὴν κεφαλὴν κνώμενον, ὀλίγας μὲν ἔτι, οὔλας δὲ καὶ ὑακινθίνας τὰς τρίχας εὐθετίζοντα, πάναβρόν τινα Σαρδανάπαλλον ἢ Κινύραν ἢ αὐτὸν Ἀγάθωνα τὸν τῆς τραγῳδίας ἐπέραστον ἐκεῖνον ποιητήν. Λέγω δὲ ὡς ἀπὸ τούτων γνωρίζοις αὐτὸν μηδέ σε οὕτω θεσπέσιον χρῆμα καὶ φίλον Ἀφροδίτῃ καὶ Χάρισι διαλάθοι. Καίτοι τί φημι; κἂν εἰ μύοντί γάρ σοι προσελθὼν εἴποι τι τὸ Ὑμήττιον ἐκεῖνο ἀνοίξας στόμα καὶ τὴν συνήθη

quorundam vestigia, magna illa quidem et his quæ nunc sunt majora, sed obscura jam, et pleraque a tempore evanida: ac dicet beatum te futurum, et lege ducturum esse Rhetoricen, per hæc si incedas, ut qui per funes eunt; si vero vel pauxillum quiddam deflectas a via aut excedas, aut in alterutram partem magis inclines et propendeas, fore ut ducente ad nuptias recta via excidas. Deinde imitari te jubebit antiquos illos viros, obsoleta orationum exempla proponens nec facilia ad imitandum, qualia sunt de illa veteri officina, Hegesiæ, et Critii et Nesiotæ, astricta, et nervosa, et aspera, et accurate intentis quasi lineis descripta: laborem porro et vigiliam et potum aquæ et assiduitatem necessaria esse dicet et quæ deprecari non liceat; fieri enim non posse ut absque his viam emetiare. Quod vero omnium est molestissimum, plurimum etiam tibi tempus itineris hujus præscribet, annos multos, non secundum dies aut menses, sed secundum totas olympiades numerans, adeo ut qui audit succumbat ante et renunciet labori, et longum valere speratam illam felicitatem jubeat. At ille præter hæc etiam mercedes non exiguas poscit tot malorum, neque viæ se ducem præstiterit tibi, nisi magnum quiddam ante acceperit.

10. Hæc quidem dicet ille, vanus jactator et obsoletus vere homo et Saturnum olens, qui mortuos antiquos ad imitationem proponat, et eruere te postulet rationes olim sepultas, tanquam maximum quoddam bonum, gladiorum fabri filium et alium Atrometi cujusdam grammatistæ jubens te æmulari; idque in pace, nec Philippo invadente, neque imperante Alexandro, ubi illorum ratio utilis tum videbatur; nesciens quæ nunc recens inventa sit brevis et minime laboriosa et recta via rhetorices. At tu noli credere neve attendere illi, ne te forte assumtum evertat, aut denique ante tempus ut consenescas laboribus efficiat. Verum si omnino amas Rhetoricen, et quam celerrime illa vis potiri, plena adhuc vigore dum frueris, ut etiam ab illa colare; jam et hirsutum illum et ultra mediocritatem virilem valere longum jube, escendere ipsum, et alios quotquot decipere potest educere; anhelantemque et multo sudore fluentem relinque.

11. Ad alteram vero viam transgressus, quum alios multos invenies, tum in his omniscium quendam et usquequaque pulchrum hominem, fluctuante incessu, infracta cervice, vultu femineo, mellita voce, unguenta spirantem, summo digito scalpentem caput, paucos illos jam quidem, sed crispos ferrugineo colore capillos studiose componentem, delicatissimum quendam Sardanapalum, aut Cinyram, aut Agathonem ipsum, venustum illum poetam tragœdiæ. Dico autem ideo, ut his illum indiciis agnoscas, neu fugiat te res adeo divina, adeo Veneri cara atque Gratiis. Quanquam quid dico? quem adeo, si vel ad te claudentem oculos accedens dicat aliquid Hymettio illo aperto ore, et consue-

περὶ τῇ κνήμῃ δὲ ἡ κόρυς. Πλὴν ἀλλ' ἔπειγε καὶ σύνειρε καὶ μὴ σιώπα μόνον. Κἂν περὶ ὑβριστοῦ τινος ἢ μοιχοῦ λέγῃς Ἀθήνησι, τὰ ἐν Ἰνδοῖς καὶ Ἐκβατάνοις λεγέσθω. Ἐπὶ πᾶσι δὲ ὁ Μαραθὼν καὶ ὁ Κυναίγειρος, ὧν οὐκ ἄν τι ἄνευ γένοιτο. Καὶ ἀεὶ ὁ Ἄθως πλείσθω καὶ ὁ Ἑλλήσποντος πεζευέσθω καὶ ὁ ἥλιος ὑπὸ τῶν Μηδικῶν βελῶν σκεπέσθω καὶ Ξέρξης φευγέτω καὶ ὁ Λεωνίδας θαυμαζέσθω καὶ τὰ Ὀθρυάδου γράμματα ἀναγιγνωσκέσθω, καὶ ἡ Σαλαμὶς καὶ τὸ Ἀρτεμίσιον καὶ αἱ Πλαταιαὶ πολλὰ ταῦτα καὶ πυκνά, καὶ ἐπὶ πᾶσι τὰ ὀλίγα ἐκεῖνα ὀνόματα ἐπιπολαζέτω καὶ ἐπανθείτω, καὶ συνεχὲς τὸ ἄττα καὶ τὸ δήπουθεν, κἂν μηδὲν αὐτῶν δέῃ· καλὰ γάρ ἐστι καὶ εἰκῇ λεγόμενα.

19. Ἢν δέ ποτε καὶ ᾄσαι καιρὸς εἶναι δοκῇ, πάντα σοι ᾀδέσθω καὶ μέλος γιγνέσθω. Κἄν ποτε ἀπορήσῃς πράγματος ᾠδικοῦ, τοὺς ἄνδρας τοὺς δικαστὰς ὀνομάσας ἐμμελῶς πεπληρωκέναι οἷου τὴν ἁρμονίαν. Τὸ δὲ οἴμοι τῶν κακῶν πολλάκις, καὶ ὁ μηρὸς πατασσέσθω, καὶ λαρύγγιζε καὶ ἐπιχρέμπτου τοῖς λεγομένοις καὶ βάδιζε μεταφέρων τὴν πυγήν. Καὶ ἢν μέν σε μὴ ἐπαινῶσιν, ἀγανάκτει καὶ λοιδοροῦ αὐτοῖς· ἢν δὲ ὀρθοὶ ἑστήκωσιν ὑπὸ τῆς αἰσχύνης ἤδη πρὸς τὴν ἔξοδον ἕτοιμοι, καθέζεσθαι κέλευε, καὶ ὅλως τυραννὶς τὸ πρᾶγμα ἔστω.

20. Ὅπως δὲ καὶ τὸ πλῆθος τῶν λόγων θαυμάζωσιν, ἀπὸ τῶν Ἰλιακῶν ἀρξάμενος ἢ καὶ νὴ Δία ἀπὸ τῶν Δευκαλίωνος καὶ Πύρρας γάμων, ἢν δοκῇ, καταβίβαζε τὸν λόγον ἐπὶ τὰ νῦν καθεστῶτα· οἱ μὲν γὰρ συνιέντες ὀλίγοι, καὶ μάλιστα μὲν σιωπήσονται ὑπ' εὐγνωμοσύνης, ἢν δὲ καὶ λέγωσί τι, ὑπὸ φθόνου αὐτὸ δόξουσι δρᾶν· οἱ πολλοὶ δὲ τὸ σχῆμα καὶ φωνὴν καὶ βάδισμα καὶ περίπατον καὶ μέλος καὶ κρηπῖδα καὶ τὸ ἄττα σου ἐκεῖνο τεθήπασι καὶ τὸν ἱδρῶτα ὁρῶντες καὶ τὸ ἆσθμα οὐκ ἔχουσιν ὅπως ἀπιστήσουσι μὴ οὐχὶ πάνδεινόν τινα ἐν τοῖς λόγοις ἀγωνιστὴν εἶναί σε. Ἄλλως τε καὶ τὸ ταχὺ τοῦτο οὐ μικρὰν ἔχει τὴν ἀπολογίαν καὶ θαῦμα παρὰ τοῖς πολλοῖς· ὥστε ὅρα μή ποτε γράψῃς ἢ σκεψάμενος παρέλθῃς, ἔλεγχος γὰρ σαφὴς ταῦτά γε.

21. Οἱ φίλοι δὲ πηδάτωσαν ἀεὶ καὶ μισθὸν τῶν δείπνων ἀποτινέτωσαν, εἴ ποτε αἴσθοιντό σε καταπεσούμενον, χεῖρα ὀρέγοντες καὶ παρέχοντες εὑρεῖν τὸ λεχθησόμενον ἐν τοῖς μεταξὺ τῶν ἐπαίνων διαλείμμασι· καὶ γὰρ αὖ καὶ τοῦδε μελέτω σοι τὸν χορὸν ἔχειν οἰκεῖον καὶ συνᾴδοντα. Ταῦτα μέν σοι τὰ ἐν τοῖς λόγοις. Μετὰ ταῦτα δὲ προϊόντα σε δορυφορείτωσαν ἐγκεκαλυμμένον αὐτὸν καὶ περὶ ὧν ἔφης μεταξὺ διαλαμβάνοντα. Καὶ ἤν τις ἐντύχῃ, θαυμάσια περὶ σαυτοῦ λέγε καὶ ὑπερεπαίνει καὶ ἐπαχθὴς γίγνου αὐτῷ· Τί γὰρ ὁ Παιανιεὺς πρὸς ἐμέ; καὶ, Πρὸς ἕνα ἴσως μοι τῶν παλαιῶν ὁ ἀγών· καὶ τὰ τοιαῦτα.

22. Ὃ δὲ μέγιστον καὶ πρὸς τὸ εὐδοκιμεῖν ἀναγκαιότατον ὀλίγου δεῖν παραλέλοιπα, ἁπάντων καταγέλα τῶν λεγόντων· καὶ ἤν μέν τις καλῶς εἴπῃ, ἀλλότρια καὶ οὐχ ἑαυτοῦ δεικνύειν δοκείτω· ἢν δὲ μετρίως ἐνεγθῇ, et galea cruri. Verum insta, et verba continua, et modo ne tace. Et si de stupratore aliquo aut adultero dicas Athenis, quæ apud Indos aguntur et Ecbatanis, dicantur. Præter omnia vero Marathon et Cynægirus, sine quibus nihil fiat: et semper navigetur Athos, et pedibus transeatur Hellespontus, tegaturque sol a sagittis Persicis, et fugiat Xerxes, et Leonidas in admiratione sit, et legantur sanguineæ Othryadis literæ, et audiantur Salamis, et Artemisium, ac Platææ, multa hæc et crebra: tum omnibus pauca illa nomina in summo innatent et florum instar præniteant; perpetuumque sit illud ἄττα, atque δήπουθεν, licet nusquam illis sit opus: pulchra enim sunt, etiam quum dicuntur temere.

19. Si vero aliquando etiam cantandi tempus esse videatur, cantentur omnia et fiant cantilena. Et si quando non habeas quod cantari aptum sit, appellandis flexa in cantum voce judicibus impletam tibi harmoniam existima. Atque illud, Hei malorum! frequens esto, et percutiatur femur; tum modulanti gutture pronuncia, et screatu verba distingue, et inter agendum fluctuante podice ingredere. Et si te non laudent, indignator illis et maledicito; sin per pudorem surrexerint, ad abeundum jam parati, assidere illos jubeto, atque in universum, regnum tu exerceto.

20. Ut vero copiam quoque in te admirentur rerum dicendarum, ab Iliacis inde temporibus facto initio, aut, per Jovem, a Deucalionis et Pyrrhæ nuptiis, si videatur, ad illum qui nunc est status rerum orationem deducito. Nam qui intelligunt, pauci; iique maximam partem bonitate quadam reticebunt: si quid vero dicant etiam, per invidiam videbuntur facere. Sed vulgus habitum, et vocem, et incessum, et inambulationem, et cantillationem, et crepidam, et illud tuum ἄττα admirantur, ac viso sudore tuo atque anhelatione, non possunt non credere, formidandum te in dicendo certatorem esse. Inprimis vero etiam illa extemporalitas excusationem non parvam præstat, atque apud populum admirationem. Itaque vide ne unquam scribas, aut post aliquam meditationem ad dicendum prodeas: in ista enim aperte deprehendaris.

21. Amici autem semper plaudant pedibus, et mercedem solvant cœnarum, si quando labare te sentiant, præbentes manum, et inter moras laudationum inveniendi quid dicas occasionem suppeditantes: nam illud quoque tibi curæ sit, chorum tibi tuum uti habeas qui concinat. Hæc quidem observanda tibi in ipsis orationibus. Post ea vero prodeuntem te deducant, suo tectum satellitio, et de his quæ dixisti disputantem. Et si quis forte fiat obviam, admiranda de te dicito, et supra modum te ipse lauda, ut gravis ei sis: Quid enim ad me ille Pæaniensis? et, Ad unum forte veterum mihi certamen est; et id genus alia.

22. Quod autem maximum et ad famam parandam inprimis necessarium, pæne prætermiseram: quicumque dicunt, eos deride: et si quis bene dixerit, aliena, non sua, proferre videatur; si feratur mediocriter, reprehensione di-

πάντα ἔστω ἐπιλήψιμα. Καὶ ἐν ταῖς ἀκροάσεσι μετὰ πάντας εἰσιέναι χρὴ, ἐπίσημον γάρ· καὶ σιωπησάντων ἁπάντων ξένον τινὰ ἔπαινον ἐπειπεῖν τὰς ἀκοὰς τῶν παρόντων ἐπιστρέφοντα καὶ ἐνοχλήσοντα, ὁκ ναυτιᾶν ἅπαντας ἐπὶ τῷ φορτικῷ τῶν ὀνομάτων καὶ ἐπιφράττεσθαι τὰ ὦτα. Καὶ ἐπισείσῃς δὲ μὴ πολλάκις τὴν χεῖρα, εὐτελὲς γὰρ, μηδὲ ἀναστῇς, πλὴν ἅπαξ γε ἢ ὀὶς τὸ πλεῖστον· ὑπομειδία δὲ τὰ πολλὰ καὶ δῆλος γίγνου μὴ ἀρεσκόμενος τοῖς λεγομένοις. Ἀμφιλαφεῖς δὲ αἱ ἀφορμαὶ τῶν μέμψεων τοῖς συκοφαντικοῖς τὰ ὦτα. Τὰ δ' ἄλλα χρὴ θαρρεῖν· ἡ τόλμα γὰρ καὶ ἀναισχυντία καὶ ψεῦδος πρόχειρον καὶ ὅρκος ἐπ' ἄκροις ἀεὶ τοῖς χείλεσι καὶ φθόνος πρὸς ἅπαντας καὶ μῖσος καὶ βλασφημία καὶ διαβολαὶ πιθαναί. Ταῦτά σε ἀοίδιμον ἐν βραχεῖ καὶ περίβλεπτον ἀποφανεῖ. Τοιαῦτα μὲν τὰ φανερὰ καὶ τὰ ἔξω.

23. Ἰδίᾳ δὲ πάντα πράγματα ποιεῖν σοι δεδόχθω, κυβεύειν μεθύσκεσθαι λαγνεύειν μοιχεύειν ἢ αὐχεῖν γε, κἂν μὴ ποιῇς, καὶ πρὸς ἅπαντας λέγειν καὶ γραμμάτια ἐπιδεικνύειν ὑπὸ γυναικῶν δῆθεν γραφέντα· καλὸς γὰρ εἶναι θέλε καὶ σοὶ μελέτω ὑπὸ τῶν γυναικῶν σπουδάζεσθαι δοκεῖν· ἐς τὴν ῥητορικὴν γὰρ καὶ τοῦτο ἀνοίσουσιν οἱ πολλοὶ, ὡς διὰ τοῦτό σου καὶ ἄχρι τῆς γυναικωνίτιδος εὐδοκιμοῦντος· καὶ τὸ δεῖνα δὲ, μὴ αἰδεσθῇς, εἰ καὶ πρὸς ἀνδρῶν ἐπὶ τῷ ἑτέρῳ ἐρᾶσθαι δοκοίης, καὶ ταῦτα γενειήτης ἢ καὶ νὴ Δία φαλακρὸς ἤδη ὤν. Ἀλλ' ἔστωσαν οἱ καὶ ἐπὶ τούτῳ συνόντες· ἢν δὲ μὴ ὦσιν, οἱ οἰκέται ἱκανοί. Πολλὰ γὰρ καὶ ἐκ τοῦ τοιούτου πρὸς τὴν ῥητορικὴν χρήσιμα παραγίγνεται· πλείων ἡ ἀναισχυντία καὶ θράσος. Ὁρᾷς ὡς λαλίστεραι αἱ γυναῖκες καὶ λοιδοροῦνται περιττῶς καὶ ὑπὲρ τοὺς ἄνδρας; εἰ δὴ τὰ ὅμοια πάσχοις, διοίσεις τῶν ἄλλων. Καὶ μὴν καὶ πιττοῦσθαι χρὴ μάλιστα μὲν τὰ πάντα, εἰ δὲ μὴ, πάντως ἐκεῖνα. Καὶ αὐτὸ δέ σοι τὸ στόμα πρὸς ἅπαντα ὁμοίως κεχηνέτω, καὶ ἡ γλῶττα ὑπηρετείτω καὶ πρὸς τοὺς λόγους καὶ πρὸς τὰ ἄλλα ὁπόσα ἂν δύνηται· δύναται δὲ οὐ σολοικίζειν μόνον καὶ βαρβαρίζειν οὐδὲ ληρεῖν ἢ ἐπιορκεῖν ἢ λοιδορεῖσθαι ἢ διαβάλλειν καὶ ψεύδεσθαι, ἀλλὰ καὶ νύκτωρ τι ἄλλο ὑποτελεῖν, καὶ μάλιστα ἢν πρὸς οὕτω πολλοὺς τοὺς ἔρωτας μὴ διαρκέσῃς· πάντα αὐτή γε ἐπιστάσθω καὶ γονιμωτέρα γιγνέσθω καὶ μηδὲν ἀποστρεφέσθω.

24. Ἢν ταῦτα, ὦ παῖ, καλῶς ἐκμάθῃς — δύνασαι δέ· οὐδὲν γὰρ ἐν αὐτοῖς βαρύ — θαρρῶν ἐπαγγέλλομαι οὐκ ἐς μακράν σε ἄριστον ῥήτορα καὶ ἡμῖν ὅμοιον ἀποτελεσθήσεσθαι. Τὸ μετὰ τοῦτο δὲ οὐκ ἐμὲ χρὴ λέγειν ὅσα ἐν βραχεῖ παρέσται σοι ταγαθὰ παρὰ τῆς Ῥητορικῆς. Ὁρᾷς ἐμὲ, ὃς πατρὸς μὲν ἀφανοῦς καὶ οὐδὲ καθαρῶς ἐλευθέρου ἐγενόμην ὑπὲρ Ξόϊν καὶ Θμοῦιν δεδουλευκότος, μητρὸς δὲ ἀκεστρίας, ἐπ' ἀμφοδίου τινός. Αὐτὸς δὲ τὴν ὥραν οὐ παντάπασιν ἀδόκιμος εἶναι δόξας τὸ μὲν πρῶτον ἐπὶ ψιλῷ τῷ τρέφεσθαι συνῆν τινι κακοδαίμονι καὶ γλίσχρῳ ἐραστῇ, ἔπειτ δὲ τὴν ὁδὸν ταύτην ῥᾴστην οὖσαν κατεῖδον καὶ διεκπαίσας ἐπὶ τῷ

gna sint omnia. In recitationibus ultimus omnium ingredere; facit enim te conspicuum : et tacentibus omnibus, peregrinam quadam laudationem subjicere memento, quæ aures præsentium advertat et offendat, ut nauseent omnes ad verborum insolentiam, et aures obturent. Neque vero manum sæpe ad laudandum moveas, vile enim id est; neu assurgas, nisi semel forte aut bis ad summum : subride autem frequenter, et ostende non placere tibi quæ dicuntur. Opportunæ sunt autem ad reprehendendum occasiones apud eos, qui pronas calumniis aures habent. Ceterum confidendum est : audacia enim, et impudentia, et mendacium in promtu, et jusjurandum in extremis semper labiis, et invidia contra omnes, et odium, et maledicentia, et calumniæ probabiles. Hæc celebrem te brevi et conspicuum facient. Atque talia sunto quæ extra sunt et apparent.

23. In privato autem facinora omnia committere tibi decretum sit, aleatorem esse, inebriari, libidinari, mœchari, aut gloriari certe, si non feceris, idque apud omnes dicere, et literulas ostendere a mulieribus scilicet scriptas. Etenim pulcher esse velle debes, et hoc agere ut mulieres studiose videantur te sectari : nam hoc quoque ad rhetoricen vulgo referent, quasi ea causa in ipsa gynæconitide gratiosus sis. Verum nec illud tibi pudori sit, si a viris quoque diversæ rei causa amari videare, idque barbatus quum sis, aut, ita me Jupiter, jam calvus. Sed sint qui etiam hac ipsa causa semper tecum sint : si vero non sint, servi sufficient. Multa enim ex hac etiam re commoda facultati dicendi utilia accedunt : major erit impudentia atque audacia. Viden' ut loquaciores sint mulieres, et abunde maledicant ac supra viros? si ergo idem quod illæ patiaris, præcelles reliquis. Verum etiam pice velli oportet maxime sane per omnia; si vero minus, omnino quidem illis partibus. Ipsum vero os tibi ad omnia hiet pariter, et ministret lingua quum ad sermones, tum ad alia quæcumque poterit : potest autem non solœcismos tantum committere aut barbarismos, neque nugari solum, aut pejerare, aut maledicere, aut calumniari ac mentiri; sed noctu aliud quoque subire ministerium, inprimis ad multos adeo amores si non sufficias. Omnia quidem illa norit, et genitalior fiat, neu quicquam aversetur.

24. Hæc si, puer, diligenter edidiceris (potes vero; neque enim quicquam est in illis difficile), confidenter tibi polliceor, non longo interjecto tempore optimum te rhetora et nobis similem redditum iri. Quod sequitur, non opus est uti ego dicam, quot brevi bona a Rhetorice tibi affutura sint. Vides enim me, qui ignobili patre natus sim, et ne pure quidem libero, ut qui ultra Xoin et Thmuin servierit, matre autem sarcinatrice, in bivio quodam. Ipse autem, qui forma viderer esse non omnino contemnenda, primo solorum alimentorum pretio fui cum amatore misero atque avaro : quum vero viderem hanc viam esse facillimam, per eamque prorumpens in summo jam essem (erant mihi enim,

ἄκρῳ ἐγενόμην — ὑπῆρχε γάρ μοι, ὦ φίλη Ἀδράστεια, πάντα ἐκεῖνα ἃ προεῖπον ἐφόδια, τὸ θράσος, ἡ ἀμαθία, ἡ ἀναισχυντία — πρῶτον μὲν οὐκέτι Ποθεινὸς ὀνομάζομαι, ἀλλ' ἤδη τοῖς Διὸς καὶ Λήδας παισὶν ὁμώνυμος γεγένημαι· ἔπειτα δὲ γραῒ συνοικήσας τὸ πρῶτον μὲν ἐγαστριζόμην πρὸς αὐτῆς ἐρᾶν προσποιούμενος γυναικὸς ἑβδομηκοντούτιδος τέτταρας ἔτι λοιποὺς ὀδόντας ἐχούσης, χρυσίῳ καὶ τούτους ἐνδεδεμένους. Πλὴν ἀλλά γε διὰ τὴν πενίαν ὑφιστάμην τὸν ἆθλον καὶ τὰ ψυχρὰ ἐκεῖνα τὰ ἐκ τῆς σοροῦ φιλήματα ὑπερήδιστά μοι ἐποίει ὁ λιμός. Εἶτα ὀλίγου δεῖν κληρονόμος ὢν εἶχεν ἁπάντων κατέστην, εἰ μὴ κατάρατός τις οἰκέτης ἐμήνυσεν ὡς φάρμακον εἴην ἐπ' αὐτὴν ἐωνημένος.

25. Ἐξωσθεὶς δὲ ἐπὶ κεφαλὴν ὅμως οὐδὲ τότε ἠπόρησα τῶν ἀναγκαίων, ἀλλὰ καὶ ῥήτωρ δοκῶ κἀν ταῖς δίκαις ἐξετάζομαι προδιδοὺς τὰ πολλὰ καὶ τοὺς δικαστὰς τοῖς ἀνοήτοις καθυπισχνούμενος, καὶ ἡττῶμαι μὲν τὰ πλεῖστα, οἱ φοίνικες δὲ ἐπὶ τῇ θύρᾳ χλωροὶ καὶ ἐστεφανωμένοι· τούτοις γὰρ ἐπὶ τοὺς δυστυχεῖς χρῶμαι τοῖς δελέασιν. Ἀλλὰ καὶ τὸ μισεῖσθαι πρὸς ἁπάντων καὶ ἐπίσημον εἶναί με ἐπὶ τῇ μοχθηρίᾳ τοῦ τρόπου καὶ πολὺ πρότερον τῶν λόγων καὶ τὸ δείκνυσθαι τῷ δακτύλῳ τοῦτον ἐκεῖνον τὸν ἀκρότατον ἐν πάσῃ κακίᾳ λεγόμενον, οὐ μικρὸν εἶναί μοι δοκεῖ. Ταῦτά σοι παραινῶ, νὴ τὴν πάνδημον, πολὺ πρότερον ἐμαυτῷ παραινέσας καὶ χάριν ἐμαυτῷ οὐ μικρὰν ἐπισπασάμενος.

26. Εἶεν· ὁ μὲν γεννάδας εἰπὼν ταῦτα πεπαύσεται· σὺ δὲ ἦν πεισθῇς τοῖς εἰρημένοις, καὶ δὴ παρεῖναι νόμιζε οἷπερ ἐξ ἀρχῆς ἐπόθεις ἐλθεῖν, καὶ οὐδέν σε κωλύσει ἑπόμενον τοῖς νόμοις ἔν τε τοῖς δικαστηρίοις κρατεῖν καὶ ἐν τοῖς πλήθεσιν εὐδοκιμεῖν καὶ ἐπέραστον εἶναι καὶ γαμεῖν οὐ γραῦν τινα τῶν κωμικῶν, καθάπερ ὁ νομοθέτης καὶ διδάσκαλος, ἀλλὰ καλλίστην γυναῖκα τὴν Ῥητορικήν, ὡς τὸ τοῦ Πλάτωνος ἐκεῖνο πτηνὸν ἅρμα ἐλαύνοντα φέρεσθαι σοὶ μᾶλλον πρέπειν περὶ σεαυτοῦ εἰπεῖν ἢ ἐκείνῳ περὶ τοῦ Διός· ἐγὼ δὲ — ἀγεννὴς γὰρ καὶ δειλός εἰμι — ἐκστήσομαι τῆς ὁδοῦ ὑμῖν καὶ παύσομαι τῇ ῥητορικῇ ἐπιπολάζων, ἀσύμβολος ὢν πρὸς αὐτὴν τὰ ὑμέτερα· μᾶλλον δὲ ἤδη πέπαυμαι. Ὥστε ἀκονιτὶ ἀνακηρύττεσθε καὶ θαυμάζεσθε μόνον τοῦτο μεμνημένοι, ὅτι μὴ τῷ τάχει ἡμῶν κεκρατήκατε ὠκύτεροι φανέντες, ἀλλὰ τῷ ῥᾴστην καὶ πρανῆ τραπέσθαι τὴν ὁδόν.

cara Adrastea! præsidia illa quæ modo dicebam omnia, confidentia, inscitia, impudentia), primo quidem non amplius Pothinus nominor, sed jam Jovis et Ledæ pueris cognominis factus sum : deinde adjunxi me ad anum mulierem, a qua primum laute alebar, amare dum simulo mulierem septuagenariam, dentes adhuc quattuor habentem reliquos, auro revinctos et ipsos. Verumtamen paupertatis causa laborem sustinui, quum frigida illa de capulo oscula suavissima mihi fames redderet. Deinde parum aberat quin heres constitutus essem quæ habebat omnium, nisi servus exsecrabilis indicasset venenum a me, quod illi darem, esse emtum.

25. Præceps igitur ejectus, necessariis tamen ne sic quidem carui : sed et rhetor esse videor, et in judiciis versor prævaricans sæpe, et judicum corruptionem insipientibus pollicens. Et plerumque causa equidem cado : sed palmæ tamen in janua virides et coronis cinctæ; illis enim ad infelices escis utor. Sed id ipsum quoque, quod odio sum omnibus, et quod insignis sum ob morum perversitatem, et quod multo prius quam ob orationis facultatem ideo monstror digito, quia princeps ipse in omni malitia dicor, non parvum mihi quidem videtur. Hæc tibi, ita me popularis Venus! præcipio, quæ multo prius ipse mihi præcepi, eaque ratione gratiam mihi non parvam conciliavi.

26. Sint ista satis! generosus ille post hæc dicta tacebit. Tu vero si dictis ab illo moveare, jam adesse te puta quorsum venire initio desiderabas; neque quicquam te prohibebit quominus legibus illis obsecutus tum in judiciis vincas, tum bene audias apud multitudinem, et amabilis sis, ducasque non anum quandam de comicarum illo genere, ut tuus legislator et magister, sed mulierem pulcherrimam Rhetoricen, adeo ut Platonis illud, volucri curru vectum ferri, de te potius deceat dicere te, quam ipsum de Jove hoc dicere decuit. Ego vero (ignavus enim et timidus sum) de via vobis decedam, et desinam ob rhetoricen spectari, qui nihil ad eam conferam vestri illius modi : vel potius jam desii. Itaque sine pulvere prædicandos vos atque admirandos præbete, illud solum recordati, non celeritate vos vestra vicisse, qui velociores judicati sitis, verum quod facillimam et declivem viam estis ingressi.

LII.

ΦΙΛΟΨΕΥΔΗΣ Η ΑΠΙΣΤΩΝ.

1. ΤΥΧΙΑΔΗΣ. Ἔχεις μοι, ὦ Φιλόκλεις, εἰπεῖν τί ποτε ἄρα τοῦτό ἐστιν ὃ τοὺς πολλοὺς εἰς ἐπιθυμίαν τοῦ ψεύδεσθαι προάγεται, ὡς αὐτούς τε χαίρειν μηδὲν ὑγιὲς λέγοντας καὶ τοῖς τὰ τοιαῦτα διεξιοῦσι μάλιστα προσέχειν τὸν νοῦν;

LII.

PHILOPSEUDES SIVE INCREDULUS.

1. TYCHIADES. Potesne mihi, Philocles, dicere, quid sit tandem illud quod ad mentiendi libidinem plerosque allicit, ut et ipsi gaudeant quum nihil sani dicunt, et narrantibus talia animum maxime attendant?

ΦΙΛΟΚΛΗΣ. Πολλά, ὦ Τυχιάδη, ἐστὶν ἃ τοὺς ἀνθρώπους ἐνίους ἀναγκάζει τὰ ψευδῆ λέγειν ἐς τὸ χρήσιμον ἀποβλέποντας.

ΤΥΧ. Οὐδὲν πρὸς ἔπος ταῦτα, φασίν, οὐδὲ περὶ τούτων ἠρόμην ὁπόσοι τῆς χρείας ἕνεκα ψεύδονται. Συγγνώμης τοιγαροῦν οὗτοί γε μᾶλλον καὶ ἐπαίνου τινὲς αὐτῶν ἄξιοι, ὁπόσοι ἢ πολεμίους ἐξηπάτησαν ἢ ἐπὶ σωτηρίᾳ τῷ τοιούτῳ φαρμάκῳ ἐχρήσαντο ἐν τοῖς δεινοῖς, οἷα πολλὰ καὶ Ὀδυσσεὺς ἐποίει τήν τε αὑτοῦ ψυχὴν ἀρνύμενος καὶ τὸν νόστον τῶν ἑταίρων. Ἀλλὰ περὶ ἐκείνων, ὦ ἄριστε, φημὶ οἳ αὐτὸ ἄνευ τῆς χρείας τὸ ψεῦδος περὶ πολλοῦ τῆς ἀληθείας τίθενται ἡδόμενοι τῷ πράγματι καὶ ἐνδιατρίβοντες ἐπ' οὐδεμιᾷ προφάσει ἀναγκαίᾳ. Τούτους οὖν ἐθέλω εἰδέναι τίνος ἀγαθοῦ τοῦτο ποιοῦσιν.

2. ΦΙΛ. Ἦ που κατανενόηκας ἤδη τινὰς τοιούτους, οἷς ἔμφυτος ἔρως οὗτός ἐστι πρὸς τὸ ψεῦδος;

ΤΥΧ. Καὶ μάλα πολλοί εἰσιν οἱ τοιοῦτοι.

ΦΙΛ. Τί δ' οὖν ἄλλο ἢ ἄνοιαν χρὴ αἰτίαν εἶναι αὐτοῖς φάναι τοῦ μὴ ἀληθῆ λέγειν, εἴ γε τὸ χείριστον ἀντὶ τοῦ βελτίστου προαιροῦνται;

ΤΥΧ. Οὐδέν τοῦτο· ἐπεὶ πολλοὺς ἂν ἐγώ σοι δείξαιμι συνετοὺς τἆλλα καὶ τὴν γνώμην θαυμαστοὺς οὐκ οἶδ' ὅπως ἐαλωκότας τούτῳ τῷ κακῷ καὶ φιλοψευδεῖς ὄντας, ὡς ἀνιᾶσθαί με, εἰ τοιοῦτοι ἄνδρες ἄριστοι τὰ πάντα ὅμως χαίρουσιν αὑτούς τε καὶ τοὺς ἐντυγχάνοντας ἐξαπατῶντες· ἐκείνους μὲν γὰρ τοὺς παλαιοὺς πρὸ ἐμοῦ σὲ χρὴ εἰδέναι, τὸν Ἡρόδοτον καὶ Κτησίαν τὸν Κνίδιον καὶ πρὸ τούτων τοὺς ποιητὰς καὶ τὸν Ὅμηρον αὐτὸν, ἀοιδίμους ἄνδρας, ἐγγράφῳ τῷ ψεύσματι κεχρημένους, ὡς μὴ μόνον ἐξαπατᾶν τοὺς τότε ἀκούοντας αὐτῶν, ἀλλὰ καὶ μέχρι ἡμῶν διικνεῖσθαι τὸ ψεῦδος ἐκ διαδοχῆς ἐν καλλίστοις ἔπεσι καὶ μέτροις φυλαττόμενον. Ἐμοὶ γοῦν πολλάκις αἰδεῖσθαι ὑπὲρ αὐτῶν ἔπεισιν, ὁπόταν Οὐρανοῦ τομὴν καὶ Προμηθέως δεσμὰ διηγῶνται καὶ Γιγάντων ἐπανάστασιν καὶ τὴν ἐν Ἅιδου πᾶσαν τραγῳδίαν, καὶ ὡς δι' ἔρωτα ὁ Ζεὺς ταῦρος ἢ κύκνος ἐγένετο καὶ ὡς ἐκ γυναικός τις ἐς ὄρνεον ἢ ἐς ἄρκτον μετέπεσεν, ἔτι Πηγάσους καὶ Χιμαίρας καὶ Γοργόνας καὶ Κύκλωπας καὶ ὅσα τοιαῦτα, πάνυ ἀλλόκοτα καὶ τεράστια μυθίδια παίδων ψυχὰς κηλεῖν δυνάμενα ἔτι τὴν Μορμὼ καὶ τὴν Λάμιαν δεδιότων.

3. Καίτοι τὰ μὲν τῶν ποιητῶν ἴσως μέτρια, τὸ δὲ καὶ πόλεις ἤδη καὶ ἔθνη πολλὰ κοινῇ δημοσίᾳ ψεύδεσθαι πῶς οὐ γελοῖον; εἰ Κρῆτες μὲν τοῦ Διὸς τάφον δεικνύοντες οὐκ αἰσχύνονται, Ἀθηναῖοι δὲ τὸν Ἐριχθόνιον ἐκ τῆς γῆς ἀναδοθῆναί φασι καὶ τοὺς πρώτους ἀνθρώπους ἐκ τῆς Ἀττικῆς ἀναφῦναι καθάπερ τὰ λάχανα, πολὺ σεμνότερον οὗτοι τῶν Θηβαίων, οἳ ἐξ ὄφεως ὀδόντων Σπαρτούς τινας ἀναβεβλαστηκέναι διηγοῦνται. Ὃς δ' ἂν οὖν ταῦτα καταγέλαστα ὄντα μὴ οἴηται ἀληθῆ εἶναι, ἀλλ' ἐμφρόνως ἂν ἐξετάζων ταῦτα Κοροίβου τινὸς ἢ Μαργίτου νομίζοι τὸ πείθεσθαι ἢ Τριπτόλεμον ἐλάσαι διὰ τοῦ ἀέρος ἐπὶ δρακόντων ὑποπτέρων

PHILOCLES. Multa sunt, Tychiade, quæ cogant homines quosdam mendacia dicere, utilitatis suæ respectu.

TYCH. Nihil hæc ad rem, neque de his ego rogabam, quotquot usus alicujus causa mentiuntur. Etenim venia hi potius, quidam eorum etiam laude digni sunt, qui vel hostes decepere, vel ad salutem tali remedio in malis usi sunt, qualia etiam Ulysses multa fecit, dum vel suam vitam redimeret, vel reditum sociorum. Verum de illis dico, vir optime, qui ipsum præter necessitatem mendacium longe veritati præponunt, eaque re delectantur, et nulla causa necessaria in ea versantur. De his scire velim ego, cui bono hoc faciant.

2. PHIL. Numquid jam cognovisti tales quosdam, quibus insitus sit hic amor mendacii?

TYCH. Et plurimi quidem sunt tales.

PHIL. Quid ergo aliud causæ illis esse, quam amentiam, dicendum est, quod verum non dicant, quando quod pessimum est pro optimo eligunt?

TYCH. Hoc nihil est; quandoquidem plurimos ego tibi ostenderim, prudentes alioquin et admirabili sapientia, nescio quomodo illo malo captos et mendaciorum studiosos, adeo ut male me habeat, si tales viri, optimi reliqua omnia, tamen gaudent seque et illos quibuscum sunt decipere. Illos enim antiquos prius, quam ego, tu noveris oportet, Herodotum, et Ctesiam Cnidium, et ante hos, poetas, Homerumque adeo ipsum, viros celeberrimos, scripto usos mendacio, adeo ut non modo qui tum erant auditores suos deceperint, sed ad nos etiam mendacium successione quadam verbis versibusque pulcherrimis commendatum pervenerit. Me quidem sæpe subit illorum vicem pudere, quum Cœli castrationem, et vincula Promethei enarrant, et seditionem Gigantum, et totam apud inferos tragœdiam, et ut propter amorem Jupiter sit taurus vel cycnus factus, et ut ex muliere in avem aliqua aut in ursam mutata sit : ad hæc Pegasos, et Chimæras, et Gorgones, et Cyclopes, et quæ sunt ex eo genere, absurdæ omnino et portentosæ fabellæ, puerulorum mentes mulcere aptæ, qui etiamnum Larvam Lamiamque metuunt.

3. Quanquam poetarum illa forte tolerabilia fuerint mendacia : quod vero jam civitates et gentes multæ communiter et publice mentiuntur, qui non ridiculum? si Cretenses Jovis sepulcrum ostendentes non erubescunt, Athenienses vero Erichthonium de terra exstitisse aiunt, primosque homines, olerum instar, de Attico solo enatos; multo hi quidem speciosius quam Thebani, qui de serpentis dentibus Spartos (*salivos*) quosdam germinasse narrant. Si quis vero hæc tam ridicula non putet vera esse, sed iis prudenter examinatis, Corœbi cujusdam aut Margitæ judicet credere vel Triptolemum per aera vectum alatis draconibus, vel Panem

ἢ Πᾶνα ἥκειν ἐξ Ἀρκαδίας σύμμαχον ἐς Μαραθῶνα ἢ Ὠρείθυιαν ὑπὸ τοῦ Βορέου ἀναρπασθῆναι, ἀσεβὴς οὗτός γε καὶ ἀνόητος αὐτοῖς ἔδοξεν οὕτω προδήλοις καὶ ἀληθέσι πράγμασιν ἀπιστῶν· ἐς τοσοῦτον ἐπικρατεῖ τὸ ψεῦδος.

4. ΦΙΛ. Ἀλλ' οἱ μὲν ποιηταί, ὦ Τυχιάδη, καὶ αἱ πόλεις δὲ συγγνώμης τυγχάνοιεν ἄν, οἱ μὲν τὸ ἐκ τοῦ μύθου τερπνὸν ἐπαγωγότατον ὂν ἐγκαταμιγνύντες τῇ γραφῇ, οὗπερ μάλιστα δέονται πρὸς τοὺς ἀκροατάς, Ἀθηναῖοι δὲ καὶ Θηβαῖοι καὶ εἴ τινες ἄλλοι σεμνοτέρας ἀποφαίνονται τὰς πατρίδας ἐκ τῶν τοιούτων. Εἰ γοῦν τις ἀφέλοι τὰ μυθώδη ταῦτα ἐκ τῆς Ἑλλάδος, οὐδὲν ἂν κωλύσαι λιμῷ τοὺς περιηγητὰς αὐτῶν διαφθαρῆναι μηδὲ ἀμισθὶ τῶν ξένων τἀληθὲς ἀκούειν ἐθελησάντων. Οἱ δὲ μηδὲ μιᾶς ἕνεκα τοιαύτης αἰτίας ὅμως χαίροντες τῷ ψεύσματι παγγέλοιοι εἰκότως δοκοῖεν ἄν.

5. ΤΥΧ. Εὖ λέγεις· ἐγὼ γὰρ παρὰ Εὐκράτους ἥκω σοι τοῦ πάνυ πολλὰ τὰ ἄπιστα καὶ μυθώδη ἀκούσας, μᾶλλον δὲ μεταξὺ λεγομένων ἀπιὼν ᾠχόμην οὐ φέρων τοῦ πράγματος τὴν ὑπερβολήν, ἀλλά με ὥσπερ αἱ Ἐρινύες ἐξήλασαν πολλὰ τεράστια καὶ ἀλλόκοτα διεξιόντος.

ΦΙΛ. Καίτοι, ὦ Τυχιάδη, ἀξιόπιστος ὁ Εὐκράτης ἐστὶ καὶ οὐδεὶς ἂν οὐδὲ πιστεύσειεν ὡς ἐκεῖνος οὕτω βαθὺν πώγωνα καθειμένος ἑξηκοντούτης ἀνὴρ, ἔτι καὶ φιλοσοφίᾳ ξυνὼν τὰ πολλὰ, ὑπομείνειεν ἂν καὶ ἄλλου τινὸς ψευδομένου ἀκοῦσαι παρὼν, οὐχ ὅπως αὐτός τι τολμῆσαι τοιοῦτον.

ΤΥΧ. Οὐ γὰρ οἶσθα, ὦ ἑταῖρε, οἷα μὲν εἶπεν, ὅπως δὲ αὐτὰ ἐπιστώσατο, ὡς δὲ καὶ ἐπώμνυτο τοῖς πλείστοις παραστησάμενος τὰ παιδία, ὥστε με καὶ ἀποβλέποντα ἐς αὐτὸν ποικίλα ἐννοεῖν, ἄρτι μὲν ὡς μεμήνοι καὶ ἔξω εἴη τοῦ καθεστηκότος, ἄρτι δὲ ὡς γόης ὢν ἄρα τοσοῦτον χρόνον ἐλελήθει με ὑπὸ τῇ λεοντῇ γελοῖόν τινα πίθηκον περιστέλλων· οὕτως ἄτοπα διηγεῖτο.

ΦΙΛ. Τίνα ταῦτα πρὸς τῆς Ἑστίας, ὦ Τυχιάδη; ἐθέλω γὰρ εἰδέναι ἥντινα τὴν ἀλαζονείαν ὑπὸ τηλικούτῳ τῷ πώγωνι ἔσκεπεν.

6. ΤΥΧ. Εἰώθα μὲν καὶ ἄλλοτε, ὦ Φιλόκλεις, φοιτᾶν πρὸς αὐτὸν, εἴ ποτε πολλὴν τὴν σχολὴν ἄγοιμι, τήμερον δὲ Λεοντίχῳ συγγενέσθαι δεόμενος — ἑταῖρος δέ μοι, ὡς οἶσθα — ἀκούσας παρὰ τοῦ παιδὸς ὡς παρ' Εὐκράτην ἔωθεν ἀπέλθοι νοσοῦντα ἐπισκεψόμενος, ἀμφοῖν ἕνεκα, ὡς καὶ τῷ Λεοντίχῳ συγγενοίμην κἀκεῖνον ἴδοιμι — ἠγνοήκειν γὰρ ὡς νοσοίη — παραγίγνομαι πρὸς αὐτόν· εὑρίσκω δὲ αὐτόθι τὸν μὲν Λεόντιχον οὐκέτι — ἐφθάκει γὰρ, ὡς ἔφασκεν, ὀλίγον προεξεληλυθώς — ἄλλους δὲ συχνοὺς, ἐν οἷς Κλεόδημός τε ἦν ὁ ἐκ τοῦ Περιπάτου καὶ Δεινόμαχος ὁ Στωϊκὸς καὶ Ἴων, οἶσθα τὸν ἐπὶ τοῖς Πλάτωνος λόγοις θαυμάζεσθαι ἀξιοῦντα ὡς μόνον ἀκριβῶς κατανενοηκότα τὴν γνώμην τοῦ ἀνδρὸς καὶ τοῖς ἄλλοις ὑποφητεῦσαι δυνάμενον. Ὁρᾷς οἵους ἄνδρας σοί φημι, πανσόφους καὶ παναρέτους,

venisse ex Arcadia auxiliatum in Marathonem, vel raptam a Borea Orithyiam : ille impius et amens illis videri solet, qui manifestis adeo et veris rebus fidem neget. Eo usque mendacium invaluit.

4. PHIL. Sed poetæ, Tychiade, et civitates veniam fere consequantur : alteri suavitatem fabularum, quæ tantas habeat illecebras, suæ scriptioni admiscentes, qua scilicet maxime ad auditores suos opus habent ; Athenienses vero ac Thebani, et si qui alii, augustiores talibus commentis reddunt patrias. Si quis enim tollat e Græcia fabulosa ista, nihil prohibuerit fame eorum monstratores perire, quum ne gratis quidem hospites audire verum velint. At qui nulla prorsus tali causa inducti tamen gaudent mendacio, illi merito videantur plane ridiculi.

5. TYCH. Recte istuc dicis. Ego enim ab Eucrate tibi adsum, nobili illo, ubi incredibilibus multis et fabulosis auditis, vel potius in media eorum enarratione discessi, qui ferre egressam modum licentiam non possem : sed tanquam Furiæ quædam me ejecerunt, illo portentosa multa et absurda enarrante.

PHIL. Atqui, Tychiade, fide dignus Eucrates est, neque quisquam temere crediderit illum, qui prolixam adeo barbam submiserit, hominem sexagenarium, ad hoc cum philosophia diu versatum, vel alium sustinere posse ut audiat se præsente mentientem, nedum ut ipse tale quid audeat.

TYCH. Nempe nescis, sodalis, qualia dixerit, quomodo fidem illis facere studuerit, quomodo dejeraverit ad pleraque, pueros etiam suos per quorum caput juraret interponens, adeo ut vultu in illum defixo varia cogitarem ; modo quidem furere hominem et mente non constare ; modo impostorem esse ac tam diu me fugisse, qui leonina pelle simium tegeret ridiculum : adeo absurda narrabat.

PHIL. Quænam ista, per ego te Vestam rogo, Tychiade? volo enim scire quamnam sub tanta barba tegat vanitatem.

6. TYCH. Solebam etiam alias, Philocles, ventitare ad illum, si valde otiosus essem : hodie vero quum Leonticho convento mihi opus esset, qui meus, ut nosti, sodalis est, audissemque ex ejus puero, mane abiisse ad Eucratem, ut ægrotantem viseret ; utriusque rei causa, ut et Leontichum convenirem, et viderem ipsum, ignarus ægrotum esse, eo venio. Ac Leontichum quidem non amplius ibi invenio, qui paullo ante, uti ille dicebat, discessisset ; sed alios frequentes, in quibus et Cleodemus erat Peripateticus, et Stoicus Dinomachus, atque Ion ; nosti illum qui de Platonicis disputationibus admirationi esse postulat, tanquam qui solus accurate sententiam viri perceperit et aliis possit interpretari. Viden' quos tibi viros narrem sapientia omni et virtute præditos, quodque caput rei est, de una-

ὅ τι περ τὸ κεφάλαιον αὐτὸ ἐξ ἑκάστης προαιρέσεως, αἰδεσίμους ἅπαντας καὶ μονονουχὶ φοβεροὺς τὴν πρόσοψιν; Ἔτι καὶ ὁ ἰατρὸς Ἀντίγονος παρῆν κατὰ χρείαν, οἶμαι, τῆς νόσου ἐπιχληθείς, καὶ ῥᾷον ἐδόκει ἤδη ἔχειν ὁ Εὐκράτης καὶ τὸ νόσημα τῶν συντρόφων ἦν· τὸ ῥεῦμα γὰρ ἐς τοὺς πόδας αὖθις αὐτῷ κατεληλύθει. Καθέζεσθαι οὖν με παρ' αὐτὸν ἐπὶ τῆς κλίνης ὁ Εὐκράτης ἐπένευσεν ἠρέμα ἐγκλίνας τῇ φωνῇ ἐς τὸ ἀσθενικὸν, ὁπότε εἶδέ με, καίτοι βοῶντος αὐτοῦ καὶ διατεινομένου τι μεταξὺ εἰσιὼν ἐπήκουον. Κἀγὼ μάλα πεφυλαγμένως, μὴ ψαύσαιμι τῶν ποδῶν αὐτοῦ, ἀπολογησάμενος τὰ συνήθη ταῦτα, ὡς ἀγνοήσαιμι νοσοῦντα καὶ ὡς, ἐπεὶ ἔμαθον, δρομαῖος ἔλθοιμι, ἐκαθεζόμην πλησίον.

7. Οἱ μὲν δὴ ἐτύγχανον ἤδη περὶ τοῦ νοσήματος τὰ μὲν ἤδη προειρηκότες, τὰ δὲ καὶ τότε διεξιόντες, ἔτι δὲ καὶ θεραπείας τινὰς ἕκαστος ὑποβάλλοντες· ὁ γοῦν Κλεόδημος, Εἰ τοίνυν, φησὶ, τῇ ἀριστερᾷ τις ἀνελόμενος χαμόθεν τὸν ὀδόντα τῆς μυγαλῆς οὕτω φονευθείσης, ὡς προεῖπον, ἐνδήσειεν εἰς δέρμα λέοντος ἄρτι ἀποδαρέντος, εἶτα περιάψειε περὶ τὰ σκέλη, αὐτίκα παύεται τὸ ἄλγημα. Οὐκ εἰς λέοντος, ἔφη ὁ Δεινόμαχος, ἐγὼ ἤκουσα, ἐλάφου δὲ θηλείας ἔτι παρθένου καὶ ἀβάτου· καὶ τὸ πρᾶγμα οὕτω πιθανώτερον· ὠκὺ γὰρ ἡ ἔλαφος καὶ ἔρρωται μάλιστα ἐκ τῶν ποδῶν. Καὶ ὁ λέων ἀλκιμος μὲν, καὶ τὸ λίπος αὐτοῦ καὶ ἡ χεὶρ ἡ δεξιὰ καὶ αἱ τρίχες ἐκ τοῦ πώγωνος αἱ ὀρθαὶ μεγάλα δύναιντ' ἂν, εἴ τις ἐπίσταιτο αὐτοῖς χρῆσθαι μετὰ τῆς οἰκείας ἐπῳδῆς ἑκάστῳ· ποδῶν δὲ ἴασιν ἥκιστα ἐπαγγέλλεται. Καὶ αὐτὸς, ἦ δ' ὅς ὁ Κλεόδημος, οὕτω πάλαι ἐγίγνωσκον ἐλάφου χρῆναι τὸ δέρμα εἶναι, διότι ὠκὺ ἔλαφος· ἔναγχος δὲ Λίβυς ἀνὴρ σοφὸς τὰ τοιαῦτα μετεδίδαξέ με εἰπὼν ὠκυτέρους εἶναι τῶν ἐλάφων τοὺς λέοντας. Ἀμέλει, ἔφη, καὶ αἱροῦσιν αὐτὰς διώκοντες. Ἐπῄνεσαν οἱ παρόντες ὡς εὖ εἰπόντος τοῦ Λίβυος.

8. Ἐγὼ δὲ, Οἴεσθε γὰρ, ἔφην, ἐπῳδαῖς τισι τὰ τοιαῦτα παύεσθαι ἢ τοῖς ἔξωθεν παραρτήμασι τοῦ κακοῦ ἔνδον διατρίβοντος; Ἐγέλασαν ἐπὶ τῷ λόγῳ μου καὶ δῆλοι ἦσαν κατεγνωκότες μου πολλὴν τὴν ἄνοιαν, ἐπεὶ μὴ ἐπισταίμην τὰ προδηλότατα καὶ περὶ ὧν ἂν οὐδεὶς φρονῶν ἀντείποι μὴ οὐχὶ οὕτως ἔχειν. Ὁ μέντοι ἰατρὸς Ἀντίγονος ἐδόκει μοι ἡσθῆναι τῇ ἐρωτήσει μου· πάλαι γὰρ ἠμελεῖτο, οἶμαι, βοηθεῖν ἀξιῶν τῷ Εὐκράτει μετὰ τῆς τέχνης οἴνου τε παραγγέλλων ἀπέχεσθαι καὶ λάχανα σιτεῖσθαι καὶ ὅλως ὑφαιρεῖν τοῦ τόνου. Ὁ γοῦν Κλεόδημος ὑπομειδιῶν ἅμα, Τί λέγεις, ἔφη, ὦ Τυχιάδη; ἄπιστον εἶναί σοι δοκεῖ τὸ ἐκ τῶν τοιούτων γίγνεσθαί τινας ὠφελείας ἐς τὰ νοσήματα; Ἔμοιγε, ἦν δ' ἐγὼ, εἰ μὴ πάνυ τὴν ῥῖνα κορύζης μεστὸς εἴην, ὡς πιστεύσειν τὰ ἔξω καὶ μηδὲν κοινωνοῦντα τοῖς ἔνδοθεν ἐπεγείρουσι τὰ νοσήματα μετὰ ῥηματίων, ὥς φατε, καὶ γοητείας τινὸς ἐνεργεῖν καὶ τὴν ἴασιν ἐπιπέμπειν προσαρτώμενα. Τὸ δ' οὐκ ἂν γένοιτο, οὐδ' ἢν ἐς τοῦ Νεμείου λέοντος τὰ δέρμα ἐνδήσῃ τις ἑκκαίδεκα μυγαλᾶς ὅλας· ἐγὼ γοῦν αὐτὸν τὸν λέοντα

quaque secta, venerabiles omnes ac tantum non aspectu ipso terribiles? Insuper vero aderat etiam Antigonus medicus, morbi causa, puto, advocatus. Ac jam mollius videbatur habere Eucrates, eratque familiaris illi morbus: defluxio enim iterum in pedes illi descenderat. Igitur assidere me apud se in lectulo jussit Eucrates, submissa paullum ad infirmitatem significandam voce, quum me vidisset, quanquam clamantem ipsum et contenta voce aliquid dicentem in ipso ingressu audiveram. Et ego summa cautione adhibita, ne forte pedes illius attingerem, excusatione illa vulgari prolata, me morbum ipsius ignorasse, audito autem, cursim advenisse, prope illum assedi.

7. Illi forte jam de morbo partim dixerant, partim adhuc disputabant; insuper etiam curationes unusquisque nonnullas subjiciebant. Nam Cleodemus, Si ergo, inquit, sinistra aliquis humi tollat dentem mustelæ, ita uti dixi interfectæ, et in excoriati modo leonis pelle deliget, ac deinde circumponat cruribus; statim cessat dolor. Non leonina, inquit Dinomachus, audivi equidem, sed cervæ virginis et nondum initæ: et probabilior sic res est; celere enim cerva et robustum maxime pedibus. Et leo fortis ille quidem, atque adeps illius et manus dextra et pili de barba recti multum valeant, si quis cum suo quodque carmine adhibere possit: pedum vero curationem minime promittit. Ipse quoque, inquit Cleodemus, ita olim censeham, cervæ oportere pellem esse, propterea quod velox cerva: sed nuper e Libya vir talium sapiens aliter me docuit, quum diceret velociores esse leones cervis. Nimirum, dicebat, capiunt illos etiam persequendo. Laudabant præsentes Libyn, qui recte dixisset.

8. At ego, Putatis enim, dicebam, incantationibus quibusdam talia sedari, aut rebus extra appensis, quum tamen intus habitet malum? Riserunt in hoc sermone meo, ac manifestum erat condemnari ab illis multam meam insciti am, quoniam nescirem quæ essent manifestissima ac de quibus nemo sanus contradiceret, quasi non ita se haberent. Verumtamen Antigonus medicus videbatur delectari mea interrogatione: olim enim, puto, negligebatur, qui auxilium per artem suam afferre vellet Eucrati, et vino illum abstinere jubens, et vesci oleribus, et in universum de contentione remittere. Cleodemus ergo subridens, Quid ais, inquit, Tychiade? incredibile tibi videtur quasdam exsistere e talibus utilitates ad morbos? Mihi vero, inquam; nisi omnino pituita plenus mihi sit nasus, ut credam externa et quæ nihil communicent cum internis rebus morbos excitantibus, cum voculis quibusdam, ut dicitis, præstigiisque operari et sanationem, si appendantur, immittere. Enimvero hoc non contigerit, neque si quis in Nemeæi leonis pelle sedecim totas mustelas deliget. Ego enim

εἶδον πολλάκις χωλεύοντα ὑπ' ἀλγηδόνων ἐν ὁλοκλήρῳ τῷ αὐτοῦ δέρματι.

9. Πάνυ γὰρ ἰδιώτης, ἔφη ὁ Δεινόμαχος, εἶ καὶ τὰ τοιαῦτα οὐκ ἐμέλησέ σοι ἐκμαθεῖν ὄντινα τρόπον ὠφελεῖ τοῖς νοσήμασι προσφερόμενα, καί μοι δοκεῖς οὐδὲ τὰ προφανέστατα ἂν παραδέξασθαι ταῦτα, τῶν ἐκ περιόδου πυρετῶν τὰς ἀποπομπὰς καὶ τῶν ἑρπετῶν τὰς καταθέλξεις καὶ βουβώνων ἰάσεις καὶ τἆλλα ὁπόσα καὶ αἱ γρᾶες ἤδη ποιοῦσιν. Εἰ δὲ ἐκεῖνα γίγνεται ἅπαντα, τί δή ποτε οὐχὶ ταῦτα οἱήσῃ γίγνεσθαι ὑπὸ τῶν ὁμοίων; Ἀπέραντα, ἦν δ' ἐγὼ, ξυμπεραίνῃ, ὦ Δεινόμαχε, καὶ ἥλῳ, φασὶν, ἐκκρούεις τὸν ἦλον· οὐδὲ γὰρ ἃ φῂς ταῦτα ὄντα μετὰ τοιαύτης δυνάμεως γιγνόμενα. Ἦν γοῦν μὴ πείσῃς πρότερον ἐπάγων τῷ λόγῳ, διότι φύσιν ἔχει γίγνεσθαι, τοῦ τε πυρετοῦ καὶ τοῦ οἰδήματος δεδιότος ἢ ὄνομα θεσπέσιον ἢ ῥῆσιν βαρβάρικην καὶ διὰ τοῦτο ἐκ τοῦ βουβῶνος δραπετεύοντος, ἔτι σοι γραῶν μῦθοι τὰ λεγόμενά ἐστι.

10. Σύ μοι δοκεῖς, ἦ δ' ὃς ὁ Δεινόμαχος, τὰ τοιαῦτα λέγων οὐδὲ θεοὺς εἶναι πιστεύειν εἴ γε μὴ οἴει τὰς ἰάσεις οἷόν τε εἶναι ὑπὸ ἱερῶν ὀνομάτων γίγνεσθαι. Τοῦτο μὲν, ἦν δ' ἐγὼ, μὴ λέγε, ὦ ἄριστε· κωλύει γὰρ οὐδὲν καὶ θεῶν ὄντων ὅμως τὰ τοιαῦτα ψευδῆ εἶναι. Ἐγὼ δὲ καὶ θεοὺς σέβω καὶ ἰάσεις αὐτῶν ὁρῶ καὶ ἃ εὖ ποιοῦσι τοὺς κάμνοντας ὑπὸ φαρμάκων καὶ ἰατρικῆς ἀνιστάντες· ὁ γοῦν Ἀσκληπιὸς αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ ἤπια φάρμακα πάττοντες ἐθεράπευον τοὺς νοσοῦντας, οὐ λέοντας καὶ μυγαλᾶς περιάπτοντες.

11. Ἔα τοῦτον, ἔφη ὁ Ἴων, ἐγὼ δὲ ὑμῖν θαυμάσιόν τι διηγήσομαι. Ἦν μὲν ἐγὼ μειράκιον ἔτι ἀμφὶ τὰ τετταρακαίδεκα ἔτη σχεδόν· ἦκε δέ τις ἀγγέλλων τῷ πατρὶ Μίδαν τὸν ἀμπελουργὸν, ἐρρωμένον ἐς τὰ ἄλλα οἰκέτην καὶ ἐργατικὸν, ἀμφὶ πλήθουσαν ἀγορὰν ὑπὸ ἐχίδνης δηχθέντα κεῖσθαι ἤδη σεσηπότα τὸ σκέλος· ἀναδοῦντι γὰρ αὐτῷ τὰ κλήματα καὶ ταῖς χάραξι περιπλέκοντι προσερπύσαν τὸ θηρίον δακεῖν κατὰ τὸν μέγαν δάκτυλον, καὶ τὸ μὲν φθάσαι καὶ καταδῦναι αὖθις ἐς τὸν φωλεὸν, τὸν δὲ οἰμώζειν ἀπολλύμενον ὑπ' ἀλγηδόνων. Ταῦτά τε οὖν ἀπηγγέλλετο καὶ τὸν Μίδαν ἐωρῶμεν αὐτὸν ἐπὶ σκίμποδος ὑπὸ τῶν δμοδούλων προσκομιζόμενον, ὅλον ᾠδηκότα, πελιδνὸν, μυδῶντα, τὴν ἐπιφάνειαν ὀλίγον ἔτι ἐμπνέοντα. Ἀελυπημένῳ δὴ τῷ πατρὶ τῶν φίλων τις παρὼν, Θάρρει, ἔφη, ἐγὼ γάρ σοι ἄνδρα Βαβυλώνιον τῶν Χαλδαίων, ὡς φασιν, αὐτίκα μέτειμι, ὃς ἰάσεται τὸν ἄνθρωπον. Καὶ ἵνα μὴ διατρίβω λέγων, ἦκεν ὁ Βαβυλώνιος καὶ ἀνέστησε τὸν Μίδαν ἐπῳδῇ τινι ἐξελάσας τὸν ἰὸν ἐκ τοῦ σώματος, ἔτι καὶ προσαναρτήσας τῷ ποδὶ τεθνηκυίας παρθένου λίθον ἀπὸ τῆς στήλης ἐκκόψας. Καὶ τοῦτο μὲν ἴσως μέτριον· καίτοι ὁ Μίδας αὐτὸς ἀράμενος τὸν σκίμποδα, ἐφ' οὗ ἐκεκόμιστο, ᾤχετο ἐς τὸν ἀγρὸν ἀπιών. Τοσοῦτον ἡ ἐπῳδὴ ἐδυνήθη καὶ ὁ στηλίτης ἐκεῖνος λίθος.

12. Ὁ δὲ καὶ ἄλλα ἐποίησε θεσπέσια ὡς ἀληθῶς· ἐς τὸν ἀγρὸν γὰρ ἐλθὼν ἔωθεν ἐπειπὼν ἱερατικά τινα ἐκ

leonem ipsum sæpe claudicantem præ doloribus in integra sua pelle vidi.

9. Omnino nimirum idiota es, ait Dinomachus, neque talia discere curasti, quemadmodum morbis adhibita, prosint : ac videris mihi ne manifestissima quidem ista recipere, febrium intermittentium depulsiones, et serpentium mulcedines, et tumorum inguinalium sanationes, et reliqua quæ jam vetulæ faciunt. Si vero illa fiunt omnia, quidni et ista putabis fieri a similibus? Ea quæ non consequuntur, inquam, concludis, Dinomache, et clavo, quod aiunt, clavum ejicis : neque enim quæ dicis, ea tali potentia fieri manifestum est. Nisi enim prius eo conversa disputatione persuaseris quomodo fieri ista ex naturali lege possint, metuente febri aut tumore vel divinum nomen vel sermonem barbaricum, et propterea de inguinibus aufugiente; adhuc quæ dicis aniles sunt fabulæ.

10. Videris tu mihi, ait Dinomachus, talia qui dicas, neque deos credere, si quidem non putas fieri posse ut per divina nomina sanationes contingant. Illud quidem, inquam, noli dicere, vir optime : nihil enim prohibet, etiam si sunt dii, tamen talia esse mendacia. Ego vero et colo deos, et curationes illorum video, et quæ bene faciant laborantibus, quos medicamentorum et medicinæ opera restituant. Æsculapius enim ipse ejusque filii medicamentis bonis miscendis sanabant ægrotos, non leonibus mustelisque alligandis.

11. Omitte istum, inquit Ion : ego vero mirabile quiddam vobis enarrabo. Adolescentulus eram circa quattuor et decem fere annos : venit autem aliquis patri nuncians, Midam vinitorem, robustum cetera servum et labori intentum, eo fere tempore quo forum mane frequentari solet, a serpente morsum, jacere jam putrescente crure ! deliganti enim palmites et palis applicanti, adrepentem viperam morsu appetiisse pollicem, ac subito suam rursus cavernam subiisse : illum vero plorare, qui periret doloribus. Hæc igitur nunciabantur : ac Midam videbamus ipsum in grabato afferri a conservis, totum tumoribus inflatum, luridum, putrescentem jam, et, quod oculis cerneres, ægre adhuc spirantem. Tristi autem patri amicorum aliquis, qui forte aderat, Bono es animo, inquit; ego enim tibi Babylonium hominem, de Chaldæis quos vocant, statim arcesso, qui sanabit hominem. Et ne moras narrandi faciam, venit Babylonius; restituit Midam, carmine quodam ejecto de corpore veneno, quum alligasset insuper pedi illius lapidem, quem de columella sepulcrali virginis defunctæ exciderat. Atque hoc fortassis mediocre videatur : quanquam ipse Midas, sublato in quo portatus fuerat grabato, discedens rus abiit. Tantum carmen illud valuit et ille lapis de sepulcro.

12. At ille alia quoque patravit vere divina. In prædium enim quum abiisset, mane, pronunciatis ex veteri libro

βίβλου παλαιᾶς ὀνόματα ἑπτὰ, θείῳ καὶ δᾳδὶ καθαγνίσας τὸν τόπον περιελθὼν ἐς τρὶς, ἐξήλασεν ὅσα ἦν ἑρπετὰ ἐντὸς τῶν ὅρων. Ἦκον οὖν ὥσπερ ἑλκόμενοι πρὸς τὴν ἐπῳδὴν ὄφεις πολλοὶ καὶ ἀσπίδες καὶ ἔχιδναι καὶ κεράσται καὶ ἀκοντίαι φρῦνοί τε καὶ φύσαλοι, ἐλείπετο δὲ εἷς δράκων παλαιὸς ὑπὸ γήρως, οἶμαι, ἐξερπύσαι μὴ δυνάμενος παρακούσας τοῦ προστάγματος· ὁ δὲ μάγος οὐκ ἔφη παρεῖναι ἅπαντας, ἀλλ' ἕνα τινὰ τῶν ὄφεων τὸν νεώτατον χειροτονήσας πρεσβευτὴν ἐπεμψεν ἐπὶ τὸν δράκοντα, καὶ μετὰ μικρὸν ἦκε κἀκεῖνος. Ἐπεὶ δὲ συνηλίσθησαν, ἐνεφύσησε μὲν αὐτὰ ὁ Βαβυλώνιος, τὰ δὲ αὐτίκα μάλα κατεκαύθη ἅπαντα ὑπὸ τῷ φυσήματι, ἡμεῖς δὲ ἐθαυμάζομεν.

13. Εἰπέ μοι, ὦ Ἴων, ἦν δ' ἐγὼ, ὁ ὄφις ὁ πρεσβευτὴς ὁ νέος ἆρα καὶ ἐχειραγώγει τὸν δράκοντα ἤδη, ὡς φῂς, γεγηρακότα, ἢ σκίπωνα ἔχων ἐκεῖνος ἐπεστηρίζετο; Σὺ μὲν παίζεις, ἔφη ὁ Κλεόδημος, ἐγὼ δὲ καὶ αὐτὸς ἀπιστότερος ὢν σου πάλαι τὰ τοιαῦτα — ὤμην γὰρ οὐδενὶ λόγῳ δυνατὸν γίγνεσθαι ἂν αὐτὰ πιστεῦσαι — ὅμως ὅτε τὸ πρῶτον εἶδον πετόμενον τὸν ξένον τὸν βάρβαρον — ἐξ Ὑπερβορέων δὲ ἦν, ὡς ἔφασκεν — ἐπίστευσα καὶ ἐνικήθην ἐπὶ πολὺ ἀντισχών. Τί γὰρ ἔδει ποιεῖν αὐτὸν ὁρῶντα διὰ τοῦ ἀέρος φερόμενον ἡμέρας οὔσης καὶ ἐφ' ὕδατος βαδίζοντα καὶ διὰ πυρὸς διεξιόντα καὶ σχολῇ καὶ βάδην; Σὺ ταῦτα, ἦν δ' ἐγὼ, εἶδες, τὸν Ὑπερβόρεον ἄνδρα πετόμενον ἢ ἐπὶ τοῦ ὕδατος βεβηκότα; Καὶ μάλα, ἦ δ' ὅς, ὑποδεδεμένον γε καρβατίνας, οἷα μάλιστα ἐκεῖνοι ὑποδοῦνται. Τὰ μὲν γὰρ σμικρὰ ταῦτα τί χρὴ καὶ λέγειν, ὅσα ἐπεδείκνυτο ἔρωτας ἐπιπέμπων καὶ δαίμονας ἀνάγων καὶ νεκροὺς ἐώλους ἀνακαλῶν καὶ τὴν Ἑκάτην αὐτὴν ἐναργῆ παριστὰς καὶ τὴν Σελήνην καταισπῶν;

14. Ἐγὼ γοῦν διηγήσομαι ὑμῖν ἃ εἶδον γενόμενα ὑπ' αὐτοῦ ἐν Γλαυκίου τοῦ Ἀλεξικλέους· ἄρτι γὰρ ὁ Γλαυκίας τοῦ πατρὸς ἀποθανόντος παραλαβὼν τὴν οὐσίαν ἠράσθη Χρυσίδος τῆς Δημαινέτου θυγατρὸς, ἐμοὶ δὲ διδασκάλῳ ἐχρῆτο πρὸς τοὺς λόγους, καὶ εἴ γε μὴ ὁ ἔρως ἐκεῖνος ἀπησχόλησεν αὐτὸν, ἅπαντα ἂν ἤδη τὰ τοῦ Περιπάτου ἠπίστατο, ὃς καὶ ὀκτωκαιδεκαέτης ὢν ἀνέλυε καὶ τὴν φυσικὴν ἀκρόασιν μετεληλύθει εἰς τέλος· ἀμηχανῶν δὲ ὅμως τῷ ἔρωτι μηνύει μοι τὸ πᾶν. Ἐγὼ δὲ ὥσπερ εἰκὸς ἦν διδάσκαλον ὄντα, τὸν Ὑπερβόρεον ἐκεῖνον μάγον ἄγω πρὸς αὐτὸν ἐπὶ μναῖς τέτταρσι μὲν τὸ παραυτίκα — ἔδει γὰρ προτελέσαι τι πρὸς τὰς θυσίας — ἑκκαίδεκα δὲ, εἰ τύχοι τῆς Χρυσίδος. Ὁ δὲ αὐξομένην τηρήσας τὴν σελήνην — τότε γὰρ ὡς ἐπὶ τὸ πολὺ τὰ τοιαῦτα τελεσιουργεῖται — βόθρον τε ὀρυξάμενος ἐν αἰθρίῳ τινὶ τῆς οἰκίας περὶ μέσας νύκτας ἀνεκάλεσεν ἡμῖν πρῶτον μὲν τὸν Ἀλεξικλέα τὸν πατέρα τοῦ Γλαυκίου πρὸ ἑπτὰ μηνῶν τεθνεῶτα· ἠγανάκτει δὲ ὁ γέρων ἐπὶ τῷ ἔρωτι καὶ ὠργίζετο, τὰ τελευταῖα δὲ ὅμως ἐφῆκεν αὐτῷ ἐρᾶν. Μετὰ δὲ τὴν Ἑκάτην τε ἀνήγαγεν ἐπαγομένην τὸν Κέρβερον καὶ τὴν Σελήνην κατέσπασε πολύμορφόν τι θέαμα καὶ ἄλλοτε ἀλλοῖόν τι φανταζόμε-

sanctis septem nominibus, loco per sulphur et facem tribus circuitibus lustrato, quotquot intra fines illos fuerant serpentes ejecit. Veniebant igitur velut tracti ad incantationem angues multi et aspides, et viperæ, ac cerastæ, et jaculi, et rubetæ ac bufones: remanserat autem draco unus vetulus, qui præ senio, arbitror, non poterat erepere, ac propterea dicto audiens non fuerat. At magus negabat omnes adesse, atque unum serpentium minimum natu electum legatum misit ad draconem. Et venit paullo post iste etiam. Quum vero congregati essent, afflavit illos Babylonius: at illi confestim ab illo ipso flatu, nobis admirantibus, combusti sunt.

13. Dic mihi, Ion, dicebam ego, serpens ille legatus, junior, numquid manu ducebat draconem jam vetulum, ut dicebas, an ille scipione nixus ingrediebatur? Tu quidem ludis, Cleodemus ait: ego vero et ipse magis etiam quam tu incredulus circa talia quum essem (fieri enim nullo modo posse putabam ut ea crederem), tamen, ut primum volantem vidi peregrinum, barbarum illum (erat autem, ut dicitabat, ex Hyperboreis), credidi, et diu reluctatus tandem sum evictus. Quid enim facerem, qui viderem illum, sudo die, per aerem ferri, super aqua incedere, per ignem transire otiose et gradatim? Tu hæc, inquam ego, vidisti, Hyperboreum hominem volare, aut super aqua incedere? Ego vero, inquit, calceatum quidem crudo corio, ut plerumque illi calceantur. Nam parva illa quid dicere opus est, quæ ostendit immittendis amoribus, dæmonibus ciendis, mortuis veteribus revocandis in vitam, ipsa Hecate manifesto sistenda, ac detrahenda Luna?

14. Quin ego enarrabo vobis quæ vidi ab eo fieri apud Glauciam Alexiclis. Glaucias enim quum patre vix mortuo adiisset hereditatem, amore captus est Chrysidis Demæneti filiæ: me autem philosophiæ tum magistro utebatur; ac nisi amor illum iste detinuisset, omnia jam Peripateticæ scholæ placita didicisset, qui duodeviginti annorum adolescens jam analysi uteretur, et acroamaticos de natura libros ad finem usque pertractasset. Attamen consilii circa suum amorem inops, omnia mihi indicat. Ego vero, quod magistrum decebat, Hyperboreum illum magum ad eum deduco, quattuor in præsens minarum mercede interposita (oportebat enim statim numerare aliquid ad sacrificia), sedecim vero, si frui daretur Chryside. Ille vero plenam quum servasset lunam (tum enim plerumque talia sacra peraguntur), fossa in subdivali domus depressa, circa mediam noctem evocavit nobis primo quidem Alexiclem, patrem Glauciæ, antę menses septem defunctum. Graviter autem ferebat senex amorem, atque irascebatur; denique vero amare illi permisit tamen. Postea autem Hecaten evocavit, quæ Cerberum secum duceret, et Lunam detraxit, multiforme spectaculum, mutantemque præ se speciem fe-

δείξαιτε. Τοιαῦτα γὰρ φῄς, εἰ μὴ πάνυ παρήκουσα τοῦ παραδείγματος.

32. Ἢ τὰς πανοπλίας ἐκείνας τότε ἀναλήψεσθε τὰς τῶν κωμῳδῶν τε καὶ τραγῳδῶν, καὶ ἢν προτεθῇ ὑμῖν ἔξοδος, ἐκεῖνα τὰ κράνη περιθήσεσθε τὰ κεχηνότα, ὡς φοβερώτεροι εἶητε τοῖς ἐναντίοις μορμολυττόμενοι αὐτοὺς, καὶ ὑποδήσεσθε τὰ ὑψηλὰ ἐκεῖνα δηλαδή· φεύγουσί τε γὰρ, ἢν δέῃ, κοῦφα καὶ ἢν διώκητε, ἄφυκτα τοῖς πολεμίοις ἔσται, ὑμῶν οὕτω μεγάλα διαβαινόντων ἐπ' αὐτούς. Ἀλλ' ὅρα μὴ ταῦτα μὲν ὑμῖν τὰ κομψὰ λῆρος ᾖ καὶ παιδιὰ ἄλλως καὶ διατριβαὶ ἀργοῦσι καὶ ῥᾳθυμεῖν ἐθέλουσι τοῖς νεανίσκοις. Εἰ δὲ βούλεσθε πάντως ἐλεύθεροι καὶ εὐδαίμονες εἶναι, ἄλλων ὑμῖν γυμνασίων δεήσει καὶ ἀσκήσεως ἀληθινῆς τῆς ἐν τοῖς ὅπλοις, καὶ ἡ ἅμιλλα οὐ πρὸς ἀλλήλους μετὰ παιδιᾶς, ἀλλὰ πρὸς τοὺς δυσμενεῖς ἔσται μετὰ κινδύνων μελετῶσι τὴν ἀρετήν. Ὥστε ἀφέντες τὴν κόνιν καὶ τὸ ἔλαιον διδάσκετε αὐτοὺς τοξεύειν καὶ ἀκοντίζειν μὴ κοῦφα διδόντες τὰ ἀκόντια καὶ οἷα διαφέρεσθαι πρὸς τὸν ἄνεμον, ἀλλ' ἔστω λόγχη βαρεῖα μετὰ συρισμοῦ ἐλιττομένη καὶ λίθος χειροπληθὴς καὶ σάγαρις καὶ γέρρον ἐν τῇ ἀριστερᾷ καὶ θώραξ καὶ κράνος.

33. Ὡς δὲ νῦν ἔχετε, θεῶν τινος εὐμενείᾳ σώζεσθαί μοι δοκεῖτε, οἳ μηδέπω ἀπολώλατε ὑπό τινων ὀλίγων ψιλῶν ἐπιπεσόντων. Ἰδού γέ τοι ἢν σπασάμενος τὸ μικρὸν τοῦτο ξιφίδιον τὸ παρὰ τὴν ζώνην μόνος ἐπεισπέσω τοῖς νέοις ὑμῶν ἅπασιν, αὐτοβοεὶ ἂν ἔλοιμι τὸ γυμνάσιον φυγόντων ἐκείνων καὶ οὐδενὸς ἀντιβλέπειν τῷ σιδήρῳ τολμῶντος, ἀλλὰ περὶ τοὺς ἀνδριάντας ἂν περιστάμενοι καὶ περὶ τοὺς κίονας κατακρυπτόμενοι γέλωτα ἄν μοι παράσχοιεν δακρύοντες οἱ πολλοὶ καὶ τρέμοντες. Καὶ τότ' ἂν ἴδοις οὐκέτι ἐρυθριῶντας αὐτοὺς τὰ σώματα οἷοι νῦν εἰσιν, ἀλλὰ ὠχροὶ ἅπαντες αὐτίκα γένοιντ' ἂν ὑπὸ τοῦ δέους μεταβαφέντες. Οὕτως ὑμᾶς ἡ εἰρήνη διατέθεικε βαθεῖα οὖσα, ὡς μὴ ἂν ῥᾳδίως ἀνασχέσθαι λόφον ἕνα κράνους πολεμίου ἰδόντας.

34. ΣΟΛ. Οὐ ταῦτα ἔφασαν, ὦ Ἀνάχαρσι, Θρᾳκῶν τε ὅσοι μετ' Εὐμόλπου ἐφ' ἡμᾶς ἐστράτευσαν καὶ αἱ γυναῖκες ὑμῶν αἱ μετὰ Ἱππολύτης ἐλάσασαι ἐπὶ τὴν πόλιν οὐδὲ ἄλλοι ὅσοι ἡμῶν ἐν ὅπλοις ἐπειράθησαν. Ἡμεῖς γὰρ, ὦ μακάριε, οὐκ ἐπείπερ οὕτω γυμνὰ τὰ σώματα ἐκπονοῦμεν τῶν νέων, διὰ τοῦτο καὶ ἄνοπλα ἐξάγομεν ἐπὶ τοὺς κινδύνους, ἀλλ' ἐπειδὰν καθ' αὑτοὺς ἄριστοι γένωνται, ἀσκοῦνται τὸ μετὰ τοῦτο ξὺν τοῖς ὅπλοις, καὶ πολὺ ἄμεινον χρήσαιντ' ἂν αὐτοῖς οὕτω διακείμενοι.

ΑΝΑΧ. Καὶ ποῦ τοῦτο ὑμῖν ἐστι τὸ γυμνάσιον τὸ ἐν τοῖς ὅπλοις; οὐ γὰρ εἶδον ἔγωγε ἐν τῇ πόλει τοιοῦτον οὐδὲν ἅπασαν αὐτὴν ἐν κύκλῳ περιελθών.

ΣΟΛ. Ἀλλὰ ἴδοις ἄν, ὦ Ἀνάχαρσι, ἐπὶ πλέον ἡμῖν συνδιατρίψας, καὶ ὅπλα ἑκάστῳ μάλα πολλὰ, οἷς χρώμεθα ὁπόταν ἀναγκαῖον ᾖ, καὶ λόφους καὶ φάλαρα καὶ ἵππους καὶ ἱππέας σχεδὸν τὸ τέταρτον τῶν πολιτῶν. Τὸ μέντοι ὁπλοφορεῖν ἀεὶ καὶ ἀκινάκην παρεζῶσθαι

paullum sanguinis subostenderitis. Talia enim dicis, nisi plane aberravi a sensu similitudinis.

32. Aut forte illa tunc arma sumetis comœdorum et tragœdorum, et si eruptio vobis proposita sit, galeas illas imponetis hiantes, ut formidabiliores sitis hostibus, quos sic larvati perterreatis; altosque illos induetis calceos nimirum: leves enim, si ita opus sit, fugientibus, et si ipsi persequamini, eos effugere hostes non poterunt, magnos ita gradus vobis in ipsos facientibus. Verum enim vero vide ne illa, quæ ita lepida vobis videntur, nugæ sint et ludus temere susceptus, et occupatio otiosorum ac remittere animum volentium adolescentulorum. Si vero volueritis liberi omnino ac beati esse, aliis vobis gymnasiis opus erit, et exercitatione vera quæ fit sub armis: ac certamen non inter vos cum ludo, sed contra inimicos vobis instituetur, inter pericula virtutem meditantibus. Itaque relicto pulvere atque oleo, sagittare illos docete et jaculari, neu date levia illis jacula et qualia ventis ferantur, sed esto lancea longa, quæ cum sibilo contorta immittatur, et lapis manum implens, et securis, et in sinistra scutum, et thorax, et galea.

33. Ut vero nunc habetis, deorum cujusdam benevolentia servari mihi videmini, qui nondum ab ingruentibus paucis levis armaturæ militibus perieritis. Certe si stricto isto parvo ad zonam gladiolo solus irruam in juvenes illos vestros omnes, ipso primo clamore capiam gymnasium, fugientibus illis et nemine contra intueri ferrum auso; sed circumstantes statuas, et occultati circa columnas, risum mihi lacrimis plerique suis ac trepidatione præbeant. Ac tunc videas illos non, ut nunc, rubentes corporibus, sed pallidi statim fiant omnes, tincti aliter a timore. In eum vos statum longinqua pax adduxit, ut non facile cristam unam hostilis galeæ videre sustineatis.

34. SOL. Non dicebant ista, Anacharsi, Thracum quotquot cum Eumolpo expeditionem contra nos susceperunt, neque illæ vestræ mulieres, quæ Hippolyta duce urbem nostram invasere, neque alii quicumque periculum nostri fecerunt in armis. Nos enim, beate, non quoniam nuda sic juvenum corpora labore subigimus, propterea etiam inermia educimus in pericula: sed ubi pro se sunt optimi, postea exercentur cum armis; quibus sic parati multo jam utantur melius.

ANACH. Et ubi est illud vobis armatorum gymnasium? ego certe tale nihil in urbe vidi, quam undique totam lustraverim.

SOL. Sed videre poteris, Anacharsi, si diutius apud nos moreris, et arma unicuique nostrûm multa, quibus utimur quoties opus est, et cristas, et phaleras, et equos, et equites quartam fere partem civium. Verum arma gestare semper et cinctum esse acinace superfluum in pace putamus;

περιττὸν ἐν εἰρήνῃ οἰόμεθα εἶναι, καὶ πρόστιμόν γ' ἔστιν ὅστις ἐν ἄστει σιδηροφοροίῃ μηδὲν δέον ἢ ὅπλα ἐξενέγκοι εἰς τὸ δημόσιον. Ὑμεῖς δὲ συγγνωστοὶ ἐν ὅπλοις ἀεὶ βιοῦντες· τό τε γὰρ ἐν ἀφράκτῳ οἰκεῖν ῥᾴδιον ἐς ἐπιβουλὴν, καὶ οἱ πολέμιοι μάλα πολλοὶ, καὶ ἄδηλον ὁπότε τις ἐπιστὰς κοιμώμενον κατασπάσας ἀπὸ τῆς ἁμάξης φονεύσειεν· ἥ τε πρὸς ἀλλήλους ἀπιστία, αὐθαιρέτως καὶ μὴ ἐν νόμῳ ξυμπολιτευομένων, ἀναγκαῖον ἀεὶ τὸν σίδηρον ποιεῖ, ὡς πλησίον εἶναι ἀμυνοῦντα, εἴ τις βιάζοιτο.

35. ANAX. Εἶτα, ὦ Σόλων, σιδηροφορεῖν μὲν οὐδενὸς ἀναγκαίου ἕνεκα περιττὸν ὑμῖν δοκεῖ καὶ τῶν ὅπλων φείδεσθε, ὡς μὴ διὰ χειρὸς ὄντα φθείροιτο, ἀλλὰ φυλάττετε ἀποκείμενα ὡς χρησόμενοι τότε τῆς χρείας ἐπιστάσης· τὰ δὲ σώματα τῶν νέων οὐδενὸς δεινοῦ ἐπείγοντος καταπονεῖτε παίοντες καὶ ὑπὸ τῶν ἱδρώτων καταναλίσκοντες, οὐ ταμιευόμενοι πρὸς τὸ ἀναγκαῖον τὰς ἀλκὰς αὐτῶν, ἀλλ' εἰκῇ ἐν τῷ πηλῷ καὶ τῇ κόνει ἐκχέοντες;

ΣΟΛ. Ἔοικας, ὦ Ἀνάχαρσι, τοιόνδε τι δυνάμεως πέρι ἐννοεῖν, ὡς οἴνῳ ἢ ὕδατι ἢ ἄλλῳ τῶν ὑγρῶν ὁμοίαν αὐτὴν οὖσαν· δέδιας οὖν μὴ ὥσπερ ἐξ ἀγγείου κεραμεοῦ λάθῃ διαρρυεῖσα ἐν τοῖς πόνοις, κἄπα ἡμῖν κενὸν καὶ ξηρὸν σῶμα καταλιποῦσα ὑπὸ μηδενὸς ἔνδοθεν ἀναπληρούμενον. Τὸ δὲ οὐχ οὕτως ἔχει σοι, ἀλλ' ὅσῳ τις ἂν αὐτὴν ἐξαντλῇ τοῖς πόνοις, τοσῷδε μᾶλλον ἐπιρρεῖ κατὰ τὸν περὶ τῆς Ὕδρας μῦθον, εἴ τινα ἤκουσας, ὡς ἀντὶ μιᾶς κεφαλῆς τμηθείσης δύ' ἀεὶ ἄλλαι ἀνεφύοντο. Ἢν δὲ ἀγύμναστος ἐξ ἀρχῆς καὶ ἄτονος ᾖ μηδὲ διαρκῇ τὴν ὕλην ἔχῃ ὑποβεβλημένην, τότε ὑπὸ τῶν καμάτων βλάπτοιτο ἂν καὶ καταμαραίνοιτο, οἷόν τι ἐπὶ πυρὸς καὶ λύχνου γίγνεται· ὑπὸ γὰρ τῷ αὐτῷ φυσήματι τὸ μὲν πῦρ ἀνακαύσειας ἂν καὶ μεῖζον ἐν βραχεῖ ποιήσειας παραθήγων τῷ πνεύματι, καὶ τὸ τοῦ λύχνου φῶς ἀποσβέσειας οὐκ ἔχον ἀποχρῶσαν τῆς ὕλης τὴν χορηγίαν, ὡς διαρκῆ εἶναι πρὸς τὸ ἀντιπνέον· οὐ γὰρ ἀπ' ἰσχυρᾶς, οἶμαι, τῆς ῥίζης ἀνεφύετο.

36. ANAX. Ταυτὶ μὲν, ὦ Σόλων, οὐ πάνυ συνίημι· λεπτότερα γὰρ ἢ κατ' ἐμὲ εἴρηκας ἀκριβοῦς τινος φροντίδος καὶ διανοίας ὀξὺ δεδορκυίας δεόμενα· ἐκεῖνο δέ μοι πάντως εἰπὲ, τίνος ἕνεκα οὐχὶ καὶ ἐν τοῖς ἀγῶσι τοῖς Ὀλυμπίασι καὶ Ἰσθμοῖ καὶ Πυθοῖ καὶ τοῖς ἄλλοις, ὁπότε πολλοὶ, ὡς φῄς, συνίασιν ὀψόμενοι τοὺς νέους ἀγωνιουμένους, οὐδέποτε ἐν ὅπλοις ποιεῖσθε τὴν ἅμιλλαν, ἀλλὰ γυμνοὺς ἐς τὸ μέσον παραγαγόντες λακτιζομένους καὶ παιομένους ἐπιδείκνυτε καὶ νικήσασι μῆλα καὶ κότινον δίδοτε; ἄξιον γὰρ εἰδέναι τοῦτό γε, οὕτινος ἕνεκα οὕτω ποιεῖτε.

ΣΟΛ. Ἡγούμεθα γὰρ, ὦ Ἀνάχαρσι, τὴν ἐς τὰ γυμνάσια προθυμίαν οὕτως ἂν πλείω ἐγγενέσθαι αὐτοῖς, εἰ τοὺς ἀριστεύοντας ἐν τούτοις ἴδοιεν τιμωμένους καὶ ἀνακηρυττομένους ἐν μέσοις τοῖς Ἕλλησι. Καὶ διὰ τοῦτο ὡς ἐς τοσούτους ἀποδυσόμενοι εὐεξίας τε ἐπιμελοῦνται, ὡς μὴ αἰσχύνοιντο γυμνωθέντες, καὶ ἀξιονικ pœna sancita est, si quis in urbe gestet ferrum ubi opus non est, aut arma in publicum efferat. Vobis vero ignoscendum quod in armis semper vivitis: quum enim habitetis sine munimentis, expositi estis insidiis; et hostes vobis bene multi; obscurumque, quando aliquis subito astans detractum de plaustro dormientem interficiat. Etiam mutua inter vos diffidentia, quum suo quisque arbitrio, non lege quadam in communione civili vivatis, necessarium semper ferrum facit, ut prope sit quo defendatis, si quis vim inferat.

35. ANACH. Tum vobis, Solon, ferrum quidem sine necessitate gestare superfluum videtur, et armis parcitis, ne, si in manibus sint, perdantur; sed reposita custoditis, ut, quum opus fuerit, utamini: corpora vero juvenum, nullo urgente incommodo, labore subigitis, feriendo et exhauriendo sudoribus, non reponentes ad necessitatem illorum robora, sed temere in luto atque pulvere effundentes?

SOL. Videris, Anacharsi, tale quid cogitare de viribus, quasi vino aut aquæ aut alii liquorum eæ sint similes: metuis ergo ne velut ex fictili vase furtim inter labores effluant, ac deinde inane nobis et aridum corpus relinquentes abeant, quum nihil sit a quo intus suppleatur. At illud non ita se habet: verum quanto quis magis illas laboribus exhauriat, tanto magis affluunt, secundum illam Hydræ fabulam, si quam audisti, ut pro uno abscisso capite duo semper alia succreverint. Si vero ab initio non exerceantur neque contendantur, nec satis ipsis suppeditetur materiæ, tum demum lædantur a laboribus et consumantur; quale quid in igne et lucerna solet fieri. Eodem enim flatu vel accendas ignem et majorem brevi tempore facias, quippe quem spiritu quasi acuas; vel exstinguas flammam lucernæ, quæ non satis materiæ habeat sibi suppeditatum, ut durare adversus vim flatus possit: neque enim hæc firma, opinor, de radice exsistit.

36. ANACH. Ista quidem, Solon, non plane intelligo: subtiliora enim quam pro meo captu dixisti, accurata quadam cogitatione et mente acutum cernente indigentia: illud vero mihi omnino dicito, cur etiam in Olympicis certaminibus, et in Isthmo, et Pythone, et reliquis, quum multi, ut ais, conveniunt visuri juvenes ibi certaturos, non unquam in armis instituitis pugnam, sed nudos in medium producitis, et ut calcibus petantur ac feriantur ostenditis, victoribusque mala datis atque oleam? dignum enim scitu est hoc quidem cur ita faciatis.

SOL. Putamus enim, Anacharsi, majorem ita exercitationum amorem in illis oriturum, si eos, qui primas in his tulerint, ita honorari videant et in mediis Græcis celebrari præconio. Ac propterea ut qui apud hos tot numero exuendi sint, et bono habitu esse studeant, ne pudeat ipsos nudari, et dignissimum se reddit unusquisque victoria.

κότατον ἕκαστος αὐτὸν ἀπεργάζεται. Καὶ τὰ ἆθλα, ὥσπερ ἔμπροσθεν εἶπον, οὐ μικρὰ, ὁ ἔπαινος ὁ παρὰ τῶν θεατῶν καὶ τὸ ἐπισημότατον γενέσθαι καὶ δείκνυσθαι τῷ δακτύλῳ ἄριστον εἶναι τῶν καθ' αὑτὸν δοκοῦντα. Τοιγάρτοι πολλοὶ τῶν θεατῶν, οἷς καθ' ἡλικίαν ἔτι ἡ ἄσκησις, ἀπίασιν οὐ μετρίως ἐκ τῶν τοιούτων ἀρετῆς καὶ πόνων ἐρασθέντες· ὡς εἴ γέ τις, ὦ Ἀνάχαρσι, τὸν τῆς εὐκλείας ἔρωτα ἐκβάλοι ἐκ τοῦ βίου, τί ἂν ἔτι ἀγαθὸν ἡμῖν γένοιτο; ἢ τίς ἄν τι λαμπρὸν ἐργάσασθαι ἐπιθυμήσειε; Νῦν δὲ καὶ ἀπὸ τούτων εἰκάζειν παρέχοιεν ἄν σοι ὁποῖοι ἐν πολέμοις ὑπὲρ πατρίδος καὶ παίδων καὶ γυναικῶν καὶ ἱερῶν γένοιντ' ἂν ὅπλα ἔχοντες οἱ κοτίνου πέρι καὶ μήλων γυμνοὶ τοσαύτην προθυμίαν ἐς τὸ νικᾶν εἰσφερόμενοι.

37. Καίτοι τί ἂν πάθοις, εἰ θεάσαιο καὶ ὀρτύγων καὶ ἀλεκτρυόνων ἀγῶνας παρ' ἡμῖν καὶ σπουδὴν ἐπὶ τούτοις οὐ μικράν; ἢ γελάσῃ δῆλον ὅτι, καὶ μάλιστα ἢν μάθῃς ὡς ὑπὸ νόμῳ αὐτὸ δρῶμεν καὶ προστέταχται πᾶσι τοῖς ἐν ἡλικίᾳ παρεῖναι καὶ ὁρᾶν τὰ ὄρνεα διαπυκτεύοντα μέχρι τῆς ἐσχάτης ἀπαγορεύσεως; Ἀλλ' οὐδὲ τοῦτο γελοῖον· ὑποδύεται γάρ τις ἠρέμα ταῖς ψυχαῖς ὁρμὴ ἐς τοὺς κινδύνους, ὡς μὴ ἀγεννέστεροι καὶ ἀτολμότεροι φαίνοιντο τῶν ἀλεκτρυόνων μηδὲ προαπαγορεύοιεν ὑπὸ τραυμάτων ἢ καμάτων ἤ του ἄλλου δυσχεροῦς. Τὸ δὲ δὴ ἐν ὅπλοις πειρᾶσθαι αὐτῶν καὶ ὁρᾶν τιτρωσκομένους ἄπαγε· θηριῶδες γὰρ καὶ δεινῶς σκαιὸν καὶ προσέτι γε ἀλυσιτελὲς ἀποσφάττειν τοὺς ἀρίστους καὶ οἷς ἄν τις ἄμεινον χρήσαιτο κατὰ τῶν δυσμενῶν.

38. Ἐπεὶ δὲ φῂς, ὦ Ἀνάχαρσι, καὶ τὴν ἄλλην Ἑλλάδα ἐπελεύσεσθαι, μέμνησο ἢν ποτε καὶ ἐς Λακεδαίμονα ἔλθῃς, μὴ καταγελάσαι μηδὲ ἐκείνων μηδὲ οἴεσθαι μάτην πονεῖν αὐτοὺς, ὁπόταν ἢ σφαίρας πέρι ἐν τῷ θεάτρῳ συμπεσόντες παίωσιν ἀλλήλους ἢ ἐς χωρίον ἐσελθόντες ὕδατι περιγεγραμμένον ἐς φάλαγγα διαστάντες τὰ πολεμίων ἀλλήλους ἐργάζωνται γυμνοὶ καὶ αὐτοὶ, ἄχρι ἂν ἐκβάλωσι τοῦ περιγράμματος τὸ ἕτερον σύνταγμα οἱ ἕτεροι, τοὺς κατὰ Λυκοῦργον οἱ καθ' Ἡρακλέα ἢ ἔμπαλιν, συνωθοῦντες ἐς τὸ ὕδωρ· τὸ γὰρ ἀπὸ τούτου εἰρήνη λοιπὸν καὶ οὐδεὶς ἂν ἔτι παίσειε· μάλιστα δὲ ἢν ὁρᾷς μαστιγουμένους αὐτοὺς ἐπὶ τῷ βωμῷ καὶ αἵματι ῥεομένους, πατέρας δὲ καὶ μητέρας παρεστώσας οὐχ ὅπως ἀνιωμένας ἐπὶ τοῖς γιγνομένοις, ἀλλὰ καὶ ἀπειλούσας, εἰ μὴ ἀντέχοιεν πρὸς τὰς πληγὰς, καὶ ἱκετευούσας ἐπὶ μήκιστον διαρκέσαι πρὸς τὸν πόνον καὶ ἐγκαρτερῆσαι τοῖς δεινοῖς. Πολλοὶ γοῦν καὶ ἐναπέθανον τῷ ἀγῶνι μὴ ἀξιώσαντες ἀπαγορεῦσαι ζῶντες ἔτι ἐν ὀφθαλμοῖς τῶν οἰκείων μηδὲ εἶξαι τοῖς σώμασιν, ὧν καὶ τοὺς ἀνδριάντας ὄψει τιμωμένους δημοσίᾳ ὑπὸ τῆς Σπάρτης ἀνασταθέντας. Ὅταν τοίνυν ὁρᾷς κἀκεῖνα, μήτε μαίνεσθαι ὑπολάβῃς αὐτοὺς μήτε εἶπῃς, ὡς οὐδεμιᾶς ἕνεκα αἰτίας ἀναγκαίας ταλαιπωροῦσι μήτε τυράννου βιαζομένου μήτε πολεμίων διατιθέντων· εἶποι γὰρ ἄν σοι καὶ ὑπὲρ ἐκείνων Λυκοῦργος

Præmia vero, ut ante dicebam, non parva; laus a spectatoribus, et quod maxime sit insignis, et digito monstretur, tanquam æqualium suorum præstantissimus. Proinde multi spectatorum, quibus tempestiva adhuc propter ætatem exercitatio, discedunt non mediocri ab hisce virtutis ac laborum amore inflammati. Nam si quis, Anacharsi, bonæ famæ amorem e vita expulerit, quid jam boni nobis contingat? aut quis splendidum quiddam cupiat perficere? Jam vero ex his quoque conjiciendum tibi præbuerint, quales sint in bellis pro patria, et liberis, et uxoribus, et sacris, armati, qui pro olea et malis, nudi, tantam vincendi cupiditatem afferant.

37. Verum quid tibi animi fuerit, si coturnicum et gallorum apud nos pugnas videris et studium ea in re magnum? Ridebis nimirum, præsertim si audias ex lege nos istuc facere, et imperatum esse adultis omnibus adesse et videre aves ad ultimam usque animi defectionem pugnantes. Sed neque hoc ridiculum: subit enim sensim aliquis in animos ad pericula impetus, ne ignaviores videantur et minus audaces gallis, nec prius quam illi deficiant ipsi a vulneribus aut laboribus, aut difficultate quacumque alia. At in armis tentari illos, et videri vulnerari, apage: belluinum enim et plane sinistrum, atque insuper inutile, interficere optimos, quibus melius aliquis utatur adversus inimicos.

38. Quoniam vero dicis, Anacharsi, te reliquam etiam Græciam peragraturum, memento, quando Lacedæmonem veneris, ne derideas illos, neu putes eos frustra laborare, quum aut de pila in theatro certantes impetu facto alteri alteros cædunt; aut ingressi in locum aqua circumdatum, divisique in suam quisque phalangem, hostiliter, nudi et ipsi, se mutuo invadunt, donec circumscripto illo loco alterum agmen alteri ejiciant, Lycurgi puta factionem Herculani, aut contra, detrudentes in aquam; hoc enim facto pax ceterum, neque quisquam alterum percusserit: maxime vero si videas, quum flagris cæduntur ad altare, et sanguine fluunt, patres vero aut matres astantes adeo indigne quæ aguntur non ferunt, ut etiam minentur, si non durent ad plagas, atque illis supplicent ut quam longissime ferant molestiam et mala tolerent. Multi adeo huic certamini immortui sunt, quum nollent se victos fateri, dum vita superesset, in oculis suorum, neque cedere corpore: quorum etiam statuas videbis honorari publice, a Spartanorum republica positas. Proinde etiam ista quum videbis, noli putare illos furere, neu dicito nulla idonea causa illos ærumnas sustinere, neque tyranno cogente, neque hostibus illam necessitatem imponentibus. Dicat enim pro illis etiam Lycurgus illorum legislator multa rationabilia, quid-

ὁ νομοθέτης αὐτῶν πολλὰ τὰ εὔλογα καὶ ἃ συνιδὼν κολάζει αὐτοὺς, οὐκ ἐχθρὸς ὢν οὐδὲ ὑπὸ μίσους αὐτὸ ὁρῶν οὐδὲ τὴν νεολαίαν τῆς πόλεως εἰκῇ παραναλίσκων, ἀλλὰ χαρτερικωτάτους καὶ παντὸς δεινοῦ κρείττονας ἀξιῶν εἶναι τοὺς σώζειν μέλλοντας τὴν πατρίδα. Καίτοι κἂν μὴ ὁ Λυκοῦργος εἴπῃ, ἐννοεῖς, οἶμαι, καὶ αὐτὸς ὡς οὐκ ἄν ποτε ληφθεὶς ὁ τοιοῦτος ἐν πολέμῳ ἀπόρρητόν τι ἐξείποι τῆς Σπάρτης αἰκιζομένων τῶν ἐχθρῶν, ἀλλὰ καταγελῶν αὐτῶν μαστιγοῖτο ἂν ἀμιλλώμενος πρὸς τὸν παίοντα, ὡς πρότερος ἀπαγορεύσειεν.

39. ΑΝΑΧ. Ὁ Λυκοῦργος δὲ καὶ αὐτὸς, ὦ Σόλων, ἐμαστιγοῦτο ἐφ' ἡλικίας, ἢ ἐκπρόθεσμος ὢν ἤδη τοῦ ἀγῶνος ἀσφαλῶς τὰ τοιαῦτα ἐνεανιεύσατο;

ΣΟΛ. Πρεσβύτης ἤδη ὢν ἔγραψε τοὺς νόμους αὐτοῖς Κρήτηθεν ἀφικόμενος· ἀποδεδημήκει δὲ παρὰ τοὺς Κρῆτας, ὅτι ἤκουεν εὐνομωτάτους εἶναι, Μίνωος τοῦ Διὸς νομοθετήσαντος ἐν αὐτοῖς.

ΑΝΑΧ. Τί οὖν, ὦ Σόλων, οὐχὶ καὶ σὺ ἐμιμήσω Λυκοῦργον καὶ μαστιγοῖς τοὺς νέους; καλὰ γὰρ καὶ ταῦτα καὶ ἄξια ὑμῶν ἐστιν.

ΣΟΛ. Ὅτι ἡμῖν ἱκανὰ, ὦ Ἀνάχαρσι, ταῦτα τὰ γυμνάσια οἰκεῖα ὄντα· ζηλοῦν δὲ τὰ ξενικὰ οὐ πάνυ ἀξιοῦμεν.

ΑΝΑΧ. Οὐκ, ἀλλὰ συνίης, οἶμαι, οἷόν τί ἐστι μαστιγοῦσθαι γυμνὸν ἄνω τὰς χεῖρας ἐπαίροντα μηδενὸς ἕνεκα ὠφελίμου ἢ αὐτῷ ἑκάστῳ ἢ κοινῇ τῇ πόλει. Ὡς ἔγωγε ἤν ποτε ἐπιδημήσω τῇ Σπάρτῃ, καθ' ὃν καιρὸν ταῦτα δρῶσι, δοκῶ μοι τάχιστα καταλευσθήσεσθαι δημοσίᾳ πρὸς αὐτῶν, ἐπιγελῶν ἑκάστοις, ὁπόταν ὁρῶ τυπτομένους καθάπερ κλέπτας ἢ λωποδύτας ἤ τι ἄλλο τοιοῦτον ἐργασαμένους. Ἀτεχνῶς γὰρ ἐλλεβόρου δεῖσθαί μοι δοκεῖ ἡ πόλις αὐτῶν οὕτω καταγέλαστα ὑφ' αὑτῆς πάσχουσα.

40. ΣΟΛ. Μὴ ἐρήμην, ὦ γενναῖε, μηδὲ τῶν ἀνδρῶν ἀπόντων μόνος αὐτὸς λέγων οἷου κρατεῖν· ἔσται γάρ τις ὁ καὶ ὑπὲρ ἐκείνων σοι τὰ εἰκότα ἐν Σπάρτῃ ἀντερῶν. Πλὴν ἀλλ' ἐπείπερ ἐγὼ τὰ ἡμέτερά σοι διεξελήλυθα, σὺ δὲ οὐ πάνυ ἀρεσκομένῳ αὐτοῖς ἔοικας, οὐκ ἄδικα αἰτήσειν ἔοικα παρὰ σοῦ ὡς καὶ αὐτὸς ἐν τῷ μέρει διεξέλθῃς πρός με ὃν τρόπον ὑμεῖς οἱ Σκύθαι διασκεῖτε τοὺς νέους τοὺς παρ' ὑμῖν καὶ οἵστισι γυμνασίοις ἀνατρέφετε καὶ ὅπως ὑμῖν ἄνδρες ἀγαθοὶ γίγνονται.

ΑΝΑΧ. Δικαιότατα μὲν οὖν, ὦ Σόλων, καὶ ἐγωγε διηγήσομαι τὰ Σκυθῶν νόμιμα, οὐ σεμνὰ ἴσως οὐδὲ καθ' ὑμᾶς, οἵ γε οὐδὲ κατὰ κόρρης παταχθῆναι τολμήσαιμεν ἂν μίαν πληγήν· δειλοὶ γάρ ἐσμεν· ἀλλὰ εἰρήσεταί γε ὁποῖα ἂν ᾖ. Ἐς αὔριον μέντοι, εἰ δοκεῖ, ὑπερβαλώμεθα τὴν συνουσίαν, ὡς ἅ τε αὐτὸς ἔφης ἔτι μᾶλλον ἐννοήσαιμι καθ' ἡσυχίαν ἅ τε χρὴ εἰπεῖν συναγάγοιμι τῇ μνήμῃ ἐπελθών. Τὸ δὲ νῦν ἔχον ἀπίωμεν ἐπὶ τούτοις, ἑσπέρα γὰρ ἤδη.

que spectans illos ita castiget, qui non ut hostis, neque odio illud faciat, nec qui sobolem civitatis ita consumere velit temere, sed quod postulet ut patientissimi et malo omni superiores sint qui servaturi sint patriam. Quanquam, etsi non dicat Lycurgus, ipse, puto, intelligis, quam non unquam captus in bello talis arcanum quoddam Spartæ enunciaturus sit, hostibus ipsum torquentibus, sed deridentem illos, ita flagellandum se præbiturum, ut certet cum feriente, quo prior ille fatigetur.

39. ANACH. Utrum vero ipse quoque, mi Solon, Lycurgus, juvenis quum esset, pulsabatur, an egressus jam ætatem certaminis illius propriam, secure talia juvenili velut petulantia constituit?

SOL. Senex jam erat quum has illis leges scriberet, e Creta redux: eo autem peregrinatum abierat ad Cretenses, quod optimis illos legibus florere audierat, quarum Minos Jovis filius conditor fuerit.

ANACH. Cur igitur non tu quoque, Solon, imitaris Lycurgum, et flagellas adolescentulos? pulchra enim ista quoque et vobis digna.

SOL. Quod istæ nobis, Anacharsi, sufficiunt exercitationes, domesticæ quæ sint: peregrina autem æmulari non sane dignum nobis putamus.

ANACH. Non hac de causa, verum intelligis, opinor, quid sit flagellis cædi nudum, manibus in altum protensis, nullius bonæ rei causa, quæ vel ad unumquemque singulatim, vel communiter ad civitatem perveniat. Igitur si quando peregriner Spartæ equidem, quo tempore ista faciunt, metuo ne statim publice lapidibus ab iis obruar, ridens ad singula, ubi videro pulsari illos tanquam fures, aut grassatores, aut qui aliud ex eo genere fecerint. Omnino enim helleboro mihi indigere eorum videtur civitas, quæ tam ridicula fieri in se publice patiatur.

40. SOL. Ne puta, o generose, te desertam litem, vel absentibus viris, dum solus dicis, victurum: erit enim Spartæ quoque qui pro istis ea quæ par est tibi respondeat. Verum quandoquidem ego nostra tibi enarravi, tu autem non satis illa probare videris, nihil injusti ego abs te petiturum me arbitror, ut tu etiam vicissim enarres mihi, quo modo vos Scythæ juvenes vestros, quibusque in exercitationibus educetis, et quomodo honesti apud vos viri fiant.

ANACH. Justissime tu quidem istuc, Solon: et enarrabo tibi Scytharum legitima, non ita splendida fortasse, neque vestris similia, qui neque alapam mala unam excipere audeamus, meticulosi homines; sed dicetur tamen, qualia sint. Verum in crastinum, si videtur, differamus disputationem, ut et quæ ipse dixisti magis adhuc silentio perpendam, et quæ dicenda sint, memoria percurrens cogitem. Nunc autem ut res est, his ita dictis abeamus: jam enim est vespera.

L.

ΠΕΡΙ ΠΕΝΘΟΥΣ.

1. Ἄξιόν γε παρατηρεῖν τὰ ὑπὸ τῶν πολλῶν ἐν τοῖς πένθεσι γιγνόμενα καὶ λεγόμενα καὶ τὰ ὑπὸ τῶν παραμυθουμένων δῆθεν αὐτοὺς αὖθις αὖ λεγόμενα, καὶ ὡς ἀφόρητα ἡγοῦνται τὰ συμβαίνοντα σφίσι τε αὐτοῖς οἱ ὀδυρόμενοι καὶ ἐκείνοις οἷς ὀδύρονται, οὐ μὰ τὸν Πλούτωνα καὶ Φερσεφόνην, κατ' οὐδὲν ἐπιστάμενοι σαφῶς οὔτε εἰ πονηρὰ ταῦτα καὶ λύπης ἄξια ἢ τοὐναντίον ἡδέα καὶ βελτίω τοῖς παθοῦσι, νόμῳ δὲ καὶ ξυνηθείᾳ τὴν λύπην ἐπιτρέποντες. Ἐπειδάν τοίνυν ἀποθάνῃ τις, οὕτω ποιοῦσι — μᾶλλον δὲ πρότερον εἰπεῖν βούλομαι ἅστινας περὶ αὐτοῦ τοῦ θανάτου δόξας ἔχουσιν· οὕτω γὰρ ἔσται φανερὸν, οὗτινος ἕνεκα τὰ περιττὰ ἐκεῖνα ἐπιτηδεύουσιν.

2. Ὁ μὲν δὴ πολὺς ὅμιλος, οὓς ἰδιώτας οἱ σοφοὶ καλοῦσιν, Ὁμήρῳ τε καὶ Ἡσιόδῳ καὶ τοῖς ἄλλοις μυθοποιοῖς περὶ τούτων πειθόμενοι καὶ νόμον θέμενοι τὴν ποίησιν αὐτῶν τόπον τινὰ ὑπὸ τῇ γῇ βαθὺν Ἅδην ὑπειλήφασι, μέγαν δὲ καὶ πολύχωρον τοῦτον εἶναι καὶ ζοφερὸν καὶ ἀνήλιον οὐκ οἶδ' ὅπως αὐτοῖς φωτίζεσθαι δοκοῦντα πρὸς τὸ καὶ καθορᾶν τῶν ἐνόντων ἕκαστον· βασιλεύειν δὲ τοῦ χάσματος ἀδελφὸν τοῦ Διὸς Πλούτωνα κεκλημένον, ὥς μοι τῶν τὰ τοιαῦτα δεινῶν τις ἔλεγε, διὰ τὸ πλουτεῖν τοῖς νεκροῖς τῇ προσηγορίᾳ τετιμημένον. Τοῦτον δὲ τὸν Πλούτωνα τὴν παρ' αὐτῷ πολιτείαν καὶ τὸν κάτω βίον καταστήσασθαι τοιοῦτον· κεκληρῶσθαι μὲν γὰρ αὐτὸν ἄρχειν τῶν ἀποθανόντων, καταδεξάμενον δὲ αὐτοὺς καὶ παραλαβόντα κατέχειν δεσμοῖς ἀφύκτοις, οὐδενὶ τὸ παράπαν τῆς ἄνω ὁδοῦ ὑφιέμενον πλὴν ἐξ ἅπαντος τοῦ αἰῶνος πάνυ ὀλίγων ἐπὶ μεγίσταις αἰτίαις.

3. Περιρρεῖσθαι δὲ τὴν χώραν αὐτοῦ ποταμοῖς μεγάλοις τε καὶ φοβεροῖς κἀκ μόνων τῶν ὀνομάτων· Κωκυτοὶ γὰρ καὶ Πυριφλεγέθοντες καὶ τὰ τοιαῦτα κέκληνται. Τὸ δὲ μέγιστον, ἡ Ἀχερουσία λίμνη πρόκειται πρώτη δεχομένη τοὺς ἀπαντῶντας, ἣν οὐκ ἔνι διαπλεῦσαι ἢ παρελθεῖν ἄνευ τοῦ πορθμέως· βαθεῖα γὰρ περᾶσαι τοῖς ποσὶ καὶ διανήξασθαι πολλὴ, καὶ ὅλως οὐκ ἂν αὐτὴν διαπταίη οὐδὲ τὰ νεκρὰ τῶν ὀρνέων.

4. Πρὸς δὲ αὐτῇ τῇ καθόδῳ καὶ πύλῃ οὔσῃ ἀδαμαντίνῃ ἀδελφιδοῦς τοῦ βασιλέως Αἰακὸς ἕστηκε τὴν φρουρὰν ἐπιτετραμμένος καὶ παρ' αὐτῷ κύων τρικέφαλος μάλα κάρχαρος, τοὺς μὲν ἐσαφικνουμένους φίλιόν τι καὶ εἰρηνικὸν προσβλέπων, τοὺς δὲ πειρῶντας ἀποδιδράσκειν ὑλακτῶν καὶ τῷ χάσματι δεδιττόμενος.

5. Περαιωθέντας δὲ τὴν λίμνην ἐς τὸ ἔσω λειμὼν ὑποδέχεται μέγας τῷ ἀσφοδέλῳ κατάφυτος καὶ ποτὸν μνήμης πολέμιον· Λήθης γοῦν διὰ τοῦτο ὠνόμασται. Ταῦτα γὰρ ἀμέλει διηγήσαντο τοῖς πάλαι ἐκεῖθεν ἀφιγμένοι Ἄλκηστίς τε καὶ Πρωτεσίλεως οἱ Θετταλοὶ καὶ Θησεὺς ὁ τοῦ Αἰγέως καὶ ὁ τοῦ Ὁμήρου Ὀδυσσεὺς, μάλα σεμνοὶ καὶ ἀξιόπιστοι μάρτυρες, ἐμοὶ δοκεῖν, οὐ πιόντες τῆς πηγῆς· οὐ γὰρ ἂν ἐμέμνηντο αὐτῶν.

L.

DE LUCTU.

1. Operæ pretium sane fuerit observare quæ a vulgo fiunt in luctu ac dicuntur, quæque vicissim ab his qui consolantur scilicet istos, dicuntur; et ut intolerabilia lamentantes putant tum quæ sibi eveniunt ipsis, tum quæ illis quorum vicem dolent: non illi, per Plutonem ac Proserpinam! nulla ex parte scientes dilucide, nec, sintne mala ista ac dolore digna, neque an contra ea læta sint ac meliora his quibus eveniunt; sed institutis et consuetudini illum dolorem suum condonantes. Quum igitur mortuus fuerit aliquis, sic faciunt — quin illud prius volo dicere, de morte ipsa quas habeant sententias: sic enim apparebit cujus rei causa in supervacuis illis elaborent.

2. Vulgus igitur promiscuum, quos idiotas appellant docti, Homero, Hesiodo et fabularum auctoribus ceteris fidem de his qui habeant et legem sibi statuant illorum fictionem, locum quendam sub terra profundum esse putant inferos, eumque magnum et spatiosum esse, et tenebricosum ac sole carentem; eundem tamen nescio qua ratione illustrem in tantum, ut quæ in eo sint conspici possint omnia. Imperare autem in magno illo hiatu fratrem Jovis, Plutonem *sive Ditem* nomine, qua quidem appellatione (ut aliquis mihi talium peritissimus retulit) ideo cohonestatus est, quod dives sit mortuis. Hunc porro Ditem suæ civitatis et vitæ illius apud inferos hæc habere instituta: nam sorte ipsi obtigisse mortuorum imperium, quos ille receptos atque assumtos vinculis contineat, quæ effugere nemo possit, neque ulli omnino ad supera redeundi facultatem tribuat, nisi ob maximas causas quibusdam ab omni ævo paucissimis.

3. Circumfluere autem ipsius regionem fluviis magnis et terrorem vel ipso nomine injicientibus; Cocyti enim [*ploratus*] et Pyriphlegethontes [*ignicremi*] et similiter appellantur. Quod vero maximum, Acherusia palus objacet, prima excipiens venientes, quam trajicere non licet nec præterire sine portitore; quum profundior sit quam ut pedibus transiri possit, et latior quam ut natatu trajicias; adeo ut neque volucres mortui eam transvolare possint.

4. Ad ipsum porro descensum et portam, quæ adamantina est, Æacus stat fratre regis genitus, cui custodia illius credita, et prope illum triceps canis, asperrimus, qui advenientes quidem amico vultu et pacato aspiciat, fugere autem si qui conentur, latratu atque rictu terreat.

5. Hunc qui lacum superarunt, eos intus pratum suscipit magnum, consitum asphodelo et potus expugnator memoriæ; Lethes enim [*oblivionis*] potus propter hoc ipsum appellatus est. Hæc nimirum narrarunt antiquis qui inde redierunt, Alcestis atque Protesilaus, Thessali, et Ægei Theseus filius, et Homericus Ulysses, graves et fide digni testes, ut mihi videtur, qui de fonte illo non biberint; neque enim alias memoriam eorum retinuissent.

6. Ὁ μὲν οὖν Πλούτων, ὡς ἐκεῖνοι ἔφασαν, καὶ ἡ Φερσεφόνη δυναστεύουσι καὶ τὴν τῶν ὅλων δεσποτείαν ἔχουσιν· ὑπηρετοῦσι δ' αὐτοῖς καὶ τὴν ἀρχὴν συνδιαπράττουσιν ὄχλος πολὺς Ἐρινύες τε καὶ Ποιναὶ καὶ Φόβοι καὶ ὁ Ἑρμῆς, οὗτος μέν γε οὐκ ἀεὶ συμπαρών.

6. Dis ergo, ut illi dixerunt, et Proserpina imperant, atque in dominio habent omnia; ministrant vero illis et imperium una exercent turba multa, Furiæ, Pœnæ, Terrores, et Mercurius; hic quidem non semper ibi præsens.

7. Ὕπαρχοι δὲ καὶ σατράπαι καὶ δικασταὶ κάθηνται δύο, Μίνως τε καὶ Ῥαδάμανθυς οἱ Κρῆτες, ὄντες υἱοὶ τοῦ Διός. Οὗτοι δὲ τοὺς μὲν ἀγαθοὺς τῶν ἀνδρῶν καὶ δικαίους καὶ κατ' ἀρετὴν βεβιωκότας, ἐπειδὰν συναλισθῶσι πολλοί, καθάπερ ἐς ἀποικίαν τινὰ πέμπουσιν ἐς τὸ Ἠλύσιον πεδίον τῷ ἀρίστῳ βίῳ συνεσομένους.

7. Magistratus vero et satrapæ et judices sedent duo, Minos ac Rhadamanthus, Cretenses et filii Jovis. Hi vero bonos quidem viros et justos et qui cum virtute vixere, ubi plures convenerunt, tanquam in coloniam quandam mittunt in campum Elysium, ubi vitam agant beatissimam.

8. Ἂν δέ τινας τῶν πονηρῶν λάβωσι, ταῖς Ἐρινύσι παραδόντες ἐς τὸν τῶν ἀσεβῶν χῶρον ἐσπέμπουσι κατὰ λόγον τῆς ἀδικίας κολασθησομένους. Ἔνθα δὴ τί κακῶν οὐ πάσχουσι στρεβλούμενοί τε καὶ καόμενοι καὶ ὑπὸ γυπῶν ἐσθιόμενοι καὶ τροχῷ συμπεριφερόμενοι καὶ λίθους ἀνακυλίοντες; ὁ μὲν γὰρ Τάνταλος ἐπ' αὐτῇ τῇ λίμνῃ αὖος ἕστηκε κινδυνεύων ὑπὸ τοῦ δίψους ὁ κακοδαίμων ἀποθανεῖν.

8. Si quos vero malos deprehendant, traditos Furiis in impiorum locum mittunt, pro portione suæ injustitiæ puniendos. Ibi vero quid non malorum patiuntur, torti, ustulati, carpti a vulturibus, in rota circumacti, saxa in arduum volventes? quin Tantalus, ad ipsum stans lacum siccus, siti inori miser metuit.

9. Οἱ δὲ τοῦ μέσου βίου, πολλοὶ ὄντες οὗτοι, ἐν τῷ λειμῶνι πλανῶνται ἄνευ τῶν σωμάτων σκιαὶ γενόμενοι καὶ ὑπὸ τῇ ἀφῇ καθάπερ καπνὸς ἀφανιζόμενοι. Τρέφονται δὲ ἄρα ταῖς παρ' ἡμῶν χοαῖς καὶ τοῖς καθαγιζομένοις ἐπὶ τῶν τάφων· ὡς εἴ τῳ μὴ εἴη καταλελειμμένος ὑπὲρ γῆς φίλος ἢ συγγενὴς, ἄσιτος οὗτος νεκρὸς καὶ λιμώττων ἐν αὐτοῖς πολιτεύεται.

9. Sed mediæ qui fuere vitæ homines, magnus sane numerus, per pratum oberrant sine corporibus, umbræ facti, quique sub ipso tactu fumi instar evanescant. Nutriuntur autem hi libaminibus nostris et inferiis, quas tumulis illorum mittimus. Itaque si cui non sit relictus supra terram amicus aut cognatus, ille esurit mortuus, et fame cruciatus inter illos vitam agit.

10. Ταῦτα οὕτως ἰσχυρῶς περιελήλυθε τοὺς πολλοὺς, ὥστε ἐπειδάν τις ἀποθάνῃ τῶν οἰκείων, πρῶτα μὲν φέροντες ὀβολὸν ἐς τὸ στόμα κατέθηκαν αὐτῷ, μισθὸν τῷ πορθμεῖ τῆς ναυτιλίας γενησόμενον, οὐ πρότερον ἐξετάσαντες ὁποῖον τὸ νόμισμα νομίζεται καὶ διαχωρεῖ παρὰ τοῖς κάτω, καὶ εἰ δύναται παρ' ἐκείνοις Ἀττικὸς ἢ Μακεδονικὸς ἢ Αἰγιναῖος ὀβολὸς, οὐδ' ὅτι πολὺ κάλλιον ἦν μὴ ἔχειν τὰ πορθμεῖα καταβαλεῖν· οὕτω γὰρ ἂν οὐ παραδεξαμένου τοῦ πορθμέως ἀναπόμπιμοι πάλιν ἐς τὸν βίον ἀφικνοῦντο.

10. Hæc firmiter adeo occuparunt vulgus, ut si quis moriatur familiarium, primo quidem obolum in os illi imponant, mercedem futuram portitori trajectus, non explorato prius quod numi genus lege receptum sit et commeet apud inferos, ac valeatne apud illos Atticus, an Macedonicus, an Æginetieus obolus; neque illud cogitant, multo esse melius si qui pro vectura solvere non possint : sic enim portitore non admittente rejecti in vitam rursus redirent.

11. Μετὰ ταῦτα δὲ λούσαντες αὐτοὺς, ὡς οὐχ ἱκανῆς τῆς κάτω λίμνης λουτρὸν εἶναι τοῖς ἐκεῖ, καὶ μύρῳ τῷ καλλίστῳ χρίσαντες τὸ σῶμα πρὸς δυσωδίαν ἤδη βιαζόμενον καὶ στεφανώσαντες τοῖς ὡραίοις ἄνθεσι προτίθενται λαμπρῶς ἀμφιέσαντες, ἵνα μὴ ῥιγῷεν δῆλον ὅτι παρὰ τὴν ὁδὸν μηδὲ γυμνοὶ βλέποιντο τῷ Κερβέρῳ.

11. Postea vero quum abluerunt illos (quasi non sufficeret pro lavacro infernus iste lacus his qui ibi sunt) et unguento optimo unxerunt proclive jam ad fœtorem corpus, et floribus illud tempestivis coronarunt, splendide vestitum proponunt, ne videlicet in via frigeant, vel nudi conspiciantur a Cerbero.

12. Οἰμωγαὶ δὲ ἐπὶ τούτοις καὶ κωκυτὸς γυναικῶν καὶ παρὰ πάντων δάκρυα καὶ στέρνα τυπτόμενα καὶ σπαραττομένη κόμη καὶ φοινισσόμεναι παρειαί· καί που καὶ ἐσθὴς καταρρήγνυται καὶ κόνις ἐπὶ τῇ κεφαλῇ πάττεται καὶ οἱ ζῶντες οἰκτρότεροι τοῦ νεκροῦ· οἱ μὲν γὰρ χαμαὶ κυλινδοῦνται πολλάκις καὶ τὰς κεφαλὰς ἀράττουσι πρὸς τὸ ἔδαφος, ὁ δὲ εὐσχήμων καὶ καλὸς καὶ καθ' ὑπερβολὴν ἐστεφανωμένος ὑψηλὸς πρόκειται καὶ μετέωρος ὥσπερ ἐς πομπὴν κεκοσμημένος.

12. Inter hæc ploratus, et fletus mulierum, et lacrimæ ab omnibus, et planctus pectorum, et laceratæ comæ, et genæ cruentatæ : alicubi vestis etiam laceratur, et pulvis inspergitur capiti, et miseriores vivi mortuo. Nam illi quidem humi sæpe volvuntur, et capita allidunt solo : at iste decorus et pulcher et ultra modum coronatus, sublimis proponitur et elatus, ornatus quasi ad pompam.

13. Εἶθ' ἡ μήτηρ ἢ καὶ νὴ Δία ὁ πατὴρ ἐκ μέσων τῶν συγγενῶν προελθὼν καὶ περιχυθεὶς αὐτῷ — προκείσθω γάρ τις νέος καὶ καλὸς, ἵνα καὶ ἀκμαιότερον τὸ

13. Tum mater vel, per Jovem, ipse pater, de medio cognatorum agmine progressus, eumque complexus (propositum enim fingamus juvenem et pulchrum aliquem, ut ma-

ἐπ' αὐτῷ δρᾶμα ᾖ — φωνὰς ἀλλοκότους καὶ ματαίας ἀφίησι, πρὸς ἃς ὁ νεκρὸς αὐτὸς ἀποκρίναιτ' ἂν, εἰ λάβοι φωνήν· φήσει γὰρ ὁ πατὴρ γοερόν τι φθεγγόμενος καὶ παρατείνων ἕκαστον τῶν ὀνομάτων, Τέκνον ἥδιστον, οἴχῃ μοι καὶ τέθνηκας καὶ πρὸ ὥρας ἀνηρπάσθης μόνον ἐμὲ τὸν ἄθλιον καταλιπών, οὐ γαμήσας, οὐ παιδοποιησάμενος, οὐ στρατευσάμενος, οὐ γεωργήσας, οὐκ εἰς γῆρας ἐλθών· οὐ κωμάσῃ πάλιν οὐδ' ἐρασθήσῃ, τέκνον, οὐδ' ἐν συμποσίοις μετὰ τῶν ἡλικιωτῶν μεθυσθήσῃ.

14. Ταῦτα δὲ καὶ τὰ τοιαῦτα φήσει οἰόμενος τὸν υἱὸν δεῖσθαι μὲν ἔτι τούτων καὶ ἐπιθυμεῖν καὶ μετὰ τὴν τελευτὴν, οὐ δύνασθαι δὲ μετέχειν αὐτῶν. Καίτοι τί ταῦτα φημί; πόσοι γὰρ καὶ ἵππους καὶ παλλακίδας, οἱ δὲ καὶ οἰνοχόους ἐπικατέσφαξαν καὶ ἐσθῆτα καὶ τὸν ἄλλον κόσμον συγκατέφλεξαν ἢ συγκατώρυξαν ὡς χρησομένοις ἐκεῖ καὶ ἀπολαύσουσιν αὐτῶν κάτω;

15. Ὁ δ' οὖν πρεσβύτης ὁ πενθῶν οὑτοσὶ ταῦτα πάντα ὁπόσα εἴρηκα καὶ ἔτι τούτων πλείονα οὔτε τοῦ παιδὸς ἕνεκα τραγῳδεῖν ἔοικεν — οἶδε γὰρ οὐκ ἀκουσόμενον οὐδ' ἂν μεῖζον ἐμβοήσῃ τοῦ Στέντορος — οὔτε μὴν αὑτοῦ· φρονεῖν γὰρ οὕτω καὶ γιγνώσκειν ἱκανὸν ἦν καὶ ἄνευ τῆς βοῆς· οὐδεὶς γὰρ δὴ πρὸς ἑαυτὸν δεῖται βοᾶν. Λοιπὸν οὖν ἐστιν αὐτὸν τῶν παρόντων ἕνεκα ταῦτα ληρεῖν οὔθ' ὅ τι πέπονθεν αὐτῷ ὁ παῖς εἰδότα οὔθ' ὅποι κεχώρηκε, μᾶλλον δὲ οὐδὲ τὸν βίον αὐτὸν ἐξετάσαντα ὁποῖός ἐστιν· οὐ γὰρ ἂν τὴν ἐξ αὐτοῦ μετάστασιν ὥς τι τῶν δεινῶν ἐδυσχέραινεν.

16. Εἶποι δ' ἂν οὖν πρὸς αὐτὸν ὁ παῖς παραιτησάμενος τὸν Αἰακὸν καὶ τὸν Ἀϊδωνέα πρὸς ὀλίγον τοῦ στομίου ὑπερκῦψαι καὶ τὸν πατέρα παῦσαι ματαιάζοντα, Ὦ κακόδαιμον ἄνθρωπε, τί κέκραγας; τί δέ μοι παρέχεις πράγματα; Παῦσαι τιλλόμενος τὴν κόμην καὶ τὸ πρόσωπον ἐξ ἐπιπολῆς ἀμύσσων. Τί μοι λοιδορῇ καὶ ἄθλιον ἀποκαλεῖς καὶ δύσμορον πολύ σου βελτίω καὶ μακαριώτερον γεγενημένον; ἢ τί σοι δεινὸν πάσχειν δοκῶ; ἢ διότι μὴ τοιουτοσὶ γέρων ἐγενόμην οἷος εἶ σὺ, φαλακρὸς μὲν τὴν κεφαλὴν, τὴν δὲ ὄψιν ἐρρυτιδωμένος, κυφὸς καὶ τὰ γόνατα νωθὴς, καὶ ὅλως ὑπὸ τοῦ χρόνου σαθρὸς πολλὰς τριακάδας καὶ Ὀλυμπιάδας ἀναπλήσας, καὶ τὰ τελευταῖα δὴ ταῦτα παραπαίων ἐπὶ τοσούτων μαρτύρων; Ὦ μάταιε, τί σοι χρηστὸν εἶναι δοκεῖ παρὰ τὸν βίον, οὗ μηκέτι μεθέξομεν; ἢ τοὺς πότους ἐρεῖς δῆλον ὅτι καὶ τὰ δεῖπνα καὶ ἐσθῆτα καὶ ἀφροδίσια, καὶ δέδιας μὴ τούτων ἐνδεὴς γενόμενος ἀπόλωμαι, ἀγνοεῖς δὲ ὅτι τὸ μὴ διψῆν πολὺ κάλλιον τοῦ πιεῖν καὶ τὸ μὴ πεινῆν τοῦ φαγεῖν καὶ τὸ μὴ ῥιγοῦν τοῦ ἀμπεχόνης εὐπορεῖν;

17. Φέρε τοίνυν, ἐπειδὴ ἔοικας ἀγνοεῖν, διδάξομαί σε θρηνεῖν ἀληθέστερον, καὶ δὴ ἀναλαβὼν ἐξ ὑπαρχῆς βόα, Τέκνον ἄθλιον, οὐκέτι διψήσεις, οὐκέτι πεινήσεις οὐδὲ ῥιγώσεις. Οἴχῃ μοι κακοδαίμων ἐκφυγὼν τὰς νόσους, οὐ πυρετὸν ἔτι δεδιὼς, οὐ πολέμιον, οὐ τύραννον· οὐκ ἔρως σε ἀνιάσει οὐδὲ συνουσία διαστρέψει οὐδὲ

gis in eo actus quasi fabulæ vigeat), voces quasdam absurdas ac vanas edit, ad quas ipse, vocis usum si impetret, respondeat mortuus. Dicet enim pater lugubri voce, productis singulis nominibus, Fili dulcissime, ergo abiisti mihi et mortuus es, et ante maturam ætatem abreptus es, solo me relicto infelici, non uxore ducta, non susceptis liberis; non attigisti militiam, agrum non coluisti, non pervenisti ad senectutem! Non comissaberis iterum, non amabis, fili; non inebriaberis in convivio cum æqualibus!

14. Hæc autem atque his similia dicet, putans filium suum adhuc indigere talibus, et appetere ea etiam post mortem, participem autem eorum non posse fieri. Quanquam quid ista dico? quot enim etiam equos, et pellices, alii vero etiam pocillatores jugularunt in tumulo, vestemque et alium mundum una combusserunt defoderuntve, quasi usuris ibi et fruituris apud inferos?

15. Senex igitur iste lugens, quæ dixi omnia, et his etiam plura, neque filii causa tragica voce proclamasse videtur (novit enim non auditurum, etsi plus quam Stentorea voce inclamet), neque sua ipsius, quum sic sentire et arbitrari etiam sine clamore sufficiat; nemo quippe, ut ad se ipse clamet, opus habet. Relinquitur ergo illum præsentium causa sic delirare, qui neque quid filio acciderit sciat, neque quorsum abierit; quin qui neque vitam illius, qualis fuerit, explorarit; alioquin enim ipsius inde transitum non tanquam malum quiddam graviter ferret.

16. Dicat ergo illi filius, exorato Æaco et Dite, ut paullum prospicere de illo inferorum ostio sibi liceat, et a vanis querelis patrem revocare, Quid clamas, homo infelix? et quid molestias mihi facessis? Desine comas vellere et faciei cutem cruentare. Quid maledicis mihi, et miserum me vocas, et fato malo usum, qui multum te melior factus sim ac beatior? aut quid mali pati tibi videor? illudne quod non talis, qualis tu es, senex factus sum, calvo capite, facie rugosa, incurvus, imbecillis genibus, atque in universum a tempore ipso fractus, post menses multos atque Olympiades impletas, denique sic tandem delirans sub tot testibus? Stolide, quid boni tibi videtur in vita, cujus non amplius futurus sim particeps? potationes dices nimirum, et cœnas, et vestes, et res venereas; ac metuis ne hisce carens miser sim? non cogitas autem, non sitire multo esse quam bibere melius; et non esurire quam edere; et non rigere quam copiam habere vestium?

17. Age vero, quandoquidem ignorare videris, docebo te lamentari verius. Itaque repetito initio clama, Fili miser, non amplius sities, non esuries amplius, non rigebis. Abiisti mihi infelix, et effugisti morbos, febrim non amplius metuis, non hostem, non tyrannum. Non amor tibi facesset negotium, non coitus te distorquebit, neque ad hoc infercies

σπαθήσεις ἐπὶ τούτῳ δὶς ἢ τρὶς τῆς ἡμέρας, ὦ τῆς συμφορᾶς. Οὐ καταφρονηθήσῃ γέρων γενόμενος οὐδ' ὀχληρὸς ἔσῃ τοῖς νέοις βλεπόμενος.

18. Ἂν ταῦτα λέγῃς, ὦ πάτερ, οὐχ οἷει πολὺ ἀληθέστερα καὶ γενναιότερα ἐκείνων ἐρεῖν; Ἀλλὰ ὅρα μὴ τόδε σε ἀνιᾷ καὶ διανοῇ τὸν παρ' ἡμῖν ζόφον καὶ τὸ πολὺ σκότος, κἄπτα δέδιας μή σοι ἀποπνιγῶ κατακλεισθεὶς ἐν τῷ μνήματι; Χρὴ δὲ πρὸς ταῦτα λογίζεσθαι ὅτι τῶν ὀφθαλμῶν διασαπέντων ἢ καὶ νὴ Δία καέντων μετ' ὀλίγον, εἴ γε καῦσαί με διεγνώκατε, οὔτε σκότος οὔτε φῶς ὁρᾶν δεησόμεθα. Καὶ ταῦτα μὲν ἴσως μέτρια.

19. Τί δέ με ὁ κωκυτὸς ὑμῶν ὀνίνησι καὶ ἡ πρὸς τὸν αὐλὸν αὕτη στερνοτυπία καὶ ἡ τῶν γυναικῶν περὶ τὸν θρῆνον ἀμετρία; τί δὲ ὁ ὑπὲρ τοῦ τάφου λίθος ἐστεφανωμένος; ἢ τί ὑμῖν δύναται τὸν ἄκρατον ἐπιχεῖν; ἢ νομίζετε καταστάξειν αὐτὸν ἐς ἡμῶν καὶ μέχρι τοῦ Ἅδου διίξεσθαι; Τὰ μὲν γὰρ ἐπὶ τῶν καθαγισμῶν καὶ αὐτοὶ ὁρᾶτε, οἶμαι, ὡς τὸ μὲν νοστιμώτατον τῶν παρεσκευασμένων ὁ καπνὸς παραλαβὼν ἄνω ἐς τὸν οὐρανὸν οἴχεται μηδέν τι ἡμᾶς ὀνήσας τοὺς κάτω, τὸ δὲ καταλειπόμενον, ἡ κόνις, ἀχρεῖον, ἐκτὸς εἰ μὴ τὴν σποδὸν ἡμᾶς σιτεῖσθαι πεπιστεύκατε. Οὐχ οὕτως ἄσπορος οὐδὲ ἄκαρπος ἡ τοῦ Πλούτωνος ἀρχὴ οὐδ' ἐπιλέλοιπεν ἡμᾶς ὁ ἀσφόδελος, ἵνα παρ' ὑμῶν τὰ σιτία μεταστελλώμεθα. Ὥστε μοι νὴ τὴν Τισιφόνην πάλαι δὴ ἐρ' οἷς ἐποιεῖτε καὶ ἐλέγετε παμμέγεθες ἐπῆει ἀναχαχάσαι, διεκώλυσε δὲ ἡ ὀθόνη καὶ τὰ ἔρια, οἷς μου τὰς σιαγόνας ἀπεσφίγξατε.

20. Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε.

Πρὸς Διός, ἐὰν λέγῃ ταῦτα ὁ νεκρὸς ἐπιστραφεὶς ἀνακλίνας αὐτὸν ἐπ' ἀγκῶνος, οὐκ ἂν οἰώμεθα δικαιότατα αὐτὸν εἰπεῖν; Ἀλλ' ὅμως οἱ μάταιοι καὶ βοῶσι καὶ μεταστειλάμενοί τινα θρήνων σοφιστὴν πολλὰς συνειλοχότα παλαιὰς συμφορὰς τούτῳ συναγωνιστῇ καὶ χορηγῷ τῆς ἀνοίας καταχρῶνται, ὁποῖ' ἂν ἐκεῖνος ἐξάρχῃ πρὸς τὸ μέλος ἐπαιάζοντες.

21. Καὶ μέχρι μὲν θρήνων ὁ αὐτὸς ἅπασι νόμος τῆς ἀβελτερίας· τὸ δ' ἀπὸ τούτου διελόμενοι κατὰ ἔθνη τὰς ταφὰς ὁ μὲν Ἕλλην ἔκαυσεν, ὁ δὲ Πέρσης ἔθαψεν, ὁ δὲ Ἰνδὸς ὑάλῳ περιχρίει, ὁ δὲ Σκύθης κατεσθίει, ταριχεύει δὲ ὁ Αἰγύπτιος· οὗτος μέν γε — λέγω δ' ἰδών — ξηράνας τὸν νεκρὸν ξύνδειπνον καὶ ξυμπότην ἐποιήσατο· πολλάκις δὲ καὶ δεομένῳ χρημάτων ἀνδρὶ Αἰγυπτίῳ ἔλυσε τὴν ἀπορίαν ἐνέχυρον ἢ ὁ ἀδελφὸς ἢ ὁ πατὴρ ἐν καιρῷ γενόμενος.

22. Χώματα μὲν γὰρ καὶ πυραμίδες καὶ στῆλαι καὶ ἐπιγράμματα πρὸς ὀλίγον διαρκοῦντα πῶς οὐ περιττὰ καὶ παιδιαῖς προσεοικότα;

23. Καίτοι καὶ ἀγῶνας ἔνιοι διάθεσαν καὶ λόγους ἐπιταφίους εἶπον ἐπὶ τῶν μνημάτων ὥσπερ συναγορεύοντες ἢ μαρτυροῦντες παρὰ τοῖς κάτω δικασταῖς τῷ νεκρῷ.

te bis aut ter in die : o miseriam ! Neque senex factus contemneris, neque molestus eris ipso conspectu juvenibus.

18. Hæc si dicas, pater, nonne putas te multo veriora istis et magis ingenua dicturum? Verum vide an non illud te cruciet, et cogites tenebras quæ apud nos sunt, et multam caliginem; deinde illudne metuis, ne tibi suffocer in sepulcro conclusus? Oportet autem cogitare ad illud, putrefactis oculis, aut etiam, per Jovem, combustis paullo post, si quidem cremare me decrevistis, neque tenebras neque lucem videre nobis erit necesse. Atque ista forte quidem tolerabilia.

19. Quid vero me fletus ille vester juvat, et ille ad tibiam planctus pectorum, et mulierum illa immoderata lamentatio? quid vero coronatum in sepulcro saxum? aut quid apud vos valet infundere illi merum? an putatis destillaturum illud ad nos, penetraturumque esse ipsos ad inferos? Quod enim ad inferiarum sacrificia attinet, et ipsi, puto, videtis, suavissima paratorum auferri fumo, qui ad superiora cœlum versus abit nullo prorsus nostro inferorum commodo : quod autem relinquitur, pulverem, inutile esse, nisi forte cineribus vesci nos creditis. Non adeo sterile nobis atque infructuosum Ditis imperium est, neque asphodelus nos deficit, a vobis cibos ut arcessamus. Itaque, sic me Tisiphone, olim propter ea quæ faciebatis dicebatisque clarum cachinnari subiit : at impediit linteum ac lanæ, quibus mihi devinxeratis maxillas.

20. Hæc orantem atris penitus Mors abdidit alis.

At, per ego vos Jovem obsecro, si dicat talia conversus mortuus et nixus cubito, nonne æquissima nobis videatur dicere? Sed tamen stolidi homines et vociferantur, et arcessito quodam lamentationum sophista, qui veteres multas calamitates collegerit, hoc adjutore et præcentore quasi suæ amentiæ utuntur, et qualiacumque ille incepit, suas querelas illius cantui subjiciunt.

21. Et quantum ad lamentationes, eadem omnibus lex ineptiarum : quod vero superest, divisis per gentes sepulturæ modis, Græcus illos cremat, humat Persa, Indus vitro oblinit, Scytha vero edit, muria quadam condit Ægyptius : hic vero (quæ vidi narro) siccatum cadaver convivam adeo suum et compotorem solet facere; sæpe etiam pecuniæ indigenti Ægyptio solvit inopiam pignori oppositus in tempore frater paterve.

22. Aggesti quidem tumuli, et pyramides, et cippi, et inscriptiones parvo tempore durantes, qui non superflua et lusibus similia?

23. Verum etiam ludorum certamina quidam instituunt, et funebres ad monumenta orationes habent, quasi causam defuncti agerent, aut testimonium ei perhiberent apud illos inferorum judices.

24. Ἐπὶ πᾶσι τούτοις τὸ περίδειπνον καὶ πάρεισιν εἰ προσήκοντες καὶ τοὺς γονέας παραμυθοῦνται τοῦ τετελευτηκότος καὶ πείθουσι γεύσασθαι οὐκ ἀηδῶς μὰ Δί' οὐδ' αὐτοὺς ἀναγκαζομένους, ἀλλ' ἤδη ὑπὸ λιμοῦ τριῶν ἑξῆς ἡμερῶν ἀπηυδηκότας. Καὶ, Μέχρι μὲν τίνος, ὦ οὗτος, ὀδυρόμεθα; ἔασον ἀναπαύσασθαι τοὺς τοῦ μακαρίτου δαίμονας· εἰ δὲ καὶ τὸ παράπαν κλάειν διέγνωκας, αὐτοῦ γε τούτου ἕνεκα χρὴ μὴ ἀπόσιτον εἶναι, ἵνα καὶ διαρκέσῃς πρὸς τοῦ πένθους τὸ μέγεθος. Τότε δὴ τότε ῥαψῳδοῦνται πρὸς ἁπάντων δύο τοῦ Ὁμήρου στίχοι·

Καὶ γάρ τ' ἠύκομος Νιόβη ἐμνήσατο σίτου·

καὶ,

Γαστέρι δ' οὔπως ἐστὶ νέκυν πενθῆσαι Ἀχαιούς.

Οἱ δὲ ἅπτονται μὲν, αἰσχυνόμενοι δὲ τὰ πρῶτα καὶ δεδιότες εἰ φανοῦνται μετὰ τὴν τελευτὴν τῶν φιλτάτων τοῖς ἀνθρωπίνοις πάθεσιν ἐμμένοντες. Ταῦτα καὶ πολὺ τούτων γελοιότερα εὕροι τις ἂν ἐπιτηρῶν ἐν τοῖς πένθεσι γιγνόμενα διὰ τὸ τοὺς πολλοὺς τὸ μέγιστον τῶν κακῶν τὸν θάνατον οἴεσθαι.

24. Post hæc omnia sunt parentales epulæ : adsunt cognati, et parentes consolantur defuncti, et gustare illos jubent, ut qui non inviti, per Jovem, cogendos se præbeant, sed jam trium deinceps dierum fame macerati ferre diutius non possint. Et, Quo usque tandem, aiunt, lugemus, amice? patere requiescere felicis pueri manes : si vero omnino plorare decrevisti, illius ipsius rei causa oportet cibo non abstinere, ut magnitudini luctus sufficias. Tunc sane, tunc in omnium ore sunt duo Homeri versus :

Pulchricoma haud Niobe tamen est oblita ciborum;

et,

Non jam ventre licet functos lugere Pelasgis.

Illi vero attingunt tandem, cum pudore quidem ab initio, et veriti si videantur post carissimorum mortem humanis tamen passionibus obnoxii. Hæc, et multo his magis ridicula, inveniat aliquis, si observet in luctu fieri, propterea quod vulgus maximum malorum putat mortem.

LI.

ΡΗΤΟΡΩΝ ΔΙΔΑΣΚΑΛΟΣ.

1. Ἐρωτᾷς, ὦ μειράκιον, ὅπως ἂν ῥήτωρ γένοιο καὶ τὸ σεμνότατον τοῦτο καὶ πάντιμον ὄνομα σοφιστὴς αὐτὸς εἶναι δόξαις· ἀβίωτα γὰρ εἶναί σοι φῂς, εἰ μὴ τοιαύτην τινὰ τὴν δύναμιν περιβάλλοιο ἐν τοῖς λόγοις, ὡς ἄμαχον εἶναι καὶ ἀνυπόστατον καὶ θαυμάζεσθαι πρὸς ἁπάντων καὶ ἀποβλέπεσθαι, περισπούδαστον ἄκουσμα τοῖς Ἕλλησι δοκοῦντα, καὶ δὴ τὰς ἐπὶ τοῦτο ἀγούσας ὁδοὺς αἵτινές ποτέ εἰσιν ἐθέλεις ἐκμαθεῖν. Ἀλλ' οὐδεὶς φθόνος, ὦ παῖ, καὶ μάλιστα ὁπότε νέος τις αὐτὸς ὢν ὀρεγόμενος τῶν ἀρίστων οὐκ εἰδὼς ὁπόθεν ἂν ταῦτα ἐκπορίσαιτο, ἱερόν τι χρῆμα τὴν συμβουλὴν οὖσαν καθάπερ καὶ σὺ νῦν αἰτοίη προσελθών. Ὥστε ἄκουε τό γε ἐπ' ἐμοὶ καὶ πάνυ θαρρῶν, ὡς τάχιστα δεινὸς ἀνὴρ ἔσῃ γνῶναί τε τὰ δέοντα καὶ ἑρμηνεῦσαι αὐτὰ, ἢν τὸ μετὰ τοῦτο ἐθελήσῃς αὐτὸς ἐμμένειν οἷς ἂν ἀκούσῃς παρ' ἡμῶν καὶ φιλοπόνως αὐτὰ μελετᾶν καὶ προθύμως ἀνύειν τὴν ὁδὸν ἕστ' ἂν ἀφίκῃ πρὸς τὸ τέρμα.

2. Τὸ μὲν οὖν θήραμα οὐ μικρὸν οὐδὲ ὀλίγης τῆς σπουδῆς δεόμενον, ἀλλ' ἐφ' ὅτῳ καὶ πονῆσαι πολλὰ καὶ ἀγρυπνῆσαι καὶ πᾶν ὁτιοῦν ὑπομεῖναι ἄξιον· σκόπει γοῦν ὁπόσοι τέως μηδὲν ὄντες ἔνδοξοι καὶ πλούσιοι καὶ νὴ Δί' εὐγενέστατοι ἔδοξαν ἀπὸ τῶν λόγων.

3. Ὅμως δὲ μὴ δέδιθι μηδὲ πρὸς τὸ μέγεθος τῶν ἐλπιζομένων ἀποδυσπετήσῃς μυρίους τινὰς τοὺς πόνους προπονήσειν οἰηθείς· οὐ γάρ σε τραχεῖάν τινα οὐδὲ ὄρειον καὶ ἱδρῶτος μεστὴν ἡμεῖς γε ἄξομεν, ὡς ἐκ μέ-

LI.

RHETORUM PRÆCEPTOR.

1. Quæris, adolescens, quomodo fieri possis rhetor, atque augustissimum illud et in summo honore positum nomen, sophista ipse esse videaris. Nec vitam enim tibi dulcem esse ais, nisi talem quandam in dicendo facultatem assequaris, ut invictus sis, neque quisquam consistere te contra audeat, admirabilis porro apud omnes, et conspicuus, et quem audire Græci vehementer studeant. Vias ergo, quæ ad hoc ducant, quænam tandem sint, studes ediscere. Verum nulla, puer, invidia est, inprimis ubi juvenis aliquis quum sit, optimarum rerum cupidus, ignarus autem unde hæc petat, consilium, quam rem sanctam autumant, rogatum, uti tu modo, veniat. Audi ergo, quantum in mea potestate est, cum fiducia, ut quam celerrime vir acer fias, tum ad cognoscendum quæ opus est, tum ad explicandum, si postea manere in illis, quæ a nobis audies, volueris, et diligenter ea meditari, et studiose viam pergere, donec ad metam perveneris.

2. Atque illud quod venaris non parvum est, neque parvæ curæ indigum, sed in quo multum laborare et vigilare et nihil non sustinere æquum sit. Vide enim quot homines, qui antea nihil essent, nobiles, et divites, et, per Jovem, generosissimi ex dicendi facultate visi sint.

3. Interim tamen noli metuere, neu magnitudo te eorum, quorum spes proponitur, ipsa assequendi difficultate rejicial, qui putes infinitos nescio quos tibi ante subeundos esse labores. Neque enim asperam quandam te vel arduam

σης αὐτῆς ἀναστρέψαι καμόντα, ἐπεὶ οὐδὲν ἂν διεφέρομεν τῶν ἄλλων, ὅσοι τὴν συνήθη ἐκείνην ἡγοῦνται μακρὰν καὶ ἀνάντη καὶ καματηρὰν καὶ ὡς ἐπὶ τὸ πολὺ ἀπεγνωσμένην. Ἀλλὰ τό γε παρ' ἡμῶν ἐξαίρετόν σοι τῆς συμβουλῆς τοῦτ' ἔστιν, ὅτι ἡδίστην τε ἅμα καὶ ἐπιτομωτάτην καὶ ἱππήλατον καὶ κατάντη σὺν πολλῇ τῇ θυμηδίᾳ καὶ τρυφῇ διὰ λειμώνων εὐανθῶν καὶ σκιᾶς ἀκριβοῦς σχολῇ καὶ βάδην ἀνιὼν ἀνδρωτὶ ἐπιστήσῃ τῇ ἄκρᾳ καὶ αἱρήσεις οὐ καμὼν καὶ νὴ Δί' εὐωχήσῃ κατακείμενος, ἐκείνους ὁπόσοι τὴν ἑτέραν ἑτράποντο ἀπὸ τοῦ ὑψηλοῦ ἐπισκοπῶν ἐν τῇ ὑπωρείᾳ τῆς ἀνόδου ἔτι κατὰ δυσβάτων καὶ ὀλισθηρῶν τῶν κρημνῶν μόλις ἀνέρποντας, ἀποκυλιομένους ἐπὶ κεφαλὴν ἐνίοτε καὶ πολλὰ τραύματα λαμβάνοντας περὶ τραχείαις ταῖς πέτραις· σὺ δὲ πρὸ πολλοῦ ἄνω ἐστεφανωμένος εὐδαιμονέστατος ἔσῃ ἅπαντα ἐν βραχεῖ ὅσα ἐστὶν ἀγαθὰ παρὰ τῆς ῥητορικῆς μονονουχὶ καθεύδων λαβών.

4. Ἡ μὲν δὴ ὑπόσχεσις οὕτω μεγάλη· σὺ δὲ πρὸς φιλίου Διὸς μὴ ἀπιστήσῃς, εἰ ῥᾷστά τε ἅμα καὶ ἥδιστά σοι ταῦτα ἐπιδείξειν φαμέν. Τί γάρ; Ἡσίοδος μὲν ὀλίγα φύλλα ἐκ τοῦ Ἑλικῶνος λαβὼν αὐτίκα μάλα ποιητὴς ἐκ ποιμένος κατέστη καὶ ἥδε θεῶν καὶ ἡρώων γένη κάτοχος ἐκ Μουσῶν γενόμενος, ῥήτορα δὲ, ὃ πολὺ ἐνερθεν τῆς ποιητικῆς μεγαληγορίας ἐστὶν, ἀδύνατον καταστῆναι ἐν βραχεῖ, εἴ τις ἐκμάθοι τὴν ταχίστην ὁδόν;

5. Ὡς ἔγωγε καὶ διηγήσασθαί σοι βούλομαι Σιδωνίου τινὸς ἐμπόρου ἐπίνοιαν δι' ἀπιστίαν ἀτελῆ γενομένην καὶ τῷ ἀκούσαντι ἀνόνητον. Ἤρχε μὲν γὰρ ἤδη Περσῶν Ἀλέξανδρος μετὰ τὴν ἐν Ἀρβήλοις μάχην Δαρεῖον καθηρηκώς· ἔδει δὲ πανταχόσε τῆς ἀρχῆς διαθεῖν τοὺς γραμματοφόρους τὰ ἐπιτάγματα τοῦ Ἀλεξάνδρου κομίζοντας. Ἐκ Περσῶν δὲ πολλὴ ἐς Αἴγυπτον ἐγίγνετο ἡ ὁδός· ἐκπεριέναι γὰρ ἔδει τὰ ὄρη, εἶτα διὰ τῆς Βαβυλωνίας ἐς τὴν Ἀραβίαν ἐλθεῖν, εἶτα ἐρήμην πολλὴν ἐπελάσαντας ἀφικέσθαι ποτὲ μόλις ἐς Αἴγυπτον εἴκοσι μηκίστους ἀνδρὶ εὐζώνῳ σταθμοὺς τούτους διανύσαντας. Ἤχθετο οὖν ὁ Ἀλέξανδρος ἐπὶ τούτῳ, διότι Αἰγυπτίους τι παρακινεῖν ἀκούων οὐκ εἶχε διὰ ταχέων ἐκπέμπειν τοῖς σατράπαις τὰ δοκοῦντά οἱ περὶ αὐτῶν. Τότε δὴ ὁ Σιδώνιος ἔμπορος, Ἐγώ σοι, ἔφη, ὦ βασιλεῦ, ὑπισχνοῦμαι δείξειν ὁδὸν οὐ πολλὴν ἐκ Περσῶν ἐς Αἴγυπτον· εἰ γάρ τις ὑπερβαίη τὰ ὄρη ταῦτα, ὑπερβαίη δ' ἂν τριταῖος, αὐτίκα μάλα ἐν Αἰγύπτῳ ἐστὶν οὗτος. Καὶ εἶχεν οὕτως. Πλὴν ὅ γε Ἀλέξανδρος οὐκ ἐπίστευσεν, ἀλλὰ γόητα ᾤετο εἶναι τὸν ἔμπορον. Οὕτω τὸ παράδοξον τῆς ὑποσχέσεως ἄπιστον δοκεῖ τοῖς πολλοῖς.

6. Ἀλλὰ μὴ σύ γε πάθῃς τὸ αὐτό· εἴσῃ γὰρ πειρώμενος ὡς οὐδέν σε κωλύσει ἤδη ῥήτορα δοκεῖν μιᾶς οὐδὲ ὅλης ἡμέρας ὑπερπετασθέντα τὸ ὄρος ἐκ Περσῶν ἐς Αἴγυπτον. Ἐθέλω δέ σοι πρῶτον ὥσπερ ὁ Κέβης ἐκεῖνος εἰκόνα γραψάμενος τῷ λόγῳ ἑκατέραν ἐπιδεῖξαι τὴν ὁδόν· δύο γάρ ἐστον, αἱ πρὸς τὴν ῥητορικὴν ἄγετον,

et plenam sudoris viam nos quidem ducemus, qua in media fatigatus retro eas : alioqui nulla parte meliores essemus reliquis, qui consuetæ illius duces sunt, longæ et præruptæ et laboriosæ et ut plurimum desperatæ. At in nostro eximium illud est consilio, quod jucundissima simul et maxime compendiaria, et equitabili ac declivi, multa cum voluptate et oblectatione, per prata florida et umbram solidam, otiose et gradu ascendens, sine sudore stabis in summo, et arcem nullo labore capies, et, ita me Jupiter, epulabere jam accumbens, quum illos, quotquot alteram istam viam secuti sunt, ab alto inspectabis circa imum ascensum adhuc per difficilia et lubrica præcipitia vix repentes sursum, devolutos nonnunquam in caput, et vulnera multa asperis in rupibus accipientes : tu contra ea jam olim supra coronatus, felicissimus eris, qui brevi tempore quæcumque bona sunt a rhetorice tantum non dormiens acceperis.

4. Promissio sane quam magna; sed, per ego te amicitiæ præsidem Jovem rogo, ne fidem nobis deneges, si facillima simul et suavissima hæc tibi nos ostensuros esse dicimus. Quid enim? Hesiodus paucis ex Helicone sumtis foliis poeta statim de pastore factus est, et deorum genera atque heroum, a Musis obsessus, cecinit : rhetoremne, quod multum infra poeticam magniloquentiam est, brevi tempore fieri posse negabimus, si celerrimam quis viam ediscat?

5. Quomodo ego etiam enarrare tibi volo Sidonii cujusdam mercatoris inventum, quod ob negatam illi fidem caruit successu et utilitatem audienti nullam attulit. Imperabat jam Persis Alexander, post devictum prælio ad Arbela Darium : opus erat autem per omnes imperii partes discurrere tabellarios, perferentes Alexandri imperia. Porro multum erat ex Persis in Ægyptum viæ : circumeundi enim montes erant, deinde per Babyloniam pergendum in Arabiam, tum, deserta regione multa superata, pervenire tandem in Ægyptum, viginti maximas expedito viro istas mansiones emensum. Moleste hoc ferebat Alexander, quia, audito moliri aliquid Ægyptios, non poterat satis celeriter mittere ad satrapas, quid de illis sibi placeret. Tum ergo Sidonius mercator, Ego tibi, inquit, rex, promitto me ostensurum viam non longam e Persis in Ægyptum : si quis enim montes istos superet, superaverit vero triduo, ille statim est in Ægypto. Et res ita se habuit. Verum non credidit Alexander, sed impostorem esse mercatorem putavit. Ita quod præter spem promittitur, incredibile videtur vulgo.

6. Tibi vero ne tale quid in mentem veniat : experimento enim scies nihil obstare quin rhetor jam mox videaris, intra unum nec solidum diem transvolato monte ex Persis in Ægyptum. Volo autem tibi prius, ut ille Cebes, imagine verbis depicta utramque viam ostendere : duæ sunt enim quæ ducunt ad Rhetoricen, quam non mediocriter adamasse

ἧς ἐρᾶν οὐ μετρίως μοι δοκεῖς. Καὶ δῆτα ἡ μὲν ἐφ' ὑψηλοῦ καθήσθω πάνυ καλὴ καὶ εὐπρόσωπος, τὸ τῆς Ἀμαλθείας κέρας ἔχουσα ἐν τῇ δεξιᾷ παντοίοις καρποῖς ὑπερβρύον, ἐπὶ θατέρᾳ δέ μοι τὸν πλοῦτον δόκει παρεστῶτα ὁρᾶν χρυσοῦν ὅλον καὶ ἐπέραστον· καὶ ἡ δόξα δὲ καὶ ἡ ἰσχὺς παρέστωσαν καὶ οἱ ἔπαινοι περὶ πᾶσαν αὐτὴν Ἔρωσι μικροῖς ἐοικότες πολλοὶ ἀπανταχόθεν περιπλεκέσθωσαν ἐκπετόμενοι. Ἤδη που τὸν Νεῖλον εἶδες γραφῇ μεμιμημένον, αὐτὸν μὲν κείμενον ἐπὶ κροκοδείλου τινὸς ἢ ἱπποποτάμου οἷοι πολλοὶ ἐν αὐτῷ, μικρὰ δέ τινα παιδία περὶ αὐτὸν παίζοντα — πήχεις δὲ αὐτοὺς οἱ Αἰγύπτιοι καλοῦσι — τοιοῦτοι καὶ περὶ τὴν ῥητορικὴν οἱ ἔπαινοι. Πρόσει δὴ σὺ ὁ ἐραστὴς ἐπιθυμῶν δηλαδὴ ὅτι τάχιστα γενέσθαι ἐπὶ τῆς ἄκρας, ὡς γαμήσειάς τε αὐτὴν ἐλθὼν καὶ πάντα ἐκεῖνα ἔχοις, τὸν πλοῦτον, τὴν δόξαν, τοὺς ἐπαίνους· νόμῳ γὰρ ἅπαντα γίγνεται τοῦ γεγαμηκότος.

7. Εἶτ' ἐπειδὰν πλησιάσῃς τῷ ὄρει, τὸ μὲν πρῶτον ἀπογιγνώσκεις τὴν ἄνοδον, καὶ τὸ πρᾶγμα ὅμοιον εἶναί σοι δοκεῖ ὁποῖον ἡ Ἄορνος ἐφάνη τοῖς Μακεδόσιν ἀπόξυρον αὐτὴν ἀπανταχόθεν ἰδοῦσιν, ἀτεχνῶς οὐδὲ ὀρνέοις ὑπερπτῆναι ῥᾳδίαν, Διονύσου τινὸς ἢ Ἡρακλέους, εἰ μέλλοι καθαιρεθήσεσθαι, δεομένην. Ταῦτά σοι δοκεῖ τὸ πρῶτον· εἶτα μετ' ὀλίγον ὁρᾷς δύο τινὰς ὁδούς, μᾶλλον δὲ ἡ μὲν ἀτραπός ἐστι στενὴ καὶ ἀκανθώδης καὶ τραχεῖα, πολὺ τὸ δίψος ἐμφαίνουσα καὶ ἱδρῶτα. Καὶ ἔφθη γὰρ ἤδη Ἡσίοδος εὖ μάλα ὑποδείξας αὐτὴν, ὥστε οὐδέν ἐμοῦ δεήσει. Ἡ ἑτέρα δὲ πλατεῖα καὶ ἀνθηρὰ καὶ εὔυδρος, τοιαύτη οἵαν μικρῷ πρόσθεν εἶπον, ἵνα μὴ καὶ ταὐτὰ λέγων πολλάκις ἐπέχω σε ἤδη ῥήτορα εἶναι δυνάμενον.

8. Πλὴν τό γε τοσοῦτον προσθήσειν μοι δοκῶ, διότι ἡ μὲν τραχεῖα ἐκείνη καὶ ἀνάντης οὐ πολλὰ ἴχνη τῶν ὁδοιπόρων εἶχεν, εἰ δέ τινα, πάνυ παλαιά· καὶ ἔγωγε κατ' ἐκείνην ἄθλιος ἀνῆλθον τοσαῦτα καμὼν οὐδὲν δέον. Ἡ ἑτέρα δὲ ἅτε ὁμαλὴ οὖσα καὶ ἀγκύλον οὐδὲν ἔχουσα πόρρωθέν μοι ἐφάνη οἷα ἐστὶν οὐχ ὁδεύσαντι αὐτήν· οὐ γὰρ ἐώρων νέος ὢν ἔτι τὸ βέλτιον, ἀλλὰ τὸν ποιητὴν ἐκεῖνον ἀληθεύειν ᾠμην λέγοντα ἐκ τῶν πόνων φύεσθαι τἀγαθά. Τὸ δ' οὐκ εἶχεν οὕτως· ἀπονητὶ γοῦν ὁρῶ μειζόνων τοὺς πολλοὺς ἀξιουμένους εὐμοιρίᾳ τῆς αἱρέσεως τῆς τῶν λόγων καὶ ὁδῶν. Ἐπὶ δ' οὖν τὴν ἀρχὴν ἀφικόμενος εὖ οἶδ' ὅτι ἀπορήσεις, καὶ ἤδη ἀπορεῖς, ὁποτέραν τραπητέον. Ὃ οὖν ποιήσας ἤδη ῥᾷστα ἐπὶ τὸ ἀκρότατον ἀναβήσῃ καὶ εὐδαιμονήσεις καὶ γαμήσεις καὶ θαυμαστὸς πᾶσι δόξεις, ἐγώ σοι φράσω· ἱκανὸν γὰρ τὸ αὐτὸν ἐξαπατηθῆναι καὶ πονῆσαι. Σοὶ δὲ ἄσπορα καὶ ἀνήροτα πάντα φυέσθω καθάπερ ἐπὶ τοῦ Κρόνου.

9. Εὐθὺς οὖν σοι πρόσεισι καρτερός τις ἀνὴρ, ὑπόσκληρος, ἀνδρώδης τὸ βάδισμα, πολὺν τὸν ἥλιον ἐπὶ τῷ σώματι δεικνύων, ἀρρενωπὸς τὸ βλέμμα, ἐγρηγορὼς, τῆς τραχείας ὁδοῦ ἐκείνης ἡγεμὼν, λήρους τινὰς πρὸς σὲ ὁ μάταιος διεξιὼν ἕπεσθαί οἱ παρακελευόμενος, ὑποδεικνὺς τὰ Δημοσθένους ἴχνη καὶ Πλάτωνος καὶ

mihi videris. Nimirum ipsa jam in alto sedeat, pulchra undique et formosa, Amaltheæ cornu dextra gerens, fructibus abundans omnigenis; ad alteram vero manum imaginare astantem Plutum, aureum totum atque amabilem: astent vero etiam Gloria, et Vis, et Plausus circa illam undique, parvis Cupidinibus similes, multi et ab omni parte se applicent ad illam evolantes. Jam Nilum aliquando vidisti pictura expressum, ipsum quidem jacentem in crocodilo quodam aut hippopotamo, quos habet magno numero, parvos autem ludentes circa illum puerulos (Cubitos illos vocant Ægyptii): tales etiam circa Rhetoricam sunt Plausus. Accedes jam tu, amator, cupiens nimirum quam celerrime in summo esse, ut et uxorem ducas ipsam ubi escenderis, et omnia illa habeas, divitias, gloriam, plausus: lege enim fiunt omnia mariti.

7. Deinde quum ad montem accessisti, primo quidem desperas ascensum, et similis tibi res videtur, qualis Aornus visa Macedonibus, quum præruptam undique cernerent, neque avibus adeo ad transvolandum facilem, Baccho quodam aut Hercule, si capienda sit, indigentem. Hæc tibi primum videntur: tum post paullo vides duas quasdam vias; quin altera semita modo est angusta et spinis obsita et aspera, sitim multam ostentans ac sudorem. Et jam occupavit illam pulchre ostendere Hesiodus; itaque nihil mea opera indigebis. Altera autem lata, florida, irrigua, denique talis qualem paullo ante dicebam, ne eadem dicendo sæpius retineam te, quum jam rhetor esse possis.

8. Verum illud modo adjiciendum puto, asperam illam atque arduam non multa habuisse viatorum vestigia; si vero quædam, ea omnino antiqua. Et ego etiam miser per illam ascendi, tot susceptis sine causa laboribus. Altera vero, utpote æquabilis, anfractum habens nullum, e longinquo mihi qualis sit conspecta est; non qui ipse ea iverim: neque enim, juvenis quum essem, videbam quod esset melius, sed vera dicere poetam illum putabam, ex laboribus nasci bona dicentem. At illud non ita habebat: video enim sine labore plerosque majora consecutos quadam eligendarum rationum viarumque felicitate. Ad initium igitur utriusque viæ delatus, dubitabis, sat scio, et jam dubitas, in utram te vertas. Quid igitur jam faciendo futurum sit ut facillime escendas in summum, et beatus sis, et ducas illam, et admirabilis omnibus videare, ego tibi dicam: satis enim est quod ipse deceptus laboravi. At tibi sine semine et aratro nascantur omnia, ut sub Saturno.

9. Statim ergo accedet ad te robustus vir quidam, subdurus, virili incessu, multum in corpore solem ostendens, masculo vultu, vigilax, asperæ illius dux viæ, nugas quasdam stolidus ille apud te enarrans, uti se sequaris adhortans, monstrans tibi Demosthenis et Platonis et aliorum

ἄλλων τινῶν, μεγάλα μὲν καὶ ὑπὲρ τοὺς νῦν, ἀμαυρὰ δὲ ἤδη καὶ ἀσαφῆ τὰ πολλὰ ὑπὸ τοῦ χρόνου, καὶ φήσει εὐδαίμονά σε ἔσεσθαι καὶ νόμῳ γαμήσειν τὴν ῥητορικήν, εἰ κατὰ τούτων ὁδεύσειας ὥσπερ οἱ ἐπὶ τῶν κάλων βαίνοντες· εἰ δὲ κἂν μικρόν τι παραβαίης ἢ ἔξω πατήσειας ἢ ἐπὶ θάτερα μᾶλλον κλιθείης τῇ ῥοπῇ, ἐκπεσεῖσθαί σε τῆς ὀρθῆς ὁδοῦ καὶ ἀγούσης ἐπὶ τὸν γάμον. Εἶτά σε κελεύσει ζηλοῦν ἐκείνους τοὺς ἀρχαίους ἄνδρας ἴωλα παραδείγματα παρατιθείς τῶν λόγων οὐ ῥᾴδια μιμεῖσθαι, οἷα τὰ τῆς παλαιᾶς ἐργασίας ἐστίν, Ἡγησίου καὶ τῶν ἀμφὶ Κρίτιον καὶ Νησιώτην, ἀπεσφιγμένα καὶ νευρώδη καὶ σκληρὰ καὶ ἀκριβῶς ἀποτεταμένα ταῖς γραμμαῖς, πόνον δὲ καὶ ἀγρυπνίαν καὶ ὑδατοποσίαν καὶ τὸ λιπαρὲς ἀναγκαῖα ταῦτα καὶ ἀπαραίτητα φήσει· ἀδύνατον γὰρ εἶναι ἄνευ τούτων διανύσαι τὴν ὁδόν. Ὃ δὲ πάντων ἀνιαρότατον, ὅτι σοι καὶ τὸν χρόνον πάμπολυν ὑπογράψει τῆς ὁδοιπορίας, ἔτη πολλά, οὐ κατὰ ἡμέρας καὶ τριακάδας, ἀλλὰ κατ' Ὀλυμπιάδας ὅλας ἀριθμῶν, ὡς καὶ προαποκαμεῖν ἀκούοντα καὶ ἀπαγορεῦσαι πολλὰ χαίρειν φράσαντα τῇ ἐλπιζομένῃ ἐκείνῃ εὐδαιμονίᾳ· ὁ δὲ ἐπὶ τούτοις οὐδὲ μισθοὺς ὀλίγους ἀπαιτεῖ τῶν τοσούτων κακῶν, ἀλλ' οὐκ ἂν ἡγήσαιτό σοι, εἰ μὴ μεγάλα πρότερον λάβοι.

10. Ὁ μὲν ταῦτα φήσει ἀλαζὼν καὶ ἀρχαῖος ὡς ἀληθῶς καὶ Κρονικὸς ἄνθρωπος νεκροὺς ἐς μίμησιν παλαιοὺς προτιθεὶς καὶ ἀνορύττειν ἀξιῶν λόγους πάλαι κατορωρυγμένους ὥς τι μέγιστον ἀγαθόν, μαχαιροποιοῦ υἱὸν καὶ ἄλλον Ἀτρομήτου τινὸς γραμματιστοῦ ζηλοῦν ἀξιῶν, καὶ ταῦτα ἐν εἰρήνῃ μήτε Φιλίππου ἐπιόντος μήτε Ἀλεξάνδρου ἐπιτάττοντος, ὅπου τὰ ἐκείνων τέως ἐδόκει χρήσιμα, οὐκ εἰδὼς ὁποία νῦν κεκαινοτόμηται ταχεῖα καὶ ἀπράγμων καὶ ἐς τὸ εὐθὺ τῆς ῥητορικῆς ὁδός. Σὺ δὲ μήτε πείθεσθαι μήτε προσέχειν αὐτῷ, μή σε ἐκτραχηλίσῃ που παραλαβὼν ἢ τὸ τελευταῖον προγηρᾶσαι τοῖς πόνοις παρασκευάσῃ. Ἀλλ' εἰ πάντως ἐρᾷς καὶ τάχιστα ἐθέλεις τῇ ῥητορικῇ συνεῖναι ἀκμάζων ἔτι, ὡς καὶ σπουδάζοιτο πρὸς αὐτῆς, ἴθι τῷ μὲν δασεῖ τούτῳ καὶ πέρα τοῦ μετρίου ἀνδρικῷ μακρὰ χαίρειν λέγε, ἀναβαίνειν αὐτὸν καὶ ἄλλους ὁπόσους ἂν ἐξαπατᾶν δύνηται ἀνάγειν, καταλιπὼν ἀσθμαίνοντα καὶ ἱδρῶτι πολλῷ συνόντα.

11. Σὺ δὲ πρὸς τὴν ἑτέραν ἐλθὼν εὑρήσεις πολλοὺς μὲν καὶ ἄλλους, ἐν τούτοις δὲ καὶ πάνσοφόν τινα καὶ πάγκαλον ἄνδρα, διασεσαλευμένον τὸ βάδισμα, ἐπικεκλασμένον τὸν αὐχένα, γυναικεῖον τὸ βλέμμα, μελιχρὸν τὸ φώνημα, μύρων ἀποπνέοντα, τῷ δακτύλῳ ἄκρῳ τὴν κεφαλὴν κνώμενον, ὀλίγας μὲν ἔτι, οὔλας δὲ καὶ ὑακινθίνας τὰς τρίχας εὐθετίζοντα, πάναβρόν τινα Σαρδανάπαλλον ἢ Κινύραν ἢ αὐτὸν Ἀγάθωνα τὸν τῆς τραγῳδίας ἐπέραστον ἐκεῖνον ποιητήν. Λέγω δὲ ὡς ἀπὸ τούτων γνωρίζοις αὐτὸν μηδέ σε οὕτω θεσπέσιον χρῆμα καὶ φίλον Ἀφροδίτῃ καὶ Χάρισι διαλάθοι. Καίτοι τί φημι; κἂν εἰ μύοντί γάρ σοι προσελθὼν εἴποι τι τὸ Ὑμήττιον ἐκεῖνο ἀνοίξας στόμα καὶ τὴν συνήθη

quorundam vestigia, magna illa quidem et his quæ nunc sunt majora, sed obscura jam, et pleraque a tempore evanida: ac dicet beatum te futurum, et lege ducturum esse Rhetoricen, per hæc si incedas, ut qui per funes eunt; si vero vel pauxillum quiddam deflectas a via aut excedas, aut in alterutram partem magis inclines et propendeas, fore ut ducente ad nuptias recta via excidas. Deinde imitari te jubebit antiquos illos viros, obsoleta orationum exempla proponens nec facilia ad imitandum, qualia sunt de illa veteri officina, Hegesiæ, et Critii et Nesiotæ, astricta, et nervosa, et aspera, et accurate intentis quasi lineis descripta: laborem porro et vigiliam et potum aquæ et assiduitatem necessaria esse dicet et quæ deprecari non liceat; fieri enim non posse ut absque his viam emetiare. Quod vero omnium est molestissimum, plurimum etiam tibi tempus itineris hujus præscribet, annos multos, non secundum dies aut menses, sed secundum totas olympiades numerans, adeo ut qui audit succumbat ante et renunciet labori, et longum valere speratam illam felicitatem jubeat. At ille præter hæc etiam mercedes non exiguas poscit tot malorum, neque viæ se ducem præstiterit tibi, nisi magnum quiddam ante acceperit.

10. Hæc quidem dicet ille, vanus jactator et obsoletus vere homo et Saturnum olens, qui mortuos antiquos ad imitationem proponat, et eruere te postulet rationes olim sepultas, tanquam maximum quoddam bonum, gladiorum fabri filium et alium Atromeli cujusdam grammatistæ jubens te æmulari; idque in pace, nec Philippo invadente, neque imperante Alexandro, ubi illorum ratio utilis tum videbatur; nesciens quæ nunc recens inventa sit brevis et minime laboriosa et recta via rhetorices. At tu noli credere neve attendere illi, ne te forte assumtum evertat, aut denique ante tempus ut consenescas laboribus efficiat. Verum si omnino amas Rhetoricen, et quam celerrime illa vis potiri, plena adhuc vigore dum frueris, ut etiam ab illa colare; jam et hirsutum illum et ultra mediocritatem virilem valere longum jube, escendere ipsum, et alios quotquot decipere potest educere; anhelantemque et multo sudore fluentem relinque.

11. Ad alteram vero viam transgressus, quum alios multos invenies, tum in his omniscium quendam et usquequaque pulchrum hominem, fluctuante incessu, infracta cervice, vultu femineo, mellita voce, unguenta spirantem, summo digito scalpentem caput, paucos illos jam quidem, sed crispos ferrugineo colore capillos studiose componentem, delicatissimum quendam Sardanapalum, aut Cinyram, aut Agathonem ipsum, venustum illum poetam tragœdiæ. Dico autem ideo, ut his illum indiciis agnoscas, neu fugiat te res adeo divina, adeo Veneri cara atque Gratiis. Quanquam quid dico? quem adeo, si vel ad te claudentem oculos accedens dicat aliquid Hymettio illo aperto ore, et consue-

φωνὴν ἀφείη, μάθοις ἂν ὡς οὐχὶ τῶν καθ' ἡμᾶς ἐστιν, οἳ ἀρούρης καρπὸν ἔδομεν, ἀλλά τι ξένον φάσμα δρόσῳ ἢ ἀμβροσίᾳ τρεφόμενον. Τούτῳ τοίνυν προσελθὼν καὶ παραδοὺς σεαυτὸν αὐτίκα μάλα ῥήτωρ καὶ περίβλεπτος καὶ, ὡς ὀνομάζει αὐτὸς, βασιλεὺς ἐν τοῖς λόγοις ἀπονητὶ καταστήσῃ τὰ τέθριππα ἐλαύνων τοῦ λόγου· διδάξεται γάρ σε παραλαβὼν τὰ πρῶτα μὲν ἐκεῖνα.

12. Μᾶλλον δὲ αὐτὸς εἰπάτω πρὸς σέ· γελοῖον γὰρ ὑπὲρ τοιούτου ῥήτορος ἐμὲ ποιεῖσθαι τοὺς λόγους φαῦλον ὑποκριτὴν ἴσως τῶν τοιούτων καὶ τηλικούτων, μὴ καὶ συντρίψω που πεσὼν τὸν ἥρωα ὃν ὑποκρίνομαι. Φαίη τοιγαροῦν ἂν πρὸς σὲ ὧδέ πως ἐπισπασάμενος ὁπόσον ἔτι λοιπὸν τῆς κόμης καὶ ὑπομειδιάσας τὸ γλαφυρὸν ἐκεῖνο καὶ ἁπαλὸν οἷον εἴωθεν, Αὐτοθαΐδα τὴν κωμικὴν ἢ Μαλθάκην ἢ Γλυκέραν τινὰ μιμησάμενος τῷ προσηνεῖ τοῦ φθέγματος· ἄγροικον γὰρ τὸ ἀρρενωπὸν καὶ οὐ τοῦ ἁβροῦ καὶ ἐρασμίου ῥήτορος.

13. Φήσει τοίνυν πάνυ μετριάζων ὑπὲρ αὐτοῦ, Μῶν σε, ὦγαθὲ, ὁ Πύθιος ἔπεμψεν ἐπ' ἐμὲ ῥητόρων τὸν ἄριστον προσειπὼν, ὥσπερ ὅτε Χαιρεφῶν ἤρετο αὐτὸν, ἔδειξεν ὅστις ἦν ὁ σοφώτατος ἐν τοῖς τότε; Εἰ δὲ μὴ τοῦτο, ἀλλὰ κατὰ κλέος αὐτὸς ἥκεις ἀκούων ἁπάντων ὑπερεκπεπληγμένων τὰ ἡμέτερα καὶ ὑμνούντων καὶ τεθηπότων καὶ ὑπεπτηχότων, αὐτίκα μάλα εἶσῃ πρὸς οἱόν τινα δαιμόνιον ἄνδρα ἥκεις. Προσδοκήσῃς δὲ μηδὲν τοιοῦτον ὄψεσθαι οἷον τῷδε ἢ τῷδε παραβαλεῖν, ἀλλ' εἴ τις ἢ Τιτυὸς ἢ Ὦτος ἢ Ἐφιάλτης, ὑπὲρ ἐκείνους πολὺ φανεῖταί σοι τὸ πρᾶγμα ὑπερφυὲς καὶ τεράστιον· ἐπεὶ τούς γε ἄλλους τοσοῦτον ὑπερφωνοῦντα εὑρήσεις ὁπόσον ἡ σάλπιγξ τοὺς αὐλοὺς καὶ οἱ τέττιγες τὰς μελίττας καὶ οἱ χοροὶ τοὺς ἐνδιδόντας.

14. Ἐπεὶ δὲ καὶ ῥήτωρ αὐτὸς ἐθέλεις γενέσθαι καὶ τοῦτο οὐκ ἂν παρ' ἄλλου ῥᾷον μάθοις, ἔπου μόνον, ὦ μέλημα, οἷς ἂν εἴπω καὶ ζήλου πάντα καὶ τοὺς νόμους, οἷς ἂν ἐπιτάξω χρῆσθαι, ἀκριβῶς μοι παραφύλαττε. Μᾶλλον δὲ ἤδη προχώρει μηδὲν ὀκνήσας μηδὲ πτοηθεὶς, εἰ μὴ προετελέσθης ἐκεῖνα τὰ πρὸ τῆς ῥητορικῆς, ὁπόσα ἡ ἄλλη προπαιδεία τοῖς ἀνοήτοις καὶ ματαίοις μετὰ πολλοῦ καμάτου ὁδοποιεῖ· οὐδὲν γὰρ αὐτῶν δεήσει. Ἀλλ' ἀνίπτοις ποσὶν — ἡ παροιμία φησίν — ἔμβαινε, οὐ μεῖον ἔξων διὰ τοῦτο, οὐδ' ἂν, τὸ κοινότατον, μηδὲ γράφειν τὰ γράμματα εἰδῇς· ἄλλο γάρ τι παρὰ ταῦτα ὁ ῥήτωρ.

15. Λέξω δὲ πρῶτον μὲν ὁπόσα χρὴ αὐτόν σε οἴκοθεν ἔχοντα ἥκειν ἐφόδια πρὸς τὴν πορείαν καὶ ὅπως ἐπισιτίσασθαι, ὡς ἂν τάχιστα διανύσαι δυνηθείης· ἔπειτα καὐτὸς ἃ μὲν προϊόντι ἐπιδείκνυς κατὰ τὴν ὁδὸν, ἃ δὲ καὶ παραινῶν, πρὶν ἥλιον δῦναι, ῥήτορά σε ὑπὲρ τοὺς πάντας ἀποφανῶ οἷος αὐτός εἰμι, ἀναμφιλέκτως τὰ πρῶτα καὶ μέσα καὶ τελευταῖα τῶν λέγειν ἐπιχειρούντων. Κόμιζε τοίνυν τὸ μέγιστον μὲν τὴν ἀμαθίαν, εἶτα θράσος ἐπὶ τούτῳ καὶ τόλμαν καὶ ἀναισχυντίαν· παῖδῶ δὲ ἢ ἐπιείκειαν ἢ μετριότητα ἢ ἐρύθημα οἴκοι ἀπόλιπε· ἄχρεῖα γὰρ καὶ ὑπεναντία τῷ πράγματι vocem emittat, statim agnoscas non esse de nostro genere aliquem, qui terræ fructum edimus, sed peregrinum quoddam spectrum, rore pastum vel ambrosia. Ad hunc igitur si accesseris, huic te si tradideris, e vestigio rhetor eris, et conspicuus, et, ut ipse appellat, rex in dicendo sine labore constitueris, quadrigis orationis vehi solitus : assumtum enim te prima statim ista docebit.

12. Potius vero ipse te alloquatur : ridiculum enim fuerit pro eo me rhetore verba facere, malum forte talium tantorumque actorem, ut metus sit ne etiam lapsus alicubi personam herois quam ago conteram. Dicat ergo ad te ita fere, ubi prius quantum adhuc superest comæ promiserit, ac venustulum illud atque molle, ut solet, subriserit, ipsam illam Thaida comicam, aut Malthacen, vel Glyceram quandam blanditiæ vocis imitatus : rusticus enim est virilis ille vultus, nec delicatum amabilemque rhetorem decens.

13. Dicet igitur modeste admodum de se, Numquid te, vir optime, Pythius misit ad me, quem rhetorum vocarit optimum, ut Chærephonti olim se interroganti ostendit quis esset eorum qui tum viverent sapientissimus? Si vero non istud, sed gloria invitatus sponte venis, quum omnes audias supra modum ad nostra percelli, eaque decantare, et stupere, et fasces nobis submittere : statim sane scies ad quam divinum virum veneris. Exspectes vero nihil te eorum visurum, quale huic vel illi queat comparari; sed si quis aut Tityus, aut Otus, aut Ephialtes, supra illos omnino ingens tibi nostrum opus et prodigiosum videbitur : quandoquidem ita superari ceteros meæ magnificentia vocis invenies, quantum a tuba tibias, et apes a cicadis, et a choris illos qui cantum ordiuntur.

14. Quando autem ipse etiam rhetor vis fieri, hoc sane a nemine didiceris facilius; sequere modo, o mea cura, quæcumque dixero, et æmulare omnia, et leges quibus te uti jussero, accurate mihi observa omnes. Quin potius jam procede, nihil cunctatus, neque perterritus si nondum initiatus sis illis quæ ante rhetoricen altera illa prævia disciplina dementibus et vanis hominibus multo cum labore tanquam viam substernit : nihil enim iis opus erit. Sed illotis pedibus (ait proverbium) ingredere, nihilo propter hoc deteriore conditione futurus, etiam si neque communissimum illud scias, scribere literas : aliud enim quid præter illa est rhetor.

15. Dicam vero prius quæ oporteat ipsum te viatici instar ad hoc iter domo afferre et quomodo parasse commeatum, ut quam celerrime emetiri illud possis. Tum ipse quoque partim progredienti in via ostendens, partim admonens, ante solem occasum rhetorem te supra omnes efficiam, qualis ipse sum, qui extra controversiam primas et medias et ultimas feram eorum qui audent dicere. Affer igitur quod maximum est, inscitiam, deinde confidentiam post hoc, et audaciam atque impudentiam : pudorem vero, aut æquitatem, aut modestiam, aut ruborem domi relinque : inutilia enim et contraria negotio : at clamorem etiam affer

τι· ἀλλὰ καὶ βοὴν ὅτι μεγίστην καὶ μέλος ἀναίσχυντον καὶ βάδισμα οἷον τὸ ἐμόν. Ταῦτα δὲ πάνυ ἀναγκαῖα μόνα καὶ ἔστιν ὅτε ἱκανά. Καὶ ἡ ἐσθὴς δὲ ἔστω εὐανθὴς καὶ λευκὴ ἔργον τῆς Ταραντίνης ἐργασίας, ὡς διαφαίνεσθαι τὸ σῶμα, καὶ ἡ κρηπὶς Ἀττικὴ καὶ γυναικεία, τὸ πολυσχιδὲς, ἡ ἐμβὰς Σικυωνία πίλοις τοῖς λευκοῖς ἐπιπρέπουσα, καὶ ἀκόλουθοι πολλοὶ καὶ βιβλίον ἀεί. Ταῦτα μὲν αὐτὸν χρὴ συντελεῖν.

16. Τὰ δ' ἄλλα καθ' ὁδὸν ἤδη προϊὼν ὅρα καὶ ἄκουε. Καί σοι τοὺς νόμους δίειμι, οἷς χρώμενόν σε ἡ Ῥητορικὴ γνωριεῖ καὶ προσήσεται, οὐδὲ ἀποστραφήσεται καὶ σκορακιεῖ καθάπερ ἀτέλεστόν τινα καὶ κατάσκοπον τῶν ἀπορρήτων. Ἀλλὰ σχήματος μὲν τὸ πρῶτον ἐπιμεληθῆναι χρὴ μάλιστα καὶ εὐμόρφου τῆς ἀναβολῆς, ἔπειτα δὲ πεντεκαίδεκά που ἢ οὐ πλείω γε τῶν εἴκοσιν Ἀττικὰ ὀνόματα ἐκλέξας ποθὲν, καὶ ταῦτα ἀκριβῶς ἐκμελετήσας, πρόχειρα ἐπ' ἄκρας τῆς γλώττης ἔχε, τὸ ἄττα καὶ κᾆτα καὶ μῶν καὶ ἀμηγέπη καὶ λῶστε καὶ τὰ τοιαῦτα καὶ ἐν ἅπαντι λόγῳ καθάπερ τι ἡδύσμα ἐπίπαττε αὐτῶν· μελέτω δὲ μηδὲν τῶν ἄλλων, εἰ ἀνόμοια τούτοις καὶ ἀσύμφυλα καὶ ἀπῳδά· ἡ πορφύρα μόνον ἔστω καλὴ καὶ εὐανθὴς, κἂν σισύρα τῶν παχειῶν τὸ ἱμάτιον ᾖ.

17. Μετὰ δὲ ἀπόρρητα καὶ ξένα ῥήματα καὶ σπανιάκις εἰρημένα ὑπὸ τῶν πάλαι, καὶ ταῦτα ξυμφορήσας ἀποτόξευε προχειριζόμενος πρὸς τοὺς ὁμιλοῦντας· οὕτω γάρ σε ὁ λεὼς ὁ πολὺς ἀποβλέψονται καὶ θαυμαστὸν ὑπολήψονται καὶ τὴν παιδείαν ὑπὲρ αὐτοὺς, εἰ ἀποστλεγγίσασθαι μὲν τὸ ἀποξύσασθαι λέγοι τις, τὸ δὲ ἡλίῳ θέρεσθαι εἰληθερεῖσθαι, τὸν ἀρραβῶνα δὲ προνόμιον, τὸν ὄρθρον δὲ ἀκροκνεφές. Ἐνίοτε δὲ καὶ αὐτὸς ποίει καινὰ καὶ ἀλλόκοτα ὀνόματα καὶ νομοθέτει τὸν μὲν ἑρμηνεῦσαι δεινὸν εὔλεξιν καλεῖν, τὸν συνετὸν σοφόνουν, τὸν ὀρχηστὴν δὲ χειρόσοφον. Ἂν σολοικίσῃς δὲ ἢ βαρβαρίσῃς, ἓν ἔστω φάρμακον ἡ ἀναισχυντία, καὶ πρόχειρον εὐθὺς ὄνομα οὔτε ὄντος τινὸς οὔτε γενομένου ποτὲ ποιητοῦ ἢ συγγραφέως, ὃς οὕτω λέγειν ἐδοκίμαζε σοφὸς ἀνὴρ καὶ τὴν φωνὴν ἐς τὸ ἀκρότατον ἀπηκριβωμένος. Ἀλλὰ καὶ ἀναγίγνωσκε τὰ παλαιὰ μὲν μὴ σύ γε, μηδὲ εἴ τι ὁ λῆρος Ἰσοκράτης ἢ ὁ χαρίτων ἄμοιρος Δημοσθένης ἢ ὁ ψυχρὸς Πλάτων, ἀλλὰ τοὺς τῶν ὀλίγον πρὸ ἡμῶν λόγους καὶ ἃς φασι ταύτας μελέτας, ὡς ἔχῃς ἀπ' ἐκείνων ἐπισιτισάμενος ἐν καιρῷ καταχρήσασθαι καθάπερ ἐκ ταμιείου προαιρῶν.

18. Ἐπειδὰν δὲ καὶ δέῃ λέγειν καὶ οἱ παρόντες ὑποβάλωσί τινας ὑποθέσεις καὶ ἀφορμὰς τῶν λόγων, ἅπαντα μὲν ὁπόσα ἂν ᾖ δυσχερῆ, εὐχερῆ λεγέσθω καὶ ἐκφαυλιζέσθω ὡς οὐδὲν ὅλως ἀνδρῶδες αὐτῶν ἑλομένων· ἑλομένων δὲ μηδὲν μελλήσας λέγε ὅττι κεν ἐπ' ἀκαιρίμαν γλῶτταν ἔλθῃ, μηδὲν ἐκείνων ἐπιμεληθεὶς, ὡς τὸ πρῶτον, ὥσπερ οὖν καὶ ἔστι πρῶτον, ἐρεῖς ἐν καιρῷ προσήκοντι καὶ τὸ δεύτερον μετὰ τοῦτο καὶ τὸ τρίτον μετ' ἐκεῖνο, ἀλλὰ τὸ πρῶτον ἐμπεσὸν πρῶτον λεγέσθω, καὶ ἢν οὕτω τύχῃ, περὶ τῷ μετώπῳ μὲν ἡ κνημὶς, quammaximum, et modulationem impudentem, incessumque qualis est meus. Hæc vero omnino necessaria sunt, sola, interdum plane sufficiunt. Vestis autem sit florida et candida, de Tarentino textrino, ut corpus perluceat; crepida Attica et muliebris, scissilis illa; calceus Sicyonius, qui in albis coactilibus magis deceat. Sint etiam pedissequi multi, et semper liber. Et hæc ipsum te conferre oportet.

16. Reliqua in via jam inter progrediendum vide atque audi. Nimirum leges tibi explico, quibus utentem agnoscet te Rhetorice atque admittet, neque aversabitur et jubebit facessere, tanquam non initiatum et mysteriorum exploratorem. Sed primo maxima habitus cura habenda est, et decentis amictus: deinde quindecim ferme, non plura certe viginti, Attica nomina undecumque collecta, eaque diligenti meditatione comprehensa, in promtu et extrema lingua habeto, illud ἄττα, et κᾆτα, et μῶν, et ἀμηγέπη, et λῶστε, et similia, et in unaquaque oratione tanquam condimentum illorum quoddam asperge: reliquorum vero nulla cura sit, si dissimilia his, et ex alia quasi tribu sint et absona: purpura modo pulchra sit et florida, licet crassa de pellibus penula sit ipsum vestimentum.

17. Postea abstrusa sunto et peregrina verba, et rarenter a veteribus dicta: atque hæc collecta in promtu habe, ut jaculari possis in eos qui tecum loquuntur: ita enim vulgus te respicient atque admirandum hominem putabunt, cujus suum supra captum sit eruditio, si ἀποστλεγγίσασθαι quis dicat pro destringi, et pro sole uti εἰληθερεῖσθαι, et arrhabonem nomines προνόμιον, et diluculum ἀκροκνεφές. Interdum vero et ipse fingas nova et prodigiosa nomina, præcipiens vocari eum qui eloquendo valet, εὔλεξιν, et prudentem σοφόνουν, saltatorem vero χειρόσοφον. Si vero vel in jungendis verbis peccaveris, vel barbara singula protuleris, unum sit remedium, impudentia, atque in promtu statim nomen alicujus qui neque sit neque fuerit unquam poetæ, vel solutæ orationis scriptoris, qui ita dicendum probaverit, vir doctus et linguæ ad summam accurationem peritus. Verum leges etiam non tu quidem vetera, neque si quid nugator ille Isocrates, aut expers Gratiarum Demosthenes, aut frigidus Plato scripsere; sed libros paullo ante nostram ætatem editos, et istas quas declamationes vocant, ut commeatu ab iis instructus, habeas quo in tempore abutaris, atque inde tanquam e penu depromas.

18. Si vero etiam dicendum sit, et argumenta quædam præsentes subjecerint atque dicendi materiem; quæcumque difficilia sunt, facilia dicantur, et contemnantur, quasi virile omnino nihil ipsi elegerint: verum quando elegere, tu nihil cunctatus dicito quodcumque tandem verbum intempestivam in linguam venerit, nihil curans ista, ut primum, sicut nempe primum est, suo tempore dicas et secundum post hoc, et post illud tertium: sed quod sublerit primum, primum dicatur; ac si ita usu veniat, fronti ocrea circumdetur,

περὶ τῇ κνήμῃ δὲ ἡ κόρυς. Πλὴν ἀλλ' ἔπειγε καὶ σύνειρε καὶ μὴ σώπα μόνον. Κἂν περὶ ὑβριστοῦ τινος ἢ μοιχοῦ λέγῃς Ἀθήνησι, τὰ ἐν Ἰνδοῖς καὶ Ἐκβατάνοις λεγέσθω. Ἐπὶ πᾶσι δὲ ὁ Μαραθὼν καὶ ὁ Κυναίγειρος, ὧν οὐκ ἄν τι ἄνευ γένοιτο. Καὶ ἀεὶ ὁ Ἄθως πλείσθω καὶ ὁ Ἑλλήσποντος πεζευέσθω καὶ ὁ ἥλιος ὑπὸ τῶν Μηδικῶν βελῶν σκεπέσθω καὶ Ξέρξης φευγέτω καὶ ὁ Λεωνίδας θαυμαζέσθω καὶ τὰ Ὀθρυάδου γράμματα ἀναγιγνωσκέσθω, καὶ ἡ Σαλαμὶς καὶ τὸ Ἀρτεμίσιον καὶ αἱ Πλαταιαὶ πολλὰ ταῦτα καὶ πυκνά, καὶ ἐπὶ πᾶσι τὰ ὀλίγα ἐκεῖνα ὀνόματα ἐπιπολαζέτω καὶ ἐπανθείτω, καὶ συνεχὲς τὸ ἄττα καὶ τὸ δήπουθεν, κἂν μηδὲν αὐτῶν δέῃ· καλὰ γάρ ἐστι καὶ εἰκῇ λεγόμενα.

19. Ἢν δέ ποτε καὶ ᾄσαι καιρὸς εἶναι δοκῇ, πάντα σοι ᾀδέσθω καὶ μέλος γιγνέσθω. Κἄν ποτε ἀπορήσῃς πράγματος ᾠδικοῦ, τοὺς ἄνδρας τοὺς δικαστὰς ὀνομάσας ἐμμελῶς πεπληρωκέναι οἴου τὴν ἁρμονίαν. Τὸ δὲ οἴμοι τῶν κακῶν πολλάκις, καὶ ὁ μηρὸς πατασσέσθω, καὶ λαρύγγιζε καὶ ἐπιχρέμπτου τοῖς λεγομένοις καὶ βάδιζε μεταφέρων τὴν πυγήν. Καὶ ἢν μέν σε μὴ ἐπαινῶσιν, ἀγανάκτει καὶ λοιδοροῦ αὐτοῖς· ἢν δὲ ὀρθοὶ ἑστήκωσιν ὑπὸ τῆς αἰσχύνης ἤδη πρὸς τὴν ἔξοδον ἕτοιμοι, καθέζεσθαι κέλευε, καὶ ὅλως τυραννὶς τὸ πρᾶγμα ἔστω.

20. Ὅπως δὲ καὶ τὸ πλῆθος τῶν λόγων θαυμάζωσιν, ἀπὸ τῶν Ἰλιακῶν ἀρξάμενος ἢ καὶ νὴ Δία ἀπὸ τῶν Δευκαλίωνος καὶ Πύρρας γάμων, ἢν δοκῇ, καταβίβαζε τὸν λόγον ἐπὶ τὰ νῦν καθεστῶτα· οἱ μὲν γὰρ συνιέντες ὀλίγοι, καὶ μάλιστα μὲν σιωπήσονται ὑπ' εὐγνωμοσύνης, ἢν δὲ καὶ λέγωσί τι, ὑπὸ φθόνου αὐτὸ δόξουσι δρᾶν· οἱ πολλοὶ δὲ τὸ σχῆμα καὶ φωνὴν καὶ βάδισμα καὶ περίπατον καὶ μέλος καὶ κρηπῖδα καὶ τὸ ἄττα σου ἐκεῖνο τεθήπασι καὶ τὸν ἱδρῶτα ὁρῶντες καὶ τὸ ἄσθμα οὐκ ἔχουσιν ὅπως ἀπιστήσουσι μὴ οὐχὶ πάνδεινόν τινα ἐν τοῖς λόγοις ἀγωνιστὴν εἶναί σε. Ἄλλως τε καὶ τὸ ταχὺ τοῦτο οὐ μικρὰν ἔχει τὴν ἀπολογίαν καὶ θαῦμα παρὰ τοῖς πολλοῖς· ὥστε ὅρα μή ποτε γράψῃς ἢ σκεψάμενος παρέλθῃς, ἔλεγχος γὰρ σαφὴς ταῦτά γε.

21. Οἱ φίλοι δὲ πηδάτωσαν ἀεὶ καὶ μισθὸν τῶν δείπνων ἀποτινέτωσαν, εἴ ποτε αἴσθοιντό σε καταπεσούμενον, χεῖρα ὀρέγοντες καὶ παρέχοντες εὑρεῖν τὸ λεχθησόμενον ἐν τοῖς μεταξὺ τῶν ἐπαίνων διαλείμμασι· καὶ γὰρ αὖ καὶ τοῦδε μελέτω σοι τὸν χορὸν ἔχειν οἰκεῖον καὶ συνάδοντα. Ταῦτα μέν σοι τὰ ἐν τοῖς λόγοις. Μετὰ ταῦτα δὲ προϊόντα σε δορυφορείτωσαν ἐγκεκαλυμμένον αὐτὸν καὶ περὶ ὧν ἔφης μεταξὺ διαλαμβάνοντα. Καὶ ἤν τις ἐντύχῃ, θαυμάσια περὶ σαυτοῦ λέγε καὶ ὑπερεπαίνει καὶ ἐπαχθὴς γίγνου αὐτῷ· Τί γὰρ ὁ Παιανιεὺς πρὸς ἐμέ; καὶ, Πρὸς ἕνα ἴσως μοι τῶν παλαιῶν ὁ ἀγών· καὶ τὰ τοιαῦτα.

22. Ὃ δὲ μέγιστον καὶ πρὸς τὸ εὐδοκιμεῖν ἀναγκαιότατον ὀλίγου δεῖν παραλέλοιπα, ἁπάντων καταγέλα τῶν λεγόντων· καὶ ἢν μέν τις καλῶς εἴπῃ, ἀλλότρια καὶ οὐχ ἑαυτοῦ δεικνύειν δοκείτω· ἢν δὲ μετρίως ἐνέχθῃ, et galea cruri. Verum insta, et verba continua, et modo ne tace. Et si de stupratore aliquo aut adultero dicas Athenis, quæ apud Indos aguntur et Ecbatanis, dicantur. Præter omnia vero Marathon et Cynægirus, sine quibus nihil fiat: et semper navigetur Athos, et pedibus transeatur Hellespontus, tegaturque sol a sagittis Persicis, et fugiat Xerxes, et Leonidas in admiratione sit, et legantur sanguineæ Othryadis literæ, et audiantur Salamis, et Artemisium, ac Platææ, multa hæc et crebra: tum omnibus pauca illa nomina in summo innatent et florum instar præniteant; perpetuumque sit illud ἄττα, atque δήπουθεν, licet nusquam illis sit opus: pulchra enim sunt, etiam quum dicuntur temere.

19. Si vero aliquando etiam cantandi tempus esse videatur, cantentur omnia et fiant cantilena. Et si quando non habeas quod cantari aptum sit, appellandis flexa in cantum voce judicibus impletam tibi harmoniam existima. Atque illud, Hei malorum! frequens esto, et percutiatur femur; tum modulanti gutture pronuncia, et screatu verba distingue, et inter agendum fluctuante podice ingredere. Et si te non laudent, indignator illis et maledicito; sin per pudorem surrexerint, ad abeundum jam parati, assidere illos jubeto, atque in universum, regnum tu exerceto.

20. Ut vero copiam quoque in te admirentur rerum dicendarum, ab Iliacis inde temporibus facto initio, aut, per Jovem, a Deucalionis et Pyrrhæ nuptiis, si videatur, ad illum qui nunc est status rerum orationem deducito. Nam qui intelligunt, pauci; iique maximam partem bonitate quadam reticebunt: si quid vero dicant etiam, per invidiam videbuntur facere. Sed vulgus habitum, et vocem, et incessum, et inambulationem, et cantillationem, et crepidam, et illud tuum ἄττα admirantur, ac viso sudore tuo atque anhelatione, non possunt non credere, formidandum te in dicendo certatorem esse. Inprimis vero etiam illa extemporalitas excusationem non parvam præstat, atque apud populum admirationem. Itaque vide ne unquam scribas, aut post aliquam meditationem ad dicendum prodeas: in ista enim aperte deprehendaris.

21. Amici autem semper plaudant pedibus, et mercedem solvant cœnarum, si quando labare te sentiant, præbentes manum, et inter moras laudationum inveniendi quid dicas occasionem suppeditantes: nam illud quoque tibi curæ sit, chorum tibi tuum uti habeas qui concinat. Hæc quidem observanda tibi in ipsis orationibus. Post ea vero prodeuntem te deducant, suo tectum satellitio, et de his quæ dixisti disputantem. Et si quis forte fiat obviam, admiranda de te dicito, et supra modum te ipse lauda, ut gravis ei sis: Quid enim ad me ille Pæaniensis? et, Ad unum forte veterum mihi certamen est; et id genus alia.

22. Quod autem maximum et ad famam parandam inprimis necessarium, pæne prætermiseram: quicumque dicunt, eos deride: et si quis bene dixerit, aliena, non sua, proferre videatur; si feratur mediocriter, reprehensione di-

πάντα ἔστω ἐπιλήψιμα. Καὶ ἐν ταῖς ἀκροάσεσι μετὰ πάντας εἰσιέναι χρὴ, ἐπίσημον γάρ· καὶ σιωπησάντων ἁπάντων ξένον τινὰ ἔπαινον ἐπειπεῖν τὰς ἀκοὰς τῶν παρόντων ἐπιστρέφοντα καὶ ἐνοχλήσοντα, ὡς ναυτιᾶν ἅπαντας ἐπὶ τῷ φορτικῷ τῶν ὀνομάτων καὶ ἐπιφράττεσθαι τὰ ὦτα. Καὶ ἐπισείσης δὲ μὴ πολλάκις τὴν χεῖρα, εὐτελὲς γὰρ, μηδὲ ἀναστῇς, πλὴν ἅπαξ γε ἢ δὶς τὸ πλεῖστον· ὑπομειδία δὲ τὰ πολλὰ καὶ δῆλος γίγνου μὴ ἀρεσκόμενος τοῖς λεγομένοις. Ἀμφιλαφεῖς δὲ αἱ ἀφορμαὶ τῶν μέμψεων τοῖς συκοφαντικοῖς τὰ ὦτα. Τὰ δ' ἄλλα χρὴ θαρρεῖν· ἡ τόλμα γὰρ καὶ ἀναισχυντία καὶ ψεῦδος πρόχειρον καὶ ὅρκος ἐπ' ἄκροις ἀεὶ τοῖς χείλεσι καὶ φθόνος πρὸς ἅπαντας καὶ μῖσος καὶ βλασφημία καὶ διαβολαὶ πιθαναί. Ταῦτά σε ἀοίδιμον ἐν βραχεῖ καὶ περίβλεπτον ἀποφανεῖ. Τοιαῦτα μὲν τὰ φανερὰ καὶ τὰ ἔξω.

23. Ἰδίᾳ δὲ πάντα πράγματα ποιεῖν σοι δεδόχθω, κυβεύειν μεθύσκεσθαι λαγνεύειν μοιχεύειν ἢ αὐχεῖν γε, κἂν μὴ ποιῇς, καὶ πρὸς ἅπαντας λέγειν καὶ γραμμάτια ἐπιδεικνύειν ὑπὸ γυναικῶν δῆθεν γραφέντα· καλὸς γὰρ εἶναι θέλε καὶ σοὶ μελέτω ὑπὸ τῶν γυναικῶν σπουδάζεσθαι δοκεῖν· ἐς τὴν ῥητορικὴν γὰρ καὶ τοῦτο ἀνοίσουσιν οἱ πολλοὶ, ὡς διὰ τοῦτό σου καὶ ἄχρι τῆς γυναικωνίτιδος εὐδοκιμοῦντος· καὶ τὸ δεῖνα δὲ, μὴ αἰδεσθῇς, εἰ καὶ πρὸς ἀνδρῶν ἐπὶ τῷ ἑτέρῳ ἐρᾶσθαι δοκοίης, καὶ ταῦτα γενειήτης ἢ καὶ νὴ Δία φαλακρὸς ἤδη ὤν. Ἀλλ' ἔστωσαν οἱ καὶ ἐπὶ τούτῳ συνόντες· ἢν δὲ μὴ ὦσιν, οἱ οἰκέται ἱκανοί. Πολλὰ γὰρ καὶ ἐκ τοῦ τοιούτου πρὸς τὴν ῥητορικὴν χρήσιμα παραγίγνεται· πλείων ἡ ἀναισχυντία καὶ θράσος. Ὁρᾷς ὡς λαλίστεραι αἱ γυναῖκες καὶ λοιδοροῦνται περιττῶς καὶ ὑπὲρ τοὺς ἄνδρας; εἰ δὴ τὰ ὅμοια πάσχοις, διοίσεις τῶν ἄλλων. Καὶ μὴν καὶ πιττοῦσθαι χρὴ μάλιστα μὲν τὰ πάντα, εἰ δὲ μὴ, πάντως ἐκεῖνα. Καὶ αὐτὸ δέ σοι τὸ στόμα πρὸς ἅπαντα ὁμοίως κεχηνέτω, καὶ ἡ γλῶττα ὑπηρετείτω καὶ πρὸς τοὺς λόγους καὶ πρὸς τὰ ἄλλα ὁπόσα ἂν δύνηται· δύναται δὲ οὐ σολοικίζειν μόνον καὶ βαρβαρίζειν οὐδὲ λῆρεῖν ἢ ἐπιορκεῖν ἢ λοιδορεῖσθαι ἢ διαβάλλειν καὶ ψεύδεσθαι, ἀλλὰ καὶ νύκτωρ τι ἄλλο ὑποτελεῖν, καὶ μάλιστα ἢν πρὸς οὕτω πολλοὺς τοὺς ἔρωτας μὴ διαρκέσῃς· πάντα αὐτή γε ἐπιστάσθω καὶ γονιμωτέρα γιγνέσθω καὶ μηδὲν ἀποστρεφέσθω.

24. Ἢν ταῦτα, ὦ παῖ, καλῶς ἐκμάθῃς — δύνασαι δέ· οὐδὲν γὰρ ἐν αὐτοῖς βαρύ — θαρρῶν ἐπαγγέλλομαι οὐκ ἐς μακράν σε ἄριστον ῥήτορα καὶ ἡμῖν ὅμοιον ἀποτελεσθήσεσθαι. Τὸ μετὰ τοῦτο δὲ οὐκ ἐμὲ χρὴ λέγειν ὅσα ἐν βραχεῖ παρέσται σοι ταγαθὰ παρὰ τῆς Ῥητορικῆς. Ὁρᾷς ἐμὲ, ὃς πατρὸς μὲν ἀφανοῦς καὶ οὐδὲ καθαρῶς ἐλευθέρου ἐγενόμην ὑπὲρ Ξόϊν καὶ Θμοῦιν δεδουλευκότος, μητρὸς δὲ ἀκεστρίας, ἐπ' ἀμφοδίου τινός. Αὐτὸς δὲ τὴν ὥραν οὐ παντάπασιν ἀδόκιμος εἶναι δόξας τὸ μὲν πρῶτον ἐπὶ ψιλῷ τῷ τρέφεσθαι συνῆν τινι κακοδαίμονι καὶ γλίσχρῳ ἐραστῇ, ἔπειτ δὲ τὴν ὁδὸν ταύτην ῥᾳστην οὖσαν κατεῖδον καὶ διεκπαίσας ἐπὶ τῷ

gna sint omnia. In recitationibus ultimus omnium ingredere; facit enim te conspicuum : et tacentibus omnibus, peregrinam quadam laudationem subjicere memento, quæ aures præsentium advertat et offendat, ut nauseent omnes ad verborum insolentiam, et aures obturent. Neque vero manum sæpe ad laudandum moveas, vile enim id est; neu assurgas, nisi semel forte aut bis ad summum : subride autem frequenter, et ostende non placere tibi quæ dicuntur. Opportunæ sunt autem ad reprehendendum occasiones apud eos, qui pronas calumniis aures habent. Ceterum confidendum est : audacia enim, et impudentia, et mendacium in promtu, et jusjurandum in extremis semper labiis, et invidia contra omnes, et odium, et maledicentia, et calumniæ probabiles. Hæc celebrem te brevi et conspicuum facient. Atque talia sunto quæ extra sunt et apparent.

23. In privato autem facinora omnia committere tibi decretum sit, aleatorem esse, inebriari, libidinari, mœchari, aut gloriari certe, si non feceris, idque apud omnes dicere, et literulas ostendere a mulieribus scilicet scriptas. Etenim pulcher esse velle debes, et hoc agere ut mulieres studiose videantur te sectari : nam hoc quoque ad rhetoricen vulgo referent, quasi ea causa in ipsa gynæconitide gratiosus sis. Verum nec illud tibi pudori sit, si a viris quoque diversæ rei causa amari videare, idque barbatus quum sis, aut, ita me Jupiter, jam calvus. Sed sint qui etiam hac ipsa causa semper tecum sint : si vero non sint, servi sufficient. Multa enim ex hac etiam re commoda facultati dicendi utilia accedunt : major erit impudentia atque audacia. Viden' ut loquaciores sint mulieres, et abunde maledicant ac supra viros? si ergo idem quod illæ patiaris, præcelles reliquis. Verum etiam pice velli oportet maxime sane per omnia; si vero minus, omnino quidem illis partibus. Ipsum vero os tibi ad omnia hiet pariter, et ministret lingua quum ad sermones, tum ad alia quæcumque poterit : potest autem non solœcismos tantum committere aut barbarismos, neque nugari solum, aut pejerare, aut maledicere, aut calumniari ac mentiri; sed noctu aliud quoque subire ministerium, inprimis ad multos adeo amores si non sufficias. Omnia quidem illa norit, et genitalior fiat, neu quicquam aversetur.

24. Hæc si, puer, diligenter edidiceris (potes vero; neque enim quicquam est in illis difficile), confidenter tibi polliceor, non longo interjecto tempore optimum te rhetora et nobis similem redditum iri. Quod sequitur, non opus est uti ego dicam, quot brevi bona a Rhetorice tibi affutura sint. Vides enim me, qui ignobili patre natus sim, et ne pure quidem libero, ut qui ultra Xoin et Thmuin servierit, matre autem sarcinatrice, in bivio quodam. Ipse autem, qui forma viderer esse non omnino contemnenda, primo solorum alimentorum pretio fui cum amatore misero atque avaro : quum vero viderem hanc viam esse facillimam, per eamque prorumpens in summo jam essem (erant mihi enim,

ἄκρῳ ἐγενόμην — ὑπῆρχε γάρ μοι, ὦ φίλη Ἀδράστεια, πάντα ἐκεῖνα ἃ προεῖπον ἐφόδια, τὸ θράσος, ἡ ἀμαθία, ἡ ἀναισχυντία — πρῶτον μὲν οὐκέτι Ποθεινὸς ὀνομάζομαι, ἀλλ' ἤδη τοῖς Διὸς καὶ Λήδας παισὶν ὁμώνυμος γεγένημαι· ἔπειτα δὲ γραῒ συνοικήσας τὸ πρῶτον μὲν ἐγαστριζόμην πρὸς αὐτῆς ἐρᾶν προσποιούμενος γυναικὸς ἑβδομηκοντούτιδος τέτταρας ἔτι λοιποὺς ὀδόντας ἐχούσης, χρυσίῳ καὶ τούτους ἐνδεδεμένους. Πλὴν ἀλλά γε διὰ τὴν πενίαν ὑφιστάμην τὸν ἆθλον καὶ τὰ ψυχρὰ ἐκεῖνα τὰ ἐκ τῆς σορροῦ φιλήματα ὑπερήδιστά μοι ἐποίει ὁ λιμός. Εἶτα ὀλίγου δεῖν κληρονόμος ὢν εἶχεν ἁπάντων κατέστην, εἰ μὴ κατάρατός τις οἰκέτης ἐμήνυσεν ὡς φάρμακον εἴην ἐπ' αὐτὴν ἐωνημένος.

25. Ἐξωσθεὶς δὲ ἐπὶ κεφαλὴν ὅμως οὐδὲ τότε ἠπόρησα τῶν ἀναγκαίων, ἀλλὰ καὶ ῥήτωρ δοκῶ κἀν ταῖς δίκαις ἐξετάζομαι προδιδοὺς τὰ πολλὰ καὶ τοὺς δικαστὰς τοῖς ἀνοήτοις καθυπισχνούμενος, καὶ ἡττῶμαι μὲν τὰ πλεῖστα, οἱ φοίνικες δὲ ἐπὶ τῇ θύρᾳ χλωροὶ καὶ ἐστεφανωμένοι· τούτοις γὰρ ἐπὶ τοὺς δυστυχεῖς χρῶμαι τοῖς δελέασιν. Ἀλλὰ καὶ τὸ μισεῖσθαι πρὸς ἁπάντων καὶ ἐπίσημον εἶναί με ἐπὶ τῇ μοχθηρίᾳ τοῦ τρόπου καὶ πολὺ πρότερον τῶν λόγων καὶ τὸ δείκνυσθαι τῷ δακτύλῳ τοῦτον ἐκεῖνον τὸν ἀκρότατον ἐν πάσῃ κακίᾳ λεγόμενον, οὐ μικρὸν εἶναί μοι δοκεῖ. Ταῦτά σοι παραινῶ, νὴ τὴν πάνδημον, πολὺ πρότερον ἐμαυτῷ παραινέσας καὶ χάριν ἐμαυτῷ οὐ μικρὰν ἐπισπασάμενος.

26. Εἶεν· ὁ μὲν γεννάδας εἰπὼν ταῦτα πεπαύσεται· σὺ δὲ ἦν πεισθῇς τοῖς εἰρημένοις, καὶ δὴ παρεῖναι νόμιζε οἷπερ ἐξ ἀρχῆς ἐπόθεις ἐλθεῖν, καὶ οὐδέν σε κωλύσει ἑπόμενον τοῖς νόμοις ἔν τε τοῖς δικαστηρίοις κρατεῖν καὶ ἐν τοῖς πλήθεσιν εὐδοκιμεῖν καὶ ἐπέραστον εἶναι καὶ γαμεῖν οὐ γραῦν τινα τῶν κωμικῶν, καθάπερ ὁ νομοθέτης καὶ διδάσκαλος, ἀλλὰ καλλίστην γυναῖκα τὴν Ῥητορικήν, ὡς τὸ τοῦ Πλάτωνος ἐκεῖνο πτηνὸν ἅρμα ἐλαύνοντα φέρεσθαι σοὶ μᾶλλον πρέπειν περὶ σεαυτοῦ εἰπεῖν ἢ ἐκείνῳ περὶ τοῦ Διός· ἐγὼ δὲ — ἀγεννὴς γὰρ καὶ δειλός εἰμι — ἐκστήσομαι τῆς ὁδοῦ ὑμῖν καὶ παύσομαι τῇ ῥητορικῇ ἐπιπολάζων, ἀσύμβολος ὢν πρὸς αὐτὴν τὰ ὑμέτερα· μᾶλλον δὲ ἤδη πέπαυμαι. Ὥστε ἀκονιτὶ ἀνακηρύττεσθε καὶ θαυμάζεσθε μόνον τοῦτο μεμνημένοι, ὅτι μὴ τῷ τάχει ἡμῶν κεκρατήκατε ὠκύτεροι φανέντες, ἀλλὰ τῷ ῥᾴστην καὶ πρανῆ τραπέσθαι τὴν ὁδόν.

cara Adrastea! præsidia illa quæ modo dicebam omnia, confidentia, inscitia, impudentia), primo quidem non amplius Pothinus nominor, sed jam Jovis et Ledæ pueris cognominis factus sum : deinde adjunxi me ad anum mulierem, a qua primum laute alebar, amare dum simulo mulierem septuagenariam, dentes adhuc quattuor habentem reliquos, auro revinctos et ipsos. Verumtamen paupertatis causa laborem sustinui, quum frigida illa de capulo oscula suavissima mihi fames redderet. Deinde parum aberat quin heres constitutus essem quæ habebat omnium, nisi servus exsecrabilis indicasset venenum a me, quod illi darem, esse emtum.

25. Præceps igitur ejectus, necessariis tamen ne sic quidem carui : sed et rhetor esse videor, et in judiciis versor prævaricans sæpe, et judicum corruptionem insipientibus pollicens. Et plerumque causa equidem cado : sed palmæ tamen in janua virides et coronis cinctæ; illis enim ad infelices escis utor. Sed id ipsum quoque, quod odio sum omnibus, et quod insignis sum ob morum perversitatem, et quod multo prius quam ob orationis facultatem ideo monstror digito, quia princeps ipse in omni malitia dicor, non parvum mihi quidem videtur. Hæc tibi, ita me popularis Venus! præcipio, quæ multo prius ipse mihi præcepi, eaque ratione gratiam mihi non parvam conciliavi.

26. Sint ista satis! generosus ille post hæc dicta tacebit. Tu vero si dictis ab illo moveare, jam adesse te puta quorsum venire initio desiderabas; neque quicquam te prohibebit quominus legibus illis obsecutus tum in judiciis vincas, tum bene audias apud multitudinem, et amabilis sis, ducasque non anum quandam de comicarum illo genere, ut tuus legislator et magister, sed mulierem pulcherrimam Rhetoricen, adeo ut Platonis illud, volucri curru vectum ferri, de te potius deceat dicere te, quam ipsum de Jove hoc dicere decuit. Ego vero (ignavus enim et timidus sum) de via vobis decedam, et desinam ob rhetoricen spectari, qui nihil ad eam conferam vestri illius modi : vel potius jam desii. Itaque sine pulvere prædicandos vos atque admirandos præbete, illud solum recordati, non celeritate vos vestra vicisse, qui velociores judicati sitis, verum quod facillimam et declivem viam estis ingressi.

LII.

ΦΙΛΟΨΕΥΔΗΣ Η ΑΠΙΣΤΩΝ.

1. ΤΥΧΙΑΔΗΣ. Ἔχεις μοι, ὦ Φιλόκλεις, εἰπεῖν εἴ ποτε ἄρα τοῦτό ἐστιν ὃ τοὺς πολλοὺς εἰς ἐπιθυμίαν τοῦ ψεύδεσθαι προάγεται, ὡς αὐτούς τε χαίρειν μηδὲν ὑγιὲς λέγοντας καὶ τοῖς τὰ τοιαῦτα διεξιοῦσι μάλιστα προσέχειν τὸν νοῦν;

LII.

PHILOPSEUDES sive INCREDULUS.

1. TYCHIADES. Potesne mihi, Philocles, dicere, quid sit tandem illud quod ad mentiendi libidinem plerosque allicit, ut et ipsi gaudeant quum nihil sani dicunt, et narrantibus talia animum maxime attendant?

ΦΙΛΟΚΛΗΣ. Πολλὰ, ὦ Τυχιάδη, ἐστὶν ἃ τοὺς ἀνθρώπους ἐνίους ἀναγκάζει τὰ ψευδῆ λέγειν ἐς τὸ χρήσιμον ἀποβλέποντας.

ΤΥΧ. Οὐδὲν πρὸς ἔπος ταῦτα, φασὶν, οὐδὲ περὶ τούτων ἠρόμην ὁπόσοι τῆς χρείας ἕνεκα ψεύδονται. Συγγνώμης τοιγαροῦν οὗτοί γε μᾶλλον καὶ ἐπαίνου τινὲς αὐτῶν ἄξιοι, ὁπόσοι ἢ πολεμίους ἐξηπάτησαν ἢ ἐπὶ σωτηρίᾳ τῷ τοιούτῳ φαρμάκῳ ἐχρήσαντο ἐν τοῖς δεινοῖς, οἷα πολλὰ καὶ Ὀδυσσεὺς ἐποίει τήν τε αὑτοῦ ψυχὴν ἀρνύμενος καὶ τὸν νόστον τῶν ἑταίρων. Ἀλλὰ περὶ ἐκείνων, ὦ ἄριστε, φημὶ οἱ αὐτὸ ἄνευ τῆς χρείας τὸ ψεῦδος περὶ πολλοῦ τῆς ἀληθείας τίθενται ἡδόμενοι τῷ πράγματι καὶ ἐνδιατρίβοντες ἐπ' οὐδεμιᾷ προφάσει ἀναγκαίᾳ. Τούτους οὖν ἐθέλω εἰδέναι τίνος ἀγαθοῦ τοῦτο ποιοῦσιν.

2. ΦΙΛ. Ἦ που κατανενόηκας ἤδη τινὰς τοιούτους, οἷς ἔμφυτος ἔρως οὗτός ἐστι πρὸς τὸ ψεῦδος;

ΤΥΧ. Καὶ μάλα πολλοί εἰσιν οἱ τοιοῦτοι.

ΦΙΛ. Τί δ' οὖν ἄλλο ἢ ἄνοιαν χρὴ αἰτίαν εἶναι αὐτοῖς φάναι τοῦ μὴ ἀληθῆ λέγειν, εἴ γε τὸ χείριστον ἀντὶ τοῦ βελτίστου προαιροῦνται;

ΤΥΧ. Οὐδὲν τοῦτο· ἐπεὶ πολλοὺς ἂν ἐγώ σοι δείξαιμι συνετοὺς τἆλλα καὶ τὴν γνώμην θαυμαστοὺς οὐκ οἶδ' ὅπως ἁλωκότας τούτῳ τῷ κακῷ καὶ φιλοψευδεῖς ὄντας, ὡς ἀνιᾶσθαί με, εἰ τοιοῦτοι ἄνδρες ἄριστοι τὰ πάντα ὅμως χαίρουσιν αὑτούς τε καὶ τοὺς ἐντυγχάνοντας ἐξαπατῶντες· ἐκείνους μὲν γὰρ τοὺς παλαιοὺς πρὸ ἐμοῦ σὲ χρὴ εἰδέναι, τὸν Ἡρόδοτον καὶ Κτησίαν τὸν Κνίδιον καὶ πρὸ τούτων τοὺς ποιητὰς καὶ τὸν Ὅμηρον αὐτὸν, ἀοιδίμους ἄνδρας, ἐγγράψῳ τῷ ψεύσματι κεχρημένους, ὡς μὴ μόνον ἐξαπατᾶν τοὺς τότε ἀκούοντας αὐτῶν, ἀλλὰ καὶ μέχρι ἡμῶν διικνεῖσθαι τὸ ψεῦδος ἐκ διαδοχῆς ἐν καλλίστοις ἔπεσι καὶ μέτροις φυλαττόμενον. Ἐμοὶ γοῦν πολλάκις αἰδεῖσθαι ὑπὲρ αὐτῶν ἔπεισιν, ὁπόταν Οὐρανοῦ τομὴν καὶ Προμηθέως δεσμὰ διηγῶνται καὶ Γιγάντων ἐπανάστασιν καὶ τὴν ἐν Ἅδου πᾶσαν τραγῳδίαν, καὶ ὡς δι' ἔρωτα ὁ Ζεὺς ταῦρος ἢ κύκνος ἐγένετο καὶ ὡς ἐκ γυναικός τις ἐς ὄρνεον ἢ ἐς ἄρκτον μετέπεσεν, ἔτι Πηγάσους καὶ Χιμαίρας καὶ Γοργόνας καὶ Κύκλωπας καὶ ὅσα τοιαῦτα, πάνυ ἀλλόκοτα καὶ τεράστια μυθίδια παίδων ψυχὰς κηλεῖν δυνάμενα ἔτι τὴν Μορμὼ καὶ τὴν Λάμιαν δεδιότων.

3. Καίτοι τὰ μὲν τῶν ποιητῶν ἴσως μέτρια, τὸ δὲ καὶ πόλεις ἤδη καὶ ἔθνη πολλὰ κοινῇ δημοσίᾳ ψεύδεσθαι πῶς οὐ γελοῖον; εἰ Κρῆτες μὲν τοῦ Διὸς τάφον δεικνύοντες οὐκ αἰσχύνονται, Ἀθηναῖοι δὲ τὸν Ἐριχθόνιον ἐκ τῆς γῆς ἀναδοθῆναί φασι καὶ τοὺς πρώτους ἀνθρώπους ἐκ τῆς Ἀττικῆς ἀναφῦναι καθάπερ τὰ λάχανα, πολὺ σεμνότερον οὗτοι τῶν Θηβαίων, οἳ ἐξ ὄφεως ὀδόντων Σπαρτούς τινας ἀναβεβλαστηκέναι διηγοῦνται. Ὅς δ' ἂν οὖν ταῦτα καταγέλαστα ὄντα μὴ οἴηται ἀληθῆ εἶναι, ἀλλ' ἐμφρόνως ἂν ἐξετάζων ταῦτα Κορο[ί]βου τινὸς ἢ Μαργίτου νομίζοι τὸ πείθεσθαι ἢ Τριπτόλεμον ἐλάσαι διὰ τοῦ ἀέρος ἐπὶ δρακόντων ὑποπτέρων

PHILOCLES. Multa sunt, Tychiade, quæ cogant homines quosdam mendacia dicere, utilitatis suæ respectu.

TYCH. Nihil hæc ad rem, neque de his ego rogabam, quotquot usus alicujus causa mentiuntur. Etenim venia hi potius, quidam eorum etiam laude digni sunt, qui vel hostes decepere, vel ad salutem tali remedio in malis usi sunt, qualia etiam Ulysses multa fecit, dum vel suam vitam redimeret, vel reditum sociorum. Verum de illis dico, vir optime, qui ipsum præter necessitatem mendacium longe veritati præponunt, eaque re delectantur, et nulla causa necessaria in ea versantur. De his scire velim ego, cui bono hoc faciant.

2. PHIL. Numquid jam cognovisti tales quosdam, quibus insitus sit hic amor mendacii?

TYCH. Et plurimi quidem sunt tales.

PHIL. Quid ergo aliud causæ illis esse, quam amentiam, dicendum est, quod verum non dicant, quando quod pessimum est pro optimo eligunt?

TYCH. Hoc nihil est; quandoquidem plurimos ego tibi ostenderim, prudentes alioquin et admirabili sapientia, nescio quomodo illo malo captos et mendaciorum studiosos, adeo ut male me habeat, si tales viri, optimi reliqua omnia, tamen gaudent seque et illos quibuscum sunt decipere. Illos enim antiquos prius, quam ego, tu noveris oportet, Herodotum, et Ctesiam Cnidium, et ante hos, poetas, Homerumque adeo ipsum, viros celeberrimos, scripto usos mendacio, adeo ut non modo qui tum erant auditores suos deceperint, sed ad nos etiam mendacium successione quadam verbis versibusque pulcherrimis commendatum pervenerit. Me quidem sæpe subit illorum vicem pudere, quum Cœli castrationem, et vincula Promethei enarrant, et seditionem Gigantum, et totam apud inferos tragœdiam, et ut propter amorem Jupiter sit taurus vel cycnus factus, et ut ex muliere in avem aliqua aut in ursam mutata sit: ad hæc Pegasos, et Chimæras, et Gorgones, et Cyclopes, et quæ sunt ex eo genere, absurdæ omnino et portentosæ fabellæ, puerulorum mentes mulcere aptæ, qui etiamnum Larvam Lamiamque metuunt.

3. Quanquam poetarum illa forte tolerabilia fuerint mendacia: quod vero jam civitates et gentes multæ communiter et publice mentiuntur, qui non ridiculum? si Cretenses Jovis sepulcrum ostendentes non erubescunt, Athenienses vero Erichthonium de terra exstitisse aiunt, primosque homines, olerum instar, de Attico solo enatos; multo hi quidem speciosius quam Thebani, qui de serpentis dentibus Spartos (*salivos*) quosdam germinasse narrant. Si quis vero hæc tam ridicula non putet vera esse, sed iis prudenter examinatis, Corœbi cujusdam aut Margitæ judicet credere vel Triptolemum per aera vectum alatis draconibus, vel Panem

ἢ Πᾶνα ἥκειν ἐξ Ἀρκαδίας σύμμαχον ἐς Μαραθῶνα ἢ Ὠρείθυιαν ὑπὸ τοῦ Βορέου ἀναρπασθῆναι, ἀσεβὴς οὗτός γε καὶ ἀνόητος αὐτοῖς ἔδοξεν οὕτω προδήλοις καὶ ἀληθέσι πράγμασιν ἀπιστῶν· ἐς τοσοῦτον ἐπικρατεῖ τὸ ψεῦδος.

4. ΦΙΛ. Ἀλλ' οἱ μὲν ποιηταί, ὦ Τυχιάδη, καὶ αἱ πόλεις δὲ συγγνώμης τυγχάνοιεν ἄν, οἱ μὲν τὸ ἐκ τοῦ μύθου τερπνὸν ἐπαγωγότατον ὂν ἐγκαταμιγνύντες τῇ γραφῇ, οὗπερ μάλιστα δέονται πρὸς τοὺς ἀκροατάς, Ἀθηναῖοι δὲ καὶ Θηβαῖοι καὶ εἴ τινες ἄλλοι σεμνοτέρας ἀποφαίνονται τὰς πατρίδας ἐκ τῶν τοιούτων. Εἰ γοῦν τις ἀφέλοι τὰ μυθώδη ταῦτα ἐκ τῆς Ἑλλάδος, οὐδὲν ἂν κωλύσαι λιμῷ τοὺς περιηγητὰς αὐτῶν διαφθαρῆναι μηδὲ ἀμισθὶ τῶν ξένων τἀληθὲς ἀκούειν ἐθελησάντων. Οἱ δὲ μηδὲ μιᾶς ἕνεκα τοιαύτης αἰτίας ὅμως χαίροντες τῷ ψεύσματι παγγέλοιοι εἰκότως δοκοῖεν ἄν.

5. ΤΥΧ. Εὖ λέγεις· ἐγὼ γὰρ παρὰ Εὐκράτους ἥκω σοι τοῦ πάνυ πολλὰ τὰ ἄπιστα καὶ μυθώδη ἀκούσας, μᾶλλον δὲ μεταξὺ λεγομένων ἀπιὼν ὠχόμην οὐ φέρων τοῦ πράγματος τὴν ὑπερβολήν, ἀλλά με ὥσπερ αἱ Ἐρινύες ἐξήλασαν πολλὰ τεράστια καὶ ἀλλόκοτα διεξιόντος.

ΦΙΛ. Καίτοι, ὦ Τυχιάδη, ἀξιόπιστος ὁ Εὐκράτης ἐστὶ καὶ οὐδεὶς ἂν οὐδὲ πιστεύσειεν ὡς ἐκεῖνος οὕτω βαθὺν πώγωνα καθειμένος ἑξηκοντούτης ἀνήρ, ἔτι καὶ φιλοσοφίᾳ ξυνὼν τὰ πολλά, ὑπομείνειεν ἂν καὶ ἄλλου τινὸς ψευδομένου ἀκοῦσαι παρὼν, οὐχ ὅπως αὐτός τι τολμῆσαι τοιοῦτον.

ΤΥΧ. Οὐ γὰρ οἶσθα, ὦ ἑταῖρε, οἷα μὲν εἶπεν, ὅπως δὲ αὐτὰ ἐπιστώσατο, ὡς δὲ καὶ ἐπώμνυτο τοῖς πλείστοις παραστησάμενος τὰ παιδία, ὥστε με καὶ ἀποβλέποντα ἐς αὐτὸν ποικίλα ἐννοεῖν, ἄρτι μὲν ὡς μεμήνοι καὶ ἔξω εἴη τοῦ καθεστηκότος, ἄρτι δὲ ὡς γόης ὢν ἄρα τοσοῦτον χρόνον ἐλελήθει με ὑπὸ τῇ λεοντῇ γελοῖόν τινα πίθηκον περιστέλλων· οὕτως ἄτοπα διηγεῖτο.

ΦΙΛ. Τίνα ταῦτα πρὸς τῆς Ἑστίας, ὦ Τυχιάδη; ἐθέλω γὰρ εἰδέναι ἥντινα τὴν ἀλαζονείαν ὑπὸ τηλικούτῳ τῷ πώγωνι ἔσκεπεν.

6. ΤΥΧ. Εἰωθα μὲν καὶ ἄλλοτε, ὦ Φιλόκλεις, φοιτᾶν πρὸς αὐτὸν, εἴ ποτε πολλὴν τὴν σχολὴν ἄγοιμι, τήμερον δὲ Λεοντίχῳ συγγενέσθαι δεόμενος — ἑταῖρος δέ μοι, ὡς οἶσθα — ἀκούσας παρὰ τοῦ παιδὸς ὡς παρ' Εὐκράτην ἔωθεν ἀπέλθοι νοσοῦντα ἐπισκεψόμενος, ἀμφοῖν ἕνεκα, ὡς καὶ τῷ Λεοντίχῳ συγγενοίμην κἀκεῖνον ἴδοιμι — ἠγνοήκειν γὰρ ὡς νοσοίη — παραγίγνομαι πρὸς αὐτόν· εὑρίσκω δὲ αὐτόθι τὸν μὲν Λεόντιχον οὐκέτι — ἐφθάκει γὰρ, ὡς ἔφασκεν, ὀλίγον προεξεληλυθώς — ἄλλους δὲ συχνοὺς, ἐν οἷς Κλεόδημός τε ἦν ὁ ἐκ τοῦ Περιπάτου καὶ Δεινόμαχος ὁ Στωϊκὸς καὶ Ἴων, οἶσθα τὸν ἐπὶ τοῖς Πλάτωνος λόγοις θαυμάζεσθαι ἀξιοῦντα ὡς μόνον ἀκριβῶς κατανενοηκότα τὴν γνώμην τοῦ ἀνδρὸς καὶ τοῖς ἄλλοις ὑποφητεῦσαι δυνάμενον. Ὁρᾷς οὓς ἄνδρας σοί φημι, πανσόφους καὶ παναρέτους,

venisse ex Arcadia auxiliatum in Marathonem, vel raptam a Borea Orithyiam : ille impius et amens illis videri solet, qui manifestis adeo et veris rebus fidem neget. Eo usque mendacium invaluit.

4. PHIL. Sed poetæ, Tychiade, et civitates veniam fere consequantur : alteri suavitatem fabularum, quæ tantas habeat illecebras, suæ scriptioni admiscentes, qua scilicet maxime ad auditores suos opus habent; Athenienses vero ac Thebani, et si qui alii, augustiores talibus commentis reddunt patrias. Si quis enim tollat e Græcia fabulosa ista, nihil prohibuerit fame eorum monstratores perire, quum ne gratis quidem hospites audire verum velint. At qui nulla prorsus tali causa inducti tamen gaudent mendacio, illi merito videantur plane ridiculi.

5. TYCH. Recte istuc dicis. Ego enim ab Eucrate tibi adsum, nobili illo, ubi incredibilibus multis et fabulosis auditis, vel potius in media eorum enarratione discessi, qui ferre egressam modum licentiam non possem : sed tanquam Furiæ quædam me ejecerunt, illo portentosa multa et absurda enarrante.

PHIL. Atqui, Tychiade, fide dignus Eucrates est, neque quisquam temere crediderit illum, qui prolixam adeo barbam submiserit, hominem sexagenarium, ad hoc cum philosophia diu versatum, vel alium sustinere posse ut audiat se præsente mentientem, nedum ut ipse tale quid audeat.

TYCH. Nempe nescis, sodalis, qualia dixerit, quomodo fidem illis facere studuerit, quomodo dejeraverit ad pleraque, pueros etiam suos per quorum caput juraret interponens, adeo ut vultu in illum defixo varia cogitarem; modo quidem furere hominem et mente non constare; modo impostorem esse ac tam diu me fugisse, qui leonina pelle simium tegeret ridiculum : adeo absurda narrabat.

PHIL. Quænam ista, per ego te Vestam rogo, Tychiade? volo enim scire quamnam sub tanta barba tegat vanitatem.

6. TYCH. Solebam etiam alias, Philocles, ventitare ad illum, si valde otiosus essem : hodie vero quum Leontichо convento mihi opus esset, qui meus, ut nosti, sodalis est, audissemque ex ejus puero, mane abiisse ad Eucratem, ut ægrotantem viseret; utriusque rei causa, ut et Leontichum convenirem, et viderem ipsum, ignarus ægrotum esse, eo venio. Ac Leontichum quidem non amplius ibi invenio, qui paullo ante, uti ille dicebat, discessisset; sed alios frequentes, in quibus et Cleodemus erat Peripateticus, et Stoicus Dinomachus, atque Ion; nosti illum qui de Platonicis disputationibus admirationi esse postulat, tanquam qui solus accurate sententiam viri perceperit et aliis possit interpretari. Viden' quos tibi viros narrem sapientia omni et virtute præditos, quodque caput rei est, de una-

δ τι περ τὸ κεφάλαιον αὐτὸ ἐξ ἑκάστης προαιρέσεως, αἰδεσίμους ἅπαντας καὶ μονονουχὶ φοβεροὺς τὴν πρόσοψιν; Ἔτι καὶ ὁ ἰατρὸς Ἀντίγονος παρῆν κατὰ χρείαν, οἶμαι, τῆς νόσου ἐπικληθείς, καὶ ῥᾷον ἐδόκει ἤδη ἔχειν ὁ Εὐκράτης καὶ τὸ νόσημα τῶν συντρόφων ἦν· τὸ ῥεῦμα γὰρ ἐς τοὺς πόδας αὖθις αὐτῷ κατεληλύθει. Καθέζεσθαι οὖν με παρ' αὐτὸν ἐπὶ τῆς κλίνης ὁ Εὐκράτης ἐπένευσεν ἠρέμα ἐγκλίνας τῇ φωνῇ ἐς τὸ ἀσθενικὸν, ὁπότε εἶδέ με, καίτοι βοῶντος αὐτοῦ καὶ διατεινομένου τι μεταξὺ εἰσιὼν ἐπήκουον. Κἀγὼ μάλα πεφυλαγμένως, μὴ ψαύσαιμι τῶν ποδῶν αὐτοῦ, ἀπολογησάμενος τὰ συνήθη ταῦτα, ὡς ἀγνοήσαιμι νοσοῦντα καὶ ὡς, ἐπεὶ ἔμαθον, δρομαῖος ἔλθοιμι, ἐκαθεζόμην πλησίον.

7. Οἱ μὲν δὴ ἐτύγχανον ἤδη περὶ τοῦ νοσήματος τὰ μὲν ἤδη προειρηκότες, τὰ δὲ καὶ τότε διεξιόντες, ἔτι δὲ καὶ θεραπείας τινὰς ἕκαστος ὑποβάλλοντες· ὁ γοῦν Κλεόδημος, Εἰ τοίνυν, φησὶ, τῇ ἀριστερᾷ τις ἀνελόμενος χαμόθεν τὸν ὀδόντα τῆς μυγαλῆς οὕτω φονευθείσης, ὡς προεῖπον, ἐνδήσειεν εἰς δέρμα λέοντος ἄρτι ἀποδαρέντος, εἶτα περιάψειε περὶ τὰ σκέλη, αὐτίκα παύεται τὸ ἄλγημα. Οὐκ εἰς λέοντος, ἔφη ὁ Δεινόμαχος, ἐγὼ ἤκουσα, ἐλάφου δὲ θηλείας ἔτι παρθένου καὶ ἀβάτου· καὶ τὸ πρᾶγμα οὕτω πιθανώτερον· ὠκὺ γὰρ ἡ ἔλαφος καὶ ἔρρωται μάλιστα ἐκ τῶν ποδῶν. Καὶ ὁ λέων ἁλκιμος μὲν, καὶ τὸ λίπος αὐτοῦ καὶ ἡ χεὶρ ἡ δεξιὰ καὶ αἱ τρίχες ἐκ τοῦ πώγωνος αἱ ὀρθαὶ μεγάλα δύναιντ' ἄν, εἴ τις ἐπίσταιτο αὐτοῖς χρῆσθαι μετὰ τῆς οἰκείας ἐπῳδῆς ἑκάστῳ· ποδῶν δὲ ἴασιν ἥκιστα ἐπαγγέλλεται. Καὶ αὐτὸς, ἦ δ' ὅς ὁ Κλεόδημος, οὕτω πάλαι ἐγίγνωσκον ἐλάφου χρῆναι τὸ δέρμα εἶναι, διότι ὠκὺ ἔλαφος· ἔναγχος δὲ Λίβυς ἀνὴρ σοφὸς τὰ τοιαῦτα μετεδίδαξέ με εἰπὼν ὠκυτέρους εἶναι τῶν ἐλάφων τοὺς λέοντας. Ἀμέλει, ἔφη, καὶ αἱροῦσιν αὐτὰς διώκοντες. Ἐπῄνεσαν οἱ παρόντες ὡς εὖ εἰπόντος τοῦ Λίβυος.

8. Ἐγὼ δὲ, Οἴεσθε γὰρ, ἔφην, ἐπῳδαῖς τισι τὰ τοιαῦτα παύεσθαι ἢ τοῖς ἔξωθεν παραρτήμασι τοῦ κακοῦ ἔνδον διατρίβοντος; Ἐγέλασαν ἐπὶ τῷ λόγῳ μου καὶ δῆλοι ἦσαν κατεγνωκότες μου πολλὴν τὴν ἄνοιαν, ἐπεὶ μὴ ἐπισταίμην τὰ προδηλότατα καὶ περὶ ὧν ἂν οὐδεὶς φρονῶν ἀντείποι μὴ οὐχὶ οὕτως ἔχειν. Ὁ μέντοι ἰατρὸς Ἀντίγονος ἐδόκει μοι ἡσθῆναι τῇ ἐρωτήσει μου· πάλαι γὰρ ἠμελεῖτο, οἶμαι, βοηθεῖν ἀξιῶν τῷ Εὐκράτει μετὰ τῆς τέχνης οἴνου τε παραγγέλλων ἀπέχεσθαι καὶ λάχανα σιτεῖσθαι καὶ ὅλως ὑφαιρεῖν τοῦ τόνου. Ὁ γοῦν Κλεόδημος ὑπομειδιῶν ἅμα, Τί λέγεις, ἔφη, ὦ Τυχιάδη; ἄπιστον εἶναί σοι δοκεῖ τὸ ἐκ τῶν τοιούτων γίγνεσθαί τινας ὠφελείας ἐς τὰ νοσήματα; Ἔμοιγε, ἦν δ' ἐγὼ, εἰ μὴ πάνυ τὴν ῥῖνα κορύζης μεστὸς εἴην, ὡς πιστεύσειν τὰ ἔξω καὶ μηδὲν κοινωνοῦντα τοῖς ἔνδοθεν ἐπεγείρουσι τὰ νοσήματα μετὰ ῥηματίων, ὥς φατε, καὶ γοητείας τινὸς ἐνεργεῖν καὶ τὴν ἴασιν ἐπιπέμπειν προσαρτώμενα. Τὸ δ' οὐκ ἂν γένοιτο, οὐδ' ἢν ἐς τοῦ Νεμείου λέοντος τὸ δέρμα ἐνδήσῃ τις ἑκκαίδεκα μυγαλᾶς ὅλας· ἐγὼ γοῦν αὐτὸν τὸν λέοντα

quaque secta, venerabiles omnes ac tantum non aspectu ipso terribiles? Insuper vero aderat etiam Antigonus medicus, morbi causa, puto, advocatus. Ac jam mollius videbatur habere Eucrates, eratque familiaris illi morbus: defluxio enim iterum in pedes illi descenderat. Igitur assidere me apud se in lectulo jussit Eucrates, submissa paullum ad infirmitatem significandam voce, quum me vidisset, quanquam clamantem ipsum et contenta voce aliquid dicentem in ipso ingressu audiveram. Et ego summa cautione adhibita, ne forte pedes illius attingerem, excusatione illa vulgari prolata, me morbum ipsius ignorasse, audito autem, cursim advenisse, prope illum assedi.

7. Illi forte jam de morbo partim dixerant, partim adhuc disputabant; insuper etiam curationes unusquisque nonnullas subjiciebant. Nam Cleodemus, Si ergo, inquit, sinistra aliquis humi tollat dentem mustelæ, ita uti dixi interfectæ, et in excoriati modo leonis pelle deliget, ac deinde circumponat cruribus; statim cessat dolor. Non leonina, inquit Dinomachus, audivi equidem, sed cervæ virginis et nondum initæ: et probabilior sic res est; celere enim cerva et robustum maxime pedibus. Et leo fortis ille quidem, atque adeps illius et manus dextra et pili de barba recti multum valeant, si quis cum suo quodque carmine adhibere possit: pedum vero curationem minime promittit. Ipse quoque, inquit Cleodemus, ita olim censebam, cervæ oportere pellem esse, propterea quod velox cerva: sed nuper e Libya vir talium sapiens aliter me docuit, quum diceret velociores esse leones cervis. Nimirum, dicebat, capiunt illos etiam persecuti. Laudabant præsentes Libyn, qui recte dixisset.

8. At ego, Putatis enim, dicebam, incantationibus quibusdam talia sedari, aut rebus extra appensis, quum tamen intus habitet malum? Riserunt in hoc sermone meo, ac manifestum erat condemnari ab illis multam meam inscitiam, quoniam nescirem quæ essent manifestissima ac de quibus nemo sanus contradiceret, quasi non ita se haberent. Verumtamen Antigonus medicus videbatur delectari mea interrogatione: olim enim, puto, negligebatur, qui auxilium per artem suam afferre vellet Eucrati, et vino illum abstinere jubens, et vesci oleribus, et in universum de contentione remittere. Cleodemus ergo subridens, Quid ais, inquit, Tychiade? incredibile tibi videtur quasdam exsistere e talibus utilitates ad morbos? Mihi vero, inquam; nisi omnino pituita plenus mihi sit nasus, ut credam externa et quæ nihil communicent cum internis rebus morbos excitantibus, cum voculis quibusdam, ut dicitis, præstigiisque operari et sanationem, si appendantur, immittere. Enimvero hoc non contigerit, neque si quis in Nemæi leonis pelle sedecim totas mustelas deliget. Ego enim

εἶδον πολλάκις χωλεύοντα ὑπ' ἀλγηδόνων ἐν ὁλοκλήρῳ τῷ αὐτοῦ δέρματι.

9. Πάνυ γὰρ ἰδιώτης, ἔφη ὁ Δεινόμαχος, εἶ καὶ τὰ τοιαῦτα οὐκ ἐμέλησέ σοι ἐκμαθεῖν ὄντινα τρόπον ὠφελεῖ τοῖς νοσήμασι προσφερόμενα, καί μοι δοκεῖς οὐδὲ τὰ προφανέστατα ἂν παραδέξασθαι ταῦτα, τῶν ἐκ περιόδου πυρετῶν τὰς ἀποπομπὰς καὶ τῶν ἑρπετῶν τὰς καταθέλξεις καὶ βουβώνων ἰάσεις καὶ τἆλλα ὁπόσα καὶ αἱ γραῆες ἤδη ποιοῦσιν. Εἰ δὲ ἐκεῖνα γίγνεται ἅπαντα, τί δή ποτε οὐχὶ ταῦτα οἰήσῃ γίγνεσθαι ὑπὸ τῶν ὁμοίων; Ἀπέραντα, ἦν δ' ἐγὼ, ξυμπεραίνῃ, ὦ Δεινόμαχε, καὶ ἥλῳ, φασὶν, ἐκκρούεις τὸν ἦλον· οὐδὲ γὰρ ἃ φῂς ταῦτα ὄῆλα μετὰ τοιαύτης δυνάμεως γιγνόμενα. Ἦν γοῦν μὴ πείσῃς πρότερον ἐπάγων τῷ λόγῳ, διότι φύσιν ἔχει γίγνεσθαι, τοῦ τε πυρετοῦ καὶ τοῦ οἰδήματος δεδιότος ἢ ὄνομα θεσπέσιον ἢ ῥῆσιν βαρβαρικὴν καὶ διὰ τοῦτο ἐκ τοῦ βουβῶνος δραπετεύοντος, ἔτι σοι γραῶν μῦθοι τὰ λεγόμενά ἐστι.

10. Σύ μοι δοκεῖς, ἦ δ' ὃς ὁ Δεινόμαχος, τὰ τοιαῦτα λέγων οὐδὲ θεοὺς εἶναι πιστεύειν εἴ γε μὴ οἴει τὰς ἰάσεις οἷόν τε εἶναι ὑπὸ ἱερῶν ὀνομάτων γίγνεσθαι. Τοῦτο μὲν, ἦν δ' ἐγὼ, μὴ λέγε, ὦ ἄριστε· κωλύει γὰρ οὐδὲν καὶ θεῶν ὄντων ὅμως τὰ τοιαῦτα ψευδῆ εἶναι. Ἐγὼ δὲ καὶ θεοὺς σέβω καὶ ἰάσεις αὐτῶν ὁρῶ καὶ ἃ εὖ ποιοῦσι τοὺς κάμνοντας ὑπὸ φαρμάκων καὶ ἰατρικῆς ἀνιστάντες· ὁ γοῦν Ἀσκληπιὸς αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ ἤπια φάρμακα πάττοντες ἐθεράπευον τοὺς νοσοῦντας, οὐ λέοντας καὶ μυγαλᾶς περιάπτοντες.

11. Ἔα τοῦτον, ἔφη ὁ Ἴων, ἐγὼ δὲ ὑμῖν θαυμάσιόν τι διηγήσομαι. Ἦν μὲν ἐγὼ μειράκιον ἔτι ἀμφὶ τὰ τετταρακαίδεκα ἔτη σχεδόν· ἦκε δέ τις ἀγγέλλων τῷ πατρὶ Μίδαν τὸν ἀμπελουργὸν, ἐρρωμένον ἐς τἆλλα οἰκέτην καὶ ἐργατικὸν, ἀμφὶ πλήθουσαν ἀγορὰν ὑπὸ ἐχίδνης δηχθέντα κεῖσθαι ἤδη σεσηπότα τὸ σκέλος· ἀναδοῦντι γὰρ αὐτῷ τὰ κλήματα καὶ ταῖς χάραξι περιπλέκοντι προσερπύσαν τὸ θηρίον δακεῖν κατὰ τὸν μέγαν δάκτυλον, καὶ τὸ μὲν φθάσαι καὶ καταδῦναι αὖθις ἐς τὸν φωλεὸν, τὸν δὲ οἰμώζειν ἀπολλύμενον ὑπ' ἀλγηδόνων. Ταῦτά τε οὖν ἀπηγγέλλετο καὶ τὸν Μίδαν ἐωρῶμεν αὐτὸν ἐπὶ σκίμποδος ὑπὸ τῶν δμοδούλων προσκομιζόμενον, ὅλον ᾠδηκότα, πελιδνὸν, μυδῶντα, τὴν ἐπιφάνειαν ὀλίγον ἔτι ἐμπνέοντα. Ἀλυπημένῳ δὴ τῷ πατρὶ τῶν φίλων τις παρὼν, Θάρρει, ἔφη, ἐγὼ γάρ σοι ἄνδρα Βαβυλώνιον τῶν Χαλδαίων, ὥς φασιν, αὐτίκα μέτειμι, ὃς ἰάσεται τὸν ἄνθρωπον. Καὶ ἵνα μὴ διατρίβω λέγων, ἦκεν ὁ Βαβυλώνιος καὶ ἀνέστησε τὸν Μίδαν ἐπῳδῇ τινι ἐξελάσας τὸν ἰὸν ἐκ τοῦ σώματος, ἔτι καὶ προσαναρτήσας τῷ ποδὶ τεθνηκυίας παρθένου λίθον ἀπὸ τῆς στήλης ἐκκόψας. Καὶ τοῦτο μὲν ἴσως μέτριον· καίτοι ὁ Μίδας αὐτὸς ἀράμενος τὸν σκίμποδα, ἐφ' οὗ ἐκεκόμιστο, ᾤχετο ἐς τὸν ἀγρὸν ἀπιών. Τοσοῦτον ἡ ἐπῳδὴ ἐδυνήθη καὶ ὁ στηλίτης ἐκεῖνος λίθος.

12. Ὁ δὲ καὶ ἄλλα ἐποίησε θεσπέσια ὡς ἀληθῶς· ἐς τὸν ἀγρὸν γὰρ ἐλθὼν ἕωθεν ἐπειπὼν ἱερατικά τινα ἐκ

leonem ipsum sæpe claudicantem præ doloribus in integra sua pelle vidi.

9. Omnino nimirum idiota es, ait Dinomachus, neque talia discere curasti, quemadmodum morbis adhibita, prosint: ac videris mihi ne manifestissima quidem ista recipere, febrium intermittentium depulsiones, et serpentium mulcedines, et tumorum inguinalium sanationes, et reliqua quæ jam vetulæ faciunt. Si vero illa fiunt omnia, quidni et ista putabis fieri a similibus? Ea quæ non consequuntur, inquam, concludis, Dinomache, et clavo, quod aiunt, clavum ejicis: neque enim quæ dicis, ea tali potentia fieri manifestum est. Nisi enim prius eo conversa disputatione persuaseris quomodo fieri ista ex naturali lege possint, metuente febri aut tumore vel divinum nomen vel sermonem barbaricum, et propterea de inguinibus aufugiente; adhuc quæ dicis aniles sunt fabulæ.

10. Videris tu mihi, ait Dinomachus, talia qui dicas, neque deos credere, si quidem non putas fieri posse ut per divina nomina sanationes contingant. Illud quidem, inquam, noli dicere, vir optime: nihil enim prohibet, etiam si sunt dii, tamen talia esse mendacia. Ego vero et colo deos, et curationes illorum video, et quæ bene faciant laborantibus, quos medicamentorum et medicinæ opera restituant. Æsculapius enim ipse ejusque filii medicamentis bonis miscendis sanabant ægrotos, non leonibus mustelisque alligandis.

11. Omitte istum, inquit Ion: ego vero mirabile quiddam vobis enarrabo. Adolescentulus eram circa quattuor et decem fere annos: venit autem aliquis patri nuncians, Midam vinitorem, robustum cetera servum et labori intentum, eo fere tempore quo forum mane frequentari solet, a serpente morsum, jacere jam putrescente crure! deliganti enim palmites et palis applicanti, adrepentem viperam morsu appetiisse pollicem, ac subito suam rursus cavernam subiisse: illum vero plorare, qui periret doloribus. Hæc igitur nunciabantur: ac Midam videbamus ipsum in grabato afferri a conservis, totum tumoribus inflatum, luridum, putrescentem jam, et, quod oculis cerneres, ægre adhuc spirantem. Tristi autem patri amicorum aliquis, qui forte aderat, Bono es animo, inquit; ego enim tibi Babylonium hominem, de Chaldæis quos vocant, statim arcesso, qui sanabit hominem. Et ne moras narrandi faciam, venit Babylonius; restituit Midam, carmine quodam ejecto de corpore veneno, quum alligasset insuper pedi illius lapidem, quem de columella sepulcrali virginis defunctæ exciderat. Atque hoc fortassis mediocre videatur: quanquam ipse Midas, sublato in quo portatus fuerat grabato, discedens rus abiit. Tantum carmen illud valuit et ille lapis de sepulcro.

12. At ille alia quoque patravit vere divina. In prædium enim quum abiisset, mane, pronunciatis ex veteri libro

βίβλου παλαιᾶς ὀνόματα ἑπτά, θείῳ καὶ δᾳδὶ καθαγνίσας τὸν τόπον περιελθὼν ἐς τρὶς, ἐξήλασεν ὅσα ἦν ἑρπετὰ ἐντὸς τῶν ὅρων. Ἦκον οὖν ὥσπερ εἰλκόμενοι πρὸς τὴν ἐπῳδὴν ὄφεις πολλοὶ καὶ ἀσπίδες καὶ ἔχιδναι καὶ κεράσται καὶ ἀκοντίαι φρῦνοί τε καὶ φύσαλοι, ἐλείπετο δὲ εἷς δράκων παλαιὸς ὑπὸ γήρως, οἶμαι, ἐξερπύσαι μὴ δυνάμενος παρακούσας τοῦ προστάγματος· ὁ δὲ μάγος οὐκ ἔφη παρεῖναι ἅπαντας, ἀλλ' ἕνα τινὰ τῶν ὄφεων τὸν νεώτατον χειροτονήσας πρεσβευτὴν ἔπεμψεν ἐπὶ τὸν δράκοντα, καὶ μετὰ μικρὸν ἦκε κἀκεῖνος. Ἐπεὶ δὲ συνηλίσθησαν, ἐνεφύσησε μὲν αὐτὰ ὁ Βαβυλώνιος, τὰ δὲ αὐτίκα μάλα κατεκαύθη ἅπαντα ὑπὸ τῷ φυσήματι, ἡμεῖς δὲ ἐθαυμάζομεν.

13. Εἰπέ μοι, ὦ Ἴων, ἦν δ' ἐγὼ, ὁ ὄφις ὁ πρεσβευτὴς ὁ νέος ἆρα καὶ ἐχειραγώγει τὸν δράκοντα ἤδη, ὡς φῂς, γεγηρακότα, ἢ σκίπωνα ἔχων ἐκεῖνος ἐπεστηρίζετο; Σὺ μὲν παίζεις, ἔφη ὁ Κλεόδημος, ἐγὼ δὲ καὶ αὐτὸς ἀπιστότερος ὢν σου πάλαι τὰ τοιαῦτα — ᾠμην γὰρ οὐδενὶ λόγῳ δυνατὸν γίγνεσθαι ἂν αὐτὰ πιστεῦσαι — ὅμως ὅτε τὸ πρῶτον εἶδον πετόμενον τὸν ξένον τὸν βάρβαρον — ἐξ Ὑπερβορέων δὲ ἦν, ὡς ἔφασκεν — ἐπίστευσα καὶ ἐνικήθην ἐπὶ πολὺ ἀντισχών. Τί γὰρ ἔδει ποιεῖν αὐτὸν ὁρῶντα διὰ τοῦ ἀέρος φερόμενον ἡμέρας οὔσης καὶ ἐφ' ὕδατος βαδίζοντα καὶ διὰ πυρὸς διεξιόντα καὶ σχολῇ καὶ βάδην; Σὺ ταῦτα, ἦν δ' ἐγὼ, εἶδες, τὸν Ὑπερβόρεον ἄνδρα πετόμενον ἢ ἐπὶ τοῦ ὕδατος βεβηκότα; Καὶ μάλα, ἦ δ' ὅς, ὑποδεδεμένον γε καρβατίνας, οἷα μάλιστα ἐκεῖνοι ὑποδοῦνται. Τὰ μὲν γὰρ σμικρὰ ταῦτα τί χρὴ καὶ λέγειν, ὅσα ἐπεδείκνυτο ἔρωτας ἐπιπέμπων καὶ δαίμονας ἀνάγων καὶ νεκροὺς ἑώλους ἀνακαλῶν καὶ τὴν Ἑκάτην αὐτὴν ἐναργῆ παριστὰς καὶ τὴν Σελήνην κατασπῶν;

14. Ἐγὼ γοῦν διηγήσομαι ὑμῖν ἃ εἶδον γενόμενα ὑπ' αὐτοῦ ἐν Γλαυκίου τοῦ Ἀλεξικλέους· ἄρτι γὰρ ὁ Γλαυκίας τοῦ πατρὸς ἀποθανόντος παραλαβὼν τὴν οὐσίαν ἠράσθη Χρυσίδος τῆς Δημαινέτου θυγατρὸς, ἐμοὶ δὲ διδασκάλῳ ἐχρῆτο πρὸς τοὺς λόγους, καὶ εἴ γε μὴ ὁ ἔρως ἐκεῖνος ἀπησχόλησεν αὐτὸν, ἅπαντα ἂν ἤδη τὰ τοῦ Περιπάτου ἠπίστατο, ὃς καὶ ὀκτωκαιδεκαέτης ὢν ἀνέλυε καὶ τὴν φυσικὴν ἀκρόασιν μετεληλύθει εἰς τέλος· ἀμηχανῶν δὲ ὅμως τῷ ἔρωτι μηνύει μοι τὸ πᾶν. Ἐγὼ δὲ ὥσπερ εἰκὸς ἦν διδάσκαλον ὄντα, τὸν Ὑπερβόρεον ἐκεῖνον μάγον ἄγω πρὸς αὐτὸν ἐπὶ μναῖς τέτταρσι μὲν τὸ παραυτίκα — ἔδει γὰρ προτελέσαι τι πρὸς τὰς θυσίας — ἑκκαίδεκα δὲ, εἰ τύχοι τῆς Χρυσίδος. Ὁ δὲ αὐξομένην τηρήσας τὴν σελήνην — τότε γὰρ ὡς ἐπὶ τὸ πολὺ τὰ τοιαῦτα τελεσιουργεῖται — βόθρον τε ὀρυξάμενος ἐν αἰθρίῳ τινὶ τῆς οἰκίας περὶ μέσας νύκτας ἀνεκάλεσεν ἡμῖν πρῶτον μὲν τὸν Ἀλεξικλέα τὸν πατέρα τοῦ Γλαυκίου πρὸ ἑπτὰ μηνῶν τεθνεῶτα· ἠγανάκτει δὲ ὁ γέρων ἐπὶ τῷ ἔρωτι καὶ ὠργίζετο, τὰ τελευταῖα δὲ ὅμως ἐρῆκεν αὐτῷ ἐρᾶν. Μετὰ δὲ τὴν Ἑκάτην τε ἀνήγαγεν ἐπαγομένην τὸν Κέρβερον καὶ τὴν Σελήνην κατέσπασε πολύμορφόν τι θέαμα καὶ ἄλλοτε ἄλλοῖόν τι φανταζόμενον.

sanctis septem nominibus, loco per sulphur et facem tribus circuitibus lustrato, quotquot intra fines illos fuerant serpentes ejecit. Veniebant igitur velut tracti ad incantationem angues multi et aspides, et viperæ, ac cerastæ, et jaculi, et rubetæ ac bufones : remanserat autem draco unus vetulus, qui præ senio, arbitror, non poterat erepere, ac propterea dicto audiens non fuerat. At magus negabat omnes adesse, atque unum serpentium minimum natu electum legatum misit ad draconem. Et venit paullo post iste etiam. Quum vero congregati essent, afflavit illos Babylonius : at illi confestim ab illo ipso flatu, nobis admirantibus, combusti sunt.

13. Dic mihi, Ion, dicebam ego, serpens ille legatus, junior, numquid manu ducebat draconem jam vetulum, ut dicebas, an ille scipione nixus ingrediebatur? Tu quidem ludis, Cleodemus ait : ego vero et ipse magis etiam quam tu incredulus circa talia quum essem (fieri enim nullo modo posse putabam ut ea crederem), tamen, ut primum volantem vidi peregrinum, barbarum illum (erat autem, ut dictitabat, ex Hyperboreis), credidi, et diu reluctatus tandem sum evictus. Quid enim facerem, qui viderem illum, sudo die, per aerem ferri, super aqua incedere, per ignem transire otiose et gradatim? Tu hæc, inquam ego, vidisti, Hyperboreum hominem volare, aut super aqua incedere? Ego vero, inquit, calceatum quidem crudo corio, ut plerumque illi calceantur. Nam parva illa quid dicere opus est, quæ ostendit immittendis amoribus, dæmonibus ciendis, mortuis veteribus revocandis in vitam, ipsa Hecate manifesto sistenda, ac detrahenda Luna?

14. Quin ego enarrabo vobis quæ vidi ab eo fieri apud Glauciam Alexiclis. Glaucias enim quum patre vix mortuo adiisset hereditatem, amore captus est Chrysidis Demæneti filiæ : me autem philosophiæ tum magistro utebatur; ac nisi amor illum iste detinuisset, omnia jam Peripateticæ scholæ placita didicisset, qui duodeviginti annorum adolescens jam analysi uteretur, et acroamaticos de natura libros ad finem usque pertractasset. Attamen consilii circa suum amorem inops, omnia mihi indicat. Ego vero, quod magistrum decebat, Hyperboreum illum magum ad eum deduco, quattuor in præsens minarum mercede interposita (oportebat enim statim numerare aliquid ad sacrificia), sedecim vero, si frui daretur Chryside. Ille vero plenam quum servasset lunam (tum enim plerumque talia sacra peraguntur), fossa in subdivali domus depressa, circa mediam noctem evocavit nobis primo quidem Alexiclem, patrem Glauciæ, antę menses septem defunctum. Graviter autem ferebat senex amorem, atque irascebatur; denique vero amare illi permisit tamen. Postea autem Hecaten evocavit, quæ Cerberum secum duceret, et Lunam detraxit, multiforme spectaculum, mutantemque præ se speciem fe-

νον· τὸ μὲν γὰρ πρῶτον γυναικείαν μορφὴν ἐπεδείκνυτο, εἶτα βοῦς ἐγένετο πάγκαλος, εἶτα σκύλαξ ἐφαίνετο. Τέλος δ' οὖν ὁ Ὑπερβόρεος ἐκ πηλοῦ ἐρώτιόν τι ἀναπλάσας, Ἄπιθι, ἔφη, καὶ ἄγε Χρυσίδα. Καὶ ὁ μὲν πηλὸς ἐξέπτατο, καὶ μετὰ μικρὸν δὲ ἐπέστη κόπτουσα τὴν θύραν ἐκείνη καὶ εἰσελθοῦσα περιβάλλει τὸν Γλαυκίαν ὡς ἂν ἐμμανέστατα ἐρῶσα καὶ συνῆν ἄχρι δὴ ἀλεκτρυόνων ἠκούσαμεν ᾀδόντων. Τότε δὴ ἥ τε Σελήνη ἀνέπτατο ἐς τὸν οὐρανὸν καὶ ἡ Ἑκάτη ἔδυ κατὰ τῆς γῆς καὶ τὰ ἄλλα φάσματα ἠφανίσθη καὶ τὴν Χρυσίδα ἐξεπέμψαμεν περὶ αὐτό που σχεδὸν τὸ λυκαυγές.

15. Εἰ ταῦτα εἶδες, ὦ Τυχιάδη, οὐκ ἂν ἔτι ἠπίστησας εἶναι πολλὰ ἐν ταῖς ἐπῳδαῖς χρήσιμα. Εὖ λέγεις, ἦν δ' ἐγώ· ἐπίστευον γὰρ ἄν, εἴ γε εἶδον αὐτά, νῦν δὲ συγγνώμη, οἶμαι, εἰ μὴ τὰ ὅμοια ὑμῖν ὀξυδερκεῖν ἔχω. Πλὴν ἀλλ' οἶδα γὰρ τὴν Χρυσίδα, ἣν λέγεις, ἐραστὴν γυναῖκα καὶ πρόχειρον· οὐχ ὁρῶ δὲ τίνος ἕνεκα ἐδεήθητε ἐπ' αὐτὴν τοῦ πηλίνου πρεσβευτοῦ καὶ μάγου τοῦ ἐξ Ὑπερβορέων καὶ Σελήνης αὐτῆς, ἣν εἴχοσι δραχμῶν ἀγαγεῖν ἐς Ὑπερβόρεους δυνατὸν ἦν. Πάνυ γὰρ ἐνδίδωσι πρὸς ταύτην τὴν ἐπῳδὴν ἡ γυνὴ καὶ τὸ ἐναντίον τοῖς φάσμασι πέπονθεν· ἐκεῖνα μὲν γὰρ ἦν ψόφον ἀκούσῃ χαλκοῦ ἢ σιδήρου, πέφευγε — καὶ ταῦτα γὰρ ὑμεῖς φατε — αὕτη δὲ, ἂν ἀργύριόν που ψοφῇ, ἔρχεται πρὸς τὸν ἦχον. Ἄλλως τε καὶ θαυμάζω αὐτοῦ τοῦ μάγου, εἰ δυνάμενος αὐτὸς ἐρασθῆναι πρὸς τῶν πλουσιωτάτων γυναικῶν καὶ τάλαντα ὅλα παρ' αὐτῶν λαμβάνειν, ὁ δὲ τεττάρων μνῶν πάνυ σμικρολόγος ὢν Γλαυκίαν ἐπέραστον ἐργάζεται. Γελοῖα ποιεῖς, ἔφη ὁ Ἴων, ἀπιστῶν ἅπασιν.

16. Ἐγὼ γοῦν ἡδέως ἂν ἐροίμην σε, τί περὶ τούτων φῂς ὅσοι τοὺς δαιμονῶντας ἀπαλλάττουσι τῶν δειμάτων οὕτω σαφῶς ἐξάδοντες καὶ τὰ φάσματα. Καὶ ταῦτα οὐκ ἐμὲ χρὴ λέγειν, ἀλλὰ πάντες ἴσασι τὸν Σύρον τὸν ἐκ τῆς Παλαιστίνης, τὸν ἐπὶ τούτων σοφιστήν, ὅσους παραλαβὼν καταπίπτοντας πρὸς τὴν σελήνην καὶ τὼ ὀφθαλμὼ διαστρέφοντας καὶ ἀφροῦ πιμπλαμένους τὸ στόμα ὅμως ἀνίστησι καὶ ἀποπέμπει ἀρτίους ἐπὶ μισθῷ μεγάλῳ ἀπαλλάξας τῶν δεινῶν· ἐπειδὰν γὰρ ἐπιστῇ κειμένοις καὶ ἔρηται ὅθεν εἰσεληλύθασιν εἰς τὸ σῶμα, ὁ μὲν νοσῶν αὐτὸς σιωπᾷ, ὁ δαίμων δὲ ἀποκρίνεται ἑλληνίζων ἢ βαρβαρίζων ἢ ὅθεν ἂν αὐτὸς ἦ ὅπως τε καὶ ὅθεν ἐπῆλθεν ἐς τὸν ἄνθρωπον· ὁ δὲ ὅρκους ἐπάγων, εἰ δὲ μὴ πεισθείη, καὶ ἀπειλῶν ἐξελαύνει τὸν δαίμονα. Ἐγὼ γοῦν καὶ εἶδον ἐξιόντα μέλανα καὶ καπνώδη τὴν χροιάν. Οὐ μέγα, ἦν δ' ἐγὼ, τὰ τοιαῦτά σε ὁρᾶν, ὦ Ἴων, ᾧ γε καὶ αἱ ἰδέαι αὐταὶ φαίνονται, ἃς ὁ πατὴρ ὑμῶν Πλάτων δείκνυσιν, ἀμαυρόν τι θέαμα ὡς πρὸς ἡμᾶς τοὺς ἀμβλυώττοντας.

17. Μόνος γὰρ Ἴων, ἔφη ὁ Εὐκράτης, τὰ τοιαῦτα εἶδεν, οὐχὶ δὲ καὶ ἄλλοι πολλοὶ δαίμοσιν ἐντετυχήκασιν οἱ μὲν νύκτωρ, οἱ δὲ μεθ' ἡμέραν; ἐγὼ δὲ οὐχ ἅπαξ, ἀλλὰ μυριάκις ἤδη τὰ τοιαῦτα τεθέαμαι· καὶ τὸ μὲν πρῶτον ἐταραττόμην πρὸς αὐτὰ, νῦν δὲ ὑπὸ τοῦ ἔθους οὐδέν

rens: primo quidem muliebrem formam ostendebat; tum bos fiebat pulcherrima; deinde catella videbatur. Tandem Hyperboreus de luto quum finxisset parvulum Cupidinem, Abi, inquit, et adduc Chrysidem! Avolat lutum, neque ita multo post astitit illa pulsans januam; et ingressa Glauciam amplectitur, ut quæ ad summum furorem usque amaret hominem, fuitque cum illo usque dum gallorum cantum audiremus. Tunc nempe Lunâ evolavit in cœlum, et terram Hecate subiit, et reliqua spectra evanuere, et emisimus, circa ipsum fere diluculum, Chrysidem.

15. Hæc si vidisses, Tychiade, non amplius fidem negares dicentibus esse multa in incantationibus utilia. Recte, inquam, mones: crederem enim, ea si vidissem; nunc autem venia, puto, parata est, si non ita acute ut vos videre talia possum. Verum enim vero (novi enim Chrysidem quam dicis, amatricem mulierem, facilemque et promtam) non video quam ob causam opus habueritis legato ad illam luteo, et mago ex Hyperboreis, ipsaque adeo Luna; quam viginti drachmis ad ipsos abducere licebat Hyperboreos. Nam tali carmini cedit mulier illa, et contrario spectris ingenio est: quæ si strepitum audiant æris aut ferri, fugiunt (nempe et hæc vos dicitis); verum illa argentum si qua tinniat, venit ad sonum. Alioquin ipsum quoque magum miror, si, quum possit ipse amari a ditissimis mulieribus et solida ab illis talenta accipere, pro quattuor minis sordidus homo Glauciam reddit amabilem. Ridicule facis, inquit Ion, qui fidem neges omnibus.

16. Ego lubens interrogaverim te, de illis quid sentias, qui dæmoniacos liberant terroribus, aperte adeo ipsa quoque spectra excantantes. Et hæc me dicere nihil opus est; sed norunt omnes Syrum illum e Palæstina, talium curationum sophistam, quot ille traditos sibi cadentes ad lunam, distorquentes oculos, spuma os repletum habentes, tamen suscitat, et sanos dimittit magna mercede liberatos malis. Quando enim astat jacentibus, et interrogat unde intraverint illi in corpus, ipse quidem tacet ægrotus; respondet vero dæmon græce vel barbare, aut undecumque sit ipse, quomodo et unde venerit in hominem: tum iste adjuratione et, si non pareat, minis dæmonem expellit. Atque ego vidi etiam exeuntem unum nigro colore et fumoso. Non erat magnum, inquam, talia te videre, Ion, cui ipsæ etiam ideæ appareant, quas Plato, pater vester, ostendit, evanidum ac tenue spectaculum nobis qui cœcutimus.

17. Nempe solus talia, Eucrates inquit, vidit Ion? nonne etiam alii multi inciderunt in dæmones, noctu partim, partim interdiu? ego vero non semel, sed decies millies jam vidi talia. Ac primo quidem ad ea perterrebar: jam vero ob consuetudinem inusitatum nihil videre mihi videor, et

τι παράλογον ὁρᾶν μοι δοκῶ, καὶ νῦν μάλιστα ἐξ οὗ μοι τὸν δακτύλιον ὁ Ἄραψ ἔδωκε σιδήρου τοῦ ἐκ τῶν σταυρῶν πεποιημένον καὶ τὴν ἐπῳδὴν ἐδίδαξε τὴν πολυώνυμον, ἐκτὸς εἰ μὴ κἀμοὶ ἀπιστήσεις, ὦ Τυχιάδη. Καὶ πῶς ἂν, ἦν δ' ἐγὼ, ἀπιστήσαιμι Εὐκράτει τῷ Δείνωνος σοφῷ ἀνδρὶ καὶ μάλιστα ἐλευθερίως τὰ δοκοῦντά οἱ λέγοντι οἴκοι παρ' αὑτῷ ἐπ' ἐξουσίας;

18. Τὸ γοῦν περὶ τοῦ ἀνδριάντος, ἦ δ' ὅς ὁ Εὐκράτης, ἅπασι τοῖς ἐπὶ τῆς οἰκίας ὅσαι νύκτες φαινόμενον καὶ παισὶ καὶ νεανίαις καὶ γέρουσι τοῦτο οὐ παρ' ἐμοῦ μόνον ἀκούσειας ἄν, ἀλλὰ καὶ παρὰ τῶν ἡμετέρων ἁπάντων. Ποίου, ἦν δ' ἐγὼ, ἀνδριάντος; Οὐχ ἑόρακας, ἔφη, εἰσιὼν ἐν τῇ αὐλῇ ἑστηκότα πάγκαλον ἀνδριάντα, Δημητρίου ἔργον τοῦ ἀνθρωποποιοῦ; Μῶν τὸν δισκεύοντα, ἦν δ' ἐγὼ, φῂς τὸν ἐπικεκυφότα κατὰ τὸ σχῆμα τῆς ἀφέσεως, ἀπεστραμμένον εἰς τὴν δισκοφόρον, ἠρέμα ὀκλάζοντα τῷ ἑτέρῳ, ἐοικότα ξυναναστησομένῳ μετὰ τῆς βολῆς; Οὐκ ἐκεῖνον, ἦ δ' ὅς, ἐπεὶ τῶν Μύρωνος ἔργων ἓν καὶ τοῦτό ἐστιν ὁ δισκοβόλος, ὃν λέγεις· οὐδὲ τὸν παρ' αὐτόν φημι, τὸν διαδούμενον τὴν κεφαλὴν τῇ ταινίᾳ, τὸν καλὸν, Πολυκλείτου γὰρ τοῦτο ἔργον. Ἀλλὰ τοὺς μὲν ἐπὶ τὰ δεξιὰ εἰσιόντων ἄφες, ἐν οἷς καὶ τὰ Κριτίου καὶ Νησιώτου πλάσματα ἕστηκεν, οἱ τυραννοκτόνοι. Σὺ δὲ εἴ τινα παρὰ τὸ ὕδωρ τὸ ἐπιρρέον εἶδες προγάστορα, φαλαντίαν, ἡμίγυμνον τὴν ἀναβολὴν, ἠνεμωμένον τοῦ πώγωνος τὰς τρίχας ἐνίας, ἐπίσημον τὰς φλέβας, αὐτοανθρώπῳ ὅμοιον, ἐκεῖνον λέγω, Πέλλιχος ὁ Κορίνθιος στρατηγὸς εἶναι δοκεῖ.

19. Νὴ Δί', ἦν δ' ἐγὼ, εἶδόν τινα ἐπὶ τὰ δεξιὰ τοῦ Κρόνου ταινίας καὶ στεφάνους ξηροὺς ἔχοντα, κεχρυσωμένον πεταλίοις τὸ στῆθος. Ἐγὼ δὲ, ὁ Εὐκράτης ἔφη, ἐκεῖνα ἐχρύσωσα, ὁπότε μ' ἰάσατο διὰ τρίτης ὑπὸ τοῦ ἠπιάλου ἀπολλύμενον. Ἦν γὰρ καὶ ἰατρὸς, ἦν δ' ἐγὼ, ὁ βέλτιστος οὗτος Πέλλιχος; Ἔστι, καὶ μὴ σκῶπτε, ἦ δ' ὃς ὁ Εὐκράτης, ἥ σε οὐκ εἰς μακρὰν μέτεισιν ὁ ἀνήρ· οἶδα ἐγὼ ὅσον δύναται οὗτος ὁ ὑπὸ σοῦ γελώμενος ἀνδριάς. Ἢ οὐ νομίζεις τοῦ αὐτοῦ εἶναι καὶ ἐπιπέμπειν ἠπιάλους οἷς ἂν ἐθέλοι, εἴ γε καὶ ἀποπέμπειν δυνατὸν αὐτῷ; Ἵλεως, ἦν δ' ἐγὼ, ἔστω ὁ ἀνδριὰς καὶ ἤπιος οὕτως ἀνδρεῖος ὤν. Τί δ' οὖν καὶ ἄλλο ποιοῦντα ὁρᾶτε αὐτὸν ἅπαντες οἱ ἐν τῇ οἰκίᾳ; Ἐπειδὰν τάχιστα, ἔφη, νὺξ γένηται, ὁ δὲ καταβὰς ἀπὸ τῆς βάσεως, ἐφ' ᾗ ἕστηκε, περίεισιν ἐν κύκλῳ τὴν οἰκίαν καὶ πάντες ἐντυγχάνουσιν αὐτῷ ἐνίοτε καὶ ᾄδοντι, καὶ οὐκ ἔστιν ὄντινα ἠδίκησεν· ἐκτρέπεσθαι γὰρ χρὴ μόνον· ὁ δὲ παρέρχεται μηδὲν ἐνοχλήσας τοὺς ἰδόντας. Καὶ μὴν καὶ λούεται τὰ πολλὰ καὶ παίζει δι' ὅλης τῆς νυκτὸς, ὥστε ἀκούειν τοῦ ὕδατος ψοφοῦντος. Ὅρα τοίνυν, ἦν δ' ἐγὼ, μὴ οὐχὶ Πέλλιχος ὁ ἀνδριὰς, ἀλλὰ Τάλως ὁ Κρὴς ὁ τοῦ Μίνωος ᾖ· καὶ γὰρ ἐκεῖνος χαλκοῦς τις ἦν τῆς Κρήτης περίπολος. Εἰ δὲ μὴ χαλκοῦ, ὦ Εὔκρατες, ἀλλὰ ξύλου ἐπεποίητο, οὐδὲν αὐτὸν ἐκώλυεν οὐ Δημητρίου ἔργον εἶναι, ἀλλὰ τῶν Δαιδάλου τεχνημάτων· δραπετεύει γοῦν, ὡς φῂς, ἀπὸ τῆς βάσεως καὶ οὗτος.

nunc maxime, a quo tempore anulum hunc mihi dedit Arabs, de ferro patibulorum factum, et carmen me multorum nominum docuit; nisi forte nec mihi credis, Tychiade. Et quomodo, inquam, non credam Eucrati Dinonis filio, sapientissimo viro, et libere quæ sibi videantur et cum auctoritate domi suæ dicenti?

18. Illud enim de statua, inquit Eucrates, quod domesticis omnibus quot noctibus apparet, et pueris, et adolescentibus, et senibus, illud igitur non ex me solo audias, sed ex nostris omnibus. De qua, inquam, statua? Non vidisti, inquit, ingrediens, in aula stans signum pulcherrimum, Demetrii opus statuarum humanarum artificis? Num discum jaculantem dicis, inquam, incurvantem se ad habitum emittentis, reflexo vultu ad eam quæ discum attulit, paullum submisso genu altero, ut in ipso statim jactu surrecturus una videatur? Non, inquit, illud, quandoquidem Myronis operum et ipsum est, discobolus quem dicis. Neque illum juxta stantem dico, tænia redimitum caput, pulchrum; istud enim Polycleti opus. Sed omitte quæ sunt ad dextram introeuntium, in quibus Critii et Nesiotæ opera stant, tyrannorum interfectores. Tu vero si quam vidisti statuam ad influentem aquam, ventre prominulo, calvam, seminudam amictu, cujus barbæ pilos aliquot ventus videtur jactare, insignes habentem venas, exquisitissima hominis similitudine, illam dico: Pellichus Corinthiorum dux videtur esse.

19. Per Jovem, inquam, vidi quandam ad dextram Saturni, vittas habentem et corollas aridas, cujus pectus bracteis inauratum est. Ego, inquit Eucrates, inauravi illa, quum me sanasset tertium jam febri querquera pereuntem. Fuit nempe medicus quoque, inquam, optimus ille Pellichus? Est; et noli irridere, inquit Eucrates, aut non ita multo post ille te vir ulciscetur: novi ego quid possit ista derisa abs te statua. Aut non putas ejusdem esse immittere, quibus velit, querqueras, si expellere potest? Propitia, inquam, sit et placata virilis adeo statua! Quid igitur aliud quoque facientem quicumque in domo estis, videtis? Quum primum, inquit, nox oritur, descendens de sua basi, in qua stat, domum orbe quodam circumit, et omnes illi occurrunt, nonnunquam etiam cantanti, neque est quem læserit: modo opus est ut illi decedatur: sic præterit nulla molestia afficiens videntes. Quin etiam lavat plerumque et tota nocte ludit, ut strepitus aquæ exaudiatur. Vide ergo, dicebam, ne non Pellichus sit illa statua, sed Cretensis Talus, Minois famulus? nam ille æneus erat Cretæ circuitor. Si vero non ex ære, sed ex ligno factus esset, Eucrates; nihil prohiberet quominus non Demetrii esset opus, sed unum de Dædali artificiis: nam, ut ais, fugit de sua basi hic quoque.

20. Ὅρα, ἔφη, ὦ Τυχιάδη, μή σοι μεταμελήσῃ τοῦ στόματος ὕστερον. Οἶδα ἐγὼ οἷα ἔπαθεν ὁ τοὺς ὀβολοὺς ὑφελόμενος, οὓς κατὰ τὴν νουμηνίαν ἑκάστην τίθεμεν αὐτῷ. Πάνδεινα ἐχρῆν, ὁ Ἴων ἔφη, ἱερόσυλόν γε ὄντα. Πῶς οὖν αὐτὸν ἠμύνατο, ὦ Εὔκρατες; ἐθέλω γὰρ ἀκοῦσαι, εἰ καὶ ὅτι μάλιστα οὑτοσὶ Τυχιάδης ἀπιστήσει. Πολλοί, ἦ δ' ὅς, ἔκειντο ὀβολοὶ πρὸς τοῖν ποδοῖν αὐτοῦ καὶ ἄλλα νομίσματα ἔνια ἀργυρᾶ πρὸς τὸν μηρὸν κηρῷ κεκολλημένα καὶ πέταλα ἐξ ἀργύρου, εὐχαί τινος ἢ μισθὸς ἐπὶ τῇ ἰάσει ὁπόσοι δι' αὐτὸν ἐπαύσαντο πυρετῷ ἐχόμενοι. Ἦν δὲ ἡμῖν Λίβυς τις οἰκέτης, κατάρατος, ἱπποκόμος· οὗτος ἐπεχείρησε νυκτὸς ὑφελέσθαι πάντα ἐκεῖνα καὶ ὑφεῖλετο καταβεβηκότα ἤδη τηρήσας τὸν ἀνδριάντα. Ἐπεὶ δὲ ἐπανελθὼν τάχιστα ἔγνω περισεσυλημένος ὁ Πέλλιχος, ὅρα ὅπως ἠμύνατο καὶ κατεφώρασε τὸν Λίβυν· δι' ὅλης γὰρ τῆς νυκτὸς περιῄει ἐν κύκλῳ τὴν αὐλὴν ὁ ἄθλιος ἐξελθεῖν οὐ δυνάμενος ὥσπερ ἐς λαβύρινθον ἐμπεσών, ἄχρι δὴ κατελήφθη ἔχων τὰ φώρια γενομένης τῆς ἡμέρας. Καὶ τότε μὲν πληγὰς οὐκ ὀλίγας ἔλαβεν ἄλλους, οὐ πολὺν δὲ ἐπιβιοὺς χρόνον κακὸς κακῶς ἀπέθανε μαστιγούμενος, ὡς ἔλεγε, κατὰ τὴν νύκτα ἑκάστην, ὥστε καὶ μώλωπας ἐς τὴν ἐπιοῦσαν φαίνεσθαι αὐτοῦ ἐπὶ τοῦ σώματος. Πρὸς ταῦτα, ὦ Τυχιάδη, καὶ τὸν Πέλλιχον σκῶπτε καμὲ ὥσπερ τοῦ Μίνωος ἡλικιώτην παραπαίειν ἤδη δόκει. Ἀλλ', ὦ Εὔκρατες, ἦν δ' ἐγώ, ἔστ' ἂν ὁ χαλκὸς μὲν χαλκὸς, τὸ δὲ ἔργον Δημήτριος ὁ Ἀλωπεκῆθεν εἰργασμένος ᾖ, οὐ θεοποιός τις, ἀλλ' ἀνθρωποποιὸς ὤν, οὔποτε φοβήσομαι τὸν ἀνδριάντα Πελλίχου, ὃν οὐδὲ ζῶντα πάνυ ἐδεδίειν ἀπειλοῦντά μοι.

21. Ἐπὶ τούτοις Ἀντίγονος ὁ ἰατρὸς εἶπε, Κάμοι, ὦ Εὔκρατες, Ἱπποκράτης ἐστὶ χαλκοῦς ὅσον πηχυαῖος τὸ μέγεθος, ὃς μόνον ἐπειδὰν ἡ θρυαλλὶς ἀποσβῇ, περίεισι τὴν οἰκίαν ὅλην ἐν κύκλῳ ψοφῶν καὶ τὰς πυξίδας ἀνατρέπων καὶ τὰ φάρμακα συγχέων καὶ τὴν θύραν περιτρέπων, καὶ μάλιστα ἐπειδὰν τὴν θυσίαν ὑπερβαλώμεθα, ἣν κατὰ τὸ ἔτος ἕκαστον αὐτῷ θύομεν. Ἄξιοῖ γὰρ, ἦν δ' ἐγὼ, καὶ Ἱπποκράτης ἤδη ὁ ἰατρὸς θύεσθαι αὐτῷ καὶ ἀγαναχτεῖ, ἢν μὴ κατὰ καιρὸν ἐφ' ἱερῶν τελείων ἑστιαθῇ; ὃν ἔδει ἀγαπᾶν, εἴ τις ἐναγίσειεν αὐτῷ ἢ μελίκρατον ἐπισπείσειεν ἢ στεφανώσειε τὴν κεφαλήν.

22. Ἄκουε τοίνυν, ἔφη ὁ Εὐκράτης, τοῦτο μὲν καὶ ἐπὶ μαρτύρων, ὃ πρὸ ἐτῶν πέντε εἶδον· ἐτύγχανε μὲν ἀμφὶ τρυγητὸν τὸ ἔτος ὄν, ἐγὼ δὲ ἀμφὶ τὸν ἀγρὸν μεσούσης τῆς ἡμέρας τρυγῶντας ἀφεὶς τοὺς ἐργάτας κατ' ἐμαυτὸν εἰς τὴν ὕλην ἀπῄειν μεταξὺ φροντίζων τι καὶ ἀνασκοπούμενος. Ἐπεὶ δ' ἐν τῷ συνηρεφεῖ ἦν, τὸ μὲν πρῶτον ὑλαγμὸς ἐγένετο κυνῶν, κἀγὼ εἱκαζον Μνάσωνα τὸν υἱὸν, ὥσπερ εἰώθει, παίζειν καὶ κυνηγετεῖν εἰς τὸ λάσιον μετὰ τῶν ἡλικιωτῶν παρελθόντα. Τὸ δ' οὐκ εἶχεν οὕτως, ἀλλὰ μετ' ὀλίγον σεισμοῦ τινος γενομένου καὶ βοῆς οἵαν ἐκ βροντῆς γυναῖκα ὁρῶ προσιοῦσαν φοβερὰν, ἡμισταδιαίαν σχεδὸν τὸ ὕψος· εἶχε δὲ καὶ δᾷδα ἐν τῇ ἀριστερᾷ καὶ ξίφος ἐν τῇ δεξιᾷ ὅσον εἰκοσάπηχυ,

20. At tu vide, inquit, Tychiade, ne dicti te postea tui pœniteat. Novi ego quid usu venerit ei qui obolos furatus fuerat, quos singulis noviluniis ipsi offerimus. Gravissima quidem oportuit evenire, inquit Ion, ut sacrilego. Quomodo igitur ultus est illum, Eucrates? volo enim audire, et si fidem vel maxime hic Tychiades sit negaturus. Multi, inquit, oboli ad pedes illius jacebant, et numi aliquot alii argentei ad femur ipsius cera agglutinati, et argenti bracteolæ, votum cujusdam, aut sanationis merces eorum qui per ipsum febri erant liberati. Erat vero nobis servus e Libya, sacer homo, equiso. Hic ausus est noctu suffurari omnia illa, et suffuratus est, observato tempore ubi descenderat statua. Quum primum vero reversus cognovit se spoliatum esse Pellichus, vide quomodo ultus sit Libyn ac deprehenderit. Tota enim nocte in aula circumiit in orbem infelix, qui exire non posset, velut in labyrinthum delapsus, usque dum die exorto deprehenderetur cum rebus furtivis. Ac tum quidem deprehensus plagas accepit non paucas: non diu vero quum supervixisset, malus male periit, qui diceret singulis se noctibus flagellari, adeo ut vibices etiam postridie illius in corpore apparerent. Post hæc, Tychiade, et Pellichum deride, et me, ut Minois æqualem, jam delirare puta. Verum, Eucrates, inquam, quam diu quod æs est, æs erit, et opus illud Demetrius Alopeciensis elaboraverit, non deorum faber, sed hominum statuarius; nunquam ego statuam Pellichi timuero, quem, neque si vivus mihi minaretur, valde metuerem.

21. Post hæc Antigonus medicus ait: Ac mihi, Eucrates, æneus Hippocrates est, cubitali circiter magnitudine, qui modo ubi linum lampadis exstinctum est, totam orbe domum circumit, perstrepit, pyxidas evertit, medicamenta confundit, convertit januam, præsertim ubi rem sacram differimus, quam singulis annis ei facimus. Postulat ergo, inquam, modo etiam Hippocrates sacrificari sibi, et indignatur si non suo tempore opimis epuletur hostiis? quem contentum esse decebat, si quis inferias illi mittat, aut libet mulsum, aut caput coronet.

22. Audi ergo, inquit Eucrates, idque sub testibus gestum, quod ante quinque annos vidi. Erat tempus anni circa vindemiam, ego vero, relictis in agro circa meridiem vindemiatoribus, solus abii in silvam, cogitans interim aliquid et commentans. Jam in opaco eram, quum primo quidem latratus exoritur canum; et ego arbitrabar Mnasonem filium pro more ludere et venari, densum silvæ cum sodalibus ingressum. At illud non ita se habebat: sed post paullo, motu quodam terræ facto et sono qualis est tonitrus, mulierem accedentem video terribilem, dimidii fere stadii altitudine: habebat vero facem etiam in sinistra, et in dextra gladium, viginti circiter cubitorum; ac quantum ad inferiora

καὶ τὰ μὲν ἔνερθεν ὀφιόπους ἦν, τὰ δὲ ἄνω Γοργόνι ἐοικὼς, τὸ βλέμμα φημὶ καὶ τὸ φρικῶδες τῆς προσόψεως, καὶ ἀντὶ τῆς κόμης τοὺς δράκοντας βοστρυχηδὸν περιέκειτο εἱλουμένους περὶ τὸν αὐχένα καὶ ἐπὶ τῶν ὤμων ἐνίους ἐσπειραμένους. Ὁρᾶτε, ἔφη, ὅπως ἔρριξα, ὦ φίλοι, μεταξὺ διηγούμενος; καὶ ἅμα λέγων εἰδείκνυεν ὁ Εὐκράτης τὰς ἐπὶ τοῦ πήχεως τρίχας πᾶσιν ὀρθὰς ὑπὸ τοῦ φόβου.

23. Οἱ μὲν οὖν ἀμφὶ τὸν Ἴωνα καὶ τὸν Δεινόμαχον καὶ τὸν Κλεόδημον κεχηνότες ἀτενὲς προσεῖχον αὐτῷ γέροντες ἄνδρες, ἑλκόμενοι τῆς ῥινὸς, ἠρέμα προσκυνοῦντες οὕτως ἀπίθανον κολοσσὸν, ἡμισταδιαίαν γυναῖκα, γιγάντειόν τι μορμολυκεῖον. Ἐγὼ δὲ ἐνενόουν μεταξὺ οἷοι ὄντες αὐτοὶ νέοις τε ὁμιλοῦσιν ἐπὶ σοφίᾳ καὶ ὑπὸ πολλῶν θαυμάζονται μόνῃ τῇ πολιᾷ καὶ τῷ πώγωνι διαφέροντες τῶν βρεφῶν, τὰ δ' ἄλλα καὶ αὐτῶν ἐκείνων εὐαγωγότεροι πρὸς τὸ ψεῦδος.

24. Ὁ γοῦν Δεινόμαχος, Εἰπέ μοι, ἔφη, ὦ Εὐκρατες, οἱ κύνες δὲ τῆς θεοῦ πηλίκοι τὸ μέγεθος ἦσαν; Ἐλεφάντων, ἦ δ' ὅς, ὑψηλότεροι τῶν Ἰνδικῶν, μέλανες καὶ αὐτοὶ καὶ λάσιοι πιναρᾷ καὶ αὐχμώσῃ τῇ λάχνῃ. Ἐγὼ μὲν οὖν ἰδὼν ἔστην ἀναστρέψας ἅμα τὴν σφραγῖδα, ἣν μοι ὁ Ἄραψ ἔδωκεν, εἰς τὸ εἴσω τοῦ δακτύλου· ἡ Ἑκάτη δὲ πατάξασα τῷ δρακοντείῳ ποδὶ τοὔδαφος ἐποίησε χάσμα παμμέγεθες, ἡλίκον ταρτάρειον τὸ μέγεθος· εἶτα ὤχετο μετ' ὀλίγον ἀλλομένη ἐς αὐτό. Ἐγὼ δὲ θαρσήσας ἐπέκυψα λαβόμενος δένδρου τινὸς πλησίον πεφυκότος, ὡς μὴ σκοτοδινιάσας ἐμπέσοιμι ἐπὶ κεφαλήν· εἶτα ἑώρων τὰ ἐν Ἅιδου ἅπαντα, τὸν Πυριφλεγέθοντα, τὴν λίμνην, τὸν Κέρβερον, τοὺς νεκροὺς, ὥστε γνωρίζειν ἐνίους αὐτῶν· τὸν γοῦν πατέρα εἶδον ἀκριβῶς αὐτὰ ἐκεῖνα ἔτι ἀμπεχόμενον, ἐν οἷς αὐτὸν κατεθάψαμεν. Τί δὲ ἔπραττον, ὁ Ἴων ἔφη, ὦ Εὐκρατες, αἱ ψυχαί; Τί ἄλλο, ἦ δ' ὅς, ἢ κατὰ φῦλα καὶ φρήτρας μετὰ τῶν φίλων καὶ συγγενῶν διατρίβουσιν ἐπὶ τοῦ ἀσφοδέλου κατακείμενοι. Ἀντιλεγέτωσαν οὖν ἔτι, ἦ δ' ὅς ὁ Ἴων, οἱ ἀμφὶ τὸν Ἐπίκουρον τῷ ἱερῷ Πλάτωνι καὶ τῷ περὶ τῶν ψυχῶν λόγῳ. Σὺ δὲ μὴ καὶ τὸν Σωκράτην αὐτὸν καὶ τὸν Πλάτωνα εἶδες ἐν τοῖς νεκροῖς; Τὸν Σωκράτην ἔγωγε, ἦ δ' ὅς, οὐδὲ τοῦτον σαφῶς, ἀλλὰ εἰκάζων ὅτι φαλακρὸς καὶ προγάστωρ ἦν· τὸν Πλάτωνα δὲ οὐκ ἐγνώρισα· χρὴ γάρ, οἶμαι, πρὸς φίλους ἄνδρας τἀληθῆ λέγειν. Ἅμα γοῦν ἔγωγε ἅπαντα ἀκριβῶς ἑόρακα, καὶ τὸ χάσμα συνέμυε καί τινες τῶν οἰκετῶν ἀναζητοῦντές με, καὶ Πυρρίας οὗτος ἐν αὐτοῖς, ἐπέστησαν οὔπω τέλεον μεμυκότος τοῦ χάσματος. Εἰπὲ, Πυρρία, εἰ ἀληθῆ λέγω. Νὴ Δί', ἔφη ὁ Πυρρίας, καὶ ὑλακῆς δὲ ἤκουσα διὰ τοῦ χάσματος καὶ πῦρ τι ὑπολάμπειν ἀπὸ τῆς δαδός μοι ἐδόκει. Κἀγὼ ἐγέλασα ἐπιμετρήσαντος τοῦ μάρτυρος τὴν ὑλακὴν καὶ τὸ πῦρ.

25. Ὁ Κλεόδημος δὲ, Οὐ καινὰ, εἶπεν, οὐδὲ ἄλλοις ἀόρατα ταῦτα εἶδες, ἐπεὶ καὶ αὐτὸς οὐ πρὸ πολλοῦ νυσήσας τοιόνδε τι ἐθεασάμην· ἐπεσκόπει δέ με καὶ ἐθεράπευεν Ἀντίγονος οὗτος. Ἑβδόμη μὲν ἦν ἡμέρα, ὁ δὲ

anguipes erat, supra autem Gorgoni similis, vultu inquam et aspectu horribili: et pro coma dracones erant cincinnorum in modum circumjacentes et implexi circa collum, quidam etiam in humeris spirarum in modum se volventes. Hic, Videtin', inquit, amici, quam inter narrandum perborruerim? et cum his verbis simul ostendebat Eucrates omnibus pilos in brachio horrentes a terrore.

23. Ion igitur et Dinomachus et Cleodemus hiantes atque intenti hominem audiebant, senes viri, qui naso se trahendos præberent; et tacite adorabant colossum adeo incredibilem, mulierem dimidium stadium altam, giganteum quoddam terriculamentum. Ego vero interea cogitabam quales hi homines et versentur sapientiæ causa cum adolescentulis, et multis admirationi sint, qui tamen solo capillitio cano et barba distent a puerulis, quibus ipsis ceteroqui facilius mendacio ductari se patiantur.

24. Igitur Dinomachus, Dic mihi, inquit, Eucrates, canes deæ quanti erant? Elephantis, inquit ille, Indicis altiores, nigri et ipsi, hirsuti, villis sordidis ac squalidis. Ego itaque quum viderem, constiti, conversa ad interiorem partem digiti pala anuli, quem Arabs mihi dederat. Hecate vero, quum percussisset anguino pede solum, hiatum effecit maximum, tartarea magnitudine: tum paullo post in illum desiliens evanuit. Ego sumto animo, protenso capite introspexi, apprehensa tamen arbore in proximo enata, ne vertigine oborta præceps inciderem. Tum vidi quæ sunt apud inferos omnia, Pyriphlegethontem, lacum, Cerberum, mortuos, adeo ut quosdam illorum agnoscerem: patrem quidem meum accurate noram, iisdem adhuc indutum in quibus eum sepeliveramus. Quid vero agebant, inquit Ion, animæ, mi Eucrates? Quid aliud, inquit, quam per gentes et tribus cum amicis et cognatis agunt, accumbentes in asphodelo. Contradicant ergo adhuc, inquit Ion, Epicurei divino Platoni et libro de animis. Tu vero nonne ipsum etiam Socratem et Platonem vidisti inter mortuos? Socratem equidem, inquit, neque hunc dilucide, sed conjecturam inde faciens, quod calvus erat et ventricosus: Platonem vero non agnovi; oportet enim, arbitror, vera dicere apud amicos. Simul ergo ut omnia accurate ego vidi, et hiatus in eo erat ut coiret, quidam servorum requirentes me, et in illis hic ipse Pyrrhias, astitere, nondum plane clauso hiatu. Dic, Pyrrhia, utrum vera dicam. Per Jovem, ait Pyrrhias, etiam latratum audivi per hiatum, et ignis sublucere de face mihi videbatur. Et ego risi, corollarium addente teste latratum atque ignem.

25. Cleodemus autem, Non nova, inquit, neque non visa aliis hæc spectasti, quum ipse quoque non ita pridem ægrotans tale quid viderim: visebat me autem et curabat hic Antigonus. Dies erat septimus; febris talis, ut ipsa ardcn-

πυρετὸς οἷος καύσωνος σφοδρότερος. Ἅπαντες δέ με ἀπολιπόντες ἐπ' ἐρημίας ἐπικλεισάμενοι τὰς θύρας ἔξω περιέμενον· οὕτω γὰρ ἐκέλευσας, ὦ Ἀντίγονε, εἴ πως δυνηθείην εἰς ὕπνον τρέπεσθαι. Τότε οὖν ἐφίσταταί μοι νεανίας ἐγρηγορότι πάγκαλος λευκὸν ἱμάτιον περιβεβλημένος, εἶτα ἀναστήσας ἄγει διά τινος χάσματος ἐς τὸν Ἅδην, ὡς αὐτίκα ἐγνώρισα Τάνταλον ἰδὼν καὶ Τιτυὸν καὶ Σίσυφον. Καὶ τὰ μὲν ἄλλα τί ἂν ὑμῖν λέγοιμι; ἐπεὶ δὲ κατὰ τὸ δικαστήριον ἐγενόμην — παρῆν δὲ καὶ ὁ Αἰακὸς καὶ ὁ Χάρων καὶ αἱ Μοῖραι καὶ αἱ Ἐρινύες — ὁ μέν τις ὥσπερ βασιλεὺς ὁ Πλούτων μοι δοκεῖν καθῆστο ἐπιλεγόμενος τῶν τεθνηξομένων τὰ ὀνόματα, οὓς ἤδη ὑπερημέρους τῆς ζωῆς συνέβαινεν εἶναι. Ὁ δὲ νεανίσκος ἐμὲ φέρων παρέστησεν αὐτῷ· ὁ δὲ Πλούτων ἠγανάκτησε τότε καὶ πρὸς τὸν ἀγαγόντα με, Οὔπω πεπλήρωται, φησί, τὸ νῆμα αὐτῷ, ὥστε ἀπίτω. Σὺ δὲ δὴ τὸν χαλκέα Δημύλον ἄγε· ὑπὲρ γὰρ τὸν ἄτρακτον ἤδη βιοῖ. Κἀγὼ ἅσμενος ἀναδραμὼν αὐτὸς μὲν ἤδη ἀπύρετος ἦν, ἀπήγγελλον δὲ ἅπασιν ὡς τεθνήξεται Δημύλος· ἐν γειτόνων δὲ ἡμῖν ᾤκει νοσῶν τι καὶ αὐτὸς, ὡς ἀπηγγέλλετο. Καὶ μετὰ μικρὸν ἠκούομεν οἰμωγῆς ὀδυρομένων ἐπ' αὐτῷ.

26. Τί θαυμαστόν; εἶπεν ὁ Ἀντίγονος· ἐγὼ γὰρ οἶδά τινα μετὰ εἰκοστὴν ἡμέραν ἢ ἧ ἐτάφη ἀναστάντα, θεραπεύσας καὶ πρὸ τοῦ θανάτου καὶ ἐπεὶ ἀνέστη τὸν ἄνθρωπον. Καὶ πῶς, ἦν δ' ἐγὼ, ἐν εἴκοσιν ἡμέραις οὔτε ἐμύδησε τὸ σῶμα οὔτε ἄλλως ὑπὸ λιμοῦ διεφθάρη; εἰ μή τινά γε Ἐπιμενίδην σύ γε ἐθεράπευσας.

27. Ἅμα ταῦτα λεγόντων ἡμῶν ἐπεισῆλθον οἱ τοῦ Εὐκράτους υἱοὶ ἐκ τῆς παλαίστρας, ὁ μὲν ἤδη ἐξ ἐφήβων, ὁ δὲ ἕτερος ἀμφὶ τὰ πεντεκαίδεκα ἔτη, καὶ ἀσπασάμενοι ἡμᾶς ἐκαθέζοντο ἐπὶ τῆς κλίνης παρὰ τῷ πατρί· ἐμοὶ δὲ εἰσεκομίσθη θρόνος. Καὶ ὁ Εὐκράτης ὥσπερ ἀναμνησθεὶς πρὸς τὴν ὄψιν τῶν υἱέων, Οὗτος ὀναίμην, ἔφη, τούτων — ἐπιβαλὼν αὐτοῖν τὴν χεῖρα — ὡς ἀληθῆ, ὦ Τυχιάδη, πρός σε ἐρῶ. Τὴν μακαρίτιν μου γυναῖκα τὴν τούτων μητέρα πάντες ἴσασιν ὅπως ἠγάπησα, ἐδήλωσα δὲ οἷς περὶ αὐτὴν ἔπραξα οὐ ζῶσαν μόνον, ἀλλ' ἐπεὶ καὶ ἀπέθανε, τόν τε κόσμον ἅπαντα συγκατακαύσας καὶ τὴν ἐσθῆτα ἣ ζῶσα ἔχαιρεν. Ἑβδόμῃ δὲ μετὰ τὴν τελευτὴν ἡμέρᾳ ἐγὼ μὲν ἐνταῦθα ἐπὶ τῆς κλίνης ὥσπερ νῦν ἐκείμην παραμυθούμενος τό γε πένθος· ἀνεγίγνωσκον γὰρ τὸ περὶ ψυχῆς τοῦ Πλάτωνος βιβλίον ἐφ' ἡσυχίας· ἐπεισέρχεται δὲ μεταξὺ ἡ Δημαινέτη αὐτὴ ἐκείνη καὶ καθίζεται πλησίον ὥσπερ νῦν Εὐκρατίδης οὑτοσὶ, δείξας τὸν νεώτερον τῶν υἱέων· ὁ δὲ αὐτίκα ἔφριξε μάλα παιδικῶς καὶ πάλαι ἤδη ὠχρὸς ἦν πρὸς τὴν διήγησιν. Ἐγὼ δὲ, ἦ δ' ὅς ὁ Εὐκράτης, ὡς εἶδον, περιπλακεὶς αὐτῇ ἐδάκρυον ἀνακωκύσας· ἡ δὲ οὐκ εἴα βοᾶν, ἀλλ' ἠτιᾶτό με, ὅτι τὰ ἄλλα πάντα χαρισάμενος αὐτῇ θάτερον τοῖν σανδάλοιν χρυσοῖν ὄντοιν οὐ κατακαύσαιμι, εἶναι δὲ αὐτὸ ἔφασκε παραπεσὸν ὑπὸ τῇ κιβωτῷ, καὶ διὰ τοῦτο ἡμεῖς οὐχ εὑρόντες θάτερον μόνον ἐκαύσαμεν. Ἔτι δὲ ἡμῶν διαλεγομένων κατάρατόν τι κυνίδιον ὑπὸ

tissima esset vehementior. Omnes autem, me solo relicto, clausis foribus extra manebant : ita enim jusseras, Antigone, si qua possem somnum capere. Tunc igitur astat mihi juvenis vigilanti undique pulcherrimus, veste candida indutus : deinde surgere me jussum deducit per hiatum quendam ad inferos, ut primo conspectu agnovi Tantalum videndo et Tityum et Sisyphum. Ac reliqua quid vobis dicam? Quum vero essem apud tribunal (aderat autem Æacus quoque et Charon, et Parcæ, et Furiæ), aliquis velut rex, Pluto ut mihi videtur, assidebat, pronuncians eorum qui jam morituri essent nomina, quos ultra diem ipsis dictum in vita manere contigerat. At juvenis me illi sistebat : sed Pluto indignabundus ad ductorem meum, Nondum, inquit, impletum illius filum est : proinde abeat. Tu vero jam fabrum adduc Demylum : jam enim ultra colum vivit. Et ego quum lætus recurrissem, ipse quidem jam sine febri eram, denunciabam vero omnibus, moriturum mox esse Demylum : in vicinia autem nostra habitabat, ægrotans ipse quoque, ut nunciabatur. Et paullo post audiebamus planctum eorum, qui illum deplorabant.

26. Quid mirabile? ait Antigonus : ego enim novi quendam vicesimo die post, quam sepultus fuerat, reviviscentem, qui et ante mortem et quum redisset in vitam, hominem curaverim. Et quomodo, inquam, viginti diebus neque putruit corpus, neque alioquin fame periit? nisi forte tu Epimenidem quendam curasti.

27. Hæc dum loquimur, superveniunt filii Eucratis redeuntes de palæstra, quorum alter jam ex ephebis excessit, alter circa quintum decimum annum est. Hi, quum salutassent nos, assidebant in lecto apud patrem : mihi vero illata est sella. Et Eucrates, quasi admonitus ad conspectum filiorum, Ita, inquit, hisce fruar (injecta utrique manu), ut vera tibi, Tychiade, narrabo. Uxorem meam, nunc felicem, horum matrem, norunt omnes quantum amaverim : declaravi autem iis quæ illius causa feci non viventis modo, sed etiam defunctæ, qui mundum illius omnem una cremaverim, et eam qua viva gaudebat vestem. Septimo autem a morte illius die ego hic in lectulo, uti nunc, jacebam, luctus solatia quærens : silentio enim legebam Platonis de anima librum : inter hæc supervenit Demæneta ipsa illa, et prope assidet, ut nunc Eucratides hic (ostendens filiorum juniorem : qui statim puerili more cohorruit, pallidus jam ante ad hanc narrationem). Ego vero, pergit Eucrates, quum viderem, complexus illam cum ejulatu lacrimabar. Illa non passa me clamare, sed accusavit quod reliquis in rebus omnibus sibi gratificatus, alterum sandaliorum (erant autem aurea) non cremaverim : decidisse vero illud dicebat juxta arcam; ac propter hoc nos quum non invenissemus, alterum modo cremaveramus. Adhuc loquentibus nobis,

τῇ κλίνῃ ὃν Μελιταῖον ὑλάκτησεν, ἡ δὲ ἠφανίσθη πρὸς τὴν ὑλακήν· τὸ μέντοι σανδάλιον εὑρέθη ὑπὸ τῇ κιβωτῷ καὶ κατεκαύθη ὕστερον.

28. Ἔτι ἀπιστεῖν τούτοις, ὦ Τυχιάδη, ἄξιον ἐναργέσιν οὖσι καὶ κατὰ τὴν ἡμέραν ἑκάστην φαινομένοις; Μὰ Δί', ἦν δ' ἐγώ· ἐπεὶ σανδάλῳ γε χρυσῷ ἐς τὰς πυγὰς ὥσπερ τὰ παιδία παίεσθαι ἄξιοι ἂν εἶεν οἱ ἀπιστοῦντες καὶ οὕτως ἀναισχυντοῦντες πρὸς τὴν ἀλήθειαν.

29. Ἐπὶ τούτοις ὁ Πυθαγορικὸς Ἀρίγνωτος εἰσῆλθεν, ὁ κομήτης, ὁ σεμνὸς ἀπὸ τοῦ προσώπου, οἶσθα τὸν ἀοίδιμον ἐπὶ τῇ σοφίᾳ, τὸν ἱερὸν ἐπονομαζόμενον. Κἀγὼ μὲν ὡς εἶδον αὐτὸν, ἀνέπνευσα, τοῦτ' ἐκεῖνο ἥκειν μοι νομίσας, πέλεκύν τινα κατὰ τῶν ψευσμάτων· ἐπιστομιεῖ γὰρ αὐτοὺς, ἔλεγον, ὁ σοφὸς ἀνὴρ οὕτω τεράστια διεξιόντας, καὶ τὸ τοῦ λόγου, θεὸν ἀπὸ μηχανῆς ἐπεισκυκληθῆναί μοι τοῦτον ὤμην ὑπὸ τῆς Τύχης. Ὁ δὲ ἐπεὶ ἐκαθέζετο ὑπεκστάντος αὐτῷ τοῦ Κλεοδήμου, πρῶτα μὲν περὶ τῆς νόσου ἤρετο, καὶ ὡς ῥᾷον ἤδη ἔχειν ἤκουσε παρὰ τοῦ Εὐκράτους, Τί δὲ, ἔφη, πρὸς αὐτοὺς φιλοσοφεῖτε; μεταξὺ γὰρ εἰσιὼν ἐπήκουσα, καί μοι δοκεῖτε εἰς καλὸν διατεθήσεσθαι τὴν διατριβήν. Τί δ' ἄλλο, εἶπεν ὁ Εὐκράτης, ἢ τουτονὶ τὸν ἀδαμάντινον πείθομεν — δείξας ἐμέ — ἡγεῖσθαι δαίμονάς τινας εἶναι καὶ φαντάσματα καὶ νεκρῶν ψυχὰς περιπολεῖν ὑπὲρ γῆς καὶ φαίνεσθαι οἷς ἂν ἐθέλωσιν. Ἐγὼ μὲν οὖν ἠρυθρίασα καὶ κάτω ἔνευσα αἰδεσθεὶς τὸν Ἀρίγνωτον. Ὁ δὲ, Ὅρα, ἔφη, ὦ Εὔκρατες, μὴ τοῦτό φησι Τυχιάδης, τὰς τῶν βιαίως ἀποθανόντων μόνας ψυχὰς περινοστεῖν, οἷον εἴ τις ἀπήγξατο ἢ ἀπετμήθη τὴν κεφαλὴν ἢ ἀνεσκολοπίσθη ἢ ἄλλῳ γέ τῳ τρόπῳ τοιούτῳ ἀπῆλθεν ἐκ τοῦ βίου, τὰς δὲ τῶν κατὰ μοῖραν ἀποθανόντων οὐκέτι· ἦν γὰρ τοῦτο λέγῃ, οὐ πάνυ ἀπόβλητα φήσει. Μὰ Δί', ἦ δ' ὃς ὁ Δεινόμαχος, ἀλλ' οὐδὲ ὅλως εἶναι τὰ τοιαῦτα οὐδὲ συνεστῶτα ὁρᾶσθαι οἴεται.

30. Πῶς λέγεις, ἦ δ' ὃς ὁ Ἀρίγνωτος, ὁριμὺ ἀπιδὼν εἰς ἐμὲ, οὐδέν σοι τούτων γίγνεσθαι δοκεῖ, καὶ ταῦτα πάντων, ὡς εἰπεῖν, ὁρώντων; Ἀπολελόγησθε, ἦν δ' ἐγὼ, ὑπὲρ ἐμοῦ, εἰ μὴ πιστεύω, διότι μηδὲ ὁρῶ μόνος τῶν ἄλλων· εἰ δὲ ἑώρων, καὶ ἐπίστευον ἂν δηλαδὴ ὥσπερ ὑμεῖς. Ἀλλὰ, ἦ δ' ὃς, ἦν ποτε ἐς Κόρινθον ἔλθῃς, ἐροῦ ἔνθα ἐστὶν ἡ Εὐβατίδου οἰκία, καὶ ἐπειδάν σοι δειχθῇ παρὰ τὸ Κράνειον, παρελθὼν ἐς ταύτην λέγε πρὸς τὸν θυρωρὸν Τίβιον, ὡς ἐθέλοις ἰδεῖν ὅθεν τὸν δαίμονα ὁ Πυθαγορικὸς Ἀρίγνωτος ἀνορύξας ἀπήλασε καὶ πρὸς τὸ λοιπὸν οἰκεῖσθαι τὴν οἰκίαν ἐποίησε.

31. Τί δὲ τοῦτο ἦν, ὦ Ἀρίγνωτε; ἤρετο ὁ Εὐκράτης. Ἀοίκητος ἦν, ἦ δ' ὅς, ἐκ πολλοῦ ὑπὸ δειμάτων, εἰ δέ τις οἰκήσειεν, εὐθὺς ἐκπλαγεὶς ἔφευγεν ἐκδιωχθεὶς ὑπό τινος φοβεροῦ καὶ ταραχώδους φάσματος. Συνέπιπτεν οὖν ἤδη καὶ ἡ στέγη κατέρρει, καὶ ὅλως οὐδεὶς ἦν ὁ θαρρήσων παρελθεῖν εἰς αὐτήν. Ἐγὼ δὲ ἐπεὶ ταῦτα ἤκουσα, τὰς βίβλους λαβών — εἰσὶ δέ μοι Αἰγύπτιαι μάλα πολλαὶ περὶ τῶν τοιούτων — ἦκον ἐς τὴν οἰκίαν περὶ πρῶτον ὕπνον ἀποτρέποντος τοῦ ξένου

exsecrabilis quædam sub lecto canicula Melitensis latravit; ad quem illa latratum evanuit. Sandalium tamen, sub arca repertum, post crematum est.

28. Adhucne fidem negare talibus, Tychiade, æquum censes, manifestis adeo et quæ singulis diebus appareant? Non per Jovem, inquam, quandoquidem digni fuerint quorum aureo sandalio nates, ut puerulorum, cædantur, si qui recusant credere et impudenter adeo veris repugnant.

29. Inter hæc Pythagoricus Arignotus intravit, comatus, vultu venerabili: nosti illum sapientiæ causa celebrem, divini cognomine insignem. Atque ego illo conspecto respirabam, illud ipsum venire mihi ratus, securim contra mendacia. Os enim, cogitabam, istis hic obturabit vir sapiens, prodigiosa adeo narrantibus: et, quod est in proverbio, e machina deum demissum mihi hunc a Fortuna putabam. At ille quum assedisset, assurgente ei Cleodemo, primo quidem percontari de morbo, et quum mollius jam habere ab Eucrate audisset, Quid vero, inquit, inter vos philosophabamini? dum enim intro, audivi; et videmini mihi bene disputationem collocaturi. Quid vero aliud, inquit Eucrates, quam adamantino huic (me autem ostendebat) persuadere studemus, uti putet dæmones quosdam esse, et spectra, et vita functorum animas vagari in terra, et quibus velint apparere. Igitur erubui equidem, et vultum Arignoti verecundia dejeci. Atque is, Vide, inquit, Eucrates, num hoc dicat Tychiades, solas eorum qui violenta morte perierunt animas oberrare, ut si quis se suspenderit, aut capite truncatus, aut palo fixus, aut alia qua simili ratione de vita egressus sit; fato autem suo mortuorum non item: hoc enim si dicit, non plane rejicienda dixerit. Non ita est, per Jovem, respondebat Dinomachus, sed plane non esse talia, neque consistere ita, ut videri possint, arbitratur.

30. Quid ais? inquit Arignotus, torvum me intuens: nihil tibi horum videtur fieri, idque quum omnes, pæne dixero, videant? Jam causam pro me dixistis, inquam, si non credo, quia solus inter alios non video: si vero vidissem, crederem nimirum, uti vos. Verum, dicebat ille, si quando Corinthum veneris, interroga ubi sit Eubatidæ domus: et quum ostensa tibi fuerit ad Craneum, ingressus in eam dic ad janitorem Tibium, velle te videre unde dæmonem Pythagoricus Arignotus, effosso loco, exegerit, et habitabilem ab eo inde tempore domum præstiterit.

31. Quid vero hoc erat, o Arignote? interrogabat Eucrates. Deserta fuerat, inquit, diu propter terrores: si quis vero immigraret, mox perculsus fugiebat, a terribili et tumultuoso spectro ejectus. Ergo jam collabi domus, et defluere tectum; neque omnino quisquam erat qui auderet in illam ingredi. At ego his auditis, sumo mecum libros (sunt autem mihi Ægyptii sat multi de talibus), ingredior domum circa primam quietem, dehortante meo hospite ac tan-

καὶ μόνον οὐκ ἐπιλαμβανομένου, ἐπεὶ ἔμαθεν οἷ βαδίζοιμι, εἰς προὔπτον κακὸν, ὡς ᾠετο. Ἐγὼ δὲ λύχνον λαβὼν μόνος εἰσέρχομαι, καὶ ἐν τῷ μεγίστῳ οἰκήματι καταθεὶς τὸ φῶς ἀνεγίγνωσκον ἡσυχῇ χαμαὶ καθεζόμενος· ἐφίσταται δὲ ὁ δαίμων ἐπί τινα τῶν πολλῶν ἥκειν νομίζων καὶ ἐδίξεσθαι κἀμὲ ἐλπίζων ὥσπερ τοὺς ἄλλους αὐχμηρὸς καὶ κομήτης καὶ μελάντερος τοῦ ζόφου, καὶ ὁ μὲν ἐπιστὰς ἐπειρᾶτό μου πανταχόθεν προσβάλλων, εἴ ποθεν κρατήσειε, καὶ ἄρτι μὲν κύων, ἄρτι δὲ ταῦρος γιγνόμενος ἢ λέων. Ἐγὼ δὲ προχειρισάμενος τὴν φρικωδεστάτην ἐπίρρησιν αἰγυπτιάζων τῇ φωνῇ συνήλασα κατάδων αὐτὸν εἴς τινα γωνίαν σκοτεινοῦ οἰκήματος· ἰδὼν δὲ αὐτὸν οἷ κατέδυ, τὸ λοιπὸν ἀνεπαυόμην. Ἕωθεν δὲ πάντων ἀπεγνωκότων καὶ νεκρὸν εὑρήσειν με οἰομένων καθάπερ τοὺς ἄλλους προελθὼν ἀπροσδόκητος ἅπασι πρόσειμι τῷ Εὐβατίδῃ, εὐαγγελιζόμενος αὐτῷ ὅτι καθαρὰν καὶ ἀδείμαντον ἤδη ἕξει τὴν οἰκίαν οἰκεῖν. Καὶ παραλαβὼν αὐτόν τε καὶ τῶν ἄλλων πολλούς — εἵποντο γὰρ τοῦ παραδόξου ἕνεκα — ἐκέλευον ἀγαγὼν ἐπὶ τὸν τόπον, οὗ καταδεδυκότα τὸν δαίμονα ἑοράκειν, σκάπτειν λαβόντας δικέλλας καὶ σκαφεῖα, καὶ ἐπειδὴ ἐποίησαν, εὑρέθη ὡς ἐπ' ὀργυιὰν κατορωρυγμένος τις νεκρὸς ἕωλος μόνα τὰ ὀστᾶ κατὰ σχῆμα συγκείμενος. Ἐκεῖνον μὲν οὖν ἐθάψαμεν ἀνορύξαντες, ἡ οἰκία δὲ τὸ ἀπ' ἐκείνου ἐπαύσατο ἐνοχλουμένη ὑπὸ τῶν φασμάτων.

32. Ὡς δὲ ταῦτα εἶπεν ὁ Ἀρίγνωτος, ἀνὴρ δαιμόνιος τὴν σοφίαν καὶ ἅπασιν αἰδέσιμος, οὐδεὶς ἦν ἔτι τῶν παρόντων ὃς οὐχὶ κατεγίγνωσκέ μου πολλὴν τὴν ἄνοιαν τοῖς τοιούτοις ἀπιστοῦντος, καὶ ταῦτα Ἀριγνώτου λέγοντος. Ἐγὼ δὲ ὅμως οὐδὲν τρέσας οὔτε τὴν κόμην οὔτε τὴν δόξαν τὴν περὶ αὐτοῦ, Τί τοῦτ', ἔφην, ὦ Ἀρίγνωτε, καὶ σὺ τοιοῦτος ἦσθα ἡ μόνη ἐλπὶς τῆς ἀληθείας, καπνοῦ μεστὸς καὶ ἐνδαλμάτων; τὸ γοῦν τοῦ λόγου ἐκεῖνο, ἄνθρακες ἡμῖν ὁ θησαυρὸς πέφηνας. Σὺ δὲ, ἦ δ' ὃς ὁ Ἀρίγνωτος, εἰ μήτε ἐμοὶ πιστεύεις λέγοντι μήτε Δεινομάχῳ ἢ Κλεοδήμῳ τουτῳὶ μήτε αὐτῷ Εὐκράτει, φέρε εἰπὲ τίνα περὶ τῶν τοιούτων ἀξιοπιστότερον ἡγῇ τἀναντία ἡμῖν λέγοντα; Νὴ Δί', ἦν δ' ἐγὼ, μάλα θαυμαστὸν ἄνδρα τὸν Ἀβδηρόθεν ἐκεῖνον Δημόκριτον, ὃς οὕτως ἄρα ἐπέπειστο μηδὲν οἷόν τε εἶναι συστῆναι τοιοῦτον, ὥστε, ἐπειδὴ καθείρξας ἑαυτὸν ἐς μνῆμα ἔξω πυλῶν ἐνταῦθα διετέλει γράφων καὶ συντάττων καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, καί τινες τῶν νεανίσκων ἐρεσχηλεῖν βουλόμενοι αὐτὸν καὶ δειματοῦν στειλάμενοι νεκρικῶς ἐσθῆτι μελαίνῃ καὶ προσωπείοις ἐς τὰ κρανία μεμιμημένοις περιστάντες αὐτὸν περιεχόρευον ὑπὸ πυκνῇ τῇ βάσει ἀναπηδῶντες, ὁ δὲ οὔτε ἔδεισε τὴν προσποίησιν αὐτῶν οὔτε ὅλως ἀνέβλεψε πρὸς αὐτοὺς, ἀλλὰ μεταξὺ γράφων, Παύσασθε, ἔφη, παίζοντες· οὕτω βεβαίως ἐπίστευε μηδὲν εἶναι τὰς ψυχὰς ἔτι ἔξω γενομένας τῶν σωμάτων. Τοῦτο φὴς, ἦ δ' ὃς ὁ Εὐκράτης, ἀνόητόν τινα ἄνδρα καὶ τὸν Δημόκριτον γενέσθαι, εἴ γε οὕτως ἐγίγνωσκεν.

tum non manum injiciente, quum quo irem audisset, in præsentem, ut ipse putabat, perniciem. Ego vero sumta lucerna ingredior solus, et in maximo conclavi deposito lumine, lego tacite, humi sedens. Adest dæmon, ad unum se de multis venire putans, et futurum sperans ut me quoque sicut reliquos perterreat, squalidus, comatus, caligine nigrior: atque astans tentabat ab omni parte me invadere, sicunde posset vincere; et nunc quidem canis, nunc taurus fit, aut leo. Ego vero depromta allocutione maxime horribili, Ægyptiorum sermone utens, incantando illum adegi in angulum quendam tenebricosi conclavis. Animadverso autem quo subierat, reliquum noctis dormivi. Mane, quum desperassent omnes et mortuum me inventum iri putarent, uti reliquos, progressus præter spem omnium, accedo ad Eubatiden, bonum ipsi nuncium afferens, puram et metus expertem domum habitare illi in posterum licere. Atque assumtis quum ipso tum aliis pluribus (sequebantur enim rei miraculo moti), deductisque ad ipsum locum ubi subire dæmonem videram, jussi rastris et ligonibus humum fodi. Quo facto inventum est ad passus altitudinem defossum cadaver antiquum, cujus sola ossa sua figura composita jacerent. Hoc igitur effossum sepelivimus: ceterum domus ab eo inde tempore infesta spectris esse desiit.

32. Hæc quum dixisset Arignotus, divina vir sapientia et venerabilis omnibus, nemo jam erat præsentium quin magnæ me accusaret amentiæ, qui fidem talibus non haberem, idque ipso dicente Arignoto. Ego vero nihil trepidans, neque ob comam, neque ob opinionem de viro, Quid istuc, inquam, Arignote? tune etiam talis eras, sola spes veritatis, idem tamen fumi et spectrorum plenus? tu nobis, qui thesaurus eras, ut est in proverbio, carbones appares. Tu vero, inquit Arignotus, si neque mihi credis dicenti, neque Dinomacho, aut huic Cleodemo, neque ipsi Eucrati; age dic, quem fide digniorem putas harum rerum arbitrum contraria nobis dicentem? Per Jovem, inquam, admirabilem virum, Abderitanum illum Democritum, cui nempe adeo persuasum erat nihil horum consistere posse, ut, quum inclusisset se in monumentum extra portas, ibique perpetuo scriberet et commentaretur nocte atque interdiu, adelescentulis quibusdam ludificari illum et perterrere volentibus, qui mortuorum instar nigra veste ornati et personis ad craniorum similitudinem effictis circa illum saltarent, crebris passibus exsultantes: nihil ipse hanc illorum assimulationem metuerit, neque omnino ad illos respexerit, sed inter scribendum illud solum dixerit, Desinite ludere! adeo firmiter credebat nihil amplius esse animas, quum sunt extra corpora. Hoc tu ais, inquit Eucrates, amentem hominem etiam Democritum fuisse, si quidem ita statuit.

33. Ἐγὼ δὲ ὑμῖν καὶ ἄλλο διηγήσομαι αὐτὸς παθών, οὐ παρ' ἄλλου ἀκούσας· τάχα γὰρ ἂν καὶ σὺ, ὦ Τυχιάδη, ἀκούων προσβιβασθείης πρὸς τὴν ἀλήθειαν τοῦ διηγήματος. Ὁπότε γὰρ ἐν Αἰγύπτῳ διῆγον ἔτι νέος ὤν, ὑπὸ τοῦ πατρὸς ἐπὶ παιδείας προφάσει ἀποσταλείς, ἐπεθύμησα ἐς Κοπτὸν ἀναπλεύσας ἐκεῖθεν ἐπὶ τὸν Μέμνονα ἐλθὼν ἀκοῦσαι τὸ θαυμαστὸν ἐκεῖνο ἠχοῦντα πρὸς ἀνίσχοντα τὸν ἥλιον. Ἐκείνου μὲν οὖν ἤκουσα οὐ κατὰ τὸ κοινὸν τοῖς πολλοῖς ἄσημόν τινα φωνὴν, ἀλλά μοι καὶ ἔχρησεν ὁ Μέμνων αὐτὸς ἀνοίξας τὸ στόμα ἐν ἔπεσιν ἑπτὰ, καὶ εἴ γε μὴ περιττὸν ἦν, αὐτὰ ἂν ὑμῖν εἶπον τὰ ἔπη.

34. Κατὰ δὲ τὸν ἀνάπλουν ἔτυχεν ἡμῖν συμπλέων Μεμφίτης ἀνὴρ τῶν ἱερογραμματέων, θαυμάσιος τὴν σοφίαν καὶ τὴν παιδείαν πᾶσαν εἰδὼς τὴν Αἰγυπτίων· ἐλέγετο δὲ τρία καὶ εἴκοσιν ἔτη ἐν τοῖς ἀδύτοις ὑπόγειος ᾠκηκέναι μαγεύειν παιδευόμενος ὑπὸ τῆς Ἴσιδος. Παγκράτην, ἔφη, λέγεις, ὁ Ἀρίγνωτος, ἐμὸν διδάσκαλον, ἱερὸν ἄνδρα, ἐξυρημένον, ἐν ὀθονίοις, νοήμονα, οὐ καθαρῶς ἑλληνίζοντα, ἐπιμήκη, σιμὸν, πρόχειλον, ὑπόλεπτον τὰ σκέλη. Αὐτὸν, ἦ δ' ὅς, ἐκεῖνον τὸν Παγκράτην· καὶ τὰ μὲν πρῶτα ἠγνόουν ὅστις ἦν, ἐπεὶ δὲ ἑώρων αὐτὸν, εἴ ποτε ὁρμίσαιμεν τὸ πλοῖον, ἄλλα τε πολλὰ τεράστια ἐργαζόμενον, καὶ δὴ καὶ ἐπὶ κροκοδείλων ὀχούμενον καὶ συννέοντα τοῖς θηρίοις, τὰ δὲ ὑποπτήσσοντα καὶ σαίνοντα ταῖς οὐραῖς, ἔγνων ἱερόν τινα ἄνθρωπον ὄντα, καὶ κατὰ μικρὸν φιλοφρονούμενός ἔλαθον ἑταῖρος αὐτῷ καὶ συνήθης γενόμενος, ὥστε πάντων ἐκοινώνει μοι τῶν ἀπορρήτων· καὶ τέλος πείθει με τοὺς μὲν οἰκέτας ἅπαντας ἐν τῇ Μέμφιδι καταλιπεῖν, αὐτὸν δὲ μόνον ἀκολουθεῖν μετ' αὐτοῦ, μὴ γὰρ ἀπορήσειν ἡμᾶς τῶν διακονησομένων. Καὶ τὸ μετὰ τοῦτο οὕτω διήγομεν.

35. Ἐπειδὴ δὲ ἔλθοιμεν εἴς τι καταγώγιον, λαβὼν ἂν ὁ ἀνὴρ τὸν μοχλὸν τῆς θύρας ἢ τὸ κόρηθρον ἢ καὶ τὸ ὕπερον περιβαλὼν ἱματίοις ἐπειπών τινα ἐπῳδὴν ἐποίει βαδίζειν τοῖς ἄλλοις ἅπασιν ἄνθρωπον εἶναι δοκοῦντα· τὸ δὲ ἀπελθὸν ὕδωρ τε ἀπήντλει καὶ ὠψώνει καὶ ἐσκεύαζε καὶ ἐς πάντα δεξιῶς ὑπηρέτει καὶ διηκονεῖτο ἡμῖν· εἶτα δὲ ἐπειδὴ ἄλις ἔχοι τῆς διακονίας, αὖθις κόρηθρον τὸ κόρηθρον ἢ ὕπερον τὸ ὕπερον ἄλλην ἐπῳδὴν ἐπειπὼν ἐποίει ἄν. Τοῦτο ἐγὼ πάνυ ἐσπουδακὼς οὐκ εἶχον ὅπως ἐκμάθοιμι παρ' αὐτοῦ· ἐβάσκαινε γὰρ αὐτοῦ, καίτοι πρὸς τὰ ἄλλα προχειρότατος ὤν. Μιᾷ δέ ποτε ἡμέρᾳ λαθὼν ἐπήκουσα τῆς ἐπῳδῆς, ἦν δὲ τρισύλλαβος, σχεδὸν ἐν σκοτεινῷ ὑποστάς. Καὶ ὁ μὲν ᾤχετο ἐς τὴν ἀγορὰν ἐντειλάμενος τῷ ὑπέρῳ ἃ ἔδει ποιεῖν.

36. Ἐγὼ δὲ ἐς τὴν ὑστεραίαν ἐκείνου τι κατὰ τὴν ἀγορὰν πραγματευομένου λαβὼν τὸ ὕπερον σχηματίσας, ὁμοίως ἐπειπὼν τὰς συλλαβὰς, ἐκέλευον ὑδροφορεῖν. Ἐπεὶ δὲ ἐμπλησάμενος τὸν ἀμφορέα ἐκόμισε, Πέπαυσο, ἔφην, καὶ μηκέτι ὑδροφόρει, ἀλλ' Ἴσθι αὖθις ὕπερον· τὸ δὲ οὐκέτι μοι πείθεσθαι ἤθελεν, ἀλλ' ὑδρο-

33. Ego autem vobis etiam aliud quid enarrabo, quod mihi usu venit, non auditum ab alio : fortasse enim tu quoque, Tychiade, audiens vi quadam ad narrationis veritatem adigaris. Quum in Ægypto viverem juvenis adhuc, doctrinæ causa eo missus a patre, cupido incessit animum, Coptum inde adverso flumine petere, ad Memnonem audiendum, mirabiles illos sonos oriente sole edentem. Atque illius quidem audivi, non, ut vulgus, vocem nullius sensus; sed oraculum mihi ipse aperto ore Memnon reddidit versibus septem, ac nisi supervacaneum esset, ipsos vobis recitarem versus.

34. In reditu autem navigabat forte nobiscum homo Memphiticus, de sacris scribis unus, sapientia admirabili et doctrinæ omnis Ægyptiorum consultus : dicebatur autem tres et viginti annos in adytis sub terra habitasse, magicis artibus dum instruitur ab Iside. Pancratem dicis, inquit Arignotus, meum præceptorem, virum divinum, rasum, linea indutum, cogitabundum, non pure loquentem græce, procerum, simum, labiosum, extenuatis cruribus. Ipsum illum, inquit, Pancratem. Ac primo quidem, qui esset, ignorabam : ubi vero videbam illum, si quando appelleremus navigium, quum alia multa prodigiose facere, tum inequitare crocodilis, et natare inter belluas, has vero illi se submittere et adulari caudis, divinum quendam hominem esse agnovi; et quum paulatim in illius me amicitiam insinuarem, opinione celerius sodalis ipsius ac familiaris factus sum. Itaque omnia mihi impertiebat arcana, et tandem persuadet mihi, ut, servis omnibus Memphi relictis, solus ipse se sequar; neque enim defuturos nobis ministros. Ac postea ita vivebamus.

35. Tum quoties in stabulum quoddam veneramus, sumtum ille vir vectem de janua, aut scopas, aut pistillum adeo vestibus induebat, et carmine quodam pronunciato, ut incederet efficiebat et ut aliis omnibus homo esse videretur : isque abiens et aquam hauriebat, et obsonabat, parabatque cibos, omnibusque in rebus dextre operam nobis dabat ministrabatque. Tum ubi satis ministerio illius usus esset, rursus scopas scopas, aut pistillum pistillum carmine alio pronunciato reddidit. Hoc ego maximo studio non potui tamen impetrare ab eo ut discerem; in hoc enim invidebat, licet ad alia esset promtissimus. At certo tandem die clanculum sublegi incantationem (erat vero trium syllabarum), prope astans in angulo tenebricoso. Atque ille in forum abiit, quum præcepisset pistillo quid facto opus esset.

36. Ego vero postridie illius diei, ipso aliquid in foro negotii habente, sumo pistillum, exornatumque, dictis similiter syllabis istis, aquam afferre jubeo. Quum vero plenam amphoram attulisset, Desine, inquam, neve amplius affer aquam, sed rursus esto pistillus. At ille non amplius parere mihi voluit, verum afferre aquam perrexit, donec aqua

φόρει ἀεὶ, ἄχρι δὴ ἐνέπλησεν ἡμῖν ὕδατος τὴν οἰκίαν ἐπαντλοῦν. Ἐγὼ δὲ ἀμηχανῶν τῷ πράγματι — ἐδεδίειν γὰρ μὴ ὁ Παγκράτης ἐπανελθὼν ἀγανακτήσῃ, ὅπερ καὶ ἐγένετο — ἀξίνην λαβὼν διακόπτω τὸ ὕπερον εἰς δύο μέρη· τὰ δὲ, ἑκάτερον τὸ μέρος, ἀμφορέας λαβόντα ὑδροφόρει καὶ ἀνθ' ἑνὸς δύο μοι ἐγένοντο ὑδροφόροι. Ἐν τούτῳ καὶ ὁ Παγκράτης ἐφίσταται καὶ συνεὶς τὸ γενόμενον ἐκεῖνα μὲν αὖθις ἐποίησε ξύλα, ὥσπερ ἦν πρὸ τῆς ἐπῳδῆς, αὐτὸς δὲ ἀπολιπών με λαθὼν οὐκ οἶδ' ὅποι ἀφανὴς ᾤχετο ἀπιών. Νῦν οὖν, ἔφη ὁ Δεινόμαχος, οἶσθα κἂν ἐκεῖνο, ἄνθρωπον ποιεῖν ἐκ τοῦ ὑπέρου; Νὴ Δί', ἦ δ' ὅς, ἐξ ἡμισείας γε· οὐκέτι γὰρ εἰς τὸ ἀρχαῖον οἷόν τέ μοι ἄγειν αὐτὸ, ἦν ἅπαξ γένηται ὑδροφόρος, ἀλλὰ δεήσει ἡμῖν ἐπικλυσθῆναι τὴν οἰκίαν ἐπαντλουμένην.

37. Οὐ παύεσθε, ἦν δ' ἐγὼ, τὰ τοιαῦτα τερατολογοῦντες γέροντες ἄνδρες; εἰ δὲ μὴ, ἀλλὰ κἂν τῶν μειρακίων τούτων ἕνεκα εἰς ἄλλον καιρὸν ὑπερβάλλεσθε τὰς παραδόξους ταύτας καὶ φοβερὰς διηγήσεις, μή πως λάθωσιν ἡμῖν ἐμπλησθέντες δειμάτων καὶ ἀλλοκότων μυθολογημάτων. Φείδεσθαι οὖν χρὴ αὐτῶν μηδὲ τοιαῦτα ἐθίζειν ἀκούειν, ἃ διὰ παντὸς τοῦ βίου ἐνοχλήσει συνόντα καὶ ψοφοδεεῖς ποιήσει ποικίλης τῆς δεισιδαιμονίας ἐμπιπλάντα.

38. Εὖ γε ὑπέμνησας, ἦ δ' ὅς ὁ Εὐκράτης, εἰπὼν τὴν δεισιδαιμονίαν. Τί γάρ σοι, ὦ Τυχιάδη, περὶ τῶν τοιούτων δοκεῖ, λέγω δὴ χρησμῶν καὶ θεσφάτων καὶ ὅσα θεοφορούμενοί τινες ἀναβοῶσιν ἢ ἐξ ἀδύτων ἀκούεται ἢ παρθένος ἔμμετρα φθεγγομένη προθεσπίζει τὰ μέλλοντα; ἢ δηλαδὴ καὶ τοῖς τοιούτοις ἀπιστήσεις; Ἐγὼ δὲ ὅτι μὲν καὶ δακτύλιόν τινα ἱερὸν ἔχω Ἀπόλλωνος τοῦ Πυθίου εἰκόνα ἐκτυπούσης τῆς σφραγῖδος καὶ οὗτος ὁ Ἀπόλλων φθέγγεταί πρὸς ἐμὲ, οὐ λέγω, μή σοι ἄπιστα δόξω περὶ ἐμαυτοῦ μεγαλαυχεῖσθαι· ἃ δὲ ἐν Ἀμφιλόχου γε ἤκουσα ἐν Μαλλῷ, τοῦ ἥρωος ὕπαρ διαλεχθέντος μοι καὶ συμβουλεύσαντος ὑπὲρ τῶν ἐμῶν καὶ ἃ εἶδον αὐτὸς, ἐθέλω ὑμῖν εἰπεῖν, εἶτα ἐξῆς ἃ ἐν Περγάμῳ εἶδον καὶ ἤκουσα ἐν Πατάροις· ὁπότε γὰρ ἐξ Αἰγύπτου ἐπανήειν οἴκαδε ἀκούων τὸ ἐν Μαλλῷ τοῦτο μαντεῖον ἐπιφανέστατόν τε καὶ ἀληθέστατον εἶναι καὶ χρᾶν ἐναργῶς πρὸς ἔπος ἀποκρινόμενον οἷς ἂν ἐγγράψας τις εἰς τὸ γραμματεῖον παραδῷ τῷ προφήτῃ, καλῶς ἂν ἔχειν ἡγησάμην ἐν παράπλῳ πειραθῆναι τοῦ χρηστηρίου καί τι περὶ μελλόντων συμβουλεύσασθαι τῷ θεῷ.

39. Ταῦτα ἔτι τοῦ Εὐκράτους λέγοντος ἰδὼν οἵ τὸ πρᾶγμα προχωρήσειν ἔμελλε καὶ ὡς οὐ περὶ μικρᾶς ἐνήρχετο τῆς περὶ τὰ χρηστήρια τραγῳδίας, οὐ δοκεῖν οἰηθεὶς δεῖν μόνος ἀντιλέγειν ἅπασιν, ἀπολιπὼν αὐτὸν ἔτι διαπλέοντα ἐξ Αἰγύπτου εἰς τὴν Μαλλόν — καὶ γὰρ συνίειν ὅτι μοι ἄχθονται παρόντι καθάπερ ἀντισοφιστῇ τῶν ψευσμάτων — Ἀλλ' ἐγὼ ἄπειμι, ἔφην, Λεόντιχον ἐπιζητήσων· δέομαι γὰρ αὐτῷ τι συγγενέσθαι. Ὑμεῖς δὲ ἐπεὶ οὐχ ἱκανὰ ἡγεῖσθε τὰ ἀνθρώπινα εἶναι, καὶ haurienda domum opplevisset. Ego consilii inops (metuebam enim ne ægre ferret rediens Pancrates, quod etiam factum est), securi arrepta bifariam pistillum disseco. Sed utraque illa pars, captis amphoris, aquam ferebat, ac pro uno duo mihi jam erant ministri. Inter hæc adest Pancrates, intellectoque quid actum esset, illos iterum ligna fecit, ut ante incantationem fuerant; ipse vero clam me relicto, subduxit se nescio quorsum, et conspici desiit. Nunc igitur, inquit Dinomachus, adhuc illud nosti certe, hominem facere ex pistillo? Per Jovem, inquit, ex dimidia quidem parte: Neque enim licet mihi in pristinam eum formam reducere, quum semel factus est aquarius: sed eluereturnobis illo semper hauriente domus.

37. Non desinitis, inquam, talia portenta loqui senes viri? sin minus, at certe horum adolescentulorum causa in aliud tempus differte incredibiles istas horribilesque narrationes, ne sensim impleantur nobis terroribus et absurdis fabulis. Parcere igitur illis oportet, neque assuefacere talibus audiendis, quæ per totam vitam turbabunt illos retenta, animo et ad unumquemque strepitum meticulosos facient, variaque superstitione implebunt.

38. Recte me mones, inquit Eucrates, superstitionem dum nominas. Quid enim, Tychiade, de talibus tibi videtur, de oraculis dico, et vocibus, et quæ a deo agitati quidam proclamant, aut audiuntur ex adytis, aut virgo versibus devincta loquens futura significat? nimirum etiam talibus fidem negabis? Ego vero esse mihi sacrum quendam anulum, cujus sigillum Pythii Apollinis imaginem exprimat, eumque Apollinem mihi loqui non dico, ne tibi incredibilia de me ipse gloriari videar: quæ vero in Amphilochi templo audivi, Malli, heroe in somnis mecum loquente et de rebus mihi meis consulente, quæque ipse vidi, dicere vobis volo; tum deinceps, quæ Pergami vidi, et audivi Pataris. Quum enim ex Ægypto domum redirem, audito illud Malli oraculum illustrissimum esse verissimumque, et dilucida fundere oracula, dum ad verbum respondeat his quæ in tabellis scripta prophetæ tradat aliquis, optimum factu putabam, ut in transitu tentarem oraculum, et de futuris aliquid deliberarem cum deo.

39. Hæc adhuc dicente Eucrate, quum viderem quorsum res evasura esset, utque inciperet non parvam illam oraculorum tragœdiam; ratus non decere me solum contradicere omnibus, relicto illo navigante adhuc ex Ægypto Mallum versus (etenim sentiebam illos præsentiam meam gravari, ut qui contra illorum mendacia disputarem), Ego vero, inquam, discedo requisiturus Leontichum: etenim illo mihi convento opus est. Vos vero, quando quidem satis vobis non esse humana putatis, ipsos jam vocate deos, fabulo-

αὐτοὺς ἤδη τοὺς θεοὺς καλεῖτε συνεπιληψομένους ὑμῖν τῶν μυθολογουμένων· καὶ ἅμα λέγων ἐξήειν. Οἱ δὲ ἄσμενοι ἐλευθερίας λαβόμενοι εἱστίων, ὡς τὸ εἰκὸς, αὐτοὺς καὶ ἐνεφοροῦντο τῶν ψευσμάτων.

Τοιαῦτά σοι, ὦ Φιλόκλεις, παρὰ Εὐκράτει ἀκούσας ἦκω νὴ τὸν Δία ὥσπερ οἱ τοῦ γλεύκους πιόντες ἐμπεφυσημένος τὴν γαστέρα ἐμέτου δεόμενος. Ἡδέως δ' ἄν ποθεν ἐπὶ πολλῷ ἐπριάμην ληθεδανόν τι φάρμακον ὧν ἤκουσα, ὡς μή τι κακὸν ἐργάσηταί με ἡ μνήμη αὐτῶν ἐνοικουροῦσα· τέρατα γοῦν καὶ δαίμονας καὶ Ἑκάτας ὁρᾶν μοι δοκῶ.

40. ΦΙΛ. Καὶ αὐτὸς, ὦ Τυχιάδη, τοιοῦτόν τι ἀπέλαυσα τῆς διηγήσεως· φασί γέ τοι μὴ μόνον λυττᾶν καὶ τὸ ὕδωρ φοβεῖσθαι ὁπόσους ἂν οἱ λυττῶντες κύνες δάκωσιν, ἀλλὰ κἄν τινα ὁ δηχθεὶς ἄνθρωπος δάκῃ, ἴσα τῷ κυνὶ δύναται τὸ δῆγμα, καὶ τὰ αὐτὰ κἀκεῖνος φοβεῖται. Καὶ σὺ τοίνυν ἔοικας αὐτὸς ἐν Εὐκράτους δηχθεὶς ὑπὸ πολλῶν ψευσμάτων μεταδεδωκέναι κἀμοὶ τοῦ δήγματος· οὕτω δαιμόνων μοι τὴν ψυχὴν ἐνέπλησας.

ΤΥΧ. Ἀλλὰ θαρρῶμεν, ὦ φιλότης, μέγα τῶν τοιούτων ἀλεξιφάρμακον ἔχοντες τὴν ἀλήθειαν καὶ τὸν ἐπὶ πᾶσι λόγον ὀρθὸν, ᾧ χρωμένους ἡμᾶς οὐδὲν μὴ ταράξῃ τῶν κενῶν καὶ ματαίων τούτων ψευσμάτων.

sarum disputationum vestrarum adjutores; et cum dicto exivi. Illi vero *libertatem eam lubenter arripientes*, tanquam epulis, ut credibile est, se tractarunt invicem et ingurgitarunt mendaciis.

Talibus tibi, Philocles, apud Eucratem auditis venio, ut qui mustum biberunt, ventre inflato, vomitorii indigens. Lubens autem alicunde et magno emerim medicamentum oblivionem inducens eorum quæ audivi, ne quid mali mihi faciat in me residens illorum memoria: portenta enim, et dæmones, et Hecatas videre mihi videor.

40. PHIL. Ipse etiam ego, Tychiade, tale quid de narratione tua abstuli. Dicunt certe, non solum insanire et aquam metuere quos canes rabiosi momorderint; sed etiam, si quem homo morsus mordeat, eandem quam canis vim habere illum morsum, eademque illum quoque metuere. Et tu igitur morsus in Eucratis domo a multis mendaciis, mihi videris aliquid illius morsus impertiisse; ita dæmonibus mihi mentem opplevisti.

TYCH. Sed bono simus animo, amice, magnum talibus noxis depellendis remedium habentes, veritatem et *rectam in omnibus rationem*; *qua dum utimur*, nos de vanis hisce atque inanibus mendaciis nullum turbabit.

LIII.

* ΙΠΠΙΑΣ Η ΒΑΛΑΝΕΙΟΝ.

1. Τῶν σοφῶν ἐκείνους μάλιστα ἔγωγέ φημι δεῖν ἐπαινεῖν, ὁπόσοι μὴ λόγους μόνον δεξιοὺς παρέσχοντο ὑπὲρ τῶν πραγμάτων ἑκάστων, ἀλλὰ καὶ ἔργοις ὁμοίοις τὰς τῶν λόγων ὑποσχέσεις ἐπιστώσαντο. Καὶ γὰρ τῶν ἰατρῶν ὅ γε νοῦν ἔχων οὐ τοὺς ἄριστα ὑπὲρ τῆς τέχνης εἰπεῖν δυναμένους μεταστελεῖται νοσῶν, ἀλλὰ τοὺς πρᾶξαί τι κατ' αὐτὴν μεμελετηκότας. Ἀμείνων δὲ καὶ μουσικὸς, οἶμαι, τοῦ διακρίνειν ῥυθμοὺς καὶ ἁρμονίας ἐπισταμένου ὁ καὶ ᾄδειν καὶ κιθαρίσαι αὐτὸς δυνάμενος. Τί γὰρ ἄν σοι τῶν στρατηγῶν λέγοιμι τοὺς εἰκότως ἀρίστους κριθέντας, ὅτι οὐ τάττειν μόνον καὶ παραινεῖν ἦσαν ἀγαθοὶ, ἀλλὰ καὶ προμάχεσθαι τῶν ἄλλων καὶ χειρὸς ἔργα ἐπιδείκνυσθαι; οἷον τῶν πάλαι μὲν Ἀγαμέμνονα καὶ Ἀχιλλέα, τῶν κάτω δὲ τὸν Ἀλέξανδρον καὶ Πύρρον ἴσμεν γεγονότας.

2 Πρὸς δὴ τί ταῦτ' ἔφην; οὐ γὰρ ἄλλως ἱστορίαν ἐπιδείκνυσθαι βουλόμενος ἐπεμνήσθην αὐτῶν, ἀλλ' ὅτι καὶ τῶν μηχανικῶν ἐκείνους ἄξιον θαυμάζειν, ὁπόσοι ἐν τῇ θεωρίᾳ λαμπροὶ γενόμενοι καὶ μνημόσυνα ὅμως τῆς τέχνης καὶ πράγματα τοῖς μετ' αὐτοὺς κατελιπον· ἐπεὶ οἵ γε τοῖς λόγοις μόνοις ἐγγεγυμνασμένοι σοφισταὶ ἂν εἰκότως μᾶλλον ἢ σοφοὶ καλοῖντο. Τοιοῦτον ἀκούομεν τὸν Ἀρχιμήδην γενέσθαι καὶ τὸν Κνίδιον Σώστρατον, τὸν μὲν Πτολεμαίῳ χειρωσάμενον τὴν

LIII.

* HIPPIAS seu BALNEUM.

1. Eruditorum ex numero illos maxime laudandos aio equidem, quotquot non disputationes modo acutas de negotio unoquoque attulerunt, sed operibus similibus firmarunt promissiones verborum. Etenim de medicis, si quis sapiat ægrotus, non eos arcesset qui optime dicere de arte possunt, sed qui ad præstandum aliquid illa arte sese studiose paraverint. Melior etiam musicus, arbitror, eo qui numeros et harmonias norit discernere, ille fuerit qui cantare etiam et citharam pulsare ipse possit. Quid enim duces tibi narrem qui merito suo optimi judicati sunt, non in ordinanda modo acie et adhortandis militibus præstantes, sed eo etiam quod in prima acie pugnarent et manu rem gererent? qualem ex antiquis Agamemnonem atque Achillem, *sequioris autem ætatis* Alexandrum et Pyrrhum fuisse cognovimus.

2. Quorsum vero ista dixi? non enim temere illorum mentionem feci, ut historiæ peritum me ostenderem, sed ut docerem inter mechanicos quoque admiratione dignos esse quotquot scientia et ratione clari, tamen etiam monumenta artis et opera posteris reliquere: quandoquidem sola in disputatione exercitati, sophistæ potius quam sapientes dici meruerint. Talem audimus Archimedem fuisse, et Cnidium Sostratum, quorum hic Ptolemæo subegerit Mem-

Μέμφιν ἄνευ πολιορκίας ἀποστροφῇ καὶ διαιρέσει τοῦ ποταμοῦ, τὸν δὲ τὰς τῶν πολεμίων τριήρεις καταφλέξαντα τῇ τέχνῃ. Καὶ Θαλῆς δὲ ὁ Μιλήσιος πρὸ αὐτῶν ὑποσχόμενος Κροίσῳ ἄδροχον διαβιβάσειν τὸν στρατὸν ἐπινοίᾳ κατόπιν τοῦ στρατοπέδου μιᾷ νυκτὶ τὸν Ἅλυν περιήγαγεν, οὐ μηχανικὸς οὗτος γενόμενος, σοφὸς δὲ καὶ ἐπινοῆσαι καὶ συνεῖναι πιθανώτατος. Τὸ μὲν γὰρ τοῦ Ἐπειοῦ καὶ πάνυ ἀρχαῖον, ὃς οὐ μόνον τεχνήσασθαι τοῖς Ἀχαιοῖς τὸν ἵππον, ἀλλὰ καὶ συγκαταβῆναι αὐτοῖς ἐς αὐτὸν λέγεται.

3. Ἐν δὴ τούτοις καὶ Ἱππίου τουτουὶ τοῦ καθ' ἡμᾶς μεμνῆσθαι ἄξιον, ἀνδρὸς λόγοις μὲν παρ' ὄντινα βούλει τῶν πρὸ αὐτοῦ γεγυμνασμένου καὶ συνεῖναί τε ὀξέος καὶ ἑρμηνεῦσαι σαφεστάτου, τὰ δὲ ἔργα πολὺ τῶν λόγων ἀμείνω παρεχομένου καὶ τὴν τῆς τέχνης ὑπόσχεσιν ἀποπληροῦντος, οὐκ ἐν τοιαύταις μὲν ὑποσχέσεσιν ἐν αἷς οἱ πρὸ αὐτοῦ γενέσθαι ηὐτύχησαν, κατὰ δὲ τὸν γεωμετρικὸν λόγον ἐπὶ τῆς δοθείσης, φασὶν, εὐθείας τὸ τρίγωνον ἀκριβῶς συνισταμένου. Καίτοι τῶν γε ἄλλων ἕκαστος ἕν τι τῆς ἐπιστήμης ἔργον ἀποτεμόμενος ἐν ἐκείνῳ εὐδοκιμήσας εἶναί τις ὅμως ἔδοξεν, ὁ δὲ μηχανικῶν τε ὢν τὰ πρῶτα καὶ γεωμετρικῶν, ἔτι δὲ ἁρμονικῶν καὶ μουσικῶν φαίνεται, καὶ ὅμως ἕκαστον τούτων οὕτως ἐντελῶς δείκνυσιν ὡς ἓν αὐτὸ μόνον ἐπιστάμενος· τὴν μὲν γὰρ περὶ ἀκτίνων καὶ ἀνακλάσεων καὶ κατόπτρων θεωρίαν, ἔτι δὲ ἀστρονομίαν, ἐν ᾗ παῖδας τοὺς πρὸ αὐτοῦ ἀπέφηνεν, οὐκ ὀλίγου χρόνου ἂν εἴη ἐπαινεῖν.

4. Ἃ δὲ ἔναγχος ἰδὼν αὐτοῦ τῶν ἔργων κατεπλάγην, οὐκ ὀκνήσω εἰπεῖν· κοινὴ μὲν γὰρ ἡ ὑπόθεσις καὶ τῷ καθ' ἡμᾶς βίῳ πάνυ πολλὴ, βαλανείου κατασκευή· περίνοια δὲ καὶ ἐν τῷ κοινῷ τούτῳ σύνεσις θαυμαστή. Τόπος μὲν ἦν οὐκ ἐπίπεδος, ἀλλὰ πάνυ προσάντης καὶ ὄρθιος, ὃν παραλαβὼν κατὰ θάτερα εἰς ὑπερβολὴν ταπεινὸν, ἰσόπεδον θατέρῳ ἀπέφηνε, κρηπῖδα μὲν βεβαιοτάτην ἅπαντι τῷ ἔργῳ βαλόμενος καὶ θεμελίων θέσει τὴν τῶν ἐπιτιθεμένων ἀσφάλειαν ἐμπεδωσάμενος, ὕψεσι δὲ πάνυ ἀποτόμοις καὶ πρὸς ἀσφάλειαν συνεχομένοις τὸ ὅλον κρατυνάμενος· τὰ δὲ ἐποικοδομηθέντα τῷ τε τοῦ τόπου μεγέθει σύμμετρα καὶ τῷ εὐλόγῳ τῆς κατασκευῆς ἁρμοδιώτατα καὶ τὸν τῶν φώτων λόγον φυλάττοντα.

5. Πυλὼν μὲν ὑψηλὸς ἀναβάσεις πλατείας ἔχων, ὕπτιος μᾶλλον ἢ ὄρθιος πρὸς τὴν τῶν ἀνιόντων εὐμάρειαν· εἰσιόντα δὲ τοῦτον ἐκδέχεται κοινὸς οἶκος εὐμεγέθης, ἱκανὴν ἔχων ὑπηρέταις καὶ ἀκολούθοις διατριβήν, ἐν ἀριστερᾷ δὲ τῶν εἰς τρυφὴν παρεσκευασμένων οἰκημάτων· βαλανείῳ δ' οὖν καὶ ταῦτα πρεπωδέστατα, χαρίεσσαί καὶ φωτὶ πολλῷ καταλαμπόμεναι ὑποχωρήσεις. Εἶτ' ἐχόμενος αὐτῶν οἶκος, περιττὸς μὲν ὡς πρὸς τὸ λουτρὸν, ἀναγκαῖος δὲ ὡς πρὸς τὴν τῶν εὐδαιμονεστέρων ὑποδοχήν. Μετὰ δὲ τοῦτον ἑκατέρωθεν διαρκεῖς τοῖς ἀποδυομένοις ἀποθέσεις, καὶ μέσος οἶκος ὕψει τε ὑψηλότατος καὶ φωτὶ φαιδρότατος, ψυχροῦ

phin, sine obsidione, aversione sola ac divisione fluvii; ille vero triremes hostium arte sua combusserit. Atque ante hos Milesius Thales, quum promisisset Crœso se siccum trajecturum exercitum, commento quodam a tergo castrorum intra unam noctem circumduxit Halyn; non quod ipse machinandi artifex esset, sed homo prudens ad excogitandum, et in sermone vehementer probabilis. Nam illud de Epeo antiquum nimis, qui non tantum machinatus esse Achivis equum, sed etiam cum reliquis descendisse in illum dicitur.

3. In his igitur Hippiæ quoque hujus, qui nostra ætate fuit, mentionem injicere æquum est, viri literarum exercitatione cuivis antiquorum comparandi, ad intelligendum acuti, disertissimi in explicando, opera autem verbis multo meliora præstantis, et artis suæ professionem implentis, non in talibus modo argumentis in quibus bona fortuna superiores jam versati sunt; sed, ex geometrico proverbio, in data quacumque recta triangulum accurate construentis. Atqui reliquorum unusquisque, si in uno quodam artis opere sibi desumto bene rem gessit, tamen esse aliquid visus est: hunc vero et mechanicorum principem et geometrarum, præterea harmonicorum musicorumque esse apparet; et tamen unumquodque horum adeo perfecte præstat, quasi illud ipsum unum modo sciret: nam ejus scientiam de radiis et refractionibus et speculis, insuper etiam astronomiam, in qua effecit ut pueri videantur superiores, laudare non parvi temporis fuerit.

4. Quæ vero illius opera nuper cum stupore viderim, enarrare non pigrabor. Argumentum quidem commune est et in vita nostra satis frequens, balnei ædificatio, at ingenium et intelligentia in re ita vulgari admirabilis. Locus erat non æquabilis planitiei, sed acclivis admodum et erectus; quem quum accepisset ab una parte vehementer humilem, solo alterius æquavit, subjecta toti operi firmissima crepidine, eorumque quæ imponenda erant securitate positis rite fundamentis stabilita; altitudinibus autem præruptis valde et ad securitatem continuis totum opus roboravit. Quæ porro inædificavit, ea quum ad loci magnitudinem congruunt, tum propter observatam in tota structura proportionem maxime sunt concinna, et respondentem sibi fenestrarum rationem servant.

5. Porta alta, gradus ad ascendendum latos habens, supina magis est quam ardua, ad ascendentium commoditatem. Per hanc qui ingressus fuerit, eum excipit œcus communis, bene magnus, ubi morari commode pedissequi et ministri possint, situs ad sinistram paratorum ad delicias cubiculorum: nam balneo etiam hæc pulchre conveniunt, secessus jucundi et multo lumine collustrati. Tum continens illis œcus, supervacaneus ille quidem quantum ad balneum, at necessarius, quatenus beatis hominibus recipiendis destinatus est. Post hunc ab utraque parte, quæ sufficiant exuere se volentibus, spoliaria; et medius inter ea œcus altissimus et multa luce lætissimus, aquæ

ὕδατος ἔχων τρεῖς κολυμβήθρας, Λακαίνῃ λίθῳ κεκοσμημένος, καὶ εἰκόνες ἐν αὐτῷ λίθου λευκοῦ τῆς ἀρχαίας ἐργασίας, ἡ μὲν Ὑγιείας, ἡ δὲ Ἀσκληπιοῦ.

6. Εἰσελθόντας δὲ ὑποδέχεται ἡρέμα χλιαινόμενος οἶκος οὐκ ἀπηνεῖ τῇ θέρμῃ προαπαντῶν, ἐπιμήκης, ἀμφιστρόγγυλος, μεθ' ὃν ἐν δεξιᾷ οἶκος εὖ μάλα φαιδρὸς, ἀλείψασθαι προσηνῶς παρεχόμενος, ἑκατέρωθεν εἰσόδους ἔχων Φρυγίῳ λίθῳ κεκαλλωπισμένας, τοὺς ἀπὸ παλαίστρας εἰσιόντας δεχόμενος. Εἶτ' ἐπὶ τούτῳ ἄλλος οἶκος οἴκων ἁπάντων κάλλιστος, στῆναί τε καὶ ἐγκαθίζεσθαι προσηνέστατος καὶ ἐμβραδῦναι ἀβλαβέστατος καὶ ἐγκυλίσασθαι ὠφελιμώτατος, Φρυγίου καὶ αὐτὸς εἰς ὀροφὴν ἄκραν ἀποστίλβων. Ἑξῆς δὲ ὁ θερμὸς ὑποδέχεται διάδρομος Νομάδι λίθῳ διακεκολλημένος. Ὁ δὲ ἔνδον οἶκος κάλλιστος, φωτός τε πολλοῦ ἀνάμεστος καὶ ὡς πορφύρᾳ διηνθισμένος.

7. Τρεῖς καὶ οὗτος θερμὰς πυέλους παρέχεται. Λουσαμένῳ δὲ ἔνεστί σοι μὴ τὴν διὰ τῶν αὐτῶν οἴκων αὖθις ἐπανιέναι, ἀλλὰ ταχεῖαν τὴν ἐπὶ τὸ ψυχρὸν δι' ἡρέμα θερμοῦ οἰκήματος, καὶ ταῦτα πάντα ὑπὸ φωτὶ μεγάλῳ καὶ πολλῇ τῇ ἔνδον ἡμέρᾳ. Ὕψη πρὸς τούτοις ἀνάλογα καὶ πλάτη τοῖς μήκεσι σύμμετρα καὶ πανταχοῦ πολλὴ χάρις καὶ Ἀφροδίτη ἐπανθεῖ· κατὰ γὰρ τὸν καλὸν Πίνδαρον, «ἀρχομένου ἔργου πρόσωπον χρὴ θέμεν τηλαυγές.» Τοῦτο δ' ἂν εἴη ἐκ τῆς αὐγῆς μάλιστα καὶ τοῦ φέγγους καὶ τῶν φωταγωγῶν μεμηχανημένον. Ὁ γὰρ σοφὸς ὡς ἀληθῶς Ἱππίας τὸν μὲν ψυχροδόχον οἶκον εἰς βορρᾶν προκεχωρηκότα ἐποίησεν, οὐκ ἄμοιρον οὐδὲ τοῦ μεσημβρινοῦ ἀέρος· τοὺς δὲ πολλοῦ τοῦ θάλπους δεομένους νότῳ καὶ εὔρῳ καὶ ζεφύρῳ ὑπέθηκε.

8. Τί ἄν σοι τὸ ἐπὶ τούτῳ λέγοιμι παλαίστρας καὶ τὰς κοινὰς τῶν ἱματιοφυλακούντων κατασκευὰς ταχεῖαν τὴν ἐπὶ τὸ λουτρὸν καὶ μὴ διὰ μακροῦ τὴν ὁδὸν ἐχούσας τοῦ χρησίμου τε καὶ ἀβλαβοῦς ἕνεκα; Καὶ μή με ὑπολάβῃ τις μικρὸν ἔργον προθέμενον κοσμεῖν τῷ λόγῳ προαιρεῖσθαι· τὸ γὰρ ἐν τοῖς κοινοῖς καινὰ ἐπινοῆσαι κάλλους δείγματα, οὐ μικρᾶς σοφίας ἔγωγε τίθεμαι, οἷον καὶ τόδε τὸ ἔργον ὁ θαυμάσιος ἡμῖν Ἱππίας ἐπεδείξατο πάσας ἔχον τὰς βαλανείου ἀρετὰς, τὸ χρήσιμον, τὸ εὔκαιρον, τὸ εὐφεγγὲς, τὸ σύμμετρον, τὸ τῷ τόπῳ ἡρμοσμένον, τὸ τὴν χρείαν ἀσφαλῆ παρεχόμενον, καὶ προσέτι τῇ ἄλλῃ περινοίᾳ κεκοσμημένον, ἀφόδων μὲν ἀναγκαίων δυσὶν ἀναχωρήσεσιν ἐξόδοι τε πολλαῖς τεθυρωμένον, ὡρῶν δὲ διττὰς δηλώσεις, τὴν μὲν δι' ὕδατος καὶ μυκήματος, τὴν δὲ δι' ἡλίου ἐπιδεικνύμενον. Ταῦτα ἰδόντα μὴ ἀποδοῦναι τὸν πρέποντα ἔπαινον τῷ ἔργῳ οὐκ ἀνοήτου μόνον, ἀλλὰ καὶ ἀχαρίστου, μᾶλλον δὲ βασκάνου μοι εἶναι ἔδοξεν. Ἐγὼ μὲν οὖν εἰς δύναμιν καὶ τὸ ἔργον καὶ τὸν τεχνίτην καὶ δημιουργὸν ἠμειψάμην τῷ λόγῳ. Εἰ δὲ θεὸς παράσχοι καὶ λούσασθαί ποτε, πολλοὺς οἶδα ἔξων τοὺς κοινωνήσοντάς μοι τῶν ἐπαίνων.

frigidæ descensiones habens tres, Lacedæmonio lapide exornatus; ac statuæ in illo de candido lapide vetusti operis, Hygieæ una, altera Æsculapii.

6. Progressos excipit œcus leniter tepidus, non molesto calore occurrens, longus, utrimque rotundus; post quem in dextra parte hilaris admodum œcus, ungendi facultatem comiter præbens, accessus utrimque habens Phrygio lapide politos, intrantes de palæstra recipiens. Tum post hunc œcus alius, œcorum omnium pulcherrimus, ad stationes ac sessiones jucundissimus, ad commorandum minime noxius, ad volutationes commodissimus, Phrygio lapide et ipse ad summum usque tectum fulgens. Deinde transitus excipit calidus, Numidico lapide incrustatus. Interior deinde œcus pulcherrimus, luce multa plenus, et purpuræ instar floridus.

7. Tria hic quoque labra calida præbet. Quum vero laveris, licet tibi non per eosdem redire œcos, sed celeri via ad frigidam per conclave mediocriter calidum, idque in multa luce et multo intus die. Ad hæc altitudines congruentes, et latitudines longitudinibus pro portione respondentes, et multa ubique Gratia atque Venus enitet: etenim ex præclari Pindari præcepto, « Qui opus incipiunt, faciem ponant e longinquo fulgentem. » Hæc autem contigerit maxime, e splendore et luce et fenestris si quis machinetur. Sapiens enim vere Hippias œcum frigidarium ita fecit, ut in boream procurrat, nec meridiani tamen aeris expertem: eos autem qui tepore multo indigent, noto et euro atque zephyro subjecit.

8. Quid deinde tibi dicam palæstras, et communes eorum, qui vestes custodiunt, commorationes, celerem habentes ad lavacra nec per ambages transitum, utilitatis pariter causa et salubritatis? Et ne putet aliquis parvum me opus oratione exornandum suscepisse: in communibus enim excogitare nova pulchritudinis specimina, non parvæ sapientiæ esse arbitror equidem; quale sane hoc quoque opus nobis admirabilis ille Hippias produxit, quod omnes habeat virtutes balnei, utilitatem, opportunitatem, claritatem, proportionem; quod loci ingenio accommodatum sit, quod usum sui securum præbeat: insuper vero etiam reliqua cura instructum, sellarum familiaricarum duobus secessibus, et januis multis apertum; horarum gemina indicia, alterum per aquam et mugitum, alterum per solem exhibens. Hæc si quis viderit, neque dignam operi laudem tribuerit, ille non stupidus modo, sed ingratus etiam, vel invidus potius mihi videatur. Ego proinde pro viribus et opus et artificem atque perfectorem operis oratione remuneratus sum. Si vero deus præbuerit tandem ibi lavandi copiam, multos novi et alios in partem laudum mearum venturos.

LIV.

ΠΡΟΛΑΛΙΑ Ο ΔΙΟΝΥΣΟΣ.

1. Ὅτε ὁ Διόνυσος ἐπ' Ἰνδοὺς στρατιὰν ἤλασε — κωλύει γὰρ οὐδέν, οἶμαι, καὶ μῦθον ὑμῖν διηγήσασθαι Βακχικόν — φασὶν οὕτω καταφρονῆσαι αὐτοῦ τὰ πρῶτα τοὺς ἀνθρώπους τοὺς ἐκεῖ ὥστε καταγελᾶν ἐπιόντος, μᾶλλον δὲ ἐλεεῖν τὴν τόλμαν αὐτίκα μάλα συμπατηθησομένου ὑπὸ τῶν ἐλεφάντων, εἰ ἀντιτάξαιτο· ἤκουον γὰρ, οἶμαι, τῶν σκοπῶν ἀλλόκοτα ὑπὲρ τῆς στρατιᾶς αὐτοῦ ἀγγελλόντων, ὡς ἡ μὲν φάλαγξ αὐτῷ καὶ οἱ λόχοι γυναῖκες εἶεν ἔκφρονες καὶ μεμηνυῖαι, κιττῷ ἐστεμμέναι, νεβρίδας ἐνημμέναι, δοράτια μικρὰν ἔχουσαι, ἀσίδηρα, κιττοποίητα καὶ ταῦτα, καί τινα πελτάρια κοῦφα, βομβοῦντα, εἴ τις μόνον προσάψαιτο — ἀσπίσι γὰρ εἴκαζον καὶ τὰ τύμπανα — ὀλίγους δέ τινας ἀγροίκους νεανίσκους ἐκεῖναι γυμνοὺς, κόρδακα ὀρχουμένους, οὐρὰς ἔχοντας, κεράστας, οἷα τοῖς ἄρτι γεννηθεῖσιν ἐρίφοις ὑποφύεται.

2. Καὶ τὸν μὲν στρατηλάτην αὐτὸν ἐφ' ἅρματος ὀχεῖσθαι παρδάλεων ὑπεζευγμένων, ἀγένειον ἀκριβῶς, οὐδ' ἐπ' ὀλίγον τὴν παρειὰν χνοῶντα, κερασφόρον, βότρυσιν ἐστεφανωμένον, μίτρᾳ τὴν κόμην ἀναδεδεμένον, ἐν πορφυρίδι καὶ χρυσῇ ἐμβάδι· ὑποστρατηγεῖν δὲ δύο, ἕνα μέν τινα βραχὺν, πρεσβύτην, ὑπόπαχυν, προγάστορα, ῥινόσιμον, ὦτα μεγάλα ὄρθια ἔχοντα, ὑπότρομον, νάρθηκι ἐπερειδόμενον, ἐπ' ὄνου τὰ πολλὰ ἱππεύοντα, ἐν κροκωτῷ καὶ τοῦτον, πάνυ πιθανόν τινα συνταγματάρχην αὐτοῦ· ἕτερον δὲ τεράστιον ἄνθρωπον, τράγῳ τὰ νέρθεν ἐοικότα, κομήτην τὰ σκέλη, κέρατα ἔχοντα, βαθυπώγωνα, ὀργίλον καὶ θυμικὸν, θατέρᾳ μὲν σύριγγα φέροντα, τῇ δεξιᾷ δὲ ῥάβδον καμπύλην ἐπηρμένον καὶ περισκιρτῶντα ὅλον τὸ στρατόπεδον, καὶ τὰ γύναια δὲ φοβεῖσθαι αὐτὸν καὶ σείειν ἠνεμωμένας τὰς κόμας, ὁπότε προσίοι, καὶ βοᾶν εὐοῖ· τοῦτο δ' εἰκάζειν καλεῖσθαι αὐτῶν τὸν δεσπότην. Τὰς δ' οὖν ποίμνας διηρπάσθαι ἤδη ὑπὸ τῶν γυναικῶν καὶ διεσπάσθαι ἔτι ζῶντα τὰ θρέμματα· ὠμοφάγους γάρ τινας αὐτὰς εἶναι.

3. Ταῦτα οἱ Ἰνδοὶ καὶ ὁ βασιλεὺς αὐτῶν ἀκούοντες ἐγέλων ὡς τὸ εἰκὸς, καὶ οὐδ' ἀντεπεξάγειν ἢ παρατάττεσθαι ἠξίουν, ἀλλ' εἴπερ ἄρα, τὰς γυναῖκας ἐπαφήσειν αὐτοῖς, εἰ πλησίον γένοιντο, σφίσι δὲ καὶ νικᾶν αἰσχρὸν ἐδόκει καὶ φονεύειν γύναια μεμηνότα καὶ θηλυμίτρην ἄρχοντα καὶ μεθύον σμικρὸν γερόντιον καὶ ἡμιστρατιώτην ἄλλον καὶ γυμνῆτας ὀρχηστὰς, πάντας γελοίους. Ἐπεὶ δὲ ἤγγελτο πυρπολῶν ὁ θεὸς ἤδη τὴν χώραν καὶ πόλεις αὐτάνδρους καταφλέγων καὶ ἀνάπτων τὰς ὕλας καὶ ἐν βραχεῖ πᾶσαν τὴν Ἰνδικὴν φλογὸς ἐμπεπληκώς — ὅπλον γάρ τοι Διονυσιακὸν τὸ πῦρ, πατρῷον αὐτῷ κἀκ τοῦ κεραυνοῦ — ἐνταῦθα ἤδη σπουδῇ ἀνελάμβανον τὰ ὅπλα καὶ τοὺς ἐλέφαντας ἐπισάξαντες καὶ ἐγχαλινώσαντες καὶ τοὺς πύργους ἀναθέμενοι ἐπ' αὐτοὺς ἀν-

LIV.

PRÆFATIO. BACCHUS.

1. Quum exercitum contra Indos duceret Bacchus (nihil enim, opinor, prohibet etiam fabulam vobis enarrare Bacchicam), ita aiunt primo contemtum ab illis hominibus esse, ut adventantem deriderent, vel potius ipsius audaciæ misererentur, opinantes statim ab elephantis conculcatum *iri, si aciem contra auderet instruere.* Audierant enim, puto, exploratores absurda quædam de illius exercitu nunciantes, phalangem ipsi et ordines esse *mulieres* insanas et furentes, hedera coronatas, præcinctas hinnulorum pellibus, hastis parvis instructas, sine ferro, hedera ornatis et ipsis, ac levibus quibusdam parmulis, bombos, si quis modo attingeret, reddentibus; nempe clypeis assimulabant etiam tympana: paucos autem quosdam inter eos versari rusticos juvenes, nudos, saltantes cordacem, qui caudas haberent et corniculis instructi essent, qualia recens natis hædis subnascuntur.

2. Ac ducem quidem ipsum curru vehi junctis pardalibus, plane imberbem ac ne pauxilla quidem lanugine vestitum genas, cornutum, uvis coronatum, mitra revinctum comas, amictum purpura, et auro calceatum: sub ipso autem alios præsse *duos*, unum brevem, senem, crassiusculum, ventricosum, simum naribus, auribus longis et erectis, tremulum, *innixum baculo, asino vehentem* plerumque, crocota et ipsum indutum, denique congruentem plane agminis sub illo ductorem; alterum porro prodigiosum hominem, capro inferioribus partibus similem, cruribus hirsutis, cornutum, barba prolixa, iracundum et vehementem, qui altera manu ferens fistulam, dextra vero baculum incurvum intentans, exercitum totum circumsaltet; terreri autem ab illo mulierculas, jactare permissos ventis capillos ad illius adventum, et clamare Evoe; suspicari autem, hac voce appellari ab illis dominum. Greges porro jam direptos a mulieribus, et dilaceratas vivas adhuc pecudes; esse enim illas crudivoras.

3. Audientes ista Indi et rex illorum, ridebant, ut consentaneum est, neque contra educere exercitum aut aciem struere operæ pretium censebant; sed, si modo educendum esset, mulieres iis immittere placuit, si prope venissent; ipsis vero etiam vincere indecorum videbatur, et interficere mulieres furentes et mitratum muliebriter ducem, et ebrium parvum seniculum, et alium semimilitem, et saltatores nudos, ridiculos omnes. Quum vero nunciaretur jam igne vastare regionem deus, et *cum ipsis hominibus* cremare urbes, et silvas incendere, et Indiam universam brevi tempore implesse incendiis (nam Bacchi arma ignis, patrius illi et de fulmine), hic jam festinanter sumere arma, et instratis elephantis atque frenatis, impositisque in illos turribus, contra

τεπεξήεσαν, καταφρονοῦντες μὲν καὶ τότε, ὀργιζόμενοι δὲ ὅμως καὶ συντρῖψαι σπεύδοντες αὐτῷ στρατοπέδῳ τὸν ἀγένειον ἐκεῖνον στρατηλάτην.

4. Ἐπεὶ δὲ πλησίον ἐγένοντο καὶ εἶδον ἀλλήλους, οἱ μὲν Ἰνδοὶ προτάξαντες τοὺς ἐλέφαντας ἐπῆγον τὴν φάλαγγα, ὁ Διόνυσος δὲ τὸ μέσον μὲν αὐτὸς εἶχε, τοῦ κέρως δὲ αὐτῷ τοῦ δεξιοῦ μὲν ὁ Σειληνὸς, τοῦ εὐωνύμου δὲ ὁ Πὰν ἡγοῦντο· λοχαγοὶ δὲ καὶ ταξίαρχοι σάτυροι ἐγκαθειστήκεσαν· καὶ τὸ μὲν σύνθημα ἦν ἅπασι τὸ εὐοῖ. Εὐθὺς δὲ τὰ τύμπανα ἐπαταγεῖτο καὶ τὰ κύμβαλα τὸ πολεμικὸν ἐσήμαινε καὶ τῶν σατύρων τις λαβὼν τὸ κέρας ἐπηύλει τὸ ὄρθιον καὶ ὁ τοῦ Σειληνοῦ ὄνος ἐνυάλιόν τι ὠγκήσατο καὶ αἱ Μαινάδες σὺν ὀλολυγῇ ἐνεπήδησαν αὐτοῖς δράκοντας ὑπεζωσμέναι κἀκ τῶν θύρσων ἄκρων ἀπογυμνοῦσαι τὸν σίδηρον. Οἱ Ἰνδοὶ δὲ καὶ ἐλέφαντες αὐτῶν αὐτίκα ἐγκλίναντες σὺν οὐδενὶ κόσμῳ ἔφευγον οὐδ' ἐντὸς βέλους γενέσθαι ὑπομείναντες, καὶ τέλος κατὰ κράτος ἑαλώκεσαν καὶ αἰχμάλωτοι ἀπήγοντο ὑπὸ τῶν τέως καταγελωμένων, ἔργῳ μαθόντες ὡς οὐκ ἐχρῆν ἀπὸ τῆς πρώτης ἀκοῆς καταφρονεῖν ξένων στρατοπέδων.

5. Ἀλλὰ τί πρὸς τὸν Διόνυσον ὁ Διόνυσος οὗτος; εἴποι τις ἄν. Ὅτι μοι δοκοῦσι — καὶ πρὸς Χαρίτων μή με κορυβαντιᾶν ἢ τελέως μεθύειν ὑπολάβητε, εἰ τἀμὰ εἰκάζω τοῖς θεοῖς — ὅμοιόν τι πάσχειν οἱ πολλοὶ πρὸς τοὺς καινοὺς τῶν λόγων τοῖς Ἰνδοῖς ἐκείνοις οἷον καὶ πρὸς τοὺς ἐμούς· οἰόμενοι γὰρ σατυρικά καὶ γελοιά τινα καὶ κομιδῇ κωμικὰ παρ' ἡμῶν ἀκούσεσθαι τοιαῦτα πεπιστεύκασιν, οὐκ οἶδ' ὅ τι δόξαν αὐτοῖς ὑπὲρ ἐμοῦ· οἱ μὲν οὐδὲ τὴν ἀρχὴν ἀφικνοῦνται, ὡς οὐδὲν δέον παρέχειν τὰ ὦτα κώμοις γυναικείοις καὶ σκιρτήμασι σατυρικοῖς καταβάντας ἀπὸ τῶν ἐλεφάντων, οἱ δὲ ὡς ἐπὶ τοιοῦτό τι ἥκοντες ἀντὶ τοῦ κιττοῦ σίδηρον εὑρόντες οὐδ' οὕτως ἐπαινεῖν τολμῶσι τῷ παραδόξῳ τοῦ πράγματος τεθορυβημένοι. Ἀλλὰ θαρρῶν ἐπαγγέλλομαι αὐτοῖς, ὅτι ἦν καὶ νῦν ὡς πρότερόν ποτε τὴν τελετὴν ἐθελήσωσιν ἐπιδεῖν πολλάκις καὶ ἀναμνησθῶσιν οἱ παλαιοὶ συμπόται κώμων κοινῶν τῶν τότε καιρῶν καὶ μὴ καταφρονήσωσι τῶν σατύρων καὶ Σειληνῶν, πίωσι δὲ ἐς κόρον τοῦ κρατῆρος τούτου, ἐκβακχεύσειν καὶ αὐτοὺς καὶ πολλάκις μεθ' ἡμῶν ἐρεῖν τὸ εὐοῖ.

6. Οὗτοι μὲν οὖν — ἐλεύθερον γὰρ ἀκοή — ποιούντων δ' τι καὶ φίλον, ἐγὼ δὲ, ἐπειδήπερ ἔτι ἐν Ἰνδοῖς ἐσμὲν, ἐθέλω καὶ ἄλλο ὑμῖν διηγήσασθαί τι τῶν ἐκεῖθεν, οὐκ ἀπροσδιόνυσον οὐδ' αὐτὸ, οὐδ' ὧν ποιοῦμεν ἀλλότριον. Ἐν Ἰνδοῖς τοῖς Μαχλαίοις, οἳ τὰ λαιὰ τοῦ Ἰνδοῦ ποταμοῦ, εἰ κατὰ ῥοῦν αὐτοῦ βλέποις, ἐπινεμόμενοι μέχρι πρὸς τὸν Ὠκεανὸν καθήκουσι, παρὰ τοῦτοις ἄλσος ἐστὶν ἐν περιφράκτῳ, οὐ πάνυ μεγάλῳ χωρίῳ, συνηρεφεῖ δέ· κιττὸς γὰρ πολὺς καὶ ἄμπελοι σύσκιον αὐτὸ ἀκριβῶς ποιοῦσιν. Ἐνταῦθα πηγαί εἰσι τρεῖς καλλίστου καὶ διειδεστάτου ὕδατος, ἡ μὲν σατύρων, ἡ δὲ Πανός, ἡ δὲ Σειληνοῦ. Καὶ εἰσέρχονται εἰς αὐτὸ οἱ Ἰνδοὶ ἅπαξ τοῦ ἔτους ἑορτάζοντες τῷ θεῷ, καὶ πίillos educere, contemnentes illi quidem tum quoque, sed irati tamen, et conterere festinantes suo cum exercitu imberbem istum imperatorem.

4. Quum vero prope et in conspectum venissent, Indi constitutis in prima acie elephantis, phalangem inducunt: Bacchus mediam ipse tenebat aciem, dextrum illius cornu Silenus ducebat, Pan sinistrum; ordinum vero et agminum ductores constituti Satyri,: tessera erat omnibus illud Evoe. Simul pulsabantur tympana, et classicum cymbala sonabant, ac Satyrorum aliquis cornu sumto incinebat orthium, et Sileni asinus Martium quiddam rudit, et insultavere illis cum ululatu Mænades, succinctæ draconibus, et de summis thyrsis ferrum nudantes. Atque Indi et illorum elephantes, inclinato statim agmine, sine more et modo fugiebant, nec intra teli jactum venire ausi, ac tandem vi superati captique abducebantur ab his quos modo deriserant, experimento docti, non esse ex prima fama deridendos externos exercitus.

5. Verum enim vero quid ad Bacchum (*i. e. ad rem, e proverbio*) iste Bacchus? aliquis forte dixerit. Quod mihi videntur (et per ego vos Gratias oro, ne me fanatico furore agi aut plane ebrium esse putetis, si mea cum diis comparem) simili ratione, atque Indi illi, plurimi esse ad novitatem disputationum affecti, velut jam ad mearum quoque. Nam quum opinantur satyrica et ridicula quædam et plane comica a nobis recitata se audituros, talia ea esse sibi plane persuaserunt, nescio qua de me sententia imbuti. Ac partim quidem eorum plane non veniunt, quasi non oporteat descendentes de elephantibus præbere aures comissationibus muliebribus et satyricis saltationibus: alii vero quum tanquam ad tale quid veniant, invento pro hedera ferro, neque sic laudare audent, inopinata re perturbati. Verum audacter illis denuncio, si nunc etiam, ut prius olim, cærimoniam inspicere voluerint sæpius antiqui nostri convivæ, et recordati fuerint comissationum illius temporis communium, neque contemserint Satyros ac Silenos, biberintque ad satietatem de hoc cratere; futurum ut ipsi quoque occupentur Baccho, et sæpe nobiscum Evoe illud ingeminent.

6. Atque hi quidem (liberum enim audire) faciant quicquid placuerit: ego vero, quoniam adhuc inter Indos versamur, volo etiam aliud vobis de illis rebus enarrare, nec ipsum abhorrens a Baccho, neque ab instituto nostro alienum. Apud Indos Machlæos, qui sinistra Indi amnis, si secundum flumen respicias, pascentes ad Oceanum usque pertingunt: apud hos igitur nemus est in consepta, non admodum magna regione, sed opaca: hedera enim multa et vites plane illam inumbrant. Hic fontes sunt tres pulcherrimæ et pellucidissimæ aquæ, Satyrorum unus, alter Panis, tertius Sileni. Intrant illud nemus Indi quotannis semel, sacrum facientes deo, bibuntque de fontibus, non omnibus

νουσι τῶν πηγῶν, οὐχ ἁπασῶν ἅπαντες, ἀλλὰ καθ' ἡλικίαν, τὰ μὲν μειράκια τῆς τῶν σατύρων, οἱ ἄνδρες δὲ τῆς Πανικῆς, τῆς δὲ τοῦ Σειληνοῦ οἱ κατ' ἐμέ.

7. Ἃ μὲν οὖν πάσχουσιν οἱ παῖδες ἐπειδὰν πίωσιν, ἢ οἷα οἱ ἄνδρες τολμῶσι κατεχόμενοι τῷ Πανί, μακρὸν ἂν εἴη λέγειν· ἃ δ' οἱ γέροντες ποιοῦσιν, ὅταν μεθυσθῶσι τοῦ ὕδατος, οὐκ ἀλλότριον εἰπεῖν· ἐπειδὰν πίῃ ὁ γέρων καὶ κατάσχῃ αὐτὸν ὁ Σειληνός, αὐτίκα ἐπὶ πολὺ ἄφωνός ἐστι καὶ καρηβαροῦντι καὶ βεβαπτισμένῳ ἔοικεν, εἶτα ἄφνω φωνή τε λαμπρὰ καὶ φθέγμα τορὸν καὶ πνεῦμα λιγυρὸν ἐγγίγνεται αὐτῷ καὶ λαλίστατος ἐξ ἀφωνοτάτου ἐστίν, οὐδ' ἂν ἐπιστομίσας παύσειας αὐτὸν μὴ οὐχὶ συνεχῆ λαλεῖν καὶ ῥήσεις μακρὰς συνείρειν. Συνετὰ μέντοι πάντα καὶ κόσμια καὶ κατὰ τὸν Ὁμήρου ἐκεῖνον ῥήτορα « νιφάδεσσιν ἐοικότα χειμερίῃσι » διεξέρχονται· οὐδ' ἀποχρήσει σοι κύκνοις κατὰ τὴν ἡλικίαν εἰκάσαι αὐτούς, ἀλλὰ καὶ τεττιγῶδές τι πυκνὸν καὶ ἐπίτροχον συνάπτουσιν ἄχρι βαθείας ἑσπέρας. Τὸ ντεῦθεν δὲ ἤδη ἀφεθείσης αὐτοῖς τῆς μέθης σιωπῶσι καὶ πρὸς τὸ ἀρχαῖον ἀνατρέχουσι. Τὸ μέντοι παραδοξότατον οὐδέπω εἶπον· ἦν γὰρ ἀτελῆ ὁ γέρων μεταξὺ καταλίπῃ ὃν διεξῄει τὸν λόγον, δύντος ἡλίου κωλυθεὶς ἐπὶ πέρας αὐτὸν ἐπεξελθεῖν, ἐς νέωτα πιὼν αὖθις ἐκεῖνα συνάπτει ἃ πέρυσιν αὐτὸν λέγοντα ἡ μέθη κατέλιπε.

8. Ταῦτά μοι κατὰ τὸν Μῶμον εἰς ἐμαυτὸν ἀπεσκώφθω, καὶ μὰ τὸν Δί' οὐκ ἂν ἔτι ἐπαγάγοιμι τὸ ἐπιμύθιον· ὁρᾶτε γὰρ ἤδη καθ' ὅ τι τῷ μύθῳ ἔοικα. Ὥστε ἦν μέν τι παραπαίωμεν, ἡ μέθη αἰτία· εἰ δὲ πινυτὰ δόξειε τὰ λεγόμενα, ὁ Σειληνὸς ἄρα ἦν ἵλεως.

omnes, sed pro diversa ætate, adolescentes nimirum de Satyrorum fonte, de Panico viri, de Sileni autem nici æquales.

7. Quæ igitur adolescentulis, quum biberunt, eveniant, aut quæ viri audeant occupati a Pane, longum fuerit dicere : sed quæ senes faciant aqua illa ebrii, narrare haud alienum. Quum bibit senex et occupavit illum Silenus, primo aliquamdiu mutus est et crapula laboranti atque bene madido similis : deinde subito vox splendida, et loquela vehemens, et spiritus modulatus illi contingit, et ex plane muto fit loquacissimus, quem nec ore obturando ad quietem redigas, ne perpetuo loquatur et longos sermones continuet : prudentia tamen omnia et decentia et, ad Homerici illius oratoris exemplum « nivibus similia hibernis » proferunt; neque satis fuerit cycnis illos propter ætatem comparare, sed cicadarum more confertum quiddam et volubile ad seram usque vesperam perpetuant. Inde autem, jam dimissa ebrietate, tacent et ad pristinam rationem redeunt. Verum quod maxime admirabile est nondum dixi : si enim senex imperfectam abrumpat, quam explicare cœpit, orationem, occidente sole impeditus illam ad finem suum perducere; altero anno bibens rursus illa adnectit, quæ superiore anno dicentem destituerat ebrietas.

8. Ista Momi illius exemplo in me ipsum conjecta sunto, neque ego, ita me Jupiter, quorsum pertineat fabula adjunxero : jam enim videtis qua in re similis illi sim. Itaque si quid deliremus, causa ebrietas : si prudentia quæ dicimus videantur, Silenus tum erat propitius.

LV.

ΠΡΟΛΑΛΙΑ Ο ΗΡΑΚΛΗΣ.

1. Τὸν Ἡρακλέα οἱ Κελτοὶ Ὄγμιον ὀνομάζουσι φωνῇ τῇ ἐπιχωρίῳ, τὸ δὲ εἶδος τοῦ θεοῦ πάνυ ἀλλόκοτον γράφουσι. Γέρων ἐστὶν αὐτοῖς ἐς τὸ ἔσχατον, ἀναφαλαντίας, πολιὸς ἀκριβῶς ὅσαι λοιπαὶ τῶν τριχῶν, ῥυσὸς τὸ δέρμα καὶ διακεκαυμένος ἐς τὸ μελάντατον οἷοί εἰσιν οἱ θαλαττουργοὶ γέροντες· μᾶλλον δὲ Χάρωνα ἢ Ἰαπετόν τινα τῶν ὑποταρταρίων καὶ πάντα μᾶλλον ἢ Ἡρακλέα εἶναι ἂν εἰκάσειας. Ἀλλὰ καὶ τοιοῦτος ὢν ἔχει ὅμως τὴν σκευὴν τὴν Ἡρακλέους, καὶ γὰρ τὴν διφθέραν ἐνῆπται τὴν τοῦ λέοντος καὶ τὸ ῥόπαλον ἔχει ἐν τῇ δεξιᾷ καὶ τὸν γωρυτὸν παρήρτηται, καὶ τὸ τόξον ἐντεταμένον ἡ ἀριστερὰ προδείκνυσι, καὶ ὅλος Ἡρακλῆς ἐστι ταῦτά γε.

2. Ὤμην οὖν ἐφ' ὕβρει τῶν Ἑλληνίων θεῶν τοιαῦτα παρανομεῖν τοὺς Κελτοὺς ἐς τὴν μορφὴν τὴν Ἡρακλέους ἀμυνομένους αὐτὸν τῇ γραφῇ, ὅτι τὴν χώραν ποτὲ αὐτῶν ἐπῆλθε λείαν ἐλαύνων, ὁπότε τὰς Γηρυόνου ἀγέλας ζητῶν κατέδραμε τὰ πολλὰ τῶν ἑσπερίων γενῶν.

3. Καίτοι τὸ παραδοξότατον οὐδέπω ἔφην τῆς εἰκό-

LV.

PRÆFATIO. HERCULES.

1. Herculem Galli Ogmium sua voce appellant; sed figuram dei plane monstrosam pingunt. Ultimæ ætatis senex illis est, recalvus, plane canis qui supersunt capillis, rugosa cute, et ad nigerrimum colorem perustus, quales sunt senes qui in mari opus faciunt : potius vero Charontem quendam aut Iapetum de tartareis specubus, et omnia potius quam Herculem esse suspiceris. Verum in tali etiam specie habet tamen paratum Herculis : etenim pellem leonis suspensam gerit, et clavam dextra præfert, et pharetra appensa est, et intentum arcum sinistra ostendit; atque in his quidem est Hercules planissime.

2. Itaque suspicabar, ut contumelia afficerent Græcorum deos, talia Gallos in figuram Herculis designasse, quem tali pictura ulcisci vellent, qui suam quondam regionem invaserit, ac prædas ibi egerit, quum greges Geryonis quærens plurimas per occidentem gentes percurreret.

3. Verum quod insolentissimum in illa pictura, nondum

νος· ὁ γὰρ δὴ γέρων Ἡρακλῆς ἐκεῖνος ἀνθρώπων πάμπολύ τι πλῆθος ἕλκει ἐκ τῶν ὤτων ἅπαντας δεδεμένους. Δεσμὰ δέ εἰσιν οἱ σειραὶ λεπταὶ χρυσοῦ καὶ ἠλέκτρου εἰργασμέναι ὅρμοις ἐοικυῖαι τοῖς καλλίστοις. Καὶ ὅμως ἀφ' οὕτως ἀσθενῶν ἀγόμενοι οὔτε δρασμὸν βουλεύουσι, δυνάμενοι ἂν εὐμαρῶς, οὔτε ὅλως ἀντιτείνουσιν ἢ τοῖς ποσὶν ἀντερείδουσι πρὸς τὸ ἐναντίον τῆς ἀγωγῆς ἐξυπτιάζοντες, ἀλλὰ φαιδροὶ ἕπονται καὶ γεγηθότες καὶ τὸν ἄγοντα ἐπαινοῦντες ἐπειγόμενοι ἅπαντες καὶ τῷ φθάνειν ἐθέλειν τὸν δεσμὸν ἐπιχαλῶντες, ἐοικότες ἀχθεσθησομένοις εἰ λυθήσονται. Ὃ δὲ πάντων ἀτοπώτατον εἶναί μοι ἔδοξεν, οὐκ ὀκνήσω εἰπεῖν καὶ τοῦτο· οὐ γὰρ ἔχων ὁ ζωγράφος ὅθεν ἐξάψει τὰς τῶν δεσμῶν ἀρχὰς, ἅτε τῆς δεξιᾶς μὲν ἤδη τὸ ῥόπαλον, τῆς λαιᾶς δὲ τὸ τόξον ἐχούσης, τρυπήσας τοῦ θεοῦ τὴν γλῶτταν ἄκραν ἕξ ἐκείνης ἑλκομένους αὐτοὺς ἐποίησε, καὶ ἐπέστραπται δὲ εἰς τοὺς ἀγομένους μειδιῶν.

4. Ταῦτ' ἐγὼ μὲν ἐπὶ πολὺ εἱστήκειν ὁρῶν καὶ θαυμάζων καὶ ἀπορῶν καὶ ἀγαναχτῶν· Κελτὸς δέ τις παρεστὼς οὐκ ἀπαίδευτος τὰ ἡμέτερα, ὡς ἔδειξεν, ἀκριβῶς Ἑλλάδα φωνὴν ἀφιείς, φιλόσοφος, οἶμαι, τὰ ἐπιχώρια, Ἐγώ σοι, ἔφη, ὦ ξένε, λύσω τῆς γραφῆς τὸ αἴνιγμα· πάνυ γὰρ ταραττομένῳ ἔοικας πρὸς αὐτήν. Τὸν λόγον ἡμεῖς οἱ Κελτοὶ οὐχ ὥσπερ ὑμεῖς οἱ Ἕλληνες Ἑρμῆν οἰόμεθα εἶναι, ἀλλ' Ἡρακλεῖ αὐτὸν εἰκάζομεν, ὅτι παρὰ πολὺ τοῦ Ἑρμοῦ ἰσχυρότερος οὗτος. Εἰ δὲ γέρων πεποίηται, μὴ θαυμάσῃς· μόνος γὰρ ὁ λόγος ἐν γήρᾳ φιλεῖ ἐντελῆ ἐπιδείκνυσθαι τὴν ἀκμὴν, εἴ γε ἀληθῆ ὑμῶν οἱ ποιηταὶ λέγουσιν, ὅτι αἱ μὲν τῶν « ὁπλοτέρων φρένες ἠρέθονται· » τὸ δὲ γῆρας

ἔχει τι λέξαι τῶν νέων σοφώτερον.

Οὕτω γέ τοι καὶ τοῦ Νέστορος ὑμῖν ἀπορρεῖ ἐκ τῆς γλώττης τὸ μέλι, καὶ οἱ ἀγορηταὶ τῶν Τρώων τὴν ὄπα τὴν λειριόεσσαν ἀφιᾶσιν εὐανθῆ τινα· λείρια γὰρ καλεῖται, εἴ γε μέμνημαι, τὰ ἄνθη.

5. Ὥστε εἰ τῶν ὤτων ἐκδεδεμένους τοὺς ἀνθρώπους πρὸς τὴν γλῶτταν ὁ γέρων οὗτος Ἡρακλῆς ὁ λόγος ἕλκει, μηδὲ τοῦτο θαυμάσῃς εἰδὼς τὴν ὤτων καὶ γλώττης συγγένειαν· οὐδ' ὕβρις εἰς αὐτὸν, εἰ ταύτῃ τετρύπηται· μέμνημαι γοῦν, ἔφη, καὶ κωμικῶν τινων ἰαμβείων παρ' ὑμῶν μαθὼν,

Τοῖς γὰρ λάλοισιν ἐξ ἄκρου
ἡ γλῶττα πᾶσίν ἐστι τετρυπημένη.

6. Τὸ δ' ὅλον καὶ αὐτὸν ἡμεῖς τὸν Ἡρακλέα λόγῳ τὰ πάντα ἡγούμεθα ἐξεργάσασθαι σοφὸν γενόμενον καὶ πειθοῖ τὰ πλεῖστα βιάσασθαι. Καὶ τά γε βέλη αὐτοῦ οἱ λόγοι εἰσὶν, οἶμαι, ὀξεῖς καὶ εὔστοχοι καὶ ταχεῖς καὶ τὰς ψυχὰς τιτρώσκοντες· πτερόεντα γοῦν τὰ ἔπη καὶ ὑμεῖς φατε εἶναι.

7. Τοσαῦτα μὲν ὁ Κελτός. Ἐμοὶ δὲ ἡνίκα περὶ τῆς δεῦρο παρόδου ταύτης ἐσκοπούμην πρὸς ἐμαυτὸν, εἴ μοι καλῶς ἔχει τηλικῷδε ὄντι καὶ πάλαι τῶν ἐπιdixi : nempe senex ille Hercules hominum magnam multitudinem trahit, auribus omnes revinctos. Vincula autem illi sunt tenues catenæ, ex auro atque electro elaboratæ, monilibus pulcherrimis similes. Et tamen ab infirmis adeo catellis tracti, neque fugam moliuntur, quum possint facile, neque omnino contra tendunt, aut obniluntur pedibus, resupinati in contrariam ei qua ducuntur partem : sed sequuntur hilares et læti, et ductorem suum laudant atque urgent omnes, et dum prævenire student, laxant vinculum, quasi ægre laturi, si solvantur. Quod vero omnium maxime portentosum mihi visum, non pigrabor ipsum quoque dicere : quum non haberet pictor unde principia vinculorum suspenderet, quippe dextra jam clavam, arcum vero sinistra habente, perforaverat dei linguam extremam, et trahi ex illa fecit, atque ipse deus ad eos, qui ducuntur, conversus subridet.

4. Hæc ego diu stabam intuens nec sine admiratione, dubius simul et indignans : sed Gallus aliquis astans, non ineruditus etiam nostris literis, quod declaravit, accurate loquens græce, popularium suorum more, ut arbitror, philosophus, Ego vero, inquit, solvam tibi, hospes, picturæ hujus ænigma; videris enim plane in illa perplexus. Vim dicendi nos Galli non, uti vos Græci, Mercurium putamus esse, sed Herculi illam assimilamus, quod hic Mercurio multum est fortior. Si vero senex repræsentatus est, noli mirari : sola enim eloquentia in senectute solet plenam vim et maturitatem ostendere, si quidem verum dixere vestri poetæ,

Suspensa incerto est juvenum sententia motu :

sed

melliora dicit junioribus senex.

Ita quidem etiam de Nestoris apud vos lingua mel defluit; et concionatores Trojanorum vocem emittunt liliaceam, hoc est floridam; flores enim, si recte memini, sunt lilia.

5. Itaque neque illud mireris, si auribus revinctos senex hic Hercules eloquentiæ deus trahit, qui noris illam aurium atque linguæ cognationem. Neque vero contumelia in ipsum est, si hac parte perforatum cernis : memini enim etiam quorundam de comœdia iamborum, quos a vobis didici,

Extrema enim loquacibus
pertusa lingua est omnibus foramine.

6. In universum autem putamus, oratione Herculem perfecisse omnia, sapientem virum, et eloquentiæ viribus pleraque expugnasse : et tela ipsius orationes, puto, sunt, acutæ, collineantes ad scopum, celeres, quibusque vulnerentur animi : alata nempe verba vos quoque esse dicitis.

7. Hæc tum Gallus. Mihi vero, quum apud me considerarem, deceretne huc me progredi, hoc ætatis hominem, quique hoc declamandi genus olim desiissem, et rursus de

δείξεων πεπαυμένῳ αὖθις ὑπὲρ ἐμαυτοῦ ψῆφον διδόναι τοσούτοις δικασταῖς, κατὰ καιρὸν ἐπῆλθεν ἀναμνησθῆναι τῆς εἰκόνος· τέως μὲν γὰρ ἐδεδίειν, μή τινι ὑμῶν δόξαιμι κομιδῇ μειρακιώδη ταῦτα ποιεῖν καὶ παρ' ἡλικίαν νεανιεύεσθαι, κᾆτά τις Ὁμηρικὸς νεανίσκος ἐπιπλήξει μοι εἰπὼν τὸ, « σὴ δὲ βίη λέλυται, » καὶ « χαλεπὸν γῆρας κατείληφέ σε, »

ἠπεδανὸς δέ νύ τοι θεράπων, βραδέες δέ τοι ἵπποι,

ἐς τοὺς πόδας τοῦτο ἀποσκώπτων. Ἀλλ' ὅταν ἀναμνησθῶ τοῦ γέροντος ἐκείνου Ἡρακλέους, πάντα ποιεῖν προάγομαι καὶ οὐκ αἰδοῦμαι τοιαῦτα τολμῶν ἡλικιώτης ὢν τῆς εἰκόνος.

8. Ὥστε ἰσχὺς μὲν καὶ τάχος καὶ κάλλος καὶ ὅσα σώματος ἀγαθὰ χαιρέτω, καὶ ὁ Ἔρως ὁ σὸς ἐσιδών με, ὦ Τήιε ποιητά, ὑποπόλιον γένειον χρυσοφαέννων εἰ βούλεται πτερύγων ἀήταις παραπετέσθω, καὶ ὁ Ἱπποκλείδης οὐ φροντιεῖ. Τῷ λόγῳ δὲ νῦν ἂν μάλιστα ἀνηβᾶν καὶ ἀνθεῖν καὶ ἀκμάζειν καθ' ὥραν εἴη καὶ ἕλκειν τῶν ὤτων ὅσους ἂν πλείστους δύνηται, καὶ τοξεύειν πολλάκις, ὡς οὐδέν γε δέος μὴ κενωθεὶς λάθοι ὁ γωρυτὸς αὐτῷ. Ὁρᾷς ὅπως παραμυθοῦμαι τὴν ἡλικίαν καὶ τὸ γῆρας τὸ ἐμαυτοῦ. Καὶ διὰ τοῦτο ἐτόλμησα πάλαι νενεωλκημένον τὸ ἀκάτιον κατασπάσας καὶ ἐκ τῶν ἐνόντων ἐπισκευάσας αὖθις ἀφεῖναι ἐς μέσον τὸ πέλαγος. Εἴη δ', ὦ θεοί, καὶ τὰ παρ' ὑμῶν ἐμπνεῦσαι δεξιά, ὡς νῦν γε μάλιστα πλησιστίου τε καὶ ἑσθλοῦ καὶ ἑταίρου ἀνέμου δεόμεθα, ἵνα, εἰ ἄξιοι φαινοίμεθα, καὶ ἡμῖν τὸ Ὁμηρικὸν ἐκεῖνο ἐπιφθέγξηταί τις,

Οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει.

me calculum dare tot judicibus; opportune in mentem venit ejus imaginis memoria. Ante enim metuebam, ne cui vestrûm viderer plane adolescentuli more istuc facere, et præter ætatem juvenari; ac deinde Homericus aliquis juvenis increparet mihi illud,

Jam perlit tua vis, gravis arripuitque senectus,
invalidusque tibi famulus, tardique caballi,

in pedes hoc ultimum jaciens. Sed ubi recordor senis illius Herculis, ad agenda omnia provehor, nec me pudet talium ausorum, qui imaginis propositæ æqualis sim.

8. Itaque robur, et celeritas, et pulchritudo, et quæcumque corporis bona sunt, valeant: ac tuus, Teie poeta, Cupido, intuitus canescens mihi mentum, auro splendentium vectus, si voluerit, alarum flabris prætervolato: ac non curabit Hippoclides. At dicendi facultate vel maxime rejuvenescere et florere et vigere tempestivum fuerit, et auribus trahere quam fieri possit plurimos, et sagittas emittere sæpius, quum metus non sit ne imprudenti vacua fiat pharetra. Vides quomodo meam ipse ætatem senectutemque consoler. Et hac ipsa causa ausus sum subductum olim navigiolum iterum deducere, et pro copia instructum, in medium mare dimittere. Aspiret modo a vobis, dii, dextra aura! nunc enim vel maxime implente vela et bono et amico vento indigemus, ut, si quidem digni videamur, etiam nobis Homericum illud inclamet aliquis,

Quod femur e pannis senior tam vilibus effert!

LVI.

ΠΕΡΙ ΤΟΥ ΗΛΕΚΤΡΟΥ Η ΤΩΝ ΚΥΚΝΩΝ.

1. Ἠλέκτρου πέρι καὶ ὑμᾶς δηλαδὴ ὁ μῦθος πέπεικεν, αἰγείρους ἐπὶ τῷ Ἠριδανῷ ποταμῷ δακρύειν αὐτὸ θρηνούσας τὸν Φαέθοντα, καὶ ἀδελφάς γε εἶναι τὰς αἰγείρους ἐκείνας τοῦ Φαέθοντος, εἶτα ὀδυρομένας τὸ μειράκιον ἀλλαγῆναι ἐς τὰ δένδρα, καὶ ἀποστάζειν ἔτι αὐτῶν δάκρυον δῆθεν τὸ ἤλεκτρον. Τοιαῦτα γὰρ ἀμέλει καὶ αὐτὸς ἀκούων τῶν ποιητῶν ᾄδόντων ἤλπιζον, εἴ ποτε γενοίμην ἐπὶ τῷ Ἠριδανῷ, ὑπελθὼν μίαν τῶν αἰγείρων ἐκπετάσας τὸ προκόλπιον ὑποδέξασθαι τῶν δακρύων ὀλίγα, ὡς ἤλεκτρον ἔχοιμι.

2. Καὶ δὴ οὐ πρὸ πολλοῦ κατ' ἄλλο μέν τι χρέος, ἦκον δὲ ὅμως ἐς τὰ χωρία ἐκεῖνα, καὶ — ἔδει γὰρ ἀναπλεῖν κατὰ τὸν Ἠριδανόν — οὔτ' αἰγείρους εἶδον πάνυ περισκοπῶν οὔτε τὸ ἤλεκτρον, ἀλλ' οὐδὲ τοὔνομα τοῦ Φαέθοντος ᾔδεσαν οἱ ἐπιχώριοι. Ἀναζητοῦντος γοῦν ἐμοῦ καὶ διαπυνθανομένου, πότε δὲ ἐπὶ τὰς αἰγείρους ἀφιξόμεθα τὰς τὸ ἤλεκτρον, ἐγέλων οἱ ναῦται καὶ ἠξίουν σαφέστερον λέγειν ὅ τι καὶ θέλοιμι· κἀγὼ τὸν μῦθον διη-

LVI.

DE ELECTRO SEU CYCNIS.

1. De electro nimirum nobis etiam fabula persuasit, populos ad Eridanum flumen eam stillare lacrimam, quæ deplorent Phaethontem, et sorores quidem esse populos illas Phaethontis, deinde dum deflent adolescentulum, mutatas esse in arbores, et stillare adhuc de illis lacrimam, nimirum electrum. Talia nempe ipse quoque quum audissem poetis canentibus, sperabam, si quando essem ad Eridanum, me subiturum populorum unam, et expanso sinu excepturum paucas lacrimas, ut electrum habeam.

2. Et sane non ita diu est quum alius quidem rei causa, veni tamen in loca illa (oportebat autem adverso Eridano navigare): sed nec populos vidi, diligenter licet circumspiciens, neque electrum; quin ne nomen quidem Phaethontis noverant incolæ. Requirente enim me atque interrogante, quando veniremus ad populos illas electrum reddentes, ridebant nautæ, postulabantque uti clarius, quid mihi vellem, dicerem. Hic ego fabulam ipsis enarrabam,

γούμην αὐτοῖς, Φαέθοντα γενέσθαι Ἡλίου παῖδα, καὶ τοῦτον ἐς ἡλικίαν ἐλθόντα αἰτῆσαι παρὰ τοῦ πατρὸς ἐλάσαι τὸ ἅρμα, ὡς ποιήσειε καὶ αὐτὸς μίαν ἡμέραν· τὸν δὲ δοῦναι, τὸν δὲ ἀπολέσθαι ἐκδιφρευθέντα, καὶ τὰς ἀδελφὰς αὐτοῦ πενθούσας ἐνταῦθά που, ἔφην, παρ' ὑμῖν, ἵναπερ καὶ κατέπεσεν ἐπὶ τῷ Ἠριδανῷ, αἰγείρους γενέσθαι καὶ δακρύειν ἔτι ἐπ' αὐτῷ τὸ ἤλεκτρον.

3. Τίς ταῦτά σοι, ἔφασκον, διηγήσατο ἀπατεὼν καὶ ψευδολόγος ἄνθρωπος; ἡμεῖς δὲ οὔτε ἠνίοχόν τινα ἐκπίπτοντα εἴδομεν οὔτε τὰς αἰγείρους ἃς φῂς ἔχομεν. Εἰ δὲ ἦν τι τοιοῦτον, οἷει ἡμᾶς δυοῖν ὀβολοῖν ἕνεκα ἐρέττειν ἂν ἢ ἕλκειν τὰ πλοῖα πρὸς ἐναντίον τὸ ὕδωρ, οἷς ἐξῆν πλουτεῖν ἀναλέγοντας τῶν αἰγείρων τὰ δάκρυα; Τοῦτο λεχθὲν οὐ μετρίως μου καθίκετο, καὶ ἐσιώπησα διαισχυνθείς, ὅτι παιδίου τινὸς ὡς ἀληθῶς ἔργον ἐπεπόνθειν πιστεύσας τοῖς ποιηταῖς ἀπίθανα οὕτω ψευδομένοις, ὡς μηδὲν ὑγιὲς ἀρέσκεσθαι αὐτοῖς. Μιᾶς μὲν δὴ ταύτης ἐλπίδος οὐ μικρᾶς ἐψευσμένος ἠνιώμην καθάπερ ἐκ τῶν χειρῶν τὸ ἤλεκτρον ἀπολωλεκὼς, ὅς γε ἤδη ἀνέπλαττον ὅσα καὶ οἷα χρήσομαι αὐτῷ.

4. Ἐκεῖνο δὲ καὶ πάνυ ἀληθῶς ᾠμην εὑρήσειν παρ' αὐτοῖς, κύκνους πολλοὺς ᾀδοντας ἐπὶ ταῖς ὄχθαις τοῦ ποταμοῦ. Καὶ αὖθις ἠρώτων τοὺς ναύτας — ἀνεπλέομεν γὰρ ἔτι — Ἀλλ' οἵ γε κύκνοι πηνίκα ὑμῖν τὸ λιγυρὸν ἐκεῖνο ᾄδουσιν ἐφεστῶτες τῷ ποταμῷ ἔνθεν καὶ ἔνθεν; φασὶ γοῦν Ἀπόλλωνος παρέδρους αὐτοὺς ὄντας ᾠδικοὺς ἀνθρώπους ἐνταῦθά που ἐς τὰ ὄρνεα μεταπεσεῖν καὶ διὰ τοῦτο ᾄδειν ἔτι οὐκ ἐκλαθομένους τῆς μουσικῆς.

5. Οἱ δὲ σὺν γέλωτι, Σὺ, ἔφησαν, ὦ ἄνθρωπε, οὐ παύσῃ τήμερον καταψευδόμενος τῆς χώρας ἡμῶν καὶ τοῦ ποταμοῦ; ἡμεῖς δὲ ἀεὶ πλέοντες καὶ ἐκ παίδων σχεδὸν ἐργαζόμενοι ἐν τῷ Ἠριδανῷ ὀλίγους μὲν κύκνους ἐνίοτε ὁρῶμεν ἐν τοῖς ἕλεσι τοῦ ποταμοῦ, καὶ κρώζουσιν οὗτοι πάνυ ἄμουσον καὶ ἀσθενές, ὡς τοὺς κόρακας ἢ τοὺς κολοιοὺς Σειρῆνας εἶναι πρὸς αὐτούς, ᾀδόντων δὲ καὶ ἡδὺ καὶ οἷον σὺ φῂς οὐδέ ὄναρ ἀκηκόαμεν· ὥστε θαυμάζομεν πόθεν ταῦτα εἰς ὑμᾶς ἀφίκετο περὶ ἡμῶν.

6. Πολλὰ τοιαῦτα ἐξαπατηθῆναι ἔστι πιστεύοντας τοῖς πρὸς τὸ μεῖζον ἕκαστα ἐξηγουμένοις. Ὥστε κἀγὼ νῦν δέδια ὑπὲρ ἐμαυτοῦ μὴ ὑμεῖς ἄρτι ἀφιγμένοι, καὶ τοῦτο πρῶτον ἀκροασάμενοι ἡμῶν, ἤλεκτρά τινα καὶ κύκνους ἐλπίσαντες εὑρήσειν παρ' ἡμῖν, ἔπειτα μετ' ὀλίγον ἀπέλθητε καταγελῶντες τῶν ὑποσχομένων ὑμῖν τοιαῦτα πολλὰ κειμήλια ἐνεῖναι τοῖς λόγοις. Ἀλλὰ μαρτύρομαι, ὡς ἐμοῦ τοιαῦτα μεγαλαυχουμένου περὶ τῶν ἐμῶν οὔτε ὑμεῖς οὔτε ἄλλος πω ἀκήκοεν, οὐδ' ἂν ἀκούσειέ ποτε. Ἄλλοις μὲν γὰρ οὐκ ὀλίγοις ἐντύχοις ἂν Ἠριδανοῖς τισι καὶ οἷς οὐκ ἤλεκτρον, ἀλλὰ χρυσὸς αὐτὸς ἀποστάζει τῶν λόγων, πολὺ τῶν κύκνων τῶν ποιητικῶν λιγυρωτέροις· τὸ δὲ ἐμὸν ὁρᾶτε ἤδη ὁποῖον ἁπλοϊκὸν καὶ ἄμυθον, οὐδέ τις ᾠδὴ πρόσεστιν. Ὥστε ὅρα μὴ τοιοῦτό τι πάθῃς μεῖζω περὶ ἡμῶν ἐλπίσας,

Phaethontem fuisse Solis filium, et hunc, adultus quum esset, petiisse a patre currus ipsius agendi facultatem, ut et ipse diem unum faceret : illum dedisse, hunc excussum curru periisse, et sorores ipsius dum lugerent hic circiter, dicebam, apud vos, ubi etiam cecidit, ad Eridanum, populos factas esse, et lacrimari propter eum succina.

3. Quis hæc tibi, dicebant, narravit impostor et mendax homo? At nos neque aurigam quenquam excidere vidimus, neque habemus, quas ais, populos. Si vero quid esset tale, putasne nos duorum obolorum causa remigaturos, aut tracturos adverso flumine navigia, quum divitibus nobis esse liceret legendis populorum lacrimis? Hic sermo non mediocriter me momordit : et tacui, quum puderet me, cui revera accidisset quod puerulo, ut poetis crederem improbabilia adeo mentientibus, ut sanum nihil illis placeat. Una igitur hac spe non parva falsus, ægre ferebam quasi ex ipsis manibus electrum perdidissem, qui jam apud me imaginarer ad quot res et quomodo illo essem usurus.

4. Illud tamen, et quidem certo, putabam me apud illos reperturum, cycnos multos canentes in ripis fluvii : ac rursus interrogabam nautas (nam adhuc adverso flumine navigabamus), Verum cycni certe quando vobis modulatum illud carmen canunt, astantes hinc et hinc fluvio? aiunt enim illos Apollinis comites, homines canendi peritos, hic aliquando in volucres abiisse, et propterea adhuc canere, non oblitos musicæ.

5. At illi cum risu, Tu homo, inquiunt, non desines hodie mentiri de regione nostra atque fluvio? Nos vero semper navigantes, et a pueris fere opus facientes in Eridano, paucos quidem cycnos interdum videmus in palustribus ripis fluminis, et crocitant hi quiddam plane alienum a Musis et imbecillum, adeo ut corvi vel graculi Sirenes sint ad illos : canentes vero suaviter atque ut tu ais, ne per somnium quidem audivimus. Itaque mirari subit unde ista de nobis ad vos pervenerint.

6. Similiter decipi et sæpe potest si quis credat iis qui in majus extollunt narrando omnia. Itaque ego etiam pro me nunc sum sollicitus, ne qui modo venistis et nunc primum nos auditis, electra quædam et cycnos invenire apud nos quum speraritis, discedatis paullo post irridentes illos qui pretiosa id genus multa inesse nostris in orationibus vobis erant polliciti. At ego testor, talia me de meis rebus gloriantem nec vos nec alium quenquam audivisse vel auditurum unquam. Alios quidem invenias non paucos, Eridanos quosdam et quibus non electrum, sed aurum ipsum ex oratione stillet, multum poeticis illis cycnis modulatiores : ego vero qualis sim jam videtis, simplex, fabularum expers; neque ullus cantus adest. Igitur vide, si quis majora de nobis speras, ne tibi accidat quod his qui

οἷόν τι πάσχουσιν οἱ τὰ ἐν τῷ ὕδατι ὁρῶντες· οἰόμενοι γὰρ τηλικαῦτα εἶναι αὐτὰ οἷα διεφαίνετο αὐτοῖς ἄνωθεν, εὐρυνομένης τῆς σκιᾶς πρὸς τὴν αὐγήν, ἐπειδὰν ἀνασπάσωσι, πολλῷ μικρότερα εὑρίσκοντες ἀνιῶνται. Ἤδη οὖν σοι προλέγω ἐχχέας τὸ ὕδωρ καὶ ἀποκαλύψας τἀμά, μηδὲν μέγα προσδοκήσῃς ἀνιμήσασθαι, ἢ σαυτὸν αἰτιάσῃ τῆς ἐλπίδος.

aquis submersa vident : arbitrati enim tanta esse illa quanta desuper aspicientibus videbantur, dilatata a radiis umbra; quum extracta multo minora deprehendunt, indignantur. Jam igitur tibi prædico, dispersa aqua et detectis meis, ne quid magni te hausturum speres, aut spei vanæ culpam in te ipsum conferas.

LVII.

ΜΥΙΑΣ ΕΓΚΩΜΙΟΝ.

1. Ἡ μυῖα ἔστι μὲν οὐ τὸ σμικρότατον τῶν ὀρνέων, ὅσον ἐμπίσι καὶ κώνωψι καὶ τοῖς ἔτι λεπτοτέροις παραβάλλειν, ἀλλὰ τοσοῦτον ἐκείνων μεγέθει προὔχει ὅσον αὐτὴ μελίττης ἀπολείπεται. Ἐπτέρωται δὲ οὐ κατὰ τὰ αὐτὰ τοῖς ἄλλοις, ὡς τοῖς μὲν ἁπανταχόθεν κομᾶν τοῦ σώματος, τοῖς δὲ ὠκυπτέροις χρῆσθαι, ἀλλὰ κατὰ τὰς ἀκρίδας καὶ τέττιγας καὶ μελίττας ἐστὶν ὑμενόπτερος, τοσοῦτον ἀπαλώτερα ἔχουσα τὰ πτερὰ ὅσον τῆς Ἑλληνικῆς ἐσθῆτος ἡ Ἰνδικὴ λεπτοτέρα καὶ μαλακωτέρα· καὶ μὴν διήνθισται κατὰ τοὺς ταῶνας, εἴ τις ἀτενὲς βλέποι ἐς αὐτὴν, ὁπόταν ἐκπετάσασα πρὸς τὸν ἥλιον πτερύσσηται.

2. Ἡ δὲ πτῆσις οὔτε κατὰ τὰς νυκτερίδας εἰρεσίᾳ συνέχει τῶν πτερῶν οὔτε κατὰ τὰς ἀκρίδας μετὰ πηδήματος οὐδὲ ὡς οἱ σφῆκες μετὰ ῥοιζήματος, ἀλλ' εὐκαμπὴς πρὸς ὅ τι ἂν μέρος ὁρμήσῃ τοῦ ἀέρος. Καὶ μὴν κἀκεῖνο πρόσεστιν αὐτῇ, τὸ μὴ καθ' ἡσυχίαν, ἀλλὰ μετ' ᾠδῆς πέτεσθαι οὐκ ἀπηνοῦς οἷα κωνώπων καὶ ἐμπίδων, οὐδὲ τὸ βαρύβρομον τῶν μελιττῶν ἢ τῶν σφηκῶν τὸ φοβερὸν καὶ ἀπειλητικὸν ἐνδεικνυμένη, ἀλλὰ τοσοῦτόν ἐστι λιγυρωτέρα, ὅσον σάλπιγγος καὶ κυμβάλων αὐλοὶ μελιχρότεροι.

3. Τὸ δὲ ἄλλο σῶμα ἡ μὲν κεφαλὴ λεπτότατα τῷ αὐχένι συνέχεται καὶ ἔστιν εὐπεριάγωγος, οὐ συμπεφυκυῖα ὡς ἡ τῶν ἀκρίδων· ὀφθαλμοὶ δὲ προπαγεῖς, πολὺ τοῦ κέρατος ἔχοντες· στέρνον εὐπαγὲς, καὶ ἐκπεφύκασιν αὐτῇ οἱ πόδες οὐ κατὰ τοὺς σφῆκας πάνυ ἐσφιγμένοι. Ἡ γαστὴρ δὲ ὠχύρωται καὶ αὐτὴ καὶ θώρακι ἔοικε ζώνας πλατείας καὶ φολίδας ἔχουσα. Ἀμύνεται μέντοι οὐ κατὰ τοὐρροπύγιον ὡς σφὴξ καὶ μέλιττα, ἀλλὰ τῷ στόματι καὶ τῇ προβοσκίδι, ἣν κατὰ τὰ αὐτὰ τοῖς ἐλέφασι καὶ αὐτὴ ἔχουσα προνομεύει τε καὶ ἐπιλαμβάνεται καὶ προσῶσα κατέχει κοτυληδόνι κατὰ τὸ ἄκρον ἐοικυῖαν. Ἐκ δὲ αὐτῆς ὀδοὺς προκύπτει, ᾧ κεντοῦσα πίνει τοῦ αἵματος· πίνει μὲν γὰρ καὶ γάλακτος, ἡδὺ δὲ αὐτῇ καὶ τὸ αἷμα, οὐ μετὰ μεγάλης ὀδύνης τῶν κεντουμένων. Ἐξάπους δὲ οὖσα τοῖς μὲν τέτταρσι βαδίζει μόνοις, τοῖς δὲ προσθίοις δυσὶν ὅσα καὶ χερσὶ χρῆται. Ἴδοις ἂν οὖν αὐτὴν ἐπὶ τεττάρων βεβηκυῖαν ἔχουσάν τι ἐν ταῖν χεροῖν μετέωρον ἐδώδιμον ἀνθρωπίνως πάνυ καὶ καθ' ἡμᾶς.

LVII.

MUSCÆ ENCOMIUM.

1. Musca non est ea quidem minima volucrium, in quantum culicibus diversi generis et minoribus etiam insectis comparetur : sed tantum istæc magnitudine superat, quantum ipsa ape minor est. Pennata est autem non eadem ratione qua aliæ volucres, ut plumis toto corpore velut comata sit, majores autem pennas habeat in alis; verum instar locustarum, et cicadarum, apiumque, pinnas habet e membrana, tanto quidem molliores alis aliis, quanto Græca veste Indica est tenuior et delicatior. Et sane floreos pavonum instar colores habet, si quis intente illam aspiciat, quum expansis ad solem pennis volatum meditatur.

2. Ac volatus illius non qualis vespertilionum in perpetuo alarum remigio, neque locustarum instar cum saltu conjunctus, neque cum perstrepero impetu, ut vesparum, sed flexilis in quamcumque partem aeris tendit. Etiam hoc illi inest, quod non silentio, verum cum cantu quodam volat, non infesto, qualis est culicum, neque graves fremitus apum, aut terribiles minacesque vesparum imitans, sed in tantum est modulatior, quantum tuba atque cymbalis tibiæ sunt placidiores.

3. Quantum ad reliquum corpus, caput tenuissimo canali continetur cervicibus, et circumactu est facile, non adnatum quale locustarum : oculi autem solide eminentes, multum habentes de cornu : pectus compactum, ex quo enati pedes, non omnino ut in vespis astricti. Alvus munita ipsa quoque est, thoraci similis, zonas latas et squamas habens. Ulciscitur se non circa novissimam alvi partem, uti vespa et apis, sed ore ac proboscide, qua eo modo quo elephanti instructa et ante se pascitur, et comprehendit, et adhærescens continet, quum acetabulo extrema parte sit similis. Ex illa vero dens emicat, quo ubi pupugit, potat sanguinem : nam bibit quidem lactem quoque; sed suavis illi etiam sanguis, cum dolore non magno eorum qui punguntur. Sex pedes quum habeat, quattuor solis incedit, anterioribus autem duobus utitur velut manibus. Videas igitur illam quadrupedem ingredi, ferentem manibus sublatum esculentum quiddam humano plane more atque ut nos.

4. Γίγνεται δὲ οὐκ εὐθὺς τοιαύτη, ἀλλὰ σκώληξ τὸ πρῶτον ἤτοι ἐξ ἀνθρώπων ἢ ἄλλων ζώων ἀποθανόντων· εἶτα κατ' ὀλίγον πόδας τε ἐκφέρει καὶ φύει τὰ πτερὰ καὶ ἐξ ἕρπετοῦ ὄρνεον γίγνεται, καὶ κυοφορεῖ δὲ καὶ ἀποτίκτει σκώληκα μικρὸν τὴν μυῖαν ὕστερον. Σύντροφος δὲ ἀνθρώποις ὑπάρχουσα καὶ ὁμοδίαιτος καὶ ὁμοτράπεζος ἁπάντων γεύεται πλὴν ἐλαίου· θάνατος γὰρ αὐτῇ τοῦτο πιεῖν. Καὶ μέντοι ὠκύμορος οὖσα — πάνυ γὰρ ἐς στενὸν ὁ βίος αὐτῆς συμμεμέτρηται — τῷ φωτὶ χαίρει μάλιστα κἀν τούτῳ πολιτεύεται· νυκτὸς δὲ εἰρήνην ἄγει καὶ οὔτε πέτεται οὔτε ᾄδει, ἀλλ' ὑπέπτηχε καὶ ἀτρεμεῖ.

5. Σύνεσιν δὲ οὐ μικρὰν αὐτῆς εἰπεῖν ἔχω, ὁπόταν τὸν ἐπίβουλον καὶ πολέμιον αὐτῇ τὸν ἀράχνην διαδιδράσκῃ· λοχῶντά τε γὰρ ἐπιτηρεῖ καὶ ἀντίον αὐτῷ ὁρᾷ ἐκκλίνουσα τὴν ὁρμήν, ὡς μὴ ἁλίσκοιτο σαγηνευθεῖσα καὶ περιπεσοῦσα ταῖς τοῦ θηρίου πλεκτάναις. Τὴν μὲν γὰρ ἀνδρείαν καὶ τὴν ἀλκὴν αὐτῆς οὐχ ἡμᾶς χρὴ λέγειν, ἀλλ' ὁ μεγαλοφωνότατος τῶν ποιητῶν Ὅμηρος τὸν ἄριστον τῶν ἡρώων ἐπαινέσαι ζητῶν οὐ λέοντι ἢ πορδάλει ἢ ὑΐ τὴν ἀλκὴν αὐτοῦ εἰκάζει, ἀλλὰ τῷ θάρσει τῆς μυίας καὶ τῷ ἀτρέστῳ καὶ λιπαρεῖ τῆς ἐπιχειρήσεως· οὐδὲ γὰρ θράσος ἀλλὰ θάρσος φησὶν αὐτῇ προσεῖναι. Καὶ γὰρ εἰργομένη, φησίν, ὅμως οὐκ ἀφίσταται, ἀλλ' ἐφίεται τοῦ δήγματος. Οὕτω δὲ πάνυ ἐπαινεῖ καὶ ἀσπάζεται τὴν μυῖαν, ὥστε οὐχ ἅπαξ οὐδ' ἐν ὀλίγοις μέμνηται αὐτῆς, ἀλλὰ πολλάκις· οὕτω κοσμεῖ τὰ ἔπη μνημονευομένη. Ἄρτι μὲν τὴν ἀγελαίαν πτῆσιν αὐτῆς ἐπὶ τὸ γάλα διέρχεται, ἄρτι δὲ τὴν Ἀθηνᾶν, ὁπότε τοῦ Μενέλεω τὸ βέλος ἀποκρούεται, ὡς μὴ ἐπὶ τὰ καιριώτατα ἐμπέσοι, εἰκάζων μητρὶ κηδομένῃ κοιμωμένου αὐτῇ τοῦ βρέφους, τὴν μυῖαν αὖθις ἐπεισάγει τῷ παραδείγματι. Καὶ μὴν καὶ ἐπιθέτῳ καλλίστῳ αὐτὰς ἐκόσμησεν « ἀδινὰς » προσειπὼν καὶ τὴν ἀγέλην αὐτῶν « ἔθνη » καλῶν.

6. Οὕτω δὲ ἰσχυρά ἐστιν, ὥσθ' ὁπόταν τι δάκνῃ, τιτρώσκειν οὐκ ἀνθρώπου δέρμα μόνον, ἀλλὰ καὶ βοὸς καὶ ἵππου, καὶ ἐλέφαντα λυπεῖ ἐς τὰς ῥυτίδας αὐτοῦ παρεισδυομένη καὶ τῇ αὐτῆς προνομαίᾳ κατὰ λόγον τοῦ μεγέθους ἀμύσσουσα. Μίξεως δὲ καὶ ἀφροδισίων καὶ γάμων πολλὴ αὐταῖς ἡ ἐλευθερία, καὶ ὁ ἄρρην οὐ κατὰ τοὺς ἀλεκτρυόνας ἐπιβὰς εὐθὺς ἀπεπήδησεν, ἀλλ' ἐποχεῖται τῇ θηλείᾳ ἐπὶ πολὺ, κἀκείνη φέρει τὸν νυμφίον, καὶ συμπέτονται τὴν ἐναέριον ἐκείνην μῖξιν τῇ πτήσει μὴ διαφθείρουσαι. Ἀποτμηθεῖσα δὲ τὴν κεφαλὴν μυῖα ἐπὶ πολὺ ζῇ τῷ ἄλλῳ σώματι καὶ ἔμπνους ἐστίν.

7. Ὃ δὲ μέγιστον ἐν τῇ φύσει αὐτῶν ὑπάρχει, τοῦτο δὴ βούλομαι εἰπεῖν. Καί μοι δοκεῖ ὁ Πλάτων μόνον αὐτὸ παριδεῖν ἐν τῷ περὶ ψυχῆς καὶ ἀθανασίας αὐτῆς λόγῳ. Ἀποθανοῦσα γὰρ μυῖα τέτρας ἐπιχυθείσης ἀνίσταται καὶ παλιγγενεσία τις αὐτῇ καὶ βίος ἄλλος ἐξ ὑπαρχῆς γίγνεται, ὡς ἀκριβῶς πεπεῖσθαι πάντας, ὅτι κἀκείνων ἀθάνατός ἐστιν ἡ ψυχή, εἴ γε καὶ ἀπελθοῦσα ἐπανέρχεται πάλιν καὶ γνωρίζει καὶ ἐπανίστησι τὸ σῶμα

4. Nascitur non statim talis, sed vermis primum, sive ex hominibus, sive animalibus aliis demortuis : deinde paullatim et pedes profert, et pinnas gignit, et ex repenti fit volucris; fit etiam gravida et vermiculum parit, muscam paullo post futurum. Quum autem nutriatur cum hominibus, eorumque contubernio et mensa utatur, omnia gustat, præter oleum; quippe quod bibisse illi mors est. Verum brevis ævi quum sit (omnino enim arctis vita illius terminis circumscripta est), luce gaudet maxime, et in ea agit : noctu autem quietem agit, et neque volat neque canit, sed contrahit se et nusquam movet.

5. Prudentiam ejus non parvam commemorare possum, quando insidiatorem et hostem suum araneum effugit. Insidiantem enim observat, et contra intuetur, declinans impetum, ne reti illius capiatur et in cirros bestiæ incidat. Fortitudinem illius et robur nos dicere nihil opus est, quum poetarum magniloquentissimus, Homerus, laudare studens heroum præstantissimum, non leoni, aut pardali, aut apro robur illius comparet, sed fortitudini muscæ, et intrepidis illius improbisque conatibus : neque enim audaciam ait illi inesse, sed fortitudinem. Nam etiam repulsa, ait, tamen non desistit, sed morsum appetit. Ita autem omnino laudat atque amplectitur muscam, ut non semel neque paucis mentionem illius injiciat, sed sæpe : adeo commemoratione illius ornantur versiculi. Nunc enim gregarium illius ad lac volatum enarrat; nunc Minervam, quum defendit a Menelao telum, ne in vitalia illius incidat, comparans matri dormientem infantem suum custodienti, muscam rursus comparationi inducit. Quin etiam appellatione pulcherrima eas ornavit, dum « densas » dixit, et turbam illarum vocavit « gentes. »

6. Adeo autem robusta est, ut morsu vulneret non hominis modo cutem, sed bovis etiam et equi : quin elephantem dolore afficit, intra rugas illius dum repit et sua proboscide pro portione magnitudinis suæ sauciat. Coitus autem et veneris et nuptiarum multa illis est libertas; ac mas non, ut in genere gallinaceo, quum inscendit, statim iterum desilit; sed diu inequitat feminæ, atque illa fert sponsum, volantque una, neque illum in aere coitum volatu disturbant. Denique præciso capite musca diu vivit corpore reliquo, et spirat.

7. Quod autem maximum in natura illarum est, hoc jam volo dicere. Ac videtur mihi solum illud Plato prætervidisse in suo de anima illiusque immortalitate libro. Mortua enim musca insperso cinere resurgit, et instaurata illi nativitas atque alia de novo vita contingit, adeo ut plane persuasum esse debeat omnibus, illarum quoque immortalem esse animam, siquidem etiam quum discessit, redit iterum et agnoscit et suscitat corpus, et ut volet musca efficit, et

καὶ πέτεσθαι τὴν μυῖαν ποιεῖ, καὶ ἐπαληθεύει τὸν περὶ Ἑρμοτίμου τοῦ Κλαζομενίου μῦθον, ὅτι πολλάκις ἀφιεῖσα αὐτὸν ἡ ψυχὴ ἀπεδήμει καθ' ἑαυτήν, εἶτα ἐπανελθοῦσα ἐπλήρου αὖθις τὸ σῶμα καὶ ἀνίστα τὸν Ἑρμότιμον.

8. Ἀργὸς δὲ αὐτὴ καὶ ἄνετος οὖσα τὰ ὑπὸ τῶν ἄλλων πονούμενα καρποῦται καὶ πλήρης αὐτῇ πανταχοῦ τράπεζα· καὶ γὰρ αἶγες αὐτῇ ἀμέλγονται, καὶ ἡ μέλιττα οὐχ ἥκιστα μυίαις καὶ ἀνθρώποις ἐργάζεται, καὶ οἱ ὀψοποιοὶ ταύτῃ τὰ ὄψα ἡδύνουσι καὶ βασιλέων αὐτῶν προγεύεται καὶ ταῖς τραπέζαις ἐμπεριπατοῦσα συνεστιᾶται, αὐτοῖς καὶ συναπολαύει πάντων.

9. Νεοττιὰν δὲ ἠκαλιὰν οὐχ ἑνὶ τόπῳ κατεστήσατο, ἀλλὰ πλάνητα τὴν πτῆσιν κατὰ τοὺς Σκύθας ἐπανῃρημένη, ὅπου ἂν τύχῃ ὑπὸ τῆς νυκτὸς καταληφθεῖσα, ἐκεῖ καὶ ἑστίαν καὶ εὐνὴν ποιεῖται. Ὑπὸ σκότῳ μέντοι, ὡς ἔφην, οὐδὲν ἐργάζεται οὔτε ἀξιοῖ λανθάνειν τι πράττουσα, οὐδὲ ἡγεῖταί τι αἰσχρὸν ποιεῖν, ὃ ἐν φωτὶ δρώμενον αἰσχυνεῖ αὐτήν.

10. Φησὶ δὲ ὁ μῦθος καὶ ἄνθρωπόν τινα Μυῖαν τὸ ἀρχαῖον γενέσθαι πάνυ καλὴν, λάλαν μέντοι γε καὶ στωμύλην καὶ ᾠδικὴν, καὶ ἀντερασθῆναί γε τῇ Σελήνῃ κατὰ τὸ αὐτὸ ἀμφοτέρας τοῦ Ἐνδυμίωνος. Εἶτ' ἐπειδὴ κοιμώμενον τὸ μειράκιον συνεχὲς ἐπήγειρεν ἐρεσχηλοῦσα καὶ ᾄδουσα καὶ κωμάζουσα ἐπ' αὐτὸν, τὸν μὲν ἀγανακτῆσαι, τὴν δὲ Σελήνην ὀργισθεῖσαν εἰς τοῦτο τὴν Μυῖαν μεταβαλεῖν· καὶ διὰ τοῦτο πᾶσι νῦν τοῖς κοιμωμένοις αὐτὴν τοῦ ὕπνου φθονεῖν μεμνημένην ἔτι τοῦ Ἐνδυμίωνος, καὶ μάλιστα τοῖς νέοις καὶ ἁπαλοῖς· καὶ τὸ δῆγμα δὲ αὐτὸ καὶ ἡ τοῦ αἵματος ἐπιθυμία οὐκ ἀγριότητος, ἀλλ' ἔρωτός ἐστι σημεῖον καὶ φιλανθρωπίας· ὡς γὰρ δυνατὸν ἀπολαύει καὶ τοῦ κάλλους τι ἀπανθίζεται.

11. Ἐγένετο κατὰ τοὺς παλαιοὺς καὶ γυνή τις ὁμώνυμος αὐτῇ, ποιήτρια, πάνυ καλὴ καὶ σοφὴ, καὶ ἄλλη ἑταίρα τῶν Ἀττικῶν ἐπιφανὴς, περὶ ἧς καὶ ὁ κωμικὸς ποιητὴς ἔφη, « ἡ Μυῖα ἔδακνεν αὐτὸν ἄχρι τῆς καρδίας· » οὕτως οὐδὲ ἡ κωμικὴ χάρις ἀπηξίωσεν οὐδὲ ἀπέκλεισε τῆς σκηνῆς τὸ τῆς μυίας ὄνομα, οὐδ' οἱ γονεῖς ᾐδοῦντο τὰς θυγατέρας οὕτω καλοῦντες. Ἡ μὲν γὰρ τραγῳδία καὶ σὺν μεγάλῳ ἐπαίνῳ μέμνηται τῆς μυίας, ὡς ἐν τούταις,

> Δεινόν γε τὴν μὲν μυῖαν ἀλκίμῳ σθένει
> πηδᾶν ἐπ' ἀνδρῶν σώματ', ὡς πλησθῇ φόνου,
> ἄνδρας δ' ὁπλίτας πολέμιον ταρβεῖν δόρυ.

Πολλὰ ἂν εἶχον εἰπεῖν καὶ περὶ Μυίας τῆς Πυθαγορικῆς, εἰ μὴ γνώριμος ἦν ἅπασιν ἡ κατ' αὐτὴν ἱστορία.

12. Γίγνανται δὲ καὶ μέγισταί τινες μυῖαι, ἃς στρατιώτιδας οἱ πολλοὶ καλοῦσιν, οἱ δὲ κύνας, τραχύτατα τὸν βόμβον καὶ τὴν πτῆσιν ὠκύταται, αἵ γε καὶ μακροβιώτατοί εἰσι καὶ τοῦ χειμῶνος ὅλου ἄσιτοι διακαρτεροῦσιν ὑπεπτηχυῖαι τοῖς ὀρόφοις μάλιστα, ἐφ' ὧν κἀκεῖνο θαυμάζειν ἄξιον, ὅτι ἀμφότερα, καὶ τὰ θηλειῶν καὶ τὰ ἀρρένων, δρῶσι βαίνοντες ἐν τῷ μέρει κατὰ τὸν Ἑρμοῦ καὶ Ἀφροδίτης παῖδα τὸν μικτὸν τὴν φύσιν

fidem conciliat illi de Clazomenio Hermotimo fabulæ, animam illius sæpe, ipso relicto, pro se peregrinatam; deinde reducem implevisse corpus iterum et suscitasse Hermotimum.

8. Jam ipsa musca vacua opere solum alieno labore partis fruitur, ac plena illi ubique mensa. Nam et capræ illi mulgentur, et non minus muscis quam hominibus laborat apis; et coqui huic condiunt obsonia, et regibus ipsis prægustat, mensisque inambulans cum illis epulatur, et una fruitur omnibus.

9. Pallitiem vero suam aut nidum non uno loco constituit, sed erraticum Scytharum more volatum quum susceperit, ubicumque a nocte deprehenditur, ibi et larem sibi et cubile facit. Verum noctu, uti dixi, nihil operatur, neque occulte cupit agere quicquam; neque putat quicquam se turpe facere, quod in luce factum pudori esse sibi debeat.

10. Fertur etiam fabula, mulierem quandam Muscam olim fuisse, pulcherrimam, loquacem vero eandem atque argutam, et cantus amantem; rivalem autem Lunæ in amando Endymione fuisse. Deinde quum dormientem adolescentem subinde ludibriis suis et cantionibus et comissationibus excitaret, ægre tulisse illum; iratam vero Lunam in hoc illam animal mutasse: atque ideo omnibus illam nunc invidere somno, Endymionis nimirum memorem, maxime vero junioribus tenerioribusque. Morsus autem ipse et illa sanguinis cupiditas non feritatis signum, sed amoris est atque humanitatis: quantum enim potest fruitur et de pulchritudine decerpit aliquid.

11. Euit apud antiquos etiam mulier quædam illi cognominis, poetria, plane pulchra et docta; et alia nobilis apud Athenienses meretrix, de qua comicus poeta dixit:

> Istæc momordit Musca ad usque cor viri.

Ita neque comica venustas dedignata est aut scena exclusit nomen muscæ, neque puduit parentes ita vocare filias. Quin tragœdia multa cum laude muscæ memoriam usurpat, ut in illis,

> Proh dedecus, si musca forti robore
> corpus virorum amore cædis insilit:
> armatus hastam sed metuit vir hosticam.

Multa haberem dicere etiam de Musca [Myia] Pythagorica, nisi nota omnibus esset illius historia.

12. Nascuntur etiam maximæ quædam muscæ, quas militares vulgo vocant, alii vero canes, bombo asperrimo, velocissimo volatu, quæ etiam longævæ admodum sunt, et tota hieme sine cibo durant, lacunaribus se insinuantes maxime; in quibus illud etiam mirabile est, quod utrumque et marium opus et feminarum peragunt, mutuo se inscendentes, ut Veneris ille et Mercurii Hermaphroditus filius, mixta natura, pulchritudine duplici. At multa quum

καὶ διττὸν τὸ κάλλος. Πολλὰ δ' ἔτι ἔχων εἰπεῖν καταπαύσω τὸν λόγον, μὴ καὶ δόξω κατὰ τὴν παροιμίαν ἐλέφαντα ἐκ μυίας ποιεῖν.

supersint quæ dicam, desinam, ne, quod est in proverbio, elephantem facere ex musca videar.

LVIII.

ΠΡΟΣ ΤΟΝ ΑΠΑΙΔΕΥΤΟΝ ΚΑΙ ΠΟΛΛΑ ΒΙΒΛΙΑ ΩΝΟΥΜΕΝΟΝ.

1. Καὶ μὴν ἐναντίον ἐστὶν οὗ ἐθέλεις ὃ νῦν ποιεῖς· οἴει μὲν γὰρ ἐν παιδείᾳ καὶ αὐτὸς εἶναί τις δόξειν σπουδῇ συνωνούμενος τὰ κάλλιστα τῶν βιβλίων· τὸ δέ σοι περὶ τὰ κάτω χωρεῖ καὶ ἔλεγχος γίγνεται τῆς ἀπαιδευσίας πως τοῦτο· μάλιστα δὲ οὐδὲ τὰ κάλλιστα ὠνῇ, ἀλλὰ πιστεύεις τοῖς ὡς ἔτυχεν ἐπαινοῦσι καὶ ἕρμαιον εἶ τῶν τοιαῦτα ἐπιψευδομένων τοῖς βιβλίοις καὶ θησαυρὸς ἕτοιμος τοῖς καπήλοις αὐτῶν. Ἢ πόθεν γάρ σοι διαγνῶναι δυνατὸν τίνα μὲν παλαιὰ καὶ πολλοῦ ἄξια, τίνα δὲ φαῦλα καὶ ἄλλως σαπρά, εἰ μὴ τῷ διαβεβρῶσθαι καὶ κατακεκόφθαι αὐτὰ τεκμαίροιο καὶ συμβούλους τοὺς σέας ἐπὶ τὴν ἐξέτασιν παραλαμβάνοις; ἐπεὶ τοῦ ἀκριβοῦς ἢ τοῦ ἀσφαλοῦς ἐν αὐτοῖς τίς ἡ ποία διάγνωσις;

1. Quin contrarium est consilio tuo, quod nunc facis : putas enim in doctrina te ipsum quoque visum iri esse aliquid, si studiose pulcherrimos quosque libros coemas; at illud nequiter tibi evenit, et ignorantiæ fere tuæ documentum fit evidens : inprimis vero, quod neque optimos emis, sed credis temere laudantibus, et munus es a Mercurio oblatum iis qui talia mentiuntur de libris, ac thesaurus paratus eorum mangonibus. Aut unde tu dignoscere posses qui sint veteres et multi pretii, qui autem viles et temere futiles, nisi ex eo, si exesi et pertusi sunt, judices, et consiliarias ad hanc inquisitionem tineas adhibeas? quandoquidem curæ exquisitæ et certæ in ipsis fidei quæ aut qualis a te proficiscatur dijudicatio?

2. Ἵνα δέ σοι δῶ αὐτὰ ἐκεῖνα κεκρικέναι, ὅσα ὁ Καλλῖνος ἐς κάλλος ἢ ὁ ἀοίδιμος Ἀττικὸς σὺν ἐπιμελείᾳ τῇ πάσῃ γράψαιεν, σοὶ τί ὄφελος, ὦ θαυμάσιε, τοῦ κτήματος οὔτε εἰδότι τὸ κάλλος αὐτῶν οὔτε χρησομένῳ ποτὲ οὐδὲν μᾶλλον ἢ τυφλὸς ἄν τις ἀπολαύσειε κάλλους παιδικῶν; Σὺ δὲ ἀνεῳγμένοις μὲν τοῖς ὀφθαλμοῖς ὁρᾷς τὰ βιβλία, καὶ νὴ Δία κατακόρως, καὶ ἀναγιγνώσκεις ἔνια πάνυ ἐπιτρέχων φθάνοντος τοῦ ὀφθαλμοῦ τὸ στόμα· οὐδέπω δὲ τοῦτό μοι ἱκανόν, ἢν μὴ εἰδῇς τὴν ἀρετὴν καὶ κακίαν ἑκάστου τῶν ἐγγεγραμμένων καὶ συνίῃς ὅστις μὲν τῷ νοῦς σύμπασι, τίς δὲ ἡ τάξις τῶν ὀνομάτων ὅσα τε πρὸς τὸν ὀρθὸν κανόνα τῷ συγγραφεῖ ἀπηκρίβωται καὶ ὅσα κίβδηλα καὶ νόθα καὶ παρακεκομμένα.

2. Ut autem tibi dem ipsa illa te judicasse, quæ Callinus pulchre, aut celeber ille Atticus summa cura scripserint : quid tibi prodest, mirabilis homo, eorum possessio, qui nec pulchritudinem illarum noris, neque unquam illis usurus sis, non magis quam cæcus forma fruatur amorum suorum? Tu vero apertis quidem oculis inspicis libros, et sane ad satietatem; alios etiam cursim, oculo os præveniente, perlegis : illud vero mihi nondum satis est, nisi virtutem etiam vitiumque uniuscujusque eorum quæ scripta ibi sunt agnoscas, atque intelligas quæ sit sententia universis, quæ compositio verborum, quæ ad rectam regulam scriptor exegerit, quæ sublestæ fidei, parum genuina, adulterata.

3. Τί οὖν; φῂς καὶ ταῦτα μὴ μαθὼν ἡμῖν εἰδέναι; πόθεν, εἰ μή ποτε παρὰ τῶν Μουσῶν κλῶνα δάφνης καθάπερ ὁ ποιμὴν ἐκεῖνος λαβών; Ἑλικῶνα μὲν γὰρ, ἵνα διατρίβειν αἱ θεαὶ λέγονται, οὐδὲ ἀκήκοας οἶμαί ποτε οὐδὲ τοιαύτας διατριβὰς ἡμῖν ἐν παισὶν ἐποιοῦ· σοὶ καὶ μεμνῆσθαι Μουσῶν ἀνόσιον. Ἐκεῖναι γὰρ ποιμένι μὲν οὐκ ἂν ὤκνησαν φανῆναι σκληρῷ ἀνδρὶ καὶ δασεῖ καὶ πολὺν τὸν ἥλιον ἐπὶ τῷ σώματι ἐμφαίνοντι, οἷῳ δὲ σοὶ — καί μοι πρὸς τῆς Λιβανίτιδος ἄφες ἐν τῷ παρόντι τὸ μὴ σύμπαντα σαφῶς εἰπεῖν — οὐδὲ ἐγγὺς γενέσθαι ποτ' ἂν εὖ οἶδ' ὅτι κατηξίωσαν, ἀλλ' ἀντὶ τῆς δάφνης μυρίκῃ ἂν ἢ καὶ μαλάχῃς φύλλοις μαστιγοῦσαι ἀπήλλαξαν ἂν τὸν τοιοῦτον, ὡς μὴ μιᾶναι μήτε τὸν Ὀλμειὸν μήτε τὴν τοῦ Ἵππου κρήνην, ἅπερ ἡ ποιμένιος διψῶσιν ἢ ποιμένων στόμασι καθαροῖς πότιμα. Καίτοι οὐδὲ, εἰ καὶ πάνυ ἀναίσχυντος εἶ καὶ

3. Quid igitur? ain' te hæc etiam, licet non didiceris, tamen nobis scire? unde, nisi forte a Musis lauri ramum, ut ille pastor, accepisti? nam Heliconem, ubi commorari deæ illæ dicuntur, neque audisti, puto, unquam, neque ibi puerili ætate moratus es : tibi ne meminisse quidem Musarum fas est. Illæ enim pastori apparere non sunt dedignatæ, duro homini et hirsuto, et multum in corpore solem præ se ferenti : tali vero qualis tu es homini (et, per ego te Libanitidem, permitte in præsens ne diserte dicam omnia) ne prope quidem venire, bene novi, unquam dignatæ sunt; sed pro lauro myrica fere aut malvæ follis flagellatum destituissent hominem talem, ne Olmeum vel Hippocrenen polluat, fontes gregibus sitientibus alioquin et puri oris pastoribus opportunos. Verum, quantumcumque impudens es

ἀνδρεῖος τὰ τοιαῦτα, τολμήσειας ἄν ποτε εἰπεῖν ὡς ἐπαιδεύθης ἢ ἐμέλησέ σοι πώποτε τῆς ἐν χρῷ πρὸς τὰ βιβλία συνουσίας ἢ ὡς διδάσκαλός σοι ὁ δεῖνα ἢ τῷ δεῖνι ξυνεφοίτας.

4. Ἀλλ' ἑνὶ τούτῳ μόνῳ πάντα ἐκεῖνα ἀναδραμεῖσθαι νῦν ἐλπίζεις τῷ κτᾶσθαι πολλὰ βιβλία. Κατὰ δὴ ταῦτα ἔχε ξυλλαβὼν ἐκεῖνα τὰ τοῦ Δημοσθένους, ὅσα τῇ χειρὶ τῇ αὐτοῦ ὁ ῥήτωρ ἔγραψε, καὶ τὰ τοῦ Θουκυδίδου, ὅσα παρὰ τοῦ Δημοσθένους καὶ αὐτὰ ὀκτάκις μεταγεγραμμένα εὑρέθη καλῶς, ἅπαντα ἐκεῖνα, ὅσα ὁ Σύλλας Ἀθήνηθεν εἰς Ἰταλίαν ἐξέπεμψε, τί ἂν πλέον ἐκ τούτου εἰς παιδείαν κτήσαιο, κἂν ὑποβαλλόμενος αὐτὰ ἐπικαθεύδῃς ἢ ξυγκολλήσας καὶ περιβαλλόμενος περινοστῇς; Πίθηκος γὰρ ὁ πίθηκος, ἡ παροιμία φησί, κἂν χρύσεα ἔχῃ σύμβολα. Καὶ σὺ τοίνυν βιβλίον μὲν ἔχεις ἐν τῇ χειρὶ καὶ ἀναγιγνώσκεις ἀεί, τῶν δὲ ἀναγιγνωσκομένων οἶσθα οὐδέν, ἀλλ' ὄνος λύρας ἀκούεις κινῶν τὰ ὦτα. Ὡς εἴ γε τὸ κεκτῆσθαι τὰ βιβλία καὶ πεπαιδευμένον ἀπέφαινε τὸν ἔχοντα, πολλοῦ ἂν ὡς ἀληθῶς τὸ κτῆμα ἦν ἄξιον καὶ μόνων ὑμῶν τῶν πλουσίων, εἰ ὥσπερ ἐξ ἀγορᾶς ἦν πρίασθαι τοὺς πένητας ἡμᾶς ὑπερβάλλοντας. Τίς δὲ τοῖς ἐμπόροις καὶ τοῖς βιβλιοκαπήλοις ἤρισεν ἂν περὶ παιδείας τοσαῦτα βιβλία ἔχουσι καὶ πωλοῦσιν; Ἀλλ' εἴ γε διελέγχειν ἐθέλεις, ὄψει μηδ' ἐκείνους πολὺ σοῦ τὰ ἐς παιδείαν ἀμείνους, ἀλλὰ βαρβάρους μὲν τὴν φωνὴν ὥσπερ σὺ, ἀξυνέτους δὲ τῇ γνώσει, οἵους εἰκὸς εἶναι τοὺς μηδὲν τῶν καλῶν καὶ αἰσχρῶν καθεορακότας. Καίτοι σὺ μὲν δύο ἢ τρία παρ' αὐτῶν ἐκείνων πριάμενος ἔχεις, οἱ δὲ νύκτωρ καὶ μεθ' ἡμέραν διὰ χειρὸς ἔχουσιν αὐτά.

5. Τίνος οὖν ἀγαθοῦ ὠνῇ ταῦτα, εἰ μὴ καὶ τὰς ἀποθήκας αὐτὰς τῶν βιβλίων ἡγῇ πεπαιδεῦσθαι τοσαῦτα περιεχούσας παλαιῶν ἀνδρῶν ξυγγράμματα; Καί μοι, εἰ δοκεῖ, ἀπόκριναι· μᾶλλον δὲ, ἐπεὶ τοῦτό σοι ἀδύνατον, ἐπίνευσον γοῦν ἢ ἀνάνευσον πρὸς τὰ ἐρωτώμενα. Εἴ τις αὐλεῖν μὴ ἐπιστάμενος κτήσαιτο τοὺς Τιμοθέου αὐλοὺς ἢ τοὺς Ἰσμηνίου, οὓς ἑπτὰ ταλάντων ὁ Ἰσμηνίας ἐν Κορίνθῳ ἐπρίατο, ἆρ' ἂν διὰ τοῦτο καὶ αὐλεῖν δύναιτο; ἢ οὐδὲν ὄφελος αὐτῷ τοῦ κτήματος οὐκ ἐπισταμένῳ χρήσασθαι κατὰ τὴν τέχνην; Εὖ γε ἀνένευσας· οὐδὲ γὰρ τοὺς Μαρσύου ἢ Ὀλύμπου κτησάμενος αὐλήσειεν ἂν μὴ μαθών. Τί δ', εἴ τις τοῦ Ἡρακλέους τὰ τόξα κτήσαιτο μὴ Φιλοκτήτης ὤν, ὡς δύνασθαι ἐντείνασθαί τε αὐτὰ καὶ ἐπίσκοπα τοξεῦσαι, τί σοι καὶ οὗτος δοκεῖ; ἆρ' ἂν ἐπιδείξασθαί τι ἔργον τοξότου ἄξιον; Ἀνένευσας καὶ τοῦτο. Κατὰ ταὐτὰ δὴ καὶ ὁ κυβερνᾶν οὐκ εἰδὼς καὶ ἱππεύειν μὴ μεμελετηκὼς εἰ ὁ μὲν ναῦν καλλίστην παραλάβοι τοῖς πᾶσι καὶ εἰς κάλλος καὶ εἰς ἀσφάλειαν κάλλιστα ἐξειργασμένην, ὁ δὲ ἵππον κτήσαιτο Μῆδον ἢ κενταυρίδην ἢ κοππαφόρον, ἐλέγχοιτο ἄν, οἶμαι, ἑκάτερος οὐκ εἰδὼς ὅ τι χρήσαιτο ἑκατέρῳ. Ἐπινεύεις καὶ τοῦτο; Πείθου δὴ καὶ τοῦτό μοι ἐπίνευσον, εἴ τις ὥσπερ σὺ ἀπαίδευτος ὢν ὠνοῖτο πολλὰ βιβλία, οὐ σκώμματα οὗτος εἰς ἀπαιδευσίαν καθ' ἑαυτὸν ἐξεργάζοιτο καὶ ἐπιδείξεις;

et eatenus virilis, non tamen audebis dicere unquam, te eruditum esse, aut unquam curæ tibi fuisse arctiorem cum libris consuetudinem, aut hunc magistrum tuum fuisse, aut illum condiscipulum.

4. Sed uno hoc solo omnia te illa jam assecuturum speras, multis libris comparandis. Hactenus sane habe tibi collecta illa Demosthenis exemplaria, quæ sua manu scripsit orator, et illa Thucydidis, quæ a Demosthene et ipsa octies descripta pulchre inventa sunt; illa denique omnia quæ Sulla Athenis misit in Italiam: quæ tandem ea ex re ad eruditionem tibi fiat accessio, etsi substratis tibi indormias, aut ea tibi agglutinata et vestis instar circumposita circumferas? Simia enim simia est, ait proverbium, etiamsi aurea gestet crepundia. Etiam tu igitur librum quidem habes in manu, et legis semper; eorum vero quæ legis scis nihil, sed asinus lyram audis movens auriculas. Nam si eruditum redderet dominum librorum possessio, quantivis certe illa possessio pretii esset, et vestrum solorum qui estis divites; si nempe velut de foro liceret emere atque pauperes nos superare. Quis vero cum mercatoribus ac bibliopolis de eruditione contenderet, tot libros habentibus vendentibusque? Verum si volueris examinare, videbis neque illos multum quam tu es eruditione præstantiores, sed lingua barbaros, velut te, et quantum ad cognitionem nihil intelligentes; quales esse credibile est qui nihil vel turpium vel honestorum perspiciunt. Quanquam tu duos forte aut tres libros ab illis ipsis emtos habes; at illi die pariter ac noctu manibus illos tractant.

5. Cujus igitur boni causa illos emis, nisi ipsas quoque librorum capsas eruditas esse putas, quæ tot veterum virorum scripta contineant? Ac mihi responde sodes: vel potius, quum hoc non possis, annue certe aut renue ad ea quæ interrogabo. Si quis tibiarum inflandarum ignarus Timothei tibias emat aut Ismeniæ, quas Ismenias septem talentis emit Corinthi; numquid eapropter tibiis etiam poterit canere? an nihil ipsi possessio profuerit, qui ex arte illis uti non possit? Recte tu renuisti: neque enim, si vel Marsyæ aut Olympi tibias quis possideat, canat nisi didicerit. Quid vero si quis Herculis cum arcu sagittas habens, ipse tamen non sit Philoctetes, qui possit contendere et collineare ad metam; quid hic tibi videtur? an perfecturus opus sagittatore dignum? Renuis hoc quoque. Eadem ratione qui gubernare nescit, et equestrem rationem non exercuit, si iste quidem pulcherrimam navem accipiat rebus omnibus ad decus pariter ac firmitatem elaboratam pulcherrime; hic vero equum emat Medicum, aut centauri de stirpe, aut coppa insignem: deprehendatur, puto, uterque neutra re posse uti recte. Annuis etiam hoc? Crede ergo, et hoc etiam mihi annue, si quis, qualis tu, indoctus homo, multos emat libros; nonne dicteria hic in ruditatem suam contra se ipsum elicit et publicat? quid annuere hic

τοῦ ἐκφέρει; τί ὀκνεῖς καὶ τοῦτο ἐπινεύειν; ἔλεγχος γὰρ, οἶμαι, σαφὴς οὗτος καὶ τῶν ὁρώντων ἕκαστος εὐθὺς τὸ προχειρότατον ἐκεῖνο ἐπιφθέγγεται, τί κυνὶ καὶ βαλανείῳ;

6. Καὶ ἐγένετό τις οὐ πρὸ πολλοῦ ἐν Ἀσίᾳ πλούσιος ἀνὴρ ἐκ συμφορᾶς ἀποτμηθεὶς τοὺς πόδας ἀμφοτέρους ἀπὸ κρύους, οἶμαι, ἀποσαπέντας, ἐπειδή ποτε διὰ χιόνος ὁδοιπορῆσαι ξυνέβη αὐτῷ· οὗτος τοίνυν τοῦτο μὲν ἐλεεινὸν ἐπεπόνθει καὶ θεραπεύων τὴν δυστυχίαν ξυλίνους πόδας πεποίητο, καὶ τούτους ὑποδούμενος ἐβάδιζεν ἐπιστηριζόμενος ἅμα τοῖς οἰκέταις· ἐκεῖνο δὲ γελοῖον ἐποίει, κρηπῖδας γὰρ καλλίστας ἐωνεῖτο νεοτμήτους ἀεὶ, καὶ τὴν πλείστην πραγματείαν περὶ ταύτας εἶχεν, ὡς καλλίστοις ὑποδήμασι κεκοσμημένα εἴη αὐτῷ τὰ ξύλα, οἱ πόδες δή. Οὐ ταὐτὰ οὖν καὶ σὺ ποιεῖς χωλὴν μὲν ἔχων καὶ συκίνην τὴν γνώμην, ὠνούμενος δὲ χρυσοῦς ἐμβάτας, οἷς μόλις ἄν τις καὶ ἀρτίπους ἐμπεριπατήσειεν;

7. Ἐπεὶ δὲ ἐν τοῖς ἄλλοις καὶ τὸν Ὅμηρον ἐπρίω πολλάκις, ἀναγνώτω σοί τις αὐτοῦ λαβὼν τὴν δευτέραν τῆς Ἰλιάδος ῥαψῳδίαν, ἧς τὰ μὲν ἄλλα μὴ ἐξετάζειν· οὐδὲν γὰρ αὐτῶν πρὸς σέ· πεποίηται δέ τις αὐτῷ δημηγορῶν παγγέλοιος ἄνθρωπος, διάστροφος τὸ σῶμα καὶ λελωβημένος. Ἐκεῖνος τοίνυν ὁ Θερσίτης ὁ τοιοῦτος εἰ λάβοι τὴν Ἀχιλλέως πανοπλίαν, οἴει ὅτι αὐτίκα διὰ τοῦτο καὶ καλὸς ἅμα καὶ ἰσχυρὸς ἂν γένοιτο, καὶ ὑπερπηδήσεται μὲν τὸν ποταμὸν, ἐπιθολώσει δὲ αὐτοῦ τὸ ῥεῖθρον τῷ φόνῳ τῶν Φρυγῶν, ἀποκτενεῖ δὲ τὸν Ἕκτορα καὶ πρὸ αὐτοῦ τὸν Λυκάονα καὶ τὸν Ἀστεροπαῖον μηδὲ φέρειν ἐπὶ τῶν ὤμων τὴν μελίαν δυνάμενος; Οὐκ ἂν εἴποις· ἀλλὰ καὶ γέλωτα ἂν ὀφλισκάνοι χωλεύων ὑπὸ τῇ ἀσπίδι καὶ ἐπὶ στόμα καταπίπτων ὑπὸ τοῦ βάρους καὶ ὑπὸ τῷ κράνει, ὁπότε ἀνανεύσειε, δεικνὺς τοὺς παραβλῶπας ἐκείνους αὐτοῦ ὀφθαλμοὺς καὶ τὸν θώρακα ἐπαίρων τῷ τοῦ μεταφρένου κυρτώματι καὶ τὰς κνημῖδας ἐπισυρόμενος καὶ ὅλως αἰσχύνων ἀμφοτέρους καὶ τὸν δημιουργὸν αὐτῶν καὶ τὸν δεσπότην. Τὸ αὐτὸ δὴ καὶ σὺ πάσχων οὐχ ὁρᾷς, ὁπόταν τὸ μὲν βιβλίον ἐν τῇ χειρὶ ἔχῃς πάγκαλον, πορφυρᾶν μὲν ἔχον τὴν διφθέραν, χρυσοῦν δὲ τὸν ὀμφαλὸν, ἀναγιγνώσκῃς δὲ αὐτὸ βαρβαρίζων καὶ καταισχύνων καὶ διαστρέφων, ὑπὸ μὲν τῶν πεπαιδευμένων καταγελώμενος, ὑπὸ δὲ τῶν ξυνόντων σοι κολάκων ἐπαινούμενος, οἳ καὶ αὐτοὶ πρὸς ἀλλήλους ἐπιστρεφόμενοι γελῶσι τὰ πολλά;

8. Θέλω γοῦν σοι διηγήσασθαί τι Πυθοῖ γενόμενον· Ταραντῖνος Εὐάγγελος τοὔνομα τῶν οὐκ ἀφανῶν ἐν τῷ Τάραντι ἐπεθύμησε νικῆσαι Πύθια· τὰ μὲν οὖν τῆς γυμνῆς ἀγωνίας αὐτίκα ἐδόκει αὐτῷ ἀδύνατον εἶναι μήτε πρὸς ἰσχὺν μήτε πρὸς ὠκύτητα εὖ πεφυκότι, κιθάρᾳ δὲ καὶ ᾠδῇ ῥᾳδίως κρατήσειν ἐπείσθη ὑπὸ τῶν καταρατῶν ἀνθρώπων, οὓς εἶχε περὶ αὐτὸν, ἐπαινούντων καὶ βοώντων, ὁπότε καὶ τὸ σμικρότατον ἐκεῖνος ἀνακρούσαιτο. Ἦκεν οὖν εἰς τοὺς Δελφοὺς τά τε ἄλλα λαμπρὸς καὶ δὴ καὶ ἐσθῆτα χρυσόπαστον ποιησάμενος καὶ

etiam cunctaris? clarum enim istud est argumentum, videntiumque unusquisque statim illud, quod maxime in promtu esse solet, subjicit, Quid cani cum balneo?

6. Et fuit non ita pridem in Asia aliquis vir dives, calamitate quadam utroque pede truncatus, qui ex frigore, puto, sphacelo essent corrupti, quum per nivem iter ei faciendum fuisset. Huic ergo miserabilis ille casus obvenit: quod infortunium uti consolaretur, ligneos sibi pedes fecerat; iisque subligatis, servis simul innixus, incedebat. At hoc factitabat ridicule, quod crepidas semper pulcherrimas emebat, recenti opere, et multum sibi negotii circa illas habebat, ut quam pulcherrimis semper calceis ornata essent ipsi ligna illa, pedes videlicet. Non igitur eadem et tu facis, mentem qui habeas claudam et ficulneam, aureos vero tibi cothurnos compares, in quibus vix rectis pedibus aliquis incedat?

7. Quandoquidem vero inter alios Homerum etiam emisti sæpe, capiat aliquis et legat tibi secundum Iliadis librum, cujus reliqua examinare noli; nihil enim eorum ad te: fingitur autem ab illo concionari ridiculus undique homo, distorto corpore atque debili. Ille ergo Thersites, talis, Achillis arma si capiat, putasne illum propterea statim et pulchrum simul et fortem futurum, et trajecti saltu fluminis aquas Phrygum cæde infecturum, occisurumque Hectorem, atque ante illum Lycaonem et Asteropæum, qui neque humeris ferre fraxineam illam Achillis hastam possit? Non sane dixeris: sed risum quoque debeat claudicans sub scuto, et præ gravitate pronus prolabens, ac sub galea, si quando suspiciat, strabos illos oculos ostendens, et illa dorsi curvitate thoracem elevans, trahensque ocreas, denique pudorem et artifici et domino armorum objiciens. Idem vero tibi quoque usu venire non vides, quum librum in manu habes pulcherrimum, pelle purpurea, aureo umbilico ornatum; legis autem ita ut pronunciatione barbara illum deformes atque distorqueas, deridentibus te eruditis, laudantibus autem qui tecum sunt adulatoribus, qui tamen et ipsi ad se invicem conversi frequenter rident?

8. Volo tibi etiam narrare aliquid Pythone factum. Tarentinus quidam, Evangelus nomine, domi non ignobilis, animum adjecerat ad victoriam Pythiorum. Ac nudam ad illos exercitationem statim supra se esse videbat, qui neque ad robur neque ad celeritatem natura aptus esset; cithara vero et cantu facile se victurum persuaderi sibi a sacerrimis hominibus, familiaribus suis, passus fuerat, laudantibus, clamantibus, quoties vel minimum ille chordas attigisset. Venit ergo Delphos, quum cetera splendidus, tum quod intextam auro vestem sibi fecerat, et coronam ex

στέφανον δάφνης χρυσῆς κάλλιστον, ὡς ἀντὶ καρποῦ τῆς δάφνης σμαράγδους εἶναι ἰσομεγέθεις τῷ καρπῷ· τὴν μέν γε κιθάραν αὐτὴν, ὑπερφυές τι χρῆμα ἐς κάλλος καὶ πολυτέλειαν, χρυσοῦ μὲν τοῦ ἀκηράτου πᾶσαν, σφραγῖσι δὲ καὶ λίθοις ποικίλοις κατακεκοσμημένην, Μουσῶν μεταξὺ καὶ Ἀπόλλωνος καὶ Ὀρφέως ἐντετορευμένων, θαῦμα μέγα τοῖς ὁρῶσιν.

9. Ἐπεὶ δ' οὖν ποτε καὶ ἦκεν ἡ τοῦ ἀγῶνος ἡμέρα, τρεῖς μὲν ἦσαν, ἔλαχε δὲ μέσος αὐτῶν ὁ Εὐάγγελος ᾄδειν καὶ μετὰ Θέσπιν τὸν Θηβαῖον οὐ φαύλως ἀγωνισάμενον· ἐσέρχεται οὖν ὅλος περιλαμπόμενος τῷ χρυσίῳ καὶ τοῖς σμαράγδοις καὶ βηρύλλοις καὶ ὑακίνθοις, καὶ ἡ πορφύρα δὲ ἐνέπρεπε τῆς ἐσθῆτος, ἢ μεταξὺ τοῦ χρυσοῦ διεφαίνετο. Τούτοις ἅπασι προεκπλήξας τὸ θέατρον καὶ θαυμαστῆς ἐλπίδος ἐμπλήσας τοὺς θεατάς, ἐπειδή ποτε καὶ ᾆσαι καὶ κιθαρίσαι πάντως ἔδει, ἀνακρούεται μὲν ἀνάρμοστόν τι καὶ ἀσύνταχτον, ἀπορρήγνυσι δὲ τρεῖς ἅμα χορδὰς σφοδρότερον τοῦ δέοντος ἐμπεσὼν τῇ κιθάρᾳ, ᾄδειν δὲ ἄρχεται ἀπόμουσόν τι καὶ λεπτὸν, ὥστε γέλωτα μὲν παρὰ πάντων γενέσθαι τῶν θεατῶν, τοὺς ἀθλοθέτας δὲ ἀγανακτήσαντας ἐπὶ τῇ τόλμῃ μαστιγώσαντας αὐτὸν ἐκβαλεῖν τοῦ θεάτρου· ὅτεπερ καὶ γελοιότατος ὤφθη δακρύων ὁ χρυσοῦς Εὐάγγελος καὶ ὑπὸ τῶν μαστιγοφόρων συρόμενος διὰ μέσης τῆς σκηνῆς καὶ τὰ σκέλη καθῃματωμένος ἐκ τῶν μαστίγων καὶ συλλέγων χαμόθεν τῆς κιθάρας τὰς σφραγῖδας· ἐξεπεπτώκεισαν γὰρ κἀκείνης ξυμμαστιγουμένης αὐτῷ.

10. Μικρὸν δὲ ἐπισχὼν μετ' αὐτὸν Εὔμηλός τις Ἠλεῖος ἐσέρχεται, κιθάραν μὲν παλαιὰν ἔχων, ξυλίνους δὲ κόλλοπας ἐπικειμένην, ἐσθῆτα δὲ μόγις σὺν τῷ στεφάνῳ δέκα δραχμῶν ἀξίαν· ἀλλ' οὗτός γε ᾄσας δεξιῶς καὶ κιθαρίσας κατὰ τὸν νόμον τῆς τέχνης ἐκράτει καὶ ἀνεκηρύττετο καὶ τοῦ Εὐαγγέλου κατεγέλα μάτην ἐμπομπεύσαντος τῇ κιθάρᾳ καὶ ταῖς σφραγῖσιν ἐκείναις, καὶ εἰπεῖν γε λέγεται πρὸς αὐτόν· Ὦ Εὐάγγελε, σὺ μὲν χρυσῆν δάφνην περίκεισαι, πλουτεῖς γὰρ, ἐγὼ δὲ ὁ πένης τὴν Δελφικήν· πλὴν τοῦτό γε μόνον ὤνησο τῆς σκευῆς, ὅτι μηδὲ ἐλεούμενος ἐπὶ τῇ ἥττῃ ἀπέρχῃ, ἀλλὰ μισούμενος προσέτι διὰ τὴν ἄτεχνόν σου ταύτην καὶ περιττὴν τρυφήν. Περὶ πόδα δή σοι καὶ Εὐάγγελος οὗτος, παρ' ὅσον σοί γε οὐδ' ὀλίγον μέλει τοῦ γέλωτος τῶν θεατῶν.

11. Οὐκ ἄκαιρον δ' ἂν γένοιτο καὶ Λέσβιον μῦθόν τινα διηγήσασθαί σοι πάλαι γενόμενον. Ὅτε τὸν Ὀρφέα διεσπάσαντο αἱ Θρᾷτται, φασὶ τὴν κεφαλὴν αὐτοῦ σὺν τῇ λύρᾳ εἰς τὸν Ἕβρον ἐμπεσοῦσαν ἐκβληθῆναι εἰς τὸν μέλανα κόλπον, καὶ ἐπιπλεῖν γε τὴν κεφαλὴν τῇ λύρᾳ, τὴν μὲν ᾄδουσαν θρῆνόν τινα ἐπὶ τῷ Ὀρφεῖ, ὡς λόγος, τὴν λύραν δὲ αὐτὴν ὑπηχεῖν τῶν ἀνέμων ἐμπιπτόντων ταῖς χορδαῖς, καὶ οὕτω μετ' ὠδῆς προσενεχθῆναι τῇ Λέσβῳ, κἀκείνους ἀνελομένους τὴν μὲν κεφαλὴν καταθάψαι, ἵναπερ νῦν τὸ Βακχεῖον αὐ-

aurea lauro pulcherrimam, ut pro fructu lauri smaragdi essent æquali fructus illius magnitudine : citharam autem ipsam, admirandum opus pulchritudine et pretio, ex auro totam solido, sigillisque et gemmis variis ornatam, quibus Musæ inter alia et Apollo et Orpheus insculpti essent : ingens videntibus miraculum.

9. Quum vero tandem aliquando venisset dies certaminis, tres erant, quorum media canendi sors exiit Evangelo, et post Thebanum quidem Thespin, qui non male certaverat. Ingreditur ergo, auro relucens totus, et smaragdis, et beryllis, atque hyacinthis : decora quoque vestimenti purpura, inter aurum interlucens. His omnibus quum ante perculisset theatrum et admirabili exspectatione spectatores implesset, ac tandem canere etiam et citharam pulsare omnino oporteret; pulsare incipit inconcinnum quiddam et incongruum; abrumpit autem chordas simul tres, vehementius justo in citharam dum irruit; incipitque cantare adeo alienum quiddam a Musis atque tenue, ut risus spectatorum omnium cooriretur, præsides autem certaminis indigne ferentes hominis audaciam, flagris cæsum theatro ejicerent : quo quidem tempore maxime ridiculus visus est aureus ille Evangelus, qui ploraret tractus a virgatoribus per mediam scenam, cruenta a flagellis crura habens, humi colligens sigilla citharæ, quæ exciderant scilicet quum vapularet una cum ipso etiam cithara.

10. Parvo autem post illum intervallo Eumelus aliquis intrat ex Elide, citharam habens veterem, cujus lignei essent verticilli, vestem vero vix cum ipsa corona drachmis decem dignam. At hic, qui dextre cantasset et lege artis tractasset citharam, vicit, et præconio ornatus est, et derisit Evangelum, frustra superbientem cithara illa sua et sigillis, ac dixisse illi fertur, Tu quidem, Evangele, aurea lauro cinctus es, quippe dives; ego vero pauperculus Delphica. Ceterum illum solum tui apparatus fructum tibi habes, quod, ne miserante quidem ullo te victum, hinc discedis, sed exosus omnibus propter artis illam expertem atque supervacuam luxuriem. Apprime tibi Evangelus ille congruit, quatenus tu quoque plane non curas risum spectatorum.

11. Neque vero intempestivum fuerit Lesbiam tibi fabulam enarrare antiquam. Quum Orpheum Thressæ mulieres discerpsissent, caput illius una cum lyra in Hebrum delapsum in sinum Melana delatum esse aiunt; atque innatasse caput lyræ, canens, ut ferunt, threnum de Orpheo, cui lyra, ventis chordas impellentibus, succinuerit, et sic cum cantu appulsam Lesbo : illosque sublatum caput sepeliisse,

τοῖς ἐστι, τὴν λύραν δὲ ἀναθεῖναι ἐς τοῦ Ἀπόλλωνος τὸ ἱερὸν καὶ ἐπὶ πολύ γε σώζεσθαι αὐτήν.

12. Χρόνῳ δὲ ὕστερον Νέανθον τὸν τοῦ Πιττακοῦ τοῦ τυράννου ταῦτα ὑπὲρ τῆς λύρας πυνθανόμενον, ὡς ἐκήλει μὲν καὶ θηρία καὶ φυτὰ καὶ λίθους, ἐμελῴδει δὲ καὶ μετὰ τὴν Ὀρφέως συμφορὰν μηδενὸς ἅπτομένου, πρὸς ἔρωτα τοῦ κτήματος ἐμπεσεῖν καὶ διαφθείραντα τὸν ἱερέα μεγάλοις χρήμασι πεῖσαι ὑποθέντα ἑτέραν ὁμοίαν λύραν δοῦναι αὐτῷ τὴν τοῦ Ὀρφέως· λαβόντα δὲ μεθ' ἡμέραν μὲν ἐν τῇ πόλει χρῆσθαι οὐκ ἀσφαλὲς οἴεσθαι εἶναι, νύκτωρ δὲ ὑπὸ κόλπον ἔχοντα μόνον προελθεῖν ἐς τὸ προάστειον καὶ προχειρισάμενον κρούειν καὶ συνταράττειν τὰς χορδὰς ἄτεχνον καὶ ἄμουσον νεανίσκον, ἐλπίζοντα μέλη τινὰ θεσπέσια ὑπηχήσειν τὴν λύραν, ὑφ' ὧν πάντας καταθέλξειν καὶ κηλήσειν καὶ μακάριον ἔσεσθαι κληρονομήσαντα τῆς Ὀρφέως μουσικῆς· ἄχρι δὴ ξυνελθόντας τοὺς κύνας πρὸς τὸν ἦχον — πολλοὶ δὲ ἦσαν αὐτόθι — διασπάσασθαι αὐτὸν, ὡς τοῦτο γοῦν ὅμοιον τῷ Ὀρφεῖ παθεῖν καὶ μόνους ἐφ' ἑαυτὸν ξυγκαλέσαι τοὺς κύνας· ὅτεπερ καὶ σαφέστατα ὤφθη ὡς οὐχ ἡ λύρα θέλγουσα ἦν, ἀλλὰ ἡ τέχνη καὶ ἡ ᾠδὴ, ἃ μόνα ἐξαίρετα τῷ Ὀρφεῖ παρὰ τῆς μητρὸς ὑπῆρχεν. Ἡ λύρα δὲ ἄλλως κτῆμα ἦν οὐδὲν ἄμεινον τῶν ἄλλων βαρβίτων.

13. Καί τί σοι τὸν Ὀρφέα ἢ τὸν Νέανθον λέγω, ὅπου καὶ καθ' ἡμᾶς αὐτοὺς ἐγένετό τις καὶ ἔτι ἐστὶν, οἶμαι, ὃς τὸν Ἐπικτήτου λύχνον τοῦ Στωϊκοῦ κεραμεοῦν ὄντα τρισχιλίων δραχμῶν ἐπρίατο; ἤλπιζε γὰρ οἶμαι κἀκεῖνος, εἰ τῶν νυκτῶν ὑπ' ἐκείνῳ τῷ λύχνῳ ἀναγιγνώσκοι, αὐτίκα μάλα καὶ τὴν Ἐπικτήτου σοφίαν ὄναρ ἐπιστήσεσθαι καὶ ὅμοιος ἔσεσθαι τῷ θαυμαστῷ ἐκείνῳ γέροντι.

14. Χθὲς δὲ καὶ πρώην ἄλλος τις τὴν Πρωτέως τοῦ Κυνικοῦ βακτηρίαν, ἣν καταθέμενος ἥλατο ἐς τὸ πῦρ, ταλάντου κἀκεῖνος ἐπρίατο, καὶ ἔχει μὲν τὸ κειμήλιον τοῦτο καὶ δείκνυσιν ὡς Τεγεᾶται τοῦ Καλυδωνίου τὸ δέρμα καὶ Θηβαῖοι τὰ ὀστᾶ τοῦ Γηρυόνου καὶ Μεμφῖται τῆς Ἴσιδος τοὺς πλοκάμους· αὐτὸς δὲ ὁ τοῦ θαυμαστοῦ κτήματος δεσπότης καὶ αὐτὸν σὲ τῇ ἀπαιδευσίᾳ καὶ βδελυρίᾳ ὑπερηκόντισεν. Ὁρᾷς ὅπως κακοδαιμόνως διάκεισαι βακτηρίας ἐς τὴν κεφαλὴν ὡς ἀληθῶς δεόμενος;

15. Λέγεται γὰρ καὶ Διονύσιον τραγῳδίαν ποιεῖν φαύλως πάνυ καὶ γελοίως, ὥστε τὸν Φιλόξενον πολλάκις δι' αὐτὴν ἐς τὰς λατομίας ἐμπεσεῖν οὐ δυνάμενον κατέχειν τὸν γέλωτα. Οὗτος τοίνυν πυθόμενος ὡς ἐγγελᾶται, τὸ Αἰσχύλου πυξίον, εἰς ὃ ἐκεῖνος ἔγραφε, σὺν πολλῇ σπουδῇ κτησάμενος καὶ αὐτὸς ᾤετο ἔνθεος ἔσεσθαι καὶ κάτοχος ἐκ τοῦ πυξίου, ἀλλ' ὅμως ἐν αὐτῷ ἐκείνῳ μακρῷ γελοιότερα ἔγραφεν, οἷον κἀκεῖνο τὸ,

Δωρὶς τέθνηκεν ἡ Διονυσίου γυνή·

καὶ πάλιν,

Οἴμοι, γυναῖκα χρησίμην ἀπώλεσα·

ubi nunc Baccheum illis est, lyram vero Apollinis in templo dedicasse, ubi diu servata sit.

12. Interjecto tempore Neanthum Pittaci tyranni filium, qui istæc de lyra audisset, ut animalia et plantas et saxa demulceret, ac post Orphei mortem, nemine illam tractante caneret, in cupiditatem illius habendæ incidisse, corruptoque magna vi pecuniæ sacerdoti persuasisse, ut subjecta alia simili, Orphei sibi lyram daret. Quum vero accepisset, interdiu quidem in urbe ea uti non satis tutum putasse; noctu vero illa sinu condita solum progressum esse in locum suburbanum, eaque depromta, pulsasse et perturbasse fides adolescentem artis et Musarum expertem, qui speraret carmina quædam divina reddituram esse lyram, quibus delinire omnes ac mulcere quum posset, beatum se fore musicæ Orphei heredem; donec convenientes ad sonum canes (multos autem ibi fuisse) istum laniaverint. Hactenus ergo Orphei simile fatum habuisse, sed solos ad se convocasse canes. Ubi illud quidem manifestissime apparuit, non lyram fuisse quæ demulserit, sed artem et cantum, quæ sola eximia Orpheo a matre contigerant. Ceterum lyra supellex erat non melior barbitis aliis.

13. Et quid Orphea tibi aut Neanthum narro, quum nostra ætate fuerit, et forte adhuc sit, qui Epicteti Stoici lucernam fictilem tribus drachmarum millibus emerit? Sperabat, puto, ille etiam, si noctu ad illam lucernam legeret, continuo sapientiam Epicteti astituram sibi per quietem, seque similem seni admirabili futurum.

14. Heri vero et nudiustertius alius quis Cynici Protei baculum, quem deposuerat quum in ignem desiliret, talento ipse quoque emit, et habet pignus illud atque ostentat, ut Tegeatæ Calydonii apri exuvias, et Geryonis ossa Thebani, et Memphitæ cincinnos Isidis: ipse vero admirabilis rei dominus vel ipsum te inscitia atque impuritate vicit. Viden' quam infeliciter te habeas, baculo in caput revera indigens?

15. Dicitur etiam Dionysius tyrannus scripsisse tragœdiam, male sane et ridicule, adeo ut sæpe propter eam in lautumias inciderit Philoxenus, qui risum continere non posset. Hic ergo derideri se audiens, pugillares Æschyli, in quibus ille scribere solitus fuerat, studiose emit, futurum ratus ut et ipse divino quodam ad poeticen studio inde animaretur. Verum enim vero in illis ipsis tabellis longe etiam magis ridicula scribebat, quale illud,

Doris Dionysi conjux suum obiit diem;

et illud,

Hei conjugem ego quam commodam deperdidi!

καὶ τοῦτο γὰρ ἐκ τοῦ πυξίου, καὶ τὸ,

Αὐτοῖς γὰρ ἐμπαίζουσιν οἱ μωροὶ βροτῶν.

Τοῦτο μέν γε πρὸς σὲ μάλα εὐστόχως ἂν εἰρημένον εἴη τῷ Διονυσίῳ, καὶ δι' αὐτὸ χρυσῶσαι αὐτοῦ ἔδει ἐκεῖνο τὸ πυξίον.

16. Τίνα γὰρ ἐλπίδα καὶ αὐτὸς ἔχων ἐς τὰ βιβλία καὶ ἀνατυλίττεις ἀεὶ καὶ διακολλᾷς καὶ περικόπτεις καὶ ἀλείφεις τῷ κρόκῳ καὶ τῇ κέδρῳ καὶ διφθέρας περιβάλλεις καὶ ὀμφαλοὺς ἐντίθης, ὡς δή τί ἀπολαύσων αὐτῶν; Πάνυ γοῦν ἤδη βελτίων γεγένησαι διὰ τὴν ὠνήν, ὃς τοιαῦτα μὲν φθέγγῃ... μᾶλλον δὲ καὶ τῶν ἰχθύων ἀφωνότερος εἶ. Βιοῖς δὲ ὡς οὐδ' εἰπεῖν καλόν, μῖσος δὲ ἄγριον, φασί, παρὰ πάντων ἔχεις ἐπὶ τῇ βδελυρίᾳ, ὡς εἰ τοιούτους ἀπειργάζετο τὰ βιβλία, φυγῇ φευκτέον ἂν ἦν ὅτι ποῤῥωτάτω ἀπ' αὐτῶν.

17. Δυοῖν δὲ ὄντοιν, ἅττ' ἂν παρὰ τῶν παλαιῶν τις κτήσαιτο, λέγειν τε δύνασθαι καὶ πράττειν τὰ δέοντα ζήλῳ τῶν ἀρίστων καὶ φυγῇ τῶν χειρόνων, ὅταν μήτε ἐκεῖνα μήτε ταῦτα φαίνηταί τις παρ' αὐτῶν ὠφελούμενος, τί ἄλλο ἢ τοῖς μυσὶ διατριβὰς ὠνεῖται καὶ ταῖς τίλφαις οἰκήσεις καὶ πληγὰς ὡς ἀμελοῦσι τοῖς οἰκέταις;

18. Πῶς δὲ οὐ κἀκεῖνο αἰσχρὸν, εἴ τις ἐν τῇ χειρὶ ἔχοντά τε βιβλίον ἰδών — ἀεὶ δέ τι πάντως ἔχεις — ἔροιτο οὗτινος ἢ ῥήτορος ἢ ξυγγραφέως ἢ ποιητοῦ ἐστι, σὺ δὲ ἐκ τῆς ἐπιγραφῆς εἰδὼς πράως εἴποις τοῦτό γε· εἶτα, ὡς φιλεῖ τὰ τοιαῦτα ἐν ξυνουσίᾳ προχωρεῖν ἐς μῆκος λόγων, ὁ μὲν ἐπαινοῖ τι ἢ αἰτιῷτο τῶν ἐγγεγραμμένων, σὺ δὲ ἀπορίας καὶ μηδὲν ἔχοις εἰπεῖν, οὐκ εὔξῃ τότε χανεῖν σοι τὴν γῆν, κατὰ σεαυτοῦ ὁ Βελλεροφόντης περιφέρων τὸ βιβλίον;

19. Δημήτριος δὲ ὁ Κυνικὸς ἰδὼν ἐν Κορίνθῳ ἀπαίδευτόν τινα βιβλίον κάλλιστον ἀναγιγνώσκοντα, τὰς Βάκχας οἶμαι τοῦ Εὐριπίδου, κατὰ τὸν ἄγγελον δὲ ἦν τὸν διηγούμενον τὰ τοῦ Πενθέως πάθη καὶ τὸ τῆς Ἀγαύης ἔργον, ἁρπάσας διέσπασεν αὐτὸ εἰπών, Ἀμεινόν ἐστι τῷ Πενθεῖ ἅπαξ σπαραχθῆναι ὑπ' ἐμοῦ ἢ ὑπὸ σοῦ πολλάκις. Ζητῶν δὲ ἀεὶ πρὸς ἐμαυτὸν οὕπω καὶ τήμερον εὑρεῖν δεδύνημαι τίνος ἕνεκα τὴν σπουδὴν ταύτην ἐσπούδακας περὶ τὴν ὠνὴν τῶν βιβλίων· ὠφελείας μὲν γὰρ ἢ χρείας τῶν ἀπ' αὐτῶν οὐδ' ἂν οἰηθείη τις τῶν καὶ ἐπ' ἐλάχιστόν σε εἰδότων, οὐ μᾶλλον ἢ φαλακρὸς ἄν τις πρίαιτο κτένα ἢ κάτοπτρον ὁ τυφλὸς ἢ ὁ κωφὸς αὐλητὴν ἢ παλλακὴν ὁ εὐνοῦχος ἢ ὁ ἠπειρώτης κώπην ἢ ὁ κυβερνήτης ἄροτρον. Ἀλλὰ μὴ ἐπίδειξιν πλούτου σοι τὸ πρᾶγμα ἔχει καὶ βούλει τοῦτο ἐμφῆναι ἅπασιν, ὅτι καὶ εἰς τὰ μηδέν σοι χρήσιμα ὑμῶς ἐκ πολλῆς τῆς περιουσίας ἀναλίσκεις; Καὶ μὴν ὅσα γε κἀμὲ Σύρον ὄντα εἰδέναι, εἰ μὴ σαυτὸν φέρων ταῖς τοῦ γέροντος ἐκείνου διαθήκαις παρενέγραψας, ἀπωλώλεις ἂν ὑπὸ λιμοῦ ἤδη καὶ ἀγορὰν προὐτίθεις τῶν βιβλίων.

20. Λοιπὸν οὖν ὀὴ ἐκεῖνο πεπεισμένον σε ὑπὸ τῶν

nam istuc etiam de pugillaribus : et illud,

Stulti sibi illudunt enim mortalium.

Atque hoc quidem aptissime dictum in te videri potest a Dionysio, ac propter hoc carmen inaurare decebat illos ipsius pugillares.

16. Qua enim ipse spe de libris concepta, eos evolvis semper, et glutinas, et circumcidis, et croco cedroque inungis, et pelles circumdas, et apponis umbilicos, tanquam fructum aliquem illorum capturus? Nempe melior omnino jam ipsa illa emtione factus es, qui talia dicas — imo potius piscibus magis mutus es. Vivis autem ut neque dicere honestum sit, sed immane, ut in proverbio est, odium omnium sustines propter impuritatem. Itaque si talem libri efficerent, curriculo quam longissime fugiendum ab illis erat.

17. Quum vero duo fere sint quæ a veteribus parare sibi possit aliquis, ut et dicere possit et facere quæ oportet, optimorum æmulatione, et fuga deteriorum : si neque istuc neque hoc utilitatis percepisse aliquem inde appareat; quid aliud quam exercitationes muribus parabit, aut habitacula blattis, aut servis plagas tanquam istorum negligentibus?

18. Quomodo vero turpe esse illud quoque negabis, si quis te videns in manu librum habere (semper autem omnino habes aliquem), interroget cujus aut oratoris aut historici aut poetæ sit; tu vero, qui ex titulo noris, placide illud certe respondeas : deinde vero, ut solent talia in consuetudine familiari ad longos sermones procedere, ille laudet aliquid aut vituperet de his quæ ibi scripta sunt; tu vero consilii inops non habeas quod dicas : non tibi tum dehiscere tellurem optabis, qui libellum eo modo quo Bellerophontes contra te circumferas?

19. Cynicus Demetrius quum videret Corinthi indoctum quendam, qui librum legeret pulcherrimum, Bacchas puto Euripidis, esset autem in ea parte fabulæ ubi nuncius Penthei factum enarrat et opus Agavæ : raptum librum discerpsit, dicens, Melius est Pentheo semel a me lacerari quam a te sæpe. Diu autem ac multum apud me quærens, nondum etiam hodie reperire valui, cujus rei causa tantum studii in emendis libris colloces : utilitatis enim aut usus cujusquam ex illis percipiendi causa te facere nemo putarit, qui vel minimam tui notitiam habeat; non magis quam calvus pectinem emerit, aut speculum cæcus, aut surdus tibicinem, aut pellicem castratus, aut mediterraneus remum, aut aratrum gubernator. Verum ostentationem forte divitiarum ea res habet, et hoc vis declarare omnibus, te in ea etiam, quæ nullam tibi utilitatem afferant, tamen de multa illa affluentia aliquid impendere? Verum enim vero, quantum ego etiam, Syrus homo, scire potui, nisi te ipse in illas senis istius tabulas per fraudem inscripsisses, jam perisses fame, et auctionem librorum tuorum proposuisses.

20. Relinquitur nempe illud, inductum te ab adulatoribus

κολάκων ὡς οὐ μόνον καλὸς εἶ καὶ ἐράσμιος, ἀλλὰ σοφὸς καὶ ῥήτωρ καὶ ξυγγραφεὺς οἷος οὐδ' ἕτερος, ὠνεῖσθαι τὰ βιβλία, ὡς ἀληθεύοις τοὺς ἐπαίνους αὐτῶν. Φασὶ δὲ σὲ καὶ λόγους ἐπιδείκνυσθαι αὐτοῖς ἐπὶ δείπνῳ κἀκείνους χερσαίων βατράχων δίκην διψῶντας κεκραγέναι, καὶ μὴ πίνειν, ἢν μὴ διαρραγῶσι βοῶντες. Καὶ γὰρ οὐκ οἶδ' ὅπως ῥᾷστος εἶ τῆς ῥινὸς ἕλκεσθαι, καὶ πιστεύεις αὐτοῖς ἅπαντα, ὅς ποτε κἀκεῖνο ἐπείσθης, ὡς βασιλεῖ τινι ὡμοιώθης τὴν ὄψιν καθάπερ ὁ ψευδαλέξανδρος καὶ ψευδοφίλιππος ἐκεῖνος κναφεὺς καὶ ὁ κατὰ τοὺς προπάτορας ἡμῶν ψευδονέρων καὶ εἴ τις ἄλλος τῶν ὑπὸ τὸ ψεῦδος τεταγμένων.

21. Καὶ τί θαυμαστὸν, εἰ τοῦτο ἔπαθες ἀνόητος καὶ ἀπαίδευτος ἄνθρωπος καὶ προήεις ἐξυπτιάζων καὶ μιμούμενος βάδισμα καὶ σχῆμα καὶ βλέμμα ἐκείνου, ᾧ σεαυτὸν εἰκάζων ἔχαιρες, ὅπου καὶ Πύρρον φασὶ τὸν Ἠπειρώτην τὰ ἄλλα θαυμαστὸν ἄνδρα οὕτως ὑπὸ κολάκων ἐπὶ τῷ ὁμοίῳ ποτὲ διαφθαρῆναι, ὡς πιστεύειν ὅτι ὅμοιος ἦν Ἀλεξάνδρῳ ἐκείνῳ; καίτοι τὸ τῶν μουσικῶν τοῦτο, ὃς διὰ πασῶν τὸ πρᾶγμα ἦν· εἶδον γὰρ καὶ τὴν τοῦ Πύρρου εἰκόνα, καὶ ὅμως ἐπέπειστο ἐκμεμάχθαι τοῦ Ἀλεξάνδρου τὴν μορφήν. Ἀλλ' ἕνεκα μὲν δὴ τούτων ὕβρισταί μοι ἐς τὸν Πύρρον, ὅτι σὲ εἴκασα κατὰ τοῦτ' αὐτῷ. Τὸ δὲ ἀπὸ τούτου καὶ πάνυ σοι πρέπον ἂν εἴη· ἐπεὶ γὰρ οὕτω διέκειτο ὁ Πύρρος καὶ ταῦτα ὑπὲρ ἑαυτοῦ ἐπέπειστο, οὐδεὶς ὅστις οὐ ξυνετίθετο καὶ ξυνέπασχεν αὐτῷ, ἄχρι δή τις ἐν Λαρίσσῃ πρεσβῦτις ξένη αὐτῷ τἀληθὲς εἰποῦσα ἔπαυσεν αὐτὸν τῆς κορύζης. Ὁ μὲν γὰρ Πύρρος ἐπιδείξας αὐτῇ εἰκόνα Φιλίππου καὶ Περδίκκου καὶ Ἀλεξάνδρου καὶ Κασσάνδρου καὶ ἄλλων βασιλέων ἤρετο τίνι ὅμοιος εἴη, πάνυ πεπεισμένος ἐπὶ τὸν Ἀλέξανδρον ἥξειν αὐτήν, ἡ δὲ πολὺν χρόνον ἐπισχοῦσα, Βατραχίωνι, ἔφη, τῷ μαγείρῳ· καὶ γὰρ ἦν τις ἐν τῇ Λαρίσσῃ Βατραχίων μάγειρος τῷ Πύρρῳ ὅμοιος.

22. Καὶ σὺ δὴ ὅτινι μὲν τῶν τοῖς ὀρχησταῖς συνόντων κιναίδων ἔοικας οὐκ ἂν εἴποιμι, ὅτι δὲ μανίαν ἐρρωμένην ἔτι καὶ νῦν μαίνεσθαι δοκεῖς ἅπασιν ἐπ' ἐκείνῃ τῇ εἰκόνι, πάνυ σαφῶς οἶδα. Οὔκουν θαυμαστὸν, εἰ ἀπίθανος οὕτω ζωγράφος ὢν καὶ τοῖς πεπαιδευμένοις ἐξομοιοῦσθαι ἐθέλεις πιστεύων τοῖς τὰ τοιαῦτά σε ἐπαινοῦσι. Καίτοι τί ταῦτα ληρῶ; πρόδηλος γὰρ ἡ αἰτία τῆς περὶ τὰ βιβλία σπουδῆς, εἰ καὶ ὑπὸ νωθείας ἐγὼ μὴ πάλαι κατεῖδον· σοφὸν γὰρ, ὡς γοῦν οἴει, τοῦτ' ἐπινενόηκας καὶ ἐλπίδας οὐ μικρὰς ἔχεις περὶ τοῦ πράγματος, εἰ βασιλεὺς μάθοι ταῦτα σοφὸς ἀνὴρ καὶ παιδείαν μάλιστα τιμῶν· εἰ δὲ ταῦτα ὑπὲρ σοῦ ἐκεῖνος ἀκούσειεν, ὡς ὠνῇ βιβλία καὶ ξυνάγεις πολλὰ, πάντα ἐν βραχεῖ παρ' αὐτοῦ ἔσεσθαί σοι νομίζεις.

23. Ἀλλ', ὦ κατάπυγον, οἷει τοσοῦτον μανδραγόραν κατασχεχύσθαι αὐτοῦ ὡς ταῦτα μὲν ἀκούειν, ἐκεῖνα δὲ μὴ εἰδέναι, οἷος μέν σου ὁ μεθ' ἡμέραν βίος, οἷοι δέ σοι πότοι, ὁποῖαι δὲ νύκτες καὶ οἵοις καὶ ἡλίκοις ξυγκαθεύδεις; οὐκ οἶσθα ὡς ὦτα καὶ ὀφθαλμοὶ πολλοὶ βα-

uti credas non modo pulchrum te esse atque amabilem, sed doctum atque oratorem et historicum, qualis nemo alius, libros emere ideo, ut laudes illorum asseras. Aiunt vero te illis recitare in conviviis, atque illos terrestrium ranarum instar præ siti clamare, nec bibere, nisi dirumpantur clamoribus. Nescio enim quomodo peropportunus es qui naso ducaris, et credas illis omnia; qui aliquando illud etiam persuaderi tibi passus sis, regi te cuidam similem vultu esse, sicut commentitius ille Alexander, et fullo ille Pseudo-Philippus, et qui proavorum nostrorum memoria fuit, simulatus Nero, et si quis alius præfixam suo nomini mendacii notam gerit.

21. Et quid mirum si hoc tibi usu venit, dementi atque indocto homini, si processisti supina cervice, incessum imitatus et habitum et vultum illius, cui assimilare te gaudebas; quum etiam Pyrrhum narrent Epirotam, admirabilem alioqui virum, adeo quondam ab adulatoribus, quantum ad similitudinis judicium, corruptum, ut Alexandro se illi similem putaret? quum tamen ea res, ut musici dicunt, summo intervallo distaret : vidi enim Pyrrhi etiam imaginem; et tamen putabat in se expressam Alexandri formam. Sed hactenus in Pyrrhum fui injurius, quod te illi, quantum ad hanc rem, comparavi. Quod autem sequitur, vel maxime tibi convenerit : quum enim ita animum induxisset Pyrrhus, eaque de se ipse crederet; nemo erat quin accederet illius sententiæ, et in societatem hujus morbi veniret, donec quædam Larissæ anus peregrina verum dicendo ista ipsum pituita liberavit. Pyrrhus enim postquam ostenderat illi imaginem Philippi, et Perdiccæ, et Alexandri, et Cassandri, aliorumque regum, interrogabat cui ipse similis esset, persuasum omnino habens venturam ad Alexandrum : at illa diu cunctata, Batrachioni, inquit, coquo. Etenim erat aliquis in urbe Larissa Batrachion nomine coquus, Pyrrho similis.

22. Tu sane cui de cinædis illis, saltatorum libidini servientibus, similis sis, non equidem dixerim : te vero furorem robustum nunc adhuc furere videri omnibus ista de imagine, illud plane scio. Itaque mirandum non est, te malum adeo pictorem eruditis videri velle similem, et his fidem habere qui eo te nomine laudant. Verum quid ista nugor? manifesta enim causa tui circa libros studii, licet ego præ tarditate non olim perspexerim. Sapiens enim, ut quidem putas, hoc tuum commentum est, et spes non parvas ea de re concepisti, si Imperator ista audiat, vir sapiens, et in honore habens eruditionem maximo : si vero ista de te ille audiat, ut emas libros et conducas multos, brevi te tempore ab ipso impetraturum speras omnia.

23. Sed putasne, impudice, tam copiosa illum mandragora perfusum, ut hæc quidem audiat, nesciat vero idem, qualis sit diurna vita tua, quales tuæ potationes, quæ noctes, cum qualibus et cujus ætatis hominibus cubes? nescin' multas esse aures, oculos regis multos? tua vero

σιλέως; τὰ δὲ σὰ οὕτω περιφανῆ ἐστιν ὡς καὶ τυφλοῖς εἶναι καὶ κωφοῖς γνώριμα· εἰ γὰρ καὶ φθέγξαιο μόνον, εἰ γὰρ καὶ λουόμενος ἀποδύσαιο, μᾶλλον δὲ μηδ' ἀποδύσῃ, εἰ δοκεῖ, οἱ δ' οἰκέται μόνον ἦν ἀποδύσωνταί σου, τί οἴει, μὴ αὐτίκα ἔσεσθαι πάντα σου πρόδηλα τὰ τῆς νυκτὸς ἀπόρρητα; Εἰπὲ γοῦν μοι καὶ τόδε, εἰ Βάσσος ὁ ὑμέτερος ἐκεῖνος σοφιστὴς ἢ Βάταλος ὁ αὐλητὴς ἢ ὁ κίναιδος Ἡμιθέων ὁ Συβαρίτης, ὃς τοὺς θαυμαστοὺς ὑμῖν νόμους συνέγραψεν, ὡς χρὴ λεαίνεσθαι καὶ παρατίλλεσθαι καὶ πάσχειν καὶ ποιεῖν ἐκεῖνα, εἰ τούτων τις νυνὶ λεοντῆν περιβαλλόμενος καὶ ῥόπαλον ἔχων βαδίζοι, τί οἴει φαίνεσθαι τοῖς ὁρῶσιν; Ἡρακλέα εἶναι αὐτόν; οὐκ, εἴ γε μὴ χύτραις λημῶντες τυγχάνοιεν. Μυρία γάρ ἐστι τὰ ἀντιμαρτυροῦντα τῷ σχήματι, βάδισμα καὶ βλέμμα καὶ φωνὴ καὶ τράχηλος ἐπικεκλασμένος καὶ ψιμύθιον καὶ μαστίχη καὶ φῦκος, οἷς ὑμεῖς κοσμεῖσθε, καὶ ὅλως κατὰ τὴν παροιμίαν, θᾶττον ἂν πέντε ἐλέφαντας ὑπὸ μάλης κρύψειας ἢ ἕνα κίναιδον. Εἶτα ἡ λεοντῆ μὲν τὸν τοιοῦτον οὐκ ἂν ἔκρυψε, σὺ δ' οἴει λήσειν σκεπόμενος βιβλίῳ; ἀλλ' οὐ δυνατόν· προδώσει γάρ σε καὶ ἀποκαλύψει τὰ ἄλλα ὑμῶν γνωρίσματα.

24. Τὸ δ' ὅλον ἀγνοεῖν μοι δοκεῖς ὅτι τὰς ἀγαθὰς ἐλπίδας οὐ παρὰ τῶν βιβλιοκαπήλων δεῖ ζητεῖν, ἀλλὰ παρ' αὐτοῦ καὶ τοῦ καθ' ἡμέραν βίου λαμβάνειν. Σὺ δ' οἴει συνήγορον κοινὸν καὶ μάρτυρα ἔσεσθαί σοι τὸν Ἀττικὸν καὶ Καλλῖνον τοὺς βιβλιογράφους; οὐκ, ἀλλ' ὠμούς τινας ἀνθρώπους ἐπιτρίψοντάς σε, ἢν οἱ θεοὶ ἐθέλωσι, καὶ πρὸς ἔσχατον πενίας ξυνελάσοντας· δέον ἔτι νῦν σωφρονήσαντα ἀποδόσθαι μέν τινι τῶν πεπαιδευμένων τὰ βιβλία ταῦτα καὶ σὺν αὐτοῖς τὴν νεόκτιστον ταύτην οἰκίαν, ἀποδοῦναι δὲ τοῖς ἀνδραποδοκαπήλοις μέρος γοῦν ἀπὸ πολλῶν τῶν ὀφειλομένων.

25. Καὶ γὰρ κἀκεῖνα περὶ δύο ταῦτα δεινῶς ἐσπούδακας, βιβλίων τε τῶν πολυτελῶν κτῆσιν καὶ μειρακίων -ῶν ἐξώρων καὶ ἤδη καρτερῶν ὠνῆν, καὶ τὸ πρᾶγμά σοι πάνυ σπουδάζεται καὶ θηρεύεται. Ἀδύνατον δὲ πένητα ὄντα πρὸς ἄμφω διαρκεῖν. Σκόπει τοίνυν, ὡς ἱερὸν χρῆμα συμβουλή. Ἀξιῶ γάρ σε ἀφέμενον τῶν μηδὲν προσηκόντων τὴν ἑτέραν νόσον θεραπεύειν καὶ τοὺς ὑπηρέτας ἐκείνους ὠνεῖσθαι, ὅπως μὴ ἐπιλειπόντων σε τῶν οἴκοθεν μεταστέλλοιό τινας τῶν ἐλευθέρων, οἷς ἀκίνδυνον ἀπελθοῦσιν, ἢν μὴ λάβωσιν ἅπαντα, ἐξαγορεῦσαι τὰ πραχθέντα ὑμῖν μετὰ τὸν πότον, οἷα καὶ πρώην αἴσχιστα περὶ σοῦ διηγεῖτο ἐξελθὼν ὁ πόρνος ἔτι καὶ δήγματα ἐπιδεικνύς. Ἀλλ' ἔγωγε καὶ μάρτυρας ἂν παρασχοίμην τοὺς τότε παρόντας, ὡς ἠγανάκτησα καὶ ὀλίγου πληγὰς ἐνέτριψα αὐτῷ χαλεπαίνων ὑπὲρ σοῦ, καὶ μάλισθ' ὅτε καὶ ἄλλον ἐπεκαλέσατο μάρτυρα τῶν ὁμοίων καὶ ἄλλον ταὐτὰ καὶ λόγοις διηγουμένους. Πρὸς δὴ ταῦτα, ὦγαθέ, ταμιεύου ταργύριον καὶ φύλαττε, ὡς οἶκοι καὶ κατὰ πολλὴν ἀσφάλειαν ταῦτα ποιεῖν καὶ πάσχειν ἔχῃς. Ὥστε μὲν γὰρ μηκέτι ἐργάζεσθαι τίς ἂν μεταπείσειέ σε; οὐδὲ γὰρ κύων ἅπαξ παύσαιτ' ἂν σκυτοτραγεῖν μαθοῦσα.

facta ita sunt aperta, ut cæcis etiam atque surdis innotuerint. Si enim vocem modo mittas, si enim exuaris in balneo; quin, ne exuaris ipse, si videtur, si servi modo tui exuantur, quid putas? nonne statim manifesta futura tuarum secreta noctium? Dic igitur mihi hoc etiam, si vester ille Bassus sophista, aut Batalus tibicen, aut cinædus Syharitanus Hemitheon, qui nobiles illas leges vobis scripsit, quomodo lævigari, velli, pati et agere ista deceat; si, inquam, illorum aliquis leonina pelle indutus cum fusti ambulet; quid visum iri putas spectantibus? Herculemne illum esse? non, nisi quidem totas lippiant ollas. Sexcenta enim sunt quæ testimonium adversus illum habitum perhibeant, incessus, conjectus oculorum, et vox, et cervix infracta, et cerussa, et mastiche, et fucus, quibus vos ornamini: et omnino facilius, quod est in proverbio, quinque sub axilla elephantos tegas, quam unum cinædum. Tum leonina talem non tegat; tu vero speras futurum uti libro tectus delitescas? Sed fieri id quidem non potest: prodent enim te ac detegent reliqua indicia vestra.

24. Quod caput est, ignorare mihi videris, bonas spes non a bibliopolis esse petendas, sed a se ipso unicuique atque a quotidiana vita sua sumendas. Tu vero putas advocatum communem testemque futurum tibi Atticum et Callinum librarios? Non, sed crudeles quosdam homines puta te obtrituros, ubi diis visum erit, et ad extremum paupertatis adacturos: qui debebas vel nunc ad sanitatem revocatus vendere eruditorum alicui libros istos, et cum his recens ædificatam illam domum, ac reddere mangonibus partem certe de multis quæ illis debentur.

25. Etenim in duobus istis studiosissime elaborasti, in libris magni pretii exquirendis, et in adolescentulis exoletis jamque robustis coemendis; eamque rem calide admodum tractas et venaris: fieri autem non potest ut homo pauper utrique studio par sis. Vide ego quam divina res sit consilium. Censeo enim te, relictis quæ nihil ad te pertinent, alteri tantum morbo vacare, et illius ministros pretio emere, ne deficientibus servis, ex liberis hominibus quosdam accersas, quibus nempe haud periculosum, si non cuncta acceperint, eliminare quæ post compotationem a vobis fiunt; qualia nuper turpissima de te scortum illud effutiebat jam tum, quum exiret, et morsus ostendebat. Ac possum ego testes etiam præbere qui tum aderant, quam indigne tulerim, et tantum non plagis hominem mulcaverim, tuam vicem nimirum iratus, præsertim quum alium quoque testem ille advocaret similium, et alium, eadem claris verbis enarrantes. Ad hæc igitur, vir bone, repone tibi pecuniam et serva, ut domi et secure talia facere et pati possis. Ut enim plane non amplius facias, quis in eam te sententiam traducat? nec enim canis desinat temere, corium semel docta rodere.

26. Τὸ δ' ἕτερον ῥᾴδιον, τὸ μηκέτι ὠνεῖσθαι βιβλία. Ἱκανῶς πεπαίδευσαι, ἅλις σοι τῆς σοφίας, μόνον οὐ καὶ ἐπ' ἄκρου τοῦ χείλους ἔχεις τὰ παλαιὰ πάντα, πᾶσαν μὲν ἱστορίαν οἶσθα, πάσας δὲ λόγων τέχνας καὶ κάλλη αὐτῶν καὶ κακίας καὶ ὀνομάτων χρῆσιν τῶν Ἀττικῶν· πάνσοφόν τι χρῆμα καὶ ἄκρον ἐν παιδείᾳ γεγένησαι διὰ τὸ πλῆθος τῶν βιβλίων· κωλύει γὰρ οὐδὲν κἀμέ σοι ἐνδιατρίβειν, ἐπειδὴ χαίρεις ἐξαπατώμενος.

27. Ἡδέως δ' ἂν καὶ ἐροίμην σε, τὰ τοσαῦτα βιβλία ἔχων τί μάλιστα ἀναγιγνώσκεις αὐτῶν; τὰ Πλάτωνος; τὰ Ἀντισθένους; τὰ Ἀρχιλόχου; τὰ Ἱππώνακτος; ἢ τούτων μὲν ὑπερφρονεῖς, ῥήτορες δὲ μάλιστά σοι τούτων διὰ χειρός; Εἰπέ μοι, καὶ Αἰσχίνου τὸν κατὰ Τιμάρχου λόγον ἀναγιγνώσκεις; ἢ ἐκεῖνά γε πάντα οἶσθα καὶ γιγνώσκεις αὐτῶν ἕκαστον; τὸν δὲ Ἀριστοφάνην καὶ τὸν Εὔπολιν ὑποδέδυκας; ἀνέγνως καὶ τοὺς Βάπτας τὸ δρᾶμα ὅλον; εἶτ' οὐδέν σου τἀκεῖ καθίκετο οὐδ' ἠρυθρίασας γνωρίσας αὐτά; τοῦτο γοῦν καὶ μάλιστα θαυμάσειεν ἄν τις, τίνα ποτὲ ψυχὴν ἔχων ἅπτει τῶν βιβλίων, ὁποίαις αὐτὰ χερσὶν ἀνελίττεις. Ποτὲ δὲ ἀναγιγνώσκεις; μεθ' ἡμέραν; ἀλλ' οὐδεὶς ἑόρακε τοῦτο ποιοῦντα. Ἀλλὰ νύκτωρ; πότερον ἐπιτεταμένος ἤδη ἐκείνοισι πρὸ τῶν λόγων; Ἀλλὰ πρὸ σκότους; μηκέτι τολμήσῃς τοιοῦτο μηδέν.

28. Ἄφες δὲ τὰ βιβλία καὶ μόνα ἐργάζου τὰ σαυτοῦ. Καίτοι ἐχρῆν μηκέτι μηδὲ ἐκεῖνα, αἰδεσθῆναι δὲ τὴν τοῦ Εὐριπίδου Φαίδραν καὶ ὑπὲρ τῶν γυναικῶν ἀγανακτοῦσαν καὶ λέγουσαν,

> Οὐδὲ σκότον φρίσσουσι τὸν συνεργάτην
> τέρεμνά τ' οἴκων μή ποτε φθογγὴν ἀφῇ.

Εἰ δὲ πάντως ἐμμένειν τῇ ὁμοίᾳ νόσῳ διέγνωσται, ἴθι, ὠνοῦ μὲν βιβλία καὶ οἴκοι κατακλείσας ἔχε καὶ καρποῦ τὴν δόξαν τῶν κτημάτων. Ἱκανόν σοι καὶ τοῦτο. Προσάψῃ δὲ μηδέποτε μηδὲ ἀναγνῷς μηδὲ ὑπαγάγῃς τῇ γλώττῃ παλαιῶν ἀνδρῶν λόγους καὶ ποιήματα μηδὲν δεινόν σε εἰργασμένα. Οἶδα ὡς μάτην ταῦτά μοι λελήρηται καὶ κατὰ τὴν παροιμίαν Αἰθίοπα σμήχειν ἐπιχειρῶ· σὺ γὰρ ὠνήσῃ καὶ χρήσῃ ἐς οὐδὲν καὶ καταγελασθήσῃ πρὸς τῶν πεπαιδευμένων, οἷς ἀπόχρη ὠφελεῖσθαι οὐκ ἐκ τοῦ κάλλους τῶν βιβλίων οὐδ' ἐκ τῆς πολυτελείας αὐτῶν, ἀλλ' ἐκ τῆς φωνῆς καὶ τῆς γνώμης τῶν γεγραφότων.

29. Σὺ δὲ οἴει θεραπεύειν τὴν ἀπαιδευσίαν καὶ ἐπικαλύψειν τῇ δόξῃ ταύτῃ καὶ ἐκπλήξειν τῷ πλήθει τῶν βιβλίων, οὐκ εἰδὼς ὅτι καὶ οἱ ἀμαθέστατοι τῶν ἰατρῶν τὸ αὐτὸ σοὶ ποιοῦσιν ἐλεφαντίνους νάρθηκας καὶ σικύας ἀργυρᾶς ποιούμενοι καὶ σμίλας χρυσοκολλήτους· ὁπόταν δὲ καὶ χρήσασθαι τούτοις δέῃ, οἱ μὲν οὐδὲ ὅπως χρὴ μεταχειρίσασθαι αὐτὰ ἴσασι· παρελθὼν δέ τις ἐς τὸ μέσον τῶν μεμαθηκότων φλεβότομον εὖ μάλα ἠκονημένον ἔχων ἰοῦ τἆλλα μεστὸν ἀπήλλαξε τῆς ὀδύνης τὸν νοσοῦντα. Ἵνα δὲ καὶ γελοιοτέρῳ τινὶ τὰ σὰ εἰκάσω, τοὺς κουρέας τούτους ἐπίσκεψαι, καὶ ὄψει

26. At alterum facile, ut libros non amplius emas. Satis eruditus es, satis tibi sapientiæ : *tantum non* supremis in labiis habes antiqua omnia : historiam nosti omnem, artes omnes dicendi, et elegantias, et vitia, et Atticorum nominum usum. Omnino sapientissimum quiddam et summum *in eruditione librorum* ista multitudine factus es : nihil enim prohibet quominus ego quoque *tempus in te* fallam, quandoquidem imponi tibi gaudes.

27. Lubens autem te interrogaverim, tot libros quum habeas, quem potissimum inter eos legas : Platonisne? an Antisthenis? Archilochi, an Hipponactis? an hos quidem contemnis, sed oratores potius quam illi *in manibus tibi* sunt? Dic mihi, an Æschinis etiam contra Timarchum orationem legis? an illa quidem nosti omnia, et unumquodque *illorum* agnoscis? Aristophanem et Eupolin egisti? legisti fabulam totam Baptas? tum nihil *ea quæ ibi sunt* te movere, neque in te agnoscens illa erubuisti? Nam vel maxime illud admiretur aliquis, quo tandem animo libros attingas, quibus illos evolvas manibus. Quando autem illos legis? interdiu? at nemo te vidit *hoc facere*. Sed noctu? utrum quum jam istis intentus es ante studia? Sed *ante* tenebras? nihil quicquam istiusmodi audeas.

28. Quin tu relinquis libros et tuam *solum rem* agis? Quanquam neque istuc amplius oportebat, sed Euripidis illam Phædram revereri, indignantem pro mulieribus ac dicentem :

> Tenebras nec horret ulla lecti conscias,
> vocemve, ne gravis prorumpat, parietum.

Sin omnino perseverare in eodem morbo tibi decretum est, abi, eme libros *et domi conclusos* tibi habe, et fruere gloria possessionis. Satis tibi hoc quoque. Sed *noli unquam* illos attingere, neu lege, neu linguæ isti tuæ veterum virorum orationes et poemata subjicito, quæ nihil tibi mali fecerint. Novi equidem frustra me ista nugatum esse, meque Æthiopem, quod est *in* proverbio, lavare conari : nam tu emes, et nihil uteris, et deridebere ab eruditis, quibus utilitatem percipere satis est, non e pulchritudine *librorum*, neque ex magno illorum pretio, sed a sermone et sententia *auctorum*.

29. Tu vero putas curari a te posse inscitiam tegique ista *opinione*, percellique posse homines librorum multitudine, ignarus idem, quod tu, facere etiam imperitissimos quosque medicos, qui eburneas medicamentorum capsulas et cucurbitas argenteas sibi faciunt, et scalpra auro ferruminata : quum vero iis utendum est, illi ne hoc quidem, quomodo tractanda sint, norunt : at progressus in medium aliquis eorum, qui didicere, scalpellum habens probe acutum, de cetero rubigine obsitum, dolore ægrum liberat. Ut vero ridiculæ magis rei tuam rationem comparem, tonsores *mihi* istos considera, et videbis eos qui sunt in illo genere arti-

τοὺς μὲν τεχνίτας αὐτῶν ξυρὸν καὶ μαχαιρίδα καὶ κάτοπτρον σύμμετρον ἔχοντας, τοὺς δὲ ἀμαθεῖς καὶ ἰδιώτας πλῆθος μαχαιρίδων προτιθέντας καὶ κάτοπτρα μεγάλα, οὐ μὴν λήσειν γε διὰ ταῦτα οὐδὲν εἰδότας. Ἀλλὰ τὸ γελοιότατον ἐκεῖνο πάσχουσιν, ὅτι κείρονται μὲν οἱ πολλοὶ παρὰ τοῖς γείτοσιν αὐτῶν, πρὸς δὲ τὰ ἐκείνων κάτοπτρα προσελθόντες τὰς κόμας εὐθετίζουσι.

30. Καὶ σὺ τοίνυν ἄλλῳ μὲν δεηθέντι χρήσειας ἂν τὰ βιβλία, χρήσασθαι δὲ αὐτὸς οὐκ ἂν δύναιο. Καίτοι οὐδ' ἔχρησάς τινι βιβλίον πώποτε, ἀλλὰ τὸ τῆς κυνὸς ποιεῖς τῆς ἐν τῇ φάτνῃ κατακειμένης, ἣ οὔτε αὐτὴ τῶν κριθῶν ἐσθίει οὔτε τῷ ἵππῳ δυναμένῳ φαγεῖν ἐπιτρέπει. Ταῦτα τό γε νῦν εἶναι ὑπὲρ μόνων τῶν βιβλίων παρρησιάζομαι πρὸς σέ, περὶ δὲ τῶν ἄλλων ὅσα κατάπτυστα καὶ ἐπονείδιστα ποιεῖς, αὖθις ἀκούσῃ πολλάκις.

LIX.

ΠΕΡΙ ΤΟΥ ΜΗ ΡΑΔΙΩΣ ΠΙΣΤΕΥΕΙΝ ΔΙΑΒΟΛΗ.

1. Δεινόν γε ἡ ἄγνοια καὶ πολλῶν κακῶν ἀνθρώποις αἰτία, ὥσπερ ἀχλύν τινα καταχέουσα τῶν πραγμάτων καὶ τὴν ἀλήθειαν ἀμαυροῦσα καὶ τὸν ἑκάστου βίον ἐπηλυγάζουσα. Ἐν σκότῳ γοῦν πλανωμένοις πάντες ἐοίκαμεν, μᾶλλον δὲ τυφλοῖς ὅμοια πεπόνθαμεν, τῷ μὲν προσπταίοντες ἀλόγως, τὸ δὲ ὑπερβαίνοντες, οὐδὲν δέον, καὶ τὸ μὲν πλησίον καὶ παρὰ πόδας οὐχ ὁρῶντες, τὸ δὲ πόρρω καὶ πάμπολυ διεστηκὸς ὡς ἐνοχλοῦν δεδιότες· καὶ ὅλως ἐφ' ἑκάστου τῶν πραττομένων οὐ διαλείπομεν τὰ πολλὰ ὀλισθάνοντες. Τοιγάρτοι μυρίας ἤδη τοῖς τραγῳδοδιδασκάλοις ἀφορμὰς εἰς τὰ δράματα τὸ τοιοῦτο παρέσχηται, τοὺς Λαβδακίδας καὶ τοὺς Πελοπίδας καὶ τὰ τούτοις παραπλήσια· σχεδὸν γὰρ τὰ πλεῖστα τῶν ἐν τῇ σκηνῇ ἀναβαινόντων κακῶν εὕροι τις ἂν ὑπὸ τῆς ἀγνοίας καθάπερ ὑπὸ τραγικοῦ τινος δαίμονος κεχορηγημένα· λέγω δὲ καὶ ἐς τὰ ἄλλα μὲν ἀποβλέπων, μάλιστα δὲ ἐς τὰς οὐκ ἀληθεῖς κατὰ τῶν συνήθων καὶ φίλων διαβολάς, ὑφ' ὧν ἤδη καὶ οἶκοι ἀνάστατοι γεγόνασι καὶ πόλεις ἄρδην ἀπολώλασι πατέρες τε κατὰ παίδων ἐξεμάνησαν καὶ ἀδελφοὶ κατὰ τῶν ὁμογενῶν καὶ παῖδες κατὰ τῶν γειναμένων καὶ ἐρασταὶ κατὰ τῶν ἐρωμένων· πολλαὶ δὲ καὶ φιλίαι συνεκόπησαν καὶ οἶκοι συνεχύθησαν ὑπὸ τῆς κατὰ τὰς διαβολὰς πιθανότητος.

2. Ἵν' οὖν ὡς ἥκιστα περιπίπτωμεν αὐταῖς, ὑποδεῖξαι βούλομαι τῷ λόγῳ καθάπερ ἐπί τινος γραφῆς ὁποῖόν τί ἐστιν ἡ διαβολὴ καὶ πόθεν ἄρχεται καὶ ὁποῖα ἐργάζεται. Μᾶλλον δὲ Ἀπελλῆς ὁ Ἐφέσιος πάλαι ταύτην προὔλαβε τὴν εἰκόνα· καὶ γὰρ αὖ καὶ οὗτος διαβληθεὶς πρὸς τὸν Πτολεμαῖον ὡς μετεσχηκὼς Θεοδότᾳ τῆς συνωμοσίας ἐν Τύρῳ, ὁ δὲ Ἀπελλῆς οὐχ ἑοράκει ποτὲ τὴν Τύρον οὐδὲ τὸν Θεοδόταν, ὅστις ἦν, ἐγίγνωσκεν, ἢ καθ' ὅσον ἤκουε Πτολεμαίου τινὰ ὑπάρχον εἶναι τὰ κατὰ

fices novaculam et cultellum et speculum modicum habere; imperitos autem atque indoctos multitudinem cultellorum exponere, et specula magna : nec tamen propterea obscurum esse illos nihil scire. Sed illud ipsis usu venit, quod oppido ridiculum est, ut vulgo quidem homines apud vicinos illorum tondendos se curent, ad illorum vero specula accedentes disponant comas.

30. Quare tu quoque alii roganti commodare possis libros ipse uti illis nequeas. Quanquam librum nemini unquam commodasti, sed facis quod canis incumbens præsepio; quæ neque ipsa edit de hordeo, neque equum edere, qui potest, patitur. Hæc in præsens de solis libris libere apud te disputo : de reliquis quæ despuenda et flagitiosa facis, sæpe in posterum audies.

LIX.

NON TEMERE CREDENDUM ESSE DELATIONI.

1. Grave sane malum ignorantia, et multorum malorum causa hominibus, quæ velut caliginem quandam rebus offundat, et obscuret verum, et umbram vitæ uniuscujusque objiciat. Per tenebras enim oberrantibus similes sumus omnes; potius autem cæcorum more affecti, ad alia offendimus præter rationem, alia, quæ minime debebant, præterimus, non videntes quod prope et ante pedes est, quod vero procul est et longe distat, tanquam molestum quiddam metuentes : atque in universum, in unoquoque negotio labi multum non intermittimus. Quin infinita jam tragœdiarum scriptoribus scribendarum fabularum argumenta hæc res præbuit, Labdaci Pelopisque progeniem, et horum similia. Pleraque enim fere eorum, quæ in scena aguntur, malorum inveniat aliquis ab ignorantia, velut a tragico quodam dæmone, subministrata : dico autem istuc quum ad alia respiciens, tum maxime ad alienas a vero contra familiares atque amicos delationes : quarum opera jam et eversæ domus sunt, et urbes vastatæ funditus, patresque in furorem acti contra liberos, et contra fratres germani, et liberi adversus parentes, et contra amatores suos amasii : multæ vero etiam amicitiæ rescissæ, et confusæ domus sunt ab illa calumniarum probabili specie.

2. Ut igitur quam minime in illas incidamus, hoc libello quasi in tabula quadam ostendere volo, quale quid sit delatio, unde incipiat, quid efficiat. Quin Apelles Ephesius olim imaginem illam occupavit : nam ipse quoque delatus fuerat apud Ptolemæum, ut qui conjurationis illius, quam Tyri conflaverat Theodotas, socius fuisset; at neque Tyrum unquam viderat Apelles, neque, quis esset Theodotas, noverat, nisi quatenus audierat Ptolemæi quendam legatum

τὴν Φοινίκην ἐπιτετραμμένον. Ἀλλ' ὅμως τῶν ἀντιτέχνων τις Ἀντίφιλος τοὔνομα ὑπὸ φθόνου τῆς παρὰ βασιλεῖ τιμῆς καὶ τῆς κατὰ τὴν τέχνην ζηλοτυπίας κατεῖπεν αὐτοῦ πρὸς τὸν Πτολεμαῖον ὡς εἴη κεκοινωνηκὼς τῶν ὅλων καὶ ὡς θεάσαιτό τις αὐτὸν ἐν Φοινίκῃ συνεστιώμενον Θεοδότᾳ καὶ παρ' ὅλον τὸ δεῖπνον πρὸς τὸ οὖς αὐτῷ κοινολογούμενον, καὶ τέλος ἀπέφηνε τὴν Τύρου ἀπόστασιν καὶ Πηλουσίου κατάληψιν ἐκ τῆς Ἀπελλοῦ συμβουλῆς γεγονέναι.

3. Ὁ δὲ Πτολεμαῖος ὡς ἂν κάρτα οὐ φρενήρης τις ὢν, ἀλλ' ἐν κολακείᾳ δεσποτικῇ τεθραμμένος, οὕτως ἐξεκαύθη καὶ συνεταράχθη πρὸς τῆς παραδόξου ταύτης διαβολῆς ὥστε μηδὲν τῶν εἰκότων λογισάμενος, μηδ' ὅτι ἀντίτεχνος ἦν ὁ διαβάλλων μηδ' ὅτι μικρότερος ἢ κατὰ τηλικαύτην προδοσίαν ζωγράφος, καὶ ταῦτα εὖ πεπονθὼς ὑπ' αὐτοῦ καὶ παρ' ὀντινοῦν τῶν ὁμοτέχνων τετιμημένος, ἀλλ' οὐδὲ τὸ παράπαν εἰ ἐξέπλευσεν Ἀπελλῆς ἐς Τύρον ἐξετάσας, εὐθὺς ἔαδε μηνίειν καὶ βοῆς ἐνεπίμπλα τὰ βασίλεια τὸν ἀχάριστον κεκραγὼς καὶ τὸν ἐπίβουλον καὶ συνωμότην. Καὶ εἴ γε μὴ τῶν συνειλημμένων τις ἀγανακτήσας ἐπὶ τῇ τοῦ Ἀντιφίλου ἀναισχυντίᾳ καὶ τὸν ἄθλιον Ἀπελλῆν κατελεήσας ἔφη μηδενὸς αὐτοῖς κεκοινωνηκέναι τὸν ἄνθρωπον, ἀπετέτμητο ἂν τὴν κεφαλὴν καὶ παραπολελαύκει τῶν ἐν Τύρῳ κακῶν οὐδὲν αὐτὸς αἴτιος γεγονώς.

4. Ὁ μὲν οὖν Πτολεμαῖος οὕτω λέγεται αἰσχυνθῆναι ἐπὶ τοῖς γεγονόσιν, ὥστε τὸν μὲν Ἀπελλῆν ἑκατὸν ταλάντοις ἐδωρήσατο, τὸν δὲ Ἀντίφιλον δουλεύειν αὐτῷ παραδέδωκεν. Ὁ δὲ Ἀπελλῆς ὢν παρεκινδύνευσε μεμνημένος τοιᾷδέ τινι εἰκόνι ἡμύνατο τὴν διαβολήν.

5. Ἐν δεξιᾷ τις ἀνὴρ κάθηται τὰ ὦτα παμμεγέθη ἔχων μικροῦ δεῖν τοῖς τοῦ Μίδου προσεοικότα, τὴν χεῖρα προτείνων πόρρωθεν ἔτι προσιούσῃ τῇ Διαβολῇ. Περὶ δὲ αὐτὸν ἑστᾶσι δύο γυναῖκες, Ἄγνοιά μοι δοκεῖν καὶ Ὑπόληψις· ἑτέρωθεν δὲ προσέρχεται ἡ Διαβολή, γύναιον ἐς ὑπερβολὴν πάγκαλον, ὑπόθερμον δὲ καὶ παρακεκινημένον, οἷον δὴ τὴν λύτταν καὶ τὴν ὀργὴν δεικνύουσα, τῇ μὲν ἀριστερᾷ δᾷδα καομένην ἔχουσα, τῇ ἑτέρᾳ δὲ νεανίαν τινὰ τῶν τριχῶν σύρουσα τὰς χεῖρας ὀρέγοντα εἰς τὸν οὐρανὸν καὶ μαρτυρόμενον τοὺς θεούς. Ἡγεῖται δὲ ἀνὴρ ὠχρὸς καὶ ἄμορφος ὀξὺ δεδορκὼς καὶ ἐοικὼς τοῖς ἐκ νόσου μακρᾶς κατεσκληκόσι. Τοῦτον οὖν εἶναι τὸν Φθόνον ἄν τις εἰκάσειε. Καὶ μὴν καὶ ἄλλαι τινὲς δύο παρομαρτοῦσι προτρέπουσαι καὶ περιστέλλουσαι καὶ κατακοσμοῦσαι τὴν Διαβολήν. Ὡς δέ μοι καὶ ταύτας ἐμήνυσεν ὁ περιηγητὴς τῆς εἰκόνος, ἡ μὲν Ἐπιβουλή τις ἦν, ἡ δὲ Ἀπάτη. Κατόπιν δὲ ἠκολούθει πάνυ πενθικῶς τις ἐσκευασμένη, μελανείμων καὶ κατεσπαραγμένη· Μετάνοια, οἶμαι, αὕτη ἐλέγετο· ἐπεστρέφετο γοῦν εἰς τοὐπίσω δακρύουσα καὶ μετ' αἰδοῦς πάνυ τὴν Ἀλήθειαν προσιοῦσαν ὑπέβλεπεν. Οὕτω μὲν Ἀπελλῆς τὸν ἑαυτοῦ κίνδυνον ἐπὶ τῆς γραφῆς ἐμιμήσατο.

6. Φέρε δὲ καὶ ἡμεῖς, εἰ δοκεῖ, κατὰ τὴν τοῦ Ἐφεσε, cui Phœnice commissa esset. Interim tamen æmulorum aliquis, Antiphilus nomine, qui inviderat illi honorem quo apud regem erat, et artis obtrectatione, illum Ptolemæo detulerat, quasi omnium esset conscius, et esse qui illum viderit in Phœnice cœnantem cum Theodota, et quam diu duraret convivium, caput cum ipso conferentem: breviter, defecisse Tyrum et Pelusium captam de Apellis consilio indicavit.

2. Ptolemæus, vir alioquin etiam non admodum prudens, sed adulationi innutritus tyrannicæ, absurda hac calumnia adeo exarsit et perturbatus est, ut nihil eorum quæ in mentem venire debebant reputans, neque, æmulum esse delatorem, neque, minorem esse pictorem quam qui tantam proditionem sustinere posset, eum præsertim qui beneficiis illius affectus et omnibus artis ejusdem hominibus prælatus esset; quin neque explorato ante, navigassetne omnino Tyrum Apelles, furere statim vellet, et clamore impleret regiam, ingratum clamans, et insidiatorem, et conjuratum. Et nisi comprehensorum aliquis, indigne ferens illam Antiphili impudentiam et miseri Apellis misericordia motus, dixisset nihil quicquam causæ ipsi secum fuisse, capite plexus Tyriorum mala ipse quoque luisset, prorsus innocens.

4. Ptolemæum itaque adeo dicitur actorum puduisse, ut centum talentis donaret Apellem, et in servitutem illi Antiphilum traderet. Apelles autem, periculi sui memor, tali pictura delationem illam ultus est.

5. Ad dextram vir sedet, ingentes aures habens, parum abest quin Midæ auribus similes, protendens manum e longinquo adhuc accedenti Delationi. Circa illum vero stant mulieres duæ, Ignorantia, ut mihi videtur, et Suspicio: sed ab altera parte accedit Delatio, pulcherrima ultra fidem muliercula, sed calidiuscula et emota, ut quæ furorem atque iram ostendat, sinistra manu accensam facem gestans, altera juvenem quendam trahens capillis, manus cœlo tendentem testantemque deos. Præcedit vir pallidus et deformis, acutum cernens, similis eis qui a magno morbo exaruerunt. Hunc Livorem esse facile aliquis conjecerit. Verum aliæ quoque duæ sequuntur, instigantes et componentes ornantesque Delationem. Ut vero mihi illas quoque indicavit interpres imaginis, altera quidem Insidiarum quædam erat, altera Fallacia. A tergo sequebatur quædam habitu admodum lugubri, pullata, lacera: Pœnitentia, opinor, hæc dicebatur: respiciebat enim retrorsum lacrimans, et cum pudore omnino intuebatur accedentem Veritatem. Atque ita suum periculum pictura expressit Apelles.

6. Age vero nos etiam, si videtur, secundum Epheси

σίου ζωγράφου τέχνην διέλθωμεν τὰ προσόντα τῇ διαβολῇ, πρότερόν γε ὅρῳ τινὶ περιγράψαντες αὐτήν· οὕτω γὰρ ἂν ἡμῖν ἡ εἰκὼν γένοιτο φανερωτέρα. Ἔστι τοίνυν διαβολὴ κατηγορία τις ἐξ ἐρημίας γιγνομένη, τὸν κατηγορούμενον λελη θυῖα, ἐκ τοῦ μονομεροῦς ἀναντιλέκτως πεπιστευμένη. Τοιαύτη μὲν ἡ ὑπόθεσις τοῦ λόγου. Τριῶν δ' ὄντων προσώπων, καθάπερ ἐν ταῖς κωμῳδίαις, τοῦ διαβάλλοντος καὶ τοῦ διαβαλλομένου καὶ τοῦ πρὸς ὃν ἡ διαβολὴ γίγνεται, καθ' ἕκαστον αὐτῶν ἐπισκοπήσωμεν οἷα εἰκὸς εἶναι τὰ γιγνόμενα.

7. Πρῶτον μὲν δή, εἰ δοκεῖ, παραγάγωμεν τὸν πρωταγωνιστὴν τοῦ δράματος, λέγω δὲ τὸν ποιητὴν τῆς διαβολῆς. Οὗτος δὲ δὴ ὡς μὲν οὐκ ἀγαθὸς ἄνθρωπός ἐστι, πᾶσιν οἶμαι γνώριμον· οὐδεὶς γὰρ ἂν ἀγαθὸς κακῶν αἴτιος γένοιτο τῷ πλησίον, ἀλλ' ἔστιν ἀγαθῶν ἀνδρῶν ἀφ' ὧν εὖ ποιοῦσιν αὐτοὶ τοὺς φίλους, οὐκ ἀφ' ὧν τοὺς ἄλλους ἀδικοῦντες αἰτιῶνται καὶ μισεῖσθαι παρασκευάζουσιν, εὐδοκιμεῖν δόξαν εὐνοίας προσλαβόντας.

8. Ἔπειτα δὲ ὡς ἄδικος ὁ τοιοῦτος καὶ παράνομός ἐστι καὶ ἀσεβὴς καὶ τοῖς χρωμένοις ἐπιζήμιος, ῥᾴδιον καταμαθεῖν. Τίς γὰρ οὐκ ἂν ὁμολογήσειε τὴν μὲν ἰσότητα ἐν ἅπαντι καὶ τὸ μηδὲν πλέον δικαιοσύνης ἔργα εἶναι, τὸ δὲ ἄνισόν τε καὶ πλεονεκτικὸν ἀδικίας; ὁ δὲ τῇ διαβολῇ κατὰ τῶν ἀπόντων λάθρᾳ χρώμενος πῶς οὐ πλεονέκτης ἐστὶν ὅλον τὸν ἀκροατὴν σφετεριζόμενος καὶ προκαταλαμβάνων αὐτοῦ τὰ ὦτα καὶ ἀποφράττων καὶ τῷ δευτέρῳ λόγῳ παντελῶς ἄβατα κατασκευάζων αὐτὰ ὑπὸ τῆς διαβολῆς προεμπεπλησμένα; Ἰσχάτης ἀδικίας τὸ τοιοῦτον, ὡς φαῖεν ἂν καὶ οἱ ἄριστοι τῶν νομοθετῶν, οἷον ὁ Σόλων καὶ ὁ Δράκων, ἔνορκον ποιησάμενοι τοῖς δικασταῖς τὸ ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι καὶ τὸ τὴν εὔνοιαν ἴσην τοῖς κρινομένοις ἀπονέμειν, ἄχρι ἂν ὁ τοῦ δευτέρου λόγος παρατεθεὶς θατέρου χείρων ἢ ἀμείνων φανῇ· πρὶν δέ γε ἀντεξετάσαι τὴν ἀπολογίαν τῇ κατηγορίᾳ, παντελῶς ἀσεβῆ καὶ ἀνόσιον ἡγήσαντο ἔσεσθαι τὴν κρίσιν. Καὶ γὰρ ἂν καὶ αὐτοὺς ἀγανακτῆσαι τοὺς θεοὺς εἴποιμεν, εἰ τῷ κατηγόρῳ μετ' ἀδείας ἃ θέλει λέγειν ἐπιτρέποιμεν, ἀποφράξαντες δὲ τῷ κατηγορουμένῳ τὰ ὦτα ἢ τῷ στόματι σιωπῶντες καταψηφιζοίμεθα τῷ προτέρῳ λόγῳ κεχειρωμένοι. Ὥστε οὐ κατὰ τὸ δίκαιον καὶ τὸ νόμιμον καὶ τὸν ὅρκον τὸν δικαστικὸν φαίη τις ἂν γίγνεσθαι τὰς διαβολάς. Εἰ δέ τῳ μὴ ἀξιόπιστοι δοκοῦσιν οἱ νομοθέται παραινοῦντες οὕτω δικαίας καὶ ἀμερεῖς ποιεῖσθαι τὰς κρίσεις, ποιητήν μοι δοκῶ τὸν ἄριστον ἐπάγειν τῷ λόγῳ εὖ μάλα περὶ τούτων ἀποφηνάμενον, μᾶλλον δὲ νομοθετήσαντα. Φησὶ δέ,

Μήτε δίκην δικάσῃς, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς.

Ἠπίστατο γάρ, οἶμαι, καὶ οὗτος ὡς πολλῶν ὄντων ἐν τῷ βίῳ ἀδικημάτων οὐδὲν ἄν τις εὕροι χεῖρον οὐδὲ ἀδικώτερον ἢ ἀκρίτους τινὰς καὶ ἀμοίρους λόγων καταδεδικάσθαι· ὅπερ ἐξ ἅπαντος ὁ διαβάλλων ἐπιχειρεῖ ποιεῖν ἄκριτον ὑπάγων τὸν διαβαλλόμενον τῇ τοῦ ἀκούοντος

pictoris artem ea quæ insunt delationi persequamur, quando fine quodam illam ante descripserimus; sic enim imago nobis fuerit clarior. Est ergo delatio accusatio quædam absente altera parte facta, ignota accusato, uni parti, nemine contradicente, credita. Hoc argumentum erit nostræ disputationis. Quum vero tres sint, velut in comœdiis, personæ, delatoris, ejus quem defert, et illius apud quem delatio instituitur; singulatim eas inspiciamus, qualia ab iis fieri verisimile sit.

7. Ac primo quidem, si videtur, inducamus primarum partium actorem, ipsum dico auctorem calumniæ. Hunc sane virum bonum non esse, omnibus, puto, manifestum est: neque enim bonus quisquam malorum auctor alteri fuerit. At est bonorum virorum, suis in amicos benefactis, non accusandis injuria ceteris hominibus conciliandaque illis invidia bene audire et benevolentiæ sibi parare opinionem.

8. Tum vero quam injustus sit talis homo, et iniquus, et impius, et noxius illis qui se utuntur, discere facile est. Quis enim eat infitias, æqualitatem in unaquaque re et nihil plus sibi arrogandi moderationem justitiæ munera esse; sed inæqualitatem, et plus sibi sumendi audaciam injustitiæ? At qui delatione clanculum utitur contra absentes, quomodo non plus justo, totum nempe auditorem, sibi vindicat? cujus aures occupet prior atque obturet, et alteri orationi plane reddat impervias, quippe ante jam a delatione oppletas. Extremæ id quidem injuriæ, ut optimi etiam legislatorum dixerint, tanquam Solon et Dracon, qui jurisjurandi religione obstrinxerint judices ad similiter utrosque audiendos, æqualemque his qui judicantur tribuendam benevolentiam, donec comparata alterius causa, vel deterior altera vel melior appareat: ante vero quam comparata esset crimini defensio, impium plane et profanum fore judicium arbitrati sunt. Etenim ipsos quoque indignari deos dixerimus, si accusatori sine metu dicere permittamus quæ velit, obturatis vero defendenti se auribus, vel os ipsi obstruentes, calculum contra eum, priore oratione subacti, feramus. Igitur non ex justo, neque ex lege, neque ex judicialis jurisjurandi religione delationes fieri aliquis dixerit. Si cui vero non satis digni fide videantur legislatores, quum jubent sic justa et in neutram partem propensa judicia facere; poetam mihi videor optimum inducere orationi, qui præclare de his pronunciavit, vel legem tulit potius. Ait autem,

Judicium cave ferre, priusquam audiveris ambos.

Noverat enim, puto, ille etiam, quum multa sint injusta in vita facinora, nullum inveniri posse deterius neque injustius, quam si sine judicio et indicta causa aliqui damnentur: quod omni studio delator conatur efficere, injudicatum objiciens eum, quem petit calumnia, iræ audientis, et

τος ὀργῇ καὶ τὴν ἀπολογίαν τῷ λαθραίῳ τῆς κατηγορίας παρειρούμενος.

9. Καὶ γὰρ ἀπαρρησίαστος καὶ δειλὸς ἅπας ὁ τοιοῦτος ἄνθρωπος οὐδὲν ἐς τοὐμφανὲς ἄγων, ἀλλ' ὥσπερ οἱ λοχῶντες ἐξ ἀφανοῦς ποθεν τοξεύων, ὡς μηδὲ ἀντιτάξασθαι δυνατὸν εἶναι μηδὲ ἀνταγωνίσασθαι, ἀλλ' ἐν ἀπορίᾳ καὶ ἀγνοίᾳ τοῦ πολέμου διαφθείρεσθαι, ὃ μέγιστόν ἐστι σημεῖον τοῦ μηδὲν ὑγιὲς τοὺς διαβάλλοντας λέγειν. Ἐπεὶ εἴ τίς γε ταληθῆ κατηγοροῦντι ἑαυτῷ συνεπίσταται, οὗτος, οἶμαι, καὶ εἰς τὸ φανερὸν ἐλέγχει καὶ διευθύνει καὶ ἀντεξετάζει τῷ λόγῳ, ὥσπερ οὐδεὶς ἂν ἐκ τοῦ προφανοῦς νικᾶν δυνάμενος ἐνέδρᾳ ποτὲ καὶ ἀπάτῃ χρήσαιτο κατὰ τῶν πολεμίων.

10. Ἴδοι δ' ἄν τις τοὺς τοιούτους μάλιστα ἔν τε βασιλέων αὐλαῖς καὶ περὶ τὰς τῶν ἀρχόντων καὶ δυναστευόντων φιλίας εὐδοκιμοῦντας, ἔνθα πολὺς μὲν ὁ φθόνος, μυρίαι δὲ ὑπόνοιαι, πάμπολλαι δὲ κολακειῶν καὶ διαβολῶν ὑποθέσεις· ὅπου γὰρ ἀεὶ μείζους ἐλπίδες, ἐνταῦθα καὶ οἱ φθόνοι χαλεπώτεροι καὶ τὰ μίση ἐπισφαλέστερα καὶ ζηλοτυπίαι κακοτεχνέστεραι. Πάντες οὖν ἀλλήλους ὀξὺ δεδόρκασι καὶ ὥσπερ οἱ μονομαχοῦντες ἐπιτηροῦσιν εἴ πού τι γυμνωθὲν μέρος θεάσαιντο τοῦ σώματος· καὶ πρῶτος αὐτὸς ἕκαστος εἶναι βουλόμενος παρωθεῖται καὶ παραγκωνίζεται τὸν πλησίον καὶ τὸν πρὸ αὑτοῦ, εἰ δύναιτο, ὑποσπᾷ καὶ ὑποσκελίζει. Ἔνθα ὁ μὲν χρηστὸς ἀτεχνῶς εὐθὺς ἀνατέτραπται καὶ παρασέσυρται καὶ τὸ τελευταῖον ἀτίμως ἐξέωσται, ὁ δὲ κολακευτικώτερος καὶ πρὸς τὰς τοιαύτας κακοηθείας πιθανώτερος εὐδοκιμεῖ, καὶ ὅλως φθάσας κρατεῖ· τὰ γὰρ τοῦ Ὁμήρου πάνυ ἐπαληθεύουσιν, ὅτι τοι

ξυνὸς Ἐνυάλιος καὶ τὸν κτανέοντα κατέκτα.

Τοιγαροῦν ὡς οὐ περὶ μικρῶν τοῦ ἀγῶνος ὄντος ποικίλας κατ' ἀλλήλων ὁδοὺς ἐπινοοῦσιν, ὧν ταχίστη καὶ ἐπισφαλεστάτη ἐστὶν ἡ τῆς διαβολῆς, τὴν μὲν ἀρχὴν ἀπὸ φθόνου ἢ μίσους εὐέλπιδος λαμβάνουσα, οἰκτροτέρα δὲ καὶ τραγικὰ ἐπάγουσα τὰ τέλη καὶ πολλῶν συμφορῶν ἀνάπλεα.

11. Οὐ μέντοι μικρὸν οὐδὲ ἁπλοῦν ἐστι τοῦτο, ὡς ἄν τις ὑπολάβοι, ἀλλὰ πολλῆς μὲν τέχνης, οὐκ ὀλίγης δὲ ἀγχινοίας, ἀκριβοῦς δέ τινος ἐπιμελείας δεόμενον· οὐ γὰρ ἂν τοσαῦτα ἔβλαπτεν ἡ διαβολή, εἰ μὴ πιθανόν τινα τρόπον ἐγίγνετο· οὐδ' ἂν κατίσχυε τὴν πάντων ἰσχυροτέραν ἀλήθειαν, εἰ μὴ πολὺ τὸ ἐπαγωγὸν καὶ πιθανὸν καὶ μυρία ἄλλα παρεσκεύαστο κατὰ τῶν ἀκουόντων.

12. Διαβάλλεται μὲν οὖν ὡς τὸ πολὺ μάλιστα ὁ τιμώμενος καὶ διὰ τοῦτο τοῖς ὑπολειπομένοις αὐτοῦ ἐπίφθονος· ἅπαντες γὰρ τῷδ' ἐπιτοξάζονται καθάπερ τι κώλυμα καὶ ἐμπόδιον προορώμενοι, καὶ ἕκαστος οἴεται πρῶτος αὐτὸς ἔσεσθαι τὸν κορυφαῖον ἐκεῖνον ἐκπολιορκήσας καὶ τῆς φιλίας ἀποσκευασάμενος. Οἷόν τι καὶ ἐπὶ τοῖς γυμνικοῖς ἀγῶσιν ἐπὶ τῶν δρομέων γίγνεται· κἀκεῖ γὰρ ὁ μὲν ἀγαθὸς δρομεὺς τῆς ὕσπληγγος εὐθὺς καταπεσούσης μόνον τοῦ πρόσω ἐφιέμενος καὶ τὴν διάclandestina accusatione causæ dicendæ facultatem illi intercipiens.

9. Etenim libertatis in dicendo expers et meticulosus unusquisque hujusmodi homo, nihil in apertum producit, sed, velut qui collocati in insidiis sunt, ex obscuro alicunde jaculatur, ut neque contra consistendi in acie facultas sit, neque repugnandi; sed inopia consilii et belli ignorantia pereundum : quod quidem maximo est indicio, sani nihil a delatoribus proferri. Si quis enim vera a se accusari conscius sibi sit, ille, puto, etiam aperte convincit, et ad rationem dicendam vocat, et oratione contra contendit : quemadmodum nemo qui aperto Marte se vincere posse speret, insidiis unquam et fraude contra hostes utatur.

10. Videas vero tales maxime in regum aulis, et principum atque potentium hominum amicitiis florere, ubi invidia multa, suspiciones sexcentæ, adulationumque et delationum argumenta quamplurima. Ubi enim spes semper majores, ibi etiam graviores invidiæ, et odia periculosiora, et maleficentiores obtrectationes. Quare intentis se invicem speculantur oculis omnes, et tanquam gladiatores observant si quam nudam corporis partem conspiciant; dumque unusquisque primus ipse esse cupit, detrudit et cubito dimovet alterum, eumque qui ante se est, si possit, detrahit et supplantat. Hic vir bonus statim videlicet eversus trahitur, expelliturque tandem cum ignominia : floret contra ea qui plus adulando valet et ad malas id genus artes est probabilior; denique prævertit et vincit : atque ita illi Homerici hujus dicti veritatem confirmant,

Mars communis enim cædentem cædit et ipsum.

Igitur quum de rebus non parvis certamen sit, varia comminiscuntur contra se invicem compendia, quorum celerrimum et periculosissimum est delatio, initium sumens ab invidia quidem aut odio spei pleno, sed miseriores et plane tragicos exitus multisque refertos calamitatibus inferens.

11. Verum enim vero non parvum neque simplex quiddam hoc est, ut suspicetur aliquis, sed arte multa, nec pauco ingenio, exquisitaque cura indigens. Neque enim tantum noceret delatio, nisi probabili quadam ratione fieret : neque valeret contra valentiorem omnibus veritatem, nisi allectamenti plurimum et probabilitatis et sexcenta alia ad audientes machinaretur.

12. Defertur ergo ut plurimum ille, qui magno in honore est, atque ob id ipsum eorum, quos post se reliquit, invidiæ expositus. In hunc enim tela omnes dirigunt tanquam obstaculum quoddam atque impedimentum ipsum intuentes, ac putat unusquisque primum sese futurum, expugnato illo principe et de amicitia regis amoto. Quale quid in gymnico etiam certamine fit in cursoribus : nam ibi quoque bonus cursor, ubi primum decidit repagulum, solum anteriora petens et ad metam intendens animum,

νοιαν ἀποτείνας πρὸς τὸ τέρμα κἂν τοῖς ποσὶ τὴν ἐλπίδα τῆς νίκης ἔχων τῷ πλησίον οὐδὲν κακουργεῖ οὐδέ τι τοῦ κατὰ τοὺς ἀγωνιστὰς πολυπραγμονεῖ, ὁ δὲ κακὸς ἐκεῖνος καὶ ἄναθλος ἀνεαγωνιστὴς ἀπογνοὺς τὴν ἐκ τοῦ τάχους ἐλπίδα ἐπὶ τὴν κακοτεχνίαν ἐτράπετο, καὶ τοῦτο μόνον ἐξ ἅπαντος σκοπεῖ, ὅπως τὸν τρέχοντα ἐπισχὼν ἢ ἐμποδίσας ἐπιστομιεῖ, ὡς, εἰ τούτου διαμάρτοι, οὐκ ἂν ποτε νικῆσαι δυνάμενος. Ὁμοίως δὲ τούτοις κἀν ταῖς φιλίαις τῶν εὐδαιμόνων τούτων γίγνεται· ὁ γὰρ προέχων αὐτίκα ἐπιβουλεύεται καὶ ἀφύλακτος ἐν μέσῳ ληφθεὶς τῶν δυσμενῶν ἀνηρπάσθη, οἱ δὲ ἀγαπῶνται καὶ φίλοι δοκοῦσιν ἐξ ὧν ἄλλους βλάπτειν ἔδοξαν.

13. Τό τε ἀξιόπιστον τῆς διαβολῆς οὐχ ὡς ἔτυχεν ἐπινοοῦσιν, ἀλλ' ἐν τούτῳ τὸ πᾶν αὐτοῖς ἐστιν ἔργον δεδοικόσι τι προσάψαι ἀπῳδὸν ἢ καὶ ἀλλότριον. Ὡς γοῦν ἐπὶ πολὺ τὰ προσόντα τῷ διαβαλλομένῳ πρὸς τὸ χεῖρον μεταβάλλοντες οὐκ ἀπιθάνους ποιοῦνται τὰς κατηγορίας, οἷον τὸν μὲν ἰατρὸν διαβάλλουσιν ὡς φαρμακέα, τὸν πλούσιον δὲ ὡς τύραννον, τὸν τυραννικὸν δὲ ὡς προδοτικόν.

14. Ἐνίοτε μέντοι καὶ ὁ ἀκροώμενος αὐτὸς ὑποβάλλει τῆς διαβολῆς τὰς ἀφορμὰς, καὶ πρὸς τὸν ἐκείνου τρόπον οἱ κακοήθεις αὐτοὶ ἁρμοζόμενοι εὐστοχοῦσιν. Ἦν μὲν γὰρ ζηλότυπον αὐτὸν ὄντα ἴδωσι, Διένευσε, φασὶ, τῇ γυναικί σου παρὰ τὸ δεῖπνον καὶ ἀπιδὼν ἐς αὐτὴν ἐστέναξε, καὶ ἡ Στρατονίκη πρὸς αὐτὸν οὐ μάλα ἀηδῶς· καὶ ὅλως ἐρωτικαί τινες καὶ μοιχικαὶ πρὸς αὐτὸν αἱ διαβολαί. Ἦν δὲ ποιητικὸς ἢ καὶ ἐπὶ τούτῳ μέγα φρονῇ, Νὴ Δί' ἐχλεύασέ σου Φιλόξενος τὰ ἔπη καὶ διέσυρε καὶ ἄμετρα εἶπεν αὐτὰ καὶ κακοσύνθετα. Πρὸς δὲ τὸν εὐσεβῆ καὶ φιλόθεον ἄθεος καὶ ἀνόσιος ὁ φίλος διαβάλλεται καὶ ὡς τὸ θεῖον παρωθούμενος καὶ τὴν πρόνοιαν ἀρνούμενος· ὁ δὲ ἀκούσας εὐθὺς μύωπι διὰ τοῦ ὠτὸς τυπεὶς διακέκαυται ὡς τὸ εἰκὸς καὶ ἀπέστραπται τὸν φίλον οὐ περιμείνας τὸν ἀκριβῆ ἔλεγχον.

15. Ὅλως γὰρ τὰ τοιαῦτα ἐπινοοῦσι καὶ λέγουσιν, ἃ μάλιστα ἴσασιν ἐς ὀργὴν δυνάμενα προκαλέσασθαι τὸν ἀκροώμενον, καὶ ἕνθα τρωτός ἐστιν ἕκαστος ἐπιστάμενοι, ἐπ' ἐκεῖνο τοξεύουσι καὶ ἀκοντίζουσιν ἐς αὐτὸ, ὥστε τῇ παραυτίκα ὀργῇ τεταραγμένον μηκέτι σχολὴν ἄγειν τῇ ἐξετάσει τῆς ἀληθείας· ἀλλὰ κἂν θέλῃ τις ἀπολογεῖσθαι, μὴ προσίεσθαι τῷ παραδόξῳ τῆς ἀκροάσεως ὡς ἀληθεῖ προκατειλημμένον.

16. Ἀνυσιμώτατον γὰρ τὸ εἶδος τῆς διαβολῆς τὸ ὑπεναντίον τῆς τοῦ ἀκούοντος ἐπιθυμίας, ὁπότε καὶ παρὰ Πτολεμαίῳ τῷ Διονύσῳ ἐπικληθέντι ἐγένετό τις ὃς διέβαλλε τὸν Πλατωνικὸν Δημήτριον, ὅτι ὕδωρ τε πίνει καὶ μόνος τῶν ἄλλων γυναικεῖα οὐκ ἐνεδύσατο ἐν τοῖς Διονυσίοις· καὶ εἴ γε μὴ κληθεὶς ἔωθεν ἐπιέ τε πάντων ὁρώντων καὶ λαβὼν ταραντινίδιον ἐκυμβάλισε καὶ προσωρχήσατο, ἀπολώλει ἂν ὡς οὐχ ἡδόμενος τῷ βίῳ τοῦ βασιλέως, ἀλλ' ἀντισοφιστὴς ὢν καὶ ἀντίτεχνος τῆς Πτολεμαίου τρυφῆς.

suisque in pedibus spem victoriæ reponens, nimil mali infert propinquo neque quicquam ad certatores pertinens curat; at ille malus et ad certandum ineptus adversarius, abjecta spe celeritatis ad malas artes conversus, illud omnino solum spectat, quomodo retentum impeditumve illum cursorem sufflaminet, ut qui, si hoc non succedat, vincere nunquam possit. Simile quid hisce etiam in amicitiis beatorum solet evenire. Qui enim primas tenet, insidiantibus statim expositus est, et, si incautus deprehenditur inter medios inimicos, cito abripitur: at isti amantur et videntur amici ob id ipsum, quod lædere visi sunt alios.

13. Fidem autem delationi non temere excogitant, sed in eo omni elaborant studio, veriti ne quid absonum affingant aut alienum. Quare plerumque iis quæ insunt huic, quem calumniari volunt, in pejorem partem detortis, crimina faciunt non improbabilia; medicum, ut hoc utar, calumniantur tanquam veneficum, divitem vero tanquam dominationis appetentem; ministrum denique dominationis suspectum proditionis faciunt.

14. Interdum vero ipse qui audit, calumniæ ansam porrigit, adeo ut maligni, ad ipsius se mores dum componunt, scopum feriant. Si enim zelotypum esse videant, In cœna, inquiunt, innuit uxori tuæ, et intuitus eam ingemuit: vicissim ad illum Stratonice respexit non sane injucunde: quid multa? præsto sunt amatoriæ quædam et ad adulterium spectantes calumniæ, quibus ad illum utantur. Si vero poesi studeat eaque in re sibi placeat, Per Jovem, ait, risit versus tuos Philoxenus et traduxit, et immodulatos esse dixit et male compositos. Apud religiosum autem atque pium pro atheo et profano amicus defertur, tanquam qui numen respuat et neget providentiam: alter vero, his auditis, œstro statim in aure percussus, incenditur, ut facile est ad intelligendum, et aversatur amicum, non exspectata accurata convictione.

15. Talia denique excogitant et dicunt, quibus maxime norunt ad iram posse provocari audientem: quumque sciant ubi quisque vulneri maxime sit opportunus, eo collineant et feriunt; adeo ut præsenti ira turbatus non jam veritati inquirendæ vacet, sed etiamsi causam dicere velit aliquis, non admittat ille, qui necopinata auditione, tanquam vera, ante sit occupatus.

16. Efficacissimum enim profecto genus calumniæ, quod contrarium est audientis cupiditati: quum etiam apud Ptolemæum illum qui Dionysus appellatus est, fuerit qui deferret Platonicum Demetrium, quod aquam biberet et solus muliebrem vestem non induceret Dionysiis: et nisi ille vocatus mane bibisset in conspectu omnium et Tarentinula indutus saltasset cum cymbalis, perierat homo, ut qui non delectaretur vita regis, sed contraria Ptolemæi sententiis, instituto, luxuriæ profiteretur.

17. Παρὰ δὲ Ἀλεξάνδρῳ μεγίστη ποτὲ πασῶν ἂν διαβολὴ λέγοιτο, εἰ ἔλοιτό τις μὴ σέβειν μηδὲ προσκυνεῖν τὸν Ἡφαιστίωνα· ἐπεὶ γὰρ ἀπέθανεν Ἡφαιστίων, ὑπὸ τοῦ ἔρωτος Ἀλέξανδρος ἐβουλήθη προσθεῖναι καὶ τοῦτο τῇ λοιπῇ μεγαλουργίᾳ καὶ θεὸν χειροτονῆσαι τὸν τετελευτηκότα. Εὐθὺς οὖν νεώς τε ἀνέστησαν αἱ πόλεις καὶ τεμένη καθιδρύετο καὶ βωμοὶ καὶ θυσίαι καὶ ἑορταὶ τῷ καινῷ τούτῳ θεῷ ἐπετελοῦντο, καὶ ὁ μέγιστος ὅρκος ἦν ἅπασιν Ἡφαιστίων. Εἰ δέ τις ἢ μειδιάσειε πρὸς τὰ γιγνόμενα ἢ μὴ φαίνοιτο πάνυ εὐσεβῶν, θάνατος ἐπέκειτο ἡ ζημία. Ὑπολαμβάνοντες δὲ οἱ κόλακες τὴν μειρακιώδη ταύτην τοῦ Ἀλεξάνδρου ἐπιθυμίαν προσεξέκαον εὐθὺς καὶ ἀνεζωπύρουν ὀνείρατα διηγούμενοι τοῦ Ἡφαιστίωνος, ἐπιφανείας τινὰς, καὶ ἰάματα προσάπτοντες αὐτῷ καὶ μαντείας ἐπιφημίζοντες· καὶ τέλος ἔθυον παρέδρῳ καὶ ἀλεξικάκῳ θεῷ. Ὁ δὲ Ἀλέξανδρος ἥδετό τε ἀκούων καὶ τὰ τελευταῖα ἐπίστευε καὶ μέγα ἐφρόνει ὡσανεὶ οὐ θεοῦ παῖς ὢν μόνον, ἀλλὰ καὶ θεοὺς ποιεῖν δυνάμενος. Πόσους τοίνυν οἰώμεθα τῶν Ἀλεξάνδρου φίλων παρὰ τὸν καιρὸν ἐκεῖνον ἀπολαῦσαι τῆς Ἡφαιστίωνος θειότητος διαβληθέντας ὡς οὐ τιμῶσι τὸν κοινὸν ἁπάντων θεὸν, καὶ διὰ τοῦτο ἐξελαθέντας καὶ τῆς τοῦ βασιλέως εὐνοίας ἐκπεσόντας;

17. Apud Alexandrum vero maximum fere omnium crimen dictum esset, si quis colendum sibi aut adorandum non sumsisset Hephæstionem: quum enim decessisset Hephæstion, præ amore illius Alexander reliquæ suæ hoc etiam astruere magnificentiæ voluit, ut deum suo suffragio faceret defunctum. Statim ergo et templa excitare urbes, et loca consecrari et aræ, atque sacrificia festique dies novo deo parari, sanctissimumque omnibus jusjurandum esse Hephæstion. Si quis vero subrideret ad ista aut non prorsus religiosus esse videretur, mortis illi pœna erat proposita. Excipientes porro puerilem hanc Alexandri cupiditatem adulatores magis statim eam incenderunt excitaruntque, qui immissa sibi ab Hephæstione insomnia narrarent, præsentiamque sibi illius oblatam, et sanationes quasdam illi tribuerent, vulgarentque edita ab illo oracula: tandem sacrificarunt velut assessori depulsorique malorum deo. His audiendis delectari Alexander, ac tandem credere, et vehementer placere sibi, qui non dei modo filius esset, sed facere etiam posset deos. Quot ergo amicis Alexandri putemus eo tempore male expetiisse Hephæstionis divinitatem, delatis ut qui non colerent communem omnium deum, ejectis ea causa atque benevolentia regis excidentibus?

18. Τότε καὶ Ἀγαθοκλῆς ὁ Σάμιος ταξιαρχῶν παρ' Ἀλεξάνδρῳ καὶ τιμώμενος παρ' αὐτοῦ μικροῦ δεῖν συγκαθείρχθη λέοντι διαβληθεὶς ὅτι δακρύσειε παριὼν τὸν Ἡφαιστίωνος τάφον. Ἀλλ' ἐκείνῳ μὲν βοηθῆσαι λέγεται Περδίκκας ἐπομοσάμενος κατὰ πάντων θεῶν καὶ κατὰ Ἡφαιστίωνος, ὅτι δὴ κυνηγετοῦντί οἱ φανέντα ἐναργῆ τὸν θεὸν ἐπισκῆψαι εἰπεῖν Ἀλεξάνδρῳ φείσασθαι Ἀγαθοκλέους· οὐ γὰρ ὡς ἀπιστοῦντα οὐδὲ ὡς ἐπὶ νεκρῷ δακρῦσαι, ἀλλὰ τῆς πάλαι συνηθείας μνημονεύσαντα.

18. Tum etiam Agathocles Samius, qui ordines ducebat apud Alexandrum et in honore habebatur ab ipso, parum abfuit quin cum leone concluderetur, delatus nempe ut qui sepulcrum Hephæstionis præteriens flevisset. Verum succurrisse illi dicitur Perdicas, dejerans per omnes deos ipsumque adeo Hephæstionem, venanti sibi apparuisse manifestum deum, ac jussisse dicere Alexandro, parceret Agathocli; neque enim quod fidem non haberet, vel tanquam de mortuo, sed veteris consuetudinis memoria flevisse.

19. Ἡ γοῦν κολακεία καὶ ἡ διαβολὴ τότε μάλιστα χώραν ἔσχε πρὸς τὸ Ἀλεξάνδρου πάθος συντιθεμένη· καθάπερ γὰρ ἐν πολιορκίᾳ οὐκ ἐπὶ τὰ ὑψηλὰ καὶ ἀπόκρημνα καὶ ἀσφαλῆ τοῦ τείχους προσίασιν οἱ πολέμιοι, ἀλλ' ἐν ᾗ ἂν ἀφύλακτόν τι μέρος ἢ σαθρὸν αἴσθωνται ἢ ταπεινὸν, ἐπὶ τοῦτο πάσῃ δυνάμει χωροῦσιν ὡς ῥᾷστα παρεισδῦναι καὶ ἑλεῖν δυνάμενοι, οὕτω καὶ οἱ διαβάλλαντες ὅ τι ἂν ἀσθενὲς ἴδωσι τῆς ψυχῆς καὶ ὑπόσαθρον καὶ εὐεπίβατον, τούτῳ προσβάλλουσι καὶ προσάγουσι τὰς μηχανὰς, καὶ τέλος ἐκπολιορκοῦσι μηδενὸς ἀντιτατομένου μηδὲ τὴν ἔφοδον αἰσθομένου. Εἶτ' ἐπειδὰν ἐντὸς ἅπαξ τῶν τειχῶν γένωνται, πυρπολοῦσι πάντα καὶ κάουσι καὶ σφάττουσι καὶ ἐξελαύνουσιν, οἷα εἰκὸς ἁλισκομένης ψυχῆς καὶ ἐξηνδραποδισμένης ἔργα εἶναι.

19. Adulatio igitur atque calumnia tum maxime locum invenere apud Alexandrum, quum ad illius se affectionem animi componerent. Quemadmodum enim in obsidione non ad excelsa et præcupta et tuta murorum accedunt hostes, verum si qua incustoditam partem aliquam corruptamve animadverterunt aut humilem, hanc viribus omnibus invadunt, qua quidem facillime subire et capere urbem possint: sic delatores quamcumque imbecillam viderint animi vitiosamque partem, et superatu facilem, hanc oppugnant, huic machinas adhibent, et expugnant denique, quum objiciat se nemo, neque sentiat oppugnationem. Deinde quum semel sunt intra mœnia, igne vastant omnia, urunt, cædunt que et abigunt, qualia nempe victo animo et in servitutem redacto fieri probabile est.

20. Μηχανήματα δὲ αὐτοῖς κατὰ τοῦ ἀκούοντος ἥ τε ἀπάτη καὶ τὸ ψεῦδος καὶ ἡ ἐπιορκία καὶ προσλιπάρησις καὶ ἀναισχυντία καὶ ἄλλα μυρία ῥᾳδιουργήματα· ἡ δὲ δὴ μεγίστη πασῶν ἡ κολακεία ἐστὶ, συγγενὴς, μᾶλλον δὲ ἀδελφή τις οὖσα τῆς διαβολῆς. Οὐδεὶς γοῦν οὕτω γεννάδας ἐστὶ καὶ ἀδαμάντινον τεῖχος τῆς ψυχῆς προβεβλημένος, ὃς οὐκ ἂν ἐνδοίη πρὸς τὰς τῆς κολα-

20. Machinæ autem illis contra audientem fraus, et mendacium, et perjurium, et improba assiduitas, et impudentia, et sexcenta alia maleficia: maxima autem omnium adulatio est, cognata, vel soror potius delationis. Nemo enim tam generosus est et adamantino muro sic munitum pectus habet,

κείας προσβολὰς, καὶ ταῦτα ὑπορυττούσης καὶ τοὺς θεμελίους ὑφαιρούσης τῆς διαβολῆς.

21. Καὶ τὰ μὲν ἐκτὸς ταῦτα. Ἔνδοθεν δὲ πολλαὶ προδοσίαι συναγωνίζονται τὰς χεῖρας ὀρέγουσαι καὶ τὰς πύλας ἀναπετῶσαι καὶ πάντα τρόπον τῇ ἁλώσει τοῦ ἀκούοντος συμπροθυμούμεναι. Πρῶτον μὲν τὸ φιλόκαινον, ὃ φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει, καὶ τὸ ἀψίκορον, ἔπειτα δὲ τὸ πρὸς τὰ παράδοξα τῶν ἀκουσμάτων ἐπόμενον· οὐ γὰρ οἶδ' ὅπως ἡδόμεθα πάντες πρὸς τὰς λαθρηδὰ λεγομένας καὶ μεστὰς ὑπονοίας ἀκοάς· οἶδα γοῦν τινας οὕτως ἡδέως γαργαλιζομένους τὰ ὦτα ὑπὸ τῶν διαβολῶν ὥσπερ τοὺς πτεροῖς κνωμένους.

22. Ἐπειδὰν τοίνυν ὑπὸ τούτων ἁπάντων συμμαχούμενοι προσπέσωσι, κατὰ κράτος αἱροῦσιν, οἶμαι, καὶ οὐδὲ δυσχερὴς ἡ νίκη γένοιτ' ἂν μηδενὸς ἀντιπαρατταττομένου μηδὲ ἀμυνομένου τὰς προσβολὰς, ἀλλὰ τοῦ μὲν ἀκούοντος ἑκόντος ἑαυτὸν ἐνδιδόντος, τοῦ διαβαλλομένου δὲ τὴν ἐπιβουλὴν ἀγνοοῦντος· ὥσπερ γὰρ ἐν νυκτὶ πόλεως ἁλούσης καθεύδοντες οἱ διαβαλλόμενοι φονεύονται.

23. Καὶ τὸ πάντων οἰκτιστον, ὁ μὲν οὐκ εἰδὼς τὰ γεγενημένα προσέρχεται τῷ φίλῳ φαιδρὸς ἅτε μηδὲν ἑαυτῷ φαῦλον συνεπιστάμενος καὶ τὰ συνήθη λέγει καὶ ποιεῖ, παντὶ τρόπῳ ὁ ἄθλιος ἐνηδρευμένος· ὁ δὲ ἦν μὲν ἔχῃ τι γενναῖον καὶ ἐλεύθερον καὶ παρρησιαστικὸν, εὐθὺς ἐξέρρηξε τὴν ὀργὴν καὶ τὸν θυμὸν ἐξέχεε, καὶ τέλος τὴν ἀπολογίαν προσιέμενος ἔγνω μάτην κατὰ τοῦ φίλου παρωξυμμένος·

24. ἢν δὲ ἀγεννέστερος καὶ ταπεινότερος, προσίεται μὲν καὶ προσμειδιᾷ τοῖς χείλεσιν ἄκροις, μισεῖ δὲ καὶ λάθρᾳ τοὺς ὀδόντας διαπρίει καὶ, ὡς ὁ ποιητής φησι, βυσσοδομεύει τὴν ὀργήν. Οὔ δῆ ἐγὼ οὐδὲν οἶμαι ἀδικώτερον οὐδὲ δουλοπρεπέστερον, ἐνδακόντα τὸ χεῖλος ὑποτρέφειν τὴν χολὴν καὶ τὸ μῖσος ἐν αὑτῷ κατάκλειστον αὔξειν ἕτερα μὲν κεύθοντα ἐνὶ φρεσὶν, ἄλλα δὲ λέγοντα καὶ ὑποκρινόμενον ἱλαρῷ καὶ κωμικῷ τῷ προσώπῳ μάλα περιπαθῆ τινα καὶ ἰοῦ γέμουσαν τραγῳδίαν. Μάλιστα δὲ τοῦτο πάσχουσιν, ἐπειδὰν πάλαι φίλος ὁ ἐνδιαβάλλων δοκῶν εἶναι τῷ ἐνδιαβαλλομένῳ ποιῆται ὅμως· τότε γὰρ οὐδὲ φωνὴν ἀκούειν ἔτι θέλουσι τῶν διαβαλλομένων ἢ τῶν ἀπολογουμένων, τὸ ἀξιόπιστον τῆς κατηγορίας ἐκ τῆς πάλαι δοκούσης φιλίας προειληφότες, οὐδὲ τοῦτο λογιζόμενοι, ὅτι πολλαὶ πολλάκις ἐν τοῖς φιλτάτοις μίσους παραπίπτουσιν αἰτίαι τοὺς ἄλλους λανθάνουσαι, καὶ ἐνίοτε οἷς αὐτός τις ἔνοχός ἐστι, ταυτὶ φθάσας κατηγόρησε τοῦ πλησίον ἐκφυγεῖν οὕτω πειρώμενος τὴν διαβολήν. Καὶ ὅλως ἐχθρὸν μὲν οὐδεὶς ἂν τολμήσειε διαβαλεῖν· ἄπιστος γὰρ αὐτόθι ἡ κατηγορία πρόδηλον ἔχουσα τὴν αἰτίαν· τοῖς δοκοῦσι δὲ μάλιστα φίλοις ἐπιχειροῦσι τὴν πρὸς τοὺς ἀκούοντας εὔνοιαν ἐμφῆναι προαιρούμενοι, ὅτι ἐπὶ τῷ ἐκείνων συμφέροντι οὐδὲ τῶν οἰκειοτάτων ἀπέσχοντο.

25. Εἰσὶ δέ τινες οἳ κἂν μάθωσιν ὕστερον ἀδίκως διαβεβλημένους παρ' αὐτοῖς τοὺς φίλους, ὅμως ὑπ' αἰσχύνης

quin concedat in petui adulationis multiplici, quum præsertim velut cuniculis quibusdam fundamenta subruat delatio.

21. Et extra quidem sunt ista. Intus vero proditiones multæ adjuvant, quæ manum præbent, et portas aperiunt, et omni modo expugnationi audientis favent. Primo quidem novitatis amor, qui natura inest omnibus hominibus; et illud celere eorum, quæ vix attigimus, fastidium; tum quod mirabiles auditiones sectamur : gandemus enim, nescio quomodo, universi iis quæ clanculum atque ad aurem dicuntur, et plena sunt suspicionum. Novi enim quosdam, quorum aures non minus suaviter titillantur a calumniis, quam si plumis tangerentur.

22. Quum igitur tantis undique auxiliis nixi ingruunt, vi vincunt, puto, nec difficilis victoria fuerit, quum nemo stet in contraria acie, neque repellat impetum; sed ille qui audit sua se sponte dedat, qui vero petitur, ignoret insidias: nam velut capta noctu urbe, dormientes cæduntur quos petit delatio.

23. Et quod omnium miserrimum est, hic quidem, rerum omnium ignarus, accedit ad amicum hilaris, ut qui nullius mali sibi sit conscius, et consueta loquiturque ac facit, undique insidiis circumventus miser. Alter vero, si quid generosi pectoris habeat ac liberalitatis libertatisque, statim erumpit iram, et impetum animi effundit, tandemque admissa defensione intelligit se frustra contra amicum incitatum fuisse.

24. Si vero minus generosus sit atque humilior, admittit ille quidem et summis labris arridet; sed idem odit, et clanculum frendit dentibus, et, ut ait poeta, iram tenet alta mente repostam. Qua sane re nihil equidem injustius esse arbitror aut servilius, commorso labio clanculum alere bilem, et conclusum intra se augere odium, aliud sub pectore tectum habere, aliud vero dicere, atque agere sub hilari et comica persona ærumnosam plenamque veneni tragœdiam. Maxime vero ita afficiuntur, quando delator olim amicus videtur fuisse ei quem defert, ac tamen hoc facit. Tum enim nec vocem audire amplius volunt eorum quos calumnia petiit, neque causæ dictionem; quod fide dignam accusationem ex illa, quæ olim ferebatur, amicitia præsumunt, neque hoc cogitant, multas sæpe inter amicissimos causas odii incidere, quæ fugiant alios : nonnunquam etiam, quorum aliquis ipse reus est, eorum accusare occupat alium, effugere ita criminationem tentans. Atque in universum, inimicum criminari nemo ausit : fidem enim statim amittit delatio, quæ causam manifestam habeat. Sed illos aggrediuntur, qui maxime videntur amici; qua re suam adversus audientes benevolentiam ostentatum eunt, qui ipsorum utilitatis causa ne familiarissimis quidem parcant.

25. Sunt vero qui etiam quum deinde didicerunt injuria delatos apud se amicos, tamen præ verecundia fidei temere

ὧν ἐπίστευσαν οὐδ' ἔτι προσίεσθαι οὐδὲ προσβλέπειν τολμῶσιν αὐτοῖς ὥσπερ ἠδικημένοι, ὅτι μηδὲν ἀδικοῦντας ἐπέγνωσαν.

26. Τοιγαροῦν πολλῶν κακῶν ὁ βίος ἐπλήσθη ὑπὸ τῶν οὕτω ῥᾳδίως καὶ ἀνεξετάστως πεπιστευμένων διαβολῶν. Ἡ μὲν γὰρ Ἄντεια,

Τεθναίης (φησίν), ὦ Προῖτ', ἢ κάπτανε Βελλεροφόντην,
ὅς μ' ἔθελεν φιλότητι μιγήμεναι οὐκ ἐθελούσῃ·

habitæ neque jam admittere neque aspicere illos audent, tanquam injuria affecti eo ipso quod nihil injuste egisse illos deprehenderunt.

26. Itaque malis multis impleta est vita a creditis ita temere et sine examine delationibus. Antea enim,

Aut morere (inquit), o Prœte, aut interfice Bellerophontem,
qui nostrum invitæ voluit conscendere lectum:

αὐτὴ προτέρα ἐπιχειρήσασα καὶ ὑπεροφθεῖσα. Καὶ μικροῦ ὁ νεανίας ἐν τῇ πρὸς τὴν Χίμαιραν συμπλοκῇ διεφθάρη ἐπιτίμιον σωφροσύνης ὑποσχών καὶ τῆς πρὸς τὸν ξένον αἰδοῦς ὑπὸ μάχλου γυναικὸς ἐπιβεβουλευμένος. Ἡ δὲ Φαίδρα, κἀκείνη τὰ ὅμοια κατειποῦσα τοῦ προγόνου, ἐπάρατον ἐποίησε τὸν Ἱππόλυτον γενέσθαι ὑπὸ τοῦ πατρὸς οὐδέν, ὦ θεοί, οὐδὲν ἀνόσιον εἰργασμένον.

quum tamen ipsa prius pudore illius tentato repulsam tulisset. Et parum abfuit quin in certamine cum Chimæra periret juvenis, hanc mercedem referens suæ temperantiæ et pudoris adversus hospitem, libidinosæ mulieris insidiis petitus. Phædra autem, ipsa quoque similia quæ detulisset contra suum privignum, effecit ut exsecrabilis fieret patri, nihil, dii boni! nihil nefandum quum patrasset.

27. Ναί, φησί τις· ἀλλ' ἀξιόπιστός ἐστιν ἐνίοτε ὁ διαβάλλων ἀνὴρ τά τε ἄλλα δίκαιος καὶ συνετὸς εἶναι δοκῶν, καὶ ἐχρῆν προσέχειν αὐτῷ ἅτε μηδὲν ἂν τοιοῦτο κακουργήσαντι. Ἆρ' οὖν τοῦ Ἀριστείδου ἔστι τις δικαιότερος; ἀλλ' ὅμως κἀκεῖνος συνέστη ἐπὶ τὸν Θεμιστοκλέα καὶ συμπαρώξυνε τὸν δῆμον, ἧς, φασίν, ἐκεῖνος εἶχε πολιτικῆς φιλοτιμίας ὕπο κεχνισμένος. Δίκαιος μὲν γὰρ ὡς πρὸς τοὺς ἄλλους Ἀριστείδης, ἄνθρωπος δὲ καὶ αὐτὸς ἦν καὶ χολὴν εἶχε, καὶ ἠγάπα τινὰ καὶ ἐμίσει.

27. Sane quam! dicet aliquis; sed fide dignus nonnunquam est delator, qui justus cetera et prudens esse videatur: et oportebat rationem illius habere, qui nunquam tale maleficium commiserit. Numquid ergo est aliquis Aristide justior? sed tamen ille etiam coivit contra Themistoclem, et concitavit una populum, eodem, aiunt, quem iste habuit, civilis ambitionis pruritu sollicitatus. Scilicet justus, si cum aliis comparetur, Aristides: at homo erat ipse quoque, et bilem habebat, et amabat quendam atque oderat.

28. Καὶ εἴ γε ἀληθής ἐστιν ὁ περὶ τοῦ Παλαμήδους λόγος, ὁ συνετώτατος τῶν Ἀχαιῶν κἀν τοῖς ἄλλοις ἄριστος τὴν ἐπιβουλὴν καὶ ἐνέδραν ὑπὸ φθόνου φαίνεται συντεθεικὼς κατὰ ἀνδρὸς ὁμαίμου καὶ φίλου καὶ ἐπὶ τὸν αὐτὸν κίνδυνον ἐκπεπλευκότος· οὕτως ἔμφυτον ἅπασιν ἀνθρώποις ἡ περὶ τὰ τοιαῦτα ἁμαρτία.

28. Et, si vera est illa de Palamede narratio, Græcorum ille prudentissimus et in ceteris rebus optimus machinationem eam atque insidias ob invidiam composuisse deprehenditur contra virum consanguineum et amicum, et qui ad ejusdem societatem periculi una navigaverat: adeo insitum est hominibus omnibus in tali re peccare.

29. Τί γὰρ ἄν τις ἢ τὸν Σωκράτην λέγοι τὸν ἀδίκως πρὸς τοὺς Ἀθηναίους διαβεβλημένον ὡς ἀσεβῆ καὶ ἐπίβουλον; ἢ τὸν Θεμιστοκλέα ἢ τὸν Μιλτιάδην, τοὺς μετὰ τηλικαύτας νίκας ἐπὶ προδοσίᾳ τῆς Ἑλλάδος ὑπόπτους γενομένους; μυρία γὰρ τὰ παραδείγματα καὶ σχεδὸν τὰ πλεῖστα ἤδη γνώριμα.

29. Quid enim vel de Socrate dicamus, injuste delato apud Athenienses pro impio atque insidiatore? vel de Themistocle aut Miltiade, post tantas victorias proditionis Græciæ suspectos? infinita enim numero sunt exempla, et pleraque fere jam cognita.

30. Τί οὖν χρὴ καὶ ποιεῖν τόν γε νοῦν ἔχοντα ἢ ἀρετῆς ἢ ἀληθείας ἀμφισβητοῦντα; Ὅπερ, οἶμαι, καὶ Ὅμηρος ἐν τῷ περὶ Σειρήνων μύθῳ ᾐνίξατο παραπλεῖν κελεύσας τὰς ὀλεθρίους ταύτας τῶν ἀκουσμάτων ἡδονὰς καὶ ἀποφράττειν τὰ ὦτα καὶ μὴ ἀνέδην αὐτὰ ἀναπεταννύειν τοῖς πάθει προειλημμένοις, ἀλλ' ἐπιστήσαντα ἀκριβῆ θυρωρὸν τὸν λογισμὸν ἅπασι τοῖς λεγομένοις τὰ μὲν ἄξια προσίεσθαι καὶ παραβάλλεσθαι, τὰ φαῦλα δὲ ἀποκλείειν καὶ ἀπωθεῖν· καὶ γὰρ ἂν εἴη γελοῖον τῆς μὲν οἰκίας θυρωροὺς καθιστάναι, τὰ ὦτα δὲ καὶ τὴν διάνοιαν ἀνεῳγμένα ἐᾶν.

30. Quid igitur facere par est prudentem, quum aut de virtute aut de veritate ambigit? Quod, puto, Homerus etiam illa fabula de Sirenibus obscure significavit, prætervavigare jubens perniciosas illas auditionum voluptates, et obturare aures, neque ita effuse illas pandere iis qui perturbatione quadam sunt occupati; sed apponere curiosi janitoris instar rectam rationem his quæ dicuntur omnibus, quæ admittat digna admissione atque recipiat, mala autem excludat repellatque. Ridiculum enim fuerit, domus quidem janitores constituere, aures autem ac mentem apertas sinere.

31. Ἐπειδὰν τοίνυν τοιαῦτα προσίῃ τις λέγων, αὐτὸ ἐφ' ἑαυτοῦ χρὴ τὸ πρᾶγμα ἐξετάζειν, μήτε ἡλικίαν τοῦ λέγοντος ὁρῶντα μήτε τὸν ἄλλον βίον μήτε τὴν ἐν τοῖς λόγοις ἀγχίνοιαν· ὅσῳ γάρ τις πιθανώτερος, τοσούτῳ ἐπιμελεστέρας δεῖται τῆς ἐξετάσεως. Οὐ δεῖ τοίνυν πι-

31. Quum igitur dicens talia aliquis accesserit, ipsum per se explorare negotium oportet, neque ætate considerata dicentis, neque vita alia, neque ea quæ in sermonibus illius forte inest sollertia: quo enim quis probabilior est, eo curiosiore exploratione opus habet. Non oportet igitur cre-

στεύειν ἀλλοτρίᾳ κρίσει, μᾶλλον δὲ μίσει τοῦ κατηγοροῦντος, ἀλλ' ἑαυτῷ τὴν ἐξέτασιν φυλακτέον τῆς ἀληθείας, ἀποδόντα καὶ τῷ διαβάλλοντι τὸν φθόνον καὶ ἐν φανερῷ ποιησάμενον τὸν ἔλεγχον τῆς ἑκατέρου διανοίας, καὶ μισεῖν οὕτω καὶ ἀγαπᾶν τὸν δεδοκιμασμένον. Πρὶν δὲ τοῦτο ποιῆσαι ἐκ τῆς πρώτης διαβολῆς κεκινημένον, Ἡράκλεις, ὡς μειρακιῶδες καὶ ταπεινὸν καὶ πάντων οὐχ ἥκιστα ἄδικον.

32. Ἀλλὰ τούτων ἁπάντων αἴτιον, ὅπερ ἐν ἀρχῇ ἔφημεν, ἡ ἄγνοια καὶ τὸ ἐν σκότῳ που εἶναι τὸν ἑκάστου τρόπον· ὡς εἴ γε θεῶν τις ἀποκαλύψειεν ἡμῶν τοὺς βίους, οἴχοιτο ἂν φεύγουσα ἐς τὸ βάραθρον ἡ διαβολὴ χώραν οὐκ ἔχουσα, ὡς ἂν πεφωτισμένων τῶν πραγμάτων ὑπὸ τῆς ἀληθείας.

dere alieno judicio, vel odio potius accusantis, sed examen veritatis sibi servare, suamque sibi invidiam delatori reddere, et qua quisque mente sit in claram lucem protrahere, ac sic demum vel amare vel odisse, postquam quemque probaveris. Prius autem hoc facere prima permotum delatione, quam puerile est, bone Hercules! et humile, et non minime inter omnia injustum.

32. At harum rerum omnium causa, quam principio dicebamus, ignorantia, et quod mores uniuscujusque in obscuro sunt. Nam si deorum aliquis vitas nostras aperiat, iverit sane fuga præceps in barathrum delatio, locum nempe, rebus a veritate collustratis, non jam habitura.

LX.

ΨΕΥΔΟΛΟΓΙΣΤΗΣ Η ΠΕΡΙ ΤΗΣ ΑΠΟΦΡΑΔΟΣ ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ.

1. Ἀλλ' ὅτι μὲν ἠγνόεις τοὔνομα τὴν ἀποφράδα παντί που δῆλον. Πῶς γὰρ ἂν ἠτιῶ βάρβαρον εἶναί με τὴν φωνὴν ἐπ' αὐτῷ, εἰπόντα ὑπὲρ σοῦ ὡς ἀποφράδι ὅμοιος εἴης — τὸν γὰρ τρόπον σου νὴ Δία μέμνημαι εἰκάσας τῇ τοιαύτῃ ἡμέρᾳ — εἰ μὴ καὶ παντάπασιν ἀνήκοος ἦσθα τοῦ ὀνόματος; Ἐγὼ δὲ τὴν μὲν ἀποφράδα ὅ τι καὶ βούλεται εἶναι διδάξω σε μικρὸν ὕστερον· τὸ δὲ τοῦ Ἀρχιλόχου ἐκεῖνο ἤδη σοι λέγω, ὅτι τέττιγα τοῦ πτεροῦ συνείληφας· εἴπερ τινὰ ποιητὴν ἰάμβων ἀκούεις Ἀρχίλοχον, Πάριον τὸ γένος, ἄνδρα κομιδῇ ἐλεύθερον καὶ παρρησίᾳ συνόντα, μηδὲν ἀκνοῦντα ὀνειδίζειν, εἰ καὶ ὅτι μάλιστα λυπήσειν ἔμελλε τοὺς περιπετεῖς ἐσομένους τῇ χολῇ τῶν ἰάμβων αὐτοῦ. Ἐκεῖνος τοίνυν πρός τινος τῶν τοιούτων ἀκούσας κακῶς τέττιγα ἔφη τὸν ἄνδρα εἰληφέναι τοῦ πτεροῦ, εἰκάζων ἑαυτὸν τῷ τέττιγι ὁ Ἀρχίλοχος φύσει μὲν λάλῳ ὄντι καὶ ἄνευ τινὸς ἀνάγκης, ὁπόταν δὲ καὶ τοῦ πτεροῦ ληφθῇ, γεγωνότερον βοῶντι. Καὶ σὺ δή, ἔφη, ὦ κακόδαιμον ἄνθρωπε, τί βουλόμενος ποιητὴν λάλον παροξύνεις ἐπὶ σεαυτὸν αἰτίας ζητοῦντα καὶ ὑποθέσεις τοῖς ἰάμβοις;

2. Ταῦτά σοι καὶ αὐτὸς ἀπειλῶ οὐ μὰ τὸν Δία τῷ Ἀρχιλόχῳ εἰκάζων ἐμαυτόν — πόθεν; πολλοῦ γε καὶ δέω — σοὶ δὲ μυρία συνειδὼς ἰάμβων ἄξια βεβιωμένα, πρὸς ἃ μοι δακεῖ οὐδ' ἂν ὁ Ἀρχίλοχος αὐτὸς διαρκέσαι προσπαρακαλέσας καὶ τὸν Σιμωνίδην καὶ τὸν Ἱππώνακτα συμποιεῖν μετ' αὐτοῦ κἂν ἕν τι τῶν προσόντων σοι κακῶν· οὕτω σύ γε παῖδας ἀπέφηνας ἐν πάσῃ βδελυρίᾳ τὸν Ὀροδοικίδην καὶ τὸν Λυκάμβην καὶ τὸν Βούπαλον, τοὺς ἐκείνων ἰάμβους. Καὶ ἔοικε θεῶν τις ἐπὶ χεῖλος ἀγαγεῖν σοι τότε τὸν γέλων ἐπὶ τῇ ἀποφράδι λεχθείσῃ, ὡς αὐτὸς μὲν Σκυθῶν καταφανέστερος γένοιο κομιδῇ ἀπαίδευτος ὢν καὶ τὰ κοινὰ ταῦτα καὶ τὰ ἐν

LX.

PSEUDOLOGISTA SIVE DE DIE NEFASTO CONTRA TIMARCHUM.

1. Verum enim vero ignotum tibi fuisse nomen Apophras, unicuique manifestum. Qui enim accusares me hoc ipso nomine barbarismi circa linguam, qui dixerim esse te Apophradi (*nefasto diei*) similem (memini enim profecto tuos me mores tali diei assimilare), nisi omnino tibi nomen illud esset incognitum? Ego vero, Apophras quid sibi velit, paullo post te docebo: jam vero illud tibi Archilochi dicam, Cicadam alis prehendisti! si quidem iamborum quendam poetam nosti Archilochum, Parium genere, virum omnino liberum, et libertate uti solitum, nec cunctantem maledicere, si vel maxime læsurus videretur eos qui in bilem iamborum suorum incidissent. Hic igitur, quum male ipsi a quodam ex illo genere dictum esset, dicebat alis prehensam ab eo esse cicadam, ipsum se cicadæ comparans Archilochus, strepero natura sua, etiam nemine cogente, animali; si vero etiam ala prehendatur, clamanti sonantius. Sic tu, inquiebat, homo infelix, quid tibi vis, quum loquacem in te poetam concitas, occasiones et argumenta iambis quærentem?

2. Hæc ipse quoque tibi comminor, non profecto, quasi Archilocho me comparem (unde enim? multum sane ab eo absum), sed quod novi sexcenta tua facinora iambis digna, quibus ne ipse quidem sufficere Archilochus videtur, etiamsi Simonidem et Hipponactem advocet, ut secum vel unum eorum, quæ tibi insunt, malorum carmine describant: adeo tu pueri in omni impuritate ut videantur effecisti Orodœciden, et Lycamben, et Bupalum, iamborum illorum argumenta. Ac videtur deorum aliquis in labia tum adduxisse tibi risum de dicta a me Apophrade, ut ipse quidem manifestius quam Scythæ ruditatis omnium rerum convincereris, qui communia ista et quæ ante pedes sunt ignores; occa-

ποσὶν ἀγνοῶν, ἀρχὴν δὲ εὔλογον παράσχοις τῶν κατὰ σοῦ λόγων ἀνδρὶ ἐλευθέρῳ καὶ οἰκοθέν σε ἀκριβῶς εἰδότι καὶ μηδὲν ὑποστελλομένῳ τὸ μὴ οὐχὶ πάντα ἐξειπεῖν, μᾶλλον δὲ κηρῦξαι ἃ πράττεις νύκτωρ καὶ μεθ' ἡμέραν ἔτι καὶ νῦν ἐπὶ πολλοῖς τοῖς πρὶν ἐκείνοις.

3. Καίτοι μάταιον ἴσως καὶ περιττὸν ἐν παιδείας νόμῳ παρρησιάζεσθαι πρὸς σέ· οὔτε γὰρ ἂν αὐτός ποτε βελτίων γένοιο πρὸς τὴν ἐπιτίμησιν, οὐ μᾶλλον ἡ κάνθαρος μεταπεισθείη ἂν μηκέτι τοιαῦτα κυλινδεῖν ἅπαξ αὐτοῖς συνήθης γενόμενος, οὔτ' εἶναί τινα νομίζω τὸν ἀγνοοῦντα ἔτι τὰ ὑπὸ σοῦ τολμώμενα καὶ ἃ γέρων ἄνθρωπος ἐς σεαυτὸν παρανομεῖς. Οὐχ οὕτως ἀσφαλὴς οὐδὲ ἀφανὴς βδελυρὸς εἶ· οὐδὲ δεῖ τινος τοῦ ἀποδύσοντος τὴν λεοντῆν, ὡς φανερὸς γένοιο κανθήλιος ὤν, εἰ μή τις ἄρα ἐξ Ὑπερβορέων ἄρτι ἐς ἡμᾶς ἥκοι ἢ ἐς τοσοῦτον Κυμαῖος εἴη, ὡς μὴ ἰδὼν εὐθὺς εἰδέναι ὄνων ἁπάντων ὑβριστότατόν σε ὄντα μὴ περιμείνας ὀγκωμένου προσέτι ἀκούειν. Οὕτω πάλαι καὶ πρὸ ἐμοῦ καὶ παρὰ πᾶσι καὶ πολλάκις κεκήρυκται τὰ σὰ καὶ δόξαν οὐ μικρὰν ἔχεις ἐπ' αὐτοῖς ὑπὲρ τὸν Ἀριφράδην, ὑπὲρ τὸν Συβαρίτην Ἡμιθέωνα, ὑπὲρ τὸν Χῖον ἐκεῖνον Βάσταν τὸν ἐπὶ τοῖς ὁμοίοις σοφόν. Ῥητέον δὲ ὅμως, εἰ καὶ ἑωλα δόξω λέγειν, ὡς μὴ αἰτίαν ἔχοιμι μόνος αὐτὰ ἀγνοεῖν.

4. Μᾶλλον δὲ παρακλητέος ἡμῖν τῶν Μενάνδρου προλόγων εἷς ὁ Ἔλεγχος, φίλος Ἀληθείᾳ καὶ Παρρησίᾳ, θεὸς οὐχ ὁ ἀσημότατος τῶν ἐπὶ τὴν σκηνὴν ἀναβαινόντων, μόνοις ὑμῖν ἐχθρὸς τοῖς δεδιόσι τὴν γλῶτταν αὐτοῦ, πάντα καὶ εἰδότος καὶ σαφῶς διεξιόντος ὁπόσα ὑμῖν σύνοιδε. Χάριεν γοῦν τοῦτο γένοιτ' ἄν, εἰ ἐθελήσειεν ὑμῖν προεισελθὼν οὗτος διηγήσασθαι τοῖς θεαταῖς σύμπαντα τοῦ δράματος τὸν λόγον. Ἄγε τοίνυν, ὦ προλόγων καὶ δαιμόνων ἄριστε Ἔλεγχε, ὅρα ὅπως σαφῶς προδιδάξῃς τοὺς ἀκούοντας, ὡς οὐ μάτην οὐδὲ φιλαπεχθημόνως οὐδ' ἀνίπτοις ποσὶ κατὰ τὴν παροιμίαν ἐπὶ τόνδε τὸν λόγον ἀπηντήκαμεν, ἀλλὰ καὶ ἴδιόν τι ἀμυνόμενοι καὶ τὰ κοινὰ μισοῦντες τὸν ἄνθρωπον ἐπὶ τῇ βδελυρίᾳ. Ταῦτα μόνα εἰπὼν καὶ σαφῶς προδιηγησάμενος ἵλεως ἄπιθι ἐκποδών, τὰ δὲ ἄλλα ἡμῖν καταλιπε· μιμησόμεθα γάρ σε καὶ διελέγξομεν τὰ πολλά, ὡς παρρησίας γε καὶ ἀληθείας ἕνεκα μηδὲν αἰτιάσασθαί σε. Μήτε δὲ ἐμὲ πρὸς αὐτοὺς ἐπαινέσῃς, ὦ φίλτατε Ἔλεγχε, μήτε τὰ ἐκείνῳ προσόντα προεκχέῃς αὖτως· οὐ γὰρ ἄξιον θεῷ ὄντι ἐπὶ στόμα σοι ἐλθεῖν τοὺς περὶ τῶν οὕτω καταπτύστων λόγους.

5. Ὁ γὰρ σοφιστὴς οὗτος εἶναι λέγων, ὁ πρόλογος ἤδη φησὶ ταῦτα, ἐς Ὄλυμπίαν ποτὲ ἦκε λόγον τινὰ πρὸ πολλοῦ συγγεγραμμένον ἐπιδειξόμενος τοῖς πανηγυρισταῖς. Ἦν δὲ ὑπόθεσις τῷ συγγράμματι ὁ Πυθαγόρας κωλυόμενος ὑπό τινος Ἀθηναίων, οἶμαι, μετέχειν τῆς Ἐλευσῖνι τελετῆς ὡς βάρβαρος, ὅτι ἔλεγεν αὐτὸς ὁ Πυθαγόρας πρὸ τούτου ποτὲ καὶ Εὔφορβος γεγονέναι. Ἐτύγχανε δὲ ὁ λόγος αὐτῷ κατὰ τὸν Αἰσώπου κολοιὸν συμφορητὸς ὢν ἐκ ποικίλων ἀλλοτρίων πτερῶν. Bou-

sionemque et principium justum præberes contra te scribendi viro libero, quique te domo inde accurate noverit, neque metuat quicquam, quominus omnia proferat, vel præconio vulget potius, quæcumque, præter multa illa antiqua, nunc etiam noctu atque interdiu perpetras.

3. Quanquam vanum fortasse et supervacuum fuerit, libertate illa, quæ eruditos decet, apud te uti : neque enim ipse unquam a reprehensione fias melior, non magis quam scarabæus dediscat volvere talia, quum semel iis assueverit; neque puto quenquam esse qui adhuc ignoret quæ audeas quæque senex homo in te ipsum designes. Non ita securus, non ita obscure impurus es : neque opus est qui leoninam tibi detrahat, ut appareat te asinum esse, nisi quis forte ab Hyperboreis inde modo ad nos venerit, aut adeo sit Cumanus, ut non ad primum statim conspectum cognoscat asinorum te omnium esse insolentissimum, neque exspectet dum rudentem etiam audiat : adeo olim et ante me, et apud omnes, et sæpe tua vita præconio vulgata est, et famam eo nomine non parvam habes supra Ariphraden, supra Sybaritam Hemitheonem, supra Chium illum Bastam, illum similibus in rebus doctum. Dicendum tamen, licet obsoleta dicere videar, ne reprehendar, qui solus ea ignorem.

4. Vel potius advocandus erit nobis Menandri prologorum unus, Elenchus [*Arguens*], amicus Veritati et Libertati in dicendo, deus minime obscurissimus eorum qui in scenam prodeunt, solis vobis inimicus qui linguam ipsius timetis, qui et noverit omnia, et diserte quæ de vobis novit eloquatur. Lepidum sane hoc fuerit, si velit ille ante ad vos procedere, et enarrare spectatoribus totam fabulæ rationem. Age igitur, prologorum atque Geniorum optime, Elenche, vide ut diserte auditores ante edoceas, quam non temere neque animo ad inimicitias prono, neque illotis, quod aiunt, pedibus ad hoc argumentum devenerimus, sed tum propriam injuriam ulciscentes, tum communi odio hominem impuritatis causa persequentes. Hæc sola ubi dixeris et aperte exposueris ante fabulam, propitius e vestigio hinc discedito, et reliqua nobis permittito : te enim imitabimur, et convincemus eum in plerisque, ut, quantum ad libertatem veritatemque, minime nos accusaveris. Ne vero rursus me laudaveris apud illos, Elenche carissime, neve isti quæ insunt, temere effundas ante me : neque enim dignum fuerit tibi, qui deus es, in os venire sermones de rebus adeo despuendis.

5. Nimirum iste qui sophistam se esse ait (hæc jam loquitur prologus), Olympiam venit aliquando, orationem olim conscriptam habiturus in panegyri. Erat autem argumentum libelli, Pythagoras prohibitus ab aliquo, Atheniensium puto, sacris Eleusiniis interesse, tanquam barbarus, quod ipse dictitabat Pythagoras se quondam Euphorbum fuisse. Erat porro oratio illi ad Æsopicæ corniculæ instar consarcinata ex multis pennis alienis. Quum

λόμενος δὴ μὴ ἔωλα δόξαι λέγειν, ἀλλ' αὐτοσχεδιάζειν τὰ ἐκ τοῦ βιβλίου, δεῖται τῶν συνήθων τινός — ἦν δὲ ἐκ Πατρῶν ἐκεῖνος, ἀμφὶ δίκας ἔχων τὰ πολλά — ἐπειδὰν αἰτήσῃ τινὰς ὑποθέσεις τοῖς λόγοις, τὸν Πυθαγόραν αὐτῷ προελέσθαι. Καὶ οὕτως ἀνὴρ ἐποίησε καὶ συνέπεισε τὸ θέατρον ἀκούειν τῶν ὑπὲρ τοῦ Πυθαγόρου ἐκείνων λόγων.

6. Ἦν δὴ τὸ ἐπὶ τούτῳ ὁ μὲν πάνυ ἀπίθανος ἐν τῇ ὑποκρίσει συνείρων οἷον εἰκὸς ἐκ πολλοῦ ἐσκεμμένα καὶ μεμελετημένα, εἰ καὶ ὅτι μάλιστα ἡ ἀναισχυντία οὖσα ἐπήμυνε καὶ χεῖρα ὤρεγε καὶ συνηγωνίζετο αὐτῷ. Γέλως δὲ πολὺς παρὰ τῶν ἀκουόντων· καὶ οἱ μὲν ἐς τὸν Πατρέα ἐκεῖνον μεταξὺ ἀποβλέποντες ὑπεδήλουν ὡς οὐ λεληθε συμπράξας αὐτῷ τὴν ῥᾳδιουργίαν, οἱ δὲ καὶ αὐτὰ γνωρίζοντες τὰ λεγόμενα παρ' ὅλην τὴν ἀκρόασιν διετέλεσαν ἓν τοῦτο μόνον ἔργον ἔχοντες, ἀλλήλων πειρώμενοι ὅπως μνήμης ἔχουσι πρὸς τὸ διαγιγνώσκειν ὅτου ἕκαστον ἦν τῶν ὀλίγον πρὸ ἡμῶν εὐδοκιμησάντων ἐπὶ ταῖς καλουμέναις μελέταις σοφιστῶν.

7. Ἐν δὲ τούτοις ἅπασι καὶ ὁ τὸν λόγον τόνδε συγγράψας ἦν ἐν τοῖς γελῶσι καὶ αὐτός. Τί δ' οὐκ ἔμελλε γελᾶν ἐφ' οὕτω περιφανεῖ καὶ ἀπιθάνῳ καὶ ἀναισχύντῳ τολμήματι; καί πως — ἔστι δὲ ἀκρατὴς γέλωτος — ὁ μὲν τὴν φωνὴν ἐντρέψας εἰς μέλος, ὡς ᾤετο θρῆνόν τινα ἐπηύλει τῷ Πυθαγόρᾳ, ὁ δὲ τοῦτο δὴ τὸ τοῦ λόγου, ὄνον κιθαρίζειν πειρώμενον ὁρῶν ἀνεκάχασε μάλα ἡδὺ ὁ ποιητὴς οὗτος ὁ ἐμός· ὁ δὲ εἶδεν ἐπιστραφείς. Τοῦτο ἐξεπολέμωσεν αὐτοὺς τότε ἐναγχος.

8. Ἐνθένδε ἦν μὲν ἡ τοῦ ἔτους ἀρχὴ, μᾶλλον δὲ ἡ ἀπὸ τῆς μεγάλης νουμηνίας τρίτη, ἐν ᾗ οἱ Ῥωμαῖοι κατά τι ἀρχαῖον εὔχονταί τε αὐτοὶ ὑπὲρ ἅπαντος τοῦ ἔτους εὐχάς τινας καὶ θύουσι, Νουμᾶ τοῦ βασιλέως καταστησαμένου τὰς ἱερουργίας αὐτοῖς, καὶ πεπιστεύκασι τοὺς θεοὺς ἐν ἐκείνῃ μάλιστα τῇ ἡμέρᾳ χρηματίζειν τοῖς εὐχομένοις. Ἐν τοιαύτῃ τοίνυν ἑορτῇ καὶ ἱερομηνίᾳ ὁ τότε γελάσας ἐν Ὀλυμπίᾳ ἐκεῖνος ἐπὶ τῷ ὑποβολιμαίῳ Πυθαγόρᾳ ἰδὼν προσιόντα τὸν κατάπτυστον καὶ ἀλαζόνα, τὸν τῶν ἀλλοτρίων λόγων ὑποκριτήν — ἐτύγχανε δὲ καὶ τὸν τρόπον αὐτοῦ ἀκριβῶς εἰδὼς καὶ τὴν ἄλλην ἀσέλγειαν καὶ μιαρίαν τοῦ βίου καὶ ἃ ποιεῖν ἐλέγετο καὶ ἃ ποιῶν κατεληπτο — Ὥρα ἡμῖν, ἔφη πρός τινα τῶν ἑταίρων, ἐκτρέπεσθαι τὸ δυσάντητον τοῦτο θέαμα, ὃς φανεὶς ἔοικε τὴν ἡδίστην ἡμέραν ἀποφράδα ποιήσειν ἡμῖν. Τοῦτ' ἀκούσας ὁ σοφιστὴς τὴν ἀποφράδα ὥς τι ξένον καὶ ἀλλότριον ὄνομα τῶν Ἑλλήνων ἐγέλα εὐθὺς καὶ τὸν ἄνδρα τοῦ πάλαι ἐκείνου γέλωτος ἠμύνετο, ὡς γοῦν ᾤετο, καὶ πρὸς ἅπαντας ἔλεγεν, Ἀποφρὰς, τί δὲ τοῦτό ἐστι; καρπός τις ἢ βοτάνη τις ἢ σκεῦος; ἆρα τῶν ἐσθιομένων ἢ πινομένων τί ἐστιν ἀποφράς; ἐγὼ μὲν οὔτε ἤκουσα πώποτε οὔτ' ἂν συνίην ποτὲ ὅ τι καὶ λέγει.

9. Ταῦθ' ὁ μὲν ᾤετο κατὰ τούτου διεξιέναι καὶ πολὺν ἐπῆγε τῇ ἀποφράδι τὸν γέλων· ἐλελήθει δὲ καθ' αὑτοῦ τὸ ὕστατον τεκμήριον ἀπαιδευσίας ἐκφέρων. Ἐπὶ

autem vellet non antiqua videri dicere, sed velut ex tempore proponere quæ de libro edidicerat, rogat sodalium aliquem (erat ille Patrensis, in causis multum versatus homo), quum argumenta posceret dicendi, Pythagoram ut ipse deligeret. Idque fecit homo, ac persuasit theatro ut audire vellent homines illam pro Pythagora orationem.

6. Hinc jam iste in actione erat valde improbabilis, qui connecteret, ut consentaneum erat, orationem ab longo inde tempore commentatam et meditatam, etsi quammaxime præsens homini impudentia pro ipso pugnaret et *manum ei porrigeret et certamen ejus adjuvaret*. Risus interim multus apud auditores; quum alii in Patrensem illum intuentes, subindicarent auxilium istius imposturæ ab illo præstitum non *latere*; *alii* vero *qui* agnoscerent quæ dicebantur, toto quo audiebant tempore illud unum agebant, ut alter alterius memoriam tentaret in agnoscendo cujus esset unumquodque eorum sophistarum, qui paullo ante nostram ætatem in declamationibus floruerunt.

7. Inter hos autem omnes qui riderent, is ipse quoque fuit qui hunc libellum scripsit. Qui enim non rideret auso tam manifesto et improbabili atque impudenti? Ac fere (est autem alioqui risus impotens) ille quidem inflexa ad modulationem voce, threnum quendam, uti putabat, accinebat Pythagoræ: at hic, poeta meus, in suaves cachinnos solvi, asinum, quod in proverbio est, videns citharam tractare conantem. Verum iste conversus hoc observat. Hoc illos tum nuper inimicos reddidit.

8. Deinde incidit principium anni, vel potius dies a magnis illis kalendis tertius, quo Romani de prisco more vota quædam pro toto anno et sacra faciunt, ritu a Numa rege *ipsis præscripto*, *creduntque deos illo maxime die operam* dare precantibus. Hoc igitur festo die atque sacro is qui tum riserat Olympiæ subdititium illum Pythagoram, quum videret accedere conspuendum istum ac nebulonem, alienæ orationis histrionem, cujus etiam mores accurate nosset, et reliquam vitæ istius libidinem atque impuritatem, quæque facere diceretur, et in quibus agendis deprehensus fuerat, Suadeo, inquit ad sodalium quendam, devitemus infelicis occursus hoc ostentum, qui sua præsentia jucundissimum nobis diem Apophrada [*nefastum*, *atrum*] videtur facturus. Hoc ipsum nomen Apophrada audiens sophista, tanquam peregrinum et alienum a Græcis nomen statim risit, et prioris illius risus nomine virum ultus est, ut quidem sibi videbatur, et apud omnes usurpabat hoc, Apophras! quid vero id rei est? fructusne aliquis? an herba quædam? an vas? an esculentorum quiddam vel poculentorum est Apophras? equidem nec audivi unquam, neque unquam scivi quid id sibi velit.

9. Talia iste contra hunc meum se disputare opinabatur, multumque Apophradi risum conflabat, ignarus nempe, ultimum se hoc ruditatis contra se indicium proferre. Su-

τούτῳ τὸν λόγον τόνδε συνέγραψεν ὁ ἐμὲ προεισπέμψας ὑμῖν, ὡς δείξειε τὸν ἀοίδιμον σοφιστὴν τὰ κοινὰ τῶν Ἑλλήνων ἀγνοοῦντα καὶ ὁπόσα κἂν οἱ ἐπὶ τῶν ἐργαστηρίων καὶ τῶν καπηλείων εἰδεῖεν. Ταῦτα μὲν ὁ Ἔλεγχος.

10. Ἐγὼ δὲ — ἤδη γὰρ αὐτὸς παρείληφα τοῦ δράματος τὰ λοιπά — δίκαιος ἂν εἴην τὰ ἐκ τοῦ Δελφικοῦ τρίποδος ἤδη λέγειν, οἷα μέν σου τὰ ἐν τῇ πατρίδι, οἷα δὲ τὰ ἐν τῇ Παλαιστίνῃ, οἷα δὲ τὰ ἐν Αἰγύπτῳ, οἷα δὲ τὰ ἐν Φοινίκῃ καὶ Συρίᾳ, εἶτα ἑξῆς τὰ ἐν Ἑλλάδι καὶ Ἰταλίᾳ καὶ ἐπὶ πᾶσι τὰ ἐν Ἐφέσῳ νῦν, ἅπερ κεφαλαιωδέστατα τῆς ἀπονοίας τῆς σῆς καὶ κορυφὴ καὶ κορωνὶς τοῦ τρόπου· ἐπεὶ γὰρ κατὰ τὴν παροιμίαν Ἰλιεὺς ὢν τραγῳδοὺς ἐμισθώσω, καιρὸς ἤδη σοι ἀκούειν τὰ σαυτοῦ κακά.

11. Μᾶλλον δὲ ταῦτα μὲν μηδέπω, περὶ δὲ τῆς ἀποφράδος πρότερον. Εἰπέ γάρ μοι πρὸς πανδήμου καὶ Γενετυλλίδων καὶ Κυβήβης, πῇ σοι μεμπτὸν καὶ γέλωτος ἄξιον τοὔνομα εἶναι ἔδοξεν ἡ ἀποφράς; Νὴ Δί', οὐ γὰρ ἦν τῶν Ἑλλήνων ἴδιον, ἀλλά ποθεν ἐπεισκωμάσαν αὐτοῖς ἀπὸ τῆς πρὸς Κελτοὺς ἢ Θρᾷκας ἢ Σκύθας ἐπιμιξίας. Σὺ δὲ — ἅπαντα γὰρ οἶσθα τὰ τῶν Ἀθηναίων — ἐξέκλεισας τοῦτο εὐθὺς καὶ ἐξεκήρυξας τοῦ Ἑλληνικοῦ. Καὶ ὁ γέλως ἐπὶ τούτῳ, ὅτι βαρβαρίζω καὶ ξενίζω καὶ ὑπερβαίνω τοὺς ὅρους τοὺς Ἀττικούς. Καὶ μὴν τί ἄλλο Ἀθηναίοις οὕτως ἐπιχώριον ὡς τουτὶ τοὔνομα, φαῖεν ἂν οἵ γε σοῦ μᾶλλον τὰ τοιαῦτα εἰδότες· ὥστε θᾶττον ἂν τὸν Ἐρεχθέα καὶ τὸν Κέκροπα ξένους ἀποφήναις καὶ ἐπήλυδας εἶναι τῶν Ἀθηνῶν, ἢ τὴν ἀποφράδα δείξειας οὐκ οἰκείαν καὶ αὐτόχθονα τῆς Ἀττικῆς.

12. Πολλὰ μὲν γάρ ἐστιν ἃ καὶ αὐτοὶ κατὰ ταὐτὰ τοῖς πᾶσιν ἀνθρώποις ὀνομάζουσιν, ἀποφράδα δὲ μόνοι ἐκεῖνοι τὴν μιαρὰν καὶ ἀπευκτὴν καὶ ἀπαίσιον καὶ ἄπρακτον καὶ σοὶ ὁμοίαν ἡμέραν. Ἰδοὺ, μεμάθηκας ἤδη ὁδοῦ πάρεργον, τί βούλεται αὐτοῖς ἡ ἀποφρὰς ἡμέρα, ὅταν μήτε αἱ ἀρχαὶ χρηματίζωσι μήτε εἰσαγώγιμοι αἱ δίκαι ὦσι μήτε τὰ ἱερὰ ἱερουργῆται μήθ' ὅλως τι τῶν αἰσίων τελῆται, αὕτη ἀποφρὰς ἡμέρα.

13. Ἐνομίσθη δὲ τοῦτο ἄλλοις ἐπ' ἄλλαις αἰτίαις· ἢ γὰρ ἡττηθέντες μάχαις μεγάλαις ἔπειτα ἔταξαν ἐκείνας τὰς ἡμέρας, ἐν αἷς τὰ τοιαῦτα ἐπεπόνθεισαν, ἀπράκτους καὶ ἀκύρους τῶν ἐννόμων πράξεων εἶναι, ἢ καὶ νὴ Δία ..... καίτοι ἄκαιρον ἴσως καὶ ἔξωρόν γε ἤδη γέροντα ἄνδρα μεταπαιδεύειν καὶ ἀναδιδάσκειν τὰ τοιαῦτα μηδὲ τὰ πρὸ τούτων εἰδότα· πάνυ γοῦν τοῦτ' ἔστι τὸ λοιπὸν, κἂν ἐκμάθῃς αὐτὸ, πᾶν ἡμῖν εἰδὼς ἔσῃ. Πόθεν γάρ, ὦ οὗτος; τὰ μὲν γὰρ ἄλλα καὶ ἀγνοῆσαι συγγνώμη ὁπόσα ἔξω τοῦ πολλοῦ πάτου καὶ ἄδηλα τοῖς ἰδιώταις, τὴν ἀποφράδα δὲ οὐδὲ βουληθεὶς ἂν ἄλλως εἴποις· ἐν γὰρ τοῦτο καὶ μόνον ἁπάντων τοὔνομα.

14. Ἔστω, φησί τις· ἀλλὰ καὶ τῶν παλαιῶν ὀνομάτων τὰ μὲν λεκτέα, τὰ δ' οὔ, ὁπόσα αὐτῶν μὴ συνήθη τοῖς πολλοῖς, ὡς μὴ ταράττοιμεν τὰς ἀκοὰς καὶ τιτρώ-

per hoc libellum hunc conscripsit ille qui me ad vos præmisit, ut ostendat nobilem sophistam communia Græcorum ignorare, quæque de officinis etiam et cauponis homines norunt. Ista quidem Elenchus.

10. Ego vero (jam enim ipse suscepi quod reliquum est fabulæ) jure meo jam possim ista velut e Delphico tripode dicere, quæ tu in patria egeris, quæ in Palæstina, quæ in Ægypto, quæ in Phœnice et Syria, quæ deinde in Græcia et Italia; ac super omnia, quæ nunc Ephesi, quæ quidem maxime capitalia et fastigium amentiæ tuæ, et imposita moribus tuis coronis: quum enim, quod est in proverbio, Iliensis ipse tragœdos conduxeris, jam decet tua te mala audire.

11. Sed potius ista nondum; de Apophrade vero prius. Nam dic mihi, per ego te Vulgivagam et Genetyllidas et Cybeben oro, qui tibi reprehensione aut risu dignum Apophradis nomen visum est? Ita sane: neque enim erat Græcorum proprium; sed alicunde quasi comissatum venit illis a Celtarum aut Thracum aut Scytharum colluvie. Tu vero (nosti enim Atheniensium omnia) statim hoc exclusisti, et præconio ejecisti de Græco solo. Hinc ille risus, quod barbare loquor et peregrinum in morem, et terminos Atticos egredior. Verum enim vero, Quod aliud ita Atheniensibus patrium est atque hoc nomen? dixerint qui magis quam tu norunt talia: adeo ut citius Erechtheum et Cecropem peregrinos atque advenas esse Athenis ostendas, quam Apophrada demonstres non domesticam esse indigenamque Atticæ.

12. Multa enim sunt quæ ipsi eodem modo, ac reliqui homines, appellant: Apophrada autem soli isti atrum et abominandum et infaustum et inauspicatum et similem tibi diem. Ecce jam obiter didicisti quid sibi velit apud illos dies Apophras: quum neque magistratus sui copiam faciunt, neque causæ judicari possunt, neque sacra peraguntur, neque omnino earum rerum, quas faustas esse volumus, quicquam peragitur; illa dies Apophras est.

13. Illud vero apud alios aliis de causis receptum est: aut enim magnis superati præliis, deinde dies hosce, quibus talia illis evenerant, nefastos esse constituerunt, quibus nihil legitimæ actionis, ita quidem ut ratum deinde esset, posset suscipi: aut etiam per Jovem .... quanquam intempestivum forte et serum jam nimis, aliter instituere senem hominem ac de novo docere talia, qui neque ea quæ præcedunt noverit: Nimirum (dicas forte) hoc solum est reliquum: quod si didiceris, futurum ut omnium nobis sis sciens. Unde enim, mi homo? reliqua enim si ignores, condonandum fuerit, quæ extra communem sint viam et plebeiis incognita; sed apophrada aliter, ne si velis quidem, dixeris: unum nempe hoc et solum omnium hujus rei nomen est.

14. Esto, dixerit forte aliquis: sed de veteribus quoque nominibus alia dicenda sunt, alia non: quæ quidem illorum non usitata vulgo, ne perturbemus audientes auresque

σκοιμεν τῶν συνόντων τὰ ὦτα. Ἐγὼ δέ, ὦ βέλτιστε, πρὸς μὲν σὲ ἴσως ταῦτα περὶ σοῦ εἰπὼν ἥμαρτον· ἐχρῆν γὰρ ἐχρῆν ἢ κατὰ τὰ Παφλαγόνων ἢ Καππαδοκῶν ἢ Βακτρίων πάτρια διαλέγεσθαί σοι, ὡς ἐκμάθῃς τὰ λεγόμενα καὶ σοὶ ἀκούειν ᾖ ἡδέα, τοῖς δ' ἄλλοις Ἕλλησιν οἶμαι καθ' Ἑλλάδα γλῶτταν συνεῖναι χρή. Εἶτα καὶ τῶν Ἀττικῶν κατὰ χρόνους τινὰς πολλὰ ἐντρεψάντων τῆς αὑτῶν φωνῆς, τοῦτο ἐν τοῖς μάλιστα τοὔνομα διετέλεσεν οὕτως ἀεὶ καὶ πρὸς ἁπάντων αὐτῶν λεγόμενον.

15. Εἶπον ἂν καὶ τοὺς πρὸ ἡμῶν κεχρημένους τῷ ὀνόματι, εἰ μὴ καὶ ταύτῃ σε διαταράξειν ἔμελλον ξένα σοι καὶ ἄγνωστα ποιητῶν καὶ ῥητόρων καὶ συγγραφέων ὀνόματα διεξιών. Μᾶλλον δὲ οὐδ' ἐγώ σοι τοὺς εἰπόντας ἐρῶ· πάντες γὰρ ἴσασιν. Ἀλλὰ σύ μοι ἕνα τῶν πάλαι δείξας οὐ κεχρημένον τῷ ὀνόματι, χρυσοῦς, φασίν, ἐν Ὀλυμπίᾳ στάθητι. Καίτοι ὅστις γέρων ὢν καὶ ἀφῃλιξ τὰ τοιαῦτα ἀγνοεῖ, δοκεῖ μοι ὅτι καὶ Ἀθῆναι πόλις ἐστὶν ἐν τῇ Ἀττικῇ καὶ Κόρινθος ἐπὶ τῷ Ἰσθμῷ καὶ Σπάρτη ἐν τῇ Πελοποννήσῳ μὴ εἰδέναι.

16. Λοιπὸν ἴσως ἐκεῖνό σοι λέγειν, ὡς τὸ μὲν ὄνομα ᾔδεις, τὴν δὲ χρῆσιν αὐτοῦ ἄκαιρον ἠτιάσω. Φέρε δὴ καὶ ὑπὲρ τούτου πρὸς σὲ ἀπολογήσομαι τὰ εἰκότα, σὺ δὲ προσέχειν τὸν νοῦν, εἰ μὴ πάνυ ὀλίγον σοι μέλει τοῦ μηδὲν εἰδέναι. Οἱ πάλαι πολλὰ τοιαῦτα πρὸ ἡμῶν ἀπέρριψαν ἐς τοὺς σοὶ ὁμοίους ἕκαστοι τοὺς τότε — ἦσαν γὰρ καὶ τότε, ὡς τὸ εἰκὸς, βδελυροί τινες ἐς τὰ ἤθη καὶ μιαροὶ καὶ κακοήθεις τὸν τρόπον — καὶ ὁ μὲν κόθορνόν τινα εἶπεν εἰκάσας αὐτοῦ τὸν βίον ἀμφίβολον ὄντα τοῖς τοιούτοις ὑποδήμασιν, ὁ δὲ λυπάνην, ὅτι τὰς ἐκκλησίας θορυβώδης ὢν ῥήτωρ ἐπετάραττεν, ὁ δὲ ἑβδόμην, ὅτι ὥσπερ οἱ παῖδες ἐν ταῖς ἑβδόμαις κἀκεῖνος ἐν ταῖς ἐκκλησίαις ἔπαιζε καὶ διεγέλα καὶ παιδιὰν ἐποιεῖτο τὴν σπουδὴν τοῦ δήμου· μὴ δῶς οὖν κἀμοί, πρὸς Ἀδώνιδος, εἰκάσαι παμπόνηρον ἄνθρωπον, ἁπάσῃ κακίᾳ σύντροφον, ἡμέρᾳ δυσφήμῳ καὶ ἀπαισίῳ;

17. Ἡμεῖς δὲ καὶ τοὺς χωλοὺς τῷ δεξιῷ ἐκτρεπόμεθα, καὶ μάλιστα εἰ ἕωθεν ἴδοιμεν αὐτούς· κἂν εἴ τις βάκηλον ἢ εὐνοῦχον ἴδοι ἢ πίθηκον εὐθὺς ἐξιὼν τῆς οἰκίας, ἐπὶ πόδα ἀναστρέφει καὶ ἐπανέρχεται οὐκ ἀγαθὰς μαντευόμενος τὰς ἐφημέρους ἐκείνας πράξεις ἔσεσθαι αὐτῷ ὑπὸ πονηρῷ τῷ πρώτῳ καὶ δυσφήμῳ κληδονίσματι. Ἐν ἀρχῇ δὲ καὶ ἐν θύραις ἐπὶ τῇ πρώτῃ ἐξόδῳ καὶ ἕωθεν τοῦ ἅπαντος ἔτους εἴ τις ἴδοι κίναιδον καὶ ἀπόρρητα ποιοῦντα καὶ πάσχοντα, ἐπίσημον ἐπὶ τούτῳ καὶ ἀπερρωγότα καὶ μονονουχὶ τοὔνομα τῶν ἔργων αὐτῶν ὀνομαζόμενον, ἀπατεῶνα γόητα ἐπίορκον ὅλεθρον κύψωνα βάραθρον, μὴ φύγῃ μηδ' εἰκάσῃ τοῦτον ἀποφράδι ἡμέρᾳ;

18. Ἀλλ' οὐχὶ σὺ τοιοῦτος; οὐκ ἂν ἔξαρνος γένοιο, εἰ ἐγὼ τὴν ἀνδρείαν οἶδα τὴν σὴν, ὅς γε καὶ μέγα φρονεῖν ἐπὶ τούτῳ μοι δοκεῖς, ὅτι μὴ ἀπόλλυταί σοι ἡ δόξα τῶν ἔργων, ἀλλὰ πᾶσι δῆλος εἶ καὶ περιβόητος. Εἰ δὲ καὶ δμόσε χωρήσειας καὶ ἀρνήσαιο μὴ τοιοῦτος εἶναι,

eorum, quibuscum versamur, vulneremus. Ego vero, bone vir, peccaveram fortasse ad te ista de te dicens : oportebat enim, oportebat aut Paphlagonum, aut Cappadocum, aut Bactrianorum vernacula tecum agi, ut perciperes quæ dicerentur, et auditu tibi essent jucunda ; sed apud Græcos reliquos Græca, opinor, lingua utendum est. Deinde quum Attici etiam diversis temporibus multa in lingua sua mutaverint, hoc inter præcipua nomen remansit, quod eodem modo semper et ab illis universis proferretur.

15. Dicerem etiam eos qui ante nos hoc nomine sunt usi, nisi et hac ratione te perturbaturus essem, peregrina tibi et incognita poetarum ac rhetorum et historicorum nomina recensendo. Potius nec ego tibi, qui dixerint, nominabo : omnes enim norunt. At tu mihi unum si ostenderis antiquorum non usum eo nomine, aureus, aiunt, stabis Olympiæ. Verum, quisquis senex et devexa ætate hæc talia ignorat, idem mihi videtur ignorare Athenas urbem esse in Attica, et in Isthmo Corinthum, et Spartam in Peloponneso.

16. Reliquum illud forte tibi fuerit, uti dicas nomen quidem te scivisse, sed usum intempestivum abs te esse reprehensum. Age igitur, pro hoc etiam, ut par est, causam apud te dicam, tu vero animum adverte, si non nimis parum tua referre putas nihil scire. Antiqui multa id genus ante nos jecerunt in tui similes suæ quisque ætatis (fuerunt enim tum quoque, ut vero simile est, abominandi quidam moribus, et impuri, et malefica vita) : hic Cothurnum quendam appellavit, vitam illius ambiguam depingens, quæ talibus calceamentis comparari posset; alius Lypaen, quod conciones tumultuosus orator perturbaret; alius Septimum, quod ut pueri septimis cujusque mensis diebus, sic ille in concionibus luderet rideretque, ac ludibrio sibi seriam rem populi haberet : non dederis igitur, per Adonidem, mihi quoque, uti comparem hominem undique malum, flagitio omni innutritum, inauspicato diei atque infausto?

17. Nos vero etiam claudos dextro pede aversamur, maxime si mane illos videamus : et si quis aut exsectum videat aut castratum aut simiam ad primum domo egressum, in sua vestigia reversus redit, auguratus non bonas sibi futuras illius diei actiones, post malum illud atque obscœnum primum omen. In principio vero atque in foribus, in primo egressu, summo velut mane totius anni, si quis videat cinædum, facientem infanda patientemque, notabilem hac ipsa re, ruptumque et vietum, et tantum non nomine suorum operum appellatum, impostorem, præstigiatorem, perjurum, perniciem, carcerem, barathrum, ille non fugiat? non atro hunc diei comparet?

18. Verum nonne talis es tu? non negaveris, si fortitudinem tuam novi, qui etiam multum tibi ea in re placere videaris, quod non periit tibi fama operum, sed manifestus es omnibus et famosus. Si vero manum conserere velis ac negare te talem esse : quibus fidem dictorum facies? civi-

τίσι πιστὰ ἐρεῖς; τοῖς πολίταις τοῖς σοῖς; — ἐκεῖθεν γὰρ ἄρχεσθαι δίκαιον — ἀλλ' ἴσασιν ἐκεῖνοι τὰς πρώτας σου τροφὰς καὶ ὡς παραδοὺς σεαυτὸν τῷ ὀλέθρῳ ἐκείνῳ στρατιώτῃ συμπεριεφθείρου πάντα ὑπηρετῶν, ἄχρι δή σε τὸ τοῦ λόγου τοῦτο ῥάκος πολυσχιδὲς ἐργασάμενος ἐξέωσε.

19. Κἀκεῖνα μέμνηνται, ὡς τὸ εἰκὸς, ἃ πρὸς τὸ θέατρον ἐνεανιεύου τοῖς ὀρχησταῖς ὑποκρινόμενος καὶ συνταγματάρχης ἀξιῶν εἶναι. Οὐδεὶς γοῦν πρὸ σοῦ ἂν εἰσῆλθεν εἰς τὸ θέατρον οὐδ' ἂν ἐμήνυσεν ὅ τι τοὔνομα τῷ δράματι· ἀλλὰ σὺ κοσμίως πάνυ χρυσᾶς ἐμβάδας ἔχων καὶ ἐσθῆτα τυραννικὴν προεισεπέμπου εὐμένειαν αἰτήσων παρὰ τοῦ θεάτρου στεφάνους κομίζων καὶ κρότῳ ἀπιὼν, ἤδη τιμώμενος πρὸς αὐτῶν. Ἀλλὰ νῦν ῥήτωρ εἶ καὶ σοφιστὴς, καὶ διὰ τοῦτο ἦν πύθωνταί ποτε τὰ τοιαῦτα ὑπὲρ σοῦ ἐκεῖνοι, τοῦτο δὴ τὸ ἐκ τῆς τραγῳδίας, « δύο μὲν ἡλίους ὁρᾶν » δοκοῦσι, « δισσὰς δὲ Θήβας· » καὶ πρόχειρον ἅπασιν εὐθὺς τὸ, Ἐκεῖνος ὁ τότε καὶ μετ' ἐκεῖνα; Τοιγάρτοι καὶ αὐτὸς εὖ ποιῶν οὐκ ἐπιβαίνεις τὸ παράπαν οὐδ' ἐπιχωριάζεις αὐτοῖς, ἀλλὰ φεύγεις ἑκὼν πατρίδα οὔτε χεῖμα κακὴν οὔτε θέρει ἀργαλέαν, ἀλλὰ καλλίστην καὶ μεγίστην τῶν ἐν Φοινίκῃ ἁπασῶν· τὸ γὰρ ἐλέγχεσθαι καὶ τοῖς εἰδόσι καὶ μεμνημένοις τῶν πάλαι ἐκείνων συνεῖναι βρόχος ὡς ἀληθῶς ἔστι σοι. Καίτοι τί ταῦτα λῆρῶ; τίνα γὰρ ἂν αἰδεσθείης σύ; τί δ' ἂν αἰσχρὸν ἡγήσαιο τῶν ὑστάτων; Πυνθάνομαι δὲ καὶ κτήματα εἶναί σοι μεγάλα παρ' αὐτοῖς, τὸ δύστηνον ἐκεῖνο πυργίον, ὡς τὸν τοῦ Σινωπέως πίθον τὴν Διὸς αὐλὴν εἶναι πρὸς αὐτό. Τοὺς μὲν δὴ πολίτας οὐδαμῇ οὐδαμῶς μεταπείσειας ἂν μὴ οὐχὶ τῶν ἁπάντων βδελυρώτατόν σε ἡγεῖσθαι, ὄνειδος κοινὸν ἁπάσῃ τῇ πολει.

20. Τάχα δ' ἂν τοὺς ἄλλους τοὺς ἐν Συρίᾳ προσλήβοις ὁμοψήφους, εἰ λέγοις μηδὲν πονηρὸν μηδὲ ἐπαίτιον βεβιῶσθαί σοι. Ἡράκλεις, ἡ μὲν Ἀντιόχεια καὶ τοὔργον αὐτὸ εἶδεν, ὅτε τὸν Ταρσόθεν ἥκοντα ἐκεῖνον νεανίσκον ἀπαγαγών . . . . ἀλλὰ καὶ ἀναδέρειν αὐτὰ αἰσχρὸν ἴσως ἐμοί. Πλὴν ἀλλὰ ἴσασί γε καὶ μέμνηνται οἱ τότε ὑμῖν ἐπιστάντες καὶ σὲ μὲν ἐς γόνυ συγκαθήμενον ἰδόντες, ἐκεῖνον δὲ οἶσθα ὅ τι καὶ ποιοῦντα, εἰ μὴ παντάπασιν ἐπιλήσμων τις εἶ, τὸ στόμα.

21. Ἀλλ' οἱ ἐν Αἰγύπτῳ ἴσως ἀγνοήσουσί σε οἱ μετὰ τοὺς ἐν Συρίᾳ θαυμαστοὺς ἄθλους ἐκείνους ὑποδεξάμενοι φεύγοντα ἐφ' οἷς εἶπον, ὑπὸ τῶν ἱματιοκαπήλων διωκόμενον, παρ' ὧν ἐσθῆτας πολυτελεῖς πριάμενος ἐφόδια εἶχες. Ἀλλ' οὐκ ἐλάττω σοι ἡ Ἀλεξάνδρεια σύνοιδεν, οὐδὲ μὰ Δί' ἐχρῆν δευτέραν τῆς Ἀντιοχείας κεχρίσθαι αὐτήν· ἀλλ' ἥ τε ἀκολασία γυμνοτέρα καὶ ἡ αἰσχρουργία σοι ἐκεῖ ἐπιμανεστέρα καὶ τοὔνομα ἐπὶ τούτοις μεῖζον καὶ ἐπὶ πᾶσιν ἀκάλυπτος ἡ κεφαλή. Εἷς μόνος ἂν ἐπίστευσέ σοι ἐξάρνῳ γιγνομένῳ μηδὲν τοιοῦτον εἰργάσθαι καὶ βοηθὸς ἂν κατέστη ὁ τελευταῖος μισθοδότης, ἀνὴρ ἐν τοῖς ἀρίστοις Ῥωμαίων. Τοὔνομα δὲ αὐτὸ δώσεις ἀποσιωπῆσαί μοι, καὶ ταῦτα πρὸς πάντας εἰδόbusne tuis? (inde enim incipere æquum est :) sed norunt illi prima tua alimenta, et quomodo deditus tua voluntate perdito illi militi cum illo nequiter sis vagatus, in omnibus ei subserviens, donec te lacerum, quod aiunt, pannum quum effecisset, exegit.

19. Etiam illa meminerunt, ut probabile est, quomodo in scena adolescentem te validum ostenderis, quum saltatoribus commodares operam tuam, et dux gregis esse postulares. Nemo enim te prius in theatrum prodibat, neque quod nomen esset fabulæ indicabat : sed tu decenti habitu, aureis indutus calceis vesteque tyrannica præmittebare, benevolentiam petiturus a theatro, coronas ferens, discedens cum plausu, jam tum honoratus ab illis. At modo orator es ac sophista. Itaque quum audient quondam talia de te illi, illud sane quod est in tragœdia, duo sibi soles videre videbuntur ac Thebas duplices : atque in promtu statim erit omnibus, « Istene? qui tum? post ista? » Verum enim ipse, prudenti sane consilio, omnino non accedis ad illos, neque in ista regione versaris, sed sponte exulas e patria, nec mala per hiemem, neque gravi per æstatem, sed pulcherrima et maxima earum quæ in Phœnice sunt omnium. Nempe redargui et versari cum scientibus et recordantibus antiquorum illorum, vere tibi suspendium est. Verum quid ita deliro? quem enim tu verearis? quid ultimorum turpe putes? Audio vero etiam possessiones apud illos magnas tibi esse, miseram illam turriculam, adeo ut Sinopensis dolium cum illa comparatum Jovis aula esse videatur. Civibus ergo tuis nulla unquam ratione persuadeas, quominus omnium te putent impurissimum, commune totius civitatis opprobrium.

20. Fortasse autem reliquorum in Syria suffragia feras, si dicas nihil tibi malum neque culpæ affine patratum esse. At, Hercule, ipsum opus vidit Antiochia, quum venientem illum Tarso adolescentem abduxisti.... verum etiam detegere ista turpe forte mihi fuerit. Interim norunt et meminere qui tum vobis astiterunt, ac te conquiniscentem viderunt, illum autem facientem quod nosti, nisi omnino obliviosus es, ore tuo.

21. Sed Ægyptii forsitan te ignorabunt, qui post præclara illa in Syria certamina fugientem ob ea quæ dixi te receperunt, quum vestiarii te mercatores persequerentur, a quibus emtas vestes pretiosas habebas pro viatico. Sed nec minorum tibi Alexandria conscia est, neque oportebat, ita me Jupiter, illam Antiochia inferiorem judicari : verum ibi et libido magis nuda, et turpitudo flagitiorum furiosior et major propter ista celebritas, et super omnia caput apertum. Unus solus neganti tibi credidisset nihil te tale fecisse; et auxilio tibi fuisset, ultimus qui te conduxit, vir inter principes Romanorum. Nomen ipsum tacere mihi permittes, idque quum sciant omnes quem designem. Ille igitur quot

τας ὃν λέγω. Ἐκεῖνος τοίνυν τὰ μὲν ἄλλα ὁπόσα ἔτλη ἐν τῇ συνουσίᾳ τολμηθέντα ὑπὸ σοῦ, τί χρὴ λέγειν; ἀλλ' ἡνίκα σε κατέλαβε τοῦ μειρακίου τοῦ οἰνοχόου τοῦ Οἰνοπίωνος ἐν γόνασι κείμενον, τί οἴει; ἐπίστευσεν ἄν σοι μὴ εἶναι τοιοῦτον αὐτὸ ὁρῶν τὸ ἔργον; οὐκ, εἴ γε μὴ παντάπασι τυφλὸς ἦν. Ἀλλ' ἐδήλωσε τὴν γνώμην αὐτίκα ἐξελάσας τῆς οἰκίας καὶ καθάρσιόν γε, ὥς φασι, περιενεγκὼν ἐπὶ τῇ σῇ ἐξόδῳ.

22. Ἀχαΐα μὲν γὰρ καὶ Ἰταλία πᾶσα ἐμπέπληνται τῶν σῶν ἔργων καὶ τῆς ἐπ' αὐτοῖς δόξης· καὶ ὄναιό γε τῆς εὐκλείας. Ὥστε πρὸς τοὺς θαυμάζοντας ἔγωγε τὰ ἐν Ἐφέσῳ νῦν πραττόμενα ὑπὸ σοῦ ἐκεῖνο λέγω, ὅπερ ἀληθέστατον, ὡς οὐκ ἂν ἐθαύμαζον, εἰ τὰ πρῶτά σου ἤδεισαν. Καίτοι καινὸν ἐνταῦθα καὶ τὸ πρὸς τὰς γυναῖκας προσέμαθες.

23. Οὐ περὶ πόδα οὖν τῷ τοιούτῳ, εἰπέ μοι, ἀποφράδα ὀνομάζεσθαι; Ἀλλὰ τί, πρὸς Διός, καὶ φιλῆσαι τῷ στόματι προσέτι ἀξιώσεις ἡμᾶς ἐπ' ἐκείνοις τοῖς ἔργοις; τοῦτο γοῦν τὸ ὑβριστότατον ποιεῖς, καὶ μάλιστα πρὸς οὓς ἥκιστα ἐχρῆν καὶ τοὺς ὁμιλητάς, οἷς ἱκανὰ ἦν ἐκεῖνα μόνα τὰ κακὰ τοῦ σοῦ στόματος ἀπολαύειν, τὸ βάρβαρον τῶν ὀνομάτων, τὸ τραχὺ τῆς φωνῆς, τὸ ἄκριτον, τὸ ἄτακτον, τὸ πάντη ἄμουσον καὶ τὰ τοιαῦτα· φιλῆσαι δέ σε ἐπὶ τούτοις μὴ γένοιτο, ὦ ἀλεξίκακε. Ἀσπίδα μᾶλλον ἢ ἔχιδναν φιλῆσαι ἄμεινον· δῆγμα ἐκεῖ τὸ κινδύνευμα καὶ ἄλγημα, καὶ ὁ ἰατρὸς εἰσκληθεὶς ἐπήμυνεν· ἀπὸ δὲ τοῦ σοῦ φιλήματος καὶ τοῦ ἰοῦ ἐκείνου τίς ἂν ἢ ἱεροῖς ἢ βωμοῖς προσέλθοι; τίς δ' ἂν θεὸς ἐπακούσειεν ἔτι εὐχομένου; πόσων περιρραντηρίων, πόσων ποταμῶν δεῖ;

24. Καὶ τοιοῦτος αὐτὸς ὢν κατεγέλας τῶν ἄλλων ἐπ' ὀνόμασι καὶ ῥήμασιν ἔργα τοιαῦτα καὶ τηλικαῦτα ἐργαζόμενος. Καίτοι ἐγὼ μὲν ἀποφράδα μὴ εἰδὼς ἠσχυνόμην ἂν μᾶλλον, οὐχ ὅπως εἰπὼν ἀρνηθείην ἄν· σὲ δὲ οὐδεὶς ἠτιάσατο ἡμῶν βρωμολόγους λέγοντα καὶ τροπομάσθλητας καὶ ῥησιμετρεῖν καὶ ἀθηνιῶ καὶ ἀνθοκρατεῖν καὶ σφενδικίζειν καὶ χειροβλημᾶσθαι. Κακὸν κακῶς σε ὁ λόγιος Ἑρμῆς ἐπιτρίψειεν αὐτοῖς λόγοις. Ποῦ γὰρ ταῦτα τῶν βιβλίων εὑρίσκεις; ἐν γωνίᾳ που τάχα τῶν ἰαλέμων τινὸς ποιητῶν κατορωρυγμένα, εὐρῶτος καὶ ἀραχνίων μεστά, ἢ που ἐκ τῶν Φιλαινίδος ὀέλτων, ἃς διὰ χειρὸς ἔχεις· σοῦ μέντοι καὶ τοῦ σοῦ στόματος ἄξια.

25. Ἐπεὶ δὲ τοῦ στόματος ἐμνήσθην, τί φαίης ἄν, εἴ σε ἡ γλῶττα ἐς δικαστήριον προκαλεσαμένη — οὕτω γὰρ οὔτως — ἀδικήματος ἢ τὸ μετριώτατον ὕβρεως διώκοι λέγουσα, Ἐγώ σε, ὦ ἀχάριστε, πένητα καὶ ἄπορον παραλαβοῦσα καὶ βίου δεόμενον τὰ μὲν πρῶτα ἐν τοῖς θεάτροις εὐδοκιμεῖν ἐποίησα, νῦν μὲν Νίνον, νῦν δὲ Μητίοχον, εἶτα μετὰ μικρὸν Ἀχιλλέα τιθεῖσα· μετὰ ταῦτα δὲ παῖδας συλλαβίζειν διδάσκοντα μακρῷ χρόνῳ ἔβοσκον· ἤδη δὲ καὶ τοὺς ἀλλοτρίους τούτους λόγους ὑποκρινόμενον σοφιστὴν εἶναι δοκεῖν ἐποίησα καὶ τὴν μηδὲν προσήκουσαν δόξαν περιῆψα. Τί τοίνυν τηλικοῦ-

alias res sustinuerit in tua consuetudine a te perpetratas, quid attinet dicere? sed quum deprehendisset te pueri pocillatoris Œnopionis in genibus jacentem, quid putas? credidissetne tibi, te non esse talem, ipsum opus quum videret? Non; nisi cæcus omnino fuit. Verum indicavit nempe sententiam suam, qui statim domo te ejiceret, et purgamina quædam, ut aiunt, post excessum tuum circumferret.

22. Ergo Achaia quidem et omnis Italia tuorum plena est facinorum et partæ inde famæ. Ac fruaris, opto, ista gloria. Itaque ad eos qui mirantur quæ nunc abs te fiunt Ephesi, illud equidem dico, quod est verissimum, admiraturos non fuisse, si priora tua nossent. Verum etiam novum quiddam hic, illud circa mulieres, addidicisti.

23. Nonne ergo tali homini examussim convenit, dic mihi, Apophrada vocari? Sed quid, per Jovem, etiam osculum nobis post istæc facinora postulabis offerre? hoc enim facis contumeliosissime, et illis maxime quibus minime oportebat, tuis sodalibus, quos satis erat illa sola oris tui mala exhaurire, nomina barbara, vocem asperam, nihil discretum, nihil ordinatum, a Musis aliena omnia, et quæ his similia sunt : osculum autem te ferre insuper, absit, Depulsor malorum! Natricem aut viperam osculari potius est. Morsus hic periculum, et dolor, quem advocatus depellit medicus : a tuo vero osculo et isto veneno quis ad templa accedat vel altaria? quis deus amplius precantem exaudiat? quot aspersionibus, quot fluminibus opus erit?

24. Ac talis ipse quum esses, ridebas alios de nominibus ac verbis, facinora talia ac tanta perpetrans. Verum ego si nescissem Apophrada, pudore afficerer potius; tantum abest ut me usum eo nomine negem : at te nemo nostrûm adhuc accusavit, quum fœtidiloquos diceres, et morefutiles, et vocimetiri, et Athenurio, et floripotentem esse, et σφενδικίζειν, et χειροβλημᾶσθαι. Male te malum hominem dicendi arbiter Mercurius ipsis tuis cum verbis conterat! Ubi enim librorum ista invenis? in angulo forte miserrimorum poetarum cujusdam defossa, situs et aranearum plena, aut forte de Philænidis tabulis, quas præ manu habes; te tamen ac tuo ore dignissima.

25. Quum vero in mentionem oris incidi, quid dicas, si tecum in jus vocato lingua (ita enim ponamus) injuriæ, aut minimum contumeliæ agat, dicens : Ego te, ingrate, pauperem et inopem omnium quum accepissem, et victus indigum, primo in theatris ut floreres effeci, quæ modo Ninum te, modo Metiochum, et paullo deinde post Achillem constituerim : postea syllabas colligere docentem pueros diu alui. Jam vero, alienas illas agentem orationes, sophistam videri effeci, gloriamque tibi, quæ nihil ad te pertineat, conciliavi. Quid igitur tantum habes quod mihi objicias, quod

τον ἔχων ἐγκαλεῖν τοιαῦτά με διατίθης καὶ ἐπιτάττεις ἐπιτάγματα αἴσχιστα καὶ ὑπουργίας καταπτύστους; οὐχ ἱκανά μοι τὰ ἐπὶ τῆς ἡμέρας ἔργα, ψεύδεσθαι καὶ ἐπιορκεῖν καὶ τοὺς τοσούτους ὕθλους καὶ λήρους διαντλεῖν, μᾶλλον δὲ τὸν βόρβορον τῶν λόγων ἐκείνων ἐμεῖν; ἀλλ' οὐδὲ νυκτὸς τὴν κακοδαίμονα σχολὴν ἄγειν ἐᾷς, ἀλλὰ μόνη σοι πάντα ποιῶ καὶ πατοῦμαι καὶ μιαίνομαι, καὶ ἀντὶ γλώττης ὅσα καὶ χειρὶ χρῆσθαι διέγνωκας καὶ ὥσπερ ἀλλοτρίαν ὑβρίζεις καὶ ἐπικλύζεις τοσούτοις κακοῖς. Λαλεῖν μοι ἔργον ἐστὶ μόνον, τὰ δὲ τοιαῦτα ποιεῖν καὶ πάσχειν ἄλλοις μέρεσι προστέτακται. Ὡς ὤφελε κἀμέ τις ὥσπερ τὴν τῆς Φιλομήλας ἐκτεμεῖν. Μακαριώτεραι γοῦν μου αἱ γλῶτται τῶν τὰ τέκνα κατεδηδοκότων.

ita mecum agis, et imperia mihi imperas spurcissima, ac despuenda ministeria? nonne satis mihi erant diurna illa opera, mentiri, pejerare, tot nugas et deliramenta exhaurire, vel potius cœnum orationum illarum vomere? At tu neque noctibus infelicem me otiosam esse pateris: sed sola tibi facio omnia, et conculcor, et polluor. Et pro eo quod ut lingua debebas, ut manu uti me decrevisti; meque tanquam alienam contumeliose tractas, et tot malis obruis. Loqui meum opus unicum est: ista vero talia et facere ac pati aliis membris a natura injunctum est. Itaque utinam me quoque aliquis, ut illam Philomelæ, exsecet! Beatiores enim me sunt linguæ eorum qui suos ipsi pueros devorarunt.

26. Πρὸς θεῶν, ἢν λέγῃ ταῦτα ἡ γλῶττα ἰδίαν αὐτῇ φωνὴν λαβοῦσα καὶ τὸν πώγωνα συνήγορον ἐπικαλεσαμένη, τί ἂν ἀποκρίναιο αὐτῇ; ἐκεῖνα δῆλον ὅτι ἃ καὶ πρὸς τὸν Γλαῦκον ἐναγχος εἰρηταί σοι ἐπὶ πεπραγμένῳ ἤδη τῷ ἔργῳ αἰτιώμενον, ὡς ἐπὶ τούτῳ ἔνδοξος ἐν βραχεῖ καὶ γνώριμος ἅπασι γεγένησαι, πόθεν ἂν οὕτω περιδόητος ἐπὶ τοῖς λόγοις γενόμενος; ἀγαπητὸν δὲ ὁπωσοῦν κλεινὸν καὶ ὀνομαστὸν εἶναι. Εἶτα καταριθμήσεις αὐτῇ τὰς πολλάς σου προσηγορίας, ὁπόσας κατὰ ἔθνη προσείληφας. Ὃ καὶ θαυμάζω, ὅτι τὴν μὲν ἀποφράδα ἐδυσχέρανας ἀκούσας, ἐπ' ἐκείνοις δὲ τοῖς ὀνόμασιν οὐκ ἠγανάκτεις,

26. Per deos! ista si dicat suum sibi sermonem nacta lingua, et advocatam sibi asciscat barbam tuam, quid illi respondeas? Illa nempe, quæ etiam ad Glaucum nuper a te dicta sunt, de perpetrato jam facinore expostulantem, te hac ipsa re nobilem brevi tempore et conspicuum omnibus factum: unde enim tantum celebritatis dicendo consecutus esses? optabile est autem quacumque demum ratione celebrem esse atque nobilem. Tum enumerabis illi multas illas tuas appellationes, quas per gentes accepisti. Qua in re miror, te Apophrade audita indignatum esse, illis autem nominibus non fuisse offensum:

27. ἐν Συρίᾳ μὲν ῥοδοδάφνη κληθείς, ἐφ' ᾧ δὲ, νὴ τὴν Ἀθηνᾶν, αἰσχύνομαι διηγεῖσθαι· ὥστε τό γ' ἐπ' ἐμοὶ ἀσαφὲς ἔτι ἔστω· ἐν Παλαιστίνῃ δὲ φραγμὸς ἐς τὰς ἀκάνθας τοῦ πώγωνος, οἶμαι, ὅτι ἔνυττε μεταξύ· ἔτι γὰρ ἔξυρες αὐτόν· ἐν Αἰγύπτῳ δὲ συνάγχη, πρόδηλον τοῦτο· μικροῦ γοῦν φασιν ἀποπνιγῆναί σε ναύτῃ τινὶ τῶν τριαρμένων ἐντυχόντα, ὃς ἐμπεσὼν ἀπέφραξέ σοι τὸ στόμα. Ἀθηναῖοι μὲν γὰρ βέλτιστοι αἰνιγματῶδες οὐδέν, ἀλλὰ γράμματος ἑνὸς προσθήκῃ τιμήσαντές σε Ἀτίμαρχον ὠνόμαζον· ἔδει γὰρ κἀκείνου τι περιττότερον προσεῖναί σοι. Ἐν Ἰταλίᾳ δὲ, βαβαὶ, ἡρωϊκὸν ἐκεῖνο ἐπεκλήθης ὁ Κύκλωψ, ἐπειδή ποτε καὶ πρὸς ἀρχαίαν διασκευὴν παρ' αὐτὰ τὰ τοῦ Ὁμήρου ραψῳδῆσαι καὶ σὺ τὴν αἰσχρουργίαν ἐπεθύμησας. Καὶ αὐτὸς μὲν ἔκεισο μεθύων ἤδη κισσύβιον ἔχων ἐν τῇ χειρὶ βινητιῶν Πολύφημος, νεανίας δὲ ὑπόμισθος ὀρθὸν ἔχων τὸν μοχλὸν εὖ μάλα ἠκονημένον ἐπί σὲ Ὀδυσσεύς τις ἐπῄει ὡς ἐκκόψων τὸν ὀφθαλμόν·

27. in Syria Rhododaphne vocatus; qua vero causa, ita me Pallas amet! enarrare pudet; itaque, quantum ad me, obscurum porro sit: in Palæstina vero Sepes, propter barbæ spinas arbitror, quæ interea pungeret; tum enim adhuc eam radebas: in Ægypto Angina, quod manifestum est; parum enim abfuisse aiunt quin suffocarere, quum in nautam quendam, de iis qui trium velorum naves habent, incidisses, qui irruens ipsum tibi os obturaverit. Athenienses quidem, viri optimi, nulla circuitione usi, sed unius te literæ additione honorantes, Atimarchum [*principem infamium*] appellabant: oportebat enim illo etiam amplius quiddam tibi accedere. In Italia autem vah! heroicum illud cognomen adeptus es, Cyclops, quum supra veterem illum apparatum, ad Homericæ tu fabulæ imitationem peragere impuritatem velles. Atque ipse quidem jacebas ebrius jam, peculum manu tenens, libidinans Polyphemus: adolescens vero mercede conductus, rectum gestans vectem probe acutum, te velut Ulysses aliquis invasit, ut exterebraturus oculum:

> κἀκείνου μὲν ἁμαρτε, παραὶ δέ οἱ ἔτράπετ' ἔγχος,
> αἰχμὴ δ' ἐξέσυθη παρὰ νείατον ἀνθερεῶνα.
>
> Hinc at aberravit: allorsum vertitur hasta,
> cuspisque extremas ad menti etabitur oras.

Καὶ γὰρ οὐδὲν ἄτοπον ὑπὲρ σοῦ λέγοντα ψυχρολογεῖν. Σὺ δὲ ὁ Κύκλωψ ἀναπετάσας τὸ στόμα καὶ ὡς ἔνι πλατύτατον κεχηνὼς ἠνείχου τυφλούμενος ὑπ' αὐτοῦ τὴν γνάθον, μᾶλλον δὲ ὥσπερ ἡ Χάρυβδις αὐτοῖς ναύταις καὶ πηδαλίοις καὶ ἱστίοις ὅλον ζητῶν καταπιεῖν τὸν Οὖτιν. Καὶ ταῦτα ἑώρων καὶ ἄλλοι παρόντες. Εἶτά σοι ἐς τὴν ὑστεραίαν μία ἦν ἀπολογία ἡ μέθη καὶ ἐς τὸν ἄκρατον ἐνέφευγες.

Neque enim absurdum est, de te qui dicat, frigide dicere. Tu vero Cyclops, aperto ore et quam poteras latissime hians, buccas tibi ab illo excæcari patiebaris, vel potius ut Charybdis, ipsis cum nautis et gubernaculis ac velis totum gluttire Utin cupiens. Atque hæc alii quoque videbant præsentes. Deinde postridie illius diei sola tibi pro defensione erat ebrietas, confugiebasque ad merum.

28. Τοιούτοις δὴ καὶ τοσούτοις ὀνόμασι πλουτῶν αἰσχύνῃ τὴν ἀποφράδα; Πρὸς θεῶν εἰπέ μοι, τί πάσχεις, ἐπειδὰν κἀκεῖνα λέγωσιν οἱ πολλοὶ, λεσβιάζειν σε καὶ φοινικίζειν; ἆρα καὶ ταῦτα ὥσπερ τὴν ἀποφράδα ἀγνοεῖς καὶ οἴει τάχα που ἐπαινεῖσθαι πρὸς αὐτῶν; ἢ ταῦτα μὲν διὰ τὸ σύντροφον οἶσθα, τὴν ἀποφράδα δὲ ὡς ἀγνῶτα μόνην ἀτιμάζεις καὶ ἀποκλείεις τοῦ καταλόγου τῶν ὀνομάτων; Τοιγαροῦν οὐ μεμπτὰς ἡμῖν τίνεις τὰς δίκας, ἀλλὰ μέχρι καὶ τῆς γυναικωνίτιδος περιβόητος εἶ. Πρώην γοῦν ἐπειδή τινα γάμον ἐν Κυζίκῳ μνᾶσθαι ἐτόλμησας, εὖ μάλα ἐκπεπυσμένη πάντα ἡ βελτίστη ἐκείνη γυνὴ, Οὐκ ἂν προσείμην, ἔφη, ἄνδρα καὶ αὐτὸν ἀνδρὸς δεόμενον.

29. Εἶτα ἐν τοιούτοις ὄντι σοι ὀνομάτων μέλει καὶ γελᾷς καὶ τῶν ἄλλων καταπτύεις; εἰκότως· οὐ γὰρ ἂν ἅπαντες ὁμοιά σοι λέγειν δυναίμεθα. Πόθεν; τίς οὕτως ἐν λόγοις μεγαλότολμος, ὡς ἐπὶ μὲν τοὺς τρεῖς μοιχοὺς ἀντὶ ξίφους τριαίναν αἰτεῖν; τὸν δὲ Θεόπομπον ἐπὶ τῷ Τρικαράνῳ κρίνοντα φάναι τριγλώχινι λόγῳ καθηρηκέναι αὐτὸν τὰς προὐχούσας πόλεις; καὶ πάλιν, ἐκτριαινῶσαι αὐτὸν τὴν Ἑλλάδα καὶ εἶναι Κέρβερον ἐν τοῖς λόγοις; πρώην γὰρ καὶ λύχνον ἅψας ἐζήτεις ἀδελφόν τινα, οἶμαι, ἀπολωλότα· καὶ ἄλλα μυρία, ὧν οὐδὲ μεμνῆσθαι ἄξιον, ἢ μόνου ἐκείνου, ὅπερ οἱ ἀκούσαντες ἀπεμνημόνευον. Πλούσιός τις, οἶμαι, καὶ δύο πένητες ἦσαν ἐχθροί· εἶτα μεταξὺ περὶ τοῦ πλουσίου λέγων, Ἀπέκτεινεν, ἔφης, θάτερον τῶν πενήτων. Γελασάντων δὲ, ὡς τὸ εἰκὸς, τῶν παρόντων, ἐπανορθούμενος δὴ σὺ καὶ ἀνατιθέμενος τὸ διημαρτημένον, Οὐ μὲν οὖν, ἔφης, ἀλλὰ ἄτερον αὐτῶν ἀπέκτεινεν. Ἐῶ τὰ ἀρχαῖα, τὸ τριῶν μηνοῖν καὶ τὸ ἀνηνεμία καὶ τὸ πέταμαι καὶ τὸ ἐκχύνειν καὶ ὅσα ἄλλα καλὰ τοῖς σοῖς λόγοις ἐπανθεῖ.

30. Ἃ μὲν γὰρ ὑπὸ τῆς πενίας ἐλαυνόμενος ποιεῖς, Ἀδράστεια φίλη, οὐκ ἄν τινι ὀνειδίσαιμι. Συγγνωστὰ γοῦν, εἴ τις λιμῷ πιεζόμενος παρακαταθήκας παρ' ἀνδρὸς πολίτου λαβὼν εἶτα ἐπιώρκησεν ἢ μὴν μὴ παρειληφέναι, ἢ εἴ τις ἀναισχύντως αἰτεῖ, μᾶλλον δὲ προσαιτεῖ καὶ λωποδυτεῖ καὶ τελωνεῖ. Οὐ δὴ λέγω ταῦτα· φθόνος γὰρ οὐδεὶς ἐξ ἅπαντος ἀμύνεσθαι τὴν ἀπορίαν. Ἐκεῖνο δὲ οὐκέτι φορητὸν, πένητά σε ὄντα ἐς μόνας τὰς τοιαύτας ἡδονὰς ἐκχεῖν τὰ ἐκ τῆς ἀναισχυντίας περιγιγνόμενα. Πλὴν εἴ γέ τι καὶ ἐπαινέσαι μοι δώσεις, πάνυ ἀστείως ὑπὸ σοῦ πεπραγμένον, ὁπότε τοῦ Τισίου τὴν τέχνην οἶσθα, ὡς τὸ δισκόρακος ἔργον αὐτὸς ἐποίησας ἐξαρπάσας τοῦ ἀνοήτου ἐκείνου πρεσβύτου χρυσοῦς τριάκοντα, ὁ δὲ διὰ τὸν Τισίαν ἀντὶ τοῦ βιβλίου πεντήκοντα καὶ ἑπτακοσίας ἐξέτισε κατασοφισθείς.

31. Πολλὰ ἔτι ἔχων εἰπεῖν τὰ μὲν ἄλλα ἐκὼν ἀφίημί σοι, ἐκεῖνο δὲ μόνον προσλέγω, πρᾶττε μὲν ταῦτα ὅπως σοι φίλον καὶ μὴ παύσαιο τὰ τοιαῦτα ἐς ἑαυτὸν παροινῶν, ἐκεῖνο δὲ μηκέτι, ἄπαγε· οὐ γὰρ ὅσιον ἐπὶ τὴν αὐτὴν ἑστίαν τοὺς ταῦτα διατιθέντας καλεῖν καὶ φιλοτησίας προπίνειν καὶ ὄψων τῶν αὐτῶν ἅπτεσθαι. Ἀλλὰ μηδὲ ἐκεῖνο ἔστω τὸ ἐπὶ τοῖς λόγοις, φιλήματα, καὶ

28. His ergo talibus ac tantis quum nominibus abundes, Apophradis te pudet? Per deos dic mihi, quid tibi est animi, quum etiam illa vulgus ait, Lesbio te et Phœnicio morbo laborare? numquid ista quoque, ut Apophrada, ignoras, et putas forte illis te laudari? an ista quidem, ut familiaria tibi, nosti, Apophrada autem solam ut ignotam respuis et tuorum catalogo nominum excludis? Nimirum non leves nobis pœnas luis, sed ad gynæconitidem usque celebraris. Nuper enim quum nuptias quasdam Cyzici ambire auderes, bene edocta de omnibus optima illa mulier, Non admiserim, inquit, virum qui virum ipse quærat.

29. Deinde quum hic loci sint res tuæ, nomina curas, et rides, et despuis alios? Merito sane : neque enim, qualia tu, dicere omnes possimus. Unde? quis ita audax in verbis, ut contra tres mœchos pro gladio tridentem poscat? aut ut Theopompum de Tricarano judicans dicat tricuspide eum oratione destruxisse eminentissimas urbes? et rursus, extridentasse illum Græciam, et esse in dicendo Cerberum? nuper quidem etiam accensa lucerna quærebas fratrem quendam, puto, perditum : et sexcenta alia, quorum neque meminisse operæ pretium est, præterquam istius solius, quod auditores referebant. Dives aliquis, puto, et duo pauperes inimici erant. Deinde, quum de divite diceres, Interfecit, aiebas, θάτερον [alterum : *debebat* τὸν ἕτερον] pauperum. Ridentibus autem, ut facile est ad credendum, qui aderant, emendaturus peccatum tuum et repositurus in quo peccatum erat, Non ita volebam, dicebas, sed eorum interfecit ἄτερον. Omitto antiqua illa τριῶν μηνοῖν [trium duorum-mensium] et ἀνηνεμία [*pro* νηνεμία, tranquillitas a ventis] et illud πέταμαι [*pro* πέτομαι, ἵπταμαι volo] et ἐκχύνειν [*pro* ἐκχεῖν, effundere], et quæ alia pulchra tuis in orationibus efflorescunt.

30. Quæ enim paupertate stimulante facis, illa ego, o fave Adrastea! nemini exprobraverim. Ignoscendum certe, si quis fame subactus depositum a cive acceptum, deinde perjurio interposito abneget; aut si quis impudenter roget, vel mendicet potius, et spoliet alios vestibus, et telonium humile exerceat. Non dico sane talia : nam nulla est invidia paupertatem omni ope depellere. At illud jam ferri non potest, pauperem te hominem in solas id genus libidines effundere impudentiæ tuæ lucra. Verum si quid etiam laudare mihi permittes, illud urbane admodum a te factum est, quod, Tisiæ artem quum noris, bis-Coracis [*corvi*] opus ipse fecisti, triginta aureis illum imprudentem senem emungens : at ille propter Tisiam pro libello quinquaginta et septingentas drachmas astu circumventus exsolvit.

31. Multa quum dicenda adhuc habeam, reliqua tibi remitto lubens; illud vero solum adjicio : age istæc ut lubitum fuerit, neu desine ebrios in te ipsum furores exercere : at istud ne amplius, apage : neque enim fas est ad eandem mensam vocare qui ita se instituunt, et amicitiæ illis poculum propinare, et eosdem attingere cibos. Verum neque illud fiat quod post sermones solet, oscula : eaque apud

ταῦτα πρὸς τοὺς οὐ πρὸ πολλοῦ ἀποφράδα σοι ἐργασαμένους τὸ στόμα. Κἀπειδήπερ ἅπαξ φιλικῆς παραινέσεως ἠρξάμην, κἀκεῖνα, εἰ δοκεῖ, ἄφελε, τὸ μύρῳ χρίεσθαι τὰς πολιὰς καὶ τὸ πιττοῦσθαι μόνα ἐκεῖνα. Εἰ μὲν γὰρ νόσος τις ἐπείγει, ἅπαν τὸ σῶμα θεραπευτέον, εἰ δὲ μηδὲν νοσεῖς τοιοῦτον, τί σοι βούλεται καθαρὰ καὶ λεῖα καὶ ὀλισθηρὰ ἐργάζεσθαι ἃ μηδὲ ὁρᾶσθαι θέμις; Ἐκεῖνό σοι μόνον σοφὸν αἱ πολιαὶ καὶ τὸ μηκέτι μελαίνεσθαι, ὡς προκάλυμμα εἶεν τῆς βδελυρίας. Φείδου δὴ αὐτῶν πρὸς Διὸς κἀν τούτῳ, καὶ μάλιστα τοῦ πώγωνος αὐτοῦ, μηδὲ μιάνῃς ἔτι μηδὲ ὑβρίσῃς· εἰ δὲ μή, ἐν νυκτί γε καὶ σὺν σκότῳ, τὸ δὲ μεθ' ἡμέραν, ἄπαγε, κομιδῇ ἄγριον καὶ θηριῶδες.

32. Ὁρᾷς ὡς ἄμεινον ἦν σοι ἀκίνητον τὴν Καμάριναν ἐᾶν, μηδὲ καταγελᾶν τῆς ἀποφράδος, ἥ σοι ἀποφράδα τὸν βίον ὅλον ἐργάσεται; ἢ ἔτι προσδεῖ τινος; ὡς τό γε ἐμὸν οὔ ποτε ἐλλείψει. Οὐδέπω γοῦν οἶσθα ὡς ὅλην τὴν ἅμαξαν ἐπεσπάσω, δέον, ὦ παιπάλημα καὶ κίναδος, ὑποπτήσσειν, εἴ τις ἀνὴρ δασὺς καὶ τοῦτο δὴ τὸ ἀρχαῖον, μελάμπυγος ὁριμὺ μόνον εἰς σὲ ἀποβλέψειεν. Ἴσως ἤδη καὶ ταῦτα γελάσῃ τὸ παιπάλημα καὶ τὸ κίναδος ὥσπερ τινὰ αἰνίγματα καὶ γρίφους ἀκούσας· ἄγνωστα γάρ σοι τῶν σῶν ἔργων τὰ ὀνόματα. Ὥστε ὥρα ἤδη καὶ ταῦτα συκοφαντεῖν, εἰ μὴ τριπλῆ καὶ τετραπλῆ σοι ἡ ἀποφρὰς ἐκτέτικεν. Αἰτιῶ δ' οὖν σεαυτὸν ἐπὶ πᾶσιν· ὡς γὰρ ὁ καλὸς Εὐριπίδης λέγειν εἰώθει, ἀχαλίνων στομάτων καὶ ἀφροσύνης καὶ ἀνομίας τὸ τέλος δυστυχία γίγνεται.

illos, qui paullo ante ipsum tibi os ut Apophras [*obscenum*] fieret effecere. Et quando semel amice te cohortari cœpi, etiam illa, si videtur, aufer, ut unguento ungas canos, ac vellas ista sola. Si quis enim morbus urget, totum corpus curandum est; sin tale nihil ægrotas, quid sibi vult quod pura et lævia et lubrica facis, quæ nec videri fas est? Illud solum in te sapiens, cani, et quod non amplius niger es: itaque velum illi sint patere tuæ impuritatis. Parce sane illis, per Jovem, vel hactenus, et inprimis barbæ ipsi, neu amplius illam pollue, vel contumeliose tracta: sin minus, noctu certe et in tenebris fac quæ facis; interdiu enim, apage; nimis ferum et belluinum est.

32. Vides quanto melius tibi fuisset non movisse Camarinam, nec derisisse Apophrada, quæ tibi apophrada detestabilemque totam vitam reddet? aut deest forte adhuc ad eam rem aliquid? quantum in me est, nunquam deficiet. Nondum enim scis quam totum in te plaustrum attraxeris, qui debebas, o pollen, o vulpes, metu trepidare, si quis vir hirsutus, et, ut veteres dicebant, nigro podice, vel torvum te intueretur. Forte jam hæc etiam ridebis, quum illud pollen et illud vulpes tanquam ænigmata quædam et griphos audieris: incognita enim tibi sunt operum tuorum nomina. Itaque hæc etiam opportunum est calumnieris, nisi jam tripli aut quadrupli pœnas tibi dedit Apophras. Tibi nimirum imputabis omnia: ut enim pulcher Euripides dicere solebat, effrenis oris et stuporis et legum contemtus solet esse finis infortunium.

LXI.

ΠΕΡΙ ΤΟΥ ΟΙΚΟΥ.

1. Εἶτα Ἀλέξανδρος μὲν ἐπεθύμησεν ἐν τῷ Κύδνῳ λούσασθαι καλόν τε καὶ διαυγῆ τὸν ποταμὸν ἰδὼν καὶ ἀσφαλῶς βαθὺν καὶ προσηνῶς ὀξὺν καὶ νήξασθαι ἡδὺν καὶ θέρους ὥρᾳ ψυχρόν, ὥστε καὶ ἐπὶ προδήλῳ τῇ νόσῳ, ἣν ἐνόσησεν ἀπ' αὐτοῦ, δοκεῖ μοι οὐκ ἂν τοῦ λουτροῦ ἀποσχέσθαι, οἶκον δέ τις ἰδὼν μεγέθει μέγιστον καὶ κάλλει κάλλιστον καὶ φωτὶ φαιδρότατον καὶ χρυσῷ στιλπνότατον καὶ γραφαῖς ἀνθηρότατον οὐκ ἂν ἐπιθυμήσειε λόγους ἐν αὐτῷ διαθέσθαι, εἰ τύχοι περὶ τούτους διατρίβων, καὶ ἐνευδοκιμῆσαι καὶ ἐλλαμπρύνασθαι καὶ βοῆς ἐμπλῆσαι καὶ ὡς ἕνι μάλιστα καὶ αὐτὸς μέρος τοῦ κάλλους αὐτοῦ γενέσθαι, ἀλλὰ περισκοπήσας ἀκριβῶς καὶ θαυμάσας μόνον ἄπεισι κωφὸν αὐτὸν καὶ ἄλογον καταλιπὼν μήτε προσειπὼν μήτε προσομιλήσας ὥσπερ τις ἀναυδος ἢ φθόνῳ σιωπᾶν ἐγνωκώς;

2. Ἡράκλεις, ὡς οὐ φιλοκάλου τινὸς οὐδὲ περὶ τὰ εὐμορφότατα ἐρωτικοῦ τὸ ἔργον, ἀγροικία δὲ πολλὴ καὶ ἀπειροκαλία καὶ προσέτι γε ἀμουσία τῶν ἡδίστων αὐτὸν ἀπαξιοῦν καὶ τῶν καλλίστων ἀποξενοῦν καὶ μὴ συνιέναι ὡς οὐχ ὁ αὐτὸς περὶ τὰ θεάματα νόμος ἰδιώ-

LXI.

DE ŒCO.

1. Ergo Alexander lavare in Cydno cupivit, quum pulchrum videret et pellucidum amnem, et sine periculo profundum, et blande celerem, et natatui jucundum, et æstatis tempore frigidum; adeo ut videatur mihi ne præsenti quidem morbi, quem inde nactus est, periculo a lavandi voluptate revocari potuisse: œcum autem aliquis conspicatus magnitudine ingentem, et specie pulcherrimum, et luce multa hilarem, et fulgentem ab auro, et picturis floridum ut qui maxime, non concupiscat orationem (si hæc forte illius sit professio) in eo habere, et in illo probari, et claritatem sibi in eo parare, et clamoribus eum implere, et quantum licet ipse quoque pars illius pulchritudinis fieri? sed perspectis cum cura omnibus, et admiratus modo, abeat, surdum relinquens et orationis suæ expertem, neque allocutus eum, nec sermone cum illo habito, ut mutus aliquis, aut qui per invidiam tacere decreverit?

2. Quam non elegantis istuc, Hercules, neque amore pulcherrimorum capti fuerit, sed rusticitas multa, et stupor quidam circa pulchra ipsasque insuper Musas, rebus jucundissimis se indignum judicare, et alienum ostendere a rebus pulcherrimis, neque intelligere, non eandem circa specta-

ταις τε καὶ πεπαιδευμένοις ἀνδράσιν, ἀλλὰ τοῖς μὲν ἀπόχρη τὸ κοινὸν τοῦτο ἰδεῖν μόνον καὶ περιβλέψαι καὶ τὼ ὀφθαλμὼ περιενεγκεῖν καὶ πρὸς τὴν ὀροφὴν ἀνακῦψαι καὶ τὴν χεῖρα ἐπισεῖσαι καὶ καθ' ἡσυχίαν ἡσθῆναι δέει τοῦ μὴ ἂν δυνηθῆναι ἄξιόν τι τῶν βλεπομένων εἰπεῖν, ὅστις δὲ μετὰ παιδείας ὁρᾷ τὰ καλά, οὐκ ἂν, οἶμαι, ἀγαπήσειεν ὄψει μόνῃ καρπωσάμενος τὸ τερπνὸν οὐδ' ἂν ὑπομείναι ἄφωνος θεατὴς τοῦ κάλλους γενέσθαι, πειράσεται δὲ ὡς οἷόν τε καὶ ἐνδιατρῖψαι καὶ λόγῳ ἀμείψασθαι τὴν θέαν.

3. Ἡ δὲ ἀμοιβὴ οὐκ ἔπαινος τοῦ οἴκου μόνον — τοῦτο μὲν γὰρ ἴσως ἐκείνῳ τῷ νησιώτῃ μειρακίῳ ἔπρεπε, τὴν Μενελάου οἰκίαν ὑπερεκπεπλῆχθαι καὶ πρὸς τὰ ἐν οὐρανῷ καλὰ τὸν ἐλέφαντα καὶ τὸν χρυσὸν αὐτῆς ἀπεικάζειν, ἅτε μηδὲν ἐν γῇ καλόν τι ἄλλο ἑορακότι — ἀλλὰ καὶ τὸ εἰπεῖν ἐν αὐτῷ καὶ τοὺς βελτίστους συγκαλέσαντα λόγων ἐπίδειξιν ποιήσασθαι μέρος τοῦ ἐπαίνου καὶ τοῦτο γένοιτο ἄν. Καὶ τὸ πρᾶγμα ὑπερήδιστον, οἶμαι, οἴκων ὁ κάλλιστος ἐς ὑποδοχὴν λόγων ἀναπεπταμένος καὶ ἐπαίνου καὶ εὐφημίας μεστὸς ὤν, ἠρέμα καὶ αὐτὸς ὥσπερ τὰ ἄντρα συνεπηχῶν καὶ τοῖς λεγομένοις παρακολουθῶν καὶ παρατείνων τὰ τελευταῖα τῆς φωνῆς καὶ τοῖς ὑστάτοις τῶν λόγων ἐμβραδύνων, μᾶλλον δὲ ὡς ἄν τις εὐμαθὴς ἀκροατὴς διαμνημονεύων τὰ εἰρημένα καὶ τὸν λέγοντα ἐπαινῶν καὶ ἀντίδοσιν οὐκ ἄμουσον ποιούμενος πρὸς αὐτά· οἷόν τι πάσχουσι πρὸς τὰ αὐλήματα τῶν ποιμένων αἱ σκοπιαὶ ἐπαυλοῦσαι τῆς φωνῆς ἐπανιούσης κατὰ τὸ ἀντίτυπον καὶ πρὸς αὐτὴν ἀναστρεφούσης, οἱ δὲ ἰδιῶται νομίζουσι παρθένον τινὰ εἶναι τὴν ἀμειβομένην τοὺς ᾄδοντας ἢ βοῶντας ἐν μέσοις που τοῖς κρημνοῖς κατοικοῦσαν καὶ λαλοῦσαν ἐκ τῶν πετρῶν ἔνδοθεν.

4. Ἔμοιγ' οὖν δοκεῖ καὶ συνεξαίρεσθαι οἴκου πολυτελείᾳ ἡ τοῦ λέγοντος γνώμη καὶ πρὸς τοὺς λόγους ἐπεγείρεσθαι, καθάπερ τι καὶ ὑποβαλλούσης τῆς θέας· σχεδὸν γὰρ εἰσρεῖ τι διὰ τῶν ὀφθαλμῶν ἐπὶ τὴν ψυχὴν καλὸν, εἶτα πρὸς αὐτὸ κοσμήσασα ἐκπέμπει τοὺς λόγους. Ἡ τῷ μὲν Ἀχιλλεῖ πιστεύομεν, τὴν ὄψιν τῶν ὅπλων ἐπιτεῖναι κατὰ τῶν Φρυγῶν τὴν ὀργὴν, καὶ ἐπεὶ ἐνέδυ αὐτὰ πειρώμενος, ἐπαρθῆναι καὶ πτερωθῆναι πρὸς τὴν τοῦ πολέμου ἐπιθυμίαν, λόγου δὲ σπουδὴν μὴ ἐπιτείνεσθαι πρὸς κάλλη χωρίων; καίτοι Σωκράτει μὲν ἀπέχρησε πλατάνου εὐφυὴς καὶ πόα εὐθαλὴς καὶ πηγὴ διαυγὴς μικρὸν ἀπὸ τοῦ Ἰλισσοῦ, κἀνταῦθα καθεζόμενος Φαίδρου τε τοῦ Μυρρινουσίου κατειρωνεύετο καὶ τὸν Λυσίου τοῦ Κεφάλου λόγον διήλεγχε καὶ τὰς Μούσας ἐκάλει καὶ ἐπίστευεν ἥξειν αὐτὰς ἐπὶ τὴν ἐρημίαν συνεπιληψομένας τῶν περὶ τοῦ ἔρωτος λόγων, καὶ οὐκ ἠσχύνετο γέρων ἄνθρωπος παρακαλῶν παρθένους συνεισομένας τὰ παιδεραστικά. Ἐς δὲ οὕτω καλὸν χωρίον οὐκ ἂν οἰώμεθα καὶ ἀκλήτους αὐτὰς ἐλθεῖν;

5. Καὶ μὴν οὐ κατά γε σκιὰν μόνην οὐδὲ κατὰ πλατάνου κάλλος ἡ ὑποδοχὴ, οὐδ' ἂν τὴν ἐπὶ τῷ

cula legem esse imperitis literarum, atque eruditis hominibus: quum illis sufficiat commune illud, videre solum et circumspicere et circumferre oculos et ad lacunar suspicere, et movere ab admiratione manum, et tacite oblectari, præmetu ne dignum quicquam iis quæ spectantur proferre non valeant: qui vero eruditus pulchrarum rerum spectator est, non, puto, satis habeat oculis tantum fructum illius jucunditatis percipere, neque sustineat mutus pulchri spectator esse; sed tentabit quantum potest immorari spectaculo et oratione illud remunerari.

3. Remuneratio vero illa non laus modo conclavis: nam hoc forte insulanum illum adolescentulum decuerit, ut admiratione domus Menelai percellatur, et cum cœlestium rerum pulchritudine ebur atque aurum illius comparet, ut qui nihil in terra pulchrum aliud viderit: sed ipsum illud, dicere in eo, et convocatis præstantissimis hominibus orationis facultatem ostendere, id ipsum, inquam, pars forte laudis fuerit. Ac res meo judicio supra quam dici potest jucundissima, pulcherrimus œcus ad accipiendam orationem apertus, laude et faventium vocibus plenus, placide et ipse antrorum instar resonans, et subsequens quæ dicuntur, et ultima vocis protendens, extremisque orationis immorans, vel potius ut docilis auditor memoranss quæ dicta sunt, laudansque dicentem, et aliquid non alienum a Musis ad illa reddens: quale quiddam excelsis rupibus accidit, quæ tibiarum pastoriciarum cantum resonant, redeunte per repercussionem voce et in se ipsam revertente; imperiti autem putant virginem quandam esse, quæ canentibus respondeat clamantibusve, in mediis alicubi præruptis habitantem, et intus loquentem e rupibus.

4. Mihi quidem efferri etiam cum pretioso conclavi videtur animus dicentis et ad orandum excitari, quasi subjiciente aliquid spectaculo: fere enim per oculos pulchrum quiddam in ipsum etiam animum influit, quæ exornatam ad illud exemplum orationem deinde emittit. Nisi credimus Achilli quidem ab ipso conspectu armorum auctam esse iram contra Phryges, et quum tentandi causa illa induisset, elatum esse et quasi alatum ad belli cupiditatem; dicendi autem studium non intendi ad pulchritudines locorum. Verum Socrati satis ad hoc erat platanus bene nata, et herba florida, et fons pellucidus parum distans ab Ilisso, atque ibi assidens Phædrum Myrrhinusium dissimulatæ sermonibus sapientiæ lusit, et Lysiæ Cephali filii orationem redarguit, et Musas vocavit, ratus in illud desertum venturas, adjuturasque illam de amore disputationem; nec puduit hominem senem vocare virgines, conscias sermonum futuras de puerorum amore. In tam pulchrum vero locum non putemus etiam invocatas illas venire?

5. Atqui non umbram modo habet aut platani pulchritudinem hoc deversorium, etiam si relicta ista ad Ilis-

Ἰλισσῷ καταλιπὼν τὴν βασιλέως λέγῃς τὴν χρυσῆν· ἐκείνης μὲν γὰρ ἐν τῇ πολυτελείᾳ μόνῃ τὸ θαῦμα, τέχνη δὲ ἡ κάλλος ἢ τέρψις ἢ τὸ σύμμετρον ἢ τὸ εὔρυθμον οὐ συνείργαστο οὐδὲ κατεμέμικτο τῷ χρυσῷ, ἀλλ' ἦν βαρβαρικὸν τὸ θέαμα, πλοῦτος μόνον καὶ φθόνος τῶν ἰδόντων καὶ εὐδαιμονισμὸς τῶν ἐχόντων· ἔπαινος δὲ οὐδαμοῦ προσῆν· οὐδὲ γὰρ ἔμελε τοῖς Ἀρσακίδαις τῶν καλῶν οὐδὲ πρὸς τὸ τερπνὸν ἐποιοῦντο τὰς ἐπιδείξεις οὐδ' ἐφρόντιζον εἰ ἐπαινέσονται οἱ θεαταὶ, ἀλλ' ὅπως ἐκπλαγήσονται· οὐ φιλόκαλοι γὰρ, ἀλλὰ φιλόπλουτοί εἰσιν οἱ βάρβαροι.

6. Τούτου δὲ τοῦ οἴκου τὸ κάλλος οὐ κατὰ βαρβαρικούς τινας ὀφθαλμοὺς οὐδὲ κατὰ Περσικὴν ἀλαζονείαν ἢ βασιλικὴν μεγαλαυχίαν οὐδὲ πένητος μόνου, ἀλλὰ εὐφυοῦς θεατοῦ δεόμενον καὶ ὅτῳ μὴ ἐν τῇ ὄψει ἡ κρίσις, ἀλλά τις καὶ λογισμὸς ἑπακολουθεῖ τοῖς βλεπομένοις. Τὸ γὰρ τῆς τε ἡμέρας πρὸς τὸ κάλλιστον ἀποβλέπειν — κάλλιστον δὲ αὐτῆς καὶ ποθεινότατον ἡ ἀρχή — καὶ τὸν ἥλιον ὑπερκύψαντα εὐθὺς ὑποδέχεσθαι καὶ τοῦ φωτὸς ἐμπίπλασθαι ἐς κόρον ἀναπεπταμένων τῶν θυρῶν, καθ' ὃ καὶ τὰ ἱερὰ βλέποντα ἐποίουν οἱ παλαιοὶ, καὶ τὸ τοῦ μήκους πρὸς τὸ πλάτος καὶ ἀμφοῖν πρὸς τὸ ὕψος εὔρυθμον καὶ τῶν φωταγωγῶν τὸ ἐλεύθερον καὶ πρὸς ὥραν ἑκάστην εὖ ἔχον πῶς οὐχ ἡδέα ταῦτα πάντα καὶ ἐπαίνων ἄξια;

7. Ἔτι δὲ θαυμάσειεν ἄν τις καὶ τῆς ὀροφῆς ἐν τῷ εὐμόρφῳ τὸ ἀπέριττον καὶ τῷ εὐκόσμῳ τὸ ἀνεπίληπτον καὶ τὸ τοῦ χρυσοῦ ἐς τὸ εὐπρεπὲς σύμμετρον, ἀλλὰ μὴ περὶ τὰς χρείας ἐπίφθονον, ἀλλ' ὁπόσον ἂν καὶ γυναικὶ σώφρονι καὶ καλῇ ἀρκέσῃ ἐπισημότερον ἐργάσασθαι τὸ κάλλος ἢ περὶ τῇ δειρῇ λεπτός τις ὅρμος ἢ περὶ τῷ δακτύλῳ σφενδόνη εὔφορος, ἢ ἐν τοῖν ὠτοιν ἑλλόβια ἢ πόρπη τις ἢ ταινία τὸ ἄφετον τῆς κόμης συνδέουσα, τοσοῦτον τῇ εὐμορφίᾳ προστιθεῖσα ὅσον τῇ ἐσθῆτι ἡ πορφύρα· αἱ δέ γε ἑταῖραι, καὶ μάλιστα αἱ ἀμορφότεραι αὐτῶν, καὶ τὴν ἐσθῆτα ὅλην πορφυρᾶν καὶ τὴν δειρὴν χρυσῆν πεποίηνται τῷ πολυτελεῖ θηρώμεναι τὸ ἐπαγωγὸν καὶ τὸ ἐνδέον τῷ καλῷ προσθέσει τοῦ ἔξωθεν τερπνοῦ παραμυθούμεναι· ἡγοῦνται γὰρ καὶ τὴν ὠλένην αὐταῖς στιλπνοτέραν φανεῖσθαι συναπολάμπουσαν τῷ χρυσῷ καὶ τοῦ ποδὸς τὸ μὴ εὐπερίγραφον λήσειν ὑπὸ χρυσῷ σανδάλῳ καὶ τὸ πρόσωπον αὐτὸ ἐρασμιώτερον γενήσεσθαι τῷ φαεινοτάτῳ συνορώμενον. Ἀλλ' ἐκεῖναι μὲν οὕτως· ἡ δέ γε σώφρων οἰκία χρυσῷ μὲν τὰ ἀρκοῦντα καὶ μόνον τὰ ἀναγκαῖα προσχρῆται, τὸ δ' αὐτῆς κάλλος οὐκ ἂν αἰσχύνοιτο, οἶμαι, καὶ γυμνὸν δεικνύουσα.

8. Καὶ τοίνυν ἡ τοῦδε τοῦ οἴκου ὀροφὴ, μᾶλλον δὲ κεφαλὴ εὐπρόσωπος μὲν καὶ καθ' ἑαυτὴν, τῷ χρυσῷ δὲ ἐς τοσοῦτον κεκόσμηται, ἐς ὅσον καὶ οὐρανὸς ἐν νυκτὶ ὑπὸ τῶν ἀστέρων ἐκ διαστήματος περιλαμπόμενος καὶ ἐκ διαλείμματος ἀνθῶν τῷ πυρί. Εἰ δέ γε πῦρ ἦν τὸ πᾶν, οὐ καλὸς ἂν, ἀλλὰ φοβερὸς ἡμῖν ἔδοξεν. Ἴδοι δ' ἄν τις οὐδ' ἀργὸν ἐνταῦθα τὸν χρυσὸν οὐδὲ μόνου τοῦ

sum, illam Regis auream dicas : istius enim in solo pretio inerat miraculum; ars vero, aut pulchritudo, aut delectatio, aut commensurata proportio, non una elaborata aut permixta auro erat, sed barbaricum erat spectaculum, divitiæ solum, quibus inviderent spectantes, beati possidentes judicarentur : laus autem inerat nusquam. Neque enim pulchra curabant Arsacidæ, neque ad delectationem hominum visui exponere sua solebant, neque curabant laudaturine essent spectatores, sed id solum, ut percellerentur : neque enim elegantiarum, sed divitiarum studiosi sunt barbari.

6. Hujus autem pulchritudo œci non ad barbaricos oculos exacta est, neque ad Persicam superbiam, aut jactationem regiam; neque pauperem solum, sed ingeniosum spectatorem postulat, cui non in solis oculis sit judicium, sed ratiocinatio etiam aliqua consequatur visum. Quod enim diei partem pulcherrimam spectat (est autem pulcherrima et amabilissima pars ejus principium), et tollentem statim caput solem excipit; quod valvis apertis luce ad satietatem repletur, quo positu templa etiam faciebant antiqui; quod longitudo latitudini et ambabus altitudo decora proportione respondet; quod fenestræ sunt liberæ et ad unamquamque partem anni recte dispositæ : qui non jucunda hæc omnia et digna laudibus?

7. Insuper admiretur aliquis, quod in formoso lacunari nihil superfluum, in ornato nihil quod reprehendi possit, illa auri decora et commensurata distinctio, nihil habens in usu invidiosum; sed quantum etiam in muliere pudica et pulchra ad formam insigniorem reddendam sufficiat, aut tenue circa collum monile, aut in digito anulus habilis, aut inaures in auribus, aut fibula quædam, aut cohibens comam fluctuantem tænia, quæ tantum addat formæ quantum vesti purpura : at meretrices, præsertim si qua est deformior, et vestem totam purpuream, et collum sibi faciunt aureum, ipso pretio venantes illecebras, et quod pulchritudini deest, extra apponendis quæ aliquam suavitatem habeant solantes. Putant enim et brachium sibi candidius visum iri, aurum si una refulgeat; et pes quod minus circumscripte formosus est, illud occultatum iri sub aureo sandalio; ipsam denique faciem visum iri amabiliorem, si una cum eo, quod splendidissimum est, aspiciatur. Atque istæ quidem hoc modo : verum modesta domus auro, quantum satis est, et ad necessaria tantum utitur; suam vero pulchritudinem non erubescat, puto, etiam nudam ostendere.

8. Igitur lacunar œci hujus, vel caput potius, formosum quidem per se quoque, auro eatenus ornatum est, quatenus etiam cœlum noctu a stellis per intervalla collustratum, et ignibus per interstitia quædam a se remotis floret. Si vero totum esset ignis, non pulchrum nobis, sed terribile videretur. Videat autem hic aliquis neque otiosum aurum, neque solius delectationis causa reliquo ornatui aspersum;

τέρποντος ἕνεκα τῷ λοιπῷ κόσμῳ συνεσπαρμένον, ἀλλὰ καὶ αὐγήν τινα ἡδεῖαν ἀπολάμπει καὶ τὸν οἶκον ὅλον ἐπιχρώννυσι τῷ ἐρυθήματι· ὁπόταν γὰρ τὸ φῶς προσπεσὸν ἐφάψηται καὶ ἀναμιχθῇ τῷ χρυσῷ, κοινόν τι ἀπαστράπτουσι καὶ διπλασίαν τοῦ ἐρυθήματος ἐκφαίνουσι τὴν αἰθρίαν.

verum splendore etiam jucundo quodam relucet, totique œco rutilum colorem adjicit : quum enim incidens lumen attigit aurum, permistumque illi est, commune quiddam refulgent, ac duplicem ruboris serenitatem reddunt.

9. Τὰ μὲν δὴ ὑψηλὰ καὶ κορυφαῖα τοῦ οἴκου τοιάδε, Ὁμήρου τινὸς δεόμενα ἐπαινέτου, ἵνα αὐτὸν ἡ ὑψώροφον ὡς τὸν Ἑλένης θάλαμον ἢ αἰγλήεντα ὡς τὸν Ὄλυμπον εἴποι· τὸν δὲ ἄλλον κόσμον καὶ τὰ τῶν τοίχων γράμματα καὶ τῶν χρωμάτων τὰ κάλλη καὶ τὸ ἐναργὲς ἑκάστου καὶ τὸ ἀκριβὲς καὶ τὸ ἀληθὲς ἔαρος ὄψει καὶ λειμῶνι δὲ εὐανθεῖ καλῶς ἂν ἔχοι παραβαλεῖν· πλὴν παρ' ὅσον μὲν ἐκεῖνα ἀπανθεῖ καὶ μαραίνεται καὶ ἀλλάττεται καὶ ἀποβάλλει τὸ κάλλος, τουτὶ δὲ τὸ ἔαρ ἀΐδιον καὶ λειμὼν ἀμάραντος καὶ τὸ ἄνθος ἀθάνατον ἅτε μόνης τῆς ὄψεως ἐφαπτομένης καὶ δρεπομένης τὸ ἡδὺ τῶν βλεπομένων.

9. Excelsa ergo œci et fastigio proxima talia sunt, Homero quodam laudatore indigentia, qui illum aut « alte fastigiatum », ut Helenæ thalamum, aut « splendidum, » ut Olympum, dicturus esset : ornatum vero reliquum, et picturas parietum, et colorum pulchritudines, et evidentiam uniuscujusque, accurationemque, et veritatem, aspectui veris et prato florido comparare rectum fuerit : nisi quod ista deflorent, marcescuntque, et mutantur, ac pulchritudinem amittunt; hoc vero perpetuum ver, et nunquam marcescens pratum, et flos æternus, quem solus attingat visus et spectaculi illam suavitatem carpat.

10. Τὰ δὴ τοσαῦτα καὶ τοιαῦτα τίς οὐκ ἂν ἡσθείη βλέπων ἢ τίς οὐκ ἂν προθυμηθείη καὶ παρὰ τὴν δύναμιν ἐν αὐτοῖς λέγειν εἰδὼς αἴσχιστον ὂν ἀπολειφθῆναι τῶν ὁρωμένων; ἐπαγωγότατον γάρ τι ἡ ὄψις τῶν καλῶν, οὐκ ἐπ' ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἵππος ἥδιον ἂν οἶμαι δράμοι κατὰ πρανοῦς πεδίου καὶ μαλακοῦ, προσηνῶς δεχομένου τὴν βάσιν καὶ ἠρέμα ὑπείκοντος τῷ ποδὶ καὶ μὴ ἀντιτυποῦντος τῇ ὁπλῇ· ἅπαντι γοῦν τότε χρῆται τῷ δρόμῳ καὶ ὅλον ἐπιδοὺς ἑαυτὸν τῷ τάχει ἁμιλλᾶται καὶ πρὸς τοῦ πεδίου τὸ κάλλος.

10. Hæc igitur tanta ac talia quis non cum voluptate videat? aut quis non cupiat, etiam præter vires, inter hæc verba facere? qui sciat turpissimum esse non paria facere his quæ videmus. Est enim res illecebrarum plena pulcharum rerum aspectus, non hominibus modo, sed equus etiam lubentius, puto, decurrat per pronum campum ac mollem, placide accipientem gressus, et molliter pedi cedentem, nec repellentem ungulas : omnibus enim tum utitur viribus ad currendum, totumque se celeritati impendit, eaque cum campi pulchritudine certat.

11. Ὁ δὲ ταὼς ἦρος ἀρχομένου πρὸς λειμῶνά τινα ἐλθών, ὁπότε καὶ τὰ ἄνθη πρόεισιν οὐ ποθεινότερα μᾶλλον, ἀλλὰ καὶ ὡς ἂν εἴποι τις ἀνθηρότερα καὶ τὰς βαφὰς καθαρώτερα, τότε καὶ οὗτος ἐκπετάσας τὰ πτερὰ καὶ ἀναδείξας τῷ ἡλίῳ καὶ τὴν οὐρὰν ἐπάρας καὶ πάντοθεν αὐτῷ περιστήσας ἐπιδείκνυται τὰ ἄνθη τὰ αὐτοῦ καὶ τὸ ἔαρ τῶν πτερῶν ὥσπερ αὐτοῦ προκαλοῦντος τοῦ λειμῶνος ἐς τὴν ἅμιλλαν· ἐπιστρέφει γοῦν ἑαυτὸν καὶ περιάγει καὶ ἐμπομπεύει τῷ κάλλει· ὅτε δὴ καὶ θαυμασιώτερος φαίνεται πρὸς τὴν αὐγὴν ἀλλαττομένων αὐτῷ τῶν χρωμάτων καὶ μεταβαινόντων ἠρέμα καὶ πρὸς ἕτερον εὐμορφίας εἶδος τρεπομένων. Πάσχει δὲ αὐτὸ μάλιστα ἐπὶ τῶν κύκλων, οὓς ἐπ' ἄκροις ἔχει τοῖς πτεροῖς, ἴριδός τινος ἕκαστον περιθεούσης· ὃ γὰρ τέως χαλκὸς ἦν, τοῦτο ἐγκλίναντος ὀλίγον χρυσὸς ὤφθη, καὶ τὸ ὑπὸ τῷ ἡλίῳ κυαναυγὲς, εἰ σκιασθείη, χλοαυγές ἐστιν· οὕτω μετακοσμεῖται πρὸς τὸ φῶς ἡ πτέρωσις.

11. Ac pavo sub veris initia in pratum veniens, quum et flores prodeunt non desiderabiliores tantum, verum etiam, ut dicat aliquis, floridiores coloribusque purioribus; tunc ipse quoque passis pennis ac soli ostensis, elata cauda et in orbem circa se erecta, suos itidem flores exponit, suarumque ver pennarum, prato ipso velut ad certamen eum provocante. Convertit se itaque et circumagit, et pulchritudinis suæ quandam velut pompam agit : ubi sane admirabilior etiam videtur, mutantibus subinde ad lucem coloribus ipsius et sensim in alios transeuntibus, atque in aliam se pulchritudinis speciem vertentibus. Maxime autem hoc ei accidit in illis orbibus, quos in extremis habet pennis, quorum unumquemque velut iris quædam circuit : quod enim modo æs erat, hoc, modice illo inclinante, aurum videtur; atque ille cæruleus ad solem splendor, si inumbretur, viridem lucem spargit : sic alium ornatum pennæ illius ad lucem induunt.

12. Ὅτι μὲν γὰρ καὶ ἡ θάλαττα ἱκανὴ προκαλέσασθαι καὶ εἰς ἐπιθυμίαν ἐπισπάσασθαι ἐν γαλήνῃ φανεῖσα, ἴστε, κἂν μὴ εἴπω· ὅτε, εἰ καὶ παντάπασιν ἠπειρώτης καὶ ἀπειρόπλους τις εἴη, πάντως ἂν ἐθελήσειε καὶ αὐτὸς ἐμβῆναι καὶ περιπλεῦσαι καὶ πολὺ ἀπὸ τῆς γῆς ἀποσπάσαι, καὶ μάλιστα εἰ βλέποι τὴν μὲν αὔραν κούφως ἐπουριάζουσαν τὴν ὀθόνην, τὴν δὲ ναῦν προσηνῶς τε καὶ λείως ἐπ' ἄκρων ἠρέμα διολισθάνουσαν τῶν κυμάτων.

12. Quin ipsum etiam mare habere quo nos provocet et cupidine quadam, quum tranquillum cernitur, ad se trahat, vel me tacente nostis; quando, etiam si aliquis plane mediterraneus sit et navigandi imperitus, tamen et ipse conscendere navim velit, et circumnavigare, et multum discedere de terra, idque inprimis si videat ab aura secunda leniter inflari vela, navim autem placido lenique motu per summos quiete labi fluctus.

13. Καὶ τοίνυν καὶ τοῦδε τοῦ οἴκου τὸ κάλλος ἱκανὸν καὶ παρορμῆσαι ἐς λόγους καὶ λέγοντα ἐπεγεῖραι καὶ πάντα τρόπον εὐδοκιμῆσαι παρασκευάσαι. Ἐγὼ μὲν δὴ τούτοις πείθομαι καὶ ἤδη πέπεισμαι καὶ ἐς τὸν οἶκον ἐπὶ λόγοις παρελήλυθα ὥσπερ ἀπὸ ἴυγγος ἢ Σειρῆνος τῷ κάλλει ἑλκόμενος, ἐλπίδα οὐ μικρὰν ἔχων, εἰ καὶ τέως ἡμῖν ἄμορφοι ἦσαν οἱ λόγοι, καλοὺς αὐτοὺς φανεῖσθαι καθάπερ ἐσθῆτι καλῇ κεκοσμημένους.

14. Ἕτερος δέ τις οὐκ ἀγεννὴς λόγος, ἀλλὰ καὶ πάνυ γενναῖος, ὥς φησι, καὶ μεταξύ μου λέγοντος ὑπέκρουε καὶ διακόπτειν ἐπειρᾶτο τὴν ῥῆσιν καὶ ἐπειδὴ πέπαυμαι, οὐκ ἀληθῆ ταῦτα λέγειν φησί με, ἀλλὰ θαυμάζειν, εἰ φάσκοιμι ἐπιτηδειότερον εἶναι πρὸς λόγων ἐπίδειξιν οἶκου κάλλος γραφῇ καὶ χρυσῷ κεκοσμημένον· αὐτὸ γάρ που τοὐναντίον ἀποβαίνειν. Μᾶλλον δέ, εἰ δοκεῖ, αὐτὸς παρελθὼν ὁ λόγος ὑπὲρ ἑαυτοῦ καθάπερ ἐν δικασταῖς ὑμῖν εἰπάτω, ὅπη λυσιτελέστερον ἡγεῖται τῷ λέγοντι εὐτέλειαν οἴκου καὶ ἀμορφίαν. Ἐμοῦ μὲν ἀκηκόατε ἤδη λέγοντος, ὥστε οὐδὲν δέομαι δὶς περὶ τῶν αὐτῶν εἰπεῖν, ὁ δὲ παρελθὼν ἤδη λεγέτω, κἀγὼ σωπήσομαι καὶ πρὸς ὀλίγον αὐτῷ μεταστήσομαι.

15. Ἄνδρες τοίνυν δικασταί, φησὶν ὁ λόγος, ὁ μὲν προειπὼν ῥήτωρ πολλὰ καὶ μεγάλα τόνδε τὸν οἶκον ἐπῄνεσε καὶ τῷ ἑαυτοῦ λόγῳ ἐκόσμησεν, ἐγὼ δὲ τοσούτου δέω ψόγον αὐτοῦ διεξελεύσεσθαι, ὥστε καὶ τὰ ὑπ' ἐκείνου παραλελειμμένα προσθήσειν μοι δοκῶ· ὅσῳ γὰρ ἂν ὑμῖν καλλίων φαίνηται, τοσῷδε ὑπεναντίος τῇ τοῦ λέγοντος χρείᾳ δειχθήσεται. Καὶ πρῶτόν γε ἐπειδὴ γυναικῶν καὶ κόσμου καὶ χρυσοῦ ἐκεῖνος ἐμνημόνευσε, κἀμοὶ ἐπιτρέψατε χρήσασθαι τῷ παραδείγματι· φημὶ γὰρ οὖν καὶ γυναιξὶ καλαῖς οὐχ ὅπως συλλαμβάνειν ἐς τὸ εὐμορφότερον, ἀλλὰ καὶ ἐναντιοῦσθαι τὸν κόσμον τὸν πολὺν, ὁπόταν τῶν ἐντυγχανόντων ἕκαστος ὑπὸ τοῦ χρυσοῦ καὶ τῶν λίθων τῶν πολυτελῶν ἐκπλαγεὶς ἀντὶ τοῦ ἐπαινεῖν ἢ χρόαν ἢ βλέμμα ἢ δειρὴν ἢ πῆχυν ἢ δάκτυλον, ὁ δὲ ταῦτ' ἀφεὶς ἐς τὴν σαρδὼ ἢ τὸν σμάραγδον ἢ τὸν ὅρμον ἢ τὸ ψέλιον ἀποβλέπῃ, ὥστε ἄχθοιτο ἂν εἰκότως παρορωμένη διὰ τὸν κόσμον, οὐκ ἀγόντων σχολὴν ἐπαινεῖν αὐτὴν τῶν θεατῶν, ἀλλὰ πάρεργον αὐτῆς ποιουμένων τὴν θέαν.

16. Ὅπερ ἀνάγκη, οἶμαι, παθεῖν καὶ τὸν ἐν οὕτω καλοῖς ἔργοις λόγους δεικνύοντα· λανθάνει γὰρ ἐν τῷ μεγέθει τῶν καλῶν τὸ λεχθὲν καὶ ἀμαυροῦται καὶ συναρπάζεται, καθάπερ εἰ λύχνον τις εἰς πυρκαϊὰν μεγάλην φέρων ἐμβάλλοι ἢ μύρμηκα ἐπ' ἐλέφαντος ἢ καμήλου δεικνύοι. Τοῦτο γοῦν φυλακτέον τῷ λέγοντι. Καὶ προσέτι μὴν καὶ τὴν φωνὴν αὐτὴν ἐπιταράττεται ἐν οὕτως εὐφώνῳ καὶ ἠχήεντι οἴκῳ λέγων· ἀντιφθέγγεται γὰρ καὶ ἀντιφωνεῖ καὶ ἀντιλέγει, μᾶλλον δὲ ἐπικαλύπτει τὴν βοὴν, οἷόν τι καὶ σάλπιγξ δρᾷ τὸν αὐλὸν, εἰ συναυλοῖεν, ἢ τοὺς κελευστὰς ἡ θάλαττα, ὁπόταν πρὸς κύματος ἦχον ἐπᾴδειν τῇ εἰρεσίᾳ θέλωσιν· ἐπικρατεῖ γὰρ ἡ μεγαλοφωνία καὶ κατασιωπᾷ τὸ ἧττον.

17. Καὶ μὴν κἀκεῖνο, ὅπερ ἔφη ὁ ἀντίδικος, ὡς ἄρα

13. Itaque hujus etiam pulchritudo œci apta est quæ impellat ad dicendum, et dicentem excitet, et plausum illi omni ratione paret. Equidem his ipsis moveor, imo jam sum motus, et in œcum dicendi causa deveni, tanquam ab iynge quadam aut Sirene tractus a pulchritudine, spe non parva fretus, etiamsi ad hunc diem informis nostra fuit oratio, pulchram visum iri, velut veste honesta ornatam.

14. Verum enim vero alia quædam non ignava oratio, sed generosa, ut videri vult, quum inter dicendum me interpellavit et abrumpere dictionem conata est, tum postquam desii, non vera ait me dixisse, sed mirari se, si aptiorem esse ad edenda eloquentiæ specimina dicam pulchritudinem œci pictura et auro ornatam : fere enim contrarium plane evenire. Quin, si videtur, ipsa in medium progressa oratio pro se apud vos, tanquam judices, dicat, quare commodiorem esse putet dicenti vilitatem œci atque deformitatem. Me quidem orantem jam audistis; ergo non opus est bis me de eadem re verba facere : ista vero jam progressa in medium dicat, ac tacebo interim ego et paullum illi decedam.

15. Sic igitur oratio : Qui modo dixit rhetor, judices, multis et magno opere laudavit hunc œcum, suaque illum oratione ornavit; ego vero tantum abest ut reprehensionem illius velim dicere, ut etiam prætermissa ab illo additurus mihi videar : quo enim ille vobis pulchrior videbitur, tanto magis contrarius dicentis usui ostendetur. Ac primum, quandoquidem mulierum et mundi et auri mentionem iste fecit, etiam mihi, ut ea similitudine utar, permittite. Aio enim ego mulieribus quoque pulchris non modo nihil ad hoc, ut formosiores videantur, conferre, sed contrarium etiam esse mundum copiosum, quum videntium unusquisque auro illo et lapidibus pretiosis perculsus, pro eo quod laudare debebat aut colorem, aut oculorum conjectum, aut collum, aut brachium, aut digitum; relictis hisce ad Sardam aut smaragdum, aut monile, aut armillam respicit; adeo ut illa habeat quod indigne ferat, se propter mundum prætervideri, non habentibus otium ad ipsam laudandam spectatoribus, sed obiter tantum se respicientibus.

16. Quod quidem necessario accidere arbitror etiam illi, qui inter opera adeo pulchra dicendi facultatem velit ostendere. Delitescit enim quicquid dicitur in magna vi rerum pulchrarum, et obscuratur, atque una abripitur, ac si quis lucernam magnum in incendium injiciat, aut formicam in elephanto vel camelo ostendat. Hoc ergo cavendum dicenti. Ad hæc vox etiam ipsa confunditur in vocali adeo et sonoro œco dicentis : resonat enim, et reclamat, et contra dicit, aut potius occultat clamorem, quale quid etiam tuba facit tibiæ, si una canant, aut celeusma canentibus mare, si inter fluctuum sonos accinere remigio velint. Vincit nimirum sonus magnus, et ad silentium illum qui minor est redigit.

17. Quin illud ipsum, quod dicebat adversarius, exci-

ἐπεγείρει ὁ καλὸς οἶκος τὸν λέγοντα καὶ προθυμότερον παρασκευάζει, ἐμοὶ δοκεῖ τὸ ἐναντίον ποιεῖν· ἐκπλήττει γὰρ καὶ φοβεῖ καὶ τὸν λογισμὸν διαταράττει καὶ δειλότερον ἐργάζεται ἐνθυμούμενον ὡς ἁπάντων ἐστὶν αἴσχιστον ἐν εὐμόρφῳ χωρίῳ μὴ ὁμοίους φαίνεσθαι τοὺς λόγους. Ἐλέγχων γὰρ οὗτός γε ὁ φανερώτατος, ὥσπερ ἂν εἴ τις πανοπλίαν καλὴν ἐνδὺς ἔπειτα φεύγοι πρὸ τῶν ἄλλων, ἐπισημότερος ὢν δειλὸς ἀπὸ τῶν ὅπλων. Τοῦτο δέ μοι δοκεῖ λογισάμενος καὶ ὁ τοῦ Ὁμήρου ῥήτωρ ἐκεῖνος εὐμορφίας ἐλάχιστον φροντίσαι, μᾶλλον δὲ καὶ παντελῶς αἱδρεῖ φωτὶ ἑαυτὸν ἀπεικάσαι, ἵνα αὐτῷ παραδοξότερον φαίνηται τῶν λόγων τὸ κάλλος ἐκ τῆς πρὸς τὸ ἀμορφότερον ἐξετάσεως. Ἄλλως τε ἀνάγκη πᾶσα καὶ τὴν τοῦ λέγοντος αὐτοῦ διάνοιαν ἀσχολεῖσθαι περὶ τὴν θέαν καὶ τῆς φροντίδος τὸ ἀκριβὲς ἐκλύειν τῆς ὄψεως ἐπικρατούσης καὶ πρὸς αὑτὴν καλούσης καὶ τῷ λόγῳ προσέχειν οὐκ ἐώσης. Ὥστε τίς μηχανὴ μὴ οὐχὶ πάντως ἔλαττον ἐρεῖν αὐτὸν τῆς ψυχῆς διατριβούσης περὶ τὸν τῶν ὁρωμένων ἔπαινον;

18. Ἐῶ γὰρ λέγειν ὅτι καὶ οἱ παρόντες αὐτοὶ καὶ πρὸς τὴν ἀκρόασιν παρειλημμένοι ἐπειδὰν εἰς τοιοῦτον οἶκον παρέλθωσιν, ἀντὶ ἀκροατῶν θεαταὶ καθίστανται, καὶ οὐχ οὕτω Δημόδοκος ἢ Φήμιος ἢ Θάμυρις ἢ Ἀμφίων ἢ Ὀρφεύς τις λέγων ἐστὶν ὥστε ἀποσπάσαι τὴν διάνοιαν αὐτῶν ἀπὸ τῆς θέας· ἀλλ' οὖν ἕκαστος, ἐπειδὰν μόνον ὑπερβῇ τὸν ὀδόν, ἀθρόῳ τῷ κάλλει περιχυθεὶς λόγων μὲν ἐκείνων ἢ ἀκροάσεως ἀλλ' οὐδὲ τὴν ἀρχὴν « αἴοντι ἔοικεν, » ὅλος δὲ πρὸς τοῖς ὁρωμένοις ἐστίν, εἰ μὴ τύχοι τις παντελῶς τυφλὸς ὢν ἢ ἐν νυκτὶ ὥσπερ ἡ ἐξ Ἀρείου πάγου βουλὴ ποιοῖτο τὴν ἀκρόασιν.

19. Ὅτι γὰρ οὐκ ἀξιόμαχον λόγων ἰσχὺς ὄψει ἀνταγωνίσασθαι καὶ ὁ Σειρήνων μῦθος παρατεθεὶς τῷ περὶ τῶν Γοργόνων διδάξειεν ἄν· ἐκεῖναι μὲν γὰρ ἐκήλουν τοὺς παραπλέοντας μελῳδοῦσαι καὶ κολακεύουσαι τοῖς ἄσμασι καὶ καταπλεύσαντας ἐπὶ πολὺ κατεῖχον, καὶ ὅλως τὸ ἔργον αὐτῶν ἐδεῖτό τινος διατριβῆς, καί πού τις αὐτὰς καὶ παρέπλευσε καὶ τοῦ μέλους παρήκουσε· τὸ δὲ τῶν Γοργόνων κάλλος ἅτε βιαιότατόν τε ὂν καὶ τοῖς καιριωτάτοις τῆς ψυχῆς ὁμιλοῦν εὐθὺς ἐξίστη τοὺς ἰδόντας καὶ ἀφώνους ἐποίει, ὡς δὲ ὁ μῦθος βούλεται καὶ λέγεται, λίθινοι ἐγίγνοντο ἀπὸ θαύματος. Ὥστε καὶ ὃν ὑπὲρ τοῦ ταὼ λόγον εἶπε πρὸς ὑμᾶς μικρὸν ἔμπροσθεν, ὑπὲρ ἐμαυτοῦ εἰρῆσθαι νομίζω· καὶ γὰρ ἐκείνου ἐν τῇ ὄψει, οὐκ ἐν τῇ φωνῇ τὸ τερπνόν. Καὶ εἴ γέ τις παραστησάμενος τὴν ἀηδόνα ἢ τὸν κύκνον ᾄδειν κελεύοι, μεταξὺ δὲ ᾀδόντων παραδείξειε τὸν ταὼ σιωπῶντα, εὖ οἶδ' ὅτι ἐπ' ἐκεῖνον μεταβήσεται ἡ ψυχὴ μακρὰ χαίρειν φράσασα τοῖς ἐκείνων ᾄσμασιν. Οὕτως ἁμαχόν τι ἔοικεν εἶναι ἡ δι' ὄψεως ἡδονή.

20. Καὶ ἔγωγε, εἰ βούλεσθε, μάρτυρα ὑμῖν παραστήσομαι σοφὸν ἄνδρα, ὃς αὐτίκα μοι μαρτυρήσει ὡς πολὺ ἐπικρατέστερά ἐστι τῶν ἀκουομένων τὰ ὁρώμενα. Καί μοι σὺ ἤδη ὁ κῆρυξ προσκάλει αὐτὸν Ἡρόδοτον Λύξου Ἁλικαρνασσόθεν· κἀπειδὴ καλῶς ποιῶν ὑπήκουσε,

tari a pulchro œco dicentem et alacriorem reddi, illius, mea quidem sententia, fit contrarium : percellit enim ac terret, et cogitationem perturbat, facitque timidiorem, dum cogitat omnium turpissimum esse, si in loco formoso habita non similis ei videatur oratio. Sic enim manifestissime aliquis deprehendatur; velut si quis armis indutus pulcherrimis deinde fugiat ante alios, cujus nempe ignavia ipsis ab armis fiat apertior. Hoc ipsum perpendens Homericus ille orator mihi videtur minimam curam habuisse pulchritudinis; imo potius imperito omnium homini se assimilasse, ut ipsius pulchritudo orationis tanto admirabilior ex ipsa ad illam deformitatem comparatione appareret. Alioqui necessario plane dicentis ipsius animus occupatur in spectaculo, et exquisitam illam curam remittit, quum vincat ipsa species et ad se vocet, atque attendere ad orationem non sinat. Quomodo ergo fieri potest ut non omnino dicat deterius, occupato circa laudem eorum, quæ videntur, animo?

18. Omitto dicere quod ipsi etiam præsentes et ad audiendum assumti, quum intrant in talem œcum, spectatores fiunt pro auditoribus; neque quisquam ita vel Demodocus est, vel Phemius in dicendo, vel Thamyris, vel Amphion, vel Orpheus adeo, qui abstrahere mentem illorum a spectaculo possit : verum unusquisque, superato solum limine, conferta illa pulchritudine circumfusus, orationem illam, sive auditionem, nec omnino audire videtur; sed totus est in his quæ videntur, ni quis forte plane cæcus sit, aut noctu, ut illud Areopagitarum consilium, auscultet.

19. Neque enim satis valere vim verborum, quoties cum visu pugnandum est, Sirenum etiam fabula cum altera Gorgonum composita docuerit. Nam illæ quidem præternavigantes mulcebant canendo et adulando carminibus, detinebantque appulsos, et mora omnino quadam opus illarum indigebat : et aliquando aliquis præternavigavit, et inaudita prætermisit illorum carmina. At Gorgonum pulchritudo, quæ esset violentissima et principibus animæ partibus se insinuaret, statim videntes extra se rapiebat, faciebatque mutos; ut vero vult fabula ac fertur vulgo, lapidei præ admiratione fiebant. Igitur quæ de pavone paullo ante ad vos iste dixit, ea quoque pro me dicta esse arbitror : etenim illius etiam quod delectat in specie inest, non in voce. Et si quis juxta collocatos hinc lusciniam et cygnum canere jubeat, hinc inter ipsum cantum tacentem ostendat pavonem; bene novi ego transituram ad hunc mentem, longum valere jussis illorum cantibus. Adeo invictum quid esse videtur ea quæ per visum voluptas contingit.

20. Atque ego, si vultis, testem ad vos allegabo virum sapientem, qui statim testimonium mihi perhibebit, multo, quæ videntur, his quæ auditu percipiuntur esse validiora. Et mihi tu jam, præco, huc voca ipsum Herodotum Lyxi filium Halicarnasso. Et quando, præclare ille quidem,

μαρτυρείτω παρελθών. Ἀναδέξασθε δὲ αὐτὸν Ἰαστὶ πρὸς ὑμᾶς λέγοντα ὥσπερ αὐτῷ ἔθος. « Ἀληθέα τάδε ὁ λόγος ὑμῖν, ἄνδρες δικασταὶ, μυθέεται καί οἱ πείσεσθε ὅσα ἂν λέγῃ τουτέων πέρι ὄψιν ἀκοῆς προτιμέων· ὦτα γὰρ τυγχάνει ἐόντα ἀπιστότερα ὀφθαλμῶν. » Ἀκούετε τοῦ μάρτυρος ἃ φησιν, ὡς τὰ πρῶτα τῇ ὄψει ἀποδέδωκεν; εἰκότως. Τὰ μὲν γὰρ ἔπεα πτεροέντά ἐστι καὶ οἴχεται ἅμα τῷ προελθεῖν ἀποπτάμενα, ἡ δὲ τῶν ὁρωμένων τέρψις ἀεὶ παρεστῶσα καὶ παραμένουσα πάντως τὸν θεατὴν ὑπάγεται.

21. Πῶς οὖν οὐ χαλεπὸς τῷ λέγοντι ἀνταγωνιστὴς οἶκος οὕτω καλὸς καὶ περίβλεπτος ὤν; μᾶλλον δὲ τὸ μέγιστον οὐδέπω φημί· ὑμεῖς γὰρ αὐτοὶ οἱ δικασταὶ καὶ μεταξὺ λεγόντων ἡμῶν ἐς τὴν ὀροφὴν ἀπεβλέπετε καὶ τοὺς τοίχους ἐθαυμάζετε καὶ τὰς γραφὰς ἐξητάζετε πρὸς ἑκάστην ἀποστρεφόμενοι. Καὶ μηδὲν αἰσχυνθῆτε· συγγνώμη γὰρ, εἴ τι ἀνθρώπινον πεπόνθατε, ἄλλως τε καὶ πρὸς οὕτω καλὰς καὶ ποικίλας τὰς ὑποθέσεις. Τῆς γὰρ τέχνης τὸ ἀκριβὲς καὶ τῆς ἱστορίας μετὰ τοῦ ἀρχαίου τὸ ὠφέλιμον ἐπαγωγὸν ὡς ἀληθῶς καὶ πεπαιδευμένων θεατῶν δεόμενον. Καὶ ἵνα μὴ πάντα ἐκεῖσε ἀποβλέπητε ἡμᾶς ἀπολιπόντες, φέρε ὡς οἷόν τε γράψωμαι αὐτὰ ὑμῖν τῷ λόγῳ· ἡσθήσεσθε γὰρ, οἶμαι, ἀκούοντες ἃ καὶ ὁρῶντες θαυμάζετε. Καὶ ἴσως ἄν με καὶ δι' αὐτὸ ἐπαινέσαιτε καὶ τοῦ ἀντιδίκου προτιμήσαιτε, ὡς μὴ καὶ αὐτοῦ ἐπιδείξαντος καὶ διπλασιάσαντος ὑμῖν τὴν ἡδονήν. Τὸ χαλεπὸν δὲ τοῦ τολμήματος ὁρᾶτε, ἄνευ χρωμάτων καὶ σχημάτων καὶ τόπου συστήσασθαι τοσαύτας εἰκόνας· ψιλὴ γάρ τις ἡ γραφὴ τῶν λόγων.

22. Ἐν δεξιᾷ μὲν οὖν εἰσιόντι Ἀργολικῷ μύθῳ ἀναμέμικται πάθος Αἰθιοπικὸν, ὁ Περσεὺς τὸ κῆτος φονεύει καὶ τὴν Ἀνδρομέδαν καθαιρεῖ, καὶ μετὰ μικρὸν γαμήσει καὶ ἄπεισιν αὐτὴν ἄγων· πάρεργον τοῦτο τῆς ἐπὶ Γοργόνας πτήσεως. Ἐν βραχεῖ δὲ πολλὰ ὁ τεχνίτης ἐμιμήσατο, αἰδῶ παρθένου καὶ φόβον· ἐπισκοπεῖ γὰρ μάχην ἄνωθεν ἐκ τῆς πέτρας καὶ νεανίου τόλμαν ἐρωτικὴν καὶ θηρίου ὄψιν ἀπρόσμαχον· καὶ τὸ μὲν ἔπεισι πεφρικὸς ταῖς ἀκάνθαις καὶ δεδιττόμενον τῷ χάσματι, ὁ Περσεὺς δὲ τῇ λαιᾷ μὲν προδείκνυσι τὴν Γοργόνα, τῇ δεξιᾷ δὲ καθικνεῖται τῷ ξίφει· καὶ τὸ μὲν ὅσον τοῦ κήτους εἶδε τὴν Μέδουσαν, ἤδη λίθος ἐστὶ, τὸ δ' ὅσον ἔμψυχον μένει, τῇ ἅρπῃ κόπτεται.

23. Ἐξῆς δὲ μετὰ τήνδε τὴν εἰκόνα ἕτερον δρᾶμα γέγραπται δικαιότατον, οὗ τὸ ἀρχέτυπον ὁ γραφεὺς παρ' Εὐριπίδου ἢ Σοφοκλέους δοκεῖ μοι λαβεῖν· ἐκεῖνοι γὰρ ὁμοίαν ἐγραψάτην εἰκόνα. Τὼ νεανία τὼ ἑταίρω Πυλάδης τε ὁ Φωκεὺς καὶ Ὀρέστης δοκῶν ἤδη τεθνάναι παρελθόντε τὰ βασίλεια καὶ λαθόντε φονεύουσιν ἄμφω τὸν Αἴγισθον· ἡ δὲ Κλυταιμνήστρα ἤδη ἀνῄρηται καὶ ἐπ' εὐνῆς τινος ἡμίγυμνος πρόκειται καὶ θεραπεία πᾶσα ἐκπεπληγμένοι τὸ ἔργον οἱ μὲν ὥσπερ βοῶσιν, οἱ δέ τινες ὅπη φύγωσι περιβλέπουσι. Σεμνὸν δέ τι ὁ γραφεὺς ἐπενόησε τὸ μὲν ἀσεβὲς τῆς ἐπιχειρήσεως δείξας μόνον καὶ ὡς ἤδη πεπραγμένον παραδραμών,

jam obsecutus est, in medium progressus dicat testimonium. Patiemini autem illum Ionice vobiscum pro more suo loqui. « Vera ista hæc oratio apud vos, judices, loquitur, et credite illi quæ in hanc sententiam dixerit, visum esse præferendum auditui : aures enim oculis fere sunt infideliores. » Auditin' testem quæ dicat, ut primas tribuat visui? Merito sane. Verba enim alata sunt, et abeunt et simul dum prodeunt avolant : verum delectatio ex his quæ videntur, astans semper ac manens, subjicit omnino spectatorem.

21. Qui igitur non validus dicenti adversarius sit œcus adeo pulcher, adeo spectabilis? Quin quod maximum est nondum dico. Vos enim ipsi, judices, dum nos dicimus, lacunar respiciebatis, muros admirabamini, picturas examinabatis conversi ad singulas. Nec est quod vos pudeat : ignoscendum enim si quid humani vobis acciderit; præsertim in argumentis ita pulchris, ita variis. Ars enim exquisita, et historiæ cum antiquitate utilitas, illecebras habent vere, et eruditis spectatoribus indigent. Et ne omnino relictis nobis eo respiciatis, age, quantum ejus fieri potest, verbis illa vobis depingam. Delectabimini enim, puto, iis audiendis quæ spectantibus quoque admirationi sunt. Ac forte illo ipso nomine me laudabitis, et adversario præponetis, ut qui intermiserit ostendere œcum et voluptatem vobis geminare. Difficultatem autem incepti mei videte, qui audeam sine coloribus, et figuris, et loco, tot imagines constituere : tenuis nempe est verborum pictura.

22. Igitur ad dextram intranti Argolicæ fabulæ Æthiopicus affectus permixtus est : Perseus cetum interficit, et liberat Andromedam, uxorem paullo post sibi habiturus, abiturusque illam ducens : agit hoc obiter in suo ad Gorgonas volatu. In brevi autem tabella multa expressit artifex; pudorem virginis ac petum : inspicit enim hæc pugnam desuper e scopulo, et ausum juvenis amatorium, et difficilem oppugnatu speciem belluæ. Atque hæc quidem irruit spinis horrens ac terribilis rictu; Perseus autem læva Gorgonem objicit, dextra ferit gladio; et qua parte vidit Medusam cetus, jam lapis est; qua adhuc vivit, falce cæditur.

23. Deinde post hanc imaginem alia tabula picta est plena justitiæ, cujus animale exemplum ab Euripide vel Sophocle sumsisse mihi pictor videtur, qui similem et ipsi pinxerunt imaginem : juvenes duo sodales Pylades Phocensis atque Orestes, qui jam putabatur esse mortuus, latentes in regiam intrant, interficiuntque ambo Ægisthum : Clytæmnestra vero jam occisa in cubili quodam seminuda jacet, ac ministerium omne circumstat, consternati facinore, alii tanquam clamant, alii quorsum fugiant circumspiciunt. Sapienter vero illud commentus est pictor, quum impium quod fuit in hoc facinore ostendit modo et tanquam perpetratum

ἐμβραδύνοντας δὲ τοὺς νεανίσκους ἐργασάμενος τῷ τοῦ μοιγοῦ φόνῳ.

24. Μετὰ δὲ τοῦτο θεός ἐστιν εὔμορφος καὶ μειράκιον ὡραῖον, ἐρωτική τις παιδιά· ὁ Βράγχος ἐπὶ πέτρας καθεζόμενος ἀνέχει λαγὼν καὶ προσπαίζει τὸν κύνα, ὁ δὲ πηδησομένῳ ἔοικεν ἐπ' αὐτὸν ἐς τὸ ὕψος, καὶ Ἀπόλλων παρεστὼς μειδιᾷ τερπόμενος ἀμφοῖν, καὶ τῷ παιδὶ παίζοντι καὶ πειρωμένῳ τῷ κυνί.

25. Ἐπὶ δὲ τούτοις ὁ Περσεὺς πάλιν τὰ πρὸ τοῦ κήτους ἐκεῖνα τολμῶν καὶ ἡ Μέδουσα τεμνομένη τὴν κεφαλὴν καὶ Ἀθηνᾶ σκέπουσα τὸν Περσέα· ὁ δὲ τὴν μὲν τόλμαν εἴργασται, τὸ δὲ ἔργον οὐχ ἑόρακέ πω, ἀλλ' ἐπὶ τῆς ἀσπίδος τῆς Γοργόνος τὴν εἰκόνα· οἶδε γὰρ τὸ πρόστιμον τῆς ἀληθοῦς ὄψεως.

26. Κατὰ δὲ τὸν μέσον τοῖχον ἄνω τις ἀντίπυρος Ἀθηνᾶς ναὸς πεποίηται, ἡ θεὸς λίθου λευκοῦ, τὸ σχῆμα οὐ πολεμιστήριον, ἀλλ' οἷον ἂν γένοιτο εἰρήνην ἀγούσης θεοῦ πολεμικῆς.

27. Εἶτα μετὰ ταύτην ἄλλη Ἀθηνᾶ, οὐ λίθος αὕτη γε, ἀλλὰ γραφὴ πάλιν· Ἥφαιστος αὐτὴν διώκει ἐρῶν, ἡ δὲ φεύγει, κἀκ τῆς διώξεως Ἐριχθόνιος γίγνεται.

28. Ταύτῃ ἕπεται παλαιά τις ἄλλη γραφή· Ὠρίων φέρει τὸν Κηδαλίωνα τυφλὸς ὤν, ὁ δ' αὐτῷ σημαίνει τὴν πρὸς τὸ φῶς ὁδὸν ἐποχούμενος,

29. καὶ ὁ Ἥλιος φανεὶς ἴᾶται τὴν πήρωσιν, καὶ ὁ Ἥφαιστος Λημνόθεν ἐπισκοπεῖ τὸ ἔργον.

30. Ὀδυσσεὺς τὸ μετὰ τοῦτο δῆθεν μεμηνὼς, ὅτε συστρατεύει τοῖς Ἀτρείδαις μὴ θέλων· πάρεισι δὲ οἱ πρέσβεις ἤδη καλοῦντες. Καὶ τὰ μὲν τῆς ὑποκρίσεως πιθανὰ πάντα, ἡ ἀπήνη, τὸ τῶν ὑπεζευγμένων ἀσύμφωνον, ἄγνοια τῶν ὁρωμένων· ἐλέγχεται δὲ ὅμως τῷ βρέφει· Παλαμήδης γὰρ ὁ τοῦ Ναυπλίου συνεὶς τὸ γιγνόμενον, ἁρπάσας τὸν Τηλέμαχον ἀπειλεῖ φονεύειν πρόκωπον ἔχων τὸ ξίφος, καὶ πρὸς τὴν τῆς μανίας ὑπόκρισιν ὀργὴν καὶ οὗτος ἀνθυποκρίνεται. Ὁ δὲ Ὀδυσσεὺς πρὸς τὸν φόβον τοῦτον σωφρονεῖ καὶ πατὴρ γίγνεται καὶ λύει τὴν ὑπόκρισιν.

31. Ὑστάτη δὲ ἡ Μήδεια γέγραπται τῷ ζήλῳ διακαὴς, τὸ παῖδε ὑποβλέπουσα καί τι δεινὸν ἐννοοῦσα· ἔχει γοῦν ἤδη τὸ ξίφος, τὼ δ' ἀθλίω καθῆσθον γελῶντε μηδὲν τῶν μελλόντων εἰδότε, καὶ ταῦτα ὁρῶντε τὸ ξίφος ἐν ταῖν χεροῖν.

32. Ταῦτα πάντα, ὦ ἄνδρες δικασταὶ, οὐχ ὁρᾶτε ὅπως ἀπάγει μὲν τὸν ἀκροατὴν καὶ πρὸς τὴν θέαν ἀποστρέφει, μόνον δὲ καταλείπει τὸν λέγοντα; Καὶ ἔγωγε διεξῆλθον αὐτὰ, οὐχ ἵνα τὸν ἀντίδικον τολμηρὸν ὑπολαβόντες καὶ θρασὺν, εἰ τοῖς οὕτω δυσκόλοις ἑαυτὸν ἐκὼν φέρων ἐπέβαλε, καταγνῶτε καὶ μισήσητε καὶ ἐπὶ τῶν λόγων ἐγκαταλίπητε, ἀλλ' ἵνα μᾶλλον αὐτῷ συναγωνίσησθε καὶ ὡς οἷόν τε καταμύοντες ἀκούητε τῶν λεγομένων λογιζόμενοι τοῦ πράγματος τὴν δυσχέρειαν· μόλις γὰρ ἂν οὕτω δυνηθείη οὐ δικασταῖς, ἀλλὰ συναγωνισταῖς ὑμῖν χρησάμενος μὴ παντάπασιν ἀνάξιος τῆς τοῦ οἴκου πολυτελείας νομισθῆναι. Εἰ δὲ ὑπὲρ ἀντιjam prætercucurrit; sed immorantes pinxit juvenes in cæde adulteri.

24. Post hæc vero formosus deus est, et adolescentulus pulcher, lusus quidam amatorius : Branchus in petra sedens, leporem retinet, et alludit cani; hic vero sussulturi ad illum speciem habet : atque astans Apollo subridet delectatus utroque, et puero ludente, et tentante capturam cane.

25. Post ista iterum Perseus, audens illa quæ ante cetum gesta sunt, et Medusa cui caput præciditur, tegensque Perseum Minerva. At ille peregit facinus, ipse vero suum opus non vidit, sed Gorgonis in clypeo suo imaginem : noverat nimirum quanti constaret directo visu illam aspexisse.

26. In medio autem pariete superne, e regione januæ, ædicula Minervæ facta est : dea e candido marmore; habitus non bellicus, sed qualis fuerit pacem agente dea bellica.

27. Tum post hanc Minerva alia, non marmor illa quidem, sed pictura rursus : persequitur eam Vulcanus amator, illa se subducit, atque ex ea persecutione nascitur Erichthonius.

28. Hanc sequitur vetus quædam alia pictura : cæcus Orion fert Cedalionem, hic vero insidens illi viam ad lucem significat :

29. oriensque Sol cæcitati illius medetur : ac Vulcanus e Lemno rem inspicit.

30. Ulysses post ista, nempe furens, ut qui expeditionem suscipere cum Atridis nolit : adsunt autem legati jam vocantes. Et simulatio ipsius satis illa quidem probabilis : currus, discrepantia jumentorum, eorum quæ agerentur ignoratio; at deprehenditur tamen in puero. Palamedes enim Nauplii filius intelligens quid ageretur, raptum Telemachum interfecturum se minatur, stricto jam gladio, et adversus furoris simulationem iram et ipse vicissim simulat. At Ulysses ab hoc metu resipiscit, et fit pater, et simulationem solvit.

31. Ultima Medea picta est, zelotypia inflammata, pueros duos torvum aspiciens, et dirum quiddam animo agitans : jam enim habet gladium; at miselli sedent ridentes, futurorum ignari, idque quum in manu videant gladium.

32. Hæc omnia, judices, nonne ut abducant auditorem videtis et ad spectaculum avertant, solumque eum qui dicit relinquant? Atque ego ista persecutus sum, non ut adversarium meum, audacem rati ac temerarium, qui difficilibus adeo rebus volens ipse se ingesserit, damnatum habeatis odio, atque in ipsa oratione destituatis : sed uti potius adjuvetis ipsi certamen, et conniventes, quantum ejus fieri potest, verba illius audiatis, perpensa nimirum operis difficultate. Vix enim vel sic potuerit, etiam si non judicibus vobis, sed sociis utatur, non usquequaque indignus magnifico isto œco putari. Denique si pro adversario ista peto,

δίκου ταῦτα δέομαι, μὴ θαυμάσητε· ὑπὸ γὰρ τοῦ τὸν υἱὸν φιλεῖν καὶ τὸν ἐν αὐτῷ λέγοντα, ὅστις ἂν ᾖ, βουλοίμην ἂν εὐδοκιμεῖν.

LXII.

* ΜΑΚΡΟΒΙΟΙ.

1. Ὄναρ τι τοῦτο, λαμπρότατε Κυίντιλλε, κελευσθεὶς προσφέρω σοι δῶρον τοὺς μακροβίους, πάλαι μὲν τὸ ὄναρ ἰδὼν καὶ ἱστορήσας τοῖς φίλοις, ὅτε ἐτίθεσο τῷ δευτέρῳ σου παιδὶ τοὔνομα· συμβαλεῖν δὲ οὐκ ἔχων τίνας ὁ θεὸς κελεύει μοι προσφέρειν σοι τοὺς μακροβίους, τότε μὲν ηὐξάμην τοῖς θεοῖς ἐπὶ μήκιστον ὑμᾶς βιῶναι σέ τε αὐτὸν καὶ παῖδας τοὺς σοὺς, τοῦτο συμφέρειν νομίζων καὶ σύμπαντι μὲν τῷ τῶν ἀνθρώπων γένει, πρὸ δὲ τῶν ἁπάντων αὐτῷ τε ἐμοὶ καὶ πᾶσι τοῖς ἐμοῖς· καὶ γὰρ κἀμοί τι ἀγαθὸν ἐδόκει προσημαίνειν ὁ θεός.

2. Σκεπτόμενος δὲ κατ' ἐμαυτὸν εἰς σύννοιαν ἦλθον, εἰκὸς εἶναι τοὺς θεοὺς ἀνδρὶ περὶ παιδείαν ἔχοντι ταῦτα προστάττοντας κελεύειν τι προσφέρειν σοι τῶν ἀπὸ τῆς τέχνης. Ταύτην οὖν αἰσιωτάτην νομίζων τήν γε τῶν σῶν γενεθλίων ἡμέραν δίδωμί σοι τοὺς ἱστορημένους εἰς μακρὸν γῆρας ἀφικέσθαι ἐν ὑγιαινούσῃ τῇ ψυχῇ καὶ ὁλοκλήρῳ τῷ σώματι. Καὶ γὰρ ἂν καὶ ὄφελος γένοιτό τί σοι ἐκ τοῦ συγγράμματος διπλοῦν· τὸ μὲν εὐθυμία τις καὶ ἐλπὶς ἀγαθὴ καὶ αὐτὸν ἐπὶ μήκιστον δύνασθαι βιῶναι, τὸ δὲ διδασκαλία τις ἐκ παραδειγμάτων, εἰ ἐπιγνοίης ὅτι οἱ μάλιστα ἑαυτῶν ἐπιμέλειαν ποιησάμενοι κατά τε σῶμα καὶ κατὰ ψυχὴν, οὗτοι εἰς μακρότατον γῆρας ἦλθον σὺν ὑγιείᾳ παντελεῖ.

3. Νέστορα μὲν οὖν τὸν σοφώτατον τῶν Ἀχαιῶν ἐπὶ τρεῖς παρατεῖναι γενεὰς Ὅμηρος λέγει, ὃν συνίστησιν ἡμῖν γεγυμνασμένον ἄριστα καὶ ψυχῇ καὶ σώματι. Καὶ Τειρεσίαν δὲ τὸν μάντιν ἡ τραγῳδία μέχρι ἓξ γενεῶν παρατεῖναι λέγει. Πιθανὸν δ' ἂν εἴη ἄνδρα θεοῖς ἀνακείμενον καὶ καθαρωτέρᾳ διαίτῃ χρώμενον τὸν Τειρεσίαν ἐπὶ μήκιστον βιῶναι.

4. Καὶ γένη δὲ ὅλα μακρόβια ἱστόρηται διὰ τὴν δίαιταν, ὥσπερ Αἰγυπτίων οἱ καλούμενοι ἱερογραμματεῖς, Ἀσσυρίων δὲ καὶ Ἀράβων οἱ ἐξηγηταὶ τῶν μύθων, Ἰνδῶν δὲ οἱ καλούμενοι Βραχμᾶνες, ἄνδρες ἀκριβῶς φιλοσοφίᾳ σχολάζοντες, καὶ οἱ καλούμενοι δὲ μάγοι, γένος τοῦτο μαντικὸν καὶ θεοῖς ἀνακείμενον παρά τε Πέρσαις καὶ Πάρθοις καὶ Βάκτροις καὶ Χορασμίοις καὶ Ἀρείοις καὶ Σάκαις καὶ Μήδοις καὶ παρὰ πολλοῖς ἄλλοις βαρβάροις ἐρρωμένοι τέ εἰσι καὶ πολυχρόνιοι διὰ τὸ μαγεύειν διαιτώμενοι καὶ αὐτοὶ ἀκριβέστερον.

5. Ἤδη δὲ καὶ ἔθνη ὅλα μακροβιώτατα, ὥσπερ Σῆρας μὲν ἱστοροῦσι μέχρι τριακοσίων ζῆν ἐτῶν, οἱ μὲν τῷ ἀέρι, οἱ δὲ τῇ γῇ τὴν αἰτίαν τοῦ μακροῦ γήρως προστιθέντες, οἱ δὲ καὶ τῇ διαίτῃ· ὑδροποτεῖν γάρ φασι

nolite mirari; ob amorem enim hujus œci, quisquis est qui in eo dicit, velim probari.

LXII.

* LONGÆVI.

1. Somnio quodam monitus hoc facere, Quintille clarissime, munus ad te defero Longævos; somnio, inquam, quod olim vidi, quum nomen poneres filio tuo secundo, ac narravi amicis: sed quod conjicere non possem, quosnam longævos tibi offerri deus juberet, tum quidem vota diis nuncupavi, ut quam longissime vivatis et tu et tui filii; utile id esse ratus quum universo hominum generi, tum præter ceteros et ipsi mihi et meis omnibus: etenim mihi quoque bonum quiddam præsignificare videbatur deus.

2. Re autem mecum considerata, in cogitationem veni, vero esse simile deos, quum viro doctrinæ studiis operato hæc imperent, jubere de arte tibi mea aliquid ut offeram. Hunc igitur auspicatissimum ratus natalitiorum tuorum diem, dono tibi eos qui ad longam senectutem pervenisse, cum sana mente et corpore integro, memorantur. Etenim duplex quædam tibi utilitas ex hoc libello nascatur: hinc animus alacris, et bona spes fieri posse ut ipse quoque vivas quam diutissime; hinc quædam petita ab exemplis disciplina, si cognoscas, ut quique maxime et corporis sui et animi curam gesserint, ita ad longissimam senectutem, cum valetudine integerrima, pervenisse.

3. Itaque Nestorem, Achivorum sapientissimum, ad tria sæcula extendisse ætatem Homerus narrat, quem proponit nobis corpore pariter atque animo exercitatum optime. Tiresiam vero vatem ad sex usque sæcula produxisse vitam ait tragœdia. Probabile autem fuerit, virum diis dicatum et puriore usum victu, qualis Tiresias, vixisse longissime.

4. Commemorantur autem genera quoque hominum universa fuisse longæva propter victus rationem, ut Ægyptiorum ii qui sacri scribæ vocantur; Assyriorum autem et Arabum qui interpretes fabularum; Indorumque qui vocantur Brachmanes, viri solide vacantes philosophiæ; et qui dicuntur magi, genus hominum fatidicum et dicatum diis apud Persas et Parthos et Bactros, Choramiosque et Arios, atque Sacas et Medos, barbaros denique multos alios, valentes sunt ac longævi, quum ob magiæ exercitium accuratiore vivendi ratione ipsi quoque utantur.

5. Jam vero gentes etiam totæ diutissime vivunt, ut Seras referunt ad trecentos usque annos vitam proferre, cujus longæ senectutis causam alii aeri, terræ alii imputant, alii vero etiam rationi victus; aquam enim bibere univer-

τὸ ἔθνος τοῦτο σύμπαν. Καὶ Ἀθώτας δὲ μέχρι τριάκοντα καὶ ἑκατὸν ἐτῶν βιοῦν ἱστόρηται, καὶ τοὺς Χαλδαίους ὑπὲρ τὰ ἑκατὸν ἔτη βιοῦν λόγος, τούτους μὲν καὶ κριθίνῳ ἄρτῳ χρωμένους, ὡς ὀξυδορκίας τοῦτο φάρμακον· οἷς γέ φασι διὰ τὴν τοιαύτην δίαιταν καὶ τὰς ἄλλας αἰσθήσεις ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους ἐρρωμένας εἶναι.

6. Ἀλλὰ ταῦτα μὲν περί τε τῶν μακροβίων γενῶν καὶ τῶν ἐθνῶν, ἅτινά φασιν ὡς ἐπὶ πλεῖστον διαγίγνεσθαι χρόνον, οἱ μὲν διὰ τὴν γῆν καὶ τὸν ἀέρα, οἱ δὲ διὰ τὴν δίαιταν, οἱ δὲ καὶ δι' ἄμφω. Ἐγὼ δ' ἄν σοι δικαίως τὴν ἐλπίδα ῥᾳδίως παράσχοιμι ἱστορήσας ὅτι καὶ κατὰ πᾶσαν τὴν γῆν καὶ κατὰ πάντα ἀέρα μακρόβιοι γεγόνασιν ἄνδρες οἱ γυμνασίοις τοῖς προσήκουσι καὶ διαίτῃ τῇ ἐπιτηδειοτάτῃ πρὸς ὑγίειαν χρώμενοι.

7. Διαίρεσιν δὲ τοῦ λόγου ποιήσομαι τὴν πρώτην κατά γε τὰ ἐπιτηδεύματα τῶν ἀνδρῶν, καὶ πρώτους γέ σοι τοὺς βασιλικοὺς καὶ στρατηγικοὺς ἄνδρας ἱστορήσω, ὧν ἕνα καὶ εὐσεβεστάτῃ μεγάλου θειοτάτου αὐτοκράτορος τύχη εἰς τὴν τελεωτάτην ἀγαγοῦσα τάξιν εὐηργέτηκε τὰ μέγιστα τὴν οἰκουμένην τὴν ἑαυτοῦ· οὕτω γὰρ ἂν ἀπιδὼν καὶ σὺ τῶν μακροβίων ἀνδρῶν πρὸς τὸ ὅμοιον τῆς ἕξεως καὶ τῆς τύχης ἑτοιμότερον ἐλπίσειας γῆρας ὑγιεινὸν καὶ μακρὸν καὶ ἅμα ζηλώσας ἐργάσαιο σαυτῷ τῇ διαίτῃ μέγιστόν τε ἅμα καὶ ὑγιεινότατον βίον.

8. Ποµπίλιος Νοῦμας ὁ εὐδαιμονέστατος τῶν Ῥωμαίων βασιλέων καὶ μάλιστα περὶ τὴν θεραπείαν τῶν θεῶν ἀσχοληθεὶς ὑπὲρ ὀγδοήκοντα ἔτη βεβιωκέναι ἱστόρηται. Σέρβιος δὲ Τούλλιος Ῥωμαίων καὶ οὗτος βασιλεὺς ὑπὲρ τὰ ὀγδοήκοντα ἔτη καὶ αὐτὸς βιῶσαι ἱστόρηται. Ταρκυίνιος δὲ ὁ τελευταῖος Ῥωμαίων βασιλεὺς φυγαδευθεὶς καὶ ἐπὶ Κύμης διατρίβων ὑπὲρ τὰ ἐνενήκοντα ἔτη λέγεται στερρότατα βιῶσαι.

9. Οὗτοι μὲν οὖν Ῥωμαίων βασιλεῖς, οἷς συνάψω καὶ τοὺς λοιποὺς βασιλέας τοὺς εἰς μακρὸν γῆρας ἀφικομένους καὶ μετ' αὐτοὺς καὶ τὰ ἐπιτηδεύματα ἑκάστου. Ἐπὶ τέλει δέ σοι καὶ τοὺς λοιποὺς Ῥωμαίων τοὺς εἰς μήκιστον γῆρας ἀφικομένους προσαναγράψω προσθεὶς ἅμα καὶ τοὺς κατὰ τὴν λοιπὴν Ἰταλίαν ἐπὶ πλεῖστον βιώσαντας· ἀξιόλογος γὰρ ἔλεγχος ἡ ἱστορία τῶν διαβάλλειν πειρωμένων τὸν ἐνταῦθα ἀέρα, ὥστε καὶ ἡμᾶς χρηστοτέρας ἔχειν τὰς ἐλπίδας, τελείους ἡμῖν τὰς εὐχὰς ἔσεσθαι πρὸς τὸ εἰς μήκιστόν τε καὶ λιπαρὸν τὸν πάσης γῆς καὶ θαλάττης δεσπότην γῆρας ἀφικέσθαι τῇ ἑαυτοῦ οἰκουμένῃ βασιλεύοντα ἤδη καὶ γέροντα.

10. Ἀργανθώνιος μὲν οὖν Ταρτησσίων βασιλεὺς πεντήκοντα καὶ ἑκατὸν ἔτη βιῶναι λέγεται, ὡς Ἡρόδοτος ὁ λογοποιὸς καὶ ὁ μελοποιὸς Ἀνακρέων· ἀλλὰ τοῦτο μὲν μῦθός τισι δοκεῖ. Ἀγαθοκλῆς δὲ ὁ Σικελίας τύραννος ἐτῶν ἐνενηκονταπέντε τελευτᾷ, καθάπερ Δημοχάρης καὶ Τίμαιος ἱστοροῦσιν. Ἱέρων τε ὁ Συρακοσίων τύραννος δύο καὶ ἐνενήκοντα ἐτῶν γενόμενος ἐτελεύτα νοσῶν, βασιλεύσας ἑβδομήκοντα ἔτη, ὥσπερ

sam hanc gentem aiunt. Athotas etiam ad triginta et centum annos vivere literis proditum est; et Chaldæos supra centum annos vivere fama est, hos etiam pane hordeaceo utentes ut acuti visus remedio : quibus nempe dicant ob talem victum reliquos etiam sensus supra reliquos homines vigere.

6. Sed hæc de longævis et generibus hominum et gentibus, quos longissimo durare tempore aiunt, partim propter terram et aerem, partim propter rationem victus, partim propter utrumque. Æquum est autem ut ego facilem tibi spem injiciam, narrando, in omni solo, in aere omni longævos fuisse eos qui exercitationibus convenientibus et aptissima ad sanitatem victus ratione uterentur.

7. Distribuam vero orationem primo pro vitæ generibus virorum, et initio quidem regii fastigii viros et exercituum duces commemorabo; quorum uno etiam pia magni augustique Imperatoris nostri Fortuna in supremum ordinem evecto, maximum beneficium suo terrarum orbi tribuit. Sic enim respiciens tu quoque ad longævorum similes habitudines ac fortunas, senectutem sanam longamque speraveris facilius; simulque æmulatus eos, longissimam pariter atque saluberrimam tibi vitam hac victus ratione paraveris.

8. Pompilius Numa, felicissimus Romanorum regum, et maxime circa deorum cultum occupatus, supra octoginta annos vixisse memoratur. Servius Tullius, rex et ipse Romanorum, supra octoginta annos itidem vixisse refertur. Tarquinius vero, ultimus Romanorum rex, exul Cumis agens, ultra nonagesimum annum in firmissima valitudine dicitur pervenisse.

9. Hi Romanorum reges, quibus adjungam reliquos etiam reges longam senectutem adeptos, et post ipsos etiam studia et vivendi rationem uniuscujusque. In fine autem Romanorum ascribam reliquos quoque, qui ad longissimam senectutem pervenere, additis etiam qui in reliqua Italia diutissime vixere. Non parvi enim momenti refutatio eorum qui istum aerem criminari conantur, est historia : quo meliorem nos quoque spem habemus, rata futura vota nostra, ut in longissimamque et pinguem senectutem perveniat terræ totius atque maris dominus, qui jam senex suum terrarum orbem regit.

10. Arganthonius ergo, Tartessiorum rex, quinquaginta et centum annos vixisse dicitur, ut volunt Herodotus historicus, et poeta Anacreon : verum ista quibusdam videtur fabula. Agathocles autem, Siciliæ tyrannus, quum esset annorum quinque et nonaginta, mortuus est, sicut Demochares ac Timæus tradunt. Et Hiero, Syracusanorum tyrannus, duo et nonaginta annos natus morbo finiit vitam, quum septuaginta annos regnasset, ut Calatianus Demetrius

Δημήτριός τε ὁ Καλλατιανὸς καὶ ἄλλοι λέγουσιν. Ἀτέας δὲ Σκυθῶν βασιλεὺς μαχόμενος πρὸς Φίλιππον περὶ τὸν Ἴστρον ποταμὸν ἔπεσεν ὑπὲρ τὰ ἐνενήκοντα ἔτη γεγονώς. Βάρδυλις δὲ ὁ Ἰλλυριῶν βασιλεὺς ἀφ' ἵππου λέγεται μάχεσθαι ἐν τῷ πρὸς Φίλιππον πολέμῳ εἰς ἐνενήκοντα τελῶν ἔτη. Τήρης δὲ Ὀδρυσῶν βασιλεὺς, καθά φησι Θεόπομπος, δύο καὶ ἐνενήκοντα ἐτῶν ἐτελεύτησεν.

11. Ἀντίγονος δὲ ὁ Φιλίππου ὁ μονόφθαλμος βασιλεύων Μακεδόνων περὶ Φρυγίαν μαχόμενος Σελεύκῳ καὶ Λυσιμάχῳ τραύμασι πολλοῖς περιπεσὼν ἐτελεύτησεν ἐτῶν ἑνὸς καὶ ὀγδοήκοντα, ὥσπερ ὁ συστρατευόμενος αὐτῷ Ἱερώνυμος ἱστορεῖ. Καὶ Λυσίμαχος δὲ Μακεδόνων βασιλεὺς ἐν τῇ πρὸς Σέλευκον ἀπώλετο μάχῃ ἔτος ὀγδοηκοστὸν τελῶν, ὡς ὁ αὐτός φησιν Ἱερώνυμος. Ἀντίγονος δὲ υἱὸς μὲν ἦν Δημητρίου, υἱωνὸς δὲ Ἀντιγόνου τοῦ μονοφθάλμου, οὗτος τέτταρα καὶ τετταράκοντα Μακεδόνων ἐβασίλευσεν ἔτη, ἐβίωσε δὲ ὀγδοήκοντα, ὡς Μήδιός τε ἱστορεῖ καὶ ἄλλοι συγγραφεῖς. Ὁμοίως δὲ καὶ Ἀντίπατρος ὁ Ἰολάου μέγιστον δυνηθεὶς καὶ ἐπιτροπεύσας πολλοὺς Μακεδόνων βασιλέας ὑπὲρ ὀγδοήκοντα οὗτος ἔτη ζήσας ἐτελεύτα τὸν βίον.

12. Πτολεμαῖος δὲ ὁ Λάγου ὁ τῶν καθ' αὐτὸν εὐδαιμονέστατος βασιλέων Αἰγύπτου μὲν ἐβασίλευσε τέτταρα καὶ ὀγδοήκοντα βιώσας ἔτη, ζῶν δὲ παρέδωκε τὴν ἀρχὴν πρὸ δύο ἐτοῖν τῆς τελευτῆς Πτολεμαίῳ τῷ υἱῷ, Φιλαδέλφῳ δὲ ἐπίκλησιν, ὅστις διεδέξατο τὴν πατρῴαν βασιλείαν ἀδελφῶν. Φιλέταιρος δὲ πρῶτος μὲν ἐκτήσατο τὴν περὶ Πέργαμον ἀρχὴν καὶ κατέσχεν εὐνοῦχος ὤν, κατέστρεψε δὲ τὸν βίον ὀγδοήκοντα ἐτῶν γενόμενος. Ἄτταλος δὲ ὁ ἐπικληθεὶς Φιλάδελφος, τῶν Περγαμηνῶν καὶ οὗτος βασιλεύων, πρὸς ὃν καὶ Σκιπίων ὁ τῶν Ῥωμαίων στρατηγὸς ἀφίκετο, δύο καὶ ὀγδοήκοντα ἐτῶν ἐξέλιπε τὸν βίον.

13. Μιθριδάτης δὲ ὁ Πόντου βασιλεὺς ὁ προσαγορευθεὶς κτίστης Ἀντίγονον τὸν μονόφθαλμον φεύγων ἐπὶ Πόντου ἐτελεύτησε βιώσας ἔτη τέτταρα καὶ ὀγδοήκοντα, ὥσπερ Ἱερώνυμος ἱστορεῖ καὶ ἄλλοι συγγραφεῖς. Ἀριαράθης δὲ ὁ Καππαδοκῶν βασιλεὺς δύο μὲν καὶ ὀγδοήκοντα ἔζησεν ἔτη, ὡς Ἱερώνυμος ἱστορεῖ· ἐδυνήθη δὲ ἴσως καὶ ἐπὶ πλέον διαγενέσθαι, ἀλλ' ἐν τῇ πρὸς Περδίκκαν μάχῃ ζωγρηθεὶς ἀνεσκολοπίσθη.

14. Κῦρος δὲ ὁ Περσῶν βασιλεὺς ὁ παλαιὸς, ὡς ὀηλοῦσιν οἱ Περσῶν καὶ Ἀσσυρίων ὧροι, οἷς καὶ Ὀνησίκριτος ὁ τὰ περὶ Ἀλεξάνδρου συγγράψας συμφωνεῖν δοκεῖ, ἑκατοντούτης γενόμενος ἐζήτει μὲν ἕνα ἕκαστον τῶν φίλων, μαθὼν δὲ τοὺς πλείστους διεφθαρμένους ὑπὸ Καμβύσου τοῦ υἱέος, καὶ φάσκοντος Καμβύσου κατὰ πρόσταγμα τὸ ἐκείνου ταῦτα πεποιηκέναι, τὸ μέν τι πρὸς τὴν ὠμότητα τοῦ υἱοῦ διαβληθεὶς, τὸ δέ τι ὡς παρανομοῦντα αὐτὸν αἰτιασάμενος ἀθυμήσας ἐτελεύτα τὸν βίον.

15. Ἀρταξέρξης ὁ Μνήμων ἐπικληθεὶς, ἐφ' ὃν Κῦρος ὁ ἀδελφὸς ἐστρατεύσατο, βασιλεύων ἐν Πέρσαις

et alii perhibent. Ateas autem, Scytharum rex, pugnans contra Philippum circa Istrum flumen cecidit supra nonaginta annos natus. Etiam Bardylis, rex Illyriorum, ex equo dicitur pugnasse in bello contra Philippum, annos natus nonaginta. Teres, Odrysarum rex, ut refert Theopompus, duorum et nonaginta annorum quum esset, obiit.

11. Antigonus, Philippi filius, cocles, rex Macedonum, in Phrygia pugnans cum Seleuco et Lysimacho, vulneribus multis confectus cecidit, annorum quum esset unius et octoginta, ut narrat qui expeditionis illius socius ipsi fuit Hieronymus. Etiam Lysimachus, Macedonum rex, in prælio contra Seleucum periit annum agens octogesimum, ut idem ait Hieronymus. Antigonus autem filius erat Demetrii, Antigoni coclitis nepos; is quattuor et quadraginta annos imperavit Macedonibus, vixit autem octoginta, ut Medius refert et scriptores alii. Sic etiam Antipater, Iolai filius, potentissimus vir, aliquot Macedoniæ regum tutor, quum supra octoginta annos vixisset, vitam finiit.

12. Ptolemæus Lagi, regum suæ ætatis felicissimus, Ægypti regnum tenuit ad quartum et octogesimum vitæ annum; idque duobus ante mortem annis tradidit Ptolemæo filio, Philadelphi cognomen habenti, qui ex fratribus in paterno regno successit. Philetærus primus Pergami imperium peperit pariter ac tenuit, eunuchus licet, natus autem annos octoginta vitam cum morte commutavit. Post eum Attalus is, qui Philadelphi cognomen habuit, Pergamenorum et ipse rex, ad quem etiam Scipio ille dux Romanus venit, annorum octoginta duorum quum esset, e vita discessit.

13. Mithridates, Ponti rex, cognomine Conditor, Antigonum coclitem fugiens in Pontum mortuus est, quum vixisset quattuor et octoginta annos, ut refert Hieronymus et scriptores alii. Ariarathes, Cappadocum rex, duo et octoginta vixit annos, ut narrat Hieronymus: poterat autem forte diutius superstes esse; sed captus in prælio contra Perdiccam, in crucem actus est.

14. Cyrus, Persarum rex, antiquus ille, ut indicant Persarum et Assyriorum annales quibus etiam Onesicritus, vitæ Alexandri scriptor, consentire videtur, centum annorum quum esset, amicorum unumquemque requisivit: comperto autem plerosque interfectos a Cambyse filio suo, qui ipsius se imperio hoc fecisse diceret, contristatus partim quod male audiret propter crudelitatem filii, partim quod facinora ipsius coargnisset, vitam finiit.

15. Artaxerxes, Memoriosi cognomine notus, contra quem Cyrus frater expeditionem moverat, regnans in Persis,

ἐτελεύτησε νόσῳ ἓξ καὶ ὀγδοήκοντα ἐτῶν γενόμενος, ὡς δὲ Δείνων ἱστορεῖ, τεττάρων καὶ ἐνενήκοντα. Ἀρταξέρξης ἕτερος Περσῶν βασιλεὺς, ὃν φησιν ἐπὶ τῶν πατέρων τῶν ἑαυτοῦ Ἰσίδωρος ὁ Χαρακηνὸς συγγραφεὺς βασιλεύειν, ἔτη τρία καὶ ἐνενήκοντα βιοὺς ἐπιβουλῇ τἀδελφοῦ Γωσίθρου ἐδολοφονήθη. Σινατροκλῆς δὲ ὁ Παρθυαίων βασιλεὺς ἔτος ὀγδοηκοστὸν ἤδη γεγονὼς ἀπὸ Σακαυράκων Σκυθῶν καταχθεὶς βασιλεύειν ἤρξατο καὶ ἐβασίλευσεν ἔτη ἑπτά. Τιγράνης δὲ ὁ Ἀρμενίων βασιλεὺς, πρὸς ὃν Λεύκουλλος ἐπολέμησε, πέντε καὶ ὀγδοήκοντα ἐτῶν ἐτελεύτα νόσῳ.

16. Ὑσπασίνης δὲ ὁ Χάρακος καὶ τῶν κατ' ἐρυθρὰν τόπων βασιλεὺς πέντε καὶ ὀγδοήκοντα ἐτῶν νοσήσας ἐτελεύτησε. Τίραιος δὲ ὁ μεθ' Ὑσπασίνην τρίτος βασιλεύσας δύο καὶ ἐνενήκοντα βιοὺς ἐτελεύτα νόσῳ. Ἀρτάβαζος δὲ ὁ μετὰ Τίραιον ἕβδομος βασιλεύσας ἓξ καὶ ὀγδοήκοντα ἐτῶν καταχθεὶς ἀπὸ Πάρθων ἐβασίλευσε. Καὶ Μνασκίρης δὲ βασιλεὺς Παρθυαίων ἓξ καὶ ἐνενήκοντα ἔζησεν ἔτη.

17. Μασσινισσᾶς δὲ Μαυρουσίων βασιλεὺς ἐνενήκοντα ἐβίωσεν ἔτη. Ἄσανδρος δὲ ὁ ὑπὸ τοῦ θεοῦ σεβαστοῦ ἀντὶ ἐθνάρχου βασιλεὺς ἀναγορευθεὶς Βοσπόρου περὶ ἔτη ὧν ἐνενήκοντα ἱππομάχων καὶ πεζομάχων οὐδενὸς ἥττων ἐφάνη· ὡς δὲ ἑώρα τοὺς ὑπὸ τῇ μάχῃ Σκριβωνίῳ προστιθεμένους ἀποσχόμενος σιτίων ἐτελεύτησε βιοὺς ἔτη τρία καὶ ἐνενήκοντα· Γόαισος δὲ, ὥς φησιν Ἰσίδωρος ὁ Χαρακηνὸς, ἐπὶ τῆς ἑαυτοῦ ἡλικίας Ὁμανῶν τῆς ἀρωματοφόρου βασιλεύσας πεντεκαίδεκα καὶ ἑκατὸν γεγονὼς ἐτῶν ἐτελεύτησε νόσῳ. Βασιλέας μὲν οὖν τοσούτους ἱστορήκασι μακροβίους οἱ πρὸ ἡμῶν.

18. Ἐπεὶ δὲ καὶ φιλόσοφοι καὶ πάντες οἱ περὶ παιδείαν ἔχοντες, ἐπιμέλειάν πως καὶ οὗτοι ποιούμενοι ἑαυτῶν, εἰς μακρὸν γῆρας ἦλθον, ἀναγράψωμεν καὶ τούτων τοὺς ἱστορημένους, καὶ πρώτους γε φιλοσόφους. Δημόκριτος μὲν ὁ Ἀβδηρίτης ἐτῶν γεγονὼς τεττάρων καὶ ἑκατὸν ἀποσχόμενος τροφῆς ἐτελεύτα. Ξενόφιλος δὲ ὁ μουσικὸς, ὥς φησιν Ἀριστόξενος, προσσχὼν τῇ Πυθαγόρου φιλοσοφίᾳ ὑπὲρ τὰ πέντε καὶ ἑκατὸν ἔτη Ἀθήνησιν ἐβίωσε. Σόλων δὲ καὶ Θαλῆς καὶ Πιττακὸς, οἵτινες τῶν κληθέντων ἑπτὰ σοφῶν ἐγένοντο, ἑκατὸν ἕκαστος ἔζησεν ἔτη.

19. Ζήνων δὲ ὁ τῆς Στωϊκῆς φιλοσοφίας ἀρχηγὸς ὀκτὼ καὶ ἐνενήκοντα, ὃν φασιν εἰσερχόμενον εἰς τὴν ἐκκλησίαν καὶ προσπταίσαντα ἀναφθέγξασθαι, Τί με βοᾷς; καὶ ὑποστρέψαντα οἴκαδε καὶ ἀποσχόμενον τροφῆς τελευτῆσαι τὸν βίον. Κλεάνθης δὲ ὁ Ζήνωνος μαθητὴς καὶ διάδοχος ἐννέα καὶ ἐνενήκοντα οὗτος γεγονὼς ἔτη φῦμα ἔσχεν ἐπὶ τοῦ χείλους καὶ ἀποκαρτερῶν ἐπελθόντων αὐτῷ παρ' ἑταίρων τινῶν γραμμάτων προσενεγκάμενος τροφὴν καὶ πράξας περὶ ὧν ἠξίουν οἱ φίλοι, ἀποσχόμενος αὖθις τροφῆς ἐξέλιπε τὸν βίον.

20. Ξενοφάνης δὲ ὁ Δεξίνου μὲν υἱὸς, Ἀρχελάου δὲ τοῦ φυσικοῦ μαθητὴς ἐβίωσεν ἔτη ἓν καὶ ἐνενήκοντα· Ξενοκράτης δὲ Πλάτωνος μαθητὴς γενόμενος τέτταρα

morbo obiit annos natus sex et octoginta; ut vero Dino prodidit, quattuor et nonaginta. Artaxerxes, Persarum rex alius, quem patrum suorum ætate regnasse dicit Isidorus Characenus historicus, tres et nonaginta annos quum vixisset, insidiis fratris sui Gosithris periit. Sinatrocles, Parthorum rex, annum jam agens octogesimum, ab Sacauracibus Scythis in patriam reductus, regnare cœpit, regnavitque annos septem. Tigranes, Armeniorum rex, quicum Lucullus bellum gessit, quinque et octoginta annos natus fuit, quum morbo decederet.

16. Hyspasines, Characis et locorum Erythræo mari vicinorum rex, quinto et octogesimo anno ex morbo decessit. Tiræus, tertius ab Hyspasine rex, duos et nonaginta annos quum vixisset, morbo finiit. Artabazus, a Tiræo septimus qui regnavit, sexto et octogesimo anno deductus a Parthis, regnum tenuit. Et Mnascires, rex Parthorum, sex et nonaginta annis vixit.

17. Massinissa, Maurorum rex, nonaginta annos implevit. Asander ille, qui a divo Augusto pro ethnarcha rex Bospori renunciatus fuerat, circa annum nonagesimum nullo neque equite neque milite deterior visus est: quum vero videret *suos cives* in prælio ad Scribonii se partes conferre, inedia de vita exiit, quam ad tres et nonaginta annos produxerat. Goæsus, ut narrat Isidorus Characenus, sua ætate Omanorum in thurifera regione rex, quindecim supra centum annos quum haberet, e morbo obiit. Tot reges longævos nobis tradiderunt qui ante nos scripsere.

18. Quando vero etiam philosophi, et omnino literarum cultores, curam et ipsi sui ipsorum habentes ad longam senectutem pervenere; perscribamus etiam de his quotquot in literarum monumenta relati sunt, et primos quidem philosophos. Democritus Abderitanus, annos natus quattuor supra centum, abstinens a cibo vitam finiit. Xenophilus autem musicus, ut ait Aristoxenus, Pythagoricæ philosophiæ deditus, supra quinque et centum annos Athenis vixit. Solon, Thales, et Pittacus, qui de septem illis qui sapientes vocantur fuere, centum quisque annos vixerunt.

19. Zeno, Stoicæ philosophiæ princeps, octo et nonaginta; quem aiunt, quum in concionem prodiret et lapsus offendisset, exclamasse, Quid me vocas? (o terra!) reversumque domum, inedia vitam finiisse. Cleanthes autem, discipulus Zenonis et successor, novem et nonaginta annos natus, tuber in labio nactus est, jam suscepto moriendi consilio, quum supervenirent ipsi a sodalibus quibusdam literæ, cibo assumto perfecit quæ rogaverant amici, tum denuo a cibis se abstinens de vita exiit.

20. Xenophanes, Dexini filius, Archelai physici discipulus, annos vixit nonaginta unum: Xenocrates, Platonis auditor, quattuor et octoginta: Carneades, junioris Academiæ

καὶ ὀγδοήκοντα· Καρνεάδης δὲ ὁ τῆς νεωτέρας Ἀκαδημείας ἀρχηγὸς ἔτη πέντε καὶ ὀγδοήκοντα· Χρύσιππος ἓν καὶ ὀγδοήκοντα· Διογένης δὲ ὁ Σελευκεὺς ἀπὸ Τίγριος Στωϊκὸς φιλόσοφος ὀκτὼ καὶ ὀγδοήκοντα· Ποσειδώνιος ὁ Ἀπαμεὺς τῆς Συρίας, νόμῳ δὲ Ῥόδιος, φιλόσοφός τε ἅμα καὶ ἱστορίας συγγραφεὺς τέτταρα καὶ ὀγδοήκοντα· Κριτόλαος ὁ Περιπατητικὸς ὑπὲρ δύο καὶ ὀγδοήκοντα· Πλάτων δὲ ὁ ἱερώτατος ἓν καὶ ὀγδοήκοντα.

21. Ἀθηνόδωρος Σάνδωνος Ταρσεὺς Στωϊκὸς, ὃς καὶ διδάσκαλος ἐγένετο Καίσαρος σεβαστοῦ θεοῦ, ὑφ' οὗ ἡ Ταρσέων πόλις καὶ φόρων ἐκουφίσθη, δύο καὶ ὀγδοήκοντα ἔτη βιοὺς ἐτελεύτησεν ἐν τῇ πατρίδι καὶ τιμὰς ὁ Ταρσέων δῆμος αὐτῷ κατ' ἔτος ἕκαστον ἀπονέμει ὡς ἥρωϊ. Νέστωρ δὲ Στωϊκὸς ἀπὸ Ταρσοῦ διδάσκαλος Καίσαρος Τιβερίου ἔτη δύο καὶ ἐνενήκοντα· Ξενοφῶν δὲ ὁ Γρύλλου ὑπὲρ τὰ ἐνενήκοντα ἐβίωσεν ἔτη.

22. Οὗτοι μὲν φιλοσόφων οἱ ἔνδοξοι, συγγραφέων δὲ Κτησίβιος μὲν ἑκατὸν εἰκοσιτεττάρων ἐτῶν ἐν περιπάτῳ ἐτελεύτησεν, ὡς Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς ἱστορεῖ. Ἱερώνυμος δὲ ἐν πολέμοις γενόμενος καὶ πολλοὺς καμάτους ὑπομείνας καὶ τραύματα ἔζησεν ἔτη τέτταρα καὶ ἑκατὸν, ὡς Ἀγαθαρχίδης ἐν τῇ ἑνάτῃ τῶν περὶ τῆς Ἀσίας ἱστοριῶν λέγει, καὶ θαυμάζει γε τὸν ἄνδρα ὡς μέχρι τῆς τελευταίας ἡμέρας ἄρτιον ὄντα ἐν ταῖς συνουσίαις καὶ πᾶσι τοῖς αἰσθητηρίοις, μηδενὸς γενόμενον τῶν πρὸς ὑγίειαν ἐλλιπῆ. Ἑλλάνικος ὁ Λέσβιος ὀγδοήκοντα καὶ πέντε, καὶ Φερεκύδης ὁ Σύριος ὁμοίως ὀγδοήκοντα καὶ πέντε. Τίμαιος ὁ Ταυρομενίτης ἓξ καὶ ἐνενήκοντα. Ἀριστόβουλος δὲ ὁ Κασανδρεὺς ὑπὲρ τὰ ἐνενήκοντα ἔτη λέγεται βεβιωκέναι, τὴν ἱστορίαν δὲ τέταρτον καὶ ὀγδοηκοστὸν ἔτος γεγονὼς ἤρξατο συγγράφειν, ὡς αὐτὸς ἐν ἀρχῇ τῆς πραγματείας λέγει. Πολύβιος δὲ ὁ Λυκόρτα Μεγαλοπολίτης ἀγρόθεν ἀνελθὼν ἀφ' ἵππου κατέπεσε καὶ ἐκ τούτου νοσήσας ἀπέθανεν ἐτῶν δύο καὶ ὀγδοήκοντα. Ὑψικράτης δὲ ὁ Ἀμισηνὸς συγγραφεὺς διὰ πολλῶν μαθημάτων γενόμενος ἔτη δύο καὶ ἐνενήκοντα.

23. Ῥητόρων δὲ Γοργίας, ὃν τινες σοφιστὴν καλοῦσιν, ἔτη ἑκατὸν ὀκτώ· τροφῆς δὲ ἀποσχόμενος ἐτελεύτησεν· ὃν φασιν ἐρωτηθέντα τὴν αἰτίαν τοῦ μακροῦ γήρως καὶ ὑγιεινοῦ ἐν πάσαις ταῖς αἰσθήσεσιν εἰπεῖν, διὰ τὸ μηδέποτε συμπεριενεχθῆναι ταῖς ἄλλων εὐωχίαις. Ἰσοκράτης ἓξ καὶ ἐνενήκοντα ἔτη γεγονὼς τὸν πανηγυρικὸν ἔγραφε λόγον, περὶ ἔτη δὲ ἑνὸς ἀποδέοντα ἑκατὸν γεγονὼς ὡς ἤσθετο Ἀθηναίους ὑπὸ Φιλίππου ἐν τῇ περὶ Χαιρώνειαν μάχῃ νενικημένους, ποτνιώμενος τὸν Εὐριπίδειον στίχον προηνέγκατο εἰς ἑαυτὸν ἀναφέρων,

Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών·

καὶ ἐπειπὼν ὡς δουλεύσει ἡ Ἑλλὰς, ἐξέλιπε τὸν βίον. Ἀπολλόδωρος δὲ ὁ Περγαμηνὸς ῥήτωρ θεοῦ Καίσαρος σεβαστοῦ διδάσκαλος γενόμενος καὶ σὺν Ἀθηνοδώρῳ τῷ Ταρσεῖ φιλοσόφῳ παιδεύσας αὐτὸν ἔζησε ταὐτὰ τῷ Ἀθηνοδώρῳ, ἔτη ὀγδοήκοντα δύο. Ποτάμων δὲ οὐκ ἀδοξος ῥήτωρ ἔτη ἐνενήκοντα.

princeps, annos quinque et octoginta : Chrysippus, unum et octoginta : Diogenes Seleuciensis ad Tigrim, Stoicus philosophus, octo et octoginta : Posidonius Apameensis Syriæ, lege autem Rhodius, philosophus idem et historicus, quattuor et octoginta : Critolaus Peripateticus, supra duos et octoginta : Plato divinus, unum et octoginta.

21. Athenodorus Sandonis, Tarsensis, Stoicus, qui divi quoque Cæsaris Augusti præceptor fuit, a quo etiam tributis levata est Tarsensium civitas, duo et octoginta annos natus in patria mortuus est; cui honorem etiam quotannis habet Tarsensium populus, tanquam heroi. Nestor Stoicus e Tarso, Cæsaris Tiberii præceptor, annos duo et nonaginta : Xenophon, Grylli filius, supra nonaginta vixit annos.

22. Hi philosophorum nobiliores. Inter historicos Ctesibius centum viginti quattuor annos natus in peripato obiit, ut auctor est in Chronicis Apollodorus. Hieronymus vero, in bellis versatus, multos labores perpessus et vulnera, annos vixit quattuor supra centum, ut ait Agatharchides nona Historiarum Asiæ, atque admiratur virum, qui ad ultimum vitæ diem aptus fuerit consuetudini hominum, nec in ullius sensus usu aut sanitate quicquam desideraverit. Hellanicus Lesbius, octoginta et quinque; et Pherecydes Syrius similiter octoginta et quinque. Timæus Tauromenites, sex et nonaginta. Aristobulus Cassandreus super nonaginta annos vixisse dicitur; historiam autem quattuor et octoginta annos natus cœpit scribere, ut ipse refert in principio operis. Polybius, Lycortæ filius, Megalopolitanus, rure rediens ex equo cecidit, unde morbum nactus diem obiit, annorum quum esset duorum et octoginta. Hypsicrates Amisenus, scriptor, multiplici doctrina eruditus, vixit annos duo et nonaginta.

23. Inter oratores Gorgias, quem sophistam quidam nominant, annos octo et centum : abstinentia vero cibi finiit; quem aiunt interrogatum de causa tam longæ senectutis et omnibus sensibus sanæ, respondisse, quod nunquam aliorum se conviviis passus sit auferri. Isocrates sex et nonaginta annorum quum esset, Panegyricam orationem scripsit; circa annum vero undecentesimum, audito Athenienses a Philippo pugna ad Chæroneam victos, lamentabili voce Euripidis versiculum protulit, quem ad se referebat,

Quondam Sidonis urbe Cadmus excitus :

quumque subjecisset serviturum esse Græciam, e vita discessit. Apollodorus Pergamenus, rhetor, Augusti Cæsaris præceptor, qui cum Athenodoro Tarsensi philosopho illum instituerat, sicut Athenodorus annos vixit octoginta duos : Potamo, rhetor non ignobilis, annos nonaginta.

24. Σοφοκλῆς ὁ τραγῳδοποιὸς ῥᾶγα σταφυλῆς καταπιὼν ἀπεπνίγη πέντε καὶ ἐνενήκοντα ζήσας ἔτη. Οὗτος ὑπὸ Ἰοφῶντος τοῦ υἱέος ἐπὶ τέλει τοῦ βίου παρανοίας κρινόμενος ἀνέγνω τοῖς δικασταῖς Οἰδίποουν τὸν ἐπὶ Κολωνῷ, ἐπιδεικνύμενος διὰ τοῦ δράματος ὅπως τὸν νοῦν ὑγιαίνει, ὡς τοὺς δικαστὰς τὸν μὲν ὑπερθαυμάσαι, καταψηφίσασθαι δὲ τοῦ υἱοῦ αὐτοῦ μανίαν.

25. Κρατῖνος δὲ ὁ τῆς κωμῳδίας ποιητὴς ἑπτὰ πρὸς τοῖς ἐνενήκοντα ἔτεσιν ἐβίωσε, καὶ πρὸς τῷ τέλει τοῦ βίου διδάξας τὴν Πυτίνην καὶ νικήσας μετ' οὐ πολὺ ἐτελεύτα. Καὶ Φιλήμων δὲ ὁ κωμικὸς ὁμοίως τῷ Κρατίνῳ ἑπτὰ καὶ ἐνενήκοντα ἔτη βιοὺς κατέκειτο μὲν ἐπὶ κλίνης ἠρεμῶν, θεασάμενος δὲ ὄνον τὰ παρεσκευασμένα αὐτῷ σῦκα κατεσθίοντα ὥρμησε μὲν εἰς γέλωτα, καλέσας δὲ τὸν οἰκέτην καὶ σὺν πολλῷ καὶ ἀθρόῳ γέλωτι εἰπὼν προσδοῦναι τῷ ὄνῳ ἀκράτου ῥοφεῖν ἀποπνιγεὶς ὑπὸ τοῦ γέλωτος ἀπέθανε. Καὶ Ἐπίχαρμος δὲ ὁ τῆς κωμῳδίας ποιητὴς καὶ αὐτὸς ἐνενήκοντα καὶ ἑπτὰ ἔτη λέγεται βιῶναι.

26. Ἀνακρέων δὲ ὁ τῶν μελῶν ποιητὴς ἔζησεν ἔτη πέντε καὶ ὀγδοήκοντα, καὶ Στησίχορος δὲ ὁ μελοποιὸς ταὐτά. Σιμωνίδης δὲ ὁ Κεῖος ὑπὲρ τὰ ἐνενήκοντα.

27. Γραμματικῶν δὲ Ἐρατοσθένης μὲν ὁ Ἀγλαοῦ Κυρηναῖος, ὃν οὐ μόνον γραμματικὸν, ἀλλὰ καὶ ποιητὴν ἄν τις ὀνομάσειε καὶ φιλόσοφον καὶ γεωμέτρην, δύο καὶ ὀγδοήκοντα οὗτος ἔζησεν ἔτη.

28. Καὶ Λυκοῦργος δὲ ὁ νομοθέτης τῶν Λακεδαιμονίων πέντε καὶ ὀγδοήκοντα ἔτη ζῆσαι ἱστορεῖται.

29. Τοσούτους ἐδυνήθημεν βασιλέας καὶ πεπαιδευμένους ἀθροῖσαι· ἐπεὶ δὲ ὑπεσχόμην καὶ Ῥωμαίων τινὰς καὶ τῶν τὴν Ἰταλίαν οἰκησάντων μακροβίων ἀναγράψαι, τούτους σοι, θεῶν βουλομένων, ἱερώτατε Κυϊντιλλε, ἐν ἄλλῳ δηλώσομεν λόγῳ.

24. Sophocles, poeta tragicus, gluttito uvæ acino suffocatus est, quinque et nonaginta annos quum vixisset. Hic ab Iophonte filio sub finem vitæ accusatus dementiæ, recitavit judicibus Œdipum in Colono, ostendens illa fabula, quam sibi mente constaret, adeo ut judices ipsum quidem vehementer admirarentur, filium vero ut furiosum damnarent.

25. Cratinus, comicus poeta, septem supra nonaginta annis vixit, quumque versus finem vitæ Pytinen fabulam docuisset, vicissetque, non ita multo post obiit. Etiam Philemo comicus, sicut Cratinus septem et nonaginta annos natus, decumbebat quiescens in lectulo: quum vero videret asinum paratas sibi ficus devorantem, in cachinnos effunditur; vocatoque servo, cum multo itidem confertoque risu imperat ut merum etiam sorbendum asino addat: atque ipsum per risum intercluso spiritu moritur. Etiam Epicharmus poeta comicus septem et nonaginta annos dicitur vixisse.

26. Anacreon, canticorum poeta, vixit annos quinque et octoginta; et Stesichorus melicus totidem: Simonides autem Ceus, supra nonaginta.

27. Inter grammaticos Eratosthenes, Aglai filius, Cyrenæus, quem non grammaticum solum, sed etiam poetam aliquis nominaverit, et philosophum, et geometram; duo et octoginta hic vixit annos.

28. Lycurgus, Lacedæmoniorum legislator, quinque et octoginta annos vixisse narratur.

29. Tot potuimus reges et eruditos homines colligere: quum vero promiserim etiam Romanorum quosdam et Italicorum longævorum referre, cos tibi, diis volentibus, Quintille sanctissime, alio libello indicabimus.

LXIII.

ΠΑΤΡΙΔΟΣ ΕΓΚΩΜΙΟΝ.

1. Ὅτι μὲν οὐδὲν γλύκιον ἧς πατρίδος φθάνει προτεθρυλημένον. Ἆρ' οὖν ἥδιον μὲν οὐδὲν, σεμνότερον δέ τι καὶ θειότερον ἄλλο; καὶ μὴν ὅσα σεμνὰ καὶ θεῖα νομίζουσιν ἄνθρωποι, τούτων πατρὶς αἰτία καὶ διδάσκαλος, γεννησαμένη καὶ ἀναθρεψαμένη καὶ παιδευσαμένη. Πόλεων μὲν οὖν μεγέθη καὶ λαμπρότητας καὶ πολυτελείας κατασκευῶν θαυμάζουσι πολλοὶ, πατρίδας δὲ στέργουσι πάντες· καὶ τοσοῦτον οὐδεὶς ἐξηπατήθη τῶν καὶ πάνυ κεχρατημένων ὑπὸ τῆς κατὰ τὴν θέαν ἡδονῆς, ὡς ὑπὸ τῆς ὑπερβολῆς τῶν παρ' ἄλλοις θαυμάτων λήθην ποιήσασθαι τῆς πατρίδος.

2. Ὅστις μὲν οὖν σεμνύνεται πολίτης ὢν εὐδαίμονος πόλεως, ἀγνοεῖν μοι δοκεῖ τίνα χρὴ τιμὴν ἀπονέμειν τῇ πατρίδι, καὶ ὁ τοιοῦτος δῆλός ἐστιν ἀχθόμενος ἂν,

LXIII.

PATRIÆ ENCOMIUM.

1. Sua cuique patria nihil esse dulcius, olim illud quidem tritum est. Numquid autem dulcius quidem nihil, sed tamen augustius aliud quid est ac divinius? Atqui quæcumque augusta et divina putant homines, eorum causa atque magistra patria est, quæ genuerit, nutriverit, instituerit. Itaque magnitudines urbium et claritates, et sumtuositatem ædificiorum, multi admirantur, patrias vero amant universi. Atque in tantum se deludi nemo passus est eorum etiam qui valde spectaculorum voluptatibus deliniuntur, ut propter excellentiam rerum apud alios admirandarum suæ ipsum patriæ oblivio caperet.

2. Si quis igitur beatæ se civitatis civem esse gloriatur, ille, quis honor habendus sit patriæ, ignorare mihi videtur, manifestumque est tali mente hominem ægre fuisse latu-

εἰ μετριωτέρας ἔλαχε τῆς πατρίδος. Ἐμοὶ δὲ ἥδιον αὐτὸ τιμᾶν τὸ τῆς πατρίδος ὄνομα. Πόλεις μὲν γὰρ παραβαλεῖν πειρωμένῳ προσήκει μέγεθος ἐξετάζειν καὶ κάλλος καὶ τὴν τῶν ὠνίων ἀφθονίαν· ὅπου δ' αἵρεσίς ἐστι πόλεων, οὐδεὶς ἂν ἕλοιτο τὴν λαμπροτέραν ἐάσας τὴν πατρίδα, ἀλλ' εὔξαιτο μὲν ἂν εἶναι καὶ τὴν πατρίδα ταῖς εὐδαίμοσι παραπλησίαν, ἕλοιτο δ' ἂν τὴν ὁποιανοῦν.

3. Τὸ δ' αὐτὸ τοῦτο καὶ οἱ δίκαιοι τῶν παίδων πράττουσι καὶ οἱ χρηστοὶ τῶν πατέρων· οὔτε γὰρ νέος καλὸς κἀγαθὸς ἄλλον ἂν προτιμήσαι τοῦ πατρὸς οὔτε πατὴρ καταμελήσας τοῦ παιδὸς ἕτερον ἂν στέρξαι νέον, ἀλλὰ τοσοῦτόν γε οἱ πατέρες νικώμενοι προσνέμουσι τοῖς παισίν, ὥστε καὶ κάλλιστοι καὶ μέγιστοι καὶ τοῖς πᾶσιν ἄριστα φαίνονται κεκοσμημένοι οἱ παῖδες αὐτοῖς. Ὅστις δὲ μὴ τοιοῦτός ἐστι δικαστὴς πρὸς τὸν υἱόν, οὐ δοκεῖ μοι πατρὸς ὀφθαλμοὺς ἔχειν.

4. Πατρίδος τοίνυν τὸ ὄνομα πρῶτον καὶ οἰκειότατον πάντων· οὐδὲν γὰρ ὅ τι τοῦ πατρὸς οἰκειότερον. Εἰ δέ τις ἀπονέμει τῷ πατρὶ τὴν δικαίαν τιμήν, ὥσπερ καὶ ὁ νόμος καὶ ἡ φύσις κελεύει, προσηκόντως ἂν τὴν πατρίδα προτιμήσαι· καὶ γὰρ ὁ πατὴρ αὐτὸς τῆς πατρίδος κτῆμα καὶ ὁ τοῦ πατρὸς πατὴρ καὶ οἱ ἐκ τούτων οἰκεῖοι πάντες ἀνωτέρω, καὶ μέχρι θεῶν πατρῴων πρόεισιν ἀναβιβαζόμενον τὸ ὄνομα.

5. Χαίρουσι καὶ θεοὶ πατρίσι καὶ πάντα μὲν, ὡς εἰκὸς, ἐφορῶσι τὰ τῶν ἀνθρώπων αὐτῶν ἡγούμενοι κτήματα πᾶσαν γῆν καὶ θάλατταν, ἐφ' ἧς δὲ ἕκαστος αὐτῶν ἐγένετο, προτιμᾷ τῶν ἄλλων ἁπασῶν πόλεων. Καὶ πόλεις σεμνότεραι θεῶν πατρίδες καὶ νῆσοι θειότεραι, παρ' αἷς ὑμνεῖται γένεσις θεῶν. Ἱερὰ γοῦν κεχαρισμένα ταῦτα νομίζεται τοῖς θεοῖς, ἐπειδὰν εἰς τοὺς οἰκείους ἕκαστος ἀφικόμενος ἱερουργῇ τόπους. Εἰ δὲ θεοῖς τίμιον τὸ τῆς πατρίδος ὄνομα, πῶς οὐκ ἀνθρώποις γε πολλῷ μᾶλλον;

6. Καὶ γὰρ εἶδε τὸν ἥλιον πρῶτον ἕκαστος ἀπὸ τῆς πατρίδος, ὡς καὶ τοῦτον τὸν θεὸν, εἰ καὶ κοινός ἐστιν, ἀλλ' οὖν ἑκάστῳ νομίζεσθαι πατρῷον διὰ τὴν πρώτην ἀπὸ τοῦ τόπου θέαν· καὶ φωνῆς ἐνταῦθα ἤρξατο ἐπιχώρια πρῶτα λαλεῖν μανθάνων καὶ θεοὺς ἐγνώρισεν. Εἰ δέ τις τοιαύτης ἔλαχε πατρίδος, ὡς ἑτέρας δεηθῆναι πρὸς τὴν τῶν μειζόνων παιδείαν, ἀλλ' οὖν ἐχέτω καὶ τούτων τῶν παιδευμάτων τῇ πατρίδι τὴν χάριν· οὐ γὰρ ἂν ἐγνώρισεν οὐδὲ πόλεως ὄνομα μὴ διὰ τὴν πατρίδα πόλιν εἶναι μαθών.

7. Πάντα δὲ, οἶμαι, παιδεύματα καὶ μαθήματα συλλέγουσιν ἄνθρωποι χρησιμωτέρους αὐτοὺς ἀπὸ τούτων ταῖς πατρίσι παρασκευάζοντες· κτῶνται δὲ καὶ χρήματα φιλοτιμίας ἕνεκα τῆς εἰς τὰ κοινὰ τῆς πατρίδος δαπανήματα. Καὶ εἰκότως, οἶμαι· δεῖ γὰρ οὐκ ἀχαρίστους εἶναι τοὺς τῶν μεγίστων τυχόντας εὐεργεσιῶν. Ἀλλ' εἰ καὶ τοῖς καθ' ἕνα τις ἀπονέμει χάριν, ὥσπερ ἐστὶ δίκαιον, ἐπειδὰν εὖ πάθῃ πρός τινος, πολὺ μᾶλλον προσήκει τὴν πατρίδα τοῖς καθήκουσιν ἀμείrum, si mediocrem magis patriam sortitus esset. At mihi ipsum nomen honorare patriæ dulcius est. Urbes enim inter se comparare si quis velit, conveniens est ut magnitudinem exigat, et pulchritudinem, et rerum venalium abundantiam : at de optione urbium ubi agitur, nemo sane, relicta sua patria, splendidiorem elegerit; sed optaverit ille quidem esse suam patriam beatis illis proximam, ceterum ipsam qualiscumque demum sit, prætulerit.

3. Idem nempe fioc liberi quoque faciunt, si sunt justi, et parentes, si sunt boni : nec enim honestus bonusque juvenis alium quemcumque patri prætulerit; nec suo neglecto filio pater juvenem alium complectatur : sed tantum amore victi patres ex se natis tribuunt, ut et pulcherrimi, et maximi, et rebus omnibus ornatissimi, sui illis liberi videantur. Si quis vero talis non est filii sui judex, ille non patris mihi oculos videtur habere.

4. Ergo nomen patriæ primum omnium et familiarissimum; neque enim patre quicquam familiarius. Si quis vero justum suo patri honorem habet, quod lex pariter ac natura præcipit, convenienter ille patriam prætulerit, quando ipse quoque pater res patriæ est, et patris pater, et qui inde ab hisce ad nos pertinent sursum omnes; atque ad patrios usque deos retro ascendens illud nomen progreditur.

5. Gaudent ipsi quoque suis dii patriis, et quum omnia inspiciant humana, ut credere fas est, qui suæ ditionis et terram et mare esse arbitrentur; tum in qua quisque illorum natus est, eam urbibus præfert aliis omnibus. Itaque et urbes augustiores, quæ deorum patriæ sunt, et diviniores insulæ, in quibus natales celebrantur deorum. Sacra quippe ea demum grata diis putantur, quæ in domestica illis loca delatus quisque peregerit. Si vero diis carum est nomen patriæ; quidni multo magis hominibus?

6. Etenim vidit solem primum e sua quisque patria : ut hic quoque deus, licet communis sit, patrius ille tamen unicuique videatur ideo, quod primum ex illo sibi loco conspectus sit. Et vocem mittere ibi auspicatus est, patria loqui lingua quum disceret; et deos agnovit. Talem vero si quis patriam sortitus est, ut alia quoque ad majorem rerum institutionem opus habuerit; habeat ille sane hujus etiam institutionis gratiam patriæ : neque enim vel nomen illius alterius urbis scivisset, nisi patriæ beneficio urbem ejusmodi esse didicisset.

7. Ceterum eruditionem, puto, doctrinamque omnem colligunt homines, ut ea se utiliores præstent suis quique patriis. Atque opes sibi parant iidem ambitione quadam ad publicas patriæ impensas. Idque merito, arbitror : oportet enim non ingratos esse qui maximis affecti sunt beneficiis. Verum si singulis quoque gratiam, prout justum est, refert aliquis obligatus beneficio, multo magis patriæ rependere justa convenit. Etenim malæ tractationis parentum leges

δεσθαι· κακώσεως μὲν γὰρ γονέων εἰσὶ νόμοι παρὰ ταῖς πόλεσι, κοινὴν δὲ προσήκει πάντων μητέρα τὴν πατρίδα νομίζειν καὶ χαριστήρια τροφῶν ἀποδιδόναι καὶ τῆς τῶν νόμων αὐτῶν γνώσεως.

8. Ὤφθη δὲ οὐδεὶς οὕτως ἀμνήμων τῆς πατρίδος, ὡς ἐν ἄλλῃ πόλει γενόμενος ἀμελεῖν, ἀλλ' οἵ τε κακοπραγοῦντες ἐν ταῖς ἀποδημίαις συνεχῶς ἀνακαλοῦσιν ὡς μέγιστον τῶν ἀγαθῶν ἡ πατρὶς, οἵ τε εὐδαιμονοῦντες, ἂν καὶ τὰ ἄλλα εὖ πράττωσι, τοῦτο γοῦν αὐτοῖς μέγιστον ἐνδεῖν νομίζουσι τὸ μὴ τὴν πατρίδα οἰκεῖν, ἀλλὰ ξενιτεύειν· ὄνειδος γὰρ τὸ τῆς ξενιτείας. Καὶ τοὺς κατὰ τὸν τῆς ἀποδημίας χρόνον λαμπροὺς γενομένους ἢ διὰ χρημάτων κτῆσιν ἢ διὰ τιμῆς δόξαν ἢ διὰ παιδείας μαρτυρίαν ἢ δι' ἀνδρείας ἔπαινον ἔστιν ἰδεῖν εἰς τὴν πατρίδα πάντας ἐπειγομένους, ὡς οὐκ ἂν ἐν ἄλλοις βελτίοσιν ἐπιδειξομένους τὰ αὐτῶν καλά· καὶ τοσούτῳ γε μᾶλλον ἕκαστος σπεύδει λαβέσθαι τῆς πατρίδος, ὅσῳπερ ἂν φαίνηται μειζόνων παρ' ἄλλοις ἠξιωμένος.

9. Ποθεινὴ μὲν οὖν καὶ νέοις πατρὶς· τοῖς δὲ ἤδη γεγηρακόσιν ὅσῳ πλεῖον τοῦ φρονεῖν ἢ τοῖς νέοις μέτεστι, τοσούτῳ καὶ πλείων ἐγγίγνεται πόθος ὁ τῆς πατρίδος· ἕκαστος γοῦν τῶν γεγηρακότων καὶ σπεύδει καὶ εὔχεται καταλῦσαι τὸν βίον ἐπὶ τῆς πατρίδος, ἵν', ὅθεν ἤρξατο βιοῦν, ἐνταῦθα πάλιν καὶ τὸ σῶμα παρακατάθηται τῇ γῇ τῇ θρεψαμένῃ καὶ τῶν πατρῴων κοινωνήσῃ τάφων· δεινὸν γὰρ ἑκάστῳ δοκεῖ ξενίας ἁλίσκεσθαι καὶ μετὰ θάνατον ἐν ἀλλοτρίᾳ κειμένῳ γῇ.

10. Ὅσον δὲ τῆς εὐνοίας τῆς πρὸς τὰς πατρίδας μέτεστι τοῖς ὡς ἀληθῶς γνησίοις πολίταις μάθοι τις ἂν ἐκ τῶν αὐτοχθόνων· οἱ μὲν γὰρ ἐπήλυδες καθάπερ νόθοι ῥᾳδίας ποιοῦνται τὰς μεταναστάσεις τὸ μὲν τῆς πατρίδος ὄνομα μήτε εἰδότες μήτε στέργοντες, ἡγούμενοι δ' ἁπανταχοῦ τῶν ἐπιτηδείων εὐπορήσειν, μέτρον εὐδαιμονίας τὰς τῆς γαστρὸς ἡδονὰς τιθέμενοι. Οἷς δὲ καὶ μήτηρ ἡ πατρὶς, ἀγαπῶσι τὴν γῆν ἐφ' ἧς ἐγένοντο καὶ ἐτράφησαν, κἂν ὀλίγην ἔχωσι, κἂν τραχεῖαν καὶ λεπτόγεων· κἂν ἀπορῶσι τῆς γῆς ἐπαινέσαι τὴν ἀρετὴν, τῶν γε ὑπὲρ τῆς πατρίδος οὐκ ἀπορήσουσιν ἐγκωμίων. Ἀλλὰ κἂν ἴδωσιν ἑτέρους σεμνυνομένους πεδίοις ἀνειμένοις καὶ λειμῶσι φυτοῖς παντοδαποῖς διειλημμένοις, καὶ αὐτοὶ τῶν τῆς πατρίδος ἐγκωμίων οὐκ ἐπιλανθάνονται, τὴν δὲ ἱπποτρόφον ὑπερορῶντες τὴν κουροτρόφον ἐπαινοῦσι.

11. Καὶ σπεύδει τις εἰς τὴν πατρίδα, κἂν νησιώτης ᾖ· κἂν παρ' ἄλλοις εὐδαιμονεῖν δύνηται, καὶ διδομένην ἀθανασίαν οὐ προσήσεται, προτιμῶν τὸν ἐπὶ τῆς πατρίδος τάφον· καὶ ὁ τῆς πατρίδος αὐτῷ καπνὸς λαμπρότερος ὀφθήσεται τοῦ παρ' ἄλλοις πυρός.

12. Οὕτω δὲ ἄρα τίμιον εἶναι δοκεῖ παρὰ πᾶσιν ἡ πατρὶς ὥστε καὶ τοὺς πανταχοῦ νομοθέτας ἴδοι τις ἂν ἐπὶ τοῖς μεγίστοις ἀδικήμασιν ὡς χαλεπωτάτην ἐπιβεβληκότας τὴν φυγὴν τιμωρίαν. Καὶ οὐχ οἱ νομοθέται μὲν οὕτως ἔχουσιν, οἱ δὲ πιστευόμενοι τὰς στρατηγίας ἑτέρως, ἀλλ' ἐν ταῖς μάχαις τὸ μέγιστόν ἐστι τῶν παρασυντ in civitatibus : communem autem parentem putare patriam convenit, et præmia pro alimentis, ipsaque adeo legum cognitione, rependere.

8. Visus autem nemo est adeo immemor patriæ, qui in alia civitate constitutus illius curam abjiciat : sed quum ii quibus adversa in peregrinationibus obveniunt, perpetuo in animum revocant maximum bonorum esse patriam; tum quibus secunda sunt omnia, quantumvis reliquis rebus felices, tamen hoc sibi maximum putant deesse, quod patriam non inhabitant, sed peregrinantur. Ipsa enim crimen habet peregrinitas. Ac videre licet ipsos qui peregrinationis suæ tempore vel bonorum possessione, vel honorum gloria, vel eruditionis testimonio, vel laude fortitudinis illustrati sunt, in patriam tamen festinare omnes; ut qui inter meliores alios sua ostendere bona non possint. Ac tanto magis festinat unusquisque ad suam complectendam patriam, quo majoribus rebus dignati ipsum sunt alii.

9. Igitur junioribus etiam amabilis est patria : his vero qui jam pervenere ad senectutem, quanto major quam juvenibus prudentiæ portio obtigit, tanto etiam vehementius inest patriæ desiderium. Senum enim unusquisque in patria finire vitam et studet et optat, ut unde cœpit vivere, ibi rursus et altrici terræ corpus commendet, et majorum suorum monumentis inferatur. Durum enim unicuique videtur peregrinitatis damnari etiam post mortem, in terra aliena jacenti.

10. Quantum porro benevolentiæ in patriam germanis vere civibus insit, ex indigenis aliquis intelligat. Nam advenæ, velut spurii, migrationes facile suscipiunt, qui neque intelligant nomen patriæ, neque ament, sed necessariarum rerum copiam præsto sibi ubique futuram rati, mensuram felicitatis in ventris voluptatibus collocent. Quibus vero parens etiam est patria, hi amant in qua nati sunt et aliti terram, licet parvam habeant, licet asperam et tenuem : et licet non habeant quam telluris virtutem commendent, laudes certe non desunt illis, quibus ornent patriam. Verum et si videant gloriantes alios campis laxis, pratisque vario plantarum genere distinctis; etiam ipsi patriæ laudum non obliviscuntur, despectaque equorum altrice terra, laudant juvenum nutriculam bonam.

11. Ac festinat in patriam aliquis insularus etiam : adeo, quum felicem apud alios vitam liceat agere, nec oblatam sibi immortalitatem admittet, sepeliri præoptans in patria; fumusque patriæ igne apud alios ei splendidior videbitur.

12. Adeo autem carum apud omnes videtur patria, ut qui ubique fuere legum latores, eos videas maximis quibusque criminibus tanquam gravissimam imposuisse pœnam exilium. Nec vero legum modo latores in ea sunt sententia, aliter animatis exercituum ducibus : quin sub ipsa prælia ad eos, qui stant jam in acie, maximum *illud*

ραγγελμάτων τοῖς παραταττομένοις, ὡς ὑπὲρ πατρίδος ὁ πόλεμος· καὶ οὐδεὶς ὅστις ἂν ἀκούσας τούτου κακὸς εἶναι θέλῃ· ποιεῖ γὰρ καὶ τὸν δειλὸν ἀνδρεῖον τὸ τῆς πατρίδος ὄνομα.

adhortamentum est, bellum ipsis esse pro patria : neque quisquam est qui hoc audito ignavus esse velit ; fortitudinem enim timido etiam addit nomen patriæ.

LXIV.

ΠΕΡΙ ΤΩΝ ΔΙΨΑΔΩΝ.

1. Τῆς Λιβύης τὰ νότια ψάμμος ἐστὶ βαθεῖα καὶ γῆ διακεκαυμένη, ἔρημος ἐπὶ πολὺ, ἀκριβῶς ἄκαρπος, πεδινὴ ἅπασα, οὐ χλόην οὐ πόαν οὐ φυτὸν οὐχ ὕδωρ ἔχουσα, ἢ εἴ που ἄρα ἐν κοίλοις συνεστηκὸς ὑετοῦ ὀλίγου λείψανον, παχὺ καὶ τοῦτο καὶ δυσῶδες, οὐδὲ πάνυ διψῶντι ἀνθρώπῳ πότιμον. Ἀοίκητος γοῦν ἐστι διὰ ταῦτα· ἢ πῶς γὰρ ἂν οἰκοῖτο ἀνήμερος οὕτω καὶ ξηρὰ καὶ ἄφορος οὖσα καὶ πολλῷ τῷ αὐχμῷ πιεζομένη; καὶ τὸ θάλπος δὲ αὐτὸ καὶ ὁ ἀὴρ κομιδῇ πυρώδης καὶ φλογερὸς ὢν καὶ ἡ ψάμμος ὑπερζέουσα παντελῶς ἄβατον τὴν χώραν τίθησι.

1. Quæ ad austrum spectant Libyæ, arena sunt profunda, adusta tellus, deserta majorem partem, penitus infecunda, universa campestris, quæ non herbam, non gramen, non aquam habeat, aut si quæ etiam consistentes locis cavis pluviarum tenuium reliquiæ, hæ quoque crassæ et odoris mali, nec valde licet sitienti homini potabiles. Ergo propter ista inhabitabilis est : aut quomodo habitetur, quæ inculta adeo atque arida sit et sterilis, multoque squalore obsita? quum vapor ipse et aer igneus plane atque æstuosus sit, et arena fervidissima inviam omnino regionem reddat.

2. Γαράμαντες μόνοι πρόσοικοι ὄντες, εὐσταλὲς καὶ κοῦφον ἔθνος, ἄνθρωποι σκηνῖται, ἀπὸ θήρας τὰ πολλὰ ζῶντες, ἐνίοτε οὖτοι ἐσβάλλουσι θηράσοντες ἀμφὶ τροπὰς τὰς χειμερινὰς μάλιστα, ὄντα τὸν θεὸν τηρήσαντες, ὁπότε τὸ πολὺ τοῦ καύματος σβεσθείη καὶ ἡ ψάμμος νοτισθείη καὶ ἀμηγέπη βατὴ γένοιτο. Ἡ θήρα δέ ἐστιν ὄνων τε τῶν ἀγρίων καὶ στρουθῶν τῶν μεγάλων χαμαιπετῶν καὶ πιθήκων μάλιστα καὶ ἐλεφάντων ἐνίοτε· ταῦτα γὰρ μόνα διαρκεῖ πρὸς τὸ δίψος καὶ ἀνέχεται ἐπὶ πολὺ ταλαιπωρούμενα ὑπὸ πολλῷ καὶ ὀξεῖ τῷ ἡλίῳ. Καὶ ὅμως οἱ Γαράμαντες ἐπειδὰν τὰ σιτία καταναλώσωσιν ἅπερ ἔχοντες ἀφίκοντο, ἀπελαύνουσιν ὀπίσω εὐθὺς δεδιότες μὴ σφίσιν ἡ ψάμμος ἀναφλεγεῖσα δύσβατος καὶ ἄπορος γένηται, εἶτα ὥσπερ ἐντὸς ἀρκύων ληφθέντες καὶ αὐτοὶ ἀπόλωνται μετὰ τῆς ἄγρας· ἄφυκτα γάρ ἐστιν, ἢν ὁ ἥλιος ἀνασπάσας τὴν ἰκμάδα καὶ τάχιστα ξηράνας τὴν χώραν ὑπερζέσῃ, ἀκμαιοτέραν τὴν ἀκτῖνα προσβαλὼν ἅτε πρὸς τὴν νοτίδα παρατεθηγμένην· τροφὴ γὰρ αὕτη τῷ πυρί.

2. Garamantes soli accolæ, gens succincta et levis, in tabernaculis vivere soliti homines, venatu viventes plerumque ; hi igitur venaturi interdum irruunt, circa ipsam brumam potissimum, observato tempore pluvio, quum ardoris major pars exstincta est et, conspersa arena, itineris copia utcumque contingit. Venatus autem est asinorum agrestium et marinorum passerum, ingentium illorum, qui humo tollere se non possunt, et similorum maxime, et interdum elephantorum : hæc enim sola durant ad sitim, et vexationem a multo acutoque sole diu sustinent. Et tamen Garamantes, consumtis cibariis, quibuscum venerant, celeriter revertuntur, veriti ne sibi accensa rursus arena transitum vel difficilem reddat, vel plane neget, ac deinde velut intra retia deprehensi cum captura ipsi sua pereant : neque enim ulla superest effugiendi ratio, ubi sol sursum tracto humore, exsiccataque celeriter regione, vehementer exarsit, radios jaculatus fortiores, quippe ab ipso humore acutos, qui alimentum igni præstat.

3. Καίτοι ταῦτα πάντα ὁπόσα εἶπον, τὸ θάλπος, τὸ δίψος, ἡ ἐρημία, τὸ μηδὲν ἔχειν ἐκ τῆς γῆς λαβεῖν, ἧττον ὑμῖν δυσχερῆ εἶναι δόξει τοῦ λεχθησομένου, καὶ δι' ὃ φευκτέα πάντως ἡ χώρα ἐκείνη· ἑρπετὰ γὰρ ποικίλα μεγέθει τε μέγιστα καὶ πλήθει πάμπολλα καὶ τὰς μορφὰς ἀλλόκοτα καὶ τὸν ἰὸν ἅμαχα ἐπινέμεται τὴν γῆν, τὰ μὲν ὑποβρύχια, φωλεύοντα ἐν μυχῷ τῆς ψάμμου, τὰ δὲ ἄνω ἐπιπολάζοντα, φύσαλοι καὶ ἀσπίδες καὶ ἔχιδναι καὶ κεράσται καὶ βουπρήστεις καὶ ἀκοντίαι καὶ ἀμφίσβαιναι καὶ δράκοντες καὶ σκορπίων γένος διττὸν, τὸ μὲν ἕτερον ἐπίγειόν τε καὶ πεζὸν, ὑπέρμεγα καὶ πολυσφόνδυλον, θάτερον δὲ ἐναέριον καὶ πτηνὸν, ὑμενόπτερον δὲ οἷα ταῖς ἀκρίσι καὶ τέττιξι καὶ νυκτερίσι τὰ πτερά. Τοιαῦτα ὄρνεα πολλὰ ἐπιπετόμενα οὐκ εὐπρόσιτον ἀπεργάζεται τὴν Λιβύην ἐκείνην.

3. Quanquam ista quæ adhuc commemoravi omnia, vapor, sitis, solitudo, inopia copiarum terrestrium, minus vobis difficilia videbuntur eo quod sum dicturus, et propter quod fugienda omnino ista regio est. Serpentes nempe varii, magnitudine ingentes, plurimi numero, formis peregrini, veneno armati invicto, terram pascuntur ; partim submersi, nido in arenæ recessibus defosso ; alii in summo versantur, bufones, et aspides, et viperæ, et cerastæ, et buprestes, et jaculi, et amphisbænæ, et dracones, et scorpionum genus duplex, terrestre alterum, pedestre, ingens, vertebras habens multas ; aerium alterum et volucre, membranaceis alis instructum, quales sunt locustis et cicadis et vespertilionibus alæ. Id genus volucres oberrantes multæ difficilem accessu reddunt illam Libyam.

4. Τὸ δὲ δὴ πάντων ἑρπετῶν δεινότατον ὧν ἡ ψάμμος τρέφει, ἡ διψάς ἐστιν, ὄφις οὐ πάνυ μέγας, ἐχίδνῃ ὅμοιος, τὸ δῆγμα βίαιος, τὸν ἰὸν ταχὺς, ὀδύνας μὲν ἀλήκτους ἐπάγων εὐθύς· ἐκκάει τε γὰρ καὶ σήπει καὶ πίμπρασθαι ποιεῖ, καὶ βοῶσιν ὥσπερ οἱ ἐν πυρᾷ κείμενοι. Τὸ δὲ μάλιστα καταπονοῦν καὶ κατατρῦχον αὐτοὺς ἐκεῖνό ἐστιν, ὁμώνυμον πάθος τῷ ἑρπετῷ· διψῶσι γὰρ εἰς ὑπερβολὴν, καὶ τὸ παραδοξότατον, ὅσῳπερ ἂν πίνωσι, τοσούτῳ μᾶλλον ὀρέγονται τοῦ ποτοῦ, καὶ ἡ ἐπιθυμία πολὺ πλέον ἐπιτείνεται αὐτοῖς· οὐδ' ἂν σβέσειάς ποτε τὸ δίψος, οὐδ' ἢν τὸν Νεῖλον αὐτὸν ἢ τὸν Ἴστρον ὅλον ἐκπιεῖν παράσχῃς, ἀλλὰ προσεκκαύσεις ἐπάρδων τὴν νόσον, ὥσπερ ἂν εἴ τις ἐλαίῳ πῦρ κατασβεννύοι.

4. Bestiarum vero quæcumque ea nutrit arena, sævissima est dipsas, serpens non ita magnus, viperæ similis, morsu violento, veneno celeri, immedicabiles statim dolores afferens : nam exurit, et putredinem inducit, et ut ardeant morsi efficit; qui clamant, velut qui in igne jaceant. Quæ autem maxime illos conficit atque atterit, illa est affectio, a qua nomen accepit ille serpens : nam sitiunt supra modum; quodque maxime mirum est, quo plus biberunt, tanto magis potum appetunt, multoque acrius intenditur eorum bibendi cupiditas : neque unquam exstinxeris sitim, nec si Nilum ipsum, totumve Istrum ebibendum iis præbeas, sed ipsa illa irrigatione morbum accendas, velut si quis oleo exstinguere ignem tentet.

5. Λέγουσιν ἰατρῶν παῖδες ἐκείνην τὴν αἰτίαν εἶναι, παχὺν τὸν ἰὸν ὄντα ἔπειτα δευόμενον τῷ ποτῷ ὀξυκίνητον γίγνεσθαι, ὑγρότερον, ὡς τὸ εἰκὸς, καθιστάμενον καὶ ἐπὶ πλεῖστον διαχεόμενον.

5. Aiunt medicorum filii istam esse causam, venenum illud natura crassum, potu deinde dilui et moveri celerius, quippe quod liquidius sic fiat, ut probabile est, et diffundatur maxime.

6. Ἐγὼ μὲν οὖν οὐδένα τοῦτο πεπονθότα εἶδον, μηδὲ, ὦ θεοὶ, ἴδοιμι οὕτω κολαζόμενον ἄνθρωπον, ἀλλ' οὐδὲ ἐπέβην τῆς Λιβύης τὸ παράπαν εὖ ποιῶν· ἐπίγραμμα δέ τι ἤκουσα, ὅ μοι τῶν ἑταίρων τις ἔλεγεν αὐτὸς ἐπὶ στήλης ἀνεγνωκέναι ἀνδρὸς οὕτως ἀποθανόντος· ἐκ Λιβύης ἔφη ἀπιὼν ἐς Αἴγυπτον παρὰ τὴν μεγάλην Σύρτιν ποιεῖσθαι τὴν πορείαν· οὐ γὰρ εἶναι ἄλλως· ἔνθα δὴ τάφῳ ἐντυχεῖν παρὰ τὴν ἠόνα ἐπ' αὐτῷ τῷ κλύσματι καὶ στήλην ἐφεστάναι δηλοῦσαν τοῦ ὀλέθρου τὸν τρόπον· κεκολάφθαι γὰρ ἐπ' αὐτῇ ἄνθρωπον μέν τινα οἷον τὸν Τάνταλον γράφουσιν ἐν λίμνῃ ἑστῶτα καὶ ἀρυόμενον τοῦ ὕδατος, ὡς πίοι δὴ, τὸ θηρίον δὲ τὴν διψάδα ἐμπεφυκὸς αὐτῷ περιεσπειρᾶσθαι τῷ ποδὶ, καί τινας γυναῖκας ὑδροφορούσας ἅμα πολλὰς καταχεῖν τὸ ὕδωρ αὐτοῦ· πλησίον δὲ ᾠὰ κεῖσθαι οἷα τῶν στρουθῶν ἐκείνων, οὓς ἔφην θηρᾶν τοὺς Γαράμαντας· γεγράφθαι δὲ πρὸς τοὐπίγραμμα, οὐ χεῖρον δὲ καὶ αὐτὸ εἰπεῖν,

6. Equidem neminem vidi cui hoc acciderit, neque, dii boni! videam hominem qui talibus crucietur supplicüs : sed, bono consilio, pedem nunquam omnino intuli in Libyam; verum epigramma audivi, quod in cippo se legisse viri hoc modo defuncti sodalium aliquis mihi dixit, qui e Libya, sic narrabat, dum in Ægyptum transit, iterque facit ad Syrtim majorem (neque enim posse aliter); ibi in tumulum incidit, ad oram maris, in ipso litore : huic impositam ait columellam, quæ rationem interitus declaret. Insculptum enim in illa hominem, qualem pingunt Tantalum, stantem in palude, haurientemque de aqua, bibendi nempe gratia : bestiam vero dipsada adhærescentem ipsi ac pedi implexam, et mulieres quasdam, aquam afferentes simul multas, ea hominem perfundere. In proximo autem ova jacere, qualia illorum struthiocamelorum, quos venantur, ut dixi, Garamantes. Scriptum autem esse in epigrammate : imo nihil prohibet recitare ipsum :

Τοῖα παθόντ', οἰμαι, καὶ Τάνταλον αἰθοπος ἰοῦ
μηδαμὰ κοιμῆσαι δίψαλέην ὀδύνην.
Καὶ Δαναοῖο κόρας τοῖον πίθον οὐκ ἀναπλῆσαι
αἰὲν ἐπαντλούσας ὑδροφόρῳ καμάτῳ.

Fallor, an hæc talis de nigro accensa veneno,
Tantale, vexavit te sine fine sitis?
Tale olim, proles Danai numerosa, replere
frustrato te haustu vas voluisse, reor.

Ἔτι καὶ ἄλλα ἔπη τέτταρά ἐστι περὶ τῶν ᾠῶν, καὶ ὡς ἀναιρούμενος αὐτὰ ἐδήχθη· ἀλλ' οὐκέτι μέμνημαι ἐκείνων.

Adhuc alii versiculi quattuor sunt de ovis, et ut, dum tollit illa, morsus sit; sed eorum non amplius memini.

7. Συλλέγουσι δὲ ἄρα τὰ ᾠὰ καὶ ἐσπουδάκασι περὶ αὐτὰ οἱ περίοικοι, οὐχ ὡς φαγεῖν μόνον, ἀλλὰ καὶ σκεύεσι χρῶνται κενώσαντες καὶ ἐκπώματα ποιοῦνται ἀπ' αὐτῶν· οὐ γὰρ ἔχουσι κεραμεύειν διὰ τὸ ψάμμον εἶναι τὴν γῆν. Εἰ δὲ καὶ μεγάλα εὑρεθείη, καὶ πῖλοι γίγνονται δύο ἐκ τοῦ ᾠοῦ ἑκάστου· τὸ γὰρ ἡμίτομον ἑκάτερον ἀποχρῶν τῇ κεφαλῇ πῖλός ἐστιν.

7. Colligunt nimirum ova illa accolæ studiose non in cibum modo, sed evacuatis etiam utuntur in supellectile, et pocula sibi inde faciunt, quum fingere de luto non possint, quoniam mera arena illorum solum est. Si vero satis magna inveniantur, etiam pilei ex unoquoque ovo bini parantur : dimidiatum enim ovum unumquodque capiti quum sufficiat, pileus est.

8. Ἐκεῖ τοίνυν λοχῶσιν αἱ διψάδες παρὰ τὰ ᾠὰ, καὶ ἐπειδὰν προσέλθῃ ὁ ἄνθρωπος, ἐκ τῆς ψάμμου ἐξερπύσασαι δάκνουσι τὸν κακοδαίμονα· ὁ δὲ πάσχει ἐκεῖνα τὰ μικρὸν ἔμπροσθεν εἰρημένα πίνων ἀεὶ καὶ μᾶλλον διψῶν καὶ πιμπλάμενος οὐδέποτε.

8. Ibi ergo insidiantur apud ova dipsades : et quum accedit homo, prorepentes de arena mordent miserum : at illi eveniunt ea quæ paullo ante dicta sunt, ut bibat semper, et magis inde sitiat, et satietur nunquam.

9. Ταυτὶ οὐ μὰ Δία πρὸς Νίκανδρον τὸν ποιητὴν φιλοτιμούμενος διεξῆλθον, οὐδ' ὅπως ὑμεῖς μάθοιτε ὡς οὐκ ἀμελὲς γεγένηταί μοι φύσεις τῶν Λιβυκῶν ἑρπετῶν εἰδέναι· ἰατρῶν γὰρ ἂν μᾶλλον ὁ ἔπαινος εἴη, οἷς ἀνάγκη εἰδέναι ταῦτα, ὡς καὶ ἀμύνασθαι αὐτὰ μετὰ τῆς τέχνης ἔχοιεν· ἀλλά μοι δοκῶ — καὶ πρὸς φιλίου μὴ δυσχεράνητε τὴν εἰκόνα θηριώδη οὖσαν — ὅμοιόν τι καὶ αὐτὸς παθεῖν πρὸς ὑμᾶς οἷον ἐκεῖνοι πάσχουσι πρὸς τὸ ποτὸν οἱ δηχθέντες ὑπὸ τῆς διψάδος· ὅσῳ γὰρ ἂν ἐπὶ πλέον παρίω ἐς ὑμᾶς, τοσούτῳ μᾶλλον ὀρέγομαι τοῦ πράγματος καὶ τὸ δίψος ἄσχετον ὑπεκκάεταί μοι καὶ ἔοικα οὐδ' ἐμπλησθήσεσθαί ποτε τοῦ τοιούτου ποτοῦ. Καὶ μάλα εἰκότως. Ποῦ γὰρ ἂν οὕτω διειδεῖ τε καὶ καθαρῷ ὕδατι ἐντύχοιμι; ὥστε σύγγνωτε, εἰ δηχθεὶς καὶ αὐτὸς τὴν ψυχὴν ἡδίστῳ τούτῳ καὶ ὑγιεινοτάτῳ τῷ δήγματι ἐμφοροῦμαι χανδὸν ὑποθεὶς τῷ κρουνῷ τὴν κεφαλήν· εἴη μόνον μὴ ἐπιλιπεῖν τὰ παρ' ὑμῶν ἐπιρρέοντα μηδὲ χυθεῖσαν τὴν σπουδὴν τῆς ἀκροάσεως κεχηνότα ἔτι καὶ διψῶντα καταλιπεῖν· ὡς δίψους γε ἕνεκα τοὐμοῦ πρὸς ὑμᾶς οὐδὲν ἂν ἐκώλυε πίνειν ἀεί· κατὰ γὰρ τὸν σοφὸν Πλάτωνα κόρος οὐδεὶς τῶν καλῶν.

9. Hæc, ita me Jupiter, non contendendi quodam adversus Nicandrum poetam studio a me dicta sunt, neque uti vos cognosceretis nonnihil me curæ in discendis serpentium Libycorum ingeniis posuisse; ista enim medicorum magis laus fuerit, quibus scire talia necesse est, ut etiam depellere illa ex arte possint: verum ego mihi videor (ac, per ego vos amicitiæ præsidem Jovem rogo, nolite offendi transumta a bestiis imagine) similiter erga vos affectus et ipse, atque illi a dipsade morsi ad potum affecti sunt: quo frequentius enim prodeo in conspectum vestrum, tanto magis ejus rei sum cupidus, sitisque me urit, quæ reprimi nullo modo potest, neque unquam illo satiari posse potu mihi videor. Neque hoc injuria. Ubi enim in aquam pellucidam adeo et puram incidam? Itaque ignoscite, si morsus et ipse in animo meo morsum istum suavissimum saluberrimumque, pleno me haustu, caput salienti supponens, ingurgitem. Modo illud mihi contingat, ne, quæ a vobis affluunt, deficiant, neque exhaustum vestrum audiendi studium hiantem me et sitientem adhuc destituat. Quantum quidem ad meam vestri sitim attinet, nihil obstat quominus semper bibam: Platone enim auctore sapientissimo, pulchrorum nulla satietas.

LXV.

ΔΙΑΛΕΞΙΣ ΠΡΟΣ ΗΣΙΟΔΟΝ.

1. ΛΥΚΙΝΟΣ. Ἀλλὰ ποιητὴν μὲν ἄριστον εἶναί σε, ὦ Ἡσίοδε, καὶ τοῦτο παρὰ Μουσῶν λαβεῖν μετὰ τῆς δάφνης αὐτός τε δεικνύεις ἐν οἷς ποιεῖς — ἔνθεα γὰρ καὶ σεμνὰ πάντα — καὶ ἡμεῖς πιστεύομεν οὕτως ἔχειν· ἐκεῖνο δὲ ἀπορῆσαι ἄξιον, τί δήποτε προειπὼν ὑπὲρ σαυτοῦ, ὡς διὰ τοῦτο λάβοις τὴν θεσπέσιον ἐκείνην ᾠδὴν παρὰ τῶν θεῶν, ὅπως κλείοις καὶ ὑμνοίης τὰ παρεληλυθότα καὶ θεσπίζοις τὰ ἐσόμενα, θάτερον μὲν καὶ πάνυ ἐντελῶς ἐξενήνοχας θεῶν τε γενέσεις διηγούμενος ἄχρι καὶ τῶν πρώτων ἐκείνων, χάους καὶ γῆς καὶ οὐρανοῦ καὶ ἔρωτος, ἔτι δὲ γυναικῶν ἀρετὰς καὶ παραινέσεις γεωργικὰς, καὶ ὅσα περὶ Πλειάδων καὶ ὅσα περὶ καιρῶν ἀρότου καὶ ἀμήτου καὶ πλοῦ καὶ ὅλως τῶν ἄλλων ἁπάντων· θάτερον δὲ καὶ ὁ χρησιμώτερον ἦν τῷ βίῳ παρὰ πολὺ καὶ θεῶν δωρεαῖς μᾶλλον ἐοικὸς, λέγω δὲ τὴν τῶν μελλόντων προαγόρευσιν, οὐδὲ τὴν ἀρχὴν ἐξαπέφηνας, ἀλλὰ τὸ μέρος τοῦτο πᾶν λήθῃ παραδέδωκας οὐδαμοῦ τῆς ποιήσεως ἢ τὸν Κάλχαντα ἢ τὸν Τήλεμον ἢ τὸν Πολύϊδον ἢ καὶ Φινέα μιμησάμενος, οἳ μηδὲ παρὰ Μουσῶν τούτου τυχόντες ὅμως προεθέσπιζον καὶ οὐκ ὤκνουν χρᾶν τοῖς δεομένοις.

1. LUCINUS. Verum enim vero poetam quidem optimum esse te, Hesiode, idque a Musis una cum lauro accepisse, et ipse tuis in carminibus ostendis (divina enim omnia atque augusta), et nos, ita rem se habere, credimus: de illo vero disceptare fas fuerit, quid tandem sit quod, quum de te ipso prædixisses, hanc te ob causam divinum illum a diis cantum accepisse, uti celebrares cantaresque præterita, ac divinares futura; alterum quidem, idque perfecte omnino sis exsecutus, deorum generationibus enarrandis usque ad prima illa, Chaos, Tellurem, Cœlum et Amorem; insuper etiam mulierum commemorandis virtutibus, et præceptis agriculturæ, et quæ de Pleiadibus, ac de temporibus arandi, messis, navigationis, reliquarumque rerum omnium dici possunt: alterum vero, quod multo utilius futurum erat vitæ et deorum muneribus magis simile, dico autem futurarum rerum prædictionem, plane non ostenderis, sed parte illa simpliciter oblivioni tradita, nusquam tua in poesi vel Calchantem, vel Telemum, vel Polyidum, vel Phineum adeo sis imitatus, qui non consecuti illud a Musis, tamen divinarunt, neque oracula reddere consulentibus dedignati sunt.

2. Ὥστε ἀνάγκη σοι τῶν τριῶν τούτων αἰτιῶν μιᾷ γε πάντως ἐνέχεσθαι· ἢ γὰρ ἐψεύσω, εἰ καὶ πικρὸν εἰπεῖν, ὡς ὑποσχομένων σοι τῶν Μουσῶν καὶ τὰ μέλλοντα προλέγειν δύνασθαι· ἢ αἱ μὲν ἔδοσαν ὥσπερ ὑπέσχοντο, σὺ δὲ ὑπὸ φθόνου ἀποκρύπτεις καὶ ὑπὸ κόλπου φυλάττεις τὴν δωρεὰν οὐ μεταδιδοὺς αὐτῆς τοῖς δεομένοις· ἢ

2. Itaque trium horum criminum in uno hæreas omnino necesse est: aut enim, quantumvis id dictu amarum fuerit, mentitus es Musas promisisse tibi futura prædicendi facultatem; aut illæ dederunt, sicut fuere pollicitæ, at tu præ invidia occultas, in sinuque absconditum servas munus, non impertiens illud indigentibus; aut scripta quidem tibi

γέγραπται μέν σοι καὶ τοιαῦτα πολλά, οὐδέπω δὲ αὐτὰ τῷ βίῳ παραδέδωκας οὐκ οἶδα εἰς ὃν καιρόν τινα ἄλλον ταμιευόμενος τὴν χρῆσιν αὐτῶν. Ἐκεῖνο μὲν γὰρ οὐδὲ τολμήσαιμ' ἂν εἰπεῖν, ὡς αἱ Μοῦσαι δύο σοι παρέξειν ὑποσχόμεναι τὸ μὲν ἔδοσαν, ἐξ ἡμισείας δὲ ἀνεκαλέσαντο τὴν ὑπόσχεσιν, λέγω δὲ τὴν τῶν μελλόντων γνῶσιν, καὶ ταῦτα προτέραν αὐτὴν ἐν τῷ ἔπει ὑπεσχημέναι.

3. Ταῦτα οὖν παρὰ τίνος ἄλλου, Ἡσίοδε, ἢ παρ' αὐτοῦ σοῦ μάθοι τις ἄν; πρέποι γὰρ ἄν, ὥσπερ οἱ θεοὶ « δωτῆρες ἐάων » εἰσίν, οὕτω δὲ καὶ ὑμῖν τοῖς φίλοις καὶ μαθηταῖς αὐτῶν μετὰ πάσης ἀληθείας ἐξηγεῖσθαι περὶ ὧν ἴστε καὶ λύειν ἡμῖν τὰς ἀπορίας.

4. ΗΣΙΟΔΟΣ. Ἐνῆν μέν μοι, ὦ βέλτιστε, ῥᾳδίαν ἀπόκρισιν ἀποκρίνασθαί σοι περὶ ἁπάντων, ὅτι μηδέν ἐστι τῶν ἐρραψῳδημένων ὑπ' ἐμοῦ ἴδιον ἐμόν, ἀλλὰ τῶν Μουσῶν, καὶ ἐχρῆν σε παρ' ἐκείνων τοὺς λογισμοὺς τῶν τε εἰρημένων καὶ τῶν παραλελειμμένων ἀπαιτεῖν· ἐγὼ δὲ ὑπὲρ μὲν ὧν ἰδίᾳ ἠπιστάμην, λέγω δὲ τοῦ νέμειν καὶ ποιμαίνειν καὶ ἐξελαύνειν καὶ βδάλλειν καὶ τῶν ἄλλων ὅσα ποιμένων ἔργα καὶ μαθήματα, δίκαιος ἂν εἴην ἀπολογεῖσθαι, αἱ θεαὶ δὲ τὰς αὑτῶν δωρεὰς οἷς τε ἂν ἐθέλωσι καὶ ἐφ' ὅσον ἂν οἴωνται καλῶς ἔχειν, μεταδιδόασιν.

5. Ὅμως δὲ οὐκ ἀπορήσω πρὸς σὲ καὶ ποιητικῆς ἀπολογίας· οὐ γάρ, οἶμαι, χρὴ παρὰ τῶν ποιητῶν ἐς τὸ λεπτότατον ἀκριβολογουμένους ἀπαιτεῖν κατὰ συλλαβὴν ἑκάστην ἐντελῆ πάντως τὰ εἰρημένα, κἂν εἴ τι ἐν τῷ τῆς ποιήσεως δρόμῳ παραρρυὲν λάθῃ, πικρῶς τοῦτο ἐξετάζειν, ἀλλ' εἰδέναι ὅτι πολλὰ ἡμεῖς καὶ τῶν μέτρων ἕνεκα καὶ τῆς εὐφωνίας ἐπεμβάλλομεν· τὰ δὲ καὶ τὸ ἔπος αὐτὸ πολλάκις λεῖα ὄντα οὐκ οἶδ' ὅπως παρεδέξατο. Σὺ δὲ τὸ μέγιστον ὧν ἔχομεν ἀγαθῶν ἀφαιρῇ ἡμᾶς, λέγω δὲ τὴν ἐλευθερίαν καὶ τὴν ἐν τῷ ποιεῖν ἐξουσίαν, καὶ τὰ μὲν ἄλλα οὐχ ὁρᾷς ὅσα τῆς ποιήσεως καλά, σκινδαλάμους δὲ καὶ ἀκάνθας τινὰς ἐκλέγεις καὶ λαβὰς τῇ συκοφαντίᾳ ζητεῖς. Ἀλλ' οὐ μόνος ταῦτα σὺ οὐδὲ κατ' ἐμοῦ μόνου, ἀλλὰ πολλοὶ καὶ ἄλλοι τὰ τοῦ ὁμοτέχνου τοῦ ἐμοῦ Ὁμήρου κατακνίζουσι λεπτὰ οὕτω κομιδῇ καὶ μάλιστα μικρὰ ἄττα διεξιόντες.

6. Εἰ δὲ καὶ χρὴ ὁμόσε χωρήσαντα τῇ αἰτίᾳ τὴν ὀρθοτάτην ἀπολογίαν ἀπολογήσασθαι, ἀνάγνωθι, ὦ οὗτος, τὰ Ἔργα μου καὶ τὰς Ἡμέρας· εἴσῃ γὰρ ὅσα ἐν τῷ ποιήματι τούτῳ μαντικῶς ἅμα καὶ προφητικῶς προτεθέσπισταί μοι τὰς ἀποβάσεις προδηλοῦντα τῶν τε ὀρθῶς καὶ κατὰ καιρὸν πραττομένων καὶ τῶν παραλελειμμένων τὰς ζημίας. Καὶ τὸ

Οἰσεις δ' ἐν φορμῷ, παῦροι δέ σε θηήσονται,

καὶ πάλιν ὅσα ἀγαθὰ περιέσται τοῖς ὀρθῶς γεωργοῦσι, χρησιμωτάτη ἂν τῷ βίῳ μαντικὴ νομίζοιτο.

7. ΛΥΚ. Τοῦτο μὲν οὖν, ὦ θαυμαστὲ Ἡσίοδε, καὶ πάνυ ποιμενικὸν εἰρηταί σοι καὶ ἐπαληθεύειν ἔοικας τὴν τῶν Μουσῶν ἐπίπνοιαν αὐτὸς οὐδ' ἀπολογεῖσθαι ὑπὲρ τῶν ἐπῶν δυνάμενος, ἡμεῖς δὲ οὐ ταύτην τὴν

sunt etiam in hoc genere multa, tu vero nondum ea sæculo tradidisti, quum usum eorum ad nescio quod aliud tempus reponas. Illud enim neque ausim dicere, Musas, duo tibi *quum præstituras se promiserint*, alterum quidem dedisse, ex dimidia vero parte promissionem suam, de futurorum cognitione loquor, revocasse, quum tamen priorem illam in versu pollicitæ essent.

3. Ista ergo a quonam alio, Hesiode, quam ab ipso te, aliquis possit discere? Decuerit enim, quemadmodum ipsi dii bonorum sunt auctores; ita etiam vos illorum amicos atque discipulos cum veritate omni quæ nostis enarrare, et si qua nobis videntur dubia, ea resolvere.

4. HESIODUS. Licebat mihi, vir optime, facili responsione defungi super omnibus, nihil esse eorum carminum, quæ a me consuta sunt, mihi proprium, sed Musarum; ab his proinde rationem dictorum pariter et prætermissorum tibi esse poscendam; me vero de his, quæ per me sciebam, de pascendo, inquam, curandoque grege, et exigendo, et mulgendo, reliquisque quæ pastorum opera sunt ac disciplina, causam dicere merito: deæ tamen sua munera, quibuscumque volunt, et in quantum decere putant, impertiuntur.

5. Interim tamen neque poetica mihi apud te defensio defuerit. Neque enim, puto, decet a poetis tenuiter nimis et minuto studio reposcere, syllabarum tenus omnium, perfecta omnino quæ dixere, et si quid in ipso poeseos cursu non animadversum effluxerit, acerbe illud exigere; verum scire multa nos et modulorum causa et soni inculcare: quædam autem versus ipse sæpe, utpote lævia ac polita, nescio quomodo assumit. At tu maximo nos nostro bono is privatum, libertatem dico et in fingendo potestatem; et cetera quidem in poesi quæ sunt pulchra non vides; sed ramenta quædam et spinas eligis, ansasque quæris calumniæ. Neque vero solus tu talia, neque contra me solum, sed multi etiam alii sunt qui Homeri, eandem mecum artem professi, carmina vellicent, hujusmodi tenuia prorsus et minuta quædam præ ceteris disputantes.

6. Si vero opus est cominus etiam congredi cum crimine, et eam dicere causam quæ verissima est, lege, tu homo, Opera mea ac Dies. Intelliges enim quot res in illo carmine divine et tanquam a vate prædictæ a me sint, quæ exitus præsignificent tum eorum quæ recte et suo tempore peraguntur, tum illorum quæ prætermissa sunt noxas. Jam illud,

Corbe feres raro, rarus tibi et accola plaudet;

et rursus quæ bona recte colentibus agrum superfutura sint, utilissima vitæ divinatio jure habeatur.

7. LYC. Istud quidem, vir admirabilis Hesiode, plane pro pastore a te dictum est, viderisque confirmare illum Musarum afflatum, qui neque causam dicere pro versibus possis: at non istam nos quidem divinationem a te ac Mu-

μαντικὴν παρὰ σοῦ καὶ τῶν Μουσῶν περιεμένομεν· ἐπεὶ τά γε τοιαῦτα πολὺ μαντικώτεροι ὑμῶν οἱ γεωργοί, καὶ ἄριστα μαντεύσαιντ' ἂν ἡμῖν περὶ αὐτῶν, ὅτι ὕσαντος μὲν τοῦ θεοῦ εὐθαλὴς ἔσται τὰ ὀράγματα, ἢν δὲ αὐχμὸς ἐπιλάβῃ καὶ διψήσωσιν αἱ ἄρουραι, οὐδεμία μηχανὴ μὴ οὐχὶ λιμὸν ἐπακολουθῆσαι τῷ δίψει αὐτῶν, καὶ ὅτι οὐ μεσοῦντος θέρους χρὴ ἀροῦν, ἢ οὐκ ἄν τι ὄφελος γένοιτο εἰκῇ ἐκχυθέντων τῶν σπερμάτων, οὐδὲ ἀμᾶν ἔτι χλωρὸν τὸν στάχυν, ἢ κενὸν εὑρεθήσεσθαι τὸν καρπόν. Οὐ μὴν οὐδ' ἐκεῖνο μαντείας δεῖται, ὡς ἢν μὴ καλύψῃς τὰ σπέρματα καὶ θεράπων μακέλλην ἔχων ἐπιφορῇ τῆς γῆς αὐτοῖς, καταπτήσεται τὰ ὄρνεα καὶ προκατεδεῖται τὴν ἅπασαν τοῦ θέρους ἐλπίδα.

8. Τὰ γὰρ τοιαῦτα παραινέσεις μὲν καὶ ὑποθήκας λέγων οὐκ ἄν τις ἁμαρτάνοι, μαντικῆς δὲ πάμπολυ ἀποδεῖν μοι δοκεῖ, ἧς τὸ ἔργον τὰ ἄδηλα καὶ οὐδαμῆ οὐδαμῶς φανερὰ προγιγνώσκειν, ὥσπερ τὸ τῷ Μίνωϊ προειπεῖν ὅτι ἐν τῷ τοῦ μέλιτος πίθῳ ὁ παῖς ἔσται αὐτῷ ἀποπεπνιγμένος, καὶ τὸ τοῖς Ἀχαιοῖς προμηνῦσαι τῆς Ἀπόλλωνος ὀργῆς τὴν αἰτίαν καὶ τῷ δεκάτῳ ἔτει ἁλώσεσθαι τὸ Ἴλιον· ταῦτα γὰρ ἡ μαντική. Ἐπεὶ καὶ τὰ τοιαῦτα εἴ τις αὐτῇ ἀνατιθείη, οὐκ ἂν φθάνοι κἀμὲ μάντιν λέγων· προερῶ γὰρ καὶ προθεσπιῶ καὶ ἄνευ Κασταλίας καὶ δάφνης καὶ τρίποδος Δελφικοῦ, ὅτι ἂν γυμνὸς τοῦ κρύους περινοστῇ τις ὄντος προσέτι ἢ χαλαζῶντος τοῦ θεοῦ, ἠπίαλος οὐ μικρὸς ἐπιπεσεῖται τῷ τοιούτῳ, καὶ τὸ ἔτι γε τούτου μαντικώτερον, ὅτι καὶ θέρμη μετὰ ταῦτα, ὡς τὸ εἰκός, ἐπιγενήσεται, καὶ ἄλλα πολλὰ τοιαῦτα, ὧν γελοῖον ἂν εἴη μεμνῆσθαι.

9. Ὥστε τὰς μὲν τοιαύτας ἀπολογίας καὶ μαντείας ἄφες· ἐκεῖνο δὲ ὃ εἶρηκας ἐν ἀρχῇ ἴσως παραδέξασθαι ἄξιον, ὡς οὐδὲν ἤδεισθα τῶν λεγομένων, ἀλλά τις ἔμπνοια δαιμόνιος ἐνεποίει σοι τὰ μέτρα, οὐ πάνυ οὐδὲ ἐκείνη βέβαιος οὖσα· οὐ γὰρ ἂν τὰ μὲν ἐπετέλει τῶν ὑπεσχημένων, τὰ δ' ἀτελῆ ἀπελίμπανεν.

sis exspectabamus; quum ad talia multo vobis diviniores sint rustici, et optime nobis de illis rebus vaticinentur, velut, si pluat deus, copia florentes fore manipulos; si vero æstus invadat, sitiantque arva, fieri non posse quin fames sitim illorum consequatur; neque oportere media æstate arare, alioquin nihil inde utilitatis exoriturum, fusis frustra seminibus; neque metendum spicam adhuc viridem, alioquin vanum inventum iri fructum. Neque etiam divinatione ad illud opus est, nisi obruas semina et ligone armatus servus terram iis inducat, devolaturas aves, omnemque spem æstatis interceptam devoraturas.

8. Talia enim si quis præcepta dicat aut monita, non peccaverit; a divinatione autem plurimum abesse hæc mihi videntur, cujus sit obscura et nullo usquam modo manifesta ante cognoscere : quale est illud quum Minoi prædictum est, in dolio mellis suffocatum iri illius filium, et quum præsignificata Achivis causa irarum Apollinis, itemque anno decimo captum iri Ilium. Hæc enim sunt divinatio. Alioqui si ista quoque superiora ad divinationem aliquis referat, ocyus me quoque vatem dicat : prædicam enim ac divinabo, idque sine Castalia et lauru et tripode Delphico, si quis nudus in frigore obambulet, pluvias insuper aut grandines fundente deo, hunc talem rigor cum tremore non parvus invadet : et quod magis adhuc divinum est, etiam calor postea, ut probabile est, superveniet, et multa in hoc genere, quorum meminisse ridiculum fuerit.

9. Itaque hoc genus defensionis et divinationum omitte. Illud vero, quod initio dicebas, forte dignum fuerit quod recipiatur, nihil te scivisse eorum quæ diceres, sed afflatu quodam divino subjecta tibi esse carmina, quanquam ne illud quidem satis firmum est : neque enim ille alia quidem promissorum impleturus erat, alia vero imperfecta relicturus.

LXVI.

ΠΛΟΙΟΝ Η ΕΥΧΑΙ.

1. ΛΥΚΙΝΟΣ. Οὐκ ἐγὼ ἔλεγον ὅτι θᾶττον τοὺς γῦπας ἕωλος νεκρὸς ἐν φανερῷ κείμενος ἢ θεαμά τι τῶν παραδόξων Τιμόλαον διαλάθοι, κἂν εἰς Κόρινθον δέῃ ἀπνευστὶ θέοντα ἀπιέναι διὰ τοῦτο; οὕτω φιλοθεάμων σύ γε καὶ ἄοκνος τὰ τοιαῦτα.

ΤΙΜΟΛΑΟΣ. Τί γὰρ ἔδει καὶ ποιεῖν, ὦ Λυκῖνε, σχολὴν ἄγοντα πυθόμενον οὕτως ὑπερμεγέθη ναῦν καὶ πέρα τοῦ μέτρου ἐς τὸν Πειραιᾶ καταπεπλευκέναι μίαν τῶν ἀπ' Αἰγύπτου εἰς Ἰταλίαν σιταγωγῶν; Οἶμαι δὲ καὶ σφὼ, σέ τε καὶ Σάμιππον τουτονὶ, μὴ κατ' ἄλλο τι ἐξ ἄστεως ἥκειν ἢ ὀψομένους τὸ πλοῖον.

ΛΥΚ. Νὴ Δία, καὶ Ἀδείμαντός ὁ Μυρρινούσιος εἵπετο μεθ' ἡμῶν, ἀλλ' οὐκ οἶδ' ὅπου νῦν ἐκεῖνός ἐστιν

LXVI.

NAVIGIUM SEU VOTA.

1. LYCINUS. Nonne dicebam ego, facilius posse fieri ut vultures effugiat jacens in propatulo antiquum cadaver, quam Timolaum mirabilis spectaculi aliquid, etsi uno spiritu Corinthum abire curriculo propter illud oporteat? adeo tu spectaculorum avidus et impiger ad talia.

TIMOLAUS. Quid enim agendum erat, Lycine, homini otioso, qui audisset ingentem adeo et immensam plane navem in Piræeo appulsam, de illarum numero unam, quæ annonam ex Ægypto in Italiam advehunt? Puto autem vos quoque, te, inquam, et Samippum hunc, non alia quam spectandæ hujus navis causa ex urbe venisse.

LYC. Sic est, per Jovem; atque Adimantus etiam sequebatur nos Myrrhinusius : verum ubi ille nunc sit, nescio,

ἀποπλανηθεὶς ἐν τῷ πλήθει τῶν θεατῶν· ἄχρι μὲν γὰρ τῆς νεὼς ἅμα ἤλθομεν καὶ ἀνιόντες ἐς αὐτὴν σὺ μέν, οἶμαι, Σάμιππε, προῄεις, μετὰ σὲ δὲ ὁ Ἀδείμαντος ἦν, εἶτ' ἐγὼ μετ' ἐκεῖνον ἐχόμενος αὐτοῦ ἀμφοτέραις, καί με διὰ τῆς ἀποβάθρας ὅλης παρέπεμψε χειραγωγῶν ὑποδεδεμένον ἀνυπόδητος αὐτὸς ὤν, τὸ ἀπὸ τούτου δὲ οὐκέτι αὐτὸν εἶδον οὔτε ἔνδον οὔτε ἐπεὶ κατεληλύθαμεν.

2. ΣΑΜΙΠΠΟΣ. Οἶσθα, ὦ Λυκῖνε, ὅπου ἡμᾶς ἀπέλιπεν; ὁπότε, οἶμαι, τὸ ὡραῖον ἐκεῖνο μειράκιον ἐκ τῆς θαλάμης προῆλθε τὸ τὴν καθαρὰν ὀθόνην ἐνδεδυκὸς, ἀναδεδεμένον εἰς τοὐπίσω τὴν κόμην ἐπ' ἀμφότερα τοῦ μετώπου ἀπηγμένην. Εἰ τοίνυν ἐγὼ Ἀδείμαντον οἶδα, οἶμαι, γλαφυρὸν οὕτω θέαμα ἐκεῖνος ἰδὼν μακρὰ χαίρειν φράσας τῷ Αἰγυπτίῳ ναυπηγῷ περιηγουμένῳ τὸ πλοῖον παρέστηκε δακρύων, ὥσπερ εἰωθὼς ταχύδακρυς γὰρ ὁ ἀνὴρ ἐς τὰ ἐρωτικά.

ΛΥΚ. Καὶ μὴν οὐ πάνυ καλὸς, ὦ Σάμιππε, ὁ μειρακίσκος ἔδοξέ μοι, ὡς ἂν καὶ Ἀδείμαντον ἐκπλῆξαι, ᾧ τοσοῦτοι Ἀθήνησι καλοὶ ἕπονται, πάντες ἐλεύθεροι, στωμύλοι τὸ φθέγμα, παλαίστρας ἀποπνέοντες, οἷς καὶ παραδακρῦσαι οὐκ ἀγεννές· οὗτος δὲ πρὸς τῷ μελάγχρους εἶναι καὶ πρόχειλός ἐστι καὶ λεπτὸς ἄγαν τοῖν σκελοῖν, καὶ ἐρθέγγετο ἐπισεσυρμένον τι καὶ συνεχὲς καὶ ἐπίτροχον, Ἑλληνιστὶ μὲν, ἐς τὸ πάτριον δὲ τῷ ψόφῳ καὶ τῷ τῆς φωνῆς τόνῳ, ἡ κόμη δὲ καὶ ἐς τοὐπίσω ὁ πλόκαμος συνεσπειραμένος οὐκ ἐλεύθερον αὐτόν φησιν εἶναι.

3. ΤΙΜ. Τοῦτο μὲν εὐγενείας, ὦ Λυκῖνε, σημεῖόν ἐστιν Αἰγυπτίας ἡ κόμη· ἅπαντες γὰρ αὐτὴν οἱ ἐλεύθεροι παῖδες ἀναπλέκονται ἕστε πρὸς τὸ ἐφηβικὸν, ἔμπαλιν ἢ οἱ πρόγονοι ἡμῶν, οἷς ἐδόκει καλὸν εἶναι κομᾶν τοὺς γέροντας ἀναδουμένους κρωβύλον ὑπὸ τέττιγι χρυσῷ ἀνειλημμένον.

ΣΑΜ. Εὖ γε, ὦ Τιμόλαε, ὅτι ἡμᾶς ἀναμιμνήσκεις τῶν Θουκυδίδου συγγραμμάτων, ἃ ἐν τῷ προοιμίῳ περὶ τῆς ἀρχαίας ἡμῶν τρυφῆς εἶπεν ἐν τοῖς Ἴωσιν, ὁπότε οἱ τότε συναπῳκίσθησαν.

4. ΤΙΜ. Ἀτὰρ, ὦ Σάμιππε, νῦν ἀνεμνήσθην, ὁπόθεν ἡμῶν ἀπελείφθη Ἀδείμαντος, ὅτε παρὰ τὸν ἱστὸν ἐπὶ πολὺ ἕστημεν ἀναβλέποντες, ἀριθμοῦντες τῶν βυρσῶν τὰς ἐπιβολὰς καὶ θαυμάζοντες ἀνιόντα τὸν ναύτην διὰ τῶν κάλων, εἶτα ἐπὶ τῆς κεραίας ἄνω ἀσφαλῶς διαθέοντα τῶν κεροιάκων ἐπειλημμένον.

ΣΑΜ. Εὖ λέγεις. Τί δ' οὖν χρὴ ποιεῖν ἡμᾶς ἐνταῦθα; καραδοκεῖν αὐτὸν, ἢ ἐθέλεις ἐγὼ αὖθις ἐπάνειμι ἐς τὸ πλοῖον;

ΤΙΜ. Μηδαμῶς, ἀλλὰ προίωμεν· εἰκὸς γὰρ ἤδη παρεληλυθέναι ἐκεῖνον ἀποσοβοῦντα ἐς τὸ ἄστυ, ἐπεὶ μηκέθ' ἡμᾶς εὑρεῖν ἐδύνατο· εἰ δὲ μὴ, ἀλλ' οἶδε τὴν ὁδὸν Ἀδείμαντος, καὶ δέος οὐδὲν μὴ ἀπολειφθεὶς ἡμῶν ἀποδουκολήθῃ.

ΛΥΚ. Ὁρᾶτε, μὴ σκαιὸν ᾖ φίλον ἀπολιπόντας αὐτοὺς ἀπιέναι. Βαδίζωμεν δ' ὅμως, εἰ καὶ Σαμίππῳ τοῦτο δοκεῖ.

in spectatorum turba errore quodam a nobis distractus: ad navim quidem usque una venimus; quumque in illam ascenderemus, tu quidem, puto, Samippe, præcedebas; post te autem erat Adimantus, tum ego post illum utraque illum manu tenens, quippe ille me per totum ponticulum manu prehensum ducebat calceatum discalceatus ipse: abhinc vero illum non vidi amplius, neque intus, neque postquam descenderamus.

2. SAMIPPUS. Scin', Lycine, ubi nos reliquerit? puto ego, ubi formosus ille puer de diæta progrediebatur, ille puro linteo indutus, retro comam revinctus utrimque a fronte abductam. Si ergo Adimantum ego novi, puto nominem, eleganti adeo spectaculo viso, longum valere jusso naupego Ægyptio, qui monstrabat navim, astitisse lacrimantem, ut solet: facilis enim vir est, ubi amat, ad lacrimas.

LYC. Quin non admodum pulcher mihi, Samippe, puer ille visus est, ut Adimantum etiam percelleret, quem tot Athenis formosi sectantur, liberi omnes, jucundi sermonis, olentes palæstram, apud quos forte lacrimari etiam non ignavum fuerit. At iste, præterquam quod niger, labiosus etiam est, et tenui nimis crure, et tractum quiddam de imo gutture, continuatumque nimis et volubile loquebatur, Græce ille quidem, sed ita ut patrium quiddam sibilo atque accentu vocis proderet; coma vero et actus ille retro tortusque in spiram cincinnus non ingenuum esse ipsum indicat.

3. TIM. Quin illud nobilitatis Ægyptiæ signum est, coma, Lycine: omnes quippe apud illos ingenui eas implectunt, usque dum pubertatem attigerint. Contra ea majores nostri: quibus pulchrum visum est comam alere seniores, revinctam in cincinnum aurea cicada comprehensum.

SAM. Bene facis, Timolae, quod Thucydidis nos scriptorum admones, quæ in proœmio dixit de veteri luxu nostro inter Ionas, quando, qui tum erant, una hinc deducti sunt.

4. LYC. Verum, Samippe, jam recordor ex quo relictus nobis sit Adimantus, quum ad malum diu staremus suspicientes numerantesque coriorum commissuras, atque admirantes ascendentem per rudentes nautam, deinde per antennam in alto prehensis ceruchis secure transcurrentem.

SAM. Recte istuc dicis. Quid ergo hic nobis faciendum est? exspectandusne est, an vis in navem ego redeam?

TIM. Nequaquam: sed pergamus: credibile est enim illum præterilisse jam nos et festinasse in urbem, quum non amplius invenire nos posset. Sin minus; at novit certe viam Adimantus, nec metus est ne relictus a nobis in devium errorem incidat.

LYC. Videte ne sinistrum sit, nos relicto amico abire solos. Abeamus tamen, si idem etiam Samippo videtur.

ΣΑΜ. Καὶ μάλα δοκεῖ, ἤν πως ἀνεῳγυῖαν ἔτι τὴν παλαίστραν καταλάβωμεν.

5. Ἀλλὰ μεταξὺ λόγων, ἡλίκη ναῦς, εἴκοσι καὶ ἑκατὸν πήχεων ἔλεγε τὸ μῆκος ὁ ναυπηγὸς, εὖρος δὲ ὑπὲρ τὸ τέταρτον μάλιστα τούτου, καὶ ἀπὸ τοῦ καταστρώματος ἐς τὸν πυθμένα, ᾗ βαθύτατον κατὰ τὸν ἄντλον, ἐννέα πρὸς τοῖς εἴκοσι. Τὰ δ' ἄλλα ἡλίκος μὲν ὁ ἱστὸς, ὅσην δὲ ἀνέχει τὴν κεραίαν, οἷῳ καὶ προτόνῳ κέχρηται καὶ συνέχεται, ὡς δὲ ἡ πρύμνα μὲν ἐπανέστηκεν ἠρέμα καμπύλη χρυσοῦν χηνίσκον ἐπικειμένη, καταντικρὺ δὲ ἀνάλογον ἡ πρῷρα ὑπερβέβηκεν ἐς τὸ πρόσω ἀπομηκυνομένη, τὴν ἐπώνυμον τῆς νεὼς θεὸν ἔχουσα τὴν Ἶσιν ἑκατέρωθεν· ὁ μὲν γὰρ ἄλλος κόσμος, αἱ γραφαὶ καὶ τοῦ ἱστίου τὸ παράσειον πυραυγὲς, πρὸ τούτων αἱ ἄγκυραι καὶ στροφεῖα καὶ περιαγωγεῖς καὶ αἱ κατὰ τὴν πρύμναν οἰκήσεις θαυμάσια πάντα μοι ἔδοξε.

6. Καὶ τὸ τῶν ναυτῶν πλῆθος στρατοπέδῳ ἄν τις εἰκάσειεν. Ἐλέγετο δὲ καὶ τοσοῦτον ἄγειν σῖτον, ὡς ἱκανὸν εἶναι πᾶσι τοῖς ἐν τῇ Ἀττικῇ ἐνιαύσιον πρὸς τροφήν. Κἀκεῖνα πάντα μικρός τις ἀνθρωπίσκος γέρων ἤδη ἔσωζεν ὑπὸ λεπτῇ κάμακι τὰ τηλικαῦτα πηδάλια περιστρέφων· ἐδείχθη γάρ μοι ἀναφαλαντίας τις, οὖλος, Ἥρων, οἶμαι, τοὔνομα.

ΤΙΜ. Θαυμάσιος τὴν τέχνην, ὡς ἔφασκον οἱ ἐμπλέοντες, καὶ τὰ θαλάττια σοφὸς ὑπὲρ τὸν Πρωτέα.

7. Ἠκούσατε δὲ ὅπως δεῦρο κατήγαγε τὸ πλοῖον, οἷα ἔπαθον πλέοντες ἢ ὡς ὁ ἀστὴρ αὐτοὺς ἔσωσεν;

ΛΥΚ. Οὐκ, ὦ Τιμόλαε, ἀλλὰ νῦν ἡδέως ἂν ἀκούσαιμεν.

ΤΙΜ. Ὁ ναύκληρος αὐτὸς διηγεῖτό μοι, χρηστὸς ἀνὴρ καὶ προσομιλῆσαι δεξιός. Ἔφη δὲ ἀπὸ τῆς Φάρου ἁπάραντας οὐ πάνυ βιαίῳ πνεύματι ἑβδομαίους ἰδεῖν τὸν Ἀκάμαντα, εἶτα ζεφύρου ἀντιπνεύσαντος ἀπενεχθῆναι πλαγίους ἄχρι Σιδῶνος, ἐκεῖθεν δὲ χειμῶνι μεγάλῳ περιπεσόντας δεκάτῃ ἐπὶ Χελιδονέας διὰ τοῦ Αὐλῶνος ἐλθεῖν, ἔνθα δὴ παρὰ μικρὸν ὑποβρυχίους δῦναι ἅπαντας.

8. Οἶδα δέ ποτε καὶ αὐτὸς παραπλεύσας Χελιδονέας ἡλίκον ἐν τῷ τόπῳ ἀνίσταται τὸ κῦμα, καὶ μάλιστα περὶ τὸν λίβα, ὁπόταν ἐπιλάβῃ καὶ τοῦ νότου· κατ' ἐκεῖνο γὰρ δὴ συμβαίνει μερίζεσθαι τὸ Παμφύλιον ἀπὸ τῆς Λυκιακῆς θαλάττης, καὶ ὁ κλύδων ἅτε ἀπὸ πολλῶν ῥευμάτων περὶ τῷ ἀκρωτηρίῳ σχιζόμενος — ἀπόξυροι δέ εἰσι πέτραι καὶ ὀξεῖαι παραθηγόμεναι τῷ κλύσματι — καὶ φοβερωτάτην ποιεῖ τὴν κυματωγὴν καὶ τὸν ἦχον μέγαν, καὶ τὸ κῦμα πολλάκις αὐτῷ ἰσομέγεθες τῷ σκοπέλῳ.

9. Τοιαῦτα καὶ σφᾶς καταλαβεῖν ἔφασκεν ὁ ναύκληρος ἔτι καὶ νυκτὸς οὔσης καὶ ζόφου ἀκριβοῦς· ἀλλὰ πρὸς τὴν οἰμωγὴν αὐτῶν ἐπικλασθέντας τοὺς θεοὺς πῦρ τε ἀναδεῖξαι ἀπὸ τῆς Λυκίας, ὡς γνωρίσαι τὸν τόπον ἐκεῖνον, καί τινα λαμπρὸν ἀστέρα Διοσκούρων τὸν ἕτερον ἐπικαθίσαι τῷ καρχησίῳ καὶ κατευθῦναι τὴν ναῦν

SAM. Omnino ita videtur, si qua apertam adhuc palæstram inveniamus.

5. Verum interea dum sermones cædimus, quanta hæc navis! centum et viginti cubitorum in longitudinem esse dicebat naupegus, latitudinem autem supra quartam hujus partem; ac de constrato navis in fundum, ubi profundissima est, ad sentinam, undetriginta. Ceterum quantus est malus! quantam vero sustinet antennam, quanto utitur atque continetur protono! Ut vero puppis assurgit sensim incurva, cui cheniscus impositus est aureus! ab altera parte justa proportione prora extollitur in adversum porrecta, habens ab utraque parte quæ navi nomen dedit deam Isidem. Nam reliquus ornatus, picturæ, et supparum veli colore flammeo, et ante istæc ancoræ, et versoria, et circumactoria, et illæ ad puppim habitationes, admirabilia mihi videbantur omnia.

6. Ac nautarum multitudinem exercitui aliquis comparaverit. Dicebatur vero tantam etiam frumenti vim vehere, quæ omnibus Atticæ incolis ad annua alimenta sufficeret. Atque hæc omnia parvus aliquis homuncio, jam senex, servabat, parva pertica tantæ molis gubernacula torquens. Ostensus enim mihi est recalvaster aliquis, cetera crispus, Heron homine, arbitror.

TIM. Admirabilis ille arte sua, ut vectores dicebant, et doctus circa maritima supra Proteum.

7. Audistisne autem quomodo huc deduxerit navem, quæ illis inter navigandum acciderint, aut quomodo stella ipsos servarit?

LYC. Non, Timolae, verum jam libenter ex te audiverimus.

TIM. Nauclerus ipse mihi narrabat, vir bonus et consuetudini aptus. Dicebat autem, quum solvissent e Pharo vento non valde vehementi, septimo die vidisse Acamantem; tum reflante Zephyro obliquos Sidonem usque esse delatos: inde autem magna tempestate die decimo per Aulonem venisse ad Chelidoneas: hic vero parum abfuisse quin submersi omnes perirent.

8. Novi autem, quum ipse aliquando Chelidoneas circumnavigaverim, quantus ibi locorum fluctus surgat, et maxime spirante Africo, quum Notum etiam assumsit. Tali enim tempore evenire solet ut a Lycio mari dividatur Pamphylium; fluctusque, utpote ab undis plurimis circa ipsum scissus promontorium (sunt autem petræ abruptæ et ab alludentibus aquis exacutæ) terribili cum sonitu frangitur: atque ipsi sæpe scopulo magnitudine æqualis est.

9. Ab his se etiam deprehensos nauclerus dicebat, quum nox adhuc esset et meræ tenebræ: sed ad ipsorum ploratum fractos misericordia deos, et ignem ostendisse de Lycia, ut oram illam agnoscerent, et lucidam stellam quandam, Dioscurorum alterum, insedisse carchesio, ac direxisse navim sinistrorsum in mare, quum jamjam ferretur ad

ἐπὶ τὰ λαιὰ ἐς τὸ πέλαγος ἤδη τῷ κρημνῷ προσφερομένην· τοὐντεῦθεν δὲ ἅπαξ τῆς ὀρθῆς ἐκπεσόντας διὰ τοῦ Αἰγαίου πλεύσαντας ἑβδομηκοστῇ ἀπ' Αἰγύπτου ἡμέρᾳ πρὸς ἀντίους τοὺς ἐτησίας πλαγιάζοντας ἐς Πειραιᾶ χθὲς καθορμίσασθαι τοσοῦτον ἀποσυρέντας ἐς τὸ κάτω, οὓς ἔδει τὴν Κρήτην δεξιὰν λαβόντας ὑπὲρ τὸν Μαλέαν πλεύσαντας ἤδη εἶναι ἐν Ἰταλίᾳ.

ΛΥΚ. Νὴ Δία, θαυμάσιόν τινα φῂς κυβερνήτην τὸν Ἥρωνα ἢ τοῦ Νηρέως ἡλικιώτην, ὃς τοσοῦτον ἀπεσφάλη τῆς ὁδοῦ.

10. Ἀλλὰ τί τοῦτο; οὐχ Ἀδείμαντος ἐκεῖνός ἐστι;

ΤΙΜ. Πάνυ μὲν οὖν, Ἀδείμαντος αὐτός. Ἐμβοήσωμεν οὖν. Ἀδείμαντε, σέ φημι τὸν Μυρρινούσιον τὸν Στρομβίχου. Δυοῖν θάτερον, ἢ δυσχεραίνει καθ' ἡμῶν ἢ ἐκκεκώφωται· Ἀδείμαντος γὰρ, οὐκ ἄλλος τίς ἐστι.

ΛΥΚ. Πάνυ ἤδη σαφῶς ὁρῶ, καὶ θοἰμάτιον αὐτοῦ καὶ τὸ βάδισμα ἐκείνου, καὶ ἐν χρῷ ἡ κουρά. Ἐπιτείνωμεν δὲ ὅμως τὸν περίπατον, ὡς καταλάβωμεν αὐτόν.

11. Ἢν μὴ τοῦ ἱματίου σε λαμβόμενοι ἐπιστρέψωμεν, ὦ Ἀδείμαντε, οὐχ ὑπακούσει ἡμῖν βοῶσιν, ἀλλὰ καὶ φροντίζοντι ἔοικας ἐπὶ συννοίας τινὸς οὐ μικρὸν οὐδὲ εὐκαταφρόνητον πρᾶγμα, ὡς δοκεῖς, ἀνακυκλῶν.

ΑΔΕΙΜΑΝΤΟΣ. Οὐδὲν, ὦ Λυκῖνε, χαλεπὸν, ἀλλά με κενή τις ἔννοια μεταξὺ βαδίζοντα ὑπελθοῦσα παρακοῦσαι ὑμῶν ἐποίησεν ἀτενὲς πρὸς αὐτὴν ἅπαντι τῷ λογισμῷ ἀποβλέποντα.

ΛΥΚ. Τίς αὕτη; μὴ γὰρ ὀκνήσῃς εἰπεῖν, εἰ μή τίς ἐστι τῶν πάνυ ἀπορρήτων. Καίτοι ἐτελέσθημεν, ὡς οἶσθα, καὶ στέγειν μεμαθήκαμεν.

ΑΔΕΙΜ. Ἀλλ' αἰσχύνομαι ἔγωγε εἰπεῖν πρὸς ὑμᾶς· οὕτω γὰρ μειρακιῶδες ὑμῖν δόξει τὸ φρόντισμα.

ΛΥΚ. Μῶν ἐρωτικόν τί ἐστιν; οὐδὲ γὰρ οὐδὲ τοῦτο ἀμυήτοις ἡμῖν ἐξαγορεύσεις, ἀλλὰ ὑπὸ λαμπρᾷ τῇ δᾳδὶ καὶ αὐτοῖς τετελεσμένοις.

12. ΑΔΕΙΜ. Οὐδὲν, ὦ θαυμάσιε, τοιοῦτον, ἀλλά τινα πλοῦτον ἐμαυτῷ ἀνεπλαττόμην, ἣν κενὴν μακαρίαν οἱ παλαιοὶ καλοῦσι, καί μοι ἐν ἀκμῇ τῆς περιουσίας καὶ τρυφῆς ἐπέστητε.

ΛΥΚ. Οὐκοῦν τὸ προχειρότατον τοῦτο, κοινὸς Ἑρμᾶς φασι, καὶ ἐς μέσον κατατίθει φέρων τὸν πλοῦτον· ἄξιον γὰρ ἀπολαῦσαι τὸ μέρος φίλους ὄντας τῆς Ἀδειμάντου τρυφῆς.

ΑΔΕΙΜ. Ἀπελείφθην μὲν ὑμῶν εὐθὺς ἐν τῇ πρώτῃ ἐς τὴν ναῦν ἐπιβάσει, ἐπεὶ σὲ, ὦ Λυκῖνε, κατέστησα ἐς τὸ ἀσφαλές· περιμετροῦντος γάρ μου τῆς ἀγκύρας τὸ πάχος οὐκ οἶδα ὅπου ὑμεῖς ἀπέστητε.

13. Ἰδὼν δὲ ὅμως τὰ πάντα ἠρόμην τινὰ τῶν ναυτῶν ὁπόσην ἀποφέρει ἡ ναῦς τῷ δεσπότῃ ὡς ἐπὶ τὸ πολὺ κατ' ἔτος ἕκαστον τὴν μισθοφορίαν. Ὁ δέ μοι, Δώδεκα, ἔφη, Ἀττικὰ τάλαντα, εἰ πρὸς τοὐλάχιστόν τις λογίζοιτο. Τοὐντεῦθεν οὖν ἐπανιὼν ἐλογιζόμην, εἴ τις θεῶν τὴν ναῦν ἄφνω ἐμὴν ποιήσειεν εἶναι, οἷον ἂν, ὡς

scopulum. Inde, quum recta via semel excidissent, transnavigato Ægæo, septuagesimo, postquam Ægypto solverant, die, obliquo ad tenentes sibi adversum Etesias cursu, in Piræeum heri appulisse, tantum ad inferiora detractos, quos oportuerit dextram legentes Cretam, Malea superato, jam esse in Italia.

LYC. Admirabilem, ita me Jupiter, mihi gubernatorem narras Heronem, aut æqualem Nerei, qui tantum de via aberraverit!

10. Sed quid istuc? nonne iste Adimantus est?

TIM. Omnino ipse est Adimantus. Inclamemus igitur. Adimante, te volo, Myrrhinusium, Strombichi filium. Alterutrum horum, aut iratus nobis est, aut aurium usum amisit. Adimantus enim est, nemo alius.

LYC. Satis jam clare video: et vestimentum ipsius est, et incessus, et brevis ad ipsam cutem tonsura. Acceleremus tamen gradum, ut ipsum assequamur.

11. Nisi veste te prehensum advertamus, Adimante, non exaudies nos inclamantes; sed videris etiam profundæ cuidam cogitationi immersus, non parvum neque contemtibile negotium animo agitare ac revolvere.

ADIMANTUS. Nihil, Lycine, grave; sed inanis me inter eundum cogitatio subierat, quæ ut inauditam prætermitterem vestram vocem effecit, qui defixum totum in illa animum haberem.

LYC. Quænam est illa? ne cuncteris enim dicere, nisi est de valde secretis. Quanquam initiati, ut nosti, sumus, ac celare commissa didicimus.

ADIM. Sed pudet me nimirum apud vos dicere; adeo puerilis vobis videbitur cogitatio.

LYC. Numquid amatorium quid est? neque enim hoc etiam profanis nobis enarraveris, sed hominibus ad claram facem ipsis quoque initiatis.

12. ADIM. Nihil tale, o noster: sed divitias mihi quasdam ipse fingebam animo, quam fictitiam beatam insulam vocant veteres; vosque in ipso mihi divitiarum et voluptatis fastigio supervenistis.

LYC. Itaque illud hic valeat expeditissimum, communis esto Mercurius! aiunt: atque in medium allatas depone divitias: æquum enim est in partem venire nos, qui amici simus, voluptatum Adimanti.

ADIM. A vobis quidem relictus sum in primo statim in navim ingressu, quum te, Lycine, in tuto collocassem: dimetiente enim me magnitudinem ancoræ, vos nescio quo discesseratis.

13. Tamen visis omnibus, quærebam ex nautarum aliquo, quantum plerumque mercedis domino singulis annis ea navis referat. At ille, Duodecim, inquit, talenta Attica, si quis quod minimum est computet. Hinc ergo rediens ita cogitabam, Si quis deorum hanc navem subito, ut mea sit, faciat; quam ego, quam felicem vitam exinde agam! nempe

εὐδαίμονα βίον ἐπεδείωσα εὖ ποιῶν τοὺς φίλους καὶ ἐπιπλέων ἐνίοτε μὲν αὐτὸς, ἐνίοτε δὲ οἰκέτας ἐκπέμπων· εἶτα ἐκ τῶν δώδεκα ἐκείνων ταλάντων οἰκίαν τε ἤδη ὠκοδομησάμην ἐν ἐπικαίρῳ μικρὸν ὑπὲρ τὴν Ποικίλην, τὴν παρὰ τὸν Ἰλισσὸν ἐκείνην τὴν πατρῴαν ἀφεὶς, καὶ οἰκέτας ὠνούμην καὶ ἐσθῆτας καὶ ζεύγη καὶ ἵππους· νυνὶ δὲ καὶ ἔπλεον ὑφ' ἁπάντων εὐδαιμονιζόμενος τῶν ἐπιβατῶν φοβερὸς τοῖς ναύταις καὶ μονονουχὶ βασιλεὺς νομιζόμενος. Ἔτι δέ μοι τὰ κατὰ τὴν ναῦν εὐθετίζοντι καὶ ἐς λιμένα πόρρωθεν ἀποβλέποντι ἐπιστὰς, ὦ Λυκῖνε, κατέδυσας τὸν πλοῦτον καὶ ἀνέτρεψας εὖ φερόμενον τὸ σκάφος οὐρίῳ τῆς εὐχῆς πνεύματι.

faciens amicis, interdum ipse innavigans, emittens nonnunquam servos. Deinde de duodecim illis talentis domum jam ædificabam loco opportuno, paullo supra Pœcilen, relicta illa ad Ilissum paterna; et servos emebam, et vestes, currusque, et equos. Jamque modo navigabam etiam felixque prædicabar a vectoribus omnibus, metuendus nautis, ac tantum non rex ab illis habitus. Verum adhuc componenti mihi rem navalem, et in portum prospectanti e longinquo, tuo, Lycine, adventu demersisti divitias, evertistique bene et secundo votorum flatu fertur navigium.

14. ΛΥΚ. Οὐκοῦν, ὦ γενναῖε, λαβόμενός μου ἄπαγε πρὸς τὸν στρατηγὸν ὥς τινα πειρατὴν ἢ καταποντιστὴν, ὃς τηλικοῦτον ναυάγιον εἴργασμαι, καὶ ταῦτα ἐν γῇ κατὰ τὴν ἐκ Πειραιῶς ἐς τὸ ἄστυ. Ἀλλ' ὅρα ὅπως παραμυθήσομαί σου τὸ πταῖσμα· πέντε γὰρ, εἰ βούλει, καλλίω καὶ μείζω τοῦ Αἰγυπτίου πλοίου ἤδη ἔχε, καὶ τὸ μέγιστον οὐδὲ καταδῦναι δυνάμενα, καὶ τάχα σοι πεντάκις ἐξ Αἰγύπτου κατ' ἔτος ἕκαστον σιταγωγείτωσαν σιταγωγίαν, εἰ καὶ, ὦ ναυκλήρων ἄριστε, ὄῆλος εἶ ἀφόρητος ἡμῖν τότε γενησόμενος· ὃς γὰρ ἔτι ἑνὸς πλοίου τουτουὶ δεσπότης ὢν παρήκουες βοώντων, εἰ πέντε κτήσαιο πρὸς τούτῳ τριάρμενα πάντα καὶ ἀνώλεθρα, οὐδὲ ὄψει ὀηλαδὴ τοὺς φίλους. Σὺ μὲν οὖν εὐπλόει, ὦ βέλτιστε, ἡμεῖς δὲ ἐν Πειραιεῖ καθεδούμεθα τοὺς ἐξ Αἰγύπτου ἢ Ἰταλίας καταπλέοντας ἀνακρίνοντες, εἴ που τὸ μέγα Ἀδειμάντου πλοῖον τὴν Ἶσίν τις εἶδεν.

14. LYC. Igitur, vir fortis, prehensum me ad prætorem abducito, ut piratam aliquem, aut mersorem navium, qui tanti tibi naufragii causa fuerim, idque in terra, ipsaque a Piræeo in urbem via. Sed vide quomodo casum tuum sim solaturus. Habe enim tibi, ecce, quinque, si volueris, pulchriora majoraque Ægyptio illo navigia, et quod maximum est, quæ mergi non possint: ac ferme tibi quinquies singulis annis frumentorum sarcinam unumquodque ex Ægypto advehat; etsi te, nauclerorum præstantissime, intolerabilem nobis tum futurum apparet. Qui enim modo unius hujusce navigii dominus quum esses, inclamantes non audieris, si quinque possideas præter hanc, trium omnes malorum et quæ perire non possint, nec respicies nimirum amicos. Itaque feliciter, amice, naviga; nos vero in Piræeo sedebimus rogantes qui ex Ægypto aut Italia appellent, num forte magnum Adimanti navigium, Isidem, aliquis viderit.

15. ΑΔΕΙΜ. Ὁρᾷς; διὰ τοῦτο ὤκνουν εἰπεῖν ἃ ἐνενόουν, εἰδὼς ὅτι ἐν γέλωτι καὶ σκώμματι ποιήσεσθέ μου τὴν εὐχήν. Ὥστε ἐπιστὰς μικρὸν, ἕστ' ἂν ὑμεῖς προχωρήσητε, ἀποπλευσοῦμαι πάλιν ἐπὶ τῆς νεώς· πολὺ γὰρ ἄμεινον τοῖς ναύταις προσλαλεῖν ἢ ὑφ' ὑμῶν καταγελᾶσθαι.

15. ADIM. Viden'? propterea dicere quæ cogitabam cunctabar, qui scirem risui vos et ludibrio votum meum habituros. Itaque resistam paullulum, dum vos processeritis, ac navim deinde rursus solvam et avehar: præstat enim cum nautis agere, quam a vobis derideri.

ΛΥΚ. Μηδαμῶς, ἐπεὶ συνεμβησόμεθά σοι καὶ αὐτοὶ ὑποστάντες.

LYC. Nequaquam, sed resistemus et ipsi, et conscendemus tecum.

ΑΔΕΙΜ. Ἀλλὰ ὑφαιρήσω τὴν ἀποβάθραν προεισελθών.

ADIM. At ego prægressus tollam ponticulum.

ΛΥΚ. Οὐκοῦν ἡμεῖς γε προσνηξόμεθα ὑμῖν· μὴ γὰρ οἴου σοὶ μὲν εἶναι ῥᾴδιον τηλικαῦτα πλοῖα κτᾶσθαι μήτε πριαμένῳ μήτε ναυπηγησαμένῳ, ἡμεῖς δὲ οὐκ αἰτήσομεν παρὰ τῶν θεῶν ἐπὶ πολλοὺς σταδίους ἀκμῆτες δύνασθαι νεῖν; καίτοι πρώην καὶ ἐς Αἴγιναν ἐπὶ τὴν τῆς Ἑνοδίας τελετὴν οἴσθα ἐν ἡλίκῳ σκαφιδίῳ πάντες ἅμα οἱ φίλοι τεττάρων ἕκαστος ὀβολῶν διεπλεύσαμεν, καὶ οὐδὲν ἐδυσχέραινες ἡμᾶς συμπλέοντας, νῦν δὲ ἀγανακτεῖς, εἰ συνεμβησόμεθά σοι, καὶ τὴν ἀποβάθραν προεισελθὼν ἀφαιρεῖς; ὑπερμαζᾷς γὰρ, ὦ Ἀδείμαντε, καὶ ἐς τὸν κόλπον οὐ πτύεις, οὐδὲ οἶσθα ὅστις ὢν ναυκληρεῖς. Οὕτως ἐπῆρέ σε καὶ ἡ οἰκία ἐν καλῷ τῆς πόλεως οἰκοδομηθεῖσα καὶ τῶν ἀκολούθων τὸ πλῆθος. Ἀλλ' ὦγαθὲ, πρὸς τῆς Ἴσιδος κἂν τὰ Νειλῶα

LYC. Nos itaque ad vos adnatabimus. Numquid enim putas facile tibi esse tot ac tantas possidere naves, quas nec emeris neque ædificaveris; nos vero votis non impetraturos a diis, ut multa stadia nihil fatigati natare possimus? Quanquam nuper etiam Æginam ad Hecates cerimonias, nosti, quam parva in scaphula omnes simul amici quaternis quisque obolis trajecerimus, nec molestum tibi tum erat nobiscum navigare: nunc autem fers graviter, si tecum inscendamus, et prægressus aufers ponticulum? nimis enim intumescis, Adimante, et in sinum tuum non despuis, neque, quis homo sis, tantus jam nauclerus cogitas. Ita te elatum fecit etiam domus in pulcherrimo urbis loco ædificata, et multitudo pedissequorum. Sed per Isidem, amice, certe

ταῦτα ταρίχη τὰ λεπτὰ μέμνησο ἡμῖν ἄγειν ἀπ' Αἰγύπτου ἢ μύρον ἀπὸ τοῦ Κανώπου ἢ Ἶβιν ἐκ Μέμφιδος, εἰ δὲ ἡ ναῦς ἐδύνατο, καὶ τῶν πυραμίδων μίαν.

16. ΤΙΜ. Ἅλις παιδιᾶς, ὦ Λυκῖνε. Ὁρᾷς, ὡς ἐρυθριᾶν Ἀδείμαντον ἐποίησας πολλῷ τῷ γέλωτι ἐπικλύσας τὸ πλοῖον, ὡς ὑπέραντλον εἶναι καὶ μηκέτι ἀντέχειν πρὸς τὸ ἐπιρρέον; καὶ ἐπείπερ ἔτι πολὺ ἡμῖν τὸ λοιπόν ἐστι πρὸς τὸ ἄστυ, διελόμενοι τετραχῇ τὴν ὁδὸν κατὰ τοὺς ἐπιβάλλοντας ἕκαστος σταδίους αἰτῶμεν ἅπερ ἂν δοκῇ παρὰ τῶν θεῶν· οὕτω γὰρ ἂν ἡμᾶς ὅ τε κάματος λάθοι καὶ ἅμα εὐφρανούμεθα ὥσπερ ἡδίστῳ ὀνείρατι ἐκουσίῳ περιπεσόντες, ἐφ' ὅσον βουλόμεθα, εὖ ποιήσοντι ἡμᾶς· παρ' αὐτῷ γὰρ ἑκάστῳ τὸ μέτρον τῆς εὐχῆς, καὶ οἱ θεοὶ πάντα ὑποκείσθωσαν παρέξοντες, εἰ καὶ τῇ φύσει ἀπίθανα ἔσται. Τὸ δὲ μέγιστον, ἐπίδειξις ἔσται τὸ πρᾶγμα ὅστις ἂν ἄριστα χρήσαιτο τῷ πλούτῳ καὶ τῇ εὐχῇ· δηλώσει γὰρ οἷος ἂν καὶ πλουτήσας ἐγένετο.

17. ΣΑΜ. Καλῶς, ὦ Τιμόλαε, καὶ πείθομαί σοι καὶ ὅταν ὁ καιρὸς καλῇ, εὔξομαι ἅπερ ἂν δοκῇ. Εἰ μὲν γὰρ Ἀδείμαντος βούλεται, οὐδὲ ἐρωτᾶν οἶμαι, ὅς γε δὴ ἐν τῇ νηὶ τὸν ἕτερον πόδα ἔχει. Χρὴ δὲ καὶ Λυκίνῳ δοκεῖν.

ΛΥΚ. Ἀλλὰ πλουτῶμεν, εἰ τοῦτο ἄμεινον, μὴ καὶ βασκαίνειν ἐν ταῖς κοιναῖς εὐτυχίαις δοκῶ.

ΑΔΕΙΜ. Τίς γοῦν πρῶτος ἄρξεται;

ΛΥΚ. Σὺ, ὦ Ἀδείμαντε, εἶτα μετὰ σὲ οὑτοσὶ Σάμιππος, εἶτα Τιμόλαος, ἐγὼ δὲ ὀλίγον ὅσον ἡμιστάδιον τὸ πρὸ τοῦ Διπύλου ἐπιλήψομαι τῇ εὐχῇ, καὶ τοῦτο ὡς οἷόν τε παραδραμών.

18. ΑΔΕΙΜ. Οὐκοῦν ἐγὼ μὲν οὐδὲ νῦν ἀποστήσομαι τῆς νεώς, ἀλλ' ἐπείπερ ἔξεστιν, ἐπιμετρήσω τῇ εὐχῇ· ὁ δὲ Ἑρμῆς ὁ κερδῷος ἐπινευσάτω ἅπασιν. Ἔστω γὰρ τὸ πλοῖον καὶ τὰ ἐν αὐτῷ πάντα ἐμὰ καὶ ὁ φόρτος οἱ ἔμποροι αἱ γυναῖκες οἱ ναῦται καὶ ἄλλο εἴ τι ἥδιστον κτημάτων ἁπάντων.

ΣΑΜ. Λέληθας σεαυτὸν ἔχων ἐν τῇ νηΐ.

ΑΔΕΙΜ. Τὸν παῖδα φῄς, ὦ Σάμιππε, τὸν κομήτην. Κἀκεῖνος οὖν ἔστω ἐμός. Ὁπόσος δὲ ὁ πυρὸς ἔνδον ἐστὶν, οὗτος ὁ ἀριθμὸς ἅπας χρυσίον ἐπίσημον γενέσθω, τοσοῦτοι δαρεικοί.

19. ΛΥΚ. Τί τοῦτο, ὦ Ἀδείμαντε; καταδύσεταί σοι τὸ πλοῖον, οὐ γὰρ ἴσον βάρος πυροῦ καὶ ἰσαρίθμου χρυσοῦ.

ΑΔΕΙΜ. Μὴ φθόνει, ὦ Λυκῖνε, ἀλλ' ἐπειδὰν εἰς σὲ παρέλθῃ ἡ εὐχὴ, τὴν Πάρνηθα ἐκείνην, εἰ θέλεις, ὅλην χρυσῆν ποιήσας ἔχε, κἀγὼ σιωπήσομαί σοι.

ΛΥΚ. Ἀλλ' ὑπὲρ ἀσφαλείας τοῦτο ἔγωγε τῆς σῆς ἐποιησάμην, ὡς μὴ ἀπολέσθαι ἅπαντας μετὰ τοῦ χρυσίου· καὶ τὰ μὲν ἡμέτερα μέτρια, τὸ μειράκιον δὲ τὸ ὡραῖον ἀποπνιγήσεται ἄθλιον νεῖν οὐκ ἐπιστάμενον.

ΤΙΜ. Θάρρει, ὦ Λυκῖνε· οἱ δελφῖνες γὰρ αὐτὸ ὑποδύντες ἐξοίσουσιν ἐπὶ τὴν γῆν. Ἢ νομίζεις κιθαρῳδὸν μέν τινα σωθῆναι παρ' αὐτῶν καὶ ἀπολαβεῖν τὸν

Nilotica illa salsamenta, illa tenuia afferre nobis ex Ægypto memineris, aut unguentum de Canopo, aut ex Memphide Ibin; si vero navis possit, unam etiam pyramidum.

16. TIM. Satis joci, Lycine. Vides ut ruborem Adimanto injeceris, tam multo risu perfundens navigium, ut exhauriri jam non possit, neque undarum vim sustinere? Et quando adhuc multum nobis viæ ad urbem superest, divisa in quattuor partes via, per stadia quisque sibi assignata, quod cuique visum fuerit, a diis optemus: sic enim et laborem fefellerimus, et oblectaverimus animum, tanquam in suavissimum voluntate nostra somnium delapsi, quod, quam diu voluerimus, voluptatem nobis afferat. Penes unumquemque enim votorum erit mensura, ponemusque præbituros omnia deos, licet natura sua ab omni veri similitudine abhorreant. Quod vero maximum est, documento ipsum hoc fuerit, quisnam optime sit usurus divitiis atque voto: ostendet enim qualis homo esset, si esset dives.

17. SAM. Præclare istuc, Timolae; equidem tibi obtempero, et quum tempus me vocaverit, quæ videbuntur optabo. Utrum enim velit Adimantus, ne quærendum quidem puto, qui jam alterum in navi pedem habeat. Oportet vero Lycino etiam idem videri.

LYC. Imo simus divites, si hoc videtur melius, ne invidere etiam in communi felicitate videar.

ADIM. Quis ergo primus incipiet?

LYC. Tu, Adimante, deinde post te hic Samippus, deinde Timolaus; ego vero parvi semistadii spatio ante Dipylum (*portam geminam*) votum aggrediar, vel illud quantum potero percursurus.

18. ADIM. Proinde ego ne nunc quidem a nave discedam; verum, quandoquidem licet, corollarium voto meo adjiciam: Mercurius autem lucrificus ille omnibus annuat. Sit ergo navis et quicquid in illa est, mea omnia, sarcinæ, vectores, mulieres, nautæ, et si qua ibi alia possessionum omnium suavissima.

SAM. Inscius ipse illam jam habes in navi.

ADIM. De puero, Samippe, loqueris, comato illo. Et ille ergo meus esto. Quantum vero in navi est tritici, universus ille numerus, aurum signatum fiat, Darici totidem.

19. LYC. Quid hoc, Adimante? mergetur tibi navigium; neque enim idem pondus tritici et pari numero auri.

ADIM. Noli invidere mihi, Lycine; sed quum ad te optandi sors delata fuerit, Parnetha illum, si vis, totum aureum factum tibi habe, et ego tibi præstabo silentium.

LYC. Verum pro tua ego hoc securitate feci, ne cum auro pereamus omnes: ac quantum ad nos attinet, mediocre illud periculum fuerit; at formosus ille adolescentulus periret, qui nare miser nescit.

TIM. Bono es animo, Lycine: delphini enim subeuntes illum in terram deportabunt. Aut putas citharœdum quendam ab iis servatum cantus sui mercedem percepisse;

μισθὸν ἀντὶ τῆς ᾠδῆς καὶ νεκρόν τι ἄλλο παιδίον ἐς τὸν Ἰσθμὸν ἐπὶ δελφῖνος ὁμοίως προκομισθῆναι, τὸν δὲ Ἀδειμάντου οἰκέτην τὸν νεώνητον ἀπορήσειν δελφῖνος ἐρωτικοῦ;

ΑΔΕΙΜ. Καὶ σὺ γάρ, Τιμόλαε, μιμῇ Λυκῖνον καὶ ἐπιμετρεῖς τῶν σκωμμάτων, καὶ ταῦτα εἰσηγητὴς αὐτὸς γενόμενος;

20. ΤΙΜ. Ἄμεινον ἦν πιθανώτερον αὐτὸ ποιεῖν καί τινα θησαυρὸν ὑπὸ τῇ κλίνῃ ἀνευρεῖν, ὡς μὴ πράγματα ἔχοις ἐκ τοῦ πλοίου μετατιθεὶς χρυσίον ἐς τὸ ἄστυ.

ΑΔΕΙΜ. Εὖ λέγεις, καὶ ἀνορωρύχθω θησαυρὸς ὑπὸ τὸν Ἑρμῆν τὸν λίθινον, ὃς ἐστιν ἡμῖν ἐν τῇ αὐλῇ, μέδιμνοι χίλιοι χρυσίου ἐπισήμου. Εὐθὺς οὖν κατὰ τὸν Ἡσίοδον οἶκος τὸ πρῶτον, ὡς ἂν ἐπισημότατα οἰκοίην, καὶ τὰ περὶ τὸ ἄστυ πάντα ὠνησάμην ἤδη πλὴν ὅσα Ἰσθμοῖ καὶ Πυθοῖ, καὶ ἐν Ἐλευσῖνι ὅσα ἐπὶ θαλάττῃ καὶ περὶ τὸν Ἰσθμὸν ὀλίγα τῶν ἀγώνων ἕνεκα, εἴ ποτε δὴ τὰ Ἴσθμια ἐπιδημήσαιμι, καὶ τὸ Σικυώνιον πεδίον, καὶ ὅλως εἴ πού τι συνηρεφὲς ἢ ἔνυδρον ἢ εὔκαρπον ἐν τῇ Ἑλλάδι, πάντα ἐν ὀλίγῳ Ἀδειμάντου ἔστω. Ὁ χρυσὸς δὲ κοῖλος ἡμῖν ἐμφαγεῖν, τὰ δὲ ἐκπώματα οὐ κοῦφα ὡς τὰ Ἐχεκράτους, ἀλλὰ δικάλαντον ἕκαστον τὴν ὁλκήν.

21. ΛΥΚ. Εἶτα πῶς ὁ οἰνοχόος ὀρέξει πλῆρες οὕτω βαρὺ ἔκπωμα; ἢ σὺ δέξῃ παρ' αὐτοῦ ἀμογητὶ οὐ σκύφον, ἀλλὰ Σισύφειόν τι βάρος ἀναδιδόντος;

ΑΔΕΙΜ. Ἄνθρωπε, μή μ' ἀνάλυε τὴν εὐχήν. Ἐγὼ δὲ καὶ τραπέζας ὅλας χρυσᾶς ποιήσομαι καὶ τὰς κλίνας χρυσᾶς, εἰ δὲ μὴ σιωπήσῃ, καὶ τοὺς διακόνους αὐτούς.

ΛΥΚ. Ὅρα μόνον μὴ ὥσπερ τῷ Μίδᾳ καὶ ὁ ἄρτος σοι καὶ τὸ ποτὸν χρυσὸς γένηται καὶ πλουτῶν ἄθλιος ἀπόλῃ λιμῷ διαφθαρεὶς πολυτελεῖ.

ΑΔΕΙΜ. Τὰ σὰ ῥυθμιεῖς πιθανώτερον, ὦ Λυκῖνε, μετ' ὀλίγον, ἐπειδὰν αὐτὸς αἰτῇς.

22. Ἐσθὴς ἐπὶ τούτοις ἁλουργὶς καὶ ὁ βίος οἷος ἁβρότατος, ὕπνος ἐφ' ὅσον ἥδιστος, φίλων πρόσοδοι καὶ δεήσεις καὶ τὸ ἅπαντας ὑποπτήσσειν καὶ προσκυνεῖν· καὶ οἱ μὲν ἔωθεν πρὸς ταῖς θύραις ἄνω καὶ κάτω περιπατήσουσιν, ἐν αὐτοῖς δὲ καὶ Κλεαίνετος καὶ Δημόκριτος οἱ πάνυ, καὶ προσελθοῦσί γε αὐτοῖς καὶ πρὸ τῶν ἄλλων εἰσδεχθῆναι ἀξιοῦσι θυρωροὶ ἑπτὰ ἐφεστῶτες, εὐμεγέθεις βάρβαροι, προσαραξάτωσαν ἐς τὸ μέτωπον εὐθὺ τὴν θύραν, οἷα νῦν αὐτοὶ ποιοῦσιν. Ἐγὼ δέ, ὁπόταν δόξῃ, προκύψας ὥσπερ ὁ ἥλιος ἐκείνων μὲν οὐδ' ἐπιβλέψομαι ἐνίους, εἰ δέ τις πένης, οἷος ἦν ἐγὼ πρὸ τοῦ θησαυροῦ, φιλοφρονήσομαι τοῦτον καὶ λουσάμενον ἥκειν κελεύσω τὴν ὥραν ἐπὶ τὸ δεῖπνον. Οἱ δὲ ἀποπνιγήσονται οἱ πλούσιοι ὁρῶντες ὀχήματα, ἵππους καὶ παῖδας ὡραίους ὅσον δισχιλίους, ἐξ ἁπάσης ἡλικίας ὅ τι περ τὸ ἀνθηρότατον.

23. Εἶτα δεῖπνα ἐπὶ χρυσοῦ — εὐτελὴς γὰρ ὁ ἄργυρος καὶ οὐ κατ' ἐμέ — τάριχος μὲν ἐξ Ἰβηρίας, οἶνος

et mortuum adolescentulum alium in Isthmum delphini tergo similiter exportatum, Adimanti autem servulo recens emto amatorium esse defuturum?

ADIM. Tu etiam, Timolae, Lycinum imitaris, et adjicis ludibria, ipse auctor hujus sermonis quum fueris?

20. TIM. Nempe melius erat, majori cum probabilitate hoc facere, ac thesaurum quendam invenire sub lecto, ne tantum negotii tibi facessat transferendus e navi in urbem thesaurus.

ADIM. Recte mones: effossus esto thesaurus sub Mercurio lapideo, quem in aula habemus, medimni mille auri signati. Statim ergo de sententia Hesiodi, « Prima domus, » ut splendidissime habitem: jam quæ circa urbem sunt emi omnia, præter ea quæ Isthmi et Pythone, et Eleusinis maritima, et pauca circa Isthmum, ludorum causa, si quando ad Isthmia spectanda ibi commorer; et campum Sicyonium, et in universum, si quid usquam aut opacum aut irriguum, aut fœcundum in Græcia, brevi tempore Adimanti sunto omnia. Aurum nobis esto factum in quo edamus; pocula non levia, qualia Echecratis, sed talentorum duorum unumquodque pondere.

21. LYC. Tum quomodo pincerna tibi præbebit plenum grave adeo poculum? aut tu quomodo ab illo capies sine molestia non scyphum, sed Sisyphium quoddam onus tibi præbente?

ADIM. Heus tu! noli turbare votum meum. Ego vero mensas etiam ex auro solidas mihi faciam, et lectos aureos, ac, nisi tacueris, ipsos quoque famulos.

LYC. Vide modo ne velut Midæ etiam panis tibi et potus aurum fiant, atque inter divitias pereas miser, fame sumtuosa enectus.

ADIM. Tua paullo post probabilius ordinare, Lycine, licebit, quum optabis ipse.

22. Vestis post hæc mihi erit purpurea, et victus quam mollissimus, somnus quam diu erit jucundissimus; salutationes amicorum et preces, atque illud, ut revercantur omnes et adorent. Atque alii a summo mane ad januas inambulabunt sursum deorsum, inter illosque Cleænetus et Democritus, summi viri; et accedentibus illis intromittique ante alios volentibus, astantes janitores septem bene magni barbari, in ipsam frontem ilico impingant januam, ut nunc ipsi faciunt. Ego vero, ubi visum fuerit, solis instar exoriens quosdam illorum neque aspiciam: si quis vero pauper astet, qualis ego ante thesaurum fueram, hunc tractabo humaniter, et post balneum justo tempore venire ad cœnam jubebo. Isti vero rumpentur divites, quum videbunt currus, equos, pueros formosos bis mille circiter, quicquid ex omni ætate erit florentissimum.

23. Tum cœnæ in auro; vile enim nimis argentum, nec me dignum: salgama ex Iberia; ex Italia vinum;

δὲ ἐξ Ἰταλίας, ἔλαιον δὲ ἐξ Ἰβηρίας καὶ τοῦτο, μέλι δὲ ἡμέτερον τὸ ἄπυρον, καὶ ὄψα πανταχόθεν καὶ σύες καὶ λαγῶς, καὶ ὅσα πτηνὰ, ὄρνις ἐκ Φάσιδος καὶ ταὼς ἐξ Ἰνδίας καὶ ἀλεκτρυὼν ὁ Νομαδικός· οἱ δὲ σκευάζοντες ἕκαστα σοφισταί τινες περὶ πέμματα καὶ χυμοὺς ἔχοντες. Εἰ δέ τινι προπίοιμι σκύφον ἢ φιάλην αἰτήσας, ὁ ἐκπιὼν ἀποφερέτω καὶ τὸ ἔκπωμα.

24. Οἱ δὲ νῦν πλούσιοι πρὸς ἐμὲ Ἴροι δηλαδὴ ἅπαντες, καὶ οὐκέτι τὸ ἀργυροῦν πινάκιον ἢ τὸν σκύφον ἐπιδείξεται Διόνικος ἐν τῇ πομπῇ, καὶ μάλιστα ἐπειδὰν ὁρᾷ τοὺς οἰκέτας τοὺς ἐμοὺς ἀργύρῳ τοσούτῳ χρωμένους· τῇ πόλει δὲ ταῦτα ἐξαίρετα παρ' ἐμοῦ ὑπῆρξεν ἄν, αἱ μὲν διανομαὶ κατὰ μῆνα ἕκαστον δραχμαὶ τῷ μὲν ἀστῷ ἑκατὸν, τῷ δὲ μετοίκῳ ἥμισυ τούτων, δημόσια δὲ ἐς κάλλος θέατρα καὶ βαλανεῖα, καὶ τὴν θάλατταν ἄχρι πρὸς τὸ Δίπυλον ἥκειν κἀνταῦθά που λιμένα εἶναι ἐπαχθέντος ὀρύγματι μεγάλῳ τοῦ ὕδατος, ὡς τὸ πλοῖόν μου πλησίον ὁρμεῖν καταφανὲς ὂν ἐκ τοῦ Κεραμεικοῦ.

25. Τοῖς φίλοις δὲ ὑμῖν, Σαμίππῳ μὲν εἴκοσι μεδίμνους ἐπισήμου χρυσίου παραμετρῆσαι τὸν οἰκονόμον ἐκέλευσα ἄν, Τιμολάῳ δὲ πέντε χοίνικας, Λυκίνῳ δὲ χοίνικα, ἀπομεμαγμένην καὶ ταύτην, ὅτι λάλος ἐστὶ καὶ ἐπισκώπτει μου τὴν εὐχήν. Τοῦτον ἐβουλόμην βιῶναι τὸν βίον πλουτῶν ἐς ὑπερβολὴν καὶ τρυφῶν καὶ πάσαις ἡδοναῖς ἀφθόνως χρώμενος. Εἴρηκα, καί μοι ὁ Ἑρμῆς τελεσιουργήσειεν αὐτά.

26. ΛΥΚ. Οἶσθα οὖν, ὦ Ἀδείμαντε, ὡς πάνυ σοι ἀπὸ λεπτῆς κρόκης ὁ πᾶς οὑτοσὶ πλοῦτος ἀπήρτηται, καὶ ἢν ἐκείνη ἀπορραγῇ, πάντα οἴχεται καὶ ἄνθρακές σοι ὁ θησαυρὸς ἔσται;

ΑΔΕΙΜ. Πῶς λέγεις, ὦ Λυκῖνε;

ΛΥΚ. Ὅτι, ὦ ἄριστε, ἄδηλον ὁπόσον χρόνον βιώσει πλουτῶν. Τίς γὰρ οἶδεν εἰ ἔτι σοι παρακειμένης τῆς χρυσῆς τραπέζης, πρὶν ἐπιβαλεῖν τὴν χεῖρα καὶ ἀπογεύσασθαι τοῦ ταὼ ἢ τοῦ Νομάδος ἀλεκτρυόνος, ἀποψυσήσας τὸ ψυχίδιον ἄπει γυψὶ καὶ κόραξι πάντα ἐκεῖνα καταλιπών; ἢ ἐθέλεις καταριθμήσωμαί σοι τοὺς μὲν αὐτίκα τοῦ πλούτου πρὶν ἀπολαῦσαι ἀποθανόντας, ἐνίους δὲ καὶ ζῶντας ἀποστερηθέντας ὧν εἶχον ὑπό τινος βασκάνου πρὸς τὰ τοιαῦτα δαίμονος; ἀκούεις γάρ που τὸν Κροῖσον καὶ τὸν Πολυκράτην πολύ σου πλουσιωτέρους γενομένους ἐκπεσόντας ἐν βραχεῖ τῶν ἀγαθῶν ἁπάντων.

27. Ἵνα δέ σοι καὶ τούτους ἀφῶ, τό γε ὑγιαίνειν ἐγγυητὴν οἴει σοι γενήσεσθαι καὶ βέβαιον; ἢ οὐχ ὁρᾷς πολλοὺς τῶν πλουσίων κακοδαιμόνως διάγοντας ὑπὸ τῶν ἀλγηδόνων, τοὺς μὲν οὐδὲ βαδίζειν δυναμένους, ἐνίους δὲ τυφλοὺς ἢ τῶν ἐντοσθιδίων τι ἀλγοῦντας; Ὅτι μὲν γὰρ οὐκ ἂν ἕλοιο πλουτῶν δὶς τοσοῦτον πλοῦτον ὅμοια πάσχειν Φανομάχῳ τῷ πλουσίῳ καὶ θηλύνεσθαι ὡς ἐκεῖνος εὖ οἶδα, κἂν μὴ εἴπῃς. Ἐῶ λέγειν ὅσας ἐπιβουλὰς μετὰ τοῦ πλούτου καὶ λῃστὰς καὶ φθόνον καὶ μῖσος παρὰ τῶν πολλῶν. Ὁρᾷς οἷον σοι πραγμάτων αἴτιος ὁ θησαυρὸς γίγνεται;

oleum ipsum quoque ex Iberia; mel autem nostras illud sine igne depuratum; et obsonia undique, et apri, et lepores; et quod ad volucria, gallina e Phaside, ex India pavo, gallus autem Numidicus : qui vero parent singula, sophistæ quidam sunto in coquendo et succis parandis exercitati. Si cui vero propinem scypho postulato aut phiala, qui ebibit, poculum quoque ipsum auferat.

24. Qui vero jam sunt divites, Iri ad me et mendici nimirum sunto omnes : neque amplius parvulam illam lancem argenteam, aut poculum, in pompa ostentabit Dionicus; præsertim ubi viderit servos meos tanto uti argento. Civitati vero hæc a me insignia munera contigerint : divisiones menstruæ, drachmæ civi unicuique centum; inquilino harum dimidium; publica ad pulchritudinem exculta theatra, et balineæ, et ut mare ad Dipylum usque perveniat, atque hic circiter portus sit, adducta per magnam fossam aqua, ut prope appellere navis mea possit, ab ipso inde Ceramico jam conspicua.

25. Amicis autem vobis, Samippo quidem viginti medimnos auri signati dispensatorem meum admetiri juberem; Timolao chœnices quinque; Lycino autem chœnicem, atque adeo abrasam, quod garrulus est, meumque votum irridet. Hanc ego vellem vitam vivere, divitiis supra modum affluens, et deliciis voluptatibusque omnibus fruens liberrime. Dixi : ac perficiat ista mihi Mercurius.

26. LYC. Nosti ergo, Adimante, quam a tenui tibi filo universæ istæ divitiæ suspensæ sint? quo rupto, perierint omnia, et carbones tibi pro thesauro relinquantur?

ADIM. Quid ita, Lycine?

LYC. Quod obscurum est, vir bone, quam diu sis in istis divitiis victurus. Quis enim novit annon apposita adhuc mensa illa aurea, ante etiam quam manum injicias ac gustes de pavone illo vel de gallo Numidico, efflata animula hinc abeas, vulturibus et corvis relinquens ista omnia? aut vis ut eos tibi recenseam, qui statim, antequam fruerentur divitiis, mortui sunt; quosdam vero etiam dum viverent, iis quæ habebant ab invido quodam ad talia dæmone privatos? audisti enim forte Crœsum et Polycratem, multum te ditiores, bonis omnibus brevi tempore excidisse.

27. Ut autem hos etiam tibi remittam, an valetudinem tibi tanquam sponsore quodam certam firmamque futuram arbitraris? aut non vides multos divitum misere a doloribus habere, quosdam ne incedere quidem valentes, aliquos cæcos, aut intestino quodam dolore laborantes? Te enim ne cum altero quidem tanto divitiarum optaturum esse ea pati, quæ dives ille Phanomachus, atque ita, ut iste, effeminari, etiam te tacente bene novi. Mitto dicere quot insidiæ esse soleant cum divitiis, et latrones, et invidia, et odium multitudinis. Vides quot tibi negotia facessat thesaurus?

ΑΔΕΙΜ. Ἀεὶ σύ μοι, ὦ Λυκῖνε, ὑπεναντίος· ὥστε οὐδὲ τὴν χοίνικα ἔτι λήψῃ ἐς τέλος μου τῆς εὐχῆς ἐπηρεάζων.

ΛΥΚ. Τοῦτο μὲν ἤδη κατὰ τοὺς πολλοὺς τῶν πλουσίων ἀναδύῃ καὶ ἀνακαλεῖς τὴν ὑπόσχεσιν. Ἀλλὰ σὺ ἤδη ὁ Σάμιππος εὔχου.

28. ΣΑΜ. Ἐγὼ δὲ — ἠπειρώτης γάρ εἰμι, Ἀρκὰς ἐκ Μαντινείας, ὡς ἴστε — ναῦν μὲν οὐκ αἰτήσομαί μοι γενέσθαι, ἣν γε τοῖς πολίταις ἐπιδείξασθαι ἀδύνατον, οὐδὲ μικρολογήσομαι πρὸς τοὺς θεοὺς θησαυρὸν αἰτῶν καὶ μεμετρημένον χρυσίον· ἀλλὰ δύνανται γὰρ πάντα οἱ θεοί, καὶ τὰ μέγιστα εἶναι δοκοῦντα, καὶ ὁ νόμος τῆς εὐχῆς ὃν Τιμόλαος ἔθηκε φήσας μηδὲν ὀκνεῖν αἰτεῖν, ὡς ἐκείνων πρὸς οὐδὲν ἀνανευόντων· αἰτῶ δὴ βασιλεὺς γενέσθαι οὐχ οἷος Ἀλέξανδρος ὁ Φιλίππου ἢ Πτολεμαῖος ἢ Μιθριδάτης ἢ εἴ τις ἄλλος ἐκδεξάμενος τὴν βασιλείαν παρὰ πατρὸς ἦρξεν, ἀλλά μοι τὸ πρῶτον ἀπὸ λῃστείας ἀρξαμένῳ ἑταῖροι καὶ συνωμόται ὅσον τριάκοντα, πιστοὶ μάλα καὶ πρόθυμοι, γενέσθωσαν, εἶτα κατ' ὀλίγον τριακόσιοι προσιόντες ἡμῖν ἄλλος ἐπ' ἄλλῳ, εἶτα χίλιοι καὶ μετ' οὐ πολὺ μύριοι, καὶ τὸ πᾶν εἰς πέντε μυριάδας τὸ ὁπλιτικόν, ἱππεῖς δὲ ἀμφὶ τοὺς πεντακισχιλίους.

29. Ἐγὼ δὲ χειροτονητὸς ὑφ' ἁπάντων προχριθεὶς ἄρχων, ἄριστος εἶναι δόξας ἀνθρώπων ἡγεῖσθαι καὶ πράγμασι χρῆσθαι· ὡς τοῦτό γε αὐτὸ ἤδη μείζονα εἶναι τῶν ἄλλων βασιλέων ἅτε ἀρετῇ προχειρισθέντα ὑπὸ τῆς στρατιᾶς ἄρχειν, οὐ κληρονόμον γενόμενον ἄλλου πονήσαντος ἐς τὴν βασιλείαν· ἐπεὶ τῷ Ἀδειμάντου θησαυρῷ παραπλήσιον τὸ τοιοῦτο, καὶ τὸ πρᾶγμα οὐχ ὁμοιον ἦδυ, ὥσπερ ὅταν ἴδῃ τις αὐτὸς δι' αὑτοῦ κτησάμενος τὴν δυναστείαν.

ΛΥΚ. Παπαῖ, ὦ Σάμιππε, οὐδὲν μικρόν, ἀλλὰ τὸ κεφάλαιον αὐτὸ τῶν ἀγαθῶν ἁπάντων σύ γε ᾔτησας, ἄρχειν ἀσπίδος τοσαύτης ἄριστος δὴ προχριθεὶς ὑπὸ τῶν πεντακισμυρίων. Τοιοῦτον ἡμῖν ἡ Μαντίνεια θαυμαστὸν βασιλέα καὶ στρατηγὸν ἐλελήθει ἀνατρέφουσα. Πλὴν ἀλλὰ βασίλευε καὶ ἡγοῦ τῶν στρατιωτῶν καὶ διακόσμει τό τε ἱππικὸν καὶ τοὺς ἀνέρας τοὺς ἀσπιδιώτας· ἐθέλω γὰρ εἰδέναι οἳ βαδιεῖσθε τοσοῦτοι ὄντες ἐξ Ἀρκαδίας ἢ ἐπὶ τίνας ἀθλίους πρώτους ἀφίξεσθε.

30. ΣΑΜ. Ἄκουε, ὦ Λυκῖνε, μᾶλλον δὲ, εἴ σοι φίλον, ἀκολούθει μεθ' ἡμῶν· ἵππαρχον γάρ σε τῶν πεντακισχιλίων ἀποφανῶ.

ΛΥΚ. Ἀλλὰ τῆς μὲν τιμῆς, ὦ βασιλεῦ, χάριν οἶδά σοι καὶ ὑποκύψας εἰς τὸ Περσικὸν προσκυνῶ σε περιαγαγὼν εἰς τοὐπίσω τὼ χεῖρε τιμῶν τὴν τιάραν ὀρθὴν οὖσαν καὶ τὸ διάδημα· σὺ δὲ τῶν ἐρρωμένων τούτων τινὰ ποίησον ἵππαρχον· ἐγὼ γάρ σοι δεινῶς ἄφιππός εἰμι καὶ οὐδὲ ὅλως ἐπέβην ἵππου ἐν τῷ πρὸ τοῦ χρόνῳ. Δέδια τοίνυν μὴ τοῦ σαλπιγκτοῦ ἐποτρύνοντος καταπεσὼν ἔγωγε συμπατηθῶ ἐν τῇ τύρβῃ ὑπὸ τοσαύταις ὁπλαῖς, ἢ καὶ θυμοειδὴς ὢν ὁ ἵππος ἐξενέγκῃ με τὸν χαλινὸν ἐνδακὼν ἐς μέσους τοὺς πολεμίους, ἢ δεήσει

ADIM. Semper tu mihi, Lycine, adversaris. Itaque nec chœnicem jam accipies, usque ad finem voti mei molestus.

LYC. Istuc jam pro more vulgi divitum facis, quod retractas et revocas promissum. Sed tu jam, Samippe, opta.

28. SAM. Ego autem (quippe mediterraneus homo, Arcas, ut nostis, ex Mantinea) navem mihi obtingere non optabo, quippe quam ostendere civibus meis nequeam: neque ita avare cum diis agam, uti thesaurum optem ac dimensum aurum. Verum enim, quum possint omnia dii, etiam quæ maxima videntur, et lex optandi hæc sit, quam Timolaus posuit, quum dixit, ne quid verecundemur optare, tanquam nihil illis renuentibus: opto jam rex fieri, non qualis Alexander Philippi, aut Ptolemæus, aut Mithridates, aut si quis alius acceptum a patre regnum tenuit; sed mihi primum a latrociniis auspicanti sodales contingant et conjurati circiter triginta, fideles maxime atque alacres: tum accedentes paullatim nobis trecenti, alius post alium; tum mille, et non ita multo post, decies mille: et universum esto ad quinquaginta millia armatorum, equites vero circiter quinquies mille.

29. Ego vero suffragiis omnium prælatus imperator, qui optime videar hominibus præesse et tractare negotia: ut eo ipso jam major sim regibus ceteris, tanquam per virtutem promotus ab exercitu ad regendum, non heres factus alius qui in regno parando elaborarit: quando hoc thesauro Adimanti valde simile est, neque res æque jucunda, quam si quis per se sibi partum imperium videat.

LYC. Papæ, Samippe, nihil parvum, sed ipsum caput bonorum tu quidem petiisti, tantæ multitudini armatorum imperare, præstantissimum judicatum a quinquaginta millibus. Talem nobis, tam admirabilem regem ducemque, insciis nobis, Mantinea enutriebat. Verum regna jam, et duc milites, adorna equitatum et viros scutatos. Volo enim scire quo ituri sitis tot homines ex Arcadia, aut ad quos miseros primum accessuri.

30. SAM. Audi, Lycine, vel potius nos, si volueris, comitare: præfectum enim illis te equitum quinque millibus constituam.

LYC. Verum ego honoris hujus tibi, rex, gratiam facio, inclinatusque Persarum in morem te adoro, reductis in tergum manibus, tiaram illam tuam erectam venerans ac diadema: at tu de robustis hisce unum fac præfectum equitum. Ego enim vehementer ab re equestri abhorreo, neque omnino equum superiori tempore conscendi. Metuo igitur ne, classicum canente tubicine, delapsus ego in turba conculcer tot sub ungulis, aut etiam ne acer equus frena mordens in medios me hostes inferat, aut ne ad ephippium

καταδεθῆναί με πρὸς τὸ ἐφίππιον, εἰ μέλλω μενεῖν τε ἄνω καὶ ἕξεσθαι τοῦ χαλινοῦ.

31. ΑΔΕΙΜ. Ἐγώ σοι, ὦ Σάμιππε, ἡγήσομαι τῶν ἱππέων, Λυκῖνος δὲ τὸ δεξιὸν κέρας ἐχέτω. Δίκαιος δ' ἂν εἴην τυχεῖν παρὰ σοῦ τῶν μεγίστων τοσούτοις σε μεδίμνοις δωρησάμενος ἐπισήμου χρυσίου.

ΣΑΜ. Καὶ αὐτοὺς ἐρώμεθα, ὦ Ἀδείμαντε, τοὺς ἱππέας, εἰ δέξονταί σε ἄρχοντα σφῶν γενέσθαι. Ὅτῳ δοκεῖ, ὦ ἱππεῖς, Ἀδείμαντον ἱπαρχεῖν, ἀνατεινάτω τὴν χεῖρα.

ΑΔΕΙΜ. Πάντες, ὡς ὁρᾷς, ὦ Σάμιππε, ἐχειροτόνησαν.

ΣΑΜ. Ἀλλὰ σὺ μὲν ἄρχε τῆς ἵππου, Λυκῖνος δὲ ἐχέτω τὸ δεξιόν· οὑτοσὶ δὲ Τιμόλαος ἐπὶ τοῦ εὐωνύμου τετάξεται· ἐγὼ δὲ κατὰ μέσον, ὡς νόμος βασιλεῦσι τῶν Περσῶν, ἐπειδὰν αὐτοὶ συμπαρῶσι.

32. Προίωμεν δὲ ἤδη τὴν ἐπὶ Κορίνθου διὰ τῆς ὀρεινῆς ἐπευξάμενοι τῷ βασιλείῳ Διί· κἀπειδὰν τάν τῇ Ἑλλάδι πάντα ἤδη χειρωσώμεθα — οὐδεὶς γὰρ ὁ ἐναντιωθησόμενος ἡμῖν τὰ ὅπλα τοσούτοις οὖσιν, ἀλλ' ἀκοντὶ κρατήσομεν— ἐπιβάντες ἐπὶ τὰς τριήρεις καὶ τοὺς ἵππους ἐς τὰς ἱππαγωγοὺς ἐμβιβάσαντες — παρεσκεύασται δ' ἐν Κεγχρεαῖς καὶ σῖτος ἱκανὸς καὶ τὰ πλοῖα διαρκῆ καὶ τἆλλα πάντα — διαβάλλωμεν τὸν Αἰγαῖον εἰς τὴν Ἰωνίαν, εἶτα ἐκεῖ τῇ Ἀρτέμιδι θύσαντες καὶ τὰς πόλεις ἀτειχίστους λαβόντες ῥᾳδίως ἄρχοντας ἀπολιπόντες προχωρῶμεν ἐπὶ Συρίας διὰ Καρίας εἶτα Λυκίας καὶ Παμφυλίας καὶ Πισιδῶν καὶ τῆς παραλίου καὶ ὀρεινῆς Κιλικίας, ἄχρι ἂν ἐπὶ τὸν Εὐφράτην ἀφικώμεθα.

33. ΛΥΚ. Ἐμέ, ὦ βασιλεῦ, εἰ δοκεῖ, σατράπην τῆς Ἑλλάδος κατάλιπε· δειλὸς γάρ εἰμι καὶ τῶν οἴκοι πολὺ ἀπελθεῖν οὐκ ἂν ἀδεῶς ὑπομείναιμι· σὺ δὲ ἔοικας ἐπὶ Ἀρμενίους καὶ Παρθυαίους ἐλάσειν μάχιμα φῦλα καὶ τὴν τοξικὴν εὔστοχα. Ὥστε ἄλλῳ παραδοὺς τὸ δεξιὸν, ἐμὲ Ἀντίπατρόν τινα ἐπὶ τῆς Ἑλλάδος ἔασον, μή με καὶ διαπείρῃ τις οἰστῷ ἄθλιον βαλὼν ἐς τὰ γυμνὰ περὶ Σοῦσα ἢ Βάκτρα ἡγούμενόν σοι τῆς φάλαγγος.

ΣΑΜ. Ἀποδιδράσκεις, ὦ Λυκῖνε, τὸν κατάλογον δειλὸς ὤν. Ὁ δὲ νόμος ἀποτετμῆσθαι τὴν κεφαλὴν, εἴ τις λιπὼν φαίνοιτο τὴν τάξιν. Ἀλλ' ἐπεὶ κατὰ τὸν Εὐφράτην ἤδη ἐσμὲν καὶ ὁ ποταμὸς ἔζευκται καὶ κατόπιν ὁπόσα διεληλύθαμεν ἀσφαλῶς ἔχει καὶ πάντα ὕπαρχοι κατέχουσιν ὑπ' ἐμοῦ ἑκάστῳ ἔθνει ἐπεισαχθέντες, οἱ δὲ καὶ ἀπίασι τὴν Φοινίκην ἡμῖν ἐν τοσούτῳ καὶ τὴν Παλαιστίνην εἶτα καὶ τὴν Αἴγυπτον προσαξόμενοι, σὺ πρῶτος, ὦ Λυκῖνε, διάβαινε τὸ δεξιὸν ἄγων, εἶτα ἐγὼ καὶ μετ' ἐμὲ ὁ Τιμόλαος· ἐπὶ πᾶσι δὲ τὸ ἱππικὸν ἄγε σὺ, ὦ Ἀδείμαντε.

34. Καὶ διὰ μὲν τῆς Μεσοποταμίας οὐδεὶς ἀπήντηκεν ἡμῖν πολέμιος, ἀλλὰ ἑκόντες αὐτούς τε καὶ τὰς ἀκροπόλεις ἄνθρωποι ἐνεχείρισαν, καὶ ἐπὶ Βαβυλῶνα ἐλθόντες ἀπροσδόκητοι παρήλθομεν εἰς τὸ εἴσω τῶν τειχῶν καὶ ἔχομεν τὴν πόλιν· ὁ βασιλεὺς δὲ περὶ Κτησim deligandus, quo supra manere ac retinere frena possim.

31. ADIM. Ego tibi, o Samippe, equitatum ducam, dextrum vero cornu Lycinus teneat; dignus autem esse videor qui maxima a te consequar, tot tibi auri signati largitus modios.

SAM. Ipsos etiam interrogemus, Adimante, equites, utrum te recipiant suum præfectum futurum. Qui censetis, equites, Adimantum equitatui præfici, manum tollitote.

ADIM. Omnes, ut vides, Samippe, sustulerunt.

SAM. En præsto tu equitatui: Lycinus vero dextrum cornu habeat; at hic Timolaus sinistro præficietur: ego ero in media acie, ut mos est Persarum regibus, quando ipsi adsunt in prælio.

32. Jam vero progrediamur Corinthum versus per montana, votis antea Jovi regum custodi nuncupatis: et quando jam Græciam omnem subegerimus (neque enim quisquam nobis armatus, qui tanto numero simus, occurret, sed citra pulveris jactum superabimus), conscensis triremibus, impositisque in hippagines equis (paratum est autem Cenchreis frumenti quod satis est et navium copia sufficiens et reliqua omnia), per Ægæum navigemus in Ioniam. Deinde ibi sacro Dianæ facto, captisque facile urbibus non munitis, relictisque earum præfectis, in Syriam tendemus per Cariam, tum Lyciam, et Pamphyliam, et Pisidas, et maritimam montanamque Ciliciam, donec perveniamus ad Euphraten.

33. LYC. Me, rex, si videtur, Satrapam relinque Græciæ: meticulosus enim sum, et longe discedere domo non sustinuerim secure, quum tu videaris ducturus in Armenios atque Parthos, gentes pugnaces et sagittis bene collineantes. Igitur dextrum cornu trade alii, me Antipatrum quendam relinque in Græcia, ne me, dum phalangem tibi duco circa Susa aut Bactra, sagitta aliquis miserum, qua parte intectus sum, trajiciat.

SAM. Fugis delectum, Lycine, metu. At lex est capite plecti, si quis ordines deseruisse deprehendatur. Sed quando jam sumus ad Euphraten, et junctus est ponte fluvius, et a tergo quæ pertransivimus tuta sunt omnia, atque omnia tenent præfecti, unicuique populo a me impositi; alii vero discesserunt qui Phœnicen nobis interea et Palæstinam, deinde etiam Ægyptum subigant: tu primus, Lycine, dextro cornu inducto, trajice; tum ego; et post me hic Timolaus: post omnes autem tu equitatum, Adimante, ducito.

34. Atque per Mesopotamiam nullus nobis obviam venit hostis, sed sponte se cum arcibus viri nobis dediderunt; progressique ad Babylonem, ex improviso intra muros delati urbem habemus. Rex autem qui circa Ctesiphontem

σιφῶντα διατρίβων ἥκουσε τὴν ἔφοδον, εἶτα εἰς Σελεύκειαν παρελθὼν παρασκευάζεται ἱππέας τε ὅτι πλείστους μεταπεμπόμενος καὶ τοξότας καὶ σφενδονήτας. Ἀπαγγέλλουσι δ' οὖν οἱ σκοποὶ ἀμφὶ τὰς ἑκατὸν ἤδη μυριάδας τοῦ μαχίμου συνειλέχθαι καὶ τούτων εἴκοσιν ἱπποτοξότας, καίτοι οὔπω ὁ Ἀρμένιος πάρεστιν οὔτε οἱ κατὰ τὴν Κασπίαν θάλατταν οἰκοῦντες οὔτε οἱ ἀπὸ Βάκτρων, ἀλλ' ἐκ τῶν πλησίον καὶ προαστείων τῆς ἀρχῆς· οὕτω ῥᾳδίως τοσαύτας μυριάδας κατέλεξε. Καιρὸς οὖν ἤδη σκοπεῖν ἡμᾶς ὅ τι χρὴ ποιεῖν.

35. ΑΔΕΙΜ. Ἀλλ' ἐγὼ μέν φημι δεῖν ὑμᾶς τὸ πεζὸν ἀπιέναι τὴν ἐπὶ Κτησιφῶντος, ἡμᾶς δὲ τὸ ἱππικὸν αὐτοῦ μένειν τὴν Βαβυλῶνα διαφυλάξοντας.

ΣΑΜ. Ἀποδειλιᾷς καὶ σύ, ὦ Ἀδείμαντε, πλησίον τοῦ κινδύνου γενόμενος; Σοὶ δὲ τί δοκεῖ, ὦ Τιμόλαε;

ΤΙΜ. Ἁπάσῃ τῇ στρατιᾷ βαδίζειν ἐπὶ τοὺς πολεμίους, μηδὲ περιμένειν ἔστ' ἂν ἄμεινον παρασκευάσωνται πανταχόθεν τῶν συμμάχων προσγενομένων, ἀλλ' ἕως ἔτι καθ' ὁδόν εἰσιν οἱ πολέμιοι, ἐπιχειρῶμεν αὐτοῖς.

ΣΑΜ. Εὖ λέγεις. Σὺ δὲ τί, ὦ Λυκῖνε, δοκιμάζεις;

ΛΥΚ. Ἐγώ σοι φράσω· ἐπειδὴ κεκμήκαμεν συντόνως ὁδεύοντες, ὁπότε κατήειμεν ἕωθεν ἐς τὸν Πειραιᾶ, καὶ νῦν ἤδη τριάκοντά που σταδίους προκεχωρήκαμεν καὶ ὁ ἥλιος πολὺς, κατὰ μεσημβρίαν γὰρ ἤδη μάλιστα, ἐνταῦθά που ἐπὶ τὰς ἐλαίας ἐπὶ τῆς ἀνατετραμμένης στήλης καθίσαντας ἀναπαύσασθαι, εἶτα οὕτως ἀναστάντας ἀνύειν τὸ λοιπὸν ἐς τὸ ἄστυ.

ΣΑΜ. Ἔτι γὰρ Ἀθήνησιν, ὦ μακάριε, εἶναι δοκεῖς, ἃς ἀμφὶ Βαβυλῶνα ἐν τῷ πεδίῳ πρὸ τῶν τειχῶν ἐν τοσούτοις στρατιώταις κάθησαι περὶ τοῦ πολέμου διασκοπούμενος;

ΛΥΚ. Εὖγε ὑπέμνησας. Ἐγὼ δὲ νήφειν ᾠμην καὶ οὐ παραπεφανεῖσθαι τὴν γνώμην.

36. ΣΑΜ. Πρόσιμεν δή, εἴ σοι δοκεῖ. Καὶ ὅπως ἄνδρες ἀγαθοὶ ἐν τοῖς κινδύνοις ἔσεσθε μηδὲ προδώσετε τὸ πάτριον φρόνημα· ἤδη γάρ που καὶ οἱ πολέμιοι ἐπιλαμβάνουσιν. Ὥστε τὸ μὲν σύνθημα ἔστω Ἐνυάλιος· ὑμεῖς δὲ ἐπειδὰν σημαίνῃ ὁ σαλπιγκτὴς, ἀλαλάξαντες καὶ τὰ δόρατα κρούσαντες πρὸς τὰς ἀσπίδας ἐπείγεσθε συμμίξαι τοῖς ἐναντίοις καὶ ἐντὸς γενέσθαι τῶν τοξευμάτων, ὡς μηδὲ πληγὰς λαμβάνωμεν ἀκροβολίζεσθαι αὐτοῖς διδόντες· καὶ ἐπειδὴ ἐς χεῖρας ἤδη συνεληλύθαμεν, τὸ μὲν εὐώνυμον καὶ ὁ Τιμόλαος ἐτρέψαντο τοὺς καθ' αὑτοὺς Μήδους ὄντας, τὸ δὲ κατ' ἐμὲ ἰσόπαλον ἔτι, Πέρσαι γάρ εἰσι καὶ ὁ βασιλεὺς ἐν αὐτοῖς· ἡ δὲ ἵππος ἅπασα τῶν βαρβάρων ἐπὶ τὸ δεξιὸν ἡμῶν ἐλαύνουσιν, ὥστε, ὦ Λυκῖνε, αὐτός τε ἀνὴρ ἀγαθὸς γίγνου καὶ τοῖς μετὰ σαυτοῦ παρακελεύου δέχεσθαι τὴν ἐπέλασιν.

37. ΛΥΚ. Ὦ τῆς τύχης· ἐπ' ἐμὲ γὰρ οἱ ἱππεῖς ἅπαντες καὶ μόνος ἐπιτήδειος αὐτοῖς ἔδοξα ἐπελαύνεσθαι.

hæret, audita impressione, progressus ad Seleuciam parat se, equitatumque arcessens quamplurimum, et sagittarios et funditores. Renunciant ergo exploratores, circa millies mille jam viros pugnæ aptos collectos esse, in his ducenta millia jaculantium ex equis, quanquam Armenius nondum adest, neque qui Caspium mare accolunt, neque Bactriani, sed de partibus modo vicinis et suburbanis quasi imperii : adeo facile tot millia coegit. Itaque tempus est ut nos etiam, quid nobis agendum sit, circumspiciamus.

35. ADIM. Nimirum ego aio oportere vos pedites Ctesiphontem petere; nos autem, equitatum, hic manere ad Babylonem tuendam.

SAM. Etiam tu, Adimante, metuis constitutus prope periculum? Tibi vero, Timolae, quid videtur?

TIM. Omni cum exercitu hostes aggredi, neque exspectare donec parent se melius et affluant undique auxilia : sed dum adhuc in via sunt hostes, illos aggrediamur.

SAM. Bene mones. Tu vero, Lycine, quid censes?

LYC. Ego tibi dicam : quandoquidem a contentione itineris fatigati sumus, qui hodie mane descenderimus in Piræum, nunc vero jam triginta circiter stadia progressi sumus, et sol multus (jam enim circa meridiem est), ut hic alicubi sub oleis, in eversa illa columella assidentes, requiescamus, ac deinde surgentes, studiose redeamus in urbem.

SAM. Etiamnum Athenis tibi esse, bone vir, videris, qui circa Babylonem in campo ante muros sedeas tot inter milites, dispiciens de bello?

LYC. Bene vero reposuisti me in memoriam. At ego sobrium me esse putabam nec sententiam perverse prolaturum.

36. SAM. Aggredimur sane, si tibi videtur. Et mementote ut viri fortes sitis in periculis, neu prodatis animum illum patrium : jam enim invadere videntur hostes. Itaque tessera esto Mars! vos vero quum classicum cecinerit tubicen, clamore sublato, incussis in clypeos hastis, urgete manus conserere cum hostibus, et intra teli jactum venire, ut nec excipiamus ictus jaculandi facultate illis data : et quando ad manus jam venimus, sinistrum cornu et Timolaus jam in fugam verterunt sibi oppositos Medos, sed meum agmen æquo adhuc Marte pugnat : sunt enim Persæ et rex inter ipsos : equitatus autem barbarorum universus in dextram aciem nostram invehitur : itaque, Lycine et ipse vir fortis esto, et tuis, ut impetum excipiant, impera.

37. LYC. Vah fortunam! in me enim equites universi, et solus ipsis idoneus sum visus in quem irruant. Videon

Καί μοι δοκῶ, ἢν βιάζωνται, αὐτομολήσειν προσδραμὼν ἐς τὴν παλαίστραν ἔτι πολεμοῦντας ὑμᾶς καταλιπών.

ΣΑΜ. Μηδαμῶς· κρατεῖς γὰρ αὐτῶν καὶ σὺ ἤδη τὸ μέρος. Ἐγὼ δέ, ὡς ὁρᾷς, καὶ μονομαχήσω πρὸς τὸν βασιλέα· προκαλεῖται γάρ με καὶ ἀναδῦναι πάντως αἰσχρόν.

ΛΥΚ. Νὴ Δία καὶ τετρῶσῃ αὐτίκα μάλα πρὸς αὐτοῦ· βασιλικὸν γὰρ καὶ τὸ τρωθῆναι περὶ τῆς ἀρχῆς μαχόμενον.

ΣΑΜ. Εὖ λέγεις. Ἐπιπόλαιον μέν μοι τὸ τραῦμα καὶ οὐκ εἰς τὰ φανερὰ τοῦ σώματος, ὡς μηδὲν τὴν οὐλὴν ὕστερον ἄμορφον γενέσθαι. Πλὴν ἀλλὰ ὁρᾷς ὅπως ἐπελάσας μιᾷ πληγῇ αὐτόν τε καὶ τὸν ἵππον διέπειρα τὴν λόγχην ἀφεὶς, εἶτα τὴν κεφαλὴν ἀποτεμὼν καὶ ἀφελὼν τὸ διάδημα βασιλεὺς ἤδη γέγονα προσκυνούμενος ὑφ' ἁπάντων;

38. Οἱ βάρβαροι προσκυνείτωσαν· ὑμῶν κατὰ τὸν Ἑλλήνων νόμον ἄρξω εἷς στρατηγὸς ὀνομαζόμενος. Ἐπὶ τούτοις ἄρα ἐννοεῖτε ὅσας μὲν πόλεις ἐπωνύμους ἐπ' ἐμαυτοῦ οἰκιῶ, ὅσας δὲ καὶ καθαιρήσω ἑλὼν κατὰ κράτος, αἳ ἂν ὑβρίσωσί τι ἐς τὴν ἀρχήν. Ἁπάντων δὲ μάλιστα Κυδίαν τὸν πλούσιον μετελεύσομαι, ὃς ὅμορος ἤδη ὢν μοι ἐξέωσε τοῦ ἀγροῦ ἐπιβαίνων κατ' ὀλίγον ἐς τὸ εἴσω τῶν ὅρων.

39. ΛΥΚ. Πέπαυσο ἤδη, ὦ Σάμιππε· καιρὸς γὰρ σὲ ἤδη μὲν νενικηκότα τηλικαύτην μάχην ἐν Βαβυλῶνι εὐωχεῖσθαι τὰ ἐπινίκια — ἐκστάδιος γὰρ οἶμαί σοι ἡ ἀρχή — Τιμόλαον δὲ ἐν τῷ μέρει εὔχεσθαι ὅπερ ἂν ἐθέλῃ.

ΣΑΜ. Τί δ' οὖν, ὦ Λυκῖνε; οἷά σοι ἠτῆσθαι δοκῶ;

ΛΥΚ. Παρὰ πολὺ, ὦ θαυμασιώτατε βασιλέων, ἐπιπονώτερα καὶ βιαιότερα τῶν Ἀδειμάντου, παρ' ὅσον ἐκεῖνος μὲν ἑτρύφα διταλαντα χρύσεα ἐκπώματα προτεινόμενος τοῖς συμπόταις, σὺ δὲ καὶ ἐτιτρώσκου μονομαχῶν καὶ ἐδεδίεις καὶ ἐφρόντιζες νύκτωρ καὶ μεθ' ἡμέραν· οὐ μόνον γάρ σοι τὰ παρὰ τῶν πολεμίων φοβερὰ ἦν, ἀλλὰ καὶ ἐπιβουλαὶ μυρίαι καὶ φθόνος παρὰ τῶν συνόντων καὶ μῖσος καὶ κολακεία, φίλος δὲ οὐδεὶς ἀληθὴς, ἀλλὰ πρὸς τὸ δέος ἅπαντες ἢ πρὸς τὴν ἐλπίδα εὖνοι δοκοῦντες εἶναι. Ἀπόλαυσις μέν γε οὐδὲ ὀναρ τῶν ἡδέων, ἀλλὰ δόξα μόνη καὶ πορφυρὶς χρυσῷ ποικίλη καὶ ταινία λευκὴ περὶ τῷ μετώπῳ καὶ δορυφόροι προϊόντες, τὰ δ' ἄλλα κάματος ἀφόρητος καὶ ἀηδία πολλὴ, καὶ ἢ χρηματίζειν δεῖ τοῖς παρὰ τῶν πολεμίων ἥκουσιν ἢ δικάζειν ἢ καταπέμπειν τοῖς ὑπηκόοις ἐπιτάγματα, καὶ ἤτοι ἀφέστηκέ τι ἔθνος ἢ ἐπελαύνουσί τινες τῶν ἔξω τῆς ἀρχῆς. Δεδιέναι οὖν δεῖ πάντα καὶ ὑφορᾶσθαι, καὶ ὅλως ὑπὸ πάντων μᾶλλον ἢ ὑπὸ σεαυτοῦ εὐδαιμονίζεσθαι.

40. Καὶ γὰρ οὖν καὶ τόδε πῶς οὐ ταπεινὸν, ὅτι καὶ νοσεῖς τὰ ὅμοια τοῖς ἰδιώταις καὶ ὁ πυρετὸς οὐ διαγιγνώσκει σε βασιλέα ὄντα οὐδ' ὁ θάνατος δέδιε τοὺς δορυφόρους; ἀλλ' ἐπιστὰς, ὁπόταν αὐτῷ δοκῇ, ἄγει οἰμώμihi, si vim faciant, fugere curriculo in palæstram, et adhuc pugnantes vos deserturus.

SAM. Nequaquam : vincis enim jam tu quoque tua in parte. Ego autem, ut vides, jam solitariam cum rege pugnam pugnabo : etenim me provocat, et retrocedere omnino turpe est.

LYC. Per Jovem, etiam ocyus ab illo vulneraberis; regum enim hoc etiam, vulnerari in pugna pro imperio.

SAM. Bene mones : leve quidem mihi vulnus, minimeque in aperto corporis loco, adeo ut neque cicatrix in posterum deformis futura sit. Verum viden' ut invectus ego ictu uno ipsum cum equo emissa hasta trajeci, ac deinde capite abscisso, ablatoque diademate, rex jam sim factus et adorer ab omnibus?

38. Ac barbari quidem nos adorent : vobis vero Græco more, Prætoris unici nomine, imperabo. Post hæc igitur cogitate quot urbes de meo nomine appellatas conditurus sim, quot contra vi captas sim vastaturus, si qua injuria imperium meum affecerint. Omnium vero maxime Cydiam divitem mulcabo, qui, vicinus meus quum esset, agro me, ingressus paullatim intra fines, expulit.

39. LYC. Desine jam, Samippe : tempus est enim te jam, qui talem pugnam viceris, Babylone epulari victoriæ causa (extra stadium enim puto tibi esse imperium), ac Timolaum jam suo loco optare quicquid voluerit.

SAM. Quid ergo, Lycine? qualia optasse tibi videor?

LYC. Multum, o maxime admirabilis regum, laboriosiora et valentiora votis Adimanti, quatenus ille quidem luxuriose vivebat, aurea binorum talentorum pocula propinans convivis; ac tu et vulnerabaris in pugna singulari, et metuebas, et sollicitus eras noctes diesque. Neque enim ab hoste tibi solo timendum erat, sed insidiæ etiam sexcentæ, et invidia a familiaribus, et odium, et adulatio : amicus autem verus nemo, sed ad metum omnes aut ad spem benevoli qui esse videantur. Fructus rerum suavium ne per somnum quidem, sed gloria sola, et distincta auro purpura, et tænia circa frontem alba, et præcedentes satellites : cetera labor intolerabilis et multum injucunditatis; quum aut opera danda sit his qui ab hostibus venere, aut jus dicendum, aut mittenda populis subjectis imperia : et aut defecit gens aliqua, aut externi quidam imperium invadunt. Metuere ergo oportet omnia et suspicari, atque in universum omnibus potius, quam tibi ipsi, videri beatum.

40. Etenim illud etiam qui non humile, quod ægrotanis non minus quam privati, nec febris te regem esse internoscit, neque metuit mors satellites; sed quum ipsi visum fuerit superveniens, plorantem, nihil reverita diadema

ζοντα οὐκ αἰδούμενος τὸ διάδημα; σὺ δὲ ὁ οὕτως ὑψηλὸς καταπεσὼν ἀνασπαστὸς ἐκ τοῦ βασιλείου θρόνου τὴν αὐτὴν ὁδὸν ἄπει τοῖς πολλοῖς, ἰσότιμος ἐλαυνόμενος ἐν τῇ ἀγέλῃ τῶν νεκρῶν, χῶμα ὑψηλὸν ὑπὲρ γῆς καὶ στήλην μακρὰν ἢ πυραμίδα εὔγραμμον τὰς γωνίας ἀπολιπὼν, ἐκπρόθεσμα καὶ ἀνεπαίσθητα φιλοτιμήματα· εἰκόνες δὲ ἐκεῖναι καὶ νεὼ, οὓς ἀνιστᾶσιν αἱ πόλεις θεραπεύουσαι, καὶ τὸ μέγα ὄνομα πάντα κατ' ὀλίγον ἀπορρεῖ καὶ ἄπεισιν ἀμελούμενα. Ἦν δὲ καὶ ὅτι μάλιστα ἐπὶ πλεῖστον παραμείνῃ, τίς ἔτι ἀπόλαυσις ἀναισθήτῳ αὐτῷ γενομένῳ; Ὁρᾷς οἷα μὲν ἔτι ζῶν ἔξεις πράγματα δεδιὼς καὶ φροντίζων καὶ κάμνων, οἷα δὲ καὶ μετὰ τὴν ἀπαλλαγὴν ἔσται;

41. Ἀλλ' ἤδη σὸν αἰτεῖν, ὦ Τιμόλαε, καὶ ὅπως ὑπερβάλῃ τούτους, ὥσπερ εἰκὸς ἄνδρα συνετὸν καὶ πράγμασι χρῆσθαι εἰδότα.

ΤΙΜ. Σκόπει γοῦν, ὦ Λυκῖνε, εἴ τι ἐπιλήψιμον εὔξομαι καὶ ὅ τι ἂν εὐθῦναί τις δυνηθείη. Χρυσὸν μὲν οὖν καὶ θησαυροὺς καὶ μεδίμνους νομίσματος ἢ βασιλείας καὶ πολέμους καὶ δείματα ὑπὲρ τῆς ἀρχῆς, ἃ εἰκότως διέβαλες, οὐκ αἰτήσομαι· ἀβέβαια γὰρ ταῦτά γε καὶ πολλὰς τὰς ἐπιβουλὰς ἔχοντα καὶ πλέον τοῦ ἡδέος τὸ ἀνιαρὸν ἐν αὐτοῖς ἦν.

42. Ἐγὼ δὲ βούλομαι τὸν Ἑρμῆν ἐντυχόντα μοι δοῦναι δακτυλίους τινὰς καὶ τοιούτους τὴν δύναμιν, ἕνα μὲν ὥστε ἀεὶ ἐρρῶσθαι καὶ ὑγιαίνειν τὸ σῶμα καὶ ἄτρωτον εἶναι καὶ ἀπαθῆ, ἕτερον δὲ ὡς μὴ ὁρᾶσθαι τὸν περιθέμενον, οἷος ἦν ὁ τοῦ Γύγου, τὸν δέ τινα ὡς ἰσχύειν ὑπὲρ ἄνδρας μυρίους καὶ ὅ τι ἂν ἄχθος ἅμα μυρίοι κινῆσαι μόλις δύναιντο, τοῦτο ἐμὲ ῥᾳδίως μόνον ἀνατίθεσθαι, ἔτι δὲ καὶ πέτεσθαι πολὺ ἀπὸ τῆς γῆς ἀρθέντα, καὶ πρὸς τοῦτο εἶναί μοι δακτύλιόν τινα· καὶ μὴν καὶ ἐς ὕπνον κατασπᾶν ὁπόσους ἂν ἐθέλω καὶ ἅπασαν θύραν προσιόντι μοι ἀνοίγεσθαι χαλωμένου τοῦ κλείθρου καὶ τοῦ μοχλοῦ ἀφαιρουμένου, ταῦτα ἀμφότερα εἷς δακτύλιος δυνάσθω.

43. Τὸ δὲ μέγιστον ἄλλος τις ἔστω ἐπὶ πᾶσιν ὁ ἥδιστος, ὡς ἐράσμιον εἶναί με περιθέμενον παισὶ τοῖς ὡραίοις καὶ γυναιξὶ καὶ δήμοις ὅλοις καὶ μηδένα εἶναι ἀνέραστον καὶ ὅτῳ μὴ ποθεινότατος ἐγὼ καὶ ἀνὰ στόμα, ὥστε πολλὰς γυναῖκας οὐ φερούσας τὸν ἔρωτα καὶ ἀναρτᾶν ἑαυτὰς καὶ τὰ μειράκια ἐπιμεμηνέναι μοι καὶ εὐδαίμονα εἶναι δοκεῖν, εἴ τινα καὶ μόνον προσβλέψαιμι αὐτῶν, εἰ δ' ὑπερορῴην, κἀκεῖνα ὑπὸ λύπης ἀπολλύσθω, καὶ ὅλως ὑπὲρ τὸν Ὑάκινθον ἢ Ὕλαν ἢ Φάωνα τὸν Χῖον εἶναί με.

44. Καὶ ταῦτα πάντα ἔχειν μὴ ὀλιγοχρόνιον ὄντα μηδὲ κατὰ μέτρον ζῶντα τῆς ἀνθρωπίνης βιοτῆς, ἀλλ' ἔτη χίλια νέον ἐκ νέου γιγνόμενον διαβιῶναι ἀμφὶ τὰ ἑπτακαίδεκα ἔτη ἀεὶ ἀποδυόμενον τὸ γῆρας ὥσπερ οἱ ὄφεις, οὐδὲν γὰρ δεήσει με ταῦτα ἔχοντα· πάντα γὰρ ἐμὰ ἦν ἂν τὰ τῶν ἄλλων, ἐς ὅσον ἀνοίγειν τε τὰς θύρας ἐδυνάμην καὶ κοιμίζειν τοὺς φύλακας καὶ ἀθέατος εἶναι εἰσιών. Εἰ δέ τι ἐν Ἰνδοῖς ἢ Ὑπερβορέοις θέαμα παabducit? Tu vero de loco ita excelso delapsus detractusque de throno regio, eandem abibis viam quam vulgus, æquali cum cetero grege mortuorum honore abactus, tumulum in terra relinquens excelsum, et columnam longam, aut accurate descriptam angulis pyramidem, in quibus sero reges, quum nihil jam inde ad sensum ipsorum perveniat, superbiunt. Statuæ autem illæ et templa, quæ excitant colendi causa civitates, et magnificum illud nomen, paullatim defluunt omnia, et neglecta abeunt. Si vero vel maxime ad longissimum tempus permaneant, quis adhuc fructus ad eum pervenire potest, qui nihil sentiat? Viden' quas molestias vivus adhuc sis habiturus, metuens, sollicitus, laborans; et quis post mortem status futurus sit?

41. Sed jam optare tuum est, Timolae, et ut illos superes, ut facturum probabile est virum prudentem et uti rebus scientem.

TIM. Vide igitur, Lycine, si quid reprehensione dignum optaturus sim, et quod corrigere aliquis possit. Aurum proinde ac thesauros et modios numûm, aut regna et bella et metus pro imperio, quæ merito reprehendisti, non poscam: nam ista quidem infirma et insidiis exposita multis, et plus, quam suavitatis, in iis molestiarum inest.

42. Ego autem optem ab occurrente mihi Mercurio anulos dari quosdam, qui virtutem habeant hujusmodi: unum, ut valeat semper corpus et salubre sit, et vulneri nulli aut morbo penetrabile; alterum, cujus auxilio non videatur qui induit, qualis erat ille Gygis: alium rursus, ut plus decies mille hominum robur habeam, et quod onus vix decies mille homines moliri simul queant, hoc ut facile solus transferre valeam; insuper volare ut possim, multum elatus de terra, ad hoc quoque sit mihi anulus. Præterea somno sopire ut queam quoscumque voluero, et janua mihi unaquæque accedenti sua sponte ut aperiatur, laxato claustro pessuloque remoto; ad hoc utrumque unus idemque valeat anulus.

43. Quod vero caput est, sit etiam alius omnium ille jucundissimus, quo induto amabilis sim formosis pueris, et mulieribus, et totis populis, ut nemo sit quin me amet, desideret vehementer et in ore habeat; adeo ut multæ mulieres præ amoris impatientia se suspendant, et in me insaniant adolescentuli, beatusque videatur, si quem illorum aspiciam modo; si vero negligentius tractem, hi quoque præ dolore pereant: atque in universum supra Hyacinthum, aut Hylan, aut Chium Phaonem ego sim.

44. Et omnia hæc habeam, non brevis ævi homo, neque ad mensuram vitæ humanæ vivens; sed per annos mille juventutem unam post alteram vivam, interjectis septendecim quibusque annis exuens senectutem instar serpentium. Hæc igitur si habeam, nihil mihi defuerit. Mea enim fuerint quæ aliorum sunt omnia, in quantum aperire possim januas, et custodes sopire, et oculos omnium effugere dum intro. Si quod vero apud Indos aut Hyperboreos

ράδοξον ἢ κτῆμα τίμιον ἢ ὅσα ἐμφαγεῖν ἢ πιεῖν ἡδέα, οὐ μεταστειλάμενος, ἀλλ' αὐτὸς ἐπιπετόμενος ἀπέλαυον ἁπάντων ἐς κόρον· καὶ ἐπεὶ γρῦψ ὑπόπτερον θηρίον ἢ φοῖνιξ ὄρνεον ἐν Ἰνδοῖς ἀθέατον τοῖς ἄλλοις, ἐγὼ δὲ καὶ τοῦτο ἑώρων ἄν, καὶ τὰς πηγὰς δὲ τὰς Νείλου μόνος ἂν ἠπιστάμην καὶ ὅσον τῆς γῆς ἀοίκητον, καὶ εἴ τινες ἀντίποδες ἡμῖν οἰκοῦσι τὸ νότιον τῆς γῆς ἡμίτομον ἔχοντες. Ἔτι δὲ καὶ ἀστέρων φύσιν καὶ σελήνης καὶ αὐτοῦ ἡλίου ῥᾳδίως ἔγνων ἂν ἀπαθὴς ὢν τῷ πυρὶ, καὶ τὸ πάντων ἥδιστον, αὐθημερὸν ἀγγεῖλαι ἐς Βαβυλῶνα, τίς ἐνίκησεν Ὀλύμπια, καὶ ἀριστήσαντα, εἰ τύχοι, ἐν Συρίᾳ δειπνῆσαι ἐν Ἰταλίᾳ. Εἰ δέ τις ἐχθρὸς εἴη, ἀμύνασθαι καὶ τοῦτον ἐκ τοῦ ἀφανοῦς πέτρον ἐμβαλόντα τῇ κεφαλῇ, ὡς ἐπιτετρίφθαι τὸ κρανίον, τούς τε αὖ φίλους εὖ ποιεῖν ἐπιχέαντα κοιμωμένοις αὐτοῖς τὸ χρυσίον· καὶ μὴν εἴ τις ὑπερόπτης εἴη ἢ τύραννος πλούσιος ὑβριστὴς, ἁράμενος αὐτὸν ὅσον ἐπὶ σταδίους εἴκοσιν ἀφῆκα φέρεσθαι κατὰ τῶν κρημνῶν. Τοῖς παιδικοῖς δὲ ἀκωλύτως ὁμιλεῖν ἂν ἐξῆν εἰσιόντα ἀθέατον κοιμίσαντα ἅπαντας ἄνευ ἐκείνων μόνων. Οἷον δὲ κἀκεῖνο ἦν, τοὺς πολεμοῦντας ἐπισκοπεῖν ἔξω βέλους ὑπεραιωρούμενον· καὶ εἰ δόξειέ μοι, προσθέμενος ἂν τοῖς ἡττημένοις κοιμίσας τοὺς κρατοῦντας νικᾶν παρεῖχον τοῖς φεύγουσιν ἀναστρέψασιν ἀπὸ τῆς τροπῆς. Καὶ τὸ ὅλον, παιδιὰν ἐποιούμην ἂν τὸν τῶν ἀνθρώπων βίον καὶ πάντα ἐμὰ ἦν καὶ θεὸς ἐδόκουν τοῖς ἄλλοις. Τοῦτο ἡ ἄκρα εὐδαιμονία ἐστὶ μήτε ἀπολέσθαι μήτε ἐπιβουλευθῆναι δυναμένη, καὶ μάλιστα μεθ' ὑγιείας ἐν μακρῷ τῷ βίῳ. Τί ἂν αἰτιάσαιο, ὦ Λυκῖνε, τῆς εὐχῆς;

45. ΛΥΚ. Οὐδὲν, ὦ Τιμόλαε· οὐδὲ γὰρ ἀσφαλὲς ἐναντιοῦσθαι ἀνδρὶ πτηνῷ καὶ ὑπὲρ μυρίους τὴν ἰσχὺν, πλὴν ἀλλὰ ἐκεῖνο ἐρήσομαί σε, εἴ τινα ἄλλον εἶδες ἐν τοσούτοις ἔθνεσιν, ὅσα ὑπερέπτης, γέροντα ἤδη ἄνδρα οὕτω παρακεκινηκότα τὴν γνώμην, ἐπὶ δακτυλίου μικροῦ ὀχούμενον, ὅρη ὅλα κινεῖν ἄκρῳ τῷ δακτύλῳ δυνάμενον, ἐπέραστον πᾶσι, καὶ ταῦτα φαλακρὸν ὄντα καὶ τὴν ῥῖνα σιμόν; Ἀτὰρ εἰπέ μοι τόδε, τί δή ποτε οὐχ εἷς δακτύλιος ἅπαντα ταῦτα δύναταί σοι, ἀλλὰ τοσούτους περιημμένος βαδιῇ τὴν ἀριστερὰν πεφορτισμένος κατὰ δάκτυλον ἕνα; μᾶλλον δὲ ὑπερπαίει ὁ ἀριθμὸς, καὶ δεήσει καὶ τὴν δεξιὰν συνεπιλαβεῖν. Καίτοι ἑνὸς τοῦ ἀναγκαιοτάτου προσδεῖ, ὃς περιθέμενόν σε παύσει μωραίνοντα τὴν πολλὴν ταύτην κόρυζαν ἀποξύσας. Ἢ τοῦτο μὲν καὶ ὁ ἑλλέβορος ἱκανὸς ποιῆσαι ζωρότερος πιθείς;

46. ΤΙΜ. Ἀλλὰ πάντως, ὦ Λυκῖνε, καὶ αὐτὸς εὔξῃ τι ἤδη ποτὲ, ὡς ἂν μάθωμεν οἷα αἰτήσεις ἀνεπίληπτα καὶ ἀνέγκλητα ὁ συκοφαντῶν τοὺς ἄλλους.

ΛΥΚ. Ἀλλ' οὐ δέομαι εὐχῆς ἐγώ· ἥκομεν γὰρ δὴ πρὸς τὸ Δίπυλον, καὶ ὁ βέλτιστος οὑτοσὶ Σάμιππος ἀμφὶ Βαβυλῶνα μονομαχῶν, καὶ σὺ, ὦ Τιμόλαε, ἀριστῶν μὲν ἐν Συρίᾳ, δειπνῶν δὲ ἐν Ἰταλίᾳ καὶ τοῖς ἐμοὶ ἐπιβάλλουσι σταδίοις κατεχρήσασθε καλῶς ποιοῦντες· ἄλλως τε οὐκ ἂν δεξαίμην πλουτήσας ἐπ' ὀλίγον

spectaculum ultra fidem, aut pretiosa possessio, aut quæcumque in cibo vel potu jucunda sunt, ea non afferri demum curarem, sed advolans ipse ad satietatem illis fruerer. Et quando gryps alata bellua, aut phœnix avis apud Indos spectata nemini; ego tamen ista viderem : et fontes Nili novissem solus, et quantum telluris inhabitabile est, et si qui conversis ad nos vestigiis australe telluris hemisphærium habitant. Insuper vero stellarum naturam et lunæ, ipsiusque adeo solis facile cognoscerem, utpote in quem nihil ignis valeat : quodque omnium suavissimum, eodem die nunciare possem Babylonem, Olympia quis vicerit; et pransus forte in Syria, in Italia cœnare. Si quis vero inimicus sit, etiam ulcisci eum ex occulto liceret, impacto in caput illius saxo, quo contritum rumpatur ipsi cranium; contra benefacere amicis, affuso dormientibus auro. Præterea si quis contemtor sit, aut tyrannus, dives, contumeliosus, sublatum hunc ad viginti stadia, demitterem casurum per præceps. Amoribus autem meis frui nemine prohibente liceret : ingressus quippe nemine videnti sopirem omnes, præter illos solos. Quale autem illud quoque fuerit, inspectare præliantes ultra jactum teli sublatum, et, si videretur mihi, accedens ad victos, sopitis victoribus, victoriam fugientibus tribuerem de fuga reversis. Atque in universum, lusum mihi haberem vitam hominum, mea essent omnia, et deus reliquis viderer. Hæc summa est felicitas, quæ perire, quæ insidiis peti nequeat, cum valetudine præsertim in vita adeo longa. Quid habes, Lycine, in quo votum hoc reprehendas?

45. LYC. Nihil quicquam, Timolae : neque enim tutum fuerit adversari volucri viro et supra decies mille alios robusto. Verum illud tamen ex te quæram, num quem videris alium in tot quas supervolasti gentibus, senem hominem adeo mente non constantem, qui veheretur in parvo anulo, totos qui montes extremo movere digito posset, amabilem omnibus, idque calvus quum sit et simo naso? Verum hoc quoque mihi dicas, quare tandem non unus anulus hæc tibi possit omnia, sed tot indutus ambulaturus sis onerato sinistræ unoquoque digito; quin excedit eam numerus, ut dextram subvenire oporteat. Quanquam unus deest maxime necessarius, quo induto ineptire, detersa illa multa coryza, desinas. Aut potius hoc idem præstare valet potus meracior hellebori?

46. TIM. Sed omnino, Lycine, ipse quoque jam tandem optabis aliquid, ut videamus quam tu irreprehensibilia et crimine omni vacantia sis petiturus, calumniator reliquorum.

LYC. Quin nihil voto mihi opus est : venimus enim jam ad Dipylum : et optimus hic Samippus, dum circa Babylonem depugnat, et tu, Timolae, dum pransus in Syria, in Italia cœnas, his etiam quæ mihi assignata erant stadiis, bonum factum! abusi estis. Alioqui nolim ego post brevem fructum irritarum inaniumque divitiarum moleste

ὑπηνέμιόν τινα πλοῦτον ἀνιᾶσθαι μετ' ὀλίγον ψιλὴν τὴν μᾶζαν ἐσθίων, οἷα ὑμεῖς πείσεσθε μετ' ὀλίγον, ἐπειδὰν ἡ εὐδαίμονία μὲν ὑμῖν καὶ ὁ πολὺς πλοῦτος οἴχηται ἀποπτάμενος, αὐτοὶ δὲ καταβάντες ἀπὸ τῶν θησαυρῶν τε καὶ διαδημάτων ὥσπερ ἐξ ἡδίστου ὀνείρατος ἀνεγρόμενοι ἀνόμοια τὰ ἐπὶ τῆς οἰκίας εὑρίσκητε ὥσπερ οἱ τοὺς βασιλεῖς ὑποκρινόμενοι τραγῳδοὶ ἐξελθόντες ἀπὸ τοῦ θεάτρου λιμώττοντες οἱ πολλοί, καὶ ταῦτα πρὸ ὀλίγου Ἀγαμέμνονες ὄντες ἢ Κρέοντες. Λυπήσεσθε οὖν, ὡς τὸ εἰκὸς, καὶ δυσάρεστοι ἔσεσθε τὰ ἐπὶ τῆς οἰκίας, καὶ μάλιστα σὺ, ὦ Τιμόλαε, ὁπόταν δέῃ σε τὸ αὐτὸ παθεῖν τῷ Ἰκάρῳ τῆς πτερώσεως διαλυθείσης καταπεσόντα ἐκ τοῦ οὐρανοῦ χαμαὶ βαδίζειν ἀπολέσαντα τοὺς δακτυλίους ἐκείνους ἅπαντας ἀπορρυέντας τῶν δακτύλων. Ἐμοὶ δὲ καὶ τοῦτο ἱκανὸν ἀντὶ πάντων θησαυρῶν καὶ Βαβυλῶνος αὐτῆς τὸ γελάσαι μάλα ἡδέως ἐφ' οἷς ὑμεῖς ἠτήσατε τοιούτοις οὖσι, καὶ ταῦτα φιλοσοφίαν ἐπαινοῦντες.

ferre paullo post, quum misera puls devoranda est: quale quid vobis paullo post eveniet, quando illa vobis felicitas et multæ divitiæ avolaverint, ipsi autem a thesauris illis diadematisque delapsi, et tanquam e suavissimo somnio excitati, dissimilia omnia domi invenerītis, ut illi qui reges egerant tragœdi, egressi de theatro plerumque esuriunt, idque quum Agamemnones paullo ante aut Creontes fuerint. Dolebitis ergo, ut credibile est, et displicebunt vobis domestica, tibi præsertim, Timolae, quum idem tibi quod Icaro eventurum sit, ut solutis alis de cœlo delapsus humi incedas, perditis illis omnibus, qui de digitis defluxerint, anulis. Mihi vero hoc etiam pro thesauris omnibus, ipsaque Babylone, satis est, quod suaviter ridere possum quæ vos petiistis, quum sint talia! eaque homines qui philosophiam laudetis.

LXVII.

ΕΤΑΙΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ.

1.

ΓΛΥΚΕΡΑ ΚΑΙ ΘΑΪΣ.

1. ΓΛΥΚ. Τὸν στρατιώτην ἐκεῖνον, Θαΐ, τὸν Ἀχαρνᾶνα, ὃς πάλαι μὲν Ἀβρότονον εἶχε, μετὰ ταῦτα δὲ ἠράσθη ἐμοῦ, τὸν εὐπάρυφον λέγω, τὸν ἐν τῇ χλαμύδι, οἶσθα αὐτὸν, ἢ ἐπιλέλησαι τὸν ἄνθρωπον;

ΘΑΙΣ. Οὐκ, ἀλλὰ οἶδα, ὦ Γλυκέριον, καὶ συνέπιε μεθ' ἡμῶν πέρυσιν ἐν τοῖς Ἀλώοις. Τί δὲ τοῦτο; ἐώκεις γάρ τι περὶ αὐτοῦ διηγεῖσθαι.

ΓΛΥΚ. Γοργόνα αὐτὸν ἡ παμπόνηρος, φίλη δοκοῦσα εἶναι, ἀπέσπασεν ἀπ' ἐμοῦ ὑπελθοῦσα.

ΘΑΙΣ. Καὶ νῦν σοὶ μὲν ἐκεῖνος οὐ πρόσεστι, Γοργόναν δὲ ἑταίραν πεποίηται;

ΓΛΥΚ. Ναὶ, ὦ Θαΐ, καὶ τὸ πρᾶγμα οὐ μετρίως μου ἥψατο.

ΘΑΙΣ. Πονηρὸν μὲν, ὦ Γλυκέριον, οὐκ ἀδόκητον δὲ, ἀλλ' εἰωθὸς γίγνεσθαι ὑφ' ἡμῶν τῶν ἑταιρῶν. Οὐκουν χρὴ οὔτε ἀνιᾶσθαι ἄγαν οὔτε μέμφεσθαι τῇ Γοργόνῃ· οὐδὲ γὰρ σὲ Ἀβρότονον ἐπ' αὐτῷ πρότερον ἐμέμψατο, καίτοι φίλαι ἦτε.

2. Ἀτὰρ ἐκεῖνο θαυμάζω, τί καὶ ἐπῄνεσεν αὐτῆς ὁ στρατιώτης οὗτος, ἐκτὸς εἰ μὴ παντάπασι τυφλός ἐστιν, ὃς οὐχ ἑοράκει τὰς μὲν τρίχας αὐτὴν ἀραιὰς ἔχουσαν καὶ ἐπὶ πολὺ τοῦ μετώπου ἀπηγμένας· τὰ χείλη δὲ πελιδνὰ καὶ νεκρικὰ καὶ τράχηλος λεπτὸς καὶ ἐπίσημοι ἐν αὐτῷ αἱ φλέβες καὶ ῥὶς μακρά. Ἓν μόνον, εὐμήκης ἐστὶ καὶ ὀρθὴ καὶ μειδιᾷ πάνυ ἐπαγωγόν.

ΓΛΥΚ. Οἴει γὰρ, ὦ Θαΐ, τῷ κάλλει ἡρῆσθαι τὸν

LXVII.

DIALOGI MERETRICII.

1.

GLYCERA ET THAIS.

1. GLYC. Militemne istum, Thais, Acarnanem, qui Abrotonum quondam habuit, postea autem me amavit, purpuratum illum dico, cum chlamyde, illum ergo nostin', an oblita es hominis?

THAIS. Quin novi, Glycerium, et potavit nobiscum superiore anno, sacris Arealibus. Quorsum autem hoc? videbaris enim aliquid de illo narratura.

GLYC. Gorgona illum scelestissima, quæ amica tum videbatur esse, dolo subductum a me abstraxit.

THAIS. Nunc igitur tecum ille non est, sed amicam sibi ascivit Gorgonam?

GLYC. Ita sane, Thais; nec mediocriter ea me res pupugit.

THAIS. Malum istuc quidem, Glycerium, at nihil præter opinionem; sed quod fieri a nobis meretricibus soleat. Quare neque ægre nimis ferre par est, neque accusanda Gorgona; quippe nec te Abrotonum illius causa accusavit olim, quamvis essetis amicæ.

2. Verum illud miror, quodnam probaverit in illa ic miles, nisi plane cæcus est: qui non viderit capillos illam raros habere, et multum a fronte abductos; labia autem livida ei sunt atque cadaverosa, cervix tenuis, eminentibus in ea venis, et nasus longus. Unum modo habet, quod procera est, et recta, et valde illecebrosum ridet.

GLYC. Nempe putas, Thais, forma captum Acarnanem?

Ἀκαρνᾶνα; οὐκ οἶσθα ὡς φαρμακὶς ἡ Χρυσάριον ἡ μήτηρ αὐτῆς, Θετταλάς τινας ᾠδὰς ἐπισταμένη καὶ τὴν σελήνην κατάγουσα; φασὶ δὲ αὐτὴν καὶ πέτεσθαι τῆς νυκτός· ἐκείνη ἐξέμηνε τὸν ἄνθρωπον πιεῖν τῶν φαρμάκων ἐγχέασα, καὶ νῦν τρυγῶσιν αὐτόν.

ΘΑΙΣ. Καὶ σὺ, ὦ Γλυκέριον, ἄλλον τρυγήσεις, τοῦτον δὲ χαίρειν ἔα.

non nosti veneficam esse Chrysarium illius matrem; Thessalas quasdam incantationes quæ sciat ac deducat lunam? aiunt vero illam etiam volare noctu. Ista in furorem vertit hominem temperatis quæ biberet venenis: et nunc ipsum sibi habent vindemiam.

THAIS. Nempe tu, Glycerium, ipsa quoque alium vindemiabis: hunc vero jube valere.

2.

ΜΥΡΤΙΟΝ ΚΑΙ ΠΑΜΦΙΛΟΣ ΚΑΙ ΔΩΡΙΣ.

1. ΜΥΡΤ. Γαμεῖς, ὦ Πάμφιλε, τὴν Φείδωνος τοῦ ναυκλήρου θυγατέρα καὶ ἤδη σε γεγαμηκέναι φασίν· οἱ τοσοῦτοι δὲ ὅρκοι οὓς ὤμοσας καὶ τὰ δάκρυα ἐν ἀκαρεῖ πάντα οἴχεται, καὶ ἐπιλέλησαι Μυρτίου νῦν, καὶ ταῦτα, ὦ Πάμφιλε, ὁπότε κύω μῆνα ὄγδοον ἤδη. Τοῦτο γοῦν καὶ μόνον ἐπριάμην τοῦ σοῦ ἔρωτος, ὅτι μου τηλικαύτην πεποίηκας τὴν γαστέρα καὶ μετὰ μικρὸν παιδοτροφεῖν δεήσει, πρᾶγμα ἑταίρᾳ βαρύτατον· οὐ γὰρ ἐκθήσω τὸ τεχθέν, καὶ μάλιστα εἰ ἄρρεν γένοιτο, ἀλλὰ Πάμφιλον ὀνομάσασα ἐγὼ μὲν ἕξω παραμύθιον τοῦ ἔρωτος, σοὶ δὲ ὀνειδιεῖ ποτε προσελθὼν ἐκεῖνος, ὡς ἄπιστος γεγένησαι περὶ τὴν ἀθλίαν αὐτοῦ μητέρα. Γαμεῖς δ' οὐ καλὴν παρθένον· εἶδον γὰρ αὐτὴν ἔναγχος ἐν τοῖς Θεσμοφορίοις μετὰ τῆς μητρὸς, οὐδέπω εἰδυῖα ὅτι δι' αὐτὴν οὐκέτι ὄψομαι Πάμφιλον. Καὶ σὺ δ' οὖν πρότερον ἰδοῦ αὐτὴν καὶ τὸ πρόσωπον καὶ τοὺς ὀφθαλμοὺς ἰδὲ, μή σε ἀνιάτω, εἰ πάνυ γλαυκοὺς ἔχει αὐτοὺς μηδὲ ὅτι διάστροφοί εἰσι καὶ ἐς ἀλλήλους ὁρῶσι· μᾶλλον δὲ τὸν Φείδωνα ἑόρακας τὸν πατέρα τῆς νύμφης, τὸ πρόσωπον αὐτοῦ οἶσθα, ὥστε οὐδὲν ἔτι δεήσει τὴν θυγατέρα ἰδεῖν.

2. ΠΑΜΦ. Ἔτι σου ληρούσης, ὦ Μύρτιον, ἀκούσομαι παρθένους καὶ γάμους ναυκληρικοὺς διεξιούσης; ἐγὼ δὲ ἢ σιμήν τινα ἢ καλὴν νύμφην οἶδα; ἢ ὅτι Φείδων ὁ Ἀλωπεκῆθεν — οἶμαι γὰρ ἐκεῖνον λέγειν σε — θυγατέρα ὅλως εἶχεν ὡραίαν ἤδη γάμου; Ἀλλ' οὐδὲ φίλος ἐστὶν οὗτος τῷ πατρί· μέμνημαι γὰρ ὡς πρώην ἐδικάσατο περὶ συμβολαίου ναυτικοῦ· τάλαντον, οἶμαι, ὀφείλων γὰρ τῷ πατρὶ οὐκ ἤθελεν ἐκτίνειν, ὁ δὲ παρὰ τοὺς ναυτοδίκας ἀπήγαγεν αὐτὸν, καὶ μόλις ἐξέτισεν αὐτὸ, οὐδ' ὅλον, ὡς ὁ πατὴρ ἔφασκεν. Εἰ δὲ καὶ γαμεῖν ἐδέδοκτό μοι, τὴν Δημέου θυγατέρα τὴν τοῦ πέρυσιν ἐστρατηγηκότος ἀφεὶς, καὶ ταῦτα πρὸς μητρὸς ἀνεψιὰν οὖσαν, τὴν Φείδωνος ἐγάμουν ἄν; Σὺ δὲ πόθεν ταῦτα ἤκουσας; ἢ τινὰς σεαυτῇ, ὦ Μύρτιον, κενὰς ζηλοτυπίας σκιαμαχοῦσα ἐξεῦρες;

3. ΜΥΡΤ. Οὐκουν γαμεῖς, ὦ Πάμφιλε;

ΠΑΜΦ. Μέμηνας, ὦ Μύρτιον, ἢ κραιπαλᾷς; καίτοι χθὲς οὐ πάνυ ἐμεθύσθημεν.

ΜΥΡΤ. Ἡ Δωρὶς αὕτη ἐλύπησέ με· πεμφθεῖσα γὰρ ὡς ἔρια ὠνήσαιτό μοι ἐπὶ τὴν γαστέρα καὶ εὔξαιτο τῇ

2.

MYRTIUM, PAMPHILUS ET DORIS.

1. MYRT. Ducis, Pamphile, Phidonis naucleri filiam: et jam duxisse te aiunt: repetitum autem toties jusjurandum, et lacrimæ, momento temporis abierunt omnia, et Myrtii nunc oblitus es, Pamphile, idque eo tempore, quum octavum jam mensem fero uterum. Hoc nempe solum amoris tui pretium habeo, quod tantum mihi ventrem conciliasti, et paullo post alendus erit infans, negotium meretrici molestissimum. Neque enim quod natum erit exponam, inprimis si virile secus erit; sed Pamphilum nominabo, habitura illum amoris mei solatium: tibi vero aliquando ad te accedens objiciet, quam perfidus in miseram ipsius matrem fueris. Ducis autem non pulchram tu quidem virginem: vidi enim illam nuper Thesmophoriis cum matre, quum nondum scirem illius me opera non amplius visuram Pamphilum. Igitur tu quoque prius illam contemplare, et faciem et oculos aspice; neu ægre ferto, si plane cæsios habet, neque quod strabi sunt et se invicem respiciunt. Atqui Phidonem vidisti, patrem sponsæ; faciem illius nosti: itaque nihil opus erit videre filiam.

2. PAMPH. Adhuc te delirantem, mea Myrtium, audiam, virgines mihi et nauclericas nuptias narrantem? Ego vero simamne an pulchram sponsam novi? aut Phidoni Alopecia (illum enim puto te dicere) filiam esse maturam nuptiis scio? Sed neque amicus hic est patri: memini enim nuper illum de nautico negotio litem cum ipso habere. Quum enim talentum, credo, deberet patri, solvere nolebat: at ille ad eos qui nautis jus dicunt, traxit hominem, qui vix tandem solvit; ac ne sic quidem totum, ut pater dicebat. Si vero uxorem ducere mihi decretum esset, egon' relicta Demeæ filia, ejus qui superiore anno prætor erat exercitus, eaque consobrina mea, Phidonis puellam ducerem? Tu vero unde ista audisti? an ipsa tibi, Myrtium, finxisti novas, quibuscum zelotypia tua deinde pugnet, larvas?

3. MYRT. Igitur uxorem non ducis, Pamphile?

PAMPH. Furisne, Myrtium, an ebria es? certe heri minime fuimus ebrii.

MYRT. Doris me ista in dolorem conjecit. Missa enim ut lanas mihi emeret ad ventrem, et votum meo nomine

Λοχίᾳ ὡς ὑπὲρ ἐμοῦ, Λεσβίαν ἔφη ἐντυχοῦσαν αὐτῇ.... μᾶλλον δὲ σὺ αὐτή, ὦ Δωρὶ, λέγε ἅπερ ἀκήκοας, εἴ γε μὴ ἐπλάσω ταῦτα.

ΔΩΡ. Ἀλλ' ἐπιτριβείην, ὦ δέσποινα, εἴ τι ἐψευσάμην· ἐπεὶ γὰρ κατὰ τὸ πρυτανεῖον ἐγενόμην, ἐνέτυχέ μοι ἡ Λεσβία μειδιῶσα καὶ φησίν, Ὁ ἐραστὴς ὑμῶν ὁ Πάμφιλος γαμεῖ τὴν Φείδωνος θυγατέρα· εἰ δὲ ἀπιστοίην, ἠξίου με παρακύψασαν ἐς τὸν στενωπὸν ὑμῶν ἰδεῖν πάντα κατεστεφανωμένα καὶ αὐλητρίδας καὶ θόρυβον καὶ ὑμέναιον ᾄδοντάς τινας.

ΠΑΜΦ. Τί οὖν; παρέκυψας, ὦ Δωρί;

ΔΩΡ. Καὶ μάλα, καὶ εἶδον ἅπαντα ὡς ἔφη.

4. ΠΑΜΦ. Μανθάνω τὴν ἀπάτην· οὔτε πάντα ἡ Λεσβία, Δωρὶ, πρὸς σὲ ἐψεύσατο καὶ σὺ τἀληθῆ ἀπήγγελκας Μυρτίῳ. Πλὴν μάτην γε ἐταράχθητε· οὐδὲ γὰρ παρ' ἡμῖν οἱ γάμοι, ἀλλὰ νῦν ἀνεμνήσθην ἀκούσας τῆς μητρὸς, ὁπότε χθὲς ἀνέστρεψα παρ' ὑμῶν· ἔφη γὰρ, Ὦ Πάμφιλε, ὁ μὲν ἡλικιώτης σοι Χαρμίδης τοῦ γείτονος Ἀρισταινέτου υἱὸς γαμεῖ ἤδη καὶ σωφρονεῖ, σὺ δὲ μέχρι τίνος ἑταίρᾳ σύνει; Τοιαῦτα παρακούων αὐτῆς ἐς ὕπνον κατηνέχθην· εἶτα ἔωθεν προῆλθον ἀπὸ τῆς οἰκίας, ὥστε οὐδὲν εἶδον ὧν ἡ Δωρὶς ὕστερον εἶδεν. Εἰ δὲ ἀπιστεῖς, αὖθις ἀπελθοῦσα, ὦ Δωρὶ, ἀκριβῶς ἰδὲ μὴ τὸν στενωπὸν, ἀλλὰ τὴν θύραν, ποτέρα ἐστὶν ἡ κατεστεφανωμένη· εὑρήσεις γὰρ τὴν τῶν γειτόνων.

ΜΥΡΤ. Ἀπέσωσας, ὦ Πάμφιλε· ἀπηγξάμην γὰρ ἄν, εἴ τι τοιοῦτο ἐγένετο.

ΠΑΜΦ. Ἀλλ' οὐκ ἂν ἐγένετο, μηδ' οὕτω μανείην, ὡς ἐκλαθέσθαι Μυρτίου, καὶ ταῦτα ἤδη μοι κυούσης παιδίον.

Lucinæ nuncuparet, Lesbiam ait sibi obviam factam ... quin tute huic, Doris, quæ audiisti dicito, nisi ea confinxisti.

DOR. At ego dispeream, hera, si quid mentita sum. Quum enim prope Prytaneum essem, obviam mihi fuit Lesbia, quæ subridens dicebat, Amator vester Pamphilus Phidonis ducit filiam. Si vero non crederem, jubebat me vestrum in angiportum inspicere, ac videre sertis exornata omnia, et tibicinas, ac tumultum, et hymenæum canentes aliquos.

PAMPH. Quid ergo? num inspexisti, Doris?

DOR. Omnino, et vidi omnia ut prædixerat.

4. PAMPH. Disco quid erraveritis: non omnia apud te, Doris, mentita est Lesbia: et tu vera narrasti Myrtio. Verum turbatæ frustra estis: neque enim apud nos nuptiæ, sed jam recordor quod heri e matre audivi, quum a vobis domum redissem. Dicebat enim, Tuus, Pamphile, æqualis, Charmides, vicini nostri Aristæneti filius, uxorem jam ducit, et frugi est: tu vero quam diu eris cum meretrice? Hæc aure parum attenta quum ex illa audissem, obdormivi; deinde mane domo egressus sum: itaque nihil eorum vidi quæ Doris deinde vidit. Si vero fidem mihi non habes, rursus, Doris, et accurate inspice, non angiportum, sed januam, utra coronota sit.: invenies enim esse vicinorum.

MYRT. Servasti me, Pamphile: suspendissem enim me, si quid tale factum esset.

PAMPH. Sed minime factum esset; neque ita ego insaniam, ut obliviscar Myrtii, idque ferentis ex me uterum.

3.

ΜΗΤΗΡ ΚΑΙ ΦΙΛΙΝΝΑ.

1. ΜΗΤ. Ἐμάνης, ὦ Φίλιννα, ἢ τί ἔπαθες ἐν τῷ ξυμποσίῳ χθές; ἦκε γὰρ παρ' ἐμὲ Δίφιλος ἕωθεν δακρύων καὶ διηγήσατό μοι ἃ ἔπαθεν ὑπὸ σοῦ· μεμεθύσθαι γάρ σε καὶ ἐς τὸ μέσον ἀναστᾶσαν ὀρχήσασθαι αὐτοῦ διακωλύοντος καὶ μετὰ ταῦτα φιλῆσαι Λαμπρίαν τὸν ἑταῖρον αὐτοῦ, καὶ ἐπεὶ ἐχαλέπηνέ σοι, καταλιποῦσαν αὐτὸν ἀπελθεῖν πρὸς τὸν Λαμπρίαν καὶ περιβαλεῖν ἐκεῖνον, ἑαυτὸν δὲ ἀποπνίγεσθαι τούτων γιγνομένων. Ἀλλ' οὐδὲ τῆς νυκτὸς, οἶμαι, συνεκάθευδες μετ' αὐτοῦ, καταλιποῦσα δὲ δακρύοντα μόνη ἐπὶ τοῦ πλησίον σκίμποδος κατέκεισο ᾄδουσα καὶ λυποῦσα ἐκεῖνον.

2. ΦΙΛ. Τὰ γὰρ αὐτοῦ σοι, ὦ μῆτερ, οὐ διηγήσατο· οὐ γὰρ ἂν συνηγόρευες αὐτῷ ὑβριστῇ γε ὄντι, ὃς ἐμοῦ ἀφέμενος ἐκοινολογεῖτο Θαΐδι τῇ Λαμπρίου ἑταίρᾳ, μηδέπω ἐκείνου παρόντος· ἐπεὶ δὲ χαλεπαίνουσαν εἶδέ με καὶ διένευσα αὐτῷ οἷα ποιεῖ, τοῦ ὠτὸς ἄκρου ἐφαψάμενος ἀνακλάσας τὸν αὐχένα τῆς Θαΐδος ἐφίλησεν οὕτω προσφυῶς, ὥστε μόλις ἀπέσπασε τὰ χείλη, εἶτ'

3.

MATER ET PHILINNA.

1. MAT. Furebasne, Philinna, aut quid tibi erat heri in convivio? venit enim ad me Diphilus mane plorans, et quæ perpessus a te esset, narravit: ebriam te fuisse, progressamque in medium, se licet prohibente, saltasse; ac deinde osculum dedisse sodali ipsius Lampriæ: quumque graviter id ferret, se relicto, abiisse ad Lampriam eumque amplexatam; sese vero, dum hæc fierent, enecari. Verum neque noctu, puto, cum ipso cubuisti, sed plorante relicto, sola jacuisti in proximo lectulo, canens et molestia illum afficiens.

2. PHIL. Nimirum quæ ipse fecerit, mater, non enarravit tibi: nec enim causam illius, contumeliosi hominis, nunc ageres: qui me relicta sermones misceret cum Thaide, amica Lampriæ, quum ille nondum adesset. Quum vero ægre me ferre videret, nutu, quid ageret, significantem; extrema Thaidis aure prehensa, reflexaque cervice, ita arcte illam osculatus est, vix ut labia retraheret. Tum

ἐγὼ μὲν ἐδάκρυον, ὁ δὲ ἐγέλα καὶ πρὸς τὴν Θαΐδα πολλὰ πρὸς τὸ οὖς ἔλεγε κατ' ἐμοῦ δηλαδή, καὶ ἡ Θαὶς ἐμειδία βλέπουσα πρὸς ἐμέ. Ὡς δὲ προσιόντα ἤσθοντο τὸν Λαμπρίαν καὶ ἐκορέσθησάν ποτε φιλοῦντες ἀλλήλους, ἐγὼ μὲν ὅμως παρ' αὐτὸν κατεκλίθην, ὡς μὴ καὶ τοῦτο προφασίζοιτο ὕστερον, ἡ Θαὶς δὲ ἀναστᾶσα ὠρχήσατο πρώτη ἀπογυμνοῦσα ἐπὶ πολὺ τὰ σφυρὰ ὡς μόνη καλὰ ἔχουσα, καὶ ἐπειδὴ ἐπαύσατο, ὁ Λαμπρίας μὲν ἐσίγα καὶ εἶπεν οὐδέν, Δίφιλος δὲ ὑπερεπῄνει τὸ εὔρυθμον καὶ τὸ κεχορηγημένον, καὶ ὅτι εὖ πρὸς τὴν κιθάραν ὁ πούς καὶ τὸ σφυρὸν ὡς καλὸν καὶ ἄλλα μυρία, καθάπερ τὴν Καλάμιδος Σωσάνδραν ἐπαινῶν, ἀλλ' οὐχὶ Θαΐδα, ἣν καὶ σὺ οἶσθα συλλουομένην ἡμῖν οἷα ἐστί. Θαὶς δὲ οἷα καὶ ἔσκωψεν εὐθὺς ἐς ἐμέ· Εἰ γάρ τις, ἔφη, μὴ αἰσχύνεται λεπτὰ ἔχουσα τὰ σκέλη, ὀρχήσεται καὶ αὐτὴ ἐξαναστᾶσα. Τί ἂν λέγοιμι, ὦ μῆτερ; ἀνέστην γὰρ καὶ ὠρχησάμην. Τί γὰρ ἔδει ποιεῖν; ἀνασχέσθαι καὶ ἐπαληθεύειν τὸ σκῶμμα καὶ τὴν Θαΐδα ἐᾶν τυραννεῖν τοῦ συμποσίου;

3. ΜΗΤ. Φιλοτιμότερον μέν, ὦ θύγατερ, οὐδὲ φροντίζειν γὰρ ἐχρῆν· λέγε δ' ὅμως τὰ μετὰ ταῦτα.

ΦΙΑ. Οἱ μὲν οὖν ἄλλοι ἐπῄνουν, ὁ Δίφιλος δὲ μόνος ὕπτιον καταβαλὼν ἑαυτὸν ἐς τὴν ὀροφὴν ἀνέβλεπεν, ἄχρι δὴ καμοῦσα ἐπαυσάμην.

ΜΗΤ. Τὸ φιλῆσαι δὲ τὸν Λαμπρίαν ἀληθὲς ἦν καὶ τὸ μεταβᾶσαν περιπλέκεσθαι αὐτῷ; Τί σιγᾷς; οὐκέτι γὰρ ταῦτα συγγνώμης ἄξια.

ΦΙΑ. Ἀντιλυπεῖν ἐβουλόμην αὐτόν.

ΜΗΤ. Εἶτα οὐδὲ συνεκάθευδες, ἀλλὰ καὶ ἤδες ἐκείνου δακρύοντος; Οὐκ αἰσθάνῃ, ὦ θύγατερ, ὅτι πτωχαί ἐσμεν, οὐδὲ μέμνησαι ὅσα παρ' αὐτοῦ ἐλάβομεν ἢ οἷον δὴ τὸν πέρυσι χειμῶνα διηγάγομεν ἂν, εἰ μὴ τοῦτον ἡμῖν ἡ Ἀφροδίτη ἔπεμψε;

ΦΙΑ. Τί οὖν; ἀνέχωμαι διὰ τοῦτο ὑβριζομένη ὑπ' αὐτοῦ;

ΜΗΤ. Ὀργίζου μέν, μὴ ἀνθύβριζε δέ. Οὐκ οἶσθα ὅτι ὑβριζόμενοι παύονται οἱ ἐρῶντες καὶ ἐπιτιμῶσιν ἑαυτοῖς; Σὺ δὲ πάνυ χαλεπὴ ἀεὶ τῷ ἀνθρώπῳ γεγένησαι, καὶ ὅρα μὴ κατὰ τὴν παροιμίαν ἀπορρήξωμεν πάνυ τείνουσαι τὸ καλώδιον.

plorare ego; at iste ridere, et multa in aurem dicere Thaidi, contra me scilicet. Ac subridebat Thais, ad me respiciens. Quum vero advenientem sentirent Lampriam et satiati tandem essent osculis mutuis, ego tamen apud ipsum accubui, ne hoc si repudiarem, deinde haberet obtentui. Surgens vero Thais saltabat prima nudatis multum talis, quasi pulchros sola haberet; quumque desisset, tacente Lampria et nihil dicente, Diphilus dilaudare numerosam saltationem et accommodatam choro, et quam bene ad citharam pes congrueret, quam pulcher talus, et sexcenta alia, quasi qui Sosandram laudaret Calamidis, non Thaida, quam tu quoque qualis sit nosti, quum lavet nobiscum. Thais vero qualia statim in me jecit! Si quam, inquit, non pudet crurum exilitatis, saltatum et ipsa surgat! Quid dicerem, mater? surrexi nimirum et saltavi. Quid enim facerem? ferrem et confirmarem illius dictum, ac Thaida regnum obtinere convivii paterer?

3. MAT. Ambitiosius quidem istuc, filia: neque enim curare oportebat: sed dic tamen quid postea factum sit.

PHIL. Ceteri laudabant: solus vero Diphilus supinum se abjecerat lacunar respiciens, dum fatigata desinerem.

MAT. Illud autem an verum erat, quod Lampriam osculata es et transiens ad eum amplexa? Quid taces? hæc jam indigna sunt venia.

PHIL. Vicissim quod illum morderet volebam facere.

MAT. Deinde neque cubuisti cum illo, sed illo plorante etiam cecinisti? Nonne cogitas, filia, nos esse pauperes; neque, quantum ab illo acceperimus, meministi, aut quomodo hiemem superiorem acturæ fueramus, nisi hunc nobis Venus misisset?

PHIL. Quid ergo, patiarne propter hoc me contumeliose ab illo tractari?

MAT. Irascere, sed noli contra contumeliosa esse. An ignoras, qui amant, eos mox desistere a contumelia, ac se ipsos reprehendere? Tu vero aspera nimis semper in hominem fuisti: et vide, ne, quod est in proverbio, nimium contendendo funem rumpamus.

4.

ΜΕΛΙΤΤΑ ΚΑΙ ΒΑΚΧΙΣ.

1. ΜΕΛ. Εἴ τινα οἶσθα, Βακχί, γραῦν, οἷαι πολλαὶ Θετταλαὶ λέγονται ἐπᾴδουσαι καὶ ἐρασμίους ποιοῦσαι, εἰ καὶ πάνυ μισουμένη γυνὴ τυγχάνοι, οὕτως ὄναιο, παραλαβοῦσα ἧκέ μοι· θαλάμια γὰρ καὶ τὰ χρυσία ταῦτα προείμην ἡδέως, εἰ μόνον ἴδοιμι ἐπ' ἐμὲ αὖθις ἀναστρέψαντα Χαρῖνον μισήσαντα τὴν Σιμίχην ὡς νῦν ἐμέ.

ΒΑΚΧ. Τί φῄς; οὐκέτι σύνεστιν — ἀλλὰ παρὰ τὴν

4.

MELISSA ET BACCHIS.

1. MEL. Si quam nosti, mea Bacchis, anum, quales esse in Thessalia multæ dicuntur quæ incantent et amabiles præstent, si qua etiam valde exosa sit muller; illa assumta, ita beata sis! ad me venito. Vestes enim et hoc aurum lubens abjiciam, modo videam redeuntem ad me Charinum odio Simichen, uti nunc me, habere.

BACCH. Quid ais? non amplius tecum est, sed ad Si-

Σιμίχην, ὦ Μέλιττα, οἴχεται Χαρῖνος — δι' ἣν τοσαύτας ὀργὰς τῶν γονέων ἠνέσχετο οὐ βουληθεὶς τὴν πλουσίαν ἐκείνην γῆμαι πέντε προικὸς τάλαντα, ὡς ἔλεγον, ἐπιφερομένην; μέμνημαι γὰρ ταῦτά σου ἀκούσασα.

ΜΕΛ. Ἅπαντα ἐκεῖνα οἴχεται, ὦ Βακχί, καὶ πέμπτην ταύτην ἡμέραν οὐδ' ἑόρακα ὅλως αὐτὸν, ἀλλὰ πίνουσι παρὰ τῷ συνεφήβῳ Παμμένει αὐτός τε καὶ Σιμίχη.

2. ΒΑΚΧ. Δεινὰ, ὦ Μέλιττα, πέπονθας. Ἀλλὰ τί καὶ ὑμᾶς διέστησεν; ἔοικε γὰρ οὐ μικρὸν τοῦτ' εἶναι.

ΜΕΛ. Τὸ μὲν ὅλον οὐδὲ εἰπεῖν ἔχω· πρῴην δὲ ἀνελθὼν ἐκ Πειραιῶς — κατεληλύθει γάρ, οἶμαι, χρέος τι ἀπαιτήσων πέμψαντος τοῦ πατρός — οὔτε με προσέβλεψεν ἐσελθὼν οὔτε προσήκατο ὡς ἔθος προσδραμοῦσαν, ἀποσεισάμενος δὲ περιπλακῆναι θέλουσαν, Ἄπιθι, φησὶ, πρὸς τὸν ναύκληρον Ἑρμότιμον ἢ τὰ ἐπὶ τῶν τοίχων γεγραμμένα ἐν τῷ Κεραμεικῷ ἀνάγνωθι, ὅπου κατεστηλίτευται ὑμῶν τὰ ὀνόματα. Τίνα Ἑρμότιμον, τίνα, ἔφην, ἢ ποίαν στήλην λέγεις; Ὁ δὲ οὐδὲν ἀποκρινάμενος οὐδὲ δειπνήσας ἐκάθευδεν ἀποστραφείς. Πόσα οἴει ἐπὶ τούτῳ μεμηχανῆσθαί με περιλαμβάνουσαν ἐπιστρέφουσαν φιλοῦσαν ἀπεστραμμένου τὸ μετάφρενον; ὁ δ' οὐδ' ὁπωστιοῦν ὑπεμαλάχθη, Ἀλλ' εἴ μοι, φησὶν, ἐπὶ πλέον ἐνοχλήσειας, ἄπειμι ἤδη, εἰ καὶ μέσαι νύκτες εἰσίν.

3. ΒΑΚΧ. Ὅμως ἤδεις τὸν Ἑρμότιμον;

ΜΕΛ. Ἀλλά με ἴδοις, ὦ Βακχί, ἀθλιώτερον διάγουσαν ἢ νῦν ἔχω, εἴ τινα ἐγὼ ναύκληρον Ἑρμότιμον οἶδα. Πλὴν ἀλλ' ὁ μὲν ἔωθεν ἀπεληλύθει τοῦ ἀλεκτρυόνος εὐθὺς ᾄσαντος ἀνεγρόμενος, ἐγὼ δὲ ἐμεμνήμην ὅτι κατὰ τοίχου τινὸς ἔλεγε καταγεγράφθαι τοὔνομα ἐν Κεραμεικῷ· ἐπεμψα οὖν Ἀκίδα κατασκεψομένην· ἡ δ' ἄλλο μὲν οὐδὲν εὗρε, τοῦτο δὲ μόνον ἐπιγεγραμμένον ἐσιόντων ἐπὶ τὰ δεξιὰ πρὸς τῷ Διπύλῳ, Μέλιττα φιλεῖ Ἑρμότιμον, καὶ μικρὸν αὖθις ὑποκάτω, Ὁ ναύκληρος Ἑρμότιμος φιλεῖ Μέλιτταν.

ΒΑΚΧ. Ὦ τῶν περιέργων νεανίσκων. Συνίημι γάρ. Λυπῆσαί τις θέλων τὸν Χαρῖνον ἐπέγραψε ζηλότυπον ὄντα εἰδώς· ὁ δὲ αὐτίκα ἐπίστευσεν. Εἰ δέ που ἴδοιμι αὐτὸν, διαλέξομαι. Ἄπειρός ἐστι καὶ παῖς ἔτι.

ΜΕΛ. Ποῦ δ' ἂν ἴδοις ἐκεῖνον, ὃς ἐγκλείσας ἑαυτὸν σύνεστι τῇ Σιμίχῃ; οἱ γονεῖς δὲ ἔτι παρ' ἐμοὶ ζητοῦσιν αὐτόν. Ἀλλ' εἴ τινα εὕροιμι, ὦ Βακχὶ, γραῦν, ὡς ἔφην· ἀποσώσειε γὰρ ἂν φανεῖσα.

4. ΒΑΚΧ. Ἔστιν, ὦ φιλτάτη, ὅτι χρησίμη φαρμακὶς, Σύρα τὸ γένος, ὠμὴ ἔτι καὶ συμπεπηγυῖα, ἥ μοί ποτε Φανίαν χαλεπαίνοντα κἀκεῖνον εἰκῇ, ὥσπερ Χαρῖνος, διήλλαξε μετὰ μῆνας ὅλους τέτταρας, ὅτε ἐγὼ μὲν ἤδη ἀπεγνώκειν, ὁ δὲ ὑπὸ τῶν ἐπῳδῶν ἦκεν αὖθις ἐπ' ἐμέ.

ΜΕΛ. Τί δὲ ἔπραξεν ἡ γραῦς, εἴπερ ἔτι μέμνησαι;

ΒΑΚΧ. Λαμβάνει μὲν οὐδὲ πολὺν, ὦ Μέλιττα, τὸν μισθὸν, ἀλλὰ δραχμὴν καὶ ἄρτον· καὶ ἐπικεῖσθαι δὲ δεῖ μετὰ τῶν ἁλῶν καὶ ὀβολοὺς ἑπτὰ καὶ θεῖον καὶ δᾷδα.

michen, mea Melissa, transiit Charinus? relicta te, propter quam tantas parentum iras sustinuit, divitem illam recusans ducere, quinque dotis talenta, uti dicebant, afferentem? *ista enim ex te audire memini.*

MEL. Abierunt ista, Bacchis, omnia : et quintus hic dies est, quod omnino illum non vidi; sed apud sodalem ipsius Pammenem bibunt ipse pariter ac Simiche.

2. BACCH. Indigna perpeteris, Melissa. Sed quid vos disjunxit? videtur enim non parvum quiddam illud esse.

MEL. Totum nec ipsa habeo dicere : sed nuper reversus ex Piræeo (descenderat enim missu patris, debiti puto cujusdam exigendi causa) neque aspexit me intrans, neque admisit meo more accurrentem, sed amplecti volentem repellens, Abi, inquit, ad nauclerum Hermotimum, aut scripta in parietibus in Ceramico lege, ubi nomina vestra palam in pila exarata sunt. Quem tu mihi, inquam, quem *Hermotimum*, aut quam *pilam* narras? At *ille* nihil respondens, nec cœnatus, aversus jacuit. Quas tu me putas admovisse illi machinas? amplexa sum illum, convertere ad me studui, dorsum aversi osculata sum. Ille vero ne qualitercumque quidem emolliri se passus, At si mihi, inquit, diutius molesta fueris, jam statim, media licet nocte, abeo.

3. BACCH. Tamen noveras Hermotimum?

MEL. At miserius me viventem, quam nunc habeo, videas, Bacchis, si quem ego nauclerum novi Hermotimum. Verum ille sub galli cantum surgens mane abiit : ego vero memineram illum dicere in pariete quodam scriptum meum nomen in Ceramico. Misi ergo visuram Acidem. At illa nihil invenit aliud, præterquam hoc solum scriptum ad dextram introeuntium versus Dipylum, « Melissa amat Hermotimum, » et paullo inferius iterum, « Nauclerus Hermotimus amat Melissam. »

BACCH. Male sedulos istos adolescentulos! Intelligo enim. Ægre aliquis volens Charino facere, inscripsit, qui zelotypia ipsum laborare sciret. Atque *ille statim credidit.* Sicubi vero illum videro, alloquar. Puer adhuc est atque imperitus.

MEL. Ubi autem illum tu videas, qui se cum Simiche concluserit? parentes vero illum apud me adhuc quæruntur. Sed utinam, Bacchis, anum aliquam inveniam, uti dixi. Illa enim sua me præsentia servaret.

4. BACCH. Est, carissima, præstantissima venefica, Syra genus, cruda adhuc et compacta, quæ mihi Phaniam, quum asperum se et ipse, ut nunc tibi Charinus, temere mihi præberet, reconciliavit post quattuor integros menses, ubi jam omnem ego spem deposueram : et ille incantationum beneficio ad me rursus rediit.

MEL. Quid vero poposcit anus, si adhuc meministi?

BACCH. Capit mercedem non multam, Melissa, sed drachmam et panem : et appositos esse oportet cum salibus etiam septem obolos, et sulphur, et facem. Hæc quo-

Ταῦτα δὲ ἡ γραῦς λαμβάνει, καὶ κρατῆρα κεκερᾶσθαι δεῖ καὶ πίνειν ἐκείνην μόνην. Δεήσει δέ τι αὐτοῦ τοῦ ἀνδρὸς εἶναι, οἷον ἱμάτια ἢ κρηπῖδας ἢ ὀλίγας τῶν τριχῶν ἤ τι τῶν τοιούτων.

ΜΕΛ. Ἔχω τὰς κρηπῖδας αὐτοῦ.

5. ΒΑΚΧ. Ταύτας κρεμάσασα ἐκ παττάλου ὑποθυμιᾷ τῷ θείῳ, πάττουσα καὶ τῶν ἁλῶν ἐπὶ τὸ πῦρ· ἐπιλέγει δὲ ἀμφοῖν τὰ ὀνόματα καὶ τὸ ἐκείνου καὶ τὸ σόν. Εἶτα ἐκ τοῦ κόλπου προκομίσασα ῥόμβον ἐπιστρέφει ἐπῳδήν τινα λέγουσα ἐπιτρόχῳ τῇ γλώττῃ, βαρβαρικὰ καὶ φρικώδη ὀνόματα. Ταῦτα ἐποίησε τότε. Καὶ μετ' οὐ πολὺ Φανίας, ἅμα καὶ τῶν συνεφήβων ἐπιτιμησάντων αὐτῷ καὶ τῆς Φοιβίδος, ᾗ συνῆν, πολλὰ αἰτούσης, ἦκέ μοι τὸ πλέον ὑπὸ τῆς ἐπῳδῆς ἀγόμενος. Ἔτι δὲ καὶ τοῦτό με σφόδρα κατὰ τῆς Φοιβίδος τὸ μίσηθρον ἐδιδάξατο, τηρήσασαν τὸ ἴχνος, ἐπὰν ἀπολίπῃ, ἀμαυρώσασαν ἐπιβῆναι μὲν τῷ ἀριστερῷ ἐκείνης τὸν ἐμὸν δεξιόν, τῷ δεξιῷ δὲ τὸν ἀριστερὸν ἔμπαλιν καὶ λέγειν, Ἐπιβέβηκά σοι καὶ ὑπεράνω εἰμί· καὶ ἐποίησα ὡς προσέταξε.

ΜΕΛ. Μὴ μέλλε, μὴ μέλλε, ὦ Βακχὶ, κάλει ἤδη τὴν Σύραν. Σὺ δέ, ὦ Ἀκὶ, τὸν ἄρτον καὶ τὸ θεῖον καὶ τὰ ἄλλα πάντα πρὸς τὴν ἐπῳδὴν εὐτρέπιζε.

5.

ΚΛΩΝΑΡΙΟΝ ΚΑΙ ΛΕΑΙΝΑ.

1. ΚΛΩΝ. Καινὰ περὶ σοῦ ἀκούομεν, ὦ Λέαινα, τὴν Λεσβίαν Μέγιλλαν τὴν πλουσίαν ἐρᾶν σου ὥσπερ ἄνδρα καὶ συνεῖναι ὑμᾶς οὐκ οἶδ' ὅ τι ποιούσας μετ' ἀλλήλων. Τί τοῦτο; ἠρυθρίασας; ἀλλ' εἰπὲ εἰ ἀληθῆ ταῦτά ἐστιν.

ΛΕΑΙ. Ἀληθῆ, ὦ Κλωνάριον· αἰσχύνομαι δὲ, ἀλλόκοτον γάρ τί ἐστι.

ΚΛΩΝ. Πρὸς τῆς κουροτρόφου τί τὸ πρᾶγμα, ἢ τί βούλεται ἡ γυνή; τί δὲ καὶ πράττετε, ὅταν συνῆτε; Ὁρᾷς; οὐ φιλεῖς με· οὐ γὰρ ἂν ἀπεκρύπτου τὰ τοιαῦτα.

ΛΕΑΙ. Φιλῶ μέν σε, εἰ καί τινα ἄλλην. Ἡ γυνὴ δὲ δεινῶς ἀνδρική ἐστιν.

2. ΚΛΩΝ. Οὐ μανθάνω ὅ τι καὶ λέγεις, εἰ μή τις ἑταιρίστρια τυγχάνει οὖσα· τοιαύτας γὰρ ἐν Λέσβῳ λέγουσι γυναῖκας ἀρρενωπούς, ὑπ' ἀνδρῶν μὲν οὐκ ἐθελούσας αὐτὸ πάσχειν, γυναιξὶ δὲ αὐτὰς πλησιαζούσας ὥσπερ ἄνδρας.

ΛΕΑΙ. Τοιοῦτόν τι.

ΚΛΩΝ. Οὐκοῦν, ὦ Λέαινα, τοῦτο αὐτὸ καὶ διήγησαι, ὅπως μὲν ἐπείρα τὸ πρῶτον, ὅπως δὲ καὶ συνεπείσθης καὶ τὰ μετὰ ταῦτα.

ΛΕΑΙ. Πότον τινὰ συγκροτοῦσαι αὐτή τε καὶ Δημώνασσα ἡ Κορινθία, πλουτοῦσα δὲ καὶ αὐτὴ καὶ ὁμότεχνος οὖσα τῇ Μεγίλλῃ, παρέλαβον κἀμὲ κιθαρίζειν αὐταῖς· ἐπεὶ δὲ ἐκιθάρισα καὶ ἀωρὶ ἦν καὶ ἔδει καθεύ-

que anus sibi aufert: et poculum temperatum esse oportet, eamque solam illud ebibere. Oportebit autem ipsius viri præsto esse aliquid, velut vestes, aut soleas, aut pilos paucos, aut quid ex eo genere.

MEL. Habeo illius soleas.

5. BACCH. Has de clavo suspensas suffitu ex sulphure facto imbuit, de sale etiam aliquid in ignem conjicit, pronuncians simul nomina utriusque, et ipsius, et tuum. Tum prolatum de sinu rhombum intorquet, carmen simul volubili lingua dicens, barbarica horribiliaque nomina. Hæc tum fecerat. Ac non ita multo post Phanias, sodalibus licet illum reprehendentibus, et multum rogante, quicum adhuc fuerat, Phœbide, ad me venit ab illo maxime incantamento adductus. Insuper vero illud mihi odii contra Phœbidem potissimum excitandi remedium docuit, ut observatum illius vestigium, quum primum illud reliquisset, ipsa delerem, ita ut sinistro illius meus dexter pes, sinister autem contra dextro vestigio insisteret, diceremque, Calco te, et superior sum! ac feci quod præceperat.

MEL. Noli, noli cunctari, Bacchis: voca mihi jam Syram. Tu vero, Acis, panem et sulphur et reliqua omnia ad incantationem compara.

5.

CLONARIUM ET LEÆNA.

1. CLON. Nova de te, Leæna, audimus, Lesbiam Megillam, illam divitem, tui ut virum amore incensam, et coire vos, nescio quid inter vos peragentes. Quid hoc? erubuisti? verum dic an vera sint ista.

LEÆ. Vera, Clonarium, sed pudet me: est enim absurdum quiddam.

CLON. Per matrem Liberæ, quid negotii est, aut quid sibi vult mulier? quid vero facitis, quum una estis? Vides? non amas me: neque enim talia celares.

LEÆ. Amo te equidem, si quam aliam. Illa vero mulier vehementer mascula est.

2. CLON. Nondum quid dicas intelligo, nisi forte quædam mascula amica est: tales enim Lesbi esse aiunt mulieres facie virili, quæ a viris quidem pati illa recusent, ipsæ vero mulieribus fruantur ut viri.

LEÆ. Tale quid est.

CLON. Ergo, mea Leæna, illud ipsum quoque narra, quomodo tentaverit primum, quomodo tibi persuasum sit, et quæ sequuntur.

LEÆ. Convivium instituerat cum Corinthia Demonassa, divite et ipsa, atque eandem artem quam Megilla exercente: assumserant autem me, quæ cithara ipsas oblectarem. Quum autem cecinissem, et serum esset, atque tempus

δειν, αἱ δὲ ἐμέθυον, Ἄγε δὴ, ἔφη, ὦ Λέαινα, ἡ Μέγιλλα, κοιμᾶσθαι γὰρ ἤδη καλὸν, ἐνταῦθα κάθευδε μεθ' ἡμῶν μέση ἀμφοτέρων.

ΚΛΩΝ. Ἐκάθευδες; τὸ μετὰ ταῦτα τί ἐγένετο;

3. ΛΕΑΙ. Κατεφίλουν με τὸ πρῶτον ὥσπερ οἱ ἄνδρες, οὐκ αὐτὸ μόνον προσαρμόζουσαι τὰ χείλη, ἀλλ' ὑπανοίγουσαι τὸ στόμα, καὶ περιέβαλλον καὶ τοὺς μαστοὺς ἀπέθλιβον· ἡ Δημώνασσα δὲ καὶ ἔδακνε μεταξὺ καταφιλοῦσα· ἐγὼ δὲ οὐκ εἶχον εἰκάσαι ὅ τι τὸ πρᾶγμα εἴη. Χρόνῳ δὲ ἡ Μέγιλλα ὑπόθερμος ἤδη οὖσα τὴν μὲν πηνίκην ἀφεῖλετο τῆς κεφαλῆς, ἐπέκειτο δὲ πάνυ ὁμοία καὶ προσφυὴς, καὶ ἐν χρῷ ὤφθη αὐτὴ καθάπερ οἱ σφόδρα ἀνδρώδεις τῶν ἀθλητῶν ἀποκεκαρμένη· κἀγὼ ἐταράχθην ἰδοῦσα. Ἡ δὲ, Ὦ Λέαινα, φησὶν, ἑόρακας ἤδη οὕτω καλὸν νεανίσκον; Ἀλλ' οὐχ ὁρῶ γε, ἔφην ἐγὼ, νεανίσκον ἐνταῦθα, ὦ Μέγιλλα. Μή με καταθήλυνε, ἔφη, Μέγιλλος γὰρ ἐγὼ λέγομαι καὶ γεγάμηκα πρόπαλαι ταύτην τὴν Δημώνασσαν, καὶ ἔστιν ἐμὴ γυνή. Ἐγέλασα, ὦ Κλωνάριον, ἐπὶ τούτῳ καὶ ἔφην, Οὐκοῦν σὺ, ὦ Μέγιλλε, ἀνήρ τις ὢν ἐλελήθεις ἡμᾶς, καθάπερ τὸν Ἀχιλλέα φασὶν ἐν ταῖς παρθένοις κρυπτόμενον ταῖς ἁλουργίσι; καὶ τὸ ἀνδρεῖον δὲ ἐκεῖνο ἔχεις καὶ ποιεῖς τὴν Δημώνασσαν ὅπερ οἱ ἄνδρες; Ἐκεῖνο μὲν, ἔφη, ὦ Λέαινα, οὐκ ἔχω· δέομαι δὲ οὐδὲ πάνυ αὐτοῦ· ἴδιον δέ τινα τρόπον ἡδίω παρὰ πολὺ ὁμιλοῦντα ὄψει με. Ἀλλὰ μὴ Ἑρμαφρόδιτος εἶ, ἔφην, οἷοι πολλοὶ εἶναι λέγονται ἀμφότερα ἔχοντες; Ἔτι γὰρ ἠγνόουν, ὦ Κλωνάριον, τὸ πρᾶγμα. Οὔ, φησὶν, ἀλλὰ τὸ πᾶν ἀνήρ εἰμι.

4. Ἤκουσα, ἔφην ἐγὼ, τῆς Βοιωτίας αὐλητρίδος Ἰσμηνοδώρας διηγουμένης τὰ ἐφέστια παρ' αὐτοῖς, ὡς γένοιτό τις ἐν Θήβαις ἐκ γυναικὸς ἀνὴρ, ὁ δ' αὐτὸς καὶ μάντις ἄριστος, οἶμαι, Τειρεσίας τοὔνομα. Μὴ οὖν τι καὶ σὺ τοιοῦτο πέπονθας; Οὔκουν, ὦ Λέαινα, ἔφη, ἀλλὰ ἐγεννήθην μὲν ὁμοία ταῖς ἄλλαις ὑμῖν, ἡ γνώμη δὲ καὶ ἡ ἐπιθυμία καὶ τἆλλα πάντα ἀνδρός ἐστί μοι. Καὶ ἱκανὴ γοῦν σοι, ἔφην, ἐπιθυμία; Πάρεχε γοῦν, ὦ Λέαινα, εἰ ἀπιστεῖς, ἔφη, καὶ γνώσῃ οὐδὲν ἐνδέουσάν με τῶν ἀνδρῶν· ἔχω γάρ τι ἀντὶ τοῦ ἀνδρείου. Ἀλλὰ πάρεχε, ὄψει γάρ. Παρέσχον, ὦ Κλωνάριον, ἱκετευούσης πολλὰ καὶ ὄρμον τινά μοι δούσης τῶν πολυτελῶν καὶ ὀθόνας τῶν λεπτῶν. Εἶτ' ἐγὼ μὲν ὥσπερ ἄνδρα περιελάμβανον, ἡ δὲ ἐφίλει τε καὶ ἐποίει καὶ ἥσθμαινε καὶ ἐδόκει μοι ἐς ὑπερβολὴν ἥδεσθαι.

ΚΛΩΝ. Τί ἐποίει, ὦ Λέαινα, ἢ τίνα τρόπον; τοῦτο γὰρ μάλιστα εἰπέ.

ΛΕΑΙ. Μὴ ἀνάκρινε ἀκριβῶς, αἰσχρὰ γάρ· ὥστε μὰ τὴν Οὐρανίαν οὐκ ἂν εἴποιμι.

6.

ΚΡΩΒΥΛΗ ΚΑΙ ΚΟΡΙΝΝΑ.

1. ΚΡΩΒ. Ὦ Κόρινν, ὡς μὲν οὐ πάνυ δεινὸν ἦν, ὃ ἐνόμιζες, τὸ γυναῖκα γενέσθαι ἐκ παρθένου, μεμάθηκας

cundi cubitum, essentque bene potæ, Age sane, mea Leæna, inquit Megilla, dormiendi jam tempus est: hic apud nos cuba media inter ambas.

CLON. Cubuisti ergo? deinde quid actum est?

3. LEÆ. Osculabantur me primum ut viri, non illud modo, applicantes labia, sed os etiam aliquantum aperientes: atque amplexabantur, opprimebant papillas; Demonassa autem inter osculandum etiam mordere. Ego vero, quid res sibi vellet, nondum poteram conjicere. Tandem Megilla, quæ jam incaluisset, fictitiam de capite comam abstulit: impositam autem habebat valde similem et bene applicatam: atque apparuit accurate ad ipsamque cutem, ut viriliores athletæ, detonsa, ut ego ipso aspectu perturbarer. At illa, Mea Leæna, inquit, vidistine jam pulchrum adeo juvenem? Ego vero, inquam, non video hic juvenem, Megilla. Noli me, inquit, facere feminam: Megillus enim vocor, et olim duxi hanc Demonassam, et mea uxor est. Risi ego hoc, Clonarium, et, Tu igitur, Megille, inquam, imprudentibus nobis vir fueras, sicut Achillem dicunt inter virgines delituisse in vestibus purpureis? et illud habes quo viri censentur, et Demonassæ facis quod viri? Illud quidem, inquit, Leæna, non habeo; sed neque omnino illo indigeo: verum proprio quodam modo et multum jucundiore coeuntem me videbis. Ego, Numquid ergo, inquam, Hermaphroditus es, quales multi esse dicuntur habentes utraque? Nempe adhuc, mea Clonarium, quid rei esset, ignorabam. Non, inquit, sed omnino vir sum.

4. Hic ego, Audivi, inquam, Bœotiam tibicinam, Ismenodoram, res patriæ suæ narrantem, quum diceret fuisse quendam Thebis ex femina virum, eundem etiam vatem optimum; Tiresiam, puto, nomine. Numquid ergo tibi simile quid usu venit? Neutiquam, ait, mea Leæna: sed ita nata sum ut vos reliquæ: verum animus, et libido, et reliqua omnia in me viri sunt. Igitur satis tibi est, inquam, libido? Quin tu præbe, inquit, Leæna, si fidem mihi non habes, et nihil me inferiorem esse viris intelliges: habeo enim pro illo virili aliquid. Sed præbe: videbis enim. Præbui, Clonarium, multum supplicanti, et monile mihi donanti pretiosum, atque lintea tenuissima. Tum ego illam uti virum complexa sum: illa basiare, patrare, anhelare, ac visa est mihi supra modum delectari.

CLON. Quid ergo patrabat, aut quomodo? hoc enim dic maxime.

LEÆ. Noli curiose exquirere: turpicula enim. Quare, ita me Cœlestis Venus, non dixerim.

6.

CROBYLE ET CORINNA.

1. CROB. Igitur, mea Corinna, quam non valde fuerit formidandum, id quod putabas, mulierem fieri ex virgine,

ἤδη, μετὰ μειρακίου μὲν ὡραίου γενομένη, μνᾶν δὲ τὸ πρῶτον μίσθωμα κομισαμένη, ἐξ ἧς ὅρμον αὐτίκα ὠνήσομαί σοι.

ΚΟΡ. Ναὶ, μαννάριον. Ἐχέτω δὲ καὶ ψήφους τινὰς πυραυγεῖς οἷος ὁ Φιλαινίδος ἐστίν.

ΚΡΩΒ. Ἔσται τοιοῦτος. Ἄκουε δὲ καὶ τἄλλα παρ' ἐμοῦ ἃ σε χρὴ ποιεῖν καὶ ὅπως προσφέρεσθαι τοῖς ἀνδράσιν· ἄλλη μὲν γὰρ ἡμῖν ἀποστροφὴ τοῦ βίου οὐκ ἔστιν, ὦ θύγατερ, ἀλλὰ δύο ἔτη ταῦτα ἐξ οὗ τέθνηκεν ὁ μακαρίτης σου πατὴρ, οὐκ οἶσθα ὅπως ἀπεζήσαμεν; ὅτε δὲ ἐκεῖνος ἔζη, πάντα ἦν ἡμῖν ἱκανά· ἐχάλκευε γὰρ καὶ μέγα ἦν ὄνομα αὐτοῦ ἐν Πειραιεῖ, καὶ πάντων ἐστὶν ἀκοῦσαι διομνυμένων ἢ μὴν μετὰ Φιλῖνον μηκέτι ἔσεσθαι ἄλλον χαλκέα. Μετὰ δὲ τὴν τελευτὴν τὸ μὲν πρῶτον ἀποδομένη τὰς πυράγρας καὶ τὸν ἄκμονα καὶ σφῦραν δύο μνῶν, ἀπὸ τούτων διετράφημεν· εἶτα νῦν μὲν ὑφαίνουσα, νῦν δὲ κρόκην κατάγουσα ἢ στήμονα κλώθουσα ἐποριζόμην τὰ σιτία μόλις· ἔβοσκον δὲ σὲ, ὦ θύγατερ, τὴν ἐλπίδα περιμένουσα.

2. ΚΟΡ. Τὴν μνᾶν λέγεις;

ΚΡΩΒ. Οὐκ, ἀλλὰ ἐλογιζόμην ὡς τηλικαύτη γενομένη θρέψεις μὲν ἐμὲ, σεαυτὴν δὲ κατακοσμήσεις ῥᾳδίως καὶ πλουτήσεις καὶ ἐσθῆτας ἕξεις ἁλουργεῖς καὶ θεραπαίνας.

ΚΟΡ. Πῶς ἔφης, μῆτερ, ἢ τί λέγεις;

ΚΡΩΒ. Συνοῦσα μὲν τοῖς νεανίσκοις καὶ συμπίνουσα μετ' αὐτῶν καὶ συγκαθεύδουσα ἐπὶ μισθῷ.

ΚΟΡ. Καθάπερ ἡ Δαφνίδος θυγάτηρ Λύρα;

ΚΡΩΒ. Ναί.

ΚΟΡ. Ἀλλ' ἐκείνη ἑταίρα ἐστίν.

ΚΡΩΒ. Οὐδὲν τοῦτο δεινόν· καὶ σὺ γὰρ πλουτήσεις ὡς ἐκείνη καὶ πολλοὺς ἐραστὰς ἕξεις. Τί ἐδάκρυσας, ὦ Κόριννα; οὐχ ὁρᾷς ὁπόσαι καὶ ὡς περισπούδαστοί εἰσιν αἱ ἑταῖραι καὶ ὅσα χρήματα λαμβάνουσι; τὴν Δαφνίδα γοῦν ἐγὼ οἶδα, ὦ φίλη Ἀδράστεια, ῥάκη, πρὶν αὐτὴν ἀκμάσαι τὴν ὥραν, περιβεβλημένην· ἀλλὰ νῦν ὁρᾷς οἷα πρόεισι, χρυσὸς καὶ ἐσθῆτες εὐανθεῖς καὶ θεράπαιναι τέτταρες.

3. ΚΟΡ. Πῶς δὲ ταῦτα ἐκτήσατο ἡ Λύρα;

ΚΡΩΒ. Τὸ μὲν πρῶτον κατακοσμοῦσα ἑαυτὴν εὐπρεπῶς καὶ εὐσταλὴς οὖσα καὶ φαιδρὰ πρὸς ἅπαντας, οὐκ ἄχρι τοῦ καχάζειν ῥᾳδίως καθάπερ σὺ εἴωθας, ἀλλὰ μειδιῶσα ἡδὺ καὶ ἐπαγωγὸν, εἶτα προσομιλοῦσα δεξιῶς καὶ μήτε φενακίζουσα, εἴ τις προσέλθοι ἢ προπέμψειε, μήτε αὐτὴ ἐπιλαμβανομένη τῶν ἀνδρῶν. Ἤν δέ ποτε καὶ ἀπέλθῃ ἐπὶ δεῖπνον λαβοῦσα μίσθωμα, οὔτε μεθύσκεται — καταγέλαστον γὰρ καὶ μισοῦσιν οἱ ἄνδρες τὰς τοιαύτας — οὔτε ὑπερεμφορεῖται τοῦ ὄψου ἀπειροκάλως, ἀλλὰ προσάπτεται μὲν ἄκρως τοῖς δακτύλοις, σωπῇ δὲ τὰς ἐνθέσεις οὐκ ἐπ' ἀμφοτέρας παραβύεται τὰς γνάθους, πίνει δὲ ἠρέμα, οὐ χανδὸν, ἀλλ' ἀναπαυομένη.

ΚΟΡ. Κἂν εἰ διψῶσα, ὦ μῆτερ, τύχοι;

ΚΡΩΒ. Τότε μάλιστα, ὦ Κόριννα. Καὶ οὔτε

jam didicisti; quæ cum pulchro adolescentulo fueris, et minam mercedem primam abstuleris, de qua monile jam statim tibi emam.

COR. Ita sane, mea matercula. Habeat vero etiam lapillos aliquot ignei coloris, quale est Philænidis.

CROB. Erit tale. Audi vero ex me quæ facienda tibi sunt reliqua, et quomodo cum viris sit consuescendum. Neque alia enim nobis est, filia, vitæ tolerandæ ratio. Sed hos jam duos annos, ex quo pater tuus, jam felix, obiit, non nosti quam tenuiter ac misere vixerimus? quum autem ille viveret, omnium rerum nobis erat copia: æreariam enim officinam exercebat, magnumque ipsius erat in Piræeo nomen: estque audire dejerantes omnes, non futurum post Philinum fabrum alium. At post mortem illius, primo quidem forcipes et incudem et malleum duabus minis vendidi, de quibus viximus: deinde nunc texendo, nunc deducendo subtemen, aut stamen nendo, ægre paravi nobis cibaria: te autem, filia mea, alui, spem exspectans.

2. COR. De mina dicis?

CROB. Non: sed ita rationes subducebam, te, ubi ad hanc ætatulam pervenisses, me quidem alituram esse, te ipsam vero exornaturam facile, et futuram divitem, et vestimenta habituram purpurea, atque ancillas.

COR. Quomodo dicebas, mater? aut quid tibi vis?

CROB. Si cum adolescentulis una sis, et bibas cum illis, et mercede concumbas.

COR. Ut Lyra illa, filia Daphnidis?

CROB. Ita sane.

COR. At illa meretrix est.

CROB. Nihil istoc mali. Nam tu quoque dives eris ut ista, et multos amatores habebis. Quid ploras, Corinna? non vides quot et quanto in honore sint meretrices, et quas opes accipiant? ac Daphnidem ego novi, o bona Adrastea! pannis ante vestitam, quam ad maturam viris ætatem pervenisset. Sed nunc vides qualis prodeat; aurum, vestis florida, ancillæ quattuor.

3. COR. Quomodo vero illa sibi Lyra paravit?

CROB. Primo quidem decenter se ornavit, bene composita erat et jucunda ad omnes, non eo usque ut in cachinnos facile solveretur, quod tu soles, sed suave quiddam et illecebrosum subridens: deinde dextre versata est cum viris, ut neque illuderet plane, si quis adiret ipsam vel deduceret, nec vero ipsa viros invaderet. Si quando autem mercede conducta eat in convivium, nec inebriatur (derisui enim illud opportunum, et oderunt viri si qua talis sit), neque cibis indecenter se ingurgitat; sed extremis modo digitis attingit, ac silentio sumit bucceas, non in utramque malam infercit: bibit autem placide, non uno haustu, sed interquiescens.

COR. Etiam si forte sitiat, mater?

CROB. Tum vel maxime, mea Corinna. Neque plus

πλέον τοῦ δέοντος φθέγγεται οὔτε ἀποσκώπτει ἔς τινα τῶν παρόντων, ἐς μόνον δὲ τὸν μισθωσάμενον βλέπει· καὶ διὰ τοῦτο ἐκεῖνοι φιλοῦσιν αὐτήν. Καὶ ἐπειδὰν κοιμᾶσθαι δέῃ, ἀσελγὲς οὐδὲν οὐδὲ ἀμελὲς ἐκείνη ἄν τι ἐργάσαιτο, ἀλλὰ ἐξ ἅπαντος ἓν τοῦτο θηρᾶται, ὡς ὑπαγάγοιτο καὶ ἐραστὴν ποιήσειεν ἐκεῖνον· ταῦτα γὰρ αὐτὴν ἅπαντες ἐπαινοῦσιν. Εἰ δὴ καὶ σὺ ταῦτα ἐκμάθοις, μακάριαι καὶ ἡμεῖς ἐσόμεθα· ἐπεὶ τά γε ἄλλα παρὰ πολὺ αὐτῆς..... ἀλλ' οὐδέν, ὦ φίλη Ἀδράστεια, φημὶ, ζώοις μόνον.

4. ΚΟΡ. Εἰπέ μοι, ὦ μῆτερ, οἱ μισθούμενοι πάντες τοιοῦτοί εἰσιν οἷος ὁ Εὔκριτος, μεθ' οὗ χθὲς ἐκάθευδον;

ΚΡΩΒ. Οὐ πάντες, ἀλλ' ἔνιοι μὲν ἀμείνους, οἱ δὲ καὶ ἤδη ἀνδρώδεις, οἱ δὲ καὶ οὐ πάνυ μορφῆς εὐφυῶς ἔχοντες.

ΚΟΡ. Καὶ τούτοις συγκαθεύδειν δεήσει;

ΚΡΩΒ. Μάλιστα, ὦ θύγατερ· οὗτοι μέν τοι καὶ πλείονα διδόασιν· οἱ καλοὶ δὲ αὐτὸ μόνον καλοὶ θέλουσιν εἶναι. Καὶ σοὶ δὲ μελέτω ἀεὶ τοῦ πλείονος, εἰ θέλεις ἐν βραχεῖ λέγειν ἁπάσας ἐνδειξάσας σε τῷ δακτύλῳ, Οὐχ ὁρᾷς τὴν Κόρινναν τὴν τῆς Κρωβύλης θυγατέρα ὡς ὑπερπλουτεῖ καὶ τρισευδαίμονα πεποίηκε τὴν μητέρα; Τί φῄς; ποιήσεις ταῦτα; ποιήσεις, οἷδα ἐγὼ, καὶ προέξεις ἁπασῶν ῥᾳδίως. Νῦν δ' ἄπιθι λουσομένη, εἰ ἀφίκοιτο καὶ τήμερον τὸ μειράκιον ὁ Εὔκριτος· ὑπισχνεῖτο γάρ.

quam opus est loquitur, neque in præsentium quenquam dicta jacit, sed solum illum qui se conduxit aspicit. Et ob hæc illi amant ipsam. Et quum cubitum eundum est, nihil illa lascivum, nihil indecens egerit, sed unum illud venatur undique, ut in potestatem illum redigat et suum faciat amatorem. Propter hæc enim omnes illam laudant. Si ergo tu etiam ista discas, beatæ nos quoque erimus : quandoquidem quod ad reliqua, multum tu ista . . . . verum nihil, cara Adrastea! dico : vivas solum!

4. COR. Dic mihi, mater, qui nos conducunt, omnesne tales sunt, qualis Eucritus, quicum heri cubui?

CROB. Non omnes, sed alii quidem meliores, alii vero jam viriles ; alii forma non satis a natura felici.

COR. Etiam cum his cubare oportebit?

CROB. Ac maxime, filia; hi quidem plura etiam largiuntur. Formosi vero solum illud, formosi volunt esse. Tibi vero semper sit cura majoris lucri, si vis brevi tempore mulieres omnes dicere, digito te monstrata, Nonne vides Crobyles Corinnam filiam, quam supra fidem dives est? ut ter beatam matrem præstitit! Quid ais? facies ista? facies, novi ego; et facile principatum tenebis omnium. Nunc vero lotum abi, si forte hodie quoque veniat adolescentulus, Eucritus : certe promisit.

7.

ΜΗΤΗΡ ΚΑΙ ΜΟΥΣΑΡΙΟΝ.

1. ΜΗΤ. Ἂν δ' ἔτι τοιοῦτον ἐραστὴν εὕρωμεν, ὦ Μουσάριον, οἷος ὁ Χαιρέας ἐστὶ, θῦσαι μὲν τῇ πανδήμῳ δεήσει λευκὴν μηκάδα, τῇ οὐρανίᾳ δὲ τῇ ἐν κήποις δάμαλιν, στεφανῶσαι δὲ καὶ τὴν πλουτοδότειραν, καὶ ὅλως μακάριαι καὶ τρισευδαίμονες ἐσόμεθα. Νῦν ὁρᾷς παρὰ τοῦ νεανίσκου ἡλίκα λαμβάνομεν, ὃς ὀβολὸν μὲν οὐδεπώποτέ σοι δέδωκεν, οὐκ ἐσθῆτα, οὐχ ὑποδήματα, οὐ μύρον, ἀλλὰ προφάσεις ἀεὶ καὶ ὑποσχέσεις καὶ μακραὶ ἐλπίδες καὶ πολὺ τὸ, ἐὰν ὁ πατὴρ . . καὶ κύριος γένωμαι τῶν πατρῴων, καὶ πάντα σά. Σὺ δὲ καὶ ὁμωμοκέναι αὐτὸν φῂς ὅτι νόμῳ σε γαμετὴν ποιήσεται.

ΜΟΥΣ. Ὤμοσε γὰρ, ὦ μῆτερ, κατὰ ταῖν θεαῖν καὶ τῆς Πολιάδος.

ΜΗΤ. Καὶ πιστεύεις δηλαδή· καὶ διὰ τοῦτο πρώην οὐκ ἔχοντι αὐτῷ καταθεῖναι συμβολὴν τὸν δακτύλιον δέδωκας ἀγνοούσης ἐμοῦ, ὁ δὲ ἀποδόμενος κατέπιε, καὶ πάλιν τὰ δύο περιδέραια τὰ Ἰωνικὰ, ἕλκοντα ἑκάτερον δύο δαρεικοὺς, ἃ σοι ὁ Χῖος Πραξίας ὁ ναύκληρος ἐκόμισε ποιησάμενος ἐν Ἐφέσῳ· ἐδεῖτο γὰρ Χαιρέας ἔρανον συνεφήβοις ἀπενεγκεῖν. Ὀθόνας γὰρ καὶ χιτωνίσκους τί ἂν λέγοιμι; Καὶ ὅλως ἔρμαιόν τι ἡμῖν καὶ μέγα ὄφελος συμπέπτωκεν οὗτος.

7.

MATER ET MUSARIUM.

1. MAT. Si talem adhuc unum amatorem inveniamus, Musarium, qualis est Chæreas, immolare oportebit Populari Veneri albam capellam, Cœlesti vero, quæ in Hortis est, buculam, et coronare divitiarum donatricem Cererem; atque in universum beatæ ac ter felices erimus. Nunc enim vides quantum accipiamus ab hoc juvene, qui obolum nondum unum tibi dederit, non vestem, non calceos, non unguentum, sed apud illum excusationes semper, et promissiones, et spes longæ et multum illud, Si pater . . . et dominus paternorum fuero, omnia erunt tua. Tu vero etiam jurasse illum tibi dicis, se legitimam sibi uxorem te ducturum.

MUS. Juravit enim, mater, per Liberas et Custodem urbis deam.

MAT. Et tu credis nimirum! Et propterea etiam nuper symbolam quam daret non habenti anulum, imprudente me, dedisti; quem ille venditum abligurriit; et rursus duo illa monilia Ionica, Daricos unumquodque duos pendentia, quæ tibi Chius ille Praxias nauclerus attulerat, quum fieri ea Ephesi curasset : oportebat enim Chæream eranum conferre sodalibus. Vela enim et tunicas quid dicam? Sane missus a Mercurio thesaurus et magnum lucrum hic nobis homo oblatus est.

2. ΜΟΥΣ. Ἀλλὰ καλὸς καὶ ἀγένειος, καὶ φησὶν ἐρᾶν καὶ δακρύει καὶ Δεινομάχης καὶ Λάχητος υἱός ἐστι τοῦ Ἀρεοπαγίτου καὶ φησὶν ἡμᾶς γαμήσειν καὶ μεγάλας ἐλπίδας ἔχομεν παρ' αὐτοῦ, ἢν ὁ γέρων μόνον καταμύσῃ.

ΜΗΤ. Οὐκοῦν, ὦ Μουσάριον, ἐὰν ὑποδήσασθαι δέῃ, καὶ ὁ σκυτοτόμος αἰτῇ τὸ δίδραχμον, ἐροῦμεν πρὸς αὐτὸν, Ἀργύριον μὲν οὐκ ἔχομεν, σὺ δὲ τῶν ἐλπίδων ὀλίγας παρ' ἡμῶν λαβέ· καὶ πρὸς τὸν ἀλφιτοπώλην τὰ αὐτά· καὶ ἢν τὸ ἐνοίκιον αἰτώμεθα, Περίμεινον, φήσομεν, ἔστ' ἂν Λάχης ὁ Κολλυτεὺς ἀποθάνῃ· ἀποδώσομεν γάρ σοι μετὰ τοὺς γάμους. Οὐκ αἰσχύνῃ μόνῃ τῶν ἑταιρῶν οὐκ ἐλλόβιον οὐχ ὅρμον οὐ ταραντινίδιον ἔχουσα;

3. ΜΟΥΣ. Τί οὖν, ὦ μῆτερ; ἐκεῖναι εὐτυχέστεραί μου καὶ καλλίους εἰσίν;

ΜΗΤ. Οὐκ, ἀλλὰ συνετώτεραι καὶ ἴσασιν ἑταιρίζειν, οὐδὲ πιστεύουσι ῥηματίοις καὶ νεανίσκοις ἐπ' ἄκρου τοῦ χείλους τοὺς ὅρκους ἔχουσι· σὺ δὲ εἴ πιστὴ καὶ φίλανδρος οὐδὲ προσίῃ ἄλλον τινὰ ὅτι μὴ μόνον Χαιρέαν· καὶ πρῴην μὲν ὅτε ὁ γεωργὸς ὁ Ἀχαρνεὺς ἦκε δύο μνᾶς κομίζων, ἀγένειος καὶ αὐτός — οἶνου δὲ τιμὴν ἀπειλήφει τοῦ πατρὸς πέμψαντος — σὺ δὲ ἐκεῖνον μὲν ἀπεμύκτισας, καθεύδεις δὲ μετὰ τοῦ Ἀδώνιδος Χαιρέου.

ΜΟΥΣ. Τί οὖν; ἐχρῆν Χαιρέαν καταλείψασαν παραδέξασθαι τὸν ἐργάτην ἐκεῖνον κινάβρας ἀπόζοντα; λεῖός μοι, φασὶ, Χαιρέας καὶ χοιρίσκος Ἀχαρνικός.

ΜΗΤ. Ἔστω· ἐκεῖνος ἀργοῖκος καὶ πονηρὸν ἀποπνεῖ. Τί δαὶ Ἀντιφῶντα τὸν Μενεκράτους μνᾶν ὑπισχνούμενον οὐδὲ τοῦτον ἐδέξω; οὐ καλὸς ἦν καὶ ἀστεῖος καὶ ἡλικιώτης Χαιρέου;

4. ΜΟΥΣ. Ἀλλ' ἠπείλησε Χαιρέας ἀποσφάξειν ἀμφοτέρους, εἰ λάβοι μέ ποτε μετ' αὐτοῦ.

ΜΗΤ. Πόσοι δὲ καὶ ἄλλοι ταῦτα ἀπειλοῦσιν; Οὐκοῦν ἀνέραστος σὺ μενεῖς διὰ τοῦτο καὶ σωφρονήσεις καθάπερ οὐχ ἑταίρα, τῆς δὲ Θεσμοφόρου ἱέρειά τις οὖσα; ἐῶ τἄλλα. Τἠμέρον Ἀλῶά ἐστι· τί δέ σοι δέδωκεν ἐς τὴν ἑορτήν;

ΜΟΥΣ. Οὐκ ἔχει, ὦ μαννάριον.

ΜΗΤ. Μόνος οὗτος οὐ τέχνην εὗρηκεν ἐπὶ τὸν πατέρα, οὐκ οἰκέτην καθῆκεν ἐξαπατήσοντα, οὐκ ἀπὸ τῆς μητρὸς ᾔτησεν ἀπειλήσας ἀποπλευσεῖσθαι στρατευσόμενος, εἰ μὴ λάβοι, ἀλλὰ κάθηται ἡμᾶς ἐπιτρίβων μήτε αὐτὸς διδοὺς μήτε παρὰ τῶν διδόντων ἐῶν λαμβάνειν; Σὺ δὲ οἴει, ὦ Μουσάριον, ὀκτωκαίδεκα ἐτῶν ἀεὶ ἔσεσθαι; ἢ τὰ αὐτὰ φρονήσειν Χαιρέαν, ὅταν πλουτῇ μὲν αὐτὸς, ἡ δὲ μήτηρ γάμον πολυτάλαντον ἐξεύρῃ αὐτῷ; μνησθήσεταί ἔτι, οἴει, τότε τῶν δακρύων ἢ τῶν φιλημάτων ἢ τῶν ὅρκων πέντε ἴσως τάλαντα προικὸς βλέπων;

ΜΟΥΣ. Μνησθήσεται ἐκεῖνος· δεῖγμα δὲ, ὡς οὐδὲ νῦν γεγάμηκεν, ἀλλὰ καταναγκαζόμενος καὶ βιαζόμενος ἠρνήσατο.

2. MUS. Sed pulcher est, et imberbis, et amare se dicit, et lacrimatur, et Dinomaches Lachetisque Areopagitæ filius est; et se ducturum nos promittit, et magnas ab eo spes habemus, modo senex oculos condat.

MAT. Ergo, Musarium, quum opus erit soleis, et postulabit sutor didrachmum, dicemus illi, Pecuniam quidem non habemus, tu vero aliquantum spei a nobis accipe: et ad pistorem eadem: et quum mercedem habitationis exigemur, Exspecta, dicemus, dum Laches Collytensis moriatur: solvemus enim tibi post nuptias. Nonne te pudet, quæ sola meretricum neque inaurem, nec monile, nec Tarentinulam habeas?

3. MUS. Quid ergo, mater? num illæ feliciores me aut pulchriores sunt?

MAT. Non; sed prudentiores, et norunt artem meretriciam: neque dulcibus verbis credunt, et adolescentulis in extremis labris jusjurandum habentibus. Tu vero fidelis es, et viri amans, neque admittis quenquam, solum præter Chæream: et nuper ille ex Acarnania rusticus quum veniret, imberbis et ipse, minas ferens duas (vini enim pretium patris missu acceperat), tu illum quidem superbe rejecisti, cubas autem cum tuo Adonide Chærea.

MUS. Quid ergo? oportebat Chærea relicto recipere operarium istum, hircum olentem? Lævis mihi, aiunt, Chæreas et porcellus Acharnicus.

MAT. Esto: agrestis iste, et male olet. Cur etiam Antiphontem Menecratis filium, qui minam pollicebatur, neque hunc recepisti? non pulcher erat, et urbanus, et æqualis Chæreæ?

4. MUS. At minatus erat Chæreas se interfecturum ambos, si quando me cum illo deprehendisset.

MAT. Quot vero etiam alii minantur eadem? Num igitur tu amatorum expers manebis propterea, et pudica eris, quasi non meretrix esses, sed legiferæ Cereris sacerdos? mitto reliqua. Sunt Arealia hodie: quid vero dedit tibi diei festi causa?

MUS. Non habet quot det, matercula.

MAT. Solus ille non invenit aliquam ad patrem machinam? non servum immisit deceptorem? non a matre petiit, minatus se militatum enavigaturum, nisi accipiat? sed desidet, nos atterit, neque dans ipse quicquam, neque accipere ab his, qui offerunt, patiens. Tu vero putas, Musarium, duodeviginti annorum te semper futuram? aut eundem animum fore Chæreæ, quum dives ipse erit, mater autem multorum illi talentorum nuptias inveniet? memor erit tum, putas, lacrimarum, aut basiorum, aut frequentis jurisjurandi, quinque forte dotis talenta ubi viderit?

MUS. Memor sane erit. Argumentum autem ejus rei hoc est, quod nondum duxit uxorem, sed urgentibus, vim quasi parantibus, negavit.

ΜΗΤ. Γένοιτο μὴ ψεύδεσθαι. Ἀναμνήσω δέ σε, ὦ Μουσάριον, τότε.

MAT. Utinam non mentiatur! Sed tum te, Musarium, admonebo.

8.

ΑΜΠΕΛΙΣ ΚΑΙ ΧΡΥΣΙΣ.

1. ΑΜΠ. Ὅστις δέ, ὦ Χρυσί, μήτε ζηλοτυπεῖ μήτε ὀργίζεται μήτε ἐρράπισέ ποτε ἢ περιέκειρεν ἢ τὰ ἱμάτια περιέσχισεν, ἔτι ἐραστὴς ἐκεῖνός ἐστιν;

ΧΡΥΣ. Οὐκοῦν ταῦτα μόνα ἐρῶντος, ὦ Ἀμπελί, δείγματα;

ΑΜΠ. Ναί, ταῦτ' ἀνδρὸς θερμοῦ· ἐπεὶ τἆλλα, φιλήματα καὶ δάκρυα καὶ ὅρκοι καὶ τὸ πολλάκις ἥκειν ἀρχομένου ἔρωτος σημεῖον καὶ φυομένου ἔτι· τὸ δὲ πῦρ ὅλον ἐκ τῆς ζηλοτυπίας ἐστίν. Ὥστε εἰ καὶ σέ, ὡς φῂς, ὁ Γοργίας ῥαπίζει καὶ ζηλοτυπεῖ, χρηστὰ ἔλπιζε καὶ εὔχου ἀεὶ τὰ αὐτὰ ποιεῖν.

ΧΡΥΣ. Τὰ αὐτά; τί λέγεις; ἀεὶ ῥαπίζειν με;

ΑΜΠ. Οὐχί, ἀλλ' ἀνιᾶσθαι, εἰ μὴ πρὸς μόνον αὐτὸν βλέποις. Ἐπεὶ εἰ μὴ ἐρᾷ γε, τί ἂν ἔτι ὀργίζοιτο, εἰ σύ τινα ἕτερον ἐραστὴν ἔχεις;

ΧΡΥΣ. Ἀλλ' οὐδὲ ἔχω ἔγωγε· ὁ δὲ μάτην ὑπέλαβε τὸν πλούσιόν μου ἐρᾶν, διότι ἄλλως ἐμνημόνευσά ποτε αὐτοῦ.

2. ΑΜΠ. Καὶ τοῦτο ἡδὺ τὸ ὑπὸ πλουσίων οἴεσθαι σπουδάζεσθαί σε· οὕτω γὰρ ἀνιάσεται μᾶλλον καὶ φιλοτιμήσεται, ὡς μὴ ὑπερβάλοιντο αὐτὸν οἱ ἀντερασταί.

ΧΡΥΣ. Καὶ μὴν οὗτός γε μόνον ὀργίζεται καὶ ῥαπίζει, δίδωσι δὲ οὐδέν.

ΑΜΠ. Ἀλλὰ δώσει· ζηλότυποι γὰρ καὶ μάλιστα λυπηθήσονται.

ΧΡΥΣ. Οὐκ οἶδ' ὅπως ῥαπίσματα λαμβάνειν βούλει με, ὦ Ἀμπελίδιον.

ΑΜΠ. Οὔκ, ἀλλ', ὡς οἶμαι, μεγάλοι ἔρωτες γίγνονται καὶ εἰ πύθοιτο ἀμελεῖσθαι, εἰ δὲ πιστεύσαι μόνος ἔχειν, ἀπομαραίνεταί πως ἡ ἐπιθυμία. Ταῦτα λέγω πρὸς σὲ εἴκοσιν ὅλοις ἔτεσιν ἑταιρήσασα, σὺ δὲ ὀκτωκαιδεκαέτις, οἶμαι, ἢ ἔλαττον οὖσα τυγχάνεις. Εἰ βούλει δὲ, καὶ διηγήσομαί σοι ἃ ἔπαθόν ποτε οὐ πάνυ πρὸ πολλῶν ἐτῶν· ἦρα μου Δημόφαντος ὁ δανειστὴς ὁ κατόπιν οἰκῶν τῆς Ποικίλης. Οὗτος οὐδεπώποτε πλέον τι πέντε δραχμῶν δέδωκε καὶ ἠξίου δεσπότης εἶναι. Ἦρα δέ, ὦ Χρυσί, ἐπιπόλαιόν τινα ἔρωτα οὔτε ὑποστένων οὔτε δακρύων οὔτε ἀωρὶ παραγιγνόμενος ἐπὶ τὰς θύρας, ἀλλ' αὐτὸ μόνον συνεκάθευδέ μοι ἐνίοτε, καὶ τοῦτο διὰ μακροῦ.

3. Ἐπειδὴ δὲ ἐλθόντα ποτὲ ἀπέκλεισα — Καλλίδης γὰρ ὁ γραφεὺς ἔνδον ἦν δέκα δραχμὰς πεπομφώς — τὸ μὲν πρῶτον ἀπῆλθέ μοι λοιδορησάμενος· ἐπεὶ δὲ πολλαὶ μὲν διῆλθον ἡμέραι, ἐγὼ δὲ οὐ προσέπεμπον, ὁ Καλλίδης δὲ ἔνδον ἦν αὖθις, ὑποθερμαινόμενος ἤδη τότε ὁ Δημόφαντος καὶ αὐτὸς ἀναφλέγεται ἐς τὸ πρᾶ-

8.

AMPELIS ET CHRYSIS.

1. AMP. Si quis vero, mea Chrysis, neque zelotyptus est, neque irascitur, neque alapam inflixit unquam, aut comam abscidit, aut discidit vestem; illene adhuc amator est?

CHRYS. Numquid ergo, Ampelis, hæc sola amantis argumenta?

AMP. Sanequam calidi viri hæc sunt: nam reliqua, oscula, et lacrimæ, et jusjurandum frequens, et adventus creber, incipientis amoris signum et adhuc nascentis: at ignis totus a zelotypia est. Itaque si te, ut ais, etiam alapis mulcat Gorgias, et zelotypus est, bona spera, et semper eadem facere illum opta.

CHRYS. Eadem? quid ais? semper eum mihi dare alapas?

AMP. Non istuc; sed indigne eum ferre, nisi ad ipsum solum respicias. Quandoquidem si non amaret, quid tandem, alium te amatorem habente, irasceretur?

CHRYS. Sed neque habeo equidem alium. At ille temere suspicatus est amari me a divite, eo quod casu quodam illius aliquando mentionem injeci.

2. AMP. Etiam hoc jucundum, si a divitibus coli te suspicatur: ita enim magis etiam ægre feret, et honorem suum in eo putabit agi, ne rivales ipsum superent.

CHRYS. Verum enim hic irascitur modo, et infligit alapas, ceterum dat nihil.

AMP. At dabit: zelotypis enim vel maxime dolebit.

CHRYS. Nescio cur alapas accipere me velis, mea Ampelidium.

AMP. Non: sed, ut arbitror, magni amores sic fiunt, etiam si se putet negligi: si vero solus potiri se credat, marcescit quodammodo cupiditas. Hæc ad te dico, quæ viginti totos annos meretriciam vitam colui; tu vero duodeviginti, puto, annos, aut minus etiam vixisti. Sed si vis, narrabo tibi quæ quondam et mihi ante annos non ita multos acciderunt. Amabat me Demophantus danista, qui post Pœcilen habitat. Hic non unquam plus quinque drachmis dederat, et herus esse postulabat. Amabat autem, Chrysis, amorem quendam in summo tantum innatantem, neque ingemiscens, nec lacrimans, neque intempesta nocte veniens ad fores; sed solum hoc agebat, ut interdum mecum cubaret, idque sat longis intervallis.

3. Quum vero advenientem aliquando exclusissem (Callides enim pictor intus erat, qui drachmas decem miserat), primo quidem conviciatus mihi abiit: ubi vero multis interjectis diebus non mittebam ego, dum Callides intus esset rursus, tum demum incalescens Demophantus et ipse ad eam rem inflammatur: et quum astans aliquando apertam

γμα καὶ ἐπιστάς ποτε ἀνεῳγμένην τηρήσας τὴν θύραν ἔκλαεν, ἔτυπτεν, ἠπείλει φονεύσειν, περιερρήγνυε τὴν ἐσθῆτα, ἅπαντα ἐποίει, καὶ τέλος τάλαντον δοὺς μόνος εἶχεν ὀκτὼ ὅλους μῆνας. Ἡ γυνὴ δὲ αὐτοῦ πρὸς ἅπαντας ἔλεγεν ὡς ὑπὸ φαρμάκων ἐκμήναιμι αὐτόν. Τὸ δὲ ἦν ἄρα ζηλοτυπία τὸ φάρμακον. Ὥστε, ὦ Χρυσὶ, καὶ σὺ χρῶ ἐπὶ τὸν Γοργίαν τῷ αὐτῷ φαρμάκῳ· πλούσιος δὲ ὁ νεανίσκος ἔσται, ἤν τι ὁ πατὴρ αὐτοῦ πάθῃ.

observasset januam, plorabat, pulsabat, interfecturum me minabatur, vestem discidit, faciebat omnia : ac tandem talento dato, solus me habebat menses octo integros. Uxor autem ipsius dictitabat omnibus, me venenis in furorem illum egisse : nempe venenum illud zelotypia fuit. Itaque tu etiam, Chrysis, utere eodem in Gorgiam veneno; dives enim erit adolescentulus, si quid patri illius acciderit.

9.

ΔΟΡΚΑΣ, ΠΑΝΝΥΧΙΣ, ΦΙΛΟΣΤΡΑΤΟΣ, ΠΟΛΕΜΩΝ.

1. ΔΟΡΚ. Ἀπολώλαμεν, ὦ κεκτημένη, ἀπολώλαμεν, ὁ Πολέμων ἀπὸ τῆς στρατείας ἀνέστρεψε πλουτῶν, ὥς φασιν· ἑόρακα δὲ κἀγὼ αὐτὸν ἐφεστρίδα περιπόρφυρον ἐμπεπορπημένον καὶ ἀκολούθους ἅμα πολλούς. Καὶ οἱ φίλοι ὡς εἶδον, συνέθεον ἐπ' αὐτὸν ἀσπασόμενοι· ἐν τοσούτῳ δὲ τὸν θεράποντα ἰδοῦσα κατόπιν ἑπόμενον, ὃς συναποδεδημήκει μετ' αὐτοῦ, ἠρόμην καὶ, Εἰπέ μοι, ἔφην, ὦ Παρμένων, ἀσπασαμένη πρότερον αὐτὸν, πῶς ἡμῖν ἐπράξατε καὶ εἴ τι ἄξιον τῶν πολέμων ἔχοντες ἐπανεληλύθατε;

ΠΑΝ. Οὐκ ἔδει τοῦτο εὐθὺς, ἀλλ' ἐκεῖνα, ὅτι μὲν ἐσώθητε, πολλὴ χάρις τοῖς θεοῖς, καὶ μάλιστα τῷ ξενίῳ Διὶ καὶ Ἀθηνᾷ στρατίᾳ· ἡ δέσποινα δὲ ἐπυνθάνετο ἀεί τί πράττοιτε καὶ ἔνθα εἴητε· εἰ δὲ καὶ τοῦτο προσέθηκας, ὡς καὶ ἐδάκρυε καὶ ἀεὶ ἐμέμνητο Πολέμωνος, ἄμεινον ἦν παρὰ πολύ.

2. ΔΟΡΚ. Προεῖπον εὐθὺς ἐν ἀρχῇ ἅπαντα· πρὸς δὲ σὲ οὐκ ἂν εἶπον, ἀλλὰ ἃ ἤκουσα ἐβουλόμην εἰπεῖν. Ἐπεὶ πρός γε Παρμένοντα οὕτως ἠρξάμην· Ἦ που, ὦ Παρμένων, ἐβόμβει τὰ ὦτα ὑμῖν; ἀεὶ γὰρ ἐμέμνητο ἡ κεκτημένη μετὰ δακρύων, καὶ μάλιστα εἴ τις ἐληλύθει ἐκ τῆς μάχης καὶ πολλοὶ τεθνάναι ἐλέγοντο, ἐσπάραττε τότε τὰς κόμας καὶ τὰ στέρνα ἐτύπτετο καὶ ἐπένθει πρὸς τὴν ἀγγελίαν ἑκάστην.

ΠΑΝ. Εὖ γε, ὦ Δορκὰς, οὕτως ἐχρῆν.

ΔΟΡΚ. Εἶτα ἑξῆς μετ' οὐ πολὺ ἠρόμην ἐκεῖνα. Ὁ δὲ, Πάνυ λαμπρῶς, φησὶν, ἀνεστρέψαμεν.

ΠΑΝ. Οὕτω κἀκεῖνος οὐδὲν προειπὼν, ὡς ἐμέμνητό μου ὁ Πολέμων ἢ ἐπόθει ἢ ἤθελε ζῶσαν καταλαβεῖν;

ΔΟΡΚ. Καὶ μάλα πολλὰ τοιαῦτα ἔλεγε. Τὸ γοῦν κεφάλαιον ἐξήγγειλε, πλοῦτον πολὺν, χρυσὸν, ἐσθῆτα, ἀκολούθους, ἐλέφαντα· τὸ μὲν γὰρ ἀργύριον μηδὲ ἀριθμῷ ἄγειν αὐτὸν, ἀλλὰ μεδίμνῳ ἀπομεμετρημένον πολλοὺς μεδίμνους. Εἶχε δὲ καὶ αὐτὸς Παρμένων δακτύλιον ἐν τῷ μικρῷ δακτύλῳ, μέγιστον, πολύγωνον, καὶ ψῆφος ἐνεδέδετο τῶν τριχρώμων, ἐρυθρά τε ἦν ἐπιπολῆς. Εἴασα δ' οὖν αὐτὸν ἐθέλοντά μοι διηγεῖσθαι ὡς τὸν Ἅλυν διέβησαν καὶ ὡς ἀπέκτειναν Τιριδά-

9.

DORCAS, PANNYCHIS, PHILOSTRATUS, POLEMO.

1. DORC. Periimus, hera, periimus! ex bello rediit Polemo, dives, ut aiunt : vidi autem illum ipsa quoque; sagum purpura prætextum, fibula confixum habet, et pedissequos simul multos. Et amici, ut viderunt, salutandi causa ad ipsum concurrere : interea famulum conspicata a tergo sequentem, qui cum illo peregre abfuerat, interrogavi, et quum salutassem prius, Dic mihi, inquam, Parmeno, ut egistis nobis? dignumne quippiam bellis habentes reversi estis?

PAN. Non oportebat hoc statim : sed ista, Quum salvi rediistis, multas gratias agimus diis, et hospitali præsertim Jovi, et Minervæ bellicæ. Hera autem semper interrogabat, ut ageretis? et ubi essetis? Si vero illud etiam addidisses, Lacrimavit etiam et semper memoriam usurpavit Polemonis, multo fuerat melius.

2. DORC. Prædixi initio statim hæc omnia : apud te vero nolebam dicere hæc, sed ea solum quæ audivi. Nempe apud Parmenonem sic inceperam, Numquid, Parmeno, tinniebat vobis auris? semper enim cum lacrimis hera mea meminerat, et maxime si quis rediisset e prælio et cæsi esse multi dicerentur, tum illa comas lacerare, et pectus plangere, et ad unumquemque nuncium lugere.

PAN. Euge, Dorcas, ita oportebat.

DOR. Tum deinde non ita multo post ista rogavi. At ille, Magnifice omnino, inquit, rediimus.

PAN. Itane ille quoque sine proœmio, quam meminisset mei Polemo, aut desideraret, aut vivam invenire optaret?

DOR. Omnino multa id genus dixit. Verum caput rei hoc mihi renunciavit, divitias multas, aurum, vestem, pedissequos, ebur; argentum enim nec numero illum advehere, sed dimensum modio, modios multos. Habebat autem ipse quoque Parmeno anulum parvo in digito maximum, multiangulum, et gemma in eo erat de tricoloribus illis, suprema quidem facie rubicunda. Sivi ergo volentem mihi enarrare ut Halye trajecto Tiridatem quendam interfecerint,

ταν τινὰ καὶ ὡς διέπρεψεν ὁ Πολέμων ἐν τῇ πρὸς Πισίδας μάχῃ· ἀπέδραμον δέ σοι ταῦτα προσαγγελοῦσα, ὡς περὶ τῶν παρόντων σκέψαιο. Εἰ γὰρ ἐλθὼν ὁ Πολέμων — ἥξει δὲ πάντως ἀποσεισάμενος τοὺς γνωρίμους — ἀναπυθόμενος εὕροι τὸν Φιλόστρατον ἔνδον παρ' ἡμῖν, τί οἴει ποιήσειν αὐτόν;

3. ΠΑΝ. Ἐξευρίσκωμεν, ὦ Δορκὰς, ἐκ τῶν παρόντων σωτήριον· οὔτε γὰρ τοῦτον ἀποπέμψαι καλὸν τάλαντον ἔναγχος δεδωκότα καὶ τἆλλα ἔμπορον ὄντα καὶ πολλὰ ὑπισχνούμενον, οὔτε Πολέμωνα τοιοῦτον ἐπανήκοντα χρήσιμον μὴ παραδέχεσθαι· προσέτι γὰρ καὶ ζηλότυπός ἐστιν, ὃς καὶ πενόμενος ἔτι πολὺ ἀφόρητος ἦν· νῦν δὲ τί οὐκ ἂν ἐκεῖνος ποιήσειεν;

ΔΟΡΚ. Ἀλλὰ καὶ προσέρχεται.

ΠΑΝ. Ἐκλύομαι, ὦ Δορκὰς, ὑπὸ τῆς ἀπορίας καὶ τρέμω.

ΔΟΡΚ. Ἀλλὰ καὶ Φιλόστρατος προσέρχεται.

ΠΑΝ. Τίς γένωμαι; πῶς ἄν με ἡ γῆ καταπίοι;

4. ΦΙΛ. Τί οὐ πίνομεν, ὦ Παννυχί;

ΠΑΝ. Ἄνθρωπε, ἀπολώλεκάς με. Σὺ δὲ χαῖρε, Πολέμων, χρόνιος φανείς.

ΠΟΛ. Οὗτος οὖν τίς ἐστιν ὁ προσιὼν ὑμῖν; Σιωπᾷς; εὖ γε, ὦ Παννυχί. Ἐγὼ δὲ πεμπταῖος ἐκ Πυλῶν διέπτην ἐπειγόμενος ἐπὶ τοιαύτην γυναῖκα. Καὶ δίκαια μέντοι πέπονθα, καί σοι χάριν ἔχω· οὐκέτι γὰρ ἁρπασθήσομαι ὑπὸ σοῦ.

ΦΙΛ. Σὺ δὲ τίς εἶ, ὦ βέλτιστε;

ΠΟΛ. Ὅτι Πολέμων ὁ Στειριεὺς Πανδιονίδος φυλῆς, ἀκούεις; χιλιαρχήσας τὸ πρῶτον, νῦν δὲ ἐξαναστήσας πεντακισχιλίαν ἀσπίδα, ἐραστὴς Παννυχίδος, ὅτε ᾠμην ἔτι ἀνθρώπινα φρονεῖν αὐτήν.

ΦΙΛ. Ἀλλὰ τὰ νῦν σοι, ὦ ξεναγέ, Παννυχὶς ἐμή ἐστι, καὶ τάλαντον εἴληφε, λήψεται δὲ ἤδη καὶ ἕτερον, ἐπειδὰν τὰ φορτία διαθώμεθα. Καὶ νῦν ἀκολούθει μοι, ὦ Παννυχί, τοῦτον δὲ παρ' Ὀδρύσαις χιλιάρχειν ἔα.

ΔΟΡΚ. Ἐλευθέρα μέν ἐστι καὶ ἀκολουθήσει, ἢν ἐθέλῃ.

ΠΑΝ. Τί ποιῶ, Δορκάς;

ΔΟΡΚ. Εἰσιέναι ἄμεινον, ὀργιζομένῳ οὐχ οἷόν τε παρεῖναι Πολέμωνι, καὶ μᾶλλον ἐπιταθήσεται ζηλοτυπῶν.

ΠΑΝ. Εἰ θέλεις, εἰσίωμεν.

5. ΠΟΛ. Ἀλλὰ προλέγω ὑμῖν ὅτι τὸ ὕστατον πίεσθε τήμερον, ἢ μάτην ἐγὼ τοσούτοις φόνοις ἐγγεγυμνασμένος πάρειμι. Τοὺς Θρᾷκας, ὦ Παρμένων· ὡπλισμένοι ἡκόντων ἐμφράξαντες τὸν στενωπὸν τῇ φάλαγγι· ἐπὶ μετώπου μὲν τὸ ὁπλιτικὸν, παρ' ἑκάτερα δὲ οἱ σφενδονῆται καὶ τοξόται, οἱ δὲ ἄλλοι κατόπιν.

ΦΙΛ. Ὡς βρεφυλλίοις ταῦτα, ὦ μισθοφόρε, ἡμῖν λέγεις καὶ μορμολύττῃ. Σὺ γὰρ ἀλεκτρυόνα πώποτε ἀπέκτεινας ἢ πόλεμον εἶδες; ἐρυμάτιον ἐφρούρεις τάχα διμοιρίτης ὤν, ἵνα καὶ τοῦτο προσχαρίσωμαί σοι.

ΠΟΛ. Καὶ μὴν εἴσῃ μετ' ὀλίγον, ἐπειδὰν προσιόντας ἡμᾶς ἐπὶ δόρυ θεάσῃ στιλβοντας τοῖς ὅπλοις.

et ut in prælio contra Pisidas eminuerit Polemo : avolavi autem hæc tibi nunciatura, uti de re præsenti deliberares. Nam si adveniens Polemo (omnino equidem dimotis familiaribus veniet) resciverit et intus apud nos Philostratum invenerit; quid facturum esse existimas?

3. PAN. Inveniamus, Dorcas, e re præsenti auxilium : neque enim dimittere hunc honestum est, qui nuper admodum talentum dederit, mercatorem alioquin et multa pollicentem; neque utile non recipere redeuntem cum ea copia Polemonem. Insuper zelotypus est, qui quum egeret adhuc, plane erat intolerabilis : jam vero quid non iste audeat?

DOR. Sed ecce accedit.

PAN. Deficio animi, Dorcas, præ consilii inopia et tremo.

DOR. Verum etiam accedit Philostratus.

PAN. Quid me fiet? utinam terra mihi dehiscat!

4. PHIL. Cur non potamus, mea Pannychis?

PAN. Perdidisti me, homo. Tu vero salve, Polemo. Tarde advenis!

POL. Iste ergo quis est qui ad vos accessit? Taces? Euge, Pannychis! At ego quinto die e Pylis huc advolavi ad talem festinans mulierem. Verum merito hoc mihi accidit, et gratiam tibi habeo : neque enim amplius a te dispoliabor.

PHIL. Tu vero quis es, mi homo?

POL. Polemo Stiriensis, tribu Pandionia, audin'? qui primum mille armatos duxi, jam quinquies mille hominum agmen ago, amator Pannychidis, quum putarem illam adhuc humanum sapere.

PHIL. Sed ut nunc habet, o dux mercenariorum, mea est Pannychis, et talentum accepit; accipiet autem jam etiam alterum, quum sarcinas disposuerimus. Et jam sequere me, Pannychis : hunc vero mille hominibus præesse apud Odrysas jube.

DOR. Libera quidem est, et sequetur, si voluerit.

PAN. Quid agam, Dorcas?

DOR. Intrasse melius erit : irato enim adesse Polemoni non convenit : et magis ipsa zelotypia intendetur.

PAN. Si vis, intremus.

5. POL. Sed prædico vobis, vos ultimum hodie potaturos, aut frustra ego tot cædibus exercitatus adsum. Heus Parmeno, Thraces adduc! Armati veniant, phalange obsepto angiportu : in fronte gravis armatura, in utroque cornu funditores et sagittarii, reliqui in ultima acie.

PHIL. Tanquam parvis infantibus ista, mercenarie, dicis nobis et larva quasi terrere nos postulas. Tun' gallum gallinaceum interfecisti unquam, aut vidisti bellum? castellum forte insedisti, dimidii dux manipuli, ut etiam hoc tibi largiar.

POL. Quin scies paullo post, ubi accedentes nos protensis hastis videbis, armis fulgentibus.

ΦΙΛ. Ἥκετε μόνον συσκευασάμενοι. Ἐγὼ δὲ καὶ Τίβιος οὗτος — μόνος γὰρ οὗτος ἕπεταί μοι — βάλλοντες ὑμᾶς λίθοις τε καὶ ὀστράκοις οὕτω διασκεδασομεν ὡς μηδὲ ὅποι οἴχησθε ἔχοιτε εἰδέναι.

PHIL. Venite modo instructi. Ego autem et Tibius iste (solus enim hic me sequitur) lapidibus vos ac testis immissis ita dispergemus, ut neque quorsum effugiendum sit reperiatis.

10

ΧΕΛΙΔΟΝΙΟΝ ΚΑΙ ΔΡΟΣΙΙ.

1. ΧΕΛ. Οὐκέτι φοιτᾷ παρὰ σέ, ὦ Δροσὴ, τὸ μειράκιον ὁ Κλεινίας; οὐ γὰρ ἑόρακα, πολὺς ἤδη χρόνος, αὐτὸν παρ' ὑμῖν.

ΔΡΟΣ. Οὐκέτι, ὦ Χελιδόνιον· ὁ γὰρ διδάσκαλος αὐτὸν εἶρξε μηκέτι μοι προσιέναι.

ΧΕΛ. Τίς οὗτος; μή τι τὸν παιδοτρίβην Διότιμον λέγεις; ἐπεὶ ἐκεῖνός γε φίλος ἐστίν.

ΔΡΟΣ. Οὐκ, ἀλλ' ὁ κάκιστα φιλοσόφων ἀπολούμενος Ἀρισταίνετος.

ΧΕΛ. Τὸν σκυθρωπὸν λέγεις, τὸν δασὺν, τὸν βαθυπώγωνα, ὃς εἴωθε μετὰ τῶν μειρακίων περιπατεῖν ἐν τῇ Ποικίλῃ;

ΔΡΟΣ. Ἐκεῖνόν φημι τὸν ἀλαζόνα, ὃν κάκιστα ἐπίδοιμι ἀπολούμενον, ἑλκόμενον τοῦ πώγωνος ὑπὸ δημίου.

2. ΧΕΛ. Τί παθὼν δὲ ἐκεῖνος τοιαῦτα ἔπεισε τὸν Κλεινίαν;

ΔΡΟΣ. Οὐκ οἶδα, ὦ Χελιδόνιον. Ἀλλὰ μηδέποτε ἀπόκοιτός μου γενόμενος ἀφ' οὗ γυναικὶ ὁμιλεῖν ἤρξατο — πρῶτον δὲ ὡμίλησέ μοι — τριῶν τούτων ἓξῆς ἡμερῶν οὐδὲ προσῆλθε τῷ στενωπῷ· ἐπεὶ δὲ ἠνιώμην — οὐκ οἶδα δὲ ὅπως τι ἔπαθον ἐπ' αὐτῷ — ἔπεμψα τὴν Νεβρίδα περισκεψομένην αὐτὸν ἢ ἐν ἀγορᾷ διατρίβοντα ἢ ἐν Ποικίλῃ· ἡ δὲ περιπατοῦντα ἔφη ἰδοῦσα μετὰ τοῦ Ἀρισταινέτου νεῦσαι πόρρω, ἐκεῖνον δὲ ἐρυθριάσαντα κάτω ὁρᾶν καὶ μηκέτι παρενεγκεῖν τὸν ὀφθαλμόν. Εἶτ' ἐβάδιζον ἅμα ἐς τὴν πόλιν· ἡ δὲ ἄχρι τοῦ Διπύλου ἀκολουθήσασα, ἐπεὶ μηδ' ὅλως ἐπεστράφη, ἐπανῆκεν οὐδὲν σαφὲς ἀπαγγεῖλαι ἔχουσα. Πῶς με οἴει διάγειν τὸ μετὰ ταῦτα οὐκ ἔχουσαν εἰκάσαι ὅ τι μοι πέπονθεν ὁ μειρακίσκος; ἀλλὰ μὴ ἐλύπησέ τι αὐτὸν, ἔλεγον, ἢ τινος ἄλλης ἠράσθη μισήσας ἐμέ; ἀλλ' ὁ πατὴρ διεκώλυσεν αὐτόν; πολλὰ τοιαῦτα ἔστρεφον. Ἤδη δὲ περὶ δείλην ὀψίαν ἦκεν ὁ Δρόμων τὸ γραμμάτιον τουτὶ παρ' αὐτοῦ κομίζων. Ἀνάγνωθι λαβοῦσα, ὦ Χελιδόνιον· οἶσθα γὰρ δή που γράμματα.

3. ΧΕΛ. Φέρ' ἴδωμεν· τὰ γράμματα οὐ πάνυ σαφῆ ἀλλὰ ἐπισεσυρμένα δηλοῦντα ἔπειξίν τινα τοῦ γεγραφότος. Λέγει δὲ « πῶς μὲν ἐφίλησά σε, ὦ Δροσὴ, τοὺς θεοὺς ποιοῦμαι μάρτυρας. »

ΔΡΟΣ. Αἰαῖ τάλαν, οὐδὲ τὸ χαίρειν προσέγραψε.

ΧΕΛ. « Καὶ νῦν δὲ οὐ κατὰ μῖσος, ἀλλὰ κατ' ἀνάγκην ἀφίσταμαί σου· ὁ πατὴρ γὰρ Ἀρισταινέτῳ παρέδωκέ με φιλοσοφεῖν αὐτῷ, κἀκεῖνος — ἔμαθε γὰρ τὰ καθ'

10.

CHELIDONIUM ET DROSE.

1. CHEL. Non amplius ad te ventitat, mea Drose, adolescentulus ille Clinias? diu enim est quum illum apud vos non vidi.

DROS. Non amplius, mea Chelidonium : magister enim interdixit ne amplius ad me accedat.

CHEL. Quis est iste? Diotimumne dicis ludi gymnici magistrum? nam ille quidem mihi amicus.

DROS. Non; sed est perditissimus ille philosophorum Aristænetus.

CHEL. Tristem illum dicis, hirsutum, barba prolixa, qui cum adolescentibus inambulare solet in Pœcile?

DROS. Illum dico impostorem, quem utinam videam pessime perire, barba tractum a carnifice.

2. CHEL. Sed quid in mentem illi venit, quod istuc persuasit Cliniæ?

DROS. Nescio, Chelidonium. Sed qui nondum a me abnoctaverit a quo tempore usum habere mulieris cœpit (mecum autem fuit prima), tribus hisce deinceps diebus neque ad angiportum accessit. Quum vero ægre ferrem (nam nescio quid mali de eo mihi præsagibat animus), misi Nebridem quæ circumspiceret illum in foro versantem, vel in Pœcile. Atque illa inambulantem ait se vidisse cum Aristæneto, et innuisse ei e longinquo : ipsum vero cum rubore dejecisse vultum, neque amplius eo oculum adjecisse. Tum vadebant simul urbem versus : illa ad Dipylum usque prosecuta, quum nec omnino se converteret, rediit nihil certi habens quod renunciaret. Quid animi mihi putas ab eo inde tempore fuisse, quæ conjectare non possem quid factum esset adolescentulo? Sed numquid offendit ipsum? dicebam : an alius cujusdam amore captus me odit? At pater forsitan prohibuit? Multa talia versabam in animo. Jam vero sero vespere venit Dromo, hoc ab illo epistolium ferens. Sume, lege, Chelidonium : nosti enim, credo, literas.

3. CHEL. Age videamus : literæ non valde disertæ, sed implicitæ sibi, festinationem quandam scribentis indicantes. Dicunt autem, « Quam te amaverim, mea Drose, deos facio testes. »

DROS. Hei hei miserum, ne salutem quidem ascripsit.

CHEL. « Et nunc non odio, sed necessitate discidium a te facio. Pater enim Aristæneto me commendavit, apud quem philosophiæ dem operam : et ille (comperit enim no

ἡμᾶς ἅπαντα — πάνυ πολλὰ ἐπετίμησέ μοι ἀπρεπὲς εἶναι λέγων ἑταίρᾳ συνεῖναι Ἀρχιτέλους καὶ Ἐρασικλείας υἱὸν ὄντα· πολὺ γὰρ ἄμεινον εἶναι τὴν ἀρετὴν προτιμᾶν τῆς ἡδονῆς. »

ΔΡΟΣ. Μὴ ὥρασιν ἔχοιτο ὁ λῆρος ἐκεῖνος τοιαῦτα παιδεύων τὸ μειράκιον.

ΧΕΛ. « Ὥστε ἀνάγκη πείθεσθαι αὐτῷ· παρακολουθεῖ γὰρ ἀκριβῶς παραφυλάττων, καὶ ὅλως οὐδὲ προσβλέπειν ἄλλῳ οὐδενὶ ἔξεστιν ὅτι μὴ ἐκείνῳ· εἰ δὲ σωφρονοῖμι καὶ πάντα πεισθείην αὐτῷ, ὑπισχνεῖται πάνυ εὐδαίμονα ἔσεσθαί με καὶ ἐνάρετον καταστήσεσθαι τοῖς πόνοις προγεγυμνασμένον. Ταῦτά σοι μόλις ἔγραψα ὑποκλέψας ἐμαυτόν. Σὺ δέ μοι εὐτύχει καὶ μέμνησο Κλεινίου. »

4. ΔΡΟΣ. Τί σοι δοκεῖ ἡ ἐπιστολή, ὦ Χελιδόνιον;

ΧΕΛ. Τὰ μὲν ἄλλα ἡ ἀπὸ Σκυθῶν ῥῆσις, τὸ δὲ « μέμνησο Κλεινίου » ἔχει τινὰ ὑπόλοιπον ἐλπίδα.

ΔΡΟΣ. Καὶοὶ οὕτως ἔδοξεν· ἀπόλλυμαι δ' οὖν ὑπὸ τοῦ ἔρωτος. Ὁ μέντοι Δρόμων ἔφασκε παιδεραστήν τινα εἶναι τὸν Ἀρισταίνετον καὶ ἐπὶ προφάσει τῶν μαθημάτων συνεῖναι τοῖς ὡραιοτάτοις τῶν νέων καὶ ἰδίᾳ λογοποιεῖσθαι πρὸς τὸν Κλεινίαν ὑποσχέσεις τινὰς ὑπισχνούμενον ὡς ἰσόθεον ἀποφανεῖ αὐτόν. Ἀλλὰ καὶ ἀναγιγνώσκει μετ' αὐτοῦ ἐρωτικούς τινας λόγους τῶν παλαιῶν φιλοσόφων πρὸς τοὺς μαθητὰς, καὶ ὅλως περὶ τὸ μειράκιόν ἐστιν. Ἠπείλει δὲ καὶ τῷ πατρὶ τοῦ Κλεινίου κατερεῖν ταῦτα.

ΧΕΛ. Ἐχρῆν, ὦ Δροσὴ, γαστρίσαι τὸν Δρόμωνα.

ΔΡΟΣ. Ἐγάστρισα, καὶ ἄνευ δὲ τούτου ἐμός ἐστι· κέκνισται γὰρ κἀκεῖνος τῆς Νεβρίδος.

ΧΕΛ. Θάρρει, πάντα ἔσται καλῶς. Ἐγὼ δὲ καὶ ἐπιγράψειν μοι δοκῶ ἐπὶ τοῦ τοίχου ἐν Κεραμεικῷ, ἔνθα ὁ Ἀρχιτέλης εἴωθε περιπατεῖν, Ἀρισταίνετος διαφθείρει Κλεινίαν, ὥστε καὶ ἐκ τούτου συνδραμεῖν τῇ παρὰ τοῦ Δρόμωνος διαβολῇ.

ΔΡΟΣ. Πῶς δ' ἂν λάθοις ἐπιγράψασα;

ΧΕΛ. Τῆς νυκτὸς, ὦ Δροσὴ, ἄνθρακά ποθεν λαβοῦσα.

ΔΡΟΣ. Εὖ γε, συστράτευε μόνον, ὦ Χελιδόνιον, κατὰ τοῦ ἀλαζόνος Ἀρισταινέτου.

stra omnia) multum sane me increpuit, indignum esse dicens cum meretrice me vivere Architelis et Erasicleæ filium: multo enim melius esse virtutem præferre voluptati. »

DROS. Male pereat nugator ille, qui talia doceat adolescentulum.

CHEL. « Itaque necesse est illi parere: accurate enim me sequitur et custodit; neque aspicere licet quicquam, præter ipsum. Si vero modestus sim et per omnia sibi obsequar, pollicetur beatissimum me futurum, et virtutis compotem, laboribus ante exercitum. Hæc ægre tibi scripsi me occultans. Tu vero felix mihi esto, ac memento Cliniæ. »

4. DROS. Quid tibi videtur hæc epistola, Chelidonium?

CHEL. Cetera velut Scytharum dictio; at illud, « Memento Cliniæ! » habet spei aliquid reliquum.

DROS. Etiam mihi ita videbatur. Pereo igitur præ amore. Verum dixit mihi Dromo pædiconem esse Aristænetum, et disciplinæ obtentu rem habere cum formosissimis adolescentulis, et privatim sermones habere cum Clinia, promissa quædam illi pollicentem, quasi diis parem sit facturus. Verum etiam legit cum illo amatorios quosdam antiquorum philosophorum suis cum discipulis sermones, et totus est in hoc adolescentulo. Minatus est autem Dromo se patri Cliniæ denunciaturum ista.

CHEL. Oportebat, Drose, Dromonem saburrare.

DROS. Feci: et præterea meus est; prurit enim et ille in Nebridem.

CHEL. Bono animo esto: bene succedent omnia. Ego vero etiam inscribere cogito in pariete in Ceramico, ubi inambulare solet Architeles, « Aristænetus corrumpit Cliniam »: ut etiam ex hac parte adjuvem Dromonis delationem.

DROS. Quomodo vero satis occulte poteris scribere?

CHEL. Noctu, Drose, sumto alicunde carbone.

DROS. Euge, juva modo, Chelidonium, pugnam adversus impostorem Aristænetum.

11.

ΤΡΥΦΑΙΝΑ ΚΑΙ ΧΑΡΜΙΔΗΣ.

1. ΤΡΥΦ. Ἑταίραν δέ τις παραλαβὼν πέντε δραχμὰς τὸ μίσθωμα δοὺς καθεύδει ἀποστραφεὶς δακρύων καὶ στένων; ἀλλ' οὔτε πέπωκας ἡδέως, οἶμαι, οὔτε δειπνῆσαι μόνος ἠθέλησας· ἔκλαες γὰρ καὶ παρὰ τὸ δεῖπνον, ἑώρων γάρ· καὶ νῦν δὲ οὐ διαλέλοιπας ἀνολολύζων ὥσπερ βρέφος. Ταῦτα οὖν, ὦ Χαρμίδη, τίνος ἕνεκα ποιεῖς; Μὴ ἀποχρύψῃ με, ὡς ἂν καὶ τοῦτο ἀπολαύσω τῆς νυκτὸς ἀγρυπνήσασα μετὰ σοῦ.

11.

TRYPHÆNA ET CHARMIDES.

1. TRYPH. Meretricem vero aliquis quinque drachmarum mercede conductam ubi habet, aversus deinde jacet lacrimans et ingemiscens? Sed neque bibisti, puto, jucunde, neque cœnare solus voluisti. Plorasti autem in cœna etiam; vidi enim: et nunc non desinis pueruli instar ejulare. Ista ergo, Charmides, cur facis? Noli apud me celare, ut hunc certe fructum vigilatæ tecum noctis capiam.

ΧΑΡΜ. Ἔρως με ἀπόλλυσιν, ὦ Τρύφαινα, καὶ οὐκέτ' ἀντέχω πρὸς τὸ δεινόν.

ΤΡΥΦ. Ἀλλ' ὅτι μὲν οὐκ ἐμοῦ ἐρᾷς, δῆλον· οὐ γὰρ ἂν ἔχων με ἠμέλεις καὶ ἀπωθοῦ περιπλέκεσθαι θέλουσαν καὶ τέλος διετείχιζες τὸ μεταξὺ ἡμῶν τῷ ἱματίῳ δεδιὼς μὴ ψαύσαιμί σου. Τίς δὲ ὅμως ἐκείνη ἐστίν, εἰπέ· τάχα γὰρ ἄν τι καὶ συντελέσαιμι πρὸς τὸν ἔρωτα, οἶδα γὰρ ὡς χρὴ τὰ τοιαῦτα διακονεῖσθαι.

ΧΑΡΜ. Καὶ μὴν οἶσθα καὶ πάνυ ἀκριβῶς αὐτὴν κἀκείνη σέ· οὐ γὰρ ἀφανὴς ἑταίρα ἐστίν.

2. ΤΡΥΦ. Εἰπὲ τοὔνομα, ὦ Χαρμίδη.

ΧΑΡΜ. Φιλημάτιον, ὦ Τρύφαινα.

ΤΡΥΦ. Ποτέραν λέγεις; δύο γάρ εἰσι· τὴν ἐκ Πειρσιῶς, τὴν ἄρτι διακεκορευμένην, ἧς ἐρᾷ Δάμυλλος ὁ τοῦ νῦν στρατηγοῦντος υἱός, ἢ τὴν ἑτέραν, ἣν Παγίδα ἐπικαλοῦσιν;

ΧΑΡΜ. Ἐκείνην, καὶ ἑάλωκα ὁ κακοδαίμων καὶ συνείλημμαι πρὸς αὐτῆς.

ΤΡΥΦ. Οὐκοῦν δι' ἐκείνην ἔκλαες;

ΧΑΡΜ. Καὶ μάλα.

ΤΡΥΦ. Πολὺς δὲ χρόνος ἔστι σοι ἐρῶντι ἢ νεοτελής τις εἶ;

ΧΑΡΜ. Οὐ νεοτελής, ἀλλὰ μῆνες ἑπτὰ σχεδὸν ἀπὸ Διονυσίων, ὅτε πρῶτον εἶδον αὐτήν.

ΤΡΥΦ. Εἶδες δὲ ὅλην ἀκριβῶς, ἢ τὸ πρόσωπον μόνον καὶ ὅσα τοῦ σώματος φανερά, καὶ ὡς χρῆν γυναῖκα πέντε καὶ τετταράκοντα ἔτη γεγονυῖαν ἤδη;

ΧΑΡΜ. Καὶ μὴν ἐπόμνυται δύο καὶ εἴκοσιν εἰς τὸν ἐσόμενον Ἐλαφηβολιῶνα τελέσειν.

3. ΤΡΥΦ. Σὺ δὲ ποτέροις πιστεύσειας ἄν, τοῖς ἐκείνης ὄρκοις ἢ τοῖς σεαυτοῦ ὀφθαλμοῖς; ἐπίσκεψαι γὰρ ἀκριβῶς ὑποβλέψας ποτὲ τοὺς κροτάφους αὐτῆς, ἔνθα μόνον τὰς αὐτῆς τρίχας ἔχει· τὰ δὲ ἄλλα φενάκη βαθεῖα. Περὶ δὲ τοὺς κροτάφους ὁπόταν ἀσθενήσῃ τὸ φάρμακον ᾧ βάπτεται, ὑπολευκαίνεται τὰ πολλά. Καίτοι τί τοῦτο; βίασαί ποτε καὶ γυμνὴν ἰδεῖν.

ΧΑΡΜ. Οὐδεπώποτέ μοι πρὸς τοῦτο ἐνέδωκεν.

ΤΡΥΦ. Εἰκότως· ἠπίστατο γὰρ μυσαχθησόμενόν σε τὰς αὐτῆς λεύκας. Ὅλη δὲ ἀπὸ τοῦ αὐχένος ἐς τὰ γόνατα παρδάλει ἔοικεν. Ἀλλὰ σὺ ἐδάκρυες τοιαύτῃ μὴ συνών; Ἦ που τάχα καὶ ἐλύπει σε καὶ ὑπερεώρα;

ΧΑΡΜ. Ναί, ὦ Τρύφαινα, καίτοι τοσαῦτα παρ' ἐμοῦ λαμβάνουσα. Καὶ νῦν ἐπειδὴ χιλίας αἰτούσῃ οὐκ εἶχον διδόναι ῥᾳδίως ἅτε ὑπὸ πατρὶ φειδομένῳ τρεφόμενος, Μοσχίωνα ἐσδεξαμένη ἀπέκλεισέ με, ἀνθ' ὧν λυπῆσαι καὶ αὐτὸς θέλων αὐτὴν σὲ παρείληφα.

ΤΡΥΦ. Μὰ τὴν Ἀφροδίτην οὐκ ἂν ἦκον, εἴ μοι προεῖπέ τις ὡς ἐπὶ τούτοις παραλαμβανοίμην, λυπῆσαι ἄλλην, καὶ ταῦτα Φιλημάτιον τὴν σορόν. Ἀλλ' ἄπειμι, καὶ γὰρ ἤδη τρίτον ἦσεν ἀλεκτρυών.

4. ΧΑΡΜ. Μὴ σύ γε οὕτω ταχέως, ὦ Τρύφαινα· εἰ γὰρ ἀληθῆ ἐστιν ἃ φῂς περὶ Φιληματίου, τὴν πηνήκην καὶ ὅτι βάπτεται καὶ τὸ τῶν ἄλλων ἀλφῶν, οὐδέ προσβλέπειν ἂν ἔτι δυναίμην αὐτῆ.

CHARM. Perdit me, Tryphæna, amor, neque amplius durare ad vim illius possum.

TRYPH. Sed me non esse quam amas, illud quidem satis apparet : neque enim quam habes negligeres, et amplexari te volentem repelleres, et tandem quasi murum inter nos quendam veste interposita fecisses, metu, ne forte te attingam. Quæ tamen sit illa, dic mihi. Fortasse *enim et adjuvero* aliquantum tibi amorem illum : nam novi ut ministranda sint talia.

CHARM. Quin nosti illam, *et accurate quidem*, et illa te : nec enim obscura est meretrix.

2. TRYPH. Dic nomen, Charmides.

CHARM. Philematium est, mea Tryphæna.

TRYPH. Utram dicis? duæ sunt enim : illam ex Piræeo, quæ nuper demum devirginata est, quam Damyllus amat, ejus qui nunc prætor est filius: an illam alteram, cui Pagidis [*Laquei*] nomen est?

CHARM. Hanc ipsam : *et* captus sum miser atque irretitus ab illa.

TRYPH. Propter hanc ergo plorasti?

CHARM. Omnino.

TRYPH. Multumne tempus est ex quo amas, an nuper demum *initiatus* es?

CHARM. Non nuper initiatus, sed menses fere septem sunt a Dionysiis inde, quum primum illam vidi.

TRYPH. Verum vidistine totam accurate, an faciem solam et partes corporis apertas, denique ut conveniebat videre mulierem quinque et quadraginta annos jam natam?

CHARM. At illa dejerat duo et viginti se Elaphebolione proximo annos impleturam.

3. TRYPH. *Tu* vero *utri* credendum putas, illine dejeranti, an tuis oculis? Accurate enim adverte oculos considerandis illius temporibus, ubi solum suos ipsius capillos habet, reliqua omnis coma prolixa ascititia. Circa tempora autem ubi medicamentum defecit quo tingitur, multum cana est. Quanquam *quid hoc? urge aliquando ut nudam* videas.

CHARM. Nunquam eo usque mihi indulsit.

TRYPH. Merito illa quidem : sciebat enim nauseaturum te illius vitiligines. Tota autem a cervice inde ad genua pardali similis est. At tu lacrimabaris quod cum hac tibi esse non licuit? Numquid forte etiam male te tractavit et contemtim habuit?

CHARM. Ita sane, mea Tryphæna, licet tantum a me accipiat. Et *nunc*, quando drachmas mille poscenti non facile unde darem invenieham, quem parcus pater alat; Moschione recepto me exclusit; pro quo dolorem ipsi ut regeram, te assumsi!

TRYPH. Ita me Venus, non venissem, si quis mihi prædixisset ideo me arcessi, uti ægre alii fieret, idque Philematio illi capulari. Sed discedo : jam enim tertium hoc gallus cecinit.

4. CHARM. Ne tu ita celeriter, mea Tryphæna. Si vera sunt enim quæ narras de Philematio, de coma ascita, *et quod tingitur*, et *illud de cetera vitiligine*; nec aspicere illam possim amplius.

ΤΡΥΦ. Ἐρῶ τὴν μητέρα, εἴ ποτε λέλουται μετ' αὐτῆς· περὶ γὰρ τῶν ἐτῶν κἂν ὁ πάππος διηγήσεταί σοι, εἴ γε ζῇ ἔτι.

ΧΑΡΜ. Οὐκοῦν ἐπειδὴ τοιαύτη ἐκείνη, ἀφῃρήσθω μὲν ἤδη τὸ διατείχισμα, περιβάλλωμεν δὲ ἀλλήλους καὶ φιλῶμεν καὶ ἀληθῶς συνῶμεν· Φιλημάτιον δὲ πολλὰ χαιρέτω.

TRYPH. Matrem interroga, si quando cum illa laverit: de annis enim vel tuus tibi avus narrabit, si adhuc vivit.

CHARM. Quum igitur talis sit illa, auferatur jam murus, complectamur nos invicem, et amemus et bona fide una simus: longum vero valeat Philematium!

12.

ΙΟΕΣΣΑ ΚΑΙ ΠΥΘΙΑΣ ΚΑΙ ΛΥΣΙΑΣ.

1. ΙΟΕΣ. Θρύπτῃ, ὦ Λυσία, πρὸς ἐμέ; καὶ καλῶς, ἅτι μήτε ἀργύριον πώποτε ᾔτησά σε μήτ' ἀπέκλεισα ἐλθόντα, ἔνδον ἕτερος, εἰποῦσα, μήτε παραλογισάμενον τὸν πατέρα ἢ ὑφελόμενον τῆς μητρὸς ἠνάγκασα ἐμοί τι κομίσαι, ὁποῖα αἱ ἄλλαι ποιοῦσιν, ἀλλ' εὐθὺς ἐξ ἀρχῆς ἄμισθον, ἀξύμβολον εἰσεδεξάμην. Οἶσθα ὅσους ἐραστὰς παρεπεμψάμην, Ἠθοκλέα τὸν πρυτανεύοντα νῦν καὶ Πασίωνα τὸν ναύκληρον καὶ τὸν συνέφηβόν σου Μέλισσον, καίτοι ἐναγχος ἀποθανόντος αὐτῷ τοῦ πατρὸς καὶ κύριον αὐτὸν ὄντα τῆς οὐσίας· ἐγὼ δὲ σὲ τὸν Φάωνα μόνον εἶχον οὔτε τινὰ προσβλέπουσα ἕτερον οὔτε προσιεμένη ὅτι μὴ σέ· ὤμην γὰρ ἡ ἀνόητος ἀληθῆ εἶναι ἃ ὤμνυες, καὶ διὰ τοῦτό σοι προσέχουσα ὥσπερ ἡ Πηνελόπη ἐσωφρόνουν, ἐπιβωμένης τῆς μητρὸς καὶ πρὸς τὰς φίλας ἐγκαλούσης. Σὺ δὲ ἐπείπερ ἔμαθες ὑποχείριον ἔχων με τετηκυῖαν ἐπὶ σοί, ἄρτι μὲν Λυκαίνῃ προσέπαιζες ἐμοῦ ὁρώσης, ὡς λυποίης ἐμέ, ἄρτι δὲ σὺν ἐμοὶ κατακείμενος ἐπῄνεις Μαγίδιον τὴν ψάλτριαν· ἐγὼ δ' ἐπὶ τούτοις δακρύω καὶ συνίημι ὑβριζομένη. Πρῴην δὲ ὁπότε συνεπίνετε Θράσων καὶ σὺ καὶ Δίφιλος, παρῆσαν καὶ ἡ αὐλητρὶς Κυμβάλιον καὶ Πυραλλὶς ἐχθρὰ οὖσα ἐμοί. Σὺ δὲ τοῦτ' εἰδὼς τὴν Κυμβάλιον μὲν οὔ μοι πάνυ ἐμέλησεν ὅτι πεντάκις ἐφίλησας· σεαυτὸν γὰρ ὕβριζες τοιαύτην φιλῶν· Πυραλλίδα δὲ ὅσον ἐνένευες, καὶ πιὼν ἂν ἐκείνῃ μὲν ὑπέδειξας τὸ ποτήριον, ἀποδιδοὺς δὲ τῷ παιδὶ πρὸς τὸ οὖς ἐκέλευες, εἰ μὴ Πυραλλὶς αἰτήσειε, μὴ ἂν ἄλλῳ ἐγχέαι· τέλος δὲ τοῦ μήλου ἀποδακὼν, ὁπότε τὸν Δίφιλον εἶδες ἀσχολούμενον — ἐλάλει γὰρ Θράσωνι — προκύψας πως εὐστόχως προσηκόντισας ἐς τὸν κόλπον αὐτῆς, οὐδὲ λαθεῖν γε πειρώμενος ἐμέ· ἡ δὲ φιλήσασα μεταξὺ τῶν μαστῶν ὑπὸ τῷ ἀποδέσμῳ παρεβύσατο.

2. Ταῦτα οὖν τίνος ἕνεκα ποιεῖς; τί σε ἢ μέγα ἢ μικρὸν ἠδίκησα, ἢ ἐλύπησα ἐγώ; τίνα ἕτερον εἶδον; οὐ πρὸς μόνον σὲ ζῶ; οὐ μέγα, ὦ Λυσία, τοῦτο ποιεῖς γύναιον ἄθλιον λυπῶν μεμηνὸς ἐπὶ σοί; Ἔστι τις θεὸς ἡ Ἀδράστεια καὶ τὰ τοιαῦτα ὁρᾷ· σὺ δέ ποτε λυπήσῃ τάχα, ἂν ἀκούσῃς τι περὶ ἐμοῦ, κειμένην με ἢ τοι βρόχῳ ἐμαυτὴν ἀποπνίξασαν ἢ ἐς τὸ φρέαρ ἐπὶ κεφαλὴν ἐμπεσοῦσαν, ἢ ἕνα γέ τινα τρόπον εὑρήσω θανάτου, ὡς μηκέτ' ἐνοχλοίην βλεπομένη. Πομπεύσεις τότε ὡς μέγα καὶ λαμ-

12.

IOESSA, PYTHIAS ET LYSIAS.

1. IOES. Deliciaris, Lysia, adversus me? et jure quidem, quæ neque argentum unquam te poposcerim, neque excluserim venientem dicens, Intus jam alius! neque te subegerim, quod faciunt aliæ, ut patre circumscripto, aut spoliata clanculum matre, mihi ferres aliquid; sed statim ab initio sine mercede te, sine symbola receperim. Nosti quot amatores rejecerim, Ethoclem, qui nunc in magistratu est, et Pasionem nauclerum, et æqualem tuum Melissum, licet mortuo ipsius nuper patre, suarum rerum potestatem ipse adeptus sit. At ego te mihi Phaonem solum habui, nec aspiciens alium quenquam, neque admittens præter te: putabam enim, demens ego, vera esse quæ jurabas, atque ideo tibi dedita, velut Penelope frugi eram, increpante matre et apud amicas me accusante. Tu vero ubi sensisti me tibi obnoxiam, tibi intabescere; modo Lycænæ alludebas, me vidente, ut ægre mihi faceres; modo apud me jacens laudabas psaltriam Magidium: ego vero ob ista ploro, et contumelia me affici intelligo. Nuper autem quum una biberetis, Thraso, tu et Diphilus, aderant Cymbalium quoque tibicina, et Pyrallis mihi inimica. Tu vero hæc quum scires, Cymbalium quidem quod quinquies osculatus es, non vehementer curavi: tibi enim ipsi fecisti hac osculanda contumeliam: Pyrallidi vero quoties innuebas! et quum biberes, illi occulte monstrabas poculum, tradens autem servulo, ad aurem illi imperabas, nisi Pyrallis postularet, alii ne infunderet. Tandem vero pomum a te demorsum, observato Diphilum aliud agere, qui cum Thrasone loqueretur, antrorsum inclinatus accurateque collineans in ipsius sinum conjiciebas, ita ut ne studeres quidem meum conspectum fallere; quod illa osculata intra papillas sub strophio abscondidit.

2. Hæc igitur qua causa facis? qua vel parva ego te vel magna injuria affeci? quem tibi objeci dolorem? quem aspexi alium? nonne soli tibi vivo? nonne magnum est quod facis, Lysia, miseram mulierculam dolore quum afficis, insano tui amore flagrantem? Est aliqua ultrix dea, Adrastea, quæ talia videt. Tu vero forsitan dolebis aliquando, quum audies de me aliquid, jacere me vel laqueo gula elisa, aut præcipitem desiliisse in puteum; aut unam certe mortis viam invenero, ne conspectu tibi meo amplius molesta sim. Triumphabis nempe tum tanquam magno claroque

πρὸν ἔργον ἐργασάμενος. Τί με ὑποβλέπεις καὶ πρίῃ τοὺς ὀδόντας; εἰ γάρ τι ἐγκαλεῖς, εἰπέ, Πυθιὰς ἡμῖν αὕτη δικασάτω. Τί τοῦτο; οὐδὲ ἀποχρινάμενος ἀπέρχῃ καταλιπών με; Ὁρᾷς, ὦ Πυθιάς, οἷα πάσχω ὑπὸ Λυσίου;

ΠΥΘ. Ὢ τῆς ἀγριότητος, τὸ μηδὲ ἐπικλασθῆναι δακρυούσης· λίθος, οὐκ ἄνθρωπός ἐστι. Πλὴν ἀλλ' εἴ γε χρὴ τἀληθὲς εἰπεῖν, σὺ, ὦ Ἰόεσσα, διέφθειρας αὐτὸν ὑπεραγαπῶσα καὶ τοῦτο ἐμφαίνουσα. Ἔχρῆν δὲ μὴ πάνυ αὐτὸν ζηλοῦν· ὑπερόπται γὰρ αἰσθανόμενοι γίγνονται. Παῦ', ὦ τάλαινα, δακρύουσα, καὶ ἦν μοι πείθῃ, ἅπαξ ἢ δὶς ἀπόκλεισον ἐλθόντα· ὄψει γὰρ ἀνακαόμενον αὐτὸν πάνυ καὶ ἀντιμεμηνότα ἀληθῶς.

ΙΟΕΣ. Ἀλλὰ μηδ' εἴπῃς, ἄπαγε. Ἀποκλείσω Λυσίαν; εἴθε μὴ αὐτὸς ἀποσταίη φθάσας.

ΠΥΘ. Ἀλλ' ἐπανέρχεται αὖθις.

ΙΟΕΣ. Ἀπολώλεκας ἡμᾶς, ὦ Πυθιάς· ἠκρόαταί σοι ἴσως « ἀπόκλεισον » λεγούσης.

3. ΛΥΣ. Οὐχὶ ταύτης ἕνεκεν, ὦ Πυθιὰς, ἐπανελήλυθα, ἣν οὐδ' ἂν προσβλέψαιμι ἔτι τοιαύτην οὖσαν, ἀλλὰ διὰ σέ, ὡς μὴ καταγιγνώσκῃς ἐμοῦ καὶ λέγῃς, Ἄτεγκτος ὁ Λυσίας ἐστίν.

ΠΥΘ. Ἠμέλει καὶ ἔλεγον, ὦ Λυσία.

ΛΥΣ. Φέρειν οὖν ἐθέλεις, ὦ Πυθιὰς, Ἰόεσσαν ταύτην τὴν νῦν δακρύουσαν αὐτὸν ἐπιστάντα αὐτῇ ποτε μετὰ νεανίου καθευδούσῃ ἐμοῦ ἀποστάσῃ;

ΠΥΘ. Λυσία, τὸ μὲν ὅλον ἑταίρα ἐστί. Πότε δ' οὖν κατέλαβες αὐτοὺς συγκαθεύδοντας;

ΛΥΣ. Ἕκτην σχεδὸν ταύτην ἡμέραν, νὴ Δί', ἕκτην γε, δευτέρᾳ ἱσταμένου· τὸ τήμερον δὲ ἑβδόμη ἐστίν. Ὁ πατὴρ εἰδὼς ὡς πάλαι ἐρῴην ταυτησὶ τῆς χρηστῆς, ἐνέκλεισέ με παραγγείλας τῷ θυρωρῷ μὴ ἀνοίγειν· ἐγὼ δὲ, οὐ γὰρ ἔφερον μὴ οὐχὶ συνεῖναι αὐτῇ, τὸν Δρόμωνα ἐκέλευσα παρακύψαντα παρὰ τὸν θριγκὸν τῆς αὐλῆς, ᾗ ταπεινότατον ἦν, ἀναδέξασθαί με ἐπὶ τῶν νώτων· ῥᾷον γὰρ οὕτως ἀναβήσεσθαι ἔμελλον. Τί ἂν μακρὰ λέγοιμι; ὑπερέβην, ἦκον, τὴν αὔλειον εὗρον ἀποκεκλεισμένην ἐπιμελῶς· μέσαι γὰρ νύκτες ἦσαν. Οὐκ ἔκοψα δ' οὖν, ἀλλ' ἐπάρας ἠρέμα τὴν θύραν, ἤδη δὲ καὶ ἄλλοτ' ἐπεποιήκειν αὐτὸ, παραγαγὼν τὸν στροφέα παρεισῆλθον ἀψοφητί. Ἐκάθευδον δὲ πάντες, εἶτα ἐπαφώμενος τοῦ τοίχου ἐφίσταμαι τῇ κλίνῃ.

4. ΙΟΕΣ. Τί ἐρεῖς, ὦ Δάματερ; ἀγωνιῶ γάρ.

ΛΥΣ. Ἐπειδὴ δὲ οὐχ ἑώρων τὸ ἄσθμα ἓν, τὸ μὲν πρῶτον ᾠμην τὴν Αυδὴν αὐτῇ συγκαθεύδειν· τὸ δ' οὐκ ἦν, ὦ Πυθιὰς, ἀλλ' ἐφαψάμενος εὗρον ἀγένειόν τινα πάνυ ἁπαλὸν, ἐν χρῷ κεκαρμένον, μύρων καὶ αὐτὸν ἀποπνέοντα. Τοῦτο ἰδὼν εἰ μὲν καὶ ξίφος ἔχων ἦλθον, οὐκ ἂν ὤκνησα, εὖ ἴστε. Τί γελᾶτε, ὦ Πυθιάς; γέλωτος ἄξια δοκῶ διηγεῖσθαι;

ΙΟΕΣ. Τοῦτό σε, ὦ Λυσία, λελύπηκεν; ἡ Πυθιὰς αὕτη μοι συνεκάθευδε.

ΠΥΘ. Μὴ λέγε, ὦ Ἰόεσσα, πρὸς αὐτόν.

ΙΟΕΣ. Τί μὴ λέγω; Πυθιὰς ἦν, φίλτατε, μετακλη-

patrato facinore. Quid furtim ad me respicis et dentibus infrendes? si quid enim me accusas, dicito : Pythias hæc nobis litem judicabit. Quid hoc? ne respondens quidem me relicta discedis? Vides, Pythias, quomodo tractet me Lysias?

PYTH. Hem feritatem! ne lacrimis quidem illum fractum esse! Lapis, non homo est. Verum, si quod res est dicendum est, tute ipsum, Ioessa, corrupisti, quæ nimium in modum amaris illum, idque ipsum ostenderis. Oportebat vero non nimis illum studiose colere : superbi enim eo animadverso fiunt. Desine plorare, misella, et si me audis, semel aut bis venientem exclude; videbis enim illum rursus vehementer accendi et mutatis vicibus in te furere.

IOES. Tu vero ne quid tale dicas : apage. Egon' Lysiam excludam? utinam ne ille prior discessionem faciat.

PYTH. Sed redit iterum.

IOES. Perdidisti nos, Pythias : audivit forte, « Exclude » quum diceres.

3. LYS. Non propter istam redii, Pythias, quam ne aspicere quidem amplius, talem mulierem, digner : sed propter te, ne me condemnes, aut dicas, Inexorabilis homo est Lysias.

PYTH. Quin hoc ipsum modo dicebam, Lysia.

LYS. Ferre igitur me jubes, Pythias, istam plorantem modo Ioessam, qui juxta astiterim aliquando ipsi dormienti cum adolescentulo, me deserenti?

PYTH. Lysia, ut in summa dicam, meretrix est. Quando vero illos una cubantes deprehendisti?

LYS. Sextus fere hic dies est : recte, sextus ipse, secundo mensis die : hodie autem est septimus. Pater quum sciret me olim amore bonæ istius captum, me incluserat, et ne aperiret, janitori interdixerat. Ego vero, qui ferre non possem, nisi cum illa essem, Dromonem jussi ad conseptum aulæ, qua parte humillimum est, acclinatum astare, meque recipere tergo, qua ratione facile transcendere mihi licebat. Quid multa dicam? Transcendi, veni; januam atrii cum cura clausam reperi : media enim nox erat. Non pulsavi igitur, sed sublata silentio janua, quod alias jam feceram, ultra cardinem, intravi sine strepitu. Dormiebant omnes : tum palpando murum ad lectum asto.

4. IOES. Quid dices, sancta Ceres? vehementer enim laboro!

LYS. Quum autem non duci simplicem spiritum sensissem, primo putabam equidem, dormire cum ista Lyden. At hoc non erat, Pythias : sed palpando deprehendi imberbem quendam, molliculum, ad cutem detonsum, unguenta redolentem et ipsum. Hoc videns, si quidem cum gladio venissem, non cunctatus essem, bene scitote. Quid ridetis, Pythias? ridiculane videor narrare?

IOES. Hoc igitur te, Lysia, male habuit? hæc ipsa mecum dormiebat Pythias.

PYTH. Noli hoc illi, Ioessa, dicere.

IOES. Quidni dicam? Pythias erat, carissime, advocata

θεῖσα ὑπ' ἐμοῦ, ὡς ἅμα καθεύδοιμεν· ἐλυπούμην γὰρ σὲ μὴ ἔχουσα.

5. ΛΥΣ. Πυθιὰς ὁ ἐν χρῷ κεκαρμένος; εἶτα δι' ἕκτης ἡμέρας ἀνεκόμησε τοσαύτην κόμην;

ΙΟΕΣ. Ἀπὸ τῆς νόσου ἐξυρήσατο, ὦ Λυσία· ὑπέρρεον γὰρ αὐτῇ αἱ τρίχες. Νῦν δὲ καὶ τὴν πηνήκην ἐπέθετο. Δεῖξον, ὦ Πυθιάς, δεῖξον οὕτως ὄν, πεῖσον αὐτόν. Ἰδοὺ τὸ μειράκιον ὁ μοιχὸς ὃν ἐζηλοτύπεις.

ΛΥΣ. Οὐκ ἐχρῆν οὖν, ὦ Ἰόεσσα, καὶ ταῦτα ἐρῶντα ἐψαψάμενον αὐτόν;

ΙΟΕΣ. Οὐκοῦν σὺ μὲν ἤδη πέπεισαι· βούλει δὲ ἀντιλυπήσω σε καὶ αὐτή; ὀργίζομαι γὰρ δικαίως ἐν τῷ μέρει.

ΛΥΣ. Μηδαμῶς, ἀλλὰ πίνωμεν ἤδη, καὶ Πυθιὰς μεθ' ἡμῶν· ἄξιον γὰρ αὐτὴν παρεῖναι ταῖς σπονδαῖς.

ΙΟΕΣ. Παρέσται. Οἷα πέπονθα διὰ σέ, ὦ γενναιότατε νεανίσκων Πυθίας.

ΠΥΘ. Ἀλλὰ καὶ διήλλαξα ὑμᾶς ὁ αὐτὸς, ὥστε μή μοι χαλέπαινε. Πλὴν τὸ δεῖνα, ὅρα, ὦ Λυσία, μή τινι εἴπῃς τὸ περὶ τῆς κόμης.

a me, ut una dormiremus: tristis enim eram, quæ te non haberem.

5. LYS. Pythias ille ad cutem detonsus? tum deinde intra sex dies tanta illi coma renata est?

IOES. Ob morbum radi se curaverat, mi Lysia: defluebant enim illi comæ. Jam vero etiam capillamentum imposuit. Ostende, Pythias, ostende rem ita se habere: fidem fac viro. En tibi adolescentulum, mœchum illum, propter quem eras zelotypus!

LYS. Nonne vero oportebat, Ioessa, idque amantem, qui suis ipse manibus illum palpasset?

IOES. Ergo tibi quidem jam satisfactum est. Visne autem, ut vicissim et ego tibi dolorem objiciam? juste enim mutuo tibi irascor.

LYS. Minime vero; sed bibamus jam, et nobiscum Pythias; æquum est enim illam nostro fœderi interesse.

IOES. Aderit. Quid ego propter te perpessa sum, generosissime juvenum Pythias!

PYTH. Verum etiam idem ego vos conciliavi: itaque noli mihi irata esse. Verum illud, vide, Lysia, ne cui dicas illud de coma!

13.

ΛΕΟΝΤΙΧΟΣ, ΧΗΝΙΔΑΣ ΚΑΙ ΥΜΝΙΣ.

1. ΛΕΟΝΤ. Ἐν δὲ τῇ πρὸς τοὺς Γαλάτας μάχῃ εἰπέ, ὦ Χηνίδα, ὅπως μὲν προεξήλασα τῶν ἄλλων ἱππέων ἐπὶ τοῦ ἵππου τοῦ λευκοῦ, ὅπως δὲ οἱ Γαλάται καίτοι ἄλκιμοι ὄντες ἔτρεσαν εὐθὺς ὡς εἶδόν με καὶ οὐδεὶς ἔτι ὑπέστη. Τότε τοίνυν ἐγὼ τὴν μὲν λόγχην ἀκοντίσας διέπειρα τὸν ἱππαρχον αὐτῶν καὶ τὸν ἵππον, ἐπὶ δὲ τὸ συνεστηκὸς ἔτι αὐτῶν — ἦσαν γάρ τινες οἳ ἔμενον διαλύσαντες μὲν τὴν φάλαγγα, ἐς πλαίσιον δὲ συναγαγόντες αὐτούς — ἐπὶ τούτους ἐγὼ σπασάμενος τὴν σπάθην ἅπαντι τῷ θυμῷ ἐπελάσας ἀνατρέπω μὲν ὅσον ἑπτὰ τοὺς προεστῶτας αὐτῶν τῇ ἐμβολῇ τοῦ ἵππου· τῷ ξίφει δὲ κατενεγκὼν διέτεμον τῶν λοχαγῶν ἑνὸς ἐς δύο τὴν κεφαλὴν αὐτῷ κράνει. Ὑμεῖς δὲ, ὦ Χηνίδα, μετ' ὀλίγον ἐπέστητε ἤδη φευγόντων.

2. ΧΗΝ. Ὅτε γὰρ, ὦ Λεόντιχε, περὶ Παφλαγονίαν ἐμονομάχησας τῷ σατράπῃ, οὐ μεγάλα ἐπεδείξω καὶ τότε;

ΛΕΟΝΤ. Καλῶς ὑπέμνησας οὐκ ἀγεννοῦς οὐδ' ἐκείνης τῆς πράξεως· ὁ γὰρ σατράπης μέγιστος ὢν, ὁπλομάχων ἄριστος δοκῶν εἶναι, καταφρονήσας τοῦ Ἑλληνικοῦ, προπηδήσας ἐς τὸ μέσον προύκαλεῖτο εἴ τις ἐθέλοι αὐτῷ μονομαχῆσαι. Οἱ μὲν οὖν ἄλλοι κατεπεπλήγεσαν οἵ λοχαγοὶ καὶ οἱ ταξίαρχοι καὶ ὁ ἡγεμὼν αὐτὸς καίτοι οὐκ ἀγεννὴς ἄνθρωπος ὤν· Ἀρίσταιχμος γὰρ ἡμῶν ἡγεῖτο Αἰτωλὸς ἀκοντιστὴς ἄριστος, ἐγὼ δὲ ἐχιλιάρχουν ἔτι. Τολμήσας δ' ὅμως καὶ τοὺς ἑταίρους ἐπιλαμβανομένους ἀποσεισάμενος, ἐδεδοίκεσαν γὰρ ὑπὲρ ἐμοῦ ὁρῶντες ἀποστίλβοντα μὲν τὸν βάρβαρον ἐπιχρύ-

13.

LEONTICHUS, CHENIDAS ET HYMNIS.

1. LEONT. In pugna vero contra Gallogræcos dic, Chenida, quomodo ante reliquos equites eruperim in equo albo, et quomodo Gallogræci, fortes licet, statim ad meum conspectum pertimuerint, et nemo amplius restiterit. Tum igitur ego emissa hasta ducem equitatus illorum ipso cum equo trajeci: in reliquos autem qui consiterant adhuc (erant enim quidam qui manerent, soluta quidem phalange, sed contracti in quadratum oblongum), in hos ego stricto ense animose invadens, ipsa equi impressione ad septem duces ipsorum everto; tum gladio impacto unius decurionis cum ipsa galea caput in duas partes dissecui: vos autem, Chenida, paullo post aderatis, illis jam fugientibus.

2. CHEN. Quum autem, Leontiche, apud Paphlagoniam solitaria pugna depugnares cum satrapa, nonne magnifica tum quoque opera edidisti?

LEONT. Bene admones illius me actionis et ipsius non ignavæ. Satrapa enim, vir maximus, qui in gravi armatura videretur esse præstantissimus, Græci nominis contemtor, in medium progressus provocabat si quis pugnare secum vellet solus. Reliqui ergo perculsi erant, decuriones, et ductores ordinum, et ipse adeo imperator, quanquam vir minime ignavus: Aristæchmus enim ducebat nos Ætolus, jaculator optimus; ego tum tribunatu adhuc fungebar: audacia tamen sumta, dimotis qui me retinere vellent sodalibus: timebant mihi nimirum, videntes fulgentem auratis in-

σοις τοῖς ὅπλοις μέγαν τε καὶ φοβερὸν ὄντα τὸν λόφον καὶ κραδαίνοντα τὴν λόγχην...

ΧΗΝ. Κἀγὼ ἔδεισα τότε, ὦ Λεόντιχε, καὶ οἶσθα ὡς εἰχόμην σου δεόμενος μὴ προκινδυνεύειν· ἀβίωτα γὰρ ἦν μοι σοῦ ἀποθανόντος.

3. ΛΕΟΝΤ. Ἀλλ' ἐγὼ τολμήσας παρῆλθον ἐς τὸ μέσον οὐ χεῖρον τοῦ Παφλαγόνος ὡπλισμένος, ἀλλὰ πάγχρυσος καὶ αὐτὸς, ὥστε βοὴ εὐθὺς ἐγένετο καὶ παρ' ἡμῶν καὶ παρὰ τῶν βαρβάρων· ἐγνώρισαν γάρ με κἀκεῖνοι ἰδόντες ἀπὸ τῆς πέλτης μάλιστα καὶ τῶν φαλάρων καὶ τοῦ λόφου. Εἰπὲ, ὦ Χηνίδα, τίνι με τότε πάντες εἴκαζον;

ΧΗΝ. Τίνι δὲ ἄλλῳ ἢ Ἀχιλλεῖ νὴ Δία τῷ Θέτιδος καὶ Πηλέως; οὕτως ἔπρεπέ μέν σοι ἡ κόρυς, ἡ φοινικὶς δὲ ἐπήνθει καὶ ἡ πέλτη ἐμάρμαιρεν.

ΛΕΟΝΤ. Ἐπεὶ δὲ συνέστημεν, ὁ βάρβαρος πρότερος τιτρώσκει με ὀλίγον ὅσον ἐπιψαύσας τῷ δόρατι μικρὸν ὑπὲρ τὸ γόνυ, ἐγὼ δὲ διελάσας τὴν ἀσπίδα τῇ σαρίσῃ παίω διαμπὰξ ἐς τὸ στέρνον, εἶτ' ἐπεδραμὼν ἀπεδειροτόμησα τῇ σπάθῃ ῥᾳδίως καὶ τὰ ὅπλα ἔχων ἐπανῆλθον ἅμα καὶ τὴν κεφαλὴν ἐπὶ τῆς σαρίσης πεπηγυῖαν κομίζων λελουμένος τῷ φόνῳ.

4. ΥΜΝ. Ἄπαγε, ὦ Λεόντιχε, μιαρὰ ταῦτα καὶ φοβερὰ περὶ σαυτοῦ διηγῇ, καὶ οὐκ ἂν ἔτι σε οὐδὲ προσβλέψειέ τις οὕτω χαίροντα τῷ λώθρῳ, ὡς ὅπως συμπίοι ἡ συγκοιμηθείη. Ἔγωγε οὖν ἄπειμι.

ΛΕΟΝΤ. Διπλάσιον ἀπόλαβε τὸ μίσθωμα.

ΥΜΝ. Οὐκ ἂν ὑπομείναιμι ἀνδροφόνῳ συγκαθεύδειν.

ΛΕΟΝΤ. Μὴ δέδιθι, ὦ Ὑμνί· ἐν Παφλαγόσιν ἐκεῖνα πέπρακται, ὧν δὲ εἰρήνην ἄγω.

ΥΜΝ. Ἀλλ' ἐναγὴς ἄνθρωπος εἶ, καὶ τὸ αἷμα κατέσταζέ σου ἀπὸ τῆς κεφαλῆς τοῦ βαρβάρου, ἣν ἔφερες ἐπὶ τῇ σαρίσῃ. Εἶτ' ἐγὼ τοιοῦτον ἄνδρα περιβαλῶ καὶ φιλήσω; Μὴ, ὦ Χάριτες, γένοιτο· οὐδὲν γὰρ οὗτος ἀμείνων τοῦ δημίου.

ΛΕΟΝΤ. Καὶ μὴν εἴ με εἶδες ἐν τοῖς ὅπλοις, εὖ οἶδα, ἠράσθης ἄν.

ΥΜΝ. Ἀκούουσα μόνον, ὦ Λεόντιχε, ναυτιῶ καὶ φρίττω καὶ τὰς σκιάς μοι δοκῶ ὁρᾶν καὶ τὰ εἴδωλα τῶν πεφονευμένων καὶ μάλιστα τοῦ ἀθλίου λοχαγοῦ ἐς δύο τὴν κεφαλὴν διῃρημένου· τί οἴει, τὸ ἔργον αὐτὸ καὶ τὸ αἷμα εἰ θεασαίμην καὶ κειμένους τοὺς νεκρούς; ἐκθανεῖν γάρ μοι δοκῶ, ἢ οὐδ' ἀλεκτρυόνα πώποτε φονευόμενον εἶδον.

ΛΕΟΝΤ. Οὕτως ἀγεννὴς, ὦ Ὑμνί, καὶ μικρόψυχος εἶ; ἐγὼ δὲ ᾠμην ἡσθήσεσθαί σε ἀκούουσαν.

ΥΜΝ. Ἀλλὰ τέρπε τοῖς διηγήμασι τούτοις εἴ τινας Λημνιάδας ἢ Δαναΐδας εὕροις· ἐγὼ δ' ἀποτρέχω παρὰ τὴν μητέρα, ἕως ἔτι ἡμέρα ἐστίν. Ἕπου καὶ σὺ, ὦ Γραιμί· σὺ δὲ ἔρρωσο, χιλιάρχων ἄριστε καὶ φονεῦ ὁπόσων ἂν ἐθέλῃς.

5. ΛΕΟΝΤ. Μεῖνον, ὦ Ὑμνί, μεῖνον — ἀπελήλυθε.

armis barbarum, magnum et crista vibrataque hasta terribilem ...

CHEN. Ego quoque tum, Leontiche, timebam, et nosti quam retinuerim te, rogans ne periculum pro aliis subires: neque enim, te mortuo, vivendum mihi putabam.

3. LEONT. Sed ego audaciter in medium progredior, non deterius Paphlagone armatus, sed totus ipse etiam aureus. Itaque clamor statim elatus a nostris pariter atque a barbaris: nam hi quoque ad primum me conspectum noverant a pelta maxime et phaleris et a crista. Dic, Chenida, cui me omnes tum assimilabant?

CHEN. Cui vero alii quam Achilli, per Jovem, Thetidis illi atque Pelei filio? adeo decebat te galea, adeo floridum colorem spargebat paludamentum, adeo pelta splendebat.

LEONT. Quum vero congressi essemus, primo vulnerat me barbarus, aliquantulum hasta perstringens paullum supra genu: ego vero clypeo illius sarissa mea perfosso, mediam pectoris compagem trajeci, tum accurrens facile caput gladio amputavi: sic cum armis viri redeo, caput simul sarissa fixum gerens, cæde illius madidus.

4. HYMN. Apage, Leontiche, fœda istæc et terribilia de te narras, nec te ulla amplius vel aspicere sustineat, adeo gaudentem cruore, nedum ut bibat una aut cubet. Equidem hinc discedo.

LEONT. Duplam tibi mercedem habe.

HYMN. Non sustinuerim ego jacere cum homicida.

LEONT. Noli, mea Hymnis, metuere: inter Paphlagones ista acta sunt; jam vero pacem ago.

HYMN. At impiatus tamen homo es, stillavitque in te sanguis de capite barbari, quod ferebas in sarissa. Deinde talem ego hominem complectar et osculer? Absit hoc, o Gratiæ! nihil enim hic homo carnifice melior.

LEONT. Atqui in armis si me vidisses, bene novi, amares me.

HYMN. Quum audierim modo, Leontiche, nauseo, et horreo, et umbras mihi videre videor ac spectra interfectorum, et miseri præsertim decurionis, cui in duas partes caput a te dissectum est: quid putas, ipsum opus et sanguinem si vidissem, et jacentes mortuos? moritura enim mihi videor, quæ neque gallum gallinaceum necari viderim.

LEONT. Adeo ignava, Hymnis, et pusilli es animi? ego vero te delectatum iri sperabam auditu.

HYMN. At tu oblecta illis tuis narrationibus, si quas Lemniadas inveneris aut Danaidas: ego autem ad matrem decurro, dum adhuc dies est. Sequere tu quoque, Grammis. Tu vero vale, tribunorum fortissime, et interfector quotcumque hominum volueris.

5. LEONT. Mane, Hymnis, mane! Discessit.

ΧΗΝ. Σὺ γάρ, ὦ Λεόντιχε, ἀφελῆ παιδίσκην κατεφόβησας ἐπισείων λόφους καὶ ἀπιθάνους ἀριστείας διεξιών· ἐγὼ δὲ ἑώρων εὐθὺς ὅπως χλωρὰ ἐγένετο ἔτι σου τὰ κατὰ τὸν λοχαγὸν ἐκεῖνα διηγουμένου καὶ συνέστειλε τὸ πρόσωπον καὶ ὑπέρριξεν, ἐπεὶ καὶ διακόψαι τὴν κεφαλὴν ἔρης.

ΛΕΟΝΤ. Ὡμην ἐρασμιώτερος αὐτῇ φανεῖσθαι. Ἀλλὰ καὶ σύ με προσαπολώλεκας, ὦ Χηνίδα, τὸ μονομάχιον ὑποβαλών.

ΧΗΝ. Οὐκ ἔδει γὰρ συνεπιψεύδεσθαί σοι ὁρῶντα τὴν αἰτίαν τῆς ἀλαζονείας; σὺ δὲ πολὺ φοβερώτερον αὐτὸ ἐποίησας. Ἔστω γάρ, ἀπέτεμες τοῦ κακοδαίμονος Παφλαγόνος τὴν κεφαλήν, τί καὶ κατέπηξας αὐτὴν ἐπὶ τῆς σαρίσης, ὥστε σου καταρρεῖν τὸ αἷμα;

6. ΛΕΟΝΤ. Τοῦτο μιαρὸν ὡς ἀληθῶς, ὦ Χηνίδα, ἐπεὶ τά γε ἄλλα οὐ κακῶς συνεπέπλαστο. Ἀπιθι δ' οὖν καὶ πεῖσον αὐτὴν συγκαθευδήσουσαν.

ΧΗΝ. Λέγω οὖν ὡς ἐψεύσω ἅπαντα γενναίως αὐτῇ δόξαι βουλόμενος;

ΛΕΟΝΤ. Αἰσχρὸν, ὦ Χηνίδα.

ΧΗΝ. Καὶ μὴν οὐκ ἂν ἄλλως ἀφίκοιτο. Ἑλοῦ τοίνυν θάτερον, ἢ μισεῖσθαι ἀριστεὺς εἶναι δοκῶν ἢ καθεύδειν μετὰ Ὑμνίδος ἐψεῦσθαι ὁμολογῶν.

ΛΕΟΝΤ. Χαλεπὰ μὲν ἄμφω· αἱροῦμαι δ' ὅμως τὴν Ὑμνίδα. Ἄπιθι οὖν καὶ λέγε, ὦ Χηνίδα, ἐψεῦσθαι μὲν, μὴ πάντα δέ.

CHEN. Tu enim, Leontiche, puellam simplicem perterruisti quatienda crista et incredibilibus facinoribus enarrandis. Ego vero statim videbam quomodo expallesceret, te adhuc illa de decurione narrante, et vultum mutaret, et perhorresceret, quum diffidisse te caput diceres.

LEONT. Putabam me amabiliorem illi visum iri. At tu insuper me, Chenida, perdidisti, subjicienda mihi illa pugna solitaria.

CHEN. Nonne igitur oportebat tua adjuvare mendacia, quum tuæ illius gloriationis causam viderem? tu vero multo etiam terribilius illud fecisti. Esto enim, abscideris caput misero Paphlagoni; quid etiam opus fuit hasta illud figere, ut sanguis in te defluereet?

6. LEONT. Hoc revera fœdum, Chenida, dum reliqua non male essent conficta. Abi ergo, et illi persuade, mecum ut cubet.

CHEN. Dicam ergo te mentitum esse omnia, quum fortis ipsi velles videri?

LEONT. Turpe hoc, Chenida.

CHEN. Verum aliter non venerit. Elige ergo alterutrum, ut aut odio illi sis cum viri fortis opinione, aut cum Hymnide cubes, mentitum te fassus.

LEONT. Ambo quidem difficilia: præopto tamen Hymnidem. Abi ergo, et me mentitum esse, Chenida, dicito, non tamen omnia.

14.

ΔΩΡΙΩΝ ΚΑΙ ΜΥΡΤΑΛΗ.

1. ΔΩΡ. Νῦν με ἀποκλείεις, ὦ Μυρτάλη, νῦν, ὅτε πένης ἐγενόμην διὰ σὲ, ὅτε δέ σοι τὰ τοσαῦτα ἐκόμιζον, ἐρώμενος, ἀνὴρ, δεσπότης, πάντ' ἦν ἐγώ. Ἐπεὶ δ' ἐγὼ μὲν αὖος ἤδη ἀκριβῶς, σὺ δὲ τὸν Βιθυνὸν ἔμπορον εὕρηκας ἐραστὴν, ἀποκλείομαι μὲν ἐγὼ καὶ πρὸ τῶν θυρῶν ἕστηκα δακρύων, ὁ δὲ τῶν νυκτῶν φιλεῖται καὶ μόνος ἔνδον ἐστὶ καὶ παννυχίζεται, καὶ κυεῖν φὴς ἀπ' αὐτοῦ.

ΜΥΡΤ. Ταῦτά με ἀποπνίγει, Δωρίων, καὶ μάλιστα ὁπόταν λέγῃς ὡς πολλὰ ἔδωκας καὶ πένης γεγένησαι δι' ἐμέ. Λόγισαι γοῦν ἅπαντα ἐξ ἀρχῆς ὁπόσα μοι ἐκόμισας.

2. ΔΩΡ. Εὖ γε, ὦ Μυρτάλη, λογισώμεθα. Ὑποδήματα ἐκ Σικυῶνος τὸ πρῶτον δύο δραχμῶν· τίθει δύο δραχμάς.

ΜΥΡΤ. Ἀλλ' ἐκοιμήθης νύκτας δύο.

ΔΩΡ. Καὶ ὁπότε ἦκον ἐκ Συρίας, ἀλάβαστρον μύρου ἐκ Φοινίκης, δύο καὶ τοῦτο δραχμῶν νὴ τὸν Ποσειδῶ.

ΜΥΡΤ. Ἐγὼ δέ σοι ἐκπλέοντι τὸ μικρὸν ἐκεῖνο χιτώνιον τὸ μέχρι τῶν μηρῶν, ὡς ἔχοις ἐρέττων, Ἐπιούρου τοῦ πρωρέως ἐκλαθομένου αὐτὸ παρ' ἡμῖν, ὁπότε ἐκάθευδε παρ' ἐμοί.

14.

DORIO ET MYRTALE.

1. DOR. Nunc me excludis, Myrtale, nunc, postquam pauper per te factus sum: quum vero tot tibi res afferrem, amasius, vir, dominus, omnia ego fui. Postquam vero ego jam plane sum exhaustus, tu vero amatorem Bithynum illum mercatorem invenisti; ego excludor, et ad fores sto lacrimans: at ille noctibus amatur, et solus intus est, et pervigilia agit, et ex illo ferre te dicis uterum.

MYRT. Ista me, Dorio, enecant, et maxime quum multa te dedisse dicis et pauperem propter me factum esse. Computa enim ab initio inde omnia, quæcumque mihi attulisti.

2. DOR. Recte, Myrtale, computemus. Calceos e Sicyone primum duarum drachmarum. Pone drachmas duas.

MYRT. Sed cubuisti apud me noctes duas.

DOR. Et quum venirem ex Syria, unguenti alabastrum e Phœnice duarum et hunc, ita me Neptunus, drachmarum.

MYRT. At ego tibi naviganti parvum illud amiculum ad femora modo pertinens, ut dum remigas haberes, quod oblitus fuerat apud me Epiurus proreta, quum mecum cubuisset.

ΔΩΡ. Ἀπέλαβεν αὐτὸ γνωρίσας ὁ Ἐπίουρος πρώην ἐν Σάμῳ μετὰ πολλῆς γε, ὦ θεοί, τῆς μάχης. Κρόμμυα δὲ ἐκ Κύπρου καὶ σαπέρδας πέντε καὶ πέρκας τέτταρας, ὁπότε κατεπλεύσαμεν ἐκ Βοσπόρου, ἐκόμισά σοι. Τί οὖν; καὶ ἄρτους ὀκτὼ ναυτικοὺς ἐν γυργαθῷ ξηροὺς καὶ ἰσχάδων βῖκον ἐκ Καρίας καὶ ὕστερον ἐκ Πατάρων σανδάλια ἐπίχρυσα, ὦ ἀχάριστε· καὶ τυρόν ποτε μέμνημαι τὸν μέγαν ἐκ Γυθίου.

ΜΥΡΤ. Πέντε ἴσως δραχμῶν, ὦ Δωρίων, πάντα ταῦτα.

3. ΔΩΡ. Ὦ Μυρτάλη, ὅσα ναύτης ἄνθρωπος ἐδυνάμην μισθοῦ ἐπιπλέων. Νῦν γὰρ ἤδη τοίχου ἄρχω τοῦ δεξιοῦ καὶ σὺ ἡμῶν ὑπερορᾷς, πρώην δὲ ὁπότε τὰ Ἀφροδίσια ἦν, οὐχὶ δραχμὴν ἔθηκα πρὸς τοῖν ποδοῖν τῆς Ἀφροδίτης σοῦ ἕνεκεν ἀργυρᾶν; καὶ πάλιν τῇ μητρὶ εἰς ὑποδήματα δύο δραχμὰς καὶ Λυδῇ ταύτῃ πολλάκις εἰς τὴν χεῖρα νῦν μὲν δύο, νῦν δὲ τέτταρας ὀβολούς. Ταῦτα πάντα συντεθέντα οὐσία ναύτου ἀνδρὸς ἦν.

ΜΥΡΤ. Τὰ κρόμμυα καὶ οἱ σαπέρδαι, ὦ Δωρίων;

ΔΩΡ. Ναί· οὐ γὰρ εἶχον πλείω κομίζειν· οὐ γὰρ ἂν ἤρεττον, εἴ γε πλουτῶν ἐτύγχανον. Τῇ μητρὶ δὲ οὐδὲ κεφαλίδα μίαν σκορόδου ἐκόμισα πώποτε. Ἥδέως δ' ἂν ἔμαθον ἅτινά σοι παρὰ τοῦ Βιθυνοῦ τὰ δῶρα.

ΜΥΡΤ. Τουτὶ πρῶτον ὁρᾷς τὸ χιτώνιον; ἐκεῖνος ἐπρίατο, καὶ τὸν ὅρμον τὸν παχύτερον.

ΔΩΡ. Ἐκεῖνος; ἤδειν γάρ σε πάλαι ἔχουσαν.

ΜΥΡΤ. Ἀλλ' ὃν ἤδεις, πολὺ λεπτότερος ἦν καὶ σμαράγδους οὐκ εἶχε. Καὶ ἐλλόβια ταυτὶ καὶ δάπιδα, καὶ πρώην δύο μνᾶς, καὶ τὸ ἐνοίκιον κατέβαλεν ὑπὲρ ἡμῶν, οὐ σάνδαλα Παταρικὰ καὶ τυρὸν Γυθιακὸν καὶ φληνάφους.

4. ΔΩΡ. Ἀλλὰ ἐκεῖνο οὐ λέγεις, οἷῳ ὄντι συγκαθεύδεις αὐτῷ; ἔτη μὲν ὑπὲρ τὰ πεντήκοντα πάντως, ἀναφαλαντίας καὶ τὴν χροιὰν οἷος κάραβος. Οὐδὲ τοὺς ὀδόντας αὐτοῦ ὁρᾷς; αἱ μὲν γὰρ χάριτες, ὦ Διοσκόρω, πολλαί, καὶ μάλιστα ὁπόταν ᾄδῃ καὶ ἄβρὸς εἶναι θέλῃ, ὄνος αὐτολυρίζων, φασίν. Ἀλλὰ ὄναιο αὐτοῦ ἀξία γε οὖσα καὶ γένοιτο ὑμῖν παιδίον ὅμοιον τῷ πατρί, ἐγὼ δὲ καὶ αὐτὸς εὑρήσω Δελφίδα ἢ Κυμβάλιόν τινα τῶν κατ' ἐμὲ ἢ τὴν γείτονα ὑμῶν τὴν αὐλητρίδα ἢ πάντως τινά. Δάπιδας δὲ καὶ ὅρμους καὶ δμωναῖα μισθώματα οὐ πάντες ἔχομεν.

ΜΥΡΤ. Ὦ μακαρία ἐκείνη, ἥτις ἐραστήν σε, ὦ Δωρίων, ἕξει· κρόμμυα γὰρ αὐτῇ οἴσεις ἐκ Κύπρου καὶ τυρὸν, ὅταν ἐκ Γυθίου καταπλεύσῃς.

DOR. Abstulit illud agnitum Epiurus nuper in Samo, post multam, o dii, rixam. Cepas autem ex Cypro et saperdas quinque, et percas quattuor, quum ex Bosporo appelleremus, tibi attuli. Quid ergo? et panes octo nauticos, in reticulo siccos, et ficuum orcam e Caria, et nuper e Pataris inaurata sandalia, ingrata mulier. Casei tandem recordor magni illius e Gythio.

MYRT. Quinque forte drachmarum ista, Dorio, omnia.

3. DOR. Quantum nempe, Myrtale, homo nauta potui, mercede conductus navigans. Nunc enim demum lateri remigum dextro præfectus sum: et tu nos contemnis? nuper vero Aphrodisiis, nonne drachmam posui tua causa ad pedes Veneris argenteam? et iterum matri tuæ ad calceos drachmas duas; et huic Lydæ sæpe in manum nunc duo, nunc autem quattuor obolos. Hæc omnia in summam collecta substantia hominis nautæ erat.

MYRT. Cepæ et saperdæ, Dorio?

DOR. Omnino: neque enim plura quæ afferrem habui: nempe nec navigarem, si dives essem. Matri vero meæ neque caput allii unquam attuli. Lubenter autem sciverim quænam tibi a Bithyno munera venerint.

MYRT. Hanc primum vides tunicam? ille emit, et monile hoc crassius.

DOR. Ille? quin olim id te habuisse novi.

MYRT. Quin quod tu vidisti, multo erat tenuius, et smaragdos non habebat. Tum emit inaures hasce, et tapetem; et nuper minas duas, et domus mercedem solvit pro nobis; non sandalia de Pataris, et caseum Gythiacum, et nugas.

4. DOR. Sed illud non dicis, quali cum homine cubes? annos supra quinquaginta omnino natus est, recalvaster, et colore instar scarabei. Neque dentes illius vides? Nam gratiæ, boni Dioscuri! illius multæ, præsertim quum canit et bellus esse vult, asinus ad lyram, aiunt. Sed fruaris illo; digna quidem es: et nascatur vobis puer patri similis. Ego vero ipse quoque inveniam Delphidem aut Cymbalium, quandam mei ordinis mulierculam, aut vicinam vestram tibicinam, aut aliquam omnino. Tapetes vero, et monilia, et binarum minarum mercedes, non omnes habemus.

MYRT. Beatam illam, quæ amatorem te habebit, Dorio! cepas enim illi afferes ex Cypro, et caseum, quando redibis e Gythio.

15.

ΚΟΧΛΙΣ ΚΑΙ ΠΑΡΘΕΝΙΣ.

1. ΚΟΧΛ. Τί δακρύεις, ὦ Παρθενί, ἢ πόθεν κατεαγότας τοὺς αὐλοὺς φέρεις;

ΠΑΡΘ. Ὁ στρατιώτης ὁ Αἰτωλὸς ὁ μέγας ὁ Κρο-

15.

COCHLIS ET PARTHENIS.

1. COCHL. Quid ploras, Parthenis, aut unde fractas fers tibias?

PARTH. Miles Ætolus, ille magnus amator Crocalæ,

κάλης ἐρῶν ἐρράπισέ με αὐλοῦσαν εὑρὼν παρὰ τῇ Κροκάλῃ ὑπὸ τοῦ ἀντεραστοῦ αὐτοῦ Γόργου μεμισθωμένην καὶ τούς τε αὐλούς μου συνέτριψε καὶ τὴν τράπεζαν μεταξὺ δειπνούντων ἀνέτρεψε καὶ τὸν κρατῆρα ἐξέχεεν ἐπεισπαίσας· καὶ τὸν μὲν ἀγροῖκον ἐκεῖνον τὸν Γόργον ἀπὸ τοῦ συμποσίου κατασπάσας τῶν τριχῶν ἔπαιον περιστάντες αὐτός τε ὁ στρατιώτης — Δεινόμαχος, οἶμαι, καλεῖται — καὶ ὁ συστρατιώτης αὐτοῦ· ὥστε οὐκ οἶδα εἰ βιώσεται ὁ ἄνθρωπος, ὦ Κοχλί· αἱμά τε γὰρ ἐρρύη πολὺ ἀπὸ τῶν ῥινῶν καὶ τὸ πρόσωπον ὅλον ἐξῳδηκεν αὐτοῦ καὶ πελιδνόν ἐστιν.

2. ΚΟΧΛ. Ἐμάνη ὁ ἄνθρωπος ἢ μέθη τις ἦν καὶ παροινία τὸ πρᾶγμα;

ΠΑΡΘ. Ζηλοτυπία τις, ὦ Κοχλί, καὶ ἔρως ἔκτοπος· ἡ Κροκάλη δέ, οἶμαι, δύο τάλαντα αἰτήσασα, εἰ βούλεται μόνος ἔχειν αὐτήν, ἐπεὶ μὴ ἐδίδου ὁ Δεινόμαχος, ἐκεῖνον μὲν ἀπέκλεισεν ἥκοντα προσαράξασά γε αὐτῷ τὰς θύρας, ὡς ἔλέγετο, τὸν Γόργον δὲ Οἰνοέα τινὰ γεωργὸν εὔπορον ἐκ πολλοῦ ἐρῶντα καὶ χρηστὸν ἄνθρωπον προσιεμένη ἔπινε μετ' αὐτοῦ κἀμὲ παρέλαβεν αὐλήσουσαν παρ' αὐτοῖς. Ἤδη δὲ προχωροῦντος τοῦ πότου ἐγὼ μὲν ὑπέκρεκόν τι τῶν Λυδίων, ὁ γεωργὸς δὲ ἤδη ἀνίστατο ὀρχησόμενος, ἡ Κροκάλη δὲ ἐκρότει, καὶ πάντα ἦν ἡδέα· ἐν τοσούτῳ δὲ κτύπος ἠκούετο καὶ βοὴ καὶ ἡ αὔλειος ἠράσσετο, καὶ μετὰ μικρὸν ἐπεισέπαισαν ὅσον ὀκτὼ νεανίσκοι μάλα καρτεροὶ καὶ ὁ Μεγαρεὺς ἐν αὐτοῖς. Εὐθὺς οὖν ἀνετέτραπτο πάντα καὶ ὁ Γόργος, ὥσπερ ἔφην, ἐπαίετο καὶ ἐπατεῖτο χαμαὶ κείμενος· ἡ Κροκάλη δὲ οὐκ οἶδ' ὅπως ἔφθη ὑπεκφυγοῦσα παρὰ τὴν γείτονα Θεσπιάδα· ἐμὲ δὲ ῥαπίσας ὁ Δεινόμαχος, Ἐκφθείρου, φησί, κατεαγότας μοι τοὺς αὐλοὺς προσρίψας. Καὶ νῦν ἀποτρέχω φράσουσα ταῦτα τῷ δεσπότῃ· ἀπέρχεται δὲ καὶ ὁ γεωργὸς ὀψόμενός τινας φίλους τῶν ἀστικῶν, οἳ παραδώσουσι τοῖς πρυτανεῦσι τὸν Μεγαρέα.

3. ΚΟΧΛ. Ταῦτ' ἐστὶν ἀπολαῦσαι τῶν στρατιωτικῶν τούτων ἐρώτων, πληγὰς καὶ δίκας· τὰ δὲ ἄλλα ἡγεμόνες εἶναι καὶ χιλίαρχοι λέγοντες, ἢν τι δοῦναι δέῃ, Περίμεινον, φασί, τὴν σύνταξιν, ὁπόταν ἀπολάβω τὴν μισθοφορὰν, καὶ ποιήσω πάντα. Ἐπιτριβεῖεν ὁ' οὖν ἀλαζόνες ὄντες· ἔγωγ' οὖν εὖ ποιῶ μὴ προσιεμένη αὐτοὺς τὸ παράπαν. Ἁλιεύς τις ἐμοὶ γένοιτο ἢ ναύτης ἢ γεωργὸς ἰσότιμος κολακεύειν εἰδὼς μικρὰ καὶ κομίζων πολλὰ, οἱ δὲ τοὺς λόφους ἐπισείοντες οὗτοι καὶ μάχας διηγούμενοι, ψόφοι, ὦ Παρθενί.

pulsavit me, quum deprehendisset tibiis canentem apud Crocalen, conductam a rivali ipsius Gorgo, et tibias mihi confregit, et mensam inter cœnandum evertit, et craterem irruens effudit. Et rusticum illum Gorgum de convivio detractum crinibus, pulsarunt circumstantes tum ipse miles (Dinomachus, puto, vocatur), tum illius commilito : ut nesciam viverene homo possit, mea Cochlis; nam copiosus de naribus profluxit sanguis, et facies illius tota intumuerat et livida est.

2. COCHL. Furuitne homo, an ebrietas erat et vinolenta insania?

PARTH. Zelotypia quædam, Cochlis, et amor immoderatus. Crocale autem duo, puto, talenta quum postulasset, si solus habere ipsam vellet, non dante Dinomacho, illum exclusit venientem, impacta, uti dicebatur, illi janua; Gorgum vero, Œnoensem quendam rusticum divitem, suum olim amatorem, et bonum hominem, admisit quicum biberet, me quoque ad canendum ipsis adhibita. Jam vero processerat compotatio; ego Lydium quoddam sonabam; saltandi causa jam surgere parabat, plaudente Crocale, rusticus; læta erant omnia : quum ibi subito exauditur tumultus et clamor, et aulæ porta effringitur. Et paullo post irruerunt octo juvenes valde robusti, et inter illos iste Megarensis. Statim ergo everti omnia, Gorgus ipse, uti dicebam, pulsari, et humi jacens conculcari. Crocale ipsa, nescio quomodo, fuga se ad vicinam Thespiadem subduxerat : me vero colaphis cæsam Dinomachus jubet in malam rem abire, et cum dicto impingit mihi fractas tibias : et nunc aufugio nunciatura hæc meo hero. Abit vero etiam rusticus, urbanos quosdam amicos visurus, qui tradant Megarensem illum magistratibus.

3. COCHL. Hi sunt fructus amorum istorum militarium, plagæ et lites : ceterum duces se ac tribunos quum dicant, si quid dandum sit, Exspecta, aiunt, collectionem tributi militaris quando stipendium percipiam, et faciam omnia. Male pereant igitur superbi impostores isti! Recte sane ego eos omnino non admitto. Piscator mihi aliquis obtingat, aut nauta, aut rusticus, æquus homo, parum adulandi gnarus, et multum afferens : at isti qui cristas suas quatiunt et enarrant pugnas, inanis sunt, Parthenis mea, strepitus.

LXVIII.

ΠΕΡΙ ΤΗΣ ΠΕΡΕΓΡΙΝΟΥ ΤΕΛΕΥΤΗΣ.

1. ΛΟΥΚΙΑΝΟΣ ΚΡΟΝΙΩ ΕΥ ΠΡΑΤΤΕΙΝ. Ὁ κακοδαίμων Περεγρῖνος ἢ ὡς αὐτὸς ἔχαιρεν ὀνομάζων ἑαυτὸν Πρωτεὺς αὐτὸ δὴ ἐκεῖνο τὸ τοῦ Ὁμηρικοῦ Πρωτέως ἔπαθεν· ἅπαντα γὰρ δόξης ἕνεκα γενόμενος καὶ μυρίας τροπὰς τραπόμενος τὰ τελευταῖα ταῦτα καὶ πῦρ ἐγένετο· τοσούτῳ ἄρα τῷ ἔρωτι τῆς δόξης εἶχετο. Καὶ νῦν ἐκεῖνος ἀπηνθράκωταί σοι ὁ βέλτιστος κατὰ τὸν Ἐμπεδοκλέα, παρ' ὅσον ὁ μὲν κἂν διαλαθεῖν ἐπειράθη ἐμβαλὼν ἑαυτὸν εἰς τοὺς κρατῆρας, ὁ δὲ γεννάδας οὗτος τὴν πολυανθρωποτάτην τῶν Ἑλληνικῶν πανηγύρεων τηρήσας πυρὰν ὅτι μεγίστην νήσας ἐνεπήδησεν ἐπὶ τοσούτων μαρτύρων καὶ λόγους τινὰς ὑπὲρ τούτου εἰπὼν πρὸς τοὺς Ἕλληνας οὐ πρὸ πολλῶν ἡμερῶν τοῦ τολμήματος.

2. Πολλά τοίνυν δοκῶ μοι δρᾶν σε γελῶντα ἐπὶ τῇ κορύζῃ τοῦ γέροντος, μᾶλλον δὲ καὶ ἀκούω βοῶντος οἷά σε εἰκὸς βοᾶν, ὦ τῆς ἀβελτερίας, ὦ τῆς δοξοκοπίας, ὦ τῶν ἄλλων ἃ λέγειν εἰώθαμεν περὶ αὐτῶν. Σὺ μὲν οὖν πόρρω ταῦτα καὶ μακρῷ ἀσφαλέστερον, ἐγὼ δὲ παρὰ τὸ πῦρ αὐτό, καὶ ἔτι πρότερον ἐν πολλῷ πλήθει τῶν ἀκροατῶν εἶπον αὐτά, ἐνίων μὲν ἀχθομένων, ὅσοι ἐθαύμαζον τὴν ἀπόνοιαν τοῦ γέροντος· ἦσαν δέ τινες οἳ καὶ αὐτοὶ ἐγέλων ἐπ' αὐτῷ. Ἀλλ' ὀλίγου δεῖν ὑπὸ τῶν Κυνικῶν ἐγώ σοι διεσπάσθην ὥσπερ ὁ Ἀκταίων ὑπὸ τῶν κυνῶν ἢ ὁ ἀνεψιὸς αὐτοῦ ὁ Πενθεὺς ὑπὸ τῶν Μαινάδων.

3. Ἡ δὲ πᾶσα τοῦ δράματος διασκευὴ τοιάδε ἦν· τὸν μὲν ποιητὴν οἶσθα οἷός τε ἦν καὶ ἡλίκα ἐτραγῴδει παρ' ὅλον τὸν βίον ὑπὲρ τὸν Σοφοκλέα καὶ τὸν Αἰσχύλον. Ἐγὼ δ' ἐπεὶ τάχιστα εἰς τὴν Ἦλιν ἀφικόμην διὰ τοῦ γυμνασίου ἀλύων, ἐπήκουον ἅμα Κυνικοῦ τινος μεγάλῃ καὶ τραχείᾳ τῇ φωνῇ τὰ συνήθη ταῦτα καὶ ἐκ τριόδου τὴν ἀρετὴν ἐπιβοωμένου καὶ ἅπασιν ἁπαξαπλῶς λοιδορουμένου, εἶτα κατέληξεν αὐτῷ ἡ βοὴ ἐς τὸν Πρωτέα· καὶ ὡς ἂν οἷός τε ὦ, πειράσομαί σοι αὐτὰ ἐκεῖνα ἀπομνημονεῦσαι ὡς ἐλέγετο. Σὺ δὲ γνωριεῖς ὀηλαδὴ πολλάκις αὐτοῖς παραστὰς βοῶσι.

4. Πρωτέα γάρ τις, ἔφη, κενόδοξον τολμᾷ λέγειν, ὦ γῆ καὶ ἥλιε καὶ ποταμοὶ καὶ θάλαττα καὶ πατρῷε Ἡράκλεις, Πρωτέα τὸν ἐν Συρίᾳ δεθέντα, τὸν τῇ πατρίδι ἀνέντα πεντακισχίλια τάλαντα, τὸν ἀπὸ τῆς Ῥωμαίων πόλεως ἐκβληθέντα, τὸν τοῦ Ἡλίου ἐπισημότερον, τὸν ἀνταγωνίσασθαι καὶ αὐτῷ τῷ Ὀλυμπίῳ δυνάμενον; Ἀλλ' ὅτι διὰ πυρὸς ἐξάγειν τοῦ βίου διέγνωκεν ἑαυτὸν, εἰς κενοδοξίαν τινὲς τοῦτο ἀναφέρουσιν. Οὐ γὰρ Ἡρακλῆς οὕτως; οὐ γὰρ Ἀσκληπιὸς καὶ Διόνυσος κεραυνῷ; οὐ γὰρ τὰ τελευταῖα Ἐμπεδοκλῆς εἰς τοὺς κρατῆρας;

5. Ὡς δὲ ταῦτα εἶπεν ὁ Θεαγένης — τοῦτο γὰρ ὁ κεκραγὼς ἐκεῖνος ἐκαλεῖτο — ἠρόμην τινὰ τῶν παρε-

LXVIII.

DE MORTE PEREGRINI.

1. LUCIANUS CRONIO SALUTEM. Infelix ille Peregrinus, aut ut ipse nominare se gaudebat, Proteus, ipsum illud Homerici Protei factum subiit : gloriæ enim causa quum fuisset omnia, et in mille se formas vertisset, denique etiam in ignem abiit : tanto nempe gloriæ amore tenebatur. Jamque in carbones tibi vir optimus versus est Empedoclis exemplo, nisi quod ille effugere hominum oculos tentavit, quum in crateras ipse se injiceret; at hic generosus homo, observata celebritatum Græcarum frequentissima, rogo exstructo quam maximo, tot testibus insiliit, quum verba de consilio suo non multis ante ipsum facinus diebus ad Græcos fecisset.

2. Quare te videre mihi videor multum ridentem obesas illius senis nares; vel potius audio clamantem, quæ probabile est te exclamaturum, vah ineptias! vah ærumnosam gloriæ cupiditatem! vah reliqua quæ dicere de talibus solemus. Ac tu quidem e longinquo ista et multo securius : at ego apud ipsum ignem, et prius adhuc in magna audientium multitudine ista dixi, graviter ferentibus quibusdam, quotquot amentiam senis admirarentur. Erant autem qui et ipsi illum riderent. Sed parum abfuit quin discerptus tibi fuissem a Cynicis, ut a canibus Actæon, aut ipsius Pentheus consobrinus a Mænadibus.

3. Totus autem actionis apparatus hic fuit. Ipsum auctorem fabulæ nosti qualis fuerit, quasque tota vita dederit tragœdias, supra Sophoclem et Æschylum. Ego vero quum primum veni in Elidem, per gymnasium oberrans, simul auscultavi Cynicum quendam magna atque aspera voce consueta illa et e trivio petita de virtute inclamantem, maleque dicentem simpliciter omnibus : tum exibat illi clamor in Proteum : et quantum potero, studebo ipsa tibi illa, uti prolata sunt, referre. Tu vero agnosces nimirum, qui sæpe clamantibus illis astiteris.

4. « Proteum ergo, inquit, vanæ cupidum gloriæ dicere quisquam audet? o terra, et sol, et flumina, et mare, et familiaris Hercules! Proteum illum vinctum in Syria, illum condonantem patriæ suæ quinquies mille talenta? illum Romanorum urbe ejectum, Sole illum insigniorem, illum qui cum ipso certare possit Olympio? Sed quod per ignem educere se de vita decrevit, ad vanam gloriam nonnulli hoc referunt. Nonne enim sic Hercules? non enim Æsculapius ac Bacchus fulmine? non enim ultima ætate in crateras Empedocles? »

5. Quum vero dixisset ista Theagenes (hoc enim clamoso illi nomen erat), interrogavi astantium aliquem, quid vellet

στώτων, τί βούλεται τὸ περὶ τοῦ πυρὸς ἢ τί Ἡρακλῆς καὶ Ἐμπεδοκλῆς πρὸς τὸν Πρωτέα. Ὁ δὲ, Οὐκ εἰς μακρὰν, ἔφη, καύσει ἑαυτὸν ὁ Πρωτεὺς Ὀλυμπίασι. Πῶς, ἔφην, ἢ τίνος ἕνεκα; Εἶτα ὁ μὲν ἐπειρᾶτο λέγειν, ἐβόα δὲ ὁ Κυνικὸς, ὥστε ἀμήχανον ἦν ἄλλου ἀκούειν. Ἐπήκουον οὖν τὰ λοιπὰ ἐπαντλοῦντος αὐτοῦ καὶ θαυμαστάς τινας ὑπερβολὰς διεξιόντος κατὰ τοῦ Πρωτέως· τὸν μὲν γὰρ Σινωπέα ἢ τὸν διδάσκαλον αὐτοῦ Ἀντισθένη οὐδὲ παραβάλλειν ἠξίου αὐτῷ, ἀλλ' οὐδὲ τὸν Σωκράτη αὐτὸν, ἐκάλει δὲ τὸν Δία ἐπὶ τὴν ἁμιλλαν. Εἶτα μέντοι ἔδοξεν αὐτῷ ἴσους πως φυλάξαι αὐτοὺς καὶ οὕτω κατέπαυσε τὸν λόγον·

6. Δύο γὰρ ταῦτα, ἔφη, ὁ βίος ἄριστα δημιουργήματα ἐθεάσατο, τὸν Δία τὸν Ὀλύμπιον καὶ Πρωτέα, πλάσται δὲ καὶ τεχνῖται τοῦ μὲν Φειδίας, τοῦ δὲ ἡ φύσις. Ἀλλὰ νῦν ἐξ ἀνθρώπων εἰς θεοὺς τὸ ἄγαλμα τοῦτο οἰχήσεται ὀχούμενον ἐπὶ τοῦ πυρὸς ὀρφανοὺς ἡμᾶς καταλιπόν. Ταῦτα ξὺν πολλῷ ἱδρῶτι διεξελθὼν ἐδάκρυε μάλα γελοίως καὶ τὰς τρίχας ἐτίλλετο ὑποφειδόμενος μὴ πάνυ ἕλκειν, καὶ τέλος ἀπῆγον αὐτὸν λύζοντα μεταξὺ τῶν Κυνικῶν τινες παραμυθούμενοι.

7. Μετὰ δὲ τοῦτον ἄλλος εὐθὺς ἀναβαίνει οὐ περιμείνας διαλυθῆναι τὸ πλῆθος, ἀλλὰ ἐπ' αἰθομένοις τοῖς προτέροις ἱερείοις ἐπέχει τῶν σπονδῶν· καὶ τὸ μὲν πρῶτον ἐπὶ πολὺ ἐγέλα καὶ δῆλος ἦν νεισθεν αὐτὸ ὁρῶν, εἶτα ἤρξατο ὧδέ πως· Ἐπεὶ ὁ κατάρατος Θεαγένης τέλος τῶν μιαρωτάτων αὐτοῦ λόγων τὰ Ἡρακλείτου δάκρυα ἐποιήσατο, ἐγὼ κατὰ τὸ ἐναντίον ἀπὸ τοῦ Δημοκρίτου γέλωτος ἄρξομαι. Καὶ αὖθις ἐγέλα ἐπὶ πολὺ, ὥστε καὶ ἡμῶν τοὺς πολλοὺς ἐπὶ τὸ ὅμοιον ἐπεσπάσατο.

8. Εἶτα ἐπιστρέψας ἑαυτὸν, Ἢ τί γὰρ ἄλλο, ἔφη, ὦ ἄνδρες, χρὴ ποιεῖν ἀκούοντα μὲν οὕτω γελοίων ῥήσεων, ὁρῶντα δὲ ἄνδρας γέροντας δοξαρίου καταπτύστου ἕνεκα μονονουχὶ κυβιστῶντας ἐν τῷ μέσῳ; Ὡς δὲ εἰδῆτε οἷόν τι τὸ ἄγαλμά ἐστι τὸ καυθησόμενον, ἀκούσατέ μου ἐξ ἀρχῆς παραφυλάξαντος τὴν γνώμην αὐτοῦ καὶ τὸν βίον ἐπιτηρήσαντος· ἕνια δὲ παρὰ τῶν πολιτῶν αὐτοῦ ἐπυνθανόμην καὶ οἷς ἀνάγκη ἦν ἀκριβῶς εἰδέναι αὐτόν.

9. Τὸ γὰρ τῆς φύσεως τοῦτο πλάσμα καὶ δημιούργημα, ὁ τοῦ Πολυκλείτου κανὼν, ἐπεὶ εἰς ἄνδρας τελεῖν ἤρξατο, ἐν Ἀρμενίᾳ μοιχεύων ἄλοὺς μάλα πολλὰς πληγὰς ἔλαβε καὶ τέλος κατὰ τοῦ τέγους ἁλόμενος διέφυγε ῥαφανίδι τὴν πυγὴν βεβυσμένος· εἶτα μειράκιόν τι ὡραῖον διαφθείρας τρισχιλίων ἐξωνήσατο παρὰ τῶν γονέων τοῦ παιδὸς πενήτων ὄντων μὴ ἐπὶ τὸν ἁρμοστὴν ἀπαχθῆναι τῆς Ἀσίας.

10. Ταῦτα καὶ τὰ τοιαῦτα ἐάσειν μοι δοκῶ· πηλὸς γὰρ ἔτι ἄπλαστος ἦν καὶ οὐδέπω ἐντελὲς ἄγαλμα ἡμῖν ἐδεδημιούργητο. Ἃ δὲ τὸν πατέρα ἔδρασε καὶ πάνυ ἀκοῦσαι ἄξιον· καίτοι πάντες ἴστε καὶ ἀκηκόατε ὡς ἀπέπνιξε τὸν γέροντα οὐκ ἀνασχόμενος αὐτὸν ὑπὲρ ἑξήκοντα ἔτη ἤδη γηρῶντα. Εἶτα ἐπειδὴ τὸ πρᾶγμα

sibi illud de igne, aut quid ad Proteum Hercules atque Empedocles. Ille, Non ita multo post, inquit, cremabit se ipse Proteus Olympiæ. Quomodo, inquam, aut qua de causa? Tum ille respondere parabat; clamabat autem Cynicus, ut alium exaudire non posses. Audivi igitur profundentem reliqua, et admirabiles quosdam dicendi excessus de Proteo persequentem. Nam Sinopensem illum, aut illius magistrum Antisthenem, ne comparare quidem illi dignabatur, sed nec ipsum Socratem : Jovem potius ad certamen illud provocabat. Deinde tamen visum illi est æquo aliquatenus fastigio utrumque servare, atque ita orationem finiit :

6. « Hæc nempe duo, inquit, opera præstantissima spectavit sæculum, Olympium Jovem et Proteum : fictores autem et artifices alterius Phidias, alterius vero natura. At nunc de hominibus ad deos hoc simulacrum abibit, invectum igni, nobis relictis orphanis. » Ista multo cum sudore ubi pronunciavit, plorabat perridicule, et crines sibi vellebat, aliquantum tamen parcens, ne nimis traheret. Tandem gannientem adhuc Cynicorum quidam velut consolantes abducebant.

7. Post hunc vero alius statim escendit, dilabi multitudinem non passus, sed ardentibus adhuc prioribus extis infundens libamina. Ac primo quidem multum risit, quod ex imis illum præcordiis facere apparebat : tum ita fere exorsus est : « Quandoquidem exsecrabilis iste Theagenes finem impurissimæ orationis suæ Heraclidi fecit lacrimas; ego e contrario a Democriti risu incipiam. » Et denuo risit tantum, ut etiam nostrûm plures ad risus societatem pertraheret.

8. Dein se convertens, « Aut quidnam aliud, inquit, viri, faciendum est, ubi audimus dictiones adeo ridiculas, videmus autem viros senes despuendæ cujusdam gloriolæ causa tantum non saltare in caput in publico? Ut sciatis vero quale simulacrum sit jam comburendum, me audite, qui diligenter observavi illius animum, et vitam exploravi : quædam autem de civibus istius exquirendo cognovi, iisque qui necessitate quadam recte istum nosse debebant.

9. Hoc enim fictum naturæ manibus simulacrum, hic Polycleti canon, quum ad virilem ætatem pervenisset, in Armenia deprehensus in adulterio plagas accepit sane multas ac tandem saltu de tegulis effugit, obturatum raphano podicem auferens. Deinde adolescentulum formosum quum corrupisset, tribus millibus redemit se a parentibus puer pauperculis, ne ad Præsidem Asiæ deduceretur.

10. Hæc et quæ sunt in hoc genere, placet omittere : argilla enim adhuc erat informis, nondum inde perfectum nobis simulacrum effictum fuerat. Quæ autem patri fecerit, audire omnino operæ pretium est : quanquam nostis omnes et audiistis ut senem suffocaverit, non passus illum ultra sexaginta annos jam senescere. Deinde quum pervulgatum

δεδεβόητο, φυγὴν ἑαυτοῦ καταδικάσας ἐπλανᾶτο ἄλλην ἄλλοτε ἀμείβων.

11. Ὅτιπερ καὶ τὴν θαυμαστὴν σοφίαν τῶν Χριστιανῶν ἐξέμαθε περὶ τὴν Παλαιστίνην τοῖς ἱερεῦσι καὶ γραμματεῦσιν αὐτῶν ξυγγενόμενος. Καὶ τί γάρ; ἐν βραχεῖ παῖδας αὐτοὺς ἀπέφηνε προφήτης καὶ θιασάρχης καὶ ξυναγωγεὺς καὶ πάντα μόνος αὐτὸς ὤν· καὶ τῶν βίβλων τὰς μὲν ἐξηγεῖτο καὶ διεσάφει, πολλὰς δὲ αὐτὸς καὶ ξυνέγραφε, καὶ ὡς θεὸν αὐτὸν ἐκεῖνοι ἡγοῦντο καὶ νομοθέτῃ ἐχρῶντο καὶ προστάτην ἐπέγραφον· τὸν μέγαν γοῦν ἐκεῖνον ἔτι σέβουσι τὸν ἄνθρωπον τὸν ἐν τῇ Παλαιστίνῃ ἀνασκολοπισθέντα, ὅτι καινὴν ταύτην τελετὴν εἰσήγαγεν ἐς τὸν βίον.

12. Τότε δὴ καὶ συλληφθεὶς ἐπὶ τούτῳ ὁ Πρωτεὺς ἐνέπεσεν εἰς τὸ δεσμωτήριον, ὅπερ καὶ αὐτὸ οὐ μικρὸν αὐτῷ ἀξίωμα περιεποίησε πρὸς τὸν ἑξῆς βίον καὶ τὴν τερατείαν καὶ δοξοκοπίαν, ὧν ἐρῶν ἐτύγχανεν. Ἐπεὶ δ' οὖν ἐδέδετο, οἱ Χριστιανοὶ συμφορὰν ποιούμενοι τὸ πρᾶγμα πάντα ἐκίνουν ἐξαρπάσαι πειρώμενοι αὐτόν. Εἶτ' ἐπεὶ τοῦτο ἦν ἀδύνατον, ἥ γε ἄλλη θεραπεία πᾶσα οὐ παρέργως, ἀλλὰ σὺν σπουδῇ ἐγίγνετο· καὶ ἕωθεν μὲν εὐθὺς ἦν ὁρᾶν παρὰ τῷ δεσμωτηρίῳ περιμένοντα γράδια χήρας τινὰς καὶ παιδία ὀρφανὰ, οἱ δὲ ἐν τέλει αὐτῶν καὶ συνεκάθευδον ἔνδον μετ' αὐτοῦ διαφθείροντες τοὺς δεσμοφύλακας· εἶτα δεῖπνα ποικίλα εἰσεκομίζετο καὶ λόγοι ἱεροὶ αὐτῶν ἐλέγοντο καὶ ὁ βέλτιστος Περεγρῖνος — ἔτι γὰρ τοῦτο ἐκαλεῖτο — καινὸς Σωκράτης ὑπ' αὐτῶν ὠνομάζετο.

13. Καὶ μὴν κἀκ τῶν ἐν Ἀσίᾳ πόλεων ἐστὶν ὧν ἦκόν τινες, τῶν Χριστιανῶν στελλόντων ἀπὸ τοῦ κοινοῦ, βοηθήσοντες καὶ ξυναγορεύσοντες καὶ παραμυθησόμενοι τὸν ἄνδρα. Ἀμήχανον δέ τι τὸ τάχος ἐπιδείκνυνται, ἐπειδάν τι τοιοῦτον γένηται δημόσιον· ἐν βραχεῖ γὰρ, ἀφειδοῦσι πάντων. Καὶ δὴ καὶ τῷ Περεγρίνῳ πολλὰ τότε ἦκε χρήματα παρ' αὐτῶν ἐπὶ προφάσει τῶν δεσμῶν καὶ πρόσοδον οὐ μικρὰν ταύτην ἐποιήσατο· πεπείκασι γὰρ αὐτοὺς οἱ κακοδαίμονες τὸ μὲν ὅλον ἀθάνατοι ἔσεσθαι καὶ βιώσεσθαι τὸν ἅπαντα χρόνον, παρ' ὃ καὶ καταφρονοῦσι τοῦ θανάτου καὶ ἑκόντες αὐτοὺς ἐπιδιδόασιν οἱ πολλοί· ἔπειτα δὲ ὁ νομοθέτης ὁ πρῶτος ἔπεισεν αὐτοὺς ὡς ἀδελφοὶ πάντες εἶεν ἀλλήλων, ἐπειδὰν ἅπαξ παραβάντες θεοὺς μὲν τοὺς Ἑλληνικοὺς ἀπαρνήσωνται, τὸν δὲ ἀνεσκολοπισμένον ἐκεῖνον σοφιστὴν αὐτῶν προσκυνῶσι καὶ κατὰ τοὺς ἐκείνου νόμους βιῶσι. Καταφρονοῦσιν οὖν ἁπάντων ἐξ ἴσης καὶ κοινὰ ἡγοῦνται ἄνευ τινὸς ἀκριβοῦς πίστεως τὰ τοιαῦτα παραδεξάμενοι. Ἦν τοίνυν παρέλθῃ τις εἰς αὐτοὺς γόης καὶ τεχνίτης ἄνθρωπος καὶ πράγμασι χρῆσθαι δυνάμενος, αὐτίκα μάλα πλούσιος ἐν βραχεῖ ἐγένετο ἰδιώταις ἀνθρώποις ἐγχανών.

14. Πλὴν ἀλλ' ὁ Περεγρῖνος ἀφείθη ὑπὸ τοῦ τότε τῆς Συρίας ἄρχοντος, ἀνδρὸς φιλοσοφίᾳ χαίροντος, ὃς συνεὶς τὴν ἀπόνοιαν αὐτοῦ καὶ ὅτι δέξαιτ' ἂν ἀποθανεῖν, ὡς δόξαν ἐπὶ τούτῳ ἀπολίποι, ἀφῆκεν αὐτὸν οὐδὲ τῆς κολάσεως ὑπολαβὼν ἄξιον. Ὁ δὲ εἰς τὴν οἰκείαν ἐπανεσσετ facinus, exilio a se damnatus oberravit aliam alia terra permutans.

11. Quo quidem tempore etiam admirabilem Christianorum sapientiam edidicit, in Palæstina cum sacerdotibus illorum et scribis versatus. Et, quid multa? brevi tempore, ut pueri juxta se viderentur omnes, effecit, propheta ipse, et chori illorum præsul, et synagogæ princeps, et solus omnia. Ac librorum alios interpretabatur ac declarabat, multos autem ipse conscribebat : itaque dei instar ipsum habebant illi, et utebantur legislatore, et suum nominabant antistitem. Nempe magnum illum adhuc venerantur hominem, illum cruci in Palæstina, ob introducta in vitam nova hæc mysteria, affixum.

12. Tum vero deprehensus eo in crimine Proteus in vincula conjectus est : quæ ipsa res non parvam illi dignitatem conciliavit, ad vitam deinceps agendam, et ad præstigiarum gloriæque studium, quæ aniabat. Quum igitur in vinculis esset, communem eam calamitatem rati Christiani, nihil intentatum relinquebant, ut illum eriperent. Deinde ubi hoc fieri non poterat, ministerium omne reliquum non obiter, sed cum magno studio peragebatur. Et mane quidem statim videres præsto esse ad carcerem vetulas viduas quasdam et infantes orphanos : qui vero honoratiores illorum, ii etiam corruptis carceris custodibus intra apud istum pernoctabant. Deinde cœnæ inferebantur variæ, et sacri ex illorum doctrina sermones habebantur, et præclarus ille Peregrinus (hoc enim adhuc tum nomine censebatur) novus ab illis dicebatur Socrates.

13. Quin etiam ex Asiaticis urbibus, Christianorum missu publico, venere quidam, adjuturi virum, et advocati ejus futuri, consolaturique. Incredibilem enim alacritatem ostendunt, si quid tale fiat publice : ut enim breviter dicam, nulli rei parcunt. Itaque etiam Peregrino tum multæ ab illis venere vinculorum causa pecuniæ, eumque reditum habuit sibi non mediocrem. Persuaserunt enim sibi miseri illi, in universum quidem se futuros esse immortales et perpetuo tempore victuros; unde etiam contemnunt mortem vulgo, suaque se sponte occidendos præbent : deinde vero primus illis legislator persuasit, omnes esse invicem fratres, postquam semel transgressi, Græcos deos abnegaverint, adoraverint autem affixum illum cruci suum sophistam, atque ex ipsius legibus vivant. Quare bona cuncta pariter contemnunt, et arbitrantur communia, de idoneo nullo et exacto argumento recepta hac doctrina. Si quis ergo ad illos venit impostor et callidus homo, et uti rebus qui sciat, iliicet brevi statim tempore dives factus homines imperitos albis dentibus deridet.

14. Verum Peregrinus ab eo, qui tum præsidebat Syriæ, dimissus est, viro qui philosophiam amaret, quique intellecta istius amentia, eumque optare mortem, uti famam eo nomine relinqueret, hominem, ne dignum quidem pœna ratus, dimisit. At ille in patriam reversus deprehendit

νελθὼν καταλαμβάνει τὸ περὶ τοῦ πατρώου φόνου ἔτι φλεγμαῖνον καὶ πολλοὺς τοὺς ἐπανατεινομένους τὴν κατηγορίαν. Διήρπαστο δὲ τὰ πλεῖστα τῶν κτημάτων παρὰ τὴν ἀποδημίαν αὐτοῦ καὶ μόνοι ὑπελείποντο οἱ ἀγροὶ ὅσον εἰς πεντεκαίδεκα τάλαντα· ἦν γὰρ ἡ πᾶσα οὐσία τριάκοντά που ταλάντων ἀξία, ἣν ὁ γέρων κατέλιπεν, οὐχ ὥσπερ ὁ παγγέλοιος Θεαγένης ἔλεγε πεντακισχιλίων· τοσούτου γὰρ οὐδὲ ἡ πᾶσα τῶν Παριανῶν πόλις πέντε σὺν αὐτῇ τὰς γειτνιώσας παραλαβοῦσα πραθείη ἂν αὐτοῖς ἀνθρώποις καὶ βοσκήμασι καὶ τῇ λοιπῇ παρασκευῇ.

15. Ἀλλ' ἔτι γε ἡ κατηγορία καὶ τὸ ἔγκλημα θερμὸν ἦν, καὶ ἐῴκει οὐκ εἰς μακρὰν ἐπαναστήσεσθαί τις αὐτῷ, καὶ μάλιστα ὁ δῆμος αὐτὸς ἠγανάκτει χρηστόν, ὡς ἔφασαν οἱ ἰδόντες, γέροντα πενθοῦντες οὕτως ἀσεβῶς ἀπολωλότα. Ὁ δὲ σοφὸς οὗτος Πρωτεὺς πρὸς ἅπαντα ταῦτα σκέψασθε οἷόν τι ἐξεῦρε καὶ ὅπως τὸν κίνδυνον διέφυγε· παρελθὼν γὰρ εἰς τὴν ἐκκλησίαν τῶν Παριανῶν — ἐκόμα δὲ ἤδη καὶ τρίβωνα πιναρὸν ἠμπείχετο καὶ πήραν παρήρτητο καὶ τὸ ξύλον ἐν τῇ χειρὶ ἦν καὶ ὅλως μάλα τραγικῶς ἐσκεύαστο — τοιοῦτος οὖν ἐπιφανεὶς αὐτοῖς ἀφεῖναι ἔφη τὴν οὐσίαν, ἣν ὁ μακαρίτης πατὴρ αὐτῷ κατέλιπε, δημοσίαν εἶναι πᾶσαν. Τοῦτο ὡς ἤκουσεν ὁ ὄχλος πένητες ἄνθρωποι καὶ πρὸς διανομὰς κεχηνότες, ἀνέκραγον εὐθὺς ἕνα φιλόσοφον, ἕνα φιλόπατριν, ἕνα Διογένους καὶ Κράτητος ζηλωτήν. Οἱ δὲ ἐχθροὶ ἐπεφίμωντο, κἂν εἴ τις ἐπιχειρήσειε μεμνῆσθαι τοῦ φόνου, λίθοις εὐθὺς ἐβάλλετο.

16. Ἐξῄει οὖν τὸ δεύτερον πλανησόμενος, ἱκανὰ ἐφόδια τοὺς Χριστιανοὺς ἔχων, ὑφ' ὧν δορυφορούμενος ἐν ἅπασιν ἀφθόνοις ἦν. Καὶ χρόνον μέν τινα οὕτως ἐβόσκετο· εἶτα παρανομήσας τι καὶ ἐς ἐκείνους — ὤφθη γάρ τι, ὡς οἶμαι, ἐσθίων τῶν ἀπορρήτων αὐτοῖς — οὐκέτι προσιεμένων αὐτῶν ἀπορούμενος ἐκ παλινῳδίας ᾤετο δεῖν ἀπαιτεῖν παρὰ τῆς πόλεως τὰ κτήματα, καὶ γραμματεῖον ἐπιδοὺς ἠξίου ταῦτα κομίσασθαι κελεύσαντος βασιλέως. Εἶτα τῆς πόλεως ἀντιπρεσβευσαμένης οὐδὲν ἐπράχθη, ἀλλ' ἐμιμένειν ἐκελεύσθη οἷς ἅπαξ διέγνω μηδενὸς καταναγκάσαντος.

17. Τρίτη ἐπὶ τούτοις ἀποδημία εἰς Αἴγυπτον παρὰ τὸν Ἀγαθόβουλον, ἵναπερ τὴν θαυμαστὴν ἄσκησιν διήσκητο, ξυρόμενος μὲν τῆς κεφαλῆς τὸ ἥμισυ, χριόμενος δὲ πηλῷ τὸ πρόσωπον, ἐν πολλῷ δὲ τῶν περιεστώτων δήμῳ ἀναφλῶν τὸ αἰδοῖον καὶ τὸ ἀδιάφορον δὴ τοῦτο καλούμενον ἐπιδεικνύμενος, εἶτα παίων καὶ παιόμενος νάρθηκι εἰς τὰς πυγὰς καὶ ἄλλα πολλὰ νεανικώτερα θαυματοποιῶν.

18. Ἐκεῖθεν δὲ οὕτω παρεσκευασμένος ἐπὶ Ἰταλίαν ἔπλευσε καὶ ἀποβὰς τῆς νεὼς εὐθὺς ἐλοιδορεῖτο πᾶσι καὶ μάλιστα τῷ βασιλεῖ πρᾳότατον αὐτὸν καὶ ἡμερώτατον εἰδώς, ὥστε ἀσφαλῶς ἐτόλμα· ἐκείνῳ γάρ, ὡς εἰκός, ὀλίγον ἔμελε τῶν βλασφημιῶν καὶ οὐκ ἠξίου φιλοσοφίαν ὑποδυόμενόν τινα κολάζειν ἐπὶ ῥήμασι καὶ μάλιστα τέχνην τὸ λοιδορεῖσθαι πεποιημένον. Τούτῳ

flagrantem adhuc illam de patre interfecto famam, et multos accusationem intentantes. Verum etiam pleraque ipsius opes per illam peregrinationem direptæ fuerant, solis relictis agris quindecim circiter talentorum: tota enim, quam reliquerat senex, substantia triginta forte talentorum fuerit; non quinquies mille, ut ridiculus iste dixit Theagenes: tanti enim nec universa Parianorum urbs, si vicinas sibi quinque alias assumat, forte vendatur, ipsis cum hominibus et pecudibus et apparatu reliquo.

15. Veruntamen accusatio illa et crimen adhuc calebat, videbaturque futurum ut non ita multo post aliquis contra illum consurgeret: et maxime ipse indigne ferebat populus, bonum senem, uti dicebant qui viderant, impie adeo periisse lugentes. At sapiens iste Proteus ad hæc omnia videte quid invenerit, et qua ratione effugerit periculum. Progressus enim in Parianorum concionem: jam autem comam alebat, et pallium induerat sordidum, et suspenderat peram, et in manu fustis erat, et tragicum omnino habitum sumserat: sic ergo in conspectum illorum prodiens, permittere se ait ut universa patris sui felicis memoriæ substantia sit publica. Hoc ut populus audivit, homines pauperes et inhiantes largitionibus, statim exclamant, Unus sapientiæ, unus patriæ amator! unus Diogenis et Cratetis æmulus! Inimicis autem os jam obturatum erat, et si quis cædis injicere mentionem conaretur, lapidibus statim petebatur.

16. Iterum ergo in aliud exilium egressus est, satis luculenti viatici instar habens Christianos, quorum satellitio instructus copiis omnibus abundabat. Atque aliquamdiu ita alebatur: deinde migratis etiam illorum legibus (visus enim, puto, fuerat prohibito illis cibo quodam uti), quum non amplius eum admitterent, ad indigentiam redactus, æquum censebat, retractata donatione, a civitate repetere bona sua; datoque libello, recipere illa imperatoris jussu postulabat. Deinde, missis contra ipsum a civitate legatis, frustra fuit, jussusque in his, quæ nemine cogente constituisset, manere.

17. Post hæc tertia ab illo suscepta in Ægyptum peregrinatio ad Agathobulum, ubi admirabilem illam exercitationem suscepit, ut rasa dimidia capitis parte, oblita luto facie, in multo circumstantium populo, fricando pudendo, illud quod indifferens ab istis vocatur, in se ostenderet; deinde vel pulsaret ipse, vel pulsandas ferula nates aliis præberet, aliaque multa vehementiora etiam spectacula ederet.

18. Hinc autem sic instructus navigavit in Italiam, et egressus navi maledicere statim cœpit omnibus, imperatori maxime, quem mitissimum sciret mansuetissimumque: quo majori confidentia ausus est. Parum enim ille, ut par erat, curabat maledicta, neque dignum se censebat, hominem philosophiæ larvam indutum propter verba punire, eum præsertim, qui sibi artem ipsum illud maledicere fe-

δὲ καὶ ἀπὸ τούτων τὰ τῆς δόξης ηὐξάνετο· παρὰ γοῦν τοῖς ἰδιώταις καὶ περίβλεπτος ἦν ἐπὶ τῇ ἀπονοίᾳ, μέχρι δὴ ὁ τὴν πόλιν ἐπιτετραμμένος ἀνὴρ σοφὸς ἀπέπεμψεν αὐτὸν ἀμέτρως ἐντρυφῶντα τῷ πράγματι, εἰπὼν μὴ δεῖσθαι τὴν πόλιν τοιούτου φιλοσόφου. Πλὴν ἀλλὰ καὶ τοῦτο κλεινὸν αὐτοῦ καὶ διὰ στόματος ἦν ἅπασιν, ὁ φιλόσοφος διὰ τὴν παρρησίαν καὶ τὴν ἄγαν ἐλευθερίαν ἐξελαθείς· καὶ προσήλαυνε κατὰ τοῦτο τῷ Μουσωνίῳ καὶ Δίωνι καὶ Ἐπικτήτῳ καὶ εἴ τις ἄλλος ἐν περιστάσει τοιαύτῃ ἐγένετο.

19. Οὕτω δὴ ἐπὶ τὴν Ἑλλάδα ἐλθὼν ἄρτι μὲν Ἠλείοις ἐλοιδορεῖτο, ἄρτι δὲ τοὺς Ἕλληνας ἔπειθεν ἀντάρασθαι ὅπλα Ῥωμαίοις, ἄρτι δὲ ἄνδρα παιδεία καὶ ἀξιώματι προὔχοντα, διότι καὶ ἐν τοῖς ἄλλοις εὖ ἐποίησε τὴν Ἑλλάδα καὶ ὕδωρ ἐπήγαγε τῇ Ὀλυμπίᾳ καὶ ἔπαυσε δίψει ἀπολλυμένους τοὺς πανηγυριστάς, κακῶς ἠγόρευεν ὡς καταθηλύναντα τοὺς Ἕλληνας, δέον τοὺς θεατὰς τῶν Ὀλυμπίων διακαρτερεῖν διψῶντας καὶ νὴ Δία γε καὶ ἀποθνήσκειν πολλοὺς αὐτῶν ὑπὸ σφοδρῶν τῶν νόσων, αἳ τέως διὰ τὸ ξηρὸν τοῦ χωρίου ἐν πολλῷ τῷ πλήθει ἐπεπόλαζον· καὶ ταῦτα ἔλεγε πίνων τοῦ αὐτοῦ ὕδατος. Ὡς δὲ μικροῦ κατέλευσαν αὐτὸν ἐπιδραμόντες ἅπαντες, τότε μὲν ἐπὶ τὸν Δία καταφυγὼν ὁ γενναῖος εὗρε τὸ μὴ ἀποθανεῖν.

20. Ἐς δὲ τὴν ἑξῆς Ὀλυμπιάδα λόγον τινὰ διὰ τεττάρων ἐτῶν συνθεὶς τῶν διὰ μέσου ἐξήνεγκε πρὸς τοὺς Ἕλληνας ἔπαινον ὑπὲρ τοῦ τὸ ὕδωρ ἐπαγαγόντος καὶ ἀπολογίαν ὑπὲρ τῆς τότε φυγῆς. Ἤδη δὲ ἀμελούμενος ὑφ' ἁπάντων καὶ μηκέθ' ὁμοίως περίβλεπτος ὤν — ἐωλα γὰρ ἦν ἅπαντα καὶ οὐδὲν ἔτι καινουργεῖν ἐδύνατο, ἐφ' ὅτῳ ἐκπλήξει τοὺς ἐντυγχάνοντας καὶ θαυμάζειν καὶ πρὸς αὐτὸν ἀποβλέπειν ποιήσει, οἷπερ ἐξ ἀρχῆς δριμύν τινα ἔρωτα ἐρῶν ἐτύγχανε — τὸ τελευταῖον τοῦτο τόλμημα ἐβουλεύσατο περὶ τῆς πυρᾶς, καὶ διέδωκε λόγον ἐς τοὺς Ἕλληνας εὐθὺς ἀπ' Ὀλυμπίων τῶν ἔμπροσθεν ὡς ἐς τοὐπιὸν καύσων ἑαυτόν.

21. Καὶ νῦν αὐτὰ ταῦτα θαυματοποιεῖ, ὥς φασι, βόθρον ὀρύττων καὶ ξύλα συγκομίζων καὶ δεινήν τινα τὴν καρτερίαν ὑπισχνούμενος. Ἐχρῆν δέ, οἶμαι, μάλιστα μὲν περιμένειν τὸν θάνατον καὶ μὴ δραπετεύειν ἐκ τοῦ βίου· εἰ δὲ καὶ πάντως διέγνωστό οἱ ἀπαλλάττεσθαι, μὴ πυρὶ μηδὲ τοῖς ἀπὸ τῆς τραγῳδίας τούτοις χρῆσθαι, ἀλλ' ἕτερόν τινα θανάτου τρόπον, μυρίων ὄντων, ἑλόμενον ἀπελθεῖν. Εἰ δὲ καὶ τὸ πῦρ ὡς Ἡράκλειόν τι ἀσπάζεται, τί δή ποτε οὐχὶ κατὰ σιγὴν ἑλόμενος ὄρος εὔδενδρον ἐν ἐκείνῳ ἑαυτὸν ἐνέπρησε μόνος ἕνα τινὰ οἷον Θεαγένη τοῦτον Φιλοκτήτην παραλαβών; ὁ δὲ ἐν Ὀλυμπίᾳ τῆς πανηγύρεως πλησθούσης μόνον οὐκ ἐπὶ σκηνῆς ὀπτήσει ἑαυτὸν, οὐκ ἄξιος ὢν μὰ τὸν Ἡρακλέα, εἴ γε χρὴ καὶ τοὺς πατραλοίας καὶ τοὺς ἀθέους δίκας διδόναι τῶν τολμημάτων· καὶ κατὰ τοῦτο πάνυ ὀψὲ δρᾶν αὐτὸ ἔοικεν, ὃν ἐχρῆν πάλαι ἐς τὸν τοῦ Φαλάριδος ταῦρον ἐμπεσόντα τὴν ἀξίαν ἀποτετικέναι, ἀλλὰ μὴ ἅπαξ γανόντα πρὸς τὴν cisset. Isti vero etiam inde fama crevit. Apud imperitos enim propter ipsam hanc amentiam erat conspicuus, donec præfectus urbis, vir sapiens, petulanter nimis huic rei indulgentem ejecit, præfatus non indigere urbem tali philosopho. Verum enim hoc quoque celebriorem reddidit ipsum et in ore erat omnium philosophus propter dicendi liduciam et nimiam libertatem urbe exactus : idque ipsum admovit hominem ad Musonium, et Dionem, et Epictetum, et si quis alius simili conditione fuit.

19. Ita igitur in Græciam quum venisset, jam Eleis maledicebat; jam suadebat Græcis uti arma contra Romanos caperent, jam virum doctrina pariter et dignitate eminentem, quod præter cetera hoc beneficium Græciæ præstiterat, ut aquam perduceret Olympiam, et prohiberet ne porro siti perirent spectatores, maledictis incessebat, velut qui effeminaret Græcos; quum deceret sitim ferre spectatores Olympiorum, quin, ita me Jupiter, perire multos illorum a morbis vehementibus, qui tum propter regionis siccitatem in magna multitudine frequentes erant. Et hæc dicebat bibens ipse de eadem aqua. Quum vero parum abesset quin lapidibus illum, concursu omnium facto, obruerent, tum ad Jovem confugiens vir fortis, mortem evitavit.

20. Olympiade proxima orationem quattuor interjectis annis a se compositam ad Græcos attulit, laudem ejus qui aquam perduxit, et fugæ superioris excusationem. Sed quum jam negligeretur ab omnibus, neque amplius ita conspicuus esset (obsoleta quippe erant omnia, nec novum quicquam poterat proferre, quo percelleret audientes atque admirandum se conspiciendumque redderet, cujus rei ab initio inde vehementer cupidus fuerat), ultimum hoc de rogo facinus meditari cœpit : sparsitque famam inter Græcos a superioribus statim Olympiis, proximis se ludis crematurum se ipsum.

21. Et nunc hæc ipsa portenta agitat, fodienda, ut aiunt, fossa, comportandis lignis, et mirifica quadam fortitudine pollicenda. Oportebat autem, arbitror, primum quidem exspectare mortem, neque aufugere de vita : sin vero omnino mori illi decretum sit, non igne uti, neque tragico illo apparatu, sed alio mortis genere, quum sint sexcenta, delecto discedere. Si vero ignem etiam ut Herculeum quiddam amat, quid tandem non silentio eligens silvosum montem, in illo se cremat solus, uno quodam, velut hoc Theagene, assumto sibi Philocteta? At ille Olympiæ, plena celebritate, tantum non in scena se assabit, non indignus mehercule! siquidem parricidas atque atheos pœnas dare facinorum fas est : et hoc quidem respectu satis illud tarde facere videtur, quem jam olim oportebat Phalaridis tauro inclusum digna dedisse supplicia, sed non, semel hausta ore

φλόγα ἐν ἀκαρεῖ τεθνάναι. Καὶ γὰρ αὖ καὶ τόδε οἱ πολλοί μοι λέγουσιν, ὡς οὐδεὶς ὀξύτερος ἄλλος θανάτου τρόπος τοῦ διὰ πυρός· ἀνοῖξαι γὰρ δεῖ μόνον τὸ στόμα καὶ αὐτίκα τεθνάναι.

22. Τὸ μέντοι θέαμα ἐπινοεῖται, οἶμαι, ὡς σεμνόν, ἐν ἱερῷ χωρίῳ καόμενος ἄνθρωπος, ἔνθα μηδὲ θάπτειν ὅσιον τοὺς ἄλλους ἀποθνήσκοντας. Ἀκούετε δέ, οἶμαι, ὡς καὶ πάλαι θέλων τις ἔνδοξος γενέσθαι, ἐπεὶ κατ' ἄλλον τρόπον οὐκ εἶχεν ἐπιτυχεῖν τούτου, ἐνέπρησε τῆς Ἐφεσίας Ἀρτέμιδος τὸν νεών. Τοιοῦτόν τι καὶ αὐτὸς ἐπινοεῖ, τοσοῦτος ἔρως τῆς δόξης ἐντέτηκεν αὐτῷ.

23. Καίτοι φησὶν ὅτι ὑπὲρ τῶν ἀνθρώπων αὐτὸ δρᾷ, ὡς διδάξειεν αὐτοὺς θανάτου καταφρονεῖν καὶ ἐγκαρτερεῖν τοῖς δεινοῖς. Ἐγὼ δὲ ἡδέως ἂν ἐροίμην οὐκ ἐκεῖνον ἀλλ' ὑμᾶς, εἰ καὶ τοὺς κακούργους βούλοισθε ἂν μαθητὰς αὐτοῦ γενέσθαι τῆς καρτερίας ταύτης καὶ καταφρονεῖν θανάτου καὶ καύσεως καὶ τῶν τοιούτων δειμάτων. Ἀλλ' οὐκ ἂν εὖ οἶδ' ὅτι βουληθείητε. Πῶς οὖν ὁ Πρωτεὺς τοῦτο διακρινεῖ καὶ τοὺς μὲν χρηστοὺς ὠφελήσει, τοὺς δὲ πονηροὺς οὐ φιλοκινδυνοτέρους καὶ τολμηροτέρους ἀποφανεῖ;

24. Καίτοι δυνατὸν ἔστω ἐς τοῦτο μόνους ἀπαντήσεσθαι τοὺς πρὸς τὸ ὠφέλιμον ὁρμένους τὸ πρᾶγμα. Ὑμᾶς δ' οὖν αὖθις ἐρήσομαι, δέξαισθ' ἂν τοὺς παῖδας ὑμῶν ζηλωτὰς τοῦ τοιούτου γενέσθαι; οὐκ ἂν εἴποιτε. Καίτοι τί τοῦτο ἠρόμην, ὅπου μηδ' αὐτῶν τις τῶν μαθητῶν αὐτοῦ ζηλώσειεν ἄν; τὸν οὖν Θεαγένη τοῦτο μάλιστα αἰτιάσαιτο ἄν τις, ὅτι τἄλλα ζηλῶν τἀνδρὸς οὐχ ἕπεται τῷ διδασκάλῳ καὶ συνοδεύει παρὰ τὸν Ἡρακλέα, ὡς φησιν, ἀπιόντι, δυνάμενος ἐν βραχεῖ πανευδαίμων γενέσθαι συνεμπεσὼν ἐπὶ κεφαλὴν ἐς τὸ πῦρ· οὐ γὰρ ἐν πήρᾳ καὶ βάκτρῳ καὶ τρίβωνι ὁ ζῆλος, ἀλλὰ ταῦτα μὲν ἀσφαλῆ καὶ ῥᾴδια καὶ παντὸς ἂν εἴη, τὸ τέλος δὲ καὶ τὸ κεφάλαιον χρὴ ζηλοῦν καὶ πυρὰν συνθέντα κορμῶν συκίνων ὡς ἔνι μάλιστα χλωρῶν ἐναποπνιγῆναι τῷ καπνῷ· τὸ πῦρ γὰρ αὐτὸ οὐ μόνον Ἡρακλέους καὶ Ἀσκληπιοῦ, ἀλλὰ καὶ τῶν ἱεροσύλων καὶ ἀνδροφόνων, οὓς ὁρᾶν ἔστιν ἐκ καταδίκης αὐτὸ πάσχοντας. Ὥστε ἄμεινον τὸ διὰ τοῦ καπνοῦ· ἴδιον γὰρ καὶ ὑμῶν μόνων ἂν γένοιτο.

25. Ἄλλως τε ὁ μὲν Ἡρακλῆς, εἴπερ ἄρα καὶ ἐτόλμησέ τι τοιοῦτον, ὑπὸ νόσου αὐτὸ ἔδρασεν ὑπὸ τοῦ Κενταυρείου αἵματος, ὥς φησιν ἡ τραγῳδία, κατεσθιόμενος. Οὗτος δὲ τίνος αἰτίας ἕνεκεν ἐμβάλλει φέρων ἑαυτὸν εἰς τὸ πῦρ; νὴ Δί', ὅπως τὴν καρτερίαν ἐπιδείξηται καθάπερ οἱ Βραχμᾶνες· ἐκείνοις γὰρ αὐτὸν ἠξίου Θεαγένης εἰκάζειν, ὥσπερ οὐκ ἐνὸν εἶναί τινας καὶ ἐν Ἰνδοῖς μωροὺς καὶ κενοδόξους ἀνθρώπους. Ὅμως δ' οὖν κἂν ἐκείνους μιμείσθω· ἐκεῖνοι γὰρ οὐκ ἐμπηδῶσιν εἰς τὸ πῦρ, ὡς Ὀνησίκριτος ὁ Ἀλεξάνδρου κυβερνήτης ἰδὼν Κάλανον καόμενόν φησιν, ἀλλ' ἐπειδὰν νήσωσι, πλησίον παραστάντες ἀκίνητοι ἀνέχονται παροπτώμενοι, εἶτ' ἐπιβάντες κατὰ σχῆμα κάονται οὐδ' ὅσον ὀλίγον ἐκτρέ-

flamma, momento uno mori. Nam rursus hoc quoque multi mihi dicunt, non esse aliud celerius igni genus mortis: os enim modo aperiendum, ut statim moriaris.

22. Verum ideo, puto, hoc excogitat spectaculum, quasi magnificum sit homo in loco sacro combustus, ubi ne condere quidem alios mortuos per religionem licet. Sed audistis, puto, etiam olim aliquem, qui nobilis cuperet fieri, quum aliam ejus rei consequendæ rationem non haberet, Ephesiæ Dianæ ædem incendisse. Tale quid et iste excogitat: tantus illum famæ amor insedit.

23. Quanquam dicit se hominum gratia hoc facere, ut mortem contemnere illos doceat et terribilia sustinere. Ego vero lubens interrogaverim non illum, sed vos, num maleficos etiam velitis imitatores illius fortitudinis fieri, et mortis contemnendæ, et vivicomburii, et terrorum similium. Verum minime, bene novi, vos hoc velitis. Quomodo ergo discernet illud Proteus, ut juvet quidem bonos, malos vero non amantiores periculorum et audaciores faciat?

24. Quanquam ponamus fieri posse, huc ut soli veniant, qui cum publica utilitate rem visuri sint. At ego vos rursus interrogabo, Velitisne vestros liberos imitatores hujusmodi actionis fieri? Non sane dixeritis. Quanquam quid hoc interrogavi, quum neque discipulorum ipsius quisquam hoc sit imitaturus? Ac Theagenem istud potissimum accuset aliquis, quod cetera viri imitatus, non sequatur hac parte magistrum, et ad Herculem, ut ait, abeunti se adjungat comitem, quum possit brevi tempore beatus undique fieri, modo præceps in ignem se dejiciat. Neque enim in pera et baculo et pallio æmulatio inest; secura ista, facilia, et uniuscujusque fuerint: at finem et caput æmulari oportet, et rogo e ficulneis codicibus quantum potest viridibus compositio, suffocandum se fumo præbere: nam ignis ipse non Herculis modo est et Æsculapii, sed sacrilegorum etiam et homicidarum, quos videre licet judicio damnatos istuc pati. Quare fumo melius est: proprium enim hoc et vestrum unice fuerit.

25. Alioquin ipse Hercules, si quidem tale quiddam ausus est, morbo impulsus fecit, quum a Centauri sanguine, ut ait tragœdia, exederetur. At hic cujus rei causa in ignem se conjicit? Per Jovem! ut patientiam suam ostendat, sicuti Brachmanes: nam illis eum Theagenes comparandum judicavit, quasi non possent in India quoque esse stulti quidam et inanis gloriæ cupidi homines. Attamen esto, vel hosce æmuletur: illi enim non insiliunt in ignem, ut Onesicritus narrat Alexandri gubernator, qui ardentem vidit Calanum, sed rogo exstructo prope astantes immoti ustulari se patiuntur; tum conscenso rogo, servato eodem habitu cremantur,

φαντες τῆς κατακλίσεως. Οὗτος δὲ τί μέγα, εἰ ἐμπεσὼν τεθνήξεται συναρπασθεὶς ὑπὸ τοῦ πυρός; οὐκ ἀπ' ἐλπίδος μὴ ἀναπηδήσεσθαι αὐτὸν καὶ ἡμίφλεκτον, εἰ μὴ, ὅπερ φασί, μηχανήσεται βαθεῖαν γενέσθαι καὶ ἐν βόθρῳ τὴν πυράν.

26. Εἰσὶ δ' οἱ καὶ μεταβάλλεσθαί φασιν αὐτὸν καί τινα ὀνείρατα διηγεῖσθαι, ὡς τοῦ Διὸς οὐκ ἐῶντος μιαίνειν ἱερὸν χωρίον. Ἀλλὰ θαρρείτω τούτου γε ἕνεκα· ἐγὼ γὰρ διομοσαίμην ἂν ἢ μὴν μηδένα τῶν θεῶν ἀγαναχτήσειν, εἰ Περεγρῖνος κακὸς κακῶς ἀποθάνοι. Οὐ μὴν οὐδὲ ῥᾴδιον αὐτῷ ἔτ' ἀναδῦναι· οἱ γὰρ συνόντες κύνες παρορμῶσι καὶ συνωθοῦσιν ἐς τὸ πῦρ καὶ ὑπεκκάουσι τὴν γνώμην οὐκ ἐῶντες ἀποδειλιᾶν, ὧν εἰ δύο συγκατασπάσας ἐμπέσοι εἰς τὴν πυράν, τοῦτο μόνον χάριεν ἂν ἐργάσαιτο.

27. Ἤκουον δὲ ὡς οὐδὲ Πρωτεὺς ἔτι καλεῖσθαι ἀξιοῖ, ἀλλὰ Φοίνικα μετωνόμασεν ἑαυτὸν, ὅτι καὶ φοῖνιξ τὸ Ἰνδικὸν ὄρνεον ἐπιβαίνειν πυρᾶς λέγεται πορρωτάτω γήρως προβεβηκώς. Ἀλλὰ καὶ λογοποιεῖ καὶ χρησμούς τινας διέξεισι παλαιοὺς δή, ὡς χρεὼν εἶναι δαίμονα νυκτοφύλακα γενέσθαι αὐτὸν, καὶ δῆλός ἐστι βωμῶν ἤδη ἐπιθυμῶν καὶ χρυσοῦς ἀναστήσεσθαι ἐλπίζων.

28. Καὶ μὰ Δία οὐδὲν ἀπεικὸς ἐν τοῖς πολλοῖς τοῖς ἀνοήτοις εὑρεθήσεσθαί τινας τοὺς καὶ τεταρταίων ἀπηλλάχθαι δι' αὐτοῦ φήσοντας καὶ νύκτωρ ἐντετυχηκέναι τῷ δαίμονι τῷ νυκτοφύλακι. Οἱ κατάρατοι δὲ οὗτοι μαθηταὶ αὐτοῦ καὶ χρηστήριον, οἶμαι, καὶ ἄδυτον ἐπὶ τῇ πυρᾷ μηχανήσονται, διότι καὶ Πρωτεὺς ἐκεῖνος ὁ Διὸς, ὁ προπάτωρ τοῦ ὀνόματος, μαντικὸς ἦν. Μαρτύρομαι δὲ ἢ μὴν καὶ ἱερέας αὐτοῦ ἀποδειχθήσεσθαι μαστίγων ἢ καυτηρίων ἤ τινος τοιαύτης τερατουργίας, ἢ καὶ νὴ Δία τελετήν τινα ἐπ' αὐτῷ στήσεσθαι νυκτέριον καὶ δᾳδουχίαν ἐπὶ τῇ πυρᾷ.

29. Θεαγένης δὲ ἔναγχος, ὥς μοί τις τῶν ἑταίρων ἀπήγγειλε, καὶ Σίβυλλαν ἔφη προειρηκέναι περὶ τούτων· καὶ τὰ ἔπη γὰρ ἀπεμνημόνευεν·

> Ἀλλ' ὁπόταν Πρωτεὺς Κυνικῶν ὄχ' ἄριστος ἁπάντων
> Ζηνὸς ἐριγδούπου τέμενος κάτα πῦρ ἀνακαύσας
> ἐς φλόγα πηδήσας ἔλθῃ ἐς μακρὸν Ὄλυμπον,
> δὴ τότε πάντας ὁμῶς, οἱ ἀρούρης καρπὸν ἔδουσι,
> νυκτιπόλον τιμᾶν κέλομαι ἥρωα μέγιστον
> σύνθρονον Ἡφαίστῳ καὶ Ἡρακλῆϊ ἄνακτι.

Ταῦτα μὲν Θεαγένης Σιβύλλης ἀκηκοέναι φησίν.

30. Ἐγὼ δὲ Βάκιδος αὐτῷ χρησμὸν ὑπὲρ τούτων ἐρῶ· φησὶ δὲ ὁ Βάκις οὕτω σφόδρα εὖ ἐπειπών,

> Ἀλλ' ὁπόταν Κυνικὸς πολυώνυμος ἐς φλόγα πολλὴν
> πηδήσῃ δόξης ὑπ' ἐριυΐ θυμὸν ὀρινθείς,
> δὴ τότε τοὺς ἄλλους κυναλώπεκας, οἵ οἱ ἕπονται,
> μιμεῖσθαι χρὴ πότμον ἀποιχομένοιο λύκοιο.
> Ὅς δέ κε δειλὸς ἐὼν φεύγῃ μένος Ἡφαίστοιο,
> λάεσσιν βαλέειν τοῦτον τάχα πάντας Ἀχαιοὺς,
> ὡς μὴ ψυχρὸς ἐὼν θερμηγορέειν ἐπιχειρῇ
> χρυσῷ σαξάμενος πήρην μάλα πολλὰ δανείζων,
> ἐν καλαῖς Πάτραισιν ἔχων τρὶς πέντε τάλαντα.

ne paullum quidem immutantes de suo decubitu. Iste vero quid magnum, si injectus statim morietur, ubi correptus ab igne fuerit? Neque illud non licet sperare, futurum ut resiliat semiustulatus, nisi illud machinetur, quod facere illum aiunt, ut profundus fiat atque in fossa rogus.

26. Sunt autem qui dicant illum mutare velle sententiam, et somnia enarrare quædam, quasi non sinat Jupiter locum sacrum pollui. Sed bono potest esse animo, ad hoc quidem quod attinet: ego enim jusjurandum dare paratus sum, deorum indignaturum esse neminem, si Peregrinus malus mala morte pereat. Quin jam nec facile est illi refugere: nam qui cum illo sunt canes, incitant hominem, et una in ignem contrudunt, et animum illius subinde incendunt, nec metu resilire illum patiuntur: quorum si duobus secum detractis in ignem incidat, hoc solum lepidum opus fecerit.

27. Audio vero illum nec Proteum vocari velle amplius, sed Phœnicis nomen pro suo sibi ascivisse, quod etiam phœnix, Indica avis, ingredi rogum dicitur, ubi ad extremam senectutem provecta est. Verum etiam rumores spargit, et oracula quædam narrat, vetusta scilicet, in fatis esse ut noctis custos genius ipse fiat; ac manifestum est jam altaria illum concupiscere, et futurum sperare uti stet aureus.

28. Neque vero, per Jovem, abhorret in magna dementium multitudine inventum iri qui quartana se per ipsum liberatos dicant, et noctu sibi occurrisse noctis illum custodem genium. Exsecrabiles autem isti illius discipuli etiam oraculum, puto, et adytum in rogo illius machinabuntur, propterea quod Proteus etiam, Jovis ille filius, primus hujus nominis auctor, vates fuit. Testor autem sacerdotes quoque illius constitutum iri flagrorum, aut ustulationum, aut prodigiosarum id genus actionum: vel, per Jovem, mysteria quædam in illius honorem institutum iri nocturna, et facum gestationem circa rogum.

29. Theagenes autem nuper, ut renunciavit mihi aliquis sodalium, etiam Sibyllam dixit de hisce rebus aliquid prædixisse: nempe versus etiam recitabat:

> Ast ubi jam Proteus, Cynicorum maximus unus,
> ad Jovis altisoni succensis ignibus ædem
> in flammam insiliens, altum conscendet Olympum,
> tunc una quotquot vescuntur munere terræ,
> noctivagum jubeo venerari heroa, potentem,
> Herculeoque, tuoque throno, Vulcane, sedentem.

Hæc igitur a Sibylla se accepisse ait Theagenes.

30. At ego Bacidis illi de hisce rebus oraculum dicam. Ait autem Bacis ita præclare adjiciens istis:

> Ast ubi jam vario Cynicus cum nomine flammam
> insiliet, furtis agitatus pectore famæ·
> tunc tunc vulpicanes, turba hunc imitata magistrum,
> fata lupi, edico, jam discedentis obibunt.
> Sed quicumque metu Vulcani fugerit æstus,
> jactis confestim hunc saxis petat omnis Achivus
> dicere ne calidum conetur frigidus ipse,
> distendens auro peram de fornore capto,
> Patris condita habens pulchris ter quinque talenta

Τί ὑμῖν δοκεῖ, ἄνδρες; ἆρα φαυλότερος χρησμολόγος ὁ Βάκις τῆς Σιβύλλης εἶναι; ὥστε ὥρα τοῖς θαυμαστοῖς τούτοις ὁμιλητῆς τοῦ Πρωτέως περισκοπεῖν ἔνθα ἑαυτοὺς ἐξαερώσουσι· τοῦτο γὰρ τὴν καῦσιν καλοῦσι.

31. Ταῦτ' εἰπόντος ἀνεβόησαν οἱ περιεστῶτες ἅπαντες, Ἤδη καέσθωσαν ἄξιοι τοῦ πυρός. Καὶ ὁ μὲν κατέβη γελῶν, « Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή, » τὸν Θεαγένη, ἀλλ' ὡς ἤκουσε τῆς βοῆς, ἦκεν εὐθὺς καὶ ἀναβὰς ἐκεκράγει καὶ μυρία κακὰ διεξῄει περὶ τοῦ καταβεβηκότος· οὐ γὰρ οἶδα ὅστις ὁ βέλτιστος ἐκεῖνος ἐκαλεῖτο. Ἐγὼ δὲ ἀφεὶς αὐτὸν διαρρηγνύμενον ἀπῄειν ὀψόμενος τοὺς ἀθλητάς· ἤδη γὰρ οἱ Ἑλλανοδίκαι ἐλέγοντο εἶναι ἐν τῷ πλεθρίῳ. Ταῦτα μέν σοι τὰ ἐν Ἤλιδι.

32. Ἐπεὶ δὲ εἰς τὴν Ὀλυμπίαν ἀφικόμεθα, μεστὸς ἦν ὁ ὀπισθόδομος τῶν κατηγορούτων Πρωτέως ἢ ἐπαινούντων τὴν προαίρεσιν αὐτοῦ, ὥστε καὶ εἰς χεῖρας αὐτῶν ἦλθον οἱ πολλοί, ἄχρι δὴ παρελθὼν αὐτὸς ὁ Πρωτεὺς μυρίῳ τῷ πλήθει παραπεμπόμενος κατόπιν τοῦ τῶν κηρύκων ἀγῶνος λόγους τινὰς διεξῆλθε περὶ αὑτοῦ τὸν βίον τε ὡς ἐβίω καὶ τοὺς κινδύνους οὓς ἐκινδύνευσε διηγούμενος καὶ ὅσα πράγματα φιλοσοφίας ἕνεκα ὑπέμεινε. Τὰ μὲν οὖν εἰρημένα πολλὰ ἦν· ἐγὼ δὲ ὀλίγων ἤκουσα ὑπὸ πλήθους τῶν περιεστώτων. Εἶτα φοβηθεὶς μὴ σύντριβείην ἐν τοσαύτῃ τύρβῃ, ἐπεὶ καὶ τολλοὺς τοῦτο πάσχοντας ἑώρων, ἀπῆλθον μακρὰ χαίρειν φράσας θανατιῶντι σοφιστῇ τὸν ἐπιτάφιον ἑαυτοῦ πρὸ τελευτῆς διεξιόντι.

33. Πλὴν τό γε τοσοῦτον ἐπήκουσα· ἔφη γὰρ βούλεσθαι χρυσῷ βίῳ χρυσῆν κορώνην ἐπιθεῖναι· χρῆναι γὰρ τὸν Ἡρακλείως βεβιωκότα Ἡρακλείως ἀποθανεῖν καὶ ἀναμιχθῆναι τῷ αἰθέρι. Καὶ ὠφελῆσαι, ἔφη, βούλομαι τοὺς ἀνθρώπους δείξας αὐτοῖς ὃν χρὴ τρόπον θανάτου καταφρονεῖν· πάντας οὖν δεῖ μοι τοὺς ἀνθρώπους Φιλοκτήτας γενέσθαι. Οἱ μὲν οὖν ἀνοητότεροι τῶν ἀνθρώπων ἐδάκρυον καὶ ἐβόων, Σώζου τοῖς Ἕλλησιν, οἱ δὲ ἀνδρωδέστεροι ἐκεκράγεισαν, Τέλει τὰ δεδογμένα, ὑφ' ὧν ὁ πρεσβύτης οὐ μετρίως ἐθορυβήθη ἐλπίζων πάντας ἕξεσθαι αὐτοῦ καὶ μὴ προήσεσθαι τῷ πυρί, ἀλλὰ ἄκοντα δὴ καθέξειν ἐν τῷ βίῳ. Τὸ δὴ τελεῖν τὰ δεδογμένα πάνυ ἀδόκητον αὐτῷ προσπεσὸν ὠχριᾶν ἔτι μᾶλλον ἐποίησε, καίτοι ἤδη νεκρικῶς τὴν χροιὰν ἔχοντι, καὶ νὴ Δία καὶ ὑποτρέμειν, ὥστε κατέπαυσε τὸν λόγον.

34. Ἐγὼ δὲ, εἰκάζεις, οἶμαι, πῶς ἐγέλων· οὐδὲ γὰρ ἐλεεῖν ἄξιον ἦν οὕτω δυσέρωτα τῆς δόξης ἄνθρωπον ὑπὲρ ἅπαντας, ὅσοι τῇ αὐτῇ ποινῇ ἐλαύνονται. Παρεπέμπετο δὲ ὅμως ὑπὸ πολλῶν καὶ ἐνεφορεῖτο τῆς δόξης ἀποβλέπων ἐς τὸ πλῆθος τῶν θαυμαζόντων, οὐκ εἰδὼς ὁ ἄθλιος ὅτι καὶ τοῖς ἐπὶ τὸν σταυρὸν ἀπαγομένοις ἢ ὑπὸ τοῦ δημίου ἐχομένοις πολλῷ πλείους ἕπονται.

35. Καὶ δὴ τὰ μὲν Ὀλύμπια τέλος εἶχε, κάλλιστα Ὀλυμπίων γενόμενα ὧν ἐγὼ εἶδον, τετράκις ἤδη ὁρῶν. Ἐγὼ δὲ — οὐ γὰρ ἦν εὐπορῆσαι ὀχήματος ἅμα πολ-

Quid videtur vobis, viri? numquid deterior Sibylla vates esse Bacis? Itaque auctor sim admirabilibus illis Protei sodalibus, ut locum circumspiciant ubi in aera se dissolvant; hoc enim verbo combustionem vocant. »

31. Hæc illo dicente exclamabant qui circumstabant omnes, Jam comburantur digni igne! Atque hic quidem cum risu descendit : « sed non fugerunt Nestora voces, » Theagenem puta : verum audito clamore venit statim, escendensque clamavit, et sexcenta mala protulit contra eum qui descenderat; neque enim novi quomodo vir ille optimus vocatus sit. Ego vero relinquens hominem dirumpentem se, abii visurus athletas : jam enim esse dicebantur in Plethrio judices certaminum. Hæc tibi Elide.

32. Ipsam vero Olympiam quum venissemus, plenum erat posticum templi vel accusantium Protea, vel propositum illius laudantium : adeo ut etiam ad manus multi illorum venirent, donec ipse progressus innumerabili comitante multitudine Proteus, post præconum agonem verba fecit de se, quam vitam vixerit, pericula quæ subierit enarrans, et quas philosophiæ causa sustinuerit molestias. Multa quidem fuere quæ dixit : ego vero, præ circumstantium multitudine, pauca audivi. Deinde ne tanta in turba eliderer metuens, quod accidere videbam multis, abii, longum valere jusso affectante mortem sophista, ipso sibi ante mortem parentante.

33. Tantum tamen audivi, quum diceret velle se auream vitæ aureæ coronidem imponere : oportere enim, qui Herculeo more vixerit, eum mori quoque more Herculeo, et remisceri æthori. Ac prodesse, inquit, volo hominibus, ostendendo illis quemadmodum mortem oporteat contemnere. Itaque Philoctetas mihi fieri omnes homines æquum est. Qui ergo stupidiores erant hominum, lacrimari et clamare, Serva te Græcis! qui autem fortiores, ii clamarunt, Perage decreta! a quibus non mediocriter perturbatus est senex, qui sperasset futurum uti omnes retinerent se, neque igni permitterent, sed invitum in vita manere cogerent. Quum ergo plane præter opinionem illi accideret clamor decreta perficienda esse, ea res magis etiam expallescere illum fecit, quanquam cadaveroso jam ante colore erat, et tremere etiam, medius fidius! Itaque orationem finiit.

34. Ego vero quam riserim, puto, conjicis : neque enim misericordia dignus erat homo, ita invenustus supra omnes, qui iisdem furiis aguntur, amator gloriæ. Deducebatur tamen a multis, et ingurgitabat se gloria, dum ad multitudinem eorum, qui se admirarentur, respiceret, ignarus miser, etiam hos, qui ad crucem ducuntur, aut trahuntur a carnifice, multo plures sequi.

35. Interim Olympia finem habuere, pulcherrima quæ ego vidi Olympiorum, qui quater jam viderim. Ego vero (neque enim vehiculi copia erat multis simul discedentibus)

λῶν ἐξιόντων — ἄχων ὑπελειπόμην. Ὁ δὲ ἀεὶ ἀναβαλλόμενος νύκτα τὸ τελευταῖον προειρήκει ἐπιδείξασθαι τὴν καῦσιν· καί με τῶν ἑταίρων τινὲς παραλαβόντος περὶ μέσας νύκτας ἐξαναστὰς ἀπῆειν εὐθὺ τῆς Ἁρπίνης, ἔνθα ἦν ἡ πυρά. Στάδιοι πάντες οὗτοι εἴκοσιν ἀπὸ τῆς Ὀλυμπίας κατὰ τὸν ἱππόδρομον ἀπιόντων πρὸς ἑῶ. Καὶ ἐπεὶ τάχιστα ἀφικόμεθα, καταλαμβάνομεν πυρὰν νενησμένην ἐν βάθει ὅσον ἐς ὀργυιὰν τὸ βάθος. Δᾷδες ἦσαν τὰ πολλὰ καὶ παρεβέβυστο τῶν φρυγάνων, ὡς ἀναφθείη τάχιστα.

36. Καὶ ἐπειδὴ ἡ σελήνη ἀνέτελλεν — ἔδει γὰρ καὶ κἀκείνην θεάσασθαι τὸ κάλλιστον τοῦτο ἔργον — προέισιν ἐκεῖνος ἐσκευασμένος ἐς τὸν ἀεὶ τρόπον καὶ ξὺν αὐτῷ τὰ τέλη τῶν κυνῶν, καὶ μάλιστα ὁ γεννάδας ὁ ἐκ Πατρῶν δᾷδα ἔχων, οὐ φαῦλος δευτεραγωνιστής· ἐδᾳδοφόρει δὲ καὶ ὁ Πρωτεύς. Καὶ προσελθόντες ἄλλος ἀλλαχόθεν ἀνῆψαν τὸ πῦρ μέγιστον ἅτε ἀπὸ δᾳδων καὶ φρυγάνων· ὁ δέ, καί μοι πάνυ ἤδη πρόσεχε τὸν νοῦν, ἀποθέμενος τὴν πήραν καὶ τὸ τριβώνιον καὶ τὸ Ἡράκλειον ἐκεῖνο ῥόπαλον ἕστη ἐν ὀθόνῃ ῥυπώσῃ ἀκριβῶς. Εἶτα ᾔτει λιβανωτόν, ὡς ἐπιβάλοι ἐπὶ τὸ πῦρ, καὶ ἀναδόντος τινὸς ἐπέβαλέ τε καὶ εἶπεν ἐς τὴν μεσημβρίαν ἀποβλέπων — καὶ γὰρ καὶ τοῦτο πρὸς τὴν τραγῳδίαν ἦν ἡ μεσημβρία — Δαίμονες μητρῷοι καὶ πατρῷοι δέξασθέ με εὐμενεῖς. Ταῦτα εἰπὼν ἐπῄδησεν ἐς τὸ πῦρ, οὐ μὴν ἑωρᾶτό γε, ἀλλὰ περιεσχέθη ὑπὸ τῆς φλογὸς πολλῆς ἠρμένης.

37. Αὖθις ὁρῶ γελῶντά σε, ὦ καλὲ Κρόνιε, τὴν καταστροφὴν τοῦ δράματος. Ἐγὼ δὲ τοὺς μητρῴους μὲν δαίμονας ἐπιβοώμενον μὰ τὸν Δί' οὐ σφόδρα ἠτιώμην, ὅτε δὲ καὶ τοὺς πατρῴους ἐπεκαλέσατο, ἀναμνησθεὶς τῶν περὶ τοῦ φόνου εἰρημένων οὐδὲ κατέχειν ἠδυνάμην τὸν γέλωτα. Οἱ Κυνικοὶ δὲ περιστάντες τὴν πυρὰν οὐκ ἐδάκρυον μέν, σωπῇ δὲ ἐνεδείκνυντο λύπην τινὰ εἰς τὸ πῦρ ὁρῶντες, ἄχρι δὴ ἀποπνιγείς ἐπ' αὐτοῖς, Ἀπίωμεν, φημί, ὦ μάταιοι· οὐ γὰρ ἡδὺ τὸ θέαμα ὠπτημένου γερόντιον ὁρᾶν κνίσης ἀναπιμπλαμένους πονηρᾶς. Ἢ περιμένετε ἔστ' ἂν γραφεύς τις ἐπελθὼν ἀπεικάσῃ ὑμᾶς οἵους τοὺς ἐν τῷ δεσμωτηρίῳ ἑταίρους τῷ Σωκράτει παραγράφουσιν; Ἐκεῖνοι μὲν οὖν ἠγανάκτουν καὶ ἐλοιδοροῦντό μοι, ἔνιοι δὲ καὶ ἐπὶ τὰς βακτηρίας ἦξαν. Εἶτα ἐπειδὴ ἠπείλησα ξυναρπάσας τινὰς ἐμβαλεῖν εἰς τὸ πῦρ, ὡς ἂν ἔποιντο τῷ διδασκάλῳ, ἐπαύσαντο καὶ εἰρήνην ἦγον.

38. Ἐγὼ δὲ ἐπανιὼν ποικίλα, ὦ ἑταῖρε, πρὸς ἐμαυτὸν ἐνενόουν, τὸ φιλόδοξον οἷόν τί ἐστιν ἀναλογιζόμενος, ὡς μόνος οὗτος ὁ ἔρως ἄφυκτος καὶ τοῖς πάνυ θαυμαστοῖς εἶναι δοκοῦσιν, οὐχ ὅπως ἐκείνῳ τἀνδρὶ καὶ τἄλλα ἐμπλήκτως καὶ ἀπονενοημένως βεβιωκότι καὶ οὐκ ἀναξίως τοῦ πυρός.

39. Εἶτα ἐνετύγχανον πολλοῖς ἀπιοῦσιν ὡς θεάσαιντο καὶ αὐτοί· ᾤοντο γὰρ ἔτι καταλήψεσθαι ζῶντα αὐτόν· καὶ γὰρ καὶ τόδε τῇ προτεραίᾳ διεδέδοτο, ὡς πρὸς ἀνίσχοντα τὸν ἥλιον ἀσπασάμενος — ὥσπερ ἀμέλει καὶ

invitus ibi relictus sum. At iste subinde differens, tandem promulgat nocte spectaculum sui cremandi se editurum. Ac me quum sodalium aliquis assumsisset, circa mediam noctem surrexi et Harpiuam petii, ubi rogus erat. Stadia hæc sunt in totum viginti Olympia juxta Hippodromum orientem versus euntibus. Quum primum eo venissemus, rogum deprehendimus in fossa ad quattuor cubitorum profunditatem structum. Faces erant maximam partem et sarmenta ipsis interposita, ignem celerrime uti conciperet.

36. Deinde exoriente luna (oportebat enim hanc quoque spectare pulcherrimum facinus), procedit iste quotidiano more indutus, et cum illo Cynicorum principes, præsertim generosus ille Patrensis, facem gestans, non malus secundarum partium certator. Facem gestabat etiam Proteus. Accedentes autem alter ab altera parte ignem incenderunt maximum, quippe a facibus ac sarmentis : iste vero (et jam mihi diligenter attende), deposita pera, pallio et Herculea illa clava, astabat in linteo plane sordido. Tum thus petiit, quod in ignem injiceret; datumque ab aliquo injecit, dixitque conversus ad meridiem (nam hoc quoque ad tragœdiam pertinebat, meridies), Materni paternique dæmones, volentes propitii me recipite! Hæc ubi dixisset, in ignem insiliit : verum non videbatur, circumfusus a multa, quæ surrexerat, flamma.

37. Iterum video te ridentem, pulcher Cronie, fabulæ explicationem. Equidem maternos dæmonas invocantem non valde, ita me Jupiter, reprehendebam : sed quum paternos etiam advocaret, recordatus eorum quæ cæde illius dicta sunt, neque risum tenere tum poteram. Cynici autem rogum circumstantes non illi quidem flebant, sed silentio ignem aspicientes mœstitiam quandam præ se ferebant : donec ego, quem ea res pæne enecarat, Abeamus, dicerem, vani homines! neque enim jucundum spectaculum, senium assatum videre, et malo nidore oppleri. An exspectatis dum pictor aliquis superveniens depingat vos, uti sodales in carcere appingunt Socrati? Illi ergo indignari et male mihi dicere; quidam vero ruere etiam ad baculos. Deinde quum interminatus essem, me quosdam illorum correptos in ignem esse detrusurum magistrum uti sequerentur, quietem pacemque egere.

38. In reditu autem varia mecum, mi sodalis, cogitabam de cupiditate gloriæ, vim illius perpendens, ut solam hanc cupiditatem effugere nequeant illi etiam, qui aliquin admiratione videantur dignissimi, nedum ut ille vir, qui etiam alias furiose dementerque, et ut igne esset dignus, vixisset.

39. Tum incidi in multos ad spectaculum abeuntes ipsos quoque, qui putarent nempe se vivum adhuc deprehensuros : nimirum illud quoque pridie ejus diei divulgatum fuerat, illum ita ut exorientem solem salutaret (quod scili-

τοὺς Βραχμᾶνάς φασι ποιεῖν — ἐπιβήσεσθαι τῆς πυρᾶς. Ἀπέστρεφον δ' οὖν τοὺς πολλοὺς αὐτῶν λέγων ἤδη τετελέσθαι τὸ ἔργον, οἷς μὴ καὶ τοῦτ' αὐτὸ περισπούδαστον ἦν, κἂν αὐτὸν ἰδεῖν τὸν τόπον καί τι λείψανον καταλαμβάνειν τοῦ πυρός. Ἔνθα δὴ, ὦ ἑταῖρε, μυρία πράγματα εἶχον ἅπασι διηγούμενος καὶ ἀνακρίνουσι καὶ ἀκριβῶς ἐκπυνθανομένοις. Εἰ μὲν οὖν ἰδοιμί τινα χαρίεντα, ψιλὰ ἂν ὥσπερ σοὶ τὰ πραχθέντα διηγούμην, πρὸς δὲ τοὺς βλᾶκας καὶ πρὸς τὴν ἀκρόασιν κεχηνότας ἐτραγῴδουν τι παρ' ἐμαυτοῦ, ὡς ἐπειδὴ ἀνήφθη μὲν ἡ πυρὰ, ἐνέβαλε δὲ φέρων ἑαυτὸν ὁ Πρωτεὺς, σεισμοῦ πρότερον μεγάλου γενομένου σὺν μυκηθμῷ τῆς γῆς, γὺψ ἀναπτάμενος ἐκ μέσης τῆς φλογὸς οἴχοιτο ἐς τὸν οὐρανὸν ἀνθρωπίνῃ μεγάλῃ τῇ φωνῇ λέγων « Ἔλιπον γᾶν, βαίνω δ' ἐς Ὄλυμπον. » Ἐκεῖνοι μὲν οὖν ἐτεθήπεσαν καὶ προσεκύνουν ὑποφρίττοντες καὶ ἀνέκρινόν με λέγοντες πότερον πρὸς ἕω ἢ πρὸς δυσμὰς ἐνεχθείη ὁ γύψ· ἐγὼ δὲ τὸ ἐπελθὸν ἀπεκρινάμην αὐτοῖς.

40. Ἀπελθὼν δὲ ἐς τὴν πανήγυριν ἐπέστην τινὶ πολιῷ ἀνδρὶ καὶ νὴ τὸν Δί' ἀξιοπίστῳ τὸ πρόσωπον ἐπὶ τῷ πώγωνι καὶ τῇ λοιπῇ σεμνότητι, τά τε ἄλλα διηγουμένῳ περὶ τοῦ Πρωτέως καὶ ὡς μετὰ τὸ καυθῆναι θεάσαιτο αὐτὸν ἐν λευκῇ ἐσθῆτι μικρὸν ἔμπροσθεν καὶ νῦν ἀπολίποι περιπατοῦντα φαιδρὸν ἐν τῇ ἑπταφώρῳ στοᾷ κοτίνῳ τε ἐστεμμένον· εἶτ' ἐπὶ πᾶσι προσέθηκε τὸν γῦπα, διομνύμενος ἢ μὴν αὐτὸς ἑορακέναι ἀναπτάμενον ἐκ τῆς πυρᾶς, ὃν ἐγὼ μικρὸν ἔμπροσθεν ἀφῆκα πέτεσθαι καταγελῶντα τῶν ἀνοήτων καὶ βλακικῶν τὸν τρόπον.

41. Ἐννόει τὸ λοιπὸν οἷα εἰκὸς ἐπ' αὐτῷ γενήσεσθαι, ποίας μὲν οὐ μελίττας ἐπιστήσεσθαι ἐπὶ τὸν τόπον, τίνας δὲ τέττιγας οὐκ ἐπάσεσθαι, τίνας δὲ κορώνας οὐκ ἐπιπτήσεσθαι καθάπερ ἐπὶ τὸν Ἡσιόδου τάφον, καὶ τὰ τοιαῦτα. Εἰκόνας μὲν γὰρ παρά τε Ἠλείων αὐτῶν παρά τε τῶν ἄλλων Ἑλλήνων, οἷς καὶ ἐπεσταλκέναι ἔλεγον, αὐτίκα μάλα οἶδα πολλὰς ἀναστησομένας. Φασὶ δὲ πάσαις σχεδὸν ταῖς ἐνδόξοις πόλεσιν ἐπιστολὰς διαπέμψαι αὐτὸν διαθήκας τινὰς καὶ παραινέσεις καὶ νόμους· καί τινας ἐπὶ τούτῳ πρεσβευτὰς τῶν ἑταίρων ἐχειροτόνησε νεκραγγέλους καὶ νερτεροδρόμους προσαγορεύσας.

42. Τοῦτο τέλος τοῦ κακοδαίμονος Πρωτέως ἐγένετο, ἀνδρὸς, ὡς βραχεῖ λόγῳ περιλαβεῖν, πρὸς ἀλήθειαν μὲν οὐδεπώποτε ἀποβλέψαντος, ἐπὶ δόξῃ δὲ καὶ τῷ παρὰ τῶν πολλῶν ἐπαίνῳ ἅπαντα εἰπόντος ἀεὶ καὶ πράξαντος, ὡς καὶ εἰς πῦρ ἅλλεσθαι, ὅτε μηδ' ἀπολαύειν τῶν ἐπαίνων ἔμελλεν ἀναίσθητος αὐτῶν γενόμενος.

43. Ἓν ἔτι σοι προσδιηγησάμενος παύσομαι, ὡς ἔχῃς ἐπὶ πολὺ γελᾶν· ἐκεῖνα μὲν γὰρ πάλαι οἶσθα εὐθὺς ἀκούσας μου ὅτε ἦκον ἀπὸ Συρίας διηγουμένου ὡς ἀπὸ Τρῳάδος συμπλεύσαιμι αὐτῷ καὶ τήν τε ἄλλην τὴν ἐν τῷ πλῷ τρυφὴν καὶ τὸ μειράκιον τὸ ὡραῖον, ὃ ἔπεισε κυνίζειν, ὡς ἔχοι καὶ αὐτός τινα Ἀλκιβιάδην, καὶ ὡς ἐπιταραχθεὶς μὲν τῆς νυκτὸς ἐν μέσῳ τῷ Αἰγαίῳ γνόφου καταβάντος καὶ κῦμα παμμέγεθες ἐγείραντος ἐκώκυε

cet Brachmanas facere dictitant), rogum conscensurum esse. Plerosque igitur illorum averti, quum jam perfectum esse opus dicerem, quibus quidem non id ipsum curæ esset, etiam locum ut inspicerent et aliquid de igni reliquum secum auferrent. Hic sane, mi sodalis, sexcenta negotia habui, dum omnibus enarro interrogantibus et accurate singula exquirentibus. Si quem igitur viderem politum doctrina hominem, nuda illi acta, velut tibi modo, enarrabam : apud stipites vero et inhiantes narrationi, tragicæ quiddam gravitatis de meo adjiciebam, ut hoc, quum accensus esset rogus, et jam injecisset se Proteus, motu telluris magno cum mugitu ante facto, evolantem media de flamma vulturem cœlum versus abilsse, humana magna voce clamantem : Reliqui terram, abeo in Olympum! Hi ergo obstupescentes cum horrore quodam adorare, et ex me quærere utrum orientem versus an ad occidentem volasset vultur . quibus ego, quicquid in buccam veniret, respondi.

40. Tum in concionem delatus astiti cano cuidam viro, et fide digno, medius fidius, si vultum spectares cum barba et gravitate reliqua, qui præter cetera hoc etiam narraret de Proteo, ut vidisset ipsum paullo ante, post combustionem, in veste candida, et modo inambulantem lætum atque hilarem in septem vocum porticu reliquisset, coronatum olea : deinde post omnia etiam vulturem illum adjecit, dejerans ipsum se vidisse de rogo evolantem, quem ego paullo ante dimiseram, ut derideret amentes homines et moribus stupidos.

41. Ceterum cogita, quæ in illo postea futura esse credibile sit : quas non apes in illo loco conventuras! quas non canturas ibi cicadas! quas non cornices involaturas, ut in sepulcrum Hesiodi! et id genus alia. Statuas quidem quum ab ipsis Eleis, tum ab reliquis Græcis, quibus etiam scripsisse dicebant eum, statim multas staturas novi. Aiunt vero nobilibus oppidis fere omnibus missas ab eo epistolas cum præceptionibus, et adhortationibus, atque legibus : etiam sodalium nonnullos ejus rei causa legatos constituerat, quos mortis nuncios et inferorum cursores appellabat.

42. Hic finis fuit infelicis Protei, viri qui, ut brevi sermone complectar, ad verum quidem respexerat nunquam, gloriæ autem et laudis popularis causa dixerat semper feceratque omnia, adeo ut in ignem etiam insiliret, quum neque frui jam posset laudibus, quippe quarum sensus pervenire ad ipsum non posset.

43. Desinam, quum unum adhuc tibi narravero, ut ridere possis amplius. Illa enim olim nosti, quæ statim ex me, quum e Syria venirem, audieris narrante, ut a Troade cum ipso navigaverim, et quum reliquum hominis in illa navigatione luxum, tum formosum illum adolescentulum, quem ad caninam illam vitam traduxerat, ut haberet nimirum ipse quoque aliquem Alcibiadem, et ut perturbatus fuerit noctu, medio in Ægæo descendente turbine et fluctum ex-

μετὰ τῶν γυναικῶν ὁ θαυμαστὸς καὶ θανάτου κρείττων εἶναι δοκῶν.

44. Ἀλλὰ μικρὸν πρὸ τῆς τελευτῆς, πρὸ ἐννέα σχεδόν που ἡμερῶν, πλεῖον, οἶμαι, τοῦ ἱκανοῦ ἐμφαγὼν ἥμεσέ τε τῆς νυκτὸς καὶ ἑάλω πυρετῷ μάλα σφοδρῷ. Ταῦτα δέ μοι ὁ Ἀλέξανδρος ὁ ἰατρὸς διηγήσατο μετακληθεὶς ὡς ἐπισκοπήσειεν αὐτόν· ἔφη οὖν καταλαβεῖν αὐτὸν χαμαὶ κυλιόμενον καὶ τὸν φλογμὸν οὐ φέροντα καὶ ψυχρὸν αἰτοῦντα πάνυ ἐρωτικῶς, ἑαυτὸν δὲ μὴ δοῦναι, καίτοι εἰπεῖν ἔφη πρὸς αὐτὸν ὡς εἰ πάντως θανάτου δέοιτο, ἥκειν αὐτὸν ἐπὶ τὰς θύρας αὐτόματον, ὥστε καλῶς ἔχειν ἔπεσθαι μηδὲν τοῦ πυρὸς δεόμενον· τὸν δ' αὖ φάναι, Ἀλλ' οὐχ ὁμοίως ἔνδοξος ὁ τρόπος γένοιτ' ἂν πᾶσι κοινὸς ὤν.

45. Ταῦτα μὲν ὁ Ἀλέξανδρος. Ἐγὼ δὲ οὐδ' αὐτὸς πρὸ πολλῶν ἡμερῶν εἶδον αὐτὸν ἐγκεχρισμένον, ὡς ἀποδακρύσειε τῷ δριμεῖ φαρμάκῳ. Ὁρᾷς; οὐ πάνυ τοὺς ἀμβλυωποῦντας ὁ Αἰακὸς παραδέχεται. Ὅμοιον ὡς εἴ τις ἐπὶ σταυρὸν ἀναβήσεσθαι μέλλων τὸ ἐν τῷ δακτύλῳ πρόσπταισμα θεραπεύοι. Τί σοι δοκεῖ ὁ Δημόκριτος, εἰ ταῦτα εἶδε; κατ' ἀξίαν γελάσαι ἂν ἐπὶ τῷ ἀνδρί. Καίτοι πόθεν εἶχεν ἐκεῖνος τοσοῦτον γέλωτα; Σὺ δ' οὖν, ὦ φιλότης, γέλα καὶ αὐτός, καὶ μάλιστα ὁπόταν τῶν ἄλλων ἀκούσῃς θαυμαζόντων αὐτόν.

citante maximum, ploraveritque cum mulierculis vir admirabilis, et qui superior mortis metu esse videretur.

44. Verum paullo ante mortem, novem circiter diebus ante, quum plus quam oportebat, puto, ingurgitasset, et vomuit noctu, et febri correptus est satis vehementi. Hæc vero Alexander mihi medicus narravit, qui vocatus erat ut illum inviseret. Aiebat ergo ille se invenisse hominem humi se volutantem, impatientemque æstus, et amatoriis velut blanditiis petentem frigidam; se autem non dedisse: verum illud dixisse, Si omnino morte opus haberet, ipsam sponte jam venire ad januam; itaque bene facere, si illam sequeretur, neque ignem expeteret. Istum contra dixisse: At non æque gloriosum fuerit mortis genus, ut quod omnibus sit commune.

45. Hæc Alexander. Ego vero et ipse non multis ante diebus inunctum vidi, ut lacrimis motis oculos purgaret acerbo medicamento. Vides? non sane recipit, qui hebetes oculos habent, Æacus. Simile hoc est, ut si quis in crucem mox agendus digiti offensionem curet. Quid tibi videtur facturus fuisse, si vidisset ista, Democritus? Risisset, prout dignum est, virum. Quanquam unde tantum illi risus suppetiisset? Tu ergo, amice, ride ipse quoque, et maxime quando alios admirari istum audieris.

LXIX.

ΔΡΑΠΕΤΑΙ.

1. ΑΠΟΛΛΩΝ. Ἀληθῆ ταῦτά φασι, πάτερ, ὡς ἐμβάλοι τις φέρων αὐτὸν εἰς τὸ πῦρ κατέναντι Ὀλυμπίων, ἤδη πρεσβύτης ἄνθρωπος, οὐκ ἀγεννὴς θαυματοποιὸς τὰ τοιαῦτα; ἡ Σελήνη γὰρ ἡμῖν διηγεῖτο αὐτὴ ἑορακέναι καόμενον λέγουσα.

ΖΕΥΣ. Καὶ πάνυ ἀληθῆ, ὦ Ἄπολλον· ὡς μή ποτε γενέσθαι ὤφελεν.

ΑΠΟΛ. Οὕτω χρηστὸς ὁ γέρων ἦν καὶ ἀνάξιος ἐν πυρὶ ἀπολωλέναι;

ΖΕΥΣ. Καὶ τοῦτο μέν ἴσως· ἀλλ' ἐγὼ πολλὴν τὴν ἡδίαν μέμνημαι ἀνασχόμενος τότε ὑπὸ κνίσης πονηρᾶς, οἵαν εἰκὸς ἀποφέρεσθαι ὀπτωμένων ἀνθρωπείων σωμάτων. Εἰ γοῦν μὴ εἰς τὴν Ἀραβίαν ὡς εἶχον εὐθὺς ἀπιὼν ᾠχόμην, ἀπολώλειν ἄν, εὖ ἴσθι, ἀτοπίᾳ τοῦ καπνοῦ· καὶ ὅμως ἐν τοσαύτῃ εὐωδίᾳ καὶ ἀφθονίᾳ τῶν ἀρωμάτων καὶ ἐν λιβανωτῷ παμπόλλῳ μόλις αἱ ῥῖνες ἐπιλαθέσθαι μοι καὶ ἀπομαθεῖν ἤθελον τὴν κηλῖδα ἐκείνην τῆς ὀσμῆς, ἀλλὰ καὶ νῦν ὀλίγου δέω ναυτιᾶν ὑπομνησθεὶς αὐτῆς.

2. ΑΠΟΛ. Τί δαὶ βουλόμενος, ὦ Ζεῦ, τοιαῦτα εἴργασται ἑαυτόν; ἢ τί τὸ ἀγαθὸν, ἀπανθρακωθῆναι ἐμπεσόντα εἰς τὴν πυράν;

ΖΕΥΣ. Τοῦτο μὲν οὐκ ἂν, ὦ παῖ, φθάνοις καὶ

LXIX.

FUGITIVI.

1. APOLLO. Verane narrant ista, pater, fuisse qui in ignem se conjiceret e regione celebritatis Olympiorum, jam senem hominem, nec ignavum ad talia portentorum artificem? Luna enim nobis narravit, quæ vidisse se diceret ardentem.

JUPITER. Vera omnino sunt, Apollo: quæ utinam facta nunquam essent!

APOL. Adeone bonus erat senex, atque indignus qui igni periret?

JUP. Potest ut fuerit ita: at ego multam me tum perferre injucunditatem memini a malo illo nidore, qualem sursum ferri naturale est ab assatis corporibus humanis. Nisi enim in Arabiam statim, ut habebam, abiissem, perieram, bene noris, a fumo teterrimo. Et tamen in tanta suaveolentia et copia aromatum, in thure adeo multo, vix meæ oblivisci nares ac dediscere voluerunt illam odoris labem: sed nunc etiam parum abest quin nauseem ad illius memoriam.

2. APOL. Quid vero voluit, Jupiter, quod hæc in se designavit, aut quid boni in eo inest, si quis in rogum desiliens mutetur in carbones?

JUP. Hac in re evitare non potes quin ante ipsum Em-

Ἐμπεδοκλεῖ πρὸ αὐτοῦ ἐγκαλῶν, ὃς ἐς τοὺς κρατῆρας ἥλατο καὶ αὐτὸς ἐν Σικελίᾳ.

ΑΠΟΛ. Μελαγχολίαν τινὰ δεινὴν λέγεις. Ἀτὰρ οὗτός γε τίνα ποτὲ ἄρα τὴν αἰτίαν ἔσχε τῆς ἐπιθυμίας;

ΖΕΥΣ. Αὐτοῦ σοι λόγον ἐρῶ, ὃν ἔλεξε πρὸς τὴν πανήγυριν ἀπολογούμενος πρὸς αὐτοὺς ὑπὲρ τῆς τελευτῆς. Ἔφη γάρ, εἴ γε μέμνημαι....

3. Ἀλλὰ τίς αὕτη σπουδῇ πρόσεισι τεταραγμένη καὶ δακρύουσα, πάνυ ἀδικουμένῃ ἐοικυῖα; μᾶλλον δὲ Φιλοσοφία ἐστὶ καὶ τοὔνομά γε τοὐμὸν ἐπιβοᾶται σχετλιάζουσα. Τί, ὦ θύγατερ, δακρύεις; ἢ τί ἀπολιποῦσα τὸν βίον ἐλήλυθας; ἆρα μὴ οἱ ἰδιῶται αὖθις ἐπιβεβουλεύκασί σοι ὡς τὸ πρόσθεν, ὅτε τὸν Σωκράτην ἀπέκτειναν ὑπὸ Ἀνύτου κατηγορηθέντα, εἶτα φεύγεις διὰ τοῦτο αὐτούς;

ΦΙΛΟΣΟΦΙΑ. Οὐδὲν τοιοῦτον, ὦ πάτερ, ἀλλ' ἐκεῖνοι μὲν ὁ πολὺς λεὼς ἐπῄνουν καὶ διὰ τιμῆς ἦγον αἰδούμενοι καὶ θαυμάζοντές με καὶ μονονουχὶ προσκυνοῦντες, εἰ καὶ μὴ σφόδρα ξυνίεσαν ὧν λέγοιμι. Οἱ δέ, πῶς ἂν εἴποιμι, οἱ ξυνήθεις καὶ φίλοι φάσκοντες εἶναι καὶ τοὔνομα τοὐμὸν ὑποδυόμενοι ἐκεῖνοί με τὰ δεινότατα εἰργάσαντο.

4. ΖΕΥΣ. Οἱ φιλόσοφοι ἐπιβουλήν τινα ἐπιβεβουλεύκασί σοι;

ΦΙΛ. Οὐδαμῶς, ὦ πάτερ, οἵ γε ξυνηδίκηνταί μοι καὶ αὐτοί.

ΖΕΥΣ. Πρὸς τίνων οὖν ἠδίκησαι, εἰ μήτε τοὺς ἰδιώτας μήτε τοὺς φιλοσόφους αἰτιᾷ;

ΦΙΛ. Εἰσί τινες, ὦ Ζεῦ, ἐν μεταιχμίῳ τῶν τε πολλῶν καὶ τῶν φιλοσοφούντων τὸ μὲν σχῆμα καὶ βλέμμα καὶ βάδισμα ἡμῖν ὅμοιοι καὶ κατὰ τὰ αὐτὰ ἐσταλμένοι· ἀξιοῦσι γοῦν ὑπ' ἐμοὶ τάττεσθαι καὶ τοὔνομα τὸ ἡμέτερον ἐπιγράφονται, μαθηταὶ καὶ ὁμιληταὶ καὶ θιασῶται ἡμῶν εἶναι λέγοντες· ὁ βίος δὲ παμμίαρος αὐτῶν, ἀμαθίας καὶ θράσους καὶ ἀσελγείας ἀνάπλεως, ὕβρις οὐ μικρὰ καθ' ἡμῶν· ὑπὸ τούτων, ὦ πάτερ, ἠδικημένη πέφευγα.

5. ΖΕΥΣ. Δεινὰ ταῦτα, ὦ θύγατερ. Ἀλλὰ τί μάλιστα ἠδικήκασί σε;

ΦΙΛ. Σκόπει, ὦ πάτερ, εἰ μικρά. Σὺ γὰρ κατιδὼν τὸν βίον ἀδικίας καὶ παρανομίας μεστὸν, ἅτε ἀμαθίᾳ καὶ ὕβρει ξυνόντα, καὶ ταραττόμενον ὑπ' αὐτῶν κατελεήσας τὸ ἀνθρώπινον ὑπὸ τῇ ἀγνοίᾳ ἑλαυνόμενον ἐμὲ κατέπεμψας ἐντειλάμενος ἐπιμεληθῆναι ὡς παύσαιντο μὲν ἀδικοῦντες ἀλλήλους καὶ βιαζόμενοι καὶ ὅμοια τοῖς θηρίοις βιοῦντες, ἀναβλέψαντες δὲ πρὸς τὴν ἀλήθειαν εἰρηνικώτερον ξυμπολιτεύοιντο· ἔφης γοῦν πρός με καταπέμπων, Ἃ μὲν πράττουσιν οἱ ἄνθρωποι καὶ ὡς διάκεινται ὑπὸ τῆς ἀμαθίας, ὦ θύγατερ, καὶ αὐτὴ ὁρᾷς, ἐγὼ δὲ, ἐλεῶ γὰρ αὐτούς, σὲ ἡν μόνην ἰάσασθαι ἂν τὰ γιγνόμενα οἶμαι, προκρίνας ἐξ ἁπάντων ἡμῶν πέμπω ἰασομένην.

6. ΖΕΥΣ. Οἶδα πολλὰ καὶ ταῦτα εἰπὼν τότε. Σὺ δὲ τὰ μετὰ ταῦτα ἤδη λέγε, ὅπως μὲν ὑπεδέξαντό σε[1] pedocli quoque intentes crimen, qui in crateras et ipse in Sicilia desilit.

APOL. Vehementem mihi melancholiam narras. Verum hic quam tandem illius cupiditatis causam habuit?

JUP. Ipsius tibi orationem referam, quam in conventu habuit, quum causam apud illos mortis suæ diceret. Dixit enim, si bene memini ....

3. Sed quænam ista contente ad nos accedit perturbata et lacrimans, injuriam magnam passæ similis? Quin Philosophia est, et nomen meum miserabili voce inclamat. Quid, mea filia, ploras? aut quid relicto sæculo huc venisti? numquid denuo contra te machinati aliquid sunt imperiti, ut olim, quum accusatum ab Anyto Socratem interfecere? tum tu propterea illos fugis?

PHILOSOPHIA. Nihil tale, pater: quin illi quidem, vulgus promiscuum, laudarunt et in honore me cum veneratione atque admiratione habuerunt, ac tantum non adorarunt, etsi non valde quæ dicerem intelligebant. Verum isti, quomodo illos vocem? qui se familiares meos et amicos esse aiunt, et nominis mei larvam induunt, illi ergo pessime me tractarunt.

4. JUP. Philosophi ipsi contra te aliquid machinati sunt?

PHIL. Non, pater: hi enim et ipsi injuria mecum affecti sunt.

JUP. A quibus ergo injuriam accepisti, si neque indoctos accusas, neque philosophos?

PHIL. Sunt quidam, Jupiter, interjecti velut inter utramque aciem, vulgus inter et philosophos, habitu, oculorum conjectu, incessu nobis similes, et eadem ratione compositi: postulant enim meis in castris militare, et nostrum sibi nomen inscribunt, discipulos se et familiares et sodales nostros dicunt; at vita illorum impurissima, inscitia, audacia, libidine plena, quæ non parva sit in nos contumelia. Ab hisce, pater, læsa profugi.

5. JUP. Dura hæc sane, filia. Sed qua in re maxime te læserunt?

PHIL. Vide, pater, an sint parva. Tu enim quum videres sæculum injustitia et iniquitate plenum, quod cum inscitia et contumelia versaretur, et ab iis perturbaretur; miseratus humanum genus ab ignorantia agitatum, me demisisti cui præceperas uti curam agerem, quo desinerent mutuis se injuriis afficere et vim facere, et similem feris bestiis vitam agere; sed oculis ad verum conversis, magis pacatam inter se civitatem haberent. Dicebas enim, quum demitteres, Quæ agant homines, et quomodo ab inscitia affecti sint, ipsa vides, mea filia: ego autem, qui illorum misericordia tangar, te, quam solam mederi posse his quæ fiunt arbitrer, ex omni nostro numero delectam demitto ut sanes.

6. JUP. Scio multa me et talia tum dixisse. Tu vero

καταπταμένην τὸ πρῶτον, ἄτινα δὲ νῦν ὑπ' αὐτῶν πέπονθας.

ΦΙΛ. Ἦξα μέν, ὦ πάτερ, οὐκ ἐπὶ τοὺς Ἕλληνας εὐθύς, ἀλλ' ὅπερ ἐδόκει μοι χαλεπώτερον τοῦ ἔργου εἶναι τὸ βαρβάρους παιδεύειν καὶ διδάσκειν, τοῦτο πρῶτον ἠξίουν ἐργάσασθαι, τὸ Ἑλληνικὸν δὲ εἴων ὡς ῥᾷστον ὑποβαλέσθαι καὶ τάχιστα, ὥς γε ᾠμην, ἐνδεξόμενον τὸν χαλινὸν καὶ ὑπαχθησόμενον τῷ ζυγῷ, ὁρμήσασα δὲ εἰς Ἰνδοὺς τὸ πρῶτον, ἔθνος μέγιστον τῶν ἐν τῷ βίῳ, οὐ χαλεπῶς ἔπεισα καταβάντας ἀπὸ τῶν ἐλεφάντων ἐμοὶ συνεῖναι· ὥστε καὶ γένος ὅλον οἱ Βραχμᾶνες τοῖς Νεχραίοις καὶ Ὀξυδράκαις ὅμοροι οὗτοι πάντες ὑπ' ἐμοὶ τάττονται καὶ βιοῦσί γε κατὰ τὰ ἡμῖν δοκοῦντα τιμώμενοι πρὸς τῶν περιοίκων ἁπάντων καὶ ἀποθνήσκουσι παράδοξόν τινα τοῦ θανάτου τρόπον.

7. ΖΕΥΣ. Τοὺς γυμνοσοφιστὰς λέγεις. Ἀκούω γοῦν τά τε ἄλλα περὶ αὐτῶν καὶ ὅτι ἐπὶ πυρὰν μεγίστην ἀναβάντες ἀνέχονται καόμενοι οὐδὲν τοῦ σχήματος ἢ τῆς καθέδρας ἐκτρέποντες. Ἀλλ' οὐ μέγα τοῦτο· ἐναγχος γοῦν καὶ Ὀλυμπίασι τὸ ὅμοιον ἐγὼ εἶδον γενόμενον· εἰκὸς δὲ καὶ σὲ παρεῖναι καομένου τότε τοῦ γέροντος.

ΦΙΛ. Οὐδὲ ἀνῆλθον, ὦ πάτερ, εἰς Ὀλυμπίαν δέει τῶν καταράτων ἐκείνων, οὓς ἔφην, ὅτι πολλοὺς αὐτῶν ἑώρων ἀπιόντας, ὡς λοιδορήσαιντο τοῖς ξυνεληλυθόσι καὶ βοῆς τὸν ὀπισθόδομον ἐμπλήσωσιν ὑλακτοῦντες, ὥστε οὐδὲ εἶδον ἐκεῖνον ὅπως ἀπέθανε.

8. Μετὰ γοῦν τοὺς Βραχμᾶνας εἰς Αἰθιοπίαν εὐθύς, εἶτα εἰς Αἴγυπτον κατέβην, καὶ ξυγγενομένη τοῖς ἱερεῦσι καὶ προφήταις αὐτῶν καὶ τὰ θεῖα παιδεύσασα ἐς Βαβυλῶνα ἀπῆρα Χαλδαίους καὶ μάγους μυήσουσα, εἶτα ἐς Σκυθίαν ἐκεῖθεν, εἶτα ἐς Θρᾴκην, ἔνθα μοι Εὔμολπος καὶ Ὀρφεὺς συνεγενέσθην, οὓς καὶ προαποστείλασα ἐς τὴν Ἑλλάδα τὸν μέν, ὡς τελέσειεν αὐτούς, τὸν Εὔμολπον — ἐμεμαθήκει γὰρ τὰ θεῖα παρ' ἡμῶν ἅπαντα — τὸν δέ, ὡς ἐπᾴδων προσβιβάζοι τῇ μουσικῇ, κατὰ πόδας εὐθὺς εἰπόμην.

9. Καὶ τὸ μὲν πρῶτον εὐθὺς ἐλθοῦσαν οὔτε πάνυ ἠσπάσαντο οἱ Ἕλληνες οὔτε ὅλως ἀπέκλεισαν· κατ' ὀλίγον δὲ προσομιλοῦσα ἑπτὰ ἐκ τῶν ἁπάντων ἑταίρους καὶ μαθητὰς προσηγαγόμην καὶ ἄλλον ἐκ Σάμου καὶ ἄλλον ἐξ Ἐφέσου καὶ Ἀβδηρόθεν ἄλλον, ὀλίγους παντάπασι.

10. Μεθ' οὓς τὸ σοφιστῶν φῦλον οὐκ οἶδ' ὅπως μοι παρενεφύετο οὔτε ζηλοῦν τἀμὰ ἐς βάθος οὔτε κομιδῇ ἀπᾷδον, ἀλλ' οἷον τὸ Ἱπποκενταύρων γένος, σύνθετόν τι καὶ μικτὸν ἐν μέσῳ ἀλαζονείας καὶ φιλοσοφίας πλαζόμενον, οὔτε τῇ ἀγνοίᾳ τέλεον προσεχόμενον οὔτε ἡμᾶς ἀτενέσι τοῖς ὀφθαλμοῖς καθορᾶν δυνάμενον, ἀλλ' οἷον λημῶντες ὑπὸ τοῦ ἀμβλυώττειν ἀσαφές τι καὶ ἀμυδρὸν ἡμῶν εἴδωλον ἢ σκιὰν ἐνίοτε ἰδόντες ἂν, οἱ δὲ ᾠοντο ἀκριβῶς πάντα κατανενοηκέναι. Ὅθεν παρ' αὐτοῖς ἡ ἀχρεῖος ἐκείνη καὶ περιττὴ σοφία καὶ, ὡς αὐτοὶ ᾠοντο, ἀπρόσμαχος ἀνεφλέγετο, αἱ κομψαὶ καὶ

jam dic quæ insecuta sint, quomodo illi receperint te primum advolantem, et quæ sis nunc ab ipsis passa.

PHIL. Properabam, pater, non statim ad Græcos, sed, quæ videbatur mihi difficilior operis pars esse, instituere ac docere barbaros, illam primum volebam perficere. Omissis ergo interim Græcis, quos faciles admodum subactu putabam, et celerrime recepturos frena et jugo iri submissum; ad Indos primum excucurri, maximam orbis gentem, nec difficulter iis persuasi, ut descendentes suis ab elephantis mecum versarentur: adeo ut etiam una gens tota, Brachmanes, qui in Nechræorum et Oxydracarum confiniis colunt, hi jam omnes militent mihi, et nostris ex præceptis vivant; qua de causa magno in honore sunt apud omnes vicinos, ac miro quodam mortis genere moriuntur.

7. JUP. Gymnosophistas dicis. Audio enim inter reliqua de illis hoc quoque, maximo illos rogo conscenso urendos se præbere, neque quicquam de habitu aut positu membrorum mutare. Sed nihil hoc magnum: nuper enim Olympiæ simile quid fieri ego vidi: credibile autem te quoque adfuisse tum, quum senex arderet.

PHIL. Neque accessi, pater, Olympiam, metu sacerrimorum hominum quos dixi, quod multos illorum viderem eo abire, uti maledicerent ibi congregatis, clamosoque suo latratu posticum templi implerent: igitur neque vidi illum, quomodo sit mortuus.

8. Post Brachmanas ergo statim in Æthiopiam, ac deinde in Ægyptum descendi, et versata ibi cum sacerdotibus illorum ac prophetis, quum divina eos docuissem, Babylonem perrexi, ut Chaldæos et magos initiarem: tum inde in Scythiam; deinde in Thraciam, ubi Eumolpus et Orpheus mecum fuere. Quos etiam præmissos in Græciam, alterum ut illos initiaret, Eumolpum (didicerat enim a nobis divina omnia), alterum ut canendo musicæ ipsos assuefaceret, e vestigio statim consecuta sum.

9. Ac primum quidem advenientem neque vehementer amplexi sunt Græci, neque plane excluserunt. Paullatim vero alloquio meo septem ex omnibus sodales ac discipulos mihi conciliavi, et ex Samo alium, et alium Epheso, et Abdera alium, paucos omnino.

10. Post quos Sophistarum mihi gens nescio quomodo adhæsit, neque æmulans profunde mea placita, neque omnino ab iis abhorrens; sed, velut Hippocentaurorum genus, compositum quiddam et mistum, inter imposturam et philosophiam medium oberrans, neque ignorantiæ plane adhærens, neque in nos defigere intentos oculos valens; sed velut lippientes, præ hebetudine visus obscurum quoddam et evanidum nostri simulacrum aut umbram forte nonnunquam videntes, dum accurate omnia se nosse arbitrarentur. Unde apud illos inutilis ista ac superflua sapientia, et, ut ipsi putabant, invicta, accendebatur, comtulæ illæ et du-

ἄποροι καὶ ἄτοποι ἀποκρίσεις καὶ δυσέξοδοι καὶ λαβυρινθώδεις ἐρωτήσεις.

11. Εἶτα κωλυόμενοι καὶ ἐλεγχόμενοι πρὸς τῶν ἑταίρων τῶν ἐμῶν ἠγανάκτουν καὶ συνίσταντο ἐπ' αὐτοὺς, καὶ τέλος δικαστηρίοις ὑπῆγον καὶ παρεδίδοσαν πιομένους τοῦ κωνείου. Ἐγρῆν μὲν οὖν ἴσως τότε φυγεῖν εὐθὺς καὶ μηκέτι ἀνέχεσθαι τὴν συνουσίαν αὐτῶν, νῦν δὲ Ἀντισθένης με καὶ Διογένης καὶ μετὰ μικρὸν Κράτης καὶ Μένιππος οὗτος ἔπεισαν ὀλίγον ὅσον ἐπιμετρῆσαι τῆς μονῆς. Ὡς μήποτε ὤφελον· οὐ γὰρ ἂν τοσαῦτα ἐπεπόνθειν ὕστερον.

12. ΖΕΥΣ. Οὐδέπω μοι λέγεις, ὦ Φιλοσοφία, τίνα ἠδίκησαι, ἀλλ' ἀγανακτεῖς μόνον.

ΦΙΛ. Καὶ μὴν ἄκουε, ὦ Ζεῦ, ἡλίκα ἐστί· μιαρὸν γάρ τι φῦλον ἀνθρώπων καὶ ὡς τὸ πολὺ δουλικὸν καὶ θητικὸν, οὐ ξυγγενόμενον ἡμῖν ἐκ παίδων ὑπ' ἀσχολίας· ἐδούλευε γὰρ ἢ ἐθήτευεν ἢ ἄλλας τέχνας οἵας εἰκὸς τοὺς τοιούτους ἐμάνθανε, σκυτεύειν ἢ τεκταίνειν ἢ περὶ πλυνοὺς ἔχειν ἢ ἔρια ξαίνειν, ὡς εὐεργὰ εἴη ταῖς γυναιξὶ καὶ εὐμήρυτα καὶ κατάγοιτο εὐμαρῶς, ὁπότε ἢ κρόκην ἐκεῖναι στρέφοιεν ἢ μίτον κλώθοιεν. Τοιαῦτα τοίνυν ἐν παισὶ μελετῶντες οὐδὲ ὄνομα τὸ ἡμέτερον ᾔδεσαν. Ἐπεὶ δὲ εἰς ἄνδρας τελεῖν ἤρξαντο καὶ κατεῖδον τὴν αἰδῶ, ὅση παρὰ τῶν πολλῶν ἐστι τοῖς ἑταίροις τοῖς ἐμοῖς, καὶ ὡς ἀνέχονται οἱ ἄνθρωποι τὴν παρρησίαν τὴν αὐτῶν καὶ χαίρουσι θεραπευόμενοι καὶ συμβουλεύουσι πείθονται καὶ ἐπιτιμώντων ὑποπτήσσουσι, ταῦτα πάντα τυραννίδα οὐ μικρὰν ἡγοῦντο εἶναι.

13. Τὸ μὲν δὴ μανθάνειν ὅσα τῇ τοιαύτῃ προαιρέσει πρόσφορα, μακρὸν ἦν, μᾶλλον δὲ κομιδῇ ἀδύνατον. Αἱ τέχναι δὲ γλίσχραι καὶ σὺν πόνῳ καὶ μόγις ἱκανὰ παρέχειν ἐδύναντο. Ἐνίοις δὲ καὶ ἡ δουλεία βαρὺ καὶ ὥσπερ οὖν ἐστιν, ἀφόρητον ἐφαίνετο. Ἔδοξε δὴ σκοπουμένοις τὴν ὑστάτην ἄγκυραν, ἣν ἱερὰν οἱ ναυτιλλόμενοί φασι, καθιέναι, καὶ ἐπὶ τὴν βελτίστην ἀπόνοιαν ὁρμίσαντες, ἔτι τε καὶ τόλμαν καὶ ἀμαθίαν καὶ ἀναισχυντίαν προσπαρακαλέσαντες, αἴπερ αὐτοῖς μάλιστα συναγωνίζονται, καὶ λοιδορίας καινὰς ἐκμελετήσαντες, ὡς πρόχειροι εἶεν καὶ ἀνὰ στόμα, ταύτας μόνας ξυμβολὰς ἔχοντες — ὁρᾷς ὁποῖα πρὸς φιλοσοφίαν ἐφόδια; — σχηματίζουσι καὶ μετακοσμοῦσιν αὐτοὺς εὖ μάλα εἰκότως καὶ πρὸς ἐμέ, οἷόν τι ἀμέλει ὁ Αἴσωπός φησι ποιῆσαι τὸν ἐν τῇ Κύμῃ ὄνον, ὃς λεοντῆν περιβαλόμενος καὶ τραχὺ ὀγκώμενος ἠξίου λέων καὶ αὐτὸς εἶναι· καί πού τινες καὶ ἦσαν ἴσως οἱ πιστεύοντες αὐτῷ.

14. Τὰ δ' ἡμέτερα πάνυ ῥᾷστα, ὡς οἶσθα, καὶ ἐς μίμησιν πρόχειρα — τὰ προφανῆ λέγω — καὶ οὐ πολλῆς τῆς πραγματείας δεῖ τριβώνιον περιβαλέσθαι καὶ πήραν ἐξαρτήσασθαι καὶ ξύλον ἐν τῇ χειρὶ ἔχειν καὶ βοᾶν, μᾶλλον δὲ ὀγκᾶσθαι ἢ ὑλακτεῖν καὶ λοιδορεῖσθαι ἅπασι· τὴν ἀσφάλειαν γὰρ αὐτοῖς τοῦ μηδὲν ἐπὶ τούτῳ παθεῖν ἡ πρὸς τὸ σχῆμα αἰδὼς παρέξειν ἔμελλεν. Ἡ ἐλευθερία δὲ πρόχειρος, ἄκοντος τοῦ δεbitabiles et inexspectatæ responsiones, et exitum non habentes labyrinthisque similes interrogationes.

11. Deinde prohibiti ac reprehensi a meis sodalibus, indigne ferre et adversus illos coire, ac tandem in jus cogere, et eo dare ubi cicutam biberent. Oportebat forte tum statim fugere, neque amplius illorum ferre consuetudinem: jam vero Antisthenes et Diogenes, et paullo post Crates, et Menippus hic persuasere mihi ut paullum adhuc moræ quasi corollarium adjicerem : quod utinam non fecissem! neque enim tot deinde mala subiissem.

12. JUP. Nondum mihi dicis, Philosophia, quamnam injuriam sis passa, sed indignaris tantum.

PHIL. Quin tu audi, Jupiter, quanta sint. Impurum enim quoddam genus hominum, et plerumque servile atque mercenarium, non versatum nobiscum a pueritia ob negotia : servitutem enim serviit, aut mercede opus fecit, aut artes alias, quales cadunt in tales, didicit, cerdoniam, fabritem, fulloniam, eam quæ in lanis carpendis versatur, ut facilius deinde eæ tractentur a feminis, sintque ad nendum et deducendum commodiores, quoties vel tramam illæ torquere vel nere licium volunt. Hæc ergo isti puerili ætate exercentes, ne nomen quidem nostrum noverant. Quum vero ad virilem ætatem pervenissent, animadversa quæ meis sodalibus a multitudine habetur reverentia, et ut sustinent homines illorum in dicendo libertatem, et curari se gaudent, et consulentibus obsequuntur, et reprehendentibus timide concedunt, regnum non parvum arbitrabantur esse hæc omnia.

13. Ac discere quæcumque huic instituto vitæ conveniunt, longum erat, aut potius plane illis negatum. Artes vero parcæ, et cum labore, et vix tamen vel sic præstare quod satis esset poterant. Quibusdam etiam grave servitutis onus, et, ut est, intolerabile videbatur. Considerantibus ergo placuit ultimam ancoram, quam sacram appellant nautæ, demittere; firmantesque navim in præclara illa amentia, advocatis insuper audacia, inscitia atque impudentia, quæ maxime hoc illis certamen adjuvant; noviaque excogitatis conviciis, ut præsto statim et in ore sint : has ergo symbolas solas quum habeant (viden' qualia ad philosophiam viatica?) figuram sumunt ornatumque sane decentem, mihique quam simillimum : nimirum quale quid fecisse ait Æsopus illum Cumis asinum, qui leonina circumposita asperum rudens, leo et ipse esse postulabat. Ac forte erant alicubi qui fidem illi haberent.

14. Nostra vero facillima omnino, ut nosti, et ad imitandum expedita (externa illa dico), nec multum negotii est palliolo amiciri, et peram gestare suspensam, et clavam in manu habere, et clamare, vel rudere potius aut latrare, et maledicere omnibus : quippe securitatem illis nihil ob eam rem patiendi ipsa habitus præstitura erat reverentia : porro in promtu erat invito etiam domino libertas, qui si asserere auderet, futurum erat ut fusti percuteretur. Cibus autem

σπότου, κἂν εἰ βούλοιτο ἀπάγειν, παταχθησομένου τῷ ξύλῳ. Καὶ τὰ ἅλφιτα οὐκέτ' ὀλίγα οὐδὲ ὡς πρὸ τοῦ μᾶζα ψιλή, τὸ δὲ ὄψον οὐ τάριχος ἢ θύμον, ἀλλὰ κρέα παντοδαπὰ καὶ οἶνος οἷος ἥδιστος, καὶ χρυσίον παρ' ὅτου ἂν ἐθέλωσι· δασμολογοῦσι γὰρ ἐπιφοιτῶντες ἤ, ὡς αὐτοί φασιν, ἀποκείρουσι τὰ πρόβατα δώσειν τε πολλοὺς οἶόν τε ἢ αἰδοῖ τοῦ σχήματος ἢ δέει τοῦ μὴ ἀκοῦσαι κακῶς.

15. Καὶ γὰρ αὖ κἀκεῖνο ἑώρων, οἶμαι, ὡς ἐξ ἴσου καταστήσονται τοῖς ὀρθῶς φιλοσοφοῦσιν. Οὐδέ τις ὁ δικάσων καὶ διακρινῶν τὰ τοιαῦτα ἔσται, ἢν μόνον τὰ ἔξω ᾖ ὅμοια· ἀρχὴν γὰρ οὐδὲ τὸν ἔλεγχον δέχονται, ἢν ἔρηταί τις οὕτωσὶ κοσμίως καὶ κατὰ βραχύ, ἀλλ' εὐθὺς βοῶσι καὶ ἐπὶ τὴν ἀκρόπολιν τὴν ἑαυτῶν ἀναφεύγουσι τὴν λοιδορίαν καὶ πρόχειρον τὸ ξύλον. Καὶ ἢν μὲν τὰ ἔργα ζητῇς, οἱ λόγοι πολλοί, ἢν δὲ ἀπὸ τῶν λόγων κρίνειν ἐθέλῃς, τὸν βίον ἀξιοῦσι σκοπεῖν.

16. Τοιγαροῦν ἐμπέπλησται πᾶσα ἡ πόλις τῆς τοιαύτης βαδιουργίας, καὶ μάλιστα τῶν Διογένην καὶ Ἀντισθένην καὶ Κράτητα ἐπιγραφομένων καὶ ὑπὸ τῷ κυνὶ ταττομένων, οἳ τὸ μὲν χρήσιμον ὁπόσον ἔνεστι τῇ φύσει τῶν κυνῶν, οἷον τὸ φυλακτικὸν ἢ οἰκουρικὸν ἢ φιλοδέσποτον ἢ μνημονικόν, οὐδαμῶς ἐζηλώκασιν, ὑλακὴν δὲ καὶ λιχνείαν καὶ ἁρπαγὴν καὶ ἀφροδίσια συχνὰ καὶ κολακείαν καὶ τὸ σαίνειν τὸν διδόντα καὶ περὶ τραπέζας ἔχειν, ταῦτα ἀκριβῶς ἐκπεπονήκασιν.

17. Ὄψει τοίνυν μετὰ μικρὸν οἷα ἔσται· οἱ γὰρ ἐκ τῶν ἐργαστηρίων ἅπαντες ἀναπηδήσαντες ἐρήμους τὰς τέχνας ἐάσουσιν, ὅταν ὁρῶσι σφᾶς μὲν πονοῦντας καὶ κάμνοντας ἕωθεν ἐς ἑσπέραν ἐπικεκυφότας τοῖς ἔργοις μόγις ἀποζῶντας ἐκ τῆς τοιαύτης μισθαρνίας, ἀργοὺς δὲ καὶ γόητας ἀνθρώπους ἐν ἅπασιν ἀφθόνοις βιοῦντας, αἰτοῦντας μὲν τυραννικῶς, λαμβάνοντας δὲ προχείρως, ἀγανακτοῦντας δέ, εἰ μὴ λάβοιεν, οὐκ ἐπαινοῦντας δέ, οὐδ' εἰ λάβοιεν. Ταῦτα ὁ ἐπὶ Κρόνου βίος δοκεῖ αὐτοῖς καὶ ἀτεχνῶς τὸ μέλι αὐτὸ ἐς τὰ στόματα ἐσρεῖν ἐκ τοῦ οὐρανοῦ.

18. Καὶ ἧττον ἂν δεινὸν τὸ πρᾶγμα ἦν, εἰ τοιοῦτοι ὄντες μηδὲν ἐς ἡμᾶς ἄλλο ἐξύβριζον· οἱ δὲ μάλα σεμνοὶ καὶ σκυθρωποὶ τὰ ἔξω καὶ τὰ δημόσια φαινόμενοι ἢν παιδὸς ὡραίου ἢ γυναικὸς λάβωνται καλῆς ἢ ἐλπίσωσι, σωπᾶν ἄξιον οἷα ποιοῦσιν. Ἔνιοι δὲ καὶ ξένων τῶν σφετέρων γυναῖκας ἀπάγουσι μοιχεύσοντες κατὰ τὸν Ἰλιέα ἐκεῖνον νεανίσκον, ὡς φιλοσοφοῖεν δὴ καὶ αὐταί· εἶτα κοινὰς αὐτὰς ἅπασι τοῖς ξυνοῦσι προθέμενοι Πλάτωνός τι δόγμα οἴονται ποιεῖν οὐκ εἰδότες ὅπως ὁ ἱερὸς ἐκεῖνος ἠξίου κοινὰς ἡγεῖσθαι τὰς γυναῖκας.

19. Ἃ μὲν γὰρ ἐν τοῖς συμποσίοις ὁρῶσι καὶ ἃ μεθύσκονται, μακρὸν ἂν εἴη λέγειν. Καὶ ταῦτα ποιοῦσι, πῶς οἴει; κατηγοροῦντες αὐτοὶ μέθης καὶ μοιχείας καὶ λαγνείας καὶ φιλαργυρίας· οὐδὲν γοῦν οὕτως εὕροις ἂν ἄλλο ἄλλῳ ἐναντίον ὡς τοὺς λόγους αὐτῶν καὶ τὰ ἔργα· οἷον κολακείαν μισεῖν φασι κολακείας ἕνεκα τὸν Γναθωνίδην ἢ τὸν Στρουθίαν ὑπερβαλέσθαι δυνάμενοι, ἀλη-

non jam tenuis, neque ut ante nuda puls; obsonium non salsamentum aut thymus; sed carnes omnis generis, et vinum quodque suavissimum; et aurum a quocumque voluerint. Nempe tributum quoddam crebro accessu suo colligunt; vel, ut ipsi loquuntur, tondent oviculas; et daturi sunt multi vel habitus pudore, vel metu ne male audiant.

15. Nam illud quoque observarunt, opinor, se æquo fastigio staturos cum his qui recte philosophantur. Neque enim quisquam erit qui judicet ista vel discernat, modo externa sint similia. Neque enim omnino illam ex argumentis probationem admittunt, si quis illos sic placide et breviter interroget; sed clamant statim et ad arcem suam, convicia, confugiunt, et expediunt fustem: ac, si opera illorum requiras, multa in ore est doctrina; sin ex doctrina illos judicare velis, vitam te considerare postulant.

16. Itaque plena fraudibus istis civitas tota, illorum præsertim qui Diogenem et Antisthenem et Cratetem sibi inscribunt et sub Canis signis militant: qui quod utile inest in natura canum, ut cautionem illam, illam domus custodiam, dominorum illum amorem, memoriam, nullo modo imitantur; latratum vero, et ligurritionem, et rapacitatem, et venerem crebram, et adulationem, et illa ad dantes blandimenta, et mensarum assectationem, hæc omnia ad unguem exprimunt.

17. Videbis ergo paullo post quid futurum sit. Exsilientes enim de officinis universi desertas relinquent artes, ubi videbunt se quidem, opus quum faciant et laborent a mane inde ad vesperam, operibus intenti suis, vix tamen sibi victum ex illa mercenaria ratione parare; otiosos vero homines atque impostores in omnium rerum affluentia vivere, quum petant quasi tyranni essent, accipiant promte; indignentur, si nihil ferant; non laudent, etiamsi acceperint. Hæc vita, qualis illa sub Saturno fuit, videtur ipsis, et tantum non mel merum in ora influere cœlitus.

18. Ac minus in ea re mali esset, si tales quum sint, nulla nos alia contumelia afficerent. At isti, vehementer graves et tristes quantum ad externa et publica qui videantur, si puerum formosum aut mulierem pulchram vel nanciscantur vel sperent, quid faciant, silere melius est. Quidam etiam suorum hospitum mulieres abducunt corrumpendas adulterio, ut Trojanus ille juvenis, nimirum ut ipsæ etiam philosophentur: tum communes illas omnibus suis familiaribus prostituunt, Platonis quoddam se placitum perficere rati, ignari quo sensu divinus ille communes esse mulieres voluerit.

19. Quæ quidem faciant in conviviis, et quomodo per ebrietatem se gerant, commemorare longum fuerit. Et hæc faciunt, quid putas? accusantes ipsi ebrietatem, et adulterium, et lasciviam, et avaritiam. Nihil enim ita adversum alteri alterum invenies, ut sunt sermones illorum et facta: verbi gratia adulationi se inimicos aiunt, quum adulationis causa Gnathonidem aut Struthiam superare

θεύειν τοὺς ἄλλους προτρέποντες οὐκ ἂν οὐδὲ κινῆσαι τὴν γλῶτταν μὴ μετὰ τοῦ καὶ ψεύσασθαι δύναιντο. Ἡδονὴ πᾶσιν ἐχθρὸν τῷ λόγῳ καὶ ὁ Ἐπίκουρος πολέμιος, ἔργῳ δὲ διὰ ταύτην ἅπαντα πράττουσι. Τὸ δ' ὀξύχολον καὶ μικραίτιον καὶ πρὸς ὀργὴν ῥᾴδιον ὑπὲρ τὰ βρεφύλλια τὰ νεογνά· γέλωτα γοῦν οὐ μικρὸν παρέχουσι τοῖς θεωμένοις, ὁπόταν ὑπὸ τῆς τυχούσης αἰτίας ἐπιζέσῃ μὲν αὐτοῖς ἡ χολή, πελιδνοὶ δὲ τὴν χροιὰν βλέπωνται ἰταμόν τι καὶ παράφορον δεδορκότες καὶ ἀφροῦ, μᾶλλον δὲ ἰοῦ μεστὸν αὐτοῖς ᾖ τὸ στόμα.

20. Μὴ σύ γε κεῖθι τύχοις, ὅτε ὁ μιαρὸς ἐκεῖνος ἐκχεῖται βόρβορος, Χρυσίον μὲν ἢ ἀργύριον, Ἡράκλεις, οὐδὲ κεκτῆσθαι ἄξιῶ, ὀβολὸς ἱκανὸς, ὡς θέρμους πριαίμην· ποτὸν γὰρ ἢ κρήνη ἢ ποταμὸς παρέξει· καὶ μετ' ὀλίγον αἰτοῦσιν οὐκ ὀβολοὺς οὐδὲ δραχμὰς ὀλίγας, ἀλλὰ πλούτους ὅλους. Ὥστε τίς ἔμπορος τοσοῦτον ἀπὸ τοῦ φόρτου ἐμπολήσειεν ἂν ὅσον τούτοις φιλοσοφία ἐς χρηματισμὸν συντελεῖ; Εἶτ' ἐπειδὰν ἱκανῶς συλλέξωνται καὶ ἐπισιτίσωνται, ἀπορρίψαντες ἐκεῖνο τὸ δύστηνον τριβώνιον ἀγροὺς ἐνίοτε καὶ ἐσθῆτας τῶν μαλθακῶν ἐπρίαντο καὶ παῖδας κομήτας καὶ συνοικίας ὅλας μακρὰ χαίρειν φράσαντες τῇ πήρᾳ τῇ Κράτητος καὶ τῷ τρίβωνι τῷ Ἀντισθένους καὶ τῷ πίθῳ τῷ Διογένους.

21. Οἱ ἰδιῶται δὲ ταῦτα ὁρῶντες καταπτύουσιν ἤδη φιλοσοφίας καὶ ἅπαντας εἶναι τοιούτους οἴονται κἀμὲ τῆς διδασκαλίας αἰτιῶνται. Ὥστε πολλοῦ ἤδη χρόνου ἀδύνατόν μοι γεγένηται κἂν ἕνα τινὰ προσαγαγέσθαι αὐτῶν, ἀλλὰ τὸ τῆς Πηνελόπης ἐκεῖνο πάσχω· ὁπόσον γὰρ δὴ ἐγὼ ἐξυφήνω, τοῦτο ἐν ἀκαρεῖ αὖθις ἀναλύεται· ἡ Ἀμαθία δὲ καὶ ἡ Ἀδικία ἐπιγελῶσιν ὁρῶσαι ἀνεξέργαστον ἡμῖν τὸ ἔργον καὶ ἀνήνυτον πόνον.

22. ΖΕΥΣ. Οἷα, ὦ θεοί, πέπονθεν ἡμῖν ἡ Φιλοσοφία πρὸς τῶν καταράτων ἐκείνων. Ὥστε ὥρα σκοπεῖν ὅ τι καὶ πρακτέον ἢ ὅπως αὐτοὺς μετελευστέον. Ὁ μὲν γὰρ κεραυνὸς ἀπάγει μιᾷ πληγῇ καὶ ὁ θάνατος ταχύς.

ΑΠΟΛ. Ἐγώ σοι, ὦ πάτερ, ὑποθήσομαι· μισῶ γὰρ καὶ αὐτὸς ἤδη τοὺς ἀλαζόνας ἀμούσους ὄντας ὑπὲρ τῶν Μουσῶν ἀγανακτῶν· κεραυνοῦ μὲν γὰρ ἡ τῆς σῆς δεξιᾶς οὐδαμῶς ἐκεῖνοι ἄξιοι, τὸν Ἑρμῆν δὲ αὐτοκράτορα, εἰ δοκεῖ, τῆς κολάσεως κατάπεμψον ἐπ' αὐτούς, ὃς ἅτε δὴ περὶ λόγους ἔχων καὶ αὐτὸς τάχιστα εἴσεται τούς τε ὀρθῶς φιλοσοφοῦντας καὶ τοὺς μή· εἶτα τοὺς μὲν ἐπαινέσεται, ὡς τὸ εἰκός, οἱ δὲ κολασθήσονται, ὅπως ἂν ἐκείνῳ πρὸς τὸν καιρὸν δοκῇ.

23. ΖΕΥΣ. Εὖ λέγεις, ὦ Ἄπολλον. Ἀλλὰ καὶ σὺ, ὦ Ἡράκλεις, ἅμα καὶ τὴν Φιλοσοφίαν αὐτὴν ἔχοντες ἅπιτε ὡς τάχιστα εἰς τὸν βίον· τρισκαιδέκατον γοῦν ἆθλον οἷου τοῦτον οὐ σμικρὸν ἐκτελέσειν, ἢν ἐκκόψῃς μιαρὰ οὕτω καὶ ἀναίσχυντα θηρία.

ΗΡΑΚΛΗΣ. Καὶ μὴν ἄμεινον ἦν, ὦ πάτερ, τὴν κόπρον ἐκκαθᾶραι αὖθις τὴν Αὐγείου ἢ τούτοις συμπλέκεσθαι. Ἀπίωμεν δ' ὅμως.

possint; veracitatem commendantes aliis, nec movere linguam queant ipsi sine mendacio. Voluptas inimica omnibus in sermone, hostis Epicurus: re vera autem faciunt propter illam omnia. Acuta bilis, querelæ de rebus minutis, proclivitas ad irascendum supra parvulos infantes. Quare risum præbent non mediocrem spectantibus, quum quacumque de causa illis exarsit bilis, luridus pallor apparet in facie, quum torvum quiddam et furiosum spectant, et spuma, vel veneno potius plenum os habent.

20. Nolis tu ibi esse, quum impurum illud cœnum effunditur: Aurum aut argentum, mehercules, nec possidere digner; obolus mihi sufficit, unde lupinos emam; potum enim fons præbebit aut fluvius. Paullo post non obolos petunt, aut drachmas paucas, sed divitias totas. Quis ergo mercator tantum a navium commeatu emolumenti ceperit, quantum hisce ad quæstum philosophia confert? Deinde ubi quantum satis est collegerint, et viaticum sibi pararint, abjecto illo infelici palliolo, agros interdum et vestimenta mollia emunt, et pueros comatos, et totos vicos, longum valere jussa Cratetis pera et Antisthenis pallio, dolioque Diogenis.

21. Vulgus vero ista quum videt, despuunt jam philosophiam, et omnes ex eo genere esse arbitrantur, et me disciplinæ istius nomine accusant. Igitur diu jam est quum ne unum quidem istorum potui allicere, sed illud mihi Penelopes usu venit: quantumcumque ego texero, illud momento temporis rursum resolvitur, ridentibus Inscitia atque Iniquitate, quum videant opus nostrum non procedere, nihil proficere laborem.

22. JUP. Quantum, o dii, malorum perpessa nobis est a sacerrimis illis mortalibus Philosophia! Itaque videndum quid facto sit opus, aut quomodo isti sint puniendi. Fulmen enim uno ictu educit; mors ista celeris.

APOL. Ego tibi, pater, subjiciam: odi enim et ipse jam impostores, Musarum vicem indignatus, a quibus aversi sunt. Fulmine enim aut tua dextra minime sunt digni. Sed Mercurium, si placet, arbitrum ipsum pœnæ in illos demitte, qui, ut in doctrinæ studiis ipse quoque versatus, celerrime tum recte philosophantes agnoscet, tum minus: deinde illos quidem, prout merentur, laudabit; hi vero, ut aptum illi videbitur, punientur.

23. JUP. Bene mones, Apollo. Sed tu quoque, Hercules, assumta ipsa Philosophia, quam celerrime ad homines abite: tertium enim decimum te puta hunc laborem perfecturum, non sane contemnendum, si exstirpaveris impuras adeo atque impudentes bestias.

HERCULES. Sane malim ego, pater, Augiæ fimum expurgare denuo, quam hisce implicari. Abeamus tamen.

ΦΙΛ. Ἄκουσα μὲν, ἀκολουθητέον δὲ κατὰ τὰ δόξαντα τῷ πατρί.

24. ΕΡΜΗΣ. Κατίωμεν, ὡς κἂν ὀλίγους αὐτῶν ἐπιτρίψωμεν τήμερον. Ποίαν δὲ χρὴ τραπέσθαι, ὦ Φιλοσοφία; σὺ γὰρ οἶσθα ὅπου εἰσίν. Ἢ πρόδηλον ὅτι ἐν τῇ Ἑλλάδι;

ΦΙΛ. Οὐδαμῶς, ἢ πάνυ ὀλίγοι, ὅσοι ὀρθῶς φιλοσοφοῦσιν, ὦ Ἑρμῆ. Οὗτοι δὲ οὐδὲν Ἀττικῆς πενίας δέονται, ἀλλ' ἔνθα πολὺς χρυσὸς ἢ ἄργυρος ὀρύττεται, ἐκεῖ που ζητητέοι εἰσὶν ἡμῖν.

ΕΡΜ. Οὐκοῦν εὐθὺ τῆς Θράκης ἀπιτέον.

ΗΡΑΚ. Εὖ λέγεις, καὶ ἡγήσομαί γε ὑμῖν τῆς ὁδοῦ· οἶδα γὰρ τὰ Θρᾳκῶν ἅπαντα συχνάκις ἐπελθών. Καί μοι τήνδε ἤδη τραπώμεθα.

ΕΡΜ. Ποίαν λέγεις;

25. ΗΡΑΚ. Ὁρᾶτε, ὦ Ἑρμῆ καὶ Φιλοσοφία, δύο μὲν ὄρη μέγιστα καὶ κάλλιστα ὀρῶν ἁπάντων; Αἶμός ἐστι τὸ μεῖζον, ἡ καταντικρὺ δὲ Ῥοδόπη, πεδίον δὲ ὑποπεπταμένον πάμφορον ἀπὸ τῶν προπόδων ἑκατέρων εὐθὺς ἀρξάμενον· καί τινας λόφους τρεῖς πάνυ καλοὺς ἀνεστηκότας, οὐκ ἀμόρφους τὴν τραχύτητα, οἷον ἀκροπόλεις πολλὰς τῆς ὑποκειμένης πόλεως· καὶ ἡ πόλις γὰρ ἤδη φαίνεται.

ΕΡΜ. Νὴ Δί', ὦ Ἡράκλεις, μεγίστη καὶ καλλίστη ἁπασῶν· πόρρωθεν γοῦν ἀπολάμπει τὸ κάλλος. Καί τις καὶ ποταμὸς μέγιστος παραμείβεται πάνυ ἐν χρῷ ψαύων αὐτῆς.

ΗΡΑΚ. Ἕβρος μὲν οὗτος, ἡ δὲ πόλις ἔργον Φιλίππου ἐκείνου. Καὶ ἡμεῖς ἤδη πρόσγειοι καὶ ὑπονέφελοι· ὥστε ἐπιβαίνωμεν ἀγαθῇ τύχῃ.

26. ΕΡΜ. Οὕτω γιγνέσθω. Τί δ' οὖν χρὴ ποιεῖν; πῶς τὰ θηρία ἐξιχνευτέον;

ΗΡΑΚ. Τοῦτο μὲν σὸν ἤδη ἔργον, ὦ Ἑρμῆ· κῆρυξ γὰρ εἶ, ὥστε οὐκ ἂν φθάνοις κηρύττων.

ΕΡΜ. Οὐδὲν τοῦτο χαλεπόν. Ἀλλὰ τά γε ὀνόματα οὐκ ἐπίσταμαι αὐτῶν. Σὺ οὖν, Φιλοσοφία, λέγε, οὕστινας ὀνομαστέον, καὶ τὰ σημεῖα προσέτι.

ΦΙΛ. Οὐδὲ αὐτὴ μὲν οἶδα τὸ σαφὲς, οἵτινες ὀνομάζονται, διὰ τὸ μὴ ξυγγεγενῆσθαί ποτε αὐτοῖς· ἀπὸ δ' οὖν τῆς ἐπιθυμίας ἣν ἔχουσι περὶ τὰ κτήματα, οὐκ ἂν ἁμάρτοις προσκαλῶν Κτήσωνας ἢ Κτησίππους ἢ Κτησικλέας ἢ Εὐκτήμονας ἢ Πολυκτήτους.

27. ΕΡΜ. Εὖ λέγεις. Ἀλλὰ τίνες οὗτοί εἰσιν ἢ τί περισκοποῦσι καὶ αὐτοί; μᾶλλον δὲ καὶ προσίασι καί τι καὶ ἐρέσθαι θέλουσιν.

ΑΝΔΡΕΣ. Ἆρ' ἂν ἔχοιτε ἡμῖν, ὦ ἄνδρες, εἰπεῖν ἢ σὺ, ὦ βελτίστη, εἴ τινας τρεῖς γόητας ἅμα εἴδετε καί τινα γυναῖκα ἐν χρῷ κεκαρμένην εἰς τὸ Λακωνικὸν, ἀρρενωπὴν καὶ κομιδῇ ἀνδρικήν;

ΦΙΛ. Παπαῖ, τὰ ἡμέτερα οὗτοι ζητοῦσι.

ΑΝΔ. Πῶς τὰ ὑμέτερα; δραπέται γὰρ ἐκεῖνοι ἅπαντες. Ἡμεῖς δὲ τὴν γυναῖκα μάλιστα μέτιμεν ἠνδραποδισμένην πρὸς αὐτῶν.

ΕΡΜ. Εἴσεσθε δὲ καθ' ὅ τι καὶ ζητοῦμεν αὐτούς.

PHIL. Invita equidem eo : sequendum tamen, quoniam parenti nostro visum est.

24. MERC. Descendamus, ut paucos certe ipsorum obteramus hodie. Quonam vero eundum est, Philosophia? tu enim ubi sint nosti. Aut manifestum potius in Græcia illos esse?

PHIL. Nequaquam; aut oppido paucos, qui recte philosophantur, Mercuri. Isti vero nihil Attica paupertate opus habent, sed ubi auri multum et argenti effoditur, ibi nobis quærendi sunt.

MERC. Recta igitur pergendum in Thraciam.

HERC. Bene mones, et viæ ego dux vobis ero. Novi enim Thracum omnia, qui sæpe eam regionem obierim. Et hac jam ingrediamur.

MERC. Qua dicis?

25. HERC. Videtis, Mercuri et Philosophia, duos montes maximos omnium montium et pulcherrimos? Hæmus est major, alter ex adverso est Rhodope : campi autem infra patentes fertilissimi sunt, ab ipsis radicibus utriusque incipientes : et colles aliquot videtis, tres quidem pulcherrimos, assurgentes, non deformes asperitate, tanquam plures subjectæ urbis arces. Et jam ipsa urbs apparet.

MERC. Maxima, per Jovem, mi Hercules, et pulcherrima omnium : e longinquo jam pulchritudo illius exsplendescit. Et fluvius aliquis præterfluit maximus, quasi radens ipsam.

HERC. Hebrus hic est : urbs autem Philippi illius opus. Et nos jam terræ vicini, atque infra nubes : inscendamus ergo, quod felix faustumque sit.

26. MERC. Sic fiat! Quid vero jam faciendum? quomodo vestigandæ sunt illæ bestiæ?

HERC. Illæ tuæ jam, Mercuri, partes sunt : nam præco es; præconium igitur facito ocyus.

MERC. Hic nihil difficultatis. Verum nomina illorum non novi. Tu igitur, Philosophia, dic qui nominandi sint, et signa insuper.

PHIL. Neque ego satis certo, quomodo nominentur, scio, quippe minime cum illis versata. Sed ob habendi eorum libidinem non peccaveris, si Ctesones (*Habeones*), et Ctesippos (*Habiequos*), aut Ctesicles (*Habiglorios*), aut Euctemonas (*Bonihabios*), aut Polyctetos (*Mullihabios*) advoces.

27. MERC. Bene mones. Verum qui sunt isti? aut quid ipsi quoque circumspiciunt? Quin accedunt etiam, et interrogare aliquid volunt.

VIRI. Numquid nobis, viri, dicere potestis, aut tu, optima, si quos præstigiatores tres una vidistis, et mulierem ad cutem Laconico more detonsam, virili vultu et plane viraginem?

PHIL. Hem! eadem quæ nos isti quærunt.

VIRI. Quomodo eadem quæ vos? fugitivi enim isti omnes. Nos vero mulierem maxime persequimur, plagio ab istis abductam.

MERC. Scietis quo nomine illos quæramus : jam vero

LXX.

1.

ΤΑ ΠΡΟΣ ΚΡΟΝΟΝ.

1. ΙΕΡΕΥΣ. Ὦ Κρόνε, σὺ γὰρ ἔοικας ἄρχειν τό γε νῦν εἶναι καὶ σοὶ τέθυται καὶ κεκαλλιέρηται παρ' ἡμῶν, τί ἂν μάλιστα ἐπὶ τῶν ἱερῶν αἰτήσας λάβοιμι παρὰ σοῦ;

ΚΡΟΝΟΣ. Τοῦτο μὲν αὐτόν σε καλῶς ἔχει ἐσκέφθαι ὅ τι σοι εὐκταῖον, εἰ μὴ καὶ μάντιν ἅμα ἐθέλεις εἶναι τὸν ἄρχοντα, εἰδέναι τί σοι ἥδιον αἰτεῖν· ἐγὼ δὲ τά γε δυνατὰ οὐκ ἀνανεύσω πρὸς τὴν εὐχήν.

ΙΕΡ. Ἀλλὰ πάλαι ἔσκεμμαι· ἐρῶ γὰρ τὰ κοινὰ ταυτὶ καὶ πρόχειρα, πλοῦτον καὶ χρυσὸν πολὺν καὶ ἀγρῶν δεσπότης εἶναι καὶ ἀνδράποδα πολλὰ κεκτῆσθαι καὶ ἐσθῆτας εὐανθεῖς καὶ μαλακὰς καὶ ἄργυρον καὶ ἐλέφαντα καὶ τἆλλα ὁπόσα τίμια. Τούτων οὖν, ὦ ἄριστε Κρόνε, δίδου μοι, ὥς τι καὶ αὐτὸν ἀπολαῦσαι τῆς σῆς ἀρχῆς μηδὲ ἄμοιρον εἶναι μόνον αὐτὸν διὰ παντὸς τοῦ βίου.

2. ΚΡΟΝ. Ὁρᾷς; οὐ κατ' ἐμὲ τοῦτο ἤτησας· οὐ γὰρ ἐμὸν διανέμειν τὰ τοιαῦτα. Ὥστε μὴ ἄχθου, εἰ ἀτυχήσειας αὐτῶν, ἀλλ' αἴτει παρὰ τοῦ Διὸς, ὁπόταν εἰς ἐκεῖνον ἡ ἀρχὴ περιέλθῃ μετ' ὀλίγον. Ἐγὼ δ' ἐπὶ ῥητοῖς παραλαμβάνω τὴν δυναστείαν· ἑπτὰ μὲν ἡμερῶν ἡ πᾶσα βασιλεία, καὶ ἦν ἐκπρόθεσμος τούτων γένωμαι, ἰδιώτης εὐθύς εἰμι καὶ τοῦ πολλοῦ δήμου εἷς· ἐν αὐταῖς δὲ ταῖς ἑπτὰ σπουδαῖον μὲν οὐδὲν οὐδὲ ἀγοραῖον διοικήσασθαί μοι συγκεχώρηται, πίνειν δὲ καὶ μεθύειν καὶ βοᾶν καὶ παίζειν καὶ κυβεύειν καὶ ἄρχοντας καθίστασθαι καὶ τοὺς οἰκέτας εὐωχεῖν καὶ γυμνὸν ᾄδειν καὶ κροτεῖν ὑποτρέμοντα, ἐνίοτε δὲ καὶ ἐς ὕδωρ ψυχρὸν ἐπὶ κεφαλὴν ὠθεῖσθαι ἀσβόλῳ κεχρισμένον τὸ πρόσωπον, ταῦτα ἐφεῖταί μοι ποιεῖν. Τὰ μεγάλα δὲ ἐκεῖνα, τὸν πλοῦτον καὶ τὸ χρυσίον, ὁ Ζεὺς διαδίδωσιν οἷς ἂν ἐθέλῃ.

3. ΙΕΡ. Ἀλλ' οὐδ' ἐκεῖνος, ὦ Κρόνε, ῥᾳδίως καὶ προχείρως. Ἐγὼ γοῦν ἤδη ἀπηγόρευκα αἰτῶν μεγάλῃ τῇ φωνῇ, ὁ δ' οὐκ ἐπαΐει τὸ παράπαν, ἀλλὰ τὴν αἰγίδα ἐπισείων καὶ τὸν κεραυνὸν ἐπανατεινόμενος δριμὺ ἐνορῶν ἐκπλήττει τοὺς ἐνοχλοῦντας· ἢν δέ ποτε καὶ ἐπινεύσῃ τινὶ καὶ πλούσιον ποιῇ, πολὺ τὸ ἄκριτον ἐνταῦθα, καὶ τοὺς ἀγαθοὺς ἐνίοτε καὶ συνετοὺς ἀφεὶς, ὁ δὲ παμπονήρους τε καὶ ἀνοήτους ἀνδράσι περιχεῖ τὸν πλοῦτον, μαστιγίαις ἢ ἀνδρογύνοις τοῖς πλείστοις αὐτῶν. Πλὴν τά γε σοὶ δυνατὰ ἐθέλω εἰδέναι τίνα ταῦτά ἐστιν.

4. ΚΡΟΝ. Οὐ μικρὰ ὅλως οὐδὲ παντάπασιν εὐκαταφρόνητα ὡς πρὸς τὴν δύναμιν ἐξετάζεσθαι τῆς συμπάσης ἀρχῆς, εἰ μή σοί γε μικρὸν δοκεῖ τὸ νικᾶν κυβεύοντα καὶ τοῖς ἄλλοις ἐς τὴν μονάδα κυλιομένου τοῦ κύβου σοὶ τὴν ἑξάδα ὑπεράνω ἀεὶ φαίνεσθαι· πολλοὶ γοῦν ἐς κόρον ἀπὸ τοῦ τοιούτου ἐπεσιτίσαντο, οἷς ὕλεως καὶ φορὸς ὁ κύβος ἐπινεύσει· οἱ δὲ ἐμπαλιν γυμνοὶ

LXX.

1.

SATURNALIA.

1. SACERDOS. Saturne (nam tu imperium tenere nunc quidem videris, sacrificatumque tibi a nobis ac litatum est), quidnam potissimum inter sacra petitum abs te possim consequi?

SATURNUS. Illud quidem te ipsum decet, probe deliberatum habere quid optandum tibi sit, nisi simul divinatorem esse vis eum qui imperat, ut sciat quid petere tibi collibeat. Ego vero, quæ quidem possunt fieri, tuo voto non negabo.

SAC. Quin olim deliberavi : rogo enim communia ista et promta, divitias, et aurum multum, et agrorum esse dominum, et mancipia habere multa, et vestem floridam atque mollem, et argentum, et ebur, et reliqua quæcumque pretiosa sunt. Horum ergo, Saturne optime, fac mihi copiam, ut ipse quoque fructum aliquem tui imperii consequar, nec solus per totam vitam rerum illarum expers maneam.

2. SAT. Viden'? non petiisti quod in mea potestate sit; neque enim tribuere talia meum est. Itaque noli graviter ferre, si ea non consequaris : verum ab Jove pete, quando ad illum paullo post transierit imperium. Ego vero conditionibus quibusdam capio potestatem : septem enim diebus totum mihi regnum finitur; hunc terminum egressus, continuo sum privatus et de promiscua multitudine unus. Illis ipsis vero septem diebus serium quidem nihil, neque publicum negotium agere mihi concessum est; sed bibere, et inebriari, et clamare, et jocari, et alea ludere, et reges vini constituere, et servos excipere convivio, et nudum canere, et tremulos plausus edere; interdum etiam in aquam frigidam præcipitem detrudi, fuligine picto vultu : hæc, inquam, facere mihi permissum est; verum magna illa, divitias et aurum, Jupiter quibus visum est distribuit.

3. SAC. Sed neque ille, Saturne, facile et pronte. Equidem certe jam fatigatus sum magna voce petendo : at ille omnino non audit, sed ægidem quassans, intentans fulmen, torvum inspectans, qui sibi molesti sunt perterret. Si quando vero etiam annuat alicui, divitemque illum reddat; hic jam indiscreti multum, relictisque bonis ac prudentibus viris, pessimos ille ac sensu pæne communi carentes circumfundit divitiis, verberones plerosque et effeminatos homines. Sed quæ tu potes, scire velim ea qualia sint.

4. SAT. Non omnino parva illa quidem, neque plane contemnenda, si ad vim exigantur totius imperii : nisi forte parvum tibi videtur vincere alea, et provoluta reliquis in unionem tessera, senionem in summo tibi semper apparere. Multi enim ad satietatem usque inde sibi pararunt viaticum, quibus propitia secundaque tessera annuerit : alii contra

ἐξενήξαντο συντριβέντος αὐτοῖς τοῦ σκάφους περὶ οὕτω μικρῷ ἕρματι τῷ κύβῳ. Καὶ μὴν καὶ πιεῖν ἐς τὸ ἥδιστον καὶ ᾠδικώτερον ἄλλου δόξαι ἄσαι ἐν τῷ συμποσίῳ καὶ διακονουμένων τοὺς μὲν ἄλλους ἐς τὸ ὕδωρ ἐμπεσεῖν — τοῦτο γὰρ τοὐπιτίμιον τῆς ἀδεξίου διακονίας — σὲ δὲ ἀνακηρυχθῆναι καλλίνικον καὶ τὰ ἆθλα φέρεσθαι τὸν ἀλλᾶντα ὁρᾷς ἡλίκον τὸ ἀγαθόν; ἔτι καὶ βασιλέα μόνον ἐφ' ἁπάντων γενέσθαι τῷ ἀστραγάλῳ κρατήσαντα, ὡς μήτε ἐπιταχθείης γελοῖα ἐπιτάγματα καὶ αὐτὸς ἐπιτάττειν ἔχοις, τῷ μὲν αἰσχρόν τι περὶ αὑτοῦ ἀναβοῆσαι, τῷ δὲ γυμνὸν ὀρχήσασθαι καὶ ἁράμενον τὴν αὐλητρίδα τρὶς τὴν οἰκίαν περιελθεῖν, πῶς οὐχὶ καὶ ταῦτα δείγματα μεγαλοδωρίας τῆς ἐμῆς; Εἰ δὲ τὸ μὴ ἀληθῆ μηδὲ βέβαιον γίγνεσθαι τὴν τοιαύτην βασιλείαν αἰτιάσῃ, ἄγνωμον ποιήσεις ὁρῶν αὐτὸν ἐμὲ τὸν ταῦτα διανέμοντα ὀλιγοχρόνιον τὴν ἀρχὴν ἔχοντα. Τούτων δ' οὖν ἃ μοι δυνατὰ δοῦναι, τῶν πεττῶν, τοῦ ἄρχειν, τοῦ ᾄδειν καὶ τῶν ἃ κατηριθμησάμην, θαρρῶν αἴτει, ὡς ἐμοῦ πρὸς οὐδὲν δεδιξομένου σε τῇ αἰγίδι καὶ τῷ κεραυνῷ.

5. ΙΕΡ. Ἀλλ', ὦ Τιτάνων ἄριστε, τῶν μὲν τοιούτων οὐ δέομαι, σὺ δὲ ἀλλ' ἐκεῖνό μοι ἀπόκριναι, ὃ μάλιστα ἐπόθουν εἰδέναι, καί μοι ἦν εἶπης αὐτό, ἱκανὴν ἔσῃ τὴν ἀμοιβὴν ἀποδεδωκὼς ἀντὶ τῆς θυσίας, καὶ πρὸς τὸ λοιπὸν ἀφίημί σοι τὰ χρέα.

ΚΡΟΝ. Ἐρώτα μόνον· ἀποκρινοῦμαι γάρ, ἢν εἰδὼς τύχω.

ΙΕΡ. Τὸ μὲν πρῶτον ἐκεῖνο, εἰ ἀληθῆ ταῦτά ἐστιν ἃ περὶ σοῦ ἀκούομεν, ὡς κατήσθιες τὰ γεννώμενα ὑπὸ τῆς Ῥέας, ἐκείνη δὲ ὀφελομένη τὸν Δία λίθον ὑποβαλλομένη ἀντὶ τοῦ βρέφους ἔδωκέ σοι καταπιεῖν, ὁ δὲ εἰς ἡλικίαν ἀφικόμενος ἐξήλασέ σε τῆς ἀρχῆς πολέμῳ κρατήσας, εἶτα ἐς τὸν Τάρταρον φέρων ἐνέβαλε πεδήσας αὐτόν τε καὶ τὸ συμμαχικὸν ἅπαν, ὁπόσον μετὰ σοῦ παρετάττετο.

ΚΡΟΝ. Εἰ μὴ ἑορτήν, ὦ οὗτος, ἤγομεν καὶ μεθύειν ἐφεῖτο καὶ λοιδορεῖσθαι τοῖς δεσπόταις ἐπ' ἐξουσίας, ἔγνως ἂν ὡς ὀργίζεσθαι γοῦν ἐφεῖταί μοι, τοιαῦτα ἐρωτήσας, οὐκ αἰδεσθείς πολιὸν οὕτω καὶ πρεσβύτην θεόν.

ΙΕΡ. Κἀγὼ ταῦτα, ὦ Κρόνε, οὐ παρ' ἐμαυτοῦ φημι, ἀλλ' Ἡσίοδος καὶ Ὅμηρος, οἶκνῶ γὰρ λέγειν ὅτι καὶ οἱ ἄλλοι ἅπαντες ἄνθρωποι σχεδὸν ταῦτα πεπιστεύκασι περὶ σοῦ.

6. ΚΡΟΝ. Οἴει γὰρ τὸν ποιμένα ἐκεῖνον, τὸν ἀλαζόνα, ὑγιές τι περὶ ἐμοῦ εἰδέναι; Σκόπει δὲ οὕτως. Ἔσθ' ὅστις ἄνθρωπος — οὐ γὰρ θεὸν ἐρῶ — ὑπομείνειεν ἂν ἑκὼν αὐτὸς καταφαγεῖν τὰ τέκνα, εἰ μή τις Θυέστης ἦν καὶ ἀσεβεῖ ἀδελφῷ περιπεσὼν ἤσθιε; καὶ εἰ τοῦτο μανείη, πῶς ἀγνοήσει λίθον ἀντὶ βρέφους ἐσθίων, εἰ μὴ ἀνάλγητος εἴη τοὺς ὀδόντας; Ἀλλ' οὔτε ἐπολεμήσαμεν οὔτε ὁ Ζεὺς βίᾳ τὴν ἀρχὴν ἀφεῖλετο, ἑκόντος δέ μου παραδόντος αὐτῷ καὶ ὑπεκστάντος ἄρχειν· ὅτι μὲν γὰρ οὔτε πεπέδημαι οὔτε ἐν τῷ Ταρτάρῳ

enatarunt nudi, fracto ipsis ad exiguum adeo scopulum, tesseram, navigio. Verum etiam bibere jucundissime, et simul aliis canendi peritiorem videri in convivio, et ministrantium reliquos quidem incidere in aquam (hoc enim ministerii parum dextri præmium est), te vero et honestum victorem prædicari, et præmia referre farcimina, vides quantum sit bonum? Porro regem solum fieri omnium per talorum victoriam, ut neque ridicula tibi injungantur imperia, et imperare ipse possis, huic quidem, ut turpe quiddam de se ipse proclamet; alii, ut nudus saltet, et succollata tibicina ter domum circumeat; qui non hæc etiam magnificentiæ specimina meæ? Si vero causeris non verum esse neque firmum ejusmodi regnum, insolenter feceris, qui videas meipsum, qui tribuo talia, parvi temporis habere imperium. De his igitur quæ dare in potestate mea est, de talis, de regno, de cantu, et quæcumque enumeravi, audacter pete ex me, utpote ad nullum ejusmodi votum ægide te et fulmine perterrituro.

5. SAC. Sed talibus mihi, Titanum optime, nihil opus est. Quin tu illud mihi responde, quod scire maxime volebam; idque mihi si dixeris, satis magnum pro sacrificio pretium retuleris, et quod ad reliqua attinet, remittam tibi debita.

SAT. Interroga modo: respondebo enim, si sciam.

SAC. Primo illud, verane sint ista quæ de te audimus, devorare te solitum quæ nascerentur ex Rhea, illam vero, subducto furtim Jove, lapidem subjectum pro puero devorandum tibi dedisse; atque istum, adultus quum esset, bello te victum regno expulisse, tum vinctum te eaque auxilia, quæ tibi se adjunxerant, omnia dejecisse in Tartarum.

SAT. Heus tu, nisi festum diem ageremus, et inebriari licitum esset, atque maledicere prout libitum dominis, disceres sane irasci saltem mihi esse permissum, talia qui rogaris nihil reveritus canum adeo et senem deum.

SAC. Atqui ego ista, Saturne, non mea sponte interrogo; sed Hesiodus et Homerus — nolo enim dicere quod reliqui homines prope universi hæc de te credunt.

6. SAT. Putas enim pastorem illum, jactabundum impostorem, sani quicquam de me scire? Considera autem hoc modo. Estne ut quisquam homo (neque enim dicam deum) sustinuerit sua sponte suos ipse devorare liberos, nisi forte Thyestes quidam erat et in fratrem impium quum incidisset, vescebatur filio? et hoc si forte insaniat, quomodo imprudens lapidem edere pro puero possit, nisi forte sensus omnis expertes dentes habeat? Sed neque bellum gessimus, neque vi imperium mihi ademit Jupiter, sed accepit mea quum sponte ego traderem illi, et imperio cederem. Deni-

εἰμὶ, καὶ αὐτὸς ὁρᾷς, οἶμαι, εἰ μὴ τυφλὸς ὥσπερ Ὅμηρος εἶ.

7. ΙΕΡ. Τί παθὼν δὲ, ὦ Κρόνε, ἀφῆκας τὴν ἀρχήν;

ΚΡΟΝ. Ἐγώ σοι φράσω· τὸ μὲν ὅλον, γέρων ἤδη καὶ ποδαγρὸς ὑπὸ τοῦ χρόνου ὤν — διὸ καὶ πεπεδῆσθαί με οἱ πολλοὶ εἴκασαν —· οὐ γὰρ ἠδυνάμην διαρκεῖν πρὸς οὕτω πολλὴν τὴν ἀδικίαν τῶν νῦν, ἀλλ' ἀεὶ ἀναθεῖν ἔδει ἄνω καὶ κάτω τὸν κεραυνὸν διηρμένον τοὺς ἐπιόρκους ἢ ἱεροσύλους ἢ βιαίους καταφλέγοντα, καὶ τὸ πρᾶγμα πάνυ ἐργῶδες ἦν καὶ νεανικόν· ἐξέστην οὖν εὐ ποιῶν τῷ Διί. Καὶ ἄλλως δὲ καλῶς ἔχειν ἐδόκει μοι διανείμαντα τοῖς παισὶν οὖσι τὴν ἀρχὴν αὐτὸν εὐωχεῖσθαι τὰ πολλὰ ἐφ' ἡσυχίας οὔτε τοῖς εὐχομένοις χρηματίζοντα οὔτε ὑπὸ τῶν τἀναντία αἰτούντων ἐνοχλούμενον οὔτε βροντῶντα ἢ ἀστράπτοντα ἢ χάλαζαν ἐνίοτε βάλλειν ἀναγκαζόμενον· ἀλλὰ πρεσβυτικόν τινα τοῦτον ἥδιστον βίον διάγω ζωρότερον πίνων τὸ νέκταρ, τῷ Ἰαπετῷ καὶ τοῖς ἄλλοις ἡλικιώταις προσμυθολογῶν· ὁ δὲ ἄρχει μυρία ἔχων πράγματα. Πλὴν ὀλίγας ταύτας ἡμέρας ἐφ' οἷς εἶπον ὑπεξελέσθαι μοι ἔδοξε καὶ ἀναλαμβάνω τὴν ἀρχὴν, ὡς ὑπομνήσαιμι τοὺς ἀνθρώπους οἷος ἦν ὁ ἐπ' ἐμοῦ βίος, ὁπότε ἄσπορα καὶ ἀνήροτα πάντα ἐφύετο αὐτοῖς, οὐ στάχυες, ἀλλ' ἕτοιμος ἄρτος καὶ κρέα ἐσκευασμένα, καὶ ὁ οἶνος ἔρρει ποταμηδὸν καὶ πηγαὶ μέλιτος καὶ γάλακτος· ἀγαθοὶ γὰρ ἦσαν καὶ χρυσοῖ ἅπαντες. Αὕτη μοι ἡ αἰτία τῆς ὀλιγοχρονίου ταύτης δυναστείας, καὶ διὰ τοῦτο ἁπανταχοῦ κρότος καὶ ᾠδὴ καὶ παιδιὰ καὶ ἰσοτιμία πᾶσι καὶ δούλοις καὶ ἐλευθέροις· οὐδεὶς γὰρ ἐπ' ἐμοῦ δοῦλος ἦν.

8. ΙΕΡ. Ἐγὼ δὲ, ὦ Κρόνε, καὶ τοῦτο εἶχαζον τὸ εἰς τοὺς δούλους καὶ πεδότριβας φιλάνθρωπον ἐκ τοῦ μύθου ἐκείνου ποιεῖν σε τιμῶντα τοὺς τὰ ὅμοια πάσχοντας, ἅτε καὶ αὐτὸν δουλεύοντα, μεμνημένον τῆς πέδης.

ΚΡΟ. Οὐ παύσῃ γὰρ τοιαῦτα ληρῶν;

ΙΕΡ. Εὖ λέγεις, καὶ παύσομαι· πλὴν ἔτι μοι καὶ τοῦτο ἀπόκριναι. Τὸ πεττεύειν σύνηθες ἦν καὶ ἐπὶ σοῦ τοῖς ἀνθρώποις;

ΚΡΟΝ. Καὶ μάλα, οὐ μὴν περὶ ταλάντων γε καὶ μυριάδων ὥσπερ ὑμῖν, ἀλλὰ περὶ καρύων τὸ μέγιστον, ὡς μὴ ἀνιᾶσθαι ἡττηθέντα μηδὲ δακρύειν ἀεὶ ἄσιτον ὄντα μόνον τῶν ἄλλων.

ΙΕΡ. Εὖ γε ἐκεῖνοι ποιοῦντες· ὑπὲρ τίνος γὰρ ἂν καὶ ἐπέττευον αὐτοὶ ὁλόχρυσοι ὄντες; Ὡς ἔγωγε καὶ μεταξὺ λέγοντός σου τοιόνδε τι ἐνενόησα· εἴ τις ἕνα τῶν ἀνδρῶν ἐκείνων τῶν χρυσηλάτων ἐς τὸν ἡμέτερον τοῦτον βίον ἀγαγὼν ἔδειξε τοῖς πολλοῖς, οἷα ἔπαθεν ἂν ὁ ἄθλιος ὑπ' αὐτῶν; διεσπάσαντο γὰρ ἂν αὐτὸν εὖ οἶδ' ὅτι ἐπιδραμόντες ὥσπερ τὸν Πενθέα αἱ Μαινάδες ἢ αἱ Θρᾷτται τὸν Ὀρφέα ἢ τὸν Ἀκταίωνα αἱ κύνες, περὶ τοῦ μεῖζον ἀπενέγκασθαι τὸ μέρος πρὸς ἀλλήλους ἕκαστος ἁμιλλώμενοι, οἵ γε οὐδὲ ἑορτάζοντες ἔξω τοῦ φιλοκερδοῦς εἰσιν, ἀλλὰ πρόσοδον οἱ πολλοὶ πεποίηνται τὴν ἑορτήν. Εἶτα οἱ μὲν ἀπέρχονται λῃστεύοντες ἐν

que neque compeditum me esse, neque in Tartaro, ipse quoque vides, arbitror, nisi cæcus es ut Homerus.

7. SAC. Qua vero causa, Saturne, motus reliquisti imperium?

SAT. Ego tibi dicam. In universum senex quum jam essem, et ipsa ætate podager (unde etiam compeditum me conjiciebat vulgus); neque enim sufficere poteram ad multam adeo hominum, qui nunc sunt, injustitiam; sed currendum semper erat sursum deorsum, fulmine intentato, quo perjuros, aut sacrilegos, aut violentos comburerem; eratque res valde laboriosa et juvenis vires poscens: itaque Jovi, cujus me rei minime pœnitet, cessi imperium. Et alioquin decens mihi videbatur, diviso meis filiis imperio, ipsum me per quietem plerumque epulari, dum neque operam darem precantibus, neque molestias ab his, qui contraria peterent, perferrem, neque tonarem, aut fulgurarem, aut grandinem dejicere interdum cogerer: sed vitam hanc ago senilem jucundissimam, meracius nectar bibens, fabulans cum Iapeto et ceteris æqualibus: at ille imperat inter mille molestias: nisi quod paucos hosce dies, ea qua dixi lege, excipere mihi visum est, quibus resumam imperium, ut admoneam homines qualis fuerit me imperante vita, quum serente nullo aut arante nascebantur illis omnia, nec spicæ, sed paratus jam panis, et carnes curatæ, ac fluebat amnium instar vinum, et fontes mellis atque lactis: boni enim erant tum omnes atque aurei. Hæc mihi causa brevis hujus potestatis: et ob id ipsum plausus ubique, et cantus, et lusus, et æqualitas inter omnes, servos pariter ac liberos: neque enim me rerum potiente servus quisquam erat.

8. SAC. Ego vero, Saturne, conjiciebam hoc quoque, illam te in servos et compedum tritores humanitatem ex ista fabula exercere, qui honorem habeas sortis tuæ hominibus, tanquam ipse quoque serviens et memor compedis.

SAT. Non desines nempe nugari talia?

SAC. Bene mones, et desinam. Verum hoc adhuc mihi responde. Alea ludere an consuetum erat etiam illis qui sub te vivebant hominibus?

SAT. Omnino: verum non de talentis et denis drachmarum millibus, ut apud vos; sed summum de nucibus; ne doleret victo, neu ploraret et solus inter ceteros cibo se semper abstineret.

SAC. Bene illi quidem: de qua enim re luderent, qui toti ipsi essent aurei? Itaque ego etiam, dum tu dicis, tale quiddam cogitavi: si quis unum de istis ex solido auro viris in nostram hanc vitam productum vulgo ostenderet, quid miser ab illis esset passurus? incursione facta illum, novi ego, discerperent, ut Pentheum Mænades, aut Thressæ Orpheum, aut Actæonem canes, certamen inter se constituentes quis majorem inde partem auferret; qui quidem ne in festis quidem diebus celebrandis extra lucri cupiditatem sint, sed in quæstu sibi illos habeant plerique. Sic igitur alii quidem latrocinatum eunt in convivio ab amicis;

τῷ συμποσίῳ τοὺς φίλους, οἱ δέ σοί τε λοιδοροῦνται, οὐδὲν δέον, καὶ τοὺς κύβους συντρίβουσιν ἀναιτίους ὄντας αὐτοῖς ὧν ἐκόντες ποιοῦσιν.

9. Ἀτὰρ εἰπέ μοι καὶ τόδε, τί δή ποτε ἅβρὸς οὕτω θεὸς ὢν καὶ γέρων ἐπιλεξάμενος τὸ ἀτερπέστατον, ὁπότε ἡ χιὼν ἐπέχει τὰ πάντα καὶ ὁ βορρᾶς πολὺς καὶ οὐδὲν ὅ τι οὐ πέπηγεν ὑπὸ τοῦ κρύους καὶ τὰ δένδρα ξηρὰ καὶ γυμνὰ καὶ ἄφυλλα καὶ οἱ λειμῶνες ἄμορφοι καὶ ἀπηνθηκότες καὶ οἱ ἄνθρωποι ἐπικεκυφότες ὥσπερ οἱ πάνυ γεγηρακότες, ἀμφὶ τὴν κάμινον οἱ πολλοί, τηνικαῦτα ἑορτάζεις; οὐ γὰρ πρεσβυτικός γε ὁ καιρὸς οὐδὲ ἐπιτήδειος τοῖς τρυφῶσι.

ΚΡΟΝ. Πολλά με ἀνακρίνεις, ὦ οὗτος, ἤδη πίνειν δέον· παρήρησαι γοῦν μου χρόνον τῆς ἑορτῆς οὐκ ὀλίγον οὐ πάνυ ἀναγκαῖά μοι ταῦτα προσφιλοσοφῶν. Ὥστε νῦν μὲν ἄφες αὐτά, εὐωχώμεθα δὲ ἤδη καὶ κροτῶμεν καὶ ἐπὶ τῇ ἑορτῇ ἐλευθεριάζωμεν, εἶτα πεττεύωμεν ἐς τὸ ἀρχαῖον ἐπὶ καρύων καὶ βασιλέας χειροτονῶμεν καὶ πειθαρχῶμεν αὐτοῖς· οὕτω γὰρ ἂν τὴν παροιμίαν ἐπαληθεύσαιμι, ἥ φησι, παλίμπαιδας τοὺς γέροντας γίγνεσθαι.

ΙΕΡ. Ἀλλὰ μὴ δύναιτο διψῶν πιεῖν, ὦ Κρόνε, ὅτῳ μὴ ταῦτα ἃ λέγεις ἡδέα. Ὥστε πίνωμεν· ἱκανὰ γὰρ ἀποκέκρισαι καὶ τὰ πρῶτα. Καί μοι δοκῶ γραψάμενος εἰς βιβλίον ταύτην ἡμῶν τὴν συνουσίαν ἅ τε αὐτὸς ἠρώτησα καὶ σὺ πρὸς ταῦτα ἅλεως ἀπεκρίνω παρέξειν ἀναγνῶναι τῶν φίλων, ὅσοι γ' ἐπακοῦσαι τῶν σῶν λόγων ἄξιοι.

2.

ΚΡΟΝΟΣΟΛΩΝ.

10. Τάδε λέγει Κρονοσόλων ἱερεὺς καὶ προφήτης τοῦ Κρόνου καὶ νομοθέτης τῶν ἀμφὶ τὴν ἑορτήν· ἃ μὲν τοὺς πένητας χρὴ ποιεῖν, αὐτοῖς ἐκείνοις ἔπεμψα ἄλλο βιβλίον, ἐγγράψας, καὶ εὖ οἶδ' ὅτι ἐμμενοῦσι κἀκεῖνοι τοῖς νόμοις, ἢ αὐτίκα ἔνοχοι ἔσονται τοῖς ἐπιτιμίοις, ἃ κατὰ τῶν ἀπειθούντων μεγάλα ὥρισται. Ὑμεῖς δέ, ὦ πλούσιοι, ὁρᾶτε ὅπως μὴ παρανομήσητε μηδὲ παρακούσητε τῶνδε τῶν προσταγμάτων· ὡς ὅστις ἂν οὕτω μὴ ποιήσῃ, ἴστω οὗτος οὐκ ἐμοῦ νομοθέτου ἀμελήσων, ἀλλ' εἰς τὸν Κρόνον αὐτόν, ὃς με προείλετο νομοθετῆσαι ἐς τὴν ἑορτὴν οὐκ ὄναρ ἐπιστὰς, ἀλλὰ πρώην ἐγρηγορότι ἐναργὴς συγγενόμενος. Ἦν δὲ οὐ πεδήτης οὐδὲ αὐχμοῦ πλέως, οἷον αὐτὸν οἱ ζωγράφοι παρὰ τῶν λήρων ποιητῶν παραδεξάμενοι ἐπιδείκνυνται, ἀλλὰ τὴν μὲν ἅρπην εἶχε πάνυ τεθηγμένην· τὰ δ' ἄλλα φαιδρός τε ἦν καὶ καρτερὸς καὶ βασιλικῶς ἐνεσκεύαστο. Μορφὴν μὲν τοιόσδε ὤφθη μοι, ἃ δὲ εἶπε, πάνυ θεσπέσια καὶ ταῦτα, προειρῆσθαι ὑμῖν ἄξια.

11. Ἰδὼν γάρ με σκυθρωπὸν, ἐπὶ συννοίας βαδίζοντα, ὥσπερ εἰκὸς ἦν θεὸν, ἔγνω αὐτίκα τὴν αἰτίαν τῆς

alii vero et maledicunt tibi præter fas, et tesseras conterunt, innoxias illorum quæ sponte ipsi sua faciunt.

9. Verum etiam illud mihi dicito, quid tandem, deus adeo delicatus quum sis et senex, electa injucundissima anni parte, quum nix tenet omnia, et boreas multus, et nihil non concrevit glacie, et arbores siccæ ac nudæ, destitutæque foliis, et prata informia ac sine floribus, et contracti homines instar valde senum, ad focum plerique sunt, tum festos dies agis? neque enim vel senibus illud tempus vel delicate viventibus commodum.

SAT. Multa, mi homo, me interrogas, quum jam bibendum esset: exemisti enim mihi tempus festi hujus diei non parvum, ista non valde necessaria mecum philosophando. Itaque ista jam omitte: epulemur nunc et plaudamus, et festa libertate fruamur, deinde ludamus alea de nucibus more veteri, et reges constituamus, illisque obsequamur: sic enim fidem firmavero proverbii, quod bis pueros senes ait fieri.

SAC. Sed utinam sitiens bibere non possit, Saturne, si cui jucunda non sunt quæ dicis! Bibamus ergo: sufficiunt enim primæ illæ responsiones. Et placet mihi descriptum in libro hunc nostrum sermonem, quum quæ interrogavi ego, tum quæ tu propitius respondisti, legendum offerre quotquot amicorum nostrorum percipere tuos sermones merentur.

2.

CRONOSOLON (LEGISLATOR SATURNALIUM).

10. Hæc edicit Cronosolon, sacerdos Saturni et propheta, atque legum, quæ ad festos ipsius dies pertinent, legislator. Quæ pauperibus facienda sint, ea in alio descripta libro ad illos jam misi: ac præclare novi, illos quoque meis obtemperaturos legibus, aut statim futuros pœnis obnoxios iis, quæ contra inobsequentes magnæ sane statutæ sunt. Vos autem, divites, videte ne legem violetis, neve negligenter hæc imperia audiatis. Nam quicumque ita non fecerit, ille norit non me legislatorem a se spretum iri, sed Saturnum ipsum, qui me ad leges celebritati suæ ferendas delegit, non ille in somnis astans, sed nuperrime videnti vigilantique præsens oblatus. Erat autem non compeditus, neque squalore oppletus, qualem pictores a nugacibus poetis acceptum ostendunt; sed falcem habebat acutissimam, reliqua hilaris erat et validus, et paratu regio. Talis igitur ad formam mihi visus est: quæ vero dixit, plane divina et ipsa, ea proferri apud vos justum est.

11. Nam videns me tristi vultu et cogitabundum inambulare, cognovit statim, quod decebat deum, tristitiæ meæ

λύπης τίς ἐστί μοι, καὶ ὡς τὴν πενίαν δυσχεραίνοιμι οὐ κατὰ τὴν ὥραν μονοχίτων· καὶ γὰρ κρύος καὶ βορρᾶς πολὺς καὶ κρύσταλλοι καὶ χιών· ἐγὼ δὲ ἥκιστα ἐπεφράγμην πρὸς αὐτά. Ἀλλ' ὅτι καὶ τῆς ἑορτῆς πάνυ πλησιαζούσης ἑώρων τοὺς μὲν ἄλλους παρασκευαζομένους ὅπως θύσωσι καὶ εὐωχήσωνται, ἐμαυτῷ δὲ οὐ πάνυ ἑορτάσιμα ὄντα. Καὶ δὴ προσελθὼν ὄπισθεν καὶ τοῦ ὠτός μου λαβόμενος καὶ διασείσας, ὥσπερ μοι προσπελάζειν εἴωθε, Τί ταῦτα, ἔφη, ὦ Κρονοσόλων, ἀνιωμένῳ ἔοικας; Οὐ γὰρ ἄξιον, ἔφην, ὦ δέσποτα, ὅταν καταράτους μὲν καὶ μιαροὺς ἀνθρώπους ὑπερπλουτοῦντας καὶ μόνους τρυφῶντας ὁρῶ, αὐτὸς δὲ καὶ ἄλλοι συχνοὶ τῶν πεπαιδευμένων ἀπορίᾳ καὶ ἀμηχανίᾳ σύνεσμεν; Ἀλλ' οὐδὲ σὺ, ὦ δέσποτα, θέλεις παῦσαι ταῦτα καὶ μετακοσμῆσαι πρὸς τὸ ἰσόμοιρον. Τὰ μὲν ἄλλα, ἔφη, οὐ ῥᾴδιον ἀλλάττειν ὁπόσα ἐκ Κλωθοῦς καὶ τῶν ἄλλων Μοιρῶν πάσχετε, ἃ δέ ἐστι τῆς ἑορτῆς, ἐπανορθώσομαι ὑμῖν τὴν πενίαν, ἡ δὲ ἐπανόρθωσις ἥδε ἔστω· ἴθι, ὦ Κρονοσόλων, καὶ γράψον μοι νόμους τινάς, ἃ χρὴ πράττειν ἐν τῇ ἑορτῇ, ὡς μὴ καθ' αὑτοὺς οἱ πλούσιοι ἑορτάζοιεν, κοινωνοῖεν δὲ ὑμῖν τῶν ἀγαθῶν. Ἀλλ' οὐκ οἶδα, ἔφην.

12. Ἐγὼ, ἦ δ' ὅς, διδάξομαί σε· κἄτα ἀρξάμενος ἐδίδασκεν. Εἶτα ἐπειδὴ πάντα ἠπιστάμην, Καὶ εἰπὲ αὐτοῖς, ἔφη, ὅτι ἢν μὴ τοῦτο ποιῶσι, μὴ μάτην ἐγὼ τὴν ἅρπην ταύτην ὀξεῖαν περιφέρω, ἢ γελοῖος ἂν εἴην τὸν μὲν πατέρα ἐκτομίαν πεποιηκὼς τὸν Οὐρανὸν, τοὺς δὲ πλουσίους μὴ εὐνουχίζων, ὁπόσοι ἂν παρανομήσωσιν, ὡς ἀγείροιεν τῇ μητρὶ σὺν αὐλοῖς καὶ τυμπάνοις βάκηλοι γενόμενοι. Ταῦτα ἠπείλησεν. Ὥστε καλῶς ἔχει ὑμῖν μὴ παραβαίνειν τοὺς θεσμούς.

ΝΟΜΟΙ ΠΡΩΤΟΙ.

13. Μηδένα μηδὲν μήτε ἀγοραῖον μήτε ἴδιον πράττειν ἐντὸς τῆς ἑορτῆς ἢ ὅσα ἐς παιδιὰν καὶ τρυφὴν καὶ θυμηδίαν, ὀψοποιοὶ μόνοι καὶ πεμματουργοὶ ἐνεργοὶ ἔστωσαν. Ἰσοτιμία πᾶσιν ἔστω καὶ δούλοις καὶ ἐλευθέροις καὶ πένησι καὶ πλουσίοις. Ὀργίζεσθαι ἢ ἀγαναχτεῖν ἢ ἀπειλεῖν μηδενὶ ἐξέστω. Λογισμοὺς παρὰ τῶν ἐπιμελουμένων Κρονίοις λαμβάνειν μηδὲ τοῦτο ἐξέστω. Μηδεὶς τὸν ἄργυρον ἢ τὴν ἐσθῆτα ἐξεταζέτω μηδὲ ἀναγραφέτω ἐν τῇ ἑορτῇ μηδὲ γυμναζέσθω Κρονίοις μηδὲ λόγους ἀσκεῖν ἢ ἐπιδείκνυσθαι, πλὴν εἴ τινες ἀστεῖοι καὶ φαιδροὶ σκῶμμα καὶ παιδιὰν ἐμφαίνοντες.

ΝΟΜΟΙ ΔΕΥΤΕΡΟΙ.

14. Πρὸ παλλοῦ τῆς ἑορτῆς οἱ πλούσιοι γραφόντων μὲν ἐς πινάκιον ἑκάστου τῶν φίλων τοὔνομα, ἐχόντων δὲ καὶ ἀργύριον ἕτοιμον ὅσον τῶν κατ' ἔτος προσιόντων τὸ δέκατον καὶ ἐσθῆτα τῆς οὔσης τὴν περιττὴν καὶ ὅση παχυτέρα ἢ κατ' αὐτοὺς κατασκευὴ, καὶ τῶν ἀργυρῶν οὐκ ὀλίγα. Ταῦτα μὲν πρόχειρα ἔστω. Τῇ δὲ πρὸ τῆς ἑορτῆς καθάρσιον μέν τι περιφερέσθω καὶ ὑπ' αὐτῶν ἐξελαυνέσθω ἐκ τῆς οἰκίας μικρολογία καὶ φιλαργ-

causam quæ esset, et graviter a me paupertatem ferri, qui præter tempestatis rationem una tantum tunica uterer: erat quippe frigus et boreas multus, et glacies atque nix; ego vero minime ad ista munitus. Sed ideo etiam quod instante jam celebritate videbam alios comparare se uti sacrificarent atque epularentur, mihi autem rem non valde festivam esse. Accedens igitur a tergo, et aure prehensum concutiens, ut apparere mihi solet, Quid ita, inquit, Cronosolon, afflictari videris? Non enim merito, inquam, quum sacerrimos et impuros homines abundare divitiis, et solos delicate vivere videam; ego vero, et alii eruditorum multi, in penuria et rerum omnium desperatione versemur? Sed neque tu, domine, finem vis istis imponere, et reducere ea ad æqualitatem. Reliqua, inquit, mutare non est facile, quæ a Clothone et Parcis ceteris vobis eveniunt; quod vero ad festos dies attinet, paupertati vestræ medebor. Medicina autem erit ista. Abi, Cronosolon, inquit, et leges mihi quasdam scribe, quæ facienda sint per solemnitatem, ut ne pro se tantum festos dies agant divites, sed bona vobis sua impertiant. Sed non novi, inquam ego.

12. Ego vero, inquit, te docebo; deinde initio statim facto docuit. Deinde quum omnia jam cirem, Ac dicito, inquit, illis, si hoc non fecerint, viderint ne non frustra ego falcem hanc acutam circumferam; aut ridiculus fuero, qui patrem Cœlum exsecuerim, at hosce divites quotquot leges violaverint non castrem, ut Galli facti stipem Magnæ Matri colligant cum tibiis et tympanis! Hæc ille minatus est. Itaque optimum vobis fuerit leges non violare.

LEGUM CAPUT PRIMUM.

13. Ne quis neque forense quicquam neque privatum negotium intra festos dies agito, nisi quæ ad ludum et delicias et voluptatem pertinent: coqui soli et dulciarii operosi sunto. Æquali jure omnes sunto et servi et liberi, et pauperes et divites. Irasci, aut indignari, aut comminari nemini liceat. Rationes rerum curæ alicujus creditarum exigere Saturnalibus, neque hoc liceat. Nemo argentum aut vestem dinumerato, neu describito per dies festos: neu quis exerceto se Saturnalibus, aut orationem meditator vel habeat, nisi urbanam forte et hilarem, quæ ludum et jocum præ se ferat.

LEGUM CAPUT ALTERUM.

14. Diu ante solemne in tabella scribant nomen uniuscujusque amicorum divites: habeant vero etiam pecuniam in promtu, decimam circiter annui reditus partem; et quod superest ipsis vestimentorum; et quicquid est in reliquo apparatu pinguius quam pro fortunis illorum, sordidiusve; de argenteis quoque non pauca. Ista quidem in promtu sunto. Pridie vero sacri, circumlatis quibusdam purgaminibus, domo ab illis ejiciuntor sordes, et avaritia, et

γυρία καὶ φιλοκερδία καὶ ὅσα τοιαῦτα ἄλλα σύνοικα τοῖς πλείστοις αὐτῶν. Ἐπειδὰν δὲ καθαρὰν τὴν οἰκίαν ἐξεργάσωνται, θυόντων Διὶ πλουτοδότῃ καὶ Ἑρμῇ δώτορι καὶ Ἀπόλλωνι μεγαλοδώρῳ. Εἶτα περὶ δείλην ὀψίαν ἀναγιγνωσκέσθω μὲν σφίσι τὸ φιλικὸν ἐκεῖνο πινάκιον.

15. Κατανείμαντες δὲ αὐτοὶ κατ' ἀξίαν ἑκάστῳ πρὶν ἥλιον δῦναι πεμπόντων τοῖς φίλοις. Οἱ δὲ ἀποκομίζοντες μὴ πλείους τριῶν ἢ τεττάρων, οἱ πιστότατοι τῶν οἰκετῶν, ἤδη πρεσβῦται. Ἐγγραψάσθω δὲ ἐς γραμμάτιον ὅ τι τὸ πεμπόμενον καὶ ὅσον, ὡς μὴ ἀμφότεροι ὑποπτεύοιεν τοὺς διακομίζοντας. Αὐτοὶ δὲ οἱ οἰκέται μίαν κύλικα ἕκαστος πιόντες ἀποτρεχόντων, ἀπαιτούντων δὲ μηδὲν πλέον. Τοῖς πεπαιδευμένοις διπλάσια πάντα πεμπέσθω· ἄξιον γὰρ διμοιρίτας εἶναι. Τὰ δὲ ἐπὶ τοῖς δώροις λεγόμενα ὡς μετριώτατα καὶ ὀλίγιστα ἔστω· ἐπαχθὲς δὲ μηδεὶς μηδὲν συνεπιστελλέτω μηδὲ ἐπαινείτω τὰ πεμπόμενα. Πλούσιος πλουσίῳ μηδὲν πεμπέτω μηδὲ ἑστιάτω Κρονίοις ὁ πλούσιος τὸν ἰσότιμον. Τῶν εἰς τὸ πεμφθῆναι προχειρισθέντων φυλαττέσθω μηδὲν μηδὲ μετάνοια εἰσίτω ἐπὶ τῇ δωρεᾷ. Εἴ τις πέρυσιν ἀποδημῶν δι' αὐτὸ ἄμοιρος κατέστη, ἀπολαμβανέτω κἀκεῖνα. Διαλυόντων δὲ οἱ πλούσιοι καὶ χρέα ὑπὲρ τῶν φίλων τῶν πενήτων καὶ τὸ ἐνοίκιον, οἵτινες ἂν καὶ τοῦτο ὀφείλοντες καταβαλεῖν μὴ ἔχωσι· καὶ ὅλως, πρὸ πολλοῦ μελέτω αὐτοῖς εἰδέναι ὅτου μάλιστα δέονται.

16. Ἀπέστω δὲ καὶ τῶν λαμβανόντων μεμψιμοιρία, καὶ τὸ πεμφθὲν ὁποῖον ἂν ᾖ, μέγα δοκείτω. Οἴνου ἀμφορεὺς ἢ λαγὼς ἢ ὄρνις παχεῖα Κρονίων δῶρον μὴ δοκείτω· μηδὲ τὰς Κρονικὰς δωρεὰς εἰς γέλωτα φερέτωσαν. Ἀντιπεμπέτω δὲ ὁ πένης τῷ πλουσίῳ ὁ μὲν πεπαιδευμένος βιβλίον τῶν παλαιῶν, εἴ τι εὔφημον καὶ συμποτικὸν, ἢ αὐτοῦ σύγγραμμα ὁποῖον ἂν δύνηται, καὶ τοῦτο λαμβανέτω ὁ πλούσιος πάνυ φαιδρῷ τῷ προσώπῳ καὶ λαβὼν ἀναγιγνωσκέτω εὐθὺς, ἢν δὲ ἀπωθῆται ἢ ἀπορρίψῃ, ἱστω τῇ τῆς ἅρπης ἀπειλῇ ἔνοχος ὢν, κἂν πέμψῃ ὅσα ἐχρῆν· οἱ δὲ ἄλλοι οἱ μὲν στεφάνους, οἱ δὲ λιβανωτοῦ χόνδρους πεμπόντων. Ἢν δὲ πένης ἐσθῆτα ἢ ἄργυρον ἢ χρυσὸν παρὰ τὴν δύναμιν πέμψῃ πλουσίῳ, τὸ μὲν πεμφθὲν ἔστω δημόσιον καὶ καταπραθὲν ἐμβαλλέσθω εἰς τὸν θησαυρὸν τοῦ Κρόνου, ὁ δὲ πένης ἐς τὴν ὑστεραίαν πληγὰς παρὰ τοῦ πλουσίου λαμβανέτω τῷ νάρθηκι εἰς τὰς χεῖρας οὐκ ἐλάττους διακοσίων καὶ πεντήκοντα.

ΝΟΜΟΙ ΣΥΜΠΟΤΙΚΟΙ.

17. Λούεσθαι μὲν ὁπόταν τὸ στοιχεῖον ἐξάπουν ᾖ, τὰ δὲ πρὸ τοῦ λουτροῦ κάρυα καὶ πεττοὶ ἔστωσαν. Κατακείσθω ὅπου ἂν τύχῃ ἕκαστος· ἀξίωμα ἢ γένος ἢ πλοῦτος ὀλίγον συντελείτω ἐς προνομήν. Οἴνου τοῦ αὐτοῦ πίνειν ἅπαντας· μηδ' ἔστω πρόφασις τῷ πλουσίῳ ἢ στομάχου ἢ κεφαλῆς ὀδύνη, ὡς μόνον δι' αὐτὴν πίνειν τοῦ κρείττονος. Μοῖρα κρεῶν κατ' ἴσον ἅπασιν·

lucri cupiditas, et quæ sunt reliqua plerisque illorum familiaria. Quum vero mundam redidderint domum, sacrificanto divitiarum datori Jovi, et largitori Mercurio, et magnifico Apollini. Deinde sero vespere legatur ipsis amicorum illud breviarium.

15. Distributione autem ex dignitate cujusque instituta, ante solem occasum amicis mittant. Qui vero deferunt, ne plures sint tribus aut quattuor, et quidem fidissimi servorum, jam senes. Inscribatur autem in tabellam, quid sit quod mittatur, et quantum, ne utrique suspectos habeant eos qui perferunt. Servi porro, uno quisque calice epoto, recurrant : plus ne postulent. Eruditis dupla mittuntor omnia : æquum est enim hos esse duplicarios. Quæ simul cum donis nunciantur, quam moderatissima sunto et paucissima : odiosum autem nemo quicquam eâdem mittito, neu quæ mittuntur laudato. Diviti dives ne quid mittito, neu convivio sui ordinis hominem dives excipito Saturnalibus. Quæ ad mittendum depromta fuerint, eorum nihil servator; neu pœnitentia muneris subeat. Si quis superiore anno absens ea re expers liberalitatis fuerit, etiam ista accipito. Æs etiam alienum divites pro amicis pauperibus solvunto, atque habitationis mercedem, si qui eorum hanc etiam debitam solvere non possint. Atque in universum diu ante hoc ipsis curæ sit, uti sciant qua maxime re indigeant.

16. Abesto autem ab accipientibus etiam ingrata querela, et quicquid fuerit quod missum erit, magnum videatur. Vini amphora, aut lepus, aut gallina pinguis, Saturnalicium munus ne habetor : neu Saturnalicia munera in risum vertunto. Diviti vicissim mittito pauper eruditus librum antiquum, si quis sit boni ominis, aut convivio aptus; aut suum ipsius scriptum, qualecumque potuerit : idque accipito dives hilari omnino vultu, et acceptum statim legito; quodsi reposuerit aut abjecerit, scito falcis se minis obnoxium, etiamsi quantum oportebat miserit. Alii vero corollas, aut thuris micas mittunto. Si vero pauper vestem, aut argentum, aut aurum ultra facultates miserit diviti, quod missum erit publicum esto, venditumque thesauro Saturni infertor : pauper vero postridie ejus diei plagas a divite accipito ferula in manus impacta, non pauciores quam quinquaginta supra ducentas.

LEGES CONVIVALES.

17. Lavandi tempus, quum sex pedum umbra fuerit. Ante balneum nuces sunto et tali. Quo quisque forte delatus fuerit, ibi accumbito. Dignitas vel genus vel divitiæ parum ad jus prius capiendi cibi conferunto. De vino eodem omnes bibunto : neu obtentui esto diviti vel ventriculi vel capitis dolor, ut solus ea causa de meliori bibat. Carnium distributio æqualiter fiat per omnes : ministri ad

οἱ διάκονοι πρὸς χάριν μηδενὶ μηδὲν, ἀλλὰ μηδὲ βραδυνέτωσαν μηδὲ παραπεμπέσθωσαν ἔστ' ἂν αὐτοῖς δοκῇ, ὁπόσα χρὴ ἀποφέρειν. Μηδὲ τῷ μὲν μεγάλα, τῷ δὲ κομιδῇ μικρὰ παρατιθέσθω, μηδὲ τῷ μὲν ὁ μηρὸς, τῷ δὲ ἡ γνάθος συὸς, ἀλλ' ἰσότης ἐπὶ πᾶσιν.

18. Ὁ οἰνοχόος ὀξὺ δεδορκέτω ἐκ περιωπῆς ἐς ἕκαστον, καὶ ἔλαττον ἐς τὸν δεσπότην, καὶ ἐπ' ὀξύτερον ἀκουέτω. Καὶ κύλικες παντοῖαι. Καὶ ἐξέστω παρέχειν, ἤν τις ἐθέλῃ, φιλοτησίαν. Πάντες πᾶσι προπινέτωσαν, ἤν ἐθέλωσι, προπιόντος τοῦ πλουσίου. Μὴ ἐπάναγκες ἔστω πίνειν, ἤν τις μὴ δύνηται. Εἰς τὸ συμπόσιον μήτε ὀρχηστὴν μήτε κιθαριστὴν αὐτοὺς ἄγειν ἄρτι μανθάνοντα ἐξέστω, ἤν τις ἐθέλῃ. Σκώμματος μέτρον ἔστω τὸ ἄλυπον ἐπὶ πᾶσιν. Πεττευέτωσαν ἐπὶ καρύων· ἤν τις ἐπ' ἀργυρίῳ πεττεύσῃ, ἄσιτος ἐς τὴν ὑστεραίαν ἔστω. Καὶ μενέτω καὶ ἀπίτω ἕκαστος, ὁπόταν βούληται. Ἐπὰν δὲ τοὺς οἰκέτας ὁ πλούσιος εὐωχῇ, διακονούντων καὶ οἱ φίλοι σὺν αὐτῷ. Τοὺς νόμους τούτους ἕκαστον τῶν πλουσίων ἐγγράψαντα ἐς χαλκῆν στήλην ἔχειν ἐν μεσαιτάτῳ τῆς αὐλῆς, καὶ ἀναγιγνωσκέτω. Δεῖ δὲ εἰδέναι ὅτι ἔστ' ἂν αὕτη ἡ στήλη μένῃ, οὔτε λιμὸς οὔτε λοιμὸς οὔτε πυρκαϊὰ οὔτε ἄλλο χαλεπὸν οὐδὲν εἴσεισιν εἰς τὴν οἰκίαν αὐτοῖς. Ἤν δέ ποτε — ὅπερ μὴ γένοιτο — καθαιρεθῇ, ἀποτρόπαιον οἷα πείσονται.

graliam nihil cuiquam faciunto; sed neque cunctantor, neque, quoad ipsis convivis videatur, *demant* quæ auferenda sunt. Neve huic quidem magna, alii vero oppido parva apponuntor, neve uni femur, alteri vero maxilla suis; sed æqualitas esto in omnibus.

18. Pincerna acutum cernito velut de specula in unumquemque, et minus in dominum : et acutius etiam audito. Sunto varii generis calices. Jus esto propinare, si quis velit, amicitiæ poculum. Propinanto omnes omnibus, si voluerint, postquam dives propinaverit. Neque necesse sit bibere, si quis non possit. Saltatorem aut citharistam tironem in convivium ne adducunto, si quis velit. Dicti jocosi modus esto omnibus, quod nemini doleat. Alea ludunto de nucibus : si quis pecuniam luserit, postridie esurito. Maneat unusquisque et abeat, quando lubitum ei fuerit. Si vero servos convivio excipiet dominus dives, etiam amici cum illo ministranto. Hasce leges unusquisque dives inscriptas in pila ærea, in media aula habeto, atque legito. Sciendum est, quam diu ea pila manserit, neque famem, neque pestilentiam, neque incendium, neque aliud quicquam mali in eam domum illis ingressurum. Sed si quando (quod quidem absit) destruatur, quid illis eventurum sit, abominamur.

3.

ΕΠΙΣΤΟΛΑΙ ΚΡΟΝΙΚΑΙ.

1.

19. ΕΓΩ ΚΡΟΝΩ ΧΑΙΡΕΙΝ. Ἐγεγράφειν μὲν ἤδη σοι καὶ πρότερον δηλῶν ἐν οἷς εἴην καὶ ὡς ὑπὸ πενίας κινδυνεύοιμι μόνος ἄμοιρος εἶναι τῆς ἑορτῆς, ἣν ἐπήγγελκας, ἔτι καὶ τοῦτο προσθείς — μέμνημαι γάρ — ἀλογώτατον εἶναι τοὺς μὲν ἡμῶν ὑπερπλουτεῖν καὶ τρυφᾶν οὐ κοινωνοῦντας ὧν ἔχουσι τοῖς πενεστέροις, τοὺς δὲ λιμῷ διαφθείρεσθαι, καὶ ταῦτα Κρονίων ἐνεστώτων· ἐπεὶ δέ μοι τότε οὐδὲν ἀντεπέστειλας, ἡγησάμην δεῖν αὖθις ἀναμνῆσαί σε τῶν αὐτῶν. Ἐχρῆν γάρ σε, ὦ ἄριστε Κρόνε, τὸ ἄνισον τοῦτο ἀφελόντα καὶ τὰ ἀγαθὰ ἐς τὸ μέσον ἅπασι καταθέντα ἔπειτα κελεύειν ἑορτάζειν. Ὡς δὲ νῦν ἔχομεν, μύρμηξ ἢ κάμηλος, ὡς ἡ παροιμία φησί. Μᾶλλον δὲ τραγικὸν ὑποκριτὴν ἐνόησον θατέρῳ μὲν τοῖν ποδοῖν ἐφ' ὑψηλοῦ βεβηκότα, οἷοί εἰσι τραγικοὶ ἐμβάται, ὁ δ' ἕτερος ἀνυπόδητος ἑστω. Εἰ τοίνυν βαδίζοι οὕτως ἔχων, ὁρᾷς ὅτι ἀναγκαῖον αὐτῷ ἄρτι μὲν ὑψηλῷ, ἄρτι δὲ ταπεινῷ γενέσθαι, καθ' ὁπότερον ἂν πόδα προβαίνῃ. Τοσοῦτον καὶ τῷ βίῳ ἡμῶν τὸ ἄνισον· καὶ οἱ μὲν ὑποδησάμενοι ἐμβάτας τῆς τύχης χορηγούσης ἐντραγῳδοῦσιν ἡμῖν, οἱ πολλοὶ δὲ πεζῇ καὶ χαμαὶ βαδίζομεν δυνάμενοι ἄν, εὖ ἴσθι, μὴ χεῖρον αὐτῶν ὑποκρίνεσθαι καὶ διαβαίνειν, εἴ τις καὶ ἡμᾶς ἐνεσκεύασε παραπλησίως ἐκείνοις.

3.

EPISTOLÆ SATURNALES.

1.

19. Ego saturno salutem. Equidem jam prius tibi literis demonstravi quo loco essem, et ut per paupertatem in periculo versarer, ne solus sim expers ejus quam denunciasti solemnitatis : adjeceram præterea (nam commemini) vehementer esse rationi adversum, alios nostrûm opibus deliciisque affluere, neque quicquam de his quæ habent impertiri tenuioribus; alios autem enecari fame, idque instantibus Saturnalibus. Quoniam vero nihil mihi tum rescripsisti, faciendum putavi ut iterum de iisdem rebus te admonerem. Decebat enim te, Saturne optime, sublata prius illa inæqualitate, bonis in medio omnium positis, deinde imperare dies festos. Ut vero nunc habemus, formica (aliquis est) aut camelus, ait proverbium. Quin tu tragicum mihi actorem cogita, altero quidem pede alte calceatum, quales sunt cothurni tragici; alter vero ejus pes discalceatus sit. Eo igitur habitu si ingrediatur, vides necesse illi esse, ut modo excelsus sit, modo humilis, prout hoc vel illo pede procedat. Tanta est etiam in vita nostra inæqualitas : alii quidem induti cothurnis a fortuna suppeditatis, tragico nos fastu conculcant; vulgus vero nos pedibus et humi ingredimur, qui possemus, bene noris, non deterius illis agere, et gradum grandire, si quis nos etiam similiter atque illos instruxisset.

20. Καίτοι ἀκούω τῶν ποιητῶν λεγόντων ὡς τὸ παλαιὸν οὐ τοιαῦτα ἦν τοῖς ἀνθρώποις τὰ πράγματα σοῦ ἔτι μοναρχοῦντος, ἀλλ' ἡ μὲν γῆ ἄσπορος καὶ ἀνήροτος ἔφυεν αὐτοῖς τὰ ἀγαθὰ, δεῖπνον ἕτοιμον ἑκάστῳ ἐς κόρον, ποταμοὶ δὲ οἱ μὲν οἶνον, οἱ δὲ γάλα, εἰσὶ δὲ οἱ καὶ μέλι ἔρρεον· τὸ δὲ μέγιστον, αὐτοὺς ἐκείνους φασὶ τοὺς ἀνθρώπους χρυσοῦς εἶναι, πενίαν δὲ μηδὲ τὸ παράπαν αὐτοῖς πλησιάζειν. Ἡμεῖς δὲ αὐτοὶ μὲν οὐδὲ μόλυβδος ἂν εἰκότως δοκοίημεν, ἀλλ' εἴ τι καὶ τούτου ἀτιμότερον, ἡ τροφὴ δὲ μετὰ πόνων τοῖς πλείστοις, ἡ πενία δὲ καὶ ἀπορία καὶ ἀμηχανία καὶ τὸ οἴμοι καὶ τὸ πόθεν ἄν μοι γένοιτο καὶ ὦ τῆς τύχης πολλὰ τοιαῦτα παρὰ γοῦν ἡμῖν τοῖς πένησι. Καὶ ἧττον ἂν, εὖ ἴσθι, ἠνιώμεθα ἂν ἐπ' αὐτοῖς, εἰ μὴ τοὺς πλουσίους ἑωρῶμεν τοσαύτῃ εὐδαιμονίᾳ συνόντας, οἳ τοσοῦτον μὲν χρυσὸν, τοσοῦτον δὲ ἄργυρον ἐγκλεισάμενοι, ἐσθῆτας δὲ ὅσας ἔχοντες, ἀνδράποδα δὲ καὶ ζεύγη καὶ συνοικίας καὶ ἀγροὺς, πάμπολλα δὲ ταῦτα ἕκαστα κεκτημένοι οὐχ ὅπως μετέδοσαν ἡμῖν ποτε αὐτῶν, ἀλλ' οὐδὲ προσβλέπειν τοὺς πολλοὺς ἀξιοῦσι.

21. Ταῦτα ἡμᾶς μάλιστα ἀποπνίγει, ὦ Κρόνε, καὶ ἀφόρητον ἡγούμεθα τὸ πρᾶγμα, τὸν μὲν ἐφ' ἁλουργίδων κατακείμενον τοσούτοις ἀγαθοῖς ἐντρυφᾶν ἐρυγγάνοντα καὶ ὑπὸ τῶν συνόντων εὐδαιμονιζόμενον ἀεὶ ἑορτάζοντα, ἐμὲ δὲ καὶ τοὺς ὁμοίους ὀνειροπολεῖν, εἴ ποθεν ὀβολοὶ τέτταρες γένοιντο, ὡς ἔχοιμεν ἄρτων γοῦν ἢ ἁλφίτων ἐμπεπλησμένοι καθεύδειν κάρδαμον ἢ θύμον ἢ κρόμμυον ἐπιτρώγοντες. Ἦ τοίνυν ταῦτα, ὦ Κρόνε, ἀλλάττειν καὶ μεταποιεῖν ἐς τὸ ἰσοδίαιτον, ἢ τὸ ὕστατον, αὐτούς γε ἐκείνους κελεύειν τοὺς πλουσίους μὴ μόνους ἀπολαύειν τῶν ἀγαθῶν, ἀλλὰ ἀπὸ μεδίμνων τοσούτων χρυσίου χοίνικά γε ἡμῶν πάντων κατασκεδάσαι, ἀπὸ δὲ ἱματίων ὅσα κἂν ὑπὸ σητῶν διαβρωθέντα οὐκ ἂν αὐτοὺς ἀνιάσειε, ταῦτα γοῦν πάντως ἀπολλύμενα καὶ ὑπὸ τοῦ χρόνου διαφθαρησόμενα ἡμῖν δοῦναι περιβαλέσθαι μᾶλλον ἢ ἐν ταῖς κοίταις καὶ κίσταις εὐρῶτι πολλῷ κατασαπῆναι.

22. Καὶ μὴν καὶ δειπνίζειν ἕκαστον ἄρτι μὲν τέτταρας, ἄρτι δὲ πέντε τῶν πενήτων παραλαμβάνοντας, μὴ μέντοι ἐς τὸν νῦν τρόπον τῶν δείπνων, ἀλλ' ἐς τὸ δημοτικώτερον, ὡς ἐπ' ἴσης μετέχειν ἅπαντας καὶ μὴ τὸν μὲν ἐμφορεῖσθαι τῶν ὄψων καὶ τὸν οἰκέτην περιμένειν ἑστῶτα, ἕστ' ἂν ἀπαγορεύσῃ ἐσθίων, ἐφ' ἡμᾶς δὲ ἐλθόντα, ἔτι παρασκευαζομένων ὡς ἐπιβάλοιμεν τὴν χεῖρα, παραμείβεσθαι δείξαντα μόνον τὴν λοπάδα ἢ ὅσον ἐστὶ τοῦ πλακοῦντος τὸ λοιπόν· μηδὲ ἐσκομισθέντος ὑὸς διανέμοντα, τῷ μὲν δεσπότῃ παρατιθέναι τὸ ἡμίτομον ὅλον σὺν τῇ κεφαλῇ, τοῖς δὲ ἄλλοις ὀστᾶ φέρειν ἐγκεκαλυμμένα. Προεισπεῖν δὲ καὶ τοῖς οἰνοχόοις μὴ περιμένειν, ἕστ' ἂν ἑπτάκις αἰτήσῃ πιεῖν ἡμῶν ἕκαστος, ἀλλὰ ἦν ἅπαξ κελεύσῃ, αὐτίκα ἐγχέαι καὶ ἀναδοῦναι μεγάλην κύλικα ἐμπλησαμένους ὥσπερ τῷ δεσπότῃ· καὶ τὸν οἶνον δὲ αὐτὸν πᾶσι τοῖς συμπόταις ἕνα καὶ τὸν αὐτὸν εἶναι. Ἦ ποῦ γὰρ γεγράφθαι τοῦτον τὸν νόμον,

20. Quanquam audio poetas dicere, olim non ejusmodi fuisse res hominum, te adhuc rerum potiente; sed tellurem sine semine atque aratro genuisse ipsis bona, paratas unicuique ad satietatem usque epulas: fluvios autem vino partim, partim lacte fluxisse; fuisse etiam qui melle. Quod vero maximum, illos ipsos homines aiunt fuisse aureos, paupertatem vero nec omnino ad illos accessisse. At nos contra ea ipsi ne plumbum quidem videamur merito, sed si quid illo vilius: victus autem cum labore plerisque contingit: ceterum paupertas, et consilii inopia, et desperatio, et illud Hei mihi! et, Unde nanciscar? et Heu fortunam! talia apud nos quidem pauperes plurima. Ac minus ea indigne, bene noris, ferremus, nisi divites in tanta esse felicitate videremus: qui tantum quum aurum atque argentum penes se incluserint, vestes autem quot habeant, mancipiaque et currus, et vicos totos, et agros, et magnam quidem vim singulorum possideant; tantum abest ut eorum quicquam nobis impertiant unquam, ut ne aspicere quidem de plebe homines dignentur.

21. Hæc nos maxime, Saturne, angunt, et rem esse intolerabilem arbitramur; istum quidem jacentem in purpura tot in bonis delicias agere, ructantem, et beatum prædicari a familiaribus, perpetuos dies festos agentem: me vero ac mei similes hoc ipsum per quietem etiam et in somnis curare, sicunde quattuor confieri possint oboli, ut pane certe aut pulte oppleti, adhibito nasturtii aut porri aut cepæ obsonio, ire cubitum queamus. Aut igitur hæc immuta, Saturne, et reduc ad æqualitatem, aut, quod extremum est, ipsis illis divitibus impera, ne soli fruantur bonis illis, sed de tot modiis auri chœnicem certe in nos omnes spargant; de vestibus autem tantum, quantum a tineis si corrodatur, ægre non ferant; hæc ergo omnino peritura, et quæ futurum sit ut corrumpantur a tempore, nobis uti dent induenda potius, quam in arcis ac cistis multo situ computrescant.

22. Verum etiam cœna excipere illos jube assumtos modo quattuor, modo quinque ex pauperibus, non tamen præsenti modo cœnarum, sed populari magis ratione, ut ex æquo omnium participes sint universi; neque alter obsoniis se ingurgitet, manente servo atque astante, donec ille edere non amplius possit; ad nos vero quum venerit idem servus, adhuc parantibus nobis manum injicere, prætereat, ostensa modo patina, aut quantum est placentæ reliquum; neque ut illato porco carptor hero quidem apponat dimidium ipsum cum capite, reliquis vero involuta ossa offerat. Præcipere porro illos jube pocillatoribus, ne exspectent dum septies bibere unusquisque nostrûm postulaverit; sed quum semel jusserit, infundere statim, et tradere, non minus quam hero, magnum plenumque calicem. Vinum vero ipsum convivis omnibus unum idemque esse; ubi enim scriptam

τὸν μὲν ἀνθοσμίου μεθύσκεσθαι, ἐμοὶ δὲ ὑπὸ τοῦ γλεύκους διαρρήγνυσθαι τὴν γαστέρα;

23. Ἢν ταῦτα ἐπανορθώσῃς καὶ μετακοσμήσῃς, ὦ Κρόνε, βίον μὲν τὸν βίον, ἑορτὴν δὲ τὴν ἑορτὴν ἔσῃ πεποιηκώς, εἰ δὲ μή, ἐκεῖνοι μὲν ἑορταζόντων, ἡμεῖς δὲ καθεδούμεθα εὐχόμενοι, ἐπειδὰν λουσάμενοι ἥκωσι, τὸν παῖδα μὲν αὐτοῖς ἀνατρέψαντα τὸν ἀμφορέα κατᾶξαι, τὸν μάγειρον δὲ τὸν ζωμὸν κνισῶσαι καὶ ἐπιλαθόμενον τὸ τάριχος μὲν ἐς τὴν φακῆν ἐμβαλεῖν τῶν ἰχθύων· τὴν κύνα δὲ παρεισπεσοῦσαν τόν τε ἀλλᾶντα ὅλον καταφαγεῖν, περὶ τἆλλα τῶν ὀψοποιῶν ἐχόντων, καὶ τοῦ πλακοῦντος τὸ ἥμισυ· τὸν δὲ ὗν καὶ τὸν ἔλαφον καὶ τὰ δελφάκια μεταξὺ ὀπτώμενα τὸ ὅμοιον ποιεῖν, ὅπερ Ὅμηρος περὶ τῶν Ἡλίου βοῶν φησι· μᾶλλον δὲ μὴ ἕρπειν μόνον, ἀλλ' ἀναπηδήσαντα φεύγειν εἰς τὸ ὄρος αὐτοῖς ὀβελοῖς· καὶ τὰς ὄρνεις δὲ τὰς παχείας, καίτοι ἀπτέρους ἤδη οὔσας καὶ ἐσκευασμένας, ἀναπταμένας οἴχεσθαι καὶ ταύτας, ὡς μὴ μόνοι ἀπολαύοιεν αὐτῶν.

24. Ὁ δὲ δὴ μάλιστα ἂν αὐτοὺς ἀνιάσειε, τὸ μὲν χρυσίον μύρμηκάς τινας οἵους τοὺς Ἰνδικοὺς ἀνορύττοντας ἐκ τῶν θησαυρῶν ἐκφέρειν νύκτωρ ἐς τὸ δημόσιον· τὴν ἐσθῆτα δὲ ὀλιγωρίᾳ τῶν ἐπιμελητῶν κοσκινηδὸν διατετρυπῆσθαι ὑπὸ τῶν βελτίστων μυῶν, ὡς σαγήνης θυννευτικῆς μηδὲν διαφέρειν· παῖδας δὲ αὐτῶν τοὺς ὡραίους καὶ κομήτας, οὓς Ὑακίνθους ἢ Ἀχιλλέας ἢ Νάρκισσους ὀνομάζουσι, μεταξὺ ὀρέγοντας σφίσι τὸ ἔκπωμα φαλακροὺς γίγνεσθαι ὑπορρεούσης τῆς κόμης καὶ πώγωνα φύειν ὀξὺν, οἷοί εἰσιν ἐν ταῖς κωμῳδίαις οἱ σφηνοπώγωνες, καὶ τὸ παρὰ τοῖς κροτάφοις πάνυ λάσιον καὶ κάρτα ἐκκεντοῦν, τὸ μεταξὺ δὲ λεῖον καὶ γυμνὸν εἶναι. Ταῦτα καὶ πλείω τούτων εὐξαίμεθ' ἄν, ἢν μὴ θέλωσι τὸ ἄγαν φίλαυτον τοῦτ' ἀφέντες ἐς τὸ κοινὸν πλουτεῖν καὶ μεταδιδόναι ἡμῖν τῶν μετρίων.

2.

25. ΚΡΟΝΟΣ ΕΜΟΙ ΤΩ ΤΙΜΙΩΤΑΤΩ ΧΑΙΡΕΙΝ. Τί ταῦτα ληρεῖς, ὦ οὗτος, ἐμοὶ περὶ τῶν παρόντων ἐπιστέλλων καὶ ἀναδασμὸν τῶν ἀγαθῶν ποιεῖν κελεύων; τὸ δὲ ἑτέρου ἂν εἴη, τοῦ νῦν ἄρχοντος. Θαυμάζω γάρ σε εἰ μόνος τῶν ἁπάντων ἀγνώσσεις ὡς ἐγὼ μὲν πάλαι βασιλεὺς ὢν πέπαυμαι εἷς ὤν, τοῖς παισὶ διανείμας τὴν ἀρχὴν, ὁ δὲ Ζεὺς μάλιστα τῶν τοιούτων ἐπιμελεῖται· τὰ δὲ ἡμέτερα ταῦτα μέχρι πεττῶν καὶ κρότου καὶ ᾠδῆς καὶ μέθης, καὶ τοῦτο οὐ πλέον ἡμερῶν ἑπτά. Ὥστε περὶ τῶν μειζόνων ἃ φῂς, ἀφελεῖν τὸ ἄνισον καὶ ἐκ τῆς ὁμοίας ἢ πένεσθαι ἢ πλουτεῖν ἅπαντας, ὁ Ζεὺς ἂν χρηματίσειεν ὑμῖν. Εἰ δέ τι τῶν ἐκ τῆς ἑορτῆς ἀδικοῖτό τις ἢ πλεονεκτοῖτο, ἐμὸν ἂν εἴη δικάζειν· καὶ ἐπιστέλλω δὲ τοῖς πλουσίοις περὶ τῶν δείπνων καὶ τοῦ χοίνικος τοῦ χρυσίου καὶ τῶν ἐσθήτων, ὡς καὶ ὑμῖν πέμποιεν ἐς τὴν ἑορτήν· δίκαια γὰρ ταῦτα καὶ ἄξια αὐτοὺς ποιεῖν, ὡς φατέ, ἢν μή τι εὔλογον ἐκεῖνοι πρὸς ταῦτα λέγειν ἔχωσι.

26. Τὸ δὲ ὅλον, ἴστε οἱ πένητες ὑμεῖς ἐξηπατημένοι

esse illam legem, ut alter vino odorato inebrietur, mihi autem a musto rumpatur venter?

23. Hæc si correxeris, Saturne, tum demum ut vita vita sit, et festi dies sint festi, effeceris : sin minus, festos illi dies obeant; nos vero sedebimus vota facientes, ut, quum e balneo redeant, puer eversam illis frangat amphoram, coquus autem nidore jus corrumpat, et aliud agens pisculentam muriam infundat lenticulæ; ut irrepens canis totum farcimen, occupatis alia in re coquis, dimidiamque placentam devoret : aper vero atque cervus, et porcelli, dum assantur, simile uti faciant ei, quod de Solis bubus narrat Homerus : quin non repant modo, sed exsilientes in montem ipsis cum verubus aufugiant; gallinæ autem saginatæ, licet vulsis jam pennis apparatæ, evolantes ipsæ quoque discedant, quo ne soli illis fruantur.

24. Quod vero inprimis molestum iis fuerit, ut formicæ, quales sunt illæ Indicæ, effossos thesauros noctu in publicum efferant; atque ut vestis ob negligentiam curatorum cribri instar perforata sit ab optimis muribus, ne quid a reti thunnis capiendis differant; atque ut pueri illorum pulchri et comati, quos Hyacinthos vel Achilles vel Narcissos appellant, dum poculum illis porrigunt, coma defluente calvescant, et barba crescat iis acuta, quales sunt in comœdiis illi cuneobarbi, atque in ipsis temporibus pili oboriantur hirsuti vehementerque pungentes, interjectis partibus lævibus atque nudis. Hæc et plura his vota faciemus, si noluerint, relicto illo nimio sui ipsorum amore, in commune esse divites, et mediocria nobis impertiri.

2.

25. SATURNUS MIHI SUO CARISSIMO SAL. Quid ita deliras, o noster, qui de præsentibus rebus ad me scribas, et bonorum divisionem me jubeas instituere? At illud alterius opus fuerit, ejus qui nunc rerum potitur. Miror enim si solus omnium ignoras me qui olim rex fui, distributo filiis imperio, unum esse desisse; ad Jovis autem curam maxime pertinere talia : hoc autem nostrum regnum intra talos, et plausus, cantumque et ebrietatem fere esse, idque septem non amplius diebus. Itaque de majoribus illis quæ dicis, de auferenda inæqualitate, ut ex æquo aut pauperes sint omnes aut divites, Jupiter vobis respondeat. Si quis vero in iis, quæ ad solemnitatem pertinent, per injuriam aut avaritiam aliquid designet, hoc meum fuerit judicium. Ac scribo ad divites epistolam de cœnis, de chœnice auri, et de vestibus, ut vobis etiam solemnis causa aliquid mittant; justa enim ista et digna quæ faciant, uti dicitis, nisi quid habent illi quod cum ratione contra dicant.

26. In universum autem scitote, pauperes, falli vos, ne-

νοι καὶ οὐκ ὀρθῶς δοξάζοντες περὶ τῶν πλουσίων, οἵ γε πανευδαίμονας αὐτοὺς οἴεσθε εἶναι καὶ μόνους ἡδύν τινα βιοῦν τὸν βίον, ὅτι δειπνεῖν τε πολυτελῶς ἔστιν αὐτοῖς καὶ μεθύσκεσθαι οἴνου ἡδέος καὶ παισὶν ὡραίοις καὶ γυναιξὶν ὁμιλεῖν καὶ ἐσθῆσι μαλακαῖς χρῆσθαι· τὸ δὲ πάνυ ἀγνοεῖτε ὁποῖόν ἐστιν. Αἵ τε γὰρ φροντίδες αἱ περὶ τούτων οὐ μικραὶ, ἀλλ' ἀνάγκη ἐπαγρυπνεῖν ἑκάστοις, μή τι ὁ οἰκονόμος βλακεύσας ἢ ὑφελόμενος λάθῃ, μὴ ὁ οἶνος ὀξυνθῇ, μὴ ὁ σῖτος φθειρὶ ζέσῃ, ἢ ὁ λῃστὴς ὑφέληται τὰ ἐκπώματα, μὴ πιστεύσῃ τοῖς συκοφάνταις ὁ δῆμος λέγουσι τυραννεῖν αὐτὸν ἐθέλειν. Ταῦτα δὲ πάντα οὐδὲ τὸ πολλοστὸν ἂν εἴη μέρος τῶν ἀνιώντων αὐτούς· εἰ γοῦν ἠπίστασθε τοὺς φόβους καὶ τὰς μερίμνας ἃς ἔχουσι, πάνυ ἂν ὑμῖν φευκτέον ὁ πλοῦτος ἔδοξεν.

27. Ἐπεί τοι οἴει με αὐτὸν οὕτως ἄν ποτε κορυβαντιᾶσαι, ὡς εἰ καλὸν ἦν τὸ πλουτεῖν καὶ βασιλεύειν, ἀφέντα ἂν αὐτὰ καὶ παραχωρήσαντα ἄλλοις καθῆσθαι ἰδιωτεύοντα καὶ ἀνέχεσθαι ὑπ' ἄλλῳ ταττόμενον; ἀλλὰ τὰ πολλὰ ταῦτα εἰδὼς, ἃ τοῖς πλουσίοις καὶ ἄρχουσι προσεῖναι ἀνάγκη, ἀφῆκα τὴν ἀρχὴν εὖ ποιῶν.

28. Καὶ γὰρ ἃ νῦν ἐποτνιῶ πρός με, ὡς τοὺς μὲν ὗν καὶ πλακούντων ἐμφορουμένους, ὑμᾶς δὲ κάρδαμον ἢ θύμον ἢ κρόμμυον ἐπιτρώγοντας ἐν τῇ ἑορτῇ, σκέψαι ὁποῖά ἐστι· πρὸς μὲν γὰρ τὸ παρὸν ἡδὺ καὶ οὐκ ἀνιαρὸν ἴσως ἑκάτερον αὐτῶν, ὡς δὲ μετὰ ταῦτα ἔμπαλιν ἀναστρέφεται τὸ πρᾶγμα. Εἶτα ὑμεῖς μὲν οὔτε καρηβαροῦντες ἀνασταίητ' ἂν ἐς τὴν ὑστεραίαν ὥσπερ ἐκεῖνοι ὑπὸ τῆς μέθης οὔτε ὑπὸ τῆς ἄγαν πλησμονῆς δυσῳδές τι καὶ καπνωδέστερον ἐρυγγάνοντες· οἱ δὲ τούτων τε ἀπολαύουσι καὶ τὸ πολὺ τῆς νυκτὸς ἢ παισὶν ἢ γυναιξὶν ἢ ὅπως ἂν ὁ τράγος κελεύῃ συναναφυρέντες ἢ φθόην ἢ περιπνευμονίαν ἢ ὕδερον οὐ χαλεπῶς συνελέξαντο ἐκ τῆς πολλῆς τρυφῆς. Ἤ τίνα ἂν αὐτῶν ῥᾳδίως δεῖξαι δύναιο μὴ πάντως ὠχρὸν ὄντα πολὺ τὸ νεκρῶδες ἐμφαίνοντα; τίνα δὲ ἐς γῆρας ἀφικόμενον τοῖς αὑτοῦ ποσὶν, ἀλλὰ μὴ φοράδην ἐπὶ τεττάρων ὀχούμενον, ὁλόχρυσον μὲν τὰ ἔξω, κατάρραφον δὲ τὰ ἔνδον, ὥσπερ αἱ τραγικαὶ ἐσθῆτες ἐκ ῥακίων πάνυ εὐτελῶν συγκεκαττυμέναι; Ὑμεῖς δὲ ἰχθύων μὲν ἄγευστοι καὶ ἄσιτοι, ποδάγρας δὲ ἢ περιπνευμονίας οὐχ ὁρᾶθ' ὅτι καὶ τούτων ἄπειροί ἐστε, ἢ εἴ τι κατ' ἄλλην τινὰ αἰτίαν συμβαίνει; Καίτοι οὐδ' αὐτοῖς ἐκείνοις ἡδύ ἐστιν αὐτὸ καθ' ἡμέραν καὶ πέρα τοῦ κόρου ἐσθίειν τούτων, ἀλλ' ἴδοις ἂν αὐτοὺς οὕτω λαχάνων καὶ θύμου ὀρεγομένους ἐνίοτε ὥσπερ οὐδὲ σὺ τῶν λαγῶν καὶ ὑῶν.

29. Ἐῶ λέγειν ὅσα ἄλλα λυπεῖ αὐτοὺς, υἱὸς ἀκόλαστος ἢ γυνὴ τοῦ οἰκέτου ἐρῶσα ἢ ἐρώμενος πρὸς ἀνάγκην μᾶλλον ἢ πρὸς ἡδονὴν συνών· καὶ ὅλως πολλά ἐστιν ἅπερ ὑμεῖς ἀγνοοῦντες τὸν χρυσὸν ὁρᾶτε αὐτῶν μόνον καὶ τὴν πορφύραν, καὶ ἢν ἴδητέ ποτε ἐξελαύνοντας ἐπὶ λευκοῦ ζεύγους, κεχήνατε καὶ προσκυνεῖτε. Εἰ δὲ ὑπερεωρᾶτε αὐτῶν καὶ κατεφρονεῖτε καὶ μήτε ἐπεστρέφεσθε πρὸς τὴν ἀργυρᾶν ἁρμάμαξαν μήτε

que recte de divitibus sentire, si undique beatos illos putatis, et suavem vitam vivere solos, quod sumtuose cœnare illis licet, et dulci vino inebriari, et cum pueris formosis atque mulieribus esse, et vestimentis uti mollibus. Omnino autem, quale id sit, nescitis. Curæ etenim de hisce non parvæ: sed opus est invigilare singulis, ne quid ipsis imprudentibus dispensator vel stupore perdat, vel fraude subducat, ne acescat vinum, ne curculionibus scateat frumentum, aut pocula latro auferat, ne delatoribus credat populus, tyrannidem ab ipso affectari dicentibus. Hæc vero omnia vix una de multis particula molestiarum, quæ illos premunt, fuerit. Quod si timores sciretis quos habent, et curas, fugiendæ omnino vobis viderentur divitiæ.

27. Alioqui putas ipsum me ita insanire unquam, ut, si quid præclarum adeo essent divitiæ et imperium, relicta illa concedam aliis, desideam ipse privatus, et sub alterius imperio vivam? Sed quum scirem multa illa quæ adesse divitibus atque imperantibus necesse est, dimisi, nec pœnitet, imperium.

28. Nam quæ modo apud me conquestus es, illos apris ingurgitare se et placentis, vos nasturtium, aut porrum, aut cepam per dies festos arrodere; quale sit, inspice: in præsens enim suave utrumque, et minime forte molestum: postea vero ut in contrariam partem ea res vertatur. Tum vos neque gravato, ut isti, per ebrietatem capite postridie surgatis, neque de ventre nimis referto tetrum nescio quem vaporem eructetis. At illi istum divitiarum fructum habent, et noctis partem majorem cum pueris aut mulieribus, aut prout mala libido imperaverit, volutati, tabem, vel pulmonis inflammationem, vel aquam intercutem non difficulter ex multa illa luxuria colligunt. Aut quem illorum ostendere facile possis, qui non plane sit pallidus, non multum cadaveri similis? quem vero, si ad senectutem pervenit, suis ipsum utentem pedibus, non quattuor hominum humeris invectum? aureum quidem totum quod ad externa, intus vero consutilem, quales sunt tragicæ vestes, de pannis plane vilibus consarcinatæ? Vos autem pisces quidem non gustatis, nedum ut iis vescamini; podagræ vero et pulmonum morbi, nonne videtis horum etiam vos expertes esse, aut si quid tale alia causa illis accidat? Quanquam ne ipsis quidem suave est ipsum illud quotidie et ultra quam satis est de his edere: verum videas illos adeo oleris ac porri nonnunquam cupidos, ut ne tu quidem ita leporum et aprorum.

29. Mitto dicere quæ illos alia excruciant, filius corruptus, aut uxor amans servum, aut puer necessitate potius præbens quam amore. Ac multa sunt in universum, quorum vos ignari aurum modo illorum spectatis et purpuram: et si quando videtis illos albis equis vehentes, hiatis atque adoratis. Si vero despiceretis ea et contemneretis, nec adverteret vos argenteum carpentum, nec inter agendum

νελθὼν καταλαμβάνει τὸ περὶ τοῦ πατρώου φόνου ἔτι φλεγμαῖνον καὶ πολλοὺς τοὺς ἐπανατεινομένους τὴν κατηγορίαν. Διήρπαστο δὲ τὰ πλεῖστα τῶν κτημάτων παρὰ τὴν ἀποδημίαν αὐτοῦ καὶ μόνοι ὑπελείποντο οἱ ἀγροὶ ὅσον εἰς πεντεκαίδεκα τάλαντα· ἦν γὰρ ἡ πᾶσα οὐσία τριάκοντά που ταλάντων ἀξία, ἣν ὁ γέρων κατέλιπεν, οὐχ ὥσπερ ὁ παγγέλοιος Θεαγένης ἔλεγε πεντακισχιλίων· τοσούτου γὰρ οὐδὲ ἡ πᾶσα τῶν Παριανῶν πόλις πέντε σὺν αὐτῇ τὰς γειτνιώσας παραλαβοῦσα πραθείη ἂν αὐτοῖς ἀνθρώποις καὶ βοσκήμασι καὶ τῇ λοιπῇ παρασκευῇ.

15. Ἀλλ' ἔτι γε ἡ κατηγορία καὶ τὸ ἔγκλημα θερμὸν ἦν, καὶ ἐῴκει οὐκ εἰς μακρὰν ἐπαναστήσεσθαί τις αὐτῷ, καὶ μάλιστα ὁ δῆμος αὐτὸς ἠγανάκτει χρηστὸν, ὡς ἔφασαν οἱ ἰδόντες, γέροντα πενθοῦντες οὕτως ἀσεβῶς ἀπολωλότα. Ὁ δὲ σοφὸς οὗτος Πρωτεὺς πρὸς ἅπαντα ταῦτα σκέψασθε οἷόν τι ἐξεῦρε καὶ ὅπως τὸν κίνδυνον διέφυγε· παρελθὼν γὰρ εἰς τὴν ἐκκλησίαν τῶν Παριανῶν — ἐκόμα δὲ ἤδη καὶ τρίβωνα πιναρὸν ἠμπείχετο καὶ πήραν παρήρτητο καὶ τὸ ξύλον ἐν τῇ χειρὶ ἦν καὶ ὅλως μάλα τραγικῶς ἐσκεύαστο — τοιοῦτος οὖν ἐπιφανεὶς αὐτοῖς ἀφεῖναι ἔφη τὴν οὐσίαν, ἣν ὁ μακαρίτης πατὴρ αὐτῷ κατέλιπε, δημοσίαν εἶναι πᾶσαν. Τοῦτο ὡς ἤκουσεν ὁ δῆμος πένητες ἄνθρωποι καὶ πρὸς διανομὰς κεχηνότες, ἀνέκραγον εὐθὺς ἕνα φιλόσοφον, ἕνα φιλόπατριν, ἕνα Διογένους καὶ Κράτητος ζηλωτήν. Οἱ δὲ ἐχθροὶ ἐπεφίμωντο, κἂν εἴ τις ἐπιχειρήσειε μεμνῆσθαι τοῦ φόνου, λίθοις εὐθὺς ἐβάλλετο.

16. Ἐξῆει οὖν τὸ δεύτερον πλανησόμενος, ἱκανὰ ἐφόδια τοὺς Χριστιανοὺς ἔχων, ὑφ' ὧν δορυφορούμενος ἐν ἅπασιν ἀφθόνοις ἦν. Καὶ χρόνον μέν τινα οὕτως ἐβόσκετο· εἶτα παρανομήσας τι καὶ ἐς ἐκείνους — ὤφθη γάρ τι, ὡς οἶμαι, ἐσθίων τῶν ἀπορρήτων αὐτοῖς — οὐκέτι προσιεμένων αὐτῶν ἀπορούμενος ἐκ παλινῳδίας ᾤετο δεῖν ἀπαιτεῖν παρὰ τῆς πόλεως τὰ κτήματα, καὶ γραμματεῖον ἐπιδοὺς ἠξίου ταῦτα κομίσασθαι κελεύσαντος βασιλέως. Εἶτα τῆς πόλεως ἀντιπρεσβευσαμένης οὐδὲν ἐπράχθη, ἀλλ' ἐμμένειν ἐκελεύσθη οἷς ἅπαξ διέγνω μηδενὸς καταναγκάσαντος.

17. Τρίτη ἐπὶ τούτοις ἀποδημία εἰς Αἴγυπτον παρὰ τὸν Ἀγαθόβουλον, ἵναπερ τὴν θαυμαστὴν ἄσκησιν διήσκητο, ξυρόμενος μὲν τῆς κεφαλῆς τὸ ἥμισυ, χριόμενος δὲ πηλῷ τὸ πρόσωπον, ἐν πολλῷ δὲ τῶν περιεστώτων δήμῳ ἀναφλῶν τὸ αἰδοῖον καὶ τὸ ἀδιάφορον δὴ τοῦτο καλούμενον ἐπιδεικνύμενος, εἶτα παίων καὶ παιόμενος νάρθηκι εἰς τὰς πυγὰς καὶ ἄλλα πολλὰ νεανικώτερα θαυματοποιῶν.

18. Ἐκεῖθεν δὲ οὕτω παρεσκευασμένος ἐπὶ Ἰταλίαν ἔπλευσε καὶ ἀποβὰς τῆς νεὼς εὐθὺς ἐλοιδορεῖτο πᾶσι καὶ μάλιστα τῷ βασιλεῖ πρᾴστατον αὐτὸν καὶ ἡμερώτατον εἰδὼς, ὥστε ἀσφαλῶς ἐτόλμα· ἐκείνῳ γὰρ, ὡς εἰκὸς, ὀλίγον ἔμελε τῶν βλασφημιῶν καὶ οὐκ ἠξίου φιλοσοφίαν ὑποδυόμενόν τινα κολάζειν ἐπὶ ῥήμασι καὶ μάλιστα τέχνην τὸ λοιδορεῖσθαι πεποιημένον. Τούτῳ

flagrantem adhuc illam de patre interfecto famam, et multos accusationem intentantes. Verum etiam pleraque ipsius opes per illam peregrinationem direptæ fuerant, solis relictis agris quindecim circiter talentorum : tota enim, quam reliquerat senex, substantia triginta forte talentorum fuerit; non quinquies mille, ut ridiculus iste dixit Theagenes : tanti enim nec universa Parianorum urbs, si vicinas sibi quinque alias assumat, forte vendatur, ipsis cum hominibus et pecudibus et apparatu reliquo.

15. Verumtamen accusatio illa et crimen adhuc calebat, videbaturque futurum ut non ita multo post aliquis contra illum consurgeret : et maxime ipse indigne ferebat populus, bonum senem, uti dicebant qui viderant, impie adeo periisse lugentes. At sapiens iste Proteus ad hæc omnia videte quid invenerit, et qua ratione effugerit periculum. Progressus enim in Parianorum concionem : jam autem comam alebat, et pallium induerat sordidum, et suspenderat peram, et in manu fustis erat, et tragicum omnino habitum sumserat : sic ergo in conspectum illorum prodiens, permittere se ait ut universa patris sui felicis memoriæ substantia sit publica. Hoc ut populus audivit, homines pauperes et inhiantes largitionibus, statim exclamant, Unus sapientiæ, unus patriæ amator! unus Diogenis et Cratetis æmulus! Inimicis autem os jam obturatum erat, et si quis cædis injicere mentionem conaretur, lapidibus statim petebatur.

16. Iterum ergo in aliud exilium egressus est, satis luculenti viatici instar habens Christianos, quorum satellitio instructus copiis omnibus abundabat. Atque aliquamdiu ita alebatur : deinde migratis etiam illorum legibus (visus enim, puto, fuerat prohibito illis cibo quodam uti), quum non amplius eum admitterent, ad indigentiam redactus, æquum censebat, retractata donatione, a civitate repetere bona sua; datoque libello, recipere illa imperatoris jussu postulabat. Deinde, missis contra ipsum a civitate legatis, frustra fuit, jussusque in his, quæ nemine cogente constituisset, manere.

17. Post hæc tertia ab illo suscepta in Ægyptum peregrinatio ad Agathobulum, ubi admirabilem illam exercitationem suscepit, ut rasa dimidia capitis parte, oblita luto facie, in multo circumstantium populo, fricando pudendo, illud quod indifferens ab istis vocatur, in se ostenderet; deinde vel pulsaret ipse, vel pulsandas ferula nates aliis præberet, aliaque multa vehementiora etiam spectacula ederet.

18. Hinc autem sic instructus navigavit in Italiam, et egressus navi maledicere statim cœpit omnibus, imperatori maxime, quem mitissimum sciret mansuetissimumque : quo majori confidentia ausus est. Parum enim ille, ut par erat, curabat maledicta, neque dignum se censebat, hominem philosophiæ larvam indutum propter verba punire, cum præsertim, qui sibi artem ipsum illud maledicere fe-

δὲ καὶ ἀπὸ τούτων τὰ τῆς δόξης ηὐξάνετο· παρὰ γοῦν τοῖς ἰδιώταις καὶ περίβλεπτος ἦν ἐπὶ τῇ ἀπονοίᾳ, μέχρι δὴ ὁ τὴν πόλιν ἐπιτετραμμένος ἀνὴρ σοφὸς ἀπέπεμψεν αὐτὸν ἀμέτρως ἐντρυφῶντα τῷ πράγματι, εἰπὼν μὴ δεῖσθαι τὴν πόλιν τοιούτου φιλοσόφου. Πλὴν ἀλλὰ καὶ τοῦτο κλεινὸν αὐτοῦ καὶ διὰ στόματος ἦν ἅπασιν, ὁ φιλόσοφος διὰ τὴν παρρησίαν καὶ τὴν ἄγαν ἐλευθερίαν ἐξελαθείς· καὶ προσήλαυνε κατὰ τοῦτο τῷ Μουσωνίῳ καὶ Δίωνι καὶ Ἐπικτήτῳ καὶ εἴ τις ἄλλος ἐν περιστάσει τοιαύτῃ ἐγένετο.

19. Οὕτω δὴ ἐπὶ τὴν Ἑλλάδα ἐλθὼν ἄρτι μὲν Ἠλείοις ἐλοιδορεῖτο, ἄρτι δὲ τοὺς Ἕλληνας ἔπειθεν ἀντάρασθαι ὅπλα Ῥωμαίοις, ἄρτι δὲ ἄνδρα παιδεία καὶ ἀξιώματι προὔχοντα, διότι καὶ ἐν τοῖς ἄλλοις εὖ ἐποίησε τὴν Ἑλλάδα καὶ ὕδωρ ἐπήγαγε τῇ Ὀλυμπίᾳ καὶ ἔπαυσε δίψει ἀπολλυμένους τοὺς πανηγυριστάς, κακῶς ἠγόρευεν ὡς καταθηλύναντα τοὺς Ἕλληνας, δέον τοὺς θεατὰς τῶν Ὀλυμπίων διακαρτερεῖν δεῦρο ντας καὶ νὴ Δία γε καὶ ἀποθνήσκειν πολλοὺς αὐτῶν ὑπὸ σφοδρῶν τῶν νόσων, αἳ τέως διὰ τὸ ξηρὸν τοῦ χωρίου ἐν πολλῷ τῷ πλήθει ἐπεπόλαζον· καὶ ταῦτα ἔλεγε πίνων τοῦ αὐτοῦ ὕδατος. Ὡς δὲ μικροῦ κατέλευσαν αὐτὸν ἐπιδραμόντες ἅπαντες, τότε μὲν ἐπὶ τὸν Δία καταφυγὼν ὁ γενναῖος εὗρε τὸ μὴ ἀποθανεῖν.

20. Ἐς δὲ τὴν ἑξῆς Ὀλυμπιάδα λόγον τινὰ διὰ τεττάρων ἐτῶν συνθεὶς τῶν διὰ μέσου ἐξήνεγκε πρὸς τοὺς Ἕλληνας ἔπαινον ὑπὲρ τοῦ τὸ ὕδωρ ἐπαγαγόντος καὶ ἀπολογίαν ὑπὲρ τῆς τότε φυγῆς. Ἤδη δὲ ἀμελούμενος ὑφ' ἁπάντων καὶ μηκέθ' ὁμοίως περίβλεπτος ὤν — ἤδη γὰρ ἦν ἅπαντα καὶ οὐδὲν ἔτι καινουργεῖν ἐδύνατο, ἐφ' ὅτῳ ἐκπλήξει τοὺς ἐντυγχάνοντας καὶ θαυμάζειν καὶ πρὸς αὐτὸν ἀποβλέπειν ποιήσει, οὗπερ ἐξ ἀρχῆς δριμύν τινα ἔρωτα ἐρῶν ἐτύγχανε — τὸ τελευταῖον τοῦτο τολμημα ἐβουλεύσατο περὶ τῆς πυρᾶς, καὶ διέδωκε λόγον ἐς τοὺς Ἕλληνας εὐθὺς ἀπ' Ὀλυμπίων τῶν ἔμπροσθεν ὡς ἐς τοὐπιὸν καύσων ἑαυτόν.

21. Καὶ νῦν αὐτὰ ταῦτα θαυματοποιεῖ, ὥς φασι, βόθρον ὀρύττων καὶ ξύλα συγκομίζων καὶ δεινήν τινα τὴν καρτερίαν ὑπισχνούμενος. Ἐχρῆν δέ, οἶμαι, μάλιστα μὲν περιμένειν τὸν θάνατον καὶ μὴ δραπετεύειν ἐκ τοῦ βίου· εἰ δὲ καὶ πάντως διέγνωστό οἱ ἀπαλλάττεσθαι, μὴ πυρὶ μηδὲ τοῖς ἀπὸ τῆς τραγῳδίας τούτοις χρῆσθαι, ἀλλ' ἕτερόν τινα θανάτου τρόπον, μυρίων ὄντων, ἑλόμενον ἀπελθεῖν. Εἰ δὲ καὶ τὸ πῦρ ὡς Ἡράκλειόν τι ἀσπάζεται, τί δή ποτε οὐχὶ κατὰ σιγὴν ἑλόμενος ὄρος εὔδενδρον ἐν ἐκείνῳ ἑαυτὸν ἐνέπρησε μόνος ἕνα τινὰ οἷον Θεαγένη τοῦτον Φιλοκτήτην παραλαβών; ὁ δὲ ἐν Ὀλυμπίᾳ τῆς πανηγύρεως πλησθούσης μόνον οὐκ ἐπὶ σκηνῆς ὀπτήσει ἑαυτόν, οὐκ ἀνάξιος ὢν μὰ τὸν Ἡρακλέα, εἴ γε χρὴ καὶ τοὺς πατραλοίας καὶ τοὺς ἀθέους δίκας διδόναι τῶν τολμημάτων· καὶ κατὰ τοῦτο πάνυ ὀψὲ δρᾶν αὐτὸ ἔοικεν, ὃν ἐχρῆν πάλαι ἐς τὸν τοῦ Φαλάριδος ταῦρον ἐμπεσόντα τὴν ἀξίαν ἀποτετικέναι, ἀλλὰ μὴ ἅπαξ γανόντα πρὸς τὴν

cisset. Isti vero etiam inde fama crevit. Apud imperitos enim propter ipsam hanc amentiam erat conspicuus, donec præfectus urbis, vir sapiens, petulanter nimis huic rei indulgentem ejecit, præfatus non indigere urbem tali philosopho. Verum enim hoc quoque celebriorem reddidit ipsum et in ore erat omnium philosophus propter dicendi fiduciam et nimiam libertatem urbe exactus : idque ipsum admovit hominem ad Musonium, et Dionem, et Epictetum, et si quis alius simili conditione fuit.

19. Ita igitur in Græciam quum venisset, jam Eleis maledicebat; jam suadebat Græcis uti arma contra Romanos caperent, jam virum doctrina pariter et dignitate eminentem, quod præter cetera hoc beneficium Græciæ præstiterat, ut aquam perduceret Olympiam, et prohiberet ne porro siti perirent spectatores, maledictis incessebat, velut qui effeminaret Græcos; quum deceret sitim ferre spectatores Olympiorum, quin, ita me Jupiter, perire multos illorum a morbis vehementibus, qui tum propter regionis siccitatem in magna multitudine frequentes erant. Et hæc dicebat, bibens ipse de eadem aqua. Quum vero parum abesset quin lapidibus illum, concursu omnium facto, obruerent, tum ad Jovem confugiens vir fortis, mortem evitavit.

20. Olympiade proxima orationem quattuor interjectis annis a se compositam ad Græcos attulit, laudem ejus qui aquam perduxit, et fugæ superioris excusationem. Sed quum jam negligeretur ab omnibus, neque amplius ita conspicuus esset (obsoleta quippe erant omnia, nec novum quicquam poterat proferre, quo percelleret audientes atque admirandum se conspiciendumque redderet, cujus rei ab initio inde vehementer cupidus fuerat), ultimum hoc de rogo facinus meditari cœpit : sparsitque famam inter Græcos a superioribus statim Olympiis, proximis se ludis crematurum se ipsum.

21. Et nunc hæc ipsa portenta agitat, fodienda, ut aiunt, fossa, comportandis lignis, et mirifica quadam fortitudine pollicenda. Oportebat autem, arbitror, primum quidem exspectare mortem, neque aufugere de vita : sin vero omnino mori illi decretum sit, non igne uti, neque tragico illo apparatu, sed alio mortis genere, quum sint sexcenta, delecto discedere. Si vero ignem etiam ut Herculeum quiddam amat, quid tandem non silentio eligens silvosum montem, in illo se cremat solus, uno quodam, velut hoc Theagene, assumto sibi Philocteta? At ille Olympiæ, plena celebritate, tantum non in scena se assabit, non indignus mehercule! siquidem parricidas atque atheos pœnas dare facinorum fas est : et hoc quidem respectu satis illud tarde facere videtur, quem jam olim oportebat Phalaridis tauro inclusum digna dedisse supplicia, sed non, semel hausta ore

φλόγα ἐν ἀκαρεῖ τεθνάναι. Καὶ γὰρ αὖ καὶ τόδε οἱ πολλοί μοι λέγουσιν, ὡς οὐδεὶς ὀξύτερος ἄλλος θανάτου τρόπος τοῦ διὰ πυρός· ἀνοῖξαι γὰρ δεῖ μόνον τὸ στόμα καὶ αὐτίκα τεθνάναι.

22. Τὸ μέντοι θέαμα ἐπινοεῖται, οἶμαι, ὡς σεμνόν, ἐν ἱερῷ χωρίῳ καόμενος ἄνθρωπος, ἔνθα μηδὲ θάπτειν ὅσιον τοὺς ἄλλους ἀποθνήσκοντας. Ἀκούετε δέ, οἶμαι, ὡς καὶ πάλαι θέλων τις ἔνδοξος γενέσθαι, ἐπεὶ κατ' ἄλλον τρόπον οὐκ εἶχεν ἐπιτυχεῖν τούτου, ἐνέπρησε τῆς Ἐφεσίας Ἀρτέμιδος τὸν νεών. Τοιοῦτόν τι καὶ αὐτὸς ἐπινοεῖ, τοσοῦτος ἔρως τῆς δόξης ἐντέτηκεν αὐτῷ.

23. Καίτοι φησὶν ὅτι ὑπὲρ τῶν ἀνθρώπων αὐτὸ ὁρᾷ, ὡς διδάξειεν αὐτοὺς θανάτου καταφρονεῖν καὶ ἐγκαρτερεῖν τοῖς δεινοῖς. Ἐγὼ δὲ ἡδέως ἂν ἐροίμην οὐκ ἐκεῖνον ἀλλ' ὑμᾶς, εἰ καὶ τοὺς κακούργους βούλοισθε ἂν μαθητὰς αὐτοῦ γενέσθαι τῆς καρτερίας ταύτης καὶ καταφρονεῖν θανάτου καὶ καύσεως καὶ τῶν τοιούτων δειμάτων. Ἀλλ' οὐκ ἂν εὖ οἶδ' ὅτι βουληθείητε. Πῶς οὖν ὁ Πρωτεὺς τοῦτο διακρινεῖ καὶ τοὺς μὲν χρηστοὺς ὠφελήσει, τοὺς δὲ πονηροὺς οὐ φιλοκινδυνοτέρους καὶ τολμηροτέρους ἀποφανεῖ;

24. Καίτοι δυνατὸν ἔστω ἐς τοῦτο μόνους ἀπαντήσεσθαι τοὺς πρὸς τὸ ὠφέλιμον ὁμοῦντας τὸ πρᾶγμα. Ὑμᾶς δ' οὖν αὖθις ἐρήσομαι, δέξαισθ' ἂν τοὺς παῖδας ὑμῶν ζηλωτὰς τοῦ τοιούτου γενέσθαι; οὐκ ἂν εἴποιτε. Καίτοι τί τοῦτο ἠρόμην, ὅπου μηδ' αὐτῶν τις τῶν μαθητῶν αὐτοῦ ζηλώσειεν ἄν; τὸν οὖν Θεαγένη τοῦτο μάλιστα αἰτιάσαιτο ἄν τις, ὅτι τἆλλα ζηλῶν τἀνδρὸς οὐχ ἕπεται τῷ διδασκάλῳ καὶ συνοδεύει παρὰ τὸν Ἡρακλέα, ὡς φησιν, ἀπιόντι, δυνάμενος ἐν βραχεῖ πανευδαίμων γενέσθαι συνεμπεσὼν ἐπὶ κεφαλὴν ἐς τὸ πῦρ· οὐ γὰρ ἐν πήρᾳ καὶ βάκτρῳ καὶ τρίβωνι ὁ ζῆλος, ἀλλὰ ταῦτα μὲν ἀσφαλῆ καὶ ῥᾴδια καὶ παντὸς ἂν εἴη, τὸ τέλος δὲ καὶ τὸ κεφάλαιον χρὴ ζηλοῦν καὶ πυρὰν συνθέντα κορμῶν συκίνων ὡς ἔνι μάλιστα χλωρῶν ἐναποπνιγῆναι τῷ καπνῷ· τὸ πῦρ γὰρ αὐτὸ οὐ μόνον Ἡρακλέους καὶ Ἀσκληπιοῦ, ἀλλὰ καὶ τῶν ἱεροσύλων καὶ ἀνοροφόνων, οὓς ὁρᾶν ἔστιν ἐκ καταδίκης αὐτὸ πάσχοντας. Ὥστε ἀμεινον τὸ διὰ τοῦ καπνοῦ· ἴδιον γὰρ καὶ ὑμῶν μόνων ἂν γένοιτο.

25. Ἄλλως τε ὁ μὲν Ἡρακλῆς, εἴπερ ἄρα καὶ ἐτόλμησέ τι τοιοῦτον, ὑπὸ νόσου αὐτὸ ἔδρασεν ὑπὸ τοῦ Κενταυρείου αἵματος, ὡς φησιν ἡ τραγῳδία, κατεσθιόμενος. Οὗτος δὲ τίνος αἰτίας ἕνεκεν ἐμβάλλει φέρων ἑαυτὸν εἰς τὸ πῦρ; νὴ Δί', ὅπως τὴν καρτερίαν ἐπιδείξηται καθάπερ οἱ Βραχμᾶνες· ἐκείνοις γὰρ αὐτὸν ἠξίου Θεαγένης εἰκάζειν, ὥσπερ οὐκ ἐνὸν εἶναί τινας καὶ ἐν Ἰνδοῖς μωροὺς καὶ κενοδόξους ἀνθρώπους. Ὅμως δ' οὖν κἂν ἐκείνους μιμείσθω· ἐκεῖνοι γὰρ οὐκ ἐμπηδῶσιν εἰς τὸ πῦρ, ὡς Ὀνησίκριτος ὁ Ἀλεξάνδρου κυβερνήτης ἰδὼν Κάλανον καόμενόν φησιν, ἀλλ' ἐπειδὰν νήσωσι, πλησίον παραστάντες ἀκίνητοι ἀνέχονται παροπτώμενοι, εἶτ' ἐπιβάντες κατὰ σχῆμα κάονται οὐδ' ὅσον ὀλίγον ἐκτρέ-

flamma, momento uno mori. Nam rursus hoc quoque multi mihi dicunt, non esse aliud celerius igni genus mortis : os enim modo aperiendum, ut statim moriaris.

22. Verum ideo, puto, hoc excogitat spectaculum, quasi magnificum sit homo in loco sacro combustus, ubi ne condere quidem alios mortuos per religionem licet. Sed audistis, puto, etiam olim aliquem, qui nobilis cuperet fieri, quum aliam ejus rei consequendæ rationem non haberet, Ephesiæ Dianæ ædem incendisse. Tale quid et iste excogitat : tantus illum famæ amor insedit.

23. Quanquam dicit se hominum gratia hoc facere, ut mortem contemnere illos doceat et terribilia sustinere. Ego vero lubens interrogaverim non illum, sed vos, num maleficos etiam velitis imitatores illius fortitudinis fieri, et mortis contemnendæ, et vivicomburii, et terrorum similium. Verum minime, bene novi, vos hoc velitis. Quomodo ergo discernet illud Proteus, ut juvet quidem bonos, malos vero non amantiores periculorum et audaciores faciat?

24. Quanquam ponamus fieri posse, huc ut soli veniant, qui cum publica utilitate rem visuri sint. At ego vos rursus interrogabo, Velitisne vestros liberos imitatores hujusmodi actionis fieri? Non sane dixeritis. Quanquam quid hoc interrogavi, quum neque discipulorum ipsius quisquam hoc sit imitaturus? Ac Theagenem istud potissimum accuset aliquis, quod cetera viri imitatus, non sequatur hac parte magistrum, et ad Herculem, ut ait, abeunti se adjungat comitem, quum possit brevi tempore beatus undique fieri, modo præceps in ignem se dejiciat. Neque enim in pera et baculo et pallio æmulatio inest; secura ista, facilia, et uniuscujusque fuerint : at finem et caput æmulari oportet, et rogo e ficulneis codicibus quantum potest viridibus compositio, suffocandum se fumo præbere : nam ignis ipse non Herculis modo est et Æsculapii, sed sacrilegorum etiam et homicidarum, quos videre licet judicio damnatos istuc pati. Quare fumo melius est : proprium enim hoc et vestrum unice fuerit.

25. Alioquin ipse Hercules, si quidem tale quiddam ausus est, morbo impulsus fecit, quum a Centauri sanguine, ut ait tragœdia, exederetur. At hic cujus rei causa in ignem se conjicit? Per Jovem! ut patientiam suam ostendat, sicuti Brachmanes : nam illis eum Theagenes comparandum judicavit, quasi non possent in India quoque esse stulti quidam et inanis gloriæ cupidi homines. Attamen esto, vel hosce æmuletur : illi enim non insiliunt in ignem, ut Onesicritus narrat Alexandri gubernator, qui ardentem vidit Calanum, sed rogo exstructo prope astantes immoti ustulari se patiuntur; tum conscenso rogo, servato eodem habitu cremantur,

ῥαντες τῆς καταклίσεως. Οὗτος δὲ τί μέγα, εἰ ἐμπεσὼν τεθνήξεται συναρπασθεὶς ὑπὸ τοῦ πυρός; οὐκ ἀπ' ἐλπίδος μὴ ἀναπηδήσεσθαι αὐτὸν καὶ ἡμίφλεκτον, εἰ μὴ, ὅπερ φασὶ, μηχανήσεται βαθεῖαν γενέσθαι καὶ ἐν βόθρῳ τὴν πυράν.

26. Εἰσὶ δ' οἳ καὶ μεταβάλλεσθαί φασιν αὐτὸν καί τινα ὀνείρατα διηγεῖσθαι, ὡς τοῦ Διὸς οὐκ ἐῶντος μιαίνειν ἱερὸν χωρίον. Ἀλλὰ θαρρείτω τούτου γε ἕνεκα· ἐγὼ γὰρ διομοσαίμην ἂν ἢ μὴν μηδένα τῶν θεῶν ἀγαναχτήσειν, εἰ Περεγρῖνος κακὸς κακῶς ἀποθάνοι. Οὐ μὴν οὐδὲ ῥᾴδιον αὐτῷ ἔτ' ἀναδῦναι· οἱ γὰρ συνόντες κύνες παρορμῶσι καὶ συνωθοῦσιν ἐς τὸ πῦρ καὶ ὑπεκκάουσι τὴν γνώμην οὐκ ἐῶντες ἀποδειλιᾶν, ὧν εἰ δύο συγκατασπάσας ἐμπέσοι εἰς τὴν πυράν, τοῦτο μόνον χάριεν ἂν ἐργάσαιτο.

27. Ἤκουον δὲ ὡς οὐδὲ Πρωτεὺς ἔτι καλεῖσθαι ἀξιοῖ, ἀλλὰ Φοίνικα μετωνόμασεν ἑαυτὸν, ὅτι καὶ φοίνιξ τὸ Ἰνδικὸν ὄρνεον ἐπιβαίνειν πυρᾶς λέγεται πορρωτάτω γήρως προβεβηκώς. Ἀλλὰ καὶ λογοποιεῖ καὶ χρησμούς τινας διέξεισι παλαιοὺς δή, ὡς χρεὼν εἶναι δαίμονα νυκτοφύλακα γενέσθαι αὐτὸν, καὶ δῆλός ἐστι βωμῶν ἤδη ἐπιθυμῶν καὶ χρυσοῦς ἀναστήσεσθαι ἐλπίζων.

28. Καὶ μὰ Δία οὐδὲν ἀπεικὸς ἐν τοῖς πολλοῖς τοῖς ἀνοήτοις εὑρεθήσεσθαί τινας τοὺς καὶ τεταρταίων ἀπηλλάχθαι δι' αὐτοῦ φήσοντας καὶ νύκτωρ ἐντετυχηκέναι τῷ δαίμονι τῷ νυκτοφύλακι. Οἱ κατάρατοι δὲ οὗτοι μαθηταὶ αὐτοῦ καὶ χρηστήριον, οἶμαι, καὶ ἄδυτον ἐπὶ τῇ πυρᾷ μηχανήσονται, διότι καὶ Πρωτεὺς ἐκεῖνος ὁ Διὸς, ὁ προπάτωρ τοῦ ὀνόματος, μαντικὸς ἦν. Μαρτύρομαι δὲ ἤ μὴν καὶ ἱερέας αὐτοῦ ἀποδειχθήσεσθαι μαστίγων ἢ καυτηρίων ἢ τινος τοιαύτης τερατουργίας, ἢ καὶ νὴ Δία τελετήν τινα ἐπ' αὐτῷ στήσεσθαι νυκτέριον καὶ δᾳδουχίαν ἐπὶ τῇ πυρᾷ.

29. Θεαγένης δὲ ἔναγχος, ὥς μοί τις τῶν ἑταίρων ἀπήγγειλε, καὶ Σίβυλλαν ἔφη προειρηκέναι περὶ τούτων· καὶ τὰ ἔπη γὰρ ἀπεμνημόνευεν·

> Ἀλλ' ὁπόταν Πρωτεὺς Κυνικῶν ὄχ' ἄριστος ἁπάντων
> Ζηνὸς ἐριγδούπου τέμενος κάτα πῦρ ἀνακαύσας
> ἐς φλόγα πηδήσας ἔλθῃ ἐς μακρὸν Ὄλυμπον,
> δὴ τότε πάντας ὁμῶς, οἳ ἀρούρης καρπὸν ἔδουσι,
> νυκτιπόλον τιμᾶν κέλομαι ἥρωα μέγιστον
> σύνθρονον Ἡφαίστῳ καὶ Ἡρακλῆι ἄνακτι.

Ταῦτα μὲν Θεαγένης Σιβύλλης ἀκηκοέναι φησίν.

30. Ἐγὼ δὲ Βάκιδος αὐτῷ χρησμὸν ὑπὲρ τούτων ἐρῶ· φησὶ δὲ ὁ Βάκις οὕτω σφόδρα εὖ ἐπειπών,

> Ἀλλ' ὁπόταν Κυνικὸς πολυώνυμος ἐς φλόγα πολλὴν
> πηδήσῃ ζόξης ὑπ' ἐρινύϊ θυμὸν ὀρινθείς,
> δὴ τότε τοὺς ἄλλους κυναλώπεκας, οἵ οἱ ἕπονται,
> μιμεῖσθαι χρὴ πότιμον ἀποιχομένοιο λύκοιο.
> Ὅς δέ κε δειλὸς ἐὼν φεύγῃ μένος Ἡφαίστοιο,
> λάσσσιν βαλέειν τοῦτον τάχα πάντας Ἀχαιούς,
> ὡς μὴ ψυχρὸς ἐὼν θερμηγορέειν ἐπιχειρῇ
> χρυσῷ σαξάμενος πῆρην μάλα πολλὰ δανείζων,
> ἐν καλαῖς Πάτραισιν ἔχων τρὶς πέντε τάλαντα.

ne paullum quidem immutantes de suo decubitu. Ista vero quid magnum, si injectus statim morietur, ubi correptus ab igne fuerit? Neque illud non licet sperare, futurum ut resiliat semiustulatus, nisi illud machinetur, quod facere illum aiunt, ut profundus fiat atque in fossa rogus.

26. *Sunt autem qui dicant illum mutare velle sententiam*, et somnia enarrare quædam, quasi non sinat Jupiter locum sacrum pollui. Sed bono potest esse animo, ad hoc quidem quod attinet: *ego enim jusjurandum dare paratus sum*, deorum indignaturum esse neminem, si Peregrinus malus mala morte pereat. Quin jam nec facile est illi refugere: nam qui cum illo sunt canes, incitant hominem, et una in ignem contrudunt, et animum illius subinde incendunt, nec metu resilire illum patiuntur: quorum si duobus secum detractis in ignem incidat, hoc solum lepidum opus fecerit.

27. Audio vero illum nec Proteum vocari velle amplius, sed Phœnicis nomen pro suo sibi ascivisse, quod etiam phœnix, Indica avis, ingredi rogum dicitur, ubi ad extremam senectutem provecta est. Verum etiam rumores spargit, et oracula quædam narrat, vetusta scilicet, in fatis esse ut noctis custos genius ipse fiat; ac manifestum est jam altaria illum concupiscere, et futurum sperare uti stet aureus.

28. Neque vero, per Jovem, abhorret in magna dementium multitudine inventum iri qui quartana se per ipsum liberatos dicant, et noctu sibi occurrisse noctis illum custodem genium. Exsecrabiles autem isti illius discipuli etiam oraculum, puto, et adytum in rogo illius machinabuntur, propterea quod Proteus etiam, Jovis ille filius, primus hujus nominis auctor, vates fuit. Testor autem sacerdotes quoque illius constitutum iri flagrorum, aut ustulationum, aut prodigiosarum id genus actionum: vel, per Jovem, mysteria quædam in illius honorem institutum iri nocturna, et facum gestationem circa rogum.

29. Theagenes autem nuper, ut renunciavit mihi aliquis sodalium, etiam Sibyllam dixit de hisce rebus aliquid prædixisse: nempe versus etiam recitabat:

> Ast ubi jam Proteus, Cynicorum maximus unus,
> ad Jovis altisoni succensis ignibus ædem
> in flammam insiliens, altum conscendet Olympum,
> tunc una quotquot vescuntur munere terræ,
> noctivagum jubeo venerari heroa, potentem,
> Herculeoque, tuoque throno, Vulcane, sedentem.

Hæc igitur a Sibylla se accepisse ait Theagenes.

30. At ego Bacidis illi de hisce rebus oraculum dicam. Ait autem Bacis ita præclare adjiciens istis:

> Ast ubi jam vario Cynicus cum nomine flammam
> insiliet, furiis agitatus pectore famæ·
> tunc tunc vulpicanes, turba hunc imitata magistrum,
> fata lupi, edico, jam discedentis obibunt.
> Sed quicumque metu Vulcani fugerit æstus,
> jactis confestim hunc saxis petat omnis Achivus
> dicere ne calidum conetur frigidus ipse,
> distendens auro peram de fœnore capto,
> Patris condita habens pulchris ter quinque talenta

Τί ὑμῖν δοκεῖ, ἄνδρες; ἆρα φαυλότερος χρησμολόγος ὁ Βάκις τῆς Σιβύλλης εἶναι; ὥστε ὥρα τοῖς θαυμαστοῖς τούτοις ὁμιληταῖς τοῦ Πρωτέως περισκοπεῖν ἔνθα ἑαυτοὺς ἐξαερώσουσι· τοῦτο γὰρ τὴν καῦσιν καλοῦσι.

31. Ταῦτ' εἰπόντος ἀνεβόησαν οἱ περιεστῶτες ἅπαντες, Ἤδη καέσθωσαν ἄξιοι τοῦ πυρός. Καὶ ὁ μὲν κατέβη γελῶν, « Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή, » τὸν Θεαγένη, ἀλλ' ὡς ἤκουσε τῆς βοῆς, ἦκεν εὐθὺς καὶ ἀναβὰς ἐκεκράγει καὶ μυρία κακὰ διεξῄει περὶ τοῦ καταβεβηκότος· οὐ γὰρ οἶδα ὅστις ὁ βέλτιστος ἐκεῖνος ἐκαλεῖτο. Ἐγὼ δὲ ἀφεὶς αὐτὸν διαρρηγνύμενον ἀπῄειν ὀψόμενος τοὺς ἀθλητάς· ἤδη γὰρ οἱ Ἑλλανοδίκαι ἐλέγοντο εἶναι ἐν τῷ πλεθρίῳ. Ταῦτα μέν σοι τὰ ἐν Ἤλιδι.

32. Ἐπεὶ δὲ εἰς τὴν Ὀλυμπίαν ἀφικόμεθα, μεστὸς ἦν ὁ ὀπισθόδομος τῶν κατηγορούντων Πρωτέως ἢ ἐπαινούντων τὴν προαίρεσιν αὐτοῦ, ὥστε καὶ εἰς χεῖρας αὐτῶν ἦλθον οἱ πολλοί, ἄχρι δὴ παρελθὼν αὐτὸς ὁ Πρωτεὺς μυρίῳ τῷ πλήθει παραπεμπόμενος κατόπιν τοῦ τῶν κηρύκων ἀγῶνος λόγους τινὰς διεξῆλθε περὶ αὑτοῦ τὸν βίον τε ὡς ἐβίω καὶ τοὺς κινδύνους οὓς ἐκινδύνευσε διηγούμενος καὶ ὅσα πράγματα φιλοσοφίας ἕνεκα ὑπέμεινε. Τὰ μὲν οὖν εἰρημένα πολλὰ ἦν· ἐγὼ δὲ ὀλίγων ἤκουσα ὑπὸ πλήθους τῶν περιεστώτων. Εἶτα φοβηθεὶς μὴ σύντριβείην ἐν τοσαύτῃ τύρβῃ, ἐπεὶ καὶ τοὺς πολλοὺς τοῦτο πάσχοντας ἑώρων, ἀπῆλθον μακρὰ χαίρειν φράσας θανατιῶντι σοφιστῇ τὸν ἐπιτάφιον ἑαυτοῦ πρὸ τελευτῆς διεξιόντι.

33. Πλὴν τό γε τοσοῦτον ἐπήκουσα· ἔφη γὰρ βούλεσθαι χρυσῷ βίῳ χρυσῆν κορώνην ἐπιθεῖναι· χρῆναι γὰρ τὸν Ἡρακλείως βεβιωκότα Ἡρακλείως ἀποθανεῖν καὶ ἀναμιχθῆναι τῷ αἰθέρι. Καὶ ὠφελῆσαι, ἔφη, βούλομαι τοὺς ἀνθρώπους δείξας αὐτοῖς ὃν χρὴ τρόπον θανάτου καταφρονεῖν· πάντας οὖν δεῖ μοι τοὺς ἀνθρώπους Φιλοκτήτας γενέσθαι. Οἱ μὲν οὖν ἀνοητότεροι τῶν ἀνθρώπων ἐδάκρυον καὶ ἐβόων, Σῶζου τοῖς Ἕλλησιν, οἱ δὲ ἀνδρωδέστεροι ἐκεκράγεισαν, Τέλει τὰ δεδογμένα, ὑφ' ὧν ὁ πρεσβύτης οὐ μετρίως ἐθορυβήθη ἐλπίζων πάντας ἕξεσθαι αὐτοῦ καὶ μὴ προήσεσθαι τῷ πυρί, ἀλλὰ ἄκοντα δὴ καθέξειν ἐν τῷ βίῳ. Τὸ δὴ τελεῖν τὰ δεδογμένα πάνυ ἀδόκητον αὐτῷ προσπεσὸν ὠχριᾶν ἔτι μᾶλλον ἐποίησε, καίτοι ἤδη νεκρικῶς τὴν χροιὰν ἔχοντι, καὶ νὴ Δία καὶ ὑποτρέμειν, ὥστε κατέπαυσε τὸν λόγον.

34. Ἐγὼ δὲ, εἰκάζεις, οἶμαι, πῶς ἐγέλων· οὐδὲ γὰρ ἐλεεῖν ἄξιον ἦν οὕτω δυσέρωτα τῆς δόξης ἄνθρωπον ὑπὲρ ἅπαντας, ὅσοι τῇ αὐτῇ ποινῇ ἑλαύνονται. Παρεπέμπετο δὲ ὅμως ὑπὸ πολλῶν καὶ ἐνεφορεῖτο τῆς δόξης ἀποβλέπων ἐς τὸ πλῆθος τῶν θαυμαζόντων, οὐκ εἰδὼς ὁ ἄθλιος ὅτι καὶ τοῖς ἐπὶ τὸν σταυρὸν ἀπαγομένοις ἢ ὑπὸ τοῦ δημίου ἐχομένοις πολλῷ πλείους ἕπονται.

35. Καὶ δὴ τὰ μὲν Ὀλύμπια τέλος εἶχε, κάλλιστα Ὀλυμπίων γενόμενα ὧν ἐγὼ εἶδον, τετράκις ἤδη ὁρῶν. Ἐγὼ δὲ — οὐ γὰρ ἦν εὐπορῆσαι ὀχήματος ἅμα πολ-

Quid videtur vobis, viri? numquid deterior Sibylla vates esse Bacis? Itaque auctor sim admirabilibus illis Protei sodalibus, ut locum circumspiciant ubi in aera se dissolvant; hoc enim verbo combustionem vocant. »

31. Hæc illo dicente exclamabant qui circumstabant omnes, Jam comburantur digni igne! Atque hic quidem cum risu descendit: « sed non fugerunt Nestora voces, » Theagenem puta: verum audito clamore venit statim, escendensque clamavit, et sexcenta mala protulit contra eum qui descenderat; neque enim novi quomodo vir ille optimus vocatus sit. Ego vero relinquens hominem dirumpentem se, abii visurus athletas: jam enim esse dicebantur in Plethrio judices certaminum. Hæc tibi Elide.

32. Ipsam vero Olympiam quum venissemus, plenum erat posticum templi vel accusantium Protea, vel propositum illius laudantium: adeo ut etiam ad manus multi illorum venirent, donec ipse progressus innumerabili comitante multitudine Proteus, post præconum agonem verba fecit de se, quam vitam vixerit, pericula quæ subierit enarrans, et quas philosophiæ causa sustinuerit molestias. Multa quidem fuere quæ dixit: ego vero, præ circumstantium multitudine, pauca audivi. Deinde ne tanta in turba eliderer metuens, quod accidere videbam multis, abii, longum valere jusso affectante mortem sophista, ipso sibi ante mortem parentante.

33. Tantum tamen audivi, quum diceret velle se auream vitæ aureæ coronidem imponere: oportere enim, qui Herculeo more vixerit, cum mori quoque more Herculeo, et remisceri ætheri. Ac prodesse, inquit, volo hominibus, ostendendo illis quemadmodum mortem oporteat contemnere. Itaque Philoctetas mihi fieri omnes homines æquum est. Qui ergo stupidiores erant hominum, lacrimari et clamare, Serva te Græcis! qui autem fortiores, ii clamarunt, Perage decreta! a quibus non mediocriter perturbatus est senex, qui sperasset futurum uti omnes retinerent se, neque igni permitterent, sed invitum in vita manere cogerent. Quum ergo plane præter opinionem illi accideret clamor decreta perficienda esse, ea res magis etiam expallescere illum fecit, quanquam cadaveroso jam ante colore erat, et tremere etiam, medius fidius! Itaque orationem finiit.

34. Ego vero quam riserim, puto, conjicis: neque enim misericordia dignus erat homo, ita invenustus supra omnes, qui iisdem furiis aguntur, amator gloriæ. Ducebatur tamen a multis, et ingurgitabat se gloria, dum ad multitudinem eorum, qui se admirarentur, respiceret, ignarus miser, etiam hos, qui ad crucem ducuntur, aut trahuntur a carnifice, multo plures sequi.

35. Interim Olympia finem habuere, pulcherrima quæ ego vidi Olympiorum, qui quater jam viderim. Ego vero (neque enim vehiculi copia erat multis simul discedentibus)

λῶν ἐξιόντων — ἄκων ὑπελειπόμην. Ὁ δὲ ἀεὶ ἀναβαλλόμενος νύκτα τὸ τελευταῖον προειρήκει ἐπιδείξασθαι τὴν καῦσιν· καί με τῶν ἑταίρων τινὲς παραλαβόντος περὶ μέσας νύκτας ἐξαναστὰς ἀπῄειν εὐθὺ τῆς Ἁρπίνης, ἔνθα ἦν ἡ πυρά. Στάδιοι πάντες οὗτοι εἴκοσιν ἀπὸ τῆς Ὀλυμπίας κατὰ τὸν ἱππόδρομον ἀπιόντων πρὸς ἕω. Καὶ ἐπεὶ τάχιστα ἀφικόμεθα, καταλαμβάνομεν πυρὰν νενησμένην ἐν βάθει ὅσον ἐς ὀργυιὰν τὸ βάθος. Δᾷδες ἦσαν τὰ πολλὰ καὶ παρεβέβυστο τῶν φρυγάνων, ὡς ἀναφθείη τάχιστα.

36. Καὶ ἐπειδὴ ἡ σελήνη ἀνέτελλεν — ἔδει γὰρ κἀκείνην θεάσασθαι τὸ κάλλιστον τοῦτο ἔργον — πρόεισιν ἐκεῖνος ἐσκευασμένος ἐς τὸν ἀεὶ τρόπον καὶ ζὺν αὐτῷ τὰ τέλη τῶν κυνῶν, καὶ μάλιστα ὁ γενναδας ὁ ἐκ Πατρῶν δᾷδα ἔχων, οὐ φαῦλος δευτεραγωνιστής· ἐδᾳδοφόρει δὲ καὶ ὁ Πρωτεύς. Καὶ προσελθόντες ἄλλος ἀλλαχόθεν ἀνῆψαν τὸ πῦρ μέγιστον ἅτε ἀπὸ δᾴδων καὶ φρυγάνων· ὁ δὲ, καί μοι πάνυ ἦδη πρόσεχε τὸν νοῦν, ἀποθέμενος τὴν πήραν καὶ τὸ τριβώνιον καὶ τὸ Ἡράκλειον ἐκεῖνο ῥόπαλον ἕστη ἐν ὀθόνῃ ῥυπώσῃ ἀκριβῶς. Εἶτα ᾔτει λιβανωτὸν, ὡς ἐπιβάλοι ἐπὶ τὸ πῦρ, καὶ ἀναδόντος τινὸς ἐπέβαλέ τε καὶ εἶπεν ἐς τὴν μεσημβρίαν ἀποβλέπων — καὶ γὰρ καὶ τοῦτο πρὸς τὴν τραγῳδίαν ἦν ἡ μεσημβρία — Δαίμονες μητρῷοι καὶ πατρῷοι δέξασθέ με εὐμενεῖς. Ταῦτα εἰπὼν ἐπήδησεν ἐς τὸ πῦρ, οὐ μὴν ἐωρᾶτό γε, ἀλλὰ περιεσχέθη ὑπὸ τῆς φλογὸς πολλῆς ἠρμένης.

37. Αὖθις ὁρῶ γελῶντά σε, ὦ καλὲ Κρόνιε, τὴν καταστροφὴν τοῦ δράματος. Ἐγὼ δὲ τοὺς μητρῴους μὲν δαίμονας ἐπιβοώμενον μὰ τὸν Δί' οὐ σφόδρα ἠτιώμην, ὅτε δὲ καὶ τοὺς πατρῴους ἐπεκαλέσατο, ἀναμνησθεὶς τῶν περὶ τοῦ φόνου εἰρημένων οὐδὲ κατέχειν ἠδυνάμην τὸν γέλωτα. Οἱ Κυνικοὶ δὲ περιστάντες τὴν πυρὰν οὐκ ἐδάκρυον μὲν, σωπῇ δὲ ἐνεδείκνυντο λύπην τινὰ εἰς τὸ πῦρ ὁρῶντες, ἄχρι δὴ ἀποπνιγεὶς ἐπ' αὐτοῖς, Ἀπίωμεν, φημὶ, ὦ μάταιοι· οὐ γὰρ ἡδὺ τὸ θέαμα ὠπτημένον γερόντιον ὁρᾶν κνίσης ἀναπιμπλαμένους πονηρᾶς. Ἢ περιμένετε ἔστ' ἂν γραφεύς τις ἐπελθὼν ἀπεικάσῃ ὑμᾶς οἵους τοὺς ἐν τῷ δεσμωτηρίῳ ἑταίρους τῷ Σωκράτει παραγράφουσιν; Ἐκεῖνοι μὲν οὖν ἠγανάκτουν καὶ ἐλοιδοροῦντό μοι, ἔνιοι δὲ καὶ ἐπὶ τὰς βακτηρίας ἦξαν. Εἶτα ἐπειδὴ ἠπείλησα ξυναρπάσας τινὰς ἐμβαλεῖν εἰς τὸ πῦρ, ὡς ἂν ἕποιντο τῷ διδασκάλῳ, ἐπαύσαντο καὶ εἰρήνην ἦγον.

38. Ἐγὼ δὲ ἐπανιὼν ποικίλα, ὦ ἑταῖρε, πρὸς ἐμαυτὸν ἐνενόουν, τὸ φιλόδοξον οἷόν τί ἐστιν ἀναλογιζόμενος, ὡς μόνος οὗτος ὁ ἔρως ἄφυκτος καὶ τοῖς πάνυ θαυμαστοῖς εἶναι δοκοῦσιν, οὐχ ὅπως ἐκείνῳ τἀνδρὶ καὶ τἆλλα ἐμπλήκτως καὶ ἀπονενοημένως βεβιωκότι καὶ οὐκ ἀναξίως τοῦ πυρός.

39. Εἶτα ἐνετύγχανον πολλοῖς ἀπιοῦσιν ὡς θεάσαιντο καὶ αὐτοί· ᾤοντο γὰρ ἔτι καταλήψεσθαι ζῶντα αὐτόν· καὶ γὰρ καὶ τόδε τῇ προτεραίᾳ διεδέδοτο, ὡς πρὸς ἀνίσχοντα τὸν ἥλιον ἀσπασάμενος — ὥσπερ ἀμέλει καὶ

invitus ibi relictus sum. At iste subinde differens, tandem promulgat nocte spectaculum sui cremandi se editurum. Ac me quum sodalium aliquis assumsisset, circa mediam noctem surrexi et Harpinam petii, ubi rogus erat. Stadia hæc sunt in totum viginti Olympia juxta Hippodromum orientem versus euntibus. Quum primum eo venissemus, rogum deprehendimus in fossa ad quattuor cubitorum profunditatem structum. Faces erant maximam partem et sarmenta ipsis interposita, ignem celerrime uti conciperet.

36. Deinde exoriente luna (oportebat enim hanc quoque spectare pulcherrimum facinus), procedit iste quotidiano more indutus, et cum illo Cynicorum principes, præsertim generosus ille Patrensis, facem gestans, non malus secundarum partium certator. Facem gestabat etiam Proteus. Accedentes autem alter ab altera parte ignem incenderunt maximum, quippe a facibus ac sarmentis : iste vero (et jam mihi diligenter attende), deposita pera, pallio et Herculea illa clava, astabat in linteo plane sordido. Tum thus petiit, quod in ignem injiceret; datumque ab aliquo injecit, dixitque conversus ad meridiem (nam hoc quoque ad tragœdiam pertinebat, meridies), Materni paternique dæmones, volentes propitii me recipite! Hæc ubi dixisset, in ignem insiliit : verum non videbatur, circumfusus a multa, quæ surrexerat, flamma.

37. Iterum video te ridentem, pulcher Cronie, fabulæ explicationem. Equidem maternos dæmonas invocantem non valde, ita me Jupiter, reprehendebam : sed quum paternos etiam advocaret, recordatus eorum quæ cæde illius dicta sunt, neque risum tenere tum poteram. Cynici autem rogum circumstantes non illi quidem flebant, sed silentio ignem aspicientes mœstitiam quandam præ se ferebant : donec ego, quem ea res pæne enecaret, Abeamus, dicerem, vani homines! neque enim jucundum spectaculum, senium assatum videre, et malo nidore oppleri. An exspectatis dum pictor aliquis superveniens depingat vos, uti sodales in carcere appingunt Socrati? Illi ergo indignari et male mihi dicere; quidam vero ruere etiam ad baculos. Deinde quum interminatus essem, me quosdam illorum correptos in ignem esse detrusurum magistrum uti sequerentur, quietem pacemque egere.

38. In reditu autem varia mecum, mi sodalis, cogitabam de cupiditate gloriæ, vim illius perpendens, ut solam hanc cupiditatem effugere nequeant illi etiam, qui aliquin admiratione videantur dignissimi, nedum ut ille vir, qui etiam alias furiose dementerque, et ut igne esset dignus, vixisset.

39. Tum incidi in multos ad spectaculum abeuntes ipsos quoque, qui putarent nempe se vivum adhuc deprehensuros : nimirum illud quoque pridie ejus diei divulgatum fuerat, illum ita ut exorientem solem salutaret (quod scili-

τοὺς Βραχμᾶνάς φασι ποιεῖν — ἐπιβήσεσθαι τῆς πυρᾶς. Ἀπέστρεφον δ' οὖν τοὺς πολλοὺς αὐτῶν λέγων ἤδη τετελέσθαι τὸ ἔργον, οἷς μὴ καὶ τοῦτ' αὐτὸ περισπούδαστον ἦν, κἂν αὐτὸν ἰδεῖν τὸν τόπον καί τι λείψανον καταλαμβάνειν τοῦ πυρός. Ἔνθα δὴ, ὦ ἑταῖρε, μυρία πράγματα εἶχον ἅπασι διηγούμενος καὶ ἀνακρίνουσι καὶ ἀκριβῶς ἐκπυνθανομένοις. Εἰ μὲν οὖν ἴδοιμί τινα χαρίεντα, ψιλὰ ἂν ὥσπερ σοὶ τὰ πραχθέντα διηγούμην, πρὸς δὲ τοὺς βλᾶκας καὶ πρὸς τὴν ἀκρόασιν κεχηνότας ἐτραγῴδουν τι παρ' ἐμαυτοῦ, ὡς ἐπειδὴ ἀνήφθη μὲν ἡ πυρὰ, ἐνέβαλε δὲ φέρων ἑαυτὸν ὁ Πρωτεὺς, σεισμοῦ πρότερον μεγάλου γενομένου σὺν μυκηθμῷ τῆς γῆς, γὺψ ἀναπτάμενος ἐκ μέσης τῆς φλογὸς οἴχοιτο ἐς τὸν οὐρανὸν ἀνθρωπίνῃ μεγάλῃ τῇ φωνῇ λέγων « Ἔλιπον γᾶν, βαίνω δ' ἐς Ὄλυμπον. » Ἐκεῖνοι μὲν οὖν ἐτεθήπεσαν καὶ προσεκύνουν ὑποφρίττοντες καὶ ἀνέκρινόν με λέγοντες πότερον πρὸς ἕω ἢ πρὸς δυσμὰς ἐνεχθείη ὁ γύψ· ἐγὼ δὲ τὸ ἐπελθὸν ἀπεκρινάμην αὐτοῖς.

40. Ἀπελθὼν δὲ ἐς τὴν πανήγυριν ἐπέστην τινὶ πολιῷ ἀνδρὶ καὶ νὴ τὸν Δί' ἀξιοπίστῳ τὸ πρόσωπον ἐπὶ τῷ πώγωνι καὶ τῇ λοιπῇ σεμνότητι, τά τε ἄλλα διηγουμένῳ περὶ τοῦ Πρωτέως καὶ ὡς μετὰ τὸ καυθῆναι θεάσαιτο αὐτὸν ἐν λευκῇ ἐσθῆτι μικρὸν ἔμπροσθεν καὶ νῦν ἀπολίποι περιπατοῦντα φαιδρὸν ἐν τῇ ἐπταφώνῳ στοᾷ κοτίνῳ τε ἐστεμμένον· εἶτ' ἐπὶ πᾶσι προσέθηκε τὸν γῦπα, διομνύμενος ἢ μὴν αὐτὸς ἑορακέναι ἀναπτάμενον ἐκ τῆς πυρᾶς, ὃν ἐγὼ μικρὸν ἔμπροσθεν ἀφῆκα πέτεσθαι καταγελῶντα τῶν ἀνοήτων καὶ βλακικῶν τὸν τρόπον.

41. Ἐννόει τὸ λοιπὸν οἷα εἰκὸς ἐπ' αὐτῷ γενήσεσθαι, ποίας μὲν οὐ μελίττας ἐποτήσεσθαι ἐπὶ τὸν τόπον, τίνας δὲ τέττιγας οὐκ ἐπάσεσθαι, τίνας δὲ κορώνας οὐκ ἐπιπτήσεσθαι καθάπερ ἐπὶ τὸν Ἡσιόδου τάφον, καὶ τὰ τοιαῦτα. Εἰκόνας μὲν γὰρ παρά τε Ἠλείων αὐτῶν παρά τε τῶν ἄλλων Ἑλλήνων, οἷς καὶ ἐπεσταλκέναι ἔλεγον, αὐτίκα μάλα οἶδα πολλὰς ἀναστησομένας. Φασὶ δὲ πάσαις σχεδὸν ταῖς ἐνδόξοις πόλεσιν ἐπιστολὰς διαπέμψαι αὐτὸν διαθήκας τινὰς καὶ παραινέσεις καὶ νόμους καί τινας ἐπὶ τούτῳ πρεσβευτὰς τῶν ἑταίρων ἐχειροτόνησε νεκραγγέλους καὶ νερτεροδρόμους προσαγορεύσας.

42. Τοῦτο τέλος τοῦ κακοδαίμονος Πρωτέως ἐγένετο, ἀνδρὸς, ὡς βραχεῖ λόγῳ περιλαβεῖν, πρὸς ἀλήθειαν μὲν οὐδεπώποτε ἀποβλέψαντος, ἐπὶ δόξῃ δὲ καὶ τῷ παρὰ τῶν πολλῶν ἐπαίνῳ ἅπαντα εἰπόντος ἀεὶ καὶ πράξαντος, ὡς καὶ εἰς πῦρ ἅλλεσθαι, ὅτε μηδ' ἀπολαύειν τῶν ἐπαίνων ἔμελλεν ἀναίσθητος αὐτῶν γενόμενος.

43. Ἓν ἔτι σοι προσδιηγησάμενος παύσομαι, ὡς ἔχῃς ἐπὶ πολὺ γελᾶν· ἐκεῖνα μὲν γὰρ πάλαι οἶσθα εὐθὺς ἀκούσας μου ὅτε ἦκον ἀπὸ Συρίας διηγουμένου ὡς ἀπὸ Τρῳάδος συμπλεύσαιμι αὐτῷ καὶ τήν τε ἄλλην τὴν ἐν τῷ πλῷ τρυφὴν καὶ τὸ μειράκιον τὸ ὡραῖον, ὃ ἔπεισε κυνίζειν, ὡς ἔχοι καὶ αὐτός τινα Ἀλκιβιάδην, καὶ ὡς ἐπιταραχθεὶς μὲν τῆς νυκτὸς ἐν μέσῳ τῷ Αἰγαίῳ γνόφου καταβάντος καὶ κῦμα παμμέγεθες ἐγείραντος ἐκώκυε

cet Brachmanas facere dictitant), rogum conscensurum esse. Plerosque igitur illorum averti, quum jam perfectum esse opus dicerem, quibus quidem non id ipsum curæ esset, etiam locum ut inspicerent et aliquid de igni reliquum secum auferrent. Hic sane, mi sodalis, sexcenta negotia habui, dum omnibus enarro interrogantibus et accurate singula exquirentibus. Si quem igitur viderem politum doctrina hominem, nuda illi acta, velut tibi modo, enarrabam : apud stipites vero et inhiantes narrationi, tragicæ quiddam gravitatis de meo adjiciebam, ut hoc, quum accensus esset rogus, et jam injecisset se Proteus, motu telluris magno cum mugitu ante facto, evolantem media de flamma vulturem cœlum versus abiisse, humana magna voce clamantem : Reliqui terram, abeo in Olympum! Hi ergo obstupescentes cum horrore quodam adorare, et ex me quærere utrum orientem versus an ad occidentem volasset vultur . quibus ego, quicquid in buccam veniret, respondi.

40. Tum in concionem delatus astiti cano cuidam viro, et fide digno, medius fidius, si vultum spectares cum barba et gravitate reliqua, qui præter cetera hoc etiam narraret de Proteo, ut vidisset ipsum paullo ante, post combustionem, in veste candida, et modo inambulantem lætum atque hilarem in septem vocum porticu reliquisset, coronatum olea : deinde post omnia etiam vulturem illum adjecit, dejerans ipsum se vidisse de rogo evolantem, quem ego paullo ante dimiseram, ut derideret amentes homines et moribus stupidos.

41. Ceterum cogita, quæ in illo postea futura esse credibile sit : quas non apes in illo loco conventuras! quas non canturas ibi cicadas! quas non cornices involaturas, ut in sepulcrum Hesiodi! et id genus alia. Statuas quidem quum ab ipsis Eleis, tum ab reliquis Græcis, quibus etiam scripsisse dicebant eum, statim multas staturas novi. Aiunt vero nobilibus oppidis fere omnibus missas ab eo epistolas cum præceptionibus, et adhortationibus, atque legibus : etiam sodalium nonnullos ejus rei causa legatos constituerat, quos mortis nuncios et inferorum cursores appellabat.

42. Hic finis fuit infelicis Protei, viri qui, ut brevi sermone complectar, ad verum quidem respexerat nunquam, gloriæ autem et laudis popularis causa dixerat semper feceratque omnia, adeo ut in ignem etiam insiliret, quum neque frui jam posset laudibus, quippe quarum sensus pervenire ad ipsum non posset.

43. Desinam, quum unum adhuc tibi narravero, ut ridere possis amplius. Illa enim olim nosti, quæ statim ex me, quum e Syria venirem, audieris narrante, ut a Troade cum ipso navigaverim, et quum reliquum hominis in illa navigatione luxum, tum formosum illum adolescentulum, quem ad caninam illam vitam traduxerat, ut haberet nimirum ipse quoque aliquem Alcibiadem, et ut perturbatus fuerit noctu, medio in Ægæo descendente turbine et fluctum ex-

μετὰ τῶν γυναικῶν ὁ θαυμαστὸς καὶ θανάτου κρείττων εἶναι δοκῶν.

44. Ἀλλὰ μικρὸν πρὸ τῆς τελευτῆς, πρὸ ἐννέα σχεδόν που ἡμερῶν, πλεῖον, οἶμαι, τοῦ ἱκανοῦ ἐμφαγὼν ἥμεσέ τε τῆς νυκτὸς καὶ ἑάλω πυρετῷ μάλα σφοδρῷ. Ταῦτα δέ μοι ὁ Ἀλέξανδρος ὁ ἰατρὸς διηγήσατο μετακληθεὶς ὡς ἐπισκοπήσειεν αὐτόν· ἔφη οὖν καταλαβεῖν αὐτὸν χαμαὶ κυλιόμενον καὶ τὸν φλογμὸν οὐ φέροντα καὶ ψυχρὸν αἰτοῦντα πάνυ ἐρωτικῶς, ἑαυτὸν δὲ μὴ δοῦναι, καίτοι εἰπεῖν ἔφη πρὸς αὐτὸν ὡς εἰ πάντως θανάτου δέοιτο, ἥκειν αὐτὸν ἐπὶ τὰς θύρας αὐτόματον, ὥστε καλῶς ἔχειν ἑπεσθαι μηδὲν τοῦ πυρὸς δεόμενον· τὸν δ' αὖ φάναι, Ἀλλ' οὐχ ὁμοίως ἔνδοξος ὁ τρόπος γένοιτ' ἂν πᾶσι κοινὸς ὤν.

45. Ταῦτα μὲν ὁ Ἀλέξανδρος. Ἐγὼ δὲ οὐδ' αὐτὸς πρὸ πολλῶν ἡμερῶν εἶδον αὐτὸν ἐγκεχρισμένον, ὡς ἀποδακρύσειε τῷ δριμεῖ φαρμάκῳ. Ὁρᾷς; οὐ πάνυ τοὺς ἀμβλυωποῦντας ὁ Αἰακὸς παραδέχεται. Ὅμοιον ὡς εἴ τις ἐπὶ σταυρὸν ἀναβήσεσθαι μέλλων τὸ ἐν τῷ δακτύλῳ πρόσπταισμα θεραπεύοι. Τί σοι δοκεῖ ὁ Δημόκριτος, εἰ ταῦτα εἶδε; κατ' ἀξίαν γελάσαι ἂν ἐπὶ τῷ ἀνδρί. Καίτοι πόθεν εἶχεν ἐκεῖνος τοσοῦτον γέλωτα; Σὺ δ' οὖν, ὦ φιλότης, γέλα καὶ αὐτὸς, καὶ μάλιστα ὁπόταν τῶν ἄλλων ἀκούσῃς θαυμαζόντων αὐτόν.

citante maximum, ploraveritque cum mulierculis vir admirabilis, et qui superior mortis metu esse videretur.

44. Verum paullo ante mortem, novem circiter diebus ante, quum plus quam oportebat, puto, ingurgitasset, et vomuit noctu, et febri correptus est satis vehementi. Hæc vero Alexander mihi medicus narravit, qui vocatus erat ut illum inviseret. Aiebat ergo ille se invenisse hominem humi se volutantem, impatientemque æstus, et amatoriis velut blanditiis petentem frigidam; se autem non dedisse: verum illud dixisse, Si omnino morte opus haberet, ipsam sponte jam venire ad januam; itaque bene facere, si illam sequeretur, neque ignem expeteret. Istum contra dixisse: At non æque gloriosum fuerit mortis genus, ut quod omnibus sit commune.

45. Hæc Alexander. Ego vero et ipse non multis ante diebus inunctum vidi, ut lacrimis motis oculos purgaret acerbo medicamento. Vides? non sane recipit, qui hebetes oculos habent, Æacus. Simile hoc est, ut si quis in crucem mox agendus digiti offensionem curet. Quid tibi videtur facturus fuisse, si vidisset ista, Democritus? Risisset, prout dignum est, virum. Quanquam unde tantum illi risus suppetiisset? Tu ergo, amice, ride ipse quoque, et maxime quando alios admirari istum audieris.

LXIX.

ΔΡΑΠΕΤΑΙ.

1. ΑΠΟΛΛΩΝ. Ἀληθῆ ταῦτά φασι, πάτερ, ὡς ἐμβάλοι τις φέρων αὐτὸν εἰς τὸ πῦρ κατέναντι Ὀλυμπίων, ἤδη πρεσβύτης ἄνθρωπος, οὐκ ἀγεννὴς θαυματοποιὸς τὰ τοιαῦτα; ἡ Σελήνη γὰρ ἡμῖν διηγεῖτο αὐτὴ ἐορακέναι καόμενον λέγουσα.

ΖΕΥΣ. Καὶ πάνυ ἀληθῆ, ὦ Ἄπολλον· ὡς μὴ ποτε γενέσθαι ὤφελεν.

ΑΠΟΛ. Οὕτω χρηστὸς ὁ γέρων ἦν καὶ ἀνάξιος ἐν πυρὶ ἀπολωλέναι;

ΖΕΥΣ. Καὶ τοῦτο μὲν ἴσως· ἀλλ' ἐγὼ πολλὴν τὴν ἀηδίαν μέμνημαι ἀνασχόμενος τότε ὑπὸ κνίσης πονηρᾶς, οἵαν εἰκὸς ἀποφέρεσθαι ὀπτωμένων ἀνθρωπείων σωμάτων. Εἰ γοῦν μὴ εἰς τὴν Ἀραβίαν ὡς εἶχον εὐθὺς ἀπιὼν ᾠχόμην, ἀπολώλειν ἄν, εὖ ἴσθι, ἀτοπίᾳ τοῦ καπνοῦ· καὶ ὅμως ἐν τοσαύτῃ εὐωδίᾳ καὶ ἀφθονίᾳ τῶν ἀρωμάτων καὶ ἐν λιβανωτῷ παμπόλλῳ μόλις αἱ ῥῖνες ἐπιλαθέσθαι μοι καὶ ἀπομαθεῖν ἤθελον τὴν κηλῖδα ἐκείνην τῆς ὀσμῆς, ἀλλὰ καὶ νῦν ὀλίγου δέω ναυτιᾶν ὑπομνησθεὶς αὐτῆς.

2. ΑΠΟΛ. Τί δαὶ βουλόμενος, ὦ Ζεῦ, τοιαῦτα εἴργασται ἑαυτόν; ἢ τί τὸ ἀγαθὸν, ἀπανθρακωθῆναι ἐμπεσόντα εἰς τὴν πυράν;

ΖΕΥΣ. Τοῦτο μὲν οὐκ ἂν, ὦ παι, φθάνοις καὶ

LXIX.

FUGITIVI.

1. APOLLO. Verane narrant ista, pater, fuisse qui in ignem se conjiceret e regione celebritatis Olympiorum, jam senem hominem, nec ignavum ad talia portentorum artificem? Luna enim nobis narravit, quæ vidisse se diceret ardentem.

JUPITER. Vera omnino sunt, Apollo: quæ utinam facta nunquam essent!

APOL. Adeone bonus erat senex, atque indignus qui igni periret?

JUP. Potest ut fuerit ita: at ego multam me tum perferre injucunditatem memini a malo illo nidore, qualem sursum ferri naturale est ab assatis corporibus humanis. Nisi enim in Arabiam statim, ut habebam, abiissem, perieram, bene noris, a fumo teterrimo. Et tamen in tanta suaveolentia et copia aromatum, in thure adeo multo, vix meæ oblivisci nares ac dediscere voluerunt illam odoris labem: sed nunc etiam parum abest quin nauseem ad illius memoriam.

2. APOL. Quid vero voluit, Jupiter, quod hæc in se designavit, aut quid boni in eo inest, si quis in rogum desiliens mutetur in carbones?

JUP. Hac in re evitare non potes quin ante ipsum Em-

Ἐμπεδοκλεῖ πρὸ αὐτοῦ ἐγκαλῶν, ὃς ἐς τοὺς κρατῆρας ἥλατο καὶ αὐτὸς ἐν Σικελίᾳ.

ΑΠΟΛ. Μελαγχολίαν τινὰ δεινὴν λέγεις. Ἀτὰρ οὗτός γε τίνα ποτὲ ἄρα τὴν αἰτίαν ἔσχε τῆς ἐπιθυμίας;

ΖΕΥΣ. Αὐτοῦ σοι λόγον ἐρῶ, ὃν ἔλεξε πρὸς τὴν πανήγυριν ἀπολογούμενος πρὸς αὐτοὺς ὑπὲρ τῆς τελευτῆς. Ἔφη γὰρ, εἴ γε μέμνημαι....

3. Ἀλλὰ τίς αὕτη σπουδῇ πρόσεισι τεταραγμένη καὶ δακρύουσα, πάνυ ἀδικουμένῃ ἐοικυῖα; μᾶλλον δὲ Φιλοσοφία ἐστὶ καὶ τοὔνομά γε τοὐμὸν ἐπιβοᾶται σχετλιάζουσα. Τί, ὦ θύγατερ, δακρύεις; ἢ τί ἀπολιποῦσα τὸν βίον ἐλήλυθας; ἆρα μὴ οἱ ἰδιῶται αὖθις ἐπιβεβουλεύκασί σοι ὡς τὸ πρόσθεν, ὅτε τὸν Σωκράτην ἀπέκτειναν ὑπὸ Ἀνύτου κατηγορηθέντα, εἶτα φεύγεις διὰ τοῦτο αὐτούς;

ΦΙΛΟΣΟΦΙΑ. Οὐδὲν τοιοῦτον, ὦ πάτερ, ἀλλ' ἐκεῖνοι μὲν ὁ πολὺς λεὼς ἐπῄνουν καὶ διὰ τιμῆς ἦγον αἰδούμενοι καὶ θαυμάζοντές με καὶ μονονουχὶ προσκυνοῦντες, εἰ καὶ μὴ σφόδρα ξυνίεσαν ὧν λέγοιμι. Οἱ δὲ, πῶς ἂν εἴποιμι, οἱ ξυνήθεις καὶ φίλοι φάσκοντες εἶναι καὶ τοὔνομα τοὐμὸν ὑποδυόμενοι ἐκεῖνοί με τὰ δεινότατα εἰργάσαντο.

4. ΖΕΥΣ. Οἱ φιλόσοφοι ἐπιβουλήν τινα ἐπιβεβουλεύκασί σοι;

ΦΙΛ. Οὐδαμῶς, ὦ πάτερ, οἵ γε ξυνηδίκηνταί μοι καὶ αὐτοί.

ΖΕΥΣ. Πρὸς τίνων οὖν ἠδίκησαι, εἰ μήτε τοὺς ἰδιώτας μήτε τοὺς φιλοσόφους αἰτιᾷ;

ΦΙΛ. Εἰσί τινες, ὦ Ζεῦ, ἐν μεταιχμίῳ τῶν τε πολλῶν καὶ τῶν φιλοσοφούντων τὸ μὲν σχῆμα καὶ βλέμμα καὶ βάδισμα ἡμῖν ὅμοιοι καὶ κατὰ τὰ αὐτὰ ἐσταλμένοι· ἀξιοῦσι γοῦν ὑπ' ἐμοὶ τάττεσθαι καὶ τοὔνομα τὸ ἡμέτερον ἐπιγράφονται, μαθηταὶ καὶ ὁμιληταὶ καὶ θιασῶται ἡμῶν εἶναι λέγοντες· ὁ βίος δὲ παμμίαρος αὐτῶν, ἀμαθίας καὶ θράσους καὶ ἀσελγείας ἀνάπλεως, ὕβρις οὐ μικρὰ καθ' ἡμῶν· ὑπὸ τούτων, ὦ πάτερ, ἠδικημένη πέφευγα.

5. ΖΕΥΣ. Δεινὰ ταῦτα, ὦ θύγατερ. Ἀλλὰ τί μάλιστα ἠδικήκασί σε;

ΦΙΛ. Σκόπει, ὦ πάτερ, εἰ μικρά. Σὺ γὰρ κατιδὼν τὸν βίον ἀδικίας καὶ παρανομίας μεστὸν, ἅτε ἀμαθίᾳ καὶ ὕβρει ξυνόντα, καὶ ταραττόμενον ὑπ' αὐτῶν κατελεήσας τὸ ἀνθρώπινον ὑπὸ τῇ ἀγνοίᾳ ἑλαυνόμενον ἐμὲ κατέπεμψας ἐντειλάμενος ἐπιμεληθῆναι ὡς παύσαιντο μὲν ἀδικοῦντες ἀλλήλους καὶ βιαζόμενοι καὶ ὕβρια τοῖς θηρίοις βιοῦντες, ἀναβλέψαντες δὲ πρὸς τὴν ἀλήθειαν εἰρηνικώτερον ξυμπολιτεύοιντο· ἔφης γοῦν πρός με καταπέμπων, Ἃ μὲν πράττουσιν οἱ ἄνθρωποι καὶ ὡς διάκεινται ὑπὸ τῆς ἀμαθίας, ὦ θύγατερ, καὶ αὐτὴ ὁρᾷς, ἐγὼ δὲ, ἐλεῶ γὰρ αὐτοὺς, σὲ ἦν μόνην ἰάσασθαι ἂν τὰ γιγνόμενα οἶμαι, προκρίνας ἐξ ἁπάντων ἡμῶν πέμπω ἰασομένην.

6. ΖΕΥΣ. Οἶδα πολλὰ καὶ ταῦτα εἰπὼν τότε. Σὺ δὲ τὰ μετὰ ταῦτα ἤδη λέγε, ὅπως μὲν ὑπεδέξαντό σε[1]

pedocli quoque intentes crimen, qui in crateras et ipse in Sicilia desiliit.

APOL. Vehementem mihi melancholiam narras. Verum hic quam tandem illius cupiditatis causam habuit?

JUP. Ipsius tibi orationem referam, quam in conventu habuit, quum causam apud illos mortis suæ diceret. Dixit enim, si bene memini ....

3. Sed quænam ista contente ad nos accedit perturbata et lacrimans, injuriam magnam passæ similis? Quin Philosophia est, et nomen meum miserabili voce inclamat. Quid, mea filia, ploras? aut quid relicto sæculo huc venisti? numquid denuo contra te machinati aliquid sunt imperiti, ut olim, quum accusatum ab Anyto Socratem interfecere? tum tu propterea illos fugis?

PHILOSOPHIA. Nihil tale, pater: quin illi quidem, vulgus promiscuum, laudarunt et in honore me cum veneratione atque admiratione habuerunt, ac tantum non adorarunt, etsi non valde quæ dicerem intelligebant. Verum isti, quomodo illos vocem? qui se familiares meos et amicos esse aiunt, et nominis mei larvam induunt, illi ergo pessime me tractarunt.

4. JUP. Philosophi ipsi contra te aliquid machinati sunt?

PHIL. Non, pater: hi enim et ipsi injuria mecum affecti sunt.

JUP. A quibus ergo injuriam accepisti, si neque indoctos accusas, neque philosophos?

PHIL. Sunt quidam, Jupiter, interjecti velut inter utramque aciem, vulgus inter et philosophos, habitu, oculorum conjectu, incessu nobis similes, et eadem ratione compositi: postulant enim meis in castris militare, et nostrum sibi nomen inscribunt, discipulos se et familiares et sodales nostros dicunt; at vita illorum impurissima, inscitia, audacia, libidine plena, quæ non parva sit in nos contumelia. Ab hisce, pater, læsa profugi.

5. JUP. Dura hæc sane, filia. Sed qua in re maxime te læserunt?

PHIL. Vide, pater, an sint parva. Tu enim quum videres sæculum injustitia et iniquitate plenum, quod cum inscitia et contumelia versaretur, et ab iis perturbaretur; miseratus humanum genus ab ignorantia agitatum, me demisisti cui præceperas uti curam agerem, quo desinerent mutuis se injuriis affligere et vim facere, et similem feris bestiis vitam agere; sed oculis ad verum conversis, magis placatam inter se civitatem haberent. Dicebas enim, quum demitteres, Quæ agant homines, et quomodo ab inscitia affecti sint, ipsa vides, mea filia: ego autem, qui illorum misericordia tangar, te, quam solam mederi posse his quæ fiunt arbitrer, ex omni nostro numero delectam demitto ut sanes.

6. JUP. Scio multa me et talia tum dixisse. Tu vero

καταπταμένην τὸ πρῶτον, ἅτινα δὲ νῦν ὑπ' αὐτῶν πέπονθας.

ΦΙΑ. Ἦξα μέν, ὦ πάτερ, οὐκ ἐπὶ τοὺς Ἕλληνας εὐθύς, ἀλλ' ὅπερ ἐδόκει μοι χαλεπώτερον τοῦ ἔργου εἶναι τὸ βαρβάρους παιδεύειν καὶ διδάσκειν, τοῦτο πρῶτον ἠξίουν ἐργάσασθαι, τὸ Ἑλληνικὸν δὲ εἴων ὡς ῥᾷστον ὑποβαλέσθαι καὶ τάχιστα, ὥς γε ᾤμην, ἐνδεξόμενον τὸν χαλινὸν καὶ ὑπαχθησόμενον τῷ ζυγῷ, ὁρμήσασα δὲ εἰς Ἰνδοὺς τὸ πρῶτον, ἔθνος μέγιστον τῶν ἐν τῷ βίῳ, οὐ χαλεπῶς ἔπεισα καταβάντας ἀπὸ στῶν ἐλεφάντων ἐμοὶ συνεῖναι· ὥστε καὶ γένος ὅλον οἱ Βραχμᾶνες τοῖς Νεχραίοις καὶ Ὀξυδράκαις ὅμοροι οὗτοι πάντες ὑπ' ἐμοὶ τάττονται καὶ βιοῦσί γε κατὰ τὰ ἡμῖν δοκοῦντα τιμώμενοι πρὸς τῶν περιοίκων ἁπάντων καὶ ἀποθνήσκουσι παράδοξόν τινα τοῦ θανάτου τρόπον.

7. **ΖΕΥΣ.** Τοὺς γυμνοσοφιστὰς λέγεις. Ἀκούω γοῦν τά τε ἄλλα περὶ αὐτῶν καὶ ὅτι ἐπὶ πυρὰν μεγίστην ἀναβάντες ἀνέχονται καόμενοι οὐδὲν τοῦ σχήματος ἢ τῆς καθέδρας ἐκτρέποντες. Ἀλλ' οὐ μέγα τοῦτο· ἔναγχος γοῦν καὶ Ὀλυμπίασι τὸ ὅμοιον ἐγὼ εἶδον γενόμενον· εἰκὸς δὲ καὶ σὲ παρεῖναι καομένου τότε τοῦ γέροντος.

ΦΙΑ. Οὐδὲ ἀνῆλθον, ὦ πάτερ, εἰς Ὀλυμπίαν δέει τῶν καταράτων ἐκείνων, οὓς ἔφην, ὅτι πολλοὺς αὐτῶν ἑώρων ἀπιόντας, ὡς λοιδορήσαιντο τοῖς ξυνεληλυθόσι καὶ βοῆς τὸν ὀπισθόδομον ἐμπλήσωσιν ὑλακτοῦντες, ὥστε οὐδὲ εἶδον ἐκεῖνον ὅπως ἀπέθανε.

8. Μετὰ γοῦν τοὺς Βραχμᾶνας εἰς Αἰθιοπίαν εὐθύς, εἶτα εἰς Αἴγυπτον κατέβην, καὶ ξυγγενομένη τοῖς ἱερεῦσι καὶ προφήταις αὐτῶν καὶ τὰ θεῖα παιδεύσασα ἐς Βαβυλῶνα ἀπῆρα Χαλδαίους καὶ μάγους μυήσουσα, εἶτα ἐς Σκυθίαν ἐκεῖθεν, εἶτα ἐς Θράκην, ἔνθα μοι Εὔμολπος καὶ Ὀρφεὺς συνεγενέσθην, οὓς καὶ προαποστείλασα ἐς τὴν Ἑλλάδα τὸν μέν, ὡς τελέσειεν αὐτούς, τὸν Εὔμολπον — ἐμεμαθήκει γὰρ τὰ θεῖα παρ' ἡμῶν ἅπαντα — τὸν δέ, ὡς ἐπᾴδων προσβιάζοι τῇ μουσικῇ, κατὰ πόδας εὐθὺς εἱπόμην.

9. Καὶ τὸ μὲν πρῶτον εὐθὺς ἐλθοῦσαν οὔτε πάνυ ἠσπάσαντο οἱ Ἕλληνες οὔτε ὅλως ἀπέκλεισαν· κατ' ὀλίγον δὲ προσομιλοῦσα ἑπτὰ ἐκ τῶν ἁπάντων ἑταίρους καὶ μαθητὰς προσηγαγόμην καὶ ἄλλον ἐκ Σάμου καὶ ἄλλον ἐξ Ἐφέσου καὶ Ἀβδηρόθεν ἄλλον, ὀλίγους παντάπασι.

10. Μεθ' οὓς τὸ σοφιστῶν φῦλον οὐκ οἶδ' ὅπως μοι παρενεφύετο οὔτε ζηλοῦν τἀμὰ ἐς βάθος οὔτε κομιδῇ ἀπᾴδον, ἀλλ' οἷον τὸ Ἱπποκενταύρων γένος, σύνθετόν τι καὶ μικτὸν ἐν μέσῳ ἀλαζονείας καὶ φιλοσοφίας πλαζόμενον, οὔτε τῇ ἀγνοίᾳ τέλεον προσεχόμενον οὔτε ἡμᾶς ἀτενέσι τοῖς ὀφθαλμοῖς καθορᾶν δυνάμενον, ἀλλ' οἷον λημῶντες ὑπὸ τοῦ ἀμβλυώττειν ἀσαφές τι καὶ ἀμυδρὸν ἡμῶν εἴδωλον ἢ σκιὰν ἐνίοτε ἰδόντες ἄν, οἱ δὲ ᾠοντο ἀκριβῶς πάντα κατανενοηκέναι. Ὅθεν παρ' αὐτοῖς ἡ ἀγρεῖος ἐκείνη καὶ περιττὴ σοφία καὶ, ὡς αὐτοὶ ᾠοντο, ἀπρόσμαχος ἀνεφλέγετο, αἱ κομψαὶ καὶ

jam dic quæ insecuta sint, quomodo illi receperint te primum advolantem, et quæ sis nunc ab ipsis passa.

PHIL. Properabam, pater, non statim ad Græcos, sed, quæ videbatur mihi difficilior operis pars esse, instituere ac docere barbaros, illam primum volebam perficere. Omissis ergo interim Græcis, quos faciles admodum subactu putabam, et celerrime recepturos frena et jugo iri submissum; ad Indos primum excucurri, maximam orbis gentem, nec difficulter iis persuasi, ut descendentes suis ab elephantis mecum versarentur: adeo ut etiam una gens tota, Brachmanes, qui in Nechræorum et Oxydracarum confiniis colunt, hi jam omnes militent mihi, et nostris ex præceptis vivant; qua de causa magno in honore sunt apud omnes vicinos, ac miro quodam mortis genere moriuntur.

7. JUP. Gymnosophistas dicis. Audio enim inter reliqua de illis hoc quoque, maximo illos rogo conscenso urendos se præbere, neque quicquam de habitu aut positu membrorum mutare. Sed nihil hoc magnum: nuper enim Olympiæ simile quid fieri ego vidi: credibile autem te quoque adfuisse tum, quum senex arderet.

PHIL. Neque accessi, pater, Olympiam, metu sacerrimorum hominum quos dixi, quod multos illorum viderem eo abire, uti maledicerent ibi congregatis, clamosoque suo latratu posticum templi implerent: igitur neque vidi illum, quomodo sit mortuus.

8. Post Brachmanas ergo statim in Æthiopiam, ac deinde in Ægyptum descendi, et versata ibi cum sacerdotibus illorum ac prophetis, quum divina eos docuissem, Babylonem perrexi, ut Chaldæos et magos initiarem: tum inde in Scythiam; deinde in Thraciam, ubi Eumolpus et Orpheus mecum fuere. Quos etiam præmissos in Græciam, alterum ut illos initiaret, Eumolpum (didicerat enim a nobis divina omnia), alterum ut canendo musicæ ipsos assuefaceret, e vestigio statim consecuta sum.

9. Ac primum quidem advenientem neque vehementer amplexi sunt Græci, neque plane excluserunt. Paullatim vero alloquio meo septem ex omnibus sodales ac discipulos mihi conciliavi, et ex Samo alium, et alium Epheso, et Abdera alium, paucos omnino.

10. Post quos Sophistarum mihi gens nescio quomodo adhæsit, neque æmulans profunde mea placita, neque omnino ab iis abhorrens; sed, velut Hippocentaurorum genus, compositum quiddam et mistum, inter imposturam et philosophiam medium oberrans, neque ignorantiæ plane adhærens, neque in nos defigere intentos oculos valens; sed velut lippientes, præ hebetudine visus obscurum quoddam et evanidum nostri simulacrum aut umbram forte nonnunquam videntes, dum accurate omnia se nosse arbitrarentur. Unde apud illos inutilis ista ac superflua sapientia, et, ut ipsi putabant, invicta, accendebatur, comtulæ illæ et du-

ἄποροι καὶ ἄτοποι ἀποκρίσεις καὶ δυσέξοδοι καὶ λαβυρινθώδεις ἐρωτήσεις.

11. Εἶτα κωλυόμενοι καὶ ἐλεγχόμενοι πρὸς τῶν ἑταίρων τῶν ἐμῶν ἠγανάκτουν καὶ συνίσταντο ἐπ' αὐτοὺς, καὶ τέλος δικαστηρίοις ὑπῆγον καὶ παρεδίδοσαν πιομένους τοῦ κωνείου. Ἐχρῆν μὲν οὖν ἴσως τότε φυγεῖν εὐθὺς καὶ μηκέτι ἀνέχεσθαι τὴν συνουσίαν αὐτῶν, νῦν δὲ Ἀντισθένης με καὶ Διογένης καὶ μετὰ μικρὸν Κράτης καὶ Μένιππος οὗτος ἔπεισαν ὀλίγον ὅσον ἐπιμετρῆσαι τῆς μονῆς. Ὡς μήποτε ὤφελον· οὐ γὰρ ἂν τοσαῦτα ἐπεπόνθειν ὕστερον.

12. ΖΕΥΣ. Οὐδέπω μοι λέγεις, ὦ Φιλοσοφία, τίνα ἠδίκησαι, ἀλλ' ἀγαναχτεῖς μόνον.

ΦΙΛ. Καὶ μὴν ἄκουε, ὦ Ζεῦ, ἡλίκα ἐστί· μιαρὸν γάρ τι φῦλον ἀνθρώπων καὶ ὡς τὸ πολὺ δουλικὸν καὶ θητικὸν, οὐ ξυγγενόμενον ἡμῖν ἐκ παίδων ὑπ' ἀσχολίας· ἐδούλευε γὰρ ἢ ἐθήτευεν ἢ ἄλλας τέχνας οἵας εἰκὸς τοὺς τοιούτους ἐμάνθανε, σκυτεύειν ἢ τεκταίνειν ἢ περὶ πλυνοὺς ἔχειν ἢ ἔρια ξαίνειν, ὡς εὐεργὰ εἴη ταῖς γυναιξὶ καὶ εὐμήρυτα καὶ κατάγοιτο εὐμαρῶς, ὁπότε ἢ κρόκην ἐκεῖναι στρέφοιεν ἢ μίτον κλώθοιεν. Τοιαῦτα τοίνυν ἐν παισὶ μελετῶντες οὐδὲ ὄνομα τὸ ἡμέτερον ἤδεσαν. Ἐπεὶ δὲ εἰς ἄνδρας τελεῖν ἤρξαντο καὶ κατεῖδον τὴν αἰδῶ, ὅση παρὰ τῶν πολλῶν ἐστι τοῖς ἑταίροις τοῖς ἐμοῖς, καὶ ὡς ἀνέχονται οἱ ἄνθρωποι τὴν παρρησίαν τὴν αὐτῶν καὶ χαίρουσι θεραπευόμενοι καὶ συμβουλεύουσι πείθονται καὶ ἐπιτιμώντων ὑποπτήσσουσι, ταῦτα πάντα τυραννίδα οὐ μικρὰν ἡγοῦντο εἶναι.

13. Τὸ μὲν δὴ μανθάνειν ὅσα τῇ τοιαύτῃ προαιρέσει πρόσφορα, μακρὸν ἦν, μᾶλλον δὲ κομιδῇ ἀδύνατον. Αἱ τέχναι δὲ γλίσχραι καὶ σὺν πόνῳ καὶ μόγις ἱκανὰ παρέχειν ἐδύναντο. Ἐνίοις δὲ καὶ ἡ δουλεία βαρὺ καὶ ὥσπερ οὖν ἐστιν, ἀφόρητον ἐφαίνετο. Ἔδοξε δὴ σκοπουμένοις τὴν ὑστάτην ἄγκυραν, ἣν ἱερὰν οἱ ναυτιλλόμενοί φασι, καθιέναι, καὶ ἐπὶ τὴν βελτίστην ἀπόνοιαν ὁρμίσαντες, ἔτι τε καὶ τόλμαν καὶ ἀμαθίαν καὶ ἀναισχυντίαν προσπαρακαλέσαντες, αἵπερ αὐτοῖς μάλιστα συναγωνίζονται, καὶ λοιδορίας καινὰς ἐκμελετήσαντες, ὡς πρόχειροι εἶεν καὶ ἀνὰ στόμα, ταύτας μόνας ξυμβολὰς ἔχοντες — ὁρᾷς ὁποῖα πρὸς φιλοσοφίαν ἐφόδια; — σχηματίζουσι καὶ μετακοσμοῦσιν αὐτοὺς εὖ μάλα εἰκότως καὶ πρὸς ἐμέ, οἷόν τι ἀμέλει ὁ Αἴσωπός φησι ποιῆσαι τὸν ἐν τῇ Κύμῃ ὄνον, ὃς λεοντῆν περιβαλόμενος καὶ τραχὺ ὀγκώμενος ἠξίου λέων καὶ αὐτὸς εἶναι· καί πού τινες καὶ ἦσαν ἴσως οἱ πιστεύοντες αὐτῷ.

14. Τὰ δ' ἡμέτερα πάνυ ῥᾷστα, ὡς οἶσθα, καὶ ἐς μίμησιν πρόχειρα — τὰ προφανῆ λέγω — καὶ οὐ πολλῆς τῆς πραγματείας δεῖ τριβώνιον περιβαλέσθαι καὶ πήραν ἐξαρτήσασθαι καὶ ξύλον ἐν τῇ χειρὶ ἔχειν καὶ βοᾶν, μᾶλλον δὲ ὀγκᾶσθαι ἢ ὑλακτεῖν καὶ λοιδορεῖσθαι ἅπασι· τὴν ἀσφάλειαν γὰρ αὐτοῖς τοῦ μηδὲν ἐπὶ τούτῳ παθεῖν ἡ πρὸς τὸ σχῆμα αἰδὼς παρέξειν ἔμελλεν. Ἡ ἐλευθερία δὲ πρόχειρος, ἄκοντος τοῦ δεσπότου καὶ ἀποκτείνοντος ἤδη τινὰς ἐπὶ τῷ παρρησιάζεσθαι. Ἐδόκει δὲ καὶ ἐπιτήδειον εἶναι τὸ σχῆμα τοῦτο πρὸς τὸ ἐπιτιμᾶν καὶ ἐλέγχειν καὶ ἐπιπλήττειν καὶ ἐπιστομίζειν καὶ ἐπιτρίβειν καὶ ἐπιτιμᾶν καὶ ἐπιτιμᾶν καὶ ἐπιτιμᾶν.

bitabiles et inexspectatae responsiones, et exitum non habentes labyrinthisque similes interrogationes.

11. Deinde prohibiti ac reprehensi a meis sodalibus, indigne ferre et adversus illos coire, ac tandem in jus cogere, et eo dare ubi cicutam biberent. Oportebat forte tum statim fugere, neque amplius illorum ferre consuetudinem: jam vero Antisthenes et Diogenes, et paullo post Crates, et Menippus hic persuasere mihi ut paullum adhuc moræ quasi corollarium adjicerem: quod utinam non fecissem! neque enim tot deinde mala subiissem.

12. JUP. Nondum mihi dicis, Philosophia, quamnam injuriam sis passa, sed indignaris tantum.

PHIL. Quin tu audi, Jupiter, quanta sint. Impurum enim quoddam genus hominum, et plerumque servile atque mercenarium, non versatum nobiscum a pueritia ob negotia: servitutem enim serviit, aut mercede opus fecit, aut artes alias, quales cadunt in tales, didicit, cerdoniam, fabrilem, fulloniam, eam quæ in lanis carpendis versatur, ut facilius deinde eæ tractentur a feminis, sintque ad nendum et deducendum commodiores, quoties vel tramam illæ torquere vel nere licium volunt. Hæc ergo isti puerili ætate exercentes, ne nomen quidem nostrum noverant. Quum vero ad virilem ætatem pervenissent, animadversa quæ meis sodalibus a multitudine habetur reverentia, et ut sustinent homines illorum in dicendo libertatem, et curari se gaudent, et consulentibus obsequuntur, et reprehendentibus timide concedunt, regnum non parvum arbitrabantur esse hæc omnia.

13. Ac discere quæcumque huic instituto vitæ conveniunt, longum erat, aut potius plane illis negatum. Artes vero parcæ, et cum labore, et vix tamen vel sic præstare quod satis esset poterant. Quibusdam etiam grave servitutis onus, et, ut est, intolerabile videbatur. Considerantibus ergo placuit ultimam ancoram, quam sacram appellant nautæ, demittere; firmantesque navim in præclara illa amentia, advocatis insuper audacia, inscitia atque impudentia, quæ maxime hoc illis certamen adjuvant; novisque excogitatis conviciis, ut præsto statim et in ore sint: has ergo symbolas solas quum habeant (viden' qualia ad philosophiam viatica?) figuram sumunt ornatumque sane decentem, mihique quam simillimum: nimirum quale quid fecisse ait Æsopus illum Cumis asinum, qui leonina circumposita asperum rudens, leo et ipse esse postulabat. Ac forte erant alicubi qui fidem illi haberent.

14. Nostra vero facillima omnino, ut nosti, et ad imitandum expedita (externa illa dico), nec multum negotii est palliolo amiciri, et peram gestare suspensam, et clavam in manu habere, et clamare, vel rudere potius aut latrare, et maledicere omnibus: quippe securitatem illis nihil ob eam rem patiendi ipsa habitus præstitura erat reverentia: porro in promtu erat invito etiam domino libertas, qui si asserere auderet, futurum erat ut fusti percuteretur. Cibus autem

σπότου, κἂν εἰ βούλοιτο ἀπάγειν, παταχθησομένου τῷ ξύλῳ. Καὶ τὰ ἅλφιτα οὐκέτ' ὀλίγα οὐδὲ ὡς πρὸ τοῦ μᾶζα ψιλὴ, τὸ δὲ ὄψον οὐ τάριχος ἢ θύμον, ἀλλὰ κρέα παντοδαπὰ καὶ οἶνος οἷος ἥδιστος, καὶ χρυσίον παρ' ὅτου ἂν ἐθέλωσι· ὁσμολογοῦσι γὰρ ἐπιφοιτῶντες ἤ, ὡς αὐτοί φασιν, ἀποκείρουσι τὰ πρόβατα δώσειν τε πολλοὺς οἷόν τε ἢ αἰδοῖ τοῦ σχήματος ἢ δέει τοῦ μὴ ἀκοῦσαι κακῶς.

15. Καὶ γὰρ αὖ κἀκεῖνο ἑώρων, οἶμαι, ὡς ἐξ ἴσου καταστήσονται τοῖς ὀρθῶς φιλοσοφοῦσιν. Οὐδέ τις ὁ δικάσων καὶ διακρινῶν τὰ τοιαῦτα ἔσται, ἢν μόνον τὰ ἔξω ᾖ ὅμοια· ἀρχὴν γὰρ οὐδὲ τὸν ἔλεγχον δέχονται, ἢν ἔρηταί τις οὑτωσὶ κοσμίως καὶ κατὰ βραχὺ, ἀλλ' εὐθὺς βοῶσι καὶ ἐπὶ τὴν ἀκρόπολιν τὴν ἑαυτῶν ἀναφεύγουσι τὴν λοιδορίαν καὶ πρόχειρον τὸ ξύλον. Καὶ ἢν μὲν τὰ ἔργα ζητῇς, οἱ λόγοι πολλοὶ, ἢν δὲ ἀπὸ τῶν λόγων κρίνειν ἐθέλῃς, τὸν βίον ἀξιοῦσι σκοπεῖν.

16. Τοιγαροῦν ἐμπέπληται πᾶσα ἡ πόλις τῆς τοιαύτης ῥᾳδιουργίας, καὶ μάλιστα τῶν Διογένην καὶ Ἀντισθένην καὶ Κράτητα ἐπιγραφομένων καὶ ὑπὸ τῷ κυνὶ ταττομένων, οἳ τὸ μὲν χρήσιμον ὁπόσον ἔνεστι τῇ φύσει τῶν κυνῶν, οἷον τὸ φυλακτικὸν ἢ οἰκουρικὸν ἢ φιλοδέσποτον ἢ μνημονικὸν, οὐδαμῶς ἐζηλώκασιν, ὑλακὴν δὲ καὶ λιχνείαν καὶ ἁρπαγὴν καὶ ἀφροδίσια συχνὰ καὶ κολακείαν καὶ τὸ σαίνειν τὸν διδόντα καὶ περὶ τραπέζας ἔχειν, ταῦτα ἀκριβῶς ἐκπεπονήκασιν.

17. Ὄψει τοίνυν μετὰ μικρὸν οἷα ἔσται· οἱ γὰρ ἐκ τῶν ἐργαστηρίων ἅπαντες ἀναπηδήσαντες ἐρήμους τὰς τέχνας ἐάσουσιν, ὅταν ὄψωσι σφᾶς μὲν πονοῦντας καὶ κάμνοντας ἔωθεν ἐς ἑσπέραν ἐπικεκυφότας τοῖς ἔργοις μόγις ἀποζῶντας ἐκ τῆς τοιαύτης μισθαρνίας, ἀργοὺς δὲ καὶ γόητας ἀνθρώπους ἐν ἅπασιν ἀφθόνοις βιοῦντας, αἰτοῦντας μὲν τυραννικῶς, λαμβάνοντας δὲ προχείρως, ἀγανακτοῦντας δέ, εἰ μὴ λάβοιεν, οὐκ ἐπαινοῦντας δὲ, οὐδ' εἰ λάβοιεν. Ταῦτα ὁ ἐπὶ Κρόνου βίος δοκεῖ αὐτοῖς καὶ ἀτεχνῶς τὸ μέλι αὐτὸ ἐς τὰ στόματα ἐσρεῖν ἐκ τοῦ οὐρανοῦ.

18. Καὶ ἧττον ἂν δεινὸν τὸ πρᾶγμα ἦν, εἰ τοιοῦτοι ὄντες μηδὲν ἐς ἡμᾶς ἄλλο ἐξύβριζον· οἱ δὲ μάλα σεμνοὶ καὶ σκυθρωποὶ τὰ ἔξω καὶ τὰ δημόσια φαινόμενοι ἢν παιδὸς ὡραίου ἢ γυναικὸς λάβωνται καλῆς ἢ ἐλπίσωσι, σωπᾶν ἄξιον οἷα ποιοῦσιν. Ἔνιοι δὲ καὶ ξένων τῶν σφετέρων γυναῖκας ἀπάγουσι μοιχεύσοντες κατὰ τὸν Ἰλιέα ἐκεῖνον νεανίσκον, ὡς φιλοσοφοῖεν δὴ καὶ αὐταί· εἶτα κοινὰς αὐτὰς ἅπασι τοῖς ξυνοῦσι προθέμενοι Πλάτωνός τι δόγμα οἴονται ποιεῖν οὐκ εἰδότες ὅπως ὁ ἱερὸς ἐκεῖνος ἠξίου κοινὰς ἡγεῖσθαι τὰς γυναῖκας.

19. Ἃ μὲν γὰρ ἐν τοῖς συμποσίοις δρῶσι καὶ ἃ μεθύσκονται, μακρὸν ἂν εἴη λέγειν. Καὶ ταῦτα ποιοῦσι, πῶς οἴει; κατηγοροῦντες αὐτοὶ μέθης καὶ μοιχείας καὶ λαγνείας καὶ φιλαργυρίας· οὐδὲν γοῦν οὕτως εὕροις ἂν ἄλλο ἄλλῳ ἐναντίον ὡς τοὺς λόγους αὐτῶν καὶ τὰ ἔργα· οἷον κολακείαν μισεῖν φασι κολακείας ἕνεκα τὸν Γναθωνίδην ἢ τὸν Στρουθίαν ὑπερβαλέσθαι δυνάμενοι, ἀλη-

non jam tenuis, neque ut ante nuda puls; obsonium non salsamentum aut thymus; sed carnes omnis generis, et vinum quodque suavissimum; et aurum a quocumque voluerint. Nempe tributum quoddam crebro accessu suo colligunt; vel, ut ipsi loquuntur, tondent oviculas; et daturi sunt multi vel habitus pudore, vel metu ne male audiant.

15. Nam illud quoque observarunt, opinor, se æquo fastigio staturos cum his qui recte philosophantur. Neque enim quisquam erit qui judicet ista vel discernat, modo externa sint similia. Neque enim omnino illam ex argumentis probationem admittunt, si quis illos sic placide et breviter interroget; sed clamant statim et ad arcem suam, convicia, confugiunt, et expediunt fustem: ac, si opera illorum requiras, multa in ore est doctrina; sin ex doctrina illos judicare velis, vitam te considerare postulant.

16. Itaque plena fraudibus istis civitas tota, illorum præsertim qui Diogenem et Antisthenem et Cratetem sibi inscribunt et sub Canis signis militant: qui quod utile inest in natura canum, ut cautionem illam, illam domus custodiam, dominorum illum amorem, memoriam, nullo modo imitantur; latratum vero, et ligurritionem, et rapacitatem, et venerem crebram, et adulationem, et illa ad dantes blandimenta, et mensarum assectationem, hæc omnia ad unguem exprimunt.

17. Videbis ergo paullo post quid futurum sit. Exilientes enim de officinis universi desertas relinquent artes, ubi videbunt se quidem, opus quum faciant et laborent a mane inde ad vesperam, operibus intenti suis, vix tamen sibi victum ex illa mercenaria ratione parare; otiosos vero homines atque impostores in omnium rerum affluentia vivere, quum petant quasi tyranni essent, accipiant promte; indignentur, si nihil ferant; non laudent, etiamsi acceperint. Hæc vita, qualis illa sub Saturno fuit, videtur ipsis, et tantum non mel merum in ora influere cœlitus.

18. Ac minus in ea re mali esset, si tales quum sint, nulla nos alia contumelia afficerent. At isti, vehementer graves et tristes quantum ad externa et publica qui videantur, si puerum formosum aut mulierem pulchram vel nanciscantur vel sperent, quid faciant, silere melius est. Quidam etiam suorum hospitum mulieres abducunt corrumpendas adulterio, ut Trojanus ille juvenis, nimirum ut ipsæ etiam philosophentur: tum communes illas omnibus suis familiaribus prostituunt, Platonis quoddam se placitum perficere rati, ignari quo sensu divinus ille communes esse mulieres voluerit.

19. Quæ quidem faciant in conviviis, et quomodo per ebrietatem se gerant, commemorare longum fuerit. Et hæc faciunt, quid putas? accusantes ipsi ebrietatem, et adulterium, et lasciviam, et avaritiam. Nihil enim ita adversum alteri alterum invenies, ut sunt sermones illorum et facta: verbi gratia adulationi se inimicos aiunt, quum adulationis causa Gnathonidem aut Struthiam superare

θεύειν τοὺς ἄλλους προτρέποντες οὐκ ἂν οὐδὲ κινῆσαι τὴν γλῶτταν μὴ μετὰ τοῦ καὶ ψεύσασθαι δύναιντο. Ἡδονὴ πᾶσιν ἐχθρὸν τῷ λόγῳ καὶ ὁ Ἐπίκουρος πολέμιος, ἔργῳ δὲ διὰ ταύτην ἅπαντα πράττουσι. Τὸ δ' ὀξύχολον καὶ μικραίτιον καὶ πρὸς ὀργὴν ῥᾴδιον ὑπὲρ τὰ βρεφύλλια τὰ νεογνὰ· γέλωτα γοῦν οὐ μικρὸν παρέχουσι τοῖς θεωμένοις, ὁπόταν ὑπὸ τῆς τυχούσης αἰτίας ἐπιζέσῃ μὲν αὐτοῖς ἡ χολὴ, πελιδνοὶ δὲ τὴν χροιὰν βλέπωνται ἰταμόν τι καὶ παράφορον δεδορκότες καὶ ἀφροῦ, μᾶλλον δὲ ἰοῦ μεστὸν αὐτοῖς ᾖ τὸ στόμα.

20. Μὴ σύ γε κεῖθι τύχοις, ὅτε ὁ μιαρὸς ἐκεῖνος ἐκχεῖται βόρβορος, Χρυσίον μὲν ἢ ἀργύριον, Ἡράκλεις, οὐδὲ κεκτῆσθαι ἀξιῶ, ὀβολὸς ἱκανὸς, ὡς θέρμους πριαίμην· ποτὸν γὰρ ἢ κρήνη ἢ ποταμὸς παρέξει· καὶ μετ' ὀλίγον αἰτοῦσιν οὐκ ὀβολοὺς οὐδὲ δραχμὰς ὀλίγας, ἀλλὰ πλούτους ὅλους. Ὥστε τίς ἔμπορος τοσοῦτον ἀπὸ τοῦ φόρτου ἐμπολήσειεν ἂν ὅσον τούτοις φιλοσοφία εἰς χρηματισμὸν συντελεῖ; Εἶτ' ἐπειδὰν ἱκανῶς συλλέξωνται καὶ ἐπισιτίσωνται, ἀπορρίψαντες ἐκεῖνο τὸ δύστηνον τριβώνιον ἀγροὺς ἐνίοτε καὶ ἐσθῆτας τῶν μαλθακῶν ἐπρίαντο καὶ παῖδας κομήτας καὶ συνοικίας ὅλας μακρὰ χαίρειν φράσαντες τῇ πήρᾳ τῇ Κράτητος καὶ τῷ τρίβωνι τῷ Ἀντισθένους καὶ τῷ πίθῳ τῷ Διογένους.

21. Οἱ ἰδιῶται δὲ ταῦτα ὁρῶντες καταπτύουσιν ἤδη φιλοσοφίας καὶ ἅπαντας εἶναι τοιούτους οἴονται κἀμὲ τῆς διδασκαλίας αἰτιῶνται. Ὥστε πολλοῦ ἤδη χρόνου ἀδύνατόν μοι γεγένηται κἂν ἕνα τινὰ προσαγαγέσθαι αὐτῶν, ἀλλὰ τὸ τῆς Πηνελόπης ἐκεῖνο πάσχω· ὁπόσον γὰρ δὴ ἐγὼ ἐξυφήνω, τοῦτο ἐν ἀκαρεῖ αὖθις ἀναλύεται· ἡ Ἀμαθία δὲ καὶ ἡ Ἀδικία ἐπιγελῶσιν ὁρῶσαι ἀνεξέργαστον ἡμῖν τὸ ἔργον καὶ ἀνήνυτον πόνον.

22. ΖΕΥΣ. Οἷα, ὦ θεοὶ, πέπονθεν ἡμῖν ἡ Φιλοσοφία πρὸς τῶν καταράτων ἐκείνων. Ὥστε ὥρα σκοπεῖν ὅ τι καὶ πρακτέον ἢ ὅπως αὐτοὺς μετελευστέον. Ὁ μὲν γὰρ κεραυνὸς ἀπάγει μιᾷ πληγῇ καὶ ὁ θάνατος ταχύς.

ΑΠΟΛ. Ἐγώ σοι, ὦ πάτερ, ὑποθήσομαι· μισῶ γὰρ καὶ αὐτὸς ἤδη τοὺς ἀλαζόνας ἀμούσους ὄντας ὑπὲρ τῶν Μουσῶν ἀγανακτῶν· κεραυνοῦ μὲν γὰρ ἢ τῆς σῆς δεξιᾶς οὐδαμῶς ἐκεῖνοι ἄξιοι, τὸν Ἑρμῆν δὲ αὐτοκράτορα, εἰ δοκεῖ, τῆς κολάσεως κατάπεμψον ἐπ' αὐτοὺς, ὃς ἅτε δὴ περὶ λόγους ἔχων καὶ αὐτὸς τάχιστα εἴσεται τούς τε ὀρθῶς φιλοσοφοῦντας καὶ τοὺς μή· εἶτα τοὺς μὲν ἐπαινέσεται, ὡς τὸ εἰκὸς, οἱ δὲ κολασθήσονται, ὅπως ἂν ἐκείνῳ πρὸς τὸν καιρὸν δοκῇ.

23. ΖΕΥΣ. Εὖ λέγεις, ὦ Ἀπολλον. Ἀλλὰ καὶ σὺ, ὦ Ἡράκλεις, ἅμα καὶ τὴν Φιλοσοφίαν αὐτὴν ἔχοντες ἅπιτε ὡς τάχιστα εἰς τὸν βίον· τρισκαιδέκατον γοῦν ἆθλον οἷου τοῦτον οὐ σμικρὸν ἐκτελέσειν, ἢν ἐκκόψῃς μιαρὰ οὕτω καὶ ἀναίσχυντα θηρία.

ΗΡΑΚΛΗΣ. Καὶ μὴν ἄμεινον ἦν, ὦ πάτερ, τὴν κόπρον ἐκκαθᾶραι αὖθις τὴν Αὐγείου ἢ τούτοις συμπλέκεσθαι. Ἀπίωμεν δ' ὅμως.

possint; veracitatem commendantes aliis, nec movere linguam queant ipsi sine mendacio. Voluptas inimica omnibus in sermone, hostis Epicurus: re vera autem faciunt propter illam omnia. Acuta bilis, querelæ de rebus minutis, proclivitas ad irascendum supra parvulos infantes. Quare risum præbent non mediocrem spectantibus, quum quacumque de causa illis exarsit bilis, luridus pallor apparet in facie, quum torvum quiddam et furiosum spectant, et spuma, vel veneno potius plenum os habent.

20. Nolis tu ibi esse, quum impurum illud cœnum effunditur: Aurum aut argentum, mehercules, nec possidere digner; obolus mihi sufficit, unde lupinos emam; potum enim fons præbebit aut fluvius. Paullo post non obolos petunt, aut drachmas paucas, sed divitias totas. Quis ergo mercator tantum a navium commeatu emolumenti ceperit, quantum hisce ad quæstum philosophia confert? Deinde ubi quantum satis est collegerint, et viaticum sibi pararint, abjecto illo infelici palliolo, agros interdum et vestimenta mollia emunt, et pueros comatos, et totos vicos, longum valere jussa Cratetis pera et Antisthenis pallio, dolioque Diogenis.

21. Vulgus vero ista quum videt, despuunt jam philosophiam, et omnes ex eo genere esse arbitrantur, et me disciplinæ istius nomine accusant. Igitur diu jam est quum ne unum quidem istorum potui allicere, sed illud mihi Penelopes usu venit: quantumcumque ego texero, illud momento temporis rursum resolvitur, ridentibus Inscitia atque Iniquitate, quum videant opus nostrum non procedere, nihil proficere laborem.

22. JUP. Quantum, o dii, malorum perpessa nobis est a sacerrimis illis mortalibus Philosophia! Itaque videndum quid facto sit opus, aut quomodo isti sint puniendi. Fulmen enim uno ictu educit; mors ista celeris.

APOL. Ego tibi, pater, subjiciam: odi enim et ipse jam impostores, Musarum vicem indignatus, a quibus aversi sunt. Fulmine enim aut tua dextra minime sunt digni. Sed Mercurium, si placet, arbitrum ipsum pœnæ in illos demitte, qui, ut in doctrinæ studiis ipse quoque versatus, celerrime tum recte philosophantes agnoscet, tum minus: deinde illos quidem, prout merentur, laudabit; hi vero, ut aptum illi videbitur, punientur.

23. JUP. Bene mones, Apollo. Sed tu quoque, Hercules, assumta ipsa Philosophia, quam celerrime ad homines abite: tertium enim decimum te puta hunc laborem perfecturum, non sane contemnendum, si exstirpaveris impuras adeo atque impudentes bestias.

HERCULES. Sane malim ego, pater, Augiæ fimum expurgare denuo, quam hisce implicari. Abeamus tamen.

ΦΙΛ. Ἄκουσα μὲν, ἀκολουθητέον δὲ κατὰ τὰ δόξαντα τῷ πατρί.

24. ΕΡΜΗΣ. Κατίωμεν, ὡς κἂν ὀλίγους αὐτῶν ἐπιτρίψωμεν τήμερον. Ποίαν δὲ χρὴ τραπέσθαι, ὦ Φιλοσοφία; σὺ γὰρ οἶσθα ὅπου εἰσίν. Ἢ πρόδηλον ὅτι ἐν τῇ Ἑλλάδι;

ΦΙΛ. Οὐδαμῶς, ἢ πάνυ ὀλίγοι, ὅσοι ὀρθῶς φιλοσοφοῦσιν, ὦ Ἑρμῆ. Οὗτοι δὲ οὐδὲν Ἀττικῆς πενίας δέονται, ἀλλ' ἔνθα πολὺς χρυσὸς ἢ ἄργυρος ὀρύττεται, ἐκεῖ που ζητητέοι εἰσὶν ἡμῖν.

ΕΡΜ. Οὐκοῦν εὐθὺ τῆς Θράκης ἀπιτέον.

ΗΡΑΚ. Εὖ λέγεις, καὶ ἡγήσομαί γε ὑμῖν τῆς ὁδοῦ· οἶδα γὰρ τὰ Θρᾳκῶν ἅπαντα συχνάκις ἐπελθών. Καί μοι τήνδε ἤδη τραπώμεθα.

ΕΡΜ. Ποίαν λέγεις;

25. ΗΡΑΚ. Ὁρᾶτε, ὦ Ἑρμῆ καὶ Φιλοσοφία, δύο μὲν ὄρη μέγιστα καὶ κάλλιστα ὀρῶν ἁπάντων; Αἷμός ἐστι τὸ μεῖζον, ἡ καταντικρὺ δὲ Ῥοδόπη, πεδίον δὲ ὑποπεπταμένον πάμφορον ἀπὸ τῶν προπόδων ἑκατέρων εὐθὺς ἀρξάμενον· καί τινας λόφους τρεῖς πάνυ καλοὺς ἀνεστηκότας, οὐκ ἀμόρφους τὴν τραχύτητα, οἷον ἀκροπόλεις πολλὰς τῆς ὑποκειμένης πόλεως· καὶ ἡ πόλις γὰρ ἤδη φαίνεται.

ΕΡΜ. Νὴ Δί', ὦ Ἡράκλεις, μεγίστη καὶ καλλίστη ἁπασῶν· πόρρωθεν γοῦν ἀπολάμπει τὸ κάλλος. Καί τις καὶ ποταμὸς μέγιστος παραμείβεται πάνυ ἐν χρῷ ψαύων αὐτῆς.

ΗΡΑΚ. Ἕβρος μὲν οὗτος, ἡ δὲ πόλις ἔργον Φιλίππου ἐκείνου. Καὶ ἡμεῖς ἤδη πρόσγειοι καὶ ὑπονέφελοι· ὥστε ἐπιβαίνωμεν ἀγαθῇ τύχῃ.

26. ΕΡΜ. Οὕτω γιγνέσθω. Τί δ' οὖν χρὴ ποιεῖν; πῶς τὰ θηρία ἐξιχνευτέον;

ΗΡΑΚ. Τοῦτο μὲν σὸν ἤδη ἔργον, ὦ Ἑρμῆ· κῆρυξ γὰρ εἶ, ὥστε οὐκ ἂν φθάνοις κηρύττων.

ΕΡΜ. Οὐδὲν τοῦτο χαλεπόν. Ἀλλὰ τά γε ὀνόματα οὐκ ἐπίσταμαι αὐτῶν. Σὺ οὖν, Φιλοσοφία, λέγε, οὕστινας ὀνομαστέον, καὶ τὰ σημεῖα προσέτι.

ΦΙΛ. Οὐδὲ αὐτὴ μὲν οἶδα τὸ σαφὲς, οἵτινες ὀνομάζονται, διὰ τὸ μὴ ξυγγεγενῆσθαί ποτε αὐτοῖς· ἀπὸ δ' οὖν τῆς ἐπιθυμίας ἣν ἔχουσι περὶ τὰ κτήματα, οὐκ ἂν ἁμάρτοις προσκαλῶν Κτήσωνας ἢ Κτησίππους ἢ Κτησικλέας ἢ Εὐκτήμονας ἢ Πολυκτήτους.

27. ΕΡΜ. Εὖ λέγεις. Ἀλλὰ τίνες οὗτοί εἰσιν ἢ τί περισκοποῦσι καὶ αὐτοί; μᾶλλον δὲ καὶ προσίασι καί τι καὶ ἐρέσθαι θέλουσιν.

ΑΝΔΡΕΣ. Ἆρ' ἂν ἔχοιτε ἡμῖν, ὦ ἄνδρες, εἰπεῖν ἢ σὺ, ὦ βελτίστη, εἴ τινας τρεῖς γόητας ἅμα εἴδετε καί τινα γυναῖκα ἐν χρῷ κεκαρμένην εἰς τὸ Λακωνικὸν, ἀρρενωπὴν καὶ κομιδῇ ἀνδρικήν;

ΦΙΛ. Παπαῖ, τὰ ἡμέτερα οὗτοι ζητοῦσι.

ΑΝΔ. Πῶς τὰ ὑμέτερα; ὀραπέται γὰρ ἐκεῖνοι ἅπαντες. Ἡμεῖς δὲ τὴν γυναῖκα μάλιστα μέτιμεν ἠνδραποδισμένην πρὸς αὐτῶν.

ΕΡΜ. Εἴσεσθε δὲ καθ' ὅ τι καὶ ζητοῦμεν αὐτούς.

PHIL. Invita equidem eo : sequendum tamen, quoniam parenti nostro visum est.

24. MERC. Descendamus, ut paucos certe ipsorum obteramus hodie. Quonam vero eundum est, Philosophia? tu enim ubi sint nosti. Aut manifestum potius in Græcia illos esse?

PHIL. Nequaquam; aut oppido paucos, qui recte philosophantur, Mercuri. Isti vero nihil Attica paupertate opus habent, sed ubi auri multum et argenti effoditur, ibi nobis quærendi sunt.

MERC. Recta igitur pergendum in Thraciam.

HERC. Bene mones, et viæ ego dux vobis ero. Novi enim Thracum omnia, qui sæpe eam regionem obierim. Et hac jam ingrediamur.

MERC. Qua dicis?

25. HERC. Videtis, Mercuri et Philosophia, duos montes maximos omnium montium et pulcherrimos? Hæmus est major, alter ex adverso est Rhodope : campi autem infra patentes fertilissimi sunt, ab ipsis radicibus utriusque incipientes : et colles aliquot videtis, tres quidem pulcherrimos, assurgentes, non deformes asperitate, tanquam plures subjectæ urbis arces. Et jam ipsa urbs apparet.

MERC. Maxima, per Jovem, mi Hercules, et pulcherrima omnium : e longinquo jam pulchritudo illius exsplendescit. Et fluvius aliquis præterfluit maximus, quasi radens ipsam.

HERC. Hebrus hic est : urbs autem Philippi illius opus. Et nos jam terræ vicini, atque infra nubes : inscendamus ergo, quod felix faustumque sit.

26. MERC. Sic fiat! Quid vero jam faciendum? quomodo vestigandæ sunt illæ bestiæ?

HERC. Illæ tuæ jam, Mercuri, partes sunt : nam præco es; præconium igitur facito ocyus.

MERC. Hic nihil difficultatis. Verum nomina illorum non novi. Tu igitur, Philosophia, dic qui nominandi sint, et signa insuper.

PHIL. Neque ego satis certo, quomodo nominentur, scio, quippe minime cum illis versata. Sed ob habendi eorum libidinem non peccaveris, si Ctesones (*Habeones*), et Ctesippos (*Habiequos*), aut Ctesicles (*Habiglorios*), aut Euctemonas (*Bonihabios*), aut Polyctetos (*Multihabios*) advoces.

27. MERC. Bene mones. Verum qui sunt isti? aut quid ipsi quoque circumspiciunt? Quin accedunt etiam, et interrogare aliquid volunt.

VIRI. Numquid nobis, viri, dicere potestis, aut tu, optima, si quos præstigiatores tres una vidistis, et mulierem ad cutem Laconico more detonsam, virili vultu et plane viraginem?

PHIL. Hem! eadem quæ nos isti quærunt.

VIRI. Quomodo eadem quæ vos? fugitivi enim isti omnes. Nos vero mulierem maxime persequimur, plagio ab istis abductam.

MERC. Scietis quo nomine illos quæramus : jam vero

Τὸ νῦν δὲ ἅμα κηρύττωμεν. Εἴ τις ἀνδράποδον Παφλαγονικὸν τῶν ἀπὸ Σινώπης βαρβάρων, ὄνομα τοιοῦτον οἷον ἀπὸ κτημάτων, ὕπωχρον, ἐν χρῷ κουρίαν, ἐν γενείῳ βαθεῖ, πήραν ἐξημμένον καὶ τριβώνιον ἀμπεχόμενον, ὀργίλον, ἄμουσον, τραχύφωνον, λοίδορον, μηνύειν ἐπὶ ῥητῷ αὐτονόμῳ.

28. ΔΕΣΠΟΤΗΣ. Οὐ νοῶ, οὗτος, ὁ κηρύττεις· ὡς ἐκείνῳ γε ὄνομα ἦν παρ' ἐμοὶ Κάνθαρος, καὶ ἐκόμα δὲ καὶ τὸ γένειον ἐτίλλετο καὶ τέχνην τὴν ἐμὴν ἠπίστατο· ἀπέκειρε γὰρ ἐν τῷ γναφείῳ καθήμενος ὁπόσον περιττὸν τοῖς ἱματίοις τῶν κροκύδων ἐπανθεῖ.

ΦΙΛ. Ἐκεῖνος αὐτός ἐστιν, ὁ οἰκέτης ὁ σὸς, ἀλλὰ νῦν φιλοσόφῳ ἔοικεν ἀκριβῶς ἑαυτὸν ἐπιγνάψας.

ΔΕΣΠ. Ὦ τῆς τόλμης, ὁ Κάνθαρος φιλοσοφεῖ, φησὶν, ἡμῶν δὲ οὐδεὶς λόγος.

ΑΝΔ. Ἀμέλει ἅπαντας ἀνευρήσομεν· ξυνίησι γὰρ, ὥς φησιν, αὕτη.

29. ΦΙΛ. Τίς δ' οὗτος ἄλλος ὁ προσιών ἐστιν, ὦ Ἡράκλεις, ὁ καλὸς, ὁ τὴν κιθάραν;

ΗΡΑΚ. Ὀρφεύς ἐστι, σύμπλους ἐπὶ τῆς Ἀργοῦς ἐμὸς, ἥδιστος κελευστῶν ἁπάντων· πρὸς γοῦν τὴν ᾠδὴν αὐτοῦ ἥκιστα ἐκάμνομεν ἐρέττοντες. Χαῖρε, ὦ ἄριστε καὶ μουσικώτατε Ὀρφεῦ· οὐκ ἐπιλέλησαι γάρ που Ἡρακλέους.

ΟΡΦΕΥΣ. Νηδὶ καὶ ὑμεῖς γε, ὦ Φιλοσοφία καὶ Ἡράκλεις καὶ Ἑρμῆ. Ἀλλὰ καιρὸς ἀποδιδόναι τὰ μήνυτρα· ὡς ἔγωγε πάνυ σαφῶς ὃν ζητεῖτε οἶδα.

ΕΡΜ. Οὐκοῦν δεῖξον, ὦ παῖ Καλλιόπης, ἔνθα ἐστὶ· χρυσίου γὰρ οὐδὲν, οἶμαι, δέῃ σοφὸς ὤν.

ΟΡΦ. Εὖ φής. Ἐγὼ δὲ τὴν μὲν οἰκίαν δείξαιμ' ἂν ὑμῖν ἔνθα οἰκεῖ, αὐτὸν δὲ οὐκ ἂν, ὡς μὴ κακῶς ἀκούοιμι πρὸς αὐτοῦ· μιαρὸς γὰρ ἐς ὑπερβολὴν καὶ τοῦτο μόνον ἐκμεμελέτηκε.

ΕΡΜ. Δεῖξον μόνον.

ΟΡΦ. Αὕτη πλησίον. Ἐγὼ δὲ ἅπειμι ὑμῖν ἐκποδὼν, ὡς μηδ' ἴδοιμι αὐτόν.

30. ΕΡΜ. Ἐπίσχες. Οὐ γυναικὸς φωνὴ ῥαψῳδούσης τι τῶν Ὁμήρου;

ΦΙΛ. Νὴ Δί'· ἀλλ' ἀκούσωμεν ὅ τι καὶ λέγει.

ΔΡΑΠΕΤΙΣ. Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσι
χρυσὸν φιλέει μὲν ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ. [σιν,

ΕΡΜ. Οὐκοῦν τὸν Κάνθαρόν σοι μισητέον, ὃς

ξεινοδόκον κακὰ ῥέξεν, ὅ κεν φιλότητα παράσχῃ.

ΥΠΟΔΟΧΕΥΣ. Περὶ ἐμοῦ τοῦτο τὸ ἔπος, οὗ τὴν γυναῖκα ᾤχετο ἀπάγων, διότι αὐτὸν ὑπεδεξάμην.

ΔΡΑΠ. Οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο,
οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιος οὔτ' ἐνὶ βουλῇ,
Θερσῖτ' ἀκριτόμυθε, κακῶν πανάριστε κολοιῶν
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐριζέμεναι βασιλεῦσιν.

ΔΕΣΠ. Εἰκότως τοῦ καταράτου τὰ ἔπη.

ΔΡΑΠ. Πρόσθε κύων, ὄπιθεν δὲ λέων, μέσση δὲ χίμαιρα
δεινὸν ἀποπνείουσα τρίτου κυνὸς ἀγρίου ὁρμήν.

simul faciamus præconium : Si quis mancipium Paphlagonicum, de Sinopensibus barbaris, nomine tali quod ab habendo ductum est, suppallidum, ad cutem detonsum, barba prolixa, peram suspensam gerens, et palliolo indutum, iracundum, indoctum, aspera voce, maledicum, indicare conditione quam ipse dixerit, voluerit; accedat!

28. DOMINUS. Non intelligo equidem, mi homo, quid sibi velit tuum præconium : nam isti nomen apud me fuit Cantharo, et comam alebat, et vellebat mentum, meamque artem sciebat, qui desidens in fullonia officina detonderet quicquid superfluorum floccorum eminet in vestibus.

PHIL. Ille ipse tuus est servus : at nunc philosopho est similis, quum ipse fullonia se arte concinnaverit.

DOM. Vah audaciam! Cantharus philosophatur, ait hæc, nostri autem nulla ratio!

VIR. Noli curare, inveniemus omnes : intelligit enim ista, quantum dicit.

29. PHIL. Sed quis est, Hercules, ille alter accedens, pulcher ille cum lyra?

HERC. Orpheus est, qui mecum navigavit in Argo, hortator omnium suavissimus; ad cujus cantum minime fatigabamur remigio. Salve, Orpheu optime et cantus peritissime; nempe non oblitus es Herculis.

ORPHEUS. Sane vos quoque, Philosophia, et Hercules, et Mercuri. Sed debetis mihi indicium; quippe præclare ego, quem quæritis, novi.

MERC. Ergo ostende nobis, fili Calliopes, ubi sit : auro enim, puto, nihil opus habes, qui sis vir sapiens.

ORPH. Recte istuc dicis. At ego domum quidem vobis ubi habitat, ostendero; non ipsum, ne male ab illo audiam : impurus enim ultra modum est et in hoc solum se exercuit.

MERC. Ostende modo.

ORPH. Hæc proxima! Verum ego e vestigio abeo, ut illum nec videam.

30. MERC. Attende! nonne mulieris hæc vox est, Homeri versiculos recitantis?

PHIL. Sic est, per Jovem. Sed audiamus quid dicat.

FUGITIVA. Hostis enim ille mihi velut atri limina Ditis
pectore quisquis amat nummos, sed idem negat ore.

MERC. Ergo Cantharum odisse debes,

Cui læsu'st hospes, qui se præstabat amicum.

HOSPES. De me hic versus, cujus muliere abducta fugit quod ipsum domi meæ receperam.

FUG. Vah vinose, canisque oculos, et pectora cervæ,
expers consilii, numeri nullius in armis,
Thersites nugax, in pravis optima pica,
regibus infestus temere sine more modoque.

DOM. Merito in exsecrandum hominem illi versus!

FUG. Prima canis, capra est media, atque in fine leæna
exhalans rabiem catuli, qui tertia pars est.

31. ΥΠΟΔ. Οἴμοι, γύναι, ὅσα πέπονθας ὑπὸ κυνῶν τοσούτων. Φασὶ δ' αὐτὴν καὶ κυεῖν ἀπ' αὐτῶν.

ΕΡΜ. Θάρρει, Κέρβερόν τινα τέξεταί σοι ἡ Γηρυόνην, ὡς ἔχοι ὁ Ἡρακλῆς οὗτος αὖθις πόνον. Ἀλλὰ καὶ προΐασιν, ὥστε οὐδὲν δεῖ κόπτειν τὴν θύραν.

ΔΕΣΠ. Ἔχω σε, ὦ Κάνθαρε. Νῦν σιωπᾷς; Φέρ' ἴδωμεν ἄττινά σοι ἡ πήρα ἔχει, θέρμους ἴσως ἢ ἄρτου τρύφος.

ΕΡΜ. Οὐ μὰ Δί', ἀλλὰ ζώνην χρυσίου.

ΗΡΑΚ. Μὴ θαυμάσῃς· Κυνικὸς γὰρ ἔφασκεν εἶναι τὸ πρόσθεν ἐπὶ τῆς Ἑλλάδος, ἐνταῦθα δὲ Χρυσίππειος ἀκριβῶς ἐστι. Τοιγαροῦν Κλεάνθην οὐκ εἰς μακρὰν αὐτὸν ὄψει· κρεμήσεται γὰρ ἀπὸ τοῦ πώγωνος οὕτω μιαρὸς ὤν.

32. ΔΕΣΠ. Σὺ δέ, ὦ κακέ, οὐ Ληκυθίων οὑμὸς δραπέτης τυγχάνεις ὤν; οὐ μὲν οὖν ἄλλος. Ὦ τοῦ γέλωτος. Εἶτα τί οὐκ ἂν γένοιτο; καὶ Ληκυθίων φιλοσοφεῖ;

ΕΡΜ. Ὁ τρίτος δὲ οὗτος ἀδέσποτος ὑμῖν ἐστιν;

ΔΕΣΠ. Οὐδαμῶς, ἀλλ' ὁ δεσπότης ἐγὼ ἐκὼν ἀφίημι αὐτὸν ἀπολωλέναι.

ΕΡΜ. Ὅτι τί;

ΔΕΣΠ. Ὅτι δεινῶς τῶν ὑποσάθρων ἐστί. Τὸ δ' ὄνομα Μυρόπνουν αὐτὸν ἐκαλοῦμεν.

ΕΡΜ. Ἡράκλεις ἀλεξίκακε, ἀκούεις; ἔπειτα πήρα καὶ βάκτρον. Καὶ αὐτὸς ἀπόλαβε τὴν γυναῖκα σύ.

ΥΠΟΔ. Μηδαμῶς, οὐκ ἂν ἀπολάβοιμι βιβλίον μοι τῶν παλαιῶν κυοῦσαν.

ΕΡΜ. Πῶς βιβλίον;

ΥΠΟΔ. Ἔστι τι, ὦγαθέ, Τρικάρανος βιβλίον.

ΕΡΜ. Οὐδὲν ἄτοπον, ἐπεὶ καὶ Τριφάλης ὁ τῶν κωμικῶν εἷς.

33. ΔΕΣΠ. Σόν, ὦ Ἑρμῆ, δικάζειν τὸ μετὰ τοῦτο.

ΕΡΜ. Οὕτω μοι δοκεῖ, ταύτην μέν, ἵνα μηδὲν τέρας μηδὲ πολυκέφαλον τέκῃ, οἴχεσθαι παρὰ τὸν ἄνδρα ὀπίσω ἐς τὴν Ἑλλάδα, τὼ δύο δὲ τούτω δραπετίσκω παραδοθέντε τοῖν δεσπόταιν μανθάνειν ἃ πρὸ τοῦ, τὸν μὲν ἀποπλύνειν τὰς ῥυπώσας τῶν ὀθονῶν τὸν Ληκυθίωνα, τὸν Μυρόπνουν δὲ αὖθις ἀκεῖσθαι τῶν ἱματίων τὰ διερρωγότα, μαλάχῃ γε πρότερον μαστιγωθέντα, ἔπειτα καὶ τοῦτον παραδοθῆναι τοῖς πιττωταῖς, ὡς ἀπόλοιτο παρατιλλόμενος τὰ πρῶτα, ῥυπώσῃ προσέτι καὶ γυναικείᾳ τῇ πίττῃ, εἶτα ἐς τὸν Αἶμον ἀναχθέντα γυμνὸν ἐπὶ τῆς χιόνος μένειν συμπεποδισμένον τὼ πόδε.

ΔΡΑΠ. Φεῦ τῶν κακῶν, φεῦ τῶν κακῶν, ὀτοτοῖ, παπαῖ παπαιάξ.

ΔΕΣΠ. Τί τοῦτο παρεντίθης τῶν τραγικῶν σὺ διαλόγων; ἀλλ' ἀκολούθει παρὰ τοὺς πιττωτὰς ἤδη, ἀποδυσάμενός γε πρότερον τὴν λεοντῆν, ὡς γνωσθῇς ὄνος ὤν.

31. HOSP. Hei mihi, mulier, quantum a tot canibus perpessa es! Aiunt illam etiam uterum ab istis ferre.

MERC. Bono animo esto: Cerberum tibi quendam pariet vel Geryonem, novum ut laborem rursus habeat hic Hercules. Verum prodeunt etiam; itaque nihil opus est ut pulsetur janua.

DOM. Teneo te, Canthare! Nunc taces? Age videamus quid habeat tibi pera; lupinos forte aut panis frustum.

MERC. Non, ita me Jupiter: sed zonam auri.

HERC. Noli admirari: Cynicum enim ante se ferebat in Græcia, hic vero Chrysippeus [*aurum vehens*] ex asse est. Itaque Cleanthen non ita multo post videbis: pendebit enim a barba homo ita impurus.

32. DOM. Tu vero, pessime, nonne Lecythio es, meus fugitivus? Non sane alius. Hem risum! Quid postea non fiet? etiam philosophatur Lecythio?

MERC. At tertius ille vobis sine domino est?

DOM. Minime vero: sed ego dominus lubens illum manu, ut pereat, emitto.

MERC. Qui sic?

DOM. Quia de genere plane suppurato est. Nomen autem ipsi dixeramus Myropnun [*Unguentolentem*].

MERC. Depulsor malorum Hercules, audin'? deinde pera et baculus! Tu quoque tuam tibi uxorem recipe.

HOSP. Minime vero! non sane receperim quæ librum mihi de antiquis unum ferre utero videatur.

MERC. Quomodo librum?

HOSP. Est liber aliquis, o bone, Tricaranus [*Triceps*].

MERC. Non est mirum, quum etiam Triphales sit comicorum libellorum unus.

33. DOM. Tuum exinde est, Mercuri, judicare.

MERC. Sic mihi placet, istam, ne quod prodigium aut multiceps pariat, abire retro ad virum in Græciam: duos autem hosce amabiles fugitivos dominis suis redditos, discere quæ olim, alterum sordida lintea eluere, Lecythionem; Myropnun vero, malva prius verberatum, sarcire rursus vestes laceras; deinde istum quoque tradi depilatoribus, ut pereat primum vellendus, insuper vero pice sordida ac feminea: tum nudus abducatur in Hæmum, ibique constrictis pedibus maneat in nive.

FUG. Hei malorum, hei malorum! væ væ, hei hei, oh oh!

DOM. Quid hoc interponis de tragicis tu sermonibus? Imo sequere jam ad depilatores, leonina prius pelle detracta, ut asinus agnoscaris.

LXX.

1.

ΤΑ ΠΡΟΣ ΚΡΟΝΟΝ.

1. ΙΕΡΕΥΣ. Ὦ Κρόνε, σὺ γὰρ ἔοικας ἄρχειν τό γε νῦν εἶναι καὶ σοὶ τέθυται καὶ κεκαλλιέρηται παρ' ἡμῶν, τί ἂν μάλιστα ἐπὶ τῶν ἱερῶν αἰτήσας λάβοιμι παρὰ σοῦ;

ΚΡΟΝΟΣ. Τοῦτο μὲν αὐτόν σε καλῶς ἔχει ἐσκέφθαι δ τι σοι εὐκταῖον, εἰ μὴ καὶ μάντιν ἅμα βέλεις εἶναι τὸν ἄρχοντα, εἰδέναι τί σοι ἥδιον αἰτεῖν· ἐγὼ δὲ τά γε δυνατὰ οὐκ ἀνανεύσω πρὸς τὴν εὐχήν.

ΙΕΡ. Ἀλλὰ πάλαι ἔσκεμμαι· ἐρῶ γὰρ τὰ κοινὰ ταυτὶ καὶ πρόχειρα, πλοῦτον καὶ χρυσὸν πολὺν καὶ ἀγρῶν δεσπότης εἶναι καὶ ἀνδράποδα πολλὰ κεκτῆσθαι καὶ ἐσθῆτας εὐανθεῖς καὶ μαλακὰς καὶ ἄργυρον καὶ ἐλέφαντα καὶ τἆλλα ὁπόσα τίμια. Τούτων οὖν, ὦ ἄριστε Κρόνε, δίδου μοι, ὥς τι καὶ αὐτὸν ἀπολαῦσαι τῆς σῆς ἀρχῆς μηδὲ ἄμοιρον εἶναι μόνον αὐτὸν διὰ παντὸς τοῦ βίου.

2. ΚΡΟΝ. Ὁρᾷς; οὐ κατ' ἐμὲ τοῦτο ἤτησας· οὐ γὰρ ἐμὸν διανέμειν τὰ τοιαῦτα. Ὥστε μὴ ἄχθου, εἰ ἀτυχήσειας αὐτῶν, ἀλλ' αἴτει παρὰ τοῦ Διὸς, ὁπόταν εἰς ἐκεῖνον ἡ ἀρχὴ περιέλθῃ μετ' ὀλίγον. Ἐγὼ δ' ἐπὶ ῥητοῖς παραλαμβάνω τὴν δυναστείαν· ἑπτὰ μὲν ἡμερῶν ἡ πᾶσα βασιλεία, καὶ ἦν ἐκπρόθεσμος τούτων γένωμαι, ἰδιώτης εὐθύς εἰμι καὶ τοῦ πολλοῦ δήμου εἷς· ἐν αὐταῖς δὲ ταῖς ἑπτὰ σπουδαῖον μὲν οὐδὲν οὐδὲ ἀγοραῖον διοικήσασθαί μοι συγχεχώρηται, πίνειν δὲ καὶ μεθύειν καὶ βοᾶν καὶ παίζειν καὶ κυβεύειν καὶ ἄρχοντας καθίστασθαι καὶ τοὺς οἰκέτας εὐωχεῖν καὶ γυμνὸν ᾄδειν καὶ κροτεῖν ὁποτρέμοντα, ἐνίοτε δὲ καὶ ἐς ὕδωρ ψυχρὸν ἐπὶ κεφαλὴν ὠθεῖσθαι ἀσβόλῳ κεχρισμένον τὸ πρόσωπον, ταῦτα ἐξεῖταί μοι ποιεῖν. Τὰ μεγάλα δὲ ἐκεῖνα, τὸν πλοῦτον καὶ τὸ χρυσίον, ὁ Ζεὺς διαδίδωσιν οἷς ἂν ἐθέλῃ.

3. ΙΕΡ. Ἀλλ' οὐδ' ἐκεῖνος, ὦ Κρόνε, ῥᾳδίως καὶ προχείρως. Ἐγὼ γοῦν ἤδη ἀπηγόρευκα αἰτῶν μεγάλῃ τῇ φωνῇ, ὁ δ' οὐκ ἐπαΐει τὸ παράπαν, ἀλλὰ τὴν αἰγίδα ἐπισείων καὶ τὸν κεραυνὸν ἐπανατεινόμενος δριμὺ ἐνορῶν ἐκπλήττει τοὺς ἐνοχλοῦντας· ἦν δέ ποτε καὶ ἐπινεύσῃ τινὶ καὶ πλούσιον ποιῇ, πολὺ τὸ ἄκριτον ἐνταῦθα, καὶ τοὺς ἀγαθοὺς ἐνίοτε καὶ συνετοὺς ἀφεὶς, ὁ δὲ παμπονήροις τε καὶ ἀνοήτοις ἀνδράσι περιχεῖ τὸν πλοῦτον, μαστιγίαις ἢ ἀνδρογύνοις τοῖς πλείστοις αὐτῶν. Πλὴν τά γε σοὶ δυνατὰ ἐθέλω εἰδέναι τίνα ταῦτά ἐστιν.

4. ΚΡΟΝ. Οὐ μικρὰ ὅλως οὐδὲ παντάπασιν εὐκαταφρόνητα ὡς πρὸς τὴν δύναμιν ἐξετάζεσθαι τῆς συμπάσης ἀρχῆς, εἰ μή σοί γε μικρὸν δοκεῖ τὸ νικᾶν κυβεύοντα καὶ τοῖς ἄλλοις ἐς τὴν μονάδα κυλιομένου τοῦ κύβου σοὶ τὴν ἑξάδα ὑπεράνω ἀεὶ φαίνεσθαι· πολλοὶ γοῦν ἐς πόρον ἀπὸ τοῦ τοιούτου ἐπεσιτίσαντο, οἷς ὅλως καὶ φορὸς ὁ κύβος ἐπινεύσει· οἱ δὲ ἔμπαλιν γυμνοὶ

LXX.

1.

SATURNALIA.

1. SACERDOS. Saturne (nam tu imperium tenere nunc quidem videris, sacrificatumque tibi a nobis ac litatum est), quidnam potissimum inter sacra petitum abs te possim consequi?

SATURNUS. Illud quidem te ipsum decet, probe deliberatum habere quid optandum tibi sit, nisi simul divinatorem esse vis eum qui imperat, ut sciat quid petere tibi collibeat. Ego vero, quæ quidem possunt fieri, tuo voto non negabo.

SAC. Quin olim deliberavi : rogo enim communia ista et promta, divitias, et aurum multum, et agrorum esse dominum, et mancipia habere multa, et vestem floridam atque mollem, et argentum, et ebur, et reliqua quæcumque pretiosa sunt. Horum ergo, Saturne optime, fac mihi copiam, ut ipse quoque fructum aliquem tui imperii consequar, nec solus per totam vitam rerum illarum expers maneam.

2. SAT. Viden'? non petiisti quod in mea potestate sit; neque enim tribuere talia meum est. Itaque noli graviter ferre, si ea non consequaris : verum ab Jove pete, quando ad illum paullo post transierit imperium. Ego vero conditionibus quibusdam capio potestatem : septem enim diebus totum mihi regnum finitur; hunc terminum egressus, continuo sum privatus et de promiscua multitudine unus. Illis ipsis vero septem diebus serium quidem nihil, neque publicum negotium agere mihi concessum est; sed bibere, et inebriari, et clamare, et jocari, et alea ludere, et reges vini constituere, et servos excipere convivio, et nudum canere, et tremulos plausus edere; interdum etiam in aquam frigidam præcipitem detrudi, fuligine picto vultu : hæc, inquam, facere mihi permissum est; verum magna illa, divitias et aurum, Jupiter quibus visum est distribuit.

3. SAC. Sed neque ille, Saturne, facile et promte. Equidem certe jam fatigatus sum magna voce petendo : at ille omnino non audit, sed ægidem quassans, intentans fulmen, torvum inspectans, qui sibi molesti sunt perterret. Si quando vero etiam annuat alicui, divitemque illum reddat; hic jam indiscreti multum, relictisque bonis ac prudentibus viris, pessimos ille ac sensu pæne communi carentes circumfundit divitiis, verberones plerosque et effeminatos homines. Sed quæ tu potes, scire velim ea qualia sint.

4. SAT. Non omnino parva illa quidem, neque plane contemnenda, si ad vim exigantur totius imperii : nisi forte parvum tibi videtur vincere alea, et provoluta reliquis in unionem tessera, senionem in summo tibi semper apparere. Multi enim ad satietatem usque inde sibi pararunt viaticum, quibus propitia secundaque tessera annuerit : alii contra

ἐξενήξαντο συντριβέντος αὐτοῖς τοῦ σκάφους περὶ οὕτω μικρῷ ἕρματι τῷ κύβῳ. Καὶ μὴν καὶ πιεῖν ἐς τὸ ἥδιστον καὶ ᾠδικώτερον ἄλλου δόξαι ἄσαι ἐν τῷ συμποσίῳ καὶ διακονουμένων τοὺς μὲν ἄλλους ἐς τὸ ὕδωρ ἐμπεσεῖν — τοῦτο γὰρ τοὐπιτίμιον τῆς ἀδεξίου διακονίας — σὲ δὲ ἀνακηρυχθῆναι καλλίνικον καὶ τὰ ἆθλα φέρεσθαι τὸν ἀλλᾶντα ὁρᾷς ἡλίκον τὸ ἀγαθόν; ἔτι καὶ βασιλέα μόνον ἐφ' ἁπάντων γενέσθαι τῷ ἀστραγάλῳ κρατήσαντα, ὡς μήτε ἐπιταχθείης γελοῖα ἐπιτάγματα καὶ αὐτὸς ἐπιτάττειν ἔχοις, τῷ μὲν αἰσχρόν τι περὶ αὑτοῦ ἀναβοῆσαι, τῷ δὲ γυμνὸν ὀρχήσασθαι καὶ ἀράμενον τὴν αὐλητρίδα τρὶς τὴν οἰκίαν περιελθεῖν, πῶς οὐχὶ καὶ ταῦτα δείγματα μεγαλοδωρίας τῆς ἐμῆς; Εἰ δὲ τὸ μὴ ἀληθῆ μηδὲ βέβαιον γίγνεσθαι τὴν τοιαύτην βασιλείαν αἰτιάσῃ, ἄγνωμον ποιήσεις ὁρῶν αὐτὸν ἐμὲ τὸν ταῦτα διανέμοντα ὀλιγοχρόνιον τὴν ἀρχὴν ἔχοντα. Τούτων δ' οὖν ἃ μοι δυνατὰ δοῦναι, τῶν πεττῶν, τοῦ ἄρχειν, τοῦ ᾄδειν καὶ τῶν ἃ κατηριθμησάμην, θαρρῶν αἴτει, ὡς ἐμοῦ πρὸς οὐδὲν δεδιξομένου σε τῇ αἰγίδι καὶ τῷ κεραυνῷ.

5. ΙΕΡ. Ἀλλ', ὦ Τιτάνων ἄριστε, τῶν μὲν τοιούτων οὐ δέομαι, σὺ δὲ ἀλλ' ἐκεῖνό μοι ἀπόκριναι, ὃ μάλιστα ἐπόθουν εἰδέναι, καί μοι ἦν εἴπῃς αὐτό, ἱκανὴν ἔσῃ τὴν ἀμοιβὴν ἀποδεδωκὼς ἀντὶ τῆς θυσίας, καὶ πρὸς τὸ λοιπὸν ἀφίημί σοι τὰ χρέα.

ΚΡΟΝ. Ἐρώτα μόνον· ἀποκρινοῦμαι γάρ, ἢν εἰδὼς τύχω.

ΙΕΡ. Τὸ μὲν πρῶτον ἐκεῖνο, εἰ ἀληθῆ ταῦτά ἐστιν ἃ περὶ σοῦ ἀκούομεν, ὡς κατήσθιες τὰ γεννώμενα ὑπὸ τῆς Ῥέας, ἐκείνη δὲ ὀφελομένη τὸν Δία λίθον ὑποβαλλομένη ἀντὶ τοῦ βρέφους ἔδωκέ σοι καταπιεῖν, ὁ δὲ εἰς ἡλικίαν ἀφικόμενος ἐξήλασέ σε τῆς ἀρχῆς πολέμῳ κρατήσας, εἶτα ἐς τὸν Τάρταρον φέρων ἐνέβαλε πεδήσας αὐτόν τε καὶ τὸ συμμαχικὸν ἅπαν, ὁπόσον μετὰ σοῦ παρετάττετο.

ΚΡΟΝ. Εἰ μὴ ἑορτὴν, ὦ οὗτος, ἤγομεν καὶ μεθύειν ἐφεῖτο καὶ λοιδορεῖσθαι τοῖς δεσπόταις ἐπ' ἐξουσίας, ἔγνως ἂν ὡς ὀργίζεσθαι γοῦν ἐφεῖταί μοι, τοιαῦτα ἐρωτήσας, οὐκ αἰδεσθεὶς πολιὸν οὕτω καὶ πρεσβύτην θεόν.

ΙΕΡ. Κἀγὼ ταῦτα, ὦ Κρόνε, οὐ παρ' ἐμαυτοῦ φημι, ἀλλ' Ἡσίοδος καὶ Ὅμηρος, ὀκνῶ γὰρ λέγειν ὅτι καὶ οἱ ἄλλοι ἅπαντες ἄνθρωποι σχεδὸν ταῦτα πεπιστεύκασι περὶ σοῦ.

6. ΚΡΟΝ. Οἴει γὰρ τὸν ποιμένα ἐκεῖνον, τὸν ἀλαζόνα, ὑγιές τι περὶ ἐμοῦ εἰδέναι; Σκόπει δὲ οὕτως. Ἔσθ' ὅστις ἄνθρωπος — οὐ γὰρ θεὸν ἐρῶ — ὑπομείνειεν ἂν ἑκὼν αὐτὸς καταφαγεῖν τὰ τέκνα, εἰ μή τις Θυέστης ἦν καὶ ἀσεβεῖ ἀδελφῷ περιπεσὼν ἤσθιε; καὶ εἰ τοῦτο μανείη, πῶς ἀγνοήσει λίθον ἀντὶ βρέφους ἐσθίων, εἰ μὴ ἀνάλγητος εἴη τοὺς ὀδόντας; Ἀλλ' οὔτε ἐπολεμήσαμεν οὔτε ὁ Ζεὺς βίᾳ τὴν ἀρχὴν ἀφεῖλετο, ἑκόντος δέ μου παραδόντος αὐτῷ καὶ ὑπεκστάντος ἄρχειν· ὅτι μὲν γὰρ οὔτε πεπέδημαι οὔτε ἐν τῷ Ταρτάρῳ

enatarunt nudi, fracto ipsis ad exiguum adeo scopulum, tesseram, navigio. Verum etiam bibere jucundissime, et simul aliis canendi peritiorem videri in convivio, et ministrantium reliquos quidem incidere in aquam (hoc enim ministerii parum dextri præmium est), te vero et honestum victorem prædicari, et præmia referre farcimina, vides quantum sit bonum? Porro regem solum fieri omnium per talorum victoriam, ut neque ridicula tibi injungantur imperia, et imperare ipse possis, huic quidem, ut turpe quiddam de se ipse proclamet; alii, ut nudus saltet, et succollata tibicina ter domum circumeat; qui non hæc etiam magnificentiæ specimina meæ? Si vero causeris non verum esse neque firmum ejusmodi regnum, insolenter feceris, qui videas meipsum, qui tribuo talia, parvi temporis habere imperium. De his igitur quæ dare in potestate mea est, de talis, de regno, de cantu, et quæcumque enumeravi, audacter pete ex me, utpote ad nullum ejusmodi votum ægide te et fulmine perterrituro.

5. SAC. Sed talibus mihi, Titanum optime, nihil opus est. Quin tu illud mihi responde, quod scire maxime volebam; idque mihi si dixeris, satis magnum pro sacrificio pretium retuleris, et quod ad reliqua attinet, remittam tibi debita.

SAT. Interroga modo: respondebo enim, si sciam.

SAC. Primo illud, verane sint ista quæ de te audimus, devorare te solitum quæ nascerentur ex Rhea, illam vero, subducto furtim Jove, lapidem subjectum pro puero devorandum tibi dedisse; atque istum, adultus quum esset, bello te victum regno expulisse, tum vinctum te eaque auxilia, quæ tibi se adjunxerant, omnia dejecisse in Tartarum.

SAT. Heus tu, nisi festum diem ageremus, et inebriari licitum esset, atque maledicere prout libitum dominis, disceres sane irasci saltem mihi esse permissum, talia qui rogaris nihil reveritus canum adeo et senem deum.

SAC. Atqui ego ista, Saturne, non mea sponte interrogo; sed Hesiodus et Homerus — nolo enim dicere quod reliqui homines prope universi hæc de te credunt.

6. SAT. Putas enim pastorem illum, jactabundum impostorem, sani quicquam de me scire? Considera autem hoc modo. Estne ut quisquam homo (neque enim dicam deum) sustinuerit sua sponte suos ipse devorare liberos, nisi forte Thyestes quidam erat et in fratrem impium quum incidisset, vescebatur filio? et hoc si forte insaniat, quomodo imprudens lapidem edere pro puero possit, nisi forte sensus omnis expertes dentes habeat? Sed neque bellum gessimus, neque vi imperium mihi ademit Jupiter, sed accepit mea quum sponte ego traderem illi, et imperio cederem. Deni-

εἰμί, καὶ αὐτὸς ὁρᾷς, οἶμαι, εἰ μὴ τυφλὸς ὥσπερ Ὅμηρος εἶ.

7. ΙΕΡ. Τί παθὼν δὲ, ὦ Κρόνε, ἀφῆκας τὴν ἀρχήν;

ΚΡΟΝ. Ἐγώ σοι φράσω· τὸ μὲν ὅλον, γέρων ἤδη καὶ ποδαγρὸς ὑπὸ τοῦ χρόνου ὤν — διὸ καὶ πεπεδῆσθαί με οἱ πολλοὶ εἴκασαν —· οὐ γὰρ ἠδυνάμην διαρκεῖν πρὸς οὕτω πολλὴν τὴν ἀδικίαν τῶν νῦν, ἀλλ' ἀεὶ ἀναθεῖν ἔδει ἄνω καὶ κάτω τὸν κεραυνὸν διηρμένον τοὺς ἐπιόρκους ἢ ἱεροσύλους ἢ βιαίους καταφλέγοντα, καὶ τὸ πρᾶγμα πάνυ ἐργῶδες ἦν καὶ νεανικόν· ἐξέστην οὖν εὖ ποιῶν τῷ Διί. Καὶ ἄλλως δὲ καλῶς ἔχειν ἐδόκει μοι διανείμαντα τοῖς παισὶν οὖσι τὴν ἀρχὴν αὐτὸν εὐωχεῖσθαι τὰ πολλὰ ἐφ' ἡσυχίας οὔτε τοῖς εὐχομένοις χρηματίζοντα οὔτε ὑπὸ τῶν τἀναντία αἰτούντων ἐνοχλούμενον οὔτε βροντῶντα ἢ ἀστράπτοντα ἢ χάλαζαν ἐνίοτε βάλλειν ἀναγκαζόμενον· ἀλλὰ πρεσβυτικόν τινα τοῦτον ἥδιστον βίον διάγω ζωρότερον πίνων τὸ νέκταρ, τῷ Ἰαπετῷ καὶ τοῖς ἄλλοις ἡλικιώταις προσμυθολογῶν· ὁ δὲ ἄρχει μυρία ἔχων πράγματα. Πλὴν ὀλίγας ταύτας ἡμέρας ἐφ' οἷς εἶπον ὑπεξελέσθαι μοι ἔδοξε καὶ ἀναλαμβάνω τὴν ἀρχὴν, ὡς ὑπομνήσαιμι τοὺς ἀνθρώπους οἷος ἦν ὁ ἐπ' ἐμοῦ βίος, ὁπότε ἄσπορα καὶ ἀνήροτα πάντα ἐφύετο αὐτοῖς, οὐ στάχυες, ἀλλ' ἕτοιμος ἄρτος καὶ κρέα ἐσκευασμένα, καὶ ὁ οἶνος ἔρρει ποταμηδὸν καὶ πηγαὶ μέλιτος καὶ γάλακτος· ἀγαθοὶ γὰρ ἦσαν καὶ χρυσοῖ ἅπαντες. Αὕτη μοι ἡ αἰτία τῆς ὀλιγοχρονίου ταύτης δυναστείας, καὶ διὰ τοῦτο ἁπανταχοῦ κρότος καὶ ᾠδὴ καὶ παιδιὰ καὶ ἰσοτιμία πᾶσι καὶ δούλοις καὶ ἐλευθέροις· οὐδεὶς γὰρ ἐπ' ἐμοῦ δοῦλος ἦν.

8. ΙΕΡ. Ἐγὼ δὲ, ὦ Κρόνε, καὶ τοῦτο εἰκαζον τὸ εἰς τοὺς δούλους καὶ πεδότριβας φιλάνθρωπον ἐκ τοῦ μύθου ἐκείνου ποιεῖν σε τιμῶντα τοὺς τὰ ὅμοια πάσχοντας, ἅτε καὶ αὐτὸν δουλεύοντα, μεμνημένον τῆς πέδης.

ΚΡΟ. Οὐ παύσῃ γὰρ τοιαῦτα ληρῶν;

ΙΕΡ. Εὖ λέγεις, καὶ παύσομαι· πλὴν ἔτι μοι καὶ τοῦτο ἀπόκριναι. Τὸ πεττεύειν σύνηθες ἦν καὶ ἐπὶ σοῦ τοῖς ἀνθρώποις;

ΚΡΟΝ. Καὶ μάλα, οὐ μὴν περὶ ταλάντων γε καὶ μυριάδων ὥσπερ ὑμῖν, ἀλλὰ περὶ καρύων τὸ μέγιστον, ὡς μὴ ἀνιᾶσθαι ἡττηθέντα μηδὲ δακρύειν ἀεὶ ἄσιτον ὄντα μόνον τῶν ἄλλων.

ΙΕΡ. Εὖ γε ἐκεῖνοι ποιοῦντες· ὑπὲρ τίνος γὰρ ἂν καὶ ἐπέττευον αὐτοὶ ὁλόχρυσοι ὄντες; Ὡς ἔγωγε καὶ μεταξὺ λέγοντός σου τοιόνδε τι ἐνενόησα· εἴ τις ἕνα τῶν ἀνδρῶν ἐκείνων τῶν χρυσηλάτων ἐς τὸν ἡμέτερον τοῦτον βίον ἀγαγὼν ἔδειξε τοῖς πολλοῖς, οἷα ἔπαθεν ἂν ὁ ἄθλιος ὑπ' αὐτῶν; διεσπάσαντο γὰρ ἂν αὐτὸν εὖ οἶδ' ὅτι ἐπιδραμόντες ὥσπερ τὸν Πενθέα αἱ Μαινάδες ἢ αἱ Θρᾷτται τὸν Ὀρφέα ἢ τὸν Ἀκταίωνα αἱ κύνες, περὶ τοῦ μεῖζον ἀπενέγκασθαι τὸ μέρος πρὸς ἀλλήλους ἕκαστος ἁμιλλώμενοι, οἵ γε οὐδὲ ἑορτάζοντες ἔξω τοῦ φιλοκερδοῦς εἰσιν, ἀλλὰ πρόσοδον οἱ πολλοὶ πεποίηνται τὴν ἑορτήν. Εἶτα οἱ μὲν ἀπέρχονται λῃστεύοντες ἐν

que neque compeditum me esse, neque in Tartaro, ipse quoque vides, arbitror, nisi circus es ut Homerus.

7. SAC. Qua vero causa, Saturne, motus reliquisti imperium?

SAT. Ego tibi dicam. In universum senex quum jam essem, et ipsa ætate podager (unde etiam compeditum me conjiciebat vulgus); neque enim sufficere poteram ad multam adeo hominum, qui nunc sunt, injustitiam; sed currendum semper erat sursum deorsum, fulmine intentato, quo perjuros, aut sacrilegos, aut violentos comburerem; eratque res valde laboriosa et juvenis vires poscens: itaque Jovi, cujus me rei minime pœnitet, cessi imperium. Et alioquin decens mihi videbatur, diviso meis filiis imperio, ipsum me per quietem plerumque epulari, dum neque operam darem precantibus, neque molestias ab his, qui contraria peterent, perferrem, neque tonarem, aut fulgurarem, aut grandinem dejicere interdum cogerer: sed vitam hanc ago senilem jucundissimam, meracius nectar bibens, fabulans cum Iapeto et ceteris æqualibus: at ille imperat inter mille molestias: nisi quod paucos hosce dies, ea qua dixi lege, excipere mihi visum est, quibus resumam imperium, ut admoneam homines qualis fuerit me imperante vita, quum serente nullo aut arante nascebantur illis omnia, nec spicæ, sed paratus jam panis, et carnes curatæ, ac fluebat amnium instar vinum, et fontes mellis atque lactis: boni enim erant tum omnes atque aurei. Hæc mihi causa brevis hujus potestatis: et ob id ipsum plausus ubique, et cantus, et lusus, et æqualitas inter omnes, servos pariter ac liberos: neque enim me rerum potiente servus quisquam erat.

8. SAC. Ego vero, Saturne, conjiciebam hoc quoque, illam te in servos et compedum tritores humanitatem ex ista fabula exercere, qui honorem habeas sortis tuæ hominibus, tanquam ipse quoque serviens et memor compedis.

SAT. Non desines nempe nugari talia?

SAC. Bene mones, et desinam. Verum hoc adhuc mihi responde. Alea ludere an consuetum erat etiam illis qui sub te vivebant hominibus?

SAT. Omnino: verum non de talentis et denis drachmarum millibus, ut apud vos; sed summum de nucibus; ne doleret victo, neu ploraret et solus inter ceteros cibo se semper abstineret.

SAC. Bene illi quidem: de qua enim re luderent, qui toti ipsi essent aurei? Itaque ego etiam, dum tu dicis, tale quiddam cogitavi: si quis unum de istis ex solido auro viris in nostram hanc vitam productum vulgo ostenderet, quid miser ab illis esset passurus? incursione facta illum, novi ego, discerperent, ut Pentheum Mænades, aut Thressæ Orpheum, aut Actæonem canes, certamen inter se constituentes quis majorem inde partem auferret; qui quidem ne in festis quidem diebus celebrandis extra lucri cupiditatem sint, sed in quæstu sibi illos habeant plerique. Sic igitur alii quidem latrocinatum eunt in convivio ab amicis;

τῷ συμποσίῳ τοὺς φίλους, οἱ δέ σοί τε λοιδοροῦνται, οὐδὲν δέον, καὶ τοὺς κύβους συντρίβουσιν ἀναιτίους ὄντας αὐτοῖς ὧν ἐκόντες ποιοῦσιν.

9. Ἀτὰρ εἰπέ μοι καὶ τόδε, τί δή ποτε ἁβρὸς οὕτω θεὸς ὢν καὶ γέρων ἐπιλεξάμενος τὸ ἀτερπέστατον, ὁπότε ἡ χιὼν ἐπέχει τὰ πάντα καὶ ὁ βορρᾶς πολὺς καὶ οὐδὲν ὅ τι οὐ πέπηγεν ὑπὸ τοῦ κρύους καὶ τὰ δένδρα ξηρὰ καὶ γυμνὰ καὶ ἄφυλλα καὶ οἱ λειμῶνες ἄμορφοι καὶ ἀπηνθηκότες καὶ οἱ ἄνθρωποι ἐπικεκυφότες ὥσπερ οἱ πάνυ γεγηρακότες, ἀμφὶ τὴν κάμινον οἱ πολλοί, τηνικαῦτα ἑορτάζεις; οὐ γὰρ πρεσβυτικός γε ὁ καιρὸς οὐδὲ ἐπιτήδειος τοῖς τρυφῶσι.

ΚΡΟΝ. Πολλά με ἀνακρίνεις, ὦ οὗτος, ἤδη πίνειν δέον· παρήρησαι γοῦν μου χρόνον τῆς ἑορτῆς οὐκ ὀλίγον οὐ πάνυ ἀναγκαῖά μοι ταῦτα προσφιλοσοφῶν. Ὥστε νῦν μὲν ἄφες αὐτά, εὐωχώμεθα δὲ ἤδη καὶ κροτῶμεν καὶ ἐπὶ τῇ ἑορτῇ ἐλευθεριάζωμεν, εἶτα πεττεύωμεν ἐς τὸ ἀρχαῖον ἐπὶ καρύων καὶ βασιλέας χειροτονῶμεν καὶ πειθαρχῶμεν αὐτοῖς· οὕτω γὰρ ἂν τὴν παροιμίαν ἐπαληθεύσαιμι, ἥ φησι, παλίμπαιδας τοὺς γέροντας γίγνεσθαι.

ΙΕΡ. Ἀλλὰ μὴ δύναιτο διψῶν πιεῖν, ὦ Κρόνε, ὅτῳ μὴ ταῦτα ἃ λέγεις ἡδέα. Ὥστε πίνωμεν· ἱκανὰ γὰρ ἀποκέκρισαι καὶ τὰ πρῶτα. Καί μοι δοκῶ γραψάμενος εἰς βιβλίον ταύτην ἡμῶν τὴν συνουσίαν ἃ τε αὐτὸς ἠρώτησα καὶ σὺ πρὸς ταῦτα πλεως ἀπεκρίνω παρέξειν ἀναγνῶναι τῶν φίλων, ὅσοι γ' ἐπακοῦσαι τῶν σῶν λόγων ἄξιοι.

2.

ΚΡΟΝΟΣΟΛΩΝ.

10. Τάδε λέγει Κρονοσόλων ἱερεὺς καὶ προφήτης τοῦ Κρόνου καὶ νομοθέτης τῶν ἀμφὶ τὴν ἑορτήν· ἃ μὲν τοὺς πένητας χρὴ ποιεῖν, αὐτοῖς ἐκείνοις ἔπεμψα ἄλλο βιβλίον, ἐγγράψας, καὶ εὖ οἶδ' ὅτι ἐμμενοῦσι κἀκεῖνοι τοῖς νόμοις, ἢ αὐτίκα ἔνοχοι ἔσονται τοῖς ἐπιτιμίοις, ἃ κατὰ τῶν ἀπειθούντων μεγάλα ὥρισται. Ὑμεῖς δέ, ὦ πλούσιοι, ὁρᾶτε ὅπως μὴ παρανομήσητε μηδὲ παρακούσητε τῶνδε τῶν προσταγμάτων· ὡς ὅστις ἂν οὕτω μὴ ποιήσῃ, ἴστω οὗτος οὐκ ἐμοῦ νομοθέτου ἀμελήσων, ἀλλ' εἰς τὸν Κρόνον αὐτόν, ὃς με προείλετο νομοθετῆσαι ἐς τὴν ἑορτὴν οὐκ ὄναρ ἐπιστάς, ἀλλὰ πρώην ἐγρηγορότι ἐναργὴς συγγενόμενος. Ἦν δὲ οὐ πεδήτης οὐδὲ αὐχμοῦ πλέως, οἷον αὐτὸν οἱ ζωγράφοι παρὰ τῶν λήρων ποιητῶν παραδεξάμενοι ἐπιδείκνυνται, ἀλλὰ τὴν μὲν ἅρπην εἶχε πάνυ τεθηγμένην· τὰ δ' ἄλλα φαιδρός τε ἦν καὶ καρτερὸς καὶ βασιλικῶς ἐνεσκεύαστο. Μορφὴν μὲν τοιόσδε ὤφθη μοι, ἃ δὲ εἶπε, πάνυ θεσπέσια καὶ ταῦτα, προειρῆσθαι ὑμῖν ἄξια.

11. Ἰδὼν γάρ με σκυθρωπὸν, ἐπὶ συννοίας βαδίζοντα, ὥσπερ εἰκὸς ἦν θεὸν, ἔγνω αὐτίκα τὴν αἰτίαν τῆς

alii vero et maledicunt tibi præter fas, et tesseras conterunt, innoxias illorum quæ sponte ipsi sua faciunt.

9. Verum etiam illud mihi dicito, quid tandem, deus adeo delicatus quum sis et senex, electa injucundissima anni parte, quum nix tenet omnia, et boreas multus, et nihil non concrevit glacie, et arbores siccæ ac nudæ, destitutæque foliis, et prata informia ac sine floribus, et contracti homines instar valde senum, ad focum plerique sunt, tum festos dies agis? neque enim vel senibus illud tempus vel delicate viventibus commodum.

SAT. Multa, mi homo, me interrogas, quum jam bibendum esset: exemisti enim mihi tempus festi hujus diei non parvum, ista non valde necessaria mecum philosophando. Itaque ista jam omitte: epulemur nunc et plaudamus, et festa libertate fruamur, deinde ludamus alea de nucibus more veteri, et reges constituamus, illisque obsequamur: sic enim fidem firmavero proverbii, quod bis pueros senes ait fieri.

SAC. Sed utinam sitiens bibere non possit, Saturne, si cui jucunda non sunt quæ dicis! Bibamus ergo: sufficiunt enim primæ illæ responsiones. Et placet mihi descriptum in libro hunc nostrum sermonem, quum quæ interrogavi ego, tum quæ tu propitius respondisti, legendum offerre quotquot amicorum nostrorum percipere tuos sermones merentur.

2.

CRONOSOLON (LEGISLATOR SATURNALIUM).

10. Hæc edicit Cronosolon, sacerdos Saturni et propheta, atque legum, quæ ad festos ipsius dies pertinent, legislator. Quæ pauperibus facienda sint, ea in alio descripta libro ad illos jam misi: ac præclare novi, illos quoque meis obtemperaturos legibus, aut statim futuros pœnis obnoxios iis, quæ contra inobsequentes magnæ sane statutæ sunt. Vos autem, divites, videte ne legem violetis, neve negligenter hæc imperia audiatis. Nam quicumque ita non fecerit, ille norit non me legislatorem a se spretum iri, sed Saturnum ipsum, qui me ad leges celebritati suæ ferendas delegit, non ille in somnis astans, sed nuperrime videnti vigilantique præsens oblatus. Erat autem non compeditus, neque squalore oppletus, qualem pictores a nugacibus poetis acceptum ostendunt; sed falcem habebat acutissimam, reliqua hilaris erat et validus, et paratu regio. Talis igitur ad formam mihi visus est: quæ vero dixit, plane divina et ipsa, ea proferri apud vos justum est.

11. Nam videns me tristi vultu et cogitabundum inambulare, cognovit statim, quod decebat deum, tristitiæ meæ

λύπης τίς ἐστί μοι, καὶ ὡς τὴν πενίαν δυσχεραίνοιμι οὐ κατὰ τὴν ὥραν μονοχίτων· καὶ γὰρ κρύος καὶ βορρᾶς πολὺς καὶ κρύσταλλοι καὶ χιών· ἐγὼ δὲ ἥκιστα ἐπεφράγμην πρὸς αὐτά. Ἀλλ' ὅτι καὶ τῆς ἑορτῆς πάνυ πλησιαζούσης ἑώρων τοὺς μὲν ἄλλους παρασκευαζομένους ὅπως θύσωσι καὶ εὐωχήσωνται, ἐμαυτῷ δὲ οὐ πάνυ ἑορτάσιμα ὄντα. Καὶ δὴ προσελθὼν ὄπισθεν καὶ τοῦ ὠτός μου λαβόμενος καὶ διασείσας, ὥσπερ μοι προσπελάζειν εἴωθε, Τί ταῦτα, ἔφη, ὦ Κρονοσόλων, ἀνιωμένῳ ἔοικας; Οὐ γὰρ ἄξιον, ἔφην, ὦ δέσποτα, ὅταν καταράτους μὲν καὶ μιαροὺς ἀνθρώπους ὑπερπλουτοῦντας καὶ μόνους τρυφῶντας ὁρῶ, αὐτὸς δὲ καὶ ἄλλοι συχνοὶ τῶν πεπαιδευμένων ἀπορίᾳ καὶ ἀμηχανίᾳ σύνεσμεν; Ἀλλ' οὐδὲ σὺ, ὦ δέσποτα, θέλεις παῦσαι ταῦτα καὶ μετακοσμῆσαι πρὸς τὸ ἰσόμοιρον. Τὰ μὲν ἄλλα, ἔφη, οὐ ῥᾴδιον ἀλλάττειν ὁπόσα ἐκ Κλωθοῦς καὶ τῶν ἄλλων Μοιρῶν πάσχετε, ἃ δέ ἐστι τῆς ἑορτῆς, ἐπανορθώσομαι ὑμῖν τὴν πενίαν, ἡ δὲ ἐπανόρθωσις ἥδε ἔστω· ἴθι, ὦ Κρονοσόλων, καὶ γράψον μοι νόμους τινὰς, ἃ χρὴ πράττειν ἐν τῇ ἑορτῇ, ὡς μὴ καθ' αὑτοὺς οἱ πλούσιοι ἑορτάζοιεν, κοινωνοῖεν δὲ ὑμῖν τῶν ἀγαθῶν. Ἀλλ' οὐκ οἶδα, ἔφην.

12. Ἐγὼ, ἦ δ' ὅς, διδάξομαί σε· κᾆτα ἀρξάμενος ἐδίδασκεν. Εἶτα ἐπειδὴ πάντα ἠπιστάμην, Καὶ εἰπὲ αὐτοῖς, ἔφη, ὅτι ἢν μὴ τοῦτο ποιῶσι, μὴ μάτην ἐγὼ τὴν ἅρπην ταύτην ὀξεῖαν περιφέρω, ἢ γελοῖος ἂν εἴην τὸν μὲν πατέρα ἐκτομίαν πεποιηκὼς τὸν Οὐρανὸν, τοὺς δὲ πλουσίους μὴ εὐνουχίζων, ὁπόσοι ἂν παρανομήσωσιν, ὡς ἀγείροιεν τῇ μητρὶ σὺν αὐλοῖς καὶ τυμπάνοις βάκηλοι γενόμενοι. Ταῦτα ἠπείλησεν. Ὥστε καλῶς ἔχει ὑμῖν μὴ παραβαίνειν τοὺς θεσμούς.

ΝΟΜΟΙ ΠΡΩΤΟΙ.

13. Μηδένα μηδὲν μήτε ἀγοραῖον μήτε ἴδιον πράττειν ἐντὸς τῆς ἑορτῆς ἢ ὅσα ἐς παιδιὰν καὶ τρυφὴν καὶ θυμηδίαν, ὀψοποιοὶ μόνοι καὶ πεμματουργοὶ ἐνεργοὶ ἔστωσαν. Ἰσοτιμία πᾶσιν ἔστω καὶ δούλοις καὶ ἐλευθέροις καὶ πένησι καὶ πλουσίοις. Ὀργίζεσθαι ἢ ἀγανακτεῖν ἢ ἀπειλεῖν μηδενὶ ἐξέστω. Λογισμοὺς παρὰ τῶν ἐπιμελουμένων Κρονίοις λαμβάνειν μηδὲ τοῦτο ἐξέστω. Μηδεὶς τὸν ἄργυρον ἢ τὴν ἐσθῆτα ἐξεταζέτω μηδὲ ἀναγραφέτω ἐν τῇ ἑορτῇ μηδὲ γυμναζέσθω Κρονίοις μηδὲ λόγους ἀσκεῖν ἢ ἐπιδείκνυσθαι, πλὴν εἴ τινες ἀστεῖοι καὶ φαιδροὶ σκῶμμα καὶ παιδιὰν ἐμφαίνοντες.

ΝΟΜΟΙ ΔΕΥΤΕΡΟΙ.

14. Πρὸ παλλοῦ τῆς ἑορτῆς οἱ πλούσιοι γραφόντων μὲν ἐς πινάκιον ἑκάστου τῶν φίλων τοὔνομα, ἐχόντων δὲ καὶ ἀργύριον ἕτοιμον ὅσον τῶν κατ' ἔτος προσιόντων τὸ δέκατον καὶ ἐσθῆτα τῆς οὔσης τὴν περιττὴν καὶ ὅση παχυτέρα ἢ κατ' αὐτοὺς κατασκευὴ, καὶ τῶν ἀργυρῶν οὐκ ὀλίγα. Ταῦτα μὲν πρόχειρα ἔστω. Τῇ δὲ πρὸ τῆς ἑορτῆς καθάρσιον μέν τι περιφερέσθω καὶ ὑπ' αὐτῶν ἐξελαυνέσθω ἐκ τῆς οἰκίας μικρολογία καὶ φιλαργυρία καὶ ἀνελευθερία καὶ ἀπανθρωπία καὶ ἀπιστία καὶ ἀπιστοσύνη καὶ ἀπιστοποιία καὶ ἀπιστοκοπία καὶ ἀπιστοδικία καὶ ἀπιστοκλοπία καὶ ἀπιστοκαπηλία καὶ ἀπιστοκαπηλοδικία καὶ ἀπιστοκαπηλοκλοπία καὶ ἀπιστοκαπηλοκλοπαπιστία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστία καὶ ἀπιστοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικοκαπηλοκλοπαπιστοδικ

γυρία καὶ φιλοκερδία καὶ ὅσα τοιαῦτα ἄλλα σύνοικα τοῖς πλείστοις αὐτῶν. Ἐπειδὰν δὲ καθαρὰν τὴν οἰκίαν ἐξεργάσωνται, θυόντων Διὶ πλουτοδότῃ καὶ Ἑρμῇ δώτορι καὶ Ἀπόλλωνι μεγαλοδώρῳ. Εἶτα περὶ δείλην ὀψίαν ἀναγιγνωσκέσθω μὲν σφίσι τὸ φιλικὸν ἐκεῖνο πινάκιον.

15. Κατανείμαντες δὲ αὐτοὶ κατ' ἀξίαν ἑκάστῳ πρὶν ἥλιον δῦναι πεμπόντων τοῖς φίλοις. Οἱ δὲ ἀποκομίζοντες μὴ πλείους τριῶν ἢ τεττάρων, οἱ πιστότατοι τῶν οἰκετῶν, ἤδη πρεσβῦται. Ἐγγραψάσθω δὲ ἐς γραμμάτιον ὅ τι τὸ πεμπόμενον καὶ ὅσον, ὡς μὴ ἀμφότεροι ὑποπτεύοιεν τοὺς διακομίζοντας. Αὐτοὶ δὲ οἱ οἰκέται μίαν κύλικα ἕκαστος πιόντες ἀποτρεχόντων, ἀπαιτούντων δὲ μηδὲν πλέον. Τοῖς πεπαιδευμένοις διπλάσια πάντα πεμπέσθω· ἄξιον γὰρ διμοιρίτας εἶναι. Τὰ δὲ ἐπὶ τοῖς δώροις λεγόμενα ὡς μετριώτατα καὶ ὀλίγιστα ἔστω· ἐπαχθὲς δὲ μηδεὶς μηδὲν συνεπιστελλέτω μηδὲ ἐπαινείτω τὰ πεμπόμενα. Πλούσιος πλουσίῳ μηδὲν πεμπέτω μηδὲ ἑστιάτω Κρονίοις ὁ πλούσιος τὸν ἰσότιμον. Τῶν εἰς τὸ πεμφθῆναι προχειρισθέντων φυλαττέσθω μηδὲν μηδὲ μετάνοια εἰσίτω ἐπὶ τῇ δωρεᾷ. Εἴ τις πέρυσιν ἀποδημῶν δι' αὐτὸ ἄμοιρος κατέστη, ἀπολαμβανέτω κἀκεῖνα. Διαλυόντων δὲ οἱ πλούσιοι καὶ χρέα ὑπὲρ τῶν φίλων τῶν πενήτων καὶ τὸ ἐνοίκιον, οἵτινες ἂν καὶ τοῦτο ὀφείλοντες καταβαλεῖν μὴ ἔχωσι· καὶ ὅλως, πρὸ πολλοῦ μελέτω αὐτοῖς εἰδέναι ὅτου μάλιστα δέονται.

16. Ἀπέστω δὲ καὶ τῶν λαμβανόντων μεμψιμοιρία, καὶ τὸ πεμφθὲν ὁποῖον ἂν ᾖ, μέγα δοκείτω. Οἴνου ἀμφορεὺς ἢ λαγὼς ἢ ὄρνις παχεῖα Κρονίων δῶρον μὴ δοκείτω· μηδὲ τὰς Κρονικὰς δωρεὰς εἰς γέλωτα φερέτωσαν. Ἀντιπεμπέτω δὲ ὁ πένης τῷ πλουσίῳ ὁ μὲν πεπαιδευμένος βιβλίον τῶν παλαιῶν, εἴ τι εὔφημον καὶ συμποτικὸν, ἢ αὐτοῦ σύγγραμμα ὁποῖον ἂν δύνηται, καὶ τοῦτο λαμβανέτω ὁ πλούσιος πάνυ φαιδρῷ τῷ προσώπῳ καὶ λαβὼν ἀναγιγνωσκέτω εὐθὺς, ἢν δὲ ἀπωθῆται ἢ ἀπορρίψῃ, ἵστω τῇ τῆς ἅρπης ἀπειλῇ ἔνοχος ὤν, κἂν πέμψῃ ὅσα ἐχρῆν· οἱ δὲ ἄλλοι οἱ μὲν στεφάνους, οἱ δὲ λιβανωτοῦ χόνδρους πεμπόντων. Ἢν δὲ πένης ἐσθῆτα ἢ ἄργυρον ἢ χρυσὸν παρὰ τὴν δύναμιν πέμψῃ πλουσίῳ, τὸ μὲν πεμφθὲν ἔστω δημόσιον καὶ καταπραθὲν ἐμβαλλέσθω εἰς τὸν θησαυρὸν τοῦ Κρόνου, ὁ δὲ πένης ἐς τὴν ὑστεραίαν πληγὰς παρὰ τοῦ πλουσίου λαμβανέτω τῷ νάρθηκι εἰς τὰς χεῖρας οὐκ ἐλάττους διακοσίων καὶ πεντήκοντα.

ΝΟΜΟΙ ΣΥΜΠΟΤΙΚΟΙ.

17. Λούεσθαι μὲν ὁπόταν τὸ στοιχεῖον ἑξάπουν ᾖ, τὰ δὲ πρὸ τοῦ λουτροῦ κάρυα καὶ πεττοὶ ἔστωσαν. Κατακείσθω ὅπου ἂν τύχῃ ἕκαστος· ἀξίωμα ἢ γένος ἢ πλοῦτος ὀλίγον συντελείτω ἐς προνομήν. Οἴνου τοῦ αὐτοῦ πίνειν ἅπαντας· μηδ' ἔστω πρόφασις τῷ πλουσίῳ ἢ στομάχου ἢ κεφαλῆς ὀδύνη, ὡς μόνον δι' αὐτὴν πίνειν τοῦ κρείττονος. Μοῖρα κρεῶν κατ' ἴσον ἅπασιν·

lucri cupiditas, et quæ sunt reliqua plerisque illorum familiaria. Quum vero mundam redidderint domum, sacrificanto divitiarum datori Jovi, et largitori Mercurio, et magnifico Apollini. Deinde sero vespere legatur ipsis amicorum illud breviarium.

15. Distributione autem ex dignitate cujusque instituta, ante solem occasum amicis mittant. Qui vero deferunt, ne plures sint tribus aut quattuor, et quidem fidissimi servorum, jam senes. Inscribatur autem in tabellam, quid sit quod mittatur, et quantum, ne utrique suspectos habeant eos qui perferunt. Servi porro, uno quisque calice epoto, recurrant : plus ne postulent. Eruditis dupla mittuntor omnia : æquum est enim hos esse duplicarios. Quæ simul cum donis nunciantur, quam moderatissima sunto et paucissima : odiosum autem nemo quicquam eâdem mittito, neu quæ mittuntur laudato. Diviti dives ne quid mittito, neu convivio sui ordinis hominem dives excipito Saturnalibus. Quæ ad mittendum depromta fuerint, eorum nihil servator; neu pœnitentia muneris subeat. Si quis superiore anno absens ea re expers liberalitatis fuerit, etiam ista accipito. Æs etiam alienum divites pro amicis pauperibus solvunto, atque habitationis mercedem, si qui eorum hanc etiam debitam solvere non possint. Atque in universum diu ante hoc ipsis curæ sit, uti sciant qua maxime re indigeant.

16. Abesto autem ab accipientibus etiam ingrata querela, et quicquid fuerit quod missum erit, magnum videatur. Vini amphora, aut lepus, aut gallina pinguis, Saturnalicium munus ne habetor : neu Saturnalicia munera in risum vertunto. Diviti vicissim mittito pauper eruditus librum antiquum, si quis sit boni ominis, aut convivio aptus; aut suum ipsius scriptum, qualecumque potuerit : idque accipito dives hilari omnino vultu, et acceptum statim legito; quodsi reposuerit aut abjecerit, scito falcis se minis obnoxium, etiamsi quantum oportebat miserit. Alii vero corollas, aut thuris micas mittunto. Si vero pauper vestem, aut argentum, aut aurum ultra facultates miserit diviti, quod missum erit publicum esto, venditumque thesauro Saturni infertor : pauper vero postridie ejus diei plagas a divite accipito ferula in manus impacta, non pauciores quam quinquaginta supra ducentas.

LEGES CONVIVALES.

17. Lavandi tempus, quum sex pedum umbra fuerit. Ante balneum nuces sunto et tali. Quo quisque forte delatus fuerit, ibi accumbito. Dignitas vel genus vel divitiæ parum ad jus prius capiendi cibi conferunto. De vino eodem omnes bibunto : neu obtentui esto diviti vel ventriculi vel capitis dolor, ut solus ea causa de meliori bibat. Carnium distributio æqualiter fiat per omnes : ministri ad

οἱ διάκονοι πρὸς χάριν μηδενὶ μηδὲν, ἀλλὰ μηδὲ βραδυνέτωσαν μηδὲ παραπεμπέσθωσαν ἔστ' ἂν αὐτοῖς δοκῇ, ὁπόσα χρὴ ἀποφέρειν. Μηδὲ τῷ μὲν μεγάλα, τῷ δὲ κομιδῇ μικρὰ παρατιθέσθω, μηδὲ τῷ μὲν ὁ μηρὸς, τῷ δὲ ἡ γνάθος συὸς, ἀλλ' ἰσότης ἐπὶ πᾶσιν.

18. Ὁ οἰνοχόος ὀξὺ δεδορκέτω ἐκ περιωπῆς ἐς ἕκαστον, καὶ ἔλαττον ἐς τὸν δεσπότην, καὶ ἐπ' ὀξύτερον ἀκουέτω. Καὶ κύλικες παντοῖαι. Καὶ ἐξέστω παρέχειν, ἢν τις ἐθέλῃ, φιλοτησίαν. Πάντες πᾶσι προπινέτωσαν, ἢν ἐθέλωσι, προπιόντος τοῦ πλουσίου. Μὴ ἐπάναγκες ἔστω πίνειν, ἢν τις μὴ δύνηται. Εἰς τὸ συμπόσιον μήτε ὀρχηστὴν μήτε κιθαριστὴν αὐτοὺς ἄγειν ἄρτι μανθάνοντα ἐξέστω, ἢν τις ἐθέλῃ. Σκώμματος μέτρον ἔστω τὸ ἄλυπον ἐπὶ πᾶσιν. Πεττευέτωσαν ἐπὶ καρύων· ἢν τις ἐπ' ἀργυρίῳ πεττεύσῃ, ἄσιτος ἐς τὴν ὑστεραίαν ἔστω. Καὶ μενέτω καὶ ἀπίτω ἕκαστος, ὁπόταν βούληται. Ἐπὰν δὲ τοὺς οἰκέτας ὁ πλούσιος εὐωχῇ, διακονούντων καὶ οἱ φίλοι σὺν αὐτῷ. Τοὺς νόμους τούτους ἕκαστον τῶν πλουσίων ἐγγράψαντα ἐς χαλκῆν στήλην ἔχειν ἐν μεσαιτάτῳ τῆς αὐλῆς, καὶ ἀναγιγνωσκέτω. Δεῖ δὲ εἰδέναι ὅτι ἔστ' ἂν αὕτη ἡ στήλη μένῃ, οὔτε λιμὸς οὔτε λοιμὸς οὔτε πυρκαϊὰ οὔτε ἄλλο χαλεπὸν οὐδὲν εἴσεισιν εἰς τὴν οἰκίαν αὐτοῖς. Ἤν δέ ποτε — ὅπερ μὴ γένοιτο — καθαιρεθῇ, ἀποτρόπαιον οἷα πείσονται.

gratiam nihil cuiquam faciunto; sed neque cunctantor, neque, quoad ipsis convivis videatur, *demant* quæ auferenda sunt. Neve huic quidem magna, alii vero oppido parva apponuntor, neve uni femur, alteri vero maxilla suis; sed æqualitas esto in omnibus.

18. Pincerna acutum cernito velut de specula in unumquemque, et minus in dominum: et acutius etiam audito. Sunto varii generis calices. Jus esto propinare, si quis velit, amicitiæ poculum. Propinanto omnes omnibus, si voluerint, postquam dives propinaverit. Neque necesse sit bibere, si quis non possit. Saltatorem aut citharistam tironem in convivium ne adducunto, si quis velit. Dicti jocosi modus esto omnibus, quod nemini doleat. Alea ludunto de nucibus: si quis pecuniam luserit, postridie esurito. Maneat unusquisque et abeat, quando lubitum ei fuerit. Si vero servos convivio excipiet dominus dives, etiam amici cum illo ministranto. Hasce leges unusquisque dives inscriptas in pila ærea, in media aula habeto, atque legito. Sciendum est, quam diu ea pila manserit, neque famem, neque pestilentiam, neque incendium, neque aliud quicquam mali in eam domum illis ingressurum. Sed si quando (quod quidem absit) destruatur, quid illis eventurum sit, abominamur.

3.

ΕΠΙΣΤΟΛΑΙ ΚΡΟΝΙΚΑΙ.

1.

19. ΕΓΩ ΚΡΟΝΩ ΧΑΙΡΕΙΝ. Ἐγεγράφειν μὲν ἤδη σοι καὶ πρότερον δηλῶν ἐν οἷς εἶην καὶ ὡς ὑπὸ πενίας κινδυνεύοιμι μόνος ἄμοιρος εἶναι τῆς ἑορτῆς, ἣν ἐπήγελκας, ἔτι καὶ τοῦτο προσθείς — μέμνημαι γάρ — ἀλογώτατον εἶναι τοὺς μὲν ἡμῶν ὑπερπλουτεῖν καὶ τρυφᾶν οὐ κοινωνοῦντας ὧν ἔχουσι τοῖς πενεστέροις, τοὺς δὲ λιμῷ διαφθείρεσθαι, καὶ ταῦτα Κρονίων ἐνεστώτων· ἐπεὶ δέ μοι τότε οὐδὲν ἀντεπέστειλας, ἡγησάμην δεῖν αὖθις ἀναμνῆσαί σε τῶν αὐτῶν. Ἐχρῆν γάρ σε, ὦ ἄριστε Κρόνε, τὸ ἄνισον τοῦτο ἀφελόντα καὶ τὰ ἀγαθὰ ἐς τὸ μέσον ἅπασι καταθέντα ἔπειτα κελεύειν ἑορτάζειν. Ὡς δὲ νῦν ἔχομεν, μύρμηξ ἢ κάμηλος, ὡς ἡ παροιμία φησί. Μᾶλλον δὲ τραγικὸν ὑποκριτὴν ἐνόησον θατέρῳ μὲν τοῖν ποδοῖν ἐφ' ὑψηλοῦ βεβηκότα, οἷοί εἰσι τραγικοὶ ἐμβάται, ὁ δ' ἕτερος ἀνυπόδητος ἔστω. Εἰ τοίνυν βαδίζοι οὕτως ἔχων, ὁρᾷς ὅτι ἀναγκαῖον αὐτῷ ἄρτι μὲν ὑψηλῷ, ἄρτι δὲ ταπεινῷ γενέσθαι, καθ' ὁπότερον ἂν πόδα προβαίνῃ. Τρσοῦτον κἀν τῷ βίῳ ἡμῶν τὸ ἄνισον· καὶ οἱ μὲν ὑποδησάμενοι ἐμβάτας τῆς τύχης χορηγούσης ἐντραγῳδοῦσιν ἡμῖν, οἱ πολλοὶ δὲ πεζῇ καὶ γαμαὶ βαδίζομεν δυνάμενοι ἄν, εὖ ἴσθι, μὴ χεῖρον αὐτῶν ὑποκρίνεσθαι καὶ διαβαίνειν, εἴ τις καὶ ἡμᾶς ἐνεσκεύασε παραπλησίως ἐκείνοις.

3.

EPISTOLÆ SATURNALES.

1.

19. ECO SATURNO SALUTEM. Equidem jam prius tibi literis demonstravi quo loco essem, et ut per paupertatem in periculo versarer, ne solus sim expers ejus quam denunciasti solemnitatis: adjeceram præterea (nam commemini) vehementer esse rationi adversum, alios nostrûm opibus deliciisque affluere, neque quicquam de his quæ habent impertiri tenuioribus; alios autem enecari fame, idque instantibus Saturnalibus. Quoniam vero nihil mihi tum rescripsisti, faciendum putavi ut iterum de iisdem rebus te admonerem. Decebat enim te, Saturne optime, sublata prius illa inæqualitate, bonis in medio omnium positis, deinde imperare dies festos. Ut vero nunc habemus, formica (aliquis est) aut camelus, ait proverbium. Quin tu tragicum mihi actorem cogita, altero quidem pede alte calceatum, quales sunt cothurni tragici; alter vero ejus pes discalceatus sit. Eo igitur habitu si ingrediatur, vides necesse illi esse, ut modo excelsus sit, modo humilis, prout hoc vel illo pede procedat. Tanta est etiam in vita nostra inæqualitas: alii quidem induti cothurnis a fortuna suppeditatis, tragico nos fastu conculcant; vulgus vero nos pedibus et humi ingredimur, qui possemus, bene noris, non deterius illis agere, et gradum grandire, si quis nos etiam similiter atque illos instruxisset.

20. Καίτοι ἀκούω τῶν ποιητῶν λεγόντων ὡς τὸ παλαιὸν οὐ τοιαῦτα ἦν τοῖς ἀνθρώποις τὰ πράγματα σοῦ ἔτι μοναρχοῦντος, ἀλλ' ἡ μὲν γῆ ἄσπορος καὶ ἀνήροτος ἔφυεν αὐτοῖς τὰ ἀγαθὰ, δεῖπνον ἕτοιμον ἑκάστῳ ἐς κόρον, ποταμοὶ δὲ οἱ μὲν οἶνον, οἱ δὲ γάλα, εἰσὶ δὲ οἳ καὶ μέλι ἔρρεον· τὸ δὲ μέγιστον, αὐτοὺς ἐκείνους φασὶ τοὺς ἀνθρώπους χρυσοῦς εἶναι, πενίαν δὲ μηδὲ τὸ παράπαν αὐτοῖς πλησιάζειν. Ἡμεῖς δὲ αὐτοὶ μὲν οὐδὲ μόλυβδος ἂν εἰκότως δοκοίημεν, ἀλλ' εἴ τι καὶ τούτου ἀτιμότερον, ἡ τροφὴ δὲ μετὰ πόνων τοῖς πλείστοις, ἡ πενία δὲ καὶ ἀπορία καὶ ἀμηχανία καὶ τὸ οἴμοι καὶ τὸ πόθεν ἄν μοι γένοιτο καὶ ὢ τῆς τύχης πολλὰ τοιαῦτα παρὰ γοῦν ἡμῖν τοῖς πένησι. Καὶ ἧττον ἂν, εὖ ἴσθι, ἠνιώμεθα ἂν ἐπ' αὐτοῖς, εἰ μὴ τοὺς πλουσίους ἑωρῶμεν τοσαύτῃ εὐδαιμονίᾳ συνόντας, οἳ τοσοῦτον μὲν χρυσὸν, τοσοῦτον δὲ ἄργυρον ἐγκλεισάμενοι, ἐσθῆτας δὲ ὅσας ἔχοντες, ἀνδράποδα δὲ καὶ ζεύγη καὶ συνοικίας καὶ ἀγροὺς, πάμπολλα δὲ ταῦτα ἕκαστα κεκτημένοι οὐχ ὅπως μετέδοσαν ἡμῖν ποτε αὐτῶν, ἀλλ' οὐδὲ προσβλέπειν τοὺς πολλοὺς ἀξιοῦσι.

21. Ταῦτα ἡμᾶς μάλιστα ἀποπνίγει, ὦ Κρόνε, καὶ ἀφόρητον ἡγούμεθα τὸ πρᾶγμα, τὸν μὲν ἐφ' ἁλουργίδων κατακείμενον τοσούτοις ἀγαθοῖς ἐντρυφᾶν ἐρυγγάνοντα καὶ ὑπὸ τῶν συνόντων εὐδαιμονιζόμενον ἀεὶ ἑορτάζοντα, ἐμὲ δὲ καὶ τοὺς ὁμοίους ὀνειροπολεῖν, εἴ ποθεν ὀβολοὶ τέτταρες γένοιντο, ὡς ἔχοιμεν ἄρτων γοῦν ἢ ἁλφίτων ἐμπεπλησμένοι καθεύδειν κάρδαμον ἢ θύμον ἢ κρόμμυον ἐπιτρώγοντες. Ἦ τοίνυν ταῦτα, ὦ Κρόνε, ἀλλάττειν καὶ μεταποιεῖν ἐς τὸ ἰσοδίαιτον, ἢ τὸ ὕστατον, αὐτούς γε ἐκείνους κελεύειν τοὺς πλουσίους μὴ μόνους ἀπολαύειν τῶν ἀγαθῶν, ἀλλὰ ἀπὸ μεδίμνων τοσούτων χρυσίου χοίνικά γε ἡμῶν πάντων κατασκεδάσαι, ἀπὸ δὲ ἱματίων ὅσα κἂν ὑπὸ σητῶν διαβρωθέντα οὐκ ἂν αὐτοὺς ἀνιάσειε, ταῦτα γοῦν πάντως ἀπολλύμενα καὶ ὑπὸ τοῦ χρόνου διαφθαρησόμενα ἡμῖν δοῦναι περιβαλέσθαι μᾶλλον ἢ ἐν ταῖς κοίταις καὶ κίσταις εὐρῶτι πολλῷ κατασαπῆναι.

22. Καὶ μὴν καὶ δειπνίζειν ἕκαστον ἄρτι μὲν τέτταρας, ἄρτι δὲ πέντε τῶν πενήτων παραλαμβάνοντας, μὴ μέντοι ἐς τὸν νῦν τρόπον τῶν δείπνων, ἀλλ' ἐς τὸ δημοτικώτερον, ὡς ἐπ' ἴσης μετέχειν ἅπαντας καὶ μὴ τὸν μὲν ἐμφορεῖσθαι τῶν ὄψων καὶ τὸν οἰκέτην περιμένειν ἑστῶτα, ἕστ' ἂν ἀπαγορεύσῃ ἐσθίων, ἐφ' ἡμᾶς δὲ ἐλθόντα, ἔτι παρασκευαζομένων ὡς ἐπιβάλοιμεν τὴν χεῖρα, παραμείβεσθαι δείξαντα μόνον τὴν λοπάδα ἢ ὅσον ἐστὶ τοῦ πλακοῦντος τὸ λοιπόν· μηδὲ ἐσκομισθέντος ὑὸς διανέμοντα, τῷ μὲν δεσπότῃ παρατιθέναι τὸ ἡμίτομον ὅλον σὺν τῇ κεφαλῇ, τοῖς δὲ ἄλλοις ὀστᾶ φέρειν ἐγκεκαλυμμένα. Προειπεῖν δὲ καὶ τοῖς οἰνοχόοις μὴ περιμένειν, ἕστ' ἂν ἑπτάκις αἰτήσῃ πιεῖν ἡμῶν ἕκαστος, ἀλλὰ ἦν ἅπαξ κελεύσῃ, αὐτίκα ἐγχέαι καὶ ἀναδοῦναι μεγάλην κύλικα ἐμπλησαμένους ὥσπερ τῷ δεσπότῃ· καὶ τὸν οἶνον δὲ αὐτὸν πᾶσι τοῖς συμπόταις ἕνα καὶ τὸν αὐτὸν εἶναι. Ἦ ποῦ γὰρ γεγράφθαι τοῦτον τὸν νόμον,

20. Quanquam audio poetas dicere, olim non ejusmodi fuisse res hominum, te adhuc rerum potiente; sed tellurem sine semine atque aratro genuisse ipsis bona, paratas unicuique ad satietatem usque epulas: fluvios autem vino partim, partim lacte fluxisse; fuisse etiam qui melle. Quod vero maximum, illos ipsos homines aiunt fuisse aureos, paupertatem vero nec omnino ad illos accessisse. At nos contra ea ipsi ne plumbum quidem videamur merito, sed si quid illo vilius: victus autem cum labore plerisque contingit: ceterum paupertas, et consilii inopia, et desperatio, et illud Hei mihi! et, Unde nanciscar? et Heu fortunam! talia apud nos quidem pauperes plurima. Ac minus ea indigne, bene noris, ferremus, nisi divites in tanta esse felicitate videremus: qui tantum quum aurum atque argentum penes se incluserint, vestes autem quot habeant, mancipiaque et currus, et vicos totos, et agros, et magnam quidem vim singulorum possideant; tantum abest ut eorum quicquam nobis impertiant unquam, ut ne aspicere quidem de plebe homines dignentur.

21. Hæc nos maxime, Saturne, angunt, et rem esse intolerabilem arbitramur; istum quidem jacentem in purpura tot in bonis delicias agere, ructantem, et beatum prædicari a familiaribus, perpetuos dies festos agentem: me vero ac mei similes hoc ipsum per quietem etiam et in somnis curare, sicunde quattuor confieri possint oboli, ut pane certe aut pulte oppleti, adhibito nasturtii aut porri aut cepæ obsonio, ire cubitum queamus. Aut igitur hæc immuta, Saturne, et reduc ad æqualitatem, aut, quod extremum est, ipsis illis divitibus impera, ne soli fruantur bonis illis, sed de tot modiis auri chœnicem certe in nos omnes spargant; de vestibus autem tantum, quantum a tineis si corrodatur, ægre non ferant; hæc ergo omnino peritura, et quæ futurum sit ut corrumpantur a tempore, nobis uti dent induenda potius, quam in arcis ac cistis multo situ computrescant.

22. Verum etiam cœna excipere illos jube assumtos modo quattuor, modo quinque ex pauperibus, non tamen præsenti modo cœnarum, sed populari magis ratione, ut ex æquo omnium participes sint universi; neque alter obsoniis se ingurgitet, manente servo atque astante, donec ille edere non amplius possit; ad nos vero quum venerit idem servus, adhuc parantibus nobis manum injicere, prætereat, ostensa modo patina, aut quantum est placentæ reliquum; neque ut illato porco carptor hero quidem apponat dimidium ipsum cum capite, reliquis vero involuta ossa offerat. Præcipere porro illos jube pocillatoribus, ne exspectent dum septies bibere unusquisque nostrûm postulaverit; sed quum semel jusserit, infundere statim, et tradere, non minus quam hero, magnum plenumque calicem. Vinum vero ipsum convivis omnibus unum idemque esse; ubi enim scriptam

τὸν μὲν ἀνθοσμίου μεθύσκεσθαι, ἐμοὶ δὲ ὑπὸ τοῦ γλεύκους διαρρήγνυσθαι τὴν γαστέρα;

23. Ἦν ταῦτα ἐπανορθώσῃς καὶ μετακοσμήσῃς, ὦ Κρόνε, βίον μὲν τὸν βίον, ἑορτὴν δὲ τὴν ἑορτὴν ἔσῃ πεποιηκώς, εἰ δὲ μή, ἐκεῖνοι μὲν ἑορταζόντων, ἡμεῖς δὲ καθεδούμεθα εὐχόμενοι, ἐπειδὰν λουσάμενοι ἥκωσι, τὸν παῖδα μὲν αὐτοῖς ἀνατρέψαντα τὸν ἀμφορέα κατᾶξαι, τὸν μάγειρον δὲ τὸν ζωμὸν κνισῶσαι καὶ ἐπιλαθόμενον τὸ τάριχος μὲν ἐς τὴν φακῆν ἐμβαλεῖν τῶν ἰχθύων· τὴν κύνα δὲ παρεισπεσοῦσαν τόν τε ἀλλᾶντα ὅλον καταφαγεῖν, περὶ τἆλλα τῶν ὀψοποιῶν ἐχόντων, καὶ τοῦ πλακοῦντος τὸ ἥμισυ· τὸν δὲ ὗν καὶ τὸν ἔλαφον καὶ τὰ δελφάκια μεταξὺ ὀπτώμενα τὸ ὅμοιον ποιεῖν, ὅπερ Ὅμηρος περὶ τῶν Ἡλίου βοῶν φησι· μᾶλλον δὲ μὴ ἕρπειν μόνον, ἀλλ' ἀναπηδήσαντα φεύγειν εἰς τὸ ὄρος αὐτοῖς ὀβελοῖς· καὶ τὰς ὄρνεις δὲ τὰς παχείας, καίτοι ἀπτέρους ἤδη οὔσας καὶ ἐσκευασμένας, ἀναπταμένας οἴχεσθαι καὶ ταύτας, ὡς μὴ μόνοι ἀπολαύοιεν αὐτῶν.

24. Ὃ δὲ δὴ μάλιστα ἂν αὐτοὺς ἀνιάσειε, τὸ μὲν χρυσίον μύρμηκάς τινας οἵους τοὺς Ἰνδικοὺς ἀνορύττοντας ἐκ τῶν θησαυρῶν ἐκφέρειν νύκτωρ ἐς τὸ δημόσιον· τὴν ἐσθῆτα δὲ ὀλιγωρίᾳ τῶν ἐπιμελητῶν κοσκινηδὸν διατετρυπῆσθαι ὑπὸ τῶν βελτίστων μυῶν, ὡς σαγήνης θυννευτικῆς μηδὲν διαφέρειν· παῖδας δὲ αὐτῶν τοὺς ὡραίους καὶ κομήτας, οὓς Ὑακίνθους ἢ Ἀχιλλέας ἢ Ναρκίσσους ὀνομάζουσι, μεταξὺ ὀρέγοντας σφίσι τὸ ἔκπωμα φαλακροὺς γίγνεσθαι ὑπορρεούσης τῆς κόμης καὶ πώγωνα φύειν ὀξύν, οἷοί εἰσιν ἐν ταῖς κωμῳδίαις οἱ σφηνοπώγωνες, καὶ τὸ παρὰ τοῖς κροτάφοις πάνυ λάσιον καὶ κάρτα ἐκκεντοῦν, τὸ μεταξὺ δὲ λεῖον καὶ γυμνὸν εἶναι. Ταῦτα καὶ πλείω τούτων εὐξαίμεθ' ἄν, ἢν μὴ θέλωσι τὸ ἄγαν φλαυτον τοῦτ' ἀφέντες ἐς τὸ κοινὸν πλουτεῖν καὶ μεταδιδόναι ἡμῖν τῶν μετρίων.

2.

25. ΚΡΟΝΟΣ ΕΜΟΙ ΤΩ ΤΙΜΙΩΤΑΤΩ ΧΑΙΡΕΙΝ. Τί ταῦτα ληρεῖς, ὦ οὗτος, ἐμοὶ περὶ τῶν παρόντων ἐπιστέλλων καὶ ἀναδασμὸν τῶν ἀγαθῶν ποιεῖν κελεύων; τὸ δὲ ἑτέρου ἂν εἴη, τοῦ νῦν ἄρχοντος. Θαυμάζω γάρ σε εἰ μόνος τῶν ἁπάντων ἀγνώσσεις ὡς ἐγὼ μὲν πάλαι βασιλεὺς ὢν πέπαυμαι εἷς ὤν, τοῖς παισὶ διανείμας τὴν ἀρχήν, ὁ δὲ Ζεὺς μάλιστα τῶν τοιούτων ἐπιμελεῖται· τὰ δὲ ἡμέτερα ταῦτα μέχρι πεττῶν καὶ κρότου καὶ ᾠδῆς καὶ μέθης, καὶ τοῦτο οὐ πλέον ἡμερῶν ἑπτά. Ὥστε περὶ τῶν μειζόνων ἃ φῂς, ἀφελεῖν τὸ ἄνισον καὶ ἐκ τῆς ὁμοίας ἢ πένεσθαι ἢ πλουτεῖν ἅπαντας, ὁ Ζεὺς ἂν χρηματίσειεν ὑμῖν. Εἰ δέ τι τῶν ἐκ τῆς ἑορτῆς ἀδικοῖτό τις ἢ πλεονεκτοῖτο, ἐμὸν ἂν εἴη δικάζειν· καὶ ἐπιστέλλω δὲ τοῖς πλουσίοις περὶ τῶν δείπνων καὶ τοῦ χοίνικος τοῦ χρυσίου καὶ τῶν ἐσθήτων, ὡς καὶ ὑμῖν πέμποιεν ἐς τὴν ἑορτήν· δίκαια γὰρ ταῦτα καὶ ἄξια αὐτοὺς ποιεῖν, ὡς φατέ, ἢν μή τι εὔλογον ἐκεῖνοι πρὸς ταῦτα λέγειν ἔχωσι.

26. Τὸ δὲ ὅλον, ἴστε οἱ πένητες ὑμεῖς ἐξηπατημένοι

esse illam legem, ut alter vino odorato inebrietur, mihi autem a musto rumpatur venter?

23. Hæc si correxeris, Saturne, tum demum ut vita vita sit, et festi dies sint festi, effeceris : sin minus, festos illi dies obeant; nos vero sedebimus vota facientes, ut, quum e balneo redeant, puer eversam illis frangat amphoram, coquus autem nidore jus corrumpat, et aliud agens pisculentam muriam infundat lenticulæ; ut irrepens canis totum farcimen, occupatis alia in re coquis, dimidiamque placentam devoret : aper vero atque cervus, et porcelli, dum assantur, simile uti faciant ei, quod de Solis bubus narrat Homerus : quin non repant modo, sed exsilientes in montem ipsis cum verubus aufugiant; gallinæ autem saginatæ, licet vulsis jam pennis apparatæ, evolantes ipsæ quoque discedant, quo ne soli illis fruantur.

24. Quod vero inprimis molestum iis fuerit, ut formicæ, quales sunt illæ Indicæ, effossos thesauros noctu in publicum efferant; atque ut vestis ob negligentiam curatorum cribri instar perforata sit ab optimis muribus, ne quid a reti thunnis capiendis differant; atque ut pueri illorum pulchri et comati, quos Hyacinthos vel Achilles vel Narcissos appellant, dum poculum illis porrigunt, coma defluente calvescant, et barba crescat iis acuta, quales sunt in comœdiis illi cuneobarbi, atque in ipsis temporibus pili oboriantur hirsuti vehementerque pungentes, interjectis partibus lævibus atque nudis. Hæc et plura his vota faciemus, si noluerint, relicto illo nimio sui ipsorum amore, in commune esse divites, et mediocria nobis impertiri.

2.

25. SATURNUS MIHI SUO CARISSIMO SAL. Quid ita deliras, o noster, qui de præsentibus rebus ad me scribas, et bonorum divisionem me jubeas instituere? At illud alterius opus fuerit, ejus qui nunc rerum potitur. Miror enim si solus omnium ignoras me qui olim rex fui, distributo filiis imperio, unum esse desisse; ad Jovis autem curam maxime pertinere talia : hoc autem nostrum regnum intra talos, et plausus, cantumque et ebrietatem fere esse, idque septem non amplius diebus. Itaque de majoribus illis quæ dicis, de auferenda inæqualitate, ut ex æquo aut pauperes sint omnes aut divites, Jupiter vobis respondeat. Si quis vero in iis, quæ ad solemnitatem pertinent, per injuriam aut avaritiam aliquid designet, hoc meum fuerit judicium. Ac scribo ad divites epistolam de cœnis, de chœnice auri, et de vestibus, ut vobis etiam solemnis causa aliquid mittant; justa enim ista et digna quæ faciant, uti dicitis, nisi quid habent illi quod cum ratione contra dicant.

26. In universum autem scitote, pauperes, falli vos, ne-

νοι καὶ οὐκ ὀρθῶς δοξάζοντες περὶ τῶν πλουσίων, οἵ γε πανευδαίμονας αὐτοὺς οἴεσθε εἶναι καὶ μόνους ἡδύν τινα βιοῦν τὸν βίον, ὅτι δειπνεῖν τε πολυτελῶς ἔστιν αὐτοῖς καὶ μεθύσκεσθαι οἴνου ἡδέος καὶ παισὶν ὡραίοις καὶ γυναιξὶν ὁμιλεῖν καὶ ἐσθῆσι μαλακαῖς χρῆσθαι· τὸ δὲ πάνυ ἀγνοεῖτε ὁποῖόν ἐστιν. Αἵ τε γὰρ φροντίδες αἱ περὶ τούτων οὐ μικραὶ, ἀλλ' ἀνάγκη ἐπαγρυπνεῖν ἑκάστοις, μή τι ὁ οἰκονόμος βλακεύσας ἢ ὑφελόμενος λάθῃ, μὴ ὁ οἶνος ὀξυνθῇ, μὴ ὁ σῖτος φθειρὶ ζέσῃ, ἢ ὁ λῃστὴς ὑφέληται τὰ ἐκπώματα, μὴ πιστεύσῃ τοῖς συκοφάνταις ὁ δῆμος λέγουσι τυραννεῖν αὐτὸν ἐθέλειν. Ταῦτα δὲ πάντα οὐδὲ τὸ πολλοστὸν ἂν εἴη μέρος τῶν ἀνιώντων αὐτούς· εἰ γοῦν ἠπίστασθε τοὺς φόβους καὶ τὰς μερίμνας ἃς ἔχουσι, πάνυ ἂν ὑμῖν φευκτέον ὁ πλοῦτος ἔδοξεν.

27. Ἐπεί τοι οἴει με αὐτὸν οὕτως ἄν ποτε κορυβαντιᾶσαι, ὡς εἰ καλὸν ἦν τὸ πλουτεῖν καὶ βασιλεύειν, ἀφέντα ἂν αὐτὰ καὶ παραχωρήσαντα ἄλλοις καθῆσθαι ἰδιωτεύοντα καὶ ἀνέχεσθαι ὑπ' ἄλλῳ ταττόμενον; ἀλλὰ τὰ πολλὰ ταῦτα εἰδὼς, ἃ τοῖς πλουσίοις καὶ ἄρχουσι προσεῖναι ἀνάγκη, ἀφῆκα τὴν ἀρχὴν εὖ ποιῶν.

28. Καὶ γὰρ ἃ νῦν ἐποτνιῶ πρός με, ὡς τοὺς μὲν ὗν καὶ πλακούντων ἐμφορουμένους, ὑμᾶς δὲ κάρδαμον ἢ θύμον ἢ κρόμμυον ἐπιτρώγοντας ἐν τῇ ἑορτῇ, σκέψαι ὁποῖά ἐστι· πρὸς μὲν γὰρ τὸ παρὸν ἡδὺ καὶ οὐκ ἀνιαρὸν ἴσως ἑκάτερον αὐτῶν, ὡς δὲ μετὰ ταῦτα ἐμπαλιν ἀναστρέφεται τὸ πρᾶγμα. Εἶτα ὑμεῖς μὲν οὔτε καρηβαροῦντες ἀνασταίητ' ἂν ἐς τὴν ὑστεραίαν ὥσπερ ἐκεῖνοι ὑπὸ τῆς μέθης οὔτε ὑπὸ τῆς ἄγαν πλησμονῆς δυσῳδές τι καὶ καπνωδέστερον ἐρυγγάνοντες· οἱ δὲ τούτων τε ἀπολαύουσι καὶ τὸ πολὺ τῆς νυκτὸς ἢ παισὶν ἢ γυναιξὶν ἢ ὅπως ἂν ὁ τράγος κελεύῃ συναναφυρέντες ἢ φθόην ἢ περιπνευμονίαν ἢ ὕδερον οὐ χαλεπῶς συνελέξαντο ἐκ τῆς πολλῆς τρυφῆς. Ἤ τίνα ἂν αὐτῶν ῥᾳδίως δεῖξαι δύναιο μὴ πάντως ὠχρὸν ὄντα πολὺ τὸ νεκρῶδες ἐμφαίνοντα; τίνα δὲ ἐς γῆρας ἀφικόμενον τοῖς αὑτοῦ ποσὶν, ἀλλὰ μὴ φοράδην ἐπὶ τεττάρων ὀχούμενον, ὁλόχρυσον μὲν τὰ ἔξω, κατάρραφον δὲ τὰ ἔνδον, ὥσπερ αἱ τραγικαὶ ἐσθῆτες ἐκ ῥακίων πάνυ εὐτελῶν συγκεκαττυμέναι; Ὑμεῖς δὲ ἰχθύων μὲν ἄγευστοι καὶ ἄσιτοι, ποδάγρας δὲ ἢ περιπνευμονίας οὐχ ὁρᾶθ' ὅτι καὶ τούτων ἄπειροί ἐστε, ἢ εἴ τι κατ' ἄλλην τινὰ αἰτίαν συμβαίνει; Καίτοι οὐδ' αὐτοῖς ἐκείνοις ἡδύ ἐστιν αὐτὸ καθ' ἡμέραν καὶ πέρα τοῦ κόρου ἐσθίειν τούτων, ἀλλ' ἴδοις ἂν αὐτοὺς οὕτω λαχάνων καὶ θύμου ὀρεγομένους ἐνίοτε ὥσπερ οὐδὲ σὺ τῶν λαγῶν καὶ ὑῶν.

29. Ἐῶ λέγειν ὅσα ἄλλα λυπεῖ αὐτοὺς, υἱὸς ἀκόλαστος ἢ γυνὴ τοῦ οἰκέτου ἐρῶσα ἢ ἐρώμενος πρὸς ἀνάγκην μᾶλλον ἢ πρὸς ἡδονὴν συνών· καὶ ὅλως πολλά ἐστιν ἅπερ ὑμεῖς ἀγνοοῦντες τὸν χρυσὸν ὁρᾶτε αὐτῶν μόνον καὶ τὴν πορφύραν, καὶ ἢν ἴδητέ ποτε ἐξελαύνοντας ἐπὶ λευκοῦ ζεύγους, κεχήνατε καὶ προσκυνεῖτε. Εἰ δὲ ὑπερεωρᾶτε αὐτῶν καὶ κατεφρονεῖτε καὶ μήτε ἐπεστρέφεσθε πρὸς τὴν ἀργυρᾶν ἁρμάμαξαν μήτε

que recte de divitibus sentire, si undique beatos illos putatis, et suavem vitam vivere solos, quod sumtuose cœnare illis licet, et dulci vino inebriari, et cum pueris formosis atque mulieribus esse, et vestimentis uti mollibus. Omnino autem, quale id sit, nescitis. Curæ etenim de hisce non parvæ: sed opus est invigilare singulis, ne quid ipsis imprudentibus dispensator vel stupore perdat, vel fraude subducat, ne acesca vinum, ne curculionibus scateat frumentum, aut pocula latro auferat, ne delatoribus credat populus, tyrannidem ab ipso affectari dicentibus. Hæc vero omnia vix una de multis particula molestiarum, quæ illos premunt, fuerit. Quod si timores sciretis quos habent, et curas, fugiendæ omnino vobis viderentur divitiæ.

27. Alioqui putas ipsum me ita insanire unquam, ut, si quid præclarum adeo essent divitiæ et imperium, relicta illa concedam aliis, desideam ipse privatus, et sub alterius imperio vivam? Sed quum scirem multa illa quæ adesse divitibus atque imperantibus necesse est, dimisi, nec pœnitet, imperium.

28. Nam quæ modo apud me conquestus es, illos apris ingurgitare se et placentis, vos nasturtium, aut porrum, aut cepam per dies festos arrodere; quale sit, inspice: in præsens enim suave utrumque, et minime forte molestum: postea vero ut in contrariam partem ea res vertatur. Tum vos neque gravato, ut isti, per ebrietatem capite postridie surgatis, neque de ventre nimis referto tetrum nescio quem vaporem eructetis. At illi istum divitiarum fructum habent, et noctis partem majorem cum pueris aut mulieribus, aut prout mala libido imperaverit, volutati, tabem, vel pulmonis inflammationem, vel aquam intercutem non difficulter ex multa illa luxuria colligunt. Aut quem illorum ostendere facile possis, qui non plane sit pallidus, non multum cadaveri similis? quem vero, si ad senectutem pervenit, suis ipsum utentem pedibus, non quattuor hominum humeris invectum? aureum quidem totum quod ad externa, intus vero consutilem, quales sunt tragicæ vestes, de pannis plane vilibus consarcinatæ? Vos autem pisces quidem non gustatis, nedum ut iis vescamini; podagræ vero et pulmonum morbi, nonne videtis horum etiam vos expertes esse, aut si quid tale alia causa illis accidat? Quanquam ne ipsis quidem suave est ipsum illud quotidie et ultra quam satis est de his edere: verum videas illos adeo oleris ac porri nonnunquam cupidos, ut ne tu quidem ita leporum et aprorum.

29. Mitto dicere quæ illos alia excruciant, filius corruptus, aut uxor amans servum, aut puer necessitate potius præbens quam amore. Ac multa sunt in universum, quorum vos ignari aurum modo illorum spectatis et purpuram: et si quando videtis illos albis equis vehentes, hiatis atque adoratis. Si vero despiceretis ea et contemneretis, nec adverteret vos argenteum carpentum, nec inter agendum

μεταξὺ διαλεγομένων εἰς τὸν ἐν τῷ δακτυλίῳ σμάραγδον ἀφεωρᾶτε καὶ τῶν ἱματίων παραπτόμενοι τὸ μαλακὸν ἐθαυμάζετε, ἀλλ' εἴατε καθ' ἑαυτοὺς πλουτεῖν, εὖ ἴστε, αὐτοὶ ἐφ' ὑμᾶς ἰόντες ἐδέοντο συνδειπνεῖν, ὡς ἐπιδείξαιντο ὑμῖν τὰς κλίνας καὶ τὰς τραπέζας καὶ τὰ ἐκπώματα, ὧν οὐδὲν ὄφελος, εἰ ἀμάρτυρος ἡ κτῆσις εἴη.

30. Τά γέ τοι πλεῖστα εὕροιτε ἂν αὐτοὺς ὑμῶν ἕνεκα κτωμένους, οὐχ ὅπως αὐτοὶ χρήσωνται, ἀλλ' ὅπως ὑμεῖς θαυμάζοιτε. Ταῦτα ὑμᾶς παραμυθοῦμαι εἰδὼς τὸν βίον ἑκάτερον, καὶ ἄξιον ἑορτάζειν ἐνθυμουμένους ὅτι μετ' ὀλίγον ἅπαντας δεήσει ἀπιέναι ἐκ τοῦ βίου κἀκείνους τὸν πλοῦτον καὶ ὑμᾶς τὴν πενίαν ἀφέντας. Πλὴν ἐπιστελῶ γε αὐτοῖς ὥσπερ ὑπεσχόμην, καὶ οἶδ' ὅτι οὐκ ὀλιγωρήσουσι τῶν ἐμῶν γραμμάτων.

3.

31. ΚΡΟΝΟΣ ΤΟΙΣ ΠΛΟΥΣΙΟΙΣ ΧΑΙΡΕΙΝ. Οἱ πένητες ἐναγχος ἐπεστάλκασί μοι αἰτιώμενοι ὑμᾶς μὴ μεταδιδόναι σφίσιν ὧν ἔχετε, καὶ τὸ μὲν ὅλον ἠξίουν με κοινὰ πᾶσι ποιεῖν τἀγαθὰ καὶ τὸ μέρος ἕκαστον αὐτῶν ἔχειν· δίκαιον γὰρ εἶναι ἰσοτιμίαν καθεστηκέναι καὶ μὴ τῷ μὲν πλέον, τῷ δὲ μηδ' ὅλως μετεῖναι τῶν ἡδέων. Ἐγὼ δὲ περὶ μὲν τούτων ἔφην ἄμεινον σκέψασθαι τὸν Δία, περὶ δὲ τῶν παρόντων καὶ ὧν ἀδικεῖσθαι ᾤοντο κατὰ τὴν ἑορτὴν ἑώρων ἐπ' ἐμὲ καθήκουσαν τὴν κρίσιν, καὶ ὑπεσχόμην γράψειν πρὸς ὑμᾶς. Ἔστι δὲ ἅπερ ἀξιοῦσι ταῦτα μέτρια, ὡς ἐμοὶ ἔδοξε. Πῶς γὰρ, φασὶ, ῥιγοῦντες τοσούτῳ κρύει καὶ λιμῷ ἐχόμενοι προσέτι ἑορτάζοιμεν ἄν; Εἰ τοίνυν ἐθέλοιμι κἀκείνους μετέχειν τῆς ἑορτῆς, ἐκέλευόν με ἀναγκάσαι ὑμᾶς ἐσθήτων τε ὧν ἔχετε μεταδοῦναι αὐτοῖς, εἴ τινες περιττναὶ καὶ παχύτεραι ἢ καθ' ὑμᾶς, καὶ τοῦ χρυσίου ὀλίγον ἐπιστάξαι αὐτοῖς· εἰ γὰρ ταῦτα, φασὶ, ποιήσετε, μηδὲ ἀμφισβητεῖν ὑμῖν ἔτι τῶν ἀγαθῶν ἐπὶ τοῦ Διὸς, εἰ δὲ μὴ, ἀπειλοῦσι προσκαλέσασθαι ἐπὶ τὸν ἀναδασμὸν ἐπειδὰν τὸ πρῶτον δίκας ὁ Ζεὺς προθῇ. Ταῦτά ἐστιν οὐ πάνυ χαλεπὰ ὑμῖν ἀπὸ τοσούτων ἃ καλῶς ποιοῦντες ἔχετε.

32. Νὴ Δία καὶ τῶν δείπνων πέρι, ὡς συνδειπνοῖεν ὑμῖν, καὶ τοῦτο προστεθῆναι ἠξίουν τῇ ἐπιστολῇ, ὡς νῦν γε μόνους ὑμᾶς τρυφᾶν ἐπικλεισαμένους τὰς θύρας· εἰ δέ ποτε κἀκείνων τινὰς ἑστιᾶν διὰ μακροῦ ἐθελήσαιτε, πλέον τοῦ εὐφραίνοντος ἐνεῖναι τὸ ἀνιαρὸν τῷ δείπνῳ, καὶ τὰ πολλὰ ἐφ' ὕβρει αὐτῶν γίγνεσθαι, οἷον ἐκεῖνο τὸ μὴ τοῦ αὐτοῦ οἴνου συμπίνειν, Ἡράκλεις, ὡς ἀνελεύθερον· καὶ καταγιγνώσκειν αὐτῶν ἐκείνων ἄξιον, ὅτι μὴ μεταξὺ ἀναστάντες οἴχονται ὅλον ὑμῖν τὸ συμπόσιον καταλιπόντες. Ἀλλ' οὐδὲ ἐς κόρον ὅμως φασὶ πίνειν· τοὺς γὰρ οἰνοχόους ὑμῶν ὥσπερ τοὺς Ὀδυσσέως ἑταίρους κηρῷ βεβύσθαι τὰ ὦτα. Τὰ μὲν γὰρ ἄλλα οὕτως αἰσχρά ἐστιν ὥστε ὀκνῶ λέγειν, ἃ περὶ τῆς νομῆς τῶν κρεῶν αἰτιῶνται καὶ τῶν διακόνων ὑμῖν μὲν παρεστώτων, ἔστ' ἂν ὑπερεμφορηθῆτε, ἐκείνους δὲ παραθεόντων, καὶ ἄλλα πολλὰ τοιαῦτα μικροπρεπῆ καὶ ἥκιστα ἐλευ-

cum illis ad smaragdum in anulo respiceretis, et cum stupore quodam mollitiem vestium admiraremini, sed pro se divites illos esse pateremini; ipsi ad vos, bene noritis, venirent, ut secum cœnaretis rogarent, uti suos vobis lectos et mensas et pocula possent ostendere, quorum usus nullus est, si testibus careat possessio.

30. Certe pleraque vestra illos causa possidere videatis, non quo utantur ipsi, verum vos ut admiremini. Hæc consolandi vos causa scribo, qui utrumque vitæ genus norim. Et operæ pretium est solemne hoc a vobis celebrari cogitantibus abeundum esse paullo post de vita cunctis, relicta illis bonorum copia, vobis paupertate. Verum etiam illis scribam, ut promisi, et novi meas ab illis literas non neglectum iri.

3.

31. SATURNUS DIVITIBUS SALUTEM. Literas mihi nuper misere pauperes, quibus vos accusant, qui de vestris opibus nihil sibi impertiatis: atque in universum illud petiere, ut communia omnibus bona facerem, quorum æquam unusquisque partem haberet: par enim esse ut instituatur æqualitas, nec plus alius quam opus est, alius vero plane nihil suavitatis habeat. Respondi ego, de his Jovis potius inspectionem esse: de præsentibus autem et iis injuriis, quibus se per festos hosce dies affici a vobis putabant, ad me pertinere videbam judicium, et scripturum me vobis recepi. Sunt autem ea quæ a vobis postulant, ut mihi quidem videbatur, moderata. Quomodo enim, aiunt, rigentes tanto gelu, et fame pressi festos insuper dies agamus? Si vellem igitur ipsos quoque in partem celebrationis venire, voluerunt uti vos cogerem, quum de vestimentis, quæ habetis, sibi impertiri aliquid, si qua essent superflua, aut, quam vos deceat, crassiora; tum aliquantum auri ipsis instillare. Hæc si faciatis, negant se de bonis litem vobis apud Jovem moturos amplius: sin minus, ad divisionem se provocaturos minantur, ubi primum Jupiter judicium proposuerit. Hæc sunt non admodum difficilia vobis, de tantis, quas me non invidente habetis, opibus.

32. Sane etiam de cœnis, ut illas vobiscum capiant, etiam hoc epistolæ addi postularunt, nimirum vos nunc solos, clausis januis, delicate vivere: si vero quandoque etiam illorum quosdam convivio excipere post longum intervallum velletis, plus molestiarum quam hilaritatis cœnæ inesse, et pleraque ibi contumeliose in se fieri, ut illud, quod non de eodem vino bibant: Hercules! quam est hoc illiberale! atque reprehensione ipsi digni, qui non inter hæc surgant et discedentes vestrum vobis vos convivium habere jubeant. Sed ne vel sic quidem ad saturitatem se bibere aiunt: vestros enim pocillatores, ut illos Ulyssis socios, cera obturatas habere aures. Reliqua adeo sunt turpia, uti dicere ea dubitem, quæ de carnium divisione accusant et ministris, qui vobis quidem astent, dum ultra modum vos ingurgitetis, illos autem prætercurrant; atque alia de hoc genere multa, jejuna illa quidem, et minime

θέροις πρέποντα. Τὸ γοῦν ἥδιστον καὶ συμποτικώτερον ἡ ἰσοτιμία ἐστὶ, καὶ ὁ ἰσοδαίτης τούτου ἕνεκα ἡγεῖται ὑμῖν τῶν συμποσίων, ὡς τὸ ἴσον ἅπαντες ἔχοιεν.

33. Ὁρᾶτε οὖν ὅπως μηκέτι ὑμᾶς αἰτιάσωνται, ἀλλὰ τιμήσωσι καὶ φιλήσωσι τῶν ὀλίγων τούτων μεταλαμβάνοντες, ὧν ὑμῖν μὲν ἡ δαπάνη ἀνεπαίσθητος, ἐκείνοις δὲ ἐν καιρῷ τῆς χρείας ἡ δόσις ἀείμνηστος. Ἄλλως τε οὐδ' ἂν οἰκεῖν δύναισθε τὰς πόλεις μὴ οὐχὶ καὶ πενήτων συμπολιτευομένων καὶ μυρία πρὸς τὴν εὐδαιμονίαν ὑμῖν συντελούντων, οὐδ' ἂν ἔχοιτε τοὺς θαυμάζοντας ὑμῶν τὸν πλοῦτον, ἢν μόνοι καὶ ἰδίᾳ καὶ ὑπὸ σκότῳ πλουτῆτε. Ἰδέτωσαν οὖν πολλοὶ καὶ θαυμασάτωσαν ὑμῶν τὸν ἄργυρον καὶ τὰς τραπέζας καὶ προπινόντων φιλοτησίας, μεταξὺ πίνοντες περισκοπείτωσαν τὸ ἔκπωμα καὶ τὸ βάρος ἱστάτωσαν αὐτοὶ διαβαστάσαντες καὶ τῆς ἱστορίας τὸ ἀκριβὲς καὶ τὸν χρυσὸν ὅσος, ὃς ἐπανθεῖ τῇ τέχνῃ. Πρὸς γὰρ τῷ χρηστοὺς καὶ φιλανθρώπους ἀκούειν καὶ τοῦ φθονεῖσθαι ὑπ' αὐτῶν ἔξω γενήσεσθε. Τίς γὰρ ἂν φθονήσειε τῷ κοινωνοῦντι καὶ διδόντι τῶν μετρίων; τίς δ' οὐκ ἂν εὔξαιτο εἰς τὸ μήκιστον διαβιῶναι αὐτὸν ἀπολαύοντα τῶν ἀγαθῶν; Ὡς δὲ νῦν ἔχετε, ἀμάρτυρος μὲν ἡ εὐδαιμονία, ἐπίφθονος δὲ ὁ πλοῦτος, ἀηδὴς δὲ ὁ βίος.

34. Οὐδὲ γὰρ οὐδὲ ὁμοίως ἡδύ, οἶμαι, μόνον ἐμπίπλασθαι, ὥσπερ τοὺς λέοντάς φασι καὶ τοὺς μονιοὺς τῶν λύκων, καὶ συνόντας δεξιοῖς ἀνδράσι καὶ πάντα χαρίζεσθαι πειρωμένοις, οἳ πρῶτα μὲν οὐ κωφὸν καὶ ἄφωνον ἐάσουσι τὸ συμπόσιον εἶναι, ἀλλ' ἐν μύθοις συμποτικοῖς καὶ σκώμμασιν ἀνεπαχθέσι καὶ φιλοφροσύναις ποικίλαις συνέσονται, οἷαι ἥδισται διατριβαί, φίλαι μὲν Διονύσῳ καὶ Ἀφροδίτῃ, φίλαι δὲ Χάρισιν· ἔπειτα δὲ πρὸς ἅπαντας ἐς τὴν ὑστεραίαν διηγούμενοι ὑμῶν τὴν δεξιότητα φιλεῖσθαι παρασκευάσουσι. Ταῦτα πολλοῦ πρίασθαι καλῶς εἶχεν.

35. Ἐπεὶ ἐρήσομαι ὑμᾶς, εἰ μύοντες οἱ πένητες βαδίζοιεν — ὑποθώμεθα γὰρ οὕτως — οὐκ ἂν ὑμᾶς ἠνίασεν οὐκ ἔχοντας οἷς ἐπιδείξαισθε τὰς ἁλουργεῖς ἐσθῆτας καὶ τῶν ἀκολουθούντων τὸ πλῆθος ἢ τῶν δακτυλίων τὸ μέγεθος; Ἐῶ λέγειν ὡς καὶ ἐπιβουλὰς καὶ μίση παρὰ τῶν πενήτων ἀναγκαῖον ἐγγίγνεσθαι πρὸς ὑμᾶς, ἢν μόνοι τρυφᾶν ἐθέλητε· ἃ μὲν γὰρ εὔξασθαι καθ' ὑμῶν ἀπειλοῦσιν, ἀποτρόπαια, μηδὲ γένοιτο εἰς ἀνάγκην αὐτοὺς καταστῆναι τῆς εὐχῆς· ἐπεὶ οὔτε ἀλλάντων γεύσεσθε οὔτε πλακοῦντος ἢ εἴ τι λείψανον τῆς κυνὸς, ἡ φακῆ δὲ ὑμῖν σαπέρδην ἐντετηκότα ἕξει, ὗς δὲ καὶ ἔλαφος ὀπτώμενοι μεταξὺ ὁρασμὸν βουλεύσουσιν ἐκ τοῦ ὀπτανείου ἐς τὸ ὄρος, καὶ ὄρνεις ψύττα κατατείνασαι ἄπτεροι καὶ αὖται παρ' αὐτοὺς τοὺς πένητας ἐκπετήσονται· τὸ δὲ μέγιστον, οἱ ὡραιότατοι τῶν οἰνοχόων φαλακροὶ ἐν ἀκαρεῖ τοῦ χρόνου ὑμῖν γενήσονται, ἐπὶ κατεαγότι καὶ ταῦτα τῷ ἀμφορεῖ. Πρὸς τάδε βουλεύεσθε ἃ καὶ τῇ ἑορτῇ πρέποντα γένοιτ' ἂν καὶ ὑμῖν ἀσφαλέστατα, καὶ ἐπικουφίζετε πολλὴν τὴν πενίαν αὐτοῖς ἀπ' ὀλίγου τελέσματος φίλους οὐ μειπτοὺς ἕξοντες.

digna liberalibus. Suavissimum enim et maxime convivale est illa æqualitas: et præest hanc ob causam conviviis vestris æquus ille dapium divisor (Bacchus), ut æquum omnes habeant.

33. Curate igitur ut non amplius vos accusent, sed honorent potius amentque, minutorum istorum participes, quorum quidem vos sumtum non sentiatis; quæ tamen, ut munus opportuno adeo ad usum tempore datum, perpetua ipsi memoria prosequantur. Et alioquin ne habitare quidem urbes possitis, nisi et pauperes habeatis in civitate, qui innumerabilia vobis ad felicitatem conferant; neque habeatis qui divitias admirentur vestras, si soli et privatim et in tenebris sitis divites. Videant igitur multi et admirentur argentum vestrum et mensas, et amicitiæ poculum sibi invicem propinent; atque inter bibendum considerent poculum, cujus pondus ipsi manu librando explorent, et argumentum quam accurate expressum sit, et quantum auri in illo artificio niteat. Præterquam enim, quod mansueti et humani audietis, etiam extra invidiam illorum eritis positi. Quis enim invideat ei qui impertiat quod æquum est, atque donet? quis vero non optet quam longissime illum extendere ævum et bonis suis frui? Ut vero nunc habetis, teste caret vestra felicitas, invidiæ opportunæ sunt vestræ divitiæ, suavitatis vita vestra expers.

34. Neque enim æque jucundum, puto, est impleri solum, quod de leonibus aiunt et de genere luporum solivago, atque in convictu hominum dextrorum et gratiam inire omnibus in rebus studentium: qui primo non patientur convivium esse mutum et vocis expers, sed in fabulis convivalibus, et jocis non molestis, et vario genere comitatis una versabuntur; quod genus suavissimæ consuetudinis Baccho amicum et Veneri, amicum Gratiis. Tum vero postridie narranda apud omnes dexteritate vestra amorem vobis conciliabunt. Hæc vel magno redimere bonum fuerit.

35. Namque interrogabo vos, si clausis oculis incederent pauperes (ponamus enim hoc), nonne vobis id molestum esset? non habentibus nempe quibus ostenderetis vestes purpureas, et pedissequorum turbam, aut magnitudinem anulorum. Omitto dicere, fieri non posse quin insidiæ et odia contra vos concipiant pauperes, si vivere in deliciis soli velitis. Quæ enim se vota contra vos facturos minantur, abominanda sunt; et absit ut in necessitatem vovendi talia deveniant: nam neque farcimen tum gustabitis, neque placentam, nisi si quid forte canis reliquerit; lenticula vobis saperdæ tabem habebit; aper et cervus interea dum assantur, fugam de culina meditabuntur in saltum; et gallinæ, ilicet! contentis alis etiam inplumes ad ipsos pauperes avolabunt: quod vero maximum, pincernarum formosissimi, calvi vobis uno momento fient, idque fracta insuper amphora. Ad hæc statuite quæ tum dies festos decentia, tum vobis sint tutissima; et multam illis paupertatem levate, quos parva pensione interposita amicos habebitis minime contemnendos.

4. 4

36. ΟΙ ΠΛΟΥΣΙΟΙ ΤΩ ΚΡΟΝΩ ΧΑΙΡΕΙΝ. Πρὸς γὰρ σὲ οἴει μόνον ὑπὸ τῶν πενήτων ταῦτα γεγράφθαι, ὦ Κρόνε, οὐχὶ δὲ καὶ ὁ Ζεὺς ἤδη ἐκκεκώφηται πρὸς αὐτῶν ἀναβοώντων καὶ αὐτὰ δὴ ταῦτα τὸν ἀναδασμὸν ἀξιούντων γενέσθαι καὶ αἰτιωμένων τήν τε εἱμαρμένην ὡς ἄνισον τὴν νομὴν πεποιημένην καὶ ἡμᾶς ὅτι μηδενὸς αὐτοῖς μεταδιδόναι ἀξιοῦμεν; Ἀλλ' οἶδεν ἐκεῖνος, ἅτε Ζεὺς ὢν, παρ' οἵστισιν ἡ αἰτία, καὶ διὰ τοῦτο παρακούει αὐτῶν τὰ πολλά. Σοὶ δὲ ὅμως ἀπολογησόμεθα, ἐπείπερ ἄρχεις γε νῦν ἡμῶν. Ἡμεῖς μὲν γὰρ ἅπαντα πρὸ ὀφθαλμῶν λαβόντες ἃ γέγραφας, ὡς καλὸν ἐπικουρεῖν ἀπὸ πολλῶν τοῖς δεομένοις καὶ ὡς ἥδιον συνεῖναι καὶ συνευωχεῖσθαι τοῖς πένησιν, ἀεὶ διετελοῦμεν οὕτω ποιοῦντες ἰσοδίαιτοι καθεστῶτες, ὡς ἂν μηδὲ τὸν συνοἰαίτην αὐτὸν αἰτιάσασθαί τι.

37. Οἱ δὲ ὀλίγων ἐν ἀρχῇ δεῖσθαι φάσκοντες, ἐπειδήπερ ἅπαξ αὐτοῖς ἀνεπετάσαμεν τὰς θύρας, οὐκ ἀνίεσαν ἄλλα ἐπ' ἄλλοις αἰτοῦντες· εἰ δὲ μὴ πάντα εὐθὺς μηδὲ πρὸς ἕπος λαμβάνοιεν, ὀργὴ καὶ μῖσος καὶ πρόχειροι αἱ βλασφημίαι· κἂν εἴ τι ἐπιψεύδοιντο ἡμῖν, ἀλλ' οἵ γε ἀκούοντες ἐπίστευον ἂν ὡς ἀκριβῶς εἰδόσιν ἐκ τοῦ συγγεγονέναι. Ὥστε δυοῖν θάτερον, ἢ μὴ διδόντα ἐχθρὸν εἶναι πάντως ἔδει ἢ πάντα προϊέμενον αὐτίκα μάλα πένεσθαι καὶ τῶν αἰτούντων καὶ αὐτὸν εἶναι.

38. Καὶ τὰ μὲν ἄλλα μέτρια· ἐν δὲ τοῖς δείπνοις αὐτοῖς ἀμελήσαντες τοῦ ἐμπίπλασθαι καὶ γαστρίζεσθαι καὶ αὐτοὶ, ἐπειδὰν πλεῖον τοῦ ἱκανοῦ ἐμπίωσιν, ἢ παιδὸς ὡραίου μεταξὺ ἀναδόντος τὸ ἔκπωμα ἔνυξαν τὴν χεῖρα ἢ παλλακῇ ἢ γαμετῇ γυναικὶ ἐπεχείρησαν· εἶτα κατεμέσαντες τοῦ συμποσίου ἐς τὴν ὑστεραίαν λοιδοροῦνται ἡμῖν κατελθόντες, ὡς ἐδίψησαν καὶ ὡς λιμῷ συνῆσαν διηγούμενοι. Καὶ εἴ σοι ταῦτα καταψεύδεσθαι αὐτῶν δοκοῦμεν, τὸν ὑμέτερον παράσιτον ἀναμνήσθητι τὸν Ἰξίονα, ὃς ἀξιωθεὶς κοινῆς τραπέζης, ἀξίωμα ἴσον ἔχων ὑμῖν, τῇ Ἥρᾳ μεθυσθεὶς ἐπεχείρει ὁ γενναῖος.

39. Ταῦτ' ἐστὶ καὶ τὰ τοιαῦτα, ὑφ' ὧν ἡμεῖς ἐβουλευσάμεθα πρὸς τὸ λοιπὸν ἀσφαλείας τῆς ἡμετέρας ἕνεκα μηκέτι ἐπιβατὸν αὐτοῖς ποιεῖν τὴν οἰκίαν. Εἰ δὲ ἐπὶ σοῦ συνθοῖντο μετρίων δεήσεσθαι, ὥσπερ νῦν φασι, μηδὲν δὲ ὑβριστικὸν ἐν τοῖς συμποσίοις ἐργάσεσθαι, κοινωνούντων ἡμῖν καὶ συνδειπνούντων τύχῃ τῇ ἀγαθῇ. Καὶ τῶν ἱματίων, ὡς σὺ κελεύεις, πέμψομεν καὶ τοῦ χρυσίου ὁπόσον οἷόν τε καὶ προσδαπανήσομεν, καὶ ὅλως οὐδὲν ἐλλείψομεν· καὶ αὐτοὶ δὲ ἀφέμενοι τοῦ κατὰ τέχνην ὁμιλεῖν ἡμῖν φίλοι ἀντὶ κολάκων καὶ παρασίτων ἔστωσαν. Ὡς ἡμᾶς γε οὐδὲν ἂν αἰτιάσαιο κἀκείνων τὰ δέοντα ποιεῖν ἐθελόντων.

36. DIVITES SATURNO SALUTEM. Nimirum ad te solum scripta esse a pauperibus ista, Saturne, existimas? nonne etiam Jupiter diu est quum ab istis obtunditur clamantibus eadem omnia, novam divisionem fieri postulantibus, et fatum accusantibus, quod inæqualem divisionem fecerit, et nos, qui nihil impertiri illis dignemur? Verum novit ille, ut qui sit Jupiter, penes utros culpa sit, et ob id ipsum preces illorum surda fere aure transmittit. Interim tamen causam apud te, qui nunc quidem nobis imperes, dicemus. Nos enim, quibus quæ scripsisti ante oculos versarentur omnia, quam pulchrum esset auxilium ferre de sua copia indigentibus; esseque suavius, versari cum pauperibus atque una epulari: semper faciebamus ita, æquo ipsi victu utentes, adeo ut quod accusaret, ne ipse quidem haberet convictor.

37. At isti, qui paucis initio opus se habere dixerant, quum semel fores iis aperuissemus, alia super alia petere non desierunt: si vero non omnia statim neque in ipso verbo acciperent, ira, et odium, et maledicta in promtu. Adeo si quid per mendacium nobis affingerent, credebant tamen qui audirent, velut accurate ipso ex convictu scientibus. Itaque alterum de duobus, aut, si nihil dares, inimicum omnino esse oportebat; aut, si omnia illis diripienda permitteres, ipsum fieri statim pauperem, et unum eorum qui ab aliis peterent.

38. Ac reliqua tolerabilia: in ipsis vero cœnis, non satis habentes impleri et ingurgitare se nobiscum, ubi plus quam satis esset bibissent, vel formosi pueri, dum poculum præbet, manum strinxerunt, vel pellicem aut conjugem tentare sunt ausi. Deinde ubi vomitu opplevere triclinium, postridie maledictis nos perstringunt, quam sitierint, quam famis convictores fuerint, enarrantes. Et si hæc tibi mentiri contra eos videmur, vestri illius parasiti recordare, Ixionis, qui communi dignatus mensa, dignationem æqualem vobis habens, ebrius quum esset, Junonis pudorem tentavit vir fortis.

39. Hæc sunt et talia, quibus inducti decrevimus in posterum, nostræ securitatis causa, non amplius accessum illis in nostras domus præbere. Si vero te arbitro ac vindice spondeant moderata se, uti nunc aiunt, petituros, neque contumeliosum quicquam admissuros in conviviis, in communionem veniunto, et, quod bene vertat, nobiscum epulantor. Etiam de vestibus, ut imperas, mittemus, ac de auro etiam, quantum æquum fuerit, insuper impendemus: atque in universum, nulla in parte deficiemus. Verum ipsi ex arte nobiscum agere desinunto, pro adulatoribus et parasitis sunto amici. Itaque nos, si et isti facere officium voluerint, nulla in re accusabis.

LXXI.

ΣΥΜΠΟΣΙΟΝ Η ΛΑΠΙΘΑΙ.

ΦΙΛΩΝ ΚΑΙ ΛΥΚΙΝΟΣ.

1. ΦΙΛ. Ποικίλην, ὦ Λυκῖνε, διατριβήν φασι γεγενῆσθαι ὑμῖν χθὲς ἐν Ἀρισταινέτου παρὰ τὸ δεῖπνον καί τινας λόγους φιλοσόφους εἰρῆσθαι καὶ ἔριν οὐ σμικρὰν συστῆναι ἐπ' αὐτοῖς, εἰ δὲ μὴ ἐψεύδετο Χαρῖνος, καὶ ἄχρι τραυμάτων προχωρῆσαι τὸ πρᾶγμα καὶ τέλος αἵματι διαλυθῆναι τὴν συνουσίαν.

ΛΥΚ. Καὶ πόθεν, ὦ Φίλων, ἠπίστατο Χαρῖνος ταῦτα; οὐ γὰρ συνεδείπνει μεθ' ἡμῶν.

ΦΙΛ. Διονίκου ἔφη τοῦ ἰατροῦ ἀκοῦσαι. Διόνικος δὲ καὶ αὐτὸς, οἶμαι, τῶν συνδείπνων ἦν.

ΛΥΚ. Καὶ μάλα· οὐ μὴν ἐξ ἀρχῆς γε οὐδ' αὐτὸς ἅπασι παρεγένετο, ἀλλὰ ὀψὲ μεσούσης σχεδὸν ἤδη τῆς μάχης ἐπέστη ὀλίγον πρὸ τῶν τραυμάτων. Ὥστε θαυμάζω εἴ τι σαφὲς εἰπεῖν ἐδύνατο μὴ παρακολουθήσας ἐκείνοις ἀφ' ὧν ἀρξαμένη ἐς τὸ αἷμα ἐτελεύτησεν αὐτοῖς ἡ φιλονεικία.

2. ΦΙΛ. Τοιγαροῦν, ὦ Λυκῖνε, καὶ ὁ Χαρῖνος αὐτὸς, εἰ βουλοίμεθα τἀληθῆ ἀκοῦσαι καὶ ὅπως ἐπράχθη ἕκαστα, παρὰ σὲ ἡμᾶς ἧκειν ἐκέλευσε. Καὶ τὸν Διόνικον γὰρ αὐτὸν εἰπεῖν ὡς αὐτὸς μὲν οὐ παραγένοιτο ἅπασι, σὲ δὲ ἀκριβῶς εἰδέναι τὰ γεγενημένα καὶ τοὺς λόγους αὐτοὺς ἀπομνημονεῦσαι ἅτε μὴ παρέργως τῶν τοιούτων, ἀλλ' ἐν σπουδῇ ἀκροώμενον. Ὥστε οὐκ ἂν φθάνοις ἑστιῶν ἡμᾶς ἡδίστην ταύτην ἑστίασιν, ἧς οὐκ οἶδ' ἂν τίς ἡδίων ἔμοιγε, καὶ μάλιστα ὅσῳ νήφοντες ἐν εἰρήνῃ καὶ ἀναιμωτὶ ἔξω βέλους ἑστιασόμεθα, εἴτε γέροντες ἐπαρῴνησάν τι παρὰ τὸ δεῖπνον εἴτε νέοι εἰπεῖν τε ὅσα ἥκιστα ἐχρῆν ὑπὸ τοῦ ἀκράτου προαχθέντες καὶ πρᾶξαι.

3. ΛΥΚ. Νεανικώτερα ἡμᾶς, ὦ Φίλων, ἀξιοῖς ἐκφέρειν ταῦτα πρὸς τοὺς πολλοὺς καὶ ἐπεξιέναι διηγουμένους πράγματα ἐν οἴνῳ καὶ μέθῃ γενόμενα, δέον λήθην ποιήσασθαι αὐτῶν καὶ νομίζειν ἐκεῖνα πάντα θεοῦ ἔργα τοῦ Διονύσου εἶναι, ὃς οὐκ οἶδα εἴ τινα τῶν αὑτοῦ ὀργίων ἀτέλεστον καὶ ἀβάκχευτον περιεῖδεν. Ὅρα οὖν μὴ κακοήθων τινῶν ἀνθρώπων ᾖ τὸ ἀκριβῶς τὰ τοιαῦτα ἐξετάζειν, ἃ καλῶς ἔχει ἐν τῷ συμποσίῳ καταλιπόντας ἀπαλλάττεσθαι. « Μισῶ » γὰρ, φησὶ καὶ ὁ ποιητικὸς λόγος, « μνάμονα συμπόταν. » Καὶ οὐδὲ ὁ Διόνικος ὀρθῶς ἐποίησε πρὸς τὸν Χαρῖνον ταῦτα ἐξαγορεύσας καὶ πολλὴν τὴν εὐωλοκρασίαν κατασκεδάσας ἀνδρῶν φιλοσόφων. Ἐγὼ δὲ, ἄπαγε, οὐκ ἄν τι τοιοῦτον εἴποιμι.

4. ΦΙΛ. Θρύπτῃ ταῦτα, ὦ Λυκῖνε. Ἀλλ' οὔτι γε πρὸς ἐμὲ οὕτω ποιεῖν ἐχρῆν, ὃς ἀκριβῶς πολὺ πλέον ἐπιθυμοῦντά σε εἰπεῖν οἶδα ἢ ἐμὲ ἀκοῦσαι, καί μοι δοκεῖς, εἰ ἀπορήσειας τῶν ἀκουσομένων, κἂν πρὸς κίονά τινα ἢ πρὸς ἀνδριάντα ἡδέως ἂν προσελθὼν ἐκχέαι

LXXI.

CONVIVIUM SEU LAPITHÆ.

PHILON ET LYCINUS.

1. PHIL. Varia vos ratione tempus fefellisse aiunt, Lycine, heri in cœna apud Aristænetum, et philosophos quosdam sermones habitos, et contentionem non parvam super iis ortam, ac, si non mentitus est Charinus, ad vulnera usque rem processisse, ac tandem sanguine dissolutam disputationem.

LYC. Et unde, mi Philo, sciebat ista Charinus? neque enim nobiscum cœnavit.

PHIL. E Dionico se dicebat audisse medico. Fuit autem, puto, ipse inter convivas Dionicus.

LYC. Omnino; neque tamen ab initio inde omnibus ipse quoque interfuit; sed sero, media fere jam pugna, paullo ante vulnera supervenit. Itaque miror si quid satis certum dicere potuit, qui non interfuerit iis, a quibus cœpta contentio in sanguinem illis exiit.

2. PHIL. Itaque, Lycine, ipse quoque Charinus, si vera audire et ut acta sint singula vellemus, ad te nos ire jussit : Dionicum enim dixisse ipsum, se non interfuisse omnibus; te vero, quicquid actum sit, accurate scire, et ipsos sermones memoria complexum, quippe qui non obiter talia, sed studiose audire soleas. Itaque haud effugies quin epulo hoc nos jucundissimo excipias, quo equidem certe nullum novi jucundius : idque eo magis, quod sobrii in pace et sine sanguine, extra teli jactum epulabimur, sive senes vinolento furore turbarint convivium, sive juvenes, inducti nempe a mero et dicere quæ minime opus erat, et facere.

3. LYC. Nimis tu, Philo, acriter a nobis petis, ut in vulgus efferamus ista et persequamur, narrandis quæ per vinum atque ebrietatem facta sunt, quum oblivioni mandanda potius et dei Bacchi opera putanda sint omnia; qui nescio an quenquam suis orgiis non initiatum, neque operatum Bacchicis sacris prætermittat. Vide igitur ne malignorum sit hominum accurate exquirere talia, quibus in ipso convivio relictis decet discedere. Namque « Odi, » ut habet etiam poeticum verbum, « convivam memorem. » Nec recte Dionicus fecit, quod apud Charinum ista elocutus est, et hesternæ cœnæ reliquiis multis perfudit viros philosophos. Ego vero absit ne quid dicam ejusmodi.

4. PHIL. En delicias facis, Lycine. Sed apud me certe hoc agere non conveniebat, qui certo sciam te multo malle narrare hoc mihi, quam me audire : ac videris mihi, si non habeas qui audire velint, vel ad columnam statuamve cupide accessurus effusurusque uno spiritu conserens

πάντα συνείρων ἀμυστί. Εἰ γοῦν ἐθελήσω ἀπαλλάττεσθαι νῦν, οὐκ ἐάσεις με ἀνήκοον ἀπελθεῖν, ἀλλ' ἔξει καὶ παρακολουθήσεις καὶ δεήσει. Κἀγὼ θρύψομαι πρὸς σὲ ἐν τῷ μέρει· καὶ εἴ γε δοκεῖ, ἀπίωμεν ἄλλου αὐτὰ πευσόμενοι, σὺ δὲ μὴ λέγε.

ΛΥΚ. Μηδὲν πρὸς ὀργήν· διηγήσομαι γάρ, ἐπείπερ οὕτω προθυμῇ, ἀλλ' ὅπως μὴ πρὸς πολλοὺς ἐρεῖς.

ΦΙΛ. Εἰ μὴ παντάπασιν ἐγὼ ἐπιλέλησμαι Λυκίνου, αὐτὸς σὺ ἄμεινον ποιήσεις αὐτὸ καὶ φθάσεις εἰπὼν ἅπασιν, ὥστε οὐδὲν ἐμοῦ δεήσει.

5. Ἀλλ' ἐκεῖνό μοι πρῶτον εἰπέ, τῷ παιδὶ τῷ Ζήνωνι ὁ Ἀρισταίνετος ἀγόμενος γυναῖκα εἱστία ὑμᾶς;

ΛΥΚ. Οὐκ, ἀλλὰ τὴν θυγατέρα ἐξεδίδου αὐτὸς τὴν Κλεανθίδα τῷ Εὐκρίτου τοῦ δανειστικοῦ τῷ φιλοσοφοῦντι.

ΦΙΛ. Παγκάλῳ νὴ Δία μειρακίῳ, ἁπαλῷ γε μὴν ἔτι καὶ οὐ πάνυ καθ' ὥραν γάμων.

ΛΥΚ. Ἀλλ' οὐκ εἶχεν ἄλλον ἐπιτηδειότερον, οἶμαι. Τοῦτον οὖν κόσμιόν τε εἶναι δοκοῦντα καὶ πρὸς φιλοσοφίαν ὡρμημένον, ἔτι δὲ μόνον ὄντα πλουσίῳ τῷ Εὐκρίτῳ, προείλετο νυμφίον ἐξ ἁπάντων.

ΦΙΛ. Οὐ μικρὰν λέγεις αἰτίαν τὸ πλουτεῖν τὸν Εὔκριτον. Ἀτὰρ οὖν, ὦ Λυκῖνε, τίνες οἱ δειπνοῦντες ἦσαν;

6. ΛΥΚ. Τοὺς μὲν ἄλλους τί ἄν σοι λέγοιμι; οἱ δὲ ἀπὸ φιλοσοφίας καὶ λόγων, οὕσπερ ἐθέλεις, οἶμαι, ἀκοῦσαι μάλιστα, Ζηνόθεμις ἦν ὁ πρεσβύτης ὁ ἀπὸ τῆς στοᾶς καὶ ξὺν αὐτῷ Δίφιλος ὁ λαβύρινθος ἐπίκλην, διδάσκαλος οὗτος ὢν τοῦ Ἀρισταινέτου υἱέος τοῦ Ζήνωνος· τῶν δὲ ἀπὸ τοῦ περιπάτου Κλεόδημος, οἶσθα τὸν στωμύλον, τὸν ἐλεγκτικὸν, ξίφος αὐτὸν οἱ μαθηταὶ καὶ κοπίδα καλοῦσιν. Ἀλλὰ καὶ ὁ Ἐπικούρειος Ἕρμων παρῆν, καὶ εἰσελθόντα γε αὐτὸν εὐθὺς ὑπεβλέποντο οἱ Στωϊκοὶ καὶ ἀπεστρέφοντο καὶ δῆλοι ἦσαν ὥς τινα πατραλοίαν καὶ ἐναγῆ μυσαττόμενοι. Οὗτοι μὲν αὐτοῦ Ἀρισταινέτου φίλοι καὶ συνήθεις ὄντες παρεκέκληντο ἐπὶ δεῖπνον καὶ ξὺν αὐτοῖς ὁ γραμματικὸς Ἱστιαῖος καὶ ὁ ῥήτωρ Διονυσόδωρος.

7. Διὰ δὲ τὸν νυμφίον τὸν Χαιρέαν Ἴων ὁ Πλατωνικὸς συνειστιᾶτο διδάσκαλος αὐτοῦ ὤν, σεμνός τις ἰδεῖν καὶ θεοπρεπὴς καὶ πολὺ τὸ κόσμιον ἐπιφαίνων τῷ προσώπῳ· κανόνα γοῦν οἱ πολλοὶ ὀνομάζουσιν αὐτὸν εἰς τὴν ὀρθότητα τῆς γνώμης ἀποβλέποντες. Καὶ ἐπεὶ παρῆλθεν, ὑπεξανίσταντο πάντες αὐτῷ καὶ ἐδεξιοῦντο ὥς τινα τῶν κρειττόνων, καὶ ὅλως θεοῦ ἐπιδημία τὸ πρᾶγμα ἦν Ἴων ὁ θαυμαστὸς συμπαρών.

8. Δέον δὲ ἤδη κατακλίνεσθαι ἁπάντων σχεδὸν παρόντων, ἐν δεξιᾷ μὲν εἰσιόντων αἱ γυναῖκες ὅλον τὸν κλιντῆρα ἐκεῖνον ἐπέλαβον, οὐκ ὀλίγαι οὖσαι, καὶ ἐν αὐταῖς ἡ νύμφη πάνυ ἀκριβῶς ἐγκεκαλυμμένη, ὑπὸ τῶν γυναικῶν περιεχομένη· ἐς δὲ τὸ ἀντίθυρον ἡ ἄλλη πληθὺς, ὡς ἕκαστος ἀξίας εἶχε.

9. Κατ' ἀντικρὺ δὲ τῶν γυναικῶν πρῶτος ὁ Εὔκριτος, εἶτα Ἀρισταίνετος. Εἶτα ἐνεδοιάζετο πότερον

omnia. Si proinde nunc velim discedere, tu minime sinas me nondum auditis illis abire; sed retineas, persequaris, roges. Hic ego vicissim faciam me delicatum apud te : et, si videtur, abeamus percontatum ista ex aliis; at tu noli dicere.

LYC. Nihil tu irate : narrabo enim, quandoquidem ita cupidus es; sed ne multis dicas.

PHIL. Nisi plane ego Lycini ingenium oblitus sum, ipse tu hoc melius feceris, et occupabis dicere omnibus, ut mea opera jam non sit opus.

5. Sed illud mihi dicito prius, filione suo Zenoni Aristænetus uxorem quum daret, convivio vos excepit?

LYC. Non; sed filiam ipse Cleanthidem Eucriti fœneratoris filio collocavit, philosophanti.

PHIL. Pulcherrimo, ita me Jupiter! adolescentulo, sed tenero adhuc et nondum nuptiis maturo.

LYC. Sed non habuit, puto, alium magis idoneum. Hunc igitur, qui et honestus esse videretur, et animum applicuisse ad philosophiam, insuper vero unicum in domo Eucriti divitis, sponsum præoptavit ex omnibus.

PHIL. Non parvam mihi narras causam, Eucriti divitias. Sed convivæ quinam erant, Lycine?

6. LYC. Reliquos quid tibi dicam? de philosophis autem atque eruditis, quos, puto, audire cupis maxime, erat Zenothemis ille senex de Porticu, et cum illo Diphilus cognomine Labyrinthus, Zenonis hic, Aristæneti filii, magister; de Peripateticis autem Cleodemus, nosti argutum illum et redarguendi peritum : Gladium et Falcem appellant discipuli. Verum Epicureus quoque Hermon aderat : quem statim quum ingrederetur, torvum intuebantur Stoici atque aversabantur, manifeste velut parricidam et impiatum hominem abominati. Hi tanquam Aristæneti ipsius amici et familiares invitati ad cœnam fuerant, et cum illis grammaticus Histiæus et Dionysodorus rhetor.

7. Propter sponsum vero Chæream Platonicus Ion una cœnabat, illius magister, venerabilis aspectu et augustus, ipso qui vultu multum præ se ferret honestatis : quare Canonem illum vocant vulgo, ad mentem viri semper rectam respicientes. Advenienti igitur assurgere omnes, et illum, tanquam ex superis aliquem, salutare : et omnino dei alicujus inter homines peregrinatio videbatur admirabilis illius Ionis præsentia.

8. Quum vero jam accumbendum esset, præsentibus fere omnibus, ad dextram intrantium totum illum lectum mulieres occupabant, quæ non paucæ aderant; et inter eas sponsa, accurate velata, circumdata mulieribus : in lecto vero januæ opposito cetera multitudo, pro sua quisque dignitate, accubuit.

9. E regione denique mulierum primus Eucritus, deinde Aristænetus. Deinde dubium erat, utrum priorem esse

χρὴ πρότερον Ζηνόθεμιν τὸν Στωϊκὸν ἅτε γέροντα ἢ Ἕρμωνα τὸν Ἐπικούρειον, ἱερεὺς γὰρ ἦν τοῖν ἀνάκοιν καὶ γένους τοῦ πρώτου ἐν τῇ πόλει. Ἀλλὰ ὁ Ζηνόθεμις ἔλυσε τὴν ἀπορίαν· Εἰ γάρ με, φησὶν, ὦ Ἀρισταίνετε, δεύτερον ἄξεις τουτουὶ τοῦ ἀνδρὸς, ἵνα μηδὲν ἄλλο κακὸν εἴπω, Ἐπικουρείου, ἄπειμι ὅλον σοι τὸ συμπόσιον καταλιπών· καὶ ἅμα τὸν παῖδα ἐκάλει καὶ ἐξιόντι ἐῴκει. Καὶ ὁ Ἕρμων, Ἔχε μέν, ὦ Ζηνόθεμι, τὰ πρῶτα, ἔφη· ἀτὰρ εἰ καὶ μηδέν τι ἕτερον, ἱερεῖ γε ὄντι ὑπεξίστασθαι καλῶς εἶχεν, εἰ καὶ τοῦ Ἐπικούρου πάνυ καταπεφρόνηκας. Ἐγέλασα, ἦ δ' ὅς ὁ Ζηνόθεμις, Ἐπικούρειον ἱερέα, καὶ ἅμα λέγων κατεκλίνετο καὶ μετ' αὐτὸν ὅμως ὁ Ἕρμων, εἶτα Κλεόδημος ὁ Περιπατητικὸς, εἶτα ὁ Ἴων καὶ ὑπ' ἐκεῖνον ὁ νυμφίος, εἶτ' ἐγὼ καὶ παρ' ἐμὲ ὁ Δίφιλος καὶ ὑπ' αὐτῷ Ζήνων ὁ μαθητὴς, εἶτα ὁ ῥήτωρ Διονυσόδωρος καὶ ὁ γραμματικὸς Ἱστιαῖος.

10. ΦΙΛ. Βαβαὶ, ὦ Λυκῖνε, μουσεῖόν τι τὸ συμπόσιον διηγῇ σοφῶν ἀνδρῶν τῶν πλείστων, καὶ ἔγωγε τὸν Ἀρισταίνετον ἐπαινῶ, ὅτι τὴν εὐκταιοτάτην ἑορτὴν ἄγων τοὺς σοφωτάτους ἑστιᾶν πρὸ τῶν ἄλλων ἠξίωσεν, ὅτιπερ τὸ κεφάλαιον ἐξ ἑκάστης αἱρέσεως ἀπανθισάμενος, οὐχὶ τοὺς μὲν, τοὺς δ' οὔ, ἀλλ' ἀναμὶξ ἅπαντας.

ΛΥΚ. Ἔστι γὰρ, ὦ ἑταῖρε, οὐχὶ τῶν πολλῶν τούτων πλουσίων, ἀλλὰ καὶ παιδείας μέλει αὐτῷ καὶ τὸ πλεῖστον τοῦ βίου τούτοις ξύνεστιν.

11. Εἰστιώμεθα οὖν ἐν ἡσυχίᾳ τὸ πρῶτον, καὶ παρεσκεύαστο ποικίλα. Πλὴν οὐδὲν οἶμαι χρὴ καὶ ταῦτα καταριθμεῖσθαι, χυμοὺς καὶ πέμματα καὶ καρυκείας· ἅπαντα γὰρ ἄφθονα. Ἐν τούτῳ δὲ ὁ Κλεόδημος ἐπικύψας ἐς τὸν Ἴωνα, Ὁρᾷς, ἔφη, τὸν γέροντα — Ζηνόθεμιν λέγων, ἐπήκουον γάρ — ὅπως ἐμφορεῖται τῶν ὄψων καὶ ἀναπέπλησται ζωμοῦ τὸ ἱμάτιον καὶ ὅσα τῷ παιδὶ κατόπιν ἑστῶτι ὀρέγει λανθάνειν οἰόμενος τοὺς ἄλλους, οὐ μεμνημένος τῶν μεθ' αὑτόν; δεῖξον οὖν καὶ Λυκίνῳ ταῦτα, ὡς μάρτυς εἴη. Ἐγὼ δὲ οὐδὲν ἐδεόμην δείξοντός μοι τοῦ Ἴωνος πολὺ πρότερον αὐτὰ ἐκ περιωπῆς ἑορακώς.

12. Ἅμα δὲ ταῦτα ὁ Κλεόδημος εἰρήκει καὶ ἐπεισέπαισεν ὁ Κυνικὸς Ἀλκιδάμας ἄκλητος, ἐκεῖνο τὸ κοινὸν ἐπιχαριεντισάμενος « τὸν Μενέλαον αὐτόματον ἥκοντα. » Τοῖς μὲν οὖν πολλοῖς ἀναίσχυντα ἐδόκει πεποιηκέναι καὶ ὑπέκρουον τὰ προχειρότατα, ὁ μὲν τὸ, « ἀφραίνεις, Μενέλαε, » ὁ δ',

Ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ,

καὶ ἄλλα πρὸς τὸν καιρὸν εὔστοχα καὶ χαρίεντα ὑποτονθορύζοντες· ἐς μέντοι τὸ φανερὸν οὐδεὶς ἐτόλμα λέγειν· ἐδεδοίκεσαν γὰρ τὸν Ἀλκιδάμαντα, βοὴν ἀγαθὸν ἀτεχνῶς ὄντα καὶ κρακτικώτατον κυνῶν ἁπάντων, παρ' ὃ καὶ ἀμείνων ἐδόκει καὶ φοβερώτατος ἦν ἅπασιν.

13. Ὁ δὲ Ἀρισταίνετος ἐπαινέσας αὐτὸν ἐκέλευε θρόνον τινὰ λαβόντα καθίζεσθαι παρ' Ἱστιαῖόν τε καὶ Διονυσόδωρον. Ὁ δὲ, Ἄπαγε, φησὶ, γυναικεῖον λέ-

deceret, Zenothemin Stoicum, quippe senem, an Hermonem Epicureum : sacerdos enim hic erat Castorum, et primi in civitate generis. Sed solvit dubitationem Zenothemis : etenim, Si me, inquit, post Hermonem duces, virum istum, ne quid aliud sinistri dicam, Epicureum, discedo, solidum tibi relinquo convivium : et cum dicto puerum vocabat et exiturus videbatur. Hic Hermon, Habe tibi, inquit, locum primum, Zenothemi : verum, si nihil aliud, sacerdoti certe decebat concedere, licet Epicurum omnino contemneres. Ridere lubet, inquit Zenothemis, sacerdotem Epicureum! et cum dicto accumbebat, et post ipsum tamen Hermon; tum Cleodemus Peripateticus, deinde Ion, et sub illo sponsus; tum ego, et juxta me Diphilus, et sub illo Zeno discipulus; postea Dionysodorus rhetor, et Histiæus grammaticus.

10. PHIL. Vah, Lycine, Museum quoddam mihi pro convivio narras sapientium plerorumque virorum. Ac laudo equidem Aristænetum, qui in celebritate omnium exoptatissima, sapientissimos accipere præ reliquis voluerit, delectis qui uniuscujusque sectæ flos sunt, non hinc quibusdam, reliquis non item, sed indiscretim omnibus.

LYC. Est enim, sodalis, non de vulgo divitum, sed eruditionis amans, et majorem vitæ partem versatur cum talibus.

11. Epulabamur ergo primum placide : ac parata fuerant varia; sed non opus est, arbitror, ea quoque recenseri, juscula et panificia et condimenta : copiosa enim omnia. Inter hæc vero Cleodemus ad Ionem se inclinans, Viden', inquit, senem (Zenothemin designabat; audiebam enim), ut ingurgitat se pulmentariis, quam oppleta jure illius vestis, et quanta stanti post se puero porrigat, dum non videri se putat ab reliquis, immemor illorum qui post se sunt? Ostende ergo ista etiam Lycino, ut sit testis. Ego vero nihil opus habebam ostensuro mihi Ione, qui multo prius illa tanquam e specula vidissem.

12. Adhuc dicebat ista Cleodemus, quum invocatus irruit Cynicus Alcidamas, communi illo venuste usus proverbio, « sponte venire Menelaum. » Plerisque ergo impudenter videbatur fecisse; itaque quæ in promtu erant maxime mussitantes subjiciebant, alius illud, « Heus Menelae, furis! » alius,

Verum Agamemnoniæ menti non ista placebant,

et alia tempori illi opportuna et venusta immurmurantes. Verum aperte dicere nemo audebat : timebant enim Alcidamantem, clamosum plane hominem et Cynicorum omnium vocalissimum; quam ob causam etiam videbatur superior ceteris et maxime formidabilis omnibus.

13. At collaudatum Aristænetus jussit sella capta assidere ad Histiæum atque Dionysodorum. Ille vero, Apage, inquit, muliebre quiddam jubes ac molle, in sella assidere,

γεις καὶ μαλθακὸν ἐπὶ θρόνου καθίζεσθαι ἢ σκίμποδος, ὥσπερ ὑμεῖς ἐπὶ μαλακῆς ταύτης εὐνῆς μικροῦ δεῖν ὑπτιοι κατακείμενοι ἑστιᾶσθε πορφυρίδας ὑποβεβλημένοι· ἐγὼ δὲ κἂν ὀρθοστάδην δειπνήσαιμι ἐμπεριπατῶν ἅμα τῷ συμποσίῳ· εἰ δὲ καὶ κάμοιμι, χαμαὶ τὸν τρίβωνα ὑποβαλλόμενος κείσομαι ἐπ' ἀγκῶνος οἷον τὸν Ἡρακλέα γράφουσιν. Οὕτως, ἔφη, γιγνέσθω, ὁ Ἀρισταίνετος, εἴ σοι ἥδιον. Καὶ τὸ ἀπὸ τούτου περιὼν ἐν κύκλῳ ὁ Ἀλκιδάμας ἐδείπνει ὥσπερ οἱ Σκύθαι πρὸς τὴν ἀφθονωτέραν νομὴν μετεξανιστάμενος καὶ τοῖς περιφέρουσι τὰ ὄψα συμπερινοστῶν.

14. Καὶ μέντοι καὶ σιτούμενος ἐνεργὸς ἦν ἀρετῆς πέρι καὶ κακίας μεταξὺ διεξιὼν καὶ ἐς τὸν χρυσὸν καὶ τὸν ἄργυρον ἀποσκώπτων· ἠρώτα γοῦν τὸν Ἀρισταίνετον, τί βούλονται αὐτῷ αἱ τοσαῦται καὶ τηλικαῦται κύλικες τῶν κεραμεῶν ἴσον δυναμένων. Ἀλλ' ἐκεῖνον μὲν ἤδη διενοχλοῦντα ἔπαυσεν ἐς τὸ παρὸν Ἀρισταίνετος τῷ παιδὶ νεύσας εὐμεγέθη σκύφον ἀναδοῦναι αὐτῷ ζωρότερον ἐγχέαντα· καὶ ἐδόκει ἄριστα ἐπινενοηκέναι οὐκ εἰδὼς ὅσων κακῶν ἀρχὴν ὁ σκύφος ἐκεῖνος ἐνεδεδώκει. Λαβὼν δὲ ἅμα ὁ Ἀλκιδάμας ἐσίγησε μικρὸν καὶ ἐς τοὔδαφος καταβαλὼν ἑαυτὸν ἔκειτο ἡμίγυμνος, ὥσπερ ἠπειλήκει, πήξας τὸν ἀγκῶνα ὀρθὸν, ἔχων ἅμα τὸν σκύφον ἐν τῇ δεξιᾷ, οἷος ὁ παρὰ τῷ Φόλῳ Ἡρακλῆς ὑπὸ τῶν γραφέων δείκνυται.

15. Ἤδη δὲ καὶ ἐς τοὺς ἄλλους συνεχῶς περιεσοβεῖτο ἡ κύλιξ καὶ φιλοτησίαι καὶ ὁμιλίαι καὶ φῶτα εἰσεκεκόμιστο. Ἐν τοσούτῳ δ' ἐγὼ τὸν παρεστῶτα τῷ Κλεοδήμῳ παῖδα οἰνοχόον ὄντα ὡραῖον ἰδὼν ὑπομειδιῶντα — χρὴ γὰρ, οἶμαι, καὶ ὅσα πάρεργα τῆς ἑστιάσεως εἰπεῖν, καὶ μάλιστα εἴ τι πρὸς τὸ γλαφυρώτερον ἐπράχθη — μάλα ἥδη παρεφύλαττον ὅ τι καὶ μειδιάσειε. Καὶ μετὰ μικρὸν ὁ μὲν προσῆλθεν ὡς ἀπολησόμενος παρὰ τοῦ Κλεοδήμου τὴν φιάλην, ὁ δὲ τόν τε δάκτυλον ἀπέθλιψεν αὐτοῦ καὶ δραχμὰς δύο, οἶμαι, συνανέδωκε μετὰ τῆς φιάλης· ὁ παῖς δὲ πρὸς μὲν τὸν δάκτυλον ὀλιβόμενον αὖθις ἐμειδίασεν, οὐ μὴν συνεῖδεν, οἶμαι, τὸ νόμισμα, ὥστε μὴ δεξαμένου ψόφον αἱ δύο δραχμαὶ παρέσχον ἐκπεσοῦσαι καὶ ἠρυθρίασαν ἅμφω μάλα σαφῶς. Ἠπόρουν δὲ οἱ πλησίον οὗτινος εἴη τὰ νομίσματα, τοῦ μὲν παιδὸς ἀρνουμένου μὴ ἀποβεβληκέναι, τοῦ δὲ Κλεοδήμου, καθ' ὃν ὁ ψόφος ἐγένετο, μὴ προσποιουμένου τὴν ἀπόρριψιν. Ἠμελήθη οὖν καὶ παρώφθη τοῦτο οὐ πάνυ πολλῶν ἰδόντων πλὴν μόνου, ὡς ἐμοὶ ἔδοξε, τοῦ Ἀρισταινέτου· μετέστησε γὰρ τὸν παῖδα μικρὸν ὕστερον ἀφανῶς ὑπεξαγαγὼν καὶ τῷ Κλεοδήμῳ τινὰ παραστῆναι διένευσε τῶν ἐξώρων ἤδη καὶ καρτερῶν, ὀρεωκόμον τινὰ ἢ ἱπποκόμον. Καὶ τοῦτο μὲν ὧδέ πως ἐκεχωρήκει, μεγάλης αἰσχύνης αἴτιον ἂν τῷ Κλεοδήμῳ γενόμενον, εἰ ἔφθη διαφοιτῆσαν εἰς ἅπαντας, ἀλλὰ μὴ κατέσβη αὐτίκα, δεξιῶς πάνυ τοῦ Ἀρισταινέτου τὴν παροινίαν ἐνέγκαντος.

16. Ὁ Κυνικὸς δὲ Ἀλκιδάμας, ἐπεπώκει γὰρ ἤδη, πυθόμενος ἥτις ἡ γαμουμένη παῖς ἐκαλεῖτο, σωπὴν

aut lecto, ut vos qui in molli isto cubili tantum non supini accumbentes epulamini, subjecta veste purpurea. At ego vel erecto corpore cœnaverim, inambulans simul in cœnatione; fessus autem, humi subjecto palliolo, cubito nixus jacebo, qualem pingunt Herculem. Sic fiat, inquit Aristænetus, si mavis ita. Ab eo tempore per orbem circumiens Alcidamas cœnabat, castra subinde, ut Scythæ solent, ad copiosiorem pastum transferens, et circumferentes obsonia ministros prosequens.

14. Verum dum pascitur, operosus tamen erat, qui de virtute et vitio interim disputaret, et aurum atque argentum haberet derisui. Interrogabat enim Aristænetum, quid sibi vellent ipsius tot ac tanti pretii calices, quum figlinorum idem esset usus. Sed illum, quum jam molestus esse inciperet, ad quietem in præsentia redegit Aristænetus, quod innueret puero uti scyphum illi daret bene magnum, infunderetque meracius. Ac videbatur sibi pulchrum quiddam excogitasse, nesciens quantorum scyphus iste malorum initium dedisset. Ceterum sumto illo tacuit paullulum Alcidamas, atque humi abjectus jacuit seminudus, ut minatus fuerat, erecto nixus cubito, tenens dextra scyphum, qualis ille apud Pholum Hercules a pictoribus ostenditur.

15. Jam vero ad ceteros etiam frequenter commeare calix, jam amicitiæ pocula, et confabulationes; jam inferri lumina. Inter hæc ego astantem Cleodemo puerum, pocillatorem formosum, subridere videns (oportet enim, puto, etiam si qua præter ipsam quasi substantiam convivii acciderunt, ea dicere, inprimis si quid actum est venustius), diligenter jam observabam quid demum rideret. Neque ita multo post ille quidem accessit velut recepturus a Cleodemo phialam : hic vero et digitum illius strinxit, et drachmas puto duas dedit una cum phiala. Puer ad digitum quidem strictum ridere denuo, sed pecuniam, puto, non observavit : illo itaque non sumente, strepitum cadentes duæ drachmæ dederunt, utrisque, quod aperte observares, erubescentibus. Dubitabant proximi, utrius essent nummi, negante puero sibi excidisse, Cleodemo autem, apud quem fuerat strepitus, a se abjectos dissimulante. Neglectum itaque hoc et prætermissum, quod non multi vidissent, præter solum, ut mihi videbatur, Aristænetum : nam alio concedere puerum paullo post, et nemine sentiente jussit exire; Cleodemo autem astare nutu imperavit aliquem de exoletis jam et robustis, mulionem quendam aut equisonem. Et hoc quidem sic abiit, magnæ sane ignominiæ Cleodemo futurum, si prius inter omnes percrebuisset, neque exstinctum statim fuisset, dextre Aristæneto vinolentam libidinem accipiente.

16. Cynicus autem Alcidamas, qui jam abbibisset, percunctatus quomodo sponsa vocaretur, imperatoque silentio,

παραγγείλας μεγάλῃ τῇ φωνῇ ἀποβλέψας ἐς τὰς γυναῖκας, Προπίνω σοι, ἔφη, ὦ Κλεανθί, Ἡρακλέους ἀρχηγέτου. Ὡς δ' ἐγέλασαν ἐπὶ τούτῳ ἅπαντες, Ἐγελάσατε, εἶπεν, ὦ καθάρματα, εἰ τῇ νύμφῃ προὔπιον ἐπὶ τοῦ ἡμετέρου θεοῦ τοῦ Ἡρακλέους; καὶ μὴν εὖ εἰδέναι χρὴ ὡς ἦν μὴ λάβῃ παρ' ἐμοῦ τὸν σκύφον, οὔποτε τοιοῦτος ἂν υἱὸς αὐτῇ γένοιτο οἷος ἐγώ, ἄτρεπτος μὲν ἀλκήν, ἐλεύθερος δὲ τὴν γνώμην, τὸ σῶμα δὲ οὕτω καρτερός· καὶ ἅμα παρεγύμνου ἑαυτὸν μᾶλλον ἄχρι πρὸς τὸ αἴσχιστον. Αὖθις ἐπὶ τούτοις ἐγέλασαν οἱ συμπόται, καὶ ὃς ἀγανακτήσας ἐπανίστατο ὁρμὴ καὶ παράφορον βλέπων καὶ ὄῆλος ἦν οὐκέτι εἰρήνην ἄξων. Τάχα δ' ἄν τινος καθίκετο τῇ βακτηρίᾳ, εἰ μὴ κατὰ καιρὸν εἰσεκεκόμιστο πλακοῦς εὐμεγέθης, πρὸς ὃν ἀποβλέψας ἡμερώτερος ἐγένετο καὶ ἔληξε τοῦ θυμοῦ καὶ ἐνεφορεῖτο συμπεριών.

17. Καὶ οἱ πλεῖστοι ἐμέθυον ἤδη καὶ βοῆς μεστὸν ἦν τὸ συμπόσιον· ὁ μὲν γὰρ Διονυσόδωρος ὁ ῥήτωρ αὐτοῦ ῥήσεις τινὰς ἐν μέρει διεξῄει καὶ ἐπῃνεῖτο ὑπὸ τῶν κατόπιν ἑφεστώτων οἰκετῶν, ὁ δὲ Ἰστιαῖος ὁ γραμματικὸς ἐρραψῴδει ὕστερος κατακείμενος καὶ συνέφερεν ἐς τὸ αὐτὸ τὰ Πινδάρου καὶ Ἡσιόδου καὶ Ἀνακρέοντος, ὡς ἐξ ἁπάντων μίαν ᾠδὴν παγγέλοιον ἀποτελεῖσθαι, μάλιστα δ' ἐκεῖνα ὥσπερ προμαντευόμενος τὰ μέλλοντα,

Σὺν δ' ἔβαλον ῥινούς·

καὶ,

Ἔνθα δ' ἄρ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν.

Ὁ Ζηνόθεμις δ' ἀνεγίγνωσκε παρὰ τοῦ παιδὸς λαβὼν λεπτόγραμμόν τι βιβλίον.

18. Διαλιπόντων δὲ ὀλίγον, ὥσπερ εἰώθασι, τῶν παρακομιζόντων τὰ ὄψα μηχανώμενος Ἀρισταίνετος μηδ' ἐκεῖνον ἀτερπῆ τὸν καιρὸν εἶναι μηδὲ κενὸν ἐκέλευσε τὸν γελωτοποιὸν εἰσελθόντα εἰπεῖν τι ἢ πρᾶξαι γελοῖον, ὡς ἔτι μᾶλλον οἱ συμπόται διαχυθεῖεν. Καὶ παρῆλθεν ἄμορφός τις ἐξυρημένος τὴν κεφαλήν, ὀλίγας ἐπὶ τῇ κορυφῇ τρίχας ὀρθὰς ἔχων· οὗτος ὠρχήσατό τε κατακλῶν ἑαυτὸν καὶ διαστρέφων, ὡς γελοιότερος φανείη, καὶ ἀνάπαιστα συγκροτῶν διεξῆλθεν αἰγυπτιάζων τῇ φωνῇ, καὶ τέλος ἐπέσκωπτεν ἐς τοὺς παρόντας.

19. Οἱ μὲν οὖν ἄλλοι ἐγέλων ὁπότε σκωφθείεν, ἐπεὶ δὲ καὶ εἰς τὸν Ἀλκιδάμαντα ὅμοιόν τι ἀπέρριψε Μελιταῖον κυνίδιον προσειπὼν αὐτὸν, ἀγανακτήσας ἐκεῖνος— καὶ πάλαι δὲ ὄῆλος ἦν φθονῶν αὐτῷ εὐδοκιμοῦντι καὶ κατέχοντι τὸ συμπόσιον — ἀπορρίψας τὸν τρίβωνα προὐκαλεῖτό οἱ παγκρατιάζειν, εἰ δὲ μή, κατοίσειν αὐτοῦ ἔφη τὴν βακτηρίαν. Οὕτω δὴ ὁ κακοδαίμων Σατυρίων — τοῦτο γὰρ ὁ γελωτοποιὸς ἐκαλεῖτο — συστὰς ἐπαγκρατίαζε. Καὶ τὸ πρᾶγμα ὑπερήδιστον ἦν, φιλόσοφος ἀνὴρ γελωτοποιῷ ἀνταιρόμενος καὶ παίων καὶ παιόμενος ἐν τῷ μέρει. Οἱ παρόντες δὲ οἱ μὲν ἡδοῦντο, οἱ δὲ ἐγέλων, ἄχρι ἀπηγόρευσε παιόμενος ὁ Ἀλκιδάμας ὑπὸ συγκεκροτημένου ἀνθρωπίσκου καταγωνισθείς. Γέλως οὖν πολὺς ἐξεχύθη ἐπ' αὐτοῖς.

20. Ἐνταῦθα Διόνικος ἐπεισῆλθεν ὁ ἰατρὸς οὐ πολὺ

magna voce, directis in mulieres oculis, Propino tibi, inquit, Cleanthi, Herculis ducis atque principis poculum! Ridentibus autem ea de causa omnibus, Risistis, inquit, purgamenta, quod sponsæ propinavi advocato deo nostro Hercule? Quin bene noritis, nisi capiat a me scyphum, nunquam illi talem natum iri filium, qualis ego, invictum viribus, animo liberum, corpore autem ita robustum! Hic magis se, ad summam usque turpitudinem, denudabat. Rursus propter hæc risere convivæ, et ille indignabundus surrexit, atrox quiddam et furiosum cernens, ut manifestum esset illum quietem non amplius acturum. Forte alicui impacturus erat clavam, nisi tempestive illata esset placenta bene magna, in quam conjectis oculis, fiebat mansuetior, ac, dimissa ira, prosequens illam se ingurgitabat.

17. Et jam plerique esse ebrii, jam clamore plenum convivium. Dionysodorus enim rhetor suas quasdam dictiones per vices recitabat, laudantibus ipsum qui a tergo astabant servis : at qui post ipsum accumbebat Histiæus grammaticus, consuebat versiculos, collatis in unum Pindari et Hesiodi et Anacreontis quibusdam, ut unum ex omnibus illis carmen oppido ridiculum conficeretur; inprimis autem illa, quibus quasi prædiceret futura :

Contulerunt clipeos :

et,

Hic vero gemitusque fuit clamorque virorum.

Zenothemis vero legebat captum a puero libellum, minutissimis scriptum literis.

18. Intermittentibus vero paullum pro more qui obsonia inferebant, curaverat Aristænetus, ne vel illud delectationis expers tempus esset, aut vacuum, jussum introire ridicularium scurram dicere aut facere quiddam ridiculum, ut magis etiam convivæ exhilararentur. Ac prodiit deformis homuncio raso capite, paucis in vertice relictis erectisque pilis. Hic saltavit fracto distortoque corpore, ut magis videatur ridiculus, et anapæstos complodens voce Ægyptium quid sonante pronunciavit. Tandem etiam quædam dicta jaciebat in præsentes.

19. Atque alii, quum peterentur, ridebant : quum vero in Alcidamantem etiam simile quid jactasset, Melitensem vocans catellum : indignatus ille (et olim apparebat illum invidere scurræ, quod probaretur atque teneret convivium), pallio abjecto istum ad pancratii certamen provocat, si negaret, clavam se illi impacturum minatus. Ita ergo miser Satyrion (id enim scurræ nominis erat) consistit et certat pancratio. Erat res jucundissima, philosophus vir compositus cum ridiculario, feriens, verbera vicissim accipiens. Qui vero præsentes erant, partim pudere, partim ridere, donec plagis fatigatus cederet Alcidamas, a compacto atque exercitato homuncione victus. In risum ergo multum illorum causa omnes effusi.

20. Hic Dionicus supervenit medicus, paullo post illud

κατόπιν τοῦ ἀγῶνος· ἐβεβραδύκει δὲ, ὡς ἔφασκε, φρενίτιδι ἑαλωκότα θεραπεύων Πολυπρέποντα τὸν αὐλητήν. Καί τι καὶ γελοῖον διηγήσατο· ἔφη μὲν γὰρ εἰσελθεῖν παρ' αὐτὸν οὐκ εἰδὼς ἐχόμενον ἤδη τῷ πάθει, τὸν δὲ ταχέως ἀναστάντα ἐπικλεῖσαί τε τὴν θύραν καὶ ξιφίδιον σπασάμενον ἀναδόντα αὐτῷ τοὺς αὐλοὺς κελεύειν αὐλεῖν· εἶτα ἐπεὶ μὴ δύναιτο, παίειν σκῦτος ἔχοντα ἐς ὑπτίας τὰς χεῖρας. Τέλος οὖν ἐν τοσούτῳ κινδύνῳ ἐπινοῆσαι τοιόνδε· ἐς ἀγῶνα γὰρ προκαλέσασθαι αὐτὸν ἐπὶ ῥητῷ πληγῶν ἀριθμῷ, καὶ πρῶτον μὲν αὐτὸς αὐλῆσαι πονήρως, μετὰ δὲ παραδόντα τοὺς αὐλοὺς ἐκείνῳ δέξασθαι παρ' αὐτοῦ τὸ σκῦτος καὶ τὸ ξιφίδιον καὶ ἀπορρῖψαι τάχιστα διὰ τῆς φωταγωγοῦ ἐς τὸ ὕπαιθρον τῆς αὐλῆς, καὶ τὸ ἀπὸ τούτου ἀσφαλέστερος ἤδη προσπαλαίων αὐτῷ ἐπικαλεῖσθαι τοὺς γειτνιῶντας, ὑφ' ὧν ἀνασπασάντων τὸ θύριον σωθῆναι αὐτόν. Ἐδείκνυ δὲ καὶ σημεῖα τῶν πληγῶν καὶ ἀμυχάς τινας ἐπὶ τοῦ προσώπου. Καὶ ὁ μὲν Διόνικος οὐ μεῖον εὐδοκιμήσας τοῦ γελωτοποιοῦ ἐπὶ τῇ διηγήσει πλησίον τοῦ Ἱστιαίου παραβύσας ἑαυτὸν ἐδείπνει ὅσα λοιπά, οὐκ ἄνευ θεοῦ τινος ἡμῖν ἐπιπαρών, ἀλλὰ καὶ πάνυ χρήσιμος τοῖς μετὰ ταῦτα γεγενημένος.

21. Παρελθών γὰρ εἰς τὸ μέσον οἰκέτης παρ' Ἑτοιμοκλέους τοῦ Στωϊκοῦ ἥκειν λέγων γραμματίδιον ἔχων κελεῦσαί οἱ ἔφη τὸν δεσπότην ἐν τῷ κοινῷ ἀναγνόντα εἰς ἐπήκοον ἅπασιν ὀπίσω αὖθις ἀπαλλάττεσθαι. Ἐφέντος οὖν τοῦ Ἀρισταινέτου προσελθὼν πρὸς τὸν λύχνον ἀνεγίγνωσκεν.

ΦΙΛ. Ἦ που, ὦ Λυκῖνε, τῆς νύμφης ἐγκώμιον ἢ ἐπιθαλάμιον, οἷα πολλὰ ποιοῦσιν;

ΛΥΚ. Ἀμέλει καὶ ἡμεῖς τοιοῦτον ᾠήθημεν, ἀλλ' οὐδ' ἐγγὺς ἦν τούτου· ἐνεγέγραπτο γάρ·

22. ΕΤΟΙΜΟΚΛΗΣ ΦΙΛΟΣΟΦΟΣ ΑΡΙΣΤΑΙΝΕΤΩ. Ὅπως μὲν ἔχω πρὸς δεῖπνα ὁ παρελήλυθώς μοι βίος ἅπας μαρτύριον ἂν γένοιτο, ὅς γε ὁσημέραι πολλῶν ἐνοχλούντων παρὰ πολὺ σοῦ πλουσιωτέρων ὅμως οὐδὲ πώποτε φέρων ἐμαυτὸν ἐπέδωκα, εἰδὼς τοὺς ἐπὶ τοῖς συμποσίοις θορύβους καὶ παροινίας. Ἐπὶ σοῦ δὲ μόνου εἰκότως ἀγανακτῆσαί μοι δοκῶ, ὃς τοσοῦτον χρόνον ὑπ' ἐμοῦ λιπαρῶς τεθεραπευμένος οὐκ ἠξίωσας ἐναριθμῆσαι κἀμὲ τοῖς ἄλλοις φίλοις, ἀλλὰ μόνος ἐγώ σοι ἄμοιρος, καὶ ταῦτα ἐν γειτόνων οἰκῶν. Ἀνιῶμαι οὖν ἐπὶ σοὶ τὸ πλέον οὕτως ἀχαρίστῳ φανέντι· ἐμοὶ γὰρ ἡ εὐδαιμονία οὐκ ἐν ὑὸς ἀγρίου μοίρᾳ ἢ λαγωοῦ ἢ πλακοῦντος, ἃ παρ' ἄλλοις ἀφθόνως ἀπολαύω τὰ καθήκοντα εἰδόσιν, ἐπεὶ καὶ τήμερον παρὰ τῷ μαθητῇ Ἡμμένει δειπνῆσαι πολυτελὲς, ὥς φασι, δεῖπνον δυνάμενος οὐκ ἐπένευσα ἱκετεύοντι, σοὶ ὁ ἀνόητος ἐμαυτὸν φυλάττων.

23. Σὺ δὲ ἡμᾶς παραλιπὼν ἄλλους εὐωχεῖς, εἰκότως· οὔπω γὰρ δύνασαι διακρίνειν τὸ βέλτιον οὐδὲ τὴν καταληπτικὴν φαντασίαν ἔχεις. Ἀλλὰ οἶδα ὅθεν μοι ταῦτα, παρὰ τῶν θαυμαστῶν σου φιλοσόφων, Ζηνοθέμιδος καὶ Λαβυρίνθου, ὧν — ἀπείη δὲ ἡ Ἀδράστεια— συλλογισμῷ ἑνὶ ἀποφράξαι ἂν μοι τάχιστα δοκῶ τὰ

certamen : retardatus fuerat, quod ipse dicebat, dum curat correptum phrenitide Polyprepontem tibicinem. Ac ridiculum quiddam de eo narrabat : ingressum se nempe ad illum, quum nesciret jam morbo eum teneri; hunc vero surrexisse statim, et clausa janua strictoque pugione, tibias sibi porrexisse, canere jubentem. Deinde quum non posset, pulsasse scutica manus sibi supinas. Denique in tanto se periculo tale quid excogitasse : ad certamen se illum, constituto plagarum numero, provocasse; ac primo quidem ipsum se male cecinisse; tum vero traditis illi tibiis, corium ab illo accepisse pugionemque, eaque quam celerrime per fenestram dejecisse in impluvium; et ab hoc inde tempore jam tutius cum illo colluctatum vicinos advocasse, a quibus effracta janua ipse sit servatus. Ostendebat etiam vestigia quædam plagarum et unguium in facie. Ac Dionicus, qui non minorem de narratione sua plausum, quam scurra, tulerat, juxta Histiæum se inferciens, cœnabat de reliquiis, non sine divino ille nutu nobis adveniens, sed opportunus plane his quæ postea facta sunt.

21. Ingressus enim aliquis in medium servus, ab Hetœmocle se Stoico venire dicens, cum libello, imperatum sibi ait, illum palam, unde exaudiri ab omnibus posset, recitare, eoque facto rursus discedere. Quum permisisset Aristænetus, accedens ad candelabrum recitavit.

PHIL. Numquid, Lycine, sponsæ laudationem, aut nuptiale carmen, qualia multi faciunt?

LYC. Scilicet nos etiam tale quid putaveramus : sed ne affine quidem horum fuit. Scriptum enim erat ita :

22. « Hetoemocles philosophus Aristæneto. De cœnis quomodo sim affectus, superior omnis vita mea perhibuerit testimonium, qui multis quotidie flagitantibus multum te ditioribus, nunquam tamen illis me dederim, qui norim tumultus ejusmodi conviviorum et vinolentos furores. De solo autem te indigne merito ferre mihi videor, qui tanto tempore assiduo a me cultus, in ceteris me amicis tuis connumerare non sis dignatus : sed solus ego apud te exsors, idque habitans in vicinia. Magis igitur tua causa ægre fero, qui ingratum adeo te demonstres : mihi enim non in apri portione, aut leporis, aut placentæ inest felicitas, quibus copiosissime fruor ab aliis officii non ignaris : alioqui vel hodie apud Pammenem discipulum cœnare quum liceret cœnam, ut aiunt, sumtuosam, non annui, supplicanti licet, tibi me servans homo inconsideratus.

23. At tu relictis nobis, alios accipis : neque id mirum; nondum enim satis tibi animus valet ad discernenda meliora et ad comprehendendas veras rerum imagines. Verum unde hæc mihi veniant, intelligo; ab admirabilibus illis tuis philosophis Zenothemide ac Labyrintho : quorum ego (absit dicto Adrastea) syllogismo uno ora obturare quam celerrime

στόματα. Ἢ εἰπάτω τις αὐτῶν, τί ἐστι φιλοσοφία; ἢ τὰ πρῶτα ταῦτα, τί διαφέρει σχέσις ἕξεως; ἵνα μὴ τῶν ἀπόρων εἴπω τι, κερατίναν ἢ σωρείτην ἢ θερίζοντα λόγον. Ἀλλὰ σὺ μὲν ὄναιο αὐτῶν. Ἐγὼ δὲ ὡς ἂν μόνον τὸ καλὸν ἀγαθὸν ἡγούμενος εἶναι οἴσω ῥᾳδίως τὴν ἀτιμίαν.

24. Καίτοι ὅπως μὴ ἐς ἐκείνην ἔχῃς καταφεύγειν τὴν ἀπολογίαν ὕστερον, ἐπιλαθέσθαι λέγων ἐν τοσούτῳ θορύβῳ καὶ πράγματι, δίς σε τήμερον προσηγόρευσα καὶ ἔωθεν ἐπὶ τῇ οἰκίᾳ καὶ ἐν τῷ ἀνακείῳ θύοντα ὕστερον. Ταῦτα ἐγὼ τοῖς παροῦσιν ἀπαλελόγημαι.

25. Εἰ δὲ δείπνου ἕνεκα ὀργίζεσθαί σοι δοκῶ, τὸ κατὰ τὸν Οἰνέα ἐννόησον· ὄψει γὰρ καὶ τὴν Ἄρτεμιν ἀγανακτοῦσαν, ὅτι μόνην αὐτὴν οὐ παρέλαβεν ἐκεῖνος ἐπὶ τὴν θυσίαν τοὺς ἄλλους θεοὺς ἑστιῶν. Φησὶ δὲ περὶ αὐτῶν Ὅμηρος ὧδέ πως,

> Ἢ λάθετ' ἢ οὐκ ἐνόησεν, ἀάσατο δὲ μέγα θυμῷ·

καὶ Εὐριπίδης,

> Καλυδὼν μὲν ἥδε γαῖα, Πελοπίας χθονὸς
> ἐν ἀντιπόρθμοις, πεδί' ἔχουσ' εὐδαίμονα.

καὶ Σοφοκλῆς,

> Συὸς μέγιστον χρῆμ' ἐπ' Οἰνέως γύαις
> ἄνηκε Λητοῦς παῖς ἑκηβόλος θεά.

26. Ταῦτά σοι ἀπὸ πολλῶν ὀλίγα παρεθέμην, ὅπως μάθῃς οἷον ἄνδρα παραλιπὼν Δίφιλον ἑστιᾷς καὶ τὸν υἱὸν αὐτῷ παραδέδωκας, εἰκότως· ἡδὺς γάρ ἐστι τῷ μειρακίῳ καὶ πρὸς χάριν αὐτῷ σύνεστιν. Εἰ δὲ μὴ αἰσχρὸν ἦν ἐμὲ λέγειν τὰ τοιαῦτα, καὶ ἄν τι προσέθηκα, ὅπερ σὺ, εἰ θέλεις, παρὰ Ζωπύρου τοῦ παιδαγωγοῦ ἂν μάθοις ἀληθὲς ὄν. Ἀλλ' οὐ χρὴ ταράττειν ἐν γάμοις οὐδὲ διαβάλλειν ἄλλους, καὶ μάλιστα ἐφ' οὕτως αἰσχραῖς αἰτίαις· καὶ γὰρ εἰ Δίφιλος ἄξιος δύο ἤδη μαθητάς μου περισπάσας, ἀλλ' ἔγωγε φιλοσοφίας αὐτῆς ἕνεκα σωπήσομαι.

27. Προσέταξα δὲ τῷ οἰκέτῃ τούτῳ, ἣν διδῷς αὐτῷ μοῖράν τινα ἢ συὸς ἢ ἐλάφου ἢ σησαμοῦντος, ὡς ἐμοὶ διακομίσειε καὶ ἀντὶ τοῦ δείπνου ἀπολογία γένοιτο, μὴ λαβεῖν, μὴ καὶ δόξωμεν ἐπὶ τούτῳ πεπομφέναι.

28. Τούτων, ὦ ἑταῖρε, ἀναγιγνωσκομένων μεταξὺ ἱδρώς τέ μοι περιεῖχετο ὑπ' αἰδοῦς, καὶ τοῦτο δὴ τὸ τοῦ λόγου, χανεῖν μοι τὴν γῆν ηὐχόμην ὁρῶν τοὺς παρόντας γελῶντας ἐφ' ἑκάστῳ καὶ μάλιστα ὅσοι ἤδεσαν τὸν Ἑτοιμοκλέα, πολιὸν ἄνθρωπον καὶ σεμνὸν εἶναι δοκοῦντα. Ἐθαύμαζον οὖν οἷος ὢν διαλάθοι αὐτοὺς ἐξαπατωμένους τῷ πώγωνι καὶ τῇ τοῦ προσώπου ἐντάσει. Ὁ γὰρ Ἀρισταίνετος ἐδόκει μοι οὐκ ἀμελείᾳ περιιδεῖν αὐτὸν, ἀλλ' οὔποτ' ἂν ἐλπίσας κληθέντα ἐπινεῦσαι οὐδ' ἂν ἐμπαρασχεῖν ἑαυτὸν τοιούτῳ τινί· ὥστε οὐδὲ τὴν ἀρχὴν πειρᾶσθαι ἠξίου.

29. Ἐπεὶ δ' οὖν ἐπαύσατό ποτε ὁ οἰκέτης ἀναγιγνώσκων, τὸ μὲν συμπόσιον ἅπαν εἰς τοὺς ἀμφὶ τὸν Ζήνωνα καὶ Δίφιλον ἀπέβλεπε δεδοικότας καὶ ὠχριῶντας

posse mihi videor. Aut dicat illorum aliquis, quid est philosophia? aut prima ista, quid differt habitudo ab habitu? ne quid de inexplicabilibus illis dicam, cornutam, aut illam de acervo, aut metentem ratiocinationem. Sed tu illis fruaris licet. Ego, qui solum quod honestum est bonum ducam, facile feram ignominiam.

24. Tamen ne deinde ad illam confugere excusationem possis, uti dicas in tanto te tumultu et occupatione oblitum esse; bis te hodie salutavi, et mane domi, et deinde in Castorum, quum rem sacram faceres. Hanc ego apud præsentes causam dixi.

25. Si vero ob cœnam iratus tibi videar, illud de Œneo cogita: videbis enim Dianam quoque iratam, quod solam se non invitasset ille ad sacrificium, quum reliquos deos epulis acciperet. Dicit autem sic fere de illis Homerus:

> Immemor, imprudens: multum sibi mente nocebat.

Et Euripides,

> Calydonis ista terra, Pelopii soli
> fretis objecta, et arva habens felicia.

Et Sophocles,

> Apri per agros Œnei vim maximam
> immisit arcu dea potens Latonia.

26. Hæc tibi pauca de multis apposui, uti discas quo viro neglecto Diphilum accipias, et tradideris illi filium: recte illud quidem; suavis est enim adolescentulo et gratiam illius sua consuetudine aucupatur. Quibus, si turpe non esset me dicere talia, aliquid præterea adjicerem, quod verum esse e Zopyro pædagogo illius poteris, si vis, cognoscere. Verum nuptias turbare non decet, neque accusare alios, præsertim de turpibus adeo causis. Etsi enim Diphilus dignus est, qui duos jam a me discipulos per blanditias abduxerit; at ego ipsius philosophiæ causa tacebo.

27. Imperavi autem huic puero, si dare ei velis aut apri partem, aut cervi, aut e sesamo placentæ mihi afferendam, ut ea sit cœnæ excusatio; ne accipiat, ne nos videamur hac illum causa misisse. »

28. Hæc dum legerentur, amice, et sudore diffluebam præ pudore, et, quod est in proverbio, hiscere optabam mihi terram, quum viderem ridentes ad unumquodque verbum qui aderant, præsertim quotquot eorum norant Hetœmoclem, canum hominem, quique vir gravis videretur. Mirabantur ergo qualem virum adhuc parum cognovissent, barba ista atque vultus contentione decepti. Itaque mihi videbatur non negligentia illum quadam prætermisisse Aristænetus, sed, quod non speraret futurum ut vocatus sibi conditeret, non voluisse in eum se casum committere: atque adeo ne tentare quidem sustinuit.

29. Quum ergo legere tandem servus desiisset, convivium totum in Zenonem atque Diphilum conjiciebat oculos, metuentes illos et pallentes, denique vultus inconstantia fidem

καὶ τῇ ἀπορίᾳ τῶν προσώπων ἐπαληθεύοντας τὰ ὑπὸ τοῦ Ἑτοιμοκλέους κατηγορηθέντα· ὁ Ἀρισταίνετος δὲ ἐτετάρακτο καὶ θορύβου μεστὸς ἦν, ἐκέλευε δ' ὅμως πίνειν ἡμᾶς καὶ ἐπειρᾶτο εὖ διατίθεσθαι τὸ γεγονὸς ὑπομειδιῶν ἅμα καὶ τὸν οἰκέτην ἀπέπεμψεν εἰπὼν ὅτι ἐπιμελήσεται τούτων. Μετ' ὀλίγον δὲ καὶ ὁ Ζήνων ὑπεξανέστη ἀφανῶς, τοῦ παιδαγωγοῦ νεύσαντος ἀπαλλάττεσθαι ὡς κελεύσαντος τοῦ πατρός.

30. Ὁ Κλεόδημος δὲ καὶ πάλαι τινὸς ἀφορμῆς δεόμενος — ἐβούλετο γὰρ συμπλακῆναι τοῖς Στωϊκοῖς καὶ διερρήγνυτο οὐκ ἔχων ἀρχὴν εὔλογον — τότε οὖν τὸ ἐνδόσιμον παρασχούσης τῆς ἐπιστολῆς, Τοιαῦτα, ἔφη, ἐξεργάζεται ὁ καλὸς Χρύσιππος καὶ Ζήνων ὁ θαυμαστὸς καὶ Κλεάνθης, ῥημάτια δύστηνα καὶ ἐρωτήσεις μόνον καὶ σχήματα φιλοσόφων, τὰ δ' ἄλλα Ἑτοιμοκλεῖς οἱ πλεῖστοι· καὶ αἱ ἐπιστολαὶ ὁρᾶτε ὅπως πρεσβυτικαί, καὶ τὸ τελευταῖον Οἰνεὺς μὲν Ἀρισταίνετος, Ἑτοιμοκλῆς δὲ Ἄρτεμις. Ἡράκλεις, εὔφημα πάντα καὶ ἑορτῇ πρέποντα.

31. Νὴ Δί', εἶπεν ὁ Ἕρμων ὑπερκατακείμενος· ἠκηκόει γὰρ, οἶμαι, ὧν τινα ἐσκευάσθαι Ἀρισταινέτῳ ἐς τὸ δεῖπνον, ὥστε οὐκ ἄκαιρον ἐδόκει μεμνῆσθαι τοῦ Καλυδωνίου. Ἀλλὰ πρὸς τῆς Ἑστίας, ὦ Ἀρισταίνετε, πέμπε ὡς τάχιστα τῶν ἀπαρχῶν, μὴ καὶ φθάσῃ ὁ πρεσβύτης ὑπὸ λιμοῦ ὥσπερ ὁ Μελέαγρος ἀπομαρανθείς. Καίτοι οὐδὲν ἂν πάθοι δεινόν· ἀδιάφορα γὰρ ὁ Χρύσιππος τὰ τοιαῦτα ἡγεῖτο.

32. Χρυσίππου γὰρ μέμνησθε ὑμεῖς, ἔφη ὁ Ζηνόθεμις ἐπεγείρας ἑαυτὸν καὶ φθεγξάμενος παμμέγεθες, ἢ ἀφ' ἑνὸς ἀνδρὸς οὐκ ἐννόμως φιλοσοφοῦντος Ἑτοιμοκλέους τοῦ γόητος μετρεῖτε τὸν Κλεάνθην καὶ Ζήνωνα σοφοὺς ἄνδρας; οἵτινες δὲ καὶ ὄντες ὑμεῖς ἐρεῖτε ταῦτα; οὐ σὺ μὲν τῶν Διοσκούρων ἤδη, ὦ Ἕρμων, τοὺς πλοκάμους περιχέαρκας χρυσοῦς ὄντας; καὶ δώσεις δίκην παραδοθεὶς τῷ δημίῳ. Σὺ δὲ τὴν Σωστράτου γυναῖκα τοῦ μαθητοῦ ἐμοίχευες, ὦ Κλεόδημε, καὶ καταληφθεὶς τὰ αἴσχιστα ἔπαθες. Οὐ σιωπήσεσθε οὖν τοιαῦτα συνεπιστάμενοι ἑαυτοῖς; Ἀλλ' οὐ μαστροπὸς ἐγὼ τῆς ἐμαυτοῦ γυναικὸς, ἦ δ' ὃς ὁ Κλεόδημος, ὥσπερ σὺ, οὐδὲ τοῦ ξένου μαθητοῦ λαβὼν τοὐφόδιον παρακαταθήκας ἔπειτα ὤμοσα κατὰ τῆς Πολιάδος μὴ εἰληφέναι, οὐδ' ἐπὶ τέτταρσι δραχμαῖς δανείζω, οὐδὲ ἄγχω τοὺς μαθητὰς, ἢν μὴ κατὰ καιρὸν ἀποδῶσι τοὺς μισθούς. Ἀλλ' ἐκεῖνο, ἔφη ὁ Ζηνόθεμις, οὐκ ἂν ἔξαρνος γένοιο μὴ οὐχὶ φάρμακον ἀποδόσθαι Κρίτωνι ἐπὶ τὸν πατέρα.

33. Καὶ ἅμα, ἔτυχε γὰρ πίνων, ὁπόσον ἔτι λοιπὸν ἐν τῇ κύλικι, περὶ ἥμισυ σχεδὸν, κατεσκέδασεν αὐτοῖν. Ἀπέλαυσε δὲ καὶ ὁ Ἴων τῆς γειτονήσεως, οὐκ ἀνάξιος ὤν. Ὁ μὲν οὖν Ἕρμων ἀπεξύετο ἐκ τῆς κεφαλῆς τὸν ἄκρατον προνενευκὼς καὶ τοὺς παρόντας ἐμαρτύρετο, οἷα ἐπεπόνθει. Ὁ Κλεόδημος δὲ — οὐ γὰρ εἶχε κύλικα — ἐπιστραφεὶς προσέπτυσέ τε τὸν Ζηνόθεμιν καὶ τῇ ἀριστερᾷ τοῦ πώγωνος λαβόμενος ἔμελλε παίσειν κατὰ κόρρης, καὶ ἀπέκτεινεν ἂν τὸν γέροντα, εἰ μὴ

criminibus Hetœmoclis ipsi facientes. Aristænetus vero plane perturbatus erat et animo commotus, jubebat tamen nos bibere, et subridens bene interea vertere quæ facta erant studebat; servumque remisit, his verbis usus, sibi curæ fore. Paullo post vero Zeno etiam surrexit clanculum, discedere ipsum, quasi patris imperio, jubente pædagogo.

30. At Cleodemus, qui olim requireret occasionem quandam (volebat enim manus conserere cum Stoicis, et rumpebatur, quod rationabile exordium ejus rei non haberet), præbente tum initium epistola, Talia, inquit, præclarus ille Chrysippus efficit, et Zeno admirabilis, et Cleanthes, voculas quasdam jejunas, et interrogationes solum, atque habitus philosophorum: ceterum plerique sunt Hetœmocles; et epistolæ videte quam seniles! ac tandem Œneus est Aristænetus, Hetœmocles autem Diana. Quam boni omnis omnia, Hercules! et solemni decora!

31. Sic per Jovem, ait qui super illum cubabat Hermon; audierat enim, puto, aprum paratum Aristæneto ad cœnam: itaque non intempestivum ratus est Calydonii illius meminisse. Sed per Vestam, Aristænete, mitte quam celerrime de primitiis, ne ocyus nobis fame senex ille pereat, Meleagri instar contabescens. Quanquam nihil ipsi vehementer malum sic accidat: indifferentia enim talia esse putabat Chrysippus.

32. Nempe Chrysippi mentionem vos audetis facere, inquit Zenothemis, erectus et magna voce usus, et ab uno viro non legitime philosophante Hetœmocle, impostore illo, Cleanthem metimini et Zenonem, viros sapientes? Quales vero viri estis ipsi, ista qui dicitis? nonne tu quidem Castorum capillos, Hermon, jam detondisti aureos, pœnas daturus tradendusque carnifici? Tu vero Sostrati uxorem auditoris tui adulterio, Cleodeme, corrupisti, ac deprehensus pœnam subiisti fœdissimam. Non ergo tacebitis, talium vobis conscii? Verum non meæ ipse uxoris leno sum, Cleodemus inquit, quemadmodum tu: neque peregrini auditoris viaticum apud me depositum, interposito per Urbis custodem deam perjurio, accepisse me negavi; neque quaternarum (in mensem) drachmarum fœnus exerceo, neque collum obtorqueo discipulis, si ad tempus non solvant mercedem. Verum illud non negabis, ait Zenothemis, venenum patri propinandum Critoni te vendidisse.

33. Commodum bibebat: ergo quod reliquum erat in poculo, dimidium fere, duobus illis offundit: cujus rei aliquis fructus etiam ad Ionem ob viciniam pervenit, non sane indignum. Hermon igitur detergebat de capite proclinato merum, præsentes testificatus, quam accepisset injuriam. Cleodemus autem, qui poculum non haberet, conversus conspuit Zenothemin, et prehensa sinistra manu illius barba, pugnum malæ illius incussurus erat: atque interimebat senem, nisi retinuisset manum Aristænetus, et

Ἀρισταίνετος ἐπέσχε τὴν χεῖρα καὶ ὑπερβὰς τὸν Ζηνόθεμιν ἐς τὸ μέσον αὐτοῖν κατεκλίθη, ὡς διασταῖεν ὑπὸ διατειχίσματι αὐτῷ εἰρήνην ἄγοντες.

34. Ἐν ὅσῳ δὲ ταῦτ' ἐγίνετο, ποικίλα, ὦ Φίλων, ἐγὼ πρὸς ἐμαυτὸν ἐνενόουν, τὸ πρόχειρον ἐκεῖνο, ὡς οὐδὲν ὄφελος ἦν ἄρα ἐπίστασθαι τὰ μαθήματα, εἰ μή τις καὶ τὸν βίον ρυθμίζοι πρὸς τὸ βέλτιον· ἐκείνους γοῦν περιττοὺς ὄντας ἐν τοῖς λόγοις ἑώρων γέλωτα ἐπὶ τῶν πραγμάτων ὀφλισκάνοντας. Ἔπειτα εἰσῄει με, μὴ ἄρα τὸ ὑπὸ τῶν πολλῶν λεγόμενον ἀληθὲς ᾖ καὶ τὸ πεπαιδεῦσθαι ἀπάγῃ τῶν ὀρθῶν λογισμῶν τοὺς ἐς μόνα τὰ βιβλία καὶ τὰς ἐν ἐκείνοις φροντίδας ἀτενὲς ἀφορῶντας· τοσούτων γοῦν φιλοσόφων παρόντων οὐδὲ κατὰ τύχην ἕνα τινὰ ἔξω ἁμαρτήματος ἦν ἰδεῖν, ἀλλ' οἱ μὲν ἐποίουν αἰσχρά, οἱ δ' ἔλεγον αἰσχίω· οὐδὲ γὰρ ἐς τὸν οἶνον ἔτι ἀναφέρειν εἶχον τὰ γιγνόμενα λογιζόμενος οἷα ὁ Ἑτοιμοκλῆς ἄσιτος ἔτι καὶ ἄποτος ἐγεγράφει.

35. Ἀνέστραπτο δ' οὖν τὸ πρᾶγμα, καὶ οἱ μὲν ἰδιῶται κοσμίως πάνυ ἑστιώμενοι οὔτε παροινοῦντες οὔτε ἀσχημονοῦντες ἐφαίνοντο, ἀλλ' ἐγέλων μόνον καὶ κατεγίγνωσκον αὐτῶν, οἶμαι, οὓς γε ἐθαύμαζον οἰόμενοί τινας εἶναι ἀπὸ τῶν σχημάτων, οἱ σοφοὶ δὲ ἠσέλγαινον καὶ ἐλοιδοροῦντο καὶ ὑπερενεπίμπλαντο καὶ ἐκεκράγεσαν καὶ εἰς χεῖρας ἦσαν. Ὁ θαυμάσιος δὲ Ἀλκιδάμας καὶ οὐρεῖ ἐν τῷ μέσῳ οὐκ αἰδούμενος τὰς γυναῖκας. Καὶ ἐμοὶ ἐδόκει, ὡς ἂν ἁριστά τις εἰκάσειεν, ὁμοιότατα εἶναι τὰ ἐν τῷ συμποσίῳ οἷς περὶ τῆς Ἔριδος οἱ ποιηταὶ λέγουσιν· οὐ γὰρ κληθεῖσαν αὐτὴν ἐς τοῦ Πηλέως τὸν γάμον ῥῦψαι τὸ μῆλον εἰς τὸ σύνδειπνον, ἀφ' οὗ τοσοῦτον πόλεμον ἐπ' Ἰλίῳ γεγενῆσθαι. Καὶ ὁ Ἑτοιμοκλῆς τοίνυν ἐδόκει μοι τὴν ἐπιστολὴν ἐμβαλὼν εἰς τὸ μέσον ὥσπερ τι μῆλον οὐ μείω τῆς Ἰλιάδος κακὰ ἐξεργάσασθαι.

36. Οὐ γὰρ ἐπαύσαντο οἱ ἀμφὶ τὸν Ζηνόθεμιν καὶ Κλεόδημον φιλονεικοῦντες, ἐπεὶ μέσος αὐτῶν ὁ Ἀρισταίνετος ἐγένετο· ἀλλὰ, Νῦν μέν, ἔφη ὁ Κλεόδημος, ἱκανὸν, εἰ ἐλεγχθείητε ἀμαθεῖς ὄντες, αὖριον δὲ ἀμυνοῦμαι ὑμᾶς ὄντινα καὶ χρὴ τρόπον· ἀπόκριναί μοι οὖν, ὦ Ζηνόθεμι, ἢ σὺ ἢ ὁ κοσμιώτατος Δίφιλος, καθ' ὅ τι ἀδιάφορον εἶναι λέγοντες τῶν χρημάτων τὴν κτῆσιν οὐδὲν ἀλλ' ἢ τοῦτο ἐξ ἁπάντων σκοπεῖτε, ὡς πλείω κτήσεσθε καὶ διὰ τοῦτο ἀμφὶ τοὺς πλουσίους ἀεὶ ἔχετε καὶ δανείζετε καὶ τοκογλυφεῖτε καὶ ἐπὶ μισθῷ παιδεύετε, πάλιν τε αὖ τὴν ἡδονὴν μισοῦντες καὶ τῶν Ἐπικουρείων κατηγοροῦντες αὐτοὶ τὰ αἴσχιστα ἡδονῆς ἕνεκα ποιεῖτε καὶ πάσχετε, ἀγανακτοῦντες εἴ τις μὴ καλέσειεν ἐπὶ δεῖπνον· εἰ δὲ καὶ κληθείητε, τοσαῦτα μὲν ἐσθίοντες, τοσαῦτα δὲ τοῖς οἰκέταις ἐπιδιδόντες . . . καὶ ἅμα λέγων τὴν ὀθόνην περισπᾶν ἐπεχείρει, ἣν ὁ παῖς εἶχε τοῦ Ζηνοθέμιδος, μεστὴν οὖσαν παντοδαπῶν κρεῶν, καὶ ἔμελλε λύσας ἀπορρίπτειν αὐτὰ εἰς τὸ ἔδαφος, ἀλλ' ὁ παῖς οὐκ ἀνῆκε καρτερῶς ἀντεχόμενος.

37. Καὶ ὁ Ἕρμων, Εὖ γε, ἔφη, ὦ Κλεόδημε, εἰπάτωσαν οὗτινος ἕνεκα ἡδονῆς κατηγοροῦσιν αὐτοὶ ἡδε-

transgressus super Zenothemin, medium se inter illos collocasset, ut separarentur et se tanquam muro interposito quietem agerent.

34. Hæc dum fierent, multa, mi Philo, ego apud animum meum cogitabam, illud præsertim, quod cuivis in mentem venire necesse est, quam parum prosit scire literas, nisi quis etiam vitam componat in melius. Illos enim principes in literis videbam risum debere in ipsis actionibus. Deinde in mentem venit, verumne esset quod vulgo dicitur, a recta ratione doctrinam abducere homines eos, qui ad solos libros et quæ illis continentur curas perpetuo respiciunt. Tot enim præsentibus philosophis, ne forte quidem fortuna vacantem culpa unum erat videre, aliis facientibus turpiter, aliis turpius etiam dicentibus. Neque enim vino jam, quæ fiebant, imputare poterant, cogitans quæ Hetœmocles impransus impotusque scripserit.

35. Conversa igitur res omnis erat : indoctos homines plane decenter epulari videres, neque per ebrietatem quicquam, neque quod alioqui parum decorum esset, designantes; sed ridebant modo, et damnabant illos, puto, quos admirati ante fuerant, quum ex habitu aliquid illos esse putarent : sapientes vero lasciviebant, conviciabantur, supra modum se implebant, clamabant, ad manus veniebant. Admirabilis ille Alcidamas etiam mingebat, in medio convivio nihil mulieres reveritus. Ac mihi videbatur optime ille assimilare, si quis diceret simillima esse istius acta convivii iis quæ de Eride poetæ narrant : nempe non vocatam illam ad Pelei nuptias pomum istud in convivium projecisse, ex quo tantum ad Ilium bellum exortum sit. Et videbatur sane mihi Hetœmocles epistola illa, tanquam pomo quodam, in medium projecta non minorum Iliade malorum auctor exstitisse.

36. Neque enim desinebant rixari Zenothemis ac Cleodemus, quum medius inter illos esset Aristænetus : sed, Modo, inquit Cleodemus, satis fuerit, si ruditatis convincamini; cras vero vos, uti par est, ulciscar. Igitur responde mihi, Zenothemi, aut tu aut ornatissimus Diphilus, qua ratione, quum indifferentem esse dicatis pecuniarum possessionem, nihil aliud quam hoc unum spectetis ex omnibus, uti quam plurima possideatis, et hanc ob causam circa divites semper versemini, et fœnori detis pecuniam, et usurarum exsculpatis usuras, et mercede doceatis : rursus odio quum habeatis voluptatem, et Epicureos hoc nomine damnetis, ipsi voluptatis causa turpissima quæque faciatis ac patiamini, indigne ferentes si quis ad cœnam vos non invitaverit : si vero vocemini, tantum edatis, tantum insuper servis detis .. Hæc quum diceret, eripere mappulam tentabat, quam habebat puer Zenothemidis, plenam omnis generis carnium, soluta illa projecturus in solum omnia : sed non dimisit puer, firmiter eam retinens.

37. Atque Hermon, Euge, inquit, Cleodeme! dicant cujus rei causa voluptatem accusent, in voluptate esse ipsi

σθαι ὑπὲρ τοὺς ἄλλους ἀξιοῦντες. Οὐκ, ἀλλὰ σὺ, ἦ δ' ὃς ὁ Ζηνόθεμις, εἰπέ, ὦ Κλεόδημε, καθ' ὅ τι οὐκ ἀδιάφορον ἡγῇ τὸν πλοῦτον. Οὐ μὲν οὖν, ἀλλὰ σύ. Καὶ ἐπὶ πολὺ τοῦτο ἦν, ἄχρι δὴ ὁ Ἴων προκύψας ἐς τὸ ἐμφανέστερον, Παύσασθε, ἔφη· ἐγὼ δὲ, εἰ δοκεῖ, λόγων ἀφορμὰς ὑμῖν ἀξίων τῆς παρούσης ἑορτῆς καταθήσω ἐς τὸ μέσον· ὑμεῖς δὲ ἀφιλονείκως ἐρεῖτε καὶ ἀκούσεσθε ὥσπερ ἀμέλει καὶ παρὰ τῷ ἡμετέρῳ Πλάτωνι ἡ πλείστη διατριβὴ ἐγένετο ἐν λόγοις. Πάντες ἐπῄνεσαν οἱ παρόντες, καὶ μάλιστα οἱ ἀμφὶ τὸν Ἀρισταίνετόν τε καὶ Εὔκριτον, ἀπαλλάξεσθαι τῆς ἀηδίας οὕτω γοῦν ἐλπίσαντες. Καὶ μετῆλθέ τε ὁ Ἀρισταίνετος ἐπὶ τὸν αὑτοῦ τόπον εἰρήνην γεγενῆσθαι ἐλπίσας.

38. Καὶ ἅμα εἰσεκεκόμιστο ἡμῖν τὸ ἐντελὲς ὀνομαζόμενον δεῖπνον, μία ὄρνις ἑκάστῳ καὶ κρέας ὗὸς καὶ λαγῷα καὶ ἰχθὺς ἐκ ταγήνου καὶ σησαμοῦντες καὶ ὅσα ἐντραγεῖν, καὶ ἐξῆν ἀποφέρεσθαι ταῦτα. Προὔκειτο δὲ οὐχ ἓν ἑκάστῳ πινάκιον, ἀλλ' Ἀριστοταινέτῳ μὲν καὶ Εὐκρίτῳ ἐπὶ μιᾶς τραπέζης κοινὸν, καὶ τὰ παρ' αὐτῷ ἑκάτερον ἐχρῆν λαβεῖν· Ζηνοθέμιδι δὲ τῷ Στωϊκῷ καὶ Ἑρμωνι τῷ Ἐπικουρείῳ ὁμοίως κοινὸν καὶ τούτοις· εἶτα ἔξῆς Κλεοδήμῳ καὶ Ἴωνι, μεθ' οὓς τῷ νυμφίῳ καὶ ἐμοὶ, τῷ Διφίλῳ δὲ τὰ ἀμφοῖν, ὁ γὰρ Ζήνων ἀπεληλύθει. Καὶ μέμνησό μοι τούτων, ὦ Φίλων, διότι δή ἐστί τι καὶ ἐν αὐτοῖς χρήσιμον ἐς τὸν λόγον.

ΦΙΛ. Μεμνήσομαι δή.

39. ΛΥΚ. Ὁ τοίνυν Ἴων, Πρῶτος οὖν ἄρχομαι, ἔφη, εἰ δοκεῖ. Καὶ μικρὸν ἐπισχὼν, Ἐχρῆν μέν ἴσως, ἔφη, τοιούτων ἀνδρῶν παρόντων περὶ ἰδεῶν τε καὶ ἀσωμάτων εἰπεῖν καὶ ψυχῆς ἀθανασίας· ἵνα δὲ μὴ ἀντιλέγωσί μοι ὁπόσοι μὴ κατὰ ταὐτὰ φιλοσοφοῦσι, περὶ γάμων ἐρῶ τὰ εἰκότα. Τὸ μὲν οὖν ἄριστον ἦν μὴ δεῖσθαι γάμων, ἀλλὰ πειθομένους Πλάτωνι καὶ Σωκράτει παιδεραστεῖν· μόνοι γοῦν οἱ τοιοῦτοι ἀποτελεσθεῖεν ἂν πρὸς ἀρετήν· εἰ δ' ἔδει καὶ γυναικείου γάμου, κατὰ τὰ Πλάτωνι δοκοῦντα κοινὰς εἶναι ἔδει τὰς γυναῖκας, ὡς ἔξω ζήλου εἴημεν.

40. Γέλως ἐπὶ τούτοις ἐγένετο ὡς οὐκ ἐν καιρῷ λεγομένοις. Διονυσόδωρος δὲ, Παῦσαι, ἔφη, βαρβαρικὰ ἡμῖν ᾄδων· ποῦ γὰρ ἂν εὑρίσκοιμεν τὸν ζῆλον ἐπὶ τούτου καὶ παρὰ τίνι; Καὶ σὺ γὰρ φθέγγῃ, κάθαρμα; εἶπεν. Οἶμαι, καὶ Διονυσόδωρος ἀντελοιδορεῖτο τὰ εἰκότα· ἀλλ' ὁ γραμματικὸς Ἱστιαῖος ὁ βέλτιστος, Παύσασθε, ἔφη· ἐγὼ γὰρ ὑμῖν ἐπιθαλάμιον ἀναγνώσομαι. Καὶ ἀρξάμενος ἀνεγίγνωσκεν.

41. Ἦν γὰρ ταῦτα, εἴ γε μέμνημαι, τὰ ἐλεγεῖα·

Ἦ οἵη ποτ' ἀρ' Ἀριστοταινέτου ἐν μεγάροισι
δῖα Κλεανθὶς ἄνασσ' ἐτρέφετ' ἐνδυκέως,
προὔχουσ' ἀλλάων πασάων παρθενικάων,
κρίσσων τῆς Ἑλένης ἠδ' ἐρατῆς Κυθέρης.
Νυμφίε, καὶ σὺ δὲ χαῖρε, κρατιστε τεῶν συνεφήβων,
κρέσσων Νιρῆος καὶ Θέτιδος παῖδός.
Ἄμμες δ' αὖθ' ὑμῖν τοῦτον θαλαμήϊον ὕμνον
ξυνὸν ἐπ' ἀμφοτέροις πολλάκις ᾀσόμεθα.

42. Γέλωτος οὖν ἐπὶ τούτοις, ὡς τὸ εἰκὸς, γενομένου

supra reliquos quum postulent. Non, inquit Zenothemis, sed tu dic, Cleodeme, qua ratione non indifferentes esse ducas divitias. Non sane, sed tu. Et diu talia jaciebantur, donec Ion proferens se manifestius, Desinite, ait; ego enim, si videtur, materiem vobis in medio ponam disputationis hac solemnitate dignæ : vos vero sine contentione dicetis audietisque invicem, ut nimirum apud Platonem nostrum major pars otii in disputatione consumta est. Laudare qui aderant omnes hoc consilium, Aristænetus præsertim atque Eucritus, qui sic certe liberari ab illa se injucunditate posse sperarent : transiitque in locum suum Aristænetus, pacem ita factam arbitratus.

38. Et simul infertur nobis ea quæ absoluta cœna vocatur, gallina unicuique una, et offa aprugna, et leporina; et piscis de sartagine, et placentæ et sesamo, et bellaria, licebatque ea domum ferre. Neque vero una cuique lanx proponebatur, sed Aristæneto et Eucrito in mensa una communiter, oportebatque utrumque, quod sibi proximum esset, sumere : Zenothemidi autem Stoico, et Epicureo Hermoni similiter in commune ipsis quoque offerebatur; tum deinde Cleodemo et Ioni; post quos sponso et mihi; Diphilo autem, quia Zeno discesserat, utriusque portio. Et memento mihi horum, Philo; est enim in his quoque aliquid narrationi nostræ utile.

PHIL. Meminero sane.

39. LYC. Ion igitur, Primus ergo, inquit, si videtur, incipio. Et paullum moratus, « Oportebat forte, ait, in talium præsentia virorum de ideis et incorporeis dicere, ac de immortalitate animæ : ne vero contra me dicant qui non eadem in philosophia sequuntur, de nuptiis ea, quæ convenire videntur, dicam. Atque optimum quidem erat plane non esse nuptiis opus, sed Platoni obsequentes et Socrati, amare pueros : soli enim qui hoc fecerint, perfectam virtutem adipiscantur : si vero etiam muliebribus erat nuptiis opus, ex Platonis placito, uxores esse debebant communes, quo extra *zelum* simus. »

40. Super his risus exortus est, ut quæ minime opportune dicerentur. Dionysodorus autem, Quin desinis, inquit, barbarica nobis nomina cantare? ubi enim inveniamus *zelum* de hac re, et apud quem? Nempe tu quoque vocem mittis, purgamentum? ille ait. Et, puto, Dionysodorus quoque vicissim, quæ solent, maledicturus erat : sed Histiæus grammaticus, bellus homo, Desinite, inquit; ego enim epithalamium vobis recitabo. Et recitare incepit.

41. Erant vero elegiaca, si quidem memini, ista :

Aut qualis tandem Aristæneti in ædibus altis
educta assidue diva Cleanthis erat,
relicuis præstantior omnibus ipsa puellis,
pulchrior illa Helena, vel Cythereiade.
Tuque, tuos, salve, præcellens sponse sodales,
pulchrior et Nireo et Thetidis sobole.
Nos vero hæc rursus thalamela carmina vobis,
de ambobus pariter, sæpe canemus abhinc.

42. Risu super his, qualem credere par est, exorto, au-

αἵρεσθαι ἤδη τὰ παρακείμενα ἔδει, καὶ ἀνείλοντο οἱ περὶ τὸν Ἀρισταίνετον καὶ Εὔκριτον τὴν πρὸ αὐτοῦ ἑκάτερος κἀγὼ τἀμὰ καὶ ὁ Χαιρέας ὅσα ἐκείνῳ ἔκειτο καὶ Ἴων ὁμοίως καὶ ὁ Κλεόδημος. Ὁ δὲ Δίφιλος ἠξίου καὶ τὰ τῷ Ζήνωνι δὴ ἀπιόντι παραδοθέντα φέρεσθαι καὶ ἔλεγε μόνῳ παρατεθῆναί οἱ αὐτὰ καὶ πρὸς τοὺς διακόνους ἐμάχετο, καὶ ἀντέσπων τῆς ὄρνιθος ἐπειλημμένοι ὥσπερ τὸν Πατρόκλου νεκρὸν ἀνθέλκοντες, καὶ τέλος ἐνικήθη καὶ ἀφῆκε πολὺν γέλωτα παρασχὼν τοῖς συμπόταις, καὶ μάλιστα ἐπεὶ ἠγανάκτει μετὰ τοῦτο ὡς ἂν τὰ μέγιστα ἠδικημένος.

43. Οἱ δὲ ἀμφὶ τὸν Ἕρμωνα καὶ Ζηνόθεμιν ἅμα κατέκειντο, ὥσπερ εἴρηται, ὁ μὲν ὑπεράνω ὁ Ζηνόθεμις, ὁ δ' ὑπ' αὐτόν· παρέκειτο δ' αὐτοῖς τὰ μὲν ἄλλα πάντα ἴσα, καὶ ἀνείλοντο εἰρηνικῶς· ἡ δὲ ὄρνις ἡ πρὸ τοῦ Ἕρμωνος πιμελεστέρα, οὕτως, οἶμαι, τυχόν. Ἔδει δὲ καὶ ταύτας ἀναιρεῖσθαι τὴν ἑαυτοῦ ἑκάτερον. Ἐν τούτῳ τοίνυν ὁ Ζηνόθεμις — καί μοι, ὦ Φίλων, πάνυ πρόσεχε τὸν νοῦν, ὁμοῦ γάρ ἐσμεν ἤδη τῷ κεφαλαίῳ τῶν πραχθέντων — ὁ δὲ Ζηνόθεμις, φημί, τὴν παρ' αὐτῷ ἀφεὶς τὴν πρὸ τοῦ Ἕρμωνος ἀνείλετο πιοτέραν, ὡς ἔφην, οὖσαν· ὁ δ' ἀντεπελάβετο καὶ οὐκ εἶα πλεονεκτεῖν. Βοὴ τὸ ἐπὶ τούτοις, καὶ συμπεσόντες ἔπαιον ἀλλήλους ταῖς ὄρνισιν αὐταῖς ἐς τὰ πρόσωπα, καὶ τῶν πωγώνων ἐπειλημμένοι ἐπεκαλοῦντο βοηθεῖν, ὁ μὲν τὸν Κλεόδημον ὁ Ἕρμων, ὁ δὲ Ζηνόθεμις Ἀλκιδάμαντα καὶ Δίφιλον, καὶ συνίσταντο οἱ μὲν ὡς τοῦτον, οἱ δ' ὡς ἐκεῖνον πλὴν μόνου τοῦ Ἴωνος· ἐκεῖνος δὲ μέσον ἑαυτὸν ἐφύλαττεν.

44. Οἱ δ' ἐμάχοντο συμπλακέντες, καὶ ὁ μὲν Ζηνόθεμις σκύφον ἀράμενος ἀπὸ τῆς τραπέζης κείμενον πρὸ τοῦ Ἀρισταινέτου ῥίπτει ἐπὶ τὸν Ἕρμωνα,

κἀκείνου μὲν ἅμαρτε, παραὶ δέ οἱ ἐτράπετ' ἄλλη,

διεῖλε δὲ τοῦ νυμφίου τὸ κρανίον ἐς δύο χρηστῷ μάλα καὶ βαθεῖ τῷ τραύματι. Βοὴ οὖν παρὰ τῶν γυναικῶν ἐγένετο καὶ κατεπήδησαν ἐς τὸ μεταίχμιον αἱ πολλαί, καὶ μάλιστα ἡ μήτηρ τοῦ μειρακίου, ἐπεὶ τὸ αἷμα εἶδε· καὶ ἡ νύμφη δὲ ἀνεπήδησε φοβηθεῖσα περὶ αὐτοῦ. Ἐν τοσούτῳ δὲ ὁ Ἀλκιδάμας ἠρίστευσε τῷ Ζηνοθέμιδι συμμαχῶν, καὶ πατάξας τῇ βακτηρίᾳ τοῦ Κλεοδήμου μὲν τὸ κρανίον, τοῦ Ἕρμωνος δὲ τὴν σιαγόνα ἐπέτριψε καὶ τῶν οἰκετῶν ἑνίους βοηθεῖν αὐτοῖς ἐπιχειροῦντας κατέτρωσεν· οὐ μὴν ἀπετράποντο ἐκεῖνοι, ἀλλ' ὁ μὲν Κλεόδημος ὀρθῷ τῷ δακτύλῳ τὸν ὀφθαλμὸν τοῦ Ζηνοθέμιδος ἐξώρυττε καὶ τὴν ῥῖνα προσῳὺς ἀπέτραγεν, ὁ δὲ Ἕρμων τὸν Δίφιλον ἐπὶ ξυμμαχίαν ἥκοντα τοῦ Ζηνοθέμιδος ἀφῆκεν ἐπὶ κεφαλὴν ἀπὸ τοῦ κλιντῆρος.

45. Ἐτρώθη δὲ καὶ Ἱστιαῖος ὁ γραμματικὸς διαλύειν αὐτοὺς ἐπιχειρῶν λάξ, οἶμαι, εἰς τοὺς ὀδόντας ὑπὸ τοῦ Κλεοδήμου Δίφιλον εἶναι οἰηθέντος. Ἔκειτο οὖν ὁ ἄθλιος κατὰ τὸν αὐτοῦ Ὅμηρον « αἷμ' ἐμέων. » Πλὴν ταραχῆς γε καὶ δακρύων μεστὰ ἦν πάντα. Καὶ αἱ μὲν γυναῖκες ἐκώκυον τῷ Χαιρέᾳ περιχυθεῖσαι, οἱ

ferendi apposita jam tempus erat; auferuntque Aristænetus et Eucritus uterque quod ante se erat; et ego mea, et Chæreas quæ ipsi erant posita, atque Ion similiter et Cleodemus. At Diphilus ea quoque auferre postulabat, quæ egresso jam Zenoni fuerant posita, ac soli sibi posita esse dicebat, pugnabatque cum ministris; tendebantque adeo in diversa, gallina utrimque comprehensa et huc illuc, ut Patrocli illius cadaver, tracta. Ac victus tandem dimisit, risu multo convivis præbito, præsertim quum post ista indignaretur, velut injuria maxima affectus esset.

43. Hermon et Zenothemis juxta, ut supra dictum est, accumbebant; supra Zenothemis, alter infra. Apposita illis erant reliqua omnia æqualia, auferebantque ista pacate: sed gallina quæ ante Hermonem, pinguior erat, forte id quidem fortuna, arbitror. Oportebat autem has etiam, suam quemque tollere. Hic Zenothemis (et adverte mihi, Philo, animum; jam enim in ipso capite quasi rei gestæ versamur): Zenothemis ergo, sua relicta, illam pinguiorem, ut modo dicebam, quæ ante Hermonem erat, aufert: at hic ab altera parte prehendit, nec patitur istum plus justo sibi arrogare. Hinc clamor, et irruentes in se invicem, ipsas sibi gallinas in faciem impingunt, prehensisque invicem barbis auxiliaturos advocant, Cleodemum Hermon, Zenothemis autem Alcidamantem et Diphilum; coeuntque adeo hi ad hunc, ad alterum alteri, solo excepto Ione; hic enim se servabat medium.

44. At illi consertis manibus pugnant: et Zenothemis sublatum de mensa scyphum qui ante Aristænetum stabat, in Hermonem conjicit,

Ille sed inde alio temere conversus aberrat,

sponsique frontem luculento sane ac profundo vulnere diffindit. Clamor igitur oritur a mulieribus, et prosiliunt inter utramque aciem pleræque, mater præsertim sponsi, quum videret sanguinem; exsilit etiam, quod illi metueret, sponsa. Interim præclare rem gerit Alcidamas, auxiliator Zenothemidis, et clavæ ictu Cleodemi cranium et malam Hermonis obterit, servorumque quosdam, qui auxilii ferendi causa accurrerant, vulnerat. Nondum tamen illi cedunt, sed Cleodemus erecto digito oculum Zenothemidi effodit, et morsu nasum aufert: Hermon vero auxilio venientem Zenothemidi Diphilum in caput de lecto dat præcipitem.

45. Vulneratur etiam Histiæus grammaticus, dum conatur illos dirimere, calcibus, ut arbitror, dentes illius petente Cleodemo, quod putaret esse Diphilum. Jacuit ergo miser, « vomuitque, » Homeri sui verbo, « cruorem. » Ceterum tumultus et lacrimarum plena erant omnia. Plorant circumfusæ circa Chæream mulieres, reliqui sedare tumultum

δὲ ἄλλοι κατέπαυον. Μέγιστον δὲ ἦν ἁπάντων κακῶν ὁ Ἀλκιδάμας, ἐπεὶ ἅπαξ τὸ καθ' αὑτὸν ἐτρέψατο, παίων τὸν προστυχόντα· καὶ πολλοὶ ἂν, εὖ ἴσθι, ἔπεσον, εἰ μὴ κατέαξε τὴν βακτηρίαν. Ἐγὼ δὲ παρὰ τὸν τοῖχον ὀρθὸς ἑφεστὼς ἑώρων ἕκαστα οὐκ ἀναμιγνὺς ἐμαυτὸν ὑπὸ τοῦ Ἱστιαίου διδαχθεὶς, ὡς ἔστιν ἐπισφαλὲς διαλύειν τὰ τοιαῦτα. Λαπίθας οὖν καὶ Κενταύρους εἶδες ἄν, τραπέζας ἀνατρεπομένας καὶ αἷμα ἐκκεχυμένον καὶ σκύφους ῥιπτομένους.

46. Τέλος δὲ ὁ Ἀλκιδάμας ἀνατρέψας τὸ λυχνίον σκότος μέγα ἐποίησε, καὶ τὸ πρᾶγμα, ὡς τὸ εἰκὸς, μακρῷ χαλεπώτερον ἐγεγένητο· καὶ γὰρ οὐ ῥᾳδίως εὐπόρησαν φωτὸς ἄλλου, ἀλλὰ πολλὰ ἐπράχθη καὶ δεινὰ ἐν τῷ σκότῳ. Καὶ ἐπεὶ παρῆν τις λύχνον ποτὲ κομίζων, κατελήφθη Ἀλκιδάμας μὲν τὴν αὐλητρίδα ἀπογυμνῶν καὶ πρὸς βίαν συνενεχθῆναι αὐτῇ σπουδάζων, Διονυσόδωρος δὲ ἄλλο τι γελοῖον ἐφωράθη πεποιηκώς· σκύφος γὰρ ἐξέπεσεν ἐκ τοῦ κόλπου ἐξαναστάντος αὐτοῦ. Εἶτ' ἀπολογούμενος Ἴωνα ἔφη ἀνελόμενον ἐν τῇ ταραχῇ δοῦναι αὐτῷ, ὅπως μὴ ἀπόλοιτο, καὶ ὁ Ἴων κηδεμονικῶς ἔλεγε τοῦτο πεποιηκέναι.

47. Ἐπὶ τούτοις διελύθη τὸ συμπόσιον τελευτῆσαν ἐκ τῶν δακρύων αὖθις εἰς γέλωτα ἐπὶ τῷ Ἀλκιδάμαντι καὶ Διονυσοδώρῳ καὶ Ἴωνι. Καὶ οἵ τε τραυματίαι φοράδην ἐξεκομίζοντο πονήρως ἔχοντες, καὶ μάλιστα ὁ πρεσβύτης ὁ Ζηνόθεμις ἀμφοτέραις τῇ μὲν τῆς ῥινὸς, τῇ δὲ τοῦ ὀφθαλμοῦ ἐπειλημμένος, βοῶν ἀπόλλυσθαι ὑπ' ἀλγηδόνων, ὥστε καὶ τὸν Ἕρμωνα καίπερ ἐν κακοῖς ὄντα — δύο γὰρ ὀδόντας ἐξεκέκοπτο — ἀντιμαρτύρεσθαι λέγοντα, Μέμνησο μέντοι, ὦ Ζηνόθεμι, ὡς οὐκ ἀδιάφορον ἠγῇ τὸν πόνον· καὶ ὁ νυμφίος δὲ ἀκεσαμένου τὸ τραῦμα τοῦ Διονίκου ἀπήγετο ἐς τὴν οἰκίαν ταινίαις κατειλημένος τὴν κεφαλὴν, ἐπὶ τὸ ζεῦγος ἀνατεθεὶς ἐφ' οὗ τὴν νύμφην ἀπάξειν ἔμελλε, πικρὸς ὁ ἄθλιος τοὺς γάμους ἑορτάσας· καὶ τῶν ἄλλων δὲ ὁ Διόνικος ἐπεμελεῖτο δὴ τὰ δυνατὰ, καὶ καθευδήσοντες ἀπήγοντο ἐμοῦντες οἱ πολλοὶ ἐν ταῖς ὁδοῖς. Ὁ μέντοι Ἀλκιδάμας αὐτοῦ ἔμεινεν· οὐ γὰρ ἠδυνήθησαν ἐκβαλεῖν τὸν ἄνδρα, ἐπεὶ ἅπαξ καταβαλὼν ἑαυτὸν ἐπὶ τῆς κλίνης πλαγίως ἐκάθευδε.

48. Τοῦτό σοι τέλος, ὦ καλὲ Φίλων, ἐγένετο τοῦ συμποσίου, ἢ ἄμεινον τὸ τραγικὸν ἐκεῖνο ἐπειπεῖν,

> Πολλαὶ μορφαὶ τῶν δαιμονίων,
> πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί,
> καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη·

ἀπροσδόκητα γὰρ ὡς ἀληθῶς ἀπέβη καὶ ταῦτα. Ἐκεῖνο μεμάθηκα ἤδη, ὡς οὐκ ἀσφαλὲς ἄπρακτον ὄντα συνεστιᾶσθαι τοιούτοις σοφοῖς.

tudent. Maximum malorum omnium fuit Alcidamas, qui quum semel oppositam sibi aciem fugasset, pulsabat in quemcumque incidit : et multi, bene noris, perierant, nisi ille fregisset clavam. Ego vero ad parietem stans erectus, videbam singula, non immiscens me, doctus nempe Histiæi exemplo, quam periculosum esset talia dirimere. Denique Lapithas videres Centaurosque, everti mensas, sanguinem effundi, volare scyphos.

46. Tandem Alcidamas candelabro everso tenebras fecit magnas : ac res, quod facile est existimatu, in multo jam periculosiorem adducta locum erat : neque enim cito luminis alius copia erat ; sed in hisce tenebris multa, eaque turpia, perpetrata sunt. Quum adesset tandem qui lumen inferret, deprehensus est Alcidamas tibicinæ sublata veste vim inferre studens ; Dionysodorus autem in ridiculo alio facinore oppressus : scyphus enim de sinu surgentis excidit. Deinde excusandi causa Ionem dixit in turba sibi, ne periret, dedisse, et Ion providentia quadam hoc a se factum confirmavit.

47. Sic dissolutum convivium, quod post lacrimas in risum rursus exiit de Alcidamante et Dionysodoro atque Ione. Vulnerati jacentes exportabantur, ita male se habebant ; inprimis senex Zenothemis, utraque manu, altera nasum tenens, altera oculum, perire se doloribus clamitans ; adeo ut etiam Hermon, licet ipse quoque in malis versans, duobus quippe excussis dentibus, antestaretur dicens, Memento certe, Zenothemi, te indifferentem jam non putare dolorem! Sponsus vero, alligato Dionici opera vulnere, domum abductus est, tæniis obvoluto capite, in currum impositus eum, quo sponsam avecturi fuerant, acerbis miser celebratis nuptiis. Reliquos etiam curabat, quantum ejus fieri poterat, Diocles. Denique somnum cupientes abducebantur, vomentes plerique in via. Verum mansit ibi Alcidamas : neque enim valebant ejicere virum, quum semel in lecto, in quem obliquo se corpore abjecerat, dormire occepisset.

48. Hic tibi finis, pulcher Philo, fuit convivii ; nisi melius est tragicum illud subjicere,

> Fortuna vices versat multas ;
> multaque peragunt inopina dei ;
> quæ fore speras, haud eveniunt :

præter opinionem enim revera ista etiam evenere. Equidem illud jam didici, minime tutum esse, qui negotiis implicari nolit, cum ejusmodi philosophis agitare convivium.

LXXII.

ΠΕΡΙ ΤΗΣ ΣΥΡΙΗΣ ΘΕΟΥ.

1. Ἔστι ἐν Συρίῃ πόλις οὐ πολλὸν ἀπὸ τοῦ Εὐφρήτεω ποταμοῦ, καλέεται δὲ Ἱρὴ καὶ ἔστι ἱρὴ τῆς Ἥρης τῆς Ἀσσυρίης. Δοκέει δέ μοι, τόδε τὸ οὔνομα οὐκ ἅμα τῇ πόλι οἰκεομένῃ ἐγένετο, ἀλλὰ τὸ μὲν ἀρχαῖον ἄλλο ἦν· μετὰ δὲ σφίσι τῶν ἱρῶν μεγάλων γιγνομένων ἐς τόδε ἡ ἐπωνυμίη ἀπίκετο. Περὶ ταύτης ὧν τῆς πόλιος ἔρχομαι ἐρέων ὁκόσα ἐν αὐτῇ ἐστι· ἐρέω δὲ καὶ νόμους τοῖσι ἐς τὰ ἱρὰ χρέονται, καὶ πανηγύριας τὰς ἄγουσι, καὶ θυσίας τὰς ἐπιτελέουσι. Ἐρέω δὲ ὁκόσα καὶ περὶ τῶν τὸ ἱρὸν εἰσαμένων μυθολογέουσι, καὶ τὸν νηὸν ὅκως ἐγένετο. Γράφω δὲ Ἀσσύριος ἐών, καὶ τῶν ἀπηγέομαι τὰ μὲν αὐτοψίῃ ἔμαθον, τὰ δὲ παρὰ τῶν ἱρέων ἐδάην, ὁκόσα ἐόντα ἐμεῦ πρεσβύτερα ἐγὼ ἱστορέω.

2. Πρῶτοι μὲν ὧν ἀνθρώπων, τῶν ἡμεῖς ἴδμεν, Αἰγύπτιοι λέγονται θεῶν τε ἔννοίην λαβεῖν καὶ ἱρὰ εἴσασθαι καὶ τεμένεα καὶ πανηγύριας ἀποδέξαι. Πρῶτοι δὲ καὶ οὐνόματα ἱρὰ ἔγνωσαν καὶ λόγους ἱροὺς ἔλεξαν. Μετὰ δὲ οὐ πολλῷ τεῳ χρόνῳ παρ' Αἰγυπτίων λόγον Ἀσσύριοι ἐς θεοὺς ἤκουσαν καὶ ἱρὰ καὶ νηοὺς ἤγειραν, ἐν τοῖσι καὶ ἀγάλματα ἔθεντο καὶ ξόανα ἐστήσαντο.

3. Τὸ δὲ παλαιὸν καὶ παρ' Αἰγυπτίοισι ἀξόανοι νηοὶ ἔσαν. Καὶ ἔστι ἱρὰ καὶ ἐν Συρίῃ οὐ παρὰ πολὺ τοῖς Αἰγυπτίοισι ἰσοχρονέοντα, τῶν ἐγὼ πλεῖστα ὄπωπα· τό γε τοῦ Ἡρακλέος τὸ ἐν Τύρῳ, οὐ τούτου τοῦ Ἡρακλέος, τὸν Ἕλληνες ἀείδουσι, ἀλλὰ τὸν ἐγὼ λέγω, πολλὸν ἀρχαιότερος, καὶ Τύριος ἥρως ἐστί.

4. Ἔνι δὲ καὶ ἄλλο ἱρὸν ἐν Φοινίκῃ μέγα, τὸ Σιδώνιοι ἔχουσι, ὡς μὲν αὐτοὶ λέγουσι, Ἀστάρτης ἐστί· Ἀστάρτην δ' ἐγὼ δοκέω Σεληναίην ἔμμεναι· ὡς δέ μοί τις τῶν ἱρέων ἀπηγέετο, Εὐρώπης ἐστὶ τῆς Κάδμου ἀδελφεῆς. Ταύτην δ' ἐοῦσαν Ἀγήνορος τοῦ βασιλῆος θυγατέρα, ἐπειδή τε ἀφανὴς ἐγεγόνεε, οἱ Φοίνικες τῷ νηῷ ἐτιμήσαντο καὶ λόγον ἱρὸν ἐπ' αὐτῇ ἔλεξαν, ὅτι ἐοῦσαν καλὴν Ζεὺς ἐπόθεε καὶ τὸ εἶδος εἰς ταῦρον ἀμειψάμενος ἥρπασε· καί μιν ἐς Κρήτην φέρων ἀπίκετο. Τάδε μὲν καὶ τῶν ἄλλων Φοινίκων ἤκουον, καὶ τὸ νόμισμα, τῷ Σιδώνιοι χρέονται, τὴν Εὐρώπην ἐφεζομένην ἔχει τῷ ταύρῳ τῷ Διΐ· τὸν δὲ νηὸν οὐκ ὁμολογέουσι Εὐρώπης ἔμμεναι.

5. Ἔχουσι δὲ καὶ ἄλλο Φοίνικες ἱρόν, οὐκ Ἀσσύριον, ἀλλ' Αἰγύπτιον, τὸ ἐξ Ἡλίου πόλιος ἐς τὴν Φοινίκην ἀπίκετο. Ἐγὼ μέν μιν οὐκ ὄπωπα, μέγα δὲ καὶ τόδε καὶ ἀρχαῖόν ἐστι.

6. Εἶδον δὲ καὶ ἐν Βύβλῳ μέγα ἱρὸν Ἀφροδίτης Βυβλίης, ἐν τῷ καὶ τὰ ὄργια ἐς Ἄδωνιν ἐπιτελέουσι· ἐδάην δὲ καὶ τὰ ὄργια. Λέγουσι γὰρ δὴ ὧν τὸ ἔργον τὸ ἐς Ἄδωνιν ὑπὸ τοῦ συὸς ἐν τῇ χωρῃ τῇ σφετέρῃ γενέσθαι καὶ μνήμην τοῦ πάθεος τύπτονταί τε ἑκάστου ἔτεος καὶ θρηνέουσι καὶ τὰ ὄργια ἐπιτελέουσι καὶ σφίσι μεγάλα πένθεα ἀνὰ τὴν χώρην ἵσταται. Ἐπεὰν δὲ ἀποτύψων-

LXXII.

DE SYRIA DEA.

1. Est in Syria urbs non procul ab Euphrate fluvio : vocatur ea Hiera (*sacra*, Hierapolis), et est sacra Junonis Assyriæ. Videtur autem mihi nomen illud non statim fuisse urbi, ex quo primum habitari cœpit; sed antiquum fuisse aliud : postea vero quum magna ibi sacra fierent, nomen loci in hoc abiit. De hac igitur urbe jam dicam, quæ in ea sint : dicam vero leges etiam, quibus in sacris suis utuntur, et celebritates quas agunt, et sacrificia quæ faciunt. Dicam ea quoque omnia quæ de conditoribus sacri illius fabulantur, et templum quomodo sit exstructum. Scribo autem Assyrius ipse, *qui* ea, *quæ* narro, *partim meis viderim* oculis; partim vero a sacerdotibus sim edoctus, quæ quidem ætatem meam antecedentia hic refero.

2. Jam primi hominum, quos nos novimus, Ægyptii dicuntur deorum cognitionem cepisse, et condidisse templa atque delubra, et cœtus sacrorum causa instituisse. Primi etiam nomina novere sacra, et narrationes sacras tradiderunt. Non ita multo post autem ab Ægyptiis Assyrii illam de diis doctrinam audierunt, et templa atque ædes excitarunt, in quibus simulacra quoque ponebant, et signa statuebant.

3. Antiquitus vero apud Ægyptios etiam sine sculpta imagine erant templa. Et sunt in Syria quoque templa Ægyptiis illis non multum ætate inferiora, quorum ego plurima vidi : ut Herculis Tyri, non illius, quem Græci canunt, Herculis, sed quem ego dico, qui multum antiquior, et Tyrius heros est.

4. Est vero aliud quoque in Phœnice templum magnum, quod habent Sidonii : prout ipsi dicunt, Astartæ est : Astarten autem puto ego Lunam esse : ut vero sacerdotum mihi aliquis narravit, Europæ est, sororis Cadmi. Hanc autem Agenoris regis filiam, quum discessisset ex oculis, Phœnices honorarunt templo, et historiam de ea sacram tradidere, eam, pulchra quum esset, a Jove amatam, qui mutatus in tauri speciem eam rapuerit, et in Cretam detulerit. Hæc etiam ex Phœnicibus aliis audivi, et numus, quo utuntur Sidonii, Europam habet tauro insidentem, Jovi. Templum autem Europæ esse, non consentiunt.

5. Habent autem aliud etiam sacrum Phœnices, non Assyrium illud, sed Ægyptium, quod Heliopoli in Phœnicen venit. Ego quidem illud non vidi; magnum vero ipsum quoque et antiquum est.

6. Sed vidi ego Bybli magnum templum Veneris Byblïæ, in quo etiam Adonidis orgia peragunt : ac didici illa orgia. Dicunt nempe illud de Adonide et de apro in sua regione factum, et in memoriam illius calamitatis plangunt singulis annis et plorant, et peragunt orgia, et magnum sibi per illam regionem luctum imponunt. Quum vero satis planctus

ταί τε καὶ ἀποκλαύσωνται, πρῶτα μὲν καταγίζουσι τῷ Ἀδώνιδι ὄκως ἐόντι νέκυι, μετὰ δὲ τῇ ἑτέρῃ ἡμέρῃ ζώειν τέ μιν μυθολογέουσι καὶ ἐς τὸν ἠέρα πέμπουσι καὶ τὰς κεφαλὰς ξυρέονται ὄκως Αἰγύπτιοι ἀποθανόντος Ἄπιος. Γυναικῶν δὲ ὁκόσαι οὐκ ἐθέλουσι ξυρέεσθαι, τοιήνδε ζημίην ἐκτελέουσι· ἐν μιῇ ἡμέρῃ ἐπὶ πρήσι τῆς ὥρης ἵστανται, ἡ δὲ ἀγορὴ μούνοισι ξείνοισι παρακέεται καὶ ὁ μισθὸς ἐς τὴν Ἀφροδίτην θυσίη γίγνεται.

7. Εἰσὶ δὲ ἔνιοι Βυβλίων, οἳ λέγουσι παρὰ σφίσι τεθάφθαι τὸν Ὄσιριν τὸν Αἰγύπτιον, καὶ τὰ πένθεα καὶ τὰ ὄργια οὐκ ἐς τὸν Ἄδωνιν, ἀλλ' ἐς τὸν Ὄσιριν πάντα πρήσσεσθαι. Ἐρέω δὲ ὁκόθεν καὶ τάδε πιστὰ δοκέουσι. Κεφαλὴ ἑκάστου ἔτεος ἐξ Αἰγύπτου ἐς τὴν Βύβλον ἀπικνέεται πλώουσα τὸν μεταξὺ πλόον ἑπτὰ ἡμερέων, καί μιν οἱ ἄνεμοι φορέουσι θείῃ ναυτιλίῃ· τρέπεται δὲ οὐδαμᾶ, ἀλλ' ἐς μούνην τὴν Βύβλον ἀπικνέεται. Καὶ ἔστι τὸ σύμπαν θωῦμα. Καὶ τοῦτο ἑκάστου ἔτεος γίγνεται, τὸ καὶ ἐμεῦ παρεόντος ἐν Βύβλῳ ἐγένετο· καὶ τὴν κεφαλὴν ἐθεησάμην Βυβλίνην.

8. Ἔνι δὲ καὶ ἄλλο θωῦμα ἐν τῇ χώρῃ τῇ Βυβλίνῃ, ποταμὸς ἐκ τοῦ Λιβάνου τοῦ οὔρεος ἐς τὴν ἅλα ἐκδιδοῖ· οὔνομα τῷ ποταμῷ Ἄδωνις ἐπικέεται. Ὁ δὲ ποταμὸς ἑκάστου ἔτεος αἱμάσσεται καὶ τὴν χροιὴν ὀλέσας ἐσπίπτει ἐς τὴν θάλασσαν καὶ φοινίσσει τὸ πολλὸν τοῦ πελάγεος καὶ σημαίνει τοῖς Βυβλίοις τὰ πένθεα. Μυθέονται δὲ ὅτι ταύτῃσι τῇσι ἡμέρῃσι ὁ Ἄδωνις ἀνὰ τὸν Λίβανον τιτρώσκεται καὶ τὸ αἷμα ἐς τὸ ὕδωρ ἐρχόμενον ἀλλάσσει τὸν ποταμὸν καὶ τῷ ῥόῳ τὴν ἐπωνυμίην διδοῖ. Ταῦτα μὲν οἱ πολλοὶ λέγουσι. Ἐμοὶ δέ τις ἀνὴρ Βύβλιος ἀληθέα δοκέων λέγειν ἑτέρην ἀπηγέετο τοῦ πάθεος αἰτίην. Ἔλεγε δὲ ὧδε· Ὁ Ἄδωνις ὁ ποταμός, ὦ ξεῖνε, διὰ τοῦ Λιβάνου ἔρχεται· ὁ δὲ Λίβανος κάρτα ξανθόγεώς ἐστιν· ἄνεμοι ὦν τρηχέες ἐκείνῃσι τῇσι ἡμέρῃσι ἱστάμενοι τὴν γῆν τῷ ποταμῷ ἐπιφέρουσι ἐοῦσαν ἐς τὰ μάλιστα μιλτώδεα, ἡ δὲ γῆ μιν αἱμώδεα τίθησι· καὶ τοῦδε τοῦ πάθεος οὐ τὸ αἷμα, τὸ λέγουσι, ἀλλ' ἡ χώρη αἰτίη. Ὁ μέν μοι Βύβλιος τοσαῦτα ἀπηγέετο· εἰ δὲ ἀτρεκέως ταῦτα ἔλεγε, ἐμοὶ μὲν δοκέει κάρτα θείη καὶ τοῦ ἀνέμου ἡ συντυχίη.

9. Ἀνέβην δὲ καὶ ἐς τὸν Λίβανον ἐκ Βύβλου, ὁδὸν ἡμέρης, πυθόμενος αὐτόθι ἀρχαῖον ἱρὸν Ἀφροδίτης ἔμμεναι, τὸ Κινύρης εἵσατο, καὶ εἶδον τὸ ἱρὸν καὶ ἀρχαῖον ἦν. Τάδε μέν ἐστι τὰ ἐν τῇ Συρίῃ ἀρχαῖα καὶ μεγάλα ἱρά.

10. Τοσούτων δὲ ἐόντων ἐμοὶ δοκέει οὐδὲν τῶν ἐν τῇ ἱρῇ πόλι μεῖζον ἔμμεναι οὐδὲ νηὸς ἄλλος ἀγιώτερος οὐδὲ χώρη ἄλλη ἱροτέρη. Ἔνι δὲ καὶ ἔργα ἐν αὐτῷ πολυτελέα καὶ ἀρχαῖα ἀναθήματα καὶ πολλὰ θωύματα καὶ ξόανα θεοπρεπέα, καὶ θεοὶ δὲ κάρτα αὐτοῖσι ἐμφανέες· ἰδρώει γὰρ δὴ ὧν παρὰ σφίσι τὰ ξόανα καὶ κινέεται καὶ χρησμηγορέει· καὶ βοὴ δὲ πολλάκις ἐγένετο ἐν τῷ νηῷ κλεισθέντος τοῦ ἱροῦ, καὶ πολλοὶ ἤκουσαν. Ναὶ μὴν καὶ ὄλβου πέρι ἐν τοῖσι ἐγὼ οἶδα πρῶτόν ἐστι· πολλὰ γὰρ αὐτοῖσι ἀπικνέεται χρήματα ἔκ τε Ἀραβίης

et lacrimarum est, primo inferias Adonidi, tanquam mortuo, mittunt; post vero, insequenti die, vivereque illum narrant, et cœlo illum exponunt: etiam capita tondent, sicut Ægyptii, quando mortuus his est suus Apis. Mulierum vero quotquot tonderi nolunt, multam solvunt ejusmodi: uno die venales stant, forma quæstum facturæ; forum autem solis patet peregrinis, et merces illarum sacrificium fit Veneri.

7. Sunt autem Bybliorum quidam, qui sepultum apud se dicunt Osirin Ægyptium, et luctus illos et orgia non in Adonin, sed in Osirin peragi omnia. Dicam vero unde ista quoque fide digna videantur. Caput singulis annis ex Ægypto Byblum venit, natans per interjectum spatium quod septem diebus navigatur: ac ferunt illud divina quadam navigatione venti; declinat autem nusquam, sed solam Byblum pervenit. Estque universum hoc miraculum: idque annis singulis contingit, quod me etiam præsente Bybli factum est; ac vidi caput illud Byblium.

8. Est vero aliud quoque in Bybliorum regione miraculum: flumen e Libano monte ortum exoneratur in mare: impositum nomen flumini Adonis. Illud flumen singulis annis cruentatur, suoque amisso colore in mare effunditur, et magnam maris partem inficiens, suos Bybliis luctus indicit. Fabulantur autem hisce ipsis diebus in Libano vulnerari Adonin, delatoque in aquam illius sanguine immutari flumen, atque cognomen fluento illud dari. Hæc vulgus dicit: mihi vero Byblius homo, qui vera videbatur dicere, aliam narravit mutationis illius causam. Dicebat autem ita: Adonis flumen, mi hospes, venit per Libanum: at Libanus multum rubicundæ terræ habet; venti ergo vehementes, qui statos illis diebus flatus habent, terram flumini inferunt minio valde similem: hæc illud terra reddit sanguineum: hujusque mutationis non sanguis, quem dicunt, sed regio ipsa in causa est. Hæc mihi narrabat Byblius: si autem vera hæc dixit, mihi tamen divina valde illa ipsa venti opportunitas videtur.

9. Ascendi vero etiam Byblo in Libanum, diei unius itinere, quum audissem antiquum ibi esse Veneris fanum, quod constituerit Cinyras. Ac vidi templum, quod sane antiquum erat. Atque hæc illa vetera sunt et magna per Syriam templa.

10. Tot autem quum sint, nullum mihi videtur illis, quæ sunt Hierapoli, majus esse, nec ædes alia augustior, neque sanctior regio alia. Sunt autem etiam opera in eo sumtuosa, et donaria antiqua, et spectanda multa, et signa augusta, præsentesque valde iis dii. Sudant enim apud illos simulacra, et moventur, atque edunt oracula. Clamor etiam sæpe in æde coortus, quum clausum esset templum, et multi exaudiverunt. Verum etiam divitiarum causa eorum, quæ ego novi, primum est. Multæ enim ad illos opes ve-

καὶ Φοινίκων καὶ Βαβυλωνίων καὶ ἄλλα ἐκ Καππαδοκίης, τὰ δὲ καὶ Κίλικες φέρουσι, τὰ δὲ Ἀσσύριοι. Εἶδον δὲ ἐγὼ καὶ τὰ ἐν τῷ νηῷ λάθρῃ ἀποκείαται, ἐσθῆτα πολλὴν καὶ ἄλλα ὁκόσα ἐς ἄργυρον ἢ ἐς χρυσὸν ἀποκέκριται. Ὁρταὶ μὲν γὰρ καὶ πανηγύριες οὐδαμοῖσι ἄλλοισι ἀνθρώπων τοσαίδε ἀποδεδέχαται.

11. Ἱστορέοντι δέ μοι ἐτέων πέρι, ὁκόσα τῷ ἱρῷ ἐστι, καὶ τὴν θεὸν αὐτοὶ ἥντινα δοκέουσι, πολλοὶ λόγοι ἐλέγοντο, τῶν οἱ μὲν ἱροὶ, οἱ δὲ ἐμφανέες, οἱ δὲ κάρτα μυθώδεες, καὶ ἄλλοι βάρβαροι, οἱ μὲν τοῖσι Ἕλλησι ὁμολογέοντες, τοὺς ἐγὼ πάντας μὲν ἐρέω, δέκομαι δὲ οὐδαμά.

12. Οἱ μὲν ὦν πολλοὶ Δευκαλίωνα τὸν Σισύθεα τὸ ἱρὸν εἴσασθαι λέγουσι, τοῦτον Δευκαλίωνα, ἐπὶ τοῦ τὸ πολλὸν ὕδωρ ἐγένετο. Δευκαλίωνος δὲ πέρι λόγον ἐν Ἕλλησι ἤκουσα, τὸν Ἕλληνες ἐπ' αὐτῷ λέγουσι. Ὁ δὲ μῦθος ὧδε ἔχει· ἦδε ἡ γενεὴ οἱ νῦν ἄνθρωποι οὐ πρῶτοι ἐγένοντο, ἀλλ' ἐκείνη μὲν ἡ γενεὴ πάντες ὤλοντο. Οὗτοι δὲ γένεος τοῦ δευτέρου εἰσὶ, τὸ αὖτις ἐκ Δευκαλίωνος ἐς πληθὺν ἀπίκετο. Ἐκείνων δὲ πέρι τῶν ἀνθρώπων τάδε μυθέονται· ὑβρισταὶ κάρτα ἐόντες ἀθέμιστα ἔργα ἔπρησσον, οὔτε γὰρ ὅρκια ἐφύλασσον οὔτε ξείνους ἐδέκοντο οὔτε ἱκετέων ἠνείχοντο, ἀντ' ὧν σφίσιν ἡ μεγάλη συμφορὴ ἀπίκετο. Αὐτίκα ἡ γῆ πολλὸν ὕδωρ ἐκδιδοῖ καὶ ὄμβροι μεγάλοι ἐγένοντο καὶ οἱ ποταμοὶ κατέβησαν μέζονες καὶ ἡ θάλασσα ἐπὶ πολλὸν ἀνέβη, ἐς ὃ πάντα ὕδωρ ἐγένοντο καὶ πάντες ὤλοντο, Δευκαλίων δὲ μοῦνος ἀνθρώπων ἐλίπετο ἐς γενεὴν δευτέρην εὐβουλίης τε καὶ τοῦ εὐσεβέος εἵνεκα. Ἡ δέ οἱ σωτηρίη ἦδε ἐγένετο· λάρνακα μεγάλην, τὴν αὐτὸς εἶχε, ἐς ταύτην ἐσβιβάσας παῖδάς τε καὶ γυναῖκας ἑωυτοῦ ἐσέβη· ἐσβαίνοντι δέ οἱ ἀπίκοντο σύες καὶ ἵπποι καὶ λεόντων γένεα καὶ ὄφιες καὶ ἄλλα ὁκόσα ἐν γῇ νέμονται, πάντα ἐς ζεύγεα. Ὁ δὲ πάντα ἐδέκετο, καί μιν οὐκ ἐσίνοντο, ἀλλὰ σφίσι μεγάλη διόθεν φιλίη ἐγένετο. Καὶ ἐν μιῇ λάρνακι πάντες ἔπλευσαν, ἔστε τὸ ὕδωρ ἐπεκράτεε. Τὰ μὲν Δευκαλίωνος πέρι Ἕλληνες ἱστορέουσι.

13. Τὸ δὲ ἀπὸ τούτου λέγεται λόγος ὑπὸ τῶν ἐν τῇ ἱρῇ πόλει μεγάλως ἄξιος θωυμάσαι, ὅτι ἐν τῇ σφετέρῃ χώρῃ χάσμα μέγα ἐγένετο καὶ τὸ σύμπαν ὕδωρ κατεδέξατο· Δευκαλίων δὲ, ἐπεὶ τάδε ἐγένετο, βωμούς τε ἔθετο καὶ νηὸν ἐπὶ τῷ χάσματι Ἥρης ἅγιον ἐστήσατο. Ἐγὼ δὲ καὶ τὸ χάσμα εἶδον, καὶ ἔστι ὑπὸ τῷ νηῷ κάρτα μικρόν. Εἰ μὲν ὦν πάλαι καὶ μέγα ἐὸν νῦν τοιόνδε ἐγένετο, οὐκ οἶδα· τὸ δὲ ἐγὼ εἶδον, μικρόν ἐστι. Σῆμα δὲ τῆς ἱστορίης τόδε πρήσσουσι· δὶς ἑκάστου ἔτεος ἐκ θαλάσσης ὕδωρ ἐς τὸν νηὸν ἀπικνέεται. Φέρουσι δὲ οὐκ ἱρέες μοῦνον, ἀλλὰ πᾶσα Συρίη καὶ Ἀραβίη, καὶ πέρηθεν τοῦ Εὐφρήτεω πολλοὶ ἄνθρωποι ἐς θάλασσαν ἔρχονται καὶ πάντες ὕδωρ φέρουσι, τὸ πρῶτα μὲν ἐν τῷ νηῷ ἐχχέουσι, μετὰ δὲ ἐς τὸ χάσμα κατέρχεται, καὶ δέκεται τὸ χάσμα μικρὸν ἐὸν ὕδατος χρῆμα πολλόν. Τὰ δὲ ποιέοντες Δευκαλίωνα ἐν τῷ ἱρῷ τόνδε νόμον θέσθαι λέγουσι συμφορῆς τε καὶ εὐεργεσίης μνῆμα ἐμμεναι.

niunt ex Arabia, et a Phœnicibus, et Babyloniis, et aliæ e Cappadocia; quædam vero etiam Cilices afferunt, quædam Assyrii. Vidi ego ea quoque quæ in templo occultis locis reposita sunt, vestem multam, et alia quæ in argentum vel in aurum discreta sunt. Festorum quidem celebrationes dierum et conventus nullis aliis mortalium tot ac tanti instituti sunt.

11. Percontanti autem mihi de annis, quot essent illi sacro, et quam ipsi deam illam putarent, multæ narrationes dicebantur quarum sacræ aliæ, aliæ publicæ; quædam oppido fabulosæ; et aliæ barbaræ, aliæ Græcis consentientes, quas ego dicam quidem omnes, neutiquam vero recipio.

12. Vulgus igitur Deucalionem esse, Sisythen, aiunt, qui templum condiderit; eum, inquam, Deucalionem, sub quo multa illa aqua fuit. Jam de Deucalione narrationem inter Græcos audivi, quam Græci de eo referunt. Fabula autem ita habet. Hoc sæculum, qui nunc sunt homines, non illi primi fuere; sed illud sæculum periere omnes. At hi alterius sunt generis, quod rursus a Deucalione inde in multitudinem auctum est. De istis vero prioribus hominibus hæc narrant: contumeliosi valde quum essent, nefaria facinora patrabant: neque enim jurisjurandi religionem servabant, neque recipiebant hospites, neque supplicibus parcebant: pro quibus rebus magna illa venit ipsis calamitas. Statim multum aquæ terra effundere, et pluviæ fieri magnæ, et amnes descendere majores, mare autem multum ascendere: quare aqua fiebant omnia, peribantque universi; Deucalion solus alteri sæculo reservatus est prudentiæ et pietatis causa. Servatio autem ipsius hoc modo contigit. Arcam quam habebat magnam, in hanc liberos suos et uxores imposuit, et ipse quoque ingressus est. Quum autem ingrederetur, venerunt ad eum apri, et equi, et leonum genera, et serpentes, et reliqua quæ in terra pascuntur, bina omnia. Recipit ille omnia: neque illi nocent; sed magna inter ipsos amicitia, a Jove immissa, intercedit. Atque in una omnes arca navigarunt, quam diu aqua obtinebat. Hæc de Deucalione narrant Græci.

13. Hinc vero narratio ab iis, qui Hierapoli sunt, fertur admiratione maxime digna: in ipsorum regione hiatum factum esse magnum, qui aquam omnem receperit. Deucalionem vero, aiunt, quum hæc facta essent, altaria que constituit, et sacram Junoni ædem super hiatum collocavit. Ego etiam hiatum vidi; et est sub templo valde parvus. An vero magnus fuerit olim, et nunc tantillus factus, non novi: quem vero ego vidi, ille parvus est. Signum hujus narrationis esse statuunt hoc quod fit: bis unoquoque anno de mari aqua in templum venit. Ferunt eam non sacerdotes solum, sed Syria omnis et Arabia, et Transeuphratani multi homines ad mare accedunt, et aquam ferunt omnes, quam primum quidem in templo effundunt; deinde vero in hiatum ea descendit, capitque ille hiatus, parvus licet, aquæ vim maximam. Hæc faciunt, et a Deucalione hanc in eo templo legem latam esse dicunt, ut illud

Ὁ μὲν ὢν ἀρχαῖος αὐτοῖσι λόγος ἀμφὶ τοῦ ἱροῦ τοιόσδε ἐστί.

14. Ἄλλοι δὲ Σεμίραμιν τὴν Βαβυλωνίην, τῆς δὴ πολλὰ ἔργα ἐν τῇ Ἀσίῃ ἐστὶ, ταύτην καὶ τόδε τὸ ἔδος εἵσασθαι νομίζουσι, οὐκ Ἥρῃ δὲ εἵσασθαι, ἀλλὰ μητρὶ ἑωυτῆς, τῆς Δερκετὼ οὔνομα. Δερκετοῦς δὲ εἶδος ἐν Φοινίκῃ ἐθεησάμην, θέημα ξένον· ἡμισέη μὲν γυνὴ, τὸ δὲ ὁκόσον ἐκ μηρῶν ἐς ἄκρους πόδας ἰχθύος οὐρὴ ἀποτείνεται. Ἡ δὲ ἐν τῇ ἱρῇ πόλι πᾶσα γυνή ἐστι. Πίστιες δὲ τοῦ λόγου αὐτοῖσι κάρτα ἐμφανέες· ἰχθύας χρῆμα ἱρὸν νομίζουσι καὶ οὔκοτε ἰχθύων ψαύουσι, καὶ ὄρνιθας τοὺς μὲν ἄλλους σιτέονται, περιστερὴν δὲ μούνην οὐ σιτέονται, ἀλλὰ σφίσι ἥδε ἱρή. Τὰ δὲ γιγνόμενα δοκέει αὐτοῖσι ποιέεσθαι Δερκετοῦς καὶ Σεμιράμιος εἵνεκα, τὸ μὲν, ὅτι Δερκετὼ μορφὴν ἰχθύος ἔχει, τὸ δὲ, ὅτι τὸ Σεμιράμιος τέλος ἐς περιστερὴν ἀπίκετο. Ἀλλ' ἐγὼ τὸν μὲν νηὸν ὅτι Σεμιράμιος ἔργον ἐστὶ, τάχα κου δέξομαι· Δερκετοῦς δὲ τὸ ἱρὸν ἔμμεναι οὐδαμὰ πείθομαι, ἐπεὶ καὶ παρ' Αἰγυπτίων ἐνίοισι ἰχθύας οὐ σιτέονται, καὶ τάδε οὐ Δερκετοῖ χαρίζονται.

15. Ἔστι δὲ καὶ ἄλλος λόγος ἱερὸς, τὸν ἐγὼ σοφοῦ ἀνδρὸς ἤκουσα, ὅτι ἡ μὲν θεὴ Ῥέη ἐστὶ, τὸ δὲ ἱρὸν Ἄττεω ποίημα· Ἄττης δὲ γένος μὲν Λυδὸς ἦν, πρῶτος δὲ τὰ ὄργια τὰ ἐς Ῥέην ἐδιδάξατο. Καὶ τὰ Φρύγες καὶ Λυδοὶ καὶ Σαμόθρᾳκες ἐπιτελέουσι, Ἄττεω πάντα ἔμαθον· ὡς γάρ μιν ἡ Ῥέη ἔτεμε, βίου μὲν ἀνδρηίου ἀπεπαύσατο, μορφὴν δὲ θηλέην ἠμείψατο καὶ ἐσθῆτα γυναικηίην ἐνεδύσατο καὶ ἐς πᾶσαν γῆν φοιτέων ὄργιά τε ἐπετέλεε καὶ τὰ ἔπαθε ἀπηγέετο καὶ Ῥέην ἤειδε. Ἐν τοῖσι καὶ ἐς Συρίην ἀπίκετο. Ὡς δὲ οἱ πέρην Εὐφρήτεω ἄνθρωποι οὔτε αὐτὸν οὔτε ὄργια ἐδέκοντο, ἐν τῷδε τῷ χώρῳ τὸ ἱρὸν ἐποιήσατο. Σημήια δέ· ἡ θεὸς τὰ πολλὰ ἐς Ῥέην ἐπικνέεται. Λέοντες γάρ μιν φέρουσι καὶ τύμπανον ἔχει καὶ ἐπὶ τῇ κεφαλῇ πυργοφορέει, ὁκοίην Ῥέην Λυδοὶ ποιέουσι. Ἔλεγε δὲ καὶ Γάλλων πέρι, οἳ εἰσιν ἐν τῷ ἱρῷ, ὅτι Γάλλοι Ἥρῃ μὲν οὐδαμὰ, Ῥέῃ δὲ τέμνονται καὶ Ἄττεα μιμέονται. Τὰ δέ μοι εὐπρεπέα μὲν δοκέει ἔμμεναι, ἀληθέα δὲ οὔ· ἐπεὶ καὶ τῆς τομῆς ἄλλην αἰτίην ἤκουσα πολλὸν πιστοτέρην.

16. Ἀνδάνει δέ μοι τὰ λέγουσι τοῦ ἱροῦ πέρι τοῖσι Ἕλλησι τὰ πολλὰ ὁμολογέοντες, τὴν μὲν θεὸν Ἥρην δοκέοντες, τὸ δ' ἔργον Διονύσου τοῦ Σεμέλης ποίημα· καὶ γὰρ δὴ Διόνυσος ἐς Συρίην ἀπίκετο κείνην ὁδὸν τὴν ἦλθεν ἐπ' Αἰθιοπίην. Καὶ ἔστι πολλὰ ἐν τῷ ἱρῷ Διονύσου ποιητέω σήματα, ἐν τοῖσι καὶ ἐσθῆτες βάρβαροι καὶ λίθοι Ἰνδοὶ καὶ ἐλεφάντων κέρεα, τὰ Διόνυσος ἐξ Αἰθιόπων ἤνεικε, καὶ φαλλοὶ δὲ ἑστᾶσι ἐν τοῖσι προπυλαίοισι δύο κάρτα μεγάλοι, ἐπὶ τῶν ἐπίγραμμα τοιόνδε ἐπιγέγραπται, « τούσδε φαλλοὺς Διόνυσος Ἥρῃ μητρυιῇ ἀνέθηκα. » Ἐμοὶ μέν νυν καὶ τάδε ἀρκέει. Ἐρέω δὲ καὶ ἄλλ' ὅ τι ἐστὶ ἐν τῷ νηῷ Διονύσου ὄργιον. Φαλλοὺς Ἕλληνες Διονύσῳ ἐγείρουσι, ἐπὶ τῶν καὶ τοιόνδε τι φέρουσι, ἄνδρας μικροὺς ἐκ ξύλου πεποιημένους, μεγάλα αἰδοῖα ἔχοντας· καλέονται δὲ τάδε νευ-

esset calamitatis pariter ac beneficii monimentum. Antiqua ergo de templo illis narratio est hujusmodi.

14. Alii vero Babyloniam Semiramidem, cujus quidem multa per Asiam opera exstant, hanc ergo constituisse arbitrantur illam quoque sedem; nec vero Junoni constituisse, sed suæ matri, cujus nomen Derceto. Dercetus porro speciem vidi in Phœnice, mirum spectaculum : dimidia est mulier; quod est autem a feminibus inde ad extremos pedes, piscis cauda extenditur. Ea vero quæ Hierapoli est, tota est mulier. Argumenta illis hujus relationis sunt valde aperta : pisces rem sacram arbitrantur, et nunquam pisces attingunt; atque aves reliquas quidem in cibo habent, columba vero sola non vescuntur, sed est ea illis sacra. Hæc quæ ita fiunt, videntur iis fieri Dercetus et Semiramidis causa : alterum, quod piscis formam habet Derceto; alterum, quod Semiramidis finis in columbam exiit. At ego ædem quidem illam Semiramidis opus esse, forte receperim; Dercetus autem esse delubrum, nequaquam mihi persuadetur, quandoquidem etiam apud Ægyptios sunt qui piscibus in cibo non utantur, neque illud Dercetus gratia faciunt.

15. Est vero alia etiam sacra narratio, quam a sapienti viro accepi, deam illam esse Rheam, delubrum vero opus Attis. Attes porro genere Lydus fuit, primusque Rheæ orgia docuit. Ac quæ Phryges et Lydi et Samothraces peragunt, ea ab Atte didicerunt omnia : ubi enim illum Rhea castravit, virilem victum desiit, speciemque pro eo assumsit femineam, et vestem induit muliebrem, et terras omnes peragrans, orgiaque peragebat, et enarrabat quæ passus esset, et Rheam canebat. Inter hæc pervenit etiam in Syriam. Quum autem Transeuphratani homines neque ipsum reciperent, neque orgia, illo ipso in loco hoc sibi delubrum fecit. Signa vero hujus rei sunt : in multis hæc dea ad Rheam accedit. Leones enim illam vehunt, et tympanum habet, et turrim gerit in capite, qualem Rheam Lydi faciunt. Dicebat idem de Gallis, qui in templo sunt, Gallos Junoni nusquam, at Rheæ castrari, et imitari Atten. Hæc speciosa quidem mihi videntur esse, vera non item : quandoquidem etiam castrationis illius aliam causam audivi, multum fide digniorem.

16. Placent vero mihi quæ de templo dicunt ii qui Græcis majorem partem consentiunt, deam Junonem esse putantes, opus vero a Baccho Semeles filio factum : nempe Bacchus in Syriam venit ea via, qua profectus est in Æthiopiam. Ac sunt multa in templo Bacchi auctoris indicia; in his et vestes barbaræ, et gemmæ Indicæ, et elephantorum cornua, quæ ex Æthiopibus Bacchus attulit; et stant phalli in vestibulo duo maximi, in quibus talis est inscriptio, HOSCE PHALLOS BACCHUS JUNONI NOVERCÆ POSUI. Mihi quidem etiam hæc sufficiunt. Dicam vero quoque aliud quod est in templo, Bacchi sacrum. Phallos Græci Baccho erigunt, in quibus etiam tale quid ferunt, virunculos parvos e ligno factos, pudenda magna habentes; vocantur autem hæc neu-

ρόσπαστα. Ἔστι δὲ καὶ τόδε ἐν τῷ ἱρῷ, ἐν δεξιῇ τοῦ νηοῦ κάθηται σμικρὸς ἀνὴρ χάλκεος ἔχων αἰδοῖον μέγα.

17. Τοσάδε μὲν ἀμφὶ τῶν οἰκιστέων τοῦ ἱροῦ μυθολογέουσι. Ἤδη δὲ ἐρέω καὶ τοῦ νηοῦ πέρι θέσιός τε ὅκως ἐγένετο καὶ ὅστις μιν ἐποιήσατο. Λέγουσι τὸν νηὸν τὸν νῦν ἐόντα μὴ ἔμμεναι τὸν τὴν ἀρχὴν γεγενημένον, ἀλλ' ἐκεῖνον μὲν κατενεχθῆναι χρόνῳ ὕστερον, τὸν δὲ νῦν ἐόντα Στρατονίκης ἔμμεναι ποίημα, γυναικὸς τοῦ Ἀσσυρίων βασιλῆος. Δοκέει δέ μοι ἡ Στρατονίκη ἐκείνη ἔμμεναι, τῆς ὁ πρόγονος ἠρήσατο, τὸν ἤλεγξε τοῦ ἰητροῦ ἐπινοίῃ· ὡς γάρ μιν ἡ συμφορὴ κατέλαβεν, ἀμηχανέων τῷ κακῷ αἰσχρῷ δοκέοντι κατ' ἡσυχίην ἐνόσεε. Ἔκειτο δὲ ἀλγέων οὐδέν, καί οἱ ἥ τε χροιὴ πάμπαν ἐτρέπετο καὶ τὸ σῶμα δι' ἡμέρης ἐμαραίνετο. Ὁ δὲ ἰητρὸς ὡς εἶδέ μιν ἐς οὐδὲν ἐμφανὲς ἀρρωστέοντα, ἔγνω τὴν νοῦσον ἔρωτα ἔμμεναι. Ἔρωτος δὲ ἀφανέος πολλὰ σημήια, ὀφθαλμοί τε ἀσθενέες καὶ φωνὴ καὶ χροιὴ καὶ δάκρυα. Μαθὼν δὲ ταῦτα ἐποίεε· χειρὶ μὲν τῇ δεξιῇ ἔχε τοῦ νεηνίσκου τὴν καρδίην, ἐκάλεε δὲ τοὺς ἀνὰ τὴν οἰκίην πάντας· ὁ δὲ τῶν μὲν ἄλλων ἐσιόντων πάντων ἐν ἠρεμίῃ μεγάλῃ ἦν, ὡς δὲ ἡ μητρυιὴ ἀπίκετο, τήν τε χροιὴν ἠλλάξατο καὶ ἱδρώειν ἄρξατο καὶ τρόμῳ ἔχετο καὶ ἡ καρδίη ἀνεπάλλετο· τὰ δὲ γιγνόμενα ἐμφανέα τῷ ἰητρῷ τὸν ἔρωτα ἐποίεε.

18. Καί μιν ὧδε ἰήσατο· καλέσας τοῦ νεηνίσκου τὸν πατέρα κάρτα ὀρρωδέοντα, Ἥδε ἡ νοῦσος, ἔφη, τὴν ὁ παῖς ὅδε ἀρρωστέει, οὐ νοῦσός ἐστι, ἀλλὰ ἀδικίη· ὅδε γάρ τοι ἀλγέει μὲν οὐδέν, ἔρως δέ μιν καὶ φρενοβλαβείη ἔχει. Ἐπιθυμέει δὲ τῶν οὐδαμὰ τεύξεται, φιλέων γυναῖκα ἐμήν, τὴν ἐγὼ οὔτι μετήσομαι. Ὁ μὲν ὦν τοιάδε σοφίῃ ἐψεύδετο. Ὁ δὲ αὐτίκα ἐλίσσετο, Πρός τε σοφίης καὶ ἰητρικῆς μή μοι παῖδα ὀλέσῃς· οὐ γὰρ ἐθέλων ταύτῃ συμφορῇ ἔσχετο, ἀλλά οἱ ἡ νοῦσος ἀεκουσίη. Τῷ σὺ μηδαμὰ ζηλοτυπέων πένθος ἐγεῖραι πάσῃ βασιληίῃ μηδὲ ἰητρὸς ἐὼν φθόνον προξενέειν ἰητρικῇ. Ὁ μὲν ὧδε ἀγνὼς ἐὼν ἐδέετο. Ὁ δέ μιν αὖτις ἀμείβετο, Ἀνόσια σπεύδεις γάμον ἐμὸν ἀπαιρεόμενος ἠδὲ ἰητρὸν ἄνδρα βιώμενος. Σὺ δὲ κῶς ἂν αὐτὸς ἔπρηξας, εἴ τοι σὴν γυναῖκα ἐπόθεε, ἐμεῦ τάδε δεόμενος; Ὁ δὲ πρὸς τάδε ἔλεγε ὡς οὐδ' αὐτὸς ἂν κοτε γυναικὸς ἐφείσατο οὐδὲ παιδὶ σωτηρίης ἐφθόνεε, εἰ καί οἱ μητρυιῆς ἐπεθύμεε· οὐ γὰρ ὁμοίην συμφορὴν ἔμμεναι γαμετὴν ἢ παῖδα ὀλέσαι. Ὡς δὲ τάδε ὁ ἰητρὸς ἤκουσε, Τί τοι, ἔφη, ἐμὲ λίσσεαι; καὶ γάρ τοι σὴν γυναῖκα ποθέει· τὰ δὲ ἔλεγον ἐγὼ, πάντα ἐὴν ψεύδεα. Πείθεται μὲν τουτέοισι, καὶ τῷ μὲν παιδὶ λείπει καὶ γυναῖκα καὶ βασιληίην, αὐτὸς δὲ ἐς τὴν Βαβυλωνίην χώρην ἀπίκετο καὶ πόλιν ἐπὶ τῷ Εὐφρήτῃ ἐπώνυμον ἑωυτοῦ ἐποιήσατο, ἔνθα οἱ καὶ ἡ τελευτὴ ἐγένετο. Ὧδε μὲν ὁ ἰητρὸς ἔρωτα ἔγνω τε καὶ ἰήσατο.

19. Ἥδε δὴ ὦν ἡ Στρατονίκη ἔτι τῷ προτέρῳ ἀνδρὶ συνοικέουσα ὄναρ τοιόνδε ἐθεήσατο, ὥς μιν ἡ Ἥρη ἐκέλευε ἐγεῖραί οἱ τὸν ἐν τῇ ἱρῇ πόλι νηὸν, εἰ δὲ ἀπειθέοι, πολλά οἱ καὶ κακὰ ἀπεῖλεε. Ἡ δὲ τὰ μὲν πρῶτα

rospasta [*nervis tracta*]. Est autem hoc etiam in delubro: in dextra templi sedet vir parvus aneus cum magno pudendo.

17. Tantum de conditoribus sacri narrant. Jam vero de ipsa æde dicam, et illius positione, quomodo sit facta, et quis eam condiderit. Aiunt ædem quæ nunc est, non esse illam ab initio statim structam, sed istam ipso tempore collapsam denique; quæ vero nunc est, eam Stratonices esse opus, quæ uxor Assyriorum regis fuerit. Videtur autem mihi illa fuisse Stratonice, quam privignus suus amavit, quem medici deprehendit sollertia: quum enim ille ipsum morbus invasisset, consilii expers in malo quod turpe videretur, ægrotabat silentio. Jacebat autem parte dolente nulla: atque ipsi et color plane mutabatur, et corpus in dies marcescebat. At medicus, quum videret illum manifesto nullo morbo laborare, amorem esse ipsius morbum cognovit. Amoris autem occultati signa multa, oculi languidi, et vox, et color, et lacrimæ. Quo cognito, hæc faciebat: dextra manu cordi adolescentis admota, domesticos vocabat omnes. Ille ceteris omnibus intrantibus tranquillus admodum erat: at noverca ubi advenit, et colorem mutavit, et incepit sudare, et tremore corripiebatur, et cor ei palpitabat. Ista quum fierent, manifestum medico amorem prodidere.

18. Atque ita illum sanavit: vocato patre adolescentis vehementer anxio, Iste morbus, inquit, quo juvenis hic ægrotat, non morbus est, sed injuria: nihil enim ipsi dolet; sed amor illum tenet atque amentia. Concupiscit enim quæ nunquam consequetur: meam quippe uxorem amat, quam ego neutiquam dimittam. Hæc ille astute commentus est. At pater statim supplicare, Per, inquit, tuam sapientiam et medicinæ peritiam, ne patiaris perire mihi filium: neque enim volens hoc correptus est malo, sed involuntarius ei morbus. Noli ergo tua zelotypia luctum excitare regno universo; neu, medicus quum sis, invidiam conciliare medicinæ. Sic ille imprudens orabat. At respondit ei medicus: Nefarium est quod studiose adeo petis, matrimonium mihi meum auferens et vim adhibere parans viro medico. Tu vero quid ipse faceres, si tuæ uxoris desiderio teneretur, qui me ista deprecaris? Ad hæc ille, neque se uxori unquam parsurum, neque invisurum filio salutem, etiamsi suam is novercam amaret; non enim æqualem esse calamitatem, conjugem amittere, et filium. Hæc ubi audierat medicus, Quid ergo, inquit, mihi supplicas? tuam nempe uxorem amat: quæ vero modo dicebam, conficta erant omnia. His ille obsecutus, et uxorem et regnum concedit filio, ipse autem in Babyloniæ regionem abiit, et urbem sibi cognominem ad Euphraten condidit: ubi etiam mortuus est. Sic ille medicus et deprehendit amorem et sanavit.

19. Hæc ergo Stratonice, quum in prioris adhuc viri matrimonio esset, somnium vidit ejusmodi, quasi imperaret sibi Juno, uti templum Hierapoli sibi excitaret; quod si non pareret, multa illi et mala interminabatur. Illa initio

οὐδεμίην ὥρην ἐποιέετο, μετὰ δὲ ὡς μιν μεγάλη νοῦσος ἔλαβε, τῷ τε ἀνδρὶ τὴν ὄψιν ἀπηγήσατο καὶ τὴν Ἥρην ἱλάσκετο καὶ στήσειν τὸν νηὸν ὑπεδέξατο. Καὶ αὐτίκα ὑγιέα γενομένην ὁ ἀνὴρ ἐς τὴν ἱρὴν πολιν ἔπεμπε, σὺν δέ οἱ καὶ χρήματα καὶ στρατιὴν πολλὴν, τοὺς μὲν οἰκοδομέειν, τοὺς δὲ καὶ τοῦ ἀσφαλέος εἵνεκα· καλέσας δέ τινα τῶν ἑωυτοῦ φίλων, νεηνίην κάρτα καλὸν, τῷ οὔνομα ἦν Κομβάβος, Ἐγώ τοι, ἔφη, ὦ Κομβάβε, ἐσθλὸν ἐόντα φιλέω τε μάλιστα φίλων ἐμῶν καὶ πάμπαν ἐπαινέω σοφίης τε καὶ εὐνοίης τῆς ἐς ἡμέας, τὴν δὴ ἐπεδέξαο· νῦν δέ μοι χρειὼ μεγάλης πίστιος, τῷ σε θέλω γυναικὶ ἐμῇ ἑσπόμενον ἔργον τέ μοι ἐπιτελέσαι καὶ ἱρὰ τελέσαι καὶ στρατιῆς ἐπικρατέειν· σοὶ δὲ ἀπικομένῳ ἐξ ἡμέων τιμὴ μεγάλη ἔσσεται. Πρὸς δὲ τάδε ὁ Κομβάβος αὐτίκα λίσσετο πολλὰ λιπαρέων μή μιν ἐκπέμπειν μηδὲ πιστεύειν οἱ τὰ πολλὸν ἑωυτοῦ μέζονα χρήματα καὶ γυναῖκα καὶ ἔργον ἱρόν· τὰ δὲ ὀρρώδεε μή κοτέ οἱ ζηλοτυπίη χρόνῳ ὑστέρῳ ἐς τὴν Στρατονίκην γένοιτο, τὴν μοῦνος ἀπάξειν ἔμελλε.

20. Ὡς δὲ οὐδαμὰ ἐπείθετο, ὁ δὲ ἱκεσίης δευτέρης ἅπτεται δοῦναί οἱ χρόνον ἑπτὰ ἡμερέων, μετὰ δὲ ἀποστεῖλαί μιν τελέσαντά τι τῶν μάλιστα ἐδέετο. Τυχὼν δὲ ῥηιδίως ἐς τὸν ἑωυτοῦ οἶκον ἀπικνέεται καὶ πεσὼν χαμᾶζε τοιάδε ὠδύρετο· Ὦ δείλαιος, τί μοι ταύτης τῆς πίστιος; τί δέ μοι ὁδοῦ, τῆς τέλος ἤδη δέρκομαι; Νέος μὲν ἐγὼ καὶ γυναικὶ καλῇ ἕψομαι. Τὸ δέ μοι μεγάλη συμφορὴ ἔσσεται, εἰ μὴ ἕψουσε πᾶσαν αἰτίην κακοῦ ἀποθήσομαι. Τῷ με χρῆν μέγα ἔργον ἀποτελέσαι, τό μοι πάντα φόβον ἰήσεται. Τάδε εἰπὼν ἀτελέα ἑωυτὸν ἐποίεε, καὶ ταμὼν τὰ αἰδοῖα ἐς ἀγγήιον μικρὸν κατέθετο σμύρνῃ τε ἅμα καὶ μέλιτι καὶ ἄλλοισι θυώμασι καὶ ἔπειτα σφρηγῖδι τὴν ἐφόρεε σημηνάμενος τὸ τρῶμα ἴητο. Μετὰ δὲ ὡς μιν ὁδοιπορέειν ἐδόκεε, ἀπικόμενος ἐς τὸν βασιλῆα πολλῶν παρεόντων οἰδοῖ τε ἅμα τὸ ἀγγήιον καὶ λέγει ὧδε· Ὦ δέσποτα, τόδε μοι μέγα κειμήλιον ἐν τοῖσι οἰκηίοισι ἀπεκέετο, τὸ ἐγὼ κάρτα ἐπόθεον· νῦν δὲ ἐπεὶ μεγάλην ὁδὸν ἔρχομαι, παρὰ σοὶ τόδε θήσομαι. Σὺ δέ μοι ἀσφαλέως ἔχειν· τόδε γάρ μοι χρυσοῦ βέλτερον, τόδε μοι ψυχῆς ἐμῆς ἀντάξιον. Εὖτ' ἂν δὲ ἀπίκωμαι, σῶον αὖτις ἀποίσομαι. Ὁ δὲ δεξάμενος ἑτέρῃ σφρηγῖδι ἐσημαίνετο καὶ τοῖσι ταμίῃσι φρουρέειν ἐνετείλατο.

21. Κομβάβος μέν νυν τὸ ἀπὸ τοῦδε ἀσφαλέα ὁδὸν ἦνυε· ἀπικόμενοι δὲ ἐς τὴν ἱρὴν πόλιν σπουδῇ τὸν νηὸν οἰκοδόμεον καὶ σφίσι τρία ἔτεα ἐν τῷ ἔργῳ ἐξεγένετο, ἐν τοῖσι ἀπέβαινε τάπερ ὁ Κομβάβος ὀρρώδεε· ἡ Στρατονίκη γὰρ χρόνον ἐπὶ πολλὸν συνόντα μιν ποθέειν ἄρχετο, μετὰ δέ οἱ καὶ κάρτα ἐπεμήνατο. Καὶ λέγουσι οἱ ἐν τῇ ἱρῇ πόλι τὴν Ἥρην τουτέων αἰτίην ἐθέλουσαν γενέσθαι, Κομβάβον ἐσύλον μὲν ἐόντα λαθέειν μηδαμὰ, Στρατονίκην δὲ τίσασθαι, ὅτι οὐ ῥηιδίως τὸν νηὸν ὑπέσχετο.

22. Ἡ δὲ τὰ μὲν πρῶτα ἐσωφρόνεε καὶ τὴν νοῦσον ἔκρυπτε· ὡς δέ οἱ τὸ κακὸν μέζον ἡσυχίης ἐγένετο, ἐς

quidem nullam ejus rationem habebat: at postea, quum magnus illam morbus invaderet, et viro enarravit visum, et Junonem placavit, et statuere ædem recepit. Et statim inde quum convaluisset, misit eam vir suus Hierapolin, et *cum illa pecuniam multam, et magnum exercitum*, partim qui ædificarent, partim etiam securitatis causa. Atque vocato quodam amicorum suorum, juvene pulcherrimo, cui Combabo nomen erat, Ego, inquit, Combabe, te utpote bonum virum, et amicorum meorum amo maxime, et vehementer te laudo sapientiæ pariter et benevolentiæ in nos causa, quam ostendisti: jam vero magna mihi fide opus est: ideoque volo te, uxorem comitatum meam, et opus mihi perficere, et sacra facere, et exercitui cum imperio præesse. Ceterum tibi reduci magnus a nobis honor habebitur. Ad hæc Combabus statim supplicare et multum rogare ne se mitteret, neu commendaret sibi res multum se majores, pecunias, uxorem, opus sacrum: præterea vero metuebat ne quando illi postea zelotypia de Stratonice oreretur, quam solus abducturus erat.

20. Quum vero persuaderi sibi rex non pateretur, ad alteram *ille supplicationem conversus*, septem sibi dierum tempus dari petit: post ea se mitteret, ubi perfecisset quo maxime facto esset opus. Hoc facile quum impetrasset, domum suam abiit, et humi procumbens, ita suam sortem deplorabat: Miserum me, quorsum ista mihi fides? quo mihi iter, cujus jam finem prospicio? Juvenis ego, et pulchram comitabor mulierem. Hoc vero magnæ mihi erit calamitati, nisi omnem ego mali causam atque obtentum removero. Itaque magnum mihi perficiendum opus est, quod omnem mihi metum sanabit. Hæc ubi dixit, ipse se mutilabat, et resecta pudenda in vasculo parvo recondidit una cum myrrha et melle et aromatis aliis, ac deinde suo quem gestabat anulo obsignavit: postremo curavit vulnus. Deinde quum iter facere posse sibi videretur, accedens ad regem, multis præsentibus quum vasculum porrigit, tum ita loquitur: Hic mihi, domine, pretiosissimus thesaurus *domi fuerat* repositus, quem ego valde carum habebam: jam vero quum magnam viam ingredior, apud te illum deponam. Tu vero tutum mihi præsta: est enim illud auro mihi carius, et non minus quam vita pretiosum. Quum rediero, salvum rursus recipiam. Ille acceptum alio obsignavit anulo, et quæstoribus suis asservandum tradidit.

21. Combabus igitur ab eo inde tempore securum iter peragebat. Delati Hierapolin diligenter ædem ædificant, tresque ipsis anni in hoc negotio effluxere. Interea acciderunt quæ Combabus metuerat. Stratonice enim illum, qui longo tempore secum versaretur, amare cœpit; qui amor ipsi postea in furorem, et magnum quidem exiit. Dicunt autem Hierapolitani, Junonem harum rerum causam volentem fuisse; non fugisse illam, virum bonum esse Combabum; Stratonicen autem ulcisci voluisse, quod non facile templum ædificandum suscepisset.

22. Ac primo quidem illa modesta erat et occultabat morbum. Quum autem quietem non amplius illi malum

ἐμφανὲς ἐτρύχετο κλαίεσκέ τε δι' ἡμέρης καὶ Κομβάβον ἀνεκαλέετο καί οἱ πάντα Κομβάβος ἦν. Τέλος δὲ ἀμηχανέουσα τῇ συμφορῇ εὐπρεπέα ἱκεσίην ἐδίζητο. Ἄλλῳ μὲν ὧν τὸν ἔρωτα ὁμολογέειν ἐφυλάσσετο, αὐτὴ δὲ ἐπιχειρέειν αἰδέετο. Ἐπινοέει ὧν τοιάδε, οἴνῳ ἑωυτὴν μεθύσασα ἐς λόγους οἱ ἐλθεῖν· ἅμα δὲ οἴνῳ ἐσιόντι παρρησίη τε ἐσέρχεται καὶ ἡ ἀποτυχίη οὐ κάρτα αἰσχρὴ, ἀλλὰ τῶν πρησσομένων ἕκαστα ἐς ἀγνοίην ἀναχωρέει. Ὡς δέ οἱ ἐδόκεε, καὶ ἐποίεε ταῦτα. Καὶ ἐπεὶ ἐκ δείπνου ἐγένοντο, ἀπικομένη ἐς τὰ οἰκήια, ἐν τοῖσι Κομβάβος αὐλίζετο, λίσσετό τε καὶ γούνων ἅπτετο καὶ τὸν ἔρωτα ὡμολόγεε· ὁ δὲ τόν τε λόγον ἀπηνέως ἀπεδέκετο καὶ τὸ ἔργον ἀναίνετο καί οἱ τὴν μέθην ἐνεκάλεε. Ἀπειλούσης δὲ μέγα τι κακὸν ἑωυτὴν ἐργάσασθαι, δείσας πάντα οἱ λόγον ἔφηνε καὶ πᾶσαν τὴν ἑωυτοῦ πάθην ἀπηγήσατο καὶ τὸ ἔργον ἐς ἐμφανὲς ἤνεικε. Ἰδοῦσα δὲ ἡ Στρατονίκη τὰ οὔκοτε ἔλπετο, μανίης μὲν ἐκείνης ἔσχετο, ἔρωτος δὲ οὐδαμὰ ἐλήθετο, ἀλλὰ πάντα οἱ συνεοῦσα ταύτην παραμυθίην ἐποιέετο ἔρωτος ἀπρήκτοιο. Ἔστιν ὁ ἔρως οὗτος ἐν τῇ ἱρῇ πόλι καὶ ἔτι νῦν γίγνεται· γυναῖκες Γάλλων ἐπιθυμέουσι καὶ γυναῖξὶ Γάλλοι ἐπιμαίνονται, ζηλοτυπέει δὲ οὐδεὶς, ἀλλὰ σφίσι τὸ χρῆμα κάρτα ἱρὸν νομίζεται.

23. Τὰ δ' ὧν ἐν τῇ ἱρῇ πόλι ἀμφὶ τὴν Στρατονίκην οὐδαμὰ τὸν βασιλέα λέληθε, ἀλλὰ πολλοὶ ἀπικνεόμενοι κατηγόρεον καὶ τὰ γιγνόμενα ἀπηγέοντο. Ἐπὶ τοῖσι περιαλγέων ἐξ ἀτελέος τοῦ ἔργου Κομβάβον μετεκάλεε. Ἄλλοι δὲ λέγουσι λόγον οὔτι ἀληθέα, τὴν Στρατονίκην, ἐπειδὴ ἀπέτυχε τῶν ἐδέετο, αὐτὴν γράψασαν ἐς τὸν ἄνδρα τοῦ Κομβάβου κατηγορέειν πείρην οἱ ἐπικαλέουσαν, καὶ τὸ Ἕλληνες Σθενεβοίης πέρι λέγουσι καὶ Φαίδρης τῆς Κνωσσίης, ταυτὶ καὶ Ἀσσύριοι ἐς Στρατονίκην μυθολογέουσι. Ἐγὼ μέν νυν οὔτε Σθενεβοίην πείθομαι οὔτε Φαίδρην τοιάδε ἐπιτελέσαι, εἰ τὸν Ἱππόλυτον ἀτρεκέως ἐπόθεε Φαίδρη. Ἀλλὰ τὰ μὲν ἐχέτω ὅκως καὶ ἐγένετο.

24. Ὡς δὲ ἡ ἀγγελίη ἐς τὴν ἱρὴν πόλιν ἀπίκετο ἔγνω τε ὁ Κομβάβος τὴν αἰτίην, θαρσέων τε ἦιεν, ὅτι οἱ ἡ ἀπολογίη οἴκοι ἐλείπετο, καί μιν ἐλθόντα ὁ βασιλεὺς αὐτίκα μὲν ἔδησέ τε καὶ ἐν φρουρῇ ἔχε. Μετὰ δὲ παρεόντων οἱ τῶν φίλων, οἳ καὶ τότε πεμπομένῳ τῷ Κομβάβῳ παρεγένοντο, παραγαγὼν ἐς μέσον κατηγορέειν ἄρχετο καί οἱ μοιχήην τε καὶ ἀκολασίην προὔφερε· κάρτα δὲ δεινοπαθέων πίστιν τε καὶ φιλίην ἀνεκαλέετο λέγων τρισσὰ Κομβάβον ἀδικέειν μοιχόν τε ἐόντα καὶ ἐς πίστιν ὑβρίσαντα καὶ ἐς θεὸν ἀσεβέοντα, τῆς ἐν τῷ ἔργῳ τοιάδε ἔπρηξε· πολλοὶ δὲ παρεστεῶτες ἤλεγχον, ὅτι ἀναφανδὸν σφέας ἀλλήλοισι συνεόντας εἶδον. Πᾶσι δὲ τέλος ἐδόκεε αὐτίκα θνήσκειν Κομβάβον θανάτου ἄξια εἰργασμένον.

25. Ὁ δὲ τέως μὲν ἔστηκε λέγων οὐδέν· ἐπεὶ δὲ ἤδη ἐς τὸν φόνον ἤγετο, φθέγξατό τε καὶ τὸ κειμήλιον αἴτεε λέγων, ὡς ἀναιρέει μιν οὐκ ὕβριος οὐδὲ γάμων εἵνεκα,

hoc concederet, manifeste afflictabat se et toto die plorabat, et Combabum identidem vocabat, denique omnia illi Combabus esse. Tandem impotens illius mali, decentem supplicandi occasionem quærit. Atque alii quidem fateri amorem cavebat, ipsa autem rem aggredi pudore prohibebatur. Excogitat ergo illud, ut vino se quum inebriasset, cum illo ageret : quippe una cum vino audacia etiam ingreditur, neque admodum turpis repulsa; sed quicquid egeris, in ignorantiam confertur. Ut vero visum ipsi erat, sic illa etiam agebat. Ac post cœnam veniens in cubiculum, in quo commorabatur Combabus, supplicabat illi, genua contingebat, et fatebatur amorem. Ille averso animo hunc sermonem accepit et rem recusavit, ebrietatem illi objiciens. Quum vero minaretur illa magnum se sibi malum illaturam, pertimuit, et totam illi rationem suam indicavit, et quod in se consciverat enarravit, denique rem ipsam aperte demonstravit. Ubi conspexit quæ nunquam speraverat Stratonice, furor ille quidem constitit; amoris autem neutiquam obliviscebatur, sed semper cum illo versans hoc habebat irriti amoris solatium. Viget ejusmodi amor Hierapoli, et nunc adhuc ita fit : amant feminæ Gallos, et furunt Galli in feminas; at zelotypus nemo est, sed res ea valde sancta apud illos putatur.

23. Quæ igitur Hierapoli agebantur de Stratonice, ea neutiquam fugiebant regem, sed multi qui inde venere, deferebant, et quid fieret narrabant. His vehementer commotus rex, imperfecto adhuc opere, Combabum arcessivit. Alii hic narrant rem minime veram; Stratonicen, quum repulsæ essent illius preces, ipsam scripsisse marito et Combabum tentatæ ab illo pudicitiæ suæ reum fecisse : et quod de Sthenobœa sua Græci dicunt, et de Phædra Cnossia, idem de Stratonice fabulantur Assyrii. Equidem neque Sthenobœam credo, neque Phædram fecisse talia, si vere amavit Phædra Hippolytum. Verum ea ita se, uti facta sunt, habeant.

24. Ubi vero Hierapolin nuncius venit, causam cognovit Combabus, et cum fiducia abiit, quod domi relicta sibi esset defensio. Ac venientem rex statim in vincula conjectum tradit custodibus. Deinde præsentibus amicis, qui etiam tum, quum dimitteretur Combabus, adfuerant, productum in medium accusare cœpit, et adulterium illi atque malam libidinem objiciebat : gravissimeque commotus fidem et amicitiam memorabat, triplici se scelere obstringere Combabum dicens, qui et adulter esset, et in fidem sibi habitam contumeliosus, et in deam impius, cujus in opere commisisset talia. Multi autem astantes eum convincebant, quod aperte amplexantes se mutuo vidissent. Tandem placebat omnibus mori statim Combabum, qui morte digna perpetrasset.

25. At ille hucusque steterat nihil dicens : quum vero ad supplicium jam duceretur, locutus est et pignus suum repoposcit, interfici se dicens non contumeliæ regi illatæ aut

ἀλλ' ἐκείνων ἐπιθυμέων, τά οἱ ἀπιὼν παρεθήκατο. Πρὸς τάδε ὁ βασιλεὺς καλέσας τὸν ταμίην ἐκέλευε ἐνεῖκαι τά οἱ φρουρέειν ἔδωκε· ὡς δὲ ἦνεικε, λύσας τὴν σφρηγῖδα ὁ Κομβάβος τά τε ἐνεόντα ἐπέδειξε καὶ ἑωυτὸν ὁποῖα ἐπεπόνθεε, ἔλεξέ τε, Ὦ βασιλεῦ, τάδε τοι ἐγὼ ὀρρωδέων, εὖτέ με ταύτην ὁδὸν ἔπεμπες, ἀέκων ἦιον, καὶ ἐπεί με ἀναγκαίη μεγάλη ἐκ σέο κατέλαβε, τοιάδε ἐπετέλεσα, ἐσθλὰ μὲν ἐς δεσπότεα, ἐμοὶ δὲ οὐκ εὐτυχέα· τοιόσδε μέντοι ἐὼν ἀνδρὸς ἐπ' ἀδικίην ἐγκαλέομαι. Ὁ δὲ πρὸς τάδε ἀμβώσας περιέβαλέ τέ μιν καὶ δακρύων, ἅμα ἔλεγε, Ὦ Κομβάβε, τί μέγα κακὸν εἰργάσαο; τί δὲ σεωυτὸν οὕτω ἀεικέλιον ἔργον μοῦνος ἀνδρῶν ἔπρηξας; τὰ οὐ πάμπαν ἐπαινέω, ὦ σχέτλιε, ὃς τοιάδε ἔτλης, οἷα μήτε σὲ παθέειν μήτε ἐμὲ ἰδέσθαι ὤφελε· οὐ γάρ μοι ταύτης ἀπολογίης ἔδεε. Ἀλλ' ἐπεὶ δαίμων τοιάδε ἤθελε, πρῶτα μέν σοι τίσις ἐξ ἡμέων ἔσσεται, αὐτέων συκοφαντέων ὁ θάνατος, μετὰ δὲ μεγάλη δωρεὴ ἀπίξεται χρυσός τε πολλὸς καὶ ἄργυρος ἄπλετος καὶ ἐσθῆτες Ἀσσύριαι καὶ ἵπποι βασιλήιοι. Ἀπίξεαι δὲ παρ' ἡμέας ἄνευ ἐσαγγελέος οὐδέ τις ἀπέρξει σε ἡμετέρης ὄψιος, οὐδ' ἦν γυναικὶ ἅμα εὐνάζωμαι. Τάδε εἶπέ τε ἅμα καὶ ἐποίεε· καί οἱ μὲν αὐτίκα ἐς φόνον ἤγοντο, τῷ δὲ τὰ δῶρα ἐδίδοτο καὶ ἡ φιλίη μέζων ἐγεγόνεε. Ἐδόκεε δὲ οὐδεὶς ἔτι Ἀσσυρίων Κομβάβῳ σοφίην καὶ εὐδαιμονίην ἴκελος.

26. Μετὰ δὲ αἰτησάμενος ἐκτελέσαι τὰ λείποντα τῷ νηῷ — ἀτελέα γάρ μιν ἀπολελοίπεε — αὖτις ἐπέμπετο, καὶ τόν τε νηὸν ἐξετέλεσε καὶ τὸ λοιπὸν αὐτοῦ ἔμενε. Ἔδωκε δέ οἱ βασιλεὺς ἀρετῆς τε καὶ εὐεργεσίης εἵνεκα ἐν τῷ ἱρῷ ἑστάναι χάλκεον· καὶ ἔτι ἐς τιμὴν ἐν τῷ ἱρῷ Κομβάβος χάλκεος Ἑρμοκλέος τοῦ Ῥοδίου ποίημα μορφὴν μὲν ὁκοίη γυνὴ, ἐσθῆτα δὲ ἀνδρηίην ἔχει. Λέγεται δὲ τῶν φίλων τοὺς μάλιστά οἱ εὐνοέοντας ἐς παραμυθίην τοῦ πάθεος κοινωνίην ἐλέσθαι τῆς συμφορῆς· ἕτεμον γὰρ ἑωυτοὺς καὶ δίαιταν τὴν αὐτὴν ἐκείνῳ διαιτέοντο. Ἄλλοι δὲ ἱρολογέουσι ἐπὶ τῷ πρήγματι λέγοντες ὡς ἡ Ἥρη φιλέουσα Κομβάβον πολλοῖσι τὴν τομὴν ἐπὶ νόον ἔβαλε, ὅκως μὴ μοῦνος ἐπὶ τῇ ἀνανδρηίῃ λυπέοιτο.

27. Τὸ δὲ ἔθος τοῦτο ἐπειδὴ ἅπαξ ἐγένετο, ἔτι νῦν μένει καὶ πολλοὶ ἑκάστου ἔτεος ἐν τῷ ἱρῷ τάμνονται καὶ θηλύνονται εἴτε Κομβάβον παραμυθεόμενοι εἴτε καὶ Ἥρῃ χαριζόμενοι· τάμνονται δ' ὦν, ἐσθῆτα δὲ οἵδε οὐκέτι ἀνδρηίην ἔχουσι, ἀλλὰ εἵματά τε γυναικήια φορέουσι καὶ ἔργα γυναικῶν ἐπιτελέουσι. Ὡς δὲ ἐγὼ ἤκουον, ἀνακέεται καὶ τουτέων ἐς Κομβάβον ἡ αἰτίη· συνενείχθη γάρ οἱ καὶ τάδε. Ξείνη γυνὴ ἐς πανήγυριν ἀπικομένη ἰδοῦσα καλόν τε ὄντα καὶ ἐσθῆτα ἔτι ἀνδρηίην ἔχοντα ἔρωτι μεγάλῳ ἔσχετο, μετὰ δὲ μαθοῦσα ἀτελέα ἐόντα ἑωυτὴν διεργάσατο. Ἐπὶ τοῖσι Κομβάβος ἀθυμέων, ὅτι οἱ ἀτυχέως τὰ ἐς Ἀφροδίτην ἔχει, ἐσθῆτα γυναικηίην ἐνεδύσατο, ὅκως μηκέτι ἑτέρη γυνὴ ἴσα ἐξαπατέοιτο. Ἥδε αἰτίη Γάλλοισι στολῆς θηλέης. Κομβάβου μέν μοι πέρι τοσάδε εἰρήσθω· Γάλλων δὲ αὖτις ἐγὼ λόγῳ ὑστέρῳ μεμνήσομαι τομῆς

matrimonii illius violati causa, sed quod illorum cupiditate rex teneretur, quæ discedens ipsi commendasset. Ad hæc vocato rex quæstore afferri jubet quæ custodienda illi tradiderat. Quum attulisset, detracto Combabus signo quæ inerant demonstravit, seque ipsum adeo quomodo affectus esset, dixitque, Hæc ipsa, rex, ego metuens, quum hoc mihi iter mandares, et ivi invitus, et quum magna abs te mihi necessitas imposita esset, hoc feci, probum illud quidem erga dominum, mihi vero minime secundum. Talis tamen quum sim, facinoris, quod non nisi vir committere potest, reus sum. At ille exclamans ad hæc, complexusque illum est et cum lacrimis dixit, Quid magnum adeo, Combabe, malum perpetrasti? quid in te tam immane facinus solus virorum designasti? Minime laudo ista, o male audax, qui ea sustinueris, quæ utinam neque tu passus esses, neque ego vidissem! hac enim defensione mihi opus non erat. Sed quandoquidem talia voluit fortuna, primo quidem hoc tibi a me ultionis causa dabitur, mors delatorum: postea donum veniet magnum, aurumque multum et argentum immensum, et vestimenta Assyria, et equi regii. Intrabis autem ad nos nemine intro nunciante; neque quisquam a nostro te conspectu arcebit, neque si cum uxore jaceam. Hæc dixit simul et fecit: atque illi statim ducebantur ad supplicium; huic munera tribuebantur, et in majus aucta est amicitia. Nemo autem Assyriorum quisquam videbatur sapientia par Combabo et felicitate.

26. Postea quum petiisset ut liceret sibi quæ deerant templo perficere (imperfectum enim reliquerat), denuo dimittebatur, et perfecit templum, et reliquo tempore ibi mansit. Tribuit vero ipsi hoc etiam rex virtutis et bene factorum causa, uti æneus in templo staret. Et etiamnum honoris causa in templo est Combabus æneus, Hermoclis Rhodii opus, forma qualis mulier, vestitum autem habet virilem. Dicitur porro amicorum benevolentissimos, consolandi illius casus gratia, in communionem jacturæ illius venisse: exsecuerunt enim se ipsi, et eandem quam ille viyendi rationem elegerunt. Alii deos admiscent negotio, ac dicunt adamatum a Junone Combabum; atque hanc multis illam castrandi se mentem injecisse, ut ne solus ille ademtam sibi virilitatem graviter ferret.

27. Interim ille mos, postquam semel susceptus est, etiam nunc manet, multique singulis annis in templo exsecant se et effeminant, sive Combabi consolandi causa, sive gratum Junoni ut faciant: exsecant certe; vestitumque hi non amplius virilem habent, sed et vestimenta gestant muliebria, et opera mulierum faciunt. Quantum vero audivi, etiam horum origo ad Combabum refertur: nam usu illi venerunt et ista. Peregrina mulier in conventum sacrum quæ venisset, conspecto homine ita pulchro et vestito viriliter, magno illius amore exarsit: post quum comperisset mutilum esse, ipsa se interemit. Ob hæc graviter ferens Combabus, sibi infeliciter adeo succedere Venerem, muliebrem vestem sumsit, ne alia amplius mulier ea ratione deciperetur. Hæc causa Gallis vestitus feminei. Ac de Combabo ista mihi dicta sunto: Gallorum autem deinde procedente sermone mentionem faciam, et

τε αὐτέων, ὅκως τάμνονται, καὶ ταφῆς ὁκοίην θάπτονται, καὶ ὅτευ εἵνεκα ἐς τὸ ἱρὸν οὐκ ἐσέρχονται· πρότερον δέ μοι θυμὸς εἰπεῖν θέσιός τε πέρι τοῦ νηοῦ καὶ μεγάθεος, καὶ δῆτα ἐρέω.

28. Ὁ μὲν χῶρος αὐτὸς, ἐν τῷ τὸ ἱρὸν ἵδρυται, λόφος ἐστὶ, κέαται δὲ κατὰ μέσον τῆς πόλιος μάλιστα, καί οἱ τείχεα δοιὰ περικέαται. Τῶν δὲ τειχέων τὸ μὲν ἀρχαῖον, τὸ δὲ οὐ πολλὸν ἡμέων πρεσβύτερον. Τὰ δὲ προπύλαια τοῦ ἱροῦ ἐς ἄνεμον βορέην ἀποκέκλιται μέγαθος ὅσον τε ἑκατὸν ὀργυιέων· ἐν τούτοισι τοῖσι προπυλαίοισι καὶ οἱ φαλλοὶ ἑστᾶσι, τοὺς Διόνυσος ἐστήσατο, ἡλικίην καὶ οἵδε τριήκοντα ὀργυιέων. Ἐς τουτέων τὸν ἕνα φαλλὸν ἀνὴρ ἑκάστου ἔτεος δὶς ἀνέρχεται οἰκέει τε ἐν ἄκρῳ τῷ φαλλῷ χρόνον ἑπτὰ ἡμερέων. Αἰτίη δέ οἱ τῆς ἀνόδου ἥδε λέγεται· οἱ μὲν πολλοὶ νομίζουσι ὅτι ὑψοῦ τοῖσι θεοῖσι ὁμιλέει καὶ ἀγαθὰ πάσῃ Συρίῃ αἰτέει, οἱ δὲ τῶν εὐχωλέων ἀγχόθεν ἐπαΐουσι. Ἄλλοισι δὲ δοκέει καὶ τάδε Δευκαλίωνος εἵνεκα ποιέεσθαι ἐκείνης ξυμφορῆς μνήματα, ὁκότε οἱ ἄνθρωποι ἐς τὰ οὔρεα καὶ ἐς τὰ περιμήκεα τῶν δενδρέων ἤεισαν τὸ πολλὸν ὕδωρ ὀρρωδέοντες. Ἐμοὶ μέν νυν καὶ τάδε ἀπίθανα. Δοκέω γε μὲν Διονύσῳ σφέας καὶ τάδε ποιέειν, συμβάλλομαι δὲ τουτέοισι· φαλλοὺς ὅσοι Διονύσῳ ἐγείρουσι, ἐν τοῖσι φαλλοῖσι καὶ ἄνδρας ξυλίνους κατίζουσιν, ὅτευ μὲν εἵνεκα ἐγὼ οὐκ ἐρέω· δοκέει δ' ὧν μοι, καὶ ὅδε ἐς ἐκείνου μίμησιν τοῦ ξυλίνου ἀνδρὸς ἀνέρχεται.

29. Ἡ δέ οἱ ἄνοδος τοιήδε· σειρῇ μικρῇ ἑωυτόν τε ἅμα καὶ τὸν φαλλὸν περιβάλλει, μετὰ δὲ ἐπιβαίνει ξύλων προσφυῶν τῷ φαλλῷ ὁκόσον ἐς χώρην ἄκρου ποδός· ἀνιὼν δὲ ἅμα ἀναβάλλει τὴν σειρὴν ἀμφοτέρωθεν ὁκωσπερ ἡνιοχέων. Εἰ δέ τις τόδε μὲν οὐκ ὄπωπεν, ὄπωπε δὲ φοινικοβατέοντας ἢ ἐν Ἀραβίῃ ἢ ἐν Αἰγύπτῳ ἢ ἄλλοθί κου, οἵδε τὸ λέγω. Ἐπεὰν δὲ ἐς τέλος ἵκηται τῆς ὁδοῦ, σειρὴν ἑτέρην ἀφεὶς τὴν αὐτὸς ἔχει μακρὴν ταύτην, ἀνέλκει τῶν οἱ θυμὸς, ξύλα καὶ εἵματα καὶ σκεύεα, ἀπὸ τῶν ἕδρην συνδέων ὁκοίην καλιὴν ἰζάνει, μίμνει τε χρόνον τῶν εἶπον ἡμερέων. Πολλοὶ δὲ ἀπικνεόμενοι χρυσόν τε καὶ ἄργυρον, οἱ δὲ χαλκὸν κομίζουσι, εἶτ' ἀφέντες ἐκείνου πρόσθε κείμενα ἀπίασι λέγοντες τὰ οὐνόματα ἕκαστος. Παρεστεὼς δὲ ἄλλος ἄνω ἀγγέλλει, ὁ δὲ δεξάμενος τοὔνομα εὐχωλὴν ἐς ἕκαστον ποιέεται, ἅμα δὲ εὐχόμενος κροτέει ποίημα χάλκεον, τὸ ἀείδει μέγα καὶ τρηχὺ κινεόμενον· εὕδει δὲ οὐδαμά· ἦν γάρ μιν ὕπνος ἕλῃ ποτὲ, σκορπίος ἀνιὼν ἀνεγείρει τε καὶ ἀεικέα ἐργάζεται, καί οἱ ἥδε ἡ ζημίη τοῦ ὕπνου ἐπικέαται. Τὰ μὲν ὧν ἐς τὸν σκορπίον μυθέονται, ἱρά τε καὶ θεοπρεπέα, εἰ δὲ ἀτρεκέα ἐστὶν, οὐκ ἔχω ἐρέειν. Δοκέει δέ μοι, μέγα ἐς ἀγρυπνίην συμβάλλεται καὶ τῆς πτώσιος ἡ ὀρρωδίη. Φαλλοβατέων μὲν δὴ πέρι τοσάδε ἀρκέει. Ὁ δὲ νηὸς ὁρέει μὲν ἐς ἠέλιον ἀνιόντα.

30. Εἶδος δὲ καὶ ἐργασίην ἐστὶν ὁκοίους νηοὺς ἐν Ἰωνίῃ ποιέουσι. Ἕδρη μεγάλη ἀνέχει ἐκ γῆς μέγαθος

castrationis illorum, quomodo castrentur, et sepulturæ qua sepeliantur, et cujus rei causa non ingrediantur in templum: prius vero mihi animus est de positione templi et magnitudine dicere; et jam dico.

28. Locus ipse, in quo sacrum constitutum, collis est: situs est autem in media fere urbe, et duplici muro est circumdatus. Murorum alter antiquus est, alter non multum ætate nostra superior. Vestibulum templi in Boream ventum porrectum est, magnitudine ad quadringentos cubitos. In hoc vestibulo etiam phalli stant, quos Bacchus statuit, iique altitudine centum et viginti cubitorum. In horum unum phallum vir singulis annis bis ascendit, moraturque in summo phallo tempus septem dierum. Causa autem illi esse ejus ascensionis hæc memoratur: vulgus putat in alto illum versari cum diis, et bona petere toti Syriæ, eosque sic e propinquo audire preces. Alii hæc etiam Deucalionis causa fieri autumant, in memoriam illius calamitatis, quum homines in montes et arborum altissimas aquarum multarum metu ascenderunt. Mihi quidem ista quoque parum probabilia; ac puto illos hæc etiam Baccho facere: conjicio autem inde: phallos quotquot Baccho erigunt, iidem ligneos in phallis viros collocant; cujus rei causa, non dixerim equidem: videtur ergo mihi illius lignei viri imitatione etiam hic ascendere.

29. Porro ascensus est ejusmodi: parva catena se pariter ac phallum circumdat; postea inscendit per ligna phallo affixa, ea mensura quæ extremum pedem recipiat. Quantum vero ascendit, tantum simul, aurigantis gestu, catenam utrimque in altum rejicit. Si quis vero hoc non vidit, vidit autem illos qui palmas conscenduni in Arabia, aut in Ægypto, aut alio quocumque loco, idem quod dico intelligit. Quum autem ad finem viæ pervenit, catena demissa alia quam secum habet, longa illa quidem, sursum trahit quæ vult, ligna et vestes et vasa; e quibus sede colligata, quasi nido quodam, ibi desidet, manetque tempore dierum quos dixi. Advenientes autem multi aurum et argentum, quidam vero æs afferunt; deinde in conspectu illius posita relinquunt, indicato suo quisque nomine. Astans vero alius sursum nunciat; atque ille accepto nomine preces pro unoquoque nuncupat: inter precandum sonum edit instrumento æneo, quod, ubi movetur, magnum quiddam canit et asperum. Dormit neutiquam: si enim somnus illi aliquando obrepat, scorpius ascendens et excitat illum, et magno malo afficit: hæc ei pœna somni proposita est. Quæ igitur de scorpio narrant, ea sacra sunt et religiosa; an sint vera, dicere non habeo. Ut mihi autem videtur, multum etiam ad vigilandum confert illi metus cadendi. De illis phallorum conscensoribus hæc sufficiant. Templum quidem spectat in solem orientem.

30. Specie est atque opere illo, qualia in Ionia templa ædificant. Eminet e solo crepido magna, octo cubitorum

ὀργυιέων δυοῖν, ἐπὶ τῆς ὁ νηὸς ἐπιχέεται. Ἄνοδος ἐς αὐτὸν λίθου πεποίηται, οὐ κάρτα μακρή. Ἀνελθόντι δὲ θωῦμα μὲν καὶ ὁ πρόνηος μέγα παρέχεται θύρῃσί τε ἤσκηται χρυσέῃσι· ἔνδοθεν δὲ ὁ νηὸς χρυσοῦ τε πολλοῦ ἀπολάμπεται καὶ ἡ ὀροφὴ πᾶσα χρυσέη. Ἀπόζει δὲ αὐτοῦ ὀδμὴ ἀμβροσίη ὁκοίη λέγεται τῆς χώρης τῆς Ἀραβίης, καί σοι τηλόθεν ἀνιόντι προσβάλλει πνοιὴν κάρτα ἀγαθὴν, καὶ ἢν αὖτις ἀπίῃς, οὐδαμὰ λείπεται, ἀλλά σευ τά τε εἵματα ἐς πολλὸν ἔχει τὴν πνοιὴν καὶ σὺ ἐς πάμπαν αὐτῆς μεμνήσεαι.

31. Ἔνδοθεν δὲ ὁ νηὸς οὐκ ἁπλόος ἐστὶ, ἀλλὰ ἐν αὐτῷ θάλαμος ἄλλος πεποίηται. Ἄνοδος καὶ ἐς τοῦτον ὀλίγη· θύρῃσι δὲ οὐκ ἤσκηται, ἀλλ' ἐς ἀντίον ἅπας ἀναπέπταται. Ἐς μὲν ὦν τὸν μέγαν νηὸν πάντες ἐσέρχονται, ἐς δὲ τὸν θάλαμον οἱ ἱρέες μοῦνον, οὐ μέντοι πάντες οἱ ἱρέες, ἀλλὰ οἳ μάλιστα ἀγχίθεοί τέ εἰσι καὶ οἷσι πᾶσα ἐς τὸ ἱρὸν μέλεται θεραπηίη. Ἐν δὲ τῷδε εἵαται τὰ ἕδεα, ἥ τε Ἥρη καὶ τὸν αὐτοὶ Δία ἐόντα ἑτέρῳ οὐνόματι κληίζουσι. Ἄμφω δὲ χρύσεοί τέ εἰσι καὶ ἄμφω ἕζονται· ἀλλὰ τὴν μὲν Ἥρην λέοντες φέρουσι, ὁ δὲ ταύροισι ἐφέζεται. Καὶ δῆτα τὸ μὲν τοῦ Διὸς ἄγαλμα ἐς Δία πάντα ὁρῇ καὶ κεφαλὴν καὶ εἵματα καὶ ἕδρην, καί μιν οὐδὲ ἐθέλων ἄλλως εἰκάσεις.

32. Ἡ δὲ Ἥρη σκοπέοντί σοι πολυειδέα μορφὴν ἐκφανέει. Καὶ τὰ μὲν ζύμπαντα ἀτρεκεῖ λόγῳ Ἥρη ἐστὶ· ἔχει δέ τι καὶ Ἀθηναίης καὶ Ἀφροδίτης καὶ Σεληναίης καὶ Ῥέης καὶ Ἀρτέμιδος καὶ Νεμέσιος καὶ Μοιρέων. Χειρὶ δὲ τῇ μὲν ἑτέρῃ σκῆπτρον ἔχει, τῇ ἑτέρῃ δὲ ἄτρακτον, καὶ ἐπὶ τῇ κεφαλῇ ἀκτῖνάς τε φορέει καὶ πύργον καὶ κεστὸν, τῷ μούνῃ τὴν Οὐρανίην κοσμέουσι. Ἔκτοσθε δέ οἱ χρυσός τε ἄλλος περικέεται καὶ λίθοι κάρτα πολυτελέες, τῶν οἱ μὲν λευκοὶ, οἱ δὲ ὑδατώδεες, πολλοὶ δὲ οἰνώδεες, πολλοὶ δὲ πυρώδεες. Ἔτι δὲ ὄνυχες οἱ Σαρδῷοι πολλοὶ καὶ ὑάκινθοι καὶ σμάραγδοι, τὰ φέρουσι Αἰγύπτιοι καὶ Ἰνδοὶ καὶ Αἰθίοπες καὶ Μῆδοι καὶ Ἀρμένιοι καὶ Βαβυλώνιοι. Τὸ δὲ δὴ μέζονος λόγου ἄξιον, τοῦτο ἀπηγήσομαι· λίθον ἐπὶ τῇ κεφαλῇ φορέει, λυχνὶς καλέεται, οὔνομα δέ οἱ τοῦ ἔργου ἡ συντυχίη. Ἀπὸ τούτου ἐν νυκτὶ σέλας πολλὸν ἀπολάμπεται, ὑπὸ δέ οἱ καὶ ὁ νηὸς ἅπας οἷον ὑπὸ λύχνοισι φαείνεται· ἐν ἡμέρῃ δὲ τὸ μὲν φέγγος ἀσθενέει. Ἰδέην δὲ ἔχει κάρτα πυρώδεα. Καὶ ἄλλο θωυμαστόν ἐστι ἐν τῷ ξοάνῳ· ἢν ἑστεὼς ἀντίος ἐσορέῃς, ἐς σὲ ὁρᾷ καὶ μεταβαίνοντι τὸ βλέμμα ἀκολουθέει, καὶ ἢν ἄλλος ἑτέρωθεν ἐσορέῃ, ἴσα καὶ ἐς ἐκεῖνον ἐκτελέει.

33. Ἐν μέσῳ δὲ ἀμφοτέρων ἕστηκε ξόανον ἄλλο χρύσεον οὐδαμὰ τοῖσι ἄλλοισι ξοάνοισι ἴκελον. Τὸ δὲ μορφὴν μὲν ἰδίην οὐκ ἔχει, φορέει δὲ τῶν ἄλλων θεῶν εἴδεα. Καλέεται δὲ σημήιον καὶ ὑπ' αὐτῶν Ἀσσυρίων, οὐδέ τι οὔνομα ἴδιον αὐτῷ ἔθεντο, ἀλλ' οὐδὲ γενέσιος αὐτοῦ καὶ εἴδεος λέγουσι· καί μιν οἱ μὲν ἐς Διόνυσον, ἄλλοι δὲ ἐς Δευκαλίωνα, οἱ δὲ ἐς Σεμίραμιν ἄγουσι· καὶ γὰρ δὴ ὧν ἐπὶ τῇ κορυφῇ αὐτοῦ περιστερὴ χρυσέη ἐπέστηκε. Τοὔνεκα δὴ μυθέονται Σεμιράμιος ἴμμεναι

altitudine, in qua ædes imposita est. Ascensus in illam e lapide factus, non sane latus. Ascendenti spectaculum magnum etiam atrium templi præbet; et valvis aureis excultum est. Intus autem ædes auroque multo relucet, et lacunar totum est aureum. Sentitur autem ibi divinus odor, qualis dicitur regionis Arabiæ, qui e longinquo ascendentem spiritu te inhalat optimo; et si inde discesseris, non deserit; quin et vestimenta tua diu servant odorem; et ipsi tibi semper obversabitur.

31. Intus vero ædes non simplex est, sed thalamus in ea factus alius. Ascensus etiam in hunc parvus: nec valvis est ornatus, sed totus ex adverso venientibus apertus. In magnum ergo templum ingrediuntur omnes, in thalamum vero soli sacerdotes, ac ne sacerdotes quidem omnes, sed ii, qui proximi censentur diis, et quibus omnis administratio sacrorum curæ est. In hoc collocata sunt signa, tum Juno, tum quem, Jupiter quum sit, alio ipsi nomine appellant. Ambo aurei, ambo sedent: verum Junonem leones ferunt; alter tauris insidet. Nempe Jovis simulacrum Jovem refert per omnia, capite, vestibus, throno, neque etiamsi velis alii ipsum assimiles.

32. Verum Juno multiplicem consideranti formam offeret. Universim, ut vere dicam, Juno est: sed habet aliquid etiam Minervæ, et Veneris, et Lunæ, et Rheæ, et Dianæ, et Nemesis, et Parcarum. Manu altera sceptrum tenet, colum altera; et in capite gerit radios et turrim; et cestum habet, quo solam Cœlestem Venerem ornant. Extra vero illi et aurum circumpositum est, et gemmæ valde pretiosæ, quarum aliæ albæ, aquei coloris aliæ, multæ vinei, multæ etiam ignei. Insuper vero Sardæ onyches multæ, et hyacinthi, et smaragdi, quas Ægyptii ferunt, et Indi, et Æthiopes, et Medi, et Armenii, et Babylonii. Quod autem magis commemoratu dignum est, illud enarrabo. Gemmam in capite fert, quæ lychnis vocatur: nomen illi res ipsa dedit. Ab hac noctu splendor multus refulget, ut ab ea tanquam a lucernis ædes tota reluceat; at interdiu splendor ille languet. Ceterum speciem habet valde igneam. Etiam aliud est in illo simulacro admirabile: si stans contra intueare, te respicit, transeuntemque obtutus ille persequitur; et si ab alia parte alius hoc aspiciat, idem in illum perficit.

33. Inter utrumque stat alia imago ex auro, nulla parte ceteris imaginibus similis. Suam hoc formam non habet, gerit autem aliorum deorum species: signum vocatur ab ipsis etiam Assyriis, nec nomen illi proprium ullum posuere: sed nec de ortu illius aut forma dicunt: atque alii ad Bacchum, alii ad Deucalionem, ad Semiramidem alii referunt: etenim in vertice illius stat columba aurea; quam ab causam Semi-

τόδε σημήιον. Ἀποδημέει δὲ δὶς ἑκάστου ἔτεος ἐς θάλασσαν ἐς κομιδὴν τοῦ εἶπον ὕδατος.

34. Ἐν αὐτῷ δὲ τῷ νηῷ ἐσιόντων ἐν ἀριστερῇ κέεται πρῶτα μὲν θρόνος Ἡελίου, αὐτοῦ δὲ ἔδος οὐκ ἔνι· μούνου δὲ Ἡελίου καὶ Σεληναίης ξόανα οὐ δεικνύουσι. Ὅτευ δὲ εἵνεκα ὧδε νομίζουσι, ἐγὼ καὶ τόδε ἔμαθον. Λέγουσι τοῖσι μὲν ἄλλοισι θεοῖσι ὅσιον ἔμμεναι ξόανα ποιέεσθαι, οὐ γὰρ σφέων ἐμφανέα πάντεσι τὰ εἴδεα· Ἥλιος δὲ καὶ Σεληναίη πάμπαν ἐναργέες καὶ σφέας πάντες ὁρέουσι. Κοίη ὦν αἰτίη ξοανουργίης τοῖσι ἐν τῷ ἠέρι φαινομένοισι;

35. Μετὰ δὲ τὸν θρόνον τοῦτον κέεται ξόανον Ἀπόλλωνος, οὐκ οἷον ἐώθεε ποιέεσθαι· οἱ μὲν γὰρ ἄλλοι πάντες Ἀπόλλωνα νέον τε ἤγηνται καὶ πρωθήβην ποιέουσι, μοῦνοι δὲ οὗτοι Ἀπόλλωνος γενειήτεω ξόανον δεικνύουσι, καὶ τάδε ποιέοντες ἑωυτοὺς μὲν ἐπαινέουσι, Ἑλλήνων δὲ κατηγορέουσι καὶ ἄλλων, ὁκόσοι Ἀπόλλωνα παῖδα θέμενοι ἱλάσκονται. Αἰτίη δὲ ἥδε· δοκέει αὐτέοισι ἀσοφίη μεγάλη ἔμμεναι ἀτελέα ποιέεσθαι τοῖσι θεοῖσι τὰ εἴδεα· τὸ δὲ νέον ἀτελὲς ἔτι νομίζουσι. Ἐν δὲ καὶ ἄλλο τῷ σφετέρῳ Ἀπόλλωνι καινουργέουσι· μοῦνοι Ἀπόλλωνα εἵμασι κοσμέουσι.

36. Ἔργων δὲ αὐτοῦ πέρι πολλὰ μὲν ἔχω εἰπεῖν, ἐρέω δὲ τὸ μάλιστα θωυμάζειν ἄξιον. Πρῶτα δὲ τοῦ μαντηίου ἐπιμνήσομαι. Μαντήια πολλὰ μὲν παρ' Ἕλλησι, πολλὰ δὲ καὶ παρ' Αἰγυπτίοισι, τὰ δὲ καὶ ἐν τῇ Λιβύῃ, καὶ ἐν τῇ δὲ Ἀσίῃ πολλά ἐστιν. Ἀλλὰ τὰ μὲν οὔτε ἱρέων ἄνευ οὔτε προφητέων φοίτηται, ὅδε δὲ αὐτός τε κινέεται καὶ τὴν μαντηίην ἐς τέλος αὐτουργέει. Τρόπος δὲ αὐτῆς τοιόσδε· εὖτ' ἂν ἐθέλῃ χρησμηγορέειν, ἐν τῇ ἕδρῃ πρῶτα κινέεται· οἱ δέ μιν ἱρέες αὐτίκα ἀείρουσι. Ἢν δὲ μὴ ἀείρωσι, ὁ δὲ ἱδρώει καὶ ἐς μέζον ἔτι κινέεται. Εὖτ' ἂν δὲ ὑποδύντες φέρωσι, ἄγει σφέας πάντη περιδινέων καὶ ἐς ἄλλον ἐξ ἑτέρου μεταπηδέων. Τέλος ὁ ἀρχιρεὺς ἀντιάσας ἐπερέεταί μιν περὶ ἁπάντων πρηγμάτων· ὁ δὲ ἢν τι μὴ ἐθέλῃ ποιέεσθαι, ὀπίσω ἀναχωρέει, ἢν δέ τι ἐπαινέῃ, ἄγει ἐς τὸ πρόσω τοὺς προφέροντας ὅκωσπερ ἡνιοχέων. Οὕτω μὲν συναγείρουσι τὰ θέσφατα καὶ οὔτε ἱρὸν πρῆγμα οὐδὲν οὔτε ἴδιον τούτου ἄνευ ποιέουσι. Λέγει δὲ καὶ τοῦ ἔτεος πέρι καὶ τῶν ὡρέων αὐτοῦ πασέων, καὶ ὁκότε οὐκ ἐρονται. Λέγει δὲ καὶ τοῦ σημηίου πέρι, κότε χρή μιν ἀποδημέειν τὴν εἶπον ἀποδημίην.

37. Ἐρέω δὲ καὶ ἄλλο, τὸ ἐμεῦ παρεόντος ἔπρηξεν. Οἱ μέν μιν ἱρέες ἀείροντες ἔφερον, ὁ δὲ τοὺς μὲν ἐν γῇ κάτω ἔλιπεν, αὐτὸς δὲ ἐν τῷ ἠέρι μοῦνος ἐφορέετο.

38. Μετὰ δὲ τὸν Ἀπόλλωνα ξόανόν ἐστιν Ἄτλαντος, μετὰ δὲ Ἑρμέω καὶ Εἰλειθυίης.

39. Τὰ μὲν ὦν ἐντὸς τοῦ νηοῦ ὧδε κεκοσμέαται· ἔξω δὲ βωμός τις κέεται μέγας χάλκεος. Ἐν δὲ καὶ ἄλλα ξόανα μυρία χάλκεα βασιλέων τε καὶ ἱρέων· καταλέξω δὲ τῶν μάλιστα ἄξιον μνήσασθαι. Ἐν ἀριστερῇ τοῦ νεὼ Σεμιράμιος ξόανον ἕστηκε ἐν δεξιῇ τὸν νηὸν ἐπιδεικνύουσα. Ἀνέστη δὲ δι' αἰτίην τοιήνδε· ἀνθρώποισι, ramidis esse simulacrum illud fabulantur. Defertur vero bis quotannis mare versus ad afferendam quam dixi aquam.

34. In ipsa porro æde ad sinistram intrantium Solis primum thronus positus est, ipsius vero simulacrum non inest: solius enim Solis ac Lunæ simulacra non ostendunt. Cujus autem rei causa hoc instituerint, id ipsum quoque didici. Aiunt reliquis diis simulacra facere fas esse; illorum enim species non esse notas omnibus: at Sol et Luna plane conspicui, et vident illos universi. Quae igitur causa simulacrorum illis faciendorum, qui in æthere se conspiciendos præbeant?

35. Post illum thronum Apollinis signum positum est, non quale fieri consuevit: nam reliqui omnes juvenem putant Apollinem, et prima florentem pubertate faciunt; hi soli vero barbati Apollinis signum ostendunt. Atque hæc dum faciunt, sibi placent, reprehendunt Græcos aliosque, quicumque Apollinem puerum ponunt et placant. Causa hæc est: videtur illis magna esse insipientia, imperfectas diis formas tribuere; adolescentiam vero adhuc imperfectam existimant. Verum aliud etiam in illo suo Apolline novant: soli vestibus ornant Apollinem.

36. De operibus autem ipsius multa habeo dicere, ac dicam quod maxime admiratione dignum est. Primo quidem oraculi mentionem faciam. Oracula apud Græcos multa, multa apud Ægyptios, etiam in Libya et in Asia multa sunt. Sed hæc non sine sacerdotibus et prophetis respondent: at ille tum movetur ipse, tum divinationem ad finem usque solus perducit. Cujus modus hic est: quum vult reddere oraculum, in sede primum sua movetur: sacerdotes vero ipsum continuo tollunt. Si vero non tollant, ille sudat, et multo etiam magis movetur. Quum vero subeuntes ipsum ferunt, agit illos usquequaque in orbem, et in alium ex alio transilit. Tandem obsistens sacerdotum princeps interrogat illum de rebus omnibus. Isque, si quid nolit fieri retrocedit; si vero probet, antrorsum agit suos bajulos, tanquam qui aurigetur. Ita colligunt oracula, et neque sacram rem ullam neque privatam sine hoc faciunt. Prædicit autem de anno quoque et omnibus illius tempestatibus, etiam quando non interrogant. Item prædicit de Signo, quando eam, quam dicebam modo, profectionem debeat suscipere.

37. Narrabo etiam aliud, quod me præsente egit. Sacerdotes sublatum ferebant: at ipse illos humi reliquit, et sublimis ipse solus ferebatur.

38. Post Apollinem Atlantis signum est; post, Mercurii et Ilithyiæ.

39. Interiora igitur ædis sic ornata sunt: extra vero altare positum est magnum ex ære. Insunt autem et alia signa sexcenta ænea regumque et sacerdotum: recensebo autem quæ memoratu præ ceteris digna sunt. Ad sinistram ædis signum stat Semiramidis, dextra ædem ostendentis. Erectum est per causam ejusmodi: hominibus qui

ὁκόσοι Συρίην οἰκέουσι, νόμον ἐποιέετο ἑωυτὴν μὲν ὕκως θεὸν ἱλάσκεσθαι, θεῶν δὲ τῶν ἄλλων καὶ αὐτῆς Ἥρης ἀλογέειν. Καὶ ὧδε ἐποίεον. Μετὰ δὲ ὡς οἱ θεόθεν ἀπίκοντο νοῦσοί τε καὶ συμφορὴ καὶ ἄλγεα, μανίης μὲν ἐκείνης ἀπεπαύσατο καὶ θνητὴν ἑωυτὴν ὡμολόγεε καὶ τοῖσι ὑπηκόοισι αὖτις ἐκέλευε ἐς Ἥρην τρέπεσθαι. Τούνεκα δὴ ἔτι τοιήδε ἀνέστηκε τοῖσι ἀπικνεομένοισι τὴν Ἥρην ἱλάσκεσθαι δεικνύουσα καὶ θεὸν οὐκέτι ἑωυτὴν, ἀλλ' ἐκείνην ὁμολογέουσα.

40. Εἶδον δὲ καὶ αὐτόθι Ἑλένης ἄγαλμα καὶ Ἑκάβης καὶ Ἀνδρομάχης καὶ Πάριδος καὶ Ἕκτορος καὶ Ἀχιλλέως. Εἶδον δὲ καὶ Νιρέος ἔδος τοῦ Ἀγλαΐης καὶ Φιλομήλην καὶ Πρόκνην ἔτι γυναῖκας, καὶ αὐτὸν Τηρέα ὄρνιθα, καὶ ἄλλο ἄγαλμα Σεμιράμιος καὶ Κομβάβου τὸ κατέλεξα, καὶ Στρατονίκης κάρτα καλὸν καὶ Ἀλεξάνδρου αὐτῷ ἐκείνῳ ἴκελον. Παρὰ δὲ οἱ Σαρδανάπαλλος ἕστηκε ἄλλῃ μορφῇ καὶ ἄλλῃ στολῇ.

41. Ἐν δὲ τῇ αὐλῇ ἄφετοι νέμονται βόες μεγάλοι καὶ ἵπποι καὶ αἰετοὶ καὶ ἄρκτοι καὶ λέοντες, καὶ ἀνθρώπους οὐδαμὰ σίνονται, ἀλλὰ πάντες ἱροί τέ εἰσι καὶ χειροήθεες.

42. Ἱρέες δὲ αὐτοῖσι πολλοὶ ἀποδεδέχαται, τῶν οἱ μὲν τὰ ἱρήια σφάζουσι, οἱ δὲ σπονδηφορέουσι, ἄλλοι δὲ πυρφόροι καλέονται καὶ ἄλλοι παραβώμιοι· ἐπ' ἐμεῦ δὲ πλέονες καὶ τριηκοσίων ἐς τὴν θυσίην ἀπικνέοντο. Ἐσθὴς δὲ αὐτέοισι πᾶσα λευκὴ, καὶ πῖλον ἐπὶ τῇ κεφαλῇ ἔχουσι. Ἀρχιρεὺς δὲ ἄλλος ἑκάστου ἔτεος ἐπιγίγνεται, πορφυρέην τε μοῦνος οὗτος φορέει καὶ τιάρῃ χρυσέῃ ἀναδέεται.

43. Ἔστι δὲ καὶ ἄλλο πλῆθος ἀνθρώπων ἱρῶν αὐλητέων τε καὶ συριστέων καὶ Γάλλων, καὶ γυναῖκες ἐπιμανέες τε καὶ φρενοβλαβέες.

44. Θυσίη δὲ δὶς ἑκάστης ἡμέρης ἐπιτελέεται, ἐς τὴν πάντες ἀπικνέονται. Διὶ μὲν ὦν κατ' ἡσυχίην θύουσι οὔτε ἀείδοντες οὔτε αὐλέοντες. Εὖτ' ἂν δὲ τῇ Ἥρῃ κατάρχωνται, ἀείδουσί τε καὶ αὐλέουσι καὶ κρόταλα ἐπικροτέουσι. Καί μοι τούτου πέρι σαφὲς οὐδὲν εἰπεῖν ἐδύναντο.

45. Ἔστι δὲ καὶ λίμνη αὐτόθι, οὐ πολλὸν ἑκὰς τοῦ ἱροῦ, ἐν τῇ ἰχθύες ἱροὶ τρέφονται πολλοὶ καὶ πολυειδέες. Γίγνονται δὲ αὐτέων ἔνιοι κάρτα μεγάλοι· οὗτοι δὲ καὶ οὐνόματα ἔχουσι καὶ ἔρχονται καλεόμενοι. Ἐπ' ἐμεῦ δέ τις ἦν ἐν αὐτέοισι χρυσοφορέων, ἐν τῇ πτέρυγι δὲ ποίημα χρύσεον αὐτέῳ ἀνακέετο. Καί μιν ἐγὼ πολλάκις ἐθεησάμην, καὶ εἶχε τὸ ποίημα.

46. Βάθος δὲ τῆς λίμνης πολλόν. Ἐγὼ μὲν οὐκ ἐπειρήθην, λέγουσι δ' ὦν καὶ διηκοσίων ὀργυιέων πλέον ἔμμεναι. Κατὰ μέσον δὲ αὐτῆς βωμὸς λίθου ἀνέστηκε. Δοκέοις ἂν ἄφωνι ἰδὼν πλώειν τέ μιν καὶ τῷ ὕδατι ἐποχέεσθαι, καὶ πολλοὶ ὧδε νομίζουσι. Ἐμοὶ δὲ δοκέει στῦλος ὑπεστεὼς μέγας ἀνέχειν τὸν βωμόν. Ἔστεπται δὲ αἰεὶ καὶ θυώματα ἔχει. Πολλοὶ δὲ καὶ ἑκάστης ἡμέρης κατ' εὐχὴν ἐς αὐτὸν νηχόμενοι στεφανηφορέουσι.

Syriam habitant, legem tulerat, se prodea placarent, deos autem reliquos, ipsamque adeo Junonem, negligerent : idque illi fecere. Postea vero quum divinitus illi immitterentur morbique et calamitas et dolores, a furore illo resipuit, et mortalem se confitebatur, et subjectis sibi, ut ad Junonem iterum se converterent, imperabat. Hanc ob causam hoc adhuc habitu astat, advenientibus placandam Junonem demonstrans, et deam non jam se, sed illam confitens.

40. Vidi etiam Helenæ ibi signum, et Hecubæ, et Andromachæ, et Paridis, et Hectoris, et Achillis. Vidi etiam Nirei statuam, Aglaiæ filii, et Philomelam et Procnen adhuc mulieres, et ipsum Tereum volucrem; et aliud signum Semiramidis, et Combabi illud quod memoravi, et Stratonicæ valde pulchrum, et Alexandri ipsi illi simile. Astat illi Sardanapalus, forma alia et vestitu alio.

41. In aula vero soluti pascuntur boves magni, et equi, et aquilæ, et ursi, et leones, qui nequaquam nocent hominibus, sed sacri sunt omnes et mansueti.

42. Sacerdotes autem illis multi recepti sunt, quorum alii mactant hostias, alii ferunt libamina, igniferi vocantur alii, et alii altarium asseclæ. Me quidem præsente vel trecentis plures ad sacrificandum accedebant. Vestimenta illis omnia candida; pileum gestant in capite. Sacerdos summus singulis annis novus succedit : purpura hic solus induitur et tiara redimitur aurea.

43. Est autem alia quoque multitudo sanctorum hominum, tibicinum, fistulatorum, Gallorum; et mulieres furiosæ ac fanaticæ.

44. Sacrificium bis unoquoque die peragitur, ad quod omnes veniunt. Jovi quidem silentio sacrificant, neque sua voce canentes, neque tibiis. Quum vero Junoni immolant, cantant, tibiis canunt, crotalis crepitant. Ac de isto nihil mihi certi dicere poterant.

45. Est etiam lacus ibidem, non procul a templo, in quo pisces sacri nutriuntur multi, et varia specie. Fiunt quidam illorum oppido magni : hi et nomina habent, et vocati accedunt. Me spectante erat inter eos etiam aliquis ornatus auro, in cujus pinna aureum opus dedicatum erat. Illum ego sæpe vidi, et habebat illud opus.

46. Profunditas lacus magna. Equidem non sum expertus; dicunt vero octingentorum amplius cubitorum esse. In medio stat altare lapideum. Putes ad primum conspectum natare illud et in aqua fluitare; ac multi ita esse arbitrantur. Mihi vero videtur columna subjecta ingens sustinere illud altare. Vittis autem semper ornatum est, et suffitum habet : ac multi quotidie precandi causa eo natant coronas gestantes.

47. Γίγνονται δὲ αὐτόθι καὶ πανηγύριές τε μέγισται, καλέονται δὲ ἐς τὴν λίμνην καταβάσιες, ὅτι ἐν αὐτῇσι ἐς τὴν λίμνην τὰ ἱρὰ πάντα κατέρχεται, ἐν τοῖσι ἡ Ἥρη πρώτη ἀπικνέεται τῶν ἰχθύων εἵνεκα, μὴ σφέας ὁ Ζεὺς πρῶτος ἴδηται· ἢν γὰρ τόδε γένηται, λέγουσι ὅτι πάντες ἀπόλλυνται. Καὶ δῆτα ὁ μὲν ἔρχεται ὀφόμενος, ἡ δὲ πρόσω ἱσταμένη ἀπέργει τέ μιν καὶ πολλὰ λιπαρέουσα ἀποπέμπει.

48. Μέγισται δὲ αὐτέοισι πανηγύριες, αἳ ἐς θάλασσαν νομίζονται. Ἀλλ' ἐγὼ τουτέων πέρι σαφὲς οὐδὲν ἔχω εἰπεῖν· οὐ γὰρ ἦλθον αὐτὸς οὐδὲ ἐπειρήθην ταύτης τῆς ὁδοιπορίης. Τὰ δὲ ἐλθόντες ποιέουσι, εἶδον καὶ ἀπηγήσομαι. Ἀγγήιον ἕκαστος ὕδατι σεσαγμένον φέρουσι, κηρῷ δὲ τάδε σεσήμανται· καί μιν οὐκ αὐτοὶ λυσάμενοι χέονται, ἀλλ' ἔστι ἀλεκτρυὼν ἱρὸς, οἰκέει δ' ἐπὶ τῇ λίμνῃ, ὃς ἐπεὰν σφέων δέξηται τὰ ἀγγήια τήν τε σφρηγῖδα ὁρῇ, μισθὸν ἀρνύμενος ἀνά τε λύει τὸν δεσμὸν καὶ τὸν κηρὸν ἀπαιρέεται, καὶ πολλαὶ μνέαι ἐκ τουτέου τοῦ ἔργου τῷ ἀλεκτρυόνι ἀγείρονται. Ἔνθεν δὲ ἐς τὸν νηὸν αὐτοὶ ἐνείκαντες σπένδουσί τε καὶ θύσαντες ὀπίσω ἀπονοστέουσι.

49. Ὁρτέων δὲ πασέων τῶν οἶδα μεγίστην τοῦ εἴαρος ἀρχομένου ἐπιτελέουσι, καί μιν οἱ μὲν πυρὴν, οἱ δὲ λαμπάδα καλέουσι. Θυσίην δὲ ἐν αὐτῇ τοιήνδε ποιέουσι· δένδρεα μεγάλα ἐκκόψαντες ἐν τῇ αὐλῇ ἑστᾶσι, μετὰ δὲ ἀγινέοντες αἶγάς τε καὶ ὄϊας καὶ ἄλλα κτήνεα ζωὰ ἐκ τῶν δενδρέων ἀπαρτέουσι· ἐν δὲ καὶ ὄρνιθες καὶ εἵματα καὶ χρύσεα καὶ ἀργύρεα ποιήματα. Ἐπεὰν δὲ ἐντελέα πάντα ποιήσωνται, περιενείκαντες τὰ ἱρὰ περὶ τὰ δένδρεα πυρὴν ἐνιᾶσι, τὰ δὲ αὐτίκα πάντα καίονται. Ἐς ταύτην τὴν ὁρτὴν πολλοὶ ἄνθρωποι ἀπικνέονται ἔκ τε Συρίης καὶ τῶν πέριξ χωρέων πασέων, φέρουσί τε τὰ ἑωυτῶν ἱρὰ ἕκαστοι καὶ τὰ σημήια ἕκαστοι ἔχουσι ἐς τάδε μεμιμημένα.

50. Ἐν ῥητῇσι δὲ ἡμέρῃσι τὸ μὲν πλῆθος ἐς τὸ ἱρὸν ἀγείρονται, Γάλλοι δὲ πολλοὶ καὶ τοὺς ἔλεξα ἱροὶ ἄνθρωποι τελέουσι τὰ ὄργια, τάμνονταί τε τοὺς πήχεας καὶ τοῖσι νώτοισι πρὸς ἀλλήλους τύπτονται. Πολλοὶ δὲ σφίσι παρεστεῶτες ἐπαυλέουσι, πολλοὶ δὲ τύμπανα παταγέουσι, ἄλλοι δὲ ἀείδουσι ἔνθεα καὶ ἱρὰ ἄσματα. Τὸ δὲ ἔργον ἐκτὸς τοῦ νηοῦ τόδε γίγνεται, οὐδὲ ἐσέρχονται ἐς τὸν νηὸν ὁκόσοι τόδε ποιέουσι.

51. Ἐν ταύτῃσι τῇσι ἡμέρῃσι καὶ Γάλλοι γίγνονται· ἐπεὰν γὰρ οἱ Γάλλοι αὐλέωσί τε καὶ ὄργια ποιέωνται, ἐς πολλοὺς ἤδη ἡ μανίη ἀπικνέεται, καὶ πολλοὶ οἱ ἐς θέην ἀπικόμενοι, μετὰ δὲ τοιάδε ἔπρηξαν. Καταλέξω δὲ καὶ τὰ ποιέουσι· ὁ νεηνίης, ὅτῳ τάδε ἀποκέαται, ῥίψας τὰ εἵματα μεγάλῃ βοῇ ἐς μέσον ἔρχεται καὶ ξίφος ἀναιρέεται· τὰ δὲ πολλὰ ἕτεα, ἐμοὶ δοκέει, διὰ τοῦτο ἕστηκε. Λαβὼν δὲ αὐτίκα τάμνει ἑωυτὸν θέει τε διὰ τῆς πολιος καὶ τῇσι χερσὶ φέρει τὰ ἔταμεν. Ἐς ὁκοίην δὲ οἰκίην τάδε ἀπορρίψῃ, ἐκ ταύτης ἐσθῆτά τε θηλέην καὶ κόσμον τὸν γυναικήιον λαμβάνει. Τάδε μὲν ἐν τῇσι τομῇσι ποιέουσι.

47. Fiunt ibi conventus maximi, vocanturque descensiones in lacum, quoniam illis numina omnia ad lacum descendunt, inter quæ Juno prima advenit piscium causa, ne primus illos Jupiter conspiciat : hoc enim si fiat, perire aiunt universos. Ac venit ille quidem visurus; at illa adversum consistens arcetque illum et multum supplicans remittit.

48. Sed maximæ illis celebritates habentur, quæ instituuntur ad mare. Verum de his nihil certi quod dicam habeo : neque enim ipse accessi, neque illam profectionem expertus sum. Quæ autem in reditu faciunt, ea vidi, et jam enarrabo. Vas aqua plenum pro se quisque afferunt; illa obsignata sunt cera : nec vero ipsi eam solvunt, et aquam deinde effundunt; sed est sacer quidam gallus, qui ad lacum habitat : hic ubi vasa ab illis recepit, sigillumque inspicit, et recepta ejus rei mercede solvit vinculum et ceram aufert, ac minæ multæ hoc ex opere ad gallum redeunt. Hinc in templum ipsi illatam aquam fundunt, et sacrificio facto retro abeunt.

49. Festorum vero dierum quos novi omnium maximum ineunte vere celebrant : eumque pyram vocant alii; alii lampadem. Sacrificium eo peragunt ejusmodi : arbores excisas ingentes in aula statuunt; tum adductas capras, et oves, et pecora alia, viventia ex arboribus suspendunt; addunt aves, vestes, aurea et argentea opera. Perfectis jam omnibus, circumlatis circa arbores diis, ignem subjiciunt : illa vero subito ardent omnia. Ad hoc solemne multi homines conveniunt e Syria et regionibus circa omnibus, feruntque suos quique deos, et quæ signa habent singuli ab illis expressa.

50. Statis diebus in templum confluit multitudo : ac Galli multi et sacri, quos dixi, homines cærimonias obeunt, et vulnerant sibi brachia, et terga invicem cædenda præbent. Multi astantes tibiis accinunt, multi perstrepunt tympanis, canunt alii divina et sacra cantica. Hoc vero opus extra ædem peragitur, neque illam intrant quicumque faciunt talia.

51. Per hosce dies fiunt etiam Galli. Nam dum tibiis concinunt Galli et celebrant orgia, ad plures jam pervadit furor, multique qui spectatum modo venerant, postea perpetrarunt talia. Sed enarrabo etiam quid agant. Qui ista de se statuit juvenis, vestibus abjectis, magno clamore in medium prodit, tollit gladium, quales a multis inde annis ob id ipsum, puto, præsto sunt. Hoc igitur accepto statim se castrat, ac per urbem currit, manibus ferens quæ abscidit. In quamcumque vero domum ista abjecerit, ex ea vestem muliebrem et mundum accipit. Hæc in castrationibus agunt.

52. Ἀποθανόντες δὲ Γάλλοι οὐκ ὁμοίην ταφὴν τοῖσι ἄλλοισι θάπτονται, ἀλλ' ἐὰν ἀποθάνῃ Γάλλος, οἱ ἑταῖροί μιν ἀείραντες ἐς τὰ προάστεια φέρουσι, θέμενοι δὲ αὐτὸν καὶ τὸ φέρτρον, τῷ ἐκόμισαν, ὕπερθε λίθους βάλλουσι, καὶ τάδε πρήξαντες ὀπίσω ἀπονοστέουσι. Φυλάξαντες δὲ ἑπτὰ ἡμερέων ἀριθμὸν οὕτως ἐς τὸ ἱρὸν ἐσέρχονται· πρὸ δὲ τουτέων ἢν ἐσέλθωσιν, οὐκ ὅσια ποιέουσι.

53. Νόμοισι δὲ ἐς ταῦτα χρέωνται τουτέοισιν· ἢν μέν τις αὐτέων νέκυν ἴδηται, ἐκείνην τὴν ἡμέρην ἐς τὸ ἱρὸν οὐκ ἀπικνέεται, τῇ ἑτέρῃ δὲ καθήρας ἑωυτὸν ἐσέρχεται. Αὐτέων δὲ τῶν οἰκηίων τοῦ νέκυος ἕκαστοι φυλάξαντες ἀριθμὸν ἡμερέων τριήκοντα καὶ τὰς κεφαλὰς ξυράμενοι ἐσέρχονται, πρὶν δὲ τάδε ποιῆσαι, οὐ σφίσι ἐστέναι ὅσιον.

54. Θύουσι δὲ βόας ἄρσενάς τε καὶ θήλεας καὶ αἶγας καὶ ὄϊας· σύας δὲ μούνας ἐναγέας νομίζοντες οὔτε θύουσι οὔτε σιτέονται. Ἄλλοι δ' οὐ σφέας ἐναγέας, ἀλλὰ ἱροὺς νομίζουσι. Ὀρνίθων τε αὐτέοισι περιστερὴ χρῆμα ἱρότατον καὶ οὐδὲ ψαύειν αὐτέων δικαιεῦσι· καὶ ἢν ἀέκοντες ἅψωνται, ἐναγέες ἐκείνην τὴν ἡμέρην εἰσί. Τοὔνεκα δὴ αὐτέοισι σύννομοί τέ εἰσι καὶ ἐς τὰ οἰκήια ἐσέρχονται καὶ τὰ πολλὰ ἐν γῇ νέμονται.

55. Λέξω δὲ καὶ τῶν πανηγυριστέων τὰ ἕκαστοι ποιέουσι· ἀνὴρ εὖτ' ἂν ἐς τὴν ἱρὴν πόλιν πρῶτον ἀπικνέηται, κεφαλὴν μὲν ὅδε καὶ ὀφρύας ἐξύρατο, μετὰ δὲ ἱρεύσας ὗν τὰ μὲν ἄλλα κρεουργέει τε καὶ εὐωχέεται, τὸ δὲ νάκος χαμαὶ θέμενος ἐπὶ τούτου ἐς γόνυ ἕζεται, πόδας δὲ καὶ κεφαλὴν τοῦ κτήνεος ἐπὶ τὴν ἑωυτοῦ κεφαλὴν ἀναλαμβάνει, ἅμα δὲ εὐχόμενος αἰτέει τὴν μὲν παρεοῦσαν θυσίην δέκεσθαι, μέζω δὲ ἑσαῦτις ὑπισχνέεται. Τελέσας δὲ ταῦτα καὶ τὴν κεφαλὴν ἑωυτοῦ στέφεται καὶ τῶν ἄλλων, ὁκόσοι τὴν αὐτὴν ὁδὸν ἀπικνέονται. Ἄρας δὲ ἀπὸ τῆς ἑωυτοῦ ὁδοιπορέει ὕδασί τε ψυχροῖσι χρεόμενος λουτρῶν τε καὶ πόσιος εἵνεκα καὶ ἐς πάμπαν χαμαικοιτέων· οὐ γάρ οἱ εὐνῆς ἐπιβῆναι ὅσιον, πρὶν τήν τε ὁδὸν ἐκτελέσαι καὶ ἐς τὴν ἑωυτοῦ αὖτις ἀπικέσθαι.

56. Ἐν δὲ τῇ ἱρῇ πόλι ἐκδέχεταί μιν ἀνὴρ ξεινοδόκος ἀγνοέοντα· ῥητοὶ γὰρ δὴ ὧν ἑκάστης πόλιος αὐτόθι ξεινοδόκοι εἰσὶ, καὶ τόδε πατρόθεν οἴκοι δέκονται. Καλέονται δὲ ὑπὸ Ἀσσυρίων οἵδε διδάσκαλοι, ὅτι σφίσι πάντα ὑπηγέονται.

57. Θύουσι δὲ οὐκ ἐν αὐτῷ τῷ ἱρῷ, ἀλλ' ἐπεὰν παραστήσῃ τῷ βωμῷ τὸ ἱρήιον, ἐπισπείσας αὖτις ἄγει ζωὸν ἐς τὰ οἰκήια, ἐλθὼν δὲ κατ' ἑωυτὸν θύει τε καὶ εὔχεται.

58. Ἔστι δὲ καὶ ἄλλης θυσίης τρόπος τοιόσδε· στέψαντες τὰ ἱρήια, ζωὰ ἐκ τῶν προπυλαίων ἀπιᾶσι, τὰ δὲ κατενειχθέντα θνήσκουσι. Ἔνιοι δὲ καὶ παῖδας ἑωυτῶν ἐντεῦθεν ἀπιᾶσι, οὐκ ὁμοίως τοῖς κτήνεσι, ἀλλ' ἐς πήρην ἐνθέμενοι χειρὶ κατάγουσι, ἅμα δὲ αὐτέοισι ἐπικερτομέοντες λέγουσι ὅτι οὐ παῖδες, ἀλλὰ βόες εἰσί.

59. Στίζονται δὲ πάντες οἱ μὲν ἐς καρπούς, οἱ δὲ ἐς

52. Mortui vero Galli non simili reliquis hominibus sepultura sepeliuntur: sed ubi mortuus est Gallus, sodales illum sublatum ferunt in suburbia; ac depositum una cum feretro quo portaverant, obruunt lapidibus, eoque facto domum retro abeunt. Servato deinde septem dierum numero, sic in templum intrant: ante hos si intrant, piaculum committunt.

53. Legibus ad hæc utuntur hisce. Si quis illorum mortuum viderit, illo die non venit in templum; postridie autem, ubi lustravit se, intrat. Sed qui domestici ipsis fuere mortui, triginta dierum observato numero singuli et rasis capitibus, intrant: ante vero quam istuc fecerint, intrare illis nefas.

54. Sacrificant boves mares pariter ac feminas, et capras, et oves: porcos solos, quos abominantur, neque immolant, neque iis vescuntur. Alii non abominabiles putant, sed sacros. Inter aves columba res illis sanctissima videtur, neque attingere eas fas putant: et si inviti attigerint, impiati sunt illo die. Itaque cum illis habitant, cubicula ingrediuntur, et plerumque pascuntur humi.

55. Dicam autem de his etiam qui ad conventus hosce veniunt, quæ quique agant. Vir ubi Hierapolin primum venit, caput radit ac supercilia: post sacrificata ove, reliquas carnes concisas epulatur; pelle autem humi strata, genu in ea ponit, pedes vero et caput pecudis suo capite suscipit; ac simul precibus petit, præsentem victimam recipiant, majoremque pollicetur in posterum. His perfectis, et suum caput coronat et reliquorum, qui eandem profectionem suscepere. Profectus autem domo sua, in viam se dat, usus ad balnea pariter et potum aqua frigida, humi semper decumbens: neque enim lectum ante conscendere illi fas est, quam ubi perfecto itinere domum rursus rediit.

56. In ipsa Hierapoli excipit illum publicus hospes ignarum; certi enim uniuscujusque civitatis ibi sunt hospites, et pro patria quemque sua domi recipiunt. Vocantur hi ab Assyriis Doctores, quod omnia illos solemnia docent.

57. Mactant vero non in ipso templo; sed quum statuit ad altare victimam, ac libavit, viventem reducit domum, reversusque apud se mactat ac preces fundit.

58. Est autem alius quoque sacrificii modus hic: vittatas hostias vivas de vestibulo præcipitant, quæ dejectæ ipso casu moriuntur. Quidam suos ipsorum liberos inde dejiciunt, non similiter ut pecudes, sed intrusos in culeum manu deturbant, simul maledicta in eos ingerunt, quum dicant non suos esse liberos, sed boves.

59. Puncturis se notant omnes, alii in manibus, in cer-

αὐχένας, καὶ ἀπὸ τοῦδε ἅπαντες Ἀσσύριοι στιγματηφορέουσι.

60. Ποιέουσι δὲ καὶ ἄλλο μούνοισι Ἑλλήνων Τροιζηνίοισι ὁμολογέοντες. Λέξω δὲ καὶ τὰ ἐκεῖνοι ποιέουσι. Τροιζήνιοι τῇσι παρθένοισι καὶ τοῖσι ἠιθέοισι νόμον ἐποιήσαντο μή σφιν ἄλλως γάμον εἶναι, πρὶν Ἱππολύτῳ κόμας κείρασθαι· καὶ ὧδε ποιέουσι. Τοῦτο καὶ ἐν τῇ ἱρῇ πόλι γίνεται. Οἱ μὲν νεηνίαι τῶν γενείων ἀπάρχονται, τῇσι δὲ παρθένοισι πλοκάμους ἱροὺς ἐκ γενετῆς ἀπιᾶσι, τοὺς ἐπεὰν ἐν τῷ ἱρῷ γένωνται, τάμνουσί τε καὶ ἐς ἄγγεα καταθέντες οἱ μὲν ἀργύρεα, πολλοὶ δὲ χρύσεα ἐν τῷ νηῷ προσηλώσαντες ἀπίασι ἐπιγράψαντες ἕκαστοι τὰ οὐνόματα. Τοῦτο καὶ ἐγὼ νέος ἔτι ὢν ἐπετέλεσα, καὶ ἔτι μευ ἐν τῷ ἱρῷ καὶ ὁ πλόκαμος καὶ τὸ οὔνομα.

vicibus alii; atque hinc est quod Assyrii omnes ferunt stigmata.

60. Faciunt etiam aliud quiddam, solis inter Græcos consentientes hac parte Trœzeniis. Explicabo etiam quid illi faciant. Trœzenii virginibus et adolescentibus legem statuere, ne aliter contrahant nuptias, quam ubi comas Hippolyto posuerint: idque ita faciunt. Hoc etiam fit Hierapoli. Juvenes enim mentorum ibi primitias ponunt; virginibus vero sacros a nativitate inde cincinnos submittunt: quos in templo ipso desectos in vasculis deponunt, alii quidem argenteis, multi vero aureis, iisque in templo fixis, inscripto suo quisque nomine, discedunt. Hoc ego etiam adolescens feci, estque adhuc in templo cincinnus pariter meus atque nomen.

LXXIII.

ΔΗΜΟΣΘΕΝΟΥΣ ΕΓΚΩΜΙΟΝ.

1. Βαδίζοντί μοι κατὰ τὴν στοὰν τὴν ἐντεῦθεν ἐξιόντων ἐν ἀριστερᾷ, τῆς ἕκτης ἐπὶ δέκα σμικρὸν πρὸ μεσημβρίας, Θερσαγόρας περιτυγχάνει. Τάχα τινὲς ὑμῶν αὐτὸν ἐπίστανται. Σμικρός τίς ἐστι γρυπὸς ὑπόλευκος ἀνδρικὸς τὴν φύσιν. Ἰδὼν οὖν αὐτὸν ἔτι προσιόντα, Θερσαγόρας, ἔφην, ὁ ποιητὴς ποῖ δὴ καὶ πόθεν; Οἴκοθεν, ἦ δ' ὅς, ἐνταῦθα. Πότερον, ἦν δ' ἐγὼ, διαβαδιῶν; Ἀμέλει μὲν οὖν, ἔφη, καὶ τούτου δεόμενος· ἀωρὶ γάρ τοι τῶν νυκτῶν ἐξαναστὰς ἔδοξέ μοι χρῆναι τοῖς Ὁμήρου γενεθλίοις τῆς ποιητικῆς ἀπάρξασθαι. Καλῶς γε σὺ ποιῶν, ἔφην, καὶ τὰ τροφεῖα τῆς παιδεύσεως ἐκείνῳ τίνων. Ἐκεῖθεν οὖν ἀρξάμενος, ἦ δ' ὅς, ἐλαθον ἐμαυτὸν εἰς τοῦτο τῆς μεσημβρίας ἐκπεσών. Ὅπερ οὖν ἔφην, δεῖ μέν μοι καὶ τοῦ περιπάτου.

2. Πολὺ μέντοι πρότερον, ἔφη, προσειπεῖν τουτονὶ δεόμενος ἥκω — τῇ χειρὶ τὸν Ὅμηρον ἐπιδείξας· ἴστε δή που τὸν ἐν δεξιᾷ τοῦ τῶν Πτολεμαίων νεὼ, τὸν καθειμένον τὰς κόμας — προσερῶν τε οὖν αὐτὸν ἀφικόμην, ἔφη, καὶ προσευξόμενος ἀφθόνων διδόναι τῶν ἐπῶν. Εἰ γὰρ, ἔφην, ἐν εὐχαῖς τὰ πράγματα εἴη· πάλαι γάρ τοι καὶ αὐτὸς ἐνοχλεῖν μοι δοκῶ τὸν Δημοσθένην ἐπικουρῆσαί τι πρὸς τὴν αὐτοῦ γενέθλιον. Εἰ οὖν ἡμῖν ἐπαρκέσειε τὸ εὔχεσθαι, συμβουλοίμην ἄν σοι· κοινὸν γὰρ ἡμῖν τὸ ἔρμαιον. Ἐγὼ μὲν, ἔφη, καὶ τῶν νύκτωρ τε καὶ τήμερον πεποιημένων δοκῶ μοι τῆς εὐροίας τὸν Ὅμηρον ἐπιγράψασθαι· θείως γάρ πως καὶ μαντικῶς εἰς τὴν ποίησιν ἐξεβακχεύθην. Κρινεῖς δ' αὐτός· ἐπίτηδες γάρ τοι τουτὶ τὸ γραμματεῖον περιηγόμην, εἰ ἄρα τῳ σχολὴν ἄγοντι τῶν ἑταίρων περιτύχοιμι. Δοκεῖς οὖν ἐν καλῷ μοι σὺ τῆς σχολῆς εἶναι.

3. Μακάριος γὰρ εἶ, ἦν δ' ἐγὼ, καὶ πέπονθας τὸ τοῦ τὸν δόλιχον νενικηκότος, ὃς ἤδη λελουμένος τὴν κόνιν καὶ τὸ λοιπὸν τῆς θέας ψυχαγωγούμενος μυθολογεῖν

LXXIII.

DEMOSTHENIS ENCOMIUM.

1. Inambulanti mihi in porticu, in sinistro exeuntium inde latere, sexto decimo mensis, paullo ante meridiem, obviam fit Thersagoras. Fortasse quidam vestrùm hominem noverint. Parvus est, vulturino naso, subalbidus, habitu virili. Igitur accedentem adhuc conspicatus, Heus, inquam, Thersagora poeta, quorsum tu, et unde? Domo, inquit, huc. Utrum, inquam, ambulaturus? Scilicet, inquit, et illo opus habeo: quum enim intempesta nocte surrexissem, visum est natalem Homeri poetices quibusdam primitiis honorare. Præclare tu quidem, inquam, qui ista nutritionis educationisque illi præmia solvas. Inde igitur, inquit, quum incepissem, imprudens ad hoc meridiei usque delapsus sum. Quod ergo dixi, opus mihi est ambulatione.

2. Verum multo prius, ait, salutaturus istum venio (manu autem monstrabat Homerum: nempe nostis illum ad dextram ædis Ptolemæorum, illum demissis comis). Hunc ergo adoraturus veni, inquit, et rogaturus ut copiosa mihi carmina ministret. Si quidem, inquam, in precibus ipsæ res inessent! olim sane et ipse Demostheni negotium facessiturus mihi videor, ut ad suum mihi natalem obeundum opis aliquid conferat. Quare nobis si precari satis esset, socium me tibi adjungerem: nam commune nobis munus obtingeret. Equidem, inquit ille, eorum quæ nocteque et interdiu feci, affluentem facile ubertatem ad Homerum auctorem jure referre mihi videor: divinitus enim quodammodo et ut vates velut bacchico instinctu ad carmen incitatus sum. Judicabis autem ipse: consulto enim hunc libellum mecum detuli, si forte in sodalium aliquem otiosum inciderem. Videris ergo mihi in pulchro otio constitutus esse.

3. Nempe tu beatus es, inquam, idemque tibi usu venit, quod ei qui curriculo vicerat, qui jam pulvere abluto, et reliquo spectaculi tempore se oblectans, fabellas habere

πρὸς τὸν παλαιστὴν διενοεῖτο, ἐπιδόξου κληθήσεσθαι τῆς πάλης οὔσης· ὁ δ', Ἀλλ' ἐπὶ τῆς βαλβῖδος οὐκ ἂν ἐμυθολόγεις, ἔφη. Καὶ σὺ δή μοι δοκεῖς νενικηκὼς τὸν δόλιχον τῶν ἐπῶν ἐντρυφᾶν ἀνδρὶ μάλα δὴ κατορρωδοῦντι τὴν τοῦ σταδίου τύχην. Καὶ ὃς γελάσας, Ὡς δή σοι τί τῶν ἀπόρων, εἶπεν, ἐργασόμενος;

4. Ἴσως γάρ, ἔφην, ὁ Δημοσθένης ἐλάττονος ἢ καθ' Ὅμηρον εἶναί σοι λόγου καταφαίνεται. Καὶ σὺ μὲν μέγα φρονεῖς Ὅμηρον ἐπαινέσας, ἐμοὶ δὲ ὁ Δημοσθένης σμικρὸν καὶ τὸ μηδέν; Συκοφαντεῖς, ἔφη. Διαστασιάσαιμι δ' οὐκ ἂν τοὺς ἥρως, εἰ καὶ πλείων εἰμὶ τὴν γνώμην πρὸς Ὁμήρου τετάχθαι. Εὖ γε, εἶπον· ἐμὲ δ' οὐκ ἂν νομίζοις πρὸς τοῦ Δημοσθένους;

5. Ἀλλ' ἐπεί γε μὴ ταύτῃ τὸν λόγον ἀτιμάζεις κατὰ τὴν ὑπόθεσιν, δῆλον ὡς τὴν ποιητικὴν ἔργον ἡγῇ μόνον, τοὺς δὲ ῥητορικοὺς λόγους καταφρονεῖς ἀτεχνῶς οἷον ἱππεὺς παρὰ πεζοὺς ἐλαύνων. Μὴ μανείην, ἔφη, ταῦτά γε, κἂν εἰ πολλῆς δεῖ τῆς μανίας ἐπὶ τὰς ποιητικὰς ἰοῦσι θύρας. Δεῖ γάρ τοι καὶ τοῖς καταλογάδην, ἔφην, ἐνθέου τινὸς ἐπιπνοίας, εἰ μέλλουσι μὴ ταπεινοὶ φανεῖσθαι καὶ φαύλης φροντίδος. Οἶδά τοι, ἔφη, ὦ ἑταῖρε, καὶ χαίρω πολλάκις ἄλλων τε δὴ λογοποιῶν καὶ τὰ Δημοσθένους ἐγγὺς τῶν Ὁμήρου τιθεὶς, οἷον λέγω τὴν σφοδρότητα καὶ πικρίαν καὶ τὸν ἐνθουσιασμὸν, καὶ τὸ μὲν « οἰνοβαρὲς » πρὸς τὰς Φιλίππου μέθας καὶ κορδακισμοὺς καὶ τὴν ἀσέλγειαν, τὸ δ' « εἷς οἰωνὸς ἄριστος » πρὸς τὸ « δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τὰς ἀγαθὰς ὑποθεμένους ἐλπίδας, » καὶ τὸ,

Ἦ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς,

πρὸς τὸ « πηλίκον ποτὲ ἂν στενάξειαν οἱ ἄνδρες ἐκεῖνοι οἱ ὑπὲρ δόξης καὶ ἐλευθερίας τελευτήσαντες. » Παραβάλλω δὲ καὶ τὸν « ῥέοντα Πύθωνα » πρὸς τὰς Ὀδυσσέως « νιφάδας » τῶν λόγων, καὶ τὸ,

Εἰ μὲν μέλλοιμεν ἀγήρω τ' ἀθανάτω τε
ἔσσεσθαι

πρὸς τὸ « πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ. » Καὶ μυρίαι γεγόνασιν αὐτοῖς ἐπὶ ταὐτὸν τῆς διανοίας ἐπιδρομαί.

6. Ἥδομαι δὲ καὶ πάθη καὶ διαθέσεις καὶ τροπὰς λέξεως καταμανθάνων καὶ τὰς· ἀφαιρούσας τὸν κόρον μεταβολὰς καὶ τὰς ἐκ τῶν παρατροπῶν ἐπανόδους καὶ τὰς τῶν παραβολῶν σὺν τῷ καιρῷ γλαφυρότητας καὶ τὸ τοῦ τρόπου μισοβάρβαρον πανταχοῦ.

7. Καί μοι πολλάκις ἔδοξεν — οὐ γὰρ ἂν τἀληθὲς ἀποκρυψαίμην — εὐπρεπέστερον μὲν ῥαθυμίας Ἀττικῆς καθάπτεσθαι Δημοσθένης, ὁ τὴν παρρησίαν, ὡς φασὶν, ἀνειμένος, τοῦ τοὺς Ἀχαιοὺς Ἀχαιΐδας προσειπόντος, διαρκεστέρῳ δὲ τόνῳ πνεύματος τὰς Ἑλληνικὰς ἀποπληροῦν τραγῳδίας τοῦ μεταξὺ τῆς ἀκμαιοτάτης μάχης διαλόγους ἀναπλάττοντος καὶ μύθοις τὴν φορὰν σκεδαννύντος.

8. Πολλάκις δὲ μετὰ τοῦ Δημοσθένους καὶ μέτρα κώλων καὶ ῥυθμοὶ καὶ βάσεις οὐκ ἔξω τῆς ποιητικῆς

cum palæstrita cogitabat, quum jamjam vocandi ad certamen luctatores videbantur : at ille, Verum, inquit, in carceribus non haberes fabulas. Sic tu mihi videris, poetici curriculi victor, illudere homini fortunam arenæ vehementer extimescenti. Atque iste ridens, In quamnam vero, inquit, te consilii inopiam conjecturus?

4. Forte enim, inquam, minoris tibi Demosthenes, quam ut comparari cum Homero possit, esse orationis argumentum videtur. Itaque multum tibi places Homero laudato; mihi vero Demosthenes parvum quiddam est et nihil? Calumniaris, inquit. Nolim ego in contentionem vocare heroas, etsi magis fert animus ab Homero stare. Euge, inquam : me vero non putas stare malle a Demosthene?

5. Sed quando non hac parte orationem nostram spernis, ob argumentum; apparet nimirum solam te poeticen opus putare, oratorias vero scriptiones contemnere simpliciter, equitis instar pedites prætervehentis. Absit ut eo usque, inquit, insaniam, licet multo sane furore opus est ad poeticas fores accedentibus. Quippe solutæ etiam orationis scriptoribus, inquam, divino quodam afflatu opus est, si velint non humiles videri, et cura exili. Novi sane, inquit, amice, et sæpe juvat quum scriptorum solutæ orationis aliorum, tum Demosthenis, vehementiam verbi causa, amaritudinem et divinum illum instinctum, cum Homero contendere; et illud « Victe mero » conferre cum ebrietatibus Philippi et saltationibus impudicis et lascivia : istud vero « Auspicium felix unum, » cum illo, « Oportet enim bonos viros spe bona subnixos, » et illud,

Plorabit multum Peleus, agitator equorum,

cum isto, « Quantos tandem gemitus edent illi viri, qui pro gloria et libertate mortem oppetivere! » Confero autem etiam « profluentem Pythonem illum, » cum Ulyssis verborum « nivibus; » atque illud,

Si liceat, senio procul, immortalibus esse,

ad illud, « Extremum enim omnibus hominibus vitæ mors est, etiamsi in cavea quis conclusum se servet; » et sexcenties illis contigit, ut in eadem cogitata incurrerent.

6. Delector vero etiam quum affectus, et picturas, et immutationes dictionis observo, et illas satietati medentes variationes, et illos e diverticulis reditus, et suavitates illas comparationum opportunarum, et illud in moribus ubique elucens barbariei odium.

7. Et mihi sæpe visus est (neque enim verum dissimulaverim) decentius reprehendere socordiam Atticam Demosthenes ille, qui frena, ut aiunt, dicendi libertati laxaverat, quam is qui Achaidum nomine Achæos compellavit; ac pleniore intentioreque spiritu Græcas explere tragœdias eo qui in summo discrimine pugnæ colloquia fingit, fabulisque dispergit pugnantium impetum.

8. Sæpe vero cum Demosthene etiam dimensiones membrorum et numeri ac pedes non extra poeticam suavitatem

ἡδονῆς ἐκβιβάζουσιν, ὥσπερ οὐδ' Ὁμήρος ἐλλιπὴς ἀντιθέσεων ἢ παρισώσεων ἢ σχημάτων τραχύτητος ἢ καθαρότητος. Ἀλλ' ἔοικε φύσει πως ὑπάρχειν, ταῖς δυνάμεσι τὰς ἀρετὰς ἐπιπεπλέχθαι. Πόθεν γὰρ δὴ περιφρονοίην ἂν τὴν σὴν Καλλιόπην, τοιαύτην γε γιγνώσκων;

9. Ἀλλ' οὐδὲν ἧττον τοὐμὸν ἀγώνισμα τῶν εἰς Ὁμηρον ἐγκωμίων διπλάσιον ἔργον ἢ τοὺς σοὺς εἰς Δημοσθένην ἐπαίνους τίθημι, οὐ τοῖς μέτροις, ἀλλὰ τῇ ὑποθέσει φημί, τῷ τοὐμὸν μὲν οὐκ ἔχειν ἑδραίαν τινὰ κρηπῖδα τῶν ἐπαίνων ὑποβάλλεσθαι πλήν γε τῆς ποιητικῆς αὐτῆς· τὰ δ' ἄλλα τῷ μὲν ἀσαφῆ, πατρὶς καὶ γένος καὶ χρόνος· εἰ γοῦν τι σαφὲς αὐτῶν ἦν,

οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις,

πατρίδα μὲν αὐτῷ διδόντων Ἴον ἢ Κολοφῶνα ἢ Κύμην ἢ Χίον ἢ Σμύρναν ἢ Θήβας τὰς Αἰγυπτίας ἢ μυρίας ἄλλας, πατέρα δὲ Μαίονα τὸν Λυδὸν ἢ ποταμὸν καὶ μητέρα Μελανώπην φασὶν ἢ νύμφην τῶν Δρυάδων ἀνθρωπίνου γένους ἀπορίᾳ, χρόνον δὲ τὸν ἡρωϊκὸν ἢ τὸν Ἰωνικόν. Καὶ μηδ' ὅπως πρὸς τὸν Ἡσίοδον εἶχεν ἡλικίας σαφῶς εἰδέναι, ὅπου γε καὶ τοὔνομα πρὸ τοῦ γνωρίμου τὸ Μελησιγενῆ προκρίνουσι· τύχην δὲ πενίαν ἢ πάθος ὀμμάτων. Ἀλλὰ μὴν βέλτιον ἂν εἴη καὶ ταῦτα ἐᾶν ἐν ἀσαφεῖ κείμενα. Περὶ στενὸν δή μοι κομιδῇ τὸ ἐγκώμιον, ποίησιν ἄπρακτον ἐπαινέσαι καὶ σοφίαν ἐκ τῶν ἐπῶν εἰκαζομένην συλλέγειν.

10. Τὸ δὲ σὸν, ἔφη, κατὰ χεῖρος ἐπίδρομόν τε καὶ λεῖον ἐφ' ὡρισμένοις τε καὶ γνωρίμοις μόνον ὀνομάτων, οἷον ὄψον ἕτοιμον ἡδυσμάτων παρὰ σοῦ δεόμενον. Τί γὰρ οὐ μέγα τῷ Δημοσθένει καὶ λαμπρὸν ἡ τύχη προσῆψε; τί δ' οὐ γνώριμον; οὐκ Ἀθῆναι μὲν αὐτῷ πατρὶς αἱ λιπαραὶ καὶ ἀοίδιμοι καὶ τῆς Ἑλλάδος ἔρεισμα; Καίτοι λαβόμενος ἂν ἐγὼ τῶν Ἀθηνῶν ἐπὶ τῆς ποιητικῆς ἐξουσίας ἐπεισῆγον ἂν ἔρωτας θεῶν καὶ κρίσεις καὶ κατοικήσεις καὶ δωρεὰς καὶ τὴν Ἐλευσῖνα. Νόμων δὲ καὶ δικαστηρίων καὶ πανηγύρεων καὶ Πειραιῶς καὶ ἀποικιῶν καὶ τροπαίων θαλαττίων τε καὶ χερσαίων ἐπεισηγμένων οὐδ' ἂν εἷς ἐπ' ἴσης ἀξίως ἐφικέσθαι δύναιτο τῷ λόγῳ, φησὶν ὁ Δημοσθένης. Ἀφθονία μὲν οὖν ἦν ἂν μοι περιττὴ πάντως, τὸ δ' ἐγκώμιον οὐκ ἂν ἀπαρτᾶν ἐνομιζόμην, ἐν νόμῳ τοῖς ἐπαίνοις ὂν ἐκ τῶν πατρίδων ἐπικοσμεῖν τοὺς ἐπαινουμένους. Ἰσοκράτης δὲ παρεμπόρευμα τῆς Ἑλένης φέρων ἐνέθηκε τὸν Θησέα. Τὸ μὲν δὴ ποιητικὸν φῦλον ἐλεύθερον· σοὶ δ' ἴσως εὐλάβεια τὸ τῆς παροιμίας σκῶμμα ἐπὶ τῇ ἀσυμμετρίᾳ ἐπαγαγέσθαι, μή σοι μεῖζον προσκέοιτο τοὐπίγραμμα τοῦ θυλάκου.

11. Παρέντι δὴ τὰς Ἀθήνας ἐκδέχεται τὸν λόγον πατὴρ τριήραρχος, χρυσέα κρηπὶς κατὰ Πίνδαρον· οὐ γὰρ ἦν Ἀθήνησι λαμπρότερον τιμήματος τριηραρχικοῦ. Εἰ δὲ τοῦ Δημοσθένους ἔτι κομιδῇ παιδὸς ὄντος ἐτελεύτα, τὴν ὀρφανίαν οὐ συμφορὰν ὑπολητπτέον, ἀλλὰ δόξης ὑπόθεσιν τὸ τῆς φύσεως γενναῖον ἀποκαλυπτούσης.

abripiunt, quemadmodum neque Homero sua desunt antitheta, aut exæquationes, aut asperitas figurarum, aut mundities. Sed videtur natura quodammodo ita comparatum, ut magnis ingeniis virtutes omnes implexæ sint. Unde igitur tuam ego Calliopen contemnam, talem qui norim?

9. Sed nihilo secius illud opus, in quo mihi decertandum est, laudum Homeri, altero tanto majus tuis in Demosthenem præconiis pono, non quod carmina sunt, sed ob argumentum, aio: quoniam meum opus non habet firmam, quæ subjici laudibus possit, crepidinem, extra ipsam poeticen; reliqua universa in Homero obscura, ut patria, genus, tempus. Quodsi enim certum quicquam horum esset,

certamen anceps haud foret mortalibus,

patriam assignantibus illi Ium aut Colophonem, aut Cumas, aut Chium, aut Smyrnam, aut Ægyptias Thebas, aut sexcentas alias; patrem vero Mæonem Lydum, aut fluvium adeo, et matrem Melanopen aiunt, aut nymphan ex Dryadum genere, humanæ generationis defectu scilicet: tempus porro vel heroicum ei assignant, vel Ionicum. Ac tantum abest uti clare sciant qua, si comparetur ad Hesiodum, ætate fuerit, ut etiam nomen aliud noto illi præferant, Melesigenem. Fortunam denique ei tribuunt paupertatis aut cæcitatis. Quin melius etiam fuerit hæc pati in obscuro jacere. Ergo in angusto sane mihi versatur prædicatio, in laudanda poesi sine actu rerum ullo, et in sapientia, quam e versibus colligas, cogenda.

10. Tuum autem opus, inquit, ad manum, percursu facile, et læve, intra definita modo et cognita nomina, tanquam paratum quoddam pulmentarium, condimentis modo a te adjiciendis indigens. Quid enim non magnum et clarum adjunxit fortuna Demostheni? quid non celebre? non Athenæ illi patria, nitidæ illæ et celebratæ omnibus, columen illud Græciæ? Ego sane Athenas aggressus laudandas pro poetica illa licentia inducerem amores deorum et judicia et inhabitationes et munera, et Eleusinem. Si vero insuper leges, judicia, conventus solemnes, Piræeus, coloniæ, et victoriarum terra marique tropæa inducantur; ne unus quidem pro dignitate assequi oratione possit, ut ait Demosthenes. Maxima igitur omnino mihi esset dicendorum copia: neque ab ea seponere laudationem mihi viderer, quum legitimum illud insit encomiis, a patriis ut ornentur quos prædicandos sumimus. Isocrates autem corollarium laudum Helenæ non dubitavit inserere Theseum. Verum enim poetarum quidem natio libera: sed tu fortasse metuis ne illum e proverbio jocum contra proportionem violatam tibi arcessas, majoremque ipso sacco tabellam atque inscriptionem dicaris apposuisse.

11. Dimissis igitur Athenis orationem excipit trierarchus pater, aurea, ut Pindari verbo utar, crepido: neque enim ordo ac census major tum Athenis trierarchico. Si vero is Demosthene adhuc puero admodum fatis functus est, non calamitas putanda est orbitas illa, sed gloriæ argumentum, quum generosam illam naturam aperiret.

12. Ὁμήρου μὲν οὖν οὔτε παίδευσιν οὔτ' ἄσκησιν μνήμῃ καθ' ἱστορίαν παρειλήφαμεν, ἀλλ' εὐθὺς ἀνάγκη τῶν ἐπαίνων ἅπτεσθαι τῶν ὑπ' αὐτοῦ δεδημιουργημένων, ὕλην ἐκ τροφῆς καὶ μελέτης καὶ διδασκαλίας οὐκ ἔχοντα, μηδ' οὖν ἐπὶ τὴν Ἡσιόδου δάφνην καταφυγόντα τὴν ῥᾳθύμως καὶ τοῖς ποιμέσι τῶν ἐπῶν ἐπιπνέουσαν. Σοὶ δὲ ἐνταῦθα δή που πολὺς μὲν ὁ Καλλίστρατος, λαμπρὸς δ' ὁ κατάλογος, Ἀλκιδάμας, Ἰσοκράτης, Ἰσαῖος, Εὐβουλίδης. Μυρίων μὲν ἐφελκομένων Ἀθήνησι τῶν ἡδονῶν καὶ τοὺς πατρονομίας ἀνάγκαις ὑποκειμένους, ταχείας δ' οὔσης τοῖς μειρακίοις τῆς ἡλικίας εἰς τὰς θρύψεις ὑπολισθάνειν, παρὸν δ' αὐτῷ κατ' ἐξουσίαν κομᾶν ἐκ τῆς τῶν ἐπιτρόπων ὀλιγωρίας, ὁ τῆς φιλοσοφίας καὶ τῆς πολιτικῆς ἀρετῆς κατεῖχε πόθος, ὃς αὐτὸν ἦγεν οὐκ ἐπὶ τὰς Φρύνης, ἀλλ' ἐπὶ τὰς Ἀριστοτέλους καὶ Θεοφράστου καὶ Ξενοκράτους καὶ Πλάτωνος θύρας.

12. At Homeri neque institutionem neque exercitationem historiarum monumentis accepimus: sed statim necesse est illas aggredi laudes, quas ipse sibi architectatus est, quum ex educatione et exercitatione atque disciplina materiæ nihil habeas, neque ad illam Hesiodi laurum liceat confugere, quæ nulla opera pastoribus etiam carmina aspiret. Tibi vero, quando ad hunc locum ventum est, multus est Callistratus, et splendidorum nominum catalogus, Alcidamas, Isocrates, Isæus, Eubulides. Quum vero sexcentæ in Athenarum urbe voluptates illos etiam alliciant, qui patriæ potestatis necessitati subjecti sunt, facilisque sit illi adolescentulorum ætati ad delicias prolapsio; liceret autem illi per tutorum negligentiam suo arbitrio luxuriari: philosophiæ tamen civilisque virtutis amor prævaluit, qui illum non ad Phrynæ, sed ad Aristotelis et Theophrasti et Xenocratis et Platonis fores agebat.

13. Κἀνταῦθα, ὦ βέλτιστε, φιλοσοφεῖς τῷ λόγῳ διττὰς ἐπ' ἀνθρώποις ἐρώτων ἀγωγάς, τὴν μὲν θαλαττίου τινὸς ἔρωτος παράφορόν τε καὶ ἀγρίαν καὶ κυμαίνουσαν ἐν ψυχῇ, Ἀφροδίτης πανδήμου κλύδωνα φλεγμαινούσαις νέων ὁρμαῖς αὐτόχρημα θαλάττιον, τὴν δὲ οὐρανίου χρυσῆς τινος σειρᾶς ἕλξιν, οὐ πυρὶ καὶ τόξοις ἐντιθεῖσαν δυσαλθεῖς νόσους τραυμάτων, ἀλλ' ἐπὶ τὴν αὐτοῦ τοῦ κάλλους ἄχραντόν τε καὶ καθαρὰν ἰδέαν ἐξορμῶσαν μανίᾳ σώφρονι τῶν ψυχῶν, « ὅσαι Ζηνὸς ἐγγὺς καὶ θεῶν ἀγχίσποροι, » φησὶν ὁ τραγικός.

13. In hac orationis parte philosophari quoque, vir optime, possis, duplices esse amorum in hominibus agendi rationes, alteram marini cujusdam amoris, vagam, feram et fluctus in mente excitantem, popularis Veneris procellam, æstuante adolescentium impetu revera marinam; alteram autem cœlestis, aureæ cujusdam catenæ tractionem, quæ non igne aut sagittis insanabiles vulnerum morbos infligat, sed ad non marcescentem ipsius pulchritudinis puramque formam contendat, sano quodam illarum mentium furore, quæ « Jovis propinquæ, et proximæ soboles deûm » Tragici verbo dicuntur.

14. Ἔρωτι δὴ πάντα πόριμα, κουρὰ σπήλαιον κάτοπτρον ξίφος, γλῶτταν διαρθρῶσαι, μετελθεῖν ὀψὲ τῆς ἡλικίας ὑπόκρισιν, μνήμην ἀκριβῶσαι, θορύβου καταφρονῆσαι, συνάψαι νύκτας ἐπιπόνοις ἡμέραις. Ἐξ ὧν τίς οὐκ οἶδεν ὁποῖος ὁ Δημοσθένης, ἔφη, σοὶ τὴν ῥητορικὴν ἐγένετο ταῖς μὲν ἐννοίαις καὶ τοῖς ὀνόμασι καταπυκνῶν τὸν λόγον, ταῖς δὲ διαθέσεσιν ἐξακριβῶν τὰς πιθανότητας, λαμπρὸς μὲν τῷ μεγέθει, σφοδρὸς δὲ τῷ πνεύματι, σωφρονέστατος δὲ τῶν ὀνομάτων καὶ τῶν νοημάτων τὴν ἐγκράτειαν, ποικιλώτατος δ' ἐναλλαγαῖς σχημάτων· μόνος γέ τοι τῶν ῥητόρων, ὡς ὁ Λεωσθένης ἐτόλμησεν εἰπεῖν, ἔμψυχον καὶ σφυρήλατον παρεῖχε τὸν λόγον.

14. Amori nempe pervia sunt omnia, tonsura, specus, speculum, gladius, articulare linguam, jam provecta ætate actioni dare operam, memoriam acuere, contemnere tumultum, noctes continuare diebus laboriosis. Ex quibus omnibus quis ignorat, inquit, qualis tibi Demosthenes in dicendi facultate exstiterit, sententiis et verbis quum densaret orationem, tum moribus atque affectionibus animorum recte exprimendis probabilitatem pararet, magnitudine splendidus, contentione ac spiritu vehemens, idemque verborum pariter ac sententiarum moderatione sapientissimus, et maxime varius in permutatione figurarum. Solus ille quidem oratorum, ut dicere ausus est Leosthenes, spirantem et velut malleo ductam orationem protulit.

15. Οὐ γὰρ ὡς τὸν Αἰσχύλον ὁ Καλλισθένης, ἔφη που λέγων τὰς τραγῳδίας ἐν οἴνῳ γράφειν ἐξορμῶντα καὶ ἀναθερμαίνοντα τὴν ψυχήν, οὐχ οὕτως ὁ Δημοσθένης συνετίθει πρὸς μέθην τοὺς λόγους, ἀλλ' ὕδωρ πίνων· ἢ καὶ τὸν Δημάδην παῖξαί φασιν εἰς ταύτην αὐτοῦ τὴν ὑδροποσίαν, ὡς οἱ μὲν ἄλλοι πρὸς ὕδωρ λέγοιεν, τὸν Δημοσθένην δὲ πρὸς ὕδωρ γράφειν. Πυθέᾳ δὲ ὁ κρότος τῶν Δημοσθενικῶν λόγων ἀπόζειν ἐφαίνετο τοῦ νυκτερινοῦ λύχνου. Καὶ τουτὶ μέν, ἔφη, σοὶ τὸ χωρίον τοῦ λόγου κοινὸν πρὸς τὴν ἐμὴν ὑπόθεσιν· οὐ γάρ τοι μείων ὁ περὶ τὴν Ὁμήρου ποίησιν ὑπῆρχε κἀμοὶ λόγος.

15. Non enim, ut de Æschylo Callisthenes narrat, alicubi memorans tragœdias ab illo in vino scriptas, quo instigaret incenderetque animum; non eodem modo per ebrietatem composuit orationes Demosthenes, sed aquam interim potans: unde etiam lusisse dicitur in hanc ipsius aquæ bibendæ consuetudinem Demades, alios dicere ad aquam, Demosthenem vero ad aquam scribere. Pytheæ autem lucernam nocturnam olere videbatur illa Demosthenicarum orationum concinnitas. Et iste quidem locus, inquit, cum meo tibi argumento communis est: neque enim minor de Homeri poesi mihi quoque oratio suppeditat.

16. Ἀλλ' εἰ μετίοις ἐπὶ τὰς φιλανθρωπίας καὶ τὴν ἐν τοῖς χρήμασι φιλοτιμίαν καὶ τῆς πολιτείας τὴν ὅλην λαμπρότητα..... Καὶ ὁ μὲν ἤει συνείρων ὡς τὰ λοιπὰ προσθήσων, ἐγὼ δὲ γελάσας, Ἦ πού γε, ἔφην, διανοῇ

16. Sed si ad humanissima illius opera venias, et honestissimum pecuniarum usum, et universum illum in republica administranda splendorem... Atque ille sic continuans orationem procedebat tanquam additurus reliqua: ego vero ridens,

καταχεῖν μου τῶν ὤτων ὥσπερ βαλανεὺς καταντλήσας τὸν λοιπὸν λόγον; Νὴ Δία γε, εἶπε, ... δημοθοινίας τε καὶ χορηγίας ἐθελουσίους καὶ τριηραρχίας καὶ τεῖχος καὶ τάφρον καὶ λύσεις αἰχμαλώτων καὶ παρθένων ἐκδόσεις, ἀρίστην πολιτείαν, καὶ πρέσβεις καὶ νομοθεσίας καὶ μέγεθος πολιτευμάτων ἐμπεσὸν, γελᾶν ἔπεισί μοι τοῦ τὰς ὀφρῦς συνάγοντος καὶ δεδιότος μὴ λόγοι τῶν Δημοσθένους αὐτὸν ἔργων ἐπιλίποιεν.

17. Ἴσως γὰρ, ἔφην, ὦγαθὲ, νομίζεις ἐμὲ δὴ μόνον τῶν ἐν ῥητορικῇ βεβιωκότων μὴ διατεθρυλῆσθαι τὰ ὦτα ταῖς Δημοσθένους πράξεσιν; Εἴ γε, ἔφη, περὶ τὸν λόγον ἐπικουρίας τινὸς, ὡς σὺ φῂς, δεόμεθα· πλὴν εἰ μή σε τοὐναντίον κατέχει πάθος, οἷον αὐγῆς περιλαμπούσης οὐκ ἔχοις πρὸς λαμπρὰν τὴν Δημοσθένους δόξαν τὴν ὄψιν ἀπερεῖσαι· καὶ γὰρ αὐτός τι τοιοῦτον ἐφ' Ὁμήρῳ κατὰ τὰς ἀρχὰς πέπονθα. Κατέβαλον γοῦν μικροῦ δεῖν, ὡς οὐκ ἀντιβλεπτέον ὂν μοι πρὸς τὴν ὑπόθεσιν. Εἶτ' ἐγὼ μὲν, οὐκ οἶδ' ὅπως, ἀνήνεγκα, καὶ δοκῶ μοι κατὰ σμικρὸν προσεθιζόμενος ἀντίον ὁρᾶν, μηδ' ἀποτρέπων ὥσπερ ἡλίου τὰς ὄψεις νόθος τοῦ τῶν Ὁμηριδῶν γένους ἐλέγχεσθαι.

18. Σὸν δέ μοι φαίνεται καὶ τοῦτο, ἔφη, πολὺ ῥᾷον ἢ τὸ κατ' ἐμὲ εἶναι· τῆς μὲν γὰρ Ὁμήρου δόξης οἷον ἐπὶ μιᾶς ὁρμούσης τῆς ποιητικῆς δυνάμεως ἀθρόως ἐξ ἀνάγκης ἦν ἁπάσης λαβέσθαι· σὺ δ' εἰ μὲν ἐπὶ τὸν Δημοσθένην ὅλον ἐφάπαξ τῇ γνώμῃ τράποιο, καὶ μάλα ἂν ἀποροῖς περὶ τὸν λόγον ἄττων οὐδ' ἔχων ὅτου πρώτου τῇ γνώμῃ λάβοιο, καθάπερ οἱ λίχνοι πάσχουσι περὶ τὰς Συρακοσίας τραπέζας ἢ οἱ φιλήκοοι καὶ φιλοθεάμονες εἰς μυρίας ἀκουσμάτων καὶ θεαμάτων ἐμπεσόντες ἡδονάς· οὐκ ἔχουσιν ἐφ' ἣν ἔλθωσιν ἀεὶ τὴν ἐπιθυμίαν μετατιθέντες. Οἶμαι δὲ καὶ σὲ μεταπηδᾶν οὐκ ἔχοντα ἐφ' ὅ τι σταίης, ἐν κύκλῳ σε περιελκόντων φύσεως μεγαλοπρεποῦς, ὁρμῆς διαπύρου, βίου σώφρονος, λόγου δεινότητος, τῆς ἐν ταῖς πράξεσιν ἀνδρείας, λημμάτων πολλῶν καὶ μεγάλων ὑπεροψίας, δικαιοσύνης φιλανθρωπίας πίστεως φρονήματος συνέσεως, ἑκάστου τῶν πολλῶν καὶ μεγάλων πολιτευμάτων. Ἴσως οὖν ὁρῶν ἔνθεν μὲν ψηφίσματα πρέσβεις δημηγορίας νόμους, ἐκεῖθεν ἀποστόλους Εὔβοιαν Μέγαρα τὴν Βοιωτίαν Χίον Ῥόδον τὸν Ἑλλήσποντον Βυζάντιον, οὐκ ἔχεις ὅποι τὴν γνώμην ἀποκλίνῃς συμπεριφερόμενος τοῖς πλεονεκτήμασιν.

19. Ὥσπερ οὖν ὁ Πίνδαρος ἐπὶ πολλὰ τῷ νῷ τραπόμενος οὕτω πως ἠπόρηκεν,

> Ἰσμηνὸν ἢ χρυσαλάκατον Μελίαν,
> ἢ Κάδμον ἢ σπαρτῶν ἱερὸν γένος ἀνδρῶν,
> ἢ τὰν κυανάμπυκα Θήβαν,
> ἢ τὸ πάντολμον σθένος Ἡρακλέους,
> ἢ τὰν Διωνύσου πολυγαθέα τιμὰν,
> ἢ γάμον λευκωλένου Ἁρμονίας ὑμνήσομεν;

οὕτωσὶ δὲ καὶ σὺ ταὐτὸν ἔοικας ἀπορεῖν, λόγον ἢ βίον ἢ ῥητορικὴν ἢ φιλοσοφίαν ἢ δημαγωγίαν ἢ τὸν θάνατον τἀνδρὸς ὑμνητέον.

Numquid, inquam, perfundere aures meas eo illas, ut balneator aliquis, exhauriens orationem reliquam? Sic est per Jovem, inquit... Epulas illas publicas, et voluntarias in ludos erogationes, et trierarchias, et murum, et fossam, et captivorum liberationes, et elocationes virginum, quæ optima gerendæ reipublicæ ratio est; et obitas legationes, et leges perlatas: ac quoties illa rerum publice gestarum magnitudo in mentem venit, ridere subit hominem contrahentem supercilia et metuentem ne oratio se de factis Demosthenis deficiat.

17. Namque tu forte putas, inquam, solum me eorum qui in oratoria arte ætatem contriverunt, non habere aures frequentatas Demosthenis actionibus? Si quidem, inquit, auxilio quodam ad illam orationem, ut tu ais, opus habeamus: nisi forte contra ea illud tibi accidit, ut veluti splendore quodam circumfulgente, defigere obtutum in claro adeo Demosthenis fulgore nequeas. Etenim ipsi mihi simile quiddam in Homero ab initio usu venit. Parum enim abfuit quin abjicerem, quod rectis oculis inspicere illud argumentum mihi non posse viderer. Deinde nescio quomodo me recepi, ac videor mihi paullatim ad contra intuendum assuefieri, neque amplius avertendis velut a sole oculis, nothus et insititius Homeridarum generis deprehendi.

18. Tuum vero etiam eo multo esse facilius mihi videtur, quam meum mihi negotium: etenim Homeri gloria, in una quippe poetica facultate reposita, confertim necessario tota arripienda fuit: tu vero si ad totum simul Demosthenem advertas animum, omnino dubites trepidans circa orationem, neque habens quid primum cogitatione arripias; quale quid gulosis accidit ad Syracusanas mensas, aut cupidis audiendi videndique hominibus, si in sexcentas auditionum spectaculorumque voluptates incidant, tum quo se vertant non habent, transferentes perpetuo cupiditatem. Puto autem te quoque huc illuc salire, qua insistas non habentem, orbe quodam te huc illuc trahentibus ingenio magnifico, inflammato impetu, vita temperanti, vi dicendi, fortitudine in rebus gerendis, multorum magnorumque quæstuum contemtu, justitia, humanitate, fide, sensu, prudentia, unoquoque de multis illis et magnis facinoribus reipublicæ causa susceptis. Fortasse igitur videns hinc decreta, legationes, conciones, leges, illinc classes, Eubœam, Megara, Bœotiam, Chium, Rhodum, Hellespontum, Byzantium, non habes quo mentem deflectas, quem tot præclaræ possessiones secum differant.

19. Quemadmodum ergo Pindarus, ad multa animum circumferens, ita fere dubitavit,

> Ismenon, an fuso aureolo Melian,
> an Tyrium Cadmum, an sata sacra virorum,
> an cærula flammea Thebes,
> vimne conantem omnia Herculeam,
> Bacchine patris lætos celebremus honores,
> candidæ aut dicam Harmonies ego connubia?

ita tu quoque simili ratione videris ambigere, orationemne an vitam, oratoriam an philosophiam, populi regendi artem an mortem viri celebrare oporteat.

20. Ἔστι δ' οὐδὲν ἔργον ἐκφυγεῖν, ἔφη, τὴν πλάνην, ἀλλ' ἑνὸς ὅτου δὴ λαβόμενος ἢ τῆς ῥητορείας καθ' αὐτὴν εἰς ταύτην κατάθου τοῦτον τὸν λόγον. Ἱκανή γ' ἂν σοι οὐδ' ἡ Περικλέους· ἐκείνου μέν γε τὰς ἀστραπὰς καὶ βροντὰς καὶ πειθοῦς τι κέντρον δοξῇ παραλαβόντες, ἀλλ' αὐτήν γε οὐχ ὁρῶμεν, δῆλον ὡς ὑπὲρ τὴν φαντασίαν οὐδὲν ἔμμονον ἔχουσαν οὐδ' οἷον ἐξαρκέσαι πρὸς τὴν τοῦ χρόνου βάσανον καὶ κρίσιν· τὰ δὲ τοῦ Δημοσθένους .... ἀλλὰ σοὶ καταλελείφθω λέγειν, εἰ ταύτῃ τράποιο.

21. Πρός γε μὴν τὰς τῆς ψυχῆς ἀρετὰς ἢ τὰς πολιτείας αὐτοῦ τραπομένῳ καλὸν μίαν ἡντινοῦν ἀποτεμέσθαι τὴν διατριβήν, εἰ δὲ βούλοιο δαψιλὲς, δύο καὶ σύντρεις ἑλόμενον ἔχειν ἀποχρῶσαν λόγων ὑποβολήν· πολλὴ γὰρ ἐν ἅπασιν ἡ λαμπρότης. Εἰ δ' οὐκ ἐκ τοῦ παντὸς, ἀλλ' ἐκ μέρους ἐπαινεσόμεθα, νόμος μὲν Ὁμηρικὸς, ἡρώων ἐπαίνους ἐκ μερῶν διατίθεσθαι, ποδῶν ἢ κεφαλῆς ἢ κόμης, ἤδη δὲ κἀκ τῶν φορημάτων ἢ ἀσπίδων, μεμπτὸν δ' οὐδὲ τοῖς θεοῖς ἐγένετο ὑμνεῖσθαι πρὸς τῶν ποιητῶν ἐξ ἠλακάτης ἢ τῆς αἰγίδος, μήτι γε δὴ μέρους σώματος ἢ τῆς ψυχῆς, τῶν εὐεργεσιῶν δὲ οὐδὲ δυνατὸν ἐφ' ἁπάσας ἐλθεῖν. Οὐκοῦν οὐδ' ὁ Δημοσθένης αἰτιάσεται καθ' ἓν τῶν αὐτοῦ καλῶν ἐπαινούμενος, ἐπεὶ τό γε σύμπαν οὐδ' αὐτὸς ἂν αὑτὸν ἐξαρκέσειεν ἐπαινέσαι.

22. Ταῦτα τοῦ Θερσαγόρα διεξελθόντος, Οἶμαί σε, ἔφην, ἐν ἐπιδεδεῖχθαί μοι βουλόμενον, τὸ μὴ μόνον ποιητὴν ἀγαθὸν εἶναι, τῶν λόγων παρεμπόρευμα πεποιῆσθαι τὸν Δημοσθένην τὰ πεζὰ τοῖς ἐμμέτροις προστιθέντα. Σοὶ μὲν οὖν, ἔφη, τὴν ῥαστώνην ὑποτιθεὶς προήχθην ἐπιδραμεῖν τὸν λόγον, εἴ τι τῆς φροντίδος ἀνεὶς ἀκροατὴς ἡμῖν γένοιο. Προὔργου τοίνυν, ἔφην, σοὶ γέγονεν οὐδὲν, εὖ ἴσθι. Σκόπει δὲ καὶ μὴ πλέον ᾖ γεγονὸς θάτερον. Καλὸν ἂν λέγοις, ἔφη, τὸ ἴαμα. Σὺ γὰρ, ἔφην, ἀγνοεῖς, οἶμαι, τὸ παρὸν ἄπορον, εἶτα ἰατροῦ δίκην τὸ τοῦ νοσοῦντος σαθρὸν ἀγνοήσαντος ἄλλο θεραπεύεις. Ὅτι τί δή; Σὺ μὲν ἃ ταράξειεν ἂν τὸν πρῶτον ἰόντα πρὸς τὸν λόγον, ἐπεχείρησας ἰάσασθαι, τὰ δ' ἤδη κατανάλωται πολλαῖς ἐτῶν περιόδοις· ὥστε ταύτης τῆς ἀπορίας ἑωλά σοι τὰ ἰάματα. Τοῦτ' οὖν, ἔφη, σοὶ τό γε ἴαμα· χρὴ μέντοι καθάπερ ὁδοῦ θαρραλεωτάτην εἶναι τὴν συνηθεστάτην.

23. Τὴν ἐναντίαν γὰρ, εἶπον, προυθέμην ἔφασιν Ἀννίκεριν τὸν Κυρηναῖον φιλοτιμηθῆναι πρὸς Πλάτωνά τε καὶ τοὺς ἑταίρους· τὸν μέν γε Κυρηναῖον ἁρματηλασίαν ἐπιδεικνύντα πολλοὺς περὶ τὴν Ἀκαδήμειαν ἐξελαύνειν δρόμους ἐπὶ τῆς αὐτῆς ἁρματοτροχίας ἅπαντας μηδὲν παραβάντας, ὥσθ' ἑνὸς δρόμου σημεῖα κατὰ τῆς γῆς ὑπολείπεσθαι· τοὐμὸν δέ γε τὴν ἐναντίαν σπεύδει, τὰς ἁρματοτροχίας ἀλεείνειν. Οὐ μάλα ῥᾴδιον δ', οἶμαι, καινουργεῖν ὁδοὺς τῶν τετριμμένων ἐκτρεπόμενον. Ἀλλά τοι τὸ Παύσωνος, ἔφη, σοφόν. Ποῖον; ἔφην· οὐ γὰρ ἀκήκοα.

24. Παύσωνι τῷ ζωγράφῳ φασὶν ἐκδοθῆναι γράψαι ἵππον ἁλινδούμενον· τὸν δέ γε γράψαι τρέχοντα καὶ

20. Nullo vero labore, inquit, oberrationem effugeris; sed quacumque tandem parte arrepta, vel eloquentia per se sola, in eam hanc orationem conferto. Tibi autem nec Periclis eloquentia sufficiat; illius enim nos fulgura quidem ac tonitrua ac Suadæ illum aculeum fama accepimus, sed ipsam non videmus; scilicet præter formam qualemcumque animo conceptam stabile et solidum nihil habentem, neque quod temporis illud examen judiciumque possit sustinere: at vero Demosthenis .... sed huc si te verteris, tibi relinquantur dicenda ista.

21. Ad animi autem virtutes aut præclare in republica facta converso decens fuerit, unum quodcumque inde decerpere dicendi argumentum, aut si largiter facere volueris, duobus, summum tribus simul delectis, habere satis materiæ ad dicendum subjectæ: nam plurimum est claritatis in singulis omnibus. Si vero non in universum, sed ex parte laudare velimus, præsto quidem Homerica lex est, heroum laudes instituere e partibus, pedibus, aut capite, aut coma; jam vero etiam ex gestaminibus, aut scutis, quum vel diis non fuerit indignum cantari a poetis ob colum, aut sagittas, aut ægidem, nedum ob corporis partem aut mentis adeo; per beneficia autem ire singula omnia nemini sit datum. Ergo nec Demosthenes ægre feret se ab uno eorum quæ pulchra in ipso sunt laudari; quandoquidem universitati suarum laudum ne ipse quidem par esse videatur.

22. Hæc ita percurrente Thersagora, Puto ego, inquam, te, quum illud unum demonstratum mihi cuperes, non solum poetam te bonum esse, illud quasi corollarium fecisse Demosthenem, soluta oratione adjuncta carminibus. Imo tibi facilitatem, inquit, negotii tui ob oculos positurus eo provectus sum, orationem ut percurrerem, si quid forte de cura tua remittens operam dare mihi recitanti velles. Noris, inquam, nihil te quicquam profecisse. Ac vide ne illud alterum, difficultas, etiam auctum sit. Præclaram, inquit, mihi medicinam narras. Nempe tu, inquam, difficultatem præsentem ignoras, deinde medici instar laborantem partem ignorantis, curas aliam. Quid ita? inquit. Tu quidem, inquam, iis quæ turbare forte eum queant, qui primum ad ejusmodi orationem aggrediatur, conatus es mederi: at illa dudum consumta sunt antiquis annorum anfractibus. Quare difficultatis hujus obsoletæ sunt tuæ medicinæ. Hæc ipsa ergo, inquit, medicina tibi suppeditat: nempe velut viam, tutissimam oportet esse eam quæ est tritissima.

23. Imo vero contrariam, inquam, ego mihi proposui illi, in qua gloriam appetiisse dicitur Cyrenæus Anniceris apud Platonem ejusque sodales. Cyrenæum enim aiunt, quum aurigandi peritiam ostentaret, multa circum Academiam egisse curricula per eandem omnia orbitam, quam nusquam egrederentur, ita ut curriculi nonnisi unius in solo relinquerentur vestigia: mea vero contraria scilicet est ratio, qui evitare orbitam studeam. Non nimis autem facile est, arbitror, novas comminisci vias, declinatis his quæ tritæ sunt. Verum enim vero sapiens, inquit, Pausonis commentum est. Quodnam? inquam: non enim audivi.

24. Pausoni pictori pingendum locatum aiunt equum volutantem se: at illum pinxisse currentem, multumque

πολὺν κονιορτὸν περὶ τὸν ἵππον· ὡς δ' ἔτι γράφοντος ἐπιστῆναι τὸν ἐκδόντα, μέμφεσθαι, μὴ γὰρ τοῦτο προστάξαι. Τὸν οὖν Παύσωνα τοῦ πίνακος τὰ μετέωρα κάτω περιαγαγόντα τῷ παιδὶ τὴν γραφὴν ἐπιδεῖξαι κελεῦσαι, καὶ τὸν ἵππον ἔμπαλιν κείμενον ὀφθῆναι ἀλινδούμενον. Ἡδὺς εἶ, ἔφην, Θερσαγόρα, ἂν μίαν οἴῃ με στροφὴν μεμηχανῆσθαι τοσούτων ἐτῶν, ἀλλ' οὐχὶ πάσας στροφὰς καὶ περιαγωγὰς ἐναλλάττοντα καὶ μετατιθέντα δεδιέναι μή τι τελευτῶν πάθοιμι τὸ τοῦ Πρωτέως. Ποῖον, ἔφη, πάθος; Τὸ γενόμενον, ὅ φασιν αὐτὸν γενέσθαι δρασμὸν ἐξευρίσκοντα τῆς ἀνθρωπίνης ὄψεως, ἐπεὶ καταναλώκει πάσας ἰδέας θηρίων καὶ φυτῶν καὶ στοιχείων, αὖθις αὖ πενίᾳ μορφῆς ἐπεισάκτου Πρωτέα γενέσθαι.

25. Σὺ μέν, εἶπεν, ὑπὲρ τὸν Πρωτέα μηχανᾷ τὴν ἐμὴν ἀκρόασιν ἀποδιδράσκειν. Οὐκ, ὦγαθέ, ἔφην, τοῦτο· παρέξω γοῦν ἐμαυτὸν ἀκροᾶσθαι παρεὶς τὴν ἐπηρτημένην φροντίδα. Τάχ' ἄν τι περὶ τοῦ σοῦ κυήματος ἄφροντις γενόμενος καὶ τῆς ἐμῆς ὠδῖνος συμφροντίσαις.

Ὡς οὖν ἐδόκει ταῦτα αὐτῷ, καθίσαντες ἐπὶ τῆς πλησίον κρηπῖδος ἐγὼ μὲν ἠκροώμην, ὁ δ' ἀνελέγετο μάλα γενναῖα ποιήματα. Μεταξὺ δ' ὥσπερ ἔνθους γενόμενος ἐπιπτύξας τὸ γραμματεῖον, Κομίζου τὸν ἀκροατικόν, ἔφη, μισθὸν καθάπερ Ἀθήνησιν ἐκκλησιαστικὸν ἢ δικαστικόν. Ἀλλ' ὅπως εἴσῃ μοι χάριν. Χάριν μέν, ἔφην, εἴσομαι καὶ πρὶν ὅ τι καὶ λέγεις εἰδέναι.

26. Τί δέ ἐστιν ὅ τι καὶ λέγεις; Μακεδονικοῖς, εἶπεν, ἐντυχὼν τῆς βασιλικῆς οἰκίας ὑπομνήμασι καὶ τότε ὑπερησθεὶς τὸ βιβλίον οὐ κατὰ πάρεργον ἐκτησάμην· καὶ νῦν ὑπεμνήσθην ἔχων οἴκαδε. Γέγραπται δ' ἄλλα τε τῶν Ἀντιπάτρῳ πραχθέντων ἐπὶ τῆς οἰκίας καὶ περὶ Δημοσθένους, ἃ μοι δοκεῖς οὐκ ἂν παρέργως ἀκοῦσαι. Καὶ μήν, εἶπον, ἤδη γέ σοι τῶν εὐαγγελίων χάρις, καὶ λέγε τὰ λοιπὰ τῶν ἐπῶν. Ἐγὼ μὲν οὖν οὐκ ἀπολείψομαί σου πρὶν ἢ τὴν ὑπόσχεσιν ἔργον σοι γενέσθαι. Σὺ δ' εἰστίακάς με λαμπρῶς τὴν Ὁμήρου γενέθλιον, ἔοικας δ' ἑστιάσειν αὐτὸς καὶ τὴν Δημοσθένους.

27. Ὡς οὖν ἀνέγνω τὰ λοιπὰ τοῦ γραμματείου, διατρίψαντες ὀλίγον ὅσον ἀποδοῦναι τῷ ποιήματι τοὺς δικαίους ἐπαίνους ἤρκεσεν εἰς τὰ Θερσαγόρου· καὶ μόλις μὲν, ἐπιτυγχάνει δὲ τῷ βιβλίῳ. Κἀγὼ λαβὼν τότε μὲν ἀπηλλαττόμην. Ἐντυχὼν δὲ οὕτω τὴν γνώμην διετέθην, ὡς οὐδέν τι περιτρέψας, ἀλλ' ἐπ' αὐτῶν ὀνομάτων τε καὶ ῥημάτων ὑμῖν ἀναλέξομαι. Οὐδὲ γὰρ τἀσκληπιῷ μεῖόν τι γίγνεται τῆς τιμῆς, εἰ, μὴ τῶν προσιόντων αὐτῶν ποιησάντων ᾄσματα, ὁ παιὰν Ἀλισοδήμου τοῦ Τροιζηνίου ᾄδεται, καὶ τῷ Διονύσῳ τὸ μὲν ποιῆσαι κωμῳδίας ἢ τραγῳδίας, *** καὶ Σοφοκλέους, ἐκλέλειπται, τὰ δ' ἑτέροις συντεθέντα τοῖς νῦν εἰς μέσον ἐν καιρῷ κομίζουσι χάριν οὐκ ἐλάττω φέρει τῷ τὸν θεὸν δοκεῖν τετιμηκέναι.

28. Τὸ μὲν οὖν βιβλίον τοῦτο — ἔστι δὲ τῶν ὑπομνημάτων τὸ προσῆκον ἡμῖν μέρος τόδε ὅρᾶμα — τὸ

circa equum sublatum pulverem. Pingenti supervenisse qui locaverat, questumque : neque enim hoc se jussisse Pausonem itaque imperasse puero, ut summis tabulæ in ima conversis picturam ostenderet, sicque equum inversum volutari visum esse. Suavis homo es, inquam, Thersagora, si putas unam me tot annorum spatio conversionem esse machinatum, nec potius conversiones omnes et circumductiones subinde mutare ac transponere, ac sic quoque metuere, ne idem mihi denique quod Proteo usu veniat. Quid illud est? inquit. Ne fiam, inquam, quod ille factus est, quum humanam speciem invenisset quomodo effugeret; quando consumtis formis omnibus animantium, plantarum, elementorum, rursus denique ascititiæ formæ inopia Proteus factus est.

25. Tu quidem supra illum Proteum, inquit, meæ recitationis effugiendæ rationes comminisceris. Non hoc, inquam, vir optime : dabo enim tibi hanc audiendi operam omissa quæ incumbit mihi cura. Forte enim curarum de tuo fœtu parte liberatus, etiam meæ parturitionis curam una suscipies.

Quum igitur ita illi quoque videretur, in proximo aggere assidentes, audiebam ego, ipse recitabat generosa sane carmina. Inter recitandum vero fanatico velut impetu correptus, complicatis tabellis suis, Cape tibi, inquit, auditionis tuæ mercedem, ut Athenis concionis obitæ aut judicii. Sed ut gratiam mihi, inquit, habeas. Habebo equidem, inquam, prius etiam, quam, quid sit quod dicis, norim.

26. Sed quid est, de quo dicis? In Macedonicos, inquit, regiæ domus commentarios incidi, ac tum mirifice delectatus, non obiter id egi ut libellum emerem. Et modo domi me habere recordatus sum. Scripta ibi sunt quum alia de rebus ab Antipatro domi gestis, tum de Demosthene, quæ mihi non obiter esse auditurus videris. Quin jam nunc, inquam, pro istoc nuncio eam tibi gratiam persolvo, ut reliquos etiam versus tuos jubeam te recitare : neque te relinquam ante, quam fides promissis tuis constiterit. Magnificis vero tu me epulis Homeri natalitiis accepisti, ac Demosthenis quoque similibus videris accepturus.

27. Quum igitur reliqua ex tabellis recitasset, commorati paullum, dum dignæ poemati laudes tribuerentur, Thersagoræ domum ivimus; et vix quidem, sed invenit tamen libellum. Quo ego accepto tum discedebam. Lecto autem in eam veni sententiam, ut nihil immutatum, sed ipsis totidem nominibus et verbis illum vobis prælegam. Neque enim minus honoris habetur Æsculapio, si, quum nemo salutantium cantica fecit ipse, Alisodemi Trœzenii pæan canitur; neque Baccho comœdias tragœdiasve doceri, [mortuo Æschylo] et Sophocle, desitum est; sed quæ ab aliis composita sunt, ea nostros qui in medium opportune proferunt, non minus commendant, quia sic quoque honorem habuisse deo illi videntur.

28. Liber itaque hic (est autem commentariorum illorum pars ea, quæ ad nostram rem pertinet, colloquium) : liber

βιβλίον φησὶν, Ἀντιπάτρῳ μεμηνῦσθαι παρόντα τὸν Ἀρχίαν. Ὁ δ' Ἀρχίας, εἴ τις ἄρα τῶν νεωτέρων ἀγνοεῖ, τοὺς φυγάδας ἐτέταχτο συλλαμβάνειν. Ἐπέσταλτο δ' αὐτῷ καὶ Δημοσθένην ἀπὸ τῆς Καλαυρίας πεῖσαι μᾶλλον ἢ βιάσασθαι πρὸς τὸν Ἀντίπατρον ἥκειν. Καὶ δὴ καὶ μετέωρος ἐπὶ ταύτῃ ὁ Ἀντίπατρος ἦν τῆς ἐλπίδος τὸν Δημοσθένην ἀεὶ προσδοκῶν. Ὡς οὖν ἤκουσεν ἀπὸ τῆς Καλαυρίας ἥκοντα τὸν Ἀρχίαν, εὐθὺς ὡς εἶχεν ἐκέλευσεν εἴσω καλεῖν.

29. Ἐπεὶ δ' εἰσῆλθεν. . . . αὐτὸ φράσει τὰ λοιπὰ τὸ βιβλίον.

ΑΡΧ. Χαῖρε, ὦ Ἀντίπατρε.

ΑΝΤ. Τί δ' οὐ μέλλω χαίρειν, εἰ Δημοσθένην ἤγαγες;

ΑΡΧ. Ἤγαγον, ὡς ἐδυνάμην· ὑδρίαν γὰρ κομίζω τῶν Δημοσθένους λειψάνων.

ΑΝΤ. Ἀπ' ἐλπίδος γε μὴν ἔσφηλας, ὦ Ἀρχία. Τί γὰρ τῶν ὀστῶν καὶ τῆς ὑδρίας Δημοσθένην οὐκ ἔχοντι;

ΑΡΧ. Τὴν γὰρ ψυχὴν, ὦ βασιλεῦ, πρὸς βίαν αὐτοῦ κατέχειν ἀδύνατον.

ΑΝΤ. Τί δ' οὐ ζῶντα κατειλήφατε;

ΑΡΧ. Κατειλήφαμεν.

ΑΝΤ. Κατὰ τὴν ὁδὸν οὖν τέθνηκεν;

ΑΡΧ. Οὐκ, ἀλλ' οὗπερ ἦν, ἐν Καλαυρίᾳ.

ΑΝΤ. Τάχα τῆς ὑμετέρας γέγονεν ἔργον ὀλιγωρίας οὐδὲ θεραπευόντων τὸν ἄνθρωπον.

ΑΡΧ. Ἀλλ' οὐδ' ὑφ' ἡμῖν ἐγένετο.

ΑΝΤ. Τί φής; αἰνίγματα λέγεις, ὦ Ἀρχία, ζῶντα λαβόντες οὐκ ἔχετε.

30. ΑΡΧ. Οὐ γὰρ ἐκέλευες τήν γε πρώτην μὴ βιάζεσθαι; καίτοι πλέον ἂν οὐδὲ βιασαμένοις οὐδὲν ἦν· καὶ γὰρ οὖν ἐμελλήσαμεν.

ΑΝΤ. Οὐκ εὖ γε ὑμεῖς οὐδὲ μελλήσαντες. Ἴσως οὖν ἐκ τῆς ὑμετέρας τέθνηκε βίας.

ΑΡΧ. Ἡμεῖς μὲν αὐτὸν οὐκ ἀπεκτείναμεν, βιάζεσθαι δὲ μὴ πείθουσιν ἀναγκαῖον ἦν. Σοὶ δ', ὦ βασιλεῦ, τί τὸ πλέον, εἰ ζῶν ἀφίκετο; πάντως οὐδὲν ἂν αὐτὸν ἢ ἀπέκτεινας.

31. ΑΝΤ. Εὐφήμει, ὦ Ἀρχία· δοκεῖς μοι μὴ συννενοηκέναι μήθ' ὅστις ὁ Δημοσθένης μήτε τὴν ἐμὴν γνώμην, ἀλλὰ νομίζειν ὅμοιον εἶναι Δημοσθένην εὑρεῖν καὶ τούτους ζητεῖν τοὺς κακῶς ἀπολωλότας, Ἱμεραῖον τὸν Φαληρέα καὶ τὸν Μαραθώνιον Ἀριστόνικον καὶ τὸν ἐκ Πειραιῶς Εὐκράτην, τῶν ῥαγδαίων ῥευμάτων οὐδὲν διαφέροντας, ἀνθρώπους ταπεινοὺς, ἀφορμῇ προσκαίρων θορύβων ἐπιπολάσαντας καὶ πρὸς μικρὰν ταραχῆς ἐλπίδα θρασέως ἐξαναστάντας, εἶτα πτήξαντας οὐκ εἰς μακρὰν δίκην τῶν δειλινῶν πνευμάτων, καὶ τὸν ἄπιστον Ὑπερίδην, τὸν ἄφιλον δημοκόλακα, τὸν οὐδὲν αἰσχρὸν νομίσαντα κολακείᾳ τοῦ πλήθους συκοφαντῆσαι Δημοσθένην οὐδ' αὐτὸν εἰς ταῦτα παρασχεῖν διάκονον ἐφ' οἷς αὐτοὶ μετενόησαν οἷς ἐχαρίζετο· μετ' οὐ πολὺ γοῦν τῆς συκοφαντίας λαμπροτέραν ἢ κατ' Ἀλκιβιάδην αὐτῷ τὴν κάθοδον ἀκηκόαμεν γενέσθαι. Τῷ δ' οὐκ ἔμελεν οὐδ'

ergo refert, Antipatro indicatum esse, adesse Archiam. Porro hic Archias, si quis forte juniorum ignorat, comprehendendis exsulibus fuerat praefectus. Mandatum autem acceperat Demosthenem quoque persuasionibus potius quam vi eo adducendi, ut a Calauria veniret ad Antipatrum. Atque erat spe ista suspensus Antipater, in dies exspectans Demosthenem. Quum igitur audisset e Calauria venisse Archiam, statim, ut erat, intro eum jussit vocari.

29. Ingressus ille, ... sed ipse libellus dicet reliqua.

ARCH. Salve, Antipater.

ANT. Quidni salvus sim, si adduxisti Demosthenem?

ARCH. Adduxi, ut potui: urnam enim affero Demosthenis reliquiarum.

ANT. A spe dejecisti me, Archia. Quo enim mihi ossa et urna, Demosthenem ipsum non habenti?

ARCH. Nempe per vim, o rex, retineri anima viri non poterat.

ANT. Cur vero vivum non comprehendistis?

ARCH. Comprehendimus.

ANT. Ergo in via periit?

ARCH. Non, sed ubi erat, Calauriae.

ANT. Forte vestrae negligentiae culpa fuit, qui non satis hominem curaveritis.

ARCH. Sed neque in potestate nostra hoc fuit.

ANT. Quid ais? aenigmata loqueris, Archia: vivum cepistis, et non habetis.

30. ARCH. Nonne enim jusseras, primo vim illi non adhiberi? quanquam neque profecturi quicquam eramus vi admota; etenim jam parabamus.

ANT. Neque illud vos bene, quod parabatis: forte enim a vestra injuria mortuus est.

ARCH. Nos quidem non interfecimus illum, sed vim admovere, quum persuadere non possemus, necesse erat. Tibi vero, rex, quid lucri accessisset, si advenisset vivus? neque enim sane aliud quam interfecturus illum eras.

31. ANT. Bona verba, Archia! Videris mihi non cogitare, neque quis fuerit Demosthenes, neque meum consilium, sed putare simile et ejusdem felicitatis esse, invenisse Demosthenem, et illos conquirere homines male perditos, Himeraeum Phalereum, et Marathonium Aristonicum, et illum ex Pirraeo Eucraten, torrentibus rivis nihil dissimiles, homines humiles, tumultuum temporariorum occasionibus velut innatantes, et ad parvam spem turbarum ferociter exsurgentes, deinde paullo post ventorum vespertinorum more residentes; et infidelem illum Hyperidem, alienum ab amicitia adulatorem populi, qui turpe non duxerit per adulationem plebis calumniari Demosthenem, seque ad ea praebere ministrum, quorum mox illos ipsos, quibus gratificatus fuerat, poeniuit: quandoquidem non multo post illam calumniam splendidiorem viro, quam olim Alcibiadi, reditum ab exilio contigisse accepimus. Verum iste pensi nihil

ἐπῃσχύνετο κατὰ τῶν ποτε φιλτάτων τῇ γλώσσῃ χρώμενος, ἣν ἐχρῆν δήπου τῆς ἀγνωμοσύνης ἐκτεμεῖν.

32. ΑΡΧ. Τί δ'; οὐκ ἐχθρῶν ἡμῖν ἔχθιστος ὁ Δημοσθένης;

ΑΝΤ. Οὐχ ὅτῳ μέλει τρόπου πίστεως, φίλον ἅπαν ἄδολον καὶ βέβαιον ἦθος ἡγουμένῳ· τὰ γάρ τοι καλὰ καὶ παρ' ἐχθροῖς καλὰ καὶ τὸ τῆς ἀρετῆς πανταχοῦ τίμιον. Οὐδὲ κακίων ἐγὼ Ξέρξου τοῦ Βοῦλιν καὶ Σπέρχιν τοὺς Λακεδαιμονίους θαυμάσαντος καὶ, κτεῖναι παρὸν, ἀφέντος. Ἀλλ' εἰ δή τινα πάντων καὶ Δημοσθένην αὐτός τε δὶς Ἀθήνησιν, εἰ καὶ μὴ κατὰ πολλὴν σχολήν, συγγενόμενος καὶ παρὰ τῶν ἄλλων ἀναπυνθανόμενος ἔκ τε τῶν πολιτευμάτων αὐτῶν εἶχον θαυμάσας, οὐχ ὡς ἂν νομίσειέ τις, τῆς τῶν λόγων δεινότητος, εἰ καὶ μηδὲν μὲν ὁ Πύθων πρὸς αὐτὸν, οἱ δ' Ἀττικοὶ ῥήτορες παιδιὰ παραβάλλειν τῷ τούτου κρότῳ καὶ τόνῳ καὶ λέξεων εὐρυθμίᾳ καὶ ταῖς τῶν διανοιῶν περιγραφαῖς καὶ συνεχείαις ἀποδείξεων καὶ τῷ συνερτικῷ τε καὶ κρουστικῷ· μετενοοῦμεν γοῦν ὅτε τοὺς Ἕλληνας Ἀθήναζε συνηγάγομεν ὡς ἐλέγξοντες Ἀθηναίους, Πύθωνι καὶ τοῖς Πύθωνος ἐπαγγέλμασι πεπιστευκότες, εἶτα Δημοσθένει καὶ τοῖς Δημοσθένους ἐλέγχοις περιπεσόντες. Ἀλλ' ἡμῖν ἀπρόσιτος ἡ δύναμις αὐτῷ τοῦ λόγου.

33. Ἐγὼ δὲ ταύτην μὲν δευτέραν ἔταττον ἐν χώρᾳ τιθεὶς ὀργάνου, Δημοσθένην δὲ αὐτὸν ὑπερηγάμην τοῦ τε φρονήματος καὶ τῆς συνέσεως, ἀκλινῆ τὴν ψυχὴν ἐπ' ὀρθῆς ἐν ἁπάσαις φυλάττοντα τρικυμίαις τῆς τύχης καὶ πρὸς μηδὲν τῶν δεινῶν ἐνδιδόντα. Καὶ Φίλιππον δὲ τὴν ἐμὴν γνώμην ἔχοντα περὶ τἀνδρὸς ἠπιστάμην· τούτῳ μέν γε δημηγορίας ἐξαγγελθείσης Ἀθήνηθέν ποτε καθαπτομένης τοῦ Φιλίππου καὶ Παρμενίωνος ἠγανακτηκότος καί τι καὶ σκωπτικὸν εἰς τὸν Δημοσθένην ἐπειπόντος, Ὦ Παρμενίων, ἔφη, δίκαιος ὁ Δημοσθένης παρρησίας τυγχάνειν· μόνος γέ τοι τῶν ἐπὶ τῆς Ἑλλάδος δημαγωγῶν οὐδαμοῦ τοῖς ἀπολογισμοῖς ἐγγέγραπται τῶν ἐμῶν ἀναλωμάτων, καίτοι μᾶλλον ἠβουλόμην ἢ γραμματεῦσι καὶ τριηρίταις ἐμαυτὸν πεπιστευκέναι. Νῦν δ' ἐκείνων μὲν ἕκαστος ἀπογέγραπται χρυσίον ξύλα πόρους θρέμματα γῆν οὐ Βοιωτίας οὐδ' ἔνθα τι μὴ παρ' ἐμοῦ λαβόντες. Ἡμεῖς δὲ θᾶττον ἂν τῶν Βυζαντίων τὸ τεῖχος ἕλοιμεν μηχαναῖς ἢ Δημοσθένην χρυσίῳ.

34. Ἐγὼ δὲ, ὦ Παρμενίων, ἔφη, εἰ μέν τις Ἀθηναῖος ὢν ἐν Ἀθήναις λέγων ἐμὲ τῆς πατρίδος προτιμᾷ, τούτοις ἀργύριον μὲν προέμην ἄν, φιλίαν δ' οὐκ ἄν· εἰ δέ τις ὑπὲρ τῆς πατρίδος ἐμὲ μισεῖ, τούτῳ προσπολεμῶ μὲν ὡς ἀκροπόλει καὶ τείχει καὶ νεωρίοις καὶ τάφρῳ, θαυμάζω δὲ τῆς ἀρετῆς καὶ μακαρίζω γε τοῦ κτήματος τὴν πόλιν. Καὶ τοὺς μὲν ἔξω τῆς χρείας γενόμενος ἥδιστ' ἂν προσαπολέσαιμι, τὸν δὲ βουλοίμην ἂν ἐνταυθοῖ παρ' ἡμῖν τυχεῖν γενόμενον μᾶλλον ἢ τὴν Ἰλλυριῶν ἵππον καὶ Τριβαλλῶν καὶ πᾶν τὸ μισθοφορικὸν, τῆς ὅπλων βίας τὴν τοῦ λόγου πειθὼ καὶ τὸ τῆς γνώμης ἐμβριθὲς οὐδαμῆ τιθεὶς δεύτερον.

habuit, neque puduit ipsum contra eos, qui olim fuerant amicissimi, lingua uti, quam oportebat nempe improbitatis illius causa excindi.

32. ARCH. Quid vero? nonne inter inimicos nostros inimicissimus Demosthenes?

ANT. Non sane, si quis fidelitatis in vita rationem habeat, amicumque sibi quicquid est in moribus incorruptum ac stabile judicet : honesta namque apud hostes etiam honesta sunt, et virtus, ubicumque fuerit, pretiosa est. Neque Xerxe deterior ego, qui Bulin Sperchinque Lacedæmonios admiratus, quum interficiendorum potestas esset, dimisit. Verum si quem unquam omnium, etiam Demosthenem, quem bis Athenis, quanquam non satis otiose, convenerim, et ab aliis requirendo pariter atque ex ipsis in republica factis cognoverim, in admiratione habui, non, ut existimare aliquis posset, ob dicendi vires; etsi nihil ad illum Python, Attici autem oratores ludus sint, comparati ad hujus clamores, et contentionem, et verborum aptam compositionem, et circumscriptam sententiarum concinnitatem, et continuitatem demonstrationum, dicendorum implicationem et nexum, denique vehementiam. Itaque pœnituit nos convocasse Græcos Athenas, quum refutare Atheniense vellemus, a Pythone et promissis Pythonis inducti, ac deinde in Demosthenem et argumenta Demosthenis incurreremus. Sed quæ in illo erat vis dicendi, nullum nobis aditum præbebat.

33. Verum hanc ipsam secundam numerabam, quam in instrumenti loco ponerem : at Demosthenem ipsum admirabar super omnia sensus illius causa et prudentiæ, qua animam recto velut clavo in decumanis quibusque fortunæ fluctibus nusquam declinantem servaret, et malo nulli concederet. Ac Philippo eandem quam mihi de viro sententiam fuisse noram. Ille quidem nunciata aliquando Athenis concione qua iste in Philippum invectus fuerat, et indignante Parmenione, atque joci etiam aliquid in Demosthenem adjiciente, « Jure suo, inquit, o Parmenio, libertatem dicendi sibi sumit Demosthenes : solus enim ille oratorum Græciæ nusquam expensarum mearum rationibus inscriptus est, quum tamen mallem ipsi, quam scribis et classiariis, me committere. Nunc illorum unusquisque scriptus est aurum, ligna, reditus annuos, armenta, prædia accepisse, non in Bœotia neque usquam habentes quin a me acceperint. At celerius machinis capiamus Byzantiorum mœnia quam auro Demosthenem.

34. Atque ego, inquit, Parmenio, si quis Atheniensis Athenis dicens patriæ me suæ præfert, huic argentum quidem objecerim, non autem amicitiam : si quis vero patriæ causa odio me habeat, hunc ego oppugno non secus atque arcem et mœnia et navalia et fossam; sed virtutem ejus admiror et beatam civitatem tali possessione prædico. Atque istos quidem extra usum eorum constitutus lubens una cum ipsis hostibus perdiderim; hunc vero malim hic apud nos esse multo quam Illyriorum equitatum et Triballorum, et quicquid est militis mercenarii; qui armorum viribus vim oratione persuadendi et consilii gravitatem postponam minime. »

35. Πρὸς Παρμενίωνα μὲν ταῦτα. Τοιούτους δέ τινας καὶ πρὸς ἐμὲ λόγους ἐποιήσατο· τῶν γὰρ μετὰ Διοπείθους Ἀθήνηθεν ἀπεσταλμένων, ἐγὼ μὲν εἶχον διὰ φροντίδος, ὁ δ' εὖ μάλα γελάσας ἔφη, Σὺ δ' ἀστικὸν στρατηγὸν ἢ στρατιώτην δέδοικας ἡμῖν; Αἱ μὲν τριήρεις καὶ ὁ Πειραιεὺς καὶ τὰ νεώρια λῆρος ἔμοιγε καὶ φλήναφος· τί δ' ἂν ἄνθρωποι πράξαιεν διονυσιάζοντες, ἐν κρεανομίαις καταζῶντες καὶ χοροῖς; εἰ δὲ μὴ Δημοσθένης εἷς ἐν Ἀθηναίοις ἐγένετο, ῥᾷον ἂν εἴχομεν τὴν πόλιν ἢ Θηβαίους καὶ Θετταλοὺς ἀπατῶντες, βιαζόμενοι, φθάνοντες, ὠνούμενοι· νῦν δὲ εἷς ἐκεῖνος ἐγρήγορε καὶ πᾶσι τοῖς καιροῖς ἐφέστηκε καὶ ταῖς ἡμετέραις ὁρμαῖς ἐπακολουθεῖ καὶ τοῖς στρατηγήμασιν ἀντιπαρατάττεται. Λανθάνομεν δὲ αὐτὸν οὐ τεχνάζοντες, οὐκ ἐπιχειροῦντες, οὐ βουλευόμενοι, καθάπαξ κώλυμά τι καὶ πρόβολος ἡμῖν ἄνθρωπός ἐστι, μὴ πάντ' ἔχειν ἐξ ἐπιδρομῆς. Τό γέ τοι κατ' αὐτὸν οὐκ Ἀμφίπολιν εἴλομεν, οὐκ Ὄλυνθον, οὐ Φωκέας καὶ Πύλας ἔσχομεν, οὐ Χερρονήσου καὶ τῶν περὶ τὸν Ἑλλήσποντον κεκρατήκαμεν.

35. Hæc ad Parmenionem. Tales vero etiam apud me sermones habuit. Misso enim Athenis Diopithe cum suis, sollicitudinem ea mihi res afferebat: ille vero in risum solutus dicebat, « Tun' ducem ex urbe aut militem nobis metuis? Triremes et Piræeus, et navalia, nugæ mihi et ludibria: quid enim homines faciant bacchanalia celebrantes, in viscerationibus vitam terentes et choris? at si unus Demosthenes Athenis non esset, facilius urbem haberemus quam Thebanos et Thessalos fraude, vi, occupando, emendo: nunc vero unus ille vigilat, temporibus omnibus imminet, et nostros impetus subsequitur, ad nostra se imperatoria consilia velut in acie opponit. Illum non fugimus quum machinamur aliquid, quum conamur, quum deliberamus: uno verbo, ille nobis homo impedimentum est et propugnaculum quominus una omnia impressione habeamus. Certe per illum si stetisset, non Amphipolin cepissemus, non Olynthum, non Phocenses haberemus et Pylas, nec Chersoneso et Hellesponti regione potiti essemus.

36. Ἀλλ' ἀνίστησι μὲν ἄκοντας οἷον ἐκ μανδραγόρου καθεύδοντας τοὺς αὑτοῦ πολίτας, ὥσπερ τομῇ τινι καὶ καύσει τῆς ῥαθυμίας τῇ παρρησίᾳ χρώμενος, ὀλίγον τοῦ πρὸς ἡδονὴν φροντίσας. Μετατίθησι δὲ τῶν χρημάτων τοὺς πόρους ἀπὸ τῶν θεάτρων ἐπὶ τὰ στρατόπεδα, συντίθησι δὲ τὸ ναυτικὸν νόμοις τριηραρχικοῖς ὑπὸ τῆς ἀταξίας μόνον οὐ τελέως διεφθαρμένον, ἐγείσει δ' ἐρριμμένον ἤδη διὰ χρόνου πρὸς τὴν δραχμὴν καὶ τὸ τριώβολον τὸ τῆς πόλεως ἀξίωμα, πάλαι τούτους κατακεκλιμένους εἰς τοὺς προγόνους ἐπανάγων καὶ τὸν ζῆλον τῶν Μαραθῶνι καὶ Σαλαμῖνι κατειργασμένων, συνίστησι δ' ἐπὶ συμμαχίας καὶ συντάξεις Ἑλληνικάς. Τοῦτον οὐ λαθεῖν ἐστιν, οὐ φενακίσαι, οὐ πρίασθαι οὐ μᾶλλον ἢ τὸν Ἀριστείδην ἐκεῖνον ὁ Περσῶν βασιλεὺς ἐπρίατο.

36. Sed ille invitos etiam cives suos, et velut a mandragora dormientes excitat, libertate dicendi velut urens et secans illorum socordiam, parum quid jucundum illis sit sollicitus. Transfert idem pecuniæ reditus a theatris ad exercitus; trierarchicis legibus constituit rem nauticam perturbatione rerum tantum non plane perditam; abjectam satis longo jam tempore ad drachmam et triobolum civitatis dignitatem excitat, hosce dudum inclinatos ad majores suos revocando atque ad æmulationem eorum quæ Marathone ac Salamine gesta sunt; mutuique auxilii fœdera, et conventiones inter Græcos constituit. Hunc latere non est, non decipere, non emere, non magis quam Aristidem illum Persarum rex emere potuit.

37. Τοῦτον οὖν, ὦ Ἀντίπατρε, χρὴ δεδιέναι μᾶλλον ἢ πάσας τριήρεις καὶ πάντας ἀποστόλους· ὁ γὰρ Ἀθηναίοις τοῖς πάλαι Θεμιστοκλῆς καὶ Περικλῆς ἐγένετο, τοῦτο τοῖς νῦν ὁ Δημοσθένης, ἐφάμιλλος Θεμιστοκλεῖ μὲν τὴν σύνεσιν, Περικλεῖ δὲ τὸ φρόνημα. Ἐκτήσατο γοῦν αὐτοῖς ἀκούειν Εὔβοιαν, Μέγαρα, τὰ περὶ τὸν Ἑλλήσποντον, τὴν Βοιωτίαν. Καὶ καλῶς γε, ἔφη, ποιοῦσιν Ἀθηναῖοι Χάρητα μὲν καὶ Διοπείθην καὶ Πρόξενον καὶ τοιούτους τινὰς ἀποδεικνύντες στρατηγεῖν, Δημοσθένην δὲ εἴσω κατέχοντες ἐπὶ τοῦ βήματος. Ὡς εἰ τοῦτον τὸν ἄνθρωπον ὅπλων ἀπέφηναν καὶ νεῶν καὶ στρατοπέδων καὶ καιρῶν καὶ χρημάτων κύριον, ὀκνῶ μὴ περὶ τῆς Μακεδονίας ἂν κατέστησέ μοι τὸν λόγον, ὃς καὶ νῦν ἀπὸ ψηφισμάτων ἀνταγωνιζόμενος ἡμῖν πανταχοῦ συμπεριτρέχει, καταλαμβάνει, πόρους εὑρίσκει, δύναμιν συλλέγει, ἐπιμήκεις στόλους ἀποπέμπει, συντάττει δυνάμεις, ἀντιμεθίσταται.

37. Hunc ergo, Antipater, magis est quod timeamus, quam triremes omnes et classes immissas. Quod enim antiquis illis Atheniensibus Themistocles fuerunt et Pericles, his nunc Demosthenes est, prudentiæ nomine comparandus cum Themistocle, cum Pericle autem ob sensum in republica. Nam dicto audientes illis præstitit Eubœam, Megara, quæ circa Hellespontum sunt, Bœotiam. Et præclare sane, inquit, faciunt Athenienses, quum Chareta et Diopithen et Proxenum et horum similes quosdam imperatores constituunt, Demosthenem vero domi in suggestu retinent. Quodsi hunc hominem armorum faciant et navium et exercituum et opportunitatum et pecuniarum dominum, vereor ne de ipsa me Macedonia in disceptationem vocet; qui vel sic suis me decretis oppugnet, circumquaque concurrat, deprehendat, reditus inveniat, copias contrahat, classes latas dimittat, copias in aciem cogat, huc illuc transiens obsistat. »

38. Τοιαῦτα καὶ τότε καὶ πολλάκις πρός με Φίλιππος περὶ τἀνδρὸς ἔλεγεν, ἐν τῶν παρὰ τῆς τύχης χρη-

38. Talia et tum et sæpe alias ad me Philippus de viro illo dicebat, inter fortunæ munera illud referens, quod

στῶν τιθέμενος τὸ μὴ στρατηγεῖν τὸν Δημοσθένην, οὗ γε καὶ τοὺς λόγους ὥσπερ κριοὺς ἢ καταπέλτας Ἀθήνηθεν ὁρμωμένους διασείειν αὐτοῦ καὶ ταράττειν τὰ βουλεύματα· περὶ μὲν γὰρ Χαιρωνείας οὐδὲ μετὰ τὴν νίκην ἐπαύετο πρὸς ἡμᾶς λέγων εἰς ὅσον ἄνθρωπος ἡμᾶς κινδύνου κατέστησε. Καὶ γὰρ εἰ παρ' ἐλπίδα καὶ κακίᾳ στρατηγῶν καὶ στρατιωτῶν ἀταξίᾳ καὶ τῇ παραδόξῳ ῥοπῇ τῆς τύχης τῇ πολλὰ πολλάκις ἡμῖν συνειργασμένῃ κεκρατήκαμεν, ἀλλ' ἐπὶ μιᾶς γε ταύτης ἡμέρας τὸν περὶ τῆς ἀρχῆς καὶ τῆς ψυχῆς κίνδυνον ἐπέστησέ μοι, τὰς ἀρίστας πόλεις εἰς ἓν συναγαγὼν καὶ πᾶσαν τὴν Ἑλληνικὴν δύναμιν ἀθροίσας, Ἀθηναίους ἅμα καὶ Θηβαίους Βοιωτούς τε τοὺς ἄλλους καὶ Κορινθίους Εὐβοέας τε καὶ Μεγαρέας καὶ τὰ κράτιστα τῆς Ἑλλάδος διακινδυνεύειν συναναγκάσας καὶ μηδ' εἴσω με τῆς Ἀττικῆς ἐπιτρέψας παρελθεῖν.

39. Τοιοῦτοί τινες ἦσαν αὐτῷ συνεχεῖς περὶ Δημοσθένους οἱ λόγοι· καὶ πρός γε τοὺς λέγοντας ὡς μέγαν ἔχοι τὸν Ἀθηναίων δῆμον ἀνταγωνιστήν, Ἐμοὶ Δημοσθένης μόνος, εἶπεν, ἀνταγωνιστής, Ἀθηναῖοι δὲ Δημοσθένην οὐκ ἔχοντες Αἰνιᾶνές εἰσι καὶ Θετταλοί. Καὶ πρέσβεις ὁπότε πρὸς τὰς πόλεις πέμποι, τῶν μὲν ἄλλων ῥητόρων εἴ τινας ἡ τῶν Ἀθηναίων πόλις ἀνταποστέλλοι, τῇ πρεσβείᾳ ῥᾷστα ἦν κεκρατηκώς, τοῦ Δημοσθένους δ' ἐπιστάντος, Μάτην, εἶπεν, ἂν ἐπρεσβεύσαμεν· οὐ γάρ ἐστι κατὰ τῶν Δημοσθένους λόγων ἐγεῖραι τρόπαιον.

40. Ταῦτα ὁ Φίλιππος. Καὶ μέντοι καὶ πάντως ἔλαττον ἂν ἔχοντες εἰ λάβοιμεν τοιοῦτον ἄνδρα, πρὸς Διός, Ἀρχία, τί ποτε νομίζεις; βοῦν ἂν ἐπὶ σφαγὴν ἤγομεν ἢ πολὺ μᾶλλον ἂν σύμβουλον περὶ τῶν Ἑλληνικῶν πραγμάτων καὶ τῆς ἀρχῆς πάσης ἐποιούμεθα; Φύσει μὲν γὰρ αὐτῷ καὶ κατ' ἀρχὰς προσεπεπόνθειν ἐξ αὐτῶν τῶν πολιτευμάτων, ἔτι δὲ μᾶλλον Ἀριστοτέλει μάρτυρι· πρὸς γοῦν τὸν Ἀλέξανδρον καὶ πρὸς ἡμᾶς γε λέγων οὐδὲν ἐπαύετο, τοσούτων ὄντων τῶν αὐτῷ προσπεφοιτηκότων, μηδένα οὕτω πώποτε θαυμάσαι μεγέθους τε φύσεως καὶ τῆς περὶ τὴν ἄσκησιν ἐγκρατείας καὶ βάρους καὶ τάχους καὶ παρρησίας καὶ καρτερίας.

41. Ὑμεῖς δέ, ἔφη, διανοεῖσθε ὡς ὑπὲρ Εὐβούλου καὶ Φρύνωνος καὶ Φιλοκράτους, καὶ πειρᾶσθε δώροις καὶ τοῦτον ἀναπείθειν, ἄνθρωπον καὶ τὴν πατρῴαν οὐσίαν εἰς Ἀθηναίους ἰδίᾳ τε τοῖς δεηθεῖσι καὶ δημοσίᾳ τῇ πόλει καταναλωκότα, διαμαρτάνοντες δὲ φοβήσειν οἴεσθε πάλαι βεβουλευμένον τὴν ψυχὴν ὑποθεῖναι ταῖς τῆς πατρίδος ἀδήλοις τύχαις, καὶ καθαπτομένου τῶν πραττομένων ὑμῖν ἀγανακτεῖτε; ὁ δ' οὐδὲ τὸν Ἀθηναίων δῆμον ὑποστέλλεται. Λέληθεν ὑμᾶς, ἔφη, τῇ μὲν τῆς πατρίδος εὐνοίᾳ πολιτευόμενος, αὐτῷ δὲ τὴν πολιτείαν γυμνάσιον φιλοσοφίας προθέμενος.

42. Ταῦτά τοι, ὦ Ἀρχία, ὑπερεπεθύμουν αὐτῷ συγγενόμενος τήν τε γνώμην, ἣν ἔχοι περὶ τῶν παρόντων, ἀκοῦσαι λέγοντος καὶ τῶν ἀεὶ παραπεπτωκότων ἡμῖν κολάκων, εἰ ἐδεόμην, ἀποστὰς ἁπλοῦ τινος ἐξ ἐλευ-

exercitum non duceret Demosthenes; cujus quidem etiam conciones, tanquam arietes quidam et catapultæ ab Athenis inde ruentes, sua convellerent disturbarentque consilia. Nam de Chæronea neque post victoriam commemorare apud nos desiit, in quantum nos periculum vir ille adduxisset. « Etsi enim præter spem et vitio ducum, et militum immodestia, et inclinatione necopinata fortunæ, quæ in multis sæpe perficiendis nos adjuvit, vicimus; tamen uno illo die et imperii et vitæ adeo in periculo me constituit, conductis in unum præstantissimis civitatibus, Græcis copiis omnibus collectis, Atheniensibus simul et Thebanis Bœotiisque reliquis, et Corinthiis Euboensibusque et Megarensibus, denique potentissimis Græciæ in periculi societatem coactis, meque in interiora Atticæ penetrare prohibito. »

39. Tales habebat ille perpetuo de Demosthene sermones; et his qui dicerent, gravem ipsi esse adversarium populum Atheniensem, respondebat, Mihi adversarius solus Demosthenes; Athenienses vero, Demosthene destituti, Ænianes sunt et Thessali. Et si quando legatos ad civitates mitteret, atque aliorum oratorum quosdam contra ipsum civitas Atheniensium ablegaret, legatione ipse vicerat facillime: quoties vero instaret Demosthenes, Sine dubio frustra, inquit, legationem misimus: neque enim contra Demosthenis orationes tropæum licet erigere.

40. Hæc Philippus. Et profecto omnibus modis inferiores nos Philippo, talem virum si cepissemus, per Jovem, Archia, quid tandem putas? bovemne ad macellum acturi eramus, an consiliarium potius de rebus Græcis totoque imperio nostro adhibituri? Natura enim illi me etiam ab initio conciliari sentiebam ex ipsis in republica gestis, magis vero testimonio Aristotelis: is enim quum apud Alexandrum et nos etiam ageret, ac tot haberet qui suam domum audiendi causa frequentaverant, profiteri nunquam desiit, præter omnes se hunc admirari ob magnitudinem ingenii, et illam in exercitationibus exhibitam continentiam, et gravitatem, et celeritatem, et libertatem dicendi, et animi constantiam.

41. Vos autem, inquit, de illo cogitatis ut de Eubulo quodam, et Phrynone, et Philocrate, et ipsum quoque donis conamini in partes traducere, hominem qui patrimonium adeo in Athenienses, privatim in egentes, publice in civitatem impenderit; et ubi hac spe excidistis, terrere illum vos posse arbitramini, cui olim deliberatum sit animam subjicere incertis patriæ fortunis? et in facta illo vestra invehente, indignamini? qui nec populo Atheniensium se submittat. Fugit vos, inquit, patriæ illum amore tractare rem publicam, sibi autem eam philosophiæ gymnasium constituisse.

42. Talia, Archia, supra modum cupiebam consuetudine illius utens ex illo audire, et quæ ipsius de rebus præsentibus esset sententia: atque, quoties opus esset, relictis qui semper in nos irruunt adulatoribus, simplicem e libera

θέρας γνώμης ἀκοῦσαι λόγου καὶ φιλαλήθους συμβουλῆς μεταλαβεῖν. Καί τι καὶ νουθετῆσαι δίκαιον, ὑπὲρ οἵων ὄντων τῶν Ἀθηναίων τὴν ἀχαριστίαν πάντα παραβάλοιτο τὸν αὐτοῦ βίον, ἐξὸν εὐγνωμονεστέροις καὶ βεβαιοτέροις κεχρῆσθαι φίλοις.

ΑΡΧ. Ὦ βασιλεῦ, τῶν μὲν ἄλλων ἴσως ἂν ἔτυχες, ταυτὶ δὲ μάτην ἂν ἔλεγες· οὕτω μανικῶς φιλαθήναιος ἦν.

ΑΝΤ. Ἦν ταῦτα, ὦ Ἀρχία· τί γὰρ ἂν καὶ λέγοιμεν; Ἀλλὰ πῶς ἀπέθανεν;

43. ΑΡΧ. Ἔοικας ἔτι μᾶλλον, ὦ βασιλεῦ, θαυμάσειν· καὶ γὰρ ἡμεῖς οἱ τεθεαμένοι διαφέρομεν οὐδὲν ἐκπλήξει τε καὶ ἀπιστίᾳ τῶν ὁρώντων. Ἔοικε γὰρ δὴ πάλαι ὧδε βεβουλευμένῳ περὶ τῆς ὑστάτης ἡμέρας· δηλοῖ δὲ ἡ παρασκευή. Καθῆστο μὲν γὰρ ἔνδον ἐν τῷ νεῷ, μάτην δὲ τῶν πρόσθεν ἡμερῶν λόγους ἦμεν καταναλωκότες.

ΑΝΤ. Τίνες γὰρ ἦσαν οἱ παρ' ὑμῶν λόγοι;

ΑΡΧ. Πολλὰ καὶ φιλάνθρωπα προὐτεινόμην ἔλεόν τινα παρὰ σοῦ καθυπισχνούμενος, οὐ μάλα μὲν προσδοκῶν — οὐ γὰρ ἠπιστάμην, ἀλλὰ σὲ ᾠμην δι' ὀργῆς ἔχειν τὸν ἄνθρωπον — χρήσιμον δ' οὖν πρὸς τὸ πείθειν νομίζων.

ΑΝΤ. Ὁ δὲ πῶς προσίετο τοὺς λόγους; καί με μηδὲν ἀποκρύψῃ· μάλιστα μὲν γὰρ αὐτήκοος ἂν ἐβουλόμην παρὼν εἶναι νῦν. Ἀλλά σύ γε μὴ παραλίπῃς μηδέν· οὐ γάρ τοι σμικρὸν ἔργον, ἦθος ἀνδρὸς γενναίου πρὸς αὐτῷ τῷ τέλει τοῦ βίου καταμαθεῖν, πότερον ἄτονος καὶ νωθρὸς ἦν ἢ παντάπασιν ἀκλινὲς τὸ τῆς ψυχῆς ὄρθιον ἐφύλαττεν.

44. ΑΡΧ. Οὐδὲν ὑπέστελλεν ἐκεῖνός γε. Πῶς γάρ; ὃς ἡδὺ γελάσας κἀμὲ δὴ σκώπτων εἰς τὸν πρότερον βίον, ἀπίθανον ἔφη με ὑποκριτὴν εἶναι τῶν σῶν ψευσμάτων.

ΑΝΤ. Ἀπιστήσας ἄρα τοῖς ἐπαγγέλμασι προεῖτο τὴν ψυχήν;

ΑΡΧ. Οὔκ· εἴ γε τῶν λοιπῶν ἀκούσαις, οὐ δόξει σοι μόνον ἀπιστεῖν. Ἀλλ' ἐπεὶ κελεύεις, ὦ βασιλεῦ, λέγειν, Μακεδόσι μέν, εἶπεν, οὐδὲν ἀπώμοτον, οὐδὲ παράδοξον, εἰ Δημοσθένην οὕτω λαμβάνουσιν ὡς Ἀμφίπολιν, ὡς Ὄλυνθον, ὡς Ὠρωπόν. Τοιαῦτα πολλὰ ἔλεγε· καὶ γὰρ οὖν ὑπογραφέας παρεστησάμην, ἵνα σοι τὰ λεχθέντα σώζοιτο. Ἐγὼ μέν τοι, ἔφη, ὦ Ἀρχία, βασάνων ἢ θανάτου φόβῳ κατ' ὄψιν οὐκ ἂν Ἀντιπάτρῳ γενοίμην, ἀλλ' εἰ ταῦτ' ἀληθεύετε, πολύ μοι μᾶλλον ἔτι φυλακτέον μὴ τὴν ψυχὴν αὐτὴν παρ' Ἀντιπάτρου δεδωροδοκηκέναι δόξω μηδ' ἣν ἐμαυτὸν ἔταξα τάξιν λιπὼν τὴν Ἑλληνικὴν εἰς τὴν Μακεδονικὴν μεταβάλλεσθαι.

45. Καλὸν γὰρ, Ἀρχία, εἰ τὸ ζῆν ἐμοὶ Πειραιεὺς αὐτὸς παρέχοι καὶ τριήρης ἣν ἐπιδέδωκα, καὶ τεῖχος καὶ τάφρος τοῖς ἐμοῖς τέλεσιν ἐξειργασμένα καὶ φυλὴ Πανδιονὶς, ἣ ἐθελοντὴς ἐχορήγουν ἐγὼ, καὶ Σόλων καὶ Δράκων καὶ παρρησία βήματος καὶ δῆμος ἐλεύθερος καὶ ψηφίσματα στρατιωτικὰ καὶ νόμοι τριηραρχικοὶ καὶ

mente orationem percipere et veracis consilii copiam nancisci. Etiam fas putaveram illum admonere, pro quam ingratis Atheniensibus vitam omnem in discrimen dedisset, quum liceret gratos magis et firmiores habuisse amicos.

ARCH. Reliqua, rex, forte consecutus esses; sed ista frustra fuisses dicturus, adeo ad furorem usque ille amabat Athenas.

ANT. Ita res habebat, Archia; quid enim aliud dicamus? Sed quomodo mortuus est?

43. ARCH. Videris magis etiam, rex, admiraturus esse. Etenim nos qui vidimus, non minus nunc obstupescimus et fidem negamus oculis, quam ubi conspiciebamus. Videbatur enim olim ita deliberatum de ultimo die habuisse, id quod apparatus indicat. Consederat nimirum intus in templo : ac frustra superiorum dierum sermones consumseramus.

ANT. Quinam erant vestri sermones?

ARCH. Multam humanitatem illi ostendebam, et misericordiam abs te pollicebar, non valde quidem ipse exspectans (neque eam sciebam, sed irasci te viro putabam) : verum quod putarem id ipsum utile esse ad persuadendum.

ANT. Ille vero quomodo accipiebat istos sermones? et noli me celare quicquam : vellem enim nunc vel maxime affuisse et meis auribus accepisse singula. Sed tu ne quid prætermiseris : non parva enim res est, ingenium viri generosi sub ipsum vitæ finem cognoscere, utrum languidus fuerit et ignavus, an nusquam inclinatam illam mentis altitudinem servarit.

44. ARCH. Nihil ille sane remisit. Qui enim? qui suaviter ridens, et in superiorem vitam meam ludens, improbabilem me mendaciorum tuorum histrionem diceret.

ANT. Ergo quod dissideret promissis, vitam abjecit?

ARCH. Non : si quidem audire reliqua volueris, non videbitur tibi solum diffisus esse. Sed, quando jubes, rex, dicere, « De Macedonibus, inquit, nihil quidem est quod abjures : neque mirum fuerit, si Demosthenem ita capiunt, ut Amphipolin, ut Olynthum, ut Oropum. » Talia dixit multa : etenim notarios constitui, ut dicta tibi servarentur : « Tametsi ego, inquit, Archia, tormentorum aut mortis metu in conspectum venire Antipatri nolo : sed si vere ista prædicatis, multo magis etiam mihi cavendum est, ne vita ipsa ab Antipatro mihi donata corruptus esse, et relicta acie, in qua ipse me locavi, Græcanica, in Macedonicam me conjecisse videar.

45. Præclarum enim esset, Archia, si vitam mihi Piræeus ipse præstaret, et triremis quam dedi, et murus et fossa meis impensis effecta, et Pandionis tribus, in qua mea sponte sumtus in pompam sacrorum feci, et Solon, et Dracon, et illa in tribunali libertas, et populus liber, et militaria decreta, et leges trierarchicæ, et majorum virtutes, et

προγόνων ἀρεταὶ καὶ τρόπαια καὶ πολιτῶν εὔνοια τῶν ἐμὲ πολλάκις ἐστεφανωκότων καὶ δύναμις Ἑλλήνων τῶν ὑπ' ἐμοῦ μέχρι νῦν τετηρημένων· εἰ δὲ καὶ βιωτὸν ἐλεηθέντι, ταπεινὸν μέν, ἀνεκτὸς δ' οὖν ὁ ἔλεος παρὰ τοῖς οἰκείοις, ὧν ἐλυσάμην αἰχμαλώτους, ἢ τοῖς πατράσιν ὧν συνεξέδωκα τὰς θυγατέρας ἢ οἷς τοὺς ἐράνους συνδιελυσάμην.

46. Εἰ δέ με μὴ σώζει νήσων ἀρχὴ καὶ θάλαττα, παρά γε τουτουὶ Ποσειδῶνος αἰτῶ τὸ σώζεσθαι καὶ τοῦδε τοῦ βωμοῦ καὶ τῶν ἱερῶν νόμων. Εἰ δὲ Ποσειδὼν, ἔφη, μὴ δύναται φυλάττειν τὴν ἀσυλίαν τοῦ νεὼ μηδ' ἐπαισχύνεται προδοῦναι Δημοσθένην Ἀρχίᾳ, τεθναίην, οὐδὲν Ἀντίπατρος ἡμῖν ἀντὶ τοῦ θεοῦ κολακευτέος. Ἐξῆν μοι φιλτέρους ἔχειν Ἀθηναίων Μακεδόνας καὶ νῦν μετέχειν τῆς ὑμετέρας τύχης, εἰ μετὰ Καλλιμέδοντος καὶ Πυθέου καὶ Δημάδου συνεταττόμην· ἐξῆν κἂν ὀψὲ τῆς τύχης μεθαρμόσασθαι, εἰ μὴ τὰς Ἐρεχθέως θυγατέρας καὶ τὸν Κόδρον ἐπῃσχυνόμην. Οὐκουν ᾑρούμην αὐτομολοῦντι τῷ δαίμονι συμμεταβάλλεσθαι· καλὸν γὰρ κρησφύγετον θάνατος ἐν ἀκινδύνῳ παντὸς αἰσχροῦ γενέσθαι. Καὶ νῦν, Ἀρχία, τὸ κατ' ἐμαυτὸν οὐ καταισχυνῶ τὰς Ἀθήνας δουλείαν ἐκὼν ἑλόμενος, ἐντάφιον δὲ τὸ κάλλιστον τὴν ἐλευθερίαν προέμενος.

47. Ἀλλὰ δίκαιον γὰρ, ἔφη, σοὶ τῶν τραγῳδιῶν μνημονεύειν, οὗ σεμνὸν τὸ λεχθὲν

Ἡ δὲ καὶ θνήσκουσ' ὅμως
πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν·

κόρη καὶ ταῦτα· Δημοσθένης δὲ εὐσχήμονος θανάτου βίον προκρινεῖ ἀσχήμονα τῶν Ξενοκράτους καὶ Πλάτωνος ὑπὲρ ἀθανασίας λόγων ἐκλαθόμενος; Καί τινα καὶ πικρότερον ἔλεγε προαχθεὶς εἰς τοὺς ταῖς τύχαις ἐξυβρίζοντας. Ἀλλὰ τί δεῖ νῦν λέγειν ἐμέ; τέλος δ' ἐμοῦ τὰ μὲν δεομένου, τὰ δ' ἀπειλοῦντος, ἁπαλὴν μοῦσαν στερεᾷ κεραννύντος, Ἐπείσθην ἄν, ἔφη, τούτοις Ἀρχίας ὤν, ἐπεὶ δὲ Δημοσθένης εἰμὶ, συγγίγνωσκέ μοι, ὦ δαιμόνιε, μὴ πεφυκότι κακῷ γενέσθαι.

48. Τότε δὴ τότε πρὸς βίαν αὐτὸν ἀποσπᾶν διενοούμην· ὁ δ' ὡς ἤσθετο, δῆλος ἦν καταγελῶν καὶ τὸν θεὸν προσβλέψας, Ἔοικεν Ἀρχίας, εἶπεν, ὅπλα μόνα καὶ τριήρεις καὶ τείχη καὶ στρατόπεδα δυνάμεις εἶναι καὶ κρησφύγετα ταῖς ἀνθρωπίναις ψυχαῖς ὑπολαμβάνειν, τῆς δ' ἐμῆς παρασκευῆς καταφρονεῖν, ἣν οὐκ ἂν ἐλέγξειαν Ἰλλυριοὶ καὶ Τριβαλλοὶ καὶ Μακεδόνες ἐχυρωτέραν ἢ ξύλινόν ποτε τεῖχος ἡμῖν, ὁ θεὸς ἀνεῖλεν ἀπόρθητον εἶναι· μεθ' ἧς ἂν τῆς προνοίας ἀδεῶς μὲν ἐπολιτευσάμην, ἀδεὴς δέ μοι τὸ κατὰ Μακεδόνων θάρσος, ἐμέλησε δ' οὐδὲν οὐκ Εὐκτήμονος, οὐκ Ἀριστογείτονος, οὐ Πυθέου καὶ Καλλιμέδοντος, οὐ Φιλίππου τότε, οὐ τὰ νῦν Ἀρχίου.

49. Ταῦτα εἰπὼν, Μὴ πρόσαγέ μοι τὴν χεῖρα, ἔφη· τὸ κατ' ἐμὲ γὰρ οὐδὲν παράνομον ὁ νεὼς πείσεται, τὸν δὲ θεὸν προσειπὼν ἑκὼν ἕψομαι. Κἀγὼ μὲν ἦν ἐπὶ

tropea, et benevolentia civium, qui sæpe me coronarunt, et potentia Græcorum, qui huc usque a me sunt servati. Si vero etiam misericordia aliena licet vivi, humile id quidem est, sed tolerabilis tamen misericordia a necessariis, quorum redemi captivos, aut patribus, quorum una elocavi filias, aut quos in dissolvendis eranis adjuvi.

46. Si vero servare me non potest insularum imperium et mare, at certe ab hoc Neptuno salutem peto, et ab hoc altari, et a sanctis legibus. Si vero nec Neptunus, inquit, præstare potest templo suo sanctitatem, neque pudet illum Archiæ prodere Demosthenem, moriar potius, : minime Antipatro nobis pro deo adulandum est. Licebat mihi amiciores Atheniensibus habere Macedonas, et nunc in fortunæ vestræ partem venire, si cum Callimedonte, et Pythea, et Demade conjungere me voluissem : licebat vel sero instaurare fortunam, nisi Erechthei filias verecundarer et Codrum. Non igitur optarim cum Fortuna transfuga et ipse mutare castra : honestum enim perfugium mors est, ut ab omnis turpitudinis periculo simus liberi. Et nunc, Archia, quantum in me est, non afficiam turpitudine Athenas, servitute ultro eligenda, abjiciendaque libertate, pulcherrimo ferali amiculo.

47. Verum enim fas est, inquit, tragœdiarum apud te meminisse, in quibus præclarum illud dictum,

At illa dum moritur tamen
providit, ut decenter caderet, sedulo.

Hæc puella : et Demosthenes honesta morte vitam turpem potiorem habebit, Xenocratis et Platonis de immortalitate librorum oblitus? » Et provectus ultra amarius quædam dixit in eos qui a fortuna insolescunt. Sed quid ea nunc dicere opus est! Tandem vero me preces partim, partim minas adhibente, et mollem musam cum rigida miscente, Moverer, inquit, hisce, Archias si essem : quandoquidem vero sum Demosthenes, ignosce mihi, o noster, quem natura non finxit ad ignaviam.

48. Tum sane tum vi illum detrahere ab altari cogitabam. At ille quum sentiret, aperte irridebat, et deum aspiciens, Videtur, inquit, putare Archias, arma sola et triremes, et mœnia, et exercitus, copias esse, et refugia humanis animis; meum autem apparatum contemnere, quem tamen non redarguerint Illyrii, et Triballi, et Macedones, nobis ipso illo muro ligneo firmiorem, quem respondit quondam deus vastari non posse; qua quidem providentia sine metu versatus sum in republica, metusque omnis expers mihi fuit contra Macedonas audacia; neque movit me Euctemon, neque Aristogiton, nec Pytheas et Callimedon, nec Philippus tum, neque nunc Archias.

49. Hæc ubi dixerat, Noli, inquit, manum mihi injicere; quantum enim in me est, nulla fiet huic sacro injuria, sed deo adorato sponte sequar. Atque ego in spe hac eram, illo-

τῆς ἐλπίδος ταύτης, καὶ τὴν χεῖρα τῷ στόματι προσαγαγόντος, οὐδὲν ἀλλ' ἢ προσκυνεῖν ὑπελάμβανον.

ANT. Τὸ δὲ τί δή ποτε ἦν;

ΑΡΧ. Ὕστερον βασάνοις θεραπαίνης ἐφωράσαμεν πάλαι φάρμακον αὐτὸν τεταμιεῦσθαι λύσει ψυχῆς ἀπὸ σώματος ἐλευθερίαν κτώμενον. Οὐ γὰρ οὖν ἔφθασεν ὑπερβὰς τὸν ὀδὸν τοῦ νεὼ, καὶ πρὸς ἐμὲ βλέψας, Ἄγε δὴ τοῦτον, ἔφη, πρὸς Ἀντίπατρον, Δημοσθένην δὲ οὐκ ἄξεις, οὐ μὰ τοὺς .... Κἀμοὶ μὲν ἐφαίνετο προσθήσειν τοὺς ἐν Μαραθῶνι πεπτωκότας.

50. Ὁ δὲ χαίρειν εἰπὼν ἀπέπτη. Τοῦτό σοι τὸ τέλος, ὦ βασιλεῦ, τῆς Δημοσθένους πολιορκίας κομίζειν ἔχω.

ANT. Δημοσθένους γε καὶ ταῦτα, ὦ Ἀρχία. Βαβαὶ τῆς ἀηττήτου ψυχῆς καὶ μακαρίας, ὡς ἀνδρεῖον μὲν αὐτῷ τὸ λῆμα, πολιτικὴ δὲ πρόνοια μετὰ χεῖρα τὸ πιστὸν τῆς ἐλευθερίας ἔχειν. Ἀλλ' ὁ μὲν οἴχεται βίον ἔζων τὸν ἐν μακάρων νήσοις ἡρώων λεγόμενον ἢ τὰς εἰς οὐρανὸν ψυχαῖς νομιζομένας ὁδοὺς, ὀπαδός τις δαίμων ἐσόμενος ἐλευθερίου Διὸς, τὸ σῶμα δ' ἡμεῖς εἰς Ἀθήνας ἀποπέμψομεν, κάλλιον ἀνάθημα τῇ γῇ τῶν ἐν Μαραθῶνι πεπτωκότων.

que manum ori admovente, nihil aliud quam adorare virum putabam.

ANT. Quid ergo illud erat?

ARCH. Postea tormentis ab ancilla expressimus, olim repositum illi fuisse venenum, quod absolvenda a corpore anima libertatem ipsi pararet. Vix enim limen templi egressus fuerat, quum, Duc sane hoc, inquit, ad Antipatrum; Demosthenem vero non duces, non, per ego illos.... Et videbatur mihi adjecturus, Qui Marathone ceciderunt.

50. At, vale! quum dixisset, evolavit. Hunc tibi, rex, exitum obsessi expugnatique Demosthenis possum referre.

ANT. Demosthenis et ista, Archia. Hem invictam animam et beatam! quam forte viri propositum, quam civilis providentia, in manu semper pignus certissimum libertatis habere! At ille quidem discessit, vitam habiturus in Beatorum insulis, quæ heroum dicitur, vel vias quæ putantur animarum in cœlum, sectator dæmon futurus Liberatoris Jovis; corpus vero nos Athenas mittemus, donarium regioni illi iis ipsis qui ad Marathonem cecidere præstantius.

LXXIV.

ΘΕΩΝ ΕΚΚΛΗΣΙΑ.

1. ΖΕΥΣ. Μηκέτι τονθορύζετε, ὦ θεοὶ, μηδὲ κατὰ γωνίας συστρεφόμενοι πρὸς τὸ οὖς ἀλλήλοις κοινολογεῖσθε, ἀγανακτοῦντες εἰ πολλοὶ ἀνάξιοι μετέχουσιν ἡμῖν τοῦ συμποσίου, ἀλλ' ἐπείπερ ἀποδέδοται περὶ τούτων ἐκκλησία, λεγέτω ἕκαστος ἐς τὸ φανερὸν τὰ δοκοῦντά οἱ καὶ κατηγορείτω. Σὺ δὲ κήρυττε, ὦ Ἑρμῆ, τὸ κήρυγμα τὸ ἐκ τοῦ νόμου.

ΕΡΜΗΣ. Ἄκουε, σίγα. Τίς ἀγορεύειν βούλεται τῶν τελείων θεῶν οἷς ἔξεστιν; ἡ δὲ σκέψις περὶ τῶν μετοίκων καὶ ξένων.

ΜΩΜΟΣ. Ἐγὼ ὁ Μῶμος, ὦ Ζεῦ, εἴ μοι ἐπιτρέψειας εἰπεῖν.

ΖΕΥΣ. Τὸ κήρυγμα ἤδη ἐφίησιν· ὥστε οὐδὲν ἐμοῦ δεήσει.

2. ΜΩΜ. Φημὶ τοίνυν δεινὰ ποιεῖν ἐνίους ἡμῶν, οἷς οὐκ ἀπόχρη θεοὺς ἐξ ἀνθρώπων αὐτοῖς γεγενῆσθαι, ἀλλ', εἰ μὴ καὶ τοὺς ἀκολούθους καὶ θεράποντας αὐτῶν ἰσοτίμους ἡμῖν ἀποφανοῦσιν, οὐδὲν μέγα οὐδὲ νεανικὸν οἴονται εἰργάσθαι. Ἀξιῶ δὲ, ὦ Ζεῦ, μετὰ παρρησίας μοι δοῦναι εἰπεῖν· οὐδὲ γὰρ ἂν ἄλλως δυναίμην, ἀλλὰ πάντες με ἴσασιν ὡς ἐλεύθερός εἰμι τὴν γλῶτταν καὶ οὐδὲν ἂν κατασιωπήσαιμι τῶν οὐ καλῶς γιγνομένων· διελέγχω γὰρ ἅπαντα καὶ λέγω τὰ δοκοῦντά μοι ἐς τὸ φανερὸν οὔτε δεδιώς τινα οὔτε ὑπ' αἰδοῦς ἐπικαλύπτων τὴν γνώμην· ὥστε καὶ ἐπαχθὴς δοκῶ τοῖς πολλοῖς καὶ συκοφαντικὸς τὴν φύσιν, δημόσιός τις κατήγορος ὑπ'

LXXIV.

DEORUM CONCILIUM.

1. JUPITER. Nolite amplius mussare, dii, neque collecti in angulos ad aurem alter alterius miscere sermones, et ægre ferre si indigni multi convivio nostro intersunt; sed quandoquidem concio de his data est, aperte dicat unusquisque quid sibi videatur, et accuset. Tu vero, Mercuri, legitimum præconium peragito.

MERCURIUS. Audi: tace. Quis vult concionari classicorum deorum, quibus jus est? Quæstio de inquilinis et peregrinis.

MOMUS. Ego, Momus, si mihi permiseris, Jupiter, ut dicam.

JUP. Præconium tibi hoc jam permittit; itaque me permittente nihil opus habebis.

2. MOM. Aio igitur intolerabiliter se gerere quosdam nostrûm, quibus non satis est deos ex hominibus ipsos esse factos; sed, nisi suos etiam pedissequos atque famulos in æquo nobiscum fastigio constituerint, nihil sibi magnifice, nihil fortiter fecisse videntur. Peto autem abs te, Jupiter, ut libere mihi dicere per te liceat: neque enim alia lege possim, quum sciant omnes quam liber sim lingua, quam nihil eorum, quæ contra quam decet fiunt, reticere soleam. Redarguo enim omnia, et quæ mihi videntur aperte profero, neque metuens quenquam, neque meam præ pudore sententiam occultans, adeo quidem, ut etiam molestus plerisque videar et calumniatorio ingenio, publicus quidam accu

αὐτῶν ἐπονομαζόμενος. Πλὴν ἀλλ' ἐπείπερ ἔξεστι καὶ κεκήρυκται καὶ σὺ, ὦ Ζεῦ, δίδως μετ' ἐξουσίας εἰπεῖν, οὐδὲν ὑποστειλάμενος ἐρῶ.

3. Πολλοὶ γάρ, φημὶ, οὐκ ἀγαπῶντες ὅτι αὐτοὶ μετέχουσι τῶν αὐτῶν ἡμῖν ξυνεδρίων καὶ εὐωχοῦνται ἐπ' ἴσης, καὶ ταῦτα θνητοὶ ἐξ ἡμισείας ὄντες, ἔτι καὶ τοὺς ὑπηρέτας καὶ θιασώτας τοὺς αὑτῶν ἀνήγαγον ἐς τὸν οὐρανὸν καὶ παρενέγραψαν, καὶ νῦν ἐπ' ἴσης διανομάς τε νέμονται καὶ θυσιῶν μετέχουσιν, οὐδὲ καταβαλόντες ἡμῖν τὸ μετοίκιον.

ΖΕΥΣ. Μηδὲν αἰνιγματωδῶς, ὦ Μῶμε, ἀλλὰ σαφῶς καὶ διαρρήδην λέγε προστιθεὶς καὶ τοὔνομα· νῦν γὰρ ἐς τὸ μέσον ἀπέρριπταί σοι ὁ λόγος, ὡς πολλοὺς εἰκάζειν καὶ ἐφαρμόζειν ἄλλοτε ἄλλον τοῖς λεγομένοις. Χρὴ δὲ παρρησιαστὴν ὄντα μηδὲν ὀκνεῖν λέγειν.

4. ΜΩΜ. Εὖ γε, ὦ Ζεῦ, ὅτι καὶ παροτρύνεις με πρὸς τὴν παρρησίαν· ποιεῖς γὰρ τοῦτο βασιλικὸν ὡς ἀληθῶς καὶ μεγαλόφρον, ὥστε ἐρῶ καὶ τοὔνομα. Ὁ γάρ τοι γενναιότατος οὗτος Διόνυσος ἡμιάνθρωπος ὢν, οὐδὲ Ἕλλην μητρόθεν, ἀλλὰ Συροφοινικός τινος ἐμπόρου τοῦ Κάδμου θυγατριδοῦς, ἐπείπερ ἠξιώθη τῆς ἀθανασίας, οἷος μὲν αὐτός ἐστιν οὐ λέγω, οὔτε τὴν μίτραν οὔτε τὴν μέθην οὔτε τὸ βάδισμα, πάντες γάρ, οἶμαι, ὁρᾶτε ὡς θῆλυς καὶ γυναικεῖος τὴν φύσιν, ἡμιμανής, ἀκράτου ἔωθεν ἀποπνέων· ὁ δὲ καὶ ὅλην φρατρίαν ἐσεποίησεν ἡμῖν καὶ τὸν χορὸν ἐπαγόμενος πάρεστι καὶ θεοὺς ἀπέφηνε τὸν Πᾶνα καὶ τὸν Σειληνὸν καὶ σατύρους, ἀγροίκους τινὰς καὶ αἰπόλους τοὺς πολλοὺς, σκιρτητικοὺς ἀνθρώπους καὶ τὰς μορφὰς ἀλλοκότους, ὧν ὁ μὲν κέρατα ἔχων καὶ ὅσον ἐξ ἡμισείας ἐς τὸ κάτω αἰγὶ ἐοικὼς καὶ γένειον βαθὺ καθειμένος ὀλίγον τράγου διαφέρων ἐστὶν, ὁ δὲ φαλακρὸς γέρων, σιμὸς τὴν ῥῖνα, ἐπὶ ὄνου τὰ πολλὰ ὀχούμενος, Λυδὸς οὗτος, οἱ δὲ σάτυροι ὀξεῖς τὰ ὦτα, καὶ αὐτοὶ φαλακροὶ, κεράσται, οἷα τοῖς ἄρτι γεννηθεῖσιν ἐρίφοις τὰ κέρατα ὑποφύεται, Φρύγες τινὲς ὄντες· ἔχουσι δὲ καὶ οὐρὰς ἅπαντες. Ὁρᾶτε οἵους ἡμῖν θεοὺς ποιεῖ ὁ γεννάδας;

5. Εἶτα θαυμάζομεν εἰ καταφρονοῦσιν ἡμῶν οἱ ἄνθρωποι ὁρῶντες οὕτω γελοίους θεοὺς καὶ τεραστίους; ἐῶ γὰρ λέγειν ὅτι καὶ δύο γυναῖκας ἀνήγαγε, τὴν μὲν ἐρωμένην οὖσαν αὐτοῦ τὴν Ἀριάδνην, ἧς καὶ τὸν στέφανον ἐγκατέλεξε τῷ τῶν ἄστρων χορῷ, τὴν δὲ Ἰκαρίου τοῦ γεωργοῦ θυγατέρα. Καὶ ὁ πάντων γελοιότατον, ὦ θεοὶ, καὶ τὸν κύνα τῆς Ἠριγόνης, καὶ τοῦτον ἀνήγαγεν, ὡς μὴ ἀνιῷτο ἡ παῖς, εἰ μὴ ἔξει ἐν τῷ οὐρανῷ τὸ ξύνηθες ἐκεῖνο καὶ ὅπερ ἠγάπα κυνίδιον. Ταῦτα οὐχ ὕβρις ὑμῖν δοκεῖ καὶ παροινία καὶ γέλως; Ἀκούσατε δ' οὖν καὶ ἄλλους.

6. ΖΕΥΣ. Μηδὲν, ὦ Μῶμε, εἴπῃς μήτε περὶ Ἀσκληπιοῦ μήτε περὶ Ἡρακλέους· ὁρῶ γὰρ οἵ φέρῃ τῷ λόγῳ. Οὗτοι γὰρ ὁ μὲν αὐτῶν ἰᾶται καὶ ἀνίστησιν ἐκ τῶν νόσων καὶ ἔστι « πολλῶν ἀντάξιος ἄλλων, » ὁ δὲ Ἡρακλῆς υἱὸς ὢν ἐμὸς οὐκ ὀλίγων πόνων ἐπρίατο τὴν ἀθανασίαν· ὥστε μὴ κατηγόρει αὐτῶν.

sator ab iis propterea dictus. Verumtamen, quandoquidem licet et præconio edictum est, et tu das, Jupiter, orandi cum auctoritate facultatem, sine metu dicam.

3. Multi nimirum, inquam, non contenti, nostri se consessus factos esse participes et æquo nobiscum jure epulari, idque quum ex altera parte mortales sint, suos insuper ministros et sui chori sodales eduxere in cœlum, et furtim in album retulerunt, qui nunc æqualiter et de viscerationibus partem et de sacrificiis accipiunt, ne tributum quidem incolatus nobis solventes.

JUP. Noli quicquam obscura significatione, Mome, dicere; sed diserte, et verbis propriis eloquere, adjecto etiam nomine. Nunc enim in medium tibi projecta oratio est, ut multos quis conjiciat, et alias alium tuis dictis accommodet. Oportet autem te, qui libertatem in dicendo profitearis, nihil dubitare dicere.

4. MOM. Præclare sane, Jupiter, quod ad dicendi me libertatem incitas etiam: regie istuc profecto facis et magno animo. Itaque nomen etiam dicam. Nempe præclarus ille Bacchus, semihomo, ne Græcus quidem materno genere, sed vectoris cujusdam Syrophœnicis, Cadmi, ex filia nepos, postquam immortalitate dignus habitus est, qualis ipse quidem sit, non dico, neque mitra, neque ebrietate, neque incessu: omnes enim, puto, videtis quam muliebris sit et effeminatus natura, semifuriosus, merum a summo inde mane redolens. At ille tota nos tribu auxit, et suo secum choro adducto adest, deosque fecit Pana, et Silenum, et Satyros, rusticos et caprarios plerosque, lascivos et aliena figura homines: quorum unus corniger, ex dimidia inferiori parte capræ similis, barbam demittens longam, parum a capro differt; alter calvus senex, simis naribus, asino plerumque invehens; Lydus hic est: Satyri autem acutis auribus, calvi ipsi quoque, cornibus præditi, qualia hædis recens natis subnascuntur; et sunt Phryges. Caudas vero habent universi. Videte quales nobis præclarus iste deos faciat?

5. Deinde admiramur si contemnunt nos homines, quum videant ridiculos adeo deos ac portentosos? mitto enim dicere quod duas etiam mulieres huc eduxit, amasiam alteram suam Ariadnen, cujus etiam coronam siderum choro inseruit, alteram Icarii rustici filiam: et quod omnium maxime, dii, ridiculum est, etiam canem hujus Erigones ipsum huc eduxit, ne desiderio macoreretur puella, si non habeat in cœlo familiarem sibi illam dilectamque caniculam. Hæc nonne contumelia vobis videtur, et ebriosa insania, et risus? Audite vero etiam alios.

6. JUP. Ne quid dixeris, Mome, neque de Æsculapio, neque de Hercule; video enim quorsum ferat te orationis impetus. Hi etenim, alter ipsorum sanat et ex morbis excitat, compluresque unus dignitate exæquat: hic vero meus filius Hercules laboribus non paucis immortalitatem sibi paravit. Hos igitur accusare noli.

ΜΩΜ. Σιωπήσομαι, ὦ Ζεῦ, διὰ σὲ πολλὰ εἰπεῖν ἔχων. Καίτοι εἰ μηδὲν ἄλλο, ἔτι τὰ σημεῖα ἔχουσι τοῦ πυρός. Εἰ δὲ ἐξῆν καὶ πρὸς αὐτὸν σὲ τῇ παρρησίᾳ χρῆσθαι, πολλὰ ἂν εἶχον εἰπεῖν.

ΖΕΥΣ. Καὶ μὴν πρὸς ἐμὲ ἔξεστι μάλιστα. Μῶν δ' οὖν κἀμὲ ξενίας διώκεις;

ΜΩΜ. Ἐν Κρήτῃ μὲν οὐ μόνον τοῦτο ἀκοῦσαι ἔστιν, ἀλλὰ καὶ ἄλλο τι περὶ σοῦ λέγουσι καὶ τάφον ἐπιδεικνύουσιν· ἐγὼ δὲ οὔτε ἐκείνοις πείθομαι οὔτε Ἀχαιῶν Αἰγιεῦσιν ὑποβολιμαῖόν σε εἶναι φάσκουσιν.

7. Ἃ δὲ μάλιστα ἐλεγχθῆναι δεῖν ἡγοῦμαι, ταῦτα ἐρῶ· τὴν γάρ τοι ἀρχὴν τῶν τοιούτων παρανομημάτων καὶ τὴν αἰτίαν τοῦ νοθευθῆναι ἡμῶν τὸ ξυνέδριον σὺ, ὦ Ζεῦ, παρέσχες θνηταῖς ἐπιμιγνύμενος καὶ κατιὼν παρ' αὐτὰς ἐν ἄλλοτε ἄλλῳ σχήματι, ὥστε ἡμᾶς δεδιέναι μή σε καταθύσῃ τις ξυλλαβών, ὁπόταν ταῦρος ᾖς, ἢ τῶν χρυσοχόων τις κατεργάσηται χρυσὸν ὄντα, καὶ ἀντὶ Διὸς ἢ ὅρμος ἢ ψέλιον ἢ ἐλλόβιον ἡμῖν γένῃ. Πλὴν ἀλλὰ ἐμπέπληκάς γε τὸν οὐρανὸν τῶν ἡμιθέων τούτων· οὐ γὰρ ἂν ἄλλως εἴποιμι. Καὶ τὸ πρᾶγμα γελοιότατόν ἐστιν, ὁπόταν τις ἄφνω ἀκούσῃ ὅτι ὁ Ἡρακλῆς μὲν θεὸς ἀπεδείχθη, ὁ δὲ Εὐρυσθεὺς, ὃς ἐπέταττεν αὐτῷ, τέθνηκε καὶ πλησίον Ἡρακλέους νεὼς οἰκέτου ὄντος καὶ Εὐρυσθέως τάφος τοῦ δεσπότου αὐτοῦ, καὶ πάλιν ἐν Θήβαις Διόνυσος μὲν θεὸς, οἱ δ' ἀνεψιοὶ αὐτοῦ ὁ Πενθεὺς καὶ ὁ Ἀκταίων καὶ ὁ Λέαρχος ἀνθρώπων ἁπάντων κακοδαιμονέστατοι.

8. Ἀφ' οὗ δὲ ἅπαξ σὺ, ὦ Ζεῦ, ἀνέῳξας τοῖς τοιούτοις τὰς θύρας καὶ ἐπὶ τὰς θνητὰς ἐτράπου, ἅπαντες μεμίμηνταί σε, καὶ οὐχ οἱ ἄρρενες μόνον, ἀλλ', ὅπερ αἴσχιστον, καὶ αἱ θεαί. Τίς γὰρ οὐκ οἶδε τὸν Ἀγχίσην καὶ τὸν Τιθωνὸν καὶ τὸν Ἐνδυμίωνα καὶ τὸν Ἰασίωνα καὶ τοὺς ἄλλους; ὥστε ταῦτα μὲν ἐάσειν μοι δοκῶ· μακρὸν γὰρ ἂν τὸ διελέγχειν γένοιτο.

ΖΕΥΣ. Μηδὲν περὶ τοῦ Γανυμήδους, ὦ Μῶμε, εἴπῃς· χαλεπανῶ γὰρ, εἰ λυπήσεις τὸ μειράκιον ὀνειδίσας ἐς τὸ γένος.

ΜΩΜ. Οὐκοῦν μηδὲ περὶ τοῦ ἀετοῦ εἴπω, ὅτι καὶ οὗτος ἐν τῷ οὐρανῷ ἐστιν, ἐπὶ τοῦ βασιλείου σκήπτρου καθεζόμενος καὶ μονονουχὶ ἐπὶ κεφαλὴν σοι νεοττεύων θεὸς εἶναι δοκῶν; ἢ καὶ τοῦτον τοῦ Γανυμήδους ἕνεκα ἐάσομεν;

9. Ἀλλ' ὁ Ἄττις γε, ὦ Ζεῦ, καὶ ὁ Κορύβας καὶ ὁ Σαβάζιος πόθεν ἡμῖν ἐπεισεκυκλήθησαν οὗτοι ἢ ὁ Μίθρης ἐκεῖνος ὁ Μῆδος ὁ τὸν κάνδυν καὶ τὴν τιάραν, οὐδὲ ἑλληνίζων τῇ φωνῇ, ὥστε οὐδ', ἢν προπίῃ τις, ξυνήσει; Τοιγαροῦν οἱ Σκύθαι καὶ οἱ Γέται ταῦτα ὁρῶντες αὐτῶν μακρὰ ἡμῖν χαίρειν εἰπόντες αὐτοὶ ἀπαθανατίζουσι καὶ θεοὺς χειροτονοῦσιν οὓς ἂν ἐθελήσωσι, τὸν αὐτὸν τρόπον ὅπερ καὶ Ζάμολξις δοῦλος ὢν παρενεγράφη οὐκ οἶδ' ὅπως διαλαθών.

10. Καίτοι πάντα ταῦτα, ὦ θεοὶ, μέτρια. Σὺ δὲ, ὦ κυνοπρόσωπε καὶ σινδόσιν ἐσταλμένε Αἰγύπτιε, τίς εἶ, ὦ βέλτιστε, ἢ πῶς ἀξιοῖς θεὸς εἶναι ὑλακτῶν; τί δὲ

MOM. Tua, Jupiter, causa tacebo, multa dicere quum habeam. Certe si nihil aliud, ignis adhuc habent vestigia. Si vero liceat adversus ipsum te libere loqui, multa sunt quæ habeo dicere.

JUP. Quin adversus me vel maxime licet. Num igitur me quoque peregrinitatis postulas?

MOM. In Creta quidem non hoc solum audire est, sed aliud etiam quiddam de te dicunt, et sepulcrum ostendunt, ego vero neque illis fidem habeo, neque Achivis Ægiensibus, suppositium qui te dicunt.

7. Ceterum quæ maxime arguenda arbitror, ea dicam. Etenim principium violatarum hoc modo legum, et causam, quod tot spurios hic noster consessus habet, tute, Jupiter, præbuisti, mortalibus te feminis miscens, atque ad illas nunc hac nunc alia forma descendens, adeo ut metueremus ne quis te comprehensum, taurus quum esses, mactaret, aut auri flatorum aliquis, quum esses aurum, elaboraret, et pro Jove aut monile nobis, aut armilla aut inauris fieres. Interim cœlum nobis semideis istis tu opplevisti : neque enim aliter possum dicere. Et ridicula res est, si quis subito audiat, Herculem deum esse factum; Eurystheum vero, qui sub imperio illum habuit, esse mortuum; et propinqua sibi esse ædem Herculis, qui servus fuerat, et Eurysthei sepulcrum, qui fuerat illius dominus. Et rursus Thebis Bacchus deus est; at consobrini illius Pentheus, et Actæon, et Learchus, hominum omnium infelicissimi:

8. Ex quo vero tempore semel tu, Jupiter, fores aperuisti talibus, conversus ad mortales feminas, imitati te sunt universi, idque non mares solum, sed, quod turpissimum est, etiam deæ feminæ. Quis enim ignorat Anchisen, et Tithonum, et Endymionem, et Iasionem, et reliquos? Itaque hæc missurus mihi videor; longum enim fuerit ista omnia reprehendere.

JUP. Ne quid de Ganymede dicas, Mome; irate enim feram, si dolore adolescentulum affeceris in genus illius illudens.

MOM. Ergo neque de aquila dicam, quod et ipsa in cœlo est, in regio sceptro sedens et tantum non tuo in capite nidum sibi faciens, et deus esse videtur? an hunc etiam Ganymedis gratia missum faciemus.

9. Verum Attis sane, Jupiter, et Corybas, et Sabazius unde hi nobis immissi sunt, aut Medus ille Mithres cum candye et tiara, qui nec loqui Græce sciat, neque si vel propinet illi aliquis, intelligat? Proinde Scythæ ac Getæ hæc illorum videntes, longum nobis valere jussis, immortalitate ipsi donant, et deos quoscumque voluerint suis suffragiis constituunt, eodem modo quo Zamolxis etiam, servus quum esset, in album nescio quomodo delitescens irrepsit.

10. Quanquam, dii, modica sunt ista omnia. Tu vero iste cum canino rostro, involute sindonibus Ægyptie, quis es, vir bone, aut quomodo, latrator, deus esse postulas?

βουλόμενος καὶ ὁ ποικίλος οὗτος ταῦρος ὁ Μεμφίτης προσκυνεῖται καὶ χρᾷ καὶ προφήτας ἔχει; αἰσχύνομαι δὲ ἴβιδας καὶ πιθήκους εἰπεῖν καὶ τράγους καὶ ἄλλα πολλῷ γελοιότερα οὐκ οἶδ' ὅπως ἐξ Αἰγύπτου παρεισθέντα ἐς τὸν οὐρανόν, ἃ ὑμεῖς, ὦ θεοί, πῶς ἀνέχεσθε ὁρῶντες ἐπ' ἴσης ἢ καὶ μᾶλλον ὑμῶν προσκυνούμενα; ἢ σὺ, ὦ Ζεῦ, πῶς φέρεις, ἐπειδὰν κριοῦ κέρατα φύσωσί σοι;

11. ΖΕΥΣ. Αἰσχρὰ ὡς ἀληθῶς ταῦτα φῂς τὰ περὶ τῶν Αἰγυπτίων· ὅμως δ' οὖν, ὦ Μῶμε, τὰ πολλὰ αὐτῶν αἰνίγματά ἐστι καὶ οὐ πάνυ χρὴ καταγελᾶν ἀμύητον ὄντα.

ΜΩΜ. Πάνυ γοῦν μυστηρίων, ὦ Ζεῦ, δεῖ ἡμῖν, ὡς εἰδέναι θεοὺς μὲν τοὺς θεοὺς, κυνοκεφάλους δὲ τοὺς κυνοκεφάλους.

ΖΕΥΣ. Ἔα, φημί, τὰ περὶ τῶν Αἰγυπτίων· ἄλλοτε γὰρ περὶ τούτων ἐπισκεψόμεθα ἐπὶ σχολῆς. Σὺ δὲ τοὺς ἄλλους λέγε.

12. ΜΩΜ. Τὸν Τροφώνιον, ὦ Ζεῦ, καὶ ὃ μάλιστά με ἀποπνίγει, τὸν Ἀμφίλοχον, ὃς ἐναγοῦς ἀνθρώπου καὶ μητραλοίου υἱὸς ὢν θεσπιῳδεῖ ὁ γενναῖος ἐν Κιλικίᾳ, ψευδόμενος τὰ πολλὰ καὶ γοητεύων τοῖν δυοῖν ὀβολοῖν ἕνεκα. Τοιγαροῦν οὐκέτι σὺ, ὦ Ἀπολλον, εὐδοκιμεῖς, ἀλλὰ ἤδη πᾶς λίθος καὶ πᾶς βωμὸς χρησμῳδεῖ, ὃς ἂν ἔλαίῳ περιχυθῇ καὶ στεφάνους ἔχῃ καὶ γόητος ἀνδρὸς εὐπορήσῃ, οἷοι πολλοί εἰσιν. Ἤδη καὶ ὁ Πολυδάμαντος τοῦ ἀθλητοῦ ἀνδριὰς ἰᾶται τοὺς πυρέττοντας ἐν Ὀλυμπίᾳ καὶ ὁ Θεαγένους ἐν Θάσῳ, καὶ Ἕκτορι θύουσιν ἐν Ἰλίῳ καὶ Πρωτεσιλάῳ καταντικρὺ ἐν Χερρονήσῳ. Ἀφ' οὗ δ' οὖν τοσοῦτοι γεγόναμεν, ἐπιδέδωκε μᾶλλον ἡ ἐπιορκία καὶ ἱεροσυλία, καὶ ὅλως καταπεφρονήκασιν ἡμῶν εὖ ποιοῦντες.

13. Καὶ ταῦτα μὲν περὶ τῶν νόθων καὶ παρεγγράπτων. Ἐγὼ δὲ καὶ ξένα ὀνόματα πολλὰ ἤδη ἀκούων οὔτε ὄντων τινῶν παρ' ἡμῖν οὔτε συστῆναι ὅλως δυναμένων, πάνυ, ὦ Ζεῦ, καὶ ἐπὶ τούτοις γελῶ. Ἡ ποῦ γάρ ἐστιν ἡ πολυθρύλητος ἀρετὴ καὶ φύσις καὶ εἱμαρμένη καὶ τύχη, ἀνυπόστατα καὶ κενὰ πραγμάτων ὀνόματα ὑπὸ βλακῶν ἀνθρώπων τῶν φιλοσόφων ἐπινοηθέντα; καὶ ὅμως αὐτοσχέδια ὄντα οὕτω τοὺς ἀνοήτους πέπεικεν, ὥστε οὐδεὶς ἡμῖν οὐδὲ θύειν βούλεται, εἰδὼς, οἶμαι, κἂν μυρίας ἑκατόμβας παραστήσῃ, ὅμως τὴν τύχην πράξουσαν τὰ μεμοιραμένα καὶ ἃ ἐξ ἀρχῆς ἑκάστῳ ἐπεκλώσθη. Ἡδέως ἂν οὖν ἐροίμην σε, ὦ Ζεῦ, εἴ που εἶδες ἢ ἀρετὴν ἢ φύσιν ἢ εἱμαρμένην; ὅτι μὲν γὰρ ἀεὶ καὶ σὺ ἀκούεις ἐν ταῖς τῶν φιλοσόφων διατριβαῖς, οἶδα, εἰ μὴ καὶ κωφός τις εἶ, ὡς βοώντων αὐτῶν μὴ ἐπαΐειν. Πολλὰ ἔτι ἔχων εἰπεῖν καταπαύσω τὸν λόγον· ὁρῶ γοῦν πολλοὺς ἀχθομένους μοι λέγοντι καὶ συρίττοντας, ἐκείνους μάλιστα, ὧν καθήψατο ἡ παρρησία τῶν λόγων.

14. Πέρας γοῦν εἰ ἐθέλεις, ὦ Ζεῦ, ψήφισμά τι περὶ τούτων ἀναγνώσομαι ἤδη ξυγγεγραμμένον.

ΖΕΥΣ. Ἀνάγνωθι· οὐ πάντα γὰρ ἀλόγως ἠτιάσω·

quid vero sibi vult Memphiticus iste taurus, ille maculosus, quod adoratur, et oracula fundit, et habet prophetas? Pudet vero ibides et simias dicere, et capros, et alia multo etiam magis ridicula, in cœlum nescio quomodo intrusa ex Ægypto, quæ quomodo, dii, sustinetis, quum æqualiter, vel magis etiam quam vos coli videatis? aut tu, Jupiter, quemadmodum fers, quum arietis tibi cornua producunt?

11. JUP. Turpia sane ista nobis narras de Ægyptiis: attamen pleraque illorum, Mome, sunt ænigmata, neque omnino deridenda ab non initiato.

MOM. Omnino ergo mysteriis nobis, Jupiter, opus est, ut sciamus deos esse qui dii sunt, qui autem canicipites sunt, illos esse canicipites.

JUP. Mitte, inquam, ista de Ægyptiis; alias enim de his considerabimus otiose. Tu vero dic reliquos.

12. MOM. Trophonium, Jupiter, et quod maxime angit me, Amphilochum, qui, sacerrimi hominis et matricidæ filius, oracula fundit beatus ille in Cilicia, mentiens plerumque et præstigiis duorum obolorum causa fallens. Itaque non amplius tu celebraris, Apollo, sed lapis omnis et altare quodque oracula edit, quæcumque oleo perfusa fuerint, et coronas habeant, et præstigiatorem hominem, quod genus multi sunt, nacta fuerint. Jam etiam Polydamantis athletæ statua febricitantes sanat Olympiæ, et Theagenis in Thaso; et Hectori sacrificant in Ilio, et Protesilao e regione in Chersoneso. Ex quo igitur tot numero facti sumus, magis perjuria invaluere et sacrilegia, et plane nos contemnunt: nec injuria.

13. Atque hæc de spuriis et fraude relatis in tabulas deorum. Ego vero etiam nova nomina jam multa audiens rerum quæ neque sunt inter nos, neque omnino possunt consistere, hæc etiam, Jupiter, vehementer rideo. Aut ubinam est illa omnium ore trita Virtus, et Natura, et Fatum, et Fortuna, pugnantia sibi et cassa rerum nomina, a stupidis hominibus philosophis excogitata? Et tamen, licet temere ficta, sic imprudentes ceperunt, ut nemo nobis sacrificare jam velit, opinor, quum norit, si vel decies mille hecatombas offerat, perfecturam tamen esse Fortunam quæ in fatis sunt et quæ ab initio inde unicuique Parcarum filis sunt destinata. Lubens ergo ex te quæram, Jupiter, viderisne unquam Virtutem, aut Naturam, aut Fatum? nam te quoque semper audire ista nomina in philosophorum disputationibus, novi, nisi adeo surdus es, ut neque clamantes illos exaudias. Quum habeam multa adhuc quæ dicam, desinam orationem: video enim gravari plerosque dictis meis, et exsibilare illa, eos præsertim, quos tetigit mea in dicendo libertas.

14. Finem ergo horum si vis, Jupiter, decretum aliquod de his, recitabo, quod scriptum jam habeo.

JUP. Recita; non omnia enim absurde reprehendisti.

καὶ δεῖ τὰ πολλὰ αὐτῶν ἐπισχεῖν, ὡς μὴ ἐπὶ πλεῖον ἂν γίγνηται.

ΨΗΦΙΣΜΑ.

Ἀγαθῇ τύχῃ. Ἐκκλησίας ἐννόμου ἀγομένης ἑβδόμῃ ἱσταμένου ὁ Ζεὺς ἐπρυτάνευε καὶ προήδρευε Ποσειδῶν, ἐπεστάτει Ἀπόλλων, ἐγραμμάτευε Μῶμος Νυκτὸς καὶ ὁ Ὕπνος τὴν γνώμην εἶπεν. Ἐπειδὴ πολλοὶ τῶν ξένων, οὐ μόνον Ἕλληνες, ἀλλὰ καὶ βάρβαροι, οὐδαμῶς ἄξιοι ὄντες κοινωνεῖν ἡμῖν τῆς πολιτείας, παρεγγραφέντες οὐκ οἶδα ὅπως καὶ θεοὶ δόξαντες ἐμπεπλήκασι μὲν τὸν οὐρανὸν, ὡς μεστὸν εἶναι τὸ συμπόσιον ὄχλου ταραχώδους, πολυγλώττων τινῶν καὶ ξυγκλύδων ἀνθρώπων, ἐπιλέλοιπε δὲ ἡ ἀμβροσία καὶ τὸ νέκταρ, ὥστε μνᾶς ἤδη τὴν κοτύλην εἶναι διὰ τὸ πλῆθος τῶν πινόντων, οἱ δὲ ὑπὸ αὐθαδείας παρωσάμενοι τοὺς παλαιούς τε καὶ ἀληθεῖς θεοὺς προεδρίας ἠξιώκασιν αὐτοὺς παρὰ πάντα τὰ πάτρια καὶ ἐν τῇ γῇ προτιμᾶσθαι θέλουσι·

15. δεδόχθω τῇ βουλῇ καὶ τῷ δήμῳ ξυλλεγῆναι μὲν ἐκκλησίαν ἐν τῷ Ὀλύμπῳ περὶ τροπὰς χειμερινὰς, ἑλέσθαι δὲ ἐπιγνώμονας τελείους θεοὺς ἑπτὰ, τρεῖς μὲν ἐκ τῆς παλαιᾶς βουλῆς τῆς ἐπὶ Κρόνου, τέτταρας δὲ ἐκ τῶν δώδεκα, καὶ ἐν αὐτοῖς τὸν Δία· τούτους δὲ τοὺς ἐπιγνώμονας αὐτοὺς μὲν καθέζεσθαι ὀμόσαντας τὸν νόμιμον ὅρκον τὴν Στύγα, τὸν Ἑρμῆν δὲ κηρύξαντα ξυναγαγεῖν ἅπαντας, ὅσοι ἀξιοῦσι συντελεῖν ἐς τὸ συνέδριον, τοὺς δὲ ἥκειν μάρτυρας ἐπαγομένους ἐνωμότους καὶ ἀποδείξεις τοῦ γένους. Τοὐντεῦθεν δὲ οἱ μὲν παρίτωσαν καθ' ἕνα, οἱ δὲ ἐπιγνώμονες ἐξετάζοντες ἢ θεοὺς εἶναι ἀποφανοῦνται ἢ καταπέμψουσιν ἐπὶ τὰ σφέτερα ἡρία καὶ τὰς θήκας τὰς προγονικάς. Ἤν δέ τις ἁλῷ τῶν ἀδοκίμων καὶ ἅπαξ ὑπὸ τῶν ἐπιγνωμόνων ἐκκριθέντων ἐπιβαίνων τοῦ οὐρανοῦ, ἐς τὸν Τάρταρον ἐμπεσεῖν τοῦτον.

16. Ἐργάζεσθαι δὲ τὰ αὑτοῦ ἕκαστον, καὶ μήτε τὴν Ἀθηνᾶν ἰᾶσθαι μήτε τὸν Ἀσκληπιὸν χρησμῳδεῖν μήτε τὸν Ἀπόλλω τοσαῦτα μόνον ποιεῖν, ἀλλ' ἕν τι ἐπιλεξάμενον ἢ μάντιν ἢ κιθαρῳδὸν ἢ ἰατρὸν εἶναι.

17. Τοῖς δὲ φιλοσόφοις προειπεῖν μὴ ἀναπλάττειν κενὰ ὀνόματα μηδὲ ληρεῖν περὶ ὧν οὐκ ἴσασιν.

18. Ὁπόσοι δὲ ἤδη ναῶν ἢ θυσιῶν ἠξιώθησαν, ἐκείνων μὲν καθαιρεθῆναι τὰ ἀγάλματα, ἐντεθῆναι δὲ ἢ Διὸς ἢ Ἥρας ἢ Ἀπόλλωνος ἢ τῶν ἄλλων τινὸς, ἐκείνοις δὲ τάφον χῶσαι τὴν πόλιν καὶ στήλην ἐπιστῆσαι ἀντὶ βωμοῦ. Ἤν δέ τις παρακούσῃ τοῦ κηρύγματος καὶ μὴ ἐθελήσῃ ἐπὶ τοὺς ἐπιγνώμονας ἐλθεῖν, ἐρήμην αὐτοῦ καταδιαιτησάτωσαν. Τοῦτο μὲν ἡμῖν τὸ ψήφισμα.

19. ΖΕΥΣ. Δικαιότατον, ὦ Μῶμε, καὶ ὅτῳ δοκεῖ, ἀνατεινάτω τὴν χεῖρα· μᾶλλον δὲ οὕτω γιγνέσθω. Πλείους γὰρ οἶδ' ὅτι ἔσονται οἱ μὴ χειροτονήσοντες. Ἀλλὰ νῦν μὲν ἄπιτε· ὁπόταν δὲ κηρύξῃ ὁ Ἑρμῆς, ἥκετε κομίζοντες ἕκαστος ἐναργῆ τὰ γνωρίσματα καὶ σαφεῖς τὰς ἀποδείξεις, πατρὸς ὄνομα καὶ μητρὸς, καὶ

Atque oportet multa illorum inhiberi, ne nimium quantum excrescant.

DECRETUM.

Quod felix faustumque sit! Comitiis legitime habitis, septimo die ineuntis mensis, faciebat Jupiter, præsidebat Neptunus, in suffragia mittebat Apollo, scribæ munere fungebatur Momus Noctis filius, sententiam Somnus dixit. Quandoquidem peregrinorum multi, non Græci modo, sed etiam barbari, nequaquam digni qui civitate nostra nobiscum fruantur, in censuales tabulas nescio quomodo clam relati, et deorum opinionem adepti, cœlum impleverunt, adeo ut plenum turbulenta multitudine sit convivium, diversarum linguarum et colluviei cujusdam hominum, deficiatque ambrosia et nectar, ita ut mina jam illius hemina constet propter bibentium multitudinem; ipsique contumaci quadam superbia depulsis veteribus et veris diis, priorem sibi accubitum præter patrium morem arrogent, et in terra quoque honore præferri illis velint:

15. earum rerum causa placeat senatui et populo, haberi comitia in Olympo circa brumam, et eligi quæsitores de classicorum deorum numero septem, tres de majorum gentium senatu sub Saturno, quattuor vero de duodecim, et in his Jovem: quæsitores autem illos sedere, juratos prius legitimum jusjurandum, Stygem; Mercurium vero cogere præconio omnes, qui concilio deorum interesse postulant: hos porro venire adductis juratis testibus, et generis sui argumentis. Deinceps hi singulatim prodeant in medium; quæsitores vero re explorata, vel deos esse pronunciabunt, vel ad sua sepulcra et monumenta majorum illos demittent. Si quis vero reprobatorum et semel ejectorum a quæsitoribus deprehendatur cœlum ingressus, hic præcipitetur in Tartarum.

16. Porro placeat suum quemque deorum opus facere, et neque morbos curare Minervam, neque Æsculapium oracula edere, neque tot res unum agere Apollinem, sed electo uno, aut vatem, aut citharœdum esse, aut medicum.

17. Philosophis porro edicendum, ne nova fingere nomina velint, neque nugas agere de his quæ ignorant.

18. Quotquot autem reprobatorum jam templis aut altaribus sunt culti, illorum sublatis simulacris, imponi placeat aut Jovis signum, aut Junonis, aut Apollinis, aut ceterorum alicujus; istis vero tumulum strui a civitate, et cippum poni pro altari. Si quis vero præconio non obediat, et ad quæsitores adire recuset, eum deserta lite damnanto. Hoc nobis decretum est.

19. JUP. Æquissimum, o Mome, et cui ita videtur, manum protendat: vel potius, sic fiat! Plures enim, novi, erunt qui manum non protendant. Sed nunc discedite: quando autem præconium faciet Mercurius, venite, manifesta quisque argumenta afferentes et claras probationes, patris nomen, et matris, et unde sit, et quomodo deus sit

ὅθεν καὶ ὅπως θεὸς ἐγένετο, καὶ φυλὴν καὶ φράτορας. Ὡς ὅστις ἂν μὴ ταῦτα παράσχηται, οὐδὲν μελήσει τοῖς ἐπιγνώμοσιν, εἰ νεών τις μέγαν ἐν τῇ γῇ ἔχει καὶ εἰ οἱ ἄνθρωποι θεὸν αὐτὸν εἶναι νομίζουσιν.

LXXV.

ΚΥΝΙΚΟΣ.

1. ΛΥΚΙΝΟΣ. Τί ποτε σὺ, οὗτος, πώγωνα μὲν ἔχεις καὶ κόμην, χιτῶνα δὲ οὐκ ἔχεις καὶ γυμνοδερχῆ καὶ ἀνυποδήτεῖς τὸν ἀλήτην καὶ ἀπάνθρωπον βίον καὶ θηριώδη ἐπιλεξάμενος καὶ ἀεὶ τοῖς ἐναντίοις τὸ ἴδιον δέμας οὐχ ὡς οἱ πολλοὶ διαχρησάμενος περινοστεῖς ἄλλοτε ἀλλαχοῦ καὶ εὐνάζῃ μόνος ἐπὶ ξηροῦ δαπέδου, ὡς ἄσην πάμπολλον τουτὶ τὸ τριβώνιον φέρειν, οὐ μέντοι καὶ τοῦτο λεπτὸν οὐδὲ μαλακὸν οὐδὲ ἀνθηρόν;

ΚΥΝΙΚΟΣ. Οὐδὲ γὰρ δέομαι· τοιοῦτον δὲ ὁποῖον ἂν πορισθείη ῥᾷστα καὶ τῷ κτησαμένῳ πράγματα ὡς ἐλάχιστα παρέχον· τοιοῦτον γὰρ ἀρκεῖ μοι.

2. Σὺ δὲ πρὸς θεῶν εἰπέ μοι, τῇ πολυτελείᾳ οὐ νομίζεις κακίαν προσεῖναι;

ΛΥΚ. Καὶ μάλα.

ΚΥΝ. Τῇ δ' εὐτελείᾳ ἀρετήν;

ΛΥΚ. Καὶ μάλα.

ΚΥΝ. Τί ποτ' οὖν ὁρῶν ἐμὲ τῶν πολλῶν εὐτελέστερον διαιτώμενον, τοὺς δὲ πολυτελέστερον, ἐμὲ αἰτιᾷ καὶ οὐκ ἐκείνους;

ΛΥΚ. Ὅτι οὐκ εὐτελέστερόν μοι, μὰ Δία, τῶν πολλῶν διαιτᾶσθαι δοκεῖς, ἀλλ' ἐνδεέστερον, μᾶλλον δὲ τελέως ἐνδεῶς καὶ ἀπόρως· διαφέρεις γὰρ οὐδὲν σὺ τῶν πτωχῶν, οἳ τὴν ἐρήμερον τροφὴν μεταιτοῦσιν.

3. ΚΥΝ. Βούλει οὖν ἴδωμεν, ἐπεὶ προελήλυθεν ἐνταῦθα ὁ λόγος, τί τὸ ἐνδεὲς καὶ τί τὸ ἱκανόν ἐστιν;

ΛΥΚ. Εἴ σοι δοκεῖ.

ΚΥΝ. Ἆρ' οὖν ἱκανὸν μὲν ἑκάστῳ ὅπερ ἂν ἐξικνῆται πρὸς τὴν ἐκείνου χρείαν, ἢ ἄλλο τι λέγεις;

ΛΥΚ. Ἔστω τοῦτο.

ΚΥΝ. Ἐνδεὲς δὲ ὅπερ ἂν ἐνδεέστερον ᾖ τῆς χρείας καὶ μὴ ἐξικνῆται πρὸς τὸ δέον;

ΛΥΚ. Ναί.

ΚΥΝ. Οὐδὲν ἄρα τῶν ἐμῶν ἐνδεές ἐστιν· οὐδὲν γὰρ αὐτῶν ὅ τι οὐ τὴν χρείαν ἐκτελεῖ τὴν ἐμήν.

4. ΛΥΚ. Πῶς τοῦτο λέγεις;

ΚΥΝ. Ἐὰν σκοπῇς πρὸς ὅ τι γέγονεν ἕκαστον ὧν δεόμεθα, οἷον οἰκία ἆρ' οὐχὶ σκέπης;

ΛΥΚ. Ναί.

ΚΥΝ. Τί δὲ ἐσθὴς τοῦ χάριν; ἆρα οὐχὶ καὶ αὐτὴ τῆς σκέπης;

ΛΥΚ. Ναί.

ΚΥΝ. Τῆς δὲ σκέπης αὐτῆς πρὸς θεῶν τίνος ἐδεήθημεν ἕνεκα; οὐχ ὥστε ἄμεινον ἔχειν τὸν σκεπόμενον;

ΛΥΚ. Δοκεῖ μοι.

factus, et tribum, et curiales. Quisquis enim hæc non exhibebit, non curabunt quæsitores si magnum quis in terra templum habeat et homines deum illum esse arbitrentur.

LXXV.

CYNICUS.

1. LYCINUS. Heus tu, quid tandem barbam alis et comam, tunicam vero non habes, et nudus ** et sine soleis incedis, vagam et immanem vitam atque belluinam secutus, et contrariis semper rebus tuum corpus, non ut plerique, conficiens, huc illuc oberras et in dura humo cubas solus, ut multum inde sordium habeat istud palliolum, nec ipsum tenue, neque molle, neque floridum?

CYNICUS. Neque enim opus habeo: tale autem gesto, quod et facillime paretur, et possessori quam minimum facessat molestiæ, tale enim mihi satis est.

2. Tu vero, per deos, mihi dic, sumtuosæ vitæ nonne vitium inesse arbitraris?

LYC. Omnino.

CYN. Parsimoniæ autem virtutem?

LYC. Ita sane est.

CYN. Quare ergo quum vides me viliori quam plerosque victu et cultu utentem, illos vero sumtuoso magis; me accusas, non illos?

LYC. Quod non viliori, per Jovem, cultu victuque quam plerique videris uti, sed indigentiori, aut potius in summa vivere indigentia atque inopia. Neque enim quicquid differs a mendicis cibum in diem rogantibus.

3. CYN. Visne ergo dispiciamus, quando huc sermo nobis progressus est, quid sit quod deficiat, quid sit satis?

LYC. Si ita tibi videtur.

CYN. Numquid igitur satis unicuique id esse dicis, quod sufficiat usui illius; an aliud quid dicis?

LYC. Sit istud.

CYN. Deficere autem illud, quod in usu deficiat, neque sufficiat necessitati?

LYC. Nempe.

CYN. Nihil ergo meorum deficit: nihil enim est mearum rerum quod non usum meum expleat.

4. LYC. Quomodo hoc intelligis?

CYN. Si consideres ad quid factum sit unumquodque illorum quibus opus habemus, verbi causa, domus, nonne ut tecti simus?

LYC. Sane.

CYN. Quid vero vestis? cujus rei gratia? nonne etiam hæc ut tecti simus?

LYC. Nempe.

CYN. Ipsum vero illud, ut tecti essemus, per deos, cujus rei causa opus fuit? nonne ut melius habeat is qui tegitur?

LYC. Mihi ita videtur.

ΚΥΝ. Πότερ' οὖν τὼ πόδε κάκιον ἔχειν δοκῶ σοι;

ΛΥΚ. Οὐκ οἶδα.

ΚΥΝ. Ἀλλ' οὕτως ἂν μάθοις· τί ποδῶν ἐστ' ἔργον;

ΛΥΚ. Πορεύεσθαι.

ΚΥΝ. Κάκιον οὖν πορεύεσθαί σοι δοκοῦσιν οἱ ἐμοὶ πόδες ἢ οἱ τῶν πολλῶν;

ΛΥΚ. Τοῦτο μὲν οὐκ ἴσως.

ΚΥΝ. Οὐ τοίνυν οὐδὲ χεῖρον ἔχουσιν, εἰ μὴ χεῖρον τὸ ἑαυτῶν ἔργον ἀποδιδόασιν.

ΛΥΚ. Ἴσως.

ΚΥΝ. Τοὺς μὲν δὴ πόδας οὐδὲν φαίνομαι χεῖρον διακείμενος τῶν πολλῶν ἔχειν.

ΛΥΚ. Οὐκ ἔοικας.

ΚΥΝ. Τί δέ; τοὐμὸν σῶμα τὸ λοιπὸν ἆρα κάκιον; εἰ γὰρ κάκιον, καὶ ἀσθενέστερον, ἀρετὴ γὰρ σώματος ἰσχύς. Ἆρ' οὖν τὸ ἐμὸν ἀσθενέστερον;

ΛΥΚ. Οὐ φαίνεται.

ΚΥΝ. Οὐ τοίνυν οὔθ' οἱ πόδες φαίνονταί μοι σκέπης ἐνδεῶς ἔχειν οὔτε τὸ λοιπὸν σῶμα· εἰ γὰρ ἐνδεῶς εἶχον, κακῶς ἂν εἶχον. Ἡ γὰρ ἔνδεια πανταχοῦ κακὸν καὶ χεῖρον ἔχειν ποιεῖ ταῦτα οἷς ἂν προσῇ. Ἀλλὰ μὴν οὐδὲ τρέφεσθαί γε φαίνεται χεῖρον τὸ σῶμα τοὐμόν, ὅτι ἀπὸ τῶν τυχόντων τρέφεται.

ΛΥΚ. Δῆλον γάρ.

ΚΥΝ. Οὐδὲ εὔρωστον, εἰ κακῶς ἐτρέφετο· λυμαίνονται γὰρ αἱ πονηραὶ τροφαὶ τὰ σώματα.

ΛΥΚ. Ἔστι ταῦτα.

5. ΚΥΝ. Πῶς οὖν, εἰπέ μοι, τούτων οὕτως ἐχόντων αἰτιᾷ μου καὶ φαυλίζεις τὸν βίον καὶ φῂς ἄθλιον;

ΛΥΚ. Ὅτι, νὴ Δία, τῆς φύσεως, ἣν σὺ τιμᾷς, καὶ τῶν θεῶν γῆν ἐν μέσῳ κατατεθεικότων, ἐκ δὲ αὐτῆς ἀναδεδωκότων πολλὰ κἀγαθά, ὥστ' ἔχειν ἡμᾶς πάντα ἄφθονα μὴ πρὸς τὴν χρείαν μόνον, ἀλλὰ καὶ πρὸς ἡδονήν, σὺ πάντων τούτων ἢ τῶν γε πλείστων ἄμοιρος εἶ καὶ οὐδενὸς μετέχεις αὐτῶν οὐδὲν μᾶλλον ἢ τὰ θηρία· πίνεις μὲν γὰρ ὕδωρ ὅπερ καὶ τὰ θηρία, σιτῇ δὲ ὅπερ ἂν εὑρίσκῃς, ὥσπερ οἱ κύνες, εὐνὴν δὲ οὐδὲν κρείττω τῶν κυνῶν ἔχεις· χόρτος γὰρ ἀρκεῖ σοι καθάπερ ἐκείνοις. Ἔτι δὲ ἱμάτιον φορεῖς οὐδὲν ἐπισχέστερον ἀχλήρου. Καίτοι εἰ σὺ τούτοις ἀρκούμενος ὀρθῶς φρονήσεις, ὁ θεὸς οὐκ ὀρθῶς ἐποίησε τοῦτο μὲν πρόβατα ποιήσας ἔμμαλλα, τοῦτο δ' ἀμπέλους ἡδυοίνους, τοῦτο δὲ τὴν ἄλλην παρασκευὴν θαυμαστῶς ποικίλην καὶ ἔλαιον καὶ μέλι καὶ τὰ ἄλλα, ὡς ἔχειν μὲν ἡμᾶς σιτία παντοδαπά, ἔχειν δὲ ποτὸν ἡδύ, ἔχειν δὲ χρήματα, ἔχειν δὲ εὐνὴν μαλακήν, ἔχειν δὲ οἰκίας καλὰς καὶ τὰ ἄλλα πάντα θαυμαστῶς κατεσκευασμένα· καὶ γὰρ αὖ τὰ τῶν τεχνῶν ἔργα δῶρα τῶν θεῶν ἐστί. Τὸ δὲ πάντων τούτων ζῆν ἀπεστερημένον ἄθλιον μέν, εἰ καὶ ὑπό ἄλλου τινὸς ἀπεστέρητο καθάπερ οἱ ἐν τοῖς δεσμωτηρίοις· πολὺ δὲ ἀθλιώτερον, εἴ τις αὐτὸς ἑαυτὸν ἀποστεροίη πάντων τῶν καλῶν, μανία τε ἤδη τοῦτό γε σαφής.

6. ΚΥΝ. Ἀλλ' ἴσως ὀρθῶς λέγεις. Ἐκεῖνο δέ μοι εἰπέ, εἴ τις ἀνδρὸς πλουσίου προθύμως καὶ φιλαν-

CYN. Utrum igitur hi mei pedes pejus habere tibi videntur calceatis?

LYC. Non novi.

CYN. Sed ita discas. Quod opus est pedum?

LYC. Incedere.

CYN. Pejus ergo tibi incedere mei pedes videntur, quam ceterorum?

LYC. Hoc fortasse non ita est.

CYN. Neque ergo pejus habent, si non deterius opus suum peragunt.

LYC. Fortasse.

CYN. Ergo pedes quidem quod attinet, non videor deteriore quam plerique conditione esse.

LYC. Non videris.

CYN. Quid vero? meum corpus reliquum an aliis deterius est? si enim deterius, etiam infirmius: virtus enim corporis robur est. Numquid ergo meum infirmius?

LYC. Non apparet.

CYN. Ergo neque pedes meos, neque reliquum corpus defici tegumento apparet: si enim deficerentur, male haberent. Defectus enim et indigentia semper malum, et facit ut deteriore conditione sint ea quibus adest. Sed neque deterius ali corpus meum apparet, quia vulgaribus cibis alitur.

LYC. Nempe manifestum est.

CYN. Neque validum esset, si male aleretur: vitiantur enim malis alimoniis corpora.

LYC. Sunt ista.

5. CYN. Quomodo igitur, dic mihi, hæc quum ita se habeant, reprehendis me, et vitæ meæ rationem nimis contemnis, et miseram esse confirmas?

LYC. Ideo hercle, quod, quum natura, quam tu magni facis, et dii tellurem hanc in medio posuerint, et ex illa bona exsistere jusserint multa, quo nos omnium rerum habeamus beatam copiam, non ad necessitatem modo, sed etiam ad voluptatem; tu horum omnium aut plerorumque certe expers es, neque ullo illorum frueris, non magis quam bestiæ: aquam enim bibis, quam etiam bestiæ; edis quicquid inveneris, uti canes; neque cubile canibus habes melius, fœnum quum tibi sicut illis sufficiat. Porro pallium gestas nihilo tolerabilius quam plane inops. Atqui si tu his rebus contentus recte sapis, non recte deus fecit, qui hinc oves illis velleribus instruxerit, hinc suavi vino vites; reliquumque apparatum admirabiliter varium produxerit, et oleum, et mel, et reliqua; quo cibum nos habeamus omnigenum, et potum suavem habeamus, habeamusque pecunias, et cubile habeamus molle, et habeamus domus pulchras, et instructa admirabiliter reliqua omnia. Etenim opera artium quoque deorum munera sunt. Hisce autem omnibus privatum vivere miserum est, etiam ab alio si quis privetur, ut ii qui tenentur in vinculis; multo autem miserius, si quis ipse bonis se omnibus abjudicet; hic professus jam furor est.

6. CYN. At tu fortasse recte dicis istoc. Verum illud mihi dic, si quis, viro divite prolixe et humaniter et beni-

θρώπως ἔτι τε φιλοφρόνως ἑστιῶντος καὶ ξενίζοντος πολλοὺς ἅμα καὶ παντοδαπούς, τοὺς μὲν ἀσθενεῖς, τοὺς δὲ ἐρρωμένους, κἄπειτα παραθέντος πολλὰ, καὶ παντοδαπὰ, πάντα ἁρπάζοι καὶ πάντα ἐσθίοι, μὴ τὰ πλησίον μόνον, ἀλλὰ καὶ τὰ πόρρω τὰ τοῖς ἀσθενοῦσι παρεσκευασμένα ὑγιαίνων αὐτὸς, καὶ ταῦτα μίαν μὲν κοιλίαν ἔχων, ὀλίγων δὲ ὥστε τραφῆναι δεόμενος, ὑπὸ τῶν πολλῶν ἐπιτριβήσεσθαι μέλλων, οὗτος ὁ ἀνὴρ ποιός τις δοκεῖ σοι εἶναι; ἆρά γε φρόνιμος;

ΛΥΚ. Οὐκ ἔμοιγε.

ΚΥΝ. Τί δέ; σώφρων;

ΛΥΚ. Οὐδὲ τοῦτο.

7. ΚΥΝ. Τί δὲ, εἴ τις μετέχων τῆς αὐτῆς ταύτης τραπέζης τῶν μὲν πολλῶν καὶ ποικίλων ἀμελεῖ, ἓν δὲ τῶν ἐγγιστα κειμένων ἐπιλεξάμενος, ἱκανῶς ἔχον πρὸς τὴν ἑαυτοῦ χρείαν, τοῦτο ἐσθίοι κοσμίως καὶ τούτῳ μόνῳ χρῷτο, τοῖς δὲ ἄλλοις οὐδὲ προσβλέποι, τοῦτον οὐχ ἡγῇ σωφρονέστερον καὶ ἀμείνω ἄνδρα ἐκείνου;

ΛΥΚ. Ἔγωγε.

ΚΥΝ. Πότερον οὖν συνίης, ἢ ἐμὲ δεῖ λέγειν;

ΛΥΚ. Τὸ ποῖον;

ΚΥΝ. Ὅτι ὁ μὲν θεὸς τῷ ξενίζοντι καλῶς ἐκείνῳ ἔοικε παρατιθεὶς πολλὰ καὶ ποικίλα καὶ παντοδαπὰ, ὅπως ἔχωσιν ἁρμόζοντα, τὰ μὲν ὑγιαίνουσι, τὰ δὲ νοσοῦσι, καὶ τὰ μὲν ἰσχυροῖς, τὰ δὲ ἀσθενοῦσιν, οὐχ ἵνα χρώμεθα ἅπασι πάντες, ἀλλ' ἵνα τοῖς καθ' ἑαυτὸν ἕκαστος καὶ τῶν καθ' ἑαυτὸν ὅτουπερ ἂν τύχῃ μάλιστα δεόμενος.

8. Ὑμεῖς δὲ τῷ δι' ἀπληστίαν τε καὶ ἀκρασίαν ἁρπάζοντι πάντα τούτῳ μάλιστα ἐοίκατε πᾶσι χρῆσθαι ἀξιοῦντες καὶ τοῖς ἅπανταχοῦ, μὴ τοῖς παρ' ὑμῖν μόνον, οὐ γῆν οὐ θάλατταν τὴν καθ' αὑτοὺς αὐτάρκη νομίζοντες, ἀλλ' ἀπὸ περάτων γῆς ἐμπορευόμενοι τὰς ἡδονὰς καὶ τὰ ξενικὰ τῶν ἐπιχωρίων ἀεὶ προτιμῶντες καὶ τὰ πολυτελῆ τῶν εὐτελῶν καὶ τὰ δυσπόριστα τῶν εὐπορίστων, καθόλου δὲ πράγματα καὶ κακὰ ἔχειν μᾶλλον ἐθέλοντες ἢ ἄνευ πραγμάτων ζῆν· τὰ γὰρ δὴ πολλὰ καὶ τίμια καὶ εὐδαιμονικὰ παρασκευάσματα, ἐφ' οἷς ἀγάλλεσθε, διὰ πολλῆς ὑμῖν ταῦτα κακοδαιμονίας καὶ ταλαιπωρίας παραγίγνεται. Σκόπει γὰρ, εἰ βούλει, τὸν πολύευκτον χρυσὸν, σκόπει τὸν ἄργυρον, σκόπει τὰς οἰκίας τὰς πολυτελεῖς, σκόπει τὰς ἐσθῆτας τὰς ἐσπουδασμένας, σκόπει τὰ τούτοις ἀκόλουθα πάντα, πόσων πραγμάτων ἐστὶν ὤνια, πόσων πόνων, πόσων κινδύνων, μᾶλλον δὲ αἵματος καὶ θανάτου καὶ διαφθορᾶς ἀνθρώπων πόσης, οὐ μόνον ὅτι φλέοντες ἀπόλλυνται διὰ ταῦτα πολλοὶ καὶ ζητοῦντες καὶ δημιουργοῦντες δεινὰ πάσχουσιν, ἀλλ' ὅτι καὶ πολυμάχητά ἐστι καὶ ἐπιβουλεύετε ἀλλήλοις διὰ ταῦτα καὶ φίλοις φίλοι καὶ πατράσι παῖδες καὶ γυναῖκες ἀνδράσιν. [Οὕτως οἶμαι καὶ τὴν Ἐριφύλην διὰ τὸν χρυσὸν προδοῦναι τὸν ἄνδρα.]

9. Καὶ ταῦτα μέντοι πάντα γίγνεται, τῶν τε ποικίλων ἱματίων οὐδέν τι μᾶλλον θάλπειν δυναμένων, τῶν δὲ χρυσορόφων οἰκιῶν οὐδέν τι μᾶλλον σκεπουσῶν,

gne adeo accipiente epulis et hospitio multos simul et omni ex genere homines, infirmos partim, partim robustos, ac multa deinde omnigenaque apponente; omnia ipse rapiat, voret omnia, non quæ prope sint solum, sed etiam remota, parata infirmis ipse robustus, idque unam ipse alvum qui habeat, paucisque quibus alatur indigeat, atque adeo a multis illis pereundi periculum incurrens: ille vir qualis tibi videatur? numquid prudens?

LYC. Non ille mihi.

CYN. Quid vero? numquid sanus?

LYC. Neque hoc.

7. CYN. Quid vero, si quis eidem huic mensæ adhibitus, multa illa atque varia negligat, unum vero eorum, quæ proxime apposita sunt, sibi delectum, idque suæ necessitati sufficiens, hoc decenter edat, et eo utatur solo, reliqua ne aspiciat quidem; hunc nonne judicas saniorem et meliorem isto virum?

LYC. Equidem.

CYN. Utrum ergo intelligis, an me oportet dicere?

LYC. Quidnam?

CYN. Deus illi præclaro hospitio excipienti similis est, apponens multa et varia et omnigena, ut quod cuique convenit habeant, quædam valentibus, alia ægrotantibus, et quædam robustis, imbecillis alia, non ut omnes utamur omnibus, sed ut iis quisque, quæ sibi proxima sunt, et inter hæc, quo ipse tum maxime indigeat.

8. Vos vero illi per inexplebilem intemperantiam rapienti omnia maxime similes estis, uti postulantes omnibus, et quæ usquam sunt, non iis modo quæ prope vos sunt; non terram, non mare vestrum sufficere vobis arbitrati, sed ab extremis inde terrarum oris mercati voluptates, et peregrina semper præferentes domesticis, et pretiosa vilibus, et quæ difficillime parantur iis quorum facilis copia est; qui in universum molestias et mala habere, quam sine iis ætatem agere malitis. Multi enim illi et pretiosi et ad beatitatem spectantes apparatus, quibus gaudetis, per multam demum vobis miseriam ærumnamque contingunt. Considera enim, si placet, optatissimum illud aurum, argentum, domus sumtuosas considera, vestes considera summa industria factas, considera quæ istæc consequuntur omnia, quot sint venalia negotiis, quot laboribus, quot periculis, quin sanguine potius, et morte, et quanta strage mortalium! non modo quod navigantes propter ista multi pereunt, et dum quærunt, dum ædificant, mala multa patiuntur; sed etiam quod toties de illis pugnatur, quod insidias vobis mutuo propter ista struitis, amicis amici, et liberi parentibus, et maritis suis conjuges. [Ita puto auri causa proditum ab Eriphyle virum.]

9. Atque ista fiunt omnia, quum tamen pictæ vestes nihilo magis fovere possint, et fastigii aurei domus nihilo tegant magis, et potum nihil juvent nec argentea pocula

τῶν δὲ ἐκπωμάτων τῶν ἀργυρῶν οὐκ ὠφελούντων τον ποτον οὐδὲ τῶν χρυσῶν, οὐδ' αὖ τῶν ἐλεφαντίνων κλινῶν τὸν ὕπνον ἡδίω παρεχομένων, ἀλλ' ὄψει πολλάκις ἐπὶ τῆς ἐλεφαντίνης κλίνης καὶ τῶν πολυτελῶν στρωμάτων τοὺς εὐδαίμονας ὕπνου λαχεῖν οὐ δυναμένους. Ὅτι μὲν γὰρ αἱ παντοδαπαὶ περὶ τὰ βρώματα πραγματεῖαι τρέφουσι μὲν οὐδὲν μᾶλλον, λυμαίνονται δὲ τὰ σώματα καὶ τοῖς σώμασι νόσους ἐμποιοῦσι, τί δεῖ λέγειν;

10. Τί δὲ καὶ λέγειν, ὅσα τῶν ἀφροδισίων ἕνεκα ποιοῦσί τε καὶ πάσχουσιν οἱ ἄνθρωποι; καίτοι ῥᾴδιον θεραπεύειν ταύτην τὴν ἐπιθυμίαν, εἰ μή τις ἐθέλοι τρυφᾶν. Καὶ οὐδ' εἰς ταύτην ἡ μανία καὶ διαφθορὰ φαίνεται τοῖς ἀνθρώποις ἀρκεῖν, ἀλλ' ἤδη καὶ τῶν ὄντων τὴν χρῆσιν ἀναστρέφουσιν ἑκάστῳ χρώμενοι πρὸς ὃ μὴ πέφυκεν, ὥσπερ εἴ τις ἀνθ' ἁμάξης ἐθέλοι τῇ κλίνῃ καθάπερ ἁμάξῃ χρήσασθαι.

ΛΥΚ. Καὶ τίς οὗτος;

ΚΥΝ. Ὑμεῖς, οἳ τοῖς ἀνθρώποις ἅτε ὑποζυγίοις χρῆσθε, κελεύετε δὲ αὐτοὺς ὥσπερ ἁμάξας τὰς κλίνας τοῖς τραχήλοις ἄγειν, αὐτοὶ δ' ἄνω κατάκεισθε τρυφῶντες καὶ ἐκεῖθεν ὥσπερ ὄνους ἡνιοχεῖτε τοὺς ἀνθρώπους ταύτην, ἀλλὰ μὴ ταύτην τρέπεσθαι κελεύοντες· καὶ οἱ ταῦτα μάλιστα ποιοῦντες μάλιστα μακαρίζεσθε.

11. Οἱ δὲ τοῖς κρέασι μὴ τροφῇ χρώμενοι μόνον, ἀλλὰ καὶ βαφὰς μηχανώμενοι δι' αὐτῶν, οἷοί γέ εἰσιν οἱ τὴν πορφύραν βάπτοντες, οὐχὶ καὶ αὐτοὶ παρὰ φύσιν χρῶνται τοῖς τοῦ θεοῦ κατασκευάσμασι;

ΛΥΚ. Μὰ Δία, δύναται γὰρ βάπτειν, οὐκ ἐσθίεσθαι μόνον τὸ τῆς πορφύρας κρέας.

ΚΥΝ. Ἀλλ' οὐ πρὸς τοῦτο γέγονεν· ἐπεὶ καὶ τῷ κρατῆρι δύναιτ' ἄν τις βιαζόμενος ὥσπερ χύτρᾳ χρήσασθαι, πλὴν οὐ πρὸς τοῦτο γέγονεν. Ἀλλὰ γὰρ πῶς ἅπασαν τὴν τούτων τις κακοδαιμονίαν διελθεῖν δύναιτ' ἄν; τοσαύτη τίς ἐστι. Σὺ δέ μοι, διότι μὴ βούλομαι ταύτης μετέχειν, ἐγκαλεῖς· ζῶ δὲ καθάπερ ὁ κόσμιος ἐκεῖνος, εὐωχούμενος τοῖς κατ' ἐμαυτὸν καὶ τοῖς εὐτελεστάτοις χρώμενος, τῶν δὲ ποικίλων καὶ παντοδαπῶν οὐκ ἐφιέμενος.

12. Κἄπειτα εἰ θηρίου βίον βραχέων δεόμενος καὶ ὀλίγοις χρώμενος δοκῶ σοι ζῆν, κινδυνεύουσιν οἱ θεοὶ καὶ τῶν θηρίων εἶναι χείρονες κατά γε τὸν σὸν λόγον· οὐδενὸς γὰρ δέονται. Ἵνα δὲ καταμάθῃς ἀκριβέστερον τό τε ὀλίγων καὶ τὸ πολλῶν δεῖσθαι ποῖόν τι ἑκατέρον ἐστιν, ἐννόησον ὅτι δέονται πλειόνων οἱ μὲν παῖδες τῶν τελείων, αἱ δὲ γυναῖκες τῶν ἀνδρῶν, οἱ δὲ νοσοῦντες τῶν ὑγιαινόντων, καθόλου δὲ πανταχοῦ τὸ χεῖρον τοῦ κρείττονος πλειόνων δεῖται. Διὰ τοῦτο θεοὶ μὲν οὐδενός, οἱ δὲ ἔγγιστα θεοῖς ἐλαχίστων δέονται.

13. Ἢ νομίζεις τὸν Ἡρακλέα τὸν πάντων ἀνθρώπων ἄριστον, θεῖον δὲ ἄνδρα καὶ θεὸν ὀρθῶς νομισθέντα, διὰ κακοδαιμονίαν περινοστεῖν γυμνὸν δέρμα μόνον ἔχοντα καὶ μηδενὸς τῶν αὐτῶν ὑμῖν δεόμενον; ἀλλ' οὐ κακοδαίμων ἦν ἐκεῖνος, ὃς καὶ τῶν ἄλλων ἀπήμυνε τὰ

neque aurea, neque somnum suaviorem eburnei lecti præbeant: sed sæpe videas eburneo super lecto et pretiosis in stragulis beatos illos somnum capere non posse. Porro omnigenos illos circa cibum labores nihilo magis illos quidem alere, sed corrumpere corpora, et morbos illis inferre, quid opus est dictu?

10. Quid porro opus, quanta veneris causa homines et committant et sustineant? quum ita facile sit illam curare cupiditatem, nisi quis delicatus nimis esse velit. Neque in illam ipsam furor suus et corruptela sufficere hominibus videtur; sed jam etiam usum rerum pervertunt, utentes unaquaque ad quod natura sua apta non est, ut si quis plaustri loco uti tanquam plaustro velit lectulo.

LYC. Et quis est ille?

CYN. Vos, qui hominibus utimini pro jumentis, jubetisque illos velut plaustra sic lecticas agere cervicibus: ipsi vero supra jacetis delicati, et inde velut asinos habenis regitis homines, hac, non illac ut se vertant imperantes: quique hæc maxime facitis, ii maxime felices prædicamini.

11. Tum illi, qui carnibus non tantum in cibo utuntur, sed tincturas machinantur per illas, quales sunt qui purpuram inficiunt; nonne hi quoque præter naturam his, quæ paravit deus, utuntur?

LYC. Minime vero: potest enim inficere, non edi modo caro purpuræ.

CYN. Sed non ad hoc nata est: alioqui etiam cratere possit aliquis per vim pro olla uti; sed ad hoc factus non est. Verum enim vero quomodo possit aliquis omnem horum enarrare miseriam? tanta est. Tu vero me, quod in partem illius venire nolim, eo nomine accusas: ceterum vivo ut ille meus modestus, epulor illa quæ ante me posita sunt, et, quæ minimo parari possunt, illis utor, varia illa et omnigena non desiderans.

12. Deinde bestiarum vitam, qui minutis rebus indigeam et paucis utar, si vivere tibi videor, fuerint bestiis etiam deteriores dii ipsi, secundum tuam quidem rationem: nulla enim re indigent. Ut vero accuratius comprehendas quale utrumque sit, tum paucis indigere, tum multis, cogita pluribus indigere pueros quam adultos, mulieres quam viros, ægrotos quam sanos: in universum vero quod ubique deterius est, illud pluribus indigere eo quod est præstantius. Propterea dii quidem re nulla, qui autem proxime ad deos accedunt, indigent paucissimis.

13. Aut putasne Herculem, illum hominum omnium fortissimum, divinum virum et pro deo recte habitum, propter infelicitatem oberrasse nudum, pelle sola instructum, nullaque earum rerum, quibus vos, indigentem? Verum infelix ille non fuit, qui et aliorum defenderet mala; neque

κακὰ, οὐδ' αὖ πένης, ὃς γῆς καὶ θαλάττης ἦρχεν· ἐφ' ὅ τι γὰρ ὁρμήσειεν, ἅπανταχοῦ πάντων ἐκράτει καὶ οὐδενὶ τῶν τότε ἐνέτυχεν ὁμοίῳ οὐδὲ κρείττονι ἑαυτοῦ, μέχριπερ ἐξ ἀνθρώπων ἀπῆλθεν. Ἡ σὺ δοκεῖς στρωμάτων καὶ ὑποδημάτων ἀπόρως ἔχειν καὶ διὰ τοῦτο περιιέναι τοιοῦτον; οὐκ ἔστιν εἰπεῖν, ἀλλ' ἐγκρατὴς καὶ καρτερικὸς ἦν καὶ κρατεῖν ἤθελε καὶ τρυφᾶν οὐκ ἐβούλετο. Ὁ δὲ Θησεὺς ὁ τούτου μαθητὴς οὐ βασιλεὺς μὲν ἦν πάντων Ἀθηναίων, υἱὸς δὲ Ποσειδῶνος, ὥς φασιν, ἄριστος δὲ τῶν καθ' αὑτόν;

14. Ἀλλ' ὅμως κἀκεῖνος ἤθελεν ἀνυπόδητος εἶναι καὶ γυμνὸς βαδίζειν καὶ πώγωνα καὶ κόμην ἔχειν ἤρεσκεν αὐτῷ, καὶ οὐκ ἐκείνῳ μόνῳ, ἀλλὰ καὶ πᾶσι τοῖς παλαιοῖς ἤρεσκεν· ἀμείνους γὰρ ἦσαν ὑμῶν, καὶ οὐκ ἂν ὑπέμειναν οὐδὲ εἷς αὐτῶν οὐδὲν μᾶλλον ἢ τῶν λεόντων τις ξυρώμενος· ὑγρότητα γὰρ καὶ λειότητα σαρκὸς γυναιξὶ πρέπειν ἡγοῦντο, αὐτοὶ δ' ὥσπερ ἦσαν, καὶ φαίνεσθαι ἄνδρες ἤθελον καὶ τὸν πώγωνα κόσμον ἀνδρὸς ἐνόμιζον ὥσπερ καὶ ἵππων χαίτην καὶ λεόντων γένεια, οἷς ὁ θεὸς ἀγλαΐας καὶ κόσμου χάριν προσέθηκέ τινα· οὕτωσὶ δὲ καὶ τοῖς ἀνδράσι τὸν πώγωνα προσέθηκεν. Ἐκείνους οὖν ἐγὼ ζηλῶ τοὺς παλαιοὺς καὶ ἐκείνους μιμεῖσθαι βούλομαι, τοὺς δὲ νῦν οὐ ζηλῶ τῆς θαυμαστῆς ταύτης εὐδαιμονίας ἧς ἔχουσι περὶ τραπέζας καὶ ἐσθῆτας καὶ λεαίνοντες καὶ ψιλούμενοι πᾶν τοῦ σώματος μέρος καὶ μηδὲ τῶν ἀπορρήτων μηδὲν, ἧ πέφυκεν, ἔχειν ἐῶντες.

15. Εὔχομαι δέ μοι τοὺς μὲν πόδας ὁπλῶν ἱππείων οὐδὲν διαφέρειν, ὥσπερ φασὶ τοὺς Χείρωνος, αὐτὸς δὲ μὴ δεῖσθαι στρωμάτων ὥσπερ οἱ λέοντες, οὐδὲ τροφῆς δεῖσθαι πολυτελοῦς μᾶλλον ἢ οἱ κύνες· εἴη δέ μοι γῆν μὲν ἅπασαν εὐνὴν αὐτάρκη ἔχειν, οἶκον δὲ τὸν κόσμον νομίζειν, τροφὴν δὲ αἱρεῖσθαι τὴν ῥᾴστην πορισθῆναι. Χρυσοῦ δὲ καὶ ἀργύρου μὴ δεηθείην μήτ' οὖν ἐγὼ μήτε τῶν ἐμῶν φίλων μηδείς· πάντα γὰρ τὰ κακὰ τοῖς ἀνθρώποις ἐκ τῆς τούτων ἐπιθυμίας φύονται, καὶ στάσεις καὶ πόλεμοι καὶ ἐπιβουλαὶ καὶ σφαγαί. Ταυτὶ πάντα πηγὴν ἔχει τὴν ἐπιθυμίαν τοῦ πλείονος· ἀλλ' ἡμῶν αὕτη ἀπείη, καὶ πλεονεξίας μήποτε ὀρεχθείην, μειονεκτῶν δ' ἀνέχεσθαι δυναίμην.

16. Τοιαῦτά σοι τά γε ἡμέτερα, πολὺ δήπου διάφωνα τοῖς τῶν πολλῶν βουλήμασι· καὶ θαυμαστὸν οὐδὲν, εἰ τῷ σχήματι διαφέρομεν αὐτῶν, ὁπότε καὶ τῇ προαιρέσει τοσοῦτον διαφέρομεν. Θαυμάζω δέ σου πῶς ποτε κιθαρῳδοῦ μέν τινα νομίζεις στολὴν καὶ σχῆμα καὶ αὐλητοῦ νὴ Δία γε σχῆμα καὶ στολὴν τραγῳδοῦ, ἀνδρὸς δ' ἀγαθοῦ σχῆμα καὶ στολὴν οὐκέτι νομίζεις, ἀλλὰ τὴν αὐτὴν αὐτὸν οἴει δεῖν ἔχειν τοῖς πολλοῖς, καὶ ταῦτα τῶν πολλῶν κακῶν ὄντων. Εἰ μὲν δεῖ ἑνὸς ἰδίου σχήματος τοῖς ἀγαθοῖς, τί πρέποι ἂν μᾶλλον ἢ τοῦθ' ὅπερ ἀναιδέστατον τοῖς ἀχολάστοις ἐστὶ καὶ ὅπερ ἀπεύξαιντ' ἂν οὗτοι μάλιστα ἔχειν;

17. Οὑτοῦν τό γε ἐμὸν σχῆμα τοιοῦτόν ἐστιν, αὐχμηρὸν εἶναι, λάσιον εἶναι, τρίβωνα ἔχειν, κομᾶν,

rursum pauper, qui terræ et maris haberet imperium: quocumque enim illum raperet impetus, ubique vincebat omnes, et in neminem illius ætatis vel similem sibi vel se meliorem incidit, donec ab hominibus discessit. Aut putas tu stragula illum veste et calceis indiguisse, et propterea sic oberrasse? Non est quod illud dicamus: sed continens erat et tolerans; et volebat vincere, et deliciis frangi nolebat. Illius vero Theseus discipulus nonne rex erat Atheniensium omnium, filius vero Neptuni, ut aiunt, vir suæ ætatis omnium fortissimus?

14. Sed tamen is quoque voluit sine calceis esse, et incedere nudus, et barbam et comam alere ipsi placuit; et non illi solum, sed omnibus placuit antiquis. Nempe vobis meliores erant: nec magis illorum quisquam tonderi se passus esset, quam leonum. Mollitiem enim et lævitatem carnis feminis putabant decoram: at ipsi, ut erant viri, ita etiam volebant videri; et decus viri barbam putabant, ut equorum jubam, et barbam leonum, quibus animantibus pulchritudinis et ornatus causa deus quædam addidit: ita vero etiam barbam apposuit viris. Illos ego antiquos æmulor, illos imitari cupio: qui vero nunc sunt, illis non equidem invideo admirabilem hanc felicitatem, qua fruuntur circa mensas et vestimenta, lævigantes, depilantes unamquamque partem corporis, neque occultorum quodquam membrorum ita uti natum est relinquentes.

15. At ego opto pedes mihi equinis ungulis nihil differre, ut Chironis aiunt; ipsum autem stragulis non indigere, velut leones; nec cibo magis pretioso opus habere, quam canes. Contingat vero mihi terram quidem pro cubili habere sufficiente, domum autem putare hoc universum, et cibum capere qui facillime suppeditari mihi possit. Auro autem atque argento opus habeam neque ego, neque amicorum meorum quisquam: quandoquidem mala omnia hominibus ex horum cupiditate nascuntur, et seditiones, et bella, et insidiæ, et cædes. Hæc omnia fontem habent plus habendi cupidinem. At a nobis illa absit, et plus habere nunquam ego concupiscam, minus contra me habere possim tolerare!

16. Habes rationem nostram, multum sane diversam a vulgi voluntatibus: nec mirum si habitu ab illis differimus, qui tam diverso utamur instituto. Te porro miror, quomodo tandem citharœdi quendam vestitum putes et habitum esse, et hercle tibicinis etiam habitum, et longam vestem tragœdi; viri autem boni habitum et vestem propriam non jam putes, sed eundem illum habere arbitreris oportere, quem vulgus, idque quum vulgus malum sit. Si quidem unus et suus habitus bonis convenit, quis magis deceat, quam ille, qui impudentissimus esse videatur hominibus luxuriosis, quemque habere hi maxime detestentur?

17. Jam vero is est meus habitus, quod squalidus sum, quod hirsutus, quod detritam gesto penulam, quod coma-

ἀνυποδητεῖν, τὸ δ' ὑμέτερον ὅμοιον τῷ τῶν κιναίδων, καὶ διακρίνειν οὐδὲ εἷς ἂν ἔχοι, οὐ τῇ χροιᾷ τῶν ἱματίων, οὐ τῇ μαλακότητι, οὐ τῷ πλήθει τῶν χιτωνίσκων, οὐ τοῖς ἀμφιάσμασιν, οὐχ ὑποδήμασιν, οὐ κατασκευῇ τριχῶν, οὐκ ὀδμῇ· καὶ γὰρ ἀπόζετε ἤδη παραπλήσιον ἐκείνοις οἱ εὐδαιμονέστατοι οὗτοι μάλιστα. Καίτοι τί ἂν δοίη τις ἀνδρὸς τὴν αὐτὴν τοῖς κιναίδοις ὀδμὴν ἔχοντος; Τοιγαροῦν τοὺς μὲν πόνους οὐδὲν ἐκείνων μᾶλλον ἀνέχεσθε, τὰς δὲ ἡδονὰς οὐδὲν ἐκείνων ἧττον· καὶ τρέφεσθε τοῖς αὐτοῖς καὶ κοιμᾶσθε ὁμοίως καὶ βαδίζετε, μᾶλλον δὲ βαδίζειν οὐκ ἐθέλετε, φέρεσθαι δὲ ὥσπερ τὰ φορτία οἱ μὲν ὑπ' ἀνθρώπων, οἱ δὲ ὑπὸ κτηνῶν· ἐμὲ δὲ οἱ πόδες φέρουσιν ὅποιπερ ἂν δέωμαι. Κἀγὼ μὲν ἱκανὸς καὶ ῥίγους ἀνέχεσθαι καὶ θάλπος φέρειν καὶ τοῖς τῶν θεῶν ἔργοις μὴ δυσχεραίνειν, διότι ἄθλιός εἰμι, ὑμεῖς δὲ διὰ τὴν εὐδαιμονίαν οὐδενὶ τῶν γιγνομένων ἀρέσκεσθε καὶ πάντα μέμφεσθε καὶ τὰ μὲν παρόντα φέρειν οὐκ ἐθέλετε, τῶν δὲ ἀπόντων ἐφίεσθε, χειμῶνος μὲν εὐχόμενοι θέρος, θέρους δὲ χειμῶνα, καὶ καύματος μὲν ῥῖγος, ῥίγους δὲ καῦμα καθάπερ οἱ νοσοῦντες δυσάρεστοι καὶ μεμψίμοιροι ὄντες· αἰτία δὲ ἐκείνοις μὲν ἡ νόσος, ὑμῖν δὲ ὁ τρόπος.

18. Κἄπειτα δὲ ἡμᾶς μετατίθεσθαι καὶ ἐπανορθοῦν τὰ ἡμέτερα ἀξιοῦτε, κακῶς βουλευομένων πολλάκις περὶ ὧν πράττομεν, αὐτοὶ ἄσκεπτοι ὄντες περὶ τῶν ἰδίων καὶ μηδὲν αὐτῶν κρίσει καὶ λογισμῷ ποιοῦντες, ἀλλ' ἔθει καὶ ἐπιθυμίᾳ. Τοιγαροῦν οὐδὲν ὑμεῖς διαφέρετε τῶν ὑπὸ χειμάρρου φερομένων· ἐκεῖνοί τε γὰρ, ὅπου ἂν ἴῃ τὸ ῥεῦμα, ἐκεῖ φέρονται, καὶ ὑμεῖς ὅπου ἂν αἱ ἐπιθυμίαι. Πάσχετε δὲ παραπλήσιόν τι ὅ φασί τινα παθεῖν ἐφ' ἵππον ἀναβάντα μαινόμενον· ἁρπάσας γὰρ αὐτὸν ἔφερεν ἄρα ὁ ἵππος· ὁ δὲ οὐκέτι καταβῆναι τοῦ ἵππου θέοντος ἐδύνατο. Καί τις ἀπαντήσας ἠρώτησεν αὐτὸν ποίαν ἄπεισιν· ὁ δὲ εἶπεν, Ὅπου ἂν τούτῳ δοκῇ, δεικνὺς τὸν ἵππον. Καὶ ὑμᾶς ἄν τις ἐρωτᾷ, ποῖ φέρεσθε; τἀληθὲς ἐθέλοντες λέγειν ἐρεῖτε ἁπλῶς μὲν ὅποιπερ ἂν ταῖς ἐπιθυμίαις δοκῇ, κατὰ μέρος δὲ, ὅποιπερ ἂν τῇ ἡδονῇ δοκῇ, ποτὲ δὲ, ὅπου τῇ δόξῃ, ποτὲ δὲ αὖ, τῇ φιλοκερδίᾳ· ποτὲ δὲ ὁ θυμὸς, ποτὲ δὲ ὁ φόβος, ποτὲ δὲ ἄλλο τι τοιοῦτον ὑμᾶς ἐφέρειν δύναται· οὐ γὰρ ἐφ' ἑνὸς, ἀλλ' ἐπὶ πολλῶν ὑμεῖς γε ἵππων βεβηκότες ἄλλοτε ἄλλων, καὶ μαινομένων πάντων, φέρεσθε. Τοιγαροῦν ἐκφέρουσιν ὑμᾶς εἰς βάραθρα καὶ κρημνούς. Ἴστε δ' οὐδαμῶς πρὶν πεσεῖν ὅτι πεσεῖσθαι μέλλετε.

19. Ὁ δὲ τρίβων οὗτος, οὗ καταγελᾶτε, καὶ ἡ κόμη καὶ τὸ σχῆμα τοὐμὸν τηλικαύτην ἔχει δύναμιν, ὥστε παρέχειν μοι ζῆν ἐφ' ἡσυχίας καὶ πράττοντι ὅ τι βούλομαι καὶ συνόντι οἷς βούλομαι· τῶν γὰρ ἀμαθῶν ἀνθρώπων καὶ ἀπαιδεύτων οὐδεὶς ἂν ἐθέλοι μοι προσιέναι διὰ τὸ σχῆμα, οἱ δὲ μαλακοὶ καὶ πάνυ πόρρωθεν ἐκτρέπονται· προσίασι δὲ οἱ κομψότατοι καὶ ἐπιεικέστατοι καὶ ἀρετῆς ἐπιθυμοῦντες. Οὗτοι μάλιστά μοι προσίασι· τοῖς γὰρ τοιούτοις ἐγὼ χαίρω ξυνών. Θύρας δὲ τῶν εὐδαιμόνων καλουμένων ἀνθρώπων οὐ θε-

tus, quod sine calceis : vester autem ille cinædico similis est, quem discernere nemo possit, nec colore vestimentorum, neque mollitie, neque tunicarum multitudine, neque amiculis, neque calceis, neque capillorum paratu, neque odore : etenim idem quoque jam oletis quod isti, vos, qui beatissimi estis, maxime. Quanti vero quis emat virum idem quod cinædi olentem? Itaque labores non magis quam isti sustinetis, voluptatibus vero servitis istis non minus : et iisdem rebus alimini, et somnum similiter capitis, et inceditis; potius vero incedere non vultis, sed onerum instar gestari ab hominibus partim, partim a jumentis : at me pedes ferunt, quocumque mihi opus est. Idem ego et frigus ferre possum et sustinere æstum, et deorum his operibus non offendi, quia ærumnosus sum : vos vero vestram propter felicitatem nulla re earum quæ fiunt contenti estis, et reprehenditis omnia, et præsentia ferre recusatis, absentia autem concupiscitis, hieme optantes æstatem, æstate hiemem, in æstu frigus, in frigore æstum, ægrorum instar nauseabundi et vestra de sorte queruli : causa vero istis morbus est, vobis vestri mores.

18. Ac deinde nos retractare et corrigere nostram rationem postulatis, ut qui male sæpius de actionibus nostris consulamus; quum ipsi vestris in rebus inconsiderati sitis, neque quicquam illarum judicio et ratione administretis, sed consuetudine omnia et cupiditate. Itaque nihil diversi estis ab his qui a torrente auferuntur : nam quum illi, quocumque fluctus ierit, eo ferantur, tum vos, quo cupiditates. Idem autem vobis accidit, quod evenisse aiunt cuidam, quum equum conscendisset furentem : nempe raptum auferebat equus; et ille non jam descendere ab equo currente poterat. Hic interrogante aliquo, qui obviam forte fuerat, quorsum abiret; respondit, Quorsum huic (equum monstrabat) visum fuerit. Sic vos interroganti, Quorsum ferimini? si quidem verum respondere velitis, dicatis simpliciter quidem, Quorsumcumque lubebit cupiditatibus : per partes autem, Quocumque lubuerit voluptati; interdum, Quo gloriæ studio; interdum, Quo lucri cupiditati : interdum vero iracundia, interdum metus, interdum aliud quiddam ex eo genere auferre vos potest. Non enim uno vos, verum pluribus conscensis equis, alias aliis, furentibus quidem universis, abripimini. Igitur in barathra vos et præcipitia auferunt : adeo ante casum, vos esse casuros nequaquam scitis.

19. At istæc detrita, quam ridetis, penula, et coma, et habitus ille meus, eam vim habet, ut quiete vivendi copiam mihi præstet, et faciendi quod volo, et cum his versandi quibuscum volo. Inscitorum enim hominum indoctorumque nemo quisquam accedere ad me ob istum habitum voluerit; molles autem vel e longinquo devitant : accedunt commodissimi homines, et humanissimi, et virtutis cupidi. Hi maxime ad me accedunt; cum his enim versari maxime ego gaudeo. Januas vero illorum hominum, qui beati vo-

ραπεύω, τοὺς δὲ χρυσοῦς στεφάνους καὶ τὴν πορφύραν τῦφον νομίζω καὶ τῶν ἀνθρώπων καταγελῶ.

20. Ἵνα δὲ μάθῃς περὶ τοῦ σχήματος, ὡς οὐκ ἀνδράσι μόνον ἀγαθοῖς, ἀλλὰ καὶ θεοῖς πρέποντος ἔπειτα καταγελᾷς αὐτοῦ, σκέψαι τὰ ἀγάλματα τῶν θεῶν, πότερά σοι δοκοῦσιν ἔχειν ὁμοίως ὑμῖν ἢ ἐμοί; καὶ μὴ μόνον γε τῶν Ἑλλήνων, ἀλλὰ καὶ τῶν βαρβάρων τοὺς ναοὺς ἐπισκόπει περιών, πότερον αὐτοὶ οἱ θεοὶ κομῶσι καὶ γενειῶσιν ὡς ἐγὼ ἢ καθάπερ ὑμεῖς ἐξυρημένοι πλάττονται καὶ γράφονται. Καὶ μέντοι καὶ ἀχίτωνας ὄψει τοὺς πολλοὺς ὥσπερ ἐμέ. Τί ἂν οὖν ἔτι τολμώης περὶ τούτου τοῦ σχήματος λέγειν ὡς φαύλου, ὁπότε καὶ θεοῖς φαίνεται πρέπον;

cantur, non colo equidem : aureas autem coronas, et purpuram fumum arbitror, hominesque illis utentes derideo.

20. Ut autem de habitu discas, quam illum non viros modo bonos, sed ipsos etiam deos decentem tu deinde derideas, simulacra deorum aspice, utris similiora videantur, vobisne, an mihi? neque Græcorum modo, sed barbarorum etiam templa circumiens inspice, utrum capillati sint dii et barbati velut ego, an sicut vos tonsi fingantur pinganturque. Verum etiam sine tunicis plerosque, uti me, videbis. Quid igitur adhuc de hoc habitu, tanquam contemtibili, dicere audeas, quum ipsos illum deos decere appareat?

LXXVI.

ΨΕΥΔΟΣΟΦΙΣΤΗΣ Η ΣΟΛΟΙΚΙΣΤΗΣ.

1. ΛΥΚΙΝΟΣ. Ἆρά γε ὁ γνῶναι τὸν σολοικίζοντα δεινὸς οὗτος καὶ φυλάξασθαι μὴ σολοικίσαι δυνατός;

ΣΟΛΟΙΚΙΣΤΗΣ. Ἐμοὶ μὲν δοκεῖ.

ΛΥΚ. Ὁ δέ γε μὴ φυλάξασθαι, οὐδὲ γνῶναι τὸν οὕτως ἔχοντα;

ΣΟΛ. Ἀληθῆ λέγεις.

ΛΥΚ. Σὺ δὲ αὐτὸς φὴς οὐ σολοικίζειν, ἢ πῶς λέγομεν περὶ σοῦ;

ΣΟΛ. Ἀπαίδευτος γὰρ ἂν εἴην, εἰ σολοικίζοιμι τηλικοῦτος ὤν.

ΛΥΚ. Οὐκοῦν καὶ ἕτερον φωρᾶσαι δυνήσῃ τοῦτο δρῶντα καὶ ἐλέγξαι τὸν ἀρνούμενον;

ΣΟΛ. Παντάπασί γε.

ΛΥΚ. Ἴθι νῦν ἐμοῦ λαβοῦ σολοικίζοντος, ἄρτι δὲ σολοικιῶ.

ΣΟΛ. Οὐκοῦν εἰπέ.

ΛΥΚ. Ἀλλ' ἔγωγε ἤδη τὸ δεινὸν εἴργασμαι, σὺ δὲ οὐκ ἐπέγνως.

ΣΟΛ. Παίζεις ἔχων;

ΛΥΚ. Μὰ τοὺς θεούς· ἐπεὶ σολοικίσας ἐλαθόν σε ὡς οὐκ ἐπιστάμενον. Αὖθις δὲ σκόπει· οὐ γάρ σέ φημι δύνασθαι κατανοῆσαι, ἐπεὶ ἃ μὲν οἶσθ', ἃ δ' οὐκ οἶσθα.

ΣΟΛ. Εἰπὲ μόνον.

ΛΥΚ. Ἀλλὰ καὶ νῦν σεσολοίκισταί μοι, σὺ δ' οὐκ ἔγνως.

ΣΟΛ. Πῶς γὰρ, σοῦ μηδὲν λέγοντος;

ΛΥΚ. Ἐγὼ μὲν λέγω καὶ σολοικίζω, σὺ δ' οὐχ ἕπῃ τοῦτο δρῶντι· ἐπεὶ ὄφελον καὶ νῦν ἀκολουθῆσαι δυνήσῃ.

2. ΣΟΛ. Θαυμαστὰ λέγεις, εἰ μὴ δυνήσομαι καταμαθεῖν σολοικισμόν.

ΛΥΚ. Καὶ πῶς ἂν δύναιο τὸν ἕνα μαθεῖν τοὺς τρεῖς ἀγνοήσας;

ΣΟΛ. Τίνας τρεῖς;

ΛΥΚ. Ὅλους ἀρτιγενείους.

LXXVI.

PSEUDOSOPHISTA SEU SOLŒCISTA.

1. LYCINUS. Numquid, si quis deprehendere perverse jungentem voces possit, idem etiam sibi cavere, ne male jungat, potest?

SOLŒCISTA. Mihi quidem videtur.

LYC. Et qui cavere nequeat, ille neque deprehendere sic habentem?

SOL. Vera dicis.

LYC. Tu vero ipse stribligine te labi negas, aut quid de te dicimus?

SOL. Nempe indoctus valde fuerim, si stribliginem hoc ætatis admittam.

LYC. Igitur alium quoque deprehendere hoc agentem possis, et negantem convincere?

SOL. Omnino equidem.

LYC. Age ergo me deprehendito stribligine utentem : commodum autem utar.

SOL. Dic ergo.

LYC. Quin jam terribile illud opus, te non observante, peregi.

SOL. Ludin' tu homo?

LYC. Non, ita me dii ament : quandoquidem stribligine jam usus te effugi, qui illam non intelligeres. Rursus vero considera : nego enim te posse intelligere; quandoquidem quæpiam scis, quæpiam nescis.

SOL. Dic modo.

LYC. Sed nunc quoque solœce locutus sum, tu vero non agnovisti.

SOL. Qui vero hoc, te nihil dicente?

LYC. At ego dico et solœcismos facio : tu autem facientem non persequeris. Quare faxint dii ut nunc certe ad illos comprehendendos sis valiturus.

2. SOL. Mira narras, si solœcismum ego observare non valebo.

LYC. Et qui valeas unum observare, qui tres ipsos ignoraveris?

SOPH. Quosnam tres?

LYC. Universos prima lanugine florentes.

ΣΟΛ. Ἐγὼ μέν σε παίζειν δοκῶ.

ΛΥΚ. Ἐγὼ δέ σε ἀγνοεῖν τὸν ἁμαρτάνοντα ἐν τοῖς λόγοις.

ΣΟΛ. Καὶ πῶς ἄν τις μάθοι μηδενὸς εἰρημένου;

ΛΥΚ. Λέλεκται καὶ σεσολοίκισται τετραπλῇ, σὺ δ' οὐκ ἔγνως. Μέγα οὖν ἆθλον κατέπραξας ἄν, εἴπερ ἔγνως.

ΣΟΛ. Οὐ μέγα μέν, ἀναγκαῖον δὲ τῷ ὁμολογήσαντι.

ΛΥΚ. Ἀλλ' οὐδὲ νῦν ἔγνως.

ΣΟΛ. Πότε νῦν;

ΛΥΚ. Ὅτε τὸ ἆθλον ἔφην σε καταπρᾶξαι.

ΣΟΛ. Οὐκ οἶδα ὅ τι λέγεις.

ΛΥΚ. Ὀρθῶς ἔφης· οὐ γὰρ οἶσθα. Καὶ πρόϊθί γε ἐς τὸ ἔμπροσθεν· οὐ γὰρ ἐθέλεις ἕπεσθαι, συνήσων ἄν, εἴπερ ἐθελήσειας.

3. ΣΟΛ. Ἀλλ' ἐγὼ βούλομαι· σὺ δ' οὐδὲν εἶπας ὧν ἄνθρωποι σολοικίζοντες λέγουσι.

ΛΥΚ. Τὸ γὰρ νῦν ῥηθὲν μικρόν τί σοι φαίνεται κακὸν εἶναι; ὅμως δὲ ἀκολούθησον αὖθις, ἐπεὶ οὐκ ἔμαθες ἐκδραμόντα.

ΣΟΛ. Μὰ τοὺς θεοὺς οὐκ ἔγωγε.

ΛΥΚ. Ἀλλὰ μὴν μεθῆκα θεῖν λαγὼ ταχέως. Ἆρα παρῆξεν; ἀλλὰ καὶ νῦν ἔξεστιν ἰδεῖν τὸν λαγώ· εἰ δὲ μή, πολλοὶ γενόμενοι λαγῷ λήσουσί σε ἐν σολοικισμῷ πεσόντες.

ΣΟΛ. Οὐ λήσουσι.

ΛΥΚ. Καὶ μὴν ἔλαθόν γε.

ΣΟΛ. Θαυμαστὰ λέγεις.

ΛΥΚ. Σὺ δὲ ὑπὸ τῆς ἄγαν παιδείας διέφθορας, ὥστε μηδ' αὐτὸ τοῦτο σολοικίζοντας κατανοῆσαι· οὐ γὰρ πρόσεστιν αὐτῷ τὸ τίνα.

4. ΣΟΛ. Ταῦτα μὲν οὐκ οἶδα πῶς λέγεις· ἐγὼ δὲ πολλοὺς ἤδη σολοικίζοντας κατενόησα.

ΛΥΚ. Κἀμὲ τοίνυν εἴσῃ τότε, ὅταν τι τῶν παιδίων γένῃ τῶν τὰς τιτθὰς θηλαζόντων. Ἢ εἰ οὐ νῦν ἔγνως σολοικίζοντά με, οὐδὲ αὐξάνοντα παιδία σολοικισμὸν ποιήσει τῷ μηδὲν εἰδότι.

ΣΟΛ. Ἀληθῆ λέγεις.

ΛΥΚ. Καὶ μὴν εἰ ταῦτα ἀγνοήσομεν, οὐδὲν γνωσόμεθα τῶν ἑαυτῶν, ἐπεὶ καὶ τόδε σολοικισθὲν ἀπέφυγέ σε. Μὴ τοίνυν ἔτι λέγειν, ὡς ἱκανὸς εἶ κατιδεῖν τὸν σολοικίζοντα, καὶ αὐτὸς μὴ σολοικίζειν.

5. Κἀγὼ μέν οὕτω. Σωκράτης δὲ ὁ ἀπὸ Μόψου, ᾧ συνεγενόμην ἐν Αἰγύπτῳ, τὰ τοιαῦτα ἔλεγεν ἀνεπαχθῶς καὶ οὐκ ἤλεγχε τὸν ἁμαρτάνοντα. Πρὸς μέντοι γε τὸν ἐρωτήσαντα πηνίκα ἔξεισι, Τίς γὰρ ἄν, ἔφη, ἀποκριθείη σοι περὶ τῆς τήμερον ὡς ἐξιών; Ἑτέρου δὲ φήσαντος, Ἱκανὰ ἔχω τὰ πατρῷα, Πῶς φής; εἶπε· τέθνηκε γὰρ ὁ πατήρ σοι; Ἄλλου δὲ αὖθις λέγοντος, Πατριώτης ἔστι μοι· Ἐλάνθανες ἄρα ἡμᾶς, ἔφη, βάρβαρος ὤν. Ἄλλου δὲ εἰπόντος, ὁ δεῖνά ἐστι μεθύσης, Μητρὸς, εἶπεν, ἢ πῶς λέγεις; Ἑτέρου δὲ ἐκλελογχότας, Διπλασιάζεις, ἔφη, τοὺς ἐξειληχότας. Εἰπόντος δέ τινος, Λῆμμα πάρεστιν

SOL. Ludere te puto equidem.

LYC. At ego te ignorare si quis peccet in dicendo.

SOL. Et quomodo quis percipiat, si nihil ejusmodi dictum sit?

LYC. Dictum est et stribligine peccatum quadruplici; tu vero non intellexisti. Magnam ergo victoriam ceperas, si intellexisses.

SOL. Non magnam quidem illam, sed mihi jam professo necessariam.

LYC. Sed ne nunc quidem intellexisti.

SOL. Quando nunc?

LYC. Quum victoriam te dicebam cepisse.

SOL. Quid dicas nescio.

LYC. Recte istuc dicis: nescis enim. Et præcede saltem ad anteriora: neque enim sequi vis, intellecturus, si quidem voluisses.

3. SOL. Sed volo ego: at tu nihil eorum dixisti quæ dicere homines solœce loquentes solent.

LYC. Nempe quod modo dictum est, minutum tibi malum videtur? Verumtamen sequere rursus, quia excurrentem non observasti.

SOL. Per omnes deos nihil equidem.

LYC. Verum dimisi volare avim celeriter. Numquid prætervolavit? sed nunc etiam videre licet avim. Si vero minus, multiplicatæ aves clam te in stribligine jacebunt.

SOL. Non clam me.

LYC. Quin latuerunt te.

SOL. Mira narras.

LYC. Tu vero præ nimia eruditione in malam rem movisti, adeo ut neque in hoc ipso verbo solœce loquentes deprehendas: non enim adjectum est ei quemnam.

4. SOL. Hæc quomodo dicas, non intelligo equidem: verum multos ego jam solœce loquentes deprehendi.

LYC. Igitur me quoque tunc deprehendes, quum puerulorum aliquis fies eorum, qui nutricibus subduntur lactantes. Aut si ne nunc quidem me stribligine uti intelligis, neque augentes pueri solœcismum facient apud non intelligentem.

SOL. Verum dicis

LYC. Atqui hæc si ignorabimus, nihil intelligemus nostrorum, quando etiam hoc solœce dictum te effugit. Ne dixis ergo amplius, te aptum esse deprehendendis solœcismis, a quibus ipse sis liber.

5. Atque ego ita tibi consulo. Socrates autem ille a Mopso, quicum fui in Ægypto, talia dicebat sine asperitate et molestia, nec redarguebat peccantem: verum interroganti qua hora [*pro* quando] exiret? Quis enim, inquit, respondeat tibi de hodierno die, quasi exiturus? Alio autem dicente, Luculentum habeo patrimonium [*volebat* opes paternas]: Quid ais? inquit; pater ergo tuus mortuus est? Alio rursus dicente, πατριώτης [*barbaris i. q. Atticis* πολίτης, civis] meus est: Nesciebamus ergo, inquit, te barbarum esse. Alio dicente, Iste est ebriose, Ebriosæne matris, inquit, aut quomodo intelligis? Alio ἐκλελογχότας dicente, Duplicas, inquit, ἐξειληχότας. Dicente quodam, Λῆμμα [acceptio] in

αὐτῷ, διὰ τῶν δύο μ, Οὐκοῦν, ἔφη, λήψεται, εἰ λῆμμα αὐτῷ πάρεστιν. Ἑτέρου δὲ εἰπόντος, Πρόσεισιν ὁ μεῖραξ οὑμὸς φίλος, Ἔπειτα, ἔφη, λοιδορεῖς φίλον ὄντα; Πρὸς δὲ τὸν εἰπόντα, Δεδίττομαι τὸν ἄνδρα καὶ φεύγω, Σὺ, ἔφη, καὶ ὅταν τινὰ εὐλαβηθῇς, διώξῃ. Ἄλλου δὲ εἰπόντος, Τῶν φίλων ὁ κορυφαιότατος, Χάριέν γε, ἔφη, τὸ τῆς κορυφῆς ποιεῖν τι ἐπάνω. Καὶ ἐξορμῶ δέ τινος εἰπόντος, Καὶ τίς ἐστιν, εἶπεν, ὃν ἐξορμᾷς; Ἐξ ἐπιπολῆς δέ τινος εἰπόντος, Ἐκ τῆς ἐπιπολῆς εἶπεν, ὡς ἐκ τῆς πιθάκνης. Λέγοντος δέ τινος Συνετάξατό μοι, Καὶ λόχον δὴ, ἔφη, Ξενοφῶν εἶπε συνετάξατο. Ἄλλου δὲ εἰπόντος, Περιέστην αὐτὸν ὥστε λαθεῖν, Θαυμαστὸν, ἔφη, εἰ εἷς ὢν περιέστης τὸν ἕνα. Ἑτέρου δὲ λέγοντος, Συνεχρίνετο αὐτῷ, Καὶ διεχρίνετο πάντως, εἶπεν.

6. Εἰώθει δὲ καὶ πρὸς τοὺς σολοικίζοντας Ἀττικῶς παίζειν ἀνεπαχθῶς· πρὸς γοῦν τὸν εἰπόντα, Νῶϊ τοῦτο δοκεῖ, Σὺ, ἔφη, καὶ νῶϊν ἐρεῖς ὡς ἁμαρτάνομεν. Ἑτέρου δὲ σπουδῇ διηγουμένου τι τῶν ἐπιχωρίων καὶ εἰπόντος, Ἡ δὲ τῷ Ἡρακλεῖ μιχθεῖσα, Οὐκ ἄρα, ἔφη, ὁ Ἡρακλῆς ἐμίχθη αὐτῇ; Καρῆναι δέ τινος εἰπόντος ὡς δέοιτο, Τί γὰρ, ἔφη, σοὶ δεινὸν εἴργασται καὶ ἄξιον ἀτιμίας; Καὶ ζυγομαχεῖν δέ τινος εἰπόντος, Πρὸς τὸν ἐχθρὸν, εἶπε, ζυγομαχεῖς; Ἑτέρου δὲ εἰπόντος βασανίζεσθαι τὸν παῖδα αὐτῷ νοσοῦντα, Ἐπὶ τῷ, ἔφη, ἢ τί βουλομένου τοῦ βασανίζοντος; Προκόπτει δέ τινος εἰπόντος ἐν τοῖς μαθήμασιν, Ὁ δὲ Πλάτων, ἔφη, τοῦτο ἐπιδιδόναι καλεῖ. Ἐρομένου δέ τινος εἰ μελετήσει ὁ δεῖνα, Πῶς οὖν, ἔφη, ἐμὲ ἐρωτῶν εἰ μελετήσομαι, λέγεις ὅτι ὁ δεῖνα;

7. Ἀττικίζοντος δέ τινος καὶ τεθνήξει εἰπόντος ἐπὶ τοῦ τρίτου, Βέλτιον, ἔφη, καὶ ἐνταῦθα μὴ ἀττικίζειν καταρώμενον. Καὶ πρὸς τὸν εἰπόντα δὲ στοχάζομαι αὐτοῦ ἐπὶ τοῦ φείδομαι αὐτοῦ, Μή τι, ἔφη, διήμαρτες βαλών; Ἀφιστᾶν δέ τινος εἰπόντος καὶ ἑτέρου ἀφιστάνειν, Ἄμφω μὲν, ἔφη, οὐκ οἶδα. Πρὸς δὲ τὸν λέγοντα πλὴν εἰ μὴ, Ταῦτα, ἔφη, διπλᾶ χαρίζῃ. Καὶ χρᾶσθαι δέ τινος εἰπόντος, Ψευδαττικὸν, ἔφη, τὸ ῥῆμα. Τῷ δὲ λέγοντι ἔκτοτε, Καλὸν, ἔφη, τὸ εἰπεῖν ἐκπέρυσι, ὁ γὰρ Πλάτων ἐς τότε λέγει. Τῷ δὲ ἰδοὺ ἐπὶ τοῦ ἰδέ χρωμένου τινὸς, Ἕτερα ἀνθ' ἑτέρων, ἔφη, σημαίνεις. Ἀντιλαμβάνομαι δὲ ἐπὶ τοῦ συνίημι λέγοντός τινος, θαυμάζειν ἔφη πῶς ἀντιποιούμενος τοῦ λέγοντος φησὶ μὴ ἀντιποιεῖσθαι. Βράδιον δέ τινος εἰπόντος, Οὐκ ἔστιν, ἔφη, ὅμοιον τῷ τάχιον. Βαρεῖν δέ τινος εἰπόντος, Οὐκ ἔστιν, ἔφη, τὸ βαρύνειν, ὡς νενόμικας. Λέλογχα δὲ τὸ εἴληχα λέγοντος, Ὀλίγον, ἔφη, καὶ παρ' οἷς ἁμαρτάνεται. Ἵπτασθαι δὲ ἐπὶ τοῦ πέτεσθαι πολλῶν λεγόντων, Ὅτι μὲν ἀπὸ τῆς πτήσεως τὸ ὄνομα, σαφῶς ἴσμεν. Περιστερὸν δέ τινος εἰπόντος ὡς δὴ Ἀττικὸν, Καὶ τὸν φάττον ἐροῦμεν, ἔφη. Φακὸν δέ τινος εἰπόντος ἐδηδοκέναι, Καὶ πῶς ἂν, ἔφη, φακόν τις φάγοι; Ταῦτα μὲν τὰ Σωκράτεια.

8. Ἐπανίωμεν δὲ, εἰ δοκεῖ, ἐπὶ τὴν ἅμιλλαν τῶν

illo est (per geminum μ [*quum vellet* λῆμα, generosus impetus]) : Ergo, inquit, accipiet, si λῆμμα in illo est. Alio dicente, Accedit ille pusio amicus meus; Tum tu, inquit, maledicis amico? Ad eum qui dixerat, Terreo [*volebat* Horreo] virum et fugio; Tu, inquit, etiam quum horrebis aliquem, illum persequeris. Alio dicente, Amicorum meorum summissimus; Lepidum, inquit, summo facere aliquid altius. Dicente quodam, Expello [*volebat* Exire volo], Quem, inquit, expellis? Dicente quodam, Exsuperne; Ex superne, inquit, tanquam ex dolio. Dicente quodam, Dimisit me instructum [*volebat* cum mandatis]; Etiam manipulos, inquit, Xenophon dixit instructos. Alio dicente, Circumstiti [*pro* subterfugi] illum ut delitescerem; Mirum, inquit, si unus ipse unum circumstitisti. Alio dicente, Commiscebatur illi [*volebat* Comparabatur cum illo]; Omnino etiam separabatur, inquit.

6. Solebat vero etiam illis, qui Attico modo loquerentur solœce, lepide illudere. Ad dicentem enim, Nos hoc videtur; Tum tu dices, inquit, nobis peccare. Alio serio narrante rerum patriarum quiddam, ac dicente, Illa vero Herculi mista; Non igitur, inquit, mistus illi Hercules? Quodam dicente se « tondendum » esse; Quid enim, inquit, malum fecisti et dignum ignominia? Et « decertare » quodam dicente (*de amica disputatione*), Cum hoste, inquit, decertas? Alio dicente « torqueri » filium suum ægrotantem; Quam ob rem, inquit, aut quid quærit qui torquet? Quum diceret aliquis, Proficit in disciplinis; ille, Plato, inquit, hoc vocat progressionem facere. Interrogante aliquo, Num declamabis [μελετήσει, *quum deberet* μελετήσεται, declamabit] iste? Quomodo igitur, inquit, me interrogans declamaturusne sim, dicis iste?

7. Atticorum imitatione dicente quodam τεθνήξει [morieris, *quum deberet* τεθνήξεται, morietur], Melius, inquit, erat etiam hic non affectare sermonem Atticum et male ominari. Ad eum qui dixerat, Στοχάζομαι αὐτοῦ (collineo in illum), pro, Parco illi; Numquid, ait, jaculando aberrasti? Quum ἀφιστᾶν aliquis diceret, et alter ἀφιστάνειν [*pro* ἀφιστάναι, sollicitare ad defectionem]. Ambo quidem, inquit, non novi. Ad eum qui dixerat, Præterquam nisi, Hæc geminata, inquit, nobis largiris. Et χρᾶσθαι [*pro* χρῆσθαι, uti] dicente quodam, Verbum, inquit, Psendatticum. Dicenti, Ex tunc, Pulchrum, inquit, dicere Ex anno; Plato enim In tunc (ἐς τότε) ait. Ei qui voce Ecce pro Vide utebatur, Alia, inquit, pro aliis significas. Dicente quodam Recipio pro Intelligo, mirari se dicebat, quomodo qui vindicet sibi dicendi partes, dicat se non vindicare. Βράδιον [*pro* βραδύτερον, *a* βραδύς] dicente aliquo; Non est, inquit, hoc simile alteri, τάχιον [*a* ταχύς]. Βαρεῖν (Gravare) quum dixisset aliquis; Non est, inquit, ut tu quidem statuisti, verbum βαρύνειν. Quum λέλογχα aliquis quod est εἴληχα (sortitus sum) dixisset, Parum, inquit, etiam apud quos peccatur. Quum multi ἵπτασθαι pro πέτεσθαι (volare) dicerent, Verbum hoc, inquit, esse a πτῆσις (volatus) plane scimus. Columbum [*pro* columba] dicente quodam, tanquam Atticum, Etiam hunc anatem vocabimus, inquit. Quum diceret aliquis lentiginem [*pro* lente] se edisse : Quomodo tandem, inquit, lentiginem quis edat? Hæc igitur Socratea sunto.

8. Redeamus jam, si videtur, ad certamen priorum ser-

προτέρων λόγων. Κἀγὼ μὲν καλῶ τοὺς βελτίστους εἶναι ὅλους, σὺ δὲ γνώρισον· οἶμαι γάρ σε κἂν νῦν δυνήσεσθαι τοσούτων γε ἐπακούσαντα τῶν ἐξῆς λεγομένων.

ΣΟΛ. Ἴσως μὲν οὐδὲ νῦν δυνήσομαί σου λέγοντος· ὅμως εἰπέ.

ΛΥΚ. Καὶ πῶς φῂς οὐ δυνήσεσθαι; ἡ γὰρ θύρα σχεδὸν ἀνέῳγέ σοι τῆς γνωρίσεως αὐτῶν.

ΣΟΛ. Εἰπὲ τοίνυν.

ΛΥΚ. Ἀλλὰ εἶπον.

ΣΟΛ. Οὐδέν γε, ὥστε ἐμὲ μαθεῖν.

ΛΥΚ. Οὐ γὰρ ἔμαθες τὸ ἀνέῳγεν;

ΣΟΛ. Οὐκ ἔμαθον.

ΛΥΚ. Τί οὖν πεισόμεθα, εἰ μηδὲ νῦν ἀκολουθήσεις τοῖς λεγομένοις; Καίτοι πρός γε τὰ κατ' ἀρχὰς ῥηθέντα ὑπὸ σοῦ ἐγὼ μὲν ᾠμην ἱππεῖς ἐς πεδίον καλεῖν. Σὺ δὲ τοὺς ἱππεῖς κατενόησας; Ἀλλὰ ἔοικας οὐ φροντίζειν τῶν λόγων, μάλιστα οἷς νῦν κατὰ σφᾶς αὐτοὺς διήλθομεν.

ΣΟΛ. Ἐγὼ μὲν φροντίζω, σὺ δὲ ἀδήλως αὐτοὺς διεξέρχῃ.

9. ΛΥΚ. Πάνυ γοῦν ἄδηλόν ἐστι τὸ κατὰ σφᾶς αὐτοὺς ἐφ' ἡμῶν λεγόμενον. Ἀλλὰ τοῦτο μὲν δῆλον· σὲ δὲ οὐδεὶς ἂν θεῶν ἀγνοοῦντα παύσειε πλήν γε ὁ Ἀπόλλων. Μαντεύεται γοῦν ἐκεῖνος πᾶσι τοῖς ἐρωτῶσι, σὺ δὲ οὐδὲ τὸν μαντευόμενον κατενόησας.

ΣΟΛ. Μὰ τοὺς θεούς, οὐ γὰρ ἔμαθον.

ΛΥΚ. Εἰ ἄρα καθ' εἷς λανθάνει σε περιών;

ΣΟΛ. Ἐοίκασί γε.

ΛΥΚ. Ὁ δὲ καθ' εἷς πῶς παρῆλθεν;

ΣΟΛ. Οὐδὲ τοῦτο ἔμαθον.

ΛΥΚ. Οἶσθα δέ τινα μνηστευόμενον αὐτῷ γάμον;

ΣΟΛ. Τί οὖν τοῦτο;

ΛΥΚ. Ὅτι σολοικίζειν ἀνάγκη τὸν μνηστευόμενον αὐτῷ.

ΣΟΛ. Τί οὖν πρὸς τοὐμὸν πρᾶγμα, εἰ σολοικίζει τις μνηστευόμενος;

ΛΥΚ. Ὅτι ἀγνοεῖ ὁ φάσκων εἰδέναι. Καὶ τὸ μὲν οὕτως ἔχει. Εἰ δέ τις λέγοι σοι παρελθὼν ὡς ἀπολίποι τὴν γυναῖκα, ἆρ' ἂν ἐπιτρέποις αὐτῷ;

ΣΟΛ. Τί γὰρ οὐκ ἂν ἐπιτρέποιμι, εἰ φαίνοιτο ἀδικούμενος;

ΛΥΚ. Εἰ δὲ σολοικίζων φαίνοιτο, ἐπιτρέποις ἂν αὐτῷ τοῦτο;

ΣΟΛ. Οὐκ ἔγωγε.

ΛΥΚ. Ὀρθῶς γὰρ λέγεις· οὐ γὰρ ἐπιτρεπτέον σολοικίζοντι τῷ φίλῳ, ἀλλὰ διδακτέον ὅπως τοῦτο μὴ πείσεται. Καὶ εἴ τίς γε νῦν ψοφοίη τὴν θύραν ἐσιὼν ἢ ἐξιὼν κόπτοι, τί φήσομέν σε πεπονθέναι;

ΣΟΛ. Ἐμὲ μὲν οὐδέν, ἐκεῖνον δὲ ἐπεσελθεῖν βούλεσθαι ἢ ἐξιέναι.

ΛΥΚ. Σὲ δὲ ἀγνοοῦντα τὸν κόπτοντα ἢ ψοφοῦντα οὐδὲν ὅλως πεπονθέναι δόξομεν ἀπαίδευτον ὄντα;

ΣΟΛ. Ὑβριστὴς εἶ.

ΛΥΚ. Τί λέγεις; ὑβριστὴς ἐγώ; Νῦν δὴ γενήσομαί

monum. Et ego quidem citabo optimos quosque universos : tu autem qui sint agnoscito. Puto enim futurum ut nunc certe illud possis, qui tot deinceps proferri audieris.

SOL. Forte ne nunc quidem, te dicente, potero. Sed dic tamen.

LYC. Et quomodo te posse negas? janua enim prope tibi se cognoscendorum illorum aperuit.

SOL. Ergo dic.

LYC. Dixi equidem.

SOL. Nihil certe, quod ego assequerer.

LYC. Non ergo illud « aperuit se » assecutus es?

SOL. Non.

LYC. Quid igitur nobis fiet, si ne nunc quidem quæ dicuntur assequeris? Atqui respiciens ad ea quæ initio abs te dicta sunt, putabam ἱππεῖς [*pro* ἱππέας, equites] me in campum vocare. Tu vero illos ἱππεῖς agnovistin'? Sed videris non curare sermones, maxime quos modo inter ipsos agitabamus.

SOL. Equidem hoc ago; tu vero eos obscure nimis tractas.

9. LYC. Nempe valde obscurum est illud « inter ipsos », de nobis dictum. Sed hoc quidem apertum : at te deorum nemo ab ignorantia illa liberaverit, præterquam Apollo. Sciscitat enim ille consulentibus universis : tu vero neque illum « sciscitantem » intellexisti.

SOL. Non, per omnes deos : neque enim percepi.

LYC. An ergo singulus fugit te oberrans solœcismus?

SOL. Videntur certe.

LYC. Sed illud « singulus » quomodo te præteriit?

SOL. Neque hoc percepi.

LYC. Sed nostine aliquem sibi conciliantem nuptias?

SOL. Quid ergo istuc?

LYC. Solœcismum committat necesse est, qui sibi conciliet nuptias.

SOL. Quid ergo ad meam rem, si quis nuptias quærens solœcismum faciat?

LYC. Illud, quod ignorat is qui se scire dixerat. Et hoc quidem ita se habet. Sed si quis in transitu tibi dicat, se discedere ab uxore; num illi permittas?

SOL. Quidni vero permittam, si appareat injuria eum affici?

LYC. Si vero appareat solœcismum ab illo committi, num hoc ei permittas?

SOL. Non equidem.

LYC. Recte sane dicis : non enim indulgendum amico stribligine peccanti; sed docendus est qua ratione hoc illi ne accidat. Et si quis nunc crepare faciat ostium intrans, aut exiens pultet, quid tibi animi esse dicemus?

SOL. Mihi quidem nihil : sed illum intrare velle aut exire.

LYC. Te vero, qui vel pultantem vel crepitum excitantem ignores, plane nihil sensisse putabimus, indoctum adeo hominem?

SOL. Contumeliosus es.

LYC. Quid ais? egon' contumeliosus? Modo ego fiam,

σοι διαλεγόμενος. Ἔοικε δὲ σολοικίσαι τὸ νῦν δὴ γενήσομαι, σὺ δ' οὐκ ἔγνως.

10. ΣΟΛ. Παῦσαι πρὸς τῆς Ἀθηνᾶς. Ἀλλ' εἰπέ τι τοιοῦτον, ὥστε κἀμὲ μαθεῖν.

ΛΥΚ. Καὶ πῶς ἂν μάθοις;

ΣΟΛ. Εἴ μοι πάντα ἐπέλθοις, ὅσα φὴς σολοικίσας ἐμὲ λαθεῖν καὶ παρ' ὅ τι ἕκαστον σεσολοίκισται.

ΛΥΚ. Μηδαμῶς, ὦ ἄριστε· μακρὸν γὰρ ἂν ποιήσαιμεν τὸν διάλογον. Ἀλλὰ περὶ μὲν τούτων ἔξεστί σοι καθ' ἕκαστον αὐτῶν πυνθάνεσθαι· νῦν δ' ἕτερ' ἄττα ἐπέλθωμεν, εἰ δοκεῖ, καὶ πρῶτόν γε αὐτὸ τοῦτο ἄττα μὴ δασέως, ἀλλὰ ψιλῶς ἐξενεγκεῖν· [ὀρθῶς φαίνεται ῥηθὲν μετὰ τοῦ ἕτερα συντιθέμενον·] μὴ γὰρ οὕτως ἄλογον ἦν ἄν. Ἔπειτα τὸ τῆς ὕβρεως, ἣν με φὴς ὑβρίσαι σε, εἰ μὴ οὕτω λέγοιμι, ἀλλ' εἰς σέ, φαίην ἴδιον.

ΣΟΛ. Ἐγὼ μὲν οὐκ ἔχω εἰπεῖν.

ΛΥΚ. Ὅτι τὸ μὲν σὲ ὑβρίζειν τὸ σῶμά ἐστι τὸ σὸν ἤτοι πληγαῖς ἢ δεσμοῖς ἢ καὶ ἄλλῳ τρόπῳ, τὸ δὲ ἐς σέ, ὅταν εἴς τι τῶν σῶν γίγνηται ἡ ὕβρις· καὶ γὰρ ὅστις γυναῖκα ὑβρίζει τὴν σήν, εἰς σὲ ὑβρίζει, καὶ ὅστις παῖδα καὶ φίλον καὶ ὅστις γε οἰκέτην. Πλὴν γὰρ περὶ πραγμάτων οὕτως ἔχει σοι· ἐπεὶ τὸ ἐς πρᾶγμα ὑβρίζειν λέλεκται, οἷον ἐς τὴν παροιμίαν, ὡς ὁ Πλάτων φησὶν ἐν τῷ Συμποσίῳ.

ΣΟΛ. Κατανοῶ τὸ διάφορον.

ΛΥΚ. Ἆρ' οὖν καὶ τοῦτο κατανοεῖς, ὅτι τὸ ταῦτα ὑπαλλάττειν σολοικίζειν καλοῦσιν;

ΣΟΛ. Ἀλλὰ νῦν εἴσομαι.

ΛΥΚ. Αὐτὸ δὲ τὸ ὑπαλλάττειν εἴ τις ἐναλλάττειν λέγει, τί σοι δόξει λέγειν;

ΣΟΛ. Ἐμοὶ μὲν ταὐτὸν λέγειν δόξει.

ΛΥΚ. Καὶ πῶς ἂν εἴη ταὐτὸν τῷ ὑπαλλάττειν τὸ ἐναλλάττειν, εἴπερ τὸ μὲν ἑτέρου πρὸς ἕτερον γίγνεται, τοῦ μὴ ὀρθοῦ πρὸς τὸ ὀρθόν, τὸ δὲ τοῦ μὴ ὄντος πρὸς τὸ ὄν;

ΣΟΛ. Κατέμαθον ὅτι τὸ μὲν ὑπαλλάττειν τὸ μὴ κύριον ἀντὶ τοῦ κυρίου λέγειν ἐστί, τὸ δ' ἐναλλάττειν ποτὲ μὲν τῷ κυρίῳ, ποτὲ δὲ τῷ μὴ κυρίῳ χρῆσθαι.

ΛΥΚ. Ἔχει τινὰ καὶ ταῦτα κατανόησιν οὐκ ἄχαριν, τὸ δὲ σπουδάζειν πρός τινα τὴν οἰκείαν ὠφέλειαν τοῦ σπουδάζοντος ἐμφαίνει, τὸ δὲ περί τινα τὴν ἐκείνου περὶ ὃν σπουδάζει. Καὶ ταῦτα ἴσως μὲν ὑποσυγχέχυται, ἴσως δὲ καὶ ἀκριβοῦται παρά τισι· βέλτιον δὲ τὸ ἀκριβοῦν ἑκάστῳ.

ΣΟΛ. Ὀρθῶς γὰρ λέγεις.

11. ΛΥΚ. Τό γε μὴν καθίζεσθαι τοῦ καθίζειν καὶ τὸ κάθισον τοῦ κάθησο ἆρ' οἶσθ' ὅτι διενήνοχεν;

ΣΟΛ. Οὐκ οἶδα. Τὸ καθέσθητι ἤκουόν σου λέγοντος ὡς ἔστιν ἔκφυλον.

ΛΥΚ. Καὶ ὀρθῶς γε ἤκουσας. Ἀλλὰ τὸ κάθισον τοῦ κάθησο διαφέρειν φημί.

ΣΟΛ. Καὶ τῷ ποτ' ἂν εἴη διαφέρον;

ΛΥΚ. Τῷ τὸ μὲν πρὸς τὸν ἑστῶτα λέγεσθαι τὸ κάθισον, τὸ δὲ πρὸς τὸν καθεζόμενον·

dum tecum disputo. Videtur autem male junctum illud « modo fiam, » quod tu non agnovisti.

10. SOL. Desine, per Minervam: sed dic ejusmodi quiddam, quod ego quoque possim assequi.

LYC. Et quomodo assequaris?

SOL. Si percurras omnia in quibus stribligine sermonis me non observante te ais ultro peccasse, et quam quidque ob causam peccatum sit.

LYC. Nequaquam, bone vir; sic enim longum nimis faceremus hoc colloquium. Sed de his singulis me interrogare si velis, integrum tibi facio. Jam vero alia quædam (ἄττα), si videtur, percurramus; ac primo ipsum illud ἄττα non denso spiritu, sed tenui efferre oportet: [recte dictum apparet cum nomine ἕτερα compositum:] sic enim minus absurdum fuerit. Deinde illud de contumelia videamus, qua te affectum a me dicis: quod si non ita dicerem, sed in te contumeliosus fuisse, proprie loquerer.

SOL. Ego non habeo dicere.

LYC. Nam te contumeliose tractare significat corpus tuum aut plagis, aut vinculis, aut alio modo male mulcare: sed in te contumeliosum esse dicitur, quum in tuorum aliquid exercetur contumelia: etenim qui uxorem tuam contumeliose tractat, ille in te contumeliosus est; et qui filium tuum, et amicum, et qui servum; quin etiam de rebus ita tibi res habet. Nam etiam in rem contumeliosus aliquis esse dictus est, verbi gratia in proverbium, ut Plato ait in Convivio.

SOL. Comprehendo differentiam.

LYC. Numquid ergo hoc etiam comprehendis, qui permutet ista, illi stribliginem orationis objici?

SOL. Certe nunc sciam.

LYC. Sed ipsum illud « permutare » si quis dicat « immutare », quid tibi videbitur dicere?

SOL. Idem mihi dicere videbitur.

LYC. Sed quomodo idem sit permutare et immutare, quum hoc sit positio unius pro altero, vitiosi pro recto; illud vero ejus quod plane non est pro eo quod est (*falsi pro vero*).

SOL. Jam sum assecutus: permutare est improprium dicere pro proprio; immutare, interdum proprio uti, interdum improprio.

LYC. Habent ista quoque contemplationem non injucundam: Consulere aliquem, propriam appetentis utilitatem significat: Consulere alicui, utilitatem ejus cui consulimus. Et hæc fortasse aliquantum miscentur, fortasse autem accurate quibusdam observantur: melior autem unicuique accurata observatio.

SOL. Nempe.

11. LYC. Verum Stare et Sistere, itemque Asside et Sede, numquid nosti quid differant?

SOL. Non novi; sed hoc dicere te audivi, Conseditor esse peregrinum.

LYC. Recte tu quidem audisti: sed ego Asside et Sede differre aio.

SOL. Et qui tandem differant?

LYC. Quod ad stantem dicitur Asside! alterum autem ad sedentem, ut

Ἦσ', ὦ ξεῖν', ἡμεῖς δὲ καὶ ἄλλοθι δήομεν ἕδρην,

ἀντὶ τοῦ μένε καθεζόμενος. Πάλιν οὖν εἰρήσθω ὅτι τὸ ταῦτα παραλλάττειν ἁμαρτάνειν ἐστί. Τὸ δὲ καθίζω τοῦ καθίζομαι ἆρά σοι δοκεῖ μικρῷ τινι διαφέρειν; εἴπερ τὸ μὲν καὶ ἕτερον ὁρῶμεν, τὸ καθίζειν λέγω, τὸ δὲ μόνους ἡμᾶς αὐτοὺς τὸ καθίζεσθαι.

12. ΣΟΛ. Καὶ ταῦτα ἱκανῶς διελήλυθας, καὶ δὴ λέγε· οὕτω γάρ σε δεῖ προδιδάσκειν.

ΛΥΚ. Ἑτέρως γὰρ λέγοντος οὐ κατανοεῖς; Οὐκ οἶσθα οἷόν ἐστι ξυγγραφεὺς ἀνήρ;

ΣΟΛ. Πάνυ οἶδα νῦν γέ σου ἀκούσας ταῦτα λέγοντος.

ΛΥΚ. Ἐπεὶ καὶ τὸ καταδουλοῦν σὺ μὲν ἴσως ταυτὸν τῷ καταδουλοῦσθαι νενόμικας, ἐγὼ δὲ οἶδα διαφορὰν οὐκ ὀλίγην ἔχον.

ΣΟΛ. Τίνα ταύτην;

ΛΥΚ. Ὅτι τὸ μὲν ἑτέρῳ τὸ καταδουλοῦν, τὸ δ' ἑαυτῷ γίγνεται.

ΣΟΛ. Καλῶς λέγεις.

ΛΥΚ. Καὶ ἄλλα δέ σοι πολλὰ ὑπάρχει μανθάνειν, εἴπερ μὴ αὐτὸς εἰδέναι οὐκ εἰδὼς δόξεις.

ΣΟΛ. Ἀλλ' οὐκ ἂν δόξαιμι.

ΛΥΚ. Οὐκοῦν τὰ λοιπὰ ἐσαῦθις ἀναβαλώμεθα, νῦν δὲ διαλύσωμεν τὸν διάλογον.

Quin, peregrine, sedes? sedem invenlemus et ipsi :

sedes, pro manes sedens. Quare iterum dictum sit, mutare talia, peccare est. Sisto autem a Sto numquid parvo tibi discrimine abesse videtur? quum alterum faciamus in aliis sistere dico, alterum vero in nobis solis, stare.

12. SOL. Hæc etiam satis enarrasti : et dic sane ultra : ita enim oportet te docendo præire.

LYC. Num aliter dicente me, non intelligis? Non nosti quid sit vir Scriptor? [*Desunt quædam.*]

SOL. Omnino novi nunc quidem, postquam te ista dicentem audivi.

LYC. Quandoquidem etiam καταδουλοῦν tu forte idem quod καταδουλοῦσθαι putasti : ego vero differentiam ea non parvam habere novi.

SOL. Quamnam?

LYC. Quod alterum significat alterius potestati subjicere; καταδουλοῦσθαι vero sibi.

SOL. Recte dicis.

LYC. Supersunt alia quoque multa tibi discenda; nisi tamen ipse scire tibi videris, quum nescias.

SOL. Non possum videri.

LYC. Ergo in aliam occasionem differamus reliqua; nunc autem solvamus colloquium.

LXXVII.

* ΦΙΛΟΠΑΤΡΙΣ Η ΔΙΔΑΣΚΟΜΕΝΟΣ.

ΤΡΙΕΦΩΝ, ΚΡΙΤΙΑΣ ΚΑΙ ΚΛΕΟΛΑΟΣ.

1. ΤΡΙΕΦ. Τί τοῦτο, ὦ Κριτία; ὅλον σεαυτὸν ἠλλοίωσας καὶ τὰς ὀφρῦς κάτω συννένευκας, μύχιον δὲ βυσσοδομεύεις ἄνω καὶ κάτω περιπολῶν κερδαλεόφρονι ἐοικὼς κατὰ τὸν ποιητὴν « ὠχρός τέ σευ εἶλε παρειάς. » Μή που τρικάρηνον τεθέασαι ἢ Ἑκάτην ἐξ Ἅιδου ἐληλυθυῖαν, ἢ καί τινι θεῶν ἐκ προνοίας συνήντηκας; οὐδέπω γάρ σε τοιαῦτα εἰκὸς παθεῖν, εἰ καὶ αὐτὸν ἠκηκόεις, οἶμαι, τὸν κόσμον κλυσθῆναι ὥσπερ ἐπὶ τοῦ Δευκαλίωνος. Σοὶ λέγω, ὦ καλὲ Κριτία, οὐκ ἀΐεις ἐμοῦ ἐπιβοωμένου τὰ πολλὰ καὶ ἐς βραχὺ γειτνιάσαντος; δυσχεραίνεις καθ' ἡμῶν ἢ ἐκκεκώφωσαι ἢ καὶ τῆς χειρὸς παλαιστήσοντα ἐπιμένεις;

ΚΡΙΤ. Ὦ Τριεφῶν, μέγαν τινὰ καὶ ἠπορημένον λόγον ἀκήκοα καὶ πολλαῖς ὁδοῖς διενειλημένον καὶ ἔτι ἀναπεμπάζω τοὺς ὕθλους καὶ τὰς ἀκοὰς ἀποφράττω, μή που ἔτι ἀκούσαιμι ταῦτα καὶ ἀποψύξω ἐκμανεὶς καὶ μῦθος τοῖς ποιηταῖς γενήσομαι ὡς καὶ Νιόβη τὸ πρίν. Ἀλλὰ κατὰ κρημνὸν ὠθούμην ἂν ἐπὶ κεφαλῆς σκοτοδινήσας, εἰ μὴ ἐπέκραξάς μοι, ὦ τᾶν, καὶ τὸ τοῦ Κλεομβρότου πήδημα τοῦ Ἀμβρακιώτου ἐμυθεύθη ἐπ' ἐμοί.

2. ΤΡΙΕΦ. Ἡράκλεις, τῶν θαυμασίων ἐκείνων

LXXVII.

PHILOPATRIS seu QUI DOCETUR.

TRIEPHON, CRITIAS ET CLEOLAUS.

1. TRIEPH. Quid hoc rei est, Critia? totum te mutasti, et superciliis deorsum contractis profundas « volvis sub pectore curas, » sursumque et deorsum vagans « animos sub vulpe latentes, » ut est in poeta, videris circumferre, « oraque pallor occupat. » Numquid canem tricipitem vidisti, aut Hecaten ex inferis ascendentem, an consulto cum deorum aliquo una fuisti? Neque enim tali te modo affici par erat, puto, si vel mundum, ut quondam sub Deucalione, eluvie totum perire audivisses. Tecum loquor, o pulcher Critia; non me audis multum tibi inclamantem et prope jam te consistentem? irasne aliquas adversum nos geris? an obmutuisti? an exspectas denique dum injecta te manu impellam?

CRIT. O mi Triephon, magnam quandam audivi orationem ac difficilem, multis involutam ambagibus; et etiamnum retracto mecum logos illos, et aures obturo, ne si forte iterum illi audiendi sint, dirigeam præ furore et fabula poetis fiam, ut illa olim Niobe. Sed profecto, nisi tu mihi jam inclamasses, amice, de præcipiti loco in caput vertigo me impulisset, et Cleombroti saltus Ambraciotæ illius jam de me narraretur.

2. TRIEPH. Mirabilia, Hercules, visa vel audita, quæ

φασμάτων ἢ ἀκουσμάτων, ἅπερ Κριτίαν ἐξέπληξαν. Πόσοι γὰρ ἐμβρόντητοι ποιηταὶ καὶ τερατολογίαι φιλοσόφων οὐκ ἐξέπληξάν σου τὴν διάνοιαν, ἀλλὰ λῆρος πάντα γέγονεν ἐπὶ σοί.

ΚΡΙΤ. Πέπαυσο ἐς μικρὸν καὶ μηκέτι παρενοχλήσῃς, ὦ Τριεφῶν· οὐ γὰρ παροπτέος ἢ ἀμελητέος γενήσῃ παρ' ἐμοῦ.

ΤΡΙΕΦ. Οἶδ' ὅτι οὐ μικρὸν οὐδὲ εὐκαταφρόνητον πρᾶγμα ἀνακυκλεῖς, ἀλλὰ καὶ λίαν τῶν ἀπορρήτων· ὁ γὰρ χρὼς καὶ τὸ ταυρηδὸν ἐπιβλέπειν καὶ τὸ ἄστατον τῆς βάσεως τὸ ἄνω τε καὶ κάτω περιπολεῖν ἀρίγνωτόν σε καθίστησιν. Ἀλλ' ἄμπνευσον τοῦ δεινοῦ, ἔξέμεσον τοὺς ὕθλους, « μή τι κακὸν παθῇς. »

ΚΡΙΤ. Σὺ μὲν, ὦ Τριεφῶν, ὅσον πέλεθρον ἀνάδραμε ἀπ' ἐμοῦ, ἵνα μὴ τὸ πνεῦμα ἐξάρῃ σε καὶ πεδάρσιος τοῖς πολλοῖς ἀναφανῇς καί που καταπεσὼν Τριεφώντειον πέλαγος κατονομάσῃς, ὡς καὶ Ἴκαρος τὸ πρίν· ἃ γὰρ ἀκήκοα τήμερον παρὰ τῶν τρισκαταράτων ἐκείνων σοφιστῶν, μεγάλως ἐξώγκωσέ μου τὴν νηδύν.

ΤΡΙΕΦ. Ἐγὼ μὲν ἀναδραμοῦμαι ὁπόσον καὶ βούλει, σὺ δὲ ἄμπνευσον τοῦ δεινοῦ.

ΚΡΙΤ. Φῦ φῦ φῦ φῦ τῶν ὕθλων ἐκείνων, ἰοὺ ἰοὺ ἰοὺ ἰοὺ τῶν δεινῶν βουλευμάτων, αἲ αἲ αἲ αἲ τῶν κενῶν ἐλπίδων.

3. ΤΡΙΕΦ. Βαβαὶ τοῦ ἀναφυσήματος, ὡς τὰς νεφέλας διέστρεψε· ζεφύρου γὰρ ἐπιπνέοντος λάβρου καὶ τοῖς κύμασιν ἐπωθίζοντος βορέην ἄρτι ἀνὰ τὴν Προποντίδα ἤλεκίνησας, ὡς διὰ κάλων αἱ ὁλκάδες τὸν Εὔξεινον πόντον οἰχήσονται, τῶν κυμάτων ἐπικυλινδούντων ἐκ τοῦ φυσήματος, ὅσον οἴδημα τοῖς ἐγκάτοις ἐνέκειτο· πόσος κορκορυγμὸς καὶ κλόνος τὴν γαστέρα σου συνετάρασσε. Πολύωτον σεαυτὸν ἀναπέφηνας τοσαῦτα ἀκηκοώς· ὡς καὶ, κατὰ τὸ τερατῶδες, καὶ διὰ τῶν ὀνύχων ἠκηκόεις.

ΚΡΙΤ. Οὐ παράδοξόν τι, ὦ Τριεφῶν, ἀκηκοέναι καὶ ἐξ ὀνύχων· καὶ γὰρ κνήμην γαστέρα τεθέασαι καὶ κεφαλὴν κύουσαν καὶ ἀνδρείαν φύσιν ἐς γυναικείαν ἐνεργοβατοῦσαν καὶ ἐκ γυναικῶν ὄρνεα μεταβαλλόμενα· καὶ ὅλως τερατώδης ὁ βίος, εἰ βούλει πιστεύειν τοῖς ποιηταῖς. Ἀλλ' « ἐπεί σε πρῶτον κιχάνω τῷδ' ἐνὶ χώρῳ, » ἀπίωμεν ἔνθα αἱ πλάτανοι τὸν ἥλιον εἴργουσιν, ἀηδόνες δὲ καὶ χελιδόνες εὔηχα κελαδοῦσιν, ἵν' ἡ μελῳδία τῶν ὀρνέων τὰς ἀκοὰς ἐνηδύνουσα τό τε ὕδωρ ἠρέμα κελαρύζον τὰς ψυχὰς καταθέλξειε.

4. ΤΡΙΕΦ. Ἴωμεν, ὦ Κριτία· ἀλλὰ δέδια μή που ἐπῳδὴ τὸ ἠκουσμένον ἐστὶ καί με ὕπερον ἢ θόρετρον ἢ ἄλλο τι τῶν ἀψύχων ἀπεργάσεται ἡ θαυμασία σου αὕτη κατάπληξις.

ΚΡΙΤ. Νὴ τὸν Δία τὸν αἰθέριον οὐ τοῦτο γενήσεται ἐπὶ σοί.

ΤΡΙΕΦ. Ἔτι με ἐξεφόβησας τὸν Δία ἐπομοσάμενος. Τί γὰρ ἂν δυνήσεται ἀμυνέμεναί σε, εἰ παραβαίης τὸν ὅρκον; οἶδα γὰρ καὶ σὲ μὴ ἀγνοεῖν περὶ τοῦ Διός σου.

quidem Critiam adeo potuere percellere. Quot enim attoniti poetæ, quot philosophorum portentosi sermones, tantum abest ut tuam dimovere mentem potuerint, ut meræ omnes nugæ fuerint tibi.

CRIT. Quiesce paullum, Triephon, et noli molestus esse amplius: neque enim a me insuper habendus eris, aut negligendus.

TRIEPH. Novi te haud parvam rem, neque spernendam facile, quin valde etiam abstrusam, volutare animo: color enim ille tuus, illa in vultu torvitas, in ingressu illa inconstantia, illa sursum deorsumque conversio, valde te conspiciendum atque notabilem faciunt. Sed respira ab illo malo, et logos evome, « ne quo corripiare malo. »

CRIT. Sed heus tu, Triephon, quantum est unum jugerum, curriculo te hinc aufer, ne spiritu in sublime sublatus, spectaculum multitudini fias, et delapsus alicubi, ut quondam Icarus, Triephonteum pelagus nomine tuo signes. Insigniter enim, quæ hodie ex sacerrimis sophistis audivi, ventrem mihi inflarunt.

TRIEPH. Ego vero, quantum voles, retro curram: at tu respira a malo.

CRIT. Phy, phy, phy, phy, logos illos! hem, hem, hem, hem, nefanda consilia! heu, heu, heu, heu, spes vanissimas!

3. TRIEPH. Vah, quantus erat ille flatus, quam nubes ipsas convertit! Dum enim vehementi Zephyrus flatu in undas impingit, Boream jam super Propontide excitasti, adeo ut funibus naves tractæ Euxinum ingredi Pontum cogantur, fluctibus ex tuo spiritu magua se vi volventibus: tantus tumor tuis inerat intestinis. Hem quantus strepitus, quæ conquassatio ventrem tibi conturbabat! Auritissimum te esse demonstrasti, qui tot ac tanta audieris, adeo ut (tam portentosa res est) unguibus etiam audisse videaris.

CRIT. Sed non debebat tibi incredibile videri, Triephon, si quis etiam unguibus audiat; siquidem femur uterum vidisti, et caput prægnans, maris vero naturam in femineam transeuntem et muliebria operantem, mutatasque in aves feminas. Denique portentorum plena est omnis vita, si credas poetis. Sed « quum te primum his possum complectier oris », age abeamus eo, ubi solem platani arcent, lusciniæque et hirundines dulcisonis æthera cantibus implent, ut avium aures permulcens cantus, et aqua leni decurrens susurro, animas nostras tranquillet.

4. TRIEPH. Eamus sane, Critia; sed timeo ne forte incantatio sit quod tu audivisti, et pistillum aut januam ex me aut inanimatarum rerum aliam faciat mirabilis illa tua perculsio.

CRIT. Per ego ætherium tibi Jovem juro, non ita de te futurum.

TRIEPH. Amplius etiam terres, quum Jovem dejerasti. Quam enim ille jurisjurandi religionem violanti pœnam infligere possit? novi enim te non ignorare, ut tui Jovis res se habeant.

ΚΡΙΤ. Τί λέγεις; οὐ δυνήσεται ὁ Ζεὺς ἐς Τάρταρον ἀποπέμψαι; ἢ ἀγνοεῖς ὡς τοὺς θεοὺς πάντας ἀπερριψεν ἀπὸ τοῦ θεσπεσίου βηλοῦ καὶ τὸν Σαλμωνέα ἀντιβροντῶντα πρώην κατεκεραύνωσε καὶ τοὺς ἀσελγεστάτους ἔτι καὶ νῦν, παρὰ δὲ τῶν ποιητῶν Τιτανοκράτωρ καὶ Γιγαντολέτης ἀνυμνεῖται ὡς καὶ παρ' Ὁμήρῳ;

ΤΡΙΕΦ. Σὺ μέν, ὦ Κριτία, πάντα παρέδραμες τὰ τοῦ Διὸς, ἀλλ', εἰ σοι φίλον, ἄκουε. Οὐχὶ κύκνος οὗτος ἐγένετο καὶ σάτυρος δι' ἀσέλγειαν, ἀλλὰ καὶ ταῦρος; καὶ εἰ μὴ τὸ πορνίδιον ἐκεῖνο ταχέως ἐπωμίσατο καὶ διέφυγε διὰ τοῦ πελάγους, τάχ' ἂν ἠροτρία ἐντυχὼν γεηπόνῳ ὁ βροντοποιὸς καὶ κεραυνοβόλος σου Ζεὺς καὶ ἀντὶ τοῦ κεραυνοβολεῖν τῇ βουπλῆγι κατεκεντάννυτο. Τὸ δὲ καὶ Αἰθίοψι συνευωχεῖσθαι ἀνδράσι μελαντέροις καὶ τὴν ὄψιν ἐζοφωμένοις καὶ ἐς δώδεχ' ἡλίους μὴ ἀφίστασθαι, ἀλλ' ὑποδεδρεγμένος καθεδεῖσθαι παρ' αὐτοῖς πώγωνα τηλικοῦτον ἔχων, οὐκ αἰσχύνης ἄξια; τὰ δὲ τοῦ ἀετοῦ καὶ τῆς Ἴδης καὶ τὸ κυοφορεῖν καθ' ὅλου τοῦ σώματος αἰσχύνομαι καὶ λέγειν.

5. ΚΡΙΤ. Μῶν τὸν Ἀπόλλωνά γ' ἐπομοσόμεθα, ὃς προφήτης ἄριστος καὶ ἰητρὸς, ὦγαθέ;

ΤΡΙΕΦ. Τὸν ψευδόμαντιν λέγεις, τὸν Κροῖσον πρώην διολωλεκότα καὶ μετ' αὐτὸν Σαλαμινίους καὶ ἑτέρους μυρίους, ἀμφίλοξα πᾶσι μαντευόμενον;

6. ΚΡΙΤ. Τὸν Ποσειδῶνα δὲ τί; ὃς τρίαιναν ἐν ταῖν χεροῖν κρατῶν καὶ διάτορόν τι καὶ καταπληκτικὸν βοᾷ ἐν τῷ πολέμῳ ὅσον ἐννεάχιλοι ἄνδρες ἢ δεκάχιλοι, ἀλλὰ καὶ σεισίχθων, ὦ Τριεφῶν, ἐπονομάζεται;

ΤΡΙΕΦ. Τὸν μοιχὸν λέγεις ὃς τὴν τοῦ Σαλμωνέως παῖδα τὴν Τυρὼ πρώην διέφθειρε καὶ ἔτι ἐπιμοιχεύει καὶ ῥύστης καὶ δημαγωγὸς τῶν τοιούτων ἐστί; τὸν γὰρ Ἄρην ὑπὸ τοῦ δεσμοῦ πιεζόμενον καὶ δεσμοῖς ἀλύτοις μετὰ τῆς Ἀφροδίτης στενούμενον, πάντων τῶν θεῶν διὰ τὴν μοιχείαν ὑπ' αἰσχύνης σιωπώντων, ὁ ἵππειος Ποσειδῶν ἔκλαυσε δακρυρροῶν ὥσπερ τὰ βρεφύλλια τοὺς διδασκάλους δεδιότα ἢ ὥσπερ αἱ γρᾶες κόρας ἐξαπατῶσαι· ἐπέκειτο δὲ τῷ Ἡφαίστῳ λῦσαι τὸν Ἄρεα, τὸ δὲ ἀμφίχωλον τοῦτο δαιμόνιον, οἰκτεῖραν τὸν πρεσβύτην θεὸν, τὸν Ἄρη ἀπηλευθέρωσεν. Ὥστε καὶ μοιχός ἐστιν ὡς μοιχοὺς διασώζων.

7. ΚΡΙΤ. Ἑρμείαν δὲ τί;

ΤΡΙΕΦ. Μή μοι τὸν κακόδουλον τοῦ ἀσελγεστάτου Διὸς καὶ τὸν ἀσελγομανοῦντα ἐπὶ τοῖς μοιχικοῖς.

8. ΚΡΙΤ. Ἄρεα δὲ καὶ Ἀφροδίτην οἶδα μὴ παραδέχεσθαί σε διὰ τὸ προδιαβληθῆναι πρώην παρὰ σοῦ. Ὥστε ἐάσωμεν τούτους. Τῆς Ἀθηνᾶς ἔτι ἐπιμνησθήσομαι, τῆς παρθένου, τῆς ἐνόπλου καὶ καταπληκτικῆς θεᾶς, ἣ καὶ τὴν τῆς Γοργόνος κεφαλὴν ἐν τῷ στήθει περιάπτεται, τὴν γιγαντολέτιν θεόν. Οὐ γὰρ ἔχεις τι λέγειν περὶ αὐτῆς.

ΤΡΙΕΦ. Ἐρῶ σοι καὶ περὶ ταύτης, ἢν μοι ἀποκρίνῃ.

ΚΡΙΤ. Λέγε ὅ τι γε βούλει.

CRIT. Ain' tu? non posse Jovem in Tartarum aliquem mittere? aut nescis tu homo ut deos omnes de cœlesti illo limine dejecerit, ut Salmonea contrà tonantem fulmine olim prostraverit, et hodienum prout quisque est petulantissimus prosternat; atque inde esse quod apud poetas « Titanum victor, debellatorque Gigantum, » velut apud Homerum, decantetur?

TRIEPH. Omnia tu quidem, Critia, Jovis percurristi; sed, si placet, invicem audi. Nonne idem cygnus factus est satyrusque libidinis causa, quin taurus etiam? et nisi celeriter suscepto in humeros isto scortillo per pelagus aufugisset, forte jam, ab agricola aliquo interceptus, araret tuus ille tonitruum effector fulminumque jaculator Jupiter, et pro eo, quod fulmina dicitur jacere, stimulos sentiret et scuticam. Illud vero non rubore dignum censes, egregie barbatum senem cum Æthiopibus epulas celebrare, prænigra viris facie et vultibus obtenebratis, et duodecim totis solibus apud eos vino madentem desidere? illa enim de aquila et de Ida, et quod per totum corpus fœtum ferat, dicere etiam pudor est.

5. CRIT. Numquid igitur, o bone, per Apollinem jurabimus, medicum pariter atque vatem optimum?

TRIEPH. Mendacem illum prophetam dicis, qui Crœsum olim, et post illum Salaminios, aliosque sexcentos, vaticiniorum ambiguitate pessumdedit?

6. CRIT. Quid si per Neptunum, qui trifidum in manibus sceptrum tenens, penetrabili voce terribilique tantum in bello clamat quantum vix « novemve decemve virorum millia? » qui præterea terræ quassator, o Triephon, appellatur?

TRIEPH. Scilicet per mœchum illum, qui Tyro, Salmonei filiam, olim corrupit, et insuper adulteria committit, taliumque et sibi similium liberator ac concitator est? Martem enim reti captum et vinculis cum Venere sua indissolubilibus constrictum, omnibus diis ob adulterium tacentibus præ pudore, equestris ille Neptunus lacrimis, quales puerorum sunt magistros timentium, aut vetularum puellas decipientium, effusis deflevit: instabat autem Vulcano, ut Martem solveret; claudumque illud dæmonium misericordia senis dei Martem dimisit. Mœchus itaque ipse est, ut qui salus sit mœchorum.

7. CRIT. Quid si per Mercurium?

TRIEPH. Apage vero pessimum illum libidinosissimi Jovis administrum, ipsumque stuprorum cupiditate ac adulteriorum pruritu insanientem.

8. CRIT. At Martem Veneremque te non accepturum jam prævideo, quum modo eos contumelia affeceris. Igitur mittamus hos. Sed Minervæ adhuc mentionem faciam, virginis, armatæ terribilisque deæ, quæ Gorgonis caput pectori præfixum gerit, Gigantum perditricem deam. Contra hanc enim dicere nihil habes.

TRIEPH. Quin contra hanc etiam dixero, si respondere voles.

CRIT. Cedo quicquid placuerit

ΤΡΙΕΦ. Εἰπέ μοι, ὦ Κριτία, τί τὸ χρήσιμον τῆς Γοργόνος καὶ τί τῷ στήθει τοῦτο ἡ θεὰ ἐπιφέρεται;

ΚΡΙΤ. Ὡς φοβερόν τι θέαμα καὶ ἀποτρεπτικὸν τῶν δεινῶν. Ἀλλὰ καὶ καταπλήσσει τοὺς πολεμίους καὶ ἑτεραλκέα τὴν νίκην ποιεῖ, ὅπου γε βούλεται.

ΤΡΙΕΦ. Μῶν καὶ διὰ τοῦτο ἡ Γλαυκῶπις ἀκαταμάχητος;

ΚΡΙΤ. Καὶ μάλα.

ΤΡΙΕΦ. Καὶ διὰ τί οὐ τοῖς σώζειν δυναμένοις, ἀλλὰ τοῖς σωζομένοις μηρία καίομεν ταύρων ἠδ' αἰγῶν, ὡς ἡμᾶς ἀκαταμαχήτους ἐργάσωνται ὥσπερ τὴν Ἀθηνᾶν;

ΚΡΙΤ. Ἀλλ' οὔ οἱ δύναμίς γε πόρρωθεν ἐπιβοηθεῖν ὥσπερ τοῖς θεοῖς, ἀλλ' εἴ τις αὐτὴν ἐπιφέρεται.

9. ΤΡΙΕΦ. Καὶ τί τόδ' ἔστιν, ἐθέλω γὰρ παρὰ σοῦ εἰδέναι ὡς ἐξευρημένου τὰ τοιαῦτα καὶ ἐς μάλιστα κατωρθωκότος. Ἀγνοῶ γὰρ πάντα τὰ κατ' αὐτὴν πλήν γε τοῦ ὀνόματος.

ΚΡΙΤ. Αὕτη κόρη ἐγένετο εὐπρεπὴς καὶ ἐπέραστος· Περσέως δὲ ταύτην δόλῳ ἀποδειροτομήσαντος, ἀνδρὸς γενναίου καὶ ἐς μαγικὴν εὐφημουμένου, ἐπαοιδίαις ταύτην περιῳδήσαντος, ἅλκαρ οἱ θεοὶ ταύτην ἐσχήκασι.

ΤΡΙΕΦ. Τουτί μ' ἐλάνθανέ ποτε τὸ καλὸν, ὡς ἀνθρώπων θεοὶ ἐνδεεῖς εἰσι. Ζώσης δὲ τί τὸ χρήσιμον; προσηταιρίζετο ἐς πανδοχεῖον ἢ κρυφίως συνεφθείρετο καὶ κόρην αὐτὴν ἐπωνόμαζε;

ΚΡΙΤ. Νὴ τὸν Ἄγνωστον ἐν Ἀθήναις παρθένος διέμεινε μέχρι τῆς ἀποτομῆς.

ΤΡΙΕΦ. Καὶ εἴ τις παρθένον καρατομήσειε, ταὐτὸ γένοιτο φόβητρον τοῖς πολλοῖς; οἶδα γὰρ μυρίας διαμελεῖστὶ τμηθείσας « νήσῳ ἐν ἀμφιρύτῃ, Κρήτην δέ τέ μιν καλέουσι. » Καὶ εἰ τοῦτο ἐγίνωσκον, ὦ καλὲ Κριτία, πόσας Γοργόνας σοι ἀνήγαγον ἐκ Κρήτης; καί σε στρατηγέτην ἀκαταμάχητον ἀποκατέστησα, ποιηταὶ δὲ καὶ ῥήτορες κατὰ πολύ με Περσέως διέκριναν ὡς πλείονας Γοργόνας ἐφευρηκότα.

10. Ἀλλ' ἔτι ἀνεμνήσθην τὰ τῶν Κρητῶν, οἳ τάφον ἐπεδείκνυντό μοι τοῦ Διός σου καὶ τὰ τὴν μητέρα θρέψαντα λόχμια, ὡς ἀειθαλεῖς αἱ λόχμαι αὗται διαμένουσι.

ΚΡΙΤ. Ἀλλ' οὐκ ἐγίγνωσκες τὴν ἐπῳδὴν καὶ τὰ ὄργια.

ΤΡΙΕΦ. Εἰ ταῦτα, ὦ Κριτία, ἐξ ἐπῳδῆς ἐγίνετο, τάχ' ἂν καὶ ἐκ νεκάδων ἐξήνεγκεν ἂν καὶ ἐς τὸ γλυκύτατον φάος ἀνήγαγεν. Ἀλλὰ λῆρος παίγνιά τε καὶ μῦθοι παρὰ τῶν ποιητῶν τερατολογούμενα. Ὥστε ἔασον καὶ ταύτην.

11. ΚΡΙΤ. Ἥραν δὲ τὴν Διὸς γαμετὴν καὶ κασίγνητον οὐ παραδέχῃ;

ΤΡΙΕΦ. Σίγα τῆς ἀσελγεστάτης ἕνεκα μίξεως καὶ τὴν ἐκ ποδοῖν καὶ χεροῖν ἐκτεταμένην παράδραμε.

12. ΚΡΙΤ. Καὶ τίνα ἐπομόσωμαί γε;

TRIEPH. Dic mihi igitur, Critia, quæ est Gorgonis utilitas, et cui bono pectus ea munit Pallas?

CRIT. Ut terribili quodam spectaculo malisque averruncandis apto. Quin terret etiam hostes, victoriamque ut lubitum fuerit ab una parte inclinat ad alteram.

TRIEPH. Num hac etiam causa invicta est Cæsia illa dea?

CRIT. Utique.

TRIEPH. Cur autem non iis quæ servare possunt potius, quam qui ipsi servantur, taurorum cremamus aut caprarum femora, ut nos etiam invictos, quemadmodum Minervam, præstent?

CRIT. Sed non habet Gorgo vim illam eminus adjuvandi, quam habent dii, sed si quis eam præferat, prodest.

9. TRIEPH. Sed quid tandem rei est Gorgo? velim enim ex te audire, qui inventus talia et exquisitissime pertractasse: nam ignoro equidem, præter nudum nomen, ejus omnia.

CRIT. Virgo igitur erat decenti forma et amabilis; sed postquam Perseus, vir fortis et ob magicæ artis peritiam celebris, incantationibus victæ caput dolo abstulerat, præsidii causa dii eam habuere.

TRIEPH. Fugit me res tam egregia, quod hominibus dii opus habent. Sed quum viveret, quam utilitatem præstitit? numquid in stabulis meretriciam faciebat, an vero clam imminui se patiebatur ac virginem tamen sese nominabat?

CRIT. Per ignotum qui colitur Athenis deum, virgo usque ad capitis percussionem permansit.

TRIEPH. Et si quis caput virgini abscindat, fietne tum terriculamentum ejusmodi etiam vulgo cuilibet? novi enim vel decies mille virgines membratim omnes dissectas in insula, « quam Cretam dixere, ambit circumfluus humor. » Hoc ego si novissem, quot tibi Gorgonas attulissem ex Creta? atque invictum te imperatorem constituissem; poetæ autem et rhetores me, tanquam plurimarum inventorem Gorgonum, longe Perseo superiorem judicassent.

10. Sed quoniam in Cretenses incidimus, memini adhuc illos mihi ostendere sepulcrum tui illius Jovis, et quæ ipsius matrem sustentarunt virgulta, et quam hæc sint perennia vireta.

CRIT. Sed ignorabas tu quidem incantationem et cærimonias.

TRIEPH. Si hæc possent, mi Critia, incantationibus peragi, possent illæ forte etiam ex inferis ereptos in dulcissimam hanc lucem reducere. Sed nugæ sunt scilicet næniæque et fabulæ a poetis portentose confictæ. Itaque et hanc omitte.

11. CRIT. Junonem autem, Jovis uxorem pariter ac sororem, non accipies.

TRIEPH. Tace ob lascivissimum illum concubitum, et manibus ac pedibus extensam ocyus prætercurre.

12. CRIT. Per quem igitur deum tibi vis ut jurem?

ΤΡΙΕΦ. Ὑψιμέδοντα θεὸν, μέγαν, ἄμβροτον, οὐρανίωνα,
υἱὸν πατρὸς, πνεῦμα ἐκ πατρὸς ἐκπορευόμενον,
ἓν ἐκ τριῶν καὶ ἐξ ἑνὸς τρία,
ταῦτα νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν.

ΚΡΙΤ. Ἀριθμέειν με διδάσκεις, καὶ ὅρκος ἡ ἀριθμητική· καὶ γὰρ ἀριθμέεις ὡς Νικόμαχος ὁ Γερασηνός. Οὐκ οἶδα γὰρ τί λέγεις, ἓν τρία, τρία ἕν. Μὴ τὴν τετρακτὺν φῂς τὴν Πυθαγόρου ἢ τὴν ὀγδοάδα καὶ τριακάδα;

ΤΡΙΕΦ. Σίγα τὰ νέρθε καὶ τὰ σιγῆς ἄξια.

Οὐκ ἔσθ' ὅδε μετρεῖν τὰ ψυλλῶν ἴχνη. Ἐγὼ γάρ σε διδάξω τί τὸ πᾶν καὶ τίς ὁ πρώην πάντων καὶ τί τὸ σύστημα τοῦ παντός· καὶ γὰρ πρώην κἀγὼ ταῦτα ἔπασχον ἅπερ σὺ, ἡνίκα δέ μοι Γαλιλαῖος ἐνέτυχεν, ἀναφαλαντίας, ἐπίρρινος, ἐς τρίτον οὐρανὸν ἀεροβατήσας καὶ τὰ κάλλιστα ἐκμεμαθηκὼς, δι' ὕδατος ἡμᾶς ἀνεκαίνισεν, ἐς τὰ τῶν μακάρων ἴχνια παρεισώδευσε καὶ τῶν ἀσεβῶν χώρων ἡμᾶς ἐλυτρώσατο. Καὶ σὲ ποιήσω, ἢν μου ἀκούῃς, ἐπ' ἀληθείας ἄνθρωπον.

13. ΚΡΙΤ. Λέγε, ὦ πολυμαθέστατε Τριεφῶν· διὰ φόβου γὰρ ἔρχομαι.

ΤΡΙΕΦ. Ἀνέγνωκάς ποτε τὰ τοῦ Ἀριστοφάνους τοῦ δραματοποιοῦ Ὄρνιθας ποιημάτια;

ΚΡΙΤ. Καὶ μάλα.

ΤΡΙΕΦ. Ἐγκεχάρακται παρ' αὐτοῦ τοιόνδε·

Χάος ἦν καὶ Νὺξ Ἔρεβός τε μέλαν πρῶτον καὶ Τάρταρος εὐρύς·
γῆ δ' οὐδ' ἀὴρ οὐδ' οὐρανὸς ἦν.

ΚΡΙΤ. Εὖ λέγεις. Εἶτα τί ἦν;

ΤΡΙΕΦ. Ἦν φῶς ἄφθιτον ἀόρατον ἀκατανόητον, ὃ λύει τὸ σκότος καὶ τὴν ἀκοσμίαν ταύτην ἀπῆλασε, λόγῳ μόνῳ ῥηθέντι ὑπ' αὐτοῦ, ὡς ὁ βραδύγλωσσος ἀπεγράψατο, γῆν ἔπηξεν ἐφ' ὕδασιν, οὐρανὸν ἐτάνυσεν, ἀστέρας ἐμόρφωσεν ἀπλανεῖς, δρόμον διετάξατο, οὓς σὺ σέβῃ θεοὺς, γῆν δὲ τοῖς ἄνθεσιν ἐκαλλώπισεν, ἄνθρωπον ἐκ μὴ ὄντων ἐς τὸ εἶναι παρήγαγε, καὶ ἔστιν ἐν οὐρανῷ βλέπων δικαίους τε κἀδίκους καὶ ἐν βίβλοις τὰς πράξεις ἀπογραφόμενος· ἀνταποδώσει δὲ πᾶσιν ἣν ἡμέραν αὐτὸς ἐνετείλατο.

14. ΚΡΙΤ. Τὰ δὲ τῶν Μοιρῶν ἐπινενησμένα ἐς ἅπαντας ἐγχαράττουσί γε καὶ ταῦτα;

ΤΡΙΕΦ. Τὰ ποῖα;

ΚΡΙΤ. Τὰ τῆς εἱμαρμένης.

ΤΡΙΕΦ. Λέγε, ὦ καλὲ Κριτία, περὶ τῶν Μοιρῶν, ἐγὼ δὲ μαθητιῶν ἀκούσαιμι παρὰ σοῦ.

ΚΡΙΤ. Οὐχ Ὅμηρος ὁ ἀοίδιμος ποιητὴς εἴρηκε,
Μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν·
ἐπὶ δὲ τοῦ μεγάλου Ἡρακλέους,

Οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλείη φύγε κῆρα,
ὅσπερ φίλτατος ἔσκε Διὶ Κρονίωνι ἄνακτι,
ἀλλά ἑ Μοῖρ' ἐδάμασσε καὶ ἀργαλέος χόλος Ἥρης.

Ἀλλὰ καὶ ὅλον τὸν βίον καθειμάρθαι καὶ τὰς ἐν τούτῳ μεταβολάς·

Ἔνθα δ' ἔπειτα

TRIEPH. Per magnum, æternum, per cœlicolam altipotentem, filium patris, spiritum ex patre procedentem, [tentem, unum ex tribus et ex uno tria,
Hæc tu Jovem putato, hunc censeto deum.

CRIT. Computare tu quidem me doces, et jusjurandum tibi est arithmetica: computas enim ut Nicomachus Gerasenus. Nescio enim quid tibi velis, unum tria, tria unum. Numquid de quaternario dicis Pythagoræ, aut octonario aut tricenario?

TRIEPH. Quin tu terrena, digna silentio, taces?

Non hic agitur de dimetiendis pulicum vestigiis. Ego enim te docebo quid sit hoc universum, et quis sit ante omnia, et quæ universi sit combinatio atque constructio. Antea enim etiam mihi quæ jam tibi usu venerunt: sed postquam in Galilæum incidi, recalvastrum, nasonem, qui per aera incedens in tertium usque cœlum se penetraverat, resque omnium pulcherrimas ibi didicerat; is per aquam nos renovavit, impiorumque eseptos regionibus in beatarum animarum vestigiis collocavit. Etiam ex te faciam, si auscultare mihi velis, vere hominem.

13. CRIT. Dic, peritissime Triephon: horror enim me incessit.

TRIEPH. Legistine unquam Aristophanis comici poematia quæ ille Aves inscripsit?

CRIT. Legi utique.

TRIEPH. In illis ita ab eo scriptum est:

Chaos olim et Nox Erebusque fuit nigrum, tum Tartarus ingens:
non terra, aer, nec Olympus erat.

CRIT. Præclare ista. Sed quid tum?

TRIEPH. Lux erat incorrupta, invisa, incomprehensa, quæ solvit tenebras et indigestam tum molem dispulit; verbo tantum a se prolato, ut tardilinguis ille scriptum reliquit, terram super aquis condensavit, cœlum expandit, stellas formavit fixas, cursumque illis constituit, quas tu pro diis venerare: terram autem floribus exornavit, hominem ex illis quæ plane non erant, ut esset produxit. Jamque observat de cœlo justos pariter atque injustos, in librisque singulorum actiones describit; omnibus autem, qua præfinivit die, justa retribuet.

14. CRIT. Quæ vero Parcæ glomerarunt omnibus, tum ea quoque illi describunt?

TRIEPH. Quænam.

CRIT. Fati decreta.

TRIEPH. Tu dicito, o pulcher Critia, de Parcis; ego vero discendi abs te cupidus auscultabo.

CRIT. Nonne Homerus, celeberrimus poeta, dixit,

Fatum equidem nullum dico effugisse virorum:
de magno autem Hercule ita:

Nec potuit fugisse Atropon vis Herculis atram,
qui regi divûm Jovi erat carissimus unus,
sed Sors dira virum Junonisque ira subegit.

Quin vitam omnem, omnesque in illa mutationes constitutas atque ordinatas, idem docet,

Hinc ordine

πείσεται ἅσσα οἱ Αἶσα Κατακλῶθές τε βαρεῖαι
γιγνομένῳ νήσαντο λίνῳ, ὅτε μιν τέκε μήτηρ.

Καὶ τὰς ἐν ξένῃ ἐποχὰς ἀπ' ἐκείνης γίγνεσθαι·

Ἠΰ' ὡς Αἴολον ἱκόμεθ', ὅς μ' ἐπρόφρων ὑπέδεκτο,
καὶ πέμπ'· οὐδέπω αἶσα φίλην ἐς πατρίδ' ἱκέσθαι.

Ὥστε πάντα ὑπὸ τῶν Μοιρῶν γίγνεσθαι ὁ ποιητὴς μεμαρτύρηκε. Τὸν δὲ Δία μὴ θελῆσαι τὸν υἱὸν

θανάτοιο δυσηχέος ἐξαναλῦσαι,

ἀλλὰ μᾶλλον

αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἐραζε
παῖδα φίλον τιμῶν, τόν οἱ Πάτροκλος ἔμελλε
φθίσειν ἐν Τροίῃ.

Ὥστε, ὦ Τριεφῶν, διὰ τοῦτο μηδὲν προσθεῖναι περὶ τῶν Μοιρῶν ἐθελήσῃς, εἰ καὶ τάχα πεδάρσιος ἐγεγόνεις μετὰ τοῦ διδασκάλου καὶ τὰ ἀπόρρητα ἐμυήθης.

15. ΤΡΙΕΦ. Καὶ πῶς ὁ αὐτὸς ποιητὴς, ὦ καλὲ Κριτία, διττὴν ἐπιλέγει τὴν εἱμαρμένην καὶ ἀμφίβολον, ὡς τόδε μέν τι πράξαντι, τοιῷδε τέλει συγκῦρσαι, τοῖον δὲ ποιήσαντι, ἑτέρῳ τέλει ἐντυχεῖν; ὡς ἐπ' Ἀχιλλέως,

Διχθαδίας Κῆρας φερέμεν θανάτοιο τέλοσδε·
εἰ μέν κ' αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται.
Εἰ δέ κεν οἴκαδ' ἵκωμαι,
ὤλετό μοι κλέος ἐσθλόν, ἐπὶ δηρὸν δέ μοι αἰὼν
ἔσσεται.

Ἀλλὰ καὶ ἐπὶ Εὐχήνορος,

Ὅς ῥ' εὖ εἰδὼς κῆρ' ὀλοὴν ἐπὶ νηὸς ἔβαινε·
πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύϊδος,
νούσῳ ὑπ' ἀργαλέῃ φθῖσθαι οἷς ἐν μεγάροισιν
ἢ μετ' Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι.

16. Οὐχὶ παρ' Ὁμήρῳ ταῦτα γέγραπται; ἡ ἀμφίβολος αὕτη καὶ ἀμφίκρημνος ἀπάτη; εἰ δὲ βούλει, καὶ τοῦ Διὸς ἐπιθήσω σοι τὸν λόγον. Οὐχὶ τῷ Αἰγίσθῳ εἴρηκεν ὡς ἀποσχομένῳ μὲν τῆς μοιχείας καὶ τῆς Ἀγαμέμνονος ἐπιβουλῆς ζῆν καθείμαρται πολὺν χρόνον, ἐπιβαλλομένῳ δὲ ταῦτα πράττειν οὐ καθυστερεῖν θανάτου; τοῦτο κἀγὼ πολλάκις προὐμαντευσάμην, ἐὰν κτάνῃς τὸν πλησίον, θανατωθήσῃ παρὰ τῆς δίκης, εἰ δέ γε μὴ τοῦτο πράξῃς, βιώσῃ καλῶς,

Οὐδέ κέ σ' ὦκα τέλος θανάτοιο κιχείη.

Οὐχ ὁρᾷς ὡς ἀδιόρθωτα τὰ τῶν ποιητῶν καὶ ἀμφίλοξα καὶ μηδέπω ἡδραιωμένα; ὥστε ἔασον ἅπαντα, ὡς καὶ σὲ ἐν ταῖς ἐπουρανίοις βίβλοις τῶν ἀγαθῶν ἀπογράψωνται.

17. ΚΡΙΤ. Εὖ πάντα ἀνακυκλεῖς, ὦ Τριεφῶν· ἀλλά μοι τόδε εἰπὲ, εἰ καὶ τὰ τῶν Σκυθῶν ἐν τῷ οὐρανῷ ἐγχαράττουσι;

ΤΡΙΕΦ. Πάντα, εἰ τύχῃ γε χρηστὸς καὶ ἐν ἔθνεσι.

ΚΡΙΤ. Πολλούς γε γραφέας φῂς ἐν τῷ οὐρανῷ, ὡς ἅπαντα ἀπογράφεσθαι.

ΤΡΙΕΦ. Εὐστόμει καὶ μηδὲν εἴπῃς φλαῦρον θεοῦ δεξιοῦ, ἀλλὰ κατηχούμενος πείθου παρ' ἐμοῦ, εἴπερ

suscipiet, quæ vis Fati Parcæque verendæ
nascenti nevere, utero quum prodiit infans

Moras etiam quæ in peregrino solo sunt sufferendæ, a Fato constitui;

Æolus et placide venientem excepit, euntemque
in patriam juvit : sed nondum Fata sinebant.

Ut adeo omnia a Parcis fieri poetæ testimonio constet. Jovem ipsum non velle a gnato

diram defendere mortem,

quin potius

sanguinis in terram guttas demisit Olympo
deplorans gnatum, qui mox mucrone Patrocli
ad Trojam periturus erat.

Quæ quum ita sint, Triephon, verbum de Parcis addere unum non voles, quamvis forte cum illo magistro tuo sublimis in cœlum raptus arcanisque initiatus esses.

15. TRIEPH. Sed quid illud sibi vult, quod idem poeta duplex nobis comminiscitur ancepsque fatum? ita ut istud quidem facientem certus rerum exitus maneat; sed si aliud agat, alium etiam finem res nanciscatur; ut de Achille, qui de se dicit :

Bina Thetis mihi fata tulit, mortemque biformem :
si maneam Teucrûmque adversus mœnia pugnem,
interiit reditus, sed erit mihi fama superstes.
Sin patriam viso rursus,
fama perit, sed longa mihi sine laude senectus
futura.

Sed et de Euchenore ita :

Qui fati gnarus, naves classemque petebat :
sæpe etenim, Polyide senex, hæc fata canebas,
aut morbo in patria periturum, aut inter Achivûm
nigras Trojano casurum vulnere naves.

16. Negabisne hæc apud Homerum scripta? aut ambiguam potius et utrimque præruptam fraudem agnosces? Sed Jovis etiam, si vis, orationem adjiciam. Nonne Ægistho dixit, si vellet se abstinere ab adulterio insidiisque Agamemnoni struendis, ut diu viveret, esse in fatis; sin ista facere aggrederetur, acceleratam mortem non effugiturum? Ad eum modum et ego vaticinatus sæpe sum : si occideris alium, ab judicibus mortem exspecta; si hoc non feceris, bene vives,

Nec tibi fas subito fatum finemque venire.

Non vides quam sint minime castigata quæ poetæ fingunt. quam ambigua nullisque subnixa fundamentis? Omnis igitur, si sapis, omitte, ut te etiam in cœlestibus bonorum libris inscribant.

17. CRIT. Bene revolveris ad id unde discesseramus, Triephon. Sed illud mihi dic, Scytharumne etiam res illi in cœlo describunt?

TRIEPH. Et omnes quidem, si modo bonum aliquem esse vel inter gentes contingat.

CRIT. Multos in cœlo scribas esse dicis qui quidem describant omnia.

TRIEPH. Bona verba, ne quid in sapientem deum dicas petulantius : sed tanquam unus catechumenus mihi au-

ζῆν χρῄζεις εἰς τὸν αἰῶνα. Εἰ οὐρανὸν ὡς δέρριν ἐξήπλωσε, γῆν δὲ ἐφ' ὕδατος ἔπηξεν, ἀστέρας ἐμόρφωσεν, ἄνθρωπον ἐκ μὴ ὄντος παρήγαγε, τί παράδοξον καὶ τὰς πράξεις πάντων ἐναπογράφεσθαι; καὶ γὰρ σοὶ οἰκίδιον κατασκευάσαντι, οἰκέτιδας δὲ καὶ οἰκέτας ἐν αὐτῷ συναγαγόντι, οὐδέποτέ σε διέλαθε τούτων πρᾶξις ἀπόβλητος· πόσῳ μᾶλλον τὸν πάντα πεποιηκότα θεὸν οὐχ ἅπαντα ἐν εὐκολίᾳ διαδραμεῖν ἑκάστου πρᾶξιν καὶ ἔννοιαν; οἱ γάρ σου θεοὶ κότταβος τοῖς εὖ φρονοῦσιν ἐγένοντο.

18. ΚΡΙΤ. Πάνυ εὖ λέγεις, καί με ἀντιστρόφως τῆς Νιόβης παθεῖν· ἐκ στήλης γὰρ ἄνθρωπος ἀναπέφηνα. Ὥστε τοῦτον τὸν θεὸν προστιθῶ σοι, μὴ κακόν τι παθεῖν παρ' ἐμοῦ.

ΤΡΙΕΦ. Εἴπερ ἐκ καρδίας μ' ὄντως φιλεῖς, μὴ ἑτεροῖόν τι ποιήσῃς ἐν ἐμοὶ « καὶ ἕτερον μὲν κεύσῃς ἐνὶ « φρεσὶν, ἄλλο δὲ εἴπῃς. » Ἀλλ' ἄγε δὴ τὸ θαυμάσιον ἐκεῖνο ἀκουσμάτιον ἄεισον, ὅπως κἀγὼ κατωχριάσω καὶ ὅλως ἀλλοιωθῶ, καὶ οὐχ ὡς ἡ Νιόβη ἀπαυδήσω, ἀλλ' ὡς ἀηδὼν ὄρνεον γενήσομαι καὶ τὴν θαυμασίαν σου ἔκπληξιν κατ' ἀνθηρὸν λειμῶνα ἐκτραγῳδήσω.

ΚΡΙΤ. Νὴ τὸν υἱὸν τὸν ἐκ πατρὸς οὐ τοῦτο γενήσεται.

ΤΡΙΕΦ. Λέγε παρὰ τοῦ πνεύματος δύναμιν τοῦ λόγου λαβών, ἐγὼ δὲ καθεδοῦμαι

δέγμενος Αἰακίδην ὁπότε λήξειεν ἀείδων.

19. ΚΡΙΤ. Ἀπῄειν ἐπὶ τὴν λεωφόρον ὠνησόμενός γε τὰ χρειωδέστατα, καὶ δὴ ὁρῶ πλῆθος πάμπολυ ἐς τὸ οὖς ψιθυρίζοντας, ἐπὶ δὲ τῇ ἀκοῇ ἐφῦντο τοῖς χείλεσιν· ἐγὼ δὲ παπτήνας ἐς ἅπαντας καὶ τὴν χεῖρα τοῖς βλεφάροις περιχάμψας ἐσκοπίαζον ὀξυδερκέστατα, εἴ πού γε τινὰ τῶν φίλων θεάσωμαι. Ὁρῶ δὲ Κράτωνα τὸν πολιτικὸν, παιδόθεν φίλον ὄντα καὶ συμποτικόν.

ΤΡΙΕΦ. Αἰσθάνομαι· τοῦτον τὸν ἐξισωτὴν γὰρ εἶρηκας. Εἶτα τί;

ΚΡ. Καὶ δὴ πολλοὺς παραγκωνισάμενος ἦκον ἐς τὰ πρόσω καὶ τὸ ἑωθινὸν χαῖρε εἰπὼν ἐχώρουν ὡς αὐτόν.

20. Ἀνθρωπίσκος δέ τις τοὔνομα Χαρίκενος, σεσημμένον γερόντιον ῥέγχον τῇ ῥινὶ, ὑπέβηττε μύχιον, ἐχρέμπτετο ἐπισεσυρμένον, ὁ δὲ πτύελος κυανώτερος θανάτου· εἶτα ἤρξατο ἐπιφθέγγεσθαι κατισχνημένον· Οὗτος, ὡς προεῖπον, τοὺς τῶν ἐξισωτῶν καταλείπει λοιπασμοὺς καὶ τὰ χρέα τοῖς δανεισταῖς ἀποδώσει καὶ τά τε ἐνοίκια πάντα καὶ τὰ δημόσια, καὶ τὰς εἰραμάγγας δέξεται μὴ ἐξετάζων τῆς τέχνης. Καὶ κατεφλυάρει ἔτι πικρότερα. Οἱ περὶ αὐτὸν δὲ ἥδοντο τοῖς λόγοις καὶ τῷ καινῷ τῶν ἀκουσμάτων προσέκειντο.

21. Ἕτερος δὲ τοὔνομα Χλευόχαρμος τριβώνιον ἔχων πολύσαθρον ἀνυπόδετός τε καὶ ἄσκεπος μετέειπε τοῖς ὀδοῦσιν ἐπικροτῶν, ὡς ἐπεδείξατό μοί τις κακοείμων, ἐξ ὀρέων παραγενόμενος, κεκαρμένος τὴν κόμην, ἐν τῷ θεάτρῳ ἀναγεγραμμένον ὄνομα ἱερογλυφικοῖς γράμμασιν, ὡς οὗτος τῷ χρυσῷ ἐπικλύσει τὴν λεωφόρον. Ἦν

sculta, si modo vivere æternum desideras. Si enim ut pellem explicavit cœlum, terramque super aquis constabilivit, et stellas formavit, tum hominem, quum nihil ejus ante esset, produxit; quid adeo mirum est, omnium etiam describi actiones? Te vero, quum domuncula exstructa, servulos ancillasque eo tibi conduxisses, non unquam latuit actio illorum vel vilissima: deum vero, qui cuncta fecit, non multo magis omnia cum facilitate percurrere, uniuscujusque et actiones et cogitationes? tui enim dii cottabus illis qui rectum sapiunt, olim facti sunt.

18. CRIT. Rectissime dicis, facisque ut quemadmodum ex homine lapis Niobe, ita conversa ratione ego ex cippo homo jam factus sim. Hunc igitur deum jurijurando adjicio, te nihil a me mali accepturum.

TRIEPH. Si quidem ex animo atque vere me diligis, cave committas in me fraudem aliquam, « atque aliud dicas, aliudque in pectore celes. » Sed agedum mirabilem illam auditiunculam mihi occine, ut et ego pallescam, immuterque penitus: nolim tamen ut quondam Niobe prorsus obmutescere; sed luscinia fiam avicula et per viridantia prata tuam illam obstupescendam consternationem tristi vocula referam.

CRIT. Ita me filius qui ex patre est amet, ut istuc non fiet.

TRIEPH. Dic igitur, accepta a spiritu sermonis virtute: ego vero hic considebo,

cantare exspectans donec cessarit Achilles.

19. CRIT. In publicam viam quæ necessaria maxime sunt emturus prodieram: tum video ibi ingentem multitudinem, qui in aures alter alteri insusurrabant, adeo quidem ut labia hærerent auribus. Ibi ego omnes circumspiciens, manuque incurva superciliis circumposita, quam possum acutissime cernens exploro, sicubi amicorum aliquem videre possim. Video autem Cratonem magistratum gerentem, a pueris amicum atque compotorem.

TRIEPH. Sentio: nempe peræquatorem illum dicis. Sed quid inde?

CRIT. Multis igitur cubito dimotis ad anteriora perveni, et Ave matutino illo dicto, ad hominem accessi.

20. Homuncio autem aliquis Charicenus nomine, putridus seniculus, inter ronchos narium tussimque imis ductam pulmonibus, longum screabat: erat vero sputum ipsa morte lividius. Tum exili voce ita infit: Hic, quemadmodum ante dicebam, peræquatorum indulget omissa, debitaque reddet creditoribus, privatasque impensas æque ac publicas solvet: recipiet etiam vanos futuri conjectores, non æstimans illos ex arte. Quin amariora etiam homo nugabatur. Qui autem circa erant, delectabantur sermonibus, et auditionum illi novitati attendebant.

21. Alius vero, Chleuocharmo nomen erat, lacinia, quam caries consumserat, indutus, excalceatus præterea et aperto capite, dentibus simul concrepans ita interlocutus est: Ostendit mihi male vestitus aliquis, e montibus huc adveniens, comam detonsus, insculptum in theatro hieroglyphicis literis nomen; hunc auro viam inundaturum.

δ' ἐγὼ κατὰ μὲν τὰ Ἀριστάνδρου καὶ Ἀρτεμιδώρου, Οὐ καλῶς ἀποβήσονται ταῦτά γε τὰ ἐνύπνια ἐν ὑμῖν, ἀλλὰ σοὶ μὲν τὰ χρέα πληθυνθήσεται ἀναλόγως τῆς ἀποδόσεως· οὗτος δὲ ἐπὶ πολὺ τοῦ ὁβολοῦ γε στερηθήσεται ὡς πολλοῦ χρυσίου εὐπορηκώς. Καὶ ἔμοιγε δοκεῖτε ἐπὶ λευκάδα πέτρην καὶ δῆμον ὀνείρων καταδαρθέντες τοσαῦτα ὀνειροπολεῖν ἐν ἀκαρεῖ τῆς νυκτὸς οὔσης.

22. Οἱ δὲ ἀνεκάγχασαν ἅπαντες ὡς ἀποπνιγέντες ὑπὸ τοῦ γέλωτος καὶ τῆς ἀμαθίας μου κατεγίγνωσκον. Ἦν δ' ἐγὼ πρὸς Κράτωνα, Μῶν κακῶς πάντα ἐξερρίνισα, ἵν' εἴπω τι κωμικευσάμενος, καὶ οὐ κατὰ Ἀρίστανδρον τὸν Τελμισέα καὶ Ἀρτεμίδωρον τὸν Ἐφέσιον ἐξίχνευσα τοῖς ὀνείρασιν; Ἦ δ' ὅς, Σίγα, ὦ Κριτία, εἰ ἐχεμυθεῖς, μυσταγωγήσω σε τὰ κάλλιστα καὶ τὰ νῦν γενησόμενα· οὐ γὰρ ὄνειροι τάδ' εἰσίν, ἀλλ' ἀληθῆ, ἐκβήσονται δὲ εἰς μῆνα Μεσορί. Ταῦτα ἀκηκοὼς παρὰ τοῦ Κράτωνος καὶ τὸ ὀλισθηρὸν τῆς διανοίας αὐτῶν κατεγνωκὼς ἠρυθρίασα καὶ σκυθρωπάζων ἐπορευόμην πολλὰ τὸν Κράτωνα ἐπιμεμφόμενος. Εἷς δὲ ὀριαὺ καὶ τιτανῶδες ἐνιδὼν δραξάμενός μου τοῦ λώπους ἐσπάρασσε ῥήτρην ποιήσασθαι πειθόμενός τε καὶ παρανυττόμενος παρὰ τοῦ πεπαλαιωμένου ἐκείνου δαιμονίου.

23. Εἰς λόγους δὲ ταῦτα παρεκτείναντες πείθει με τὸν κακοδαίμονα εἰς γόητας ἀνθρώπους παραγενέσθαι καὶ ἀποφράδι τὸ δὴ λεγόμενον ἡμέρᾳ συγκυρῆσαι· ἔφασκε γὰρ πάντα ἐξ αὐτῶν μυσταγωγηθῆναι. Καὶ δὴ διήλθομεν σιδηρέας τε πύλας καὶ χαλκέους οὐδούς. Ἀναβάθρας δὲ πλείστας περικυκλωσάμενοι ἐς χρυσόροφον οἶκον ἀνήλθομεν, οἷον Ὅμηρος τὸν Μενελάου φησί. Καὶ δὴ ἅπαντα ἐσκοπίαζον ὅσα ὁ νησιώτης ἐκεῖνος νεανίσκος. Ὁρῶ δὲ οὐχ Ἑλένην, μὰ Δί', ἀλλ' ἄνδρας ἐπικεχυφότας καὶ κατωχριωμένους· οἱ δὲ ἰδόντες γήθησαν καὶ ἐξ ἐναντίας παρεγένοντο· ἔφασκον γὰρ ὡς εἴ τινα λυγρὰν ἀγγελίαν ἀγάγοιμεν, ἐφαίνοντο γὰρ οὗτοι ὡς τὰ κάκιστα εὐχόμενοι καὶ ἔχαιρον ἐπὶ τοῖς λυγροῖς ὥσπερ αἱ ποινοποιοὶ ἐπὶ θέατρα, τὰς κεφαλὰς δ' ἄγχι σχόντες ἐψιθύριζον. Μετὰ δὲ τὰ ἤροντό με,

Τίς πόθεν εἰς ἀνδρῶν, πόθι τοι πόλις ἠδὲ τοκῆες;

χρηστὸς γὰρ ἂν εἶης ἀπό γε τοῦ σχήματος. Ἦν δ' ἐγὼ, Ὀλίγοι γε χρηστοί, ὥσπερ βλέπω παντα χοῦ· Κριτίας δὲ τοὔνομα, πόλις δέ μοι ἔνθεν ὅθεν καὶ ὑμῖν.

24. Ὡς δ' ἀεροβατοῦντες ἐπυνθάνοντο, πῶς τὰ τῆς πόλεως καὶ τὰ τοῦ κόσμου; ἦν δ' ἐγὼ, Χαίρουσί γε πάντες καὶ ἔτι γε χαρήσονται· οἱ δὲ ἀνένευον ταῖς ὀφρύσιν, Οὐχ οὕτω· δυστοκεῖ γὰρ ἡ πόλις. Ἦν δ' ἐγὼ κατὰ τὴν αὐτῶν γνώμην· Ὑμεῖς πεδάρσιοι ὄντες καὶ ὡς ἀπὸ ὑψηλοῦ ἅπαντα καθορῶντες ὀξυδερκέστατα καὶ τάδε νενοήκατε. Πῶς δὲ τὰ τοῦ αἰθέρος; μῶν ἐκλείψει ὁ ἥλιος, ἡ δὲ σελήνη κατὰ κάθετον γενήσεται; ὁ Ἄρης εἰ τετραγωνήσει τὸν Δία καὶ ὁ Κρόνος διαμετρήσει τὸν ἥλιον; ἡ Ἀφροδίτη εἰ μετὰ τοῦ Ἑρμοῦ συνοδεύσει καὶ Ἑρμαφροδίτους ἀποκυήσουσιν, ἐφ' οἷς ὑμεῖς ἥδεσθε; εἰ

Tum ego secundum Aristandri Artemidorique præceptiones, Non bene, inquam, hæc vestra vobis somnia evenient: sed tibi quidem augebuntur debita, pro portione qua solutionem somniasti; hic vero vel obolo, quem habet, privabitur, prout multo abundavit auro. Videmini autem mihi super alba rupe et apud somniorum gentem obdormiisse, quum tantum contractissimis hisce noctibus somnietis.

22. Hi vero immanibus cachinnis, adeo ut præfocari illos præ nimio risu metus esset, imperitiam meam condemnabant. Tum ad Cratonem, Malene omnia olfeci, inquam, ut ex comœdia loquar, neque secundum Aristandrum Telmisseum Ephesiumque Artemidorum probe investigavi ista somnia? Ille vero, Tace, inquit, Critia; nam si potis es ut sileas, pulcherrima te mysteria edocebo atque jamjam eventura. Cave enim somnia illa putes; verissima sunt, et intra Mesori mensem habitura exitum. Hæc quum ex Cratone audissem, de damnata a me ipsorum animi levitate erubui, vultuque tristitiam præferens et multis Cratonem increpans abii. Sed me aliquis torve et Titanico modo intuens, lacinia prehensum retraxit, a vetusto illo dæmonio hominis, ut audientem sibi concionem præberet, inductus instigatusque.

23. Sermone autem longius producto, persuadet tandem misero mihi, ut ad præstigiatores homines accederem, et in infaustum, quod aiunt, diem inciderem: dixerat enim omnia se mysteria ab illis esse edoctum. Transivimus igitur portas ferratas, pavimentaque ænea. Tandem plurimis per orbem superatis scalis, in aurea tecta ascendimus, qualia Menelai quondam fuisse Homerus dicit. Ibi ego oculis lustrabam omnia, quæ ille ex insula juvenis; video autem non Helenam hercle equidem, sed homines vultibus in terram pronis pallidosque. Illi vero, quum nos viderent, gaudere, obviamque procedere: dicebant enim num quid forte tristis nuncii ferremus: quippe qui manifesto pessima quæque optarent, atque, ut in theatris solent Furiæ, luctuosis rebus gauderent. Tum capita invicem conferentes in aures quædam insusurrabant. Deinde me interrogarunt,

Tu quis es, unde venis, quæque urbs tibi, quique parentes?

Videris enim, quantum quidem habitus tuus indicat, homo minime malus. At ego, Pauci quidem, inquam, ubique gentium, quantum video, boni sunt: nomen mihi est Critiæ: urbs eadem quæ vestra.

24. Ut vero inaniter elati homines interrogarunt, Quid rerum in urbe et in mundo agitur? egoque, Gaudent cuncti, gaudebuntque amplius, respondi: illi, superciliorum gestu abnuentes, Minime vero ita est, inquiunt; clades enim perniciemque civitas parturit. Tunc ego ex ipsorum sententia, Nimirum vos, inquam, quum supra humum sublati, tanquam de specula omnia prospiciatis, etiam ista quam acutissime olim perspexistis. Sed in æthere quid agitur? num eclipsin sol patietur, et luna ad perpendiculum sub ipso stabit? num Mars ex quadrante Jovem respiciet, et Saturnus ex diametro opponetur soli? Venusne cum Mercurio congredietur, novosque adeo edolabunt nobis Hermaphroditos, quibus vos delectamini? numquid impetuosos

ραγδαίους ὑετοὺς ἐκπέμψουσιν; εἰ νιφετὸν πολὺν ἐπιστρωννύσουσι τῇ γῇ, χάλαζαν δὲ καὶ ἐρυσίβην εἰ κατάξουσι, λοιμὸν καὶ λιμὸν εἰ ἐπιπέμψουσιν, εἰ τὸ κεραυνοβόλον ἀγγεῖον ἀπεγεμίσθη καὶ τὸ βροντοποιὸν δοχεῖον ἀνεμεστώθη;

25. Οἱ δὲ ὡς ἅπαντα κατωρθωκότες κατεφλυάρουν τὰ αὑτῶν ἐράσμια, ὡς μεταλλαγῶσι τὰ πράγματα, ἀταξίαι δὲ καὶ ταραχαὶ τὴν πόλιν καταλήψονται, τὰ στρατόπεδα ἥττονα τῶν ἐναντίων γενήσονται. Τοῦτο ἐκταραχθεὶς καὶ ὥσπερ πρῖνος καόμενος οἰδηθεὶς διάτορον ἀνεβόησα, Ὦ δαιμόνιοι ἀνδρῶν, μὴ μεγάλα λίαν λέγετε « θήγοντες ὀδόντας κατ' ἀνδρῶν θυμολεόντων πνειόντων δόρυ καὶ λόγχας καὶ λευκολόφους τριφαλείας. » Ἀλλὰ ταῦθ' ὑμῖν ἐπὶ κεφαλὴν καταβήσεται, ὡς τὴν πατρίδα ὑμῶν κατατρύχετε· οὐ γὰρ αἰθεροβατοῦντες ταῦτα ἠκηκόητε, οὐ τὴν πολυάσχολον μαθηματικὴν κατωρθώκατε. Εἰ δέ γε μαντεῖαι καὶ γοητεῖαι ὑμᾶς παρέπεισαν, διπλοῦν τὸ τῆς ἀμαθίας· γυναικῶν γὰρ εὑρέματα ταῦτα γραϊδίων καὶ παίγνια· ἐπὶ πολὺ γὰρ τὰ τοιαῦτα αἱ τῶν γυναικῶν ἐπίνοιαι μετέρχονται.

26. ΤΡΙΕΦ. Τί δὲ πρὸς ταῦτα ἔφησαν, ὦ καλὲ Κριτία, οἱ κεκαρμένοι τὴν γνώμην καὶ τὴν διάνοιαν;

ΚΡΙΤ. Ἅπαντα ταῦτα παρέδραμον εἰς ἐπίνοιαν τετεχνασμένην καταπεφευγότες· ἔλεγον γάρ, Ἡλίους δέκα ἄσιτοι διαμενοῦμεν καὶ ἐπὶ παννύχους ὑμνῳδίας ἐπαγρυπνοῦντες ὀνειρόττομεν τὰ τοιαῦτα.

ΤΡΙΕΦ. Σὺ δὲ τί πρὸς αὐτοὺς εἴρηκας; μέγα γὰρ ἔφησαν καὶ διηπορημένον.

ΚΡΙΤ. Θάρσει, οὐκ ἀγεννές· ἀντεῖπον γὰρ τὰ κάλλιστα. Τὰ γὰρ παρὰ τῶν ἀστικῶν θρυλλούμενα, ἔφην, περὶ ὑμῶν, ὁπόταν ὀνειροπολῆτε, τὰ τοιαῦτά που παρεισάγονται. Οἱ δὲ σεσηρὸς ὑπομειδιῶντες, Ἔξω που παρέρχονται τοῦ κλινιδίου. Ἦν δ' ἐγώ, Εἰ ἀληθῆ εἶσι ταῦτα, ὦ αἰθέριοι, οὐκ ἄν ποτε ἀσφαλῶς τὰ μέλλοντα ἐξιχνεύσητε, ἀλλὰ καταπεισθέντες ὑπ' αὐτῶν ληρήσετε τὰ μὴ ὄντα μηδὲ γενησόμενα. Ἀλλὰ ταῦτα μὲν οὐκ οἶδ' ὅπως ληρεῖτε ὀνείροις πιστεύοντες, καὶ τὰ κάλλιστα βδελύττεσθε, τοῖς δὲ πονηροῖς ἥδεσθε, μηδὲν ὀνούμενοι τοῦ βδελύγματος. Ὥστε ἐάσετε τὰς ἀλλοκότους ταύτας φαντασίας καὶ τὰ πονηρὰ βουλεύματα καὶ μαντεύματα, μή που θεὸς ὑμᾶς ἐς κόρακας βάλοι διὰ τὸ τῇ πατρίδι ἐπαρᾶσθαι καὶ λόγους κιβδήλους ἐπιφημίζειν.

27. Οὗτοι δὲ ἅπαντες ἕνα θυμὸν ἔχοντες ἐμοὶ πολλὰ κατεμέμφοντο. Καὶ εἰ βούλει, καὶ τάδε προστιθῶ σοι, ἅτινά με καὶ ὡς στήλην ἄναυδον ἔθηκαν, μέχρις ἂν ἡ χρηστή σου λαλιὰ λιθούμενον ἀνέλυσε καὶ ἄνθρωπον ἀποκατέστησε.

ΤΡΙΕΦ. Σίγα, ὦ Κριτία, καὶ μὴ ὑπερεκτείνῃς τοὺς ὕθλους· ὁρᾷς γὰρ ὡς ἐξώγκωταί μου ἡ νηδὺς καὶ ὥσπερ κυοφορῶ· ἐδήχθην γὰρ τοῖς παρὰ σοῦ λόγοις ὡς ὑπὸ κυνὸς λυττῶντος. Καὶ εἰ μὴ φάρμακον ληθεδανὸν ἐμπιὼν ἠρεμήσω, αὕτη ἡ μνήμη οἰκουροῦσα ἐν ἐμοὶ μέγα κακὸν ἐργάσεται. Ὥστε ἔασον τούτους τὴν εὐ-

imbres demittent super? an copiosa nive terram consternent, grandinemque aut rubiginem devolvent, pestemne ac famem immittent? an fulminatrix cistula plena est, tonitruumque conceptaculum oneratum?

25. Illi vero, quasi re præclare gesta, de suis illis nugabantur deliciis, fore scilicet ut rerum facies mutetur, atque turbæ colluviesque civitatem invadant, tum exercitus ab hostibus vincantur. Hic ego vehementer commotus, atque ardentis instar ilicis intumescens, contentissime exclamavi: Nolite, beati homines, nimis loqui magnifice, « qui dentes stringitis in heroas corde leones spicula spirantes, hastas, galeas alba triplicique nitentes crista. » Verum ista in vos ipsos vestraque capita expetent, quod patriæ vestræ male adeo ominamini. Neque enim æthere conscenso ista audivistis, nec male sedulam mathematicorum artem edidicistis. Si autem vaticinia et præstigiæ in hanc vos fraudem impulerunt, duplo major vestra est stupiditas: quandoquidem vetularum ista mulierum sunt commenta atque ludibria: nam muliebria fere ingenia ejusmodi consectari solent nænias.

26. TRIEPH. Quid vero dixere ad ista, o pulcher Critia, detonsis mentibus animisque homines?

CRIT. Nimirum his omnibus prætermissis, ad commentum elegans confugere; dixerunt enim, Per decem dies jejuni manebimus, et dum pervigiles cantibus noctes ducimus, talia somniamus.

TRIEPH. Sed tu quid illis respondisti? magnum enim quiddam dixerunt, multæque quæstionis.

CRIT. Bono es animo: nihil ignavum, sed pulcherrime equidem respondi. Etenim vera, dixi, sunt quæ urbani homines sæpe de vobis dicunt, Somniantibus vobis talia obrepunt. Illi vero canino rictu subridentes, Extra tamen lectulum, inquiunt, nobis obveniunt. Tum ego, Sint vera, inquam, ista, o sublimes animæ, nunquam tamen tuto quæ futura sunt investigaveritis, sed vestris ipsi somniis inducti, quæ neque sunt, neque futura unquam sunt, nugabimini. Nescio vero quomodo somniis fidem habentes ista deblateretis, et honestissima quæ sunt aversemini, malis contra ea delectemini, idque quum nullum ex tam detestabili facinore bonum consequamini. Quare omittite absurda illa emotæ mentis ludibria, malaque consilia ac prædictiones, ne quando deus, eo quod pessime patriæ precamini, fallacesque vestros sermones ad ipsum refertis auctorem, in malam rem vos projiciat.

27. Hic vero uno omnes animo multis me objurgare, et, si vis, jam ea adjiciam, quæ quasi columnam elinguem me fecere, donec salutaris illa tua allocutio jam saxea membra resolvit, hominique me restituit.

TRIEPH. Quin tace, Critia, neve nugas extende amplius: vides enim ut mihi venter intumuerit, et tanquam uterum gestem. Tuis quippe sermonibus ut a rabido cane morsus sum. Atque nisi sumta procurandæ oblivioni medicina conquiescam, harum rerum recordatio in me permanens metuo ne magnum mihi malum conciliet. Hos igitur

χὴν ἀπὸ πατρὸς ἀρξάμενος καὶ τὴν πολυώνυμον ᾠδὴν ἐς τέλος ἐπιθείς.

28. Ἀλλὰ τί τοῦτο; οὐχι Κλεόλαος οὗτός ἐστιν, ὁ τοῖς ποσὶ μακρὰ βιβὰς, σπουδῇ δὲ ἥκει καὶ κατέρχεται; μῶν ἐπιφωνήσομεν αὐτῷ;

ΚΡΙΤ. Καὶ μάλα.

ΤΡΙΕΦ. Κλεόλαε, μή τι παραδράμῃς γε ποσὶ μηδὲ παρέλθῃς, ἀλλ' ἐλθὲ χαίρων, εἴ γέ που μῦθον φέρεις.

ΚΛΕΟΛΑΟΣ. Χαίρετ' ἄμφω, ὦ καλὴ ξυνωρίς.

ΤΡΙΕΦ. Τίς ἡ σπουδή; ἀσθμαίνεις γὰρ ἐπὶ πολύ. Μῶν τι καινὸν πέπρακται;

ΚΛΕΟΛ. Πέπτωκεν ὀφρὺς ἡ πάλαι βωμένη

Περσῶν,

καὶ Σοῦσα κλεινὸν ἄστυ.
Πεσεῖ δ' ἔτι γε πᾶσα χθὼν Ἀραβίας
χειρὶ κρατοῦντος εὐσθενωτάτῳ κράτει.

29. ΚΡΙΤ. Τοῦτ' ἐκεῖνο, ὡς ἀεὶ τὸ θεῖον οὐκ ἀμελεῖ τῶν ἀγαθῶν, ἀλλ' αὔξει ἄγον ἐπὶ τὰ κρείττονα. Ἡμεῖς δὲ, ὦ Τριεφῶν, τὰ κάλλιστα εὑρηκότες ἐσμέν. Ἐδυσχέραινον γὰρ ἐν τῇ ἀποδιώσει τί τοῖς τέκνοις καταλιπεῖν ἐπὶ ταῖς διαθήκαις· οἶδας γὰρ τὴν ἐμὴν πενίαν ὡς ἐγὼ τὰ σά. Τοῦτο ἀρκεῖ τοῖς παισὶν, αἵ ἡμέραι τοῦ αὐτοκράτορος· πλοῦτος γὰρ ἡμᾶς οὐκ ἐκλείψει καὶ ἔθνος ἡμᾶς οὐ καταπτοήσει.

ΤΡΙΕΦ. Κἀγὼ, ὦ Κριτία, ταῦτα καταλείπω τοῖς τέκνοις, ὡς ἴδωσι Βαβυλῶνα ὀλλυμένην, Αἴγυπτον δουλουμένην, τὰ τῶν Περσῶν τέκνα δούλειον ἦμαρ ἄγοντα, τὰς ἐκδρομὰς τῶν Σκυθῶν παυομένας, εἴθ' οὖν καὶ ἀνακοπτομένας. Ἡμεῖς δὲ τὸν ἐν Ἀθήναις Ἄγνωστον ἐφευρόντες καὶ προσκυνήσαντες χεῖρας εἰς οὐρανὸν ἐκτείναντες τούτῳ εὐχαριστήσομεν ὡς καταξιωθέντες τοιούτου κράτους ὑπήκοοι γενέσθαι, τοὺς δὲ λοιποὺς ληρεῖν ἐάσωμεν ἀρκεσθέντες ὑπὲρ αὐτῶν εἰπεῖν τὸ οὐ φροντὶς Ἱπποκλείδῃ κατὰ τὴν παροιμίαν.

omitte, precationem a patre incipiens, multisque refertum nominibus carmen ad finem superaddens.

28. Sed quid istuc? non iste Cleolaus est, qui magnis adeo citatisque gressibus huc descendit? Inclamabimusne hominem?

CRIT. Omnino.

TRIEPH. Cleolae, « ne prætercurras pedibus nos, prætereasve : Accede, salve, si quid apportas novi. »

CLEOLAUS. Vos vero salvete ambo, nobile amicorum par.

TRIEPH. Quænam est ista tua festinatio? multum enim anhelas. Ecquid forte novi factum est?

CLEOL. Cecidit Persarum istud supercilium grave
olim celebratum,

et Susa, urbs inclyta :
Arabum subinde tellus tota mox cadet
valida manu victoris atque robore.

29. CRIT. Hoc est illud, nunquam bonos piosque negligit numen sed auget, et in meliorem usque conditionem adducit. Nos vero, Triephon, in optima incidimus tempora. Angebar enim quid, quum moriendum esset, liberis meis testamento relinquerem; nosti enim mendicitatem meam, ut ego res tuas. Jam vero hoc satis est liberis, vita imperatoris : ita enim nec divitiæ nobis deerunt, neque gens ulla ad terrorem nobis incutiendum valebit.

TRIEPH. Et ego, Critia, hæc relinquo liberis, ut videant Babylona perditam, Ægyptum sub jugum redactam, Persarum gnatos servitutem servientes, Scytharum excursiones repressas, utinam omnino præcisas. Nos vero ignotum qui est Athenis deum a nobis conventum adorantes, manibus in cœlum sublatis eidem gratias agemus, quum tam excellenti potestati ut subjecti essemus, digni simus ab ipso habiti : reliquos autem nugari sinamus, satisque habeamus illud de iis dicere, quod est in proverbio, Non curat Hippoclides.

LXXVIII.

* ΧΑΡΙΔΗΜΟΣ Η ΠΕΡΙ ΚΑΛΛΟΥΣ.

1. ΕΡΜΙΠΠΟΣ. Περιπάτους ἔτυχον χθὲς, ὦ Χαρίδημε, ποιούμενος ἐν τῷ προαστείῳ ἅμα μὲν καὶ τῆς παρὰ τῶν ἀγρῶν χάριν ῥαστώνης, ἅμα δὲ — ἔτυχον γάρ τι μελετῶν — καὶ δεόμενος ἡσυχίας. Ἐντυγχάνω δὴ Προξένῳ τῷ Ἐπικράτους· προσειπὼν δὲ ὥσπερ εἰώθειν, ἠρώτων ὅθεν τε πορεύοιτο καὶ ὅποι βαδίζοι. Ὁ δὲ ἥκειν μὲν ἔφη καὶ αὐτὸς ἐκεῖ παραμυθίας χάριν, ἥπερ εἰώθει πρὸς τὴν ὄψιν γίγνεσθαι τῶν ἀγρῶν, ἀπολαύσων δὲ καὶ τῆς τούτους ἐπιπνεούσης εὐκράτου καὶ κούφης αὔρας, ἀπὸ συμποσίου μέντοι καλλίστου γεγονότος ἐν Πειραιεῖ ἐν Ἀνδροκλέους τοῦ Ἐπιχάρους τὰ ἐπινίκια τεθυκότος Ἑρμῇ, ὅτι δὴ βιβλίον ἀναγνοὺς ἐνίκησεν ἐν Διασίοις.

LXXVIII.

* CHARIDEMUS sive DE PULCHRITUDINE.

1. HERMIPPUS. Forte evenit heri, Charideme, ut inambularem in suburbano, partim animi in agro reficiendi causa, partim quod quietis (commentabar enim aliquid) indigerem. Incido autem in Proxenum Epicratis filium; eumque pro more salutatum interrogo unde veniat et quorsum eat. Ille venire se ait ipsum quoque voluptatis causa, quæ ad agrorum conspectum solet exsistere, fruique velle temperata illa levique, quæ illis aspiret, aura, venire autem e convivio pulcherrimo, quod celebratum dicebat in Piræeo, apud Androclem Epicharis filium, qui rem sacram fecerit Mercurio victoriæ causa, quam scriptione recitanda Jovialibus ludis retulerit.

2. Ἔφασκε δὴ ἄλλα τε πολλὰ γεγενῆσθαι ἀστεῖα καὶ χαρίεντα, καὶ δὴ καὶ κάλλους ἐγκώμια εἰρῆσθαι τοῖς ἀνδράσιν, ἃ ἐκεῖνον μὲν μὴ δύνασθαι εἰπεῖν ὑπό τε γήρως ἐπιλελησμένον ἄλλως τε δὲ καὶ οὐκ ἐπὶ πολὺ λόγων μετεσχηκότα, σὲ δ' ἂν ῥᾳδίως εἰπεῖν ἅτε καὶ αὐτὸν ἐγκεκωμιακότα καὶ τοῖς ἄλλοις παρ' ὅλον τὸ συμπόσιον προσεσχηκότα τὸν νοῦν.

ΧΑΡΙΔΗΜΟΣ. Γέγονε ταῦτα, ὦ Ἑρμιππε. Οὐ μέντοι γε οὐδ' ἐμοὶ ῥᾴδιον ἐπ' ἀκριβείας ἅπαντα διεξιέναι· οὐ γὰρ οἷόν τε ἦν πάντων ἀκούειν θορύβου πολλοῦ γιγνομένου τῶν τε διακονουμένων τῶν τε ἑστιωμένων, ἄλλως τε καὶ τῶν δυσχερεστέρων ὂν μεμνῆσθαι λόγους ἐν συμποσίῳ γενομένους· οἶσθα γὰρ ὡς ἐπιλήσμονας ποιεῖ καὶ τοὺς λίαν μνημονικωτάτους. Πλὴν ἀλλὰ σὴν χάριν ὡς ἂν οἷός τε ὦ τὴν διήγησιν πειράσομαι ποιεῖσθαι, μηδὲν παραλείπων ὧν ἂν ἐνθυμηθῶ.

3. ΕΡΜ. Τούτων μὲν δὴ ἕνεκα οἶδά σοι χάριν. Ἀλλ' εἴ μοι τὸν πάντα λόγον ἐξ ἀρχῆς ἀποδοίης, ὅ τι τε ἦν ὅπερ ἀνέγνω βιβλίον Ἀνδροκλῆς τίνα τε νενίκηκε καὶ τίνας ὑμᾶς εἰς τὸ συμπόσιον κέκληκεν, οὕτως ἂν ἱκανὴν καταθεῖο τὴν χάριν.

ΧΑΡ. Τὸ μὲν δὴ βιβλίον ἦν ἐγκώμιον Ἡρακλέους ἔκ τινος ὀνείρατος, ὡς ἔλεγε, πεποιημένον αὐτῷ· νενίκηκε δὲ Διότιμον τὸν Μεγαρόθεν ἀνταγωνισάμενον αὐτῷ περὶ τῶν ἀσταχύων, μᾶλλον δὲ περὶ τῆς δόξης.

ΕΡΜ. Τί δ' ἦν ὃ ἐκεῖνος ἀνέγνω βιβλίον;

ΧΑΡ. Ἐγκώμιον τοῖν Διοσκούροιν. Ἔφασκε δὲ καὶ αὐτὸς ἐκ μεγάλων κινδύνων ὑπ' ἐκείνων σεσωσμένος ταύτην αὐτοῖς καταθεῖναι τὴν χάριν, ἄλλως τε καὶ ὑπ' ἐκείνων παρακεκλημένος ἐπ' ἄκροις ἱστίοις ἐν τοῖς ἐσχάτοις κινδύνοις φανέντων.

4. Παρῆσαν μέντοι τῷ συμποσίῳ καὶ ἄλλοι πολλοὶ οἱ μὲν συγγενεῖς αὐτῷ, οἱ δὲ καὶ ἄλλως συνήθεις, οἱ δὲ λόγου τε ἄξιοι τό τε συμπόσιον ὅλον κεκοσμηκότες καὶ κάλλους ἐγκώμια διελθόντες Φίλων τε ἦν ὁ Δεινίου καὶ Ἀριστιππος ὁ Ἀγασθένους καὶ τρίτος αὐτός· συγκατέλεκτο δὲ ἡμῖν καὶ Κλεώνυμος ὁ καλὸς ὁ τοῦ Ἀνδροκλέους ἀδελφιδοῦς, μειράκιον ἁπαλόν τε καὶ τεθρυμμένον· νοῦν μέντοι γε ἐδόκει ἔχειν, πάνυ γὰρ προθύμως ἠκροᾶτο τῶν λόγων. Πρῶτος δὲ ὁ Φίλων περὶ τοῦ κάλλους ἤρξατο λέγειν προοιμιασάμενος οὕτω.

ΕΡΜ. Μηδαμῶς, ὦ ἑταῖρε, μὴ πρὶν τῶν ἐγκωμίων ἄρξῃ, πρὶν ἄν μοι καὶ τὴν αἰτίαν ἀποδῷς, ὑφ' ἧς εἰς τούτους προήχθητε τοὺς λόγους.

ΧΑΡ. Εἰκῆ διατρίβεις ἡμᾶς, ὦγαθέ, πάλαι δυναμένους τὸν ἅπαντα λόγον διελθόντας ἀπαλλαγῆναι. Πλὴν ἀλλά τί τις ἂν χρήσαιτο, ὁπότε φίλος τις ὢν βιάζοιτο; ἀνάγκη γὰρ ὑφίστασθαι πᾶν ὁτιοῦν.

5. Ἣν δὲ ζητεῖς αἰτίαν τῶν λόγων, αὐτὸς ἦν Κλεώνυμος ὁ καλός· καθημένου γὰρ αὐτοῦ μεταξὺ ἐμοῦ τε καὶ Ἀνδροκλέους τοῦ θείου, πολὺς ἐγίγνετο λόγος τοῖς ἰδιώταις περὶ αὐτοῦ ἀποβλέπουσί τε εἰς αὐτὸν καὶ ὑπερεκπεπληγμένοις τὸ κάλλος. Σχεδὸν οὖν πάντων ὀλιγωρήσαντες κάθηντο διεξιόντες ἐγκώμια τοῦ μειρακίου.

2. Hic dicebat tum alia multa urbane facta esse et venuste, tum illud quod pulchritudinis laudes a viris dictæ sint: eas se quidem non posse referre, quum senectutis vitio oblitus esset, qui præsertim non diu sermonibus illis interfuerit, te vero relaturum facile, qui laudes et ipse dixisses et toto convivio animum ceteris attendisses.

CHARIDEMUS. Facta sunt ista, Hermippe. Verum nec mihi facile est persequi accurate omnia: non enim licebat audire omnia, quod strepitus ingens erat a ministris pariter atque a convivis; quum alioquin inter res sit difficillimas meminisse sermonum in convivio habitorum: scis enim quam obliviosos ea res faciat illos etiam qui præstantissima memoria sunt præditi. Verumtamen tua causa, ut potero, narrare conabor, nihil omissurus eorum quæ in mentem mihi venerint.

3. HERM. Equidem jam horum causa gratiam tibi habeo: sed si omnium mihi ab initio inde rerum rationem reddas, quis liber fuerit quem recitavit Androcles, quem vicerit, qui fueritis quos ad cœnam vocavit; sic demum solidam a me gratiam inieris.

CHAR. Liber fuit laudatio Herculis, insomnii monitu, ut dicebat, ab illo scripta: vicit autem Diotimum Megarensem, qui cum illo de adorea vel de gloria potius contendit.

HERM. Quodnam vero ille opus recitavit?

CHAR. Castorum laudationem: dicebat autem se quoque beneficio ipsorum magnis periculis liberatum, hanc ipsis gratiam referre, invitatum præsertim ab ipsis, quum in fastigio malorum extremi periculi tempore apparuerint.

4. Verum aderant in cœna alii quoque multi, vel cognati ejus vel alioquin familiares: commemoratione vero digni, quique totum exornarent convivium, atque laudes dicerent pulchritudinis, hi erant, Philo Diniæ filius, et Aristippus Agasthenis, et tertius ego: accubuerat autem nobiscum Cleonymus ille pulcher Androclis fratris filius, adolescentulus tener ac delicatus, sed qui mentem habere videretur, quippe qui cupide admodum orationes audiret. Primus vero agere de pulchritudine cœpit Philo, hoc procœmio usus.

HERM. Noli, sodalis, noli laudes prius incipere, quam et causam mihi indicaveris, a qua ad hos sermones provecti estis.

CHAR. Frustra nos, vir bone, moraris, qui jam toto sermone enarrato poteramus discedere. Verum quid agas, si quis amicus vim tibi faciat? scilicet quicquid subeundum est.

5. Quam vero requiris sermonum occasionem, ipse fuit formosus Cleonymus. Qui quum inter me et Androclem patruum assideret, multus de illo sermo ortus inter indoctos homines aspicientes adolescentulum et forma ipsius supra modum perculsos. Igitur obliti fere reliquorum omnium assidebant laudes illius enarrantes: quorum nos

Ἀγασθέντες δὲ ἡμεῖς τῶν ἀνδρῶν τὴν φιλοκαλίαν καὶ ἅμα ἐπαινέσαντες αὐτοὺς ἀργίας τε πολλῆς εἶναι ὑπολαβόντες λόγοις ἀπολείπεσθαι τῶν ἰδιωτῶν περὶ τῶν καλλίστων, ᾧ μόνῳ τούτων οἰόμεθα προέχειν, καὶ ὃ ἠπτόμεθα τῶν περὶ κάλλους λόγων. Ἔδοξεν οὖν ἡμῖν οὐχ ὀνομαστὶ λέγειν τὸν ἔπαινον τοῦ παιδός — οὐ γὰρ ἂν ἔχειν καλῶς, ἐμβαλεῖν γὰρ ἂν αὐτὸν εἰς πλείω τρυφήν — ἀλλ' οὐδὲ μὴν ὥσπερ ἐκείνους οὕτως ἀτάκτως, ὅπερ ἕκαστος τύχοι, λέγειν, ἀλλ' ἕκαστον εἰπεῖν ἰδίᾳ ὅσ' ἂν ἀπομνημονεύοι περὶ τοῦ προκειμένου.

6. Καὶ δὴ ἀρξάμενος ὁ Φίλων πρῶτος οὑτωσὶ τὸν λόγον ἐποιεῖτο· Ὡς ἔστι δεινόν, εἰ πάνθ' ὅσα πράττομεν ἑκάστης ἡμέρας, ὡς περὶ καλῶν ποιούμεθα τὴν σπουδὴν, αὐτοῦ δὲ τοῦ κάλλους οὐδένα ποιησόμεθα λόγον, ἀλλ' οὕτω καθεδούμεθα σιγῇ ὥσπερ δεδοικότες μὴ λάθωμεν ἡμᾶς αὐτοὺς ὑπὲρ οὗ σπουδάζομεν τὸν ἅπαντα χρόνον εἰπόντες. Καίτοι ποῦ τις ἂν χρήσαιτο πρεπόντως τοῖς λόγοις, εἰ περὶ τῶν μηδενὸς ἀξίων σπουδάζων περὶ τοῦ καλλίστου σιγῴη τῶν ὄντων; ἢ πῶς ἂν τὸ ἐν λόγοις καλὸν σώζοιτο κάλλιον μᾶλλον ἢ τῷ πάντα τἆλλα παρέντας περὶ αὐτοῦ λέγειν τοῦ τέλους ἡμᾶς τῶν ἑκάστοτε πραττομένων; Ἀλλ' ἵνα μὴ δόξω λέγειν μὲν ὡς χρὴ περὶ τοῦτο διακεῖσθαι εἰδέναι, εἰπεῖν δὲ μηδὲν ἐπίστασθαι περὶ αὐτοῦ, ὡς οἷόν τε βραχέα περὶ τούτου πειράσομαι διελθεῖν. Κάλλους γὰρ δὴ πάντες μὲν ἐπεθύμησαν τυχεῖν, πάνυ δ' ὀλίγοι τινές· οἳ δὲ ταύτης ἔτυχον τῆς δωρεᾶς, εὐδαιμονέστατοι πάντων ἔδοξαν γεγενῆσθαι καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων τὰ εἰκότα τετιμημένοι. Τεκμήριον δέ· τῶν γοῦν θεῶν ἐξ ἡρώων γενομένων Ἡρακλῆς τέ ἐστιν ὁ Διὸς καὶ Διόσκουροι καὶ Ἑλένη, ὧν ὁ μὲν ἀνδρείας ἕνεκα ταύτης λέγεται τυχεῖν τῆς τιμῆς, Ἑλένη δὲ τοῦ κάλλους χάριν αὐτήν τε μεταβαλεῖν εἰς θεὸν καὶ τοῖς Διοσκούροις αἰτία γενέσθαι πρὶν αὐτὴν εἰς οὐρανὸν ἀνελθεῖν τοῖς ὑπὸ γῆν συνεξητασμένοις.

7. Ἀλλὰ μὴν ὅστις ἀνθρώπων ἠξιώθη τοῖς θεοῖς ὁμιλεῖν, οὐκ ἔστιν εὑρεῖν, πλὴν ὅσοι μετεσχήκασι κάλλους· Πέλοψ τε γὰρ τούτου χάριν τοῖς θεοῖς ἀμβροσίας μετέσχε, καὶ Γανυμήδης ὁ τοῦ Δαρδάνου οὕτω κεχρατηκέναι λέγεται τοῦ πάντων ὑπάτου θεῶν, ὥστ' αὐτὸν οὐκ ἀνασχέσθαι συμμετασχεῖν αὐτῷ τινα τῶν ἄλλων θεῶν τῆς θήρας τῶν παιδικῶν, ἀλλ' αὐτῷ μόνῳ πρέπουσαν ἡγούμενον εἶναι εἰς Γάργαρον καταπτάντα τῆς Ἴδης ἀναγαγεῖν ἐκεῖσε τὰ παιδικά, ὅπου συνέσεσθαι τὸν ἅπαντα ἔμελλε χρόνον. Τοσαύτην δ' ἐπιμέλειαν ἀεὶ πεποίηται τῶν καλῶν, ὥστ' οὐ μόνον αὐτοὺς ἠξίωσε τῶν οὐρανίων ἀναγαγὼν ἐκεῖσε, ἀλλὰ καὶ αὐτὸς ἐπὶ γῆς ὅ τι τύχοι γιγνόμενος συνῆν ἑκάστοτε τοῖς ἐρωμένοις, καὶ τοῦτο μὲν γενόμενος κύκνος συνεγένετο Λήδᾳ, τοῦτο δ' ἐν εἴδει ταύρου τὴν Εὐρώπην ἁρπάζει, εἰκασθεὶς δ' Ἀμφιτρύωνι γεννᾷ τὸν Ἡρακλέα. Καὶ πολλά τις ἂν ἔχοι λέγειν τεχνάσματα τοῦ Διὸς ὅπως ἂν οἷς ἐπεθύμει συγγένοιτο μηχανωμένου.

8. Τὸ δὲ δὴ μέγιστον καὶ οἷον ἄν τις θαυμάσαι,

amorem pulchri quum probaremus simul et laudaremus ipsos, ignaviæ multæ esse rati, si de pulcherrimis rebus indocti homines dicendo nos superarent, quo solo illis nos præstare putaremus, hinc nos dicere de pulchritudine aggressi sumus. Decrevimus ergo non nominatim laudes dicere pueri (quippe quod parum consultum sit, quum majores animo illius injiciat delicias); sed neque ita sine ordine, ut isti, quicquid in buccam cuique venerit proferre; verum singulatim dicere unumquemque, quæ de argumento proposito memoria subjiceret.

6. Atque primas sibi dicendi partes sumens Philo sic verba fecit: « Quam indignum est, si, quicquid agimus quotidie, in eo sic tanquam de rebus pulchris laboremus; pulchritudinis autem ipsius nullam habeamus rationem, sed ita silentio desideamus, quasi vereamur ne forte imprudentes dicamus illud, pro quo omni tempore laboramus. Atqui ubi tandem prout decet oratione utatur aliquis, si in tanto circa res nihili studio de eo, quod omnium rerum pulcherrimum est, taceat? aut quomodo, quod in oratione pulchrum est, pulchrius servetur, quam si relictis aliis omnibus, de ipso illo fine eorum quæ agimus omnium dicatur? Verum ne videar dicere quidem posse, quomodo affecti circa illam esse debeamus, de re ipsa autem dicere nescire; quam potest pauca ea de re conabor exponere. Pulchritudinis nimirum participes fieri omnes concupiscunt, digni autem illa habiti sunt omnino pauci. Quicumque autem munus hocce sunt consecuti, beatissimi omnium facti videntur, honore quo par est a diis pariter atque hominibus affecti. Argumentum ejus rei hoc esto: in numero eorum qui ex heroibus facti sunt deorum Hercules est Jovis filius, et Castores, et Helena; quorum iste virtutis ergo illum dicitur honorem esse consecutus; Helena autem pulchritudinis gratia, quum ipsa se in deam mutasse, tum fratribus suis ejus rei causa fuisse, qui ante illius in cœlum ascensum mortuis annumerati fuerant.

7. Verum qui homo dignus sit consuetudine deorum habitus, non est invenire, præterquam qui pulchri essent. Nam Pelops hujus gratia ambrosiæ deorum particeps factus est; et Ganymedes Dardani filius sic vicisse summum deorum dicitur, ut is pati non posset reliquorum quenquam deorum secum ad venandum amasium venire, sed sibi soli decorum esse duceret, devolare in Gargarum Idæ verticem, et eo puerum amatum educere, ubi toto deinde tempore secum esset futurus. Tanti vero semper fecit pulchros, ut non modo cœlesti illos vita, eo deductos, dignatus sit, sed ipse quoque in terra, qualicumque assumta forma, suis semper cum amoribus sit versatus, et nunc in cycnum versus cum Leda luserit, nunc tauri specie rapuerit Europam; nunc Amphitryonis indutus forma Herculem genuerit. Ac multa commemorare aliquis possit Jovis commenta, ut quibuscum cuperet una esset machinantis.

8. Qua in re illud maximum est et quod merito miretur

ὁμιλῶν γὰρ τοῖς θεοῖς — οὐ γὰρ ἀνθρώπων γε οὐδέσι πλὴν εἰ μὴ τοῖς καλοῖς — ἐν δ' οὖν τούτοις δημηγορῶν οὕτω πεποίηται σοβαρὸς τῷ κοινῷ τῶν Ἑλλήνων ποιητῇ καὶ θρασὺς καὶ καταπληκτικός, ὥστ' ἐν μὲν τῇ πρότερα δημηγορίᾳ τὴν Ἥραν, καίτοι πρότερον πάντ' εἰωθυῖαν ἐπιτιμᾶν αὐτῷ, ὅμως δ' αὐτὴν οὕτως ἐφόβησεν, ὥστ' ἤρκεσεν αὐτῇ τὸ μηδὲν παθεῖν, ἀλλὰ μέχρι λόγων στῆναι τὴν ὀργὴν τῷ Διί· τοὺς δ' ἅπαντας θεοὺς ἐν τῇ ὑστέρᾳ πάλιν οὐχ ἧττον κατέστησε φοβηθῆναι γῆν ἀνασπάσειν αὐτοῖς ἀνδράσι καὶ θάλατταν ἀπειλήσας. Μέλλων δὲ συνέσεσθαι καλοῖς οὕτω γίγνεται πρᾶος καὶ ἥμερος καὶ τοῖς πᾶσιν ἐπιεικής, ὥστε πρὸς ἅπασι τοῖς ἄλλοις καὶ αὐτὸ τὸ Ζεὺς εἶναι καταλιπών, ὅπως μὴ φαίνοιτο τοῖς παιδικοῖς ἀηδής, ἑτέρου τινὸς ὑποκρίνεται σχῆμα, καὶ τούτου καλλίστου καὶ οἵου τὸν ὁρῶντα προσαγαγέσθαι. Τοσοῦτον αἰδοῦς καὶ τιμῆς παρέχεται τῷ κάλλει.

9. Καὶ οὐχ ὁ μὲν Ζεὺς οὕτω μόνος ἑάλω τοῦ κάλλους, τῶν δ' ἄλλων οὐδεὶς θεῶν, ἵνα μᾶλλον ἔχειν δοκῇ ταῦτα κατηγορίαν Διός, οὐχ ὑπὲρ τοῦ κάλλους εἰρῆσθαι· ἀλλ' εἴ τις ἀκριβῶς ἐθελήσει σκοπεῖν, πάντας ἂν εὕροι θεοὺς ταὐτὰ πεπονθότας Διΐ, οἷον τὸν μὲν Ποσειδῶ τοῦ Πέλοπος ἡττημένον, Ὑακίνθου δὲ τὸν Ἀπόλλω, τὸν Ἑρμῆν δὲ τοῦ Κάδμου.

10. Καὶ θεαὶ δ' ἐλάττους οὐκ αἰσχύνονται φαινόμεναι τούτου, ἀλλ' ὥσπερ φιλοτιμίαν αὐταῖς ἔχειν δοκεῖ τὸ τῷ δεῖνι συγγενομένην καλῷ διηγεῖσθαι παρεσχῆσθαι τοῖς ἀνθρώποις. Ἔτι δὲ τῶν μὲν ἄλλων ἁπάντων ἑκάστη προστάτις οὖσα οὐχ ἑτέρα ἀμφισβητεῖ ἑτέρᾳ περὶ ὧν ἄρχει, ἀλλ' Ἀθηνᾶ μὲν τοῖς ἀνθρώποις ἡγουμένη τὰ ἐς πολέμους πρὸς Ἄρτεμιν οὐ διαμάχεται περὶ θήρας, ὡς δ' αὕτως Ἀθηνᾷ κἀκείνη παραχωρεῖ τῶν πολεμικῶν, τῶν δὲ γάμων Ἥρα Ἀφροδίτῃ, οὐδ' αὐτὴ πρὸς αὐτῆς ἐνοχλουμένη περὶ ὧν ἐφορεύει. Ἑκάστη δ' ἐπὶ κάλλει τοσοῦτον φρονεῖ καὶ πάσας ὑπερβάλλεσθαι δοκεῖ, ὥστε καὶ ἡ Ἔρις αὐτὰς ἀλλήλαις ἐκπολεμῶσαι βουλομένη οὐδὲν ἄλλο προὔβαλεν αὐταῖς ἢ κάλλος, οὕτως οἰομένη ῥᾳδίως ὅπερ ἤθελε καταστήσειν, ὀρθῶς καὶ φρονίμως τοῦτο λογιζομένη. Σκέψαιτο δ' ἄν τις ἐντεῦθεν τὴν τοῦ κάλλους περιουσίαν· ὡς γὰρ ἐλάβοντο τοῦ μήλου καὶ τὴν ἐπιγραφὴν ἀνελέξαντο, ἑκάστης αὐτῆς ὑπολαβούσης εἶναι τὸ μῆλον, μηδεμιᾶς δὲ τολμώσης τὴν ψῆφον καθ' αὑτῆς ἐνεγκεῖν, ὡς ἄρ' αἰσχροτέρα τῆς ἑτέρας εἴη τὴν ὄψιν, ἀνέρχονται παρὰ τὸν τῶν μὲν πατέρα, τῆς δ' ἀδελφόν τε καὶ σύνοικον Δία ἐπιτρέψουσαι τὴν δίκην αὐτῷ. Ἔχων δὲ καὶ αὐτὸς ἥτις ἐστὶν ἀποφήνασθαι καλλίστη καὶ πολλῶν ἀνδρείων ὄντων καὶ σοφῶν καὶ φρονίμων ἔν τε Ἑλλάδι καὶ τῇ βαρβάρῳ, ὁ δ' ἐπιτρέπει τὴν κρίσιν Πάριδι τῷ Πριάμου ψῆφον ἐναργῆ καὶ καθαρὰν ἐξενεγκών, ὅτι καὶ φρονήσεως καὶ σοφίας καὶ ῥώμης ὑπερέχει τὸ κάλλος.

11. Τοσαύτην δ' ἐπιμέλειαν ἀεὶ πεποίηνται καὶ σπουδὴν ἀκούειν εἶναι καλαί, ὥστε καὶ τὸν ἡρώων τε κοσμήτορα καὶ θεῶν ποιητὴν οὐκ ἄλλοθέν ποθεν ἢ παρὰ

aliquis, quod agens inter deos (neque enim ad alios se homines præterquam ad pulchros applicare solet), inter deos igitur dum concionatur, adeo turbidus a communi Græcorum poeta et audax terribilisque inducitur, ut in prima concione Junonem, quæ quidem olim exprobrare illi soleret omnia, ipsam tamen adeo perterruerit, ut satis haberet nihil aliud sibi evenire, sed intra verba Jovis iram consistere: in posteriori autem concione in non minore deos omnes terrore constituerit, terram se ipsis cum hominibus suspensurum et mare minatus. Quum vero ad pulchros accedit, ita fit mitis, et mansuetus, et æquus omnibus, ut super reliqua omnia, ipsa Jovis persona deposita, ne insuavis amoribus suis videatur, formam simulet alius cujusdam, quod quidem pulcherrimum sit et illicere aspicientem possit: tantum reverentiæ et honoris habet pulchritudini!

9. Neque vero solus ita Jupiter pulchritudine captus est, reliquorum autem deorum nullus, ut potius ista criminose in Jovem, quam pro pulchritudine dicta videri possint: sed si quis curate rem velit considerare, deos omnes eodem quo Jupiter modo affectos invenerit, Neptunum verbi causa Pelopis forma victum, Hyacinthi Apollinem, Mercurium Cadmi.

10. Neque deas aperte illi succubuisse pudet, sed velut honoris æmulatione de se prædicare amant, cum hoc vel illo se fuisse formoso hominibusque præbuisse. Ad hæc quum aliarum rerum omnium unaquæque præsidium susceperit, non movet altera controversiam alteri de his quibus imperet; sed Minerva, quæ res bellicas in hominibus moderatur, non contendit cum Diana de venatu, similiterque Minervæ hæc concedit de bellicis, de nuptiis autem Juno Veneri, neque ipsa turbatur ab illa in his quorum curam gerit. De pulchritudine vero sua tam magnifice sentiunt et superare illa universas sibi videntur singulæ, ut Eris dea, quæ mutuis illas inimicitiis implicare vellet, nihil iis aliud quam pulchritudinem objiceret, sic nempe rata facillime se quod vellet effecturam: recte illa quidem et prudenter subductis rationibus. Ceterum excellentiam pulchritudinis inde mihi aliquis perspiciat: accepto enim pomo lectoque illius titulo, quum unaquæque suum illud esse putaret, sustineret autem nulla contra se ipsam ferre suffragium, quasi deteriori quam altera esset facie, accedunt ad patrem duarum, unius autem fratrem eundemque maritum Jovem, arbitrium illi permittentes. Qui quum potestatem ipse quidem haberet pronunciandi, quænam esset formosissima, essentque fortes multi et sapientes prudentesque viri in Græcia pariter et apud barbaros: arbitrium tamen ille Paridi permittit Priami filio, eaque re luculentum tulit liquidumque suffragium, et prudentia et sapientia et fortitudine majorem esse pulchritudinem.

11. Tantam porro curam, studium adhibuere tantum, ut pulchræ audirent, ut illi heroum laudatori deorumque poetæ persuaserint, ne aliunde se quam a pulchritudine nomina-

τοῦ κάλλους πεπείκασιν ὀνομάζειν. Ἥδιον ἂν οὖν ἀκούσαι λευκώλενος ἡ Ἥρα ἢ « πρέσβα θεὰ θυγάτηρ μεγάλου Κρόνου, » Ἀθηνᾶ δ' οὐκ ἂν βουληθείη Τριτογένεια πρὸ τοῦ Γλαυκῶπις καλεῖσθαι, Ἀφροδίτη τε τιμήσαιτ' ἂν τοῦ παντὸς καλεῖσθαι χρυσῆ. Ὅπερ ἅπαντ' εἰς κάλλος τείνει.

12. Καίτοι ταῦτ' οὐ μόνον ἀπόδειξιν ἔχει πῶς οἱ κρείττους ἔχουσι περὶ τοῦτο, ἀλλὰ καὶ μαρτύριόν ἐστιν ἀψευδὲς τοῦ κρεῖττον εἶναι πάντων τῶν ἄλλων. Οὐκοῦν Ἀθηνᾶ μὲν ἀνδρείας ἅμα καὶ φρονήσεως προέχειν ἐπιψηφίζει· ἀμφοτέρων γὰρ προίστατο τούτων· Ἥρα δ' ἁπάσης ἀρχῆς καὶ δυναστείας αἱρετώτερον ἀποφαίνει συνηγοροῦντ' αὐτῇ καὶ τὸν Δία παραλαβοῦσα. Εἰ τοίνυν οὕτω μὲν θεῖον καὶ σεμνὸν τὸ κάλλος ἐστίν, οὕτω δὲ περισπούδαστον τοῖς θεοῖς, πῶς ἂν ἡμῖν ἔχοι καλῶς μὴ καὶ αὐτοὺς μιμουμένους τοὺς θεοὺς ἔργῳ τε καὶ λόγῳ πᾶν ὅ τι ἔχομεν συναίρεσθαι τῷ κάλλει;

13. Ταῦτα μὲν ὁ Φίλων περὶ τοῦ κάλλους εἶπεν, ἐπιθεὶς τοῦτο τῇ τελευτῇ, ὡς καὶ πλείω ἂν τούτων εἰρήκει, εἰ μὴ τὸ μακρολογεῖν ἠπίστατο τῶν ἀδοκίμων ἐν συμποσίῳ. Μετ' ἐκεῖνον δ' εὐθὺς Ἀρίστιππος ἥπτετο τῶν λόγων πολλὰ πρότερον παρακληθεὶς ὑπ' Ἀνδροκλέους· οὐ γὰρ ἐβούλετο λέγειν τὸ μετὰ Φίλωνα εὐλαβούμενος λέγειν. Ἤρξατο δὲ ἐντεῦθεν·

14. Πολλοὶ πολλάκις ἄνθρωποι τὸ περὶ τῶν βελτίστων καὶ ἡμῖν συμφερόντων ἀφέντες λέγειν ἐφ' ἑτέρας τινὰς ὥρμησαν ὑποθέσεις, ἀφ' ὧν αὐτοῖς μὲν δοκοῦσι δόξαν προσάγειν, τοῖς δ' ἀκροαταῖς τοὺς λόγους οὐδὲν λυσιτελοῦντας ποιοῦνται, καὶ διειληλύθασιν οἱ μὲν περὶ τῶν αὐτῶν ἐρίζοντες ἀλλήλοις, οἱ δὲ διηγούμενοι τὰ οὐκ ὄντα, ἕτεροι δὲ περὶ τῶν οὐδαμῶς ἀναγκαίων λογοποιοῦντες, οὓς ἐχρῆν ταῦτα πάντα καταλιπόντας, ὅπως τι βέλτιον τύχωσιν εἰπόντες, σκοπεῖν· οὓς νῦν ἐγὼ περὶ τῶν ὄντων οὐδὲν ὑγιὲς ἐγνωκέναι νομίζων ἄλλως τε καὶ τὸ τινῶν ἀγνοίας τῶν βελτίστων κατηγοροῦντα τοῖς αὐτοῖς περιπίπτειν τῶν εὐηθεστέρων οἰόμενος εἶναι πάντη, τὴν αὐτὴν λυσιτελεστάτην καὶ καλλίστην τοῖς ἀκούουσιν ὑπόθεσιν ποιήσομαι τῶν λόγων καὶ ἣν πᾶς ὁστισοῦν ἂν φαίη κάλλιστ' ἂν ἔχειν ἀκούειν καλλίστην.

15. Εἰ μὲν οὖν περί τινος ἑτέρου τοὺς λόγους ἐποιούμεθα νῦν, ἀλλὰ μὴ περὶ κάλλους, ἤρκεσεν ἂν ἡμῖν ἀκούσασιν ἑνὸς εἰπόντος ἀπηλλάχθαι περὶ αὐτοῦ· τοῦτο δ' ἄρα τοσαύτην ἀφθονίαν παρέχεται τοῖς βουλομένοις ἅπτεσθαι τῶν περὶ τούτου λόγων, ὥστ' οὐκ, εἰ μὴ κατ' ἀξίαν τις ἐφίκοιτο τῷ λόγῳ, νομίζειν δυστυχεῖν, ἀλλ' ἢν πρὸς πολλοῖς ἄλλοις κἀκεῖνό τι δυνηθῇ συμβαλέσθαι πρὸς τοὺς ἐπαίνους, τῆς ἀμείνονος οἴεσθαι πεῖρᾶσθαι τύχης. Τὸ γὰρ οὕτω μὲν περιφανῶς ὑπὸ τῶν κρειττόνων τετιμημένον, οὕτω δὲ τοῖς ἀνθρώποις θεῖον καὶ περισπούδαστον, πᾶσι δὲ τοῖς οὖσιν οἰκειότατον κόσμον, καὶ οἷς μὲν ἂν παρῇ παρὰ πάντων σπουδαζομένων, ὧν δ' ἀφίσταται μισουμένων καὶ οὐδὲ προσβλέπειν ἀξιουμένων, τίς ἂν εἴη τοσοῦτον λόγων μετεσχηκὼς

ret. Jucundius ergo audiat Juno candida brachia sua celebrari, quam dici « Veneranda dea, aut ingentis nata Saturni; » Minerva nolit Tritogenia potius quam Cæsia vocari, et Venus quantivis æstimet appellari aurea : quæ quidem ad pulchritudinem tendunt omnia.

12. Atque hæc non illud modo ostendunt, quid dii de illa sentiant, sed testimonium sunt minime fallax, reliquis illam rebus omnibus esse præstantiorem. Igitur Pallas fortitudine simul et prudentia potiorem esse decernit, cujus utriusque rei præses est : Juno autem imperio omni et potestati præferendam pronunciat, suffragatorem sibi nacta ipsum Jovem. Si vero ita divinum, ita augustum quiddam pulchritudo est, de quo tanto studio ipsi dii laborent, quomodo nos deceat non ipsos quoque deorum imitatione, opere pariter et verbis, quicquid habemus, pulchritudini patrocinari? »

13. Hæc Philo dixit de pulchritudine, in fine illud adjiciens, se plura hisce fuisse dicturum, nisi sciret convivio non convenire orationem longam. Post illum statim dicere cœpit Aristippus, multum incitatus ante ab Androcle : noluerat enim dicere, dicere post Philonem veritus. Ita vero exorsus est :

14. « Multi sæpe mortales, dimissa de rebus optimis nobisque utilibus dicendi materia, ad alia se contulere argumenta, quibus sibi quidem conciliare gloriam videntur, sed verba interim faciunt nihil profutura auditoribus, atque ita recitare solent ut partim eadem de iisdem rebus dicentes inter se contendant, partim quæ nusquam sunt, ea enarrent; partim de rebus minime necessariis verba faciant : quos oportebat his relictis omnibus, ut melius quicquam dicere possint, videre. Quos jam ego de rebus nihil sani statuisse ratus, et alioqui stupidiorum omnino esse putans, post accusatas quorundam optimarum rerum ignorantias in eadem vitia incidere; eandem utilissimam auditoribus et pulcherrimam dicendi materiem mihi sumam, quamque unusquisque optime se habere dicat vocari pulcherrimam.

15. Si quidem igitur de alia quacumque re verba nunc faceremus, non de pulchritudine, sufficeret nobis, uno qui diceret de illa audito, discedere : hæc vero tantam copiam subministrat attingere volentibus quæ de ea dicenda sunt, ut minime, si quis non pro dignitate oratione assequatur, putandus sit ausis excidisse, verum si post multa alia ipse quoque conferre quicquam ad laudes illius possit, optima fortuna uti sit existimandus. Quæ enim res manifeste adeo a diis honorata est, ita vero apud homines divina et studio omni digna; omnibus porro, quæ ubique sunt, familiarissimum decus est, adeo ut quibus ea adsit, illi colantur ab omnibus, a quibus vero absit, illi exosi et ne aspectu quidem digni censeantur : quis fuerit ita disertus, ut eam rem

ὥστ' ἐπαινέσαι πρὸς ἀξίαν ἀρκέσαι; Οὐ μὴν ἀλλ' ἐπειδήπερ οὕτω πολλῶν αὐτῷ δεῖ τῶν ἐπαινεσόντων, ὥστε μόλις ἂν τῆς ἀξίας τυχεῖν, οὐδὲν ἀπεικὸς καὶ ἡμᾶς ἐγχειρεῖν τι λέγειν περὶ αὐτοῦ, μέλλοντάς γε μετὰ Φίλωνα ποιεῖσθαι τοὺς λόγους. Οὕτω δὴ σεμνότατον καὶ θειότατον τῶν ὄντων ἐστὶν, ὥστε.... ἵν' ὅσα θεοὶ καλοὺς τετιμήκασι, παραλείπω.

16. Ἀλλ' οὖν ἐν τοῖς ἄνω χρόνοις ἐκ Διὸς Ἑλένη γενομένη οὕτως ἐθαυμάσθη παρὰ πᾶσιν ἀνθρώποις ὥστ' ἔτι τῆς ἡλικίας οὖσαν ἐντὸς κατά τινα χρείαν ἐν Πελοποννήσῳ γενόμενος ὁ Θησεὺς οὕτω τῆς ὥρας ἰδὼν ἠγάσθη, ὥστ' οὔσης αὐτῷ καὶ βασιλείας ἀσφαλεστάτης καὶ δόξης οὐ τῆς τυχούσης ὅμως οὐκ ᾤετο βιωτὸν αὐτῷ ταύτης ἐστερημένῳ, παρελθεῖν δὲ πάντας εὐδαιμονίᾳ, εἰ ταύτην αὐτῷ γένοιτο συνοικεῖν. Οὕτω δὲ διανοηθεὶς τὸ μὲν παρὰ τοῦ πατρὸς λαβεῖν ἀπειπὼν, μὴ γὰρ ἂν αὐτὴν αὐτὸν ἐκδοῦναι μήπω ἡλικίας ἡμιμένην, τὴν δ' ἀρχὴν ὑπερφρονήσας ἐκείνου καὶ παριδὼν, ὀλιγωρήσας δὲ καὶ τῶν ἐν Πελοποννήσῳ πάντων δεινῶν, κοινωνοῦντ' αὐτῷ τῆς ἁρπαγῆς καὶ Πειρίθουν παραλαβὼν, βίᾳ λαβὼν αὐτὴν τοῦ πατρὸς εἰς Ἄφιδναν ἐκόμισε τῆς Ἀττικῆς, καὶ τοσαύτην ἔσχε χάριν αὐτῷ τῆς συμμαχίας ταυτησὶ, ὥσθ' οὕτως ἐφίλησε τὸν ἅπαντα χρόνον, ὥστε καὶ τοῖς ἐπιγενομένοις παράδειγμα γενέσθαι τὴν Θησέως καὶ Πειρίθου φιλίαν. Ἐπειδὴ δὲ ἔδει κἀκεῖνον ἐν Ἅιδου γενέσθαι τὴν Δήμητρος μνηστευσόμενον κόρην, ἐπειδὴ πολλὰ παραινῶν οὐκ ἠδυνήθη ταύτης αὐτὸν τῆς πείρας ἀποσχέσθαι καταπεῖσαι, συνηκολούθησεν αὐτῷ ταύτην πρέπουσαν οἰόμενος αὐτῷ καταθήσειν τὴν χάριν περὶ τῆς ψυχῆς ὑπὲρ αὐτοῦ κινδυνεῦσαι.

17. Ἐπανελθοῦσαν δ' εἰς Ἄργος, αὖθις ἀποδημοῦντος αὐτοῦ, ἐπειδὴ καθ' ὥραν ἦν γάμων, καίτοι γε ἐχόντες καλάς τε καὶ εὖ γεγονυίας ἐκ τῆς Ἑλλάδος σφίσιν αὐτοῖς ἄγεσθαι γυναῖκας οἱ τῆς Ἑλλάδος βασιλεῖς, οἱ δὲ συνελθόντες ἐμνηστεύοντο ταύτην τὰς ἄλλας ἁπάσας ὑπεριδόντες ὡς φαυλοτέρας. Γνόντες δ' ὅτι περιμάχητος ἔσται, καὶ δείσαντες μὴ πόλεμος γένηται τῇ Ἑλλάδι, μαχομένων πρὸς ἀλλήλους, ὁμωμόκασιν ὅρκον τουτονὶ ψήφῳ κοινῇ, ἣ μὴν ἐπικουρήσειν τῷ ταύτης ἀξιωθέντι μηδ' ἐπιτρέψειν ἥν τις ἀδικεῖν ἐγχειρῇ, ἕκαστος οἰόμενος ταύτην αὐτῷ τὴν συμμαχίαν παρασκευάζειν. Τῆς μὲν οὖν ἰδίας γνώμης ἀπέτυχον πάντες πλὴν Μενελάου, τῆς κοινῆς δ' ἐπειράθησαν αὐτίκα· οὐ πολλῷ γὰρ ὕστερον ἔριδος γενομένης ταῖς θεαῖς περὶ κάλλους, ἐπιτρέπουσι τὴν κρίσιν Πάριδι τῷ Πριάμου, ὁ δὲ τῶν μὲν σωμάτων τῶν θεῶν ἡττηθεὶς, τῶν δωρεῶν δ' ἀναγκασθεὶς γενέσθαι κριτὴς, καὶ διδούσης Ἥρας μὲν τὴν τῆς Ἀσίας ἀρχὴν, τὸ δ' ἐν πολέμοις Ἀθηνᾶς κράτος, Ἀφροδίτης δὲ τὸν τῆς Ἑλένης γάμον, καὶ φαύλοις μὲν ἀνθρώποις γενέσθαι ἂν ποτε νομίσας οὐκ ἐλάττω βασιλείαν, Ἑλένης δ' οὐδένα τῶν ἐπιγιγνομένων ἀξιωθῆναι, προείλετο τὸν ταύτης γάμον.

18. Γενομένης δὲ τῆς ὑμνουμένης ἐκείνης στρατείας κατὰ τῶν Τρώων καὶ τῆς Εὐρώπης τότε πρῶτον κατὰ

laudare pro dignitate possit? Verum enim vero cum multis adeo ei rei laudatoribus opus sit, ut vel sic suam vix dignitatem consequatur, non absurdum fuerit etiam nos conari aliquid de ea dicere, licet post Philonem verba sint faciendа. Adeo vero augustissima et maxime divina rerum est, ut... prætermitto enim quibus modis pulchros dii honoraverint.

16. Verum superioribus temporibus nata Jove Helena tantæ apud omnes homines admirationi fuit, ut intra maturæ ætatis tempus constitutam, negotii alicujus causa agens in Peloponneso Theseus, ita ad conspectum formæ illius exarserit, ut in regno firmissimo et gloria non vulgari, tamen non vivendum sibi putaret, hac si carendum esset; felicitate autem præterire se universos, si hæc sibi uxor contingeret. Quæ quum animo agitaret, nec spem haberet illius a patre impetrandæ (neque enim elocaturum esse quæ justam ætatem nondum attigisset), contemto illius imperio ac neglecto, parvi faciens quicquid in Peloponneso formidandum erat, assumto rapinæ adjutore Pirithoo, vi a patre abductam Aphidnam Atticæ oppidum asportavit: tantamque illi habuit hujus auxilii nomine gratiam, ut ita eum reliquo tempore amaverit, exemplum posteris uti esset Thesei et Pirithoi amicitia. Quum autem ille cogeretur ad inferos descendere, ad nuptias auribiendas Liberæ Cereris, postquam multa hortatus non potuit illi persuadere ut ab eo se conatu abstineret; illum comitatus est, hanc decentem ab illo gratiam initurus, ut vitæ pro illo periculum subiret.

17. Reversam vero Argos, rursus peregre absente Theseo, quum jam matura esset nuptiis, licet haberent pulchras et generosas mulieres, quas e Græcia sibi ducerent, reges Græciæ; at illi convenientes hanc sibi expetebant, contemtis tanquam deterioribus reliquis omnibus. Quum autem viderent de ipsa certatum iri, metuentes ne bellum Græciæ exoriretur illis inter se depugnantibus, communi suffragio jusjurandum dedere ejusmodi, se adjutores fore ei qui ipsa dignus esset habitus, neque permissuros si quis injuriam vellet facere, quum nempe putaret unusquisque sibi se hoc parare auxilium. Ac privata quidem illa uniuscujusque sententia fefellit omnes præter Menelaum: communem autem illam rebus statim experti sunt. Quum enim non ita multo post lis inter deas de forma exorta esset, arbitrium permittunt Paridi Priami filio. Hic corporibus dearum et forma victus, munerumque esse coactus arbiter, offerente Junone imperium Asiæ, bellicam victoriam Pallade, Venere autem Helenæ nuptias; etiam vilibus hominibus contingere interdum putans non minus imperium, Helena autem potiri posse posterorum neminem, hujus nuptias præoptavit.

18. Quum autem decantata illa contra Trojam expeditio fieret, et Europa tunc primum veniret contra Asiam,

τῆς Ἀσίας ἐλθούσης, ἔχοντες οἵ τε Τρῶες ἀποδόντες τὴν Ἑλένην ἀδεῶς οἰκεῖν τὴν αὑτῶν, οἵ θ' Ἕλληνες ταύτην αὐτοὺς ἐάσαντες ἔχειν ἀπαλλάττεσθαι τῶν ἐκ πολέμου καὶ στρατείας δυσχερῶν, οἱ δ' οὐκ ἠβουλήθησαν ἀμφότεροι, οὐκ ἄν ποτε νομίσαντες εὑρεῖν ἀφορμὴν καλλίω πολέμου, περὶ ἧς ἀποθανοῦνται. Καὶ θεοὶ δὲ τοὺς αὑτῶν παῖδας σαφῶς εἰδότες ἀπολουμένους ἐν τῷ πολέμῳ οὐκ ἀπέτρεψαν μᾶλλον, ἀλλ' ἐνήγαγον εἰς τοῦτο οὐκ ἐλάττω δόξαν αὐτοῖς οἰόμενοι φέρειν τοῦ θεῶν παῖδας γενέσθαι τὸ μαχομένους ὑπὲρ Ἑλένης ἀποθανεῖν. Καὶ τί λέγω τοὺς αὐτῶν παῖδας; αὐτοὶ πρὸς αὑτοὺς μείζω καὶ δεινότερον ἐνεστήσαντο τοῦ πρὸς Γίγαντας αὐτοῖς γενομένου πολέμου· ἐν ἐκείνῳ μὲν γὰρ μετ' ἀλλήλων, ἐνταῦθα δὲ ἐμάχοντο πρὸς ἀλλήλους. Οὗ τί γένοιτ' ἂν ἐναργέστερον δεῖγμα, ὅσῳ τῶν ἀνθρωπίνων ἁπάντων ὑπερέχει τὸ κάλλος παρ' ἀθανάτοις κριταῖς; Ὅταν γὰρ ὑπὲρ μὲν τῶν ἄλλων οὐδενὸς ἁπάντων οὐδαμοῦ τὸ παράπαν φαίνωνται διενεχθέντες, ὑπὲρ δὲ κάλλους οὐ μόνον τοὺς υἱοὺς ἐπιδεδωκότες, ἀλλ' ἤδη καὶ ἀλλήλοις ἐναντία πεπολεμηκότες, ἔνιοι δὲ καὶ τρωθέντες, πῶς οὐχ ἁπάσαις ψήφοις προτιμῶσιν ἁπάντων τὸ κάλλος;

19. Ἀλλ' ἵνα μὴ δόξωμεν ἀπορίᾳ τῶν περὶ κάλλους λόγων περὶ ταῦτα διατρίβειν ἀεί, ἐφ' ἕτερον βούλομαι μεταβῆναι οὐδαμῶς ἔλαττον ὄν, ὥστε δεῖξαι τὴν τοῦ κάλλους ἀξίαν, τῶν πρότερον εἰρημένων, τὴν Ἀρκάδος Ἱπποδάμειαν Οἰνομάου, ὅσους τοῦ ταύτης κάλλους ἁλόντας μᾶλλον αἱρουμένους ἀπέφηνεν ἀποθνήσκειν ἢ ταύτης διῳκισμένους τὸν ἥλιον προσορᾶν. Ὡς γὰρ ἐλάβετο τῆς ἡλικίας ἡ παῖς καὶ τὰς ἄλλας ὁ πατὴρ οὐκ ἀλίγῳ τῷ μέσῳ παρενεγκοῦσαν ἑώρα, τῆς μὲν ὥρας αὐτῆς ἁλούς — τοσοῦτον γὰρ αὐτῇ περιῆν, ὥστε καὶ τὸν γεγεννηκόθ' ὑπηγάγετο παρὰ φύσιν — καὶ διὰ τοῦτ' ἀξιῶν αὐτὴν ἔχειν παρ' ἑαυτῷ, βούλεσθαι δ' ἐκδιδόναι πλαττόμενος αὐτὴν τῷ ταύτης ἀξίῳ, τὰς παρ' ἀνθρώπων φεύγων αἰτίας, μηχανήν τινα μηχανᾶται τῆς ἐπιθυμίας ἀδικωτέραν καὶ ἣν ᾤετο ῥᾳδίως ὅπερ ἐβούλετο καταστήσειν· ὑπὸ γὰρ ἅρματι, ὡς οἷόν τε μάλιστα ἦν, εἰς τάχος ὑπὸ τῆς τέχνης ἐξειργασμένῳ τοὺς ἐν Ἀρκαδίᾳ ζεύξας ἐν τῷ τότε ταχίστους ἵππους ἡμιλλᾶτο πρὸς τοὺς μνηστῆρας τῆς κόρης ἆθλον τῆς νίκης παρελθοῦσιν αὐτοῖς αὐτὴν προτιθεὶς ἢ στέρεσθαι τῆς κεφαλῆς ἡττηθέντας. Καὶ ἠξίου δ' αὐτὴν αὐτοῖς συναναβαίνειν τὸ ἅρμα, ὅπως ἀποσχολούμενοι περὶ ταύτην ἀμελοῖεν τῆς ἱππικῆς. Οἱ δ', ἀποτυχόντος τοῦ πρώτως ἅψαμένου τοῦ δρόμου καὶ τῆς κόρης ἐκπεσόντος μετὰ τοῦ ζῆν, τὸ μὲν ἀποκνῆσαι πρὸς τὸν ἀγῶνα ἢ μεταθεῖναί τι τῶν βεβουλευμένων μειρακιῶδες εἶναι ὑπολαβόντες, τὴν δ' ὠμότητα μισήσαντες Οἰνομάου ἄλλος ἄλλον ἔφθανεν ἀποθνήσκων ὥσπερ δεδοικὼς μὴ τοῦ τεθνάναι περὶ τῆς κόρης ἁμάρτῃ. Καὶ προῆλθέ γε μέχρι τρισκαίδεκα νέων ὁ φόνος· θεοὶ δ' ἐκεῖνον τῆς πονηρίας μισήσαντες ταυτησὶ τούς τε τεθνεῶτας ἅμα καὶ τὴν κόρην ἐλεοῦντες, τοὺς μὲν ὅτι κτήματος ἀπε-

liceretque Trojanis reddita Helena sine metu suam incolere patriam, Græcis vero hac illis permissa, difficultatibus belli atque expeditionis liberari : neutri tamen voluere, qui putarent nunquam se belli causam, pro qua morerentur, habituros pulchriorem : ipsique dii suos filios, quos aperte scirent in illo bello perituros, non potius prohibuere, sed eo induxerunt, non minori ipsis gloriæ futurum arbitrati, pugnando mori pro Helena, quam quod deorum filii essent. Et quid dico filios suos? ipsi inter se majus et terribilius iniere bellum eo, quod adversus Gigantas ab illis gestum est : etenim in illo conjuncti pugnabant, hic vero contra se invicem. Quo majus quodnam esse potest documentum, quantum humanis rebus omnibus præstet immortalium deorum judiciis pulchritudo? Quando enim de aliarum in universum rerum nulla unquam omnino dissedisse illos constat, pro pulchritudine autem non filios tantum suos dedidisse, sed jam contra se invicem pugnasse, quosdam etiam vulneratos esse : quomodo non sententiis omnibus pulchritudinem præponunt rebus omnibus?

19. Ne vero videamur inopia eorum, quæ de ipsa pulchritudine dici possunt, circa ista semper morari, ad aliud volo transire nullo modo inferius ad demonstrandam pulchritudinis dignitatem his quæ prius dicta sunt, ad Hippodamiam Arcadis Œnomai filiam, quot juvenes illa ostenderit ipsius forma captos mori præoptare quam ab ipsa disclusos hanc lucem intueri! Quum enim maturitatem attigisset puella, videretque illam pater non mediocri intervallo ceteras post se relinquere, forma illius captus (cujus nimirum tantam illa vim haberet, ipsum ut parentem præter naturam subigeret), eamque ob causam secum illam habere cupiens, fingens interim, suspicionum vitandarum causa, elocare se ipsam velle ei qui dignus ipsa esset, commentum comminiscitur ipsa cupiditate injustius, quo putabat facile sibi quod vellet confecturum. Curru enim quanta maxima arte poterat ad celeritatem elaborato, equos quum junxisset qui tum erant in Arcadia velocissimos, certabat cum procis puella, pretereuntibus se proposito præmio ipsa puella, devictis prima capitis : postulabatque ipsam currum cum illis conscendere, ut in illa occupati et defixi, equestris rei curam omitterent. Illi, quum fortuna adversa usus fuisset qui primus cursum ingressus fuerat, et virgine una cum vita excidisset, detrectare certamen, aut mutare consilium puerile arbitrati, crudelitatemque Œnomai exosi, alius alium morte prævenerunt, quasi metuentes ne morte pro puella exciderent. Ac progressa est cædes ad adolescentes tredecim. Dii autem pravitatem hanc istius exosi, mortuosque simul et virginem miserati, illos, qui tali possessione privati essent;

στέρηνται τοιούτου, τὴν κόρην δ' ὅτι τῆς ὥρας οὐ κατὰ καιρὸν ἀπολαύοι, κηδόμενοί τε τοῦ νέου, ὅστις ἔμελλε — Πέλοψ δ' ἦν οὗτος — ἀγωνιεῖσθαι, ἅρμα τε χαρίζονται τούτῳ κάλλιον τέχνης πεποιημένον ἵππους τε ἀθανάτους, δι' ὧν ἔμελλε τῆς κόρης κύριος εἶναι, καὶ γέγονέ γε τὸν κηδεστὴν ἐπὶ τέρμασι τῆς νίκης ἀπεκτονώς.

20. Οὕτω τὸ ταῦ κάλλους χρῆμα ἀνθρώποις τε θεῖον εἶναι δοκεῖ καὶ τιμώμενον ὑπὸ πάντων καὶ θεοῖς ἐσπούδασται πολλαχόσε. Διὸ δὴ καὶ ἡμῖν οὐκ ἂν ἔχοι τις μέμφεσθαι δικαίως προῦργου λογισαμένοις τὸ ταῦτα περὶ κάλλους διεξελθεῖν. Οὕτω μὲν δὴ καὶ Ἀρίστιππος διῆλθε τὸν λόγον.

21. ΕΡΜ. Σὺ δὲ λοιπὸς εἶ, Χαρίδημε. Ὅπως δ' ὥσπερ κορωνίδα τῶν τοῦ κάλλους καλῶν ἐπιθήσῃ τὸν λόγον.

ΧΑΡ. Μηδαμῶς, ὦ πρὸς θεῶν, περαιτέρω προελθεῖν με βιάσῃ· ἱκανὰ γὰρ δηλῶσαι τὴν συνουσίαν καὶ τὰ νῦν εἰρημένα, ἄλλως τ' οὐδ' ὅσαπερ εἶπον ἀπομνημονεύοντα. Ῥᾷον γὰρ ἄν τις μνημονεύοι τῶν ἑτέροις εἰρημένων ἢ τῶν αὑτῷ.

ΕΡΜ. Ταῦτα μὲν δή ἐστιν, ὧν ἐξ ἀρχῆς ἐπεθυμοῦμεν ἐπιτυχεῖν· οὐ γὰρ δὴ τοσοῦτον ἡμῖν τῶν λόγων ἐκείνων ὅσον ἐμέλησε τῶν σῶν ἀκοῦσαι. Ὥστ', ἢν τούτων ἀποστερήσῃς, κἀκεῖνα μάτην ἔσῃ πεπονηκώς. Ἀλλὰ πρὸς Ἑρμοῦ τὸν ἅπαντα λόγον, ὥσπερ ὑπέστης ἐξ ἀρχῆς, ἀπόδος.

ΧΑΡ. Βέλτιον μὲν ἦν τούτοις ἀπαλλάττειν με τῶν δυσχερῶν ἀγαπῶντα· ἐπεὶ δ' οὕτω προθυμῇ καὶ τῶν ἡμετέρων ἀκοῦσαι λόγων, καὶ τοῦτ' ὑπηρετεῖν ἀνάγκη. Ὧδε τοίνυν καὶ αὐτὸς ἐποιησάμην τὸν λόγον·

22. Εἰ μὲν πρῶτος αὐτὸς ἦρχον περὶ τοῦ κάλλους λέγειν, προοιμίων ἂν ἐδεόμην συχνῶν, ἐπεὶ δ' ἐπὶ πολλοῖς ἔρχομαι τοῖς πρότερον εἰρηκόσιν ἐρῶν, οὐδὲν ἀπεικὸς τοῖς ἐκείνων κεχρημένον ὡς προοιμίοις ἐπιφέρειν ἐξῆς τὸν λόγον, ἄλλως τ' οὐδ' ἑτέρωσε τῶν λόγων γιγνομένων, ἀλλ' ἐνταῦθα καὶ τῆς αὐτῆς ἡμέρας, ὥστ' ἐνεῖναι καὶ τοὺς παρόντας λαθεῖν, ὡς ἄρ' οὐχ ἕκαστος ἰδίᾳ λογοποιοῦσιν, ἀλλὰ τὸν αὐτὸν ἕκαστος ἐπὶ μέρους διεξέρχονται λόγον. Ἑτέρῳ μὲν οὖν ἥρκει γ' ἂν εἰς εὐφημίαν ἅπερ ὑμῶν ἕκαστος ἔτυχεν εἰπὼν περὶ τοῦ κάλλους ἰδίᾳ, τούτῳ δὲ τοσοῦτον περίεστιν, ὥστε καὶ τοῖς ἐπιγιγνομένοις ἔξω τῶν νῦν εἰρημένων οὐ δεῖν ἐπαίνων τῶν εἰς αὐτό· πλεῖστα γὰρ πολλαχόθεν, αὐτὰ πρῶτα δεῖν λέγειν ἕκαστα, δόξαν παρίστησιν, ὥσπερ ἀνθέων εὐτυχοῦντι λειμῶνι, ἀεὶ τῶν φαινομένων ἄρτι προσαγομένων τοὺς δρεπομένους. Ἐγὼ δ' ἐκ πάντων ἐκλέξας ὅσα μοι δοκῶ μὴ βέλτιον εἶναι παραλιπεῖν, λέξω διὰ βραχέων, ὅπως τῷ τε κάλλει τὰ γιγνόμενα ἀποδώσω ὑμῖν τε τὸ μακρολογεῖν παραλιπὼν δράσω κεχαρισμένα.

23. Τοῖς μὲν οὖν ἢ δι' ἀνδρείαν ἢ καθ' ἑτέραν τινὰ τῶν ἀρετῶν ἡμῶν προέχειν δοκοῦσιν, ἢν μὴ τῷ καθ' hanc, quod forma illa atque ætate non ut decebat frueretur, cura adolescentis susceptа, qui erat decertaturus (hic Pelops fuit) et currum illi donant pulchrius ab arte elaboratum, equosque immortales, quorum opera futurum erat ut virgine potiretur. Ac potitus est, interfecto in metis victoriæ socero.

20. Adeo pulchritudo divina res hominibus videtur et honoratur ab omnibus, et diis est multis modis expetita. Propterea neque nobis est quod quis jure succenseat, qui operæ pretium putaverimus ista de pulchritudine enarrare. » Sic et Aristippus orationem suam absolvit.

21. HERM. Tu vero superes, Charideme: atque jam velut coronidem eorum, quæ in pulchritudine pulchra sunt, imponas tuam orationem.

CHAR. Ne, per ego te deos rogo, ultra progredi me coge: satis enim fuerint ad declarandam disputationem etiam quæ modo dicta sunt, qui præsertim non quæcumque dixi depromere ex memoria possim. Quippe facilius aliquis retineat dicta ab aliis, quam sua.

HERM. Quin hæc ipsa sunt quorum ab initio cupiebamus fieri compotes: neque enim tantum illas audire orationes curabamus, quam tuam. Itaque hac si nos privaveris, scito etiam in illis frustra te elaborasse. Verum per Mercurium, universam orationem, quemadmodum ab initio promiseras, nobis redde.

CHAR. Melius fuerat te istis contentum difficultatem mihi remittere. Quandoquidem vero ita cupidus es meæ audiendæ orationis, ea etiam in re tibi obsequi necesse est. Hunc in modum ergo ipse quoque verba feci:

22. « Si primus ego de pulchritudine dicere inciperem, multis opus haberem exordiis; quando autem post plures, qui ante me dixerunt, oraturus venio, haud absurdum fuerit illorum me orationibus pro exordiis usum, ipsam statim meam orationem adjungere: quum præsertim non alias habitæ sint illæ orationes, sed hic et eodem die, ut possit etiam præsentibus fucus fieri, quasi non suam sibi quisque orationem habeat, sed unam eandemque pro parte quisque sua exsequatur. Atque alii rei satis essent ad colligendam famam quæ unusquisque vestrûm singulatim pro pulchritudine dixit: huic vero tantum superest, ut etiam his qui post futuri sunt, præter ea quæ jam sunt dicta, non defuturæ sint ejusdem laudes. Plurima enim pluribus ex locis, atque omnia ejusmodi, ut prima dici mereantur, gloriam ei parant, velut felici florum prato, semper his qui jam conspiciuntur, decerpentes allicientibus. Ego vero deligens ex omnibus quæcumque non recte omitti putabo, paucis dicam, ut et pulchritudini justa tribuam, et vobis, omissa longiori oratione, gratificer.

23. Igitur qui vel fortitudine, vel quacumque virtute alia præcellere nobis videntur, illis, nisi per quotidiana benefi-

ἡμέρσν τοιεῖν εὖ ἀναγκάζωσιν ἡμᾶς εὖ αὐτοῖς διακεῖσθαι, βασκαίνομεν μᾶλλον, ἐξ ὧν ἂν οὐ καλῶς αὐτοῖς τὰ πράγματα πραττόμενα σχοίη· καλοὺς δ' οὐ μόνον οὐ φθονοῦμεν τῆς ὥρας, ἀλλ' εὐθύς τε ἰδόντες ἁλισκόμεθα ὑπεραγαπῶμέν τε οὐδ' ἀποκνοῦμεν ὥσπερ κρείττοσιν, ὅσον ἂν ἡμῖν ἐξῇ, δουλεύοντες αὐτοῖς. Ἥδιον ἂν οὖν ὑπακούσαι τις ὥρας εὐτυχηκότι ἢ προστάξειε τῷ τοιούτῳ, καὶ πλείω χάριν ἂν εἰδείη τῷ πολλὰ προστάττοντι μᾶλλον ἢ τῷ μηδ' ὁτιοῦν ἐπαγγέλλοντι.

24. Καὶ τῶν μὲν ἄλλων ἀγαθῶν, ὧν ἂν ἐνδεεῖς ὦμεν, οὐ περαιτέρω σπουδάζομεν τοῦ τυχεῖν, κάλλους δ' ἡμῖν οὐδεὶς οὐδεπώποτε γέγονε κόρος, ἀλλ' ἐάν τε τὸν Ἀγλαΐης, τὸν εἰς Ἴλιόν ποτε συναναβάντα τοῖς Ἀχαιοῖς, ἐάν θ' Ὑάκινθον τὸν καλὸν ἢ τὸν Λακεδαιμόνιον Νάρκισσον κάλλει νικῶμεν, οὐκ ἀρκεῖν ἡμῖν δοκοῦμεν, ἀλλὰ δεδοίκαμεν μὴ λάθωμεν τοῖς ἐπιγιγνομένοις ἂν καταλιπόντες ὑπερβολήν.

25. Σχεδὸν δ' ὡς εἰπεῖν πάντων τῶν ἐν ἀνθρώποις πραγμάτων ὥσπερ κοινὸν παράδειγμα τὸ κάλλος ἐστὶ, καὶ οὔτε στρατηγοῖς εἰς κάλλος ἠμέληται τὰ στρατεύματα συντάττειν οὔτε ῥήτορσι τοὺς λόγους συντιθέναι οὔτε μὴν γραφεῦσι τὰς εἰκόνας γεγραφέναι. Ἀλλὰ τί ταῦτα λέγω, ὧν τὸ κάλλος τέλος ἐστίν; ὧν γὰρ εἰς χρείαν ἥκομεν ἀναγκαίως, οὐκ ἐλλείπομεν οὐδὲν σπουδῆς εἰς ὅσον ἔξεστι κάλλιστα κατασκευάζειν· τῷ τε γὰρ Μενέλεῳ οὐ τοσοῦτον ἐμέλησε τῆς χρείας τῶν οἴκων, ἢ ὅσον τοὺς εἰσερχομένους ἐκπλήττειν, καὶ διὰ τοῦθ' οὕτω πολυτελεστάτους ἅμα κατεσκεύασε καὶ καλλίστους, καὶ τῆς γνώμης οὐχ ἥμαρτεν· ὁ γὰρ Ὀδυσσέως οὕτως ἀγασθῆναι λέγεται τούτους, κατὰ πύστιν τοῦ πατρὸς εἰς αὐτὸν ἀφιγμένος, ὥστ' εἰπεῖν Πεισιστράτῳ τῷ Νεστορίδῃ,

Ζηνός που τριήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή.

Αὐτός θ' ὁ τοῦ μειρακίου πατὴρ οὐκ ἄλλου του χάριν μιλτοπαρῄους ἦγε τὰς ναῦς συστρατευόμενος τοῖς Ἕλλησιν ἐπὶ Τροίαν ἢ ὅπως τοὺς ὁρῶντας ἐκπλήττειν ἔχῃ. Καὶ σχεδὸν εἴ τις ἑκάστην ἐξετάζειν βούλεται τῶν τεχνῶν, εὑρήσει πάσας ἐς τὸ κάλλος ὁρώσας καὶ τούτου τυγχάνειν τοῦ παντὸς τιθεμένας.

26. Τοσοῦτον δὲ τὸ κάλλος τῶν ἄλλων ἁπάντων ὑπερέχειν δοκεῖ, ὥστε τῶν μὲν ἢ δικαιοσύνης ἢ σοφίας ἢ ἀνδρείας μετεχόντων πολλά τις ἂν εὕροι τιμώμενα μᾶλλον, τῶν δὲ ταύτης τῆς ἰδέας κεκοινωνηκότων βέλτιόν ἐστιν εὑρεῖν οὐδὲν, ὥσπερ δὴ καὶ τῶν μὴ μετεσχηκότων ἀτιμότερον οὐδέν· μόνους γοῦν τοὺς μὴ καλοὺς ὀνομάζομεν αἰσχροὺς, ὡς οὐδὲν ὄν, εἴ τί ἔχων τύχοι πλεονέκτημα τῶν ἄλλων κάλλους ἐστερημένος.

27. Τοὺς μὲν οὖν ἢ δημοκρατουμένοις τὰ κοινὰ διοικοῦντας ἢ τυράννοις ὑποτεταγμένους τοὺς μὲν δημαγωγοὺς, τοὺς δὲ κόλακας καλοῦμεν, μόνους δὲ τοὺς ὑπὸ ταύτῃ τῇ δυνάμει γενομένους θαυμάζομέν τε φιλοπόνους τε καὶ φιλοκάλους ὀνομάζομεν καὶ κοινοὺς νομίζομεν εὐεργέτας τοὺς τῶν καλῶν ἐπιμελητάς. Ὅτε τοίνυν

cia nos, ut bene erga illos affecti simus, veluti cogant, potius invidemus, unde non bene illis res successerit: pulchris vero non tantum non invidemus formam, sed ad primum conspectum capimur, supra modum illos amamus, neque fatigamur illis tanquam diis quibusdam, quantum nobis licuerit, serviendo. Ergo jucundius aliquis paruerit formæ felicis homini, quam non tali imperaverit, et gratiam habuerit majorem injungenti multa, quam nihil quicquam præcipienti.

24. Et reliqua bona, quorum indigemus, non ultra appetimus, quum sumus consecuti; pulchritudinis autem nulla unquam est satietas: verum si et illum Aglaiæ filium, qui cum Achivis venit contra Ilium, si Hyacinthum illum pulchrum, aut Lacedæmonium Narcissum vincamus pulchritudine, non putamus satis esse, sed metuimus ne ignari a posteris forte superemur.

25. Fere omnibus autem, ut ita dicam, rebus humanis commune quasi, ad quod componantur, exemplum pulchritudo est: et neque imperatores non curant ad pulchritudinem struere aciem; neque oratores componere orationem; neque pictores imagines suas pinxisse. Sed quid hæc dico, quorum pulchritudo finis est? vel in his quorum ad usum necessitate quadam venimus, studii nihil intermittimus, quo ea, quam potest, paremus pulcherrima. Neque enim Menelaus tam curabat usum ædium, quam ut ingredientes admiratione percelleret; atque ea causa et sumtuosissimas simul paravit et pulcherrimas: neque aberravit ab suo consilio; Ulyssis enim filius ita illas admiratus esse dicitur, requirendi patris causa ad ipsum quum pervenisset, ut Pisistrato diceret Nestoris filio,

Talis nempe fuat Jovis aula introrsus Olympi.

Ipse autem pater adolescentuli non alia causa splendentes minio naves Græcorum expeditionem juvans adversus Trojam duxit, quam ut haberet quo videntes percelleret. Et artes fere singulas si examinare aliquis velit, inveniet ad pulchritudinem collineare omnes, et in illa consequenda ponere omnia.

26. Tantum vero eminere in reliquis omnibus pulchritudo [*moralis*, *honestas*] videtur, ut multa observare liceat iis quæ vel justitiam vel sapientiam vel fortitudinem sibi adjunctam habent, honoratiora; his vero, quæ hujus qualitatis partem habent, melius invenire nihil est; quemadmodum nimirum istis, qui nihil ejus habent, nihil contemtius. Quippe solos, qui pulchri [*honesti*] non sunt, turpes vocamus; quasi nihil sit, si quis aliquam ceterarum prærogativarum habeat, pulchritudine [*honestate*] idem privatus.

27. Atque illos, qui vel in populari imperio rem publicam administrant, vel tyrannis subjecti sunt, demagogos illos, hos adulatores vocamus: solos qui sub hac pulchri [*honesti*] potestate sunt, admiramur, laborisque et pulchritudinis [*honestatis*] amantes vocamus, et communes benefactores habemus illos, qui pulchrorum [*honestorum*] curam susci-

οὕτω μὲν σεμνὸν τὸ κάλλος ἐστὶν, οὕτω δὲ τοῖς πᾶσιν ἐν εὐχῆς μέρει τυχεῖν κέρδος τε νομίζουσι τὸ τούτῳ τι διακονῆσαι δυνηθῆναι, πῶς, ἡμᾶς εἰκότως οὐκ ἄν τις ἐμέμψατο, εἰ τοσοῦτον ἔχοντες κέρδος κερδαίνειν ἔπειθ' ἑκόντι προϊέμεθα, μηδ' αὐτὸ τοῦτο αἰσθέσθαι δυνηθέντες, ὅτι ζημιούμεθα;

28. Τοσοῦτον μὲν δὴ κἀγὼ τὸν λόγον ἐποιησάμην, πολλὰ τῶν ἐνόντων μοι περὶ κάλλους εἰπεῖν ἀφελών, ἐπειδὴ τὴν συνουσίαν ἐπὶ πολὺ παρατεινομένην ἐώρων.

ΕΡΜ. Εὐδαίμονές γε, οἳ τοιαύτης ἀπολελαύκατε τῆς συνουσίας. Σχεδὸν δ' ἤδη κἀγὼ οὐδὲν ἔλαττον ὑμῶν ἔσχηκα διὰ σέ.

piunt. Quando igitur adeo augustum quiddam est pulchritudo, adeoque in parte votorum est omnibus illam consequi, ut in lucro ponant, illi si qua servire possint; quomodo non merito nos vituperaverit aliquis, si tantum quum liceat lucrum facere, ultro deinde illud abjiciamus, ac ne hoc ipsum quidem sentire queamus, damnum nos facere? »

28. Tantum et ego verborum feci, multis quæ in promtu mihi erat de pulchritudine dicere, abscissis, quoniam longius extrahi colloquium animadverti.

HERM. Felices vos quidem, qui tali colloquio fruiti sitis. Sed tuo beneficio fere non deteriori ego quoque conditione fui.

LXXIX.

* ΝΕΡΩΝ Η ΠΕΡΙ ΤΗΣ ΟΡΥΧΗΣ ΤΟΥ ΙΣΘΜΟΥ.

1. ΜΕΝΕΚΡΑΤΗΣ. Ἡ ὀρυχὴ τοῦ Ἰσθμοῦ, καὶ σοὶ, Μουσώνιε, διὰ χειρὸς, ὥς φασι, γεγονυῖα, τῷ τυράννῳ νοῦν εἶχεν Ἕλληνα;

ΜΟΥΣΩΝΙΟΣ. Ἴσθι, ὦ Μενέκρατες, καὶ βελτίω ἐντεθυμῆσθαι Νέρωνα· τὰς γὰρ περιβολὰς τῆς Πελοποννήσου τὰς ὑπὲρ Μαλέαν ξυνήρει τοῖς θαλαττουμένοις εἴκοσι σταδίων τοῦ Ἰσθμοῦ ῥήγματι. Τοῦτο δ' ἂν καὶ τὰς ἐμπορίας ὤνησε καὶ τὰς ἐπὶ θαλάττῃ πόλεις καὶ τὰς ἐν τῇ μεσογείᾳ· καὶ γὰρ δὴ κἀκείναις ἀποχρῶν ὁ οἶκοι καρπὸς, ἢν τὰ ἐπιθαλάττια εὖ πράττῃ.

ΜΕΝ. Ταῦτα δὴ διέξελθε, Μουσώνιε, βουλομένοις ἡμῖν ἀκροάσασθαι πᾶσιν, εἰ μή τι σπουδάσαι διανοῇ ἕτερον.

ΜΟΥΣ. Δίειμι βουλομένοις· οὐ γὰρ οἶδ' ὅ τι χαριζοίμην ἂν μᾶλλον τοῖς γε ἀφιγμένοις ἐς ἀηδὲς οὕτω ῥροντιστήριον ἐπὶ τῷ σπουδάζειν.

2. Νέρωνα τοίνυν ἐς Ἀχαΐαν ᾠδαὶ ἦγον καὶ τὸ σφόδρα αὑτὸν πεπεικέναι μηδ' ἂν τὰς Μούσας ἀναβάλλεσθαι ἥδιον. Ἐβούλετο δὲ καὶ τὰ Ὀλύμπια, τὸν γυμνικώτατον τῶν ἀγώνων, στεφανοῦσθαι ᾄδων· τὰ γὰρ Πύθια, τούτων μὲν ἑαυτῷ μετεῖναι μᾶλλον ἢ τῷ Ἀπόλλωνι· μηδὲ γὰρ ἂν μηδ' ἐκεῖνον ἐναντίαν αὐτῷ κιθάραν τε καὶ ᾠδὴν θέσθαι. Ὁ δὲ Ἰσθμὸς οὐ τῶν ἄποθεν αὐτῷ βεβουλευμένων, ἀλλ' ἐντυχὼν τῇ φύσει τοῦ τόπου μεγαλουργίας ἠράσθη, τόν τε βασιλέα τῶν ἐπὶ τὴν Τροίαν ποτὲ Ἀχαιῶν ἐνθυμηθεὶς, ὡς τὴν Εὔβοιαν τῆς Βοιωτίας ἀπέτεμεν Εὐρίπῳ τῷ περὶ τὴν Χαλκίδα, ἔτι γε μὴν καὶ τὸν Δαρεῖον, ὡς ὁ Βόσπορος ἐγεφυρώθη αὐτῷ ἐπὶ τοὺς Σκύθας· τὰ δὲ Ξέρξου καὶ πρὸ τούτων ἴσως ἐνενόησε, μέγιστα τῶν μεγαλουργιῶν ὄντα, καὶ πρὸς τούτοις ὡς τῷ δι' ὀλίγου ἀλλήλοις ἐπιμῖξαι πάντας εἴσοιτο τὴν Ἑλλάδα λαμπρῶς ἑστιᾶσθαι τοῖς ἔξωθεν· αἱ γὰρ τύραννοι φύσεις μεθύουσι μὲν, διψῶσί δέ πῃ καὶ ἀκοῦσαι τοιοῦτο φθέγμα.

3. Προελθὼν δὲ τῆς σκηνῆς ὕμνον μὲν Ἀμφιτρίτης

LXXIX.

* NERO SIVE DE ISTHMO PERFODIENDO.

1. MENECRATES. Isthmus perfodiendus, quod opus tibi quoque, Musoni, præ manu, ut aiunt, fuit, tyranno Græcine res consilii erat?

MUSONIUS. Scito, Menecrates, etiam meliora in animo habuisse Neronem: circuitus enim illos Peloponnesi supra Maleam navigantibus compendifaciebat, perrumpendis viginti stadiis Isthmi. Hoc vero et commerciis utile fuisset, et maritimis urbibus pariter atque mediterraneis: nam his quoque fructus domestici sufficiant, si res maritima bene habeat.

MEN. Hæc ergo, Musoni, enarra nobis audire cupientibus universis, nisi quid aliud serium agere cogitas.

MUS. Narrabo sic volentibus: neque enim scio in quo potius gratum facere vobis possim, qui studendi causa insuave adeo auditorium ingressi sitis.

2. Neronem igitur in Achaiam egerunt carmina, et quod firmiter sibi persuaserat nec Musas canere suavius. Volebat autem etiam Olympia, certaminum omnium maxime gymnicum, ob cantum coronari: quantum enim ad Pythia, hæc magis ad se pertinere quam ad Apollinem, qui ne ipse quidem citharam cantumque opponere sibi audeat. Verum Isthmus non inter ea quæ e longinquo cogitaverat, sed quum in naturam loci incidisset, magnificentiæ quodam amore correptus, et regem illum Achivorum quondam ad Trojam profectorum cogitans, ut is Euboeam a Boeotia abscideret illo circa Chalcida Euripo; atque insuper Darium, ut Bosporo pons contra Scythas ab illo impositus sit; Xerxis autem opera forte ante hæc ipsa cogitavit, magnificorum operum maxima: ad hæc videri sibi poterat, se permiscendis tam parvo intervallo omnibus, splendido Græciam munere et velut epulis excipere. Ingenia enim tyrannorum, ebria illa quidem, tamen interdum etiam ejusmodi auditionem sitiunt.

3. Progressus autem de tentorio, hymnum canebat Am-

τε καὶ Ποσειδῶνος ἦσε καὶ ᾆσμα οὐ μέγα Μελικέρτῃ τε καὶ Λευκοθέᾳ. Ὀρέξαντος δ' αὐτῷ χρυσῆν δίκελλαν τοῦ τὴν Ἑλλάδα ἐπιτροπεύσαντος ἐπὶ τὴν ὀρυχὴν ἦξε κροτούμενός τε καὶ ᾄδόμενος, καὶ καθικόμενος τῆς γῆς τρὶς, οἶμαι, τοῖς τε τὴν ὀρυχὴν πεπιστευμένοις παρακελευσάμενος ξυντόνως ἅπτεσθαι τοῦ ἔργου ἀνῄει εἰς τὴν Κόρινθον τὰ Ἡρακλέους δοκῶν ὑπερβεβλῆσθαι πάντα. Οἱ μὲν δὴ ἐκ τοῦ δεσμωτηρίου τὰ πετρώδη τε καὶ δύσεργα ἐξεπόνουν, ἡ στρατιὰ δὲ τὰ γεώδη τε καὶ ἐπίπεδα.

4. Ἑβδόμην δέ που καὶ πέμπτην ἡμέραν προσεζευγμένων ἡμῶν τῷ Ἰσθμῷ κατέβη τις ἐκ Κορίνθου λόγος οὔπω σαφὴς ὡς δὴ τοῦ Νέρωνος μετεγνωκότος τὴν τομήν. Ἔφασαν δὲ τοὺς Αἰγυπτίους γεωμετροῦντας τῆς ἑκατέρας θαλάττης τὰς φύσεις οὐκ ἰσοπέδοις αὐταῖς συντυχεῖν, ἀλλ' ὑψηλοτέραν ἡγουμένους τὴν ἐκ τοῦ Λεχαίου περὶ τῇ Αἰγίνῃ δεδοικέναι· πελάγους γὰρ τοσούτου νήσῳ ἐπιχυθέντος κἂν ὑποβρύχιον ἀπενεχθῆναι τὴν Αἴγιναν. Νέρωνα δὲ τῆς μὲν τοῦ Ἰσθμοῦ τομῆς οὐδ' ἂν Θαλῆς μετέστησεν ὁ σοφώτατός τε καὶ φυσικώτατος· τοῦ γὰρ τεμεῖν αὐτὸν ἦρα μᾶλλον ἢ τοῦ δημοσίᾳ ᾄδειν.

5. Ἡ δὲ τῶν Ἑσπερίων ἐθνῶν κίνησις καὶ ὀξύτατος ὡς τῶν ἐκείνης νῦν ἁπτόμενος, ὄνομα δὲ αὐτῷ Βίνδαξ, ἀπήγαγεν Ἑλλάδος τε καὶ Ἰσθμοῦ Νέρωνα ψυχρῶς γεωμετρήσαντα· τὰς γὰρ θαλάττας ἰσογαίους τε καὶ ἰσοπέδους οἶδα. Φασὶ δ' αὐτῷ καὶ τὰ ἐπὶ τῆς Ῥώμης ὀλισθάνειν ἤδη καὶ ὑποδιδόναι. Τοῦτ' καὶ αὐτοὶ χθὲς ἠκούσατε τοῦ προπταίσαντος χιλιάρχου.

6. MEN. Ἡ φωνὴ δὲ, Μουσώνιε, δι' ἣν μουσομανεῖ καὶ τῶν Ὀλυμπιάδων τε καὶ Πυθιάδων ἐρᾷ, πῶς ἔχει τῷ τυράννῳ; τῶν γὰρ Λήμνῳ προσπλεόντων οἱ μὲν ἐθαύμαζον, οἱ δὲ κατεγέλων.

ΜΟΥΣ. Ἀλλ' ἐκεῖνός γε, ὦ Μενέκρατες, οὔτε θαυμασίως ἔχει τοῦ φθέγματος οὔτ' αὖ γελοίως· ἡ γὰρ φύσις αὐτὸν ἀμέμπτως τε καὶ μέσως ἥρμοκε. Φθέγγεται δὲ κοῖλον μὲν φύσει καὶ βαρὺ, ἐγκειμένης αὐτῷ τῆς φάρυγγος· μέλη δ' οὕτω κατεσκευασμένης βομβεῖ πως. Οἱ δέ γε τόνοι τῶν φθόγγων ἐπιλεαίνουσι τοῦτον, ἐπεὶ μὴ θαρρεῖ αὐτῷ, χρωμάτων δὲ φιλανθρωπίᾳ καὶ μελοποιίᾳ εὐαγώγῳ μὲν δὴ καὶ κιθαρῳδίᾳ εὐσταλεῖ καὶ τῷ οὖ καιρὸς βαδίσαι καὶ στῆναι καὶ μεταστῆναι καὶ τὸ νεῦμα ἐξομοιῶσαι τοῖς μέλεσιν, αἰσχύνην ἔχοντος μόνου τοῦ βασιλέα δοκεῖν ἀκριβοῦν ταῦτα.

7. Εἰ δὲ μιμοῖτο τοὺς κρείττονας, φεῦ γέλωτος, ὡς πολὺς τῶν θεωμένων ἐκπίπτει, καίτοι μυρίων φόβων ἐπηρτημένων, εἴ τις ἐπ' αὐτῷ γελῶν εἴη· νεύει μὲν γὰρ τοῦ μετρίου πλέον ξυνάγων τὸ πνεῦμα, ἐπ' ἄκρων δ' ἵσταται τῶν ποδῶν ἀνακλώμενος ὥσπερ οἱ ἐπὶ τοῦ τροχοῦ. Φύσει δ' ἐρυθρὸς ὢν ἐρεύθει μᾶλλον, ἐμπραμένου αὐτῷ τοῦ προσώπου· τὸ δὲ πνεῦμα ὀλίγον καὶ οὐκ ἀποχρῶν που δή.

8. MEN. Οἱ δ' ἐν ἀγῶνι πρὸς αὐτὸν πῶς ὑρίενται, ὦ Μουσώνιε; τέχνῃ γάρ που χαρίζονται.

philtrites ac Neptuni, et carmen non magnum Melicertæ et Leucotheæ. Quum vero rastellum illi aureum porrexisset præses Græciæ, ad fossam se propere contulit inter plausus atque cantus, humoque ter, puto, percussa, hortatusque eos quibus cura fossæ permissa erat, ut studiose opus illud aggrederentur, Corinthum rediit, omnes a se Herculis superatos labores existimans. Atque ergastulorum vincti saxosa et difficilia elaborabant, terrena autem ac plana exercitus.

4. Sed per septimanam fere et quinque dies quum Isthmo nos velut affixi hæsissemus, ingruit aliquis e Corintho nondum tamen certus rumor de mutato a Nerone abscindendi consilio. Dicebant autem Ægyptios, dimenso utriusque maris fastigio, non ejusdem illa libramenti deprehendisse, sed altius arbitrari illud quod ex Lechæo sinu allabitur, atque Æginæ proinde metuere, ne tanto mari ad insulam illam appellente, plane submersa Ægina auferatur. Verum Neronem quidem a secando Isthmo neque Thales ille sapientissimus et consultissimus naturæ demovisset : magis enim secare illum jam cupiebat, quam ipsum publice canere.

5. At occidentis populorum motus et acerrimus ille vir, qui rempublicam ibi jam capessivit, nomen ei Vindex, a Græcia et Isthmo abduxit Neronem frigida quædam de geometria causantem : maria enim pari undique fastigio libràta novi. Aiunt autem illi etiam ipsas Romæ suburbanas regiones jam labare et cedere. Hoc ipsi quoque heri audistis e tribuno, qui huc appulit.

6. MEN. Sed vox, o Musoni, propter quam ita furiose musicus est et Olympiadum Pythiadumque amore flagrat, quomodo habet tyranno? eorum enim qui Lemnum appulerunt admirabantur quidam, alii deridebant.

MUS. Verum iste, Menecrates, neque admirabilis est quantum ad vocem, neque ridiculus : natura enim illum sine reprehensione et mediocriter instruxit. Cavum autem quiddam et grave per naturam sonat, depresso ad interiora gutture : ex quo ita parato cantica quodammodo bombum edunt. Interim toni vocum musicarum mitigant illum, quum non sibi confidat, sed colorum musicorum humanitati et modulationi flexibili sane, et bene composito ad citharam cantui, et quod ubi tempus est ingreditur, et stat, et transfert se, et quod nutum accommodat cantibus : qua in re illud solum turpitudinem habet, quod imperator videtur studiose ac subtiliter ista tractare.

7. Quoties vero imitatur superos, vah risum! quam multus excidit spectatoribus, licet sexcenti terrores impendeant, si quis illum derideat. Nutat enim supra modum collecto spiritu, summis pedum digitis insistit, retrorsum inflexus, ut qui rotæ alligati sunt : quumque natura sit rubicundus, tum magis etiam incensa illi facie rubescit : spiritus autem illi exilis, neque usquam sane sufficiens.

8. MEN. Qui vero contra illum certant, quomodo se submittunt, Musoni? nempe arti hoc forte gratificantur.

ΜΟΥΣ. Τέχνη μὲν, ὥσπερ οἱ ὑποπαλαίοντες. Ἀλλ' ἐνθυμήθητι, ὦ Μενέκρατες, τὸν τῆς τραγῳδίας ὑποκριτὴν, ὡς Ἰσθμοῖ ἀπέθανεν· εἰσὶ γὰρ κίνδυνοι καὶ περὶ τὰς τέχνας, ἢν ἐπιτείνωσιν οἱ τεχνάζοντες.

MEN. Καὶ τί τοῦτο, Μουσώνιε; σφόδρα γὰρ ἀνήκοος τοῦ λόγου.

ΜΟΥΣ. Ἄκουε δὴ λόγου ἀτόπου μὲν, ἐν ὀφθαλμοῖς δὲ Ἑλλήνων πεπραγμένου.

9. Ἰσθμοῖ γὰρ νόμου κειμένου μήτε κωμῳδίαν ἀγωνίζεσθαι μήτε τραγῳδίαν, ἐδόκει Νέρωνι τραγῳδοὺς νικᾶν. Καὶ παρῆλθον εἰς τὴν ἀγωνίαν ταύτην πλείους μὲν, ὁ δ' Ἠπειρώτης ἄριστα φωνῆς ἔχων, εὐδοκιμῶν δ' ἐπ' αὐτῇ καὶ θαυμαζόμενος λαμπροτέρᾳ τοῦ εἰωθότος ἐπλάττετο καὶ τοῦ στεφάνου ἐρᾶν καὶ μηδ' ἀνήσειν πρότερον ἢ δέκα τάλαντα δοῦναί οἱ Νέρωνα ὑπὲρ τῆς νίκης. Ὁ δ' ἠγρίαινέ τε καὶ μανικῶς εἶχε· καὶ γὰρ δὴ καὶ ἠκροᾶτο ὑπὸ τῇ σκηνῇ ἐπ' αὐτῷ δὴ τἀγῶνι. Βοώντων δὲ τῶν Ἑλλήνων ἐπὶ τῷ Ἠπειρώτῃ, πέμπει τὸν γραμματέα κελεύων ὑφεῖναι αὐτῷ τοῦτον. Αὐτοῦ δὲ ὑπεραίροντος τὸ φθέγμα καὶ δημοτικῶς ἐρίζοντος εἰσπέμπει Νέρων ἐπ' ὀχριδάντων τοὺς ἑαυτοῦ ὑποκριτὰς οἷον προσήκοντάς τι τῷ πράγματι· καὶ γὰρ δὴ καὶ δέλτους ἐλεφαντίνους καὶ διθύρους προβεβλημένοι αὐτὰς ὥσπερ ἐγχειρίδια καὶ τὸν Ἠπειρώτην ἀναστήσαντες πρὸς τὸν ἀγχοῦ κίονα κατέαξαν αὐτοῦ τὴν φάρυγγα παίοντες ὀρθαῖς ταῖς δέλτοις.

10. MEN. Τραγῳδίαν δὲ ἐνίκα, Μουσώνιε, μιαρὸν οὕτω πάθος ἐν ὀφθαλμοῖς τῶν Ἑλλήνων ἐργασάμενος;

ΜΟΥΣ. Παιδιὰ ταῦτα νεανίᾳ τῷ μητροκτονήσαντι. Εἰ δὲ τραγῳδίας ὑποκριτὴν ἀπέκτεινεν ἐκτεμὼν αὐτοῦ τὸ φθέγμα, τί χρὴ θαυμάζειν; καὶ γὰρ δὴ καὶ τὸ Πυθικὸν στόμιον, παρ' οὗ αἱ ὁμφαὶ ἀνέπνεον, ἀποφράττειν ὥρμησεν, ὡς μηδὲ τῷ Ἀπόλλωνι φωνὴ εἴη, καίτοι τοῦ Πυθίου καταλέξαντος αὐτὸν εἰς τοὺς Ὀρέστας τε καὶ Ἀλκμαίωνας, οἷς τὸ μητροκτονῆσαι καὶ λόγον τινὰ εὐκλείας ἔδωκεν, ἐπειδὴ πατράσιν ἐτιμώρησαν. Ὁ δὲ μηδαμῶς εἰπεῖν ἔχων ὅτῳ ἐτιμώρησεν ὑβρίσθαι ὑπὸ τοῦ θεοῦ ὤετο πρᾳότερα τῶν ἀληθῶν ἀκούων.

11. Ἀλλὰ μεταξὺ λόγων, τίς ἡ προσιοῦσα ναῦς; ὡς ἐπάγειν τι ἀγαθὸν ἔοικεν· ἐστεφάνωνται γὰρ τὰς κεφαλὰς ὥσπερ χορὸς εὔφημος, καί τις ἐκ τῆς πρῴρας προτείνει τὴν χεῖρα παρακελευόμενος ἡμῖν θαρρεῖν τε καὶ χαίρειν, βοᾷ τε, εἰ μὴ παρακούω, Νέρωνα οἴχεσθαι.

MEN. Βοᾷ γὰρ, Μουσώνιε, καὶ σαφέστερόν γε, ὅσῳ τῆς γῆς ἅπτεται. Εὖ γε, ὦ θεοί.

ΜΟΥΣ. Ἀλλὰ μὴ ἐπευχώμεθα· ἐπὶ γὰρ τοῖς κειμένοις οὐ φασι δεῖν.

MUS. Arti illi quidem, ut qui in lucta concedunt. Sed tu cogita, Menecrates, tragicum actorem, qui in Isthmo periit: sunt enim pericula etiam circa artes, si intendant eas artifices.

MEN. Et quid hoc, Musoni? plane enim nihil ea de re audivi.

MUS. Audi igitur rem incredibilem illam quidem, sed in oculis Græciæ factam.

9. Quanquam lex est ludis Isthmiis, ne comœdia certaretur neu tragœdia, visum est Neroni tragœdos vincere. Ac venere ad illud certamen quum plures alii, tum Epirotes, voce optima præditus, qui eo nomine in fama esset atque admirationi omnibus de splendore vocis insolito: is fingebat se et coronæ amore captum, neque concessurum prius, quam decem sibi talenta Nero pro victoria dedisset. At hic exasperari et furere: etenim in tabernaculo etiam audiebatur sub ipsum tempus certaminis. Clamore autem laudantibus Epiroten Græcis, scribam mittit, submittere hunc sibi vocem jubens. Illo vero magis etiam tollente vocem, et populariter contendente, immittit Nero in pulpita suos histriones, tanquam quorum partes aliquæ essent in illo negotio. Hi ergo qui pugillares eburneos bipatentes pugionum instar protendebant, erecti ad proximam columnam Epirotæ guttur directis illis tabellis ferientes elidunt.

10. MEN. Tragœdiam vero vicit, Musoni, tam impuro facinore in oculis Græciæ perpetrando?

MUS. Lusus iste juveni interfectori suæ matris. Si vero tragicum histrionem exstirpanda illius voce interemit, quid mirandum est? qui etiam Pythicum illud ostium, ex quo divina aspirabantur oracula, obturandi impetum ceperit, ut neque sua Apollini vox porro esset; Pythio licet annumerante illum inter Orestas et Alcmæonas, quibus matrum peracta ab ipsis cædes etiam famam peperit non inhonestam, quum patres sic ulciscerentur. At hic quum dicere non posset quem esset ultus, contumelia se affectum a deo putabat, quum mitiora tamen veris audiret.

11. Sed dum loquimur, quænam hæc navis accedit? ut bonum quiddam videtur advehere! coronati enim sunt capitibus, tanquam chorus boni ominis, atque de prora aliquis protendit manum, bono nos animo esse jubens et gaudere: clamat autem, nisi quid me fallunt aures, periisse Neronem.

MEN. Enimvero sic clamat, Musoni, et disertius quo propius terræ accedit. Bonum factum, o dii!

MUS. Sed ne quid imprecemur: negant enim hoc decere in defunctis.

LXXX.

ΤΡΑΓΩΔΟΠΟΔΑΓΡΑ.

ΠΟΔΑΓΡΟΣ, ΧΟΡΟΣ, ΠΟΔΑΓΡΑ. ΑΓΓΕΛΟΣ, ΙΑΤΡΟΙ ΚΑΙ ΒΑΣΑΝΟΙ.

ΠΟΔΑΓΡΟΣ.

Ὦ στυγνὸν οὔνομ', ὦ θεοῖς στυγούμενον,
Ποδάγρα, πολυστένακτε, Κωκυτοῦ τέκνον,
ἣν Ταρτάρου κευθμῶσιν ἐν βαθυσκίοις,
Μέγαιρ' Ἐρινὺς γαστρὸς ἐξεγείνατο,
μαζοῖσί τ' ἐξέθρεψε, καὶ πικρῷ βρέφει
εἰς χεῖλος ἐστάλαξεν Ἀλληκτὼ γάλα,
τίς τὴν δυσώνυμόν σε δαιμόνων ἄρα
εἰς φῶς ἀνῆκεν; ἦλθες ἀνθρώποις βλάβος.
Εἰ γὰρ τεθνῶσιν ἁμπλακημάτων τίσις
βροτοῖς ὀπηδεῖ, τῶν ἔδρασαν ἐν φάει,
οὐ Τάνταλον ποτοῖσιν, οὐδ' Ἰξίονα
τροχῷ στροβητὸν, οὐδὲ Σίσυφον πέτρῳ
ἔδει κολάζειν ἐν δόμοισι Πλουτέως,
ἁπλῶς δὲ πάντας τοὺς κακῶς δεδρακότας
τοῖς σοῖς προσάπτειν ἀρθροκηδέσιν πόνοις·
ὥς μου τὸ λυπρὸν καὶ ταλαίπωρον δέμας,
χειρῶν ἀπ' ἄκρων εἰς ἄκρας ποδῶν βάσεις,
ἰχῶρι φαύλῳ καὶ πικρῷ χυμῷ χολῆς
πνεύματι βιαίῳ τόδε διασφίγγον πόρους
ἔστηκε καὶ μεμυκὸς ἐπιτείνει πόνους.
Σπλάγχνων δ' ἀπ' αὐτῶν διάπυρον τρέχει κακὸν,
δίναισι φλογμῶν σάρκα πυρπολούμενον,
ὁποῖα κρατὴρ μεστὸς Αἰτναίου πυρὸς,
ἢ Σικελὸς αὐλὼν ἁλιπόρου διασφάγος,
ὅπου δυσεξέλικτα κυματούμενος
σήραγξι πετρῶν σκολιὸς εἱλεῖται κλύδων.
Ὦ δυστέκμαρτον πᾶσιν ἀνθρώποις τέλος,
ὡς εἰς μάτην σε πάντες ἀμφιθάλπομεν,
ἐλπίδι ματαίᾳ μωρὰ βουκολούμενοι.

ΧΟΡΟΣ.

Ἀνὰ Δίνδυμον Κυβήβης
Φρύγες ἔνθουν ὀλολυγὴν
ἁπαλῷ τελοῦσιν Ἄττει,
καὶ πρὸς μέλος κεραύλου
Φρυγίου κατ' ὄρεα Τμώλου,
κῶμον βοῶσι Λυδοί.
Παραπλῆγες δ' ἀμφὶ ῥόπτροις
κελαδοῦσι Κρητὶ ῥυθμῷ
νόμον εὐὰν Κορύβαντες.
Κλάζει δὲ βριθὺ σάλπιγξ
Ἄρει κρέκουσα θούρῳ
πολεμηίαν ἀϋτήν.

LXXX.

TRAGODOPODAGRA.

PODAGRICUS, CHORUS, PODAGRA, NUNCIUS, MEDICI, TORTORES.

PODAGRICUS.

Heu triste nomen, invisum nomen diis,
Podagra lacrimosa, Cocyti genus,
quam Tartari recessibus in abditis
Megæra Erinnys utero fudit suo,
et ubere aluit, et amaræ parvulæ
stillavit in labella Alecto lac *malum*.
Quis ergo te, male ominatam dæmonum
emisit in lucem, labem mortalibus?
Si namque pœna peccatorum mortuos
homines manet, quæ vivi perpetrant:
non unda Tantalum *fugiente*, aut Ixionem
rota torquendum erat, neque saxo Sisyphum
punire oportuit domo in Plutonia,
omnes ad unum sed maleficii reos
tuis aptare membrifragis cruciatibus:
ut aridum atque ærumnabile corpus meum
manibus a summis ad pedum vestigia
sanie mala atque amaro succo felleo
violento spiritu clausis meatibus
constitit! ut clausum dolores exacuit!
Quin viscera per ipsa ignitum currit malum
vorticibus flammarum carnem populans meam,
qualis crater Ætnæis plenus ignibus,
Siculusve canalis fossæ ponto perviæ,
ubi inexplicabilibus modis exæstuans
cava per petrarum tortus fluctus volvitur.
Heu finis (*curatio mali*) nullius conjecturæ patens!
ut frustra omnes tibi fomenta apponimus,
spe vana stultis lactati misere modis!

CHORUS.

Per Dindymum Cybebes
sacrum Phryges ululatum
molli frequentant Atti:
et ad cantum ceraulæ
Phrygii per ardua Tmoli
comum Lydi celebrant.
Insani circum clavis
numeris Creticis modulantur
nomion Evan Corybantes.
Clangit pleno tuba ore
Marti sonans Gradivo
bellisonum fragorem.

* De interpretatione mea hoc solum prædico, me non præstare bonos versus, sed qui singuli singulis Lucianicis respondeant, et sententiam eorum, quantum potuit a nobis fieri, exprimant. In choris præsertim et metrum et sententiam singulorum versuum assequi nobis datum non fuit. Sed neque diu torquere ingenium tanti putabamus. Claudicare igitur in podagra versus quam sententiam malebamus. GESNERUS.

Ἡμεῖς δὲ σοί, Ποδάγρα,
πρώταις ἔαρος ἐν ὥραις
μύσται τελοῦμεν οἴκτους,
ὅτε πᾶς χλοητόκοισι
ποίαις τέθηλε λειμών,
Ζεφύρου δὲ δένδρα πνοιαῖς
ἁπαλοῖς κομᾷ πετήλοις,
ἁ δύσγαμος κατ' οἴκους
μερόπων θροεῖ χελιδών,
καὶ νυκτέροις καθ' ὕλαν
τὸν Ἴτυν στένει δακρύουσ'
Ἀτθὶς γόοις ἀηδών.

ΠΟΔΑΓΡΟΣ.

Ὦμοι πόνων ἀρωγόν, ὦ τρίτου ποδὸς
μοῖραν λελογχὸς βάκτρον, ἐξέρειδέ μου
βάσιν τρέμουσαν καὶ κατίθυνον τρίβον,
ἴχνος βέβαιον ὡς ἐπιστήσω πέδῳ.
Ἔγειρε, τλῆμον, γυῖα δεμνίων ἄπο
καὶ λίπε μελάθρων τὴν ὑπώροφον στέγην.
Σκέδασον δ' ἀπ' ὄσσων νύχιον ἀέρος βάθος
μολὼν θύραζε καὶ πρὸς ἠλίου φάος
ἀθόλωτον αὔραν πνεύματος φαιδροῦ σπάσον.
Δέκατον γὰρ ἤδη τοῦτο πρὸς πέμπτῳ φάει,
ἐξ οὗ ζόφῳ σύγκλειστος ἡλίου δίχα
εὐναῖς ἐν ἀστρώτοισι τείρομαι δέμας.
Ψυχὴ μὲν οὖν μοι καὶ προθυμία πάρα,
βάσεις ἀμείβειν ἐπὶ θύρας ὡρμημένῳ,
δέμας δὲ νωθρὸν οὐχ ὑπηρετεῖ πόθοις.
Ὅμως δ' ἐπείγου, θυμέ, γιγνώσκων ὅτι
πτωχὸς ποδαγρῶν, περιπατεῖν μὲν ἂν θέλῃ
καὶ μὴ δύνηται, τοῦτον ἐν νεκροῖς τίθει.
Ἀλλ' εἶα.
Τίνες γὰρ οἵδε βάκτρα νωμῶντες χεροῖν,
κάρηνα φύλλοις ἀκτέας καταστεφεῖς;
τίνι δαιμόνων ἄγουσι κωμαστὴν χορόν;
μῶν, Φοῖβε Παιάν, σὸν γεραίρουσιν σέβας;
ἀλλ' οὐ στέφονται Δελφίδος φύλλῳ δάφνης.
Ἦ μή τις ὕμνος Βακχίῳ κωμάζεται;
ἀλλ' οὐκ ἔπεστι κισσίνη σφραγὶς κόμαις.
Τίνες ποθ', ἡμῖν, ὦ ξένοι, βεβήκατε;
Αὐδᾶτε καὶ πρόεσθε νημερτῆ λόγον.
Τίς δ' ἐστίν, ἣν ὑμνεῖτε, λέξατ', ὦ φίλοι.

ΧΟΡΟΣ.

Σὺ δ' ὢν τίς ἡμᾶς καὶ τίνων προσεννέπεις;
ὡς γάρ σε βάκτρον καὶ βάσις μηνύετον,
μύστην ὁρῶμεν τῆς ἀνικήτου θεᾶς.

ΠΟΔΑΓΡΟΣ.

Εἷς εἰμι κἀγὼ τῆς θεᾶς ἐπάξιος;

ΧΟΡΟΣ.

Τὰν μὲν Κυπρίαν Ἀφροδίταν
σταγόνων προπεσοῦσαν ἀπ' αἰθέρος
ἀνεθρέψατο κόσμιον ἁρμογὰν
ἁλίοις ἐνὶ κύμασι Νηρεύς.
Τὰν δ' Ὠκεανοῦ παρὰ παγαῖς

At nos tibi, Podagra,
primas veris per horas
agimus mystæ querelas,
quando omne graminosis
efflorait pratum herbis,
Zephyrique a flatibus arbor
molli folio frondescit :
ac per domos male conjux
nostras hirundo stridit,
nocturnaque per silvam
Ityn lacrimis frequentat
Atthis lugens aedon.

PODAGRICUS.

Adjutor o laborum, o tertii pedis
vicem sortite, scipio, mihi fulcias
gradum trementem, semitamque dirigas,
vestigium tenax ut infigam solo.
Hem membra suscita, miser, de stragulis
latebrasque linque, nigri tecta culminis.
Oculis deterge nocturnam aeris caliginem,
foras egressus ad blandum solis jubar
intemeratam auram spiritus læti trahe.
Nam decima hæc supra quintam lux, *ni fallor,* est,
ex quo tenebris conclusus et Phœbo carens,
cubilibus non stratis corpus macero.
Animus mihi quidem et voluntas præsto adest
conanti gressus alternare ad januas :
sed corpus ignavum haud servit cupidini.
Tamen urge animum, probe qui noveris,
podager mendicus ambulare si velit,
nec possit, esse eum ponendum in mortuis.
Verum eia!
Etenim qui sunt isti baculis fulti manum,
sambuci frondibus revincti tempora?
cuinam deorum agunt comissantem chorum?
num, Phœbe Pæan, numen hi colunt tuum?
sed non cinguntur lauri folio Delphicæ.
Hymnusne bacchantum comissatum venit?
at non inest insigne hederaceum comis.
Qui tandem nobis accessistis hospites?
Profamini, et veracem vocem emittite.
Quænam est, quam canitis, amici, dicite.

CHORUS.

Tu vero quis quorumve, qui nos alloqueris?
Ut enim te baculus atque incessus indicant,
mystam videmus insuperabilis deæ.

PODAGRICUS.

Egone et ipse dignus unus sum dea?

CHORUS.

Cypriam Venerem
guttis delapsam ab ætheris
enutriit compage decentem
marinos inter fluctus Nereus.
Oceani ad fontes

Ζανὸς παράκοιτιν Ὀλυμπίου,
λευκώλενον, εὐρέσι κόλποις
Ἥραν ἐτιθήνατο Τηθύς.
Κορυφαῖσι δὲ κρατὸς ἐν ἀφθίτου
ἐλόχευσε κόρας ἄτρομον φυὰν
Κρονίδας, μέγ' ἄριστος Ὀλυμπίων,
τὰν ἐγρεκύδοιμον Ἀθάναν.
Τὰν δ' ἀμετέραν θεὸν ὀλβίαν
ὁ γέρων λιπαραῖσιν ἐν ἀγκάλαις
πρώταν ἐλόχευσεν Ὀφίων.
Ὅτ' ἐπαύσατο μὲν σκότιον χάος,
ἀνέτειλέ τε λαμπέτις ἀὼς,
καὶ παμφαὲς ἀελίου σέλας,
τότε καὶ Ποδάγρας ἐφάνη κράτος.
Ὅτε γὰρ λαγόνων σε τεκοῦσα
Μοῖρα Κλωθὼ τότ' ἔλουσεν,
ἐγέλασσεν ἅπαν σέλας οὐρανοῦ,
μέγα δ' ἔκτυπεν εὔδιος αἰθὴρ,
τὰν δ' εὐγλαγέτοις ἐνὶ μαζοῖς
εὔολβος ἐθρέψατο Πλούτων.

ΠΟΔΑΓΡΟΣ.

Τίσιν δὲ τελεταῖς ὀργιάζει προσπόλους;

ΧΟΡΟΣ.

Οὐχ αἷμα λάβρον προχέομεν ἀποτομαῖς σιδάρου,
οὐ τριχὸς ἀφέτου λυγίζεται στροφαῖσιν αὐχὴν,
οὐδὲ πολυκρότοις ἀστραγάλοις πέπληγε νῶτα,
οὐδ' ὠμὰ λακιστὰ κρέα σιτούμεθα ταύρων·
ὅτε δὲ πτελέας ἔαρι βρύει τὸ λεπτὸν ἄνθος,
καὶ πολυκέλαδος κόσσυφος ἐπὶ κλάδοισιν ᾄδει,
τότε διὰ μελέων ὀξὺ βέλος πέπηγε μύσταις,
ἀφανὲς, κρύφιον, δεδυκὸς ὑπὸ μυχοῖσι γυίων,
πόδα, γόνυ, κοτύλην, ἀστραγάλους, ἰσχία, μηροὺς,
χεῖρας, ὠμοπλάτας, βραχίονας, κόρωνα, καρποὺς,
ἔσθει, νέμεται, φλέγει, κρατεῖ, πυροῖ, μαλάσσει,
μέχρις ἂν ἡ θεὸς τὸν πόνον ἀποφυγεῖν κελεύσῃ.

ΠΟΔΑΓΡΟΣ.

Εἷς ἆρα κἀγὼ τῶν κατωργιασμένων
ἔλαθον ὑπάρχων; τοιγὰρ ἧκε πρευμενὴς
δαίμων φανεῖσα, σὺν δ' ἐγὼ μύσταις ὁμοῦ
ὕμνων κατάρξω, τὸ ποδαγρῶν ᾄδων μέλος.

ΧΟΡΟΣ.

Σῖγα μὲν αἰθὴρ νήνεμος ἔστω,
καὶ πᾶς ποδαγρῶν εὐφημείτω.
Ἴδε, πρὸς θυμέλας ἡ κλινοχαρὴς
βαίνει δαίμων, σκίπωνι βάσιν
στηριζομένη· χαίροις μακάρων
πολὺ πραοτάτη, καὶ σοῖς προπόλοις
ἵλαος ἔλθοις, ὄμματι φαιδρῷ,
δοίης δὲ πόνοις λύσιν ὠκεῖαν
ταῖσδ' εἰαριναῖσιν ἐν ὥραις.

ΠΟΔΑΓΡΑ.

Τίς τὴν ἀνίκητόν με δεσπότιν πόνων
οὐκ οἶδε Ποδάγραν τῶν ἐπὶ χθονὸς βροτῶν;
ἣν οὔτε λιβάνων ἀτμὶς ἐξιλάσκεται,

Jovis uxorem Olympii
illam ulnis candidis, lato sinu,
Junonem lactavit Tethys.
De vertice capitis alterni
peperit virginis imperterritam naturam
Saturnius, supremus cœlitum,
excitatricem belli Minervam.
Nostram vero deam beatam
senex in mollibus ulnis
primam generavit Ophion.
Quum desineret tenebrosum Chaos,
orereturque fulgida Aurora,
et lucidum Solis jubar,
tunc Podagræ vis apparuit.
Quum enim ilibus te enixa
Parca Clotho deinde abluit,
risit omne jubar cœli,
valdeque insonuit serenus æther:
eam vero de lactescentibus uberibus
dives nutrivit Pluto.

PODAGRICUS.

Quibus at suos sacris socios inaugurat?

CHORUS.

Non sanguinem impetuosum affundimus de acie ferri:
non crinis liberi nodis implectitur cervix:
nec sonantibus terga talis concrepant:
neque crudis, laceris taurorum carnibus vescimur:
sed quando ulmi vere tener flos abundat,
et arguta cantat in ramis merula,
tunc per membra acutum telum hæret mystis,
obscurum, latens, subiens recessus artuum,
pedem, genu, acetabulum, talos, coxendices, femora,
manus, scapulas, brachia, rostra, carpos
adedit, depascitur, urit, tenet, inflammat, coquit,
donec dea facessere dolorem jusserit.

PODAGRICUS.

Unum ergo initiatorum ego memet quoque
esse ignorabam. Igitur venito propitia
dea apparens: tuis ego cum mystis simul
hymnos incipiam, podagrorum carmen canens.

CHORUS.

Taceto cœlum, et tranquillum esto,
omnis podager linguis faveto.
En ad altaria lecto gaudens
vadit diva, scipione gradum
sibi fulciens. Salve divûm
mitissima tu, famulisque tuis
placida adesto lumine blando;
tribuasque dolori finem celerem
his temporibus vernis.

PODAGRA.

Quis insuperabilem dolorum me dominam
Podagram non novit in terra mortalium?
quam nec vapor thuris placare acrem potest,

οὔτε χυθὲν αἷμα βωμίοις παρ' ἐμπύροις,
οὐ ναὸς ὅλβου περικρεμὴς ἀγάλμασιν,
ἣν οὔτε Παιὰν φαρμάκοις νικᾶν σθένει,
πάντων ἰατρὸς τῶν ἐν οὐρανῷ θεῶν,
οὐ παῖς ὁ Φοίβου πολυμαθὴς Ἀσκληπιός.
Ἐξ οὗ γὰρ ἐφύη πρῶτον ἀνθρώποις γένος,
τολμῶσι πάντες τοὐμὸν ἐκβαλεῖν σθένος,
κυκῶντες ἀεὶ φαρμάκων τεχνήματα.
Ἄλλος γὰρ ἄλλην ἐπ' ἐμὲ πειράζει τέχνην·
τρίβουσιν ἀρνόγλωσσα καὶ σέλινά μοι
καὶ φύλλα θριδάκων καὶ νομαίαν ἀνδράχνην,
ἄλλοι δὲ πράσιον, οἱ δὲ ποταμογείτονα,
ἄλλοι κνίδας τρίβουσιν, ἄλλοι σύμφυτον,
ἄλλοι φακοὺς φέρουσι τοὺς ἐκ τελμάτων,
σταφυλῖνον ἑφθὸν, οἱ δὲ φύλλα Περσικῶν,
ὑοσκύαμον, μήκωνα, βολβοὺς, σίδια,
ψύλλιον, λίβανον, ῥίζαν ἑλλεβόρου, νίτρον,
τῆλιν μετ' οἴνου, γυρίνην, κολλάμφακον,
κυπαρισσίνην κηκῖδα, γῦριν κριθίνην,
κράμβης ἀπέφθου φύλλα, γύψον ἐκ γάρου,
σπυράθους ὀρείας αἰγὸς, ἀνθρώπου κόπρον,
ἅλευρα κυάμων, ἄνθος Ἀσίου λίθου.
Ἕψουσι φρύνους, μυγαλᾶς, σαύρας, γαλᾶς,
βατράχους, ὑαίνας, τραγελάφους, ἀλώπεκας.
Ποῖον μέταλλον οὐ πεπείραται βροτοῖς;
τίς οὐχὶ χυμός; ποῖον οὐ δένδρου δάκρυ;
ζώων ἁπάντων ὀστὰ, νεῦρα, δέρματα,
στέαρ, αἷμα, μυελὸς, οὖρον, ἀπόπατος, γάλα.
Πίνουσιν οἱ μὲν τὸ διὰ τεσσάρων ἄκος,
οἱ δὲ τὸ δι' ὀκτὼ, τὸ δὲ δι' ἑπτὰ πλείονες.
Ἄλλος δὲ πίνων τὴν ἱερὰν καθαίρεται·
ἄλλος ἐπαοιδαῖς ἐπιθετῶν ἐμπαίζεται,
Ἰουδαῖος ἕτερον μωρὸν ἐξάδει λαβών.
Ὁ δὲ θεραπείαν ἔλαβε παρὰ τῆς κοιράνου.
Ἐγὼ δὲ τούτοις πᾶσιν οἰμώζειν λέγω,
καὶ τοῖς ποιοῦσι ταῦτα καὶ πειρῶσί με
εἰωθ' ἁπάντων μᾶλλον ὀργιλωτέρα.
Τοῖσι δὲ φρονοῦσι μηδὲν ἀντίξουν ἐμοὶ
ἥπιον ἔχω νοῦν εὐμενής τε γίγνομαι.
Ὁ γὰρ μεταλαβὼν τῶν ἐμῶν μυστηρίων
πρῶτον μὲν εὐθὺς εὐστομεῖν διδάσκεται,
τέρπων ἅπαντας εὐτραπέλους λέγων λόγους·
πᾶσιν δ' ὁρᾶται μετὰ γέλωτος, καὶ κρότου,
ὅτ' ἐπὶ τὰ λουτρὰ φερόμενος βαστάζεται.
Ἄτη γὰρ, ἣν Ὅμηρος εἶπεν, εἶμ' ἐγὼ,
βαίνουσ' ἐπ' ἀνδρῶν κρᾶτα καὶ βάσεις ποδῶν
ἁπαλὰς ἔχουσα, παρὰ δὲ τοῖς πολλοῖς βροτῶν
Ποδάγρα καλοῦμαι, γιγνομένη ποδῶν ἄγρα.
Ἀλλ' εἶα μύσται πάντες ὀργίων ἐμῶν,
γεραίρεθ' ὕμνοις τὴν ἀνίκητον θεάν.

ΧΟΡΟΣ.

Ἀδαμάντινον ἦθος ἔχουσα κόρα,
πουλυσθενὲς, ὀβριμόθυμε θεὰ,
κλύε σῶν ἱερῶν μερόπων ἐνοπάς.

nec affusus focis ardentibus cruor,
non ædes signa divitum suspensa habens:
quam nec Pæan medicamentis superare valet,
cunctorum cœlitum medicus deûm licet:
non filius Phœbi peritus Æsculapius.
Etenim qua primum ætate hominum genus exstitit,
meam volunt omnes ejicere potentiam,
miscentes semper pharmacorum artificia.
Alius enim aliam contra me tentat viam:
terunt plantaginem, atque apia mihi *terunt*,
et folia lactucarum, et portulacam feram:
hi marrubium, sed aquaticam hi plantaginem,
alii urticas, alii consolidam conterunt:
alii lentes ferunt natas paludibus,
pastinacam coctam, folia isti Persici,
hyoscyamum, papaver, bulbos, malicorium,
pulicariam, thus, radicem hellebori, nitrum,
siliquam cum vino, ranæ sperma, collamphacon,
cupressi pilam, pollinem hordeaceum,
crambæ decoctæ folia, garum e liquamine,
globulos capræ montanæ, hominis stercus, *terunt*,
farinam fabarum, lapidis florem Asii.
Coquunt rubetas, mustelas, lacertas et catos,
ranas, hyænas, hircocervos et vulpeculas.
Metallum quod non tentatum est mortalibus?
quis non succus? quæ non est lacrima arboris?
animalium omnium ossa, nervi, coria,
pingue, cruor, stercus, medulla, urina, lac.
Bibunt alii quatuor de rebus pharmacum,
sed octuplex alii, septemplex plurimi.
Alius sacro epoto purgatur pharmaco;
carminibus alius impostorum luditur,
Judæus nactus stultum excantat alterum.
Alius medicinam cepit implorans heram.
Ego vero dico plorare his omnibus,
facientibusque talia et me tentantibus
consuevi tanto occurrere iracundior.
Sed qui nihil sapiunt mihi contrarium,
animam gero mitem et fio placabilis.
Mysteriorum namque factus particeps
primo statim linguæ moderari instituitur,
omnes oblectans, et lepidos dicens jocos,
ab omnibus cum risu et plausu cernitur,
dum defertur gestatione ad balneas.
Ate etenim quam dixit Homerus, ipsa sum:
per capita iens virûm, pedum vestigia
habens tenera: verum vulgo mortalium
Podagra vocor, quasi pedum captura sim.
Verum eia mystæ cuncti nostrorum orgiûm,
honorate hymnis insuperabilem deam.

CHORUS.

Adamantina pectora habens puera,
fortis, graviterque animosa dea,
audi sanctorum tibi voces hominum.

Μέγα σὸν κράτος, ὀλβιόφρον Ποδάγρα·
τὰν καὶ Διὸς ὠκὺ πέφρικε βέλος,
τρομέει δέ σε κύμαθ' ἁλὸς βαθέης,
τρομέει βασιλεὺς ἐνέρων Ἀΐδας,
ἐπιδεσμοχαρὲς, κατακλινοβατὲς,
κωλυσιδρόμα, βασαναστραγάλα,
σφυροπρησιπύρα, μογισαψεδάφα,
δοιδυκοφόβα, γονυκαυσαγρύπνα,
περικονδυλοπωροφίλα,
γονυκαμψεπίκυρτε Ποδάγρα.

ΑΓΓΕΛΟΣ.

Δέσποινα, καιρίῳ γὰρ ἥντησας ποδὶ,
ἄκου', ἔπος γὰρ οὐκ ἐτώσιον φέρω.
Ἀλλ' ἔστι πρᾶξις τῶν λόγων συνέμπορος.
Ἐγὼ γὰρ, ὡς ἔταξας, ἠρέμῳ ποδὶ
πόλεις ἰχνεύων πάντας ἠρεύνων δόμους,
μαθεῖν ποθῶν εἴ τις σὸν οὐ τιμᾷ κράτος·
καὶ τῶν μὲν ἄλλων εἶδον ἥσυχον φρένα,
νικωμένων, ἄνασσα, σαῖν βίᾳ χεροῖν.
Δύω δὲ τώδε φῶτε τολμηρὼ θράσει
ἐφραζέτην λαοῖσι καὶ κατωμνύτην
ὡς οὐκ ἔτ' ἐστὶ σὸν κράτος σεβάσμιον,
ἀλλ' ἔκβολον βροτῶν σε θήσουσιν βίου.
Διόπερ κραταιῷ συνοχμάσας δεσμῷ πόδα
πεμπταῖος ἥκω, στάδια διανύσας δύο.

ΠΟΔΑΓΡΑ.

Ὡς κραιπνὸς ἔπτης, ἀγγέλων ὤκιστέ μοι.
Τίνος δὲ καὶ γῆς ὅρια δυσβάτου λιπὼν
ἥκεις; σαφῶς μήνυσον, ὡς εἰδῶ τάχος.

ΑΓΓΕΛΟΣ.

Πρῶτον μὲν ἔλιπον πέντε βασμῶν κλίμακα,
ξύλων τρέμουσαν διαλύτοισιν ἁρμογαῖς,
ὅθεν με δέχεται κορδυβαλλῶδες πέδον,
σκληροῖσι ταρσοῖς ἀντερεῖδον κρούμασιν.
Ὅπερ διανύσας ἴχνεσιν ἀλγεινοῖς ἐγὼ
ἐστρωμένην χάλιξιν εἰσέβην ὁδὸν
καὶ δυσπάτητον ὀξέσιν κέντροις λίθων.
Μεθ' ἣν ὀλίσθῳ περιπεσὼν λείας ὁδοῦ
ἔσπευδον εἰς τὸ πρόσθε, διάλυτος δέ μου
ἔσυρεν ὀπίσω πηλὸς ἀσθενῆ σφυρὰ,
δι' ἧς περῶντι νότιος ἐκ μελῶν ἱδρὼς
ἔρρει, βάσιν σαθρὰν ἀνειλυσπωμένῳ.
Ὅθεν με δέχεται πᾶν δέμας κεκμηκότα
πλατεῖα μὲν κέλευθος, ἀλλ' οὐκ ἀσφαλής.
Τὰ μὲν γὰρ ἔνθεν, τὰ δέ μ' ἐκεῖθ' ὀχήματα
ἤπειγεν, ἠνάγκαζεν, ἔσπερχεν τρέχειν.
Ἐγὼ δὲ νωθρὸν ἐλαφρὰ κουφίζων πόδα
δόχμιος ἔβαινον εἰς ὁδοῦ πέζαν στενὴν,
ἕως ἀπήνη παραδράμῃ τροχήλατος.
Μύστης γὰρ ὢν σὸς ταχὺ τρέχειν οὐκ ἔσθενον.

ΠΟΔΑΓΡΑ.

Οὐκ εἰς μάτην, βέλτιστε, πρᾶξις ἥδε σοι
ὀρθῶς πέπρακται, τῇ δὲ σῇ προθυμίᾳ
ἴσαισι τιμαῖς ἀντισηκώσω χάριν.

Tua magna vis est, opum amans Podagra,
quam tela Jovis quoque torta timent :
tremuntque te fluctus profundi maris,
tremitque tyrannus Pluto inferùm;
gaudens ligamentis, lectos obiens,
cursum prohibes, talos crucias,
malleolos uris, vix tangis humum :
pistilli timens, genu urens pernox,
callum articulis inducere amans,
genua inflectens incurva Podagra.

NUNCIUS.

Domina, opportuno enim venis obviam pede,
audi; sermonem namque non vanum affero.
Sed res æquo passu cum verbis ambulat.
Ego nimirum, uti jusseras, placido pede,
urbes vestigans, omnes scrutabar domos,
videre volens, si quis tuam vim negligat :
et reliquorum tranquilla vidi pectora,
superatorum, regina, tui vi roboris.
Verum duo viri isti, freti audacia,
populis dicebant, addito perjurio,
non esse vim tuam venerabilem amplius,
hominum de vita te facturos exsulem.
Astrictis ergo fortiter vinclis pedum
quinto venio die duùm stadiùm via.

PODAGRA.

Agilis volasti, nunciorum mi celerrime.
Cujus sed terræ linquens fines asperos
venis? dilucide indica, quo mox sciam.

NUNCIUS.

Primo reliqui quinorum scalas graduum,
trabium trementes luxatis compagibus :
hinc accepit me fustibus stratum solum,
pulsu talis renitens *ægris* aspero.
Quod emensus dolentibus vestigiis
stratam silicibus intravi viam,
stimulisque lapidum acutis incalcabilem.
Post in labem delapsus lubricæ viæ,
nitebar antrorsum, solutum sed mihi
talos retro trahebat infirmos lutum :
hac transeunti sudor membris humidus
fluit, per incessum soluto putridum.
Toto fatigatum me corpore excipit
satis lata illa, sed non tuta nimis via.
Hæc hinc, at illinc ista nam vehicula
Urgentque, coguntque, imperantque currere.
Ego vero tardos levans cito pedes
obliquus arctam semitam viæ peto,
dum plaustrum prætereat suis actum rotis.
Mystes enim tuus nequibam currere.

PODAGRA.

Non frustra, amice noster, illa res tibi
bene administrata est. Verum studio tuo
dignis honoribus rependam gratiam.

Ἔστω δέ σοι δώρημα θυμῆρες τόδε,
ἐξῆς τριετίας πειράσῃ κούφων πόνων.
Ὑμεῖς δὲ μιαροὶ καὶ θεοῖς ἐχθίστατοι,
τίνες ποτ' ὄντες καὶ τίνων πεφυκότες,
τολμᾶτε Ποδάγρας ἀνθαμιλλᾶσθαι κράτει,
τῆς οὐδ' ὁ Κρονίδας οἶδε νικῆσαι βίαν;
Λέγετ', ὦ κάκιστοι, καὶ γὰρ ἡρώων ἐγὼ
ἐδάμασα πλείστους, ὡς γ' ἐπίστανται σοφοί.
Πρίαμος Ποδάρκης ποδαγρὸς ὢν ἐκλῄζετο·
θανὲ δ' Ἀχιλλεὺς ποδαγρὸς ὢν ὁ Πηλέως·
ὁ Βελλεροφόντης ποδαγρὸς ὢν ἐκαρτέρει·
Θηβῶν δυνάστης Οἰδίπους ποδαγρὸς ἦν·
ἐκ τῶν Πελοπιδῶν ποδαγρὸς ἦν ὁ Πλεισθένης·
Ποίαντος υἱὸς ποδαγρὸς ὢν ἦρχε στόλου·
ἄλλος Ποδάρκης Θεσσαλῶν ἦν ἡγεμών,
ὃς, ἐπείπερ ἔπεσε Πρωτεσίλαος ἐν μάχῃ,
ὅμως ποδαγρὸς ὢν καὶ πονῶν ἦρχε στόλου·
Ἰθάκης ἄνακτα Λαρτιάδην Ὀδυσσέα
ἐγὼ κατέπεφνον, οὐκ ἄκανθα τρυγόνος.
Ὡς οὔτι χαιρήσοντες, ὦ δυσδαίμονες,
ἴσην πάθησθε κόλασιν οἷς δεδράκατε.

ΙΑΤΡΟΙ.

Σύροι μέν ἐσμεν, ἐκ Δαμασκοῦ τῷ γένει,
λιμῷ δὲ πολλῷ καὶ πενίᾳ κρατούμενοι
γῆν καὶ θάλασσαν ἐφέπομεν πλανώμενοι.
Ἔχομεν δὲ χρῖσμα πατροδώρητον τόδε,
ἐν ᾧ παρηγοροῦμεν ἀλγούντων πόνους.

ΠΟΔΑΓΡΑ.

Τί δὴ τὸ χρῖσμα καὶ τίς ἡ σκευή; φράσον.

ΙΑΤΡΟΣ.

Μύστης με σιγᾶν ὅρκος οὐκ ἐᾷ φράσαι
καὶ λοισθία θνήσκοντος ἐντολὴ πατρὸς,
ὃς ἔταξε κεύθειν φαρμάκου μέγα σθένος
ὅ καὶ σὲ παύειν οἶδεν ἠγριωμένην.

ΠΟΔΑΓΡΑ.

Εἶτ', ὦ κατάρατοι καὶ κακῶς ὀλούμενοι,
ἔστιν τις ἐν γῇ φαρμάκου δρᾶσις τόση,
ὃ χρισθὲν οἶδε τὴν ἐμὴν παῦσαι βίαν;
Ἀλλ' εἶα, τήνδε σύμβασιν συνθώμεθα,
καὶ πειράσωμεν εἴτε φαρμάκου σθένος
ὑπέρτερον πέφυκεν εἴτ' ἐμαὶ φλόγες.
Δεῦτ', ὦ σκυθρωπαί, πάντοθεν ποτώμεναι
βάσανοι, πάρεδροι τῶν ἐμῶν βαχχευμάτων,
πελάζετ' ἄσσον. Καὶ σὺ μὲν ποδῶν ἄκρους
φλέγμαινε ταρσοὺς δακτύλων ποδῶν ἄχρι,
σὺ δὲ σφυροῖς ἔμβαινε, σὺ δὲ μηρῶν ἄπο
ἐς γόνατα λεῖβε πικρὸν ἰχώρων βάθος,
ὑμεῖς δὲ χειρῶν δακτύλους λυγίζετε.

ΠΟΝΟΙ.

Ἰδ', ὡς ἔταξας πάντα σοι δεδράκαμεν,
κεῖνται βοῶντες οἱ ταλαίπωροι μέγα,
ἅπαντα γυῖα προσβολῇ στρεβλούμενοι.

ΠΟΔΑΓΡΑ.

Φέρετ', ὦ ξένοι, μάθωμεν ἀτρεκέστερον,

Istuc animo placens habe munus tibi:
abhinc triennio leves dolores senties.
At vos impuri, vos dis inviasissimi,
quinam? quibus nati parentibus,
audetis obniti Podagræ viribus
cujus vicisse vim nescit Saturnius?
Quin dicitis, exsecrabiles! Heroum namque ego
subegi plurimos: docti vates sciunt.
Priamus Podarces dictus a vitio pedum.
Periit pede captus Achilles Peleo satus.
Bellerophontes pedum dolores pertulit.
Thebanus Œdipus captus pedibus fuit.
Pelopidas inter Plisthenes podagricus.
Podager classem duxit Pœantis filius.
Alius Podarces Thessalorum dux erat,
qui, quum cecidisset Protesilaus prælio,
pede captus et laborans classi præfuit.
Ithacæ tyrannum Ulyssem Lartium
peremi ego, non *marini* spina turturis.
Nihil ergo gavisuri, infelicissimi,
æquam subite pœnam vestris actibus.

MEDICI.

Syri sumus, Damasco ducimus genus
fame subacti, multa victi inopia,
terram pererramus totam vagi, et mare:
habemus hoc *unguentum* acceptum a patribus,
solamur hoc pœnas dolentium *pedes*.

PODAGRA.

Quod istud est unguentum? quæ paratio?

MEDICUS.

Jurata fides tacere, non loqui sinit
et ultimum morientis præceptum patris
qui jussit occultare nos vim pharmaci,
quod sævientem te quoque scit compescere.

PODAGRA.

Ergo, exsecrabiles, maleque perditi
superest in orbe tanta pharmaci potentia,
quod possit inunctum vim meam compescere?
Sed eia paciscamur pactum ejusmodi,
tentemus, utrum pharmaci potentia
natura sit valentior, an meæ faces.
Huc, o severæ, huc convolantes undique
pœnæ, comites meorum bacchanalium,
propius venite. Tu quidem pedum extimas
soleas adurito digitos ad usque pedum.
Tu malleolos invade. Tuque a femoribus
ad genua stilla amaram in intima saniem.
Sed vos *manuum digitos*, *agite*, constringite.

PŒNÆ.

Ecce omnia, ut jussisti, tibi peregimus.
Jacent, voces edunt miseri miserabiles,
per membra torti cuncta nostro ab impetu.

PODAGRA.

Agite, hospites, discamus jam verissime,

εἰ χρισθὲν ὑμᾶς φάρμακον τόδ' ὠφελεῖ.
Εἰ γὰρ σαφῶς τόδ' ἐστὶν ἀντίξουν ἐμοὶ,
λιποῦσα γαῖαν εἰς μυχοὺς εἶμι χθονὸς,
ἄιστος, ἀφανὴς, πύματα Ταρτάρου βάθη.

ΙΑΤΡΟΣ.

Ἰδοὺ, κέχρισται, κοὐ χαλᾷ φλογμὸς πόνων.

ΠΟΔΑΓΡΟΣ.

Οἴμοι, παπαῖ γε, τείρομαι, διόλλυμαι,
ἅπαν πέπαρμαι γυῖον ἀσκόπῳ κακῷ·
οὐ Ζεὺς κεραυνοῦ τοῖον αἰωρεῖ βέλος,
οὐδὲὶς θαλάσσης τοῖα μαίνεται κλύδων,
οὐδὲ στροβητὴ λαίλαπος τόση βία.
Μὴ κάρχαρον πορθεῖ με δῆγμα Κερβέρου;
μή τίς μ' ἐχίδνης ἰὸς ἀμφιδόσκεται,
ἢ διαβρεχὴς ἰχῶρι Κενταύρου πέπλος;
Ἐλέαιρ', ἄνασσα, φάρμακον γὰρ οὔτ' ἐμὸν
οὔτ' ἄλλο δύναται σὸν ἀναχαιτίσαι δρόμον,
ψήφοις δὲ πάσαις πᾶν ἔθνος νικᾷς βροτῶν.

ΠΟΔΑΓΡΑ.

Παύσασθε, βάσανοι, καὶ πόνους μειώσατε
τῶν μετανοούντων εἰς ἐμὴν ἔριν μολεῖν·
γιγνωσκέτω δὲ πᾶς τις ὡς μόνη θεῶν
ἄτεγκτος οὖσα φαρμάκοις οὐ πείθομαι.

ΧΟΡΟΣ.

Οὔτε Διὸς βρονταῖς Σαλμωνέος ἤρισε βία,
ἀλλ' ἔθανε ψολόεντι δαμεῖσα θεοῦ φρένα βέλει.
Οὐκ ἐρίσας ἐχάρη Φοίβῳ Σάτυρος Μαρσύας,
ἀλλὰ λιγὺ ψαίρει κείνου περὶ δέρμ' ἃ πίτυς.
Πένθος ἀείμνηστον δι' ἔριν τοκὰς ἔσχε Νιόβη,
ἀλλ' ἔτι μυρομένη προχέει πολὺ δάκρυ Σιπύλῳ.
Μαιονία δ' Ἀράχνη Τριτωνίδος ἤλθεν ἐς ἔριν·
ἀλλ' ὀλέσασα τύπον καὶ νῦν ἔτι νήματα πλέκει·
οὐ γὰρ ἴσον μακάρων ὀργαῖς θράσος ἐστὶ μερόπων,
ὡς Διὸς, ὡς Λητοῦς, ὡς Παλλάδος, ὡς Πυθίου.
Ἥπιον, ὦ πάνδημε, φέροις ἄλγημα Ποδάγρα,
κοῦφον, ἑλαφρὸν, ἄδριμυ, βραχυβλαβὲς, εὐώδυνον,
εὔφορον, εὔληκτον, ὀλιγοδρανὲς, εὐπερίπατον.
Πολλαὶ μορφαὶ τῶν ἀτυχούντων,
μελέται δὲ πόνων καὶ τὸ σύνηθες
τοὺς ποδαγρῶντας παραμυθείσθω.
Ὅθεν εὐθύμως, ὦ σύγκληροι,
λήσεσθε πόνων,
εἰ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τοῖς δ' ἀδοκήτοις πόρον εὗρε θεός.
Πᾶς δ' ἀνεχέσθω τῶν πασχόντων
ἐμπαιζόμενος καὶ σκωπτόμενος.
Τοῖον γὰρ ἔφυ τόδε πρᾶγμα.

inunctum vos vestrum juvetne pharmacum.
Nam si liquido illud est mihi contrarium,
terra relicta abeo telluris in sinus,
ignota, invisa, profunda in ima Tartari.

MEDICUS.

En est inunctum : nec pœnæ minuit faces.

PODAGRICUS.

Hei, hei! Papæ! *periî*, consumor, occidi!
cæco per omnia membra fixus sum malo.
Fulminis haud tale telum vibrat Jupiter,
maris nec ullus tantundem fluctus furit :
nec torta tanta est turbinis vehementia.
Asperne me populatur morsus Cerberi?
num viperæ venenum me depascitur?
saniene Centauri madet mihi pallium?
Miserere, diva! pharmacum nam nec meum,
nec ullum, inhibere tuum cursum potest,
punctisque cunctis omne hominum superas genus.

PODAGRA.

Cessate, Pœnæ, et his dolores minuite,
quos contendisse rixa mecum pœnitet.
Cognoscat unusquisque, me solam deûm
non deliniri pharmacis, non obsequi.

CHORUS.

Nec Jovis Salmonei contendit vis tonitrui,
sed periit fumante dei cor fixa jaculo.
Nec rixa gaudet Phœbi Satyrus Marsyas,
sed cutis ad pinum suspensa arguta resonat.
Luctum habet æternum ob lites fœcunda Niobe,
lamentatur adhuc, lacrimas funditque Sipylo.
Mæonis ausa Arachne contendere Tritonidi,
perdidit at formam, sua nunc quoque stamina plicat :
impar est iris superorum audacia hominum,
ut Jovis, ut Latonæ, ut Palladis, ut Pythii.
Mitem ferto crucem, popularis diva, Podagra,
atque levemque brevemque; acrique dolore careat :
pauca nocens cesset, tolerabilis, ireque sinat.
Multæ formæ infortunatorum :
meditatio pœnæ et consuetudo
podagros miseros consoleutur.
Unde alacriter, o consortes,
deponetis
dolores, si sperata non peragantur,
insperatisque det esse deus.
Sufferat unusquisque ægrorum
illudi se et derideri.
Hæc est natura negoti.

LXXXI.

* ΩΚΥΠΟΥΣ

Ὠκύπους Ποδαλειρίου καὶ Ἀστασίας υἱὸς ἐγένετο, κάλλει καὶ δυνάμει διαφέρων, γυμνασίων τε καὶ κυνηγεσίων μὴ ἀμελῶν. Πολλάκις δὲ θεωρῶν τοὺς ἐχομένους ὑπὸ τῆς ἀτέγκτου Ποδάγρας, κατεγέλα, φάσκων μηδὲν ὅλως εἶναι τὸ πάθος. Ἡ θεὸς τοίνυν ἀγανακτεῖ καὶ διὰ ποδῶν εἰστρέχει. Τοῦ δ' εὐτόνως φέροντος καὶ ἀρνουμένου, ὕπτιον ὅλως τίθησιν ἡ θεός. Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Θήβαις· ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων ποδαγρῶν, συνελεγχόντων τὸν Ὠκύπουν. Τὸ δὲ δρᾶμα τῶν πάνυ ἀστείων. Τὰ τοῦ δράματος πρόσωπα, Ποδάγρα, Ὠκύπους, Τροφεύς, Ἰατρός, Πόνος, Ἄγγελος. Προλογίζει δὲ ἡ Ποδάγρα.

ΠΟΔΑΓΡΑ, ΩΚΥΠΟΥΣ, ΤΡΟΦΕΥΣ, ΙΑΤΡΟΣ, ΠΟΝΟΣ, ΚΑΙ ΑΓΓΕΛΟΣ.

ΠΟΔΑΓΡΑ.

Δεινὴ μὲν ἐν βροτοῖσι καὶ δυσώνυμος
Ποδάγρα κέκλημαι, δεινὸν ἀνθρώποις πάθος·
δεσμῶ δὲ νευρίνοισι τοὺς πόδας βρόχοις,
ἄρθροισιν εἰσδραμοῦσα μὴ νοουμένη.
Γελῶ δὲ τοὺς πληγέντας ὑπ' ἐμοῦ προ.**
καὶ μὴ λέγοντας τἀτρεκῆ τῆς συμφορᾶς,
ἀλλ' εἰς ματαίαν πρόφασιν ἐξῃσκημένους.
Ἅπας γὰρ αὐτὸν βουκολεῖ ψευδοστομῶν,
ὡς ἐνσεσεικὼς ἢ προκόψας ποι βάσιν,
λέγει φίλοισι, μὴ φράσας τὴν αἰτίαν·
ὃ μὴ λέγει γὰρ, ὡς δοκῶν λαθεῖν τινας,
χρόνος δέ γ' ἕρπων μηνύει, κἂν μὴ θέλῃ.
Καὶ τότε δαμασθεὶς, ὀνομάσας μου τοὔνομα
πᾶσιν θρίαμβος ἐμβεβάστακται φίλοις.
Πόνος δέ μοι συνεργός ἐστι τῶν κακῶν·
ἐγὼ γὰρ οὐδέν εἰμι τούτου δίχα μόνη.
Τοῦτ' οὖν δάκνει με καὶ φρενῶν καθάπτεται,
ὅτι τὸν ἅπασιν αἴτιον πόνον κακῶν
οὐδεὶς κακούργοις λοιδορεῖ βλασφημίαις,
ἀλλὰ κατ' ἐμοῦ πέμπουσι δυσφήμους ἀρὰς,
ὡς δεσμὸν ἐλπίζοντες ἐκφυγεῖν ἐμόν.
Τί ταῦτα φλυαρῶ κοὐ λέγω τίνος χάριν
πάρειμι, μὴ φέρουσα τὴν ἐμὴν χολήν;
ὁ γὰρ δόλον γενναῖος; ὁ θρασὺς Ὠκύπους,
φρονεῖ καθ' ἡμῶν, μηδὲν εἶναί μ' ἔτι λέγων.
Ἐγὼ δ' ὑπ' ὀργῆς ὡς γυνὴ δεδηγμένη,
ἀντέδακα τοῦτον ἀθεράπευτον εὐστόχως,
ὡς ἦν ἔθος μοι κονδύλου ποδὸς τυχεῖν.
Ἤδη δ' ὁ δεινὸς πόνος ἔχει λεπτὸν τόπον
καὶ τὴν βάσιν νυγμοῖσι τρυπᾷ τὴν κάτω·
ὁ δ' ὡς δρόμοισιν ἢ πάλῃ πλήξας ἴχνος,
πλανᾷ γέροντα παιδαγωγὸν ἄθλιον,
καὶ κλεψίχωλον πόδα τιθεὶς ἰχνευμένον
δύστηνος αὐτὸς ἐκ δόμων προσέρχεται.

ΩΚΥΠΟΥΣ.

Πόθεν δ' ὁ δεινὸς κατὰ ποδῶν οὗτος παρῆν
ἀτραυμάτιστος, ἄβατος, ἄστατος πόνος;

LXXXI.

* OCYPUS (CELERIPES).

Ocypus Podalirii et Astasiæ filius fuit pulchritudine et viribus præstans, qui gymnasia et venatus non negligeret. Sæpe quum videret eos qui ab implacabili podagra tenerentur, deridebat, dicens plane nihil esse illum morbum. Indignatur ergo dea et per pedes in eum irruit. Illo vero fortiter ferente ac negante, supinum omnino dea abjicit. Scena dramatis ponitur esse Thebis. Chorus constat podagris ejus regionis Ocypodem convincentibus. Est autem drama valde lepidorum unum. Personæ dramatis: Podagra, Ocypus, Educator, Medicus, Dolor, Nuncius. Prologum agit Podagra.

PODAGRA, OCYPUS, EDUCATOR, MEDICUS, DOLOR, ET NUNCIUS.

PODAGRA.

Dira hominibus et inauspicati nominis
Podagra vocor; sævum mortalibus malum,
pedesque nerveis constringo restibus,
animadvertente nullo incurrens artubus.
Ultra mea percussos plaga rideo,
nec vera de suo fateri ausos malo,
sed vana causari nonnulla exercitos.
Ipsum nam quisque se lactat mendaciis;
quasi convellerit aut offenderit pedem,
loquitur amicis, veram causam reticet.
Quod enim non dicit, ut latere se ratus,
etiamsi nolit ipse, tempus indicat.
Ac tum subactus, et fatus nomen meum,
ab amicis omnibus in triumpho ducitur.
Verum dolor mihi malorum adjutor est:
nihil ego namque sum, si ab hoc relicta sum.
Hoc ergo mordet, hoc animum subigit meum,
dolorem quod malorum originem omnium
maleficis maledictis haud quisquam sauciat,
sed contra me laxant vocem exsecrabilem,
mea sperantes evitare vincula.
Quid ista nugor, nec dico qua gratia
adsim, ferendæ non par iracundiæ?
Dolo generosus iste, fortis Ocypus,
contra me sentit, esse me nihil ferens.
Ego, quam mordet ira, (quidni, feminam?)
morsu hunc remordi certo et insanabili,
ut est solenne mihi ferire artum pedis.
Et jam dolor dirus parvum tenet locum,
soleamque terebrat imam punctionibus:
at ille ut cursu vel lucta læso pede,
imponit educatori misero seni.
Furtim claudum pedem, visco captum meo,
infelix efferens, huc accedit, domo.

OCYPUS.

At unde dirus in pedes hic ingruit
sine vulnere, stare, incedere impediens dolor?

τείνει δὲ νεῦρον οἷα τοξότης ἀνὴρ
βέλος προπέμπων καὶ στένειν βιάζεται,
τὸ τῶν πονούντων ἔσχατον στοιχεῖ χρόνῳ.

ΤΡΟΦΕΥΣ.

Ἔπαιρε σαυτὸν, ὦ τέκνον, καὶ κούφισον,
μή πως με πίπτων καταβάλῃς σὺ χωλὸς ὤν.

ΩΚΥΠΟΥΣ.

Ἰδοὺ, κρατῶ σε δίχα βάρους καὶ πείθομαι,
καὶ τὸν πονοῦντα πόδα τιθῶ καὶ καρτερῶ.
Νεωτέρῳ γὰρ αἶσχος ἐν παισὶν ἀεὶ,
ὑπηρέτης ἀδύνατος γογγύζων γέρων.

ΤΡΟΦΕΥΣ.

Μὴ μὴ σὺ ταῦτα, μωρὲ, μή με κερτόμει,
μή μ' ὡς νέον κόμπαζε, τοῦτ' εἰδὼς ὅτι
ἐν ταῖς ἀνάγκαις πᾶς γέρων ἐστὶν νέος.
Πείθου λέγοντι· τὸ πέρας ἂν ὑποσπάσω,
ἔστην ὁ πρέσβυς, σὺ δ' ὁ νέος πίπτεις χαμαί.

ΩΚΥΠΟΥΣ.

Σὺ δ' ἂν σφαλῇς, πέπτωκας ἄπονος ὢν γέρων.
Προθυμία γὰρ ἐν γέρουσι παρέπεται,
πρᾶξις δὲ τούτοις οὐκέτ' ἐστὶν εὔτονος.

ΤΡΟΦΕΥΣ.

Τί μοι σοφίζῃ κοὐ λέγεις οἵῳ τρόπῳ
πόνος προῆλθε σοῦ ποδὸς κοίλην βάσιν;

ΩΚΥΠΟΥΣ.

Δρόμοισιν ἀσκῶν, κοῦφον ὡς τιθῶ πόδα,
τρέχων ἔτιλα, καὶ συνηνέχθην πόνῳ.

ΤΡΟΦΕΥΣ.

Πάλιν τρέχ', ὥς τις εἶπεν, ἢ καθήμενος,
πώγωνα τίλλε κουριῶν ὑπ' ὠλέναις.

ΩΚΥΠΟΥΣ.

Οὐκοῦν παλαίων ὡς θέλων παρεμβολὴν
βαλεῖν ἐπλήγην. Τοῦτο δὴ πίστευέ μοι.

ΤΡΟΦΕΥΣ.

Ποῖος στρατιώτης γέγονας, ἵνα παρεμβολὴν
βαλὼν σὺ πληγῇς; περικυκλεῖς ψευδῆ λέγων.
Τὸν αὐτὸν ἡμεῖς εἴχομεν λόγον ποτὲ,
μηδενὶ λέγοντες τὴν ἀλήθειαν φίλων.
Νῦν δ' εἰσορᾷς ἅπαντας ἐξ. . . . .
Ὁ πόνος δ' ἑλίξας ἐμμελῶς διαστρέφει.

ΙΑΤΡΟΣ.

Ποῖ ποῖ καθεύρω κλεινὸν Ὤκυπουν, φίλοι,
τὸν πόδα πονοῦντα καὶ βάσιν παρειμένον;
Ἰατρὸς ὢν γὰρ ἔκλυον ὑπὸ φίλου τινὸς
πάσχοντα δεινὰ τοῦτον ἀστάτῳ πάθει.
Ἀλλ' αὐτὸς οὗτος ἐγγὺς ὀμμάτων ἐμῶν
κεῖται κατ' εὐνῆς ὕπτιος βεβλημένος.
Ἀσπάζομαί σε πρὸς θεῶν, καὶ σὸν πάθος
τί τοῦτο λέξον, Ὤκυπου, τάχ' ὡς μάθω·
εἰ γὰρ μάθοιμι, τυχὸν ἴσως ἰάσομαι
τὸ δεινὸν ἄλγος, τοῦ πάθους τὴν συμφοράν.

ΩΚΥΠΟΥΣ.

Ὁρᾷς με, Σωτὴρ, καὶ πάλιν Σωτήριχε,
σάλπιγγος αὐτῆς ὄνομ' ἔχων Σωτήριχε,

nervumque tendit, vir sagittator velut
telum emissurus, et subigit me plangere:
quæ sunt dolentum extrema, accedunt tempori

EDUCATOR.

Ipsum te sustine, mi fili, et alleva,
ne qua, dum claudicas, cadens me proruas.

OCYPUS.

En teneo te sine pondere, et tibi obsequor,
laborantemque pedem pono, et sustento me.
Nam juniori turpe, æquales inter, est
minister invalidus, querulus semper senex.

EDUCATOR.

Ne, ne quid horum, stulte! aufer convicia.
Ne gloriare ætate: at illud noveris,
Necessitatibus juvenis quisque est senex.
Audi monentem. Denique, si me subtraham,
stabo senex ego, juvenis jacebis humi.

OCYPUS.

Tu si cadas, dolore carens, senex cades.
Etenim voluntas promta senes sequitur viros;
nervis sed illorum caret omnis actio.

EDUCATOR.

Quid argutare, nec dicis mihi, quomodo
dolor intrarit soleam pedis cavam tui?

OCYPUS.

Dum cursu exerceor, levem ut ponam pedem
currens contraxi, et in dolores incidi.

EDUCATOR.

Iterum curre, ut non nemo dixit, aut sedens
barbam tu vellas, ille sub alis hispidus.

OCYPUS.

Luctatus ergo, dum volo inserto pede
ferire, sum percussus: illud crede mi.

EDUCATOR.

Qualis fuisti athleta, ut inserto pede
feriens ferireris? Vagus es mendaciis.
Eosdem nos quondam sermones habuimus,
amicorum dicentes vera nemini.
Nunc vero cunctos vides . . . .
Verum volutans ad numeros torquet dolor.

MEDICUS.

Ubi nobilem invenio, sodales, Ocypum
laborantem pede, et solutis gressibus?
Etenim medico mihi sodalis rettulit,
hunc dira morbo non constante perpeti.
Quin ipse nostros ante oculos in proximo
jacet, supinus abjectus in lectulo.
Jubeo salvere per deos te. Sed mali
quid illud? Ocypu, dic ocius ut sciam.
Si scire contingat, forsan curavero
dirum dolorem, et illud, quidquid est, mali.

OCYPUS.

Vides me, Soter, et rursus Soteriche,
cognominis Salpingis, o Soteriche:

δεινὸς πόνος με τοῦ ποδὸς δάκνει κακῶς,
δειλὸν δὲ βῆμα κοὐχ ἁπλοῦν τιθῶ ποδί.

ΙΑΤΡΟΣ.

Πόθεν; τί παθών; μήνυσον, ἢ ποίῳ τρόπῳ;
μαθὼν ἀλήθειαν γὰρ ἰατρὸς ἀσφαλῶς
κρεῖττον πρόσεισι, σφάλλεται δὲ μὴ μαθών.

ΩΚΥΠΟΥΣ.

Δρόμον τιν' ἀσκῶν καὶ τέχνην γυμναστικὴν
δεινῶς ἐπλήγην ὑπὸ φίλων ὁμηλίκων.

ΙΑΤΡΟΣ.

Πῶς οὖν ἀηδὴς οὐ πάρεστι φλεγμονὴ
τόπου κατ' αὐτοῦ κοὐκ ἔχεις τιν' ἐμβροχήν;

ΩΚΥΠΟΥΣ.

Οὐ γὰρ στέγω τὰ δεσμὰ τῶν ἐριδίων,
εὐμορφίαν ἄχρηστον εἰς πολλοὺς καλήν.

ΙΑΤΡΟΣ.

Τί οὖν δοκεῖ σοι; κατακνίσω σου τὸν πόδα;
ἂν γὰρ παράσχῃς, τοῦτο γιγνώσκειν σε χρή,
ὡς ταῖς τομαῖσι πλεῖστον αἷμά σου κενῶ.

ΩΚΥΠΟΥΣ.

Ποίησον εἴ τι καινὸν ἐξευρεῖν ἔχεις,
ἵν' εὐθὺ δεινὸν ἐκ ποδῶν παύσῃς πόνον.

ΙΑΤΡΟΣ.

Ἰδοὺ, σιδηρόχαλκον ἐπιφέρω τομὴν,
ὀξεῖαν, αἱμόδιψον, ἡμιστρόγγυλον.

ΩΚΥΠΟΥΣ.

Ἔα, ἔα.

ΤΡΟΦΕΥΣ.

Σῶτερ, τί ποιεῖς; μὴ τύχοις σωτηρίας.
Τολμᾷς σιδηρόσπαρτον ἐπιβαλεῖν πόνον;
μηδὲν κατειδὼς προσφέρεις κακὸν ποσί.
Ψευδεῖς γὰρ ἔκλυες ὧν· ἀκήκοας λόγων·
οὐ γὰρ πάλαισιν ἢ δρόμοισιν, ὡς λέγει,
ἀσκῶν ἐπλήγη. Τοῦτο γοῦν ἄκουέ μου.
Ἦλθεν μὲν οὖν τὸ πρῶτον ὑγιὴς ἐν δόμοις,
φαγὼν δὲ πολλὰ καὶ πιὼν ὁ δυστυχὴς
κλίνης ὕπερθε καταπεσὼν ὑπνοῖ μόνος·
ἔπειτα νυκτὸς διυπνίσας ἐκραύγασεν,
ὡς δαίμονι πληγείς, πάντας ὡς φόβον λαβεῖν·
ἕλξε δ', Οἴμοι, πόθεν ἔχω κακὴν τύχην;
δαίμων τάχα κρατῶν τις ἐξωθεῖ ποδός.
Πρὸς ταῦτα νυκτὸς ἀνακαθήμενος μόνος
ὁποῖα κῆρυξ ἐξεθρήνει τὸν πόδα.
Ἐπεὶ δ' ἀλέκτωρ ἡμέραν ἐσάλπισεν,
οὗτος προσῆλθε, χεῖρα θεὶς ἐμοὶ πικρὰν,
θρηνῶν, πυρέσσων,** ἐπ' ἐμοὶ βα**
Ἃ πρὶν δέ σοι κατεῖπε, πάντ' ἐψεύσατο,
τὰ δεινὰ κρύπτων τῆς νόσου μυστήρια.

ΩΚΥΠΟΥΣ.

Γέρων μὲν ἀεὶ τοῖς λόγοις ὁπλίζεται,
καυχώμενος τὰ πάντα, μηδὲ ἓν σθένων.
Ὁ γὰρ πονῶν τι καὶ φίλοις ψευδῆ λέγων,
πεινῶντ' ἔοικε μαστίχην μασωμένῳ.

dirus dolor pedis me mordet pessime,
timidum pede, non simplex, pono vestigium.

MEDICUS.

Unde? ecquid passus? indica, vel quomodo?
nam vera si medico per omnia dixeris,
salubrior venit: non doctus labitur.

OCYPUS.

Cursum meditatus et quandam artem gymnicam,
ab amicis graviter vapulavi æqualibus.

MEDICUS.

Cur non adest ergo gravis inflammatio
ipso in loco, nec humidum fomentum habes?

OCYPUS.

Nec enim fero facile lanarum vincula,
inutile ornamentum, quod multis placet.

MEDICUS.

Quid ergo tibi placet? scariphabo pedem?
nam si mihi præbeas, illud bene noveris,
secando exhausturum multum me sanguinis.

OCYPUS.

Fac ergo, si quid invenire novi potes,
quo mox dolores diros e pede exigas.

MEDICUS.

En jam parata ferri et æris sectio,
sitiens cruoris, acuta, et semiteres.

OCYPUS.

Omitte, omitte!

EDUCATOR.

Soter, quid occipis? Sic te fugiat salus!
Audes quæsitas ferro pœnas addere?
Ignarus omnium, malum admoves pedi.
Mendacia tibi dicta, quæque dicta sunt.
Nec enim luctamve seu cursum, quod indicat,
exercens ictus est: at hoc mi credito:
probe quidem valens primo venit domum,
bene tum saturatus, affatim potus, miser
in lectulo jacens somnum solus capit;
tum nocte somno excussus exclamat cito
divinitus vēlut ictus: et cuncti timent:
dixitque, Væ mihi! unde tanta vis malis?
deusne quis pedem tenens extra *rapit?*
Ad hæc, quam longa est, nocte solus residens
velut præconis voce deplorat pedem.
Quum vix diem tuba gallus signaverat,
ad me venit, tristem manum mihi injicit
plorans, febriensque, meque nixus ambulans.
Sed quæ modo dicebat finxit omnia,
dum dira morbi dissimulat mysteria.

OCYPUS.

Verbis quidem semper senex armatus est,
et gloriatur, quum possit nihil, omnia.
Morbo laborans, mentiens sodalibus,
famelico similis mandenti mastichen.

ΙΑΤΡΟΣ.
Πλανᾷς ἅπαντας, ἄλλα δ' ἐξ ἄλλων λέγεις,
λέγων πονεῖν μὲν, ὃ δὲ πονεῖς οὔπω λέγεις.
ΩΚΥΠΟΥΣ.
Πῶς οὖν φράσω σοι τοῦ πάθους τὴν συμφοράν;
πάσχων γὰρ οὐδὲν οἶδα, πλὴν πονῶ μόνον.
ΙΑΤΡΟΣ.
Ὅταν ἀφορμῆς δίχα πονῇ τις τὸν πόδα,
πλάσσει τὸ λοιπὸν οὓς θέλει κενοὺς λόγους,
εἰδὼς τὸ δεινὸν ᾧ συνέζευκται κακῷ
καὶ νῦν μὲν ἀκμὴν εἷς * * *
ἐπὰν δὲ καὶ τὸν ἕτερον ἀλγήσῃς πόδα,
στένων δακρύσεις, ἓν δέ σοι φράσαι θέλω·
τοῦτ' ἔστ' ἐκεῖνο, Κἂν θέλῃς, κἂν μὴ θέλῃς.
ΩΚΥΠΟΥΣ.
Τί δ' ἔστ' ἐκεῖνό γ', εἰπέ, καὶ τί κλῄζεται;
ΤΡΟΦΕΥΣ.
Ἔχει μὲν ὄνομα συμφορᾶς γέμον διπλῆς.
ΩΚΥΠΟΥΣ.
Οἴμοι. Τί τοῦτο; λέξον, ὦ, δέομαι, γέρον.
ΤΡΟΦΕΥΣ.
Ἐκ τοῦ τόπου μὲν οὗ πονεῖς ἀρχὴν ἔχει.
ΩΚΥΠΟΥΣ.
Ποδὸς μὲν ἀρχὴν ὄνομ' ἔχει, καθὼς λέγεις;
ΤΡΟΦΕΥΣ.
Τούτῳ σὺ πρόσθες ἐπὶ τέλει δεινὴν ἄγραν.
ΩΚΥΠΟΥΣ.
Καὶ πῶς με τὸν δύστηνον ἔτι * * *;
ΤΡΟΦΕΥΣ.
Δεινή περ οὖσα, φείδεται γὰρ οὐδενός.
ΩΚΥΠΟΥΣ.
Σωτὴρ, τί λέγεις; τί δέ με * * *;
ΙΑΤΡΟΣ.
Ἄφες με μικρὸν, ἠλόγημαι σοῦ χάριν.
ΩΚΥΠΟΥΣ.
Τί δ' ἐστὶ δεινὸν, ἢ τί συμβέβηκέ μοι;
ΙΑΤΡΟΣ.
Εἰς δεινὸν ἦλθες πόνον ἀχώριστον ποδός.
ΩΚΥΠΟΥΣ.
Οὐκοῦν με δεῖ πρόχωλον ἐξαντλεῖν βίον;
ΙΑΤΡΟΣ.
Χωλὸς μὲν ἂν ᾖς, οὐδέν ἐστι, μὴ φοβοῦ.
ΩΚΥΠΟΥΣ.
Τί δ' ἐστὶ χεῖρον; * * * *
ΙΑΤΡΟΣ.
Ἀμφοῖν ποδοῖν σε συμποδισθῆναι μένει.
ΩΚΥΠΟΥΣ.
Οἴμοι. Πόθεν μοι καινὸς εἰσῆλθεν πόνος
ποδὸς δι' ἄλλου, καί με συμπάσχει κακῶς;
Ἢ πῶς ὅλος πέπηγα, μεταβῆναι θέλων;
δειλαίνομαι δὲ πολλὰ μεταστῆσαι πόδα,
νήπιος, ὁποῖα βρέφος ἄφνω φοβούμενος.
Ἀλλ' ἀντομαί σε πρὸς θεῶν, Σωτήριχε,
εἴπερ τέχνη σή τι δύναται, μηδὲν φθονῶν

MEDICUS.
Imponis omnibus diversa adeo loquens:
ægrotus esse dicis, quo labores, nondum ais.
OCYPUS.
Et quomodo rationes explicem mali?
Male quum sit, nil scio, nisi hoc, male esse mi.
MEDICUS.
Occasionem præter si cui pes dolet,
is quælibet tum vana comminiscitur,
haud inscius diri, cui junctus est, mali.
Et nunc modo unus est * * *
At quum pedem dein dolebis alterum,
gemes cum lacrimis. Unum edico tibi:
hoc illud est ipsum, Seu nolis, seu velis.
OCYPUS.
Quid illud ipsum? dic, quo nomine cluit?
EDUCATOR.
Habet malo repletum nomen duplici.
OCYPUS.
Eheu! Quid istuc? dic, o obsecro, senex.
EDUCATOR.
Ex quo doles loco, caput habet nominis.
OCYPUS.
Ut dicis, a pede principium nomen trahit?
EDUCATOR.
Huic tu dirum Agræ nomen in fine adjice.
OCYPUS.
Et qui miserum sat insuper *ludos facis?*
EDUCATOR.
Est sane dira, namque parcit nemini.
OCYPUS.
Soter, quid ais? quid me...
MEDICUS.
Sine me parum: tua peregrinor gratia.
OCYPUS.
Quid est igitur mali? aut mihi quid accidit?
MEDICUS.
Pedis es nactus dolorem dirum, inseparabilem.
OCYPUS.
Sic ergo claudicanti est exantlandum malum?
MEDICUS.
Modo claudus esses! Hoc nihil: hunc aufer metum.
OCYPUS.
Quid ergo pejus?...
MEDICUS.
Superest utroque te pede impedirier.
OCYPUS.
Heu, heu mihi! novus unde morbus ingruit
pedem per alterum, qui me vexat male?
Quam fixus hæreo, discedere quum velim!
metuoque valde, pes quum transferendus est,
incautus, ut puer subito perterritus.
Sed obsecro te per deos, Soteriche,
ars si potest quidquam tua, ne mihi invidens

θεράπευσον ἡμᾶς, εἰ δὲ μή, διοίχομαι.
Πάσχω γὰρ ἀφανῶς, κατὰ ποδῶν τοξεύομαι.

ΙΑΤΡΟΣ.

Τοὺς μὲν πλανήτας περιελὼν λόγους ἐγὼ,
τοὺς τῶν ἰατρῶν τῶν ὁμιλούντων μόνον,
ἔργῳ δὲ μηδὲν εἰδότων σωτήριον,
τὰ πάντα σοι πάσχοντι συντόμως φράσω.
Ἄφευκτον ἦλθες πρῶτον ἐς βάθος κακῶν.
Οὐ γὰρ σιδηρόπλαστον ὑπεδύσω βάσιν,
δ τοῖς κακούργοις εὑρέθη τεκμήριον·
δεινὴν δὲ καὶ κρυφαῖον εἰς πάντας κάκην
ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.

ΩΚΥΠΟΥΣ.

Αἰαῖ, αἰαῖ, οἴμοι, οἴμοι.
Πόθεν με τρυπᾷ τὸν πόδ' αὖ κρυπτὸς πόνος;
Δέξασθε χεῖρας τὰς ἐμὰς πρὸ τοῦ πεσεῖν,
ὁποῖα σάτυροι Βακχίους ὑπ' ὠλένας.

ΤΡΟΦΕΥΣ.

Γέρων μέν εἰμι, πλὴν ἰδού σοι πείθομαι,
καὶ τὸν νέον σε χειραγωγῶ πρέσβυς ὤν.

LXXXII.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

1

(*Anthol. Palat. Append.* 49.)

Εἰς τὴν ἑαυτοῦ βίβλον.

Λουκιανὸς τάδ' ἔγραψε, παλαιά τε μωρά τε εἰδὼς,
μωρὰ γὰρ ἀνθρώποις καὶ τὰ δοκοῦντα σοφά.
Οὐδὲν ἐν ἀνθρώποισι διακριδόν ἐστι νόημα,
ἀλλ' ὃ σὺ θαυμάζεις, τοῦθ' ἑτέροισι γέλως.

2.

(*Anthol. Palat.* 9, 367.)

Εἰς ἀσώτους.

Τὸν πατρικὸν πλοῦτον νέος ὢν Θήρων ὁ Μενίππου
αἰσχρῶς εἰς ἀκρατεῖς ἐξέχεεν δαπάνας.
Ἀλλά μιν Εὐκτήμων, πατρικὸς φίλος, ὡς ἐνόησεν
ἤδη καρφαλέῃ τειρόμενον πενίῃ,
καί μιν δακρυχέων ἀνελάμβανε, καὶ πόσιν αὐτὸν
θῆκε θυγατρὸς ἑῆς, πολλ' ἐπὶ μείλια δούς.
Αὐτὰρ ἐπεὶ Θήρωνα περὶ φρένας ἦλυθε πλοῦτος,
αὐτίκα ταῖς αὐταῖς ἐτρέφετ' ἐν δαπάναις,
γαστρὶ χαριζόμενος πᾶσαν χάριν, οὐ κατὰ κόσμον,
τῇ θ' ὑπὸ τὴν μιαρὰν γαστέρα μαργοσύνῃ.
Οὕτω μὲν Θήρωνα τὸ δεύτερον ἀμφεκάλυψεν
οὐλομένης πενίης κῦμα παλιρρόθιον.
Εὐκτήμων δ' ἐδάκρυε τὸ δεύτερον, οὐκ ἔτι κεῖνον,
ἀλλὰ θυγατρὸς ἑῆς προῖκά τε καὶ θάλαμον.
Ἔγνω δ' ὡς οὐκ ἔστι κακῶς κεχρημένον ἄνδρα
τοῖς ἰδίοις εἶναι πιστὸν ἐν ἀλλοτρίοις.

sanato me : quod si minus, plane occidi.
Occulta enim patior, telis pedes petor.

MEDICUS.

Verba equidem fœcunda fraudis amputans
medicorum, qui nihil nisi alloqui solent,
reapse sed salubre nil quidquam sciunt,
ægro tibi compendio dicam omnia.
Primo in malum incidisti inevitabile.
Nec murices enim induisti ferreos,
inventam maleficis capiendis decipulam :
sed diram et abditam crucem omnibus malam,
cujus natura hominum non sustulerit onus.

OCYPUS.

Hei hei! hei hei! væ væ! væ væ!
Hei unde mi terebrat pedem abditus dolor?
Prehendite, antequam cadam, meas manus!
Satyri ut solent Bacchum fulcire brachiis.

EDUCATOR.

Senex licet, tamen tibi en! obtempero :
provectus annis te juvenem duco manu.

LXXXII.

EPIGRAMMATA.

1.

In suum librum.

Lucianus scripsi hæc, antiquaque stultaque doctus
id quoque enim stultum est, quod tibi forte sapit.
Nil homini certum est, nec voto vivitur uno :
sed ridens eadem hic elevat, ille probat.

2

In prodigos.

Luxuria marcens juvenili more Menippi
Theron quum patrias dilaniasset opes,
Euctemon doluit, quondam genitoris amicus
in misera juvenem vivere pauperie.
Quin dedit et lacrimas : atque in sua tecta recepto,
Noster eris, dixit, non sine dote gener.
Ille sed, ut mentem dotalis gaza subivit,
ad veteres sumtus notaque damna redit :
dilapidat census, concedens omnia ventri
et quæ sub ventrem deteriora latent.
Atque ita Theronem miserum mala rursus egestas
absorpsit reflui gurgitis illuvie :
jamque flet Euctemon, non hunc quem fleverat ante
sed dotem et natæ flebile conjugium :
doctus ab exemplo, quam, qui sua perdidit, illi
non sit in alterius rebus habenda fides.

3.

(*Anthol. Palat.* 10, 26.)

Εἰς αὐτάρκειαν.

Ὡς τεθνηξόμενος τῶν σῶν ἀγαθῶν ἀπόλαυε,
ὡς δὲ βιωσόμενος φείδεο σῶν κτεάνων.
Ἐστὶ δ' ἀνὴρ σοφὸς οὗτος, ὃς ἄμφω ταῦτα νοήσας
φειδοῖ καὶ δαπάνῃ μέτρον ἐφημόσατο.

3.

In sufficientiam.

Mors quasi sit vicina tibi, sic utere rebus :
et quasi mors longe sit tibi, parce tuis.
Ille vir est sapiens, hæc qui duo cogitat, et sic
sumens et retinens servat utrimque modum.

4.

(*Anth. Pal.* 10, 31.)

Εἰς τὸν ἀνθρώπινον βίον.

Θνητὰ τὰ τῶν θνητῶν, καὶ πάντα παρέρχεται ἡμᾶς·
ἢν δὲ μὴ, ἀλλ' ἡμεῖς αὐτὰ παρερχόμεθα.

4.

In vitam humanam.

Omnia mortali mortalia : prætereunt res,
aut homo : res vita prætereunte fugit.

5.

(*Anth. Pal.* 10, 28.)

Εἰς μικρὸν βίον.

Τοῖσι μὲν εὖ πράττουσιν ἅπας ὁ βίος βραχύς ἐστι·
τοῖς δὲ κακῶς μία νὺξ ἄπλετός ἐστι χρόνος.

5.

In breve ævum.

Quantum vita patet, brevis est felicibus : una
nox miseris ingens temporis est spatium.

6.

(*Anth. Pal.* 10, 29.)

Εἰς ἔρωτα.

Οὐχ ὁ ἔρως ἀδικεῖ μερόπων γένος, ἀλλ' ἀκολάστοις
ψυχαῖς ἀνθρώπων ἔσθ' ὁ ἔρως πρόφασις.

6.

In amorem.

Non Veneris puer est, lædit qui corda, sed illum
præscribit vitiis mens male sana suis.

7.

(*Anth. Pal.* 9, 120.)

Εἰς ἀχαρίστους.

Φαῦλος ἀνὴρ πίθος ἐστὶ τετρημένος, εἰς ὃν ἁπάσας
ἀντλῶν τὰς χάριτας εἰς κενὸν ἐξέχεας.

7.

In ingratos.

Pertusus cadus est homo non probus : omnis in illum
quæ collata fuit gratia, vana perit.

8.

(*Anth. Pal.* 10, 27.)

Εἰς θεούς.

Ἀνθρώπους μὲν ἴσως λήσεις ἄτοπόν τι ποιήσας·
οὐ λήσεις δὲ θεοὺς, οὐδὲ λογιζόμενος.

8.

In deos.

Turpe aliquid faciens homines fortasse latebis :
sed fallunt nec quæ mente putata, deos.

9.

(*Anth. Pal.* 10, 36.)

Εἰς κόλακας.

Οὐδὲν ἐν ἀνθρώποισι φύσις χαλεπώτερον εὗρεν
ἀνθρώπου καθαρὰν ψευδομένου φιλίην· [πῶντες
οὐ γὰρ ἔθ' ὡς ἐχθρὸν προφυλασσόμεθ', ἀλλ' ἀγαθὸν φίλον, ἐν τούτῳ πλείονα βλαπτόμεθα.

9.

In adulatores.

Rebus in humanis nihil est crudelius illo,
qui sub persona fallit amicitiæ.
Nam quia securi nos non ut ab hoste tuemur,
bis nocet, atque habitam vertit in arma fidem.

10.

(*Anth. Pal.* 10, 42.)

Εἰς μυστήριον.

Ἀρρήτων ἐπέων γλώσσῃ σφραγὶς ἐπικείσθω·
κρείσσων γὰρ μύθων ἡ κτεάνων φυλακή.

10.

In mysterium.

His quæ dicta nocent linguam tibi pone sigillum :
plus voces, minus est res retinere suas.

11.

(*Anth. Pal.* 10, 41.)

Εἰς πλοῦτον.

Πλοῦτος ὁ τῆς ψυχῆς πλοῦτος μόνος ἐστὶν ἀληθὴς,

11.

In divitias.

Divitias animi solas hoc nomine dignas

ταλλα δ' ἔχει λύπην πλείονα τῶν κτεάνων.
Τὸν δὲ πολυκτέανον καὶ πλούσιόν ἐστι δίκαιον
κλῄζειν, ὃς χρῆσθαι τοῖς ἀγαθοῖς δύναται.
Εἰ δέ τις ἐν ψήφοις κατατήκεται, ἄλλον ἐπ' ἄλλῳ
σωρεύειν αἰεὶ πλοῦτον ἐπειγόμενος,
οὗτος ὁποῖα μέλισσα πολυτρήτοις ἐνὶ σίμβλοις
μοχθήσει, ἑτέρων δρεπτομένων τὸ μέλι.

12.

(*Anth. Pal.* 10, 35.)

Εἰς εὐτυχεῖς.

Εὖ πράττων φίλος εἶ θνητοῖς, φίλος εἶ μακάρεσσι,
καί σευ ῥηϊδίως ἔκλυον εὐξαμένου·
ἢν πταίσῃς γ', οὐδείς ἔτι σοι φίλος, ἀλλ' ἅμα πάντα
ἐχθρὰ, τύχης ῥιπαῖς συμμεταβαλλόμενα.

13.

(*Anth. Pal.* 10, 37.)

Εἰς φρόνησιν.

Ἡ βραδύπους βουλὴ μέγ' ἀμείνων· ἡ δὲ ταχεῖα
αἰὲν ἑλκομένην τὴν μετάνοιαν ἔχει.

14.

(*Anth. Pal.* 11, 431.)

Εἰς βορόν.

Εἰ ταχὺς ἐς τὸ φαγεῖν καὶ πρὸς δρόμον ἀμβλὺς ὑπάρχεις,
τοῖς ποσί σου τρῶγε, καὶ τρέχε τῷ στόματι.

15.

(*Anth. Pal.* 11, 428.)

Εἰς ἀδύνατον.

Εἰς τί μάτην νίπτεις δέμας Ἰνδικόν; ἴσχεο τέχνης,
οὐ δύνασαι δνοφερὴν νύκτα καθηλιάσαι.

16.

(*Anth. Pal.* 11, 400.)

Εἰς γραμματικούς.

Ὄλαθι Γραμματικὴ φυσίζοε, ὄλαθι λιμοῦ
φάρμακον εὑρομένη « μῆνιν, ἄειδε θεά. »
Νηὸν ἐχρῆν καὶ σοὶ περικαλλέα δωμήσασθαι,
καὶ βωμὸν θυέων μήποτε δευόμενον.
Καὶ γάρ σου μεσταὶ μὲν ὁδοὶ, μεστὴ δὲ θάλασσα,
καὶ λιμένες, πάντων δέκτρια Γραμματική.

17.

(*Anth. Pal.* 11, 427.)

Εἰς δυσώδεις.

Δαίμονα πολλὰ λαλῶν ὀζόστομος ἐξορκιστὴς
ἐξέβαλ', οὐχ ὅρκων, ἀλλὰ κόπρων δυνάμει.

18.

(*Anth. Pal.* 11, 274.)

Εἰπέ μοι εἰρομένῳ, Κυλλήνιε, πῶς κατέδυνε
Λολλιανοῦ ψυχὴ δῶμα τὸ Φερσεφόνης;
Θαῦμα μὲν, εἰ σιγῶσα· τυχὸν δέ τι καὶ σὲ διδάσκειν
ἤθελε· φεῦ, κείνου καὶ νέκυν ἀντιάσαι.

esse puta : luctus cetera plena bona.
Ille mihi demum locuples divesque vocetur
qui superûm norit commoditate frui.
At qui perpetuo numerando pallet in ære,
atque alias aliis semper acervat opes,
talis erit, quales per cerea castra laborant,
sic ut non ipsæ melle fruantur, apes.

12.

In felices.

Donec eris felix, homines tibi semper amicos,
et precibus faciles experiere deos :
si secus acciderit, jam nullus amicus, et hostes
undique : fortunæ motus et ista trahit.

13.

In prudentiam.

Consilium melius, tarde quod sumitur : illud
quod properat, post se pœnituisse trahit.

14

In edacem.

Manducare celer quum sis, et currere tardus,
manduca pedibus, curre sed ore tuo.

15.

In impossibile.

Quid lavis Æthiopem? perituro parce labori;
noctis enim tenebras irradiare nequis.

16.

In grammaticos.

Grammatica o salve, donatrix Musa salutis :
« Iram, diva, refer; » hæc medicina famis
Et tibi debuerunt poni fulgentia templa,
araque perpetuo thuris honore calens.
Nam fora plena tui, plenæ sunt æquoris undæ,
et portus, altrix optima Grammatica.

17.

In fœtidos.

Exorcista olidus fugitat dum dæmona, verbis
ejicit haud illum, sed feritate gulæ.

18.

Dic mihi quærenti, Maja sate, ductus ad orcum
Lollianus tecum quomodo fecit iter?
Mirum si tacuit : quin te quid, credo, docere
gestiit; o comitem post quoque fata malum!

19.

(*Anth. Pal.* 7, 308.)

Εἰς βρέφη.

Παῖδά με πενταέτηρον, ἀκηδέα θυμὸν ἔχοντα,
νηλειὴς Ἀΐδης ἥρπασε, Καλλίμαχον.
Ἀλλά με μὴ κλαίοις· καὶ γὰρ βιότοιο μετέσχον
παύρου, καὶ παύρων τῶν βιότοιο κακῶν.

20.

(*Anth. Plan.* 4, 163.)

Εἰς ἄγαλμα Ἀφροδίτης τῆς ἐν Κνίδῳ.

Τὴν Παφίην γυμνὴν οὐδεὶς ἴδεν· εἰ δέ τις εἶδεν,
οὗτος ὁ τὴν γυμνὴν στησάμενος Παφίην.

21.

(*Anth. Plan.* 4, 164.)

Εἰς τὸ αὐτό.

Σοὶ μορφῆς ἀνέθηκα τεῆς περικαλλὲς ἄγαλμα,
Κύπρι, τεῆς μορφῆς φέρτερον οὐδὲν ἔχων.

22.

(*Anth. Plan.* 4, 238.)

Εἰς ἕτερον Πρίαπον.

Εἰς τὸ κενόν με τέθεικε, νόμου χάριν, ὧδε Πρίηπον
Εὐτυχίδης, ξηρῶν κλη ματίδων φύλακα· [ἐπέλθῃ,
καὶ περιβέβλημαι κρημνὸν βαθύν. Ὅς δ' ἂν
οὐδὲν ἔχοι κλέψαι πλὴν ἐμὲ τὸν φύλακα.

23.

(*Anth. Pal.* 6, 164.)

Ἀπὸ ναυηγῶν.

Γλαύκῳ καὶ Νηρεῖ καὶ Ἰνοῖ καὶ Μελικέρτῃ,
καὶ βυθίῳ Κρονίδῃ καὶ Σαμόθρηξι θεοῖς,
σωθεὶς ἐκ πελάγους Λουκίλλιος ὧδε κέκαρμαι
τὰς τρίχας ἐκ κεφαλῆς· ἄλλο γὰρ οὐδὲν ἔχω.

24.

(*Anth. Pal.* 11, 429.)

Ἐν πᾶσιν μεθύουσιν Ἀκίνδυνος ἤθελε νήφειν,
τοὔνεκα καὶ μεθύειν αὐτὸς ἔδοξε μόνος.

25.

(*Anth. Pal.* 11, 432.)

Ἔσβεσε τὸν λύχνον μῶρος, ψυλλῶν ὑπὸ πολλῶν
δακνόμενος, λέξας· Οὐκ ἔτι με βλέπετε.

26.

(*Anth. Pal.* 11, 434.)

Ἢν ἐσίδῃς κεφαλὴν μαδαρὰν καὶ στέρνα καὶ ὤμους,
μηδὲν ἐρωτήσῃς, μῶρον ὁρᾷς φαλακρόν.

27.

(*Anth. Pal.* 11, 408.)

Τὴν κεφαλὴν βάπτεις, γῆρας δὲ σὸν οὔποτε βάψεις,

19.

In infantes.

Me puerum nullis oneratum pectora curis
quinquennem rapuit mors fera Callimachum.
Ne me flete tamen : fluxit mihi tempore parvo
vita; sed et vitæ sunt mala parva meæ.

20.

In statuam Veneris quæ est in Cnido.

Nulli nuda Venus visa est, puto : si tamen ulli,
visa viro nudam qui dedit hanc Venerem.

21.

In eandem.

Alma Venus, tibi sacro tuam sub imagine formam :
pulchrius hac potui nil tibi, diva, dare.

22.

In alium Priapum.

Arida me posuit propter sarmenta Priapum,
Ut mori morem sic gerat Eutychides.
Ambior et fossa; si quis tamen adveniat fur,
nil sit, custodem me nisi, quod rapiat.

23.

A naufragis.

Glauce, tibi, et Nereu, Matutæque et Melicertæ,
Saturnoque, Sami Threïciæque deis,
sospes ab insano Lucillius æquore, crines
tondeor hic : aliud quippe ego nil habeo.

24.

Sobrius in potis dum quærit Acindynus esse,
solus ab his potus cur habeatur, habet.

25.

Lumen ut exstinxit vexatus pulice multo
morio, Jam me non invenietis, ait.

26.

Si caput absque pilis, humerosque et pectora cernas,
dicere ne dubites, Calvus hic et fatuus.

27.

Tinge comas, si vis : tingi negat ipsa senectus;

οὐδὲ παρειάων ἐκτανύσεις ῥυτίδας.
Μὴ τοίνυν τὸ πρόσωπον ἅπαν ψιμύθῳ κατάπλαττε,
ὥστε προσωπεῖον, κοὐχὶ πρόσωπον ἔχειν.
Οὐδὲν γὰρ πλέον ἐστί. Τί μαίνεαι; οὔποτε φῦκος
καὶ ψίμυθος τεύξει τὴν Ἑκάβην Ἑλένην.

28.

(*Anth. Pal.* 11, 404.)

Οὐδέποτ' εἰς πορθμεῖον ὁ κηλήτης Διόφαντος
ἐμβαίνει μέλλων εἰς τὸ πέραν ἀπίναι.
Τῆς κήλης δ' ἐπάνωθι τὰ φορτία πάντα τεθεικὼς,
καὶ τὸν ὄνον, διαπλεῖ σινδόν' ἐπαράμενος.
Ὥστε μάτην Τρίτωνες ἐν ὕδασι δόξαν ἔχουσιν,
εἰ καὶ κηλήτης ταὐτὸ ποιεῖν δύναται.

29.

(*Anth. Pal.* 11, 405.)

Ὁ γρυπὸς Νίκων ὀσφραίνεται οἴνου ἄριστα,
οὐ δύναται δ' εἰπεῖν οἷος ἂν ᾖ ταχέως.
Ἐν τρισὶν ὥραις γὰρ θεριναῖς μόλις αἰσθάνετ' αὐτὸς,
ὡς ἂν ἔχων πηχῶν ῥῖνα διακοσίων.
Ὦ μεγάλου μυκτῆρος, ὅτ' ἂν ποταμὸν διαβαίνῃ,
θηρεύει τούτῳ πολλάκις ἰχθύδια.

30.

(*Anth. Pal.* 11, 433.)

Ζωγράφε, τὰς μορφὰς κλέπτεις μόνον· οὐ δύνασαι δὲ
φωνὴν συλῆσαι χρώματι πειθομένην.

31.

(*Anth. Pal.* 11, 435.)

Θαυμάζειν μοι ἔπεισιν, ὅπως Βύτος ἐστὶ σοφιστὴς,
μήτε λόγον κοινὸν μήτε λογισμὸν ἔχων.

32.

(*Anth. Pal.* 11, 436.)

Θᾶττον ἔην λευκοὺς κόρακας πτηνάς τε χελώνας
εὑρεῖν ἢ δόκιμον ῥήτορα Καππαδόκην.

33.

(*Anth. Pal.* 11, 430.)

Εἰ τὸ τρέφειν πώγωνα δοκεῖ σοφίαν περιποιεῖν,
καὶ τράγος εὐπώγων εὔστολός ἐστι Πλάτων.

34.

(*Anth. Pal.* 11, 410.)

Τοῦ πωγωνοφόρου Κυνικοῦ, τοῦ βακτροπροσαίτου,
εἴδομεν ἐν δείπνῳ τὴν μεγάλην σοφίαν.
Θέρμων μὲν γὰρ πρῶτον ἀπέσχετο καὶ ῥαφανίδων,
μὴ δεῖν δουλεύειν γαστρὶ λέγων ἀρετήν.
Εὖτε δ' ἐν ὀφθαλμοῖσιν ἴδεν χιονώδεα βολβὸν
στρυφνὴν, ἣ πινυτὸν ἤδη ἔκλεπτε νόον·
ᾔτησεν παρὰ προσδοκίαν, καὶ ἔτρωγεν ἀληθῶς,
κοὐδὲν ἔφη βολβὸν τὴν ἀρετὴν ἀδικεῖν.

nec dabitur rugas explicuisse genis.
Parce, precor, vetulum cerussa pingere vultum :
personam videor cernere, non faciem.
Stulta, labor totus perit hic tibi : fucus et omne
hoc genus ex Hecuba non facient Helenam.

28.

Navi nil opus est Diophanto, ut transeat amnem :
implet enim turgens hernia navis opus.
Huic nam sarcinulas ipsumque imponit asellum,
et sinuosa levans lintea transit aquas.
Frustra se jactant igitur Tritones in undis,
quum Diophas magno ramice præstet idem.

29.

Olfacit egregie nasatus pocula Nicon,
sed cito sit vinum dicere quale nequit.
Nam tribus æstivis vix ipse id percipit horis,
bis centum quoniam nasus it in cubitos.
Egregius nasus, qui si quem forte per amnem
ducat iter, pisces non semel ipse capit.

30.

Surripis, o pictor, formam : at vox sola recusat
artificis dextram victa colore sequi.

31.

Miramur rhetor qui factus sit Bytus, is quem
communis sensus deficit et ratio.

32.

Albus erit corvus prius, et testudo volabit,
quam doctum videas rhetora Cappadocem.

33.

Si promissa potest sapientem reddere barba,
barbatus poterit jam caper esse Plato.

34.

Mendici quæ sit Cynici sapientia (barba
quid facit aut baculus!) cœna videre dedit.
Caulibus abstinuit primo tenuique lupino :
nam virtus ventri non famulatur, ait.
At postquam vulvam vidit niveamque bonamque,
en animi vires abstulit illa cati.
Nam necopinato petiit, vereque comedit,
virtuti vulvam posse nocere negans.

35.

(*Anth. Pal.* 11, 403.)

Εἰς ποδάγραν.

Μισόπτωχε θεὰ, μούνη πλούτου δαμάτειρα,
ἡ τὸ καλῶς ζῆσαι πάντοτ' ἐπισταμένη.
Εἰ δὲ καὶ ἀλλοτρίοις ἐπιζομένη ποσὶ χαίρεις,
ὁπλοφορεῖν τ' οἶδας, καὶ μύρα σοι μέλεται·
τέρπει καὶ στέφανός σε καὶ Αὐσονίου πόμα Βάκχου.
Ταῦτα παρὰ πτωχοῖς γίγνεται οὐδέποτε.
Τοὔνεκά νυν φεύγεις πενίης τὸν χάλκεον οὐδὸν,
τέρπῃ δ' εἰς πλούτου πρὸς πόδας ἐρχομένη.

36.

(*Anth. Pal.* 6, 17.)

Αἱ τρισσαί τοι ταῦτα τὰ παίγνια θῆκαν ἑταῖραι,
Κύπρι μάκαιρ', ἄλλης ἄλλη ἀπ' ἐργασίης.
Ὧν ἀπὸ μὲν πυγῆς Εὐφρὼ τάδε· ταῦτα δὲ Κλειὼ,
ὡς θέμις· ἡ τριτάτη δ' Ἀτθὶς ἀπ' οὐρανίων.
Ἀνθ' ὧν τῇ μὲν πέμπε τὰ παιδικὰ, δεσπότι, κέρδη·
τῇ δὲ τὰ θηλείης· τῇ δὲ τὰ μηδετέρης.

37.

(*Anth. Pal.* 11, 402.)

Μηδείς μοι ταύτην, Ἐρασίστρατε, τὴν σπατάλην
ποιήσειε θεῶν, ἢ σὺ κατασπαλᾷς, ⌈σου
ἔσθων ἐκτραπέλως στομάχων κακὰ, χείρονα λιμοῦ,
οἷα φάγοιεν ἐμῶν ἀντιδίκων τεκνία.
Πεινάσαιμι γὰρ αὖθις ἔτι πλέον ἢ πρὶν, ἐκείνης
εἰ χορτασθείην τῆς παρά σοι σπατάλης.

38.

(*Anth. Pal.* 11, 401.)

Ἰητήρ τις ἐμοὶ τὸν ἑὸν φίλον υἱὸν ἔπεμψεν,
ὥστε μαθεῖν παρ' ἐμοὶ ταῦτα τὰ γραμματικά.
Ὡς δὲ τὸ « Μῆνιν ἄειδε » καὶ « ἄλγεα μυρί' ἔθηκεν »
ἔγνω, καὶ τὸ τρίτον τοῖσδ' ἀκόλουθον ἔπος,
« πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν, »
οὐκέτι μιν πέμπει πρός με μαθησόμενον.
Ἀλλά μ' ἰδὼν ὁ πατὴρ, Σοὶ μὲν χάρις, εἶπεν, ἑταῖρε·
αὐτὰρ ὁ παῖς παρ' ἐμοὶ ταῦτα μαθεῖν δύναται.
Καὶ γὰρ ἐγὼ πολλὰς ψυχὰς Ἄϊδι προϊάπτω,
καὶ πρὸς τοῦτ' οὐδὲν γραμματικοῦ δέομαι.

39.

(*Anth. Pal.* 11, 397.)

Πολλὰς μυριάδας ψηφίζων Ἀρτεμίδωρος
καὶ μηδὲν δαπανῶν, ζῇ βίον ἡμιόνων,
πολλάκις αἱ χρυσοῦ τιμαλφέα φόρτον ἔχουσαι
πολλὸν ὑπὲρ νώτου, χόρτον ἔδουσι μόνον.

40.

(*Anth. Plan.* 154 : A., οἱ δὲ Ἀρχίου.)

Εἰς ἄγαλμα Ἠχοῦς.

Ἠχὼ πετρήεσσαν ὁρᾷς, φίλε, Πανὸς ἑταίρην,

35.

In podagram.

Mendicos fugiens, domitrix dea divitiarum,
exemplum vitæ quæ potes esse bonæ.
Alterius pedibus nam quamquam incedere gaudes,
sunt unguenta tuis crinibus, arma manu :
serta nec, Ausonii nec defit copia Bacchi,
mendici præbet qualia nulla domus.
Unde et egestatis furiosum limen abhorres,
ad dominique venis in lare dite pedes.

36.

Tres tibi miserunt hæc, maxima Cypris, amicæ
ludicra, diversam quodque notans operam.
Dedicat hæc ab clune Euphro; illa altera Clio
inde ubi fas; Atthis tertia ab ætheriis.
Quis contra mittas, primæ puerilia lucra;
feminea Clio, tertia neutra ferat.

37.

Delicias a me faciant, Erasistrate, longe
illas dico tuas, quæso rogoque deos;
namque horrenda voras stomachi mala, quod fame pejus,
has cupiam nostris hostibus esse dapes.
Quin optem tolerare famem quæ maxima, dum ne
cogar deliciis me satiare tuis.

38.

Natus erat medico carus, qui mittitur ad me
totum grammaticæ discat ut artis opus.
« Iram musa refer, » jam noverat, atque « dolores
mille dedit; » sed et hoc quod solet inde sequi,
« Multasque illustres animas demisit ad Orcum : »
mittere discipulum desiit ille mihi,
meque videns genitor, Tibi gratia, dixit, amice, est,
discere sed de me filius ista potest.
Multæ quippe animæ per me mittuntur ad Orcum;
grammaticum nec ob id quæro magisterium.

39.

Artemidorus habet decies quod computet, et nil
erogat : haud aliter vivere mula solet
bajula, quæ multo quum sudet pressa sub auro,
tam pretiosa gerens pondera, gramen edit.

40.

In imaginem Echûs.

Saxa colens Echo datur hic tibi, Panos amica,

ἀντίτυπον φθογγὴν ἔμπαλιν ἀδομένην,
παντοίων στομάτων λάλον εἰκόνα, ποιμέσιν ἡδὺ
παίγνιον. Ὅσσα λέγεις, ταῦτα κλύων ἄπιθι.

illa repercussos docta referre sonos,
gaudia pastorum, cujuslibet oris imago.
Audito quantum voce sonabis, abi.

41.

(*Anth. Pal.* 11, 396.)

Πολλάκις οἶνον ἔπεμψας [ἐμοί], καὶ πολλάκις ἔγνων
σοὶ χάριν, ἡδυπότῳ νέκταρι τερπόμενος·
νῦν δ' εἴπερ με φιλεῖς, μὴ πέμψῃς· οὐ δέομαι γὰρ
οἴνου τοιούτου, μηκέτ' ἔχων θρίδακας.

Sæpe merum mihi misisti, gratesque peregi
sparsus nectarei pectora rore meri:
at mihi ne mittas posthac, rogo. Quo mihi acetum?
lactucis et qui caulibus abstineam.

42.

(*Anth. Pal.* 11, 212.)

* * * * * *

ἀλλὰ σύ μοι προφέρεις τέκνον ἀλλότριον,
τὴν προτομὴν αὐτῷ περιθεὶς κυνός· ὥστε με κάμνειν
πῶς μοι Ζωπυρίων ἐξ Ἑκάβης γέγονεν.
Καὶ πέρας ἓξ δραχμῶν Ἐρασίστρατος ὁ χρεοπώλης
ἐκ τῶν Ἰσιακίων υἱὸν Ἄνουβιν ἔχω.

42.

[Pollicitus fili te facturum simulacrum,]
en mihi tu puerum fers alienigenum,
indutum facie tetri canis: ut male vexer,
qui mihi sit genitus Zopyrio ex Hecuba.
Denique sex drachmis Erasistratus in laniena
stans ex Isiciis filium Anubin emo.

INDEX

NOMINUM ET RERUM.

A.

Abauchas, ejus cum Gyndane amicitia, XLI, 61.
Abderitarum morbus, sequentesque illum animi affectiones, XXV, 1.
Abdicare adoptatum non licet, XXIX, 9, 10, 12
Abdicationis causæ, XXIX, 21.
Aboni castrum, in Ponto, XXXII, 9, *et sqq.*
Abradatæ conjux, XXXIX, 20.
Abrua, XLII, 4.
Abrotonum meretrix, LXVII, 1.
Absyrtus laceratus, XXXIII, 53.
Abundantia propugnatur et impugnatur, LXXV, 5. sqq.
Academia Athenis, XV, 13. Academia patrona justitiæ, XLVII, 8; in utramque partem disputat, XLVII, 15.
Academici philosophi, XXVII 18; XV, 43; XLVI, 25.
Acamas hommo, XXXIII, 40; mons, LXVI, 7.
Acanthus, XXX, 19.
Acarnanius porcellus, proverb. LXVII, 7.
Achæus, poeta tragicus, XIX, 6.
Acharnæ, V, 50; XLVI, 18.
Acherusius campus, XI, 65. Acherusia palus, L, 3.
Achilles, X, 20, 1; Pelei filius, X, 15, 1; ejus mollities, *ibid.*; ejus pulcritudo, X, 18, 1; præceptor ejus Chiron, X, 15, 1; et Phœnix, *ibid.* De eo multa fabulose scripsit Homerus, XXV, 40; ejus clypeus, XX, 33; XXXIII, 13; XXXVI, 22; cur in Scyro moratus sit, XXXIII, 46; ubi inter virgines delituit, LXVII, 5, 3; conspectis armis ad bellum incitatur, LXI, 4; occidit Phrygas, IX, 11; ejus et Patrocli amicitia, XXXVIII, 54; XLI, 10; ejus parasitus Patroclus, XLVIII, 45; ejus sepulcrum, X, 23; est in insula Beatorum, XXVII, 22 et 23; filii gaudet saltatione, XXXIII, 9. Podagricus, LXXX, 253.
Achivi telis Apollinis petiti, XIII, 3; causa irarum Apollinis in ipsos præsignificata, LXV, 8.
Acinaces et Zamolxis Scytharum dii, XXIV, 4; Acinacæ sacrificant Scythæ, Zamolxidi Thraces, XLIV, 42; per Acinacen et ventum jurant Scythæ, XLI, 38.
Acrisius Danaen cistæ includit, IX, 12, 1; conf. XLV, 23.
Actæoni cur et a quo immissi canes, VIII, 16, 2; conf. LXVIII, 2; LXX, 8; XXXIII, 41. Actæon infelicissimus homo, LXXIV, 7.
Adimantus, *persona dialogi*, LXVI, 1.
Admetus, malus poeta, XXXVII, 44.
Admetus Thessalus; herus Apollinis, XIII, 4. Conf. XLIII, 8.
Admirantis hypotyposis, III, 35.
Adolescentiæ durior educatio, III, 27; IX, 6, 1; disciplina eam reddit excitatiorem, XLIX, 20; instruitur apud Græcos arithmetica, musica, poesi, morum scientia, XLIX, 21; institutio ejus debet æqualis esse viribus, III, 28. *Vide* Exercitia, Disciplina, Educatio.
Adonis, VIII, 11. Adonis flumen quotannis cruentatur, LXXII, 8. Adonidis orgia, LXXII, 6.
Adrastea, XVIII, 6; LXVII, 6, 2; 12, 2; LXXI, 23; LX, 30; LI, 24.
Adrastus filium Crœsi interfecit aberrante hasta, XLIII, 12. Adrastus Argivus, XXXIII, 43.
Adyrmachus, princeps Machlyenæ, XLI, 44.
Adulatores, iis quibus adulantur pejores et causa fastus divitum, III, 23. Adulatorum vivendi ratio, *ibid.*, 22. Philosophi adulatores adulatoribus aliis intolerabiliores, *ibid.*, 24; adulatores decepti spe hereditatis, X, 6, 3; X, 7, 8; mercede ac familiaritate potentiorum digni, XVII, 4. Adulatio quid sit, XL, 2; conf. XVIII, 9. Aulicis necessaria, XVII, 28; non convenit historico, XXV, 7, 8; a magnis animis rejicitur, XXV, 12. Adulatoris ingenium, XL, 20; hoste pejor, LXXXII, 9; a laudatore quomodo differat, *ibid.* Adulatione multi gaudent, XL, 2. *Vide* Parasitus. *Adulatorum exempla præbent voces* Gnathonides, Philiades, Demeas, Thrasycles, Blepsias, Laches, Gniphon, Charinus, Damon, Terpsion, Charœades, Phidon, Melanthus, Zenophantes, Aristobulus, Onesicritus, Polemon, Aristippus, Aristo[illegible], Idomeneus, Aristoxenus, Cynæthus, etc., *quos suo vide loco.*
Adulteri puniuntur raphanismo, LXVIII, 9; pilorum evulsione, LXIX, 33. Adulteria deorum taxantur, VII, 17; LXXVII, 4 sqq. *Vide* Dii. Legem tulit Salæthus de adulterio, ipse postea in eo deprehensus, XVIII, 4. Bagoas adulter, XXXV, 10 sqq. Adulterii pœna se eripit Combabus, demonstrando se castratum, LXXII, 25.
Æacus attentissimus, X, 13, 4; X, 16, 2; portæ Inferni custos, X, 20, 1; XI, 8; XVI, 4; mortuis ad decumbendum locum tribuit, XI, 17; XII, 24. Prope eum jam esse, XVIII, 1; Tesseram ab Atropo recipit, XVI, 4. Æacus, publicanus, XII, 2; Æacus quis genere? L, 4.
Aedon, X, 28, 3; aedonum (Lusciniarum) fabula, III, 3.
Æetes, XXXIII, 53.
Ægæum Ioniumve (mare) crate trajicere, XX, 28; IX, 8; 10.
Ægeus, Thesei pater, L, 5; XXXIII, 40.
Ægiali, XXXII, 57.
Ægidem quatit iratus Jupiter, LXX, 3.
Æginam trajicienti Athenis quantum nauli esset solvendum, LXVI, 15. Ibi Enodiæ festum, *ibid.*
Æginetici modii, V, 57; oboli, IV, 10.
Ægisthus a quibus occisus, XXXVIII, 47; LXI, 23. Ægistho duo fata Jupiter proponit, LXXVII, 16.
Ægrotis alia, alia valentibus alimenta dedit deus, LXXV, 7.
Ægyptii: sacra eorum intus fœda, extra ornata, XXXIX, 11. Ægyptiorum mortui insolubiles, XI, 15. Ægyptii ad cameli aspectum perterriti, II, 4; sacrificant aquæ, XLIV, 42; dea eorum Isis, VIII, 3, 1; X, 13, 3; superstitiones eorum, XIII, 14; circa sacrificia ritus, *ibid. sqq.*; neque piscibus vescuntur neque capros mactant, XXXVI, 7; *conf.* LXXII, 14; varia eorum sacra, *ibid.*; Ægyptii superstitiosissimi homines, XL, 27; ab Æthiopibus didicere astrologiam, XXXVI, 5; eorum ritus sepulcrales, L, 21; Apis apud eos sanctus, XIII, 15; XXXVI, 7; deos primi cognovere, LXXII, 2. Ægyptiorum dii ridentur, XIII, 15; XLIV, 42; LXXIV, 10; eorum templa olim sine imaginibus, LXXII, 3; eorum

sacri scribæ sunt longævi, LXII, 4; eorum scribendi ratio, XX, 44. Apud Ægyptios signum nobilitatis coma erat, LXVI, 3; comam quando totonderint, LXXII, 6. Ægyptii agros colunt, XLVI, 16.
Ægyptios aliquis simios saltare docet, XV, 36.
Ægyptius Danaus, IX, 6, 1.
Ægyptus regio, lûs perfugium, IX, 7, 3. *Vide* Ægyptii.
Ægyptus, Danai frater, IX, 6, 3. *Conf.* XXXIII, 44.
Æneas, XXXIII, 46; XXXVI, 20.
Ænianes imbelles, LXXIII, 39.
Æolocentaurus, XXVI, 42.
Æolus, Hellenis filius, VI, 1; *conf.* XXXIII, 46.
Aeroconopes, XXVI, 16.
Aerocordaces, XXVI, 16.
Aerope, XXV, 8; XXXIII, 43 et 67.
Æschines tympanistriæ filius, a Philippo ob eruditionem æstimatur, I, 12; accusato Timarcho patitur similia, XVIII, 7; ejus Oratio in Timarchum citatur, LVIII, 27; Atrometus dicitur, LI, 10; patriæ proditor, XLIII, 42; ejus apologia, *ib.* 56.
Æschyli pugillares cur emerit Dionysius tyrannus, LVIII, 15. Æschylus in vino tragœdias scripsit, LXXIII, 15.
Æsculapius Apollinis filius, XLIV, 26; XXXII, 10; coronam gerit, XXXII, 58; sanandi officinam Pergami constituit, XLVI, 24; medetur, VIII, 26, 2; quomodo sanarit, LII, 10; molestiæ inde ortæ, XLVII, 1; nascens in orgiis Alexandri magi, XXXII, 38; Æsculapii et Herculis rixa, VIII, 13; posthabetur ei Hercules, *ibid.*, 1; ei iratus est Jupiter, XXXIII, 45; fulmine percussus, VIII, 13, 1; LXVIII, 4; ŁX, 10; gallum a Socrate non accepit, XLVII, 5; Pæan Alisodemi in Æsculapium, LXXIII, 27; Æsculapio et Herculi parcit Momus, LXXIV, 6.
Æsopus, XXVII, 18; XLVI, 10; ejus cornicula, LX, 5; ejus fabula de homine, qui fluctus numeravit, XX, 84. Æsopi asinus, LXIX, 13.
Æthiopes deos excipiunt convivio, XIII, 2; *conf.* VII, 17; XLIV, 38; Jupiter ad eos comissatum abit, LXXVII, 4; saltando deprœliantur, XXXIII, 18; astrologiæ inventores, XXXVI, 3; ceteris gentibus sapientiores, *ibid.*; quanam re adjuti astrologiam melius tractare possint aliis, *ibid.*; planetis dedere nomina, XXXVI, 4; sacrificant Diei, XLIV, 42. Quid ab Æthiopibus Bacchus attulerit, LXXII, 16. Æthiopem lavare, LVIII, 28; LXXXII, 15.
Æthiopia, IX, 14, 3; eam invadit Cambyses, XII, 13.
Aetion, pictor, XVII, 42; XXI, 4; XXXIX, 7.
Ætna mons, IX, 1, 2, 11; domicilium Cyclopum, V, 19; in eum se præcipitat Empedocles, X, 20, 4.
Ætolici casus, XIII, 1.
Afri a Scipione victi, X, 12, 7.
Agamemnonis imago apud Homerum, XXV, 8; XL, 25; ejus filia Electra, XIV, 22; somnio deceptus, XLIV, 40; Agamemnonis persona in scena, III, 11; XI, 16; sub Agamemnone respondere, XLI, 26; *de eo*, X, 20, 1; XI, 15; XXXIII, 43; XLVIII, 44; filiam sacrificat ut fauste Ilium perveniat, XIII, 2. Cum Chryse, XIII, 3.
Agatharchides laudatur, LXII, 22.
Agathobulus, XXXVII, 3; LXVIII, 17.
Agathocles medicus, XVI, 6.
Agathocles peripateticus : ejus confutatur gloriatio, XXXVII, 29; de mercede cum discipulis litigat, XLVI, 16; ejus et Diniæ amicitia, XLI, 12; ejus ætas, LXII, 10.
Agathocles Samius apud Alexandrum delatus, LIX, 18.
Agathon qualis poeta, LI, 11.
Agave Baccha, LVIII, 19.
Agendi bene tempus haud prorogandum, III, 27.
Agenor Europæ pater, IX, 15, 1; LXXII, 4.
Aglaiæ filius Nireus, X, 25, 2; LXXVIII, 24.
Agricolæ circa plantas cura, XLIX, 20.
Agrigentini Dorienses, XXX, 14.
Ajax, X, 20, 1; Telamonius, XXVII, 7; Ulyssem odit, X, 29, 2; *conf.* XXXIII, 83; ejus pugna cum Hectore, XLVIII, 44, 45, 46; furiosus, XXXIII, 46; X, 29; XXIII, 1; ejus sepulcrum, XII, 23. Non erat talis, qualis describitur, XLV, 17.
Ajax Locrus, XXVII, 17; Ajax alter, XXXIII, 46.
Alabastrum unguenti, LXVII, 14, 2.
Alani quo distent a Scythis, XLI, 51.
Alata verba, LV, 6; XLI, 20.
Alcæus Milesius, XXV, 9.
Alcamenes, XX, 19; XXV, 51; XXXIX, 4; XLIV, 7.
Alcestis, X, 23, 3; XXXIII, 52; L, 5.
Alcibiades deliciæ Atheniensium, XXIV, 11; ejus primæ spes in expeditione Sicula, XXV, 38; amasius Socratis, XXXVIII, 49; ejus reditus, LXXIII, 31. Est corruptus, divitiis abundat, XLIII, 16; Hermas amputat, XXXVIII, 24.
Alcidamas Cynicus, LXXI, 12; formidabilis, clamosus et impudicus; pugnat cum scurra, *ibid.*, 18 *sqq.*
Alcidamas orator, LXXIII, 13.
Alcinous, XXVI, 3.
Alcmæon, XXXIII, 50.
Alcmenæ filius in cœlo curarum expers, VIII, 24; Alcmenæ cum Jove concubitus, VIII, 10. *Conf.* X, 16, 4.
Alcyon. *Vide* Halcyon.
Alea ludere de nucibus, LXX, 8 *et* 9; aleam jacere, XXIII, 3; XL, 16.
Alecto Erinnys, LXXX, 6.
Alexander magnus, filius Philippi, falso dictus Ammonis, X, 13, 1; X, 14, 1; ab Aristotele doctus, X, 12, 4; Homericos ediscit versus, *ibid.*; ejus res gestæ, X, 12, 3; in Cydno lavare cupit, LXI, 1; rejicit consilium brevioris viæ ad Ægyptum, LI, 5; divino cultu afficitur, X, 13, 2; nomen Dei quid ei profuerit, *ib.*; ejus abstinentia ab uxore Darii, X, 14, 4; Aornum petram expugnavit, X, 14, 6; XX, 4; Clitum interfecit, X, 14, 3; *conf.* XXV, 38. Venerea in Hephæstionem propensio, X, 14, 4; Hephæstionem inter deos refert, LIX, 17; Aristobuli indignatur adulatione, XXV, 12, et cujusdam architecti, *ibid.* Onesicritum historicum, adulatorem reprehendit, XXV, 40; portentosum architecti promissum de monte ei assimilando cur non admiserit, XL, 9. Agathoclem Samium cum leone concludere vult, LIX, 18. Adulationi et calumniæ faciles aurês præbet, *ibid.*; valere jussus loco gaudere, XIX, 8. Ejus depictæ nuptiæ, XXI, 4; eo ægroto Macedones quid fecerint, XXXII, 16; ejus sepulcrum ubi? X, 13, 3; ejus fortitudo, X, 14, 5; ejus virtus laudatur, XXXII, 1; cum Baccho et Hercule comparatur, X, 14, 6; ejus fastus, X, 12, 3; supra Hannibalem ponitur, X, 12, 7; XXVII, 9.
Alexander magus qualis corpore, XXXII, 3; qualis animo, XXXII, 4; oraculi de eo effatum, XXXII, 11; ejus fraudes et scelera, *ib.* sq.; comburit Epicuri Sententias, XXXII, 45; odit Lucianum, XXXII, 45; miserrimo modo periit, XXXII, 59.
Alexander medicus, LXVIII, 44.
Alexander Thessalus ab uxore interfectus, XLVI, 15.
Alexis comicus, XIX, 6.
Alisodemus Trœzenius poeta, LXXIII, 27.
Aloei filiorum factum, XII, 3.
Alphei et Arethusæ amor, IX, 3, 1; *conf.* XXXIII, 48.
Altare in lacu medio, LXXII, 46.
Althæa, XXXIII, 50.

Amabilitas et Cupido, Himerus et Eros, liberi Veneris, VIII, 19, 15.
Amaltheæ habere cornu, XVII, 13; LI, 6.
Amastris, urbs Pontica, XXXII, 25 et 56; XLI, 57.
Amatorum jusjurandum vanum, LXVII, 7; eorum quædam proprietates, III, 7; sunt in iram proclives, VIII, 24, 2.
Amazon Hippolyta, XXVII, 8; XLIX, 34. Amazonis effigies, Phidiæ opus, XXXIX, 5.
Ambraciotes Cleombrotus, LXXVII, 1.
Amicitia, optima hominum possessio, XLI, 62; *conf.* XXXVII, 10. Ea inter plures, quam tres ad summum, iniri nequit, XLI, 37. Amicitia quomodo colatur apud Scythas, XLI, 7; aliter atque apud hosce ea colitur apud Græcos, XLI, 9. Sors mala probat amicitiam, XLI, 36. *Amicitiæ exempla præbent voces* Patroclus et Achilles, Orestes et Pylades, Gyndanis et Abauchas, Toxaris et Mnesippus, Theseus ac Pirithous, Aretæus et Eudamidas, Zenothemis et Menecrates, Agathocles et Dinias, Damon et Euthydicus, Amizocas et Dandamis, Antiphilus et Demetrius Suniensis, Belitta et Basthis, Macens Lonchata et Arsacomas, Toxaris et Sisinnis, etc., *quos v. suis locis.*
Amicum invenire est difficile, XLI, 61; quanto tempore sint felicibus amici, LXXXII, 12; si amici pro beneficio sibi invicem agant gratias, quid istud significet, XLI, 53.
Amictus: num ex eo ingenium hominis cognosci possit, XX, 19.
Amizocæ et Dandamidis amicitia, XLI, 38 *seqq.*
Ammon impostor, X, 13, 1. Ejus filius non videri vult Annibal, X, 12, 2. Num Alexander sit ejus filius, X, 14, 1. Arietis specie colitur, XXXVI, 8.
Amoris definitio, XXXVIII, 37; Amoris utriusque vis, XXXIII, 38. Amor marinus, i. e. inconstans, LXXIII, 13. Et sunt pervia omnia, ibid., 14; ejus violentia, VIII, 6, 3; X, 19, 1; XXXVIII, 19; XXXVIII, 32; ejus scala, XXXVIII, 53. Erat causa Trojani belli, X, 19, 2; est vitiorum fons, LXXXII, 6; ejus argumenta, LXVII, 8, 1; occulti signa, LXXII, 17; amorum militarium fructus plagæ et lites, LXVII, 15, 3. Amor privigni in novercam a medico detectus, LXXII, 17. Amores Jovis, LXXIV, 7; amores aliorum deorum, LXXIV, 8.
Amphiaraus, XXXII, 19.
Amphilochus, Amphiarai filius, XXXII, 19; LII, 3; oracula fundens, LXXIV, 12; X, 3; qualis vates templo sit honoratus, X, 3, 1; oracula edit in Cilicia, XXXII, 19; XXXII, 29.
Amphion, XXXIII, 41; Amphion cantibus suis inanimata quoque allexit, XXXIX, 14.
Amphitrite et Neptunus, IX, 5; IX, 15, 3.
Amphitryon, VIII, 9, 1; X, 16, 3; ejus formam Jupiter assumit, LXXVIII, 7.
Amyclæ, VIII, 14.
Amycus, Bebryx, vulnerat Pollucem, VIII, 26.
Amymone a Neptuno rapta, IX, 6, 3.
Amyntæ filius, X, 14, 1.
Anacharsis, XXVII, 17; cur in Græciam venerit, XLIX, 14; Græcæ linguæ causa Athenas migrat, XXIV, 1; ejus historia, *ibid. sq.*
Anacreon, XXVII, 15; ejus ætas, LXII, 26.
Anaxagoras sophista, V, 10.
Anaxarchus, parasitus Alexandri, XLVIII, 35.
Anaximenes, XXI, 3.
Anchisæ et Veneris amor, VIII, 11; sæpe ad eum descendit Venus, VIII, 20, 5; LXXIV, 8.
Androcles, Epicharis fil., LXXVIII, 1; prælegit librum suum, laudationem Herculis, vincitque Diotimum, LXXVIII, 3.
Androgeos, XXXIII, 49.
Andromeda, XXXIII, 44; LXI, 22; XXV, 1; petræ affixa, IX, 14, 3; ejus amore est captus Perseus, IX, 12, 3.
Anemodromi, XXVI, 13.
Angina quid? LX, 27.
Anguis aut anguillæ in morem inter digitos elabi, V, 29.
Animæ præstantissimæ imago, XXXIX, 13 *seqq.* De ejus immortalitate Platonis libellus, LXXVII, 1; LVII, 7.
Animalia naturæ servant leges in coeundo, XXXVIII, 22; quando cum hominibus in communione vixerint, XXXVIII, 36.
Animus hominis scopo similis, III, 36 *et* 37; ad perpetuam contentionem infirmus, XXXVIII, 1. Animo malorum perpetratorum notæ impressæ, XVI, 24.
Annibalis res gestæ, X, 12, 2. Erat expers Græcæ disciplinæ, X, 12, 3; latro, X, 12, 4; voluptati deditus, X, 12, 6; ubi sit mortuus, X, 12, 6; Scipioni et Alexandro posthabetur, X, 12, 7; XXVII, 9.
Anniceris Cyrenæus, mirifice aurigandi peritus, LXXIII, 23.
Annus a quibus in menses sit descriptus, XXXVI, 5. Ejus principio vota et sacra faciebant, LX, 8.
Antea calumniatur Bellerophontem, LIX, 26.
Antigone, XXXIII, 43.
Antigoni coclitis ætas et exitus, LXII, 11; ejus nepos Antigonus Demetrii fil., *ibid.*
Antigonus medicus, LII, 6.
Antigonus stuprat socrum, XLVI, 15.
Antilochus Nestoris filius, X, 15, 2.
Antimachus poeta, XXVII, 42.
Antiochia, urbs ingeniosa, XXXIII, 76; operam dat arti saltandi, *ib.*
Antiochus, Seleuci filius, Stratonices deperit amore, XXV, 35; XLVI, 15; Antiochus Soter, XIX, 9; ejus factum contra Gallogræcos, XXII, 8.
Antiope, XLIV, 5; VIII, 24.
Antipater, XIX, 8; XXXIII, 58; Antipatri Iolai filii ætas, LXII, 11; rex Antipater Demosthenem vivum ad se adduci cupit, LXXIII, 28.
Antiphili cum Demetrio Suniensi amicitia, XLI, 27 *seqq.*
Antiphilus Apellem falso crimine defert, LIX, 2; in servitutem Apelli traditur, *ib.*, 4.
Antiphon, somniorum interpres, XXVII, 33.
Antipodes, XLI, 22; *conf.* XXVII, 27.
Antisthenes, XLVIII, 43; in dicendo vehemens, XV, 23. Ejus baculus, X, 11, 3; X, 27; et lacerna, LXIX, 20. Gemitibus mortuorum delectatur, X, 27, 6.
Anubis, X, 13, 3; XLI, 28; totus aureus, XLIV, 8; canis Ægyptiorum deus, XIV, 16; LXXXII, 42.
Anubideum factum, XLVI, 24.
Anytus, XLVII, 6; delator Socratis, XV, 10; LXIX, 3.
Aornus, petra Indica Macedonibus adscensu difficilis visa, LI, 7; ab Alexandro subacta, X, 14, 6; XX, 4.
Apelles, XVII, 42; XXXIX, 7. Apelles Ephesius falso crimine delatus, LIX, 2; absolutus et muneribus affectus a Ptolemæo, *ib.* 4; depingit calumniam, *ib.* 5.
Aphidnæ, XLV, 17; urbs Atticæ, LXXVIII, 16.
Aphrodisia, Veneris sacra, LXVII, 14, 3.
Apis rerum multarum opifex quomodo formetur in favo, VI, 7.
Apis deus, XIII, 15; interfectus a Cambyse, XII, 13; Ægyptiis sanctus, XXXVI, 7; XIII, 15; mortuum lugent tonsis capitibus, LXXII, 6.
Apollo, Lycius, XLIX, 7; Deli natus, IX, 10; pater Æsculapii, XXXII, 10; describitur, VIII, 15, 1; adolescens fingitur, XIII, 11; *conf.* XLIV, 26. Barbatum eum

faciunt Assyrii, LXXII, 35; Solisque vestibus ornant, *ib.* Citharam pulsat, IX, 5; ejus comites, LVI, 4; arcu et sagittis spoliatus, VIII, 7, 1; frequenter a Cupidine vulneratus, VIII, 19; a Brancho et Hyacintho amatus, VIII, 2, 2, LXI, 24; a Daphne spretus, VIII, 2, 2*et* 15, 2; XIII, 4; XXVI, 7; Hyacinthum disci jactu interficit, VIII, 14 et 15; XIII, 4; XXXIII, 45; eum sepelit, VIII, 14 et 15; et in florem vertit, *ib.*; cur cœlo sit ejectus, XIII, 4; servili fungitur apud Admetum ministerio, *ib.*; *conf.* XLIII, 8; item cum Neptuno apud Laomedontem, XIII, 14; citharœdus, jaculator, medicus, vates, VIII, 16, 1; VIII, 23; variis artibus ditatur, *ib.*; ejus negotia, XLVII, 1; XXXI, 16; artem musicam et divinandi ejus esse, negat Juno, VIII, 16, 1; ubi colatur, XIII, 10; ejus templum Chalcedone est antiquissimum, XXXII, 10; ab Ægyptiis sacra eum accipere, LXXII, *initio.* In gratiam Chrysis pestem immittit Achivis, XIII, 3; ira ejus prædicta Achivis, LXV, 8. Delphis officinam divinandi constituit, XLVI, 24; nihil auro tribuit, XIII, 12; a Crœso lateres aureos accipit, XII, 11; *conf.* XLIV, 38; ejus oraculum traducitur, XLII, 13 et 14; XLIV, 6; LXXVII, 5; nomen ejus Pythagoræ datur, X, 20, 3; nascitur in orgiis Alexandri magi, XXXII, 38.

Apollodori Chronica citantur, LXII, 22.

Apollodorus Pergamenus, LXII, 23.

Apollonius Tyaneus, XXXII, 5.

Apollonius philosophus, XXXVII, 31.

Apophras (dies) quid? LX, 12.

Aquam congerere in dolium Danaidum, V, 18; X, 11, 4; XX, 61. Aquæ sacrificant Ægyptii, XLIV, 42; laudatur a Pindaro, XLV, 7. In aqua scribere, XVI, 21; aquam in mortario tundere, XX, 79; ex aqua sacra multum mercedis capit Gallus, LXXII, 48; aquam potans Demosthenes orationes scribit, LXXIII, 15; jocus de ea re, *ib.* Renovatio per aquam, LXXVII, 12.

Aquila Jovis ridetur, LXXIV, 8.

Aquileia, XXXII, 48.

Arabiæ odor, LXXII, 30; ejus aura qualis secundum Herodotum, XXVII, 5.

Arabum interpretes fabularum, LXII, 4.

Araxes, X, 27, 3.

Arbaces interficit Arsacem, XLVI, 15.

Arbela, X, 12, 3; LI, 5.

Arcas Alpheus, IX, 3, 2. Arcades astrologiam contemnunt, XXXVI, 26.

Archaismi, LX, 29.

Archelaus tragœdus, XXV, 1.

Archelaus rex; ejus parasitus Euripides, XLVIII, 35.

Archemorus, XXXIII, 44.

Archias e Calauria veniens, LXXIII, 28.

Archibius medicus, XLV, 10.

Archilochi patria et ingenium, LX, 1.

Archimedis laus, LIII, 2.

Architelis uxor Dimænete, XXIV, 2.

Archytas familiaris Pythagoræ, XIX, 5.

Arealia, festum Cereris, LXVII, 1; LXVII, 7, 4.

Areopagitæ in tenebris judicant, cur, XX, 64; *conf.* LXI, 18. Litigantium utrique alternatim dicendi concedunt facultatem, XLIX, 19; quando eis silentium imponant, *ibid.*

Areopagus jus dicit, V, 46; XIV, 7. Areopagi judicium primum, XXXIII, 39.

Aretæi et Eudamidæ amicitia, XLI, 22.

Arete, XL, 7; XXXIX, 19.

Areus Ægyptius, XXVII, 22.

Arethusæ Siculæ et Alphei amor, IX, 3; *conf.* XXXIII, 48.

Arganthonii Tartessiorum regis ætas, LXII, 10.

Argivorum contra Lacedæmonios de agro bellum, XII, 24. Argivi Junonem colunt, XIII, 10. Regno admovent astrologum, XXXVI, 12.

Argo navis, XXXIII, 52; XLI, 3; XLV, 2.

Argos siticulosum, IX, 6, 2; ejus mulieres pulchræ, VIII, 20, 13. Ibi Inachi alveus evanuit, XII, 23.

Argus toto corpore videns, VIII, 20, 8. Acutius eo videre, XXV, 10. Custos Ius, VIII, 3, 1; XXXIII, 43.

Ariadne, stellis illata, LXXIV, 5. Ejus filo labyrintho exit Theseus, XX, 47; de ea XXVII, 8; XXXIII, 13 et 49.

Ariarathis Cappadocum regis ætas et exitus, LXII, 13.

Aries colitur ab Ægyptiis, XXXVI, 7.

Arignotus Pythagoricus dæmonem expulit, LII, 29 sqq.

Arion Lesbius, XXVII, 15; natus Methymnæ, citharœdus, a delphinibus servatur, IX, 8, 1. Ob artem musicam Periandro acceptus, *ibid.*

Ariphrades, LX, 3.

Aristænetus philosophus, LXXI, 10, 1. Incusatur prædicatus, *ib.* Filio Zenoni uxorem dat, LXXI, 5; aliaque in eundem, *ib.*

Aristarchus Phalereus archon, IV, 1, 6.

Aristarchi cum Zenodoto disputatio de Homero, XXVII, 20.

Aristander, LXXVII, 21.

Aristeas, X, 11, 1.

Aristides Themistoclem odit, LIX, 27. Ejus inopia, V, 24; ejus justitia, XXVII, 10; eum Persarum rex emere non potuit, LXXIII, 36. Quibusnam delectatus sermonibus, XXXVII, 1. Pauper mortuus, XLIII, 16.

Aristippus, XXVII, 17; Agasthenis filius, LXXVIII, 4; unguenta spirat, X, 20, 5. Ejus vita et doctrina perstringitur, XIV, 12; virtutis et vitiorum sectator, XLVII, 23. Erat parasitus, XLVIII, 33. Dionysium Siculum liberat, XI, 13.

Aristobulus Cassandrinus, LXII, 22. Aristobuli adulatoris librum in flumen projicit Alexander, XXV, 12.

Aristodemus, XXXII, 4; XVIII, 5; XLIV, 3; XLIV, 41.

Aristogiton parasitus Harmodii, XLVIII, 48.

Aristogiston Demosthenem non movit, LXXIII, 48.

Aristonicus Marathonius, orator, LXXIII, 31.

Aristophanes, XXVI, 29; Socratem in scenam producit, XV, 25. Aristophanis Aves; LXXVII, 13; poeta mordax, XLVII, 33.

Aristoteles Peripateticus, XIV, 25; amicus libertatis, osor servitii, XVII, 24; boni multum effecit, XV, 25; erat parasitus, XLVIII, 36 et 43; adulator et præstigiator, X, 13, 5. Docuit Alexandrum, X, 12, 3; ejus quædam præcepta, XIV, 25; categoriæ, XXXVII, 56; placitum quoddam de pulchritudine, XXXIII, 70; ejus testimonium de Demosthene, LXXIII, 40. Citatur XXXV, 9.

Aristoxenus musicus, parasitus, XLVIII, 35; LXII, 18.

Arithmetica, prima adolescentiæ Græcæ disciplina, XLIX, 21; una atque eadem est apud omnes populos, XLVIII, 27. Arithmetica jusjurandum, LXXVII, 12.

Arma gestare erat vetitum in Græcia, XLIX, 34.

Armenii in prœlio aufugientes, X, 12, 2.

Arrianus, Epicteti discipulus, XXXII, 2.

Ars quid sit, XLVIII, 4; XXXVI, 2; ars Tisiæ, LX, 30. Ars longa, vita brevis, XX, 1 et 63. Arte et disciplina in quavis re opus esse, XXV, 36. Quænam mercede accepta discatur, XLVIII, 18. Ars mechanica, statuaria, saltatoria, dicendi, *quæ v. in his voce.*

Arsacidæ pulchra non curabant, LXI, 5.
Arsacis, Medorum præfecti, mors, X, 27, 2 sq.; XLVI, 15.
Arsacomæ Lonchatæ et Macentis amicitia, XLI, 44.
Artabazi regis ætas, LXII, 16.
Artaxerxis memoriosi ætas, LXII, 15; Ctesias, ejus medicus, XXV, 39.
Artaxerxis Persarum regis ætas et exitus, *ib.*
Artemidorus Ephesius, LXXVII, 22. Alius, LXXXII, 39.
Artemisia, uxor Mausoli, X, 24, 3.
Asander Bospori rex, LXII, 17. Ejus exitus, *ib.*
Ascalaphus, Martis filius, XXXVI, 20.
Ascendo. Cur et quomodo altissimos phallos ligneos ascendant in Syria, LXXII, 28, 29.
Ascetarum habitus miser, LXXVII, 21.
Asiam invadit Alexander, X, 12, 3.
Asinus Cumanus leoninam pellem induit, XV, 32. *Conf.* LX, 3; LXIX, 13. Comparantur cum eo philosophi, *ibid.* Quid asino cum lyra? LVII, 25. Asinus ad lyram, LXVII, 11, 14; asinus citharam tractare conans, prov. LX, 7. De prospectu asini, prov., unde ortum sit, XLII, 45. Ex asini redire podice, XLII, 56; ejus calamitates, *ib.*
Aspasia meretrix, LXXIII, 25; philosophatur, XXXV, 7; *conf.* XXXIX, 17. A Pericle causa ejus est acta, XXXVIII, 30. In eam transformatus est Pythagoras, XLV, 19.
Assentator, *vide voces* Adulator, Parasitus.
Assyrius adolescentulus amatur a Venere, VIII, 11.
Assyrii a Cyro devicti, XII, 9; eorum leges, XIII, 5. Ab Ægyptiis cultum divinum didicere, LXXII, 2; æque atque Græci sacrificant, XIII; 14; sacrificant columbæ, XLIV, 42; *conf.* LXXII, 14 et 54; et deæ Syriæ, LXXII, 2. Cur Lunæ et Soli imagines non faciant et Apollinem barbatum exhibeant, LXXII, 35; gerunt stigmata, LXXII, 59; eorum interpretes fabularum, LXII, 4.
Astarte luna, LXXII, 4.
Astrologiæ inventores, XXXVI, 3; quando Babylonii eam didicerint, XXXVI, 9; Græci unde eam hauserint, *ib.*; est scientia antiqua, XXXVI, 2; mendax creditur, *ibid.*; astrologicæ divinationes quid prosint, XXXVI, 29; cur ab Arcadibus contemnantur, XXXVI, 26; astrologum regno admovent Argivi, XXXVI, 10; astrorum inter se choreæ, XXXIII, 7; *Vide voces* Stella, Planeta, Sidus.
Astyanax de turri præcipitatus, XIII, 6,
Atalanta, XXXIII, 50.
Ateas rex Scytharum, LXII, 10.
Athamas, IX, 9; XXXIII, 42.
Athei, XXXII, 25 et 38; XLVI, 9.
Athenarum encomium, III, 12 sqq.; LXXIII, 10. Athenæ quomodo pestilentia sint liberatæ, XXIV, 2; Athenis sub arce est spelunca Panis, VIII, 22, 3.
Athenienses irrident dissimulando, XLIX, 18; sunt bellicosi, X, 14, 2; litigant, XLVI, 16; magistratus fabarum suffragiis eligunt, XIV, 6. Vincunt Spartanos, XIX, 3. Minervam colunt, XIII, 10; eorum ignotus deus, LXXVII, 9; quid mentiti sint, LII, 3. Eorum philosophi post mortem Socratis, X, 20, 5.
Athenodorus Tarsensis, Augusti Cæsaris præceptor, LXII, 21; a Tarsensibus post mortem colitur, *ibid.*
Athletarum ad certamen præparatio, XX, 33; XX, 40. Quando otium capiant, XXVI, 1. Athletas, Damasiam, Milonem Crotoniatem, Glaucum, Nicostratum, *vide sub his vocibus.*
Athos, XXV, 12; XL, 9; Atho navigare, LI, 18.
Athotæ sunt longævi, LXII, 5.
Atimarchus, LX, 27.
Atlas, pater Rheæ, VIII, 24; polum sustinet, XII, 4. Ejus labor, XXXIII, 56.
Atreus astrologus, XXXVI, 12.
Atropos, una Parcarum, XXV, 38; XLIII, 2 et 11; tesseram Æaco mittit, XVI, 4.
Atrometus, LI, 10.
Attalus, XLVI, 15; rex Pergami, LXII, 13.
Attes deus, XLIV, 8; XLVI, 27; Attes a Rhea amatus, VIII, 12, 1. Orgia Rheæ docet, LXXII, 15; eum castravit Rhea, *ibid.* Ridetur, LXXIV, 5.
Atthis, meretrix, LXXXII, 36.
Attica subsannatio, II, 1. Attica paupertas, LXIX, 24. Attica crepida, LI, 15.
Attici multa in sua lingua mutaverunt, LX, 14.
Avari, Tantalo similes, V, 18; describuntur, V, 13; vitam miseram agunt, XLV, 29-33; *exempla eorum præbent voces* Gniphon, Micyllus, Agathocles, Hipparchus, Mnesitheus, *quos suo loco vide.*
Audire aliquid ut asinus lyram, LVIII, 4; audire unguibus, LXXVII, 3.
Averni descensus, X, 27.
Aves sacræ, XIII, 10; concurrere ad aliquid, ut ad noctuam aves, XXIII, 1.
Augiæ repurgare stabulum, XXXII, 1; LXIX, 23.
Augusti præceptores, LXII, 21. Augustus tributis levat Tarsenses, LXII, 21; ejus clementia, XIX, 18; Asandrum renuntiat regem, LXII, 17; arti saltandi incrementum dat, XXXIII, 34.
Aulicorum calamitates, XVII, 1, *cujus usque ad finem dialogi exponitur quomodo iis sit necessaria adulatio.* Aulicus senex equo vetulo similis, XVII, 40; aulicæ vitæ cum vestibulo comparatio, XVII, 42. Vita hæc defenditur, XVIII.
Aureum femur, XXXII, 40; aurea tecta, LXXVII, 23; aureum lacunar, LXXII, 30; aurea Venus, X, 9, 3: LXXVIII, 11; aurei homines, LXX, 7 *et* 8, 20; capilli Castorum aurei, LXXI, 32; aureum pomum, IX, 5, 1.
Aurigandi mirifica peritia, LXXIII, 21.
Auris scalpendæ non habere otium, XLVII, 1. Auribus sunt fideliores oculi, XXXIII, 78. *Conf.* XXV, 29; LXI, 20.
Aurum et purpuram esse fumum, LXXV, 19; aurum multarum rerum est causa, XLV, 14; mutat mores, *ib. Vide voces* Divitiæ, Honores, Nummus, Pecunia, Felicitas. Creat multa mala, XII, 11; LXXV, 15; et multa pericula, LXXV, 8; spernendum est uti littorum calculi, V, 56; LV, 35; ejus contemtor Solon, XII, 11; ejus admirator Pindarus, XLV, 7. Confertur cum ferro, XII, 12; arti est præferendum, XLIV, 7; ad ornandum quid faciat, LXI, 7 et 8; ejus causa Eriphyle maritum prodidit, LXXV, 8. Sistit sanguinem, V, 46; aurum spernere se aiunt sophistæ, sed valde appetunt, LXIX, 20.
Ausonius Bacchus, LXXXII, 35.
Autolycus, fur, XXXVI, 20.

B.

Babylon, X, 13, 4; XI, 6; XII, 23; Babylonem cepisse, XVII, 13; Babylonem perditam videre, in votis est, LXXVII, 29; a Cyro in potestatem redacta, XII, 9; Babylone est sepulcrum Alexandri, X, 13, 3; Babylonii incantationibus noti, XI, 6; *conf.* LII, 11; quando astrologiam didicerint, XXXVI, 9.
Bacchica saltatio est satyrica, XXXIII, 79; *conf. ibid.* 22; ubi ei detur opera, *ibid.* 79.
Bacchus, Jovis et Semeles filius, VIII, 18, 1; quomodo a Jove sit genitus, VIII, 9, 10; XIII, 5; in Nysa educandus, VIII, 9, 2; ejus nutrix, IX, 9, 1. Ob vinum inventum obtrectatur, VIII, 18, 2; Delphinum formam mutat, IX,

8; Lydiam, Thracas, Tmolumque incolentes subjicit, VIII, 18; ex Æthiopia rediens venit in Syriam, LXXII, 16; templum condit, *ibid.*; Junoni novercæ inscriptionem dedicat, *ibid.*; Bacchi contra Indos profectio, VIII, 18; LIV, 1-4; ejus nomen columnæ inscriptum, XXVI, 5 et 7; ejus duces, LIV, 2; ratio belli gerendi, VIII, 18; ejusque mores, ornatus, comitatus, *ib.*; risus amans, XV, 25; ejus comites Pan, Silenus, Mænades, Satyri, VIII, 22, 2 et 4; LIV, 2 *sqq.*; fulmine perit, LXVIII, 4; in cœlo curarum expers, VIII, 24; dapis divisor, LXX, 32; ejus divinitas ridetur, LXXIV, 4; ejus genus et comites, *ibid.*; Baccho comœdia se totam tradit, II, 6; Bacchus iste, quid ad Bacchum? *ex proverb.*, LIV, 5. Bacchus Ausonius, LXXXII, 35.
Bacis vates, LXVIII, 30; ejus oraculum et carmen, *ib.*
Bactra, X, 13, 4.
Bactriana camelus, II, 4.
Bagoas adulterii incusatur, XXXV, 10.
Balneum ab Hippia adornatum, LIII, 4 *sqq.*; Quæ in balneis fieri solita, III, 34; canis in balneo, prov., XLVIII, 51; quid cani commune et balneo, prov., LVIII, 5.
Baptismus Christianorum, LXVIII, 12.
Barba cuneiformis, LXX, 24. Barbam alebant veteres viri fortes, LXXV, 14.
Barbari divitiarum, non elegantiæ studiosi, LXI, 5.
Barbarismi, LX, 24 et 29.
Barbati apud barbaros dii, LXXV, 20; barbatus Jupiter, LXXVII, 4; *conf.* XIII, 11.
Barcetis, XLI, 50.
Bardylis, rex Illyriorum, LXII, 10.
Basta Chius, LX, 3.
Basthis et Belittæ amicitia, XLI, 43.
Batrachion Pyrrho Epirotæ similis, LVIII, 21.
Beati pro divitibus, LXXV, 9; *conf.* XX, 71. Beatorum insulæ, X, 30, 1; XVI, 24; XX, 71; XXVII, 7; XLIII, 7; LXXIII, 50; urbs Beatorum, XXVII, 11 *sq.*
Bebryx Amycus vulnerat Pollucem, VIII, 26.
Belittæ et Basthis amicitia, XLI, 43.
Bellerophon, XVIII, 3; XXXIII, 42; LVIII, 18; ejus alatus equus, XXXVI, 13; Antiæ insidiis petitur, LIX, 26.
Bellicis factis gloriari, non conciliat gratiam apud mulieres, LXVII, 13.
Bendideum fanum, XLVI, 24.
Bene agendi tempus haud prorogandum, III, 27.
Beneficentiæ imago, XXXIX, 21.
Benevolentiæ imago, XXXIX, 20.
Benignitatis imago, XXXIX, 19.
Berrhœa, urbs Macedonica, XLII, 34.
Bestiæ in templo nocentes nemini, LXXII, 41.
Bibliopolæ: bonæ spes ab his non petendæ, LVIII, 24.
Bicolor homo, II, 4.
Bithynicum mancipium, XVII, 23.
Bithyna fabula, XXXIII, 21.
Biton et Cleobis, felicissimi hominum, XII, 10.
Blepsias Pisæus, X, 27, 7; adulator, V, 58; fame periit, X, 27, 7.
Boeoti bellicosi, X, 14, 2; iis Delphica donaria prædæ sunt, XII, 12.
Boni quorsum veniant post hanc vitam, X, 30, 1; XXXVIII, 49; L, 7; eorum post hanc vitam præmia, XLIII, 17, 18; *conf.* XXXVIII, 49.
Bonorum possessio temporaria, III, 26; X, 13, 4; XXXVII, 8; LXX, 30. Bonum nullum sine teste acceptum, VII, 15; *conf.* LXX, 29; vulgaria bona sordent philosophiæ, III, 4.
Boreæ habitus, V, 54; Boreas rapit Erithyiam, LII, 3.
Bos æneus, pœnæ genus, XXX, 11; *conf.* LXVIII, 21; in eum fabricator ipse injicitur, XXX, 12; bos deus Memphi colitur, XLIV, 42; Boves ex Erythea abacti, XXXIII, 56; boves Solis assati exiliunt, LXX, 23.
Bosporus, XLI, 4 *et* 44; LXXIX, 2.
Bosporani, XLI, 44; mos procorum apud eos, *ibid.*
Brachmani, XLI, 34; longævi sunt, LXII, 4; et igne lento se solent necare, LXVIII, 25 *Conf.* LXIX, 6 *et* 7.
Branchidarum divitiæ unde ortæ sint, XXXII, 8; eorum adyta, XXXII, 29. *Conf.* XLVII, 1.
Branchus Apollinem amat, VIII, 2, 2; depictus, LXI, 24.
Briareus, Jovis auxiliator, VIII, 21, 2. *Conf.* XLIV, 40.
Briseis, aureæ Veneri similis, XL, 24.
Bruttia pix, XXXII, 21.
Bucephali, XXVII, 44.
Bulin Sperchinque, Lacedæmonios, Xerxes non occidit, LXXIII, 32.
Bupalus, LX, 2.
Busiris insulam Beatorum invadere fingitur, XXVII, 23; justitiæ contemtor, XLVII, 8.
Byblus urbs, ubi Byblia Venus colitur, LXXII, 6. Caput eo adnatans, *ib.* 7.
Byrria nomen servi, V, 22.
Bytus, ineptus rhetor, LXXXII, 31.

C.

Cabbalusa insula, XXVII, 46.
Cadmus inventor literarum, IV, 5, 12; ejus transformatio, XXXIII, 41; ejus filia Semele, VIII, 9; VIII, 24.
Cæneus, XXXIII, 57; XLVIII, 45: Elati filius, XLV, 19.
Calamis, XXXIX, 6.
Calanus ardens, LXVIII, 25.
Calatianus Demetrius, LXII, 10.
Calauria, LXXIII, 28.
Calchas Homericus, XXXIII, 36; vates, LXV, 1.
Callias, V, 24; XLIII, 16.
Callicratidas, XXXVIII, 9.
Callidemides veneno, alteri parato, exstinguitur, X, 7, 2.
Callimachus, XXV, 57; ejus versus, XXXVIII, 49.
Callimedon, LXXIII, 46.
Callinus, LVIII, 2.
Callisthenes, X, 13, 6; LXXIII, 15.
Callisto in feram mutata, XXXIII, 48.
Callistratus orator, LXXIII, 12.
Calumnia multorum malorum causa, LIX, 1; depicta ab Apelle, LIX, 5; ampla ejus expositio, LIX, 6 *sqq.*; maxime floret in potentum aulis, LIX, 10; plerumque vexat honoratos, LIX, 12.
Calumniator quomodo sit audiendus, LIX, 30.
Calvus quidam et fatuus, LXXXII, 26.
Calydoniorum calamitates, XIII, 1. Calydonii apri exuvias ostentant Tegeatæ, LVIII, 14.
Calypso, Atlantis filia, XLVIII, 10; ejus insula, XXVII, 27.
Cambyses, II, 4. Cyri filius, mente captus, XII, 13; ejus crudelitas, LXII, 14.
Camelus in Ægypto, prov., unde sit ortum, II, 5; camelus aut formica, prov., LXX, 19.
Campus Acherusius, XI, 15; campi Elysii, XXVII, 14; L, 7.
Candaules, XLII, 28.
Candor sine rubore ad formam facit nihil, IX, 1, 3.
Candys Persica, X, 14, 7.
Canis rabiosi morsus rabie inficit, III, 38; *conf.* LII, 40. Proverbia: canis in balneo, XLVIII, 51; quid cani commune et balneo? LVIII, 5; canis in præsepio, LVIII, 30; V, 14; e canis redire podice, XLII, 56. Canis leonum domitor, XL, 19; canis Crates, LXIX, 16; canis in sidera receptus ridetur, LXXIV, 5; caniculæ Melitenses, XVII, 34; LII, 27; canicipites dii, LXXIV, 11.

Canon ob honestatem cognominatur Ion Platonicus, LXXI, 7.
Cantharus nomen servi, LXIX, 28.
Cantus saltatorii, XXXIII, 11.
Caper non mactatur apud Ægyptios, XXXVI, 7.
Capilli aurei Castorum, LXVI, 32.
Cappadocem non videas rhetorem doctum, LXXXII, 32.
Capua Hannibali perniciosa, X, 12, 5.
Capulus : alterum jam in eo habere pedem, XX, 78.
Caput quotannis adnatat Byblo, LXXII, 7.
Carambis urbs, XLI, 57.
Carcinochires, XXVI, 35.
Cardianus Eumenes, XIX, 8.
Caria, patria Herodoti, XXI, 1 ; ejus rex Mausolus, X, 24, 1.
Cario, famulus Megapenthis, XVI, 12.
Carmina grammatici recitant in convivio, LXXI, 17 ; carmen nuptiale frigidum, LXXI, 41.
Carneadis ætas, LXII, 20.
Caro ad cibum, non ad purpura inficiendum creata, LXXV, 11.
Carthago a Scipione fracta, X, 12, 7.
Caryæ, pagus Laconicus, XXXIII, 10.
Caryatica, saltandi genus, XXXIII, 10.
Caryonautæ, XXVII, 37.
Caspiæ portæ in Caucaso, VII, 4.
Cassandra a Polygnoto picta, XXXIX, 7.
Cassiepeia laudes admittit, XL, 7; de ea XXXIII, 44.
Castalius fons, XII, 6; XLIV, 30.
Castor saltator, XXXIII, 10.
Castor et Pollux, Ledæ filii, similes, VIII, 26,1; quomodo discernantur, *ibid.* 2; fraternus illorum amor, *ibid.*; alternis moriuntur, *ibid.*; cur, *ibid.*; eorum capilli aurei, LXXI, 32; dii facti, LXXVIII, 6; in malo navis apparent, VIII, 26, 2; XVII, 1; LXVI, 9; LXXVIII, 3; eorum ædes fulmine tacta, V, 10; eorum sacerdos, LXXI, 9. *Vide* Dioscuri.
Castro. Castrat se ipsum Combabus, LXXII, 20; unde ad alios transiit idem mos, *ibid.* 26. *Vide* Gallus. Ritus castrandi, LXXII, 51.
Catechumeni, LXXVII, 17.
Catena Jovis. *Vide* Jupiter.
Caucasus mons, II, 1; VII, 1; XIII, 5.
Cavea. Prov., Mors invadet, etsi cavea te includas, LXXIII, 5.
Caulomycetes, XXVI, 16.
Causidicis quæ inesse debeant, XV, 29.
Cebes, XVII, 42; LI, 6.
Cecrope nobilior, V, 23; de eo LX, 11; XI, 16.
Cedalion depictus, LXI, 28.
Celedones Homeri, III, 3.
Celeus, XXXIII, 40.
Celsus, amicus Luciani, sapiens, veri amans, XXXII, 61; ejus contra magos libri quid contineant, XXXII, 21.
Celtæ, XXV, 5.
Celtiberi in potestatem Annibalis redacti, L, 12, 2.
Celtica a Sabino peragrata, XVIII, 15.
Cenchreæ. Non Cenchreas usque discessise, XXV, 29.
Cenchroboli, XXVI, 13.
Centaurus femina a Zeuxide pingitur, XXII, 3. Centaurorum furor, XXXIII, 48; *conf.* XLIV, 21.
Cepa dens Pelusiotis, XLIV, 42. Cepa cibus pauperum, LXVII, 14, 2; LXX, 28.
Cepheus pater Andromedæ, IX, 14. *Conf.* XXXIII, 44.
Ceramicus, locus Athenis, XV, 13; XXIV, 5; XLIV, 15; LXVII, 10.
Cerberus, X, 13, 3; XI, 2; canis deus, XIV, 15; latrans, XI, 10; cantu sopitus, *ibid.*; ejus officium, X, 20 *et* 21; L, 4; damnatos dilaniat, XI, 14; XVI, 28. Cerberum vidisse dicuntur attoniti, LXXVII. 1.
Cercopes, malitiosissimi homines, XXXII, 4.
Cercyon a Theseo occisus, XLIV, 21.
Ceres, V, 17; ejus filia, X, 23, 1; et errores, XXXIII, 40. Cereris legiferæ sacerdos, i. e. casta, LXVII, 7, 4.
Certamina Thanatusia, XXVII, 22. *Vide* Exercitia.
Ceryces, XXXII, 39.
Cestus Veneris, LXXVII, 32; VIII, 20, 10. *Vide* Mercurius.
Cethegus, consularis, ridicula committit multa, XXXVII, 30.
Cetus a Perseo interfectus, IX, 14 ; LXI, 22.
Ceus poeta, XXIV, 11.
Ceyx Trachinius, VI, 1.
Chæreas, XXXIV, 9 ; LXXI, 7 *seqq.*; LXVII, 7.
Chærephon quomodo impulsus ad philosophiam Stoicam, XX, 15; quid oraculum ei responderit, LI, 13.
Chalcedon urbs, XXXII, 9; ibi est templum Apollinis antiquissimum, XXXII, 10.
Chaldæi, LII, 11 ; LXIX, 8 ; sunt vates, X, 11, 1 ; et sapientes, XI, 6 ; auro nitentes et molles, X, 14, 2 ; longævi, LXII, 5.
Chares imperator, LXXIII, 37.
Chariades adulator, X, 6, 5.
Charicenus, putidus senex, LXXVII, 20.
Chariclea, Demonactis uxor, meretrix, XLI, 13.
Charicles, XXXVIII, 9.
Charidemus, LXXVIII, 4.
Charinus adulator, X, 5, 1 ; LXXI, 1.
Charis, VIII, 15, 2.
Charixenus testamento amici jubetur ejus filiam collocare dote, XLI, 22.
Charmides, X, 20, 6.
Charmolaus Megarensis, X, 10, 3.
Charoades adulator, X, 6, 5.
Charon litterarum expers, XII, 4; aurique ignarus, XII, 11. Ei non licet in regiam Jovis intrare, XII, 3. Charonem ipsum æquare annis, X, 17. Altercatur cum Menippo, X, 22 ; versibus Homeri visum recipit, XII, 7; ad superos cur migrarit, XII, 1. Alterum jam pedem in illius habere cymba, XVIII, 1.
Charops, cinædus, XLIII, 16.
Charopus, pater Nirei, X, 25, 1.
Charybdis, XII, 7.
Chelidoneæ quam sint periculosæ, XXXVIII, 7.
Chelidonius cinædus, XVII, 33.
Chelidonii, LXVI, 7.
Chersonesus, IX, 9.
Chimæra, X, 30, 1 ; XX, 72; LIX, 26; apud inferos, XI, 14.
Chiron præceptor Achillis, X, 15, 1 ; ejus pedes, LXXV, 15 ; in perpetua rerum mutatione ponit voluptatem, X, 26; libenter mortuus, cur, *ibid.*
Chlevocharmus, LXXVII, 21.
Choaspes, XI, 7.
Chorda : bis per omnes chordas, II, 6.
Christiani, in captivos benefici, LXVIII, 11; contemnunt mortem spe immortalitatis, *ib.*, 13; se vocant fratres, *ibid.* omniaque arbitrantur communia, *ibid.*; Christiani in Ponto, XXXII, 25; ad Orgia Alexandri magi non admissi, XXXII, 38. *Eos oblique tangit Lucianus aliquoties in* dialogo de morte Peregrini(LXVIII); Christus cruci affixus, *ibid.* 11.
Chrysippus, XXVII, 18 ; ejus ætas, LXII, 20 ; amicus libertatis, oser servitii, XVII, 24; in dicendo vehemens, XV, 23 ; varia de Chrysippi doctrina, XIV, 21-25 ; est omnia simul, XIV, 20 ; ejus tricæ, LXXI, 30;

et syllogismi frigidi, XLVI, 24; indifferentia vocat mala, LXXI, 31.
Chrysis, Demæneti filia, LII, 14.
Ciborum varietas laudatur, LXXV, 5; ab adversario improbatur, LXXV, 6; morbos eadem infert, *ibid.* 9; cibi peregrini appetuntur ab intemperantibus, *ibid.* 8.
Cicadam alis prehendere, quid sit, LX, 1.
Cilices latrones, XLVI, 16.
Cilicia colit Amphiaraum oracula edentem, XXXII, 19.
Cinædus latere non potest, LVIII, 23.
Cinyras, LI, 11; LXXII, 9.
Cinyras, Spinthari filius, Helenam rapit, XXVII, 25 *et* 31.
Cippi qua de causa sint exstructi, XII, 22; eos esse inutiles, L, 22. Cippus ponendus pro altari, LXXIV, 18. Cippus viri morsu dipsadis exstincti, LXIV, 6.
Circe, adjutrix Ulyssis, XXXVI, 24; ejus filius, XXVII, 35.
Cithæron, IX, 9; X, 27, 2.
Civitas quid sit, XLIX, 20; circa eam bene instituendam Græcorum cura, *ibid. et seqq.* Civitatis cujusdam beatæ descriptio, XX, 22.
Clamor causas dicentibus utilis, V, 11. Clamare voce Stentorea, L, 15; Zirin clamare apud Scythas quid sit, LXI, 40.
Clarii vaticinandi arte celebres, XXXII, 29; *conf.* VIII, 16. Unde divites facti sint, XXXII, 8.
Clava tribuitur philosophis, XV, 24; XVI, 24; XLVIII, 55; LXIX, 14; LXXI, 44.
Clavo clavum ejicere, XVIII, 9; XIX, 7; LII, 9.
Cleænetus, LXVI, 22.
Cleanthis ætas et mors, LXII, 19; sapiens prædicatur, LXXI, 32.
Clearchus, X, 14, 2; XLV, 25.
Cleobis et Biton, felicissimi hominum, XII, 10.
Cleocritus occisus, XVI, 9.
Cleodemus Peripateticus, LII, 6; gladius et falx cognominatur, LXXI, 6; puerum corrumpere tentat, sed proditur argento humi cadente, LXXI, 15.
Cleolaus, LXXVII, 28.
Cleombrotus lecto libello de animæ immortalitate se præcipitat, LXXVII, 1.
Cleon, orator Atheniensium, II, 2; XIX, 3; XXV, 38. In Cleonem aut Hyperbolum aliquem incidere, V, 30.
Cleonæ, XII, 23.
Cleonymus pulcher, LXXVIII, 4.
Cleopatra illustris, XVIII, 5; Ægyptia, XXXIII, 37.
Clinias, rhetor sacrilegus, XLVI, 16; ejus filius, X, 20, 6; XXIV, 11.
Clitus, X, 13, 6; X, 14, 3; XXV, 38.
Clotho, una Parcarum, X, 30, 2; XII, 13; XVI, 3 *et* 5; XXV, 38; XLIII, 2.
Clymene, VIII, 12, 1; mater Phaethontis, VIII, 25.
Clysma, XXXII, 44.
Clytæmnestra, XXXIII, 43; a quibus sit interfecta, XXXVIII, 47. Occisæ pictura, LXI, 23.
Cnemon tecti ruina oppressus, X, 8.
Cnidus, urbs Veneris, XXXVIII, 11.
Cocconas, XXXII, 6.
Cocytus fluvius, XII, 6; L, 3.
Codrus laudatur, LXXIII, 46; LXX, 12. Codro nobilior, V, 23; X, 9, 4.
Cœlus et Terra Gigantum parentes, VII, 16; Cœli castratio, XXXIII, 37; *conf.* LII, 2; XIII, 5. Cœlum quale sit, XIII, 8. In tertium cœlum penetrans Galilæus, LXXVII, 12. Cœlum ut pellem explicavit Deus, LXXVII 17. Cœlum terræ miscere, VII, 9.
Cœnarum apparatores nimis curiosi, III, 33. Cœna absoluta (ἐντελὲς δεῖπνον) domum fertur, LXXI, 38.
Coitus. De coitu cum mulieribus sententia Euripidis, XXXVIII, 38; femineam in eo voluptatem præfert virili Tiresias, XXXVIII, 27. Naturæ servant leges in coeundo animalia, XXXVIII, 22.
Colchis, XLI, 3.
Collyrium, XXXII, 21.
Colocynthopiratæ, XXVII, 37.
Colossus Rhodius artificiose et magnis impensis factus, XLIV, 11; ejus magnitudo, XLVI, 12. Colossi Rhodii caput imponere inani corpusculo, XXV, 23; Colossi extra ornati, intus fœdi, XLV, 24; eis comparantur reges, *ibid.*
Columba non vescuntur Ægyptii, LXXII, 14. Res sacra est Assyriis, LXXII, 14 *et* 54; qui ei sacrificant, XLIV, 42.
Coma signum nobilitatis apud Ægyptios, LXVI, 3; quomodo eam ornarint veteres Græci, *ibid.* 3. Coma fictitia meretricum, LXVII, 5 *et* 11; *conf.* XXXVIII, 40; comas ponunt nubentes, LXXII, 60. Comati pueri in deliciis, LXIX, 20; LXX, 24; vocantur Hyacinthi Achilles et Narcissi, *ibid.*
Combabus castrat se, ut suspicionem amoris vitet, LXXII, 20; amatus a regina, LXXII, 21; liberat se a supplicio demonstrata castratione, LXXII, 23. *Vide* Castro.
Comici poetæ ob fabulam male descriptam spernuntur, III, 8.
Comissatores, quinam sint apud Græcos, XXXVIII, 54.
Comitia Jovis, LXXIV, 14; comitia deorum in Olympo, LXXIV, 15.
Comœdia quale spectaculum sit, XXXIII, 29; cum dialogo conjuncta, II, 6; ejus licentia Dionysiis, XV, 14; ei suum inest saltationis genus, XXXIII, 26; comœdias scribi quando desitum, LXXIII, 27; comœdorum apud Græcos licentia, XLIX, 22; perstringit eos Anacharsis, XLIX, 23. Ornatum personarum multi actionibus dehonestant, III, 11; XV, 31 *et* 33; XVIII, 5.
Comparatio. In laudando comparare, scitum, XL, 19. Parvum cum magno adulatorie comparare, quid sit, XL, 13; quomodo justa sit instituenda comparatio, XL, 19.
Composita verba faceta, LXXX, vv. 191-202.
Concurrere ad aliquid, ut ad noctuam aves, XXIII, 1.
Conjugium inæquale, formosi viri et deformis feminæ, XLI, 24.
Conon. Ex Conone efficere Titorinum, XXV, 34.
Consilio emendare difficilius, quam reprehendere, XLIV, 23. Consilium mutare, Epimethei, non Promethei est, II, *sub fin.*
Contentum neminem esse sua sorte, XLVI, 25; philosophum opportet esse contentum. *Vide* Philosophus.
Contradicere utile, XX, 13; XLIX, 17. *Vide* Opponere.
Contumelia te ipsum afficit, qui servos filiumque tuum, LXXVI, 10.
Convictio, Elenchus, XV, 17.
Convitio nihil fit deterius, XV, 14.
Convivium lepidum, LXXVIII, 1. In convivio gestus non decet vulgaris, LXXI, 3; convivam memorem odi, prov., *ibid.*; in eo carmina canuntur, LXXI, 17. Scurræ inter moras obsoniorum inducti, LXXI, 18. Sermonum in convivio habitorum meminisse, difficile esse, LXXVIII, 2. Convivales fraudes, VII, 8.
Coraci, quinam genii apud Scythas, XLI, 7.
Cordax, saltandi genus, XXXIII, 22 *et* 26; XLVI, 27.
Corinthios aggreditur Philippus, XXV, 3; Corinthiæ mulieres pulchræ, VIII, 20, 13; Corinthia fabula, XVIII, 3; Corinthi Craneum, X, 1, 1; XXV, 3. Corintho non protulisse unquam alterum pedem, XXV 23.
Cornices in Hesiodi sepulcro, LXVIII, 41.

Cornua elephantorum, LXXII, 16.
Cornutus syllogismus, LXXI, 23. Cornutus Juppiter ridetur, LXXIV, 10.
Corœbum aut Melitiden putare aliquem, XXXVIII, 53. Corœbi esse aut Margitæ, id est stolidi aut absurdi, LII, 3.
Coronæ sub naribus potius, quam in capite gestandæ, III, 32. Coronæ victricis varia genera, XLIX, 9. Coronati nautæ, LXXIX, 11.
Coronidis nuptiæ, XXXII, 38.
Corpora virorum et mulierum quomodo differant, XXIX, 28; corpus aeri, cuivisque assuefaciendum tempestati, XLIV, 24; corpus cur ungant Græci, in palæstram abituri, *ibid.*; laboribus subactum, sudoris expers, *ibid.* In eodem corpore non semper forma et virtus una habitant, XXXIX, 11; comparatur ista exterioris et interioris diversitas, *ibid.*
Corybantes, VIII, 12, 1; XLVI, 27; a quo saltare sint jussi, XXXIII, 8. Corybanticus morbus, XXXIV, 16.
Corybas, LXXIV, 9.
Cothurnus homo, LX, 16.
Cottabus quid sit, LXXVII, 17.
Coturnicum contra gallos apud Græcos pugna, XLIX, 37.
Cous medicus, XX, 1.
Craneum Corinthi, X, 1, 1; XXV, 3.
Crates, X, 11; X, 27; XLVIII, 43; in dicendo vehemens, XV, 23; ejus æmulus, LXVIII, 15.
Cratini comici ætas, LXII, 25.
Crato, Cynicus; saltationem odit, XXXIII, 1; quam mente mutata laudat, XXXIII, 85; cui vitæ generi sit assuetus, XXXIII, 1; ejus in aliquem laxare canem, XXXIII, 4. Cratonis alicujus exsequiæ oratione Diophanti cohonestatæ, X, 10, 12.
Creon, XXXIII, 42; ejus persona, III, 11; XI, 16.
Crepereius Calpurnianus, XXV, 15.
Creta cum Dictæo antro, IX, 15, 4.
Cretenses laude saltationis nobiles, XXXIII, 8; ostendunt Jovis sepulcrum, V, 6; XIII, 10; XLIV, 45; LII, 3; *conf.* LXXIV, 6; LXXVIII, 10.
Cribrum. Alter mulget hircum, alter supponit cribrum, prov., XXXVII, 28. Cribro vaticinari, XXXII, 9.
Cristas quatiunt milites, LXVII, 15, 3.
Critius. Statuarii celebres Critius (*legebatur* Critias) et Nesiotes, LII, 18; LI. 9.
Critolai Peripatetici ætas, LXII, 20.
Crœsus, X, 20, 2; dives, V, 23, 42; XVII, 20; veritati parum amicus, XII, 13; Lydorum pessimus dicitur, X, 2, 1; cum Solone colloquitur, XII, 10; ejus filiorum alter erat surdus, XL, 20; alter periit aberrante Adrasti hasta, XLIII, 2; de eo oraculum Delphis datum, XXXII, 48; XLIII, 14; Apollini lateres consecrat aureos, XII, 11; divitiis brevi tempore excidit, LXVI, 26; in servitutem datur, XI, 16; rogo impositus, XII, 13; XLV, 23; ejus mors, XII, 13.
Crocodilus deus, XLIV, 42.
Croton, XIV, 6; Crotoniatæ, XVIII, 4; XLV, 18.
Cruces, ad imitationem literæ T, IV, 12. Ille cruci affixus in Palæstina, LXVIII, 11.
Ctesias, scriptor fabulosus, XXVI, 3; *conf.* XXVII, 31; LII, 2; Artaxerxis Mnemonis medicus, XXV, 39.
Ctesibii ætas, LXII, 22.
Cubito amovere adstantes, LXXVII, 19.
Cumanus asinus, XV, 32; LX, 3.
Cupiditas habendi fons malorum, LXXV, 15; cupidi homines similes iis, qui torrente auferuntur, *ibid.* 18.
Cupido, Iapeto antiquior, VIII, 2, 1; frater Hermaphroditi et Priapi, VIII, 23; ejus potentia, *ibid.*, et indoles, VIII, 2, 1; mulierem amare cogit, VIII, 20, 15; cur Minervam, Musas, Dianam revereatur, VIII, 19; victus a Mercurio, VIII, 7, 3; a matre peccata enumerante vituperatus, VIII, 12, 1; et castigatus, VIII, 11; cum Ganymede lusurus, VIII, 4, 3. Cupido Thespiis, XXXVIII, 11; Cupidines in tabulis ab Aetione pictis, XXI, 5.
Curare. Proverb., Non curat Hippoclides, XVIII, 15; LXXVII, 28.
Curetes sagittas tingunt succo, III, 37; a quo saltare sint jussi, XXXIII, 8.
Currendi exercitium apud Græcos, XLIX, 27.
Currus bovem sæpe effert, X, 6, 2; currum regendi mira peritia, LXXIII, 23.
Cybelus, colonia Atheniensium, IV, 7.
Cycladum insulæ, LXI, 17.
Cyclopes, IX, 1, 5; IX, 2, 4; XII, 7; XVI, 14; eorum domicilium, V, 19; ab Apolline occisi, XIII, 4. Cyclops pro homine impuro, LX, 27.
Cydimache, Menecratis filia; deformis mulier, XLI, 25.
Cyllarabis, XVIII, 11.
Cyllenii sacrificant Phaneti, XLIV, 42.
Cymbalum, VIII, 12, 1, VIII, 18.
Cynæthus, Demetrii adulator, XL, 20.
Cynicus philosophus gannire dicitur, LXVIII, 6; sobrius, LXXXII, 34; Alcidamas Cynicus irruit non vocatus in convivium, stans vult edere, vel humi jacens, LXXI, 12, 13; de virtute et vitio disputat, LXXI, 14; alia ridicula de Cynicis, *ibid. et seqq.*; eorum mores, LXXV; eorum habitus ac vita dura, LXXV, 1; satis est, quod ad necessitatem, *ibid.* 3; argumenta eorum pro paupertate, *ibid.* 4 et 5; sunt comati et hirsuti, *ibid.* 17; eorum vita quieta et libertas, *ibid.* 19; aureæ coronæ et purpura ab iis fumus habentur, *ibid.*
Cyniscus philosophus, XVI, 7; XLV, 20; Eleusiniis initiatus, XVI, 22.
Cynobalani, XXVI, 16.
Cynocephalus, XLIV, 42, *sqq.*
Cyrus major, II, 4; X, 20, 2; rex Persarum, XXVII, 9; a cane nutritus, XIII, 5. Res ab eo gestæ, XII, 9. Ejus mors, *ibid.* 13. Cyrus uterque, XXVII, 17. Cyri majoris ætas et mortis causa LXII, 14. Contra fratrem Artaxerxem Cyrus minor expeditionem movit, *ibid.* 15.
Cytmides, quale unguentum, XXXII, 22.

D.

Dadis dies, XXXII, 39.
Dædalus, XXXIII, 49; quomodo volarit, XXXVI, 14; XXXIX, 21; XLV, 23. Astrorum scrutator, XXXVI, 14. Chorum ducit, XXXIII, 13.
Dæmones: de iis plaustra mendaciorum, LII, 11 *sqq.*
Damasias, athleta, X, 10, 5 *et* 10, 12; XXXIV, 11.
Damis, Epicureus, XLIV, 4. Ejus cum Timocle de diis disputatio, XLIV, 4 *et* 16 *sqq.* Alius, dives Corinthius, veneno periit filii, X, 27, 7.
Damon, adulator, X, 5, 1.
Damonis et Euthydici amicitia, XLI, 19 *sq.*
Damoxenus luctator, X, 1, 3.
Danae, V, 13; VIII, 24; XI, 2; XXXIII, 44; XLV. 13; ab Acrisio in cistam conjecta, IX, 12, 1, et in mare cum filio projecta servatur, *ibid. et* IX, 14, 1.
Danaides. Aquam congerere in dolium Danaidum, V, 18; X, 11, 4; XX, 61.
Danaus, X, 11, 4; XXXIII, 44; durius educat liberos, IX, 6, 1.
Dandamidis et Amizocæ amicitia, XLI, 38 *sqq.*
Daphne, VIII, 14; fugitiva Veneris, XXXVIII, 12; fugit

Apollinem, VIII, 2, 2 et 15; XIII, 4; *conf.* XXXIII, 48; in arborem versa, VIII, 15, 2; X, 28, 3; quomodo sit picta, XXVI, 8.
Darius, rex Persarum, II, 4, 1; victus, X, 12, 3; LI, 5; ejus uxor, Parysatis, XXV, 23; formosa, X, 14, 4; ejus pons, LXXIX, 2.
Datis, Darii præfectus, XLVII, 9.
Decrianus, sophista, XLII, 2.
Dejanira, zelotypa, XXXIII, 50.
Delatio. *Vide* Calumnia.
Deliciarum et lautitiæ reprehensio, III, 35.
Delphi, officina artis divinandi, VIII, 16; XLVI, 24; Delphis et Deli Apollo colitur, XIII, 10; Delphorum unde ortæ sint divitiæ, XXXII, 8; Delphici templi donaria, V, 42; Delphica donaria qui sibi vindicent, XII, 12; Delphica divinatrix, XXXVI, 23; Delphica antistita deo plena, XX, 60; Delphicum oraculum Crœso datum quomodo defensum sit, XXXII, 48.
Delphines ante formam suam mutatam homines, IX, 8; amantes hominum, IX, 8, 1.
Delphin vehit Neptunum, IX, 6; vehunt Nereides, IX, 15, 3.
Delus, avulsa pars Siciliæ, IX, 10; a Neptuno in lucem prolata, *ibid.*; ejus errores, XXXIII, 38; locus natalis Apollinis et Dianæ, IX, 10; in eo quomodo peragantur sacrificia, XXXIII, 16; ejus divitiæ unde sint ortæ, XXXII, 8.
Demades, ad bellum timidus, XLVIII, 42; orator ex nauta garrulus, LXXIII, 16; lusit in consuetudinem quandam Demosthenis, LXXIII, 15; ab eodemque accusatur, LXXIII, 46.
Demea, rhetor, V, 49.
Demetrius, vexatus tussi, modulate screare dicitur ab adulatore, XL, 20.
Demetrius, Cynicus, saltatoriam accusat artem, XXXIII, 63; brevi post vituperia mutat in laudes, *ibid.*; ejus jocus adversus indoctum, LVIII, 19.
Demetrius, Platonicus, apud Ptolemæum accusatus, LIX, 16.
Demetrii, Suniensis, cum Antiphilo amicitia, XLI, 27 *sqq.*
Demetrius, statuarius, LII, 18.
Demochares, LXII, 10.
Democrates, LXVI, 22.
Democritus Abderitanus, LII, 32; erat magno ingenio, XXXII, 17 et 48; deridet Ægyptios, XIII, 15; cur omnia derideat, XIV, 13; *conf.* LXVIII, 7; spectrorum oppugnator, LII, 32; ejus ætas, LXII, 18.
Demodocus, LXI, 18.
Demonax cujas fuerit, XXXVII, 3; quo libello vitam ejus scripsit Lucianus. Luciani erat familiaris, XXXVII, 1; eclecticus philosophus, *ibid.* 5; aliis imitandus proponitur, *ibid.* 2; a natura ad vitam rectiorem excitatur, *ibid.* 3; ejus præceptores, *ibid.*; mitis, mansuetus, hilaris, *ibid.* 7, 9 et 10; quam scite vitia aliorum correxerit, *ibid.* 7; eloquentia populum sedat, *ibid.* 9; seditionem sola præsentia restinguit, *ibid.* 64; cur accusatus sit, *ibid.* 11, et quomodo adversarios sibi reddiderit propitios, *ibid.*; ejus quædam acute et urbane dicta, *ibid.* 12—62; quomodo Cynicum quendam philosophum appellarit, *ibid.* 19; ab Epicteto monitus ut uxorem duceret, quomodo eum redarguerit, *ibid.* 55; magno semper in honore habitus, *ibid.* 63; cur de vita sponte abierit, *ibid.* 4; quot annos vixerit, *ibid.* 63; de sepultura sua quid jusserit, *ibid.* 66; magnifice est sepultus, *ibid.* 67.
Demosthenes: de ejus captivitate in Sicula clade, XXV, 38.
Demosthenes, orator Pæaniensis, XLVII, 31; ejus patria, Athenæ, LXXIII, 10; patriæ sollicitator, XLVIII, 42; per eruditionem magnus, I, 12; octies descripsit historiam Thucydidis, LVIII, 4; aquam potans scribebat, LXXIII, 15; cum Homero comparatur, *ibid.* 4, 5, 8; laudatur propter poeticam suavitatem, *ibid.* 8; solus vivam et spirantem orationem effecit, *ibid.* 14; Antipater eum ad se adduci cupit, *ibid.* 28; ejus libertas in dicendo, LXXIII, 36; vis et argumenta valida, LXXIII, 32, et gravitas, XVII, 25. Proœmium orationis ab eo in Philippum habitæ, XLIV, 14; citatur, *ibid.*; 23; auro inexpugnabilis, LXXIII, 33; solus vigilat, hostium consilia impedit, propugnaculum patriæ est, *ibid.* 35; sine eo Athenienses sunt Æninanes et Thessali, *ibid.* 39; Aristotelis de eo testimonium, *ibid.* 40; ejus laudes, *ibid. ante, et deinceps.* Magis timendus, quam classes et triremes, *ibid.* 38; ejus sermo ante mortem, *ibid.* 43 *sqq.*; ejus mors, veneno sumto, *ibid.* 49.
Demostratus, XXXII, 45.
Dendritæ, XXVI, 22.
Derceto, dea semimulier, semipiscis, LXXII, 14.
Derisor humanæ stultitiæ, X, 1; derisores probantur vulgo. XV, 25.
Detonsus mentem, LXXVII, 26.
Deucalion, V, 13; XXXIII, 39; LI, 20; ejus tempore diluvium, V, 3; XXXIII, 39; Hierapoli vulgus Deucalionem aiunt esse Sisythen, LXXII, 12; in arcam ingressus diluvii causa, *ibid.*; post diluvium aram construit, LXXII, 13; ædem Junoni condit, *ibid.*; num in ejus diluvii memoriam lignei phalli altissimi quotannis in Syria ascendantur, LXXII, 28, 29.
Deus hospitio excipienti similis, LXXV, 7; ejus sapientia ac potentia, VI, 6; Adde v. Dii. Deus ignotus Atheniensium, LXXVII. 9; deus unus statuitur, LXXVII, 12; ac triunus, *ibid.*; omnia videt, etiam cogitationes, LXXVII, 17; ut hominem ex nihilo, quod ante fuit, formarit, cœlum explicarit, ceteraque crearit, LXXVII, 13, 17.
Dextræ præcisio, pœnæ apud Scythas genus, XLI, 10.
Dialogus Philosophiæ filius, XLVII, 28; quot deformetur modis, XLVII, 33; a Syro (*Luciano*) ejus emendatur forma, XLVII, 34; dialogus et comœdia junguntur, II, 5; XLVII, 34; quomodo differant, II, 6.
Diana Deli nata, IX, 10; obstetrix VIII, 16, 2; VIII, 26; ob formam laudatur, VIII, 16, 2; ab Actæone visa, *ib.*; cur a Cupidine capi nequeat, VIII, 19, 2; ad Endymionem descendit, XIII, 7; irata Œneo, quod sola non invitata sit ad sacrificium, XLIV, 40; LXXI, 25; hanc ob causam ei creat varia mala, XIII, 1. Mactat hospites, VIII, 16, 2; VIII, 23; *conf.* XLIV, 44; eam Scythæ humana placant carne, XIII, 13; Tauricam desertura fingitur, VIII, 23; e Scythia ablata, XLI, 2; ejus templum incendit quidam, ut famam consequeretur. LXVIII, 22.
Dianeum, XLVII, 24.
Diasia, V, 7; XLVI, 24; LXXVIII, 1 et 3.
Dicendi facultas. *Vide voces* Rhetorica, Eloquentia.
Dictæum antrum, IX, 15, 4.
Didactrum. De eo præceptorum cum discipulis expostulationes, XX, 80, 81; XLVI, 16.
Dido, XXXIII, 46.
Didymæi vaticinandi arte celebres, XXXII, 29.
Didymæum oraculum, VIII, 16, 1; XXXVI, 23
Diei sacrificant Æthiopes, XLIV, 42; in diem infaustam incidere, LXXVII, 23,
Digito extremo attingere aliquid, XXXVII, 4. Digito monstrari, XXI, 2; LXIX, 36; LXVII, 6.
Dii: eorum varia genera, XLIV, 42; quarundam gentium dii, XIII, 10; eorum multitudo ac monstra ridentur, LXXIV, 3 *sqq.*; LXXVII, 4 *et* 11; et recensus agitur,

LXXIV, 15 *sqq.*; dii perfecti, classici, LXXIV, 1 *et* 15; spurii, LXXIV, 7 *et* 13; barbati, LXXV, 20: rusticorum forma, LXXIV, 4; de primatu contendunt, XLIV, 9, *sqq.*; perstringuntur, VII, 18 *sqq.*; XLIII, 8; falli nescii, XXX, 1; LXXXII, 9; ambigua eorum responsa, XLIII, 14; variæ de iis opiniones, XLVI, 8 *sqq.*; providentia a quibus negata sit, XLIII, 6; *conf.* V, 10; XLIV, 16; XLVI, 35; et cur de ea sit dubitandum, XLIV, 19 *sqq. et* 36 *sqq.*; *conf.* XLIII, 12 *sqq.*; ea negatur, XLIV, 4, 16 *et* 36; *conf.* XLIII, 14. De diis sententia Euripidis, XLIV, 41. Metu gigantum in Ægyptum transfugiunt, XIII, 14; ubi bestiarum formas induunt, *ibid.*; patriam suam amant, LXIII, 5; qualis eorum vita, XIII, 5-9; eorum taxantur adulteria, VII, 17; LXXVII, 4 *sqq.*; eorum domus ubi sit posita, XIII, 8; eorum nutrimenta, XIII, 9; saltandi studio delectantur, XXXIII, 23; eorum molestiæ, XLVII, 1 *et* 2; hominum in eos indignatio, XLVII, 3; eis cur sacrificetur, quum boni nihil per eos contingat hominibus, XLIII, 5; hominibus vendunt bona, XIII, 2; ab Æthiopibus excipiuntur convivio, VII, 17; *conf.* XLIV, 38; XIII, 2; eis pronuntur templa, XIII, 11; *conf.* LXXII, 2; signa quædam assimilantur, *ibid.*; et ponuntur altaria, *ibid.*; olim etiam homines adhibuere ad convivia, XIII, 8; cur eam deinde sustulerint consuetudinem, *ibid.*; deum ex machina advocare, XVII, 1; LII, 29; dei esse, corrigere peccata, XXXVII, 7.

Diluvium tempore Deucalionis, V, 3; XXXIII, 39; diluvii universalis causa hominum malitia, LXXII, 12; animalia cum Deucalione arcam ingressa, *ibid.*

Dimænete, XXIV, 2.

Diniæ et Agathoclis amicitia, XLI, 12; Dinias, a meretrice vexatus, ab amico liberatur, *ibid.* 16.

Dinias admittit parasitum Zeuxiphantem, X, 7, 1.

Dino historicus, LXII, 15. Alius, pater Eucratis, LII, 17.

Dinomachus, Stoicus, LII, 6.

Dio, XLV, 25; LXVIII, 18.

Dio Syracusanus, discipulus Demetrii et Aristippi, XIV, 19; gulæ amicus, *ibid.*

Diocles philosophus contentiosus, XXXV, 4; latro, XXXII, 52.

Diogenes, XLVIII, 43; Sinopensis, X, 16, 5; X, 24, 1; ejus dolium, LXIX, 20; cur hoc volverit, XXV, 3; erat squalidus, vultu tristis, XIV, 7; sectator Herculis, XIV, 8; ejus doctrina, *ibid.*; omnibus conviciandum esse docet, XIV, 10; quomodo quis gloriam possit consequi, monstrat, XL, 17; ejus in Lucianum oratio ficta, XV, 25-27; in dicendo vehemens, XV, 23; ejus mors bona, X, 20, 3; quam alacriter obierit, X, 21, 2; ejus hereditas, X, 20, 3; ejulatus Sardanapali, Midæ, aliorumque deridet, XI, 18; Herculis divinitatem deridet, X, 16; insectatur Mausolum, X, 24, 3; amator Laidis in insula Beatorum esse fingitur, XXVII, 18; commemorationem sui sapientissimis viris relinquit, X, 24, 3.

Diogenis, Seleuciensis, ætas, LXII, 20.

Diomedes, X, 20, 1; XLIV, 40. XLVIII, 44.

Dion Heracleensis, XX, 9.

Dion, accusator Dionysii, XI, 13.

Dionicus medicus, LXXI, 1 *et* 20.

Dionysiaca libertas, II, 6; XV, 14 *et* 25; saltatio, XXXIII, 22. Dionysiaca agere, XVII, 16.

Dionysius Sic. prior, pœna a Minoe exsolutus, XI, 13; eruditos juvit pecunia, *ibid.*

Dionysius junior, malus poeta tragicus, LVIII, 15; ejus hymnus in Apollinem, XIX, 4. Ejus parasiti philosophi, XLVIII, 32 *seqq.* Ejus tyranno pædagogus, XLV, 23.

Dionysius Stoicus, deinde Epicureus, XLVII, 13 *et* 20 *sqq.*

Dionysodorus rhetor, LXXI, 6 *et* 39. Alius vetustior collegit epistolas Ptolemæi Lagi, XIX, 10.

Diophantus rhetor, X, 10, 1; LXXXII, 28.

Diopithes imperator, LXXIII, 37.

Dioscurorum expeditio, XXXIII, 40; alter navem servat, LXVI, 9; *conf.* VIII, 26; XVII, 1; in malis navis apparent, XVII, 1; LXXVIII, 3; eorum templum, XV, 42. *Vide* Castor et Pollux.

Diotima, XXXV, 7; XXXIX, 18.

Diotimus, Megarensis, LXXVIII, 3.

Diphilus, cognomine Labyrinthus, LXXI, 6, 20, 36.

Dipsadis descriptio ac nominis ratio, LXIV, 4; ejus venenum quomodo moveatur, *ibid. sqq.*; quando dipsades hominibus potissimum insidientur, *ib.* 8.

Dipylum, Athenis, XXIV, 2; LXVI, 17 et 24.

Disciplina adolescentiam reddit incitatiorem, XLIX, 20; quid in ea potissimum observandum, I, 27; statim sub initio, I, 3; *conf.* XLIX, 20; viribus adolescentiæ debet esse æqualis, III, 28. Disciplina Græcorum, XLIX, 20 *sqq.* *Vide voces* Græci, Adolescentia, Educatio. Quænam Scythicæ adolescentiæ sit prima, XLI, 6; durior quædam, III, 27.

Disputationes philosophorum ad vulnera procedunt, LXXI, 1; frivolæ, XLVII, 34. *Vide voces* Logomachia. Philosophi. Longæ quædam et acerbæ, XX, 11. Ad novas disputationes quomodo affecti quidam, LIV, 5; *conf.* XXII, 1.

Distractio mentis per opiniones, LVI, 10.

Divinationibus veteres cur dediti fuerint, XXXVI, 23; divinator quidam a Demonacte quomodo reprehensus, XXXVII, 37; divinatio vera ac falsa, XXXVI, 27; LXV, 7 *sqq.*

Divites et divitiæ. Divites admonentur, X, 1, 3; divitum fastus perstringitur, III, 21; divitiæ reconditæ, V, 13; rejiciuntur, V, 38; earum fugacitas, V, 29; LXVI, 26; quænam eas vitia comitentur, V, 28; quænam veræ, LXXXII, 11; iisdem elatis quisnam superveniat casus, XXXIX, 21; iis moderate utentes sunt securi, *ibid.*; quomodo divites vitent invidiam, LXX, 33; divitum querelæ de pauperibus, LXX, 37 *et* 38; pauperum status melior, quam divitum, XLV, 15, 21; divites non sunt beati, LXX, 26; *conf.* XLVIII, 12; vanæ opes sine testibus, LXX, 29; *conf.* VII, 15; dives quid sit sine parasito, XLVIII, 58; quid illi hic prosit, XLVIII, 59. Divitum misera vita, XLV, 15, 29, 31; LXXV, 17 *et* 18; LXX, 26-30; divitiarum pericula, LXXV, 8; *conf.* LXVI, 27; quidam divitiarum causa pericula subeunt gravissima, V, 26; divitum multi adversa valetudine utuntur, LXVI, 27; *conf.* LXX, 28; XLV, 23; mortem ægre ferunt, XVI, 14; divitiæ malis hominibus obvenire solent, V, 25; LXX, 3 *et* 11; ad indifferentia referuntur, LXXI 36 *et* 37; *conf.* V, 56; XV, 35; contra divites promulgatur apud inferos plebiscitum, XI, 19, 20. *Vide voces* Numi, Pecunia, Avarus.

Doctus. *Vide* Eruditi.

Dodonæa fagus, XXXVIII, 31; Dodonæ nemus loquens, XLV, 2.

Dolium volvere in Craneo, XXV, 63. Dolium Danaidum, *vide* Danaides.

Dolor non est indifferens, LXXI, 47.

Domini quid et honeste et turpiter egerint, sciunt servi, XLII, 5.

Domus a Minerva excogitata, XX, 20.

Doris ob Polyphemum deridet Galateam, IX, 1, 1.

Dormire sub mandragoris, V, 2; dormire a mandragora, LXXIII, 36.

Dosiadæ Ara, XXXIV, 25.

Drachma oratori soluta, LXXIII, 30.

Draco sidus, XXXVI, 23; Latonæ infestus, IX, 10; custos auri, XXXIII, 56; signum numeri apud Parthos, XXV, 29. Dracones a mulieribus aluntur, XXXII, 7; unde probabile est exiisse fabulam de Olympiade tali cum angue cubante, *ibid.* Draco deus, quanam arte sit adhibitus ab Alexandro mago, *ibid. et* 13; quodnam cuidam nomen impositum sit, 18 et 38.
Dracon legislator, LIX, 8.
Drimylus, XLV, 14.
Dromo nomen servi, V, 22; Dromonis labores, XVII, 25.
Duces præclari, qui tam fortiter pugnant, quam sapienter ordinant aciem, LIII, 1.

E.

Ebrius describitur, V, 54; *conf.* XLVII, 16.
Echecrates, XX, 80.
Echinades, XXXIII, 50.
Echo garrula, IX, 1, 4; a Pane amatur, VIII, 22, 4; LXXXII, 40.
Eclecticus philosophus qua lege quis fieri queat, XX 49 et 52; electionis philosophicæ requisita, XX, 44 *sqq.*, 64.
Edax: in Edacem, LXXXII, 14.
Educationis durioris exempla, III, 27; IX, 6, 1. *Vide* Disciplina, Adolescentia, Græci.
Elatis fortuna sua qui superveniat casus, XXXIX, 21.
Electra fratrem non noscens, XIV, 22.
Elegia ridicula, LXXI, 41.
Elenchus, convictio, XV, 17; Menandri, LX, 4.
Eleorum jaculatores, X, 14, 2.
Elephanti Indorum a Baccho domiti, VIII, 18; elephanti Antiochi, XXII, 9 *et* 10; elephantorum cornua, LXXII, 16; elephantum facere ex musca, prov., LVII, 12.
Eloquentia nobilissimos efficit viros, LI, 2; in senectute demum matura, LV, 4; eloquentiam Græcam quomodo comparare deceat, XXXIV, 22; tribuunt eam Græci Mercurio, LV, 4; Galli Herculi, *ibid.*
Elysii campi, X, 30, 1; XLIII, 17; XXVII, 14.
Emmelia, saltationis genus, XXXIII, 22 *et* 26.
Empedocles, X, 20, 4; XXVII, 21; *conf.* XLVI, 13; LXVIII, 1; LXIX, 2; assatus, X, 20, 4; cur se ipse in Ætnam injecerit, *ibid.*
Empusa, saltatrix, XXXIII, 19.
Endymion quid ordinarit in astrologia, XXXVI, 18; rex bellum gerit contra Solem, XXVI, 12; amatur a Luna, VIII, 11, 1; XIII, 7; LXXIV, 8.
Enipeo neglectam puellam præripit Neptunus, IX, 13.
Enneacrunus fons, V, 56.
Epaphus, XXXIII, 59.
Epeus, LIII, 2; XXVII, 22.
Ephialtes, XLVI, 23; LI, 13.
Epicharmi comici ætas, LXII, 25.
Epictetus a Demonacte, quem admonuit, ut uxorem duceret, quomodo redargutus, XXXVII, 55; confidens in dicendo, LXVIII, 18; ejus discipulus Arrianus, XXXII, 2; ejus laterna, LVIII, 13.
Epicurus, XXXII, 17, XXXIII, 6; ejus atomi laudantur, XLVI, 18; voluptatem omnibus rebus præfert, XIX, 6; multa, quæ ad ejus doctrinam pertinent, XLVIII, 11; odio est Alexandro mago, XXXII, 47; a quo libri ejus comburuntur, *ibid.*; Luciani sententia de hisce libris, *ibid.*; quid agat apud inferos, XXXII, 25; est in insula Beatorum, XXVII, 17. Epicureorum doctrina, XIV, 19; XX, 36; deos esse negant, XLVI, 35; ad orgia Alexandri magi non admissi, XXXII, 38; quales sint, XX, 16. Epicureos damnant ac tamen voluptatem sectantur quidam, XLVII, 21; LXXI, 36.
Epigramma in virum dipsadis morsu exstinctum, XLIV, 6.
Epimenides, V, 6; LII, 26.
Epimetheus, II, 7.
Epipolæ, XXV, 38.
Epirotes cantor eximius, LXXIX, 9.
Epithalamium ridiculum, LXXI, 40,
Epitheta sunt poetis ad versum replendum usitata, V, 1.
Equites in campum vocare, LXXVI, 8.
Equus. Equum in campum, prov., XV, 9; equorum cupido exprobratur Romanis, III, 29; equus in prono campo lubentius currit, LXI, 10; equum se volutantem ut pinxerit Pauson, LXXIII, 24. Quorsum abis? Quorsum equo visum fuerit, LXXV, 18. Equæ Thessalæ, XXII, 6. Equiformicæ, XXVI; 12 et 16. Equivultures, XXVI, 11.
Eranus, cœna collaticia, LXVII, 7.
Erasistratus, homo delicatus, LXXXII, 37. Alius, lanius, *ibid.* 42.
Eratosthenis, Cyrenæi, ætas, LXII, 27.
Erechtheis tribus, V, 49.
Erechtheus, XI, 16; XXXIII, 40; ejus filiæ, LXXIII, 46.
Erichthonius unde sit natus, LXI, 27; *conf.* XXXIII, 39; de terra exsistens, LII, 3.
Eridanus: ad eum populi arbores, unde stillare dicebatur electrum, LVI, 1; *conf.* VIII, 25.
Erigone, XXXIII, 40.
Erigones canis, sidus, LXXIV, 5.
Erinnyes, X, 20, 1; LXXX; Erinnys, Tisiphone, XVI, 22.
Eriphyle, auri causa prodidit maritum, LXXV, 8.
Eris malum projicit aureum, IX, 5; LXXI, 35; *conf.* LXXVIII, 10.
Eros, Veneris filius, VIII, 20, 15.
Eruditio pulchrarum rerum princeps, XXXIX, 16; *conf.* I, 9; XV, 16; ejus imago, XXXIX, *ibid.* *Vide* Studia litterarum. Eruditio litterarum non prodest, ni vita respondet, LXXI, 34; eruditio magni æstimatur : *vide voces* Æschines, Demosthenes, Salaria, Præmia. Eruditis dupla portio debetur, LXX, 15. Eruditi Saturnalibus mittere libros divitibus jubentur, LXX, 16; eruditis esse turpe se dare in servitium, mercede proposita, XVII, 4; eruditorum morbus, XXV, 2.
Erythræi lapilli, XXXVIII, 41.
Evandridas Eleus, XX, 39.
Evangelus, musicus rudis, certare audet Delphis, sed exsibilatur, LVIII, 9.
Eubatidæ domus spectris vexata, tuta redditur, LII, 31.
Eubiotus, rex Machlyenæ, XLI, 53.
Eubulides orator, LXXIII, 12.
Eubulus, LXXIII, 41.
Euchenor, LXXVII, 15.
Euclides, XX, 76.
Eucrates Sicyonius, dives senex, X, 6, 1. Alius dives avarus, XLV, 9 et 32. Eucrates nobilis, XX, 11.
Eucritus fœnerator, LXXI, 5 *et* 37 *sqq.*
Euctemon, LXXIII, 48.
Eudamidæ et Aretæi amicitia, XLI, 22.
Eumelus musicus pauper, sed peritissimus, LVIII, 10.
Eumolpidæ e Paphlagonia, XXXII, 39.
Eumolpus, XXXVII, 34; XLIX, 34; LXIX, 8.
Eunomius, X, 11, 2.
Eunomus Locrus, XXVII, 15.
Eunuchus quale sit animal, XXXV, 8; omnibus muneribus excludendus, XXXV, 6.
Eupator rex, XXXII, 57.
Euphranor artifex, XVII, 42; XXXIX, 7; XLIV, 7.
Euphorbus interfectus a Menelao, XLV, 17; ejus nomen Pythagoræ datur, X, 20, 3; ejus coma, XL, 26; *conf.* XLV, 13.

Euphorion, XXV, 57.
Eupolis, poeta mordax, XV, 25; XLVII, 33.
Euripides erat parasitus Archelai, XLVIII, 35; ejus de congressu cum mulieribus sententia, XXXVIII, 38; item de puerperio, XLV, 19; item de diis, XLIV, 41; citatur XIV, 9; XXV, 1; LX, 32; ejus Bacchæ citantur, LVIII, 19; ejus Medea, X, 28, 2; ejus versus quidam, XI, 1; XV, 3; XVIII, 10; XIX, 2; XLVIII, 4; LVIII, 28; LXII, 23; LXXI, 25. Euripidem convenit Menippus, XI, 1.
Euripus, LXXIX, 2.
Europa, soror Cadmi, a Jove rapitur, IX, 15, 2; *conf.* LXXVIII, 7; LXXII, 4.
Europa in bello Trojano primum collisa est Asiæ, LXXVIII, 18.
Europus, colonia Edessorum, XXV, 24. *Ibid.* 20, 28.
Eurybatus, malitiosissimus homo, XXXII, 4.
Eurydice, uxor Orphei, X, 23, 3.
Eurystheus, XLIV, 21; LXXIV, 7.
Eurytus, XV, 6.
Euthydemus, Peripateticus, XX, 11.
Euthydici et Damonis amicitia, XLI, 19 *sqq.*
Excludere amantes amorem incendit, LXVII, 12.
Exempla excitant mentes, XLIX, 37; multitudini eorum non inest robur, sed præstantiæ, XLI, 11.
Exercitium luctæ quid? XLIX, 8; optimos illa effici cives honorisque amantes, *ibid.* 14; cur in Græcia instituta, *ibid.* 15 *et* 30. Lacedæmoniorum exercitia, *ibid.* 38. Juvenes exercitia reddunt animosos et robustos, 24; varia istorum genera, 8; XXXVIII, 45; traducit illa Anacharsis, XLIX, 9 *sqq.*; Exercitium utilissimum et jucundissimum, XXXII, 71.
Exsecare se. *Vide* Castrare, Gallus.
Exsilium pœnarum gravissima est, LXIII, 12.
Exspectare aliquem ut hirundinem advolantem pulli, V, 21.
Exterius cum interiori non semper convenit, XXXIX, 11; exempla istius diversitatis, *ibid.*; num ab exteriori ad interius valeat consequentia XX, 18 *et* 19. *Vide* Amictus.

F.

Faba. Cur eas aversetur Pythagoras, XIV, 6. Athenienses earum suffragiis creant magistratus, *ibid.*
Fabulæ Græcorum unde ortæ sint, XXXVI, 20; in historiis minus jucundæ, XXV, 8 *sqq.*
Fabulantes in tonstrinis audivisse, XXV, 24.
Falx et Gladius cognominatur Cleodemus, LXXI, 6.
Famæ bonæ amor nequaquam e vita expellendus, XLIX, 36.
Fati vis, X, 19, 2; *conf.* XXXVIII, 38; XLIII, 1 *et* 3; *vide* Parcæ. Fatum divinatione non immutatur, XXXVI, 28; ejus arbitrio regi homines, XVIII, 8; et ex Heracliti sententia omnes res, XIV, 14; si sit inevitabile non puniendos esse homines, XLIII, 18 *et* 19. Ad fatum referunt quod patrarunt malitiosi, exemplo Sostrati, X, 30; ridetur, LXXIV, 13; est duplex, LXXVII, 15. Fatum, nomen vanum, LXXIV, 13.
Febricitantes sanare creditur Polydamantis et Theagenis statua, LXXIV, 12.
Felix et Felicitas. Felix quis? XXXVII, 20. *Vide* Cleobis. Felicitas ab aliis in alia re ponitur, XX, 66; XI, 4; ea virtute est paranda, XX, 1-6; vera divitiarum expers, gloriæ et voluptatis, XX, 7; felicitas mutat mores, V, 22. *Vide* Divitiæ, Nomen, Honor, Fortuna.
Femina. *Vide* Mulier.
Ferrum cum auro confertur, XII, 12.
Ferula plagæ ducentæ et quinquaginta infligendæ pauperi qui diviti dona miserit, LXX, 16.
Festa nusquam frequentiora, quam in Syria, LXXII, 10.
Ficulneum lignum fumo molestum, LXVIII, 24.
Figuli dicuntur Promethei, II, 1.
Filius patris uxorem deperit, LXXII, 17. Filius divinus ex patre, *de Christo* LXXVII, 12 *et* 18.
Flumina retro eunt, prov., XVIII, 1.
Fœnerari soli convenit sapienti, XIV, 23.
Fœnus et ratiocinium, V, 13; Fœnus quatuor drachmarum per mensem, LXXI, 32.
Fœtidos (in), LXXXII, 17.
Fons Enneacrunus, V, 56.
Formæ corporis præstantissimæ imago, XXXIX, 6 *sqq.*; ea una cum pulchritudine mentis non semper in eodem homine, *ibid.* 11; exempla istius diversitatis, *ibid.*
Formica aut camelus, proverb., LXX, 19. Formicæ varia negotia, XLVI, 19; earum civitati humana comparatur vita, *ibid.*; ex iis orti sunt homines Myrmidones, 19. Formicæ Indicæ, XLV, 16; LXX, 24.
Fortuna. Ea atque fato nihil potentius, XLII, 3; vitam humanam moderatur, XI, 16; *conf.* XVIII, 8; fortunæ inconstantia, III, 20; ejus fuga relinquit tristes, XI, 16; quinam fortunæ bonis digni, XXXIX, 21; ea immoderate utentes quis casus superveniat, dum moderate ea utentes vivant securi, *ibid.* Fortuna nomen cassum, LXXIV, 13. *Vide* Plutus, Divitiæ, Felicitas.
Fraternus Castoris et Pollucis amor, VIII, 26, 2. Fratres se vocant Christiani, LXVIII, 13.
Fraus, exempla istius, XLI, 47.
Frugalis victus, V, 56.
Fumus. Victimis sine fumo non delectatur Hercules, XXXVIII, 4. E fumo se conferre in ignem, XI, 4. Fumus Cynicis habentur aureæ coronæ et purpura, LXXV, 19.
Funis. Omnem movere funem, XXXII, 57; XXIV, 11; funem nimium contendendo rumpere, LXVII, 4, 3.
Funus. *Vide* Sepultura, Parentatio. Funerum vanitas, III, 30; *conf.* L, 19; XII, 22. Funebres sermones perstringuntur, L, 20 et 23.
Furiæ adstant solio Minois, XI, 11; ministræ Plutonis, L, 6; in incantationibus invocatæ, XI, 9.
Furiosos curare esse difficile, XXIX, 17. Furor juvenum, senum, mulierum, unde oriatur, 30.

G.

Gades, X, 12, 6.
Galateæ amator, Polyphemus, IX, 1.
Galea orci, XLVII, 21; triplex, LXXVII, 25.
Galene, Nereis, IX, 5.
Galilæus in tertium cœlum penetrans, LXXVII, 12.
Galli, sacerdotes Cybeles, castrati, LXX, 12; stipem colligunt, *ibid.*; deam Syriam in asino circumducunt mendicantes, XLII, 35; et frequenter, *ibid.*; LXXII, 15. Gallos amant feminæ, *ibid.* 22; origo moris sese castrandi, *ibid.*, 26 *et* 27; cur vestes muliebres gestent, *ibid.*; vulnerant brachia, *ibid.* 50; ritus se castrandi, *ibid.* Quomodo sepeliantur, *ibid.* 52.
Gallina Numidica, XVII, 17; LXVI, 23. Gallinarum lac mulgere, XVII, 13. Gallinam pinguiorem petit conviva philosophus, LXXI, 43.
Gallograeci, XXXII, 9; XIX, 9; Gallogræcorum fortium virorum acies, XXII, 8.
Gallorum gallinaceorum contra coturnices pugna apud Græcos, XLIX, 37. Gallus Mercurii comes, XLV, 2; amicus Martis, 3.
Gallus quidam non ineruditus, LV, 4. Alius quidam Eunuchus, XXXV, 7. Galli ab Annibale victi, X, 12, 2. Vim dicendi tribuunt Herculi, LV, 4.

Ganymedes, cognatus Paridis, VIII, 20, 1; qualis sit, XXXVIII, 14; cur a Jove raptus, VIII, 4, 3; LXXVIII, 7; et quomodo sit raptus, VIII, 20, 6; pincerna illius, VIII, 5, 2; a Jove ad osculum invitatus, VIII, 4, 4.
Garamantum vivendi ratio, LXIV, 2.
Gargarus, Idæ cacumen, VIII, 4, 2; VIII, 20, 1; LXXVIII, 7.
Garruli taciturnitatem simulant, sed rogari cupiunt, LXXI, 4.
Gaude (χαῖρε), salutandi formula, quid significet, ejusque usus, XIX, 2.
Geloi: Lampichus eorum tyrannus, X, 10, 4.
Gelonis tyranni graveolentia oris, XX, 34.
Gemini cœleste signum, XXXVI, 23.
Gemmæ albæ, aqueæ, igneæ, LXXII, 32; gemmæ Indicæ, XXXVIII, 41; LXXII, 16; gemma Lychnis, LXXII, 32; lucem noctu præbens, *ibid.*
Gentium quarundam dii, XIII, 10; *conf.* XLIV, 42; LXXIV, 9; gentium (*gentilium*) quidam honesti, LXXVII, 17.
Geræstus, XLIV, 25.
Germanicum bellum, XXXII, 48.
Geryon, XXXIII, 56; qualis corpore, XLI, 62; ejus ossa ostentant Thebani, LVIII, 14; ejus greges, LV, 2.
Getæ, XXV, 5; XLVI, 16.
Gigantes diis bellum inferentes, VIII, 13; eorum seditio, XXXIII, 38; contra eos bellum, LXXVIII, 18.
Gladius et falx cognominatus Cleodemus, LXXI, 6.
Glauce, XXXIII, 42; XXXIII, 80.
Glaucias Alexidis filius, LII, 14.
Glaucus, deus, XXXII, 49; LXXXII, 23.
Gloria pretiosior præmiis, XLIX, 10; eam consequi laboriosum, *ibid.*; ejus amor nequaquam ex vita expellendus, 36. *Vide* Laus, Honor, Fama.
Glycerium, pellex Megapenthis, XVI, 12.
Glycon, draco Alexandri magi ita appellatus, XXXII, 18 et 38 *sq.*; in honorem ejus cuditur nummus, 58; *conf.* 43.
Gnathonides, assentator, V, 45; LXIX, 19.
Gniphon, dives avarus, XLV, 31; fœnerator, XVI, 17 parasitus, V, 58.
Goæsi, Omanorum regis, ætas, LXII, 17.
Gobares, XVI, 6.
Gorgias, sophista, XV, 22; ejus ætas, LXII, 23.
Gorgones sorores, IX, 14, 2; XXXIII, 44. Gorgonis virginis historia, IX, 14, 2; LXXVII, 9; Gorgonis in pectore Palladis utilitas, LXXVII, 8. Gorgonem metuit Cupido, VIII, 19; Gorgonem videntibus quid acciderit, XXXIX, *conf.* LXI, 19. Gorgones esse somnia, XX, 72.
Græcia Alexandrum ducem eligit, X, 13, 2; male moratos ad vitam honestam reducit, III, 12; ejus mulieres pulchræ, VIII, 20, 13. Græci bellicosi, X, 14, 2; perculsi, X, 12, 3; ad Chæroneam victi, LXII, 23; eorum cura civitatis bene instituendæ, XLIX, 20, et disciplina, *ibid.* Cur exercitia Græci instituerint, *ibid.* 15; præmia dant victoribus, *ibid.* 36; ad virtutem excitant adolescentiam exemplis animalium, *ibid.* 37; instruunt eam arithmetica, musica, poesi, morum scientia, *ibid.* 21. Græci veteres quomodo comam ornare fuerint soliti, LXVI, 3; cur non adhibeant pileum, XLIX, 16. Græcorum jusjurandum, XLI, 12; quomodo solem adorent, XXXIII, 17; mortuos cremant, L, 21. Comœdorum apud eos licentia, XLIX, 22; Græcorum fabulæ unde ortæ, XXXVI, 20; unde astrologiam hauserint, *ibid.* 10; verbis Græci amiciores quam re, XLI, 9; verborum sectantur elegantiam, *ibid.* 42; vim dicendi attribuunt Mercurio, LV, 4.
Grammatica altrix, Grammatici, LXXXII, 16.
Grammis, nomen mulieris, LXVII, 13.
Granicus mons, X, 12, 3.
Gratia uxor Vulcani, VIII, 15, 1. Gratiæ laudantur, XX, 72; Gratiæ comites Veneris et Paridis, VIII, 20, 15; Gratiis in dicendo operam esse dandam, XXXIV, 23.
Gruem saltare quid? XXXIII, 34.
Gryphes, IX, 15, 4.
Gustare. In gustando vino non opus est ebibere dolium, XX, 58.
Guttur quatuor digitos longum, III, 33.
Gyarus, insula, XII, 18.
Gygis anulus, XLVII, 21; LXVI, 42. Gygis habere aurum, XLVIII, 58.
Gylippus, XXV, 38.
Gymnasium qualis locus sit, XLIX, 7; Scythis ignotum, XLIX, 6. *Vide* Exercitium, Græcia.
Gymnopædia, saltationis Lacedæmonicæ genus, XXXIII, 12.
Gymnosophistæ, LXIX, 7.
Gyndanis et Abauchæ amicitia, XLI, 61.

H.

Hæmus, XXXIII, 51; LXIX, 25.
Halcyonis fabula, VI, 1; *conf.* XXVII, 40; dies halcyonii, VI, 2.
Halicarnassus Mausoli monumento ornata, X, 24, 1.
Halirrhothius, XXXIII, 39.
Halys, XLIII, 14.
Hannibal. *Vide* Annibal.
Harmodii parasitus, Aristogiton, XLVIII, 48.
Harmonides inter canendum exspirat, XXIII, 2.
Harpina urbs, LXVIII, 35.
Harpyiæ Phinеum privant cibo, V, 18.
Hebe, VIII, 5, 2; X, 16, 1; XXXVIII, 14.
Hebræorum voces obscuræ, XXXII, 10.
Hebrus fluvius maximus, LXIX, 25.
Hecatæ cærimonia, LXVI, 15; in incantationibus invocata, XI, 9; ejus cœna, X, 1, 1; X, 22, 3; XIV, 7.
Hector a Jove subductus, III, 18; quid moriens locutus sit, XLVIII, 26; Hectori sacrificatur, LXXIV, 12.
Hegesias, statuarius, LI, 9.
Hecubæ similis mulier, XLV, 17; Hecuba Minervæ donat duos boves et peplum, XIII, 2; Helenæ similis nulla arte reddenda, LXXXII, 42.
Helene Ledæ filia, VIII, 20, 14; ejus pulchritudo, XXXIX, 22; non erat qualis describitur, XLV, 17; ejus forma despicitur, X, 18, 2; amatoriæ nequitiæ perita, VIII, 20, 13; ab Achivorum principibus expetita, VIII, 20, 14; *conf.* LXXVIII, 17; ejus prior raptus, XXXIII, 40; Amatur a Theseo, LXXVIII, 16; *conf.* XXVII, 8; ab eoque rapitur, VIII, 20, 14; XLV, 17; idcirco magnum exoritur bellum, VIII, 20, 14; erat causa Trojani belli, X, 19, et magnæ internecionis, X, 18, 2; pulchritudinis gratia se in deam mutat, fratribusque divinitatem comparat, LXXVIII, 6; rapta a Cinyra in insula Beatorum fingitur, XXVII, 25 *et* 27; ejus laudibus Theseus insertus, LXXIII, 10. De ea recantare in pejus, XVIII, 1. In Helenam nulla arte vertas Hecubam, LXXXII, 42. *Conf.* XXVII, 8.
Helicon, XLIV, 26; Heliconem non audiisse unquam, LVIII, 3.
Heliopolis, LXXII, 5.
Hellanicus Lesbius, LXII, 22.
Hellanodicæ, XX, 39; XL, 11.
Helle filia Nepheles, IX, 9, 2; cur ab ariete deciderit, *ib.*; nomen dedit Hellesponto, *ibid.* 1; ubinam sepulta, *ibid.*
Helleboro indigere, X, 17 2.

Hellen, pater Æoli, VI, 1.
Hellespontus unde dicatur, IX, 9, 1; junctus a Xerxe, X, 20, 2; eum transire pedibus, LI, 18.
Hemitheon, LX, 3.
Hephæstion ductor sponsi Alexandri XXI, 5; quomodo Alexandrum salutaverit ante pugnam ad Issum, XIX, 8; ab Alexandro inter deos refertur, LIX, 17.
Heraclides Carus, XXVII, 22, 1; Ephesi natus, XIV, 13.
Heraclitus omnia deplorat, XIII, 15; XIV, 14; ejus doctrina, *ibid.*; *conf.* LXVIII, 7.
Heramithres, XVI, 21.
Hercules dicitur trinoctialis, I, 17; rusticus, XLIV, 32; Sostratus, XXXVII, 1; Ogmius, LV, 1. Hercules Tyrius antiquior Græco, LXII, 3; malorum depulsor, LXIX, 32. *Conf.* XXXII, 4; XLV, 2. Erat Jovis filius, VIII, 13, 1; X, 16, 1; Jovis et Amphitryonis filius esse fingitur, X, 16, 3; admirandus vir, X, 15, 3; quibus rebus armatus sit, X, 16, 1; ejus robur laudatur, XXXIII, 73; Hercules apud Pholum pingitur cubans cum calice, LXXI, 14; quomodo pictus sit, XXV, 10; monstrose apud Gallos pingitur, LV, 1; homines trahit auribus vinctos, *ibid.* 3; in Venerem acer, XXXVIII, 1; certaminis præses, XX, 40; quid perfecerit, XLIV, 21; *conf.* VIII, 13, 1; in Argo navigavit, LXIX, 20; Herculis columnæ, XX, 4; ejus nomen iisdem inscriptum, XXVI, 7; pro Atlante fert cœlum, XII, 14; ejus cum flumine lucta, XXXIII, 50; ab Omphale captus lanas carminavit, VIII, 13, 2; XXV, 10; LXVIII, 2; liberos et uxorem occidit, VIII, 13, 2; XXXIII, 44; Centauri sanguine exeditur, VIII, 13, 2; in Œta conflagravit, VIII, 13, 1; XX, 7; XXXIII, 50; XXXVIII, 54; LXVIII, 4, 21, 25; ob virtutem deus est factus, LXXVIII, 6; Hercules in cœlo curarum expers, VIII, 24; ei gratificantur dii inferi, X, 22, 3; Æsculapio posthabetur, VIII, 13, 2; Herculis irridetur divinitas, X, 16; LXXIV, 7; se dicit simulacrum dei, X, 16, 1; ei decimus tertius labor injungendus, LXIX, 23; adscribunt ei Galli vim dicendi, LV, 4. *Vide* Eloquentia. Non infelix, quod nudus est, LXXV, 13; Herculis certaminibus saltatio comparatur, XXXIII, 78; Herculis cum arcu sagittas habere, LVIII, 5.
Heredipetæ, X, 11, 1; X, 5, 1; X, 3, *sqq.*; X, 7; X, 8; Hereditatis spe decepti, *vide in* Adulator.
Hereditas liberis debita, X, 8; X, 6, 3.
Hermagoras, XLIV, 33.
Hermaphroditus qualis sit, LXVII, 5, 3; *conf.* VIII, 15; frater Cupidinis semivir, VIII, 23, 1.
Hermias, eunuchus, philosophus, XXXV, 9.
Herminus Aristotelicus, XXXVII, 56.
Hermippi persona, passim in dialogo, LXXVIII.
Hermocles, Rhodius, statuarius, LXXII, 26.
Hermocrates, XXV, 38.
Hermodori perjurium, XLVI, 16; XLVI, 26.
Hermolaus, X, 8.
Hermon Epicureus, LXXI, 6 *et* 9.
Hermotimus, cur philosophiæ stoicæ se dederit, XX, 16; ejus fabula, LVII, 7.
Hernia, ejus ope Diophantes navis opus implet, LXXXII, 28.
Herodes, XXXVII, 24, 33.
Herodicus, XXV, 35.
Herodotus, ejus laudes, XXI, 1; prælegit historias, *ibid.*; ejus libri dicuntur musæ, *ibid.*; digito monstratur, *ibid.* 2; citatur, XXVII, 5; vera non scripsit, XXVII, 31; mendacia tradidisse dicitur, LII, 2; oculos fideliores auribus putavit, XXXIII, 78. *Conf.* XXV, 42.
Heron, LXVI, 6 *et* 9.
Herophilus Cynicus, XLVI, 16.
Hesiodus futura divinandi facultatem a dils accepit, LXV, 1; crimina ei objecta, *ibid.* 2; quæ divinaverit, *ibid.* 5; omnia divino afflatu dixit, *ibid.* 9; poetica licentia in cœlum evehitur, XIII, 8; quæ res narraverit, XI, 3; ejus de virtute carmina, *ibid.* 4; ejus de virtute sententia, XX, 2; carmina ejus de nativitate deorum a Musis canuntur, XLVI, 27; num sit posterior Homero, LXXIII, 9; XXVII, 22. Hesiodus et Homerus multa imitatione digna cecinere, XLIX, 21; multa fabulosa narrarunt, L, 2; ridentur ob fabulam de Saturno, LXX, 6. Hesiodus laudatur, XXXIII, 24; XXXVIII, 3; ejus laurus, LXXIII, 12. Saltandi studium laudat, XXXIII, 23; cornices in ejus sepulcro, LXVIII, 41.
Hesperides, XXXIII, 56.
Hetœmocles philosophus queritur, se non vocatum ad convivium, LXXI, 22.
Hierapolis urbs, LXXII, 1; LXXII, 13 *sqq.*
Hiero Syracusanorum tyrannus, LXII, 10.
Hieronymus laudatur, LXII, 11 *et* 13; ejus senectus, *ibid.* 22.
Himeræus poeta, XL, 15.
Himeræus Phalereus, orator, LXXIII, 31.
Himerus, Veneris filius, VIII, 20, 15; hominem amabilem reddit, *ibid.*
Hinnulus leonem, prov., X, 8, 1.
Hipparchus, avarus dives, XLII, 1-4; ejus uxor maga lasciva, *ibid.* 4; avis specie illa evolat ad amasium, *ibid.* 12.
Hippias sophista, XXI, 3.
Hippias, XV, 22; vir eruditus, mechanicus, LIII, 3; ejus pulcherrime ornatum balneum, 4 *sqq.*
Hippoclides non curat, prov., XVIII, 15; LXXVII, 29; de eo, LV, 8.
Hippocentaurus, II, 5; X, 16, 2; Hippocentauri quid sint, XX, 72; comparatur cum dialogo, XLVII, 33; Hippocentauris comparantur sophistæ, LXIX, 10.
Hippocratis, medici Coi, dictum, XX, 1. *Conf. de eo*, XXVII, 7.
Hippocrene, LVIII, 3.
Hippodamia: ejus proci necantur a patre Œnomao, currus certamine victi, LXXVIII, 19.
Hippogerani, XXVI, 13.
Hippogypi, XXVI, 11.
Hippolyta, Amazon, XLIX, 34.
Hippolytea rusticitas, XXXVIII, 2.
Hippolytus, XXXIII, 40; a Phædra delatus, LIX, 26; LXXII, 23. Hippolyto comas ponunt nubentes, *ibid.* 60.
Hippomyrmeces, XXVI, 12 *et* 26.
Hipponax, poeta, LVIII, 27; LX, 2.
Hipponicus, V, 24.
Hircocervi, II, 7.
Hircum mulget alter, alter supponit cribrum, XXXVII, 28; hircum olet rusticus, LXVII, 7.
Hispania, terra tirocinii Annibalis, X, 12.
Histiæus, grammaticus, LXXI, 6.
Historia: eam quivis vult scribere, XXV, 2; eam contexere difficile, *ibid.* 5. Historicorum vitia, *ibid.* 6. Historiam ab encomio esse distinguendam, *ibid.* 7; historicus non debet esse adulator, *ibid.*; historia adulationibus repleta improbatur, *ibid.* 8; in ea quando et quomodo laudandum, *ibid.* 9; ejus principium esse veritatem, *ibid.*; historicus quidam malus ridicule contexit historiam, *ibid.* 14; ineptorum historicorum exempla, *ibid.* 15-27, 29, 30; minutiis immorantes, ad res magnas inepti, cui similes,

ibid. 20, 27, *et* 28; post proœmium speciosum pusillum quoddam tractantes, *ibid.* 23; in tractatione historica omnia sibi debent esse similia, *ibid.*; historicus quidam malus geographus, *ibid.* 14; boni requisita, *ibid.* 34-37; prudentia civilis et eloquendo vis historico necessaria, *ibid.* 34; ad historiam scribendam non quivis idoneus, *ibid.* 35; veritatis debet esse amans, intrepidus, *ibid.* 38 *et* 41; quando is esse non possit, *ibid.* 39; dilucide explicet, *ibid.* 44; dicendis exæquari debet dictio, *ibid.* 45; bene res disponat historicus, *ibid.* 47; cuinam similem esse oporteat, *ibid.* 51; quomodo formandum proœmium, *ibid.* 53; quomodo ad narrationem inde transeundum, *ibid.* 35; multa debet omittere, cujus instar, *ibid.* 56; vel verbo eloqui, *ibid.*; moderate laudet, *ibid.* 59; neque calumnietur, *ibid.*; de fabulis, quas profert, suspendat judicium, *ibid.* 60; pro omni ætate scribere debet, *ibid.* 61; hoc faciens, cui sit similis, *ibid.* 62.

Historicorum longævorum exempla, LXII, 22.

Histriones, personis, quas referunt, tribuentes actiones inconvenientes, XV, 31 *et* 33; III, 8-11; XVIII, 5. *Vide* Comœdia, Tragœdia.

Holmeus fons, LVIII, 3.

Homerus. Ejus patria, XXVII, 20; tempusque, LXXIII, 9; cujas sit, oraculum Alexandri magi a Luciano interrogatur, XXXII, 53; patriæ suæ nusquam facit mentionem, XXV, 14; num cæcus fuerit, XXVII, 20, cæcus dicitur, LXX, 6; X, 25, 1; somniorum imperitus, cæcus, XLV, 5; ejus sapientia, XVII, 25; num versus ab eo scripti sunt, XXVII, 20; ejus quidam versus periere, XXVII, 24; est magniloquus, XII, 23; poetica licentia in cœlum evehitur, XIII, 8; bonis versibus aditum in cœlum conficit, XII, 4; versibus suis tempestatem excitat, XII, 7; reddit Charonti visum, *ibid.* 24; quam egregie laudet, XL, 24, *sqq.*; laudator, non adulator, *conf.* XXV, 40; ejus Sirenes, Celedones, etc., III, 3; Thersiten taxavit carmine, XXVII, 20; heroas a pedibus, capite et coma laudat, LXXIII, 21; Nireum formosissimum hominem laudat, *ibid.*; Menelaum quomodo depingat, XXXIX, 8; saltandi studium laudat, XXXIII, 23; e spectaculo redit doctior, XXXIII, 4; quas res narret, XI, 3; omnes res in duas classes divisisse videtur, XXXIII, 23; quid bello opposuerit, *ibid.*; non necessaria in historiis omisit, XXV, 57; de Achille multa fabulose scripsit, *ibid.* 40; ejus versus multa continent ad astrologiam pertinentia, XXXVI, 22; culpatur ob ficta pugnantium colloquia, LXXIII, 7; non verum esse, quod de diis canat, XLVII, 1; mendacia cecinisse dicitur, LII, 2; ei fidem non habendam esse, XLIV, 40; cum Hesiodo fabulosa de inferis narravit, L, 2. Homerus et Hesiodus ridentur ob fabulam de Saturno, LXX, 6; *conf.* LII, 2; iidem multa imitatione digna cecinerunt, XLIX, 21; cum Demosthene contenditur, LXXIII, 5; modo ei præfertur modo postponitur, *ibidem et per totum dialogum sæpius.* Ejus carminum decora abjecta jacent, X, 20, 2; ejus carmina ubi canantur, XXVIII, 15; ejus versus recitando decantantur, X, 12, 3; urbis somniorum mentionem fecit, XXVII, 32 *et* 33; Homericæ plagæ, XVII, 8. Homerum adit Menippus, XI, 1; Homerus adoratur, LXXIII, 2; citatur, I, 5; XIII, 19; XIII, 2; XXVII, 36; XXXIII, 13; XLV, 2; XLVI, 11; XLVIII, 44; LVII, 5; LIX, 30; LXX, 23; LXXVIII, 4. Versus ejus citantur, III, 6; III, 17, 18, 37; X, 11, 1; XI, 9; XI, 15; XII, 4; XII, 8; XII, 9; XII, 14; XII, 22; XIII, 14; XV, 3; XXXII, 5; XV, 41 *et* 42, XVII, 11, 16; XVIII, 8 *et* 14; XIX, 2; XXII, 10; XXXIII, 4, 8 *et* 23 *et* 85; XXXIV, 22; XXXVII, 60; XXXVIII, 23; XL, 20, 24, 25; XXXIX, 22; XXVIII, 31, 54; XLIII, 2-4; XLIV, 6 *et* 14 *et* 40; XLV, 13; XLVI, 10; XLVII, 13 *et* 19, 22, 23, 24, 25, 34; XLVIII, 10; L, 24; LV, 7; LIX, 10; LXIX, 30; LXXI, 25, 44; LXXVII, 14 *sqq.* 23.

Homo a Vulcano compositus, XX, 26; homines formati, XXXIII, 38; homo fit ex pistillo, LII, 35 *et* 36 *Vide* Vita. Homo bicolor in Ægyptum a Ptolemæo adductus, II, 4. Homo infans, VI, 3; homines a se invicem diversi, VI, 5; homines principio vitæ pellibus animalium induti, XXXVIII, 34; a rudi principio artibus et scientiis pedetentim statum suum effecere meliorem, *ib.*; hominis esse peccare, XXXVII, 7. Res humanæ neque spe, neque metu dignæ, XXXVII, 20; nulla hominum vita tranquilla, XLV, 27, sed est ridicula, XLVI, 4; comparatur cum civitate formicarum, *ibid.* 19; cum saltatorio spectaculo, *ibid.* 17; homines designarunt deos, XIII, 10; eorum in deos indignatio, XLVII, 3; homo nequam variis nominibus appellatus, LX, 27; hominibus uti pro jumentis ridetur, LXXV, 10.

Honoris amor nequaquam e vita expellendus, XLIX, 36. Honores mutant mores, XLV, 14; V, 22. *Vide voces* Nomen, Divitiæ, Aurum, Felicitas. Ex eruditione proficiscitur honor, I, 11. *Vide* Laus, Notitia, Eruditio, Æschines, Demosthenes.

Horæ, XIII, 8; XXXVI, 5.

Hori libros et Isidis ediscit Pythagoras, XLV, 18.

Hormus, saltandi genus, XXXIII, 12.

Hortari ultro festinantem, III, 6.

Hospitali Jovi sacrificant redeuntes peregre, LXVII, 9.

Hospites doctores, LXXII, 56.

Hostiæ quales diis præbeantur, XIII, 12; ritus circa eas, *ibid. Vide* Sacrificium.

Humanitatis imago, XXXIX, 19.

Hyacinthus Laconis Œbali filius, VIII, 14; ejus pulchritudo, X, 18, 1; LXXVIII, 24; *conf.* XXVII, 17; Apollinem amat, VIII, 2, 2; disci jactu ab Apolline interfectus, VIII, 14 *et* 15; XIII, 4; XXXIII, 45; ab eodem sepelitur, VIII, 15; in florem vertitur, *ibid.*

Hydramardia, urbs, XXVII, 46.

Hydra, XXX, 8; XLIV, 21; comparantur cum ea amores, XXXVIII, 2, et vires humanæ, XLIX, 35.

Hylas, XXVII, 17; LXVI, 43.

Hymenæus, VIII, 20, 16.

Hymettus, V, 7. Hymetti plenus sermo, XVII, 35.

Hypata urbs, XLII, 1.

Hyperbole enormis, LXXVII, 3.

Hyperbolus. Incidere in Cleonem aut Hyperbolum aliquem, V, 30.

Hyperides, patriæ sollicitator, miles trepidus, XVIII, 42; infidus, adulator, LXXIII, 31.

Hyporchemata qualia carmina sint, XXXIII, 16.

Hypsipyle, XXXIII, 44.

Hypsicratis, Amiseni, ætas, LXII, 22.

Hyspasinis regis Characis ætas, LXII, 16.

I.

Iacchus laceratus, XXXIII, 39.

Jacere aleam, XXIII, 3; XL, 16.

Jambulus, scriptor fabulosus, XXVI, 3.

Iapeto antiquior, VIII, 2, 1; VIII, 7, 1.

Iapyx, X, 11, 2.

Iasion, LXXIV, 8.

Iason, XX, 73; XXXIII, 52.

Icarius, inter pocula occisus, VIII, 18, 2; vineæ cultor, XXXIII, 40.

Icarii filia, Penelope, VIII, 21; in cœlum recepta, LXXIV, 5.
Icarus, XXXIII, 49; XXXIX, 21; XLV, 23; temerarius astrorum scrutator, XXXVI, 15.
Iccus, XXV, 35.
Ida mons, VIII, 4, 2; VIII, 11; VIII, 12, 1; VIII, 20.
Idæus puer (Ganymedes), VIII, 6, 2.
Idiotarum optima vita, XI, 21 *et* 4.
Idomeneus præstantissimus Græcorum, X, 21, 1; erat parasitus, XLVIII, 44.
Ignis furto subductus, XXXIII, 38; ignis non exstinguitur igni, XXXVIII, 2; igni sacrificant Persæ, XLIV, 42; in ignem se conferre ex fumo, XI, 4; ignis necessitas, VII, 19; communicatus non decrescit, VII, 18; solis ignis flagrantior, VII, 19; ignis celere mortis genus, LXVIII, 21; sacrilegorum et homicidarum pœna, *ibid.* 24.
Ignorantia plurium malorum causa, LIX, 1; *conf.* XII, 21.
Ignotus deus Atheniensium, LXXVII, 9.
Ilias malorum, LXXI, 35.
Iliensis tragœdos ipse conduxit, prov., LX, 11.
Ilion, XII, 23.
Ilissus, LXI, 4; LXVI, 13.
Illyrii fortes, X, 14, 2. Illyriorum equitatus, LXXIII, 34.
Imago formæ corporis præstantissimæ, XXXIX, 6 *seqq.*; eruditionis, *ibid.* 16; benignitatis, *ibid.* 19; beneficentiæ, *ibid.*; benevolentiæ, *ibid.*; animæ præstantissimæ, *ibid.* 13 *seqq.*; sapientiæ et prudentiæ, *ibid.* 17.
Imaginum quarundam miracula. *Vide* Simulacrum, Statua.
Imitator Thucydidis, XXV, 16.
Impossibile, LXXXII, 15.
Inachus, pater Ius, VIII, 3, 1. Inachi filia, juvenca, IX, 7, 1; *conf.* XXXIII, 43. Inachi alveus Argis, XII, 23.
Incantationes, remedia morborum, LII, 8 *seqq.* Incantationis descriptio, XI, 7 *et* 9; LII, 14; LXVII, 4.
India a Noto perflata, IX, 15, 1.
Indi, maxima orbis terrarum gens, LXIX, 6; a Baccho victi, VIII, 18; LIV, 4; arte saltandi domiti, XXXIII, 22; ab Alexandro victi, X, 12, 5; adorant solem saltando, XXXIII, 17; vino dediti, III, 5; vitro oblinunt mortuos, L, 21. Indorum elephanti, X, 14, 3; Indicum ebur, XIII, 11; Indica testudo, XLII, 53; Indica vestis, LVII, 1; Indicæ gemmæ, LXXII, 16.
Indifferentia dicebant mala Stoici, LXXI, 31; et divitias, LXXI, 36 *et* 37; redarguuntur suo exemplo, *ibid.*; dolorem non esse indifferens, quid? *ibid.* 47.
Indigeo. Paucis indigere est proximum diis esse, LXXV, 12.
Indopatres, XVI, 21.
Infernales pœnæ, XI, 14; *conf.* L, 8. Leges per quas fiant ratæ, XI, 20.
Infernus. *Vide* Orcus.
Ingrati, in eos epigr., LXXXII, 7.
Initiati dicuntur podagrici, LXXX, 125, 179, 239.
Injusti. *Vide* Mali.
Ino, Bacchi nutrix, IX, 9, 1; cum filio in mare præcipitata, IX, 8 *et* 9; a delphinibus recipitur, *ibid.*
Insania, dea, XLVIII, 2.
Institutio. *Vide* Educatio, Disciplina, Adolescentia.
Insula Beatorum, XVI, 24; XXVII, 7; XX, 71. Insulæ variæ, XXVII, 27.
Interius cum exteriori non semper convenit, XXXIX, 11: exempla ejus diversitatis, *ibid.* Num ad interius hominis ab exteriori valeat conclusio, *ibid.* *Vide* Amictus.
Interpres. Interprete opus est Pythio, XLIV, 28. Themistocle nihil opus erat interprete, XLIV, 31.
Interrogando et dubia opponendo facilius discitur, XX, 13.
Invidia. Invidemus virtuti alterius; pulchris non invidemus, LXXVIII, 23.
Io, filia Inachi, VIII, 3, 1; XXXIII, 43; in Isin vertitur, VIII, 3, 1; item in juvencam, *ibid.*, *et* IX, 7; dea facta præerit navigantibus et domina erit ventorum, *ibid.*
Iolaus, XXX, 8; XXXVIII, 2; repubescens, X, 5, 2.
Ion Platonicus, LXXI, 7; vocatur Canon, *ibid.*; *conf.* LII, 6.
Ionia capta, X, 12, 4; a Mausolo debellata, X, 24, 1.
Ionius sinus, XXXVIII, 6. Ionium Ægæumve mare crate trajicere, XX, 28.
Ionopolis, XXXII, 58.
Iophon patrem Sophoclem dementiæ accusat, LXII, 24.
Iphicli filius, X, 23, 1.
Iphigenia, XLI, 6.
Iris, ministra Jovis, XIII, 8.
Irus, XI, 15.
Isæus orator, LXXIII, 12.
Isiacis (de), LXXXII, 42.
Isidis libros et Hori ediscit Pythagoras, XLV, 18.
Isis Ægyptiorum dea, VIII, 3, 1; X, 13, 3; LVIII, 14.
Isidorus Characenus, historicus, LXII, 15 *et* 17.
Ismeniæ tibiæ celebres, LVIII, 5.
Ismenodorus in itinere occisus, X, 27, 2.
Isocrates ad bellum timidus, XLVIII, 42; Thesea inseruit laudibus Helenæ, LXXIII, 10; citatur, *ibid.* 12; ejus ætas et exitus, LXII, 23.
Issus, X, 12, 3, 4.
Ister fluvius, XII, 4; XXXII, 48.
Isthmus habuit viginti stadia, LXXIX, 1; eum perfodere cur aggressus sit Nero, *ibid.* 2; quinam ante eum hoc tentarint, *ibid.*; desistit a consilio metu inundationis, *ibid.* 4; verius metu vindicis, *ibid.*
Italiæ aer, LXII, 9. Italia subjecta ab Annibale, X, 12, 2,

J.

Judæi medici, LXXX, 264.
Judex ad quid attendere debeat, XXXV, 5; utramque debet audire partem, XX, 30; *conf.* LIX, 8. Judicum merces triobolus, XLVII, 12; LXXIII, 36. Judicium nullum putat esse verum Pyrrho, XIV, 27. Judicium meliorum distat a vulgi judicio, XXIII, 2.
Juno uxor et soror Jovis, XIII, 5; mater Vulcani, *ibid.* 6; ejus oculi comparantur, XL, 26; ejus coma picta, XXXIX, 7; formam suam laudat, VIII, 20, 10; sibi vindicat pomum, IX, 5, 2; in judicio pulchritudinis Paridi Asiæ imperium promittit, LXXVIII, 17; a Polycleto efficta, I, 8. Juno Syria, LXXII, 1; leonibus insidens, *ibid.* 31; eadem multas simul deas referens, *ibid.* Exprobrat Jovi amores, XLIV, 2; VIII, 5, 2; zelotypa ob Semelen, VIII, 9, 2; item ob Ganymedem, VIII, 5, 2; VIII, 3, 1; Inachi filiam facit juvencam, IX, 7, 1; Latonæ parturienti infesta, IX, 10; ejus dolus, XXXIII, 39; insidias struit Jovi, VIII, 21; ab Ixione tentatur, XV, 12; LXX, 38; Tiresiam visu privat, X, 28, 3. Opum donatrix, LXVII, 7; ubi colatur, XIII, 10; ejus templum, LXXII, 13. Juno traducitur, LXXVII, 11.
Juppiter. Ejus epitheta, V, 1; Saturni et Rheæ filius, V, 6; ejus nativitas, XXXIII, 37; ejus natales saltantur, *ibid.* 80; per saltationem servatur, *ibid.* 8; a capra nutritur in Creta expositus, XIII, 5; expulso patre, imperium ad se rapit, *ibid.*; barbatus fingitur, XIII, 11; arietina apud Ægyptios facie fingitur, XIII, 14. Tauris insidet, LXXII, 31. A Phidia repræsentatus, I, 8; XL,

14 ; iracundiæ a Prometheo incusatus, VII, 8, 9 ; indignatus, quod hominibus fictis dei deteriore essent conditione, VII, 13; benignus et clemens a Mercurio prædicatus, *ibid.* 6; in cœlo magnus, currum agens, XV, 22; Proteo mutabilior, XIII, 5 ; pulchritudine captus et mansuetus redditus, LXXVIII, 7; ridetur, *ibid.*; ejus curæ et negotia, XLVII, 2; XLVI, 25 *et* 26; peregrinorum præses, XXIV, 6; divitiarum dator, LXX, 2. *Conf.* V, 24 *et* 41 ; LXX, 14. Ejus uxores, VIII, 24; XIII, 5; parit Minervam, VIII, 8; XIII, 5; Dionysum in femore ad maturitatem perducit, VIII, 9; XIII, 5; mandat, ut nox producatur, VIII, 10; possessio ludusque amoris, VIII, 6, 3; amores ei exprobrantur, VIII, 5, 2; XLIV, 2; in amorem effusus, XIII, 5; quomodo amabilis fieri possit, VIII, 2, 2; in varias transformatur species, VIII, 2, 1; VIII, 5, 2; VIII, 12, 1; VIII, 16, 2; XIII, 5; in cygnum mutatus, VIII, 20, 14; in aurum mutatus, XLV, 13; V, 41; IX, 12; amat juvencam, IX, 7, 1; Ixionis uxorem adulteratur, VIII, 6, 3; Ganymedem rapit, VIII, 20, 6; ab eo, osculo in omnium conspectu dato, calycem accipit, VIII, 5, 2; perfugium Latonæ parturienti parat, IX, 10; rapit Europam, IX, 15; *conf.* LXXII, 4 ; victor Gigantum et Titanum, V, 4 ; Saturnum non vinxit, XXXVI, 21; Salmoneum prosternit, LXXVII, 4; Prometheum Caucaso affixit, XIII, 6; ei insidiæ parantur, VIII, 21; XLIV, 40; quid facturus aurea catena, XX, 3; XLIII, 4 ; *conf.* de hac catena, VIII, 21 ; XXV, 8, XXXVI, 22 ; Æsculapium fulmine percutit, VIII, 13 ; fulmine occidit Phaethontem, VIII, 25 ; *conf.* XXXVI, 19 ; ejus fulmen Cupido non formidat, VIII, 19; judicium pulchritudinis recusat, VIII, 20; sceptro spoliatus, VIII, 7, 3; minatur diis, VIII, 21 ; Vulcanum e cœlo ejicit, XII, 2; XIII, 6; cum sole expostulat, cur, VIII, 25, 1 ; commissatum ad Æthiopes abit, XIII, 2; redarguitur a Momo, LXXIV, 6 *et* 7, *et per totum dial.* LXXIV; ejus ad ceteros deos oratio, XLIV, 14 *sqq.*; Tiresiæ artem divinandi donat, X, 28, 3; ejus ministri, XIII, 8; ejus regia, XIII, 8; sanguine pluit, XXVI, 17; ubi colatur, XIII, 10; rarius ei quam ceteris deis sacrificatur, XLVI, 24; ejus ara in Gargaro, VIII, 4, 2; aries ei mactatur, VIII, 4, 2; sepultus quomodo tonare possit, XLIV, 45; ejus sepulcrum, V, 6; XIII, 10; XLIV, 45; LII, 3; LXXVII, 10.

Jusjurandum amatorum vanum, LXVII, 7; in extremis labiis, LXVII, 7, 3. Jurare falso non verentur per numen, quod impotens credunt, LXXVII, 4. Jurare per quem deum deceat deliberatur, *ibid. et sqq. Conf.* XLI, 11 *et* 38. Jusjurandum Pythagoræ, Græcorum, Scytharum. *Vide in his vocibus.*

Justi. *Vide* Boni.

Justitia laudatur, XV, 18; XLVII, 5; veræ philosophiæ comes, XV, 16; ejus inimici, XLVII, 7 *et* 8.

Juventus. *Vide* Adolescentia. Juvenum excusationes in donando, LXVII, 7; eorum vanum jusjurandum, *ibid.*

Ixion, VIII, 6, 1; XI, 14; XXV, 57; LXXX, 10; ejus uxor Jovi Pirithoum peperit, VIII, 6, 4; tentator deæ, XIII, 8; LXX. 38; sollicitata Junone, a Jove absolvitur, VIII, 6, 1-4; nebula ei loco Junonis objicitur, VIII, 6, 4; speciem vanam amplectitur, XV, 12.

K.

Kalendæ Romanæ, LXXVI, 7.

L.

Labores Dromonis vel Tibii, XVII, 25. Labores sustinere quid prosit, XLIX, 24, 27; XLV, 23. *Vide* Corpus, Vires. Ex illis nascuntur bona, XLIX, 30; LI, 8. Post multum laborem ut ante habemus, XX, 69.

Labra rigare, siccum linquere palatum, XVII, 30; XVIII, 6.

Labyrinthus, XXXIII, 49.

Lac gallinæ mulgere, XVII, 13.

Lacedæmonii cum Argivis manus conserentes, XII, 24; eorum reges quot habuerint calculos, XXIII, 3. Lacedæmoniorum exercitia, XLIX, 38 ; de pila decertatio, *ibid.*; saltationis amici, XXXIII, 10; flagellis se cædunt, XLVI, 16; pristinos exuunt mores, X, 1, 4; eorum mulieres tonsæ, LXIX, 27.

Lachanopteri, XXVI, 13.

Laches, parasitus, V, 58.

Lachesis, una Parcarum, XLIII, 2.

Lacrimæ Neptuni ridentur, LXXVII, 6.

Lacunar templi aureum, LXXII, 30.

Laius, XLIII, 13.

Lampas vocatur pyra, LXXII, 49.

Lampichus, tyrannus, X, 10, 4.

Lampis amore meretricis perit, X, 27, 7.

Lampsacus, sedes Priapi, VIII, 23.

Laodamia, XXXIII, 53.

Laomedon Apollinem et Neptunum mercede fraudat, XIII, 4; XLII, 8.

Lapilli ignei coloris, LXVII, 6; XXXVIII, 41.

Lari in morem devorare totam escam, LXVII, 3.

Larissa, XLII, 3.

Larvam Lamiamque metuere, LII, 2.

Latona, VIII, 16, 1; parit Deli, IX, 10; ejus puerperium agebatur, XXXII, 38; saltabatur ejus partus, XXXIII, 38.

Latona mulier Evagoræ regis Cypriorum, XL, 27.

Latrator deus (Anubis) ridetur, LXXIV, 10.

Laus et Laudator. Laus est liberum quiddam, XL, 18; non habet quantitatis legem, *ibid.*; in laudando comparare scitum est, *ibid.* 19; laudem quomodo quis possit consequi, *ibid.* 17; *conf.* XXIII, 2. *Vide* Notitia. Invidiæ non debet laus esse obnoxia, XL, 23; laudator quomodo distet ab adulatore, *ibid.* 20; veri laudatoris ingenium, *ibid.* Laudes suas cur quivis facile admittat, *ibid.* 3; laude sua capti quibus similes, *ibid.*; ea delectantur feminæ, licet sibi falso sæpe attributa, *ibid.* 4; sub nimia laude quid lateat, *ibid.* 1 ; quando laudes sint tolerabiles, *ibid.* 2; *conf.* XXV, 9; cui laus jucunda, vel gravis, XXV, 11 *et* 13.

Lazi, ad Bosporum populi, XLI, 44.

Leagoras, XXX, 9.

Learchus, homo infelicissimus, LXXIV, 7.

Lebadia, X, 3; XI, 22.

Lechæus sinus, LXXIX, 4.

Lectica uti effeminatum, LXXV, 10.

Lecythio, fugitivus, LXIX, 32.

Leda, VIII, 20, 14; Ledæ liberi, VIII, 24; VIII, 26; perpulchra, X, 18, 1; cum ea propter pulchritudinem lusit Jupiter, LXXVIII, 7.

Lemnos, VIII, 15; Lemnii Vulcanum excipiunt, XIII, 5; Lemniades mulieres, XXXVIII, 2; LXVII, 13.

Leo devinctus licio, XVII, 30. Leonina pelle tegere simium, XV, 32; LII, 5. Leonem hinnulus, X, 8, 1. Leones solivagi, LXX, 34.

Leonticlus, LII, 6.

Leosthenes, LXXIII, 14.

Leotrophis. Milonem ex Leotrophide efficere, XXV, 34.

Lepidus, XXXII, 25 *et* 42.

Lepus. Leporem dimisi, LX, 3.

Lerna, IX, 6; XXV, 29.

Lernæa capita, XXXVIII, 2.

Lesbonax quomodo appellarit saltatores, XXX III, 69.
Lethes aqua, X, 13, 6; X, 23, 2; XVI, 1; XVIII, 3; L, 5; quid efficiat, *ibid.*; eam qui non gustarint, XVI, 28; Lethe comparatur cum ignorantia hominum, XII, 21.
Leucanor, Bosporanorum regulus, XLI, 44.
Leucothea, XXVII, 35; LXXIX, 3.
Lex. Leges Saturnalium inscribantur pilæ æneæ, LXX, 18. Leges cur sint inutiles, XXXVII, 58; aliquid peregrini habentes reveretur vulgus, XLV, 18.
Libanitis, LVIII, 3.
Libanus, VIII, 11; LXXII, 8; arena rubra inficit flumen Adonin, ut sanguineus videatur, *ibid.*; plus quam dici iter altus, *ibid.* 9.
Liberos suos immolant et devovent Syri, LXXII, 58.
Libertas, socia veritatis, XV, 17; Dionysiaca libertas, *vide* Dionysiaca. Libertas Demosthenis in dicendo, LXXIII, 33, 36, 40; libertatem dicendi concedere, magnanimum est, LXXIV, 4.
Libri cœlestes, LXXVII, 16.
Librorum lectio quando non sufficiat, LVIII, 2; eorum emtores ignari et rudes cui similes, LVIII, 4, 5 *et* 6 *sqq.*; eorum titulos solos nosse, LVIII, 18; libro inscribuntur hominum actiones, LXXVII, 13.
Liburnorum populus, quis? XXXVIII, 6.
Libya, IX, 14, 2; Libyæ australes partes inhabitabiles sunt, LXIV, 1; serpentum, quos alit, genera, LXIV, 3.
Libyes Ammonem colunt, XXXVI, 8.
Linguæ Græcæ studium quomodo tractandum sit, XXXIV, 22; in ea aliqua nimis accurate taxantur, XXV, 21.
Literas invenit Cadmus, IV, 5, 12, et ordine collocavit Simonides, *ibid.*; literas scire nil prodest, niši vitam componas in melius, LXXI, 34; literarum studia. *Vide* Eruditio, Studia.
Logomachia duorum indoctorum philosophorum, XXVII, 28. *Vide* Disputatio, Philosophia.
Lollianus, docendi studio cuique gravis, LXXXII, 18.
Lonchatæ, Macentis et Arsacomæ amicitia, XLI, 44.
Longæva hominum genera, LXII, 3; longævæ gentes, *ib.*; longævitatis causæ, *ibid.* 2 *et* 6; exempla longævorum regum, *ibid.* 8—17; philosophorum, *ibid.* 18—21; historicorum, *ibid.* 22.
Loquendi fiducia, socia veritatis, XV, 17.
Lotophagi, XXXIII, 4.
Lotum Ulyssis gustarunt socii, XVII, 8. Lotus Homeri, III, 3; eum obscurare, *ibid.*
Loxias ænigmatice loquens, XIV, 14.
Lucernam olent Demosthenis scripta, LXXIII, 15.
Lucianus. Ejus patria, XXV, 24; XLII, 55; ejus frater, XLII, 54; de ejus institutione pater deliberat, I, 1; avunculo, statuario, committitur, I, 2; felici natura erat præditus, *ibid.*; ob fractam tabulam ab avunculo verberatur, *ibid.* 3; domum se ab eo proripit, *ibid.*; commendat se ei ars statuaria, *ibid.* 7; item eruditio, *ibid.* 9; quæ ei artes mechanicas dissuadet, I, 10; spreta arte statuaria, ad eruditionem se confert, *ibid.* 14; a curru Pegaseo omnem contemplatur mundum, *ibid.* 15; cur hoc somnium exposuerit, *ibid.* 18; ad philosophiam excitatur, III, 5; philosophorum appellatur hostis, XV, 1; philosophorum admirator, *ibid.* 5 *et* 46; non invenit cui se tradere possit philosophum, *ibid.* 11; sub specie mulieris philosophiam perstringit falsam, *ibid.* 12; non philosophiam, sed impostores illius traducit, *ibid.* 15 *et* 29; idcirco Sophistis formidandus, *ibid.* 22. Luciani nomen adoptivum, *ibid.* 29; osor superbiæ, mendaciorum, amicus probitatis, *ibid.* 20; ad orationem Diogenis respondet, *ibid.* 29; relictis curiæ negotiis, philosophiæ se mancipat, *ibid.* 29—37; criminibus imputatis absolvitur, *ibid.* 39; Epicuri sapientiam vehementer probat, XXXII, 25, 47 *et* 61. Peregrinatur in Thessaliam, XLII, 1; ejus cum Palæstra ancilla consuetudo, *ibid.* 8 *seqq.*; in asinum transformatur, *ibid.* 13 *seqq.*; ad humanam redit formam, *ibid.* 54. In Macedoniam peregrinatur, XXI, 7. Habetur odio ab Alexandro mago, XXXII, 55; ejus periculum, *ibid.* 55 *et* 56; cum Xenophonte se peregrinatum dicit, *ibid.* 56. Familiaritas cum potentiori, solius istius causa, parum arridet Luciano, XVII, 1—4 *seqq.*; lapsum inter salutandum ad deos refert, XIX, 15; cur se jam senex adhuc in servitium dederit, XVIII, 10 *seqq.*; in Ægypto officium gubernatoris nactus, *ibid.* 12; pharmacopolæ se comparat, *ibid.* 7; item Salætho, *ibid.* 4; item actoribus tragicis, *ibid.* 6; laus ejus orationis, XXII, 1; cur fictas conscripserit historias, XXVI, 4; ficta ejus peregrinatio, XXVI, 5 *seqq.*; cur, *ibid.*; scripta sua extenuat, II, 1; ejus scripta ex dialogo et comœdia composita, II, 5. Ab inepto homine deridetur ob vocem Apophras, LX, 7.
Lucifer, genitor Ceycis, VI, 1; XXVI, 12.
Lucillius naufragus, quid deis offerat, LXXXII, 24.
Lucina obstetrix, VIII, 8.
Luctæ exercitium quid? XLIX, 8. *Vide* Exercitium.
Luctus de mortuo ridiculus, L, 1, 12, 21. Luctus expers est nemo, XXXVII, 25.
Lucullus bellum gerit cum Tigrane, LXII, 15.
Lucus semper virens, LXXVII, 10.
Ludis Jovialibus prælegitur liber, LXXVIII, 1.
Lumen quo consilio a fatuo quodam exstinguatur, LXXXII, 25.
Luna Astarte, LXXII, 4. Luna loquens inducitur, XLVI, 20. Eam cœlo deducit Cupido, VIII, 12, 1. Lunæ et Endymionis amor, VIII, 11, 1; XIII, 7; ejus et Alexandri magi amores ficti, XXXII, 35 *et* 39; ejus molestiæ, XLVII, 1. Lunæ et Soli simulacra facere nefas esse dicunt Assyrii, LXXII, 34; eam sub nomine Menæ colunt Phryges, XLIV, 42. Lunæ natura admirabilis, XLVI, 4; ejus inquirendæ nimis curiosi reprehenduntur, XLVI, 20 *et* 21. Ejus influxus, XXXVI, 25. Lunam lente ire jussurus Mercurius, VIII, 10. Cur in aliam alias formam vertatur, XXXVI, 3; a Sole mutuatur lucem, XXXVI, 3; eclipsis lunæ, XXVI, 19; lunæ solisque oppositio et quadratura, LXXVII, 24.
Lupi solivagi, LXX, 34.
Lupinos in pera gestant philosophi, X, 1, 1; *et sæpius* LXIX, 31.
Lusciniarum fabula, III, 3.
Lutum et pulvis cur subjiciantur in gymnasiis, XLIX, 28 *et* 29.
Lux æterna, LXXVII, 13. Lucem noctu emittunt gemmæ, LXXII, 32.
Luxuria naturæ leges violat, XXXVIII, 20.
Luxus cujusdam Athenas venientis, III, 13.
Lycambes, LX, 2.
Lycambæ filia, blanda voce prædita, XXXVIII, 3.
Lycaonis filia, X, 28, 3.
Lyceum Corinthi, X, 1, 1.
Lychnis gemma, LXXII, 32.
Lychnopolis, XXVI, 29.
Lycinus, saltator, quomodo se gerat, XXXIII, 2. Lycini peregrinatio, XXXVIII, 6.
Lycophronis Alexandra, XXXIV, 25.
Lycoreus mons, V, 3.
Lycurgus, XXVII, 17; legislator Lacedæmoniorum, jam senex leges tulit, XLIX, 39; instituit exercitia, XLIX, 38; patriæ sollicitator, miles trepidus, XLVIII, 42; astrologus, XXXVI, 25; quando in bellum proficisci

jusserit, *ibid.*; ejus ætas, LXII, 28.
Lycurgi supplicium (per Bacchas) saltatur, XXXIII, 57.
Lydia, a Baccho subacta, VIII, 18; ab Alexandro capta, X, 12, 4. Lydi arte saltandi domiti, XXXIII, 22; æque atque Græci sacrificant, XIII, 14; orgia Rheæ ab Atte didicerunt, LXXII, 15; Lydus senex, Silenus, LXXIV, 4.
Lynceus, V, 25; X, 28, 1; XLVI, 12. Eo cernere acutius, XX, 20; XL, 20.
Lypaes, LX, 16.
Lysias, Phædri amasius, XXXVIII, 24; LXI, 4.
Lysimachus, poeta comicus, IV, 7.
Lysimachus, rex, XXV, 1; XLVI, 15; ejus ætas, LXII, 11.
Lysippus statuarius, XLIV, 9.

M.

Macedonicorum regum commentarii, LXXIII, 26. Macedones caput diademate revinctum reverentur, X, 12, 3. Macedonica chlamys, X, 14, 4.
Macentis, Lonchatæ et Arsacomæ amicitia, XLI, 44.
Machlæi Indi, LIV, 6.
Machlyes *et* Machlyene, XLI, 44 *sqq.*
Mæandrius succedit Polycrati, XI, 16; prodidit Polycratem, XII, 14.
Mænades Bacchi, VIII, 2, 2; earum descriptio, LIV, 1; a Pane amantur, VIII, 22, 4; Pentheum discerpunt, LXX, 8.
Mæon num sit pater Homeri, LXXIII, 9.
Magi longævi sunt, LXII, 4.
Magnificentia in ædibus, supellectile et vestibus nihil prodest, LXXV, 8 *et* 9.
Maja, Atlantis filia, VIII, 24; *conf.* VIII, 7, 1.
Mala demorsa tradere, amoris signum, LXVII, 12; *conf.* XLI, 13; LXVIII, 2.
Mali quo abeant post mortem, L, 8. Exempla malorum, XXXVII, 8; eorum post hanc vitam pœnæ, XLIII, 17; L, 8. Malitiæ signa occultæ ex dicto Euripidis, XLVIII, 4. Mala omnibus communia, XXXVIII, 27; XLIII, 18.
Mallenses vaticinandi arte celebres, XXXII, 29.
Malli oraculum, LII, 38.
Malva verberari, XXVII, 26; LVIII, 3; LXIX, 33.
Mandragora. Ex mandragoræ potu dormire, V, 2; LXXIII, 36.
Mandrobuli more, XVII, 21.
Mantineensium cetrati milites, X, 14, 2.
Manum protendunt suffragia ferentes, LXXIV, 19.
Marathon, VIII, 22, 3; XIX, 3.
Marcomanni, XXXII, 48.
Marcus imperator, *ib.*
Mare tranquillum homines allicit, LXI, 12.
Margites, XX, 17. Margitæ aut Coræbi esse, LII, 3.
Maritorum zelotypia, XVII, 29; XXXVIII, 42.
Mars de minis Jovis parum sollicitus, VIII, 21; a Mercurio spoliatus, VIII, 7, 1; Cupidinem invitat, VIII, 19. Martis et Veneris amor, VIII, 12, 2; *ibid.* 15, 2; 20, 2; quid eorumdem adulterium significet, XXXVI, 22, 27; a Vulcano una cum illa in vincula datur, VIII, 17; XXXIII, 63; XLV, 3; LXXVII, 6. Mars a Diomede vulneratus, a Minerva dejectus, XLIV, 40; saltare doctus, XXXIII, 21; Argis in feminarum numinibus numeratur, XXXVIII, 30.
Marsyas, VIII, 16, 2; ejus tibiæ, LVIII, 5; *conf.* XXIII, 1.
Massagetis Tomyris, XII, 13.
Massilienses quid et quomodo puniant, XLI, 24.
Massinissæ regis ætas, LXII, 17.
Matribus primogeniti acceptiores, XLVIII, 61.
Matrimonium. *Vide* Conjugium.
Matula. Immingere in matulam, XVII, 4.
Mausacas, XXV, 28.
Mausoli res gestæ, X, 24, 1; monumentum, *ib.*; deridet eum Diogenes, *ib.*; et Menippus, XI, 17.
Mazæa, filia Leucanoris, XLI, 44.
Mechanici nobiles, LIII, 2. Mechanicas artes dissuadet Luciano Eruditio. *Vide* Lucianus.
Medeæ verba apud Euripidem, XVIII, 10; ejus somnium, XXXIII, 53; *conf.* XX, 73; ejus receptio et fuga, XXXIII, 40. Muliebrem deplorat sexum, X, 28, 2; zelotypia inflammata pingitur, LXI, 31.
Medi imperio spoliati, XII, 9; aufugientes, X, 12, 2; imbelles, X, 14, 2; quum ab equis descenderint, stare non possunt, X, 27, 5. Medorum vivendi ratio, X, 12, 3.
Medicamenta qualia sint multa, LX, 5; medicamenta in omnibus non eandem habent vim, XXIX, 27; sæpe fallunt artem, *ibid.* 17; medico ante adhuc multa circumspicienda quam accedat ad curationem, *ib.*; natura hominis ante exploranda est, quam adhibeantur medicamenta, *ib.* 29.
Medicus practicus theoretico melior, LIII, 1. Prærogativa medicorum, XXIX, 23. Medicus amorem privigni ægri in novercam detegit, LXXII, 16; medici Syri, LXXX, 264; Judæi, *ibid.*
Medicus, arte grammatica non egens, LXXXII, 38.
Medius, scriptor, LXII, 11.
Medusa, IX, 14, 2.
Megabyzus, V, 22.
Megacles, V, 22; XVI, 8
Megapenthes tyrannus, XVI, 8; Cydimachi cepit bona, *ibid.*; interfecit Cleocritum, *ibid.* 9.
Megillus Corinthius, X, 1, 3; XVI, 22.
Melampode audire acutius, XL, 20.
Melanope num sit mater Homeri, LXXIII, 9.
Melanthus, assentator, X, 6, 5.
Meleagri tabes, XIII, 1; LXXI, 31. Meleager, admirandus vir, X, 15, 3; XXXIII, 50.
Melicerta, XXXIII, 42; LXXIX, 3.
Melitensis catellus, prov., LXXI, 19; Melitenses caniculæ, XVII, 34.
Melitiden aut Coræbum putare aliquem, XXXVIII, 53.
Melitus, XV, 10; XLII, 16; XLVII, 6.
Memnon ad orientem solem exclamat, XLI, 27; LII, 33.
Memor. Odi convivam memorem, prov., LXXI, 3.
Memphi colitur bos, XLIV, 42. Memphiticus taurus deus ridetur, LXXIV, 10.
Menam, i. e. Lunam, colunt Phryges, XLIV, 42.
Menandri locus, XXXVIII, 43; ejus prologus Elenchus, LX, 4.
Mendacia, qualia licita, LII, 1; non necessaria proficisci ex amentia, *ibid.* 2; totarum mendacia nationum, *ibid.* 3; poetarum tolerabilia, *ibid.* Historiam mendacia non tolerare, XXV, 7.
Menecles, XLII, 49.
Menecrates, pater Hermotimi, XX, 50; e divite pauper, XLI, 24; ejus cum Zenothemi amicitia, *ibid.*; amici opera honori adempto restituitur, *ibid.* *Vide totum dial.* LXXIX.
Menelaus, ex Pelopidis oriundus, VIII, 20, 14; cum Helena desponsatur, *ibid.*; ab ea electus, LXXVIII, 17; uxore spoliatus, X, 19, 1; XXVII, 25, 26; interficit Euphorbum, XLV, 17. Ejus ædes, LXXVIII, 25; a Rhadamantho ei adjudicatur Helena, XXVII, 8. Sponte venire Menelaum, prov., LXXI, 12.
Menippus mordax, XLVII, 33; cavillator, X, 2, 1; canis dicitur, in Craneo versans, X, 1, 1; describitur, *ibid.* 2; inferis creat molestias, X, 2, 1; vitiorum inimicus, *ibid.*; ejus ad astra peregrinatio, XLVI, 1 *et* 10; perstringit philosophos, X, 1, 2; X, 10, 11; X, 20; XI, 1;

XLVI, 5 *sqq.*; item poetas, XI, 4; pileo, leonina pelle et lyra, cur et a quo, instructus, XI, 8; cur ad orcum migrarit, XI, 6 *et* 21; Homerum et Euripidem adit, XI, 1; ad superos regreditur, XI, 1; ad mortem se præparat, X, 10, 11; ridens moritur, X, 21, 2; X, 22; ejus cum Charonte expostulatio, X, 22.
Menœceus, XXXIII, 43.
Mens. *Vide* Animus. Mentes excitat exemplum, XLIX, 37; distractio mentis per opiniones, XLVI, 10; mentis et corporis non semper eadem forma, XXXIX, 11; mentis præstantissimæ imago, XXXIX, 13 *seqq.*; mente aliud celare, aliud promere verbis, XVIII, 6.
Mensæ Siculis delicatiores, X, 9, 2; Syracusanæ, i. e. splendidæ, LXXIII, 18.
Mensis Ægyptius Mesori, LXXVII, 22; mensium ordinatus ab Ægyptiis numerus, XXXVI, 5.
Mercatorum navigationes, XLI, 4.
Merces. *Vide* Didactrum. Mercede conductorum calamitates, XVII, 1; eorum vita defenditur, XVIII, 10; *vide* Aulici. Sine mercede nemo facit quidquam, XVIII, 13; nec potentes istius expertes, *ibid.*
Mercurius, Majæ filius, VII, 5; VIII, 7, 1; XII, 1; Majæ et Jovis filius, VIII, 21, 2; Cyllenius, VIII, 22, 1; XII, 1; Argiphontes, V, 31; Mercurius lapideus, LXVI, 20; primæ lanuginis juvenis, XIII, 11; ejus virga et alæ, VIII, 7, 4; X, 22, 3; ejus comes, XLV, 2; canina fingitur ab Ægyptiis facie, XIII, 14; Iapeto senior, quantum ad astutiam, VIII, 7, 1; ei vim dicendi attribuunt Græci, LV, 4; in doctrinæ studiis versatus, LXIX, 22; fur, XLV, 28; ei furtum exprobratur, VII, 5; rhetor magnus, *ibid.*; furatur Neptuni tridentem, Martis gladium, arma Apollinis, VIII, 7, 1; *conf.* XXXVI, 20; forcipem Vulcano, VIII, 7, 2; cestum Veneri, sceptrum Jovi surripit, VIII, 7, 3; adest in raptu Ganymedis, VIII, 20, 6; Cupidinem vicit, VIII, 7, 3; ex testudine instrumentum fecit musicum, *ib.* Luctandi artem docet, VIII, 26; divitiarum dator, LXX, 14; *conf.* III, 24 *et* 41; XX, 52; stuprorum cupidus, LXXVII, 7; Vulcano ob amores invidens, VIII, 15; puellam amat Arcadicam, VIII, 22; in hircum se transformat, VIII, 22; varia ejus negotia, VIII, 24, 1; et artes, XVI, 1; *conf.* XXXIX, 16; minister Jovis, XIII, 8; ad Parin mittitur, VIII, 20, 1; viæ dux, *ib.*; præco, XLVII, 8; LXXIV, 15; convocat deos, XLIV, 6; juvencam in Ægyptum ducit, IX, 7, 1; dicitur inferus, XVIII, 3; cur in cœlo diutius quam in orco versetur, XVI, 2; commune mancipium, *ibid.*; vim infert mortuis descendere nolentibus in orcum, X, 27, 1; Orœtem ad Charontis cymbam portat, X, 27, 5; stertit in cymba Charontis, XII, 1; cum Charonte computat, X, 4. Ei ob victoriam res sacra fit, LXXVIII, 1. Mercurii virgæ comparatur saltatio, XXXIII, 85.
Meretrix versutior, XLI, 13; deformis cur se exornet, LXI, 7; meretricum artes ad viros alliciendos, LXVII, 6, 3, *et passim*. Modestiam simulant, *ib.* Earum nomina, Ampelis, Corinna, Clonarium, Chrysis, Musarium, Philinna, etc., *ibid.*
Meriones, XLVIII, 47; saltator, XXXIII, 8; Græci et Trojani ab eo didicere saltandi artem, *ibid.*; quid hæc ei profuerit, *ibid.*
Mesori mensis Ægyptius, LXVII, 22.
Metapontini, XLV, 18.
Methymna, urbs natalis Arionis, IX, 8.
Metrodorus, XXXII, 17; XLIV, 22.
Miccio, discipulus Zeuxis, XXII, 7.
Micyllus antea quis fuerit, XLV, 16; ejus ditescendi cupido, XLV, 13 *et* 28; ejus cum Pythagora in gallum transformato colloquium, XLV.
Midas, V, 42; X, 20, 2; XVII, 20; auri reminiscitur, X, 2, 1; XI, 18; Phrygum pessimus, X, 2, 2; XVI, 11
Midas servus, XX, 11; LII, 11.
Midias, XLIII, 16.
Milo, XXI, 8; Crotoniates athleta, XII, 8; XL, 19; taurum portat, XII, 8. Milonem ex Leotrophide efficere, XXV, 34.
Miltiades proditionis suspectus, LIX, 29; ejus vita scripta ab Æschine, XLVIII, 32.
Minerva e cerebro Jovis nata, VIII, 8 *et* XIII, 5; de artis præstantia cum Neptuno et Vulcano contendit, XX, 20; armata, VIII, 8; qualis facie, *ibid.*; glaucis oculis fingitur, XIII, 11; *conf.* VIII, 20, 10; armata terribilis, Gorgonis caput in pectore gerens, LXXVII, 8; *conf.* VIII, 19; Gigantum interfectrix, LXXVII, 8; Gorgonis utilitas, *ibid.*; virgo perpetua, VIII, 8; admodum pudica, VIII, 20, 2; cur ad aram Cupidinis immobilis, VIII, 19; depicta tanquam pacem agens, LXI, 25; fugit amorem Vulcani, *ibid.*; adjuvat Perseum, LXI, 25; *conf.* IX, 13, 2. Jovi parat insidias, VIII, 21; XLIV, 40; adjuvat Prometheum, VII, 13; II, 3; pomum sibi vindicat, IX, 5, 1; in judicio pulchritudinis Paridi victoriam bellicam promittit, LXXVIII, 17; Ulyssem servat, X, 29, 2. Immolatur ei ob victoriam, LXXVII, 11; *conf.* XIII, 21; ubi colatur, XIII, 10. Statua ejus a Phidia efficta, opus pulcherrimum, XXXIX, 4; in arce, V, 51. Minervæ calculum adjicere, XXIII, 3.
Mingo. Mingit in convivio Alcidamas, LXXI, 35.
Minos, Jovis filius, XXXVI, 20; et Cretensium legislator, XLIX, 39; ingratus, XXXIII, 41; ei datum est vaticinium de morte filii, LXV, 8; ejus officium, L, 7; judex apud inferos, X, 12, 1; X, 30, 1; XLIII, 18; ejus tribunal, XI, 11; unum tulit in gratiam judicium, XI, 13.
Minotaurus, XXVII, 44.
Misthon, Sybarita, LX, 3.
Mithres, deus Medorum, LXXIV, 9; XLIV, 8.
Mithridatis ætas et exitus, LXII, 13.
Mithrobarzanes, magnus incantator, XI, 6.
Mitræorum montes, XLI, 52.
Mnasciris, Parthorum regis, ætas, LXII, 16.
Mnemosyne, XXXIII, 36.
Mnesarchus, XLV, 16.
Mnesippus, XLI, 24; amicitiam init cum Toxari, XLI, 62.
Mnesitheus nauclerus avarus, XLIV, 15.
Modestia quomodo se exserat, XXXIX, 21; ejus imago, XXXIX, 20.
Modi musici, XXIII, 1.
Modii Æginetici, V, 57.
Mœchorum pœna raphanismus, LXVIII, 9; LXIX, 33. *Vide* Adulter.
Morichus, dives Corinthius, cujus singulare fatum narratur, X, 11, 1.
Mollia divitum vestimenta, LXX, 26
Momus ad reprehendendum proclivis, XLIV, 23; *conf.* VIII, 20, 2; vel dei reprehensor, III, 32; arbiter constituitur, XX, 20; hominis reprehendit architectum, *ibid.* Ejus persona, *toto dialogo* LXXIV; reprehendit Bacchi comites inter deos referri, LXXIV, 4; Herculem et Æsculapium intactos relinquit, jubente Jove, *ibid.* 6; Jovi exprobrat peregrinitatem, *ibid.*; aliaque crimina objicit, *ibid.*; multos immerito in deos receptos esse queritur, *ibid.* 7, 8, 9 *sqq.*; Anubin aliaque monstra honore divino coli indignatur, *ibid.* 10; oraculorum præstigias objicit, *ibid.* 12; *conf.* XLIV, 20 *et* 28; cum deorum turba aucta perjuria crevisse, *ibid.* 12; philosophorum pugnantia nomina, fatum,

fortunam, virtutem et naturam ridet, *ibid.*; decretum ad hæc prohibenda recitat, *ibid.* 14 *et* 15; in quo dicitur scriba, *ibid.* Cornua sub oculis ponenda esse censet, XXVII, 3.
Mons Lycoreus, V, 3.
Morbus Corybanticus, XXXIV, 16, Lesbius et Phœnicius, LX, 28. Abderitarum morbus, XXV, 1; morbus ex amore, LXXII, 17. Morborum natura in omnibus non est eadem hominibus, XXIX, 27.
Mores mali divitum, LXXV, 17.
Mors adversariorum invictissimus, XII, 8; moriendum omnibus, X, 15, 3 *et* 24, 1; mors rapit omnes, XXXVII, 16; invadet, etsi cavea te includas, LXXIII, 5; omnes facit æquales, X, 1, 4; X, 10; X, 15, 2; XII, 22; neque ullum admittit personæ discrimen, XI, 15 *et* 17; *conf.* XVI, 15. Variæ vulgi de morte opiniones, L, 2. Post mortem quæ consequantur, ignoramus, X, 1, 1. Mors judex felicitatis, XII, 10; ejus nuntii ac ministri, XII, 17; homines medias inter spes exstinguit, *ibid.*; ejus cogitatio quare prosit, *ibid.*; mortuorum negotia ac viventium longissime discreta, *ibid.*; de morte semper cogitandum, XII, 20; est sufficientiæ documentum, LXXXII, 3.
Morsus canis rabiosi rabie inficit, III, 38; *conf.* LII, 40.
Mortui abluuntur, unguntur, floribus coronantur splendideque vestiuntur, L, 11 *sqq.*; variæ eorum sepulturæ genera, L, 21; vulgus eis obolum in os imponit, *ibid.* 10; mortuos cur honorare deceat, XLI, 1. *Conf.* Mors.
Moses tardilinguis, LXXVII, 13.
Mulgere lac gallinæ, XVII, 13.
Mulieris corpore præstantissimæ imago, XXXIX, 6; et ejusdem mente præstantissimæ, XXXIX, 16—23; earum mollia corpora, XXXIX, 28; XLIX, 25; LXXV, 14; virtus in iis haud perfecta, XXXVIII, 51; mulieres ad laudes sibi falso sæpe attributas gestiunt, XL, 2 *sqq.*; quomodo pingi velint, XXV, 13; formam infucant, XXXVIII, 39; lapillos in auriculis suspendunt, *ibid.* 41; amentia earum in adornandis capillis, ceteraque cultus luxuriosi genera, *ibid.* 40 *sqq.*; post magnum apparatum quænam numina salutatum eant, *ibid.* 42; domestica earum luxuria, *ibid.*; mulier pudica et formosa cur se exornet, LXI, 7; mulierum formositatem obscurant ornamenta, *ibid.* 15; earum voluptatem præfert virili Tiresias, XXXVIII, 27; conjunctio cum iis est delectabilis, *ibid.*; de congressu cum iis sententia Euripidis, XXXVIII, 38; mulieribus mulieres congressæ, LXVIII, 5, 2; trifolium libidinosarum Phædra, Parthenope, Rhodope, XXXIII, 2; mulier fœda, lunarique afflicta morbo, XLI, 24. Tonderi nolentes prostituuntur, Venerique ex mercede sacrificatur, LXXII, 6. Pugnam dirimunt, LXXI, 45. Hecubæ æqualis mulier, XLV, 17; mulieres philosophantes, XXXV, 7; mulierum quarundam in aves, arbores, et feras conversio, VI, 2; *conf.* X, 28, 3; LXXVII, 3.
Mundus. De eo variæ philosophorum opiniones, LXVI, 8.
Musæ invocantur a poetis, XIII, 5; cur eas refugiat Cupido, VIII, 19, 2; earum certamen, XV, 6; earum bonum, XXXIII, 7; canunt in convivio, IX, 5; judices, VIII, 16, 2; saltantes, XXXIII, 24; pastoribus apparent, LVIII, 3; quibuscunque et quantum voluerint, impertiuntur, LXV, 4; laudantur, XXXIX, 14, 16.
Musæus, saltator, XXXIII, 15.
Musca femina. Ejus fabula, LVII, 10.
Musica; prima adolescentiæ Græcæ disciplina, XLIX, 21; musicæ harmonicæ descriptio, XXXIX, 14; adhibetur ad sacrificia, XXXIII, 16; eam amat Socrates, XXXIII, 25.
Musicus practicus melior theoretico, LIII, 1. Modi musici, XXIII, 1. Musicus quidam inter canendum exspirat, XXIII, 2; musici cujusdam rudis audacia, LVIII, 8 *et* 9; musicorum prov., Bis per omnes chordas, II, 6.
Musonius, LXVIII, 18; LXXIX, 1.
Mustum bibere ventrem inflat, LII, 39.
Muziris, urbs apud Indos, XXV, 34
Mycenæ, XII, 23; XXXVIII, 47.
Myconus, X, 1, 1.
Mygdonii Rheam colunt, XIII, 10.
Myrmidones, homines e formicis orti, XLVI, 19.
Myron, celeber statuarius, I, 8; XX, 19; XLIV, 7; LII, 18.
Myropnus fugitivus, LXIX, 32.
Myrrha, XXXIII, 58.
Myrrhina canis, XVII, 34.
Myrtilus, XXXIII, 47.
Myrtium, meretrix, X, 27, 7.
Myrto, VII, 8.
Mysta deæ Podagræ, LXXX, 85 *et* 239.
Mysterium, res magni momenti, LXXXII, 10.
Mytræorum montes, LXI, 52.

N.

Narcissi pulchritudo, X, 18, 1; XXVII, 17; LXXVIII, 24.
Naso trahi, VIII, 6, 5; XX, 73; de naso immodice longo, LXXXII, 29. Nasum morsu auferre, XX, 9 *et* 71; LXXI, 44.
Nasturtium cibus pauperum, LXX, 28.
Nationum quarundam notæ, XLVI, 16; ex natione bonus non judicandus vir, XLI, 5.
Nato. Natare visum altare in lacu, LXXII, 46.
Natura hominum diversa, VI, 7; XXIX, 27, 28.
Naufragi, XVII, 1 *et* 2. *Vide* Lucillius.
Navigare Atho, LI, 18.
Navis descriptio, LXVI, 5; *conf.* XLIV, 47 *et* 48; eam Dioscurorum alter servat, LXVI, 9; *conf.* VIII, 26; XVII, 1; navis Ægyptia quantum lucri afferat domino, LXVI, 13.
Nauplius portitor, XXVII, 29; ejus iræ, XXXIII, 46.
Nausicaa, filia Aretæ, XXXIX, 19; XLVIII, 24.
Nautæ coronati, LXXIX *sub fine*.
Neanthus, Pittaci tyranni filius, LVIII, 12.
Nechræi, gens Brachmanibus vicina, LXIX, 6.
Nectar et ambrosia magno veneunt, LXXIV, 12.
Nefasti dies, LX, 13.
Nelei parasitus Aristoteles, XLVIII, 37.
Nemea pascua Argi, VIII, 3, 1.
Neoptolemus, Achillis filius, saltator egregius, XXXIII, 9.
Nephele, mater Helles, IX, 9, 2; XXXIII, 42.
Nephelocentauri, XXVI, 16.
Neptunus terræ quassator, XLIV, 9; juvenis cæruleo capillo fingitur, XIII, 11; Neptunus et Amphitrite, IX, 5, 1; cum Amphitrite in curru vectus Nereidibus et Tritonibus comitantibus, IX, 15, 3; Delphino vehitur, IX, 6, 2; Delum in lucem profert, IX, 10, 2; terribilis ejus vox; mœchus est; lacrimatur ob Martem deprehensum, LXXVII, 6; ejus ministri, VIII, 26; mare turbat, procellas concitat, XII, 7; mare tranquillum servare jubet, IX, 5, 1; percussa petra, fontem projicit, IX, 13, 3; tridente spoliatus, VIII, 7, 1; XLIV, 25; et a Cupidine victus, VIII, 19; insidias struit Jovi, VIII, 21, 2; ejus et Solis pugna, XXXIII, 42; ejus de artis præstantia cum Minerva et Vulcano contentio, XX, 20; ejus mercenaria apud Laomedontem opera, XIII, 4; XLIII, 8; Enipeum et amicam ejus Tyronem decipit, IX, 13, 1; rapit Amymonen, IX, 6; ejus filius Polyphemus, IX,

1, 1; consilium filii ulciscendi capit, IX, 2, 1; ejus statua ærea Corinthi, XLIV, 9.
Nereis (Thetis) Jovi periculosa, VIII, 2; Nereides in convivio deorum, IX, 5; Delphinis vectæ, IX, 15, 3.
Nero Isthmum perfodere tentat, LXXIX, 1; ejus canendi studium, *ib.* 2; Apollinis æmulus, *ib.*; desistit a conatu, *ibid.* 4 *et* 5; quæ ejus vox sit in cantando, *ibid.* 6; quis gestus, *ibid.* 7; Epiroten æmulum interficit, *ib.* 9; oraculi Pythii ostium vult obstruere, *ib.* 10; oraculi dictum in eum, *ibid.* Ejus mors nunciatur, *ib.* 11.
Nesiotes, statuarius, LI, 9; LII, 18.
Nessus, XXXIII, 50.
Nestor sapiens, V, 48; X, 20, 4; erat parasitus, XLVIII, 44; mellita ejus lingua, *ib.*; *conf.* X, 20, 4; LV, 4; ejus longævitas, LXII, 3; cum Socrate confabulari fingitur, XXVII, 17; ejus umbra garrula, XI, 18; emit reditum suum, XIII, 2. Nestoreus scyphus, XX, 11.
Nestoris Stoici ætas, LXII, 21.
Neurospasta, virunculi lignei, LXXII, 16.
Nicander poeta, LXIV, 9.
Nicias, dux Athen. in Sicilia, XIX, 3; ejus mors, XXV, 38.
Nicomachus Gerasenus, LXXVII, 12.
Nicostratus, athleta, XXV, 9.
Nigrinus, amicus Luciani, III, 1; Platonicus philosophus, *ibid.* 2.
Nilus pictura exhibitus, LI, 6.
Ninus insignis, XII, 23.
Niobe in lapidem mutata, LXXVII, 18; XL, 27; XIV, 25; XI, 14; magniloquens, XXXIII, 44; prolis laude præstat, VIII, 16, 1.
Nireus, Aglaiæ filius pulcherrimus, X, 18, 1; X, 25; XL, 2; LXXVIII, 24; Ulysses magis Nireo laudatus, XXXVIII, 23; Nireo formosior, V, 23; X, 9, 4; cum Thersita de pulchritudine rixatur, X, 25; ejus ossa cum Thersitæ ossibus comparantur, XI, 15.
Nisi cirrus, XIII, 15.
Nives verborum, LXXIII, 5.
Noctua. Concurrere ad aliquid, ut ad noctuam aves, XXIII, 1.
Nominis mutatio ob divitias, V, 22; XLV, 14; nomen alterius, filio impositum, honoris signum, V, 52. Nomina philosophis afficta a vitiis, LXIX, 26.
Nosce te ipsum, X, 2, 2; XXXIII, 81.
Notitia. In hominum notitiam quomodo quis venire possit, XXIII, 2.
Notus quas terras percurrat, IX, 15, 1.
Novacula. Res consistit in novacula, XLIV, 3.
Novercarum commune in privignos odium, XXIX, 31; novercæ a privignis amatæ, XXV, 35.
Novæ res sunt gratæ, XXII, 1 *sqq.*; novæ pulchritudinis excogitare specimina, non parvæ est sapientiæ, LIII, 8; ad novas disputationes quomodo affecti quidam, LIV, 5; *conf.* XXII, 1.
Numæ Pompilii ætas, LXII, 8; ritus quidam ab eo institutus, LX, 8; est in insula Beatorum, XXVII, 17.
Numidica gallina, XVII, 17.
Nummus in honorem Glyconis cusus, XXXII, 58; nummorum vis, XXXVII, 23. *Vide* Aurum, Pecunia.
Nuptiæ cur inventæ sint, XXXVIII, 33; nuptias inituri comas ponunt, LXXII, 60. Nuptias sibi conciliare, solœcismus, LXXVI, 9.
Nux. Nucibus ludere alea, LXX, 8, 9, 18.
Nycterion, XXVI, 15.
Nysa, ubi Nymphæ Dionysum educarunt, VIII, 8.

O.

Obolum vulgus in os imponit mortuis, L, 10.
Ocellus Lucanus, familiaris Pythagoræ, XIX, 5.
Octipedes apud Scythas, XXIV, 1.
Oculi quando cernant accuratius, XL, 12; multi plus vident uno, VL, 14; oculi fideliores auribus, XXV, 29; LXI, 20, XXXIII, 78.
Ocypus, LXXXI.
Odium non recondendum in crastinum, VII, 8; immane odium sustinere, prov., LVIII, 16.
Odorati capilli ridentur, LXXV, 17.
Œcus pulcher ineitat oratorem ad dicendum, LXI, 1; est jucundus ad perorandum, *ib.* 3 et 13; ejus partes descriptæ, *ibid.* 6; lacunar ejus auro distinctum, *ib.* 8; œcus pulcher cui similis, *ibid.* 7; œcus sonorus confundit vocem, *ib.* 16; ejus splendor turbat oratorem, *ibid.*; auditores ab audiendo avertit, *ibid.* 18.
Œdipus, XXXIII, 41; cum matre concumbit, XVII, 41.
Œneus Dianam non adhibet ad sacrificium, XIII, 1; XLIV, 40; *conf.* LXXI, 25.
Œnomaus, XXXIII, 47; procos filiæ currus certamine victos interficit, LXXVIII, 19.
Œta, XII, 4; XX, 7.
Oleo perfusi lapides et altaria, LXXIV, 12.
Olmeus fons, LVIII, 3.
Olympia, V, 4; in Olympiis Herodotus historias suas recitat, XXI, 1; ibi Aetion etiam pictor victoriam refert, XXI, 4; Olympiam, ne spectatores siti perirent, aqua perducta, LXVIII, 19. Olympiæ victoribus quales ponere liceat statuas, XL, 11; Olympiæ victori stadia minus formidabilia, XXIII, 4; Olympiorum corollarium, V, 4; Olympiis coronatum esse, XVII, 13.
Olympias, mater Alexandri. Quale ejus puerperium fuerit, X, 13, 1; unde cum dracone concubuisse dicatur, XXXII, 7.
Olympus; ejus tibiæ, LVIII, 5; *conf.* XXIII, 1.
Olympus mons; ejus radices, XII, 5; ei superimponitur Ossa, *ibid.* 3.
Olynthus, XXV, 38, LXXIII; 35 *et* 44.
Omina quædam infausta, LX, 17.
Omphale, VIII, 13, 2; decipit Herculem, XXV, 10.
Onesicritus, XXV, 40; LXII, 14; LXVIII, 25.
Onosceleæ, mulieres, XXVII, 46.
Opponere est utile, XLIX, 17; opponendo et interrogando facilius proficitur, XX, 13.
Oraculorum ambiguitas, XLIII, 14; XLIV, 20 *et* 28, 43; quæ præcedant oraculum, XLIV, 30; ejus quædam effata, XXXII, 11, 22, 24, 25, 27, 28, 29, 32, 34, 35, 36, 40, 43, 47, 48, 50, 51, 53; XLIII, 13; XLIV, 20, 31; refutatur, XXXII, 44; se defendit, *ibid.* 48; ejus de Luciano effatum, *ibid.* 55; oraculorum post eventum contrarium mutatio, *ibid.* 27; oracula vocalia, *ibid.* 26; oraculum falsum defenditur, *ibid.* 33; ad ea probabiliter edenda quid pertineat, *ib.* 22; oracula multa in Græcia, Ægypto, Libya, Asia, LXXII, 36; *conf.* LII, 38; XXXII, 23; XLVII, 1; ridiculus mos oracula edendi, LII, 38; LXXII, 36; eorum præstigiæ ridentur, LXXIV, 12. Oraculum Pythicum obstruere vult Nero, LXXIX, 10; oraculi versus in eum, *ibid.*
Oratio nimis ornata offæ quomodo similis sit, XXV, 44; ejus effectus, III, 35.
Oratores Callistratus, Alcidamas, Isocrates, Isæus, Eubulides, LXXIII, 12; Demades ex nauta orator, LXXIII, 16; Pericles, LXXIII, 20; oratores vulgares, LXXIII, 31; eorum merces drachma, LXXIII, 36.
Orcus. Nullus ex eo ad superos reditus, X, 13, 3. *Vide* Infernus. In eo omnes æquo jure sunt, X, 25, 2; qualem sibi orcum imaginatur vulgus, L, 2; incantationibus aperitur, XI, 6.
Orestæ et Pyladis amicitia, XXXVIII, 47; *conf.* XXXIII, 46; interficiunt Ægisthum et Clytæmnestram,

XXXVIII, 47; LXI, 23; cur apud Scythas eis sacrificetur, XLI, 5 *sqq.*; eorum columna adolescentiæ Scythicæ disciplina prima, XLI, 6.
Orgia Adonidis, LXXII, 6; Alexandri magi, XXXII, 38. Rheæ; *vide* Attes.
Orion, XL, 9; Cedalionem ferens depingitur, LXI, 28; usum oculorum recipit, *ibid.* 29.
Orithyia, rapta a Borea, LII, 3; *conf.* XXXIII, 40.
Ornamenta obscurant mulierum formositatem, LXI, 15.
Orodœcides, LX, 2.
Orœtes Armenius, X, 27, 2; satrapa, XII, 14.
Orphani reliquuntur discipuli, LVIII, 7.
Orpheus, Œagri et Calliopes filius, XXXVI, 10; ejus uxor erat Euridice, X, 23, 3; navigavit cum Hercule, LXIX, 29; cantibus suis inanimata quoque allexit, XXXIX, 14; a mulieribus Thressis discerpitur, XXXIII, 51; LVIII, 11; LXX, 8; cur inter divos relatus sit, XXXVI, 10; e Thracia a Philosophia in Græciam missus fingitur, LXIX, 8; saltator, XXXIII, 15; ejus lyra stellarum ostendit harmoniam, XXXVI, 10; quomodo astrologicas proposuerit scientias, *ibid.*; loquens ejus caput, XXXIII, 50; XV, 2; quod lyræ innatat, LVIII, 11.
Osiris, XXXIII, 59; X, 13, 3; sepultus Bybli, LXXII, 7.
Osroes, XXV, 18 *sqq.*
Ossa apponere pinguedine obducta, II, 7.
Ossam imponere volunt Aloei filii Olympo, XII, 3.
Ostentare aliquid, ut Tegeatæ Calydonii apri exuvias, etc., LVIII, 14.
Othryades, Spartanus, ejus litteræ sanguineæ, XII, 24; LI, 18.
Otium non habere scalpendæ auris, XLVII, 1. Athletæ quando capiant otium, XXVI, 1. Otium eruditis convenit, *ibid.*; quale esse debeat, *ibid.*, 2.
Otus, XLVI, 23; LI, 13.
Oviculas *(discipulos)* tondent philosophi, LXIX, 14
Ovorum usus in Libya, LXIV, 7.
Oxydracæ, X, 14, 5; XXV, 31; LXIX, 6.

P.

Pacata, picta ab Apelle, XXXIX, 7.
Padi viciniam depopulatur Hannibal, X, 12, 2.
Pæan, VIII, 13, 2; LXXX, 142.
Pæones fortes, X, 14, 2.
Pætus, medicus, XXXII, 60.
Paguridæ, XXVI, 35.
Palæstra, ancilla, XLII, 3; amoris magistra, *ib.* 6-9.
Palamedes, Nauplii filius, inter literarum inventores erat, IV, 5; Ulyssis insidiis circumventus, LIX, 28; *conf.* XXXIII, 46; detegit simulatum Ulyssis furorem, LXI, 30; sapiens, X, 20, 4; ejus umbra garrula, XI, 18; cum Socrate confabulari fingitur, XXVI, 17.
Palinodiam canit poeta Himerensis, Stesichorus, XL, 15.
Pallas. *Vide* Minerva.
Palmas quomodo scandant Arabes et Ægyptii, LXXII, 29.
Pammenes, LXXI, 22; LXVII, 4, 1.
Pamphylius sinus, XXXVIII, 7; LXVI, 8.
Pan, Mercurii et Penelopes Spartanæ se dicit filium, VIII, 22, 1; cur hirco similis sit, *ibid.*; musicus, opilio, VIII, 22, 3; Bacchi sodalis, *ibid.*; quas res gesserit, *ibid.*; speluncam accipit virtutis præmium, *ibid.*; lascivus, *ibid.*; inquilinus et anceps deus, XLVI, 27; famulus Bacchi, inter Satyros canendi et saltandi peritissimus, XVII, 9; caprina fingitur apud Ægyptios facie, XIII, 14; qualis, VIII, 4, 1; XLVII, 9; ejus descriptio, LIV, 2; ejus forma ridetur, LXXIV, 4; VIII, 21; ei ligo et rheno consecrantur, V, 42; ubi habitet, VIII, 4, 1, XLVII, 9; in Marathonem venit, XLVII, 10; LII, 3.
Panathenaici ludi, III, 14; XLIX, 9.
Pancrates, magus, LII, 35.
Pancratio certare quid sit, XLIX, 8; pancratii præmia, XXVII, 22.
Pandion, XXXIII, 40; Pandionis tribus, LXXII, 45.
Panope Nereis, IX, 5.
Panthus, XLV, 13.
Paphii Venerem colunt, XIII, 10.
Paphlagones, homines stupidi, XXXII, 9 *et* 17.
Parætonia, XXV, 62.
Parasitus. *Vide* Adulator. Ars parasitica quid sit, XLVIII, 3-9; ejus requisita, *ibid.* 4 *sqq.*; parasitari beatum, XLVIII, 10; parasitus, animal felicissimum, *ibid.* 11; præ divite ac paupere felix, XLVIII, 12; artem parasiticam esse optimam, XLVIII, 13; discitur mercede accepta, non data, XLVIII, 18; eam oriri ex amicitia, XLVIII, 22; eam excoluere multi philosophi, XLVIII, 31-38; parasitus bello ac paci idoneus, XLVIII, 39 *sqq.*; ejus nomen unde ducatur, XLVIII, 60; Ulyssis de iis sententia, XLVIII, 10.
Parcæ quot sint, XLIII, 2; stamina fuso deducunt, XII, 16; secus ac natura de vitæ tempore constituunt, X, 6, 1. Earum decreta evitari non posse, XLIII, 1; *conf.* XVIII; 8; XLIV, 25; illis nihil esse potentius, XLIII, 3; earum nentium vis in deos hominesque, X, 19, 2; XLIII, 4; LXXVII, 14. *Conf.* Fatum.
Parentationes in mortuos traducuntur, XII, 22; L, 20 *et* 23. Parentales epulæ, *vide* Funus, Sepulcrum.
Parentibus neminem præferunt liberi, liberis neminem parentes, LXIII, 3.
Parianorum urbs, Peregrini patria, LXVIII, 14.
Paris, Priami filius, bubulcus, VIII, 20, 1; cognatus Ganymedis, *ibidem;* amori deditus, formosus, *ibid.*; judex pulchritudinis constituitur, *ibid. et* IX, 5, 2; ejus cum muliere Idæa commercium, VIII, 20, 4; munus recusat arbitri, *ibid.* 7; ad promissiones Junonis et Minervæ immobilis, *ibid.*; ejus judicium rursus, LXXVIII, 17; magnæ causa internecionis, X, 19, 1.
Parmenio, XLV, 25; LXXIII, 33 *seqq.*
Parnassus cum fonte Castalio, XII, 6.
Parrhasius, XVII, 42.
Parrhesia, socia Veritatis, XV, 17.
Parthenium, VIII, 22, 3.
Parthenius, XXV, 57.
Parthenope, femina libidinosa, XXXIII, 2.
Parysatis, XXV, 23.
Pasiphae, XXXIII, 49; XLII, 52; astrologa, XXXVI, 16.
Patara, LII, 38.
Pater filio amanti uxorem suam cedit, LXXII, 18. Pater noster vocatur precatio a patre, LXXVII, 27.
Patria nihil dulcius, augustius ac divinius, LXIII, 1; eam quisque suam ceteris urbibus præfert, *ibid.* 2; cur sit honoranda, *ibid.* 4—6; patriæ nomen diis carum est, *ibid.*; ut patriæ utilis sit, unicuique opera danda est, *ibid.*; patriæ obliviscitur nemo in peregrinatione, *ibid.* 8; in ea quisque vitam finire studet, *ibid.* 9; indigenis non desunt ejus laudes, *ibid.* 10; in ea sepeliri quisque gaudet, *ibid.*; nemo pro eadem pugnare detrectat, *ibid.* 12.
Patroclus Achillis dicitur parasitus, XLVIII, 46; amicitia ejus et Achillis, XXXVIII, 54; XLI, 18; mortui corpus distractum, LXXI, 42.
Pavo pulchritudine florum conspecta pennas exponit, LXI, 11.
Pauperes beatiores divitibus, XLV, 15; LXX, 26; eorum status melior quam divitum, XLV, 21 *sqq.*; eorum querelæ, LXX, 20, 31; vestes eorum cribro et reti similes, *ibid.* 24; cibus vero est nasturtium, porrum, cepa, *ibid.*

21 *et* 28; eos despicere decet apparatum divitum, *ibid.* 26—30. Eorum solatium, X, 1, 4; solatium paupertatis, quod divites mortui nil secum ferant, LXX, 38. Divisionem opum a Jove petunt, *ibid.* 31; pauperes liberrime moriuntur, XVI, 15; sine pauperibus urbes habitari non possunt, LXX, 33; sunt importuni in petendo, LXX, 37; eorumque ceteri mali mores, *ibid.* 39.

Paupertas defenditur, XLV, 21—23; LXXV, 4 *et* 5; ejus causa, V, 5; in eam incidere esse facile, *ibid.* 29; quænam eam virtutes comitentur, *ibid.* 31. Est nonnunquam servitii voluntarii prætextus, XVII, 5; et perpetua comes mercede conductorum, *ibid.* Paupertas malesuada, XVIII, 10.

Pauson pictor, LXXIII, 23 *et* 24.

Peccare esse hominis, XXXVII, 7.

Pecuniæ vis, XXXVII, 23. *Vide* Aurum, Divitiæ.

Pegasus, equus alatus, I, 15.

Pelei et Thetidis connubium, IX, 5, 1; ejus nuptiæ, LXXI, 35. Pelei filium esse promptissimum heroem, X, 15, 1.

Pelias, XXXIII, 52; quid sperarit, XL, 2.

Pelion Olympo superimponitur, XII, 3.

Pella, oppidum Macedoniæ, XXXII, 6.

Pellem humi stratam insidere quid significet apud Scythas, XLI, 48.

Pelopidarum gens, VIII, 20, 14; XXXIII, 43.

Pelops Hippodamia potitur, interfecto socero, LXXVIII, 19; mactatus, XXXIII, 54; ejus humerus, *ibid.*; quam ob rem inter deos receptus sit, LXXVIII, 7; ejus persona in scena, XI, 16.

Pelusiotæ colunt cepam, XLIV, 42.

Penelope, mater Panos, Icarii filia, VIII, 22, 1; quomodo sit picta, XXXIX, 20; num sit casta, XXVII, 36; ejus tela, LXIX, 21.

Penthelicus lapis, XLIV, 10.

Pentheus, XV, 2; XXXIII, 44; LVIII, 19; LXVIII, 2; LXX, 8; LXXIV, 7.

Pera suspensa philosophorum gestamen, XV, 45; XVI, 19; LXIX, 14, *et aliis locis*. Pera duos Ægineticos modios capiens, V, 57.

Peræquator Craton, LXXVII, 19.

Perdiccas, XLV, 25; annulum accipit Alexandri, X, 13, 2. *Conf.* XLV, 25; LXII, 13. Ejus commentum, LIX, 18.

Peregrini. In eis quoque laudanda est virtus, XLI, 5; peregrinantium erga patriam pietas, LXIII, 8.

Peregrini vita, LXVIII, 9 *sqq.*; ejus mors, in ignem dum insilit, *ibid.* 36; patrem interficit, *ibid.* 10; Christianorum sapientiam didicit, *ibid.*; Proteus alter, *ibid.* 1. Proteus Cynicus, *ib.* 14; patriæ donat quinque talentorum millia, *ib.* 4.

Pergami Æsculapius officinam sanandi constituit, XLVI, 24.

Periander Arionem citharœdum ditat, IX, 8. XXVII, 17.

Pericles, defensor Anaxagoræ, V, 10; Aspasiæ egit causam, XXXVIII, 30; *conf.* XLV, 19; Periclis Olympii encomium, LXXIII, 20; XXXIX, 17; de eo LXXIII, 37; ejus laus saltatoris, XXXIII, 36. Periclea Suada, XXXVIII, 30.

Perilaus, fabricator bovis ænei in quem ipse injectus est, XXX, 11 *et* 12; XLIV, 28.

Peripatetici, quales sint, XIV, 26; XV, 50; XX, 16; XXXV, 3; divitias non valde contemnunt, *ibid.* *et* XXXV, 3.

Perjurium Hermodori, XLVI, 16; XLVI, 26; perjurium committere per numen impotens ulciscendi, LXXVII, 4.

Persæ ignavi, X, 14, 2; eorum reges ubi stent in acie, LXVI, 31; eorum ratio sagittandi, XX, 33; eorum leges, XIII, 5; demisso vultu accumbunt, XVII, 29; quomodo reges adorent, LXVI, 30; sacrificant igni, XLIV, 42; mortuos humant, L, 21.

Perseus cum matre in mare præcipitatus servatur, *ibid.* *et* IX, 12, 1; Medusæ amputat caput, IX, 14, 2; *conf.* XXXIII, 44; LXXVII, 9; adversus Gorgonas in certamen exit, IX, 14, 2; alatus venit in Libyam, *ibid.*; Andromedes incenditur amore, IX, 14, 3; interficit cetum, IX, 14, 3; LXI, 22; quomodo pingatur cum falce, XXXII, 11 *et* 58; LX, 11; *conf.* LXI, 25; homines lapides reddens, XIV, 25.

Persica candys, X, 14, 4.

Perspicuitati sermonis danda opera, XXXIV, 23.

Pes. Non alterum unquam pedem protulisse Corintho, XXV, 29; quocumque pedes tulerint, eo ibimus, XX, 28; pedibus illotis aggredi aliquid, LI, 14; LX, 4; equinos pedes optat Cynicus, LXXV, 15; pedibus incedere quam gestari præstat, LXXV, 17

Pestilentia, Athenis grassans, quando desitura fuerit, XXIV, 2.

Phæaces, oratione permulsi, III, 35; saltatione gaudent, XXXIII, 13; eorum rex, XI, 15.

Phædra, XXXIII, 49; femina libidinosa, XXXIII, 2; defert Hippolytum, LIX, 26.

Phædrus, X, 20, 6; XXXVIII, 24 *et* 31; LXI, 4.

Phaethon cur ceciderit, VIII, 25, 2; ad Eridanum sepelitur, *ibid.*; sorores ejus mutantur in populos, *ibid.*; electri lacrimas plorantes, XXXIII, 55; LVI, 1; ejus fabula, *ibid.* 1 *et* XXXVI, 19. Quid ordinarit in astrologia, XXXVI, 19; est rex incolarum solis, *ibid.* 12. Phaethonteæ conflagrationes, V, 4.

Phalaris quis, quomodo sit educatus, XXX, 2; justitiæ contemtor, XLVII, 8; insulam Beatorum invadere fingitur, XXVII, 23; mittit Delphos taurum, XXX, 1; crudelitatis calumnia se purgat, *ibid.*; cur sibi vindicarit imperium, *ibid.* 2; rempublicam in meliorem redegit statum, *ibid.* 3.

Phalli cum inscriptionibus, LXXII, 16; erant alti trecentos passus, *ibid.* 28.

Phaneti sacrificant Cyllenii, XLIV, 42.

Phanomachus dives, LXVI, 27.

Phaon, X, 9, 2; XL, 2; LXVI, 42.

Pharmacopola, aliis dato remedio tussis, ea ipse laborat, XVIII, 1.

Pharos, XXV, 62; XLVI, 12.

Phasiana gallina, XVII, 17.

Phavorinus a Demonacte illusus, XXXVII, 12. XXXV, 7.

Phello, XXVII, 25.

Phellopodes, XXVII, 4.

Phemius, LXI, 18.

Pherecydes Syrius, LXII, 22.

Phidias Jovem exhibet, I, 8; cujus imaginem elaboratam prætereuntium exponit judicio, XL, 14; ejus opus præstantissimum, XXXIX, 4; LXVIII, 6; ejus in fingendo leone sollertia, XX, 54. Memoratur I, 9; XIII, 11; XX, 19; XXV, 51; XL, 23.

Phidon assentator, X, 6, 5.

Philebus, XLII, 36.

Philemo, poeta comicus, XIX, 6; ejus ætas et mortis genus, LXII, 25.

Philetæri Pergamenorum regis ætas, LXII, 12.

Philiades adulator, V, 47.

Philippides, cursor, primus dicitur usurpasse salutandi formulam χαίρετε, Gaudete, XIX, 3; in ipso gaudendi verbo pronunciando exspirat, *ibid.*

Philippus, filius Amyntæ, X, 14, 1; num sit pater Alexandri, *ibid.*; sua facta enumerat, *ibid.* 2; exprobratur ei proditio, perfidia, *ibid.* 3; contra quos pugnaverit, LXII, 10; Græcos ad Chæroneam vicit, LXII, 23; con-

tra Corinthios arma sumit, XXV, 3; oculo privatus, XXV, 38; Æschinem colit ob eruditionem, I, 12; deceptus, X, 13, 1; ejus testimonium de Demosthene, LXXIII, 33; qualis Macedonibus, XLVIII, 42; ejus ebrietates et saltationes impudicæ in orationibus Demosthenis, LXXIII, 5; qualis apud inferos, XI, 17.
Philo, Diniæ filius, LXXVIII, 4.
Philocrates, proditor patriæ, XLVIII, 42; LXXIII, 41.
Philoctetes, XXXIII, 46; celeber sagittarius, LVIII, 5; socius Herculis, LXVIII, 21; e Lemno ab Ulysse reductus, XLVIII, 10; podagricus, LXXX, 257.
Philolaus, XIX, 5.
Philomelæ statua, LXXII, 40.
Philopatris, LXXVII.
Philosophia et Philosophi. Philosophia profugiens ab semidoctis, LXIX, 4; ab Jove demissa, ut sanet homines, *ibid.* 5; primum ad barbaros proficiscitur, dein ad Græcos, *ibid.* 6; est inventrix veri, XV, 15; ejus comites, *ibid.* 16; est ingenio mansueto et miti, *ibid.* 24; philosophi veri vitæ beatæ sunt legislatores, *ibid.* 30; philosophia homines beatos reddit, XX, 1; quæ ejus materia sit, *ibid.* 38; cur eam amplecti oporteat, *ibid.* 20; est rerum humanarum contemtrix, *ibid.* 7; ad sobrietatem reducit ebrios, XLVII, 17; philosophia falsa sub specie mulierculæ perstringitur, XV, 13; a comœdia telis petitur, XV, 14; mercenarium genus hominum ad eam transiit, LXIX, 12; philosophis addita nomina a vitiis, *ibid.* 26; philosophiæ amore pauci, gloria illius præmiisque plerique ducuntur, XV, 31; comparantur philosophi cum histrionibus, *ibid.*; cum asino Cumano, XV, 32; cum simiis, *ib.* 36; auditores philosophiæ non ex æquo omnes evadunt philosophi, III, 37; philosophia inimica bonis vulgaribus, III, 4; ejus auditores cum insanientibus comparantur, III, 37. Philosophorum multitudo, XLVII, 6; mento tenus sunt Pani similes, *ibid.* 11; eorum quædam signa externa, XLVI, 5; peram et baculum gestant, XLVII, 6; XV, 1; philosophi barbati, palliolo amicti, XV, 11; si illi a barba judicandi, quid sequatur, XXXV, 9; *conf.* XX, 18; LXXXIII, 33; in eis considerandus animus, *ibid.*; philosophus qualis corpore esse debeat, XXXV, 8; philosophi quomodo sint explorandi, XV, 42; sectæ eorum variæ, XX, 14 *sqq.*; XLVI, 29. *Vide dial.* XIV. Vendunt doctrinas et adulterant, XX, 59; diversæ eorum de natura rerum sententiæ, XLVI, 5; eorum acerbæ litigationes, XLVII, 11; temeritas in disputando, XLVI, 8; inscitia et dubitatio, XI, 4; *conf.* XV, 11; diversa alterius ab altero dogmata, *ibid.*; tricæ disceptationesque frigidæ, *ibid.*; sunt logomachi, XXXV, 1; ab ira alieni, XV, 8; iis indignari non convenit, *ibid.* 14; præceptis eorum adversatur vita, V, 54; X, 10 *et* 11; XI, 5; XV, 34; XLVI, 21; LXIX, 16 *sqq.*; multi parasitantur, XLVIII, 31—38; *conf.* III, 25; sunt tumidi et avari, XLVIII, 52; sophistica eorum vitæ ratio, XLVI, 24; hominum se præbent contemtores, deorum illusores, *ibid.* 30. Philosophis constituuntur salaria, XXXV, 3; altercantium judex ad quid attendere debeat, *ibid.* 5; eos oportet esse paucis contentos, V, 57; admonentur, X, 1, 2; quidam disputantes ad vulnera procedunt, LXXI, 1; immodestos et impudicos se gerunt in conviviis, *ibid.*; primum accubitum postulant, *ibid.* 9; manus conserunt, *ibid.* 33 *et* 43; mingunt in convivio, *ibid.* 35; candelabrum evertunt, *ibid.* 46; philosophiâ quidam factus deterior, XX, 80; philosophi cujusdam detestanda avaritia, XX, 9; cujusdam cum voracitate conjuncta vinositas, XX, 11; quidam scepticus, XIV, 27; quidam durius educant adolescentiam, III, 27; quorundam mors misera, XLVIII, 57. Philosophorum longævorum exempla, LXII, 18—21. Philosophos varia excogitasse nomina Fati, Fortunæ, Virtutis et Naturæ, LXXIV, 13.
Philoxenus deridet Dionysium, LVIII, 15; *conf.* LIX, 14.
Phineus cæcus, X, 28, 1; XL, 20; vates, LXV, 1; cibis ab Harpyiis privatus, V, 18.
Phocenses bellicosi, X, 14, 2; iis donaria Delphica præda fiunt, XII, 12.
Phocion in summa paupertate mortuus, XLIII, 16.
Phœnices mercatores, XLVI, 16; XLI, 4; stellarum scientiæ dediti, XLVI, 1; eorum voces obscuræ, XXXII, 10.
Phœnicia, IX, 15, 4.
Phœnix, præceptor Achillis, X, 15, 1.
Phœnix, Indica avis, LXVIII, 27.
Phrygia capta, X, 12, 4. Phryges ignavi, X, 15, 1; occisi ab Achille, IX, 11; orgia Rheæ ab Atte didicerunt, LXXII, 15; sacrificant deo Luno, XLIV, 42; æque atque Græci sacrificant, XIII, 14; eorum saltandi genus, XXXIII, 34. Phrygum tibia, III, 37. Phrygius puer (Ganymedes), VIII, 5, 1; VIII, 20, 6. Phrygius adolescentulus a Rhea appetitus, VIII, 12, 1.
Phryne, XVI, 22; LXXIII, 12.
Phryno, LXXIII, 41.
Phrynondas, XXXII, 4.
Phryxus, frater Helles, IX, 9; filius Nepheles, *ibid.*; ex Athamante, XXXVI, 14; cur in ariete vectus esse dicatur, *ibid.*, *et* IX, 9, 2.
Phthiotis, X, 15, 1.
Phyllis, XXXIII, 40.
Pictores atque poetas non vocari ad dicendam causam, XL, 18. Pingi volunt multi ita ut ab iis exhibeantur formosiores, XL, 6. Somnia pictorum, XX, 72.
Pictura, voci exprimendæ impar, LXXXII, 30.
Pila. De illa apud Lacedæmonios decertatio, XLIX, 38.
Pileo cur non indigeant Græci, XLIX, 26.
Pincerna acutum videat et audiat, LXX, 18.
Pindarus, poeta Thebanus, XXXIX, 8; aquæ, deinde auri laudator, XLV, 7; ejus versus recitati *ibid. et* LXXIII, 19; ejus hymni a Musis canuntur, XLVI, 27; laudatur, LIII, 7.
Pinguedine obducta apponere ossa. *Vide* Prometheus.
Piræeus, XV, 47; LXXVIII, 1, *et passim.*
Pirithous ex uxore Ixionis a Jove genitus, VIII, 6, 3; ejus atque Thesei amicitia, XXXIII, 60; XLI, 10; LXXVIII, 16.
Piscatores quomodo rete queat decipere, XX, 65.
Piscis sacer. Piscibus vescuntur nec Syri nec Ægyptii, XXXVI, 7; LXXII, 14; pisces sacri aluntur in templo, LXXII, 45; nomina habent et vocati accedunt, *ibid.*
Pisistratus, Nestoris filius, LXXVIII, 25.
Pistillum: ex eo fit homo, LII, 35 *et* 36.
Pittacus sapiens, X, 20, 4; ejus ætas, LXII, 18.
Pituita plenæ naris homo, X, 6, 2; LX, 20.
Pityocamptes, II, 7; XXVII, 23; XLIV, 21; XLVII, 8.
Pitys a Pane amata, VIII, 22, 4.
Planetis nomina ab Æthiopibus tributa, XXXVI, 4; eorum choreæ, XXXIII, 7; atque oppositiones et quadraturæ, LXXVII, 24.
Plato Siculos tyrannos colit, X, 20, 5; scribit ad Dionysium, XIX, 4; erat parasitus minus idoneus, XLVIII, 34; sed amicus libertatis, osor servitii, XVII, 21; fide dignus legislator de usu verborum χαίρειν, εὖ πράττειν, XIX, 4; ejus eloquentia et prudentia, XV, 22; ironia et lepidæ interrogationes, *ibid.*; ejus magnificentia, XVII, 25; boni multum effecit, XV, 25; accusatur pæderastias, LXXI, 39; est communitatis uxorum auctor, *ibid.*; communes vult mulieres, sed alio sensu ac vulgus credit, LXIX, 18; quid statuerit, XX, 36; animam in tres partes (iram, cupiditatem, rationem) dividit, XXXIII, 70. Citantur ejus Civitas et Leges,

XXVII, 17; ejus liber de Anima ejusque immortalitate, LVII, 7; *conf.* XXVII, 19; laudatur de Pulchro, LXIV, 9. Quædam saltationis genera laudat, quædam rejicit, XXXIII, 34; quomodo salutandum duxerit, XIX, 4. Ejus ætas, LXII, 20. Platonici quales sint, XX, 16. Hircus par Platoni, si e barba philosophum æstimes, LXXXII, 33.
Plethrium, locus in gymnasio, LXVIII, 31.
Pluto : unde hoc nomen ei sit, L, 2; in quos ejus imperium, *ibid.*; rex manium, XI, 10; ejus regia, *ibid.*; amore captus, X, 23, 2; nutritor dicitur podagræ, LXXX, 110.
Plutus, quando claudus, quando alatus, V, 20; ejus quædam epitheta, V, 29; cæcus, *ibid.* 20; largitor opum, V, 21. Plutus splendida et aurea specie in vestibulo sedens, XVII, 42.
Podagra in scenam producitur, LXXX et LXXXI. Adversus eam plerumque irrita medicamenta, LXXX, 145, 295; origo ejus ex tartaro, et causa physica, *ibid.* 100; ejus nutritor Pluto, *ibid.* 110; tempus invasionis, *ibid.* 115; locus dolorque intentissimus, 120 *et* 300. Podagrici jocosi et derisui obnoxii, *ibid.* 180 *et* 331. Initio nolunt fateri se podagra laborare, LXXXI, 6 *et alibi*. Etymon podagræ, LXXXI, 187. In podagram, LXXXII, 35.
Podagrosi heroes, LXXX, 250—264,
Podalirii et matris Alexandri magi nuptiæ, XXXII, 11 *et* 39.
Pœcile, XV, 13; XLIV, 16; LXVI, 13.
Pœnæ infernales, X, 10, 13; L, 8. *Vide* Infernus. Pœnæ post hanc vitam, XI, 14; XLIII, 17 *sqq.* Pœnæ solio Minois adstant, XI, 11; Pœnæ in incantationibus invocatæ, XI, 9. Dextræ præcisio, pœnæ genus apud Scythas, XLI, 10. Mœchorum pœna, *vide* Raphanismus. Punire homini bono difficilius quam puniri, XXX, 8.
Poesis, Poetæ. Quomodo poesis adolescentiæ Græcæ tradatur, XLIX, 21; poesis an oratoria præstet, LXXIII, 6; poesis imaginibus exornata, XL, 26. Poetæ invocant Musas, XIII, 5; eorum œstrus, XXV, 8; iis magna licentia est, LXV, 5; equitibus comparantur, LXXIII, 5; furere iis opus est, *ibid.*; eorum audacia, XX, 74; dicuntur attoniti, LXXVII, 2; eorum portenta, *ibid.*, *et potissimum* LXXVII, 10, 16; eorum proprium nihil sani et veri proloqui, XLIV, 39; LVI, 3; quando vera canant, XLIII, 2; eos jucunditatem solam spectare, XLIV, 39; eorum somnia, XX, 72; fumus poeticus, V, 1; XI, 3; eorum mendacia esse tolerabilia, XXV, 8; LII, 3; nimis obscuri in reprehensionem incurrunt, XXXIV, 25; vitiorum scenicorum non sunt participes, III, 8 *et* 9; eosdem ac pictores non vocari ad dicendam causam, XL, 18; quidam assentator, XL, 4; certant in laudanda coma Stratonices, XL, 5.
Polemon comissator, XLVII, 16.
Pollux vulneratus, VIII, 26, 1; Castori similis, *ibid.*; quomodo discernantur, *ibid.*; alternatim moriuntur, *ibid.*; cur? *ibid.* Fraternus eorum amor, *ibid.*; ad superos redit Pollux, X, 1, 1. Pollux saltator, XXXIII, 10; præses athletarum, XL, 19; ejus certamina, XXXIII, 78.
Polus, Chariclis filius, Suniensis, actor tragicus, XI, 66; XV, 22; XVIII, 5; XLIV, 3; LXIV, 42.
Polus, Agrigentinus, XXI, 3.
Polybii Megalopolitani ætas et mortis genus, LXII, 22.
Polybius quidam indoctus, XXXVII, 40.
Polycletus effinxit Junonem, I, 8; ejus canon, XXXIII, 75; LXVIII, 9. Memoratur, I, 9; XIII, 11; LII, 18.
Polycrates, Samiorum tyrannus, XI, 16; XXXIII, 54; LXVI, 26; miser ejus finis, XII, 14; LXVI, 26.
Polydamas Scotussæus, XXV, 35. Polydamas luctator, XXI, 8; XL, 19. Polydamantis athletæ statua febricitantes sanat, LXXIV, 12.
Polygnotus, pictor, XXXIX, 7.
Polyidus, XXXIII, 49; LXV, 1.
Polymnia, XXXIII, 36; XXXIX, 16.
Polynices apud Euripidem, XIX, 2.
Polyphemus Neptuni filius, Siculus, IX, 1, 1; ejus facies, *ibid.* Musicus, *ibid.* 3; a Galatea amatus, *ibid.* 2; crudivorus Cyclops hospites mactat iisque vescitur, *ibid.* 5; ab Ulysse excæcatus, IX, 2, 1; cujus devorarat socios, *ibid.* 2. Polyphemus pro homine impuro, LX, 27.
Polypi piscis versutia, IX, 4, 3.
Polyprepon tibicen, LXXI, 20.
Polystratus, X, 9; *conf.* XL.
Polyxenæ persona in scena, III, 11.
Pomum Eridis, LXXI, 35; LXXVIII, 10; projicitur, IX, 5, 1; pulcherrimæ præmium, *ibid.*; VIII, 20. Poma demorsa amoris signum, LXVII, 12.
Pontus Euxinus dicitur inhospitalis, XLI, 3. Pontus Christianis plenus, XXXII, 25.
Pontici, rudes homines, XXXII, 17.
Populi ad Eridanum flumen, VIII, 25; LVI, 1.
Populus Somniorum, LXXVII, 21.
Porcellus Acarnanius, amator adolescens, LXVII, 7, 4.
Porcos non immolant Syri, LXXII, 54.
Porta ferrea, LXXVII, 23. Portæ somniorum, XLV, 6.
Porticus, patrona justitiæ, XLVII, 8.
Porus, X, 12, 5; XXV, 12.
Posidonii Apameensis ætas, LXII, 20.
Potamo, rhetor, LXII, 23.
Potentes improbi cum libris quibusdam comparantur, XVII, 44.
Pothus, Veneris comes, frater Hymenæi, VIII, 20, 16.
Præmia victorum quæ, XLIX, 9; post hanc vitam præmia, XLIII, 17 *sqq.*; philosophici certaminis præmia, XXXV, 3.
Præsules quinam sint Thessalis, XXXIII, 14.
Praxiteles in admiratione fuit, I, 8; ejus opus admirabile, XXXVIII, 11. Memoratur XIII, 11; XXV, 51; XLIV, 10.
Precaturi in Syria conscendunt altissimos phallos, LXXII, 29.
Priami persona in scena, XI, 16; [illegible]
Priapus saltare doctus, XXXIII, 21; erat frater Cupidinis et Hermaphroditi, VIII, 23, 1; ridiculum quoddam committit, *ibid.* 2. In Priapi effigiem, LXXXII, 22.
Procnes statua, LXXII, 40.
Procorum apud Bosporanos mos, XLI, 44.
Prodicus, XV, 22; XXI, 3.
Prætus, LIX, 26.
Prometheus Titanum peritissimus, II, 1; qualis fingatur, II, 8; a Minerva adjutus, II, 3; format homines, VII, 13; ejus opus, XXXVIII, 43; quod consilium in hominibus fingendis secutus sit, VII, 12; a Jove damnatus, VII, 4; cruci affigitur, VII, 2, et XLII, 8; ad objecta a Mercurio crimina respondet, *ibid.* 7; ejus palo affixi calamitas, XIII, 6; ejus pœna, XXXIII, 38. Ejus partem ferre, XVII, 26. In libertatem restituitur, VIII, 1. Ejus nomine insigniuntur figuli, II, 2. Feminini sexus fictor Prometheus, XXXVIII, 9.
Propugnaculum patriæ Demosthenes, LXXIII, 35.
Proserpina Cereris filia, X, 23, 1; ejus amor, VIII, 11, 1; inventa, XXXIII, 40; apud inferos dominatur, L, 6; in incantationibus invocata, XI, 9.
Protarchus, V, 22.
Protesilaus, X, 19 *et* 23; XXXIII, 53; L, 5; XLVIII, 46; Iphicli filius, Phylacius, X, 23, 1; Hectoris cecidit manu, *ibid.*; in vitam redire cupit, *ibid.*; unius diei ei conceditur ad superos reditus, X, 23, 1; ei sacrificatur, LXXIV, 12.

Proteus mutabilis, XIII, 5; saltator, XXXIII, 19; variæ ejus formæ, IX, 4, 1; LXXIII, 24. Proteus alter Peregrinus, LXVIII, 1; *vide* Peregrinus.
Providentia deorum a quibus negetur, XLIII, 6; negatur, XLIII, 14; XLIV, 4, 16, 17, 35; cur de ea dubitandum, XLIII, 12 *sqq.*; XLIV, 38 *sqq.* Providentia ultrix, XLII, 35.
Proxenidas, Actionis socer, XXI, 4.
Proxenus, dux Atheniensis, LXXIII, 37.
Prudens præsentibus est contentus nihilque eorum tale existimat, quod tolerari nequeat, X, 26, 2.
Prudentiæ imago, XXXIX, 17. In prudentiam, LXXXII, 13.
Prusias Bithynus, X, 12, 6.
Prytaneum, XV, 46, 1; in eo victus præbetur, VII, 4.
Psittopodes, XXVI, 35.
Psyllotoxotæ, XXVI, 13.
Ptœodorus senex, X, 7, 1.
Ptolemæus Lagi filius, XLV, 25; bicolorem hominem et camelum Ægyptiis spectandum exhibet, II, 4; Thespin, tibicinem, ob artis peritiam dono afficit, *ibid.*; ejus epistola ad Seleucum, XIX, 10; quid perfecerit ope Archimedis et Sostrati, LIII, 2. Dicitur satelles Alexandri, X, 13, 3; quamdiu vixerit, LXII, 11.—Philadelphus sororis maritus, XLVI, 15; ejus ætas, LXII, 12. — Philopator qualis erga Apellem apud se delatum et in Antiphilum delatorem, LIX, 2 *sqq.*
Ptolemæus Dionysus, LIX, 16.
Pudor variaque ejus a variis epitheta et synonyma, XVII, 11; pudore ob laudes suffundi moderati est animi, XL, 17.
Pueri comati in pretio, LXIX, 20; LXX, 24; vocantur Hyacinthi, Achilles, Narcissi, *ibid.*
Pugna philosophorum in convivio, LXXI, 33, 34, 43.
Pulcher homo, de bonorum morum vel elegantiarum studioso, LXXVII, 1. Pulchros semper diis gratos fuisse, LXXVIII, 6 *sqq.*; pulchri coluntur ab omnibus; deformes odio habentur, *ibid.* 15.
Pulchritudo mentis et corporis non semper in eodem invenitur homine, XXXIX, 11; pulchritudinis corporis præstantissimæ imago, *ibid.* 6 *seqq.*; item mentis, *ibid.* 13 *sqq.*; pulchritudinis novæ excogitare specimina, non parvæ est sapientiæ, LIII, 8; pulchrarum rerum spectator, LXI, 2; earumdem adspectus pellicit animos, *ibid.* 10; res pulchræ, quæ videntur, quam quæ audiuntur, multo magis percellunt animum, *ibid.* 20. De pulchritudine dissertatio, LXXVIII. Omnes ejus participes esse cupiunt, sed paucis contigit, *ibid.* 6; pulchritudo Jovem reddit mansuetum, *ibid.* 7 *et* 8; de sua deæ magnifice sentiunt, *ibid.* 10; ei non invidetur, *ibid.* 23; ei studetur in omnibus operibus, *ibid.* 25. De pulchritudine placita Aristotelis et Platonis, XXXIII, 70; LXIV, 9.
Pulicisagittarii, XXVI, 13.
Pulicum vestigia metiri, LXXVII, 12.
Pulvis et lutum cur in gymnasiis subjiciantur, XLIX, 28 *et* 29.
Punire. *Vide* Pœna.
Purpuram gestat summus sacerdos, LXXII, 42. Purpuræ cochlea proprie ad cibum destinata, LXXV, 11.
Pyanepsion, IV, 1.
Pygmæi, XX, 5.
Pygmalion deperit statuam Veneris, XXXVIII, 15.
Pyladis et Orestæ amicitia, XXXVIII, 47; perpetrata cæde evadunt ambo, *ibid. Conf.* LXI, 23. Cur divino cultu digni: *vide* Orestes.
Pylius senex, XXXIX, 13.
Pyramides quam ob causam exstructæ, XII, 22; earum supervacuitas, L, 22; quamvis altæ, non præbent umbram, XLI, 27.
Pyriphlegethon, X, 20, 1; X, 30, 1; XI, 10; XII, 6; XVI, 28; L, 3.
Pyrrha, uxor Deucalionis, LI, 19.
Pyrrhias coquus, XI, 15; servus, XVII, 23.
Pyrrhicha, saltationis genus, XV, 36; unde nomen hoc ortum sit, XXXIII, 9.
Pyrrho nullum verum putat esse judicium, XIV, 27; XLVII, 25; scepticus, bilanx, ejus doctrina, XIV, 27.
Pyrrhus varias fortunæ vices subiit, XIX, 11; quid a diis potissimum petierit, *ibid.*; Epirota ab adulatoribus circumscriptus, LVIII, 21; cui ore et habitu similis, *ibid. Vide de eo* XLVI, 25.
Pythagoras, Mnesarchi filius, Samius, XLV, 4; cujas, ubi institutus, XIV, 3; peregrinatur in Ægyptum, XLV, 18; Hori libros et Isidis ediscit, *ibid.*; sectatores ejus, *ibid.*; in Aspasiam mutatus, *ibid.* 19; ex meretrice iterum factus philosophus, *ibid.* 20; quomodo ex Euphorbo factus sit Pythagoras, XXXII, 33; XLV, 15, 17; in gallum mutatus, XLV, 4; erat quondam athleta, XLV, 8; septies mutatus et dextro femore aureus, XXVII, 21; ei nomen Euphorbi aut Apollinis inditur, X, 20, 3; aureum ejus femur, *ibid. et* XXXII, 40; XLV, 18. Transmigrationem animæ statuit, XIV, 5; *de qua vide* XXVII, 21; XLV, 17, 20. Erat fabarum osor, XXVII, 24; cur aversetur fabas, XIV, 6; XLV, 18; de iis non edendis legem tulit, *ibid. et* XLV, 4; ejus scientiæ, XIV, 2 *sqq.*; ejus jusjurandum, *ibid.*; ejus quaternarius, LXXVIII, 12; ejus quoddam dogma, XXXIII, 70; ejus sapientia et divina mens laudatur, XXXII, 4; nihil scripti reliquit, XIX, 5; quomodo sanitatem significarit, *ibid.*; silendum esse discipulis quinque annos, XX, 48; boni multum effecit, XV, 25; *conf.* X, 20, 3; erat modo pauper, modo dives, XLV, 15; auri amans, XLV, 13; contra Achivos in bellum proficiscitur, *ibid.* 13. Erat superbus, *ibid.* 4; hospes tyranni Phalaridis, XXX, 10; de eo multa injuriose dicuntur, *ibid.*; quomodo salutare consueverit, XIX, 4; dicitur sophista, XLV, 18. Fabula de Pythagora sacris Eleusiniis interesse prohibito, LX, 5.
Pytheas accusatur a Demosthene, LXXIII, 46; ejus judicium de orationibus Demosthenis, *ibid.* 15.
Pythia Delphica, XX, 60. *Vide* Oraculum.
Pythius, X, 11, 2; XIX, 4; lateres aureos accepit, XII, 11; non curat aurum, XII, 12; ad quam philosophiæ sectam homines impellat, XX, 15. Alio Pythio ad interpretandum opus habere, XLIV, 28.
Pythonis vana promissa, LXXIII, 32.
Pytho sublatus saltatur, XXXIII, 38.
Pytine, Cratini fabula, LXII, 25.

Q.

Quadi, et divi Marci bellum in eos, XXXII, 48.
Quæstiones frivolæ, XLVII, 34.
Quaternio, maximum jusjurandum, numerique perfectio Pythagoricis, XIX, 5; XIV, 4.
Quinquatribus munera mittuntur, XVII, 37.

R.

Radi ad cutem, XIV, 20. *Vide* Tondere.
Raphanismus, mœchorum pœna, LXVIII, 9.
Ratiocinium et fœnus, V, 13.
Regum conditio misera, XLV, 24; colossis quomodo similes sint, *ibid.*; quando tragicis actoribus, XLV, 26. Iis sunt multa mala cum privatis communia, XII, 18,

regum longævorum exempla, LXII, 8-17. Rex compotationis talorum victoria creatus, LXX, 4.
Reprehendere facile est, consilia dare et emendare difficilius, XLIV, 23.
Requietem quando capiant athletæ, XXVI, 1. Eruditorum requies qualis esse debeat, *ibid.* 2; convenit ipsis, *ibid.* 1.
Responsa, quæ neque cœlum neque terram tangunt, XXXII, 54.
Retrocurrere melius, quam male currere, XLII, 18.
Rhadamanthus : ejus officium, XVI, 13, 18, 22; XI, 2; L. 7. Metuens ad vivorum aspectum, XI, 10; in insula Beatorum imperitans, XXXVII, 7. Ejus interdictum, XI, 21; XI, 21.
Rhea mater Jovis, V, 6; eundem servat, XIII, 5; ejus fraus, XXXII, 37; *de hac re conf.* LXX, 6; maritum constantem habet, VIII; 10; arte saltandi delectatur, XXXIII, 8; a Cupidine percussa, VIII, 19; anus Attin pusionem amat, VIII, 12, 1; zelotypa, XIII, 7; castrat Attin, LXXII, 15; ejus insignia, *ibid.*; corripit Phryges, III, 37; in Ida cum Corybantibus circumvagatur, VIII, 12, 1; ubi colatur, XIII, 10.
Rhetorica fucata, XLVII, 31; eam esse infra poesin, *ibid.*; ejus imago, *ibid.* 6; quæ ejus amatores bona consequantur, *ibid.*; duæ sunt ad eam viæ, *ibid.* 7. Rhetores quidam novi perstringuntur laudando, *ibid.* 11; tumidi et avari, *ib.* 48, 52. Rhetor malus quidam, XXXVII, 36; quorundam gestus actionesque ridiculæ, LI, 19; extemporales quidam, *ibid.* 20.
Rhodius quidam sophista, XLI, 27.
Rhodochares, XVI, 17.
Rhododaphne quid? LX, 27.
Rhodope mons, LXIX, 20; XXXIII, 51.
Rhodope, femina libidinosa, XXXIII, 2.
Rhodus, soli sacra, XXXVIII, 7; ejus laus, *ibid.* 8.
Rhœteum cum tumulo Ajacis, XII, 23.
Risus. Cum Sardonio risu dicere aliquid, XLII, 24; XLIV, 16. Quoad vivimus, risus est in ambiguo, X, 1, 1.
Rivales Bosporani in nuptiis petendis, XLI, 44 *sqq.*
Roma, nutrix vitiorum, III, 16. Exprobratur Romanis insana equorum cupido, *ibid.* 29.
Roxane: ejus nuptiæ cum Alexandro depictæ ab Aetione, XXI, 4; a quo pulcherrime expressa erant labia, XXXIX, 7.
Rubrum mare a Noto perflatum, IX, 15, 1.
Rufinus, Cyprius, XXXVII, 54.
Rupes. Super alba rupe dormire, LXXVII, 21.
Rusticitas Hippolytea, XXXVIII, 2.
Rutilianus, XXXII, 4; superstitiosus, alioquin bonus, *ibid.* 30 *seqq.*

S.

Sabazius deus, LXXIV, 9; *conf.* XLVI, 27.
Sabinus. Luciani ad eum mercede conductorum inscripta defensio, XVIII.
Sacauraci Scythæ, LXII, 15.
Sacco major tabella, prov. LXXIII, 10.
Sacerdotum circa hostias negotia, XIII, 13; plures trecentis in templo deæ Syriæ, LXXII, 42; eorum vestis est candida; summus sacerdos purpuram gestat, aliaque de iis, *ibid.* et *seqq.*; vulnerant brachia, XLII, 37; LXXII, 50.
Sacrificia variarum nationum, XLVI, 24; XLIV, 42; cur fiant, XIII, 2; XLIII, 7. Ea esse supervacanea, XLIII, 5; adhibentur ad ea saltatio, musica, mimi, XXXIII, 16. Sacrificii ritus, pecoribus ex arbore suspensis, LXXII, 49; alius sacrificandi ritus, *ibid.* 55, *seqq.*; 44.
Sacrilegus quidam, XLI, 23.
Sagittarius, XX, 28; eorum apud Scythas atque Persas ratio, XX, 33. Curetes opio inficiunt sagittas, veneno Scythæ, III, 37. Sagittarii scopum haud ferientes, *ibid.* 36. Sagittarius Thebanus (Hercules), VII, 21.
Salæthus, lata lege contra adulterium, ipse in eo deprehensus, XVIII, 4. Salæthio similia facere, *ibid.*
Salaria eruditis constituuntur, XXXV, 3. *Vide* Philosophi.
Saliorum saltatio, XXXIII, 20.
Salmoneus Jovis fulmina imitatus, ab eo dejectus, V, 2; LXXVII, 4.
Salpinx num cognomen Soterichis sit, dubium, LXXXI, 79.
Saltare in tenebris, XX, 49.
Saltatio, quale negotium sit, XXXIII, 1; delectat æque ac prodest, *ibid.* 6; laudator saltationis furiosi similis, *ibid.*; ejus studium non recens, quando et unde sit ortum, *ibid.* 7; saltatio armata, *ibid.* 8; Lacedæmonii certant in hoc exercitio, *ibid.* 10; Græci et Trojani a quo didicerint, *ibid.* 8; Cretenses saltationis laude nobiles, *ibid.*; Phæaces ea gaudent, *ibid.* 13; in caput saltantes, *ibid.*; ponuntur ea excellentibus statuæ, *ibid.* 14. Adhibetur ad sacrificia saltatio, *ibid.* 16; apud Indos, et qui saltando deprœliantur, Æthiopes, *ibid.* 17; Romanorum saltatio, *ibid.* 20; Saliorum saltatio, *ibid.*; ope hujus artis gentes domitæ, *ibid.* 22; studium divinum est saltatio, *ibid.* 23; ab Homero et Hesiodo laudatur, *ibid.* Saltantes Musæ, *ibid.* 24. Certaminibus additur, *ibid.* 32; est scientia minime levis, *ibid.* 35 *et* 36; comparatur, *ibid.*; qualis sit, *ibid. et sqq.* Saltator quid scire debeat, *ibid.* 36 *et* 37 *seqq.*; saltator est imitator, *ibid.* 62; insignis quidam, *ibid.* 63 *et* 64; saltatio quemdam barbarum afficit, *ibid.* 66; ejus jucunditas, *ibid.* 71; exercitium illius omnium est optimum, *ibid.*; saltator dicitur Pantomimus, *ibid.* 67; laudem meriturus, qualis esse debeat animo, *ibid.* 74; qualis corpore, *ibid.* 75-77; ejus gestus comparantur, *ibid.* 78; in hac arte magnum ponit studium urbs Antiochiæ, *ibid.* 76. Solœcismi saltationis, *ibid.* 80; imperitia quorundam saltatorum non ipsi arti derogat, *ibid.*; saltationis cacozelia, *ibid.* 82; amens aliquis saltator, *ibid.* 83. Ea ars comparatur cum aurea Mercurii virga, *ibid.* 85. Varia ejus genera sunt Pyrrhicha, Gymnopædia, Emmelia, Hormus, Sicinnis, Cordax, Bacchica, Cariatica, Gruem et Thermaystrida saltare, Phrygia saltatio, *quæ vide suis locis.*
Salve, salutationis formula, quid significet, ejusque usus, XIX, 2.
Samosata, XXV, 24.
Samothraces orgia Rheæ ab Atte didicerunt, LXXII, 15.
Sandalia inaurata e Pataris, LXVII, 14, 2.
Sanguinea aqua ab arena rubra, LXXII, 8.
Saperda piscis, LXVII, 14, 2.
Sapientiæ imago, XXXIX, 17; sapientia patrona justitiæ, XLVII, 8; sapientis a sophista differentia, LIII, 2.
Sapphica carmina, XVII, 36.
Sappho Lesbiaca, XXXIX, 18; est gloria Lesbiorum, XXXVIII, 30; ejus vita elegans, XXXIX, 18.
Sardanapalus, Assyriorum pessimus, X, 2, 1; apud inferos luxuriæ reminiscitur, XI, 18; LI, 11; erat mollis, X, 20, 2; et effeminatus, XLIII, 16.
Sardes, sedes Crœsi, XII, 10. Sardium arcem expugnasse, XVII, 13.
Sardonio cum risu dicere aliquid, XLII, 24; XLIV, 16.
Sarpedo, XLVIII, 46; XXVI, 17.
Saturnalia festum septem dierum, LXX, 2; eorum leges, *ibid.* 13 *seqq.*; otium hoc festo imperatur omnibus,

exceptis coquis et dulciariis, *ibid.* 13; omnesque homines sunt æquales, *ibid.* Divites munera mittunt pauperibus, *ibid.* 14. *Conf.* XVII, 37.
Saturnus Cœlum patrem suum castrat, LXX, 12; et devorat filios, XIII, 5; XXXIII, 80; erat pater Jovis, V, 8. Ejus ævo omnia sponte nascebantur, vinum fluebat, *etc.*, LXX, 7 *et* 20; *conf.* LI, 8; LXIX, 17; ejus ætas, VIII, 10, 2; nunquam a Rhea secubabat, *ibid.*; honore spoliatur, V, 4; cur vinctus dicatur, XXXVI, 21; *conf.* XXXIII, 37; erat in Tartaro, XLIII, 8; septem diebus tantum regnat Saturnus, LXX, 2; liberos se devorasse negat, *ibid.* 6; imperium ei non ademit Juppiter, *ibid.*; sed senex et podager sponte id ei tradidit, *ibid.* 7; falcem gerit, *ibid.* 10 *et* 11; ejus sacerdos et sacrificium, *ibid.* 1. Saturnum olere, proverb. LI, 10.
Satyrion scurra, LXXI, 19.
Satyrorum descriptio, LIV, 1; LXXIV, 4.
Satyrus Theogitonis Marathonii, XI, 16; XLIV, 41.
Sauromatæ invadunt Scythas bello, XLI, 39.
Scapha viminea trajicere mare, XX, 28. Scapham dicere scapham, XLIV, 32; XXV, 41.
Scarificatio pedis ad minuendum dolorem podagræ, LXXXI, 91.
Scenarum in tragœdiis mutatio, XI, 16; eis similes esse res vitæ humanæ, *ibid.*
Scepticus quidam, XIV, 27.
Scintharus, XXVI, 36.
Scipio quas res gesserit, X, 12, 7; Alexandro postponitur, Annibali præponitur, *ibid.*
Sciron, justitiæ contemtor, XLVII, 8; XXVII, 23; XLIV, 21.
Scironia saxa, IX, 8.
Scommate nihil fit deterius, XV, 14.
Scorodomachi, XXVI, 13.
Scylla, XII, 7.
Scyphis se impetunt convivæ, XX, 12; LXXI, 44.
Scythæ Caucasi incolæ, VII, 4; in quo distent ab Alanis, XLI, 51; Scythæ Sacauraci, LXII, 15; sunt fortes, X, 14, 3; quales sint, XLIX, 34; XLVI, 15; sagittis fortes, XLI, 8; amicitia nihil putant majus, *ibid.* 7; in qua sunt fideles, *ibid.* 9; cur sacrificent Orestæ atque Pyladi, *ibid.* 5 *seqq.*; sunt inhospitales et agrestes, *ibid.* 8; *conf.* VIII, 16, 1. Cur dicatur Scythia inhospitalis, XLI, 3; ab Alexandro sunt devicti, X, 12, 5; eorum bella perpetua, XLI, 36; contra Sauromatas bellum, *ibid.* 38 *seqq.*; contra Machlyes eorum bellum, *ibid.* 54; Zirin clamare, quid significet apud eos, *ibid.* 40; pellem humi stratam insidere quid sibi velit apud eos, *ibid.* 48; supplicandi eorum ratio, *ibid.* 48; quomodo colligant copias, *ibid.*; sagittas tingunt veneno, III, 37; sagittariorum mos apud eos, XX, 33; eorum in delicta severitas, XLIX, 11; edunt mortuos, L. 21; pœna eorum, XLI, 10; castra ad copiosiorem pastum transferunt, LXXI, 13; in plaustris vehuntur, XLVI, 16; pellices pulcherrimas eligere dicuntur, XLI, 26; non effundunt vinum, XLI, 44. Eorum dii, XXIV, 1 *et* 3; XLI, 38; Acinacæ sacrificant, XLIV, 42; Dianæ mactant homines, XIII, 13; *conf.* VIII, 16; jusjurandum Scythæ, XLI, 37. Scythas non spectare verborum elegantiam, *ibid.* 35; num sit inter eos vir bonus, LXXVII, 17. Scytharum dictio proverb., *ibid.* 4 *et* 10; Scytharum incursiones reprimi, in votis est, *ibid.* 29. *Vide* Deucalion.
Sectæ uni non adeo adhærendum esse, ut ceteræ sine examine spernantur, XX, 30 — 35; cui sint similes, qui uni se plane mancipent, ceteris valere jussis, XX, 32 *et* 33. Sectis inter se dissident philosophi, XV, 23. *Vide* Philosophia.
Seleucus, XIX, 9; XXXIII, 58; XLV, 25; XLVI, 15; LXII, 11; uxorem filio cedit, LXXII, 17 *et* 18.
Semele, Cadmi filia, Dionysi mater, *etc.*, VIII, 9; VIII, 18; combusta, XXXIII, 39 *et* 80; ejus filius in cœlo curarum expers, VIII, 24.
Semidei ridentur, LXXIV, 7.
Semiramis Junoni templum condidisse conjicitur, LXXII, 14; simulacrum ejus in templo Junonem, non se esse colendam ostendit, *ibid.* 39.
Semivocalibus secundus inter literas locus convenit, IV, 5.
Sepes pro homine barbato, LX, 27.
Septem diebus a templo deæ Syriæ abstinent, qui mortuum sepeliere, LXXII, 52.
Septimus aliquis dictus, LX, 16.
Sepulcrum Jovis, XLIV, 45; XIII, 10; LII, 3; LXXIV, 6.
Sepulturæ varia genera, L, 21. *Vide voces* Funus *et* Parentationes. Sepulcrorum vanitas, L, 22; XII, 22. Sepultura Gallorum Cybeles, LXXII, 52.
Seres, XVI, 21; longævi sunt, LXII, 5.
Seriphii piscatores, IX, 12, 2.
Serpens, deus, XXXII, 2. Serpentes Libyci, LXIV, 3.
Sertum. *Vide* Corona.
Servi sciunt dominorum res et honeste et turpiter gestas, XLII, 5.
Serviisse ultra Xoin et Thmuim, LI, 24.
Servius Tullius, LXII, 8.
Severiani quodnam fuerit mortis genus, XXV, 21; ei datur ab oraculo responsum, XXXII, 27.
Sibyllæ fragmentum fictum, XXXII, 11; LXVIII, 29.
Siciliæ pars avulsa, IX, 10. Siculæ clades, XXV, 38. Siculorum tyrannorum servus quidam, XIV, 12. Siculæ mensæ, X, 9, 2. Siculus pastor Polyphemus, IX, 1, 1.
Sicinnis, saltationis genus, XXXIII, 22 *et* 26.
Sicyonius calceus, LI, 15.
Sidonius Agenor, IX, 15, 1. Sidonius nummus, LXXII, 4. Sidonium vitrum, XXXVIII, 26. Sidoniorum templum magnum, LXXII, 14.
Sidonius, sophista, XXXVII, 14; ejus quoddam inventum rejicitur utpote spem prætergredi visum, LI, 5.
Sidus. *Vide* Astra.
Sigeum Troicum, XII, 23.
Sigilla solvendi genera, XXXII, 20.
Signum. *Vide* Statua, Simulacrum, Imago.
Silenus, Lydus senex, LXXIV, 4; saltans, XLVI, 27; ejus descriptio, LIV, 2.
Simia est simia, quamvis aurea gestet crepundia, LVIII, 4. Simii saltare docti, XVIII, 5 *et* XV, 36. Simium leonina pelle tegere, XV, 22; LII, 5.
Simicha, *nomen servile*, XVI, 22; LXVII, 4, 1.
Simo mutat nomen in Simonidem, XLV, 14.
Simonides, LX, 2; inter inventores literarum, IV, 5. Simonidis Cei ætas, LXII, 26.
Simulacrum spectatores ubique respiciens, LXXII, 32; incertum quoddam, *ibid.*; simulacrum bis quotannis ambulans, *ibid.* 33; Semiramidis, aliaque permulta in templo deæ Syriæ, *ibid.* 39 *et* 40.
Simylus, nauclerus, XLI, 19. Alius, X, 9.
Sindiani, a Scythis dissidentes, XLI, 55.
Sindonibus involutus Anubis, LXXIV, 10.
Sinus Ionicus, XXXVIII, 6; et Pamphylius, *ibid.* 7.
Sipylum loco movere, XXXIX, 2. LXXX, 317.
Sirenes Homeri, III, 3; earum natales, XXXIII, 50, earum fabula, XXXIX, 14; audientibus eas quid contingat, XXXIII, 3 *et* 4; XXXIX, 14. *De iis* XII, 21. Sirenum natales, XXXIII, 50.

Sirius, XIV, 16.
Sisinnidis et Toxaris amicitia, XLI, 57 *sqq*.
Sisyphus, XI, 14; LXXX, 12; XLVI, 21.
Smarthoclis, Parthorum regis, ætas, LXII, 15.
In Sobrium inter bene potos, LXXXII, 24.
Socialis communio delectabilis, XXXVIII, 27.
Socrates, Sophronisci filius, XXVII, 17; erat justitiæ patronus, XLVII, 5; artifex peritissimus, XXXIX, 17; deserta statuaria, transfugit ad eruditionem, I, 12; fugit e pugna, XLVIII, 43; voluptatem bello prætulit, *ibid.*; ex oraculi judicio quis fuerit, XXXVIII, 48; *conf.* XXXIII, 25; Alcibiadem amat, *ibid.*; dissimulator, XXXVII, 6; puerorum amator erat, XIV, 15; X, 20, 6. Saltatione gaudet, XXXIII, 25; musicam amat, *ibid.*; ejus doctrina, XIV, 17 *et* 18; hoc se scire dicit, quod nihil sciat, X, 20, 6; XX, 48; ejus cum Chærephonte colloquium, *dial.* VI; quis locus ad dicendi studium ei placuerit, XXXVIII, 31, LXI, 4; in scenam ab Aristophane productus, XV, 25; injuste delatus, XV, 16; LIX, 29; XLIII, 16; LXIX, 3; quasi corrumpat juvenes, XXXV, 9. *De eo* LXXI, 39; XXVII, 23. Quomodo ad mortem fuerit paratus, X, 21, 1; num revera illam contemserit, *ibid.* Ejus apud inferos congerrones, XI, 18; ejus discipuli Plato et Aristippus, XXVII, 17. Socratici accusantur, XXXVIII, 23.
Sol unicuique patrius videtur, LXIII, 6; apud Clymenen a Cupidine retinetur, VIII, 12; Orionis cæcitati medetur, LXI, 29; adulterium Veneris defert, VIII, 17; XXXIII, 63; XLV, 3; ejus et Neptuni pugna, XXXIII, 42; filio currum suum committit, VIII, 25; *conf.* XXXVI, 19; ejus molestiæ, XLVII, 1; ejus boves assati exsiliunt, LXX, 23; quid hi significent, XXXVI, 22; adoratur ab Indis saltando, XXXIII, 17; ei ac Lunæ imagines cur non faciant Syri, LXXII, 34; ejus thronus, *ibid.*; ejus splendori comparatur oratio Demosthenis, LXXIII, 17.
Solatium ex societate mali, X, 15, 3.
Solœcismus in voluptate, comœdia, saltatione. *Vide sub hisce vocibus.* Solœcista, *dial.* LXXV; variique solœcismi, *ibid.*; unde hoc nomen ortum sit, *ibid.*
Solon, Execestidæ filius, sapiens, X, 20, 4; ejus cum Crœso de felicitate confabulatio, XII, 10; auri contemtor fuisse videtur, *ibid.* 12; utramque partem in judiciis similiter audiendam docet, LIX, 8; legislator erat; ejus encomium, XXIV, 5; XLIX, 14; LIX, 8; quæ antiquissima ejus cura fuerit, XXIV, 18; ejus tabulæ, XXXV, 10; ejus ætas, LXII, 18. Solone viso, omnia vidisse, XXIV, 6.
Somnia vento concepta, XXIII, 4; pictorum atque poetarum, *vide in his vocibus.* Somniorum insulæ et urbs, XXVII, 32 *et* 33. Somnio jubetur Stratonice templum condere, LXXII, 19. Somnia a contrario interpretanda, LXXVII, 21.
Somnus, VIII, 10, 2; sententiam dicit, LXXIV, 14; ejus labores, XLVII, 1.
Sophistæ celebratum nomen, LI, 1; ejus a sapiente discrimen, LIII, 2; mali sophistæ non sunt imitandi, XXXIV, 23; sophistæ sermo labyrinthi similis, XXXIV, 17; *conf.* LXIX, 10; sophista Hippocentauri speciem refert, LXIX, 10; sophistæ sunt lascivi, avari, adulatores et iracundi, *ibid.* 19; nova convicia excogitant, *ibid.* 13; sunt clamosi, *ibid.* 14.
Sophoclis Tragici ætas et mortis genus, LXII, 24; a filio dementiæ accusatus, a judicibus absolvitur, *ibid.*; citatur XLIII, 13; LXI, 23; LXXII, 25.
Sopolis, medicus, XXXIV, 18.
Sosandra, statua Calamidis, XXXIX, 4.
Sostratus Cnidius, Pharo exstructa, ubi nomen inscripserit, XXV, 62; ejus porticus, XXXVIII, 11; ejus mechanici laus, LIII, 2.
Sostratus Bœotus, Hercules dict.; ejus vitæ ratio, XXXVII, 1.
Sostratus, latro, homicida, X, 30, 1; homo malitiosissimus, XXXII, 4.
Sosylus, equiso, XLV, 29.
Spartani ab Atheniensibus victi, XIX, 3.
Sparti. *Vide* Thebani.
Spatinus Medus, XLVI, 15.
Spectra. De eis plaustra mendaciorum, LXXVII, 11 *sqq*. Spectra interfectorum, LXVII, 13; *conf.* LII, 29.
Sperchin ac Bulin non occidit Xerxes, LXXIII, 32.
Spes: Quod præter spem promittitur, incredibile, exemplo Sidonii, LI, 5. Spei imago, XVII, 42.
Sphacteria, XIX, 3.
Sphæra arundinea, III, 2.
Spicæ præmium certaminis eloquentiæ, LXXVIII, 3.
Sponsa velata, LXXI, 8.
Statuæ ponuntur saltatoribus, XXXIII, 14; quædam sudant, LXXII, 10; aliæ sine nomine dei, LXXII, 31 *sqq*.; statua bis quotannis ambulans, *ibid.* 33; statuam Veneris deperit Pygmalion, XXXVIII, 15, 16; XXXIX, 4; ejus statua, XXXVIII, 12.
Stellarum in res humanas vis, XXXVI, 29. Stellarum choreæ, XXXIII, 7. *Vide* Astra.
Stentorea inclamare voce, L, 15.
Stesichorus, XXVII, 15; poeta Himerensis palinodiam scribit, XL, 15; ejus ætas, LXII, 26
Sthenoboea, XXXIII, 42; LXXII, 23.
Stigmata gerunt Assyrii, LXXII, 59.
Stoici quales, XX, 16; eorum victus, atque vitæ ratio, XX, 18; eorum placita quædam, XX, 36; eorum virtutis collis, XXVII, 18.
Stratonices ridiculum a poetis postulatum, XL, 5; amatur a privigno, XXV, 35; XLVI, 15; LXXII, 17; *de ea* XXXIII, 58; somnio jubetur templum condere, LXXII, 19; Combabum amat, *ibid.* 21; ubi castra tum sensit, sponte eum accusasse apud maritum creditur, *ibid.* 23.
Stribligo verborum, LXXVI, 12.
Struthias adulator, LXIX, 19.
Struthobalani, XXVI, 13.
Studia literarum partim utilia, partim jucunda, XXXIII, 71. *Vide* Eruditio.
Stymphalus: in eo volucres, XLIV, 21.
Styx: per Stygem jurant dii, LXXIV, 15.
Sudant simulacra, LXXII, 10. Sudare præ pudore, LXXI, 28.
Suffragia ferentes manum protendunt, LXXIV, 19.
Sulla, XXII, 3; LVIII, 4.
Supplicandi ratio apud Scythas, XLI, 40.
Suræ nomen, XXVI, 22.
Susa urbs cadet, LXXVII, 29.
Syllogismi variæ formæ, XIV, 22; syllogismus cornutus, LXXI, 23; syllogismi per quæstiones, LXXV, 4 *et* 5.
Symbola, LXXVII, 7.
Syracusanæ mensæ splendidæ, LXXIII, 18.
Syria Dea, XLII, 35 *sqq.*; Rheæ in multis rebus similis, *ibid.* 15.
Syrus (Lucianus) mittit Rhetoricen, XLVII, 28 *et* 31; dialogi formam reddit emendatiorem, *ibid.* 34. *Adde* 14.
Syrus sophista e Palæstina, LII, 16.
Syrus, servus sacrilegus, XLI, 28.

T.

Tabella geometrica, III, 2. Tabella major sacco, prov., LXXIII, 10.

Tænarum promontorium, IX, 8.
Talorum ludus, XXXVIII, *16*; LXX, 4 *et* 8.
Talus, erro, XXXIII, 49; Cretensis Minois famulus, LII, 19. Athenis Tali herois sepulcrum, XV, 42.
Tanais, X, 12, 5; XLI, 39.
Tantalus Phryx, XI, 14; XVI, 28; XXV, 57; siti conficitur ad lacum astans, L, 8; *conf.* X, 17, 1; LIII, 17; LXXX, 11; comparantur cum eo avari, V, 18. *Vide* Avarus. Tantaleas sustinere pœnas, XXXVIII, 53. Tantali lingua incontinens, XIII, 9; XXXIII, 54; XII, 15; XI, 14.
Tarentinula, vestis muliebris, LIX, 16; LXIX, 7; *conf.* LI, 15.
Tarentum, XIV, 6.
Tarichanes, XXVI, 35.
Tarquinii Superbi ætas, LXII, 8.
Tarsenses honorem quotannis habent Athenodoro, LXII, 21; eos tributis levat Augustus, *ibid.*
Tartarus, VIII, 19.
Taurica, XXXVIII, 47; sedes Dianæ, VIII, 23.
Taurus ab Ægyptiis colitur, XXXVI, 7. Æneus, *vide* Bos. Taurus a Neptuno effictus, XX, 20.
Taygetus mons, VIII, 14.
Tegea, sedes Panis, VIII, 22, 4.
Telegonus, Circes et Ulyssis filius, XXVII, 35; XXXIII, 46.
Telephus, LXV, 1; a cerva nutritus, XIII, 5; ejus factum ad medelam sui, III, 38.
Telesilla, XXXVII, 30.
Telluris medius locus, XXXIII, 38.
Tellus, XXVII, 17; Atheniensis, pro patria mortuus, XII, 10.
Templa quo positu fecerint antiqui, LXI, 6; Ægyptiorum templa antiquitus sine imaginibus, LXXII, 3; varia per Syriam, *ibid.* Templi deæ Syriæ descriptio, LXXII, 30 *seqq.*; *conf.* XXXVIII, 12 *seqq.*
Terei, regis Characis, ætas, LXII, 16,
Teres, Odrysarum rex, LXII, 10.
Tereus duas sorores subigit, XVII, 41. Tereus volucris, LXXII, 40.
Terpsichore, XXXIX, 14.
Terpsion, adulator, X, 6.
Terra et Cœlus, Gigantum parentes, VII, 16. Terra multo minor, quam luna, XLVI, 12. Terræ cœlum miscere, VII, 9, Terra mihi hiscat, formula, LXXI, 28. Terrestre aliquid cum cœlesti comparare quid sit, XL, 13.
Terrores, ministri Plutonis, L, 6.
Tesserarum jactus, LXX, 4.
Testamentorum qui participes sint, V, 21; eorum vanitas, III, 30.
Testudinis musicæ inventor, VIII, 7, 4.
Teucer, XX, 28; bonus jaculator, III, 37; XLVIII, 46.
Thalamus in templo, LXXII, 31.
Thalassopotes, XXVI, 42.
Thales sapiens, X, 20, 4; LXXIX, 4; Milesius laudatur LIII, 2; ejus ætas, LXII, 18.
Thamyris, Musis occinit, XV, 6; LXI, 18.
Thanatusia certamina, XXVII, 22.
Thargelia philosopha, XXXV, 7.
Thasium vinum, XXXVIII, 27.
Theagenes se ipse propter meretricem interficit, XVI, 6. — Alius, Peregrini socius, LXVIII, 24, *et passim*, *ibid.*; lacrimis finit orationem, *ibid.* 6 *et* 7.
Theagenes Thasius, olympionices, XXV, 35; ejus statua febricitantes sanat, LXXIV, 12.
Theano, XL, 7; XXXIX, 18: XXXVIII, 30. Antenoris uxor, XXXIX, 19.
Thebæ, urbs natalis Bacchi, VIII, 10; excisæ, X, 12, 4. Thebani unde sint orti, LII, 3; quomodo sint subjecti, LXXIII, 35. Thebanus sagittator (*Hercules*) Prometheum liberaturus, VII, 21.
Themistocle nihil opus, sc. interprete, XLIV, 31. Eum calumniatur Aristides, LIX, 27; suspectus est proditionis, *ibid.* 29. Cum eo comparatur Demosthenes, LXXIII, 37.
Theodotas Rhodius, XXII, 9; conjurationis contra Ptolemæum auctor, LIX, 2.
Theognis se in mare præcipitat, XVII, 5; XVIII, 10.
Theomnestus, magnus amator, XXXVIII, 2.
Theon, XXV, 35.
Theophrastus, LXXIII, 12.
Theopompus taxatur, XXV, 59; qualis ejus Tricaranus, LX, 29.
Theoxenus, XXIV, 8.
Thermaystrida saltare, XXXIII, 34.
Thersagoras poeta, ejusque forma, LXXIII, 1
Thersites, taxatus carmine ab Homero, XXVII, 20; LVIII, 7; ejus cum Nireo contentio, X. 25; ejus et Nirei ossa discerni non possunt, XI, 15.
Thesaurum in carbones redigere, XX, 71; XXII, 2; LII, 32.
Theseus, filo Ariadnes exit Labyrintho, XX, 47; qualis futurus, si obediisset voluptati, XLVII, 20; ejus cum Pirithoo amicitia, XLI, 10; XXXIII, 60; LXXVIII, 16; maleficos interficit, XLIV, 21; ex Orco redit, L, 5; erat nudus et vitæ durioris, LXXV, 13, 14; Helenam cupit, LXXVIII, 16; XXVI, 8; eamque rapit, VIII, 20, 14; XLV, 17; Helenæ laudibus insertus, LXXIII, 10. *De eo* XXVII, 22 *et* 23.
Thesmopolis, XLV, 10; Stoicus, XVII, 33.
Thespis, Thebanus, LVIII, 9. Tibicen, munus accipit a Ptolemæo, II, 4.
Thessali imbelles, LXXIII, 39; quomodo sint subjecti, LXXIII, 35; eorum equitatus bellicosus, X, 14, 2. Thessalæ equæ pulcherrimæ, XXII, 6. Thessalorum præsules, XXXIII, 14. Eorum fabulæ, XLVI, 19. Thessalus juvenis in lucem escendens, XII, 1.
Thessalia, IX, 5; veneficas multas habet, LXVII, 41.
Thessalonice, XLII, 46.
Thetis Jovi periculosa, VIII, 2; miseretur Jovis, VIII, 21, 2; XLIV, 40; cum Peleo in thalamum abit, IX, 5, 1; ejus filius, IX, 11; arma filii in medium profert, X, 29, 2.
Thmuis. Serviisse ultra Thmuin et Xoin, LI, 24.
Thoas, XLI, 6.
Thonis Ægyptii uxor, XXXII, 5.
Thraces a Baccho subjecti, VIII, 18; XLVI, 15; sunt bellicosi, X, 14, 2; eorum expeditio, XLIX, 34; litant Zamolxidi, XLIV, 42. Equi Thracii, XLIV, 21; Thrax quidam uno ictu Arsacem et equum ejus conficit, X, 27, 3.
Thracia: in Thracia quærendi sunt philosophi, LXIX, 24. Thraciæ metalla, XIII, 11.
Thrasycles assentator, V, 54; X, 11, 2.
Thronus Solis, sine imagine, LXXII, 34.
Thucritus, senex, X, 6, 1.
Thucydides ξῖ pro σῖγμα utitur, IV, 9; veritatem est secutus, XXV, 39 *et* 42; in rebus non necessariis brevis et celer, XXV, 57; ejus historia a Demosthene octies descripta, LVIII, 8; ejus quidam imitator, XXV, 15; ejus quidam locus, III, *initio*; citatur XXXII, 8; XXV, 5 *et* 42; XXXIII, 36; LXVI, 3.
Thyestes liberos suos epulatur, XIII, 5; XVII, 41; XXXIII, 80; LXX, 6; de regno contendit cum Atreo, XXXVI, 12.

Thynnocephali, XXVI, 35.
Tiberii Cæsaris præceptor, LXII, 21.
Tibia. Ad numeros tibiæ incedere, II, 6; *conf.* XXXIII, 10. Tibiæ Ismeniæ et Timothei celebres, LVIII, 5; *conf.* XXIII, 1; tibiæ Marsyæ aut Olympi, LVIII, 5.
Tibicen furiosus, LXXI, 20. Tibicines in templis, LXXII, 43.
Tibius, *nomen servile*, V, 22; XXXIII, 29; XLV, 29; LII, 30; XVII, 25.
Tigranes, Armeniorum rex, LXII, 15.
Tigrapates, Lazorum regulus, XLI, 44.
Tilliborus latro, XXXII, 2.
Timæus, LXII, 10; Tauromenites, LXII, 22.
Timarchus, XVIII, 7.
Timocles, XVII, 2; Stoicus, XLIV, 4. Ejus laus, XLIV, 27; reprehenditur, *ibid.* Ejus cum Damide de diis disputatio, XLIV, 4, 16, 35 *seqq.*
Timocrates saltatione afficitur, XXXIII, 69.
Timocrates Heracleota: ejus encomium, XXXVII, 3; *conf.* XXXII, 57.
Timon, Collytensis, Echecratidæ filius, V, 7, 44, 50; in solitudinem cur se transferat, *ibid.* 5; divitias spernit, *ibid.* 12; aspecto auri pondere, mutat mentem, *ibid.* 41; Misanthropi nomen sibi eligit, *ibid.* 44. Janitor, XXVII, 31.
Timotheus, tibicen, XXIII, 1; ejus tibiæ celebres, LVIII, 5.
Tiræus rex, *vide* Teræus.
Tiresias divinator, XXXVI, 11; ejus cæcitas arte vaticinandi compensata, X, 28, 3. Erat mendax, *ibid.* Vates et sapiens, XI, 6; ex muliere in virum abit, XXXIII, 57; XLV, 19; cur duplicis naturæ fuisse dicatur, XXXVI, 11; *conf.* LXVII, 5, 4; decernit, utrum majorem ceperit voluptatem mas, an femina, X, 28, 1; voluptatem feminæ præfert virili, XXXVIII, 27. *De eo* XXXIII, 57. Ejus longævitas, LXII, 3; cum eo loquendi cupidus Ulysses, X, 29, 1; XXXVI, 24; causa itineris a Menippo in Orcum facti, LI, 1 *et* 21.
Tisiæ ars, LX, 30.
Tisiphonæ mortui a Mercurio traditi, XVI, 22.
Titanum peritissimus, Prometheus, II, 1; pessimus Sol, VIII, 25. Titanes in vinculis, XLIV, 3. Eorum pugna, XXXIII, 37 Titanum optimus, Saturnus, LXX, 5.
Tithonus annosus, XX, 50. Eum ipsum annis excedere, X, 7, 1. A dea quadam amatus, LXXIV, 8.
Titormum ex Conone efficere, XXV, 34.
Tityus, X, 30, 1; XI, 14; XXV; 57, XXXIII, 38; XLIII, 17; LI, 13.
Tomyris, interfectrix Cyri, XII, 13.
Tondent oviculas philosophi, LXIX, 14. Tonderi ad cutem, XIV, 19; XLVII, 20; LXVII, 12, 3; LXIX, 27; plerique philosophi ad cutem rasi, XX, 18; tonderi erat probrosum antiquis, LXXV, 14.
Toni mollioris descriptio, XXXIX, 13.
Toxaris, Græcæ disciplinæ causa peregrinatur, XLI, 57; contrahit cum Mnesippo amicitiam, 52; ejus cum Sisinnide amicitia, *ibid.* 57 *seqq.*; literaturæ causa Athenas profectus, XXIV, 1; cur pro heroe habitus sit, *ibid.*
Trachon, XLI, 49.
Tragicæ vestes intus pannosæ, LXX, 28.
Tragœdiam Anacharsis ignorat, XLIX, 23. Habet tragœdia suum saltandi genus, XXXIII, 26; quale spectaculum sit, *ibid.* 27; in ea solœcismus quid sit, XXXIII, 27, male ordinata, quoad fabulas, spernitur, III, 8. Tragœdi personarum ornatum actionibus dehonestantes, XV, 31 *et* 33; III, 14. Tragœdias scribendi studium cessavit, LXXIII, 27.
Tragodopodagra, LXXX.
Triangulum triplex quid significet, XIX, 5. Prov., In data recta triangulum accurate construere, LIII, 3.
Triballorum equitatus, LXXIII, 34.
Tricaranus Theopompi qualis, LX, 29.
Tricaranus Cerberus, LXIX, 32.
Tricolor gemma, LXVII, 9.
Triephontis persona, LXXVII, 2.
Trierarchus, LXXIII, 11.
Triobolus, merces judicum, XLVII, 12; LXXIII, 36.
Triphales comœdia, LXIX, 32.
Triptolemus, per aera vectus, I, 15; *conf.* LII, 3; agrum colit, XXXIII, 40.
Tritonis habitus, V, 51. Triton, minister Neptuno, IX, 6, 2; Tritones choreas ducunt, IX, 15, 3; in concha Venerem ferunt, *ibid.*
Tritonomendetæ, XXVI, 35 *et* 38.
Triunus Deus, LXXVII, 12.
Troas, IX, 9.
Trœzenii quam legem nuptias inituris statuerint, LXXII, 60.
Trojani in certamine Ajacis et Ulyssis judices, X, 29, 2; eorum concionatores, LV, 4.
Trophonii fanum, X, 3; XI, 22.
Trophonius, qualis vates et heros fuerit, templo honoratus, X, 3, 1. *Conf. de eo* LXXIV, 12.
Tyaneus, XXXII, 4.
Tympana Corybantum, VIII, 12, 1; Mænadum, VIII, 18; in templis, LXXII, 50.
Tyndarus, XXXIII, 45.
Tyrannus, quem ita appellet populus, XXX, 7. *Vide* Rex. Quidam conspecta filii cæde, se quoque interficit, XXVIII, 1. Tyrannicidam oportet esse generosum, amantemque patriæ, *ibid.* 14. Tyrannorum vita, mores, exitus sub persona Megapenthis, XVI, 8—16.
Tyro, amica Enipei, IX, 13; erat pulchra, X, 18, 1; XXVII, 3; corrupta est a Neptuno, LXXVII, 6.
Tyroessa, XXVII, 25.
Tyrrheni, arte saltandi domiti, XXXIII, 22.
Tyrus capta, X, 12, 5. De ea, LIX, 2; LXXII, 3.

V.

Valere, τὸ ὑγιαίνειν. Quando adhibita sit hæc vox, XIX, 5, 6 *seqq.*
Vanitas hominum, XXXIV, 21.
Varietas cibi potusque laudatur, et rursus impugnatur, LXX, 5 *seqq.*
Vates solent nihil sani et veri proloqui, X, 28, 3.
Venefica, LXVII, 1, 4.
Ventrem inflarunt dicta, LII, 39; LXXVII, 2 *et* 27.
Venus cœlestis, XX, 73; XL, 23; LXXII, 32; ad puram pulchritudinis formam ducit, LXXIII, 13. Venus Cnidia, XXXVIII, 11; XLIV, 10; LXXXII, 20; Byblia, LXXII, 6. Dicitur aurea, X, 9, 3; XL, 24; XLIV, 10; LXXVIII, 11; ejus natales, XXXIII, 37; ejus tres filii, VIII, 23; ejus liberi Himerus et Eros (s. amabilitas et cupido), VIII, 20, 15; minatur filio et castigat eum, VIII, 11; erat uxor Vulcani, VIII, 15. Ejus et Anchisæ amor, VIII, 11; ad quem sæpe descendit, VIII, 20, 1. Ejus et Assyrii adolescentuli amor, VIII, 11. Ejusdem et Martis amor, VIII, 12, 2 *et* 15, 2; cum Marte constricta, VIII, 17; XXXIII, 63; XLV, 3; LXXVII, 6; quid significet ejus et Martis adulterium, XXXVI, 22; ei ob adulteria non succensendum, XIII, 7. Pomum sibi vindicat, IX, 5, 2; ejus pulchritudo laudatur, *ibid.*; quid pulcherrimum ei dari possit, LXXXII, 21. Helenam Paridi

judicii præmium promittit, LXXVIII, 17. A Diomede vulneratur, XLIV, 40. Ejus cestus, VIII, 20, 10; quem Mercurius ei surripuit, VIII, 7, 1. In concha decumbens fertur, IX, 15, 3; ejus motus delicati, XXXIII, 72; ejus ira, XXXVIII, 2; ejus invitatio ad saltandum, XXXIII, 11; Charitem non æmulatur, VIII, 15, 2. Veneris statuam deperit adolescens temerarius, XXXVIII, 15 *et* 16; XXXIX, 4. Ubi colatur, XIII, 10; ex corporis quæstu ei fit sacrificium, LXXII, 6. Veneri dona tribus a meretricibus oblata, LXXXII, 36.

Verba alata, LXI, 20; LV, 6; eorum flores vitandi, XXXIV, 23; sicut eorum tumor, *ibid.* Affectatio antiquatorum verborum, XXXVII, 26; veterum libri quid utilitatis afferant, LVIII, 17. Verbo uno omnia creata esse, LXVII, 13.

Veritatem pauci amant, XII, 21; a Crœso veritas contemta, *ibid.* 11. Quædam ejus epitheta, XV, 16; et sociæ ejus, *ibid.* 17. Ad adulationem immobilis est, *ibid et* XXV, 39; est comes veræ philosophiæ, XV, 16. Difficultas veritatis inveniendæ, XX, 49.

Vesta : per eam jurandi formula, LXXI, 31.

Vestis. *Vide* Amictus. Veste quidam superbiens scite admonetur, XXXVII, 41; vestes divitum molles, LXX, 26; pauperum cribro ac reti similes, *ibid.* 24; splendidæ nihil prosunt, LXXV, 8 *et* 9; longa Tragicorum est, *ibid.* 16.

in Vetulam tincturis et fuco utentem, LXXXII, 27.

Via tutissima, quæ tritissima, LXXIII, 22.

Victimis sine fumo non delectari deos, XXXVIII, 4.

Videre. Duos soles videre, duplices Thebas, prov., LX, 19.

Vincere, quum solus curras, XL, 15.

Vindex Occidentis populum sollicitat in Neronem, LXXIX, 5.

Vinum. In gustando eo non est opus ebibere dolium, XX, 58. Vini effectus in India, III, 5; ejus inventum Baccho tribuitur, VIII, 18, 2; laus moderate sumti, *ibid.* Vinum odoratum, LXX, 22. Vinum bibens Æschylus tragœdias scripsit, LXXIII, 15.

Vires quando minuantur, XLIV, 35; non deficiunt, sed crescunt laboribus, *ibid.* 27; qua re comparantur Hydræ, *ibid.* 35.

Virgo. Ad XI millium virginum fabulam alluditur LXXVII, 9.

Virtus qualis res sit, XX, 22 *et* 37; comes philosophiæ, XV, 16; aspera et longa ad illam via, *ibid.* 2; e media ad istam via multi retro trahunt pedem, *ibid.* 5; ad finem in illa perseverandum, *ibid.*; eam semel amplexus est cupiditatum et affectuum expers, *ibid.* 7 *et* 8; viæ ad eam diversæ, *ibid.* 24 *seqq.*; unica ad eam vera, *ibid.* 27; in qua reperienda haud parva est opus deliberatione, *ibid.* 26 *et* 27; virtutis studium in quo non consistat, III, 27; in peregrinis quoque est laudanda, XLI, 5; et in hoste, LXXIII, 32; ad eam Græci excitant adolescentiam exemplis animalium, XLIX, 32; ea et forma corporis non semper una habitant, *ibid.* 11; in mulieribus virtus est imperfecta, XXXVIII, 51; virtus Cynicorum, clamor de triviis, LXXVIII, 3.

Virum bonum constantem esse oportet, XVIII, 14.

Vita humana est ridicula, XLVI, 4; non est tranquilla, XLV, 27; neque spe neque metu digna, XXXVII, 20; vitæ tyranni spes et metus, XXXII, 8; vitæ fragilitas, LXVI, 26; eam concedunt brevem hominibus Parcæ, XII, 13; etiam a miseris amatur, XI, 2; pompæ scenicæ est similis, XI, 16; vita idiotarum optima, XI, 21; similis spectaculo saltatorio, XLVI, 17; comparatur cum civitate formicarum, XLVI, 19; item cum bulla, XII, 19; item cum foliis, *ibid.* Vitæ inæqualitas comparatur histrioni uno pede cothurnato, LXX, 19; ejus duricies commendatur, LXXV; ejus spectandus est finis, XII, 10; XX, 4. Vita brevis, ars longa, XX, 1 *et* 63; vita fugax, LXXXII, 4; quibusdam brevis, quibusdam longa, *ibid.* 5. Vitæ mediæ homines, ubi post mortem degant, L, 9; utra sit jucundior, viri an feminæ, X, 28, 1.

Ulysses, X, 20, 1; XXVII, 15; XXXIII, 46; ejus furor simulatus, XXXIII, 46; LXI, 30; ad Achillem missus, XIX, 2; sæpe servatus ab Ajace, X, 29; arma Achillis sibi vindicat, *ibid.*; Palamedi insidiatur, XXXIII, 46; LIX, 28; viginti annos oberrat, XX, 59; ejus socii lotum gustant, XVII, 8; a quo ipse abstrahitur, XXXIII, 3; cur ad inferos descenderit, XXXVI, 24; Circe ejus adjutrix, *ibid.*; ex Orco redux, L, 5; aures sociorum cera obstruit, XII, 21; excæcat Polyphemum, IX, 2; sub ariete evadit, *ibid.*; Phæacibus multa prodigiosa narrat, XXVI, 3; cur mentitus sit, probandum esse, LII, 1; interfectus a filio Telegono, XXVII, 35; ejus exemplo omnes cupiditates vincendas esse, III, 19. Ulysse versutior, V, 23; X, 9, 4; ejus sententia de parasitorum vita et res quædam ab eo gestæ, XLVIII, 10; magis Nireo laudatur, XXXVIII, 23; ejus umbra garrula, XI, 18; scribit Calypsoni, XXVII, 29 *et* 35.

Umbram captare relicto corpore, XX, 79. Umbra sex pedum, LXX, 18. Umbræ ad solem projectæ post mortem accusant, XI, 11.

Undecim millia virginum respiciuntur LXXVII, 9.

Unguibus audire, LXXVII, 3.

Vocalibus primus inter literas locus competit, IV, 5.

Vociferatio causas dicentibus utilis, V, 11.

Volatum facere terræ vicinum, XL, 8.

Vologesus, XXV, 14.

Voluptatis scala, XXXVIII, 53. Ejus causa multi ex liberis fiunt servi, XVII, 7; voluptatum servi sunt divites, LXXV, 17. Earum genus quoddam Solœcismus vocatur, III, 31; aliaque genera vana, *ibid.* 32—34.

Vota hominum diversa, XLVI, 25; Votum, dea, XX, 71. Votorum soliditas, XIII, 1; LXXI *toto.*

Urania, Venus, LXVII, 5 *et* 7; alba capra ei immolatur, *ibid.*

Vulcanus quasi aura a Junone conceptus, XIII, 6; qualis sit, *ibid.*; e cœlo ejicitur, *ibid.* XII, 1; unde claudus, XLIII, 8; ejus habitus describitur, VIII, 5, 3; VIII, 15, 1; Minervam persequens depingitur, LXI, 27; summus artifex, cœli adornator, VIII, 16, 1; pincerna fuit Jovis, VIII, 5, 2; Veneris et Gratiæ maritus, VIII, 15, 1; minatur Veneri, VIII, 15, 2; Venerem et Martem constrinxit, XXXIII, 63; XLV, 3; VIII, 17; icto Jovis cerebro producit Minervam, VIII, 8; urit Xanthum, IX, 11; de artis præstantia cum Minerva et Neptuno contendit, XX, 20; ejus officina, XIII, 8; regiam Jovis fabricavit, XIII, 8; quid in clypeo Achillis elaboraverit, XXXIII, 13.

Vulgus gaudet irrisoribus, XV, 25.

Vulpina mens, LXXVII, 1.

Vultur e rogo Protei evolat, LXVIII, 39.

X.

Xanthippe, uxor Socratis, VII, 8.

Xanthus fluvius flamma correptus, IX, 11, 1.

Xanthus, Achillis equus, XLV, 2.

Xenocratis Platonici ætas, LXII, 20; ejus fores, LXXIII, 12; ejus liber de immortalitate. *ib.* 47.

Xenophanis, Dexini filii, ætas, LXII, 20.

Xenophilus musicus, LXII, 18.
Xenophon modestam quandam et pulchram laudat feminam, XXXIX, 10; veritatem in historiis suis sequitur, XXV, 29; commemorat somnium, 1, 17. Grylli filius ejus ætas, LXII, 21.
Xenophon, Luciani æqualis, cum eo iter facit, XXXII, 56.
Xerxes : eum insectatur Menippus, X, 20, 2; ejus opera magnifica, LXXIX, 2; quos dimiserit impunitos, LXXIII, 32.
Xois. Serviisse ultra Xoin et Thmuin, LI, 24.

Z.

Zacynthus nauclerus, XLI, 19.
Zamolxis, deus Scytharum, XXIV, 1 *et* 3. *Memoratur etiam* et Zamolxides, deus Thracum, XLIV, 42; idem qui Zamolxis, XXVII, 17; LXXIV, 9.
Zelotypia, LIX, 14; LXVII, 8 *et* 9.
Zelotypia maritorum, XVII, 29; XXXVIII, 42; exempla feminarum zelotyparum sunt Dejanira, Juno, Rhea, *quas vide suis locis.*
Zeno, Stoicus nunquam miles, XLVIII, 43; sapiens prædicatur, LXXI, 32; ejus ætas, LXII, 19.
Zenodoti et Aristarchi de Homero disputatio, XXVII, 20.
Zenophanta parasitus, ejus mors, X, 7.
Zenothemidis et Menecratis amicitia, XLI, 24.
Zenothemis Stoicus senex, idem et sacerdos Castorum, LXXI, 6, 9 *et* 32.
Zephyrus, amator Hyacinthi, VIII, 14; *conf.* XXXIII, 45; causa interfecti illius, *ibid.* Ideo ab Apolline punitus, *ibid.*
Zeuxis pictor, in fingendis novitatibus artem ostentat, XXII, 3; Centaurum feminam pingit, *ibid.* Boream pinxit et Tritonem, V, 54.
Zirin clamare, quid significet apud Scythas, XLI, 40.
Zodiaci sagittarius, XXVI, 18.
Zopyrion, *servile nomen*, XVII, 23.
Zopyrus, XLIV, 53.
Zopyrus pædagogus, LXXI, 26.
Zoroaster, XI, 6.

SUPPLEMENTUM INDICIS.

Acindynus, LXXXII, 24.
Acis, LXVII, 4, 3.
Acrocorinthus, XLVI, 11.
Æschines Socraticus, XXXIX, 17; nunquam miles, XLVIII, 43; cur parasitus, *ib.* 32.
Afranius Silon, XXV, 26.
Agnostus (deus) Athenis, LXXVII, 9 et 29.
Agrigentum, XXX, 2.
Alectryon juvenis in gallum gallinaceum mutatus, XLV, 3.
Alexandria Ægypti, XXXII, 44; LX, 21.
Alexandrini Romæ, XVII, 27.
Alytarcha in certamine Olympiaco, XX, 40.
Amphipolis, LXXIII, 35 et 44.
Anactoron, V, 23.
Antiochianus, historiæ belli Parthici scriptor, XXV, 30.
Antiphon, Menecratis filius, LXVII, 7, 3.
Arachne, LXXX, 318.
Arcadia, VIII, 22, 1 et 2. Arcadum hopliticon celebre, X, 14, 2. Fabulæ Arcadicæ, XXXIII, 48.
Archelaus physicus, LXII, 20.
Arctus, XXVI, 13.
Argiphontes (Mercurius), V, 32.
Arii, LXII, 4.
Aristæchmus, LXVII, 13, 2.
Ariston, pater Platonis, XXXIV, 1.
Armenia, XXV, 2 et 15 et 26; XXXII, 27.
Artemisium, LI, 18.
Asius lapis, LXXX, 162.
Aster Philippum regem vulnerat ad Olynthum, XXV, 38.
Asteropæus, LVIII, 7.
Atarneus, XXXV, 9.
Atthis, historia Atticæ, XXV, 32.
Aulon, locus, LXVI, 7.
Baccheum, locus Lesbi, LVIII, 11.
Bassus, sophista, LVIII, 23.
Batalus, tibicen, LVIII, 23.
Bendis, dea Thracica, XLIV, 8.
Bœotia, LXXIII, 37.
Borysthenitæ, XLI, 61.
Brasidas, XXV, 49.
Brimo, apud inferos, XI, 20.
Bubalus, XXXII, 52.
Cæsarea Mauretaniæ, XXV, 28.
Caius Patrensis poeta, XLII, 55.
Callides pictor, LXVII, 8, 3.
Calliope, Musa, XXXIX, 14 et 16.
Calpurnianus Crepereius, XXV, 15.
Calypso, serva, XXII, 50.
Camarina lacus, LX, 32.
Canopus, LXVI, 15.
Capaneus, XXXIII, 76.
Caphareus, promontorium Euboeæ, XLIV, 15.
Careotis fons, XXVII, 33.
Carimantes, XXXIV, 4.
Carus Heraclides, luctator, XXVII, 22.
Cassius Avidius, XXV, 31.
Celer, XXXII, 52.
Chæronea; pugna ibi, LXXIII, 38; LXII, 23.
Chalcidici generis urbs in Italia, XXXIII, 32.
Chalcis, LXXIX, 2.
Charax, urbs et regnum, LXII, 16.
Chius, X, 9, 2; XXVII, 40.
Chleuocharmus, christianus, LXXVII, 21.
Chorasmii, LXII, 4.
Chryses sacerdos Apollinis, XIII, 3.
Cirrha, Delphorum portus, X, 11, 2; XXXI, 4.
Clio, musa, XXXIX, 16.
Clio, meretrix, LXXXII, 36.
Clonarium, meretrix, LXV, 5.
Colophon XLIV; 30; XLVII, 1.
Corinthus, X, 1, 1 et 11; XLIV, 9; LXXIX, 3 et 4.
Coronus, Cottyphionis filius, XXVI, 29.
Crato, dives Sicyonius, X, 10, 6 et 12.
Crato ἐξισωτής, LXXVII, 19.
Crito, LXXI, 32.
Crocale, meretrix, LXVII, 15, 1.
Crocodilus, syllogismus Stoicorum, XIV, 32; XX, 81.
Cronios, pro Saturninus, XXV, 21.
Ctesiphon, urbs, LXVI, 34.
Cybebe, LX, 11; LXXX, 30. *Vide* Rhea.
Cydias, homo dives, LXVI, 38.
Cydimachus, tyrannus, XVI, 8.

Cydnus, fluvius, LXI, 1.
Cynægirus, XXXVII, 53; LI, 18; in Pœcile, XLIV, 32.
Cynosuria, XLVI, 18.
Dactyli Idæi, XXXIII, 21.
Damnippus, X, 8.
Damyllus, LXVII, 10, 2.
Danae (non mythica), XXXVII, 47.
Decelia, XXXVIII, 24.
Demænete, LII, 27.
Demetrius Callatianus, LXII, 10.
Demetrius Sagalassensis historiam Parthici belli scripsit, XXV, 32.
Demiurgi, magistratus Delphorum, XXXI, 2.
Demonassa, LXVII, 5, 2.
Demonax, clarissimus Ephesiorum, XLI, 13 et 17.
Demophantus, fœnerator, LXVII, 8, 2.
Demylus, faber, LII, 25.
Dindymus, LXXX, 30.
Dinomache, LXVII, 7, 2.
Dinomachus, miles, LXVII, 15, 1.
Diomedes Thrax, XXVII, 23.
Dionicus, LXVI, 24.
Diotimus, LXVII, 10, 1.
Diphilus, LXVII, 12, 1.
Dirce, XLII, 23.
Dominans (κυριεύων), syllogismus Stoicorum, XIV, 22.
Dorius modus, XXIII, 1.
Edessa, XXV; 22 et 24.
Elatus. Elati filius Cæneus, XLV, 19.
Electrum; de ejus ortu fabula, LXVI; VIII, 25, 3.
Eleusinia, XVI, 22; XXXVII, 11 *et* 34.
Elis: ibi gymnasium, LXVIII, 3. Eliacæ fabulæ, XXXIII, 47.
Enodiæ festum Æginæ, LXVI, 15.
Epiurus, LXVII, 14, 2.
Erasiclea, LXVII, 10, 3.
Erchius, XXXVIII, 49.
Erythea, XXXIII, 56.
Ethocles, LXVII, 12, 1.
Evagoras, rex Cypri, XL, 27.
Euboea, LXXIII, 37; a Boeotia per fossam abscissa, LXXIX, 2.
Eucrates ex Piræeo, orator vulgaris, LXXIII, 31.
Eucrates, Dinonis filius, philosophus mendax, LII, 5 *sqq.*
Eucritus, LXVII, 6, 4.
Euctemon, LXXXII, 2, 3.
Eumenes Cardianus; ejus epistola ad Antipatrum, XIX, 8.
Eunomus, X, 11, 2.
Exadius, XLVIII, 45.
Genetyllides, LX, 11.
Geranea, XLVI, 11.
Glaucus, LX, 26.
Glaucus, athleta Carystius, XL, 19; XXI, 8.
Glycera, LI, 12.
Gosithres, Artaxerxis frater, LXII, 15.
Gythium, urbs, LXVII, 14, 2.
Haloa, festum Athenis, LXVII, 1, 1; 7, 4.
Heliadæ (Sole geniti): in eos ira Veneris, XXXVIII, 2.
Heliæa Athenis, V, 51; XXXVIII, 18.
Heraclidarum reditus, XXXIII, 40.
Hercules dictus Boeotius Sostratus, XXXVII, 1.
Hermæ, duplici vultu, XLIV, 43.
Heros quid sit, X, 3, 2. Heroes podagrosi, LXXX, 250 *sqq.*
Hispanica salsamenta et oleum, LXVI, 23.
Homeridæ, LXXIII, 17.
Honoratus, Cynicus, XXXVII, 19.
Hyades, XXVI, 29.
Hydaspes fluvius, XXV, 12.
Hyperboreus homo, præstigiator, LII, 19.
Hypnus, portus somniorum, XXVII, 32.
Iberia Asiæ, XXV, 29 et 50.
Ibis, XLIV, 42.
Ilation Thessalus, XXXIII, 14.
Ilithyia, VIII, 8; LXXII, 38.
Iphianassa Nereis, IX, 14.
Ismenodora, tibicina Boeotia, LXVII, 5, 4.
Itys, LXXX, 52.
Labdacidæ, XXXIII, 41.
Labyrinthus, cognomen Diphili Stoici, LXXI, 6.
Lais cum Diogene, XXVII, 18.
Lautumiæ Syracusanæ, XVII, 35; XXV, 38.
Leæna, meretrix, LXVII, 5.
Leonidas, LI, 18.
Lesbus, ubi Orphei caput et lyra, LVIII, 11 *sqq.* Lesbiarum libido, LXVII, 5.
Libys sive Africanus quidam præstigiator, LII, 7.
Lycæna, LXVII, 12, 1.
Lycia; ejus urbes, XXXVIII, 7.
Lycurgus Atheniensis orator, patriæ sollicitator, miles trepidus, XLVIII, 42. (*Quæ dele p.* 833, *l. penult.*)
Lyra a Mercurio inventa, VIII, 7, 4.
Lyra, meretrix, LXVII, 6, 2.
Lyxus, pater Herodoti, LXI, 20.
Macetis mulier Pellæa, XXXII, 6.
Mæotis palus, XLI, 4.
Magidion, LXVII, 12, 1.
Magnes lapis, XXXIX, 1.
Magnus, XXXII, 52.
Malchion Syrus, XXV, 28.
Malea promontorium, LXXIX, 1.
Malthace, LI, 12.
Mastira, Leucanoris uxor, XLI, 57.
Mauri apud Romanos stipendia merentur, XXV, 31.
Maurusia, XXV, 28.
Megapola, mulier, XLII, 28.
Megara, uxor Herculis, VIII, 13.
Megara, regio, LXXIII, 37. Fabulæ Megaricæ, XXXIII, 41.
Megilla, LXVII, 5.
Melas sinus, LVIII, 11.
Melesigenes, id est Homerus, LXXIII, 9.
Melissus, LXVII, 12, 1.
Melpomene, XXXIX, 14.
Mentor artifex, XXXIV, 7.
Metens, syllogismus Stoicorum, XIV, 22.
Metiochus, LX, 25.
Milesiæ narrationes, XXXVIII, 1.
Misericordiæ ara, V, 42; XLVII, 21.
Mysia regio, XXXII, 2.
Mnason, LII, 22.
Mopsus, LXXVI, 7.
Myiæ feminæ, LVII, 10 *et* 11 : 1) rivalis Lunæ in amando Endymione; 2) antiqua poetria; 3) clara meretrix Athenis; 4) Pythagorea.
Nobris, LXVII, 10, 2.
Negretos, fons, XXVII, 33.
Nemei ludi, XXXIII, 44; XLIX, 9.
Nephelococcygia, XXVI, 29.
Nereus enutrit Venerem, LXXX, 90.
Nico, LXXXII, 29.
Nili fontes, LXVI, 44. Nilotica salsamenta, *ib.* 15.
Nisæi equi, XXV, 39.
Nisibenorum pestis, XXV, 15.
Nyctiporos, fluvius, XXVII, 33.

Nyctdon, Noctis templum, *ibid.*
Oceanus, XII, 6; XXVI, 5.
Œnoe, XLVI, 18.
Œnopion, LX, 21.
Ogmius Hercules apud Gallos, LV, 1 *sqq.*
Ogygia, Calypsûs insula, XLVII, 29 *et* 36.
Olympium, templum Jovis Athenis, XLVI, 24. Olympius, de Pericle, XXXIX, 17.
Omanorum thurifera regio, LXII, 17.
Opertus, syllogismus Stoicorum, XIV, 22
Ophion, LXXX, 101.
Orci galea, XLVII, 21.
Oropus, LXXIII, 44.
Orus, XLV, 18.
Othryades, dux Parthicus, Severianum vicit in Armenia, XXXII, 27.
Oxyartes, XVI, 6.
Oxyroes, *pro* Osroes, *quod v.*
Pæaniensis orator, Demosthenes, XLVII, 31; LI, 21.
Pagis, cognomen meretricis, LXVII, 10, 2.
Pangæus mons, XLVI, 18.
Pannychia, fons, XXVII, 33.
Panthea, Abradatæ uxor, XXXIX, 10 *et* 20; *qui libellus est de* Panthea (Lucii Veri sive Marci Antonini) uxore pulcherrima.
Parnes, mons Atticæ, XLVII, 8; XLVI, 11; XLVIII, 43.
Parthi, LXII, 4; fortes, LXVI, 33; ab Juliano victi, LXXVII, 28. Parthicum bellum, XXV, 2 *sqq.*, 30. Parthorum dracones, i. e. signa militaria, *ib.* 29. Parthis, Parthonicica, *ib.* 32.
Pasion, nauclerus, LXVII, 12, 1.
Patarensia sandalia, LXVII, 14, 2.
Patræ, urbs Achaiæ, XLII, 55. Patrensis quidam, LX, 5 *sq.*
Pelamus, XXVI, 38.
Pelasgicum in arce Athenarum, XV, 42 et 47; XLVII, 9.
Pelichi Corinthii statua, LII, 18 *sqq.*
Pelusium, LIX, 2.
Perdiccas quidam, novercæ amore captus, XXV, 35.
Phædra Cnossia, libidinosa, LXXII, 23.
Phalericus, VI, 8.
Phanias, LXVII, 4, 4.
Phidon, LXVII, 2.
Philænis, mulier obscœna, XXXVIII, 28. Philænidis tabellæ, LX, 24. Meretrix, LXVII, 6, 1.
Philinus, faber, LXVII, 6, 1.
Philippopolis, LXIX, 25.
Philo, XXV, 1 *et* 22.
Phocæa pocula, XXXIV, 7.
Pholoe, mons, XLVI, 11.
Pisa, urbs Elidis, XIII, 11; XXI, 8.
Platææ, LI, 14.
Pleiades, XXVI, 29.
Plisthenes Pelopida, podagricus, LXXX, 256.
Plutocles, XXVII, 33.
Pnyx, Athenis, XLIV, 11; XLVII, 9.
Pœas, pater Philoctetæ, LXXX, 257.
Pœnitentiæ imago, XVII, 42.
Polias Minerva, XV, 21.
Pollux quidam, dilectus ab Herode Attico, XXXVII, 24 *et* 33.
Polhinus, LI, 24.
Praxias Chius, nauclerus, LXVII, 7, 1.
Priscus, dux contra Parthos, XXV, 20.
Promantis Delphica, XX, 60.
Propontis, LXXVII, 3.
Proxenus, Epicratis filius, LXXVIII, 1.
Pseudo-Alexander, LVIII, 20.
Pseudo-Nero, *ibid.*
Pseudo-Philippus, *ibid.*
Pseudophilosophi, XV, 31, 34 *sqq.*, 41 *sqq.*
Pyrallis, LXVII, 12, 1.
Pytho, juvenis Macedo, XXXVIII, 15.
Quintilius, LXII, 1.
Regilla, XXXVIII, 33.
Rutilia, mulier formosa, XXXII, 39.
Sacæ, LXII, 4.
Salamis, LI, 18. Salaminii per Apollinem perditi, LXXVII, 5.
Scheria, XLVIII, 11.
Scribonius, LXII, 17.
Seleucia, urbs, LXVI, 34.
Serica vestis, XXXIII, 63.
Sicyon, XLVI, 18; X, 10, 12; 11, 2. Ejus campus fertilis, LXVI, 20.
Sidon, VIII, 24, 2.
Sinatrocles, Parthyæorum rex, LXII, 15.
Smyrna, IV, 9.
Socrates ὁ ἀπὸ Μόψου, LXXVI, 7.
Sophroniscus, Socratis pater, XLVII, 5.
Sosandra, LXVII, 3, 2.
Sostratus, LXXI, 32.
Strombichus, XLVI, 10.
Struthiocameli; eorum ova, LXIV, 7.
Sunium, XLVII, 8 *et* 9.
Sura, locus Asiæ, XXV, 29.
Syracusæ, XXV, 38; IX, 3, 2.
Syrtis major, LXIV, 6.
Syra maga, LXVII, 4, 4.
Tanagræi galli, XLV, 4.
Taraxion, XXVI, 35.
Tarentini, Pythagoræ discipuli, XLV, 18; XIV, 6.
Taureæ palæstra Athenis, XLVIII, 43.
Telemachus, LXI, 30.
Telemus, LXV, 1.
Tethys lactavit Junonem, LXXX, 94.
Themis, XLIV, 19.
Theramenes, cur Cothurnus vocatus, XXXVIII, 50.
Thericles, figulus, XXXIV, 7.
Thero, Menippi filius, LXXXII, 2, 1.
Thesmophoria, XXXVIII, 10; LXVII, 2, 1; 7, 4.
Thraso, LXVII, 12, 1.
Timarchus, homo nequissimus, ad quem scriptum LX.
Timocrates Agrigentinus, XXX, 9.
Tiridates, LXVII, 9, 2.
Titanius, pro Titianus, XXV, 21.
Tmolus, VIII, 18; LXXX, 34.
Tricca, urbs Thessaliæ, XXXII, 11.
Tyro insula, XXVII, 25.
Vesta θεσμοφόρος, cujus sacerdotes virgines, V, 17; LII, 5.
Zeno, filius Aristæneti, LXXI, 5.